XXXVIII. Quænam Eccleſiaſticæ leges hoc opere contineantur, quando & à quibus eæ ſancitæ fuerunt; quinam eruditi viri ſcholia in eaſdem ediderunt, & è quibus denique codicibus iſta ſcholia in hunc librum ſimul collecta ſunt, ex iis quæ hucuſque commentati ſumus, cuivis palam eſt. Adeo ut nihil aliud hìc modo præmittendum ſupereſſe videatur, quam ut debita cum honoris præfatione commemorem, promptiſſimam celeberrimæ Univerſitatis Oxonienſis in cœptis noſtris promovendis benevolentiam; ſpeciatim inſigniſſimi viri D^ni^ Petri Mews L. L. Doctoris, Decani Roffenſis, Collegii D. Jo. Bapt. Oxon. Præſidis, & Univerſitatis Vice-cancellarii opem & patrocinium; atque etiam Exteri poſterique certiores fiant, è quàm celebri prælo Typographico in publicam hoc opus lucem emiſſum eſt. Enimvero pauci abhinc anni elapſi ſunt, ex quo Reverendiſſimus noſter in Chriſto Pater, & Dominus, D. Gilbertus, Divinâ Providentiâ Archiepiſcopus Cantuarienſis, & totius Angliæ Primas & Metropolitanus, pro ardenti ipſius in Deum pietate, ſummo in literatos amore, & conſtanti in Academiam noſtram Oxonienſem benevolentiâ, ex ſuâ ſolius munificentiâ celeberrimum illud fundavit pariter atque extruxit Theatrum, quod de honorando ipſius cognomine Sheldonianum appellari meruit. Intra hoc illuſtre admodum ædificium, præter ampliſſimum illius ſinum publicis celebrandis comitiis deſtinatum, ſpatia quædam circumcirca relinquuntur, operibus Typographicis affabrè accommodata. Quæcunque autem Chalcographi, per æneos ſuos literarum Typos ex innumeris repoſitoriorum loculamentis celerrimâ manu raptos, ibi compoſuerunt, è prælis ſubtus ordine diſpoſitis, in Chartâ ſubditâ exprimuntur. Adeo ut unum illud Oecumenicum evaſurum ſit Theatrum, utpote non huic ſolum genti, ſed univerſo terrarum orbi pulcherrima literarum linguarumque omnium ſpectacula exhibiturum. Plurima ſanè jamdudum promiſſa ſunt, multa propediem exitura, quæ qualia futura ſunt, ex hoc ipſo opere, tanquam ex pede Hercules, non ineptè conjiciatur. Cum hoc enim, quod primum, tantæ ſaltem molis, ex eo prodiit, & illuſtriſſimo propterea illius Fundatori, ſummâ æterni numinis in Eccleſiam ſuam benignitate, adhuc ſuperſtiti, dedicatur, verè canonicum ſit opus, ſacraſque illas exhibeat leges, quibus Eccleſia Primitiva adminiſtrata eſt; haud inani ſpe ducimur, reliqua omnia, quæ Deo adſiſtente cumulatiſſimè ex eo quotannis exitura ſunt, ejuſdem fore generis, ut prorſus canonica, veteris & Catholicæ Eccleſiæ decretis & diſciplinæ conſentanea, tanto denique Fundatore, & ſanctiſſimi Præſulis benefacto digniſſima audiant: illud que tale per omnia ſecula maneat Theatrum, ut Deus ex eo gloriam, evangelium fidem, fides ſtabilimentum, Eccleſia pacem, Artes liberales atque ſcientiæ complementum, & omnes denique quotquot exortæ fuerint controverſiæ, ultimum finem conſequantur. Quod faxit Deus Opt. Max. etiam atque etiam orat

GUILIELMUS BEVEREGIUS.

ELENCHUS

eorum quæ IN HOC OPERE CONTINENTUR.

IN TOMO PRIMO.

PROLEGOMENA.

Canones SS. Apoſtolorum Gr. Lat. cum Scholiis Theodori Balſamonis & Joannis Zonaræ Gr. Lat. plurimis in locis auctis et emendatis: item cum veteri cujuſque Canonis Epitome, et Alexii Ariſteni in eandem Scholiis, è Codd. Mſſ. in Bibliothecâ Bodleianâ aliiſque nunc primum in lucem editis. pag. 1

Canones Concilii Nicæni, primi œcumenici, cum ſcholiis, &c. *ut ſupra.* p. 58

Canones Concilii Conſtantinopolitani primi, œcumenici ſecundi, cum ſcholiis, &c. *ut ſupra.* p. 85

Canones Concilii Epheſini, *œcumenici tertii,* &c. *cum ſcholiis.* p. 99

Canones Concilii Chalcedonenſis, œcumenici quarti, cum ſcholiis, &c. p. 111

Canones Concilii ſexti in Trullo, cum ſcholiis, &c. p. 152

Canones Concilii Nicæni ſecundi, ſeptimi œcumenici dicti, cnm ſcholiis, &c. p. 284

Canones Concilii Conſtantinopolitani, primi & ſecundi dicti, in Templo SS. *Apoſtolorum habiti, cum ſcholiis,* &c. p. 331

Canones Concilii Conſtantinopolitani in Templo S. *Sophiæ habiti, cum ſcholiis,* &c. p. 360

Canones Concilii Carthaginenſis *ſub* S. *Cypriano habiti, cum ſcholiis,* &c. p. 365

Canones Concilii *Ancyrani*, *cum ſcholiis*, &c. p. 375

Canones Concilii *Neocæſariani*, *cum ſcholiis*, &c. p. 402

Canones Concilii *Gangreni*, *cum ſcholiis*, &c. p. 415

Canones Concilii *Antiocheni*, *cum ſcholiis*, &c. p. 429

Canones Concilii *Laodiceni*, *cum ſcholiis*, &c. p. 453

Canones Concilii *Sardicenſis*, *cum ſcholiis*, &c. p. 482

Canones *Synodi* Carthaginenſis, *cum ſcholiis*, &c. *ut ſuprà.* p. 509

Joſephi Ægyptii Proœmia & Paraphraſis Arabica in quatuor priorum generalium Conciliorum Canones, *Arab. Lat. nunc primum in lucem editum*, è Cod. *Ms.* *in Bibl. Bodleianâ.* p. 683

IN TOMO SECUNDO.

Part. I.

CANONES *Dionyſii Alexandrini cum ſcholiis Theodori Balſamonis & Joannis Zonaræ.* pag. 1

Canones Petri Alexandrini, cum ſcholiis, &c. p. 8

Canones *Gregorii Thaumaturgi*, *cum ſcholiis*, &c. p. 24

Canones S. *Athanaſii*, *cum ſcholiis*, &c. p. 37

Canones S. *Baſilii*, *cum ſcholiis*, &c. *necnon cum veteri cujuſque Canonis Epitome*, & *Alexii Ariſteni in eandem ſcholiis.* p. 47

Canones S. *Gregorii Nyſſeni*, *cum ſcholiis Theodori Balſamonis.* p. 151

Reſponſa Canonica Timothei Alexandrini Epiſcopi, *cum ſcholiis Theod. Balſ.* p. 163

Canones Theophili Alexandrini, *cum ſcholiis Theod. Balſ.* p. 170

Epiſtolæ Canonicæ Cyrilli Alexandrini, *cum ſcholiis Theod. Balſ.* p. 175

S. *Gregorii Theologi ex Metricis ejus Poematibus, quinam libri ſint legendi veteris Teſtamenti & novi*, *cum ſcholiis Theod. Balſ.* p. 178

S. *Amphilochii ex Iambis ad Seleucum de eodem argumento.* p. 179

IN HOC OPERE CONTINENTUR.

Gennadii Patriarchæ Conſtantinopolitani *Epiſtola* Encyclica, *cum ſcholiis Theodori Balſamonis.* p. 181

Taraſii Tatriarchæ Conſtantinopolitani ad Adrianum Papam Romanum Epiſtola, de non faciendis pecuniâ ordinationibus, cum ſcholiis Theod. Balſ. p. 185

Alexii Ariſteni Epiſtolarum Canonicarum Synopſis.

Part. II.

Matthæi Blaſtaris Syntagma Alphabeticum rerum omnium quæ in ſacris diviniſque Canonibus comprehenduntur, Gr. Lat. è Codd. MS.n unc primum in lucem editum. p. 1

De ſanctâ & œcumenicâ Synodo quæ Photium Patriarcham in Sedem Conſtantinopolitanam reſtituit, & novæ Romæ ſcandala diſſolvit, Gr. Lat. nunc primum in lucem editum è Cod. MS. in Bibliothecâ Bodleianâ. p. 273

Acta octavæ Synodi Conſtantinopoli celebratæ ex Codice MS. in Bibl. Bodleianâ nunc primum in lucem editum. p. 293

Guilielmi Beveregii Annotationes uberrimæ in totum opus.

UMI

ΚΑΝΟΝΕΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

CANONES SANCTORUM APOSTOLORUM.

ΚΑΝΩΝ α'. A

ΕΠΙΣΚΟΠΟΣ χειροτονείσθω ὑπὸ Επισκόπων δύο ἢ τριῶν.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς οὗτος κανὼν, περὶ χειροτονίας διαλέγεται τῆς παρὰ ἀρχιερέως τελουμένης ἐπ' ἐκκλησίας· καθὼς B καὶ ὁ μέγας Παῦλος φησι, χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἀλλοτρίαις ἁμαρτίαις. οὐ μὴν περὶ ψήφου, καθὼς τινες εἶπον, ἀκολουθήσαντες τοῖς ἀγράφως λεγομένοις, διὰ τὴν τῶν χειρῶν ἔκτασιν, τὴν γινομένην ὅτε παρὰ τοῦ πλήθους τῶν πόλεων αἱ ψῆφοι τῶν ἀρχιερέων ἐγίνοντο. κἂν γὰρ ἡ ἐν Λαοδικείᾳ σύνοδος ἐν ε. κανόνι φησὶ, μὴ δεῖν τὰς χειροτονίας ἐν παρουσίᾳ ἀκροωμένων γίνεσθαι, κἀκ τούτου τινὲς ὑπέλαβον καὶ τὸν κανόνα τοῦτον περὶ ψήφου διαλέγεσθαι· ἀλλ' ἐμοὶ δοκεῖ μὴ καλῶς τούτους λέγειν, ὅτι καὶ ἡ ἐπ' ἐκκλησίας χειροτονία διὰ μυστικῶν εὐχῶν τελεῖται, κἂν ἐνώπιον πολλῶν γίνηται. ἄλλως τε τοῦ δ'. κανόνος τῆς ἐν Νικαίᾳ α. ἁγίας C συνόδου, διοριζομένου τὴν τοῦ Επισκόπου ψῆφον γίνεσθαι παρὰ πάντων τῶν τῆς ἐπαρχίας Επισκόπων ἢ τέως τριῶν, ἐγγράφως καὶ τῶν λοιπῶν συναινούντων, ἀπορῶ πῶς εἶπόν τινες τὸν κανόνα τοῦτον νοεῖσθαι περὶ ψήφου ἀρχιερέως, λέγοντα ὑπὸ Επισκόπων δύο ἢ τριῶν χειροτονεῖσθαι Επίσκοπον.

ΖΩΝΑΡ. Νῦν μὲν χειροτονία καλεῖται ἡ τῆς καθιερώσεως τοῦ ἱερᾶσθαι λαχόντος τελεσιουργία τῶν εὐχῶν, καὶ τοῦ ἁγίου πνεύματος ἐπίκλησις· ἀπὸ τοῦ τὸν ἀρχιερέα τείνειν τὴν χεῖρα εὐλογοῦντα τὸν χειροτονούμενον· πάλαι δὲ καὶ αὐτὴ ἡ ψῆφος χειροτονία ὠνόμαστο. ὅτε γὰρ τοῖς τῶν πόλεων D πλήθεσιν ἐξῆν ἐκλέγεσθαι τοὺς ἀρχιερεῖς, συνήεσαν τὰ πλήθη· καὶ οἱ μὲν, τόνδε ᾑροῦντο, οἱ δὲ τόνδε· ἵνα οὖν ἡ τῶν πλειόνων κρατοίη ψῆφος, λέγεται τείνειν τὰς χεῖρας τοὺς τὴν ἐπιλογὴν ποιουμένους, καὶ διὰ τούτων ἀριθμεῖσθαι τοὺς ἕκαστον ψηφιζομένους, καὶ τὸν παρὰ τῶν πλειόνων αἱρούμενον, εἰς τὴν ἀρχιερωσύνην προκρίνεσθαι· κἀντεῦθεν ἐξελήφθη τῆς χειροτονίας τὸ ὄνομα. τούτῳ δὲ καὶ οἱ τῶν συνόδων πατέρες οὕτως εὑρίσκονται χρησάμενοι, καὶ τὴν ψῆφον χειροτονίαν καλέσαντες· ἡ γὰρ ἐν Λαοδικείᾳ σύνοδος ἐν πέμπτῳ κανόνι φησὶ, μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι· χειροτονίας δὲ τὰς ψήφους ὠνόμασεν· ἐν γὰρ τῇ τελεσιουργίᾳ τοῦ ἀρχιερέως, E μᾶλλον ἔθος πολλοὺς συνέρχεσθαι· ἐν δὲ ταῖς ψήφοις, διὰ τὸ εἰσάγεσθαι τινὰ αἰτιάματα κατὰ τῶν ψηφιζομένων ἀνδρῶν, ἀπηγόρευται τὸ παρεῖναί τινας, καὶ ἀκροᾶσθαι τούτων. χειροτονεῖσθαι δὲ οὗτος ὁ κανὼν διατάττεται Επίσκοπον παρὰ δύο Επισκόπων· ψηφίζεσθαι δὲ Επίσκοπον ὁ τέταρτος κανὼν τῆς πρώτης συνόδου ὁρίζει, παρὰ πάντων τῶν τῆς ἐπαρχίας Επισκόπων, ἢ τέως τριῶν, ἐγγράφως καὶ τῶν λοιπῶν συναινούντων.

ΑΡΙΣΤ. Δύο ἢ τρεῖς Επίσκοποι χειροτονοῦσιν Επίσκοπον.

Τρεῖς δὲ ἐξάπαντος ὀφείλουσι ψηφίζεσθαι Επίσκοπον, καὶ F μὴ ἥττονες τούτων· εἴπερ δυσχερές ἐστι πάντας τοὺς ἐπαρχιώτας Επισκόπους ἐπὶ τὸ αὐτὸ Ϲυναχθῆναι· καὶ ζήτει κανόνα τέταρτον τῆς ἐν Νικαίᾳ Ϲυνόδου, καὶ ιγ'. τῆς ἐν καρθαγένῃ, καὶ ιθ'. ἐν Ἀντιοχείᾳ.

ΚΑΝΩΝ β'.

Πρεσβύτερος ὑπὸ ἑνὸς Επισκόπου χειροτονείσθω, καὶ διάκονος, καὶ οἱ λοιποὶ κληρικοί.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ χειροτονίας ἀκολού-

Canon I.

PISCOPUS à duobus vel tribus Epiſcopis ordinetur.

Bals. Hic Canon Apoſtolicus diſſerit de ordinatione, quæ fit ab Antiſtite in Eccleſia; ſicut magnus quoque dicit Paulus, Nemini manus citò imponas, nec alienis peccatis communices: non autem de electione, ut nonnulli dicebant, ſecuti ea quæ dicebantur ſine ſcriptis, per manuum extenſionem, factam quando à populo civitatum electiones Antiſtitum fiebant. Etſi enim Laodicena Synodus dicit in quinto Canone non debere fieri ordinationes in pręſentia audientium, & ideo nonnulli exiſtimarunt hunc quoque Canonem loqui de electione, mihi tamen videtur eos non rectè dicere; Quę enim fit in Eccleſia ordinatio, per preces myſticas peragitur, etiamſi fiat coram multis: inſuper cùm quartus Canon ſanctæ primæ Synodi Nicenæ decernat debere fieri electionem Epiſcopi ab omnibus Epiſcopis provinciæ, vel à tribus ſaltem, reliquis in ſcriptis aſſentientibus; dubito quomodo dixerunt nonnulli hunc Canonem de electione Antiſtitis intelligi, qui dicit à duobus vel tribus Epiſcopis ordinandum Epiſcopum.

Zonar. Nunc quidem Chirotonia vocatur abſolutio precum, ſanctique Spiritus invocatio, dum ſacerdotio quis initiatur, & conſecrationem ſortitur. Ex eo dicta, quòd Pontifex extendat manum benedicens homini ad ſacra deligendo: ſed ipſum ſuffragium quondam nominatum eſt Chirotonia. Nam quum urbium cœtibus liceret eligere ſacrorum præfectos, conveniebant ipſi cœtus, & alii quidem hunc, alii verò deligebant illum. Quatenus autem plurium ſuffragium vinceret, Eligentes ferunt ſolitos extendere manus; & per illas numerabantur, qui vel hunc, vel illum delegiſſent. A pluribus verò electum ſummo ſacerdotio præfecere. Et hinc Chirotoniæ nomen deſumptum, quo ſic etiam Synodorum patres inveniuntur uſi, Suffragium etiam nominantes Chirotoniam. Laodicenſis nempe Synodus in quinto Canone dicit, Non oportere Chirotonias in Audientium præſentia fieri. Chirotonias autem appellavit ſuffragia. In plena enim Pontificis conſummatione magis obtinebat conſuetudo ut plures unà convenirent: ſed in ſuffragiis ferundis, eò quòd inducerentur contra electos viros accuſationes quædam, aliquos vetatur adeſſe, & has audire. Hic autem Canon à duobus Epiſcopis Epiſcopum jubet initiari. Sed quartus primæ Synodi Canon Epiſcopum creari definit ab omnibus Epiſcopis provinciæ: vel tribus interea, dum reliqui ſubſcriptione conſentiant.

Arist. *Duo vel tres Epiſcopi ordinant Epiſcopum.* Tres omnino debent ordinare Epiſcopum & non pauciores illis; ſiquidem difficile eſt omnes provinciæ Epiſcopos in unum convenire. Quære etiam Canonem quartum Synodi Nicenæ, & xiii. Carthaginenſis, & xix. Antiochenæ.

Canon II.

Presbyter ab uno Epiſcopo ordinetur, & Diaconus, & reliqui Clerici.

Bals. Hic quoque Canon de ordinatione

conſequenter ſtatuens, probat etiam præcedentem Canonem accipi de ordinatione Epiſcoporum, non de eorum electione. Neque enim Presbyterum, vel Diaconum, vel alium Clericum priùs eligi & ſic ordinari docti ſumus.

Zonar. Et electionem, & ordinationem Presbyterorum, atque Diaconorum Canon remittit Epiſcopo: cui ſubjicientur ij, qui ordinantur.

Arist. *Unus Epiſcopus ordinat Presbyterum & Diaconum. Perſpicuus.*

Canon III.

Si quis Epiſcopus, vel Presbyter, præter Domini de ſacrificio ordinationem, alia quædam ad altare attulerit, vel mel, vel lac, vel pro vino ſiceram factitiam, vel aves, vel aliqua animalia, vel legumina, præter ordinationem, deponatur, præterquam novas ſpicas vel uvam tempore opportuno. Ne liceat autem aliquid aliud ad altare offerre quàm oleum ad luminare, & incenſum tempore ſanctæ oblationis.

Bals. Sacrificia quæ ex lege antiqua in templo fiebant, per ſanguinem & animalium cædem, prohibentes divini Apoſtoli, incruentum, quod à Domino traditum eſt, ſacrificium fieri juſſerunt, & Sacerdotem, qui præter hæc facit, deponendum eſſe ſtatuerunt. Eſt autem Sicera quidquid præter vinum inebriat. Cùm autem audis Canonem dicentem, Præterquam novas ſpicas vel legumina, ne putes per hæc permitti fieri ſacrificium, & hoc enim prohibetur; ſed dic ea offerri Sacerdoti, tanquam novorum fructuum primitias: & ut ea ex manibus Sacerdotis cum benedictione accipientes, Deo gratias agamus, qui ea nobis ſuppeditat, quæ ad victum noſtrum cultúmque ſufficiunt. Et ideo, ut eſt veriſimile, Patriarchæ quoque uvæ offeruntur in altari ſacræ ædis Blachernarum, peracto ſacro in feſto dormitionis ſanctiſſimę Deiparæ. Ego autem vidi quendam depoſitum, & ex venerandi Monaſterii regionis, cui præerat, præfectura ejectum, quòd caſeos & carnes ad altare inferret, conſilio cujuſdam improbi hominis, qui eum ſeduxit, & dixit hoc modo futuram plurimorum morborum medelam. Incenſum autem & oleum propter ſacrificium non offertur, ſed ad templi illuminationem, & veræ Luci & Deo gratiarum exhibendam actionem. Lege ſextæ Syn. Can. xxviii. & xxxii. & lvii.

Zonar. Dominus tradens diſcipulis ſuis illud quod agitur in incruento ſacrificio myſterium, hoc ipſum Pane, Vinóque conficiendum tradidit. Ob quod etiam ipſi Apoſtoli prohibuerunt aliud quid in ſacrificium adduci: Vinique loco aliâ potionis uti ſpecie vetuerunt, qualis eſt Sicera. Sicera autem eſt, quicquid præter Vinum facit ebrietatem, qualia ſunt, quæ per artem parant homines, ut eſt appellata potio, Choumeli; Et quæ ſimiliter apparantur. Uvas autem jam maturas, novâſque ſpicas, videlicet, recenter enatas, & ad cibum jam perfecta legumina (Hoc enim ſignificatur per id quod dicitur, Tempore opportuno) permiſerunt afferri. Veruntamen non ut ſacrificia, iſthæc offerri, ſed tanquam primitias tempeſtivorum fructuum. Præterea, permiſſum eſt & afferri oleum, ut lumen per hoc accendatur vero lumini, incenſum quoque, tempore ſanctæ oblationis. Legas in Trullo ſynodi Canones xxxi, xxxii. & xxxviii.

Arist. *Sacerdos qui lac, vel mel, vel Siceram, vel animalia, vel legumina altari affert, præter novas ſpicas, & uvam, & oleum, & ſuffitum, deponatur.*

Afferre altari quæ hic numerantur, illud quidem ut

A θως νομοθετῶν παρίστησι καὶ τὸν περὶ αὐτοῦ κανόνα ἐκλαμβάνεσθαι περὶ Ἐπισκόπων χειροτονίας, οὐ περὶ ψήφου αὐτῶν. οὐδὲ γὰρ ψηφίζεσθαι πρότερον πρεσβύτερον ἢ διάκονον, ἀνεδιδάχθημεν, ἢ ἕτερον κληρικὸν, καὶ οὕτω χειροτονεῖσθαι αὐτόν.

ΖΩΝΑΡ. Καὶ τὴν ἐπιλογὴν, καὶ τὴν χειροτονίαν τῶν πρεσβυτέρων, καὶ διακόνων, τῷ Ἐπισκόπῳ ἀνατίθησιν ὁ κανών· ᾧ ὑποκεῖσθαι μέλλουσιν οἱ χειροτονούμενοι.

ΑΡΙΣΤ. Εἷς Ἐπίσκοπος χειροτονεῖ πρεσβύτερον καὶ διάκονον. Σαφής.

B

ΚΑΝΩΝ γʹ.

Εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος, παρὰ τὴν τοῦ κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτὰ, ἢ ὄρνεις, ἢ ζῶά τινα, ἢ ὄσπρια, παρὰ τὴν διάταξιν, καθαιρείσθω· πλὴν νέων χίδρων, ἢ σταφυλῆς τῷ καιρῷ τῷ δέοντι. Μὴ ἐξὸν δὲ ἔστω, προσάγεσθαί τι ἕτερον εἰς τὸ θυσιαστήριον, ἢ ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα, τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς.

ΒΑΛΣ. Τὰς ἐκ τοῦ παλαιοῦ νόμου γινομένας ἐπὶ τοῦ ἱεροῦ C θυσίας, δι᾽ αἵματος καὶ ζώων σφαγῆς, ἀπαγορεύσαντες οἱ θεῖοι ἀπόστολοι, τὴν ὑπὸ τοῦ κυρίου παραδοθεῖσαν ἀναίμακτον θυσίαν ἐκέλευσαν γίνεσθαι, καὶ τὸν παρὰ ταῦτα ποιοῦντα ἱερέα καθαιρεῖσθαι διωρίσαντο. σίκερα δέ ἐστι, πᾶν τὸ ἄνευ οἴνου μέθην ἐμποιοῦν· ἀκούων δὲ τοῦ κανόνος λέγοντος, πλὴν νέων χίδρων, ἤγουν ὀσπρίων, μὴ νομίσῃς συγκεχωρῆσθαι τὴν διὰ τούτων θυσίαν· καὶ τοῦτο γὰρ ἀπηγόρευται· ἀλλὰ λέγε προσφέρεσθαι ταῦτα τῷ ἱερεῖ, ὡς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν· καὶ ἵνα λαμβάνοντες αὐτὰ ἀπὸ τῶν χειρῶν τοῦ ἱερέως μετ᾽ εὐλογίας, εὐχαριστίαν τῷ Θεῷ ἀναπέμπωμεν, τῷ οἰκονομήσαντι τὰ πρὸς ζωάρκειαν καὶ θεραπείαν ἡμῶν. διὰ γὰρ τοῦτο D ὡς ἔοικε καὶ σταφυλὰς τῷ Πατριάρχῃ προσφέρουσιν ἐν τῷ θυσιαστηρίῳ τοῦ θείου ναοῦ τῶν Βλαχερνῶν, μετὰ τὴν ἱεροτελεστίαν κατὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου. ἐγὼ δὲ εἶδον καθαιρεθέντα καὶ τῆς ἡγουμενίας ἐκβληθέντα τινὰ προεστῶτα τῆς σεβασμίας μονῆς τῆς χώρας, διὰ τὸ τυροὺς καὶ κρέα ἐν τῷ θυσιαστηρίῳ εἰσαγαγεῖν, ἀπὸ συμβουλῆς ἀνθρώπου κακοῦ, πλανήσαντος αὐτὸν, καὶ εἰπόντος ἐκ τούτου τοῦ τρόπου πολλῶν ἀρρωστημάτων θεραπείαν γενέσθαι. θυμίαμα δὲ καὶ ἔλαιον οὐ χάριν θυσίας προσάγεται, ἀλλ᾽ εἰς φωταγωγίαν τοῦ ναοῦ, καὶ εὐχαριστίαν τοῦ ἀληθινοῦ φωτὸς καὶ Θεοῦ. ἀνάγνωθι τῆς ϛʹ. συνόδου κανόνας κηʹ. λβʹ. νζʹ.

E

ΖΩΝΑΡ. Ὁ κύριος παραδιδοὺς τοῖς μαθηταῖς αὐτοῦ τὴν ἐπὶ τῇ ἀναιμάκτῳ θυσίᾳ τελετὴν, ἄρτῳ καὶ οἴνῳ ταύτην τελεῖν παραδέδωκε. διὸ καὶ οἱ ἀπόστολοι ἕτερόν τι πρὸς θυσίαν προσάγεσθαι ἀπηγόρευσαν· καὶ ἀντὶ οἴνου δὲ, ἑτέρῳ πόματι κεχρῆσθαι ἐκώλυσαν, οἷον σίκερα· σίκερα δέ ἐστι, πᾶν τὸ ἄνευ οἴνου μέθην ἐμποιοῦν, οἷά εἰσιν ἃ ἐπιτηδεύουσιν ἄνθρωποι, ὡς ἡ λεγομένη χουμέλη, καὶ ὅσα ὁμοίως σκευάζονται. σταφυλὰς δὲ ἄρτι γινομένας πεπείρους, καὶ νέα χίδρα, ἤτοι ἀρτιφανῆ, καὶ πρὸς βρῶσιν ἤδη καθεστηκότα ὄσπρια, (τοῦτο γὰρ δηλοῦται διὰ τοῦ εἰπεῖν, τῷ καιρῷ τῷ δέοντι) προσάγεσθαι συνεχώρησαν· πλὴν οὐχ ὡς θυσίας ταῦτα προσφέρεσθαι, ἀλλ᾽ ὡς F ἀπαρχὰς τῶν ὡρίων καρπῶν συγκεχώρηται δὲ προσάγεσθαι καὶ ἔλαιον, ὥστε φῶς διὰ τούτου ἀνάπτεσθαι τῷ ἀληθινῷ φωτὶ, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς. ἀνάγνωθι τῆς ἐν Τρούλλῳ συνόδου κανόνας λα. λβ. λη.

ΑΡΙΣΤ. Ἱερεὺς ὁ γάλα, ἢ μέλι, ἢ σίκερα, ἢ ζῶα, ἢ ὄσπρια τῷ θυσιαστηρίῳ προσάγων, πλὴν νέων χίδρων, καὶ σταφυλῆς, καὶ ἐλαίου, καὶ θυμιάματος, καθαιρείσθω.

Τὸ προσάγειν τῷ θυσιαστηρίῳ τὰ ἀπηριθμημένα, τὸ μὲν,

ὡς

UMI

ὡς ἑλληνικὸν, τὸ δὲ ὡς Ἰουδαϊκὸν ἀπηγόρευται· ἀπαρχὰς δὲ τῶν A νέων καρπῶν, ἤτοι ὀσπρίων, καὶ σταφυλῆς, προσφέρειν κατὰ τὸν τῆς γεωργίας καιρὸν, εἰς εὐχαριστίαν τοῦ δόντος Θεοῦ, ἐπιτέτραπται.

ΚΑΝΩΝ δ'.

Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω, ἀπαρχὴ τῷ Ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον· δῆλον δὲ, ὡς ὁ Ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίζουσι τοῖς διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς.

ΒΑΛΣ. Σημείωσαι καὶ ἀπὸ τούτου τοῦ κανόνος, ὅτι ἐν τῷ B ναῷ μόνα ὄσπρια καὶ σταφυλαὶ ὡς ἀπαρχαὶ τῷ Ἐπισκόπῳ προσάγονται· αἱ ὀπῶραι δὲ καὶ τὰ λοιπὰ ἀποστέλλονται τῷ Ἐπισκόπῳ χάριν τοῦ δι᾽ αὐτοῦ ἀξίαν τῷ Θεῷ εὐχαριστίαν δοθῆναι. ὅπως δὲ τὰ ἐπὶ τοῖς μνήμασι τῶν ἁγίων καὶ τῶν κατοιχομένων προσφερόμενα, καὶ κανίσκια λεγόμενα, διὰ πολυειδῶν ὀπωρῶν κοσμούμενα τῷ θυσιαστηρίῳ προσφέρονται, μαθήσῃ ἀπὸ τοῦ εἰς τοὺς κεκοιμημένους λόγου τοῦ μεγάλου Ἀθανασίου. σὺ δὲ εἰπὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναγκάζονται οἱ Ἐπίσκοποι παρηγορεῖν τοὺς κληρικοὺς αὐτῶν ἀπὸ τῶν εἰσόδων τῶν ἐκκλησιῶν.

C ΖΩΝΑΡ. Τὰς ὀπώρας οὐκ εἰς τὸ θυσιαστήριον δεῖ προσάγεσθαι, ἀλλὰ τὸν βουλόμενον ἀπαρχὰς ἐξ αὐτῶν προσαγαγεῖν τῷ Θεῷ εἰς εὐχαριστίαν, τῷ Ἐπισκόπῳ ταύτας προσφέρειν, καὶ τοῖς πρεσβυτέροις· κἀκείνους δεχομένους ταύτας μὴ εἰς οἰκείαν μόνην ἔχειν ἀπόλαυσιν, ἀλλὰ καὶ τῷ κλήρῳ διανέμειν παντί.

ΑΡΙΣΤ. Αἱ ὀπῶραι οἴκοι πεμπέσθωσαν, ἃς οἱ πρῶτοι τοῖς ἑξῆς διανέμοιεν.

Ἄνευ σταφυλῆς, τὰς ἀπαρχὰς τῶν ἄλλων ὀπωρῶν οὐ τῷ θυσιαστηρίῳ προσφέρειν δεῖ, ἀλλ᾽ οἴκοι στέλλεσθαι τῷ Ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἐπὶ τῷ διανέμεσθαι ταῦτα τοῖς διακόνοις καὶ τοῖς D λοιποῖς κληρικοῖς· ἡ γὰρ σταφυλὴ ἐν τῇ ἐκκλησίᾳ προσαχθήσεται, κατ᾽ ἐξαίρετον τῶν ἄλλων ὀπωρῶν, ὡς καὶ τοῦ ἐξ αὐτῆς οἴνου, εἰς τελεσιουργίαν παραλαμβανομένου τῆς ἀναιμάκτου θυσίας.

ΚΑΝΩΝ ε'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω.

ΒΑΛΣ. Πρὸ τῆς ϛ'. συνόδου τῆς ἐν τῷ Τρούλλῳ τοῦ παλατίου γενομένης, ἐξῆν τοῖς Ἐπισκόποις ἔχειν γυναῖκας, καὶ μετὰ τὸ Ἐπισκοπικὸν ἀξίωμα, ὥσπερ ἔχουσιν αὐτὰς καὶ οἱ μετὰ τὸν E γάμον χειροτονούμενοι ἱερεῖς ἢ διάκονοι· ἐπεὶ οὖν πρὸ τῆς Ἰουστινιανείου ριζ'. νεαρᾶς τῆς κειμένης ἐν βιβλίῳ τῶν βασιλικῶν κη'. τίτλῳ ζ'. ἄδειαν εἶχεν ὁ βουλόμενος ἐκ πάσης αἰτίας ἀποστέλλειν τῇ γυναικὶ αὐτοῦ διαζύγιον, φησὶν ὁ παρὼν κανὼν, μὴ ἔχειν ἄδειαν τὸν Ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον, ἢ τὸν διάκονον, προφάσει εὐλαβείας ἐκβάλλειν τὴν οἰκείαν γυναῖκα. τὰ τοῦ τοιούτου δὲ κανόνος ἐσχόλασεν, ὅσον τέως εἰς τοὺς πρεσβυτέρους καὶ διακόνους. οἱ γὰρ Ἐπίσκοποι γυναῖκας ἔχειν, ὡς εἴρηται, μετὰ τὴν Ἐπισκοπὴν οὐ δύνανται· ἐκ τοῦ μὴ λύεσθαι σήμερον ἄλλως πως συνοικέσιον οἱονδηποτοῦν, εἰ μὴ ἐκ τῶν αἰτιῶν τῶν ἐν τῇ ῥηθείσῃ νεαρᾷ περιεχομένων· αἳ καὶ εἰσὶν F αὗται, τὸ φρονῆσαί τινα ἐκ τῶν ὁμοζύγων κατὰ βασιλέα· τὸ μοιχευθῆναι τὴν γυναῖκα· τὸ ἐπιβουλεῦσαι θάτερον τῇ τοῦ ἑτέρου ζωῇ· τὸ συμποσιάζειν ἢ συλλούεσθαι τὴν γυναῖκα ἀνδράσιν ἐξωτικοῖς, μὴ βουλομένου τοῦ ἀνδρός· τὸ ἔξω τῆς οἰκίας τοῦ ἀνδρὸς μεῖναι τὴν γυναῖκα, εἰ μή τοιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσι· τὸ τὴν γυναῖκα ἀπελθεῖν εἰς ἱπποδρόμιον δίχα γνώμης τοῦ ἀνδρός· τὸ ἑλέσθαι τὸν μονήρη βίον θάτερον ἐκ τῶν ὁμοζύγων, καὶ ἄλλαι τινὲς ἀπογεγραμμέναι ἐν τῇ ῥηθείσῃ νεαρᾷ, ἣν καὶ ἀνάγνωθι.

Græcanicum, hoc ut Judaicum prohibetur. Primitias autem recentium fructuum, vel leguminum, vel uvæ paſſæ offerre ſecundum agriculturæ tempus, ad gratias agendas Deo danti, permittitur.

Canon IV.

Omnis alius fructus domum mittatur, primitiæ Epiſcopo & Presbyteris; ſed non ſuper Altare. Clarum autem eſt, quòd Epiſcopus & Presbyteri Diaconis, & reliquis Clericis diſtribuunt.

Bals. Nota etiam ex hoc præſenti Canone, quòd in templo ſola legumina & uvæ, ut primitiæ, Epiſcopo offeruntur: fructus autem & reliqua mittuntur ad Epiſcopum: ut per eum, ut par eſt, Deo gratiæ agantur. Quomodo autem quæ in memoriis ſanctorum & mortuorum offeruntur, & caniſcia appellantur, omni genere fructuum ornata ad Altare offerantur, diſces ex oratione magni Athanaſii, De iis qui dormierunt. Tu autem dic quòd etiam ex præſenti Canone neceſſe habent Epiſcopi conſolari Clericos ſuos ex reditibus Eccleſiarum.

Zonar. Fructus autumnales ad Altare non oportet afferre. Sed qui pro debita gratiarum actione vult ex his offerre Deo Decimas aut Primitias, Epiſcopo, Preſbyteriſque deferat ipſas. Qui quum ſuſceperint eas, in domeſticam ſuam ſolam non habeant utilitatem, nec ſoli fruantur: ſed univerſo clero diſtribuant.

Arist. *Fructus domum mittantur, quos primi ordine ſequentibus diſtribuant.*

Exceptâ uvâ paſsâ primitias aliorum fructuum non licet Altari offerre; ſed domum mittere Epiſcopo & Preſbyteris, ut diſtribuantur Diaconis & aliis Clericis. Uva enim in Eccleſia offertur peculiariter ab aliis fructibus, ut & à vino ex ea facto, quod aſſumitur ad perficiendum incruentum ſacrificium.

Canon V.

Epiſcopus, vel Presbyter, vel Diaconus uxorem ſuam ne ejiciat religionis prætextu: ſin autem ejecerit, ſegregetur: & ſi perſeveret, deponatur.

Bals. Ante ſextam Synodum, quæ fuit in Trullo palatii, licebat Epiſcopis habere uxores, etiam poſt dignitatem Epiſcopalem, quemadmodum & qui poſt matrimonium ordinantur Sacerdotes & Diaconi. Quoniam itaque ante cxvii. Juſtiniani novellam, quæ ſita eſt in libro Baſilic. xxviii. tit. vii. licebat cuilibet quavis ex cauſa mittere ſuæ uxori libellum repudii, dicit præſens Canon, non licere Epiſcopo, vel Presbytero, vel Diacono prætextu religionis ſuam uxorem ejicere. Hic autem Canon exolevit, quod ad Presbyteros & Diaconos attinet: Epiſcopi enim, ut dictum eſt, poſt Epiſcopatum uxores habere non poſſunt; quòd nunc non poſſit aliter ſolvi matrimonium quàm pro cauſis quæ in dicta novella continentur, quæ ſunt hæ: Si quis ex conjugibus adverſus Imperatorem conſpiraverit. Si uxor adulterata fuerit. Si alteruter vitæ alterius inſidiatus fuerit. Si uxor cum viris externis nolente marito convivetur, vel lavetur. Si extra domum mariti uxor manſerit, niſi fortè apud ſuos parentes. Si uxor vadat ad equorum Circenſe curriculum præter voluntatem mariti. Si alteruter conjugum vitam Monaſticam elegerit. Sunt etiam aliæ cauſæ in dicta novella contentæ, quam etiam lege.

Zonar. Antiquitus disjungere licebat invicem cohabitantes & matrimonio conjunctos, idque ſine cauſa, quandocunq; volebant. A At Dominus, ut ſcribitur in Evangeliis, hoc vetuit. Igitur Apoſtoli ſecundum Domini ordinationem hoc etiam prohibent. Et interea nunc de ſacratis miniſtris loquuntur: ut ſi religionis obtentu ſacratus miniſter uxorem ſuam repudiarit, ab Eccleſia excludatur, uſquequo perſuaſus fuerit eam recipere: quod ſi perſeverat, ipſam non recipiens, à gradu etiam deponetur. Hoc enim videtur in calumniam fieri nuptiarum, tanquam mixtio conjugum faciat immunditiam. Scriptura verò dicit, Honorabiles nuptias, & impollutum cubile. Meminit autem Canon & Epiſcoporum conjuges habentium, B quia liberum tunc erat Epiſcopis etiam legitimum cum mulieribus conjugium. Námque Synodus in Trullo, nuncupata ſexta, prohibuit iſtud in duodecimo ſuo Canone. Lex etiam civilis conjugum divortia vetuit abſque cauſa: certas enim definit cauſas, propter quas legitimè divortia fieri debent.

Arist. *Sacerdos qui uxorem depellit, ipſe à communione depellatur, at ſi non introducat, deponatur.*

Si quis Presbyter aut Diaconus uxorem ſuam prætextu religionis depellit ſine juſta cauſa, excommunicetur. C Sin autem & poſt excommunicationem inemendabilis maneat, deponatur: quære etiam Canonem xii. ſextæ Synodi in Trullo & xiii. idem conſtituentem.

Canon VI.

Epiſcopus, vel Presbyter, vel Diaconus ſeculares curas non ſuſcipiat: alioqui deponatur.

Bals. De hominibus conſecratis, qui ſeculares ſervitutes exercent, ſatis ſcripſimus in xiii. cap. viii. tit. preſentis operis. Cùm autem Apoſtolicus hic Canon dicat, Clericum, qui ſic facit, deponendum, lxxxi. autem Canon D Apoſtolicus & alii Canones dicant, vel ceſſet, vel deponatur: interrogaverit quiſpiam, quiſnam eſt ſequendus: & puto, quòd benignior. Nam clarum illum & magnum œconomum Ariſtenum xxx. dierum publicis edictis à juris dicendi officio ceſſare juſſit ſancta Synodus.

Zonar. Interdicitur modo enumeratis, ne ſe negotiis immiſceant ſecularibus. Vult enim Canon ipſos divino vacare ſervitio: Séque aſſervare ab omni vitæ confuſione, popularique tumultu, quod ſi non faciant, eos deponi jubet. Qua de re diverſi quoque Synodorum Canones edicunt. E Civiles etiam leges inhibent Deo conſecratos negotiis ſeipſos ingerere. Ad orphanorum verò tantùm puerorum vocatos adminiſtrationem per legem, hanc duntaxat ſubire permittunt.

Arist. *Seculares curas ſuſcipiens Sacerdos, de ſacerdotio deponitur.*

Seculares curas Epiſcopus, vel Presbyter, vel Diaconus, ſuſcipere non permittitur propter proprium turpe lucrum, niſi aliquando à legibus vocetur ad adminiſtranda infantium negotia, vel aliter petatur ſuſcipere adminiſtra- F tionem viduarum & orphanorum & infirmorum: ſi autem admonitus ſecedere, non paret, ſed in adminiſtratione permanet, deponitur.

Canon VII.

Si quis Epiſcopus, vel Presbyter, vel Diaconus, Sanctum Paſchæ diem ante vernum æquinoctium cum Judæis celebraverit, deponatur.

Bals. Divini Apoſtoli nolunt nos feſtum cum Ju-

ΖΩΝΑΡ. Τὸ παλαιὸν ἐξῆν διαζεύγνυσθαι τοὺς συνοικοῦντας, καὶ χωρὶς αἰτίας, ὁπηνίκα ἐβούλοντο· ὁ δὲ Κύριος, ὡς ἐν τοῖς Εὐαγγελίοις γέγραπται, τοῦτο ἀπηγόρευσε· κατὰ γοῦν τὴν τοῦ Κυρίου διαταγήν, καὶ οἱ ἀπόστολοι τοῦτο κωλύουσι· καὶ τέως νῦν περὶ τῶν ἱερωμένων φασίν, ὡς εἰ προφάσει εὐλαβείας ἱερωμένος τὴν γυναῖκα αὐτοῦ ἀποπέμψεται, ἀφοριζέσθω, ἕως ἂν δηλαδὴ πεισθῇ προσλαβέσθαι αὐτήν· εἰ δὲ ἐπιμένει μὴ προσλαμβάνων αὐτήν, καὶ καθαιρεθήσεται· ἔοικε γὰρ εἰς διαβολὴν εἶναι τοῦτο τοῦ γάμου, ὡς ἀκαθαρσίαν τῆς μίξεως ἐμποιούσης· τὸν δὲ τίμιον ἡ γραφὴ λέγει, καὶ τὴν κοίτην ἀμίαντον. Μέμνηται δὲ ὁ κανὼν καὶ Ἐπισκόπων ἐχόντων γυναῖκας, ὅτι τότε ἀκώλυτον εἶχον καὶ οἱ Ἐπίσκοποι τὴν πρὸς γυναῖκας νόμιμον συζυγίαν. Ἡ γὰρ ἐν τῷ Τρούλλῳ Σύνοδος, ἡ λεγομένη ἕκτη, τοῦτο ἐκώλυσεν, ἐν δωδεκάτῳ αὐτῆς κανόνι· καὶ ὁ πολιτικὸς δὲ νόμος, τὰ ἀναίτια διαζύγια ἀπηγόρευσε, ῥητὰς ὁρίσας αἰτίας, δι' ἃς νομίμως ὀφείλουσι τὰ διαζύγια γίνεσθαι.

ΑΡΙΣΤ. Τὴν βοηθὸν ἱερεὺς ἐκβάλλων, ἀποβαλλέσθω· μὴ εἰσάγων δέ, καθαιρείσθω.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, τὴν αὐτοῦ βοηθὸν προφάσει εὐλαβείας ἐκβάλλει, ἄνευ εὐλόγου αἰτίας, ἀφοριζέσθω· εἰ δὲ καὶ μετὰ τὸν ἀφορισμὸν ἀδιόρθωτος μένει, καθαιρείσθω· καὶ ζήτει τὸν ἐν τῷ Τρούλλῳ ἕκτης Συνόδου κανόνα ιβ. καὶ τρισκαιδέκατον, τὰ αὐτὰ διαλαμβάνοντα.

ΚΑΝΩΝ ϛ'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω, εἰ δὲ μή, καθαιρείσθω.

ΒΑΛΣ. Περὶ τῶν ἱερωμένων ἐνεργούντων δουλείας κοσμικάς, ἱκανῶς ἐγράψαμεν ἐν τῷ ιγ'. κεφαλαίῳ τοῦ η'. τίτλου τοῦ παρόντος Συντάγματος· τούτου δὲ τοῦ ἀποστολικοῦ κανόνος λέγοντος καθαιρεῖσθαι τὸν οὕτω ποιοῦντα κληρικόν· τοῦ δὲ πα'. ἀποστολικοῦ κανόνος, καὶ ἑτέρων κανόνων λεγόντων, ἢ παυσάσθω ἢ καθαιρείσθω, ἐρωτήσει τις, τίνι προσέχειν ὀφείλομεν· καὶ οἶμαι ὅτι τῷ φιλανθρωποτέρῳ· ὅτι καὶ τὸν ὑπέρτιμον ἐκεῖνον καὶ μέγαν οἰκονόμον τὸν Ἀριστηνόν, διὰ τριακονθημέρων ἐπιφωνημάτων τριῶν, ἐπεφώνησεν ἡ ἁγία σύνοδος ἀπέχεσθαι τοῦ δικαιοδοτικοῦ ὀφφικίου.

ΖΩΝΑΡ. Ἀποτέτραπται τοῖς ἀπηριθμημένοις, τὸ εἰς πράγματα ἑαυτοὺς κοσμικὰ παρεμβάλλειν· βούλεται γὰρ ὁ κανὼν τῇ θείᾳ ὑπηρεσίᾳ σχολάζειν αὐτούς· καὶ ἔξω συγχύσεως καὶ θορύβου δημώδους τηρεῖν ἑαυτούς· εἰ δὲ μὴ τοῦτο ποιοῦσι, καθαιρεῖσθαι αὐτοὺς προστάττει· περὶ τούτου δὲ καὶ Συνόδων κανόνες διάφοροι διατάττονται· καὶ οἱ πολιτικοὶ δὲ νόμοι, κωλύουσι τοὺς ἱερωμένους εἰς πράγματα ἑαυτοὺς ἐμβάλλειν· εἰς δὲ μόνην διοίκησιν ὀρφανῶν παίδων καλουμένους ὑπὸ τοῦ νόμου, παραχωροῦσι ταύτην ὑπεισιέναι.

ΑΡΙΣΤ. Κοσμικὰς φροντίδας δεχόμενος ἱερεύς, ἀνίερος.

Κοσμικὰς φροντίδας Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἀναδέχεσθαι οὐ συγκεχώρηται δι' αἰσχροκερδίαν οἰκείαν, εἰ μή που ὑπὸ νόμων καλεῖται εἰς πραγμάτων ἀφηλίκων διοίκησιν, ἢ ἄλλως πως ἀπαιτεῖται ἀντιλαβέσθαι χηρῶν καὶ ὀρφανῶν καὶ ἀσθενῶν διοικήσεως· εἰ δὲ ἐπιφωνηθεὶς ἀποστῆναι, οὐ πείθεται, ἀλλ' ἐπιμένει τῇ διοικήσει, καθαιρεῖται.

ΚΑΝΩΝ ζ.

Εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει, καθαιρείσθω.

ΒΑΛΣ. Οἱ θεῖοι ἀπόστολοι συνεορτάζειν ἡμᾶς μετὰ Ἰουδαίων

A δαίων οὐ θέλουσι. διορίζονται οὖν τὸ κυριακὸν πάσχα γίνεσθαι παρ' ἡμῶν μετὰ τὸ ἐκείνους τελέσαι τὸ νομικὸν πάσχα. καὶ ἐπεὶ ἐκεῖνοι πρὸ τῆς ἐαρινῆς ἰσημερίας τὸ πάσχα ἑορτάζουσιν, ὀφείλομεν ἡμεῖς ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν. ἐαρινὴ δὲ ἰσημερία γίνεται οὐχ ὥς τινες φασὶ κατὰ τὴν κε΄. τοῦ Μαρτίου μηνός, ἢ τὴν κ΄. ἢ ἑτέραν οἱανδήτινα ὡρισμένην ἡμέραν, ἀλλ' ὅτε τύχῃ. ἀπὸ γὰρ τοῦ κυκλικοῦ ψήφου τοῦ ἡλιακοῦ δρόμου καὶ τῆς σελήνης, ἄλλοτε ἄλλως ἡ ἐαρινὴ γίνεται ἰσημερία. ὅτι οὖν ἐνομοθέτησεν ὁ Μωσῆς πάσχα τελεῖν τοὺς Ἰουδαίους ἐτησίως, ἤτοι διάβασιν τῶν κακῶν, εἰς ἀνάμνησιν τῆς ἀπολυτρώσεως τῆς Αἰγυπτιακῆς δουλείας· καὶ τοῦτο δὲ οὐκ ἄλλως, ἀλλ' ἢ πρὸ τῆς ἐαρινῆς ἰσημερίας, τεσσαρεσκαιδεκαταίας οὔσης τῆς σελήνης ἐν τῷ πρώτῳ μηνί, B ἤτοι τῷ Μαρτίῳ, ἑορτάζομεν καὶ ἡμεῖς τὸ κυριακὸν πάσχα, ἤτοι τὴν ἐκ τῆς δουλείας τοῦ διαβόλου ἐλευθερίαν ἡμῶν, ἣν διὰ τοῦ οἰκείου πάθους ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἡμῖν ἐχαρίσατο. ἑορτάζομεν δὲ τοῦτο, οὐχ ὅτε τὸ Ἰουδαϊκὸν πάσχα τελεῖται, ἀλλὰ μετὰ τοῦτο, δηλονότι μετὰ τὸ γενέσθαι τὴν ἐαρινὴν ἰσημερίαν, καὶ μετὰ τὴν ιδ΄. ἡμέραν τοῦ πρώτου μηνός, ἤτοι τῆς πρώτης σελήνης τοῦ Μαρτίου μηνός, ἐν τῇ αὐτῇ μέντοι ἑβδομάδι, ὅτε καὶ τὸ πάθος τοῦ Χριστοῦ καὶ ἡ ἀνάστασις, οὕτω τότε γεγόνασι. ζήτει καὶ τὸν η΄. λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ὃν συνεγράψατο εἰς τὸ πάσχα. ζήτει καὶ τὸν ογ΄. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν παραγραφέντα περὶ τοῦ πάσχα. C

ΖΩΝΑΡ. Ἐαρινὴν ἰσημερίαν τινὲς τὴν κε΄. φασὶ τοῦ Μαρτίου· τινὲς δὲ τὴν κε΄. τοῦ Ἀπριλλίου. οἶμαι δὲ μήτ' ἐκείνην μήτε ταύτην τὸν κανόνα λέγειν. ὡς ἐπὶ τὸ πολὺ γὰρ τὸ πάσχα πρὸ τῆς κε΄. τοῦ Ἀπριλλίου ἑορτάζεσθαι εἴωθεν. ἔστι δὲ ὅτε καὶ πρὸ τῆς κε΄. τοῦ Μαρτίου, ὡς συμβαίνειν (εἰ οὕτως νοοῖτο ἡ ἐαρινὴ ἰσημερία) παρὰ τὸν κανόνα τοῦτον τὸ πάσχα ἑορτάζεσθαι. ἔοικεν οὖν ἄλλο τι ἐαρινὴν ἰσημερίαν τοὺς συνετοὺς ἀποστόλους ὀνομάζειν. ἡ δὲ πᾶσα τοῦ κανόνος διαταγὴ τοῦτό ἐστι, τὸ μὴ μετὰ Ἰουδαίων (ἤγουν κατ' αὐτὴν τὴν ἡμέραν) ἑορτάζειν τὸ πάσχα χριστιανούς. χρὴ γὰρ προηγεῖσθαι τὴν ἀνέορτον ἐκείνων ἑορτήν, καὶ οὕτως τὸ D καθ' ἡμᾶς τελεῖσθαι πάσχα. ὁ δὲ μὴ τοῦτο ποιῶν ἱερωμένος καθαιρεθήσεται. τοῦτο δὲ καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος ἐν πρώτῳ κανόνι διετάξατο, λέγουσα, τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὅρον εἶναι, περὶ τῆς ἑορτῆς τοῦ πάσχα· εἰ καὶ μὴ εὑρίσκεται ἐν τοῖς κανόσι τῆς ἐν Νικαίᾳ συνόδου τοιοῦτος κανών.

ΑΡΙΣΤ. Καθαιρεῖται ὁ τελῶν μετὰ Ἰουδαίων τὸ πάσχα.

Σαφής.

ΚΑΝΩΝ η΄.

E Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ προσφορᾶς γενομένης μὴ μεταλάβοι, τὴν αἰτίαν εἰπάτω. καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω. εἰ δὲ μὴ λέγοι, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γενόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ἐμποιήσας κατὰ τοῦ προσενέγκαντος, ὡς μὴ ὑγιῶς ἀνενέγκαντος.

ΒΑΛΣ. Ἐπίσκοπον μὲν ἢ πρεσβύτερον οὐκ οἶδέ τις εἰσιόντα εἰς τὸ θυσιαστήριον καὶ ἱερουργήσαντα, καὶ μὴ μεταλαβόντα τῶν θείων ἁγιασμάτων. εἰ δέ τις ἐκ τούτων τοιοῦτόν τι εὑρεθῇ ποιήσας, οὐ μόνον ἀφορισθήσεται, ἀλλὰ καὶ μεγάλως κολασθήσεται, εἰ μὴ εὐλογωτάτην αἰτίαν καὶ προφανῆ εἴπῃ, τὴν F θείαν μετάληψιν κωλύουσαν. οὐδὲ γὰρ τυχὸν σκάνδαλον ἐκ τούτου ἀναφύεται. ἐκ τῶν διακόνων δὲ τοὺς πλείους βλέπομεν εἰς τὸ θυσιαστήριον εἰσιόντας, καὶ μὴ μεταλαμβάνοντας, ἀλλὰ μηδὲ ἁπτομένους τῶν ἁγίων. εἰ δέ τις ἐξ αὐτῶν χειραπτήσῃ, καὶ οὐ μεταλάβῃ, ἀφορισθήσεται κατὰ τὸν κανόνα. καὶ τινὲς μὲν οὕτως ἡρμήνευσαν τὸν κανόνα· τινὲς δὲ λέγουσιν, ὑπὸ τοῦ κανόνος ἀφορίζεσθαι πάντα ἱερωμένον μὴ μεταλαμβάνοντα, κἂν ἔξωθεν τοῦ ἁγίου βήματος ἵσταται, ὅπερ βαρύτατόν ἐστι.

dæis celebrare. Decernunt ergo ut Paſcha dominicum à nobis celebretur poſtquam illi Paſcha legale celebraverint. Et quia illi ante vernum æquinoctium Paſcha celebrant, debemus nos poſt vernum æquinoctium celebrare: Eſt autem vernum æquinoctium, non, ut nonnulli dicunt, xxv. menſis Martii, vel xx. aut aliquis alius dies præſtitutus: ſed quando id evenerit. Ex cyclico enim calculo curſus Solis & Lunæ alias aliter eſt æquinoctium vernum. Quia ergo Moſes Judæis conſtituit, ut Paſcha, ſeu malorum tranſitum quotannis celebrarent, in memoriam liberationis à ſervitute Ægyptiaca: idque non aliter quàm ante vernum æquinoctium, exiſtente xiiii. Luna in primo menſe, ſeu Martio, nos quoque Paſcha dominicum celebramus, ſeu noſtram liberationem à captivitate diaboli, quam Chriſtus & Deus noſter nobis per ſuam paſſionem largitus eſt. Celebramus autem illud, non eo tempore quo Paſcha Judaicum celebratur, ſed poſt ipſum: ſcilicet poſtquam fuerit vernum æquinoctium, & poſt xiiii. Lunam primi menſis, ſeu primam Lunam Martii, ſed in eadem hebdomade, quòd paſſio Domini & reſurrectio ſic eo tempore fuerunt. Quære etiam viii. orationem ſancti Patris noſtri Johannis Chryſoſtomi, quam ſcripſit de Paſcha. Quære & lxxiii. Can. Syn. Carth. & quæ in eo à nobis ſcripta ſunt de Paſcha.

Zonar. Vernum æquinoctium quidam vigeſimum quintum diem Martii dicunt; quidam verò diem vigeſimum quintum Aprilis. Ego verò exiſtimo Canonem nec hunc, nec illum dicere. Frequenter enim Paſcha celebrari ante vigeſimum quintum Aprilis ſolet. Eſt autem quando celebratur & ante vigeſimum quintum Martii; ita ut contingeret (ſi ſic intelligeretur Æquinoctium vernum) contra Canonem hunc Paſcha celebrari. Unde apparet Sapientes Apoſtolos aliud quippiam nominare, Vernum æquinoctium. Diſpoſitio autem tota Canonis hoc vult, Chriſtianos non cum Judæis (videlicet eadem die) celebrare Paſcha. Nam ipſorum feſtum (quod feſtum non eſt) prius agi convenit: atque ſic noſtrum nos peragere Paſcha: quod minimè faciens is qui Deo conſecratus eſt, ordine movebitur. Hoc etiam Synodus in Antiochia Canone primo conſtituit, aſſerens in prima Synodo Nicææ, de feſto Paſchæ factum eſſe decretum: tametſi non invenitur in Nicænæ Synodi canonibus talis canon.

Arist. *Qui celebrat Paſcha cum Judæis, deponitur.*

Perſpicuus.

Canon VIII.

Si quis Epiſcopus, Preſbyter, vel Diaconus, vel ex Sacerdotali catalogo, facta oblatione, non communicaverit, cauſam dicat: & ſi probabilis fuerit, veniam conſequatur: ſi autem non dicat, ſegregetur, ut qui populo offenſionis cauſa ſit, & ſuſpicionem dederit adverſus eum qui obtulit, tanquam non rectè obtulerit.

Bals. Epiſcopum quidem vel preſbyterum non novit quiſpiam ad altare acceſſiſſe, & ſacrificaſſe, & ſacramentis non communicaſſe. Si quis autem ex his inventus fuerit tale quid feciſſe, non ſolum ſegregabitur, ſed etiam valde punietur, niſi juſtam aliquam & probabilem cauſam dixerit, quæ ſanctam communionem prohibeat. Neque enim levis ex ea re offenſio oritur: ex diaconis autem plurimos videmus ad altare accedere, & non communicare, ſed nec ſancta attingere. Si quis autem ex eis contrectaverit, & non communicaverit, ſegregabitur, ut vult Canon: & nonnulli quidem canonem ſic ſunt interpretati. Nonnulli autem dicunt unumquemque conſecratum à Canone ſegregari, ſi non communicet, etiamſi ſit extra ſacrum tribunal: quod eſt graviſſimum.

Altera Expositio.

Octavum & nonum Canonem alii quidem aliter ſunt interpretati; nos vero aliter. Unde eos ſimul conjungentes, dicimus, quòd qui in ſacrum catalogum annumerantur, & ſacramentorum myſteria peragunt, oblationi autem quæ fit non communicant, ſegregantur, niſi juſtam cauſam dixerint: Sacrati autem qui ſancta ſuper altare non tractant, & omnes laici fideles, qui non expectant, ſeu ad finem uſque non perſeverant, donec à dignis ſancta facta fuerit communicatio, ut inordinati ſegregantur. Dicere enim omnes nos fideles laicos, & conſecratos, qui ſacra non tractant, oportere quotidie ſanctis communicare, alioqui ſegregari, nec eſt ex ſententia canonis, nec poteſt fieri: & ideo nonus Canon dixit puniri fideles qui non permanent, & non addidit eos qui non communicant. Ita interpretare Canonem convenienter ii. Canoni Synodi Antiochenæ.

Zonar. Canon dignos & præparatos ſemper eſſe vult omnes ad ſanctificationis communionem, maximéque Deo conſecratos miniſtros: propterea dicit, ſi quis horum non communicarit oblationi factæ (quæ fuerit allata videlicet) cauſam dicat. Hæc ſi rationabilis erit, venia dabitur. Si non dixerit, excommunicabitur: dat enim ſiniſtram populo ſuſpicionem adverſus eum ſacerdotem, qui ſacrum fecit incruentum: perinde ac ſi nollet hujus particeps eſſe, quòd in ſacrificante ſciret impedimentum aliquod ineſſe ad ſacrificium.

Arist. *Sacerdos qui non communicat, dicat cauſam, non dicens autem à communione pellatur, ſuſpectum enim facit offerentem.*

Sacerdos, vel aliquis de catalogo ſacerdotali non communicans & cauſam propter quam illud facit non dicens, ut ſuſpicionem dans in illum qui offert incruentum ſacrificium, ſegregetur.

Canon IX.

Omnes fideles qui ingrediuntur, & ſcripturas audiunt, in precatione autem & ſacra communione non permanent, ut eccleſiæ confuſionem afferentes, ſegregari oportet.

Bals. Præſentis Canonis conſtitutio eſt acerbiſſima. Segregat enim eos qui in eccleſiam conveniunt, & non ad finem uſque expectant, nec communicant. Porrò autem alii quoque ſimiliter decernunt, ut omnes ſint parati, & digni communione, eóſque qui tribus dominicis non communicant, ſegregant.

Zonar. Canon præſens exigit omnes, dum ſanctum celebratur ſacrificium, ad finem uſque in oratione, ſanctáque communione perſeverare. Siquidem tum temporis à Laicis exigebatur, ut frequenter communicarent. Synodi enim Sardicenſis extat Canon, & alter ejus quæ fuit in Trullo, & alius Antiochenſis, ut ſi quis per tres Dominicas præſens non communicarit, hic ab Eccleſia ſeparetur. Propter quod & præſens Canon excommunicat etiam non permanentes, ut ordinem turbantes: & ſecundus Antiochenæ ſynodi Canon de hoc ipſo loquitur.

Arist. *Segregabis eum qui in precibus & communione non permanet.*

Qui non manet in Eccleſia uſque ad finem, ſed de eccleſiâ egreditur, dum adhuc ſacra liturgia celebratur, eum ut confuſionem facientem in eccleſiâ, ſegregari oportet.

Canon X.

Si quis cum excommunicato vel in domo unà precatus fuerit, is ſegregetur.

Bals. ἀκοινωνησίας, id eſt excommunicationis, vo-

A

Ετέρα ἑρμηνεία.

Τὰ περὶ τοῦ η΄. καὶ θ΄. κανόνος, ἄλλοι μὲν ἄλλως ἡρμήνευσαν ἡμεῖς δὲ ἄλλως. ὅθεν συνάπτοντες τὰ περὶ τούτων, λέγομεν ὅτι οἱ μὲν συναριθμούμενοι τῷ ἱερῷ καταλόγῳ, καὶ ὑπουργοῦντες εἰς τὰ τῶν ἁγιασμάτων μυστήρια, μὴ μεταλαμβάνοντες προσφορᾶς γενομένης, ἀφορίζονται, εἰ μὴ εὔλογον εἴπωσιν αἰτίαν. οἱ δὲ μὴ χειριζόμενοι τὰ ἅγια ἐν τῷ θυσιαστηρίῳ ἱερωμένοι, καὶ πάντες οἱ λαϊκοὶ πιστοὶ μὴ περιμένοντες, ἤτοι μὴ προσκαρτεροῦντες, μέχρι τέλους, καὶ ἕως ἂν ἡ ἁγία γένηται μετάληψις παρὰ τῶν ἀξίων, ὡς ἄτακτοι ἀφορίζονται. τὸ γὰρ λέγειν ἡμᾶς ὀφείλειν πάντας τοὺς πιστοὺς
B λαϊκοὺς καὶ τοὺς μὴ χειριζομένους τὰ ἅγια ἱερωμένους, καθεκάστην μεταλαμβάνειν τῶν ἁγιασμάτων, εἰ δὲ μή, ἀφορίζεσθαι, οὔτε τῷ κανόνι δοκεῖ οὔτε δυνατόν ἐστι γενέσθαι. διὰ γὰρ τοῦτο καὶ ὁ θ΄. κανὼν εἶπε τοὺς μὴ παραμένοντας πιστοὺς κολάζεσθαι, καὶ οὐ προσέθετο τοὺς μὴ μεταλαμβάνοντας. οὕτως ἑρμήνευσον τοὺς κανόνας κατὰ τὸν β΄. κανόνα τῆς ἐν Αντιοχείᾳ συνόδου.

ΖΩΝΑΡ. Ετοίμους πάντας ἀεί, καὶ ἀξίους τῆς τῶν ἁγιασμάτων μεταλήψεως, ὁ κανὼν βούλεται εἶναι, καὶ μάλιστα τοὺς ἱερωμένους. διό φησιν, ὡς εἴ τις τούτων μὴ μεταλάβῃ προσφορᾶς γενομένης (προσκομιδῆς, δηλαδή) ἢ τὴν αἰτίαν εἰπάτω. καὶ εἰ εὔλογος εἴη, συγγνωσθήσεται, ἢ μὴ λέ-
C γων, ἀφορισθήσεται. δίδωσι γὰρ κατὰ τοῦ ἱερέως τοῦ τὴν ἀναίμακτον θυσίαν ποιήσαντος ὑπόνοιαν οὐκ ἀγαθὴν τῷ λαῷ, ὡς ἐξ ἐκείνου μεταλαβεῖν μὴ βουλόμενος, διά τι συνειδὼς αὐτοῦ κώλυμα πρὸς ἱερουργίαν.

ΑΡΙΣΤ. Ἱερεὺς ὁ μὴ μεταλαμβάνων, λεγέτω τὸ αἴτιον· ἀφοριζέσθω δὲ μὴ λέγων. ὕποπτον γὰρ πεποίηκε τὸν προσάγοντα.

Ἱερεύς, ἢ ἕτερός τις τοῦ ἱερατικοῦ καταλόγου μὴ μεταλαμβάνων, καὶ τὴν αἰτίαν, δι' ἣν τοῦτο ποιεῖ, μὴ λέγων, ὡς ὑποψίαν διδοὺς κατὰ τοῦ προσάγοντος τὴν ἀναίμακτον θυσί-
D αν, ἀφοριζέσθω.

ΚΑΝΩΝ θ΄.

Πάντας τοὺς εἰσιόντας πιστούς, καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίας ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή.

ΒΑΛΣ. Ὁ τοῦ παρόντος κανόνος διορισμὸς δριμύτατός ἐστιν. ἀφορίζει γὰρ τοὺς ἐκκλησιάζοντας καὶ μὴ παραμένοντας μέχρι τέλους, μηδὲ μεταλαμβάνοντας. ἄλλοι δὲ κανόνες παρομοίως διορίζονται, πάντας ἑτοίμους εἶναι καὶ ἀξίους τῆς μεταλήψεως, καὶ τοὺς ἐπὶ τρισὶ κυριακαῖς μὴ μεταλαμβάνοντας ἀφορί-
E ζουσι.

ΖΩΝΑΡ. Πάντας ὁ παρὼν κανὼν ἀπαιτεῖ, τῆς ἁγίας ἐπιτελουμένης θυσίας, μέχρι τέλους προσκαρτερεῖν τῇ εὐχῇ, καὶ τῇ ἁγίᾳ μεταλήψει. καὶ οἱ λαϊκοὶ γὰρ συνεχῶς μεταλαμβάνειν τότε ἀπῃτοῦντο. κανὼν γάρ ἐστι τῆς ἐν Σαρδικῇ συνόδου, καὶ τῆς ἐν τῷ Τρούλλῳ ἕτερος, καὶ ἄλλος τῆς ἐν Αντιοχείᾳ, ὡς εἴ τις ἐπὶ τρεῖς κυριακὰς παρὼν μὴ μεταλάβῃ, ἀφοριζέσθω. διὸ καὶ ὁ παρὼν κανὼν τοὺς μὴ παραμένοντας ὡς τὴν τάξιν συγχέοντας ἀφορίζει. καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Αντιοχείᾳ συνόδου περὶ τούτου φησίν.

F **Arist.** Ἀφορίσεις τὸν τῇ εὐχῇ καὶ τῇ μεταλήψει μὴ παραμένοντα.

Τὸν μὴ μέχρι τέλους προσκαρτεροῦντα τῇ ἐκκλησίᾳ, ἀλλ' ἔτι τῆς ἁγίας λειτουργίας τελουμένης τῆς ἐκκλησίας ἐξερχόμενον, ὡς ἀταξίαν ἐμποιοῦντα τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή.

ΚΑΝΩΝ ι΄.

Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξηται, οὗτος ἀφοριζέσθω.

Τὸ ῥῆμα τὸ τῆς ἀκοινωνησίας, ἀφορισμός ἐστιν. ὁ τοίνυν ἀφωρισμένῳ συνευξάμενος ὁπουδήποτε, ἀφορισθήσεται κἂν Ἐπίσκοπός ἐστι κἂν λαϊκός. τοῦτο δὲ γέγραπται διὰ τοὺς λέγοντας ὅτι ὁ ἀφωρισμένος ἀπὸ τῆς ἐκκλησίας ἐξεβλήθη· εἴ τις οὖν μετ᾽ αὐτοῦ συμψάλλει ἐν οἴκῳ, ἢ ἐν ἀγρῷ, οὐκ αἰτιαθήσεται. ταυτὸν γάρ ἐστι τό, ἐν ἐκκλησίᾳ ἢ ἔξωθεν ταύτης συνεύξασθαι μετὰ τοῦ ἀφωρισμένου. συνομιλεῖν δὲ μετὰ τοῦ ἀφορισθέντος οὐ κωλυόμεθα. ἀνάγνωθι καὶ τὸν θ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου.

ΖΩΝΑΡ. Οἱ ἀφοριζόμενοι, διὰ ἁμαρτήματα δήπουθεν ἀφορίζονται. χρὴ οὖν τούτοις μὴ συγκοινωνεῖν τινας. τοῦτο γὰρ εἰς καταφρόνησιν τοῦ ἀφορίσαντος ἀφορᾷ, ἢ μᾶλλον καὶ εἰς διαβολήν, ὡς κακῶς ἀφορίσαντος. εἴ τις οὖν ἀκοινωνήτῳ (ἤγουν ἀφωρισμένῳ) συνεύξηται, κἂν μὴ ἐν ἐκκλησίᾳ, ἀλλ᾽ ἐν οἴκῳ, κἀκεῖνος ἀφορισθήσεται. τοῦτο καὶ ὁ θ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου φησί.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος ἀκοινωνήτῳ, ταυτοκατάκριτος.

Ὁ συνευχόμενος αἱρετικοῖς ἐν ἐκκλησίᾳ, ἢ ἐν οἴκῳ, ἀκοινώνητος ὡσαύτως ἔστω καὶ αὐτός.

ΚΑΝΩΝ ια'.

Εἴ τις καθῃρημένῳ κληρικὸς ὢν κληρικῷ συνεύξηται, καθαιρείσθω καὶ αὐτός.

ΒΑΛΣ. Τινὲς τὸ συνεύξασθαι ἐνταῦθα, ἀντὶ τοῦ συνιερουργῆσαι ἐξελάβοντο. οὐ δοκεῖ δὲ καὶ ἐμοί. περὶ γὰρ παντὸς κληρικοῦ καθαιρεθέντος ἐξελήφθη ὁ κανών, οὐ μὴν περὶ μόνου ἱερέως. ἄλλοι δὲ εἶπον ἐνταῦθα τὸν καθαιρεθέντα ὑποβληθῆναι καὶ ἀφορισμῷ, καὶ διὰ τοῦτο κωλυθῆναι τὴν μετὰ τούτου προσευχήν. ἐμοὶ δὲ κατανοεῖται ὅτι σκοπὸς τῷ κανόνι ἐνταῦθα ἐστί, κολάζεσθαι πάντα κληρικὸν συνευξάμενον ὁπωσδήποτε κληρικῷ οἱῳδήτινι καθαιρεθέντι, καὶ μετὰ τὴν καθαίρεσιν ἐνεργήσαντι ἱερατικόν τι. διὰ γὰρ τοῦτο καὶ καθαίρεσις αὐτῷ ἐπάγεται. ἀπὸ μέντοι τοῦ συνεύξασθαί τινα ἀφωρισμένῳ τινί, καθαίρεσις οὐκ ἐπάγεται, ἀλλὰ ἀφορισμός, ὡς ὁ ι'. κανὼν παρακελεύεται.

ΖΩΝΑΡ. Τῶν καθαιρουμένων τινὲς μὲν μόνης ἱερουργίας κωλύονται, οὐ μέντοι καὶ κοινωνίας, ἢ τοῦ συνεκκλησιάζειν. οἱ δέ, σὺν τῇ καθαιρέσει καὶ ἀκοινώνητοί εἰσι, καὶ ἀφωρισμένοι. ἢ γοῦν ὁ κανὼν οὗτος περὶ καθαιρεθέντος ἐν ταυτῷ καὶ ἀφορισθέντος νοηθήσεται, καὶ ὁ συνευξάμενος τούτῳ ὑπὸ καθαίρεσιν ἔσται, ἢ τὸ συνεύξασθαι, ἀντὶ τοῦ συνιερουργῆσαι παραληφθήσεται.

ΑΡΙΣΤ. Ὁ συνευχόμενος καθῃρημένῳ, ταυτοκατάκριτος.

Ὁ συνευχόμενος ἤτοι συλλειτουργῶν καθῃρημένῳ, καθῃρημένος ἔστω καὶ αὐτός.

ΚΑΝΩΝ ιβ', ιγ'.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀφωρισμένος, ἤτοι ἄδεκτος, ἀπελθών, ἐν ἑτέρᾳ πόλει δεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς.

Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμός.

ΒΑΛΣ. Ἕτερός ἐστιν ὁ ἀφωρισμένος, καὶ ἕτερος ὁ ἄδεκτος, ἤγουν ὁ παρὰ Ἐπισκόπου εἰς τὸ δέ τι μὴ παραδεχόμενος. ὁ μὲν γὰρ ἀφωρισμένος, ἐκ τῆς ἐκκλησιαστικῆς συνάξεως κωλύεται· ὁ δὲ ἄδεκτος, ἐκ πολλῶν τρόπων οὐ

A cabulum, idem eſt quod ſegregatio. Qui ergo unà cum excommunicato quomodocunque precatus fuerit, ſegregabitur, etiamſi ſit Epiſcopus vel laicus. Hoc autem ſcriptum eſt, propter eos qui dicunt, quòd qui eſt ſegregatus, ex eccleſia ejectus eſt. Si quis ergo una cum eo canit in domo, vel in agro, ei crimini non dabitur. Idem eſt enim ſeu in eccleſia ſeu extra eccleſiam orare cum excommunicato. Cum excommunicato autem colloqui non prohibemur. Lege etiam ix. canonem ſyn. Carthag.

Zonar. Qui ſeparantur, ob peccata videlicet ſeparantur. His igitur nullos oportet communicare. Hoc
B enim reſpicit ad ejus contemptum qui ſeparavit: aut potius ad ejus calumniam, tanquam qui malè ſeparaverit. Si quis igitur unà cum excommunicato (vel ſegregato) orabit, etiamſi non in Eccleſia ſed in domo, pariter & hic excommunicabitur. Hoc etiam nonus canon Synodi Carthaginenſis dicit.

Arist. *Qui cum excommunicato ſimul oraverit, eidem judicio ſubjicitur.*

Qui ſimul oraverit cum hæreticis in Eccleſiâ vel domo, ipſe ſimiliter ſit excommunicatus.

C

Canon XI.

Si quis, cum ſit clericus, unà cum depoſito clerico oraverit, deponatur & ipſe.

Bals. Nonnulli illud, unà precari, pro eo quod eſt, ſimul ſacra facere, hic acceperunt. Sed mihi non ita videtur. De quovis enim clerico depoſito accipitur canon, non autem de ſolo ſacerdote. Alii autem dixerunt hic depoſitum etiam ſegregationi ſubjici, & ideo eſſe prohibitam unà cum eo precationem. Ego verò intelligo, quòd canonis hoc eſt inſtitutum, punire quemvis clericum,
D qui cum quovis depoſito clerico, & poſt depoſitionem ſacerdotale quidpiam operato, ſit quomodocunq; precatus. Propterea enim depoſitio etiam illi infligitur. Ex eo autem quòd quis cum aliquo excommunicato precatus fuerit, non infligitur depoſitio, ſed excommunicatio, ut decimus canon jubet.

Zonar. Depoſitorum nonnulli quidem prohibentur à ſola ſacrorum celebratione: non etiam à communione, vel ab Eccleſiæ conventu. Quidam verò ſimul cum depoſitione ſunt & excommunicati, & ab aliis ſegregati. Vel hic igitur canon de depoſito, pariter & excommuni-
E cato venit intelligendus, & qui ſimul oraverit cum eo, depoſitioni futurus ſit obnoxius; Vel, ſimul oraſſe, pro ſacra ſimul peregiſſe, accipiatur.

Arist. *Qui ſimul oraverit cum depoſito, eidem judicio ſubjicitur.*

Qui ſimul oraverit vel ſacra peregerit cum depoſito, ipſe etiam ſit depoſitus.

Canon XII, & XIII.

F *Si quis clericus, vel laicus ſegregatus, ſive non recipiendus, diſcedens, in altera urbe receptus fuerit abſq; literis commendatitiis, ſegregetur, & qui excepit, & qui exceptus eſt.*

Si verò fuerit excommunicatus, aggravetur in eundem excommunicatio.

Bals. Alius eſt ſegregatus, & alius is qui non eſt recipiendus, ſive is qui ab Epiſcopo ad aliquid non admittitur. Qui enim ſegregatus eſt, ab eccleſiaſtica communione arcetur: qui autem non eſt recipiendus, multis modis non admittitur. Illud enim Sive, pro eo quod eſt vel, diſiunctivè accipitur, ut hoc ex ſequenti canone probatur, qui dicit, Sin autem ſit ſegregatus, &c. Dicunt ergo præſentes Canones xii. & xiii. ſi quis eum qui ſemel ad aliquid non recipiendus judicatus eſt, ſine ſui Epiſcopi commendatitiis literis ſciens acceperit, ſegregetur; unà autem ſegregetur is quoque qui receptus eſt. Sin autem non eſt is ejuſmodi, ut recipi non poſſit, ſed ſegregatus, rurſus qui eum ſuſcepit, ſegregetur; ſegregati autem augeatur ſegregatio. Quære etiam xi. canonem iv. Synod. & Antiochenæ canonem vi. & Chalced. canonem xiii.

Zonar. in **Can. XII.** [Ἤτοι,] hoc in loco non eſt expoſitivum [ἀφορισμοῦ] ſed pro diſiunctiva particula, ἢ, ponitur. De duobus enim dicere vult, de excommunicato & de non recipiendo: priuſque diſputat de non recipiendo. In Clero enim quidam ordinati (Lectores, verbi causâ, vel Cantores) poſtulant ordinari Diaconi, & Presbyteri. Qui verò ſunt ipſos ordinaturi, in eorum vitam inquirentes, & quædam fortaſſe dubia comperientes, ſuſpendunt ordinationem, donec quæ circumferuntur, ambigua de ipſis, diſſolvantur. Hi vero ægrè ferentes ad alios adeunt, ab illiſque recipiuntur. Hoc igitur præſens interdicit Canon, & quem pontifex putavit ad ordinationem non admittendum, jubet ab alio non recipi, ſine commendatitiis epiſtolis ejus Epiſcopi, à quo examinabatur: commendatitiæ verò epiſtolæ ſunt, quæ dantur Clericis, aut Laicis ab aliorum commercio ſeparatis, aut Lectoribus in aliam civitatem abeuntibus, ipſos illius loci Epiſcopo commendantes, ut pœnis ſolutos, vel fideles exiſtentes; de quo latius dictum eſt in undecimo canone quartæ Synodi. Quod ſi quis talem quempiam receperit, Canon tam ſuſcipientem, quàm ſuſceptum ſubjicit excommunicationi. Lege canonem Synodi Antiochenæ ſextum & Chalcedonenſis tertium.

Arist. *Qui recipit eum qui alibi non eſt recipiendus, ipſe magis ſit non recipiendus.*

Qui ab Epiſcopo aliquo examinatur, ſi recipiendus ſit in ſanctam Dei Eccleſiam, & dum hæc de ipſo examinantur illinc recedens, & abiens ad alium Epiſcopum, recipiatur ab eo ſine literis commendatitiis declarantibus inculpatum eum eſſe religione & vitâ, ſegregatus erit, & ipſe, & qui recipit eum.

Zonar. in **Can. XIII.** Supraſcriptus canon de non recipiendo, & necdum ordinato, neque excommunicato promulgatus eſt: Sed præſens canon de ordinato ſtatuit, & excommunicato, qui poſt excommunicationem ægrè ferens ad alium ſe confert pontificem, recipitúrque ab eo illius excommunicationis ignaro. Canon igitur talis jubet excommunicationem intendi.

Arist. *Qui ſegregationem ſuam mentitur, eſt minimè recipiendus.*

Si quis à proprio Epiſcopo ſegregatur, & proficiſcens ad alium Epiſcopum celat ſegregationem, & ab eo recipitur, aggravetur ei ſegregatio, tanquam mentienti & decipienti Eccleſiam Dei.

Canon XIV.

Epiſcopo non liceat ſua relicta parochia, ad aliam tranſilire, etiamſi à pluribus cogatur, niſi ſit aliqua cauſa rationi conſentanea, quæ eum cogat hoc facere, utpote cùm poſſit ipſe majus lucrum iis qui illic habitant pietatis verbo conferre; idque non ex ſe, ſed multorum Epiſcoporum judicio & maxima exhortatione.

A δέχεται. καὶ τὸ [ἤτοι] γὰρ ἀντὶ τοῦ [ἢ] διαζευκτικοῦ κεῖται ἐντός. καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ ἐφεξῆς κανόνος τοῦ λέγοντος, εἰ δὲ ἀφωρισμένος εἴη, καὶ τὰ ἑξῆς. φασὶ γοῦν οἱ παρόντες κανόνες ὁ ιβ΄. καὶ ὁ ιγ΄. ὅτι ὁ τὸν καθάπαξ ἄδεκτον εἶναι εἰς τὸ δέ τι κατακριθέντα, ἄνευ γραφῶν συστατικῶν τοῦ οἰκείου Ἐπισκόπου δεξάμενος ἐν εἰδήσει, ἀφοριζέσθω· συναφοριζέσθω δὲ καὶ ἐκεῖνος ὁ δεχθείς. εἰ δὲ ἄδεκτος οὐκ ἐστὶν ὁ τοιοῦτος, ἀλλὰ ἀφωρισμένος, πάλιν ὁ μὲν τοῦτον δεξάμενος, ἀφοριζέσθω· τοῦ δὲ ἀφωρισμένου ἐπιτεινέσθω ὁ ἀφορισμός. ζήτει καὶ τὸν ια΄. κανόνα τῆς δ΄. Συνόδου, καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα ς΄. καὶ τῆς ἐν Χαλκηδόνι κανόνα ιγ΄.

B **ΖΩΝΑΡ.** Τὸ, ἤτοι, ἐνταῦθα οὐχ ἑρμηνευτικόν ἐστι τοῦ ἀφορισμοῦ, ἀλλ᾽ ἀντὶ τοῦ, ἢ, διαζευκτικοῦ κεῖται. περὶ δύο γὰρ εἰπεῖν βούλεται, περὶ τοῦ ἀφωρισμένου καὶ ἀδέκτου. καὶ τέως περὶ ἀδέκτου πρότερον διαλέγεται. τινὲς γὰρ ἐν κλήρῳ τεταγμένοι (ἀναγνῶσται, τυχὸν, ἢ ψάλται) ζητοῦσι χειροτονηθῆναι διάκονοι, καὶ πρεσβύτεροι. οἱ δὲ μέλλοντες χειροτονῆσαι αὐτοὺς ἐξετάζοντες τὰ κατ᾽ αὐτοὺς, καί τινας ἴσως ἀμφιβολίας διευρίσκοντες, ὑπερτίθενται τὴν χειροτονίαν, μέχρις ἂν αἱ περὶ αὐτῶν ἀμφιβολίαι λυθῶσιν. οἱ δὲ ἀποδυσπετοῦντες ἑτέροις προσέρχονται, καὶ παρ᾽ ἐκείνων προσδέχονται. τοῦτο γοῦν ὁ παρὼν C κωλύει κανὼν, καὶ τὸν ἀπρόσδεκτον εἰς χειροτονίαν τῷδε τῷ ἀρχιερεῖ νομιζόμενον, μὴ προσδέχεσθαι παρ᾽ ἑτέρου κελεύει, ἄνευ συστατικῶν ἐπιστολῶν, τοῦ παρ᾽ ᾧ ἐξητάζετο Ἐπισκόπου· συστατικαὶ δὲ ἐπιστολαί εἰσιν, αἱ διδόμεναι κληρικοῖς, ἢ λαϊκοῖς ἀφωρισμένοις, ἢ ἀναγνώσταις, ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐκεῖσε Ἐπισκόπῳ αὐτοὺς, ὡς λυθέντας τῶν ἐπιτιμίων, ἢ πιστοὺς ὄντας. ἐπὶ τούτου πλατύτερον εἴρηται ἐν τῷ ἑνδεκάτῳ κανόνι τῆς τετάρτης Συνόδου. εἰ δέ τις τοιοῦτόν τινα δέξεται, καὶ τὸν δεξάμενον καὶ τὸν δεχθέντα ὑπάγει ἀφορισμῷ. Ανάγνωθι τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κανόνα ς΄. καὶ τῆς ἐν Χαλκηδόνι τρίτον.

D **ΑΡΙΣΤ.** Ὁ δεξάμενος τὸν ἀλλαχόθι ἄδεκτον, ἀδεκτότερος.

Ὁ παρ᾽ Ἐπισκόπου τινὸς ἐξεταζόμενος, εἰ προσδεκτέος ἐστὶ τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ ἐν τῷ τὰ κατ᾽ αὐτὸν ἐξετάζεσθαι, ἐκεῖθεν ἀναχωρήσας, καὶ ἀπελθὼν εἰς ἕτερον Ἐπίσκοπον, προσδεχθείη παρ᾽ ἐκείνου ἄνευ γραμμάτων συστατικῶν, δηλούντων τὸ ἀνεπίληπτον τῆς θρησκείας καὶ τοῦ βίου αὐτοῦ· ἀφωρισμένος ἔσεται, αὐτός τε, καὶ ὁ προσδεξάμενος αὐτόν.

ΖΩΝΑΡ. Ὁ μὲν προγεγραμμένος κανὼν περὶ ἀδέκτου E ἐξεφωνήθη, καὶ μήπω χειροτονηθέντος, μηδὲ ἀφορισθέντος· ὁ δὲ παρὼν κανὼν περὶ κεχειροτονημένου διατάττεται, καὶ ἀφωρισμένου, ὃς μετὰ τὸν ἀφορισμὸν ἀποδυσπετήσας, ἑτέρῳ προσῆλθεν ἀρχιερεῖ, καὶ ἐδέχθη παρ᾽ ἐκείνου τὸν ἀφορισμὸν ἀγνοοῦντος· τοῦ γοῦν τοιούτου ἐπιτείνεσθαι κελεύει ὁ κανὼν τὸν ἀφορισμόν.

ΑΡΙΣΤ. Ὁ τὸν ἀφορισμὸν ψευσάμενος, ἀδεκτότατος.

Εἴ τις παρὰ τοῦ ἰδίου Ἐπισκόπου ἀφορισθῇ, καὶ ἀπελθὼν εἰς ἕτερον Ἐπίσκοπον κρύψει τὸν ἀφορισμὸν, καὶ παρ᾽ ἐκείνου προσδεχθείη, ἐπιτεινέσθω ὁ ἀφορισμὸς αὐτῷ, ὡς ψευσαμένῳ καὶ F ἀπατήσαντι τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

ΚΑΝΩΝ ιδ΄.

Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιπηδᾷν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται· εἰ μή τις εὔλογος αἰτία ᾖ, τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβάλλεσθαι· καὶ τοῦτο δὲ, οὐκ ἀφ᾽ ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν Ἐπισκόπων, καὶ παρακλήσει μεγίστῃ.

A **ΒΑΛΣ.** Ὁ μὲν παρὼν ιδʹ. κανὼν διορίζεται μὴ ἔχειν ἐπ' ἀδείας Ἐπίσκοπον ἐκ τῆς ἑαυτοῦ παροικίας εἰς ἑτέραν ἐπιπηδᾶν, κἂν ὠφελείας χάριν τοῦ λαοῦ τοῦτο ποιῇ· κἂν ὑπὸ τοῦ πλήθους τῆς ἀλλοτρίας ἐνορίας εἰς τοῦτο παραβιασθῇ, εἰ μὴ συνοδικῇ ἐπιτροπῇ τοῦτο ποιήσει· ὁ δὲ ιϛʹ. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἀπόβλητον εἶναι λέγει τὸν ἄνευ συνοδικῆς γνώμης ὑφαρπάσαντα σχολάζουσαν ἐκκλησίαν· σὺ δὲ ἴσθι ὅτι κἂν ὁ παρὼν ιδʹ. κανὼν ἀποστολικὸς οὐ κολάζει τὸν παρ' ἐνορίαν διδάσκοντα, ἀλλ' ἕτεροι διάφοροι κανόνες τοὺς παρ' ἐνορίαν ἐπισκοπικόν τι ἐνεργήσαντας καθαιρέσει καθυποβάλλουσι. τὸ δὲ παρ' ἐνορίαν σημειοῦσθαι κατὰ πρόσταξιν βασιλικὴν ἐκκεχώρηται. μητροπολίτης δέ τις εἰς ἐπισκοπὰς αὐτοῦ διαφόρους διδάξας παρὰ γνώμην τῶν B Ἐπισκόπων, καὶ αἰτιώμενος, ἐδικαιολογεῖτο μὴ ὀφείλειν παραβλαβῆναι διά τε τὸ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ εἶναι τὰς ἐπισκοπάς, διά τε τὸ μὴ ἐπάγεσθαι κόλασιν ὑπὸ τοῦ παρόντος κανόνος τῷ τοιούτῳ, καὶ διὰ τὸ μὴ εἶναι τάχα ἐπισκοπικὸν λειτούργημα τὸ διδάξαι ἢ σημειώσασθαι, ἅπερ τῇ μεγάλῃ συνόδῳ οὐκ ἤρεσκον. σημείωσαι οὖν τὰ ἐν τῷ παρόντι ιδʹ. κανόνι γραφέντα. πρὸς δὲ καὶ τὰ ἐν τῷ κʹ. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ἔξωθεν ἑρμηνευθέντα περὶ τοῦ διδάξαντος Ἐπισκόπου εἰς ἀλλοτρίαν ἐνορίαν, καὶ συμβίβασον ἄμφω τοὺς κανόνας.

C Ἑτέρα ἑρμηνεία.

Ἀπὸ τοῦ παρόντος ιδʹ. κανόνος καταλαμβάνεται ὅτι ἡ μὲν κακεντρεχὴς ἐπιπήδησις ἀπὸ παροικίας εἰς παροικίαν Ἐπισκόπου τινὸς κατακρίνεται· ἡ δὲ γινομένη μετάθεσις χάριτι ἀγαθῇ δι' εὔλογον μεγάλην αἰτίαν καὶ στηριγμὸν τῆς εὐσεβείας μετὰ μεγίστης παρακλήσεως Ἐπισκόπων πολλῶν ἐπιτρέπεται. Ἐπεὶ δὲ λέγουσί τινες μηδὲ ἀπὸ τοῦ παρόντος κανόνος ἐπιτρέπεσθαι τὴν μετάθεσιν, ἀλλὰ καιρικὴν μετάκλησιν Ἐπισκόπου χάριν διδασκαλίας ἐκ τούτου ἀναφαίνεσθαι, ἀκουσάτωσαν ὅτι τοῦ κανόνος τοιοῦτόν τι μὴ λέγοντος πόθεν αὐτοὶ τοῦτο προβάλλονται; εἶτα καὶ ποία ὠφέλεια τῷ λαῷ τῆς χηρευούσης ἐκκλησίας ἔμελλε γενέσθαι ἀπὸ διδασκαλίας Ἐπισκόπου ἅπαξ ἢ καὶ δὶς ἢ καὶ ἐπὶ χρόνων D ῥητῶν διδάξαντος ἐν αὐτῇ, μηδὲν δέ τι ἕτερον ἀρχιερατικὸν ἐνεργήσαντος ἐν ταύτῃ, ὥστε γενέσθαι τὴν τοιαύτην μετάκλησιν μετὰ μεγάλης παρακλήσεως πολλῶν Ἐπισκόπων· εἴπερ οὐκ ἔμελλεν ὁ μετακληθεὶς δικαίῳ ἀρχιερατικῷ διδάξαι, οὐκ ἐδεήθη ἂν παρακλήσεως πολλῶν Ἐπισκόπων· ἐδύνατο γὰρ καὶ μόνος κηρύξαι τὴν εὐσέβειαν. Ἄλλως τε ὁ τοῦτο λέγων κατηγορεῖ καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου, καὶ τοῦ ἁγίου Πρόκλου, καὶ ἑτέρων πολλῶν ἁγιωτάτων πατριαρχῶν μετατεθέντων ἀπὸ ἑτέρων θρόνων εἰς τὸν τῆς Κωνσταντινουπόλεως ἢ καὶ εἰς ἑτέρους, ὡς ἀναξίως ἱερουργούντων μετὰ μετάθεσιν, ὅπερ ἐστὶν ἀσύγγνωστον.

E **ΖΩΝΑΡ.** Διάφοροι συνοδικοὶ κανόνες κωλύουσι τοὺς Ἐπισκόπους ἀπὸ τῶν οἰκείων ἐκκλησιῶν εἰς ἑτέρας μεταβαίνειν· ἕκαστον γὰρ τῇ λαχούσῃ αὐτὸν ἐκκλησίᾳ ἐμμένειν διατάττονται, ἵνα μὴ πρὸς ἀλλήλους στασιάζωσιν· οὐκ ἐναντία τοίνυν οἱ κανόνες διατάττεσθαι λογισθήσονται· ἀλλ' ἐκεῖνοι μὲν, περὶ τοῦ μὴ διαμείβειν τὰς ἐκκλησίας τοὺς Ἐπισκόπους νομοθετοῦσι, καὶ τοῦτο κωλύουσιν· ὁ δὲ παρὼν κανὼν, περὶ τοῦ ἀπιέναι εἰς ἑτέραν ἐκκλησίαν, χρείας κατεπειγούσης, διδαχῆς χάριν, Ἐπίσκοπον διαλέγεται· ἴσως γὰρ ὁ τῆς ἐκκλησίας ἐκείνης Ἐπίσκοπος, οὐ πάνυ τοι πρὸς τὸ διδάσκειν ἐπιτήδειος ἔσται· ὁ δὲ προσκαλούμενος τυχὸν λογιώτερος ὢν, καὶ πρὸς διάλεξιν ἐπιτηδειότερος, διά τι συμβεβηκὸς ἀναγκαῖον ἂν εἴη τῇ πόλει ἐκείνῃ ἐπιδημῆσαι. F καὶ τότε δὲ μὴ ἀφ' ἑαυτοῦ ἀπιέναι, ἀλλὰ προσκαλούμενον ὁ κανὼν αὐτὸν βούλεται· ἢ μᾶλλον κρίσει πολλῶν Ἐπισκόπων παρακαλούμενον. οἱ μέντοι τῶν συνόδων κανόνες ἀποτρέπουσι πάντη τὸ ἐκ παροικίας εἰς ἄλλην μεταπηδᾶν παροικίαν Ἐπίσκοπον, καὶ τὴν ἐκείνης ἐκκλησιαστικὴν ὑφαρπάζειν διοίκησιν, κἂν ἡ ἐκκλησία ἐκείνη χηρεύῃ Ἐπισκόπου, κατὰ τὸν ιϛʹ. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. ὁ δὲ παρὼν τῶν ἁγίων Ἀποστόλων κανὼν προσκαίρως ἀπελθεῖν Ἐπίσκοπον εἰς ἄλλην παροικίαν διδαχῆς χάριν καὶ διαλέξεως, δι' ὠφέλειαν τοῦ

A **Bals.** Præſens quidem Canon xiiii. decernit non licere Epiſcopo ex ſua Parochia ad aliam tranſilire, etiam ſi populi utilitatis gratia hoc fecerit, & ab alienæ regionis populo ad hoc cogatur, niſi hoc ex ſynodali permiſſione fecerit. xvi. autem Canon Antiochenæ ſyn. dicit, eum rejiciendum, qui abſque ſynodali ſententia vacantem eccleſiam arripuit. Tu autem ſcias, quod licet præſens xiiii. Canon Apoſtol. non punit eum qui docet extra ſuam diœceſin, alii tamen diverſi canones eos, qui extra diœceſin aliquid ſacerdotale exercent, depoſitioni ſubjiciunt. Characterem autem dare extra diœceſin, juſſu Imperatorio permiſſum eſt. Quidam autem metropolitanus, qui in B compluribus ſuis epiſcopatibus præter Epiſcoporum voluntatem docuerat, & accuſabatur, reſpondebat dicens, juſtum non eſſe ut ex eo læderetur, quòd & epiſcopatus ſint in ſua poteſtate, & quòd præſens Canon ei pœnam non imponat, & quòd non ſit fortè munus epiſcopale docere, vel dare characterem; quæ quidem magnæ ſynodo non placuerunt. Nota ergo quæ in hoc xiv. Canone ſunt ſcripta, præterea verò, quæ in commentario in xx. canone ſynodi in Trullo alibi ſunt annotata, de eo Epiſcopo qui extra limites ſuæ regionis docuerit, atque utrumque canonem concilia.

C ALTERA INTERPRETATIO.

Ex hoc præſenti xiiii. canone deprehenditur quod aſtuta Epiſcopi alicujus de Parœciâ in Parœciam tranſitio condemnatur. Tranſlatio autem bonâ gratiâ juſtam ob cauſam magnam & ad pietatem ſtabiliendam maximâ Epiſcoporum multorum adhortatione facta permittitur. Quoniam vero dicunt nonnulli nec ab hoc præſenti canone permitti tranſlationem, ſed tantum Epiſcopi ad tempus evocationem docendi gratiâ ex eo apparere, audiant, quod hoc Canone nihil ejuſmodi dicente unde ipſi hoc proferunt? Deinde & quænam vacantis eccleſiæ populo futura eſt utilitas è doctrinâ Epiſcopi ſemel vel bis vel & D dictis temporibus docentis in eâ, ſed nullum aliud antiſtitis munus in eâ exercentis, ut ejuſmodi evocatio cum magnâ Epiſcoporum multorum adhortatione fieret? Si quidem evocatus jure antiſtitis non docturus eſſet, nec indigeret multorum Epiſcoporum adhortatione, potuit enim & ſolus pietatem prædicare. Præſertim autem qui hoc dicit accuſat & magnum Gregorium Theologum, & Sanctum Proclum, & alios multos ſanctiſſimos Patriarchas, qui ab aliis thronis ad Conſtantinopolitanum vel etiam ad alios tranſlati fuere, ut indignè poſt tranſlationem ſacra peragentes, quod veniâ eſt indignum.

E **Zonar.** Varii Canones Synodici prohibent Epiſc. à ſuis Eccleſiis in alias migrare: Sed unumquemque mandant in ea, quæ forte ſibi contigit, Eccleſia manere, ne diſſideant inter ſe. Non ideo contraria Canones exiſtimabuntur inſtituiſſe: ſed illi quidem legem ponunt Epiſcopis, de non permutandis Eccleſiis ſuis: & hoc vetant. Præſens vero Canon loquitur de Epiſcopo qui, dum cogit utilitas, doctrinæ gratiâ, proficiſcitur in aliam Eccleſiam: illius enim Eccleſiæ Epiſcopus forſitan non admodum ſit idoneus ad docendum: Qui autem advocatur, fortè ſit eloquentior, ac dicendi facultate inſtructior: unde contingit ut neceſſe ſit ad illam ſe conferat civitatem. Et tunc F quidem non ſua ſponte, ſed evocatum, vel potius Epiſcoporum multorum judicio commonitum, Canon vult abire. Canones igitur ſynodorum prorſus inhibent Epiſcopum de parœcia in aliam tranſilire parœciam, ipſiuſque eccleſiaſticam ſurripere adminiſtrationem, quanvis ea fuerit Epiſcopo viduata: juxta decimum ſextum canonem ſynodi Antiochenæ. præſens autem canon ſanctorum Apoſtolorum pro temporis ratione, vult aliam in parœciam tranſire Epiſcopum, doctrinæ, ſermocinationiſque cauſâ, propter utilitatem commorantis illic populi. Neque tamen ſuâ ſolius hoc voluntate, ſed ab aliis vocatum & dignum habitum non prohibet.

Arist. *Non proficiſceris de throno ad thronum, niſi illis ibi utilior utpote docendi arte inſtructior judiceris. Et hoc multorum Epiſcoporum & judicio & adhortatione.*

Non oportet Epiſcopum propriam diœceſim relinquere & in alium thronum inſilire, niſi forte approbetur, & judicetur illic habitantibus utilior utpote docendi arte magis inſtructus. & hoc quidem multorum Epiſcoporum & judicio & adhortatione. Aboletur autem hic canon. Nam decimus ſextus canon in Antiochiæ ſynodo, vacantem Epiſcopum vacanti eccleſiæ præfici permittit. Sed poſt probationem perfectæ ſynodi, præſente & metropoleos Epiſcopo. Non autem vacantem nullo modo permittit in aliam civitatem tranſire, nec canon vigeſimus primus in Antiochiæ ſynodo, nec decimus quintus in Nicenâ ſynodo, nec primus in Sardicenſi.

CANON XV.

Si quis Presbyter, vel diaconus, vel omnino ex clericorum catalogo, relicta ſua parochia in aliam abſceſſerit, & cùm penitus tranſierit, præter ſui Epiſcopi ſententiam in alia parochia maneat, eum non ampliùs celebrare jubemus, maximè ſi eum adhortante Epiſcopo ut rediret, non paruit, in contumacia & inſolentia perſeverans: is autem ibi ut laicus communicet.

Bals. Sextus canon ſyn. Chalced. jubet, non abſolutè, ſed in epiſcopatu, vel eccleſia, vel monaſterio, ordinari clericos: nec poſſunt præter ejus qui eis præeſt ſententiam, ad aliam abire provinciam, aut diœceſim, & clericatuum officia exercere: eum autem qui hoc facit, canon ſegregat, maximè ſi evocatus, & ad priorem parochiam redire juſſus, non paruerit: eum tamen in alia civitate ut laicum verſari canon non prohibet. Quære etiam xvi. canonem primæ ſyn. & quartæ can. v. Quare nota quòd non ſolùm commendatitiis literis clerico opus eſt, volenti in alia diœceſi agere, & quæ ſunt clerici exercere: ſed etiam dimiſſoriis literis Epiſcopi qui eum fecit clericum. Niſi enim ejuſmodi literas oſtendat, prohibetur ab operatione. Quære etiam xvii. can. Syn. in Trullo.

Zonar. Sextus in Chalcedone ſynodi canon ſtatuit neminem debere abſolutè ordinari, ſed in Epiſcopatu, vel in Eccleſia aliqua, vel in monaſterio. Qui ſic igitur ordinatus Eccleſiam reliquerit, cujus fuit electus clericus, in aliámque diſceſſerit, in hoc canone prohibetur à miniſterio: maximè ſi vocatus non regreditur. Ipſi tamen indultum communicare tanquam Laico. Etiam decimus ſextus canon primæ ſynodi, & quintus quartæ, ſimiliter dicunt.

Arist. *Omnis clericus propriam parœciam relinquens, & alienam inhabitans, & ab Epiſcopo exoratus & non rediens, excommunicatus eſt.*

Quicunque clericus propriam parœciam relinquens, & ad alienam proficiſcens, & non rediens quamvis vocatus à proprio Epiſcopo, ne poſtea miniſtret. Si autem & perſeverat in iſtâc ordinis conturbatione deponatur; ut laicus autem ibi communicet. Quære & tertium canonem in Antiochiæ Synodo.

CANON XVI.

Sin autem Epiſcopus apud quem ſunt, nihili faciens decretam adverſus eos à munere ceſſationem, eos ut clericos receperit, ſegregetur ut immodeſtiæ & inſolentiæ magiſter.

A ἐκεῖσε λαοῦ. καὶ τότε οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ προσκαλούμενον καὶ ἀξιούμενον οὐ κωλύει.

ΑΡΙΣΤ. Θρόνῳ οὐκ ἐπιπηδήσεις ἐκ θρόνου εἰ μὴ τοῖς ἐκεῖ λυσιτελέστερος, ὡς διδασκαλικώτερος κρίνοιο, καὶ τοῦτο, πολλῶν Ἐπισκόπων καὶ διακρίσει καὶ παρακλήσει.

Οὐ δεῖ Ἐπίσκοπον τὴν ἑαυτοῦ παροικίαν καταλιπεῖν, καὶ ἑτέρῳ θρόνῳ ἐπιπηδῆσαι, εἰ μή πως δοκιμασθῇ καὶ κριθῇ τοῖς ἐκεῖσε ὠφελιμώτερος, ὡς διδασκαλικώτερος. καὶ τοῦτο, πολλῶν Ἐπισκόπων καὶ διακρίσει καὶ παρακλήσει· ἀνῃρέθη δὲ ὁ κανὼν οὗτος. ὁ γὰρ ἑξκαιδέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, B τὸν μὲν σχολάζοντα Ἐπίσκοπον ἐπὶ σχολάζουσαν ἐκκλησίαν καθίστασθαι παραδέχεται. ἀλλὰ μετὰ δοκιμασίας συνόδου τελείας, παρόντος καὶ τοῦ τῆς μητροπόλεως Ἐπισκόπου. τὸν δὲ μὴ σχολάζοντα, οὐδ' ὅλως παραδέχεται εἰς ἑτέραν πόλιν μεταβαίνειν· οὔτε ὁ κα΄. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, οὔτε ὁ ιε΄. τῆς ἐν Νικαίᾳ συνόδου, οὔτε ὁ πρῶτος τῆς ἐν Σαρδικῇ.

ΚΑΝΩΝ ιε΄.

Εἴ τις πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθῃ, καὶ παντελῶς μεταστὰς διατρίβει ἐν ἄλλῃ C παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου Ἐπισκόπου· τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, εἰ μάλιστα προσκαλουμένου αὐτὸν τοῦ Ἐπισκόπου αὐτοῦ, ἐπανελθεῖν οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ· ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

ΒΑΛΣ. Ὁ ϛ΄. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διατάττεται, μὴ ἀπολελυμένως, ἀλλ' ἐν ἐπισκοπῇ ἢ ἐκκλησίᾳ ἢ μοναστηρίῳ χειροτονεῖσθαι τοὺς κληρικούς. καὶ οὐ δύνανται οὗτοι δίχα γνώμης τοῦ προεστῶτος αὐτῶν εἰς ἑτέραν ἐπαρχίαν ἀπιέναι, καὶ ἐνεργεῖν τὰ τῶν κληρικάτων ὀφφίκια αὐτῶν. τὸν δὲ τοιοῦτόν τι ποιοῦντα ἀφορίζει ὁ κανὼν, καὶ μᾶλλον μετακαλούμενον, καὶ μὴ πειθόμενον ὑποστρέψαι εἰς τὴν προτέραν παροικίαν αὐτοῦ· D διάγειν μέντοι τοῦτον ἐν ἑτέρᾳ πόλει ὡς λαϊκὸν, οὐ κωλύει ὁ κανών. ζήτει καὶ τὸν ιϛ΄. κανόνα τῆς α΄. Συνόδου, καὶ τὸν ε΄. κανόνα τῆς δ΄. ὥστε σημείωσαι ὅτι οὐ μόνης συστατικῆς γραφῆς χρεία τῷ κληρικῷ εἰς ἑτέραν βουλομένῳ διάγειν ἐνορίαν, καὶ ὡς κληρικῷ ἐνεργεῖν· ἀλλὰ καὶ ἀπολυτικῆς γραφῆς τοῦ Ἐπισκόπου τοῦ τοῦτον κληρωσαμένου. εἰ μὴ γὰρ καὶ τοιαύτην γραφὴν ὑποδεικνύει, κωλυθήσεται τῆς ἐνεργείας. ζήτει καὶ τὸν ιζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ Συνόδου.

ΖΩΝΑΡ. Ὁ ἕκτος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διατάττεται, μὴ ἀπολελυμένως χειροτονεῖσθαί τινα, ἀλλ' ἐν ἐπισκοπῇ, ἢ ἐκκλησίᾳ τινὶ ἢ μοναστηρίῳ. ὁ γοῦν οὕτω χειροτονηθεὶς καὶ καταλιπὼν τὴν ἐκκλησίαν, ἧς ὠνομάσθη κληρικὸς, καὶ εἰς ἄλλην E ἀπελθὼν, τῆς λειτουργίας παρὰ τοῦ κανόνος τούτου κωλύεται, καὶ μᾶλλον εἰ προσκαλούμενος οὐκ ἐπάνεισι. μεταλαμβάνειν δὲ, ὡς λαϊκῷ αὐτῷ ἐπιτέτραπται. καὶ ὁ ιϛ΄. κανὼν τῆς πρώτης συνόδου, καὶ ὁ ε΄. τῆς τετάρτης, ὁμοίως φασίν.

ΑΡΙΣΤ. Κληρικὸς ἅπας ὁ τῆς οἰκείας ἐκστὰς, καὶ τὴν ἀλλοτρίαν οἰκῶν, καὶ πρὸς τοῦ Ἐπισκόπου δυσωπούμενος, καὶ μὴ παλινοστῶν, ἀκοινώνητος.

Οἷος δήποτε κληρικὸς τὴν ἑαυτοῦ καταλιπὼν παροικίαν, καὶ πρὸς ἑτέραν ἀπελθὼν, καὶ μὴ ὑποστρέψας, καὶ ταῦτα παρὰ F τοῦ ἰδίου προσκαλούμενος Ἐπισκόπου, μηκέτι λειτουργείτω. εἰ δὲ καὶ ἐπιμένει τῇ ἀταξίᾳ ταύτῃ, καθαιρείσθω. ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω. καὶ ζήτει τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα τρίτον.

ΚΑΝΩΝ ιϛ΄.

Εἰ δὲ ὁ Ἐπίσκοπος, παρ' ᾧ τυγχάνουσιν, παρ' οὐδὲν λογισάμενος τὴν κατ' αὐτῶν ὁρισθεῖσαν ἀργίαν, δέξηται αὐτοὺς ὡς κληρικοὺς, ἀφοριζέσθω ὡς διδάσκαλος ἀταξίας.

ΒΑΛΣ. Ὅρα ὅτι ὁ παρὼν κανὼν ἀφορίζει τὸν Ἐπίσκοπον τὸν συναριθμήσαντα τῷ οἰκείῳ κλήρῳ ἑτέρας ἐνορίας κληρικὸν ἄνευ ἀπολυτικῆς γραφῆς τοῦ οἰκείου Ἐπισκόπου. μόνος δὲ ὁ Ἐπίσκοπος Καρθαγένης δύναται συγκαταλέγειν τῷ οἰκείῳ κλήρῳ ἑτέρων ἐνοριῶν κληρικοὺς, καὶ χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτούς. καὶ εὑρήσεις τοῦτο εἰς τοὺς κανόνας τῆς ἐν Καρθαγένῃ συνόδου. ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως ἀρχιεπίσκοπος ἐπ᾽ ἐξουσίας ἔχει παρομοίως ποιεῖν. φησὶ γὰρ ἡ γ΄. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ, ἤγουν τὸ β΄. κεφ. τοῦ β΄. τίτλου τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν. εἰ γὰρ ἐπὶ τῶν εὐαγῶν μοναστηρίων κωλύομεν ἐξ ἑτέρου μοναστηρίου εἰς ἕτερον μεταβαίνειν, πολλῷ μᾶλλον οὐδὲ τοῖς εὐλαβεστάτοις κληρικοῖς τοῦτο ἐφήσομεν, κέρδους τε καὶ ἐμπορίας ἀπόδειξιν ἔχειν τὴν τοιαύτην ἐπιθυμίαν ἡγούμενοι. εἰ δὲ καί ποτε τοιαύτην τινὰ μετάστασιν ἡ σὴ μακαριότης, ἢ ἡ κατὰ καιρὸν βασιλεία γίνεσθαι συνίδῃ, μὴ ἄλλως τοῦτο πραττέσθω, πρὶν ἂν εἰς τὸν εἰρημένον ἡμῖν ἀριθμὸν περιστaίη τὸ πρᾶγμα. ἡ δὲ τοιαύτη νεαρὰ ἐγράφη πρὸς τὸν τότε πατριάρχην Κωνσταντινουπόλεως. σημείωσαι δὲ ὅτι καὶ τῷ Βασιλεῖ ἐνεδόθη μεταθέσεις ποιεῖν κληρικῶν.

ΖΩΝΑΡ. Ὁ προλαβὼν κανὼν ἀπείργει τῆς λειτουργίας τοὺς καταλιπόντας τὴν ἐνορίαν, ἐν ᾗ ἐχειροτονήθησαν. ὁ δὲ παρὼν ἀφορίζει τὸν Ἐπίσκοπον ᾧ προσῆλθον, εἰ δέξεται αὐτοὺς ὡς κληρικοὺς, ἐν εἰδήσει τοῦ ἐπιτιμίου, ὡς ἀταξίας καὶ ἀκαταστασίας κατάρχοντα.

ΑΡΙΣΤ. Ὁ τὸν τοιοῦτον ἐν γνώσει κατέχων, ταυτοκατάκριτος.

Ὁ ἐν εἰδήσει γινόμενος Ἐπίσκοπος τοῦ ὁρισθέντος ἐπιτιμίου κατὰ τοῦ τοιούτου κληρικοῦ, καὶ κατέχων αὐτὸν, ὡς κληρικὸν, ἀφορίζεται ὡς διδάσκαλος ἀταξίας.

ΚΑΝΩΝ ιζ΄.

Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΒΑΛΣ. Τὸν μετὰ τὸ ἅγιον βάπτισμα διγαμήσαντα ἢ πορνεύσαντα, κωλύει ὁ κανὼν Ἐπίσκοπον γενέσθαι ἢ ἱερατικόν τι ἐνεργεῖν· τὰ πρὸ τοῦ ἁγίου βαπτίσματος παρατρέχων πάντα τὰ ἁμαρτήματα, ὅπερ ἐστὶ καινότατον, καὶ ἔργον μόνης τῆς τοῦ ἁγίου πνεύματος χάριτος. ἀνάγνωθι καὶ τὸν κ΄. κανόνα τοῦ ἁγίου Βασιλείου. ὅπως δὲ ἀναγνῶσται πολλοὶ διγαμήσαντες, εἰς τοὺς οἰκείους τόπους συνετηρήθησαν, καὶ διὰ πιττακίων ἀρχιερατικῶν εἰς μείζονας βαθμοὺς προεβιβάσθησαν, ἀγνοῶ.

Ἑτέρα ἑρμηνεία.

Ἐν τῇ παρούσῃ τοῦ ιζ΄. κανόνος ἑρμηνείᾳ ἐγράψαμεν ἀγνοεῖν ὅπως οἱ ἀναγνῶσται διγαμοῦντες οὐ καθαιροῦνται, ἀλλὰ διὰ πιττακίων ἀρχιερατικῶν εἰς μείζονας βαθμοὺς προκόπτουσιν, ἀρτίως δὲ τὰ τῶν νόμων καὶ τὰ τῶν κανόνων ἐπιστατικώτερον σκοπήσαντες κατελάβομεν τὸν παρόντα ιζ΄. κανόνα καὶ τὸν ιη΄. περὶ ἀρχιερέων, ἱερέων, διακόνων καὶ ὑποδιακόνων διαλαμβάνειν, οὐ μὲν καὶ περὶ ἀναγνωστῶν. Ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ τῆς χειροτονίας καὶ μετὰ τὴν χειροτονίαν διγαμήσαντες καθαιροῦνται, οἱ δὲ ἀναγνῶσται πρὸ μὲν τῆς σφραγῖδος διγαμήσαντες καθαιροῦνται, μετὰ τὴν σφραγῖδα συγγινώσκονται, κωλύονται δὲ εἰς ἄλλον μείζονα προβαίνειν βαθμόν. φησὶ γὰρ ἡ ρλζ΄: Ἰουστινιάνειος νεαρὰ ἤτοι τὸ λα΄. καὶ τὸ λβ΄. κεφάλαιον τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν ταῦτα ῥητῶς. Εἰ δὲ μετὰ τὴν χειροτονίαν πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἀγάγηται γαμετὴν ἐκβαλλέσθω τοῦ κλήρου καὶ τῇ τάξει τῆς πόλεως, ἐν ᾗ κληρικὸς ἦν, μετὰ τῶν ἰδίων πραγμάτων παραδιδόσθω. Εἰ δὲ ἀναγνώστης δευ-

A **Bals.** Nota quòd præſens Canon ſegregat Epiſcopum, qui ſuo clero connumeravit alterius diœceſis clericum abſque ſui Epiſcopi dimiſſoriis literis. Solus autem Epiſcopus Carthaginenſis poteſt in ſuum clerum referre alterius diœceſis clericos, etiam abſque dimiſſoriis literis eorum qui illos ordinarunt. Hoc autem invenies in Canonibus Carthaginenſ. ſynodi. Sed & Archiepiſcopus Conſtantinopolitanus, poteſt ſimiliter facere. Dicit enim expreſsè iii. novella Juſtiniani Imperatoris, ſeu ii. cap. ii. tit. iii. libri Baſilicorum; Si enim in ſacroſanctis monaſteriis prohibemus ex alio monaſterio tranſire in aliud, multo magis nec religioſiſſi- B mis clericis hoc permittimus, lucri & negotiationis demonſtrationem hanc habere cupiditatem exiſtimantes. Si quando autem ejuſmodi tranſlationem tua beatitudo vel quæ tunc fuerit Imperialis majeſtas, faciendam duxerit, ne hoc aliter fiat, priuſquam res ad dictum nobis numerum redacta fuerit. Ejuſmodi autem novella ſcripta eſt ad Patriarcham Conſtantinopolitanum, qui erat tunc temporis. Nota autem quòd etiam Imperatori conceſſum eſt facere clericorum tranſlationes.

Zonar. Antecedens Canon arcet eos à miniſterio, qui parœciam deſeruerunt, in qua ordinati ſunt. Præſens verò Canon excommunicat Epiſcopum, ad quem C ſe contulerunt, ſi decretam ſciens in eos pœnam, receperit ipſos ut clericos, tanquam confuſionis & ſeditionis autorem.

Arist. *Qui talem ſciens detinet eidem judicio ſubjicitur.*

Epiſcopus ſciens ſupplicium decretum in talem clericum, & eundem detinens ut clericum, excommunicatur ut confuſionem docens.

Canon XVII.

Qui poſt ſanctum baptiſmum duobus conjugiis fuerit im- D *plicitus, vel habuerit concubinam, non poteſt eſſe Epiſcopus, vel presbyter, vel diaconus, vel omnino ex numero ſacerdotali.*

Bals. Eum qui poſt ſanctum baptiſmum digamus fuerit, vel fornicatus ſit, prohibet Canon fieri Epiſcopum, vel ſacerdotale quidpiam exercere. Quæ enim ante baptiſmum admiſſa ſunt omnis generis peccata prætermittit, cùm factus ſit novum opus ſolâ gratia ſancti ſpiritus. Lege etiam xx. Canonem ſancti Baſilii. Quomodo autem multi Lectores qui digami fuerant, in ſuis gradibus conſervati, & per Archiepiſcopalia pittacia ad majores gradus promoti ſunt, ignoro. E

Alia Interpretatio.

In præſenti xvii. Canonis interpretatione ſcripſimus nos ignorare quomodo Lectores qui duas uxores duxerant, non deponuntur, ſed per pittacia Archiepiſcopalia ad majores gradus provehuntur, modò autem leges & Canones diligentiùs perpendentes, deprehendimus præſentem xvii. Canonem & xviii. de Epiſcopis, ſacerdotibus, diaconis, & hypodiaconis diſceptare, non autem & de Lectoribus. Illi enim & ante ordinationem & poſt ordinationem ſecundas uxores ducentes deponuntur: F Lectores autem ſi ante quidem vocationem digami fuerint deponuntur, ſi autem poſt vocationem, veniam conſequuntur; prohibentur autem ad alium majorem promoveri gradum. Dicit enim cxxxvii. Juſtiniani novella, ſive xxxi. & xxxii. cap. primi tit. tertii libri Baſilicorum hæc expreſsè. Si autem poſt ordinationem Presbyter, vel diaconus, vel hypodiaconus uxorem duxerit è clero ejiciatur, & ordini civitatis, in quâ clericus erat, cum bonis ſuis tradatur. Si Lector autem ſecundam duxerit uxorem, aut primam, viduam verò, aut à viro ſeparatam, aut ſacris Canonibus prohibitam,

UMI

tam, ne poſtea ad alium eccleſiaſticum gradum provehatur: Si autem & quocunque modo provehitur, ex eo ejiciatur, & priori reſtituatur. Si velles autem Canonem & Lectores accipere, dic quod non poſſit eſſe vel fieri Lector, qui ante vocationem uxorem ſecundam duxerit, ubi enim cognitum fuerit, deponitur. Lectori verò, qui poſt vocationem duxerit uxorem ſecundam, ignoſcitur, quamvis ad majorem gradum non provehatur. Videas autem quomodo Lectores digami ad domeſticata, laoſynactata & alia officia per pittacia Archiepiſcopalia promoventur; dicimus quòd Eccleſiaſtica officia & Archonticia abuſivè vocantur gradus. Proprie enim gradus ſunt ſacerdotum, & diaconorum, & hypodiaconorum, & Lectorum; Officia autem & Archonticia ſunt honores & victus acquirendi occaſiones: unde & qui ab ineunte ætate Lector fuerit & ſecundam uxorem duxerit, ſine impedimento fiat clericus eccleſiaſticus, & domeſticus & populo congregator per pittacia, non autem & diaconus, aut hypodiaconus, qui hoc enim auſus fuerit deponetur.

ZONAR. Divinum lavacrum ſancti Baptiſmatis omnes credimus abluere ſordes ipſis baptizatis illitas ante Baptiſmum, nullúmque peccatum, quod ante Baptiſmum fuerit ab aliquo patratum, prohibet ad ſacerdotium promoveri baptizatum. Quòd ſi poſt baptiſmum ſcortatus fuerit, aut nuptiis duplicibus adhæſerit, indignus qualicunque ſacerdotio judicatur.

ARIST. *Quiſque ſecundis implicitus nuptiis, aut pellicem nutriens non ſit ſacerdos.*

Quilibet Digamus ad ſacerdotium non eſt admittendus, multo magis qui pellicem nutrit.

CANON XVIII.

Qui viduam accepit, vel ejectam, vel meretricem, vel ſervam, vel mimam ſeu ſcenicam, non poteſt eſſe Epiſcopus, vel Preſbyter, vel Diaconus, vel omnino ex numero ſacerdotali.

BALS. Nota præſentem Canonem. Vult enim non ſolùm eum qui eſt ſacratus, eſſe modeſtum & continentem, ſed etiam ejus conjugem: & ideo mulieres, quæ hîc comprehenduntur, prohibuit cum ſacratis hominibus matrimonio conjungi, utpote quòd eas continenter vivere non credatur, propter earum ſordes & improbitatem. Si quis ergo cum ejuſmodi muliere matrimonio conjunctus fuerit, ſacerdotio non dignabitur, & poſt ſacerdotium deponetur etiam, ſi ejus uxor eo ſciente adulterata fuerit, & patiente. Lege etiam xxix. cap. ix. tit. præſentis operis; et decimum Canonem ſynodi Ancyranæ, & quæ in eo ſcripta ſunt præſentium duorum Canonum interpretationis gratiâ.

ZONAR. Judæis etiam veteri ſuâ lege prohibitum fuit, Ne ſacerdotes ipſorum ducerent in matrimonium meretrices, vel in bello captas mulieres, aut ancillas & cauponatrices: & victum ſibi quærentes in taberna meritoria: & ſeparatas à viris. Quòd ſi fuerant hæc illis à lege mandata: multo magis his, qui ſecundum Evangelium ſunt ſacra celebraturi. Ecce enim ait templo quid amplius hîc eſt. Propterea, præſens Canon ſacris interdicit miniſtris, in uxorem, nec viduam ducere, nec à ſuo viro ejectam, nec meretricem, nec ancillam: ſed nec earum quampiam, quæ ludant in ſcena. Tales enim promiſcuè viventes, inverecunde cum quibuſvis occurrentibus converſantes & colloquentes, non creduntur pudicè vivere. Quamobrem, quiſquis aliquam de numeratis acceperit, hunc ad ullam ſacri miniſterii functionem provehi non permittit Canon.

A τέραν γαμετὴν λάβῃ, ἢ πρώτην χήραν δέ, ἢ διαζευχθεῖσαν ἀνδρί, ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν βαθμὸν προβαινέτω· εἰ δὲ καὶ προβῇ ὁπωσδήποτε, ἐκβαλλέσθω αὐτοῦ καὶ τῷ προτέρῳ ἀποκαθιστάσθω. Εἰ δὲ θέλεις ἐκλαβέσθαι τὸν κανόνα καὶ τοὺς ἀναγνώστας, εἰπὲ μὴ δύνασθαι εἶναι ἤτοι γενέσθαι ἀναγνώστην τὸν πρὸ τῆς σφραγίδος διγαμήσαντα, καθαιρεῖται γὰρ μετὰ διάγνωσιν. ὁ δὲ μετὰ τὴν σφραγίδα διγαμήσας ἀναγνώστης συγγινώσκεται, κἂν οὐ προκόπτῃ πρὸς μείζονα βαθμόν. ὅπως δὲ οἱ διγαμήσαντες ἀναγνῶσται προκόπτουσιν εἰς δομεστικάτα καὶ λαοσυνακτάτα ὀφφίκια καὶ ἀλλοῖα, διὰ πιττακίων ἀρχιερατικῶν, λέγομεν ὅτι B τὰ ἐκκλησιαστικὰ ὀφφίκια καὶ ἀρχοντίκια, καταχρηστικῶς ὀνομάζονται βαθμοί. κυρίως γὰρ βαθμοὶ ὁ τῶν ἱερέων καὶ τῶν διακόνων καὶ τῶν ὑποδιακόνων, καὶ τῶν ἀναγνωστῶν εἰσί. τὰ δὲ ὀφφίκια καὶ τὰ ἀρχοντίκια τιμαί εἰσι καὶ πορισμῶν ἀφορμαί. διὸ καὶ ὁ νηπιόθεν γεγονὼς ἀναγνώστης καὶ δευτερογαμήσας ἀπαρεμποδίστως γενήσεται κληρικὸς ἐκκλησιαστικὸς δομεστικός τε καὶ λαοσυνάκτης διὰ πιττακίων, οὐ μὴν δὲ διάκονος, ἢ ὑποδιάκονος, ὁ τοῦτο γὰρ τολμήσας, καθαιρεθήσεται.

ΖΩΝΑΡ. Τὸ θεῖον λουτρὸν τοῦ ἁγίου βαπτίσματος, πάντα πιστεύομεν ἀποπλύνειν ῥύπον τοῖς βαπτισθεῖσιν ἐντακέντα πρὸ τοῦ βαπτίσματος, καὶ οὐδὲν ἁμάρτημα τῶν πρὸ C τούτου γινομένων τινί, κωλύει τὸν βαπτισθέντα προβιβάζεσθαι εἰς ἱερωσύνην. εἰ δὲ μετὰ τὸ βάπτισμα πορνεύσει, ἢ γάμοις δυσὶ προσομιλήσει, ἱερωσύνης οἱασδήτινος ἀνάξιος κρίνεται.

ΑΡΙΣΤ. Ἀνίερος ἅπας δίγαμος, ἢ παλλακὴν ἐπιτρέφων.

Ἅπας δίγαμος εἰς ἱερωσύνην ἀπρόσδεκτος· πολλῷ δὲ πλέον ὁ παλλακὴν ἐπιτρέφων.

ΚΑΝΩΝ ιη΄.

D Ὁ χήραν λαβών, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα. βούλεται γὰρ μὴ μόνον τὸν ἱερωμένον σωφρονεῖν, ἀλλὰ καὶ τὴν σύμβιον τούτου. διὰ γὰρ τοῦτο καὶ τὰς ἐντὸς περιεχομένας γυναῖκας ἐκώλυσε τοῖς ἱερωμένοις συνάπτεσθαι· ὡς μὴ πιστευομένας σωφρονεῖν, διὰ τὸ φαῦλον τοῦ βίου αὐτῶν. εἴ τις γοῦν τοιαύτῃ γυναικὶ συναφθῇ, οὐκ ἀξιωθήσεται ἱερωσύνης, καὶ μετὰ τὴν ἱερωσύνην δὲ καθαιρεθήσεται, τῆς γυναικὸς αὐτοῦ μοιχευομένης, καὶ τούτου ἀνε- E χομένου. ἀνάγνωθι καὶ τὸ κθ΄. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν ι΄. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου καὶ τὰ ἐν αὐτῷ γραφέντα χάριν τῆς ἑρμηνείας τῶν παρόντων δύο κανόνων.

ΖΩΝΑΡ. Καὶ τοῖς Ἰουδαίοις ἀπηγόρευτο παρὰ τοῦ νόμου τοῦ παλαιοῦ τοὺς ἱερεῖς αὐτῶν πόρνας πρὸς γάμον ἄγεσθαι, ἢ αἰχμαλώτους, ἢ δούλας, καὶ τὰς ἐκ καπηλείας, καὶ τὸ πανδοχεύειν τὴν ζωὴν ποριζομένας, καὶ τὰς ἐξ ἀνδρῶν κεχωρισμένας. εἰ δὲ ἐκείνοις ταῦτα νενομοθέτητο, πολλῷ μᾶλλον τοῖς κατὰ τὸ F Εὐαγγέλιον ἱερουργεῖν μέλλουσιν. ἰδοὺ γάρ φησι πλέον τοῦ ἱεροῦ ὧδε. διὰ ταῦτα καὶ ὁ παρὼν κανὼν τοὺς ἱερωμένους κωλύει, μήτε χήραν εἰς γάμον ἄγεσθαι, μήτ' ἐκβεβλημένην παρὰ τοῦ οἰκείου ἀνδρός, μήτε πόρνην, μήτε δούλην, ἀλλὰ μηδέτινα τῶν ἐπὶ σκηνῆς. αἱ γὰρ τοιαῦται ἀδιαφόρως ζῶσαι, καὶ ἀναιδῶς προσομιλοῦσαι τοῖς ἐντυγχάνουσιν, οὐδὲ πιστεύονται σωφρονεῖν. τὸν γοῦν μίαν ἐκ τῶν ἀπηριθμημένων λαβόντα, εἰς ἱερωσύνην οἱανδήτινα προβιβάζεσθαι οὐ συγχωρεῖ ὁ κανών.

ΑΡΙΣΤ. Ἀπολελυμένην, ἢ χήραν, ἢ θεράπαιναν, ἢ μαινάδα λαβὼν ἱερεὺς, ἀνίερος.

Καὶ οὗτος ὁ μὴ κοσμίαν γυναῖκα λαβὼν, καὶ παρθένον· ἀλλ' ἣν ἀπεβάλετο ἕτερος, ἢ χήραν, ἢ θεράπαιναν, ἢ μαινάδα· εἰς ἱερωσύνην οὐ προσδεχθήσεται.

ΚΑΝΩΝ. ιθʹ.

Ὁ δύο ἀδελφὰς ἀγαγόμενος ἢ ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός.

ΒΑΛΣ. Ἀδελφιδῆ λέγεται ἡ ἀνεψιά. Τὸν γοῦν ἀγαγόμενον εἰς γάμον ἢ δύο ἀδελφὰς, ἢ θείαν καὶ ἀνεψιὰν, οὐ παραχωρεῖ ὁ κανὼν κληρωθῆναι, διασπωμένου πάντως καὶ τοῦ γάμου. σὺ δὲ γίνωσκε ὡς οὐ μόνον ὁ τοιοῦτόν τι ποιήσας, ἀλλὰ καὶ ὁ ἕτερον γάμον κεκωλυμένον ἐξ αἵματος ἢ ἐξ ἀγχιστείας συναλλάξας, οὐ κληρωθήσεται, ἀλλὰ μᾶλλον καὶ ἐπιτιμηθήσεται: οἷα δέ εἰσι τὰ τῶν αἱμομικτῶν ἐπιτίμια, μαθήσῃ ἀπὸ διαφόρων κανόνων τοῦ μεγάλου Βασιλείου.

ΖΩΝΑΡ. Ἡ γὰρ ἀθεμιτογαμία οὐ μόνον τοῦ κλήρου αὐτὸν κωλύει, ἀλλὰ καὶ ἐπιτιμίοις ὑπάγει. καὶ παρὰ τοῦ πολιτικοῦ δὲ νόμου τιμωρεῖται ὁ ἀθεμιτογαμῶν διασπῶντος καὶ τὸν ἀθέμιτον γάμον.

ΑΡΙΣΤ. Οὐ κεκλήρωται ὁ δύο ἀδελφὰς, ἢ ἀνεψιὰν ἀγαγόμενος.

Ὁ τοιοῦτος, σὺν τῷ μὴ δύνασθαι κληρικὸς γενέσθαι, καὶ βαρυτάτοις ἐπιτιμίοις ὑπόκειται, διασπωμένου πρὸς τούτοις καὶ τοῦ ἀθέσμου γάμου.

ΚΑΝΩΝ κʹ.

Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

ΒΑΛΣ. Τὸ διδόναι ἐγγύας, τινὲς μὲν λέγουσιν εἶναι τὸ ἐγγυᾶσθαι ὑπὲρ ἑτέρου τὸν κληρικόν· τινὲς δὲ τὸ διδόναι τὸν κληρικὸν ὑπὲρ ἑαυτοῦ ἕτερον ἐγγυητήν. τὸ γοῦν λέγειν καθαιρεῖσθαι τὸν κληρικὸν μὴ παραδεχόμενον εἰς δικαστήριον, ἢ εἰς ἐνοχὴν δι' ἀπορίαν, ἢ δι' ἕτερον τρόπον εὔλογόν τινα, καὶ διὰ τοῦτο διδόντα ἐγγυητὰς χάριν τοῦ ἀπαλλαγῆναι ὀχλήσεως, φορτικώτατόν ἐστι, καὶ τῆς ἀποστολικῆς φιλανθρωπίας ἀνάξιον. τὸ δὲ ἐγγυᾶσθαι τὸν κληρικὸν ὑπὲρ ἑτέρου, ποτὲ ἴσως κολασθήσεται. εἰ μὲν γὰρ χάριν κέρδους ἐγγυήσεταί τινα κληρικὸς, καθαιρεθήσεται, διὰ τὴν αἰσχρότητα τῆς ἐγγύας. εἰ δὲ πένητά τινα ἐγγυήσεται δι' ἔλεον, ἢ διά τινα εὐσεβῆ αἰτίαν ἑαυτὸν ὑπὲρ ἑτέρου παρεμβάλῃ, οὐ καθαιρεθήσεται. εὕρηνται δὲ καὶ ἐν τῇ δʹ. οἰκουμενικῇ συνόδῳ πολλοὶ Ἐπίσκοποι καὶ κληρικοὶ ἐγγύας ἀπαιτήσαντες, καὶ ἀπαιτηθέντες, καὶ οὐδεὶς ἐξ αὐτῶν ἐβλάβη. ἑρμήνευσον οὕτως τὰ τῆς ἐγγύας· ἀνάγνωθι δὲ καὶ τὴν ρκγʹ. Ἰουστινιάνειον νεαρὰν κειμένην ἐν βιβλίῳ γʹ. τῶν βασιλικῶν, τίτλῳ αʹ. ἤτοι κεφάλαιον αὐτοῦ ιγʹ. λέγον οὕτως ἐν μέρει. τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους, τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κουρατωρείαν καλουμένους, τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν. καὶ μετ' ὀλίγα πάλιν· ἀλλ' οὐδὲ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ ἐκλήπτορα ἢ μισθωτὸν τελῶν ἢ ἀλλοτρίων κτήσεων, ἢ κουράτωρα οἴκου, ἢ ἐντολέα δίκης, ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν, Ἐπίσκοπον ἢ οἰκονόμον, ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ, ἢ μοναχὸν ἰδίῳ ὀνόματι, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου, ὑπεισιέναι συγχωροῦμεν, ἵνα μὴ διὰ ταύτης προφάσεως, καὶ τοῖς ἁγίοις οἴκοις ζημία γίνηται, καὶ αἱ θεῖαι ὑπηρεσίαι ἐμποδίζωνται. ὥστε καὶ ἀπὸ τῶν ῥημάτων τούτων τῆς νεαρᾶς, τῶν λεγόντων μὴ γίνεσθαι ἱερωμένον τινὰ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν δηλαδὴ τῶν διαληφθεισῶν, παρίσταται καλῶς ἐγγυᾶσθαι τὸν κληρικὸν ὑπὲρ ἑτέρων εὐσεβῶν αἰτιῶν, ὥσπερ καὶ

A **Ariſt.** *Qui dimiſſam, aut viduam, aut ancillam, aut inſanam in uxorem duxit Sacerdos, Sacerdotio privatur.*

Sic etiam qui non modeſtam uxorem ducit & virginem, ſed quam alius dimiſit, aut viduam, aut ancillam, aut inſanam, ad Sacerdotium non admittetur.

Canon XIX.

Qui duas ſorores duxit, vel conſobrinam, non poteſt eſſe Clericus.

Bals. Ἀδελφιδῆ idem eſt quod ἀνεψιά. Eum ergo qui B ducit in uxorem vel duas ſorores, vel amitam, & conſobrinam, non permittit Canon fieri Clericum, licet omnino matrimonium irritum fiat. Tu autem ſcias, quod non ſolum, qui ejuſmodi quicquam fecerit, ſed & qui aliud matrimonium propter conſanguinitatem vel affinitatem prohibitum contraxit, non fiet Clericus, ſed ei pœna potius imponetur. Quænam ſunt autem pœnæ eorum qui cum conſanguineis rem habent, diſces ex diverſis Canonibus magni Baſilii.

Zonar. Illicitæ enim nuptiæ ipſum non ſolum ar- C cent à Clero, ſed etiam pœnis ſubjiciunt. Quin & per legem civilem punitur illegitimas iniens nuptias: quas & lex etiam diſtrahit.

Ariſt. *Non fit Clericus qui duas ſorores, aut conſobrinam duxerit.*

Talis cum pœnâ hac, quod non poteſt fieri Clericus, gravioribus etiam ſuppliciis ſubjicitur, diſtractis inſuper & illegitimis nuptiis.

Canon XX.

D *Clericus fidejubens deponatur.*

Bals. Fidejubere nonnulli eſſe dicunt, Clericum pro alio fidejubere: nonnulli autem Clericum pro ſeipſo dare alium fidejuſſorem: dicere ergo deponi Clericum, qui ad judicium vel ad agendum, propter paupertatem, vel aliquam aliam juſtam cauſam non admittitur, & propterea dat fidejuſſores ut à moleſtia liberetur, eſt graviſſimum, & Apoſtolica humanitate indignum. Si Clericus autem pro alio fidejubeat, fortaſſe quandoque punietur. Si enim Clericus lucri gratia pro aliquo fidejuſſerit, deponetur, propter fidejuſſionis turpitudinem: ſin E autem pro aliquo paupere fidejuſſerit propter miſericordiam, vel propter aliquam piam cauſam ſeipſum pro alio ingeſſerit, non deponetur. Inventi ſuut autem etiam in iv. univerſali Synodo multi Clerici & Epiſcopi, qui fidejuſſores & dederunt, & acceperunt, nec tamen ullus ideo læſus eſt. Fidejuſſionem ergo ita interpretare. Lege etiam cxxiii. Juſtiniani Novellam, quæ ſita eſt in libro iii. Baſilic. tit. primo ſeu cap. ejus xiii. quod ſic dicit in parte; Presbyteros autem, & Diaconos, & Subdiaconos, qui ſolo jure cognationis ad tutelam vel curam vocantur, tale munus ſuſcipere permittimus. Et paulo poſt iterum: Sed nec publicorum tributorum exactorem, vel receptorem, vel F vectigalium aut poſſeſſionum alienarum conductorem, vel curatorem domus, vel cauſæ procuratorem, vel pro his cauſis fidejuſſorem, Epiſcopum, vel œconomum, vel alium Clericum cujuſcunq; gradus, vel Monachum proprio nomine, vel Eccleſiæ, aut Monaſterii, eſſe permittimus: ne hoc prætextu ſanctis quoque domibus detrimentum afferatur, & divina miniſteria impediantur. Quare ex his quoque verbis Novellæ, quæ dicunt non debere fieri ſacratum aliquem pro his cauſis fidejuſſorem, iis videlicet quæ comprehenſæ ſunt, pulchre conſtat poſſe Clericum pro aliis piis cauſis fidejubere, ſicut etiam ſeipſum ingerere. Quære etiam titulum nonum præſentis operis, cap. xxxiv. & xxvii. & quæ ſunt in eis, & Chalced. Syn. Can. xxx.

ZONAR. Fidejubet aliquis aut pro ſe, aut pro alio. Qui vero pro alio fidejuſſorem ſe præſtat, aut propter lucrum fidejubet, aut propter charitatem, propter quam noſtras ipſorum animas pro fratribus ponere jubemur. Seipſum igitur pro alio ſubjicere obligationi, ſive obnoxium ſe facere, ut fortè pro Publicano, vetatur. Antiquum ſiquidem eſt malum, Publicanum agere. Publicani vero ſunt, qui publicorum tributorum redimunt exactiones. A talibus ergo, ſi manifeſtis non abundent facultatibus, fidejuſſores exiguntur, & nonnullos adducunt, qui bona ſua propter eos oppignorant. Hoc igitur, & quæ ſunt huic ſimilia, prohibetur Clericis, ne ſe negotiorum moleſtiis, & actionibus interponant judicialibus. Suſpicio namque eſt, quod iſta propter lucrum ferant; Clericos autem dedecet eſſe turpis lucri cupidos. Propterea Depoſitionis pœna talibus infligitur. Quod ſi forte Clericus ab aliquo tractus ad judicium, ſatisdare judicio ſiſtendi cauſa cogatur, iſtiuſmodi ſatiſdationes præſtans ſtatu ſuo non idcirco mulctabitur. Quandoquidem comperti ſunt in Oecumenica ſynodo quarta congregati divini Patres, & qui convenerant unâ Senatores, ab Ægyptiis Epiſcopis exegiſſe fidejuſſiones judicio ſiſtendi: vel qui ſatiſdationibus deſtituebantur, his jusjurandum imperaſſe, dum tempus quærunt ad dilationem. Quod ſi Clericus ad judicium comperiens aliquem protractum, ob dandam ſiſtendi ſe judicio cautionem, vel alio quoquo modo petitionis cujuſpiam judicialis reum, qui cuſtodiæ traditur, quia ſatiſdare nequeat: Miſeratus autem illum pro illo ipſe fidejubet, ipſius calamitate motus, hunc non arbitror ordine ſuo movendum: ſed apud Deum bonoſque viros acceptum fore, velut Evangelici obſervatorem mandati. Et civilis præterea lex Clericos in jus vocatos ſatiſdare jubet. Nota quod ſegregatio eſt etiam pœnas dare quæ è divinis ejiciunt terminis, & in pœnitentium loco conſtituunt.

ARIST. *Clericus fidejuſſiones non dat, dans autem deponitur.*

Non oportet Clericum in negotia ſe injicere, & fori judicialis moleſtias propter aliquod turpe lucrum. Si Paulo enim fortaſſe cum publico vel privato aliquo pactiones contrahente, & ei non creditur, ſed fidejuſſiones exiguntur, Clericus pro illo fidejuſſerit, & ſemet obnoxium reddiderit, Talis ut contemptor proprii ſtatus & honoris propter lucrum quoddam factus deponetur. Si Clericus autem inveniens hominem oppreſſum & in cuſtodia detentum, & aliter illinc non exiturum niſi aliquem dederit fidejubentem eum non confugiturum, & propter ſympathiam & humanitatem talem in ſe receperit, & fidejuſſerit eum ſe judicio ſiſtere quandocunque requiſitus fuerit, non tantum non abjiciendus erit, ſed laudandus judicabitur, ut ponens animam ſuam pro cognato. Clericis autem in jus vocatis exigi fidejuſſiones judicio ſe ſiſtendi, hoc non reddit eos depoſitioni obnoxios. In quarta enim actione in Chalcedone Actorum, Sancta Synodus & conſidentes in eâ celeberrimi Præfecti, ſtatuerunt Ægyptios Epiſcopos fidejuſſiones ſe ſiſtendi dare, & illis deſtitutos jurejurando obſtringi.

CANON XXI.

Eunuchus, ſi ex hominum quidem injuria factus ſit, vel in perſecutione virilibus privatus ſit, vel ſic natus eſt, & dignus eſt, fiat Epiſcopus.

A παρεμβάλλειν ἑαυτόν. ζήτει καὶ θʹ. τίτλον τοῦ παρόντος Συντάγματος, κεφ. λδʹ. καὶ κζʹ. καὶ τὰ ἐν αὐτοῖς, καὶ ἐν Χαλκηδόνι Συνόδου κανόνα λʹ.

ΖΩΝΑΡ. Ἐγγύας τις δίδωσιν ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἄλλου. καὶ ὁ ὑπὲρ ἄλλου διδοὺς, ἢ διὰ κέρδος ἐγγυᾶται, ἢ διὰ ἀγάπην, δι᾽ ἣν καὶ τὰς ψυχὰς ἡμῶν τιθέναι ὑπὲρ τῶν ἀδελφῶν ἐντετάλμεθα. τὸ μὲν οὖν ὑπὲρ ἄλλου ὑποβαλεῖν ἑαυτὸν, ἤτοι ἔνοχον ποιῆσαι, ὡς τυχὸν, ὑπὲρ τελώνου, κεκώλυται. ἀρχαία γὰρ κακία τὸ τελωνεῖν. τελῶναι δ᾽ εἰσὶν, οἱ τὰς ἀπαιτήσεις ὠνούμενοι τῶν δημοσίων συντελειῶν. Οἱ γοῦν τοιοῦτοι, εἰ μὴ φανερὰς εὐποροῦσιν οὐσίας, ἐγγύας ἀπαιτοῦνται, καὶ παράγουσί τινας ὑποτιθέντας δι᾽ ἐκείνους τὰ ἑαυτῶν. B τοῦτο τοίνυν καὶ ὅσα τούτῳ ἐοίκασιν, ἀπηγόρευνται τοῖς κληρικοῖς· ἵνα μὴ ἑαυτοὺς ὄχλῳ πραγμάτων καὶ ἑλκυσμοῖς παρεμβάλλωσι, καὶ ἐπηρείαις σεκρετικαῖς· ὑποπτεύονται γὰρ διὰ κέρδος τούτων ἀνέχεσθαι· αἰσχροκερδεῖς δὲ τοὺς κληρικοὺς εἶναι οὐ δεῖ. διὸ καὶ ἡ καθαίρεσις τούτοις ἐπάγεται. Εἰ δὲ παρά τινος ἴσως κληρικὸς ἐναγόμενος τῆς εἰς τὸ δικαστήριον προσεδρίας χάριν ἐγγύας ἀπαιτεῖται, διδοὺς ταύτας οὐ βλαβήσεται παρὰ τὴν οἰκείαν ἐπιτιμίαν. ἐπεὶ εὕρηνται καὶ ἐν τῇ τετάρτῃ οἰκουμενικῇ συνόδῳ οἱ ἐν ταύτῃ ἀθροισθέντες θεῖοι πατέρες, καὶ οἱ συνόντες αὐτοῖς συγκλητικοὶ, τοὺς Αἰγυπτίους Ἐπισκόπους ἐγγύας ἀπαιτήσαντες προσεδρίας. C ἢ τούτων ἀποροῦντας, κελεύσαντες ἐξωμοσίαν ποιήσασθαι, ζητοῦντας καιρὸν εἰς ὑπέρθεσιν. εἰ δὲ κληρικὸς ἑλκόμενόν τινα εὑρηκὼς, καὶ ἐγγύας ὑπὲρ παραστάσεως, ἢ ἄλλως πως, ἀπαιτούμενον, καὶ εἱρκτῇ παραπεμπόμενον, ὡς μὴ δυνάμενον παρασχεῖν τὰς ἐγγύας, ἐλεήσας αὐτὸν ὑπὲρ ἐκείνου ἑαυτὸν ὑποτίθεται τῇ ἐγγύῃ, ἐπικλασθεὶς τῇ τοῦ πάσχοντος συμφορᾷ, οὐκ οἶμαι τοῦτον καθαιρεθήσεσθαι, ἀλλὰ καὶ ἀποδεχθήσεσθαι παρὰ θεοῦ τε καὶ εὐγνωμόνων ἀνδρῶν, ὡς εὐαγγελικὴν πληρώσαντα ἐντολήν. καὶ ὁ πολιτικὸς δὲ νόμος τοὺς κληρικοὺς δικαζομένους διδόναι ἐγγύας παρακελεύεται. Σημείωσαι ὅτι ἀφορισμός ἐστι καὶ τὸ ἐν ἐπιτιμίοις γενέσθαι τοῖς ἐκβάλλουσι τῶν D θείων περιβόλων, καὶ πρὸς τὴν τῶν μετανοούντων καθιστῶσι χώραν.

ΑΡΙΣΤ. Κληρικὸς ἐγγύας οὐ δίδωσι, δοὺς δὲ καθαιρεῖται.

Οὐ δεῖ τὸν κληρικὸν ἑαυτὸν εἰς πράγματα παρεμβάλλειν, καὶ δικαστηρίων ὀχλήσεις διά τινα αἰσχροκερδίαν· εἰ γὰρ τοῦ Παύλου τυχὸν μετὰ τοῦ δημοσίου ἢ καὶ ἰδιώτου τινὸς συναλλάσσοντος, καὶ μὴ ἐμπιστευομένου, ἀλλ᾽ ἀπαιτουμένου ἐγγύας, κληρικὸς ἐγγυήσεται τοῦτον, καὶ καταστήσει ἔνοχον ἑαυτόν· ὁ τοιοῦτος ὡς καταφρονητὴς τῆς οἰκίας ἐπιτιμίας διά τι κέρδος γενόμενος, E καθαιρεθήσεται. εἰ δὲ καταπόνου εὑρὼν ὁ κληρικὸς ἄνθρωπον, καὶ ἐν φυλακῇ κατεχόμενον, καὶ ἄλλως ἐκεῖθεν μὴ ἐξαγόμενον, εἰ μή τινα δοίη τὸν ἐγγυσάμενον αὐτὸν μὴ ἀποδρᾶναι· καὶ διὰ συμπάθειαν καὶ φιλανθρωπίαν ἀναδέξεται τὸν τοιοῦτον καὶ παραστᾶν ἐγγυήσεται ὁπότε ἂν ζητηθῇ, οὐ μόνον οὐκ ἀπόβλητος ἔσται, ἀλλὰ καὶ ἐπαινετὸς κριθήσεται, ὡς τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ ὁμογενοῦς θέμενος. τὸ δὲ τοὺς κληρικοὺς δικαζομένους ἀπαιτεῖσθαι ἐγγύας παραστάσεως, τοσοῦτον οὐ καθαιρέσει αὐτοὺς ἐνόχους καθίστησιν, ὅτι καὶ ἐν τῇ τετάρτῃ πράξει τῶν ἐν Χαλκηδόνι πραχθέντων ἡ ἁγία σύνοδος καὶ συνεδρεύοντες αὐτῇ ἐνδοξότατοι ἄρχοντες διέλαβον τοὺς Αἰγυπτίους F Ἐπισκόπους ἐγγύας προσεδρείας παρασχεῖν, καὶ τούτων ἀποροῦντας ἐξωμοσίᾳ καταπιστωθῆναι.

ΚΑΝΩΝ κά.

Εὐνοῦχος, εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις, ἢ ἐν διωγμῷ ἀφῃρέθη τὰ τῶν ἀνδρῶν, ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος, Ἐπίσκοπος γινέσθω.

A ΒΑΛΣ. Οἱ τέτταρες οὗτοι κανόνες, ἤγουν ὁ παρὼν καὶ οἱ ἀφεξῆς, τοῖς μὲν πρὸ τοῦ κληρωθῆναι εὐνουχισθεῖσι διὰ νόσον ἢ ἐξ ἐφόδου ἐχθρῶν, συγγνωμονοῦσι, καὶ τῷ κλήρῳ συγκαταλέγουσιν, ἀξίους πάντως εὑρισκομένους· τοὺς δὲ μετὰ τὴν ἱερωσύνην ἑαυτοὺς ἀκρωτηριάσαντας, κἂν ὑπὸ νόσου ἐβιάσθησαν, ὡσαύτως καὶ τοὺς πρὸ τῆς ἱερωσύνης δίχα νόσου τὰ παιδογόνα μέρη ἑαυτῶν περιελόντας κολάζουσι. τοὺς μὲν γὰρ καθαιροῦσι· τοὺς δὲ κληροῦσθαι κωλύουσι. τοὺς δὲ λαϊκοὺς τοὺς δίχα νόσου ἢ ἐπηρείας ἑαυτοὺς ἀκρωτηριάσαντας, ἐπὶ ἔτη τρία ἀφορίζουσιν. ὅθεν καὶ οἱ πλείους τῶν ἀνθρώπων οἱ προσεκτικώτεροι διὰ νόσον μέλλοντες εὐνουχίζειν παῖδας αὐτῶν, τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσέρχονται, καὶ δήλην B ποιοῦσι τὴν νόσον, καὶ τὴν τῶν διδύμων ἐκκοπήν. Οἱ δὲ πολιτικοὶ νόμοι μεγάλως κολάζουσι τοὺς εὐνουχίζοντας παῖδας αὐτῶν, ἢ δούλους, ἢ ἑτέρους τινὰς νόσῳ μὴ κατεχομένους. καὶ ἀνάγνωθι τὸ ιδʹ. κεφ. τοῦ πρώτου τίτλου τοῦ παρόντος Συντάγματος, καὶ τὴν ξʹ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ. ἐπεὶ δὲ εἰς τρία διαιροῦνται οἱ εὐνοῦχοι, ἤγουν εἰς θλιβίας τοὺς νηπιόθεν τὰ παιδογόνα μέρη ἀποβαλόντας, ὡς ὑπὸ τῶν γονέων θλιβέντα καὶ ἀχρηστεύσαντα· εἰς σπάδωνας, τοὺς ἐκ γενετῆς διδύμους μὴ ἔχοντας· πρὸς δὲ καὶ εἰς καστράτους, τοὺς διὰ σιδήρου ἀκρωτηριασθέντας· κάστρον γὰρ παρὰ Ῥωμαίοις ὁ σίδηρος· οἱ μὲν θλιβίαι καὶ οἱ σπάδωνες ἀπροκριματίστως C ἱερωθήσονται, ὡς μηδὲ κακοῦ τινος γεγονότες παραίτιοι ἑαυτοῖς, οἱ δὲ κάστρατοι κατὰ τὴν ἀνωτέρω διάταξιν ποτὲ μὲν ἱερωθήσονται, ποτὲ δὲ κωλυθήσονται.

ΚΑΝΩΝ κβʹ.

Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικὸς, αὐτοφονευτὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἐχθρός.

ΚΑΝΩΝ κγʹ.

Εἴ τις κληρικὸς ὢν, ἑαυτὸν ἂν ἀκρωτηριάσῃ, καθαιρείσθω· φονεὺς γάρ ἐστιν ἑαυτοῦ.

D ΚΑΝΩΝ κδʹ.

Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία· ἐπίβουλος γάρ ἐστι τῆς ἑαυτοῦ ζωῆς.

ΒΑΛΣ. Ἡ ἑρμηνεία τῶν τοιούτων κεφ. ἐγράφη ἄνωθεν· ἀνάγνωθι καὶ τὸν περὶ παρθενίας λόγον τοῦ μεγάλου ἁγίου Βασιλείου, καὶ τὸν τοῦ ἁγίου Ἐπιφανίου, καὶ ἀπὸ τοῦ νομοκάνονος τοῦ Νηστευτοῦ περὶ τῶν εὐνουχισθέντων.

ΖΩΝΑΡ. Τὸ εὐνουχίζειν, εἰ μὴ διὰ πάθος ἐνσκῆψαν περὶ τὰ παιδογόνα μόρια γένοιτο, καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. καὶ τοσοῦτον, ὥστε καὶ τοὺς ἐκτεμνομένους δούλους εἰς ἐλευθερίαν κελεύουσιν ἀναρπάζεσθαι· καὶ τοὺς εὐνουχίσαντας E ὑποκεῖσθαι ταυτοπαθείᾳ, καὶ δημεύσει, καὶ περιορισμῷ. ἀλλὰ μὴν καὶ τοῖς ἱεροῖς κανόσι τοῦτο κεκώλυται. οὐ μέντοι ὁ ἐκτμηθεὶς ἱερωσύνης ἀπείργεται, εἰ μὴ αὐτὸς εἰς ἐκτομὴν παρέδωκεν ἑαυτόν. ὁ μὲν γὰρ παρ᾽ ἑτέρων ἐκτμηθεὶς, ὡς ἐπηρεασθεὶς, ἐλεεῖσθαι μᾶλλόν ἐστιν ἄξιος, ἀλλ᾽ οὐχὶ μισεῖσθαι· διὸ καὶ εἰ ἄξιος ἐκ τοῦ βίου αὐτοῦ κρίνοιτο ἱερωσύνης, εἰς ταύτην προβιβάζεσθαι. καὶ ὃς ἐκ φύσεως τὰ παιδογόνα πεπήρωται μόρια (οὓς ἐν εὐαγγελίοις ὁ κύριος Εὐνούχους οὕτω γεννηθέντας ὠνόμασε) τῷ κλήρῳ καταλεγῆναι οὐ κωλυθήσεται. ὁ δ᾽ αὐτῷ τὴν ἐκτομὴν μνηστευσάμενος, οὔτε εἰς κλῆρον καταταγήσεται· ἀλλὰ κἂν ἔφθη γενόμενος κληρικὸς, τοῦ κλήρου ἐκδιωχθήσεται. F εἰ δὲ λαϊκός ἐστιν ὁ εἰς ἐκτομὴν ἐκδοὺς ἑαυτὸν, ἐπὶ τριετίαν ἀφορισθήσεται· ἐπίβουλοι γὰρ ἑαυτῶν εἶναι δοκοῦσιν, διὰ τὸ τοῦ πράγματος ἐπικίνδυνον, καὶ τῇ τοῦ θεοῦ δὲ δημιουργίᾳ ἐναντιοῦνται· εἰς φύσιν γὰρ ἀνδρὸς πλάσαντος αὐτοὺς τοῦ θεοῦ, αὐτοὶ εἰς ἑτέραν φύσιν ἀλλόκοτον ἑαυτοὺς μεταπλάττουσιν· ὥστε μήτε ἄνδρες εἶναι· οὐδὲ γὰρ τὰ τῶν ἀῤῥένων ἀποτελεῖν εἰσὶ δυνατοὶ, ἐπεὶ ποιεῖν οὐ δύνανται ἄνθρωπον· μήτε γυναῖκες· οὐδὲ γὰρ τίκτειν ἔχουσι φύσιν· τὰ αὐτὰ καὶ ὁ πρῶτος κανὼν τῆς πρώτης Συνόδου διατάττεται· ζήτει καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γʹ. λβʹ. καὶ ναʹ.

A Bals. Hi quatuor Canones, præſens nimirum & tres quæ ſequuntur, iis quidem qui antequam Clerici facti eſſent, propter morbum, vel hoſtium incurſionem caſtrati ſunt, ignoſcunt, & eos in Clerum referunt, ſi omnino digni inveniantur: eos autem qui poſt Sacerdotium ſeipſos mutilaverunt, etiamſi à morbo coacti ſint; ſimiliter & eos, qui ante Sacerdotium abſque morbo genitalia ſua exſcindunt, puniunt. Illos enim deponunt, hos vero Clericos fieri prohibent: Laicos autem, qui abſque morbo vel injuriâ ſeipſos mutilant, tribus annis ſegregant. Unde etiam plurimi homines paulo conſideratiores, ſuos filios propter morbum caſtraturi, ad ſanctiſſimam B Eccleſiam accedunt, & morbum & teſticulorum abſciſſionem aperiunt. Civiles autem leges valde puniunt eos qui ſuos filios, vel ſervos, vel alios morbo non oppreſſos caſtrant. Lege etiam xiiij. cap. primi tituli præſentis operis, & lx. Novellam Imperatoris Domini Leonis ſapientis. Quia autem tria ſunt Eunuchorum genera: viz. Thlibiæ, qui ab infantia genitales partes amiſerunt, ut quæ eis à parentibus expreſſæ & inutiles factæ ſunt: Spadones, qui à nativitate teſticulos non habent: inſuper & Caſtrati, qui ferro execti ſunt, Caſtrum enim apud Romanos eſt Ferrum; Thlibiæ quidem & Spadones ſine ullo præjudicio conſecrabuntur, utpote qui ſibi nullius mali au- C ctores fuerint: Caſtrati autem, ut voluit ſuperior conſtitutio, aliquando quidem ad ſacros ordines admittentur, aliquando vero prohibebuntur.

Canon XXII.

Qui ſeipſum mutilavit, ne ſit Clericus: eſt enim ſui homicida & Dei opificii hoſtis.

Canon XXIII.

Si quis cum ſit Clericus, ſeipſum mutilaverit, deponatur: eſt enim ſui homicida.

D Canon XXIV.

Laicus qui ſeipſum mutilavit, tribus annis ſegregetur: eſt enim ſuæ ipſius vitæ inſidiator.

Bals. Interpretatio horum capitum ſuperius ſcripta eſt; Lege & orationem de Virginitate Magni Sancti Baſilii, & Sancti Epiphanii, & ex Nomocanone Neſteuti de iis qui Eunuchi facti ſunt.

Zonar. Caſtrare quempiam, niſi propter morbum circa genitalia membra irrumpentem, civilibus etiam prohibitum legibus: uſque adeo ut exectos etiam ſervos in libertatem rapi jubeant; & caſtrantes eidem cladi, E ſuorum quoque bonorum publicationi, pariter & exilio ſubjici: ſed & ſacris hoc ſimiliter Canonibus vetitum. Non tamen exectus à Sacerdotio repellitur, ſi non ſe tradiderit exectioni. Nam caſtratus ab aliis, velut injuriâ graviter affectus, miſeratione magis eſt dignus: nec eſt odio proſequendus. Ideo ſi Sacerdotio dignus ex ſua vita judicetur, ad illud etiam promovebitur. Item qui natura genitalibus eſt partibus mutilatus (quos in Evangeliis Dominus Eunuchos ſic genitos nominavit) Clero non inhibebitur adſcribi. Qui vero caſtrationem ſibi affectaverit, in Clerum non eligetur: ſed & ſi jam factus ſit Clericus, à F Cleri propulſabitur ordine. Si vero Laicus eſt, qui ſe caſtrandum præbuit, in tres annos ab aliorum cœtu fidelium ſeparabitur. Namque ſui ipſorum videntur inſidiatores eſſe, propter imminens facti periculum: Deique contrarium faciunt opificio. Nam, quum Deus ipſos in viri naturam formarit, in aliam naturam ab eâ prorſus alienam, ſeſe transformant: ita ut neque viri ſint, nec enim quæ ſunt marium præſtare poſſunt, quoniam procreare non poſſunt hominem: Neque ſunt mulieres: non enim habent pariendi naturam. Synodi primæ Canon primus eadem etiam conſtituit. Quære & Sanct. Baſil. can. iii. xxxii. & LI.

A **ARIST. CAN. XXI.** *Qui ex injuria hominum, aut natura factus eſt Eunuchus, ſi dignus eſt, conſecratur; exectus autem nequaquam.*

CAN. XXII. *Laicus qui ſeipſum execuit, excommunicatur, & Clericus non fit.*

CAN. XXIII. *Qui in clerum cooptatus ſeipſum execuit, deponitur.*

CAN. XXIV. *Laicus qui ſeipſum mutilavit annos tres ſegregatur, ut ſui inſidiator.*

Qui involuntariè fit Eunuchus, Canoni non ſubjicitur, B ſed ſi dignus eſt Sacerdotio, propter hoc non prohibetur. Si quis ſponte autem ſemetipſum fecerit Eunuchum, nullo modo fit Clericus; ſed & ſi Clericus ſit, deponitur, ut inſidiator ſui ipſius vitæ, & Dei opificii hoſtis.

CANON XXV.

Epiſcopus, vel Presbyter, vel Diaconus, fornicationis, vel perjurii, vel furti convictus, deponatur, & non ſegregetur. Dicit enim ſcriptura, Non vindicabis bis in idipſum. Similiter reliqui quoque Clerici.

C **BALS.** Illud, Non vindicabis bis in idipſum, ne dixeris accipi de quovis quomodocunque depoſito: qui enim vel Magiſtratus potentia vel pecuniis Sacerdotium aſſecuti ſunt, & deponuntur, & ſegregantur; ut dicit xxix. Canon Apoſtolicus, & xxx. Sed dic hoc accipi de iis ſolis qui deponuntur, propter peccata quæ in Canone præſenti continentur, & propter alia ejuſmodi. Quære & Sancti Baſilii Can. iii. xxxii. & li. Nota igitur Epiſcopos & Clericos hâc de causâ depoſitos, à fidelium communione non arceri. Lege & xxxii. Can. S. Baſil.

D **ZONAR.** Qui lapſi fuerint in dicta crimina, gradu ſuo deponuntur, non tamen excommunicantur. Ab ordine namque depoſitio judicatur ſufficiens illorum punitio; Neque bis oportet eos afficere pœnâ. Sunt alia tamen delicta, de quibus convicti ſimul & ordine moventur, & à conſortio fidelium ſeparantur: ut qui vel pecunia, vel Principis poteſtate Pontificatum ſibi vendicant.

ARIST. *In ſcortatione deprehenſus Sacerdos, aut perjurio, aut furto, deponitur, non autem & ſegregatur; non ſumes enim ultionem, inquit, bis de eodem.*

Sufficit judicium depoſitionis Sacerdoti in ſcortatione, E perjurio aut furto deprehenſo, & non oportet eum etiam ſegregari: ne duplici ſupplicio ſubjiciatur, quod eſt omnino inhumanum.

CANON XXVI.

Ex iis qui non ducta uxore ad Clerum promoti ſunt, jubemus, ſi velint, uxorem ducere, Lectores & Cantores ſolos.

BALS. Ante ordinationem permittitur omnibus uxorem ducere, & ita eos ordinari Subdiaconos, Diaconos, & Presbyteros: poſt ordinationem vero ſolis Lectoribus F & Cantoribus uxorem ducere conceſſum eſt.

ZONAR. Presbyteri quidem, & Diaconi, & Hypodiaconi ante ordinationem interrogantur, an continenter vivere velint, & ſi quidem pollicentur hoc, ordinantur: Si minus, ante ordinationem venire permittuntur ad nuptias; poſt nuptias autem ad miniſterium deliguntur: Poſt ordinationem vero ſi prædicti uxores accipiant, à miniſterio removentur. Solis autem Lectoribus, & Cantoribus etiam poſtquam ſunt in Clerum delecti, matrimonium contrahere licet, in ſuoque ſtatu proprio manere.

ΑΡΙΣΤ. Καν. κα΄. Ὁ ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἐκ φύσεως εὐνοῦχος γενόμενος, ἄξιος ὤν, ἱερᾶται· ἐκτομίας δὲ, οὔ.

Καν. κβ΄. Ἑαυτὸν ἐκτεμὼν λαϊκὸς, ἀφορίζεται· καὶ κληρικὸς οὐ γίνεται.

Καν. κγ΄. Ὁ μετὰ κλῆρον ἑαυτὸν ἐκτεμὼν, καθαιρεῖται.

Καν. κδ΄. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία, ὡς ἐπίβουλος ἑαυτοῦ.

Ὁ μὲν ἀκουσίως εὐνουχισθεὶς, τῷ κανόνι οὐκ ἐνέχεται· ἀλλ' εἰ ἔστιν ἄξιος τοῦ ἱερᾶσθαι, ἐκ τούτου οὐ κωλύεται. Εἰ δὲ ἑκών τις ἑαυτὸν ἐξευνούχισεν, οὐδ' ὅλως κληροῦται, ἀλλὰ καὶ κληρικὸς ὤν, καθαιρεῖται, ὡς ἐπίβουλος τῆς ἑαυτοῦ ζωῆς, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐχθρός.

ΚΑΝΩΝ κε΄.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἐπὶ πορνείᾳ ἢ ἐπιορκίᾳ ἢ ἐπὶ κλοπῇ ἁλοὺς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω· λέγει γὰρ ἡ γραφὴ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοί.

ΒΑΛΣ. Τὸ οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτὸ, μὴ εἴπῃς ἐκλαμβάνεσθαι εἰς πάντα ὁπωσδήποτε καθαιρέμενον· οἱ γὰρ διὰ προστασίας ἀρχοντικῆς ἢ διὰ χρημάτων ἱερωσύνης ἀξιούμενοι, καὶ καθαιροῦνται καὶ ἀφορίζονται, ὡς φησιν ὁ κθ΄. ἀποστολικὸς κανὼν, καὶ ὁ λ΄. ἀλλ' εἰπὲ τοῦτο ἐκλαμβάνεσθαι εἰς μόνους τοὺς καθαιρουμένους διὰ ἁμαρτήματα περιεχόμενα τῷ παρόντι κανόνι, καὶ διὰ ἕτερα ὅμοια. Ζήτει καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γ΄. λβ΄. καὶ να΄. σημείωσαι οὖν ὅτι οἱ Ἐπίσκοποι καὶ οἱ κληρικοὶ οἱ οὕτω καθαιρέμενοι, τῆς μετὰ τῶν πιστῶν κοινωνίας οὐκ ἀφορίζονται· ἀνάγνωθι καὶ τὸν λβ΄. κανόνα τοῦ ἁγίου Βασιλείου.

ΖΩΝΑΡ. Οἱ τοῖς ῥηθεῖσιν ὑποπεσόντες ἐγκλήμασι, καθαιροῦνται· οὐ μέντοι καὶ ἀφορίζονται· ἱκανὴ γὰρ ἐκδίκησις ἐπὶ τοῦτον, κέκριται ἡ καθαίρεσις· καὶ δὶς αὐτοὺς ποινηλατεῖσθαι οὐ χρή. εἰσὶ δ' ἕτερα ἐγκλήματα, οἷς οἱ ἁλόντες, καὶ καθαιροῦνται, καὶ ἀφορίζονται, ὡς οἱ διὰ χρημάτων, ἢ προστασίας ἀρχοντικῆς ἀρχιερωσύνης ἀξιωθέντες.

ΑΡΙΣΤ. Πορνείᾳ ληφθεὶς ἱερεὺς, ἢ ἐπιορκίᾳ, ἢ κλέμματι, καθαιρεῖται· οὐ μὴν καὶ ἀφορίζεται· οὐ γὰρ ἀποδώσεις, φησὶ δὶς ἐπὶ αὐτό.

Ἀρκοῦσά ἐστιν ἡ καταδίκη τῆς καθαιρέσεως τῷ συλληφθέντι ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἱερεῖ· καὶ οὐ δεῖ τοῦτον καὶ ἀφορίζεσθαι, ἵνα μὴ τὴν τιμωρίαν διπλασίονα ὑποστῇ, ὃ παντελῶς ἐστὶν ἀφιλάνθρωπον.

ΚΑΝΩΝ κϛ΄.

Τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας καὶ ψάλτας μόνους.

ΒΑΛΣ. Πρὸ τῆς χειροτονίας πᾶσιν ἐφεῖται συνάπτεσθαι γυναιξὶ καὶ οὕτω χειροτονεῖσθαι τούτους πρεσβυτέρους, διακόνους καὶ ὑποδιακόνους, μετὰ δὲ τὴν χειροτονίαν, μόνοις ἀναγνώσταις καὶ ψάλταις ἐνεδόθη γαμεῖν.

ΖΩΝΑΡ. Οἱ μὲν πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι πρὸ τῆς χειροτονίας ἐρωτῶνται, εἰ σωφρονεῖν αἱροῖντο· καὶ εἰ μὲν ἐπαγγέλλονται τοῦτο, χειροτονοῦνται. εἰ δὲ μὴ, πρὸ τῆς χειροτονίας, εἰς γάμον ἐλθεῖν ἐπιτρέπονται, καὶ μετὰ τὸν γάμον χειροτονοῦνται. μετὰ δὲ τὴν χειροτονίαν, γυναῖκας οἱ εἰρημένοι λαμβάνοντες, καθαιροῦνται· μόνοις δὲ ἀναγνώσταις καὶ ψάλταις, καὶ μετὰ τὸ εἰς κλῆρον καταλεγῆναι, ἐφεῖται γάμον ἑαυτοῖς συναλλάττειν, καὶ μένειν αὖθις ἐπὶ τῆς οἰκείας καταστάσεως.

στάσεως· ἑτεροδόξῳ δὲ συνάπτεσθαι γυναικὶ ὁ ιδ΄. κανὼν τῆς Οἰκουμενικῆς τετάρτης συνόδου κωλύει αὐτούς.

ΑΡΙΣΤ. Ὁ ἱερᾶσθαι μέλλων, εἰ βούλοιτο, προσγαμείτω· ἱερωθεὶς δὲ, ἀναγνώστης, καὶ ψάλτης μόνον.

Οὐκ ἔξεστί τινι μετὰ τὴν ἱερωσύνην πρὸς γάμον ἔρχεσθαι καὶ ἐπ᾽ αὐτῆς τῆς ἀξίας μένειν· μόνοις δὲ ἀναγνώσταις καὶ ψάλταις τοῦτο ἐφεῖται.

ΚΑΝΩΝ κζ΄.

Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τούτων φοβεῖσθαι θέλοντα, καθαιρεῖσθαι προστάττομεν. οὐδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ, αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε. λοιδορούμενος, οὐκ ἀντελοιδόρει. πάσχων, οὐκ ἠπείλει.

ΒΑΛΣ. Οἱ τοῦ βήματος οὐκ ὀφείλουσιν ὑπὸ τοῦ θυμοῦ νικᾶσθαι, καὶ τύπτειν τοὺς εἰς αὐτοὺς ἁμαρτήσαντας, πιστοὺς δηλονότι, ἢ καὶ ἀπίστους· κἀντεῦθεν οἷον ἀμύνεσθαι αὐτοὺς καὶ ἐκφοβεῖν τοὺς λοιπούς. οἱ δὲ τοιοῦτόν τι ποιοῦντες, παρὰ τὴν τοῦ κυρίου διδασκαλίαν τὴν διοριζομένην, τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἀριστερὰν, καθαιροῦνται. Ὁ δὲ πολιτικὸς νόμος τὸ ἐναντίον διορίζεται, λέγων, ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις. καὶ νοηθήσεται πάντως τὰ τοιούτου νόμου εἰς τοὺς λαϊκοὺς, κἂν ἡ ἐντολὴ τοῦ κυρίου γενικὴ οὖσα, πρὸς πάντας ἐξεφωνήθη· τὸ μέντοι μετρίως σωφρονίζεσθαι παρὰ τῶν ἱερωμένων τοὺς μαθητὰς αὐτῶν καὶ τοὺς ἁμαρτάνοντας, καὶ μετὰ παραγγελίαν μὴ ἐπιστρεφομένους, ἐκκεχώρηται. ὅτι καὶ ὁ κύριος τοὺς ἐν τῷ ἱερῷ ἐμπορευομένους, καὶ εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγελλίῳ τύπτων ἐξήλασεν. ἀνάγνωθι καὶ τὸν θ΄. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου, καὶ λεγομένης α΄. καὶ β΄.

ΖΩΝΑΡ. Ὁ κύριος ἡμῶν καὶ θεὸς τοὺς μαθητὰς διδάσκων, τὰς ἑαυτοῦ ἐντολὰς, ἔφη· ἃ λέγω ὑμῖν, πᾶσι λέγω. τῶν δὲ θείων αὐτοῦ ἐντολῶν εἰσι, καὶ αἱ κελεύουσαι τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἀριστερὰν, καὶ τῷ ἀφαιρουμένῳ τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα προσαποδύεσθαι. εἰ δὲ πᾶσι ταῦτα ἐντέταλται, πολλῷ πλέον παρὰ τῶν ἱερωμένων φυλάττεσθαι αὐτὰ χρὴ, ἵν᾽ εἶεν καὶ τοῖς ἄλλοις ὑπογραμμός. διὰ τοῦτο καὶ ὁ παρὼν κανὼν ἀπαγορεύει τοῖς Ἐπισκόποις, καὶ τοῖς λοιποῖς τὸ τύπτειν τοὺς εἰς αὐτοὺς ἁμαρτήσαντας, κἂν πιστοὶ εἶεν, κἂν ἄπιστοι. ἐλέγχειν γὰρ τοὺς ἀδικοῦντας ἄλλους ὀφείλουσι, καὶ προΐστασθαι τῶν ἀδικουμένων. ἐπεὶ καὶ Τιμοθέῳ Παῦλος ὁ μέγας ἐντέλλεται τοὺς ἁμαρτάνοντας ἐλέγχειν, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν· ἑαυτοὺς δὲ ἐκδικεῖν κωλύονται. μιμητὰς γὰρ χρὴ τοῦ κυρίου εἶναι, ὃς ἀνταποδοῦναι τοῖς εἰς αὐτὸν ἐμπαροινοῦσι δυνάμενος, οὐκ ἀνταπεδίδου, ἀλλὰ καὶ ὑπερηύχετο ἐκείνων. τοὺς δὲ ἐν τῷ ἱερῷ ἐμπορευομένους, ὡς εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγγελλίῳ τύπτων, ἐκεῖθεν ἐξήλασε καὶ ἤλεγξε λέγων, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου. καὶ ὁ μέγας δὲ Παῦλος, οἷον εἶναι χρὴ τὸν Ἐπίσκοπον, διαταττόμενος πρὸς τοῖς ἄλλοις, καὶ μὴ πλέκτην εἶναι φησίν· ἀναγνωστέον καὶ τὸν ἔνατον κανόνα τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων.

ΑΡΙΣΤ. Ἱερεὺς πιστὸν ἢ ἄπιστον τυπτήσας, καθαιρεῖται.

Ὁ τὸν εἰς αὐτὸν ἁμαρτήσαντα πιστὸν ἢ ἄπιστον τύπτων ἱερεὺς, καὶ διὰ τοῦ ἐνταῦθα φόβου τὸ μὴ καὶ ἑτέρους εἰς αὐτὸν τὰ ὅμοια πλημμελεῖν διορθούμενος· ὡς ὑπεναντία ποιῶν τῷ κελεύοντι νόμῳ παρέχειν τῷ τὴν σιαγόνα τύπτοντι καὶ τὴν ἄλλην, καθαιρεῖται, διὰ τὸ ἐξ αὐθαδείας καὶ ἀκατασχέτου θυμοῦ ἐπενεγκεῖν τὴν πληγήν. Ὁ δὲ τὸν εἰς τὰ ἱερὰ παρανομοῦντα σώφρονι μάστιγι σωφρονίζων,

A Sed hos tamen decimus quartus Oecumenicæ quartæ Synodi Canon vetat alterius ſectæ mulieri conjungi.

ARIST. *Qui ad Sacros ordines eſt promovendus, ſi velit uxorem ducat. Promotus autem, Lector & Cantor tantum.*

Non licet cuipiam poſt conſecrationem nuptias inire & in dignitate eâ manere. Solis vero Lectoribus & Cantoribus hoc permittitur.

CANON XXVII.

Epiſcopum, vel Presbyterum, vel Diaconum, qui verberat B *fideles qui peccant, vel infideles qui injuriam fecerunt, & per hæc vult perterrefacere, deponi jubemus. Dominus enim nos nequaquam hoc docuit; contrà autem ipſe verberatus non repercuſſit, maledictis petitus maledicta non retulit, patiens non minatus eſt.*

BALS. Qui ſunt ex ſacro tribunali, non debent ab ira ſuperari, & verberare eos qui in ipſos peccarunt, fideles ſcilicet, vel etiam infideles, eóſque ita ulciſci, & terrere reliquos. Qui autem tale quid faciunt, præter doctrinam Domini quæ decernit, dextram percutienti maxillam, oportere ſiniſtram quoque obvertere, deponuntur. C Leges autem civiles contrarium decernunt, dicentes, licere vim vi repellere, & arma armis. Et hæ quidem leges omnino de Laicis intelligentur, licèt præceptum Domini, cùm ſit generale, ſit omnibus editum. Suos autem diſcipulos mediocriter caſtigari peccantes, & poſt denunciationem ſe non corrigentes, Sacerdotibus permiſſum eſt. Nam etiam Dominus eos qui in Templo vendebant, & in Deum peccabant, flagello percutiens exegit. Lege etiam nonum Canonem Syn. congregatæ in æde Sanctorum Apoſtolorum, & quæ prima & ſecunda dicta eſt.

ZONAR. Dominus noſter, atque Deus diſcipulos D docens mandata ſua ſic ait, Quæ dico vobis, omnibus dico. Divinorum vero mandatorum ejus quædam præcipiunt obvertere ſiniſtram maxillam percutienti dexteram; & auferenti pallium, inſuper & tunicam exuere. Quod ſi mandata ſunt hæc omnibus, multò magis oportet à Sacratis obſervari Miniſtris, ut ſint aliis exemplo. Quam ob rem, præſens Canon vetat Epiſcopis, reliquiſque, ne verberent eos qui ſe offenderint, Fideles, aut Infideles. Reprehendere quidem debent eos, qui per injuriam nocent aliis, ac defendere iniquè oppreſſos. Nam & Timotheo magnus ille Paulus præcepit arguere pec- E cantes, ut cæteri metum habeant: ſeipſos autem ulciſci prohibentur. Imitatores enim Domini convenit eſſe: qui quum poſſet inſultantibus, & ludibrio ſe habentibus talionem rependere, non reddebat; imò pro talibus orabat. In templo vero negotiantes, ut in divinam peccantes majeſtatem, flagello verberans inde expulit, ac reprehendit, inquiens, Ne facite domum patris mei, domum negotiationis. Magnus quoque Paulus conſtituens qualem oportet eſſe Epiſcopum, dicit inter alia, non percuſſorem. Legendus eſt etiam nonus Canon appellatæ Primæ & Secundæ Synodi, quæ fuit in Templo Sanctorum Apoſtolorum. F

ARIST. *Sacerdos qui fidelem aut infidelem percuſſit, deponitur.*

Sacerdos fidelem aut infidelem in ipſum peccantem percutiens, atque è timore exinde incuſſo, alios etiam ne ſimiliter in ipſum peccarent, corrigens, ut contraria faciens legi quæ præcipit maxillam percutienti, exhibere & alteram, deponitur; quia ex arrogantiâ animoque qui nequit coerceri ictum infert. Qui autem in ſacra peccantem prudenter caſtigat, ſicut etiam Dominus è legali templo ibidem cauponantes flagello ex funiculis facto abegit, non deponetur. Ob hanc enim rationem Viri Eccleſiaſtici legum cuſtodes & vindices dicebantur, utpote qui à patribus antea conſtituti ſunt, ad res hujuſmodi ulciſcendas.

Canon XXVIII.

Si quis Epiſcopus, vel Presbyter, vel Diaconus juſtè ob manifeſta crimina depoſitus, ſibi aliquando creditum miniſterium attingere audeat, ab Eccleſia omnino abſcindatur.

Bals. Qui ob manifeſtum crimen eſt legitimè depoſitus, & ideo ne appellationis quidem habet auxilium, ſi prius miniſterium ſuum attingere auſus fuerit, ut impudentiſſimus ab Eccleſia abſcinditur. Si enim habet appellationis auxilium, & de eo quod adverſus illum ſtatutum eſt, adhuc ambigitur, non condemnabitur ſi miniſtret. Lex quidem civilis hæc dicit in libro iii. Baſilic. tit. primo cap. primo, Epiſcopus à Synodo depoſitus, qui tumultum excitavit ut Epiſcopatum rurſus acciperet, centum milliaribus longè à civitate ex qua ejectus eſt, habitet, nec ad Imperatorem accedens. Et ſi fortè reſcribat, ea ſint inutilia: & qui eum defenderit, indignationem incurrat. Quære & Antiochenæ Synodi Can. iiii. xii. & xv.

Zonar. Hi poſt juſtam depoſitionem peccantes, & honorem proprium (dico, Sacri miniſterii) mordicus retinentes, ab Eccleſia jure expelluntur, & propter impudentiam ſummam; & quia nequeunt aliter puniri Canonicè: Jam enim depoſiti ſunt; poſtremò & ab Eccleſia prorſus exſcinduntur.

Arist. *Si qui legitimè deponitur, Sacra myſteria rurſus attingat, eſt maxime ejiciendus.*

Qui poſt depoſitionem ob manifeſta crimina juſtè factam, Sacrum miniſterium rurſus attingit, iſte tanquam membrum putridum ab Eccleſia perfectè abſcinditur.

Canon XXIX.

Si quis Epiſcopus, per pecunias hanc ſit dignitatem aſſecutus, vel Presbyter, vel Diaconus, deponatur, & ipſe, & qui eum ordinavit, & à communione etiam omnino exſcindatur, ut Simon Magus à me Petro.

Canon XXX.

Si quis Epiſcopus ſecularibus Principibus uſus, per eos Eccleſiam adeptus ſit, deponatur, & ſegregetur, & omnes qui illi communicant.

Bals. Præſentes duo Canones xxix. & xxx. non ſolùm deponunt, ſed etiam à communione abſcindunt, ſeu ſegregant eos qui per pecunias, Epiſcopi, vel Presbyteri, vel Diaconi fiunt, & eos qui per Principum potentiam creantur Epiſcopi. Sancti enim Spiritus, inquiunt gratia non eſt venalis. Porrò autem Sancti quoque Taraſii Patriarchæ Conſtantinopolitani Epiſtola ad Papam Adrianum, dicit eſſe tolerabiliorem Hæreticum Macedonium, qui Sanctum Spiritum ſervire, blaſphemè dixit, eo qui pecuniis emit vel vendit Sancti Spiritus gratiam; qui enim vendit, vendit tanquam dominus: & qui emit, tanquam dominus futurus argentum ſolvit. Sanctiſſimi quoque Patriarchæ Gennadii, quæ paſſim legitur epiſtola, eos quoque anathemati ſubjicit, hæc dicens: Sit itaque & eſt abdicatus, & ab omni ſacerdotali dignitate & miniſterio alienus, & Anathematis execrationi ſubjectus tam qui vendit quàm qui emit Sancti Spiritus gratiam, ſive ſit Clericus, ſive Laicus: & hæc quidem ſic ſe habent. Quæſiverit autem quiſpiam, cùm xxx. Can. ſolius Epiſcopi meminerit, ſimiliter autem &

A καθάπερ δὴ καὶ ὁ κύριος τοῦ νομικοῦ ἱεροῦ τοὺς ἱεροκαπήλους τῷ ἐκ σχοινίου φραγελλίῳ ἀπήλαυνεν, οὐ καθαιρεθήσεται· διὰ τοῦτο γὰρ οἱ ἐκκλησιαστικοὶ νομοφύλακες καὶ ἔκδικοι λέγονται· ὡς ἐκ πατέρων ἄνωθεν τεταγμένοι, τὰ τοιαῦτα ἐκδικεῖν.

ΚΑΝΩΝ κή.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος καθαιρεθεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἅψασθαι τῆς ποτὲ ἐγχειρισθείσης αὐτῷ λειτουργίας, παντάπασιν ἐκκοπτέσθω τῆς ἐκκλησίας.

B ΒΑΛΣ. Ὁ καθαιρεθεὶς κατὰ νόμους διὰ περιφανὲς ἔγκλημα, καὶ διὰ τοῦτο μηδὲ ἐκκλήτου βοήθειαν ἔχων, εἰ τολμήσει τῆς προτέρας ἅψασθαι λειτουργίας, καὶ τῆς ἐκκλησίας ἐκκόπτεται ὡς ἀναιδέστατος· εἰ γὰρ ἔχει βοήθειαν ἐκκλήτου, καὶ ἔτι ἀμφισβητήσιμόν ἐστι τὸ κεκριμένον κατ' αὐτοῦ, οὐ κατακριθήσεται λειτουργῶν. ὁ μέντοι πολιτικὸς νόμος φησὶν ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν τίτλῳ α΄. κεφ. α΄. ταῦτα, Ἐπίσκοπος ἀπὸ συνόδου καθαιρεθείς, ὁ ποιήσας στασιώδες διὰ τὸ πάλιν τὴν ἐπισκοπὴν λαβεῖν, ἀπὸ ἑκατὸν μιλίων ἧς ἐξεβλήθη πόλεως οἰκείτω· μηδὲ βασιλεῖ προσιών. κἂν C τύχῃ ἀντιγράφων, ἄκυρα ἔστω· καὶ ὁ ὑπερεκδικῶν αὐτὸν ἀγανακτείσθω. Ζήτει καὶ τὸν ἐν Ἀντιοχείᾳ συνόδου κανόνα δ΄. ιβ΄· καὶ ιέ.

ΖΩΝΑΡ. Οὗτοι μετὰ τὴν δικαίαν καθαίρεσιν ἁμαρτάνοντες, καὶ τῆς οἰκείας τιμῆς (τῆς λειτουργίας, φημὶ) ἀντεχόμενοι, εἰκότως τῆς ἐκκλησίας ἐκβάλλονται, διά τε τὴν ἄκραν ἀναίδειαν, καὶ ὅτι οὐκ ἔτι κολασθῆναι κανονικῶς δύνανται ἄλλως· ἤδη γὰρ προκαθῄρηνται· λοιπὸν καὶ τῆς ἐκκλησίας ἐκκόπτονται.

ΑΡΙΣΤ. Ὁ καθαιρεθεὶς εὐλογώτατα, εἰ τῶν θείων ἅψεται πάλιν, ἐκκηρυκτότατος.

D Ὁ μετὰ τὴν καθαίρεσιν τὴν εὐλόγως ἐπὶ φανεροῖς ἐγκλήμασι γενομένην, τῆς θείας λειτουργίας πάλιν ἁψάμενος, τῆς ἐκκλησίας οὗτος ὡς σεσηπὸς μέλος ἐκκόπτεται τέλεον.

ΚΑΝΩΝ κθ΄.

Εἴ τις Ἐπίσκοπος, διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω, καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας· καὶ ἐκκοπτέσθω καὶ τῆς κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

ΚΑΝΩΝ λ΄.

E Εἴ τις Ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ ἅπαντες.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὁ κθ΄. καὶ λ΄. οὐ μόνον καθαιροῦσιν, ἀλλὰ καὶ τῆς κοινωνίας ἐκκόπτουσιν, ἤτοι ἀφορίζουσι τοὺς διὰ χρημάτων Ἐπισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους γινομένους, καὶ τοὺς διὰ ἀρχόντων προστασίας Ἐπισκόπους γινομένους. ἡ γὰρ χάρις τοῦ παναγίου πνεύματος, ὤνιος οὐκ ἔστι, φασί. καὶ ἡ ἐπιστολὴ δὴ τοῦ ἁγίου Ταρασίου γινομένου πατριάρχου Κωνσταντινουπόλεως, ἡ πρὸς τὸν Πάππαν Ἀδριανόν, φησὶ, φορητότερον εἶναι τὸν αἱρετικὸν Μακεδόνιον F τὸν βλασφημήσαντα δουλεύειν τὸ ἅγιον πνεῦμα, τοῦ διὰ χρημάτων πωλοῦντος ἢ ὠνουμένου τὸ τοῦ παναγίου πνεύματος χάρισμα, ὅτι ὁ πιπράσκων, ὡς δεσπότης πιπράσκει· καὶ ὁ ἐξωνούμενος, ὡς δεσπόσων καταβάλλει τὸ ἀργύριον. ἡ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Γενναδίου ἐγκύκλιος ἐπιστολὴ καὶ ἀναθέματι τούτους καθυποβάλλει, ταῦτα λέγουσα, Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὁ διδοὺς καὶ ὁ λαμβάνων ὤνιον τὴν χάριν τοῦ πνεύματος, εἴτε κληρικὸς εἴτε λαϊκὸς εἴη. καὶ ταῦτα μὲν οὕτως.

τως. ἐρωτήσῃ δέ τις ὡς τοῦ λ'. κανόνος Ἐπισκόπου μόνου μεμνημένου, ὡσαύτως καὶ τοῦ κθ'. κανόνος ὑποδιακόνων μὴ μεμνημένου ἢ ἀναγνωστῶν, ἐὰν πρεσβύτερός τις γένηται ἢ διάκονος ἢ ὑποδιάκονος ἢ ἀναγνώστης διὰ προστασίας ἄρχοντος, ἢ ὑποδιάκονος ἢ ἀναγνώστης διὰ δόσεως χρημάτων, τί ὀφείλει γενέσθαι; Λύσις. καὶ οὗτοι καθαιρεθήσονται καὶ ἀφορισθήσονται ἀπὸ τοῦ τέλους τοῦ παρόντος λ'. κανόνος, λέγοντος μὴ μόνους τοὺς πρωταιτίους τοῦ κακοῦ καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς. καὶ ἡ ἐπιστολὴ δὲ τοῦ Γενναδίου ὡς εἴρηται, οὐ μόνον τοὺς ἱερωμένους, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοὺς τοιοῦτον κακὸν πεπραχότας, ἀναθέματι καθυποβάλλει. ἀνάγνωθι καὶ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τὸ έ. κεφάλαιον τοῦ ά. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Ἐν τῷ εἰκοστῷ πέμπτῳ κανόνι λέλεκται, μὴ δεῖν δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό· ἐνθάδε καὶ ἐν ἀμφοτέροις τοῖς κανόσι τούτοις διπλῆν ἐπάγει τὴν τιμωρίαν, διὰ τὴν τῆς κακίας ὑπερβολήν, καὶ τὸ τῶν ἁμαρτημάτων βαρύτητα. οὐδὲν γὰρ χεῖρον τοῦ τὴν θείαν χάριν ὤνιον ἑαυτῷ περιποιουμένου, ἢ χρημάτων, ἢ δυναστείας ἀρχοντικῆς, καὶ τοῦ ταύτην πιπράσκοντος· ὡς δοῦλον γὰρ ὠνεῖται τὸ τοῦ ἁγίου πνεύματος χάρισμα· καὶ κατὰ τὴν συνοδικὴν ἐπιστολήν, τὴν ἐπὶ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως γενομένην πρὸς τὸν Πάπαν τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανόν, φορητότερος μᾶλλόν ἐστι Μακεδόνιος, καὶ οἱ λοιποὶ πνευματομάχοι. ἐκείνων γὰρ κτίσμα καὶ δοῦλον τοῦ θεοῦ καὶ πατρὸς τὸ ἅγιον πνεῦμα λοιδορούντων, οὗτοι, ὡς δοκοῦσι, δοῦλον ἑαυτῶν ποιοῦσιν αὐτό.

ΑΡΙΣΤ. Καν· κθ'. Ὁ ἐπὶ χρήμασιν ἱερεύς, μετὰ τοῦ χειροτονήσαντος καθαιρούμενος ἔσται, κατὰ τὸν Σίμωνα, ἐσαεὶ ἀκοινώνητος.

Ἰδοὺ ἐνταῦθα δύο τὰ ἐπιτίμια· καθαιρεῖται γὰρ ὁ τοιοῦτος, καὶ ἐσαεὶ ἀκοινώνητος μένει, διὰ τὸ τοῦ πταίσματος μέγεθος.

ΑΡΙΣΤ. Καν. λ'. Ὁ δι' ἀρχόντων Ἐπίσκοπος καθαιρούμενος, ἀφοριζέσθω.

Καὶ οὗτος ὡς μέγα πλημμελήσας ἁμάρτημα, καὶ καθαιρεῖται καὶ ἀφορίζεται· δεῖ γὰρ τὸν μέλλοντα χειροτονηθῆναι Ἐπίσκοπον, ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων καθίστασθαι· ἢ εἰ δυσχερές ἐστι τὸ πάντας ὁμοῦ συναχθῆναι, ὑπὸ τριῶν κἂν Ἐπισκόπων ἐξάπαντος, συμψήφων γινομένων καὶ τῶν ἀπόντων.

ΚΑΝΩΝ λά.

Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου Ἐπισκόπου, χωρὶς συναγάγῃ, καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ Ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος. τύραννος γάρ ἐστιν. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ κληρικοί, καὶ ὅσοι ἂν αὐτῷ προσθῶνται. οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν. ταῦτα δὲ μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παράκλησιν τοῦ Ἐπισκόπου γινέσθω.

ΒΑΛΣ. Ἑκάστης πόλεως ἱερωμένοι καὶ λαϊκοί, ὀφείλουσιν ὑποκεῖσθαι τῷ κατὰ χώραν Ἐπισκόπῳ, καὶ μετὰ τούτου συνάγεσθαι καὶ ἐκκλησιάζειν, εἰ μὴ καταγνώσουσι τούτου ὡς ἀσεβοῦς ἢ ἀδίκου. τηνικαῦτα γὰρ ἀποδιϊσταμένοις αὐτοῦ, οὐκ εὐθυνθήσεται. ὁ δὲ παρὰ ταῦτα ποιήσας, καὶ ἀλόγως ἐκ τοῦ ἰδίου Ἐπισκόπου ἀποσχισθείς, καὶ ἰδίᾳ ἐκκλησιάζων, εἰ μὲν κληρικός ἐστι, καθαιρεθήσεται, ὡς φίλαρχος, εἰ δὲ λαϊκός, ἀφορισθήσεται. πλὴν ταῦτα διορίζεται γενέσθαι ὁ κανὼν μετὰ πρώτην, δευτέραν, καὶ τρίτην ἐπιφώνησιν. ἀνάγνωθι καὶ τὸν ς'. κανόνα τῆς ἐν Γάγγρᾳ συνόδου, καὶ τὸν ι. τῆς ἐν Καρθαγένῃ· τούτῳ τῷ κανόνι καὶ τοῖς λοιποῖς τὰ τοιαῦτα διοριζομένοις οἱ προσβοηθούμενοι οἱ κατὰ χώραν Μητροπολῖται

A xxix. Subdiaconorum vel Lectorum mentionem non fecerit, ſi aliquis Presbyter, vel Diaconus, vel Subdiaconus, vel Lector Principis aut Magiſtratus potentia fiat, vel Subdiaconus, aut Lector datis pecuniis conſtituatur, quid debet fieri? Solutio. Hi quoque deponentur & ſegregabuntur ex fine præſentis xxx. Canonis, qui dicit, non ſolum primos auctores malorum deponi, & ſegregari, ſed eos etiam qui illis communicant. Porrò autem Gennadii etiam epiſtola, ut dictum eſt, non ſolùm Sacratos, ſed & Laicos, qui tale malum fecerunt, Anathemati ſubjicit. Lege etiam ſecundum Canonem Syn. Chalced. B & quintum cap. primi tit. præſentis operis, & quæ ſunt in eo.

Z**ONAR.** In vigeſimo quinto Canone, dictum fuit, Non oportere bis ob unum delictum ſumere judicialem pœnam. Hîc & ambobus in his Canonibus duplicem adducit pœnam, propter ſceleris magnitudinem, & peccatorum gravitatem. Nihil enim deterius eo, qui divinam gratiam, ceu venalem, ſibi comparat, aut nummis, aut poteſtate Principis, nihilque pejus eandem vendente; Velut enim ſervum vendit chariſma Sancti Spiritus: C & juxta Synodicam epiſtolam ſub Taraſio ſanctiſſimo Patriarcha Conſtantinopoleos ſcriptam ad antiquioris Romæ Papam Adrianum, tolerabilior certè eſt Macedonius, magiſque tolerandi ſunt reliqui Pneumatomachi: iſti enim Spiritum ſanctum magno quidem convitio contendunt eſſe creaturam, ſervúmque Dei Patris: hi vero (ſicuti videntur) ſervum ſibi faciunt ipſum.

A**RIST. CAN.** XXIX. *Qui pecuniâ fit Sacerdos, ſimul cum eo qui ipſum ordinavit, deponetur, Simonis adinſtar in perpetuum excommunicatus.*

Ecce hic duo ſunt ſupplicia, deponitur enim talis & D in perpetuum manet excommunicatus, ob delicti magnitudinem.

A**RIST. CAN.** XXX. *Qui per Principes fit Epiſcopus, depoſitus ſegregetur.*

Et hic tanquam magni peccati reus, & deponitur & ſegregatur; oportet enim eum qui ordinandus eſt Epiſcopus ab omnibus in provinciâ Epiſcopis conſtitui: vel ſi difficile ſit ut omnes unà conveniant, à tribus omnino Epiſcopis, una conſentientibus & iis qui abſunt.

E

CANON XXXI.

Si quis Presbyter, contempto proprio Epiſcopo, ſeorſim collectas egerit, & alterum altare fixerit, Epiſcopo ſuo in religione ac juſtitia nulla in re à ſe condemnato, deponatur, ut ambitioſus: eſt enim tyrannus. Similiter etiam & reliqui Clerici, & quotquot ei acceſſerunt. Laici autem ſegregentur. Hæc autem poſt unam alterámque ac tertiam admonitionem fiant.

B**ALS.** Et Sacrati & Laici uniuſcujuſque Civitatis debent ſubeſſe Epiſcopo diœceſeos, & cum eo congregari, & in Eccleſia verſari, niſi illum ut impium vel F injuſtum condemnarint: tunc enim ſi ab eo receſſerint, eis non imputabitur. Qui autem præter hæc fecerit, & ſine ratione à proprio Epiſcopo abſceſſerit; & ſeparatim in Eccleſia fuerit, ſi eſt quidem Clericus, deponetur ut imperii cupidus: ſi autem Laicus, ſegregabitur. Sed Canon quidem hæc eſſe facienda decernit, poſt primam, ſecundam, & tertiam admonitionem. Lege etiam VI. Can. Synodi Gangr. & X. Carth. Hoc Canone, & reliquis qui eadem decernunt, freti Metropolitani provinciales & Epiſcopi, murmurant adverſus eos qui quærunt ut cruces Patriarchales in ſuis regionibus figantur, & ideo ſæpe quoque nonnulli Imperatoris & Patriarchæ aures obtuderunt, quærentes ut Patriarchalium affigendarum crucium datio auferretur: utpote quòd qui ea quærerent, & de his ad univerſalem Patriarcham referrent, eorum nullam rationem haberent. Sed non ſunt exauditi: & cùm poſtularent proferri Canones, qui crucium ejuſmodi figendarum conceſſionem permitterent, ſanctiſſimæ Eccleſiæ pars eorum inſtantiam rejecit per longam non ſcriptam Eccleſiaſticam conſuetudinem, quæ pro Canonibus ſervata eſt tanto tempore quanti memoria haberi non poteſt, & in hodiernum uſque diem. Nota præſentem Canonem Apoſtolicum decernentem Clericos ab Epiſcopis ſuis impunè diſcedere, ſi eos ut impios & injuſtos condemnent: & hoc novum eſt injuſtitiæ. Alioqui autem etiamſi omnium peſſimus ſit Epiſcopus aut Sacerdos, non debet quiſpiam ab eis diſcedere ſed potius credere ſe per eos ſanctificari; nam omnes inquit, (Chryſoſtomus) Deus non ordinat, ſed per omnes operatur. Lege & xiii. Canonem Synodi in templo Sanctorum Apoſtolorum habitæ, & Chryſoſtomi interpretationem ſecundæ epiſtolæ ad Timotheum.

ALIA INTERPRETATIO.

Poſt præſentis Canonis interpretationem cum aliquot Epiſcopis verba habens qui contra Patriarchalia murmurabant ſtauropegia ut ſcilicet præter Canones in ſuas diœceſes miſſa, animadverti hæc rectè & Canonicè fieri, & earum regionum Epiſcopos ſine cauſâ hoc eorum factum reprehendere. A Divinis enim Canonibus nec Metropolitæ, nec Archiepiſcopi, nec Epiſcopi diœceſis conſtituta eſt, ſed omnia Patriarchis diſtribuuntur, etiam omnes totius orbis terrarum diœceſes, & ideo habent in iis nominum ipſorum relationem ab omnibus qui in ipſis ſunt Epiſcopis. Et hoc manifeſtum eſt è ſexto & ſeptimo Canone primæ Synodi, & è ſecundo & tertio Canone ſecundæ, qui decernunt Alexandrinum pro provinciâ habere totam Ægyptum, Libyam, & Pentapolim: Antiochenum, Cœle-Syriam, Meſopotamiam, Ciliciam; & reliquos Patriarchas alias diœceſes: unde etiam ut habentes jura ordinationis in aſſignatas ipſis diœceſes juxta dictorum Canonum ſententiam, & examinantes Antiſtites qui earum curam gerunt, & Canonicè corrigentes, juſtè & ſtauropegia in civitates dabunt, & in parœcias, ſibi etiam impunè vendicabunt earum Clericos quoties voluerint. Quæ cum ita ſint nulli Patriarchæ liceat in alterius Patriarchæ provinciam ſtauropegia mittere, ut nec Clericum ejus abducere, ne Eccleſiarum jura confundantur.

ZONAR. Ordo tam cœleſtia, quàm terreſtria continet. Ordinis igitur boni rationem decet ubique ſervari, ab Eccleſiaſticis maximè; & Presbyteros, & alios Clericos Epiſcopo ſubeſſe. Quòd ſi quis Presbyter, nulla in re proprium damnans Epiſcopum, neque tanquam delinquentem circa religionem, neque tanquam quid aliud agentem præter officium, præterque juſtum, ſed per ambitionem dominari cupiens illicita conventicula celebrarit, privatim concionans, & altare conſtruens in quo ſacrificet, ordine moveri Canon præcipit, & ipſum, & Clericos una cum eo convenientes: excommunicari verò Laïcos. Non autem vult Epiſcopos ad punitionem præcipites eſſe. Quapropter è veſtigio minimè vult ipſos condemnationi ſubjicere: verùm, talium conventiculorum magiſtros tertiò commoneri jubet, ut ab inordinato con-

A καὶ Ἐπίσκοποι, γογγύζουσι κατὰ τῶν ζητούντων σταυροπήγια πατριαρχικὰ εἰς τὰς ἐνορίας αὐτῶν. Διὰ γὰρ τοῦτο καὶ πολλάκις τινὲς ὠχλήσθησαν τὰς βασιλικὰς καὶ πατριαρχικὰς ἀκοὰς, ζητοῦντες περιαιρεθῆναι τὴν δόσιν τῶν πατριαρχικῶν σταυροπηγίων· ὡς τῶν ζητούντων αὐτὰ, καὶ ποιουμένων τὴν τοῦ οἰκουμενικοῦ Πατριάρχου ἀναφορὰν, μηδὲ λόγου ἀξιούντων αὐτούς· ἀλλ' οὐκ εἰσηκούσθησαν· καὶ ταῦτα ζητοῦντες, κανόνας προκομισθῆναι τὴν τῶν τοιούτων σταυροπηγίων ἐκχωροῦντας ἔκδοσιν, ὡς τοῦ μέρους τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας γενναίως ἀποσκευασμένου τὴν τούτων ἔνστασιν, διὰ τῆς μακρᾶς ἐκκλησιαστικῆς ἀγράφου συνηθείας, τῆς ἀντὶ B κανόνων κρατησάσης ἐξ ἀμνημονεύτων χρόνων καὶ μέχρι τοῦ νῦν. Σημείωσαι τὸν παρόντα ἀποστολικὸν κανόνα διορίζόμενον ἀκινδύνως ἀποσχίζειν τοὺς κληρικοὺς ἀπὸ τῶν Ἐπισκόπων αὐτῶν, καταγινώσκοντας τούτων ὡς ἀσεβούντων καὶ ἀδικούντων, καὶ ἔστι καινὸν τὸ τῆς ἀδικίας. Ἐξ ἑτέρου δὲ τρόπου κἂν χείριστος πάντων ἐστὶν ὁ Ἐπίσκοπος ἢ ὁ ἱερεὺς οὐκ ὀφείλει τις ἀποσχίζειν ἐξ αὐτῶν, μᾶλλον μὲν οὖν πιστεύειν δι' αὐτῆς ἁγιάζεσθαι, πάντας γάρ φησιν, ὁ Θεὸς οὐ χειροτονεῖ διὰ πάντων δὲ ἐνεργεῖ· Ἀνάγνωσον καὶ τὸν ιγ'· κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συνόδου, καὶ ἀπὸ τῆς πρὸς Τιμόθεον δευτέρας ἐπιστολῆς ἑρμηνείαν τοῦ λόγου.

C

Ἑτέρα ἑρμηνεία.

Μετὰ τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν εἰς λόγους ἐλθὼν μετά τινων ἀρχιερέων γογγυζόντων διὰ τὰ Πατριαρχικὰ σταυροπήγια ὡς δῆθεν ἀκανονίστως ἀποστελλόμενα εἰς τὰς ἐνορίας αὐτῶν, κατενόησα καλῶς καὶ κανονικῶς ταῦτα γίνεσθαι, καὶ μάτην τοὺς ἐγχωρίους Ἐπισκόπους μέμφεσθαι τὴν τούτων ποίησιν. Ἀπὸ γὰρ τῶν θείων κανόνων οὔτε Μητροπολίτου οὔτε Ἀρχιεπισκόπου οὔτε Ἐπισκόπου ἐνορία ἐδόθη ἀλλὰ τὰ πάντα Πατριάρχαις ἀπενεμήθησαν, καὶ αἱ ὅλαι ἐνορίαι τῆς ὅλης οἰκουμένης, καὶ διὰ τοῦτο ἔχουσιν ἐν D ταύταις τὴν ἀναφορὰν τῶν ὀνομάτων αὐτῶν ἀπὸ πάντων τῶν ἐν αὐταῖς Ἐπισκόπων· Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ϛ'. καὶ ζ'· κανόνος τῆς πρώτης συνόδου καὶ τοῦ β'· καὶ γ'. κανόνος τῆς δευτέρας, διοριζομένων τὸν Ἀλεξανδρείας ἔχειν ἐνορίαν πᾶσαν τὴν Αἴγυπτον, τὴν Λιβύην, καὶ τὴν Πεντάπολιν. τὸν Ἀντιοχείας τὴν κοίλην Συρίαν, τὴν Μεσοποταμίαν, τὴν Κιλικίαν, καὶ τοὺς λοιποὺς Πατριάρχας τὰς ἑτέρας διοικήσεις. ὅθεν καὶ ὡς ἔχοντες δίκαια χειροτονίας εἰς τὰς ἀφορισθείσας αὐτοῖς διοικήσεις, κατὰ τὴν τῶν ῥηθέντων κανόνων περίληψιν, καὶ ἀνακρίνοντες τοὺς διέποντας ταύτας ἀρχιερεῖς, καὶ κανονικῶς διορθούμενοι, δικαίως καὶ σταυροπήγια δώσουσιν εἰς E πόλεις καὶ παροικίας .... ὤσονται δὲ καὶ κληρικοὺς αὐτῶν ὁσάκις θελήσουσιν ἀποκριματίστως. τούτων δὲ οὕτως ἐχόντων οὐδενὶ τῶν Πατριαρχῶν ἐπ' ἀδείας ἔσται εἰς ἑτέρου Πατριάρχου ἐνορίαν ἀποστεῖλαι σταυροπήγια, ἀλλ' οὐδὲ κληρικὸν αὐτοῦ ἁρπάσαι, ἵνα μὴ συγχέωνται τὰ δίκαια τῶν ἐκκλησιῶν.

ΖΩΝΑΡ. Τάξις συνέχει καὶ τὰ οὐράνια, καὶ τὰ ἐπίγεια. δεῖ τοίνυν ἁπανταχοῦ τὴν εὐταξίαν φυλάττεσθαι, καὶ μᾶλλον παρὰ τοῖς ἐκκλησιαστικοῖς, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς λοιποὺς κληρικοὺς ὑπείκειν τῷ Ἐπισκόπῳ. εἰ δέ τις πρεσβύτερος ἐν F μηδενὶ κατεγνωκὼς τοῦ ἰδίου ἀρχιερέως, μήτε ὡς περὶ τὴν εὐσέβειαν σφαλλομένου, μήτε ὡς ἄλλο τι ποιοῦντος παρὰ τὸ καθῆκον καὶ δίκαιον, διὰ φιλαρχίαν δὲ παρασυναγωγὴν ποιήσει, ἰδιαιτάτως ἐκκλησιάζων, καὶ θυσιαστήριον πήξας ἐν τούτῳ ἱερουργεῖ, καθαιρεῖσθαι διατάττεται ὁ κανὼν, καὶ αὐτὸν, καὶ τοὺς αὐτῷ συνερχομένους κληρικοὺς, τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι. οὐ ταχεῖς δὲ τοὺς Ἐπισκόπους εἰς κόλασιν εἶναι βούλεται. διὸ οὐδὲ ἀπεντεῦθεν αὐτοὺς τῇ καταδίκῃ ὑπάγειν βούλεται, ἀλλ' ἐκ τρίτου τοὺς παρασυνάγοντας παρακαλεῖσθαι, ἀποστῆναι τοῦ ἀτάκτου ἐπιχειρήματος, ἐμμένοντας δὲ οὕτω καταδικάζεσθαι.

ζεσθαι. τῆς δὲ ἐν Γάγγρᾳ γενομένης συνόδου ὁ ἕκτος κανὼν, τοὺς παρὰ τὴν καθολικὴν ἐκκλησίαν ἰδίᾳ ἐκκλησιάζοντας παρὰ γνώμην τοῦ Επισκόπου, ὑπὸ ἀνάθεμα ποιεῖται. ὁμοίως δὲ καὶ ὁ δέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀναιτίου χωρισθεὶς Επισκόπου, καὶ πηγνὺς ἄλλο θυσιαστήριον, μετὰ τῶν δεξαμένων ἕξει τὸ ἔκπτωτον.

Εἴ τις τοῦ ἰδίου Επισκόπου ἀναιτίως κατέγνω, ὡς μήτε πρὸς εὐσέβειαν, μήτε πρὸς δικαιοσύνην προσκρουσάμενος, καὶ συναγωγὴν λαοῦ ἰδιαίτως ποιήσαιτο, καὶ θυσιαστήριον ἕτερον πήξοι, καθαιρείσθω αὐτός τε ὡς φίλαρχος, καὶ οἱ συνακολουθήσαντες αὐτῷ κληρικοί. ταῦτα δὲ γίνεσθαι ὀφείλουσιν, εἰ μὴ ἐπιστρέφει δὶς καὶ τρὶς τοῦ Επισκόπου τοῦτον παρακαλέσαντος.

ΚΑΝΩΝ λβʹ.

Εἴ τις πρεσβύτερος ἢ διάκονος ὑπὸ Επισκόπου γένηται ἀφωρισμένος, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν Επίσκοπος.

ΒΑΛΣ. Τὰ μὲν ἄλλα τοῦ παρόντος κανόνος προηρμηνεύθησαν ἐν ἑτέροις κανόσι. πῶς δὲ λύεται τοῦ ἀφορισμοῦ ὁ ἀφορισθεὶς, μετὰ θάνατον τοῦ ἀφορίσαντος αὐτὸν Επισκόπου, μάθε τὰ νῦν, καὶ εἰπὲ, ὅτι τοῦ ἀφορίσαντος ἀποβεβιωκότος, ἢ ὁ μετ' αὐτὸν Επίσκοπος λύει τὸν ἀφορισμὸν, ἢ ὁ τὸν τελευτήσαντα προβαλλόμενος πρῶτος ἀρχιερεὺς, πατριάρχης δηλαδὴ, ἢ μητροπολίτης, πλὴν μετ' ἐξέτασιν. τὸν δὲ ἑτέρας παροικίας Επίσκοπον λύειν τὸν ἀφορισθέντα μετὰ τελευτὴν τοῦ ἀφορίσαντος, οὐκ ἐπιτέτραπται.

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ δέχεσθαι ἢ λύεσθαι τοῦ ἐπιτιμίου τοὺς ὑπὸ τῶν ἰδίων Επισκόπων ἀφωρισμένους παρ' ἑτέρων, καὶ ἀνωτέρω εἴρηται· καὶ αὖθις δὲ τὰ αὐτὰ οὗτος ὁ κανὼν διατάττεται. ἐπεὶ δὲ εἰκὸς ἴσως τὸν ἀφορίσαντα, ἢ αἰφνίδιον, ἢ ἐν ἀποδημίᾳ ὄντα θανεῖν, καὶ τὸν ἀφορισθέντα μένειν ἐπιτετιμημένον, ἐπάγει, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτόν. καὶ ἔοικε μὲν παραχωρεῖν ὁ κανὼν οὗτος εἰ τύχῃ τελευτήσας ὁ ἀφορίσας, καὶ παρ' ἑτέρου δέχεσθαι τὸν ἀφορισθέντα. ἀλλὰ τὸ, παρὰ ἄλλου, οὕτως ἐξελήφθη, ἤγουν, παρὰ τοῦ διαδεξαμένου τὴν ἀρχιερατικὴν ἐξουσίαν τοῦ τελευτήσαντος. ἑτέρας γὰρ ἐνορίας Επισκόπῳ, λῦσαι τὸν ἐπιτετιμημένον παρ' ἑτέρου οὐ δέδοται, εἰ μή που συνοδικὴ ἐξέτασις γένηται, καὶ φανείη μὴ δικαίως ὁ Επίσκοπος ἀφορίσας. τοῦτο γὰρ καὶ ζώντων ἔτι τῶν ἀφορισάντων γίνεσθαι ἐπιτέτραπται.

ΑΡΙΣΤ. Ἄδεκτος ἑτέροις ὁ ἐξ ἑτέρου περιόντος ἀφωρισμένος.

Ὁ ἀφορισθεὶς παρὰ τοῦ ἰδίου Επισκόπου πρεσβύτερος ἢ διάκονος, ζῶντος τοῦ ἀφορίσαντος αὐτὸν Επισκόπου, οὐδὲ παρ' ἑτέρου προσδεχθῆναι ὀφείλει.

ΚΑΝΩΝ λγʹ.

Μηδένα τῶν ξένων Επισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων, ἄνευ συστατικῶν προσδέχεσθαι· καὶ ἐπιφερομένων αὐτῶν, ἀνακρινέσθωσαν. καὶ ἐὰν μὲν ὦσιν κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν. Εἰ δὲ μή γε, τὰ πρὸς χρείαν αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε. πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.

ΒΑΛΣ. Τὸ δίχα συστατικῶν γραφῶν μὴ προσδέχεσθαι τοὺς ξένους Επισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους, προεδιδάχθημεν. ἀρτίως δὲ διορίζεται ὁ κανὼν διακρί-

A atu deſiſtant: pertinaces autem condemnari. Sextus autem in Gangra factæ Synodi Canon, anathemati ſubjicit eos qui, non ex Epiſcopi ſententia, extra Eccleſiam catholicam privatim concionantur. Sic autem & decimus Canon Synodi Carthaginenſis.

ARIST. *Qui ab Epiſcopo inculpato ſeſe ſeparat, & figit alterum Altare, unà cum recipientibus ordine cadet.*

Si quis proprium Epiſcopum ſine cauſa condemnet, ut neque contra pietatem, nec contra juſtitiam peccantem, & conventum populi privatim faciat, & alterum Al- B tare figat, deponatur, & ipſe ut ambitioſus, & Clerici qui eum ſequuntur. Hæc autem fieri debent, ſi non converſus ſit, bis vel ter adhortante eum Epiſcopo.

CANON XXXII.

Si quis Presbyter vel Diaconus ab Epiſcopo ſit ſegregatus, non liceat alii eum ſuſcipere quàm qui ipſum ſegregavit: niſi fortè mortuus ſit Epiſcopus qui eum ſegregavit.

C BALS. Alia quæ ſunt in præſenti Canone, ſunt in aliis Canonibus prius expoſita. Quomodo autem qui eſt ſegregatus, à ſegregatione abſolvitur poſt mortem Epiſcopi qui eum ſegregavit, nunc accipe, & dic, quòd poſtquam è vivis exceſſit qui eum ſegregavit, vel qui ſuccedit ei Epiſcopus ſegregationem ſolvit, vel is primus Antiſtes qui defunctum præfecit, Patriarcha ſcilicet, vel Metropolitanus, ſed poſt examinationem. Alterius autem parochiæ Epiſcopo non permiſſum eſt, ut ſegregatum abſolvat poſt mortem ejus qui ſegregavit.

ZONAR. Superius etiam dictum fuit, ab aliis nec re- D cipi, nec ſolvi pœnâ debere, quos proprii excommunicarant Epiſcopi: eadémque rurſus ordinat hic Canon. Quoniam autem probabile forſitan eſt eum qui excommunicârat, vel repentine, vel in peregrinatione interiiſſe, & excommunicatum in impoſita ſibi pœna manere, ſubdit, Niſi caſu mortuus eſt, qui excommunicarat eum. Et hic quidem Canon permittere videtur, ſi fortè mortuus eſt is qui excommunicavit, ab alio recipi excommunicatum. Sed illud, ab alio, ſic accipitur, hoc eſt, ab eo, qui vita functi dignitatem pontificalem ſuſcepit. Alterius enim diœceſeos Epiſcopo non conceditur abſolvere condemnatum ab alio, niſi fortè ſyn- E odica fuerit inquiſitio, & Epiſcopus injuſtè videatur excommunicaſſe. Nam, viventibus adhuc ipſis Excommunicatoribus, hoc etiam fieri permiſſum eſt.

ARIST. *Qui ab aliquo ſuperſtite ſegregatur, ab aliis non eſt recipiendus.*

Segregatus à proprio Epiſcopo Presbyter, vel Diaconus, vivente Epiſcopo qui eum ſegregavit, non debet ab alio recipi.

CANON XXXIII.

F *Nullus externorum Epiſcoporum, vel Presbyterorum, vel Diaconorum, ſine commendatitiis recipiatur: his verò allatis, examinentur. Et ſi fuerint præcones pietatis recipiantur: Sin minùs, iis quæ ſunt neceſſaria, illis exhibitis, ad communionem eos ne admittatis. Multa enim per ſurreptionem fiunt.*

BALS. Sine literis commendatitiis non admitti externos Epiſcopos, vel Presbyteros, vel Diaconos, anteà didicimus. Nunc autem definit Canon, eos, etiamſi commendatitias literas habeant, de pietate debere examinari: & ſi rectè de fide ſentiant, ad communionem admitti: ſin ſecus, ut ſuſpectos recuſari: alimentis autem non oportere eos fruſtrari definitum eſt. Et hæc quidem præſens Canon. Ex aliis autem Canonibus diſces, quòd licèt quidam commendatitias literas afferant, & de fide rectè ſentiant, dimiſſorias nihilominus literas ſuorum Epiſcoporum oſtendere debent, alioqui ſacris operari non permittentur: per commendatitias enim literas eos eſſe ſacratos probatur: licere autem iis in aliena terra ſacra peragere, non ex iis, ſed ex dimiſſoriis literis oſtenditur. Et ideo, ut eſt conſentaneum, præſens Canon ſolius communionis meminit, non autem & miniſterii, utpote quòd ii qui literas tantum commendatitias habeant, in externa Eccleſia verſari non prohibeantur.

Zonar. Sacris initiatos in una diœceſi miniſtros, diſcedentes in aliam, Canon ſine commendatitiis prohibet excipi. Quòd ſi commendatitias attulerint, ne tum quidem ſine probatione admittere permittit: ſed examinare jubet, an ſint orthodoxi, (nam qui commendatitiam dedit epiſtolam, fortè neſciit, quòd errarent in fide) & ſi tales ſint eos admittere, iiſque communicare. Quòd ſi dubii, circa recta fidei dogmata videantur, unà cum talibus convictum vitari jubet: attamen iis neceſſaria benignè ſuppeditare, & ſic miſſos facere. Eos enim ad vitam neceſſariis indigentes negligere, & ſic dimittere, inhumanum judicatum fuit ab Apoſtolis, avaritiámque ſimul arguens eorum, qui eos non receperunt.

Arist. *Sacerdos peregrinus ſine literis commendatitiis non recipitur. Et profectus examinatur, & ab æquis judicibus admittitur: Sin minus, datis ei ad viam neceſſariis, dimittitur.*

Sine literis commendatitiis non oportet quempiam peregrinum, Sacerdotem excipere. Si commendatiæ autem literæ afferantur, & ſic tamen eum examinari oportet. Et ſi religioſus indubitatè invenitur, recipiatur ille. Si ambigitur autem an ſit necne, ſuppeditentur ei quæ ad expenſum ſunt neceſſaria, & dimittatur.

Canon XXXIV.

Epiſcopos uniuſcujuſque gentis noſſe oportet eum qui in eis eſt Primus, & exiſtimare eum ut caput: & nihil facere quod ſit magni momenti præter illius ſententiam: illa autem ſola facere unumquemque quæ ad ſuam parochiam pertinent, & pagos qui ei ſubſunt: ſed nec ille abſque omnium ſententia aliquid agat. Sic enim erit concordia, & glorificabitur Deus per Dominum Jeſum Chriſtum, & Pater per Dominum in Spiritu Sancto. Pater & Filius & Spiritus Sanctus.

Bals. Ordo omnia continet & cæleſtia & terreſtria. Unde & præſens Canon decernit eos qui ordinant, debere honorari ab eis qui ſunt ordinati. Hi enim ſunt Primi & capita ipſorum; & ideo communi ſententia conſtitutum eſt, ut quæ ultra illa quæ ad uniuſcujuſque adminiſtrationem pertinent, & ad eccleſiaſticam conſtitutionem ſpectant, & magni momenti reputantur, non fiant abſque ſententia primorum. Atque ipſi etiam Primo abſque Epiſcoporum ſuorum ſententia non licet ejuſmodi aliquid facere. Sic enim, inquit, quæ eſt ex Deo concordia & dilectio inter eos conſervabitur. Et hæc quidem eſt Canonis interpretatio. Quod autem ad illa quæ ſunt magni momenti attinet, dic, verbi gratia, quòd multæ civitates propter gentium incurſionem abſque Epiſcopis manentes, œconomica ratione aliis Epiſco-

A νεσθαι τούτους περὶ εὐσεβείας, καὶ συστατικὸν ἔχοντας· καὶ ἢ προσδέχεσθαι εἰς κοινωνίαν ὀρθοδόξους ὄντας, ἢ παραιτεῖσθαι ὡς ἀμφιβόλους· τροφῆς δὲ αὐτοὺς μὴ ἀποστερεῖν ὥρισται. καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα. ἐξ ἑτέρων δὲ κανόνων μαθήσῃ, ὅτι κἂν συστατικά τινες ἐπιφέρωνται, καὶ οὐδὲ περὶ τὴν ὀρθοδοξίαν ἀμφίβολοι ὦσιν, ἀλλὰ καὶ οὕτως ἀπολυτικὰς γραφὰς τῶν οἰκείων Επισκόπων ἐμφανίζειν ὀφείλουσιν, εἰ δὲ μή, οὐ παραχωρηθήσονται ἱερουργεῖν· τὸ μὲν γὰρ ἱερωθῆναι αὐτοὺς διὰ τῶν συστατικῶν γραφῶν ἐλέγχεται· τὸ δὲ ἐγχωρηθῆναι ἐπὶ ξένης ἱερουργεῖν, οὐκ ἀπὸ τούτων, ἀλλ' ἐκ τῶν ἀπολυτικῶν γραμμάτων παρίσταται. διὰ γὰρ B τοῦτο, ὡς ἔοικε, καὶ ὁ παρὼν κανὼν κοινωνίας μόνης ἐμνήσθη, οὐ μὴν καὶ λειτουργίας, ὡς τῶν προκομιζόντων συστατικὰς μόνας γραφὰς ἐκκλησιάζειν ἐπὶ ξένης μὴ κωλυομένων.

ΖΩΝΑΡ. Τοὺς ἐν ἑτέρᾳ χώρᾳ ἀπιόντας ἑτέρωθεν ἱερωμένους ἀπαγορεύει ὁ κανὼν χωρὶς συστατικῶν δέχεσθαι. Εἰ δὲ καὶ συστατικὰ ἐπιφέροιντο, οὐδὲ τότε ἀβασανίστους προσίεσθαι συγχωρεῖ· ἀλλ' ἀνακρίνειν εἰ ὀρθόδοξοι εἶεν, ἴσως γὰρ ἠγνόησεν ὁ δοὺς τὴν συστατικὴν ἐπιστολήν, ὅτι σφάλλονται πρὸς τὴν πίστιν· καὶ τοιούτους ὄντας προσδέχεσθαι, C καὶ συγκοινωνεῖν αὐτοῖς. εἰ δ' ἀμφίβολοι περὶ τὰ ὀρθὰ δόξουσι δόγματα, τὴν μετ' αὐτῶν συναγωγὴν παραιτεῖσθαι διακελεύεται. χωρεῖν δὲ τὰ πρὸς χρείαν αὐτοῖς, καὶ οὕτως ἐκπέμπειν. τὸ γὰρ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐπιδεεῖς ὄντας αὐτοὺς παρορᾶν, καὶ οὕτως ἀπολύειν, ἀφιλάνθρωπον ἐκρίθη τοῖς ἀποστόλοις, καὶ ἅμα φειδωλίαν κατηγορεῖν, τῶν μὴ προσδεξαμένων αὐτούς.

ΑΡΙΣΤ. Ξένος Ἱερεὺς δίχα συστατικῶν, οὐ προσδέχεται· καὶ ἐλθὼν ἐπανακρίνεται, καὶ τῶν ὀρθοτόμων προσίεται· εἰ δ' οὔ, τὰ πρὸς χρείαν ἐφοδιαζόμενος ἀποπέμπεται.

D

Ἄνευ συστατικῶν οὐ δεῖ ξένον ἱερέα προσδέχεσθαι· εἰ δὲ καὶ συστατικὰ ἐπιφέρεται, δέον αὐτὸν καὶ οὕτως ἐπανακρίνεσθαι· καὶ εἰ μὲν εὐσεβὴς ἀναμφιβόλως εὑρεθῇ, προσίεσθαι τοῦτον· εἰ δ' ἀμφιβάλλεται, τὰ πρὸς διοίκησιν ἐπιχορηγεῖσθαι αὐτῷ καὶ ἀποπέμπεσθαι.

ΚΑΝΩΝ λδʹ.

Τοὺς Επισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι E πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ θεὸς διὰ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ὁ πατὴρ διὰ Κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

ΒΑΛΣ. Τάξις συνέχει πάντα καὶ τὰ οὐράνια, ἀλλὰ καὶ τὰ ἐπίγεια· ὅθεν καὶ ὁ παρὼν κανὼν διορίζεται τιμᾶσθαι τοὺς χειροτονήσαντας ὑπὸ τῶν χειροτονηθέντων. οὗτοι γάρ εἰσι πρῶτοι, καὶ κεφαλαὶ αὐτῶν· διὸ καὶ ὥρισται κατὰ F κοινὴν γνώμην τὰ ἐπέκεινα τῆς διοικήσεως τῶν ἀνηκόντων ἑκάστῃ παροικίᾳ, εἰς ἐκκλησιαστικὴν κατάστασιν ἀποβλέποντα, καὶ περιττὰ λογιζόμενα, μὴ γίνεσθαι χωρὶς γνώμης τῶν πρώτων. καὶ αὐτῷ δὲ τῷ πρώτῳ τοιοῦτόν τι ποιεῖν ἄνευ γνώμης τῶν Επισκόπων αὐτοῦ, οὐκ ἐνεδόθη. οὕτω γάρ φησιν ἡ κατὰ θεὸν ὁμόνοια καὶ ἀγάπη συντηρηθήσεται μέσον αὐτῶν. καὶ ἡ μὲν ἑρμηνεία τοῦ κανόνος τοιαύτη. Εἰπὲ δέ, χάριν τῶν περιττῶν, ὅτι πολλαὶ πόλεις διὰ τὴν τῶν ἐθνῶν ἐπιδρομὴν ἀνεπίσκοποι μένουσαι, κατὰ λόγον οἰκονομίας Επισκόποις ἑτέροις προσανατίθενται.

νατίθενται. Εἰ γοῦν ὁ πρῶτος ὑφ' ὃν αὗται τελοῦσι, δίχα γνώμης τῶν συλλειτουργῶν αὐτοῦ τὴν ἀνάθεσιν τούτων ποιήσει, αἰτιαθήσεται. τοιαῦτά εἰσι τὰ περιττὰ, καὶ περὶ τούτων ὁ κανὼν διορίζεται. τὸ δὲ μὴ πράττειν τι τὸν πρῶτον ἄνευ τῆς γνώμης τῶν Ἐπισκόπων αὐτοῦ, μὴ εἴπῃς νοεῖσθαι εἰς ἅπαντα τὰ παρὰ τούτου γίνεσθαι μέλλοντα, ἀλλ' εἰς μόνα τὰ περιττά. Εἰ γὰρ τοῦτο εἴπῃς, ὑποβιβασθήσεται ὁ χειροτονῶν τοῦ χειροτονουμένου. ὡς τούτου μὲν κωλυθέντος παντάπασι ποιεῖν τι δίχα γνώμης τῶν ὑπ' αὐτόν· ἐκείνων δὲ δεομένων τῆς τοῦ πρώτου παρουσίας εἰς μόνα τὰ περιττὰ, ὅπερ ἄτοπον.

A pis attribuuntur. Si ergo Primus ſub quo hæ ſunt, ſine ſententia eorum qui ſunt miniſterii adjutores, hanc attributionem fecerit, reprehendetur. Ejuſmodi ſunt res magni momenti, & de iis definit Canon. Non poſſe autem Primum quidquam facere ſine ſententia Epiſcoporum ſuorum, ne dixeris eſſe intelligenda de omnibus quæ ab illo facienda ſunt, ſed de iis tantum quæ ſunt magni momenti. Si enim hoc dixeris, is qui ordinat, ei qui ordinatur, ſuberit, cùm is quidem omnino prohibeatur abſque ſententia eorum qui ei ſubſunt, aliquid agere: illi verò Primi præſentiâ ad ea tantùm quæ ſunt magni momenti opus habeant, quod eſt ab-
B ſurdum.

ΖΩΝΑΡ. Ὥσπερ τὰ σώματα μὴ τὴν οἰκείαν ἐνέργειαν ὑγιᾶ σωζούσης τῆς κεφαλῆς, πλημμελῶς κινοῦνται, ἢ καὶ ἄχρηστά εἰσι παντελῶς, οὕτω καὶ τὸ σῶμα τῆς ἐκκλησίας, εἰ μὴ ὁ πρωτεύων τούτου, καὶ τάξιν πληρῶν κεφαλῆς ἐπὶ τῆς οἰκείας διατηροῖτο τιμῆς, ἀτάκτως καὶ πλημμελῶς κινηθήσεται. Διὰ τοῦτο ὁ παρὼν κανὼν τοὺς ἑκάστης ἐπαρχίας πρώτους Ἐπισκόπους, τοὺς τῶν μητροπόλεων δηλονότι ἀρχιερεῖς, κεφαλὴν ἡγεῖσθαι ὑπὸ τῶν ἄλλων Ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, κελεύει, καὶ χωρὶς ἐκείνων μηδὲν ποιεῖν, ὃ εἰς κοινὴν ἀφορᾷ τῆς ἐκκλησίας κατάστασιν, οἷον ζητήσεις δογματικὰς, οἰκονομίας περὶ σφαλμάτων κοινῶν, καταστάσεις ἀρχιερέων, καὶ ὅσα τοιαῦτα· ἀλλὰ περὶ τούτων ἐκείνῳ συνιόντας συνδιασκέπτεσθαι, καὶ τὸ πᾶσιν ἄριστον δόξαν ψηφίζεσθαι. ἕκαστον δὲ τὰς τῆς ἰδίας ἐκκλησίας διοικήσεις, καὶ τῶν ὑποκειμένων αὐταῖς χωρῶν πράττειν ἰδιαζόντως καθ' ἑαυτούς. πλὴν ἀλλ' οὐδὲ τῷ πρώτῳ Ἐπισκόπῳ παραχωρεῖ τῇ τιμῇ καταχρώμενον, εἰς δυναστείαν ταύτην ἀμείβειν, καὶ ἐναυθεντεῖν. καὶ χωρὶς γνώμης κοινῆς τῶν οἰκείων συλλειτουργῶν ποιεῖν τι τῶν εἰρημένων, ἢ τῶν ὁμοίων αὐτοῖς. βούλεται γὰρ ὁμονοεῖν τοὺς ἀρχιερεῖς, καὶ συνδεδέσθαι τῷ τῆς ἀγάπης δεσμῷ, καὶ ὑπόδειγμα πρὸς ἀγάπην τε, καὶ ὁμόνοιαν τοῖς ὑπ' αὐτοὺς εἶναι κλήροις τε, καὶ τοῖς πλήθεσιν. ἵν' οὕτως δοξάζηται ὁ θεὸς, κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν τὴν λέγουσαν, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. δοξασθήσεται δὲ ὁ θεὸς διὰ τοῦ κυρίου ὡς ἐκείνου τὸ ὄνομα αὐτοῦ φανερώσαντος τοῖς ἀνθρώποις, καὶ τὴν ἀγάπην νομοθετήσαντος. ἐν ἁγίῳ δὲ δοξασθήσεται πνεύματι· διὰ τούτου γὰρ οἱ ἀπόστολοι ἐσοφίσθησαν, καὶ τὰ ἔθνη ἐδίδαξαν.

ZONAR. Quemadmodum corpora, dum caput ſanam vim ſuam minimè conſervat, malè moventur, aut omnino ſunt inutilia: ſic etiam corpus Eccleſiæ, ſi non, qui ei præeſt, & ordine certo munus implet capitis, in ſuo conſervetur honore, intemperanter & inconditè commovebitur. Propterea, præſens Canon Primos cujuſque provinciæ Epiſcopos, Metropolitanos videlicet Archiepiſcopos, aliorum per eam provinciam Epiſcoporum caput exiſtimari jubet; ac ſine illis agere
C nihil, quod Eccleſiæ ſtatum communem reſpiciat: cujuſmodi ſunt, Dogmaticæ quæſtiones, ſuper erratis communibus diſpoſitiones, Pontificum conſtitutiones, & quæ ſunt ejuſmodi. De iſtis autem ad eum convenientes conſultare, & quod omnibus optimum videatur determinare: unumquemque verò, prout ipſi viſum fuerit, Eccleſiæ propriæ, ſubditorúmque ſibi locorum peculiariter adminiſtrationem gerere. Sed ne primo quidem Epiſcopo concedit, ut honore abutens hunc mutet in dominium, & uni ſibi poteſtatem arroget: modóque dictorum, vel ſimilium quid agat ſine communi ſuorum Conſacerdotum ſententia. Vult enim Pontifices conſentire, charitatiſque vinculo colligari: & ex-
D. emplum eſſe Clero ſibi ſubjecto, populóque, dilectionis, & concordiæ. Ut ſic Deus glorificetur ſecundum evangelicam doctrinam dicentem, Luceat lux veſtra coram hominibus, ut opera veſtra bona videant, & glorificent patrem veſtrum, qui in cœlis eſt. Glorificabitur verò Deus per Dominum, quum ſuum nomen ille manifeſtat hominibus, legéque latâ præcipit charitatem. Sed, & glorificabitur in Sancto Spiritu: Nam per hunc Apoſtoli ſapienter edocti fuerunt, & gentes docuerunt.

E

ΑΡΙΣΤ. Δίχα τοῦ πρώτου αὐτῶν ποιοῦσιν οὐδὲν οἱ Ἐπίσκοποι εἰ μὴ τὰ τῆς παροικίας αὐτοῦ ἕκαστος· καὶ ὁ πρῶτος ἄτερ ἐκείνων οὐδὲν, διὰ τὴν ὀφειλομένην ὁμόνοιαν.

ARIST. *Abſque Primate ſuo nihil agunt Epiſcopi, niſi quiſque ea quæ ſunt ſuæ parœciæ. Sed nec Primus aliquid agit ſine illis, propter debitam concordiam.*

Οὔτε οἱ Ἐπίσκοποι οὔτε οἱ μητροπολῖται παρὰ γνώμην τοῦ αὐτῶν πρώτου ὀφείλουσί τι περιττὸν πράττειν, οἷον Ἐπισκόπους ψηφίζεσθαι, περὶ δογμάτων νέων ζητεῖν, ἢ ἐκποιήσεις ἐκκλησιαστικῶν τινων ποιεῖσθαι, εἰ μὴ τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτοῦ χώραις· ἀλλ' οὐδὲ ὁ πρῶτος ἄνευ γνώμης αὐτῶν δύναταί τι τοιοῦτον ποιεῖν· οὕτω δὲ ὁ τῆς ὁμονοίας ὅρος τηρηθήσεται.

Nec Epiſcopi nec Metropolitæ ſine ſententia Primatis ſui debent aliquid magni momenti facere, ut Epiſcopos eligere, in nova dogmata quærere, vel alienationes Eccleſiaſticorum ullorum facere, ſed tantum ea quæ ſpectant ad cujuſque parœciam, & ad
F loca ſibi ſubjecta. Sed nec Primus abſque eorum ſententiâ poteſt aliquid ejuſmodi facere. Sic enim concordiæ terminus conſervabitur.

Canon XXXV.

Epiſcopus ne audeat extra ſuos fines facere ordinationes in urbibus & pagis ſibi non ſubjectis: ſin autem hoc feciſſe convictus fuerit, præter eorum ſententiam qui tenent urbes illas vel pagos deponatur & ipſe, & ii quos ordinavit.

Bals. Extra diœceſin prohibitum eſt ordinare: & eum qui ejuſmodi quicquam fecerit, præter voluntatem Epiſcopi illius regionis, Canon deponit una cum eo qui ordinatur. Hoc autem fiet etiam in Primates, qui in ſuorum Epiſcoporum diœceſi celebraverint præter eorum ſententiam. Lege etiam Antioch. Syn. Can. xiii. & xxii. & ii. Syn. Can. ii. Et hæc quidem de ordinationibus, reliquiſque ſacris actibus, qui intra ſacrarium fiunt. Si quis autem extra diœceſin characterem dederit, vel aliquid aliud fecerit quod non ſit ex iis quæ ſint intra Sacrum tribunal, aliquo alio modo prout Synodo videbitur, eum puniendum dicunt nonnulli. Quære etiam xvi. Canon. Sanctorum Apoſtolorum.

Zonar. Et hic etiam Canon poſitus eſt ad unionis, ordiniſque boni conſervationem. Et nullum permittit ad alterius diœceſin abeuntem creare ſacrorum miniſtros abſque ſententia & permiſſione Pontificis illius regionis. Sed nec ipſi totius provinciæ Metropolitæ licet ad alicujus eorum, qui ſub ſe ſunt, Epiſcoporum fines proficiſci, prætérque legem quid agere, quod ad Pontificis munus pertineat. Deponi námque mandat & eum, qui ſic ordinavit, ſimul & ordinatum. Synodus etiam Antiochenſis hoc ita conſtituit in xiii. & in xxii. Canone, ſimiliter & Oecumenica ſecunda Synodus in Canone ii.

Arist. *Extra proprios terminos non eſt ordinandum. Qui autem præter ſententiam eorum qui ibidem degunt, Sacros ordines ullibi peragit, ipſe pro non ordinato habeatur ſimul cum eo qui ab ipſo ordinatur.*

Non debet quiſpiam Epiſcoporum extra proprios terminos quempiam ordinare: qui autem hoc fecerit præter ſententiam Epiſcopi qui loco præeſt, deponitur, & ipſe & is qui ab eo ordinatur.

Canon XXXVI.

Si quis ordinatus Epiſcopus non ſuſcipiat miniſterium & curam populi ſibi commiſſam, ſit ſegregatus donec eam ſuſceperit: ſimiliter & Presbyter, & Diaconus. Sin autem profectus non ſuſceptus fuerit, non ſua quidem voluntate, ſed propter populi improbitatem, ipſe maneat Epiſcopus, Clerus autem civitatis ſegregetur, quòd ejuſmodi inſolentis populi correctores non fuerint.

Bals. Nonnulli χειροτονίαν hîc pro electione acceperunt, dixerúntque ſe mirari quomodo nonnulli nunc temporis ad Eccleſias electi, recuſant. Præſtantiſſimus autem Zonaras Canonem exponens accepit χειροτονίαν pro manuum impoſitione, & etiam pro electione. Ego verò rectè habere animadverti, ſi χειροτονία hoc in loco accipiatur pro impoſitione manuum. Meminit enim Presbyterorum & Diaconorum, qui ex more qui olim ſervabatur, mittebantur in alias regiones; ut docerent populum. Diaconos autem ordinari quidem, id eſt, characterem accepiſſe, didicimus: eligi autem non audivimus, ſicut eliguntur Epiſcopi, & olim etiam Sacerdotes, ut dicit Canon xiiii. Syn. Laodicenæ. Decernit itaque præſens Canon; ſi quis Epiſcopus, vel Presbyter vel Diaconus, ad docendum pertinentem manuum impoſitionem acceperit, & ſuum munus non impleat, ſegregetur, donec eò ire ſtatuerit quò juſſus eſt. Sin autem cum acceſſiſſet, non ſuſceptus fuerit, propter improbitatem populi regionis, Clerus

ΚΑΝΩΝ λέ.

Ἐπίσκοπον μὴ τολμᾷν ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι, εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτός, καὶ οὓς ἐχειροτόνησεν.

ΒΑΛΣ. Παρ' ἐνορίαν χειροτονεῖν κεκωλυμένον ἐστί. καὶ τὸν τοιοῦτόν τι ποιοῦντα, παρὰ γνώμην τοῦ ἐγχωρίου Ἐπισκόπου, καθαιρεῖ ὁ κανὼν σὺν τῷ χειροτονουμένῳ· τοῦτο δὲ ἔσται καὶ εἰς τοὺς πρώτους λειτουργήσαντας εἰς ἐνορίαν Ἐπισκόπων αὐτῶν παρὰ γνώμην τούτων. καὶ ἀνάγνωθι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιγ'. καὶ κβ'. καὶ τῆς β'. συνόδου κανόνα β'. καὶ ταῦτα μὲν περὶ χειροτονιῶν, καὶ λοιπῶν ἱεροπραξιῶν τῶν ἐντὸς τοῦ βήματος. εἰ δέ τις παρ' ἐνορίαν σημειωθήσεται, ἢ ἕτερόν τι διαπράξεται μὴ ὂν ἀπὸ τῶν ἐντὸς τοῦ βήματος, ἄλλως πως κατὰ τὸ δοκοῦν τῇ συνόδῳ, κολάζεσθαι τοῦτον λέγουσί τινες. ζήτει καὶ τὸν ις'. κανόνα τῶν ἁγίων ἀποστόλων.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν πρὸς τὴν συντήρησιν τῆς ὁμονοίας, καὶ τῆς εὐταξίας ἐκτέθειται· καὶ οὐδένα παραχωρεῖ εἰς ἑτέρου ἐνορίαν ἀπιόντα χειροτονεῖν ἄνευ γνώμης καὶ παραχωρήσεως τοῦ τῆς χώρας ἐκείνης ἀρχιερέως. οὐδὲ γὰρ αὐτῷ τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν Ἐπισκόπων ἀπιέναι, καὶ τελεῖν ἀρχιερατικόν τι προνόμιον. καθαιρεῖσθαι γὰρ προστάττει τὸν οὕτω χειροτονήσαντα, καὶ αὐτὸν τὸν κεχειροτονημένον. καὶ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος τοῦτο οὕτως διετάξατο ἐν ιγ'. κανόνι, καὶ ἐν κβ'. καὶ ἡ δευτέρα οἰκουμενικὴ σύνοδος ἐν δευτέρῳ κανόνι.

ΑΡΙΣΤ. Μὴ χειροτονεῖν ὑπερόρια· ὁ δὲ παρὰ γνώμης τῶν ἐγχωρίων ἐπιτελῶν, μετὰ τοῦ τελουμένου ἀτέλεστος.

Οὐκ ὀφείλει τις τῶν Ἐπισκόπων ἔξωθεν τῶν ἰδίων ὅρων χειροτονεῖν τινα. ὁ δὲ τοῦτο ποιῶν παρὰ γνώμην τοῦ κατὰ χώραν Ἐπισκόπου καθαιρεῖται, καὶ αὐτὸς καὶ ὁ ὑπ' αὐτοῦ χειροτονηθείς.

ΚΑΝΩΝ λϛ'.

Εἴ τις χειροτονηθεὶς Ἐπίσκοπος, μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος καὶ διάκονος. εἰ δὲ ἀπελθὼν, μὴ δεχθῇ, οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς μενέτω Ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

ΒΑΛΣ. Τινὲς ὧδε τὴν χειροτονίαν ἀντὶ ψήφου ἐδέξαντο. καὶ εἶπον θαυμάζειν πῶς παραιτοῦνται σήμερον οἱ ψηφισθέντες εἰς ἐκκλησίας. ὁ δὲ ὑπερφυὴς Ζωναρᾶς ἑρμηνεύων τὸν κανόνα, ἐξελάβετο τὴν χειροτονίαν καὶ εἰς χειροθεσίαν, καὶ εἰς ψῆφον. ἐμοὶ δὲ ἐξ ὀρθοῦ κατενοήθη χειροτονίαν ἐνταῦθα εἰπεῖν τὸν κανόνα, τὴν χειροθεσίαν. μέμνηται γὰρ πρεσβυτέρων καὶ διακόνων ἀποστελλομένων κατὰ τὸ πάλαι κρατοῦν, εἰς ἑτέρας χώρας, χάριν τοῦ διδάσκειν τὸν λαόν. διακόνους δὲ χειροτονεῖσθαι μὲν, τοῦτ' ἔστι σφραγίζεσθαι, ἐμάθομεν. ψηφίζεσθαι δὲ οὐκ ἠκηκόαμεν, ὥσπερ ψηφίζονται οἱ Ἐπίσκοποι· καὶ κατὰ τὸ παλαιὸν καὶ ἱερεῖς, καθὼς φησιν ὁ ιγ'. κανὼν, τῆς ἐν Λαοδικείᾳ συνόδου. διορίζεται γοῦν ὁ παρὼν κανὼν, εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος χειροθεσίαν δέξηται διδασκαλικὴν καὶ οὐκ ἀποπληροῖ τὴν διακονίαν αὐτοῦ, ἀφοριζέσθω μέχρις ἂν καταδέξηται ἀπελθεῖν ἔνθα ὡρίσθη. εἰ δὲ καὶ ἀπελθὼν μὴ παραδεχθῇ ἀπὸ μοχθηρίας τοῦ κατὰ χώραν λαοῦ, ὁ κλῆρος μὲν, καὶ μὴ γενόμενος αἴτιος τοῦ κακοῦ, ἀφορισθήσεται, ὡς μὴ παιδεύων τὸν ἄτακτον λαόν. ὁ δὲ Επίσκοπος ἔχει τὴν οἰκείαν ἐπιτιμίαν. σημείωσαι οὖν πῶς τιμωρεῖται ὁ κλῆρος διὰ τὴν ἀπαιδευσίαν τῶν κοινολαϊτῶν· καὶ ἀνάγνωθι τῆς ἐν Αγκύρᾳ Συνόδου κανόνα ιη. τῆς ἐν Αντιοχείᾳ κανόνα ιζ. ιη. τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου, τῆς πρώτης καὶ δευτέρας Συνόδου τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανόνα ιϛʹ. τῆς ζ. Συνόδου κανόνα βʹ. καὶ τῆς ἐν Χαλκηδόνι κανόνα κθʹ.

ΖΩΝΑΡ. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, φησὶν ὁ θεῖος ἀπόστολος· τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διατάττεται· τὸν γὰρ εἰς προστασίαν λαοῦ καλούμενον μὴ ἀντιτείνειν διακελεύεται, ἀλλὰ καταδέχεσθαι τὸ θεῖον λειτούργημα, καὶ τὴν τοῦ λαοῦ προστασίαν, ἢ ἀντιλέγοντα, καὶ μὴ ἀπιόντα, ἀφωρισμένον εἶναι· τὰ αὐτὰ δὲ καὶ περὶ πρεσβυτέρων, καὶ διακόνων. εἰ δὲ ὁ μὲν Επίσκοπος ἀπῆλθεν εἰς τὴν λαχοῦσαν αὐτὸν, ὁ δὲ τῆς παροικίας ἐκείνης λαὸς οὐκ ἐδέξατο αὐτὸν δι' οἰκείαν ἀνυποταξίαν, καὶ ἀναίδειαν, ἀλλ' οὐ διά τινα αἰτίαν τοῦ Επισκόπου ἐπίψογον, ὁ μὲν Επίσκοπος μενεῖ ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, τῆς ἀξίας δηλαδὴ, ὁ δὲ κλῆρος τῆς παροικίας ἐκείνης ἀφορισθήσεται, ὅτι τὸν ἀνυπότακτον λαὸν ἐκεῖνον οὐκ ἐπαίδευσεν. ὅρα τοίνυν, οἵους ὁ κανὼν βούλεται εἶναι τοὺς κληρικοὺς, οὐ πεπαιδευμένους μόνον, ἀλλὰ καὶ διδακτικοὺς, καὶ ἄλλους δυναμένους παιδεύειν, καὶ σωφρονίζειν· ἀνάγνωθι τῆς ἐν Αντιοχείᾳ Συνόδου κανόνα ιζ. καὶ. ιη. καὶ τῆς ἐν Αγκύρᾳ ιη.

ΑΡΙΣΤ. Ὁ νεοπρόβλητος εἰ δυσανακτεῖ πρὸς τὸ ἐγχείρημα, ἀφορίζεται μέχρις ἂν καταδέξηται. εἰ δὲ παρὰ τοῦ λαοῦ μὴ δεχθείη, ὁ κλῆρος ἀφορίζεται, ὅτι μὴ τὸν ὄχλον πεπαίδευκεν, ὁ δὲ ἐστὶν Επίσκοπος.

Ὁ νεωστὶ χειροτονηθεὶς Επίσκοπος, εἰ οὐ πείθεται ἀναδέξασθαι τὴν ἐγχειρισθεῖσαν αὐτῷ φροντίδα τοῦ λαοῦ, ἀφωρισμένος ἔστω, ἕως ἂν καταδέξηται. εἰ δὲ ἀπελθὼν παρὰ τοῦ λαοῦ οὐ δεχθῇ, οὐ διὰ πταῖσμα οἰκεῖον, ἀλλὰ διὰ τὴν ἐκείνων μοχθηρίαν, μενέτω μὲν Επίσκοπος, ὁ δὲ κλῆρος ἀφοριζέσθω, ὡς μὴ παιδεύσας τὸν ἀνυπότακτον λαόν.

ΚΑΝΩΝ λζʹ.

Δεύτερον τοῦ ἔτους Σύνοδος γινέσθω τῶν Επισκόπων, καὶ ἀνακρινέτωσαν ἀλλήλως τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν· ἅπαξ μὲν, τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς· δεύτερον δὲ, ὑπερβερεταίου δωδεκάτῃ.

ΒΑΛΣ. Διὰ τὰ παρεμπίπτοντα κατὰ χώρας ἐκκλησιαστικὰ ζητήματα, ἀναγκαῖον ἐλογίσθη τοὺς Επισκόπους ἑκάστης ἐνορίας Συνέρχεσθαι τῷ πρώτῳ αὐτῶν, ἐφ' ᾧ λύεσθαι τὰ ἀμφίβολα· καὶ ὁ μὲν παρὼν κανὼν, καὶ ὁ καʹ. τῆς ἐν Αντιοχείᾳ Συνόδου, καὶ ὁ ε. τῆς ἐν Νικαίᾳ δὶς τοῦ ἔτους λέγουσι γίνεσθαι τὰς Συνόδους τῶν Επισκόπων. ἡ δὲ ϛʹ. Σύνοδος, καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἔτους ἐθέσπισαν Συνέρχεσθαι τοὺς Επισκόπους· ὡσαύτως καὶ τὸ κʹ. καὶ τὸ καʹ. κεφ. τοῦ αʹ. τίτλου τοῦ τρίτου βιβλίου τῶν βασιλικῶν νεαρὰ ὄντα Ιουστινιανείου, ἅπαξ τοῦ ἔτους φασὶ τὰς Συνόδους γίνεσθαι· ὑπερβερεταῖος δὲ ὁ Οκτώβριός ἐστι μήν. ζήτει καὶ τοῦ παρόντος Συντάγματος τίτλου ηʹ. κεφ. ηʹ.

ΖΩΝΑΡ. Διὰ τὰς ἐμπιπτούσας περὶ δογμάτων ἀμφιβολίας, καὶ ἐκκλησιαστικὰς ἑτέρας αἰτίας, καὶ τοὺς παρὰ τῶν Επισκόπων ἀφορισμοῖς ὑποβαλλομένους, εἰ αἰτιῶνται τοὺς ἀφορίσαντας, ἀναγκαῖον ἐκρίθη τοῖς ἱεροῖς ἀποστόλοις, τοὺς ἑκάστης ἐπαρχίας Επισκόπους, Συνέρχεσθαι ἐπὶ τὸ αὐτὸ δὶς τοῦ ἐνιαυτοῦ, καὶ κοινοῦσθαι ἀλλήλοις τὰς γινομένας ἀμφιβολίας, καὶ λύειν ταύτας· καιροὺς δὲ τῶν ἐτησίων Συνόδων τούτων

A quidem, licet non fuerit auctor mali, ſegregabitur, ut qui inſolentem populum non erudiat. Epiſcopus autem ſtatum ſuum integrum habet. Nota ergo quomodo Clerus punitur propter populi inſolentiam. Et lege Ancyr. Syn. Can. xviii. Antioch. Can. xvii. & xviii. epiſtolam Sancti Cyrilli ad Domnum: primæ & ſecundæ Syn. quæ habita eſt in templo ſanctorum Apoſtolorum Can. xvi. ſeptimæ Synod. Canon. ii. & Chalcedon. Can. xxix.

Zonar. Parete iis, qui præſunt vobis, & ſubjecti eſtote, divinus ait Apoſtolus. Hoc etiam præſens Canon B inſtituit. Illum enim qui vocatur ad populi regimen non reluctari, ſed munus hoc divinum, populique præſidentiam recipere mandat; contradicentem vero & non abeuntem excommunicatum eſſe. de Presbyteris etiam, atque Diaconis eadem. Si vero ſe contulerit Epiſcopus in eam civitatem, quæ ſorte ſibi contigit, illius autem parœciæ populus eum non excepit, non ob aliquam Epiſcopi vituperabilem cauſam, ſed propter ipſius populi, qui ſubjici non vult, inobedientiam, & impudentiam: in proprio quidem manebit Epiſcopus honore, dignitate videlicet: illius vero parœciæ Clerus ab Eccleſiæ communione ſegregabitur, quod inobſequentem C illum populum non docuerit. Ipſe videas igitur, quales Canon vult eſſe Clericos: non ſolum doctos, verumetiam aptos natos ad docendum, qui poſſint, alios docere, modeſtoſque reddere. Lege Synodi Antiochenſis Canonem xvii. & xviii. & Ancyranæ xviii.

Arist. *Qui recens deſignatur, ſi gravetur munus ei demandatum ſegregatur, donec ſuſceperit: ſi autem à populo non receptus fuerit, ſegregatur Clerus quod plebem non docuit. Hic autem manet Epiſcopus.*

Epiſcopus recenter ordinatus, ſi non perſuadeatur D ſuſcipere curam populi ſibi commiſſam, ſegregetur donec ſuſceperit. Si abiens autem, à populo non receptus fuerit, non propter ſuum delictum, ſed propter iſtorum improbitatem, ipſe quidem manet Epiſcopus, Clerus autem ſegregatur, utpote qui immorigerum populum non docuit.

Canon XXXVII.

Bis in anno fiat Epiſcoporum Synodus, & inter ſe examinent decreta religionis, & incidentes eccleſiaſticas controverſias dirimant: ſemel quidem quarta hebdomade Pentecoſtes: iterum autem Hyperberetæi duodecimo. E

Bals. Propter eccleſiaſticas, quæ in regionibus incidunt quæſtiones, neceſſarium viſum eſt Epiſcopos uniuſcujuſque provinciæ, cum ipſorum Primate convenire, ut quæ ſunt dubia ſolvantur. Et præſens quidem Canon, & xxi. Antioch. Syn. & v. Nicenæ, bis in anno jubent fieri Epiſcoporum Synodos: ſexta vero Synodus, & Nicena ſecunda Synodus ſemel in anno Epiſcopos convenire decrevêrunt. Similiter & xx. & xxi. cap. primi tit. iii. lib. Baſilic. quæ eſt Juſtiniani Novella, dicit Synodos debere fieri ſemel in anno; Hyperberetæus autem F eſt menſis October. Quære & præſentis operis tit. viii. cap. viii.

Zonar. Ob incidentes de dogmatis controverſias, & alias Eccleſiaſticas cauſas, propter illos etiam, qui ſunt ab Epiſcopis excommunicationi ſubjecti, ſi ſuos excommunicatores accuſent, à ſacris Apoſtolis judicatum eſt neceſſarium, ut uniuſcujuſq; provinciæ convenirent Epiſcopi ſimul, bis in anno: & invicem communicarent, quæ oborirentur controverſias, illaſque dirimerent. Iſtarum vero duarum Synod. anniverſariarum tempora, præſens quidem Canon, & Antiochenſis Synodi Canon xxi. quartam hebdomadem poſt Paſcha definiunt, & Autumni tempus, hoc eſt, Octobrem, qui dicitur Hyperberetæus. Primæ vero Nicænæ Synodi Canon v. unam fieri præcipit ante Quadrageſimam, & reliquam circa tempus Autumni. Quare viſum in deſcriptione Canonum pro Quinquageſima per oblivionem tranſcriptum fuiſſe, Quadrageſimam. Sed ea cauſa, quam Nicænus Canon adducit, neminem patitur hoc arbitrari, dicens, Una quidem ante Quadrageſimam, ut omni ſublata ſimultate, donum ſanctè offeratur Deo. De temporibus igitur ſic diſſentiunt. Duos attamen locales conventus unoquoque anno fieri conſtituunt. Oecumenica verò ſexta Synodus, & ſecunda Nicæna ſemel in anno Epiſcopos congregari ſanciunt, ob viæ tum moleſtias tum ſumptus. Nunc autem harum Synodorum magnus eſt ubique contemptus.

Arist. *Bis ſingulis annis conveniant Epiſcopi, propter negotia, & dogmata: primò quidem quarta pentecoſtes hebdomade, ſecundò vero Octobris Duodecimo.*

Hic Canon nunc contrahitur. Octavus enim Canon ſextæ Synodi & ſextus Synodi Nicænæ ſecundæ, ſemel in anno Synodos Epiſcoporum in quàque provinciâ fieri præcipiunt, inter Paſcha & menſem Octobrem.

Canon XXXVIII.

Omnium rerum eccleſiaſticarum Epiſcopus curam gerat, & eas adminiſtret tanquam Deo intuente. Ne liceat autem ex eis aliquid ſibi vendicare, vel propriis cognatis, quæ Dei ſunt largiri. Si autem ſint pauperes, ut pauperibus ſuppeditet, ſed non eorum prætextu vendat quæ ſunt Eccleſiæ.

Bals. Eos quibus à gratiâ Sancti Spiritus credita eſt animarum adminiſtratio, abſurdum viſum eſt reddere rationem rerum Epiſcopatus; ſed tanquam intuente, inquit, Deo ea adminiſtrent, prout eis viſum fuerit. Cum autem dicat quiſpiam, Si hoc datum fuerit, vendet Epiſcopus ea quæ ſunt Eccleſiæ, & ea ſuis cognatis elargiendo diſſipabit: ſubjungit Canon, non licere Epiſcopo ea ad gratiam dare ſuis cognatis, vel vendere. Ex reditibus autem Eccleſiæ poſſe eum quæ ſunt utilia & neceſſaria auferre, & cognatis ſuis, ſi ſint pauperes, quæ ſunt ad vitam neceſſaria ſuppeditare viſum eſt. Juſtiniani autem Novella cxx. ſeu thema tertium cap. 15. ſecundi tituli v. libri Baſilic. hæc dicit præciſè: Oeconomis autem, & adminiſtratoribus, & chartulariis ſacroſanctorum domorum ubicunq; ſunt, & eorum parentibus, & filiis, & aliis vel genere vel affinitatis jure conjunctis, locationes, vel emphyteuſes, vel emptiones, vel hypothecas rerum immobilium, quæ ad eas ſacraſanctas domos pertinent, ſubire, vel per ſe vel per interpoſitam perſonam, ſicut & iis qui ſunt in Imperiali civitate, eiſdem pœnis prohibemus. Si vis autem ſcire quæ ſunt pœnæ, quære v. thema ejuſdem tit. & libri, quod ea perſequitur, & ſic apertè infert: Scientibus ipſis quod ſi tale quid factum fuerit, hoc quoque erit irritum, & omnes eorum facultates, & eorum qui accipiunt, & œconomorum, & chartulariorum, & adminiſtratorum, quibus dicto modo conjunguntur, ad ſacroſanctam domum, ex qua rem accipiunt, poſt eorum mortem redire jubemus. Colligens ergo dic quod ex Canone & ex Novella non ſolum ad gratiam, ſed nec ullo alio modo licet Epiſcopo, vel œconomo, vel ulli ex prius enumeratis in cognatos ſuos transferre Eccleſiarum vel ſacroſanctarum domorum immobilia.

τῶν διττῶν, ὁ παρὼν κανὼν, καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κα΄. κανὼν τὴν τετάρτην ἑβδομάδα τὴν μετὰ τὸ πάσχα ὁρίζουσι, καὶ τὸν τοῦ μετοπώρου καιρὸν, ἤγουν, τὸν ὀκτώβριον. οὗτος γὰρ ὁ ὑπερβερεταῖος. ὁ δὲ τῆς ἐν Νικαίᾳ Συνόδου τῆς πρώτης πέμπτος κανὼν, πρὸ τῆς τεσσαρακοστῆς τὴν μίαν γίνεσθαι διατάττεται· τὴν δὲ λοιπὴν, περὶ τὸν τοῦ μετοπώρου καιρόν· ἔδοξεν οὖν μοι ἐν ταῖς μεταγραφαῖς τῶν κανόνων, ἀντὶ τῆς πεντηκοστῆς κατὰ λήθην γραφῆναι τεσσαρακοστήν. ἀλλὰ τοῦτο οὐκ ἐᾷ λογίσασθαί τινα ἡ αἰτία ἣν ἐπάγει ὁ τῆς ἐν Νικαίᾳ Συνόδου κανὼν λέγων, ἡ μὲν μία πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καλῶς προσφέρηται τῷ θεῷ. περὶ μὲν οὖν τῶν καιρῶν οὕτω διαφέρονται· δύο δὲ συνελεύσεις ἑκάστῳ ἐνιαυτῷ διατυποῦσι γίνεσθαι τοπικάς· ἡ δὲ οἰκουμενικὴ ἕκτη Σύνοδος, καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς Ἐπισκόπους διατάττονται, διά τε τὴν συντριβὴν, καὶ τὰ τῆς ὁδοῦ ἀναλώματα. νῦν δὲ πάντη, τὸ τῶν Συνόδων τούτων καταπεφρόνηται.

ΑΡΙΣΤ. Δὶς κατ' ἔτος οἱ Ἐπίσκοποι συνίτωσαν διὰ τὰ πράγματα καὶ τὰ δόγματα. πρῶτα μὲν τῇ τετάρτῃ τῆς πεντηκοστῆς ἑβδομάδος· τῇ δὲ ὑπερβερεταίου δωδεκάτῃ τὸ δεύτερον.

Οὗτος ὁ κανὼν συνεστάλη· Ὁ γὰρ ὄγδοος κανὼν τῆς ἕκτης Συνόδου, καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ διαγορεύουσι τὰς Συνόδους τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ Ἐπισκόπων γίνεσθαι, ἀναμεταξὺ τοῦ πάσχα, καὶ τοῦ ὀκτωμβρίου μηνός.

ΚΑΝΩΝ λη΄.

Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ Ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς τοῦ θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.

ΒΑΛΣ. Τοὺς ἀπὸ τῆς χάριτος τοῦ παναγίου πνεύματος ἐμπιστευθέντας τὴν τῶν ψυχῶν οἰκονομίαν, ἄτοπον ἐλογίσθη λογοπραγεῖσθαι χάριν τῶν πραγμάτων τῆς Ἐπισκοπῆς, ἀλλ' ὡς ἐφορῶντος τοῦ θεοῦ διοικείτωσαν φησὶ ταῦτα, κατὰ τὸ δόξαν αὐτοῖς. ὡς τινος δὲ εἰπόντος ὡς εἰ δοθείη τοῦτο, ἀπεμπολήσει ὁ Ἐπίσκοπος τὰ τῆς ἐκκλησίας, καὶ διασκορπίσει αὐτὰ πρὸς τοὺς οἰκείους συγγενεῖς, ἐπάγει ὁ κανὼν, μὴ ἔχειν ἐπ' ἀδείας τὸν Ἐπίσκοπον διδόναι ταῦτα κατὰ χάριν πρὸς τοὺς συγγενεῖς τούτου, ἢ πιπράσκειν· ἐκ δὲ τῶν προσόδων τῆς ἐκκλησίας ἀποφέρεσθαι τοῦτον τὰ χρειώδη καὶ ἀναγκαῖα, καὶ τοῖς συγγενέσιν ἐνδεέσιν οὖσι, τὰ πρὸς ζωάρκειαν χορηγεῖν δέδοκται. ἡ μέντοι ρκ΄. Ἰουστινιάνειος νεαρὰ, ἤτοι θέμα γ΄. τοῦ ιε΄. κεφ. τοῦ β΄. τίτλου τοῦ ε΄. βιβλίου τῶν βασιλικῶν φησι ταῦτα ῥητῶς. τοῖς δὲ οἰκονόμοις καὶ διοικηταῖς καὶ χαρτουλαρίοις τῶν ὁπουδήποτε ὄντων εὐαγῶν οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσι τε, καὶ παισὶ, καὶ τοῖς ἄλλοις, ἢ κατὰ γένος, ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις, μισθώσεις ἢ ἐμφυτεύσεις ἢ ἀγορασίας ἢ ὑποθήκας πραγμάτων ἀκινήτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ὑπεισιέναι, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτου προσώπου, καθὰ καὶ τοῖς ἐν τῇ βασιλίδι τῶν πόλεων οὖσιν ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν. εἰ δὲ θέλεις μαθεῖν ποῖαί εἰσιν αἱ ποιναὶ, ζήτει τὸ ε΄. θέμα τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, τὰ αὐτὰ διεξιὸν, καὶ ἐπάγον οὕτως ῥητῶς· γινωσκόντων αὐτῶν ὡς εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ πᾶσαν τὴν περιουσίαν αὐτῶν τε καὶ τῶν λαμβανόντων καὶ τῶν οἰκονόμων καὶ χαρτουλαρίων καὶ διοικητῶν, οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, μετὰ τὴν αὐτῶν τελευτὴν περιελθεῖν κελεύομεν. Συναγαγὼν οὖν εἰπὲ, ὅτι ἐκ τοῦ κανόνος καὶ τῆς νεαρᾶς, οὐ μόνον κατὰ χάριν, ἀλλ' οὐδὲ καθ' ἕτερον τρόπον ἔχει ἐπ' ἀδείας Ἐπίσκοπος ἢ οἰκονόμος ἢ ἕτερος ἐκ τῶν ἀπηριθμημένων ἄνωθεν πρὸς συγγενεῖς οἰκείους μεταφέρειν τὰ τῶν ἐκκλησιῶν ἢ τῶν εὐαγῶν οἴκων ἀκίνητα.

ΖΩΝΑΡ.

ΖΩΝΑΓ. Τοὺς Ἐπισκόπους μὴ λογοποιεῖσθαι ἐπὶ τῇ διοικήσει τῶν τῆς ἐκκλησίας πραγμάτων ὁ κανὼν διορίζεται. ἄτοπον γὰρ τοὺς τὴν τῶν ψυχῶν οἰκονομίαν ἐμπεπιστευμένους διαπιστεῖσθαι ἐπὶ διοικήσει χρημάτων. διὰ δὲ τὴν δεδομένην αὐτοῖς ἐξουσίαν ἐπάγει, τὸ μὴ δύνασθαί τι τῶν τῆς ἐκκλησίας ἐξιδιοῦσθαι (τοῦτο γὰρ τὸ σφετερίζεσθαι) μηδὲ καταχρᾶσθαι τοῖς πτωχικοῖς ὡς ἰδίοις, ἢ συγγενέσι ταῦτα πρὸς χάριν διδόναι. εἰ δὲ πενομένους ἔχοιεν συγγενεῖς, ἐπιτρέπονται καὶ τούτοις, ὡς ἐνδεέσι, τὰ ἀναγκαῖα παρέχειν. χάριν δὲ τῆς πρὸς τοὺς πενομένους μεταδόσεως, τὰ τῶν ἐκκλησιῶν πιπράσκειν κωλύονται. τὰ γὰρ τῷ θεῷ ἀφορισθέντα ἐκποιεῖσθαι οὐ χρή, ἐκ δὲ τῶν προσόδων τὰς διαδόσεις ποιεῖν.

ΑΡΙΣΤ. Διοικείτω μετὰ κυρείας τὰ τῆς ἐκκλησίας ὁ Ἐπίσκοπος πράγματα, μή τι τούτων συγγενεῖ εἰ μὴ ὡς πένητι χαριζόμενος.

Οὐκ ὀφείλει ὁ Ἐπίσκοπος ἀνακρίνεσθαι ἐπὶ τῇ διοικήσει τῶν τῆς ἐκκλησίας πραγμάτων, ἔξεστι γὰρ αὐτῷ μετ᾽ ἐξουσίας ταῦτα διοικεῖν, τοῖς μέντοι γε συγγενέσιν αὐτοῦ πενομένοις μεταδιδόναι τῶν ἀναγκαίων.

ΚΑΝΩΝ λθʹ.

Οἱ πρεσβύτεροι καὶ διάκονοι, ἄνευ γνώμης τοῦ Ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν. αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ κυρίου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

ΒΑΛΣ. Τὸ μηδὲν ἐπιτελεῖν τοὺς πρεσβυτέρους καὶ διακόνους ἄνευ γνώμης τοῦ Ἐπισκόπου, μὴ εἴπῃς καθολικὸν εἶναι, ἀλλ᾽ εἰπὲ μὴ ἔχειν ἐπ᾽ ἀδείας τούτους ποιεῖν τὸ ὁτιοῦν ἀνῆκον τῷ Ἐπισκόπῳ χωρὶς γνώμης αὐτοῦ, οἷον τὸ ἐκδιδόναι ἀκίνητα τῆς ἐκκλησίας, τὸ εἰσοδιάζειν τὰ περὶ αὐτήν, τὸ ἐπιτιμᾶν, καὶ ἕτερα τοιαῦτα. ἡ γὰρ διοίκησις, φησὶν ὁ κανών, τῶν Ἐπισκοπικῶν πραγμάτων, καὶ αἱ ψυχαὶ τοῦ λαοῦ, τῷ Ἐπισκόπῳ ἐπιστεύθησαν. ἀνάγνωθι τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον κανόνα ιβʹ.

ΖΩΝΑΡ. Τοῖς πρεσβυτέροις, καὶ διακόνοις ὑπὸ τοὺς κατὰ χώραν τελοῦσιν Ἐπισκόπους ἀφ᾽ ἑαυτῶν τι πράττειν οὐκ ἐκκεχώρηται· οἷον ἐπιτιμᾶν, καὶ ἀφορίζειν οὓς βούλονται· καὶ ὁπηνίκα ἢ λύειν ἀφορισμόν, ἢ μειοῦν, ἢ ἐπιτείνειν. ταῦτα γὰρ τῆς ἀρχιερατικῆς εἰσιν ἐξουσίας. καὶ εἰ μὴ παρὰ τοῦ Ἐπισκόπου τὸ ἐνδόσιμον λάβοιειν, τοιοῦτόν τι ποιεῖν οὐκ ἐφεῖται αὐτοῖς. περὶ τούτου ἀναγνωστέον κανόνα μγʹ. τῆς ἐν Καρθαγένῃ συνόδου.

ΑΡΙΣΤ. Ἄτερ Ἐπισκόπου ποιεῖ πρεσβύτερος οὐδὲν καὶ διάκονος, καὶ γὰρ οὗτος πεπίστευται τὸν λαόν.

Οὐκ ἔξεστι πρεσβύτερον ἢ διάκονον ἄνευ γνώμης τοῦ ἰδίου Ἐπισκόπου, ἢ τὸν λαὸν ἀφορίζειν, ἢ αὔξειν ἢ μειοῦν ἐπιτίμια, ἢ ἕτερόν τι τοιοῦτον ποιεῖν, ὡς τοῦ Ἐπισκόπου τὸν λαὸν ἐμπεπιστευμένου, καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησομένου.

ΚΑΝΩΝ μʹ.

Ἔστω φανερὰ τὰ ἴδια τοῦ Ἐπισκόπου πράγματα (εἴ τε ἴδια ἔχει) καὶ φανερὰ τὰ κυριακά. ἵν᾽ ἐξουσίαν ἔχῃ τὰ ἴδια τελευτῶν ὁ Ἐπίσκοπος, οἷς βούλεται καὶ ὡς βούλεται καταλεῖψαι καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ Ἐπισκόπου, ἔσθ᾽ ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς ἢ οἰκέτας. δίκαιον γὰρ παρὰ θεῷ καὶ ἀνθρώποις, τὸ μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ Ἐπισκόπου πραγμάτων, μήτε τὸν Ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίαις περιβάλλεσθαι.

ΒΑΛΣ. Οἱ θεῖοι ἀπόστολοι μηδὲν τοῦ δικαίου προτιμώμενοι, διωρίσαντο κεχωρισμένα εἶναι καὶ ἀνεπίκοινα, τὰ ἰ-

δικῶς

A **Zonar.** Ab Epiſcopis ſuper Eccleſiaſticarum rerum adminiſtratione rationes exigi non debere, Canon determinat. Abſurdum námque eſt iis pecuniarum diſpenſationem non credere, quibus animarum credita cura eſt. Cæterùm, propter hanc ipſis conceſſam poteſtatem, ſubdit illud: Non poſſe quid eorum, quæ ſunt Eccleſiæ, proprium ſibi vendicare (Hoc enim verbum σφετερίζεσθαι ſignificat) nec pauperum rebus abuti, tanquam propriis: aut illas in gratiam largiri cognatis. Sin verò pauperes habeant conſanguineos, his, velut indigentibus, neceſſaria ſuppeditare permittuntur. Atqui erogationis cauſa in pauperes, res Eccleſiæ vendere pro- B hibentur.Quia, Quæ Deo ſunt ſepoſita,non oportet alienare: ſed ex reditibus diſtributiones facere.

Arist. *Epiſcopus cum poteſtate res Eccleſiæ adminiſtret, nihil ex iis Conſanguineo ſuo niſi aut paupere largiens.*

Non debet Epiſcopus examinari de rerum Eccleſiaſticarum adminiſtratione, licet enim ei cum poteſtate eas adminiſtrare, & conſanguineis ſuis indigentibus neceſſaria ſupeditare.

Canon XXXIX.

C *Preſbyteri & Diaconi ſine ſententia Epiſcopi nihil perficiant. ipſe enim eſt cujus fidei populus Domini eſt creditus, & à quo pro animabus eorum ratio exigetur.*

Bals. Non oportere Preſbyteros & Diaconos ſine ſententia Epiſcopi quidquam agere, ne dixeris eſſe univerſale, ſed dixeris non licere eis aliquid facere, quod ad Epiſcopum pertineat, abſque ejus ſententia, ſicut locare immobilia Eccleſiæ, reditus ejus importare, pœnas imponere, & alia ejuſmodi. Adminiſtratio enim inquit Canon, rerum Epiſcopalium, & animæ populi, D Epiſcopo creditæ ſunt. Lege Nicenæ Syn. ſecundæ Canonem xii.

Zonar. Preſbyteris & Diaconis,qui ſub Epiſcopis per ſingulas regiones dant operam ſacris, à ſeipſis quid agere non eſt conceſſum. Veluti punire & ſegregare quos volunt, ſtatimque vel ſegregationem laxare, vel minuere, vel intendere. Pontificialis enim ſunt iſta poteſtatis.Ac niſi indultum ſit iis ab Epiſcopo,tale quid facere non eſt eis permiſſum. Super hoc legere convenit Canonem xliii. Synodi Carthaginenſis.

Arist. *Sine Epiſcopo nihil faciat Preſbyter & Diaco-* E *nus etenim huic creditus eſt populus.*

Non licet Preſbytero, vel Diacono ſine ſententiâ proprii ſui Epiſcopi vel excommunicare, vel intendere vel minuere pœnas, vel aliquid tale facere, quia Epiſcopo creditus eſt populus Dei, & ab eo animarum eorum exigetur ratio.

Canon XL.

Manifeſtæ ſint Epiſcopi res propriæ (ſiquidem res habet proprias) & manifeſtæ res Dominicæ. Ut ſit in poteſtate morientis Epiſcopi,propria,quibus vult,& ut vult, F *relinquere, & non rerum eccleſiaſticarum occaſione res Epiſcopi intercidant, qui nonnunquam uxorem habet & liberos, vel cognatos vel famulos. Eſt enim juſtum apud Deum & homines, ut nec Eccleſia damnum aliquod accipiat propter rerum Epiſcopi ignorationem: nec Epiſcopus, vel ejus cognati Eccleſiæ occaſione proſcribantur, vel in negotia liteſque incidant qui ad eum attinent, & ejus mortem maledictis proſequantur.*

Bals. Divini Apoſtoli juſto nihil præferentes, definierunt ſeparata eſſe debere & non communia, ea quæ

ſunt Epiſcopi propria, & quæ pertinent ad Eccleſiam; ut ſit in Epiſcopi poteſtate quæ ſua ſunt, pro ſuo arbitrio adminiſtrare, & in vita, & in ultima diſpoſitione: & nec Eccleſia damno afficiatur, prætextu debitorum Epiſcopi, quæ emergent: nec ejus voluntas vel in vita, vel in morte intercidat. Quamobrem conſtituitur, ut niſi Epiſcopus res quæ ſuæ erant, ante electionem declaraverit, ſimiliter & quæ poſt electionem ad eum legitime devenerunt, nec ſunt eccleſiaſticæ, res omnes ejus apprehendat qui ſuccedit Epiſcopus, & univerſa pars Eccleſiæ, & ea ſibi attribuet. Omnino autem cogetur pro illius debitis reſpondere, niſi utique ejus facultatum inventarium ediderint. Tunc enim fiet, ut mihi videtur, quod dicit Lex in libro xxxv. tit. xiiii. cap. cxvii. Quære & præſentis operis tit. x. cap. v. & cap. ii.

Zonar. Epiſcopos habentes bona privata Canon palam jubet hæc edere, ne miſceantur Eccleſiaſticis, ſed ſint ea manifeſta, & quæ ad eos pertinebant ante Epiſcopatum, & ea, quæ fortaſſe poſt Epiſcopatum ipſis obvenerunt à cognatis, per hæreditatem, videlicet, aut legatum, vel alium ſimilem modum. Sua ſiquidem propria poſſunt relinquere his, quibus volunt, Orthodoxis tamen Chriſtianis: quæ verò ſunt Eccleſiarum, debent adminiſtrare cum timore Dei, pauperibúſque dare. Si enim quæ ſunt Eccleſiæ, & quæ ſunt Epiſcopi, confuſa ſint invicem, poſt ejus mortem fortè Eccleſia, vel hæredes Epiſcopi moleſtias habebunt. Nam ſi caſu debita quædam appareant Epiſcopi, creditores ad horum ſatiſfactionem trahent Eccleſiæ bona. Sin è contrario, debita inveniantur Eccleſiæ, trahentur eorum, quæ fuerunt illius, bonorum ſucceſſores, ut hæc impleant: & non ſufficientibus fortè bonis Epiſcopi, propriis illi mulctabuntur: atque ſic Epiſcopi memoria vel ab ipſis, vel à viris Eccleſiaſticis infamabitur.

Arist. *Bona Eccleſiæ, & bona Epiſcopi ſint manifeſta, ut & Epiſcopus teſtetur, & Eccleſia indemnis maneat.*

Oportet Epiſcopum cum deligitur ad Epiſcopatum, inventarium dare bonorum ſuorum, & manifeſta ea facere, ut & bonorum etiam Eccleſiæ: ut propria ſua & vivus & poſt mortem, ut ſibi placeat, diſponat, & Eccleſia retineat quæ ſua ſunt.

Canon XLI.

Jubemus Epiſcopum rerum Eccleſiæ poteſtatem habere. Si enim pretioſæ hominum animæ ſunt ei credendæ, multo magis ſunt committendæ pecuniæ, ut in ejus ſit facultate omnia adminiſtrare, & iis qui egent, per Presbyteros & Diaconos ſubminiſtrare, cum Dei timore, & omni religione; etiam (ſi ſit opus) in neceſſarium ſuum uſum accipere, & fratrum qui hoſpitio excipiuntur, ita ut ipſe nullo modo egeat. Lex enim Dei ſtatuit, ut qui altari aſſident, ex altari alantur; quandoquidem nec miles unquam ſuo viatico adverſus hoſtes progreditur.

Bals. Præſens Canon expoſitus eſt per interpretationem xxxviii. Canonis, qui eadem dicit. Hic autem adjicit debere Epiſcopum amatorem pauperum eſſe, & largitionem in pauperes debere fieri per ſuos Presbyteros & Diaconos, ſi vult ſe ſervare ab omni ſuſpicione immunem. Lege xxiiii. Can. Syn. Antioch. & epiſtolam Sancti Cyrilli ad Domnum.

A δικῶς τῷ Ἐπισκόπῳ διαφέροντα, καὶ τὰ τῇ ἐκκλησίᾳ ἀνήκοντα· ἐφ᾽ ᾧ ἔχειν ἐπ᾽ ἐξουσίας τὸν Ἐπίσκοπον τὰ οἰκεῖα οἰκονομεῖν κατὰ τὸ βουλητὸν αὐτοῦ, ἐν ζωῇ, ἢ καὶ ἐν τελευταίαις διατυπώσεσι· καὶ μήτε τὴν ἐκκλησίαν ζημιοῦσθαι προφάσει τῶν ἀναφανησομένων χρεῶν τοῦ Ἐπισκόπου, μήτε τὸ ἐπιτελεύτιον τούτου βούλημα, ἢ καὶ τὸ ἐν ζωῇ, διαπίπτειν. ὥστε ὁρίζεται ὡς εἰ μὴ ὁ Ἐπίσκοπος ποιήσει κατάδηλα τὰ οἰκεῖα πρὸ τοῦ χειροτονηθῆναι, ὡσαύτως καὶ μετὰ τὴν χειροτονίαν περιελθόντα αὐτῷ ἐξ εὐλόγου τρόπου, καὶ μὴ ὄντα ἐκκλησιαστικά, ἀνθέξεται πάντων τῶν πραγμάτων αὐτοῦ ὁ μετ᾽ αὐτὸν Ἐπίσκοπος, καὶ τὸ μέρος ἅπαν τῆς ἐκκλησίας, καὶ οἰκειωθήσεται αὐτά. B πάντως δὲ καὶ ἀναγκασθήσεται ὑπὲρ τῶν χρεῶν ἐκείνου ἀπολογεῖσθαι, εἰ μήπω ἀπογραφὴν ἐκδῶνται τῆς τούτου περιουσίας. τότε γὰρ γενήσεται, ὡς ἐμοὶ δοκεῖ, ὅ τι ὁ νόμος φησὶν ἐν βιβλίῳ λε΄. τίτλῳ ιδ΄. κεφ. ριζ΄. ζήτει καὶ τοῦ παρόντος συντάγματος τίτλον ι΄. κεφ. ε΄. καὶ κεφ. β΄.

ΖΩΝΑΡ. Τοὺς ἔχοντας τῶν Ἐπισκόπων ἰδίας περιουσίας, κελεύει ὁ κανὼν φανερὰς ταύτας ποιεῖν, ἵνα μὴ ἐπικοινῶνται τοῖς ἐκκλησιαστικοῖς· ἀλλ᾽ εἶεν φανερά, τά τε αὐτοῖς διαφέροντα, πρὸ τῆς Ἐπισκοπῆς, καὶ τὰ ἴσως περιερχόμενα αὐτοῖς μετὰ τὴν Ἐπισκοπὴν ἀπὸ συγγενῶν, κατὰ κληρονομίαν δηλαδή, ἢ λεγάτον, ἢ ἕτερον ὅμοιον τρόπον. τὰ μὲν γὰρ ἴδια C δύνανται καταλιμπάνειν οἷς βούλονται, ὀρθοδόξοις μέντοι χριστιανοῖς· τὰ δὲ τῶν ἐκκλησιῶν διοικεῖν μετὰ φόβου Θεοῦ, καὶ τοῖς πενομένοις διδόναι. εἰ γὰρ συγκεχυμένα τὰ τῆς ἐκκλησίας, καὶ τοῦ Ἐπισκόπου εἰσίν, ἴσως ἡ ἐκκλησία, ἢ οἱ τοῦ Ἐπισκόπου κληρονόμοι πράγματα ἕξουσι μετὰ θάνατον ἐκείνου. εἰ γὰρ τυχὸν χρέα τοῦ Ἐπισκόπου ἀναφανῶσι, τὰ τῆς ἐκκλησίας εἰς ἱκάνωσιν τῶν χρεῶν ἑλκύσουσιν οἱ δανεισταί. ἢ αὖθις, εἰ χρέα τῆς ἐκκλησίας εὑρεθεῖεν, ἑλκυσθήσονται οἱ τῶν ἐκείνου διάδοχοι, ταῦτα ἀποπληροῦν. καὶ μὴ ἐξαρκούντων ἴσως τῶν τοῦ Ἐπισκόπου, καὶ τὰ οἰκεῖα ἐκεῖνοι ζημιωθήσονται. καὶ οὕτως ἡ μνήμη τοῦ Ἐπισκόπου παρ᾽ ἐκείνων, ἢ τῶν τῆς ἐκκλησίας, D βλασφημηθήσεται.

ΑΡΙΣΤ. Τὰ τῆς ἐκκλησίας, καὶ τὰ τοῦ Ἐπισκόπου προκείσθω πράγματα φανερά, ἵνα καὶ ὁ Ἐπίσκοπος διατιθῆται, καὶ μένῃ ἡ ἐκκλησία ἀζήμιος.

Δεῖ τὸν Ἐπίσκοπον ἐν τῷ προχειρίζεσθαι εἰς Ἐπισκοπήν, ἀπογραφὴν ποιεῖν τῶν οἰκείων πραγμάτων, καὶ φανερὰ ταῦτα τιθέναι, ὡσαύτως καὶ τῶν τῆς ἐκκλησίας· ἵνα περὶ τῶν οἰκείων καὶ ζῶν, καὶ μετὰ θάνατον, κατὰ τὸ βουλητὸν αὐτῷ διάθηται, καὶ ἡ ἐκκλησία ἔχῃ τὰ ἑαυτῆς.

ΚΑΝΩΝ μα΄.

E Προστάσσομεν τὸν Ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων. εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε κατὰ τὴν ἑαυτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι, καὶ τοῖς δεομένοις διὰ πρεσβυτέρων καὶ διακόνων ἐπιχορηγεῖσθαι μετὰ φόβου θεοῦ, καὶ πάσης εὐλαβείας· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτὸν ὑστερεῖσθαι· ὁ γὰρ νόμος τοῦ θεοῦ διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι. ἐπείπερ οὐδὲ στρατιώτης ποτὲ ἰδίοις ὀψωνίοις ὅπλα κατὰ F πολεμίων ἐπιφέρεται.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἡρμηνεύθη διὰ τῆς ἑρμηνείας τοῦ λη΄. κανόνος, τὰ αὐτὰ λέγοντος, ἐνταῦθα δὲ προστίθησι φιλόπτωχον εἶναι τὸν ἀρχιερέα, καὶ τὴν πρὸς τοὺς πένητας διάδοσιν διὰ τῶν πρεσβυτέρων καὶ διακόνων αὐτοῦ γίνεσθαι, εἰ βούλεται ἑαυτὸν διατηρεῖσθαι ἀνώτερον πάσης ὑποψίας· ἀνάγνωθι τὸν κδ΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, καὶ τὴν πρὸς Δόμνον ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν τὴν ἐξουσίαν πᾶσαν τῶν ἐκκλησιαστικῶν πραγμάτων τῷ Ἐπισκόπῳ δίδωσι· τὴν δὲ πρὸς τοὺς πενομένους διάδοσιν διὰ πρεσβυτέρων, καὶ διακόνων κελεύει γίνεσθαι, ἵνα πάσης ὑποψίας διατηρῇ ἑαυτὸν ὁ Ἐπίσκοπος ἐκτός. δεῖ γὰρ καλὰ προνοεῖν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὥς φησι ὁ θεσπέσιος Παῦλος· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τὸν Ἐπίσκοπον τῶν τῆς ἐκκλησίας παραχωρεῖ, εἰς τὰς ἀναγκαίας, μέντοι, χρείας· οὐ μὴν εἰς περιττόν τι, πρὸς τρυφὴν ἢ βλακείαν ἀνῆκον· ἀλλ' ὥστε τὰ τὴν ζωὴν συνιστῶντα, τοῦτον ἔχειν ἐκεῖθεν, ἅ, κατὰ τὸν μέγαν ἀπόστολον, διατροφαί εἰσι, καὶ σκεπάσματα, καὶ τούτοις ἀρκεῖσθαι· ἵνα οὕτως αὐτός τε τρέφοιτο, καὶ οἱ ἐπιξενούμενοι αὐτῷ ἀδελφοί, μή τινος τῶν χρειωδῶν ὑστερῶνται. ὅρα τοίνυν ὅτι καὶ φιλόξενον εἶναι δεῖ τὸν Ἐπίσκοπον, καθὼς ὁ ἀπόστολος Τιμοθέῳ καὶ Τίτῳ ἐπιστέλλων διετάξατο. τὰ αὐτὰ δὲ καὶ ὁ εἰκοστὸς τέταρτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται· καὶ ὁ μέγας Κύριλλος ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ.

ΑΡΙΣΤ. Ἐξουσιαζέτω τῶν ἐκκλησιαστικῶν ὁ Ἐπίσκοπος πραγμάτων, καὶ τῶν ψυχῶν γάρ· καὶ διοικείτω πάντα κατὰ τὴν θείαν ἀρέσκειαν. Σαφής.

ΚΑΝΩΝ μβ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κύβοις σχολάζων, καὶ μέθαις· ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΚΑΝΩΝ μγ'.

Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὰ ὅμοια ποιῶν, ἢ παυσάσθω, ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκοί.

ΒΑΛΣ. Ἄλλως κολάζονται οἱ Ἐπίσκοποι, οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, κύβοις καὶ μέθαις σχολάζοντες, καὶ ἄλλως οἱ ὑποδιάκονοι, οἱ ψάλται, οἱ ἀναγνῶσται, καὶ οἱ λαϊκοί. τοὺς μὲν γὰρ καθαιρεῖσθαί φασιν οἱ παρόντες δύο κανόνες, εἰ μὴ παύσονται, τοὺς δὲ ἀφορίζεσθαι· ζήτει καὶ τὸν θ' κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τίτλον θ'. τοῦ παρόντος συντάγματος κεφ. κζ'. καὶ λέ. καὶ τίτλον ιγ'. κεφ. κθ'.

ΖΩΝΑΡ. Τοὺς Ἐπισκόπους, καὶ τοὺς τοῦ κλήρου πάντας, παράκλησιν ἅπασι πρὸς ἀρετὴν εἶναι χρή, καὶ ἀρχέτυπον, καὶ παροξυσμὸν πρὸς ἀγαθοεργίαν· ἐπεὶ δὲ καὶ τούτων τινὰς εἰκός ἐστιν ἐκτρέπεσθαι τοῦ καλοῦ, καὶ ἢ κυβεύειν, ἢ μεθύσκεσθαι, διατάττεται ὁ κανὼν ἢ παύεσθαι τοὺς τοιούτους, ἢ τοὺς μὲν Ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους καθαιρεῖσθαι, τοὺς δέ γε ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ ψάλτας, εἰ μὴ παύοιντο, ἀφορίζεσθαι. ἀλλὰ μὴν καὶ τοὺς λαϊκοὺς κύβοις, καὶ μέθαις σχολάζοντας. μὴ πίνειν γὰρ οἶνον εἰς μέθην, φησὶν ἡ γραφή. καὶ πάλιν, μὴ μεθύσκεσθαι οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία. ἀλλ' οὐδὲ καπηλικοῦ προΐστασθαι ἐργαστηρίου κληρικὸς συγχωρεῖται, κατὰ τὸν ἔννατον κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΑΡΙΣΤ. Καν. μβ'. Ὁ κυβιστὴς καὶ πάροινος ἱερεύς, εἰ μὴ παύοιτο, καθαιρείσθω.

Εἰ πρεσβύτερος, ἢ διάκονος κυβεύων, ἢ μεθύων, εἰ μὴ παύοιτο, καθαιρεῖται· πολλῷ πλέον οἱ τῆς μείζονος ἀξίας ἱερατικῆς τετυχηκότες καθαιρεθήσονται, κυβεύοντες, ἢ μεθύοντες.

Καν. μγ'. Κληρικὸς, καὶ λαϊκὸς τὰ ὅμοια πράττων, ἀφοριζέσθω.

ΚΑΝΩΝ μδ'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, τόκους ἀπαιτῶν τοὺς δανειζομένους, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΒΑΛΣ. Ὁ παλαιὸς νόμος φησίν, οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου, ἀκολούθως οὖν τούτῳ, ὁ μὲν πα-

A **ZONAR.** Hic etiam Canon omnem quoque poteſtatem rerum Eccleſiaſticarum committit Epiſcopo. Diſpenſationem tamen jubet inter pauperes fieri per Presbyteros & Diaconos, ut immunem ſe ſervet Epiſcopus ab omni ſuſpicione. Honeſta ſiquidem providere coram Deo, & hominibus oportet: ut divinus ait Paulus. Porrò ipſum Epiſcopum ſumere de bonis Eccleſiæ permittit, ad neceſſarios, videlicet, uſus: non in rem aliquam ſupervacaneam, quæ ad delitias, aut vitæ mollitiem pertineat: ſed ex illis habeat ipſe vitæ convenientia: quæ ſecundum magnum Apoſtolum, Alimenta ſunt, & Tegumenta: & his eſto contentus. Ut ſic, & ipſe nutriatur, B & hoſpitio ſuſcepti fratres rebus neceſſariis minimè deſtituantur. Ipſe videas igitur, quod Epiſcopum oportet eſſe Hoſpitalem, quemadmodum Timotheo & Tito ſcribens Apoſtolus conſtituit. Eadem autem vigeſimus quartus Antiochiæ Synodi Canon præcipit. Magnus quoque Cyrillus in Epiſtola ad Domnum.

ARIST. *Poteſtatem habeat Epiſcopus ſuper res Eccleſiaſticas, habet enim & ſuper animas: & adminiſtret omnia ſecundum Divinam voluntatem.* Perſpicuus.

CANON XLII.

C *Epiſcopus, vel Presbyter, vel Diaconus, aleis & ebrietatibus vacans, vel deſiſtat, vel deponatur.*

CANON XLIII.

Hypodiaconus, vel Lector, vel Cantor, ſimilia faciens, vel deſiſtat, vel ſegregetur. Itidem & Laici.

BALS. Aliter puniuntur Epiſcopi, Presbyteri, Diaconi, aleis & ebrietatibus vacantes, & aliter Hypodiaconi, Cantores, Lectores, & Laici. Præſentes enim duo Canones dicunt illos quidem deponi niſi deſiſtant, hos D vero ſegregari. Quære & ix. Canonem Syn. in Trullo, & tit. ix. præſentis operis, cap. xxvii. & xxxv. & tit. xiii. cap. xxix.

ZONAR. Epiſcopos, & omnes de Clero, univerſis oportet eſſe incitamentum ad virtutem formamq; primam, & extimulationem ad bona opera. Quoniam autem probabile eſt nonnullos etiam iſtorum abhoneſto deficere, & vel aleâ ludere, vel inebriari; Canon jubet hos vel deſiſtere, vel Epiſcopos quidem, Presbyteros, & Diaconos, à gradu ſuo deponi: Subdiaconos autem, Lectores, & Pſaltas, niſi deſinant, excommunicari. Laicos etiam teſſeris & ebrietatibus vacantes. Ad ebrietatem enim non E bibere vinum jubet ſcriptura: ruſuſque, Non inebriari vino in quo eſt luxuria. Sed nec aliquis Clericus tabernæ cauponariæ præeſſe permittitur, ſecundum nonum Canonem Synodi in Trullo.

ARIST. CAN. XLII. *Sacerdos qui aleator eſt aut ebrioſus, ſi non abſtineat, deponatur.*

Si Presbyter aut Diaconus alea ludens aut vinolentus deponitur, multo magis majoris Eccleſiaſticæ dignitatis participes deponuntur, aleâ luſitantes aut e- F brioſi.

CAN. XLIII. *Clericus & Laicus ſimilia faciens, excommunicetur.*

CANON. XLIV.

Epiſcopus, vel presbyter, vel Diaconus, uſuras exigens à debitoribus, vel deſiſtat, vel deponatur.

BALS. Antiqua lex dicit, Non fœnerabis fratri tuo uſuram argenti tui. Hanc ergo legem ſequutus hic Canon, A non, deponi dicit, omnem Epiſcopum Presbyterum, & Diaconum, qui ad uſuram dat niſi deſiſtat Canon autem v. Synodi Carthaginenſis & xvii. Synodi primæ, ac decimus Synodi in Trullo, Clericum omnem deponi dicunt, niſi ad uſuram mutuari deſinat. Quære etiam tit. ix. hujus operis cap. xxvii.

Zonar. Hic quidem Canon jubet Epiſcopos, & Presbyteros, & Diaconos uſuras non exigere. Quintus autem Synodi Carthaginenſis Canon, omni Clerico vetat uſuras accipere. Nam ſi vetere lege vetitum fuit hoc dicente, Fœnori non dabis argentum tuum fratri tuo: multo magis vetatur illis uſuras capere, qui B ſecundum Evangelium vivere pollicentur. Propterea, deponi præcipit ad uſuram mutuantes, niſi deſinant. Et decimus ſeptimus Canon primæ Synodi, & decimus in Trullo Synodi hoc vetant.

Arist. *Uſuras exigens mutui Sacerdos, ſi non deſiſtat, deponitur.*

Miſereri poſtulatus, ſi auferat & aliena per uſuras, deponitur, niſi deſinat hoc facere.

Canon. XLV. C

Epiſcopus, vel Presbyter, vel Diaconus, qui cum Hæreticis ſolum comprecatus eſt, ſegregatur. Sin autem eis tanquam Clericis aliquid operari permiſerit, deponatur.

Bals. Rogaverit quiſpiam, cur Epiſcopi una cum Hæreticis comprecati, & etiam Presbyteri, & Diaconi non deponuntur, ſed ſolum ſegregantur, quemadmodum & qui cum aliquo ſegregato comprecatus, ut vult Apoſtolicus Canon x. Solutio. Ne hic dixeris Epiſcopum & reliquos una cum Hæreticis in templo orare. Hi enim deponentur, ut vult xlvi. Canon: ſicut & qui eis permiſit tanquam Clericis aliquid operari: ſed accipe illud, D comprecari pro eo quod eſt ſimpliciter communicare, & in Hæretici preces mitius affectum eſſe: eos enim tanquam execrabiles abhorrere, non autem eis familiariter uti debemus. Unde & ſufficere viſa eſt ſegregationis pœna.

Zonar. Huc attinentia ſuperius dicta fuerunt in anteſcriptis Canonibus.

Arist. *Qui comprecatur cum Hæreticis excommunicatur. Deponitur autem qui eos Clericos exiſtimat.*

Presbyter aut Diaconus cum Hæreticis tantum E comprecatus, excommunicatur. Qui permittit autem eis tanquam conſecratis & Clericis aliquid agere, deponitur.

Canon. XLVI.

Epiſcopum, vel Presbyterum, qui Hæreticorum Baptiſma, vel Sacrificium admiſerit, deponi jubemus. Quæ eſt enim conventio Chriſti cum Belial? vel quæ pars eſt fideli cum infideli?

Bals. Præſens quidem Canon eos qui Hæreticorum Baptiſmata vel Sacrificia admittunt, Epiſcopos vel Sacerdotes deponi decernit. Magna autem Conſtantinopolis F Synodus ſacratos quoſdam, qui Eirenici illius Hæretici ſcripta tantum viderant, & non eis inſultaverant, nec ea deſpuerant, juſtiſſimè depoſuit.

Zonar. Hæreticos illorumque ritus oportet ut Orthodoxi deteſtentur: Quin potius illos oportet argui, & ab Epiſcopis & Presbyteris admoneri, ſi fortè intelligant, & convertantur. Si vero quis Epiſcopus aut Presbyter ab ipſis baptizatum exceperit, aut oblatum quid ab eis ad Sacrificium acceperit ordine ſuo movendus eſt, utpote, qui ſuſpicionem præbeat, aut ſimilia ſe

ρῶν κανὼν καθαιρεῖσθαί φησι πάντα Ἐπίσκοπον, πρεσβύτερον, καὶ διάκονον, τοκίζοντα, εἰ μὴ παύσεται. ὁ δὲ ε΄. κανὼν τῆς ἐν Καρθαγένῃ Ϲυνόδου, καὶ ὁ ιζ΄. τῆς α΄. Ϲυνόδου, καὶ ὁ ι΄. τῆς ἐν τῷ Τρούλλῳ, πάντα κληρικὸν λέγουσι καθαιρεῖσθαι εἰ μὴ παύσεται τοῦ τοκίζειν. ζήτει καὶ τὸ θ΄. τίτλον τοῦ παρόντος Ϲυντάγματος, κεφ. κζ΄.

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν περὶ Ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων μὴ τόκους ἀπαιτεῖν διατάττεται. Ὁ δὲ τῆς ἐν Καρθαγένῃ Ϲυνόδου πέμπτος κανὼν, παντὶ κληρικῷ τόκους λαμβάνειν ἀπαγορεύει, εἰ γὰρ τῷ παλαιῷ νόμῳ τοῦτο ἀπείρητο, λέγοντι, Οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν Ϲου τῷ ἀδελφῷ Ϲου, πολλῷ μᾶλλον ἂν εἴη τοῖς κατὰ τὸ Εὐαγγέλιον ἐπαγγελλομένοις ζῆν, ἀπηγορευμένον τὸ τόκους λαμβάνειν. διὸ καὶ καθαιρεῖσθαι προστάττει τοὺς ἐπὶ τόκοις δανείζοντας, εἰ μὴ παύοιντο. καὶ ὁ ιζ΄. κανὼν τῆς πρώτης Ϲυνόδου, καὶ ὁ δέκατος τῆς ἐν τῷ Τρούλλῳ τοῦτο κωλύουσι.

ΑΡΙΣΤ. Τόκους ἀπαιτῶν δανείου ἱερεὺς, εἰ οὐ παύεται, καθαιρεῖται.

Ὁ ἀπαιτούμενος ἐλεεῖν, εἰ προσαφαιρεῖται καὶ τὰ ἀλλότρια διὰ τῶν τόκων, καθαιρεῖται, εἰ οὐ παύεται τοῦτο ποιῶν.

ΚΑΝΩΝ με΄.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος αἱρετικοῖς Ϲυνευξάμενος μόνον, ἀφοριζέσθω. εἰ δὲ καὶ ἐπέτρεψεν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω.

ΒΑΛΣ. Ἐρωτήσει τις διὰ τί οἱ Ϲυνευξάμενοι αἱρετικοῖς Ἐπίσκοποι, πρεσβύτεροι καὶ διάκονοι, οὐ καθαιροῦνται, ἀλλὰ μόνον ἀφορίζονται, καθὼς καὶ ὁ Ϲυνευξάμενος ἀφωρισμένῳ τινὶ, κατὰ τὸν ἀποστολικὸν ι΄. κανόνα. Λύσις. ἐνταῦθα μὴ εἴπῃς ἐν ναῷ τὸν Ἐπίσκοπον καὶ τοὺς λοιποὺς Ϲυνεύξασθαι μετὰ αἱρετικῶν· οἱ τοιοῦτοι γὰρ καθαιρεθήσονται κατὰ τὸν μϛ΄. κανόνα, καθὼς καὶ ὁ ἐπιτρέψας αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι. ἀλλ' ἐκλαβοῦ τὸ Ϲυνεύξασθαι εἰς τὸ ἁπλῶς κοινωνῆσαι, καὶ ἡμερώτερον διατεθῆναι ἐπὶ τῇ εὐχῇ τοῦ αἱρετικοῦ. τοὺς γὰρ τοιούτους ὡς μύστη βδελύττεσθαι, οὐ μὴν οἰκειοῦσθαι ὀφείλομεν. ὅθεν καὶ ἀρκοῦσα ἔδοξεν ἡ τοῦ ἀφορισμοῦ τιμωρία.

ΖΩΝΑΡ. Τὰ περὶ τούτων ἐν προγεγραμμένοις κανόσι προείρηται.

ΑΡΙΣΤ. Ὁ Ϲυνευχόμενος αἱρετικοῖς, ἀφορίζεται· καθαιρεῖται δὲ ὁ καὶ κληρικοὺς τούτους ἡγούμενος.

Ὁ Ϲυνευξάμενος μόνον αἱρετικοῖς ἢ πρεσβύτερος, ἢ διάκονος, ἀφορίζεται· ὁ δὲ ἐπιτρέψας αὐτοῖς ἐνεργῆσαί τι, ὡς ἱερωμένοις, καὶ κληρικοῖς, καθαιρεῖται.

ΚΑΝΩΝ μϛ΄.

Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν, καθαιρεῖσθαι προστάσσομεν· τίς γὰρ Ϲυμφώνησις Χριστῷ πρὸς Βελίαρ· ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν, τοὺς δεχομένους τὰ τῶν αἱρετικῶν βαπτίσματα καὶ τὰς θυσίας Ἐπισκόπους καὶ ἱερεῖς, διορίζεται καθαιρεῖσθαι· ἡ δὲ μεγάλη Κωνσταντινουπόλεως Ϲύνοδος διαφόρους ἱερωμένους ἰδόντας μόνον τὰ τοῦ αἱρετικοῦ ἐκείνου Εἰρηνικοῦ Ϲυγγράμματα, καὶ μὴ θριαμβεύσαντας αὐτὰ μηδὲ καταπτύσαντας, καθεῖλεν ἐννομώτατα.

ΖΩΝΑΡ. Τοὺς αἱρετικοὺς, καὶ τὰς ἐκείνων τελετὰς, ὑπὸ τῶν ὀρθοδόξων βδελύττεσθαι χρή· μᾶλλον δὲ ἐλέγχεσθαι, καὶ νουθετεῖσθαι παρὰ τῶν Ἐπισκόπων, καὶ πρεσβυτέρων, μήποτε Ϲυνῶσι, καὶ ἐπιστρέψωσιν. εἰ δέ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος τὸν ὑπ' ἐκείνων βαπτισθέντα δέξοιτο, ἢ προσαγωγὴν τινα τῶν ἐκείνων εἰς θυσίαν προσαγομένην λάβοι, καθαιρεθήσεται, ὡς ὑπόνοιαν διδοὺς, ἢ τὰ ὅμοια ἐκείνοις φρονεῖν, ἢ

πως

πέως μὴ ἀπονεύειν πρὸς διόρθωσιν τῆς ἐκείνων κακοδοξίας. ὁ γὰρ συνδοκῶν ταῖς ἐκείνων τελεταῖς, πῶς ἂν δύναιτο διαβάλλειν αὐτοὺς, καὶ ἀποστῆναι τούτων συμβουλεύειν αὐτοῖς;

A sentire cum ipsis, aut non eniti ad illorum opinionis perversæ correctionem. Comprobans enim illorum ritus, quomodo reprehendere istos possit, ac hortari, ut eos deserant?

ΑΡΙΣΤ. Βάπτισμα καὶ θυσίαν αἱρετικῶν δεξάμενος ἱερεὺς, ἀνίερος.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ὁ μὴ κακίζων τὸ παρὰ τῶν αἱρετικῶν γινόμενον βάπτισμα, ἀλλὰ καταδεχόμενος τοῦτο, ἢ τὰ προσαγόμενα παρ᾽ αὐτῶν εἰς θυσίαν παραδεχόμενος, καθαιρεῖται· διὰ τὸ μὴ ὑπεῖναι συμφώνησιν Χριστῷ πρὸς Βελίαρ, ἢ μερίδα τινὰ πιστῷ μετὰ ἀπίστου.

ARIST. *Baptiſma & Sacrificium Hæreticorum recipiens Sacerdos, Sacerdotio privatur.*

Epiſcopus vel Presbyter qui non damnat Baptiſma ab Hæreticis factum, ſed probat iſtud, aut oblata ab eis in Sacrificium admittit, deponitur. Quia nulla eſt concordia Chriſto cum Belial, nec pars ulla fideli cum infideli.

B

ΚΑΝΩΝ μζ΄.

Ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν τοῦ κυρίου, καὶ τὸν θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδιερέων.

CANON XLVII.

Epiſcopus vel Presbyter, eum qui verè habet Baptiſma, ſi de integro baptizaverit, vel ſi eum qui ab impiis pollutus eſt, non baptizaverit, deponatur, ut qui irrideat crucem Domini & mortem, & non diſcernat Sacerdotes à falſis Sacerdotibus.

ΒΑΛΣ. Κατὰ ἀλήθειαν βαπτίζεταί τις, ὅταν κατὰ τὴν κυρίου φωνὴν ἅπαξ βαπτισθῇ εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἴ τις οὖν Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν οὕτω βαπτισθέντα ὡς ἐξ ὑπαρχῆς ἀμερίμνως ἀναβαπτίσῃ, καθαιρεθήσεται· ὡσαύτως καθαιρεθήσεται καὶ ὁ μὴ ἀναβαπτίσας τοὺς παρὰ τῶν αἱρετικῶν βαπτισθέντας. τὸ δὲ ζητούμενον ἐνταῦθα, τοιοῦτόν ἐστιν, ᾐχμαλωτίσθη τις τυχὸν παρὰ Πέρσαις, καὶ ἠναγκάσθη τῶν μυσαρῶν διδαγμάτων τούτων ἀκροάσασθαι, καὶ μιαροφαγῆσαι· μετὰ δὲ τὴν αἰχμαλωσίαν, ἐξομολογησάμενος τὸ γεγονὸς εἰς αὐτὸν, οὐ παρεδέχθη ἄλλως εἰς κοινωνίαν παρὰ τοῦ κατὰ χώραν Ἐπισκόπου, ἢ τοῦ πρεσβυτέρου, εἰ μὴ καὶ βάπτισμα ἐδέξατο. τὸν οὖν τοῦτο ποιήσαντα, καὶ ἀναβαπτίσαντα τὸν ἄνθρωπον, καθαιρεῖ ὁ κανών. εἶπε δὲ καὶ τὸ ἐφεξῆς ὑπὸ τοῦ κανόνος διοριζόμενον, τίς ἐβαπτίσθη παρὰ ἀσεβοῦς· τοῦτο γάρ ἐστι τὸ μολυνθῆναι· καὶ θέλων αὖθις βαπτισθῆναι καὶ συγκοινωνῆσαι τοῖς χριστωνύμοις, οὐ προσεδέχθη παρὰ τοῦ Ἐπισκόπου ἢ τοῦ πρεσβυτέρου, λέγοντος μὴ ὀφείλειν καὶ αὖθις βαπτίζεσθαι τὸν ἅπαξ βαπτισθέντα. φησὶ τοίνυν ὁ κανὼν καθαιρεῖσθαι τὸν Ἐπίσκοπον ἢ τὸν πρεσβύτερον τὸν μὴ εὐθὺς βαπτίζοντα τὸν τοιοῦτον, ἀλλὰ δεχόμενον αὐτὸν μετὰ ἀκαθάρτου βαπτίσματος.

BALS. Verè Baptizatur quis, quando convenienter voci Domini ſemel baptizatus fuerit, in nomine Patris C & Filii & Spiritus Sancti. Si quis ergo Epiſcopus, vel Presbyter, eum qui ſic baptizatus eſt, tanquam de integro nulla ejus cura habita rebaptizaverit, deponetur. Similiter deponetur & qui non rebaptizaverit eos qui ab Hæreticis baptizati ſunt. Id autem quod hic quæritur eſt ejuſmodi: Quidam à Perſis fortè captus eſt, & coactus eſt execrabilia eorum dogmata audire, & immolatis veſci. Poſt captivitatem autem, confeſſus quod ſibi factum fuerat, non alias ad communionem admiſſus eſt ab illius regionis Epiſcopo vel Presbytero, quam ſi Baptiſma quoque ſuſcepiſſet. Eum ergo qui ſic fecit, & hominem rebaptizavit, deponit Canon. Dic autem & quod dein- D ceps à Canone definitur, Baptizatus eſt quiſpiam ab impio: id enim eſt pollutum eſſe: & cum vellet rurſus baptizari, & Chriſtianis communicare, ab Epiſcopo ſeu Presbytero non eſt admiſſus, dicente non debere eum rebaptizari, qui ſemel baptizatus eſt. Dicit ergo Canon, deponi debere Epiſcopum ſeu Presbyterum, qui talem ſtatim non baptizat, ſed eum ſuſcipit cum impuro Baptiſmate.

ΖΩΝΑΡ. Ἓν βάπτισμα τοῖς χριστιανοῖς παραδέδοται. τὸ οὖν κατὰ τὴν τοῦ κυρίου διαταγὴν, καὶ τὴν τῶν θείων ἀποστόλων, καὶ πατέρων παράδοσιν (τοῦτο γὰρ δηλοῖ τὸ, κατὰ ἀλήθειαν) ἔχοντα βάπτισμα ἀναβαπτίζεσθαι ἄνωθεν, ἤγουν, ἐξ ἀρχῆς καὶ τελείως, ὡς τοὺς μήπω βαπτισθέντας, ἀσεβές ἐστι· τὸ δὲ μὴ ἀναβαπτίζειν δὲ τοὺς παρὰ αἱρετικῶν βαπτισθέντας, οὓς μεμολυσμένους ὠνόμασεν ὁ κανὼν, διὰ τὸ τοῦ αἱρετικοῦ βαπτίσματος βδελυρὸν, καὶ τοῦτο ὑπὸ μεγάλην αἰτίασιν. διὸ καὶ καθαιρεῖσθαι τοὺς τοιούτους ἐκέλευσε· τὸν μὲν ὡς δύο βαπτίσματα παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ποιησάμενον· τὸν δὲ ὡς μὴ τὸν μεμολυσμένον διὰ τοῦ ἀθέσμου βαπτίσματος, καθάραντα τῷ θείῳ λουτρῷ, καὶ διαπαίζοντα τὸν θάνατον τοῦ κυρίου, ὃν ὑπέμεινε διὰ τοῦ σταυροῦ. οἱ γὰρ εἰς Χριστὸν βαπτιζόμενοι, κατὰ τὸν μέγαν ἀπόστολον, εἰς τὸν θάνατον αὐτοῦ βαπτίζονται. ἀλλὰ καὶ ὁ σταυρὸς, κατὰ τὸν Χρυσόστομον, βάπτισμα λέγεται. τὸ γὰρ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε, φησὶν ὁ κύριος. καὶ πάλιν· βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε· ἀλλὰ καὶ ὅτι ἀδιαφορίαν ἔχουσι τῶν εὐσεβῶν ἱερέων, καὶ τῶν ψευδιερέων τῶν αἱρέσεσι δηλονότι ὑποκειμένων, ἄξιοι κρίνονται καθαιρέσεως. τελείως μὲν οὖν βαπτίζειν τοὺς ἤδη βαπτισθέντας, ἀπηγόρευται πάντη, μύρῳ δὲ χρίειν αὐτοὺς μολυνθέντας ἔξεστιν· εἰ καὶ τοῦτο μέρος δοκεῖ τοῦ θείου βαπτίσματος.

ZONAR. Unum Baptiſma Chriſtianis traditum fuit. Igitur habentem Baptiſma ſecundum Domini mandatum, & Apoſtolorum divinorum, Patrumque traditio- E nem (Hoc enim ſignificant illa in Canone verba ſecundum veritatem) rebaptizari ἄνωθεν, id eſt, ab integro, perfectéque, tanquam nondum baptizatos, impium eſt. Ac etiam non rebaptizare ab Hæreticis baptizatos, quos Canon Pollutos nominat, ob Hæretici Baptiſmatis abominationem, magnæ hoc etiam obnoxium eſt reprehenſioni. Quamobrem, deponi tales mandavit: Alterum quidem, tanquam qui duo Baptiſmata contra Eccleſiæ traditionem faciat: Alterum vero, tanquam qui pollutum per illegitimum Baptiſma non abluat divino lavacro: Dominique mortem, quam toleravit per Crucem, illudat. Qui enim in Chriſtum baptizantur, ſecun- F dum magnum Apoſtolum, in ejus mortem baptizantur. Sed & Crux, ſecundum Chryſoſtomum, Baptiſma dicitur. Nam, Baptiſmate, quo ego baptizor, baptizabimini, dicit Dominus. Rurſuſque, Baptiſma habeo, quo baptizari debeo, quod vos non noviſtis. Sed etiam quod illi delectum non habeant piorum Sacerdotum, falſorumque Sacerdotum Hæreſibus ſcilicet ſubjectorum, digni depoſitione judicantur. Perfectè igitur baptizare prius baptizatos omnino vetatur; unguento autem ipſos pollutos ungere licet: etſi hoc quoque divini Baptiſmatis pars eſſe videtur.

ARIST. *Qui rebaptizat verè baptizatum, & non rebaptizat ab impiis pollutum, à Sacerdotio deponitur.*

Bis baptizari nemini permittitur, & qui denuo rebaptizat eum, vel à principio & de integro, deponitur. Unguento autem quidam juxta multos modos piè baptizatorum ſanctificantur. Et qui non rebaptizat eum qui impiorum Baptiſma recepit, ſed admittit eum ut fidelem, deponitur.

CANON XLVIII.

Si quis Laicus ſua ejecta uxore vel aliam acceperit, vel ab alio ſolutam, ſegregetur.

BALS. Qui ſuam uxorem præter rationem ejicit, aliam accipere non poteſt; potiùs autem ſegregabitur; etiam qui liberam non accepit, ſed ſolutam (eſt autem ſoluta, quæ non ex lege à ſuo marito eſt ſeparata) etſi ut adulter condemnatur, convenienter ei quod dixit Dominus: Et qui ſolutam duxerit, mœchatur, ſegregatur. Quare apud Canones adulteri & fornicatoris eccleſiaſtica pœna eſt ſegregatio, ſicut dicunt nonnulli: ſed mihi non videtur. Lege etiam Canones Sancti Baſilii, qui inter fornicatorem & adulterum differentiam introducunt. Scias autem, quòd vir quidem, ſi adhuc conſtante matrimonio cum aliqua muliere liberâ rem habeat, fornicationem, non adulterium committit: non ita autem ſi cum ea quæ viro conjuncta eſt: tunc enim ut adulter punitur. Mulier autem, ſi cum alio quocunque, conſtante matrimonio coëat, ut adultera punitur. Et hæc quidem ita ſe habent. Juſtiniani autem Novella, quæ ſita eſt in libro Baſilic. xxviij. tit. vij. dicit, quòd etſi antè poterat uterque conjunx quando volebat, mittere libellum divortii; Vir enim dicebat, Mulier habe tibi res tuas, & mulier, Vir age res tuas: deinceps autem fit divortium ex certis cauſis. Hæ autem in Novella quoque cauſæ ſcriptæ ſunt. Sed antiquitus quoque non fiebat libere divortium niſi cum cognitione judicis. Qui eam ergo uxorem duxit, quæ non ſic dimiſſa eſt, adulterium commiſit.

ZONAR. Verùm, ſi quis ſuam non ejiciat uxorem: ſed hanc apud ſe retinens, cum alia corrumpatur: ſecundum quidem exactam rationem, committit adulterium: (Similiter & mulier ſi cum viro vivens alteri miſceatur) ſecundùm vero civilem legem, tanquam fornicans judicatur. Quod etiam magnus Baſilius inſequens, hoc dicit. Si vir uxori cohabitans, cum altera fuerit, Fornicatorem talem judicamus: & magis ipſum extendimus in pœnis. Non tamen habemus Canonem, quo adulterii crimini ſubjiciatur, ſi ſit in non nuptam peccatum. Uxor itaque à fornicatione redeuntem maritum ſuum recipiet; Maritus verò pollutam ab ædibus ſuis excludet. Horum certè ratio non eſt expedita. Conſuetudo autem ſic obtinuit. Sed à viro ſine cauſa dimiſſam, qui domum introducit, mœchus eſt manifeſtè ſecundum Domini ſententiam dicentem, & qui repudiatam duxerit, mœchatur.

ARIST. *Laicus ſuam ejiciens uxorem, & aliam, vel dimiſſam ducens, excommunicandus eſt.*

Sine aliqua cauſarum legibus ſancitarum ſi quis uxorem ſuam ejiciet, & aliam ducet, excommunicatur.

A ΑΡΙΣΤ. Ὁ ἀναβαπτίζων τὸν ὄντως βεβαπτισμένον, καὶ μὴ ἀναβαπτίζων τὸν μεμολυσμένον ἀσεβόθεν, ἀνίερος.

Δὶς οὐ συγκεχώρηταί τις βαπτίζεσθαι· καὶ ὁ ἀναβαπτίζων αὐτὸν ἄνωθεν, ἤτοι ἐξ ἀρχῆς, καὶ κατὰ τὸ ὁλόκληρον, καθαιρεῖται. μύρῳ δέ τινες κατὰ πολλοὺς τρόπους τῶν εὐσεβῶς βαπτισθέντων ἁγιάζονται. Καὶ ὁ μὴ ἀναβαπτίζων τὸν δεξάμενον βάπτισμα ἀσεβῶν, ἀλλὰ παραδεχόμενος αὐτὸν ὡς πιστὸν, καθαιρεῖται.

ΚΑΝΩΝ μη'.

B Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν, ἢ ἑτέραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὁ ἐκβαλὼν τὴν ἑαυτοῦ γυναῖκα παραλόγως, οὐ δύναται λαβεῖν ἑτέραν, μᾶλλον μὲν οὖν καὶ ἀφορισθήσεται. καὶ ὁ ἐλευθέραν δὲ μὴ λαβὼν, ἀλλὰ καὶ ἀπολελυμένην, (ἔστι δὲ ἀπολελυμένη, ἡ μὴ κατὰ νόμους διαζυγεῖσα τοῦ οἰκείου ἀνδρὸς) κἂν ὡς μοιχὸς κατακρίνηται, κατὰ τὸν Κυρίου λόγον, τὸν φάσκοντα, καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται, ἀφορίζεται. ὥστε παρὰ τοῖς κανόσι μοιχοῦ καὶ πόρνου ἐκκλησιαστικὸν ἐπιτίμιον ὁ ἀφορισμός ἐστι, καθά τινες λέγουσιν. ἐμοὶ δὲ οὐ δοκεῖ· καὶ ἀνάγνωθι τοὺς C κανόνας τοῦ ἁγίου Βασιλείου, διαφορὰν εἰσάγοντας πόρνου καὶ μοιχοῦ. ἔσο δὲ εἰδὼς ὅτι ὁ μὲν ἀνὴρ ἔτι τοῦ συνοικεσίου συνισταμένου, συμφθειρόμενος μεθ' ἑτέρας γυναικὸς ἐλευθέρας, πορνείαν οὐ μοιχείαν ἁμαρτάνει, οὐ μὴν καὶ μετὰ ὑπάνδρου, τότε γὰρ ὡς μοιχὸς τιμωρεῖται. ἡ δὲ γυνὴ ἑτέρῳ οἱῳδήτινι συμφθαρεῖσα συνεστῶτος τοῦ γάμου, ὡς μοιχαλὶς τιμωρεῖται. καὶ ταῦτα μὲν οὕτω. ἡ δὲ Ἰουστινιάνειος νεαρὰ ἡ κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν κη'. τίτλου ζ'. φησὶν ὡς εἰ καὶ ἠδύνατο πρώην ἕκαστος τῶν ὁμοζύγων καθ' ὃν ἠβούλετο τρόπον διαζύγιον στέλλειν· ἔλεγε γὰρ ὁ ἀνὴρ, Γύναι πρᾶττε τὰ σὰ, καὶ ἡ γυνὴ, Ανερ πρᾶττε τὰ σά· ἀλλ' ἐφεξῆς ἀπὸ D ῥητῶν αἰτιῶν διαζύγιον γίνεται. ἐγράφησαν δὲ καὶ ἐν τῇ νεαρᾷ αἱ τοιαῦται αἰτίαι. πλὴν καὶ τὸ παλαιὸν οὐκ ἐγίνετο αὐτονόμως τὸ διαζύγιον, ἀλλὰ μετὰ δικαστικῆς διαγνώσεως. ὁ γοῦν γαμήσας τὴν μὴ οὕτως ἀπολυθεῖσαν, ἐμοιχᾶτο.

ΖΩΝΑΡ. Ἐὰν δὲ μὴ ἐκβάλλῃ τὴν ἑαυτοῦ γυναῖκά τις, ἔχων δὲ ταύτην παρ' ἑαυτῷ, ἑτέρᾳ συμφθείροιτο, κατὰ μὲν τὸν ἀκριβῆ λόγον μοιχείαν τολμᾷ· ὥσπερ καὶ ἡ γυνὴ ἐὰν ἀνδρὶ συζῶσα, ἑτέρῳ μιγῇ· κατὰ δὲ τὸν πολιτικὸν νόμον, ὡς ὁ πορνεύων κρίνεται. ᾧ καὶ ὁ μέγας Βασίλειος ἑπόμενος ταῦτά φησιν. εἰ ἀνὴρ γυναικὶ E συνοικῶν, μεθ' ἑτέρας γένηται, πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλέον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις. οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται. ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς, παραδέξεται· ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν, τῶν οἴκων αὐτοῦ ἀποπέμψει. τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος. ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν. ὁ δὲ τὴν ἐξ ἀνδρὸς ἀναιτίως ἀπολελυμένην εἰσοικιζόμενος, μοιχός ἐστιν ἄντικρυς, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν τὴν λέγουσαν, καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.

F ΑΡΙΣΤ. Τὴν οἰκείαν ἐκβάλλων ὁ κοσμικὸς, καὶ ἄγων ἑτέραν, ἢ ἀπολελυμένην, ἀφοριστέος.

Ἄνευ τινὸς τῶν νενομοθετημένων αἰτιῶν εἴ τις τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλλῃ, καὶ ἑτέραν ἀγάγηται, ἀφορίζεται.

ΚΑΝΩΝ μθʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος κατὰ τὴν τοῦ κυρίου διάταξιν μὴ βαπτίσῃ εἰς πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα, ἀλλ᾽ εἰς τρεῖς ἀνάρχους, ἢ τρεῖς υἱοὺς, ἢ τρεῖς παρακλήτους, καθαιρείσθω.

ΒΑΛΣ. Τὸν μὴ βαπτίζοντα Ἐπίσκοπον ἢ πρεσβύτερον κατὰ τὴν τοῦ Κυρίου διάταξιν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀλλ᾽ εἰς τρεῖς ἀνάρχους ἢ τρεῖς υἱοὺς ἢ τρεῖς παρακλήτους, καθαιρεῖσθαί φησιν ὁ κανών. ἦσαν γάρ τινες αἱρετικοὶ τοιαῦτα βλασφημοῦντες, καὶ οὕτω βαπτίζοντες. ἡμεῖς δὲ μίαν θεότητα πιστεύοντες ἐν τρισὶν ὑποστάσεσιν, ἓν βαπτιζόμεθα βάπτισμα, δι᾽ ἐπικλήσεως πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος. διὰ τοῦτο δὲ Ἐπισκόπων καὶ πρεσβυτέρων μόνον ἐμνήσθη ὁ κανὼν, διότι ἑτέρῳ τινὶ οὐκ ἐφεῖται βαπτίζειν.

ΖΩΝΑΡ. Ὁ κύριος εἰς τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων, πορευθέντες μαθητεύσατε (ἔφη) πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. πάντα τοίνυν ὀρθόδοξον κατὰ τὴν τοιαύτην ἐπιταγὴν βαπτίζειν χρεὼν, ἀλλὰ μὴ εἰς τρεῖς ἀνάρχους, ἢ τρεῖς υἱοὺς, ἢ τρεῖς παρακλήτους. τοῦτο γὰρ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσίν ἐστι, καὶ συνήθειαν. ἕνα γὰρ ἄναρχον ἡ ἐκκλησία παρέλαβε, τὸν πατέρα, διὰ τὸ, ἀναίτιον· καὶ ἕνα υἱὸν διὰ τὴν ἄρρητον γέννησιν· καὶ ἕνα παράκλητον, τὸ πνεῦμα τὸ ἅγιον διὰ τὴν ἐκπόρευσιν.

ΑΡΙΣΤ. Ὁ μὴ βαπτίζων εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἀλλὰ παρεκβαίνων, ἀνίερος.

ΚΑΝΩΝ νʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλὰ ἓν βάπτισμα εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, καθαιρείσθω. οὐ γὰρ εἶπεν ὁ κύριος, εἰς τὸν θάνατόν μου βαπτίσατε· ἀλλὰ, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τῆς αὐτῆς δυνάμεώς ἐστι. διορίζεται γὰρ διὰ τριῶν μὲν καταδύσεων τὴν μύησιν ἐπιτελεῖσθαι τοῦ ἁγίου βαπτίσματος, ἤγουν εἰς ὄνομα πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος. ἅπαξ δὲ βαπτίζειν, διὰ τὸ ἑνιαῖον τῆς θεότητος, καὶ τὸ τρίττον τῶν ὑποστάσεων, ἢ διὰ τὸν ἐν τῷ σταυρῷ θάνατον τοῦ Χριστοῦ, καὶ τὴν τριήμερον τούτου ἀνάστασιν. φησὶ γὰρ καὶ ὁ ἀπόστολος, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. τὰ δὲ βαπτίσματα ἐνταῦθα ἀντὶ καταδύσεων ὑποληπτέον μοι. τὸν μέντοι διὰ μιᾶς καταδύσεως εἰς τὸν θάνατον τοῦ κυρίου βαπτίζοντα, καθαιρεῖσθαί φησιν ὁ κανὼν, ὡς παρὰ τὴν τοῦ κυρίου διδαχὴν ποιοῦντα, καὶ προφανῶς ἀσεβοῦντα.

ΖΩΝΑΡ. Τρία βαπτίσματα ἐνταῦθα τὰς τρεῖς καταδύσεις φησὶν ὁ κανὼν ἐν μιᾷ μυήσει, ἤτοι ἐν ἑνὶ βαπτίσματι· ὥστε τὸν βαπτίζοντα ἑκάστῃ τῶν καταδύσεων ἓν τῆς ἁγίας τριάδος ἐπιλέγειν ὄνομα. τὸ γὰρ ἅπαξ καταδύειν τὸν βαπτιζόμενον εἰς τὴν ἱερὰν κολυμβήθραν, καὶ εἰς τὸν θάνατον τοῦ κυρίου τὴν μίαν ἐπιφημίζειν κατάδυσιν, ἀσεβές ἐστι. καὶ ὁ οὕτω βαπτίζων, καθαιρεθήσεται.

ΑΡΙΣΤ. Ὁ μὴ τρισὶ μυῶν καταδύσεσιν, ἀλλὰ μιᾷ, εἰς τὸν τοῦ κυρίου θάνατον, [ὃ μὴ εἶπεν ὁ Κύριος] ἀνίερος.

Τοῦ κυρίου εἰπόντος βαπτίζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος ἐναντιωθῇ τῷ δεσποτικῷ προστάγματι, καὶ εἰς μίαν κατάδυσιν βαπτίσει, ὡς τοῦ βαπτίσματος τοῦ κυρίου καταγγέλλοντος θάνατον, καθαιρεθήσεται.

A CANON XLIX.

Si quis Epiſcopus, vel Presbyter, ex Domini ordinatione non baptizaverit in Patrem, Filium, & Spiritum Sanctum, ſed in tres Principii expertes, vel tres Filios, vel tres Paracletos, deponatur.

BALS. Epiſcopum, vel Presbyterum, qui non baptizat ſecundum Domini conſtitutionem, In nomine Patris, & Filii, & Spiritus Sancti, ſed in tres Principii expertes, vel tres Filios, vel tres Paracletos, dicit Canon eſſe deponendos: erant enim quidam Hæretici, qui hæc blaſphemè dicebant, & ſic baptizabant: nos autem unam B Deitatem credentes in tribus Perſonis, baptizamur in uno Baptiſmate, per invocationem Patris, Filii, & Spiritus Sancti. Ideo autem Epiſcoporum, & Presbyterorum tantum meminit Canon, eo quod alicui alii non permittitur baptizare.

ZONAR. Dominus ad prædicationem mittens diſcipulos ait: Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, & Filii, & Spiritus Sancti. Neceſſe eſt igitur orthodoxum quemque baptizare ſecundum tale præceptum, & non in tres, qui principio careant, vel tres Filios, vel tres Paracletos. Id enim eſt contra ec- C cleſiaſticam traditionem & conſuetudinem. Unum enim principii expertem Eccleſia ſumpſit adorandum, Patrem, quia ſine cauſa eſt, et unum Filium, propter ineffabilem generationem, & unum Paracletum, Spiritum Sanctum, propter proceſſionem.

ARIST. *Qui non baptizat in Patrem, & Filium, & Spiritum Sanctum, ſed tranſgreditur, à Saccrdotio deponitur.*

CANON L.

Si quis Epiſcopus, vel Presbyter non tria unius Myſterii Baptiſmata perfecerit, ſed unum Baptiſma, quod datur D *in mortem Domini, deponatur. Non enim dixit Dominus, In mortem meam baptizate, ſed, euntes docete omnes gentes, baptizantes ipſos in nomine Patris, & Filii, & Spiritus Sancti.*

BALS. Hic quoque Canon eſt ejuſdem poteſtatis: ſtatuit enim per tres immerſiones peragi oportere Myſterium ſacri Baptiſmatis, ſcilicet in nomine Patris, & Filii, & Spiritus Sancti: ſemel autem baptizare propter unitatem Deitatis, & Trinitatem Perſonarum: vel propter mortem Chriſti in cruce, & ejus triduanam reſurrectionem. Dicit enim etiam Apoſtolus: In mortem ejus baptizati E ſumus. Baptiſmata autem hîc pro immerſionibus accipi mihi videntur: eum igitur qui per unam immerſionem in mortem Domini baptizat, Canon dicit deponendum, ut qui præter Domini doctrinam faciat, & apertè ſit impius.

ZONAR. Hic per tria baptiſmata Canon tres immerſiones intelligit in uno myſterio, videlicet, in uno Baptiſmate. Sic ut ad unamquamque immerſionem Baptizans addat unum Sanctæ Trinitatis nomen. Nam, ſemel eum, qui baptizatur, in ſacrum lavacrum demergere, Et in mortem Domini duntaxat unam celebrare immerſionem, impium eſt. Atque ſic baptizans ordine move- F bitur.

ARIST. *Qui non tribus initiat immerſionibus, ſed unâ, in mortem Domini (quod Dominus non dixit) à Sacerdotio deponitur.*

Domino mandante baptizare in nomine Patris, & Filii & Spiritus Sancti, ſi quis Epiſcopus aut Presbyter contrarium faciet Dominico mandato, & una immerſione baptizabit, quia Baptiſma Domini indicat mortem, deponetur.

A

Canon LI.

Si quis Episcopus, vel Presbyter, vel Diaconus, vel omnino ex sacerdotali numero, à nuptiis, carnibus, & vino, non propter exercitationem, sed propter abominationem abstinet, oblitus quòd omnia valdè bona, & quòd masculinum & fœmininum fecit Deus hominem: sed blasphemans calumniatur opificium, vel corrigatur, vel deponatur, & ex Ecclesia ejiciatur. Similiter & Laicus.

Bals. Legitimas nuptias Ecclesia non rejicit: quia ob hanc causam Deus masculum & fœminam creavit: nec eos qui carnibus vescuntur, & vino utuntur, abhorret, si omnia opportunè faciant, & sicut sacra tradunt oracula. Nihil enim eorum, inquit, quæ à Deo creata sunt, malum est: sed bona omnia sunt suo tempore. Sed nec eos rursus, qui ab his propter exercitationem abstinent, punit. Ideo animadvertendum est quomodo quis ab eis abstinet: & si quidem, ut vel maximè impii Bogomili, propter eorum odium, & quòd mali causa sint iis qui eis abutuntur, deponetur, si post denunciationem non corrigatur, vel quod magis est, etiam ex Ecclesia exterminabitur, ut qui adversus Dei creaturas blasphemet. Si autem propter exercitationem, & quandam religionem ab iis abstinet, non condemnabitur. Et ideo multi etiam Monachi, qui satis longo tempore propter continentiam, nec caseum, nec ovum, nec vinum gustaverant, ea aliquando gustarunt, & omne quod malam de eis suspicionem afferebat, offendiculum amputaverunt. Ut beatus ille Eremita, qui Ferratus dictus est, & qui Eleæ Episcopus vocatus est, Monachus Theodulus, in Synodo, ut offendiculum, & improborum quorundam nugas tolleret, caseum & ovum gustaverunt.

Zonar. A nuptiis, & esu carnium, vinique potu propter abstinentiam temperare, probandum est. Sed hæc abhorrere velut animæ perniciosa ac rejicere, non caret crimine. Nihil enim eorum, quæ fecit Deus, malum est, sed eorum abusus noxius est. Certè, si mulier mali causa foret, & vinum, & reliqua, exhibita nunquam fuissent à Deo. Quare, qui Dei facta damnat, in universum ejus opificium blasphemat. Cæterum, talis indiget correctione; si verò non corrigatur, ordine suo movebitur, & ab Ecclesia extrudetur. Non enim depositione tantùm dignus est, sed etiam, velut Hæreticus, in Ecclesiam non est recipiendus.

Arist. *Omnis Clericus à vino, carne, & nuptiis non propter exercitationem abhorrens, si non corrigatur, voce præconis exterminatur.*

Hoc est, deponitur talis, & ex Ecclesiâ ejicitur.

Canon LII.

Si quis Episcopus, vel Presbyter, vel Diaconus, eum qui à peccatis convertitur, non recipit, sed ejicit, deponatur: quoniam Christum molestia afficit, qui dixit: Gaudium est in cœlo propter unum peccatorem pœnitentiam agentem.

Bals. Non est peccatum quod Dei benignitatem superet: & ideo omnes qui pœnitentia ducuntur, & à bono ad malum convertuntur, Dominus obviis ulnis excipit. Propter Peccatorum enim salutem è cœlo descendit, & dixit, Non veni vocare justos, sed peccatores, ad pœnitentiam. Episcopus ergo, vel Presbyter, qui eos qui sic convertuntur, non recipit, sed illius Novati instar eos abhorret, deponatur, ut qui Dei voluntati adversatur, qui dicit: Gaudium est in cœlo ob unum peccatorem pœnitentiam agentem. Nota ergo ex præsenti Canone, quòd non solis

ΚΑΝΩΝ ναʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν καὶ οἴνου, οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται, ἐπιλαθόμενος ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλει τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς ἐκκλησίας ἀποβαλλέσθω. ὡσαύτως καὶ λαϊκός.

ΒΑΛΣ. Τὸν ἔννομον γάμον ἡ ἐκκλησία οὐκ ἀποσείεται. B ὅτι διὰ τοῦτο καὶ ὁ θεὸς ἄρσεν καὶ θῆλυ ἐποίησεν. οὐδὲ τοὺς κρεωφαγοῦντας καὶ οἴνῳ χρωμένους βδελύττεται, εὐκαίρως πάντα ποιοῦντας, καὶ καθὼς τὰ ἱερὰ παραδιδόασι λόγια. οὐδὲν γάρ φησι τῶν παρὰ θεοῦ γινομένων, κακόν· ἀλλὰ πάντα καλὰ ἐν καιρῷ αὐτῶν. ἀλλ' οὐδὲ τοὺς ἀπεχομένους τούτων αὖθις δι' ἄσκησιν κολάζει. διὸ προσεκτέον τίνι τρόπῳ τούτων ἀπέχεταί τις. καὶ εἰ μὲν ὡς οἱ ἀθεώτατοι Βογόμιλοι διὰ βδελυρίαν, καὶ διὰ τὸ γίνεσθαι παραίτια κακοῦ τοῖς κακῶς παραχρωμένοις αὐτοῖς, καθαιρεθήσεται, μετὰ παραγγελίαν μὴ διορθούμενος. μᾶλλον δὲ καὶ τῆς ἐκκλησίας γενήσεται ἐκκήρυκτος, ὡς βλασφημῶν κατὰ τῶν τοῦ θεοῦ κτισμάτων. εἰ δὲ διὰ ἄσκησιν, καὶ C εὐλάβειαν ἀπέχεται τούτων, οὐ κατακριθήσεται. διὰ γὰρ τοῦτο καὶ πολλοὶ μόναχοι ἐπὶ χρόνοις ἱκανοῖς δι' ἐγκράτειαν μήτε τυροῦ, μήτε ὠοῦ, μήτε οἴνου γευσάμενοι, ἔν τισι καιροῖς αὐτῶν ἀπεγεύσαντο, καὶ ἅπαν καχύποπτον περιεῖλον σκάνδαλον, ὡς ὁ μακαρίτης ἐκεῖνος ἡσυχαστὴς ὁ Σεσιδηρωμένος λεγόμενος, καὶ ὁ χρηματίσας Ἐπίσκοπος Ἐλαίας μόναχος Θεόδουλος ἐπὶ συνόδου, διὰ περιαίρεσιν σκανδάλου καὶ φλυαρίας κακοήθους τινῶν, τυροῦ καὶ ὠοῦ γευσάμενοι.

ΖΩΝΑΡ. Τὸ μὲν δι' ἐγκράτειαν ἀπέχεσθαι γάμου, καὶ κρεωφαγίας, καὶ οἰνοποσίας, ἀποδεκτέον. τὸ δὲ ταῦτα D βδελύττεσθαι, ὡς βλαβερὰ πρὸς ψυχήν, καὶ ἀποσείεσθαι, οὐκ ἀνέγκλητον. οὐδὲν γὰρ τῶν παρὰ θεοῦ γινομένων κακόν, ἀλλ' ἡ τούτων παράχρησις, βλαβερόν. εἰ δὲ κακίας αἰτία ἦν ἡ γυνὴ καὶ ὁ οἶνος, καὶ τὰ λοιπά, οὐκ ἂν παρήχθησαν παρὰ τοῦ θεοῦ. ὥστε ὁ διαβάλλων τὰ ποιήματα τοῦ θεοῦ, κατὰ τῆς αὐτοῦ βλασφημεῖ δημιουργίας. λοιπὸν ὁ τοιοῦτος διορθώσεως δεῖται. εἰ δὲ μὴ διορθοῦται, καθαιρεθήσεται, καὶ τῆς ἐκκλησίας ἀποβληθήσεται. οὐ μόνον γὰρ καθαιρήσεώς ἐστιν ἄξιος, ἀλλ' οὐδὲ προσδεκτέος εἰς ἐκκλησίαν, ὡς αἱρετικός.

ΑΡΙΣΤ· Κληρικὸς ἅπας, οἶνον, καὶ κρέα, καὶ γάμον, E μὴ δι' ἄσκησιν βδελυσσόμενος, εἰ μὴ διορθοῖτο, ἐκκήρυκτος.

Τοῦτ' ἔστι, καθαιρεῖται ὁ τοιοῦτος, καὶ τῆς ἐκκλησίας ἐκβάλλεται.

ΚΑΝΩΝ νβʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν ἀποστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλ' ἀποβάλλεται, καθαιρείσθω· ὅτι λυπεῖ τὸν Χριστόν, τὸν εἰπόντα, χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

F ΒΑΛΣ. Οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν φιλανθρωπίαν τοῦ θεοῦ· διὸ καὶ πάντας τοὺς μετανοοῦντας, καὶ ἐπιστρεφομένους ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν, ἀγκαλίζεται ὁ κύριος. διὰ γὰρ τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν κατέβη ἐξ οὐρανοῦ, καὶ εἶπεν, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς, εἰς μετάνοιαν. ὁ γοῦν μὴ παραδεχόμενος Ἐπίσκοπος ἢ πρεσβύτερος τοὺς οὕτως ἐπιστρέφοντας, ἀλλὰ κατὰ τὸν Ναυάτον ἐκεῖνον μυσαττόμενος αὐτούς, καθαιρείσθω, ὡς ἐναντιούμενος τῷ τοῦ θεοῦ θελήματι, τοῦ εἰπόντος, χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

ὥστε σημειῶσαι διὰ τοῦ παρόντος κανόνος ὅτι οὐ μόνοις Ἐπισκόποις καὶ ἱερεῦσιν ἐνεδόθη ἐξομολογήσεις ἀνθρώπων δέχεσθαι, καὶ συγχωρεῖν ἁμαρτήματα· ἀλλὰ καὶ οἱ πρεσβύτεροι μετὰ προτροπῆς Ἐπισκόπων δέχονται λογισμούς· ζήτει τὸν ϛʹ. κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα.

ΖΩΝΑΡ. Ὁ Κύριος ἡμῶν διὰ τοὺς ἁμαρτήσαντας ἔκλινεν οὐρανοὺς καὶ κατέβη· αὐτὸς γὰρ ἔφη, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. ὁ γοῦν τὸν ἐξ ἁμαρτίας μετανοοῦντα, μὴ προσιέμενος, ἀντιπράττει Χριστῷ τῷ Θεῷ ἡμῶν. ὁ δὲ ἀντιπράττων αὐτῷ καὶ ἀντιδιαταττόμενος, οὐκ ἔστιν αὐτοῦ μαθητής· ὁ δὲ μὴ ὢν αὐτοῦ μαθητής, ἱερᾶσθαι οὐκ ἄξιος. πῶς γὰρ ὁ ἀντίχριστον ἑαυτὸν καθίστησιν ἐναντιούμενος τῷ ἐκείνου θελήματι, δεκτὸς τυγχάνει αὐτῷ;

ΑΡΙΣΤ. Ὁ τοῖς μετανοοῦσι μὴ συγγινώσκων, ἀσυγγνωστότερος.

Καὶ οὗτος, κληρικὸς ὢν, καθαιρεῖται, ὡς ἐναντιούμενος τῷ Κυρίῳ, εἰπόντι, χαρὰν γίνεσθαι ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

ΚΑΝΩΝ νγʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, βδελυσσόμενος καὶ οὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκαυτηριασμένος τὴν οἰκείαν συνείδησιν, καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

ΒΑΛΣ. Κατὰ πᾶσαν κυριακὴν καὶ κατὰ πᾶσαν ἑορτὴν πανηγυρίζοντες οὐ νηστεύομεν, ἀλλὰ καὶ ἐν τοῖς σαββάτοις πᾶσιν ἄνευ ἑνὸς σαββάτου, τοῦ μεγάλου δηλαδή, καταλύομεν, ἵνα μὴ δόξωμεν κατὰ τοὺς Ἰουδαίους σαββατίζειν. ὁ γοῦν ἐν ταύταις ταῖς ἡμέραις νηστεύων, εἰ μὲν ὡς βδελυττόμενος τὰ ὑπὸ τοῦ Θεοῦ εἰς βρῶσιν ἡμῖν δοθέντα, καὶ σκανδαλίζων ἐντεῦθεν τὸν λαόν, καθαιρεῖται, Ἐπίσκοπος ὢν δηλονότι ἢ πρεσβύτερος ἢ διάκονος. εἰ δὲ δι' ἄσκησιν ἀπέχεται τούτων, συγγνωσθήσεται. καὶ ἀνάγνωθι τὴν εἰς τὸν ναʹ. κανόνα ἑρμηνείαν, καὶ τὸν ιδʹ. κανόνα τῆς ἐν Ἀγκύρᾳ Συνόδου. λαϊκὸς μέντοι οὕτω νηστεύων κακῶς, καὶ πενθῶν μετὰ τῶν Μαρκιανιστῶν αἱρετικῶν, ἀφορίζεται κατὰ τὸ τέλος τοῦ ναʹ. κανόνος.

ΖΩΝΑΡ. Κεκανόνισται ἐν τοῖς σαββάτοις, ἄνευ ἑνὸς τοῦ μεγάλου, καὶ ἐν ταῖς κυριακαῖς, καὶ ταῖς ἑορτασίμοις ἡμέραις, μὴ νηστεύειν. ἀλλὰ διάφοροι τῶν ἁγίων πατέρων, ἐν δέκα τυχὸν ἡμέραις, ἢ εἴκοσι, καὶ τούτων ἐπέκεινα, ἤσθιον· τινὲς δὲ, καὶ ἄχρι τῶν τεσσαράκοντα τὴν νηστείαν παρέτεινον. ὥσπερ οὖν οὐ παραβαίνειν ἐκεῖνοι τοὺς κανόνας ἐκρίνοντο, ἐν σαββάτοις νηστεύοντες, οὕτως οὐδ' εἴτις ἐν ὡρισμέναις ἡμέραις ἐθέλει ἐγκρατεύεσθαι, καὶ διὰ τόσων ἐσθίειν, κἂν σάββατον ἐν αὐταῖς παρεμπίπτῃ, κἂν ἄλλη ἡμέρα τις ἑορτάσιμος, ὡς παραβάτης τῶν κανόνων κριθήσεται. εἰ δὲ αὐτὰ καθ' αὑτὰ τὰ σάββατα νηστεύει, ἢ ὡς βδελυσσόμενος τὰ κρέα, καὶ τὸν οἶνον, τούτων ἀπέχεται, καὶ οὐδὲ ἐν ταῖς ἑορταῖς μεταλαμβάνει αὐτῶν, οὔτ' ἐγκρατὴς λογισθήσεται, ἀλλὰ καὶ καθαιρέσεως κριθήσεται ἄξιος, ὡς πολλοῖς λογισμοὺς ὑποβάλλων βλαβερὰ τὰ τοῦ Θεοῦ τυγχάνειν ποιήματα, ὧν οὐδὲν κακόν ἐστιν, οὐδὲ ἀποτρόπαιον. καὶ ὁ τεσσαρεσκαιδέκατος τῆς ἐν Ἀγκύρᾳ Συνόδου κανὼν, τοὺς ἐν κλήρῳ θεσπίζει ἀπεχομένους κρεῶν, ἐφάπτεσθαι αὐτῶν, ἤτοι ἀπογεύεσθαι, καὶ οὕτως αὖθις ἐγκρατεύεσθαι· εἰ δὲ μὴ οὕτω ποιοῦσι, καθαιρεῖσθαι αὐτούς.

ΑΡΙΣΤ. Μὴ μεταλαμβάνων ἱερεὺς οἴνου, καὶ κρεῶν, εἰ μὴ δι' ἄσκησιν, καθαιρεῖται.

A Epiſcopis & Sacerdotibus conceſſum eſt hominum confeſſiones audire, & peccata remittere: Sed etiam Presbyteri cum Epiſcopali permiſſione confeſſiones audiunt. Quære etiam vi. Can. Carth. Syn. & quæ in eum ſcripta ſunt.

Zonar. Dominus noſter propter peccatores inclinavit cœlos, & deſcendit. Etenim dicit ipſe, Non veni vocare juſtos, ſed peccatores ad pœnitentiam. Qui non recipit igitur ex peccato reſipiſcentem, contrarium quid facit Chriſto Deo noſtro. Qui verò contrarium quid agit, & ex adverſo illi opponitur, non eſt ejus diſcipulus. At verò qui non eſt ipſius diſcipulus, B indignus eſt, qui ſacrum faciat. Nam quomodo qui hoſtem Chriſti ſe gerit, ipſius repugnans voluntati, ab eo recipiatur?

Arist. *Qui reſipiſcentibus non ignoſcit, ipſe ignoſcentia indignus eſt.*

Et hic, ſi ſit Clericus, deponitur, ut qui Domino adverſatur dicenti, gaudium eſſe in cœlo ſuper uno peccatore reſipiſcente.

Canon LIII.

C *Si quis Epiſcopus, vel Presbyter, vel Diaconus, in feſtis diebus carnem & vinum non ſumit, abhorrens, & non propter exercitationem, deponatur, ut qui habeat inuſtam conſcientiam propriam, & ſit multis offenſionis cauſa.*

Bals. Omnem diem feſtum, & omnem diem dominicum celebrantes non jejunamus, ſed & Sabbatis omnibus, præterquam uno i. e. magno Sabbato, jejunium ſolvimus, ne juxta Judæorum ritus Sabbatum celebrare videamur. Qui ergo his diebus jejunat, ſiquidem ut ea quæ nobis à Deo in cibum data ſunt abhorrens, & D hinc populo offenſionis cauſam præbens, deponitur, ſi ſit videlicet Epiſcopus, vel Presbyter, vel Diaconus. Sin autem propter exercitationem ab eis abſtineat, ei ignoſcetur. Lege Canonis li. expoſitionem, & xiiii. Can. Syn. Ancyr. Laicus verò qui ſic malè jejunat, & cum Marcioniſtis Hæreticis luget, ſegregatur, ut in fine li. Canonis.

Zonar. Canonibus inſtitutum fuit, ut in ſabbatis (uno magno excepto) & in Dominicis, & in feſtivis diebus non jejunaretur. Attamen nonnulli ſanctorum Patrum in decem fortè diebus vel etiam viginti, ul- E tráque dies iſtos, non comedebant. Et etiam quidam ad dies uſque quadraginta jejunium protendebant. Quemadmodum igitur in Sabbatis illi jejunantes tranſgredi Canones non judicabantur: ſic neque, ſi quis per certos quoſdam dies velit abſtinere, & per totidem comedere, ſive Sabbatum in ipſos inciderit, ſive alius dies feſtus, judicabitur ut Canonum tranſgreſſor. Si verò in Sabbatis quatenus ipſis jejunet: aut ut carnes abominans, & vinum, his abſtineat: nec etiam i feſtis diebus ea ſumat: haudquaquam abſtinens exiſtimabitur, imo & dignus depoſitione judicabitur: ut qui multis cogitandi præbeat occaſionem, quod noxia ſint opera Dei: quorum ta- F men nullum malum eſt, nec abominandum. Decimus etiam quartus Ancyranæ Synodi Canon præcipit eos, qui ſunt in Clero carnibus abſtinentes, ut eas tangant, hoc eſt, ut deguſtent, deindéque ſic rurſus abſtineant: quod ſi hoc non faciant, ut ipſi deponantur.

Arist. *Sacerdos qui vinum & carnem non ſumit, niſi exercitationis cauſâ, deponitur.*

A

Canon LIV.

Si quis Clericus in caupona comedens deprehenſus fuerit, ſegregetur, præterquam ſi in publicum diverſorium in via propter neceſſitatem diverterit.

Bals. Divini & Sancti Apoſtoli cùm vellent Clericos agere vitam ab omni reprehenſione alienam, nec vulgus offendere, ſed potiùs ad bonum excitare, decernunt, ut non ſolum ab omni turpi mercatura abſtineant ut in aliis Can. dictum eſt; ſed etiam ut ne in cauponam ingrediantur cibi potûſve ſumendi cauſa: quandoquidem vilium & obſcurorum hominum hæc ſunt, & magnæ condemnationi obnoxia. Quam ob cauſam eum qui tale quid egerit Clericum ſegregari mandat Canon: eum autem qui in itinere propter neceſſitatem in caupona diverſatus eſt, non punit propter circumſtantiam. Qui ergo dicunt Clericos poſſe vini mercaturam facere, vel lavacra conducere, vel aliquam aliam turpem mercaturam exercere, malè dicunt. Si enim abſolutè prohibitum eſt, ne Clericus cauponam ingrediatur, multo magis prohibebitur ejuſmodi turpem mercaturam exercere, vel per ſe, vel per interpoſitam perſonam. Lege etiam Syn. Laodic. Can. xxiiii. & Carth. xl. Quia autem xlii. Canon Apoſtolicus Epiſcopum quidem, & Preſbyterum, & Diaconum aleis vel ebrietatibus vacantes deponi jubet, ſi non ceſſaverint: Hypodiaconum autem, & omnem, ut ſemel dicam, Clericum tale quid facientem ſimiliter & Laicos ſegregari, niſi corrigantur poſt denunciationem: exiſtimo ego quòd hîc quoque poſt primam & ſecundam admonitionem, ſegregabitur Clericus qui cauponam ingreditur, & à malo non abſtinet. Probatur autem hoc quoque ex eo quod dicit Canon: Si quis Clericus in caupona comedens deprehenſus fuerit, ſæpe ſcilicet malo uſus.

Zonar. In ſortem Dei vocatos oportet exemplo Laïcis eſſe vitæ venerandæ, & undiquáque inculpatos: Ne propter ipſos nomen Dei vituperetur. In cauponam autem ingredi, demonſtrat hoc agentes, inhoneſtam vitam ducere: Neque tantum circa cibum, potúmque corruptos ipſis mores eſſe, verùm etiam circa omnem aliam vivendi conſuetudinem. Nam, quum promiſcuè confluant in cauponam & inhoneſti viri, & inhoneſtæ mulieres, qui cum talibus converſatur, eorum turpitudinis expers non erit: Mala nempe colloquia, corrumpunt bonos mores. Ideo Canon jubet iſtiuſmodi Clericos ſegregari. Quòd ſi Clericus iter faciens, nec habens quò divertat, (hoc eſt, manſionem faciat, & quieſcat) in cauponam tum per neceſſitatem ſit ingreſſus, culpâ vacat, nec obnoxius eſt ulli pœnæ. Dicit hoc etiam vigeſimus quartus Canon Synodi Laodicææ, & quadrageſimus Synodi Carthaginenſis.

Arist. *Clericus qui abſque itineris neceſſitate in cauponâ comedit, excommunicandus eſt.*

Clerico iter facienti ſi in diverſorium propter neceſſitatem divertit, ignoſcendum eſt: qui ſine illâ autem circumſtantiâ in cauponâ manducat, excommunicandus.

ΚΑΝΩΝ νδ'.

Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω· παρὲξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύσαντος.

ΒΑΛΣ. Οἱ θεῖοι καὶ ἅγιοι ἀπόστολοι θέλοντες τοὺς κεκληρωμένους ἀνεπιλήπτου βίου εἶναι, καὶ μὴ σκανδαλίζειν τοὺς πολλοὺς, ἀλλὰ μᾶλλον διεγείρειν εἰς τὸ ἀγαθόν· διορίζονται μὴ μόνον ἀπέχεσθαι τούτους πάσης ἐμπορείας αἰσχροκερδοῦς, ὡς εἴρηται ἐν ἑτέρῳ κανόνι, ἀλλὰ μηδὲ εἰς καπηλεῖον εἰσιέναι B χάριν βρώσεως ἢ πόσεως. ἀσέμνων γὰρ ἀνδρῶν ταῦτα, καὶ μεγάλης κατακρίσεως ἄξια. διὸ καὶ τὸν τοιοῦτόν τι ποιοῦντα κληρικὸν ὁ κανὼν ἀφορίζεσθαι διορίζεται. τὸν δὲ καταλύσαντα εἰς πανδοχεῖον ἐν ὁδῷ διὰ ἀνάγκην, οὐ κολάζει διὰ τὸ περιστατικόν· οἱ γοῦν λέγοντες ὅτι δύναται κληρικὸς οἰνάρια ἐμπορεύεσθαι, ἢ πακτεύειν λουτρὸν, ἢ ἑτέραν αἰσχροκερδῆ μετιέναι ἐμπορείαν, κακῶς λέγουσιν. εἰ γὰρ τὸ ἁπλῶς εἰσιέναι κληρικὸν εἰς καπηλεῖον κεκώλυται, πολλῷ μᾶλλον κολασθήσεται τὸ ἐμπορεύεσθαι αὐτὸν τοιαύτην αἰσχρὰν ἐμπορείαν, ἢ δι' ἑαυτοῦ, ἢ διὰ παρενθέτου προσώπου. ἀνάγνωθι καὶ τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα κδ'. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα μ'. ἐπεὶ δὲ C ὁ ἀποστολικὸς μβ'. κανὼν τὸν μὲν Ἐπίσκοπον, τὸν πρεσβύτερον, καὶ τὸν διάκονον κύβοις ἢ μέθαις σχολάζοντα καθαιρεῖσθαί φησιν, εἰ μὴ παύσονται· τὸν δὲ ὑποδιάκονον καὶ πάντα ἁπλῶς κληρικὸν τοιοῦτόν τι ποιοῦντα, ὡσαύτως καὶ τοὺς λαϊκοὺς ἀφορίζεσθαι, εἰ μὴ διορθωθῶσι μετὰ παραγγελίαν, νομίζω ὅτι καὶ ἐνταῦθα μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἀφορισθήσεται ὁ ἐν καπηλείῳ εἰσερχόμενος κληρικὸς, καὶ μὴ ἀπεχόμενος τοῦ κακοῦ. παρίσταται δὲ τοῦτο καὶ ἐκ τοῦ λέγειν τὸν κανόνα, εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, δηλονότι τῷ κακῷ χρησάμενος πολλάκις.

D **ΖΩΝΑΡ.** Τοὺς τῷ θεῷ κεκληρωμένους δεῖ καὶ τοῖς λαϊκοῖς ὑπόδειγμα εἶναι βίου σεμνοῦ, καὶ πάντοθεν ἀνεπιλήπτους, ἵνα μὴ δι' αὐτοὺς βλασφημῆται τὸ ὄνομα τοῦ θεοῦ· τὸ δὲ ἐν καπηλείῳ εἰσιέναι, βίον ἄσεμνον ἔχειν τοὺς αὐτὸ ποιοῦντας δείκνυσιν, καὶ οὐ περὶ βρῶσιν καὶ πόσιν μόνην διεφθάρθαι αὐτοῖς τὰ ἤθη, ἀλλὰ καὶ περὶ τὴν ἄλλην πᾶσαν διαγωγήν. ἀσέμνων γὰρ ἀνδρῶν τε, καὶ γυναικῶν ἐν τοῖς καπηλείοις συναγομένων, ὁ τούτοις συναναστρεφόμενος, οὐκ ἀμέθεκτος ἔσται τῆς ἐκείνων κακίας. Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί. διὸ ἀφορίζεσθαι τοὺς τοιούτους κληρικοὺς διακελεύεται ὁ κανών· εἰ δὲ ὁδοιπορῶν ὁ κληρικὸς, καὶ μὴ ἔχων ἔνθα καταλύσει, E τουτέστι, μονὴν ποιήσεται καὶ διαναπαύσεται, ἐξ ἀνάγκης εἰς πανδοχεῖον εἰσέλθῃ, ἀναίτιος ἂν εἴη καὶ ἀτιμώρητος. τὸ αὐτό φησι καὶ ὁ εἰκοστὸς τέταρτος τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, καὶ ὁ τεσσαρακοστὸς τῆς ἐν Καρθαγένῃ.

ΑΡΙΣΤ. Ὁ δίχα τῆς κατὰ τρίβον ἀνάγκης κληρικὸς εἰς καπηλεῖον ἐσθίων, ἀφοριστέος.

Ὁ παροδεύων κληρικὸς, εἰ δι' ἀνάγκην καταλύσει εἰς πανδοχεῖον, συγγνωστέος· ὁ δὲ χωρὶς περιστάσεως εἰς καπηλεῖον ἐσθίων, ἀφοριστέος.

F

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ νέ.

Εἴ τις κληρικὸς ὑβρίσῃ τὸν Ἐπίσκοπον, καθαιρείσθω. ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

ΚΑΝΩΝ νϛ'.

Εἴ τις κληρικὸς ὑβρίσῃ πρεσβύτερον ἢ διάκονον, ἀφοριζέσθω.

ΒΑΛΣ. Οἱ διττοὶ κανόνες οὗτοι ὁ νέ. καὶ ὁ νϛ'. κολάζουσι τοὺς ὑβριστὰς κληρικούς. ἀλλ' ὁ μὲν νέ. καθαιρεῖσθαί φησι τὸν κληρικὸν τὸν ὑβρίσαντα τὸν Ἐπίσκοπον· ὁ δὲ νϛ'. ἀφορί- B
ζεσθαι διορίζεται τὸν ὑβρίσαντα κληρικὸν πρεσβύτερον, ἢ διάκονον, πάντως διὰ τὸ τιμὴν πλείονα χρεωστεῖσθαι τῷ Ἐπισκόπῳ. οἱ μὲν κανόνες οὕτω διαιροῦσι τὴν τιμωρίαν τῶν ὑβριστῶν κληρικῶν. ὁ δὲ πολιτικὸς νόμος πάντα ὑβριστὴν ἀτιμοῦσθαι διορίζεται, σὺν τῷ διδόναι καὶ χρηματικὴν ποινήν. νομίζω οὖν ὅτι τῇ ἀτιμίᾳ ἐπακολουθεῖ καὶ καθαίρεσις.

ΖΩΝΑΡ. Οἱ μὲν ἀρχιερεῖς, εἰς τύπον ὄντες τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κεφαλὴ τοῦ τῆς ἐκκλησίας σώματος λογιζόμενοι, καὶ πλείονος τιμῆς εἰσιν ἄξιοι. διὸ καὶ ὁ ἐνυβρίσας αὐτοῖς καθαιρεῖται. οἱ δὲ πρεσβύτεροι καὶ διάκονοι χειρῶν σώζοντες τύπον, ὡς δι' αὐτῶν τὰς ἐκκλησιαστικὰς διοική- C
σεις ἐνεργοῦντος τοῦ Ἐπισκόπου, τιμᾶσθαι μὲν κἀκεῖνοι ἄξιοι, οὐχ ὡς ὁ Ἐπίσκοπος δέ. οὐ γὰρ ὁμοίως τῆς κεφαλῆς καὶ τῶν χειρῶν ἐπιμελητέον· διὸ ὁ ὑβρίσας αὐτοὺς ἧττον κολάζεται, μόνον ἀφοριζόμενος.

ΑΡΙΣΤ. Καν. νέ. Ὑβρίζων Ἐπίσκοπον κληρικὸς, καθαιρεῖται,

Καν. νϛ'. Πρεσβύτερον, ἢ διάκονον, ἀφορίζεται.

D

ΚΑΝΩΝ. νζ'.

Εἴ τις κληρικὸς χωλὸν, ἢ κωφὸν, ἢ τυφλὸν, ἢ τὰς βάσεις πεπληγμένον χλευάσει, ἀφοριζέσθω. ὡσαύτως καὶ λαϊκός.

ΒΑΛΣ. Καὶ τοὺς κληρικοὺς καὶ τοὺς λαϊκοὺς ἀφορίζει ὁ κανὼν μὴ ἐλεοῦντας τοὺς ὁπωσδήποτε πεπηρωμένους τὸ σῶμα, ἀλλὰ παίσοντας αὐτούς. οἱ πλείους δὲ τὰ τοιαῦτα πρόφασιν ἔχουσι γέλωτος, τοῖς τοῦ θεοῦ κρίμασιν ἀντιπράττοντες.

E

ΖΩΝΑΡ. Τοὺς μέλη τινὰ πεπηρωμένους ἐλεεῖσθαι προσήκει, καὶ ὡς δυνατὸν ἀντιλαμβάνεσθαι τούτων, καὶ χειραγωγεῖν, ἀλλ' οὐχὶ διαπαίζειν. τοῦτο γὰρ δηλοῖ τὸ χλευάζειν. εἰ δὲ τοὺς τοῦτο ποιοῦντας λαϊκοὺς ὁ κανὼν ἀφορισμῷ ὑποβάλλει, τί ἂν τις λογίσαιτο περὶ κληρικῶν, οὓς, ὡς πολλάκις εἴρηται, ὑπόδειγμα πρὸς πᾶσαν ἀρετὴν, καὶ παροξυσμὸν πρὸς χρηστότητα τῷ λαῷ προκεῖσθαι χρεών;

ΑΡΙΣΤ. Ὡς δὲ καὶ τυφλὸν, καὶ κωφὸν, καὶ χωλὸν χλευάζων.

Ὁ ἐμπαίζων τυφλὸν, καὶ κωφὰν, ἢ χωλὸν, ἢ ἄλλως τὸ F
σῶμα πεπηρωμένον, ἀφορίζεται, ὡς τὸν πλάσαντα τούτους ἐπιμεμφόμενος.

CANON LV.

Si quis Clericus Epiſcopum contumelia affecerit, deponatur: Principi enim populi tui non maledices.

CANON LVI.

Si quis Clericus Presbyterum vel Diaconum injuria affecerit, ſegregetur.

BALS. Hi duo Canones lv. & lvj. puniunt injurioſos Clericos: ſed lv. dicit deponendum Clericum, qui Epiſcopum injuria affecit; lvj. autem decernit ſegregandum Clericum, qui Presbyterum, vel Diaconum injuria affecit: idque quia Epiſcopo major honor debetur. Canones quidem ſic dividunt ſupplicium inſolentium Clericorum. Jus autem civile definit, quemvis injuriam facientem notari infamia præter pœnam pecuniariam. Exiſtimo autem quod infamiam ſequitur etiam depoſitio.

ZONAR. Pontifices in typum Domini noſtri Jeſu Chriſti exiſtentes, & caput Eccleſiæ corporis exiſtimati, majore etiam ſunt honore digni. Quapropter, qui aliquid in hos agit contumelioſè, deponitur. Presbyteri verò, & Diaconi manuum typum gerentes (per quos, ut per manus, Epiſcopus adminiſtrationes exercet eccleſiaſticas) & hi quidem digni ſunt honorari: non tamen ut Epiſcopus: nec enim capitis, & manuum cura ſimiliter habenda eſt. Quapropter qui contumelioſus his fuerit, minus punitur: ab aliorum conventu ſolùm ſeparatus.

ARIST. CAN. LV. *Clericus Epiſcopum contumelià afficiens, deponitur,*

CAN. LVI. *Presbyterum vel Diaconum contumelià afficiens, excommunicatur.*

CANON LVII.

Si quis Clericus claudum, vel ſurdum, vel cæcum, vel eum cui vitioſus eſt inceſſus, irriſerit, ſegregetur. Similiter & Laicus.

BALS. Clericos & Laicos ſegregat Canon, qui eorum qui quomodocunque ſunt corpore mutilati, non miſerentur, ſed eos irrident. Plerique autem ex ejuſmodi rebus accipiunt ridendi occaſionem, Dei judiciis reſiſtentes.

ZONAR. Membris aliquibus mutilatos miſereri convenit, illóſque, quantum fieri poteſt, infirmos ſuſcipere, manúque regere, non autem illudere. Hoc enim ſignificat verbum, χλευάζειν. Quòd ſi Laïcos iſtud facientes Canon excommunicationi ſubjicit, quid exiſtimet quiſpiam de Clericis, quos (ut ſæpe dictum) populo propoſitos oportet eſſe virtutis omnis exemplo, ſtimuloque probitatis?

ARIST. *Sic vero & cæcum, & ſurdum & claudum irridens.*

Irridens cæcum, ſurdum, vel claudum, vel aliter corpore mutilatum, excommunicatur, ut formatorem eorum vituperans.

A

Canon LVIII.

Epiſcopus vel Preſbyter, qui Cleri vel populi curam non gerit, & eos pietatem non docet, ſegregetur: & ſi in negligentia & ſocordia perſeveret, deponatur.

Bals. Epiſcopalis dignitas in docendo conſiſtit: & omnis Epiſcopus debet docere populum pia dogmata, & ſtatum orthodoxorum. Speculator enim ideo conſtituitur, ut quæ ſui ſunt populi, attendat: & ideo Epiſcopus eſt appellatus. Porrò autem etiam Preſbyteri tales eſſe debent, quia etiam prope Epiſcopos ſedent in ſuperioribus cathedris. Epiſcopus ergo & Sacerdos, qui non ſic facit, ſed negligenter eſt affectus, ſegregatur: ſin autem in ſocordia perſeverat, etiam deponitur. Preſbyteri enim ſecundum Epiſcopalem admonitionem, & non ſuo arbitrio docent.

Zonar. Inexcuſabile eſt hoc omnis Epiſcopi debitum, docere ſibi ſubditum populum pia dogmata, dirigereque recta in opinionibus, & honeſtam vitam. Dicit enim Deus per Prophetam populorum prælatis, Si non denunciaveris, neque loquutus fueris, morietur injuſtus in injuſtitia ſua: ejus autem ſanguis de manu tua requiretur. Epiſcopus igitur, qui docendi curam negligit, excommunicatur. Et ſi ne ſic quidem deſiſtat à negligentia, deponitur. Similiter etiam Preſbyteri. Exigit enim Canon & hos tales eſſe, qui docere quoque poſſint. Et ille magnus etiam Paulus Epiſcopum jubet aptum eſſe ad docendum, ſobrium, videlicet, ac vigilantem, ſed non pigrum vel negligentem. Nomen etiam Epiſcopi ad ſobrietatem ipſum excitat. Nam σκοπὸς (id eſt, cuſtos) nominatus eſt. Cuſtodem verò vigilare oportet, non autem otio indulgere. Cathedra propterea conſtituitur Epiſcopis in edito & ſublimi templi loco, quæ quidem res denotat qualem eum eſſe, & quòd ab illa ſublimitate ſubditum populum reſpicere, valdéque diligenter obſervare debet. Ibi verò Preſbyteri ſimul cum Epiſcopo adſiſtere unàque ſedere juſſi: ut per eam ſic in alto ſitam cathedram ipſi pariter inducantur populum cum providentia inſpicere, ejuſque mores componere, tanquam dati laboris ſocii Epiſcopo. In Trullo quoque Synodi Canon decimus nonus ait, Præſules oportet omni die, maximè Dominicis, omnem Clerum & populum docere.

Arist. *Pietatem non docens Epiſcopus excommunicatur: deponitur autem perſeverans non docere.*

Epiſcopum oportet docere Clerum & populum pietatem, qui autem ſocordiâ inſtructionem iſtam prætermittit, excommunicatur. Si autem & poſt excommunicationem ad eam non excitatur, etiam deponitur.

Canon LIX.

Si quis Epiſcopus, vel Preſbyter, cùm ſit aliquis ex Clericis egenus, ea quæ ſunt neceſſaria, ei non ſuppeditat, ſegregetur: ſin autem perſeveret, deponatur, ut qui fratrem ſuum interfecerit.

Bals. Didicimus quòd Epiſcopus debet poſt neceſſariam ſuam impenſam, Eccleſiæque & Clericorum conſuetam diſpenſationem, quæ ſuperſunt ex Eccleſiæ reditibus, dare pauperibus: appellantur enim bona pauperum. Nunc autem decernit Canon, ut Epiſcopi & Preſbyteri curam gerant ut ſuppeditent pauperibus Clericis ea quæ ſunt neceſſaria, & eos quidem qui non ita faciunt, ſegregat: qui verò perſeverant, deponit, ut qui cauſæ ſunt mortis fratrum. Ne dicas autem, Quare punit Canon Preſbyteros, qui res ſuas pauperibus Clericis non diſtribuunt? Finge enim Preſbyterum poſſidere

ΚΑΝΩΝ νη'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου, ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ἀμελείᾳ καὶ ῥαθυμίᾳ, καθαιρείσθω.

ΒΑΛΣ. Τὸ Ἐπισκοπικὸν ἀξίωμα, διδασκαλικόν ἐστι· καὶ πᾶς Ἐπίσκοπος ὀφείλει διδάσκειν τὸν λαὸν τὰ εὐσεβῆ δόγματα, καὶ τὴν τῶν ὀρθοδόξων κατάστασιν. σκοπὸς γὰρ τίθεται, χάριν τοῦ ἐπισκοπεῖν τὰ ὑπὸ τὸν λαὸν αὐτοῦ. κἀντεῦθεν καὶ Ἐπίσκοπος κέκληται· καὶ οἱ πρεσβύτεροι δὲ τοιοῦτοι ὀφείλουσιν B εἶναι, ὅτι καὶ πλησίον τῶν Ἐπισκόπων ἐν ταῖς ἀνωτέρω καθέδραις κάθηνται. ὁ γοῦν μὴ ποιῶν οὕτως Ἐπίσκοπος καὶ ἱερεὺς, ἀλλὰ ἀμελῶς διακείμενος, ἀφορίζεται· ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ, καὶ καθαιρεῖται· οἱ πρεσβύτεροι γὰρ καὶ κατὰ προτροπὴν ἐπισκοπικὴν, καὶ οὐκ οἴκοθεν διδάσκουσι.

ΖΩΝΑΡ. Χρέος ἐστὶν ἀπαραίτητον παντὶ Ἐπισκόπῳ διδάσκειν τὸν ὑπ' αὐτὸν λαὸν τὰ εὐσεβῆ δόγματα, καὶ πρὸς ὀρθοδοξίαν ῥυθμίζειν, καὶ βίον σεμνόν. φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου πρὸς τοὺς τῶν λαῶν προεστῶτας· εἰ μὴ διαστείλῃ, μηδὲ λαλήσῃς, ἀποθανεῖται ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἀπαιτηθήσεται. ὁ γοῦν τῆς διδασκαλίας C ἀμελῶν Ἐπίσκοπος, ἀφορίζεται· εἰ δὲ μὴ οὕτω τῆς ἀμελείας ἀφίσταται, καὶ καθαιρεῖται· ὁμοίως καὶ οἱ πρεσβύτεροι. διδακτικοὺς γὰρ εἶναι καὶ τούτους ἀπαιτεῖ ὁ κανών· καὶ ὁ μέγας δὲ Παῦλος, διδακτικὸν καὶ νηφάλιον εἶναι διατάττεται τὸν Ἐπίσκοπον (νήφοντα, δηλαδὴ, καὶ ἐγρηγορότα) ἀλλὰ μὴ ἀνειμένον, καὶ ἀμελῆ· καὶ τὸ ὄνομα δὲ τοῦ Ἐπισκόπου εἰς νῆψιν αὐτὸν διεγείρει. σκοπὸς γὰρ ὠνόμασται· τὸν δὲ σκοπὸν ἐγρηγορέναι δεῖ, ἀλλ' οὐ ῥαθυμεῖν. διὰ τοῦτο τοῖς Ἐπισκόποις ἐν τῷ θυσιαστηρίῳ καθέδρα ἐφ' ὕψους ἵδρυται, δηλοῦντος τοῦ πράγματος, οἷον εἶναι τοῦτον, καὶ ὅτι δεῖ τὸν ὑπ' αὐτὸν λαὸν ὁρᾶν ἀφ' ὕψους, καὶ ἐπισκοπεῖν ἀκριβέστερον. καὶ οἱ πρεσβύτεροι συνιστάναι ἐκεῖ τῷ Ἐπισκόπῳ, καὶ D συγκαθῆσθαι ἐτάχθησαν, ἵνα καὶ οὗτοι διὰ τῆς ἀφ' ὕψους καθέδρας ἐνάγωνται εἰς τὸ ἐφορᾷν τὸν λαὸν, καὶ καταρτίζειν αὐτὸν, ὥσπερ σύμπονοι δοθέντες τῷ Ἐπισκόπῳ· καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου ιθ'. κανὼν, δεῖ φησι τοὺς προεστῶτας ἐν πάσῃ ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν.

ΑΡΙΣΤ. Τὴν εὐσέβειαν μὴ διδάσκων Ἐπίσκοπος, ἀφορίζεται· καθαιρεῖται δὲ μένων ἀδίδακτος.

E

Διδάσκειν δεῖ τὸν Ἐπίσκοπον τῷ κλήρῳ, καὶ τῷ λαῷ τὴν εὐσέβειαν· ὁ δὲ καταρραθυμῶν τῆς διδασκαλίας ταύτης, ἀφορίζεται· εἰ δὲ καὶ μετὰ τὸν ἀφορισμὸν πρὸς τοῦτο οὐ διεγείρεται, καὶ καθαιρεῖται.

ΚΑΝΩΝ νθ'.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ διάκονος, τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω, ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

F ΒΑΛΣ. Ἐμάθομεν ὅτι ὁ Ἐπίσκοπος ὀφείλει μετὰ τὴν ἀναγκαίαν αὐτοῦ δαπάνην καὶ τὴν τῆς ἐκκλησίας, καὶ τῶν κληρικῶν συνήθη οἰκονομίαν, τὰ περιττεύοντα ἐκ τῶν εἰσόδων τῆς ἐκκλησίας, διαδιδόναι πρὸς πένητας· πτωχικὰ γὰρ καλοῦνται· ἀρτίως δὲ διορίζεται ὁ κανὼν φροντίζειν τοὺς Ἐπισκόπους καὶ τοὺς πρεσβυτέρους τοῦ ἐπιχορηγεῖν τοῖς ἐνδεέσι κληρικοῖς τὰ χρειώδη, δὲ τοὺς μὴ ποιοῦντας οὕτως, ἀφορίζει, ἐπιμένοντας δὲ καθαιρεῖ, ὡς αἰτίους γινομένους τοῦ θανάτου τῶν ἀδελφῶν· μὴ εἴπῃς δὲ τίνος χάριν τοὺς πρεσβυτέρους ὁ κανὼν κολάζει, τὰ οἰκεῖα πράγματα μὴ διανέμοντας πρὸς ἐνδεεῖς κληρικούς;

θεμάτιζον γὰρ ἐγκρατῆ τὸν πρεσβύτερον εἶναι πραγμάτων ἐκκλησιαστικῶν, τυχὸν χωρεπίσκοπον προβληθέντα, ἢ πρωτοπάπαν, κἀντεῦθεν εὐπορήσαντα, καὶ ἀνάγκην ἔχοντα τοὺς πενομένους χειραγωγεῖν, πολλῷ δὲ μᾶλλον τοὺς πένητας κληρικούς. εἰ δὲ μὴ τοῦτο εἴπῃς, οὐ συνορῶ ποίῳ τρόπῳ ἀφορισθήσεται ἢ καθαιρεθήσεται πρεσβύτερος μὴ διδοὺς οἴκοθεν τὰ χρειώδη τῷ πενομένῳ συγκληρικῷ αὐτοῦ. τὸ δὲ φονεῦσαι τὸν ἀδελφὸν, μὴ εἴπῃς καὶ εἰς ἔργον ἐλθεῖν. κἂν γὰρ μὴ ἀπέθανε, γέγονε τοῦτο, ὅσον ἐπὶ τῇ τοῦ Επισκόπου ἢ τοῦ πρεσβυτέρου προθέσει.

ΖΩΝΑΡ. Τὰ τῶν ἐκκλησιῶν πράγματα, ἡ γραφὴ πτωχικὰ ὀνομάζει· καὶ δεῖ ταῦτα διαδίδοσθαι τοῖς πτωχοῖς. εἰ δὲ τοῖς ἄλλοις ἐνδεέσιν ἐπαρκεῖν οἱ τῶν ἐκκλησιῶν προεστῶτες ὀφείλουσι, ὡς ἐνὸν, πόσῳ μᾶλλον τοῖς ὑπ' αὐτοὺς τεταγμένοις κληρικοῖς πενομένοις; καὶ ὁ μὴ τοῦτο ποιῶν ἀφορίζεται, μένων δὲ ἀδιόρθωτος, καὶ καθαιρεῖται· ὅτι, ὅσον τὸ ἐπ' αὐτῷ, γέγονε τοῦ ἀδελφοῦ φονευτής· ὁ γὰρ μὴ εὐπορῶν τῶν συστατικῶν τῆς ζωῆς θανεῖται, ὁ δ' εὐπορῶν, καὶ μὴ τούτων κηδόμενος, πάντως φονεὺς πέφυκε. τί γὰρ εἰ μὴ ἐκεῖνος ἀπέθανεν, ἄλλοθεν αὐτῷ τῆς θείας προνοίας χορηγησάσης τὰ ζωαρκῆ;

ΑΡΙΣΤ. Επιδεῆ κληρικὸν οὐκ εὐεργετῶν ἱερεὺς, ἀφορίζεται· καθαιρεῖται δὲ μένων ἀνίλεως. Σαφής.

ΚΑΝΩΝ ξ'.

Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία, ὡς ἅγια, ἐπὶ τῆς ἐκκλησίας δημοσιεύει, ἐπὶ λύμῃ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρείσθω.

ΒΑΛΣ. Ακολούθως τῷ παρόντι ἀποστολικῷ κανόνι καὶ ἕτεροι κανόνες διορίζονται μὴ ἀναγινώσκεσθαι τὰ τῶν ἀσεβῶν βιβλία, ἀλλὰ πυρὶ παραδίδοσθαι· καὶ ζήτει τίτλον ιβ'. τοῦ παρόντος συντάγματος, κεφαλαίου γ'. καὶ τὰ ἐν αὐτῷ. ἐπεὶ δέ τινες ἐνόθευσαν εὐσεβῆ συγγράμματα, ἢ καὶ ὀρθοδόξων ὀνόματα ἐν ὑφῇ ἑτεροδόξῳ τεθείκασιν, ὡς ὁ αἱρετικὸς ἐκεῖνος Πάμφιλος ἐποίησε. θεολογικὰ ἔπη χρυσᾶ, τὰς αἱρετικὰς φλυαρείας τοῦ Χρυσομάλλου κατονομάσας, καὶ οὕτω τοὺς ἁπλουστέρους πλανήσας, διορίζεται ὁ κανὼν καθαιρεῖσθαι τὸν τοιαῦτα τελοῦντα ἱερωμένον ἐπὶ λύμῃ τοῦ λαοῦ. ζήτει καὶ τὸν τελευταῖον ἀποστολικὸν κανόνα, καὶ τοὺς ἡρωϊκοὺς στίχους τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου καὶ τῆς ἐν τῷ Τρούλλου συνόδου κανόνα ξγ'. καὶ μάθῃς ποῖα βιβλία ὀφείλουσιν ὑπὸ τῶν ὀρθοδόξων ἀναγινώσκεσθαι. ὁ ἅγιος Αμφιλόχιος, ὁ ἅγιος Αθανάσιος, καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος.

ΖΩΝΑΡ. Πολλὰ βιβλία παρὰ τῶν ἀσεβῶν ἐνοθεύθησαν εἰς βλάβην τῶν ἁπλουστέρων· ὥσπερ καὶ αἱ διὰ τοῦ ἁγίου Κλήμεντος γραφεῖσαι τοῖς Επισκόποις ἀποστολικαὶ διαταγαὶ, αἳ διὰ τοῦτο καὶ συνοδικῶς ἀπεβλήθησαν. τινὰ δὲ καὶ διόλου παρ' ἐκείνων συντέθειται ψευδεῖς ἐπιγραφὰς ἔχοντα, ὡς παρὰ πατέρων ἁγίων συγγεγραφότα· τὰ δὲ καὶ ἀπόκρυφα καλούμενα. ταῦτα τοίνυν ἀπόβλητα εἶναι κελεύει ὁ κανὼν, καὶ εἰς ἀνάγνωσιν μὴ προτίθεσθαι. Εἰ δέ τις δημοσίᾳ ταῦτα προσάγει, καὶ ἐπ' ἐκκλησίας ἀναγινώσκειν πειρᾶται, τοῦτον ἱερωμένον ὄντα, καθαιρέσεως ἀξιοῖ. τὰ δὲ ἀναγινώσκεσθαι ὀφείλοντα βιβλία τῆς παλαιᾶς, καὶ τῆς νέας γραφῆς ἀπηρίθμηνται ἀκριβῶς· πρότερον μὲν ἐν τῷ τελευταίῳ κανόνι τῶν ἀποστολικῶν τούτων διατάξεων· εἶτα καὶ τῷ μεγάλῳ Αθανασίῳ, καὶ τῷ μεγάλῳ καὶ σοφωτάτῳ πατρὶ Γρηγορίῳ τῷ θεολόγῳ, καὶ τῷ ἁγίῳ Αμφιλοχίῳ, καὶ ἀμφοτέροις τούτοις ἐμμέτρως. καὶ τῇ ἐν Καρθαγένῃ συνόδῳ. ἡ δὲ λεγομένη ἕκτη σύνοδος ἡ ἐν τῷ Τρούλλῳ ἐν τῷ ξγ'. κανόνι αὐτῆς, καὶ τοῦτό φησι· τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ μάρτυρας ἀτιμάζοιεν καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ δημοσιευέσθωσαν, ἀλλὰ πυρὶ παραδιδόσθωσαν· τοὺς δὲ παραδεχομένους,

A bona eccleſiaſtica, ut qui ſit fortè promotus Chorepiſcopus, vel Protopapa, & qui ex eo dives evaſerit, & neceſſe habet pauperes ſuſtentare, multo autem magis pauperes Clericos. Niſi enim hoc dixeris, non video quomodo ſegregabitur, vel deponetur Presbyter, qui de ſuo non dat pauperi ſuo Conclerico quæ ſunt neceſſaria. Fratrem autem interfeciſſe, ne dixeris ad factum uſq; proceſſiſſe. Etſi enim non eſt mortuus, quod ad Epiſcopi tamen vel Presbyteri propoſitum attinet, id factum eſt.

ZONAR. Scriptura nominat Eccleſiarum bona πτωχικά. B Et hæc πτωχοῖς, id eſt, inopibus diſtribui oportet. Quòd ſi præſides Eccleſiarum debent (ut licet per facultates) hæc aliis indigentibus erogare, quanto magis pauperibus Clericis, ſibi ſubjectis? Quod qui non facit, aliorum communione privatur; incorrigibilis autem permanens, ordine ſuo movetur: quia quantum in ſe eſt, fratris occiſor fuit. Nam, qui facultatem non habet earum rerum, quibus vita conſiſtit, is morietur, qui verò dives eſt & ei non adminiſtrat prorſus eſt homicida. Quid autem ſi non fuerit ille mortuus, aliunde ipſi divina providentiâ ſuppeditante res ad vitam ſuſtentandam ſufficientes?

C ARIST. *Clerico indigenti non benefaciens Sacerdos, excommunicatur: deponitur autem ſi immiſericors permaneat.* Perſpicuus.

CANON LX.

Si quis falſo inſcriptos impiorum libros tanquam ſanctos, in Eccleſia publicat, ad populi & Cleri perniciem, deponatur.

BALS. Præſenti Apoſtolico Canoni conſequenter alii quoque definiunt Canones, non eſſe legendos impiorum libros ſed igni tradendos. Quære etiam xii. tit. præſentis operis, cap. iii. & quæ in ipſo ſunt. D Quia autem nonnulli pia ſcripta adulteraverunt, vel etiam orthodoxorum nomina eorum qui malè ſentiunt ſcriptis appoſuerunt, ut Hæreticus ille fecit Pamphilus, qui aurea theologica dicta nugas hæreticas Chryſomalli appellavit, & ita ſimpliciores decepit, decernit Canon Sacerdotem eſſe deponendum, qui hoc audet in populi perniciem. Quære etiam ultimum Canonem Apoſtolicum, & heroicos verſus Sancti Gregorii Theologi, & Syn. in Trullo Canonem lxiii. & ſcies quinam libri legi debent ab orthodoxis. Sanctus Amphilochius, Sanctus Athanaſius, & Carthaginenſis Synodus.

E

ZONAR. Ab impiis hominibus ſuppoſiti libri multi fuerunt in perniciem ſimpliciorum. Veluti ſunt Epiſcopis per ſanctum Clementem ſcriptæ Apoſtolicæ conſtitutiones, quæ propterea ſynodicè rejectæ ſunt. Ab illis quoque ſunt omnino quædam compoſita, falſas inſcriptiones habentia, perinde ac ſi forent à Sanctis Patribus conſcripta. ſunt & quædam nuncupata Apocrypha. Canon cenſet igitur hæc eſſe rejicienda, nec ad lectionem proponenda. Quòd ſi quis hæc publicè profert, in Eccleſiâque legere conatur, hunc etiam conſecratum miniſtrum, dignum depoſitione cenſet. Libri verò tam F veteris, quàm novæ Scripturæ, qui legi debeant, exactè ſunt enumerati. Primùm quidem, in ultimo Canone iſtarum Apoſtolicarum conſtitutionum. Deinde etiam à magno Athanaſio, & à magno, ſapientiſſimóque Patre Gregorio theologo, & à ſancto Amphilochio, & ab his quidem duobus metricè. Et in Synodo Carthaginenſi. Nominata verò ſexta Synodus in Trullo, in ſexageſimo tertio Canone ipſius & hoc dicit. Quæ ſunt ab inimicis veritatis falſò conficta Martyrologia, ut Chriſti Martyres ignominiâ turpiter afficerent, & audientes inducerent ad incredulitatem, Ne publicentur, ſed igni tradantur. Suſcipientes autem, vel his, tanquam veris, mentem adhibentes, anathematizamus.

Arist. *Qui impii librum in Eccleſiâ publicat, deponitur.*

Qui in Eccleſia legit impiorum libros ut ſanctos, deponatur.

Canon LXI.

Si adverſus fidelem aliqua accuſatio intendatur, vel fornicationis, vel adulterii, vel alicujus alius prohibitæ actionis, & convictus fuerit, ad Clerum ne provehatur.

Bals. Qui fornicationis, vel adulterii, vel alicujus alius prohibitæ actionis accuſatus & convictus ſeu condemnatus eſt, non efficitur Clericus. Et nota hoc propter eos qui dicunt, ex eo ſolo quòd quis accuſatus fuerit, impediri ordinationem accuſatorum. Ecce enim dicit Canon, quód qui convicti ſunt, non ordinabuntur, non etiam qui ſolùm accuſati fuerint.

Zonar. In adulterio, vel ſcortatione, vel alia quapiam abſurditate deprehenſus, non ſolùm à Sacerdotio prohibetur, ſed omnino nec in ullum quidem Cleri gradum promovetur. Ad Epiſcoporum verò Clericorúmque accuſationem neque Hæretici qualeſcúnque habiles erunt, neque Schiſmatici qui ſeorſum ab Eccleſia celebrant conventicula: neque qui propter crimina rejecti ſunt ab Eccleſia, vel communi ſocietate privati, niſi prius objectas ſibi culpas purgatione deleverint, ſive ſint Clerici, ſive Laïci. Sed nec illi, qui de crimine aliquo ſunt ad judicem delati, prius, quam criminis expertes apparuerint: ſecundum ſextum Canonem ſecundæ Oecumenicæ Synodi, quæ fuit in Conſtantinopoli.

Arist. *Fidelis convictus de adulterio, fornicatione, & aliis criminibus, in Clerum non admittitur.*

Fidelis accuſatus adulterii, vel fornicationis, vel alicujus aliûs prohibitæ actionis & convictus, in Clerum non recipitur. Si infidelis autem quis ſit, & alicujus prædictorum peccatorum reus fuerit, ſi poſtea baptizetur, & poſt Baptiſma inculpabilem ſervet vitam ſuam, ſine prohibitione in Clerum etiam promovetur.

Canon LXII.

Si quis Clericus propter metum humanum Judæi, vel Græci, vel Hæretici, negaverit: ſi quidem nomen Chriſti, ejiciatur: ſi autem nomen Clerici, deponatur. Pœnitentiam autem agens, ut Laicus recipiatur.

Bals. Etſi Jus civile ei dat veniam, qui vi vel metu aliquid facere adactus eſt; jus tamen eccleſiaſticum vult omnes orthodoxos eſſe fidei confeſſores. ergo Clericus qui propter metum pœnæ negaverit nomen Chriſti, non ſolùm deponetur, ſed etiam tanquam membrum putridum, ex pulchro Eccleſiæ corpore abſcindetur: ſin autem ſe eſſe Clericum negaverit, deponetur: ſed & qui in utriſque egit purè pœnitentiam, ut Laicus admittetur. Nota ex hoc, quod qui tonſuræ characterem acceperunt, & deinde in Lectorum ordine conſtituti ſunt, ſi ſacras veſtes projecerint, & inſtar Laicorum converſati fuerint, non poſſunt quidquam tanquam Lectores agere, ſi rurſus ad Clerici habitum redierint, vel etiam Monachi facti fuerint: ſed ut Laici vitam agent. Si enim qui propter metum Clericatum ſuum negavit, deponitur, & tanquam Laicus ſolùm poſt pœnitentiam admittitur: multo magis qui talem ſua ſponte abnegationem admiſit, & ſanctum amictum illuſit, dignus priori Clericatu non cenſebitur.

A ὡς ἀληθέσι τούτοις προσανέχοντας, ἀναθεματίζομεν.

ΑΡΙΣΤ. Ὁ ἀσεβοῦς βίβλον ἐκκλησιάζων, καθαιρεῖται.

Ὁ ἐπ' ἐκκλησίας ἀναγινώσκων τὰ τῶν ἀσεβῶν βιβλία ὡς ἅγια, καθαιρείσθω.

ΚΑΝΩΝ ξα'.

Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ, πορνείας, ἢ μοιχείας, ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθείη, εἰς B κλῆρον μὴ προσαγέσθω.

ΒΑΛΣ. Ὁ ἐπὶ πορνείᾳ, ἢ μοιχείᾳ, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ πράξει κατηγορηθεὶς καὶ ἐλεγχθεὶς, ἤτοι καταδικασθεὶς, κληρικὸς οὐ γίνεται. καὶ σημείωσαι τοῦτο διὰ τοὺς λέγοντας ἀπὸ μόνου τοῦ κατηγορηθῆναι, τὴν τῶν κατηγορηθέντων ἐμποδίζεσθαι χειροτονίαν. ἰδοὺ γὰρ, φησὶν ὁ κανὼν, ὅτι οἱ ἐλεγχθέντες οὐ κληρωθήσονται· οὐ μὴν οἱ μόνον κατηγορηθέντες.

ΖΩΝΑΡ. Ὁ ἁλοὺς ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ ἄλλῳ τινὶ ἀτοπήματι, οὐ μόνον ἱερωσύνης κωλύεται, ἀλλ' οὐδὲ εἰς C κλῆρον ὅλως προσάγεται. εἰς κατηγορίαν δὲ Ἐπισκόπων, καὶ κληρικῶν, οὔτε αἱρετικοὶ οἱοιδήτινες δεκτοὶ εἰσίν· οὔτε μὴν σχισματικοὶ παρασυνάγοντες, οὔτε οἱ διὰ αἰτιάματα ἀπόβλητοι γεγονότες τῆς ἐκκλησίας, ἢ ἀκοινώνητοι, εἰ μὴ πρότερον τὰς αἰτίας τὰς κατ' αὐτῶν ἀποτρίψονται, κἂν κληρικοὶ ὦσι, κἂν λαϊκοί. ἀλλὰ οὐδὲ οἱ ὑπὸ κατηγορίαν ὄντες, πρὶν ἂν ἀθῷοι τῶν ἐγκλημάτων φανῶσι, κατὰ τὸν ἕκτον κανόνα τῆς δευτέρας οἰκουμενικῆς Συνόδου τῆς ἐν Κωνσταντινουπόλει.

ΑΡΙΣΤ. Πιστὸς ἐλεγχθεὶς ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ ἄλ- D λοις ἐγκλήμασι ἄκληρος.

Ὁ κατηγορηθεὶς πιστὸς ἐπὶ μοιχείᾳ, πορνείᾳ, ἢ ἄλλῃ τινὶ ἀπηγορευμένῃ πράξει, καὶ ἐλεγχθεὶς, εἰς κλῆρον οὐ παραδέχεται· εἰ δὲ ἄπιστος ὤν τις, καὶ ἁμαρτήσας τι τῶν ἀπηριθμημένων, εἶτα βαπτισθῇ, καὶ μετὰ τὸ βάπτισμα διατηρήσει τὸν βίον αὐτοῦ ἀνεπίληπτον, ἀκωλύτως καὶ εἰς κλῆρον προσάγεται.

ΚΑΝΩΝ ξβ'.

Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον Ἰουδαίου, ἢ Ἕλληνος ἢ αἱρετικοῦ, ἀρνήσεται· εἰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, E ἀποβαλλέσθω· εἰ δὲ τὸ ὄνομα τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ, ὡς λαϊκὸς δεχθήτω.

ΒΑΛΣ. Εἰ καὶ ὁ πολιτικὸς νόμος συγγνώμης ἀξιοῖ τὸν διὰ φόβον ἢ βίαν καταθέμενον ποιῆσαι τόδε τι, ἀλλ' ὁ τῆς ἐκκλησίας νόμος, ὁμολογητὰς τῆς πίστεως θέλει πάντας εἶναι τοὺς ὀρθοδόξους. ὁ γοῦν διὰ φόβον κολάσεως ἀρνησάμενος κληρικὸς τὸ ὄνομα τοῦ Χριστοῦ, οὐ μόνον καθαιρεθήσεται, ἀλλὰ καὶ ὡς σεσηπὸς μέλος ἐκ τοῦ καλοῦ τῆς ἐκκλησίας σώματος ἐκκοπήσεται· εἰ δὲ ἀρνήσεται κληρικὸς εἶναι, καθαιρεθήσεται· πλὴν καὶ ἐπ' ἀμφοτέροις ὁ μετανοήσας καθαρῶς δεχθήσεται ὡς λαϊκός. σημείωσαι δὲ ἀπὸ τούτου F ὅτι οἱ σφραγῖδα ἐπικουρίδος λαβόντες, κἀντεῦθεν εἰς τὸ τάγμα τῶν ἀναγνωστῶν καταστάντες, ἐὰν ῥίψωσι τὰ ἱερὰ ἄμφια, καὶ κατὰ λαϊκοὺς ἀναστραφῶσιν, οὐ δύνανται ὡς ἀναγνῶσται ἐνεργεῖν τὸ ὁτιοῦν· ἐὰν πάλιν μετασχηματισθῶσι κατὰ κληρικοὺς, ἢ καὶ μοναχοὶ γένωνται, ἀλλὰ λαϊκῶν ἀνύσουσι διαγωγήν. εἰ γὰρ ὁ κατὰ φόβον ἀρνησάμενος τὴν κλήρωσιν αὐτοῦ καθαιρεῖται, καὶ ὡς λαϊκὸς μόνον δέχεται μετὰ ἐπίγνωσιν, πολλῷ μᾶλλον ὁ ἑκοντὶ τὴν τοιαύτην ἄρνησιν πεποιηκὼς, καὶ παίξας τὸ ἅγιον σχῆμα, οὐκ ἀξιωθήσεται τῆς προτέρας κληρώσεως.

ΖΩΝΑΡ.

A **ΖΩΝΑΡ.** Τοὺς διὰ φόβον κολάσεως ἀρνησαμένους τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβλήτους ὁ κανὼν οὗτος πάντη τῆς ἐκκλησίας ποιεῖται· τοὺς δὲ τὸ τοῦ κληρικοῦ ὄνομα ἀπαρνησαμένους, καθαιρεῖσθαι κελεύει, μετανοοῦντας δὲ, ὡς λαϊκοὺς δέχεσθαι. ἡ δὲ ἐν Ἀγκύρᾳ σύνοδος τοὺς μετ' ἀληθείας (ἀλλ' οὐ μετ' ἐπιτηδεύσεως, καὶ κατασκευῆς ὑποκριθέντας φοβηθῆναι τὰς βασάνους) καὶ θύσαντας πρεσβυτέρους, καὶ διακόνους τῆς τιμῆς μὲν μετέχειν καὶ τῆς καθέδρας ὁρίζει, ἐνεργεῖν δέ τι ἱερατικὸν, οὐ παραχωρεῖ.

ΑΡΙΣΤ. Ὁ ἀρνησίχριστος, καὶ ἀπόβλητος· ὁ δὲ τὸν κλῆρον ἀθετήσας, ἐπιστρέφων, κατὰ λαϊκὸν προσιτός. B

Ὁ διὰ φόβον ἀνθρώπινον τὸν Χριστὸν ἀρνησάμενος, ἀπόβλητος. ὁ δὲ μὴ τὸν Χριστὸν, ἀλλὰ τὸ ὄνομα τοῦ κληρικοῦ ἀρνησάμενος, κληρικὸς ὢν, καθαιρεῖται· μετανοῶν δὲ, ὡς λαϊκὸς παραδέχεται.

ΚΑΝΩΝ ξγʹ.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω. τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. C

ΒΑΛΣ. Τὸ, οὐ φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἐν τῇ βίβλῳ τῆς γενέσεως νενομοθέτηται. ταῦτα δέ εἰσι τὰ πνικτά. ἀλλ' οὐδὲ θηριάλωτον ἢ θνησιμαῖον ἐσθίειν ἔξεστιν· ὁ δὲ παρὰ ταῦτα ποιῶν, εἰ μὲν ἐστὶ κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω· τὰ δὲ ὑπὸ ὀρνέων θηρευτῶν, ἢ κυνῶν, ἢ παρδάλεων θηρευόμενα καὶ πνιγόμενα, πῶς παρά τινων ἐσθίονται, ἀγνοῶ. σημείωσαι οὖν τὸν κανόνα, διὰ τοὺς Λατίνους τὰ πνικτὰ ἀδιαφόρως ἐσθίοντας.

D **ΖΩΝΑΡ.** Τοῦτο καὶ ἐν τῇ βίβλῳ τῆς γενέσεως ἀπηγόρευται, ὁ γὰρ θεὸς τοῖς ἀνθρώποις μετὰ τὸν κατακλυσμὸν πάντα ἐσθίειν ὡς λάχανα ἐπιτρέψας, ἐπήγαγε, πλὴν κρέα ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. οἷά εἰσι τὰ παρά τινων ἐσθιόμενα πνικτά. τοῖς γὰρ ζώοις ἀντὶ ψυχῆς, τὸ αἷμά ἐστιν. ἀλλ' οὐδὲ θηριάλωτον, ἢ θνησιμαῖον ἐσθίειν ἔξεστιν.

ΑΡΙΣΤ. Γευόμενος θύτης πνικτοῦ, ἢ θηριαλώτου, ἢ θνησιμαίου, καθαιρεῖται· ὁ δὲ λαϊκὸς, ἀφορίζεται.

ΚΑΝΩΝ ξδʹ. E

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς εἰσέλθῃ εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καὶ καθαιρείσθω, καὶ ἀφοριζέσθω.

ΒΑΛΣ. Ἐν μὲν τῷ μεʹ. ἀποστολικῷ κανόνι ἡρμηνεύθη παρ' ἡμῶν ὅπως νοεῖται τὸ συνεύξασθαι μετὰ αἱρετικῶν· ἐνταῦθα δὲ διορίζεται ὁ κανὼν, τὸν ἐπὶ συναγωγῇ Ἰουδαίων ἢ αἱρετικῶν προσευξάμενον κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι, λαϊκὸν δὲ ἀφορίζεσθαι· οὕτω γὰρ διαιρετέον τὰ τῆς κολάσεως, ὅτι μηδὲ πέφυκε καθαιρεῖσθαι τὸν λαϊκόν. εἰ δὲ καὶ καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι εἴπῃς τὸν τοιαῦτα ποιοῦντα κληρικὸν, οὐχ ἁμάρτῃς τοῦ F δέοντος· ἀνάγνωθι καὶ τὸν ιαʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, διοριζόμενον, πόρρω ἀπέχειν τῶν Ἰουδαίων πάντας τοὺς χριστωνύμους, ἱερωμένους δηλαδὴ καὶ λαϊκοὺς, καὶ μηδὲ μέχρι ἰατρείας ἢ ἄλλης τινὸς αἰτίας τούτοις συγκοινωνεῖν· ἢ μὴν, τοὺς μὲν καθαιρεῖσθαι, τοὺς δὲ ἀφορίζεσθαι.

ΖΩΝΑΡ. Μέγα ἁμάρτημα ὁ κανὼν ἡγεῖται, τὸ Χριστιανὸν εἰς Ἰουδαίων συναγωγὴν, ἢ αἱρετικῶν, χάριν προσευχῆς, εἰσιέναι. τίς γὰρ συμφώνησις Χριστῷ πρὸς Βελίαρ;

Zonar. Qui metu ſupplicii negaverunt Chriſti nomen, ab Eccleſia Canon præſens omnino rejicit. At eos, qui Clerici nomen abnegaverunt, deponi præcipit, facti verò pœnitentes, ut Laïcos recipi. In Ancyra verò Synodus, eos, qui verè timuerunt (non autem qui conſultò cogitatóque ſe metuiſſe tormenta ſimularunt) ſacrificantes etiam Presbyteros, atque Diaconos, honoris quidem & cathedræ participes eſſe definit: ſed agere quicquam ſacri non permittit.

Arist. *Qui negat Chriſtum, & excommunicatus eſt: qui autem Clerum contempſerit, rediens pro Laico recipiendus eſt.*

Qui propter humanum timorem Chriſtum negaverit, excommunicatus eſt. Qui autem non Chriſtum ſed nomen Clerici negaverit, ſi ſit Clericus deponitur, reſipiſcens autem ut Laicus recipitur.

Canon LXIII.

Si quis Epiſcopus, vel Presbyter, vel Diaconus, vel omnino ex ſacerdotali catalogo, comederit carnes in ſanguine animæ ſuæ, vel quid à feris captum, vel morticinum, deponatur: hoc enim lex prohibuit: ſi autem ſit Laicus ſegregetur.

Bals. Illud, Ne comedatis carnes in ſanguine animæ ſuæ, in libro Geneſis conſtitutum eſt. Hæc autem ſunt ſuffocata. Sed nec à fera captum, vel morticinum licet comedere. Qui autem præter hæc facit, ſi eſt quidem Clericus, deponatur: ſi verò ſit Laicus, ſegregetur. Quæ autem à venatoriis avibus vel canibus vel pantheris capiuntur, & ſuffocantur, quomodo ab aliquibus comeduntur, neſcio. Nota ergo Canonem, propter Latinos, qui ſuffocata indiſcriminatim comedunt.

Zonar. Hoc etiam prohibitum fuit in libro Geneſeos. Nam quum Deus hominibus omnia, velut olera, comedere poſt diluvium permiſiſſet, addidit, Verum carnes in ſanguine animæ non comedite: qualia ſunt, quæ à nonnullis comeduntur, ſuffocata. Nam, Sanguis eſt animalibus animæ vice. Sed neque fas eſt, à fera captum, vel morticinum comedere.

Arist. *Sacerdos qui ſuffocatum, aut à ferâ captum, aut morticinum guſtaverit, deponitur. Laicus autem excommunicatur.*

Canon LXIV.

Si quis Clericus aut Laicus in Synagogam Judæorum, vel Hæreticorum introierit ad orandum, & deponatur, & ſegregetur.

Bals. In xlv. Canone Apoſtolico à nobis interpretatum eſt, quomodo intelligitur illud: Vnà cum Hæreticis orare. Hic autem Canon conſtituit, ut qui in Judæorum vel Hæreticorum Synagoga oraverit, ſi ſit quidem Clericus, deponatur: ſi verò Laicus, ſegregetur. Ita enim pœnam dividit, quòd nec poſſit deponi Laicus. Si autem deponi & ſegregari dixeris Clericum qui hæc facit, minimè aberraveris. Lege & xi. Can. Syn. in Trullo, qui decernit ut omnes Chriſtiani nomen ſortiti, & Sacrati & Laici, à Judæis longè ſint remoti: & nec uſque ad medicinam, vel ullam aliam cauſam, cum eis communicent: vel hi quidem deponantur, illi verò ſegregentur.

Zonar. Magnum peccatum Canon exiſtimat, Chriſtianum in Judæorum Synagogam, vel Hæreticorum, Orationis gratiâ ingredi. Nam, Quæ conſonantia

tia Chriſtò cum Belial? Aut, Quæ pars fideli cum infideli? ſecundum magnum illum Apoſtolum, Siquidem Judæorum ſynagoga ne ipſis quidem ſufficit ad ſacrificium. Illis enim vetitum eſt extra Hieruſalem hoſtiam offerre. Quòd ſi legem tranſgrediantur illi, quum ſuas intrant Synagogas, quantò magis Chriſtianus orans cum Chriſti interfectoribus, Legis tranſgreſſor eſt judicandus? Hæreticorum verò coitio, qui deprædicant orthodoxis contraria, non eſt ab Orthodoxis honoranda, imo multò magis illa eſt abhorrenda. Propterea, nonnulli dicunt hunc Canonem duplici ſubjicere pœnæ, tanquam graviter peccantes, eos, qui tales introgrediuntur Synagogas ad orationem, depoſitioni (videlicet) & excommunicationi. Sed alii Canonem dicunt partiri pœnas in Clericos, & in Laïcos, & depoſitionem quidem contra ſacratos decerni, contra Laïcos excommunicationem. Et ille quidem linguâ præditus aureâ Johannes in ſermonibus contra Judæos valde increpat Antiochenos, quòd feſta celebrarent unà cum Judæis. Vndecimus autem in Trullo Synodi Canon vetat omnibus, quæ ſunt apud Judæos, Azymis veſci & cum ipſis cohabitare: vel in morbis ipſos accerſere, ab eiſdemque medelas capere, Vel unà cum ipſis lavare. Canonem veró non obſervantes, conſecratos quidem miniſtros à gradu dejicit, Laïcos autem à communione rejicit.

ARIST. *Qui cum Judæis orat, excommunicatur.*

Qui ingreditur ſygnagogam Judæorum, aut Hæreticorum, & cum iis orat, Si Clericus quidem eſt, deponitur, ut ea quæ Judæorum ſunt, ſapiens, ſi Laicus autem excommunicatur. Epiſcopus verò, aut Presbyter, aut Diaconus qui in Domo tantum cum Hæreticis orat, excommunicatur, juxta Canonem xlv.

CANON LXV.

Si quis Clericus in jurgio quempiam pulſaverit, & uno ictu interemerit, ob impotentis animi ſui effrænationem, deponatur: Laicus vero ſi fuerit, ſegregetur.

BALS. Sacri Myſterii miniſtri juſſi ſunt iram comprimere, ſicut ex xxvii. Canone Apoſtolico declaratur. Hic autem decernit Canon, ut deponatur Clericus qui ab ira victus fuerit, & tempore concertationis aliquem percuſſum occiderit. Perinde autem ac ſi dixiſſet quiſpiam, non debere eum deponi, ſi ab una pulſatione mortuus ſit qui vulnus acceperit, quòd forte non fuerit cædes voluntaria, infert Canon eum etiam deponi oportere qui uno ictu interfecerit. Diverſi autem ſancti Baſilii Canones Clericum, qui quomodocunque interfecerit, deponunt. Lege etiam lib. lx. tit. xxxix. cap. I. decretum iii. & cap. v. decretum ii. & cap. xxvi. ix. tit. præſentis operis. Illic enim ſitæ ſunt dictæ leges. Similiter lege & Sancti Baſilii Can. viii. xi. xliii. liiii. lv. lvi. lvii. & ea magis conſidera quæ ad animam pertinent. Animæ enim vulnera magis eccleſiaſtica quam civili curatione indigent.

ZONAR. Quum Dominus omnibus imperet, ut etiam obvertant ſiniſtram verberanti maxillam dextram: & non obſiſtant: Clericus, qui quempiam percuſſerit in pugna, ſi percuſſus interierit, etiamſi uno ictu, tanquam temerarius, ordine movetur. Laïcus autem hoc faciens, excommunicatur. Pugnam vero contentionem, ſed nihil amplius putes oportet.

ARIST. *Clericus homicida deponitur, Laicus excommunicatur.*

A ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, κατὰ τὸν μέγαν ἀπόστολον; ἡ γὰρ τῶν Ἰουδαίων συναγωγὴ, οὐδ᾽ αὐτοῖς ἐκείνοις εἰς θυσίαν ἀρκοῦσά ἐστιν. ἀπηγόρευται γὰρ αὐτοῖς ἔξω τῆς Ἱερουσαλὴμ θυσίαν προσάγειν. εἰ δ᾽ ἐκεῖνοι εἰς τὰς συναγωγὰς αὐτῶν εἰσιόντες παρανομοῦσι, πολλῷ πλέον χριστιανὸς, τοῖς τοῦ Χριστοῦ ἀναιρέταις συνευχόμενος, κριθείη παρανομῶν; ἡ δὲ τῶν αἱρετικῶν σύναξις, ἐναντία τοῖς ὀρθοδόξοις πρεσβευόντων, κἀκείνη οὐ τιμητέα ὀρθοδόξοις, μᾶλλον μὲν οὖν καὶ ἀποβλητέα. τινὲς μὲν οὖν ὡς μεγάλα ἁμαρτάνοντας τοὺς εἰσιόντας εἰς τὰς τοιαύτας συναγωγὰς διὰ εὐχὴν, διπλῇ φασὶ τιμωρίᾳ τὸν κανόνα τοῦτον ὑπάγειν, καθαιρέσει (δηλαδὴ) B καὶ ἀφορισμῷ. ἄλλοι δὲ μερίζειν λέγουσι τὸν κανόνα τὰς τιμωρίας πρὸς κληρικούς τε, καὶ λαϊκούς. καὶ τὴν μὲν καθαίρεσιν κατὰ τῶν ἱερωμένων ψηφίζεσθαι. κατὰ δέ γε τῶν λαϊκῶν, τὸν ἀφορισμόν. καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν Ἰωάννης ἐν τοῖς κατὰ Ἰουδαίων λόγοις πάνυ καθάπτεται τῶν Ἀντιοχέων, ὡς συνεορταζόντων τοῖς Ἰουδαίοις. ὁ δὲ ἑνδέκατος τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανὼν, πᾶσιν ἀπαγορεύει τὸ ἐσθίειν τὰ παρὰ Ἰουδαίοις ἄζυμα, καὶ τὸ τούτοις προσοικειοῦσθαι, ἢ ἐν νόσοις αὐτοὺς προσκαλεῖσθαι, καὶ ἰατρείας παρ᾽ αὐτῶν λαμβάνειν, ἢ συλλούεσθαι αὐτοῖς. καὶ τοὺς μὴ φυλάσσοντας τὸν κανόνα ἱερωμένους μὲν καθαιρεῖ, λαϊκοὺς δὲ ἀφορίζει.

C

ΑΡΙΣΤ. Ὁ Ἰουδαίοις συνευχόμενος, ἀφορίζεται.

Ὁ εἰσελθὼν εἰς συναγωγὴν Ἰουδαίων, ἢ αἱρετικῶν, καὶ προσευξάμενος μετ᾽ αὐτῶν, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται, ὡς φρονῶν τὰ τῶν Ἰουδαίων· εἰ δὲ λαϊκὸς, ἀφορίζεται. Ὁ δὲ ἐν οἴκῳ συνευξάμενος μόνον αἱρετικοῖς Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἀφορίζεται, κατὰ τὸν με. κανόνα.

ΚΑΝΩΝ ξε΄.

D Εἴ τις κληρικὸς, ἐν μάχῃ τινὰ κρούσας ἀπὸ τοῦ ἑνὸς κρούσματος ἀποκτείνῃ, καθαιρείσθω, διὰ τὴν προπέτειαν αὐτοῦ· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Οἱ τῆς ἱερᾶς ἁγιστείας διακονηταὶ, τοῦ θυμοῦ κρατεῖν ἐκελεύσθησαν, καθὼς δηλοῦται καὶ ἀπὸ τοῦ κζ΄. Ἀποστολικοῦ κανόνος. ἐνταῦθα δὲ διορίζεται ὁ κανὼν καθαιρεῖσθαι τὸν ὑπὸ θυμοῦ νικηθέντα κληρικὸν, καὶ διὰ πληγῆς φονεύσαντά τινα ἐν καιρῷ φιλονεικίας. ὡς τινος δὲ εἰπόντος μὴ ὀφείλειν τοῦτον καθαιρεῖσθαι ἐὰν ἀπὸ κρούσματος ἑνὸς ἐτελεύτησεν ὁ δεξάμενος τὴν πληγὴν, διὰ τὸ μὴ ἑκούσιον εἶναι τάχα τὸν φόνον, ἐπάγει ὁ κανὼν καθαιρεῖσθαι καὶ τὸν διὰ E μιᾶς πληγῆς φονεύσαντα· διάφοροι δὲ κανόνες τοῦ ἁγίου Βασιλείου, τὸν ὁπωσδήποτε φονεύσαντα κληρικὸν καθαιροῦσιν. ἀνάγνωθι καὶ βιβλίου ξ΄. τίτλου λθ΄. κεφ. α΄. θέμα γ΄. καὶ κεφ. ε΄. θέμα β΄. καὶ κεφ. κϛ΄. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος. ἐκεῖ γὰρ κατεστρώθησαν οἱ ῥηθέντες νόμοι. ὡσαύτως ἀνάγνωθι καὶ τοῦ ἁγίου Βασιλείου κανόνας η΄. ια΄. μγ΄. νδ΄. νε΄. νϛ΄. νζ΄. καὶ πρόσεχε τούτοις μᾶλλον ὅσον τὰ εἰς ψυχήν. τὰ γὰρ ψυχικὰ τραύματα πλέον δέονται θεραπείας ἐκκλησιαστικῆς, ἢ πολιτικῆς.

ΖΩΝΑΡ. Τοῦ κυρίου τῷ τύπτοντι τὴν δεξιὰν σιαγόνα, F στρέφειν καὶ τὴν ἀριστερὰν κελεύοντος πᾶσι, καὶ μὴ ἀντιαμύνεσθαι· ὁ ἐν μάχῃ πλήξας τινὰ κληρικὸς, ἐὰν ὁ πληγεὶς ἀποθάνῃ, κἂν ἐκ μιᾶς πληγῆς, ὡς προπετὴς καθαιρεῖται. λαϊκὸς δὲ τοῦτο ποιήσας, ἀφορίζεται. μάχην δὲ φιλονεικίαν οἰητέον, ἀλλ᾽ οὐχὶ πλέον.

ΑΡΙΣΤ· Φονεὺς κληρικὸς καθαιρεῖται· λαϊκὸς ἀφορίζεται.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ ξϛ'.

Εἴ τις κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον (πλὴν τοῦ ἑνὸς μόνου) καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Τὸ σάββατον οὐ νηστεύομεν, ἵνα μὴ δόξωμεν ἰουδαΐζοντες. τὴν κυριακὴν πανηγυρίζομεν, διὰ τὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παγκόσμιον χαρὰν καὶ ἀνάστασιν. καὶ ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπόμνησις, ἡ δὲ ἀναστάσεως μᾶλλον δὲ ἀναπλάσεως. κατὰ δὲ μόνον τὸ μέγα σάββατον, καθ' ὃ τὸ κυριακὸν σῶμα ἐν τῷ τάφῳ ἄπνουν ἔκειτο, νηστεύειν κατὰ τὴν τοῦ Κυρίου φωνὴν τὴν λέγουσαν, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν, προσετάχθημεν. ὁ γοῦν παρὰ ταῦτα ποιῶν, εἰ μὲν ἐστὶ κληρικὸς, καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. ὑπέξελέ μοι τοὺς θείους πατέρας τοὺς δι' ἄσκησιν ἔστιν ὅτε νηστεύοντας, καὶ κατὰ ταύτας τὰς ἡμέρας· οὗτοι γὰρ οὐ κατακριθήσονται. ζήτει καὶ τῶν ἁγίων ἀποστόλων κανόνα να'. καὶ νγ'.

ΖΩΝΑΡ. Καλὸν μὲν ἡ νηστεία. τὰ δὲ καλὰ καλῶς γινέσθω, εἰ δέ τις θεσμοὺς ἀποστολικοὺς, ἢ πατέρων ἁγίων παραβαίνων νηστεύει, ἀκούσεται ὅτι οὐ καλὸν τὸ καλὸν, ὅταν μὴ καλῶς γίνηται. ὁ κανὼν τοίνυν ἐν σαββάτῳ, καὶ κυριακῇ μὴ νηστεύειν θεσπίζων, ὁ μὲν κληρικὸς νηστεύων, ὑπὸ καθαίρεσιν γίνεται, ὑπὸ ἀφορισμὸν δὲ ὁ λαϊκός· εἰ μήπου δι' ὡρισμένων ἡμερῶν νηστεύοντός τινος, διὰ δέκα, τυχὸν, ἢ ὀκτὼ, δι' ἄσκησιν (ὡς ἤδη προείρηται) συνεισάγονται ταῖς ὡρισμέναις ἡμέραις, καὶ σάββατα, καὶ κυριακαί. ὃ καὶ πολλοὶ τῶν ἁγίων πατέρων πεποιηκότες εὑρίσκονται, καὶ μέχρι τεσσαρακοντάδος ἡμερῶν νηστεύοντες.

ΑΡΙΣΤ. Κυριακὴν, ἢ σάββατον ὁ νηστεύων, πλὴν ἑνὸς, ἀποκήρυκτος.

Καθαιρεῖται ὁ ἐκτὸς τοῦ μεγάλου σάββατον ἕτερον, ἢ κυριακὴν νηστεύων· εἰ δὲ λαϊκός ἐστιν ὁ τοιοῦτος, ἀφορίζεται.

ΚΑΝΩΝ ξζ'.

Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχοι, ἀφοριζέσθω· μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην κατέχειν ἣν ἡρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν φησὶν ἀφορίζεσθαι τὸν βιασάμενον παρθένον μὴ μνηστευθεῖσαν ἑτέρῳ τινὶ, καὶ ἀναγκάζεσθαι ταύτῃ συνοικεῖν, κἂν πενιχρὰ ἐστὶ, κἂν ἀναξία τοῦ γένους αὐτοῦ. καὶ μὴ ταύτης ἀποδιΐστασθαι, καὶ λαμβάνειν ἑτέραν. καὶ ὁ μὲν κανὼν ταῦτα ἐθέσπισεν. ὁ γὰρ μεμνηστευμένην βιασάμενος, ὡς μοιχὸς τιμωρεῖται. καὶ ζήτει τὸν ϙγ'. κανόνα τῆς ϛ'. συνόδου. περὶ δὲ τοῦ ἔχειν τὸν τὴν βίαν ποιήσαντα, τὴν βιασθεῖσαν κἂν πενιχρὰ ἐστὶ, καὶ μὴ συνάπτεσθαι ἑτέρᾳ, ζητητέον. ἵνα τί γὰρ ἐξεχωρήθη ὁ τὴν βίαν πλημμελήσας καὶ ἐφεξῆς ἔχειν τὴν βιασθεῖσαν, καὶ μὴ λαμβάνειν ἑτέραν, καὶ ταῦτα τοῦ νόμου λέγοντος ἐν βιβλίῳ ξ'. τίτλ. λζ'. κεφ. πα'. ὁ βιασάμενος κόρην καὶ φθείρας αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ. ἔοικε τοίνυν ὡς ἀκολούθως τῷ τρίτῳ κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου, τῷ διοριζομένῳ ἀναγκάζεσθαι τὸν μετὰ σώφρονος γυναικὸς παλλακευόμενον, καὶ εἰς γάμου κοινωνίαν λαμβάνειν αὐτὴν, καὶ τὸν παρόντα κανόνα νοεῖσθαι. καὶ διὰ τὴν βίαν μὲν ἀφορίζεσθαι τὸν ταύτην πλημμελήσαντα. διὰ δὲ τὴν σωτηρίαν τῆς παρθένου ἀναγκάζεσθαι αὐτὸν νομίμως ταύτῃ συνάπτεσθαι. ἀνάγνωθι καὶ τοῦ παρόντος συντάγματος τίτλον θ'. κεφ. λ'. καὶ τὰ ἐν αὐτῷ. καὶ βιβλίου τῶν βασιλικῶν ξ'. τίτλον νη'. κεφ. γ'. λέγον, μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάζοντι αὐτήν. ἀλλὰ καὶ εἰ

CANON LXVI.

Si quis Clericus deprehendatur die Dominico jejunans, aut Sabbato, præter unum ſolum, deponatur. Si verò Laicus, ſegregetur.

B a l s. Sabbato non jejunamus, ne Judæos imitari videamur: diem Dominicum celebramus propter Domini & Servatoris noſtri Jeſu Chriſti, quæ eſt in univerſo mundo, lætitiam, & reſurrectionem: & quoniam illud quidem mundi opificii eſt commemoratio, hæc vero reſurrectionis vel potius reformationis. Uno autem B magno Sabbato, quo Domini corpus exanime in ſepulchro jacebat, jejunare juſſi ſumus: juxta vocem Domini dicentem, quando ablatus ab eis fuerit ſponſus, tunc jejunabunt. Qui ergo præter hæc facit, ſi eſt quidem Clericus, deponatur: ſin autem Laicus, ſegregetur. Excipe autem mihi divinos Patres, qui propter exercitationem nonnunquam jejunant etiam his diebus: hi enim non condemnabuntur. Quære etiam Sanctorum Apoſtolorum Can. li. & liii.

Z o n a r. Bona quidem res eſt jejunium. Bona verò bene fiant. Si quis autem ſanctiones Apoſtolicas, aut ſanctorum Patrum tranſgrediens jejunet, audiet, quòd C bonum ſit non bonum, eo quòd non bene fiat. Quum ſtatuat igitur Canon in Sabbato vel Dominica non eſſe jejunandum, Clericus quidem jejunans depoſitionis pœnæ obnoxius eſt, & Laïcus, excommunicationis. Niſi per dies certos jejunet aliquis, per decem (verbi gratiâ) vel octo exercitii cauſâ (ſicut ante jam fuit dictum) illiſque determinatis jejunii diebus incidant & Sabbata, & Dominici dies. Quod & multi ſanctorum Patrum feciſſe comperiuntur, ad quadrageſimum uſque diem jejunantes.

A r i s t. *Qui Dominicâ aut Sabbato jejunat, excepto* D *uno, ejicitur.*

Deponitur qui præter magnum Sabbatum, aliud Sabbatum aut Dominicam jejunat. Si autem Laicus eſt talis, excommunicatur.

CANON LXVII.

Si quis virginem non deſponſam vi allata habet, ſegregetur: ei autem aliam accipere non liceat: ſed illam retinere quam elegit etiamſi pauper ſit.

B a l s. Hic præſens Canon ſegregari dicit eum, E qui non deſponſam alicui alteri virginem violaverit, & cogi cum ea habitare, quamvis pauper ſit, & genere illius indigna, neque ab illa ſejungi, atque alteram ſumere. Atque hæc quidem hoc Canone ſancita ſunt: nam qui deſponſæ vim attulit, ut adulter punitur: quære & xciii. Can. vi. Syn. De eo autem, quòd qui vim attulit, eam quam violavit, habeat, etiamſi ſit pauper, & alii non jungatur, quærendum eſt. Quare enim concederetur ei qui vi peccavit, & deinceps habere violatam & alteram non accipere, idque cùm Lex dicat in libro lx. tit. xxxvii. Cap. lxxxi. Qui puellæ vim affert, & eam corrumpit, ei nares abſcindantur, & det ei etiam ter- F tiam partem ſuarum facultatum: Videtur ergo hic quoque Canon intelligi convenienter iii. capiti xxxvii. tit. lx. libri, decernenti, eum qui cum continente muliere rem habet, eam in matrimonii ſocietatem accipere: & propter vim quidem, ſegregari eum qui in iſtam peccavit, propter virginis autem ſalutem cogi ipſum ei legitimè copulari. Lege & præſentis operis tit. ix. cap. xxx. & quæ in eo ſunt, & librum Baſilic. lx. tit. lviii. cap. iii. dicentem: Ne nubat rapta ei qui eam rapuit: ſed ſi tali matrimonii copulæ conſenſerint ejus parentes, exterminantur. Et ne contraria existimaveris. Aliter enim punitur qui puellam rapuit, aliter qui vi virgini vitium attulit. Et raptus quidem propter ejus qui rapuit impudentiam, non condonatur. Per vim autem stupratio, si ab ea cui vis allata est, suscipiatur, remittitur. Sed qui illius voluntate cum virgine congressus est, alio modo punitur. Ait enim lex in libro lx. tit. xxxvii. cap. lxxx. Qui cum virgine puella coiit, illius quidem voluntate, parentibus autem ignorantibus, re cognita, si eam quidem in uxorem habere voluerit, & parentes consentiant, fiat contractus. Si autem una pars parentum, id est utriusvis personæ, non velit, si dives quidem est qui vitium attulit, violatæ puellæ det unam auri libram. Sin autem sit egentior, suarum facultatum dimidium: sed si in extrema sit paupertate, verberatus & tonsus exterminetur.

Zonar. Qui virginem vi corrupit, si quidem jam alicui desponsam, veluti mœchus punitur: Sin non desponsam, Canon definit hunc habere illam debere, nec eam rejicere posse: tametsi paupercula foret, illoque fortassis indigna. Civili autem lege aliter punitur.

Arist. *Qui puellæ vim attulerit, excommunicatus, habeat & eam licet pauperem.*

Qui virgini non desponsæ vim attulerit, eámque violaverit, excommunicetur, ne liceat autem ei aliam accipere, sed eam habere quam elegit, quamvis paupercula sit. Octava autem constitutio in lxxviii. capite xxxvii. tit. lx. lib. Basilicorum posita, statuit tali nasum esse amputandum, & tertiam partem substantiæ ejus dandam puellæ ab ipso violatæ & corruptæ.

Canon LXVIII.

Si quis Episcopus, vel Presbyter, vel Diaconus secundam ordinationem ab aliquo susceperit, deponatur & ipse, & qui ordinavit, nisi utique constiterit quòd ab Hæreticis ordinationem habeat. Qui enim ab eis baptizati, vel ordinati sunt, ut fideles vel Clerici sint, fieri non potest.

Bals. Is qui bis quovis modo ordinatus unum & eundem gradum Sacerdotalem suscepit, deponitur, nec ipse tantum, sed & qui sciens ipsum ordinavit. Videntur enim aut priorem ordinationem damnare, aut post defectionem à priore, fieri posteriorem, quod perfici nequit. Qui enim semel datæ sibi ordinationis gratiæ renuntiavit, non amplius potest aliquod Sacerdotale munus obire. Quoniam autem ordinatio & Baptisma Hæreticorum neque Clericos, neque fideles facit, decretum est sine periculo ordinari & baptizari eos, qui ab Hæreticis ordinati sunt, aut baptizati, quod quæ facta sint ab eis perinde habeantur, ac si facta non essent.

Zonar. Quempiam bis ordinari variè quis intelligere poterit. Aut enim tanquam despiciens eum, qui prius ordinavit, ordinationem secundam quærit: Aut etiam tanquam se putans majorem Spiritus gratiam suscepturum, magisque sanctificatum iri per eum, qui secundo ordinaverit, ut fidem in eum habens: Vel quia fortassis à Sacerdotio defecerit, iterum velut de integro ordinatur: vel etiam propter alias forsitan causas. Quocunque autem modo hoc fecerit, & qui bis fuit ordinatus, & quisquis ordinavit eum, depositionis pœnæ subditur. Nisi forte prior ordinatio facta fuisset ab Hæreticis. Nec enim Baptisma Hæreticorum potest quempiam facere Christianum: nec ordinatio eorum efficere Clericum potest. Ab Hæreticis igitur ordinatos rursus ordinari, sine periculo est.

A Συναινέσουσι δὲ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς περιορίζονται. καὶ μὴ ἐναντιωθῇ σοι. ἄλλως γὰρ κολάζεται ὁ ἁρπάσας κόρην, καὶ ἄλλως ὁ κατὰ βίαν φθείρας παρθένον. καὶ ἡ μὲν ἁρπαγὴ διὰ τὴν ἀναίδειαν τοῦ ἁρπάσαντος οὐ συγγινώσκεται· ἡ δὲ κατὰ βίαν γινομένη φθορά, ἐὰν ὑπὸ τῆς βιασθείσης καταδέχηται, συγγινώσκεται. ὁ μέντοι παρθένῳ συναφθεὶς κατὰ γνώμην ἐκείνης, ἑτέρως τιμωρεῖται. φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ξ΄. τίτλῳ λζ΄. κεφ. π΄. ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων, τουτέστιν B ἑκατέρου προσώπου, οὐ θελήσει, εἰ μὲν εὔπορος ἐστιν ὁ φθορεὺς τῇ φθαρείσῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

ΖΩΝΑΡ. Ὁ παρθένον φθείρας βίᾳ, εἰ μὲν μεμνηστευμένην τινί, ὡς μοιχὸς τιμωρεῖται. εἰ δὲ ἀμνήστευτον, παρὰ μὲν τοῦ κανόνος ἔχειν αὐτὴν, καὶ μὴ ἀποπέμπειν ὁρίζεται, κἂν πενιχρὰ εἴη, καὶ ἀναξία ἴσως ἐκείνου. παρὰ δὲ τοῦ πολιτικοῦ νόμου ἄλλως τιμωρεῖται.

C **ΑΡΙΣΤ.** Ὁ βιασάμενος κόρην, ἀφοριζόμενος κατεχέτω, καὶ ἄπορον αὐτὴν ὑπάρχουσαν.

Ὁ βιασάμενος παρθένον ἀμνήστευτον, καὶ συμφθαρεὶς αὐτῇ, ἀφοριζέσθω, μὴ ἐξέστω δὲ αὐτῷ ἑτέραν λαβεῖν, ἀλλ' ἐκείνην κατέχειν ἣν ᾑρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ. ἡ δὲ ὀγδόη διάταξις ἡ ἐν τῷ οη΄. κεφαλαίῳ τοῦ λζ΄. τίτλου τοῦ ξ΄. βιβλίου τῶν βασιλικῶν κειμένη, προστάττει τὸν τοιοῦτον ῥινοκοπεῖσθαι, καὶ τὸ τρίτον τῆς οὐσίας αὐτοῦ διδόναι τῇ παρ' αὐτοῦ βιασθείσῃ καὶ φθαρείσῃ κόρῃ.

ΚΑΝΩΝ. ξη΄.

D Εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος δευτέραν χειροτονίαν δέξεται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας· εἰ μή γε ἄρα συσταίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν. τοὺς γὰρ παρὰ τῶν τοιούτων βαπτισθέντας ἢ χειροτονηθέντας, οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν.

ΒΑΛΣ. Ὁ καθ' οἱονδήτινα τρόπον δὶς χειροτονηθεὶς ἐπὶ τῷ αὐτῷ καὶ ἑνὶ ἱερατικῷ ἀξιώματι, καθαιρεῖται, καὶ οὐ μόνον αὐτὸς ἀλλὰ καὶ ὁ ἐν εἰδήσει τοῦτον χειροτονήσας. ἐοίκασι γὰρ ἢ τῆς προτέρας χειροτονίας καταγινώσκειν, ἢ κατὰ ἀπόστασιν τῆς προτέρας γίνεσθαι τὴν δευτέραν, ὅπερ τελεσθῆναι E ἀδύνατον. ὁ γὰρ ἅπαξ παραιτησάμενος τὴν δοθεῖσαν αὐτῷ χειροτονίας χάριν, οὐκέτι δύναται ἱερατικόν τι ἐνεργῆσαι. ὅτι δὲ ἡ χειροτονία καὶ τὸ βάπτισμα τῶν αἱρετικῶν, οὔτε κληρικοὺς οὔτε πιστοὺς ποιεῖ, ὡρίσθη, ἀκινδύνως χειροτονεῖσθαι καὶ βαπτίζεσθαι τοὺς παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας ἢ βαπτισθέντας, ὡς τῶν γινομένων παρὰ τούτων ἀντὶ μηδὲ γινομένων λογιζομένων.

ΖΩΝΑΡ. Τὸ δὶς τινὰ χειροτονηθῆναι, διαφόρως ἄν τις νοήσῃ. ἢ γὰρ ὡς τοῦ πρότερον αὐτὸν χειροτονήσαντος καταγινώσκων, δευτέραν χειροτονίαν ἐπιζητεῖ· ἢ ὡς παρὰ τοῦ F δεύτερον αὐτὸν χειροτονήσαντος, πλείονά τινα χάριν τοῦ πνεύματος δέξεσθαι οἰόμενος, καὶ ἁγιασθήσεσθαι, ὡς πίστιν εἰς ἐκεῖνον ἔχων· ἢ ἀποστὰς τῆς ἱερωσύνης τυχὸν, αὖθις ὡς ἐξ ἄλλης ἀρχῆς χειροτονεῖται· ἢ καὶ δι' ἑτέρας ἴσως αἰτίας. ὡς δ' ἂν δὲ τοῦτο ποιήσῃ, καὶ ὁ δὶς χειροτονηθεὶς, καὶ ὁ χειροτονήσας αὐτὸν, καθαιρέσει ὑπόκεινται. εἰ μή που ἡ προτέρα χειροτονία, παρὰ αἱρετικῶν ἐγένετο. οὔτε γὰρ βάπτισμα αἱρετικῶν δύναταί τινα ποιῆσαι Χριστιανὸν, οὔτε χειροτονία τούτων κληρικὸν ἐργάσαιτο ἄν. τοὺς οὖν παρὰ τῶν αἱρετικῶν χειροτονηθέντας αὖθις χειροτονεῖσθαι, ἀκίνδυνον.

ΑΡΙΣΤ. Ὁ διχειροτόνητος, μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται· εἰ μὴ αἱρετικὴ χεὶρ ἡ προτέρα.

Ὁ δευτέραν χειροτονίαν δεξάμενος Ἐπίσκοπος, ἢ πρεσβύτερος, ὡς δοκῶν τὴν πρώτην βδελύσσεσθαι, μετὰ τοῦ χειροτονοῦντος καθαιρεῖται, εἰ μὴ παρ' αἱρετικοῦ ἡ προτέρα γέγονε.

ΚΑΝΩΝ ξθʹ.

Εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ Πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω· ἐκτὸς, εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὑπέξελε τὴν τετράδα καὶ τὴν παρασκευὴν τὰς πρὸ τῆς Ἀποκρέω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι διὰ τοὺς Νινευΐτας, καὶ τὰς τῆς τυροφάγου διὰ τοὺς τετραδίτας, καὶ τὰς τῆς διακινησίμου· πᾶσα γὰρ ἡ ἑβδομὰς αὕτη ὡς ἡ μεγάλη κυριακὴ λογίζεται. Ἡ τεσσαρακονθήμερος νηστεία τοῦ πάσχα, πρῶτα μὲν παρεδόθη ὑπὸ τοῦ Κυρίου, νηστεύσαντος ἐπὶ τοσαύταις ἀριθμοῖς ἡμέραις· εἶτα καὶ διὰ τοῦ παρόντος κανόνος ὑπὸ τῶν ἁγίων ἀποστόλων. φησὶ γὰρ, εἴ τις πιστὸς οὐ νηστεύει κατὰ τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ πάσχα, καὶ κατὰ πᾶσαν τετράδα καὶ παρασκευὴν (καὶ ἐν ταύταις γὰρ παρομοίως τῇ ἁγίᾳ τεσσαρακοστῇ ξηροφαγεῖν ὠρίσθημεν, ἄνευ ὧν εἰρήκαμεν τὰς περὶ τῆς Ἀποκρέω, ἐν αἷς νηστεύουσιν οἱ Ἀρμένιοι, καὶ τὰς τῆς τυροφάγου, καὶ τῆς διακινησίμου) εἰ μὲν ἐστὶ κληρικὸς καθαιρείσθω, εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. ὑπέξελέ μοι τοὺς νοσοῦντας· οὗτοι γὰρ καταλύσαντες διὰ ἰχθύων, συγγνωσθήσονται. διὰ κρέατος γὰρ οὐ καταλύσει τις καθ' οἱανδήτινα τετράδα καὶ παρασκευὴν, ἄνευ ὧν εἰρήκαμεν ἔμπροσθεν, κἂν τὰ λοίσθια πνέῃ. ὡσαύτως ὑπέξελέ μοι καὶ ἀπὸ τῆς τεσσαρακονθημέρου τὰ σάββατα καὶ τὰς κυριακάς. καταλυόμεθα γὰρ ὁμοίως καὶ εἰς ταύτας, κατὰ τὸν ξϛʹ. ἀποστολικὸν κανόνα. σημείωσαι δὲ καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κυρίως μία ἐστὶν νηστεία ἡ τεσσαρακονθήμερος ἡ τοῦ πάσχα· εἰ γὰρ ἦσαν καὶ ἄλλαι, ἐμνήσθη ἂν καὶ τούτων ὁ κανών, πλὴν καὶ κατὰ τὰς ἄλλας νηστείμους, ἤγουν τῶν ἁγίων ἀποστόλων, καὶ τῆς κοιμήσεως τῆς ἁγίας θεοτόκου, καὶ τῆς γεννήσεως τοῦ Χριστοῦ, νηστεύοντες, οὐκ αἰσχυνόμεθα. Ἀνάγνωσον καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὴν γʹ. ἐρώτησιν τῶν γενομένων Συνοδικῶν ἀποκρίσεων ἐπὶ τῶν ἡμερῶν τοῦ Πατριάρχου κυροῦ Νικολάου.

ΖΩΝΑΡ. Ἐκ παντὸς τρόπου ὁ κανὼν ἀπαιτεῖ τοὺς πιστοὺς τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ πάσχα, καὶ τετράδα, καὶ παρασκευὴν ἑκάστης τῶν ἄλλων ἑβδομάδων ἐν νηστείᾳ διάγειν, εἰ μή τις διὰ σωματικὴν ἀσθένειαν νηστεύειν οὐ δύναται. ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σαρκός. εἰ δ' ἐκ νόσου, ἢ ἀσθενείας ἄλλης τινὸς καταπονοῖτο ἡ σάρξ, ἡ ἐκ τῆς νηστείας ταπείνωσις ἐκείνη, οὐκ ἀναγκαία. τοὺς δὲ μὴ τὸν κανόνα τοῦτον φυλάττοντας, ἱερωμένους μὲν καθαιρεῖσθαι προστάττει ὁ κανὼν, λαϊκοὺς δὲ ἀφορίζεσθαι. Σημειωτέον οὖν ὅτι ἐν ἴσῃ τάξει τίθησιν ὁ κανὼν τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ πάσχα, καὶ τετράδα, καὶ παρασκευήν.

ΑΡΙΣΤ. Τὸν μὴ νηστεύοντα τὴν τεσσαρακοστὴν, ἢ τετράδα καὶ παρασκευὴν, κληρικὸν, καθαιρήσεις, τὸν δὲ λαϊκὸν ἀφορίσεις· εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζεται. Σαφής.

A Arist. *Qui bis ordinatur, ſimul cum ordinatore deponitur; niſi manus prior fuerit hæretica.*

Epiſcopus aut Presbyter qui ſecundam ordinationem ſuſceperit, ut viſus primam deteſtari, ſimul cum ordinatore deponitur; niſi prima facta fuit ab Hæretico.

Canon LXIX.

Si quis Epiſcopus, vel Presbyter, vel Diaconus, vel Lector, vel Cantor, ſanctam Paſchæ quadrageſimam non jejunat, vel quartum diem, vel Paraſceuen, præterquam ſi propter imbecillitatem corporalem impediatur, B *deponatur: ſi ſit autem Laicus, ſegregetur.*

Bals. Excipe feriam quartam & ſextam quæ ſunt ante Apocreon ſive carniſprivium, quibus jejunant Armenii propter Ninevitas; item feriam quartam & ſextam Tyrophagi propter Tetraditas, ut & Diacineſimi; tota enim illa hebdomas tanquam magna Dominica reputatur. Quadrageſimale Paſchæ jejunium, primùm quidem à Domino traditum eſt, qui tot diebus jejunavit. Deinde per præſentem Canonem à Sanctis Apoſtolis. Dicit enim, Si quis fidelis non jejunat in ſancta Quadrageſima Paſchæ, & in omni quarto die, & C Paraſceue (nam & in iis ſimiliter ac in Quadrageſimâ aridis veſci juſſi ſumus, exceptis iis de quibus loquuti ſumus, nempe feriâ quartâ & ſextâ ante carniſprivium, quibus jejunant Armenii, item Tyrophagi & Diacineſimi) ſi eſt quidem Clericus, deponatur: ſi verò Laicus, ſegregetur. Excipe mihi eos qui ægrotant. Hi enim ſi per piſces jejunium non ſolvant, eis venia datur. Per carnem autem non ſolvet quis quemcunque quartum diem, & Paraſceuen, (exceptis iis de quibus verba ante fecimus) etiam ſi extremum ſpiritum agat. Similiter excipe mihi & ex quadrageſima, Sabbata, & dies Dominicos. Nam & in his etiam jejunium ſolvimus, ut vult Apoſtolicus D Canon lxvi. Nota & ex hoc præſenti Canone propriè unum eſſe jejunium Quadrageſimale Paſchæ. Si enim eſſent & alia, eorum Canon quoque meminiſſet. Sed & ſi in aliis jejunii diebus, ſcilicet ſanctorum Apoſtolorum, dormitionis ſanctiſſimæ Deiparæ, & natalis Chriſti, jejunaverimus, pudore non afficiemur. Lege & quæ à nobis ſcripta ſunt in tertiam interrogationem reſponſionum Synodalium factarum in diebus Patriarchæ Domini Nicholai.

Zonar. Omni modo Canon requirit, ut fideles agant in jejunio ſanctam Paſchæ quadrageſimam, & E uniuſcujuſque cæterarum hebdomadarum diem quartum, atque Paraſceuen: niſi quis ob imbecillitatem corporis jejunare non poſſit. Nam jejunium fuit introductum, ad humiliationem carnis: quòd ſi caro morbo, vel aliquâ aliâ infirmitate laboret, illa ex jejunio humiliatio non eſt neceſſaria. Hunc autem Canonem non obſervantes, Conſecratos quidem deponi Canon jubet, Laïcos autem excommunicari. Notandum igitur quòd eodem in ordine Canon ponit, ſanctam Paſchæ Quadrageſimam, & quartam feriam, & Paraſceuen.

Arist. *Clericum non jejunantem Quadrageſimam,* F *vel quartum diem, vel Paraſceuen depones, Laicum autem excommunicabis: niſi per infirmitatem impeditur.* Perſpicuus.

A

CANON LXX.

Si quis Episcopus, vel Presbyter, vel Diaconus, vel omnino ex Clericorum catalogo, jejunat cum Judæis, vel cum ipsis festos dies agit, vel ab ipsis festi xenia accipit, (ut verbi gratia azyma, aut quid tale) deponatur. Si verò sit Laicus, segregetur.

Bals. Cùm præcepissent per alios Canones Apostoli, quid fieri debeat in eos qui cum Hæreticis precantur aut cum excommunicatis, jam decernunt, aut qui cum Judæis jejunant, aut azyma festivitatum ipsorum recipiunt, aut aliud ejusmodi aliquod munus, si quidem Clerici sint, deponi, sin Laici, excommunicari: Ne dixeris autem eos Judaizare, tanquam idem cum Judæis sentiant: omnino enim non depositioni vel segregationi solùm subjicientur, sed etiam absolutæ & omni ex parte perfectæ excommunicationi, uti etiam jubet xxix. Canon Laodic. Syn. sed dic hos quidem rectè sentire & orthodoxos esse, sed ecclesiasticarum traditionum contemptores, & indiscriminatim viventes: & ideo ipsos mitiùs, ut qui offendiculum generent, puniri. Propterea namque & nos qui Judæis aliisque Hæreticis contraria & sentimus & agimus, solvimus citra dubitationem, quando illi jejunant, forte propter minas Ninives, vel alias quæ eis videntur causas. Ac ex hoc quidem quòd deponuntur vel segregantur ii qui à Judæis festorum ipsorum xenia accipiunt, azyma, & cætera, dicunt multi eos argui qui per azyma mysticum sacrificium faciunt. Si enim simpliciter azymum comesse Judaici festi, depositionem & segregationem inducit, eorum tanquam dominici corporis esse participes, & similiter ac illi pascha facere, quam non habebit condemnationem & animadversionem? Nota ergo hunc Canonem, & quære Carthaginen. Synodi Canonem lx.

Zonar. Si qui simul orat cum Excommunicato, vel deposito, per jam scriptos Canonas, pœnæ reus est, cum Judæis agens festum vel cum ipsis jejunans, vel aliquas eorundem festi partes ab illis accipiens, (Hominibus non separatis & excommunicatis, sed Christi occisoribus & procul exclusis à fidelium cœtu vel potius maledictis) quomodo non etiam dignus fuerit, Sacratus quidem, depositione, vel Laicus, excommunicatione? Nam tametsi non sentiat, quod illi: multis tamen occasionem scandali præbet, in seque ipsum suspicionem, quasi Judaïcos habeat in honore ritus, simul & illorum conversatione contaminari creditur: ad quos Deus per Prophetam, prius etiam quàm Christum trucidassent, invenitur dixisse, Jejunium, & Ferias, & Festivitates vestras odit anima mea. Vigesimus autem nonus in Laodicæa Synodi Canon definit Christianos in Sabbatis ab operibus suis non debere vacare. Judaistæ verò sint Anathema, dicit. Et sexagesimus in Carthagine Synodi Canon prohibet agere festa, convivarique cum Gentilibus.

CANON LXXI.

Si quis Christianus oleum deferat in templum gentium, vel in Synagogam Judæorum, in eorum festis, vel lucernam accendit, segregetur.

Bals. Alio modo dictum est nullam esse societatem fideli cum infideli, unde & præsens Canon segregari dicit Christianum qui cum infideli quovis festa celebret, vel oleum aut lucernam ad ejus falsa sacrificia accendat, eo quòd iste cum infidelibus consentire censeatur. Atque ex hoc quidem Canone leviùs castigatur talis, ex aliis autem graviter punitur.

ΚΑΝΩΝ ο'.

Εἴ τις Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύει μετὰ Ἰουδαίων, ἢ ἑορτάζει μετ' αὐτῶν, ἢ δέχεται παρ' αὐτῶν τὰ τῆς ἑορτῆς ξένια (οἷον, ἄζυμα ἤ τι τοιοῦτον) καθαιρείσθω. εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἀπόστολοι διὰ ἑτέρων κανόνων τί ὀφείλει γίνεσθαι εἰς τοὺς συνευχομένους μετὰ αἱρετικῶν ἢ ἀφωρισμένων, ἄρτι παρακελεύονται τοὺς μετὰ Ἰουδαίων νηστεύοντας, ἢ δεχομένους τὰ τῆς ἑορτῆς αὐτῶν ἄζυμα, ἢ ἕτερον B ξένιον, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. μὴ εἴπῃς δὲ τούτους ἰουδαΐζειν, ὡς καὶ τοῖς Ἰουδαίοις ὁμόφρονας ὄντας· πάντως γὰρ οὐ καθαιρέσει μόνῃ ἢ ἀφορισμῷ καθυποβληθήσονται, ἀλλὰ καὶ παντελεῖ ἀκοινωνησίᾳ, καθὼς καὶ ὁ κθ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου παρακελεύεται. ἀλλ' εἰπὲ τούτους ὀρθοδόξους μὲν εἶναι, καταφρονητὰς δὲ τῶν ἐκκλησιαστικῶν παραδόσεων, καὶ ἀδιαφόρως ζῶντας· κἀντεῦθεν μετριωτέρως αὐτοὺς ὡς σκανδαλοποιοὺς κολάζεσθαι. διὰ γὰρ τοῦτο καὶ ἡμεῖς τἀναντία τοῖς Ἰουδαίοις καὶ τοῖς ἄλλοις αἱρετικοῖς φρονοῦντες καὶ πράττοντες, καταλύομεν ἀνενδοιάστως, C ὅταν ἐκεῖνοι νηστεύωσι, τυχὸν διὰ τὴν κατὰ τῆς Νινευῒ ἀπειλὴν, ἢ καὶ δι' ἑτέρας αἰτίας δοκούσας αὐτοῖς. ἀπὸ μέντοι τοῦ καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι τοὺς λαμβάνοντας ἐξ Ἰουδαίων τὰ τῆς ἑορτῆς αὐτῶν ξένια, τὰ ἄζυμα δηλαδὴ, καὶ τὰ λοιπὰ, λέγουσιν οἱ πολλοὶ ἁλίσκεσθαι τοὺς ποιουμένους διὰ ἀζύμων τὴν μυστικὴν θυσίαν. εἰ γὰρ τὸ ἁπλῶς, φησὶ, φαγεῖν ἄζυμα Ἰουδαϊκῆς ἑορτῆς, καθαίρεσιν ἐπάγει καὶ ἀφορισμὸν, τὸ μεταλαμβάνειν αὐτῶν, ὡς κυριακοῦ σώματος, καὶ παρομοίως ἐκείνοις διὰ τούτων τὸ πάσχα ποιεῖν, ποίαν οὐχ ἕξει κατάγνωσιν καὶ κόλασιν; σημείωσαι οὖν τὸν τοιοῦτον κανόνα, καὶ ζήτει τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'.

D **ΖΩΝΑΡ.** Εἰ ὁ ἀκοινωνήτῳ συνευξάμενος, ἢ καθῃρημένῳ, διὰ τοὺς ἤδη γεγραμμένους κανόνας, ὑπὸ ἐπιτίμιόν ἐστιν, ὁ μετὰ Ἰουδαίων ἑορτάζων, ἢ συννηστεύων αὐτοῖς, ἢ μερίδας τινὰς ἑορτῆς αὐτῶν ἐξ ἐκείνων δεχόμενος (ἀνθρώπων οὐκ ἀφωρισμένων, οὐδὲ ἀκοινωνήτων, ἀλλὰ χριστοκτόνων, καὶ πόρρω τῆς τῶν πιστῶν ὁμηγύρεως, ἢ μᾶλλον καταράτων) πῶς οὐκ ἂν εἴη ἄξιος ἱερωμένος ὢν καθαιρέσεως, ἢ λαϊκὸς ὢν ἀφορισμοῦ; κἂν γὰρ μὴ τὰ ἐκείνων φρονῇ, ἀλλά γε πολλοῖς σκανδάλου δίδωσιν ἀφορμὴν, καὶ ὑπόνοιαν καθ' ἑαυτοῦ ὡς τὰς Ἰουδαϊκὰς τιμῶν τελετάς. ἅμα δὲ καὶ μιαίνεσθαι πιστεύεται τῇ ἐκείνων συναναστροφῇ· πρὸς οὓς ὁ Θεὸς διὰ τοῦ προφήτου, καὶ E πρὸ τῆς χριστοκτονίας εὑρίσκεται εἰρηκὼς, νηστείαν, καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. καὶ ὁ κθ'. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, Χριστιανὸν ἐν σαββάτῳ μὴ σχολάζειν ὁρίζει. οἱ δὲ Ἰουδαϊσταὶ ἀνάθεμα ἔστωσαν, φησί. καὶ ὁ ξ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου κωλύει τὸ συνεορτάζειν, καὶ συμποσιάζειν Ἕλλησι.

ΚΑΝΩΝ οα'.

Εἴ τις Χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν, ἢ εἰς F συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἅπτει, ἀφοριζέσθω.

ΒΑΛΣ. Διαφόρως εἴρηται ὅτι οὐδεμία κοινωνία πιστῷ μετὰ ἀπίστου. ὅθεν καὶ ὁ παρὼν κανὼν ἀφορίζεσθαί φησι τὸν Χριστιανὸν τὸν μετὰ οἱουδήτινος ἀπίστου συνεορτάζοντα, ἢ ἔλαιον, ἢ λύχνον ἀνάπτοντα, εἰς ψευδοτελετὴν αὐτοῦ, διὰ τὸ λογίζεσθαι τοῦτον τοῖς ἀπίστοις ὁμόφρονα. καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος, ἐλαφρότερον ὁ τοιοῦτος κολάζεται, ἐξ ἑτέρων δὲ μεγάλως τιμωρεῖται.

ΖΩΝΑΡ.

A **ΖΩΝΑΡ.** Ὡς γὰρ τιμῶν τὰ τῶν Ἰουδαίων, ἢ ἐθνικῶν, τὴν τοῦ ἐλαίου ποιεῖται προσαγωγὴν, καὶ τὴν λυχναψίαν· εἰ δὲ τιμᾷ τὰ ἐκείνων ὄργια, καὶ τὰ αὐτὰ ἐκείνοις φρονεῖν λογισθήσεται.

ΑΡΙΣΤ. Καν. οʹ. Λαϊκὸν ἀφορίσεις Ἰουδαΐζοντα, ἢ τὰ τῶν ἐθνῶν φρονοῦντα.

Καν. οαʹ. Τὸν δὲ κληρικὸν καθαιρήσεις.

Ὁ τὰ Ἰουδαίων φρονῶν, καὶ μετ' αὐτῶν συννηστεύων, ἢ ἑορτάζων, εἰ μὲν κληρικὸς εἴη, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

B

ΚΑΝΩΝ οβʹ.

Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν, ἢ ἔλαιον, ἀφοριζέσθω.

ΒΑΛΣ. Ἀφορίζεσθαί φησιν ὁ κανὼν πάντα πιστὸν ἀφελόμενον ἀπὸ τῆς ἐκκλησίας κηρὸν ἢ ἔλαιον. τὸ ἀφελέσθαι δὲ μὴ νοήσῃς ἐπὶ κλοπῆς. ὁ γὰρ διαθέσει τοιαύτῃ κηρὸν ἢ ἔλαιον ἐκκλησιαστικὸν ἀφελόμενος, ὡς ἱερόσυλος κολασθήσεται· ἀλλ' εἰπὲ κολάζεσθαι ἐνταῦθα τὸ ἁπλῶς ἀφελέσθαι, καὶ κοινῶσαί τινα τὸ προσενεχθὲν τῷ θεῷ, κἂν κυριαρχικὸν δίκαιον ἔχῃ ἐπὶ τοῦ ναοῦ, κἂν διακονητὴς αὐτοῦ ἐστί. C

ΑΡΙΣΤ. Ἀφορίζεται ὁ κηρὸν ἢ ἔλαιον τῆς ἐκκλησίας συλῶν· μετὰ τοῦ πενταπλοῦ τοῦτο καταπιθέναι.

Τὸ πλάτος τῶν κανόνων, οὐ πενταπλοῦν βούλεται ἀποδίδοσθαι τὸ ἀποσυλώμενον, ἀλλ' αὐτό τε ἀποσυληθὲν, καὶ τὸ τούτου ἐπίπεμπτον.

ΚΑΝΩΝ ογʹ.

Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν, ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω· παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. D

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ οβʹ. κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται, χάριν τοῦ μὴ κοινοῦσθαι τὰ τῷ θεῷ προσαγόμενα, καὶ ναοῖς ἀφιερώμενα· οἷα δήτινα σκεύη καὶ ἔπιπλα. τῷ γὰρ ὀνόματι τῆς ὀθόνης, πᾶν ὕφασμα δηλοῦται. ὁ Ἀχαρ δὲ ἐκεῖνος ἰδιωσάμενος γλῶτταν χρυσῆν ἀπὸ τῶν ἐπαγγελθέντων τῷ θεῷ χρυσῶν λαφύρων, καὶ μήπω ἀφιερωθέντων, ἐλιθοβολήθη πανδημεί. ἀνάγνωθι καὶ τὸν ι. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων αʹ. καὶ βʹ. συνόδου.

E **ΖΩΝΑΡ.** Τὰ τῷ θεῷ ἀφορισθέντα κοινοῦσθαι οὐ χρή. ἡγίασται γὰρ, κἂν σκεῦος ᾖ οἱονδήτι, κἂν ὕφασμα, διὰ γὰρ τῆς ὀθόνης ἐδήλωσεν ἅπαν ὕφασμα, κἂν ἔλαιον εἴη, κἂν κηρός. ἡ γὰρ πρὸς τὸν τοῦ θεοῦ ναὸν προσαγωγὴ τούτων, ἁγιάζει αὐτά. οὐ χρὴ οὖν οὔτε κηρὸν, οὔτε ἔλαιον ἀφαιρεῖσθαι τῆς ἐκκλησίας, οὔτε τι σκεῦος, ἀλλ' οὐδὲ ὕφασμα ἀνατεθὲν τῷ θεῷ, καὶ εἰς οἰκείαν χρῆσίν τινα λαμβάνειν αὐτά. ἀφορισμῷ γὰρ διὰ τοῦτο ὑπόκεινται. ὁ δὲ Ἀχαρ, οὐδὲ προσαχθέντα, καὶ ἁγιασθέντα ὑφείλετο τῷ θεῷ, ἀλλὰ μόνον ἐπαγγελθέντα· καὶ ὅμως ἔδωκε δίκην πανγενῆ λιθοβοληθείς.

F **ΑΡΙΣΤ.** Ὁ ἱερὰ σκεύη εἰς χρῆσιν σφετεριζόμενος, ἀφορίζεται.

Ὁ εἰς χρῆσιν οἰκείαν τὰ ἱερὰ οἰκειούμενος, σκεῦος ἢ ὀθόνην, ἁγιασθέντα· ὡς παράνομος ἀφορισθήσεται.

Zonar. Nam velut honorans ea, quæ Judæorum ſunt, aut Gentilium, oleum offert, & lampadem accendit. Quòd ſi defert illorum feſtis honorem, jam eadem, quæ & illi, ſentire cenſebitur.

Arist. Can. LXX. *Laicum Judaizantem aut Gentilia ſapientem, excommunicabis.*

Can. LXXI. *Clericum autem depones.*

Qui quæ Judæorum ſunt ſapit, aut cum iis jejunat vel feſtum agit, ſi Clericus quidem ſit, deponitur, ſi Laicus autem, excommunicatur.

Canon LXXII.

Si quis Clericus vel Laicus à ſancta Eccleſia ceram vel oleum auferat, ſegregetur.

Bals. Segregari dicit Canon fidelem omnem, qui ab Eccleſia ceram vel oleum abſtulerit. Auferre autem, ne de furto intelligas (qui enim ceram aut oleum Eccleſiaſticum hoc conſilio furatur, ut ſacrilegus punitur) ſed hic puniri dicas eum qui quovis modo auferat, & quod Deo dicatum eſt, commune faciat, ſive imperii dominium in templo habeat, ſive ejus ſit miniſter.

Arist. *Excommunicatur qui ceram aut oleum Eccleſiæ aufert, illudque cum quintuplo perſolvet.*

Latitudo Canonum non vult quintuplicatum reddi ablatum, ſed illud ipſum quod aufertur & illius ſeſquiquintum.

Canon LXXIII.

Vas aureum, vel argenteum, vel velum ſanctificatum nemo ampliùs in ſuum uſum convertat: hoc fit enim præter jus & contra leges. Si quis autem deprehenſus fuerit, multetur ſegregatione.

Bals. Eadem quæ Can. lxxii. Præſens etiam Canon decernit, quæcunque Deo fuerunt dedicata, & templis conſecrata, non fieri communia & profana; qualia ſunt vaſa & ſupellex. Veli enim nomine, quicquid eſt textile, ſignificatur. Achaz autem ille, cùm linguam auream ex aureis ſpoliis Deo quidem votis ac promiſſis, ſed nondum conſecratis, ſibi ut propriam attribuiſſet, generatim ab omnibus, lapidibus obrutus eſt. Legė & x. Can. i. & ii. Synodi quæ fuit in templo Apoſtolorum.

Zonar. Ea, quæ Deo ſeparata ſunt, uſu communi pollui non oportet. Sunt enim ſanctificata, ſeu vas aliquod tale ſit, ſeu pannus. (Nam per velum ſignificat omne textum) ſive ſit oleum, ſive cera. In Dei nempe templo facta hujuſcemodi rerum oblatio ſanctificat eas. Auferri non oportet igitur ab Eccleſia, nec ceram, nec oleum, nec vas aliquod ſed neque pannum, qui Deo ſit oblatus, & iſta ſumere in aliquem privatum uſum. Propter hoc enim ſubjiciuntur excommunicationi. Certè Achaz nec oblata Deo, nec ſanctificata ſubtraxit, ſed ſolum promiſſa. Nihilominus pœnas dedit ab univerſo populo lapidibus obrutus.

Arist. *Qui ſacra vaſa in uſum proprium transfert, excommunicatur.*

Qui in proprium uſum ſacra vertit, vas aut linteum, ſanctificata; ut legem tranſgrediens, excommunicabitur.

A

Canon LXXIV.

Epiſcopum à viris fide dignis ob aliquid accuſatum, ipſum ab Epiſcopis vocari neceſſe eſt: & ſi ſe quidem ſtiterit, & confeſſus, vel convictus ſit, ſtatuatur pœna. Si autem vocatus non paruerit, ſecundò etiam vocetur, miſſis ad ipſum Epiſcopis duobus. Si autem etiam ſic non obedierit, vocetur & tertiò, duobus ad eum rurſus miſſis Epiſcopis. Si autem vel ſic aſpernans & contumax ſe non ſtiterit, Synodus ea quæ videntur adverſus eum pronuntiet, ne lucrifacere videatur dum judicium ſubterfugit.

Bals. Quinam poſſint Epiſcopos & Clericos accuſare, & quinam adverſus eos teſtimonium ferant, lege præſentis operis tit. ix. cap. i. & quæ in eo ſunt: & cap. ii. & quæ ſunt in ipſo. Præſens autem Canon ſtatuit, accuſatum Epiſcopum, ut ei crimen intendatur, legitimè ab Epiſcopis vocari: eum enim abſentem condemnari, iniquum viſum eſt: & præſentem quidem, & vel ex non refellendis probationibus, vel ex propria confeſſione, in judicio convictum, canonicè multari. Si autem non acceſſerit, à duobus rurſus Epiſcopis vocari. Atqui & tertiò quoque, ut ſi ne ſic quidem ſe ſtiterit, Synodus adverſus eum pronuntiet, etiamſi pars una tantùm adſit, ea quæ ſibi videbuntur: Ne contemptor, inquit, ſeu contumax, ex impudenti dilatione lucretur. Hæc cum decernat Canon, ſæpe quæſitum eſt an per præſentem Canonem Synodo permiſſum ſit, inobedientem ac contumacem Epiſcopum depoſitioni ſubjicere. Dixerunt autem aliqui, à miſericordia nimis alienum eſſe, ut ob inobedientiam ſive contumaciam deponatur Epiſcopus: ſed aliter debere illum puniri. Si enim ea eſſet, inquiunt, Apoſtolorum ſententia, ut deponeretur Epiſcopus, depoſitionis in hoc Canone meminiſſent. Alii autem dixerunt, quòd ex proximè edita à Deo coronati & ſancti Imperatoris noſtri veneranda Novella, quicunque is ſit adverſus quem actio intenditur, ſi in judicium vocetur, & poſt tres denunciationes per tres ſcriptas citationes accerſitus, & non veniens, condemnatur vel una tantùm parte præſente. Si ergo etiam Epiſcopus cum datione libelli ac ſcriptis legitimis accuſatus fuerit, & in jus vocatus, primum quidem per denunciationes, deinde etiam per tria ſcriptis mandata edicta, & ſe judicio non obtulerit, damnabitur vel una tantùm parte præſente. Hic ergo vocari, legitimè intelligitur, ſcilicet per xxx. dierum edicta, & non ut nonnulli dixerunt, per paucorum dierum ſcriptis mandatas denunciationes. Hoc autem alio modo dictum eſt in tribunali Imperiali, & magis in cauſa Epiſcopi Beſænæ, & judicatum eſt, per tria legitima edicta debere vocari Epiſcopum, adverſus quem actio intenditur, & ita propter contumaciam condemnari. Condemnari quidem Epiſcopum contumacem juxta illuſtris Imperatoris Domini Manuelis Comneni Novellam, extra omnem eſt controverſiam. Sic enim ut dictum eſt, judicatum fuit apud regium & Divinum tribunal. A duobus autem Antiſtitibus & non aliter vocationem ejus fieri, ut nonnulli dixerunt, non eſt ſecundum legem nec è ſententiâ præſentis Canonis. Cum hic enim ſcriptus fuit nec judicibus nec notariis patriarchalibus per ſe fidem haberi in uſu fuit, & ideo determinatum fuit, Antiſtitum vocationes à duobus fieri Epiſcopis. Hodie autem cum judicibus & notariis patriarchalibus per ſe habeatur fides, neceſſario & quæ ab eis fiunt edicta, reprobari non poſſunt. Rectè itaque condemnabitur qui per ea evocatus fuerit & in judicio non ſtiterit, quandoquidem edicta non ſunt ex eo labefactata quia ab Antiſtitibus non fiunt.

Zonar. Et in ſexageſimo primo Canone dictum fuit á nobis, quòd Epiſcopum non quivis accuſare poteſt, ſed inculpati, & orthodoxi homines: quod & ſignificat

ΚΑΝΩΝ οδʹ.

Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιοπίστων ἀνθρώπων, καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῶν Ἐπισκόπων· κἂν μὲν ἀπαντήσῃ, καὶ ὁμολογήσῃ, ἢ ἐλεγχθείη, ὁρίζεσθαι τὸ ἐπιτίμιον. ἐὰν δὲ καλούμενος μὴ ὑπακούσῃ, καλείσθω καὶ δεύτερον, ἀποστελλομένων ἐπ' αὐτὸν δύο Ἐπισκόπων. ἐὰν δὲ καὶ οὕτω μὴ ὑπακούσῃ, καλείσθω καὶ τρίτον, δύο πάλιν Ἐπισκόπων ἀποστελλομένων πρὸς αὐτόν. ἐὰν δὲ καὶ οὕτως καταφρονήσας μὴ ἀπαντήσῃ, ἡ Σύνοδος ἀποφαινέσθω κατ' αὐτοῦ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

B **ΒΑΛΣ.** Περὶ τοῦ τίνες δύνανται κατηγορεῖν Ἐπισκόπων ἢ κληρικῶν, καὶ τίνες καταμαρτυροῦσιν αὐτῶν, ἀνάγνωθι τοῦ παρόντος Συντάγματος τίτλον θʹ. κεφάλαιον αʹ. καὶ τὰ ἐν αὐτῷ, καὶ κεφάλαιον βʹ. καὶ τὰ ἐν αὐτῷ. ὁ δὲ παρὼν κανὼν θεσπίζει τὸν κατηγορηθέντα Ἐπίσκοπον χάριν ἐγκληματικῆς αἰτιάσεως, μετακαλεῖσθαι κατὰ νόμους ὑπὸ Ἐπισκόπων. ἀπόντα γὰρ τοῦτον καταδικάζεσθαι, ἄδικον ἔδοξε. καὶ παρουσιάζοντα μὲν, καὶ ἐξ ἀναντιρρήτων ἐλέγχων ἢ ἀπὸ οἰκείας ὁμολογίας καταδικαζόμενον, κανονικῶς ἐπιτιμᾶσθαι. μὴ παραγινόμενον δὲ, καλεῖσθαι καὶ αὖθις παρὰ Ἐπισκόπων δύο· ἀλλὰ μὴν καὶ ἐκ τρίτου, ὡς ἂν εἰ μηδὲ οὕτως παραγένηται, ἀποφήνηται κατ' αὐτοῦ ἡ C Σύνοδος καὶ μονομερῶς τὰ δοκοῦντα αὐτῇ· ὅπως, φησὶ, μὴ κερδήσῃ ὁ καταφρονητὴς ἐκ τῆς ἀναιδοῦς ὑπερθέσεως. ταῦτα τοῦ κανόνος διοριζομένου, ἐξητήθη πολλάκις, εἴπερ ἐνεδόθη διὰ τοῦ τοιούτου κανόνος τῇ Συνόδῳ, καὶ καθαιρέσει καθυποβάλλειν τὸν ἀπειθῆ Ἐπίσκοπον. καὶ εἶπόν τινες ὡς ἀσυμπαθές ἐστιν ἐξ ἀπειθείας καθαιρεῖσθαι Ἐπίσκοπον· ἄλλως δέ πως ὀφείλειν ἐπιτιμᾶσθαι αὐτόν. εἰ γὰρ ἦν θελητόν φασι καὶ τοῖς ἀποστόλοις καθαιρεῖσθαι τὸν Ἐπίσκοπον, ἐμνήσθησαν ἂν ἐν τῷ κανόνι καὶ καθαιρέσεως. ἄλλοι δὲ εἶπον, ὡς καὶ ἀπὸ τῆς συνεχῶς ἐξενεχθείσης προσκυνητῆς νεαρᾶς τοῦ θεοστεφοῦς κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, ἅπας ἐναγόμενος μετακαλού- D μενος εἰς τὸ δικαστήριον, καὶ μετὰ μέτρια μηνύματα διὰ τριῶν ἐπιφωνημάτων ἐγγράφων, ἐλθεῖν παρεγγυώμενος, καὶ μὴ ἐρχόμενος, καταδικάζεται, καὶ μονομερῶς. εἰ οὖν καὶ Ἐπίσκοπος μετὰ δόσεως λιβέλλων καὶ νομίμων ἐγγράφων κατηγορηθῇ, καὶ μετακληθῇ, πρῶτον μὲν διὰ μηνυμάτων, εἶτα καὶ διὰ τριῶν ἐγγράφων ἐπιφωνημάτων, καὶ οὐκ ἀπαντήσει εἰς τὸ δικαστήριον, κἂν μονομερῶς καταδικασθήσεται. τὸ γὰρ καλεῖσθαι ἐνταῦθα, κατὰ νόμους νοεῖται, ἤγουν δι' ἐπιφωνημάτων τριακονθημέρων, καὶ μὴ, ὥς τινες εἶπον, διὰ μηνυμάτων ἐγγράφων ὀλιγοημέρων. τοῦτο δὲ ἐλαλήθη διαφόρως ἐπὶ βήματος βασιλικοῦ, καὶ μᾶλλον ἐν τῇ ὑποθέσει τοῦ Ἐπισκόπου E Βεσαίνης· καὶ ἐκρίθη διὰ τριῶν νομίμων ἐπιφωνημάτων, ὀφείλειν μετακαλεῖσθαι τὸν ἐναγόμενον Ἐπίσκοπον, καὶ οὕτως ἐξ ἀπειθείας καταδικάζεσθαι. τὸ μὲν καταδικάζεσθαι τὸν ἀπειθῆ Ἐπίσκοπον κατὰ τὴν νεαρὰν τοῦ ἀοιδίμου Βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἄμαχόν ἐστι. κέκριται γὰρ οὕτω καθὼς εἴρηται παρὰ τῷ βασιλικῷ καὶ θείῳ βήματι. τὸ δὲ μετὰ δύο ἀρχιερέων καὶ μὴ ἄλλως πως τὴν τούτου μετάκλησιν γίνεσθαι, ὥς τινες εἶπον, οὐκ ἔστι νόμιμον οὐδὲ τῆς ἐννοίας τοῦ παρόντος κανόνος. ὅτε γὰρ οὗτος ἐγράφη οὔτε δικαστῶν οὔτε πατριαρχικῶν νοταρίων ἐνήργει αὐτοπιστία, καὶ διὰ τοῦτο προβαίνειν ὡρίσθη τὰς τῶν ἀρχιερέων μετακλήσεις ἐπὶ Ἐπισκόπων δύο. σήμερον δὲ τῆς τῶν F δικαστῶν καὶ τῶν πατριαρχικῶν νοταρίων αὐτοπιστίας ἐνεργούσης, ἐξ ἀνάγκης καὶ τὰ δι' αὐτῶν γινόμενα ἐπιφωνήματα ἕξουσι τὸ ἀπαρεγχείρητον. καλῶς οὖν καταδικασθήσεται ὁ δι' αὐτῶν ἐπιφωνηθεὶς καὶ μὴ ἀπαντήσας εἰς τὸ δικαστήριον, ὡς τῶν ἐπιφωνημάτων μὴ κατασειομένων ἐκ τοῦ μὴ γίνεσθαι παρὰ ἀρχιερέων.

ΖΩΝΑΡ. Καὶ ἐν τῷ ξαʹ. κανόνι εἴρηται ἡμῖν, ὡς οὐ πᾶς τις κατηγορεῖν Ἐπισκόπου δύναται, ἀλλ' ἀνεπίληπτοι ἄνθρωποι, καὶ ὀρθόδοξοι. τοῦτο οὖν καὶ ὁ κανὼν οὗτος δηλοῖ, διὰ τοῦ λέγειν,

παρὰ

A παρὰ ἀξιοπίστων ἀνθρώπων. κἂν οὖν παρὰ τοιούτων κατηγορεῖται Ἐπίσκοπος, οὐ χρὴ αὐτοῦ ἀπόντος καταψηφίζεσθαι· ἀλλὰ μετακαλεῖσθαι αὐτὸν, καὶ ἐρχόμενον, τῶν κατ' αὐτοῦ λεγομένων ἀκούειν. ἀκούσας δὲ, ἢ ὁμολογήσει τὰ ἐπαγόμενα αὐτῷ αἰτιάματα, ἢ ἀρνούμενος ἐλεγχθήσεται, καὶ οὕτως ἡ ψῆφος ἐξενεχθήσεται· εἰ δὲ κληθεὶς ἅπαξ οὐ παραγένηται, καὶ δευτέραν ὁ κανὼν πρὸς αὐτὸν ὁρίζει γίνεσθαι διαλαλιὰν, διὰ δύο Ἐπισκόπων. καὶ ταύτης δὲ καταφρονοῦντα, καὶ τρίτον κελεύει καλεῖσθαι πρὸς τὴν ἐξέτασιν, ὁμοίως παρὰ Ἐπισκόπων δύο. καὶ εἰ μὴ δὲ οὕτως παραγένοιτο, ἀπόφασιν γίνεσθαι κατ' αὐτοῦ παρὰ τῆς Συνόδου, καὶ ἐκ μοίρας μιᾶς. ἵνα μὴ ἐξ ἀναιδείας φυγοδικῶν ὠφελοῖτο, ὑπερτιθεμένης τῆς ζητήσεώς τε καὶ B ἀποφάσεως.

ΑΡΙΣΤ. Ὁ κατηγορούμενος Ἐπίσκοπος, καὶ καλούμενος, καὶ οὐκ ἀκούων, καὶ δὶς καλείσθω, καὶ τρίς· εἰ δ' ἐπιμένοι, τὸ δόξαν ἡ Σύνοδος ἀποφαινέτω.

Τὸν κατηγορούμενον ἐπί τινι πταίσματι παρὰ ἀξιοπίστων ἀνδρῶν Ἐπίσκοπον, καὶ καλούμενον εἰς τὸ δικαστήριον, καὶ μὴ ὑπακούοντα, οὐκ ἀπεντεῦθεν ὀφείλει καταδικάζειν ἡ Σύνοδος· ἀλλὰ καὶ δὶς, καὶ τρὶς μετακαλεῖσθαι, στελλομένων εἰς αὐτὸν ἐφ' ἑκάστῃ προσκλήσει δύο Ἐπισκόπων. εἰ δὲ ἐπιμένει καταφρονῶν, καὶ μὴ ἀπαντῶν εἰς τὸ δικαστήριον, δοκιμάσει τὰ τῆς αἰτι- C άσεως καὶ κατὰ μίαν μοῖραν ἡ Σύνοδος, καὶ τὰ δοκοῦντα αὐτῇ κατ' αὐτὸν ψηφίσεται.

ΚΑΝΩΝ οε'.

Εἰς μαρτυρίαν τὴν κατὰ Ἐπισκόπου αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μηδὲ πιστὸν ἕνα μόνον. ἐπὶ στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.

ΒΑΛΣ. Καὶ ὡς ἄνωθεν εἶπον, εἰ θέλεις μαθεῖν πόσοι καὶ τίνες καταμαρτυροῦσιν Ἐπισκόπων ἢ κληρικῶν, ἀνάγνωθι τίτλον θ'. τοῦ παρόντος Συντάγματος, κεφ. β'. ἐκ τοῦ παρόντος D δὲ κανόνος μανθάνεις μήτε αἱρετικὸν, μήτε ἕνα πιστὸν παραδέχεσθαι καταμαρτυροῦντα Ἐπισκόπου· ἐπὶ γὰρ δύο ἢ τριῶν μαρτύρων, φησὶ, πᾶν ῥῆμα σταθήσεται. πλὴν τοῦτο μὴ ἀδιαστίκτως νοήσεις. ἀλλ' εἰπὲ κατὰ νομικὴν ἀκρίβειαν, ὡς εἰ μὲν χρηματική ἐστιν αἰτίασις καὶ μέχρι λίτρας μιᾶς, δύο μάρτυρες πιστοὶ ἔντιμοι κατὰ τοῦ Ἐπισκόπου ἐνωμότως μαρτυροῦντες ἀρκέσουσιν. εἰ δὲ μέχρι πεντήκοντα λιτρῶν, τρεῖς. εἰ δὲ τούτων ἐπέκεινα, πέντε. εἰ δ' οὐκ ἔστι χρηματικὴ αἰτίασις, ἀλλὰ ἐγκληματική, διὰ πέντε μαρτύρων πιστῶν καὶ ἐντίμων ὀμνυόντων, ἡ κατὰ τοῦ Ἐπισκόπου αἰτίασις ἀποδείκνυται· καὶ ἀνάγνωθι περὶ τούτων θέμα α'. τίτλον τοῦ κα'. βιβλίου τῶν βασιλικῶν, πολλὰ τοιαῦτα διδάσκοντα. E

ΖΩΝΑΡ. Οὐ μόνον εἰς κατηγορίαν αἱρετικὸς οὐκ ἔστι δεκτὸς, ἀλλ' οὐδὲ εἰς μαρτυρίαν. εἷς δὲ καταμαρτυρῶν κἂν πιστὸς εἴη, οὐ προσδεχθήσεται· καὶ Τιμοθέῳ γὰρ ὁ μέγας Παῦλος γράφων οὕτω φησὶ, κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, εἰ μὴ ἐπὶ δύο, ἢ τριῶν μαρτύρων. οἶμαι δὲ νῦν ἐπὶ κατηγορίαις, ἐξ ὧν ἔκπτωσις τοῦ οἰκείου βαθμοῦ τοῖς ἱερωμένοις ἐπάγεται, μὴ τοὺς δύο ἀρκεῖν μάρτυρας, κἂν πιστοὶ ὦσι, καὶ ἀνεπίληπτοι.

ΑΡΙΣΤ. Αἱρετικὸς οὐ κατηγορεῖ Ἐπισκόπου· οὐδὲ πιστὸς εἷς. F

Ὁ τὸν παρόντα Συνοψίσας κανόνα οὐ καλῶς τοῦτον ἐνόησε. τὸ μὲν γὰρ, μὴ κατηγορεῖν αἱρετικὸν Ἐπισκόπου, ἢ μαρτυρεῖν κατ' αὐτοῦ, ἀληθές ἐστι· τὸ δὲ, μὴ δύνασθαι πιστὸν ἕνα συνιστᾶν κατ' Ἐπισκόπου κατηγορίαν, ψευδές. μαρτυρία γὰρ ἑνὸς κατά τινος οὐ προσδέχεται· κατηγορία δὲ, καὶ παρ' ἑνὸς, καὶ παρὰ πλειόνων γίνεται.

hic Canon, dum dicit, ab hominibus fide dignis. A talibus igitur ſi accuſetur Epiſcopus, in abſentem non oportet ſententiam ferre, ſed eum citare: quúmque venerit, ea, quæ dicuntur in ipſum, audire. Poſtquam audierit autem, vel objecta ſibi crimina fatebitur, vel inficians convincetur, atque ſic ſententia proferetur: Quòd ſi ſemel vocatus non adfuerit, etiam Canon definit à duobus Epiſcopis ſecundam fieri conventionem: quam ſi contemnat, à duobus ſimiliter Epiſcopis tertio vocari præcipit ad examen. Et ſi nec ſic quidem adfuerit à Synodo ferri ſententiam jubet in ipſum, ex una etiam parte. Ne per impudentiam fugiens judicium conſequatur commodum, protelatâ inquiſitione atque ſententia.

Arist. *Epiſcopus accuſatus, & vocatus, & non parens, bis vocetur & ter. Si perſeveret autem, quod ſibi viſum fuerit Synodus pronunciet.*

Epiſcopum de aliquo crimine accuſatum à viris fide dignis, & ad tribunal vocatum, & non parentem, non ideo debet Synodus condemnare. Sed debet bis terque vocari, miſſis ad eum ſingulâ vocatione, duobus Epiſcopis. Si perſeverat autem contemnens, & non ſe ſiſtens tribunali, examinabit ea quorum accuſatur, & jam ex una tantùm parte Synodus, & quæ ſibi viſa ſunt in eum decernet.

Canon LXXV.

In teſtimonium adverſus Epiſcopum Hæreticus ne admittatur: ſed nec unus ſolus fidelis. In ore enim duorum vel trium ſtabit omne verbum.

Bals. Jam, ut antè dixi, ſi ſcire velis quot & quinam adverſus Epiſcopos vel Clericos teſtimonium dicant, lege titulum ix. præſentis operis cap. ii. Ex hoc autem Canone diſcis neque Hæreticum, neque unum fidelem ad teſtimonium dicendum adverſus Epiſcopum admitti. In duobus enim aut tribus teſtibus, inquit, ſtabit omne verbum. Hoc autem ſine diſtinctione ne intelligas. Sed dicas ſecundum juris rigorem quod ſi eſt cauſa pecuniaria, & uſque ad libram unam, duo teſtes, fide digni, bonæ exiſtimationis adverſus Epiſcopum jurati teſtificantes ſufficiant. Sin auten uſque ad L. libras, tres. Si autem ultra hæc, quinque. Si autem non eſt pecuniaria cauſa, ſed criminalis, per quinque fide dignos teſtes & jurantes, qui ſunt & ipſi bonæ famæ, adverſus Epiſcopum accuſatio probatur. Et de hoc lege i. tit. lib. xxi. Baſil. conſtit. qui hæc hujuſmodi multa docet.

Zonar. Hæreticus, non ſolum ad accuſationem, ſed nec ad teſtimonium venit admittendus. Nec unus in alium dicens teſtimonium, quamvis etiam ſit fidelis, admittitur. Magnus enim Paulus ad Timotheum ſcribens ſic dicit: Adverſus Presbyterum ne recipias accuſationem, niſi ſub duobus, aut tribus teſtibus. Arbitror verò nunc in accuſationibus, per quas conſecratis miniſtris caſus proprii gradus infertur, non ſufficere duos teſtes, etſi fideles, & irreprehenſibiles ſint.

Arist. *Hæreticus non accuſat Epiſcopum, nec unus fidelis.*

Qui Synopſin præſentis Canonis fecit, non bene eum intellexit. Illud enim quod Hæreticus non poteſt accuſare Epiſcopum, nec in eum teſtimonium dicere verum eſt; hoc autem quod unus fidelis non poteſt in Epiſcopum accuſationem ferre, falſum: Teſtimonium enim unius contra quempiam non admittitur: Accuſatio autem fit & per unum & per plures.

Canon LXXVI.

A

Quòd non oportet Epiſcopum fratri, vel filio, vel alii cognato gratificantem, ad Epiſcopatus dignitatem quem vult eligere. Epiſcopatus enim hæredes facere juſtum non eſt, ea quæ Dei ſunt, humano affectu largientem. non enim licet Eccleſiam Dei in hæredes conferre. Si quis autem hoc fecerit, irrita quidem electio maneat, ipſe autem ſegregatione multetur.

Bals. Præſens quidem Canon ſtatuit non licere Epiſcopo cognatum loco ſuo in Epiſcopatu conſtituere, nec Spiritus gratiam ut humanam aliquam hæreditatem B tranſmittere. Infirmat autem & irritam decernit hujuſmodi electionem, & etiam Epiſcopum ſegregat. Tu autem dic, quòd etiam ſi non ad ſuum cognatum Epiſcopus Epiſcopatum tranſmiſerit, ſed ad alienum, idem erit. Epiſcopos enim à Synodis fieri decretum eſt. Et ideo etiam vita functus ille urbis Philippi Metropolitanus maximus, ſuæ metropoli ſub hac conditione renuncians, ſi ejus œconomum urbis Philippi Metropolitanum pro ſe ipſo ſancta Synodus conſtitueret, non eſt exauditus, ſed audiit quòd ſi res, quas poſt electionem ex Eccleſiæ reditibus acquirit, non poteſt dare, vel ad quos vult tranſmittere, multo magis Epiſcopatum. Lege C Carth. Syn. Can. xxxii. & Antioch. Syn. Can. xxiii. dicentes non licere Epiſcopo, etiamſi moriatur, alium ſucceſſorem ſuum Epiſcopum conſtituere.

Zonar. Pontificiam potentiam, Sancti Spiritus gratiæ donum convenit exiſtimari. Gratiam Spiritus igitur, velut hæreditatem, quomodo quis in alterum transferet, ipſi gratificans? Propterea, non eſt Epiſcopis permiſſum, loco ſui, quos volunt, alios in Eccleſias ſibi ſubjectas inducere. Nam qui libertatem non habent relinquendi, quibus volunt, res, quas epiſcopatus ſui tempore poſſe- D derunt (niſi, quæ cognatorum ſucceſſione ipſis obvenerunt, ut trigeſimus ſecundus in Carthagine Synodi Canon dicit) quomodo ipſum Epiſcopatum transferent in alios, eos ut paſtoralis poteſtatis hæredes, & diſtributionis earum rerum, quæ ſunt pauperum relinquentes, & humanâ incitati affectione (videlicet, amore, vel reſpectu ſolo propinquorum) Deo dedicata, iis, quibus volunt, gratis donantes? Igitur ſi tale quid ab aliquo fiat, & irritum eſſe, quod fit, & qui fecerit, excommunicari, Canon mandat. Epiſcopos enim ſtatutum eſt à Synodo creari. Synodi quoque in Antiochia vigeſimus tertius Canon dicit, Epiſcopo non licere, tametſi vitâ defunga- E tur, alterum inſtituere ſucceſſorem ſuum. Hoc & his, qui ſunt ex Iſraël, vetatur. Nam Moyſi tanquam crimen objiciebatur, quòd Aaron & ejus filios ad ſacerdotium promoviſſet. Ac niſi Deus per ſigna confirmaſſet ipſis Sacerdotium, forte fuiſſent ab illo depulſi.

Arist. *Epiſcopus vitâ diſcedens in ſuo loco Epiſcopum non conſtituit.*

Eum qui in Epiſcopatum deligendus eſt, ab omnibus provinciæ Epiſcopis conſtitui decretum eſt. Morientem autem Epiſcopum alium ſuo loco conſtituere, jus Hære- F ditatis introducit: Eccleſiam autem Dei nemo debet in hæredem conferre.

Canon LXXVII.

Si quis vel oculo orbatus, vel femore oblæſus, Epiſcopatu autem dignus ſit, fiat: non enim corporis damnum eum polluit, ſed animæ inquinatio.

ΚΑΝΩΝ οϛ'.

Ὅτι οὐ χρὴ Ἐπίσκοπον τῷ ἀδελφῷ, ἢ τῷ υἱῷ, ἢ ἑτέρῳ συγγενεῖ χαριζόμενον, εἰς τὸ ἀξίωμα τῆς ἐπισκοπῆς χειροτονεῖν ὃν βούλεται. κληρονόμους γὰρ τῆς ἐπισκοπῆς ποιεῖσθαι οὐ δίκαιον, τὰ τοῦ Θεοῦ χαριζόμενον πάθει ἀνθρωπίνῳ. οὐ γὰρ τὴν τοῦ Θεοῦ ἐκκλησίαν ὑπὸ κληρονόμους ὀφείλει τιθέναι. εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μὲν ἔστω ἡ χειροτονία· αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν διορίζεται μὴ ἔχειν ἐπ' ἀδείας τὸν Ἐπίσκοπον ἀντὶ ἑαυτοῦ προσγενῆ οἰκεῖον εἰς τὴν Ἐπισκοπὴν ἐγκαθιστᾶν, μηδὲ διαπέμπειν τὴν χάριν τοῦ πνεύματος ὥς τινα κλῆρον ἀνθρώπινον. ἀκυροῖ δὲ καὶ τὴν οὕτως γινομένην χειροτονίαν, καὶ ἀφορίζει τὸν Ἐπίσκοπον. Σὺ δὲ εἰπὲ, ὅτι κἂν μὴ εἰς προσγενῆ αὐτοῦ διαπέμψῃ ὁ Ἐπίσκοπος τὴν Ἐπισκοπὴν, ἀλλὰ πρὸς ἀλλότριον, τὸ αὐτὸ γενήσεται. τοὺς γὰρ Ἐπισκόπους ὑπὸ τῶν συνόδων γίνεσθαι διατέτακται. διά τοι τοῦτο καὶ ὁ ἀποβεβιωκὼς μητροπολίτης Φιλιππουπόλεως ὁ μέγιστος, παραιτούμενος τὴν κατ' αὐτοῦ μητρόπολιν ὑπὸ αἵρεσιν ταύτην, ἐὰν τὸν οἰκονόμον αὐτοῦ ἡ ἁγία σύνοδος καταστήσῃ μητροπολίτην Φιλιππουπόλεως ἀντ' αὐτοῦ, οὐκ εἰσηκούσθη, ἀλλ' ἤκουσεν ὡς εἰ τὰ πράγματα ἅτινα ἐπικτᾶται ὁ Ἐπίσκοπος μετὰ τὴν χειροτονίαν ἐκ τῶν τῆς ἐκκλησίας εἰσόδων, οὐ δύναται δωρεῖσθαι ἢ διαπέμπειν πρὸς οὓς βούλεται, πολλῷ μᾶλλον τὴν Ἐπισκοπήν. ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα λβ'. καὶ τῆς ἐν Ἀντιοχείᾳ κανόνα κγ'. λέγοντα μὴ ἐξεῖναι Ἐπισκόπῳ κἂν τελευτᾷ, ἕτερον καθιστᾶν διάδοχον ἑαυτοῦ.

ΖΩΝΑΡ. Τὴν ἀρχιερατικὴν ἐξουσίαν, τῆς τοῦ ἁγίου πνεύματος χάριτος δῶρον νομίζεσθαι χρή. πῶς οὖν τις τὴν χάριν τοῦ πνεύματος ὡς κλῆρον μεταβιβάσει πρὸς ἕτερον, αὐτῷ χαριζόμενος; διὰ τοῦτο οὐ συγκεχώρηται τοῖς Ἐπισκόποις ἀνθ' ἑαυτῶν, ἑτέρους, οὓς βούλονται, εἰς τὰς κατ' αὐτοὺς ἐκκλησίας ἐγκαθιστᾶν. οἵτινες γὰρ ἃ ἐκτήσαντο πράγματα ἐν τῷ τῆς Ἐπισκοπῆς καιρῷ οὐκ ἔχουσιν ἄδειαν καταλιμπάνειν οἷς βούλονται (εἰ μὴ τὰ ἐκ διαδοχῆς συγγενῶν περιελθόντα αὐτοῖς, ὡς ὁ τριακοστὸς δεύτερος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου φησί) πῶς αὐτὴν τὴν Ἐπισκοπὴν εἰς ἑτέρους μεταβιβάσουσιν, ὥσπερ κληρονόμους αὐτοὺς τῆς ποιμαντικῆς ἐξουσίας, καὶ τῆς οἰκονομίας τῶν πτωχικῶν πραγμάτων καταλιμπάνοντες, καὶ διὰ πάθος ἀνθρώπινον (φιλίαν, δηλαδὴ, ἢ σχέσιν συγγενικὴν) τὰ τῷ Θεῷ ἀφιερωθέντα, οἷς βούλονται χαριζόμενοι; εἰ οὖν παρά τινος τοιοῦτόν τι γένηται, καὶ τὸ γινόμενον ἄκυρον εἶναι φησὶν ὁ κανὼν, καὶ τὸν τοῦτο ποιήσαντα ἀφορίζεσθαι. τοὺς γὰρ Ἐπισκόπους ὑπὸ τῶν συνόδων γίνεσθαι διατέτακται. καὶ ὁ εἰκοστὸς τρίτος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου λέγει, μὴ ἐξεῖναι Ἐπισκόπῳ, κἂν τελευτᾷ, ἕτερον καθιστᾶν διάδοχον ἑαυτοῦ. τοῦτο δὲ καὶ τοῖς ἐξ Ἰσραὴλ ἀπηγόρευται. τῷ γὰρ Μωϋσεῖ ὡς αἰτίαμα ἐπενεκαλεῖτο, ὅτι τὸν Ἀαρὼν, καὶ τοὺς αὐτοῦ παῖδας εἰς ἱερωσύνην προήνεγκε. καὶ εἰ μὴ διὰ σημείων ὁ Θεὸς αὐτοῖς τὴν ἱερωσύνην ἐβεβαίωσε, τάχ' ἂν καὶ ἐξωθοῦντο αὐτῆς.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἀντ' αὐτοῦ Ἐπίσκοπον ἀποβιῶν οὐ καθίστησι.

Τὸν μέλλοντα εἰς Ἐπισκοπὴν προχειρίζεσθαι, παρὰ τῶν τῆς ἐπαρχίας Ἐπισκόπων καθίστασθαι κεκανόνισται. τὸ δὲ, τὸν Ἐπίσκοπον τελευτῶντα ἕτερον ἀντ' αὐτοῦ καθιστᾶν, κληρονομίας εἰσάγει δίκαιον· τὴν δὲ τοῦ Θεοῦ ἐκκλησίαν ὑπὸ κληρονόμον οὐδεὶς ὀφείλει τιθέναι.

ΚΑΝΩΝ οζ'.

Εἴ τις ἀνάπηρος ἢ τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δὲ ἐστὶν Ἐπισκοπῆς, γινέσθω. οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

ΚΑΝΩΝ οη΄.

Κωφὸς δὲ ὤν, καὶ τυφλὸς, μὴ γινέσθω Ἐπίσκοπος· οὐχ ὡς μεμιασμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ παλαιοῦ νόμου, οὐδεὶς λελωβημένος κατά τι μέρος τοῦ σώματος εἰς ἱερωσύνην προεβιβάζετο. μᾶλλον μὲν οὖν ἐὰν μετὰ ἱερωσύνην ἔσχεν ἐκ πάθους λώβην τινὰ, ἐπαύετο τοῦ ἱερουργεῖν. οἱ δὲ θεῖοι Ἀπόστολοι, τοὺς μὲν ἐμποδιζομένους διὰ τῆς ἱερωσύνης ἐνεργεῖν, μὴ προσίεσθαι διωρίσαντο. τοὺς δὲ δυναμένους ἐνεργεῖν, κἂν ἑτερόφθαλμοι ὦσι, κἂν χωλοὶ, τῆς χειροτονίας ἀξιοῦσθαι ἐκέλευσαν. τὴν γὰρ ψυχὴν θέλουσιν ἔχειν πάντας καθαρὰν καὶ ἀλώβητον, οὐ μὴν τὸ σῶμα. ἆρα δὲ εἰ μετὰ τὴν ἱερωσύνην γένηταί τις κωφὸς ἢ τυφλὸς, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα, καὶ οὐ δύναται ἱερατικὰ ἐνεργεῖν, μετακινηθήσεται ἐκ τῆς ἱερωσύνης κατὰ τὸν παλαιὸν νόμον; Λύσις. οὐδαμῶς· ἔστι γὰρ ἀσυμπαθὲς καὶ τῆς ἀποστολικῆς εὐθυδικίας ἀλλότριον, τὸν ἄξιον μᾶλλον ἐλέους διὰ τὸ πάθος, κατακρίνεσθαι ὡς ἀνάξιον. καὶ πολλοὶ δὲ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ διάκονοι, τυφλωθέντες, καὶ ἄλλως ἐσχάτως ἀῤῥωστήσαντες, καὶ μὴ δυνάμενοι ἐνεργεῖν ἀρχιερατικόν τι, μέχρι τέλους ζωῆς αὐτῶν, οὐ μετεκινήθησαν. καὶ ὁ νόμος δέ φησιν ἐν βιβλίῳ η. τίτλῳ α΄. κεφ. α΄. θέματι δ΄. ὁ τυφλὸς καὶ δικάζειν δύναται, καὶ οὐκ ἀποκινεῖται τῆς Συγκλήτου. ἀρχὴν δὲ νέαν οὐκ ἐγχειρίζεται· ἣν μέντοι πρὸ τοῦ πάθους εἶχε, μένει ἔχων.

ΖΩΝΑΡ. Ἡ μὲν διὰ Μωσέως δοθεῖσα τοῖς Ἰσραηλίταις διαταγὴ, ὁλοκλήρους τὸ σῶμα, καὶ μή τινα μῶμον ἔχοντας, τοὺς παρ' ἐκείνοις ἱερωμένους εἶναι ἀπῄτει, καὶ οὐδεὶς λελωβημένος κατά τι μέρος τοῦ σώματος εἰς ἱερωσύνην προσίετο. ἀλλὰ κἂν μετὰ τὴν ἱερωσύνην πήρωσις μέλους, ἢ μορίου τινὸς τῶν ἱερωμένων συνέβη τινὶ, τῆς ἱερωσύνης μετεκινεῖτο. τοῖς δὲ παρ' ἡμῖν ἱερᾶσθαι μέλλουσι, κολόβωσις σώματος, εἰς κώλυμα οὐ λελόγισται. τὴν ψυχὴν γὰρ ἔχειν ἀπαιτεῖται καθαρὰν, καὶ ἀλώβητον, καὶ ῥύπου ἀπηλλαγμένην. εἰ δ' ἑτερόφθαλμος εἴη, τυχὸν, ἢ διαστρόφους ἔχει τοὺς ὀφθαλμοὺς, ἢ χωλός ἐστιν, ἢ ἕτερόν τι πήρωμα ἔχει, μὴ προσιστάμενον αὐτῷ πρὸς τὴν ἀρχιερατικὴν ἐνέργειαν, ἄξιος μέν τοι κρίνεται πρὸς Ἐπισκοπὴν, χειροτονηθῆναι οὐ κωλυθήσεται. εἰ δέ τινι, καὶ ἄμφω πεπήρωνται τὰ ὄμματα, ἢ τὰ ὦτα κεκώφωται, ἢ ἄλλό τι πήρωμα ἔχει, δι' οὗ τὰς ἀρχιερατικὰς ἐνεργείας πληροῦν κεκώλυται, εἰς Ἐπισκοπὴν οὐ προβιβασθήσεται. ὁ γὰρ μὴ βλέπων, ἢ μὴ ἀκούων, ἢ τὴν δεξιὰν χεῖρα ἴσως ἔχων ἀργὴν, πῶς ἂν ἱερουργήσῃ, ἢ μεταχειρίσηται τὰ ἅγια, καὶ μεταδώσῃ ἑτέροις τούτων; ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργήσῃ λειτούργημα;

ΑΡΙΣΤ. Καν. οζ΄. Γίνεται χωλὸς, καὶ ἑτερόφθαλμος, ἄξιος ὑπάρχων, Ἐπίσκοπος.

Ἡ γὰρ τοῦ σώματος λώβη, τὸν βίον ἔχοντα ἀνεπίληπτον, εἰς Ἐπισκοπῆς ἀξίωμα προβιβασθῆναι οὐκ ἐμποδίζει· εἰ μή που κωφὸς, ἢ τυφλὸς ἐστὶν ὁ μέλλων χειροτονεῖσθαι· ὁ τοιοῦτος γὰρ, οὐχ ὡς μεμιασμένος κωλύεται, ἀλλ' ὡς μὴ τὰ ἐκκλησιαστικὰ δυνάμενος ἀπροσκόπτως ἐνεργεῖν.

Καν. οη΄. Ὁ μέντοι τυφλὸς, καὶ κωφὸς, οὐ γενήσεται.

ΚΑΝΩΝ οθ΄.

Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μηδὲ τοῖς πιστοῖς συνευχέσθω. καθαρθεὶς δὲ, προσδεχέσθω. καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

ΒΑΛΣ. Ὁ δαιμονιζόμενος ἐστέρηται λογισμοῦ καὶ διαθέσεως. κἀντεῦθεν ὑπὸ τοῦ κανόνος κεκώλυται ἢ τῷ κλήρῳ συγκαταλέγεσθαι, ἢ τοῖς πιστοῖς συνεύχεσθαι, ἵνα μὴ φαῦλα τινὰ καὶ ἄσεμνα διαπραττόμενος, καὶ δαιμονιώδεις ἐκβοήσεις

A

CANON LXXVIII.

Qui autem eſt ſurdus & cæcus, ne ſit Epiſcopus; non ut pollutus, ſed ne Eccleſiaſtica impediantur.

BALS. Antiqua quidem lege nullus ulla corporis parte mutilatus ad Sacerdotium promovebatur: imo potius ſi poſt Sacerdotium ex morbo vel caſu aliquo læſus ac mutilatus eſſet, à ſacrificio ceſſabat. Divini autem Apoſtoli, eos quidem, qui quo minus quæ ſunt Sacerdotii, exequantur, impediti ſunt, non admitti ſtatuerunt: eos autem qui poſſunt, etiam ſi uno oculo careant, & claudi ſint, qui eligantur, dignos haberi juſſere. Ani- B mam enim puram & integram volunt omnes habere, non autem corpus. Nunquid autem ſi poſt Sacerdotium fiat aliquis ſurdus vel cæcus, vel aliquo alio corporis vitio affectus, & non poteſt Sacerdotalia exequi, Sacerdotio movebitur juxta veterem legem? Solutio. Nequaquam: eſt enim à commiſeratione disjunctum, & à recto Apoſtolico judicio alienum, ut qui miſericordia potiùs dignus ſit, propter id quod ei accidit, indignus judicetur. Ac multi quidem Antiſtites, & Sacerdotes, & Diaconi excæcati, & alioqui in ſummam imbecillitatem adducti, & qui nec ſacerdotale quidpiam agere poterant, ad eorum uſque vitæ finem non moti ſunt. Etiam & lex dicit in lib. C viii. tit. i. cap. i. them. iiii. Excæcatus etiam Judex eſſe poteſt, & Senatu non movebitur, novum autem Magiſtratum non ſuſcipit: ſed quem ante morbum habebat, habere perſeverat.

ZONAR. Lex quidem per Moſen data Iſraëlitis exigebat conſecratos ipſorum miniſtros, integros eſſe corpore, notamque nullam habentes: ac nemo parte corporis aliquâ deformatus, aut mutilatus admittebatur ad Sacerdotium. Sed etiam poſt Sacerdotium ſi cui Sacerdotum membri, vel particulæ cujuſpiam mutilatio contigiſſet, Sacerdotio mulctabatur. At iis, qui conſecrandi D ſunt apud nos, mutilatio corporis impedimento non annumeratur. Animam nempe requiritur habere puram, ſine vitio, & ſorde. Quòd ſi quis uno forte eſt oculo, vel ſtrabos habet oculos, aut claudus eſt, aut aliam quam naturæ imperfectionem habet, ad Epiſcopale munus obeundum ſibi non obſtantem, dignus verò judicatur Epiſcopatu, non prohibetur ordinari. Si verò quis ambobus fuerit orbatus oculis, vel auribus obſurduerit, aut aliam quam mutilationem patitur, per quam ſit prohibitus Epiſcopale munus implere, ad Epiſcopatum non promovebitur. Qui enim nihil videt, quive nihil audit, aut dextram manum fortaſſis habet, quâ nihil agere poſſit, quo- E modo ſacra peragere, Sanctáve manibus tractare queat, & aliis ea tradere, vel aliquod aliud Epiſcopale miniſterium exercere?

ARIST. CAN. LXXVII. *Claudus, & altero oculo captus, ſi dignus ſit, fit Epiſcopus.*

Læſio enim corporis eum qui inculpatam agit vitam in Epiſcopatus dignitatem promoveri non impedit, niſi forte ſurdus aut cæcus ſit, qui ordinationem eſt ſuſcepturus. Talis enim non tanquam pollutus prohibetur, ſed quia Eccleſiaſtica non poteſt ſine offendiculo peragere.

F **CAN. LXXVIII.** *Cæcus autem & ſurdus non fiet.*

CANON LXXIX.

Si quis Dæmonem habeat, ne fiat Clericus, ſed neque cum fidelibus precetur. Purgatus autem recipiatur, & ſi ſit dignus, fiat.

BALS. Qui à Dæmone correptus eſt, ratione ac mente privatus eſt, atque idcirco vel in Clerum cooptari, vel cum fidelibus precari, hoc Canone prohibetur, ne fortè ſiquid mali aut inhoneſti egerit, ac dæmoniacas voces emiſerit, populum Dei conturbet, atque officium divinum impediat. Poſtquam autem ad ſe redierit, ſi dignus fuerit inventus, etiam Clericus fiet. Tertius quidem certè Canon Patriarchæ Alexandrini Timothei dicit, Si ſit fidelis dæmone percitus, debet eſſe ſanctorum myſteriorum particeps: & præſenti Canoni non adverſatur. Ille enim de eo loquitur, qui per dilucida intervalla furore corripitur, & ſcit eo tempore quo reſipuit, divinorum ſacramentorum myſterium: præſens autem Canon de eo loquitur, qui eſt perpetuò furioſus. Si autem etiam de eo qui per dilucida furit intervalla, Canonem loqui dixeris, nec ſic quidem ullum tibi erit impedimentum. Neque enim concedetur ei qui per dilucida intervalla furore corripitur, in Clerum cooptari, ne ſacerdotium furoris tempore contumelia afficiatur, probriſque & blaſphemiis numen appetatur.

A ποιούμενος, τὸν τοῦ Θεοῦ λαὸν συνταράττῃ, καὶ τὴν δοξολογίαν τοῦ ναοῦ ἀφαιροῖ. μετὰ δὲ τὴν ἀνάληψιν, εἰ εὑρεθῇ ἄξιος, γενήσεται καὶ κληρικός. ὁ μέντοι γ'. κανὼν τοῦ πατριάρχου Ἀλεξανδρείας Τιμοθέου, φησὶν, ἐὰν πιστὸς δαιμονίζηται, ὀφείλει μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων· καὶ οὐκ ἐναντιοῦται τῷ παρόντι κανόνι. ἐκεῖνος μὲν γὰρ ἐξελήφθη χάριν τοῦ ἐκ διαλείμματος μαινομένου, καὶ εἰδότος κατὰ τὸν καιρὸν τῆς νήψεως τῶν θείων ἁγιασμάτων τὸ μυστήριον· ὁ δὲ παρὼν κανὼν περὶ τοῦ διηνεκῶς μαινομένου. εἰ δὲ καὶ περὶ τοῦ ἐκ διαλείμματος μαινομένου εἴπῃς τὸν κανόνα τοῦτον διαλέγεσθαι, καὶ οὕτως οὐκ ἔσται σοί τι ἐμποδών. οὐδὲ γὰρ παραχωρηθήσεται ὁ ἐκ δια- B λείμματος μαινόμενος κληρωθῆναι· ἵνα μὴ περιυβρίζηται ἡ ἱερωσύνη κατὰ τὸν καιρὸν τῆς μανίας αὐτοῦ, καὶ βλασφημῆται τὸ θεῖον.

Zonar. Quiſquis eſt immundus, tanquam vexatus à dæmone judicatur: ſimul etiam ſuſpicio præbetur, quòd niſi dignum ſe habitaculum, hunc hominem dæmon inveniſſet, ob vitæ nequitiam, numquam fuiſſet ingreſſus in eum. Talis igitur quonam modo ad ordinationem quamlibet provehetur? Nam ſi vaſi putri non creditur unguentum (ſecundum magnum in theologia Gregorium) quomodo receptaculo dæmonis gratia Spiritus ſancti credetur? Sed & fidelibus nec ſimul orare quidem cum tali, præſens Canon præcipit. Atqui, tertius Alexandrini Patriarchæ Timothei Canon, reſponſionem continens ad eum, qui interrogaverat, Si fidelis à dæmonio correptus fuerit, an debeat ſanctorum myſteriorum particeps eſſe? dicit, Niſi enuntiet myſterium, & niſi quo alio modo blaſphemet, particeps eſto. Igitur, præſenti Canoni contrariari videtur. At ego non puto. Sed Apoſtolicus quidem Canon de prorſus inſano loqui judicabitur: & qui furoris non habet intervallum. Nam quomodo talis aſſumetur ad officium? Timothei verò reſponſio, de eo, qui per intervalla afficitur. Hic enim, dum non affligitur, ſanctis Sacramentis dignus judicabitur. Agitatione verò dæmoniaca liberatus, ſi dignus fuerit judicatus, in Clerum deligetur.

ΖΩΝΑΡ. Ἀκάθαρτος ὥσπερ ὁ δαιμονιζόμενος κρίνεται· καὶ ἅμα ὑπόνοια δίδοται, ὡς εἰ μὴ ἄξιον ἑαυτοῦ κατοικητήριον, τὸν ἄνθρωπον ὁ δαίμων εὕρηκε, διὰ βίου φαυλότητα, οὐκ ἂν εἰσέδυ αὐτόν. πῶς οὖν ὁ τοιοῦτος εἰς χειροτονίαν τινὰ προαχθήσεται; εἰ γὰρ μύρον δοχεῖον σαπρὸν οὐ πιστεύεται, κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον, πῶς τῷ τοῦ δαίμονος δοχείῳ ἡ χάρις τοῦ ἁγίου πνεύματος πιστευθήσεται; ἀλλὰ μηδὲ συνεύχεσθαι τοῖς πιστοῖς τὸν τοιοῦτον, ὁ παρὼν C κανὼν διατάττεται. ὁ δὲ τρίτος τοῦ πατριάρχου Ἀλεξανδρείας Τιμοθέου κανὼν, ἀπόκρισις ὢν πρὸς τὸν ἐρωτήσαντα, ἐὰν πιστὸς δαιμονίζηται, εἰ ὀφείλει μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων; φησὶν, ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω. ἔοικεν οὖν ἐναντιοῦσθαι τῷ παρόντι κανόνι. οὐκ οἶμαι δέ. ἀλλ' ὁ μὲν ἀποστολικὸς κανὼν περὶ τοῦ δι' ὅλου μαινομένου λέγειν κριθήσεται, καὶ μὴ διάλειμμα ἔχοντος. πῶς οὖν ὁ τοιοῦτος παραληφθήσεται εἰς εὐχήν; ἡ δὲ τοῦ Τιμοθέου ἀπόκρισις περὶ τοῦ ἐκ διαλειμμάτων πάσχοντος. ὁ γὰρ τοιοῦτος ὅτε μὴ πάσχει, τῶν ἁγιασμάτων ἀξιωθήσεται. ἀπαλλαγεὶς δὲ τῆς δαιμο- D νικῆς ἐνεργείας, εἰ ἄξιος κριθείη, κληρωθήσεται.

Arist. *Dæmoniacus non fit Clericus, nec cum aliis orat: poſt purgationem autem ſi dignus ſit: fit.*

ΑΡΙΣΤ. Ὁ δαιμονῶν οὐ κληροῦται, οὐδὲ συνεύχεται· μετὰ δὲ τὸν καθαρμὸν, εἰ ἄξιός ἐστι, γίνεται.

Non fit Clericus qui Dæmonem habet, donec Dæmone liberatur: ſed nec cum fidelibus orat. Morbo autem liberatus & ad preces admittitur, & ad Clerum, ſi dignus eſt, promovetur.

Οὐ γίνεται κληρικὸς ὁ δαιμονῶν, μέχρις ἂν ἀπαλλαγῇ τοῦ δαίμονος· ἀλλ' οὐδὲ συνεύχεται τοῖς πιστοῖς. ἀπαλλαγεὶς δὲ τοῦ πάθους, καὶ εἰς εὐχὴν προσδέχεται, καὶ εἰς κλῆρον, εἰ ἄξιός ἐστι, προβιβάζεται.

Canon LXXX.

E

ΚΑΝΩΝ π'.

Eum qui ex vita gentili acceſſerit & baptizatus fuerit, vel ex improba vivendi ratione, non eſt æquum protinus Epiſcopum fieri. Iniquum eſt enim, ut qui ſui nondum experientiam oſtenderit, ſit aliorum magiſter, niſi forte hoc divina gratia fiat.

Τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα καὶ βαπτισθέντα, ἢ ἐκ φαύλης διαγωγῆς, οὐ δίκαιόν ἐστι παραυτὰ προχειρίζεσθαι Ἐπίσκοπον. ἄδικον γὰρ, τὸν μηδέπω πεῖραν ἐνδειξάμενον, ἑτέρων εἶναι διδάσκαλον· εἰ μήπω κατὰ θείαν χάριν τοῦτο γίνηται.

Bals. Scire debes ex x. Can. Sardic. Syn. & xvii. Can. Syn. habitæ in æde ſanctorum Apoſtolorum, quæ prima & ſecunda dicitur, quòd neque fidelis Laicus illico ad epiſcopalem dignitatem provehitur, niſi præſtituta tempora per alios gradus impleverit. Si autem fidelis Laicus non aliter fit Epiſcopus, multo magis nec ad Epiſcopatum provehetur qui recens eſt illuminatus, aut mimus, niſi præſtitutos gradus pervaſerit tempore ſufficienti: nec ei docere permittetur, niſi priùs fuerit edoctus myſterium: oportet ergo eum ſufficienti tempore probari, & ſi dignus fortè inventus fuerit, provehi. Quære & ſecundum Can. primæ Syn. quæ eum deponi ſtatuit qui præter hoc fecerit. Jam verò & magnus Paulus non juvenem prohibet, fieri Epiſcopum, ſed recens plantatum, quod vocat νεόφυτον. Illud autem, niſi hoc fortè divina

ΒΑΛΣ. Μαθεῖν ὀφείλεις ἀπὸ τοῦ ι'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, καὶ τοῦ ιζ'. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συνόδου τῆς λεγομένης α'. καὶ β'. ὅτι οὐδὲ πιστὸς λαϊκὸς ἀπεντεῦθεν εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβά- F ζεται, εἰ μὴ τοὺς νενομισμένους καιροὺς διὰ τῶν ἑτέρων πληρώσει βαθμῶν. εἰ δὲ πιστὸς λαϊκὸς οὐ γίνεται ἄλλως πως Ἐπίσκοπος, πολλῷ μᾶλλον οὐ προχειρισθήσεται εἰς Ἐπισκοπὴν νεοφώτιστος ἢ σκηνικὸς, εἰ μὴ τοὺς νενομισμένους διέλθῃ βαθμοὺς διὰ τοῦ ἀρκοῦντος καιροῦ· οὐδὲ διδάσκειν ἐκχωρηθήσεται, μήπω διδαχθεὶς τὸ μυστήριον. χρὴ οὖν διὰ τοῦ ἀρκοῦντος καιροῦ δοκιμάζεσθαι τοῦτον, καὶ ἄξιον ἴσως εὑρισκόμενον προχειρίζεσθαι· ζήτει καὶ τὸν β'. κανόνα τῆς α'. συνόδου, διοριζόμενον καθαιρεῖσθαι τὸν παρὰ ταῦτα ποιοῦντα, καὶ ὁ μέγας δὲ Παῦλος οὐ τὸν νέον ἀπαγορεύει, ἀλλὰ τὸν ἐκ νέου φυτευθέντα. τὸ μέντοι εἰ μήπω κατὰ θείαν χάριν τοῦτο γένηται, νόησον ῥηθῆναι περὶ ἀποκαλύψεως. τῷ γὰρ ἀποστόλῳ Ανανίᾳ ἀπεκαλύφθη περὶ τοῦ μεγάλου Παύλου, ὅτι σκεῦός μοι ἐστὶν ἐκλογῆς.

ΖΩΝΑΡ. Ο ἄρτι τῇ πίστει προσελθὼν, καὶ ἀξιωθεὶς τοῦ θεοῦ βαπτίσματος, οὐκ αὐτίκα εἰς Ἐπίσκοπον χειροτονηθήσεται. δεῖ γὰρ πρῶτον δοκίμιον ἑαυτοῦ δοῦναι, ὅτι τε περὶ τὴν πίστιν ἐστὶν ὑγιὴς, καὶ περὶ τὴν διαγωγὴν ἀνεπίληπτος. ταῦτα δὲ καιροῦ δέονται, οὐ γὰρ δι' ὀλίγου δυνατὸν τὰ τοιαῦτα διαγινώσκεσθαι. τὸν δὲ μήπω πεῖραν ἑαυτοῦ δεδωκότα διδάσκαλον ἑτέρων καθίστασθαι, ἄδικόν τε καὶ σφαλερόν. καὶ ὁ δεύτερος κανὼν τῆς οἰκουμενικῆς πρώτης Συνόδου τοῦτο ἀπαγορεύει· καὶ τὸν τοῦτο ποιοῦντα, καθαιρεῖσθαι κελεύει. καὶ Τιμοθέῳ δὲ ἐπιστέλλων ὁ μέγας Παῦλος, καὶ ὑπογράφων τῷ λόγῳ, τὸν ἐπισκοπῆς προστησόμενον, καὶ τοῦτό φησι, μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσοι τοῦ διαβόλου. τὸ δὲ, εἰ μήπου κατὰ θείαν γένηται χάριν, οὕτω νοητέον, εἰ μή που ἀποκαλυφθείη περὶ αὐτοῦ, ὡς χρὴ προβιβασθῆναι αὐτὸν εἰς ἐπισκοπήν. ὥσπερ περὶ τοῦ Παύλου τῷ Ανανίᾳ ἀπεκαλύφθη, εἰπόντος πρὸς αὐτὸν ἐν ὁράματι τοῦ κυρίου, ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ισραήλ.

ΑΡΙΣΤ. Οὐκ ἐπισκοπεῖ νεοφώτιστος· οὐδὲ διὰ ταχέων, ὁ ἐκ φαύλης διαγωγῆς προσιών.

Τὸν νεωστὶ προσελθόντα, καὶ βαπτισθέντα, ἢ φαύλην ἔχοντα διαγωγὴν, σκηνικὸν τυχὸν ὄντα, ἢ ταξεώτην, οὐ δεῖ εὐθὺς προχειρίζεσθαι Ἐπίσκοπον, ἀλλὰ πρότερον πεῖραν αὐτοῦ λαμβάνειν, καὶ οὕτω μετὰ τοὺς ἱερατικοὺς ἅπαντας βαθμοὺς ἀπροσκόπτως διελθεῖν, καὶ εἰς ἐπισκοπὴν προχειρίζεσθαι.

ΚΑΝΩΝ πα΄.

Εἴπομεν, ὅτι οὐ χρὴ Ἐπίσκοπον ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις. ἢ πειθέσθω οὖν, τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν κυριακὴν παρακέλευσιν.

ΒΑΛΣ. Ο ϛ΄. ἀποστολικὸς κανὼν ἀδιαστίκτως καθαιρεῖσθαι κελεύει τοὺς ἱερωμένους κοσμικὰς φροντίδας ἀναλαμβανομένους. ὁ δὲ παρὼν κανὼν συμπαθέστερον τούτους κολάζει. φησὶ γὰρ, ἢ παυσάσθωσαν, ἢ καθαιρείσθωσαν. ἕλκυσον οὖν εἰς μίαν ἔννοιαν τοὺς κανόνας πρὸς τὸ φιλανθρωπότερον, καὶ εἰπὲ καὶ τὸν ϛ΄. κανόνα κατὰ τοῦτον νοεῖσθαι. ζήτει καὶ τὸν ιϛ΄. κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ τὸν δ΄. τῆς τετάρτης.

ΖΩΝΑΡ. Ο ἕκτος κανὼν τοῦ παρόντος Συντάγματος καθαιρεῖσθαι κελεύει τοὺς κοσμικὰς φροντίδας ἀναδεχομένους ἱερωμένους· οὗτος δὲ ὁ κανὼν σαφηνιστικὸς ἐκείνου ἐστίν. οὕτω γὰρ χρὴ νοεῖν κἀκεῖνον, ὅτι εἰ μὴ πείθοιτο, καὶ ἀφίσταιτο τῶν κοσμικῶν πραγμάτων, τότε καθαιρεθήσεται. εἰ γὰρ ἀπέχεται τούτων, ὡς μηκέτι μετιέναι δημοσίας διοικήσεις, ἐπὶ τοῖς φθάσασι συγγνωσθήσεται. διὰ τοῦτο γὰρ καὶ τοῦ προτέρου κανόνος μέμνηται ὁ κανὼν οὗτος. ζητητέον δὲ καὶ τὸν ιϛ΄. κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ τὸν τρίτον τῆς τετάρτης Συνόδου.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἀνεπίσκοπος, ὁ δημόσια χειριζόμενος.

Ο εἰς δημοσίας διοικήσεις ἑαυτὸν ἐκδιδοὺς, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ Ἐπίσκοπος, ἢ παυσάσθω, ἢ μὴ πειθόμενος, καθαιρείσθω.

A gratia fiat, de revelatione dici intellige. Apoſtolo enim Ananiæ revelatum eſt de magno Paulo, eum eſſe vas electionis.

Zonar. Qui nuper ad fidem acceſſit, & Baptiſmo Dei dignus eſt judicatus, non mox in Epiſcopum deligetur. Etenim prius oportet experimentum ſui dare, quòd & circa fidem ſit integer, & circa vitæ ſuæ inſtitutionem irreprehenſus. Iſthæc autem indigent tempore. Nec enim brevi momento dignoſci talia poſſunt. Eum verò, qui nondum ſui ſpecimen ediderit, aliorum doctorem conſtitui, & iniquum eſt, & fallax. Secundus Oecumenicæ primæ Synodi Canon hoc etiam vetat: ac jubet eum deponi, B qui hoc fecerit. Magnus quoque Paulus Timotheo ſcribens, & oratione depingens Epiſcopatui præponendum, hoc etiam dicit, non Neophytum, Ne in ſuperbiam elatus in judicium incidat Diaboli: Verba autem illa, Niſi alicubi per divinam fieret gratiam, ſic intelligenda: Si non alicubi de eo revelatum foret, quòd oporteat ipſum ad Epiſcopatum promoveri. Quemadmodum de Paulo fuit Ananiæ revelatum, ad illum per viſionem dicente Domino, Quoniam vas electionis hic mihi eſt, ad portandum nomen meum coram gentibus, & regibus, & filiis Iſraël.

C

Arist. *Recens illuminatus non fit Epiſcopus, neque qui nuper à malo vitæ genere receſſit.*

Eum qui nuper advenit & baptizatus eſt, vel qui malo vivendi genere occupatus fuit, qui ſcenicus fortaſſe fuit aut apparitor, non oportet ſtatim creare Epiſcopum, ſed primùm experimentum illius accipere, & ſic per omnes ſacros gradus pervadere, & poſtea inoffenſè debet ad Epiſcopatum deſignari.

Canon LXXXI.

D *Diximus non oportere Epiſcopum vel Presbyterum ſeipſum ad publicas adminiſtrationes demittere, ſed in Eccleſiaſticis negotiis verſari. Vel ergo ita non facere perſuadeatur, vel deponatur. Nemo enim poteſt duobus Dominis ſervire, ſecundum Domini præceptum.*

Bals. Sextus Canon Apoſtolicus ſacris initiatos indiſtinctè deponi jubet, qui mundanas in ſe curas ſuſcipiunt. Præſens autem Canon in eos paulo clementiùs animadvertit. Dicit enim, vel ceſſent, vel deponantur. Trahe ergo Canonas in unam intelligentiam ad id quod E eſt humanius, & dic etiam ſextum Canonem huic convenienter intelligi. Quære & xvi. Canonem Carth. Syn. & quartum quartæ.

Zonar. Sextus Canon præſentis libri deponi jubet conſecratos miniſtros, qui mundanas curas ſuſcipiunt. Hic autem Canon illius eſt expoſitivus. Sic enim convenit & eum intelligere, quod niſi pareat, & abſtineat à ſecularibus negotiis, tunc deponetur. Ab illis enim ſi abſtinuerit, ut non amplius publicas aggrediatur adminiſtrationes eorum, quibus antea fuerat occupatus, venia dabitur. Hic ideo Canon meminit etiam de priori Canone. F Quærendus eſt etiam decimus ſextus Canon Synodi in Carthagine, tertiúſque quartæ Synodi.

Arist. *Epiſcopus de Epiſcopatu deponitur qui negotia publica tractat.*

Qui ad publicas adminiſtrationes ſe dejicit ſive Presbyter, ſive Diaconus, ſive Epiſcopus, aut ceſſet, aut non perſuaſus, deponatur.

CANON LXXXII.

Servos in Clerum provehi ſine veniâ dominorum non permittimus ad poſſeſſorum moleſtiam. Domorum enim everſionem illud efficit. Si quando autem etiam dignus ſervus viſus ſit qui ad gradum eligatur, qualis noſter quoque Oneſimus viſus eſt, & domini conceſſerint ac liberaverint, & ædibus emiſerint, fiat.

BALS. De ſervis qui in Clerum cooptantur, lege etiam xxxvi. cap. primi tit. præſentis operis. Hic autem Canon nolens noſtris fratribus aliquid à nobis offendiculi afferri, non permittit ut alienus ſervus in Clerum promoveatur, etiamſi ſit prudentiſſimus & dignus, niſi & dominus ei rei conſenſerit, & eum priùs libertate dignum exiſtimaverit. Ad exemplum autem ſcriptum eſt & quòd factum eſt in Oneſimo. Scriptum eſt enim quòd hunc Oneſimum Philemonis ſervum magnus Paulus ad Philemonem remiſit, etiamſi ei viſus eſſet ad miniſterium utiliſſimus, dicens, Non eſſe juſtum eum ſine Philemonis voluntate in fidei prædicatione ſervire. Quare nec libertas, nec Sacerdotium, nec aliquid aliud dominum ignorantem à ſervi ſui dominio abalienant. Et lex quæ ſtatuit adverſus libertatem non dari reſtitutionem, de his non intelligitur, ſed de ſervo liberato ex voluntate imperfecti domini.

ZONAR. Fideles decet ea fugere, quæ ſcandala generent aliquibus. Alienum verò ſervum contra domini ſententiam Clericum fieri, cauſa eſt ſcandali, atque moleſtiæ. Quam ob rem, prohibet hoc Canon, uti rem, quæ domos totas evertit. Fortaſſis enim ſervus ille procurator ſit domus domini ſui, vel tabernæ dominicæ præpoſitus, vel cujus fidei creditæ ſint pecuniæ ad negotiationem, & propterea domino ſuo moleſtiæ foret ejus ordinatio. Quòd ſi ſervus gradu ſacro dignus exiſtimetur, Epiſcopum de eo negotio cum domino communicare oportet. Et ſi is quoque conſenſerit, ordinetur. Magnus etenim Paulus Oneſimum Philemonis ſervum, cujus miniſterium ei judicabat utile, ſine domini voluntate non decrevit eum retinere, ſed ipſum remiſit ad Philemonem. Lex verò civilis ad ſervi libertatem ſufficere dicit, hunc, ipſius domino ſciente & non contradicente, in Clerum deligi.

ARIST. *Servus non fit Clericus, niſi conſenſu Domini: Qui autem dignus eſt, libertate donatus promovetur.*

Sine voluntate Domini non oportet ſervum in Clerum recipere. Libertate autem donatus, ſi dignus qui in Clerum recipiatur viſus ſit, admittitur.

A

ΚΑΝΩΝ πβʹ.

Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι ἄνευ τῆς τῶν δεσποτῶν συγγνώμης, οὐκ ἐπιτρέπομεν, ἐπὶ λύπῃ τῶν κεκτημένων· οἴκων γὰρ ἀνατροπὴν τὸ τοιοῦτον ἐργάζεται. εἰ δέ ποτε καὶ ἄξιος φανείη ὁ οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, οἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος ἐφάνη, καὶ συγχωρήσουσιν οἱ δεσπόται, καὶ ἐλευθερώσουσιν, καὶ τοῦ οἴκου ἐξαποστείλωσι, γινέσθω.

ΒΑΛΣ. Περὶ δούλων κληρουμένων ἀνάγνωθι καὶ τὸ λϛʹ. κεφάλαιον τοῦ αʹ. τίτλου τοῦ παρόντος συντάγματος. ἐνταῦθα δὲ ὁ B κανὼν μὴ θέλων σκανδαλίζεσθαι ὑφ' ἡμῶν τοὺς ἀδελφοὺς ἡμῶν, οὐ παραχωρεῖ εἰς κλῆρον προάγεσθαι δοῦλον ἀλλότριον, κἂν φρονιμώτατός ἐστι καὶ ἄξιος, εἰ μὴ καὶ ὁ δεσπότης πρὸς τοῦτο συναινέσῃ, καὶ πρότερον ἐλευθερίας αὐτὸν ἀξιώσῃ. ἐγράφη δὲ πρὸς παράδειγμα καὶ τὸ γεγονὸς ἐπὶ τῷ Ὀνησίμῳ. γέγραπται γὰρ ὡς τὸν τοιοῦτον Ὀνήσιμον δοῦλον ὄντα Φιλήμονος, ὁ μέγας Παῦλος ἀντέστρεψε πρὸς τὸν Φιλήμονα, κἂν χρησιμώτατος πρὸς διακονίαν ἔδοξεν αὐτῷ, εἰπὼν μὴ δίκαιον εἶναι ἄνευ γνώμης τοῦ Φιλήμονος τοῦτον διακονεῖν ἐν τῷ τῆς πίστεως κηρύγματι. ὥστε οὐδὲ ἐλευθερία, οὐδὲ ἱερωσύνη, οὐδ' ἄλλό τι ἀποξενοῦσι τὸν ἀγνοοῦντα δεσπότην, ἐκ τῆς κυριότητος τοῦ δούλου C αὐτοῦ. καὶ τὸ νόμιμον δὲ τὸ διοριζόμενον, κατὰ ἐλευθερίαν οὐ δίδοται ἀποκατάστασις, οὐ νοεῖται περὶ τοιούτων, ἀλλὰ περὶ δούλου ἐλευθερωθέντος κατὰ γνώμην δεσπότου ἀτελοῦς.

ΖΩΝΑΡ. Τὰ ἐμποιοῦντα σκάνδαλά τισι, φεύγειν δεῖ τοὺς πιστούς. αἴτιον δὲ σκανδάλου καὶ λύπης, τὸ τὸν ἀλλότριον δοῦλον παρὰ γνώμην τοῦ δεσπότου κληροῦσθαι. διὸ καὶ κωλύει τοῦτο ὁ κανών, ὡς οἴκους ὅλους ἀνατρέπον. ἴσως γὰρ διοικητὴς ἂν εἴη τοῦ οἴκου τοῦ δεσπότου αὐτοῦ ὁ δοῦλος ἐκεῖνος, ἢ ἐργαστηρίου δεσποτικοῦ προεστάμενος, ἢ χρήματα ἐμπεπιστευμένος δι' ἐμπορείαν, καὶ ἡ χειροτονία αὐτοῦ διὰ ταῦτα εἰς λύπην ἔσται τῷ δεσπότῃ αὐτοῦ. εἰ δὲ ἄξιος ἱερατικοῦ βαθμοῦ κριθείη ὁ D οἰκέτης, χρὴ τὸν Ἐπίσκοπον κοινοῦσθαι τὰ περὶ αὐτοῦ τῷ δεσπότῃ· καὶ εἰ κἀκεῖνος συνδοκεῖ, χειροτονηθήσεται. καὶ ὁ μέγας γὰρ Παῦλος Ὀνήσιμον δοῦλον ὄντα Φιλήμονος, καὶ εὔχρηστον αὐτῷ κριθέντα εἰς διακονίαν, ἄνευ γνώμης τοῦ δεσπότου κατέχειν οὐκ ἔκρινεν, ἀλλ' ἀνέπεμψεν αὐτὸν πρὸς Φιλήμονα. ὁ δὲ πολιτικὸς νόμος ἀρκεῖν εἰς ἐλευθερίαν φησὶ τοῦ δούλου, τὸ εἰδότος τοῦ δεσπότου αὐτοῦ, καὶ μὴ ἀντιλέγοντος, τῷ κλήρῳ καταλεγῆναι αὐτόν.

ΑΡΙΣΤ. Οἰκέτης ἀκλήρωτος, πλὴν εἰ μὴ γνώμῃ δεσπότου· ὁ δὲ ἐπάξιος, ἐλευθερωθεὶς προβιβάζεται.

E Ἄνευ γνώμης δεσπότου οὐ δεῖ οἰκέτην εἰς κλῆρον προσδέχεσθαι. ἐλευθερωθεὶς δὲ, ἄξιος τοῦ κληροῦσθαι φανείς, παραδέχεται.

CANON LXXXIII.

Epiſcopus, vel Presbyter, vel Diaconus, exercitui vacans, & utraque obtinere volens, Romanum ſcilicet Magiſtratum, & ſacerdotalem adminiſtrationem, deponatur. Quæ ſunt enim Cæſaris, Cæſari; & quæ ſunt Dei, Deo.

BALS. Diverſi Canones Apoſtolici prohibuerunt ſacris initiatos publica negotia adminiſtrare. Præſens autem Canon jubet eos deponi qui exercitui vacant vel hujuſmodi militares commeatus adminiſtrant, & expeditionis militaris curam habent. Talis enim hîc militia exiſtimanda eſt, & non ea quæ fit armis. Illa enim omnino prohibita eſt. Et lege vii. Can. Chalced. Syn. tales anathemate ferientem, ſi non pœnitentiam agant. Quæſierit autem quiſpiam, an & hîc illud, Deſiſtat vel deponatur, locum habeat, quemadmodum & in lxxxi. Can. didicimus? An etiam ante edicta, Sacerdos qui rem militarem tractat illico deponetur? Solutio. Exiſtimo quòd

ΚΑΝΩΝ πγʹ.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

ΒΑΛΣ. Διάφοροι κανόνες ἀποστολικοὶ ἐκώλυσαν τοὺς F ἱερωμένους δημοσιακὰ πράγματα διοικεῖν. ὁ δὲ παρὼν κανὼν καθαιρεῖσθαι θεσπίζει τοὺς στρατείᾳ σχολάζοντας, ἤτοι τοὺς διοικητὰς τῶν στρατιωτικῶν σιτηρεσίων, πραγμάτων καὶ στρατολογιῶν. τοιαύτην γὰρ εἶναι τὴν στρατείαν ὑποληπτέον μοι, καὶ μὴ τὴν διὰ ὅπλων. ἐκείνη γὰρ πάντη ἀπηγόρευται. καὶ ἀνάγνωθι τὸν ζʹ. κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ἀναθεματίζοντα τοὺς τοιούτους, εἰ μὴ μεταμεληθῶσιν. ἐρωτήσει δέ τις, ἄρα καὶ ἐνταῦθα, τὸ παυέσθω ἢ καθαιρείσθω ἕξει χώραν, καθὼς ἐν τῷ παʹ. κανόνι ἐδιδάχθημεν; ἢ καὶ πρὸ ἐπιφωνημάτων ὁ τὴν στρατείαν μεταχειριζόμενος ἱερωμένος ἀπεντεῦθεν καθαιρεθήσεται; Λύσις. οἶμαι ὅτι καὶ ἐνταῦθα, μετὰ ἐπιφώνησιν ὁ στρατολογῶν, εἰ μὴ παύσεται, καθαιρεθήσεται. πάντα γὰρ τὰ δημοσιακὰ, τὴν αὐτὴν αἰτίαν ἔχουσιν. ἀνάγνωθι καὶ κεφ. λβ'. τοῦ θ'. τίτλου τοῦ παρόντος Συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Στρατείαν ἐνταῦθα οὐχ ὅπλων μεταχείρησιν, ἢ προστασίαν στρατιωτῶν οἶμαι τὸν κανόνα λέγειν, ἀλλὰ στρατιωτικῶν πραγμάτων διοίκησιν, οἷον ὑπηρεσιῶν στρατιωτικῶν διανέμησιν, ἢ τροφῶν στρατιώταις ἀφωρισμένων ὑποδοχὴν, ἢ στρατολογίαν, ἢ καὶ διοικήσεις ἄλλας τινὰς, ἃς καὶ οἱ πολιτικοὶ νόμοι στρατείας εὑρίσκονται ὀνομάζοντες. τοὺς οὖν τοιούτοις τισὶ σχολάζοντας ἱερωμένους, ὁ κανὼν ὑπὸ καθαίρεσιν τίθησι πάντως, εἰ μὴ τούτων ἀφίστανται. οὐ γὰρ δεῖ μιγνύειν τὰ ἄμικτα, τὰ Καίσαρος, φησὶ, καὶ τὰ τοῦ θεοῦ. ὁ δὲ τῆς ἐν Χαλκηδόνι Συνόδου ἕβδομος κανὼν, καὶ ἀναθεματίζεσθαι τοὺς τοιούτους μὴ μεταμελομένους ὁρίζει.

ΑΡΙΣΤ. Ἱερεὺς ἄρχων, ἀνίερος· τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

Ὁ ῥωμαϊκὴν στρατείαν ἐθέλων κατέχειν, καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω· τὰ γὰρ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ.

ΚΑΝΩΝ πδ'.

Ὅς τις ὑβρίσει βασιλέα ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, τιμωρίαν τιννύτω. καὶ εἰ μὲν κληρικὸς, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὁ Μωσαϊκὸς νόμος φησὶν, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. ἀκολούθως οὖν αὐτῷ διορίζεται καὶ ὁ παρὼν κανὼν, τὸν ὑβρίζοντα Βασιλέα, ἢ ἄρχοντα, κληρικὸν μὲν ὄντα καθαιρεῖσθαι, λαϊκὸν δὲ ἀφορίζεσθαι. καὶ τοῦτο μὲν ὅσον ἀπὸ τῆς ἐκκλησιαστικῆς παραδόσεως. οἱ δὲ πολιτικοὶ νόμοι ἄλλως διαλύουσι τὰ τῆς Βασιλικῆς ὕβρεως. καὶ ἀνάγνωθι τὸ λς'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος Συντάγματος. τινὲς δὲ ἑρμηνεύοντες τὸ εἴ τις ὑβρίσει Βασιλέα ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, εἶπον, πολλάκις ἐκλαμβάνεσθαι καὶ τὸν δίκαιον ἔλεγχον ἀντὶ ὕβρεως. νομίζω δὲ τοῦτο ἑρμηνεύεσθαι ἀπὸ τοῦ ιδ'. κεφ. τοῦ λς'. τίτλου τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ κατεστρώθη εἰς τὸ λς'. κεφάλαιον τοῦ θ'. τίτλου τοῦ παρόντος Συντάγματος.

ΖΩΝΑΡ. Ὁ Μωσαϊκὸς νόμος, ἄρχοντά φησι, τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. καὶ ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος, τὸν βασιλέα τιμᾶτε φησί. καὶ ὁ μέγας Παῦλος ὑπερεύχεσθαι κελεύει τῶν βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ, καὶ ταῦτα ἀπίστων. ὑβρίζειν μὲν οὖν κεκώλυται πᾶς τις καὶ βασιλέας, καὶ ἄρχοντας. ἐλέγχειν δὲ παρὰ τὸ προσῆκον ποιοῦντάς τι, οὐ κωλύεται, κἂν οἱ τῶν ἐλέγχων λόγοι δριμύτεροι ὄντες ἴσως, εἰς ὕβριν τοῖς ἐλεγχομένοις λογίζωνται. παρὰ τὸ δίκαιον γὰρ ὑβρίζειν οὐ παραχωρεῖ ὁ κανὼν, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι ὁ δικαίως καὶ βασιλέων, καὶ μεγιστάνων καθαπτόμενος, οὐ κολάσεως ἄξιος. ὁ δὲ λς'. τίτλος τοῦ ξ'. τῶν βασιλικῶν βιβλίου ἐν κεφαλαίῳ. ιγ'. ταῦτά φησιν· ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐχ ὑπόκειται τιμωρίᾳ· ἀλλὰ χρὴ τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ μηνυθῆναι. εἰ γὰρ ἀπὸ κουφότητος ἐξῆλθε, καταφρονητέος, εἰ δὲ ἀπὸ μανίας, ἐλεημοσύνης ἄξιος, εἰ δὲ ὡς ἀδικούμενος, συγχωρητέος.

ΑΡΙΣΤ. Ὁ ἄρχοντα, καὶ βασιλέα, παρὰ θέμιν ὑβρίζων, κληρικὸς καθαιρεῖται· λαϊκὸς ἀφορίζεται.

Ὁ Βασιλέα, ἢ ἄρχοντα εὐσεβῶς ζῶντας ὑβρίζων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

A hîc quoque poſt edictum, is qui exercitûs curam habet, ſi non deſiſtat, deponetur. Omnia enim publica eandem cauſam habent. Lege etiam caput xxxii. Tituli noni præſentis operis, & quæ in illud ſcripta ſunt.

Zonar. Canonem non arbitror hîc appellare στρατείαν, Armorum tractationem, vel militum præfecturam: ſed militarium rerum procurationem, veluti Militarium ſtipendiorum diſtributionem, vel annonæ nutriendis militibus ſepoſitæ curam, vel militum deſcriptionem, vel etiam quas alias procurationes: quas quidem civiles leges inveniuntur etiam nominare στρατείας. B Conſecratos igitur iſtis qualibuſcúmque vacantes Canon depoſitioni omnino ſubjicit: ſi non ab his abſtineant. Nec enim decet non miſcenda miſcere: ea (dicit) quæ ſunt Cæſaris, & ea quæ ſunt Dei. Septimus autem in Chalcedone Synodi Canon tales quos non pœniteat, anathematizari decernit.

Arist. *Sacerdos magiſtratum obiens, deponitur. Quæ enim Cæſaris ſunt, Cæſari, & quæ Dei, Deo.*

Qui Romanam militiam retinere vellet, ac etiam ſacerdotalem adminiſtrationem, deponatur. Quæ enim Cæſaris ſunt, Cæſari, & quæ Dei, Deo. C

CANON LXXXIV.

Quiſquis Regem vel Principem præter jus contumeliâ affecerit, pœnas luat: & ſi ſit quidem Clericus, deponatur: ſi verò Laicus, ſegregetur.

Bals. Lex Moſaica dicit: Principi populi tui non maledices. Ei ergo conſequenter ſtatuit & præſens Canon, eum qui Imperatorem vel principem injuria afficit, ſi ſit quidem Clericus, deponi: ſi verò Laicus, ſegregari. Et hoc quidem quantum ad eccleſiaſticam traditionem D attinet. Civiles autem leges Imp. factam injuriam aliter vindicant. Lege autem xxxvi. cap. noni tit. præſentis operis. Nonnulli autem illud interpretantes, ſi quis Regem vel Principem præter jus contumelia afficit, dixerunt, ſæpe etiam juſtam reprehenſionem pro injuria accipi. Exiſtimo autem hoc explicari à xiiii. cap. xxxvi. tit. lx. lib. Baſil. quod ſitum eſt in xxxvi. cap ix. tit. Præſentis operis.

Zonar. Moſaïca lex dicit, principi populi tui non maledices. Et coryphæus Apoſtolorum Petrus ait, Regem honorate. Et magnus Paulus, Orare jubet pro regi- E bus, & omnibus, qui ſunt in dignitate: Etiam ſi ſint infideles. Igitur & Reges, & Magiſtratus afficere contumeliâ quiſque prohibitus eſt. At hos reprehendere aliquid agentes contrà quam deceat, non prohibetur; etiamſi reprehenſionum verba, fortè acerbiora exiſtentia, ad reprehenſorum contumeliam ſpectare exiſtimentur. Non permittit enim Canon contra jus contumeliam facere; ut ex contraria diſtinctione intelligitur, quòd & reges & primates iuſté increpans non eſt punitione dignus. Trigeſimus ſextus titulus libri Baſilicorum ſexageſimi in capite decimo tertio, Hæc dicit: Si quis malè mentionem F regis fecerit, non ſubjacet pœnæ: ſed quæ de illo ſunt, Regi ſignificari oportet. Nam ſi per levitatem exceſſit, contemnendus eſt. Quòd ſi per inſaniam, miſeratione dignus eſt. Quòd ſi velut injuriâ affectus, ei remittendum eſt.

Arist. *Qui magiſtratum & regem contra jus contumeliâ afficit, Clericus deponitur, Laicus excommunicatur.*

Qui regem aut magiſtratum piè viventes contumeliâ afficit, ſi Clericus eſt deponatur, ſi vero Laicus excommunicetur.

Canon LXXXV.

Sint nobis omnibus Clericis & Laicis libri venerandi & ſancti veteris quidem teſtamenti, Moſis quinque, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium. Jeſu filii Nave unus. Judicum unus. Ruth unus. Regnorum quatuor. Paralipomenon, id eſt, derelictorum libri dierum, duo. Eſdræ duo. Eſther unus. Maccabæorum tres. Job unus. Pſalterii unus. Solomonis tres. Proverbia. Eccleſiaſtices. Cantica canticorum. Prophetarum, xii. Eſaiæ unus. Jeremiæ unus. Jezechielis unus. Danielis unus. Extrinſecus autem à vobis intelligatur, debere veſtros adoleſcentes diſcere ſapientiam erudtiſſimi Sirach. Noſtra autem id eſt, novi teſtamenti. Evangelia quatuor, Matthæi, Marci, Lucæ, Joannis. Pauli Epiſtolæ quatuordecim. Petri Epiſtolæ duæ, Joannis tres. Jacobi una. Clementis Epiſtolæ duæ, & Conſtitutiones vobis Epiſcopis per me Clementem in octo libris editæ, quæ non ſunt omnibus divulgandæ, propter ea quæ ſunt in eis myſtica: & actus noſtri Apoſtolorum.

Bals. A lx. quidem Canone didicimus non legere falſo inſcriptos inpiorum libros, tanquam ſanctos: nunc autem diſcimus quoſnam libros legere debeamus ex veteri Teſtamento & novo. Tu autem intelligas, quòd etſi hîc ſcriptum eſt, Conſtitutiones Clementis legi à nobis, ſed non divulgari debere, ſecundus tamen ſextæ Synodi Canon earum lectionem prohibuit, quòd in eis adulteratio facta ſit. Et lege eundem ſecundum Canonem ſtatuentem cum aliis quibuſdam ſolos lxxxv. Canones ſanctorum Apoſtolorum legere nos oportere, alium autem nullum curare, etiamſi eſſe dicatur ſanctorum Apoſtolorum Canon. Quæ autem à ſanctis Patribus & confeſſoribus ſcripta ſunt, & legere & amplecti debemus, ut quæ nos ad veram & orthodoxam fidem deducant.

Zonar. Quum fideles Apoſtoli præſcripſiſſent, quomodo fideles Chriſti oporteat vivere, tandem ſubjunxerunt etiam quos libros deceat ipſos legere: illóſque recenſuerunt. Vt autem ſuperius alicubi dictum fuit, etiam librorum legendorum dinumerationes à variis ſanctis factæ patribus comperiuntur. Hoc autem fecerunt, quoniam varii nothi, & falsò inſcripti libri erant, vel etiamnum ſunt, & adulterati quidam: quales etiam quæ per Clementem promulgatæ fuerunt conſtitutiones. Ab Hæreticis enim quibuſdam & adulteratæ, & corruptæ fuerunt. Quapropter iſtas omnino legi vetuit Oecumenica ſexta Synodus in ſecundo capite Canonum ab ea ſtatutorum. Aliæ verò quædam dinumerationes, alios præter hîc enumeratos libros, permittunt etiam legi, & Sapientiam Salomonis, & Judith, & Tobiam, & Apocalypſin Theologi.

Hi quidem ſunt igitur venerandiſſimorum Apoſtolorũ octoginta quinque Canones. Quibuſdam tamen in libris Canonas habentibus inveniuntur & alii Canones, uniuſcujuſque celebratiſſimorum Apoſtolorum nomine inſcripi. Sed in Trullo congregata Synodus ducentorum viginti ſeptem ſanctorum patrum, ſub regno Imperatoris Juſtiniani Rhinotmeti, quæ dicta eſt Sexta, ſanctos recenſens Canonas, ſic ait. Huic ſanctæ Synodo viſum fuit, Vt rati, & firmi maneant Canones à ſanctis & beatis patribus noſtris præceſſoribus recepti & approbati. Traditique nobis etiam nomine ſanctorum & glorioſiſſimorum Apoſtolorum Canones octoginta quinque. Mox conſcriptas à ſancto Clemente Conſtitutiones, Quum dixiſſet has legi non oportere, & eas rejeciſſet, ob id quòd adulterina quædam, & aliena à pietate ſint ipſis ad Eccleſiæ perniciem inſerta ab Hæreticis, meminit ſynodicorum Canonum, & Oecumenicarum Synodorum, localium quoque, & à divinis patribus extra Synodos factorum

A

ΚΑΝΩΝ πε΄.

Ἔστω ἡμῖν πᾶσι κληρικοῖς καὶ λαϊκοῖς, βιβλία σεβάσμια καὶ ἅγια· τῆς μὲν παλαιᾶς διαθήκης, Μωυσέως πέντε, Γένεσις, Ἔξοδος, Λευϊτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἰησοῦ υἱοῦ Ναυῆ, ἕν. Κριτῶν ἕν. Ῥοὺθ, ἕν. Βασιλειῶν, τέσσαρα. Παραλειπομένων τῆς βίβλου τῶν ἡμερῶν, δύο. Ἔσδρα, δύο. Ἐσθὴρ, ἕν. Μακκαβαίων τρία. Ἰὼβ, ἕν. Ψαλτηρίου, ἕν. Σολομῶντος, τρία. Παροιμίαι. Ἐκκλησιαστής. Ἆσμα ᾀσμάτων. Προφητῶν δεκαδύο. Ἡσαΐου ἕν. Ἱερεμίου ἕν. Ἰεζεκιὴλ ἕν. ἓν Δανιήλ. ἔξωθεν δὲ ὑμῖν προσιστορείσθω μανθάνειν ὑμῶν τοὺς νέους τὴν Σοφίαν τοῦ πολυμαθοῦς Σιράχ. B Ἡμέτερα δὲ (τοῦτ' ἔστι, τῆς καινῆς διαθήκης) Εὐαγγέλια τέσσαρα, Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου. Παύλου ἐπιστολαὶ δεκατέσσαρες. Πέτρου ἐπιστολαὶ δύο. Ἰωάννου, τρεῖς. Ἰακώβου μία. Ἰούδα, μία. Κλήμεντος ἐπιστολαὶ δύο. καὶ αἱ Διαταγαὶ ὑμῖν τοῖς Ἐπισκόποις δι' ἐμοῦ Κλήμεντος ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι, ἃς οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικά. καὶ αἱ Πράξεις ἡμῶν τῶν Ἀποστόλων.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ ξ΄. κανόνος ἐμάθομεν μὴ ἀναγινώσκειν ψευδεπίγραφα βιβλία ἀσεβῶν ὡς ἅγια. ἀρτίως δὲ μανθάνομεν, ποῖα βιβλία ἀναγινώσκειν ὀφείλομεν ἐκ τῆς C παλαιᾶς διαθήκης καὶ τῆς νέας. Σὺ δὲ γίνωσκε ὡς εἰ καὶ γέγραπται ἐνταυθοῖ ἀναγινώσκειν ἡμᾶς τὰς διαταγὰς τοῦ Κλήμεντος, πλὴν μὴ δημοσιεύειν αὐτὰς, ἀλλ' ὁ β΄. κανὼν τῆς ς΄. Συνόδου ἀπηγόρευσε τὴν τούτων ἀνάγνωσιν, διὰ τὸ γενέσθαι παραποίησιν ἐν αὐταῖς. καὶ ἀνάγνωθι τὸν αὐτὸν β΄. κανόνα, διοριζόμενον μετὰ καὶ ἄλλων τινῶν, μόνους τοὺς πε΄. κανόνας τῶν ἁγίων ἀποστόλων ἀναγινώσκειν ἡμᾶς, καὶ ἑτέρου τινὸς μὴ ἐπιστρέφεσθαι, κἂν λέγηται εἶναι τῶν ἁγίων ἀποστόλων κανών. τὰ δὲ παρὰ τῶν ἁγίων πατέρων καὶ ὁμολογητῶν συγγραφέντα καὶ ἀναγινώσκειν καὶ κατασπάζεσθαι ὀφείλομεν, ὡς εἰς τὴν ἀληθῆ καὶ ὀρθόδοξον πίστιν ἡμᾶς ἀνάγοντα.

D **ΖΩΝΑΡ.** Διαταξάμενοι οἱ πιστοὶ ἀπόστολοι πῶς χρὴ τοὺς πιστοὺς βιοῦν, ἐπήγαγον τελευταῖον καὶ τίνα δεῖ αὐτοὺς ἀναγινώσκειν βιβλία, καὶ ταῦτα ἀπηριθμήσαντο. ὡς δὲ ἄνω που εἴρηται, καὶ διαφόρων ἁγίων πατέρων ἀπαριθμήσεις τῶν ἀναγνωστέων βιβλίων εὑρίσκονται. τοῦτο δὲ πεποιήκασιν, ὅτι διάφορα νόθα συγγράμματα, καὶ ψευδεπίγραφα ἦσαν, ἢ καὶ εἰσί. τὰ δὲ καὶ νενοθευμένα, οἷαι καὶ αἱ διὰ τοῦ Κλήμεντος ἐκπεφωνημέναι διαταγαί. καὶ αὗται καὶ παρὰ κακοδόξων τινῶν ἐνοθεύθησάν τε, καὶ παρεφθάρησαν. διὸ καὶ ἀναγινώσκεσθαι ὅλως αὐτὰς ἀπηγόρευσεν ἡ οἰκουμενικὴ ἕκτη σύνοδος ἐν κεφαλαίῳ δευτέρῳ τῶν παρ' αὐτῆς τεθέντων κανόνων. τινὲς δὲ τῶν ἄλ- E λων ἀπαριθμήσεων παραχωροῦσιν ἀναγινώσκεσθαι πρὸς τοῖς ἐνταῦθα ἀπηριθμημένοις, καὶ τὴν Σοφίαν Σολομῶντος, καὶ Ἰουδὴθ, καὶ Τωβίαν, καὶ τὴν ἀποκάλυψιν τοῦ Θεολόγου.

Οὗτοι μὲν οὖν εἰσὶν οἱ τῶν πανσέπτων Ἀποστόλων πε΄. κανόνες. εὑρίσκονται δὲ ἔν τισι τῶν τοὺς κανόνας ἐχόντων βιβλίων, καὶ ἕτεροι κανόνες ἐπ' ὀνόματι ἑκάστου τῶν πανευφήμων ἀποστόλων ἐπιγεγραμμένοι. ἀλλ' ἡ ἐν τῷ Τρούλλῳ συναθροισθεῖσα σύνοδος τῶν σκζ΄. ἁγίων πατέρων ἐπὶ τῆς βασιλείας τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, ἡ λεγομένη ἕκτη, ἀπαρίθμησιν ποιησαμένη τῶν ἱερῶν κανόνων, οὕτως φησίν· ἔδοξε τῇ F ἁγίᾳ ταύτῃ συνόδῳ μένειν βεβαίους, καὶ ἀσφαλεῖς τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων πατέρων δεχθέντας, καὶ κυρωθέντας. ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ὀνόματι τῶν ἁγίων καὶ ἐνδοξοτάτων ἀποστόλων πε΄. κανόνας. εἶτα περὶ τῶν παρὰ τοῦ ἁγίου Κλήμεντος συγγραφεισῶν διατάξεων, εἰποῦσα, μὴ χρῆναι ταύτας ἀναγινώσκεσθαι, καὶ ἀποβαλλομένη αὐτὰς, ὡς αἱρετικῶν νόθα τινὰ, καὶ ξένα τῆς εὐσεβείας, ἐπὶ λύμῃ τῆς ἐκκλησίας αὐταῖς παρενειράντων, μέμνηται τῶν συνοδικῶν κανόνων, τῶν τε οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶν, καὶ τῶν παρὰ θείων πατέρων ἐκτὸς συνόδων γενομένων κανόνων. καὶ ἐπὶ τούτοις ἐπάγει, μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους, παραδέχεσθαι κανόνας ψευδεπιγράφους ὑπό τινων συντεθέντας τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. ταῦτα τοῦ δευτέρου κανόνος τῆς ἕκτης συνόδου διαταττομένου, καὶ μηδαμοῦ μνείαν ποιησαμένου ἑτέρων ἀποστολικῶν κανόνων, παρὰ τοὺς πε΄. οὐκ ἐγκρίνεσθαι δεῖ τοὺς λεγομένους ἄλλους τῶν ἀποστόλων κανόνας, ἀλλ' ἀποκρίνεσθαι μᾶλλον, ὀβελίζεσθαί τε, καὶ ἀποβάλλεσθαι· ὡς ψευδεπιγράφους, καὶ νόθους καὶ τῶν ἀπηριθμημένων, καὶ τοῖς θείοις καὶ ἱεροῖς πατράσιν ἐγκεκριμένων ἐκτός.

ΑΡΙΣΤ. Σεβάσμιος ἡ ἑξηκοντάβιβλος μόνον.

Ταῦτα μόνα πᾶσι κληρικοῖς, καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια ὀφείλουσι κρίνεσθαι· ἤγουν, τῆς μὲν παλαιᾶς διαθήκης, πέντε· γένεσις, ἔξοδος, λευιτικὸν, ἀριθμοὶ, δευτερονόμιον. Ἰησοῦ υἱοῦ Ναυῆ, ἕν· κριτῶν, καὶ Ῥοὺθ, ἕν· βασιλειῶν τέσσαρα· παραλειπομένων τῆς βίβλου τῶν ἡμερῶν, δύο. ἔσδρα, δύο· ἐσθὴρ, ἕν· μακκαβαίων, γ. Ἰὼβ, ἕν. ψαλτήριον, ἕν· σολομῶντος, τρία· παροιμίαι· ἐκκλησιαστής· ᾆσμα ᾀσμάτων. προφητῶν, δεκαδύο· ἔξωθεν δὲ τούτων, καὶ αἱ σοφίαι τοῦ πολυμαθοῦς Σιράχ· τῆς δὲ καινῆς διαθήκης, εὐαγγέλια τέσσαρα· Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου· Παύλου ἐπιστολαὶ, δεκατέσσαρες· Πέτρου ἐπιστολαὶ δύο· Ἰωάννου, τρεῖς· Ἰακώβου, μία· Ἰούδα, μία· Κλήμεντος αἱ ἐπιστολαὶ δύο· καὶ αἱ πράξεις τῶν ἀποστόλων· καὶ αἱ διαταγαὶ αἱ διὰ τοῦ αὐτοῦ Κλήμεντος τοῖς Ἐπισκόποις ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι· ἃς οὐδὲ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικά. μᾶλλον δὲ ὁ δεύτερος κανὼν τῆς ἐν τῷ τρούλλῳ γενομένης ἕκτης συνόδου παντελῶς ἀποβάλλεται τὰς τοιαύτας διατάξεις, διὰ τὸ ἐν αὐταῖς ὑπὸ τῶν ἑτεροδόξων προστεθῆναί τινα νόθα καὶ ξένα τῆς εὐσεβείας.

A Canonum, deinceps his ſubjicit, Nemini fas eſſe ſupradictos Canones adulterare, vel improbare, vel alios præter propoſitos recipere Canones falsò inſcriptos: quos quidam veritatem cauponari conati, compoſuerunt. Quum ſecundus ſextæ Synodi Canon hæc ordinet, Nec uſquam memoriam faciat aliorum Apoſtolicorum Canonum præter iſtos octoginta quinque, Non oportet alios ullos, qui dicantur Apoſtolorum, Canones approbari, ſed magis reprobari, obelóque transfigi, & rejici: tanquam falsò inſcriptos, & non legitimos, & extrà numerum eorum, quos divini, ſanctique Patres judicio ſuo comprobarunt.

B Ariſt. *Sexaginta librorum Canon tantùm eſt venerandus.*

Iſti ſoli libri Clericis & Laicis venerandi ſanctique judicari debent, ſcilicet veteris quidem teſtamenti, Moſis quinque, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium. Jeſu filii Nave unus. Judicum, & Ruth unus. Regum quatuor. derelictorum ex libro dierum duo. Eſdræ duo. Eſther unus. Maccabæorum tres. Job unus. Pſalterium, unus. Solomonis tres. Proverbia. Eccleſiaſtes. Canticum Canticorum. Prophetarum duodecim. Inſuper & extra hos & Sapientiæ eruditiſſimi Sirach. C Novi autem teſtamenti Evangelia quatuor, Matthæi, Marci, Lucæ, Johannis. Pauli Epiſtolæ quatuordecim. Petri Epiſtolæ duæ. Johannis tres. Jacobi una. Judæ una. Clementis Epiſtolæ duæ, & acta Apoſtolorum. Et Conſtitutiones per eundem Clementem Epiſcopis in octo libris nuncupatæ, quas non oportet omnibus divulgare propter myſtica quædam quæ in iis ſunt. Potius autem ſecundus Canon ſextæ Synodi in Trullo factæ, omnino rejicit iſtas conſtitutiones, quia ſpuria quædam & à pietate aliena in iis à Sectariis adduntur.

CANONES
NICENÆ PRIMÆ SANCTÆ
ET OECUMENICÆ SYNODI.

Bals. Sancta hæc & œcumenica Synodus habita fuit, imperante (decimo anno imperii ipſius) magno Conſtantino, coactis Niceæ, quæ eſt in Bithynia, cccxviii. Sanctis patribus adverſus Arium Preſbyterum Alexandrinæ Eccleſiæ, qui blaſphemabat adverſus filium Dei Dominum noſtrum Jeſum Chriſtum, dicens eum non eſſe Deo & patri conſubſtantialem, ſed creaturam, & quòd erat quando non erat: quem depoſuit hæc ſancta Synodus, & unà cum ei conſentientibus anathemate percuſſit: decrevit autem eſſe filium patri conſubſtantialem, & Deum verum ac poſſeſſorem ac dominum & creatorem rerum omnium creatarum; non autem creaturam, nec quippiam factum. Hæc autem quæ Niceæ fuit Synodus, prima dicitur, ſi ad Oecumenicas referatur. Ante eam enim Synodi diverſæ locales fuere. Sed hæc cùm œcumenicarum prima ſit, reliquis quoque præponitur quæ ante ipſam fuerunt, Antiochenæ ſcilicet, quæ adverſus Paulum Samoſatenum congregata eſt ſub Aureliano Imperatore, Ancyranæ, & Neocæſarianæ.

Zonar. Sancta & œcumenica prima Synodus, magno Conſtantino imperante habita fuit, cum Niceæ in Bithynia octodecim ſuprà trecentos ſancti Patres conveniſſent, adverſus Arium Alexandrinæ Eccleſiæ presbyterum, qui in Dei filium Dominum noſtrum Jeſum Chriſtum blaſphemabat, dicens eum Deo, Patriq; non conſubſtantialem, ſed creaturam eſſe, & quòd erat quando non erat: hunc Sancta hæc ſynodus depoſuit, & unà cum ei conſentientibus anathemate percuſſit: ab eademque Synodo Patri conſubſtantialem filium, Deum verum, ac Dominum, ac poſſeſſorem, & rerum creatarum omnium conditorem, non creatum aliquid, vel factitium eſſe definitum fuit. Dicitur verò Synodus hæc Nicæna prima, ad œcumenicas videlicet comparata, ſiquidem ante illam locales ſynodi complures celebratæ ſunt: ſed cum inter œcumenicas hæc ſit antiquiſſima, idcirco ante alias etiam vetuſtiores, Antiochenam videlicet, contra Paulum Samoſatenum Aureliano imperante congregatam, Ancyranam, in qua de illorum hominum, qui ſæviente hoſtium Chriſtiani nominis furore à religione defecerant, ſi errati pœnituiſſet, excipiendorum ratione deliberatum eſt; & Neocæſarienſem, in qua Canones ad Eccleſiaſticæ rei conſtitutionem ſpectantes editi ſunt, priore loco collocata fuit.

Canon I.

Si quis à medicis in morbo exciſus, vel à Barbaris exectus eſt, is in Clero maneat. Si quis autem cùm eſſet ſanus, ſeipſum execuit, eum etiam in Clero recenſitum ceſſare convenit, & deinceps nullum talem oportet promoveri. Quemadmodum autem hoc manifeſtum eſt, quòd de iis qui de induſtria hoc agunt, & ſeipſos audent excindere, dictum eſt: ita ſi aliqui à Barbaris vel dominis caſtrati ſint, inveniantur autem & ii alioqui digni, tales in Clerum admittit Canon.

Bals. Divini canones Apoſtolici xxi. xxii. xxiii. & xxiv. ſatis nos docuerunt, quid fieri debeat in eos qui ſeipſos caſtrarunt: Conſequenter igitur iſtis & hic præſens Canon decernit, eos qui ſeipſos execandos tradiderunt, vel ipſi ſuis ſibi manibus virilia amputaverunt, in Clerum non cooptari, nec ad ſacerdotium promoveri.

ΚΑΝΟΝΕΣ
ΤΗΣ ΕΝ ΝΙΚΑΙΑ ΠΡΩΤΗΣ
ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου.

ΒΑΛΣ. Ἡ ἁγία αὕτη σύνοδος καὶ οἰκουμενικὴ γέγονε βασιλεύοντος (τῷ δεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ) τοῦ μεγάλου Κωνσταντίνου, ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων κατὰ Ἀρείου γεγονότος πρεσβυτέρου τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας, ὃς ἐβλασφήμει κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων μὴ ὁμοούσιον εἶναι αὐτὸν τῷ θεῷ καὶ πατρί, κτίσμα δέ, καὶ ὅτι ἦν ὅτε οὐκ ἦν, ὃν καθεῖλεν ἡ ἁγία σύνοδος αὕτη, καὶ ἀναθεμάτισε μετὰ τῶν ὁμοφρόνων αὐτοῦ· ἐδογμάτισε δὲ ὁμοούσιον τῷ πατρὶ τὸν υἱόν, καὶ θεὸν ἀληθινὸν καὶ δεσπότην καὶ Κύριον καὶ κτίστην τῶν κτιστῶν ἁπάντων, ἀλλ' οὐ κτίσμα, οὐδὲ μέντοιγε ποίημα. πρώτη δὲ σύνοδος ἡ ἐν Νικαίᾳ αὕτη λέγεται πρὸς τὰς οἰκουμενικὰς ἀριθμουμένη. ἐπείπερ πρὸ αὐτῆς διάφοροι γεγόνασι σύνοδοι τοπικαί. ἀλλὰ τῶν οἰκουμενικῶν αὕτη οὖσα πρώτη, προτέτακται καὶ τῶν λοιπῶν τῶν πρὸ αὐτῆς γενομένων, τῆς ἐν Ἀντιοχείᾳ δηλαδὴ κατὰ Παύλου τοῦ Σαμοσατέως συγκριθείσης ἐπὶ Αὐριλιανοῦ Βασιλέως, τῆς ἐν Ἀγκύρᾳ καὶ τῆς ἐν Νεοκαισαρείᾳ.

ΖΩΝΑΡ. Ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος γέγονε βασιλεύοντος τοῦ μεγάλου Κωνσταντίνου, ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων κατὰ Ἀρείου, γεγονότος πρεσβυτέρου τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας, ὃς ἐβλασφήμει κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων μὴ ὁμοούσιον εἶναι αὐτὸν τῷ θεῷ καὶ πατρί, κτίσμα δέ, καὶ ὅτι ἦν ὅτε οὐκ ἦν, ὃν καὶ καθεῖλεν ἡ ἁγία σύνοδος αὕτη, καὶ ἀνεθεμάτισε μετὰ τῶν ὁμοφρόνων αὐτοῦ· ἐδογμάτισε δὲ ὁμοούσιον τῷ πατρὶ τὸν υἱόν, καὶ θεὸν ἀληθινὸν καὶ δεσπότην καὶ κύριον, καὶ κτίστην τῶν κτιστῶν ἁπάντων· ἀλλ' οὐ κτίσμα, οὐδὲ μέντοιγε ποίημα. πρώτη δὲ σύνοδος ἡ ἐν Νικαίᾳ αὕτη λέγεται πρὸς τὰς οἰκουμενικὰς ἀριθμουμένη. ἐπείτοιγε πρὸ αὐτῆς διάφοροι γεγόνασι σύνοδοι τοπικαί. ἀλλὰ τῶν οἰκουμενικῶν αὕτη οὖσα πρώτη, προτέτακται καὶ τῶν λοιπῶν τῶν πρὸ αὐτῆς γενομένων, τῆς ἐν Ἀντιοχείᾳ δηλαδὴ κατὰ Παύλου τοῦ Σαμοσατέως, συγκροτηθείσης ἐπὶ Αὐρηλιανοῦ βασιλέως, τῆς τε ἐν Ἀγκύρᾳ, ἐν ᾗ ζήτησις γέγονε περὶ τῶν ἐν καιροῖς διωγμῶν τὴν πίστιν ἀρνησαμένων, καὶ μεταμελομένων· ὅπως δεῖ τούτους προσδέχεσθαι. καὶ τῆς ἐν Νεοκαισαρείᾳ, ἐν ᾗ περὶ ἐκκλησιαστικῆς καταστάσεως κανόνες ἐξεφωνήθησαν.

ΚΑΝΩΝ α'.

Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ. εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμεν, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει. καὶ ἐκ τοῦ δεῦρο μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν, εἴρηται. οὕτως εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ κανών.

ΒΑΛΣ. Οἱ ἀποστολικοὶ θεῖοι κανόνες ὁ κα'. ὁ κβ'. ὁ κγ'. καὶ ὁ κδ'. ἱκανῶς ἡμᾶς ἐδίδαξαν τί ἀφείλει γίνεσθαι εἰς τοὺς ἀκρωτηριαζομένους τοὺς διδύμους. ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν διατάττεται, μήτε τοὺς ἑαυτοὺς ἐκδόντας εἰς ἐκτομήν, ἢ αὐτόχειρας γενομένους κληροῦσθαι, ἢ εἰς ἱερωσύνην προάγεσθαι, ἀλλὰ κἂν προέφθασαν ἐν κλήρῳ ταχθῆναι, ἐκβάλλεσθαι τούτους. μήτε τοὺς ὑφ' ἑτέρων ἐπηρεασθέντας, καὶ τῶν παιδογόνων στερηθέντας μορίων, ἐὰν ἄξιοι κρίνωνται, ἱερωσύνης κωλύεσθαι διὰ τοῦτο. ἀνάγνωθι καὶ τὸν η'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου τῆς λεγομένης πρώτης καὶ δευτέρας. ἐπεὶ δὲ τοὺς ἀποστολικοὺς κανόνας ἑρμηνεύοντες, ἐγράψαμεν κολάζεσθαι τὸν μετὰ τὴν χειροτονίαν διὰ πάθος ἑαυτὸν ἀκρωτηριάσαντα· ἀπὸ δὲ τοῦ παρόντος κανόνος λέγοντος εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· καὶ αὖθις, εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦσθαι προσήκει· εἶπον τινὲς μὴ κολάζεσθαι τὸν μετὰ τὴν κλήρωσιν διὰ πάθος ἀκρωτηριασθέντα· φαμὲν ὡς ὁ τοιοῦτος κανὼν οὐ διαλέγεται περὶ τῶν ἀκρωτηριασθέντων μετὰ τὴν ἱερωσύνην, ἀλλὰ πρὸ τῆς ἱερωσύνης· μετὰ δὲ ταύτην, εἰς ἀμφιβολίαν ἐμπεσόντων. εἰ δὲ καὶ πλέον ἀνθίσταταί τις καὶ θέλει συγγνωμονηθῆναι τὸν διὰ πάθος μετὰ τὴν ἱερωσύνην ἀκρωτηριασθέντα, ἀκουσάτω ὡς ἡ ρμβ'. Ἰουστινιάνειος νεαρὰ ἡ κειμένη ἐν βίβλῳ ξ'. τίτλῳ να'. κεφαλαίῳ τελευταίῳ, ἥτις καὶ κατεστρώθη ἐν κεφαλαίῳ ιδ'. τοῦ πρώτου τίτλου τοῦ παρόντος συντάγματος, ἐπιστομίζει αὐτόν. Ταῦτα δὲ λέγομεν, ἐὰν χωρὶς εἰδήσεως τῆς ἐκκλησίας μετὰ τὴν ἱερωσύνην ἀκρωτηριασθῇ τις· εἰ γὰρ κατ' ἐπιτροπὴν ἐκκλησιαστικὴν εὐνουχισθῇ τις, καὶ μετὰ τὴν κλήρωσιν, οὐ προσκριματισθήσεται, ὡς ἐμοὶ τέως δοκεῖ, κἂν οὐκ εἶδον τινὰ ἱερωμένον ἐκχωρηθέντα διὰ νόσον εὐνουχισθῆναι, πολλῶν τοῦτο ζητησάντων συνοδικῶς· καὶ ὅτε τὸ χαρτοφυλακικὸν ἐνήργουν ὀφφίκιον, ἀλλὰ καὶ μετὰ τὸ πατριαρχεῦσαι.

ΖΩΝΑΡ. Διάφοροι κανόνες τῶν ἁγίων ἀποστόλων, τὰ αὐτὰ τῷ παρόντι κανόνι διατάττονται, καὶ οἱ τῆς πολιτείας δὲ νόμοι· ἔοικε δὲ καταφρονηθῆναι τὸ πρᾶγμα καὶ μετὰ τοὺς κανόνας, καὶ αὖθις τινὰς ἑαυτοὺς ἀκρωτηριάζοντας προάγεσθαι εἰς κλῆρον· καὶ τοὺς ὑφ' ἑτέρων ἐκτμηθέντας κατ' ἐπήρειαν, μὴ προάγεσθαι. διὰ τοῦτο οὖν καὶ οἱ τῆς συνόδου ταύτης τὸν παρόντα κανόνα ἐξέθεντο, διαταττόμενοι τὰ αὐτὰ τοῖς ἀποστολικοῖς κανόσι καὶ τοῖς νόμοις· ὥστε μήτε τοὺς ἑαυτοὺς ἐκδόντας εἰς ἐκτομήν, ἢ αὐτόχειρας γινομένους κληροῦσθαι, ἢ εἰς ἱερωσύνην ἀνάγεσθαι· ἀλλὰ κἂν προέφθασαν ἐν κλήρῳ ταχθῆναι, ἐκβάλλεσθαι τούτους, μήτε τοὺς ὑφ' ἑτέρων ἐπηρεασθέντας, καὶ τῶν παιδογόνων στερηθέντας μορίων, ἐὰν ἄξιοι κρίνωνται ἱερωσύνης, κωλύεσθαι διὰ τοῦτο προαχθῆναι εἰς ἱερωσύνην. ἑαυτὸν δ' ἐκτεμὼν, οὐχ ὁ χερσὶν οἰκείαις ἀποκόψας τὸ μόριον λέγεται μόνος, ἀλλὰ καὶ ὁ ἄλλῳ ἑκὼν καὶ χωρὶς ἀνάγκης ἑαυτὸν εἰς ἐκτομὴν ἐπιδούς. πλατύτερον δὲ τὰ περὶ τούτου ἐξήγηται ἐν τῷ κα'. καὶ β'. καὶ γ'. καὶ δ'. τῶν ἀποστολικῶν κανόνων.

ΑΡΙΣΤ. Οἱ εὐνοῦχοι εἰς κλῆρον δεχέσθωσαν· οἱ δὲ ἐκτέμνοντες ἑαυτοὺς, μὴ δεχέσθωσαν.

Εἴρηται καὶ ἐν τοῖς ἀποστολικοῖς κανόσιν, ἤτοι τῷ κβ'. κγ'. καὶ κδ'. ἄξιον ἱερωσύνης μὴ κωλύεσθαι εἰς κλῆρον προβιβάζεσθαι, εἴπερ ἀκουσίως ἐξευνουχίσθη· τὸν δὲ ἑκουσίως ἀκρωτηριάσαντα ἑαυτὸν, ὡς αὐτοφονευτὴν ἑαυτοῦ, εἰς κλῆρον ὅλως μὴ παραδέχεσθαι, ἀλλὰ καὶ κληρικὸν ὄντα, καθαιρεῖσθαι. τῆς αὐτῆς οὖν καὶ ὁ παρὼν κανὼν ἐννοίας ἐστίν.

A Sed & ſi prius in Clericorum numerum ſunt cooptati, eos ejici. Nec eos qui ab aliis execti membriſque genitalibus privati ſunt, ſi digni ſacerdotio judicentur, propterea prohiberi. Lege etiam Canonem octavum Synodi in templo ſanctorum Apoſtolorum habitæ, quæ prima & ſecunda dicitur. Quoniam autem & Apoſtolicos Canones interpretantes, ſcripſimus eum quoque qui poſt ordinationem ſeipſum propter morbum, mutilavit, puniendum eſſe: Ex hoc autem præſenti Canone dicente, Si quis à medicis in morbo exciſus eſt, is in Clero maneat: & rurſus, Si quis autem cùm eſſet ſanus, ſeipſum execuit, eum etiam in Clero recenſitum ceſſare convenit: B dixerunt quidam eum non puniri, qui propter morbum, poſtquam in Clerum receptus eſt, mutilatus fuerit: dicimus hunc Canonem non loqui de iis qui poſt ſacerdotium mutilati ſunt, ſed qui ante ſacerdotium, iis autem poſtea controverſia mota eſt. Sin autem magis etiam inſiſtit aliquis, & ei vult ignoſci, qui propter morbum poſt ſacerdotium mutilatus eſt, audiat quod Juſtiniani novella cxlii. quæ in lx. Libro tit. li. cap. ultimo, ſita eſt, quæ etiam collocata in cap. xiiii. primi tituli præſentis operis, iſti os occludit. Hæc autem ita habere dicimus, ſi ſine Eccleſiæ notitia poſt ſacerdotium quis mutilatus fuerit. Si enim ex permiſſione Eccleſiaſtica quis caſtratus C fuerit, etiam poſtquam Clericus ſit, hoc ei nullum præjudicium afferet, ut mihi quidem videtur, etſi nullum vidi ſacris initiatum, cui propter morbum permiſſum fuerit ut caſtraretur, idque cùm hoc multi Synodicè petierint, & cùm Chartophylacis officium exercerem; Sed & poſtquam Patriarcha eſſem.

Zonar. Compluribus ſanctorum Apoſtolorum Canonibus, & civilium quoque legum decretis, eadem quæ hoc Canone conſtituuntur; Verum etiam poſt Canones editos rem hanc totam neglectam fuiſſe, ac rurſum aliquos qui ſe ipſi mutilaverant, in Clerum receptos, & qui ab D aliis per injuriam exciſi fuerant, excluſos fuiſſe facile apparet. Hunc igitur Canonem propterea Synodi hujus patres promulgavere, eadem quæ Apoſtolicis Canonibus, quæque legum ſanctionibus definita fuerant, decernentes; ut nec eos, videlicet qui ſe ſponte exſecandos præbuiſſent, quive ſe ipſi eunuchos feciſſent, in Clerum admitti, aut ad ſacerdotium evehi fas ſit, quinimo etiam in Clerum antea receptos, eodem ejici. Nec verò qui ab aliis injuria affecti, genitalibúſque privati fuiſſent, ſi digni ſacerdotio judicentur, ea de cauſa, quo minus in ſacerdotium cooptari liceat, excludantur. Ac ſui quidem exector ille dicendus eſt, non qui modo ſibi ipſe virilia E evellit, ſed & quicunque volens, nulla neceſſitatis excuſatione ſe execandum tradit. Verum hæc vigeſimo primo, ſecundo, tertio, & quarto Apoſtolorum Canone, fuſius explicantur.

Ariſt. *Eunuchi in Clerum recipiantur. Qui autem ſeipſos execant non recipiantur.*

Dicitur in Canonibus Apoſtolicis nempe xxii. xxiii. & xxiv. Sacerdotio dignum non prohiberi in Clerum promoveri, ſi involuntarie fiat Eunuchus. Spontaneè verò ſeipſum mutilantem, ut propriæ cædis auctorem in Clerum prorſus non admittendum eſſe: ſed & ſi ſit Clericus F deponendum. Ejuſdem itaque notionis eſt & præſens Canon.

UMI

Canon II.

Quoniam multa, vel neceſſitate vel urgentibus alioqui hominibus, præter Canonem eccleſiaſticum facta ſunt, ut homines qui è vita gentili ad fidem nuper acceſſerunt, & exiguo tempore catechumeni, (id eſt initiati) fuere ſtatim ad lavacrum ſpirituale deducant, & ſimul ac baptizati fuerint, ad Epiſcopatum vel Presbyteratum provehant, rectè habere viſum eſt, ut nihil deinceps tale fiat. Nam & catechumeno tempore opus eſt, & poſt baptiſmum, probatione majore. Apertum enim eſt ſcriptum Apoſtolicum quod dicit, Non neophytum, ne inflatus in judicium incidat & diaboli laqueum. Si autem procedente tempore, animale aliquod peccatum circa perſonam inventum fuerit, & à duobus vel tribus teſtibus convincatur, ceſſet qui talis eſt à Clero. Qui autem præter hæc facit, ut qui magnæ Synodo adverſus eſſe audeat, ipſe de clericatu in periculum veniet.

Bals. Ex octogeſimo quidem ſanctorum Apoſtolorum Canone didicimus, neque eum, qui ex gentili vitâ, neque eum qui ex improba vivendi ratione ad Eccleſiam acceſſerit, ſubitò Epiſcopum creari. Lege verò quæ in eum ſcripta ſunt. At præſens Canon adjicit, neque Presbyterum ſtatim fieri talem, neque infidelem aliquem baptizari antequam priùs ſufficienter catecheſi fuerit eruditus: quòd hic tempore ad explorationem indigeat: qui verò ſecus fecerit, deponi ait. Cùm vero hic Canon puniat quæ poſt baptiſmum exoritura ſunt animalia peccata, quæſiverunt nonnulli, quænam ſunt peccata animalia, & cur animalium peccatorum meminit Canon, & non corporalium. Et nonnulli quidem dixerunt animalia eſſe peccata, quæ ex animæ perturbationibus, ut ex ſuperbia, & inobedientia, & aliis ejuſmodi naſcuntur, ea enim deponunt: ut Novatianorum hæreſis, & à nuptiis & carnium eſu importuna abſtinentia, ut vult v. Canon Apoſt. & alii. Ego autem dico, quod omne peccatum quod affert perniciem animæ, animale vocatur, ſive ex corporali, ſive ex animali appetitione principium accipiat. Propterea enim omnia peccata animales lapſus vocat Eccleſia. Quin etiam Canon peccatorum tantummodo animalium meminit, ut quæ etiam corporalia comprehendant. Quod autem non puniatur baptizatus, & in Clerum aſſumptus, propter fornicationem, vel cædem, quam ante baptiſmum admiſit, lege xx. Can. ſancti Baſil. & quæ in eo ſunt, & ſanctorum Apoſtolorum Can. xvii.

Zonar. Sanctorum quoque Apoſtolorum octogeſimus Canon, qui ex Gentili vita, aut improba vivendi ratione acceſſerit, nequaquam ſubito Epiſcopum creari decernit. Et magni Pauli, Timotheum per Epiſtolam, qualem Epiſcopum eſſe oporteat, edocentis, voce, ne eligatur neophytus, admonemur. Idcirco hujus etiam Synodi Patres, neque quempiam ad fidem accedentem, niſi catecheſi, quantum ſatis fuerit, eruditum, mox baptizare, neve baptizatum illico, niſi ejuſdem fidei conſtantia, vitæque ratione penitus explorata, in Clerum cooptari liceat, decrevere. Quod ſi cujus probata ſatis morum integritas videbatur, decurſu temporis animali crimine infectus eſſe deprehenditur, eum ceſſare jubent. Quæritur verò, quodnam ſit animale peccatum, curve animalium tantum non corporalium quoque hic inducta mentio, cum præſertim corporalia longe frequentius, animalia non ita ſæpe depoſitione mulctentur. Quidam igitur, crimen omne quo læditur anima animale à ſanctis Patribus, qui hunc Canonem edidere, nuncupatum fuiſſe exiſtimant. Alii animalia peccata ea dicunt, quæ ex animi perturbationibus, elatione, exempli cauſa, ſuperbia, inobedientiaque oriuntur. Nam hæc quoque hominem, niſi curatione tollantur, depoſitioni obnoxium reddunt: id-

A

ΚΑΝΩΝ β'.

Ἐπειδὴ πολλὰ, ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως ἐπειγομένων τῶν ἀνθρώπων, ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ βαπτισθῆναι προάγειν εἰς ἐπισκοπὴν, ἢ πρεσβυτικὴν, καλῶς ἔδοξεν ἔχειν, τοῦ λοιποῦ μηδὲν τοιοῦτο γίνεσθαι. καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος· σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα, τὸ λέγον, Μηδὲ νεόφυ- B τον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. εἰ δὲ προϊόντος τοῦ χρόνου, ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο ἢ τριῶν μαρτύρων, πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντίως τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τὸν κλῆρον.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ π'. κανόνος τῶν ἁγίων ἀποστόλων ἐμάθομεν μήτε τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα τῇ ἐκκλησίᾳ, μήτε τὸν ἐκ φαύλης διαγωγῆς, αὐτίκα προχειρίζεσθαι Ἐπίσκοπον· καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα. ὁ C δὲ παρὼν κανὼν προστίθησι μηδὲ πρεσβύτερον αὐτίκα γίνεσθαι τὸν πιστὸν, μηδὲ ἄπιστόν τινα βαπτίζεσθαι πρὸ τοῦ ἱκανῶς κατηχηθῆναι, διὰ τὸ δεῖσθαι τοῦτον χρόνου εἰς δοκιμασίαν· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα καθαιρεῖσθαι φησί. τοῦ δὲ κανόνος κολάζοντος τὰ μετὰ τὸ βάπτισμα ἀναφανησόμενα ψυχικὰ ἁμαρτήματα, ἠρώτησαν τινες ποῖά εἰσι ψυχικὰ ἁμαρτήματα, καὶ διὰ τί ψυχικῶν ἐμνήσθη ὁ κανὼν ἁμαρτημάτων, καὶ οὐχὶ σαρκικῶν. καὶ ἄλλοι μὲν εἶπον ψυχικὰ ἁμαρτήματα εἶναι τὰ ἐκ ψυχικῶν παθῶν τικτόμενα. οἷον ἐξ οἰήσεως, ἐξ ἀνηκοΐας, καὶ ἑτέρων τοιούτων, καὶ ταῦτα γὰρ καθαιροῦσιν· ὡς ἡ τῶν Ναυατιανῶν αἵρεσις, καὶ ἡ ἄκαιρος ἀποχὴ τοῦ γάμου, D καὶ τῆς κρεωφαγίας, κατὰ τὸν ε'. κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ ἑτέρων. ἐγὼ δὲ φημὶ ὡς πᾶν ἁμάρτημα ἐπάγον τῇ ψυχῇ βλάβην, ψυχικὸν ὀνομάζεται, κἂν ἐκ σωματικῆς ὀρέξεως δέξηται τὴν ἀρχὴν, κἂν ἐκ ψυχικῆς. Διὰ γὰρ τοῦτο καὶ πάντα τὰ ἁμαρτήματα ψυχικὰ σφάλματα ἡ ἐκκλησία κατονομάζει. καὶ ὁ κανὼν δὲ μόνων ἐμνήσθη ἁμαρτημάτων ψυχικῶν, ὡς περιεχόντων καὶ τὰ σαρκικά. περὶ μέντοι τοῦ μὴ κολάζεσθαι τὸν βαπτισθέντα, καὶ κληρωθέντα, διὰ τὴν πρὸ τοῦ βαπτίσματος πορνείαν, ἢ τὸν φόνον, ἀνάγνωθι τὸν κ'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὰ ἐν αὐτῷ καὶ τῶν ἁγίων ἀποστόλων κανόνα ιζ'.

E **ΖΩΝΑΡ.** Καὶ ὁ ὀγδοηκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων, τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα, ἢ ἐκ φαύλης διαγωγῆς, μὴ αὐτίκα προχειρίζεσθαι Ἐπίσκοπον ἐπισκήπτει· καὶ ὁ μέγας δὲ Παῦλος Τιμοθέῳ γράφων, καὶ οἷον εἶναι δεῖ τὸν εἰς ἐπισκοπὴν προαγόμενον διατατόμενος, καὶ μὴ νεόφυτον εἶναι φησί. διὸ καὶ οἱ πατέρες οὗτοι ὁρίζουσι, μήτε τὸν τῇ πίστει προσερχόμενον αὐτίκα βαπτίζεσθαι, εἰ μὴ ἀρκούντως κατηχηθείη, μήτε βαπτισθέντα εὐθὺς εἰς κλῆρον κατατάττεσθαι, μήπω δόντα δοκίμιον ἑαυτοῦ, ὅπως τε περὶ τὴν πίστιν ἔχει, καὶ ὅπως περὶ τὸν βίον· εἰ δὲ καὶ μετὰ δοκιμασίας γένηται ἀνεπίληπτος δόξας, προϊόντος δὲ τοῦ χρόνου ἁμάρτημά τι ψυχικὸν ἔχων ἐλεγχθείη, F παύεσθαι τοῦτον διατάττονται· ἀπορεῖται δὲ τί ἂν εἴη τὸ ψυχικὸν ἁμάρτημα, καὶ διὰ τί ψυχικῶν ἐμνήσθη μόνον, ἀλλ' οὐχὶ καὶ σαρκικῶν καθαιρεῖν μᾶλλον πεφυκότων τοὺς περιπεπτωκότας αὐτοῖς· τῶν ψυχικῶν δέ γε, ὡς ἐπ' ἐλάχιστον· οἱ μὲν οὖν τοὺς τὸν κανόνα ἐκθεμένους ἁγίους πατέρας πᾶν ἁμάρτημα εἰς ψυχὴν φέρον τὴν βλάβην, ψυχικὸν ὠνομάσθαι φασίν· οἱ δὲ ψυχικά φασιν ἁμαρτήματα, τὰ ἐκ ψυχικῶν παθῶν γινόμενα, οἷον ἐξ οἰήσεως καὶ ὑπερηφανίας, καὶ ἀνηκοΐας· καὶ ταῦτα γὰρ καθαιρέσει ἀθεράπευτα μένοντα ὑποβάλλουσι· δῆλον δὲ τοῦτο, ἐκ τῶν καλουμένων Ναυατιανῶν. ἐκεῖνοι γὰρ οὐ περὶ δόγμα ἐσφάλλοντο· ἀλλὰ καθαροὺς ἑαυτοὺς ἐξ οἰήσεως ὀνομάζοντες, οὔτε τοὺς ἐν διωγμοῖς παραπεσόντας μετανοοῦντας ἐδέχοντο, οὔτε διγάμοις ἐκοινώνουν· διὸ καὶ ἐξεκηρύχθησαν τῆς τῶν πιστῶν ὁμηγύρεως διὰ τὴν οἴησιν καὶ τὴν μισαδελφίαν αὐτῶν. εἰ γοῦν ἐκεῖνοι διὰ ταῦτα καὶ τῆς ἐκκλησίας ἀπεβλήθησαν, πῶς οὐκ ἂν ὁ δι' οἴησιν Ἐπισκόπῳ αὐτοῦ μὴ πειθόμενος καὶ ἀδιόρθωτος μένων, καθαιρεθήσεται; καὶ ὁ πέμπτος δὲ τῶν ἁγίων Ἀποστόλων κανὼν τοὺς τὰς ἑαυτῶν γυναῖκας προφάσει εὐλαβείας ἐκβάλλοντας, ἀφορίζεσθαι κελεύει, ἐπιμένοντας δὲ καὶ καθαιρεῖσθαι· καὶ ὁ λϛ΄. τῶν αὐτῶν διατάττεται, τοὺς ψήφῳ τῶν Ἐπισκόπων εἰς προστασίαν καλουμένους, μὴ καταδεχομένους δὲ τὸ λειτούργημα, ἀφωρισμένους εἶναι, ἕως ἂν καταδέξωνται· ὥστε εἰ μὴ καταδέχοιντο, εἶεν ἂν διὰ βίου ἀφωρισμένοι, οἱ δὲ διὰ βίου ἀφωρισμένοι οὐδὲν ἀπεοίκασι καθῃρημένων. οἶμαι δὲ κράτιστον εἰπεῖν, ὅτι πᾶν ἁμάρτημα δικαίως ἂν ὀνομάζοιτο ψυχικόν, ὡς ἐκ παρατροπῆς τῶν ψυχικῶν δυνάμεων τὴν ἀρχὴν ἔχον. εἰς τρία γὰρ τῶν περὶ τὴν ψυχὴν θεωρουμένων διαιρουμένων, εἴς τε τὸ λογικόν, τὸ ἐπιθυμητικόν, καὶ τὸ θυμικόν, ἐξ ἑκάστου τούτου αἱ ἀρεταὶ καὶ αἱ κακίαι πεφύκασι φύεσθαι. αἱ μὲν ὅταν ὀρθῶς καὶ ὡς παρὰ τοῦ δημιουργοῦ ἡμῖν ἐνετέθησαν, αὐταῖς χρώμεθα· αἱ δὲ κακίαι, ὅταν αὐταῖς παραχρώμεθα. τοῦ μὲν οὖν λογικοῦ ἀρετὴ καὶ κατόρθωμα ἡ εὐσέβεια, καὶ αἱ τῷ θείῳ πρέπουσαι ἡμέτεραι ἔννοιαι, καὶ ἡ τοῦ καλοῦ καὶ τοῦ χείρονος ἀνεπισφαλὴς διάκρισις, καὶ τί μὲν αἱρεῖσθαι δέον, τί δὲ ἀποτρέπεσθαι· ἡ δὲ ἐκ τούτων ἀπόπτωσις κακία καὶ ἁμαρτία ἐστί. τοῦ δ' ἐπιθυμητικοῦ μέρους ἀρετή, τὸ τῶν ὄντως ἐραστῶν ὀρεκτῶν, τῆς θείας φημὶ φύσεως, καὶ τῶν οἰκειοῦν ἡμᾶς ἐκείνῃ δυναμένων πράξεων· ἡ δ' ἐκ τούτων παρατροπὴ καὶ εἰς γήϊνα φορὰ τῆς ἐπιθυμίας ἁμάρτημα· ὁμοίως δὲ καὶ τοῦ θυμικοῦ ἀρετή, ἡ πρὸς τὴν κακίαν ἐναντίωσις καὶ ἀπέχθεια, καὶ τὸ πρὸς τὰς τοῦ σώματος ὀρέξεις ἀνθίστασθαι, καὶ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, καὶ τοῦ ὀρθοῦ λόγου καὶ τῆς ἀρετῆς προμαχεῖν, καὶ μετὰ τοῦ Δαβὶδ λέγειν· εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην· κακία δὲ ἡ πρὸς τὸν πλησίον ὀργὴ καὶ τὸ μῖσος, καὶ αἱ φιλόνεικοι διαθέσεις, καὶ αἱ μνησικακίαι· οὕτως οὖν ὡς εἴρηται ἐκ τῶν ψυχικῶν δυνάμεων τῶν ἁμαρτημάτων συνισταμένων, καλῶς οἱ θεῖοι πατέρες ψυχικὰ εἰρήκασιν ἁμαρτήματα, καὶ τῷ μεγάλῳ Παύλῳ ἑπόμενοι λέγοντι· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. ψυχικὸν ὀνομάζοντι, τὸ ὑπὸ τῆς ψυχῆς ἡγεμονευόμενον καὶ κυριαρχούμενον, καὶ ταῖς φυσικαῖς αὐτῆς δουλεῦον δυνάμεσιν, ἐκδιδοῦν τε θυμῷ καὶ ἐπιθυμίᾳ, καὶ τοῖς γηΐνοις προσετηκός, καὶ οὐδὲν ὑπὲρ ταῦτα φρονοῦν.

ΑΡΙΣΤ. Οἱ ἐξ ἐθνικοῦ βίου, μὴ ταχέως εἰς πρεσβυτέρους ἀγέσθωσαν· δίχα γὰρ τῆς διὰ χρόνου δοκιμασίας, κακὸς ὁ νεόφυτος. εἰ δέ τις καὶ μετὰ τὴν χειροτονίαν ἁμαρτήσας, ἀποδειχθῇ πρότερον, ὕστερον οὗτος πεπαύσθω τοῦ κλήρου.

Τὰ αὐτὰ τῷ ὀγδοηκοστῷ κανόνι τῶν ἁγίων ἀποστόλων καὶ ὁ κανὼν οὗτος λέγει, τὸ, τὸν ἄρτι βαπτισθέντα μὴ εὐθὺς εἰς Ἐπισκοπήν, ἢ εἰς πρεσβυτέριον ἄγειν· ἵνα μή, ὡς νεόφυτος, τυφωθείς, εἰς παγίδα τοῦ διαβόλου καὶ κρίμα ἐμπέσῃ· δεῖ γοῦν τὸν τοιοῦτον κατὰ τὸν ἑνδέκατον κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου, πρότερον εἰς ἕκαστον βαθμόν, ἤγουν ἀναγνώστου, ὑποδιακόνου, καὶ τῶν ἑξῆς, ἐκτελέσαι, κἂν ἑνὸς χρόνου μῆκος, καὶ οὕτως, εἰ ἄξιος τῆς θείας ἱερωσύνης κριθῇ, τῆς μεγίστης ἀπολαῦσαι τιμῆς· ὥσπερ δὴ πάλιν καὶ μετὰ τὴν χειροτονίαν εἰ ἁμαρτήσας ἀποδειχθῇ, τῆς ἀξίας μετακινεῖσθαι.

A que vel eorum exemplo,qui Navatiani dicebantur, facile apparet. Nec enim illi opinionis errore aliquo decipiebantur, ſed cum ſe puros, inſolenti faſtidio elati nominarent, & eos qui turbulentis etiam temporibus lapſi ſunt etiam reſipiſcentes repellebant,nec digamis communicabant. Quapropter ob ſuperbiam & fratrum odium e fidelium ſocietate eliminati ſunt. Quod ſi quamobrem illi ab Eccleſia quoque ejicerentur, ſatis eæ juſtæ cauſæ viſæ ſunt: qui arrogantia tumens Epiſcopo ſuo non obtemperet, & in pertinacia manet, quid cauſæ ſit quamobrem non is quoque depoſitione puniatur? Et verò quintus ſanctorum Apoſtolorum Canon, eos qui uxores ſuas B ſpecie religionis ejiciunt, ſegregari, tum ſi in eo perſtent, etiam deponi jubet. Quinetiam trigeſimus ſextus eorundem Canon eos quicunque Epiſcoporum calculo ad Præfecturas ſpirituales vocati munus obire recuſaverint, donec id ſuſcipiant, ſegregatos eſſe decernit. Ergò ſi id nunquam ſuſceperint, perpetua,quoad vixerint, ſegregatione tenebuntur. Qui verò toto vitæ tempore ſegregati ſunt, nihil à depoſitis differunt. Ego verò ita cenſeo, peccata omnia, propterea quod ex depravatis animæ facultatibus ortum ducunt, animalia merito dici poſſe. Cum enim tres ſint animi veluti partes, ratio, cupiditas, ira, ex harum ſingulis, virtutes, ac vitia, virtutes quidem, ſi recte, & ea, quæ à conditore præſcripta fuit, C moderatione adhibita iis utamur, ſi verò iiſdem abutamur, vitia naſcuntur. Rationis igitur virtus, atque officium eſt, pietas, quæque numinis majeſtati conveniant, animis noſtris informatæ notiones, tum inter honeſtum,ac turpe, inter id quod ſequi, aut fugere oporteat, recta dijudicatio. Hæc niſi teneat, in vitium,criménque delabitur. Cupiditatis deinde virtus eſt, ea quæ amore verè digna ſunt, divinam ſcilicet naturam, quæque imprimis actiones eidem conciliare nos queant, amore complecti. Alio ſi deflexerit, atque ad terrena cupiditas diverterit, crimine haudquaquam carebit. Pravitatem denique odiſſe, eique D bellum habere ſemper indictum, appetitiones corporis coërcere, & ad necem uſque ſceleri adverſari, & pro recta ratione, ac honeſtate depugnare, ac Davidis illud, Vidi prævaricantes,& tabeſcebam,uſurpare, iræ virtus eſt. Eadem,ubi ſe in amicum intendat,odio effervefcat,&ad contentiones prona feratur, injuriam altè recondat, in vitio eſt. Cum igitur ex animi facultatibus,ut diximus, peccata conſientur,jure peccata divini Patres,animalia nominavere: magnum quoque Paulum ſequentes qui dicit,Eſt corpus animale, & eſt corpus ſpirituale. Animale nominans id quod animæ ductu,imperioque regitur,illique inditis à natura facultatibus ſerviens,iræ ſe,cupiditatiq; permittit, E ac terrenis perpetuo affixum eſt, & nihil ſupra ea cogitat.

ARIST. *Qui ex Ethnicâ vitâ prodeunt ne ſtatim ad Presbyteros promoveantur. Nam ſine probatione quæ fit progreſſu temporis, malus eſt neophytus. Si quis autem & poſt ordinationem antea deliquiſſe compertus ſit, poſtea hic Clero expellatur.*

Eadem quæ octogeſimus Canon Sanctorum Apoſtolorum, hic quoque Canon dicit, modo baptizatum non ſubito ad Epiſcopatum aut Presbyteratum promoveri; ne, ut neophytus,inflatus, in diaboli laqueum & judicium incidat. Oportet itaque talem juxta undecimum Canonem F Synodi Sardicenſis, priùs in unoquoq; gradu,nempe lectoris & hypodiaconi & reliquorum miniſterium peragere ſaltem unius temporis ſpatium, & ſic, ſi dignus divino ſacerdotio judicetur, maximæ particeps fiat dignitatis: Sicut autem iterum & poſt ordinationem, ſi deliquiſſe compertus fuerit, dignitate amovetur.

CANON III.

Vetuit magna Synodus omnino, ne liceat Epiſcopo, nec Presbytero, nec Diacono, nec ulli penitus eorum qui ſunt in Clero, introductam habere mulierem, præterquam utique matrem vel ſororem, vel amitam, vel eas ſolas perſonas quæ omnem ſuſpicionem effugiunt.

BALS. De introductis mulieribus lege xiiii. cap. vii. tit. præſentis operis, & quæ in eo ſunt: & ex cxxiii. Juſtiniani Novella illic compendioſè poſita intellige, quòd Clerici, qui poſt denunciationes, ab introductis mulieribus, quæ ſunt præter perſonas quæ declarantur in præſenti Canone, non ſeparantur, deponuntur. Epiſcopi autem quandocunque, & cum quacunque muliere cohabitare inveniuntur, ex eo deponuntur. Et hoc nota. Ac de introductis quidem mulieribus diverſis temporibus multùm diſceptatum eſt. Ac dicebant quidem nonnulli ἐπείσακτον ἢ συνείσακτον, eam eſſe, quæ pro legitima uxore introducta eſt, & cum aliquo fornicatoriè cohabitat. Alii autem dixerunt eam eſſe omnem mulierem alienam prorſus cum aliquo cohabitantem, etiamſi ab omni ſuſpicione immunis ſit. Et hoc videtur eſſe verius. Propterea inquit & magnus Baſilius denunciat Sacerdoti per epiſtolam ad Gregorium preſbyterum, ut ab introducta muliere ſeparetur, & non ex eo ipſum deponendum decernit, licèt evidenter & citra ullam dubitationem peccet.

ZONAR. Sacris addictos homines abeſſe à culpa, ac ne ſuſpicioni quidem aditum contra ipſos cuiquam relinqui vult Canon. Mulieres igitur, iis exceptis quarum in ipſo Canone mentio, qui in ſacrum ordinem adſcripti ſunt, domi habere omnino prohibentur. Quâ quidem lege non tantum ſacris ordinibus initiatos, ſed omnes etiam in Clerum lectos teneri placet. De hoc verò Canone magnus quoque Baſilius meminit, ad Gregorium presbyterum ſcribens, atque ab eo, quam domi alebat mulierculam dimitti jubet. Quod ſi nullo, inquit, ſaniore conſilio ſuſcepto, ſacris tamen ordinum muneribus fungi auſus fueris, univerſo populo eris anathema. Eadem Oecumenicæ quoque in Trullo Synodi quintus Canon edicit; hæc inſuper adjungens, Hoc ipſum, & Eunuchi ſervent, ut ne qua videlicet aſpergatur ipſorum famæ labes: quique contra Canonis præſcriptum fecerint, ſiquidem Clerici fuerint, deponantur; ſi verò Laici, ſegregentur. Eadem, quæ ſacri Canones, Novella tertio Baſilicorum libro ſita conſtituit. Septimæ vero Synodi capite decimo octavo, Epiſcopum, aut Præfectum in ſuburbium quoque in quo mulieres famulantur, niſi alio mulieres, dum Epiſcopi, vel Præfectus diſceſſerint, abſuturæ concedant, proficiſci vetitum eſt. Ancÿranus verò Canon vndevigeſimus, ſub finem, ait, virgines ad quoſvis accedere tanquam ſorores prohibuimus.

ARIST. *Subintroductam nequis habeat præter matrem & ſororem, & perſonas quæ omnem ſuſpicionem effugiunt.*

Præter perſonas omnem laſciviæ ſuſpicionem effugientes, puta matrem, ſororem, amitam, & ſimiles, aliam non permittit præſens Canon cum aliquo eorum qui conſecrantur, cohibitare; ut nec quintus Canon Synodi ſextæ in Trullo, nec duodevigeſimus, & vigeſimus ſecundus Nicænæ Synodi ſecundæ, nec magnus Baſilius, ad Gregorium Presbyterum ſcribens ab introductâ muliere ſeparari, quamvis ſeptuaginta annorum eſſet, eique cum affectu cohabitare non ſtatuebat.

A

ΚΑΝΩΝ γʹ.

Ἀπηγόρευσε ἡ μεγάλη σύνοδος καθόλου, μήτε Ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν κλήρῳ, ἐξεῖναι συνείσακτον ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφήν, ἢ θεῖαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγεν.

ΒΑΛΣ. Περὶ συνεισάκτων ἀνάγνωθι τὸ ιδʹ. κεφάλ. τοῦ ηʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, καὶ μάθοις ἀπὸ τῆς ἐκεῖσε συνοψισθείσης ρκγʹ. Ἰουστινιανείου B νεαρᾶς, ὅτι οἱ κληρικοὶ μετὰ παραγγελίας μὴ χωριζόμενοι τῶν συνεισάκτων, αἵτινες εἰσὶ παρὰ τὰ πρόσωπα τὰ δηλούμενα ἐν τῷ παρόντι κανόνι, καθαιροῦνται. οἱ δὲ Ἐπίσκοποι ὅτε δήποτε εὑρισκόμενοι οἱᾳδήτινι γυναικὶ συνοικοῦντες, ἀπεντεῦθεν καθαιροῦνται· καὶ σημείωσαι τοῦτο. περὶ μέντοι τῶν συνεισάκτων, λόγος πολὺς ἐγένετο κατὰ διαφόρους καιρούς. καὶ εἶπόν τινες, ἐπείσακτον ἢ συνείσακτον εἶναι τὴν ἀντὶ νομίμου γυναικὸς συνεισαχθεῖσαν, καὶ συνοικοῦσαν τινὶ πορνικῶς· ἄλλοι δὲ εἶπον εἶναι πᾶσαν γυναῖκα συνοικοῦσαν τινὶ ἀλλοτρίαν πάντως, κἂν ἀνύποπτος ἐστί. καὶ ἔδοξε τοῦτο μᾶλλον εἶναι ἀληθέστερον. διὰ γὰρ τοῦτο φησὶ καὶ ὁ μέγας Βασίλειος, παραγγυᾶται τῷ ἱερεῖ χωρισθῆναι τῆς συνεισάκτου, C διὰ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολῆς, καὶ οὐκ ἀπεντεῦθεν καθαιρεῖσθαι αὐτὸν διορίζεται, ὡς ἀναμφιλέκτως καὶ προφανῶς ἁμαρτάνοντα.

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τοὺς ἱερωμένους ἀνεγκλήτους εἶναι, καὶ μηδὲ μέχρις ὑποψίας κατ' αὐτῶν εἶναί τισι πάροδον· διὸ πᾶσιν ἀπηγόρευσε τοῖς ἱερωμένοις συνοικεῖν γυναιξὶν ἄνευ τῶν εἰρημένων προσώπων. οὐ μόνον δὲ τοῖς ἱερωμένοις, ἀλλὰ καὶ αὐτοῖς τοῖς κεκληρωμένοις, τοῦτο ἀπηγόρευται· καὶ ὁ μέγας δὲ Βασίλειος πρὸς Γρηγόριον D πρεσβύτερον ἐπιστέλλων τοῦ τοιούτου μέμνηται κανόνος, καὶ χωρισθῆναι αὐτὸν τῆς συνεισάκτου ἐπιτάσσει γυναικός· ἐὰν δὲ τολμήσῃς, φησί, μὴ διορθωσάμενος ἑαυτὸν ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ λαῷ· καὶ ὁ πέμπτος δὲ κανὼν τῆς ἐν τῷ Τρούλλῳ οἰκουμενικῆς συνόδου τὰ αὐτὰ διατάττεται, προσθεὶς καὶ ταῦτα· τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέτωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· οἱ δὲ παραβαίνοντες τὸν κανόνα, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοί, ἀφοριζέσθωσαν. καὶ ἡ ἐν τῷ τρίτῳ βιβλίῳ τῶν βασιλικῶν κειμένη νεαρὰ, τὰ αὐτὰ τοῖς ἱεροῖς κανόσι νομοθετεῖ· τὸ δέγε τῆς ἑβδόμης συνόδου ὀκτωκαιδέκατον E κεφάλαιον, οὐδὲ ἐν προαστείῳ, ἔνθα γυναῖκές εἰσιν ὑπηρετοῦσαι, παραχωρεῖ Ἐπισκόπῳ ἢ ἡγουμένῳ ἀπιέναι· εἰ μὴ μεταστῶσιν αἱ γυναῖκες ἐκεῖθεν, ἕως ἂν ὑποχωρήσωσιν ὁ Ἐπίσκοπος ἢ ὁ ἡγούμενος. ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ἐννεακαιδέκατος κανὼν περὶ τὸ τέλος φησί· τὰς μέντοι συνερχομένας παρθένους τισὶν ὡς ἀδελφὰς ἐκωλύσαμεν.

ΑΡΙΣΤ. Συνείσακτον μή τις ἐχέτω, μητρὸς δίχα, καὶ ἀδελφῆς, καὶ τῶν προσώπων, ἃ πᾶσαν ὑποψίαν ἀποδιδράσκουσιν.

Ἄνευ τῶν προσώπων τῶν πᾶσαν ὑποψίαν ἀσελγείας διαφευγόντων, F οἷον μητρὸς, ἀδελφῆς, θείας, καὶ τῶν ὁμοίων, ἑτέραν οὐ συγχωρεῖ ὁ παρὼν κανὼν μετά τινος συνοικεῖν τῶν ἱερωμένων, οὔτε ὁ πέμπτος κανὼν τῆς ἐν τῷ τρούλλῳ ἕκτης συνόδου, οὔτε ὁ ιηʹ. καὶ κβʹ. τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, οὔτε ὁ μέγας Βασίλειος, πρὸς Γρηγόριον πρεσβύτερον γράφων τῆς συνεισάκτου γυναικὸς χωρισθῆναι κἂν ἑβδομηκονταετὴς ἦν, καὶ οὐκ ἐλογίζετο ταύτῃ συνοικεῖν ἐμπαθῶς.

A

ΚΑΝΩΝ δ'.

Επίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Canon IV.

Epiſcopum oportet, maximè quidem ab omnibus qui ſunt in provincia, conſtitui. Si autem ſit hoc difficile, vel propter urgentem neceſſitatem, vel propter viæ longitudinem, tres omnino eundem in locum congregatos, abſentibus quoque ſuffragium ferentibus, ſcriptiſque aſſentientibus, tunc ordinationem facere: eorum autem quæ fiunt confirmationem, in unaquaque provincia à Metropolitano fieri.

B **ΒΑΛΣ.** Τὸ καθίστασθαι ἤτοι ψηφίζεσθαι Ἐπίσκοπον ἐνταῦθα δέδοκται. πάλαι γὰρ γινομένων τῶν ψήφων τῶν ἀρχιερέων παρὰ τοῦ πλήθους τῶν πολιτῶν, οἱ θεῖοι πατέρες, οὐκ ηὐδόκησαν τοῦτο· ἵνα μὴ παρὰ λαϊκῶν ἀνθρώπων ὁ τῶν ἱερωμένων διασύρηται βίος· καὶ διωρίσαντο ὑπὸ τῶν ἐπαρχιωτῶν Ἐπισκόπων ἑκάστης ἐπαρχίας ψηφίζεσθαι τὸν Ἐπίσκοπον. εἰ δὲ τοῦτό ἐστι δυσχερές, διά τινα εὔλογον αἰτίαν, ἢ διὰ μῆκος ὁδοῦ· μὴ ἄλλως τὴν ψῆφον γίνεσθαι, εἰ μὴ συνεισέλθωσι τρεῖς ἐπαρχιῶται Ἐπίσκοποι, ἔχοντες καὶ τοὺς ἀπόντας συμψήφους διὰ γνωμῶν ἐγγράφων. τὴν δὲ χειροτονίαν τούτου, ἤγουν καθιέρωσιν, ἐπεφιλοτιμήσαντο τῷ πρώτῳ, ἤτοι τῷ μητροπολίτῃ, καὶ οὐ μόνον τὴν χειροτονίαν, ἀλλὰ καὶ τὸ κῦρος τῆς ψήφου. C διὰ γὰρ τοῦτο καὶ ἀπὸ τῶν τριῶν τῶν ψηφιζομένων γίνεται μήνυμα παρὰ τοῦ μέλλοντος ποιῆσαι τὴν χειροτονίαν, πρὸς ἕνα, ὃν βούλεται αὐτὸς, καὶ οὐκ ἐξ ἀνάγκης ὁ πρῶτος τεθεὶς, μηνύεται, καὶ ἐφ' ἑξῆς οἱ λοιποί. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. τινὲς δὲ μητροπολῖται ψήφους Ἐπισκόπων αὐτῶν ποιησάμενοι, εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, μετὰ τριῶν Ἐπισκόπων ἀλλοτρίων, ἢ καὶ ἰδίων, καὶ τῶν λοιπῶν ἐπαρχιωτῶν Ἐπισκόπων αὐτῶν μὴ ἐπιστραφέντες, ἐρωτηθέντες ὅπως τοῦτο ποιοῦσιν, ἐχρήσαντο εἰς βοήθειαν τῷ ιγ'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου. καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ τῷ κανόνι γραφέντα, καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Αντιοχείᾳ συνόδου. D καὶ ταῦτα μὲν, ὅταν ὁ μητροπολίτης εὐπορείη πολλῶν ἐπαρχιωτῶν. εἰ δὲ ὡς οἱ πολλοὶ τῶν μητροπολιτῶν, ἕνα ἐπαρχιώτην Ἐπίσκοπον ἔχουσιν ἢ δύο, τότε ἐξ ἀνάγκης γενήσεται ἡ ψῆφος μετά τε τῶν ὄντων καὶ εὑρισκομένων ἐπαρχιωτῶν, καὶ μετὰ ἀλλοτρίων Ἐπισκόπων.

Bals. Conſtitui, vel ſuffragio creari Epiſcopum hîc viſum eſt. Cùm enim antiſtitum electio à civium multitudine olim fieret, hoc divinis Patribus non placuit, ne à Laicis, ſacris dedicatorum hominum vita diſcerperetur: & decreverunt, à provincialibus Epiſcopis uniuſcujuſque provinciæ Epiſcopum eligi. Si eſt autem hoc difficile, propter honeſtam aliquam cauſam, vel propter viæ longitudinem: non aliter fieri electionem, quàm ſi tres provinciales Epiſcopi convenerint, habentes eos etiam qui abſunt vnà ſuffragium ferentes, per ſententias ſcriptis mandatas. Ejus autem ordinationem, ſive conſecrationem, Primo, ſive Metropolitano, honoris cauſa tribuerunt, & non ſolùm ordinationem, ſed & electionis confirmationem: Et idcirco ex tribus electis, qui ordinationem facturus eſt, declarat eum quem ipſe vult, & non ex neceſſitate, qui primus poſitus eſt declaratur, & deinde reliqui. Et in his quidem conſiſtit Canon. Quidam autem Metropolitani, cùm ipſorum Epiſcoporum electione facta, in urbe aliarum regina, cum tribus Epiſcopis, alienis, vel propriis, cæterorum provincialium Epiſcoporum nulla ratione habita, interrogati eſſent, quomodo hoc facerent, ad ſui defenſionem uſi ſunt xiii. Can. Syn. Carthag. Et lege quæ in eo Canone ſcripta ſunt; & decimum nonum Canonem Antioch. Syn. Et hæc quidem, quando Metropolitanus multos provinciales habuerit. Sin autem, ut multi Metropolitani unum tantùm vel duos provinciales Epiſcopos habeant, tunc neceſſariò fiet electio cum iis qui ſunt & inveniuntur provincialibus, & cum alienis Epiſcopis.

ΖΩΝΑΡ. Ἐναντιοῦσθαι δόξειεν ἂν ὁ παρὼν κανὼν τῷ πρώτῳ κανόνι τῶν ἱερῶν ἀποστόλων. ὁ μὲν γὰρ Ἐπίσκοπον χειροτονεῖσθαι ὑπὸ Ἐπισκόπων δύο ἢ τριῶν διατάττεται· οὗτος δὲ ὑπὸ τριῶν, συναινούντων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων· ἀλλ' οὐκ εἰσὶν ἐναντίοι· ὁ μὲν γὰρ τῶν ἁγίων ἀποστόλων χειροτονίαν, τὴν καθιέρωσιν καὶ χειροθεσίαν E ὀνομάζει· ὁ δὲ τῆς συνόδου ταύτης κανὼν κατάστασιν, καὶ χειροτονίαν τὴν ψῆφον καλεῖ. καὶ διορίζεται μὴ ἄλλως ἀρχιερέως γίνεσθαι ψήφισμα, εἰ μὴ τρεῖς ὁμοῦ συνέλθωσιν ἔχοντες καὶ τοὺς ἀπόντας συντιθεμένους διὰ γραμμάτων· ἤγουν ὁμολογοῦντας, ὅτι ἕψονται κἀκεῖνοι τῇ παρὰ τῶν τριῶν ὁμοῦ συναχθέντων γενομένῃ ψήφῳ. μετὰ δὲ τὴν ψῆφον τὸ κῦρος, ἤτοι τὴν τελεσιουργίαν καὶ χειροθεσίαν καὶ καθιέρωσιν, τῷ Μητροπολίτῃ τῆς ἐπαρχίας δίδωσιν, ὥστε παρ' ἐκείνου κυροῦσθαι τὴν ψῆφον· κυροῦται δὲ ὅταν ἕνα τῶν ψηφισθέντων, ὃν ἐκεῖνος ἐκλέξεται, χειροθετήσῃ μεθ' ἑτέρων δύο ἢ τριῶν Ἐπισκόπων κατὰ τὸν ἀποστολικὸν κανόνα. F

Zonar. Primo Canoni Apoſtolorum hunc Canonem adverſari, forte aliquis ſuſpicetur. Illo namque ab Epiſcopis duobus, tribuſve, hoc autem trium ſuffragio, accedente abſentium approbatione, & aſſenſu per literas ſignificato, Epiſcopum creandum eſſe decernitur. Verum nullo modo inter ſe (hi Canones) pugnant. Apoſtolico namque illo, creationis nomine, conſecratio, manuúmque impoſitio ſignificatur: hujus verò Synodi Canon, conſtitutionis, ac creationis voce electionem intelligit. Ac decernit non aliter electionem Antiſtitis fieri niſi tres ſimul convenerint, cum quibus abſentes quoque per literas paciſcantur, hoc eſt, electionem quæ à tribus qui convenerint peragetur, ſe quoque approbaturos eſſe profiteantur. Latis verò ſuffragiis, confirmationem, hoc eſt abſolutionem operis, manúumque impoſitionem, conſecrationiſque jus Metropolitano provinciæ adjudicat, ut ab eo electio confirmetur. Confirmatur ea porrò, cum unum, quem ipſe ex electis approbarit, duobus Epiſcopis, tribuſve ex Apoſtolici Canonis præſcripto adhibitis manuum impoſitione conſecraverit.

ΑΡΙΣΤ. Ἐπίσκοπος ὑπὸ πάντων ἐπαρχιωτῶν καθίσταται· εἰ δὲ μὴ, πέως τριῶν, τῶν ὑπολοίπων διὰ γραμμάτων συμψήφων γινομένων· τὸ μέντοι κράτος ὁ μητροπολίτης ἐχέτω.

Arist. *Epiſcopus ab omnibus provincialibus conſtituitur, vel ſaltem à tribus, reliquis per literas aſſenſum præbentibus. Confirmatio verò ſit penes Metropolitam.*

Ὑπὸ δύο μὲν, ἢ καὶ τριῶν Ἐπισκόπων Ἐπίσκοπος χειροτονεῖται, κατὰ τὸν πρῶτον κανόνα τῶν ἁγίων ἀποστόλων· ὑπὸ τριῶν δὲ τὸ ἐλάχιστον ψηφίζεται· ἐὰν, ἴσως πάντες οἱ τῆς ἐπαρχίας Ἐπίσκοποι

A duobus quidem vel etiam tribus Epiſcopis ordinatur Epiſcopus, juxta primum Sanctorum Apoſtolorum Canonem, à tribus autem minimùm eligitur; ſi omnes forſitan provinciæ Epiſcopi ob urgentem aliquam neceſſitatem A aut viæ longitudinem adeſſe non poſſunt. Veruntamen debent & qui abſunt ſua præſentibus Epiſcopis & electionem facientibus ſuffragia ferre: poſt factam autem electionem poteſtatem habet metropolitanus ut unum è tribus electis quem ipſe præfert, eligat.

CANON V.

De iis qui à communione ſegregati ſunt, ſive Clericorum ſive laicorum ſint ordinis, ab Epiſcopis qui ſunt in unaquaque provincia, valeat ſententia ſecundùm canonem qui pronuntiat, eos qui ab aliis ejecti ſunt non ab aliis admittendos. B *Examinetur autem, nunquid vel ſimultate, vel contentione, vel aliqua ejuſmodi Epiſcopi acerbitate, congregatione pulſi ſint. Ut hoc ergo convenientem examinationem accipiat, rectè habere viſum eſt, ut ſingulis annis, in unaquaque provincia bis in anno Synodi fiant: ut cum omnes provinciæ Epiſcopi in eundem locum communiter conveniant, ejuſmodi quæſtiones examinentur: & ſic, quos Epiſcopum offendiſſe, conſtiterit, juſtè eſſe à congregatione ſeparati apud omnes videantur, donec Epiſcoporum congregationi videatur pro iis humaniorem proferre ſententiam. Synodi autem fiant, una quidem* C *ante quadrageſimam, ut omnibus animi ſordibus ſublatis, purum munus Deo offeratur: Secunda autem circiter autumni tempus.*

BALS. Eos qui ab Epiſcopis aliquibus excommunicati ſunt, nec abſoluti, à cæteris non admitti debere decretum eſt: quoniam autem veriſimile eſt communicatum dicere ſe injuſtè excommunicatum fuiſſe, vel etiam mortem obiiſſe illum, à quo fuerat excommunicatus, præcipit Canon, quemadmodum & alii Canones decreverunt, ut ſingulis annis Epiſcopi omnes apud Primum ex ipſis bis conveniant, ad ſolvendas dubitationes de excommunicatis, & reliquas Eccleſiaſticas quæſtiones. D Acerbitas autem hic appellata eſt animi perturbatio. Cæterùm quæ de annuis Synodis hoc Canone continentur, hoc loco accuratiùs à nobis expoſita non ſunt, ut quæ non ſint in uſu: & quod viii. Canone Synodi quæ fuit in Trullo, & ſimiliter Novella Juſtiniani ſive xx. & xxi. capite primi tit. iii. lib. Baſilicor. ſtatutum eſt, ut ſemel tantùm convenirent Epiſcopi. Lege & iſta capita. Quære & Can. xxxvii. Sanctorum Apoſt. Can. xiiii. Synodi Sardicen. Lege & viii. cap. tit. viii. præſentis operis.

ZONAR. E Sanctorum quoque Apoſtolorum multi Canones, qui à ſuis Epiſcopis ſegregati ſunt, eos à nemine ad communionem admitti licere decernunt. Quoniam verò ſegregationem immerentibus irrogari quandoque contingit, ob ejus forte, qui ſegregavit iracundiam, vel ſimultatem, aut ob animi perturbationem aliquam, quam & acerbitatem hic nominavit, idcirco hunc Canonem ſacri Patres edidere, quo ſegregationes, quandocunque ſcilicet ii qui ſegregati ſunt, injuſtè ſe ab eo qui ſegregavit communione motos eſſe conquerantur, examinari jubent. Eam verò cauſæ diſquiſitionem, à provinciæ Epiſcopis omnibus, aut certe ſi qui infirmitate valetudinis, F aut itinere neceſſario, aliave juſta cauſa impediti forte, cum reliquis non adfuerint, à pluribus haberi volunt. Porro duas Synodos ſingulis annis, quod ſanctorum quoque Apoſtolorum Canone ſancitum fuit, in unaquaque provincia celebrandas eſſe decrevere. Verum illi quidem uni Synodo habendæ, quartam hebdomadam Pentecoſtes; alteri Hyperberetæum, hoc eſt, Octobrem menſem præfinivere: ſancti verò hujus Synodi Patres, tempus commutavere pro quartâ Pentecoſtes hebdomade ante quadrageſimam celebrari Synodum decernentes: Ejuſque rei ſubdidere cauſam, ut omnis, in-

διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ παρουσιάσαι οὐ δύνανται. πλὴν ὀφείλουσι καὶ αὐτοὶ οἱ ἀπόντες διὰ γραμμάτων γίνεσθαι σύμψηφοι τοῖς παροῦσιν Ἐπισκόποις, καὶ τὴν ψῆφον ποιουμένοις· τὴν μέντοι ἐξουσίαν, μετὰ τὸ γενέσθαι τὴν ψῆφον, ὁ μητροπολίτης ἔχει, ὥστε ἕνα τῶν τριῶν τῶν ψηφισθέντων, ὃν αἱρεῖται, ἐπιλέξασθαι.

ΚΑΝΩΝ. ε΄.

Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν κλήρῳ εἴτε τῶν λαϊκῷ τάγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν Ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν κανόνα τὸν διαγορεύοντα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δὲ, μὴ μικροψυχίᾳ ἢ φιλονεικίᾳ ἤ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ Ἐπισκόπου ἀποσυνάγωγοι γένωνται. ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνοι, καλῶς ἔχειν ἔδοξεν, ἑκάστου ἐνιαυτοῦ καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν Ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο, καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ Ἐπισκόπῳ κατὰ λόγον ἀκοινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι, μέχρις ἂν τῷ κοινῷ τῶν Ἐπισκόπων δόξῃ τὴν φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐκθέσθαι ψῆφον. αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ· δευτέρα δὲ, κατὰ τὸν τοῦ μετοπώρου καιρόν.

ΒΑΛΣ. Τοὺς παρά τινων Ἐπισκόπων ἀφορισθέντας, καὶ μὴ λυθέντας, ὥρισται μὴ παρ' ἑτέρων δέχεσθαι. ἐπεὶ δὲ φησὶ, εἰκός ἐστι λέγειν τὸν ἀφορισθέντα, ἀδίκως ἀφορισθῆναι, ἢ καὶ τελευτῆσαι τὸν ἀφορίσαντα, παρακελεύεται ὁ κανὼν, καθὼς καὶ ἄλλοι κανόνες διωρίσαντο, δὶς τοῦ ἔτους συνέρχεσθαι πάντας τοὺς Ἐπισκόπους παρὰ τῷ πρώτῳ αὐτῶν, ἐφ' ᾧ λύεσθαι τὰ περὶ τῶν ἀκοινωνήτων ἀμφίβολα, καὶ λοιπὰ ἐκκλησιαστικὰ ζητήματα. ἀηδία δὲ ὠνομάσθη ἐνταῦθα ἡ ἐμπάθεια. τὰ μέντοι περιεχόμενα τῷ παρόντι κανόνι περὶ τῶν ἐτησίων συνόδων ἀγωνιστικώτερον οὐ διελήφθησαν παρ' ἡμῶν ἐνταυθοῖ, ὡς μὴ ἐνεργοῦντα, καὶ ὅτι ἀπὸ τοῦ η΄. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ὡσαύτως καὶ ἀπὸ Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ κ΄. καὶ κα΄. κεφαλαίου τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν, ὥρισται ἅπαξ συνέρχεσθαι τοὺς Ἐπισκόπους. καὶ ἀνάγνωθι τὰ τοιαῦτα κεφ. ζήτει καὶ τὸν λζ΄. κανόνα τῶν ἁγίων ἀποστόλων· τὸν ιδ΄. κανόνα τῆς ἐν Σαρδικῇ συνόδου. ἀνάγνωθι καὶ τὸ η΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων ἀποστόλων διάφοροι κανόνες διαλαμβάνουσι, μὴ δέχεσθαι παρά τινων τοὺς παρὰ τῶν ἰδίων Ἐπισκόπων ἀφορισθέντας. ἐπεὶ δέ τινας ἀφορίζεσθαι μὴ δικαίως συμβαίνει, διὰ θυμὸν ἴσως καὶ μικροψυχίαν τοῦ ἀφορίσαντος, ἢ δι' ἐμπάθειάν τινα, ἣν καὶ ἀηδίαν ὠνόμασεν, διὰ τοῦτο τὸν παρόντα κανόνα οἱ ἱεροὶ πατέρες ἐξέθεντο, ἐξετάζεσθαι διαταξάμενοι τοὺς ἀφορισμοὺς, ὅταν δηλαδὴ οἱ ἀφωρισμένοι αἰτιῶνται τοὺς ἀφορίσαντας, ὡς παρὰ τὸ δίκαιον ἀφορισθέντες· τὴν δὲ ἐξέτασιν, παρὰ τῶν Ἐπισκόπων τῆς ἐπαρχίας γίνεσθαι, ἢ πάντων, ἢ τῶν πλειόνων, εἴ τινας μὴ συνιέναι τοῖς λοιποῖς συμβαίνει δι' ἀσθένειαν ἴσως, ἢ ἀναγκαίαν ἀποδημίαν, ἢ ἄλλην ἀπαραίτητον αἰτίαν. γίνεσθαι δὲ συνόδους καθ' ἑκάστην ἐπαρχίαν ὥρισαν δὶς τοῦ ἐνιαυτοῦ, ὅπερ καὶ τοῖς ἁγίοις ἀποστόλοις κεκανόνισται. ἀλλ' οἱ μὲν κατὰ τὴν τετάρτην ἑβδομάδα τῆς Πεντηκοστῆς τὴν μίαν γίνεσθαι τῶν συνόδων διετάξαντο· τὴν δ' ἑτέραν κατὰ τὸν Ὑπερβερεταῖον μῆνα, ἤγουν τὸν Ὀκτώβριον· οἱ δὲ τῆς συνόδου ταύτης ἅγιοι πατέρες τὸν μὲν καιρὸν ἐνήλλαξαν, ἀντὶ τῆς τετάρτης ἑβδομάδος τῆς Πεντηκοστῆς πρὸ τῆς τεσσαρακοστῆς ὁρίσαντες τὴν σύνοδον γίνεσθαι καὶ τὴν αἰτίαν ἐπήγαἐπίχαρον· ἵνα, φασὶ, πᾶσα μικροψυχία περιαιρῆται. ὁ γὰρ νομίζων μὴ προσηκόντως ἀφορισθῆναι, πάντως λυπεῖσθαι μέλλει κατὰ τοῦ ἀφορίσαντος. καὶ ὁ ἀφορίσας δὲ ἀκούων μὴ συγνωμόνως δεχόμενον τὸν ἀφορισθέντα τὸ ἐπιτίμιον, ἀλλὰ καταγογγύζοντα αὐτοῦ οὐκ ἀπαθῶς πρὸς αὐτὸν διακείσεται. οὕτω δὲ πρὸς ἀλλήλους ἐχόντων αὐτῶν πῶς ἂν προσενεχθείη τὸ δῶρον καθαρῶς τῷ θεῷ; διὰ τοῦτο πρὸ τῆς τεσσαρακοστῆς ᾠκονομήθη τὴν μίαν σύνοδον γίνεσθαι, τὴν δὲ λοιπὴν κατὰ τὸ μετόπωρον· καὶ ὁ Ὀκτώβριος δὲ μὴν τοῦ μετοπώρου ἐστίν· ἐν δὲ ταῖς Συνόδοις ταύταις ἐξετάζεσθαι τὰ τοιαῦτα ζητήματα διετάξαντο, καὶ οἱ ὁμολογουμένως καὶ μὴ ἀμφιβόλως προσκεκρουκότες, εἰκὸς γὰρ ἀρνεῖσθαι τὸν ἐπιτιμηθέντα τὸ παρὰ τοῦ Ἐπισκόπου αὐτῷ ἐπεγκαλούμενον ἁμάρτημα, κατὰ λόγον ἤγουν δικαίως ἀκοινώνητοι ἔσονται παρὰ πᾶσι, μέχρις ἂν κοινῶς τοῖς Ἐπισκόποις δόξῃ φιλανθρωπότερόν τι περὶ αὐτῶν ἀποφήνασθαι. ἀλλ' εἴποι τις ἂν πῶς οὐχὶ τῷ ἀφορίσαντι ἀνετέθη παρὰ τοῦ κανόνος ἡ ψῆφος ἡ ὑπὲρ τοῦ ἀφορισθέντος, ἀλλὰ τῷ κοινῷ τῶν Ἐπισκόπων; τοῦτο δὲ οἶμαι εἰρῆσθαι, ὅταν ὁ ἀφορίσας σκληρύνηται, καὶ μὴ θέλῃ μετὰ καιρὸν, λῦσαι τοῦ ἐπιτιμίου τὸν ἄνθρωπον, ἢ ἐὰν ἴσως ὁ ἀφορίσας τελευτήσῃ μὴ λύσας τὸν ἐπιτιμηθέντα. τότε γὰρ ἐξέσται τῇ Συνόδῳ εἰ συνίδῃ τὸν καιρὸν τοῦ ἐπιτιμίου ἀρκοῦντα, καὶ τὴν μετάνοιαν τοῦ ἐπιτιμηθέντος, ἀνάλογον τῷ ἁμαρτήματι ψηφίσασθαι ὑπὲρ αὐτοῦ, καὶ λῦσαι τῷ ἀνθρώπῳ τὸ ἐπιτίμιον, κἂν ὁ Ἐπίσκοπος αὐτοῦ ἄπεικτος μένῃ καὶ ἀνένδοτος, κἂν ἀπεβίω τυχόν. ὁ μὲν οὖν τῶν ἁγίων ἀποστόλων τριακοστὸς ἕβδομος κανὼν, καὶ ὁ παρὼν δὶς τοῦ ἔτους διατάττονται γίνεσθαι Συνόδους· ὁ δὲ ὄγδοος τῆς οἰκουμενικῆς Συνόδου καινίσας τοῦτο, ἅπαξ τοῦ ἐνιαυτοῦ διορίζεται ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι Σύνοδον ἀπὸ τοῦ πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου μηνὸς· ἐν τόπῳ, ὃν ὁ τῆς μητροπόλεως ὁρίσει ἀρχιερεύς. τοὺς δὲ μὴ συνερχομένους Ἐπισκόπους ὑγιαίνοντας, καὶ ἐνδημοῦντας ταῖς αὐτῶν πόλεσι, καὶ μή τινα ἑτέραν ἀσχολίαν εὔλογον καὶ ἀπαραίτητον ἔχοντας, ἀδελφικῶς ἐπιπλήττεσθαι· ἤγουν μετὰ πρᾳότητος ἐπιτιμᾶσθαι. νῦν δὲ τὸ τῶν Συνόδων τούτων, πάντη καταπεφρόνηται ὡς μηδέποτε γίνεσθαι. περὶ ἐπιτιμίων τῶν μὴ ἀπαντησάντων ἐν ταῖς Συνόδοις, ἀνάγνωθι τῆς ἐν Καρθαγένῃ κανόνα ος′.

ΑΡΙΣΤ. Οἱ ἐξ ἑτέρων ἀφοριζόμενοι, ὑφ' ἑτέρων μὴ προσδεχέσθωσαν, πλὴν εἰ μὴ διὰ μικροψυχίαν, ἢ φιλονεικίαν, ἤ τι τοιοῦτον, ὁ ἀφορισμὸς γέγονε· τούτου γὰρ ἕνεκεν ἔδοξε δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν Σύνοδον γίνεσθαι· μίαν μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἑτέραν δὲ περὶ τὸ μετόπωρον.

Δεῖ, κατὰ τὴν παροιμίαν, τὸν τρώσαντα ἐπαγαγεῖν καὶ τὴν ἴασιν· καὶ μὴ τὸν ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου ἀφορισθέντα, ὑφ' ἑτέρων παραδεχθῆναι ἀνεξετάστως οὕτω, καὶ χωρὶς συζητήσεως· ἀλλὰ τὴν αἰτίαν τοῦ ἀφορισμοῦ κατασκέψασθαι, μήποτε οὐκ εὐλόγως ἐπηνέχθη ὁ ἀφορισμός· οὐκ ἐκ μικροψυχίας, ἢ φιλονεικίας, ἢ ἑτέρας τινὸς ἀηδίας τοῦ Ἐπισκόπου. ἵνα γοῦν μήτε οἱ ἀφοριζόμενοι, ὡς ἔτυχεν ἀφορίζονται, μήτε οἱ ἀφορίζοντες αὐτοὺς Ἐπίσκοποι καταφρονῶνται, ἑτέρων τούτους Ἐπισκόπων παραδεχομένων ἀνεξετάστως· δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν Σύνοδον γίνεσθαι τῇ ἁγίᾳ ταύτῃ Συνόδῳ ἔδοξεν· ἵνα κοινῇ γνώμῃ πάντων τῶν Ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, πᾶν ζήτημα ἐκκλησιαστικὸν, καὶ πᾶσα ἀμφιβολία λύηται· καθὼς καὶ ὁ λζ. κανὼν τῶν ἁγίων ἀποστόλων διαγορεύει. πλὴν, ὡς ἐκεῖσε ἐγράψαμεν, ὁ ὄγδοος κανὼν τῆς ἐν Τρούλλῳ ἕκτης Συνόδου, καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, διὰ τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους Ἐπισκόπους, ἅπαξ τοῦ ἐνιαυτοῦ Σύνοδον γίνεσθαι διετάξαντο εἰς ἑκάστην ἐπαρχίαν, ἔνθα δὴ ὁ τῆς μητροπόλεως δοκιμάσῃ Ἐπίσκοπος, κατὰ μέσον τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς, καὶ τοῦ Ὀκτωβρίου μηνός.

A quiunt, ſimultas tollatur. Alterum namque, qui immerenti ſibi pœnam ſegregationis inflictam eſſe exiſtimet, omnino ſegreganti ſuccenſere neceſſe eſt. Rurſum ubi damnationem ab eo qui ſegregatus eſt, non æquo animo latam, ſed quærelis exceptam fuiſſe ſegregator inaudiverit, erit homini non amiciſſimus. Ita verò affectis utrinque mentibus, qua ratione munus Deo purè offeratur? Proinde alterius quidem ante quadrageſimam, alterius verò Autumni tempore (nam in Autumnum October incidit) Synodi celebrandæ dies eſt conſtitutus. In Synodis autem iſtis, controverſiarum ejuſmodi diſcuſſionem induci placet: quoſque manifeſto & ſine controverſiâ B nocentes eſſe, apparuerit (facilè namque fieri poteſt, ut objectum ab Epiſcopo crimen, ille cui mulcta irrogata eſt, perneget) tanquam ex præſcripto rationis, hoc eſt jure communione privati ab omnibus habebuntur, donec Epiſcopis omnibus communi conſilio humanius aliquid de iis ſtatuere placitum fuerit. Jam vero, dicet aliquis, cur ad Epiſcoporum potius conventum, quam ad Epiſcopum illum, qui ſegregationis auctor fuit, de eo qui ſegregatus eſt decernendi facultas delata? Ego verò id ita arbitror accipiendum, ut quoties auctor ſegregationis Epiſcopus æquo duriorem ſe præbeat, neque decurſu temporis hominem pænâ abſolvat, vel nondum abſoluto C forte deceſſerit, tunc quem & ſupplicii diuturnitate, & dolore animi, ſatis pœnarum pro criminis ratione dediſſe cognitum ſit, licet Epiſcopus ejus inexorabilis & implacabilis perſeveret, aut forte defunctus ſit, de illo ſtatuendi, hominemque pænâ abſolvendi penes Synodum ſit facultas. Sanctorum igitur Apoſtolorum Canon trigeſimus ſeptimus & præſens bis quotannis habendas eſſe Synodos decernunt. Octavus autem ſextæ œcumenicæ Synodi, hac immutata conſtitutione decernit ſemel in unaquaque provincia, ſingulis annis, tempore quod intra Paſchæ ſolennia ad Octobrem uſque extremum inter- D cedit, loco vero eo, quem Metropolitanus elegerit, Synodum haberi. Qui verò Epiſcopi, nec valetudine impediti, nec à ſuis urbibus terrarum ſpatiis disjuncti, nec alia juſta, neceſſariave occupatione detenti convenire neglexerint, fraternè corrigi, hoc eſt leni animadverſione puniri jubet. Noſtris vero temporibus tota hæc ſynodorum ratio eouſque negligitur, ut nuſpiam celebrentur. De illorum vero pœnis qui ad ſynodos non convenerint, vide ſyn. Carth. can. lxxvi.

Arist. *Ab aliis excommunicati ab aliis ne ſuſcipiantur, niſi per puſillanimitatem, aut contentionem, aut quid iſtiuſmodi excommunicatio facta ſit. Eapropter enim viſum eſt, ut bis quotannis in unaquaque* E *provinciâ Synodus celebretur, una quidem ante quadrageſimam, altera circa autumnum.*

Oportet, ut ait proverbium, vulnerantem adjicere & medelam, & non à proprio Epiſcopo excommunicatum inexplorate adeo & ſine examine ab aliis admitti, ſed in excommunicationis cauſam inquirere ne forte injuſtè illata ſit excommunicatio, ne ex puſillanimitate, aut contentione, aut aliâ aliquâ Epiſcopi acerbitate. Ut itaque nec excommunicati, ut contingat, excommunicentur, nec qui eos excommunicarunt contemnantur Epiſcopi, dum alii eos Epiſcopi ſine examine admittunt, ſanctæ F huic Synodo bis quotannis in unaquâque provinciâ Synodum haberi viſum eſt, ut communi omnium in iſtâ provinciâ Epiſcoporum ſententiâ, omnis quæſtio Eccleſiaſtica & controverſia omnis determinetur: ut & xxxvii. Canon Sanctorum Apoſtolorum edicit. Sed ut ibi ſcripſimus, octavus ſextæ Synodi in Trullo Canon, & ſextus Nicænæ ſecundæ ob moleſtiam, & quod inſufficientes ſint ad tale ſuſcipiendum iter congregati Epiſcopi, ſemel quotannis in unaquaque provinciâ fieri Synodum decreverunt, loco quem metropolis approbaverit Epiſcopus, intra ſanctum paſchæ feſtum & menſem Octobrem.

Canon VI.

Antiqui mores ſerventur qui ſunt in Aegypto, Lybia & Pentapoli, ut Alexandrinus Epiſcopus horum omnium poteſtatem habeat, quandoquidem & Epiſcopo Romano hoc eſt conſuetum. Similiter & in Antiochia, & in aliis provinciis, ſua privilegia Eccleſiis ſerventur. Illud autem eſt omnino manifeſtum, quòd ſi quis abſque Metropolitani ſententia factus ſit Epiſcopus, eum magna Synodus definivit non eſſe Epiſcopum. Quòd ſi quidem communi omnium electioni, quæ & rationi conſentanea, & ex regula Eccleſiaſtica facta eſt, duo vel tres propter ſuam qua delectantur contentionem contradicant, vincant plurium ſuffragia.

Bals. Præſens & ſeptimus Canon ſtatuunt quatuor patriarchas, videlicet Romanum, Alexandrinum, Antiochenſem, & Hieroſolymitanum (de Conſtantinopolitano enim in aliis Canonibus tractabitur) ex antiquis moribus honorari: & Alexandrinum quidem Epiſcopum præeſſe provinciis Ægypti, & Libyæ & Pentapolis: Antiochenum ſimiliter Syriæ, Cœleſyriæ, Meſopotamiæ, & utrique Ciliciæ: Hieroſolymitanum autem, provinciis Palæſtinæ, Arabiæ, & Phœnices, Quoniam, inquit, & Romanus Epiſcopus præeſt occidentalibus provinciis. Sic autem volunt Canones, patriarchas ſuis præeſſe Metropolitanis, & rurſus Metropolitanos ſuis Epiſcopis, ut nihil magnum & arduum ſine iis fiat ab Epiſcopis qui ipſis ſubjecti ſunt: quocirca etiam jubent eum ne eſſe quidem Epiſcopum, qui ſine Primi ſententia factus eſt Epiſcopus, addentes, quòd ſi canonica facta electione quidam contradicant, obtinere debent juxta leges plurium ſuffragia. His ita definitis quæſivit aliquis, cùm præſens Canon definiat in omnibus cauſis plurium ſuffragium vincere, Novella autem conſtitutio potentis & ſacri noſtri Imperatoris Domini Manuelis Comneni quæ menſe Julio indictione xiiii. anno ıↄↄ. cıↄ. ıↄ.c. lxxiiii. prolata eſt, cùm cæteris & hæc diſertis verbis definiat: Quòd ſi non omnium eadem ſententia fuerit, ſed aliqui à plurium ſententia diſſideant, aut par ſit numerus eorum qui diſſident: eorum ſententia præferatur, quibuſcum is ſentit, qui judicio præeſt: cuinam debemus attendere? Ac nonnulli quidem dixerunt, non exaudiri Novellam in cauſis Eccleſiaſticis, atque idcirco in ipſis vetera jura valere, eóſque Canones qui cum his convenientes ſanciti ſunt: alii verò contrà dixerunt Novellam pro toto mundo & omni cauſa locum habere, ac generalem eſſe legem: mihi verò locum habere non videtur Novella in Eccleſiaſticis electionibus, nec in Eccleſiaſticis quæſtionibus; quòd neque traditio canonica per eam ſit everſa. Quære etiam Canonem xix. Synodi Antiochenæ. Sanè quidem Patriarcha Hieroſolomytanus Æliæ Epiſcopus eſt appellatus, quòd urbs Hieroſolymorum aliquando Solyma, aliquando Jebus vocata ſit: poſtquam autem in ea per regem Solomonem conditum eſt celeberrimum illud templum, & in eo ſacra ſunt repoſita, Hieroſolyma eſt appellata: cùm verò in captivitatem redactus populus ejus eſſet à Babyloniis, & urbs everſa, poſtquam illam Romanorum Imperator Ælius Hadrianus inſtauraſſet, ex ejus nomine dicta eſt Ælia: generali autem nomine cùm ipſa urbs Hieroſolymorum, tum omnis ei ſubjecta regio, Palæſtina vocantur. Quæſitum eſt autem à nonnullis, quid eſt quod à Canone dicitur, habeat honoris conſequentiam, Metropoli proprio honore ſervato? Et audierunt Cæſaream eſſe Palæſtinæ metropolim: Hieroſolymorum autem Eccleſiam ejus epiſcopatum fuiſſe. Vult ergò Canon Metropoli ſua jura ſervari, etiamſi ab ea Ælia abſtracta eſt, & honoratus eſt ejus Epiſcopus propter ſalutiferam Chriſti paſſionem. Quære & viii. actionem acto-

A

ΚΑΝΩΝ ς'.

Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν· ἐπειδὴ καὶ τῷ ἐν τῇ Ῥώμῃ Ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν· ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο Ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι Ἐπίσκοπον. ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ εὐλόγῳ οὔσῃ, καὶ κατὰ κανόνα ἐκκλη- B σιαστικὸν δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ ζ'. διορίζονται τοὺς δ'. πατριάρχας, δηλαδὴ τὸν Ῥώμης, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων (περὶ γὰρ τοῦ Κωνσταντινουπόλεως ἐν ἑτέροις κανόσι διαληφθήσεται,) κατὰ τὰ παλαιὰ ἔθη τιμᾶσθαι, καὶ τὸν μὲν Ἀλεξανδρείας, προέχειν τῶν ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει ἐπαρχιῶν· τὸν Ἀντιοχείας ὁμοίως, τῆς Συρίας, τῆς κοίλης Συρίας, τῆς Μεσοποταμίας, καὶ ἑκατέρας Κιλικίας· τὸν δὲ Ἱεροσολύμων, τῶν ἐν τῇ Πα- C λαιστίνῃ ἐπαρχιῶν, τῶν ἐν Ἀραβίᾳ καὶ τῶν ἐν Φοινίκῃ, ὅτι φησὶ καὶ ὁ Ἐπίσκοπος τῆς Ῥώμης προέχει τῶν ἑσπερίων ἐπαρχιῶν. οὕτω δὲ θέλουσιν οἱ κανόνες προέχειν τοὺς Πατριάρχας τῶν ὑπ' αὐτοὺς μητροπολιτῶν, καὶ πάλιν τοὺς μητροπολίτας τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων, ὥστε μηδὲν χωρὶς τούτων γίνεσθαι περιττὸν παρὰ τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων· διὰ γὰρ τοῦτο καὶ παρακελεύονται μηδὲ εἶναι Ἐπίσκοπον, τὸν δίχα γνώμης τοῦ πρώτου γεγονότα Ἐπίσκοπον, προστιθέμενοι ὅτι ἐὰν κανονικῶς γινομένης τῆς ψήφου τινὲς ἀντιλέγουσιν, ὀφείλει κρατεῖν κατὰ τοὺς νόμους ἡ τῶν πλειόνων ψῆφος· τούτων οὕτω διορισθέντων, ἠρώτησέ τις ὡς τοῦ μὲν παρόντος κανόνος διοριζομένου ἐπὶ πάσαις ταῖς ὑποθέσεσι τὴν τῶν πλειόνων ψῆφον νικᾷν· τῆς δὲ νεα- D ρᾶς νομοθεσίας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ τῆς κατὰ τὸν Ἰούλιον μῆνα τῆς ιδ'. ἰνδικτιῶνος τοῦ ͵ςχοδ'. ἔτους ἐξενεχθείσης, διοριζομένης μετὰ τῶν ἄλλων καὶ ταῦτα ῥητῶς· εἰ δέ γε μὴ ὁμογνωμονήσουσι πάντες, ἀλλά τινες διαφωνοῦσι τοῖς πλείοσιν, ἢ ἐξισοῦνται οἱ διαφωνοῦντες, ἐκείνων τὴν ψῆφον προκρίνεσθαι, οἷς καὶ ὁ τοῦ δικαστηρίου προεστὼς συμφωνεῖ· τίνι προσέχειν ὀφείλομεν; καὶ τινὲς μὲν εἶπον μὴ ἐξακούεσθαι τὴν νεαρὰν εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, καὶ διὰ τοῦτο κρατεῖν ἐπ' αὐταῖς τὰ παλαιὰ νόμιμα, καὶ τοὺς ἑπομένως τούτοις διορισθέντας κανόνας· ἕτεροι δὲ ἀντεφθέγξαντο τὴν νεαρὰν εἰς πάντα κόσμον καὶ πᾶσαν E ὑπόθεσιν ἐκφωνηθῆναι, καὶ εἰς κοινὴν θεσμοθεσίαν εἶναι. ἐμοὶ δὲ δοκεῖ μὴ ἔχειν χώραν τὰ τῆς τοιαύτης νεαρᾶς εἰς τὰς ψήφους τῶν ἐκκλησιῶν, ἢ εἰς ἐκκλησιαστικὰ ζητήματα· ὅτι δὲ οὐδὲ κανονικὴ παράδοσις διὰ ταύτης ἀνετράπη. ζήτει καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. ὁ μέντοι πατριάρχης Ἱεροσολύμων, Ἐπίσκοπος Αἰλίας ἐκλήθη, ὅτι ἡ τῶν Ἱεροσολύμων πόλις ποτὲ μὲν Σόλυμα, καὶ Ἰεβοὺς ἐκαλεῖτο· μετὰ δὲ τὸ γενέσθαι ἐν ταύτῃ παρὰ τοῦ Βασιλέως Σολομῶντος τὸν περίπυστον ἐκεῖνον θεῖον ναὸν, καὶ ἀποτεθῆναι ἐν αὐτῷ τὰ ἱερὰ, ὠνομάσθη Ἱεροσόλυμα· τοῦ δὲ ἐν αὐτῇ λαοῦ παρὰ τῶν Βαβυλωνίων αἰχμαλωτισθέντος, καὶ τῆς πόλεως κατασκαφείσης, F ἐπεὶ ὁ βασιλεὺς Ῥωμαίων ὁ Αἴλιος Ἀδριανὸς ἀνήγειρε ταύτην, ἐκλήθη ἐκ τοῦ ὀνόματος αὐτοῦ Αἰλία. γενικῷ δὲ ὀνόματι αὐτή τε ἡ πόλις τῶν Ἱεροσολύμων, καὶ πάντα τὰ ὑπ' αὐτὴν Παλαιστίνη καλοῦνται. ἐζητήθη δὲ παρά τινων τί ἐστι τὸ παρὰ τοῦ κανόνος λεγόμενον, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος· καὶ ἤκουσαν μητρόπολιν εἶναι, ἐν Παλαιστίνῃ οὖσαν Καισάρειαν, τὴν δὲ ἐκκλησίαν τῶν Ἱεροσολύμων ταύτης ποτὲ ἐπισκοπὴν εἶναι. θέλει οὖν ὁ κανὼν φυλάττεσθαι τῇ μητροπόλει τὰ οἰκεῖα δίκαια, κἂν ἐκ ταύτης ἀπεσπάσθη ἡ Αἰλία, καὶ ἐτιμήθη ὁ

Ἐπίσκοπος αὐτῆς, διὰ τὰ σωτηριώδη τοῦ Χριστοῦ πάθη. ζήτει καὶ τὴν ή. πρᾶξιν τῶν πρακτικῶν τῆς δ΄. συνόδου, καὶ μάθῃς, ὅτι ἀπὸ ἀρεσκείας, Μαξίμου Ἐπισκόπου Ἀντιοχείας, καὶ Ἰουβεναλίου Ἐπισκόπου Ἱεροσολύμων, ἔδοξε τὸν μὲν Ἀντιοχείας ἔχειν τὰς β΄. φοινίκας, καὶ τὴν Ἀῤῥαβίαν, τὸν δὲ Ἱεροσολύμων τὰς τρεῖς Παλαιστίνας. καὶ τότε μὲν οὕτως ὡρίσθη. σήμερον δὲ ἡ τῶν πραγμάτων ἐναλλαγὴ, ὡς ἔοικε, καὶ ταῦτα μετήμειψεν.

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τὰ παλαιὰ ἔθη κρατεῖν, ἃ καὶ ἡγεμόνες μεταγενέστεροι, καὶ νόμοι πολιτικοὶ διορίζονται. τὸν Ἀλεξανδρείας οὖν Ἐπίσκοπον δεσπόζειν τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει προέχειν, καὶ τὸν Ἀντιοχείας τῶν αὐτῷ ὑποκειμένων ἐπαρχιῶν, Συρίας δηλαδὴ καὶ Κοίλης Συρίας, καὶ Κιλικίας ἑκατέρας, καὶ Μεσοποταμίας, καὶ τοὺς ἄλλους Ἐπισκόπους τῶν ὑπ' αὐτοὺς ἐξουσιάζειν χωρῶν, καθὼς καὶ τῷ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ προεδρεύοντι, τῶν Ἑσπερίων ἄρχειν ἔθος ἐκράτησε. καὶ τοσοῦτον βούλεται προέχειν τοὺς Ἐπισκόπους ἐν ταῖς ἐπαρχίαις αὐτῶν, ὥστε καθόλου δίδωσι τύπον μηδὲν χωρὶς αὐτῶν εἰς ἐκκλησιαστικὴν διοίκησιν ἀναφερόμενον γίνεσθαι, ἧς δὲ μεῖζον καὶ κυριώτερον, ἡ τῶν Ἐπισκόπων χειροτονία ἐστί. λέγει τοίνυν, εἰ γνώμης τοῦ μητροπολίτου χωρὶς κατασταίη Ἐπίσκοπος, τοῦτον μὴ εἶναι Ἐπίσκοπον. κἂν γὰρ τὸ παλαιὸν τὰ πλήθη τῶν πόλεων τὸν Ἐπίσκοπον ἐψηφίζοντο, ἀλλὰ καὶ τότε μετὰ τὴν ψῆφον, τῷ μητροπολίτῃ τὰ περὶ αὐτῆς ἀνεφέρετο καὶ παρ' ἐκείνου ἐκυροῦντο, καὶ ὃν ἐκεῖνος ἐδοκίμασεν, αὐτὸς τῆς χειροτονίας ἠξίωτο. εἶτα ἐπάγει ὁ κανὼν, ὅτι εἰ μὲν ἐν τῇ ψήφῳ κανονικῇ οὔσῃ οἱ πλείονες συμφωνήσωσι, καὶ ὁμογνωμονήσωσι, δύο δὲ ἢ τρεῖς ἀντιλέγωσι φιλονείκως, ἀλλ' οὐκ εὐλόγως, καὶ τοῖς ἄλλοις ἐναντιῶνται, ἡ τῶν πλειόνων κρατείτω ψῆφος, ὃ καὶ ἐν χρηματικαῖς ὑποθέσεσι τοῖς πολιτικοῖς νόμοις τεθέσπισται. καὶ ὁ ἐννεακαιδέκατος δὲ κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὰ αὐτὰ περὶ τῆς τῶν Ἐπισκόπων ἀντιλογίας διατάττεται.

ΑΡΙΣΤ. Αἰγύπτου, καὶ Λιβύης, καὶ Πενταπόλεως, ὁ Ἀλεξανδρείας ἐχέτω τὴν ἐξουσίαν· καὶ ὁ Ῥώμης, τῶν ὑπὸ Ῥώμην· καὶ ὁ ἐν Ἀντιοχείᾳ, καὶ οἱ λοιποὶ, τῶν οἰκείων. εἰ δέ τις Ἐπίσκοπος τῆς τοῦ μητροπολίτου δίχα γένηται γνώμης, μὴ ἔστω Ἐπίσκοπος. ἐπὶ δὲ τὴν τῶν πολλῶν ψῆφον γινόμενον κατὰ κανόνας, εἰ τρεῖς τινὲς ἀντιλέγοιεν, εἶεν ἀβέβαιοι.

Ἕκαστος τῶν Πατριαρχῶν τοῖς ἰδίοις προνομίοις ἀρκεῖσθαι ὀφείλει, καὶ μή τινα τούτων ἐπαρχίαν ἑτέραν, οὐκ οὖσαν ἄνωθεν, καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ χεῖρα, ὑφαρπάζειν· τοῦτο γὰρ τύφος ἐστὶ κοσμικῆς ἐξουσίας. Δεῖ δὲ καὶ τοὺς Ἐπισκόπους ἑκάστης ἐπαρχίας τῶν ἑαυτῶν πρῶτον ἐπιγινώσκειν, ἤγουν τὸν ἐν τῇ μητροπόλει προεστῶτα Ἐπίσκοπον· καὶ δίχα γνώμης αὐτοῦ Ἐπίσκοπον μὴ ψηφίζεσθαι. εἰ δὲ καὶ ψηφίσονταί τινα παρὰ γνώμην αὐτοῦ, τὸν τοιοῦτον μὴ εἶναι Ἐπίσκοπον. εἰ δὲ γνώμῃ τοῦ μητροπολίτου οἱ Ἐπίσκοποι συνελθόντες ἐπὶ τὴν ψῆφον ποιήσασθαι, εἰς τὴν αὐτὴν καὶ μίαν οὐ συνέλθωσι πάντες γνώμην, ἀλλὰ δι' οἰκείαν φιλονεικίαν τινὲς λέγουσιν· ἡ τῶν πλειόνων κρατείτω ψῆφος. καὶ ζήτει τῆς ἐν Ἐφέσῳ συνόδου κανόνα ὄγδοον· ἀποστόλων κανόνα λδ΄. συνόδου Ἀντιοχείας κανόνα β΄. καὶ γ΄. καὶ συνόδου Σαρδικῆς κανόνα τρίτον.

A rum quartæ Synodi, & cognoſcas quòd Maximi Antioch. Epiſcopi ſententia, & Juvenalis Hieroſolymorum Epiſcopi, decretum eſt ut Antiochiæ quidem Epiſcopus haberet duas Phœnicias, & Arabiam: Hieroſolymitanus verò tres Palæſtinas: & tunc quidem ita conſtitutum eſt: hodie autem, rerum, ut videtur, viciſſitudo, hæc etiam immutavit.

Zonar. Antiquas conſuetudines, quod aliis quoque poſterioribus Canonum, legúmque civilium decretis cautum eſt, retineri vult Canon. Alexandrinum igitur Epiſcopum, iis qui in Ægypto, Libya, ac Pentapoli B ſunt, præſidere, Antiochenum ſubjectis ſibi provinciis, Syriæ nimirum, Cœleſyriæ, Ciliciæ utrique, Meſopotamiæ, ac alios Epiſcopos, in regiones quemque ſibi ſubjectas auctoritatem exercere, quemadmodum & Eccleſiæ Romanæ præſes, in Occidentales provincias principatum conſuetudine obtinet, præeſſe jubet. Tantumque Epiſcopis, in ſua cuique ditione, juris eſſe vult, ut eorum quæ in Eccleſiaſtica adminiſtratione verſentur, nihil penitus abſque illorum auctoritate tranſigi licere patiatur. Cujus quidem præcipua, maximéque propria pars eſt Epiſcoporum ordinatio. Si quis igitur, inquit, inconſulto Metropolitano creatus fuerit, Epiſcopus omnino C ne ſit. Nam etſi olim populi ſuffragiis Epiſcopi in urbibus eligerentur, adhuc tamen poſt ſuffragium integra res ad Metropolitanum deferebatur, ab eoque confirmabatur electio, & quem ille approbaſſet, is demum manuum impoſitione creabatur. quod ſi in electione, ſubjicit Canon, verè canonicâ, conſentientibus plurium inter ſe ſuffragiis, duo treſve contentionis ſtudio, non aliqua certa ratione diſcrepent, aliiſque adverſati ſint quod in pecuniaria quoque controverſia civili lege cautum eſt, plurium ſententia prævaleat. Quod idem undevigeſimus quoque Antiochenæ Synodi Canon, in Epiſcoporum diſſidio ſervandum eſſe pronunciat.

D Arist. *Super Ægyptum, Libyam, & Pentapolim Alexandrinus Epiſcopus poteſtatem habeat. Et Romanus ſuper Romæ ſubjectos. Item Antiochenus, aliique ſuper ſuos. Si quis autem fit Epiſcopus citra metropolitani ſemtentiam, ne ſit Epiſcopus. Quod autem multorum ſuffragio juxta Canones factum eſt, ſi tres aliqui contradicant, nullius ſint autoritatis.*

Unumquemque Patriarcharum propriis privilegiis contentum eſſe oportet, & neminem eorum aliam provinciam, quæ antea & à principio ſub ſuâ non fuerat E poteſtate, uſurpare, hoc enim ſecularis poteſtatis eſt ſuperbia. Oportet autem & Epiſcopos cujuſque provinciæ Primum ſuum agnoſcere, videlicet Epiſcopum metropoli præſidentem: & ſine ejus ſententiâ Epiſcopum non eligere. Si autem & aliquem elegerint præter ſententiam illius, talem non eſſe Epiſcopum. Si autem metropolitani ſententiâ ad electionem faciendam convenientes Epiſcopi in unam eademque ſententiam omnes non conſentiant, ſed nonnulli per contentionem ſuam aliis contradicant, plurium ſuffragia vincant. Quære & Synodi Epheſinæ Canonem octavum, Apoſtolorum Canonem F xxxiiii. Synodi Antiochenæ Can. ix. Synodi Conſtantinopolitanæ Can. ii. & iii. & Synodi Sardicenſis Canonem tertium.

Canon VII.

Quoniam obtinuit conſuetudo & antiqua traditio, ut qui eſt in Ælia Epiſcopus, honoretur, habeat honoris conſequentiam, Metropoli propria dignitate ſervata.

Bals. Præſens Canon expoſitus fuit in ſexto Canone, qui eſt ante ipſum.

Zonar. Quemadmodum ſuperiori Canone, Alexandrino, Antiochenoq; Patriarchæ ſua in ipſorum provinciis privilegia decreta ſunt, ſic Æliano Epiſcopo honorem in ſua ditione habendum, ſuaque dignitate Hieroſolymorum urbem, quæ Ælia dicitur, quippe quæ inter alias Palæſtinæ, Arabiæ, Phœniciæque urbes excellat, honeſtandam eſſe hic Canon conſtituit. Vt enim hoc tempore, ſic olim quoque regio illa univerſa, Palæſtinæ nomen obtinuit. Vrbs vero ipſa jam inde ab antiquiſſimo tempore, Solyma, ac Iebus dicta, deinde Hieroſolyma appellata fuit. Captam vero à Romanis & everſam, cum Romanorum Imperator Hadrianus inſtauraſſet, Æliamque de ſuo nomine, (Ælius ſiquidem ipſe Hadrianus vocatus) nuncupaſſet, id poſtea illa nomen obtinuit: Nonnulli tamen hic Metropolim, Cæſaream nominare Canonem affirmant; Cæſaream vero in Palæſtina ſitam, Stratonis cognomine antiquis dictam.

Arist. *Epiſcopus Æliæ honoretur, ſervatâ Metropoli ſua dignitate.*

Novella cxxiii. in primo titulo primi libri poſita, Hieroſolymorum, quæ & Ælia dicitur, Epiſcopum, Patriarcham vocat. Oportet itaque ſecundum hunc Canonem Æliæ Epiſcopum Patriarchæ dignitate honorari. Sed quoniam Cæſarea prima eſt metropolis Palæſtinæ & (ſub eâ ſit) ſancta civitas, Patriarcham ſuo honore potiri oportet, ſed & Cæſareæ Metropoli (cui antea ſubjacebat) ſuam ſervari dignitatem. Lege & Chalcedonenſis Synodi Canonem duodecimum.

Canon VIII.

De iis, qui ſeipſos καθαρὸυς, *id eſt, puros, quandoque nominant, ad Catholicam autem & Apoſtolicam Eccleſiam accedunt, ſanctæ Synodo viſum eſt, ut impoſitis eis manibus ſic in Clero maneant: ante omnia autem hoc inſcriptis ipſos profiteri convenit, quod adhærebunt & ſequentur catholicæ Eccleſiæ decreta: id eſt, quòd & cum digamis communicabunt, & cum iis qui in perſecutione lapſi ſunt, in quibus & tempus conſtitutum eſt, & opportunitas præfinita, ut ipſi ſequantur in omnibus Catholicæ Eccleſiæ decreta. Vbi ergo omnes, ſive in vicis, ſive in urbibus, ipſi ſoli inveniuntur ordinati, qui inveniuntur in Clero, erunt in eodem ordine. Si autem Catholicæ Eccleſiæ Epiſcopo vel Presbytero exiſtente, accedunt aliqui, clarum eſt quòd Eccleſiæ quidem Epiſcopus, Epiſcopi dignitatem habebit: qui autem apud eos qui Cathari dicuntur, nominatur Epiſcopus, Presbyteri honorem habebit, niſi utique Epiſcopo placeat ipſum nominis honorem impertire. Si autem hoc illi non placeat, vel Chorepiſcopi vel Presbyteri locum excogitabit, ut eſſe omnino in Clero videatur, ne in civitate duo ſint Epiſcopi.*

Bals. Novatus ille erat Romanorum Eccleſiæ Presbyter, ut ſcribit Euſebius Pamphili. Cùm autem facta eſſet perſecutio, & multi propter metum mortis lapſi eſſent, & pœnitentiam agerent, ipſe à Dæmone inflatus, eos nolebat admittere. Sed neque cum digamis, ut qui eſſet ipſe continens communicabat. Qui ergo eadem atq;

A

ΚΑΝΩΝ ζ'.

Επειδὴ συνήθεια κεκράτηκε καὶ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ Επίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς, τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος.

Ὁ παρὼν κανὼν ἡρμηνεύθη ἐν τῷ πρὸ αὐτοῦ ἕκτῳ κανόνι.

ΖΩΝΑΡ. Ὥσπερ τῷ Αλεξανδρείας, καὶ τῷ Αντιοχείας ὁ πρὸ τούτου κανὼν τὰ πρεσβεῖα ἐν ἐπαρχίαις αὐτῶν B ἀπένειμεν, οὕτως ὁ παρὼν κανὼν τῷ τῆς Αἰλίας Επισκόπῳ τιμὴν ἐν τῇ οἰκείᾳ ἐπαρχίᾳ ἐπεψηφίσατο, καὶ σώζεσθαι τῇ τῶν Ιερωσολύμων πόλει, ἥτις Αἰλία λέγεται, τὸ οἰκεῖον ἀξίωμα διωρίσατο ὡς ὑπερκειμένῃ τῶν ἐν Παλαιστίνῃ πόλεων, καὶ Αρραβίᾳ καὶ Φοινίκῃ. καὶ πάλαι μὲν γὰρ καὶ νῦν ἡ χώρα πᾶσα ἐκείνη, Παλαιστίνη ὠνόμαστό τε καὶ ὀνομάζεται. ἡ δὲ πόλις τὸ μὲν ἀρχαιότατον, Σόλυμα καὶ Ιεβοὺς ἐκαλεῖτο, ὕστερον δ' ἐκλήθη Ιεροσόλυμα. μετὰ δὲ τὸ ἁλῶναι ὑπὸ Ρωμαίων καὶ κατασκαφῆναι, ὁ βασιλεὺς Ρωμαίων Αδριανὸς ἀνεγείρας τὴν πόλιν, Αἰλίαν αὐτὴν ἐπωνόμασεν ἐπὶ τῷ οἰκείῳ ὀνόματι. Αἴλιος γὰρ Αδριανὸς ἐκεῖνος ἐκαλεῖτο, καὶ οὕτως ἐχρημάτιζε. C τινὲς δὲ Μητρόπολιν τὴν Καισάρειαν λέγουσιν ὀνομάσαι τὸν κανόνα. Καισάρειαν δὲ τὴν ἐν Παλαιστίνῃ, ἥτις τὸ παλαιὸν Στράτωνος ἐκαλεῖτο.

ΑΡΙΣΤ. Ὁ Επίσκοπος Αἰλίας τιμάσθω· σωζομένου τῇ μητροπόλει τοῦ αὐτοῦ ἀξιώματος.

Ἡ ἑκατοστὴ εἰκοστὴ τρίτη νεαρὰ ἡ ἐν τῷ πρώτῳ τίτλῳ τοῦ πρώτου βιβλίου κειμένη, τὸν ἱεροσολύμων Επίσκοπον, ἥτις καὶ Αἰλία καλεῖται, πατριάρχην λέγει. δεῖ οὖν κατὰ τὸν παρόντα κανόνα, τὸν τῆς Αἰλίας Επίσκοπον τῇ τοῦ πατριάρχου τιμᾶσθαι τιμῇ. Επεὶ δὲ ἡ Καισάρεια μητρόπολις τυγχάνει πρώτη Παλαιστίνης, καὶ ἡ ἁγία πόλις, δεῖ καὶ τὸν πατριάρχην τὴν οἰκείαν D ἔχειν τιμὴν, σώζεσθαι δὲ καὶ τῇ Καισαρείᾳ τῇ μητροπόλει, [ὑφ' ἣν πρῶτον ἐτύγχανε,] τὸ οἰκεῖον ἀξίωμα. καὶ ζήτει τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα δωδέκατον.

ΚΑΝΩΝ η'.

Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς Καθαρούς ποτε, προσερχομένων δὲ τῇ Καθολικῇ καὶ Αποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ. πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς Καθολικῆς δόγμασιν ἐκκλησίας, τοῦτ' ἔστι, καὶ διγάμοις E κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν· ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται· ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. ἔνθα μὲν οὖν πάντες εἴτε ἐν κώμαις εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ ἔσονται ἐν τῷ αὐτῷ σχήματι· εἰ δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας Επισκόπου ἢ πρεσβυτέρου ὄντος προσέρχονταί τινες, πρόδηλον, ὡς ὁ μὲν Επίσκοπος τῆς ἐκκλησίας, ἕξει τὸ ἀξίωμα τοῦ Επισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις Καθαροῖς Επίσκοπος, τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει. πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ Επισκόπῳ F τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου ἢ πρεσβυτέρου ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο Επίσκοποι ὦσιν.

ΒΑΛΣ. Ο Ναυάτος ἐκεῖνος πρεσβύτερος ἦν τῆς τῶν Ρωμαίων ἐκκλησίας, καθὼς ἱστορεῖ ὁ τοῦ Παμφίλου Εὐσέβιος. γινομένου δὲ διωγμοῦ, καὶ πολλῶν παραπεπτωκότων διὰ φόβον θανάτου, καὶ μετανοούντων, αὐτὸς ὑπὸ τοῦ δαίμονος φυσιούμενος, ἤθελε τούτους μὴ παραδέχεσθαι, ἀλλ' οὐδὲ διγάμοις ὡς δῆθεν σωφρονῶν ἐκοινώνει. οἱ γοῦν τὰ ἐκείνου φρονήσαντες, Ναυατιανοὶ λέγονται, καὶ κατ' εἰρωνείαν καθαροί. ἐπεὶ δὲ συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου Πάππα τῆς τῶν Ῥωμαίων ἐκκλησίας, βασιλεύοντος Δεκίου, ἀνεθεματίσθη ὁ Ναυάτος, καὶ οἱ αἱρεσιῶται αὐτοῦ, φησὶν ὁ κανὼν, ὅτι ἐὰν τινὲς ἐκ τούτων μετ' εἰλικρινοῦς μετανοίας ἀποστῶσι τῆς προτέρας κακίας, καὶ ἀσφαλίσωνται φυλάττειν τὰ τῆς καθολικῆς ἐκκλησίας δόγματα, δεχθήσονται. καὶ εἰ μὲν εἰσι κληρικοὶ, ἕξουσι πάντως τοὺς οἰκείους βαθμοὺς, ὡς μὴ σφάλλοντες περὶ τὴν πίστιν, ἀλλ' ὡς μισάδελφοι κατακρινόμενοι. εἰ δὲ Ἐπισκοπικὸν ἀξίωμα ἔχουσιν, ἄλλων μὲν κατὰ χώραν εἰς ἣν οὗτοι ἐπεκηρύχθησαν, εὑρισκομένων Ἐπισκόπων, αὐτοὶ ἐπισκοπικόν τι οὐκ ἐνεργήσουσι, ἀλλὰ φροντίσει ὁ Ἐπίσκοπος ἢ μόνον ὄνομα τούτους ἔχειν Ἐπισκόπου, ἢ δι' ἑτέρου καλεῖσθαι ὀνόματος. μὴ ὄντων δὲ ἐγχωρίων Ἐπισκόπων, οἰκονομήσουσιν αὐτοὶ καὶ τὰ τῆς ἐπισκοπῆς. τὸ δὲ, ἐφ' ὧν καὶ χρόνος ὥρισται, καὶ καιρὸς τέτακται, ἐρρέθη περὶ τῶν παραπεπτωκότων ἐν καιρῷ διωγμοῦ, καὶ τῶν διγάμων. ἀλλὰ καὶ οἱ κληρικοὶ μετὰ τὸ δεχθῆναι, τότε τῷ κλήρῳ συναριθμήσονται, ἐφ' ᾧ προεχειροτονήθησαν, ὅτε οὐκ ἐτάχθησαν ἀντὶ τούτων ἕτεροι κληρικοί. τοιούτων δέ τινων εὑρισκομένων, γενήσεται ὅ, τι καὶ περὶ τῶν Ἐπισκόπων ἐγράφη ἄνωθεν. ἐρωτῶ δὲ, ἐάν τινες ἐκ τούτων πρὸς μείζονα βαθμὸν προαναβιβασθῆναι θελήσωσιν, ἐμποδισθήσονται ἀπὸ τοῦ κανόνος τούτου λέγοντος κατὰ τὰς ἀρχὰς, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς μένειν οὕτως ἐν τῷ κλήρῳ· ἢ ἀκωλύτως προκόψουσιν; λύσις. ἀπὸ τοῦ π'. ἀποστολικοῦ κανόνος, καὶ τοῦ β'. κανόνος τῆς παρούσης συνόδου δέδοκται καὶ τοὺς πάντη ἀπίστους κατὰ βαθμοὺς ἱερᾶσθαι. ἵνα τί γοῦν οἱ Ναυατιανοὶ καὶ Καθαροὶ λεγόμενοι, οὐ προαναβιβασθήσονται, περὶ τὴν πίστιν, ὡς εἴρηται, μὴ σφαλλόμενοι ἀλλ' ὡς ἀσυμπαθεῖς κατακρινόμενοι; τὸ δὲ μένειν αὐτοὺς οὕτως ἐν τῷ κλήρῳ, μᾶλλον ὑπὲρ ἐκείνων ὁρισθῆναι νοεῖταί μοι. εἰκὸς γὰρ ἦν λέγειν τινὰς, ὀφείλειν δεχθῆναι μὲν αὐτοὺς, πλὴν εἶναι ὡς ἁπλῶς πιστοὺς λαϊκοὺς, καὶ μὴ ἐνεργεῖν κατὰ τοὺς προτέρους τούτων βαθμούς· ὅπερ παρὰ τῆς συνόδου οὐκ ἐδέχθη, ἀλλ' ἐνεδόθη ἀποκαθίστασθαι τούτους εἰς τοὺς οἰκείους βαθμούς· τῷ δὲ ὀνόματι τῆς ἀποκαταστάσεως, καὶ τὸ δίκαιον τῆς προκοπῆς συναναφαίνεται.

ΖΩΝΑΡ. Καθαροὶ λέγονται οἱ Ναυατιανοί. ὁ δὲ Ναυάτος πρεσβύτερος ἦν τῆς Ῥωμαίων ἐκκλησίας, ὃς τοὺς ἐν τῷ διωγμῷ παραπεπτωκότας, μετανοοῦντας οὐκ ἐδέχετο, οὔτε διγάμοις ἐκοινώνει. διὸ κἂν μὴ περὶ τὴν πίστιν ἐσφάλλετο, ἀλλά γε διὰ ἀσυμπαθὲς αὐτοῦ καὶ μισάδελφον, συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου τῆς Ῥώμης Πάπα, Δεκίου βασιλεύοντος, ἀπεβλήθη, καὶ ἀνεθεματίσθη, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ. τοὺς γοῦν αἱρεσιώτας τούτου προσερχομένους, δέχεσθαι ὁ κανὼν οὗτος ὁρίζει, ὁμολογοῦντας ἐγγράφως, ὅτι τὰ τῆς καθολικῆς ἐκκλησίας τηρήσουσι δόγματα, καὶ τοὺς δι' ἀνάγκην ἀρνησαμένους τὸν Χριστὸν δέξονται, καὶ οἰκονομήσουσιν αὐτοὺς κατὰ τοὺς καιροὺς τοὺς ὡρισμένους τῇ μετανοίᾳ τῶν παραπεπτωκότων· τοῦτο γάρ ἐστι τὸ ἐφ' ὧν καὶ χρόνος ὥρισται, καὶ καιρὸς τέτακται· καὶ τοῖς διγάμοις κοινωνήσουσι, καὶ εἰ κεχειροτονημένοι εἰσὶν εἰς Ἐπισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους οἱ ἐξ αὐτῶν προσιόντες τῇ ἐκκλησίᾳ, μένειν αὐτοὺς ἐν τῷ κλήρῳ κατὰ τοὺς οἰκείους βαθμοὺς, ἐὰν ἴσως ἐν ταῖς ἐκκλησίαις ἐν αἷς ἐχειροτονήθησαν, οὐκ εἰσὶν ἕτεροι. ὅτι γὰρ οὐ περὶ τὴν πίστιν ἐσφάλλοντο, ἀλλ' εἰς μισαδελφίαν καὶ ἄρνησιν μετανοίας τοῖς παραπεπτωκόσι καὶ ἐπιστρέφουσι, διὰ τοῦτο καὶ τὴν χειροτονίαν αὐτῶν ἡ σύνοδος ἐδέξατο, καὶ μένειν αὐτοὺς ἐν τοῖς οἰκείοις βαθμοῖς διωρίσατο, εἰ μὴ Ἐπίσκοπος εἴη ἐν τῇ καθολικῇ τῆς πόλεως ἐκείνης ἐκκλησίᾳ εἰ δὲ ἐν ἐκκλησίᾳ εἰσὶν ἔνθα Ἐπίσκοπος, ἢ πρεσβύτερος, ὁ μὲν Ἐπίσκοπος ἕξει τὸ τῆς Ἐπισκοπῆς ἀξίωμα καὶ τὸ ὄνομα· ὁ δὲ παρὰ τοῖς Καθαροῖς κεκλημένος Ἐπίσκοπος, ἢ πρεσβυτέρου ἕξει τιμὴν, ἢ πως χωρε-

A iſte ſentiebant, Novatiani dicuntur, & per ironiam καθαροὶ, id eſt, puri. Quoniam autem Synodo Romæ habita ſub Cornelio Papa Romanorum Eccleſiæ, imperante Decio, anathemate percuſſus eſt Novatus, & qui ejus hæreſin ſequebantur, dicit Canon quòd ſi aliqui ex iis cum ſincera pœnitentia à ſua improbitate defecerint, & ſe Catholicæ Eccleſiæ decreta ſervaturos affirmaverint, ſuſcipientur: & ſi ſint quidem Clerici, proprios gradus habebunt, ut qui non quòd in fide errent, ſed fratres odio habeant, condemnentur. Si autem Epiſcopalem dignitatem habeant, ſi alii inveniantur Epiſcopi in regione, in qua ipſi electi ſunt, ipſi quidem nihil B Epiſcopale exercebunt: ſed providebit Epiſcopus ut vel illi ſolum Epiſcopale nomen habeant, vel alio nomine appellentur. Si autem non ſint in ea regione Epiſcopi, ipſi quoque Epiſcopatum adminiſtrabunt. Illud autem, In quibus & tempus conſtitutum eſt, & opportunitas præfinita, de iis qui tempore perſecutionis lapſi ſunt, & de digamis, dictum eſt: ſed & Clerici, poſtquam ſuſcepti fuerint, tunc Clero connumerabuntur in quo priùs ordinati fuerant, quando pro iis alii Clerici ordinati non fuerint. Si autem tales inveniantur, fiet & quod ſuperiùs de Epiſcopis ſcriptum eſt. Quæro autem, ſi qui eorum ad majorem gradum provehi voluerint, an prohibebun- C tur ex hoc Canone, qui dicit in principio: Viſum eſt ſanctæ Synodo, ut eis impoſitis manibus ſic in Clero maneant: an citra impedimentum promovebuntur? Solutio. Ex lxxx. Can. Apoſt. & ii. Can. præſentis Syn. ſtatutum eſt ut etiam qui ſunt omnino infideles, per gradus ad ſacerdotium admittantur. Quidni ergo Novatiani, & qui Cathari dicuntur, promovebuntur, qui ut dictum eſt, in fide non errant, ſed tanquam immiſericordes damnantur? Quòd autem illos in Clero manere conſtitutum eſt,, id mihi pro eis magis facere videtur: veriſimile enim erat dicere aliquos, debere quidem ipſos ſuſcipi, ſed eſſe ſimpliciter ut fideles laïcos, & non priores D ſuos gradus exercere: quod Synodo non placuit: ſed conceſſum eſt ut ipſi in gradus ſuos reſtituerentur. Reſtitutionis autem nomine unà jus quoque promotionis oſtenditur.

Zonar. Cathari (hoc eſt puri) Navatiani dicuntur. Fuit autem Navatus Romanæ Eccleſiæ presbyter, qui in perſecutione lapſos, culpæ licet pertæſos, repellebat, atque à digamorum communione penitus abhorrebat. Propterea, quamvis nullo errore in iis quæ fidei ſunt, teneretur, ob morum tamen implacabilitatem, fraternúmque odium, in Synodo, quæ Cornelio Roma- E norum Papa, Decio imperante Romæ habita fuit, ut Euſebius Pamphili memorat, ejectus, atque anathemate damnatus eſt. Ex illo igitur hæreticorum grege, ſi qui cum Eccleſia in gratiam redire cupiant, eos hic Canon recipiendos eſſe decernit: Modo ſe tamen ab Eccleſiæ Catholicæ placitis non diſceſſuros, ac eos, qui neceſſitate coacti Chriſtum, & Deum negaverunt, ubi ſtatuta criminibus expiandis tempora expleverint, (id namque verba illa indicant, in quibus & tempus conſtitutum eſt, & præfinita dies) admiſſuros, & cum digamis communicaturos eſſe, chirographi ſui teſtimonio profiteantur. F Ac ſiquidem, qui ex ipſis ad Eccleſiam accedunt, Epiſcopi jam, aut Presbyteri, aut Diaconi creati ſunt, neque Eccleſiæ forte, quarum miniſterio ii ſunt aſcripti, alios habent, ſuum in Clero dignitatis ordinem retinere. Quod enim in fide nihil ejuſmodi homines offenderint, ſed tantum fraterno odio, veniáque lapſis & reſipiſcentibus deneganda peccarint, propterea ordinationem eorum admiſit Synodus, & in ſuo quenquam gradu, niſi cum alter in eadem urbe Catholicarum partium Epiſcopus foret, manere voluit. At ſi in Eccleſiâ ſunt, quæ Epiſcopum, aut Presbyterum habeat, Epiſcopi nomen, ac dignitatem ipſe retinebit, qui verò apud Catharos Epiſcopus dictus fuerat, Presbyteri, aut Chorepiſcopi ad ſummum honore fungetur, ut in Clero connumeretur, eoque non excidat. Niſi eidem Catholici Epiſcopi indulgentia, Epiſcopi nomen, honorémque permittat. Functiones tamen Epiſcopi proprias, ne duo unius urbis Epiſcopi ſint, nequaquam exerceat.

Arist. *Cathari dicti accedentes primo profiteantur, quòd Eccleſiæ ſanctionibus aſſentient, & cum digamis communicabunt, veniamque lapſis concedent. Et ſic qui repertus eſt Ordinatus, in eodem ordine conſtituatur. Ut ſi verè eſt Epiſcopus, ſit Epiſcopus. Qui verò apud Catharos Epiſcopus fuit, ſit Chorepiſcopus, vel Presbyteri, vel Epiſcopi honore gaudeat. In unâ enim Eccleſiâ duo non erunt Epiſcopi.*

Ex iis qui ad ſanctam catholicam & Apoſtolicam Dei eccleſiam veniunt, nonnulli quidam baptizantur, alii autem unguento illinuntur, alii vero ſolùm ſuam & aliam omnem hæreſin execrantur. Qui itaque à Novato decepti & Cathari ab eo nominati ſunt ut reſipiſcentiam eorum qui peccarunt non recipientes & ſecundas prohibentes nuptias, ſi ad Eccleſiam venerint, & confeſſi fuerint ſe & digamos admiſſuros, & iis quos peccatorum pænituit veniam daturos, & omnia prorſus Eccleſiaſtica obſervaturos dogmata, & ſuam & alias execrantes hæreſes admittentur, & tantum ſancto unguento illinentur. Et ſi quidem aliqui eorum ſint Epiſcopi aut Chorepiſcopi, in eadem rurſus manebunt dignitate, niſi forte in eadem civitate alius catholicæ Eccleſiæ inveniatur Epiſcopus, ante adventum ipſorum ordinatus. Sic enim præferetur qui ab initio proprie erat Epiſcopus, & ſolus Epiſcopatûs thronum retinebit. Quoniam non oportet duos eſſe Epiſcopos in eadem civitate. Ille autem qui à Catharis dicitur Epiſcopus ut presbyter honorabitur, vel ſi Epiſcopo placuerit, & Epiſcopi nominis particeps erit, at jus aliquod epiſcopale non exercebit.

Canon IX.

Quicunque citra examinationem promoti ſunt Presbyteri, vel examinati ſua peccata confeſſi ſunt, eiſque confeſſis, præter Canonem moti homines manus impoſuerunt, eos Canon non admittit. Quod eſt enim à reprehenſione alienum, defendit Eccleſia.

Bals. Multa ſunt quæ ad ſacerdotium ne perveniatur, prohibent, cum quibus eſt & fornicatio. Si quis ergo fuerit fornicationis damnatus, ſive antequam conſecraretur, ſive poſtea, deponitur. Vnde dicit Canon, quòd ſi quis citra examinationem eſt conſecratus vel & ante ordinationem quidem eſt peccatum confeſſus, ſed præter Canonem eſt ordinatus, ex ordinatione non juvatur, ſed poſtquam id cognitum fuerit, deponitur. Dicebant enim nonnulli, quemadmodum baptiſma novum hominem facit eum qui baptizatus eſt, ita & ſacerdotium ea quæ priùs admiſſa ſunt peccata abſtergit: quod Canonibus non eſt conſonum.

Zonar. Qui ad ſacros ordines evehuntur, vitæ integros, nec ullis vitiorum maculis, quibus infecti ab ordinibus arcentur, notatos eſſe ac illorum propterea vitam, & mores ſedulo examinari Canon jubet. Quod ſi qui forte, inquit temere nullóque delectu ad ſacros ordines admittantur, aut ſuamet vitia ipſi confitentes, contra Canonis præſcriptum, ordinibus inſigniti fuerint, non admittendos eſſe, nec quicquam iis illegitimam crea-

A πισκόπου, ἵνα τῷ κλήρῳ συγκαταλέγηται, καὶ μὴ τούτου ἐκπέσῃ. εἰ μή τι συγκαταβαίνων ὁ Επίσκοπος τῆς καθολικῆς ἐκκλησίας, θελήσει αὐτὸν ὄνομα καὶ τιμὴν Επισκόπου ἔχειν. οὐ μέν τοι καὶ ὡς Επίσκοπος ἐνεργήσει, ἵνα μὴ ἐν τῇ αὐτῇ πόλει δύο ὦσιν Επίσκοποι.

ΑΡΙΣΤ. Οἱ λεγόμενοι Καθαροὶ προσερχόμενοι, πρῶτον ὁμολογείτωσαν, ὅτι συνθήσονται τοῖς ἐκκλησίας θεσμοῖς, καὶ κοινωνήσουσι διγάμοις, καὶ συγχωρήσουσι τοῖς παραπεπτωκόσι. καὶ οὕτως ὁ εὑρισκόμενος κεχειροτονημένος εἶεν ἐν τῷ B αὐτῷ τάγματι. ὥστε, ὁ μὲν κυρίως Επίσκοπος, εἴη Επίσκοπος· ὁ δὲ παρὰ τοῖς καθαροῖς Επίσκοπος, ἢ χωρεπίσκοπος ἔστω, ἢ πρεσβυτέρου τιμὴν ἢ Επισκόπου κεκλήσθω· οὐ γὰρ ἔσονται δύο εἰς μίαν ἐκκλησίαν Επίσκοποι.

Απὸ τῶν προσερχομένων τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, οἱ μὲν βαπτίζονται, οἱ δὲ μύρῳ χρίονται, οἱ δὲ μόνον ἀναθεματίζουσι τὴν ἰδίαν, καὶ πᾶσαν ἄλλην αἵρεσιν. Οἱ γοῦν δελεασθέντες ὑπὸ τοῦ Ναυάτου, καὶ καθαροὶ παρ' αὐτοῦ ὀνομασθέντες, ὡς μὴ καταδεχόμενοι τὴν μετάνοιαν τῶν ἁμαρτησάντων, καὶ τὸν δεύτερον γάμον κωλύοντες, ἐὰν τῇ C ἐκκλησίᾳ προσέλθωσι, καὶ ὁμολογήσωσι καὶ διγάμους παραδέχεσθαι, καὶ τοῖς ἁμαρτήμασι μετανοήσασι συγχωρεῖν, καὶ ἁπλῶς πᾶσι τοῖς ἐκκλησιαστικοῖς ἐπακολουθεῖν δόγμασι, τὴν ἰδίαν ἀναθεματίζοντες αἵρεσιν, καὶ τὰς ἄλλας· προσδεχθήσονται, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρισθήσονται. καὶ εἰ μέν τινες αὐτῶν εἰσὶν ἢ Επίσκοποι, ἢ χωρεπίσκοποι, ἐν τῇ αὐτῇ πάλιν ἀξίᾳ μενοῦσιν, εἰ μή τις ἐν τῇ αὐτῇ πόλει ἕτερος Επίσκοπος τῆς καθολικῆς ἐκκλησίας εὑρίσκεται, πρὸ τῆς ἐλεύσεως αὐτῶν χειροτονηθῇ. προτιμηθήσεται γὰρ οὕτως ὁ ἐξ ἀρχῆς κυρίως Επίσκοπος, καὶ μόνος τὸν τῆς Επισκοπῆς θρόνον καθέξει. διὰ τὸ μὴ δέον εἶναι δύο Επισκόπους ἐν μιᾷ πόλει D τυγχάνειν· αὐτὸς δὲ παρὰ τοῖς καθαροῖς ὀνομαζόμενος Επίσκοπος, ὡς πρεσβύτερος τιμηθήσεται, ἤ, εἰ δόξει τῷ Επισκόπῳ, καὶ τοῦ ὀνόματος μεθέξει τοῦ Επισκόπου. Επισκοπικὸν δέ τι δίκαιον οὐκ ἐνεργήσει.

ΚΑΝΩΝ θʹ.

Εἴ τινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἁμαρτήματα αὐτοῖς, καὶ ὁμολογησάντων αὐτῶν παρὰ κανόνα κινούμενοι οἱ ἄνθρωποι τοῖς τοιούτοις χεῖρα ἐπιτεθείκασι, τούτους ὁ κανὼν οὐ προσίεται. E τὸ γὰρ ἀνεπίληπτον ἐκδικεῖ ἡ ἐκκλησία.

ΒΑΛΣ. Διάφορα εἰσὶ τὰ κωλύοντα τὴν ἱερωσύνην, μεθ' ὧν ἐστὶ καὶ ἡ πορνεία. εἰ γοῦν κατακριθῇ τις πορνείαν ἡμαρτηκώς, κἄν τε πρὸ τοῦ ἱερωθῆναι, κἄντε μετὰ ταῦτα, καθαιρεῖται. ὅθεν φησὶν ὁ κανὼν τὸν ἀνεξετάστως ἱερωθέντα, ἢ καὶ ἐξομολογησάμενον μὲν πρὸ τῆς χειροτονίας τὸ ἁμάρτημα, παρὰ δὲ κανόνος χειροτονηθέντα μὴ ὠφελεῖσθαι ἐκ τῆς χειροτονίας, ἀλλὰ μετὰ διάγνωσιν καθαιρεῖσθαι. ἔλεγον γάρ τινες ὅτι ὥσπερ τὸ βάπτισμα νέον ἄνθρωπον ποιεῖ τὸν βαπτισθέντα, οὕτω καὶ ἡ ἱερωσύνη τὰ πρὸ τῆς ἱερωσύ- F νης ἁμαρτήματα ἀπαλείφει, ὅπερ τοῖς κανόσιν οὐκ ἔδοξεν.

ΖΩΝΑΡ. Ανεπιλήπτους καὶ καθαρεύοντας αἰτιαμάτων κωλυόντων ἱερᾶσθαι, βούλεται ὁ κανὼν τοὺς εἰς ἱερωσύνην προαγομένους εἶναι, καὶ τὸν βίον καὶ τὴν διαγωγὴν αὐτῶν ἐξετάζεσθαι. εἰ δ' ἴσως τινές φησιν ἀνεξετάστως προαχθῶσιν εἰς ἱερωσύνης βαθμὸν, ἢ ἐκείνων ὁμολογησάντων τὰ ἑαυτῶν ἐλαττώματα, οἱ χειροτονοῦντες αὐτοὺς παρὰ κανόνα χειροτονήσουσιν, ἀπροσδέκτους αὐτοὺς εἶναι θεσπίζει, καὶ μηδὲν ἐκ τῆς χειροτονίας τῆς ἀθέσμου ὠφελεῖσθαι· καθαιρεθήσονται γάρ.

ΑΡΙΣΤ. Οἱ ἀνεξετάστως χειροτονούμενοι, εἰ ἐξῆς ἐλέγχοιντο ὅτι ἥμαρτον ὄντως, πεπαύσθωσαν.

Ἐὰν γὰρ ἁμαρτήσας τις διέλαθε, καὶ ἀνεξετάστως εἰς Ἐπισκόπου, ἢ πρεσβυτέρου βαθμὸν προήχθη· ἐὰν μετὰ τὴν χειροτονίαν ἐλέγχοιτο ὅτι ἥμαρτε, τῆς ἱερωσύνης παυθήσεται.

ΚΑΝΩΝ ι'.

Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων κατὰ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ. γνωσθέντες γὰρ καθαιροῦνται.

ΒΑΛΣ. Τοὺς ἀρνησιθέους μετανοοῦντας εἰλικρινῶς, δεχόμεθα, ἱερᾶσθαι δὲ οὐ παραχωροῦμεν, ἀλλὰ καὶ κληρικοὺς ὄντας καθαιροῦμεν, καθὼς τοῦτο φησὶν ὁ ξβ'. ἀποστολικὸς κανών. εἴ τινες οὖν ἐκ τούτων ἐχειροτονήθησαν, ἀγνοούντων τῶν χειροτονησάντων, ἢ καὶ εἰδότων, μετὰ διάγνωσιν καθαιρεθήσονται, ὡς μὴ ὠφελούμενοι ἐκ τῆς χειροτονίας, κἂν ἐν εἰδήσει τοῦ χειροτονήσαντος αὕτη γέγονεν. ἴσως γὰρ εἴπῃ τις ὠφελεῖσθαι αὐτοὺς ἀπὸ τοῦ χειροτονηθῆναι παρὰ ἀνθρώπων εἰδότων τὸ τούτων ἁμάρτημα, καὶ οἷον συγχωρησάντων αὐτὸ διὰ τῆς χειροτονίας. ταῦτα δὲ περὶ ἱερέων καὶ διακόνων καὶ λοιπῶν ἐκληπτέον, οὐ μὴν περὶ Ἐπισκόπων. περὶ τούτων γὰρ ζήτει τὸν ιϐ'. κανόνα τῆς ἐν Ἀγκύρᾳ Συνόδου καὶ τὰ ἐν αὐτῷ γραφέντα.

ΖΩΝΑΡ. Τοὺς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνησαμένους εἶτα μετανοήσαντας εἰς ἱερωσύνην προάγεσθαι οὐ χρή. πῶς γὰρ ἱερεὺς ἔσεται, ὃς τῶν ἁγιασμάτων διὰ βίου οὐκ ἀξιοῦται, εἰ μὴ ἐν τῷ θανάτῳ αὐτοῦ; εἰ δ' ἴσως ἀγνοοῦντος τοῦ χειροτονοῦντος ἢ καὶ εἰδότος, ἱερωσύνης ἀξιωθείη, καθαιρεθῆναι αὐτὸν εἰ μετὰ ταῦτα γνωσθείη, ὁ παρὼν κανὼν διατάττεται. τὸ γὰρ ἀθέσμως γινόμενον, τῷ κανόνι οὐ προκρίνει ἀντὶ τοῦ, οὐκ ἐμποδίζει, οὐ βλάπτει.

ΑΡΙΣΤ. Οἱ παραπεπτωκότες, ἢ ἀγνοίᾳ, ἢ γνώσει τῶν χειροτονησάντων, καὶ προαχθέντες, καθαιρείσθωσαν.

Κἂν ἠγνόησαν οἱ χειροτονήσαντες τῶν χειροτονηθέντων τὰ πταίσματα, ἢ καὶ ἐν εἰδήσει τούτων ὄντες, παρεβλέψαντο ταῦτα, τῷ ἐκκλησιαστικῷ κανόνι τοῦτο οὐ φέρει κατάκριμα· ἀλλὰ καὶ μετὰ τοῦτο γνωσθέντες οἱ χειροτονηθέντες, ὡς ἁμαρτήσαντες, καθαιρεθήσονται.

ΚΑΝΩΝ ια'.

Περὶ τῶν παραβάντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου· ἔδοξε τῇ Συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμελῶνται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν ὡς πιστοί, καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται. δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν:

ΒΑΛΣ. Ὁ ξβ'. ἀποστολικὸς κανὼν διαλαμβάνει περὶ τῶν κατὰ βίαν παραβάντων κληρικῶν· ὁ δὲ παρὼν, περὶ τῶν χωρὶς βίας ἀρνησαμένων τὸν Χριστόν· καί φησι δέχεσθαι τούτους, γνησίως ἤτοι ἀληθῶς μετανοοῦντας· καὶ τρία μὲν ἔτη ἔξω ἵστασθαι τοῦ ναοῦ, καὶ ἀκροᾶσθαι τῶν ὑμνῳδιῶν τοῦ Θεοῦ, ἑπτὰ δὲ

A tionem prodeſſe decernit. Depoſitione namque mulctabuntur.

Arist. *Qui ſine examinatione ordinantur, ſi poſtea convincantur quod revera peccarunt, deturbentur.*

Si quis enim clam peccavit, & citra examinationem ad Epiſcopi aut Presbyteri gradum provectus fuit; ſi poſt ordinationem convictus fuerit quod peccavit, ſacerdotio movebitur.

B

Canon X.

Quicunque ex iis qui lapſi ſunt, vel per ignorantiam, vel ſcientibus iis qui promoverunt, ordinati ſunt, hoc Eccleſiaſtico Canoni non præjudicat. Ii enim cogniti deponuntur.

Bals. Eos qui Deum negaverunt, ſi ſincerè pœnitentiam agunt, recipimus, ad ſacros autem ordines eos non admittimus, ſed &, ſi ſint Clerici, deponimus, ut dicit lxii. Apoſtolicus Canon. Si qui ergo ex iſtis ordinati ſunt, inſciis illis qui ordinarunt, vel etiam ſcientibus, C poſtquam id cognitum fuerit, deponentur, ut qui ex ordinatione non juventur, licèt ipſa ſciente illo qui ordinat, facta ſit. Poſſet enim fortaſſe aliquis dicere illos juvari, ex eo quòd ab hominibus eſſent ordinati, quibus eorum peccatum cognitum fuit, & qui per ordinationem illud quodammodo permiſerunt. Hæc autem de Sacerdotibus & Diaconis & reliquis ſunt intelligenda, non autem de Epiſcopis, de iis enim quære Can. xii. Synodi in Ancyra, & quæ in eo ſcripta ſunt.

Zonar. Qui Chriſtum dominum ſemel abnegaverunt, licet reſipiſcentes ad ſacros ordines evehi non oportet. Quo pacto namque ſacerdotis officia obeat, cui D præterquam extremum ſpiritum agenti, ad ſacrorum munerum perceptionem aſpirare nullatenus licet? Quod ſi quis forte eo qui creavit inſcio, aut etiam ſciente, ſacerdotio dignus habeatur, hominem, re patefacta, hic Canon deponi jubet. Neque enim quod contra legum interdicta effectum eſt, Canoni præjudicium affert, hoc eſt, illius auctoritatem non retundit, nec lædit.

Arist. *Qui lapſi ſunt, ſive inſciis, ſive conſciis iis qui eos ordinarunt, & promoti, deponantur.*

Quamvis qui eos ordinant eorum qui ordinantur delicta E ignorant, vel etiam cognitis connivent, hoc nullum Eccleſiaſtico Canoni affert præjudicium, ſed & poſtea qui ordinati ſunt, peccâſſe cogniti, deponentur.

Canon XI.

De iis qui ſine neceſſitate, vel ſine facultatum ſuarum ablatione, vel ſine ullo periculo, vel aliquo ejuſmodi, tranſgreſſi ſunt, quod ſub Licinii tyrannide factum eſt, ſynodo viſum eſt, etſi humanitate indigni ſunt, clementia tamen in eos uti. Quicunque ergo germanè pœnitentia F *ducuntur, tres annos inter auditores exigent, ut fideles, & ſeptem annis proſternentur: duobus autem annis, abſque oblatione, erunt orationum cum populo participes.*

Bals. Lxii. Canon Apoſtolicus tractat de Clericis qui per vim tranſgreſſi ſunt: præſens autem Canon, de iis qui ſine vi Chriſtum negaverunt: & dicit eos oportere recipi, ſi germanè, id eſt verè, pœnitentiam agant: & tribus quidem annis ſtare extra templum, &

Dei hymnos audire: ſeptem autem annis ſubſterni ſive intra Eccleſiam ſtare, ſed poſt ambonem, & cum catechumenis exire. Completo autem ſeptennio, cum fidelibus quidem unà comprecabuntur integre: poſt biennium verò digni habebuntur ſacramentis.

Zonar. De iis qui ob violentiam multam & neceſſitatem fidem negarunt, alii Canones extant. Hic autem eos tangit, qui ſua voluntate à fidei propoſito deſciverunt. Ac hujuſmodi quidem homines, licet, inquit, indignos venia, ſi tamen germana pœnitentia, hoc eſt, vera, non ficta, & ſimulata duci conſtet, ardorémque animi non vulgarem præ ſe ferant, ex indulgentia videlicet quadam, fidelium numero aggregari placet. Et mandat ut triennium quidem inter Audientes agant, cum quibus ſcilicet extra templum religati in porticu conſiſtant, diviniſque ſcripturis audiendis vacent; Septem annis in ſubſtratione ſint, hoc eſt, in Eccleſiam quidem ingrediantur, verum poſt ambonem ſtent, & cum Catechumenis exeant; biennio demum, cum fidelibus ſtationem habeant, cumque iis precationi vacent, non tamen ad ſanctorum perceptionem, niſi elapſo decennii tempore, admittantur.

Arist. *Quotquot citra neceſſitatem tranſgreſſi ſunt, etiamſi veniâ ſint indigni, aliquali tamen veniâ dignati duodecim annos proſternantur.*

Quicunque fidem citra neceſſitatem abnegarunt, quanquam humanitate ſint indigni, nihilominus aliquâ indulgentiâ conſentur digni, ut qui ex iis legitimè pœnitentiam egerint, tres quidem annos inter audientes ſive in foribus ſtent Baſilicis, & divinas ſcripturas audiant. Sed poſt illud triennium intra Eccleſiæ ambitum introducantur, & cum ſuccumbentibus in poſticâ Ambonis parte ſeptem annos permaneant, unà cum Catechumenorum exclamatione exeuntes. Et poſt ſeptennium expletum, per alios duos annos unâ cum fidelibus conſiſtant, participes cum eis precationum uſque ad myſtagogiam completam, divinæ autem communionis nec iſtis duobus annis participes fiant. Sed iis exactis & myſteriorum participatione digni habebuntur.

CANON XII.

Qui autem à gratia quidem evocati, & primum ſuum ardorem oſtenderunt, & cingula depoſuerunt, poſtea autem ut canes ad ſuum vomitum reverſi ſunt, ut nonnulli etiam pecuniam profunderent, & beneficiis militiam aſſequerentur, hi decem annis proſternantur ſupplices, etiam poſt triennii auditionis tempus. In his autem omnibus examinare convenit conſilium & ſpeciem pœnitentiæ. Quicunque enim, & metu, & lacrymis, & tolerantia, & bonis operibus, converſionem opere & non tantùm habitu oſtendunt, hi impleto auditionis tempore quod præfinitum eſt, merito orationum communionem habebunt, cum eo quod etiam liceat Epiſcopo humanius aliquid de eis ſtatuere. Quicunque autem non adeo graviter tulerunt, ſatiſque ſibi eſſe putarunt in Eccleſias ingredi ad converſionem, tempus omnino impleant.

Bals. Beneficium apud Latinos omne donum & benefactum dicitur. Quoniam ergo nonnulli milites, tempore perſecutionis divino zelo moti, ipſarum militiarum cingula depoſuerant, & ad martyrium impetu quodam procurrerant: poſtea autem dæmoniaca pœnitentia adacti, à martyrio defecerant, & infideles perſecutores ſecuti erant, & pecuniis vel aliis donis priores ſuas militias receperant, hoc enim eſt beneficium, ut dictum eſt, & ad proprium vomitum redierant, dicit Canon, quòd ſi ii cum ſincera compunctione ad Eccleſiam acceſſerint, recipientur, debentes tribus quidem annis

A ἔτη ὑποπίπτειν, ἤτοι ἵστασθαι ἐντὸς τῆς ἐκκλησίας, ὄπισθεν μέντοι τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. πληρωθείσης δὲ τῆς ἑπταετίας συνεύξονται μὲν μετὰ τῶν πιστῶν καθολόκληρον, τῶν δὲ ἁγιασμάτων μετὰ διετίαν ἀξιωθήσονται.

ΖΩΝΑΡ. Ἕτεροι μὲν κανόνες περὶ τῶν ἐκ βίας πολλῆς καὶ ἀνάγκης ἀρνησαμένων τὴν πίστιν διαγορεύουσιν, ὁ δὲ παρὼν περὶ τῶν χωρὶς ἀνάγκης παραβάντων διαλαμβάνει, οὓς καὶ ἀναξίους εἶναι φιλανθρωπίας φησὶν, ἀλλ᾽ ὅμως καὶ τοὺς τοιούτους διὰ χρηστότητα δέχεται, εἰ γνησίως μεταμέλονται, τουτέστιν ἀληθῶς, ἀλλ᾽ οὐ νόθως, καὶ ἐψευσμένως, μετὰ θερμότητος δὲ καὶ προθυμίας πολλῆς. B καὶ τρία μὲν ἔτη ἀκροᾶσθαι διακελεύεται, ἤγουν ἔξω τῆς ἐκκλησίας ἵστασθαι ἐν τῷ νάρθηκι καὶ τῶν θείων ἀκούειν γραφῶν, ἑπτὰ δὲ ἔτη ὑποπίπτειν, ἤτοι ἐντὸς μὲν τῆς ἐκκλησίας εἰσέρχεσθαι ἐν δὲ τῷ ὄπισθεν μέρει τοῦ ἄμβωνος ἵστασθαι καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων· ἐνιαυτοὺς δὲ δύο συνίστασθαι καὶ συνεύχεσθαι μετὰ τῶν πιστῶν, μὴ μέντοι καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι, ἕως ἂν ἡ διετία παρέλθῃ.

ΑΡΙΣΤ. Ὅσοι χωρὶς ἀνάγκης παρέβησαν, εἰ καὶ συγγνώμης ἦσαν ἀνάξιοι, συγγνώμης τινὸς ἀξιούμενοι, δώδεκα C ἔτη ὑποπιπτέτωσαν.

Ὅσοι τὴν πίστιν ἀπηρνήσαντο χωρὶς ἀνάγκης, κἂν δὴ ἀνάξιοι φιλανθρωπίας ἦσαν, ὅμως συγγνώμης τινὸς ἀξιοῦνται· ὥστε τοὺς γνησίως ἐξ αὐτῶν μεταμελουμένους, τρία μὲν ἔτη ἐν τοῖς ἀκροωμένοις, ἤτοι ἐν τοῖς βασιλικοῖς ἑστάναι πυλῶσι, καὶ τῶν θείων ἀκροᾶσθαι γραφῶν. μετὰ δὲ τὸν τριετῆ χρόνον, ἔνδον τοῦ περιβόλου τῆς ἐκκλησίας εἰσαχθῆναι, καὶ μετὰ τῶν ὑποπιπτόντων ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος ἑπτὰ ἔτη διατελέσαι, τῇ τῶν κατηχουμένων ἐκφωνήσει συνεξερχομένους· καὶ μετὰ παρέλευσιν τοῦ ἑπταετοῦς χρόνου, ἐπὶ δυσὶν ἄλλοις ἔτεσι μετὰ τῶν πιστῶν τὴν D στάσιν δέξασθαι, κοινωνοῦντας αὐτοῖς τῶν προσευχῶν μέχρι συμπληρώσεως τῆς μυσταγωγίας, τῆς θείας μέντοι γε μεταλήψεως οὐδὲ ἐπὶ τοῖς δυσὶ τούτοις μετασχῶσιν ἔτεσιν· ἀλλὰ μετὰ τοῦτο, καὶ τῆς μετοχῆς τῶν ἁγιασμάτων ἀξιωθήσονται.

ΚΑΝΩΝ ιβʹ.

Οἱ δὲ προσκληθέντες μὲν ἀπὸ τῆς χάριτος, καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κύνες, ὡς τινὰς καὶ ἀργύρια προέσθαι, καὶ βενεφικίοις κατορθῶσαι τὸ ἀναστρατεύσασθαι· οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ E τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. ἐφ᾽ ἅπασι δὲ τούτοις, προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις, τὴν ἐπιστροφὴν ἔργῳ καὶ οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐχῶν κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ Ἐπισκόπῳ καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν, καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφὴν, ἐξ ἅπαντος πληρούτωσαν τὸν χρόνον.

F **ΒΑΛΣ.** Βενεφίκιον λέγεται κατὰ Λατίνους πᾶν δώρημα, καὶ εὐεργέτημα. ἐπεὶ οὖν τινὲς στρατιῶται ἐν καιρῷ διωγμοῦ, ζήλῳ θείῳ κινηθέντες τὰς ζώνας τῶν στρατειῶν αὐτῶν ἀπέθεντο καὶ πρὸς μαρτύριον ὥρμησαν· ὕστερον δὲ ὑπὸ δαιμονιώδους μεταμελείας συνωθηθέντες, ἀπέστησαν τοῦ μαρτυρίου, καὶ τοῖς ἀπίστοις διώκταις ἠκολούθησαν, καὶ χρήμασιν, ἢ ἄλλοις δωρήμασι, τοῦτο γάρ ἐστι τὸ βενεφίκιον ὡς εἴρηται, τὰς προτέρας αὐτῶν στρατείας ἔλαβον, καὶ εἰς τὸν οἰκεῖον ἔμετον ἀνέδραμον, φησὶν ὁ κανὼν ὡς εἴ γε καὶ οὗτοι μετὰ εἰλικρινοῦς κατανύξεως προσέλθωσι τῇ ἐκκλησίᾳ, δεχθήσονται,

χθήσονται, ὀφείλοντες, τρία μὲν ἔτη ἔξωθεν τῆς ἐκκλησίας ἵστασθαι, καὶ ἀκροᾶσθαι τῶν θείων γραφῶν, δέκα δὲ ἔτη ὑποπίπτειν ἤτοι ἵστασθαι ὄπισθεν τοῦ ἄμβωνος, καὶ ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων· μετὰ δὲ ταῦτα συνεύχεσθαι μετὰ τῶν πιστῶν· πάντως δὲ τῶν ἁγιασμάτων οὐκ ἀξιωθῶσιν, εἰ μὴ διετία παρέλθῃ, καθὼς καὶ ἄνωθεν εἴπομεν, ὅτι καὶ οὗτοι ἐκ τῶν ἑκουσίως παραπιπτόντων εἰσίν. ἐνέδωκε δὲ ὁ κανὼν τῷ Ἐπισκόπῳ μειοῦν τὰ ἐπιτίμια κατὰ τὴν τοῦ ἐπιτιμηθέντος ἐπιστροφήν.

ΖΩΝΑΡ. Περὶ στρατευομένων ὁ κανὼν διαλέγεται, καὶ ἀπορριψάντων μὲν τὰς ζώνας, ἤγουν τὰ τῆς στρατείας παράσημα, ὁρμήματι δὲ πρὸς μαρτύριον ἐνδειξαμένων, οὓς καὶ ὑπὸ τῆς θείας χάριτος κληθῆναί φησιν, ὡς δι' ἐκείνης ἐπιρρωσθέντας πρὸς τὴν ἔνστασιν τῆς ὁμολογίας τῆς πίστεως, εἶτα ἐν μεταμελείᾳ γενομένων καὶ αὖθις εἰς τὴν προτέραν ἐπανελθόντων στρατείαν, καὶ ταύτην ἀργυρίοις ἀνακτησαμένων ἢ βενεφικίοις. διὰ μὲν γὰρ τῶν ἀργυρίων δηλοῦται τὰ χρήματα, διὰ δὲ τῶν βενεφικίων ἅπαν εἶδος χάριτός τε καὶ δεξιώσεως. τῆς γὰρ Λατίνων διαλέκτου οὖσα ἡ λέξις, εὐεργεσίαν δηλοῖ πρὸς Ἑλληνίδα μεθερμηνευομένη διάλεκτον. εὐεργετεῖ δέ τις, ἢ χρήματα παρέχων, ἢ ἄλλως θέλημα οἱονδήποτε πληρῶν τινος. δῆλον δὲ πάντως, ὅτι οὐδεὶς τοιοῦτος ἀναστρατεύσασθαι ἠδυνήθη ἄν, εἰ μὴ τῇ πλάνῃ συνέθετο. τοὺς γοῦν τοιούτους μετὰ τὴν τριετῆ ἀκρόασιν, ἐπὶ δεκαετίαν ὑποπίπτειν ὁ κανὼν διατάττεται, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων. δίδωσι δὲ τῇ κρίσει τοῦ Ἐπισκόπου καὶ μειοῦν τὰ ἐπιτίμια, εἰ εὕροι τὸν μετανοοῦντα θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνύμενον, καὶ δάκρυσι τὸν θεὸν ἱλεούμενον, καὶ τῷ φόβῳ αὐτοῦ στοιχούμενον, καὶ τὴν ἐκ τῶν ἐπιτιμίων κάκωσιν ὑπομένοντα, καὶ ἀγαθοεργίαις, ἤγουν ἀρετῶν ἀσκήσει καὶ μεταδόσει τῇ πρὸς τοὺς δεομένους, εἰ εὐπορείη ἡ χεὶρ αὐτοῦ, προσκείμενον, καὶ τὸ ὅλως εἰπεῖν, ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν σχήματι τὴν μετάνοιαν ἐνδεικνύμενον. εἰ δὲ ἀδιαφόρως καὶ ἀνειμένως ὁρᾷ τὸν ἐπιτιμηθέντα πρὸς τὴν ἐπιτίμησιν διακείμενον, καὶ ὅτι ὅλως παραχωρεῖται εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκούμενον, καὶ οὐ δακνόμενον. καὶ λυπούμενον, ὅτι οὐ συνίσταται τοῖς πιστοῖς, ἀλλὰ καὶ τὸ ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, καὶ ἐξιέναι μετὰ τῶν κατηχουμένων, τοῦτο γὰρ δηλοῖ τὸ σχῆμα τοῦ εἰσιέναι, οὐ γὰρ ἀληθῶς εἴσεισιν ὁ οὕτως εἰσιών, ἀρκοῦν αὐτῷ λογιζόμενος, τὸν ὅλον τῆς δεκαετίας χρόνον ἐν τῷ ἐπιτιμίῳ τῆς ὑποπτώσεως πληροῦν αὐτὸν διακελεύεται ὁ κανών.

ΑΡΙΣΤ. Οἱ βιαζόμενοι, καὶ δείξαντες ἀντιστῆναι, εἶτα καταθέμενοι τῇ ἀσεβείᾳ, καὶ ἀναστρατευσάμενοι, δεκαετίαν ἀφοριζέσθωσαν. σκοπητέον δὲ ἐφ' ἅπασι τὸ εἶδος τῆς μετανοίας· καὶ θερμοτέρως μὲν μεταμελουμένου τοῦ δεξαμένου τὸ ἐπιτίμιον φιλανθρωπότερον ὁ Ἐπίσκοπος διατιθέσθω· ψυχροτέρως δὲ, δραστικώτερον.

Ὅσοι ὑπὸ τῆς θείας χάριτος προσκληθέντες κατὰ μὲν τὴν πρώτην ὁρμὴν βιασθέντες συνθέσθαι τῇ ἀσεβείᾳ ἀντέστησαν, ὥστε καὶ τὴν στρατιωτικὴν ἀποθέσθαι ζώνην· εἶτα ὑπείξαντες, κατέθεντο φρονεῖν τὰ τῶν ἀσεβῶν, ὥστε εἰς τὴν προτέραν αὐτοὺς καταστῆναι τιμὴν, καὶ τὴν στρατείαν αὖθις ἐπαναλαβεῖν· ἐπὶ τριετίαν ἔστωσαν ἀκροώμενοι, ἐπὶ δεκαετίαν ὑποπίπτοντες· καὶ οὕτω τῆς τελειώσεως ἀξιούσθωσαν. ἐξέστω δὲ τοῖς Ἐπισκόποις, καὶ μειοῦν, καὶ αὔξειν, τὰ ἐπιτίμια, πρὸς τὴν μετάνοιαν ἀφορῶσι τῶν ἐπιστρεφόντων, εἴτε σὺν φόβῳ καὶ ὑπομονῇ, καὶ δάκρυσι γίνεται, εἴτε καταφρονητικῶς, καὶ ἀδιαφόρως.

A extra Eccleſiam ſtare, & divinas ſcripturas audire, decem autem annis ὑποπίπτειν, id eſt poſt ambonem ſtare, & cum Catechumenis exire, poſt hæc autem unà cum fidelibus orare: ſacramentis autem omnino digni non habeantur, niſi biennium præterierit, ſicut & ſuperiùs diximus. Quoniam & ii ſunt ex iis qui ſua ſponte labuntur. Concedit autem Canon Epiſcopo ut pœnam minuat, pro ejus cui pœna impoſita eſt, converſione.

Zonar. De militibus hoc Canone agitur, qui zonas, inſignia militiæ videlicet, obeundi martyrii cupiditate demonſtrata ſemel abjeciſſent, quos etiam cæleſti B munere vocatos, atque ut ſolidam in veræ fidei profeſſione conſtantiam retinerent, divinitus confirmatos aſſerit, deinde mutato conſilio priorem militiam repetiverunt, ad eamque ſibi aditum, vel argento, vel beneficiis iterum aperuerunt. Ac argenti quidem nomine pecunia intelligitur, beneficii vero, quicquid in alterum gratiæ, benignitatiſque collocatur. Beneficium namque Latina vox eſt, εὐεργεσίαν, ſi Græce interpretemur, indicans. Ille verò beneficium contuliſſe dicitur, qui vel pecuniam largitus ſit, vel quomodocumq; alterius voluntati obſecundarit. Illud autem planè certum eſt, nemini re- C ditum ad iſtiuſmodi militiam, niſi abdicata religione patuiſſe. Ejuſmodi igitur hominibus, poſt triennium inter Audientes exactum, decennii ſubſtratio, & cum Catechumenis abſceſſio mulctæ nomine, decreto Canonis præfinita. Epiſcopo tamen, ſi alicujus in luendis pœnis ardorem animi, in propitiando numine lacrymas, conceptúmque divinæ majeſtatis timorem in primis animadverterit, & hominem ob irrogata ſupplicia patienter dolere, & bonis actionibus, hoc eſt virtutum exercitationi operam dare, ac ſi manus ejus abundet, indigentibus elargiri, ſi denique, uno verbo, ſerio, non ficta ſpecie reſipiſcentiam demonſtrantem invenerit, de iiſdem pœnis aliquid pro D arbitrio remittendi conceditur facultas. Si quem verò impoſitis pœnis leviter tangi videat, Atque eo quod Eccleſiam ingredi permittitur, ſatis eſt contentus, & non moleſtè fert, nec dolore movetur quod inter fideles non conſtituatur, ſed quod poſt ambonem ſtet, & cum Catechumenis exeat (Hoc enim præ ſe fert ſpeciem ingrediendi, ſed qui ſic ingreditur, vere non ingreditur) ſibi ſufficere arbitratur; totum ab eo decennium in ſubſtrationis pœna Canon expleri jubet.

Arist. *Qui vim paſſi & reſtitiſſe viſi, deinde impietati conſenſerunt, militiamque reſumpſerunt, decennium excommunicentur. Conſiderandum vero eſt in omnibus* E *pœnitentiæ genus. Et ſi is qui pœnam ſuſcipit, ſe ferventiorem in pœnitendo geſſerit, humaniùs cum eo agat Epiſcopus, ſeveriùs vero ſi frigidiorem.*

Quicunque divinâ vocati gratiâ, primo quidem impetu compulſi in impietate ſocietatem inire reluctati ſunt, adeo ut militarem etiam zonam deponerent, poſtea cedentes quæ ſunt impiorum iterum ſapiunt, adeo ut ad priorem redeant iſti ſtatum, & militiam rursùs ſuſcipiant, per triennium ſtent audientes, per decennium ſuccumbentes, & ſic perfectione digni habeantur. Liceat autem Epiſcopis & minuere, & augere ſupplicia, ad conver- F ſorum reſpicientibus pœnitentiam, ſi cum timore & patientiâ, & lachrymis, aut contemptim & indifferenter fiat.

A

CANON XIII.

De iis autem qui excedunt, antiqua & canonica lex nunc quoque ſervabitur, vt ſi quis vita excedat, ultimo & maximè neceſſario viatico ne privetur. Si autem deploratus & communionem aſſecutus, rurſus in vivos relatus ſit, cum iis ſit qui orationum ſunt tantùm communionis participes: In ſumma autem, de quolibet excedente, & Euchariſtiæ participationem petente, Epiſcopus cum examinatione cum oblatione impertiat.

BALS. Hic eſt Canon generalis. Jubet enim, omnem cui pœna impoſita eſt, & ſacramentis eſt privatus, præclaro ſanctæ communionis viatico non privari, in extremo ſpiritu, cum examinatione Epiſcopi. Si non ſit autem Epiſcopus, cum examinatione ſacerdotum, ne bono viatico privetur, homo ob Epiſcopi abſentiam. Addit autem, quòd ſi talis poſt ſacramentorum participationem, mortem evaſerit, unà cum fidelibus precabitur. Sacramenta autem non aſſequetur, niſi præſtitutum pœnæ tempus omnino impletum fuerit. Puto autem, quòd tunc poſt ſanitatem unà cum fidelibus orare permittetur ei cui pœna impoſita eſt, quando & ante morbum unà cum eis precabatur. Si enim in loco audientium ſtabat, eundem habebit locum etiam poſt ſanitatem.

ZONAR. Cum iis qui lapſi fuerant, ad conſtitutas pœnas, certa quoque tempora à communione abſtinendi ſancti Patres definiviſſent, iiſdem nihilominus in extremo vitæ diſcrimine poſitis, quamvis mulctæ nomine communione interdictum ſit, ſacramenta impartiri, ut eo quaſi viatico inſtructi decedant, nec ea quæ ex illis efficitur ſanctitate priventur, hoc Canone Patres jubent. Si cui verò in eo vitæ diſcrimine, communio quaſi morienti conceſſa eſt, ſeque is poſtea morti ſubtraxerit, cum fidelibus quidem orare, non tamen iterum communicare ſacramentis licebit. Et verò quicunque in extremo ſpiritu, inquit Canon, luendis pœnis obnoxius, ſanctæ oblationi communicare ſe velle oſtendit, ei cum approbatione Epiſcopi, hoc eſt, re per illum examinata, & probata, fiat facultas.

ARIST. *Vitâ exceſſuri communicent. Si quis autem eorum convaleſcat cum iis ſit qui precum ſunt participes & cum iis ſolum.*

Omnis fidelis in extremo ſpiritu boni viatici particeps fiet, ſanitati autem reſtitutus cum iis erit qui orationum ſunt participes, ſed divinorum ſacramentorum partem non habebit. Sed expleto tempore quo in orationibus conſiſtere debet, poſtea & illâ gratiâ dignus habebitur.

CANON XIV.

De catechumenis, & qui lapſi ſunt, viſum eſt ſanctæ & magnæ Synodo, ut ii tribus annis tantùm audientes, poſtea orent cum catechumenis.

BALS. Eum qui ex infidelitate ad veram fidem acceſſit, & initiatus eſt: & poſt initiationem aberravit, & priorem ſuperſtitionem repetiit, non ſimpliciter in ad catechumenorum locum rurſus recipi redeuntem ſancti patres definiunt: ſed priùs triennio extra templum ſtare cum audientibus: eo autem impleto, in priorem ſtatum & ordinem catechumenorum recipi.

ZONAR. Qui ob fidei amplectandæ ſtudium inter Catechumenos relati, poſtea lapſi fuerint, eos ordine & ſtatione catechumenorum movendos eſſe, ac triennium inter Audientes exigere, eo elapſo, priorem ordinem &

ΚΑΝΩΝ ιγʹ.

Περὶ δὲ τῶν ἐξοδευόντων, ὁ παλαιὸς καὶ κανονικὸς νόμος διαφυλαχθήσεται καὶ νῦν, ὥστε, εἴ τις ἐξοδεύοι τελείου καὶ ἀναγκαιοτάτου ἐφοδίου μὴ ἀποστερεῖσθαι. εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας πάλιν τυχὼν, πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθῇ, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔστω. καθόλου δὲ καὶ περὶ παντὸς οὑτινοσοῦν ἐξοδεύοντος, αἰτοῦντος τοῦ μετασχεῖν εὐχαριστίας, ὁ Ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

B **ΒΑΛΣ.** Οὗτος ὁ κανὼν γενικός ἐστι. παρακελεύεται γὰρ πάντα τὸν ἐπιτιμηθέντα, καὶ τῶν ἁγιασμάτων στερούμενον, ἀξιοῦσθαι τοῦ καλοῦ ἐφοδίου τῆς ἁγίας μεταλήψεως, ἐν ταῖς τελευταίαις ἀναπνοιαῖς, μετὰ δοκιμασίας τοῦ Ἐπισκόπου. μὴ ὄντος δὲ Ἐπισκόπου μετὰ δοκιμασίας ἱερέων, ἵνα μὴ στερηθῇ τοῦ καλοῦ ἐφοδίου ὁ ἄνθρωπος διὰ τὴν ἀποδημίαν τοῦ Ἐπισκόπου. προστίθησι δὲ ὡς εἴπερ ὁ τοιοῦτος μετὰ τὴν μετάληψιν τῶν ἁγιασμάτων διαφύγῃ τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, τῶν δὲ ἁγιασμάτων οὐκ ἐπιτεύξεται, εἰ μὴ πληρωθῇ πάντως ὁ νενομισμένος χρόνος τοῦ ἐπιτιμίου. νομίζω δὲ ὅτι τότε μετὰ τὴν ὑγείαν συνεύχεσθαι τοῖς πιστοῖς παραχωρηθήσεται C ὁ ἐπιτιμηθεὶς, ὅτε καὶ πρὸ τῆς νόσου τούτοις συνηύχετο. εἰ γὰρ ἐν τόπῳ ἀκροωμένων ἵστατο, τὸν αὐτὸν ἕξει τόπον καὶ μετὰ τὴν ὑγείαν.

ΖΩΝΑΡ. Διαταξάμενοι οἱ ἱεροὶ πατέρες περὶ ἐπιτιμίων, καὶ ὅπως καὶ ἐφ' ὅσον οἱ παραπίπτοντες ἀκοινώνητοι ἔσονται, ὁρίζουσι διὰ τοῦ παρόντος κανόνος, κἂν ὑπὸ ἐπιτίμιον ἀκοινωνησίας ὦσί τινες, τελευτῶσι δὲ, μεταδίδοσθαι αὐτοῖς τῶν ἁγιασμάτων· ἵνα ἐφόδιον αὐτὸ ἔχωσι, καὶ μὴ στερηθῶσι τοῦ ἐκ τούτων ἁγιασμοῦ. εἰ δέ τις περὶ τὴν ζωὴν κινδυνεύων ἀξιωθείη, ὡς θνήσκων τῆς κοινωνίας, εἶτα διαφύγῃ τὸν θάνατον, μετὰ τῶν πιστῶν μὲν συνεύξεται, οὐ μέντοι καὶ τῶν D ἁγιασμάτων μεταλήψεται. καὶ πᾶς δὲ ἐν ἐπιτιμίῳ ὢν περὶ τὴν τελευταίαν γινόμενος, ἐξοδεύων φησὶν ὁ κανὼν, εἰ ζητεῖ μεταλαβεῖν τῆς ἁγίας προσφορᾶς, μεταλαμβανέτω, μετὰ δοκιμασίας ἤγουν γνώμης τοῦ Ἐπισκόπου καὶ ἐξετάσεως.

ΑΡΙΣΤ. Οἱ ἐξοδευόμενοι κοινωνείτωσαν· εἰ δέ τις αὐτῶν ὑγιάνοι, ἔστω μετὰ τῶν τῆς εὐχῆς κοινωνούντων, καὶ μόνον.

Πᾶς πιστὸς ἐν ταῖς τελευταίαις ἀναπνοαῖς γινόμενος τοῦ ἀ- E γαθοῦ ἐφοδίου ἐπιτεύξεται. ὑγιάνας δὲ, μετὰ τῶν κοινωνούντων τῶν εὐχῶν ἔσται· οὐ μέντοιγε καὶ τῶν θείων ἁγιασμάτων μετάσχοι· ἀλλὰ πληρώσας ἐν ταῖς εὐχαῖς τὸν τῆς συστάσεως χρόνον, ἔκτοτε καὶ τῆς χάριτος ταύτης ἀξιωθήσεται.

ΚΑΝΩΝ ιδʹ.

Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

ΒΑΛΣ. Τὸν ἐξ ἀπιστίας τῇ ἀληθεῖ πίστει προσελθόντα, καὶ κατηχηθέντα, καὶ μετὰ τὴν κατήχεσιν πλανηθέντα, F καὶ τὴν προτέραν θρησκείαν ζητήσαντα, μὴ ἁπλῶς δέχεσθαι εἰς τὸν τόπον τῶν κατηχουμένων, πάλιν ὑποστρέφοντα, οἱ ἅγιοι πατέρες διορίζονται, ἀλλὰ πρότερον ἐπὶ τριετίᾳ ἔξωθεν τοῦ ναοῦ ἵστασθαι μετὰ τῶν ἀκροωμένων. πληρωθείσης δὲ ταύτης, ἀποκαθίστασθαι εἰς τὴν προτέραν τάξιν καὶ στάσιν τῶν κατηχουμένων.

ΖΩΝΑΡ. Ἐάν τινες προσελθόντες τῇ πίστει, καὶ γενόμενοι κατηχούμενοι παραπέσωσιν, ὑποβιβάζεσθαι τῆς τάξεως, καὶ τῆς στάσεως τῶν κατηχουμένων ὡρίσθησαν παρὰ τῶν ἁγίων πατέρων, καὶ ἐν τῷ τῶν ἀκροωμένων ἐπιτιμίῳ γίνεσθαι ἐπὶ τριετίαν, εἶτα πάλιν ἐπανέρχεσθαι πρὸς τὴν προτέραν τάξιν καὶ στάσιν, καὶ συνεύχεσθαι τοῖς κατηχουμένοις.

ΑΡΙΣΤ. Εἴ τις παραπέσοι κατηχούμενος, οὗτος τρισὶν ἀκροάσθω, καὶ μόνον· εἶτα μετὰ τῶν κατηχουμένων εὐχέσθω.

Δύο εἴδη τῶν κατηχουμένων. οἱ μὲν γὰρ ἄρτι προσέρχονται· οἱ δὲ γεγόνασι τελεώτεροι, ἐφ' ἱκανὸν τὰ τῆς πίστεως μυηθέντες. ὁ γοῦν τελεώτερος κατηχούμενος παραπεσὼν καὶ ἁμαρτήσας, ἀνεπιτίμητος οὐκ ἐᾶται, κἂν καὶ τὸ ἅγιον βάπτισμα ἱκανόν ἐστι πάντα ῥύπον ψυχικὸν ἀποπλῦναι· ἀλλὰ μετὰ τῶν ἀκροωμένων συντάττεται, καὶ μετὰ τριετίαν μετὰ τῶν κατηχουμένων αὖθις συνεύχεται. Καὶ ζήτει τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ε'.

ΚΑΝΩΝ ιε'.

Διὰ τὸν πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν. ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε Ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται, ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἐν ᾗ ὁ Ἐπίσκοπος ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη.

ΒΑΛΣ. Ὁ μὲν ἀποστολικὸς ιε'. κανὼν, μηκέτι λειτουργείτω φησὶν ὁ κληρικὸς ὁ παρὰ γνώμην τοῦ οἰκείου Ἐπισκόπου ἀπὸ πόλεως εἰς πόλιν μεθιστάμενος. ὁ δὲ παρὼν κανὼν τὰ αὐτὰ καὶ περὶ Ἐπισκόπων διοριζόμενος, ἄκυρον εἶναι φησὶ τὸ παρὰ ταῦτα ἴσως γινόμενον.

Ἑτέρα ἑρμηνεία.

Τοῦ ιδ'. ἀποστολικοῦ κανόνος τὴν μὲν ἀπὸ παροικίας εἰς παροικίαν ἐπίβασιν ἤτοι ἐπιπήδησιν τῶν Ἐπισκόπων κωλύοντος· τὴν δὲ μετάθεσιν ἐπιτρέποντος διὰ μεγάλην καὶ εὔλογον αἰτίαν· καὶ τοῦ ις'. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διοριζομένου τὸν σχολάζοντα ἐπὶ σχολάζουσαν μεταβαίνειν μετὰ διαγνώσεως καὶ παρακλήσεως τελείας συνόδου· ὡσαύτως καὶ τοῦ α'. καὶ δευτέρου κανόνος τῆς ἐν Σαρδικῇ συνόδου μεγάλως κολαζόντων τὸν διὰ μεθόδου καὶ οἰκονομίας φαύλης τὴν λαχοῦσαν αὐτὸν καταλιμπάνοντα, καὶ μείζονα ἐκκλησίαν ἁρπάζοντα, καὶ τοῦ παρόντος ιε'. κανόνος τῆς α'. συνόδου παντάπασι μὲν κωλύοντος τὴν ἀπὸ πόλεως εἰς πόλιν μετάβασιν τῶν Ἐπισκόπων, τῶν πρεσβυτέρων καὶ τῶν διακόνων· μὴ κολάζοντος δὲ ταύτην, ἀλλὰ διοριζομένου ἀκυροῦσθαι τὸ κατασκεύασμα, καὶ ἀποκαθίστασθαι τῇ προτέρᾳ ἐκκλησίᾳ τὸν Ἐπίσκοπον, ἢ τὸν πρεσβύτερον, ἢ τὸν διάκονον εἰς ἣν ἐχειροτονήθησαν, εἴποι τις ἐναντιοῦσθαι τοὺς κανόνας ἀλλήλοις, ἄλλα καὶ ἄλλα θεσμοθετοῦντας. ἀλλ' οὐκ ἔστι τοῦτο. Διαφορὰ γὰρ ἐστὶν ἀλλήλοις, μεταθέσεως, μεταβάσεως, καὶ ἐπιβασίας. μετάθεσις γάρ ἐστιν, ἡ ἀπὸ παροικίας εἰς παροικίαν μετένεξις, ὅταν τυχὸν Ἐπίσκοπος παντοίᾳ σοφίᾳ κεκοσμημένος, μετακληθῇ παρὰ πλήθους Ἐπισκόπων, εἰς μείζονα ἐκκλησίας χηρευούσης βοήθειαν κινδυνευούσης περὶ τὴν εὐσέβειαν. οἷόν τι γέγονεν εἰς τὸν μέγαν Γρηγόριον τὸν Θεολόγον, ἀπὸ τῶν Σασίμων εἰς Κωνσταντινούπολιν μετατεθέντα. καὶ ἔστιν αὕτη συγχωρητέα, καθὼς παρίσταται ἀπὸ τοῦ ιδ'. κανόνος τῶν ἁγίων ἀποστόλων. μετάβασίς ἐστιν, ὅταν τι σχολάζων δηλονότι μὴ ἔχων παροικίαν, ὡς ὑπὸ ἐθνῶν κατεχομένην, ἀναγκασθῇ παρὰ Ἐπισκόπων πόλλων εἰς σχολάζουσαν ἐκκλησίαν μεταβῆναι, διὰ τὸ περὶ τὴν ὀρθοδοξίαν, καὶ τὰ λοιπὰ ἐκκλησιαστικὰ, χρησιμώτατον αὐτοῦ. καὶ ἔστι καὶ αὕτη δεκτέα παρὰ τοῖς θείοις κανόσι τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἁγίων πατέρων. ἐπίβασις δέ ἐστιν, ἢ αὐτόνομος, ἢ καὶ μετὰ οἰκονομίας φαύλης

A stationem repetere, & cum Catechumenis orare, ſanctorum patrum decreto cautum eſt.

Arist. *Si quis Catechumenus lapſus fuerit, tres iſte annos audiat idque ſolum, deinde cum Catechumenis oret.*

Duæ ſunt ſpecies Catechumenorum: nonnulli enim modo advenerunt, alii evaſerunt perfectiores, in fide ſufficienter initiati. Perfectior itaque Catechumenus lapſus & peccans ſine reprehenſione non relinquitur, tametſi ſacrum baptiſma ad omnem diluendam ſordem ſufficiens ſit, ſed inter audientes collocatur, & poſt tri- B ennium cum Catechumenis rurſum precatur. Quære & Synodi Neocæſarienſis Can. v.

Canon XV.

Propter multum tumultum, & ſeditiones quæ fiunt, omnino viſum eſt ut conſuetudo quæ præter Canonem in nonnullis partibus invenitur, tollatur, ut à civitate in civitatem nec Epiſcopus, nec Presbyter, nec Diaconus tranſeat Si quis autem poſt ſanctæ & magnæ Synodi definitionem tale quippiam adgreſſus fuerit, vel ſi rei ejuſmodi dederit, C *quod factum erit omnino infirmabitur, & Eccleſiæ reſtituetur cui Epiſcopus vel Presbyter ordinatus fuerit.*

Bals. Apoſtolicus quidem decimus quintus Canon, Ne amplius miniſtret, inquit, Clericus, qui præter proprii Epiſcopi ſententiam, à civitate in civitatem tranſit. Præſens autem Canon eadem etiam de Epiſcopis definiens, irritum eſſe ſtatuit quod præter hæc fortaſſe factum fuerit.

Altera Expositio.

D Cum xiiii. Canon Apoſtolicus à parochia in parochiam invaſionem ſeu irruptionem prohibeat: tranſlationem autem propter magnam & honeſtam cauſam permittat, & xvi. Canon Antioch. Synodi decernat, ut qui vacat in vacantem Eccleſiam tranſeat, cum dijudicatione & examinatione perfectæ Synodi: ſimiliter primus & ſecundus Canon Sardic. Synod. eum valde puniat qui improba via ac ratione, eam quæ ipſum ſortita eſt, relinquit, & majorem Eccleſiam occupat & arripit: & præſens xv. Canon primæ Synodi tranſitum Epiſcoporum Presbyterorum & Diaconorum à civitate in civitatem omnino prohibeat, eum autem non puniat, ſed irritum eſſe decer- E nat id quod factum fuerit, & priori Eccleſiæ reſtitui Epiſcopum & Presbyterum, vel Diaconum in quam ordinati erant, dixerit quiſpiam Canones ſibi invicem repugnare, ut alia atque alia ſancientes. At non ita eſt. Nam eſt differentia inter tranſlationem, tranſitionem, & invaſionem, tranſlatio enim eſt, quæ fit à parochia in parochiam traductio: quando fortaſſe Epiſcopus varia ac multiplici ſcientia inſtructus ab Epiſcoporum multitudine, in majus Eccleſiæ viduæ de verâ religione in periculum adductæ, auxilium acceſſitus fuerit. Quod magno Gregorio Theologo uſu venit, qui à Saſimis Conſtantinopolin tranſlatus eſt: & ea eſt permittenda, quando- F quidem à Sanctorum Apoſtolorum xiiii. Canone inducitur. Tranſitio eſt, quando vacans videlicet quiſpiam, non habens parochiam quæ à Gentilibus detinetur, à multis Epiſcopis in vacantem Eccleſiam tranſire coactus fuerit propter ejus in recta de fide ſententiam & reliquis Eccleſiaſticis utilitatem: & eſt hæc quoque ſuſcipienda à divinis Canonibus Sanctorum patrum qui in Antiochia convenerunt. Invaſio autem eſt libera, vel etiam cum malis artibus improboque conſilio, ejus qui vacat, vel qui etiam habet Eccleſiam Epiſcopi, ad viduam Eccleſiam injuſta aggreſſio. Quam, qui in Sardic. ſynodo do convenerunt ſancti patres, adeò averſati ſunt, ut qui eam admiſerit, eum cum nullo poſſe Chriſtiano communicare ſtatuerint, & nec in extremo quidem ſpiritu eum laïca communione dignum cenſuerint: xv. autem primæ Synodi Canon de nullo ejuſmodi mentionem faciens, nulli eorum, qui ſuperius poſiti ſunt, Canoni adverſatur: neque enim de tranſlatione, nec de tranſitione, nec de invaſione docet: ſed prohibet Epiſcopum, vel Presbyterum, vel Diaconum ab urbe in urbem ad ſuam parochiam pertinentem tranſmeare ac tranſilire, ſicut ille Derci Epiſcopus dominus Ioannes, conatus eſt Derci thronum transferre in Philippopolin, in qua ſuperiorem ipſe juriſdictionem habeat, eo quod eſſet illa frequentior, & fuit ſynodicè prohibitus. Propterea enim non punitur hoc conatus Epiſcopus, ſed in priorem ſuam cathedram reducitur. Quòd hoc autem verum ſit, ex ipſis Canonis verbis declaratur, quæ civitatis meminerunt, non parochiæ. Vt idem enim Epiſcopus multas quidem habeat civitates intra limites ejus, fieri poteſt: ſed nequaquam ut multas parochias ſeu diœceſes. Sed & ex eo quòd Canon Presbyterorum & Diaconorum meminit, evidenter veritas oſtenditur. Quæ enim tranſlatio, vel tranſitio, vel invaſio in his unquam poteſt tentari? Nulla omnino: ſed ſola tranſmutatio ab urbe in urbem, non alienam, ſed ad parochiam, in quam ordinati ſunt pertinentem, & propterea non deponuntur, ut qui extra fines ſuos ſacra fecerint, ſed Eccleſiæ, ad quam ordinati ſunt, reſtituuntur.

Zonar. Ne ex alia Eccleſia in aliam, Epiſcopus, Presbyter, aut Diaconus migret Sanctorum quoque Apoſtolorum decreto conſtitutum eſt. Sed neglectam & contemptam conſtitutionem hoc Canone Synodus reſtituit: Ac ſive de migrando è civitate in civitatem aliam Epiſcopus quiſpiam, Presbyter, aut Diaconus cogitarit, ſive reipſa migrarit, cogitátaque perfecerit, irritum id haberi, cuique primo Eccleſiæ ordinatus eſt ad eam reſtituendum eſſe decernit. Neque enim licere cuipiam abſolutè ac ſine nomine, ſed certo vel Epiſcopatui, vel Eccleſiæ, vel Monaſterio nominatim addictum ordinibus inſigniri, altero Canone definitum eſt.

Arist. *E civitate in civitatem neque Epiſcopus, nec Presbyter, nec Diaconus tranſiliat. Alioquin Eccleſiis in quibus ordinati ſunt, rurſus reſtituentur.*

Hic Canon non tantum Epiſcoporum tranſlationes omnino tollit, ſed & Presbyterorum & Diaconorum, & eos quoque qui tale quid facere vel aggrediuntur, reſtituit rurſùm Eccleſiis in quibus ordinati fuere. Primus autem & ſecundus in Sardicâ Canon eos ſeveriùs punit, excommunicationis ſupplicio eos ſubjiciens.

Canon XVI.

Quicunque temerè & inconſideratè, nec Dei timorem præ oculis habentes, nec Eccleſiaſticum Canonem ſcientes, Presbyteri vel Diaconi, vel quicunque omnino in Canone recenſentur, ab Eccleſiis ſeceſſerint, ii in aliena Eccleſia nullo modo recipi debent, ſed omnino cogendi ſunt in ſuas ipſorum parochias redire. Vel ſi perſeverent, eos à communione ſeparatos eſſe oportet. Sin autem etiam auſus fuerit quiſpiam eum qui ad alium pertinet, ſurripere, & in Eccleſia ſuâ ordinare, non conſentiente proprio Epiſcopo, à quo receſſit qui in canone cenſetur, irrita ſit ordinatio.

Bals. Ex fine decimi quinti Canonis oſtenditur, quòd omnes qui ordinantur, vel ad Epiſcopatus eligun-

A τοῦ σχολάζοντος, ἢ καὶ τοῦ ἔχοντος ἐκκλησίαν Ἐπισκόπου, πρὸς χηρεύουσαν ἐκκλησίαν παράλογος μετένεξις. ἣν τοσοῦτον οἱ ἐν Σαρδικῇ συνελθόντες ἅγιοι πατέρες ἐβδελύξαντο, ὥστε καὶ ἀκοινώνητον εἶναι παντὶ Χριστιανῷ τὸν ἐργάτην ταύτης διωρίσαντο, καὶ μηδὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς λαϊκῆς κοινωνίας ἀξιοῦσθαι αὐτόν. ὁ δὲ ιε΄. κανὼν τῆς α΄. Συνόδου περὶ μηδενὸς τοιούτου μνείαν ποιούμενος, οὐδ᾽ ἐναντιοῦταί τινι τῶν ἀνωτέρω καταστρωθέντων κανόνων. οὔτε γὰρ περὶ μεταθέσεως, οὔτε περὶ μεταβάσεως, οὔτε περὶ ἐπιβασίας διδάσκει, ἀλλὰ κωλύει τὸ μεταπίπτειν Ἐπίσκοπον, ἢ πρεσβύτερον ἢ διάκονον ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν ἀνήκουσαν τῇ αὐτῇ παροικίᾳ, B ὥσπερ ποτὲ ὁ Ἐπίσκοπος Δέρκου ἐκεῖνος κύριος Ἰωάννης ἐπεχείρησε τὸν θρόνον τῆς Δέρκου, μεταγαγεῖν εἰς τὸ τοῦ Φιλέα πρωτοπαπαδίκιον αὐτοῦ. διὰ τὸ πολυανθρωποτέραν εἶναι, καὶ ἐκωλύθη Συνοδικῶς. διὰ γὰρ τοῦτο, οὐδὲ κολάζεται ὁ τοῦτο ἐπιχειρήσας Ἐπίσκοπος, ἀλλ᾽ εἰς τὴν προτέραν αὐτοῦ καθέδραν ἐπανάγεται· ὅτι δὲ τοῦτο ἀληθές ἐστι, δηλοῦται καὶ ἀπ᾽ αὐτῶν τῶν ῥημάτων τοῦ κανόνος, πόλεως μεμνημένου καὶ οὐχὶ παροικιῶν. τὸν αὐτὸν γὰρ καὶ ἕνα Ἐπίσκοπον, πολλὰς μὲν πόλεις ἔχειν ὡς ἐνορίαν, δυνατόν ἐστι· πολλὰς δὲ παροικίας οὐδαμῶς. ἀλλὰ καὶ ἀπὸ τοῦ μεμνῆσθαι τὸν τοιοῦτον κανόνα πρεσβυτέρων καὶ διακόνων, ἐναργῶς παρίσταται ἡ ἀλήθεια. ποία γὰρ μετάθεσις, C ἢ μετάβασις, ἢ ἐπίβασις ἐπὶ τούτων τραχλαϊσθείη ποτέ; πάντως οὐδεμία. μετάπτωσις δὲ μόνη ἀπὸ πόλεως εἰς πόλιν οὐκ ἀλλοτρίαν, ἀλλὰ τῇ παροικίᾳ, εἰς ἣν ἐκληρώθησαν, ἀνήκουσαν. διὰ γὰρ τοῦτο οὐδὲ καθαιροῦνται ὡς παρ᾽ ἐνορίαν ἱερουργήσαντες, ἀλλὰ τῇ προτέρᾳ ἐκκλησίᾳ, εἰς ἣν καὶ ἐχειροτονήθησαν, ἀποκαθίστανται.

ΖΩΝΑΡ. Τὸ μὴ μετιέναι ἐξ ἐκκλησίας εἰς ἑτέραν Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, καὶ τοῖς ἱεροῖς κεκανόνισται ἀποστόλοις. ἀλλὰ παρορώμενον καὶ καταφρονούμενον τὸ διάταγμα ἡ ἁγία Σύνοδος αὕτη διὰ τοῦ παρόντος κανόνος ἀνεκαίνισε, διορισαμένη, κἂν ἐπιχειρήσῃ μεταβῆναι ἐκ πόλεως εἰς ἑτέραν πόλιν Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, D κἂν μεταβαίη, καὶ εἰς ἔργον ἀγάγῃ τὸ ἐπιχείρημα, ἀκυροῦσθαι τὴν πρᾶξιν αὐτοῦ, καὶ ἀποκαθίστασθαι ἐν ᾗ χειροτονούμενος ὠνομάσθη. ἕτερος γὰρ κανὼν διατάττεται, μηδένα ἀπολελυμένως ἤγουν ἀνωνύμως χειροτονεῖσθαι, ἀλλ᾽ εἰς τὴν δε τὴν Ἐπισκοπὴν, ἢ τὴν ἐκκλησίαν, ἢ τὴν μονήν.

ΑΡΙΣΤ. Ἐκ πόλεως εἰς πόλιν μήτε Ἐπίσκοπος, μήτε πρεσβύτερος, ἢ διάκονος μεταβαινέτω· ἐπεὶ πάλιν ἀποδοθήσονται ταῖς ἐκκλησίαις ἐν αἷς κεχειροτόνηνται.

Κανὼν οὗτος, οὐ μόνον τὰς τῶν Ἐπισκόπων μεταθέσεις E παντελῶς ἀναιρεῖ, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ διακόνων, καὶ τοὺς ἐπιχειρήσαντας τοιοῦτόν τι ποιῆσαι, ἀποκαθιστᾷ πάλιν ταῖς ἐκκλησίαις ἐν αἷς κεχειροτόνηνται· ὁ δὲ τῆς ἐν Σαρδικῇ πρῶτος καὶ δεύτερος κανὼν αὐστηροτέρως αὐτοὺς τιμωρεῖ, ἀκοινωνησίας τούτους ὑποβάλλων ἐπιτιμίῳ.

ΚΑΝΩΝ ιϛʹ.

Ὅσοι ῥιψοκινδύνως μήτε τὸν φόβον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσουσι τῆς ἐκκλησίας, πρεσβύτεροι ἢ διάκονοι, ἢ F ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι· οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ· ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας, ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τολμήσειέν τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου Ἐπισκόπου, οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

ΒΑΛΣ. Ἀπὸ τοῦ τέλους τοῦ ιε΄. κανόνος παρίσταται, ὅτι πάντες οἱ χειροτονούμενοι ἢ εἰς Ἐπισκοπὰς ἐκληροῦντο, ἤτοι ἐχειροτονοῦντο, ἢ εἰς μοναστήρια, ἢ εἰς θείους ναούς· ὅθεν ἀκολούθως τούτῳ καὶ ὁ ϛʹ. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου καὶ ὁ ιʹ. διορίζονται οὕτω τοὺς κληρικοὺς γίνεσθαι, καὶ τὴν παρὰ ταῦτα γινομένην χειροθεσίαν ἀκυροῦσθαι. διὸ καὶ δέδοκται μὴ ἔχειν ἐπ' ἀδείας τινὰ κληρικὸν ἀπὸ παροικίας εἰς παροικίαν μεταβαίνειν καὶ ἀμείβειν τὸν κλῆρον ἄνευ γραφῆς ἀπολυτικῆς τοῦ χειροτονήσαντος τοῦτον. τοὺς δὲ μετακαλουμένους κληρικοὺς παρὰ τῶν χειροτονησάντων αὐτοὺς, καὶ μὴ πειθομένους, ἀναστρέφειν, ἀκοινωνήτους αὐτοῖς εἶναι, ἤγουν μὴ παραχωρεῖσθαι συνιερουργεῖν τούτοις· εἰς τοῦτο γὰρ τὸ μὴ κοινωνεῖν ἐκλαμβάνεται, οὐ μὴν εἰς τὸ μὴ ἐκκλησιάζειν, ἢ εἰς τὸ μὴ μεταλαμβάνειν τῶν ἁγιασμάτων, ἀκολούθως πάντως τῷ ιεʹ. ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ μὴ λειτουργεῖν τοὺς τοιούτους. ὁ δὲ ιϛʹ. ἀποστολικὸς κανὼν, ἀφορισμῷ καθυποβάλλει τὸν δεξάμενον Ἐπίσκοπον ἐξ ἑτέρας παροικίας κληρικὸν ἄνευ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτόν. ὥστε καλῶς ποιεῖ ὁ κατὰ καιροὺς τῆς μεγάλης ἐκκλησίας χαρτοφύλαξ, μὴ παραχωρῶν τοῖς ἔξω χειροτονήτοις ἱερεῦσιν ἱερουργεῖν, μὴ προκομίζουσι συστατικὰς καὶ ἀπολυτικὰς γραφὰς τῶν χειροτονησάντων αὐτούς. ἀνάγνωθι καὶ τὸν λεʹ. ἀποστολικὸν κανόνα, συνόδου Ἀντιοχείας κανόνας ιγʹ. καὶ κβʹ. συνόδου Ἐφέσου κανόνα ηʹ.

ΖΩΝΑΡ. Ὁ μὲν πρὸ τούτου κανὼν τοὺς ἀναχωροῦντας τῶν οἰκείων ἐκκλησιῶν καὶ ἄλλαις προσερχομένους ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ διορίζεται ἐν ᾗ κεχειροτόνηται ἕκαστος. οὗτος δὲ τοὺς μὴ πειθομένους ἐπανελθεῖν, καὶ ἀκοινωνήτους εἶναι θεσπίζει. ἔοικεν οὖν ἐναντιοῦσθαι τῷ ιεʹ. κανόνι τῶν ἱερῶν ἀποστόλων. ἐκεῖνος γὰρ τοὺς καταλείψαντας κληρικοὺς τὰς ἑαυτῶν παροικίας, καὶ εἰς ἄλλην παροικίαν παντελῶς μεταστάντας παρὰ γνώμην τοῦ Ἐπισκόπου αὐτῶν μηκέτι λειτουργεῖν κελεύει, ὡς δὲ λαϊκοὺς κοινωνεῖν ἐπιτρέπει ἐκεῖ. οἶμαι τοίνυν ἐπὶ τοῦ παρόντος κανόνος τὸ ἀκοινωνήτους εἶναι, οὕτω νοεῖσθαι, ἤγουν μὴ συγκοινωνεῖν αὐτοῖς τοὺς ἱερατικοὺς δηλαδή. ἀλλὰ ἀποτρέπεσθαι τὸ συνιερουργεῖν αὐτοῖς τοὺς τοιούτους· κοινωνίαν, ἐνταῦθα τῶν ἁγίων πατέρων, οὐχὶ τὴν μετάληψιν τῶν ἁγιασμάτων ὀνομασάντων, ἀλλὰ τὴν τῶν ἱερῶν συμμεταχείρισιν καὶ κοινοπραξίαν, καὶ τὸ συλλειτουργεῖν τοῖς οἷσπερ προσῆλθον. οὕτω γὰρ νοούμενος ὁ παρὼν κανὼν, οὐ διαφωνεῖν πρὸς τὸν ἀποστολικὸν κανόνα δόξει τινί. εἶτα ἐπάγει ὡς εἰ Ἐπίσκοπός τις τὸν ἀφ' ἑτέρας πόλεως εἰς ἑτέραν μεταναστεύσαντα κληρικὸν χειροτονήσει, προαγαγὼν ἴσως αὐτὸν εἰς βαθμὸν μείζονα μὴ βουλομένου τοῦ Ἐπισκόπου, ἐξ οὗ ἀνεχώρησεν, ἄκυρος ἔσται ἡ χειροτονία.

ΑΡΙΣΤ. Ὅσοι πρεσβύτεροι ἢ διάκονοι τῆς ἐκκλησίας ἀναχωρήσουσιν, ἄδεκτοι εἰς ἑτέραν ἐκκλησίαν γενήσονται· ἀλλ' ἐπιστρεφέτωσαν εἰς τὴν αὐτῶν παροικίαν. εἰ δέ τις τὸν ἑτέρῳ διαφέροντα χειροτονήσοι χωρὶς γνώμης τοῦ οἰκείου Ἐπισκόπου, ἄκυρος ἡ χειροθεσία.

Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ διορίζεται· ὥστε μήτε τινὰ πρεσβύτερον, ἢ διάκονον τῆς ἐκκλησίας ἐν ᾗ κεκλήρωται ἀναχωρήσαντα, ἐφ' ἑτέρου Ἐπισκόπου παραδεχθῆναι· ἀλλ' ἐπιστρέφειν αὖθις εἰς τὴν ἑαυτοῦ παροικίαν· εἰ δέ τις Ἐπίσκοπος τὸν ἑτέρῳ διαφέροντα κληρικὸν παραδέξεται, καὶ χειροτονήσας αὐτὸν, εἰς μείζονα προαγάγῃ βαθμὸν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, χωρὶς γνώμης τοῦ οἰκείου Ἐπισκόπου, ἀκυρωθήσεται ἡ χειροθεσία.

A tur ſive ordinantur, vel ad monaſteria, vel ad divinas ædes. Vnde ei conſequenter & vi. Canon Chalced. Syn. & x. ſtatuunt Clericos ſic fieri, & quæ aliter facta fuerit, manuum impoſitionem irritam haberi. Quocirca etiam placuit non eſſe in Clerici poteſtate à civitate in civitatem migrare, & Clerum commutare ſine dimiſſoriis literis ejus qui ordinavit: Clericos autem qui ab eis qui ordinarunt ipſos, evocantur, & redire non perſuadentur, eſſe à communione ſeparatos, id eſt, non permitti eis ut ſimul ſacrificent. In ea enim ſignificatione non communicare accipitur: non autem in ea quæ eſt, in eccleſiam non accedere, vel ſacramenta non participare: idque B omnino fit conſequenter xv. Canoni Apoſtolico, qui decernit eos non miniſtrare. xvi. autem Canon Apoſtolicus ſegregationi ſubjicit etiam Epiſcopum qui ex alia parochia Clericum recipit, ſine dimiſſoriis literis ejus qui eum ordinavit. Quare rectè facit is qui pro tempore eſt magnæ eccleſiæ Chartophylax, non permittens iis qui extra ordinati ſunt, ſacerdotibus, ſacrificare, niſi & commendatitias & dimiſſorias literas eorum à quibus ſunt ordinati, afferant. Lege & xxxv. Can. Apoſt. Synod. Antioch. Can. xiii. & xxii. & ſynod. Epheſ. Can. viii.

Zonar. Quicunque ſuis relictis Eccleſiis, in alias C divertiſſent, Eccleſiæ in qua quiſque ordinatus eſt, ſuperiori Canone reſtitui jubentur. Hic vero eos qui non paruerint reverti, ac propterea communione privatos eſſe decernit. Hinc ergo aliquis, Sanctorum Apoſtolorum decimo quinto Canoni, conſtitutionem hanc adverſari facile ſuſpicetur. Nam illo quoque, quicunque Clerici in aliam parœciam, ſua relicta, invito Epiſcopo ſuo tranſmearint, ſacris unquam operari, facta nihilominus Laïcorum communicandi poteſtate, prohibentur. Communionis igitur privationem hoc loco eam intelligendam eſſe arbitror, qua initiati videlicet iis ſacra facientibus nullo modo communicare, ſed eos in ſacro miniſterio D penitus averſari jubentur. Communioniſque nomine, non ſacrorum myſteriorum perceptionem, ſed in ſacris muneribus, ac miniſteriis una cum iis ad quos accedunt obeundis ſocietatem hic à Patribus reor eſſe ſignificatam. Hac ſi quidem ratione explicatum, nihil hunc ab Apoſtolico canone diſcrepare, facile apparebit. Deinde ſubjicit, quod ſi quis Epiſcopus Clericum qui ab unâ in aliam urbem tranſivit ordinaverit, promovens fortaſſis eum in majorem gradum, Epiſcopo à quo diſceſſit, non conſentiente, irrita erit ordinatio.

Arist. *Quotquot Presbyteri vel Diaconi ab Eccleſiâ* E *receſſerint, in aliam Eccleſiam non ſunt admittendi, ad ſuam verò parœciam revertantur. Si quis autem eum qui ad aliam pertinet, ſine proprii Epiſcopi ſententiâ ordinaverit, irrita erit ordinatio.*

Et hic Canon eadem ac prior decernit, ut nullus Presbyter aut Diaconus qui ab eccleſiâ in quâ Clericus factus fuit receſſit, ab alio Epiſcopo admittatur, ſed ut ad ſuam rurſus parœciam redeat. Si quis autem Epiſcopus Clericum qui ad alium pertinet, receperit, & eum cùm ordinavit ad majorem in ſua Eccleſiâ gradum provexerit, præter proprii Epiſcopi ſententiam, irrita erit ordina- F tio.

A

CANON XVII.

Quoniam multi qui in Canone recenſentur, plura habendi ſtudium & turpe lucrum perſequentes, divinæ ſcripturæ obliti ſunt: quæ dicit, Argentum ſuum non dedit ad uſuram: & fœnerantes, centeſimas exigunt: æquum cenſuit ſancta & magna ſynodus, ut ſi quis inventus fuerit poſt ſtatutum uſuras ex mutuo ſumere, vel eam rem aliter perſequi, ſeſquialteras exigens, vel aliquid aliud excogitare turpis quæſtus gratia, è Clero deponatur, & ſit alienus à Canone. B

Bals. Quadrageſimus quartus Canon Apoſtolicus, eos qui ex mutuo uſuras exigunt, Preſbyteros, vel Diaconos, deponi jubet, niſi ceſſent. Præſens autem Canon, omnes Clericos qui fœnerantur, vel ſeſquialteras exigunt, vel aliquod aliud turpe lucrum excogitant, deponi ἐδικαίωσεν, hoc eſt ſic æquum cenſuit. Quære & quæ ſcripta ſunt in dicto Apoſtolico Canone: & xxvii. cap. ix. tit. præſentis operis, dicens, ex parte ab iis qui ſacris ordinibus initiati ſunt, etiam uſuras repeti, ſcilicet & ex eo quod intereſt, & ex mora. C Cùm verò Apoſtolicus Canon, & alii, decernant ſacerdotes fœnerantes deponi, niſi ceſſaverint, an eos attendere debemus, an præſentem Canonem, qui dicit ipſos ex hoc ipſo deponi? Solutio. Vt mihi videtur, Clericus, poſt denunciationem, à turpi lucro non abſtinens, deponetur, eò quòd Canon Apoſtolicus humaniùs loquatur. Nota ergo Canonem propter ſacerdotes, qui vina cauponantur, & balnea conducunt, & quædam alia ejuſmodi faciunt, & quæ Canoni non ſubjicitur, ultimam anchoram paupertatem prætexunt. Verbum autem quod in præſenti Canone comprehenditur, & dicit, vel rem aliter perſequi, vel ſeſquialteras exigere, eſt hujuſmodi: D Quidam ſacerdotes Canonem intelligentes, & ipſum circumſcribentes, verba quidem ſervant, mentem autem negligunt. Dant enim nonnullis pecuniam, & tantam ex lucro partem ſe capturos paciſcuntur: periculum autem agnituros qui eam accipiunt, & cùm ſint revera fœneratores, verbo tamen ſocietatem prætexunt. Hoc ergo Canon averſatur, & eos qui hujuſmodi quid faciunt, deponit. Seſquialteras autem intellige leviores uſuræ exactiones. Quamvis enim, inquit, centeſimas uſuras graviſſimas non exigat Clericus, ſive pro ſingulis nummorum libris, duodecim ſolidos: (centeſimæ namque à Canonibus appellatæ ſunt uſuræ centeſimæ, utpote E quòd olim non exagia lxxii. Libra complecteretur, ut nunc uſus obtinet, ſed centum) petat autem dimidium totius uſuræ, hoc eſt, ſex ſolidos, vel etiam his pauciores: ſic quoque deponetur. Scito autem quandoquidem hodie libra exagia complectitur lxxii. non C. ut olim, eum qui centeſimas pro libra uſuras ſe accepturum pactus eſt, non duodecim ſolidos exacturum, ſed pro rata parte.

Zonar. Fœnus, veteri quoque lege vetitum univerſis fuit. Dicit enim, Pecuniam fratri tuo non fœneraberis. Quod ſi illa minus perfecta lex ſanxit, multo magis noſtra quæ perfectior eſt, & ſpiritalior. F Ecce enim aliquid templo amplius eſt hic. Omnibus quidem igitur fœneratitio lucro interdictum, ſed ab eorum inſtituto, qui ſacro ordini mancipati, exemplo Laïcis, atque invitamento ad virtutem eſſe debent, alieniſſima ea ratio eſt. Proinde, quicunque in Canone recenſentur, hoc eſt, in Clerum cooptati ſunt, centeſimas exigere prohibentur (uſuras vid. centeſimas.) & quidem cum multa ſunt uſurarum genera, graviores reliquis ſunt centeſimæ.

ΚΑΝΩΝ ιζʹ.

Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι, τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκερδίαν διώκοντες, ἐπελάθοντο τοῦ θείου γράμματος λέγοντος, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη Σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων, ἐκ μεταχειρήσεως, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἡμιολίους ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

ΒΑΛΣ. Ὁ μδʹ. ἀποστολικὸς κανὼν τοὺς ἀπαιτοῦντας τόκους ἀπὸ δανείου, πρεσβυτέρους ἢ διακόνους, καθαιρεῖσθαί φησιν, εἰ μὴ παύσωνται. ὁ δὲ παρὼν κανὼν πάντας τοὺς κληρικοὺς τοὺς μετὰ τόκου δανείζοντας, ἢ ἡμιολίας ἀπαιτοῦντας, ἢ ἕτερόν τι αἰσχρὸν κέρδος ἑαυτοῖς ἐπινοοῦντας, καθαιρεῖσθαι ἐδικαίωσεν, ἀντὶ τοῦ οὕτω δίκαιον εἶναι ἔκρινε. ζήτει τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα, καὶ τὸ κζʹ. κεφάλ. τοῦ θʹ. τίτλου τοῦ παρόντος Συντάγματος, λέγον ἐν μέρει ἀπαιτεῖσθαι τόκους καὶ παρὰ ἱερωμένων, δηλονότι ἀπὸ διαφέροντος, καὶ τοὺς ἐξ ὑπερθέσεως. τοῦ δὲ ἀποστολικοῦ κανόνος, καὶ ἑτέρων διοριζομένων τοὺς ἱερωμένους τοκίζοντας καθαιρεῖσθαι εἰ μὴ παύσωνται· ἐρωτήσει τις, ἐκείνοις ὀφείλομεν προσέχειν, ἢ τῷ παρόντι κανόνι, λέγοντι ἀπεντεῦθεν αὐτοὺς καθαιρεῖσθαι; Λύσις. ὡς ἐμοὶ δοκεῖ, μετὰ παραγγελίαν ὁ κληρικὸς μὴ ἀφιστάμενος τῆς αἰσχροκερδίας, καθαιρεθήσεται, διὰ τὸ τοῦ ἀποστολικοῦ κανόνος φιλανθρωπότερον· σημείωσαι οὖν τὸν κανόνα διὰ τοὺς ἱερωμένους τοὺς ἐμπορευομένους οἰνάρια, καὶ βαλανεῖα πακτεύοντας, καὶ ἄλλα ἄττα τινὰ τοιαῦτα ποιοῦντας, καὶ προβαλλομένους ἀκανόνιστον τελευταίαν ἄγκυραν, τὴν πενίαν. τὸ δὲ ῥῆμα τὸ περιεχόμενον ἐν τῷ παρόντι κανόνι, καὶ λέγον, ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα ἢ ἡμιολίας ἀπαιτῶν, τοιοῦτόν ἐστι, Τινὲς τῶν ἱερωμένων, εἰδότες τὸν κανόνα καὶ περιγράφοντες αὐτὸν, τὰ μὲν ῥήματα φυλάττουσι, τὸν δὲ νοῦν ἀθετοῦσι. διδόασι γὰρ πρός τινας ἀργύρια, καὶ συμφωνοῦσι τοσήνδε μερίδα ἐκ τοῦ κέρδους αὐτοὺς λαμβάνειν, τὸν δὲ κίνδυνον ἐπιγινώσκεσθαι παρὰ τῶν λαμβανόντων αὐτά· καὶ τῇ ἀληθείᾳ δανεισταὶ ὄντες, κοινωνοὶ λέγεσθαι σχηματίζονται. ἀποτρέπεται γοῦν καὶ τοῦτο ὁ κανὼν, καὶ καθαιρεῖ τοὺς ποιοῦντας τοιοῦτόν τι. ἡμιολίας δὲ νόησον τὰς ἐλαφροτέρας ἀπαιτήσεις τοῦ τόκου. κἂν γὰρ, φησὶν, οὐκ ἀπαιτῇ ὁ κληρικὸς ἑκατοστιαίους τόκους βαρυτάτους, ἤτοι ὑπὲρ ἑκάστης ὑπερπύρων λίτρας ὑπέρπυρα ιι. δώδεκα (ἑκατοσταὶ γὰρ παρὰ τῶν κανόνων ἐκλήθησαν οἱ ἑκατοστιαῖοι τόκοι· ὡς ἐκ παλαιοῦ τῆς λίτρας μὴ ποσουμένης εἰς ἐξάγια οβʹ. κατὰ τὸ σήμερον ἐνεργοῦν, ἀλλὰ εἰς ρʹ.) ζητεῖ δὲ τὰ ἡμίση τοῦ ὅλου τόκου, ἤγουν ιι. ἕξ ἢ καὶ τούτων ἥττονα· καὶ οὕτω καθαιρεθήσεται. ἔστω δὲ εἰδὼς ὡς ἐπεὶ ἡ λίτρα σήμερον ἐξάγια ἔχει οβʹ. καὶ οὐχὶ ρʹ. ὡς τὸ παλαιὸν ὁ συμφωνήσας τόκους λαβεῖν ὑπὲρ λίτρας, οὐκ ἀπαιτήσει ιι. ιβʹ. ἀλλὰ τὸ ἀναλογοῦν.

ΖΩΝΑΡ. Ἐπὶ τόκῳ δανείζειν καὶ ὁ παλαιὸς νόμος ἅπασιν ἀπηγόρευσε. φησὶ γὰρ, οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου· εἰ δὲ ὁ ἀτελέστερος τοῦτο ἐνομοθέτησε, πολλῷ πλέον ὁ τελεώτερος καὶ ὁ πνευματικώτερος. ἰδοὺ γὰρ πλέον, τοῦ ἱεροῦ ὧδε. ἅπασι μὲν οὖν ἀποτέτραπται τὸ ἐπὶ τόκῳ δανείζειν. εἰ δ' ἅπασι, μᾶλλον δὴ εἴη τοῖς ἱερωμένοις τοῦτο ἀνάρμοστον, οἳ καὶ τοῖς λαϊκοῖς εἰς ὑπόδειγμα καὶ παροξυσμὸν εἰς ἀρετὴν εἶναι ὀφείλουσι. διὸ καὶ ὁ κανὼν ἀπαγορεύει τοῖς ἐν τῷ κανόνι ἐξεταζομένοις, ἤτοι τοῖς ἐν κλήρῳ τεταγμένοις ἑκατοστὰς ἀπαιτεῖν, τόκους δηλαδὴ ἑκατοστιαίους. πολυαρίθμων γὰρ ὄντων τῶν τόκων, βαρύτεροι τῶν ἄλλων οἱ ἑκατοστιαῖοι εἰσίν.

ὥσπερ γὰρ τοῖς νῦν αἱ λίτραι μέχρι τῆς ἑβδομήκοντα δύο ἀριθμοῦνται· οὕτω τοῖς παλαιοῖς αἱ ἑκατοντάδες ἦσαν, καὶ ἦν ὁ τόκος τῶν ἑκατὸν νομισμάτων, νομίσματα δώδεκα, διὸ καὶ ἑκατοστιαῖος ἐλέγετο, ὡς ἐπὶ τοῖς ἑκατὸν ἀπαιτούμενος. ἀπαγορεύσασα οὖν ἡ σύνοδος λαμβάνειν τόκους τοὺς ἐν κλήρῳ, ἐπάγει τοῖς μὴ φυλάξουσι τὸν κανόνα καὶ ἐπιτίμιον, καί φησιν, ἐδικαίωσεν ἡ ἁγία σύνοδος, ἀντὶ τοῦ δίκαιον ἡγήσατο, ἵνα εἰ εὑρεθείη τις μετὰ τὰ ὁρισθέντα νῦν λαμβάνων τόκους ἐκ μεταχειρίσεως, ἤγουν ὡς οἷόν τινα πραγματείαν τὸ τοκίζειν μεταχειριζόμενος ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα. τινὲς γὰρ ἐκφεύγοντες τὸ λέγεσθαι περὶ αὐτῶν ὅτι τόκους λαμβάνουσι, διδόασι τοῖς χρήζουσιν ἀργύρια, καὶ συμφωνοῦσι συμμερίζειν αὐτοῖς τὸ κέρδος· καὶ οὐ δανειστὰς ἑαυτοὺς, ἀλλὰ συγκοινωνοὺς ὀνομάζουσι, καὶ ζημίας μὴ ὄντες κοινωνοὶ, ἐπὶ τῷ κέρδει μόνῳ κοινοπραγοῦσι. ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα πάντα ἀπαγορεύων ὁ κανὼν καθαιρεῖσθαι κελεύεται τοὺς τοιαῦτα τεχνάζοντας, ἢ ἕτερόν τι ἐπινοοῦντας αἰσχροῦ κέρδους χάριν, ἢ ἀπαιτοῦντας ἡμιολίας. εἰπὼν ἄνω περὶ ἑκατοστιαίου τόκου, ὃς τῶν τόκων ἐστὶν ὁ βαρύτερος ὡς προείρηται παρακατιὼν καὶ τοῦ κουφοτέρου ἐμνήσθη τῆς ἡμιολίας, ἥτις ἐστὶ τοῦ ὅλου τὸ ἥμισυ, ἤγουν τῶν δώδεκα νομισμάτων, ἅ τινά εἰσι τῆς ἑκατοστῆς ὁ πληρέστατος καὶ ὁλόκληρος τόκος. εἴποι δ' ἂν τις τὰς ἡμιολίας, καὶ κατὰ ἀριθμητικούς. ἐκείνοις γὰρ οἱ μὲν τῶν ἀριθμῶν ἐπίτριτοι λέγονται, οἱ δὲ ἐπιτέταρτοι, ἐπίπεμπτοί τε καὶ ἔφεκτοι, οἱ δὲ ἡμιόλιοι, ὡς ὁ ἕξ, καὶ ὁ ἐννέα, ὅτι ὅλους ἔχουσιν ἐν ἑαυτοῖς ἀριθμοὺς, καὶ τὰ ἡμίση αὐτῶν. ἔχουσι γὰρ ὁ μὲν ἓξ τὰ τέσσαρα καὶ τῶν τεσσάρων τὸ ἥμισυ, ὅ ἐστι τὰ δύο. ὁ δὲ ἐννέα, τὰ ἕξ, καὶ τούτων τὸ ἥμισυ τὰ τρία δηλονότι. Ἀδιαφόρως γοῦν ἡμιολίας, ὡς ἂν νοοῖτο αὕτη, τοῦτο μονονουχὶ λέγει ὁ κανὼν, ὡς εἰ μόνον τὸν βαρύτερον οὐ λήψονται τόκον οἱ ἐν τῷ κλήρῳ, ἀλλ' οὐδὲ ἄλλον τινὰ μετριώτερον.

A Ut enim hoc tempore libræ, ad ſeptuaginta, duabus additis, numerantur, ita priſci habuere centurias, atque in centenos nummos duodeni, fœnoris nomine, ſolvebantur. Ex quo centeſimæ quoque nomen, quod ex centenis exigeretur, petitum eſt. Synodus itaque cùm prohibuiſſet Clericos uſuras accipere, pœnam quoque in eos, qui non obtemperaverint, conſtituit. Et ait, ἐδικαίωσεν, hoc eſt, æquum cenſuit Sancta Synodus, ut ſi quis poſt ea quæ nunc ſtatuuntur, inventus fuerit uſuras ex tractatione, hoc eſt, quaſi inſtar negotiatoris fœnerationem ſibi tractandam ſuſcipiens, aut alia quacunque ratione exigens, (fœneratorii enim nominis infamiam aliqui declinantes, B pecuniam ita dant mutuam, ut ſibi lucri partem ex ea paciſcantur, nec ſe fœneratores, ſed ſocios dicunt, ac emolumentorum tantummodo participes, nullum interea jacturæ periculum ſubeunt.) Hæc igitur, & hujuſmodi omnia Canon vetat, eáque qui exercent, aut aliud quidpiam turpis lucelli gratia excogitaverint, aut ſeſquialteras exegerint, deponi jubet. Cum namque ſupra egerit de centeſimis, quæ ſunt omnium uſurarum, ut diximus, iniquiſſimæ, mox eam quæ minus injuriæ habet, ſeſquialteram quoque rejicit. Eſt autem ſeſquialtera, totius dimidium, duodecim videlicet nummorum altera pars, ex quibus conficitur centeſimæ integrum, atque perfectum C fœnus. Sed dicat fortaſſe aliquis ſeſquialteras etiam juxta Arithmeticos. Apud illos namque numerorum alii ἐπίτριτοι dicuntur, hoc eſt, ſeſquitertii, alii ἐπιτέταρτοι, ἐπίπεμπτοι & ἔφεκτοι, quaſi ſeſquiquartos dicas, quintos, & ſextos, alii verò ſeſquialteri, ut ſenarius, & novenarius, quod totum, ac ejus præterea dimidiam partem contineant, ſenarius quidem quaternum, ejuſque dimidium, qui eſt binarius, novinarius ſenarium ſenariique dimidium, nempe ternarium. Sed quocunque demum pacto ſeſquialteram intelligas, ea videlicet Canonis eſt ſententia, ut Clericis non graviſſimarum ſolum, ſed mediocrium quoque uſurarum exactione D interdictum eſſe denuntiet.

ΑΡΙΣΤ. Εἴ τις τόκους, ἢ ἡμιολίας λαμβάνοι, ἀλλότριος ἔσται, μετὰ τὸν ὅρον τοῦτον τῆς ἐκκλησίας, καθαιρούμενος.

Οἱ μὲν ἑκατοστιαῖοι τόκοι, οἵτινες καὶ μείζονες τῶν τόκων πάντων γνωρίζονται, τὰ δώδεκά εἰσι νομίσματα· οἱ δὲ ἡμίσεις τούτων, τὰ ἕξ. εἴ τις οὖν τῶν ἱερωμένων δανείσας τινὶ, ἢ τοὺς βαρυτέρους ἀπαιτήσει τόκους, ἤγουν τοὺς ἑκατοστιαίους, ἢ ἡμιολίας, ἤτοι τὸ ἥμισυ τούτων, ἤγουν τὰ ἕξ, ὡς τοῦ θείου ἐπιλαθόμενος γράμματος τοῦ λέγοντος, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ· τοῦ κλήρου καθαιρεθήσεται· κἂν ὁ τεσσαρακοστὸς τέταρτος τῶν ἁγίων ἀποστόλων κανὼν, καὶ ὁ δέκατος τῆς ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ, οὐκ ἀπεντεῦθεν αὐτὸν καθαιροῦσιν· ἀλλ' ὅταν παραγγελθεὶς οὐ παύηται τοῦτο ποιῶν.

ARIST. *Si quis uſuras, aut ſeſquialteras accipit, alienus erit, & poſt hanc Eccleſiæ determinationem depoſitus.*

Centeſimæ quidem uſuræ quæ & omnium habentur maximæ, duodecim ſunt numiſmata, dimidiæ autem earum, ſex. Si quis itaque è conſecratis mutuo dans alicui per uſuram vel graviores exiget uſuras ſive centeſimas, vel ſeſquialteras, ſive dimidium earum aut ſextas, ut divinæ oblitus ſcripturæ dicentis, pecuniam E ſuam non dedit in uſuram, clero deponetur: Etſi quadrageſimus quartus Apoſtolorum Canon & ſextæ Synodi in Trullo decimus non exinde eum deponunt niſi quando admonitus hoc facere non deſinat.

F

CANON XVIII.

Pervenit ad ſanctam Synodum, quòd in nonnullis locis & civitatibus Diaconi dant Presbyteris Euchariſtiam, quod neque Canon, neque conſuetudo tradidit, ut qui offerendi poteſtatem non habent, iis qui offerunt, dent corpus Chriſti. Jam verò illud etiam cognitum eſt, quòd quidam ex Diaconis etiam ante Epiſcopos Euchariſtiam attingunt. Hæc ergo omnia auferantur, & Diaconi intra ſuas menſuras permaneant, ſcientes quòd ſunt quidem Epiſcopi miniſtri, Presbyteris vero minores. Accipiant autem ſuo ordine Euchariſtiam poſt Presbyteros, eis præbente Epiſcopo vel Presbytero. Sed nec in medio quidem Presbyterorum liceat Diaconis ſedere. Id fit enim præter Canonem & ordinem. Si quis autem non vult obedire, etiam poſt has conſtitutiones, à diaconatu deſiſtat.

BALS. Quòd magna ſit ſacerdotum dignitas, ſed multo major Epiſcoporum, & quòd debent Diaconis præponi, ex ipſis factis oſtenditur. Illis enim ſervitur, hi vero ſerviunt. Quidni ergo præferri debent ii quibus miniſtratur, iis qui miniſtrant? Quoniam autem nonnulli, inquit, Diaconi, ordinem in civitatibus diſſolventes, ante Epiſcopos accipiunt, & dant Presbyteris Euchariſtiam: & cùm omnino debeant à Presbyteris & ſacerdotibus ſanctificari, quoniam etiam Apoſtolus dicit, Quod minus eſt, ab eo quod eſt præſtantius, benedicitur: non ſtant iis quæ decreta ſunt, & in congregationibus etiam ſedent in medio Presbyterorum: definitum eſt ut Diaconi ab Epiſcopo vel Presbytero accipiant, & ut poſt ſacerdotes ſacrorum myſteriorum participes fiant: & ne in medio quidem Presbyterorum ſedeant: vel, ut ii qui non ad ita faciendum ſe morigeros præbuerint, à Diaconatu deſiſtant. Hæc definiente Canone, Diaconos quidem ante Epiſcopos accipere, vel dare Euchariſtiam aut ſacramenta ſacerdotibus, non permittitur: ſed nec Diaconum ad ſanctum altare in medio ſacerdotum ſedere. Vt autem nonnulli ex Eccleſiaſticis Diaconis, in congregationibus quæ ſunt extra ſacrum tribunal, ante ſacerdotes ſedeant, fieri videmus: & exiſtimo hoc fieri propter officia. Soli enim ii qui à Patriarcha officiis Eccleſiaſticis digni ſunt habiti, ſedent ante ſacerdotes. Fit autem & hoc præter rationem: lege vi. Synodi Canonem vii. At is qui pro tempore eſt ſanctiſſimæ Eccleſiæ magnæ chartophylax, in congregationibus quæ fiunt extra Synodum, ſedet non ſolùm ante ſacerdotes, ſed etiam ante Pontifices, ex conſtitutione inclyti Imperatoris domini Alexii Comneni, quæ ſic ſe habet: Regia mea adminiſtratio, quæ Eccleſiaſticæ honeſtatis maximam curam gerit, & bonum quidem ordinem, cùm in omni civili ratione quærit, tum autem multo magis in rebus divinis eum verſari ſtudet, quæ unicuique gradui Eccleſiaſtico ſunt ab initio tributa privilegia, & eam quæ in his hucuſque obtinuit conſtitutionem, deinceps quoque eſſe immutabilem, & perſeverare vult, & cenſet, ſanctiſſime domine, utpote quæ per tot annos ſuſcepta, & in uſu civili longo tempore verſata, & ab alio in aliud immutabilibus hucuſque tranſmiſſionibus vindicata ac bene confirmata ſit. Sed quoniam imperatoria mea ſublimitas didicit, quòd nonnulli Pontifices contentione quadam & gloriæ ſtudio incitati, Chartophylacis privilegium minuere conantur, & Canones in medium adducentes per eos contendunt illum ante Pontifices ſedere non oportere, quando aliquo uſu exigente oportet eos convenire & unà conſidere ante acceſſum ad tuam ſanctitatem, non ferendum regiæ meæ majeſtati viſum eſt, ut res quæ tanto tempore approbata eſt, & à prioribus Patriarchis, & ab aliis Pontificibus: ſed & ab iis qui nunc non juſtâ de cauſâ contendunt, longiſſimi temporis ſilentio admiſſa, nunc obiter aboleretur, & tanquam negle-

A

ΚΑΝΩΝ ιη'.

Ηλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν, ὅπερ οὔτε ὁ κανὼν οὔτε ἡ συνήθεια παρέδωκεν, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν Επισκόπων τῆς εὐχαριστίας ἅπτονται. ταῦτα οὖν πάντα περιῃρήσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν Επισκόπου ὑπηρέται εἰσί, τῶν δὲ πρεσβυτέρων ἐλάττους. B λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ Επισκόπου μεταδιδόντος αὐτοῖς ἢ τοῦ πρεσβυτέρου. ἀλλὰ μὴ καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον· εἰ δέ τις μὴ θέλει πειθαρχεῖν καὶ μετὰ τούτους τοὺς ὅρους, πεπαύσθω τῆς διακονίας.

ΒΑΛΣ. Οτι μέγα ἐστὶ τὸ τῶν ἱερέων ἀξίωμα, πολλῷ δὲ πλέον τὸ τῶν Επισκόπων, καὶ ὅτι τῶν διακόνων προτιμᾶσθαι ὀφείλουσιν, ἐξ αὐτῶν τῶν ἔργων παρίσταται. οἱ μὲν γὰρ δουλεύονται, οἱ δὲ δουλεύουσι. πῶς οὖν οὐκ ὀφείλουσι προτιμᾶσθαι οἱ διακονούμενοι τῶν διακονούντων; ἐπεὶ δέ, φησίν, τινὲς διάκονοι τὴν τάξιν ἔν τισι πόλεσι παραλύοντες, πρὸ τῶν C Επισκόπων μεταλαμβάνουσι, διδόασι δὲ καὶ τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν, καὶ ἁπλῶς ὀφείλοντες ἁγιάζεσθαι ὑπὸ τῶν Επισκόπων, καὶ τῶν ἱερέων, ὅτι καὶ ὁ ἀπόστολός φησι, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, οὐκ ἐμμένουσι τοῖς δεδομένοις· καὶ ἐν ταῖς συνάξεσι δὲ κάθηνται μέσον τῶν ἱερέων· ὡρίσθη, ἀπὸ τοῦ Επισκόπου ἢ τοῦ πρεσβυτέρου μεταλαμβάνειν τοὺς διακόνους, καὶ μετὰ τοὺς ἱερεῖς τῶν ἁγιασμάτων ἀξιοῦσθαι, καὶ μηδὲ μέσον καθῆσθαι πρεσβυτέρων· ἢ μήν. τοὺς μὴ πειθαρχοῦντας οὕτω ποιεῖν, παύεσθαι τῆς διακονίας. ταῦτα τοῦ κανόνος διοριζομένου, τὸ μὲν μεταλαμβάνειν τοὺς διακόνους πρὸ τῶν Επισκόπων, ἢ διδόναι αὐτοὺς τὴν εὐχαριστίαν ἤτοι τὰ ἅγια τοῖς ἱερεῦσιν, οὐ D παραχωρεῖται· ἀλλ' οὐδὲ τὸ καθῆσθαι διάκονον ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ μέσον τῶν ἱερέων. τὸ δὲ καθῆσθαι τινὰς ἀπὸ τῶν ἐκκλησιαστικῶν διακόνων εἰς τὰς ἔξω τοῦ βήματος συνάξεις τέως πρὸ τῶν πρεσβυτέρων βλέπομεν γινόμενον· καὶ οἶμαι γίνεσθαι τοῦτο διὰ τὰ ἀρχοντίκια· μόνοι γὰρ οἱ ἀξιωθέντες ἀρχοντικίων ἐκκλησιαστικῶν παρὰ τοῦ πατριάρχου, πρὸ τῶν ἱερέων κάθηνται. γίνεται δὲ τοῦτο παραλόγως. Ανάγνωσον τῆς ς'. συνόδου κανόνα ζ'. ὁ γὰρ κατὰ καιροὺς χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, προκάθηται ἐν ταῖς ἔξω τῆς συνόδου συνάξεσι, οὐ μόνον τῶν ἱερέων, ἀλλὰ καὶ τῶν ἀρχιερέων, ἀπὸ προστάξεως τοῦ ἀοιδίμου Βασιλέως κυροῦ Αλεξίου E τοῦ Κομνηνοῦ, οὕτως ἐχούσης· ἡ Βασιλεία μου τῆς ἐκκλησιαστικῆς εὐκοσμίας φροντίζουσα, καὶ τὸ εὔτακτον, καὶ ἐν παντὶ μὲν ζητοῦσα τῷ πολιτεύματι, ἐπὶ πλέον δὲ τοῖς θείοις τοῦτο ἐμπολιτεύεσθαι διὰ σπουδῆς τιθεμένη, τὰ ἀρχῆθεν ἀπονενεμημένα προνόμια ἑκάστῳ τῶν ἐκκλησιαστικῶν βαθμῶν, καὶ τὴν ἄχρι καὶ δεῦρο ἐπικρατήσασαν ἐν τούτοις κατάστασιν, κατὰ τὸ ἀναλλοίωτον καὶ εἰς τὸ ἑξῆς εἶναι καὶ διαμένειν, βούλεταί τε καὶ εὐδοκεῖ, ἁγιώτατε δέσποτα, ὡς καὶ παραδεχθεῖσαν διὰ τοσούτων ἐτῶν, καὶ τῷ μακρῷ χρόνῳ ἐμπολιτευσαμένην, καὶ ταῖς ἀπ' ἄλλου εἰς ἄλλον κατὰ τὸ ἀνεξάλλακτον ἕως τοῦ νῦν μεταβάσεσιν, ἐπικυρωθεῖσαν, καὶ βεβαιωθεῖσαν καλῶς· ἐπεὶ δὲ F νῦν ἡ Βασιλεία μου μάθοι ὥς τινες τῶν ἀρχιερέων ἀντιφιλοτιμούμενοι πειρῶνται τὸ τοῦ χαρτοφύλακος ὑποβιβάσαι προνόμιον, καὶ κανόνας εἰς μέσον προσφέροντες, διὰ τούτων φιλονεικοῦσι μὴ προκαθῆσθαι αὐτὸν τῶν ἀρχιερέων, ὁπηνίκα δέοι τούτους συνέρχεσθαι κατά τινα χρείαν, καὶ συνεδριάζειν κατὰ ταυτόν, πρὸ τῆς εἰς τὴν ἁγιωσύνην σου εἰσελεύσεως οὐκ ἀνάσχετον τῇ Βασιλείᾳ μου ἔδοξε, πρᾶγμα διὰ τοσούτου χρόνου βασανισθὲν καὶ τοῖς πρὶν πατριάρχαις, καὶ τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς νῦν οὐκ ἐπ' εὐλόγῳ ἐρίζουσι πράγματι διὰ τῆς πολυημέρου δεχθὲν σιωπῆς, κατὰ τὸ παρέλκον ἀθετηθῆναι, καὶ ὥς τι τῶν ἠμελημένων παρασυρῆναι. τοίνυν καὶ διορίζεται πρᾶγμά τι εὔλογον καὶ πάνυ δίκαιον τοῦτο. εἰ μὲν γὰρ αἱροῖντο καὶ πάλιν οἱ ἀρχιερεῖς μὴ κινεῖν τὰ ἀκίνητα, μηδὲ τὰ τοῖς πρὶν δεδογμένα πατράσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς διὰ τῆς μακρᾶς συνδοξάντα σιωπῆς, καὶ τῆς ἕως τοῦ νῦν ἀνοχῆς, ἐκ παλιμβολίας ὥσπερ ἀναπαλαίειν, εὖ ἂν ἔχοι, καὶ χάρις ὅτι τὸ μάχιμον καταθέμενοι τὸ εἰρηναῖον προτετιμήκασιν. εἰ δὲ καὶ ἐπὶ τούτων τινὲς τῶν τοῦ κανόνος ῥημάτων ἀντιποιούμενοι, (τῆς γὰρ ἐννοίας πόῤῥω ἀποδιεστήκασι) πειρῶνται, τὸ οἰκεῖον συστῆσαι θέλημα, καὶ ἐπὶ τὸ ἄτακτον οὐ καλῶς τὴν τάξιν μεταβιβάζουσιν, ἐᾷ μὲν ἡ Βασιλεία μου τὴν τοῦ κανόνος ἑρμηνεῦσαι καὶ σαφηνίσαι ὑφήν, ῥᾳστην οὖσαν καταληφθῆναι, καὶ διαγνωσθῆναι καλῶς τοῖς βάπτουσι εἰς ἀκρίβειαν, καὶ κανονικῆς ἐννοίας θιγγάνουσιν· αὐτὸ δὲ τοῦτο τοῖς ἀρχιερεῦσιν ἐπιτιμᾷ, τί δήποτε τὸν κανόνα εἰδότες καὶ τὰ ῥήματα τούτου ἐξακριβούμενοι, τὴν ἑαυτῶν συνείδησιν ἀναλόγως ἐπάτησαν, καὶ τοῦ κανόνος παραριπτομένου ἠνείχοντο, καὶ τὴν ὑφεδρίαν ἐπὶ τῶν πρὶν χαρτοφυλάκων ἠσπάζοντο· καὶ μισθὸν τούτοις τῆς τῶν ἱερῶν κανόνων καταφρονήσεως, τὴν ἐπὶ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπέλασιν δίδωσι, κανόνι στοιχοῦσα κἀνταῦθα ἐκκλησιαστικῷ, καὶ τοῖς καταφρονηταῖς τῶν κανόνων ἐκείνων αὐτοὺς τοὺς ἱεροὺς κανόνας εἰς ἄμυναν ἀντεξάγουσα. οὐδὲ γὰρ ἂν ἔχοιεν λέγειν οἱ τῶν δυτικῶν προεστῶτες ἀρχιερεῖς ἐπὶ χρόνον μακρὸν τῶν ἐμπιστευθέντων αὐτοῖς μὴ φροντίζοντες ποιμνίων, μηδ' ὡς ἔδει ἐν τούτοις ἐπιστατήσαντες ὡς ἡ τὴν ἕω καταστρέχουσα τῶν ἐχθρῶν λύσσα, προσέστηκε τούτοις, καὶ τὴν ἐπισκοπὴν ἐντεῦθεν τῶν λογικῶν προβάτων περιῃρέθησαν. καὶ τὸ μὲν οὕτως οἰκονομηθὲν παρὰ τῆς Βασιλείας μου, τὴν κρίσιν αὐτοῖς τοῦ ἀποτελέσματος καταλέλοιπεν. ἐπεὶ δὲ καὶ τοῦτο εἰς ἀκοὰς ἀνήχθη αὐτῆς, ὥς τινες τῶν τῆς ἐκκλησίας λογάδων ἐν ταῖς γινομέναις ψήφοις καταλιμπάνονται, προτιμῶνται δὲ τούτων ἔνιοι, ὑποβεβηκότες ἴσως καὶ χρόνῳ καὶ καταστάσει βίου τῇ κρείττονι, καὶ μηδὲ πολλὰ περὶ τῆς ἐκκλησίας πονήσαντες, οὐκ οὖν ἔδοξεν οὐδὲ τοῦτο τὸ πρᾶγμα τῆς ἱερᾶς συνόδου τῶν ἀρχιερέων ἐπάξιον. ὅθεν καὶ ἐπισκήπτει πᾶσι φιλοθέως ὁμοῦ καὶ βασιλικῶς, μὴ παίζειν ἐν τοῖς οὐ παικτοῖς, μηδὲ πάθει περὶ τὰ θεῖα χαρίζεσθαι. οὗ γὰρ ψυχὴ τὸ κινδυνευόμενον, τίνος φροντιστέον ἑτέρου; ἐκείνους δὲ προτιθέναι τῶν ἄλλων, καὶ τὴν ἐν ταῖς ψήφοις ἐπιτιμίαν χαρίζεσθαι, οὓς μετὰ λόγου καὶ βίος κοσμεῖ ἀνεπίληπτος, ἢ τοῦ λόγου σκάζοντος ἴσως, ὁ μακρὸς χρόνος, καὶ τὸ περὶ τὴν ἐκκλησίαν πολύπονον ἐπαναπληροῦσι τὸ ἐλλιπές. οὕτω γὰρ ἂν ταῖς ψήφοις καλῶς διαιτήσουσι, καὶ ἐπὶ κρίματι τῆς ἑαυτῶν ψυχῆς οὐκ ἂν ἁλοῖεν ψηφοφοροῦντες τῷ Θεῷ.

ΖΩΝΑΡ. Τὴν εὐταξίαν ἁπανταχοῦ τηρεῖσθαι ἀναγκαιότατον, μάλιστα δὲ ἐν τοῖς ἱεροῖς καὶ μεταχειριζομένοις τὰ ἅγια. διὸ πρᾶγμα οὐ κατὰ τάξιν γινόμενον διωρθώσατο ὁ κανών. τὸ γὰρ τοὺς διακόνους μεταδιδόναι τοῖς ἱερεῦσι τῶν ἁγιασμάτων, καὶ πρὸ αὐτῶν, ἢ καὶ τοῦ Ἐπισκόπου μεταλαμβάνειν αὐτούς, ἀταξίας ἦν, ὅθεν παρακελεύεται μηκέτι τοῦτο γίνεσθαι, ἀλλ' ἕκαστον γινώσκειν τὸ ἴδιον μέτρον, καὶ εἰδέναι τοὺς διακόνους, ὅτι τῶν Ἐπισκόπων ὑπηρέται εἰσὶν ἐν τοῖς ἱεροῖς, ἐξ αὐτῆς τῆς κλήσεως τοῦτο διδασκομένους, καὶ ὅτι μείζων ἡ ἀξία τῶν πρεσβυτέρων παρὰ τὴν τῶν διακόνων. πῶς οὖν οἱ ἥττονες τοῖς μείζοσι μεταδώσουσι τῆς εὐχαριστίας, καὶ οἱ μὴ δυνάμενοι προσφέρειν τοῖς προσφέρουσι; κατὰ γὰρ τὸν μέγαν ἀπόστολον, χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ὁρίζει τοίνυν ἡ ἁγία σύνοδος πρότερον τοὺς πρεσβυτέρους μεταλαμβάνειν, εἶτα τοὺς διακόνους, τῶν πρεσβυτέρων αὐτοῖς, ἢ τῶν Ἐπισκόπων μεταδιδόντων τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ κυρίου· ἀπαγορεύει δὲ καὶ τὸ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι διάκονον, ὡς παρὰ κανόνα τοῦτο καὶ παρὰ τὴν τάξιν τυγχάνοντος. τοὺς δὲ μὴ πειθαρχοῦντας παύεσθαι τῆς διακονίας κελεύει.

A ctum quippiam convelleretur. Hanc ergo rem decernit eſſe valde rationi conſentaneam & juſtam. Si enim adhuc vellent pontifices immobilia non movere, nec quæ iis qui priùs fuerunt patribus placuêre, ſed & iis ipſis longo ſilentio, & hucuſque patientia probata fuere, ex inconſtantiâ velut oppugnare, rectè ſe haberet, & eis gratia haberetur, quod pugnandi ſtudio abjecto, pacem prætuliſſent. Si autem etiam adhuc nonnulli, verba Canonis uſurpantes (à ſententia enim longe abſunt) voluntatem ſuam confirmare conantur, & non rectè ordinem, ad id quod eſt inordinatum, transferunt, permittit quidem imperatoria mea ſerenitas Canonis interpretari & B declarare contextum, qui facilè comprehendi poteſt, & pulchrè diſcerni iis qui exactè penetrant, & Canonicum ſenſum attingunt. Hoc autem utique ipſum Pontificibus probro eſt, quòd cùm Canonem ſcirent, & ejus verba perfectè intelligerent, ſuam ipſorum conſcientiam præter rationem conculcarunt, & dum diſturbaretur Canon, toleraverunt, atque inferiorem ſeſſionem ſub prioribus Chartulariis amplexi fuerunt. Ideóque pro ſacrorum Canonum contemptu mercedem hanc eis (majeſtas mea) tribuit, ut ſuas ad Eccleſias abigantur, Eccleſiaſtici Canonis etiam hac in parte veſtigiis inſiſtens, & adverſus Canonum contemptores ipſos Canones ſacros in ſubſidi-
C um producens. Nec enim pontifices ii, qui Occidentalibus Eccleſiis præſunt, & à multo jam tempore fidei ſuæ creditorum ovilium curam nullam geſſere, nec, uti conveniebat, iis præfuerunt, dicere poterunt, rabiem hoſtilem, quæ per Orientem graſſata fuit, ad ipſos pertigiſſe, atque hoc modo ſibi ovium ratione præditarum inſpectionem ademptam eſſe. Et hoc quidem in hunc modum à majeſtate mea diſpoſitum eventus eis judicium relinquit. Quia verò & illud ad aures ejus relatum eſt, quoſdam ſcilicet Eccleſiæ proceres eximios præteriri, quum electiones fiunt, eiſque præferri nonnullos, tam ætate quàm meliori vitæ conditione inferiores, quique non magnos
D pro Eccleſia labores ſuſtinuerunt, nec igitur illa quidem res ſacra pontificum Synodo digna viſa eſt. Quapropter omnibus religioſè pariter, & imperiali cum auctoritate mandat, ne ludant in minimè ludicris, nec affectui divinis in rebus indulgeant. Nam ubi anima verſatur in periculo, cujus alius rei potior habenda cura eſt? Illos autem præferant aliis, & honore ſuffragiorum dignentur, quos, unà cum doctrinâ, inculpata vita ornat: aut in quibus ſi doctrina fortè vacillet, longi temporis uſus, & multi pro Eccleſia labores exantlati, quod deeſt, ſupplent. Sic enim ſuffragiis ſuis rectè ſtatuent, & à Deo ſuæ ad animæ condemnationem ſuffragia tuliſſe non arguentur.

E

Zonar. Ordinis quidem ubique rationem haberi neceſſe eſt, ſed ab iis maxime hominibus, qui ſacris ordinibus initiati ſacrorum procuratione funguntur. Rem igitur in qua ordinis vitio peccabatur, hic Canon emendavit. Quòd enim Diaconi ſacerdotibus Euchariſtiam miniſtrarent, eoſque vel Epiſcopum quoque in ejus ſumptione præverterent, id verò non ſine ordinis perturbatione eveniebat. Proinde ut abſtineant, ac ſuo ſinguli ſe pede metiantur, in poſterum monet. Et ut ſciant Diaconi ſe Epiſcoporum eſſe in ſacris miniſtros, ab ipſo nomine hoc edocti; & quod major eſt Presbyterorum quam
F Diaconorum dignitas. Quo jure igitur humiliores honeſterioribus, & offerentibus, qui nulla ejuſmodi poteſtate præditi ſunt, Euchariſtiam præbeant. Vt enim magnus Apoſtolus ait, Sine ulla contradictione, quod minus eſt, à meliore benedicitur. Vt ergo Presbyteri primum, deinde Diaconi, Presbytero ipſis, aut Epiſcopo ſacroſanctum Domini corpus, & ſanguinem miniſtrante communicent, ſancta Synodus edicit. Medium verò & locum in ſacerdotum conceſſu uſurpare Diaconos vetat, quod ea res, & canonum ſanctionibus, & ordini adverſetur. Qui verò non paruerint, à ſacro miniſterio removeri jubet.

ARIST. *Diaconi intra proprios ſuos terminos maneant. Et nec Euchariſtiam Presbyteris miniſtrent, nec eam priùs tangant, neque inter Presbyteros ſedeant. Eſt enim contra Canonem & decentem ordinem, ſiquid iſtiuſmodi factum ſit.*

Hic præſens Canon indecorum fortaſſe aliquid & inordinatum inveniens in nonnullis factum civitatibus, illud emendat; & decernit ne quiſpiam Diaconorum Presbyteris divinam miniſtret communionem, neque illam ante eos tangat, ſed ut ii poſt Presbyteros hanc Euchariſtiam accipiant, vel ab Epiſcopo vel Presbytero, neque in medio Presbyterorum iſti ſedeant: ne ſupra eos inveniantur ſedentes.

CANON XIX.

De paulianiſtis, qui deinde ad Catholicam Eccleſiam confugerunt, ſtatutum eſt, ut ii omnino rebaptizentur. Si qui verò tempore præterito in Clericorum numero erant, ſiquidem à culpa & reprehenſione alieni viſi fuerint, rebaptizati ordinentur à catholicæ Eccleſiæ Epiſcopo. Si verò examinatio eos non eſſe aptos deprehendit, deponi eos oportet. Similiter autem & Diaconiſſis, & omnino de omnibus qui inter Clericos annumerantur, eadem forma ſervabitur. Diaconiſſarum autem meminimus, quæ in habitu quidem cenſentur, quoniam nec ullam habent manuum impoſitionem, ut omnino inter laicos ipſæ connumerentur.

BALS. Paulianiſtæ dicuntur Pauliciani. Editum eſt ergo à ſanctis patribus decretum, ſive Canon, & forma, ut ipſi rebaptizentur. Addit autem: quoniam nonnulli eorum, ut eſt veriſimile, per ignorantiam in Clerum ordinati ſunt, debet Epiſcopus eos rebaptizare, & tunc de eorum vitæ degendæ ratione poſt baptiſmum inquirere: &, ſi inculpatos invenerit, ſacerdotio quoque dignos judicare: ſin minùs, eos & ab ordinatione, quæ fuit ante baptiſmum, removere. Eadem autem in diaconiſſas quoque fiant. De diaconiſſis autem res ita ſe habet: Virgines aliquando ad Eccleſiam accedebant, & Epiſcopi ſuaſione ſervabantur, ut Deo dedicatæ, ſed cum amictu laico. Id enim eſt, eas in habitu cenſeri. Cùm autem xl. annorum ætatis eſſent, diaconiſſarum quoque ordinationem recipiebant, ſi omnino dignæ invenirentur. Si quæ ergo & ex iſtis, inquit, Paulianiſſæ erant, fiet & in his quod in maſculis ſuperiùs ſtatutum eſt. Quære & Carthaginen. Syn. Can. vi. & xliiii. Hæc cùm Canon ſtatuerit, dixerit quiſpiam, cùm quæ ante baptiſmum facta eſt ordinatio, ut ne facta quidem reputatur (Propterea enim Paulianiſtam poſt baptiſmum ordinari cautum eſt) quomodo dicit Canon eum poſt examinationem deponendum, ſi indignus inveniatur qui ordinetur? Solutio. Depoſitionis nomen hîc abuſivè pro expulſione acceptum eſt. Ante baptiſmum enim in clericatum ordinatio, clericatum non tribuit. Si autem nolis hoc dicere, ſtatue verba depoſitionis non accipi de ordinatione quæ fuit ante baptiſmum ſed de ea quæ fuit poſt baptiſmum. Deponetur enim, inquiunt partes, & qui poſt illuminationem indignè ordinatus eſt, ut vult univerſalis Canon, qui eos, qui poſt ordinationem peccant, deponit. De Paulianiſtis autem aliquando quæſitum eſt, quinam eſſent: & alii quidem alia dixerunt: Ego autem in diverſis libris inveni, quòd Manichæi Pauliciani dicti ſunt, à quodam Paulo Samoſateno mulieris Manichææ filio, cui nomen erat Callinice. Samoſatenus autem appellatus eſt, ut qui Samoſatenorum Epiſcopus nominatus fuit. Is prædicavit unum eſſe Deum, qui & pater & filius & ſanctus ſpiritus idem dicitur. Unus enim, inquit, eſt Deus, & filius ipſius in ipſo, quemadmodum in

A ΑΡΙΣΤ. Οἱ διάκονοι ἐν τοῖς ἰδίοις μέτροις μενέτωσαν· καὶ μήτε διδότωσαν εὐχαριστίαν τοῖς πρεσβυτέροις, μήτε πρότερον ταύτης ἁπτέσθωσαν, μηδὲ μέσον πρεσβυτέρων καθεζέσθωσαν· παρὰ κανόνα γὰρ καὶ ἀταξίαν ἐστίν, εἴ τι τοιοῦτον γίνηται.

Ὁ παρὼν κανὼν ἀπρεπές ἴσως τι καὶ ἄτακτον εὑρὼν ἔν τισι γινόμενον πόλεσι, διορθοῦται· καὶ διορίζεται, μή τινα τῶν διακόνων τοῖς πρεσβυτέροις ἐπιδιδόναι τὴν θείαν μετάληψιν, μήτε πρώτους αὐτοὺς ταύτης ἅπτεσθαι, ἀλλὰ μετὰ τοὺς πρεσβυτέρους τὴν εὐχαριστίαν ταύτην λαμβάνειν αὐτοὺς, ἢ παρὰ τοῦ Ἐπισκόπου, B ἢ παρὰ πρεσβυτέρου· μηδὲ μεταξὺ πρεσβυτέρων αὐτοὺς καθέζεσθαι· ἵνα μὴ καθήμενοι ἄνωθεν τούτων εὑρίσκωνται.

ΚΑΝΩΝ ιθʹ.

Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. εἰ δέ τινες τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς ἐκκλησίας Ἐπισκόπου. εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκοι, καθαιρεῖσθαι αὐτοὺς προσήκει. C ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν, καὶ ὅλως περὶ τῶν ἐν τῷ κλήρῳ ἐξεταζομένων ὁ αὐτὸς τύπος παραφυλαχθήσεται. ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μηδὲ χειροθεσίαν τινὰ ἔχουσι, ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

ΒΑΛΣ. Παυλιανισταὶ λέγονται, οἱ Παυλικιανοί. ἐκτέθειται γοῦν παρὰ τῶν ἁγίων πατέρων ὅρος, ἤτοι κανὼν, καὶ τύπος, ἀναβαπτίζεσθαι αὐτούς. ἐπάγει δὲ, ὡς ἐπεὶ τῶν εἰκότων ἐστὶ τινὰς ἐκ τούτων κατὰ ἄγνοιαν κληρωθῆναι, ὀφείλει ὁ Ἐπίσκοπος ἀναβαπτίζειν τούτους, καὶ ἔκτοτε πολυπραγμονεῖν D τὴν μετὰ τὸ βάπτισμα διαγωγὴν αὐτῶν· καὶ εἰ εὑρήσει ἀνεπιλήπτους, καὶ ἱερωσύνης ἀξιοῦν· εἰ δὲ μή, καὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας ἀπαλλοτριοῦν. τὰ αὐτὰ δὲ γινέσθωσαν καὶ εἰς τὰς διακονίσσας. τοιοῦτον δέ ἐστι τὸ τῶν διακονισσῶν· παρθένοι ποτὲ προσήρχοντο τῇ ἐκκλησίᾳ, καὶ κατὰ προτροπὴν τοῦ Ἐπισκόπου ἐφυλάττοντο, ὡς ἀνατεθειμέναι τῷ Θεῷ, πλὴν μετὰ σχήματος λαϊκοῦ. τοῦτο γάρ ἐστι τὸ ἐξετάζεσθαι αὐτὰς ἐν τῷ σχήματι. τεσσαρακονταετοῦς δὲ ἡλικίας γινόμεναι, ἠξιοῦντο καὶ χειροτονίας διακονισσῶν, εὑρισκόμεναι πάντως ἄξιαι. εἰ γοῦν καὶ τινὲς ἐκ τούτων φησὶ παυλιανίσσαι ἔτυχον, γενήσεται καὶ ἐπ' αὐταῖς, ἅπερ καὶ ἐπὶ τοῖς ἄρρεσιν ὡρίσθη ἄνωθεν. ζήτει τῆς ἐν E Καρθαγένῃ συνόδου κανόνας ϛʹ. καὶ μδʹ. ταῦτα τοῦ κανόνος διορισαμένου, εἴπῃ τις ὡς ἐπεὶ ἡ πρὸ τοῦ βαπτίσματος χειροτονία ὡς μηδὲ γινομένη λογίζεται (διὰ γὰρ τοῦτο ὡρίσθη τὸν Παυλιανισάντα χειροτονεῖσθαι μετὰ τὸ βάπτισμα·) πῶς φησὶν ὁ κανὼν καθαιρεῖσθαι αὐτὸν μετὰ ἐξέτασιν, ἀνάξιον τοῦ χειροτονηθῆναι εὑρισκόμενον; λύσις. καταχρηστικῶς ἐνταῦθα παρελήφθη τὸ τῆς καθαιρέσεως ῥῆμα, ἀντὶ τῆς ἐξωθήσεως. ἡ γὰρ πρὸ τοῦ βαπτίσματος κλήρωσις, οὐκ ἔστι κλήρωσις. εἰ δὲ μὴ οὕτω θέλῃς εἰπεῖν, θεμάτισον τὰ ῥήματα τῆς καθαιρέσεως, μὴ ἐκλαμβάνεσθαι περὶ τῆς πρὸ τοῦ βαπτίσματος χειροτονίας, ἀλλὰ περὶ τῆς μετὰ τὸ βάπτισμα. καθαιρεθήσεται γὰρ, F φασὶν οἱ πατέρες, καὶ ὁ μετὰ τὸ φώτισμα ἀναξίως χειροτονηθεὶς, κατὰ τὸν καθολικὸν κανόνα τὸν καθαιροῦντα τοὺς μετὰ τὴν χειροτονίαν ἁμαρτάνοντας. περὶ δὲ τῶν Παυλιανισάντων, ἐρώτησις γέγονε, τίνες εἰσί. καὶ ἄλλοι μὲν ἄλλα εἶπον. ἐγὼ δὲ εὗρον ἐν διαφόροις βιβλίοις ὅτι Παυλικιανοὶ οἱ Μανιχαῖοι μετωνομάσθησαν, ἀπὸ Παύλου τινὸς Σαμοσατέως, υἱοῦ γυναικὸς Μανιχαίας, Καλλινίκης τοὔνομα. Σαμοσατεὺς δὲ ἐκλήθη ὡς χρηματίσας Ἐπίσκοπος Σαμοσατέων. οὗτος ἐκήρυξεν ἕνα θεὸν εἶναι πατέρα, καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τὸν αὐτὸν λεγόμενον. εἷς γὰρ, φησὶν, ἐστὶ θεὸς, καὶ ὁ υἱὸς

αὐτοῦ

A αὐτοῦ ἐν αὐτῷ, ὡς ὁ λόγος ἐν ἀνθρώπῳ. αὐτὸς δὲ ὁ λόγος ἐλθὼν ἐπὶ τῆς γῆς, ᾤκησεν ἀνθρώπῳ Ἰησοῦ καλουμένῳ, καὶ τὴν οἰκονομίαν πληρώσας, ἀνῆλθε πρὸς τὸν πατέρα. ὁ δὲ Ἰησοῦς οὗτος κάτωθεν ἐστὶν Ἰησοῦς Χριστὸς, ὡς ἀπὸ Μαρίας ἀρξάμενος. τοῦτον καθεῖλεν ἐν Ἀντιοχείᾳ ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς καὶ ἄλλοι τινές. ἔτι ἀμφιβολία ἐστὶ περὶ τοῦ εἰ ὀφείλουσιν οἱ ἀπὸ ὀρθοδόξων Χριστιανῶν Παυλιανίσαντες, ἀναβαπτίζεσθαι. καὶ τινὲς μὲν λέγουσιν ὡς ἐκείνους ὁ κανὼν ἀναβαπτίζεται, τοὺς ἐκ γενετῆς Παυλικιανοὺς, οὐ μὴν τοὺς ἀπὸ ὀρθοδόξων τὴν αἵρεσιν τῶν Παυλικιανῶν ἀναδεξαμένους. τούτους γὰρ ὑπὸ μύρου καὶ μόνου ἁγιάζεσθαι χρή. καὶ εἰς πίστωσιν τοῦ B λόγου αὐτῶν, παράγουσι πολλοὺς Μουσουλμανίσαντας ἑκόντι, καὶ μὴ ἀναβαπτισθέντας, ἀλλὰ μυρωθέντας μόνον. ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα ταῦτα διορίζεσθαι μᾶλλον περὶ τῶν ἀπὸ ὀρθοδόξων εἰς αἵρεσιν Παυλικιανῶν παραπεσόντων, καὶ βάπτισμα δεξαμένων θρησκείας μυσαρᾶς· καὶ τοῦτο εἶναι κυρίως Παυλιανισμὸν οὐ μόνον τὸ εἶναι τινὰ ἄρχηθεν Παυλικιανόν. διὸ καὶ κατὰ τὸν παρόντα κανόνα ὀφείλουσιν ἀναβαπτίζεσθαι οἱ τοιοῦτοι. ἀλλὰ καὶ τὸ ῥῆμα τοῦ ἀναβαπτισμοῦ, οὐ μικρῶς συμβάλλεται πρὸς τὸ λεγόμενον. ζήτει καὶ τὸν μζ΄. ἀποστολικὸν κανόνα λέγοντα καθαιρεῖσθαι τὸν Ἐπίσκοπον καὶ τὸν πρεσβύτερον τὸν δὶς βαπτίζοντα ὁντινα πιστὸν, καὶ τὸν μὴ C βαπτίζοντα τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν. ἀνάγνωθι καὶ τὴν τοῦ αὐτοῦ κανόνος ἑρμηνείαν, καὶ τὸν ζ΄. κανόνα τῆς β΄. συνόδου.

A homine ratio vel ſermo. Ipſa autem ratio, cùm in terram veniſſet, habitavit in homine qui dicebatur Jeſus, œconomiáque completa, aſcendit ad patrem. Hic autem Jeſus, ex inferioribus regionibus eſt Jeſus Chriſtus, ut qui à Maria cœperit. Eum Antiochiæ depoſuerunt ſanctus Gregorius Thaumaturgus, & alii quidam. Rurſus dubitatur an Chriſtiani qui ex orthodoxis ad Pauliániſtas defecerunt, rurſus debeant baptizari. Et nonnulli quidem dicunt, quòd eos ſolos jubet Canon rebaptizari, qui à nativitate Pauliciani fuerint, non autem eos qui ex orthodoxis Paulicianorum hæreſin ſuſceperint. Eos enim vel ſola unctione ſanctificari oportet: & ad B ſuam rationem confirmandam afferunt, quod multi qui ſua ſponte Muſulmaniſtæ fuerant, rebaptizati non fuerint, ſed tantùm unguento delibuti, Mihi autem videtur hic Canon magis ſtatuere de iis qui ex orthodoxis in Paulicianorum hæreſin ceciderunt, & execrandæ ſuperſtitionis baptiſmum ſuſceperunt: & hoc eſſe propriè Pauliániſmum, non ſolum eſſe aliquem à principio Paulicianum. Et ideo ex ſententia hujus Canonis, debent qui tales ſunt, rebaptizari. Sed & rebaptizationis verbum non parum confert ad id quòd hîc dicitur. Quære & xlvii. Canonem Apoſtolicum, dicentem deponendum Epiſcopum & Presbyterum, qui quemcunque fidelem C bis baptizat, & eum non baptizat, qui ab impiis eſt inquinatus. Lege & ejuſdem Canonis interpretationem, & vii. Can. ii. Synodi.

ΖΩΝΑΡ. Τοὺς τῆς αἱρέσεως τῶν Παυλικιάνων προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ ἀναβαπτίζεσθαι ὁ κανὼν προστάσσει. ὅρος γὰρ ὁ τύπος καὶ ὁ κανὼν λέγεται. εἰ δέ τινες τούτων ἐν κλήρῳ ἔτυχον τετάχθαι, ἀγνοησάντων ἴσως τὴν αἵρεσιν αὐτῶν τῶν χειροτονησάντων αὐτοὺς, τοὺς τοιούτους μετὰ τὸ ἀναβαπτισθῆναι ἐξετάζεσθαι διορίζεται, καὶ διακρίνεσθαι τὸν βίον αὐτῶν τὸν μετὰ τὸ βάπτισμα, καὶ εἰ εὑρεθεῖεν ἄμεμπτοι καὶ ἀνεπίληπτοι, χειροτονεῖσθαι ὑπὸ τοῦ Ἐπισκόπου τῆς ἐκκλη-D σίας ᾗ προσῆλθον. ἡ γὰρ προτέρα χειροτονία, ἡ αἱρετικῶν ὄντων αὐτῶν γινομένη, οὐδὲ χειροτονία λογίζεται. πῶς γὰρ ὁ μὴ κατὰ τὴν ὀρθόδοξον πίστιν βεβαπτισμένος πνεύματος ἁγίου ἐπιφοίτησιν ἐν τῇ χειροτονίᾳ δέξασθαι πιστευθήσεται; εἰ δὲ ἀνακρινόμενοι ἀνεπιτήδειοι πρὸς χειροτονίαν εὑρίσκοντο, καθαιρεῖσθαι αὐτοὺς κελεύει ἡ σύνοδος. τὸ δὲ τῆς καθαιρέσεως ὄνομα ἐνταῦθα καταχρηστικῶς οἶμαι κεῖσθαι. καθαιρεῖται γὰρ ὁ κυρίως χειροτονίαν δεξάμενος, καὶ εἰς ὕψος ἱερωσύνης ἀρθείς, ὁ δὲ τὴν ἀρχὴν μὴ χειροτονηθεὶς ἀληθῶς, πῶς ἤ, πόθεν καὶ ἀπὸ ὕψους ποίου καθαιρεθήσεται; ἀντὶ γοῦν τοῦ εἰπεῖν ἐξωθήσεται τοῦ κλήρου τέθειται κατὰ παρά-E χρησιν τὸ καθαιρεθήσεται. τὰ αὐτὰ δὲ καὶ περὶ διακονισσῶν καὶ τῶν ἁπλῶς ἐν κλήρῳ τεταγμένων διετυπώσατο, ὁ κανών. τὸ δέ, ἐμνήσθημεν δὲ διακονισσῶν τῶν ἐν σχήματι ἐξετασθεισῶν καὶ τὰ λοιπά, τοιοῦτόν ἐστι. παρθένοι τὸ παλαιὸν προσήγοντο τῷ θεῷ ἁγνεύειν ὁμολογοῦσαι, ἃς οἱ Ἐπίσκοποι καθιέρουν κατὰ τὸν ϛ΄. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τῆς τούτων ἐφρόντιζον φυλακῆς κατὰ τὸν μζ΄. κανόνα τῆς αὐτῆς συνόδου, ἐξ ὧν δὴ παρθένων καὶ διακόνισσαι ἐχειροτονοῦντο κατὰ τὸν καιρὸν τὸν προσήκοντα, ἤγουν ὅτε ἐτῶν ἐγένοντο μ΄. αἱ δὲ τοιαῦται καί τι σχῆμα ἐνεδύοντο παρὰ τῶν Ἐπισκόπων ἐν τῷ κέ. ἐνιαυτῷ τῆς ἡλικίας αὐτῶν κατὰ τὸν ρμ΄. κανόνα τῆς εἰρη-F μένης συνόδου. τοιαύτας οὖν παρθένους ἡ σύνοδος αὕτη καλεῖ διακονίσσας ἐν τῷ σχήματι ἐξετασθείσας, χειροθεσίαν δὲ μὴ ἐχούσας, ἃς καὶ ἐν τοῖς λαϊκοῖς ἐξετάζεσθαι κελεύει, ὅτε ὁμολογήσουσι τὴν αἵρεσιν αὐτῶν, καὶ ἀπόσχωνται αὐτῆς.

Zonar. Eos qui ex Paulicianorum hæreſi ad Catholicam Eccleſiam accedunt, rebaptizari hic Canon ſtatuit. Definitionis enim nomine, forma, decretúmque intelligitur. Quod ſi qui ex eo numero ab iis, qui illos hæreticos eſſe ignorarent, Clero fortè aſcripti ſunt, eos poſt alterum baptiſmum examinari, & qualis eorum vita poſt baptiſmum fuerit explicari jubet; ac ſi quidem criminis ſuſpicione, omnique reprehenſione vacare inventi D ſint, ab illius Eccleſiæ Antiſtite, in quam dedere nomen, ordinibus inſigniri. Prior enim ordinatio, quâ dum hæreſi tenerentur, initiati fuerint, Ordinatio non reputatur. Quomodo enim is, qui ritu ab orthodoxâ fide alieno baptizatus, eſt manuum impoſitione ſpiritum ſanctum accepiſſe credetur? Sin examinati ad ordinationem minus idonei judicentur, deponendos eſſe Synodus decernit. Verum depoſitionis nomen hoc loco impropriè uſurpatum eſſe arbitror. Deponitur enim qui proprie ordinatus & ad ſacri honoris faſtigium evectus fuit. Qui verò in principio non verè ordinatus fuit, quo pacto iſte, aut unde, aut ex quo honoris gradu deturbari queat? E Ejiciendos itaque homines à Clero, depoſitionis vocabulo minus propriè adhibito Synodus indicavit. Eadem verò etiam in diaconiſſis, ac denique omnibus in Clerum receptis Canon ſervanda eſſe conſtituit. Illud vero, Diaconiſſarum autem meminimus, quæ in habitu cenſentur, & quæ ſequuntur, eſt ejuſmodi. Virgines olim Deo dicatæ erant caſtimoniam profeſſæ, quas Epiſcopi conſecrabant, ex Synodi Carthaginienſis Canone ſexto, earundémque cuſtodiæ curam gerebant, ex ejuſdem Synodi xlvii. Canone. Ex earum virginum numero opportuno tempore, cum videlicet xl. annum impleviſſent, diaconiſſæ ordinabantur. Verum hæ mulieres, xxv. ætatis an-F no certum quendam habitum ab Epiſcopis accipiebant, ut cxl. allatæ Synodi Canone videre eſt. Hujuſmodi ergo virgines, diaconiſſarum nomine, quæ habitu cenſerentur, manuum verò impoſitione ſacratæ non eſſent, ſynodus intelligit, ac hæreſim ſuam confitentes, ab eaque ſe abſtinentes, inter Laicos adnumerandas eſſe decernit.

ΑΡΙΣΤ. Οἱ Παυλιανισταὶ ἀναβαπτίζονται. καὶ εἴ τινες κληρικοὶ ἄμεμπτοι δείκνυνται, ἀναβαπτισθέντες χειροτονείσθωσαν. εἰ δὲ μὴ ἄμεμπτοι δείκνυνται, καθαιρείσθωσαν.

Arist. *Pauliániſtæ rebaptizantur: & ſi qui Clerici irreprehenſibiles videntur, rebaptizati ordinentur. Si vero non videntur irreprehenſibiles, deponantur. Diaconiſſæ*

UMI

niſſæ autem ſeductæ, ut ordinationis non participes, inter laicos recenſeantur.

Qui à Paulianiſtarum veniunt hæreſi, rebaptizantur, & ſi aliqui eorum Clerici apud Paulianiſtas munere functi ſunt, ſi inculpatam agant vitam, à Catholicæ Eccleſiæ Epiſcopo ordinantur: qui indigni autem deprehenduntur, deponuntur. Diaconiſſæ autem eorum, quoniam nullam habuerunt manuum impoſitionem, ſi ad Catholicam veniant Eccleſiam & baptizentur, inter laicos collocantur. Paulianiſtæ autem ſunt qui à Paulo Samoſatano deſcendunt, qui humilia de Chriſto ſenſit, dixitque eum communem eſſe hominem, & originem à Mariâ ſumpſiſſe.

CANON XX.

Quoniam ſunt quidam, qui in die dominico genu flectunt, & ipſis diebus Pentecoſtes: ut omnia ſimiliter in omni parochia ſerventur, viſum eſt ſanctæ ſynodo, ſtantes, Deo orationes effundant.

BALS. Apoſtolicus lxvi. Canon, eum qui quovis die dominico, vel quovis ſubbato, præter unum & ſolum ſabbatum, ſcilicet magnum, jejunat, ſi ſit quidem Clericus, deponi; ſi verò laicus, ſegregari jubet: Præſens autem Canon, in omni dominico, & omnibus Pentecoſtes diebus feriari, & omnes ſtantes orare decernit, ut qui cum Chriſto conſurrexerimus, & ſupernam habitationem quæramus. Quæſitum eſt autem & ex dicto Apoſtolico Canone, qui nos non jejunare ſtatuit quovis ſabbato vel quovis dominico, & ex præſenti Canone, ſtatuente non oportere nos genu flectere in dominico, & per totam Pentecoſten: nunquid apparet non debere nos jejunare, ſed jejunium ſolvere in omnibus diebus hebdomadis, ut in dominico. Et nonnulli quidem dixerunt totam Pentecoſten ut unum diem dominicum exiſtimari, & debere nos propterea diem feſtum agere, & neque jejunare, nec genu flectere. Mihi autem placet Canones in iis vim ſuam obtinere in quibus emiſſi ſunt.

ZONAR. Non eſſe Dominicis, aut Pentecoſtes diebus in genua procumbendum, cum aliorum Patrum, tum magni quoque Baſilii præcepto admonemur; à quo etiam, cur id vetitum, ac ſtantibus per eos dies orare permiſſum, ſuis quidque rationum momentis explicatur. Quæ quidem ſunt Primo ut cum Chriſto ſurgendnm, ac ea quæ ſurſum ſunt quærenda nobis eſſe meminerimus: Deinde quod futuræ vitæ quam expectamus, Dominica dies imago exiſtat, cum ipſa una ſit & octava, ſicut & à Moſe in ea hiſtoria, qua rerum creationem perſequitur, una non prima fuerit nuncupata; unamque illam, & vere octavam, carentémque occaſu diem, ævum videlicet ſempiternum quod futurum eſt, referat. Proinde ut alumnos ſuos Eccleſia ad ejus diei memoriam ſæpius uſurpandam, morêſque ad illam conformandos erudiret, ut ſtantes precaremur, edixit; ut ſupernam aſpicientes hæreditatem, ipſam perpetuo contemplemur. Morem hunc igitur, genua, commemoratis diebus haud flectendi, ubique non obſervatum, hic Canon omnibus locis retineri jubet.

ARIST. *Dominicis & Pentecoſtes diebus non oportet genu flectere, ſed crectos homines orare.*

In dominicis & Pentecoſtes diebus non genu flectere, ſed ſtantes deo preces fundere oportet.

A αἱ δὲ διακόνισσαι ἐξαπατηθεῖσαι, ἐπεὶ μὴ χειροτονίας μετέχουσιν, ἐν τοῖς λαϊκοῖς ἐξεταζέσθωσαν.

Οἱ ἐκ τῆς τῶν Παυλιανιστῶν αἱρέσεως μετελθόντες, ἀναβαπτίζονται· καὶ εἴ τινες αὐτῶν ὡς κληρικοὶ ἐνήργουν παρὰ τοῖς Παυλιανισταῖς ἐὰν τὸν βίον ἄμεμπτον ἔχωσιν, ὑπὸ τοῦ τῆς καθολικῆς ἐκκλησίας Ἐπισκόπου χειροτονοῦνται· οἱ δὲ ἀνάξιοι εὑρίσκονται, καθαιροῦνται. αἱ δὲ διακόνισσαι αὐτῶν, ἐπεὶ μή τινα ἔχουσι χειροθεσίαν, ἐὰν τῇ καθολικῇ προσέλθωσιν ἐκκλησίᾳ, καὶ βαπτισθῶσι, μετὰ τῶν λαϊκῶν συντάττονται. Παυλιανισταὶ δέ εἰσιν, οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως καταγόμενοι, τοῦ ταπεινὰ περὶ τοῦ Χριστοῦ φρονήσαντος, B καὶ κοινὸν ἄνθρωπον αὐτὸν δογματίσαντος, καὶ τὴν ἀρχὴν ἀπὸ Μαρίας εἰληφότα.

ΚΑΝΩΝ κʹ.

Ἐπειδή τινές εἰσιν ἐν τῇ κυριακῇ, γόνυ κλίνοντες, καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις· ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παροικίᾳ ὁμοίως παραφυλάττεσθαι, ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς ξϛʹ. κανὼν τὸν νηστεύοντα καθ' οἱανδήτινα κυριακὴν, ἢ οἱονδήποτοῦν σάββατον, πλὴν C ἑνὸς καὶ μόνου σαββάτου, τοῦ μεγάλου δηλαδὴ, φησὶ κληρικὸν μὲν ὄντα καθαιρεῖσθαι, λαϊκὸν δὲ ἀφορίζεσθαι. ὁ δὲ παρὼν κανὼν διορίζεται κατὰ πᾶσαν κυριακὴν, καὶ ἐν πάσαις ταῖς τῆς πεντηκοστῆς ἡμέραις, πανηγυρίζειν, καὶ ἑστῶτας πάντας εὔχεσθαι, ὡς συναναστάντας τῷ Χριστῷ, καὶ τὴν ἄνω ζητοῦντας κατοικίαν. ἐζητήθη δὲ μή ποτε ἀπὸ τοῦ ῥηθέντος ἀποστολικοῦ κανόνος, τοῦ διοριζομένου μὴ νηστεύειν ἡμᾶς καθ' οἱονδήποτε σάββατον, ἢ καθ' οἱανδήτινα κυριακὴν, καὶ ἀπὸ τοῦ παρόντος κανόνος, τοῦ διοριζομένου μὴ κλίνειν ἡμᾶς γόνυ ἐν κυριακῇ, καὶ δι' ὅλης τῆς πεντηκοστῆς, ἀναφαίνεται καὶ τὸ μὴ ὀφείλειν ἡμᾶς νηστεύειν δι' ὅλης τῆς πεντηκοστῆς, ἀλλὰ κα- D ταλύειν ἐν πάσαις ταῖς ἡμέραις τῆς ἑβδομάδος, ὥσπερ καὶ ἐν τῇ κυριακῇ. καὶ τινὲς μὲν εἶπον ὡς μίαν ἡμέραν κυριώνυμον λογίζεσθαι τὴν ὅλην πεντηκοστὴν, καὶ ὀφείλειν ἡμᾶς διὰ τοῦτο πανηγυρίζειν, καὶ μήτε νηστεύειν μήτε γόνυ κάμπτειν. ἐμοὶ δὲ ἀρέσκει τοὺς κανόνας κρατεῖν ἐφ' ὧν ἐξεφωνήθησαν.

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν κυριακῇ, καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, καὶ ἄλλοις πατράσιν ἱεροῖς διατέτακται, καὶ τῷ μεγάλῳ δὲ Βασιλείῳ, ὃς καὶ τοὺς λόγους προστίθησι δι' οὓς ἀπηγόρευται τὸ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις, ἑστῶτας δὲ προσεύχεσθαι ἐπιτέτραπται, οἵ τινές εἰσι· τὸ συναναστῆναι ἡμᾶς τῷ Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλειν· E καὶ ὅτι τοῦ προσδοκωμένου αἰῶνος εἰκών ἐστιν ἡ κυριακὴ, ἡ αὐτὴ μία οὖσα καὶ ὀγδόη, ὡς καὶ παρὰ τοῦ Μωσέως ἐν τῇ κοσμογενείᾳ, μία καὶ οὐχὶ πρώτη ὀνομασθεῖσα, καὶ τὴν μίαν οὕτως καὶ ἀληθινὴν ὀγδόην ἐκείνην τυποῦσα, τὴν ἀνέσπερον ἡμέραν, τὸν ἄληκτον ἐκεῖνον αἰῶνα τὸν μέλλοντα. διὸ ῥυθμίζουσα τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία τῆς ἡμέρας ἐκείνης μεμνῆσθαι, καὶ πρὸς ἐκείνην προετοιμάζεσθαι, ἑστῶτας διετάξατο εὔχεσθαι· ἵνα πρὸς τὴν ἄνω λῆξιν ὁρῶντες διηνεκῶς αὐτὴν φανταζώμεθα. τοῦτο γοῦν τὸ μὴ κλίνειν γόνυ ἐν ταῖς ῥηθείσαις ἡμέραις οὐ πανταχοῦ παραφυλαττόμενον ὁ παρὼν κανὼν τηρεῖσθαι παρὰ πάντων θεσμοθετεῖ.

F

ΑΡΙΣΤ. Ἐν ταῖς κυριακαῖς, καὶ ταῖς τῆς πεντηκοστῆς ἡμέραις, οὐ δέον κλίνειν γόνυ, ἀλλ' ὀρθίους εὔχεσθαι τοὺς ἀνθρώπους.

Οὐ δέον κλίνειν γόνυ ἐν ταῖς κυριακαῖς, καὶ ἐν ταῖς ἡμέραις τῆς πεντηκοστῆς, ἀλλ' ἑστῶτας τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

A

ΚΑΝΟΝΕΣ ζ'.

Τῆς ἐν Κωνσταντινουπόλει δευτέρας Οἰκουμενικῆς Συνόδου.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος γέγονεν ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα ἁγίων πατέρων συνελθόντων κατὰ τῶν πνευματομάχων, οἵτινες ἐξέθεντο καὶ τοὺς ὑποτεταγμένους κανόνας.

ΚΑΝΩΝ α'.

Ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες ἅγιοι πατέρες μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων τῶν τριακοσίων δεκαοκτὼ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων. ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ εἰδικῶς τὴν τῶν Εὐνομιανῶν, εἴτ' οὖν Εὐδοξιανῶν, καὶ τὴν τῶν Ημιαρείων, εἴτ' οὖν Πνευματομάχων, καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ τὴν τῶν Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν Ἀπολιναριανῶν.

ΒΑΛΣ. Ἡ παροῦσα ἁγία δευτέρα Σύνοδος συγκεκρότηται κατὰ Μακεδονίου, καὶ τῶν ὁμοδόξων ἐκείνῳ, κτίσμα τὸ ἅγιον πνεῦμα δογματιζόντων, καὶ οὐ Θεὸν οὐδ' ὁμοούσιον Υἱῷ καὶ Πατρὶ, οὓς ὁ παρὼν κανὼν ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. οἱ μὲν γὰρ καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα κτίσμα καὶ ἑτεροούσιον τῷ Πατρὶ ἐδογμάτιζον. οἱ δὲ πνευματομάχοι περὶ μὲν τοῦ υἱοῦ ὑγιῶς ἐφρόνουν, τὸ δὲ ἅγιον πνεῦμα κτιστὸν καὶ ἀλλότριον τῆς θεότητος ἐβλασφήμουν. ἐκαλοῦντο δὲ ἡμιάρειοι, καὶ οἵτινες μὲν κτίσμα μὲν καὶ αὐτοὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα ἔλεγον. ἐπῆγον δὲ ὅτι οὐχ ὁμοίως τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτὸν, ἕτερον δὲ καί τινα τρόπον. καὶ τοῦτο φαμὲν, ἵνα μὴ πάθος τῷ Πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἳ οὐχ ὁμοούσιον μὲν, ὁμοιούσιον δὲ τῷ Πατρὶ τὸν λόγον καὶ τὸ πνεῦμα ἐδογμάτιζον. ἐκύρωσε δὲ ἡ δευτέρα αὕτη Σύνοδος διὰ τοῦ παρόντος κανόνος, καὶ τὴν παρὰ τῶν ἐν Νικαίᾳ πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν, καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τὴν τῶν Εὐνομιανῶν. ὁ δὲ Εὐνόμιος Γαλάτης ὢν, καὶ Κυζίκου Ἐπίσκοπος ἐχρημάτιζε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέντοι καὶ πλείω χείρονα. τρεπτὸν γὰρ καὶ δοῦλον καὶ πάντα ἀνόμοιον τῷ Πατρὶ τὸν υἱὸν ἐδογμάτιζεν. ὃς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους, ἀνεβάπτιζε, κατὰ κεφαλὴν αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, ἐφλυάρει μὴ ἀληθῶς εἶναι, δι' ἐκφόβησιν δὲ μόνην ἀπειληθῆναι. ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ, ὃς Κωνσταντινουπόλεως γεγονὼς Ἐπίσκοπος τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν· οἳ καὶ ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν υἱὸν, καὶ τὸ πνεῦμα, μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν πατέρα. ἀναθεματίζεσθαι δὲ θεσπίζει καὶ τοὺς Σαβελλιανοὺς, οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως Ἐπίσκοπος γέγονε, συναλοιφὴν δογματίζων καὶ σύγχυσιν, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, καὶ ἓν πρεσβεύων ἐπὶ τῆς ἁγίας Τριάδος τριώνυμον πρόσωπον, λέγων τὸν αὐτὸν ποτὲ μὲν ὡς πατέρα φανῆναι, ποτὲ δὲ ὡς υἱὸν, ποτὲ δὲ ὡς ἅγιον πνεῦμα μεταμορφούμενον, καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. ὁμοίως δὲ ὑπὸ ἀνάθεμα τίθησι καὶ τὴν

CANONES VII.

Synodi Conſtantinopolitanæ Oecumenicæ ſecundæ.

Bals. & Zonar. Sancta & œcumenica ſecunda Synodus, Conſtantinopoli magno Theodoſio imperante celebrata eſt, cui quidem centum quinquaginta, contra nefarios Spiritus ſancti hoſtes convocati Patres interfuere, ac eos qui proxime ſequuntur, Canones edidere. B

Canon I.

Statuerunt, qui Conſtantinopoli convenerunt ſancti Patres, cccxviii. Patrum qui Nicææ convenerunt, fidem non abrogari, ſed firmam manere, & omnem hæreſin anathematizari: & ſpecialiter Eunomianorum ſeu Eudoxianorum, & ſemiarrianorum, ſive Spiritus ſancti adverſariorum, & Sabellianorum, & Marcellianorum, & Photianorum, & Apollinariſtarum.

C

Bals. Præſens ſancta ſecunda ſynodus congregata eſt adverſus Macedonium, & eos qui erant ejuſdem cujus ipſe ſententiæ, aſſerentes ſanctum ſpiritum eſſe creaturam & non Deum, nec Patri & Filio conſubſtantialem: quos præſens Canon Semiarrianos appellat, ut qui mediam partem hæreſis Arrianorum haberent. Hi enim & Filium & Spiritum, creaturam, & eſſe aliûs à patre ſubſtantiæ decernebant. Illi verò, Spiritus ſancti adverſarii, de Filio quidem rectè ſentiebant, Sanctum autem Spiritum & creatum, & à divinitate alienum blaſphemè aſſerebant. Appellabantur autem etiam Semiarriani, D qui quidem creaturam & ipſi Filium & Spiritum dicebant, ſed ſe ſentire inferebant eam non fieri eo modo quo reliquæ creaturæ ſed alio quodam modo: idque ne per generationem Patri aliquam affectionem ab eis attribui quis putaret, qui non ſubſtantialem quidem, ſed ſubſtantia ſimilem Patri verbum & Spiritum Sanctum decernebant. Confirmavit autem hæc ſecunda ſynodus, per præſentem Canonem & orthodoxam fidem, quæ à ſanctis patribus Nicææ edita eſt, & omnem hæreſin ſtatuit anathematizandam, præcipuè autem Eunomianorum. Eunomius enim cùm eſſet Galata, Cyzici dicebatur Epiſcopus, eadem quæ Arrius ſentiens, & multo etiam pejora. Mutabilem enim, & ſervum, & omnino E Patri diſſimilem Filium eſſe docebat. Qui etiam qui ſuæ opinioni aſſentiebantur, rebaptizabat, eos capite demergens, & eorum pedes ſurſum vertens, & inter baptizandum unam tantum demerſionem faciebat. Jam verò & futuram punitionem & gehennam verè non eſſe nugabatur, & ad terrorem tantùm, eorum eſſe minas intentatas. Appellabantur autem iidem & Eudoxiani à quodam Eudoxio Eunomio hæretico: qui cùm eſſet Conſtantinopolitanus Epiſcopus, Eunomium Cyzici pontificem conſtituit. Qui etiam Anomioi (i. e. Diſſimiles) nominabantur, quòd dicerent Filium & Spiritum nullam cum Patre, quod ad ſubſtantiam attinet, habere F ſimilitudinem. Anathematizari etiam jubet Sabellianos, qui quidem à Sabellio Libyco denominati ſunt, qui Ptolemaidis, quæ urbs eſt Pentapolis, fuit Epiſcopus; is coalitionem quandam ac commixtionem decernendo, tres hypoſtaſes unius eſſentiæ ac divinitatis in unam perſonam conjungebat ac confundebat, & pro ſancta Trinitate unam trium nominum perſonam ſtatuebat, dicens eum aliquando ut Patrem apparuiſſe, aliquando ut Filium, aliquando autem ut Spiritum ſanctum transformatum, & aliàs aliter transfiguratum

ratum. Similiter autem anathemati ſubjicit etiam Marcellianorum hæreſin, quæ à Marcello Hæreſiarcha appellatur, qui ex Ancyra quidem Galatiæ urbe ortus eſt, ejuſdemque Epiſcopus fuit: idem autem quod Sabellius ſentiebat. Sed & Photinianorum hæreſin anathemati ſubjicit. Ii verò ex Photino denominationem habuêre, qui ex Sirmio quidem oriundus illic Epiſcopatum geſſit, in eadem autem quâ Paulus Samoſatenus opinione fuit: & neque ſanctam Trinitatem confitebatur, & Spiritum ſolum nominabat Deum omnium opificem, verbum autem prolatitium eſſe ſentiebat, & divinum aliquod imperium, deo deſerviens ad univerſi productionem, tanquam mechanicum aliquod inſtrumentum: Chriſtum autem nudum hominem prædicabat, qui Dei verbum ſuſceperat, non ut eſſentiale, ſed ut prolatitium, & à Maria exiſtentiæ ſuæ principium cepiſſe eum decernebat. Et multas alias ejuſmodi ineptias Paulus Samoſatenus proferebat, quem depoſuit Antiochena ſynodus. Cum reliquis autem, Apollinarii quoque hæreſin anathemate condemnat. Apollinarius autem, Laodiceæ, quæ eſt in Aſſyria, erat Epiſcopus, & de Dei œconomia apertè blaſphemabat. Dicebat enim, Dei Filium corpus quidem animatum ex ſancta Deipara accepiſſe, ſed mentis expertem, cùm videlicet divinitas pro mente ſufficeret, & irrationalem ut animam Domini ſentiebat: & ſic nec eum eſſe perfectum hominem dicebat, & unam in Servatore naturam eſſe docebat.

Zonar. Contra Macedonium ejuſque aſſeclas, qui Spiritum ſanctum creaturam eſſe, non Deum aſſerebant, & Patri ac filio conſubſtantialem negabant, ſynodus hæc ſecunda celebrata fuit. Quos quidem, eo quod alterum hæreſeos Arianæ caput amplecterentur, Semiarianos hic Canon vocat. Nam cum Ariani filium quoque, cum ſancto ſpiritu inter creatas res numerarent, ac diverſam à Patris ſubſtantia naturam utrique tribuerent: Macedoniani, de filio nihil opinati ſecus, ſanctum ſpiritum creaturam, & à divinitate alienum impiè affirmabant. Fuit aliud quoque Semiarianorum genus, qui cum utramque filii, ſpiritûſque perſonam inter res creatas non eodem tamen modo, ſed alio quodam & à reliquis diverſo genitam, conſtituerent, eo tantum, ne in Patre, propterea quod genuiſſet, paſſionis aliquid admittere cogerentur; eaſdem Verbi, ac ſancti Spiritus perſonas, non Patri conſubſtantiales, ſed tantum ſubſtantiæ ſimilis eſſe aſſerebant. Quæ igitur ad orthodoxam fidem ſpectantia in Nicæna ſynodo à ſanctis patribus promulgata ſunt, ea primo rata, firmáque haberi, deinde omnes hæreticorum errores anathemati ſubjectos eſſe, præcipuè verò Eunomianorum, ſynodus hæc ſecunda per præſentem Canonem decrevit. Eunomius porro, in Galatia natus, Cyziceni Epiſcopi nomen obtinuit, ac iiſdem quibus Arius, quin & pluribus, & gravioribus multo erroribus tenebatur. Filium quippe, mutabilem, & ſervum, & rebus omnibus Patri diſſimilem conſtituebat; quiq; animum ad ipſius opiniones appuliſſent, eos elatis in ſublime pedibus, capite in aquam demiſſo, demerſione una contentus, rebaptizabat. Futura ſupplicia, gehennæq; cruciatum, nihil aliud quam fabulas ad terrorem hominum excogitatas eſſe nugabatur. Hi Eudoxiani quoque ab Eudoxio, qui eâdem quâ Eunomius hæreſi infectus, Conſtantinopoli cum eſſet Epiſcopus, Eunomium Antiſtitem Cyzicenæ urbi præfecerat, appellati. Iidem, propterea quod filio, ac Spiritui, ſpectata ſubſtantiæ ratione, nihil cum Patre ſimile intercedere vellent, Anomoii (i. e. Diſſimiles) nuncupati. Jubet etiam anathematizari Sabellianos, qui à Sabellio quodam Libyco nomen accepere. Is Ptolemaidis, quæ urbs in Pentapoli fuit, Epiſcopus, concretione quadam confuſioneque excogitata, tres hypoſtaſes unius eſſentiæ at divinitatis in unam perſonam conjungebat ac commiſcebat, ac unam in Trinitate, tribus licet variam nominibus, perſonam agnoſcebat. Cum unum,

A τὴν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται· ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς Ἐπίσκοπος γέγονεν. ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδογμάτιζεν. ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν, ἀναθέματι ὑποβάλλει. οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔχον τὴν κλῆσιν, ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπήσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν Τριάδα ὁμολογοῦντος, καὶ πνεῦμα μόνον ὀνομάζοντος τὸν Θεὸν δημιουργὸν ἁπάντων, τὸν δὲ λόγον προφορικὸν φρονοῦντος, καὶ θεῖόν τι πρόσταγμα, ὑπουργοῦντα τῷ Θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντὸς, ὡς ὄργανόν τι μηχανικόν· B τὸν δὲ Χριστὸν, ψιλὸν κηρύττοντος ἄνθρωπον, τὸν τοῦ Θεοῦ λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικὸν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. καὶ ἄλλα δὲ πλείονα ὁ Σαμοσατεὺς ἐληρώδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Ἀντιοχείᾳ σύνοδος. τοῖς λοιποῖς δὲ, καὶ τὴν τῶν Ἀπολιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. ὁ δὲ Ἀπολινάριος τῆς ἐν Ἀσυρίᾳ Λαοδικείας Ἐπίσκοπος ἦν περὶ τὴν οἰκονομίαν φανερῶς βλασφημῶν. ἔλεγε γὰρ τὸν υἱὸν τοῦ Θεοῦ σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνουν δὲ, ὡς τῆς θεότητος ἀρκούσης ἀντὶ νοὸς, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ κυρίου ἐφρόνει. καὶ οὕτως καὶ οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε, καὶ μίαν φύσιν ἐπὶ τοῦ C Σωτῆρος ἐδίδασκεν.

ΖΩΝΑΡ. Κατὰ Μακεδονίου καὶ τῶν ὁμοδόξων ἐκείνου ἡ δευτέρα σύνοδος συγκεκρότηται κτίσμα τὸ ἅγιον πνεῦμα δογματιζόντων καὶ οὐ θεὸν, οὐδ' ὁμοούσιον πατρὶ, καὶ υἱῷ, οὓς ὁ παρὼν κανὼν Ἡμιαρείους καλεῖ, ὡς κατὰ τὸ ἥμισυ μετέχοντας τῆς τῶν Ἀρειανῶν αἱρέσεως. οἱ μὲν γὰρ, τὸν υἱόν τε καὶ τὸ πνεῦμα, ἑτεροούσια τῷ πατρὶ καὶ κτίσματα ἐδογμάτιζον· οἱ δὲ Πνευματομάχοι περὶ μὲν τοῦ υἱοῦ, ὑγιῶς ἐφρόνουν· τὸ δὲ ἅγιον πνεῦμα κτιστὸν καὶ ἀλλότριον τῆς θεότητος ἐβλασφήμουν. D ἐκαλοῦντο δὲ Ἡμιάρειοι καὶ οἵτινες κτίσμα μὲν καὶ αὐτοὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα ἔλεγον, ἐπῆγον δὲ, ὅτι οὐχ ὁμοίως τοῖς λοιποῖς κτίσμασι γενέσθαι φρονοῦμεν αὐτοὺς, ἕτερον δέ τινα τρόπον. καὶ τοῦτο φαμὲν, ἵνα μὴ πάθος τῷ πατρὶ διὰ τῆς γεννήσεως προσάπτεσθαι νομισθῇ, οἳ οὐχ ὁμοούσιον μὲν, ὁμοιούσιον δὲ τῷ πατρὶ τὸν λόγον, καὶ τὸ πνεῦμα ἐδογμάτιζον. ἐκύρωσε δὲ ἡ δευτέρα σύνοδος αὕτη διὰ τοῦ παρόντος κανόνος, καὶ τὴν ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων πατέρων κηρυχθεῖσαν ὀρθόδοξον πίστιν, καὶ πᾶσαν αἵρεσιν ἐθέσπισεν ἀναθεματίζεσθαι, ἐξαιρέτως δὲ τὴν τῶν Εὐνομιανῶν. ὁ δὲ Εὐνόμιος Γαλάτης E ὢν, Κυζίκου Ἐπίσκοπος ἐχρημάτιζε, τὰ αὐτὰ φρονῶν τῷ Ἀρείῳ, μᾶλλον μέντοι καὶ πλείω καὶ χείρονα. τρεπτὸν γὰρ καὶ δοῦλον, καὶ κατὰ πάντα ἀνόμοιον τῷ πατρὶ τὸν υἱὸν ἐδογμάτιζεν, ὃς καὶ τοὺς τῇ δόξῃ αὐτοῦ προστιθεμένους ἀνεβάπτιζε· κατὰ κεφαλῆς αὐτοὺς καταδύων, καὶ ἄνω στρέφων τοὺς πόδας αὐτῶν, καὶ μίαν κατάδυσιν βαπτίζων ἐποίει. καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, ἐφλυάρει μὴ ἀληθῶς εἶναι, δι' ἐκφόβησιν δὲ μόνην ἀπειλεῖσθαι. ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ Εὐδοξιανοὶ ἀπὸ Εὐδοξίου τινὸς συναιρεσιώτου τῷ Εὐνομίῳ. ὃς Κωνσταντινουπόλεως γεγονὼς Ἐπίσκοπος τὸν Εὐνόμιον F Κυζίκου ἀρχιερέα κατέστησεν. οἳ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν υἱὸν καὶ τὸ πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν πατέρα. ἀναθεματίζεσθαι δὲ θεσπίζει, καὶ τοὺς Σαβελλιανούς. οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λίβυος ὠνομάσθησαν, ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως Ἐπίσκοπος γέγονε, συναλοιφὴν δογματίζων, καὶ σύγχυσιν, τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος, εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, καὶ ἓν πρεσβεύων ἐπὶ τῆς τριάδος τριώνυμον πρόσωπον, λέγων τὸν αὐτὸν ποτὲ μὲν ὡς πατέρα φαίνεσθαι, ποτὲ δὲ ὡς υἱὸν, ποτὲ δὲ ὡς πνεῦμα

A μα ἅγιον μεταμορφούμενον. καὶ ἄλλοτε ἄλλως μετασχηματιζόμενον. ὁμοίως δὲ ὑπὸ ἀνάθεμα τίθησι, καὶ τὴν τῶν Μαρκελλιανῶν αἵρεσιν, ἥτις ἀπὸ Μαρκέλλου αἱρεσιάρχου καλεῖται, ὃς ἐξ Αγκύρας μὲν ὥρμητο τῆς Γαλατικῆς, καὶ αὐτῆς Επίσκοπος γέγονεν, ἐπίσης δὲ τῷ Σαβελλίῳ ἐδόξαζεν. ἀλλὰ καὶ τὴν τῶν Φωτεινιανῶν αἵρεσιν ἀναθέματι ὑποβάλλει. οἱ δὲ ἀπὸ Φωτεινοῦ ἔσχον τὴν κλῆσιν, ἐκ Σιρμίου μὲν ὁρμωμένου, κἀκεῖσε ἐπισκοπεύσαντος, τὰ αὐτὰ δὲ Παύλῳ τῷ Σαμοσατεῖ φρονήσαντος, καὶ μήτε τὴν ἁγίαν τριάδα ὁμολογοῦντος, καὶ πνεῦμα μόνον ὀνομάζοντος τὸν θεὸν δημιουργὸν B ἁπάντων, τὸν δὲ λόγον προφορικὸν φρονοῦντος, καὶ θεῖόν τι πρόσταγμα ὑπουργοῦντα τῷ θεῷ εἰς τὴν παραγωγὴν τοῦ παντός, ὡς ὄργανόν τι μηχανικόν. τὸν δὲ Χριστὸν ψιλὸν κηρύττοντος ἄνθρωπον τὸν τοῦ θεοῦ λόγον ὑποδεξάμενον, οὐχ ὡς οὐσιώδη, ἀλλ' ὡς προφορικόν, καὶ ἀπὸ Μαρίας τὴν ἀρχὴν εἰληφέναι τῆς ὑπάρξεως αὐτὸν δογματίζοντος. καὶ ἄλλα δὲ πλείω ὁ Σαμοσατεὺς ἐληρώδει Παῦλος, ὃν καθεῖλεν ἡ ἐν Αντιοχείᾳ σύνοδος. τοῖς λοιποῖς δὲ καὶ τὴν τοῦ Απολιναρίου ἀναθέματι συγκαταδικάζει αἵρεσιν. ὁ δὲ Απολινάριος τῆς ἐν Συρίᾳ Λαοδικείας Επίσκοπος ἦν περὶ τὴν οἰκονομίαν φανε- C ρῶς βλασφημῶν. ἔλεγε γὰρ τὸν υἱὸν τοῦ θεοῦ σῶμα μὲν ἔμψυχον ἐκ τῆς ἁγίας Θεοτόκου ἀναλαβεῖν, ἄνευ δὲ ὡς τῆς θεότητος ἀρκούσης ἀντὶ νοός, καὶ ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ κυρίου ἐφρόνει. καὶ οὕτως οὐδὲ τέλειον ἄνθρωπον αὐτὸν ἔλεγε, καὶ μίαν φύσιν ἐπὶ τοῦ Σωτῆρος ἐδίδασκεν.

ΑΡΙΣΤ. Η κατὰ Νικαίαν πίστις κρατείτω. τὰ δὲ τῶν αἱρέσεων ἀνάθεμα ἐχέτω. Σαφής.

ΚΑΝΩΝ β'. D

Τοὺς ὑπὲρ διοίκησιν Επισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς ἐκκλησίας, ἀλλὰ κατὰ τοὺς κανόνας τὸν μὲν Αλεξανδρείας Επίσκοπον, τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν, τοὺς δὲ τῆς ἀνατολῆς Επισκόπους, τὴν ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νικαίαν πρεσβείων τῇ Αντιοχέων ἐκκλησίᾳ· καὶ τοὺς τῆς Ασιανῆς διοικήσεως Επισκόπους τὰ κατὰ τὴν Ασιανὴν μόνον οἰκονομεῖν, καὶ τοὺς τῆς Ποντικῆς, τὰ τῆς Ποντικῆς μόνα, καὶ τοὺς τῆς Θρᾴκης τὰ τῆς Θρᾴκης μόνον οἰκονομεῖν. ἀκλήτους δὲ Επισκόπους ὑπὲρ διοίκησιν E μὴ ὑπερβαίνειν ἐπὶ χειροτονίαις ἤ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα. τὰς δὲ ἐν τοῖς βαρβάροις ἔθνεσιν τοῦ Θεοῦ ἐκκλησίας, οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν συνήθειαν τῶν πατέρων.

ΒΑΛΣ. Ο ϛ'. καὶ ὁ ζ'. κανὼν τῆς α'. συνόδου ὑπετύπωσαν ποῖαι διοικήσεις ὀφείλουσιν ὑποκεῖσθαι τῷ Πάπᾳ Ρώμης, τῷ Αλεξανδρείας, τῷ Αντιοχείας, καὶ τῷ Ιεροσολύμων. ὁ δὲ παρὼν κανὼν διορίζεται οἰκονομεῖν τοὺς Επισκόπους τῆς A- F σίας, τῆς Ποντικῆς, τῆς Θρᾴκης, καὶ ἑτέρους, τὰ τῶν ἐνοριῶν αὐτῶν, καὶ μὴ ἔχειν ἐπ' ἀδείας τινὰ ἐκ τούτων ὑπερορίους ἐνεργείας ποιεῖν, καὶ συγχέειν τὰ δίκαια τῶν ἐκκλησιῶν· εἰ δὲ δεήσει μεταβῆναί τινα Επίσκοπον ἐκ τῆς οἰκείας ἐνορίας πρὸς ἑτέραν, διὰ χειροτονίαν ἢ ἑτέραν εὔλογον αἰτίαν, μὴ ἀτάκτως, καὶ οἷον εἰπεῖν λῃστρικῶς ταύτῃ ἐπιπηδᾷν, ἀλλὰ μετὰ ἐκχωρήσεως τοῦ ἐγχωρίου Επισκόπου. ὅτι δὲ ἐν βαρβάροις ἔθνεσι ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐκ ἐχειροτονοῦντο πολλοὶ Επίσκοποι, ὥστε ἀρκεῖν εἰς σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν, τοὺς ἴσως ἐν λόγῳ δια-

idémq; numen, nunc Patris ſpecie, nunc Filii, nunc ſancti Spiritus, idem alio alias habitu mutatum, ſeſe mortalibus videndum exhibuiſſe contenderet. Inde, Marcellianorum, cui nomen Marcellus hæreſiarcha dedit, hæreſis quoque damnata. Hic ex Ancyra, Galatiæ urbe ortus, ejuſdem poſtea Epiſcopus, & quidem Sabelliana peſte infectus fuit. Eodem, Photiniani quoque, (nomen iis à Photino auctore) decreto jugulati. Porro Photinus ortus è Sirmio, mox in eadem urbe Epiſcopatus honore perfunctus eſt. Sed iiſdem quibus Paulus Samoſatenus erroribus depravatus, neq; Sanctam Trinitatē admittebat, ſolúmq; pro Deo, rerum omnium conditore ac parente, Spiritum agnoſcebat; Verbum, quiddam eſſe prolatum extrinſecus, videlicet ipſum divinæ mentis imperium, ipſi Deo ad rerum molitionem fabrilium inſtrumentorum more deſerviens, opinabatur. In Chriſto nihil, præter nudum hominem agnoſcebat, Illi, Dei verbum, non eſſentiale quidem, ſed illud prolatum tantummodo inſediſſe, neque Chriſtum aliud ſui initium, quam à Maria parente habuiſſe aſſeverabat. Hæc, & alia plura, Samoſatenus ille Paulus effutiebat, quem depoſitione ſynodus Antiochena mulctavit. Eadem poſtremo, quæ in cæteros, in Apollinariſtas quoq; anathematis pœna conſtituta. Fuit Apollinarius, Laodicenæ, ejus quæ in Syria eſt, urbis Epiſcopus, qui de ſacro divinæ incarnationis myſterio manifeſtò blaſphemus fuit. Siquidem filium Dei, corpus quidem anima informatum ex ſanctæ Deiparæ viſceribus ſibi adjunxiſſe fatebatur, verum mentis & rationis expertem, quaſi mentis locum divinitas expleret, Chriſti domini animum eſſe opinabatur. Et ſic eum nec perfectum hominem dicebat, & unam in Servatore naturam prædicabat.

ARIST. *Fides Nicæna obtineat: Hæreſes verò anathema habeant.* Perſpicuus.

CANON II.

Epiſcopi ultra diœceſin in Eccleſias extra ſuos terminos ne accedant, nec Eccleſias confundant, ſed ſecundùm Canones, Alexandriæ quidem Epiſcopus, Ægyptum ſolam regat, orientis autem Epiſcopi, orientem ſolum adminiſtrent, ſervatis privilegiis ac præeminentiis, quæ ſunt in Nicæni concilii Canonibus Antiochenæ Eccleſiæ. Et Aſianæ diœceſis Epiſcopi, quæ ſunt in ſola Aſiana adminiſtrent, & Ponticæ Epiſcopi Ponticam tantùm regant, & Thraciæ Thraciam. Non vocati autem Epiſcopi ultra diœceſin ne tranſeant, ad ordinationes, vel aliquas alias adminiſtrationes Eccleſiaſticas. Servato autem præſcripto de diœceſibus Canone, clarum eſt quòd unamquamque provinciam provinciæ ſynodus adminiſtrabit, ſecundùm ea quæ fuerunt Nicææ definita. Quæ autem in barbaris ſunt gentibus, dei Eccleſias, adminiſtrare oportet, ſecundùm patrum, quæ ſervata eſt, conſuetudinem.

BALS. Can. vi & vii. primæ Syn. definierunt quænam diœceſes Romano Papæ, Alexandrino, Antiocheno, & Hieroſolymitano ſubeſſe debent. Præſens autem Canon definit, Aſiæ Epiſcopos, Ponticæ, Thraciæ, & alios, ea quæ in ſuis ſunt finibus adminiſtrare, & nulli eorum licere ultra ſuæ regionis limites juriſdictionis ſuæ exercitium extendere, & Eccleſiarum jura confundere. Si autem oporteat Epiſcopum aliquem, à propria regione in aliam, propter ordinationem, vel aliam juſtam cauſam, migrare: non inordinatè, &, ut ita dicam, prædonis more eam invadere, ſed cum illius loci Epiſcopi permiſſione. Quoniam autem in barbaris gentibus tunc erant fidelium Eccleſiæ, ubi fortaſſe multi non ordinabantur Epiſcopi ut ad ſynodum ſufficerent: aut neceſſe etiam erat, eos qui verbo fortaſſe inſignes erant, in tales quoque aliorum provincias venire, ad eos confirmandos qui ad fidem accedebant, conceſſit ſancta ſynodus, tamen quoque adhuc conſuetudinem ſervari, etiamſi ſit præter Canones, propter rei neceſſitatem. Nota ergo ex præſenti Canone quòd olim omnes provinciarum metropolitani erant ipſi per ſe ſuarum provinciarum capita, & à propriis ſynodis ordinabantur. Id autem immutatum eſt à xxviii. Canone Chalcedonen. ſynodi, quæ definit, Ponticæ, & Aſianæ, & Thracicæ diœceſis metropolitanos, & aliquos etiam alios, qui eo Canone continentur, à Conſtantinopol. Patriarchâ ordinari, eique ſubjici. Si autem alias etiam Eccleſias inveneris, quæ principales & per ſe ſint capita, ut Bulgariam, Cyprum, Iberiam, ne mireris. Bulgariæ enim Archiepiſcopum honoravit rex Juſtinianus. Et lege cxxxi. ejus novellam, quæ in Baſilic. lib. v. tit. iii. cap. i. poſita ad interpretationem v. cap. primi tit. præſentis operis: Archiepiſcopum Cypri honoravit tertia ſynodus. Et lege ejuſdem ſyn. Can. viii. & Can. xxxix. ſyn. vi. Iberiæ autem Epiſcopum honoravit Antiochenæ ſynodi dijudicatio. Dicitur enim quòd tempore ſanctiſſimi Patriarchæ divinæ civitatis magnæ Antiochiæ, Domini Petri, fuit ſynodica ordinatio, qua ſtatutum eſt liberam eſſe ac principalem, & per ſe caput, Eccleſiam Iberiæ, ſed tamen tunc Antiocheno Patriarchæ ſubjectam. Jam verò & Sicilia certis abhinc annis urbis Canſtantinopolitanæ throno ſubjecta, tyrannicis manibus ab ea avulſa eſt: eámque ad jus ſuum priſtinum redire cupio, auxilio divinæ gubernantis noſtri imperatoris, tanquam quæ in ſervitutem abducta filia, ad liberam matrem revertatur. Quòd liceat quidem ex œconomiæ ratione, alias Eccleſias quæ à gentilibus occupantur, aliis Eccleſiis concedere, ex præſenti, ut videtur, Canone traditum eſt. Jam enim Conſtantinopolitana ſynodus metropolitano Nazianzeno dedit Eccleſiam Ancyræ, & aliis diverſis Antiſtitibus alias ejuſmodi Eccleſias. Quibuſdam autem etiam id ipſum conceſſum eſt, ut ſedeant in ipſo throno traditæ Eccleſiæ in ſacro tribunali.

Zonar. Ut in Eccleſiis tranquillitas, concordiáque vigeret, & ab Apoſtolis primo, & à ſanctis Patribus non mediocri ſtudio, curaque poſtea eſt elaboratum. Nam illi quidem, ne cui Epiſcopo ſua relicta, in alterius parœciam inſilire liceat, decimoquarto Canone ſanxere. Patres autem in prima Nicæna ſynodo congregati, antiquas conſuetudines, in hac parte retinendas, & quemque thronum provincias ſibi ſubjectas adminiſtrare ſexto, & ſeptimo Canone decreverunt. Idem hîc quoque ſtatuitur, ac Epiſcopus quilibet Eccleſias, extra diœceſim ſuam, hoc eſt ſubjectam ſibi provinciam, ditioniſque ſuæ terminos poſitas invadere (verbo invadendi, latrocinium quodammodo, impreſſionemque turbulentam indicante) & alîus limites ingredi prohibetur. Hoc enim intelligitur per Epiſcopum ultra diœceſim ad ſacram aliquam functionem exercendam non vocatum, ſed adhortatum, & à pluribus ad id perſuaſum Epiſcopis juxta dictum Canonem Apoſtolicum. Eccleſiaſtica autem cujuſque provinciæ negocia, nimirum electiones, ordinationes, & de excommunicationibus, mulctis, aliiſque ejuſmodi controverſiarum deciſiones ſynodi provincialis auctoritate adminiſtrari, & conſtitui placet. Quæ vero inter barbaras gentes Eccleſiæ fidelium excitatæ fuerunt, cum pauciores forte Epiſcopos haberent, quam qui ſynodo cogendæ ſatis eſſe poſſent, aut ſi quis ibidem dicendi facultate præſtaret, eum ad novos Chriſti milites confirmandos, atque in propoſito fidei ſuſcepto ſtabiliendos, in alienam quandoque parœciam commeare etiam neceſſe foret, nihil ex antiqua conſuetudine, in ea re ſynodus cenſuit immutandum.

A λάμποντας προσφοιτᾷν, καὶ ἐν ταῖς τῶν ἄλλων τοιαύταις ἐπαρχίαις, ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσιόντας, ἐνέδωκεν ἡ ἁγία σύνοδος, καὶ εἰσέτι πολιτεύεσθαι τὸ τοιοῦτον ἔθος, κἂν παρὰ κανόνας ᾖ, διὰ τὸ ἀναγκαῖον τοῦ πράγματος. σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος ὅτι τὸ παλαιὸν πάντες οἱ τῶν ἐπαρχιῶν μητροπολῖται αὐτοκέφαλοι ἦσαν, καὶ ὑπὸ τῶν οἰκείων Συνόδων ἐχειροτονοῦντο. μετετυπώθη δὲ τὸ περὶ τούτου ὑπὸ τοῦ κη΄. κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, διορισαμένης τοὺς μητροπολίτας τῆς Ποντικῆς, καὶ Ἀσιανῆς, καὶ Θρακικῆς διοικήσεως, ἔτι δὲ καὶ ἑτέρους τινὰς τῷ αὐτῷ κανόνι περιεχομένους, ὑπὸ τοῦ πατριάρχου B Κωνσταντινουπόλεως χειροτονεῖσθαι, καὶ ὑποκεῖσθαι αὐτῷ. εἰ δὲ καὶ ἑτέρας ἐκκλησίας αὐτοκεφάλους εὑρίσκεις ὡς τὴν Βουλγαρίας, τὴν Κύπρου, τὴν Ἰβηρίας, μὴ θαυμάσῃς. τὸν μὲν γὰρ ἀρχιεπίσκοπον Βουλγαρίας ἐτίμησεν ὁ βασιλεὺς Ἰουστινιανός. καὶ ἀνάγνωθι τὴν ρλα΄. νεαρὰν αὐτοῦ κειμένην ἐν βιβλίῳ τῶν βασιλικῶν ε΄. τίτλῳ γ΄. κεφ. α΄. καταστρωθεῖσαν εἰς τὴν ἑρμηνείαν τοῦ ε΄. κεφ. τοῦ α΄. τίτλου τοῦ παρόντος Συντάγματος. τὸν Ἀρχιεπίσκοπον Κύπρου ἐτίμησεν ἡ γ΄. Σύνοδος. καὶ ἀνάγνωθι τῆς αὐτῆς συνόδου κανόνα η΄. καὶ τὸν λθ΄. κανόνα τῆς ϛ΄. συνόδου. τὸν δὲ Ἰβηρίας ἐτίμησε διάγνωσις τῆς ἐν Ἀντιοχείᾳ συνόδου. λέγεται γὰρ ὅτι ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου C πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, κυροῦ Πέτρου, γέγονεν οἰκονομία συνοδική, ἐλευθέραν εἶναι, καὶ αὐτοκέφαλον, τὴν ἐκκλησίαν τῆς Ἰβηρίας, ὑποκειμένην τότε τῷ πατριάρχῃ Ἀντιοχείας. ἡ μέντοι Σικελία πρὸ χρόνων μετρητῶν ὑποκειμένη τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, ὑπὸ τυραννικῶν χειρῶν ἐκ ταύτης ἀπεσπάσθη· καὶ εὔχομαι ἵνα καὶ αὐτὴ ἐπανέλθῃ εἰς τὰ πρότερα δίκαια τῇ ἀντιλήψει τοῦ θεοκυβερνήτου ἡμῶν αὐτοκράτορος, ὡσεί τις αἰχμαλωτισθεῖσα θυγάτηρ πρὸς ἐλευθέραν μητέρα. τὸ μέντοι προσνέμεσθαι κατὰ λόγον οἰκονομίας ἐκκλησίαις τισὶν ἑτέρας ἐκκλησίας ὑπὸ ἐθνῶν κατεχομένας, ἀπὸ τοῦ παρόντος κανόνος, ὡς ἔοικεν, ἐνδίδοται. αὐτίκα γὰρ ἡ ἐν D Κωνσταντινουπόλει σύνοδος δέδωκε τῷ μητροπολίτῃ Ναζιανζοῦ τὴν ἐκκλησίαν τῆς Ἀγκύρας, καὶ ἑτέροις ἀρχιερεῦσι διαφόροις ἑτέρας τοιαύτας ἐκκλησίας. τισὶ δὲ ἐνεδόθη καὶ αὐτὸ τὸ καθῆσθαι εἰς τὸν ἐν τῷ ἁγίῳ βήματι θρόνον τῆς ἐπιδοθείσης ἐκκλησίας.

ΖΩΝΑΡ. Κατάστασιν ἐν ταῖς ἐκκλησίαις καὶ εἰρήνην πολιτεύεσθαι, διὰ πολλῆς φροντίδος, καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ θεῖοι πατέρες μελέτητα ἐποιήσαντο· οἱ μὲν γὰρ ἀπόστολοι ἐν τεσσαρεσκαιδεκάτῳ κανόνι μὴ ἐξεῖναι Ἐπισκόπῳ ἑτέρᾳ ἐπιπηδᾷν καταλιπόντι τὴν ἑαυτοῦ διετάξαντο. οἱ δὲ ἐν τῇ πρώτῃ Συνόδῳ κατὰ Νίκαιαν Συναθροισθέντες πατέρες, ἐν ἕκτῳ, καὶ ἑβδόμῳ κανόνι, τὰ ἀρχαῖα κρατεῖν ἔθη καὶ ἕκαστον θρόνον E τὰς ἀνηκούσας αὐτῷ ἐπαρχίας διέπειν ἐθεσμοθέτησαν. τοῦτο δὲ καὶ ὁ παρὼν κανὼν διορίζεται, καὶ Ἐπίσκοπος ὑπὲρ διοίκησιν, ἤγουν ὑπὲρ τὴν ἀνήκουσαν αὐτῷ ἐπαρχίαν ἐν ταῖς ὑπερορίοις ἐκκλησίαις ταῖς οὔσαις δηλαδὴ ὑπὲρ τὰ ἀφωρισμένα ἑκάστῳ ὅρια, μὴ ἐπιέναι διακελεύεται, διὰ τοῦ ἐπιέναι τὴν λῃστρικὴν οἱονεὶ ἐμφαίνων καὶ ἄτακτον ἔφοδον, καὶ μηδὲ ἐπιβαίνειν ἑτέρου ἐνορίᾳ. τοῦτο γὰρ τὸ ὑπὲρ διοίκησιν Ἐπίσκοπον ἄκλητον ἐπὶ οἱαδήτινι ἱερατικῇ διοικήσει, ἀλλὰ παρακαλέμενον καὶ παρὰ πλειόνων Ἐπισκόπων πρὸς τοῦτο ἐπιτρεπόμενον κατὰ τὸν εἰρημένον ἀποστολικὸν κανόνα. τὰς δὲ καθ' ἑκάστην ἐπαρχίαν ἐκκλησιαστικὰς F διοικήσεις, ἤγουν ψήφους, καὶ χειροτονίας, καὶ ἀμφιβολιῶν λύσεις ἐν ἀφορισμοῖς καὶ ἐπιτιμίοις καὶ λοιποῖς τοιούτοις τὴν ἑκάστης ἐπαρχίας Σύνοδον θεσπίζει οἰκονομεῖν· ἐπεὶ δὲ καὶ ἐν βαρβάροις ἔθνεσιν ἐκκλησίαι τότε ἦσαν πιστῶν, ὅπου ἴσως οὐ πολλοὶ ἦσαν Ἐπίσκοποι, ὥστε ἀρκεῖν εἰς Σύνοδον, ἢ καὶ ἀναγκαῖον ἦν, εἴ τις ἐν λόγῳ διαλάμπων ἦν, ἐκεῖ προσφοιτᾷν, καὶ ταῖς τῶν ἄλλων παροικίαις, ὥστε ἐπιστηρίζειν τοὺς τῇ πίστει προσιόντας, καὶ βεβαιοῦν ἐν αὐτῇ τὸ κρατῆσαν ἔθος μέχρι τότε ἐν τοῖς τοιούτοις ἐνδέδωκεν ἡ ἁγία Σύνοδος καὶ εἰσέτι πολιτεύεσθαι.

ΑΡΙΣΤ. Ὑπερόριος μηδεὶς συγχείτω τὰς ἐκκλησίας, μήτε χειροτονῶν, μήτε ἐνθρονίζων. ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν, ἡ τῶν πατέρων κρατείτω συνήθεια.

Εν πολλοῖς τῶν κανόνων εἴρηται, ὅτι οὐ δεῖ Επίσκοπον ἀλλοτρίας ἐπιβαίνειν Επισκοπῆς· ἀλλ᾽ ἕκαστον ἐντὸς τῶν ἰδίων ὅρων μένειν, καὶ μὴ πηδᾶν ὑπερόρια, καὶ τὰς ἐκκλησίας συγχέειν. ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν ἐκκλησιῶν, τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, τὰ ἀρχαῖα ἔθη κρατείτω.

ΚΑΝΩΝ γʹ.

Τὸν μέντοι Κωνσταντινουπόλεως Επίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ρώμης Επίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ρώμην.

ΒΑΛΣ. Η πόλις αὕτη τοῦ Βυζαντίου, οὐκ εἶχε τιμὴν ἀρχιεπισκόπου, ἀλλὰ παρὰ τοῦ μητροπολίτου Ηρακλείας ἐχειροτονεῖτο ποτὲ Επίσκοπος ἐν αὐτῇ. ἱστορεῖται γὰρ ὡς εἰ καὶ ἦν τὸ Βυζάντιον πόλις καθ᾽ ἑαυτὴν διεξαγομένη, ἀλλ᾽ ἐπολιορκήθη ὑπὸ Σεβήρου Ρωμαίων αὐτοκράτορος, καὶ ὑπετέθη Περινθίοις. Πέρινθος δέ ἐστιν ἡ Ηράκλεια. τοῦ δὲ μεγάλου Κωνσταντίνου μεταγαγόντος ἐν αὐτῇ τὰ σκῆπτρα τῆς βασιλείας τῶν Ρωμαίων, μετωνομάσθη Κωνσταντινούπολις, καὶ νέα Ρώμη, καὶ πασῶν τῶν πόλεων βασιλίς· κατὰ τὴν βʹ. σύνοδον ἐτιμήθη ὁ θρόνος τῆς Κωνσταντινουπόλεως. Ανάγνωσον τοῦ αʹ. τίτλου τοῦ παρόντος συντάγματος κεφ. ζʹ. καὶ τὰ ἐν αὐτῷ. κἀντεῦθεν καὶ οἱ τῆς βʹ. συνόδου ἅγιοι πατέρες διωρίσαντο ἔχειν τὸν Επίσκοπον αὐτῆς τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν Επίσκοπον τῆς πρεσβυτέρας Ρώμης, διὰ τὸ εἶναι αὐτὴν νέαν Ρώμην. τούτων δὲ οὕτω διορισθέντων, τινὲς τὴν (μετὰ) πρόθεσιν, οὐχ ὑποβιβασμὸν τῆς τιμῆς νενοήκασιν, ἀλλ᾽ ἐξελάβοντο αὐτὴν εἰς τὸ μετὰ χρόνον μόνον· χρώμενοι πρὸς συγκρότησιν τοῦ λόγου αὐτῶν, καὶ τῷ κηʹ. κανόνι τῆς δʹ. συνόδου, λέγοντι, τὰ ἴσα πρεσβεῖα τῷ τῆς πρεσβυτέρας Ρώμης ἁγιωτάτῳ θρόνῳ, ἔχειν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον δεύτερον μετ᾽ ἐκεῖνον ὑπάρχοντα. Σὺ δὲ ἀνάγνωθι τὴν ρλʹ. Ιουστινιάνειον νεαρὰν τὴν κειμένην ἐν βιβλίῳ εʹ. τῶν βασιλικῶν, τίτλῳ γʹ. καὶ καταστρωθεῖσαν εἰς τὸ σχόλιον τοῦ εʹ. κεφαλ. τοῦ αʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν λϛʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, λέγοντα εἶναι δεύτερον τὸν τῆς Κωνσταντινουπόλεως θρόνον. ζήτει καὶ κεφάλ. αʹ. τοῦ ηʹ. τίτλου τοῦ παρόντος συντάγματος. κατεστρώθησαν γὰρ ἐκεῖσε παρ᾽ ἡμῶν διάφοροι νόμοι περὶ τῶν προνομίων τῆς παλαιᾶς Ρώμης, καὶ τῆς νέας, καὶ τὸ τοῦ ἁγίου μεγάλου Κωνσταντίνου ἔγγραφον θέσπισμα, τὸ γενόμενον πρὸς τὸν ἅγιον Σίλβεστρον τὸν τότε Πάπαν Ρώμης, χάριν τῶν ἀπονενεμημένων προνομίων τῇ ἐκκλησίᾳ τῆς παλαιᾶς Ρώμης. τὸ δὲ χειροτονεῖσθαι σήμερον τὸν κατὰ καιροὺς ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως παρὰ τοῦ κατὰ καιροὺς μητροπολίτου Ηρακλείας, οὐκ ἄλλοθέν ἐστιν, ἀλλ᾽ ἢ ἀπὸ τοῦ ὑποτεθῆναι, ὡς ἄνωθεν εἴρηται, Περινθίοις ἤτοι Ηρακλειώταις τὴν πόλιν τοῦ Βυζαντίου. καὶ σημείωσαι πόθεν δικαιοῦται ὁ Ηρακλείας χειροτονεῖν τὸν πατριάρχην Κωνσταντινουπόλεως. εὕρηται δὲ ἐν τῷ χρονικῷ τοῦ Σκυλίτζη, ὅτι ἐχειροτονήθη πατριάρχης Σε. Σύγκελλος, ὁ ἀδελφὸς τοῦ Βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, παρὰ τοῦ Καισαρείας, διὰ τὸ προτελευτῆσαι τὸν Ηρακλείας. ἡμεῖς δὲ εἴδομεν καὶ ἐπὶ τῆς βασιλείας Ισαακίου τοῦ Αγγέλου ὅτι Λεόντιος τὶς μοναχὸς ἀπὸ τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου, ἐχειροτονήθη παρὰ Δημητρίου τοῦ Καισαρείας διὰ τὴν τοιαύτην αἰτίαν Πατριάρχης Κωνσταντινουπόλεως.

ΖΩΝΑΡ Περὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων τοῦ ἀνωτέρου κανόνος διαταξαμένου νῦν καὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως μέμνηται, καὶ ἔχειν αὐτὸν τὰ πρεσβεῖα τῆς τιμῆς, ἤτοι τὰ πρωτεῖα, ἢ τὸ ἐξαίρετον ἐθέσπισεν, ὡς νέαν Ρώμην καὶ βασιλίδα τῶν πόλεων μετὰ τὸν Ρώμης Επίσκοπον. τινὲς

A **Arist.** *Nullus peregrinus Eccleſias confundat, neque ordinans, neque in ſede collocans. Veruntamem in Eccleſiis, quæ ſunt inter Gentiles, Patrum conſuetudo ſervetur.*

In multis Canonibus dicitur, quòd non oportet Epiſcopum ad alienum tranſire Epiſcopatum; ſed quemque intra ſuos manere terminos, & ultra ſuos limites non tranſilire, & Eccleſias confundere. De iis autem, quæ apud gentes ſunt Eccleſiis, in Ægypto, Libia, & Pentapoli, ſecundum ſextum Nicæni Concilii Canonem antiquæ conſuetudines vim habeant.

B

Canon III.

Conſtantinopolitanus Epiſcopus habeat prioris honoris partes poſt Romanum Epiſcopum, eo quòd ſit ipſa nova Roma.

Bals. Ipſa quidem urbs Byzantina Archiepiſcopi honorem non habebat, ſed ab Heracleæ metropolitano Epiſcopus aliquando in ipſa ordinabatur. Scribitur enim quòd etiamſi eſſet Byzantium civitas quæ per ſe regeretur, à Severo tamen Romanorum Imperatore obſeſſa eſt, & Perinthiis ſubjecta. Eſt autem Perinthus, C Heraclea. Cùm autem magnus Conſtantinus Romani Imperii ſceptra in eam tranſtuliſſet, Conſtantinopolis nominata eſt, & nova Roma, & omnium urbium regina. Et juxta ſecundam Synodum honoratus fuit thronus Conſtantinopolis: lege primi tit. hujus operis cap. vii. & quæ ſunt in eo. Et ex hoc ſancti ſecundæ ſyn. patres definierunt, ejus Epiſcopum honoris habere prærogativam poſt antiquæ Romæ Epiſcopum, eo quod ſit nova Roma. His autem ſic definitis, quidam præpoſitionem (Poſt) non eſſe honoris ſubmiſſionem excogitarunt: ſed ipſam ad hoc quod eſt poſt tempus ſolummodo acceperunt; ad ſui dicti comprobationem iv. quoque ſynodi xxviii. Canonem afferentes, di- D centem, Æqualia privilegia antiquæ Romæ ſanctiſſimo throno habere thronum Conſtantinopolitanum, thronum ſecundum poſt illum exiſtentem. Tu autem lege cxxx. Juſtiniani novellam, quæ in v. libro Baſil. poſita eſt, tit. iii. & collocata in commentario v. cap. primi tit. præſentis operis: & xxxvi. Canonem ſynodi quæ fuit in Trullo, dicentem eſſe ſecundum Conſtantinopolis thronum. Quære & primum caput viii. tit. præſentis operis. Illic enim poſitæ ſunt à nobis diverſæ leges de privilegiis antiquæ Romæ & novæ, & ſancti Conſtantini Magni ſcriptum decretum, quod factum eſt ad ſanctum Silveſtrum tunc temporis Romæ Papam, de privile- E giis veteris Romæ Eccleſiæ attributis. Quòd autem hodie ordinetur ſanctiſſimus pro tempore patriarcha Conſtantinopolitanus, ab eo qui eſt pro tempore Heracleæ metropolitanus, non eſt aliunde quàm ex eo quòd ſubjecta fuerit ut ſuperiùs dictum eſt, Perinthiis ſive Heracleanis Byzantina civitas. Et nota unde Heracleæ Epiſcopus Patriarcham Conſtantinopolitanum ordinandi jus habuerit. Invenitur autem in Chronico Scylitzæ, quòd ordinatus eſt Patriarcha Se. Syncellus, frater Imperatoris Domini Leonis ſapientis, à Cæſareæ Archiepiſcopo, quòd eſſet præmortuus Heracleæ Archiepiſcopus. Sed & nos etiam vidimus ſub F imperio Iſaacii Angeli quod Leontius quidam monachus à colle ſancti Auxentii ordinatus fuit à Demetrio Cæſareæ Epiſcopo talem ob cauſam Patriarcha Conſtantinopolis.

Zonar. Cum de aliis Patriarchalibus thronis ſuperiori Canone definitum ſit, de Conſtantinopolitano à Patribus hoc loco actum, eique primi honores, privilegiáque ſingularia quippe novæ Romæ, ac reginæ urbium, poſt Romanum Epiſcopum, decreta. Quod quidem ita accepere nonnulli, non ut inferiorem dignitatis gradum

dum, ſed temporis poſteriorem ab hac conſtitutione edita ſeriem, hac præpoſitione, poſt, ſignificari vellent. Erat ſiquidem urbs antiqua Byzantium, quæ ſuis legibus uſa eſt. Severo autem Romanorum imperatore, per Romanos obſeſſa, & bellum per triennium paſſa, tandem civibus in eâ rerum neceſſariarum inopiâ laborantibus, capta eſt, & mœnia quidem ejus ſolo æquata, juraque civilia ablata, & ipſa Perinthiis ſubjecta fuit. Eſt vero Perinthus, quæ alio nomine Heraclæa: atque hinc Heraclienſi Antiſtiti, Patriarchæ ordinatio attribuitur, ut per quem Epiſcopo Byzantino manus ſunt impoſitæ. Poſtea hæc eadem urbs magna à magno Conſtantino inſtaurata, ac de ejus nomine dicta, ac novæ quoque Romæ titulo honeſtata fuit. Illa ergo particula, poſt, ſolum ordinem temporis, non inferiorem honoris gradum reſpectu veteris Romæ indicari, quidam exiſtimavere. Quam quidem ſententiam ſuam, vigeſimo octavo Synodi Chalcedonenſis Canone confirmare nituntur: Ibi namque, mentione hujus Canonis injecta, hæc poſtea ſubjiciuntur. [De privilegiis ſanctiſſimæ Eccleſiæ Conſtantinopolis novæ Romæ eadem nos quoque ſancimus. Veteris enim Romæ throno quòd civitas iſta imperaret patres jure privilegia tribuere, & eâdem ratione moti centum quinquaginta Dei amantiſſimi Epiſcopi ſanctiſſimum novæ Romæ thronum æqualibus privilegiis dignati ſunt, rectè judicantes quæ urbs imperio, ac Senatu honeſtata, ac iiſdem cum vetere urbium Regina, muneribus ornata foret, eam in Eccleſiaſtica quoque Republica, æqualibus cum illa honoribus extollendam, ac ſecundam ab illa collocandam eſſe] Dicunt igitur, cùm æqualibus illam dignam honoribus cenſeant, quomodo præpoſitio (poſt) ſubjectionem ſignificare intelligi poteſt? Verum Juſtiniani novella centeſima trigeſima, imperatoriarum Conſtitutionum libro quinto titulo tertio, Canonem aliter explicat, quemadmodum & ab illo Imperatore intellectus eſt. Sanctiſſimum namque, ait, veteris Romæ Papam, ex ſanctarum ſynodorum placitis, totius Eccleſiaſtici ordinis principem eſſe, beatiſſimum vero Conſtantinopolitanæ urbis, novæ Romæ, Epiſcopum ſecundum ab Apoſtolica veteris Romæ ſede locum obtinere, aliis omnibus honore ſuperiorem eſſe decernimus. Hinc igitur perſpicuè apparet ſubjectionem, & diminutionem per præpoſitionem, poſt, ſignificari. Cum alioqui præſertim, honoris æqualitas in utraque ſede retineri nullatenus queat. Nam ſive ipſa Præſulum nomina recitanda, ſive in eodem conſeſſu utrique aſſidendum, ſive utriuſque chirographo eadem ſyngrapha ſit firmanda, alterum certe præferri neceſſe eſt. Quicunque ergo particulam, poſt, ſolam temporis ſeriem, non inferiorem quoque dignitatis gradum ſignificare contendat, is & vim huic loco inferat, & ſententiam neque rectam, neque bonam eliciat. Quin & Trullanæ ſynodi Canone trigeſimo ſexto, præpoſitio, poſt, ſubjectionem aperte notat, dicente, poſt antiquæ Romæ thronum, ſecundus Conſtantinopolitanæ ſedi locus aſſignetur; deinde ſubjungit, poſt hanc Alexandrina, inde Antiochena, & poſt Antiochenam demum Hieroſolymitana numeretur.

Arist. *Conſtantinopolitanus Epiſcopus poſt Romanum proximus honoretur.*

Eadem privilegia, eundemque, quem Romanus Epiſcopus honorem habebit & Epiſcopus Conſtantinopolitanus; quemadmodum & vigeſimus octavus ſynodi Chalcedonenſis Canon hunc Canonem intellexit; quoniam ipſa eſt nova Roma, ac honoratur & imperio & ſenatu. Nam præpoſitio (poſt) hîc non honorem, ſed tempus ſignificat; ac ſi diceret quiſpiam, quòd poſt multos annos Epiſcopus Conſtantinopolitanus Romano æqualem habuerit honorem.

A μὲν οὖν τὴν μετὰ πρόθεσιν οὐχ ὑποβιβασμὸν τῆς τιμῆς δηλοῦν νενοήκασιν, ἀλλὰ τὸ μετάχρονον τῆς ταύτης συστάσεως. ἀρχαία μὲν γὰρ πόλις ἦν τὸ Βυζάντιον, καθ' ἑαυτὸ διοικούμενον. ἐπὶ Σεβήρου δὲ τοῦ Ῥωμαίων αὐτοκράτορος πολιορκηθὲν παρὰ τῶν Ῥωμαίων, καὶ ἐπὶ τρεῖς ἐνιαυτοὺς τὸν πόλεμον ὑποστὰν, ὕστερον ἑάλω τῶν ἀναγκαίων ἐπιλιπόντων τοῖς ἐν αὐτῷ, καὶ καθῃρέθη μὲν τὰ τείχη αὐτοῦ, ἀφῃρέθη δὲ τὰ πολιτικὰ δίκαια, καὶ ὑπετέθη Περινθίοις. Πέρινθος δ' ἐστὶν ἡ Ἡράκλεια, ὅθεν τῷ Ἡρακλείας, καὶ ἡ χειροτονία τοῦ πατριάρχου ἀπονενέμηται, ὡς παρ' αὐτοῦ χειροθετουμένου τοῦ Ἐπισκόπου τοῦ Βυζαντίου. ὕστερον δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἡ μεγάλη B αὕτη ᾠκοδομήθη πόλις, καὶ εἰς ὄνομα ἐπεκλήθη ἐκείνου, καὶ νέα ὠνομάσθη Ῥώμη, διὸ τὴν πρόθεσιν τὴν μετὰ ἔνιοι τοῦ χρόνου δηλωτικὴν ἔφασαν εἶναι, καὶ οὐχ ὑποβιβασμὸν τῆς τιμῆς πρὸς τὴν πρεσβυτέραν Ῥώμην. χρῶνται δὲ πρὸς κατασκευὴν τοῦ ἐκείνου λόγου, τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου μεμνημένῳ μὲν τοῦ παρόντος κανόνος, ἐπάγοντι δὲ, ὅτι καὶ ἡμεῖς τὰ αὐτὰ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα, καὶ τῷ αὐτῷ σκοπῷ ἴσα κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι Ἐπίσκοποι C τὰ πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείαν καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. φασὶν οὖν, ὅτι ἐπεὶ τῶν ἴσων ἀξιοῦσιν αὐτὴν τιμῶν, πῶς νοηθήσεται ἡ μετὰ πρόθεσις ὑποπτώσεως δηλωτική; ἡ δὲ τοῦ Ἰουστινιανοῦ ἑκατοστὴ τριακοστὴ νεαρὰ κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν πέμπτον, τίτλον τρίτον ἄλλως νοεῖσθαι τοὺς κανόνας δίδωσι, καθὼς παρὰ τοῦ βασιλέως ἐκείνου ἐνοήθησαν. φησὶ γὰρ, θεσπίζομεν κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν πρῶτον εἶναι πάντων τῶν ἱερέων, D τὸν δὲ μακαριώτατον Ἐπίσκοπον Κωνσταντινουπόλεως, καὶ νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι. ἐντεῦθεν οὖν ἐναργῶς δείκνυται ἡ μετὰ πρόθεσις ὑποβιβασμὸν δηλοῦσα, καὶ ἐλάττωσιν. καὶ ἄλλως δὲ ἀδύνατον ἂν εἴη τὸ ταυτὸν τιμῆς καὶ ἐν ἀμφοτέροις τοῖς θρόνοις φυλάττεσθαι. ἀνάγκη γὰρ ἐν ταῖς ἀναφοραῖς τῶν ὀνομάτων τῶν προϊσταμένων αὐτῶν τὸν μὲν προτερεύειν, τὸν δὲ δευτερεύειν, καὶ ἐν καθέδραις ὅτε συνέλθοιεν, καὶ ἐν ὑπογραφαῖς ὅτε τούτων δεήσει. ἤγουν τοῦ μετὰ ἐξήγησις; ἡ λέγουσα τοῦ χρόνου δηλωτικὴν εἶναι τὴν πρόθεσιν, οὐχ ὑποβιβασμοῦ, βεβιασμένη ἐστὶ, καὶ διανοίας οὐκ εὐθείας E οὐδ' ἀγαθῆς. ἀλλὰ καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τριακοστὸς ἕκτος κανὼν ἀριδήλως δείκνυσι τὴν μετὰ πρόθεσιν ὑποβιβασμὸν δηλοῦσαν, δεύτερον λέγων τὸν θρόνον τῆς Κωνσταντινουπόλεως λογίζεσθαι μετὰ τὸν τῆς πρεσβυτέρας Ῥώμης, εἶτα ἐπάγει, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμίτων.

ΑΡΙΣΤ. Ὁ Κωνσταντινουπόλεως, μετὰ τὸν Ῥώμης τετίμηται.

F Τῶν αὐτῶν πρεσβείων καὶ τῆς αὐτῆς μεθέξει τιμῆς τῷ Ῥώμης Ἐπισκόπῳ καὶ ὁ Κωνσταντινουπόλεως Ἐπίσκοπος· καθὼς καὶ ὁ εἰκοστὸς ὄγδοος κανὼν τῆς ἐν Καλκηδόνι συνόδου τὸν κανόνα τοῦτον ἐνόησε, διὰ τὸ εἶναι ταύτην νέαν Ῥώμην, καὶ τιμηθῆναι βασιλείᾳ τε, καὶ συγκλήτῳ· Τὸ γὰρ, μετὰ, ἐνταῦθα, οὐ τῆς τιμῆς, ἀλλὰ τοῦ χρόνου ἐστὶ δηλωτικόν· ὡς ἂν εἴποι τις, ὅτι μετὰ πολλοὺς χρόνους τῆς ἴσης τιμῆς τῷ Ῥώμης, μετέσχε καὶ ὁ Κωνσταντινουπόλεως.

A

ΚΑΝΩΝ δʹ.

Περὶ Μαξίμου τοῦ Κυνικοῦ, καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γενομένης· ὥστε μήτε Μάξιμον Ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας, ἐν οἵῳ δήποτε βαθμῷ κλήρου, πάντων καὶ τῶν περὶ αὐτὸν καὶ τῶν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων.

ΒΑΛΣ. Τὰ τοῦ δʹ. τούτου κανόνος ἰδικά εἰσι, καὶ ἑρμηνείας οὐ δέονται. ἱστόρηται δὲ ὅτι ὁ Μάξιμος οὗτος Αἰγύπτιος ἦν φιλόσοφος κυνικός, κυνικοὶ δὲ ἐλέγοντο διὰ τὸ αὔθαδες, καὶ θρασὺ, καὶ ἀναιδές. καὶ προσελθὼν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ κατηχηθεὶς ἐβαπτίσθη, καὶ ἐκληρώθη, καὶ ᾠκειώθη αὐτῷ. τοῦ δὲ πατριαρχικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἐν ἐφέσει γεγονὼς, ἐσπούδασε διὰ χρημάτων ἀποσταλέντων εἰς τοὺς Ἐπισκόπους Ἀλεξανδρείας χειροτονηθῆναι. τῶν δὲ τοιούτων Ἐπισκόπων ἐλθόντων εἰς Κωνσταντινούπολιν, καὶ ἐπιχειρησάντων κατὰ τὸ θέλημα τοῦ Μαξίμου ποιῆσαι, ἐπεὶ ὑπὸ τῶν πιστῶν ἀπὸ τῆς ἐκκλησίας ἀπηλάθησαν, ἀπῆλθον εἰς κατοικίαν Χοραύλου τινὸς, καὶ ἐχειροτόνησαν ἀκανονίστως τὸν Μάξιμον. ἡ οὖν ἁγία σύνοδος αὕτη ἀπεκήρυξε τοῦτον, ὁρίσασα μήτε Ἐπίσκοπον αὐτὸν γενέσθαι ἢ εἶναι, διὰ τὸ ἐκθέσμως χειροτονηθῆναι, μήτε τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας οἱουδήτινος βαθμοῦ κληρικοὺς εἶναι. ὁ τοιοῦτος δὲ Μάξιμος ὕστερον γνωσθεὶς τὰ Ἀπολιναρίου φρονεῖν, ἀναθεματίσθη. Εὕρηται δὲ εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ὃν συνεγράψατο ὁ μαθητὴς αὐτοῦ Γρηγόριος. καὶ μέμνηται τούτου ὁ θεολόγος ἔν τινι τῶν μὴ ἀναγινωσκομένων ἐπ' ἐκκλησίαις λόγῳ αὐτοῦ.

ΖΩΝΑΡ. Ὁ Μάξιμος οὗτος Αἰγύπτιος ἦν φιλόσοφος Κυνικός. Κυνικοὶ δὲ ἐλέγοντο διὰ τὸ αὔθαδες καὶ θρασὺ, καὶ ἀναιδές. καὶ προσελθὼν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ Θεολόγῳ, καὶ κατηχηθεὶς ἐβαπτίσθη· εἶτα, καὶ τῷ κλήρῳ συγκατελέγη, καὶ πάνυ τῷ ἁγίῳ πατρὶ ἐκείνῳ ᾠκείωτο, ὡς καὶ ὁμοδίαιτος εἶναι. ἐν ἐφέσει δὲ τοῦ ἀρχιερατικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως γεγονὼς, χρήματα στέλλει εἰς Ἀλεξάνδρειαν, κἀκεῖθεν Ἐπισκόπους ἄγει χειροτονήσοντας αὐτὸν ἀρχιερέα τῆς Κωνσταντινουπόλεως, ἔχων καί τινα συνεργὸν τῶν οἰκειοτάτων τῷ Θεολόγῳ. ἤδη δὲ τῆς ἐκκλησίας ἔνδον γενόμενοι, πρὸ τοῦ τελέσαι τὴν τελετὴν γνωσθέντες, ἀπηλάθησαν ὑπὸ τῶν πιστῶν, καὶ ἀπελαθέντες οὐκ ἐφησύχασαν, ἀλλ' εἰς οἰκίαν εἰσδύντες χοραύλου τινὸς, ἐκεῖ χειροτονοῦσι τὸν Μάξιμον, εἰ καὶ μηδὲν ἀπώνατο τῆς περὶ ταῦτα μοχθηρίας, οὐδὲ γὰρ ἀνύσαι τι δεδύνηντο. ἀπεκηρύχθη οὖν διὰ τοῦ παρόντος κανόνος ὑπὸ τῶν ἐν τῇ δευτέρᾳ συνόδῳ συνελθόντων ἁγίων πατέρων ὁρισάντων μήτε Ἐπίσκοπον αὐτὸν γενέσθαι, ἢ εἶναι διὰ τὸ ἐκθέσμως κεχειροτονῆσθαι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας κληρικοὺς ὑπάρχειν. ὕστερον δὲ γνωσθεὶς τὰ Ἀπολιναρίου φρονεῖν, καὶ ἀνεθεματίσθη. τούτου καὶ ὁ Θεολόγος, ἔν τινι τῶν μὴ ἐπ' ἐκκλησίας ἀναγινωσκομένων λόγων αὐτοῦ, μέμνηται.

ΑΡΙΣΤ. Μάξιμος ὁ Κυνικὸς τῶν Ἐπισκόπων ἀλλότριος· καὶ ἅπας ἀνίερος, ὃς ἐκείνῳ κεκλήρωται.

Ὅτι περ οὗτος τὴν ἐκκλησίαν ἐσπάραξε, καὶ ταραχῆς αὐτὴν καὶ θορύβου ἐνέπλησε, λύκος ἀντὶ ποιμένος ὀφθεὶς, καὶ πάντα συγχωρῶν ἑτοίμως τοῖς πταίουσιν, ὑπὲρ ἑνὸς τοῦ ἀσεβεῖν ἐν τοῖς δόγμασι κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον. ἀλλότριος οὖν καὶ ὁ Μάξιμος οὗτος τῶν Ἐπισκόπων ἔσται, καὶ οἱ παρ' αὐτοῦ χειροτονηθέντες, ἐν οἱῳδήποτε βαθμῷ κλήρου, ἀνίεροι.

CANON IIII.

Statuerunt etiam de Maximo Cynico, & ejus petulantia & inſolentia, quæ fuit Conſtantinopoli; ut nec Maximus Epiſcopus factus fuerit, vel ſit, nec qui ab eo ordinati fuerunt, in ullo, quicunque is ſit, gradu Cleri: omnibus, & quæ circa ipſum fuerunt, & quæ ab illo facta ſunt, infirmatis.

Bals. Quæ ſunt in iiii. Canone ſunt ſpecialia, nec interpretatione indigent. In hiſtoriis autem traditum eſt, quòd hic Maximus fuit Ægyptius, philoſophus Cynicus. B Cynici autem dicebantur propter eorum arrogantiam, audaciam, & impudentiam. Et cùm ad magnum Patrem Gregorium Theologum acceſſiſſet, fidei myſteriis imbutus, baptizatus eſt, & in Clerum cooptatus, eique familiaris effectus eſt. Cùm autem patriarchalem Conſtantinopolis ſedem deſideraſſet, pecuniis ad Alexandriæ Epiſcopos miſſis magno ſtudio contendit ut eligeretur. Cùm autem ii Epiſcopi Conſtantinopolim veniſſent, & ex Maximi voluntate facere aggreſſi eſſent, quoniam à fidelibus ab Eccleſia expulſi ſunt, in cujuſdam Chorauli domum venerunt, & Maximum non Canonicè elegerunt. C Hæc ergo ſancta ſynodus eum abdicavit, definiens nec ipſum factum fuiſſe vel eſſe Epiſcopum, eo quòd contra leges ordinatus eſt, nec eos qui ab ipſo ordinati eſſent, cujuſcunque ſunt gradus, eſſe Clericos. Hic autem Maximus, cùm poſtea intellectum eſſet eum cum Apollinario ſentire, anathemate ictus eſt. Invenitur autem in vitâ S. Gregorii Theologi quam conſcripſit diſcipulus ejus Gregorius. Meminit etiam iſtius Theologus, in quadam ex ſuis orationibus, quæ in Eccleſiis non leguntur.

Zonar. Maximus hic fuit Ægyptius, Philoſophus Cynicus. Cynici porro dicebantur propter eorum arrogantiam, audaciam, ac impudentiam. Is cum ſe ad D magnum Patrem Gregorium Theologum contuliſſet, imbutus ab eo fidei myſteriis, poſtea baptizatus fuit. Et demum etiam Clero adſcriptus, ſancto patri adeo familiaris fuit, ut ad menſæ quoq; communionem ab eadem admitteretur. Poſtea cum Patriarchalem Conſtantinopolitanæ ſedis dignitatem concupiiſſet, pecuniæ numerum mittit Alexandriam, ſibique inde ſubornat Epiſcopos Conſtantinopolis Patriarcham illum electuros; ex intimis etiam Theologi quodam ejus adiutore. Qui quidem, cum in Eccleſia jam conſtitiſſent, nondum perfecta re depræhenſi, atque à fidelibus ejecti, non propterea quieverunt, ſed Choraulæ cujuſdam domum ingreſſi, E Maximum Patriarcham ordinant, quamvis nihil ei profuit iſtiuſmodi improbitas, nec quicquam enim perficere potuerunt. Hominem igitur, ſecundæ ſynodi Sancti Patres hoc Canone notavere, nec Epiſcopum factum fuiſſe aut eſſe, ordinatum quippe contra leges, nec quibus ordines contuliſſet, in Clericorum numero habendos eſſe definiunt. Eundem poſtea, cum ab Apollinario ſtetiſſe cognitum eſſet, anathemate damnavere. Ac hujus quidem hominis, apud Theologum, in iis, quas Eccleſia non recitat, orationibus, mentionem alicubi factam reperias.

Arist. *Maximus Cynicus ab Epiſcopis alienus, & quisquis ab eo in Clerum adſcriptus eſt, profanus habetur.*

F

Quoniam hic Eccleſiam dilaceravit, eamque perturbatione & tumultu implevit, lupus pro paſtore viſus, & omnia offendentibus prompte concedens, eo ſolum quod in dogmatis impius fuit, ſecundum magnum Theologum Gregorium. Alienus itaque ab Epiſcopis erit Maximus, & qui ab eo ordinati fuere, quocunque tandem Cleri gradu, inter profanos habiti.

Canon

Canon V.

Quod ad volumen attinet Occidentalium, etiam eos ſuſcipimus qui Antiochiæ unam Patris & Filii & ſancti Spiritus Deitatem confitentur.

Bals. Hic quoque Canon eſt ſpecialis. In hiſtoriis enim ſcriptum eſt, quòd Imperator Conſtantius, magni Conſtantini filius, Arrianus factus, primam ſynodum evertere conatus eſt. Cùm hoc autem reſciviſſet ejus frater Conſtans, qui Occidentalibus partibus dominabatur, fratri ſuo bellum literis minatus eſt, niſi rectam fidem labefactare deſineret. Viſum eſt ergo Imperatoribus, ut Sardicæ ſeu Triaditzæ Epiſcopi convenirent, & de iis quæ Nicææ decreta erant, diſceptarent. Congregatis itaque trecentis quadraginta & uno Epiſcopis, confirmatum eſt ſanctum ſymbolum patrum qui Nicææ convenerant: &, qui non ita ſentiebant, anathemati ſubjecti ſunt. Volumen ergo ſeu tomum Occidentalium hanc dicit definitionem ſecunda ſynodus, quæ etiam ab Antiochenis ſuſcepta eſt. Volumen autem hoc Occidentalium dixit, quoniam ſoli Occidentales Epiſcopi ediderunt. Orientales enim, qui erant ſeptuaginta, dicebant, niſi ejicerentur ſanctus Paulus confeſſor & magnus Athanaſius, ſe ſynodo non communicaturos. Cùm autem Occidentales hoc facere recuſarent, Orientales Epiſcopi ſtatim à ſynodo receſſerunt. Et ideo ſoli illi Occidentales Nicænam definitionem confirmarunt, & diſſimile anathematizarunt, & Orientales Epiſcopos condemnarunt. Obſerva autem ex hiſtoriis hîc relatis Sardicenſem ſynodum ante hanc ſecundam habitam eſſe.

Zonar. Conſtantius magni Conſtantini filius, Imperator, cum Arrianis faveret, primam ſynodum convellere omni ſtudio nitebatur. Hoc veteris Romæ Papa Conſtanti fratri Conſtantii ſignificavit: Hic autem Conſtantio bellum, niſi à rectæ fidei oppugnatione deſiſteret, miſſis literis denuntiavit. Hinc de Synodo habenda, déque Concilii Nicæni decretis in ea diligenter cognoſcendis, inter ambos Imperatores convenit. Sardicæ igitur unus & quadraginta ſupra trecentos Epiſcopi congregati ſunt, qui decreto edito, & ſanctum Nicænum Symbolum confirmarunt, & ei contrarium ſentientes abdicarunt. Hoc igitur decretum, Occidentalium volumen ſive tomum ſynodus hæc ſecunda nominat; cujus auctoritatem amplexos quoque Antiochenos probat. Per Occidentales verò, qui Sardicæ convenerunt, Epiſcopos intelligit. Sardica porro eſt, quam nunc Triadizzam vocant. Tomum autem dixit Occidentalium, eo quod ſoli Occidentis Epiſcopi decretum illud edidere. Nam Orientis quidem Epiſcopi ſeptuaginta, niſi S. Paulus confeſſor, & magnus Athanaſius è Concilio exirent, ſe Synodo non intereſſe clamabant. Hoc autem cùm Occidentales, ut facerent, adduci non potuerint, è ſynodo ſtatim Orientales Epiſcopi ſe proripuerunt. Proinde à ſolis Occidentalibus Nicænæ ſynodi decreta confirmata ſunt, qui & quod ab ea diverſum eſt anathematizârunt, & Orientis Epiſcopos condemnarunt. Nota autem ex iis quæ hic traduntur, quod Synodus Sardicenſis ante hanc ſecundam habita fuit.

Arist. *Patrem, & Filium, & Spiritum S. conſubſtantiales aſſerens Occidentalium tomus, facilè admittitur.* Perſpicuus.

A

ΚΑΝΩΝ ε'.

Περὶ τοῦ τόμου τῶν δυτικῶν, καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεότητα.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἰδικός ἐστιν. ἱστόρηται γὰρ ὅτι Κωνστάντιος ὁ βασιλεὺς, ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου Ἀρειανίσας, ἔσπευδε ἀνατρέψαι τὴν πρώτην σύνοδον. μαθὼν δὲ τοῦτο Κώνστας ὁ ἀδελφὸς αὐτοῦ, τῶν ἑσπερίων κυριεύων μερῶν, ἠπείλησε διὰ γραφῶν πόλεμον τῷ ἀδελφῷ B αὐτοῦ, εἰ μὴ παύσαιτο τὴν ὀρθὴν πίστιν σαλεύειν. ἔδοξεν οὖν τοῖς βασιλεῦσι, συνελθεῖν ἐν Σαρδικῇ ἤτοι τῇ Τριαδίτζῃ τοὺς Ἐπισκόπους, καὶ διαγνωμονῆσαι περὶ τῶν ἐν Νικαίᾳ δογματισθέντων. Συναθροισθέντων οὖν τριακοσίων τεσσαράκοντα πρὸς τῷ ἑνὶ Ἐπισκόπων, ἐβεβαιώθη τὸ ἅγιον σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων· καὶ οἱ μὴ οὕτω φρονοῦντες ἀνεθεματίσθησαν. Τόμον οὖν τῶν δυτικῶν τὸν ὅρον τοῦτόν φησιν ἡ β'. Σύνοδος, τὸν καὶ παρὰ τῶν Ἀντιοχέων δεχθέντα· τόμον δὲ εἶπε τῶν δυτικῶν, ὅτι μόνοι οἱ δυτικοὶ Ἐπίσκοποι τοῦτον ἐξέθεντο. οἱ γὰρ ἐξ ἑώας, ο'. ὄντες ἔλεγον, ὡς εἰ μὴ τοῦ συνεδρίου ἐξέλθωσιν ὁ ἅγιος Παῦλος ὁ ὁμολογητὴς, καὶ C ὁ μέγας Ἀθανάσιος, οὐ κοινωνήσουσι τῇ συνόδῳ. τοῦτο δὲ ποιῆσαι μὴ ἀνεχομένων τῶν δυτικῶν, αὐτίκα ἀπέστησαν τῆς συνόδου οἱ τῆς ἑώας Ἐπίσκοποι. διὸ καὶ μόνοι οἱ δυτικοὶ τὸν τῆς Νικαίας ὅρον ἐβεβαίωσαν, καὶ ἀνεθεμάτισαν τὸ ἀνόμοιον, καὶ τῶν ἑώων Ἐπισκόπων κατεψηφίσαντο. σημείωσαι δὲ ἀπὸ τῶν ἐντὸς ἱστορηθέντων, ὅτι ἡ ἐν Σαρδικῇ σύνοδος πρὸ τῆς δευτέρας γέγονε συνόδου.

ΖΩΝΑΡ. Κωνστάντιος ὁ βασιλεὺς ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου Ἀρειανίσας, ἐσπούδεν ἀνατρέψαι τὴν πρώτην σύνοδον. τοῦτο ὁ τῆς πρεσβυτέρας Ῥώμης Πάπας, ἀνήνεγκε πρὸς Κώνσταντα τὸν ἀδελφὸν τοῦ Κωνσταντίου. ὁ δὲ D πόλεμον ἠπείλησε διὰ γραμμάτων τῷ ἀδελφῷ, εἰ μὴ παύσαιτο τὴν ὀρθὴν πίστιν σαλεύων. ἔδοξεν οὖν τοῖς βασιλεῦσιν ἀμφοῖν σύνοδον γενέσθαι, κἀκείνην διαγνωμονῆσαι περὶ τῶν ἐν Νικαίᾳ δογματισθέντων. Συνηθροίσθησαν οὖν ἐν Σαρδικῇ Ἐπίσκοποι τριακόσιοι τεσσαράκοντα καὶ εἷς, οἳ καὶ ὅρον ἐξέθεντο βεβαιοῦντα τὸ ἅγιον σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων, τοὺς τὰ ἐναντία φρονοῦντας ἀποκηρύττοντα. τόμον οὖν τῶν δυτικῶν, τὸν ὅρον τοῦτον, φησὶν ἡ δευτέρα σύνοδος· ὃν δεξαμένους καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδέξατο. δυτικοὺς δὲ τοὺς ἐν Σαρδικῇ ἀθροισθέντας φησὶν Ἐπισκόπους. Σαρδικὴ δ' ἐστιν, ἡ νῦν λεγομένη Τριάδιτζα. τόμον δὲ E εἶπε τῶν δυτικῶν, ὅτι μόνοι οἱ δυτικοὶ Ἐπίσκοποι τοῦτον ἐξέθεντο. οἱ γὰρ ἐξ ἑώας ο'. ὄντες ἔλεγον, ὡς εἰ μὴ τοῦ συνεδρίου ἐξέλθωσιν ὁ ἅγιος Παῦλος ὁ ὁμολογητὴς, καὶ ὁ μέγας Ἀθανάσιος, οὐ κοινωνήσουσι τῇ συνόδῳ. τοῦτο δὲ ποιῆσαι, μὴ ἀνεχομένων τῶν δυτικῶν, αὐτίκα ἀπέστησαν τῆς συνόδου οἱ τῆς ἑώας Ἐπίσκοποι. διὸ καὶ μόνοι οἱ δυτικοὶ τὸν τῆς Νικαίας ὅρον ἐβεβαίωσαν, καὶ ἀνεθεμάτισαν τὸ ἀνόμοιον καὶ τῶν ἑώων Ἐπισκόπων κατεψηφίσαντο. σημείωσαι δὲ ἀπὸ τῶν ἐντὸς ἱστορηθέντων, ὅτι ἡ ἐν Σαρδικῇ σύνοδος πρὸ τῆς δευτέρας γέγονε συνόδου.

F ΑΡΙΣΤ. Ὁ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμουσίᾳ παρεγγυῶν τῶν δυτικῶν τόμος, εὐαπόδεκτος. Σαφής.

A

ΚΑΝΩΝ ϛʹ.

Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν βουλόμενοι, φιλέχθρως καὶ συκοφαντικῶς αἰτίας τινὰς κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας ὀρθοδόξων Ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις, καὶ ταραχὰς τῶν εἰρηνευόντων λαῶν κατασκευάζειν ἐπιχειροῦντες· τούτου ἕνεκεν ὥρισεν ἡ ἁγία σύνοδος τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων Ἐπισκόπων, μὴ ἀνεξετάστως προσίεσθαι τοὺς κατηγόρους, μηδὲ πᾶσιν B ἐπιτρέπειν τὰς κατηγορίας ποιεῖσθαι κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας, μηδὲ μὴν πάντας ἀποκλείειν. ἀλλ' εἰ μέν τις οἰκείαν τινὰ μέμψιν, τουτ' ἔστιν, ἰδιωτικὴν, ἐπαγάγοι τῷ Ἐπισκόπῳ, ὡς πλεονεκτηθεὶς, ἢ ἄλλο τι παρὰ τὸ δίκαιον παρ' αὐτοῦ πεπονθὼς, ἐπὶ τῶν τοιούτων κατηγοριῶν μὴ ἐξετάζεσθαι, μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν. χρὴ γὰρ παντὶ τρόπῳ, τό, τε συνειδὸς τοῦ Ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα, οἵας ἂν ᾖ θρησκείας, τῶν δικαίων τυγχάνειν. εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ Ἐπισκόπῳ τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα· ἵνα πρῶτον μὲν αἱρετικοῖς μὴ ἐξῇ C κατηγορίας κατὰ τῶν ὀρθοδόξων Ἐπισκόπων ὑπὲρ ἐκκλησιαστικῶν πραγμάτων ποιεῖσθαι. αἱρετικοὺς δὲ λέγομεν, τούς τε πάλαι τῆς ἐκκλησίας ἀποκηρυχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας. πρὸς δὲ τούτοις, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχισθέντας δὲ καὶ ἀντισυνάγοντας τοῖς κανονικοῖς ἡμῶν Ἐπισκόποις. ἔπειτα δὲ καὶ εἴ τινες τῶν ἀπὸ τῆς ἐκκλησίας ἐπ' αἰτίαις τισὶ προκατεγνωσμένοι εἶεν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου εἴτε ἀπὸ λαϊκοῦ τάγματος, μηδὲ τούτοις ἐξεῖναι κατηγορεῖν Ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται. ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν D προλαβοῦσαν ὄντας, μὴ πρότερον εἶναι δεκτοὺς εἰς Ἐπισκόπου κατηγορίαν ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθώους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. εἰ μέντοι τινὲς, μήτε αἱρετικοὶ, μήτε ἀκοινώνητοι εἶεν, μήτε κατεγνωσμένοι ἢ προκατηγορημένοι ἐπί τισι πλημμελήμασι, λέγοιεν δὲ ἔχειν τινὰς ἐκκλησιαστικὰς κατὰ τοῦ Ἐπισκόπου κατηγορίας, τούτους κελεύει ἡ ἁγία σύνοδος, πρῶτον μὲν ἐπὶ τῶν τῆς ἐπαρχίας πάντων Ἐπισκόπων ἐνίστασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τοῦ ἐν αἰτίαις τισὶν Ἐπισκόπου. εἰ δὲ συμβαίη ἀδυνατῆσαι τοὺς ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων E τῷ Ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζονι συνόδῳ τῶν τῆς διοικήσεως Ἐπισκόπων ἐκείνης, ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλουμένων, καὶ μὴ πρότερον ἐνίστασθαι τὴν κατηγορίαν, πρὶν ἢ ἐγγράφως αὐτοὺς ἐπιτιμήσασθαι κίνδυνον, εἴπερ ἐν τῇ τῶν πραγμάτων τάξει συκοφαντοῦντες τὸν κατηγορούμενον Ἐπίσκοπον ἐλεγχθεῖεν. εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων, τολμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικὴν σύνοδον ταράσσειν, πάντας ἀτιμάσας τοὺς τῆς διοικήσεως Ἐπισκόπους, τὸν τοιοῦτον τὸ παράπαν εἰς κατηγορίαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς κανόνας, καὶ τὴν F ἐκκλησιαστικὴν λυμηνάμενον εὐταξίαν.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα χάριν τῶν ἐνιστάντων ἐγκληματικὰ δικαστήρια κατὰ τῶν Ἐπισκόπων καὶ λοιπῶν ἱερωμένων. ἀνάγνωθι καὶ τὸν ρκθʹ. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τοὺς εἰς τὴν ἑρμηνείαν αὐτοῦ καταστρωθέντας νόμους. καὶ μάθοις ἐκ τοῦ παρόντος κανόνος, καὶ ἐξ ἐκείνων, τίνες κωλύονται γυμνάζειν κατὰ ἱερωμένων ἐγκληματικὰς ἀγωγάς. Οὐκ ἐπαύσατο ποτὲ ὁ πολέμιος ἡμῶν Σατανᾶς διὰ συκοφαντίας μολύνων τὰς ὑπολήψεις

Canon VI.

Quoniam multi Eccleſiaſticum ordinem confundere & ſubvertere volentes, inimicè & ſycophanticè adverſus orthodoxos Epiſcopos, qui Eccleſias adminiſtrant, accuſationes quaſdam confingunt, nihil aliud quam ſacerdotum bonam famam lædere, & in pace degentium populorum tumultus concitare conantes: ea de cauſa decrevit ſancta ſynodus Epiſcoporum, qui Conſtantinopoli convenerunt, non ſine examine accuſatores admittere, nec omnibus, eorum qui Eccleſias adminiſtrant accuſationes permittere, nec omnes excludere. Sed ſi quis propriam quidem querelam, id eſt, privatam, intendat Epiſcopo, ut oppreſſus, vel aliàs injuria aliqua ab ipſo affectus, in ejuſmodi accuſationibus, nec accuſatoris perſonam, nec religionem examinari. Omnino enim oportet, & Epiſcopi conſcientiam eſſe liberam, & eum, qui injuriam ſibi factam eſſe conqueritur, cujuſcunque tandem ſit religionis, jus obtinere. Si autem ſit crimen Eccleſiaſticum, quod Epiſcopo intenditur, tunc examinare oportet perſonas accuſatorum. Vt primùm quidem hæreticis non liceat orthodoxos Epiſcopos de rebus eccleſiaſticis accuſare. Hæreticos autem dicimus, & qui olim ab Eccleſia ejecti ſunt, & qui ſunt poſtea à nobis anathematizati. Ad hæc autem, & eos qui ſanam quidem fidem confiteri præ ſe ferunt, in Schiſma autem abeunt, & adverſus Canonicos noſtros Epiſcopos congregationem faciunt. Præterea autem, & ſi aliqui eorum ab Eccleſia ob aliquas cauſas priùs condemnati & ejecti, vel excommunicati fuerint, ſive ex Clero, ſive ex laicorum ordine ſint; nec iis licere Epiſcopum accuſare priuſquam proprium crimen abſterſerint. Similiter autem & eos, qui ſub priore accuſatione laborant, non priùs ad Epiſcopi vel aliorum clericorum accuſationem admitti, quàm ſe objectorum ſibi criminum inſontes oſtenderint. Sed ſi nonnulli, nec hæretici, nec excommunicati fuerint, nec priùs damnati, vel aliquorum criminum accuſati, dicant autem ſe habere Eccleſiaſticas aliquas adverſus Epiſcopum criminationes, eos jubet ſancta ſynodus primùm quidem apud provinciæ Epiſcopos accuſationem intendere, & coram eis probare crimina Epiſcopo objecta. Quòd ſi evenerit, ut provinciales Epiſcopi crimina, quæ Epiſcopo intentata ſunt, corrigere non poſſint, tunc ipſos accedere ad majorem ſynodum diœceſis illius Epiſcoporum pro hac cauſa convocatorum, & accuſationem non priùs intendere, quàm æquale ſibi periculum ſcriptis ſtatuant, ſiquidem in rebus examinandis, accuſatum Epiſcopum calumniari convicti fuerint. Si quis autem iis, quæ (ut priùs declaratum eſt) decreta fuerunt, contemptis, auſus fuerit vel Imperatoris aures moleſtia afficere, vel ſecularium principum judicia, vel univerſalem ſynodum perturbare, neglectis omnibus diœceſis Epiſcopis, eum nullo modo eſſe ad accuſationem admittendum, ut qui Canonibus injuriam fecerit, & Eccleſiaſticum ordinem everterit.

Bals. Nota præſentem Canonem, propter illos qui lites intendunt criminales adverſus Epiſcopos & reliquos ex ordine ſacerdotali: lege etiam Canonem cxxix. ſynodi Carthaginenſis, & leges in ejus expoſitione allegatas: ac ex hoc Canone & ex illis diſcas quinam prohibeantur criminales actiones adverſus eos, qui ſacris ordinibus initiati ſunt, intentare. Non ceſſavit unquam inimicus noſter ſatan, bonorum hominum exiſtimationem, & maximè Epiſcoporum, per calumniam polluere. Et propterea definierunt patres, quemvis hominem, ſive bonæ ſit exiſtimationis, ſive infamis, fidelis, & infidelis, privatam quidem cauſam, hoc eſt, pecuniariam adverſus Epiſcopum habentem admitti, & cum eo in judicio convenienti litigare. Pro cauſa autem criminali, vel quacunque Eccleſiaſtica quæſtione, quæ depoſitionem, vel etiam pœnam Epiſcopo inducit, eum non aliter trahi, quam ſi accuſatoris perſona priùs examinata fuerit. Hæreticis enim nullo modo permiſſum eſt Epiſcopum accuſare. Separati autem, vel qui ſunt etiam quomodocunque priùs accuſati, non poſſunt adverſus Epiſcopum vel Clericum accuſationem inſtituere, niſi priùs ſeipſos, eorum quæ eis objiciuntur, inſontes oſtenderint. Aclicèt ſit talis accuſator, non ſimpliciter nec temere vult Canon, Clericum, vel Epiſcopum trahi: ſed cum omni legitima obſervatione, & per ſcripturam, vel depoſitionem accuſatoris, quæ eum eidem pœna ſubjiciat, niſi crimen, cujus ipſum inſimulat, probaverit. Sed & Epiſcopi ſive Clerici accuſationem, primùm quidem apud Metropolitanum agitari: ſi autem non poſſit regionis ſynodus cauſam ſolvere, tunc, inquit, eam audiet major ſynodus. Eum autem qui præter hæc facit, & vel ad Imperatorem accedit, vel ad ſecularia judicia, vel ad univerſalem ſynodum, non eſſe ad accuſationem admittendum, ut qui Canones injuria afficiat, & Eccleſiaſticum ordinem pervertat. Privatas autem nominavit Canon pecuniarias cauſas, ad criminalium differentiam, quæ quidem publicæ dicuntur, ut quæ ab omnibus, qui ſunt ex populo, moveantur: quod non eſt in cauſis pecuniariis. Is enim ſolus eas movet, cujus intereſt. Cùm autem audis præſentem Canonem, dicentem, hæreticos etiam eos, qui ſanam fidem confiteri præ ſe ferunt, ſeparantes autem ſe, adverſus Canonicos noſtros Epiſcopos congregationem faciunt, ne pugnare exiſtimes cum ii. Canone magni Baſilii, non nominante hæreticos ſchiſmaticos. Sed dic illos ſchiſmaticos à præſenti Canone hæreticos appellari, qui aliena ſentiunt, & ſimulatione quidem ac ſpecie ſunt orthodoxi, ſunt autem re vera hæretici: ſancti autem Baſilii Canonem de aliis ſchiſmaticis docere, qui ſunt revera quidem orthodoxi, ſed propter aliquem eccleſiaſticæ quæſtionis prætextum, ſe per arrogantiam à fratrum integritate abſciderunt: & lege dictum Canonem ſancti patris. Ex ultimo autem dicto præſentis Canonis, dicentis, ad accuſationem non eſſe admittendum, qui præter Canonem facit, ut qui ſit in Canones contumelioſus, conati ſunt nonnulli dicere, eum etiam infamiæ ſubjici. Mihi autem videtur non ex eo, illum, qui adeò inordinatè actionem intendit, injuriarum actione teneri, ut ſit infamis; & conſequenter deponatur, propter regulam quæ dicit, Expreſſa nocent: non expreſſa non nocent. Aliquo autem alio modo punietur prout judici videbitur. Cùm autem Epiſcopus aliquis pro criminali cauſa in ſanctam Conſtantinopolitanam ſynodum tractus eſſet, & petiviſſet ut à ſuo Metropolitano & propria ſynodo judicaretur, ut vult hic præſens Canon, dixerunt nonnulli, quòd quoniam Metropolitanus præſens vult ſuum Epiſcopum à magna ſynodo judicari, apud eam rectè judicabitur. Contra autem dixerunt nonnulli, non eſſe ſitum ejus judicium in poteſtate Metropolitani, ſed ſynodi quæ eſt apud ipſum. Multum etiam Epiſcopi intereſſe, ut in propria ſynodo judicetur, & ad aliam ſynodum non trahatur. Et propterea nec locum quidem habere, Metropolitani admiſſionem. Præterea dixerunt nonnulli Canonem loqui de univerſali ſynodo, magnam autem ſynodum, quæ eſt Conſtantinopoli, non eſſe univerſalem: Et propterea nec locum habere in hac cauſa. Mihi autem videtur, quod etiamſi ſynodus, quæ eſt habita Conſtantinopoli, non eſt univerſalis ſynodus, cùm alii quoque Patriarchæ non adſint: eſt tamen major omnibus ſynodis, & ejus Archiepiſcopus univerſalis patriarcha voca-

A τῶν ἀγαθῶν ἀνθρώπων, καὶ μᾶλλον τῶν Ἐπισκόπων. καὶ διὰ τοῦτο ὡρίσαντο οἱ πατέρες, πάντα ἄνθρωπον ἔντιμον, καὶ ἄτιμον, πιστὸν, καὶ ἄπιστον, ἰδιωτικὴν μὲν ὑπόθεσιν, τουτέστι χρηματικὴν κατὰ Ἐπισκόπου ἔχοντα, προσδέχεσθαι καὶ δικάζεσθαι παρὰ τῷ προσφόρῳ δικαστηρίῳ. χάριν δὲ ἐγκληματικῆς ὑποθέσεως, ἢ ἐκκλησιαστικοῦ οἱουδήτινος ζητήματος καθαίρεσιν ἢ καὶ ἐπιτίμιον ἐπάγοντος τῷ Ἐπισκόπῳ, μὴ ἄλλως τοῦτον ἕλκεσθαι, εἰ μὴ πρότερον ἐξετασθῇ τὸ πρόσωπον τοῦ κατηγόρου. τοῖς γὰρ αἱρετικοῖς οὐδ᾽ ὅλως ἐνεδόθη κατηγορεῖν Ἐπισκόπου. οἱ δὲ ἀφωρισμένοι, ἢ καὶ προκατηγορηθέντες ὁπωσδήποτε, οὐ δύνανται κατὰ Ἐπισκόπου ἢ κληρικοῦ κατηγορίαν εἰσάγειν, εἰ μὴ ἑαυτοὺς ἀθωώσωσι τῆς κατηγορίας. B καὶ τοῦ κατηγόρου δὲ τοιούτου ὄντος, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε θέλει ὁ κανὼν τὸν κληρικὸν ἢ τὸν Ἐπίσκοπον ἕλκεσθαι, ἀλλὰ μετὰ πάσης νομικῆς παρατηρήσεως, καὶ διὰ ἐγγραφῆς ἤτοι διὰ καταθέσεως τοῦ κατηγόρου καθυποβαλλούσης τοῦτον τῇ ταυτοπαθείᾳ, εἰ μὴ τὸ εἰσαγόμενον παρ᾽ αὐτοῦ ἔγκλημα ἀποδείξει· ἀλλὰ καὶ τὴν κατηγορίαν τοῦ Ἐπισκόπου ἢ τοῦ κληρικοῦ πρῶτον παρὰ τῷ μητροπολίτῃ γίνεσθαι· εἰ δὲ οὐ δυνηθῇ ἡ ἐγχώριος σύνοδος λῦσαι τὴν ὑπόθεσιν, τότε, φησὶν, ἀκροάσεται ταύτης μείζων Σύνοδος. τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, καὶ ἢ βασιλεῖ προσερχόμενον, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ Οἰκουμενικῇ Συνόδῳ, ἀπαράδεκτον εἰς κατηγορίαν εἶναι, C ὡς ὑβριστὴν τῶν κανόνων καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας λυμεῶνα. ἰδιωτικὰς δὲ ὠνόμασεν ὁ κανὼν τὰς χρηματικὰς ὑποθέσεις, πρὸς ἀντιδιαστολὴν τῶν ἐγκληματικῶν, αἵτινες δημόσιαι λέγονται, ὡς κινούμεναι παρὰ παντὸς τοῦ δήμου, ὅπερ ἐπὶ τῶν χρηματικῶν ἀγωγῶν οὐκ ἔστι. μόνος γὰρ ὁ ἔχων τὸ διαφέρον, ταύτας κινεῖ. ἀκούων δὲ τοῦ παρόντος κανόνος λέγοντος, αἱρετικοὺς, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, ἀποσχίσαντας δὲ καὶ ἀντισυναγαγόντας τοῖς κανονικοῖς ἡμῶν Ἐπισκόποις, μὴ ἐναντιωθῇς τῷ β΄. κανόνι τοῦ μεγάλου Βασιλείου μὴ ὀνομάζοντι αἱρετικοὺς τοὺς σχισματικούς. ἀλλ᾽ εἰπὲ ἐκείνους τοὺς σχισματικοὺς ὀνομάζεσθαι ὑπὸ τοῦ παρόντος κανόνος D αἱρετικοὺς τοὺς ἀλλοτριόφρονας, καὶ κατὰ προσποίησιν μὲν ὀρθοδοξοῦντας, κατὰ ἀλήθειαν δὲ ὄντας αἱρετικούς· τὸν δὲ κανόνα τοῦ ἁγίου Βασιλείου περὶ ἑτέρων σχισματικῶν διδάσκειν, τῶν ὄντων μὲν ὀρθοδόξων τῇ ἀληθείᾳ, διά τε τινα πρόφασιν ἐκκλησιαστικοῦ ζητήματος, ἀποσχισάντων ἑαυτοὺς κατὰ ἀλαζονείαν ἀπὸ τῆς ὁλότητος τῶν ἀδελφῶν· καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα τοῦ ἁγίου Πατρός. ἀπὸ μέντοι τοῦ τελευταίου ῥητοῦ τοῦ παρόντος κανόνος, τοῦ λέγοντος ἀπαράδεκτον εἰς κατηγορίαν εἶναι τὸν παρὰ τὸν κανόνα ποιοῦντα, ὡς ὑβριστὴν τῶν κανόνων, ἐπεχείρησαν εἰπεῖν τινὲς, καὶ ἀτιμίᾳ τοῦτον καθυποβάλλεσθαι. ἐμοὶ δὲ δοκεῖ ἀπὸ τούτου μὴ γίνεσθαι, τὸν οὕτως ἀσυντάκτως ἐναγαγόντα, ἔνοχον τῇ περὶ E ὕβρεως ἀγωγῇ, ὥστε ἀτιμωθῆναι· καὶ ἀκολούθως καθαιρεθῆναι, διὰ τὸν κανόνα τὸν λέγοντα, Τὸ φανερὸν βλάπτει, τὸ ἐκτετυπωμένον οὐ βλάπτει· ἄλλως δέ πως τιμωρηθήσεται κατὰ τὸ δοκοῦν τῷ δικάζοντι. Ἐπισκόπου δέ τινος ἑλκυσθέντος χάριν ἐγκληματικῆς ὑποθέσεως εἰς τὴν ἐν Κωνσταντινουπόλει ἁγίαν Σύνοδον, καὶ ζητήσαντος τὴν κρίσιν τοῦ μητροπολίτου αὐτοῦ, ἐκ τῆς οἰκείας συνόδου κατὰ τὸν παρόντα κανόνα, εἶπον τινές· ὡς ἐπεὶ ὁ μητροπολίτης παρουσιάζων θέλει τὸν Ἐπίσκοπον αὐτοῦ παρὰ τῇ μεγάλῃ συνόδῳ κριθῆναι, καλῶς παρὰ ταύτῃ κριθήσεται. ἀντέθεντο δ᾽ ἕτεροι, μὴ κεῖσθαι τὴν κρίσιν τούτου, παρὰ τῇ ἐξουσίᾳ τοῦ μητροπολίτου, ἀλλὰ τῇ κατ᾽ αὐτὸν Συνόδῳ. ἔχειν δὲ καὶ μέγα διαφέρον τὸν Ἐπίσκοπον, εἰς τὴν οἰκείαν δικάζεσθαι F Σύνοδον, καὶ μὴ σκύλλεσθαι εἰς ἑτέραν Σύνοδον. καὶ διὰ τοῦτο μηδὲ χώραν ἔχειν τὴν τοῦ μητροπολίτου καταδοχήν. ἔτ᾽ εἶπον τινὲς περὶ οἰκουμενικῆς Συνόδου τὸν κανόνα διαλέγεσθαι· τὴν δὲ ἐν Κωνσταντινουπόλει μεγάλην Σύνοδον, μὴ εἶναι οἰκουμενικήν. καὶ διὰ τοῦτο μηδὲ χώραν ἔχειν ἐπὶ τῇ παρούσῃ ὑποθέσει. ἐμοὶ δὲ δοκεῖ, ὅτι ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος, κἂν οἰκουμενικὴ Σύνοδος οὐκ ἔστιν, ὡς μὴ παρουσιαζόντων καὶ τῶν ἄλλων πατριαρχῶν, ἀλλὰ μείζων ἐστὶ πασῶν τῶν Συνόδων, καὶ ὁ ἀρχιεπίσκοπος ταύτης, οἰκουμενικὸς πατριάρχης καλεῖται. καὶ τὸ διαφέρον δὲ, οὐχ ὁ μητροπολίτης, ἀλλ' ὁ Ἐπίσκοπος ἔχει, ἢ ὁ ἐλκυσθεὶς κληρικός. διὸ οὐδὲ βλαβήσεταί τις ἐξ αὐτῶν ἐκ τῆς τοῦ μητροπολίτου καταδοχῆς, διὰ τὸν νόμον τὸν λέγοντα· τὰ παρ' ἑτέρων γινόμενα, ἑτέρους οὐδὲ ὠφελοῦσιν, οὐδὲ βλάπτουσιν.

ΖΩΝΑΡ. Ἐνταῦθα διατάττονται οἱ θεῖοι πατέρες τίνας δεῖ προσδέχεσθαι Ἐπισκόπων ἢ κληρικῶν κατηγοροῦντας, καὶ τίνας ἀπροσδέκτους εἶναι, καί φασιν, ὅτι εἰ μὲν ἰδιωτικὴν δίκην ἐνίστησί τις κατὰ Ἐπισκόπου, οἷα ἀδικίαν ἐπεγκαλῶν αὐτῷ, ἀφαίρεσιν δῆθεν πράγματος ἀκινήτου, ἢ κινητοῦ, ἢ ὕβριν, ἢ τι τοιοῦτον, οἷος ἂν εἴη ὁ ἐνάγων, προσδεχθήσεται, κἂν ἄπιστος δηλαδὴ, κἂν αἱρετικὸς, κἂν ἀφωρισμένος, ἢ καὶ τέλεον τῆς καθολικῆς ἐκκλησίας ἐκκεκομμένος. δεῖ γὰρ πάντας ὁποίας ἂν εἶεν θρησκείας, ἢ καταστάσεως ἀδικεῖσθαι λέγοντας, προσίεσθαι, καὶ τοῦ δικαίου τυγχάνειν. ἰδιωτικὴν δὲ δίκην εἶπον, διαστέλλοντες ταύτην ἀπὸ τῆς ἐγκληματικῆς. ἰδιωτικαὶ μὲν γὰρ λέγονται, αἱ εἰς χρήματα τὴν ζημίαν ἐπάγουσαι· ἐγκληματικαὶ δὲ, αἱ εἰς τὴν οἰκείαν κατάστασιν τὸν κατηγορούμενον ζημιοῦσαι. διὸ καὶ ἐπήγαγον· εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἐπιφερόμενον ἔγκλημα τῷ Ἐπισκόπῳ, τοιοῦτον τυχὸν, οἷον ἔκπτωσιν αὐτῷ τῆς ἱερωσύνης ἐπάγειν, ἱεροσυλία δηλαδὴ, ἢ ἐπὶ δόσει χρημάτων χειροτονία, ἢ ἀρχιερατικοῦ δικαίου τινὸς τελεσιουργία ἐν ἀλλοτρίᾳ ἐνορίᾳ, χωρὶς γνώμης τοῦ ἐκεῖσε ἀρχιερέως, καὶ ὅσα τούτοις εἰσὶν ὅμοια, τότε τὸν κατήγορον ἀκριβῶς ἐξετάζεσθαι, καὶ αἱρετικὸν ὄντα μὴ προσδέχεσθαι· αἱρετικοὺς δὲ πάντας καλεῖ τοὺς παρὰ τὴν ὀρθόδοξον πίστιν δοξάζοντας, κἂν πάλαι ἀπεκηρύχθησαν, κἂν προσφάτως, κἂν παλαιαῖς αἱρέσεσι κοινωνῶσι, κἂν νέαις. καὶ οὐ μόνον τοὺς περὶ τὴν ὑγιῆ πίστιν σφαλλομένους ἀποπέμπεται ὁ κανὼν πρὸς Ἐπισκόπων ἐγκληματικὴν κατηγορίαν, ἀλλὰ καὶ τοὺς ἀποσχίσαντας ἐκ τῶν ἰδίων Ἐπισκόπων, καὶ ἐκείνοις ἀντισυνάγοντας, κἂν δοκῶσιν ὀρθοδοξεῖν. σχισματικοὶ δέ εἰσι κατὰ τὸν μέγαν Βασίλειον, οἱ δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντες. ὁμοίως δὲ καὶ τοὺς ἐπὶ αἰτίαις οἱαισδήτισιν ἀποβεβλημένους τῆς ἐκκλησίας, ἢ ἀκοινωνήτους, ἀποβεβλημένους δὲ τοὺς τελείως ἐκκεκομμένους τῆς ἐκκλησίας νοητέον. τοὺς δὲ πρὸς καιρὸν ἀφορισθέντας ἐδήλωσαν οἱ θεῖοι πατέρες διὰ τοῦ εἰπεῖν ἀκοινωνήτους· κἂν κληρικοὶ εἶεν οἱ τοιοῦτοι, κἂν λαϊκοί. καὶ οὗτοι γὰρ οὐ προσδεκτέοι πρὸς κατηγορίαν Ἐπισκόπων ἢ κληρικῶν λογίζονται, μέχρις ἂν τὸ οἰκεῖον αἰτίαμα ἀποσκευάσωνται, καὶ ἀνεγκλήτους καταστήσωσιν ἑαυτούς. ἀλλὰ μὴν καὶ τοὺς ὑπὸ κατηγορίαν ὄντας τινὰ καταπτωτικὴν τῆς αὐτῶν καταστάσεως, μὴ προσίεσθαι διακελεύεται ὁ κανὼν κατηγοροῦντας Ἐπισκόπων ἢ κληρικῶν, εἰ μὴ αὐτοὺς τῶν ἐπενεχθέντων αὐτοῖς ἐγκλημάτων ἀθωώσουσιν. εἰ δὲ οὐδεμιᾷ τῶν εἰρημένων αἰτιῶν ἔνοχοί εἰσιν οἱ κατηγοροῦντες, ἀλλ' ἀνέγκλητοι εὑρίσκοιντο πάντοθεν, τότε εἰ μὲν Ἐπίσκοπος ὁ κατηγορούμενος εἴη, οἱ τῆς ἐπαρχίας ἐκείνης Ἐπίσκοποι συνιόντες, ἀκροάσονται τῆς κατηγορίας, καὶ ἢ λύσουσι τὴν ὑπόθεσιν, ἢ εἰ μὴ δύνωνται λῦσαι αὐτὴν, μείζονι συνόδῳ προσελεύσονται. μείζονα δὲ σύνοδον λέγει τοὺς τῆς διοικήσεως ὅλης Ἐπισκόπους. ἐπαρχίαν μὲν γὰρ νοητέον τυχὸν τὴν Ἀδριανούπολιν, ἢ τὴν Φιλιππούπολιν, καὶ τοὺς περὶ αὐτὰς Ἐπισκόπους· διοίκησιν δὲ τὴν Θρᾴκην ὅλην ἢ τὴν Μακεδονίαν. ὅταν οὖν οἱ τῆς ἐπαρχίας πρὸς διόρθωσιν τῶν κατηγορουμένων ἀτονῶσι, τότε συνάγεσθαι τοὺς τῆς διοικήσεως Ἐπισκόπους ὁ κανὼν θεσπίζει, καὶ λύειν τὰ κατὰ τοῦ Ἐπισκόπου λεγόμενα. εἰ δὲ κληρικὸς εἴη ὁ κατηγορούμενος, παρὰ τῷ Ἐπισκόπῳ ᾧ ὑπόκειται, ὁ ἐνάγων ἐνστήσεται τὴν κατηγορίαν. καὶ εἰ μὴ παρ' ἐκείνῳ λυθῇ ἡ ὑπόθεσις, τότε τὰ ἑξῆς προβήσεται, ὡς ἄνωθεν εἴρηται. οὐ πρότερον δὲ τὸν ἐνάγοντα τὴν κατηγορίαν τοῦ ἐγκλήματος ἐνιστᾶν οἱ ἱεροὶ πατέρες ὡρίσαντο τῷ

A tur. Et Metropolitani quidem non intereſt, ſed Epiſcopi, vel Clerici qui trahitur. Quamobrem nec lædetur quidem quiſpiam ex his ex Metropolitani admiſſione, propter legem quæ dicit: Quæ ab aliis fiunt, alios nec juvant, nec lædunt.

Zonar. Quibus hominibus Epiſcoporum, Clericorúmve accuſatio permittenda, quibuſque neganda ſit, ſancti patres hoc loco decernunt; dicentes, Quòd ſi quis privatam quidem litem intendat Epiſcopo; veluti, de injuriâ illum poſtulans, rei ſcilicet, ſive mobilis, ſive B immobilis, ablatione, aut de contumelia illata, aut de hujuſmodi aliquo alio; qualiſcunque tandem ſit actor, infidelis nempe, vel hæreticus, vel excommunicatus, aut etiam ab Eccleſiâ Catholicâ penitus ejectus, admittetur. Vniverſis etenim cujuſcunque demum religionis vel ſtatûs ſint, ſi injuriam ſibi aliquo modo factam putent, in judicium venire, ac jus ſuum obtinere, ut liceat, par eſt. Privatam dixere controverſiam, eam à criminalibus diſtinguentes. Sunt autem privatæ, quæ pecuniaria demum æſtimatione litis abſolvuntur. Criminales verò, unde vitæ ſtatum damnatus amittit. Propterea addunt; ſi verò Eccleſiaſticum ſit crimen, quod C Epiſcopo objicitur, tale forſan, quod ab officio ſacerdotali depoſitione mulctetur, ſacrilegium videlicet, aut ordinis mercenaria collatio, aut in aliena diœceſi, non impetratâ prius ab illius loci Epiſcopo facultate, functionis Epiſcopalis adminiſtratio, & quæ his ſimilia ſunt: tunc accuſatorem diligenter examinari, &, ſi ſit Hæreticus, non admittere. Hæreticos autem omnes vocat, qui ab orthodoxâ fide diſſentiunt, ſive jam olim ab Eccleſia, ſive nuper ejecti, ſint ſive antiquis erroribus, ſive novis adhæſerint. Nec tantum, quorum male ſana eſt fides; ſed ſchiſmaticos quoque, qui, repudiata Epiſcopi ſui auctoritate, conventicula ſeorſim celebravere, D etiamſi inter orthodoxos alioqui locum obtinere poſſe videantur, arcendos omnino Canon ab Epiſcoporum criminatione decernit. Sunt porrò ſchiſmatici, definiente magno Baſilio, qui ob lites aliquas Eccleſiaſticas, & controverſias, quæ dirimi aliqua ratione poſſint, cauſam inter ſe diſſidii nacti fuere. Similiter, & qui ab Eccleſiâ, quacunque demum de cauſâ, ejecti ſunt, & excommunicati; per ejectos autem, qui ab Eccleſiæ corpore penitus exciſi ſunt intelligendi; per excommunicatos verò, ad certum tempus tantummodo ſegregatos ſancti patres indigitârunt, ſive Clerici ſint, ſive Laici. Atque hos judicant ad Epiſcoporum Clericorúmve accuſationem non eſſe E admittendos, donec proprium crimen diluerint, ſeque innocentes eſſe probaverint. Sed & quorum ita delata ſunt nomina, ut de vitæ ſuæ ſtatu judicio certare cogantur, niſi ſe priùs à culpis ſibi objectis immunes eſſe demonſtrarint, ad Epiſcoporum aut Clericorum accuſationem admitti vetat omnino Canon. Si verò nullis iſtiuſmodi cauſis obnoxii ſint accuſatores, ſed inculpati prorſus inveniantur; tunc, ſiquidem Epiſcopus ſit, qui in judicium vocatur, illius provinciæ Epiſcoporum conventus cauſam cognoſcat, & vel quæſtionem definiat; vel ſi id minùs potuerit, ad majorem ſynodum deferant. Per majorem autem ſynodum, eam, quæ ex univerſis diœceſeos F Epiſcopis conflatur, intelligit. Provinciam etenim, Adrianopolim, exempli cauſa, vel Philippopolim, cum iis, qui in eo tractu degunt, Epiſcopis dicimus; Thraciam verò totam vel Macedoniam diœceſin. Quando ergo delatis criminibus corrigendis Provinciales Epiſcopi haud ſufficiant, tum diœceſeos Epiſcopos convenire, & quæ contra Epiſcopum proferuntur ſolvere jubet Canon. Clericum verò ſi quis accuſet, coram ejuſdem Clerici Epiſcopo actionem intendat. Quòd ſi litem non dirimat, ad ſuperiores judices gradatim cauſa deferetur, ut ſupra diximus. Neque verò delatorem priùs accuſationem inſtituere, quàm ſcripto profeſſus ſit, ſe eidem pænæ obnoxium eſſe, ſi objecta crimina non probaverit, quam reus patrati facinoris evictus (modo aliquam) ſubiturus ſit, ſancti Patres, (legem civilem in hoc imitati) definierunt. His verò ita conſtitutis, addunt; quicunque hujus Canonis auctoritate neglecta coram Imperatore, aut Principibus ſecularibus, aut Oecumenica ſynodo actionem inſtituere aggreſſus fuerit, quippe in Epiſcopos omnes diœceſanos injurius, tum in Canones contumelioſus, poſtremo Eccleſiaſticæ, quod in ipſo fuit tranquillitatis everſor, ad accuſationem omnino non eſſe admittendus.

Arist. *Et qui malâ opinione imbutus eſt, ſi injuriam patiatur, accuſet Epiſcopum. Si vero Eccleſiaſticorum ſit crimen, ne dicat. Neque etiam alius antea condemnatus, dicat. Ne dicat excommunicatus, vel ejectus, vel criminibus quibuſlibet accuſatus, donec intentata ſibi crimina diluerint. Accuſent autem Orthodoxus, communionis particeps, non condemnatus, non accuſatus; Et provincialibus crimen moveatur. Si vero non poſſint cauſam ſolvere, ad majorem ſe convertant Synodum, ac ſine profeſſione ejuſdem affectus, ne audiantur. Qui autem contra hac Imperatorem adit, eique moleſtiam exhibet, abdicetur.*

Eorum, qui Epiſcopos aut Clericos accuſant, perſonas examinare oportet, ne forte Hæreticus ſit iſte, aut condemnatus, & ejectus & excommunicatus, vel ab aliis de criminibus accuſatus, & nondum ab accuſatione abſolutus. Et ſi hujuſmodi ſint qui accuſant, accuſare non permittuntur. Sin orthodoxus ſit & vitâ inculpatus, & non excommunicatus, qui contra Epiſcopum Eccleſiaſticam inſtituit accuſationem, admittatur, & apud provinciales Epiſcopos moveatur actio. Si illi autem non ſufficientes fuerint ad corrigenda Epiſcopo objecta crimina: tunc accuſator & ad majorem accedat ſynodum, & priùs ſcriptum det, ſe eandem ſubiturum pœnam ſi calumniator evictus fuerit: & ſic accuſationem intendat. Qui autem aliter fecerit, aut ad Imperatorem tumultu acceſſerit, & Epiſcopum accuſaverit, aut ſecularium principum tribunalia hunc in finem adiverit, ad accuſationem non eſt admittendus. Hæreticus autem injuria affectus ab Epiſcopo, eum accuſare non prohibeatur.

CANON VII.

Eos, qui rectæ fidei ſe adjungunt, & parti eorum, qui ex Hæreticis ſervantur, recipimus, ſecundum ſubjectam hic conſequentiam & conſuetudinem. Arrianos quidem & Macedonianos, & Sabbatianos, & Novatianos, qui ſeipſos vocant Catharos & Siniſtros: & Quartadecimanos ſive Tetraditas, & Apollinariſtas, recipimus, dantes quidem libellos, & omnem hæreſin anathematizantes, quæ non ſentit ut ſancta Dei Catholica & Apoſtolica Eccleſia: & ſignatos ſive unctos primùm ſancto chriſmate, & frontem, & oculos, & nares, & os, & aures: & eos ſignantes dicimus, Signaculum doni ſpiritus ſancti. Atqui Eunomianos, qui una demerſione baptizantur, & Montaniſtas, qui hic dicuntur Phryges, & Sabellianos, qui idem eſſe patrem & filium docent, & alia quædam pernicioſa faciunt: Et alias omnes hæreſes (quoniam hic multi ſunt, & maximè qui ex Galatarum regione prodierunt) quicunque ex his rectæ fidei adſcribi volunt, ut Græcos admittimus, & primo quidem die ipſos Chriſtianos facimus: ſecundo, catechumenos: deinde tertio, exorcizamus ipſos, ter in

A πολιτικῷ νόμῳ ἑπόμενοι· εἰ μὴ ἐγγράφως ὁ κατήγορος ἀσφαλίσεται, ἔνοχον εἶναι αὐτὸν μὴ ἀποδείξαντα τὴν κατηγορίαν, ταυτοπαθείᾳ, ὥστε αὐτὸν ὑποστῆναι, εἴ τι ἔμελλε παθεῖν ὁ κατηγορούμενος ἀποδεικνυμένης τῆς κατ' αὐτοῦ αἰτιάσεως. ταῦτα δὲ ὁρισάμενοι οἱ θεῖοι πατέρες ἐπήγαγον, τὸν μὴ τηρήσοντα τὸν συνοδικὸν τοῦτον κανόνα, ἀλλ' ἢ βασιλεῖ προσελευσόμενον, ἢ κοσμικοῖς ἄρχουσιν, ἢ οἰκουμενικῇ συνόδῳ, ἄδεκτον εἶναι παντάπασιν εἰς κατηγορίαν, ὡς ἀτιμάσαντα τοὺς τῆς διοικήσεως Ἐπισκόπους, καὶ τοὺς κανόνας ὑβρίσαντα, καὶ τὴν τῆς ἐκκλησίας εὐταξίαν συγχέαντα.

B ΑΡΙΣΤ. Καὶ ὁ κακόδοξος πλεονεκτούμενος ἐγκαλείτω κατ' Ἐπισκόπου· εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ ἔγκλημα, μὴ λεγέτω· μὴ λεγέτω δὲ μηδ' ἄλλος, εἰ προκατέγνωσται· μὴ λεγέτω ἀκοινώνητος, ἢ ἀπόβλητος, ἢ κατηγορούμενος ἔν τισιν, ἕως ἀποδύσωνται τὰ οἰκεῖα. κατηγορείτωσαν δὲ ὁ ὀρθόδοξος, ὁ κοινωνικὸς, ὁ ἀκατάγνωστος, ὁ ἀκατήγορος· καὶ κινείσθω τοῖς ἐπαρχιώταις τὸ ἔγκλημα· εἰ δ' ἀδυνατοῖεν, πρὸς μείζονα τρεπέσθωσαν σύνοδον, καὶ δίχα ἐγγραφῆς τῆς ταυτοπαθείας, μὴ ἀκουέσθωσαν. Ὁ δὲ παρὰ ταῦτα τῷ βασιλεῖ προσιὼν καὶ ἐνοχλῶν, ἀποκήρυκτος.

C Δεῖ τὰ πρόσωπα τῶν κατηγορούντων Ἐπισκόπων, ἢ κληρικῶν, ἐξετάζειν, μήποτε αἱρετικὸς ἐστὶν οὗτος, ἢ κατεγνωσμένος, καὶ ἀποβεβλημένος, καὶ ἀκοινώνητος, ἢ παρ' ἑτέρων κατηγορούμενος ἐπ' ἐγκλήμασι, καὶ μήπω φανεὶς ἀθῷος τῆς αἰτιάσεως. Καὶ εἰ τοιοῦτοι οἱ κατηγοροῦντες εἶεν, μὴ παραδέχεσθαι αὐτοὺς εἰς αἰτίασιν. Εἰ δ' ὀρθόδοξός ἐστι, καὶ τὸν βίον ἀνεπίληπτος, καὶ κοινωνικὸς, ὁ τὴν ἐκκλησιαστικὴν μέμψιν ἐπιφέρων τῷ Ἐπισκόπῳ, παραδεχέσθω, καὶ κινείτω παρὰ τοῖς ἐπαρχιώταις Ἐπισκόποις, τὸ ἔγκλημα· εἰ δ' ἐκεῖνοι ἴσως ἀδυνατήσουσι πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων D τῷ Ἐπισκόπῳ· τότε καὶ μείζονι ὁ κατήγορος προσερχέσθω συνόδῳ, καὶ διδότω πρότερον ἐγγραφὰς, ὡς τὴν ταυτοπάθειαν ὑποστήσεται, εἰ συκοφαντῶν ἐλεγχθῇ· καὶ οὕτω συνιστάτω τὴν κατηγορίαν. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, καὶ τῷ βασιλεῖ δι' ὄχλου γινόμενος, καὶ κατηγορῶν Ἐπισκόπου, ἢ κοσμικῶν ἀρχόντων δικαστηρίοις περὶ τούτου προσερχόμενος, ἄδεκτος εἰς κατηγορίαν. αἱρετικὸς δὲ, ἀδικηθεὶς παρ' Ἐπισκόπου, οὐ κωλυθήσεται ἐγκαλεῖν κατ' αὐτοῦ.

ΚΑΝΩΝ ζ.

E Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς καὶ ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤτοι Τετραδίτας, καὶ Ἀπολιναριστὰς δεχόμεθα, διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία· καὶ σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ, τό τε μέτωπον καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας καὶ τὸ στόμα καὶ τὰ F ὦτα· καὶ σφραγίζοντες αὐτοὺς, λέγομεν, Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις (ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι) πάντας τοὺς ὑπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα, καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δὲ δευτέραν κατηχουμένους, εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτοὺς, μετὰ τὸ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς A τὰ ὦτα. καὶ οὕτως κατηχοῦμεν αὐτοὺς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

ΒΑΛΣ. Εἰς δύο διαιρεῖ ὁ κανὼν τοὺς αἱρετικοὺς τοὺς προσερχομένους τῇ ἐκκλησίᾳ· καὶ τοὺς μὲν φησι διὰ μύρου χρίεσθαι, ἀναθεματίζοντας πρῶτον πᾶσαν αἵρεσιν, καὶ ὁμολογοῦντας πιστεύειν, ὡς ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία φρονεῖ· τοὺς δὲ διορίζεται ἐξ ὀρθοῦ βαπτίζεσθαι. καὶ τοὺς μὲν μόνῳ μύρῳ χρίεσθαι ὀφείλοντας, εἶπεν εἶναι Ἀρειανοὺς, Μακεδονιανοὺς, Ἀπολιναριστὰς, καὶ Ναυατιανοὺς τοὺς Καθαροὺς λεγομένους, ὧν τὰς B αἱρέσεις προεδηλώσαμεν ἐν τῷ πρώτῳ κανόνι τῆς παρούσης δευτέρας συνόδου. Οἱ Ναυατιανοὶ δὲ ἐκλήθησαν καὶ Σαβατιανοὶ ἀπὸ πρεσβυτέρου τινὸς Σαβατίου, κατὰ τοὺς Ἰουδαίους σαβατίζοντος. καλοῦνται δὲ οἱ αὐτοὶ καὶ ἀριστεροὶ, ὡς τὴν ἀριστερὰν χεῖρα βδελυττόμενοι, καὶ μὴ ἀνεχόμενοι δι᾽ αὐτῆς τὸ ὁτιοῦν ὑποδέχεσθαι. τεσσαρεσκαιδεκατῖται δὲ λέγονται ἤγουν τετραδῖται, οἵτινες τὸ πάσχα τελοῦσιν οὐκ ἐν κυριακῇ, ἀλλ᾽ ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ, ὅπερ τῆς Ἰουδαϊκῆς θρησκείας ἐστὶν ἰδιαίτατον. οἱ αὐτοὶ δὲ καὶ τετραδῖται λέγονται, ὅτι τὸ πάσχα ἑορτάζοντες, οὐ καταλύουσιν, ἀλλὰ νηστεύουσιν, ὥσπερ ἡμεῖς τὰς τετράδας. ποιοῦσι C δὲ τοῦτο κατὰ τοὺς Ἰουδαίους. οὗτοι γὰρ μετὰ τὸ πασχάσαι ἐπὶ ὅλαις ἑπτὰ ἡμέραις νηστεύουσι, πικρίδας, καὶ ἄζυμα ἐσθίοντες κατὰ τὴν τοῦ παλαιοῦ νόμου διάταξιν. τοὺς δὲ ἀναβαπτίζεσθαι ὀφείλοντας εἶπεν εἶναι Εὐνομιανοὺς, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς, τοὺς οὕτω κληθέντας ἀπὸ Μοντανοῦ τινος, παράκλητον ἑαυτὸν προσαγορεύοντος, καὶ διὰ δύο φαύλων γυναικῶν, τῆς τε Πρισκίλας καὶ τῆς Μαξιμίλας, ψευδοπροφητείας ἀποφοιβάζοντος· πρὸς δὲ καὶ Σαβελλιανοὺς τοὺς οὕτως ὀνομασθέντας ἀπό τινος Σαβελλίου λέγοντος μετὰ τῶν ἄλλων αὐτοῦ φλυαριῶν, τὸν αὐτὸν εἶναι πατέρα, τὸν αὐτὸν υἱὸν, τὸν αὐτὸν ἅγιον πνεῦμα, ὡς εἶναι ἐν μιᾷ ὑποστάσει τρεῖς ὀνομα- D σίας· ὡς ἐν ἀνθρώπῳ σῶμα, καὶ ψυχὴν καὶ πνεῦμα, ἢ ὡς ἐν ἡλίῳ τρεῖς ἐνεργείας, ἤγουν τὸ τῆς περιφερείας σχῆμα, τὸ φωτιστικὸν, καὶ τὸ θάλπον. λέγονται δὲ οἱ Μοντανισταὶ, Φρύγες, ἢ ἔκ τινος αἱρεσιάρχου Φρυγὸς, ἢ ἀπὸ τοῦ ἐκ Φρυγίας ἀναφλεγῆναι πρώτως τὴν τοιαύτην αἵρεσιν. πρὸς τούτοις καλοῦνται καὶ Πεπουζιανοὶ ἀπό τινος Πεπούζας καλουμένης παρ᾽ αὐτῶν κατὰ τὴν Ἱερουσαλήμ. οἱ δὲ τοιοῦτοι λύουσι τοὺς γάμους ὡς μυσαροὺς, νηστεύουσιν ἀλλόκοτον νηστείαν, τὸ πάσχα διαστρέφουσιν, εἰς ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα συναιροῦσι, καὶ συγχέουσι, καὶ αἷμα παιδὸς κατακεντούμενον, ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες προσφέρουσι. καὶ ταῦτα μὲν οὕτως. ἐὰν δέ τις ὀρθόδοξος Μοντανιστὴς E γένηται ἢ Σαβελλιακός, καὶ βάπτισμα αἱρετικῶν δέξεται ἢ μὴ δέξεται, ἆρα ὁ τοιοῦτος μύρῳ χρισθήσεται, ἢ ἀναβαπτισθήσεται ὡς οἱ λοιποὶ Μοντανισταί; ζήτει περὶ τούτου τῆς α΄. συνόδου κανόνα ιθ΄. καὶ τῶν ἁγίων ἀποστόλων κανόνα μζ΄. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅτι πάντες οἱ βαπτιζόμενοι εἰς μίαν κατάδυσιν, πάλιν βαπτίζονται.

ΖΩΝΑΡ. Ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων προσερχομένους τῇ ὀρθῇ πίστει, ὁ παρὼν διδάσκει κανών. τοὺς μὲν οὖν τούτων, οὐκ ἀναβαπτίζεσθαι διατάττεται, ἀλλὰ λιβέλλους ἀπαιτεῖσθαι, ἔγγραφα δηλονότι τὰς δόξας αὐτῶν ἀναθεματί- F ζοντα καὶ στηλιτεύοντα τὴν κακοδοξίαν αὐτῶν, καὶ πᾶσαν αἵρεσιν ἀναθέματι ὑποβάλλοντα. εἰσὶ δὲ οὗτοι Ἀρειανοὶ, καὶ Μακεδονιανοὶ, καὶ Ναυατιανοὶ, οἱ ἑαυτοὺς καθαροὺς ὀνομάζοντες, ὧν τὰς αἱρέσεις προδεδηλώκαμεν, καὶ Σαββατιανοὶ, ὧν ἡγήσατο Σαββάτιός τις πρεσβύτερος τῆς αἱρέσεως τοῦ Ναυάτου κἀκεῖνος ὢν, ἔχων δέ τι καὶ πλέον ἐκείνου, καὶ τὸν καθηγητὴν τῆς αἱρέσεως εἰς κακίαν νικῶν, καὶ τοῖς Ἰουδαίοις συνεορτάζων, καὶ Τεσσαρεσκαιδεκατῖται, οἳ τὸ πάσχα ἑορτάζουσιν οὐκ ἐν κυριακῇ, ἀλλ᾽ ὅτε τεσσαρεσκαιδεκαταία ἡ σελήνη γένηται, ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ ταύτην πλήρη γενέσθαι· ἑορ-

faciem eorum & aures inſufflando. Et ſic eos in Religionis fundamentis inſtituimus, & curamus ut diu in Eccleſia verſentur, & audiant ſcripturas, & tunc ipſos baptizamus.

BALS. Præſens Canon hæreticos ad Eccleſiam accedentes in duo dividit, & hos quidem chriſmate inungi, omnem primùm hæreſin anathematizantes, & credere profitentes, ut ſancta Dei ſentit Eccleſia: illos verò decernit rectè de integro baptizandos. Ac eos quidem, qui ſolo chriſmate inungi debent, dicit eſſe Arrianos, Macedonianos, Apollinariſtas, & Novatianos, qui etiam Cathari dicuntur, quorum hæreſes declaravimus in primo Canone præſentis ſecundæ ſynodi. Novatiani autem appellati ſunt & Sabbatiani, à quodam Presbytero Sabbatio, qui, more Judaico, ſabbata ſervabat. Nominantur autem iidem & Siniſtri, utpote manum ſiniſtram abhorrentes, & ut per eam quidquam accipiant in animum non inducentes. Quartadecimani autem ſeu Tetraditæ dicuntur, qui Paſcha non in die Dominico celebrant, ſed quando quartadecima luna fuerit, quicunque is ſit dies: quod eſt Judaicæ ſuperſtitionis maximè proprium. Iidem autem etiam Tetraditæ dicuntur, quòd cùm Paſcha celebrant, jejunium non ſolvunt, ſed jejunant ſicut & nos, quartas ferias: faciunt autem hoc ritu Judaico. Ii enim, poſtquam Paſcha celebraverint, totos ſeptem dies jejunant, lactucas agreſtes & azyma comedentes, juxta veteris legis conſtitutionem. Rebaptizandos autem eſſe dixit Eunomianos, qui una demerſione baptizant, & Montaniſtas, à quodam Montano ſic dictos, qui ſe Paracletum appellabat: & per duas improbas mulieres, Priſcillam, & Maximillam, falſas prophetias ut Phæbi numine afflatus edebat. Præterea autem & Sabellianos, à Sabellio quodam ſic nominatos, qui etiam cum aliis quibuſdam nugis dicebat, eundem eſſe patrem, filium, & ſpiritum ſanctum; ut ſint in una perſona tria nomina, ſicut in homine corpus, & anima & ſpiritus: vel ut in ſole triplex efficacia, ſcilicet circumferentiæ figura, vis illuminandi, & vis calefaciendi. Dicuntur autem Montaniſtæ Phryges, vel à quodam hæreſiarcha Phryge, vel ex eo quòd primum è Phrygia hæc hæreſis exorta ſit. Præterea autem vocantur & Pepuziani, ex quadam regione Pepuza dicta ab eis Hieruſalem. Qui autem tales ſunt, nuptias ut abhorrendas ſolvunt, alienum jejunium jejunant, Paſcha pervertunt, ſanctam Trinitatem in unam perſonam contrahunt & confundunt, & ſanguinem pueri, qui punctus fuerit, farinæ commiſcentes, & panes facientes, offerunt. Et hæc quidem ita. Si quis autem orthodoxus, Montaniſta vel Sabellianus factus ſit, & hæreticorum baptiſmum ſuſceperit, num talis chriſmate inungetur, aut rebaptizabitur, ut cæteri Montaniſtæ? Quære de hoc primæ ſynodi Can. xix. & ſanctorum Apoſtolorum Canonem xlvii. Nota autem ex præſenti Canone, quòd omnes una demerſione baptizati rebaptizantur.

ZONAR. Redeuntibus ad rectam fidem hæreticis, quæ cum eis agendi ratio tenenda ſit, hoc Canone præſcribitur. Alios etenim, non iterato baptiſmo, ſed libellos tantummodo exhibentes, hoc eſt, ſcriptos à ſe codicillos, quibus opiniones ſuas damnent, & errorem ſuum infamiâ notent, & univerſam hæreſim execrentur, admitti placet. Sunt in eo numero Arriani, Macedonianique & Novatiani, illi, qui ſeſe Catharos nominant, quorumque hæreſes ſupra indicavimus; & Sabbatiani, quibus præfuit Sabbatius quidam presbyter is quoque ex hæreſi Navati, ſed qui aliquid tamen ad eam addidiſſet, & magiſtrum Navatum improbitate ſuperaſſet, feſtivóſque dies cum Judæis coli vellet. Cum his Quartadecimani quoque qui Paſchæ ſolennia non die Dominicâ ſed decimaquarta luna, quocunque tandem die plenam illam fieri contigerit, jejuniis autem & pervigilio noctem ducentes celebrant & Apollinariſtæ. Ab his igitur hominibus, quoniam in ea, quæ de baptiſmo eſt, diſciplina, nihil à nobis diſcrepant, eodémque prorſus, quo Orthodoxi, ritu baptizantur, baptiſmum propterea repeti non oportet. Suos igitur ſigillatim, & alios generatim ac univerſe errores deteſtati, ſacro chriſmate inunguntur, aliaque Canone præſcripta peragunt. Eunomiani verò, & Sabelliani, quorum hæreſes antea explicuimus, & Montaniſti, à Montano ſic dicti, qui & Phryges nominabantur, vel ab hæreſiarcha Phryge, vel quod ea ex Phrygia hæreſis extitiſſet, multóſque in ea regione mortales occupaſſet. Montanus ille igitur, paracletum ſe eſſe jactabat, geminâſque, quæ illum ſolitæ ſequi, mulieres, prophetiſſas Priſcillam, & Maximillam, nominabat. Iidem, quod Pepuziam, Phrygiæ oppidum, divinis honoribus, Hieruſalem quippe ſuam vocitantes, celebrarent, Pepuzianorum quoque cognomen aſſecuti. Ab illis divortia conjugum permiſſa, & à certis quibuſdam ciborum generibus abſtinentia imperata, tum Paſchæ dies in alienum tempus rejecta, & in unam perſonam ſancta Trinitas contracta & confuſa. Illi quoque, compuncti aculeolis pueri expreſſo ſanguine farinam conſpergere, indéque confectum panem in uſum ſacrorum adhibere, tum ex eo particulam, communicandi ſpecie, ſibi quiſque deſumere ſoliti ſunt. Eos igitur, & alios omnes hæreticos, ſancti patres baptizari præceperunt. Baptiſmo namque, vel nullo penitus, vel ritu certè ab Eccleſiæ Catholicæ inſtitutis alieno initiati ſunt, ac proinde, quaſi eo perpetuo caruiſſent, haberi placet: quod iis verbis [ut Græcos eos admittimus] indicatur. Deinde recenſet Canon quæ ab iis peragenda ſunt, & ut primò initientur, & divino juxta noſtros ritus myſterio inſtruantur, & poſtea baptizentur.

A τάζουσι δὲ, νηστεύοντες τότε, καὶ ἀγρυπνοῦντες, καὶ Ἀπολιναριασταί· οὐκ ἀναβαπτίζονται οὖν οὗτοι, ὅτι περὶ δὲ ἅγιον βάπτισμα κατ' οὐδὲν ἡμῶν διαφέρονται, ἀλλ' ἐπίσης τοῖς ὀρθοδόξοις βαπτίζονται. ἀναθεματίζοντες οὖν ἕκαστος τὴν οἰκείαν αἵρεσιν ἰδικῶς, καὶ πᾶσαν δὲ κοινῶς αἵρεσιν, χρίονται τῷ ἁγίῳ μύρῳ, καὶ τὰ ἄλλα τελοῦνται κατὰ τὸν κανόνα. οἱ δὲ Εὐνομιανοὶ καὶ Σαβελλιανοὶ, ὧν αἱ αἱρέσεις ἤδη παρ' ἡμῶν ἐδηλώθησαν, καὶ Μοντανισταὶ, οἱ ἀπὸ Μοντανοῦ τινος τὴν ἐπίκλησιν ἔχον· καὶ Φρύγες δὲ ὠνομάζοντο, ἢ τοῦ αἱρεσιάρχου αὐτῶν Φρυγὸς ὄντος, ἢ τὴν ἀρχὴν ἐκ Φρυγίας ἀναφυείσης τῆς τοιαύτης αἱρέσεως, καὶ πολλῶν ἐν αὐτῇ πλανηθέντων. ὁ B Μοντανὸς οὖν ἐκεῖνος παράκλητον ἑαυτὸν προσηγόρευε, καὶ δύο γυναῖκας ἑπομένας ἔχων αὐτῷ Πρίσκιλλαν, καὶ Μαξιμίλλαν προφήτιδας αὐτὰς ἐκάλει. καὶ Πεπουζιανοὶ δὲ οἱ τοιοῦτοι προσηγορεύοντο, Πέπουζάν τινα τῆς Φρυγίας κώμην ἐκθειάζοντες, καὶ Ἱερουσαλὴμ αὐτὴν ὀνομάζοντες. οἳ καὶ τοὺς γάμους λύειν ἐπέτρεπον, καὶ βρωμάτων ἀπέχεσθαι ἐδίδασκον, καὶ τὸ πάσχα διέστρεφον, καὶ εἰς ἓν πρόσωπον τὴν ἁγίαν τριάδα συνῄρουν καὶ συνέχεον· καὶ αἷμα παιδὸς κατακεντουμένου ἀλεύρῳ συμφύροντες, καὶ ἀρτοποιοῦντες προσέφερον, καὶ ἐξ αὐτοῦ μετελάμβανον. τούτους τοίνυν, καὶ τοὺς ἄλλους πάντας αἱρετικοὺς βαπτίζεσθαι οἱ ἱεροὶ πατέρες ἐθέσπισαν. ἢ γὰρ οὐκ ἔτυχον C τοῦ θείου βαπτίσματος, ἢ τυχόντες οὐκ ὀρθῶς οὐδὲ κατὰ τὸν τύπον τῆς ὀρθοδόξου ἐκκλησίας αὐτοῦ ἔτυχον. διὸ καὶ ὡς μηδὲ ἀρχὴν βαπτισθέντας αὐτοὺς λογίζονται. τοῦτο γὰρ δηλοῖ τὸ, ὡς Ἕλληνας αὐτοὺς δεχόμεθα. ἐφεξῆς δὲ καταλέγει ὁ κανὼν τὰ ἐπ' αὐτοῖς τελούμενα, καὶ ὅπως πρότερον κατηχοῦνται, καὶ τὸ καθ' ἡμᾶς μυοῦνται θεῖον μυστήριον, εἶτα βαπτίζονται.

Ari ſt. *Quartadecimani, ſive Tetraditæ, Arrianus, Novatianus, Macedonianus, Sabbatianus, Apolinarianus cum libellis recipiendi ſunt, uncti nimirum omnibus ſentiendi organis.*

D ΑΡΙΣΤ. Οἱ τεσσαρεσκαιδεκατῖται, ἤτουν τετραδῖται, Ἀρειανείτης, ὁ Ναυατιανὸς, ὁ Μακεδονιανὸς, ὁ Σαββατιανὸς, ὁ Ἀπολιναριανὸς, μετὰ λιβέλλων ἀπόδεκτοι· χριόμενοι δηλαδὴ πάντα τὰ αἰσθητήρια.

Hi Libellos dantes, & omnem execrantes hæreſim recipiuntur, ſolo chriſmate ſancto uncti oculos, nares, aures, os, & frontem; & eos ſignantes dicimus; ſignaculum doni ſpiritus ſancti.

Οὗτοι λιβέλλους διδόντες, καὶ πᾶσαν αἵρεσιν ἀναθεματίζοντες, δέχονται, μόνῳ τῷ ἁγίῳ μύρῳ χριόμενοι, ὀφθαλμοὺς, ῥῖνας, ὦτα, στόμα, καὶ μέτωπα· καὶ ἐν τῷ σφραγίζειν αὐτοὺς, λέγομεν· Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου.

Can. VIII. Ariſt. *Eunomiani, unâ merſione baptizati, Sabelliani, & Phryges, tanquam Gentiles accipiantur.*

ΚΑΝ. η΄. Οἱ καταδύσει μιᾷ βαπτιζόμενοι Εὐνομιανοὶ, Σαβελλιανοὶ, καὶ Φρύγες, ὡς ἕλληνες δεχέσθωσαν.

Hi autem & baptizantur, & unguntur, quia ut Græci recipiuntur: & tempore idoneo ante baptiſma ſacris myſteriis inſtituuntur, & divinas ſcripturas audiunt.

E Οὗτοι καὶ βαπτίζονται, καὶ χρίονται, ὅτι ὡς ἕλληνες παραδέχονται· καὶ καιρὸν ἱκανὸν πρὸ τοῦ βαπτίσματος κατηχοῦνται, καὶ τῶν θείων γραφῶν ἀκροῶνται.

F

ΚΑΝΟΝΕΣ ΤΗΣ ΑΓΙΑΣ καὶ Οἰκουμενικῆς τρίτης συνόδου.

Ἡ τρίτη ἁγία καὶ Οἰκουμενικὴ σύνοδος, γέγονεν ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ἀθροισθέντων ἐν Ἐφέσῳ διακοσίων πατέρων κατὰ Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως, ὃς ψιλὸν ἄνθρωπον ἐδογμάτιζε τὸν Χριστὸν, ἑνωθῆναι δὲ αὐτῷ κατὰ σχέσιν τὸν υἱὸν τοῦ Θεοῦ. διὸ οὐδὲ Θεοτόκον τὴν ἁγίαν παρθένον ἠνείχετο λέγειν, ἀλλὰ χριστοτόκον. ὃς καὶ καθῃρέθη καὶ ἀνεθεματίσθη παρὰ τῶν ἁγίων πατέρων.

ΚΑΝΩΝ α΄.

Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίας συνόδου, καὶ διά τινα αἰτίαν ἢ ἐκκλησιαστικὴν, ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ ἐν αὐτῇ τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι καὶ ἀγάπῃ, ὅπερ εἴ τις μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ Οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο προστεθείη, ἢ τὰ τοῦ Κελεστίου ἐφρόνησεν ἢ φρονήσει, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας Ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος ὑπάρχων. ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας Ἐπισκόποις, καὶ τοῖς πέριξ μητροπολίταις τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ὑποκείσεται εἰς τὸ πάντη, καὶ τοῦ βαθμοῦ τῆς Ἐπισκοπῆς ἐκβληθῆναι.

ΒΑΛΣ. Τοῦ Νεστορίου καθαιρεθέντος, ἐπέστη ἐν Ἐφέσῳ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης μετὰ Θεοδωρήτου Ἐπισκόπου πόλεως Κύρου· καὶ Ἴβα Ἐδέσσης καὶ ἑτέρων· καὶ ὡς γενομένης τῆς καθαιρέσεως κατὰ ἀπουσίαν αὐτῶν, ἐμέμψατο τὰ γεγονότα, καὶ τὸν τῆς συνόδου προϊστάμενον ἅγιον Κύριλλον Πάππαν Ἀλεξανδρείας, ἐπέχοντα καὶ τὸν τόπον Κελεστίνου τοῦ Πάππα Ῥώμης· ἀλλὰ μὴν καὶ Μέμνονα Ἐπίσκοπον Ἐφέσου, παραλόγως καθεῖλεν. ὁ μέντοι Θεοδώρητος καὶ κατὰ τῶν ιβ΄. κεφαλαίων, ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας Νεστορίου, δώδεκα κεφάλαια ἕτερα συνεγράψατο, εἰς ἀνατροπὴν καὶ ἀνασκευὴν ἐκείνων· καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολὴν ἐποιήσατο. ἅτινα ἡ δ΄. σύνοδος ὡς ἀσεβῆ ἀπεκήρυξε. καὶ αὐτοὶ δὲ οἱ τῆς γ΄. συνόδου πατέρες, τὸ παρὰ τοῦ πατριάρχου Ἀντιοχείας Ἰωάννου καὶ τῶν λοιπῶν γεγονὸς κατὰ τοῦ ἁγίου Κυρίλλου, καὶ τῶν σὺν αὐτῷ μαθόντες, τούτους μὲν ὡς ἀναιτίως καθαιρεθέντας ἀπεκατέστησαν· τὸν Ἰωάννην δὲ καὶ τοὺς σὺν αὐτῷ τριάκοντα Ἐπισκόπους πάσης ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησαν, ὡς τὰ τοῦ Νεστορίου καὶ τὰ τοῦ Κελεστίου ἀσεβῆ δόγματα κατασπασαμένους. διορίζεται οὖν ὁ κανὼν, ὡς ἐπεὶ ἐχρῆν τινὰς τῶν Ἐπισκόπων, εὐλόγως ἀπολειφθέντας, οὐκ ἀγνοεῖν τὰ πεπραγμένα, ὀφείλουσι πάντες εἰδέναι, ὅτι εἴ τις Ἐπίσκοπος ἢ προσετέθη, ἢ προστεθείη τῷ τῆς ἀποστασίας συνεδρίῳ, δηλονότι τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας καὶ τοῦ Κελεστίου, οὗτος καθῃρημένος ἔσται, καὶ οὐδέν τι ὁπουδήποτε ἱερατικὸν ἐνεργήσει· ἀλλὰ πάντες οἱ πέριξ μητροπολῖται καὶ Ἐπίσκοποι ἀπόβλητον τοῦτον ἕξουσιν, ὡς ἤδη τοῦ Ἐπισκοπικοῦ βαθμοῦ ἀπαλλοτριωθέντα. καὶ ὁ μὲν κανὼν ταῦτα φησί· σὺ δὲ εὑρίσκων ἔν τισιν ἀντιγράφοις σφάλμα γραφικὸν τὸ περὶ τοῦ Κελεστίνου, (ἀντὶ γὰρ Κελεστίου Κελεστίνου μέμνηται) μὴ προσχῇς τοῖς οὕτω γεγραμμένοις. ὁ γὰρ Κελεστῖνος Πάππας ἦν Ῥώμης, ὀρθόδοξος, ὡς ἄνωθεν εἴρηται, ὁ δὲ Κελέστιος ὁμόφρων τοῦ Νεστορίου, ἤτοι αἱρετικός.

ΖΩΝΑΡ. Τῶν ἱερῶν πατέρων συναθροισθέντων ἐν Ἐφέσῳ, καὶ συζητήσεως περὶ τῶν παρὰ τοῦ Νεστορίου εἰσα-

CANONES SANCTÆ ET OECVMENICÆ TERTIÆ SYNODI.

Sancta & Oecumenica tertia ſynodus fuit ſub Imp. Theodoſio minori, congregatis Epheſi ducentis patribus adverſus Neſtorium patriarcham Conſtantinopolitanum, qui Chriſtum ſolum eſſe hominem docebat: ei autem ſecundum habitudinem unitum fuiſſe Dei filium. B Et ideo nec Deiparam ſanctam virginem dici ferre poterat, ſed Chriſtiparam. Qui & depoſitus eſt, & à ſanctis patribus anathematizatus.

CANON I.

Quoniam oportet etiam eos qui ſanctæ ſynodo non interfuerunt, propter aliquam cauſam, vel eccleſiaſticam, vel corporalem, non ignorare ea quæ in ipſa ſtatuta ſunt, veſtræ ſanctitati & dilectioni notum facimus, quòd ſi quis provinciæ Metropolitanus à ſancta & univerſali ſynodo deficiens, apoſtaſiæ ſeu defectionis conſeſſui ac conven- C *ticulo adhæſit, vel poſthac adhæſerit, vel cum Celeſtio ſenſit aut ſenſerit, is adverſus ſuæ provinciæ Epiſcopos nihil penitus agere poteſt, omni Eccleſiaſtica communione abhinc jam à ſynodo ejectus, & ad nullum exercendum munus officiúmque idoneus exiſtens. Sed & ipſis provinciæ Epiſcopis, &, qui ſunt circumcirca, Metropolitanis orthodoxè ſentientibus, omnino ſubjicietur, & de epiſcopatus gradu dejicietur.*

BALS. Depoſito Neſtorio, Epheſi inſurrexit Joannes patriarcha Antiochenus, cum Theodorito Cyri D Epiſcopo, & Iba Edeſſæ, & aliis, & tanquam in eorum abſentia depoſitione facta, quæ facta fuerant reprehendit, & ſanctum Cyrillum Papam Alexandrinum, ſynodo præſidentem, & Celeſtini Romani Papæ locum tenentem; quinetiam Memnonem Epheſi Epiſcopum, præter rationem depoſuit. Ac Theodoritus quidem etiam adverſus xii. capita, quæ magnus Cyrillus ediderat, ad improbam Neſtorii refellendam opinionem, xii. alia conſcripſit ad illorum everſionem & confutationem; & Ibas ſimiliter epiſtolam fecit. Quæ quidem quarta ſynodus, ut impia rejecit. Et ipſi etiam tertiæ Synodi patres, cùm quod ab Antiocheno patriarcha Joanne & reliquis E factum fuerat, in Cyrilli, & eorum qui unà cum ipſo erant, depoſitione, intellexerunt; eos quidem ut ſine cauſa depoſitos reſtituerunt: Joannem autem, & qui cum eo erant, xxx. Epiſcopos, ab omni eccleſiaſtica communione alienos fecerunt, ut Neſtorii & Celeſtii impia dogmata complexos. Decernit ergo Canon, quòd, quoniam oportet aliquos Epiſcopos, qui juſtis de cauſis non interfuerunt, non ignorare ea quæ facta ſunt, debent omnes ſcire, quòd ſi quis Epiſcopus adhæſit, vel adhæſerit apoſtaſiæ ſeu defectionis conventiculo, parti ſcilicet Joannis Antiocheni, & Celeſtii, is erit depoſitus, & nihil penitus ſacerdotale exercebit: ſed omnes qui ſunt circum- F circa, Metropolitani, & Epiſcopi, eum ejectum habebunt, ut qui à gradu Epiſcopali jam ſit alienatus. Et hæc Canon quidem dicit. Tu autem in nonnullis inveniens exemplaribus ſcriptoris errorem de Celeſtino (pro Celeſtio enim Celeſtini meminit) ne attenderis iis quæ ſic ſcripta ſunt. Celeſtinus enim Papa Romanus erat orthodoxus, ut ſuperiùs dictum eſt. Celeſtius autem idem quod Neſtorius ſentiens, ſive hæreticus.

ZONAR. Cum Epheſi ſynodus conveniſſet, ac in ea quæſtio de Neſtorii erroribus agitata eſſet, præſidente or-

thodoxis patribus Cyrillo papa Alexandrino beatæ memoriæ, Celeſtini veteris Romæ papæ locum etiam tenente, eique ſtrenuè operam navante Epheſino Epiſcopo Memnone: novæ Romæ hujus, ac reginæ urbium Patriarcha Neſtorius condemnatus, & ſanctorum patrum ſententiâ depoſitus fuit. Sed cum trium poſtea dierum intervallo Joannes Antiochenus Patriarcha, magno Epiſcoporum comitatu, quibus Theodoretus Cyropolitanus, & Ibas Edeſſenus Antiſtites præerant, adfuiſſet, quod adventus illorum à ſynodo non expectatus fuit, irritati, & Neſtorii depoſitionem reſcindere, & ſanctos, Cyrillum, & Memnonem Epheſinum viciſſim pœna depoſitionis afficere conati ſunt. Ac Theodoretus quidem capita duodecim, à magno Cyrillo, ad confutandos Neſtorii errores fidémque ſtabiliendam vulgata, totidem ipſe ad ea labefactenda, ac evertenda capitibus editis oppugnavit. Idem, Ibas quoque emiſſa epiſtola, præſtitit. Diúque diſcordibus animis utrinque certatum, donec à ſynodo in eos Antiſtites, Neſtorianis quippe erroribus haud dubie implicatos, depoſitione animadverſum. Hæ cauſæ ſcilicet hujus Canonis conſtituendi, quo provinciarum Epiſcopis, qui à ſynodo abfuerant, Antiocheni Patriarchæ, ſociorumque ſynodi auctoritate conſtituta damnatio ſignificatur; Neſtorianóſque vel qui jam eſſent, vel qui poſtea futuri eſſent Antiſtites, jure omni de Epiſcopis quibuſcunque, aut Laïcis quidpiam ſtatuendi, ſpoliatos eſſe decernitur.

ARIST. *Si Metropolitanus, relictâ ſynodo Celeſtino adhæſit vel adhæſerit, rejiciendus.*

CANON II.

Si autem nonnulli provinciales Epiſcopi ſanctæ ſynodo non interfuerunt & apoſtaſiæ acceſſerunt, vel accedere conati fuerunt, vel cùm etiam Neſtorii depoſitioni ſubſcripſiſſent, ad apoſtaſiæ conſeſſum recurrerunt, ii omninò, ut ſanctæ ſynodo viſum eſt, ſint à ſacerdotio alieni, & gradu excidant.

BALS. Hic Canon ſecundus in primo Canone eſt expoſitus, ut qui eadem cum illo tractet. Hic autem adjungit, eos etiam eſſe depoſitos, qui in Neſtorii quidem depoſitione ſubſcripſerunt, Joannis autem Antiocheni parti poſtea acceſſerunt. Quoniam autem præſens Canon in fine meminit alienationis à ſacerdotio, & caſus à gradu, dic ita accipi ut alienetur quidem à ſacerdotio Epiſcopus, à gradu autem excidant Clerici, in quibus propriè gradus ſumuntur: ita ut clerici quidem ad partem eorum qui defecerunt quomodocunque accedentes, ſint depoſiti. Interim autem Canon primus loquens in fine de Epiſcopis, Epiſcopatum quoque gradum dicit.

ZONAR. Cum Antiochenus Patriarcha Joannes, & Theodoretus, & Ibas, ſanctorum Patrum decreta, ut diximus, infirmare conati fuiſſent, alios quoque in ſuam ſententiam Præſules adduxere, quorum aliqui non venerant in conventum ſynodi, alii cum adfuiſſent etiam Neſtorii depoſitionem ſuis ſubſcriptionibus confirmarant. Quos quidem propterea Canon, ſacri muneris dignitate, ſpoliandos eſſe decernit, quod de Epiſcopis intelligendum eſt: illud autem, gradu excidere de Clericis accipiendum: hi enim ſub gradibus continentur. Sacerdotes enim majorem gradum ſive dignitatem, Diaconi autem minorem, & ſic deinceps reliqui obtinent.

ARIST. *Et quicunque Epiſcopus Neſtorio aſſentitur, favetque, abdicandus.*

A γομένων κακοδόξων γεγονυίας δογμάτων, προΐσταμένου τῶν ὀρθοδόξων πατέρων τοῦ ἐν ἁγίοις Κυρίλλου Πάπα Ἀλεξανδρείας, ἐπέχοντας δὲ καὶ τὸν τόπον Κελεστίνου τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης, συναιρομένου δὲ τῷ ἁγίῳ Κυρίλλῳ καὶ Μέμνονος Ἐπισκόπου Ἐφέσου· κατεδικάσθη ὁ Νεστόριος Πατριάρχης ὢν τῆς νέας Ῥώμης ταύτης καὶ βασιλίδος τῶν πόλεων, καὶ ψήφῳ τῶν ἱερῶν πατέρων καθῄρηται. μετὰ δὲ τρεῖς ἡμέρας ὁ Ἀντιοχείας πατριάρχης Ἰωάννης ἐπιστὰς σὺν πλείοσιν Ἐπισκόποις, ὧν προεξῆρχον ὁ Κύρου πόλεως Θεοδώρητος καὶ Ἴβας Ἐδέσσης, λυπηθέντες ὅτι οὐχὶ καὶ τὴν αὐτῶν ἔλευσιν οἱ τῆς συνόδου ἀνέμειναν, τῇ καθαιρέσει τε τοῦ Νεστορίου ἐμέμψαντο, καὶ τὸν ἅγιον Κύριλλον τόν τε Ἐφέσου Μέμνονα B ὑπὸ καθαίρεσιν ἐποιήσαντο. ὁ μέντοι Θεοδώρητος καὶ κατὰ τῶν δώδεκα κεφαλαίων, ἃ ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον τῆς κακοδοξίας τοῦ Νεστορίου, στηριγμὸν δὲ τῆς ὀρθοδόξου πίστεως, δώδεκα κεφάλαια ἕτερα ἐκδέδωκεν, εἰς ἀνατροπὴν καὶ ἀνασκευὴν ἐκείνων. καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολὴν ἐποίησατο. καὶ μέσον αὐτῶν διαφορὰ μεγάλη γέγονεν, ὡς καὶ καθαιρέσει παρὰ τῶν τῆς συνόδου τοὺς ἀρχιερεῖς ἐκείνους ὑποβληθῆναι, οἷα τοῖς Νεστορίου στοιχήσαντας. διὰ ταῦτα τοίνυν καὶ ὁ πρῶτος κανὼν ἐξετέθη, διδάσκων τοὺς μὴ τῇ συνόδῳ παρουσιάσαντας τῶν ἐπαρχιῶν Ἐπισκόπους τὴν τοῦ Ἀντιοχείας καὶ τῶν ἄλλων συνοδικὴν καταδίκην, καὶ ὡς οὐ χρὴ C ἀρχιερατικοῖς προνομίοις χρωμένους διαπράττεσθαί τι κατὰ Ἐπισκόπων ἢ λαϊκῶν, ἔτε τοὺς τὰ Νεστορίου φρονήσαντας, ἔτε μὴν τοὺς φρονήσοντας.

ΑΡΙΣΤ. Ἐὰν ἀπολειφθεὶς τῆς συνόδου μητροπολίτης τῷ Κελεστίνῳ ἀντέχηται, ἢ ἀνθέξηται, ἀπόβλητος.

ΚΑΝΩΝ β'.

Εἰ δέ τινες ἐπαρχιῶται Ἐπίσκοποι ἀπελείφθησαν τῆς ἁγίας συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προστεθῆναι πειραθεῖεν, ἢ καὶ ὑπογράψαντες τῇ τοῦ Νεστορίου καθαιρέσει D ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας συνέδριον· τούτους πάντη κατὰ τὸ δόξαν τῇ ἁγίᾳ συνόδῳ ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἐκπίπτειν.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος β'. κανόνος ἡρμηνεύθησαν ἐν τῷ α'. κανόνι, ὡς τὰ αὐτὰ ἐκείνῳ διαλαμβάνοντος. προστίθησι δὲ τοῦτο, καθῃρημένους εἶναι καὶ τοὺς ὑπογράψαντας μὲν ἐν τῇ καθαιρέσει τοῦ Νεστορίου· ὕστερον δὲ προστεθέντας τῷ μέρει τοῦ Ἰωάννου Ἀντιοχείας. ὅτι δὲ ὁ κανὼν ἐν τῷ τέλει μέμνηται ἀλλοτριώσεως ἱερωσύνης καὶ ἐκπτώσεως βαθμοῦ, εἰπὲ ἐκλαμβάνεσθαι τὴν μὲν ἀλλοτρίωσιν τῆς ἱερωσύνης εἰς τοὺς Ἐπισκόπους, τὴν δὲ ἔκπτωσιν τοῦ βαθμοῦ εἰς οὓς κυρίως οἱ βαE θμοὶ ἐξελήφθησαν. ὥστε καὶ τοὺς προστεθέντας κληρικοὺς τῷ μέρει τῶν ἀποστησάντων ὁπωσδήποτε, καθῃρημένους εἶναι. τέως δὲ ὁ α'. κανὼν περὶ Ἐπισκόπων λέγων ἐν τῷ τέλει, φησὶ καὶ τὴν Ἐπισκοπὴν βαθμόν.

ΖΩΝΑΡ. Τοῦ Ἀντιοχείας Ἰωάννου καὶ Θεοδωρήτου, καὶ Ἴβα, ὡς εἴρηται, ἐναντιωθέντων τοῖς δόξασι τῷ ἀθροισμῷ τῶν πατέρων, τινὲς καὶ τῶν ἄλλων Ἐπισκόπων συναπήχθησαν ἐκείνοις, οἱ μὲν ἀπολειφθέντες τῆς συνόδου, οἱ δὲ συμπαρουσιάσαντες, καὶ τὴν τῆς καθαιρέσεως τοῦ Νεστορίου ψῆφον ταῖς οἰκείαις ὑπογραφαῖς βεβαιώσαντες. περὶ τῶν τοιούτων οὖν ὁ F παρὼν διαλαμβάνει κανὼν ἐκπτώτους εἶναι τῆς ἱερωσύνης ἐκείνους διατατόμενος, τοῦτο περὶ τῶν Ἐπισκόπων νοητέον· τὸ δὲ καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας, περὶ κληρικῶν ἐκληπτέον. οὗτοι γὰρ ὑπὸ βαθμούς εἰσιν. οἱ μὲν οὖν ἱερεῖς μείζονός εἰσι βαθμοῦ ἤτοι ἀξίας, οἱ δὲ διάκονοι ἥττονος καὶ καθεξῆς οἱ λοιποί.

ΑΡΙΣΤ. Καὶ ὅστις Νεστορίῳ σύμφρων καὶ ὁμόφρων Ἐπίσκοπος, ἀποκήρυκτος.

A

ΚΑΝΩΝ γʹ.

Εἰ δέ τινες τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν. κοινῶς δὲ τοὺς τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικοὺς, κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις Ἐπισκόποις, μηδ᾽ ὅλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

ΒΑΛΣ. Τῶν εἰκότων ἐστὶ τινὰς κληρικοὺς ὀρθοδόξους μὴ φρονῆσαι τὰ τοῦ Νεστορίου ἢ τὰ τῶν συμφρονησάντων B αὐτῷ Ἐπισκόπων, καὶ διὰ τοῦτο ἀφορισθῆναι. ἀποκαθίστησιν οὖν ὁ κανὼν τούτους εἰς τοὺς οἰκείους βαθμοὺς, προστάττων μὴ μόνους αὐτοὺς ἔχειν τὰς οἰκείας ἐπιτιμίας, ἀλλὰ καὶ πάντας τοὺς κληρικοὺς τῶν τοιούτων Ἐπισκόπων μηδ᾽ ὅλως ὑποκεῖσθαι αὐτοῖς ὡς ἀποστατήσασιν.

ΖΩΝΑΡ. Πατριάρχης ὢν ὡς εἴρηται Κωνσταντινουπόλεως ὁ Νεστόριος, ἀφώρισε τινας κληρικοὺς μὴ συμφρονοῦντας αὐτῷ. καὶ ἐν ἄλλαις δὲ πόλεσιν οἱ ὁμοδοξοῦντες ἐκείνῳ Ἐπίσκοποι τὸ αὐτὸ πεποιήκασι. τοὺς οὖν τῆς ἱερωσύνης κωλυθέντας, ὡς μὴ συντιθεμένους τῇ τοῦ Νεστορίου, καὶ τῶν ὁμοφρόνων αὐτῷ κακοδοξίᾳ, ἡ ἁγία σύνοδος διὰ τοῦ C παρόντος κανόνος ἀποκατέστησεν εἰς τοὺς οἰκείους βαθμούς. καὶ διωρίσατο τοὺς ὀρθοδόξους κληρικοὺς τοῖς ὁμογνωμονοῦσι τῷ Νεστορίῳ Ἐπισκόποις μὴ ὑποκεῖσθαι κατὰ μηδένα τρόπον, μήτε ὡς κληρικοὺς, μήτε ὡς ἱερωμένους ἁπλῶς, καὶ διὰ τοῦτο τοῖς Ἐπισκόποις ὑποκειμένους ἢ καὶ κανονικὰ τελεῖν αὐτοῖς ὀφείλοντας.

ΑΡΙΣΤ. Ὃς ὑπὸ Νεστορίου τῆς ἱερωσύνης κεκώλυται, ἱερώτατος. ὁ δεκτέος ἐκείνῳ, ἀνίερος.

D

ΚΑΝΩΝ δʹ.

Εἰ δέ τινες ἀποστατήσαιεν τῶν κληρικῶν, καὶ τολμήσαιεν ἢ κατ᾽ ἰδίαν ἢ δημοσίᾳ τὰ τοῦ Νεστορίου ἢ τὰ τοῦ Κελεστίου φρονῆσαι, καὶ τούτους εἶναι καθῃρημένους, ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ὅμοιος τοῖς πρὸ αὐτοῦ ἐστί. φησὶ γὰρ καθῃρημένους εἶναι τοὺς κληρικοὺς τοὺς φρονήσαντας τὰ τοῦ Νεστορίου ἢ τοῦ Κελεστίου, εἴτε διδάσκουσιν αὐτὰ, εἴτε καὶ μή. τὸ δὲ δεδικαίωται, ἐξελήφθη ἀντὶ τοῦ, δίκαιον ἔδοξε.

E

ΖΩΝΑΡ. Καὶ πάλιν περὶ κληρικῶν ὁ κανὼν οὗτος διαλαμβάνει τοῖς αἱρετικοῖς συμφρονησάντων. καὶ εἴτε ἰδίᾳ, φησὶ, καὶ καθ᾽ ἑαυτοὺς τὰς ἀθέσμους δόξας φρονῶσιν, εἴτε δημοσίᾳ πάντας διδάσκουσιν, καὶ κηρύττουσι, καθῃρημένους εἶναι τοὺς τοιούτους ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται. ἀντὶ τοῦ δίκαιον ἐκρίθη. καὶ ἔδοξε, καὶ ὁ Κελέστιος δὲ ὁμόφρων τῷ Νεστορίῳ ἦν.

ΑΡΙΣΤ. Εἴ τινες τῶν κληρικῶν Κελεστίνῳ ἢ Νεστορίῳ συμφρονήσαιεν, καθαιρετέοι.

F

ΚΑΝΩΝ εʹ.

Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν ὑπὸ τῆς ἁγίας συνόδου ἢ ὑπὸ τῶν οἰκείων Ἐπισκόπων· καὶ τούτοις ἀκανονίστως, κατὰ τὴν ἐν ἅπασιν ἀδιαφορίαν αὐτοῦ, ὁ Νεστόριος, καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες, ἀποδοῦναι ἐπειράθησαν, ἢ πειραθεῖεν, κοινωνίαν ἢ βαθμὸν, ἀνωφελήτους εἶναι, καὶ μένειν οὐδὲν ἧττον καθῃρημένους ἐδικαιώσαμεν.

ΒΑΛΣ. Ἔμαθες, ὅτι μητροπολίται καὶ Ἐπίσκοποι δύνανται κρίνειν τοὺς κληρικοὺς αὐτῶν, καὶ ἀφορισμῷ ἢ καὶ καθαιρέσει ἔστιν ὅτε καθυποβάλλειν. ἐπεὶ οὖν ὁ Νεστόριος,

Canon III.

Si qui autem in unaquaque urbe, vel regione Clerici ſub Neſtorio & iis qui cum ipſo, ſacerdotio ſunt interdicti, eo quòd rectè ſentiant, ut ii quoque proprium gradum recipiant, juſtum cenſuimus. Communiter autem omnibus, qui cum orthodoxa & univerſali ſynodo conſentiunt, Clericis jubemus, iis, qui deſciverunt vel deſciſcunt, Epiſcopis nullo penitus modo ſubjici.

Bals. Eſt veriſimile aliquos Clericos orthodoxos non ſenſiſſe idem, quod Neſtorius & qui illi conſentiebant Epiſcopi, & propterea fuiſſe excommunicatos. Hic ergo Canon eos reſtituit in proprios gradus, inferens præterea, eos non ſolùm habere ſuos honores ac dignitates, ſed omnes talium Epiſcoporum Clericos eis nequaquam ſubjici, ut qui deſciverint.

Zonar. Cum Patriarcharum Neſtorius, ut diximus, Conſtantinopoli gereret, Clericos quoſdam ab ipſo diſſentientes excommunicavit. Idem autem & in aliis urbibus à Neſtorianæ factionis Epiſcopis factitatum. Eos itaque qui à ſacerdotio depulſi ſunt, eo quòd malæ Neſtorii, eique conſentientium opinioni, aſſenſum non præberent, per hunc Canonem in priprios gradus reſtituit ſancta ſynodus, & orthodoxos Clericos Epiſcopis cum Neſtorio ſentientibus nequaquam obtemperare ſtatuit neque ut Clericos, neque ut in ſacerdotium ſimiliter cooptatos; licet eo ipſo Epiſcopis ſint ſubjecti, vel etiam Canonica ipſis perſolvere teneantur.

Arist. *Cui à Neſtorio ſacerdotium interdicitur, ſacerdotio eſt digniſſimus; qui vero ab illo ſuſcipitur, profanus.*

Canon IV.

Si qui autem Clerici defecerint, & auſi ſint, vel privatim vel publicè, cum Neſtorio aut Celeſtio ſentire, eos quoque depoſitos eſſe ſanctæ ſynodo juſtum viſum eſt.

Bals. Hic quoque Canon præcedentibus eſt ſimilis. Dicit enim Clericos eſſe depoſitos, qui cum Neſtorio vel Celeſtio ſentiunt, ſive eadem docent, ſive non. Vox autem δεδικαίωται pro juſtum viſum eſt, accipiebatur.

Zonar. De clericis hæreticis conſentientibus hoc quoque Canone actum; quos quidem, inquit, ſive ſoli perverſis opinionibus privatim adhæſerint, ſive publicè docendis, & in vulgus diſſeminandis operam navarint, pro depoſitis haberi à ſancta ſynodo δεδικαίωται, i. e. juſtum judicatum eſt. Et viſum eſt quod Celeſtius quoque Neſtorio conſentiebat.

Arist. *Si qui Clerici Celeſtino vel Neſtorio aſſentiantur, ſunt deponendi.*

Canon V.

Quicunque autem propter indigna ſua facta à ſanctâ ſynodo, vel à propriis Epiſcopis condemnati ſunt, & iis non Canonicè, prout omnia facit indiſcriminatim, Neſtorius, vel qui idem cum eo ſentiunt, reſtituere tentaverint communionem, vel gradum, id nihil eis prodeſſe, & depoſitos nihilo ſecius manere juſtum putarunt.

Bals. Didiciſti quòd Metropolitani & Epiſcopi poſſunt ſuos Clericos judicare, & excommunicationi, & nonnunquam etiam depoſitioni ſubjicere. Quoniam ergo Neſtorius, & qui cum eo ſentiebant, neſcio quos ejuſmodi in communionem non canonicè receperunt, vel in priores etiam gradus reſtituerunt, ut eos hac ratione ad ſe traherent; dicit Canon, Clericos nihil ex eo juvari, ſed manere depoſitos, vel etiam ſegregatos. At ἐδικαίωσαν hic idem eſt ac, juſtum putârunt.

Zonar. Clerici quidam in flagitiis quibuſdam deprehenſi quæ depoſitioni & ſuorum graduum privationi eos ſubjiciunt, depoſiti, aut ſegregati fuerant. Quos poſtea Neſtorius Patriarcha, præter Canonum ſanctiones indifferenter, id eſt abſque ullo diſcrimine admiſerat; & non diſtinguens inter vetitum & non vetitum, communionem aut gradum iis reſtituerat. Nihil igitur hujuſmodi hominibus, quod adverſus conſtitutiones canonicas actum fuerat, prodeſſe, depoſitionéque ut antea nihilominus teneri Patres ἐδικαίωσαν, id eſt, æquum cenſuerunt, vel pœnæ nomine decreverunt ut ſint depoſiti. Nam δικαιῶσαι nonnunquam etiam punire ſignificat, unde δικαιωτήρια, id eſt tormenta, ſuam appellationem habent.

Arist. *Ab Epiſcopo condemnatus, ſi à Neſtorio ſuſcipitur, id nihil ei proſit.*

Nonnulli eorum, qui in Epheſinâ ſynodo congregati fuerunt Metropolitani, ſeipſos ſeparabant, & Neſtorii Epiſcopi Conſtantinopolitani, hominum cultoris & impii, & Judæorum opinionibus conſentientis, & Celeſtini etiam Romæ Epiſcopi dogmata amplectebantur. Alii autem ſynodum deſerebant, & nolebant ſuffragiis ſuis profanos iſtos impioſque Epiſcopos condemnare, ſed potiùs iis adhærebant, & fovebant. Propterea itaq; decrevit ſancta ſynodus, eos, qui Neſtorium & Celeſtinum ſunt amplexi & cum iis ſenſerunt, abdicatos eſſe, & ab eccleſia excindi: eos autem quibus à Neſtorio aut Celeſtino ſacerdotium eſt interdictum, eo quòd rectè ſenſerunt, ſuum rurſus recipere gradum: ut & eos, qui à propriis Epiſcopis depoſiti fuerunt, & ab iis admiſſi, & abſoluti, profanos eſſe & rurſum depoſitos.

CANON VI.

Similiter autem, ſi qui voluerint, quæ in ſancta Epheſina ſynodo de ſingulis acta ſunt, quovis modo labefactare: decrevit ſancta ſynodus, ſi ſint quidem Epiſcopi vel Clerici, à proprio gradu omnino excidere, ſi autem laici, excommunicatos manere.

Bals. Canon clarus eſt: ſtatuit enim eos, qui labefactant quæ Epheſi acta ſunt, ſi quidem Clerici ſint, deponi: ſin vero laici, excommunicatos eſſe. Vii. autem Canon dicit anathemate Laicos feriendos, qui contrà ac decretum eſt, ſentiunt. Et ne contraria eſſe exiſtimes. Magna eſt enim differentia, an quis adverſetur, an de re aliqua dubitet. Et propterea, qui de iis, quæ jam pulchrè anteà confirmata ſunt, dubitat, excommunicabitur. Qui autem adverſatur, ut contraria ſentiens, anathemate ferietur.

Zonar. Superiorum Canonum decretis, de iis peculiariter, qui apoſtatis & ſynodo adverſantibus conſentiant, quique Neſtorianæ hæreſeos dogmata amplexi fuerant, conſtitutum: hic vero omnes, qui aliquam hujus ſanctæ ſynodi conſtitutionem convellere, aut infirmare conati fuerint, generatim, & univerſe condemnat. Ac in ſacerdotium cooptatos quidem deponi, laïcos vero communione moveri jubet Synodus. Atque hæc quidem Epheſi acta. Cum vero inter ſe factionibus diviſi Præſules diſſiderent, univerſos Imperator Conſtantinopolim advocavit, pacémque, omni motu animorum ſedato, inter eos conciliavit; & Theodoretus capita illa,

A καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες, τοιούτους τινὰς ἀκανονίστως εἰς κοινωνίαν ἐδέξαντο ἢ καὶ εἰς τοὺς προτέρους βαθμοὺς ἀποκατέστησαν, ἵνα τούτους τοιουτοτρόπως ἑλκύσωσι πρὸς ἑαυτούς, φησὶν ὁ κανὼν μηδὲν ἐκ τούτου τοὺς κληρικοὺς ὠφελεῖσθαι, ἀλλὰ μένειν καθῃρημένους, ἢ καὶ ἀφωρισμένους. τὸ δὲ, ἐδικαίωσαν, ἐνταῦθα ἐξελήφθη ἀντὶ τοῦ δίκαιον εἶναι ἔδοξεν.

ΖΩΝΑΡ. Κληρικοί τινες ἐπί τισιν αἰτίαις ἁλόντες, καθαιρέσει καὶ ἐκπτώσει τῶν οἰκείων βαθμῶν ὑπαγούσαις αὐτοὺς καθῃρέθησαν, ἢ ἀφωρίσθησαν· ὁ δὲ Νεστόριος οἷα Πατριάρχης, ἀκανονίστως ἐδέξατο τοὺς τοιούτους ἀδιαφόρως, B ἀντὶ τοῦ χωρὶς διαστολῆς, μὴ διαστείλας μέσον κεκωλυμένου καὶ ἀκωλύτου, ἀποδοὺς αὐτοῖς κοινωνίαν ἢ βαθμόν. τοὺς γοῦν τοιούτους ἀνωφελήτους εἶναι οἱ πατέρες ἐθέσπισαν, μηδὲν δηλονότι ὠφελουμένους ἐκ τῆς ἀκανονίστου πράξεως, καὶ μένειν οὐδὲν ἧττον καθῃρημένους ἐδικαίωσαν, ἀντὶ τοῦ δίκαιον ἐψηφίσαντο, ἢ ἐδικαίωσαν, ἀντὶ τοῦ ἐκόλασαν, ὥστε εἶναι καθῃρημένους. λαμβάνεται γὰρ τὸ δικαιῶσαι, καὶ ἐπὶ τοῦ κολάσαι, ὅθεν λέγονται τὰ ἐκεῖθεν δικαιωτήρια.

ΑΡΙΣΤ. Ο κατακριθεὶς παρὰ Ἐπισκόπου, καὶ ὑπὸ Νεστορίου δεχθεὶς, ἀνωφέλητος.

C Τινὲς τῶν ἀθροισθέντων ἐν τῇ ἐν Ἐφέσῳ συνόδῳ μητροπολιτῶν ἀπέστησαν ἑαυτοὺς, καὶ τὰ τοῦ Νεστορίου τοῦ Ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ ἀνθρωπολάτρου καὶ δυσσεβοῦς, καὶ ἰουδαιόφρονος, καὶ τοῦ Κελεστίνου τοῦ τῆς Ῥώμης Ἐπισκόπου ἐφρόνησαν δόγματα. τινὲς δὲ καὶ ἀπελείφθησαν, καὶ οὐκ ἠθέλησαν καταψηφίσασθαι τῶν ἀνιέρων τούτων καὶ δυσσεβῶν Ἐπισκόπων. ἀλλὰ μᾶλλον ἀντείχοντο τούτων, καὶ περιείχοντο. διὰ τοῦτο γοῦν ὥρισεν ἡ ἁγία σύνοδος τοὺς ἀντεχομένους Νεστορίου καὶ Κελεστίνου, καὶ τὰ ἐκείνων φρονοῦντας, ἀποκηρύκτους εἶναι, καὶ τῆς ἐκκλησίας ἐκκόπτεσθαι· τοὺς δὲ ὑπὸ Νεστορίου ἢ Κελεστίνου, τῆς ἱερωσύνης κωλυθέντας, διὰ τὸ ὀρθῶς φρονεῖν, τὸν ἴδιον πάλιν ἀπολαβεῖν βαθμόν· D ὥσπερ πάλιν τοὺς ὑπὸ τῶν ἰδίων Ἐπισκόπων καθαιρεθέντας καὶ παρ' αὐτῶν προσδεχθέντας καὶ δικαιωθέντας, ἀνιέρους εἶναι καὶ αὖθις καθῃρημένους.

ΚΑΝΩΝ ϛʹ.

Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Ἐφέσῳ οἱῳδήποτε τρόπῳ παρασαλεύειν· ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν Ἐπίσκοποι εἶεν ἢ κληρικοὶ, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀκοινωνήτους ὑπάρχειν.

E ΒΑΛΣ. Σαφής ἐστιν ὁ κανών. διορίζεται γὰρ τοὺς παρασαλεύοντας τὰ ἐν τῇ Ἐφέσῳ πεπραγμένα, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀκοινωνήτους εἶναι. ὁ δὲ ζʹ. κανὼν ἀναθεματίζεσθαι λέγει τοὺς λαϊκοὺς τοὺς ἐναντία φρονοῦντας τῷ δόγματι. καὶ μὴ ἐναντιωθῇ σοι. ἔστι γὰρ μεγάλη διαφορὰ τοῦ ἐναντιοῦσθαι, καὶ τοῦ ἀμφιβάλλειν τινὰ περί τινος πράγματος. καὶ διὰ τοῦτο ὁ μὲν ἀμφιβάλλων περὶ τῶν ἤδη καλῶς προκυρωθέντων, ἀφορισθήσεται. ὁ δὲ ἐναντιούμενος τούτοις, ὡς ἐναντιόφρων, ἀναθεματισθήσεται.

ΖΩΝΑΡ. Οἱ μὲν ἀνώτεροι κανόνες ἰδικῶς περὶ F τῶν ὁμοφρονησάντων τοῖς ἀποστατήσασι καὶ ἐναντιωθεῖσι τῇ συνόδῳ, καὶ τὰ Νεστορίου πρεσβεύουσι διετάξαντο. οὗτος δὲ ὁ παρὼν, κοινῶς πάντας τοὺς ἀνατρέπειν τι τῶν δοξάντων τῇ ἁγίᾳ συνόδῳ ἐπιχειροῦντας καταδικάζει. καὶ τοὺς μὲν ἱερωμένους ποιεῖται ὑπὸ καθαίρεσιν· τοῖς δὲ λαϊκοῖς ἀκοινωνησίαν ἐπάγει. ταῦτα μὲν οὖν ἐν Ἐφέσῳ ἐπράχθησαν· ἐπεὶ δὲ κατ' ἀλλήλων οἱ ἀρχιερεῖς ἐγένοντο, καὶ σχίσμα ἦν παρ' αὐτοῖς, ὁ βασιλεὺς πάντας εἰς τὴν βασιλίδα τῶν πόλεων μετεκαλέσατο, καὶ συνεβίβασε, καὶ εἰρήνευσε, καὶ ὁ Θεοδώρητος τὰ παρ' αὐτοῦ γραφέντα κεφάλαια δι' ὅλην κατέθετο συγγράψασθαι, καὶ ἀπεβάλετο ταῦτα, καὶ τοῖς ψηφισθεῖσι παρὰ τῆς Συνόδου συνέθετο, καὶ τῇ τοῦ Νεστορίου καθαιρέσει, κἀκεῖνος καὶ οἱ λοιποὶ συνδεδόκησαν. Συμβόλου δὲ δυσσεβοῦς ἐκτεθέντος παρὰ τοῦ Νεστορίου, καὶ ἀναγνωσθέντος ἐκείνου τε καὶ τοῦ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν τῇ πρώτῃ Συνόδῳ ἐξεφωνήθη ὁ κανὼν οὗτος.

ΑΡΙΣΤ. Ἀκοινώνητος ὁ λαϊκὸς ὁ ἀντοφθαλμῶν τῇ Συνόδῳ· ὁ κληρικὸς ἔτι καὶ ἀποκήρυκτος.

Ὁ τὰ παρὰ τῆς ἐν Ἐφέσῳ Συνόδου πραχθέντα ἀνακρίνων, ἢ ὅλως παρασαλεύων, εἰ μὲν Ἐπίσκοπός ἐστιν, ἢ κληρικὸς, τοῦ οἰκείου βαθμοῦ παντελῶς ἐκπιπτέτω· εἰ δὲ λαϊκὸς, ἔστω ἀκοινώνητος.

ΚΑΝΩΝ ζ΄.

Τούτων ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων πόλει, σὺν ἁγίῳ πνεύματι. τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν ἤγουν προκομίζειν ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδήποτε· τούτους, εἰ μὲν εἶεν Ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι, τοὺς Ἐπισκόπους τῆς Ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. κατὰ τὸν ἴσον δὲ τρόπον, εἰ φωραθεῖέν τινες εἴτε Ἐπίσκοποι εἴτε κληρικοὶ ἢ φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇ προκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ πρεσβυτέρου, περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα τοῦ Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται· ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς Συνόδου. ὥστε δῆλον, ὅτι τὸν μὲν Ἐπίσκοπον ἀπαλλοτριοῦσθαι τῆς Ἐπισκοπῆς καὶ εἶναι καθῃρημένον, τὸν δὲ κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊκός τις εἴη, καὶ οὗτος ἀναθεματιζέσθω, καθὼς προείρηται.

ΒΑΛΣ. Τοῦ γεγονότος ἰδικῶς χάριν τῶν δογματισθέντων παρὰ τῆς ἐν Ἐφέσῳ ἁγίας Συνόδου, ἀναγνωσθέντος ἐπὶ κοινοῦ, ὡσαύτως καὶ τοῦ ἁγίου συμβόλου τοῦ ἐκτεθέντος ἐν τῇ πρώτῃ Συνόδῳ, ἐξεφωνήθη ὁ κανὼν οὗτος, καὶ ὡρίσθη ἑτέραν πίστιν μὴ συντιθέναι τινά. εἰ δέ τινες τολμήσουσι τοῖς ἐξ Ἑλλήνων ἢ Ἰουδαίων, ἢ ἐξ ἑτέρων αἱρετικῶν προσερχομένοις τῇ ἐπιγνώσει τῆς ἀληθείας, προσφέρειν ἑτέραν πίστιν, Ἐπίσκοποι μὲν ὄντες καὶ κληρικοὶ, καθαιρείσθωσαν. λαϊκοὶ δὲ, ἀναθεματιζέσθωσαν. τὸ δ' αὐτὸ γίνεσθαι καὶ εἰς τοὺς δεχομένους τὰ τοῦ Νεστορίου, καὶ διδάσκοντας ταῦτα. ἐπεὶ δὲ καὶ πρεσβύτερός τις λεγόμενος Χαρίσιος τὰ μυσαρὰ τοῦ Νεστορίου δόγματα οἰκειούμενος, προεκόμισεν ἔκθεσίν τινα τῶν συγγραφέντων παρὰ τοῦ Νεστορίου, καὶ κατεγνώσθη αὕτη ὡς ἀσεβὴς, διορίζεται ὁ κανὼν, ταῖς αὐταῖς καταδίκαις ὑποκεῖσθαι καὶ τοὺς φρονοῦντας ἢ διδάσκοντας τὰ ἐν τῇ τοιαύτῃ ἐκθέσει περιεχόμενα.

ΖΩΝΑΡ. Ὁ δυσσεβὴς Νεστόριος οὐ μόνον τὰ ἄθεα αὐτοῦ ἐδίδασκε δόγματα, καὶ ἀναφανδὸν ἐκήρυττεν, ἀλλὰ καὶ ἐπὶ πλέον θρασυνθεὶς, καὶ σύμβολον ἐξέθετο περιέχον τρανῶς ὅσα περὶ τῆς ἐνανθρωπήσεως τοῦ υἱοῦ καὶ λόγου τοῦ Θεοῦ κακῶς ἐφρόνει, καὶ ἐβλασφήμει. τοῦτο δὲ σύμβολον τῇ συνόδῳ προκομισθὲν παρὰ Χαρισίου τοῦ πρεσβυτέρου, καὶ ἀναγνωσθὲν κατεγνώσθη ὡς ἀσεβείας μεστόν. καὶ ὥρισαν οἱ θεῖοι πατέρες τὸ ἐν τῇ πρώτῃ συνόδῳ συντεθὲν σύμβολον κρατεῖν, καὶ ὅσα ἐν ἐκείνῃ ἐδογματίσθησαν, ἑτέραν δὲ πίστιν μήτε συντίθεσθαι παρά τινων, μήτε συγγράφεσθαι· εἰ δέ τινες τολμήσαιεν ἐξ Ἑλλήνων ἢ Ἰουδαίων, ἢ ἐξ αἱρετικῶν προσερχομένοις τισὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας, προσφέρειν ἑτέραν πίστιν, διδάσκειν δηλαδὴ, καὶ κατηχεῖν αὐτοὺς διεστραμμένα καὶ ἀλλότρια τῆς τῶν ἁγίων πατέρων διδασκαλίας, τοὺς τοιούτους

A contentionis ſtudio antea ſcripſerat, penitus abjecit, omnibúſque ſynodi decretis aſſenſus, Neſtorii quoque damnationem cum cæteris approbavit. Cùm vero ſymbolum impietatis plenum à Neſtorio compoſitum, ſynodóque oblatum fuiſſet, & ſimul cum eo ſymbolum quoque, quod trecenti decem & octo ſancti Patres in prima Synodo promulgaveranr, recitatum eſſet, ſequens hic Canon editus eſt.

Arist. *Laicus qui ſynodo reſiſtit, excommunicatur; Clericus verò & abdicatur.*

Qui ea, quæ in Synodo Epheſinâ acta ſunt, examinat B & labefactat, ſi quidem Epiſcopus ſit aut Clericus, gradu ſuo omninò excidat, ſin autem laïcus, excommunicetur.

Canon VII.

His lectis, decrevit ſancta ſynodus, non licere cuiquam aliam fidem afferre, vel ſcribere, vel componere, quàm quæ à ſanctis patribus, qui Niceæ congregati ſunt in ſancto ſpiritu, definita eſt. Qui autem aliam audent fidem componere, vel adducere, vel offerre iis qui ſe ad veritatis agnitionem volunt convertere, vel ex gentilitate, vel ex Judaiſmo, vel ex quacunque ſecta; C eos, ſi ſint quidem Epiſcopi, vel clerici, ab epiſcopatu eſſe alienos Epiſcopos, & à clero clericos; ſi autem ſint laici, anathematizari. Eodem autem modo ſi deprehenſi fuerint aliqui, ſive Epiſcopi, ſive clerici, ſive laici, vel ſentire, vel docere ea quæ ſunt in allata à Chariſio Presbytero expoſitione de humanæ naturæ ſuſceptione unigeniti filii Dei, ſive ſcelerata & perverſa Neſtorii dogmata, quæ etiam ſubjecta ſunt; ſubjiciantur ſententiæ hujus ſanctæ & univerſalis ſynodi, ut ſcilicet Epiſcopus quidem ſit ab Epiſcopatu alienus & depoſitus: clericus, autem Clero ſimiliter excidat. Si ſit verò D quis laicus, anathematizetur & ipſe, ut priùs dictum eſt.

Bals. Cùm edictum, factum eorum gratia, quæ à ſancta Epheſina ſynodo decreta erant, in conventu lectum eſſet: ſimiliter & ſanctum ſymbolum, quod in prima ſynodo eſt expoſitum, prolatus eſt hic Canon, & cautum ne quis aliam fidem componeret. Si qui autem auſi fuerint iis, qui ex Græcis, vel Judæis, vel aliis hæreticis, ad veritatis cognitionem accedunt, aliam fidem offerre, ſi ſint quidem Epiſcopi, vel Clerici, deponantur: laici autem anathematizentur. Idipſum autem fiat & in eos qui Neſtorii decreta ſuſcipiunt, & ea docent. E Quoniam autem Presbyter quidam dictus Chariſius, execrabilia Neſtorii dogmata amplectens, eorum, quæ à Neſtorio conſcripta ſunt, expoſitionem quandam attulit, & ipſa quoque ut impia damnata eſt; decernit Canon, eidem damnationi ſubjici etiam eos, qui ſentiunt, vel docent ea, quæ in tali expoſitione comprehenduntur.

Zonar. Impius ille Neſtorius, Commenta ſua nefaria docuiſſe palam, atque in vulgus diſſeminaſſe non contentus, eouſque præterea audaciæ provectus eſt, ut etiam ſymbolum, univerſis in eo, quæ de incarnati Filii F & verbi Dei myſterio perperam excogitata blaſphemare ſolitus erat, diſertè explicatis, edere non dubitarit. Hoc ſymbolum à Chariſio Presbytero ad ſynodum allatum, recitatumque, ut impietatis plenum condemnatum eſt; ac in prima ſynodo compoſitum ſymbolum, cum univerſis ejuſdem ſynodi decretis, retinendum eſſe, neque aliam fidem ab aliquo excogitari, aut ſcriptis conſignari licere ſancti patres decreverunt. Si qui autem Græcis vel Judæis, vel hæreticis, qui ad veritatis cognitionem pervenire velint, aliam fidem proponere, hoc eſt, docere, & à Sanctorum Patrum doctrina diſcrepantia atque aliena catechiſmi nomine tradere auſi fuerint, eos dicunt, ſi Epiſcopi ſint aut Clerici epiſcopatu vel Clero excidere, depoſitos nimirum; Laicos vero excommunicari. Similiter & qui Neſtorianis erroribus animum applicuerint, eoſque ſuſceperint, vel aliquid eorum, quæ in impio ejuſdem ſymbolo explicantur, in vulgus diſſeminarint (Dei filium ſcilicet, ac Verbum non ex ſancta Virgine deſumpſiſſe carnem, ſed purum hominem eſſe Chriſtum, eique poſtea filium Dei, ac Verbum ex quâdam habitudine fuiſſe unitum, tum in duos filios, ac duas hypoſtaſes dividi Chriſtum & Deum, nec Dei, ſed Chriſti tantummodo, parentem fuiſſe Sanctam virginem) iiſdem pœnis, ſive Epiſcopi, ſeu Clerici, ſen Laïci fuerint, obnoxios eſſe: ac ad ſacros quidem ordines admiſſos depoſitione, Laïcos vera excommunicatione mulctandos eſſe, ſancta Synodus decernit.

ARIST. *Epiſcopus, qui aliam quàm Nicenam fidem proferet, alienus ab Eccleſiâ habetur: Laicus verò expellitur.*

Qui præter fidem à ſanctis patribus Nicææ congregatis compoſitam, aliud impium attulerit ſymbolum, ad ſubverſionem exitiumque eorum, qui ex Helleniſmo, aut Judaiſmo, aut aliâ quacunque hæreſi ad veritatis notitiam convertuntur; ſi quidem laicus ſit, anathematizetur; ſin Epiſcopus aut Clericus, epiſcopatu & clero deponatur.

CANON VIII.

Rem præter leges eccleſiaſticas & ſanctorum patrum Canones innovatam, & omnium libertatem attingentem, renunciavit nobis in primis pius Epiſcopus Riginus, & qui cum eo ſunt Cypriorum provinciæ religioſiſſimi Epiſcopi, Zeno & Euagrius. Quamobrem quoniam communes morbi majori medicina opus habent, ut qui majus etiam damnum afferant, & maximè ſi neque antiqua conſuetudo conſecuta eſt, ut Antiochenæ civitatis Epiſcopus in Cypro ordinationes faciat, quemadmodum & libellis & propriis vocibus nos docuerunt viri religioſiſſimi, qui ad ſanctam ſynodum acceſſerunt: iis, qui ſacroſanctis Cypri eccleſiis præſunt, fraudi ac probro non erit, nec ulla vis aut impedimentum eis afferetur, ſi ſecundùm ſanctorum patrum Canones & antiquam conſuetudinem, per ſe religioſiſſimorum Epiſcoporum electiones faciant. Idem autem & in aliis diæceſibus, &, quæ ſunt ubique, provinciis ſervabitur: ut nullus religioſiſſimorum Epiſcoporum, provinciam aliam, quæ non multis retrò annis & ab initio ſub ſua, vel eorum, qui illum præceſſerunt, manu fuerit, invadat: Sed & ſi quis invaſerit, & ſibi per vim ſubmiſerit, eam reddat, ne patrum Canones tranſiliantur, nec ſub ſacerdotalis muneris prætextu ſecularis poteſtatis faſtus ſubeat, nec libertatem paulatim imprudentes amittamus, quam nobis proprio ſanguine dedit dominus Jeſus Chriſtus, omnium hominum liberator. Sanctæ ergo & univerſali ſynodo viſum eſt, ut unicuique provinciæ pura & inviolata ſerventur jura, quæ ab initio & multis retro annis habet, ſecundum conſuetudinem quæ jam olim ſervata, poteſtatem habente unoquoque Metropolitano, actorum exemplaria ad ſuam ſecuritatem accipere. Si quis autem conſtitutionem aliquam iis, quæ nunc definita ſunt, repugnantem attulerit, eam quoque eſſe irritam viſum eſt toti ſanctæ & univerſali ſynodo.

BALS. Antequam Romanorum imperium à magna Antiochia abalienaretur, dux in eam ab Imperatore mittebatur, & is in Cyprum præfectum mittebat tan-

A φασὶν Ἐπισκόπους ὄντας, ἢ κληρικοὺς ἐκπίπτειν τῆς Ἐπισκοπῆς, ἢ τοῦ κλήρου καθαιρουμένους δηλονότι, λαϊκοὺς δὲ τυγχάνοντας ἀναθεματίζεσθαι. ὁμοίως δὲ καὶ τοὺς τὰ Νεστορίου φρονοῦντας καὶ δεχομένους, ἢ καὶ διδάσκοντας τὰ ἐν τῷ παρ' ἐκείνου συντεθέντι συμβόλῳ βλασφημηθέντα, λέγοντος μὴ τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ σάρκα ἐκ τῆς ἁγίας παρθένου ἀνειληφέναι, ἀλλὰ ψιλὸν μὲν ἄνθρωπον εἶναι τὸν Χριστὸν, κατὰ σχέσιν δὲ αὐτῷ ἑνωθῆναι τὸν υἱὸν τοῦ θεοῦ καὶ λόγον, εἰς δύο υἱοὺς καὶ δύο ὑποστάσεις διαιροῦντος τὸν Χριστὸν καὶ θεὸν, καὶ τὴν ἁγίαν παρθένον οὐ Θεοτόκον, ἀλλὰ Χριστοτόκον καλοῦντος, τοῖς αὐτοῖς B ὑποκεῖσθαι ἡ ἱερὰ σύνοδος ἐψηφίσατο, κἂν Ἐπίσκοποι εἶεν, κἂν κληρικοὶ, κἂν λαϊκοὶ, ὥστε τοὺς μὲν ἱερωμένους καθαιρεῖσθαι, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζεσθαι.

ΑΡΙΣΤ. Ὁ πίστιν ἑτέραν τῆς ἐν Νικαίᾳ προσάγων Ἐπίσκοπος ἠλλοτρίωται, λαϊκὸς δὲ καὶ ἐξωστράκισται.

Ὁ παρὰ τὴν πίστιν τὴν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναθροισθέντων συντεθεῖσαν ἕτερον σύμβολον δυσσεβὲς προσκομίζων, εἰς καταστροφὴν καὶ ἀπώλειαν τῶν ἐξ Ἑλληνισμοῦ, ἢ Ἰουδαϊσμοῦ, ἢ ἐξ οἱασδηποτοῦν αἱρέσεως C ἐπιστρεφόντων εἰς ἐπίγνωσιν τῆς ἀληθείας· εἰ μὲν λαϊκὸς ἐστιν, ἀναθεματιζέσθω· εἰ δὲ Ἐπίσκοπος, ἢ κληρικὸς, τῆς Ἐπισκοπῆς, καὶ τοῦ κλήρου ἀλλοτριούσθω.

ΚΑΝΩΝ η΄.

Πρᾶγμα παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων πατέρων καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος συνεπίσκοπος Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ εὐλαβέστατοι Ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας Ζήνων καὶ Εὐάγριος. D ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν Ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ ἁγίᾳ συνόδῳ ποιησάμενοι, ἕξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων Ἐπισκόπων ποιούμενοι. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν E ἄλλων διοικήσεων καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν παραφυλαχθήσεται· ὥστε μηδένα τῶν θεοφιλεστάτων Ἐπισκόπων ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ ἤγουν τῶν πρὸ αὐτοῦ χεῖρα καταλαμβάνειν· ἀλλ' εἰ καί τις κατέλαβεν καὶ ὑφ' ἑαυτὸν πεποίηται βιασάμενος, ταύτην ἀποδιδόναι, ἵνα μὴ τῶν πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. ἔδοξε τοίνυν τῇ ἁγίᾳ καὶ οἰ- F κουμενικῇ συνόδῳ, σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς ἄνωθεν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν. εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προκομίσοι, ἄκυρον τοῦτον εἶναι ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ οἰκουμενικῇ συνόδῳ.

ΒΑΛΣ. Πρὸ τοῦ ἀποξενωθῆναι τὴν βασιλείαν τῶν Ῥωμαίων ἐκ τῆς μεγάλης Ἀντιοχείας, δοὺξ ἐν αὐτῇ παρὰ τοῦ βασιλέως ἐπέμπετο, καὶ οὗτος στρατηγὸν εἰς Κύπρον ἀπέστελλεν, ὡς ὑποκειμένην τῇ Ἀντιοχείᾳ. οἱ δὲ Κύπριοι Ἐπίσκοποι καθ' ἑαυτοὺς διῆγον καὶ ἐχειροτονοῦντο. τοῦ γοῦν τότε ὄντος ἐπιχειροῦντος, ὡς ἔοικεν, χειροτονίας ποιεῖν εἰς τὰς ἐκκλησίας τῶν Κυπρίων, προφάσει τοῦ στέλλεσθαι στρατηγὸν ἐν τῇ νήσῳ παρὰ τοῦ δουκὸς Ἀντιοχείας, ἀνηνέχθη τὰ περὶ τούτου τῇ ἐν Ἐφέσῳ συνόδῳ παρὰ Κυπρίων Ἐπισκόπων. καὶ αὕτη τὴν πρόσοδον, ἤτοι τὴν προσέλευσιν τούτων δεξαμένη, ὥρισε τοὺς Κυπρίους Ἐπισκόπους, κατὰ τοὺς κανόνας καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν χειροτονεῖσθαι· καθὼς, φησὶ, τοῦτο γενήσεται, καὶ εἰς τὰς λοιπὰς διοικήσεις καὶ ἐπαρχίας, μὴ δυναμένου τινὸς Ἐπισκόπου ἑτέραν ἐπαρχίαν σφετερίζεσθαι, μὴ ὑποκειμένην ἀνέκαθεν αὐτῷ· μᾶλλον μὲν οὖν καὶ τοὺς τοιοῦτόν τι ποιοῦντας, καὶ κατὰ βίαν, καὶ αὐθεντίαν, ἀλλοτρίαν ἐνορίαν κατασχόντας, ἀπολῦσαι αὐτὴν, ἵνα μὴ παραβαίνωνται οἱ κανόνες, καὶ προσχήματι τῆς ἱερουργίας ἐξουσίας κοσμικῆς ἤτοι κενοδοξίας τῦφος εἰς τοὺς ἀρχιερεῖς ἀναφαίνηται. ἐξεχώρησε δὲ καὶ ἑκάστῳ τῶν μητροπολιτῶν ἐκλαβέσθαι τὰ ἴσα τοῦ τοιούτου κανόνος εἰς οἰκείαν ἀσφάλειαν, καὶ μηδὲ κρατεῖν ἕτερον ἔγγραφον τύπον, ἤγουν βασιλικὸν πρόσταγμα ἐναντιούμενον τῷ κανόνι τούτῳ, παρά τινος προκομιζόμενον. καὶ ἀνάγνωθι τὸν β΄. κανόνα τῆς β΄. συνόδου, τὸν κη΄. τῆς δ΄. συνόδου, τὸν λθ΄. τῆς ϛ΄. συνόδου, καὶ τὰ ἐν αὐτοῖς. καὶ μάθοις πῶς ὑπετέθησαν αἱ ὑπὸ τὴν Ρωμανίαν ἐκκλησίαι, ἄνευ τινῶν, τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως.

ΖΩΝΑΡ. Ὁ τῆς Ἀντιοχέων ἐκκλησίας ἀρχιερεὺς ὑφ' ἑαυτὸν εἷλκε τὰς τῶν Κυπρίων Ἐπισκόπων χειροτονίας, ὡς τάχα τῆς Κύπρου τὸ παλαιὸν τελούσης ὑπὸ τὸν δοῦκα Ἀντιοχείας. παρὰ γὰρ τοῦ δουκὸς Ἀντιοχείας ἐστέλλετο ἐκεῖσε στρατηγός. διὰ τοῦτο προσῆλθόν τινες τῶν Κυπρίων Ἐπισκόπων τῇ συνόδῳ ταύτῃ, λέγοντες τοῦτ' αὐτὸ, καὶ δι' ἐγγράφων ἀναφέροντες, ὅτι οὐκ ἐξ ἔθους παλαιοῦ δίκαιον ἔχει ὁ Ἀντιοχείας, χειροτονεῖν τοὺς Ἐπισκόπους Κυπρίων. ἐψηφίσατο οὖν ἡ σύνοδος τὴν πρόσοδον ἤτοι τὴν προσέλευσιν δεξαμένη τῶν Ἐπισκόπων, τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον ἔχειν τοὺς τῶν Κυπρίων Ἐπισκόπους, κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν. ὁ γὰρ τριακοστὸς πέμπτος κανὼν τῶν ἁγίων ἀποστόλων, καὶ ὁ τρίτος τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ τολμᾷν τοὺς Ἐπισκόπους κελεύουσι ποιεῖσθαι χειροτονίας εἰς τὰς μὴ ὑποκειμένας αὐτοῖς ἐπαρχίας, εἰ δὲ μὴ, ἄκυρα μὲν τὰ παρ' ἐκείνων πραχθέντα εἶναι, αὐτοὺς δὲ καθαιρεῖσθαι. καὶ ὁ ἕκτος δὲ κανὼν, καὶ ὁ ἕβδομος τῆς πρώτης οἰκουμενικῆς συνόδου τὰ ἀρχαῖα ἔθη, κἂν τοῖς ἀρχιερεῦσι κρατεῖν διατάττονται. οἷς δὴ κανόσιν ἑπόμενοι καὶ οἱ τῆς συνόδου ταύτης σεπτοὶ πατέρες ὥρισαν καὶ τοὺς Κυπρίων Ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν ἐν τῇ νήσῳ ταύτῃ Ἐπισκόπων ποιεῖν, τοῦτο δὲ γίνεσθαι καὶ ἁπανταχοῦ, καὶ μή τινα τῶν Ἐπισκόπων σφετερίζεσθαι ἐπαρχίαν μὴ οὖσαν ἄνωθεν ἤγουν ἔκπαλαι καὶ ἀρχῆθεν ὑπ' αὐτὸν καὶ ὑπὸ τοὺς πρὸ αὐτοῦ. εἰ δὲ καί τις, φασὶν, ᾠκειώσατο ἐπαρχίαν μὴ ἀνήκουσαν αὐτῷ ἀποδότω ταύτην τοῖς βιασθεῖσι καὶ ἀφαιρεθεῖσιν αὐτήν· ἵνα μὴ παραβαίνωνται οἱ κανόνες, καὶ ἀφορμὴν ἔχοντες τὴν ἱερουργίαν, καὶ ταύτην οἷόν τι προκάλυμμα προβαλλόμενοι κοσμικῆς ἐξουσίας κενοδοξίαν παρεισερχομένην εἰς ἑαυτοὺς ἔχωσιν οἱ ἀρχιερεῖς, καὶ δουλούμενοι τοῖς μὴ ἔχουσι δίκαιον ἀφαιρεθῶμεν τὴν ἐλευθερίαν, ἣν ὁ κύριος ἡμῖν ἐδωρήσατο, τὸ οἰκεῖον κενώσας αἷμα ὑπὲρ τῆς τῶν ἀνθρώπων ἐλευθερίας. διὸ ἑκάστῃ ἐπαρχίᾳ τὰ οἰκεῖα δίκαια κατὰ τὸ παλαιὸν ἔθος φυλάττεσθαι ἡ ἁγία σύνοδος ἐψηφίσατο, καὶ τοῖς Μητροπολίταις ἄδειαν ἔδωκε τὰ ἐψηφισμένα ἐκλαβέσθαι, κἂν τύπος, φησὶν, ἤγουν ἔγγραφόν τι προκομισθῇ τυποῦν καὶ ὁρίζον ἄλλα παρὰ τὰ νῦν ὡρισμένα, ἄκυρος ἔσται.

ΑΡΙΣΤ. Τηρείσθω τὰ ἑκάστῃ ἐπαρχίᾳ προσόντα δίκαια, καθαρὰ, ἀβίαστα, ὁ δὲ τύπον ἀντικείμενον τούτοις εἰσάγων, ἀνόνητος.

Ὅσοι τῶν Ἐπισκόπων βίᾳ ὑπὸ τὴν αὐτῶν χεῖρα ἐπαρχίαν ἑτέραν ἐποιήσαντο, οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπ' αὐ-

A quam Antiochiæ ſubjectam. Cyprii autem Epiſcopi per ſe degebant, & ordinabantur. Cùm ergo qui tunc erat Antiochiæ Epiſcopus conaretur, ut eſt veriſimile, in Eccleſiis Cypriorum ordinationes facere, eo prætextu quòd præfectus à duce Antiochiæ in inſulam mitteretur, de ea re à Cypriis Epiſcopis ad ſynodum, quæ erat Epheſi, relatum eſt. Ea vero, proceſſu ſive poſtulatione eorum admiſsâ, decrevit Cyprios Epiſcopos ſecundùm Canones & antiquam conſuetudinem per ſeipſos ordinari: Quemadmodum, inquit, hoc fiet & in cæteris diœceſibus & provinciis, cùm nullus Epiſcopus aliam ſibi provinciam vendicare poſſit, quæ non ſibi longo retrò tempore B ſubjecta fuerit: ſed potiùs eos, qui tale quid faciunt, & vi propriâque auctoritate alienam regionem detinent, eam dimittere, ne Canones tranſiliantur, & ſacerdotalis officii prætextu ſecularis poteſtatis ſive vanæ gloriæ faſtus in antiſtites oriatur. Conceſſit autem & unicuique Metropolitano hujus Canonis exemplaria ad propriam ſecuritatem accipere: & nullam aliam ſcriptam conſtitutionem ſive Imperialem juſſionem, huic Canoni repugnantem, ab aliquo allatam valere. Lege & ſecundum Can. ſecundæ ſyn. xxviii. Can. quartæ ſyn. xxxix. Can. ſextæ ſyn. & quæ in eos ſcripta ſunt: & ſcies quomodo eccleſiæ, quæ Romæ C ſuberant, throno Conſtantinopolis ſubjectæ fuerint, exceptis aliquibus.

Zonar. Cypri Epiſcopos creandi jus Antiochenæ ſibi Eccleſiæ Antiſtes vindicabat, fortè quòd in Antiocheni Ducis ditione ea inſula priſcis temporibus fuiſſet: Nam à duce Antiocheno præfectus illic mittebatur. Ejus rei querelam Cyprii quidam Epiſcopi ad ſynodum detulere, neque id unquam Antiocheno Patriarchæ juris fuiſſe, ut ab eo Cypriarum urbium Epiſcopi ordinarentur, tum viva ipſimet oratione tum ſcriptis in eam ſententiam codicillis, docuere. Epiſcoporum itaque proceſſu, ſive ſupplicatione approbatâ ſtatuit ſyno- D dus Cypriorum Epiſcopos, ſecundùm ſanctorum Patrum Canones & antiquam conſuetudinem, illæſos & indemnes fore. Nam Canones quidem, & Apoſtolorum trigeſimus quintus, & Antiochenæ ſynodi tertius, ne in alienis provinciis ſibi non ſubjectis ordinationes facere Epiſcopi audeant, ſecus, irritum eſſe quod fecerint, ipſos vero deponi jubent: Oecumenicæ vero primæ ſynodi ſextus & ſeptimus, antiquas conſuetudines, ab ipſis quoque Eccleſiarum Præſulibus, ſervandas eſſe decernit. Quorum Canonem veſtigiis Patres hîc quoque reverendi inſiſtentes, ut à Cypriis Epiſcopis ejus inſulæ Antiſtites ordinentur, idémque locis omnibus omnino ſervetur, E neu provinciam aliquam, quæ non ſibi & antiquioribus Epiſcopis ſubjecta jam inde ab initio fuerit, invadere Epiſcopo liceat, decrevere. Quod ſi provinciam non ſuæ ditionis quiſpiam uſurpaverit, iis, inquiunt, quibus invitis eſt ablata, atque uſurpata, reſtituat: Ne vel ex eo, ſcilicet, auctoritas Canonum infringatur, vel ſacri muneris obeundi ſtudium ambitioni prætexentes, ad inanem terrenæ poteſtatis amplificandæ cupiditatem Antiſtites delabantur: noſque proinde, dominatu eorum, quibus nulla juſta imperandi cauſa eſt oppreſſi, libertatis jacturam faciamus, quam nobis Dominus largitus eſt, ſuo ipſius ſanguine pro hominum libertate effuſo. F Quamobrem ſua cuique provinciæ jura, ſancta ſynodus, facta etiam Metropolitanis hujus edicti deſcribendi poteſtate, ex antiqua conſuetudine ſervari jubet; & ſi typus, inquit, vel ſcriptum aliquod jam decretis contraria exprimens & conſtituens proferatur, irritum ſit.

Arist. *Serventur ſua cuique provinciæ jura, pura ac inviolata. Qui vero contrariam hiſce formam introducit, futilis eſt.*

Quicunque Epiſcopi alienam provinciam ſuæ poteſtati vi ſubjecerint, quæ olim & ab initio ſub illis non fuit, ant alterius Epiſcopatus uſurpaverint privilegium, nihil ex eo cauſæ eorum addetur, ſed ad illos rurſus Epiſcopos, qui jus ad eas habuerunt, reſtituantur. Nam pura & inviolata debent cuique provinciæ ſervari jura, & ſub ſacerdotalis muneris prætextu ſecularis potentiæ faſtum non ſubire. Si quis autem conſtitutionem aliam, iis quæ hic decernuntur adverſantem & pugnantem, introduxerit, nullum ex eo emolumentum capiet.

A τοὺς· ἢ περινόμιόν τι ἐπισκοπῆς ἑτέρας ὑφήρπασαν, οὐδέν τι ἐκ τούτου δικαιωθήσονται· ἀλλ' ἐπανασωθῶσιν αὖθις πρὸς τοὺς ἔχοντας δίκαιον ἐπ' αὐταῖς Ἐπισκόπους. ὅτι περ καθαρὰ καὶ ἀβίαστα ὀφείλουσιν ἑκάστῃ ἐπαρχίᾳ προσεῖναι τὰ δίκαια· καὶ μὴ τῦφον κοσμικῆς ἐξουσίας ἐν ἱερουργίας προσχήματι παρεισδύεσθαι. Ὁ δὲ τύπον εἰσάγων ἕτερον τοῖς ἐνταῦθα ὁρισθεῖσιν ἀντικείμενον καὶ μαχόμενον, οὐδέν τι ὠφεληθήσεται.

EPISTOLA EJUSDEM S. EPHESINÆ SYNODI ad ſacram in Pamphylia ſynodum, de Euſtathio, qui fuit eorum Metropolitanus. B

Cum divinitùs inſpirata ſcriptura dicat, Fac omnia cum conſilio, maximè quidem oportet eos, qui ſacerdotis gradum ſortiti ſunt, quàm fieri poteſt accuratiſſime omnia quæ ſunt agenda inquirere ac examinare. Iis enim, qui vitam ita volunt inſtituere, circa ea, quæ ad ſe pertinent, ſpem pulchrè collocatam habere, & tanquam ſecundo vento ea pro voto ſuccedere continget: C *& magnam quidem habet veriſimilitudinem oratio. Sed acerbus & intolerabilis dolor mentem aliquando opprimens, eam & valde perturbat, & ab eorum, quæ fieri oportet, perſecutione abducit, & perſuadet ut quod injuriam facere ſuapte natura conſuevit, id tanquam aliquid conducibile reſpiciat. Tale quid in primis pio & religioſo Epiſcopo Euſtathio accidiſſe vidimus. Canonice enim, ut perhibetur, electus eſt. Cùm autem eſſet à nonnullis perturbatus, ut ait, & in inopinatas rerum circumſtantias incidiſſet, deinde præ nimiâ negotii gerendi fugâ ob ingruentes ſibi curas animum deſpondiſſet, cum maledicta,* D *quæ in eum ab imminentibus adverſariis congerebantur, amovere poſſet, renunciationis libellum neſcimus quomodo obtulit. Oportebat enim eum, ut cui ſacerdotalis cura ſemel mandata eſt, ei cum ſpirituali robore inſiſtere, & labores veluti ſubire, & ſudorem, cui merces propoſita eſt, lubenter ſuſcipere. Quoniam autem ſeipſum ſemel negligentem eſſe oſtendit, idque ei potiùs propter negotii ac laboris fugam, quàm propter inertiam ac ſocordiam accidit, veſtra pietas religioſiſſimum ac maximè pium fratrem noſtrum & coëpiſcopum Theodorum eccleſiæ curam geſturum* E *neceſſariò ordinavit. Neque enim erat honeſtum ut ea vidua eſſet, & abſque rectore eſſent Servatoris greges. Sed quoniam flens acceſſit, non de civitate, nec de eccleſia cum religioſiſſimo Epiſcopo Theodoro, cujus meminimus, ambitioſè contendens, ſed Epiſcopi interim honorem & appellationem poſtulans: Omnes ſenis vicem condoluimus, & communes eſſe ejus lacrymas arbitrati, ſcire contendimus, an legitimam depoſitionem prædictus ſubierit, an ab aliquibus, qui famam ejus elevârunt, aliquorum gravium & indignorum criminum convictus fuerit. Atqui didicimus nihil ejuſmodi ab eo factum eſſe, prædictoque pro crimine* F *potius fuiſſe ipſam renunciationem. Unde nec de veſtra pietate querimur, quæ in ejus locum, ut par fuit, prædictum Theodorum ordinavit Epiſcopum. Sed quoniam viro non nimis vehementer ſuccenſere eſt conſentaneum, quòd ſit negotiorum & laborum fugitantior: ſed ſenis potiùs miſereri oportet, qui extra civitatem, quæ eum tulit, & patrios ritus vitæque inſtituta, tam longo tempore fuerit, æquum cenſuimus & ſtatuimus, ut ſine omni contradictione epiſcopatus no-*

ΕΠΙΣΤΩΛΗ ΤΗΣ ΑΥΤΗΣ ΕΝ ΕΦΕΣΩ ἁγίας συνόδου, πρὸς τὴν ἐν Παμφυλίᾳ ἁγίαν σύνοδον, περὶ Εὐσταθίου τοῦ γενομένου αὐτῶν μητροπολίτου.

Μετὰ βουλῆς πάντα ποίει, τῆς θεοπνεύστου λεγούσης γραφῆς· χρὴ μάλιστα τοὺς ἱερᾶσθαι λαχόντας μετὰ πάσης ἀκριβείας τὴν ἐφ' ἅπασι τοῖς πρακτέοις ποιεῖσθαι διάσκεψιν· διαβιοῦν γὰρ οὕτως ἐθέλουσιν, ἐν καλῷ τῆς ἐλπίδος κεῖσθαί τε κατ' αὐτοὺς, καὶ οἷον ἐξ οὐρίας ἐν τοῖς κατ' εὐχὴν ἀποφέρεσθαι συμβαίνει. καὶ πολὺ τό γε εἰκὸς ὁ λόγος ἔχει. ἀλλ' οἶδεν ἔσθ' ὅτε δριμεῖα καὶ ἀφόρητος λύπη κατασκήψασα νοῦ, καταθολῶσαί τε δεινῶς αὐτὸν, καὶ τῆς τῶν δεόντων ἀποκομίσαι θήρας, ἀναπεῖσαί τε τὸ πεφυκὸς ἀδικεῖν ὥς τι τῶν ὀνησιφόρων ἰδεῖν· τοιοῦτόν τι πεπονθότα τεθεάμεθα τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον Ἐπίσκοπον Εὐστάθιον· κεχειροτόνηται μὲν γὰρ, ὡς μεμαρτύρηται, κανονικῶς· ταραχθεὶς δὲ, ὥς φησι, παρά τινων, καὶ ἀδοκήτοις περιστάσεσιν ἐμβεβηκὼς, εἶτα ἐκ πολλῆς ἄγαν ἀπραγμοσύνης ἀπειρηκὼς τὴν ἀντίστασιν τῶν ἐπενηνεγμένων αὐτῷ φροντίδων, καὶ διακρούεσθαι τὰς παρὰ τῶν ἐπιφυομένων αὐτῷ δυσφημίας δυνάμενος, παραιτήσεως οὐκ ἴσμεν ὅπως προσεκόμισε βιβλίον· ἔδει γὰρ ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ οἷον ἀνταποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθελοντὶ ὑπομεῖναι. ἐπειδὴ δὲ ἅπαξ ὀλιγώρως ἔχοντα παρέδειξεν ἑαυτὸν, τοῦτο παθὼν ἐξ ἀπραγμοσύνης μᾶλλον, ἢ ὄκνου καὶ ῥαθυμίας, κεχειροτόνηκεν ἀναγκαίως ἡ ὑμετέρα θεοσέβεια τὸν εὐσεβέστατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Θεόδωρον, φροντιοῦντα τῆς ἐκκλησίας. οὐ γὰρ ἦν ἀκόλουθον χηρεύειν αὐτὴν, καὶ ἐπιστάτου δίχα διατελεῖν τοῦ Σωτῆρος τὰ ποίμνια. ἐπειδὴ δὲ προσῆλθεν κλαίων, οὐ περὶ τῆς πόλεως, οὐδὲ τῆς ἐκκλησίας φιλονεικῶν τῷ μνημονευθέντι θεοσεβεστάτῳ Ἐπισκόπῳ Θεοδώρῳ, ἐξαιτῶν δὲ τέως τὴν τοῦ Ἐπισκόπου τιμὴν καὶ κλῆσιν, συνηλγήσαμεν ἅπαντες τῷ πρεσβύτῃ, καὶ κοινὸν εἶναι λογισάμενοι τὸ αὐτοῦ δάκρυον, ἐσπεύδομεν μαθεῖν, εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν ὁ μνημονευθεὶς, ἤγουν ἐπί τισι τῶν ἀτόπων ἐλήλεγκται παρά τινων καταφλυαρησάντων αὐτοῦ τῆς ὑπολήψεως· καὶ δὴ ἐμάθομεν πεπρᾶχθαι μὲν τοιοῦτον οὐδὲν, γενέσθαι δὲ μᾶλλον τῷ μνημονευθέντι ἀντὶ ἐγκλήματος τὴν παραίτησιν· ὅθεν οὐδὲ τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἐμεμψάμεθα, χειροτονησάσῃ δεόντως εἰς τὸν αὐτοῦ τόπον τὸν μνημονευθέντα Ἐπίσκοπον Θεόδωρον. ἐπειδὴ δὲ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον, ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην, ἔξω τε πόλεως τῆς ἐνεγκούσης αὐτὸν, καὶ πατρῴων ἐνδιαιτημάτων, ἐν μακροῖς οὕτω γεγονότα χρόνοις, ἐδικαιώσαμεν καὶ ὡρίσαμεν δίχα πάσης ἀντιλογίας ἔχειν αὐτὸν, τό τε τῆς Ἐπισκοπῆς ὄνομα, καὶ τὴν τιμὴν, καὶ κοινωνίαν· οὕτω μέντοι, ὥστε μὴ χειροτονεῖν αὐτὸν

τὸν, μήτε μὴν ἐκκλησίαν καταλαβόντα ἱερουργεῖν A ἐξ ἰδίας αὐθεντείας· ἀλλ' εἰ ἄρα συμπαραλαμβανόμενον, εἴτουν ἐπιτρεπόμενον, εἰ τύχοι, παρὰ ἀδελφοῦ καὶ συνεπισκόπου, κατὰ διάθεσιν καὶ ἀγάπην τὴν ἐν Χριστῷ. εἰ δέ τι βουλεύσαισθε χρηστότερον ἐπ' αὐτῷ ἢ νῦν, ἢ εἰς τὸ μετὰ ταῦτα, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ.

ΒΑΛΣ. Παμφυλία ἐστὶν ἡ τῆς Ἀτταλίας ἐπαρχία. καὶ ἐπεὶ Εὐστάθιός τις ἐπισκοπεύσας ἐν αὐτῇ, παρῃτήσατο ἐγγράφως τὴν Ἐπισκοπὴν διά τινας ὀχλήσεις καὶ περιστάσεις πραγματικάς, πάλιν δὲ παρεκλήτευσε μετὰ δακρύων, μόνην τιμὴν B Ἐπισκόπου καὶ κλῆσιν ἔχειν, ἐδυσωπήθη ἡ ἁγία σύνοδος· καὶ ὥρισε, διὰ τῆς παρούσης ἐπιστολῆς πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον ἀποσταλείσης ἐλέους ἀξιωθῆναι τὸν γέροντα· καὶ τὸν μὲν ἐν Παμφυλίᾳ χειροτονηθέντα Ἐπίσκοπον Θεόδωρον πάλιν εἶναι Ἐπίσκοπον, τὸν δὲ Εὐστάθιον, ὡς μὴ καθαιρεθέντα, ἀλλὰ διὰ ἀπραγμοσύνην παραιτησάμενον, ἔχειν κατ' οἰκονομίας λόγον ἃ ἐζήτησεν, ἤγουν ὄνομα καὶ τιμὴν Ἐπισκόπου, καὶ κοινωνίαν, ἤγουν μεταλαμβάνειν ἐντὸς τοῦ θυσιαστηρίου· μηδὲν δέ τι ἐνεργεῖν ἐπισκοπικὸν εἰ μὴ κατὰ θέλησιν τοῦ ἐγχωρίου Ἐπισκόπου ἐπιτραπῇ. οὐδὲ γὰρ ἔκρινε δίκαιον φιλονεικεῖν τινὰ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρός, ἤτοι τῇ περὶ τὰ πράγματα C ἀνεπιτηδειότητι αὐτοῦ. ταῦτα τῆς ἐπιστολῆς διαλαμβανούσης, λέγουσί τινες ἐνδοθῆναι τοῖς ἀρχιερεῦσι ἀπὸ ταύτης παραιτεῖσθαι τοὺς θρόνους τῶν ἐκκλησιῶν, καὶ τὴν ἀρχιερωσύνην παρακρατεῖν. εἰ μὴ γὰρ τοῦτο ἦν, φασί, δυνατόν, οὐκ ἂν ἡ σύνοδος τῷ Εὐσταθίῳ παρεχώρησεν ὄνομα ἔχειν Ἐπισκόπου καὶ τιμήν, καὶ μετὰ θελήσεως τοῦ ἐγχωρίου Ἐπισκόπου ἱερουργεῖν. οὐκ ἔστι δὲ τοῦτο ὡς οἶμαι ἀληθές. τὸ γὰρ ὑπὸ τῶν πατέρων διορισθέν, κατ' οἰκονομίας λόγον ὡρίσθη. καὶ οὐ χρὴ τὸ κατ' οἰκονομίαν διά τι χρήσιμον εἰσενεχθέν, εἰς ὑπόδειγμα ἕλκεσθαι, καὶ ὡς κανόνα κρατεῖν εἰς τὸ ἑξῆς· ἄλλως τε τῆς ἐπιστολῆς μὴ λεγούσης τὴν D μὲν οἰκονομίαν τῆς ἐπισκοπῆς παραιτήσασθαι τὸν Εὐστάθιον, ὑποκρατῆσαι δὲ τὴν ἱερωσύνην. (ἢ γὰρ ἂν οὐδὲ παρεκλήτευσε λαβεῖν ὅπερ εἶχεν,) ἀλλὰ μᾶλλον διαλαμβανούσης παραιτήσασθαι αὐτὸν τὴν Ἐπισκοπήν. καὶ τῶν πατέρων μὴ διορισαμένων τὸ κατὰ συμπάθειαν ἐπὶ τῷ Εὐσταθίῳ γενόμενον κρατεῖν καὶ ἐφεξῆς, πόθεν οὗτοι διαιροῦσι τὰ ἀδιαίρετα, καὶ νομοθετοῦσι τὰ μὴ τῇ ἐπιστολῇ περιεχόμενα; καὶ ταύτην δὲ τὴν οἰκονομίαν νομίζω μὴ ἀπεριμερίμνως γενέσθαι. τῶν γὰρ κανόνων καὶ τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου διοριζομένων, λιβέλλους παραιτήσεως μὴ προσάγειν τινὰς τῶν ἱερέων (εἰ γάρ, φησιν, εἰσὶν ἄξιοι, E τοῦ λειτουργεῖν, ἔστωσαν ἐν τούτῳ· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, κατεγνωσμένοι δὲ μᾶλλον ἐπὶ πράγμασι) πῶς ἄν τις εἴπῃ τὴν ἐν Ἐφέσῳ σύνοδον, καὶ μᾶλλον τὸν προϊστάμενον ταύτης μέγαν Κύριλλον ὑπεναντίως ἑαυτῷ καὶ τοῖς λοιποῖς πατράσι διορίσασθαι; ἀλλ', ὡς ἔοικε, τῆς παραιτήσεως τοῦ Εὐσταθίου μὴ οὔσης βεβαίας, ἀλλὰ κατασειομένης, ἔν τισι κατένευσε κατὰ λόγον οἰκονομίας ἡ ἁγία σύνοδος, εἰς ἃ διωρίσατο. ὅτι δὲ τοιαύτη ἦν ἡ παραίτησις τοῦ Εὐσταθίου, παρίσταται καὶ ἀπ' αὐτῆς τῆς ἐπιστολῆς, λεγούσης ὡς οὐκ ἴσμεν ὅπως παραιτήσεως προκεκόμικε βιβλίον ὁ Εὐστάθιος, καὶ οἷον F ξενιζομένης ἐπὶ τῇ ταύτης παραδοχῇ. εἰ γὰρ οὐ κατεσείετο ὑπό τινος αὕτη, οὐδὲ τὸ ὀνομάζεσθαι Ἐπίσκοπον, καὶ ἱερουργεῖν ἵνα ἐδόθη αὐτῷ. ὥστε τὸ διὰ τῆς παρούσης ἐπιστολῆς οἰκονομηθέν, οὐκ ἔστι καθολικόν. δηλοῦται δὲ τοῦτο καὶ ἐκ τοῦ γράψαι τοὺς πατέρας, ὡς εἴπερ παρὰ τῶν ἐγχωρίων καὶ ἕτερόν τι χρηστότερον γένηται εἰς τὸν γέροντα, ἀρέσκει τοῦτο τῇ συνόδῳ. ἔτι εἰπὲ ὡς τῆς ἐν Χαλκηδόνι συνόδου διοριζομένης μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, ὁ ὑποκρατήσας Ἐπίσκοπος μόνην τὴν ἱερωσύνην, ὡς τινές φασι, ποίων ἱερέων ἱεράρχης ὀνο-

men habeat, & honorem & communionem: ita tamen, ut neque ipſe ordinet, neque eccleſias occupans propria auctoritate ſacra obeat; niſi vel utique adſumptus, ſive etiam, ſi evenerit, permiſſus à fratre & coëpiſcopo, ſecundùm diſpoſitionem & dilectionem, quæ eſt in Christo. Si quid autem benignius ei conſulueritis vel nunc vel in poſterum, id quoque placebit ſanctæ ſynodo.

Bals. Pamphilia eſt Attaliæ provincia. Et quoniam quidam Euſtathius, qui in ea Epiſcopus fuerat, epiſcopatui ſcriptis renunciavit propter quaſdam vexationes ac moleſtos negotiorum caſus, rurſuſque lacrymis ſupplicavit, ut ſolùm Epiſcopi honorem & nomen haberet, exorata eſt ſancta ſynodus, & per præſentem epiſtolam ad ſynodum, quæ erat in Pamphylia, miſſam, ſtatuit miſericordia dignum eſſe ſenem, & Theodorum quidem, qui in Pamphylia electus eſt, rurſus eſſe Epiſcopum: Euſtathium autem, ut qui non eſſet depoſitus, ſed, ut negotia laboréſque fugeret, renuntiaſſet, ex diſpenſationis ratione, ea quæ petivit, habere, nomen ſcilicet & honorem Epiſcopi & communionem, id eſt intra altare participare, nihil tamen epiſcopale exercere, niſi ex regionis Epiſcopo id ei permiſſum ſit. Neque enim æquum eſſe cenſuit, ut viro graviter ſuccenſeretur, quòd eſſet negotiorum laborúmque fugitantior, vel quòd ad ea gerenda eſſet ineptus. Cùm hæc tractet epiſtola, dicunt nonnulli ex ea eſſe antiſtitibus permiſſum, ut eccleſiarum quidem thronis renuncient, & tamen antiſtitum dignitatem obtineant. Si enim inquiunt, hoc fieri non poſſet, ſynodus Euſtathio non permiſiſſet, ut Epiſcopi nomen & honorem haberet, & cum Epiſcopi regionis voluntate ſacra obiret. Non eſt autem hoc, ut exiſtimo, verum. Quod enim à patribus definitum eſt, ex diſpenſationis ratione definitum eſt: & non oportet, quod per diſpenſationem propter aliquid utile introductum eſt, ad exemplum trahi, & tanquam Canonem deinceps valere: & maximè cùm epiſtola non dicat Euſtathium epiſcopatûs adminiſtrationi renunciaſſe, epiſcopalem autem dignitatem tenuiſſe. (Neque enim ſupplicaſſet ut id haberet, quod habebat) ſed potiùs differit, eum renunciaſſe epiſcopatui. Et cùm patres non definierint, ut id, quod Euſtathio propter commiſerationem factum eſt, deinceps quoque vim habeat, quanam ratione dividunt iſti quæ non debent dividi, & tanquam leges ſanciunt ea, quæ epiſtola non comprehenduntur? Porro & hanc diſpenſationem exiſtimo non inconſiderate factam eſſe. Cùm enim Canones, & ſancti Cyrilli ad Domnum epiſtola, decernant, ne ulli ſacerdotes renunciationum libellos afferant. (Si enim, inquit, ſacra miniſteria obire digni ſunt, in eo permaneant: ſin autem indigni, ne per renunciationem exeant, ſed potiùs, rebus ipſis condemnati) quomodo dixerit quiſpiam Epheſinam ſynodum, & eum potiùs qui ei præerat magnum Cyrillum, ſibi & reliquis patribus contraria ſtatuiſſe? Sed, ut eſt veriſimile, cùm Euſtathii renunciatio firma non eſſet, ſed in quibuſdam labaret, ex diſpenſationis ratione annuit ſancta ſynodus ad ea, quæ definiit. Quòd autem eſſet ejuſmodi Euſtathii renunciatio, ex ipſa etiam epiſtola apparet, quæ dicit: Neſcio quomodo renunciationis libellum attulit Euſtathius; & ob ejus receptionem veluti in admirationem adducitur. Si ipſa enim ab aliquo non labefactaretur, nec ut Epiſcopus nominaretur, & ut ſacri muneris aliquid obiret, ei permitteretur. Quod itaque per hanc epiſtolam œconomicè proviſum eſt, non eſt univerſale. Hoc autem etiam ex eo declaratur, quòd patres ſcripſerunt; quòd ſi à religionis Epiſcopis benignius aliquid in ſenem fiat, id quoque placet ſynodo. Præterea cùm Chalcedonenſis ſynodus nullum abſolutè ordinandum eſſe decernat, qui ſolùm ſacerdotalem, ut dicunt, dignitatem obtinebit Epiſcopus; quorumnam ſacerdotum antiſtes eſſe dicetur, vel quoſnam docebit? & quorumnam Epiſcopus erit? Nullorum omnino. Quare nec poteſtate quidem ſola ſacerdotalis dignitas obtinebitur. Quære etiam decimum Canonem ſancti Petri Alexandrini Epiſcopi.

ZONAR. Euſtathius, de quo in Epiſtola ſermo, Pamphyliæ Epiſcopus fuit. Pamphylia autem eſt Attaliæ provincia. Vir itaq; prædictus cùm in difficiliora tempora incidiſſet, præ puſillanimitate, & negotiorum fuga moleſtè ferens, Epiſcopatui ſcriptis renunciavit. Ac alius quidem illic electus eſt. Euſtathius verò multis cum lacrymis in ſanctam hanc ſynodum poſtea venit, non civitatem ſibi, non Eccleſiam vindicans, aut ea quo minus à ſucceſſore haberentur recuſans: ſed nomen tantùm Epiſcopi & honorem petens, nimirum Epiſcopi nomine honeſtari, Epiſcopalémque in conſeſſu locum, ac ſi quæ alia ſunt hujuſmodi, obtinere volens. Senis vicem igitur condoluimus, inquit ſancta ſynodus, communéſque ejus lacrymas exiſtimavimus, & diſcere conati ſumus, num aliquorum flagitiorum, convictus homo Canonicè depoſitus fuiſſet. Cum vero nihil tale factum eſſe comperiſſemus, ſed illum, haud ſanè rebus gerendis habilem, Epiſcopatu, quo ſe ipſemet abdicaverat, excidiſſe: nos hominem, quod à negotiis abhorreret, ſive rebus gerendis minus idoneus fuerit, objurgare haud honeſtum eſſe exiſtimavimus; ſed potiùs ſenectute confecto, & patria multos jam annos ac patriis ſedibus orbato, miſericordiæ aliquid impartiendum eſſe judicavimus. Itaque & Epiſcopi nomen, & dignitatem, communionémque ab eo retineri decrevimus, & juſtum cenſuimus. Ita ſcilicet, ut ei ſecretiora adyta intrare, ibique communicare, non tamen aut ipſi ſacra facere, aut ordinibus quempiam inſignire fas ſit, niſi vel Epiſcopus aliquis eum ſibi ſocium in ſacris peragendis vel ordinando adſciverit, vel ab ipſo regionis iſtius Epiſcopo tale quippiam ei facere ſit permiſſum. Atque hæc quidem nos, inquit ſynodus, homini indulſimus. Quòd ſi benignius aliquid, vel nunc, vel in poſterum, illi conſulueritis, id eſt, ſi plus aliquid juris vel privilegii illi conceſſeritis, nobis acceptum erit. Ex hac ſynodi conſtitutione colligunt quidam, licere Epiſcopis Eccleſias ſuas, dignitate Epiſcopali nihilominus retenta, dimittere. Sed ego contrarium potiùs hinc puto effici, quod olim qui Epiſcopatibus renunciarunt omnibus quæ acceperunt privati ſunt, & neque jus aliquod Epiſcopale poſt renunciationem retinebant, neque Epiſcopi appellabantur. Si enim, Epiſcopatu quamvis depoſito, adhuc Epiſcopalia jura retineri mos erat, cur tandem lachrymans Euſtathius in ſanctam ſynodum venit, ſibique Epiſcopi honorem ac nomen precibus obtinere contendit? et de ea re litteras ad Pamphyliæ ſynodum dandas Epheſina hæc ſynodus cenſuit? Potius igitur Antiſtitum muneris epiſcopalis detrectationem nec ſine culpâ eſſe, nec tunc fuiſſe, ex hac Epiſtolâ apparet, quæ dicit, cùm à negotiis vehementer abhorrens præ curis animo concidiſſet, renunciationis, neſcimus quomodo, libellum obtulit. Oportebat enim eum, ut cui ſacerdotalis cura ſemel mandata eſt, ei cum ſpirituali robore inſiſtere, & labores veluti ſubire, & ſudorem, cui merces propoſita eſt, lubenter ſuſcipere. Non fuiſſe igitur antiqui moris Eccleſiarum renunciationes, exinde ſatis conſtat, quod ſynodus ſcribit, quòd neſcimus quomodo renunciationis libellum obtulit. Admirantium namque facti novitatem & dubitantium erat dicere, quod neſcimus quomodo id factum fuit. Si vero res uſitata fuiſſet, de ea non dubitaretur. Quæ verò ſubjiciunt [Cui namque ſemel Epiſcopalis cura demandata fuiſſet, ei inſiſtere illum oportuit] & quæ ſequuntur, ea, nullam ejuſmodi ſacerdotalis oneris deponendi facultatem fuiſſe, quin id potius maximè vetitum, & criminoſum fuiſſe, ſatis apertè demonſtrant. Etenim ſi, qui nunc primùm ad Paſtoralis curæ ſollicitudinem vocantur, niſi decreto pareant ſecundum Apoſtolorum

A μαθήσεται, ἢ τίνας διδάξει; ποίων δὲ καὶ ἐπισκοπεύσει; πάντως οὐδέ τινων. διὸ οὐδὲ ἐν δυνάμει μόνῃ ἡ ἱερωσύνη ὑποκρατηθήσεται. ζήτει καὶ τὸν δέκατον κανόνα τοῦ ἁγίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

ΖΩΝΑΡ. Ὁ Εὐστάθιος οὗ μέμνηται ἡ ἐπιστολὴ αὕτη, Ἐπίσκοπος ἦν τῆς Παμφυλίας. Παμφυλία δέ ἐστιν ἡ τῆς Ἀτταλείας ἐπαρχία. ὁ γοῦν ῥηθεὶς ἀνὴρ περιστάσεσιν ἐμπεπτωκὼς, καὶ ἀπαγορεύσας διὰ μικροψυχίαν καὶ ἀπραγμοσύνην, ἐγγράφως παρῃτήσατο τὴν ἐπισκοπήν. κἀκεῖ μὲν ἄλλος
B κεχειροτόνητο, ὁ δὲ Εὐστάθιος, κλαίων προσῆλθε τῇ ἱερᾷ ταύτῃ συνόδῳ, οὐ τὴν πόλιν, οὐ τὴν ἐκκλησίαν ἀνακαλούμενος, οὐδ' ἀμφισβητῶν περὶ αὐτῶν τῷ μετ' αὐτὸν χειροτονηθέντι, ὄνομα δὲ καὶ τιμὴν αἰτῶν Ἐπισκόπου, καλεῖσθαι δηλαδὴ θέλων Ἐπίσκοπος, καὶ τιμὴν ἔχειν ἐν καθέδραις καὶ τοῖς τοιούτοις ἄλλοις Ἐπισκόπου προσήκουσιν. φησὶν οὖν ἡ ἱερὰ σύνοδος, ὅτι συνηλγήσαμεν τῷ πρεσβύτῃ, καὶ κοινὸν ἡγησάμεθα τὸ αὐτοῦ δάκρυον, καὶ ἐζητήσαμεν μαθεῖν, εἰ κανονικῶς καθῃρέθη ὁ ἄνθρωπος, τινῶν ἴσως κατηγορησάντων αὐτοῦ ἐπ' ἀτόποις τισίν. ἐπεὶ δὲ μηδὲν τοιοῦτον ἐπ' αὐτῷ γεγονέναι ἐμάθομεν, παραιτήσασθαι δὲ αὐτὸν τὴν Ἐπισκοπὴν, καὶ διὰ
C τοῦτο αὐτῆς ἐκπεσεῖν δι' ἀπραγμοσύνην, οὐκ ἀκόλουθον ἐλογισάμεθα φιλονεικεῖν τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς, ἤτοι τῇ περὶ τὰ πράγματα ἀνεπιτηδειότητι· δεῖν δὲ μᾶλλον ἐκρίναμεν ἐλεῆσαι τὸν γηραιὸν ἐπὶ χρόνοις πολλοῖς τῆς πατρίδος αὐτοῦ, καὶ πατρῴων ἐνδιαιτημάτων ἐκπεπτωκότα. καὶ ὡρίσαμεν, καὶ δίκαιον ἡγησάμεθα ἔχειν αὐτὸν τὸ ὄνομα τῆς ἐπισκοπῆς καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν, τὸ, ἐντὸς τοῦ θυσιαστηρίου εἰσιέναι δηλαδὴ, καὶ μεταλαμβάνειν, μήτε δὲ ἱερουργεῖν αὐτὸν, μήτε χειροτονεῖν, εἰ μὴ συμπαραληφθείη παρ' ἑτέρου Ἐπισκόπου, ὥστε συλλειτουργῆσαι ἐκείνῳ ἢ συγχειροτονῆσαι, ἢ ἐπιτραπείη τοιοῦτόν τι ποιῆσαι παρὰ τοῦ τῆς ἐνορίας ἐκείνης Ἐπισκόπου. καὶ ἡμεῖς μὲν ταῦτα,
D φησὶν ἡ σύνοδος, δεδώκαμεν αὐτῷ· εἰ δέ τι βούλοισθε χρηστότερον ὑμεῖς ἐπ' αὐτοῦ, ἢ νῦν ἢ μετὰ ταῦτα, ἤγουν εἰ καὶ πλέον τι παράσχοιτε αὐτῷ δίκαιον, ἢ προνόμιον, καὶ τοῦτο ἀρεστὸν ἡμῖν δόξει. ἐκ ταύτης συνοδικῆς οἰκονομίας οἴονταί τινες ἐνδεδόσθαι τοῖς Ἐπισκόποις παραιτεῖσθαι τὰς ἐκκλησίας αὐτῶν, τὴν δὲ ἀρχιερωσύνην περικρατεῖν. οἶμαι δὲ τοὐναντίον μᾶλλον ἐντεῦθεν καταλαμβάνεσθαι, ὅτι πάλαι οἱ τὰς ἐπισκοπὰς παραιτούμενοι, εἴ τε ὡς ἐδέχοντο πάντων ἐξέπιπτον, καὶ οὔτε ἀρχιερατικόν τι δίκαιον μετὰ τὴν παραίτησιν εἶχον, οὔτε Ἐπίσκοποι ὠνομάζοντο· εἰ γὰρ ἦν ἔθος, ὥστε τὸν παραιτησάμενον ἀρχιερατικὰ δί-
E καια ἔχειν, τί δήποτε ὁ Εὐστάθιος μετὰ δακρύων προσῄει τῇ ἱερᾷ συνόδῳ, καὶ ᾐτεῖτο καλεῖσθαι Ἐπίσκοπος, καὶ Ἐπισκόπου ἔχειν τιμήν; καὶ ἡ σύνοδος ἔγραφε περὶ τούτου τῇ κατὰ Παμφυλίαν συνόδῳ; μᾶλλον μὲν οὖν ἀπὸ τῆς ἐπιστολῆς ταύτης, καὶ τὸ ὅλως παραιτεῖσθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπὰς οὐκ ἀνέγκλητον φαίνεται εἶναι, οὐδὲ γίνεσθαι τότε, λεγούσης, ὡς ἀπειρηκὼς πρὸς τὰς φροντίδας ἐκ πολλῆς ἀπραγμοσύνης, παραιτήσεως, οὐκ ἴσμεν ὅπως, προσεκόμισε βιβλίον. ἔδει γὰρ ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα, ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ οὐκ ἀντιαποδύεσθαι τοῖς πόνοις, καὶ ἱδρῶτα τὸν ἔμμισθον ἐθε-
F λοντὶ ὑπομένειν. ὅτι μὲν οὖν οὐκ ἔθος ἦν παραιτήσεις ἐκκλησιῶν γίνεσθαι τότε, ἐμφαίνεται ἀπὸ τοῦ γράψαι τὴν σύνοδον, ὡς οὐκ ἴσμεν ὅπως παραιτήσεως προσεκόμισε βιβλίον. ξενιζομένων γὰρ ἐπὶ τῇ πράξει, καὶ ἀπορούντων ἦν τὸ λέγειν, ὡς οὐκ ἴσμεν ὅπως ἐγένετο τόδε. εἰ δὲ συνήθως ἐγένετο, οὐκ ἂν ἠπορεῖτο. τὸ δὲ ἐπιφέρειν· ἔδει γὰρ ὡς ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα ἔχεσθαι ταύτης, καὶ τὰ ἑξῆς δίδωσιν ἔννοιαν, ὅτι τὸ παραιτεῖσθαι τὰς ἱερατικὰς φροντίδας οὐκ ἐπιτετραμμένον, ἀλλ' ὑποτετραμμένον μᾶλλόν ἐστι καὶ ὑπ' αἰτίασιν. εἰ γὰρ οἱ ἄρτι πρώτως καλούμενοι εἰς ποιμαντικὴν λειτουργίαν λαοῦ εἰ μὴ πείθοιντο τοῖς ψηφιζομένοις αὐτοὺς, ἀφωρισμένοι εἰσὶ, κατὰ

τὸν λϛʹ. κανόνα τῶν ἁγίων ἀποστόλων ἕως ἂν καταδέξωνται, καὶ κατὰ τὸν ιζʹ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, πῶς οἱ χειροτονηθέντες, καὶ τὴν τοῦ λαοῦ προστασίαν καταδεξάμενοι, ἀπραγμόνως δεχθήσονται παραιτούμενοι, καὶ τὸ ἐγχειρισθὲν αὐτοῖς ὑπὸ τῆς θείας χάριτος λειτούργημα ἀπαναινόμενοι, οὐκ ἐπιτιμηθήσονται μᾶλλον, ἀλλὰ καὶ γέρας ἕξουσι τὸ καλεῖσθαι Ἐπίσκοποι, καὶ τυγχάνειν τιμῆς ἀρχιερατικῆς; ὅπερ ἡ ἐν Ἀντιοχείᾳ σύνοδος, ὡς πρεσβεῖον ἀπένειμε τῷ χειροτονηθέντι εἰς παροικίαν, καὶ μὴ δεχθέντι παρὰ τοῦ ἐκεῖσε λαοῦ, οὐ παρ' αἰτίαν οἰκείαν, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ ἀταξίαν, καὶ κακοήθειαν, ὡς ὁ ὀκτωκαιδέκατος αὐτῆς περιέχει κανών. καὶ ἡ γραφὴ δὲ τῆς ῥηθείσης ἐπιστολῆς δείκνυσιν, ὡς οἰκονομία τὸ πᾶν ἦν διὰ τὴν μικροψυχίαν τοῦ Εὐσταθίου, καὶ τὸ τῆς λύπης σφοδρόν. περιέχει γάρ, ὡς ἐπειδὴ προσῆλθε κλαίων, καὶ ἐξαιτῶν τόδε καὶ τόδε, συνηλγήσαμεν ἅπαντες τῷ πρεσβύτῃ, καὶ κοινὸν ἐλογισάμεθα τὸ αὐτοῦ δάκρυον. καὶ μετά τινα, ἐπεὶ δὲ τῇ ἀπραγμοσύνῃ τοῦ ἀνδρὸς οὐ σφόδρα φιλονεικεῖν ἀκόλουθον. ἔδει δὲ μᾶλλον ἐλεῆσαι πρεσβύτην καὶ τὰ ἑξῆς. ἐκ τούτων οὖν ἐμφαίνεται, ὅτι τὰ δάκρυα καὶ τὸ βαθὺ γῆρας δυσωπηθέντες τοῦ ἀνδρὸς ἐκείνου, καὶ μή τι αὐτῷ συμβαίη εὐλαβηθέντες ἐκ τῆς ἀμέτρου λύπης ᾠκονόμησαν ὅσα καὶ ᾠκονόμησαν, ἀλλ' οὐχ' ὡς τυποῦντες ταῦτα, καὶ οὕτω γίνεσθαι, καὶ εἰς τὸ ἑξῆς διατατόμενοι. ᾔδεισαν γὰρ τοὺς κανόνας πάντως, καὶ οὐκ ἂν ἐναντία τοῖς ἀποστολικοῖς κανόσι, καὶ τοῖς τῶν πρὸ αὐτῶν ἁγίων πατέρων ὥριζον διατάγμασι, τὸ παραιτεῖσθαι τοῖς βουλομένοις ἐνεδίδουν, καὶ προνομιῶν ἀρχιερατικῶν ἀπολαύειν, καὶ μετὰ τὴν παραίτησιν. πῶς γὰρ ἔμελλον τοῦτο ποιῆσαι οἱ φρονοῦντες ὅτι τὸν ἅπαξ ἐγκεχειρισμένον ἱερατικὴν φροντίδα χρὴ ταύτης ἔχεσθαι μετ' εὐρωστίας πνευματικῆς, καὶ ὅσα ἐπήγαγον ἐφεξῆς; ὅτι δὲ τὸ σύμπαν τοῖς δάκρυσι τοῦ πρεσβύτου ἐκείνου κατακλασθέντες ἐποίησαν, δηλοῦται καὶ ἐκ πολλῶν ἄλλων ῥημάτων τῆς ἐπιστολῆς, καὶ ἐκ τοῦ γράψαι· εἰ δέ τι βουλεύσεσθε χρηστότερον ἐπ' αὐτῷ, ἀρέσει καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ. τοσοῦτον γὰρ τὸν ἄνδρα ἠλέησαν τοῖς ἐκείνου καμφθέντες δάκρυσι καὶ τῇ συμφορᾷ, ὡς καὶ τοὺς ἄλλους παραθήγειν εἰς ἔλεον ἐκείνου, καὶ παρακαλεῖν εἰς συμπάθειαν. εἰ δὲ ὡς κανόνα τὴν συνοδικὴν ταύτην ἐπιστολὴν δέχονται, καὶ οὐχ' ὡς οἰκονομίαν ἐπ' ἐκείνῳ γενομένην τῷ Εὐσταθίῳ, τί μὴ καὶ τοῖς παραιτησαμένοις τὰς ἑαυτῶν ἐκκλησίας, καὶ τὴν ἀρχιερωσύνην αὐτὴν εἰς αὖθις προσιοῦσι καὶ προσκλαίουσι διδόασιν ὄνομά τε ἐπισκοπῆς καὶ ἀρχιερατικὰ δίκαια καὶ τιμήν. ἐκεῖνος γὰρ ἄπαντα καθάπαξ παραιτησάμενος φαίνεται, καὶ πάντων ἐκπεπτωκώς, ἐκ τοῦ λέγειν τοὺς τῆς συνόδου, ὅτι ἐζητοῦμεν μαθεῖν, εἰ καθαίρεσιν ἔννομον ὑπομεμένηκεν, ἤγουν ἐπί τισι τῶν ἀτόπων ἐληλεγμένων· καὶ δὴ ἐμάθομεν τοιοῦτον μὲν οὐδὲν πεπρᾶχθαι, γενέσθαι δὲ μᾶλλον τῷ Εὐσταθίῳ ἀντὶ ἐγκλήματος τὴν παραίτησιν. ὥσπερ οὖν εἰ ἐπ' ἀτόπῳ τινὶ ἑάλω, οὕτως ἦν ἁπάντων τῶν τῆς ἐπισκοπῆς δικαίων ἐκπεπτωκὼς ἐκ τῆς παραιτήσεως, καὶ καθῃρῆσθαι αὐτῇ δοκεῖν. ἀλλ' ὅμως ἡ σύνοδος τοῖς ἐκείνου δάκρυσιν ἐπικαμφθεῖσα ἐψηφίσατο, ὅσα τῇ ἐπιστολῇ περιέχονται. τοῖς γοῦν ὡς κανόνα καὶ τύπον δεχομένοις αὐτήν, οὐδὲ τοὺς παραιτησομένους τήν τε τῶν πραγμάτων διοίκησιν, καὶ τὴν ἀρχιερωσύνην αὐτὴν διαιρουμένας κατ' ἐκείνους αὖθις προσίεσθαι καινόν τι δόξει, καὶ ψηφίζεσθαι σφίσι κλῆσιν Ἐπισκόπου ἱερουργίαν τε καὶ τιμήν. οὐκ εὐστόχως οὖν τῆς διανοίας τῶν σεπτῶν ἐκείνων πατέρων καταστοχάζονται οἱ ὡς κανόνι χρώμενοι τῇ ἐπιστολῇ ταύτῃ, καὶ ἐνδιδόναι ἐξ αὐτῆς νομίζοντες παραιτεῖσθαι τοὺς Ἐπισκόπους τὰς ἐκκλησίας αὐτῶν, τὴν δ' ἀρχιερωσύνην παρακατέχειν. οἱ γὰρ τοῦτο διδόντες, καὶ κανόνι ἑτέρῳ ἐναντιοῦνται. ἡ γὰρ ἐν Χαλκηδόνι σύνοδος τῶν ἑξακοσίων τριάκοντα ἁγίων πατέρων ἐν ἑκτῷ κανόνι,

A trigeſimum ſextum, & Antiochenæ ſynodi decimum ſeptimum canonem, quoad recuſandi finem facerent, ſegregentur; quomodo ii, qui ordinantur, & populi curam ſuſceperunt, ei renunciantes, & oblatum ſibi divina gratia miniſterium repudiantes, facile admittentur, & non pœna potiùs afficientur; ſed & præmium, Epiſcopi ſcilicet nomen & honorem, habebunt? Nam ea quidem præmii loco homini, qui à parœcia, in quam deſtinatus fuerat, non ſuo vitio, ſed impotenti multitudinis depravatæ licentia excluderetur, ut ejuſdem ſynodi decimo octavo Canone videre eſt, Antiochena ſynodus attribuit. Quinetiam ob B demiſſum Euſtathii animum & dolore confectum diſpenſationem illam omnino conceſſam fuiſſe ipſiuſmet epiſtolæ contextus oſtendit. Sic enim habet: [Quoniam multis cum lacrymis in ſynodum venit, hoc atque illud poſtulans, doluimus, inquiunt, ſenis vicem, communeſque illius lacrymas duximus.] Et paulo poſt. [Sed quoniam viro non nimis ſuccenſere conſentaneum eſt quòd ſit negotiorum fugitantior, ſed ſenis potiùs miſereri oportet, & quæ ſequuntur.] Quibus ex verbis apparet, reverentia quadam Euſtathii lacrymarum, & pœnè jam præcipitatæ ſenectutis adductos, ac ne quid homini ex nimio dolore gravius accideret veritos, ea Patres de illius honoribus C decreviſſe, non ut exemplum in eo homine conſtituerent, aut legem poſteris præſcriberent. Nec enim illi ſanctiones Canonicas ignorabant, aut contraria Apoſtolorum Patrúmque priorum conſtitutionibus decreta ſancire mens erat: neque Epiſcopatus abjiciendi, eóque etiam dimiſſo Epiſcoporum prærogativis fruendi, cuilibet homini facultatem eſſe voluerunt. Quo pacto namque id velle potuiſſent, qui impoſitum Epiſcopalis curæ onus ſpirituali animi firmitate ſuſtinendum eſſe, & quæ deinceps addidere, perſuaſum haberent? Porro ſenis lacrymis inflexos ad miſericordiam Patres decretum hoc edidiſſe, cum ex aliis multis Epiſtolæ verbis, tum ex his, quæ D ſequuntur, facile apparet; Quod ſi vos, inquiunt mitius aliquid de hoc homine ſtatueritis, id quoque ſancta ſynodus gratum, acceptúmque habebit. Tanta enim Patrum animos, ejus hominis lacrymis & calamitate emollitos, miſeratio ceperat, ut alios quoq; ad miſericordiam illi tribuendam ipſimet incitarent, & ad ejus commiſerationem provocarent. Quod ſi hanc Synod. Epiſt. Canonis vim habere, & non in ea ſolius Euſtathii cauſam agi putant; quidni iis etiam, qui eccleſiarum ſuarum curam, & ſacerdotii quoque Epiſcopalis dignitatem depoſuerunt, ſi poſtea iterum accedant & lacrymas fundant, Epiſcopi nomen ac Epiſcopalia jura honorémque concedi putant oportere? E Illum namque ſe omnibus uno tempore abdicaſſe, omnibúſque ſimul excidiſſe, ſynodi verba illa indicant. Quæſivimus, inquiunt, an legitima depoſitione mulctatus, hoc eſt, an alicujus flagitii convictus foret Euſtathius; nec tale quidquam didicimus contigiſſe, ſed ipſam potiùs renunciationem illi pro crimine fuiſſe: qui tamen eo nomine, quaſi manifeſti ſceleris reus teneretur, ita omni Epiſcopali jure ex renunciatione penitus exciderat, ut depoſitionis veram ſpeciem ea animadverſio præ ſe ferre omnino exiſtimaretur, niſi ſynodus quæcunque hac Epiſtola continentur, ejuſdem commota lacrymis decreviſſet. Quam quidem qui Canonis & exempli vim obtinere contendunt, mirum iis non videbitur, aut novum, eos qui F ſe negotiorum adminiſtrationi ſubtraxerint, & ſummi ſacerdotii dignitate (quæ duo ex iſtorum ſententia diviſa ſunt) abdicarint, rurſus admitti, iiſque Epiſcopi nomen ac honores, cum ſacrorum procuratione decerni. Sed reverendorum illorum Patrum mentem profectò non aſſequuntur, qui huic Epiſtolæ Canonis auctoritatem tribuunt, ac per eam Epiſcopis Eccleſias ſuas, ſummi ſacerdotii retenta dignitate, dimittendi poteſtatem factam fuiſſe arbitrantur. Et verò Canonis alterius auctoritati, qui ita ſentiunt, haud dubie adverſantur. Nam in ſynodo Chalcedonenſi, cui ſexcenti triginta interfuere Patres, ne quem

Presbyterum, aut diaconum abſolutè ordinari aut aliquem omnino clero adſcribi liceat, niſi certæ Eccleſiæ urbis aut pagi, aut martyrio, aut monaſterio nominatim addictum, ſexto Canone conſtituitur. Quicunque vero abſolute ordinati ſunt, irritam eſſe talem ordinationem, & functiones ordinum exercendi poteſtatem nequaquam habere, in ejus qui contulit contumeliam, decernitur. Quòd ſi quorum longe inferior eſt dignitas, eos non niſi certo loco addictos ordinibus inſigniri, nec inſignitos, functiones ordinum, quos ſuſceperunt, exercere fas eſt, tantumque in re facinoris ineſſe Patres ſtatuerunt, ut illum ipſum, qui ordines contuliſſet, afficiendum contumelia eſſe judicarent; cujus longe major, vel ampliſſima potius ex omnibus eſt honoris majeſtas, eum nullo certo loco addictum, nulli propriè ſedi deſtinatum eſſe Epiſcopum licebit? Epiſcopique nomen ac ſummi ſacerdotii jura nihilominus retinebit? At vero, quicunque Epiſcopus renunciatur, civitati cuipiam nominatim præficitur, ac illius Epiſcopus appellari ſolet. Quicunque igitur civitatem, cui præfectus erat, reliquit, ac in eo ſacrorum procurationem, gregiſque ſibi à ſummo ſacerdote commendati curam deſeruit, quid habebit amplius ex quo Epiſcopi nomen obtinere merito debeat? Quorum ille namque ſpeculator, aut cuſtos? Ipſum enim nomen actionem, exercitationemque ſignificat. Qui vero actionem defugit nomine quoque ſpoliatur. Porro in quem Epiſcopi nomen haud cadit, quo jure is ſacerdotii dignitate retenta, ſacri magiſtratus prærogativis ac honore perfruetur? Quomodo verò hierarcha nominabitur, qui nec ullum ſubjectum ſibi clerum habet, nec ulla in ſacris initiatos homines auctoritate præditus eſt? At cui hierarchæ appellatio verè non convenit nec actio convenit: qui enim communione nominis excluditur, re ipſa multo magis careat neceſſe eſt. Reliquum igitur ut nemo Epiſcopatûs ſibi impoſitum munus accipiens, ei renunciet, niſi ſe ſacerdotio indignum fateatur. Si quis vero conceſſerit eum qui renunciat, omnino non Canonice illud ſuſcepiſſe, omni ſacri muneris dignitate, ſummique ſacerdotii prærogativis unà cum renunciatione ipſe renuncians excidet. Renunciationes autem non admittendas eſſe vel ex tertio Sancti Cyrilli ad Domnum epiſtolæ capite liquidò apparet; dicente, Jam aliter res ſe habet, ab Eccleſiaſticis ſanè inſtitutis aliena, Libellos ſcilicet renunciationum proferre quoſdam ex altaris miniſtris, & cætera. Vide præterea quæ in Canonem decimum ſancti martyris Petri Alexandrini Archiepiſcopi ſcripſimus.

ARIST. *Euſtathius cùm fortiter debuit reſiſtere (hoc enim omnis debet Epiſcopus) terga dans leviter refugit. Theodorus in ejus locum ordinatus eſt. Ille vero lachrymas effundens & pudore confuſus honorem repetit. Qui alium illius loco ordinavit, inſors eſt, cum detrectationem ejus pro crimine habeat.*

Euſtathius hic Epiſcopus cum litium erat fugitans & eccleſiæ negotia ſuſtinere non potuit, nec curis eum invadentibus reſiſtere nec eas depellere, negotiorum adminiſtrationi renunciavit, & ejus loco alius ordinatus fuit. Poſtea ad Epheſinam acceſſit ſynodum, epiſcopatum rursùs repetens. Et quamvis non exauditus fuit, cùm ſemel eum abdicaſſet, & alius ejus loco fuiſſet ordinatus: Epiſcopalem tamen honorem habere quæritans, & communionem, & ſine omni contradictione in eâ confirmatus fuit, ut ipſe nominaretur Epiſcopus, & honoris cathedræque particeps eſſet, & ſacra perageret, non ex propriâ auctoritate, ſed quando ſecundum affectionem & in Chriſto charitatem à fratre & coepiſcopo permitteretur. Sympathiæ autem ratione ducti patres hujuſce ſynodi, ſynodo Pamphyliæ, in quâ ſacra celebravit Euſtathius, propoſuerunt, benignius aliquid de eo ſtatuere, aut nunc aut poſtea; hoc autem erat, ut vel in vacantem eccleſiam deſignarent, vel aliter eum manu ducerent.

A μηδένα ἀπολελυμένως χειροτονεῖσθαι τεθέσπικε, μὴ πρεσβύτερον, μὴ διάκονον, μήτε τινὰ ὅλως τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι, εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης, ἢ μαρτυρείῳ, ἢ μοναστηρίῳ ὁ χειροτονούμενος ἐπικηρύττοιτο, τοὺς δὲ ἀπολύτως χειροτονουμένους ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν ἐφ' ὕβρει τοῦ χειροτονήσαντος. ἐπεὶ τοίνυν οἱ ἥττονος ὄντες βαθμοῦ ἀπολύτως χειροτονεῖσθαι οὐ συγχωροῦνται, ἀλλὰ κἂν χειροτονηθῶσιν, ἀνενέργητοι μένουσι, καὶ τοσοῦτον τὸ πρᾶγμα ἔδοξεν ἀποτρόπαιον, ὡς καὶ τὸν χειροτονήσαντα κρίνεσθαι ὕβρεως ἄξιον, πῶς ὁ μείζονος ἀξίας, μᾶλλον B δὲ τῆς ὑπερτέρας πασῶν ἀπολύτως, καὶ ἀνωνύμως, Ἐπίσκοπος ἔσεται; καὶ κληθήσεται, καὶ ἀξιωθήσεται δικαίων ἀρχιερατικῶν; πᾶς γὰρ ἀρχιερεὺς χειροτονούμενος πόλει τινὶ ἐπικηρύττεται, κἀκείνης Ἐπίσκοπος ὀνομάζεται. ὁ γοῦν τὴν πόλιν ἐφ' ᾗ ἐπεκηρύχθη, λιπὼν, καὶ παραιτησάμενος τὸ ἐν αὐτῇ ἱερᾶσθαι, καὶ ἐπισκοπεῖν τὸ ἐν ἐκείνῃ τοῦ μεγάλου ἀρχιποιμένος ποίμνιον, πῶς Ἐπίσκοπος κληθήσεται τοῦ λοιποῦ τινας ἐπισκοπῶν; τὸ γὰρ ὄνομα τούτου πράγματός ἐστι, καὶ ἐνεργείας δηλωτικόν· ὁ δ' ἀποσεισάμενος τὴν ἐνέργειαν ἐκπέπτωκε καὶ τῆς κλήσεως. Ἐπίσκοπος δὲ καλεῖσθαι μὴ πεφυκὼς, τίνι δικαίῳ C τῆς ἱερωσύνης διαδέξεται, καὶ ἀρχιερατικοῦ προνομίου, καὶ τιμῆς ἀπολαύσεται; πῶς δὲ καὶ ἱεράρχης ὀνομασθήσεται ὁ μὴ κλῆρον ὑφ' ἑαυτὸν ἔχων, οὐδ' ἄρχων ἱερωμένων; ᾧ δὲ μὴ πρόσεστι πρὸς ἀλήθειαν τῆς ἱεραρχίας τὸ ὄνομα, οὐ δὴ ἐνέργεια πρόσεστιν. ὁ γὰρ τοῦ ὀνόματος μὴ μετέχων, μᾶλλον οὐκ ἂν μεθέξει τοῦ πράγματος. λοιπὸν οὖν οὐδεὶς τὸ αὐτῷ ἐπιτεθὲν λειτούργημα τῆς ἐπισκοπῆς δεχθήσεται παραιτούμενος, εἰ μὴ ἀνάξιον ἑαυτὸν τῆς ἱερωσύνης ὁμολογεῖ. εἰ δέ τις δώσει, πάντως δὲ οὐ κανονικῶς δεχθῆναι τὸν παραιτούμενον, πάσης ἀξίας ἱερατικῆς καὶ παντὸς δικαίου τῆς ἀρχιερωσύνης ἅμα τῇ παραιτήσει D ἐκπεσεῖται ὁ παραιτούμενος. ὅτι δὲ παραιτήσεις οὐ χρὴ δέχεσθαι, καὶ ἐκ τοῦ τρίτου κεφαλαίου τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου φανερῶς ἀποδείκνυται, λέγοντος· καὶ ἑτέρως δὲ πρᾶγμά ἐστιν ἔτι τοῖς τῆς ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεων προσάγειν τινὰς τῶν ἱερουργῶν, καὶ τὰ ἑξῆς. ζήτει καὶ τὰ γραφέντα εἰς τὸν δέκατον κανόνα τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

ΑΡΙΣΤ. Ἀντέχειν ὀφείλων Εὐστάθιος καρτερῶς· [τοῦτο γὰρ ἅπας Ἐπίσκοπος] νῶτα δοὺς, ἀνωφελῶς παρῃτήσατο· E Θεόδωρος ἀντὶ τούτου κεχειροτόνηται· ὁ δὲ, κλαίων καὶ δυσωπῶν, τὴν τιμὴν αἰτεῖ· ὁ ἀντ' ἐκείνου χειροτονήσας ἀνεύθυνος, ἔχων δηλαδὴ τὴν ἐκείνου παραίτησιν ἀντ' ἐγκλήματος.

Ὁ Ἐπίσκοπος οὗτος Εὐστάθιος ἀπράγμων ὢν, καὶ μὴ δυνάμενος τῶν τῆς ἐκκλησίας πραγμάτων ἀντέχεσθαι, καὶ πρὸς τὰς ἐπερχομένας αὐτῷ φροντίδας ἀνθίστασθαι, καὶ διαχρᾶσθαι ταύτας· παρῃτήσατο τὴν τῶν πραγμάτων διοίκησιν· καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ἕτερος. εἶτα τῇ ἐν Ἐφέσῳ συνόδῳ προσῆλθε, αὖ τὴν Ἐπισκοπὴν ἀνακαλούμενος· εἰ γὰρ ἂν, οὐκ εἰσηκούσθη, ἅπαξ ταύτην παραιτησάμενος, καὶ ἀντ' αὐτοῦ ἑτέρου χειροτονη- F θέντος· ἀλλὰ τὴν ἐπισκοπικὴν τιμὴν ζητῶν ἔχειν, καὶ τὴν κοινωνίαν· καὶ ἐδικαιώθη ἐπ' αὐτῇ, χωρὶς πάσης ἀντιλογίας, ὥστε Ἐπίσκοπον αὐτὸν ὀνομάζεσθαι, καὶ τῆς τιμῆς, καὶ τῆς καθέδρας μετέχειν, καὶ ἱερουργεῖν, οὐκ ἐξ ἰδίας αὐθεντίας· ἀλλ' ὁπότε παρ' ἀδελφοῦ καὶ συνεπισκόπου ἐπιτραπῇ, κατὰ διάθεσιν καὶ ἀγάπην τὴν ἐν Χριστῷ. κατὰ Συμπαθῆ δὲ λόγον οἱ τῆς συνόδου ταύτης πατέρες ὑπέθεντο τῇ ἐν Παμφυλίᾳ συνόδῳ, εἰς ἣν ἐτέλει καὶ ὁ Εὐστάθιος, χρηστότερόν τι περὶ αὐτοῦ βουλεύσασθαι, ἢ νῦν, ἢ μετέπειτα· τὸ δὲ ἦν, ἢ εἰς ἐκκλησίαν σχολάζουσαν προχειρίσασθαι· ἢ ἄλλως χειραγωγῆσαι αὐτόν.

ΚΑΝΟΝΕΣ

A

ΚΑΝΟΝΕΣ λ'.

Τῆς ἁγίας τετάρτης καὶ Οἰκουμενικῆς Συνόδου τῆς ἐν Χαλκηδόνι.

ΖΩΝΑΡ. καὶ ΒΑΛΣ. Ἡ Ἁγία τετάρτη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν τοῖς χρόνοις τῆς βασιλείας Μαρκιανοῦ ἑξακοσίων τριάκοντα ἁγίων πατέρων συναθροισθέντων ἐν Χαλκηδόνι κατὰ Διοσκόρου τοῦ περιωνύμου προεστῶτος Ἀλεξανδρείας, καὶ Εὐτυχοῦς ἀρχιμανδρίτου Κωνσταντινουπόλεως, οἳ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμοούσιον μὲν τῷ πατρὶ ὡμολόγουν, περὶ δὲ τὴν ἐνανθρώπησιν ἐβλασφήμουν, καὶ φεύγοντες τὴν τοῦ Νεστορίου διαίρεσιν, δύο υἱοὺς εἰσάγοντος, εἰς ἄλλο κακὸν ἐκ διαμέτρου ἐνέπιπτον. τὰς γὰρ δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος μετὰ τὴν ἕνωσιν συγκραθῆναι, καὶ εἰς μίαν ἀποτελεσθῆναι φύσιν ἀσεβῶς ἐδογμάτιζον, ὡς καὶ τῇ θεότητι προσαρμόζειν τὰ πάθη. ἀλλὰ καὶ τὴν σάρκα οὐχ ὁμοούσιον ἡμῖν ἀνειληφέναι τὸν κύριον ἔλεγον, οὐδὲ ἐκ τῶν παρθενικῶν αἱμάτων συμπαγεῖσαν, ἀλλὰ καὶ ἀῤῥήτως πως καὶ θειοτέρως σεσαρκῶσθαι αὐτὸν ἀνέπλαττον, καὶ ἄλλα δὲ ἐφλυάρουν, οὓς καθεῖλε, καὶ ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος αὕτη, τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δογματίσασα, ἐν δύο φύσεσιν ἀδιαιρέτως καὶ ἀσυγχύτως. ἐξέθετο δὲ καὶ κανόνας τοὺς ὑποτεταγμένους.

ΚΑΝΩΝ α'.

Τοὺς παρὰ τῶν ἁγίων πατέρων καθ' ἑκάστην σύνοδον ἄχρι τοῦ νῦν ἐκτεθέντας κανόνας κρατεῖν ἐδικαιώσαμεν.

ΒΑΛΣ. Ἐδικαίωσαν οἱ πατέρες, ἀντὶ τοῦ δίκαιον εἶναι ἔκριναν, κρατεῖν τοὺς πρὸ τῆς δ'. συνόδου ἐκτεθέντας κανόνας ὑπὸ τῶν πρὸ αὐτῶν ἁγίων πατέρων. καὶ μὴ εἴπῃς, πῶς οὐκ ἐμνήσθη ὁ κανὼν τοπικῶν συνόδων καὶ Οἰκουμενικῶν; ἀπὸ γὰρ τοῦ κυρωθῆναι τοὺς παρὰ τῶν ἁγίων πατέρων καθ' ἑκάστην σύνοδον μέχρι τοῦ τότε καιροῦ συντεθέντας κανόνας, στηρίζονται πασῶν τῶν συνόδων τὰ θεσπίσματα.

ΖΩΝΑΡ. Καὶ αἱ οἰκουμενικαὶ σύνοδοι καὶ αἱ τοπικαὶ αἱ πρὸ ταύτης τῆς ἁγίας συνόδου γενόμεναι κανόνας ἐξέθεντο, τοὺς μὲν εἰς δόγματα συντελοῦντας ἀκρίβειαν, τοὺς δὲ εἰς ἐκκλησιαστικὴν ἀφορῶντας κατάστασιν, καὶ τὰς ἐκκλησίας ῥυθμίζοντας. ἅπαντας οὖν ἐκείνους οἱ ἐν ταύτῃ τῇ συνόδῳ συναθροισθέντες ἅγιοι πατέρες ἐπεκύρωσαν διὰ τοῦ παρόντος κανόνος, καὶ κρατεῖν ἐδικαίωσαν, ἀντὶ τοῦ δίκαιον ἔκριναν καὶ ἡγήσαντο.

ΑΡΙΣΤ. Οἱ τῶν ἁγίων πατέρων ἑκάστης συνόδου κανόνες κρατείτωσαν.

CANONES XXX.

Sanctæ & Occumenicæ quartæ Synodi Chalcedonenſis.

B **Zonar. & Bals.** SAncta & œcumenica quarta Synodus Marciano imperante celebrata fuit, ſexcentis triginta Patribus, adverſus Dioſcorum, in Alexandrina inclyta urbe Præfectum, & Conſtantinopoleos Archimandritam (ſeu cænobii præfectum) Euthychetem, coactis; qui Chriſtum dominum Patri conſubſtantialem cum faterentur, de incarnationis tamen myſterio nefariè loquebantur, dúmque Neſtorii Chriſtum diſſecantis, duóſque filios conſtituentis errorem declinant, in aliud malum huic ex diverſo oppoſitum ſunt delapſi. Vtramque ſcilicet, Dei naturam & hominis, poſtquam ſibi invicem copulatæ, atque connexæ fuerunt, ita per- C mixtas eſſe, atque inter ſe penitus in unam naturam coaluiſſe impiè aſſerebant, ut divinitatem quoque affectionibus & perturbationibus obnoxiam conſtituere minime vererentur. Corpus quoque, non ejuſdem cum humanis corporibus naturæ, nec ex virgineis concretum ſanguinibus ſuſcepiſſe Dominum, ſed inexplicabili quadam & diviniore prorſus ratione, incarnatum illum eſſe ſomniabant; aliáque deblaterabant hujuſmodi, proindéque à ſancta ſynodo depoſiti atque anathemate percuſſi ſunt: Eadem ſynodus Deum, hominémque perfectum in duabus indiviſis impermixtiſq; naturis Chriſtum Dominum eſſe definivit. Et verò ſubjectos quoque Canones edidit.

D

Canon I.

Qui à ſanctis patribus in unaquaque ſynodo hucuſque expoſiti ſunt, obſervari Canones æquum cenſuimus.

Bals. Ἐδικαίωσαν (i.e.) juſtum cenſuerunt patres, ut qui à ſanctis patribus, qui eos præceſſerunt, ante quartam ſynodum editi ſunt Canones, obſerventur, & vires ſuas obtineant: Nec dixeris: Quomodo non meminit Canon provincialium & œcumenicarum ſynodorum? Ex eo enim quòd confirmentur, qui à ſanctis patribus in unaquaque E ſynodo ad id uſque tempus compoſiti ſunt Canones, omnium ſynodorum decreta firma ac ſtabilia redduntur.

Zonar. Multa, fidei dogmatibus ſtabiliendis, & Eccleſiaſticæ diſciplinæ, moribúſque ſanciendis, œcumenici, provincialéſque ante ſanctam hanc Synodum celebrati conventus, promulgatis Canonibus decrevere. Ea igitur omnia decreta Patres ſancti in hâc ſynodo congregati hoc Canone confirmarunt, & obtinere judicarunt, hoc eſt, juſtum ſenſerunt, & exiſtimarunt.

F

Arist. *Canones cujuſque ſynodi ſanctorum Patrum obſerventur.*

CANON II.

Si quis Episcopus propter pecunias ordinationem fecerit, & non venalem gratiam in venditionem deduxerit, & propter pecunias ordinaverit Episcopum, vel Chorepiscopum, vel Presbyterum, vel aliquem eorum qui in Clero annumerantur, vel propter pecunias promoverit œconomum vel Defensorem, vel Paramonarium (seu Monasterii Administrum,) vel omnino aliquem ex Canone, turpis quæstus gratiâ: qui hoc tentasse convictus fuerit, de proprio gradu in periculum veniat: & qui est ordinatus, ex ordinatione vel promotione quæ instar mercatorum venundatur, nihil juvetur: sed sit à dignitate vel curatione, quam pecuniis adeptus est, alienus. Si quis autem adeò turpibus & nefariis lucris intercessor apparuerit, hic quoque, si sit quidem Clericus, proprio gradu excidat: sin verò Laicus sit vel Monachus, anathematizetur.

BALS. Xxix. Canon Sanctorum Apostolorum & xxx. & alii, eos valde puniunt & qui ordinant, & qui propter pecunias ordinantur. Hic vero præsens Canon decernit, non solùm eos deponendos, sed eos etiam qui characterem sic tribuunt, eósque quibus datur: præterea autem, & eos qui sic promovent, vel etiam promovebuntur. Episcopi enim, Chorepiscopi, Presbyteri, Diaconi, Subdiaconi ordinantur; Cantores, Lectores, Præsides, & alii, charactere designantur; Oeconomi autem, Chartularii, Paramonarii (seu monasteriorum Administri) & alii promoventur. Et hoc ex præsenti Canone apparet, qui dicit; Ex ordinatione vel promotione, quæ instar mercatorum venundatur, nihil juvetur. Ordinationis enim nomine etiam characteris impressio comprehenditur, ut per manum facta: sed non itidem promotio. Ipsa enim etiam sine characteris datione perficitur. Apparet autem hoc etiam ex eo quod dicit Canon: Sed sit alienus à dignitate vel curatione, quam pecuniis assecutus est. Non hos autem solos punit, ut dictum est; sed eos etiam, qui intercessores fuerint, si sint Laici vel Monachi, anathematizat. Nota quod dicitur de Paramonario & Oeconomo. De Chorepiscopis autem quære synodi, quæ fuit Neocæsareæ, Can. xiii.

ZONAR. Pluribus aliis Apostolorum synodorúmque decretis, pretio redempta, aut principum virorum auctoritate extorta ordinum collatio prohibetur. Idem hoc Canone, fusiùs tamen explicata constitutione, decernitur. In eo siquidem, & quibus ordines conferri, & quicunque promoveri possunt, enumerantur. Nam alii quidem, quo in numero Episcopi, Presbyteri, Diaconi, & Hypodiaconi sunt, ordinantur: nonnulli, ut Lectores, Cantores, ac hujusmodi alii, (quod ipsum non sine manuum impositione contingit) solo charactere signantur, alii demum, ut Oeconomi, Defensores, Paramonariique (seu Monasteriorum Administri) promoventur. Ne quem igitur ex his omnibus mercede interposita creari liceat, hoc Canone constitutum, quique non venalem Spiritus sancti gratiam, inæstimabilem videlicet, venditioni non subjectam ob superexcellentem & incomparabilem ejus naturam vendere (hoc enim est in venditionem deducere) deprehensi fuerint, in periculum de suo gradu venire, hoc est, eo moveri ac deponi jubentur. Atque hæc quidem in eos, qui, vel ordinibus conferendis, vel alicui ad ea munera, quæ in Canone recensentur, eligendo, ac omnino Ecclesiasticæ militiæ adscribendo, mercenariam operam locavere, statuuntur. Qui vero eosdem ordines promotionesve sunt emercati, nihil eos ex hac sacrorum nundinatione, sordidáque negotiatione juvari decretum est. Si namque Ecclesiastici ordinis homines mercenariam operam quomodocunque alteri locare, profanave negotia turpi lucro inhiantes tractare sacris constitutionibus vetitum

ΚΑΝΩΝ βʹ.

Εἴ τις Ἐπίσκοπος, ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασι Ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν κλήρῳ κατηριθμημένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν· ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανῇ τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασιν, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μονάζων, ἀναθεματιζέσθω.

ΒΑΛΣ. Ὁ κθʹ. κανὼν τῶν ἁγίων ἀποστόλων καὶ ὁ λʹ. καὶ ἕτεροι μεγάλως τιμωροῦσι τοὺς διὰ χρημάτων χειροτονοῦντάς τε καὶ χειροτονουμένους. ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ μόνον τούτους καθαιρεῖσθαι, ἀλλὰ καὶ τοὺς οὕτω σφραγίζοντας ἢ σφραγιζομένους, πρὸς δὲ, καὶ τοὺς οὕτω προβιβαζομένους, ἢ προβληθησομένους. οἱ μὲν γὰρ Ἐπίσκοποι, οἱ χωρεπίσκοποι, οἱ πρεσβύτεροι, οἱ διάκονοι, καὶ οἱ ὑποδιάκονοι, χειροτονοῦνται, οἱ ψάλται, οἱ ἀναγνῶσται, οἱ ἄρχοντες καὶ ἕτεροι σφραγίζονται, οἱ δὲ οἰκονόμοι, οἱ χαρτουλάριοι, οἱ παραμονάριοι, καὶ ἕτεροι προβάλλονται. καὶ τοῦτο παρίσταται ἀπὸ τοῦ παρόντος κανόνος, λέγοντος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελεῖσθαι χειροτονίας ἢ προβολῆς. τῷ γὰρ ὀνόματι τῆς χειροτονίας καὶ ἡ σφραγὶς περιέχεται, ὡς διὰ χειρὸς γινομένη, οὐ μὴν καὶ ἡ προβολή. αὕτη γὰρ καὶ δίχα σφραγῖδος τελεῖται. ἀναφαίνεται δὲ τοῦτο καὶ ἐκ τοῦ εἰπεῖν τὸν κανόνα, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗ ἐπὶ χρήμασιν ἔτυχεν. οὐ μόνους δὲ τούτους κολάζει, ὡς εἴρηται, ἀλλὰ καὶ τοὺς μεσάζοντας μοναχοὺς ἢ λαϊκοὺς ὄντας ἀναθεματίζει. σημείωσαι δὲ τοῦ παραμοναρίου καὶ τοῦ οἰκονόμου. περὶ δὲ χωρεπισκόπου ζήτει τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου κανόνα ιγʹ.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων ἀποστόλων, καὶ Συνόδων ἄλλων κανόνες εἰσὶ διάφοροι περὶ τοῦ μὴ χειροτονεῖσθαί τινας ἐπὶ δόσει χρημάτων, μήτε μὴν διὰ προστασίας ἀρχοντικῆς· ὁ δὲ παρὼν κανὼν οὗτος πλατύτερον τὰ περὶ τούτου διατάττεται, καὶ ἀπαριθμεῖ τοὺς χειροτονουμένους, καὶ τοὺς προβαλλομένους. οἱ μὲν γὰρ χειροτονοῦνται ὡς Ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι· οἱ δὲ σφραγίζονται μόνον, καὶ τοῦτο δὲ χειροθεσίας ἐστὶν, ὡς ἀναγνῶσται καὶ ψάλται, καὶ οἱ τούτοις ὅμοιοι· οἱ δὲ προβάλλονται, ὡς οἰκονόμοι καὶ ἔκδικοι καὶ παραμονάριοι. πάντας οὖν τούτους ἀπαγορεύει ὁ κανὼν οὗτος ἐπὶ δόσει χρημάτων γίνεσθαι, καὶ τοὺς τὴν ἄπρατον χάριν τοῦ ἁγίου πνεύματος, τὴν ἀτίμητον δηλαδὴ τὴν πράσει μὴ ὑποπίπτουσαν, διὰ τὸ ὑπερφυὲς αὐτῆς καὶ ὑπέρτιμον πωλοῦντας (τοῦτο γὰρ τὸ εἰς πρᾶσιν κατάγειν) ἐλεγχομένους κινδυνεύειν θεσπίζει περὶ τὸν οἰκεῖον βαθμὸν, ἀντὶ τοῦ ἐκπίπτειν τούτου καθαιρουμένους. ταῦτα μὲν οὖν περὶ τῶν ἐν χρήμασι χειροτονούντων, ἢ καὶ προβαλλομένων ὅλως τινὰ τῶν τοῦ κανόνος ἤτοι τοῦ ἐκκλησιαστικοῦ τάγματος. τοὺς δὲ χειροτονουμένους ἐπὶ δόσει χρημάτων, ἢ προβιβαζομένους, μὴ ὠφελεῖσθαι ἐκ τῆς κατ' ἐμπορείαν χειροτονίας, ἤγουν κατὰ πραγματείαν αἰσχροκερδείας διατάττεται. εἰ γὰρ τοὺς ἐν τῷ κλήρῳ κατειλεγμένους οἱ ἱεροὶ κανόνες κωλύουσιν ἀλλοτρίων κτημάτων γίνεσθαι μισθωτὰς, καὶ κοσμικὰ πράγματα ἐργολαβεῖν δι' αἰσχροκέρδειαν κατὰ τὸν ἐφεξῆς κανόνα, καὶ κατὰ τὸν ιϛʹ. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντος μὴ δεῖν Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον ἐκλήπτορας, γίνεσθαι, ἢ προκουράτωρας, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος ζωὴν πορίζεσθαι, καὶ κατὰ τὸν μέγαν ἀπόστολον φάσκοντα, οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ, καὶ κατὰ τοὺς πολιτικοὺς νόμους· πολλῷ μᾶλλον μὴ τὰ τοιαῦτα ἐμπορεύεσθαι ἀπαγορεύουσί τινας, καὶ ὤνιον κτᾶσθαι τὴν χάριν τοῦ ἁγίου πνεύματος. διὸ κἀκείνους ἐκπίπτειν τῆς ἀξίας ἤτοι τοῦ βαθμοῦ. τοῦτο ἐπὶ τῶν προβαλλομένων ὁ παρὼν κανὼν διατάττεται, καὶ τοὺς μέσους δὲ γινομένους ἐν τοῖς τοιούτοις, καὶ σπουδὴν εἰσάγοντας ὥστε τινὰς ἐπὶ χρήμασι χειροτονηθῆναι, ἢ προβληθῆναι· κἀκείνους κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι κελεύει, λαϊκοὺς δὲ, ἢ μονάζοντας, ἀναθεματίζεσθαι. ὁ δὲ τῶν ἁγίων ἀποστόλων κανὼν κθʹ. καὶ καθαιρεῖσθαι κελεύει τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, καὶ τῆς κοινωνίας ἐκπίπτειν ὡς Σίμων ὁ μάγος· κοινωνίαν δὲ νοητέον ἐνταῦθα, οὐ τὴν τῶν ἁγιασμάτων μετάληψιν, ἀλλὰ καὶ τὴν μετὰ τῶν πιστῶν σύναξίν τε καὶ σύστασιν. ὁ γὰρ Σίμων ὑπὸ τοῦ Πέτρου τῆς τῶν πιστῶν ὁμηγύρεως τέλεον ἐξεκόπη, χρήματα προσαγαγὼν αὐτῷ καὶ αἰτήσας δοθῆναι αὐτῷ ἀντὶ τούτων τὴν χάριν τοῦ ἁγίου πνεύματος. οὐ μόνον δὲ τοὺς χειροτονήσαντας, ἢ χειροτονηθέντας ἐπὶ χρήμασι κολάζει ὁ κανὼν, ἀλλὰ καὶ τοὺς ἐπιχειρήσαντας, κἂν πρὸ τοῦ εἰς ἔργον τὸ κακὸν ἠλέγχθησαν.

ΑΡΙΣΤ. Ο ἐξωνούμενος, καὶ ὁ πιπράσκων χειροτονίαν μέχρι καὶ προσμοναρίου, περὶ τοὺς βαθμοὺς ἐπικίνδυνοι. καὶ οἱ μεσάζοντες, κληρικοὶ μὲν ἐκπιπτέτωσαν· λαϊκοὶ δὲ ἢ μοναχοὶ, ἀναθεματιζέσθωσαν.

Κατὰ τὸν μέγαν Βασίλειον, χείρων ἐστὶ καὶ Μακεδονίου τοῦ πνευματομάχου ὁ τὴν ἄπρατον τοῦ θεοῦ χάριν πιπράσκων. ἔσται οὖν καὶ ὁ χειροτονῶν, καὶ ὁ χειροτονούμενος ἐπὶ χρήμασι, τοῦ οἰκείου βαθμοῦ ἀλλότριος κἂν ἐν ἐσχάτῳ βαθμῷ τοῦ κλήρου κεχειροτόνηται. ἀλλὰ καὶ οἱ μεσάζοντες ἐπὶ ταῖς τοιαύταις χειροτονίαις, εἰ μὲν κληρικοί εἰσιν, ἐκπιπτέσθωσαν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἢ μονάζοντές εἰσιν, ἀναθεματιζέσθωσαν.

ΚΑΝΩΝ γʹ.

Ηλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν τῷ κλήρῳ κατειλεγμένων τινὲς, διὰ αἰσχροκερδίαν ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ, καὶ πράγματα κοσμικὰ ἐργολαβοῦσι, τῆς μὲν τοῦ Θεοῦ λειτουργείας καταῤῥαθυμοῦντες, τοὺς δὲ τῶν κοσμικῶν ὑποτρέχοντες οἴκους, καὶ οὐσιῶν χειρισμοὺς ἀναδεχόμενοι διὰ φιλαργυρίαν. ὥρισεν τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος, μηδένα τοῦ λοιποῦ, μὴ Ἐπίσκοπον, μὴ κληρικὸν, μὴ μονάζοντα, ἢ μισθοῦσθαι κτήματα, ἢ πράγματα, ἢ ἐπεισάγειν ἑαυτὸν κοσμικαῖς διοικήσεσιν· πλὴν εἰ μήπου ἐκ νόμων καλοῖτο εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπήν· ἢ ὁ τῆς πόλεως Ἐπίσκοπος ἐκκλησιαστικῶν ἐπιτρέψοι φροντίζειν πραγμάτων, ἢ ορφανῶν ἢ χηρῶν ἀπρονοήτων, καὶ τῶν προσώπων τῶν μάλιστα τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας, διὰ τὸν φόβον τοῦ Θεοῦ. εἰ δέ τις παραβαίνειν τὰ ὡρισμένα τοῦ λοιποῦ ἐπιχειρήσοι, ὁ τοιοῦτος ἐκκλησιαστικοῖς ὑποκείσθω ἐπιτιμίοις.

ΒΑΛΣ. Διάφοροι κανόνες ἐκώλυσαν τοὺς μοναχοὺς καὶ τοὺς κληρικοὺς κοσμικῶν πραγμάτων φροντίδας μὴ ἀναδέχεσθαι, καὶ ἀλλοτρίων ὑποθέσεων καὶ δουλειῶν ἐργολάβους γίνεσθαι. καὶ ὡς τῶν κανόνων ἴσως ἀθετουμένων, ὥρισαν οἱ ἅγιοι πατέρες τοὺς τοιοῦτόν τι ποιοῦντας ὑπὸ ἐκκλησιαστικὸν εἶναι ἐπιτίμιον. οἷον δὲ τοῦτό ἐστιν εἴπομεν σαφέστερον ἐν τῷ ϛʹ. Ἀποστολικῷ κανόνι, καὶ ἐν τῷ παʹ. καὶ ἐν τῷ πγʹ. καὶ ἀνάγνωθι

A eſt, ut ex proximo, & ex Carthaginenſis ſynodi decimoſexto Canone facile apparet, qno ſuſceptores eſſe, aut procuratores, vel ex turpi aliqua, aut indigna negotiatione ſibi victum quærere Epiſcopi, Presbyteri aut Diaconi prohibentur, & ex magni Apoſtoli præterea verbis; Nemo, inquit, militans implicat ſe negotiis ſecularibus, ut ei placeat, qui milites delegit, ac ex ipſis quoqne legum civilium ſanctionibus apertè colligitur; multo minus rerum talium mercaturam exercere, emptamque ſancti Spiritus gratiam poſſidere, per eaſdem conſtitutiones cuiquam licere exiſtimandum eſt. Quamobrem & iſtos movendos eſſe dignitate, vel gradu. Idem & de promotis B decernit hic præſens Canon: & eos, qui interceſſores ſunt in iſtiuſmodi negotiis operamve ſuam in his ordinum promotionumve nundinationibus commodarint, ſi Clerici ſint, deponi, ſi Laici, aut monachi, anathemate plecti jubet. At vigeſimo nono Apoſtolorum Canone, qui ordines emercati fuerint, & depoſitione mulctari, &, quemadmodum Simoni illi mago factum eſt, communione moveri præcipiuntur. Quæ quidem communio non de ſola ſacrorum myſteriorum perceptione, ſed de illorum quoq; conſuetudine, & congreſſu cum fidelibus accipi debet. Simon enim cum oblata pecunia pro ea ſibi viciſſim S. Spiritus gratiam rependi poſtulaſſet, ex univerſo fidelium cœtu à C Petro exterminatus fuit. Neq; verò eos tantum qui propter pecunias ordinarunt aut ordinati ſunt, ſed & quicunq; facinus attentaverint, etſi deprehenſis haud proceſſerit, iiſdem nihilominus pœnis Canon obnoxios eſſe decernit.

Arist. *Qui emit, & vendit ordinationem, uſque ad Proſmonarium, circa gradus periclitetur. Quinetiam mediatores, Clerici quidem gradu excidant, Laici verò vel Monachi, anathematizentur.*

Juxta magnum Baſilium etiam ipſo Macedonio qui contra ſanctum pugnavit ſpiritum, pejor eſt iſte qui non D venalem dei gratiam vendit. Et iſte ergo qui ordinat, & qui pecuniâ ordinatur, à gradu ſuo alienus erit, quamvis in ultimo cleri gradu ordinatus fuit. Sed & qui mediatores ſunt in iſtiuſmodi ordinationibus ſi quidem clerici ſint, gradu ſuo excidant, ſi autem laici ſint aut monachi, anathematizentur.

Canon III.

*Pervenit ad ſanctam Synodum, quòd eorum qui in clerum cooptati ſunt, quidam propter turpe lucrum alienas poſſeſſiones conducunt, & ſecularia negotia exercent, divi*E*num miniſterium negligentes, ſecularium vero domos ſubeuntes, & eorum facultatum adminiſtrationes propter avaritiam ſuſcipientes. Definiit ergo ſancta & magna ſynodus neminem deinceps, nec Epiſcopum, nec Clericum, nec Monachum, vel poſſeſſiones vel res conducere, vel ſecularibus poſſeſſionum adminiſtrationibus ſeipſum ingerere: niſi utique ex lege ad inexcuſabilem impuberum tutelam vocetur, vel civitatis Epiſcopus eum rerum Eccleſiaſticarum curam gerere permittat, vel orphanorum, vel viduarum, quibus non providetur, & perſonarum, quæ Eccleſiaſtico auxilio maximè indigent, pro*F*pter timorem Dei. Siquis autem quæ ſtatuta ſunt deinceps tranſgredi aggreſſus fuerit, is pœnis Eccl ſiaſticis ſubjiciatur.*

Bals. Diverſi Canones prohibuerunt Monachos & Clericos curas ſecularium negotiorum ſuſcipere, alienáſque cauſas & miniſteria tractare. Et tanquam fortaſſe non obſervatis canonibus, ſtatuerunt ſancti patres, eos qui tale quid faciunt, Eccleſiaſticis pœnis teneri. Cujuſmodi autem id ſit apertius diximus in vi. Canone Apoſtolico, & in lxxxi. & lxxxiii. & lege e & quæ in ipſos ſcripta ſunt, & xiii. cap. viii. tit. præſentis operis. Quære & Carth. Syn. Can. xvi. & vii. ſyn. Can. x. Quoniam autem ſtatuit Can. Epiſcopos, Clericos, & Monachos, impuberum poſſe tutelas ſuſcipere, ſi quidem ex legibus vocentur, & rerum Eccleſiaſticarum curam, & orphanorum quoque curationes, vel viduarum, vel aliarum perſonarum, quibus aliter non providetur, & Eccleſiaſtico auxilio indigent, ſiquidem id eis Epiſcopus permittat: Juſtiniani autem cxxiii. novella, quæ poſita eſt in libro iii. tit. primo cap. xii. dixit: Religioſiſſimos Epiſcopos & Monachos nullo modo tutores vel curatores cujuſcunque perſonæ fieri concedimus: Presbyteros autem, & Diaconos, cognationis jure, eoque ſolo, ad tutelas vel curas vocatos, tale miniſterium ſuſcipere concedimus: Dixerit quiſpiam non debere Epiſcopos, & Monachos quovis modo fieri tutores vel curatores, ut qui à novella ſint prohibiti. Mihi autem videtur novella edita eſſe ad impediendum tantum Epiſcopos vel Monachos, ne ſint ſuâ ſponte tutores vel curatores, niſi quando ſcilicet legibus ad id vocantur. Si enim Epiſcopali permiſſione omnem adminiſtrationem ſuſcipiant, ut hoc Canone & ſequenti continetur, eis nullum præjudicium afferetur. Presbyteri quidem, Diaconi & Lectores, ut vult hic præſens Canon & novella, etiam ſine Epiſcopali permiſſione, orphanorum tutores & curatores fiunt, quando ad hoc à lege vocantur. Scias autem quod tutores quidem dantur impuberibus maſculis à primo uſque ad xiiii. annum, & ipſum, quemadmodum fœminis quoque uſque ad xii. & ipſum: Curatores verò minoribus, uſque ad xxv. annum incluſivè, ſive maſculi, ſint, ſive fœminæ. Eis autem omnibus res Eccleſiaſticas exercere indiſtinctè viſum eſt; quamvis præſens Canon dicat hoc cum Epiſcopali permiſſione fieri. Dic ergo in ſummam contrahens, Quicunque in Canone continentur, Epiſcopali quidem permiſſione, non ſolum Eccleſiaſtica negotia, ſed & civilia citra ullum præjudicium exercebunt: præterea autem etiam omnem tutelam & curam. Si talis autem non intercedat permiſſio, Epiſcopi quidem & Monachi nec tutelam, nec curam gerent, ne nunc quidem quando lege ad hoc vocantur. Clerici autem, ſolum quando lege ad hoc vocantur, curam & tutelam gerent. Omnes autem ex iis communiter non impedientur Eccleſiaſtica adminiſtrare negotia etiam ſine permiſſione Epiſcopali. Lxviii. autem Imp. Domini Leonis philoſophi novella ſolis Monachis & Clericis conceſſit, ut ſint tutores & adminiſtratores ultimarum voluntatum, & eas exercebunt, quamvis ſint ſecularia negotia, etiam ſine Epiſcopali permiſſione. Ejus autem novellæ prætextu exercent etiam Epiſcopi tutelas in ultimis voluntatibus, & interrogati quomodo hoc faciunt quoniam ex hoc nihil quod ſit validum poſſunt dicere, Canones & leges proferunt, quæ ſtatuunt ad omnes pias & ad animas pertinentes dationes debere Epiſcopos intercedere. Mihi autem hoc facere videtur pro antiſtitibus qui ſunt in regione, non etiam pro iis qui ultra ſuæ regionis limites tutores ſcripti ſunt. Lege ergo diligentius ſuperius poſitam Juſtiniani Novellam. Quia autem & lxxxvi. ejuſdem Imperatoris philoſophi novella Epiſcopos & Clericos ſegregari decernit, qui cauſas agunt, vel fidejubent, vel civilia quædam exercent; & niſi ſe corrigant, eis etiam depoſitionem induci: ne dicas eam repugnare Apoſtolicis ſuperioribus Canonibus, ſed dic eam illis æquivalere, ut qui exponantur, eos non aliter deponi, quam ſi poſt denunciationem non ceſſaverint. Quæ autem de ſacerdotibus cauſas agentibus & fidejubentibus, in xiii. cap. viii. tit. præſentis operis, & in xx. Apoſtolicum Canonem ſcripta ſunt, ad præſentis quoque novellæ interpretationem ſufficiunt.

A τούτους τε καὶ τὰ ἐν αὐτοῖς, καὶ τὸ ιγ΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος Συντάγματος. ζήτει καὶ τὸν ἐν Καρθαγένῃ Συνόδου κανόνα ις΄. καὶ τῆς ζ΄. Συνόδου κανόνα ι΄. ἐπεὶ δὲ ὁ μὲν κανὼν διορίζεται τοὺς Ἐπισκόπους, κληρικούς τε καὶ μοναχοὺς ἀφηλίκων ἐπιτροπὰς ἀναδέχεσθαι, εἴπερ ἐκ νόμων καλοῦντο, καὶ ἐκκλησιαστικῶν πραγμάτων φροντίδας, καὶ προστασίας ὀρφανῶν, ἢ χηρῶν, ἢ ἄλλως ἀπρονοήτων προσώπων, καὶ τῆς ἐκκλησιαστικῆς δεομένων βοηθείας, εἴπερ παρὰ τοῦ Ἐπισκόπου ἐπιτρέποιντο· ἡ δὲ ρκγ΄. Ἰουστινιανείου νεαρὰ ἡ κειμένη ἐν βιβλίῳ τρίτῳ, τίτλῳ α΄. κεφ. ιβ΄. φησί, τοὺς δὲ θεοφιλεστάτους Ἐπισκόπους καὶ μοναχούς, ἐκ μηδενὸς τρόπου ἐπιτρόπους ἢ κουράτωρας οἱουδήτινος B προσώπου γίνεσθαι συγχωροῦμεν, τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας, εἰς ἐπιτροπὰς ἢ κουρατωρείας καλουμένους, τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν· εἴπῃ τις μὴ ὀφείλειν τοὺς Ἐπισκόπους, καὶ τοὺς μοναχοὺς ἐξ οἱουδήτινος τρόπου γίνεσθαι ἐπιτρόπους ἢ κουράτωρας, ὡς ὑπὸ τῆς νεαρᾶς κωλυθέντας. ἐμοὶ δὲ δοκεῖ τὴν νεαρὰν ἐκφωνηθῆναι εἰς μόνον τὸ ἐμποδίζεσθαι τοὺς Ἐπισκόπους καὶ τοὺς μοναχοὺς γίνεσθαι οἴκοθεν ἐπιτρόπους ἢ κουράτωρας· ἢ ὅταν ὑπὸ τῶν νόμων εἰς τοῦτο καλῶνται. κατὰ γὰρ ἐπισκοπικὴν ἐπιτροπὴν πᾶσαν μὲν διοίκησιν ἀναδεχόμενοι, κατὰ τὴν περίληψιν τοῦ παρόντος κανόνος καὶ τοῦ μετ' αὐτόν, οὐ προκριματισθήσονται. οἱ μέντοι πρεσβύτεροι, C διάκονοι, καὶ ἀναγνῶσται κατὰ τὸν παρόντα κανόνα καὶ τὴν νεαράν, χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς γίνονται ὀρφανῶν ἐπίτροποι καὶ κουράτωρες, ὅτε ὑπὸ τοῦ νόμου πρὸς τοῦτο καλοῦνται. γίνωσκε δὲ ὅτι ἐπίτροποι μὲν δίδονται τοῖς ἀνήβοις ἄρρεσιν ἀπὸ τοῦ πρώτου ἐνιαυτοῦ, μέχρι τοῦ ιδ΄. καὶ αὐτοῦ· ὥσπερ καὶ ταῖς θηλείαις, μέχρι τοῦ ιβ΄. καὶ αὐτοῦ· κουράτωρες δὲ τοῖς ἀφήλιξι μέχρι τοῦ κε΄. χρόνου καὶ αὐτοῦ, κἂν ἄρρενες ὦσι κἂν θήλειαι· ἐνεργεῖν δὲ πάντας τούτων πράγματα ἐκκλησιαστικὰ ἀδιαστίκτως δέδοκται, κἂν ὁ παρὼν κανὼν φησὶ μετὰ ἐπισκοπικῆς ἐπιτροπῆς τοῦτο γίνεσθαι· ὥστε συναγαγὼν εἰπέ, ὅτι πάντες οἱ τῷ κανόνι περιερχόμενοι, κατ' ἐπιτροπὴν ἐπισκοπικὴν οὐ μόνον ἐκκλησιαστικὰ πράγματα, ἀλλὰ καὶ πολιτικὰ ἐνεργήσουσιν ἀπροκριματίστως. πρὸς δὲ καὶ πᾶσαν D ἐπιτροπὴν καὶ κουρατωρείαν. μὴ μεσολαβούσης δὲ τοιαύτης ἐπιτροπῆς, οἱ μὲν Ἐπίσκοποι καὶ οἱ μοναχοὶ οὐκ ἐπιτροπεύσουσιν, οὐδὲ κουρατωρεύσουσιν, οὐδὲ ὅτε εἰς τοῦτο ἐκ νόμου καλοῦνται. οἱ δὲ κληρικοὶ μόνον ὅτε καλοῦνται ὑπὸ τοῦ νόμου ἐπιτροπεύσουσι καὶ κουρατωρεύσουσι. πάντες δὲ κοινῶς οὐκ ἐμποδισθήσονται διοικεῖν πράγματα ἐκκλησιαστικά, καὶ δίχα ἐπιτροπῆς ἐπισκοπικῆς. ἡ μέντοι ξη΄. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου ἐνέδωκε μόνοις τοῖς μοναχοῖς καὶ τοῖς κληρικοῖς ἐπιτρόπους γίνεσθαι καὶ διοικητὰς ἐπὶ τελευταίων βουλημάτων, καὶ ἐνεργήσουσι ταῦτα, κἂν κοσμικῶν πραγμάτων διοίκησίς ἐστι, καὶ δίχα ἐπισκοπικῆς ἐπιτροπῆς. τῇ E προφάσει δὲ τῆς τοιαύτης νεαρᾶς ἐνεργήσουσι καὶ Ἐπίσκοποι ἐπιτροπὰς ἐπὶ τελευταίων βουλημάτων· καὶ ἐρωτώμενοι πῶς τοῦτο ποιοῦσιν; ἐπεὶ ἀπὸ ταύτης οὐδέν τι ἐνδυνάμον ἔχειν λέγουσι, προβάλλονται τοὺς κανόνας καὶ τοὺς νόμους τοὺς διοριζομένους, εἰς πάσας τὰς ψυχικὰς διαδόσεις τοὺς Ἐπισκόπους μεσολαβεῖν. ἐμοὶ δὲ δοκεῖ πρόσφορον εἶναι τοῦτο εἰς τοὺς ἐγχωρίους ἀρχιερεῖς, οὐ μὴν καὶ εἰς τοὺς παρ' ἐνορίαν γραφέντας ἐπιτρόπους. ἀνάγνωθι οὖν καὶ ἐπιστατικώτερον τὴν ἄνωθεν καταστρωθεῖσαν Ἰουστινιάνειον νεαράν. ἐπεὶ δὲ καὶ ἡ πς΄. νεαρὰ τοῦ αὐτοῦ βασιλέως τοῦ φιλοσόφου διορίζεται ἀφορίζεσθαι τοὺς Ἐπισκόπους καὶ τοὺς κληρικοὺς F συνηγοροῦντας ἢ ἐγγυωμένους, ἢ πολιτικά τινα ἐνεργοῦντας, καὶ εἰ μὴ διορθωθῶσιν, ἐπάγεσθαι αὐτοῖς καὶ καθαίρεσιν, μὴ εἴπῃς ἐναντιοῦσθαι ταύτην τοῖς διαληφθεῖσιν ἀποστολικοῖς κανόσιν, ἀλλ' εἰπὲ ἰσοδυναμεῖν ἐκείνοις, ὡς ἐκληφθεῖσι, μὴ ἄλλως τούτους καθαιρεῖσθαι, εἰ μὴ μετὰ παραγγελίαν οὐ παύσωνται. τὰ μέντοι περὶ τῶν συνηγορούντων καὶ ἐγγυωμένων ἱερωμένων γραφέντα εἰς τὸ ιγ΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος Συντάγματος, καὶ εἰς τὸν κ΄. ἀποστολικὸν κανόνα, ἀρκοῦσιν εἰς ἑρμηνείαν καὶ τῆς παρούσης νεαρᾶς.

ΖΩΝΑΡ. Καὶ τῶν ἁγίων ἀποστόλων οἱ κανόνες τοῦτο κωλύουσι καὶ ἀρχαίων συνόδων, καὶ οἱ νόμοι τῆς πολιτείας, ἀλλὰ οὕτως ἐπράττετό τε, καὶ πράττεται. διὸ καὶ ἡ ἱερὰ αὕτη σύνοδος ἔσπευσε κωλῦσαι τὸ παρὰ κανόνα γινόμενον, εἰ μὴ καὶ κατορθῶσαι ὃ προέθετο ἴσχυσε. φησὶ γοῦν, ὅτι τινὲς τῶν ἐν τῷ κλήρῳ τεταγμένων ἀλλοτρίων κτημάτων γίνονται μισθωταὶ, καὶ πράγματα κοσμικῶν ἐργολαβοῦσι. τὸ δὲ ἐργολαβεῖν καὶ παρὰ τοῖς νόμοις διαβεβλημένον ἐστίν. ἐργολαβεῖν δέ ἐστι τὸ ἀλλοτρίας ὑποθέσεις ἢ πράγματα ἐπεισέρχεσθαί τινας διὰ κέρδος, φροντίδων καὶ θορύβων κοσμικῶν ἢ καὶ ἐρίδων ἀνεχομένους, καὶ οὐσιῶν ἀλλοτρίων διοικήσεσιν ἐγχειροῦντας διὰ φιλαργυρίαν. ὥρισεν οὖν ἡ ἁγία σύνοδος, μήτε Επίσκοπον μήτε κληρικὸν μήτε μονάζοντα τοιοῦτόν τι ποιεῖν, ἢ μόνον ἐπίτροπον γίνεσθαι παίδων ἀφηλίκων, διὰ μὲν τῆς ἐπιτροπῆς τῶν ἀνήβων μνησθεῖσα· (τούτοις γὰρ ἐπίτροποι δίδονται.) διὰ δὲ τοῦ εἰπεῖν ἀφηλίκων κουρατωρείας μνημονεύσασα, ἄνηβοι μὲν γάρ εἰσιν οἱ ἥττονες τῶν ιδ΄. ἐτῶν, ἀφήλικες δὲ οἱ τὴν μὲν ἥβην ὑπερβάντες, ἥττους δὲ τῶν κέ. ἐνιαυτῶν, ὧν προΐστανται οἱ κουράτωρες, καὶ τότε καλούμενοι ἐκ τοῦ νόμου εἰς ἐπιτροπὴν ἢ κουρατωρείαν, ἀπαραιτήτως ὑπεισιέναι ταύτας κελεύει τούτους, οὐ μὴν ἑαυτοὺς ἐπιρρίπτειν τοιαύταις διοικήσεσι. καὶ ὅτε δὲ ὁ τῆς πόλεως Επίσκοπος ἐν ᾗ κεκλήρωνται οἱ ἱερωμένοι, ἢ παροικοῦσιν οἱ μοναχοὶ (καὶ τοὺς μοναχοὺς γὰρ τῷ ἑκάστης πόλεως Επισκόπῳ ὑποκεῖσθαι ὁ μετὰ τοῦτον θεσπίζει κανών) πραγμάτων ἐκκλησιαστικῶν ἀναθήσει φροντίδα, καὶ ὀρφανῶν καὶ χηρῶν ἀπρονοήτων. οὕτω γὰρ κἂν ταῖς πράξεσιν ἱστόρηται τῷ θείῳ Λουκᾷ τοὺς ἀποστόλους ποιῆσαι προχειρισαμένους τοὺς ἑπτὰ διακόνους, ἵνα μὴ ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ παραθεωρῶνται αἱ χῆραι. ἢ προσώπων ἐπιτρέψει ἀντέχεσθαι διὰ τὸν φόβον τοῦ κυρίου, οὐ διὰ κέρδος, οὐ διὰ δόξαν, τῶν μάλιστα ἐκκλησιαστικῆς δεομένων βοηθείας, οἷοί εἰσιν οἱ τῇ ἁγίᾳ ἐκκλησίᾳ προσφεύγοντες, δεδιότες δυνάστας ὑφ᾽ ὧν ἀδικοῦνται, ἢ πταίσαντες ἴσως, καὶ τὴν τῆς ἐκκλησίας ζητοῦντες ἐπικουρίαν, καὶ οἱ ἀδίκως εἰς δουλείαν ἑλκόμενοι, καὶ ἄλλοι τοιοῦτοι, δι᾽ οὓς ἔκδικοι γίνονται. τοὺς δὲ παραβαίνοντας τὰ ὡρισμένα ταῦτα ἐπιτιμίοις ὑποκεῖσθαι κελεύει. τὰ δὲ τῶν ἐπιτιμίων οὐ προστέθεικεν εἴδη. τί δήποτε; ὅτι οἱ περὶ τούτων τῶν σεπτῶν ἀποστόλων κανόνες, ὁ μὲν ἕκτος, καὶ ὁ πγ΄. τοὺς κοσμικὰς φροντίδας ἀναλαμβάνοντας, ἢ Ῥωμαϊκὴν ἀρχὴν καὶ διοίκησιν ἱερατικὴν ἀξίαν μετιέναι ἐπιχειρήσαντας καθαιρεῖσθαι προστάττει. ὁ δὲ πα΄. τῶν αὐτῶν κανόνων μὴ καθιέναι αὐτοὺς τοὺς ἱερωμένους εἰς δημοσίαν ὁρίζει διοίκησιν, καὶ ἐπιφέρει· ἢ πεισθήτωσαν οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθωσαν. ὡς οὖν ἤδη τῶν ἐπιτιμίων τούτων ὁρισθέντων παρὰ τῶν ἁγίων ἀποστόλων ἡ σύνοδος αὕτη παρεσιώπησε ταῦτα, ὅπερ καὶ ἡ ἐν Καρθαγένῃ πεποίηκε σύνοδος. κἀκείνη γὰρ ἐν ιϛ΄. κανόνι περὶ τούτου θεσμοθετήσασα, οὐκ ἐπήγαγεν ἐπιτίμιον, διὰ τὴν αὐτὴν πάντως αἰτίαν, ἀλλὰ ταῦτα καὶ τῶν εἰρημένων κανόνων διαταξαμένων, τὸ κακὸν ἀθεράπευτον ἔμεινε. διὸ καὶ ἡ ἕκτη σύνοδος ἐν ια΄. κανόνι τὰ αὐτὰ πάλιν ἀνενεώσατο, καὶ οὐδ᾽ οὕτως ἴασις τῆς νόσου ταύτης ἐγένετο. καὶ μέχρι γὰρ νῦν γίνεται τὸ κακὸν καὶ οὐδεὶς ὁ ἀνακόπτων αὐτὸ, οὐ πατριάρχης, οὐ βασιλεὺς, οὐκ Επίσκοπος. παραθεωροῦνται γοῦν οἱ τοσοῦτοι κανόνες, καὶ τοῖς οὕτω καθῃρημένοις ἐκ τῶν κανόνων συλλειτουργοῦσι καὶ συγκοινωνοῦσιν οἱ πατριάρχαι καὶ οἱ Επίσκοποι.

A **Zonar.** Et Apoſtolicis & ſynodicis jam olim decretis, & legum quoque civilium ſanctionibus damnata hæc conſuetudo fuit, neque tamen vel antiquis vel noſtris illa temporibus ullatenus intermiſſa. Ejus itaque convellendæ ſtudio, quæ ſacris nimirum Canonibus adverſaretur, hæc conſtitutio, quamvis irrito ea quoque ſucceſſu, à ſynodo promulgata. Quoniam igitur quidam, inquiunt, ex iis qui Clero adſcripti ſunt, alienis agris colendis operam locant, & negotiorum ſecularium, quod civili quoque lege vetitum eſt, conductores fiunt. Sunt vero conductores, qui ſpe lucri aliena onera vel negotia tractant, ſeque proinde curis humanarum rerum perturbationibúſque, atque B adeo contentionibus implicantes, alienarum quoque poſſeſſionum adminiſtrationem, auri cupiditate illecti, ſuſcipere non recuſant. Ne quid ergo hujuſmodi in poſterum Epiſcopo aut Clerico aut Monacho liceat, niſi ſi tamen minorum quorundam tutela ſuſcipienda ſit, hoc Canone decernitur: Ac tutelæ quidem nomine impuberum curam ſynodus innuit, (iis nempe tutores aſſignantur) quod autem minorum mentionem fecerit, curatoris munus indicavit. Sunt namque impuberes, qui annis xiiii. minores ſunt: Minores verò, qui puberes cum ſint, annum tamen ætatis xxv. nondum attigere, quibus quidem curatores dari ſolent. Sed hæc ipſa, inquit, tutoris curatoriſve munia C tum demum ſubeant, cum ea legibus ſuſcipere neceſſario coguntur, non ea ſibi ultro ipſi depoſcant atque appetant. Et cum Epiſcopus urbis, in quâ ſacerdotes in Clerum cooptati ſunt, & juxta quam Monachi inhabitant, (nam & monachos cujuſque urbis Epiſcopis ſubjectos eſſe debere proxime ſequenti Canone conſtitutum reperias) negotiorum Eccleſiaſticorum procurationem, pupillorumve aut viduarum, quibus non providetur, curam commendaverit. Sic etenim, in Actis quoque S. Lucas factum fuiſſe ab Apoſtolis memorat, qui ſeptem Diaconos elegerunt, ne in miniſterio videlicet quotidiano viduæ ſpernerentur. Certorum quoque hominum patrocinium, qui ſeſe maxi- D me auxilii Eccleſiaſtici indigentes obtulerint, Eccleſiaſticis viris, qui in eo non ſpe lucri, aut inanis gloriæ cupiditate, ſed ſola erga Deum pietate ducantur, eodem Epiſcopo permittente, amplecti liceat. Tales ſunt, qui dynaſtarum metu, per quos injuſte vexantur, ad Eccleſiam confugiunt; quive, licet aliquid forte offenderint, ſuppetias ſibi nihilominus ab Eccleſia ferri poſtulant, tales, & qui injuſtè in ſervitutem rediguntur, cæterique hujuſmodi, quibus ſublevandis Defenſores creari conſuetum eſt. Si quis autem contra hujus decreti conſtitutiones quidpiam admiſerit, pœnis hominem obnoxium eſſe decernit. Pœnarum tamen nomina nulla ſigillatim adjuncta. Quid ita? E quia ſcil. Apoſtolici hac de re promulgati Canones vi. & lxxxiii. qui ſe negotiis ſecularibus implicaverint, aut Romanum magiſtratum ſimul cum Sacerdotali adminiſtratione invadere attentarint, depoſitione mulctari jubet: lxxxi. verò eorundem Canonum, poſtquam à quacunque publicæ adminiſtrationis procuratione ſacris initiatos homines abſtinere juſſit, & ſubjungit, Aut hoc igitur, non facere ſibi perſuaderi ſinant, aut deponantur. Pœnarum igitur certa deſignatione, quippe quæ jam antea Apoſtolorum auctoritate definitæ fuerunt, S. Synodus hoc loco ſibi ſuperſedendum eſſe ſtatuit. Quod idem Carthaginenſis quoq; Synodus tenuit: etenim illa Canone xvi. decreto hac de re edito, eandem prorſus rationem ſecuta, F nullam pœnam appoſuit. Verum iſta licet Canonicis conſtitutionibus ita definita fuiſſent, nihil tamen is morbus videlicet remittebat, eadémq; proinde decreta vi. Synodus xi. Canone renovanda cenſuit. Neque tamen idcirco facta malo huic medicina, quod omnibus locis nunc quoque graſſatur, & nemo coërcendæ huic peſti, non Patriarcha, non Imperator, non Epiſcopus animum intendit. Deſpectui itaq; jam habentur tam multi Canones, & iis, qui ſic à Canonibus deponuntur, Patriarchæ & Epiſcopi comminiſtrant, & communicant.

ARIST. *Qui domorum ſecularium curam ſuſcipiunt, corripiendi ſunt, niſi forſitan ad inexcuſabilem inpuberum adminiſtrationem lex eos vocaverit: vel Epiſcopus orphanorum, vel viduarum curam permittit.*

Clerici in ſecularium domos ad filios ſervoſque eorum edocendos recipiantur, juxta decimum Nicænæ ſynodi ſecundæ Canonem: negotiorum autem eorum curam ne ſuſcipiant, niſi reprehenſioni ſe ſubjecerint. Verum orphanorum & viduarum & aliorum miſerorum adminiſtrationem ſibi commiſſam habeant, ut & cognatorum ſuorum ſi impuberes ſint curam, ſi à lege cognationis jurè, ipſi ad hoc vocantur. Epiſcopis autem vel monachis B nec cognatorum ſuorum tutoribus aut curatoribus eſſe licet. At illi omnes rerum ad ſpirituales diſtributiones poſt diſceſſum à quibuſvis relictarum adminiſtratores fiunt. Et tales vocantur etiam Tutores, juxta ſexageſimam octavam Imperatoris domini Leonis philoſophi novellam.

CANON IIII.

Qui verè & ſincerè monaſticam vitam aggrediuntur, digni convenienti honore habeantur. Quoniam autem nonnulli monachico prætextu utentes, & Eccleſiaſtica & C civilia perturbant negotia, temere & citra ullam diſcriminis rationem in urbibus circumcurſantes, quinetiam monaſteria ſibi conſtituere ſtudentes; viſum eſt nullum uſquam ædificare nec conſtruere poſſe monaſterium, vel oratoriam domum, præter ſententiam ipſius civitatis Epiſcopi: Monachos autem, qui ſunt in unaquaque regione & civitate, Epiſcopo ſubjectos eſſe, & quietem amplecti, & ſoli jejunio & orationi vacare, in quibus ordinati ſunt locis fortiter perſeverantes, nec Eccleſiaſticis nec ſecularibus negotiis ſe ingerere vel communicare, propria relinquentes monaſteria, niſi quandoque à civitatis Epi- D *ſcopo propter uſum neceſſarium eis permiſſum fuerit. nullum autem in monaſteriis ſervum recipi, ad hoc ut ſit monachus, præter voluntatem ſui domini. Eum autem, qui hanc noſtram definitionem tranſgreditur, definivimus eſſe excommunicatum, ne nomen Dei blaſphemetur: civitatis autem Epiſcopum oportet eam quam par eſt monaſteriorum curam gerere.*

BALS. Nota permitti Epiſcopis, ut monachis civilium negotiorum adminiſtrationem concedant: quòd ſi Epiſcopis hoc indultum eſt multo magis Imperatoribus permittitur. Eos qui purè, hoc eſt verè & non ſimu- E latè, ſunt Monachi, honorari debere dicit Canon: eos verò qui monachali amictu tanquam prætextu utuntur, & homines decipiunt, reprimendos & in ſuæ tonſuræ locum remittendos eſſe viſum eſt, ut qui cùm Eccleſias tum negotia civilia perturbent. Per medium enim forum progredientes, & ſe ſecularibus negotiis ingerentes, fortaſſe etiam docentes, perturbant, hoc eſt humana & divina dividunt ac confundunt, nec ſinunt, ut ea ex propria ſua natura exerceantur: ſecularia ſcilicet negotia à laicis: Monachica autem & Eccleſiaſtica, ab iis qui ſunt Deo dedicati. Quoniam autem, inquit, iidem propter ambitionem etiam monaſteria de integro excitare conantur, ne Epiſcopo F ſubjiciantur, definitum eſt nemini licere vel monaſterium vel oratorium præter Epiſcopi mentem uſque excitare: ſubjici autem Monachos omnes regionis Epiſcopo, & fortiter perſeverare in ea manſione in qua tonſi ſunt. Adjicit autem eos etiam rerum Eccleſiaſticarum communionis & adminiſtrationis non eſſe participes, nec etiam eorum quæ ad vitam pertinent, ſeu civilium, niſi forte civitatis Epiſcopus eis propter uſum neceſſarium hoc permiſerit. Servos autem præter dominorum voluntatem non eſſe tondendos decretum eſt: vel eum certè, qui hoc decretum tranſgreditur, eſſe excommunicatum. Jam verò

ΑΑΡΙΣΤ. Οἱ κοσμικῶν οἴκων ἐπιμέλειαν ἀναδεχόμενοι, ἐπιτιμητέοι· πλὴν εἰ μὴ καλέσοι νόμος εἰς ἀφηλίκων διοίκησιν ἀπαραίτητον· ἢ ὁ Ἐπίσκοπος, ὀρφανῶν καὶ χηρῶν ἐπιμέλειαν ἐπιτρέψειε.

Οἱ τοῦ κλήρου, ἐν τοῖς οἴκοις τῶν κοσμικῶν, πρὸς διδασκαλίαν τῶν παίδων αὐτῶν, καὶ τῶν οἰκείων προσλαμβανέσθωσαν, κατὰ τὸν δέκατον κανόνα τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον. ἐπιμέλειαν δὲ τῶν πραγμάτων αὐτῶν μὴ ἀναδεχέσθωσαν, εἰ μὴ βούλονται ἐπιτιμηθῆναι. ὀρφανῶν δὲ, καὶ χηρῶν, καὶ ἄλλων ἐλεεινῶν διοίκησιν ἐπιτρεπέσθωσαν· ὥσπερ καὶ συγγενῶν ἰδίων ἀφηλίκων ὄντων κηδεμονίαν, εἴπερ νόμος αὐτοὺς ἐκ τούτου καλέσει, δικαίῳ τῆς συγγενείας. Ἐπίσκοποι δὲ, ἢ μοναχοὶ, οὐδὲ συγγενῶν ἐπίτροποι, ἢ κουράτορες γίνεσθαι συγχωροῦνται. διοικηταὶ δὲ οὗτοι πάντες τῶν μετὰ τὴν ἐκδημίαν καταλιμπανομένων πραγμάτων ὑπό τινων εἰς ψυχικὰς διαδόσεις γίνονται. καὶ καλοῦνται καὶ οἱ τοιοῦτοι ἐπίτροποι, κατὰ τὴν ἑξηκοστὴν ὀγδόην νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου.

ΚΑΝΩΝ δʹ.

Οἱ ἀληθῶς καὶ εἰλικρινῶς τὸν μονήρη μετιόντες βίον, τῆς προσηκούσης ἀξιούσθωσαν τιμῆς. ἐπειδὴ δέ τινες τῷ μοναχικῷ κεχρημένοι προσχήματι, τά τε τῆς ἐκκλησίας καὶ τὰ πολιτικὰ διαταράσσουσι πράγματα, περιιόντες ἀδιαφόρως ἐν ταῖς πόλεσιν, οὐ μὴν ἀλλὰ καὶ μοναστήρια ἑαυτοῖς συνιστᾶν ἐπιτηδεύοντες· ἔδοξεν μηδένα μὲν μηδαμοῦ οἰκοδομεῖν, μηδὲ συνιστᾶν μοναστήριον ἢ εὐκτήριον οἶκον παρὰ γνώμην τοῦ τῆς πόλεως Ἐπισκόπου· τοὺς δὲ καθ' ἑκάστην πόλιν καὶ χώραν μονάζοντας, ὑποτετάχθαι τῷ Ἐπισκόπῳ, καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι, καὶ προσέχειν μόνῃ τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, ἐν οἷς τόποις ἀπετάξαντο προσκαρτεροῦντας, μήτε δὲ ἐκκλησιαστικοῖς μήτε βιωτικοῖς παρενοχλεῖν πράγμασιν ἢ ἐπικοινωνεῖν καταλιμπάνοντας τὰ ἴδια μοναστήρια· εἰ μήποτε ἄρα ἐπιτραπεῖεν διὰ χρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως Ἐπισκόπου· μηδένα δὲ προσδέχεσθαι ἐν τοῖς μοναστηρίοις δοῦλον ἐπὶ τὸ μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου· τὸν δὲ παραβαίνοντα τοῦτον ἡμῶν τὸν ὅρον, ὡρίσαμεν ἀκοινώνητον εἶναι, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται. τὸν μέντοι Ἐπίσκοπον τῆς πόλεως, χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων.

ΒΑΛΣ. Σημείωσαι, ὅτι ἐφεῖται τοῖς Ἐπισκόποις τὸ ἐπιτρέπειν μοναχοῖς διοίκησιν πολιτικῶν πραγμάτων. καὶ ἐὰν τοῖς Ἐπισκόποις τοῦτο ἐνεδόθη, πολλῷ πλέον τοῖς βασιλεῦσιν ἐκκεχώρηται. τοὺς καθαρῶς, τουτέστιν ἀληθῶς καὶ μὴ καθ' ὑπόκρισιν, μονάζοντας, τιμᾶσθαι φησὶν ὁ κανών· τοὺς δὲ τῷ μοναχικῷ σχήματι κεχρημένους ὡς ἐν προσχήματι, καὶ πλανῶντας τοὺς ἀνθρώπους, σωφρονίζεσθαι, καὶ εἰς τὰς ἀποκάρσεις αὐτῶν πέμπεσθαι δέδοκται, ὡς ταράττοντας τάς τε ἐκκλησίας καὶ τὰ πολιτικὰ πράγματα. περιιόντες γὰρ διὰ μέσης τῆς ἀγορᾶς, καὶ παρεμβάλλοντες ἑαυτοὺς κοσμικοῖς πράγμασιν, ἴσως δὲ καὶ διδάσκοντες, ταράττουσι, τουτέστι μερίζουσι καὶ συγχέουσι τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, μὴ ἐῶντες ταῦτα κατὰ τὴν οἰκείαν φύσιν ἐνεργεῖσθαι, ἤγουν τὰ μὲν πραγματικὰ ὑπὸ τῶν λαϊκῶν, τὰ δὲ μοναχικὰ καὶ ἐκκλησιαστικὰ ὑπὸ τῶν ἀνατεθειμένων τῷ Θεῷ. ἐπεὶ δὲ, φησὶν, οἱ αὐτοὶ διὰ φιλαρχίαν καὶ μοναστήρια πειρῶνται ἐκ καινῆς ἀνεγεῖραι, ἐφ' ᾧ μὴ ὑποκεῖσθαι τῷ Ἐπισκόπῳ, ὡρίσθη μὴ ἔχειν ἐπ' ἀδείας τινὰ ὁπουδήποτε μοναστήριον ἀνεγείρειν ἢ εὐκτήριον παρὰ γνώμην τοῦ Ἐπισκόπου, ὑποκεῖσθαι δὲ πάντας τοὺς μοναχοὺς τῷ κατὰ χώραν Ἐπισκόπῳ, καὶ προσκαρτερεῖν ἐν ᾗ ἀπεκάρησαν μονῇ. προσετέθη δὲ εἶναι τούτους καὶ ἀμεθέκτους τῆς κοινωνίας καὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἢ τῶν βιωτικῶν, ἤτοι πολιτικῶν, εἰ μή πως ὁ τῆς πόλεως Ἐπίσκοπος διὰ χρείαν ἀναγκαίαν ἐπιτρέψει τοῦτο. τοὺς δούλους δὲ παρὰ γνώμην τῶν δεσποτῶν μὴ ἀποκείρειν ὥρισαν, ἢ μὴν τὸν παραβαίνοντα ταῦτα, τοῦτον τὸν

ὅρον

ἱερὸν ἀκοινώνητον εἶναι. τὸν μέντοι Ἐπίσκοπον τῆς πόλεως χρὴ, φησὶ, προνοεῖσθαι τῶν μοναστηρίων. σημείωσαι οὖν ὅτι ἐκεῖσε οἱ μοναχοὶ προσκαρτερεῖν καὶ μονάζειν ὀφείλουσιν, ἔνθα δὴ καὶ ἀπετάξαντο, ἤγουν ἀπεκάρησαν. καὶ ὅτι κατ' ἐπιτροπὴν τοῦ Ἐπισκόπου δύνανται μοναχοὶ διοικεῖν οὐ μόνον ἐκκλησιαστικὰ πράγματα, ἀλλὰ καὶ βιωτικὰ, τουτέστι πολιτικά. εἰ δὲ δύναται τοῦτο ποιεῖν ἡ ἐπισκοπικὴ ἐπιτροπὴ, πολλῷ πλέον ποιήσει ἡ βασιλικὴ ἐξουσία ἡ προβαλλομένη καὶ Ἐπισκόπους. διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ὁ μητροπολίτης ἐκεῖνος ὁ Σίδης ἀπαρεμποδίστως τὰ τῆς βασιλείας οἰκονόμει προσώπῳ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ δουκός. καὶ ὁ μητροπολίτης ἐκεῖνος Νεοκαισαρείας ἀνεγράψατο τὰ τῆς πόλεως θαλάσσια δίκαια, καὶ ἄλλοι πολλοὶ ἀρχιερεῖς καὶ μοναχοὶ παρομοίως ἐνήργησαν δουλείας βασιλικὰς καὶ δημοσιακάς. ἀνάγνωθι καὶ τὸν α'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συγκροτηθείσης συνόδου. ζήτει καὶ περὶ δούλων μοναζόντων παρὰ γνώμην τοῦ δεσπότου τὸ λς'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τιμῆς ἀξίους τοὺς ἀληθῶς μονάζοντας καὶ εἰλικρινῶς ἀντὶ τοῦ καθαρῶς, καὶ οὐχ ὑποκεκριμένως ἢ τινὶ κακίᾳ ἐπιμίκτως μετιόντας τὴν μοναδικὴν πολιτείαν ἡ ἁγία σύνοδος ἔκρινε. τοὺς δὲ τῷ μοναδικῷ σχήματι κεχρημένους ὡς ἐν προσχήματι ἀντὶ τοῦ δι' ἐπίδειξιν μόνον εἰς δέλεαρ, ὥστε δι' αὐτοῦ τοὺς ἀνθρώπους ἀπατᾷν, ἵνα ὡς τὸ ἅγιον σχῆμα ἠμφιεσμένοι τιμῶνται, τὰς ἐκκλησίας ὑποδυόντας, καὶ διδάσκειν ἴσως ἐπιχειροῦντας, ἤ τι ἕτερον ἐκκλησιαστικὸν ἐνεργοῦν, καὶ εἰς τὰ τῆς πόλεως πράγματα ἑαυτοὺς εἰσωθοῦντας, καὶ διοικεῖν ταῦτα θέλοντας, καὶ οὕτω ταράσσοντας τὰς ἐκκλησίας τε καὶ τὰς πολιτείας, οὐκ ἀληθῶς μοναχοὺς ἡγεῖται ἡ σύνοδος. καθάπαξ δὲ παντὶ ἀπηγόρευσε μηδαμοῦ οἰκοδομεῖν μοναστήριον ἢ εὐκτήριον, μὴ ἐν πόλει, μὴ ἐν κώμῃ, μὴ ἐν ἐρήμοις, καὶ ὄρεσι παρὰ γνώμην τοῦ κατὰ χώραν Ἐπισκόπου, καὶ τοὺς μοναχοὺς τῷ ἑκάστης πόλεως Ἐπισκόπῳ ὑποτετάχθαι ἐκέλευσε, καὶ ἡσυχάζειν ἐν οἷς ἀπετάξαντο τόποις, ἐργαζομένους τὰς ἀρετὰς, καὶ ἀμεθέκτους ὄντας πραγμάτων ἐκκλησιαστικῶν ὁμοῦ καὶ πολιτικῶν, μηδὲ καταλιμπάνειν τὰ ἴδια μοναστήρια, καὶ διοικήσεσι κοινωνεῖν πραγμάτων, εἰ μή που ὁ τῆς πόλεως Ἐπίσκοπος ἐπιτρέψει τισὶ πραγμάτων οἰκονομίαν διὰ χρείαν ἀναγκαίαν, κρίνας ἴσως αὐτοὺς ἐπιτηδείους πρὸς τοιαύτην διοίκησιν, καὶ ἀπορῶν ἑτέρων πρὸς τὸ πρᾶγμα τοιοῦτον. ταῦτα καὶ ἡ σύνοδος ἡ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συγκροτηθεῖσα ἐν τῷ πρώτῳ κανόνι διακελεύεται, καὶ ὁ ιζ'. κανὼν τῆς ἑβδόμης συνόδου. ἑξῆς δὲ ὁ κανὼν οὗτος οἰκονομεῖ μὴ προσδέχεσθαι δούλους ἐν μοναστηρίῳ μονάσαι θέλοντας, εἰ μὴ γνώμῃ τῶν δεσποτῶν· ἵνα μὴ τὸ ὄνομα τοῦ Χριστοῦ βλασφημῆται. εἰ γὰρ ἄκοντος τοῦ δεσπότου δοῦλος τινὸς καρῇ, βαρὺ τοῦτο ἡγήσεται ὁ κύριος αὐτοῦ, καὶ βλασφημήσει κατὰ τοῦ ἁγίου σχήματος καὶ τῶν μοναχῶν· ἡ δὲ κατ' αὐτοῦ βλασφημία, καὶ εἰς τὸ θεῖον αὐτὸ διαβήσεται. βλασφημηθήσεται δὲ τὸ ὄνομα τοῦ θεοῦ παρὰ τῶν ἀπίστων, καὶ ὅτε τοὺς μοναχοὺς ὁρῶσιν ἐν πόλεσι περιερχομένους, καὶ πολιτικὰ χειρίζοντας πράγματα. ὑποτάξας δὲ ὁ κανὼν τοῖς κατὰ τόπον Ἐπισκόποις τοὺς μοναχοὺς, καὶ τὰ μοναστήρια ἐπάγει· τὸν μέντοι Ἐπίσκοπον τῆς πόλεως χρὴ τὴν δέουσαν πρόνοιαν ποιεῖσθαι τῶν μοναστηρίων. δύο πραγματευόμενος ἐν ταυτῷ τότε μὴ πράγματα ἔχειν τοὺς μοναχοὺς, μηδὲ ὀχλήσεις τὰς δι' αὐτὰ, ἀλλ' εἶναι ἀπερισπάστους, καὶ ἡσυχάζειν, καὶ μόνων φροντίζειν τῶν εἰς ψυχικὴν συντεινόντων ὠφέλειαν, καὶ τὸ τὸν Ἐπίσκοπον κἀντεῦθεν κέρδος ψυχικὸν περιποιεῖν ἑαυτῷ, καὶ εἰς δόξαν εἶναι θεοῦ. λαμψάτω γάρ φησιν ὁ κύριος, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἐπεὶ δὲ τὰ τῶν ἐκκλησιῶν χρήματα, πτωχικὰ ὀνομάζονται, καὶ εἰς ἐνδεεῖς ἐτάχθησαν ἀναλίσκεσθαι, καὶ τῷ Ἐπισκόπῳ εἰς ἑαυτὸν ἐκ τού-

A civitatis Epiſcopum oportet, inquit, Monaſteriorum curam gerere. Nota ergo quòd Monachi illic perſeverare & permanere debent, ubi ſeculo renunciarunt ſeu tonſi fuerunt: & quòd ex permiſſione Epiſcopi poſſunt Monachi non ſolùm Eccleſiaſtica negotia adminiſtrare, ſed ea etiam quæ ad vitam pertinent, hoc eſt civilia. Si autem hoc poteſt facere Epiſcopalis permiſſio, id multò magis faciet poteſtas Imperialis, quæ etiam Epiſcopos promovet. Propterea enim, ut eſt conſentaneum, ille etiam metropolitanus Sides abſque ullo impedimento imperii negotia adminiſtrabat, in perſona Imperatoris domini Michaël Ducæ. Quin & ille Neocæſareæ B Metropolitanus maritima civitatis jura conſcripſit: & alii etiam Antiſtites ac Monachi Imp. & publica miniſteria ſimiliter exercuerunt. Lege & primum caput Synodi congregatæ in templo Sanctorum Apoſtolorum. Quære etiam de ſervis, qui præter dominorum voluntatem ſunt Monachi, xxxvi. cap. primi tit. præſentis operis.

Zonar. Qui verè ac ſyncerè, hoc eſt animo puro, nec ulla ſimulationis aut pravitatis labe infuſcato, monaſticum vitæ genus elegere, iis honorem ex merito deberi ſancta ſynodus exiſtimavit. At quicunque habitu, in prætextum, id eſt, in oſtentationem ſolùm ad decipiendum C utuntur, ut illius obtentu faciliùs homines in fraudem alliciant, ac in ſancta veſte ipſi ſibi honorem aucupentur, cum interea, & Eccleſias obeant, & in iis ſibi forte vel docendi munus, vel aliam Eccleſiaſticæ auctoritatis partem uſurpent, iidémque ſe urbanis negotiis immiſceant, eaque adminiſtrare velint, Eccleſiæque ſimul, ac civitatis ſtatum proinde perturbent, iis verò Monachi nomen convenire ſynodus haud putat. A Monachis verò quibuſcunque monaſterium oratoriumve, ſive in urbe, ſive in oppido, ſive in locis deſertis, aut montibus, aut ubivis denique, invito cujuſque regionis Epiſcopo, exædificari prorſus D vetat, eoſdemque ſingularium urbium Epiſcopis ſubjectos eſſe, & in iis, quibus deſtinati ſunt locis, ſilentio vitam agere, virtutúmque exercitationi vacare, cæterum neque Eccleſiaſticorum neque civilium negotiorum partem ullam attingere jubet: neque vero, ut rebus gerendis vacare liceat, monaſterii ſui ſtationem relinquant, niſi re neceſſaria coactus Epiſcopus, aliorumque hominum facultate deſtitutus, monachorum alicui, probatæ ſibi in eo genere induſtriæ, negotii procurationem committendam eſſe exiſtimaverit. Eadem, in templo quoque ſanctorum Apoſtolorum habita ſynodus Canone primo, & decimo ſeptimo Canone ſynodus ſexta decernit. Hinc de ſervis ad monaſticam vitam, niſi dominorum voluntate, E non admittendis, ne Chriſti nomen ſcilicet blaſphemetur, hoc Canone conſtitutum. Cujus etenim ſervus invito ipſo detonſus fuerit, rem totam nimirum iniquo animo feret, ſanctumque habitum execrabitur, totumque monachorum genus conviciis proſcindet, convitia vero in habitum eum conjecta ad ipſum etiam Deum tranſibunt. Divinum quoque nomen, qui monachos tota urbe volitantes, publicæque adminiſtrationi intentos viderint, à fide alieni homines blaſphemabunt. Quoniam verò, cujuſque regionis Epiſcopis, ejus loci Monachos & monaſteria ſubjici Canon hic voluit; Epiſcopus civitatis inquit, viciſſim opportunam monaſteriis curam impendat F oportet. Ac duo quidem hæc ſimul curabit, alterum, ut operoſis negotiorum curis ac moleſtiis ſoluti, tranquillam & quietam vitam, ea ſolum, unde fructus animo exiſtat, meditantes, Monachi agant: alterum, ut eadem opera ſpiritualibus incrementis, divinæque gloriæ emolumentis, ipſe quoque Epiſcopus proficiat. Luceat enim, inquit Dominus, lux veſtra coram hominibus, ut videant opera veſtra bona, & glorificent patrem veſtrum qui in cœlis eſt. Quoniam verò Eccleſiarum bona, bona pauperum appellantur, egenorumque ſublevandæ inopiæ deſtinata ſunt; ne Epiſcopo quidem, niſi cui nullæ domeſticæ facultates ſuppetant, atque in uſus tantum maxime neceſſarios, aliquid ex eorum proventibus ad ſe avertere conceſſum eſt; ut quadrageſimo primo Apoſtolico, & Antiochenæ ſynodi vigeſimo quinto Canone explicatur. Quomodo etiam Monachis, quibus nullæ ſunt facultates, ſi neceſſariis ad vitam ſubſidiis deſtituantur, ut egentibus ea, quæ ad victum utilia ſunt, ab Epiſcopo ſuppeditari, Canon hic jubet.

ARIST. *Domus oratoria, vel Monaſterium citra Epiſcopi ſententiam, non ſunt extruenda. Omnis autem Monachus Epiſcopo ſubjiciatur, & è manſione, niſi ab eo invitetur, ne diſcedat. Servus autem, niſi Domino conſentiente, monaſticam vitam ne ingrediatur.*

Præter provincialis Epiſcopi ſententiam monaſterium aut Eccleſiam condere non oportet. Sed & omnes monachos ei ſubjectos eſſe, & à monaſterio in quo collocati fuerunt non recedere, niſi ob aliorum emolumentum ab Epiſcopo permittantur. Servus autem præter domini voluntatem in monaſterium, ut monaſticam agat vitam, ne admittatur. Qui hæc autem decreta tranſilierit, excommunicabitur. Oportet vero & Epiſcopum neceſſariam monaſteriorum curam gerere.

CANON V.

De Epiſcopis, vel Clericis, qui à civitate in civitatem tranſeunt, placuit eos qui editi ſunt à ſanctis patribus Canones, vires obtinere.

BALS. Variè expoſitus eſt hic Canon, nec de eo fruſtra eſt labor ſuſcipiendus.

ZONAR. Plures Sanctorum Apoſtolorum Canones in hanc ſententiam editi atque à nobis explicati ſunt: Plures quoque ſynodici, quos quidem hic Canon ſervandos eſſe decernit. Eadem iterum inculcare ſupervacui, vel etiam ſtulti laboris fuerit. Quid iis conſtitutionibus hac de re definitum ſit, ſi quis ſcire velit, ipſoſmet Canones adeat, ex iis namque totius decreti rationem, & quibus ex locis, & quo modo ex ſua civitate in aliam migrare Epiſcopo permiſſum ſit, facile intelligit.

ARIST. *Qui è civitate in civitatem tranſeunt, Canonibus de his rebus ſanctis ſubjiciantur.*

Dicitur & in xiii. ſynodi Antiochenæ Canone, ne auſit Epiſcopus è ſua ad aliam tranſire provinciam, aut aliquos præter Epiſcopi provincialis voluntatem ordinare, aut aliquod aliud Epiſcopale munus obire, niſi vellet ea quæ à ſe facta ſunt irrita manere, & ſe confuſionis ſuæ pœnam dare, ut hinc à ſancta triade depoſitum: idem igitur & hic Canon decernit.

CANON VI.

Nullum abſolutè ordinari, nec Presbyterum, nec Diaconum, nec omnino aliquem eorum qui ſunt in ordine Eccleſiaſtico: niſi ſpecialiter in Eccleſia civitatis vel pagi, vel martyrio, vel monaſterio, is qui ordinatur, deſignetur. Eos autem, qui abſolutè ordinantur, decrevit ſancta Synodus irritam ac invalidam habere ejuſmodi manuum impoſitionem, & nuſquam exercere ac operari poſſe ad ejus, qui ordinavit, contumeliam.

BALS. Quemadmodum ordinantur Antiſtites ad hanc vel illam Eccleſiam, ita dicit Canon Clericos quoq; ſpecialiter ad hoc templum, vel hoc monaſterium, & non abſolutè ordinari: quæ autem non ita facta fuerit, ordinationem irritam eſſe ac invalidam, eúmque qui alibi præter ordinantis voluntatem celebravit ad ejus contumeliam, nequaquam poſſe celebrare. Nota ergo, quòd etiam, qui

A τῶν πλὴν τῶν ἀναγκαίων πάνυ, ὅτε μὴ ἔχοι οἴκοθεν, ἐντεῦθεν δαπανᾶν ἐφεῖται, ὡς ὁ μα'. κανὼν τῶν ἁγίων ἀποστόλων φησὶ, καὶ ὁ κε'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου. καὶ τοῖς μοναχοῖς τοίνυν πράγματα μὴ ἔχουσι, καὶ λειπομένοις τῶν ἀναγκαίων ἀπαιτεῖ ὁ κανὼν χορηγεῖν τὸν Ἐπίσκοπον, ὡς ἐνδεέσι, τὰ χρειώδη πρὸς τὴν ζωήν.

ΑΡΙΣΤ. Εὐκτήριος οἶκος, ἢ μοναστήριον, γνώμης δίχα τοῦ Ἐπισκόπου, ἀσύστατα. ἅπας δὲ μοναστὴς ὑποτετάχθω τῷ Ἐπισκόπῳ· καὶ τῆς μονῆς, εἰ μὴ παρ' αὐτοῦ προτρέποιτο,
B μὴ ἀφιστάσθω. δοῦλος δὲ, εἰ μὴ γνώμῃ τοῦ δεσπότου, μὴ μοναζέτω.

Ἄνευ γνώμης τοῦ κατὰ χώραν Ἐπισκόπου, οὐ δεῖ μοναστήριον, ἢ ἐκκλησίαν κτίζεσθαι· ἀλλὰ καὶ πάντας τοὺς μοναχοὺς ὑποτάσσεσθαι αὐτῷ, καὶ τῆς μονῆς, ἐν ᾗ ἀπετάξαντο, μὴ ὑπαναχωρεῖν, εἰ μὴ ἐπιτραπῶσι παρὰ τοῦ Ἐπισκόπου δι' ἑτέρων ὠφέλειαν· δοῦλος δὲ, παρὰ γνώμην τοῦ δεσπότου, ἐν μοναστηρίῳ μὴ προσδεχέσθω ἐπὶ τῷ μονάσαι· Ὁ δὲ παραβαίνων τὰ ὁρισθέντα, ἔσται ἀκοινώνητος. χρὴ δὲ καὶ τὸν Ἐπίσκοπον τὴν δέουσαν πρόνοιαν τῶν μοναστηρίων ποιεῖσθαι.

C ΚΑΝΩΝ ε'.

Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν Ἐπισκόπων ἢ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων πατέρων ἔχειν τὴν ἰσχύν.

ΒΑΛΣ. Διαφόρως ἐξηγήθησαν τὰ τοῦ τοιούτου κανόνος, καὶ οὐ χρὴ περὶ τῶν ὀυτῶν ματαιοπονεῖν.

ΖΩΝΑΡ. Κανόνες διάφοροι τῶν ἁγίων ἀποστόλων περὶ τῆς ὑποθέσεως ταύτης εἰσὶν, οἳ καὶ ἐξηγήθησαν· ἀλλὰ μὴν καὶ διαφόρων συνόδων, οὓς καὶ κρατεῖν ὁ παρὼν
D κανὼν διατάττεται. τὸ γοῦν πάλιν τὰ αὐτὰ ἐξηγεῖσθαι περιττὸν, ἢ καὶ ματαιοπονία ἐστίν. ὁ δὲ βουλόμενος γνῶναι τί περὶ τῆς ὑποθέσεως ταύτης οἱ κανόνες ἐκεῖνοι ὁρίζουσι, ζητησάτω αὐτοὺς, καὶ γνώσεται τὰ ὁρισθέντα, καὶ πότε, καὶ πῶς Ἐπίσκοπος ἐκ τῆς ἰδίας πόλεως ἄπεισιν εἰς ἑτέραν.

ΑΡΙΣΤ. Οἱ μεταβαίνοντες ἐκ πόλεως εἰς πόλιν, τοὺς περὶ τούτων κανόνας ὑποπιπτέτωσαν.

Εἴρηται καὶ ἐν τῷ τρισκαιδεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ τολμᾶν Ἐπίσκοπον μεταβαίνειν ἐκ τῆς ἰδίας ἐπαρχίας εἰς ἑτέραν, καὶ χειροτονεῖν τινὰς, ἄνευ γνώμης τοῦ κατὰ χώραν Ἐπισκόπου, ἢ ἕτερόν τι ἐπισκοπικὸν δίκαιον πράττειν· εἰ μὴ βούλεται
E καὶ τὰ ὑπ' αὐτοῦ πραττόμενα ἄκυρα μένειν, καὶ αὐτὸν δίκην δοῦναι τῆς ἀταξίας αὐτοῦ, καθῃρημένον ἐντεῦθεν ὄντα ὑπὸ τῆς ἁγίας τριάδος. τοῦτο γοῦν καὶ ἐνταῦθα ὁ κανὼν οὗτος ὁρίζει.

ΚΑΝΩΝ ϛ'.

Μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, μήτε πρεσβύτερον μήτε διάκονον μήτε ὅλως τινὰ τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι· εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως ἢ κώμης, ἢ μαρτυρίῳ ἢ μοναστηρίῳ, ὁ χειροτονούμενος ἐπικηρύττοιτο. τοὺς δὲ ἀπολύτως χειροτονουμένους
F ὥρισεν ἡ ἁγία σύνοδος ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν ἐφ' ὕβρει τοῦ χειροτονήσαντος.

ΒΑΛΣ. Ὥσπερ χειροτονοῦνται οἱ ἀρχιερεῖς εἰς τήνδε τὴν ἐκκλησίαν, οὕτω φησὶν ὁ κανὼν χειροτονεῖσθαι καὶ τοὺς κληρικοὺς ἰδικῶς εἰς τόνδε τὸν ναὸν, ἢ εἰς τόδε τὸ μοναστήριον, καὶ μὴ ἀπολελυμένως· τὴν δὲ μὴ οὕτω γινομένην χειροτονίαν ἄκυρον εἶναι, καὶ τὸν παρὰ γνώμην τοῦ χειροτονήσαντος ἀλλαχοῦ ἐνεργήσαντα ἐφ' ὕβρει τούτου, μηδαμοῦ δύνασθαι ἐνεργεῖν. σημείωσαι δὲ ὅτι καὶ οἱ χειροτονούμενοι μοναχοὶ, κληρικοὶ λέγονται, καὶ τῷ κατὰ τόπον ὑπόκεινται Ἐπισκόπῳ, καὶ οὐκ ὀφείλουσι χωρὶς συστατικῆς γραφῆς καὶ ἀπολυτικῆς τοῦ Ἐπισκόπου εἰς ἑτέραν ἐνορίαν ἱερουργεῖν. ἀνάγνωσον καὶ τὸν η'. κανόνα τῆς παρούσης συνόδου. ἐπεὶ δέ τινες ἐκλαμβάνεσθαι λέγουσι τὸν κανόνα εἰς μόνους πρεσβυτέρους, διακόνους, καὶ ὑποδιακόνους, οὐ μὴν καὶ εἰς ἀναγνώστας, διὰ τὸ μὴ χειροτονεῖσθαι καὶ τούτους, κἀντεῦθεν δύνασθαι αὐτοὺς ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνειν, καὶ δίχα ἐπισκοπικῆς συστατικῆς γραφῆς καὶ ἀπολυτικῆς· φαμὲν ὅτι καὶ οἱ ἀναγνῶσται κληρικοί εἰσι, καὶ χειροθεσίαν ἀρχιερέων ἔχουσι, διὰ χειρὸς τοῦ ἀρχιερέως δηλαδὴ σφραγῖδα. καὶ πάντως κρατήσει καὶ ἐπὶ τούτοις ὁ κανών.

ΖΩΝΑΡ. Ἱερεῖς καὶ διακόνους, ἢ ὅλως τινὰ τῶν ἐντεταγμένων ἐν κλήρῳ διετάξατο ἡ σύνοδος αὕτη μὴ χειροτονεῖσθαι ἀπολελυμένως, ὥστε ὅπου βούλεται ἀπιέναι, καὶ ἱερουργεῖν, ἢ τινὰ ποιεῖν ἱερατικὴν τάξιν· ἀλλ' ἕκαστον χειροτονούμενον ἐν τῇδε τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἢ τῆς κώμης, ἢ τῷδε τῷ ναῷ τοῦ εἰς μάρτυρος οὑδήτινος ὄνομα ᾠκοδομημένῳ, ἢ τῷ μοναστηρίῳ ὀνομάζεσθαι. καὶ ὥσπερ νῦν ἕκαστον τῶν ἀρχιερέων τῆσδε τῆς πόλεως Ἐπίσκοπον ὁ χειροτονῶν αὐτὸν προβληθῆναι λέγει, οὕτως δὲ παλαιὸν πᾶς χειροτονούμενος τῆσδε τῆς ἐκκλησίας ἱερεὺς ἢ διάκονος, ἢ κληρικὸς ἁπλῶς ὠνομάζετο, εἰ καὶ νῦν τοῦτο πάντη καταπεφρόνηται. τοὺς δὲ οὕτω χειροτονουμένους μὴ ὠφελεῖσθαι ἐκ τῆς χειροθεσίας, ἡ ἁγία σύνοδος ὥρισεν. ἠρνήσατο γὰρ αὐτοῖς τὴν ἐνέργειαν, ὥστε μή τι ἱερατικὸν δίκαιον ἐνεργεῖν, καὶ τοῦτο ἐφ' ὕβρει τοῦ χειροτονήσαντος. οὕτω γὰρ ὕβρις ἦν ἐκείνου, τὸ τὸν ὑπ' αὐτοῦ χειροτονηθέντα ἀφαιρεθῆναι τὴν ἀπονεμηθεῖσαν αὐτῷ ἐνέργειαν παρὰ τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως, καὶ ὡς μὴ χειροτονηθέντα λογίζεσθαι.

ΑΡΙΣΤ. Ἐπὶ μαρτυρείοις, ἢ μοναστηρίοις, ἀλλ' οὐκ ἀπολύτως χειροτονήσεις· εἰ δὲ μὴ, ἀχειροτόνητος ὁ δῆθεν χειροτονούμενος.

Τὸν μέλλοντα γενέσθαι πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως ἐν ἐκκλησιαστικῷ τάγματι συγκαταλεγῆναι, μὴ ἄλλως παραδεχθῆναι εἰς χειροτονίαν, εἰ μὴ ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης ἢ μοναστηρίῳ εὑρίσκοιτο πρότερον ὑπὸ βαθμόν τινα τελῶν ἐκκλησιαστικὸν, καὶ δουλεύων ἐν αὐτῇ. Εἰ δὲ ἀπολελυμένος τὶς ὢν, πρεσβύτερος, ἢ διάκονος χειροτονηθῇ, μὴ ὢν ἐν ἐκκλησίᾳ ὑπό τινα βαθμὸν, οὐκ ὠφεληθήσεται ἐκ τούτου, ἀλλ' ἄκυρος ἔσται ἡ ἐπ' αὐτῷ χειροθεσία.

ΚΑΝΩΝ ζ'.

Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους καὶ μοναστὰς, ὡρίσαμεν μήτε ἐπὶ στρατείαν, μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι. ἢ τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματίζεσθαι.

ΒΑΛΣ. Μὴ ἐναντιωθῇς τῷ πγ'. κανόνι τῶν ἁγίων ἀποστόλων, λέγοντι μόνον καθαιρεῖσθαι τοὺς σχολάζοντας στρατείᾳ πρεσβυτέρους ἢ διακόνους, ἀλλ' εἰπὲ ὅτι ἐκεῖ μὲν μετὰ τοῦ ἱερατικοῦ σχήματος στρατιωτικαῖς ἐνησχολεῖτο δουλείαις ὁ ἱερωμένος· ἐνταῦθα δὲ τὴν ἱερὰν στολὴν ἀπέθετο καὶ ἐστρατεύσατο ἐπιθυμίᾳ κοσμικῆς ἀξίας. καὶ διὰ τοῦτο ἐκεῖ μὲν ὁ μὴ μετὰ παραγγελίαν ἐπιστρέφων καθαιρεῖται, ἐνταῦθα δὲ ὁ μὴ μεταμελόμενος ἀναθεματίζεται. τὴν γὰρ καθαίρεσιν αὐτὸς ἑαυτῷ ἐψηφίσατο, καὶ πρὸ καταδίκης ἀπογυμνώσας ἑαυτὸν τῆς ἱερᾶς στολῆς, καὶ λαϊκὸς γεγονώς. ἐπεὶ δὲ ἑρμηνεύοντες τὸν πγ'. ἀποστολικὸν κανόνα, εἴπομεν μὴ ἀπεντεῦθεν καθαιρεῖσθαι τὸν δημοσιακὰς δουλείας ἐνεργοῦντα, ἀλλὰ μετὰ παραγγελίαν, ἐρωτήσει τὶς, γενήσεται τοῦτο καὶ εἰς τὸν ἀποθέμενον τὴν ἱερὰν στολὴν καὶ στρατευσάμενον, ἢ καὶ πρὸ παραγγελίας ἀπεντεῦθεν ἀναθεματισθήσεται; οἴομαι

A ordinantur Monachi, dicuntur Clerici, & loci Epiſcopo ſubjiciuntur, & non debent ſine commendatitia & dimiſſoria Epiſcopi ſcriptura in alia regione ſacra celebrare. Lege etiam viii. Can. præſentis Syn. Quoniam autem dicunt nonnulli Canonem accipi de ſolis Presbyteris, Diaconis & Subdiaconis, non autem etiam de Lectoribus, eo quòd per manus impoſitionem non ordinentur, & ideo poſſe eos ex urbe in urbem tranſire, etiam ſine Epiſcopali ſcriptura dimiſſoria & commendatitia: dicimus etiam Lectores eſſe Clericos, & habere antiſtitis manuum impoſitionem, eam ſcilicet quæ per antiſtitis manus fit characteris dationem: & omnino in his etiam valebit hic B Canon.

Zonar. Sacerdotes & Diaconos abſolutè ordinari, aut alium quemvis hominem ita Clero adſcribi, ut ubicunque voluerit proficiſcatur ſacraque adminiſtret, aut ſacerdotalem aliquem exerceat functionem, hic Canon vetat. Sed unumquemque Eccleſiæ cuipiam urbanæ, aut oppidanæ, aut dicato martyribus templo, vel monaſterio nominatim addictum, ita demum ordinibus inſigniri jubet. Et ut nunc dierum quemlibet Antiſtitum certæ cujuſdam civitatis Epiſcopum, qui eum ordinat promoveri dicit, ſic quicunque olim ordinibus inſignitus eſſet, certæ cujuſdam Eccleſiæ Sacerdos, Diaconus, Clericusve C (quamvis hæc poſtea tota ratio ſit neglecta) ſimpliciter nuncupabatur. Qui ſic vero ordinantur, iis nihil prodeſſe manuum impoſitionem ſancta ſynodus decrevit, iis enim exercitium negavit, adeo ut nullum opus ſacrum peragant, in ejus qui ordines contulit contumeliam. Inuritur enim haud dubie collatori nota dedecoris, cum ei, cui ſacros ordines contulit, ab ipſo Antiſtite communicata obeundi ſacra miniſteria facultas eripitur, hominémq; eodem loco, ac ſi nunquam initiatus fuiſſet, haberi decernitur.

Arist. *In Martyriis vel Monaſteriis, ſed non abſolutè ordinabis. Alioquin qui ibidem ordinatur, pro non* D *ordinato habetur.*

Qui Presbyteri aut Diaconi aut alium quemcunque ordinem Eccleſiaſticum eſt ſuſcepturus, ne aliter ad ordinationem admittatur, niſi in civitatis aut pagi alicujus Eccleſiâ aut Monaſterio in aliquo gradu Eccleſiaſtico egiſſe, & in eâ inſerviiſſe priùs inveniatur. Si autem qui abſolutus eſt, Presbyter aut Diaconus ordinetur, cum non ſit ſub aliquo gradu in Eccleſiâ, nihil ex eo commodi capiet, ſed manuum in eum impoſitio irrita erit.

Canon VII.

E *Eos qui in Clero ſemel ordinati ſunt, & itidem Monachos, ſtatuimus nec ad militarem expeditionem, nec ad ſecularem dignitatem poſſe venire. Qui autem hoc audent, & non pœnitentia ducti ad id revertuntur, quod propter Deum priùs elegerant, anathematizari.*

Bals. Ne contrarium eſſe exiſtimens Canonem ſanctorum Apoſtolorum, Canoni lxxxiii. dicenti deponi ſolùm Presbyteros, vel Diaconos, qui militiæ vacant: ſed dic, quod illic quidem cum ſacerdotali amictu militaribus miniſteriis vacabat ſacerdos: hîc autem ſacrum veſtitum exuerat, & militaverat ſecularis dignitatis deſide- F rio. Et propterea illic quidem, niſi poſt denunciationem reverſus fuerit, deponitur: hîc autem is, quem non pœnitet, anathematizatur. Ipſe enim depoſitionis ſententiam in ſe tulit, qui ſe ſacra veſte etiam ante condemnationem exuit, & laicus factus eſt. Quoniam autem Apoſtolicum Canonem lxxxiii. interpretantes, ex eo ipſo diximus eum non deponi qui publica miniſteria obibat, ſed poſt denunciationem: interogaverit quiſpiam, fiet ne hoc etiam in eum qui ſacrum amictum exuit & militavit: an etiam ante denunciationem eſt ex eo ipſo anathematizatus? puto igitur quòd hic quoq; poſt denunciationem anathemathematizabitur, niſi convertatur. Vt autem hoc dicam A mihi perſuadent verba Canonis dicentis, anathematizari eos qui hoc malum audent, & non pœnitentia ducuntur, ut ad hoc convertantur, quod propter Deum priùs elegerant. Atque etiam lxxxiii. Canon Apoſtolicus ita eſt expoſitus, ex eo quod dicat expreſsè eum deponi qui vacat militiæ, & vult utrumque obtinere, & Romanum magiſtratum, & ſacerdotalem adminiſtrationem. Præter hæc autem ſcias quòd vii. & viii. novella Imperatoris domini Leonis Philoſophi ſtatuunt Clericos&Monachos, qui veſtitum mutaverunt, & laici facti ſunt, etiam invitos ad priorem habitum reverti. Quoniam autem cum hoc quoque neceſſario anathematizantur, ne ſic quidem Clerici B vel Monachi reputabuntur: ſed toto vitæ tempore in monaſterio includentur. Puto autem, quòd qui ſic mutato amictu militarunt, ut vult præſens Canon, punientur, qui autem non militarunt, mitiore aliquo ſupplicio afficientur. Sed tamen nihil ii ſacerdotale exercebunt. Lege lxii. Canonem ſanctorum Apoſtolorum, & ejus interpretationem.

Zonar. In eos qui retento Clerici habitu militiæ vacant, prophanóſque magiſtratus ambire non dubitant, depoſitionis pœna, octogeſimo tertio Apoſtolico Canone conſtituta fuit: quo loco etiam, quid ſit militiæ vacare C nos explicavimus: Hoc vero Canone de Monachis & Clericis, qui ſacro habitu rejecto, aut ornatum militarem, tanquam militiæ profeſſione cenſendi, aut prophanum alium, quaſi magiſtratus in Republica candidati ſumpſere, decernitur. Quos quidem, niſi mutato conſilio ad prioris vitæ rationi accommodato uſi fuerint, anathemate plecti jubet. Qui namque ſe ſacri ordinis dignitate ipſimet abdicaſſent, iſti non depoſitioni tanquam pænæ ſubjiciendi judicati ſunt: & idcirco graviori ſupplicio digni exiſtimantur.

D Arist. *Qui Clericus ſit aut Monachus ſi militiam aut dignitatem arroganter affectet, maledictus.*

Si qui monachi vel qui ſemel in Clero ſunt conſtituti vitam ſolitariam Clericamque deſerentes, & habitum immutantes, ad militiam tranſierint, & ſecularem adierint dignitatem, & facti eos non ita pœniteat, ut ad habitum illum convertantur quem priùs elegerant, anathematizentur. Concinit ergo præſenti Canoni etiam octava Imperatoris domini Leonis philoſophi novella, non permittens Monachis laici habitum reſumere. Verum conſtitutio xi. in ſexageſimo ſecundo capite tit. primi lib. E quarti Baſilic. poſita, & præſenti Canoni & iſti novellæ adverſatur.

Canon VIII.

Clerici ptochotrophiorum, monaſteriorum, & templorum martyrum, ſub poteſtate Epiſcoporum, qui ſunt in unaquaque civitate, ex ſanctorum patrum traditione permaneant, & non per arrogantiam ſe à proprio Epiſcopo, ſubducant. Qui hanc autem conſtitutionem evertere auſi fuerint: ſi ſint quidem Clerici, Canonum pœnis ſubjiciantur: ſi autem Monachi vel laici, ſint excommunicati. F

Bals. Vt eſt veriſimile, dicebant aliquando nonnulli, ſolos Epiſcopatus vel Metropolis Clericos regionis Epiſcopo ſubjici: Monachos autem vel etiam Clericos divinorum templorum, quæ ſunt in orphanotrophiis vel etiam gerocomiis, vel etiam in martyriorum Eccleſiis, Epiſcopo non ſubjici, etiamſi ſint in ejus diœceſi, ſed eis qui monaſteria & reliqua ædificarunt. Hanc ergo Canonibus repugnantem eorum orationem divini patres rejicientes, ſtatuerunt eos omnes eſſe in poteſtate Epiſcopi regionis, ſecundum ſanctorum patrum de eo traditionem:

οὖν ὅτι καὶ αὐτὸς μετὰ ἐπιφώνησιν ἀναθεματισθήσεται, εἰ μὴ ἐπιστρέψει. τοῦτο δὲ λέγειν πείθουσι με τὰ ῥήματα τοῦ κανόνος, τὰ λέγοντα ἀναθεματίζεσθαι τοὺς τολμῶντας τὸ τοιοῦτον κακὸν, καὶ μὴ μεταμελομένους, ὡς ἐπιστρέψαι ἐπὶ τοῦτο, ὃ διὰ Θεὸν πρότερον εἵλοντο. καὶ ὁ ῥηθεὶς δὲ πγʹ. ἀποστολικὸς κανὼν οὕτως ἡρμηνεύθη ἐκ τοῦ λέγειν ἐν μέρει καθαιρεῖσθαι τὸν σχολάζοντα στρατείᾳ, καὶ βουλόμενον ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν. ἐπὶ τούτοις γίνωσκε, ὅτι ἡ ζʹ. καὶ ηʹ. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου διορίζονται τοὺς κληρικοὺς καὶ τοὺς μοναχοὺς μετασχηματισθέντας, καὶ λαϊκοὺς γενομένους, καὶ ἄκοντας πρὸς τὸ πρότερον σχῆμα ἀποκατασταθῆναι. ἐπεὶ δὲ σὺν τούτῳ καὶ ἀναθεματίζονται ἐξ ἀνάγκης, οὐδὲ ὡς κληρικοὶ ἢ μοναχοὶ λογισθήσονται, ἀλλὰ διὰ βίου ἐγκλεισθήσονται εἰς μοναστήρια. οἴομαι δὲ ὅτι οἱ οὕτω μετασχηματισθέντες στρατευσάμενοι μὲν κατὰ τὸν παρόντα κανόνα κολασθήσονται, μὴ στρατευσάμενοι δὲ, ἄλλως πως μετριώτερον τιμωρηθήσονται, πλὴν ἱερατικόν τι οὐδὲ οὗτοι ἐνεργήσουσι. ἀνάγνωθι καὶ τὸν ξβʹ. κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ τὴν ἑρμηνείαν αὐτοῦ.

ΖΩΝΑΡ. Ὁ μὲν ὀγδοηκοστὸς τρίτος κανὼν τῶν ἁγίων ἀποστόλων περὶ τῶν μενόντων ἐν τῷ τῶν κληρικῶν σχήματι, στρατείᾳ δὲ σχολαζόντων, καὶ ἀρχὰς μετιόντων κοσμικὰς, διατάττεται, καὶ κελεύει καθαιρεῖσθαι αὐτοὺς, ἔνθα καὶ τί ἐστιν ἐκεῖ τὸ σχολάζειν στρατείαις ἡρμήνευται· ὁ δὲ παρὼν κανὼν περὶ μοναχῶν καὶ κληρικῶν διαλέγεται, ἀποδυσαμένων τὸ σχῆμα τὸ ἱερὸν, καὶ ἀμφιασαμένων στρατιωτικὸν ἔνδυμα ὡς στρατευσαμένων, ἢ πολιτικὸν, ὡς ἀξιώματος ἐπιθυμησάντων κοσμικοῦ, οὓς, εἰ μὴ μεταμεληθεῖεν, καὶ ἐπιστρέψοιεν εἰς τὸν βίον, ὅνπερ προείλοντο, καὶ σχῆμα τῷ βίῳ κατάλληλον ἀναλάβοιεν, αὖθις ἀναθεματίζεσθαι ὥρισεν. αὐτοὶ γὰρ ἑαυτοὺς τῆς ἀξίας τῆς γυμνώσαντες οὐκέτι καθαιρέσει ὑπαχθῆναι ὡς κολάσει ἐκρίθησαν. διὸ καὶ μείζονος κολάσεως ἐνομίσθησαν ἄξιοι.

ΑΡΙΣΤ. Ὁ κληρωθεὶς, ἢ μονάσας, εἰ ἐπὶ στρατείαν, ἢ ἀξίαν ἀπαυθαδιάσοι, ἐπάρατος.

Ἐὰν οἱ μονασταὶ, ἢ οἱ ἅπαξ ἐν κλήρῳ ταχθέντες, καταλιπόντες τὸν μονήρη βίον, ἢ τὸν ἐν κλήρῳ, καὶ τὸ σχῆμα μεταλλαξάμενοι, ἐπὶ στρατείαν μεταπέσωσιν, ἢ κοσμικὴν ἀξίαν μετέλθωσι, καὶ οὐ μεταμεληθῶσιν, ὥστε ἐπιστρέψαι ἐπὶ τὸ σχῆμα τοῦτο ὃ διὰ Θεὸν πρότερον εἵλοντο, ἀναθεματιζέσθωσαν. Συνᾴδει γοῦν τῷ παρόντι κανόνι καὶ ἡ ὀγδόη νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, μὴ συγχωροῦσα τοῖς μονασταῖς λαϊκοῦ σχῆμα ἀναλαμβάνειν· κἂν ἡ ἑνδεκάτη διάταξις ἡ ἐν τῷ ἑξηκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ πρώτου τίτλου τοῦ τετάρτου βιβλίου τῶν βασιλικῶν κειμένη, καὶ τῷ παρόντι κανόνι, καὶ τῇ νεαρᾷ ταύτῃ ἐναντιοῦται.

ΚΑΝΩΝ ηʹ.

Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρίων, ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει Ἐπισκόπων, κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν· καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου Ἐπισκόπου· οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν, εἰ μὲν εἶεν κληρικοὶ, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ, ἔστωσαν ἀκοινώνητοι.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἔλεγόν ποτέ τινες, μόνους τοὺς κληρικοὺς τῆς ἐπισκοπῆς ἢ τῆς μητροπόλεως ὑποκεῖσθαι τῷ κατὰ χώραν Ἐπισκόπῳ· τοὺς δὲ μοναχοὺς ἢ καὶ τοὺς κληρικοὺς τῶν ἐν τοῖς ὀρφανοτροφείοις καὶ γηροκομείοις θείων ναῶν ἢ καὶ τῶν ἐκκλησιῶν τῶν μαρτυρίων, μὴ ὑποκεῖσθαι τῷ Ἐπισκόπῳ, κἂν ὑπὸ τὴν ἐνορίαν τούτου ὦσιν, ἀλλὰ καὶ τοῖς δομήτορσι τῶν μοναστηρίων καὶ τῶν λοιπῶν. τὸν γοῦν τοιοῦτον ἀκανόνιστον αὐτῶν λόγον οἱ θεῖοι πατέρες ἀποσκευαζόμενοι, ὥρισαν πάντας τούτους ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ κατὰ χώραν Ἐπισκόπου κατὰ τὴν περὶ τούτου τῶν ἁγίων πατέρων παράδοσιν.

τοὺς

UMI

τοὺς δὲ τολμῶντας ἀνατρέπειν τοῦτο, ἤγουν θέλοντας μὴ ὑποκεῖσθαι αὐτοὺς τῷ Ἐπισκόπῳ, κληρικοὺς μὲν ὄντας ἐπιτιμᾶσθαι παρὰ τοῦ Ἐπισκόπου κατὰ τὸ δοκοῦν αὐτῷ, μονάζοντας δὲ ἢ λαϊκοὺς, ἀκοινωνήτους εἶναι, ἤγουν ἀφωρισμένους. πτωχεῖα δὲ λέγονται, πάντα τὰ εἰς πτωχῶν πρόνοιαν ἀφορισθέντα. οἱ γοῦν σήμερον λέγοντες μοναχοὶ ἢ κληρικοὶ μὴ ὑποκεῖσθαι τῷ πατριάρχῃ ἢ τῷ ἐγχωρίῳ Ἐπισκόπῳ, ὡς ἀπὸ ἐλευθέρας μονῆς ἢ ἐκκλησίας ὄντες, προβαλλόμενοι δῆθεν καὶ κτιτορικῶν τυπικῶν διατάγματα, τί πρὸς ταῦτα ἀπολογήσονται; πάντως οὐδέν. κἂν γὰρ δομήτωρ τις μοναστηρίου ἢ ἐκκλησίας, ἐν τυπικῷ ἢ διατάξει αὐτοῦ διορίσηται μὴ ὑποκεῖσθαι τοὺς μοναχοὺς ἢ τοὺς κληρικοὺς τούτων τῷ κατὰ χώραν Ἐπισκόπῳ, οὐκ εἰσακουσθήσεται, ὡς τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ὑπεναντίως διαταξάμενος, καὶ ἀνυπόστατα γράψας. περὶ δὲ τῶν διαταττομένων παρὰ τῶν βασιλέων χάριν τῶν παρὰ τούτων κτιζομένων μοναστηρίων καὶ ἐκκλησιῶν, ζήτει τὸν τῆς παρούσης συνόδου ς'. καὶ ιζ'. κανόνα.

ΖΩΝΑΡ. Πάντας τοὺς ἐν ταῖς ἐκκλησίαις καὶ πόλεσι κληρικοὺς καὶ ταῖς τούτων ἐνορίαις μοναχοὺς οἱ θεῖοι κανόνες τοῖς Ἐπισκόποις ὑπείκειν κελεύουσι. διὸ καὶ ὁ παρὼν κανὼν τοὺς τῶν πτωχείων κληρικοὺς τῷ Ἐπισκόπῳ ὑπέταξε, πτωχεῖα δέ εἰσι τὰ εἰς πτωχῶν ἀφωρισμένα πρόνοιαν καὶ διοίκησιν, τὰ γηροκομεῖα δηλονότι, ὀρφανοτροφεῖα, καὶ τὰ τοιαῦτα, ἐν οἷς καταπαθεῖς ἀνάκεινται, καὶ τρέφονται. ἵνα γὰρ μὴ οἱ ἐν αὐτοῖς ἀνακείμενοι εὐχῶν εἶεν ἀμέτοχοι, μὴ δυνάμενοι εἰς τὰς ἐν ἐκκλησίαις συνάξεις ἀπιέναι διὰ γήρως βαθέος βαρύτητα, ἢ πηρώσεις σωματικὰς, ἢ νόσους, πρόνοιαν ἔθεντο οἱ τῶν πτωχείων δομήτορες, ναούς τε ἐν αὐτοῖς ἀνεγεῖραι, καὶ κληρικοὺς κατατάξαι, ἵν' ἐκτελῆται παρ' αὐτῶν ἡ πρὸς τὸ θεῖον ὑμνῳδία, καὶ οἱ ἐν αὐτῇ ἀνακείμενοι ἀταλαιπώρως ταύτης ἀκούωσι. καὶ τοὺς τοιούτους τοίνυν κληρικοὺς, καὶ τοὺς τῶν μαρτυρίων τῶν ἐπ' ὀνόματι μαρτύρων οἰκοδομηθέντων ναῶν, τῷ κατὰ χώραν Ἐπισκόπῳ ὑποκεῖσθαι ἡ παροῦσα κελεύει σύνοδος. ἀλλὰ καὶ τοὺς τῶν μοναστηρίων. τῷ ὀνόματι δὲ τῶν κληρικῶν, καὶ τοὺς ἐν μοναστηρίῳ ὄντας ἱερωμένους διέλαβεν, ὅτι μηδένα χειροτονεῖσθαι ἀπολελυμένως ἡ τοιαύτη σύνοδος ὥρισεν ἐν τῷ ἕκτῳ κανόνι. ἐπεὶ οὖν καὶ οἱ μοναχοὶ χειροτονούμενοι, τῆς μονῆς τῆσδε ὀνομάζονται ἱερεῖς ἢ διάκονοι, καὶ ἐφεξῆς οἱ τῶν κατωτέρων ταγμάτων, εἰκότως κεκληρῶσθαι ἕκαστοι τῇ μονῇ, ᾗ ὀνομάσθησαν, ἐνομίζοντο, καὶ κληρικοὺς καὶ αὐτοὺς οἱ τῆς συνόδου θεῖοι πατέρες ἐκάλεσαν. τούτους οὖν ἅπαντας ὑποκεῖσθαι κελεύει τῷ Ἐπισκόπῳ, μηδὲ ἀφηνιάζειν, ἀντὶ τοῦ, τῆς ἐξουσίας ἐκείνου ἐκφεύγειν τε καὶ ἀποσκιρτᾷν, ὥσπερ πῶλος ἀποπτύσας τὸν χαλινόν· τοῦτο γὰρ ἡ ἡνία· τοὺς δὲ παραβαίνοντας τὸν κανόνα, κληρικοὺς μὲν ὄντας, κανονικοῖς ἐπιτιμίοις ὑπέθετο τῇ τοῦ Ἐπισκόπου ἐξουσίᾳ καὶ διακρίσει καταλιπὼν τὴν τῶν ἐπιτιμίων ποιότητα. μοναχοὺς δὲ ὄντας, ἢ λαϊκοὺς ἀκοινωνήτους εἶναι ὡρίσατο. πῶς δὲ περὶ κληρικῶν διαλεγόμενος ὁ κανὼν λαϊκῶν ἐμνήσθη; οἶμαι τοίνυν τοιαύτην εἶναι τὴν ἔννοιαν τῶν πατέρων, τοὺς κληρικοὺς μὴ ἐφ' ἑαυτῶν τολμᾷν καταναιδεύεσθαι τῶν ἀρχιερέων ἔκριναν καὶ ἀποσκιρτᾷν τῆς ἐξουσίας αὐτῶν· ἀλλ' ἴσως δυνατοῖς πεποιθότας τισὶ θάρσος ἐκείνοις περιποιοῦσιν ἐκ τῆς σφῶν δυναστείας, ἢ μᾶλλον θράσος πρὸς τὴν αὐθάδειαν, κἀκείνους οὖν τῇ ἀκοινωνησίᾳ ὑπάγει.

ΑΡΙΣΤ. Ὁ ἐν πτωχείῳ, ἢ σεμνείῳ κληρικὸς, βλεπέτω τὴν ἐξουσίαν τοῦ Ἐπισκόπου τῆς πόλεως· ὁ δὲ τούτου ἀφηνιάζων, γινωσκέτω τὸ ἐπιτίμιον.

Ὑποκεῖσθαι καὶ οὗτοι ὀφείλουσι τῇ ἐξουσίᾳ τοῦ Ἐπισκόπου τῆς πόλεως· εἰ δὲ οὐ πείθονται κατ' οἰκείαν αὐθάδειαν ὑπ' αὐτὸν τελεῖν, τοῖς τῶν κανόνων ἐπιτιμίοις ὑποπεσοῦνται.

A Eos autem qui hoc evertere audeant, vel nolint Epiſcopo ſubjici; ſi ſint quidem Clerici, ab Epiſcopo puniri, prout ei viſum fuerit: ſi autem monachi vel Laici ſint, excommunicatos eſſe ſeu ſegregatos. Ptocheia verò dicuntur omnia, quæ ſunt deſignata, ut mendicis provideatur. Clerici ergo vel monachi, qui dicunt hodie ſe Patriarchæ vel regionis Epiſcopo non eſſe ſubjectos, tanquam ſint liberæ manſionis vel Eccleſiæ, proferentes utique etiam à fundatoribus factorum ſtatutorum ordinationes, quid ad hæc reſpondebunt? omnino nihil. Etiamſi enim quis fundator monaſterii, vel Eccleſiæ, in ſtatutis ſuis, vel ordinatione ſua decreverit, non ſubjici eorum Mona- B chos vel Clericos regionis Epiſcopo, non audietur, ut qui divinis ſacriſque Canonibus contraria ſtatuerit, & quæ ſtare non poſſunt, ſcripſerit. De iis autem quæ ab Impp. ordinantur, propter ea quæ à ſe extruuntur monaſteria & Eccleſias, quære præſentis ſynodi Can. vi. & xvii.

Z o n a r. Quicunq; Eccleſias vel urbes, vel attinentes urbi regiones Clerici, aut Monachi colunt, Epiſcoporum auctoritati ſubjecti eſſe decreto divinorum Canonum omnes jubentur. Quocirca & hic Canon Ptocheiorum Clericos Epiſcopo ſubjicit. Sunt vero Ptocheia domus quæ pauperibus ſuſtentandis curandiſve deſtinatæ ſunt, C quales eæ videlicet, in quas aut pupilli, aut alii ætate variiſq; morborum generibus confecti homines recipi, & ali ſolent. Ne iis enim, qui in illis accumbunt, precationum omni fructu carere neceſſe foret, per effœtam ſenectutem aut mutilati corporis debilitatem, aut morbos, Eccleſias, quique in iis celebrantur conventus, adeundi erepta poteſtate; curam habuerunt hoſpitalium domorum conditores, & in eis ædiculas excitare, & divinis laudibus perſolvendis Clericos conſtituere, ut ad eas auſcultandas tota illa qualiſcunque familia non difficile conveniret. Eos igitur Clericos, quique in martyriis, templis ſcilicet martyrum nomini dicatis, agunt, ſuæ quemque regionis Epiſco- D po ſubjectos eſſe ſynodus præſens jubet. Quin & idem de monaſteriorum quoq; Clericis ſtatuit. Nomine vero Clericorum etiam eos, qui ſunt in Monaſteriis, conſecratos indicavit. Cùm enim quenquam ad ſacros ordines admitti, niſi certæ cuidam Eccleſiæ addictum hujus ſynodi ſexto Canone vetitum ſit, proindeq; quicunque ordinibus inſigniti Monachi forent, certi alicujus monaſterii Sacerdotes, aut Diaconi, aut deinceps, ſui quiſq; ordinis nomine, dicerentur; idcirco ejuſdem monaſterii Clero adſcripti quodammodo putabantur, eoſq; ſynodi ſancti Patres hoc loco Clericorum appellatione complexi ſunt. Sint igitur E illi omnes, inquit Canon, Epiſcopo ſubjecti, neq; habenas excutiant, hoc eſt, Epiſcopi imperium detrectent & reluctentur, ut Equuleus reſpuens frænum; hoc enim eſt ἡνία. Quicunq; porro hujus decreti conſtitutionem violarint, ſi quidem Clerici ſint, Canonicis pœnis Epiſcopi poteſtate ac judicio eligendis ſubjicit; ſi vero Monachi, aut Laici, communione privatos eſſe decernit. Sed cùm Clericos tantum hæc conſtitutio attingat, quomodo Laïcorum quoque mentio injecta eſt? Patrum igitur eam mentem fuiſſe arbitror, ut Clericos ſua ſponte Antiſtitibus per impudentiam obſiſtere, eorumq; auctoritati adverſari nunquam auſuros eſſe exiſtimarent; ſed fortaſſis è quibuſdam F potentioribus per poteſtatem ſuam fiduciam illis, vel potiùs audaciam ad ſuperbiam uſque evectam, ingenerantibus perſuaſos; proinde illos quoque excommunicationi ſubjicit.

A r i s t. *Qui in Ptocheio aut Monaſterio degit Clericus, Epiſcopi civitatis autoritati ſe ſubmittat: Qui vero excuſſis habenis ab eo reſilit, pœnam luat.*

Et hi Epiſcopi civitatis auctoritati ſubjici debent. Si autem per arrogantiam ſuam ei ſe ſubmitere non perſuadeantur, Canonum ſuppliciis ſubjicientur.

CANON IX. A

Si quis Clericus habeat cum Clerico litem, proprium Epiſcopum ne relinquat, & ad ſecularia judicia ne excurrat: ſed cauſam prius apud proprium Epiſcopum agat: vel Epiſcopi voluntate apud eos, quos utraque pars elegerit, judicium agitetur. Si quis autem præter hæc fecerit, Canonicis pœnis ſubjiciatur. Si Clericus autem cum proprio vel etiam alio Epiſcopo litem habeat, à provinciæ Synodo judicetur. Si autem cum ipſius provinciæ metropolitano Epiſcopus vel Clericus controverſiam habeat, diœceſis exarchum adeat, vel Imperialis urbis B *Conſtantinopolis thronum, & apud eum litiget.*

BALS. Poſtquam definiiſſent ſancti patres, omnes Clericos regionis Epiſcopo ſubjici (Clericorum autem nomine etiam Monachi continentur) per præſentem Canonem inferunt non licere Clerico apud judicium civile adverſus Clericum actionem intendere, ſed apud proprium Epiſcopum: vel ejus voluntate, apud eos quos partes voluerint, qui tamen debent eſſe idonei, id eſt, Eccleſiaſtici. Eſt enim veriſimile, futurum ut nolit quandoq; Epiſcopus cauſam audire juſta aliqua de cauſa. Eum autem C qui præter hæc facturus eſt, Canon Canonicis pœnis ſubjicit. Et hæc quidem ita ſe habent, quando unius regionis duo Clerici inter ſe invicem habent controverſiam. Si autem Clericus habet actionem adverſus proprium Epiſcopum, vel adverſus alium Epiſcopum, examinabitur cauſa apud idoneum provinciæ Metropolitanum. Si autem Epiſcopus vel metropolitani Clericus habet actionem adverſus metropolitanum, decernit Canon ut de cauſa cognoſcat, vel diœceſis exarchus, vel patriarcha Conſtantinopolitanus. Debemus ergo dicere, quòd ſi quis Clericus adverſus Clericum vel Epiſcopum vel Metropolitanum agere velit, forum rei ſecundum leges ſequatur. D Clerici enim & Monachi apud regionis Epiſcopum trahentur, Epiſcopus apud Metropolitanum, Metropolitanus apud Patriarcham: & non licebit, verbi gratia, Clerico Epiſcopatus Athyræ apud Heracleæ Metropolitanum adverſus conclericum ſuum actionem intendere: ſed ut ſuperius dictum eſt, facere cogetur. Interrogabit autem quiſpiam, ſi Clericus noluerit apud proprium Epiſcopum cum ſynclerico litigare, ſed apud metropolitanum actionem intenderit, num cauſa cadet & propriam actionem amittet: quod quidem futurum eſt, ſi eum ad judicium ſeculare traxerit? Solutio. Cauſa quidem non cedet, ut qui non ad civile judicium actionem intentaverit: ſed ſecundum præſentem Canonem in eum E animadvertetur. Nec tibi contrarium eſſe putetur vi. cap. primi tit. iii. lib. Baſilic. dicens: Apud Patriarcham quoque primum actionem quiſpiam intendere poteſt, & petere per literas ejus ſibi dari judicem aliquem loci Epiſcoporum, cujus recuſata ſententia patriarcha rurſus judicabit. Sed lege præſentem Canonem diligenter, xv. Can. Carth. Syn. vi. ii. Syn. & i. cap. ix. tit: præſentis operis, & quæ in eo ſunt: quæ quidem apparentem contrarietatem diſſolvunt. Quod autem hîc dictum eſt, Vel Epiſcopi voluntate, apud eos quos utraque pars voluerit, judicium agitetur, ne dicas accipi de judice eligendo, F qui juriſdictionem non habet; eum enim partium voluntas judicem facit & pœnæ ſtipulatio, quod quidem ex præſenti Canone non apparet: ſed de judice, qui habet Eccleſiaſticam juriſdictionem, ſed non eſt partibus idoneus. Quamobrem, qui præter proprii Epiſcopi voluntatem apud non competens judicium litigare elegerit, etiamſi ſit Eccleſiaſticus ſecundum præſentem Canonem punietur. Provinciæ autem exarchus eſt, ut mihi quidem videtur, non uniuſcujuſque provinciæ Metropolitanus, ſed Metropolitanus totius diœceſis. Diœceſis autem eſt, quæ multas ſub ſe habet provincias. Hoc au-

ΚΑΝΩΝ θʹ.

Εἴ τις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχοι, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον Ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ δικαστήρια μὴ κατατρεχέτω· ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ Ἐπισκόπῳ, ἤγουν γνώμῃ αὐτοῦ τοῦ Ἐπισκόπου παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωνται τὰ τῆς δίκης συγκροτείσθω. εἰ δέ τις παρὰ ταῦτα ποιήσοι, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. εἰ δὲ καὶ κληρικὸς πρᾶγμα ἔχοι πρὸς τὸν ἴδιον ἢ καὶ πρὸς ἕτερον Ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω. εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην Ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω.

ΒΑΛΣ. Ὁροθετήσαντες οἱ ἅγιοι πατέρες πάντας τοὺς κληρικοὺς ὑποκεῖσθαι τῷ κατὰ χώραν Ἐπισκόπῳ· (τῷ ὀνόματι δὲ τῶν κληρικῶν καὶ οἱ μοναχοὶ περιέχονται) ἐπάγουσι διὰ τοῦ παρόντος κανόνος μὴ ἔχειν ἐπ' ἀδείας κληρικὸν παρὰ πολιτικῷ δικαστηρίῳ ἐνάγειν κατὰ κληρικοῦ, ἀλλὰ παρὰ τῷ ἰδίῳ Ἐπισκόπῳ, ἢ κατὰ γνώμην τοῦ Ἐπισκόπου, παρ' οἷς ἂν τὰ μέρη θελήσωσιν, ὀφείλουσι εἶναι πάντως προσφόροις, ἤγουν ἐκκλησιαστικοῖς. εἰκὸς γάρ ἐστι μὴ θέλειν τὸν Ἐπίσκοπον ἀκροάσασθαι τῆς ὑποθέσεως διά τινα εὔλογον αἰτίαν· τὸν δὲ παρὰ ταῦτα ποιήσαντα, κανονικοῖς ἐπιτιμίοις ὑποβάλλει ὁ κανών. καὶ ταῦτα μὲν ὅτε δύο κληρικοὶ μιᾶς ἐνορίας κατ' ἀλλήλων δικαστήρια ἔχωσιν. εἰ δὲ κληρικὸς ἔχει ἀγωγὴν κατὰ τοῦ ἰδίου Ἐπισκόπου, ἢ καθ' ἑτέρου Ἐπισκόπου, τὰ τῆς ὑποθέσεως ἐξετασθήσονται παρὰ τῷ προσφόρῳ μητροπολίτῃ τῆς ἐπαρχίας. εἰ δὲ κατὰ μητροπολίτου ἔχει ἀγωγὴν Ἐπίσκοπος ἢ κληρικὸς μητροπολίτου, διορίζεται ὁ κανὼν δικάζειν τὴν ὑπόθεσιν, ἢ τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν πατριάρχην Κωνσταντινουπόλεως. ὀφείλομεν οὖν λέγειν ὡς εἴ τις κληρικὸς μέλλει γυμνάσαι ὑπόθεσιν κατὰ κληρικοῦ ἢ Ἐπισκόπου ἢ μητροπολίτου, τῷ φόρῳ τοῦ ἀναγομένου κατὰ νόμους ἀκολουθείτω. οἱ μὲν γὰρ κληρικοὶ καὶ μοναχοὶ παρὰ τῷ ἐγχωρίῳ Ἐπισκόπῳ ἑλκυσθήσονται, ὁ Ἐπίσκοπος παρὰ τῷ μητροπολίτῃ, καὶ ὁ μητροπολίτης παρὰ τῷ πατριάρχῃ. καὶ οὐκ ἔσται ἄδειαν τυχὸν κληρικῷ τῆς ἐπισκοπῆς τοῦ Ἀθύρα παρὰ τῷ μητροπολίτῃ Ἡρακλείας ἐναγαγεῖν κατὰ συγκληρικοῦ αὐτοῦ, ἀλλ' ὡς ἄνωθεν εἴρηται, ποιῆσαι ἀναγκασθήσεται. ἐρωτήσει δέ τις, ἐὰν κληρικὸς οὐ θελήσῃ παρὰ τῷ ἰδίῳ Ἐπισκόπῳ δικάσασθαι μετὰ συγκληρικοῦ αὐτοῦ, ἀλλὰ παρὰ τῷ μητροπολίτῃ ἐνάγῃ, ἐκπεσεῖται τῆς οἰκείας ἐναγωγῆς, ὅπερ ἔμελλε παθεῖν εἴπερ εἰς κοσμικὸν δικαστήριον εἵλκυσε τοῦτον; Λύσις. οὐκ ἐκπέσῃ μὲν τῆς οἰκείας ὑποθέσεως, ὡς μὴ ἐναγαγὼν εἰς πολιτικὸν δικαστήριον· ἐπιτιμηθήσεται δὲ κατὰ τὸν παρόντα κανόνα. μὴ ἐναντιωθῇ δέ σοι τὸ ϛʹ. κεφάλ. τοῦ αʹ. τίτλου τοῦ γʹ. βιβλίου τῶν βασιλικῶν, λέγον, δυνατὸν καὶ παρὰ τῷ πατριάρχῃ πρῶτον αἰτιάσασθαι, καὶ αἰτεῖν διὰ γραμμάτων αὐτοῦ, δοθῆναι τινὰ δικαστὴν τῶν κατὰ τόπον Ἐπισκόπων· οὗ παραιτηθείσης τῆς ψήφου, πάλιν ὁ πατριάρχης δικάζει. ἀλλὰ ἀνάγνωσον μετ' ἐπιστασίας τὸν παρόντα κανόνα, τὸν ιεʹ. τῆς ἐν Καρθαγένῃ συνόδου, τὸν ϛʹ. τῆς βʹ. συνόδου καὶ τὸ αʹ. κεφάλ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, λύοντα τὸ ἐναντιοφανές. τὸ δὲ εἰρημένον ἐνταῦθα, ἤγουν γνώμῃ τοῦ Ἐπισκόπου, παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωνται τὰ τῆς δίκης συγκροτεῖσθαι, μὴ εἴπῃς περὶ αἱρετοῦ δικαστοῦ ἐκλαμβάνεσθαι, μὴ ἔχοντος δικαιοδοσίαν· τοῦτον γὰρ θέλησις τῶν μερῶν ποιεῖ δικαστὴν καὶ ἐπερώτησις προστίμου, ὅπερ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἀναφαίνεται· ἀλλὰ περὶ δικαστοῦ ἔχοντος δικαιοδοσίαν ἐκκλησιαστικήν, ἀπροσφόρου δὲ ὄντος τοῖς μέρεσιν. ὥστε ὁ δίχα γνώμης τοῦ ἐγχωρίου Ἐπισκόπου καταδεξάμενος κληρικὸν παρ' ἀπροσφόρῳ δικαστηρίῳ δικάσασθαι, κἂν ἐκκλησιαστικὸς ἐστι, ἐπιτιμηθήσεται κατὰ τὸν παρόντα κανόνα. ὁ μέντοι ἔξαρχος τῆς διοικήσεως ἐστὶν ὡς ἐμοὶ δοκεῖ οὐχ' ὁ ἑκά-

στης:

A στης ἐπαρχίας μητροπολίτης, ἀλλ' ὁ τῆς ὅλης διοικήσεως μητροπολίτης. διοίκησις δέ ἐστιν ἡ πολλὰς ἐπαρχίας ἔχουσα ἐν ἑαυτῇ. τοῦτο δὲ τὸ τῶν ἐξάρχων προνόμιον σήμερον οὐκ ἐνεργεῖ. κἂν γὰρ λέγονται ἔξαρχοί τινες τῶν μητροπολιτῶν, ἀλλὰ τοὺς ἐν ταῖς διοικήσεσιν ὄντας ἑτέρους μητροπολίτας οὐκ ἔχουσιν ὅλως ὑποκειμένους αὐτοῖς. ἔοικεν οὖν ἑτέρους τινὰς εἶναι κατὰ τοὺς τότε καιροὺς, ἐξάρχους τῶν διοικήσεων, ἢ τούτους μὲν εἶναι, ἀπρακτῆσαι δὲ τὰ ὑπὸ τῶν κανόνων δοθέντα τούτοις προνόμια.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς πράγματα πρὸς ἀλλήλους ἔχοντας, δίκας δηλονότι καὶ ὑποθέσεις, βούλεται ὁ κανὼν B παρὰ τῷ ἰδίῳ Ἐπισκόπῳ ταύτας γυμνάζειν, καὶ μὴ ἀπιέναι ἐπὶ κοσμικὰ δικαστήρια, τοῦτο γὰρ εἰς καταφρόνησιν καὶ ὕβριν τοῦ Ἐπισκόπου ἐστίν. ἢ τέως γνώμῃ τοῦ Ἐπισκόπου, ἤτοι αὐτοῦ ἐπιτρέποντος, παρ' οἷς τὰ ἀντίθετα μέρη ἀρέσκονται ζητεῖσθαι τὰς ὑποθέσεις. τοὺς δὲ μὴ φυλάσσοντας τὴν τοῦ κανόνος διαταγὴν, ἐπιτιμᾶσθαι κανονικῶς παρὰ τῶν Ἐπισκόπων αὐτῶν. ταῦτα μὲν ὅτε πρὸς ἀλλήλους δικάζονται οἱ κληρικοί· εἰ δὲ κληρικοὶ τῷ ἰδίῳ Ἐπισκόπῳ ἢ ἑτέρῳ, καὶ δίκην ἐνιστῶσι κατ' αὐτοῦ, τοὺς τῆς ἐπαρχίας ἐκείνης Ἐπισκόπους καθίζει δικαστὰς ὁ κανών. συνιόντες καὶ ἀκροάσονται τῶν ὑποθέσεων, καὶ ψηφίσονται. εἰ δὲ πρὸς τὸν Μητροπολίτην τῆς ἐπαρχίας ἔχει πρᾶγμα, ἤγουν ἀμφιβολίαν τινὰ, καὶ δίκην Ἐπίσκοπος, ἢ κληρικὸς, C τὸν τῆς διοικήσεως ἐκείνης, παρ' ᾗ καὶ οἱ ἀμφισβητοῦντές εἰσιν, ἔξαρχον βούλεται ὁ κανὼν διαιτητὴν τῆς ὑποθέσεως γίνεσθαι, ἢ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον. ἐξάρχους δὲ τῶν διοικήσεων, τοὺς πατριάρχας εἶναι φασίν· ἄλλοι δὲ τοὺς Μητροπολίτας. πλατύτερον δὲ τὰ περὶ τούτου ἐν τῷ ιζ΄. κανόνι εἴρηται.

ΑΡΙΣΤ. Κληρικοὶ διαδικαζόμενοι, εἰ ἀφέντες τὸν Ἐπίσκοπον, κοσμικοῖς κριτηρίοις προσέλθωσι, κανονικῶς εὐθυνέσθωσαν. καὶ κληρικὸς Ἐπισκόπου διαφερόμενος, μενέτω τὴν σύνοδον· καὶ μητροπολίτου Ἐπίσκοπος, τὸν Κωνσταντινουπόλεως ἐξαιτείτω. D

Οὐ δεῖ κληρικὸν, ἔχοντα κατὰ κληρικοῦ, δικάζεσθαι παρὰ κοσμικοῖς δικασταῖς, ἀλλὰ παρὰ τοῦ ἰδίου Ἐπισκόπου. εἰ δὲ τὸν οἰκεῖον οὗτος ἀφεὶς Ἐπίσκοπον, κοσμικοῖς προσέλθοι δικαστηρίοις, κανονικῶς ἐπιτιμηθήσεται· ὥσπερ δὴ καὶ κατὰ Ἐπισκόπου ἔχων ὁ κληρικὸς, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὀφείλει δικάζεσθαι· ἀλλὰ καὶ Ἐπίσκοπος, ἢ κληρικὸς, εἰ κατὰ μητροπολίτου ἔχει τινὰ ὑπόθεσιν, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἤτοι τῷ πατριάρχῃ, ὑφ' ὃν τελοῦσιν οἱ τῶν ἐπαρχιῶν ἐκείνων μητροπολῖται, δικάζεσθαι· ἢ παρὰ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως· E ὅπερ προνόμιον οὐδενὶ τῶν ἄλλων πατριαρχῶν ἐδόθη, οὔτε ἀπὸ τῶν κανόνων, οὔτε ἀπὸ τῶν νόμων, τὸ δικάζεσθαι μητροπολίτην τελοῦντα ὑφ' ἕτερον πατριάρχην παρὰ πατριάρχῃ ἑτέρῳ εἰ μὴ μόνῳ τῷ Κωνσταντινουπόλεως.

ΚΑΝΩΝ ι΄.

Μὴ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων κατὰ ταυτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε τὴν ἀρχὴν ἐχειροτονήθη, καὶ ἐν ᾗ προσέφυγεν, ὡς μείζονι δῆθεν, διὰ δόξης κενῆς ἐπιθυμίαν· τοὺς δέ γε τοῦτο ποιοῦντας ἀποκαθίστασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ, ἐν ᾗ τὴν ἀρχὴν ἐχειροτονήθησαν, κἀκεῖ μόνον F λειτουργεῖν· εἰ μέντοι ἤδη τις μετετέθη ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς προτέρας ἐκκλησίας, ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρίων ἢ πτωχείων ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασιν. τοὺς δέ γε τολμῶντας, μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου πράττειν τι τῶν νῦν ἀπηγορευμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ.

ΒΑΛΣ. Τινὲς δοξομανοῦντες κληρικοὶ μεθίστανται ἀπὸ πόλεων μικροτέρων εἰς ἑτέρας μείζονας πόλεις, τυχὸν ἀπὸ τοῦ Ἀθύρα εἰς Ἡράκλειαν. φησὶν οὖν ὁ κανὼν μὴ ἔχειν

tem exarchorum privilegium non eſt hodie in uſu. Etſi enim dicuntur exarchi quidam ex Metropolitanis, ſed tamen alios Metropolitanos, qui ſunt in diœceſibus, non habent omnino ſibi ſubjectos. Eſt ergo veriſimile alios tunc temporis fuiſſe exarchos diœceſum, vel eſſe quidem adhuc ipſos, ſed quæ eis data ſunt à Canonibus privilegia exoleviſſe.

Zonar. Negotia, lites nimirum & controverſias, ſi quæ inter Clericos exortæ ſint, coram Epiſcopo proprio agitari Canon decernit; non autem apud ſeculares judices, quoniam id in ipſius Epiſcopi contemptum & contumeliam cedit; aut interim voluntate Epiſcopi, ſive ipſo conſentiente, coram quibus communi conſilio utraq; pars elegerit cauſas tranſigi. Quique conſtitutionem hanc violarint, canonicis ab Epiſcopis ſuis pœnis mulctari jubet. Atque hæc quidem, cum inter ſe judicio Clerici confligantur. Quòd ſi vel ſuo vel alteri cuipiam Epiſcopo Clerici actionem intendant, illius provinciæ Epiſcopos in iſto caſu judices Canon conſtituit; qui congregati quæſtionem audient & definient. Sin autem cum provinciæ Metropolitano aliquid habeat Epiſcopus aut Clericus negotii ſive controverſiæ, & actionis, ad diœceſeos in quâ litigantes habitant Exarchum, vel Conſtantinopolitanæ urbis Archiepiſcopum, arbitrium totius cauſæ deferendum. Exarchorum porro diœceſanorum nomine nonnulli Patriarchas, alii Metropolitanos intelligi volunt. Sed de his fuſius decimo ſeptimo Canone agemus.

Arist. *Clerici litigantes, ſi relicto Epiſcopo ad ſecularia judicia ſe conferant, Canonicè puniantur. Et Clericus cum Epiſcopo contendens, Synodum expectet, & Epiſcopus cum Metropolitano, ad Conſtantinopolitanum provocet.*

Non oportet Clericum, qui contra alium Clericum aliquid habet, à judicibus ſecularibus judicari, ſed à proprio Epiſcopo. Si proprium autem relinquens Epiſcopum ſecularia judicia adiverit, Canonicis pœnis ſubjiciatur. Similiter autem & contra Epiſcopum ſi quid habuerit Clericus à provinciali ſynodo judicari debet. Sed & Epiſcopus aut Clericus ſi contra Metropolitanum cauſam aliquam habuerit, vel apud diœceſeos Exarchum, ſive patriarcham cui ſubſunt provinciarum illarum Metropolitani litigare debet, vel apud patriarcham Conſtantinopolitanum. Quod quidem privilegium nemini aliorum Patriarcharum conceſſum fuit, nec à Canonibus nec à legibus, ut Metropolitanus qui uni ſubjacet Patriarchæ, ab alio judicaretur, niſi ſoli Conſtantinopolitano.

Canon X.

Non licere Clerico in duarum civitatum Eccleſiis eodem tempore in catalogum referri, & in ea, in qua à principio ordinatus eſt, & in ea, in quam tanquam ad majorem confugit, propter inanis gloriæ cupiditatem: eos autem, qui hoc faciunt, propriæ Eccleſiæ reſtitui, in qua ab initio ordinati ſunt, ut illic ſolùm miniſtrent. Sed ſi jam quiſpiam ex alia in aliam Eccleſiam tranſlatus eſt, nihil prioris Eccleſiæ vel eorum quæ ſub ea ſunt martyriorum, vel ptochotrophiorum, vel xenodochiorum rebus communicare. Eos autem qui auſi fuerint, poſt magnæ hujus & univerſalis Synodi definitionem, aliquid eorum, quæ nunc ſunt prohibita, facere, ſtatuit ſancta Synodus eos proprio gradu excidere.

Bals. Quidam Clerici inſano gloriæ amore impulſi, à parvis urbibus in alias majores commigrant, ut verbi gratia, ab Athyra Heracleam. Dicit ergo Canon, Nemini licere hoc facere, & propter honorem ejus qui ordinavit, & quia fieri non poteſt ut unus & idem ſubjiciatur duobus Epiſcopis. Eum autem, qui hoc facere aggreſſus fuerit, reſtitui Eccleſiæ in qua priùs ordinatus fuerat, ut illic ſolùm miniſtret. Iis verò, qui ante hunc Canonem in duarum regionum Eccleſiis ordinati ſunt, pœnam ſtatuit, ut prioris Eccleſiæ jura revocare nequeant. Deinde eos deponendos decernit, qui aliquid facere auſi fuerint eorum quæ ſunt in eo prohibita. Hæc cùm ita habeant, quidam illud, Non eſſe aliquem Clericum in duarum urbium Eccleſiis, etiam ad duas unius civitatis Eccleſias accipiebant. Non eſt autem hæc Canonis ſententia, ut mihi videtur. Quomodo autem non poteſt Clericus ex una regione in aliam abſcedere, ſine commendatoria & dimiſſoria ſcriptura ejus qui eum ordinavit; & quomodo punitur qui hoc fecerit, & qui eum excepit, didiciſti à xv. & xvi. Canone Apoſtolico. Si quis autem interrogaverit, cur præſens Canon in principio quidem dicit priori Eccleſiæ reſtituendum eum qui à civitate in civitatem tranſilierit, in fine autem jubet hujus tranſgreſſorem deponi? Dic, quòd eum qui à civitate in civitatem tranſiliit, in ſecunda autem Eccleſia in Clerum nondum eſt cooptatus, primæ jubet reſtitui: eum autem qui in ſecunda Eccleſiâ in Clerum eſt cooptatus & conſtitutus ſuo excidere gradu. Quod autem talis non eſt exinde depoſitus niſi poſt denunciationem lege xv. Canonem Apoſtolicum, & ſyn. in Trullo Canonem xvii.

Zonar. Clericum aliquem, duarum ſimul urbium Eccleſiis hic Canon adſcribi vetat. Fiebat enim ut cui in minore ſorte civitate locus obtigiſſet, is ambitione ductus in urbis amplioris Eccleſiam in Metropolitanam ſcilicet ex Epiſcopali, aut in patriarchalem ex Metropolitana tranſcribi cuperet. Quos quidem omnes ad eam Eccleſiam, cui primum addicti ſunt, redire ſynodus conſtituit. Hæc autem poſt Canonem editum fieri jubet. Si quis autem inquit ex Eccleſia in Eccleſiam tranſlatus eſt, in eâ ad quam transfertur manens, ex prioris Eccleſiæ è quâ tranſlatus eſt negotiis nullam omnino partem attingat. Quam enim Eccleſiam ſponte reliquit, cum ea nullum conſortium nihilve commune amplius habere debet. Quicunque verò hujus conſtitutionis auctoritate neglecta, aliquid hoc Canone vetitum attentare auſi fuerint, ſuo gradu moveri, hoc eſt, depoſitione mulctari placet. Verum tertio Baſilic. libro, titulo tertio, Novella decima ſexta cautum eſt ne alicujus Eccleſiæ Clerico demortuo, ibidem in ejus locum alius confeſtim ſubrogetur, ſed ex alia Eccleſia, in qua præfinitum jam inde à primis temporibus numerum Clerici ſuperent, qui demortui locum expleant, acceſſiri jubet, donec ad eum numerum, qui initio præſcriptus eſt, Eccleſiæ cujuſque Clerici revocentur.

Arist. *In duarum urbium Eccleſiis Clericus in Catalogum non refertur. Sin vero relatus fuerit priori reſtituetur. Si quis autem jam tranſlatus ſit, in prioris Eccleſiæ rebus nullo modo particeps ſit.*

Eidem ſub duobus miniſtrare Epiſcopis & ambobus eſſe Clerico non permittitur. Sed ſi propter inanis gloriæ cupiditatem ad majorem confugerit Eccleſiam, ei rurſus reſtituetur in quam priùs ordinatus fuit. Sin Epiſcopi ſui voluntate in aliam Eccleſiam tranſlatus fuerit, & ibi in Clerum cooptatus; nullam in prioris Eccleſiæ rebus partem habeat, niſi proprio vellet gradu excidere, talia inexplebili cupiditate aggrediens.

A τινὰ ἐπ' ἀδείας τοῦτο ποιεῖν, διά τε τὴν τιμὴν τοῦ χειροτονήσαντος τοῦτον, καὶ διὰ τὸ ἀδύνατον εἶναι τὸν αὐτὸν καὶ ἕνα δύο Ἐπισκόποις ὑποκεῖσθαι. τὸν δὲ τοῦτο ποιεῖν ἐπιχειρήσαντα ἀποκαθίστασθαι εἰς τὴν ἐκκλησίαν ἐν ᾗ πρώτως ἐχειροτονήθη, ἐφ' ᾧ ἐκεῖ μόνον λειτουργεῖν. τοῖς δὲ πρὸ τοῦ κανόνος τούτου εἰς δύο ἐνοριῶν ἐκκλησίας ταχθεῖσι, τιμωρίαν ἐπάγει τὸ μὴ δύνασθαι ἀνακαλέσαι τὰ τῆς προτέρας ἐκκλησίας δίκαια. εἶτα διορίζεται καθαιρεῖσθαι τοὺς τολμήσαντας διαπράξασθαί τι ἐκ τῶν ἀπηγορευμένων ἐν τούτῳ. τούτων οὕτως ἐχόντων, τινὲς τὸ μὴ γίνεσθαι τινὰ κληρικὸν ἐν δύο πόλεων ἐκκλησίαις, καὶ εἰς δύο ἐκκλησίας μιᾶς πόλεως ἐξελάμβανον. B οὐκ ἔστι δὲ τοῦτο τῆς ἐννοίας τοῦ κανόνος, ὡς ἐμοὶ δοκεῖ. ὅπως δὲ οὐ δύναται κληρικὸς ἐξ ἑτέρας ἐνορίας εἰς ἑτέραν ἀπέρχεσθαι, δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτὸν, καὶ ὅπως κολάζεται ὁ τοῦτο ποιήσας καὶ ὁ δεξάμενος αὐτὸν, ἔμαθες ἀπὸ τοῦ ιε'. καὶ ις'. ἀποστολικοῦ κανόνος. εἰ δέ τις ἐρωτήσει σε διὰ τί ὁ παρὼν κανὼν κατὰ τὰς ἀρχὰς μὲν ἀποκαθίστασθαι φησὶ εἰς τὴν προτέραν ἐκκλησίαν τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταπηδήσαντα, κατὰ δὲ τὸ τέλος παρακελεύεται καθαιρεῖσθαι τὸν τούτου παραβάτην; εἰπὲ, ὅτι τὸν μὲν μεταπηδήσαντα ἀπὸ πόλεως εἰς πόλιν, μήπω δὲ κληρωθέντα εἰς τὴν δευτέραν ἐκκλησίαν, ἀποκαθίστασθαι διορίζεται εἰς τὴν πρώτην· τὸν δὲ κληρωθέντα καὶ ἐγκαταστάντα εἰς C τὴν δευτέραν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ. περὶ δὲ τοῦ μὴ εἶναι τὸν τοιοῦτον ἀπεντεῦθεν καθῃρημένον, ἀλλὰ μετὰ παραγγελίαν, ἀνάγνωθι τὸν ιε'. ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ιζ'.

ΖΩΝΑΡ. Δύο πόλεων ἐκκλησίαις κατατάττεσθαί τινα ὡς κληρικὸν ὁ παρὼν ἀπαγορεύει κανών. ἴσως γὰρ εἰς πόλιν μικρὰν ἐχειροτονήθη, διὰ δὲ φιλοδοξίαν εἰς μείζονος πόλεως ἐκκλησίαν, εἰς μητρόπολιν τυχὸν ἐξ Ἐπισκοπῆς μετατεθῆναι, ἢ ἐκ μητροπόλεως εἰς πατριαρχεῖον. τοὺς τοιούτους οὖν ἡ σύνοδος ὥρισεν ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ ἐν ᾗ D ἐχειροτονήθησαν. ταῦτα δὲ μετὰ τὸν κανόνα ἐκέλευσε γίνεσθαι. εἰ δὲ ἤδη, φησί, τις μετετέθη ἐξ ἐκκλησίας εἰς ἐκκλησίαν, μένων ἐν τῇ μεταθέσει μὴ ἐνοχλείτω τοῖς πράγμασι τῆς ἐκκλησίας, ἐξ ἧς μετετέθη. ἀποστὰς γὰρ ἐκείνης οὐδεμίαν μετουσίαν πρὸς αὐτὴν ἕξει, οὐδὲ κοινόν τι αὐτῷ πρὸς ἐκείνην ἔσται. τοὺς δὲ μὴ φυλάττοντας τὰ τετυπωμένα, ἐπιχειροῦντας δέ τι ποιεῖν τῶν διὰ τοῦ κανόνος ἀπαγορευθέντων ἐκπτώσει κολάζει τοῦ οἰκείου βαθμοῦ, ἤτοι καθαιρέσει. ἡ δὲ ις'. νεαρὰ κειμένη εἰς τὸν τρίτον τίτλον τοῦ τρίτου βιβλίου τῶν βασιλικῶν διετάξατο, εἰ τελευτήσει ἐν ἐκκλησίᾳ τινὶ κληρικὸς, μὴ εὐθὺς ἄλλον χειροτονεῖσθαι ἐκεῖ, ἀλλ' εἰ ἑτέραις ἐκ- E κλησίαις εἰσὶ κληρικοὶ πλείονες τοῦ ἐξ ἀρχῆς ἑκάστῃ αὐτῶν ταχθέντος ἀριθμοῦ, ἐκεῖθεν μετάγειν τινὰς, καὶ ἀντὶ τῶν λειψάντων αὐτοὺς εἰσάγειν, μέχρις ἂν εἰς τὸν ἀρχῆθεν ὡρισμένον ἀριθμὸν κατασταῖεν οἱ ἐκκλησίας ἑκάστης κληρικοί.

ΑΡΙΣΤ. Δύο πόλεων ναοῖς κληρικὸς οὐ καταλέγεται· εἰ δὲ καταλεχθείη, τῷ προτέρῳ ἐπιστρεφήσεται. εἰ δὲ μετετέθη τις ἤδη, μηδὲ κοινωνείτω κατά τινα τρόπον τοῖς τῆς προτέρας ἐκκλησίας.

Οὐ συγκεχώρηται ὁ αὐτὸς ὑπὸ δύο Ἐπισκόπους τελεῖν, καὶ ἀμφοτέρων εἶναι κληρικός· ἀλλὰ εἰ δι' ἐπιθυμίαν δόξης κενῆς F μείζονι ἐκκλησίᾳ προσφύγῃ, ἀποκατασταθήσεται αὖθις εἰς ἣν ἐχειροτονήθη πρότερον· εἰ δὲ μετὰ γνώμης τοῦ ἰδίου Ἐπισκόπου εἰς ἑτέραν ἐκκλησίαν μετετέθη, καὶ ἐκληρώθη· μὴ μετεχέτω ὅλως ἐν τοῖς τῆς προτέρας ἐκκλησίας πράγμασιν, εἰ μὴ βούλεται τοῦ ἰδίου ἐκπεσεῖν βαθμοῦ, τοιαῦτα δι' ἀπληστίαν ἐπιχειρῶν.

A

ΚΑΝΩΝ ια΄.

Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας μετὰ δοκιμασίας ἐπιστολίοις ἤτοι εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρίσαμεν, καὶ μὴ συστατικοῖς· διὰ τὸ, τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὖσιν ἐν ὑπολήψει μόνοις παρέχεσθαι προσώποις.

ΒΑΛΣ. Συστατικαὶ γραφαὶ λέγονται αἱ διδόμεναι κληρικοῖς παρὰ τῶν χειροτονησάντων αὐτοὺς Ἐπισκόπων, καὶ συνιστῶσαι ἤτοι δηλοποιοῦσαι τὴν χειροτονίαν τούτων, καθὼς ὁρίζεται ἀπὸ τοῦ ιγ΄. κανόνος τῆς παρούσης Συνόδου. συστατικαὶ γραφαὶ λέγονται αἱ διδόμεναι Ἐπισκόποις ἢ κληρικοῖς ἢ καὶ λαϊκοῖς ἀφορισθεῖσι, καὶ ἄλλως γενομένοις ἐν ὑπολήψει οὐκ ἀγαθῇ· καθὼς τοῦτο ὁρίζεται ἀπὸ τοῦ παρόντος κανόνος. αἱ μέντοι ἀπολυτικαὶ γραφαὶ αἱ καὶ εἰρηνικαὶ λεγόμεναι, ἕτεραί εἰσι. λέγονται δὲ ἀπολυτικαὶ μὲν, ὡς παριστῶσαι κατὰ γνώμην καὶ ἀπόλυσιν ἀρχιερατικὴν τὸν κληρικὸν ἢ τὸν Ἐπίσκοπον μεταπεσεῖν· εἰρηνικαὶ δὲ, ὅτι τοιαύτης προσκομιζομένης γραφῆς παρὰ τοῦ χειροτονηθέντος, εἰρήνη ἔσται μέσον τῶν ἀρχιερέων. οὔτε γὰρ ὁ δεχόμενος τὸν ἀλλότριον κληρικὸν τὸν συνάδελφον αὐτοῦ θλίψει καὶ προκριματισθήσεται, οὔτε ὁ κληρικὸς βλαβήσεται ὡς ὑβρίζων τὸν χειροτονήσαντα αὐτόν. φησὶν οὖν ὁ κανὼν ὅτι τοὺς μὴ δεομένους συστατικῶν ἐπιστολῶν, ἤτοι τοὺς μὴ διά τινα πρόφασιν οὐκ ἀγαθὴν ἀφορισθέντας ἢ ὑπόπτους ὄντας, (περὶ γὰρ τῶν δεομένων συστατικῶν οὐκ ἔστι λόγος ἐνταῦθα) διὰ μόνων εἰρηνικῶν γραφῶν ὀφείλομεν ἐφοδιάζειν. ὥρισε δὲ ταῦτα περὶ πενήτων καὶ δεομένων ἐπικουρίας, οὐχ ὡς τῶν λοιπῶν τῶν ὑπὸ τὸν Ἐπίσκοπον μὴ ὀφειλόντων οὕτως ἐφοδιάζεσθαι· ἀλλ' ὅτι ἐπὶ πλέον οἱ πενητεύοντες τῆς ἐκκλησιαστικῆς ἐπικουρίας δέονται. καλῶς δὲ προσετέθη, ταῦτα δίδοσθαι μετὰ δοκιμασίας. εἰ γὰρ ἄδικόν ἐστι τὸ τοῦ δεομένου ζήτημα, κἂν πένης ἐστὶν, οὐ δοθήσεται αὐτῷ ἐπιστολή. ζήτει τὸν ιβ΄. ιε΄. ιϛ΄. καὶ λγ΄. ἀποστολικὸν κανόνα, τὸν ιζ΄. τῆς ἐν τῷ Τρούλλῳ Συνόδου, καὶ τὸν ια΄. τῆς ἐν Ἀντιοχείᾳ, καθαιροῦντα τὸν Ἐπίσκοπον τὸν ἄνευ ἐπιστολῆς εἰρηνικῆς τοῦ μητροπολίτου ἀπελθόντα εἰς βασιλέα. ὅτι δὲ ἀναγκάζονται οἱ Ἐπίσκοποι πᾶσι τοῖς ὑπ' αὐτοὺς βοηθεῖν διὰ γραμμάτων, εἴπερ δι' ἑαυτῶν οὐ δύνανται παρουσιάζειν, δηλοῦται ἀπὸ τοῦ ζ΄. καὶ η΄. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. σημείωσαι οὖν, ὅτι οἱ θέλοντες ἱερουργεῖν εἰς ἀλλοτρίας ἐνορίας, ὀφείλουσι μὴ μόνον συστατικὰς ἐπιστολὰς προσκομίζειν, ἀλλὰ καὶ εἰρηνικάς.

ΖΩΝΑΡ. Εἰρηνικαὶ μὲν ἐπιστολαί εἰσιν, αἱ λεγόμεναι ἀπολυτικαὶ, οἷαί εἰσιν αἱ διδόμεναι τοῖς Ἐπισκόποις παρὰ τῶν Μητροπολιτῶν, οἷς ὑπόκεινται, καὶ τοῖς Μητροπολίταις παρὰ τῶν Πατριαρχῶν, ὑφ' ὧν προχειρίζονται, ὅτε διά τινα χρείαν ἀναγκαίαν ἀπίασι πρὸς βασιλέα, καὶ οἷαί εἰσιν αἱ παρεχόμεναι κληρικοῖς παρὰ τῶν οἰκείων Ἐπισκόπων, θέλουσιν εἰς ἑτέραν πόλιν ἀπελθεῖν, καὶ καταλεγῆναι τῇ ἐκεῖ ἐκκλησίᾳ, κατὰ τὸν ιζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συνόδου συστάσης. καὶ ἄλλαι δὲ τοιαῦταί εἰσιν. εἰρηνικαὶ δὲ λέγονται, ὡς εἰρήνην βραβεύουσαι. εἰ γάρ τις ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ἀπέλθῃ κληρικὸς ἄνευ γνώμης τοῦ Ἐπισκόπου αὐτοῦ, ὑπὸ ἐπιτίμιόν ἐστι, κἀκεῖνος καὶ ὁ δεξάμενος αὐτόν. ὁ μὲν γὰρ κληρικὸς παύεται τῆς λειτουργίας· ὁ δὲ Ἐπίσκοπος ὁ τοῦτον δεξάμενος ἀφορίζεται, κατὰ τὸν ιε΄. κανόνα, καὶ ιϛ΄. ἀποστολικόν. οἱ δὲ πρὸς βασιλέα ἀπιόντες Ἐπίσκοποι, ἄνευ γραμμάτων τοῦ Μητροπολίτου καὶ τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων, ἐκπίπτουσιν, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας τῆς ἱερατικῆς κατὰ τὸν ια΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ Συνόδου. συστατικαὶ δὲ ἐπιστολαὶ λέγονται, αἱ ἐγχειριζόμεναι κληρικοῖς ἢ λαϊκοῖς ἀφωρισμένοις, ἢ ἀγνώστοις παντάπασιν ἐν ἑτέρᾳ πόλει ἀπιοῦσι, καὶ συνιστῶσαι τῷ ἐν τῇ πόλει ἐκείνῃ Ἐπισκόπῳ τοὺς ἄνδρας, ὡς λυθέντας τῶν ἐπιτιμίων ἢ πιστοὺς ὄντας, κατὰ τὸν ιβ΄. ἀποστολικὸν κανόνα, καὶ τὸν λγ΄. ἢ ὅταν κατηγορία κατά τινος γένηται, καὶ φανῇ ἀθῷος ὁ κατηγορηθεὶς, καὶ δοθῇ αὐτῷ ἐπιστολὴ συνιστῶσα αὐτὸν τῷ πρὸς ὃν

CANON XI.

Omnes pauperes, & qui auxilio indigent, cum examinatione, cum epiſtolis ſeu pacificis Eccleſiaſticis ſolis viam ingredi ſtatuimus, & non cum commendatitiis: quoniam literas commendatitias iis ſolis perſonis, quæ ſunt ſuſpectæ, præberi oportet.

BALS. Commendatitiæ ſcripturæ dicuntur, quæ dantur Clericis, ab iis, qui illos ordinarunt, Epiſcopis, eos commendantes, ac eorum ordinationem declarantes, ut ex xiii. Can. hujus Syn. oſtenditur. B Commendatoriæ autem ſcripturæ dicuntur, & eæ quæ dantur Epiſcopis vel Clericis vel etiam Laicis ſegregatis, & qui alioqui fuerunt in non bona exiſtimatione: ſicut hoc ex præſenti Canone oſtenditur. Dimiſſoriæ vero, quæ etiam pacificæ dicuntur, aliæ ſunt: Dicuntur autem dimiſſoriæ, ut quæ oſtendant, ex voluntate ac dimiſſione antiſtitis Clericum vel Epiſcopum tranſiturum. Pacificæ autem dicuntur, quod cum talis affertur ſcriptura ab eo qui ordinatus eſt pax erit inter antiſtites. Neque enim qui alienum Clericum recipit, confratrem ſuum opprimet, & ei præjudicabitur, nec detrimentum accipiet Clericus, tanquam ei, qui ipſum ordinavit, injuriam faciens. C Dicit ergo Canon, quod eos quidem qui commendatoriis litieris opus non habent, eos ſcilicet qui propter minùs bonam aliquam exiſtimationem non ſunt ſegregati vel ſuſpecti, (de iis enim, qui commendatoriis literis opus habent, hic non agitur) per ſolas pacificas ſcripturas in via inſtruere debemus. Hæc autem de pauperibus, & iis qui auxilio indigent, definiit, non quod reliqui, qui ſubſunt Epiſcopo, non hoc debeant viatico inſtrui: ſed quod ut plurimum, qui ſunt pauperes, Eccleſiaſtico auxilio indigent. Rectè autem additum eſt, ut cum examinatione dentur. Si enim eſt iniquum ejus qui indiget poſtulatum, etiamſi eſt pauper, ei non dabitur epiſtola. D Quære xii. xv. xvi. & xxxiii. Canonem Apoſtolor. xvii. ſyn. in Trullo: & xi. Antioch. ſyn. deponentes Epiſcopum, qui ſine pacifica Metropolitani epiſtola ad Imperatorem abierat. Quòd autem neceſſe habent omnes Epiſcopi, iis, quibus præſunt, literis ſuis opem ferre, ſi per ſe præſentes eſſe nequeant, ex vii. & viii. Sardicenſis Syn. oſtenditur. Nota ergo, quod qui volunt in aliis regionibus ſacra celebrare, debent non ſolùm commendatitias epiſtolas afferre, ſed etiam pacificas.

ZONAR. Pacificæ Epiſtolæ ſunt, quæ alio nomine dimiſſoriæ dicuntur; Cujus generis eæ ſunt, quæ Epiſcopis à Metropolitanis, quibus ſubjecti ſunt, & Metropolitanis E à Patriarchis, à quibus deſignantur, dari ſolent, cum ad Imperatorem neceſſaria de cauſa mittuntur; & quales ſunt illæ, quæ clericis quoq; ab Epiſcopis ſuis, ſi in aliam urbem migrare, Eccleſiæq; quæ ibi eſt clero adſcribi velint traduntur; ut xvii. Can. Synodi in Trullo palatii habitæ continetur. Sunt nonnullæ præterea ejuſdem rationis aliæ. Pacificæ porro, quaſi pacem conciliantes, appellatæ ſunt. Si quis enim clericus ex hac in aliam urbem abſq; Epiſcopi ſui facultate proficiſcatur, tum Clericus ipſe, tum qui eum admittit uterq; mulctæ eſt obnoxius. Ac Clerico quidem ſacro miniſterio interdicitur, Epiſcopo autem, qui eum admiſit, ex xv. & xvi. Apoſtol. Canone, ſegregationis F pœna irrogatur. Qui vero Epiſcopi, abſq; Metropolitani ſui provincialiumq; Epiſcoporum literis, ad imperatorem abierint, non communione tantum, ſed & ſacerdotii dignitate, ex Antiochenæ Synod. Can. xi. privantur. Commendatitiæ vero Epiſtolæ dicuntur quæ ſegregatis antea Clericis aut Laicis, aut omnino ignotis hominibus in aliam urbem migrantibus xii. ac xxxiii. Canonis Apoſtolici decreto tradi coſuevere, viroſque, ut à pœnis ſolutos aut fideles, illius civitatis Epiſcopo commendantes. Accipiunt ii quoq; commendatitias, qui vocati in judicium ſe à culpa immunes oſtenderint, quibus & ei ad quem miſſi ſunt

Epiſcopo commendentur, & falſa delatione ipſorum innocentiam tentatam fuiſſe teſtatum fiat. Cum hæc igitur eſſet ratio epiſtolarum, qui inopia preſſi, vel auxilii quoquo modo indigentes, ab Eccleſia ſibi opem expoſcerent, pacificas iis hominibus, non autem commendatitias litteras concedi Canon oportere decernit. Fuit namq; Epiſcopalis officii pauperum, pupillorumque ac viduarum, adverſus potentiorum injurias & illata detrimenta, rerumq; ad illos pertinentium ablationes Eccleſiæ opem implorantium, defenſionem ſuſcipere; adeo ut cum ſui negotii cauſa Imperatorem adire ac interpellare Epiſcopi vetarentur, ut hoc facerent illorum gratia, qui ad Eccleſiam confugiſſent, aut Diaconos ſuos ad indigentium auxilium, & eorum, qui ob delictum aliquod pœnis vel exilio damnati fuerunt, liberationem, mitterent, vii. & viii. Sardicenſis Synodi Can. illis concedebatur. His igitur hominibus, qui ſe omnimodo opis indigos profiterentur, ſuppetiis, qnas optaverant, ferendis, ab Epiſcopis litteræ tradebantur, eæque pacificæ dicebantur, pacem ſcilicet illis, quibus aut Principum aut Primatum iracundia cauſam injuſtæ damnationis attuliſſet, afferentes. Litteras porro ejuſmodi, Canon, niſi explorata poſtulationis æquitate cuiquam concedi vetat. Nec enim inconſulte ac temere omnes, ſed quos injuſte vexati compertum ſit, auxilio juvandi. Si quis etenim injuriâ afficiens aut malum perpetrans ad Eccleſiam confugerit, ei ſuppetiæ non ſunt ferendæ. Ne miſerearis, inquit, pauperis in judicio. Nam quia paupertas animis ad miſericordiam alliciendis idonea eſt, ſacræ litteræ injurii, licet pauperis, in judicio miſereri non ſinunt. Si quis igitur obæratus ad Eccleſiam confugerit, ne quid amplius exigatur ab eo, quam jus poſtulat, curabit Epiſcopus; quæ autem jure debet, Epiſcopo nequaquam interpellante, perſolvet. Similiter & in reliquis.

A ἀπεστάλη, καὶ διδάσκουσα συκοφαντικῶς αὐτὸν κατηγορηθῆναι. οὕτως ἐχουσῶν τῶν ἐπιστολῶν τούτων, φησὶν ὁ κανὼν, τοῖς πένησι καὶ δεομένοις βοηθείας, καὶ διὰ τοῦτο προσερχομένοις τῇ ἐκκλησίᾳ, εἰρηνικὰς δεῖν δίδοσθαι ἐπιστολὰς ἐκ τῆς ἐκκλησίας, καὶ μὴ συστατικάς. χρέος γὰρ εἶχον οἱ ἀρχιερεῖς ἀντιλαμβάνεσθαι τῶν προσφευγόντων τῇ ἐκκλησίᾳ πενήτων, ἢ ὀρφανῶν καὶ χηρῶν, ὡς καταδυναστευομένων ἴσως, ἢ ἀδικουμένων, ἢ ἀποστερουμένων τῶν ἀνηκόντων αὐτοῖς· καὶ τοσοῦτον, ὥστε κωλυόμενοι οἱ Ἐπίσκοποι ἀπιέναι πρὸς βασιλέα διὰ δεήσεις οἰκείας καὶ ἐνοχλεῖν, ἐπιτρέπονται τοῦτο ποιεῖν διὰ τοὺς τῇ ἐκκλησίᾳ προσφεύγοντας, ἢ στέλλειν B διακόνους ἰδίους εἰς ἐπικουρίαν τῶν δεομένων, καὶ εἰς καταλλαγὴν τῶν διὰ πταίσματος καταδικασθέντων κολασθῆναι ἢ περιορισθῆναι, ὡς ὁ ζ΄. καὶ ὁ η΄. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διαλαμβάνει. τοῖς οὖν καθ' οἱονδήτινα τρόπον ἐπικουρίας δεομένοις ἐνεχείριζον ἐπιστολὰς οἱ Ἐπίσκοποι βοηθούσας αὐτοῖς, ἐφ' οἷς ἐδέοντο, κἀκεῖναι εἰρηνικαὶ ἐκαλοῦντο, ὡς εἰρήνην βραβεύουσαι, τοῖς δι' ὀργὴν ἀρχόντων ἢ δυναστευόντων ἄδικον γνώμην πάσχουσι. παρέχειν δὲ ταύτας αὐτοῖς ὁ κανὼν διατάττεται μετὰ δοκιμασίας. οὐ γὰρ ἁπλῶς καὶ ἀδοκιμάστως παντὶ προσερχομένῳ δεῖ βοηθεῖν, ἀλλὰ τῷ ἀδικουμένῳ. εἰ γάρ τις ἀδικῶν προσέλθῃ τῇ ἐκκλησίᾳ, C ἢ κακουργῶν, οὐ χρὴ τοῖς τοιούτοις ἐπικουρεῖν. μὴ ἐλεήσῃς γάρ φησι, πτωχὸν ἐν κρίσει. ἐπεὶ γὰρ ἡ πενία πρὸς οἶκτόν ἐστιν συγκατάφορος, ἀδικοῦντα, φησὶν ἡ γραφὴ, μὴ ἐλεήσῃς ἐν κρίσει, κἂν πτωχὸς ἐστί. εἰ οὖν χρεωστῶν τις προσφύγῃ τῇ ἐκκλησίᾳ, μὴ ἀδίκως μὲν ἀπαιτηθῆναί τι αὐτὸν δεῖ διὰ φροντίδος ποιεῖσθαι τὸν Ἐπίσκοπον· ὃ δὲ δικαίως χρεωστεῖ, ἀποδώσει, πρὸς τοῦτο τοῦ Ἐπισκόπου μὴ κωλύοντος. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν.

Aʀɪsᴛ. *Pauperes auxilio indigentes, Epiſtolis pacificis, ſed non commendatitiis iter faciant: Nam commendatitiæ ſuſpectis tantum perſonis exhibentur.*

ΑΡΙΣΤ. Οἱ δεόμενοι ἐπικουρίας πένητες, ἐπιστολαῖς εἰρηνικαῖς ἀλλὰ μὴ συστατικαῖς ὁδευέτωσαν. αἱ γὰρ συστατικαὶ τοῖς ἐν ὑπολήψει μόνοις παρέχονται. D

Epiſtola pacifica eſt quæ ſine ullo ſcandalo advehenti traditur; commendatitia autem quæ inculpatum vitâ & religione afferentem atteſtatur. Qui pauperes itaque auxilio indigent, cum literis Epiſcoporum pacificis iter facere debent, ut qui opem iis ferre poſſunt, miſericordia in eos commoveantur. Epiſtolis autem commendatitiis iis non opus eſt: hæ enim Presbyteris & Diaconis & reliquis Clericis exhibentur.

Εἰρηνικὴ ἐπιστολή ἐστιν, ἡ ἄνευ σκανδάλου τινὸς τῷ ἐπικομιζομένῳ ἐγχειριζομένη· συστατικὴ δὲ, ἡ τὸ ἀνεπίληπτον τοῦ βίου καὶ τῆς θρησκείας τῷ ἐπιφερομένῳ προσμαρτυροῦσα. οἱ γοῦν δεόμενοι βοηθείας πένητες, μετὰ εἰρηνικῶν ἐπιστολῶν τῶν Ἐπισκόπων ὁδεύειν ὀφείλουσιν, ἵν' ἐλεῶνται ὑπὸ τῶν δυναμένων βοηθεῖν αὐτοῖς. συστατικῶν δὲ ἐπιστολῶν χρείαν οὐκ ἔχουσιν· αὗται γὰρ πρεσβυτέροις, καὶ διακόνοις, καὶ τοῖς λοιποῖς τοῖς ἐν κλήρῳ παρέχονται.

E

Cᴀɴᴏɴ XII.

Pervenit ad nos, quod quidam, cum præter ritus Eccleſiaſticos ad potentatus acceſſiſſent, per pragmaticas unam provinciam in duas diviſerunt: ut ex eo duo eſſent Metropolitani in eadem provincia. Statuit ergo ſancta Synodus, ne Epiſcopus deinceps tale quid audeat: quoniam is, qui hoc aggreditur, à ſuo gradu excidit. Quæcunque autem civitates per literas Imp. Metropolis nomine honoratæ ſunt, ſolo honore fruantur, & qui ejus Eccleſiam adminiſtrat Epiſcopus, ſervatis ſcilicet veræ Metropoli ſuis juribus.

ΚΑΝΩΝ ιβ΄.

Ἦλθεν εἰς ἡμᾶς, ὥς τινες παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον, ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. ὥρισεν τοίνυν ἡ ἁγία σύνοδος, τοῦ λοιποῦ μηδὲν τοιοῦτο τολμᾶσθαι παρὰ Ἐπισκόπου. ἐπεὶ τὸν τοιοῦτο ἐπιχειροῦντα ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ. ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέ- F τωσαν τῆς τιμῆς, καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν Ἐπίσκοπος, σωζομένων δηλονότι τῇ κατ' ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

Bᴀʟs. Imperialia juſſa, Pragmatici typi dicuntur. Dicit ergo Canon, quod quoniam nonnulli Epiſcopi, propter imperandi cupiditatem, Imp. juſſione contenderunt, ut Metropolitanorum honore afficerentur, & ex eo provinciam unam in duos Metropolitanos diviſerunt, deponi debent, non ſolum is qui tale mandatum Imperiale acquiſiverit, ſed & qui tale quid aggredi auſus fuerit.

ΒΑΛΣ. Τὰ βασιλικὰ προστάγματα πραγματικοὶ τύποι λέγονται. φησὶ γοῦν ὁ κανὼν ὡς ἐπεί τινες Ἐπίσκοποι διὰ φιλαρχίαν ἐσπούδασαν κατὰ πρόσταξιν βασιλικὴν εἰς μητροπολίτας τιμηθῆναι, κἀντεῦθεν τὴν μίαν ἐπαρχίαν διεῖλον εἰς μητροπολίτας δύο, ὀφείλουσι καθαιρεῖσθαι, μὴ μόνος ὁ πορισάμενος τὴν τοιαύτην πρόσταξιν, ἀλλὰ καὶ ὁ τολμήσων τοιοῦτόν τι ἐπιχειρῆσαι. τὰς μέντοι πρὸ τοῦ παρόντος κανόνος τιμηθείσας ἐκκλησίας ἀπὸ Ἐπισκόπων εἰς μητροπόλεις κατὰ πρόσταξιν βασιλικήν, διορίζεται ἔχειν μόνην τὴν τιμήν, ὡς τῶν λοιπῶν δικαίων τῶν προσόντων ἐπ' αὐταῖς τῇ κατὰ ἀλήθειαν μητροπόλει ὀφειλόντων μένειν ἀκαινοτομήτων. ταῦτα τοῦ κανόνος διοριζομένου εἴποι τις, καὶ πῶς διάφοροι βασιλεῖς διαφόρους ἐπισκοπὰς εἰς μητροπόλεις ἐτίμησαν; αὐτίκα γὰρ ἡ μητρόπολις Λακεδαιμονίας, ἐπισκοπὴ ἦν τῶν παλαιῶν Πατρῶν, τὰ Μάδιτα τῆς Ἡρακλείας, ἡ Ἄβυδος τοῦ Κυζίκου. καὶ ἄλλαι δὲ ἐπισκοπαὶ ἐτιμήθησαν. ἔοικεν οὖν ἀπὸ τοῦ λη'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τοῦ ιζ'. κανόνος τῆς παρούσης συνόδου, τοὺς τοιούτους γίνεσθαι ὁρισμοὺς παρὰ τῶν βασιλέων, κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν. διὰ γὰρ τοῦτο καὶ ἠπράκτησε τὸ γ'. κεφ. τοῦ πρώτου τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν· ὅπερ κατεστρώθη εἰς τὸ κ'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος. τὰ μέντοι ὀφείλοντα εἶναι δίκαια παρὰ τῷ πρώτῳ, ἤγουν μητροπολίτῃ, κατὰ τῆς ἐκκλησίας τῆς τιμηθείσης ἀπὸ ἐπισκοπῆς εἰς μητρόπολιν, ἐζήτησάν τινες μαθεῖν ὁποῖά εἰσι· καὶ ἤκουσαν ὅτι πλὴν τοῦ καλεῖσθαι τὴν ἐπισκοπὴν μητρόπολιν, κατὰ τὰ ἄλλα πάντα ὑποκεῖσθαι αὕτη τῇ παλαιᾷ μητροπόλει ὀφείλει. ὁ γὰρ ταύτης Ἐπίσκοπος παρὰ τοῦ παλαιοῦ μητροπολίτου χειροτονηθήσεται, καὶ παρ' αὐτοῦ κριθήσεται, καὶ ἁπλῶς αὐτῷ ὑποκείσεται. ἀνάγνωθι καὶ τὸν β'. κανόνα τῆς β'. συνόδου, καὶ τὸν ζ'. καὶ ϛ'. κανόνα τῆς πρώτης συνόδου. ταῦτα δὲ διὰ προστάξεως βασιλικῆς ἄλλως μετατυποῦνται, καθὼς ἄνωθεν εἴρηται. ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα λη'. καὶ τὸ ἐν τῷ σχολίῳ αὐτοῦ καταστρωθὲν, βασιλικὸν σημείωμα, ἐν μέρει. ἐπεὶ δὲ κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς ια'. Ἰνδικτ. τοῦ ϛψα'. ἔτους ἀπολυθέντος προσκυνητοῦ χρυσοβούλλου, τοῦ θεοστεφοῦς κρατίστου, καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ τοὺς ἀνακαλουμένους μητροπολίτας τὰς διαφερούσας τούτοις ἐπισκοπὰς, καὶ εἰς μητροπόλεις ἢ ἀρχιεπισκοπὰς τιμηθείσας, ἐπιστομίζοντος, οὐχ ἧττον δὲ καὶ τοὺς ἐπιχειρήσοντας ὅτε δήποτε τὴν βασιλικὴν ἀποστερῆσαι περιωπὴν, τοῦ ἀνάγειν ἐπισκοπὰς εἰς μητροπόλεις, ἢ ἀρχιεπισκοπὰς κατὰ τὴν δοθεῖσαν αὐτοῖς ἄνωθεν ἐξουσίαν, ἠρωτήθη παρά τινων· τί ἐστι τὸ περιεχόμενον τῷ κανόνι, χάριν τοῦ ἔχειν τὰς τιμηθείσας μητροπόλεις μόνην τὴν τιμήν, ὡς τῶν ἄλλων δικαίων σωζομένων τῇ κατὰ ἀλήθειαν μητροπόλει; φαμὲν ὅτι καὶ τὸ περὶ τούτου ἀμφίβολον λύεται, ἀπὸ τοῦ αὐτοῦ βασιλικοῦ σημειώματος. συνεζητήθη γὰρ, καὶ μετὰ πολλὰς δικαιολογίας διελήφθησαν χάριν τούτου ταῦτα ῥητῶς, καὶ ὅτι μὲν καθολικῷ λόγῳ καὶ διαγνώσει γενικῶς ἐκτιθεμένας τὰς εἰς ὑπερβαθμιώτερον θρόνον ἀναβιβαζομένας ἐκκλησίας προστάξει βασιλικῇ, καὶ τῆς τιμῆς ἀξιοῦσθαι χρεὼν, καὶ τὰς ψήφους ἐν ἀδείᾳ προβαίνειν κατὰ τὸν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ παρηκολουθηκότα τύπον κανονικὸν τῶν μητροπολιτῶν συνιόντων, καὶ ἀρχιεπισκόπους καὶ μητροπολίτας ψηφιζομένων, ἥτε βασιλεία μου διαγινώσκει, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος, τῷ διατάγματι ἕψεται τούτῳ· ὡς τὴν ἐκκλησιαστικὴν περιφυλαττομένῳ ἀκρίβειαν, καὶ τῆς κανονικῆς εὐθύτητος μὴ ἐκπίπτοντι. ἀνάγνωθι οὖν εἰς πλάτος, τὸ τοιοῦτον σημείωμα, καὶ εἰπὲ πρὸς τοὺς λέγοντας, ὡς εἰ μὴ ἐν τῷ ἀνάγεσθαι τὴν ἐπισκοπὴν εἰς μητρόπολιν, ἢ ἀρχιεπισκοπὴν, προσετέθη παρὰ τῆς βασιλικῆς ἐξουσίας, τὸ τὰς ψήφους τούτων γίνεσθαι κατὰ προτροπὴν πατριαρχικὴν, ὁ κατ' ἀλήθειαν μητροπολίτης ποιήσει τὴν ψῆφον αὐτῶν· τοῦτο γὰρ φυλάττεται καὶ μέχρι τοῦ νῦν εἰς τὸν οἰκουμενικὸν πατριάρχην χειροτονούμενον παρὰ τοῦ Ἡρακλείας. διὰ τὸ εἶναι τὴν Κωνσταντινούπολιν ἤτοι Βυζάντιον ποτὲ τοῦ Ἡρακλείας ἐπισκοπήν. ὅτι ἀπὸ τοῦ τοιούτου σημειώματος πᾶσα τοιαύτη δικαιολογία περιαιρεῖται, καὶ ὁ Κωνσταντινουπόλεως οὐκ ἐξ ἀνάγκης παρὰ τοῦ Ἡρακλείας χειροτονεῖται· εὕρηται γὰρ καὶ Στέφανος ὁ ἀδελφὸς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ πατριάρχης χειροτονηθεὶς Κωνσταντινουπόλεως,

A Eas autem Eccleſias, quæ ante præſentem Canonem ex Epiſcopali dignitate Metropolium honore Imperialibus juſſis affectæ ſunt, ſolum honorem habere ſtatuit, utpote quod reliqua jura, quæ illis adſunt, veræ Metropoli citra ullam innovationem manere debeant. Hæc cum à Canone ſtatuantur, dixerit quiſpiam, Et quomodo permulti Imperatores permultos Epiſcopatus Metropolium honore affecerunt? Jam enim Lacedæmoniæ Metropolis erat Epiſcopatus veterum Patrarum, Madita Heracleæ, Abydus Cyzici. Et alii etiam epiſcopatus honorati ſunt. Mihi ergo videtur ex xxxviii. Can. Syn. in Trullo, & B xvii. Can. præſentis Syn. ejuſmodi fieri ab Imperatoribus diviſiones ſecundùm poteſtatem illis ſupernè datam. Propterea enim etiam exolevit iii. caput primum tit. iii. lib. Baſilicor. quod collocatum eſt in xx. cap. primi tit. præſentis operis. Quænam autem jura eſſe debent apud primum, ſcilicet Metropolitanum, in Eccleſia, quæ ex Epiſcopatu in Metropolis dignitatem evecta eſt, quidam diſcere deſiderarunt; & illis dictum fuit, quòd præterquam quòd Epiſcopatus Metropolis vocatur, in aliis omnibus antiquæ Metropoli debet ſubjici. Ejus enim Epiſcopus ab antiquo Metropolitano ordinabitur, & ab ipſo judicabi- C tur, & ei omnino ſubjicietur. Lege etiam ii. Canonem ii. Synodi & vi. & vii. Can. primæ Syn. Hæc autem per imperialem juſſionem aliter transformantur, ut ſuperiùs dictum eſt. Lege & Syn. in Trullo Can. xxxviii. & ſpecialiter Imp. conſtitutionem, quæ partim in illius expoſitione ſita eſt. Quoniam autem menſe Aprili xi. indict. anno 6701. edita ſumma cum veneratione ſuſcipienda aurea Bulla à Deo coronati, fortiſſimi & ſancti Imper. noſtri, Domini Iſaacii Angeli, quæ & Metropolitanis Epiſcopatus ad ſe pertinentes, & metropolium vel Archiepiſcopatuum honore donatos, ad ſe revocantibus, & iis itidem qui imperi- D alem circumſpectionem privare conabuntur, ne Epiſcopatus in Metropoles & Archiepiſcopatus erigat ſecundum ſibi datam à ſuperis poteſtatem, os occludit, à nonnullis quæſitum eſt, quid eſt quod Canone comprehenditur, ut honore affectæ Metropoles ſolum honorem habeant, utpote aliis juribus veræ metropoli ſervatis? Dicimus de ea re dubitationem ab hac imperatoris conſtitutione diſſolvi. Quæſitum enim eſt, & poſt multas allatas ad juſtam eſſe rem oſtendendam rationes, hæc ejus rei gratia expresſè dicta ſunt, & quod univerſali ratione, & generaliter expoſita diſpoſitione, Eccleſias quæ juſſione Im- E perat. in altiorem thronum eriguntur, honore quoque dignas cenſeri oporteat, & electiones libere procedere ex forma canonica, quæ in magna Eccleſia conſecuta eſt, Metropolitanis convenientibus, & Archiepiſcopos ac Metropolitanos eligentibus, quod & Imp. mea ſublimitas decernit, & hanc conſtitutionem Divina & ſancta quoque ſequetur Synodus; ut quæ Eccleſiaſticum ritum accurare ſervet, & à canonica rectitudine non excidat. Lege ergo diffuſè hanc conſtitutionem, & dic iis qui dicunt, quòd niſi dum erigitur Epiſcopatus in Metropolim vel Archiepiſcopatum, ab Imperi- F al. poteſtate adjectum fuerit, Eorum electiones Patriarchali ſuaſione & auctoritate debere fieri, verus Metropolitanus eorum electionem faciet. hoc enim etiam hucuſque ſervatur in univerſali Patriarcha, qui ab Heracleæ Archiepiſcopo ordinatur, quoniam fuerit aliquando Conſtantinopolis ſive Byzantium Heracleæ antiſtitis Epiſcopatus: dic, inquam quòd hac conſtitutione omnis juris omnino allegatio tollitur, nec Conſtantinopolitanus neceſſario ab Heracleæ Epiſcopo ordinatur. Inventum eſt enim etiam Stephanum Imp. domini Leonis ſapientis fratrem ordinatum fuiſſe Conſtantinopoleos Patriarcham à Theophane metropolitano Cæſareæ. Et paucis abhinc annis Leontius à Demetrio Cæſareæ Metropolitano.

A παρὰ Θεοφάνους μητροπολίτου Καισαρείας. καὶ πρὸ ὀλίγων χρόνων ὁ Λεόντιος παρὰ Δημητρίου τοῦ Καισαρείας.

Zonar. Principem dignitatis locum Epiſcopi quidam ambitioſe affectantes, Imperatores adire, atque ut edicto ſuo, quod hic pragmatici typi nomine intellexere Patres, ipſorum Epiſcopatibus honorem Metropoleos decerneret, precibus ab eo contendere ſoliti ſunt. Hinc factum, ut in duas provincias una divideretur, duoſque eadem provincia Metropolitanos, & quidem crebris ob idipſum diſſidiis, contentionibuſque diſtractos haberet. Quod & in Cappadocum provinciâ quondam, Gregorio Theologo in epitaphio magni Baſilii referente, cum Tyanea nova Metropolis conſtituta eſſet, evenit. Propterea Canonem hunc, quo de nova Metropoli inſtituenda laborare aut agere Epiſcopi prohibentur, Synodus promulgavit: tale vero aliquid aggredi auſos, vel hoc ipſo deponi jubet. Nec enim eum tantummodo puniri, qui cogitata perfecerit, ſed ipſam quoque, quamvis irrito eventu, perficiendi voluntatem, iiſdem pœnis obnoxiam eſſe decernit. Verum hæc quidem promulgato Canone ſic agi placuit. Quæ vero urbes, ante hanc conſtitutionem, Imperatoris decreto Metropolitani tituli dignitate ornatæ fuerant (quas enim obſcurius antea pragmaticas, nunc Imperatorias litteras, ſive Imperatoris decretum planius nuncupavit) ab iis, earumque Epiſcopis, conceſſum honorem patitur retineri; ne qua vero re antiquæ Metropolitanæ ſedi moleſti ſint, ſed ei quæ veram, ac temporis diuturnitate firmatam appellationem Metropoleos retinet, ita ſua jura ſerventur, ut ne ex iis quidquam novus ſibi Metropolitanus uſurpet. Sed hujus etiam Canonis auctoritas obſolevit; nec defuere noſtris quoque temporibus Imperatores, quorum edictis Epiſcopales Eccleſiæ ad Metropolitani faſtigii culmen evectæ ſunt.

ΖΩΝΑΡ. Ἐπίσκοποί τινες διὰ φιλοπρωτίαν καὶ φιλαρχίαν προσιόντες τοῖς βασιλεῦσι διὰ προσταγμάτων ἐγγράφων· ταῦτα γάρ εἰσι τὰ πραγματικά· ἠτοῦντο τὰς οἰκείας ἐπισκοπὰς τῇ τῶν Μητροπόλεων τιμηθῆναι κλήσει· ὡς οὕτω συμβαίνειν, εἰς δύο ἐπαρχίας τὴν μίαν μερίζεσθαι, καὶ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ δύο μητροπολίτας εἶναι, καὶ οὕτως διαφέρεσθαι ἀλλήλοις τοὺς τῆς ἐπαρχίας ἐκείνης B Ἐπισκόπους. ὅπερ ποτὲ καὶ ἐν τῇ Καππαδοκῶν ἐπαρχίᾳ συμβέβηκε, τῆς πόλεως τῶν Τυάνων νέας Μητροπόλεως γενομένης, ὡς ὁ Θεολόγος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ μεγάλου Βασιλείου φησί. διὰ ταῦτα τοίνυν τὸν κανόνα τοῦτον ἡ Σύνοδος ἔθετο, κωλύουσα μὴ γίνεσθαι τοιαῦτα, μηδὲ ζητεῖν τοὺς Ἐπισκόπους νέας ὀνομάζεσθαι Μητροπόλεις· τὸν δὲ ἐπιχειροῦντα τοιαύτῃ πράξει καθαιρεῖσθαι, καὶ διὰ μόνην τὴν ἐπιχείρησιν. οὐ γὰρ τὸν εἰς πρᾶξιν ἀγαγόντα τὴν ἐπιχείρησιν κολάζει μόνον, ἀλλὰ καὶ τὸν μόνον ἐπιχειροῦντα, κἂν μὴ τύχῃ τοῦ ἐφετοῦ. ἀλλὰ ταῦτα μὲν μετὰ τὸν κανόνα ὥρισε γίνεσθαι. τὰς δὲ πρὸ τοῦ κανόνος τιμηθείσας C πόλεις εἰς Μητροπόλεις διὰ γραμμάτων βασιλικῶν· ἃ γὰρ ἄνω ὠνόμασε πραγματικά, ἐνταῦθα ἐσαφήνισε καὶ γράμματα ἔφη βασιλικά· ἀπολαύειν παρεχώρησε τιμῆς μόνης, καὶ τοὺς ἐν αὐταῖς Ἐπισκόπους, μὴ ἐνοχλεῖν δὲ τῇ παλαιᾷ Μητροπόλει, σώζεσθαι δὲ ἐκείνῃ τῇ ὡς ἀληθῶς Μητροπόλει, ὡς τῷ χρόνῳ βεβαίως κτησαμένῃ τὴν κλῆσιν, τὰ δίκαια πάντα, μήτινος παρασπωμένου παρὰ τοῦ νέου Μητροπολίτου. καὶ οὗτος δὲ ὁ κανὼν οὐ φυλάττεται. τινὲς γὰρ Ἐπίσκοποι καὶ ἐφ' ἡμῶν διὰ βασιλικῶν προσταγμάτων εἰς τιμὴν ἀνήχθησαν Μητροπόλεως.

D

Arist. In duas provincias una provincia non ſcinditur: Qui autem ſciderit, Epiſcopatu dejicitur. Quæ vero imperatoris reſcripto ſciſſæ ſunt civitates honore ſolo fruantur, ut & Epiſcopus ibidem conſtitutus: ei vero quæ verè eſt Metropolis, propria jura conſerventur.

ΑΡΙΣΤ. Εἰς ἐπαρχίας δύο ἐπαρχία μία οὐ τέμνεται· ὁ δὲ τεμὼν, ἀνεπίσκοπος. αἱ δὲ γράμματι βασιλικῷ τιμηθεῖσαι πόλεις, τῆς τιμῆς ἀπολαυέτωσαν μόνης, καὶ ὁ αὐτόθι Ἐπίσκοπος. τῇ δὲ ἀληθῶς μητροπόλει τὰ οἰκεῖα σωζέσθωσαν.

Epiſcopus qui potentatus adit, & Epiſcopatum ſuum Metropolis nomine honorari contendit, ut ex eo una provincia in duas divideretur, ſuo gradu excidet. Quicunque autem epiſcopatus non Epiſcoporum ſtudio ſed potius ob eorum virtutem & civitatum dignitatem per literas imperiales ut Metropoles honorari aſſecuti ſunt, honore illo & ſolo fruentur. Ei autem quæ verè eſt Metropolis, cui antea ſuberant, propria ſervabuntur jura: & antea enim & poſtea iſtius Epiſcopus eum qui ab imperatore poſtea honoratus fuit conſtituet, Et omnes provinciæ Epiſcopatus illum & ſolum Metropolitanum habebunt, & non ſimul dividentur & ipſi ſecundum provinciæ diviſionem, & ſi quid aliud jus Epiſcopale in totâ provinciâ habuit, illæſum ipſi ſervabitur. Et nihil omnino de ejus privilegiis auferetur, & honorato dabitur.

Ὁ προσελθὼν δυναστείαις Ἐπίσκοπος, καὶ σπουδάσας τιμηθῆναι τὴν ἐπισκοπὴν αὐτοῦ τῷ τῆς μητροπόλεως ὀνόματι, ὡς ἐκ τούτου τὴν μίαν ἐπαρχίαν μερισθῆναι E εἰς δύο· τοῦ ἰδίου ἐκπεσεῖται βαθμοῦ. ὅσαι δὲ τῶν ἐπισκοπῶν, οὐκ ἀπὸ σπουδῆς τῶν Ἐπισκόπων, ἀλλὰ μᾶλλον δι' ἀρετὴν αὐτῶν, ἢ διὰ τιμὴν τῶν πόλεων, ἔφθασαν διὰ βασιλικῶν γραμμάτων τιμηθῆναι ὡς μητροπόλεις, ἀπολαύσουσι τῆς τιμῆς, καὶ μόνης· τῇ δὲ κατὰ ἀλήθειαν μητροπόλει, ὑφ' ἣν ἐτέλουν τὸ πρότερον, τὰ οἰκεῖα διαφυλαχθήσονται δίκαια. ἄνωθεν γὰρ καὶ αὖθις ὁ ταύτης Ἐπίσκοπος τοῦ μετὰ ταῦτα τιμηθέντος ὑπὸ βασιλέως καθίσει· καὶ αἱ τῆς ἐπαρχίας πᾶσαι ἐπισκοπαὶ τοῦτον, καὶ μόνον, μητροπολίτην ἕξουσι, καὶ οὐ συμμερισθήσονται καὶ αὐταὶ κατὰ τὴν τῆς ἐπαρχίας διαίρεσιν. καὶ εἴ τι ἄλλο ἐπισκοπικὸν δίκαιον ἐν πάσῃ τῇ ἐπαρχίᾳ εἶχεν, ἀκέραιον αὐτῷ F συντηρηθήσεται. καὶ ἁπλῶς οὐδέν τι ἀφαιρεθήσεται τῶν προνομίων αὐτοῦ, καὶ τῷ τιμηθέντι δοθήσεται.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ ιγ΄.

Ξένους κληρικοὺς καὶ ἀγνώστους ἐν ἑτέρᾳ πόλει δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου Επισκόπου, μηδόλως μηδαμοῦ λειτουργεῖν.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι πατέρες διορίζονται τοὺς κληρωθέντας ἔν τινι ἐκκλησίᾳ, ἐν ἑτέρᾳ πόλει μὴ λειτουργεῖν ἄνευ συστατικῶν γραμμάτων τοῦ ἰδίου Επισκόπου. καὶ τινὲς μὲν εἶπον συστατικὰς γραφὰς ἐνταῦθα τὰς ἀπολυτικὰς εἰρῆσθαι· ἄλλοι δὲ εἶπον περὶ συστατικῶν γραφῶν λέγειν τὸν κανόνα, διδομένων ἀνθρώποις κατηγορηθεῖσι, καὶ μετὰ ἐξέτασιν ἀθωωθεῖσιν. ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα διορίζεσθαι περὶ συστατικῶν γραμμάτων συνιστώντων εἰς τὴν τοῦ κληρικοῦ χειροτονίαν, καὶ ἀπολυόντων αὐτὸν καὶ ἀλλαχοῦ ἐνεργεῖν. τὰ γὰρ συνιστῶντα τὴν ἑκάστου ὑπόληψιν συστατικὰ, καὶ λαϊκοῖς δίδονται, περὶ ὧν οὐδεμία γέγονεν ἐνταῦθα μνεία. ἀνάγνωθι δὲ καὶ τὴν ἑρμηνείαν τοῦ ια΄. κανόνος.

ΖΩΝΑΡ. Τοῦτο πρὸ τῆς συνόδου ταύτης ὥρισαν οἱ θεῖοι ἀπόστολοι τὸν καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, καὶ εἰς ἑτέραν μετοικήσαντα παρὰ γνώμην τοῦ ἰδίου Επισκόπου κελεύσαντες μηκέτι λειτουργεῖν ἐπιμένοντα τῇ ἀταξίᾳ, ὡς δὲ λαϊκὸν κοινωνεῖν ὡς ιε΄. ἀποστολικὸς περιέχει κανών. καὶ ὁ παρὼν οὖν κανὼν τὰ αὐτὰ διατάττεται, καὶ τὸν δίχα γραμμάτων τοῦ Επισκόπου ἀπιόντα ἐν ἑτέρᾳ πόλει κελεύει μήτε ἐκεῖ, μήτε που ἀλλαχοῦ λειτουργεῖν. τοῦτο γάρ ἐστι τὸ μηδόλως μηδαμοῦ. ἐπεὶ δ' ἐνταῦθα συστατικῶν ἐμνήσθη ἐπιστολῶν, δείκνυται ἐκ τούτου, ὅτι καὶ ἐπί τισι κατηγορήθησαν οἱ κληρικοὶ οἱ ἀναχωρήσαντες τῆς ἰδίας παροικίας. αἱ γὰρ συστατικαὶ τοῖς κατηγορηθεῖσι δίδονται, ὅταν ἀθῶοι φανῶσιν ὡς ἤδη δεδήλωται, ἢ ὅτι ἀφωρισμένοι ἦσαν παρὰ τοῦ ἰδίου Επισκόπου.

ΑΡΙΣΤ. Κληρικὸς, δίχα συστατικῶν, ἀκοινώνητος εἰς πόλιν ἑτέραν.

Τοῦτο ἐν πολλοῖς τῶν κανόνων κεῖται, ὡς οἱ ξενοχειροτόνητοι κληρικοὶ, μὴ ἐπιφερόμενοι συστατικὰ τῶν Επισκόπων αὐτῶν, εἰς πόλιν ἑτέραν οὐ συγκεχώρηνται λειτουργεῖν.

ΚΑΝΩΝ ιδ΄.

Επειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος, μὴ ἐξεῖναί τινι αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν· τοὺς δὲ ἤδη ἐκ τοιούτου γάμου παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τέκνα παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς ἐκκλησίας· μὴ βαπτίσαντας δὲ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ ἐπὶ τοῖς αἱρετικοῖς, μήτε μὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ ἢ Ιουδαίῳ, ἢ Ελληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν, τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ. εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποκείσθω ἐπιτιμίῳ.

ΒΑΛΣ. Ὡς ἔοικεν ἔν τισι μὲν χώραις ἐξεχωροῦντο ἀναγνῶσται καὶ ψάλται γαμικὰ συναλλάγματα συνάπτειν ἀκολούθως τῷ ἀποστολικῷ κανόνι κς΄. ἔν τισι δὲ καὶ οὗτοι παραλόγως ἐκωλύοντο. ὡρίσθη οὖν διὰ τοῦ παρόντος κανόνος, ὡς εἰ καὶ ἐφειμένον ἐστὶν αὐτοῖς γυναῖκα λαμβάνειν, ἀλλ' οὐκ ἔξεστιν ἑτεροδόξοις συνάπτεσθαι, τοὺς δὲ προπαιδοποιήσαντας ἐκ τοιούτου γάμου, προσάγειν τὰ οἰκεῖα τέκνα παρὰ τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ. ἐφ' ᾧ εἰ μὲν ἔφθασαν αὐτὰ βαπτισθῆναι παρὰ αἱρετικῶν, χρισθῆναι μόνον ὑπὸ ἁγίου

CANON XIII.

Externos Clericos & ignotos in alia civitate ſine proprii Epiſcopi commendatitiis literis nuſquam ullo modo miniſtrare.

Bals. Sancti patres etiam rurſus definiunt, eos, qui in aliqua Eccleſia in Clerum ſunt cooptati, in alia Eccleſia non miniſtrare, ſine commendatiis literis proprii Epiſcopi. Et nonnulli quidem dixerunt commendatitias hic literas pro dimiſſoriis dictas eſſe: alii autem Cano-
B nem de commendatitiis literis loqui, quæ dantur accuſatis hominibus, qui poſt examinationem innocentes inventi ſunt. Mihi verò videtur hic Canon de literis commendatitiis definire, quæ Clerici ordinationem declarant, eúmque dimittunt ut etiam alibi miniſtret. Commendatitiæ enim, quæ ad tollendam ſuſpicionem dantur, etiam Laicis præbentur, de quibus nulla hîc fit mentio. Lege & xi. Canonis interpretationem.

Zonar. Et ante hanc Synodum editam, Apoſtolico Canone decimo quinto, quicunque relicta ſua parœcia in alteram invito Epiſcopo ſuo commigrarint, do-
C nec in ea pervicacia manſerint, à ſacro miniſterio arceri, ac laïcorum more tantum communicare jubentur. Eadem hic quoque Canon ſtatuit, & qui ſine Epiſcopi ſui literis in aliam civitatem abierit, vel in ea, vel alio quocunque loco ſacris operari vetat. Hoc etenim verba illa ſignificant, [nullibi, nullo modo] Ex eo verò, quòd hic Epiſtolæ commendatitiæ fiat mentio, Clericos, qui è ſua parœcia diverterent, reos antea criminis alicujus factos eſſe facile apparet. Comendatitiæ namque literæ iis qui crimine objecto ſe inſontes probaviſſent, ut diximus, vel qui priùs ab Epiſcopo ſuo ſegregati fuiſſent, tradi conſuevere.
D

Arist. *Clericus ſine literis commendatitiis in alius urbis communionem non recipitur.*

Hoc in multis Canonum ponitur, quod qui in alienâ parœciâ ordinantur Clerici, commendatitias Epiſcoporum ſuorum non afferentes literas, in aliâ miniſtrare civitate non permittuntur.

CANON XIV.

E *Quoniam in nonnullis provinciis conceſſum eſt Lectoribus & Cantoribus uxores ducere, decrevit ſancta ſynodus nulli eorum licere diverſæ à recta opinionis uxorem ducere: eos autem qui ex ejuſmodi matrimonio liberos ſuſceperunt, ſi eos quidem baptizare apud hæreticos prævenerint, ad catholicæ Eccleſiæ communionem adducere: Si autem non baptizaverint, non poſſe eos apud hæreticos baptizare, ſed neque hæretico, vel Judæo, vel Gentili matrimonio conjungere, niſi utique perſona, quæ orthodoxæ conjungitur, ſe ad orthodoxam fidem convertendam ſpondeat. Si quis autem hoc ſanctæ Synodi decretum tranſgreſſus fuerit, Canonicis pœnis ſubjiciatur.*
F

Bals. In nonnullis quidem, ut eſt veriſimile, provinciis, Lectoribus & Cantoribus permittebatur matrimonia contrahere conſequenter Apoſtolico xxvi. Canoni. In nonnullis autem id eis præter rationem prohibebatur. Per præſentem ergo Canonem definitum eſt, quòd etiamſi eis permiſſum eſt uxores accipere, diverſæ tamen à recta opinionis mulieribus eis conjungi non licet, & ut qui ex tali matrimonio liberos ſuſceperint, eos ad orthodoxorum Eccleſiam adducant: ut ſi ii quidem ab hæreticis baptizati fuerint, ſancto ſolùm chriſmate inungantur: ſin minus, ab Eccleſia baptizentur. Similiter definitum eſt, ne eorum liberi hæreticis vel Judæis vel Græcis conjungantur, niſi utique prohibitæ perſonæ polliceantur à ſua hæreſi vel ſuperſtitione recedere. Tunc enim ſi ad orthodoxam fidem acceſſerint, conſequentur quoque nuptiæ. Eos antem qui hæc tranſgrediuntur, canonicis pœnis ſubjicit ſynodus. Lege Laod. ſyn. can. x. & xxxi. & Carth. xxi. & invenies ſeparari matrimonium, quod cum hæretico contractum eſt. Exiſtimo autem, etiam cum ſeparatione, eos quoq; puniri ſecundum præſentem canonem. Sic enim ad concordiam deducentur canones. Rectè autem dixit, eos, qui antea ex Hæreticis ſuſcepti ſunt, liberos ad Eccleſiæ communionem adduci. Scis enim hæreticos in duo dividi; & in eos qui, quod ſecundum nos eſt, myſterium, & divinam condeſcenſionem ſuſcipiunt, in quibuſdam autem falluntur, quos etiam accedentes chriſmate ſolo inungimus: & in eos qui hoc omnino non ſuſcipiunt, & ſunt infideles, Judæos ſcilicet & Græcos: quos etiam baptizamus. Communionis ergo nomine utrumque declaravimus, ut vel chriſmate ungantur vel baptizentur. Lege vii. Can. ii. Syn. primum cap. iv. tit. xxviii. lib. Baſilic. & lxxii. Canon. Synodi in Trullo. Et nota ſecundum præſentem Canonem videri partem Eccleſiæ cogere, ut Latinos rejiciamus, qui uxores ex Romania volunt accipere.

μύρου· εἰ δὲ μὴ, βαπτισθῆναι ὑπὸ τῆς ἐκκλησίας. ὡσαύτως ὡρίσθη μὴ συνάπτεσθαι τὰ τούτων τέκνα αἱρετικοῖς ἢ Ἰουδαίοις ἢ Ἕλλησιν, εἰ μήπω τὰ κεκωλυμένα πρόσωπα καταθῶνται ἀποστῆναι τῆς οἰκείας αἱρέσεως ἢ θρησκείας. τηνικαῦτα γὰρ ἐὰν προσέλθωσι τῇ ὀρθοδόξῳ πίστει, ἐπακολουθήσει καὶ ὁ γάμος. τοὺς μέντοι παραβαίνοντας ταῦτα, κανονικοῖς ἐπιτιμίοις καθυποβάλλει ἡ σύνοδος. ἀνάγνωθι τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνας ι'. καὶ λα'. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα κα'. καὶ εὑρήσεις διασπώμενον τὸν μετὰ αἱρετικῶν συστάντα γάμον. οἴομαι δὲ σὺν τῷ διασπασμῷ, καὶ ἐπιτιμᾶσθαι τούτους κατὰ τὸν παρόντα κανόνα. οὕτω γὰρ οἱ κανόνες συμβιβασθήσονται. καλῶς δὲ εἶπεν ὀφείλειν τοὺς πρὸ τούτου τεχθέντας ἐξ αἱρετικῶν παῖδας, προσάγεσθαι τῇ κοινωνίᾳ τῆς ἐκκλησίας. οἶδας γὰρ ὅτι οἱ αἱρετικοὶ εἰς δύο διαιροῦνται, εἴς τε τοὺς δεχομένους μὲν τὸ καθ' ἡμᾶς μυστήριον, καὶ τὴν θείαν συγκατάβασιν, ἔν τισι δὲ σφαλλομένους, οὓς καὶ μύρῳ μόνῳ χριόμεθα προσερχομένους, καὶ εἰς τοὺς πάντη μὴ δεχομένους τοῦτο καὶ ὄντας ἀπίστους, Ἰουδαίους δηλονότι καὶ Ἕλληνας, οὓς καὶ βαπτίζομεν. τῷ ὀνόματι γοῦν τῆς κοινωνίας ἐδηλώθησαν καὶ ἀμφότεροι, ὥστε ἢ μύρῳ χρισθῆναι ἢ βαπτισθῆναι. ἀνάγνωσον τὸν ζ'. κανόνα τῆς β'. συνόδου, τὸ α'. κεφ. τοῦ δ'. τίτλου τοῦ κη'. βιβλίου τῶν βασιλικῶν, καὶ τὸν οβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου. καὶ σημείωσαι ὅτι κατὰ τὸν παρόντα κανόνα, ὡς ἔοικεν, ἀναγκάζει τὸ μέρος τῆς ἐκκλησίας τοὺς Λατίνους ἐξομνύσθαι θέλοντας γυναῖκας λαβεῖν ἐκ τῆς Ρωμανίας.

Zonar. Hoc idem & Laodicena Synodus x. & xxxi. & Carthaginenſis xxi. Canone ſanxere: & in Trullo palatii celebrata œcumenica Synodus pluribus adhuc verbis explicavit. Sed Carthaginenſis de ſolis Clericis, quemadmodum & hic Canon, loquitur: Laodicena vero, & Trullana, orthodoxorum prorſus omnium matrimonia cum hæreticis damnat, ac nuptiali quamvis fœdere contracto irrita nihilominus eſſe decernit. Non omnibus tamen locis, ut ipſa hujus Canonis verba ſatis indicant, Lectoribus olim & Cantoribus, poſtquam in illum ordinem cooptati forent, uxores ducere permiſſum fuit; quamvis Apoſtolico Canone xxvi. hæc continente. Ex omnibus qui in clerum leguntur, ſi cœlibes ſint, matrimonia inire Lectoribus ſolis & Cantoribus liceat. Clericos igitur orthodoxos, conjugio cum fœminis à recta religione alienis in poſterum ſociari omnino ſynodus vetat. Qui vero ſociati antea, liberos quoq; ſuſcepere, eos licet ab hæreticis jam baptizatos ducere, atque Eccleſiæ Catholicæ ſiſtere jubentur. Adducti enim, vel ſancto chriſmate ſolum inungentur, ſi ab Hæreticis recepto ab Eccleſia more baptizati ſint; vel, ſi alieno ab eccleſiaſtica conſuetudine damnatoque ritu initiati, ſalutaribus undis iterum repetito baptiſmo expiabuntur. Nondum vero baptizatos nullo modo ab hæreticis baptizandos eſſe; neque quidem filiorum ſuorum nomine quicquam de nuptiis, cum hæretico, Judæo, aut Græco jungendis agere, debere decernit. Sunt vero hæretici, qui myſteria noſtræ religionis ita recipiunt, ut in quibuſdam tamen hallucinentur, atque ab orthodoxis diſſentiant. Judæi autem, qui nefario ſe Chriſti parricidio contaminavere, & Græcorum appellatione, à fide prorſus alieni & idolorum cultores ſignificantur. Quod ſi fidem amplecti ſe velle hæreticorum quiſpiam aut infidelium polliceatur, cum eo paciſci de nuptiis, non tamen eas, antequam promiſſa qui ea dedit impleverit, celebrari licere decernitur. Qui ſecus fecerit, canonicis in eum pœnis animadverti jubent.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἡ ἐν Λαοδικείᾳ σύνοδος ἐν ι'. καὶ λα'. κανόνι διετυπώσατο, καὶ ἡ ἐν Καρθαγένῃ ἐν κα'. διετάξατο, καὶ ἡ ἐν τῷ Τρούλλῳ τοῦ παλατίου συστᾶσα οἰκουμενικὴ σύνοδος πλατύτερον διωρίσατο. ἀλλ' ἡ μὲν ἐν Καρθαγένῃ σύνοδος ὁμοίως τῷ παρόντι κανόνι περὶ μόνων κληρικῶν διαλέγεται· ἡ δὲ ἐν Λαοδικείᾳ, καὶ ἡ ἐν τῷ Τρούλλῳ, καθάπαξ παντὶ ὀρθοδόξῳ ἀπαγορεύει συναλλάττειν γάμον πρὸς αἱρετικοὺς, καὶ διασπᾶσθαι τὸν τοιοῦτον γάμον, κἂν γένηται, παρακελεύεται. ὡς δὲ ἐκ τῆς συγγραφῆς τοῦ παρόντος κανόνος δηλοῦται, οὐ πανταχοῦ τότε τοῖς ἀναγνώσταις καὶ ψάλταις ἐφεῖτο μετὰ τὴν χειροθεσίαν λαμβάνειν γυναῖκας, καίτοι τοῦ κϛ'. κανόνος τῶν ἱερῶν ἀποστόλων περιέχοντος ταῦτα· τῶν εἰς κλῆρον προελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. καὶ εἰς τὸ ἑξῆς μὲν, ἀπηγόρευσεν ἡ σύνοδος αὕτη τοὺς ὀρθοδόξους κληρικοὺς ἑτεροδόξοις συνοικεῖν γυναιξί· τοὺς δὲ ἤδη συνῳκηκότας, καὶ ἐξ ἐκείνων παιδοποιησαμένους ἀπαιτεῖ τοὺς οἰκείους παῖδας προσάγειν τῇ καθολικῇ ἐκκλησίᾳ, κἂν ἔφθασαν ὑπὸ αἱρετικῶν βαπτισθῆναι. προσαχθέντες γὰρ ἢ τῷ ἁγίῳ χρίσματι χρισθήσονται μόνον, εἰ ὑπὸ αἱρετικῶν ἐβαπτίσθησαν, ὧν τὸ βάπτισμα δεκτὸν τῇ ἐκκλησίᾳ λογίζεται, ἢ καὶ ἄνωθεν βαπτισθήσονται, εἰ ἀπόβλητον τὸ βάπτισμα τῶν βαπτισάντων αὐτοὺς αἱρετικῶν τῇ ἐκκλησίᾳ ἐστίν. εἰ δὲ οὔπω βαπτίσματος ἔτυχον, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι μήτε μὴν ὀνόματι τῶν παίδων αὐτῶν συναλλάττειν γάμον πρὸς αἱρετικοὺς, μήτε πρὸς Ἰουδαῖον, μήτε πρὸς Ἕλληνα, αἱρετικοὺς μὲν τοὺς τὸ καθ' ἡμᾶς δεχομένους, μυστήριον λέγων, ἔν τισι δὲ σφαλλομένους, καὶ διαφερομένους τοῖς ὀρθοδόξοις. Ἰουδαίους δὲ τοὺς χριστοκτόνους, καὶ Ἕλληνας τοὺς πάντη ἀπίστους, καὶ εἰδώλων προσκυνητάς· εἰ δ' ἴσως ὁ αἱρετικὸς, ἢ ὁ ἄπιστος ἐπαγγέλλεται συνθέσθαι τῇ ὀρθοδόξῳ πίστει, τὸ μὲν συνάλλαγμα προβήσεται, ἡ δὲ συνάφεια ὑπερτεθήσεται, μέχρις ἂν τὴν ἐπαγγελίαν πληρώσῃ ὁ ταύτην ποιησάμενος. ὁ δὲ τούτων παραβάτης ἐπιτιμίοις κανονικοῖς ὑποκείσεται.

ΑΡΙΣΤ. Ἑτερόδοξος ψάλτης, καὶ ἀναγνώστης, εἰ γήμας ἐτέκνωσε, προσάγει τῇ κοινωνίᾳ τὰ τέκνα, εἴπερ ἐκεῖσε βεβάπτισται· εἰ δ' ἔτι ἀβάπτιστα, οὐκ ἔτι βαπτίζεται τοῖς αἱρετικοῖς.

A **Arist.** *Cantor aut Lector à recta ſide alienus, ſi uxore ductâ liberos genuerit, eos ad communionem adducit, ſi ibidem baptizati ſunt. Si vero nondum ſunt baptizati, apud hæreticos poſtea non baptizantur.*

Τὸ συνάπτεσθαι ὀρθόδοξον αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν, καὶ ὁ δέκατος κανὼν, καὶ ὁ τριακοστὸς πρῶτος τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ δεύτερος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ ὁ παρὼν οὗτος ἀπαγορεύουσιν. εἰ δέ τις τῶν ψαλτῶν καὶ τῶν ἀναγνωστῶν πρὸ τῶν κανόνων τούτων ἑτερόδοξον γυναῖκα ἔλαβε, καὶ ἐτέκνωσε ἐξ αὐτῆς, καὶ τὰ τέκνα ἐβάπτισε παρὰ τοῖς αἱρετικοῖς μένων, προσαγέτω ταῦτα τῇ κοινωνίᾳ τῆς καθολικῆς ἐκκλησίας· εἰ δ' ἀβάπτιστα αὐτὰ ἔχοι, μηκέτι παρὰ τοῖς αἱρετικοῖς ποιούμενος τὴν ἀναστροφὴν, βαπτιζέτω· ἀλλ' ἐκεῖθεν ὑπαναχωρῶν, τῇ καθολικῇ προσαγέτω ἐκκλησίᾳ καὶ τοῦ θείου ταῦτα καταξιούτω βαπτίσματος.

Orthodoxum hæreticæ matrimonio conjungi mulieri, aut vice verſâ & decimus & trigeſimus primus ſynodi Laodicenæ Canon, & ſecundus ſextæ in Trullo ſynodi, & hic præſens prohibent. Si quis autem è Cantoribus aut Lectoribus ante editos hoſce Canones alterius ſectæ duxerit uxorem, & liberos ex eâ ſuſceperit, eoſque ba- B ptizaverit, dum apud hæreticos manſerit, iſtos Eccleſiæ catholicæ communioni adducat. Si vero nondum baptizati fuerint, ne poſthac apud hæreticos retrorſum ſe convertens eos baptizet. Sed illinc recedens, catholicæ adducat Eccleſiæ & divino eos dignetur baptiſmo.

ΚΑΝΩΝ ιε΄.

Διάκονον μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετ' ἀκριβοῦς δοκιμασίας. εἰ δέ γε δεξαμένη τὴν χειροτονίαν, καὶ χρόνον τινὰ παραμείνασα τῇ λειτουργίᾳ, ἑαυτὴν ἐπιδῷ γάμῳ, ὑβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇ συναφθέντος.

Canon XV.

Diaconiſſam non eſſe mulierem ordinandam ante annum quadrageſimum, & eam cum accurata examinatione. Si autem poſtquam ordinatione ſuſcepta miniſterio aliquo C *tempore permanſit, ſeipſam matrimonio tradiderit, Dei gratiæ injuriam faciens, ea, unà cum illo qui ei conjunctus eſt, anathematizetur.*

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος πάντη ἐσχόλασε. διακόνισσα γὰρ σήμερον οὐ χειροτονεῖται, κἂν καταχρηστικῶς τινὲς τῶν ἀσκητριῶν διακόνισσαι λέγωνται· ὅτι κανών ἐστι διοριζόμενος μὴ εἰσέρχεσθαι γυναῖκας ἐν τῷ ἁγίῳ βήματι. ἡ γοῦν μὴ δυναμένη ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ εἰσελθεῖν, πῶς τὰ τῶν διακόνων ἐνεργήσει; ἀνάγνωσον τὸν ιδ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιε΄. λέγοντας καθαιρεῖσθαι τὴν διακόνισσαν χειροτονηθεῖσαν πρὸ τοῦ πληρῶσαι τὸν τεσσαρακονταετῆ χρόνον. ὁ δὲ παρὼν φησὶ κανὼν, ἀναθεματίζεσθαι τὴν μετὰ τὴν χειροτονίαν γάμοις ἑαυτὴν ἐπιδοῦσαν, ὡς ὑβρίστριαν τῆς τοῦ Θεοῦ χάριτος. περὶ δὲ μοναζουσῶν, ὁ ἐφεξῆς διδάσκει κανών. ζήτει καὶ τὸν μεγάλου Βασιλείου κανόνα ιζ΄. καὶ κδ΄.

Bals. Quæ in præſenti Canone tractantur, omnino exolevere. Diaconiſſa enim hodie non ordinatur, etiamſi quædam aſcetriæ abuſivè Diaconiſſæ dicantur. Eſt enim Canon, qui ſtatuit mulieres in ſacrum tribunal non debere ingredi. Quæ ergo ad ſanctum altare accedere non poteſt, quomodo Diaconatus officium exercebit? Lege & xiiii. Can. Syn. in Trullo, & xv. dicentes deponendam Diaconiſſam, quæ ordinata eſt prius quam quadrageſi- D mum annum expleviſſet. Præſens autem Canon dicit anathematizari mulierem, quæ poſt ordinationem ſe nuptum dederit, ut quæ Dei gratiam injuria afficiat. De monialibus autem ſequens docet Canon. Quære & magni Baſilii Canonem xvii. & xxiiii.

ΖΩΝΑΡ. Διὰ τὸ εὐεξαπάτητον τῶν γυναικῶν, καὶ εὐόλισθον, οὐχ ἧττονα τῶν τεσσαράκοντα ἐτῶν γυναῖκα χειροτονεῖσθαι διάκονον ὁ παρὼν βούλεται κανὼν, καὶ ὁ ιδ΄. δὲ καὶ ιε΄. κανὼν τῆς ἐν τῷ Τρούλλῳ οἰκουμενικῆς συνόδου ὁμοίως φησὶ καὶ τοὺς παρὰ τοὺς ὁρισθέντας ἐφ' ἑκάστῳ χρόνους χειροτονηθέντας καθαιρεῖσθαι κελεύει. καὶ τεσσαράκοντα δὲ οὖσαν ἐνιαυτῶν τὴν γυναῖκα μετ' ἀκριβοῦς δοκιμασίας χειροτονεῖσθαι βούλεται ὁ κανὼν οὗτος, τοῦ βίου καὶ τῆς διαγωγῆς αὐτῆς ἀκριβουμένης. εἰ δὲ δέξεται τὴν χειροτονίαν, καὶ μετά τινα χρόνον ἀρνήσεται τὴν χάριν τοῦ πνεύματος, καὶ ἐπιδῷ ἑαυτὴν γάμῳ, ἀναθεματίζεσθαι, κἀκείνην καὶ τὸν αὐτῆς γαμέτην διακελεύεται. ὁ δὲ μέγας ἀπόστολος Παῦλος Τιμοθέῳ ἐπιστέλλων. χήρα μὴ καταλεγέσθω, φησὶν, ἐλάττων ξ΄. ἐτῶν. διὰ τί οὖν οὕτως διαταξαμένου τοῦ Παύλου, ἡ σύνοδος αὕτη τεσσαράκοντα ἐτῶν εἶναι τὴν χειροτονουμένην εἰς διακόνισσαν διετυπώσατο; φασὶν οὖν ὅτι ὁ μὲν ἀπόστολος περὶ χηρῶν διωρίσατο· ἡ δὲ σύνοδος αὕτη, περὶ παρθένων. ἡ γοῦν ἑαυτὴν μέχρι τοῦ τεσσαρακοστοῦ χρόνου ἐν ἁγνείᾳ τηρήσασα, καὶ ἄπειρος μείνασα τῆς ἐκ συναφείας ἀνδρώας ἡδονῆς, καὶ τὸ τῆς διακόνου χάρισμα δεξαμένη οὐ ῥᾷον πιστεύεται ἀποκλῖναι εἰς γάμον καὶ εἰς ἐπιθυμίαν ἐλθεῖν μίξεως, ἧς οὔπω πεπείραται· ἡ δὲ χήρα εὐνῆς ἀνδρώας καταπολαύσασα, καὶ γευσαμένη τῆς ἐξ ἀνδρώας μίξεως ἡδονῆς μᾶλλον ἂν εἴη πρὸς τὸ πάθος ἐπικλινής. διὸ καὶ ὁ μέγας Βασίλειος ἐν τῷ ιη΄. τῶν αὐτοῦ κανόνων, οὐχ ὁμοίως παρθένον κανονικὴν ἐκπεσοῦσαν κολάζει,

Zonar. Cum mulieres aut capi fraudibus, aut ſponte ad deteriora labi facillimum ſit, idcirco minorem quadraginta annis Diaconiſſam eligi, hujus Canonis ſanctione vetitum eſt. Idem Trullanæ quoque Oecumenicæ Synodi xiiii. ac xv. Canone conſtitutum; ac iis, qui E præfinita ſingulis ordinibus tempora anteverterint, depoſitio irrogata. Sed hanc quoq; quadragenariam mulierem non ſine ſtrictâ examinatione, diligenter explorata prius ac probata vivendi ratione, hic Canon admittit. Quòd ſi in album Diaconiſſarum relata, decurſu poſtea temporis, ſancti Spiritus munere repudiato, nuptiis ſeſe implicaverit, utrumque tam mulierem, quam illum cum quo nupta fuerit, anathemate plectendos eſſe decernit. At verò magnus Apoſtolus Paulus ad Timotheum ſcribens: Vidua, inquit, ne eligatur minor ſexaginta annis. Cur igitur ſic Paulo præcipiente, xl. annos natam mulierem ordini Diaconiſſarum adſcribi licere Synodus conſtituerit? Dicunt F Apoſtolum quidem de viduis, ſynodum autem de virginibus ſtatuiſſe. Nam quæ ſe ad quadraginta annos integram incorruptamque conſervarit, nec ullam ex virili commercio voluptatis partem deguſtaverit, poſtea Diaconatus quoque honore & gratia auctam, animum ad nuptias intendere, & ejus vitæ cupiditate, cujus nullum antea uſum habuit, accendi non ita facile eſt. At vidua, quippe in cubile viri olim deducta voluptatúmque illecebris delinita, erit ad libidinem proclivior. Proinde magnus quoque Baſilius decimo octavo ſuo Canone quamvis in æquali peccato, graviorem tamen virgini ex Canonicis ſan-

UMI

A ſanctionibus electæ, quam viduæ, pœnam infligit. Atque viduam quidem ancillæ, quæ fornicata eſt, & ſcelere domini ſui domum impleverit: virginem verò ſponſæ adulterio pollutæ comparat. Idcirco virginem adulterorum pœnis ſubjici: viduam autem inſtar ancillæ in flagitio deprehenſæ puniri jubet. Viduam igitur, quòd libidini longe proclivior ſit quam virgo, ætate provectiorem eligi oportere, magnus Apoſtolus cenſuit. Hinc & ſapientiſſimus ille Baſilius, vigeſimo quarto Canone, de vidua, quæ in numerum viduarum relata poſtea nupſerat loquens, addit; Quòd ſi ſexaginta annis B minorem viduarum ordini adſcripſerimus, noſtrum jam illud crimen, non mulierculæ fuerit.

καὶ χήραν ἐπίσης ἁμαρτήσασαν. ἀλλὰ τὴν μὲν χήραν δούλῃ ἀπεικάζει πορνευθείσῃ, καὶ μύσους τὸν οἶκον τοῦ κυρίου αὐτῆς πλησάσῃ· τὴν δὲ παρθένον νύμφῃ μοιχευθείσῃ. καὶ ταύτην μὲν τῷ τῆς μοιχείας ὑπάγει κρίματι· τὴν δὲ χήραν, ὡς δούλην ἐπὶ πορνείᾳ ἁλοῦσαν καταδικάζει. ὡς οὖν πρὸς τὸ πάθος τῆς μίξεως εὐκατάφορον μᾶλλον τὴν χήραν οὖσαν τῆς παρθένου ἐν χρόνῳ πλείονι κατατάττεσθαι ὁ μέγας ἀπόστολος διετάξατο. διὸ καὶ ὁ πολὺς τὴν σοφίαν Βασίλειος ἐν τῷ κανόνι περὶ χήρας μετὰ τὸ καταλεγῆναι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν ἀνδρὶ συνοικησάσης διαλεγόμενος ἐπάγει· ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

ARIST. *Diaconiſſa, niſi quadraginta annos nata, non ordinatur. Ei vero quæ per matrimonium initum ſacro muneri dedecus attulerit, anathema.*

ΑΡΙΣΤ. Διακόνισσα, εἰ μὴ τεσσαρακονταετὴς, οὐ γίνεται· τῇ δὲ διὰ γάμου τὴν λειτουργίαν ἐξυβρισάσῃ ἀνάθεμα.

Non oportet mulierem ante annum quadrageſimum ordinari Diaconiſſam. Si autem cum quadrageſimum ætatis attigerit annum ordinetur, & poſt ordinationem in matrimonio verſetur, ut injuriam Dei gratiæ faciens, C anathematizetur.

Οὐ δεῖ γυναῖκα πρὸ τεσσαράκοντα χρόνων χειροτονεῖσθαι διάκονον· εἰ δὲ χρόνων τεσσαράκοντα οὖσα χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν γάμῳ προσομιλήσει, ὡς ἐξυβρίσασα τὴν τοῦ θεοῦ χάριν, ἀναθεματιζέσθω.

CANON XVI.

ΚΑΝΩΝ ις΄.

Virginem, quæ ſe domino Deo dedicavit, ſimiliter & monachos non licere matrimonio conjungi. Sin autem hoc feciſſe inventi fuerint, ſint excommunicati. Oſtendendæ autem in eos humanitatis auctoritatem habere ſtatuimus Epiſcopum ejus loci.

Παρθένον ἀναθεῖσαν ἑαυτὴν τῷ δεσπότῃ θεῷ, ὡσαύτως καὶ μονάζοντας μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν. εἰ δέ γε εὑρεθεῖεν τοῦτο ποιοῦντες, ἔστωσαν ἀκοινώνητοι. ὡρίσαμεν δὲ ἔχειν τὴν αὐθεντίαν τῆς ἐπ' αὐτοῖς φιλανθρωπίας τὸν κατὰ τόπον Ἐπίσκοπον.

BALS. Olim quædam mulieres cum laicali habitu D ad Deum accedebant, & virginitatem profitebantur. Definiunt ergo Patres eos qui hoc profeſſi fuerint, ſive ſint viri Monachi, ſive mulieres, ab iis, quæ voverunt ac profeſſi ſunt, non diſcedere, nec matrimonio conjungi debere. Horum autem tranſgreſſores excommunicatos eſſe ſeu ſegregatos. Segregationis autem poteſtatem, ejuſque vel extenſionem, vel diminutionem, illius loci Epiſcopo attribuerunt. Hodie autem Conſtantinopoli nec ſunt virgines cum laicali habitu Deo conſecratæ, nec eſt virginum domicilium (quod Parthenon dicitur.) Solus autem ſanctus ille Thebarum metropolitanus Caloctenes fecit Thebis parthenonem, & laicas in ipſo virgines ordinavit. Et ideo æternum hoc eſt ejus monumentum, eique eo E nomine gratia agenda eſt. Si autem velis etiam has aſcetrias dicere virgines, nihil impedimenti invenies, niſi eas etiam velis Monachis aſſimilare propter tonſuram, & quòd earum pacta conventa ſeu vota fiant in Eccleſia. Lege xix. Can. Synodi Ancyranæ, quæ bigamorum eas pœnis ſubjicit: Syn. in Trul. xliiii. Baſilii Magni lx. & xix. Hi enim ut fornicatores, illi verò ut adulteros, qui vota ſua non ſervaverint, condemnant. Ne ergo in aliquo eorum repugnantiam eſſe exiſtimes: ſed dic, quòd quoniam Epiſcopi poteſtati pœna permiſſa eſt, ipſe peccatorem pro arbitrio puniet cum examinatione. Lege & F librum xxviii. tit. vi. cap. i. in quo decernitur non ſolùm ſeparari illicitas nuptias, utpote cum cognata, eáſve quæ præter legum præcepta fiunt, aut cum ea, cujus is, qui ipſam ducit, tutelam gerit; & nefarias ſeu damnatas, ejus ſcilicet quæ Deo dedicata eſt: ſed & eos, qui contraxerunt, publicari & ſegregari, & ſi ſint humilis loci etiam flagellis cædi. Quamobrem non ſolùm fiet quod jubet novella, ſed etiam pœnæ conſequentur.

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες προσήρχοντο τῷ Θεῷ μετὰ λαϊκοῦ σχήματος, καὶ ὡμολόγουν παρθενεύειν. διορίζονται τοίνυν οἱ πατέρες τοὺς ὁμολογήσαντας τοῦτο, κἂν ἄνδρες εἶεν μονάζοντες, κἂν γυναῖκες, μὴ ἀφίστασθαι τῶν ὡμολογημένων, καὶ γάμοις προσομιλεῖν. τοὺς δὲ παραβάντας τούτων ἀκοινωνήτους ἤτοι ἀφορισμένους εἶναι. τὴν μέντοι ἐξουσίαν τοῦ ἀφορισμοῦ ἤτοι τὴν ἐπέκτασιν ἢ τὴν μείωσιν τῷ ἐγχωρίῳ Ἐπισκόπῳ ἀνέθεντο. σήμερον δὲ τέως ἐν τῇ Κωνσταντινουπόλει, οὔτε παρθένοι μετὰ λαϊκοῦ σχήματος τῷ Θεῷ ἀνατίθενται, οὔτε παρθενὼν ἐστί. μόνος δὲ ὁ ἅγιος μητροπολίτης ἐκεῖνος Θηβῶν ὁ Καλοκτένης ἐποίησε παρθενῶνα εἰς Θήβας, καὶ ἔταξε παρθένους ἐν αὐτῷ λαϊκάς. διὸ καὶ ἔστι τὸ μνημόσυνον αὐτοῦ αἰώνιον, καὶ χάριν τούτου. εἰ δὲ θέλεις εἰπεῖν τὰς ἀσκητρίας τοιαύτας παρθένους, οὐδὲν εὑρήσεις ἐμποδὼν, εἰ μή πω θέλεις ταύτας παρεικάσαι ταῖς μοναζούσαις διὰ τὴν ἀπόκαρσιν, καὶ τὰς ἐπ' ἐκκλησίας συνθήκας αὐτῶν. ἀνάγνωσον τὸν ιθ΄. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, τὸν τῶν διγάμων ἐπιτιμίῳ ταύτας καθυποβάλλοντα, τῆς ἐν τῷ Τρούλλῳ μδ΄. καὶ τοῦ μεγάλου Βασιλείου ξ΄. καὶ ιθ΄. οἱ μὲν γὰρ ὡς πόρνους, οἱ δὲ ὡς μοιχοὺς τοὺς ἀθετητὰς τῶν ὁμολογιῶν αὐτῶν καταδικάζουσι. μὴ γοῦν ἐναντιωθῇς τινὶ ἐξ αὐτῶν· ἀλλ' εἰπὲ ὅτι ἐπεὶ παρὰ τῇ ἐξουσίᾳ τοῦ Ἐπισκόπου τὰ τῶν ἐπιτιμίων ἀνετέθη, αὐτὸς τὸν ἁμαρτήσαντα κατὰ τὸ δοκοῦν αὐτῷ ἐπιτιμήσει μετὰ δοκιμασίας. ἀνάγνωθι καὶ βιβλίον κη΄. τίτλον ϛ΄. κεφ. α΄. διοριζόμενον μὴ μόνον διασπᾶσθαι τὸν ἀθέμιτον γάμον, ἤτοι τὸν μετὰ συγγενοῦς καὶ τὸν παράνομον, ἤτοι τὸν μετὰ τῆς ἐπιτροπευομένης, καὶ τὸν κατάκριτον δηλονότι τὸν μετὰ τῆς τῷ Θεῷ ἀνατεθειμένης· ἀλλὰ καὶ δημεύεσθαι τοὺς συναλλάξαντας καὶ ἐξορίζεσθαι, εὐτελεῖς δὲ ὄντας καὶ μαστίζεσθαι. ὥστε οὐ μόνον τὰ τῆς νεαρᾶς γενήσονται, ἀλλὰ καὶ ἐπιτίμια ἐπακολουθήσουσι.

ΖΩΝΑΡ. A Τοὺς ὁμολογήσαντας παρθενεύειν κἂν ἄνδρες εἶεν, κἂν γυναῖκες, ὡς ἀνάθημα ἑαυτοὺς προσαγαγόντας τῷ Θεῷ βούλεται ὁ κανὼν τὴν ὁμολογίαν φυλάττειν, καὶ μὴ παραβάτας τῶν ὡμολογημένων εὑρίσκεσθαι. εἰ γὰρ τὰς πρὸς ἀλλήλους ὁμολογίας ἐμπεδοῖ Θεὸς μέσος παραληφθεὶς κατὰ τὴν θεολόγων φωνὴν, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι; εἰ δέ τινες εὑρεθεῖεν μετὰ τὴν ὁμολογίαν γάμον ἑλόμενοι, ἀκοινωνήτους ἤτοι ἀφωρισμένους εἶναι τούτους ὁ κανὼν διατάττεται· τὴν δὲ ἐξουσίαν τοῦ φιλανθρωπεύσασθαι ἴσως καὶ λῦσαι τὸ ἐπιτίμιον αὐτοῖς ἢ ἐλαφρῦναι, καὶ τὸν χρόνον αὐτοῖς συστεῖλαι τῇ ἐξουσίᾳ τοῦ κατὰ τόπον Ἐπισκόπου B ἀνέθετο. ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου ιθʹ. κανὼν, οἱ παρθενίαν, φησὶν, ἐπαγγελλόμενοι, καὶ ἀθετοῦντες τὰ ἐπηγγελμένα τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. ὁ δὲ μδʹ. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συστάσης ἕκτης Συνόδου· μοναχὸς, φησὶν, ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμον γυναῖκα ἀγαγόμενος τοῖς τῶν πορνευόντων ὑποβληθήσεται ἐπιτιμίοις. ὁ δέ γε τοῦ μεγάλου Βασιλείου ξʹ. κανὼν οὕτως περιέχει· ἡ παρθενίαν ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς, πληρώσει. τὸ αὐτὸ καὶ ἐπὶ μοναχῶν ἐκπιπτόντων. ἐν δὲ τῷ ιαʹ. αὐτοῦ κανόνι, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ C καταδικάζει τοὺς μετὰ τὴν ὁμολογίαν μετατιθεμένους μονάζοντας εἰς φιλόσαρκον καὶ ἡδονικὸν βίον.

ΑΡΙΣΤ. Μονάζοντες, ἢ μονάζουσαι, μὴ γαμείτωσαν· ἐπεὶ, ἔστωσαν ἀκοινώνητοι.

Οὗτοι τῆς ἐπαγγελίας αὐτῶν ἐκπεσόντες, καὶ τὰς συνθήκας αὐτῶν ἀθετήσαντες, ἀκοινωνησίᾳ ὑπόκεινται· ὁ δὲ ἑξηκοστὸς κανὼν τοῦ μεγάλου Βασιλείου τῷ τῆς μοιχείας ἐπιτιμίῳ τούτους καθυπάγει.

D

ΚΑΝΩΝ ιζʹ.

Τὰς καθ' ἑκάστην ἐπαρχίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς Ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως κατέχοντες ᾠκονόμησαν. εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις ἢ γένοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἀδικεῖσθαι, περὶ τούτων κινεῖν παρὰ τῇ Συνόδῳ τῆς ἐπαρχίας. εἰ δέ τις ἀδικεῖτο παρὰ τοῦ ἰδίου μητροπολίτου παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὼς E προείρηται. εἰ δὲ καί τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις ἢ καὶ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ τῶν ἐκκλησιαστικῶν παροικιῶν ἡ τάξις ἀκολουθείτω.

ΒΑΛΣ. Τινὲς εἶπον ἐνταῦθα μὴ περὶ ἐνοριῶν λέγειν τὸν κανόνα, ἀλλὰ περὶ ἑτέρων δικαίων διαφερόντων ἑκάστης ἐπαρχίας ἐπισκοπῇ. οὐκ ἔστι δὲ τοῦτο ἀληθὲς καθὼς δηλοῦται ἀπὸ τοῦ τέλους τοῦ κανόνος λέγοντος δύνασθαι τὸν βασιλέα ἐπὶ ταῖς ὑπ' αὐτοῦ καινισθείσαις ἢ καινισθησομέναις πόλεσιν, ὑποτυποῦν τὰ βουλητέα αὐτῷ F χάριν τῶν ἐπισκοπικῶν δικαίων. καὶ ἀνάγνωθι τὸν ιβʹ. κανόνα τῆς παρούσης Συνόδου. τὸν ληʹ. τῆς ἐν τῷ Τρούλλῳ Συνόδου. ὃ δὲ λέγει ὁ παρὼν κανὼν, τοιοῦτόν ἐστιν, ἤθελον τινὲς ἐξακούεσθαι τοὺς περὶ τῶν ἐνοριῶν κανόνας εἰς πολιτικὰς ἐνορίας, οὐ μὴν καὶ εἰς εὐτελεῖς ἀγροικίας. ὡρίσθη οὖν κατέχειν ἀμάχως τοὺς Ἐπισκόπους, τὰς ἐπὶ τριακονταετίᾳ νεμηθείσας παρ' αὐτῶν ἐνορίας ἀβιάστως, κἂν ἀγροικικαὶ ὦσιν, ἤτοι μικραὶ, αἳ καὶ μονοίκια λέγονται, κἂν ἐγχώριοι, ἤτοι πολλοὺς κατοίκους ἔχουσιν. εἰ

Zonar. Qui ſe viri aut fœminæ virginitatis legibus adſtringentes Deo inſtar anathematis devoverunt, in ſuſcepto conſilio permanere, ac promiſſi fidem nullo modo infirmare Canon jubet. Si namque hominum inter ſe conventa Deo quaſi advocato aut adſtipulatore, ex Theologorum ſententia, firmari ſolent, quid illi factum iri arbitrabimur, qui fidem ipſi Deo voluntaria pactione obligatam fallere non dubitarit? Quicunque igitur profeſſione continentiæ edita, deinde ſe nuptiis alligarint, communione privatos, hoc eſt, ſegregationi obnoxios eſſe decernit: ſed ita tamen, ut clementiæ aliquid hujuſmodi hominibus impartiri, totamque pœnam, vel ejus partem aliquam condonare, deque temporis præfiniti ſumma, quod libitum fuerit, deducere Epiſcopo liceat. Ac Ancyranæ quidem Synodi decimus nonus Canon, Qui ſe virginitatis voto, dicit, obligavere, ſi fidem promiſſi fregerint, digamorum legibus judicentur. Trullanæ autem ſextæ Synodi quadrageſimus quartus Canon: Monachus, ait, qui cum ſcorto deprehenſus fuerit, uxoremve duxerit, ſcortatorum pœnas luat. At vero magni Baſilii Can. lx. quæcunq; virginitatem profeſſa mulier à propoſito defecerit, pœnas adulterio in vitæ ſuæ diſpenſatione conſtitutas jubetur expendere. Eademque lege monachos ſi peccarint, teneri placet. Quos etiam, ſi monachatum profeſſi ſe ad vitam mollem voluptariamque poſtea converterint, ſcortatorum pœnis teneri ejuſdem Baſilii undecimo Canone decretum eſt.

Arist. *Monachi vel Moniales matrimonium ne contrahant, quod ſi fecerint, excommunicentur.*

Hi promiſſo ſuo excidentes, & fœdera ſuo violantes, excommunicationi ſubjiciuntur. At ſexageſimus Baſilii magni Canon fornicationis pœnæ eos ſubjicit.

Canon XVII.

Quæ ſunt in unaquaque provincia, rurales vicanaſque parochias, firmas & inconcuſſas manere apud eos qui illas tenent Epiſcopos: & maximè ſi xxx. annorum tempore eas ſine vi detinentes adminiſtraverint. Si autem intra xxx. annos fuit aliqua vel fuerit de iis controverſia, licere iis qui injuriam ſibi fieri dicunt, de iis litem movere apud Synodum provinciæ. Si quis autem injuria afficiatur à proprio Metropolitano, apud exarchum diœceſis, vel Conſtantinopolitanam ſedem litiget, ſicut prius dictum eſt. Sin autem etiam civitas aliqua ab imperatoria auctoritate innovata eſt vel etiam deinceps innovata fuerit, civiles & publicas formas Eccleſiaſticarum quoque parochiarum ordo conſequatur.

Bals. Quidam dicebant Canonem hic non loqui de regionibus ſeu diœceſibus, ſed de aliis juribus ad uniuſcujuſque provinciæ Epiſcopatum pertinentibus: Non eſt autem hoc verum, ut oſtenditur ex fine Canonis dicentis, poſſe Imperatorem, in iis quæ à ſe innovatæ ſunt vel innovabuntur civitatibus, pro Epiſcopalibus juribus ſtatuere quæ voluerit. Lege & xii. Can. præſentis Syn. & xxxviii. Syn. in Trul. Quod autem dicit hic Canon tale eſt: Volebant quidam eos Canones, qui de regionibus, ſeu diœceſibus loquuntur, intelligi de civitatum regionibus: non autem de vilibus ac ruralibus. Decretum eſt ergo, ut Epiſcopi citra controverſiam obtineant regiones à ſe xxx. annis non vi poſſeſſas, ſive ſint rurales ſeu parvæ, quæ etiam *μονοίκια*, (hoc eſt unam tantum domum habentes) dicuntur: ſive ſint ἐγχώριοι, id eſt, multos habitatores habentes. Si autem intra xxx. annos iſtius nomine actionem alius Epiſcopus intenderit, apud provinciæ Synodum quid de eo ſit ſtatuendum obſervabitur. Sin autem Metropolitanus ſuum Epiſcopum injuria afficiat, apud diœceſis Exarcum, vel apud Patriarcham de finibus judicio contendetur. Quæ autem ab Imperatoribus per publicas formas ſive juſſiones Imp. pro innovatis vel innovandis à ſe civitatibus decernuntur, manere ut decreta fuerint, utpote quòd debeat Eccleſia ſequi ea quæ ſic decernuntur. Cum hæc ita ſe habeant, ne dixeris eos quidem, qui xxx. annis ſine vi regiones poſſident, moveri non poſſe: qui autem non ſunt tales, id eſt, eos qui vi poſſident, etiam poſt xxx. annum, adverſus eos agi poſſe. Sed lege poſtremum caput ij. tit. lib. v. Baſilic. ſive cap. i. novellæ cxi. ſic dicens: Omnis actio venerabili domo competens, ſive ſit perſonalis, ſive hypothecaria, quadraginta annos non excedit convenientibus unicuique religioſæ domui opportunis præſcriptionibus, ſed propria quidem tempora ſervantibus; & antiquam legem quæ extra eſt, ſic dicentem: Præſens quidem novella conſtitutio Eccleſiis adverſus privatos agentibus quadragenariam annorum præſcriptionem accommodat. xvii. autem Canon. Chalced. Synodi in quinto cap. primi tit. Nomocanonis poſitus, Eccleſiis adverſus Eccleſias agentibus, dat xxx. annorum ſpacium. Ne mireris autem illud. Ex ea enim cxi. novella, & ex iii. cap. iii. tit. lib. v. ſive novellâ cxxxi. Eccleſiæ quoque habent alia privilegia. Dicit enim hoc caput: Pro longi autem temporis præſcriptionibus x. & xx. & xxx. annorum, ſanctis Eccleſiis & omnibus aliis venerabilibus locis, ſolam xl. annorum præſcriptionem opponi jubemus. Hoc ipſo etiam ſervato in legatorum quoque pios uſus relicta ſunt. Quamobrem Eccleſiæ quidem, ſi adverſus religioſas domos non agunt, ſolo quadraginta annorum ſpacio excluduntur. Qui autem adverſus eas agunt, per legitimas exceptiones ab Eccleſiis extruduntur. Cæterum quando Eccleſiæ inter ſe invicem agunt, quadraginta annorum privilegium non habebunt, ſed jure communi utentur. Nota autem ex hoc Canone, quod licet Imp. auferre Eccleſiaſtica privilegia. Si enim eis permittitur ea quæ voluerint de regionum finibus ordinare pro innovatis à ſe urbibus: multo magis, ut mihi videtur, Epiſcopatus Metropolium honore donabunt, & eorum qui præerunt promotiones deſignabunt, & alia quædam, pro ea quam habent poteſtate, jubebunt.

ZONAR. Cum alieni juris uſurpatio, ac vicinorum injuriæ, earumque rerum rapina, quæ ad nos nulla ratione pertinent, vetita ſit univerſis; tum Epiſcopum ab omni ejuſmodi noxa multo magis abeſſe par eſt, cujus imitatione ſubditi animum ad omne virtutum genus conformare debent. Quicunque igitur parœcias obtinent, ſive ruſticanas ſive paganas, ne poſſeſſione illos moveri liceat, hoc Canone definitum. Simili prorſus conſtitutione cum ea quæ in Epheſina tertia Synodo edita eſt, hoc tantum diſcrimine, quod in illa de provinciis, amplioribuſque locis, quibus etiam Epiſcopi præfici ſoliti ſunt, conſtitutum: de parœciis, quarum & anguſti fines, nec multa celebritas eſſet, hoc loco actum, quæ quidem in ruſticanas paganáſq; dividuntur. Ac ruſticanas quidem dicunt eas, quæ in remotis locis poſitæ, exiguo incolarum numero excultæ ſunt, quæ & μονοίκια, (hoc eſt, unam domum habentes) vocantur. Paganas vero, prædiis & pagis proximas, & majore incolentium multitudine frequentes. Ne quam igitur ex ejuſmodi quibuſcunq; parœciis Epiſcopo eam obtinenti eripi liceat, hoc Canone decretum;

A δὲ, φησὶν, ἐντὸς τῶν τριάκοντα ἐτῶν ἐναγάγῃ ἕτερος Ἐπίσκοπος χάριν τούτου, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας τὰ περὶ τούτου τηρηθήσεται. ἐὰν δὲ μητροπολίτης ἀδικῇ Ἐπίσκοπον αὐτοῦ, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ παρὰ τῷ πατριάρχῃ, τὰ περὶ τῆς ἐνορίας κριθήσεται. τὰ μέντοι παρὰ τῶν βασιλέων διοριζόμενα διὰ δημοσίων τύπων, ἤτοι βασιλικῶν προσταγμάτων, χάριν τῶν παρὰ τούτων καινισθεισῶν ἢ καινισθησομένων πόλεων μένειν καθὼς ὡρίσθησαν· ὡς καὶ τῆς ἐκκλησίας ὀφειλούσης ἀκολουθεῖν τοῖς οὕτω διοριζομένοις. τούτων οὕτως ἐχόντων μὴ εἴπῃς, τοὺς μὲν ἀβιάστως κατέχοντας ἐπὶ τριακονταετίᾳ ἐνορίαν B ἀπαρασαλεύτους εἶναι· τοὺς δὲ μὴ τοιούτους, ἤγουν τοὺς κατὰ βίαν νεμομένους καὶ μετὰ τριακονταετίαν ἐνάγεσθαι. ἀλλὰ ἀνάγνωσον τὸ τελευταῖον κεφάλαιον τοῦ β'. τίτλου τοῦ ε'. βιβλίου τῶν βασιλικῶν· ἤγουν κεφάλαιον α'. τῆς ρια'. νεαρᾶς, οὕτω λέγον, πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν, φυλαττουσῶν μέντοι γε τοὺς οἰκείους χρόνους. καὶ τὸν ἔξωθεν αὐτοῦ παλαιὸν οὕτω λέγοντα· ἡ μὲν παροῦσα νεαρὰ διάταξις κατὰ ἰδιωτῶν ἐναγούσαις ταῖς ἐκκλησίαις τὴν τεσσαρακονταετίαν ὑφαπλοῖ. ὁ δὲ ιζ'. κανὼν τῆς C ἐν Χαλκηδόνι Συνόδου κείμενος ἐν τῷ ε'. κεφ. τοῦ α'. τίτλου τοῦ νομοκάνονος, ταῖς ἐκκλησίαις κατὰ ἐκκλησιῶν ἐναγούσαις τριακονταετίαν δίδωσι. μὴ θαυμάσῃς δὲ τοῦτο. ἀπὸ γὰρ τῆς τοιαύτης ρια'. νεαρᾶς, καὶ ἀπὸ γ'. κεφ. τοῦ γ'. τίτλου τοῦ ε'. βιβλίου ἤτοι τῆς ρλα'. νεαρᾶς, καὶ ἕτερον προνόμιον αἱ ἐκκλησίαι ἔχουσι. φησὶ γὰρ τὸ τοιοῦτον κεφ. ἀντὶ δὲ χρονίων παραγραφῶν δέκα καὶ εἴκοσι, καὶ τριάκοντα ἐνιαυτῶν ταῖς ἁγίαις ἐκκλησίαις καὶ τοῖς ἄλλοις ἅπασι σεβασμίοις τόποις μόνην τὴν τῶν μ'. ἐνιαυτῶν παραγραφὴν ἀντιτίθεσθαι προστάττομεν. τούτου αὐτοῦ φυλαττομένου καὶ ἐπὶ τῇ ἀπαιτήσει τῶν ληγάτων, καὶ τῶν κληρονομιῶν αὐτῶν εἰς εὐσεβεῖς αἰτίας καταλελειμ- D μένων. ὥστε αἱ μὲν ἐκκλησίαι μὴ κατὰ εὐαγῶν οἴκων ἐνάγουσαι, διὰ μόνης τῆς τεσσαρακονταετίας ἀποκλείονται. οἱ δὲ κατὰ τούτων ἐνάγοντες διὰ τῶν νομίμων παραγραφῶν ὑπὸ τῶν ἐκκλησιῶν ἐξωθοῦνται. ὅταν μέντοι ἐκκλησίαι κατ' ἀλλήλων ἐνάγωσι, τὸ τῆς τεσσαρακονταετίας οὐκ ἔχουσι προνόμιον, ἀλλὰ τοῖς κοινοῖς νόμοις χρῶνται. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἔξεστι τῷ βασιλεῖ προνόμια ἐκκλησιαστικὰ ἀφαιρεῖσθαι. εἰ γὰρ ἐφεῖται τούτοις τὰ βουλητὰ αὐτοῖς περὶ ἐνοριῶν διατάττεσθαι χάριν τῶν καινιζομένων ὑπὸ τούτων πόλεων· πολλῷ πλέον, ὡς ἐμοὶ δοκεῖ, ἐπισκοπὴν εἰς μητρόπολιν τιμήσουσι, καὶ προχειρήσεις ἡγουμενικὰς E ὑποτυπώσουσι, καὶ ἄλλα τινὰ τοιαῦτα ἐνδυνάμως προστάξουσι.

ΖΩΝΑΡ. Τὸ ἀλλοτρίοις ἐπεμβαίνειν δικαίοις, καὶ τοὺς πλησιάζοντας ἀδικεῖν, καὶ ὑφαρπάζειν τὰ μὴ σφίσι προσήκοντα, ἅπασι κοινῶς ἀπηγόρευται. πολλῷ δὲ μᾶλλον Ἐπισκόποις, οἳ καὶ ἀρχέτυπον ὀφείλουσι προκεῖσθαι τοῖς ὑπ' αὐτοὺς, εἰς μίμησιν παντὸς ἀγαθοῦ. θεσπίζει τοίνυν ὁ κανὼν οὗτος τὰς παροικίας ἀπαρασαλεύτους εἶναι παρὰ τοῖς κατέχουσιν αὐτὰς, κἂν ἀγροικικαὶ εἶεν, κἂν ἐγχώριοι, τὰ αὐτὰ σχεδὸν τῇ τῆς τρίτης Συνόδου ψήφῳ τῆς ἐν Ἐφέσῳ κελεύσῃ. πλὴν ὅσον ἐκείνη μὲν περὶ ἐπαρχιῶν F καὶ ἐνοριῶν μειζόνων διετάξατο, ἐν αἷς καὶ Ἐπίσκοποι ἐχειροτονοῦντο· αὕτη δὲ περὶ παροικιῶν, αἵτινες εἶεν ἂν ἐνορίαι μικραὶ καὶ οὐ πολυπληθεῖς, ἃς εἰς ἀγροικικὰς καὶ ἐγχωρίους διαιρεῖ. ἀγροικικὰς μὲν οὖν φασὶν εἶναι τὰς ἐν ἐσχατιαῖς κειμένας· καὶ ὀλίγους ἐχούσας τοὺς ἐν αὐταῖς οἰκοῦντας, αἳ καὶ μονοίκια λέγονται· ἐγχωρίους δὲ τὰς ἀγροῖς καὶ κώμαις πλησιαζούσας, καὶ πλείονας τοὺς κατοίκους ἐχούσας. ταύτας οὖν τὰς παροικίας, ὁποῖαι ποτ' ἂν εἶεν παρὰ τοῖς κατέχουσιν αὐτὰς Ἐπισκόποις ἀναφαιρέτους εἶναι διακελεύεται, καὶ ἐπὶ πλέον αὐτοῖς ταύτας διαφέρειν φησὶν, εἰ ἐπὶ τριάκοντα ἐνιαυτοὺς ἀβιάστως, A ἀβιάστως, τουτέστι μὴ τινὰ βιασάμενοι, καλῇ δὲ πίστει, ἤτοι χωρίς τινος ἀδίκου αἰτίας κατέχον αὐτὰς, καὶ ᾠκονόμησε. ἡ γὰρ τριακονταετία αὐτοῖς τὴν αὐτῶν κατοχὴν βεβαίαν ἔθετο. εἰ δὲ ἐντὸς τῶν λ'. ἐτῶν διαναστῇ τις λέγων αὐτῷ τὴν τοιαύτην παροικίαν διαφέρειν, παρὰ τῇ τῆς ἐπαρχίας συνόδῳ ζητεῖσθαι τὴν ὑπόθεσιν βούλεται. εἰ δὲ ὁ τῆς ἐνορίας Ἐπίσκοπος τὸν ἴδιον μητροπολίτην αἰτιᾶται, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως δικάζεσθαι αὐτοὺς, ἢ τῷ Κωνσταντινουπόλεως Ἐπισκόπῳ. τινὲς μὲν οὖν ἐξάρχους τῶν διοικήσεων τοὺς πατριάρχας φασὶ, καὶ εἰς σύστασιν τοῦ οἰκείου λόγου χρῶνται τῷ λθ'. κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου, B λέγοντι· τὸν τῆς πρώτης καθέδρας Ἐπίσκοπον μὴ λέγεσθαι ἔξαρχον τῶν ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιουτότροπόν τι ποτε, ἀλλὰ μόνον Ἐπίσκοπον τῆς πρώτης καθέδρας. ἄλλοι δὲ τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν φασὶν ὀνομάζεσθαι ἐξάρχους, τὸν ἕκτον κανόνα αὐτῆς ἐν Σαρδικῇ Συνόδου παράγοντες εἰς πίστιν λέγοντα, χρὴ ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας, λέγω δὴ τοῦ Ἐπισκόπου τῆς μητροπόλεως. κρεῖσσον δ' ἂν εἴη τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν ἐξάρχους λέγεσθαι, ὡς ὁ ῥηθεὶς κανὼν τῆς ἐν Σαρδικῇ Συνόδου τούτους ὠνόμασεν, ὥστε τοιαύτην εἶναι τοῦ κανόνος τούτου τὴν ἔννοιαν, διαιροῦσαν δηλαδὴ τὰ δικαστήρια, C καὶ ὅτε μὲν Ἐπίσκοπος κατὰ Συνεπισκόπου ἐνάγει, ἢ κληρικὸς κατὰ Ἐπισκόπου, τότε τὸν μητροπολίτην καθίζειν δικαστὴν, ὃν καὶ ἔξαρχον τῆς διοικήσεως ὀνομάζει· ὅτε δὲ Ἐπίσκοπος κατὰ τοῦ μητροπολίτου αὐτοῦ δίκην ἔχει, τότε τῷ Κωνσταντινουπόλεως ἐπιτρέπειν τὸ δικαστήριον. οὐ πάντων δὲ τῶν μητροπολιτῶν πάντως ὁ Κωνσταντινουπόλεως, καθῆται δικαστὴς, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ· οὐ γὰρ δὴ καὶ τοὺς τῆς Συρίας μητροπολίτας, ἢ τοὺς τῆς Παλαιστίνης καὶ Φοινίκης, ἢ τοὺς τῆς Αἰγύπτου ἄκοντας ἑλκύσει δικάσασθαι παρ' αὐτῷ, ἀλλ' οἱ μὲν τῆς Συρίας, τῷ τοῦ Ἀντιοχείας ὑπόκεινται φόρῳ· οἱ δὲ τῆς Παλαιστίνης, τῷ τῶν Ἱεροσολύμων· οἱ δὲ τῆς Αἰγύπτου, παρὰ τῷ D Ἀλεξανδρείας δικάσονται, παρ' ὧν καὶ χειροτονοῦνται, καὶ οἷσπερ ὑπόκεινται. ἐλέγοντο δὲ ἔξαρχοι καὶ ἕτεροι, ἤγουν ὁ Καισαρείας Καππαδοκίας, καὶ ὁ Ἐφέσου, καὶ ὁ Θεσσαλονίκης, καὶ ὁ Κορίνθου, οἷς λέγεται διὰ τοῦτο καὶ προνόμιον δεδόσθαι πολυσταύρια φορεῖν ἐν ταῖς ἐκκλησίαις αὐτῶν.

ΑΡΙΣΤ. Ἐγχώριος, καὶ ἀγροικικὴ παροικία, εἰ τριακονταετία ἐκρατήθησαν, κατεχέσθωσαν· εἰ δὲ ταύτης ἐντὸς, εἶεν ἐπίδικοι. εἰ δὲ κεκαίνισται ἐκ βασιλικῆς κελεύσεως πόλις, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἀκολουθείτω καὶ ἡ τῶν ἐκκλησιαστικῶν παροικιῶν τάξις. E

Εἰ μὲν κατὰ ἰδιωτῶν ἔχουν ἀγωγὰς αἱ ἐκκλησίαι περί τινων ἀκινήτων, καὶ ἐπὶ τεσσαρακονταετίαν ἡσύχασαν, μηδ' ὅλως ὀχλήσασαι τοὺς κατέχοντας· οὐκ ἔτι ταύτας ἐνδυνάμως κινεῖν δύνανται παραγραφικῶς ἐκβαλλόμεναι. Εἰ δὲ ἐκκλησία ἔχει κατὰ ἐκκλησίας, ἐπεὶ ἴσου δικαίου εἰσὶ καὶ ἀμφότεραι, ἐὰν ἐπὶ τριακονταετίαν οὐκ ἐλάλησεν, ἀλλ' ἡσύχασεν· εἰ μετὰ ταῦτα κινήσει, διὰ τῆς τοῦ χρόνου παραγραφῆς ἐξωθεῖται. διατάττεται γοῦν καὶ ὁ παρὼν κανὼν, ὡς ἐὰν κατέχουν ἐπὶ τριακονταετίαν τινὲς τῶν Ἐπισκόπων ἑτέρων Ἐπισκοπῶν ἀγροικικὰς παροικίας, ἢ ἐγχωρίους, ἀπαρασαλεύτως κατεχέτωσαν ταύτας· F εἰ δὲ ἐντὸς τῆς τριακονταετίας ἀμφιβολία περὶ αὐτῶν γέγονε, τῇ παραδρομῇ τῆς τριακονταετίας οἱ κατέχοντες ταύτας οὐκ ἐκβληθήσονται, ἀλλὰ κριθήσονται περὶ αὐτῶν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας μετὰ τῶν οἰομένων ἀδικεῖσθαι. ἀγροικικὰς δὲ ἐνταῦθα παροικίας, καὶ ἐγχωρίους νοήσεις, οὐ πόλεις τινὰς καὶ κώμας, ἀλλ' ἀγρούς· καὶ ἐγχωρίους μὲν τοὺς ἐν μέσοις ἀγροῖς καὶ κώμαις κειμένους, ἀγροικικοὺς δὲ τοὺς τούτων ἀφεστῶτας, καὶ ἐν ἐσχατιαῖς ἱδρυμένους, οὓς καὶ μονοίκια νῦν λέγουσιν. εἰ δὲ βασιλεὺς ἐκ νέου πόλιν ἐκαίνισεν, ἢ καὶ αὖθις καινίσοι, οὐ φιλονεικήσει περὶ αὐτῆς ὁ γει-

præſertim verò, ſi triginta annorum ſpatio, nulla vi, hoc eſt nulla cujuſquam injuria ſed bona fide ſive ſine injuſtis quibuſvis mediis retentam adminiſtraverit. Hoc namque triginta annorum intervallum, poſſeſſioni ſtabiliendæ, ſufficere decreverunt. Quòd ſi quis ante id tempus elapſum hujuſmodi parœciæ poſſeſſionem ad ſe pertinere contendat, eam controverſiam in provinciali conventu cognoſci atque examinari placet. Si tamen litem Metropolitano ſuo Epiſcopus intendat, diœceſano Exarcho aut Conſtantinopolitano Epiſcopo in ea re arbitro ac diſceptatore utentur. Exarchi porro diœceſani nomine nonnulli Patriarchas intelligunt, ſuamque ſententiam trigeſimo nono Carthaginenſis Synodi Canone confirmare nituntur, qui Epiſcopum primæ cathedræ, vel Exarchi Sacerdotum, vel ſummi Sacerdotis, vel alio prorſus, quam hoc uno, Epiſcopi primæ Cathedræ titulo, appellari vetat. Alii Metropolitanos provinciarum Exarchi appellatione deſignari, idque ſexto Synodi Sardicenſis Canone ſatis probari arbitrantur, dicente, Litteris provincialis exarchi, Metropolitani videlicet Epiſcopi admoneri oportet. Quæ nobis quoque opinio magis probatur, ut Exarchi ſcilicet provincialis nomine Metropolitanos intelligamus, quomodo illos laudatus Canon Sardicenſis Synodi nominavit, ex quo hujuſmodi Canonis ſententia exiſtet, fora inter ſe ac judicia diſcriminans, ut ſiquidem, inquit, adverſus Epiſcopum Epiſcopus alius, aut Clericus adverſus Epiſcopum judicio contendat, apud Metropolitanum, quem alio nomine Exarchum diœceſeos vocat, cauſa transfigatur: ſi vero cum Metropolitano ipſo Epiſcopus litiget, tunc ad Conſtantinopolitanum controverſia deferatur. Non omnium autem Metropolitanorum ſed ei tantum ſubjectorum Conſtantinopolitanus conſtituetur judex: neq; enim Syriæ, Palæſtinæ, Phœniciæ, aut Ægypti Metropolitas, invitos ad ſua ſubſellia Conſtantinopolitanus trahet; ſed Syriæ Metropolit. cauſam Antiochenus cognoſcet, de Palæſtinis Hieroſolymitanus, de Ægyptiis Alexandrinus Patriarcha pronunciabit. Ab illis namque & creantur, & eorundem imperio ſubjiciuntur. Exarchos porro alios quoque Præſules, Cæſareæ nimirum quæ in Cappadocia, Epheſi, Theſſalonicæ, Corinthiq; Epiſcopos nuncupavere, quibus etiam propterea, prærogativæ nomine, polyſtauria in ſuis Eccleſiis geſtare permiſſum.

Arist. *Vicana, & ruralis parœcia ſi triginta annos poſſeſſæ fuerint, poſſideantur. Si vero intra illud tempus, controverſiæ de iis moveantur. At ſi imperatoris juſſu urbs renovata fuit, & Eccleſiaſticarum quoq; parœciarum ordo, civiles & publicas formas ſequatur.*

Si Eccleſiæ de immobilibus quibuſdam contra privatos habuerint actiones & quadraginta annos quieverunt, nullam omnino poſſeſſoribus afferentes moleſtiam, poſtea eas potenter movere nequeunt ut dicantur aliquo modo ejectæ. Si autem Eccleſia contra Eccleſiam actionem habeat, cum ambæ æqualis ſint juris, ſi per triginta annos nihil locuta fuerit, ſed quieta manſerit, ſi poſtea actionem moverit, ob temporis præſcriptionem ejicitur. Statuit ergo & præſens Canon, quòd ſi Epiſcopi aliqui per triginta annos aliorum Epiſcopatuum rurales aut regionales tenuerint parœcias, Eas inconcuſsè retineant, Si autem intra annos triginta orta ſit de iis controverſia, qui dum triginta iſti præterlabantur anni eas detinuerunt, non ejicientur, ſed pro iis litigabunt apud ſynodum provincialem, cum iis qui ſibi videntur injuriâ affecti. Rurales autem hîc parœcias & regionales ne putes civitates eſſe aliquas aut vicos, ſed agros: & regionales, quidem (agros) in mediis agris & vicis poſitos; rurales autem ab iis remotos, & in ipſis extremitatibus collocatos, quos & monœcia nunc vocant. Si vero imperator de novo urbem extruxit, vel in poſterum extruet, non de de illâ contendet vicinus Epiſcopus, nec eam ſub ſuam trahere parœciam ſtudebit, ſed politicos & publicos ſequetur typos, ut illius provinciæ aut parœciæ Epiſcopus eam ſub ſe habeat, cui antea aſcripta & ſubjecta fuit.

CANON XVIII.

Conjurationis vel ſodalitatis crimen ab externis etiam legibus eſt omnino prohibitum: multo autem magis hoc in Dei Eccleſia fieri prohibere oportet. Si qui ergo Clerici vel Monachi inventi fuerint, vel conjurati, vel ſodalitates comparantes, vel aliquid ſtruentes adverſus Epiſcopos aut Conclericos proprio gradu omnino excident.

BALS. Conjuratio eſt, malas aliquas ſuas voluntates firmare, jurejurando inter ſe invicem dato & accepto. Sodalitas autem (quæ *φρατρία* Græcè dicitur,) eſt convenire & conſentire aliquos alicujus mali faciendi gratia. Externas autem leges vocat Canon civiles, quoniam earum plurimæ ab externæ ſeu prophanæ ſcripturæ peritis ſeu Græcis, ſunt compoſitæ. Dicit ergo, quòd quoniam lex quoque civilis & ſodales & malos etiam conjuratores punit, deponi debent qui tale quid faciunt Clerici, vel Monachi. Ac Canon quidem eos, qui adverſus Epiſcopos vel Conclericos aliquid ſtruunt aut moliuntur, juxta illud, Coagulatum eſt cor eorum, id eſt, induratum eſt, deponi jubet. Exiſtimo autem & eos, qui adverſus Laicos tale quid faciunt, ſacerdotes ſimiliter puniri. Lege & xxxvii. caput ix. tit. præſentis operis, & ſyn vi. Can. xxxiv.

ZONAR. Civilium quoque legum ſanctionibus, quas externas, quòd à Græcis omnes fere conditæ ſint appellavit Canon, conjurationis ſcelus & vetitum & vindicatum fuiſſe conſtat, quod etiam ex libro ſexageſimo, titulo trigeſimo ſexto, capite quarto; & titulo quinquageſimo primo, cap. primo, Lege tertia, facile apparet. Eſt vero conjuratio, cum adverſus aliquos inito conſilio, nunquam ſe quieturos donec cogitata perfecerint, mutuo ſe invicem jurejurando complures obligavere. Quo pacto ex Judæis nonnulli, ut in Actis ſanctus Lucas memorat, conſpiratione facta ſua ipſi ea conditione capita devovere, ut ſi cibi aliquid aut potûs, niſi Paulo interfecto, guſtaſſent, diris omnibus execrationibúſque devincti atque obnoxii tenerentur. Sodalitas autem (Græcè *φρατρία*,) conventiculum eſt, & ad maleficia ſuſcipienda quorundam conſenſio. Ab hujuſmodi igitur improbitate multo magis & ſacerdotes & Monachos abeſſe par eſt. Quòd ſi ex iis aliqui, inquit Canon, ſe conjurationibus aut ſodalitatibus implicuiſſe, nefarii quidpiam molientes, deprehenſi fuerint, (id namque ſignificat verbum *τυρεύοντες*, quaſi, flagitii aliquid ac ſceleris ſtruentes, cui affine eſt illud, Coagulatum eſt cor eorum, quaſi diceret, Induratum eſt) eos gradu ſuo moveri jubet.

ARIST. *Clerici, & Monachi ſi conventicula celebrare, & contra Epiſcopum conjurare comperti fuerint, gradibus ſuis excidant.*

Conjuratio aut ſodalitas, ſi in cujuſpiam, qualiſcunque fuerit, ſenatorum everſionem fiat, à legibus majorem omnibus aliis delictis conſtitutam habet mulctam. Propterea itaque & hic Canon eos, qui contra Epiſcopos conjurationes faciant aut ſodalitates, gradibus ſuis deponi ſtatuit.

A τνιάζων Ἐπίσκοπος, καὶ ὑπὸ τὴν παροικίαν αὐτοῦ ποιῆσαι ταύτην ἐπεγκαλέσαι· ἀλλὰ τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἀκολουθῆσαι. ὥστε ἐκείνης τῆς ἐπαρχίας, ἢ παροικίας τὸν Ἐπίσκοπον ταύτην ὑφ' ἑαυτὸν ἔχειν, εἰς ἣν αὕτη ἐναπεγράφη καὶ ὑπετέθη τελεῖν.

ΚΑΝΩΝ ιη΄.

Τὸ τῆς συνωμοσίας ἢ φρατρίας ἔγκλημα, καὶ παρὰ τῶν ἔξω νόμων πάντη κεκώλυται. πολλῷ δὴ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει. B εἴ τινες τοίνυν κληρικοὶ ἢ μονάζοντες εὑρεθεῖεν, ἢ συνομνύμενοι ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες Ἐπισκόποις, ἢ συγκληρικοῖς, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

ΒΑΛΣ. Συνωμοσία ἐστὶ, τὸ καταμπεδῶσαι τινὰς κατά τινα οἰκεῖα θελήματα μετὰ ὅρκου ἀμοιβαδὸν πρὸς ἀλλήλους γινομένου. φρατρία δέ ἐστι, τὸ συνελθεῖν καὶ ὁμοφρονῆσαι τινὰς χάριν τοῦ ποιῆσαι τόδε τι κακόν. ἔξω δὲ νόμους ὁ κανὼν καλεῖ τοὺς πολιτικοὺς, διὰ τὸ τοὺς πλείστους ἐξ αὐτῶν παρὰ τῶν τῆς ἔξω γραφῆς σοφῶν ἤτοι τῶν Ἑλλήνων συντεθῆναι. φησὶ γοῦν ὡς ἐπεὶ καὶ ὁ πολιτικὸς νό- C μος τοὺς φατριαστὰς καὶ συνωμότας κολάζει, ὀφείλουσι καθαιρεῖσθαι οἱ τοιοῦτόν τι ποιοῦντες κληρικοὶ, ἢ μονάζοντες. καὶ ὁ μὲν κανὼν τοὺς κατὰ Ἐπισκόπων ἢ συγκληρικῶν τυρεύοντας, ἤτοι κατασκευάζοντας, κατὰ τὸ, ἐτυρώθη ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ ἐσκληρώθη, καθαιρεῖσθαι φησίν. οἴομαι δὲ καὶ τοὺς κατὰ λαϊκῶν τοιοῦτόν τι ποιοῦντας ἱερωμένους ὁμοίως κολάζεσθαι. ἀνάγνωσον καὶ τὸ λζ΄. κεφ. τοῦ ἐννάτου τίτλου τοῦ παρόντος συντάγματος καὶ τῆς ς΄. συνόδου κανόνα λδ΄.

ΖΩΝΑΡ. Καὶ τοῖς πολιτικοῖς νόμοις, οὓς ἔξω ἐκά- D λεσεν ὁ κανὼν διὰ τὸ παρὰ Ἑλλήνων πάντας σχεδὸν συντεθεῖσθαι, τὸ τῆς συνωμοσίας ἔγκλημα κεκώλυται καὶ κεκόλασται, ὡς ἔστιν εὑρεῖν ἐν βιβλίῳ ἑξηκοστῷ, τίτλῳ τριακοστῷ ἕκτῳ, κεφαλαίῳ δ΄. καὶ τίτλῳ να΄. κεφαλαίῳ πρώτῳ θεσπίσματι τρίτῳ. συνωμοσία δ' ἐστὶ, τὸ, τινὰς κατά τινων βουλεύσασθαι, καὶ ἀλλήλους ὅρκοις συνδῆσαι μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν τοῦτο ἐκτελεσθείη· ὅπερ ἐν ταῖς πράξεσιν ἱστόρηται τῷ θείῳ Λουκᾷ, λέγοντι, ὅτι ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς, λέγοντες μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον. φρατρία δέ ἐστι κακοθελὲς συμβούλιον, καὶ συμφωνία τι- E νῶν ἐπὶ πράξεσι φαύλαις. ταῦτα τοίνυν πολλῷ μᾶλλον ἀποτρέπεσθαι χρὴ τοὺς ἱερωμένους, καὶ τοὺς μονάζοντας. εἰ δέ τινες εὑρεθεῖεν, φησὶν ὁ κανὼν, τοιοῦτοι συνομνύμενοι ἢ φρατριάζοντες, καὶ τινὰ μηχανώμενοι (τοῦτο γὰρ τὸ, τυρεύοντες, ἀντὶ τοῦ σκληρὰ καὶ πονηρὰ κατασκευάζοντες, κατὰ τὸ, ἐτυρώθη ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ ἐσκληρώθη) τοὺς τοιούτους ἐκπίπτειν κελεύει τοῦ οἰκείου βαθμοῦ.

ΑΡΙΣΤ. Κληρικοὶ καὶ μονάζοντες, εἰ φωραθεῖεν ἢ φρατριάζοντες, ἢ συνομνύμενοι κατ' Ἐπισκόπου, τῶν βα- F θμῶν αὐτῶν ἐκπίπτωσι.

Ἡ συνωμοσία, καὶ ἡ φρατρία, εἰ ἐπὶ ἀναιρέσει τινὸς τῶν οἱωνδήποτε συγκλητικῶν γίνηται, μείζονα πάντων τῶν ἄλλων ἐγκλημάτων ἀπὸ τῶν νόμων ἔχει τὴν καταδίκην. διὰ τοῦτο γοῦν καὶ ὁ κανὼν τοῖς κατ' Ἐπισκόπων συνωμοσίας ἢ φρατρίας ποιουμένοις, ἔκπτωσιν τῶν οἰκείων βαθμῶν ὁρίζει.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ ιθ΄.

Ἦλθεν εἰς τὰς ἡμετέρας ἀκοάς, ὡς ἐν ταῖς ἐπαρχίαις αἱ κεκανονισμέναι σύνοδοι τῶν Ἐπισκόπων οὐ γίνονται, καὶ ἐκ τούτου πολλὰ παραμελεῖται τῶν διορθώσεως δεομένων ἐκκλησιαστικῶν πραγμάτων. ὥρισε τοίνυν ἡ ἁγία σύνοδος κατὰ τοὺς τῶν ἁγίων πατέρων κανόνας, δὶς τοῦ ἐνιαυτοῦ ἐπὶ τὸ αὐτὸ συντρέχειν καθ' ἑκάστην ἐπαρχίαν τοὺς Ἐπισκόπους, ἔνθα ἂν ὁ τῆς μητροπόλεως Ἐπίσκοπος δοκιμάσῃ, καὶ διορθοῦν ἕκαστα τὰ ἀνακύπτοντα· τοὺς δὲ μὴ συνιόντας Ἐπισκόπους, ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίως ὀφειλουσῶν γίνεσθαι συνόδων ζήτει τὸν ε΄. κανόνα τῆς α΄. συνόδου καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Περὶ τῶν ἐτησίως διαταχθεισῶν γίνεσθαι συνόδων ἐν ἐπαρχίᾳ ἑκάστῃ· καὶ ἐν τοῖς τῶν ἁγίων ἀποστόλων κανόσιν ἐξήγηται, καὶ ἐν τῷ ε΄. κανόνι τῆς πρώτης συνόδου, καὶ ζητητίον ἐκεῖνα.

ΑΡΙΣΤ. Δὶς τοῦ ἐνιαυτοῦ Σύνοδος γινέσθω, ἔνθα δοκεῖ τῷ Ἐπισκόπῳ τῆς μητροπόλεως· καὶ λυέσθω τὰ ἀνακύπτοντα.

Ὡς ἔμπροσθεν εἴρηται, τὸ, δὶς τοῦ ἔτους γίνεσθαι Σύνοδον, ἐκωλύθη παρὰ τοῦ ἕκτου κανόνος τῆς ἐν Νικαίᾳ Συνόδου τὸ δεύτερον, καὶ τοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης Συνόδου, διὰ τὴν Συντριβὴν, καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς Συναθροιζομένους Ἐπισκόπους· καὶ ὡρίσθη ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, ἀπὸ τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς καὶ μέχρι Συμπληρώσεως τοῦ ὀκτωμβρίου μηνός.

ΚΑΝΩΝ κ΄.

Κληρικοὺς εἰς ἐκκλησίαν τελοῦντας, καθὼς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν· ἀλλὰ στέργειν ἐκείνην ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν· ἐκτὸς ἐκείνων, οἵτινες ἀπολέσαντες τὰς ἰδίας πατρίδας ἀπὸ ἀνάγκης, εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. εἰ δέ τις Ἐπίσκοπος μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ Ἐπισκόπῳ προσήκοντα δέξοιτο κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον, ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθοι ἐκκλησίαν.

ΒΑΛΣ. Περὶ τούτου ἀρκούντως ὄπισθεν ἐξηγησάμεθα. μὴ ἐναντιωθῇ δέ σοι ὁ κγ΄. κανὼν τῆς παρούσης Συνόδου, μὴ ἐπάγων ἀφορισμὸν τοῖς ἐν ἀλλοτρίᾳ χώρᾳ διατρίβουσι κληρικοῖς, ἀλλὰ διοριζόμενος διώκεσθαι τούτους. ἀνάγνωσον δὲ τὰ ἐν ἐκείνῳ γραφέντα.

ΖΩΝΑΡ. Καὶ περὶ τούτων ἐν διαφόροις κανόσιν ἐξήγηται, καὶ ἀρκοῦσιν ἐκεῖνα.

ΑΡΙΣΤ. Κληρικὸς ἑτέρας πόλεως εἰς ἑτέραν οὐ ταχθήσεται· ὁ δὲ τὴν οἰκείαν ἀπολέσας πατρίδα, εἰ ἐπ' ἄλλην ἐκκλησίαν ἐλήλυθεν, ἀνεπιτίμητος. Ἐπίσκοπος δὲ ξένον κληρικὸν εἰσδεξάμενος, μετὰ τοῦ δεχθέντος, ἕξει τὸ ἀκοινώνητον.

Ἐν πολλοῖς τῶν κανόσιν εἴρηται, τὸ μὴ τάττεσθαι κληρικὸν ἑτέρας πόλεως εἰς ἑτέραν, ἄνευ γνώμης τοῦ ἰδίου Ἐπισκόπου. ἔσται γοῦν καὶ ὁ Ἐπίσκοπος ὁ τὸν ξένον κληρικὸν τῇ ἰδίᾳ ἐπισκοπῇ κληρώσας, καὶ αὐτὸς ὁ κληρωθεὶς, ἀφωρισμένος, μέχρις ἂν αὐτὸς ὁ κληρικὸς εἰς τὴν ἰδίαν ἐκ-

Canon XIX.

Pervenit ad aures noſtras, quod in provinciis Canonibus conſtitutæ Epiſcoporum Synodi non fiant, & ex eo multa Eccleſiaſtica negliguntur, quæ correctione indigent. Statuit ergo ſancta Synodus ſecundum ſanctorum patrum Canones, ut bis in anno eundem in locum conveniant uniuſcujuſque provinciæ Epiſcopi, ubi Metropolis Epiſcopo melius eſſe videbitur, & ſingula emergentia corrigant: Epiſcopi autem, qui non conveniunt, ſed in propriis urbibus domi manent, B *ſi quidem ſani ſunt, & ab omni inexcuſabili & neceſſario negotio liberi, fraternè reprehendantur.*

Bals, De Synodis, quæ debent ſingulis annis fieri, quære v. Canon. primæ Synodi, & quæ in eum ſcripta ſunt.

Zonar. Quæ de anniverſariis Synodis in unaquaque provincia celebrandis conſtituta ſunt, ea noſtris commentariis in Sanctorum Apoſtolorum Canones, & in quintum primæ Synodi Canonem, ſatis explicavimus: C illa autem quærenda ſunt.

Arist. *Bis quotannis celebretur Synodus ubi Metropolis Epiſcopo viſum fuerit: & emergentia determinentur.*

Ut antea dictum eſt, bis quotannis haberi Synodum, ex ſexto Canone Nicænæ Synodi ſecundæ, & octavo ſextæ Synodi in Trullo Canone prohibetur ob moleſtiam, & quod Epiſcopi, quos convenire oportet, non ſufficienter ad iter faciendum inſtruantur; & decretum fuit ſemel quotannis Synodum fieri, à ſancto paſchæ D feſto uſque ad completum Menſem Octobrem.

Canon XX.

Clericos in Eccleſiis miniſterio fungenes, quemadmodum jam ſtatuimus, non licere in alius civitatis Eccleſia ordinari: ſed illa eſſe contentos, in qua ab initio ut miniſtrarent digni habiti ſunt: præter illos, qui amiſſa ſua patria in aliam Eccleſiam neceſſario tranſierunt. Si quis autem Epiſcopus poſt hoc decretum Clerum, qui ad alium Epiſcopum pertinet, ſuſceperit, placuit E *eſſe excommunicatos, eumque qui ſuſceptus eſt, & eum qui ſuſcepit, donec Clericus qui migravit in ſuam Eccleſiam redeat.*

Bals. De eo ſuperius ſatis dictum eſt. Ne tibi autem contrarius eſſe videatur xxiii. Canon præſentis Syn. qui Clericis in aliena regione verſantibus ſegregationem non inducit, ſed eos expelli oportere ſtatuit. Lege autem quæ in eo ſcripta ſunt.

Zonar. De his etiam in diverſis Canonibus commentaria edidimus, & ea ſufficiunt.

F **Arist.** *Clericus unius civitatis in alterâ non conſtituetur. Qui vero ſuam amiſit patriam, ſi in aliam Eccleſiam venerit, irreprehenſibilis eſt. Epiſcopus autem extraneum Clericum ſuſcipiens, una cum ſuſcepto excommunicabitur.*

Hoc in multis Canonibus dicitur, ne unius civitatis Clerici in aliâ conſtituantur, præter ſui Epiſcopi ſententiam. Et ipſe itaque Epiſcopus, qui alienum Clericum in ſuo Epiſcopatu elegerit, & ille qui electus fuerit excommunicabitur, uſquedum idem Clericus in ſuam Eccleſiam redierit. Qui Clericum autem, qui ſuam amiſit A patriam ex neceſſitate quadam receperit, culpari nequit.

CANON XXI.

Clericos vel Laicos, Epiſcopos aut Clericos accuſantes, non indiſcriminatim, ac citra inquiſitionem admittere ad accuſationem, niſi eorum exiſtimatio prius examinata fuerit.

BALS. Quære vi. Can. ii. Syn. & præſentis Canonis diſces interpretationem. B

ZONAR. Sexto quoque ſecundæ Synodi Canone idem ſtatuitur. Quæ in eum igitur ſcripſimus, ad hujus quoque Canonis explicationem ſatis ſuperque ſufficiunt.

ARIST. *Clericus vel Laicus, qui Epiſcopum temere accuſat, non admittendus.*

Oportet exiſtimationem eorum, qui Epiſcopos aut Clericos accuſant, examinare, & non ſine probatione eos ad accuſationem admittere, ſive Clerici ſint ii qui accuſant, ſive Laici. Ne forte ejecti ſint, aut excommunicati, C aut criminum aliquorum accuſati, & nondum compertum ſit illos vitio vacare; aut aliter vitâ culpatâ, & à religione aliena. Multi enim hujuſmodi Eccleſiaſticum confundere & evertere volentes ordinem, calumnioſas contra inculpatos & orthodoxos Epiſcopos Clericoſque accuſationes conſarcinant.

CANON XXII.

Non licere Clericis poſt mortem proprii Epiſcopi res, quæ ad ipſum pertinent, rapere, quemadmodum & adſumentibus, prohibitum eſt: aut qui hoc fecerint, de pro- D *prio gradu in periculum venire.*

BALS. Præſens Canon deponi jubet Clericos, qui poſt mortem proprii Epiſcopi res, quæ ad illum pertinent, rapiunt; & non ſolùm ipſos, ſed & reliquos, qui eorum ſibi cuſtodiam vendicant; Metropolitanos ſcilicet, & alios, apud quos mortuus eſt Epiſcopus, qui etiam παραλαμβάνοντες, hoc eſt, adſumentes, dicuntur. Tunc autem dicitur Epiſcopus res habere, & de iis diſponere ac teſtari poteſt, quando, ut vult xl. Canon Apoſtolicus, cùm primùm fuit electus, quæ ſunt ſua pro- E pria, & quæ Epiſcopatus, deſcripſit. Niſi enim ita fecerit, omnia quæ ſunt ejus ad Eccleſiam pertinebunt. Deſcriptione autem factâ, ut dictum eſt, ſi inteſtatus moriatur Epiſcopus exiſtimo quòd ſecundùm leges cognati ejus, qui ab inteſtato vocantur, ei ſuccedent. Etſi enim nonnulli ex lxxxi. Can. Syn. Carth. dixerunt eſſe in poteſtate ſuccedentis Epiſcopi, ut bona ejus qui mortuus eſt inteſtatus, ut voluerit, adminiſtret: ſed mihi videtur, quòd ex eo Canone ſtatuente debere eum, qui inteſtato Epiſcopo ſuccedit, Epiſcopum, deſcriptionem facere ejus voto congruentem, oſtenditur maximè debere fieri ſecundùm leges rerum defuncti ſucceſſionem. Hoc F enim ſi fecerit, ejus voto convenientem deſcriptionem faciet. Quære etiam xxiv. Can. Antioch. Syn. & Syn. in Trul. Can. xxxv.

ZONAR. Quadrageſimus quoque ſanctorum Apoſtolorum Canon, quænam Epiſcopi propriæ poſſeſſiones, quæque Deo dicatæ ſint, notum omnino ac teſtatum eſſe decernit; Epiſcopóque, quod ad proprias poſſeſſiones attinet, illas teſtamento cuicunque libitum fuerit legandi poteſtatem facit. Eadem Antiochenæ Synodi quarto & vigeſimo Canone conſtituta. Hoc etiam Canone, quæ

A κλησίαν ἐπανέλθοι. Ὁ δὲ τὸν τὴν οἰκείαν πατρίδα ἀπολέσαντα κληρικὸν ἀπό τινος ἀνάγκης δεξάμενος, ἀνεπιτίμητος.

ΚΑΝΩΝ κα΄.

Κληρικοὺς ἢ λαϊκοὺς κατηγοροῦντας Ἐπισκόπων ἢ κληρικῶν, ἁπλῶς καὶ ἀδοκιμάστως μὴ προσδέχεσθαι εἰς κατηγορίαν, εἰ μὴ πρότερον ἐξετασθείη αὐτῶν ἡ ὑπόληψις.

ΒΑΛΣ. Ζήτει κανόνα ς΄. τῆς β΄. Συνόδου, καὶ μάθης τὴν τοῦ παρόντος κανόνος ἐξήγησιν. B

ΖΩΝΑΡ. Καὶ ὁ ἕκτος κανὼν τῆς δευτέρας Συνόδου περὶ τούτων διατάττεται. ἃ οὖν ἐγράφη ἐκεῖ, εἰς ἐξήγησιν καὶ τοῦ παρόντος κεφαλαίου ἀρκοῦσι.

ΑΡΙΣΤ. Ἀδοκιμάστως κληρικὸς ἢ λαϊκὸς Ἐπισκόπου κατηγορῶν, ἀνεπίδεκτος.

Δεῖ τὰς ὑπολήψεις τῶν κατηγορούντων Ἐπισκόπων ἢ κληρικῶν ἐξετάζεσθαι· καὶ μὴ ἀποδοκιμάστως αὐτοὺς εἰς κατηγορίαν αὐτῶν παραδέχεσθαι, κἂν κληρικοί εἰσιν οἱ κατηγοροῦντες, κἂν C λαϊκοί· μή ποτε ἀποβεβλημένοι ἔτι εἶεν, ἢ ἀκοινώνητοι, ἢ ἐπ' ἐγκλήμασί τισι κατηγορημένοι, καὶ μήπω φανέντες ἀνεύθυνοι, ἢ ἄλλως πως τὸν βίον ἐπίμεμπτοι, ἢ τὴν θρησκείαν ἀλλότριοι. πολλοὶ γὰρ τοιοῦτοι τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν βουλόμενοι, συκοφαντικὰς αἰτίας συρράπτουσι κατὰ τῶν ἀνεπιλήπτων καὶ ὀρθοδόξων Ἐπισκόπων, καὶ κληρικῶν.

ΚΑΝΩΝ κβ΄.

Μὴ ἐξεῖναι κληρικοῖς μετὰ θάνατον τοῦ ἰδίου Ἐπισκόπου ἁρπάζειν τὰ διαφέροντα αὐτῷ πράγματα, καθὼς καὶ D τοῖς παραλαμβάνουσιν ἀπηγόρευται· ἢ τοὺς τοῦτο ποιοῦντας κινδυνεύειν περὶ τοὺς οἰκείους βαθμούς.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καθαιρεῖσθαι φησὶ τοὺς κληρικοὺς τοὺς μετὰ θάνατον τοῦ ἰδίου Ἐπισκόπου ἁρπάζοντας τὰ τούτῳ διαφέροντα πράγματα, καὶ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ τοὺς λοιποὺς τοὺς χρεωστοῦντας φυλακὴν τούτων, μητροπολίτας δηλαδὴ καὶ ἑτέρους παρ' οἷς ἐτελεύτησεν ὁ Ἐπίσκοπος, οἳ καὶ παραλαμβάνοντες καλοῦνται. τότε δὲ λέγεται ἔχειν ὁ Ἐπίσκοπος πράγματα, καὶ δύναται διατίθεσθαι, ὅτε κατὰ τὸν μ΄. ἀποστολικὸν κανόνα, ἀπογράψηται, ἅμα τῷ χειροτονηθῆ- E ναι, τὰ οἰκεῖα καὶ τὰ τῆς ἐπισκοπῆς. εἰ γὰρ μὴ οὕτω ποιήσει, πάντα τὰ τούτου τῇ ἐκκλησίᾳ ἀνήκουσιν. ἀπογραφῆς δὲ γενομένης, ὡς εἴρηται, ἐὰν ἀδιάθετος ὁ Ἐπίσκοπος τελευτήσῃ, νομίζω ὅτι κατὰ νόμους ὑπὸ τῶν ἐξ ἀδιαθέτου καλουμένων προσγενῶν αὐτοῦ κληρονομηθήσεται. κἂν γάρ τινες ἀπὸ τοῦ πα΄. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, εἶπον ἔχειν ἐπ' ἀδείας τὸν μετ' ἐκεῖνον Ἐπίσκοπον τὰ πράγματα τοῦ ἀδιαθέτως τελευτήσαντος Ἐπισκόπου κατὰ τὸ βουλητὸν αὐτῷ οἰκονομεῖν. ἀλλ' ἐμοὶ δοκεῖ ὅτι ἀπὸ τοῦ τοιούτου κανόνος λέγοντος ὀφείλειν ἐπιγινόμενον Ἐπίσκοπον, τοῦ ἀδιαθέτου Ἐπισκόπου τὴν διατύπωσιν ἁρμοδίαν τῷ αὐτοῦ ἐπαγγέλματι ποιήσασθαι· μάλι- F στα παρίσταται κατὰ νόμους γίνεσθαι τὴν διαδοχὴν τῶν πραγμάτων τοῦ τελευτήσαντος. τοῦτο γὰρ ποιῶν, ἁρμοδίαν διατύπωσιν ποιήσει τῷ αὐτοῦ ἐπαγγέλματι. ζήτει τὸν κδ΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα λε΄.

ΖΩΝΑΡ. Καὶ ὁ τεσσαρακοστὸς τῶν ἁγίων ἀποστόλων κανὼν φανερὰ εἶναι ὁρίζει τὰ ἴδια πράγματα τοῦ Ἐπισκόπου, καὶ τὰ κυριακὰ φανερὰ, καὶ ἐξουσίαν δίδωσι τῷ Ἐπισκόπῳ τὰ οἰκεῖα, οἷς βούλεται, καταλιμπάνειν. καὶ ὁ κδ΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν τὰ αὐτὰ διατάττεται. καὶ ὁ παρὼν δὲ κανὼν ἀπαγορεύει τὰ τῷ Ἐπισκόπῳ διαφέροντα πράγματα παρὰ τῶν κληρικῶν διαρπάζεσθαι ἐκείνου θανόντος. τὸ δὲ, καθὼς καὶ τοῖς παραλαμβάνουσιν ἀπηγόρευται, νοητέον κατὰ τὸν λε΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, κωλύοντα καὶ τὸν μητροπολίτην ᾧ ὑπόκειται ὁ τελευτήσας Ἐπίσκοπος, μήτε τι τῶν τῆς ἐκκλησίας, μήτε τῶν ἰδίων τοῦ Ἐπισκόπου σφετερίζεσθαι· ἀλλ᾽ εἰ μὲν εἶεν ἐν τῇ ἐπισκοπῇ κληρικοὶ, παρ᾽ ἐκείνων κελεύονται τὰ πράγματα φυλάττεσθαι, μέχρις ἂν ἕτερος Ἐπίσκοπος γένηται· εἰ δ᾽ οὐκ εἶεν ἴσως κληρικοὶ, τῷ μητροπολίτῃ τὴν τούτων ἀνατιθέμενον φυλακὴν, ἵν᾽ ἀποδοίη ταῦτα ἀκαινοτόμητα τῷ χειροτονηθησομένῳ Ἐπισκόπῳ. παραλαμβάνοντας οὖν τοὺς κληρικοὺς ἢ τοὺς μητροπολίτας φησὶν, ὡς τὴν τῶν πραγμάτων φυλακὴν ἐμπιστευομένους. τοῖς δὲ διαρπάζουσιν, ἢ νοσφιζομένοις τι τῶν τῆς ἐπισκοπῆς ἢ τοῦ Ἐπισκόπου πραγμάτων ἐπιτίμιον ἐπάγει τὴν ἔκπτωσιν τῶν οἰκείων βαθμῶν. καταλιμπάνειν δὲ Ἐπίσκοπον αἱρετικοῖς τὰ οἰκεῖα κεκώλυται, μᾶλλον δὲ τοιούτοις καταλιπὼν καὶ ὑπὸ ἀνάθεμά ἐστιν· ἀδιαθέτου δὲ τοῦ Ἐπισκόπου τελευτήσαντος, ὁ μετ᾽ ἐκεῖνον Ἐπίσκοπος τὰ ἐκείνου ὡς εἰδείη οἰκονομεῖν πράγματα θεαρέστως, κατὰ τὸν κβ΄. καὶ πα΄. τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀνθρώπων Ἐπισκόπου γεγονημένου τὰ ἐκείνου ἁρπάζων, τοῦ βαθμοῦ ἀμαρτήσεται.

Ὅσοι τῶν κληρικῶν τὰ τοῦ Ἐπισκόπου πράγματα διαρπάζουσι μετὰ θάνατον ἐκείνου, περὶ τὸν ἴδιον βαθμὸν κινδυνεύουσι.

ΚΑΝΩΝ κγ΄.

Ἦλθεν εἰς ἀκοὰς τῆς ἁγίας συνόδου, ὡς κληρικοί τινες καὶ μονάζοντες μηδὲν ἐγκεχειρισμένοι ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου, ἔστι δὲ ὅτε καὶ ἀκοινώνητοι γενόμενοι παρ᾽ αὐτοῦ, καταλαμβάνουσι τὴν βασιλεύουσαν Κωνσταντινούπολιν, καὶ ἐπὶ πολὺ ἐν αὐτῇ διατρίβουσι, ταραχὰς ἐμποιοῦντες, καὶ θορυβοῦντες τὴν ἐκκλησιαστικὴν κατάστασιν, ἀνατρέπουσί τε οἴκους τινῶν· ὥρισεν τοίνυν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τοῦ κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἐπὶ τὸ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως· εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἀναισχυντοῦντες, καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκδίκου ἐκβάλλεσθαι, καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους.

ΒΑΛΣ. Ἀπαγορεύουσιν οἱ πατέρες κληρικοὺς ἢ μονάζοντας παρὰ γνώμην τοῦ ἰδίου Ἐπισκόπου, πολλάκις καὶ ἀφωρισμένους ὄντας, καταλαμβάνειν τὴν Κωνσταντινούπολιν, καὶ ἐπὶ πολὺ ἐν αὐτῇ διατρίβειν, διὰ τὸ μὴ ἔχειν ἴσως διακονίας ἐκκλησιαστικάς· τοῦτο γάρ φησιν ἀνατρέπειν τὴν ἐκκλησιαστικὴν κατάστασιν, καὶ τοὺς οἴκους τῶν παραδεχομένων αὐτούς. καὶ ἐνταῦθα μὲν ἐκδιώκεσθαι τούτους καὶ ἄκοντας ὁ κανὼν διορίζεται, εἰ μὴ θελήσωσι παρὰ τῶν ἐκδίκων ὑπομιμνησκόμενοι ἑκόντες ὑποχωρῆσαι. ὁ δὲ κ΄. κανὼν τῆς παρούσης συνόδου ἀκοινωνήτους εἶναι φησὶ καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον. καὶ μὴ ἐναντιωθῇ σοι, ἀλλ᾽ εἰπὲ ὅτι ἐκεῖ μὲν ἔφθασαν δεχθῆναι, καὶ διὰ τοῦτο ἀκοινωνησίᾳ κατακρίνονται σὺν τοῖς δεξαμένοις αὐτοὺς Ἐπισκόποις· ἐνταῦθα δὲ οὐκ ἐδέχθησαν εἰσέτι, καὶ διὰ τοῦτο διώκονται, καὶ ἀναγκάζονται ἀπελθεῖν ἔνθα ἐχειροτονήθησαν. ἀνάγνωθι καὶ τὸν ις΄. ἀποστολικὸν κανόνα.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς βούλεται ὁ κανὼν ταῖς ἐκκλησίαις προσμένειν, αἷς ἐκληρώθησαν, κἂν ἴσως μὴ κρίνοιντο παρὰ τοῦ Ἐπισκόπου εἰς ἐγχείρισιν πραγμάτων ἤτοι διοίκησιν ἐπιτήδειοι, κἂν ἴσως καὶ ἐπιτιμηθῶσι παρ᾽ αὐτοῦ τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ, καὶ μὴ ἀποσκιρτᾶν, καὶ ἀλλαχοῦ ἀπιέναι καὶ διατρίβειν ἐκεῖ, καὶ ταραχὰς καὶ θορύβους ποιεῖν, καὶ συγχέειν τὴν ἐκκλησιαστικὴν κατάστασιν κακὸν ὑπόδειγμα τοῖς ἄλλοις κληρικοῖς γινομένους, καὶ οἴκους τινῶν ἀνατρέποντας, ἢ τῶν μιμουμένων αὐτοὺς κληρικῶν, καὶ τῇ

A Epiſcopus propria poſſedit, eo vita functo Clerici rapere atque ad ſe avertere prohibentur. Verba autem illa [Quemadmodum aſſumentibus quoque vetitum eſt] ex ſynodi Trullanæ Canone trigeſimo quinto intelligere facile eſt. Eò ſiquidem loci ne Metropolitano etiam Epiſcopo, cum aliquis ex ſubjectis ſibi Epiſcopis deceſſerit, vel ex Eccleſiæ vel ex ipſius Epiſcopi bonis quidquam in rem ſuam convertere liceat interdictum: ſed ſiquidem in Epiſcopatu Clerici aliqui ſint, eorum fidei ac diligentiæ, quoad alter Fpiſcopus ſubrogetur, ea bona commendata eſſe; ſin verò nulli forſitan ſint Clerici, à Metropolitano B interea aſſervari, eique, qui ſuffectus fuerit Epiſcopo, ad libellam omnia reddi jubetur. aſſumentium ergo nomine Clericos aut Metropolitanos intelligit, quorum fidei res illæ creditæ atque commendatæ ſunt. Qui vero aliquid ex bonis Epiſcopatus, aut Epiſcopi propriis rapiunt aut alienant, ordinum ſuorum gradibus amoveri decernit. Hæreticos autem teſtamento hæredes ſcribere Epiſcopi prohibentur: quin, ſi fecerint, etiam anathemate eos teneri conſtitutum. Quòd ſi nullo facto teſtamento Epiſcopus deceſſerit, quicunque in ejus locum fuerit ſuffectus, de illius fortunis ex xxii. & lxxxi. Syn. Carth. Can. quod Deo gratiſſimum fore arbitrabitur, ſtatuet.

C **Arist.** *Qui Epiſcopo vitâ functo, illius bona rapit, gradu dejicietur.*

Quicunque Clerici Epiſcopi bona poſt mortem ipſius diripiunt, de gradibus ſuis in periculum veniunt.

Canon XXIII.

Pervenit ad aures ſanctæ ſynodi, quòd Clerici quidam & Monachi, quibus nihil à proprio Epiſcopo mandatum eſt, & ſunt etiam nonnunquam ab ipſo communione ſegregati, ad Imp. Conſtantinopolis urbem ſe conferunt, D *& in ea diu morantur, turbas excitantes, ſtatumque Eccleſiaſticum perturbantes, & aliquarum domos ſubvertunt. Statuit ergo ſancta Synodus, ut ii priùs à ſanctiſſimæ Conſtantinopolitanæ Eccleſiæ defenſore admoneantur, ut Imp. urbe excedant: Si autem in iiſdem negotiis impudenter perſeverent, ut per ipſum defenſorem vel inviti ejiciantur, & in propria loca revertantur.*

Bals. Prohibent patres Clericos vel Monachos, præter proprii Epiſcopi voluntatem, & qui ſunt ſæpe etiam ſegregati, Conſtantinopolim accedere, & diu in ea E manere, eò quòd non habeant fortaſſe Eccleſiaſtica miniſteria: hoc enim, inquit, evertit ſtatum Eccleſiaſticum, & domos eorum qui illos ſuſcipiunt. Et hîc quidem jubet Canon eos vel invitos expelli, ſi à defenſoribus moniti nolint ſua ſponte recedere. Vigeſimus autem præſentis Synodi Canon Excommunicatos eſſe dicit, tam eum qui ſuſceptus eſt, quàm eum qui ſuſcepit. Nec id tibi eſſe contrarium videatur; ſed dic, quòd illic quidem jam ſuſcepti erant, & propterea excommunicatione condemnantur, cum iis, qui illos ſuſceperunt, Epiſcopis: hîc autem non erant ſuſcepti, & propterea expelluntur, & eò F redire coguntur, ubi ordinati fuerant. Lege & xvi. Canonem Apoſtolicum.

Zonar. Ut Clerici quamvis forſitan Eccleſiæ ſuæ regendæ ſive adminiſtrandæ ab Epiſcopo minus idonei judicentur, imo vero etiamſi communione forte privati ſint, in Eccleſiis maneant quibus in Clerum cooptati ſunt, & non ſe ſubducant, aut alio commorandi cauſa ſe conferant, Eccleſiaſticámque tranquillitatem per tumultum ſeditionémque perturbent, exemplo aliis item Clericis noxii, ac privatæ quoque quietis everſores, ſive Clericorum, quos imitatione ſui ad Eccleſiaſticos ordines turbandos pelliciunt,

ciunt ſive aliorum, à quibus recepti negotiis forte adminiſtrandis præficiuntur, hoc Canone conſtitutum. Qui ſecus fecerint, à defenſore admonitos, ex urbe, in quam immigrarunt excedere vult Canon; contumaces vero ac in ſua importunitate, inobedientia videlicet impudentiáque obſirmatos, vel commiſſorum ſibi etiam negotiorum adminiſtrationem mordicus retinentes, ejici à defenſore vel invitos, atque in ſuam ſtationem compelli jubet. Eademque conſtitutione monachos quoque teneri decretum eſt.

ARIST. *Clerici & Monachi qui Epiſcopi injuſſu Conſtantinopoli commorantur, & turbas excitant, urbe expellantur.*

Clerici aut monachi, qui præter Epiſcopi ſui ſententiam Conſtantinopoli inveniuntur, & ibi Eccleſiaſticum perturbant ſtatum, ab Eccleſiæ Conſtantinopolitanæ Exarcho civitate expellantur.

CANON XXIV.

Quæ ſemel voluntate Epiſcopi conſecrata ſunt monaſteria, perpetuo manere monaſteria, & res quæ ad ea pertinent ſervari, eáque non amplius fieri ſecularia habitacula. Eos autem, qui hoc fieri permittunt, Canonum pœnis ſubjici.

BALS. Præſens Canon, qui ſtatuit non fieri ſecularia diverſoria, nec communia fieri quæ de Epiſcopi ſententia conſecrata ſunt monaſteria, eas quoque res ſervari, quæ ad ipſa pertinent, ut & de monaſteriorum ædificatione tacite præcipit, eo quod dicit Epiſcopi voluntate. Sed quomodo fieri debeant monaſteria, à primo Canone Synodi quæ fuit in templo ſanctorum Apoſtolorum, fuſiùs diſces; & etiam à primo capite primi tit. iv. libri Baſilic. quod eſt cap. lii. cxxiii. Juſtiniani novellæ, quæ compendio poſita eſt in i. cap. xi. tit. præſentis operis. Interrogaverit autem quiſpiam, cum quanam cuſtodia res monaſteriorum ſervari jubet Canon, & quænam eæ ſint. Ac nonnulli quidem dixerunt omnia monaſteriorum tam mobilia quàm immobilia ut ipſa etiam monaſteria inalienabilia conſervari. Mihi autem videtur Canon hic loqui de magna cuſtodia, ſumma ſcilicet diligentia. Immobilium enim ad ea pertinentium, & præterea etiam ſacrorum vaſorum nonnunquam alienatio permittitur. Lege totum ii. tit. lib. v. Baſilic. docentem juſtis quibuſdam de cauſis, non ſolùm dari pignori, ſed quavis etiam alienatione alienari Eccleſiarum immobilia & ſacra vaſa. Quoniam autem dicit eos, qui permittunt communia fieri monaſteria, Canonum pœnis ſubjici, rogaverit quiſpiam, quænam eæ ſint. Scias ergo quòd xiii. Canon vii. Syn. dicit, eos qui ſacra communia faciunt, & ea in antiquam formam non reſtituunt, ſi ſint quidem ſacerdotes, debere deponi: Laicos vero vel Monachos ſegregari. Lege & xlix. Can. Syn. in Trullo.

ZONAR. Cum aliis, quæ primo Canone ſynodi in templo ſanctorum Apoſtolorum habitæ continentur, & hæc definivit ſancta ſynodus, ne cuiquam niſi Epiſcopi ſententia ac voluntate monaſterium extruere liceat & deinceps. Idem libro quarto Baſilic. titulo primo, civili quoque lege decretum eſt. Quæ igitur ea conditione, hoc eſt Epiſcopo conſentiente, religioſáſque preces adhibente monaſteria conſecrata ac Deo dicata ſunt, ne communia reddantur præcipit Canon, ſed uſum monaſterii in poſterum ſemper obtineant, nec profana ac ſecularia habitacula fiant, ut & bona quoque ad ſe pertinentia ſine fraude poſſideant. Monaſterium verò quodcunque, aut nulla

A τάξει μὴ ἐμμενόντων τῆς ἐκκλησίας, ἢ τῶν δεχομένων αὐτοὺς καὶ εἰς οἰκονομίαν πραγμάτων ἴσως χρωμένων αὐτοῖς. τοὺς τοιούτους οὖν παρὰ τοῦ ἐκδίκου ὑπομιμνήσκεσθαι βούλεται ὁ κανὼν ἐξελθεῖν τῆς πόλεως, ἣν παροικοῦσιν. εἰ δὲ μὴ πείθοιντο, τοῖς αὐτοῖς δὲ πράγμασιν ἐπιμένοιεν, τῇ ἀνυποταξίᾳ δηλαδὴ, καὶ ἀναισχυντίᾳ, ἢ τῇ διοικήσει τῶν αὐτοῖς ἐγχειρισθέντων πραγμάτων, ἐκβάλλεσθαι καὶ ἄκοντας ὁ κανὼν διατάττεται παρὰ τοῦ ἐκδίκου, καὶ εἰς τοὺς ἰδίους ἀπιέναι τόπους. τὰ αὐτὰ καὶ περὶ μοναχῶν.

ΑΡΙΣΤ. Οἱ Ἐπισκόπου δίχα, τῇ Κωνσταντίνου διατρίβοντες B πόλει, κληρικοὶ καὶ μονάζοντες, καὶ ταραχὰς ἀνεγείροντες, τῆς πόλεως ἐλαυνέσθωσαν.

Οἱ παρὰ γνώμης τοῦ ἰδίου Ἐπισκόπου εὑρισκόμενοι ἐν Κωνσταντινουπόλει κληρικοὶ καὶ μονάζοντες, καὶ τὴν ἐκκλησιαστικὴν θορυβοῦντες κατάστασιν, διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας, τῆς πόλεως ἐλαυνέσθωσαν.

ΚΑΝΩΝ κδʹ.

Τὰ ἅπαξ καθιερωθέντα μοναστήρια, κατὰ γνώμην Ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα C αὐτοῖς πράγματα φυλάττεσθαι, καὶ μηκέτι γίνεσθαι ταῦτα κοσμικὰ καταγώγια. τοὺς δὲ συγχωροῦντας τοῦτο γίνεσθαι, ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διοριζόμενος μὴ γίνεσθαι κοσμικὰ καταγώγια, μηδὲ κοινοῦσθαι τὰ κατὰ γνώμην τοῦ Ἐπισκόπου καθιερωθέντα μοναστήρια, φυλάττεσθαι δὲ καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα, ἀσυμφανῶς παρακελεύεται, καὶ τὰ περὶ τῆς ποιήσεως τῶν μοναστηρίων, διὰ τοῦ εἰπεῖν, κατὰ γνώμην τοῦ Ἐπισκόπου. μαθήσῃ δὲ πλατύτερον πῶς ὀφείλουσι γίνεσθαι τὰ μοναστήρια, ἀπὸ τοῦ αʹ. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἀποD στόλων συστάσης συνόδου, καὶ ἀπὸ τοῦ αʹ. κεφ. τοῦ αʹ. τίτλου τοῦ δʹ. βιβλίου τῶν βασιλικῶν· ὅπερ ἐστὶ κεφ. νβʹ. τῆς ρκγʹ. Ἰουστινιανείου νεαρᾶς, συνοψισθὲν εἰς τὸ αʹ. κεφ. τοῦ ιαʹ. τίτλου τοῦ παρόντος συντάγματος. ἐρωτήσει δέ τις μετὰ ποίας φυλακῆς τὰ πράγματα τῶν μοναστηρίων φυλάττεσθαι ὁ κανὼν παρακελεύεται, καὶ ποῖα ταῦτα εἰσί. καὶ τινὲς μὲν εἶπον ὀφείλειν πάντα τὰ τῶν μοναστηρίων κινητὰ καὶ ἀκίνητα, ὡς καὶ αὐτὰ τὰ μοναστήρια συντηρεῖσθαι ἀνεκποίητα. ἐμοὶ δὲ δοκεῖ ὅτι ὁ κανὼν ἐνταῦθα περὶ φυλακῆς λέγει μεγάλης, δηλονότι ἄκρας ἐπιμελείας. τῶν γὰρ διαφερόντων τούτοις ἀκινήτων, πρὸς δὲ καὶ τινῶν ἱερῶν σκευῶν, ἔστιν ὅτε ἡ ἐκποίησις ἐπιτρέπεται. καὶ ἀνάγνωθι τὸν ὅλον δεύE τερον τίτλον τοῦ εʹ. βιβλίου τῶν βασιλικῶν, διδάσκοντα ἐξ εὐλόγων αἰτιῶν τινῶν, μὴ μόνον ὑποτίθεσθαι τὰ τῶν ἐκκλησιῶν ἀκίνητα καὶ ἱερὰ σκεύη, ἀλλὰ καὶ ἐκποιεῖσθαι κατὰ πᾶσαν ἐκποίησιν. ἐπεὶ δὲ φησὶ τοὺς συγχωροῦντας κοινοῦσθαι τὰ μοναστήρια, ὑποκεῖσθαι τοῖς τῶν κανόνων ἐπιτιμίοις, ἐρωτήσει τις ποῖα ταῦτα εἰσί. γίνωσκε οὖν ὅτι ὁ ιγʹ. κανὼν τῆς ζʹ. συνόδου φησὶ τοὺς τὰ ἱερὰ κοινοῦντας, καὶ μὴ ἀποκαθιστῶντας αὐτὰ εἰς τὸ ἀρχαῖον σχῆμα, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἢ μοναχοὺς ἀφορίζεσθαι. ἀνάγνωσον καὶ τὸν μθʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΖΩΝΑΡ. Ὁ πρῶτος κανὼν τῆς ἐν τῷ ναῷ τῶν F ἁγίων ἀποστόλων συστάσης συνόδου περιέχει μετὰ τῶν ἄλλων καὶ ταῦτα· ὥρισεν ἡ ἁγία σύνοδος μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν ἄνευ τῆς τοῦ Ἐπισκόπου γνώμης καὶ βουλῆς, καὶ τὰ ἑξῆς. καὶ ὁ πολιτικὸς νόμος ἐν βιβλίῳ τετάρτῳ τῶν Βασιλικῶν κείμενος τίτλῳ πρώτῳ, τὰ αὐτὰ διορίζεται. τὰ γοῦν οὕτω κατὰ γνώμην δηλονότι τοῦ Ἐπισκόπου καθιερωθέντα μοναστήρια, ἤγουν διὰ τῆς εὐχῆς ἐκείνου ἀνατεθέντα τῷ θεῷ, μὴ κοινοῦσθαι ἔτι ὁ κανὼν διατάττεται, μένειν δὲ ἀεὶ μοναστήρια, καὶ μὴ κοινὰ καὶ κοσμικὰ καταγώγια γίνεσθαι, φυλάττεσθαι δὲ καὶ τὰ αὐτοῖς ἀνήκοντα πράγματα

A γματα ὡς εἴγε μὴ κατὰ γνώμην Ἐπισκόπου συσταίη μονή, οὐδ' εὐχὴ αὐτοῦ τῆς οἰκοδομῆς προηγήσηται, καὶ οἷά τις ἀῤῥαγὴς καταβληθείη θεμέλιος, οὐδὲ μονὴ λογισθήσεται. διὰ τοῦτο γὰρ ὁ κανὼν ἐπήνεγκε τό, κατὰ γνώμην Ἐπισκόπου. τοὺς δὲ ταῦτα παραβαίνοντας κανονικοῖς ἐπιτιμίοις ὑποκεῖσθαι ἐψηφίσατο.

Epiſcopi auctoritate, aut conſecratione legitima nulla inſtar fundamenti longe firmiſſimi præeunte excitatum, ne monaſterii quidem loco haberi placet. Idcirco namque verba illa, [ex Epiſcopi ſententia] in Canone adjuncta. Qui vero hanc conſtitutionem violaverint, ex Canonicis ſanctionibus puniendos eſſe decernit.

ΑΡΙΣΤ. Μοναστήριον Ἐπισκόπου γνώμῃ παγὲν, μενέτω ἀμεταποίητον· καὶ ὅ, τι τούτῳ ἀνήκει, ἤτω ἀνεκποίητον. ὁ δ' ἄλλως ἐπιχειρῶν, οὐκ ἀνεύθυνος.

Ariſt. *Monaſterium Epiſcopi ſententiâ extructum immutabile maneat: Et quicquid ad ipſum pertinet, ne alienetur. Qui vero ſecus facere aggredictur, non eſt innoxius.*

B Τὰ μὲν δίχα γνώμης τοῦ Ἐπισκόπου κτισθέντα μοναστήρια, καὶ ἀσύστατά εἰσι, καὶ ἀνίερα. τὸ δὲ μετὰ βουλῆς Ἐπισκόπου κτισθὲν μοναστήριον, ὡς θείου δικαίου ὄν, ὀφείλει μένειν ἀμεταποίητον, καὶ μὴ κοσμικῶν καταγώγιον γίνεσθαι· φυλάττεσθαι δὲ καὶ τὰς ἀκινήτους αὐτοῦ κτήσεις ἀνεκποιήτους. τὸν δὲ ἀθετοῦντα ταῦτα, τοῖς ἐκ τῶν κανόνων ἔνοχον εἶναι ἐπιτιμίοις.

Quæ præter Epiſcopi ſententiam extruuntur monaſteria nec ſtare poſſunt nec ſacra eſſe. Quod autem ex Epiſcopi voluntate excitatur monaſterium, cum divini ſit juris, immutabile debet manere, & ſecularium non fieri diverſorium, ſed & ſervari bona ipſius immobilia nullo modo alienata. Qui hæc autem tranſgreſſus fuerit, pœnis Canonicis obnoxius erit.

C

ΚΑΝΩΝ κε'.

Ἐπειδή τινες τῶν Μητροπολιτῶν, ὡς περιηχήθημεν, ἀμελοῦσι τῶν ἐγκεχειρισμένων αὐτοῖς ποιμνίων, καὶ ἀναβάλλονται τὰς χειροτονίας τῶν Ἐπισκόπων, ἔδοξε τῇ ἁγίᾳ Συνόδῳ ἐντὸς τριῶν μηνῶν γίνεσθαι τὰς χειροτονίας τῶν Ἐπισκόπων, εἰ μήποτε ἄρα ἀπαραίτητος ἀνάγκη παρασκευάσοι ἐπιταθῆναι τὸν τῆς ἀναβολῆς χρόνον. εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι ἐκκλησιαστικῷ ἐπιτιμίῳ. τὴν μέντοι πρόσοδον τῆς χηρευούσης ἐκκλησίας σώαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας φυλάττεσθαι.

Canon XXV.

Quoniam nonnulli Metropolitani, ut ſæpe à nobis auditum eſt, & greges ſibi commiſſos negligunt, & Epiſcoporum ordinationes differunt: ſanctæ Synodo placuit, ut intra tres menſes ordinationes fiant, niſi inexorabilis utique neceſſitas effecerit ut dilationis tempus prorogetur. Si autem hoc non fecerint, eos Eccleſiaſticæ pœnæ ſubjici. Viduæ vero Eccleſiæ reditum apud Eccleſiæ œconomum ſalvum cuſtodiri.

D

ΒΑΛΣ. Οἱ θεῖοι πατέρες τὰς τῶν πολλῶν κακεντρεχείας ἀνακόπτοντες, ὥρισαν μὴ ἔχειν ἐπ' ἀδείας τοὺς μητροπολίτας τὰς τῶν Ἐπισκόπων ἀναβάλλεσθαι χειροτονίας ἐπὶ πολὺ, ἀλλ' ἐντὸς τριμήνου ταύτας ποιεῖν. καὶ ταῦτα μὲν περὶ τῶν μὴ ψηφιζομένων μητροπολιτῶν τὰς ἰδίας ἐπισκοπάς. περὶ δὲ τῶν ψηφιζομένων καὶ ὑπερτιθεμένων τὴν καταδοχὴν ἢ τὴν παραίτησιν, ἐζητήθη διαφόρως τί μέλλει γίνεσθαι· καὶ οὐχ ὡρίσθη τὸ ποιητέον. διὸ φημὶ ὅτι τρίμηνον ὀφείλει μετὰ τὴν ψῆφον ὑφαπλοῦσθαι τῷ ψηφισθέντι χάριν τοῦ καταδέξασθαι ἢ παραιτήσασθαι, ὅπερ καὶ τῷ μητροπολίτῃ ἀπὸ τοῦ παρόντος κανόνος ἐδόθη χάριν τοῦ ψηφίσασθαι τὴν ἐπισκοπήν. καὶ εἰ ἐντὸς αὐτῶν οὐ καταδέξεται ὁ ψηφισθεὶς ἢ οὐ παραιτήσεται, ὀφείλει ἑτέρα γίνεσθαι ψῆφος, μὴ δυναμένου τοῦ ὑπερθεμένου ἀνακαλεῖσθαι τὴν χειροτονίαν μετὰ τὴν τρίμηνον· μᾶλλον μὲν οὖν καὶ εὐθυνομένου ἐκκλησιαστικῶς ὡς παίζοντος διακενῆς ἐν οὐ παικτοῖς καὶ λυμαινομένου τὸ ποίμνιον τοῦ θεοῦ. καὶ οὐδὲ ὀφείλει ἐπιφωνεῖσθαι ὁ ψηφισθεὶς παρὰ τοῦ ψηφισαμένου, διότι οὐδὲ ὁ μητροπολίτης ἐπιφωνεῖται παρὰ τῷ πατριάρχῃ ψηφίσασθαι. συγκροτεῖ δὲ τὴν τοιαύτην ἑρμηνείαν καὶ ἀπὸ τοῦ η'. κεφ. τοῦ α'. τίτλου καὶ τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, εἰς τρίμηνον στενοχωρεῖται, τὴν δοκιμασίαν τῆς συμβάσης ἀντιλογίας κατὰ τοῦ ψηφισθέντος. ὅπερ κατέκειτο εἰς τὸ σχόλιον τοῦ η'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος. ὀφείλει δὲ ποιεῖν τὰς χειροτονίας ἐντὸς τριμήνου, ἵνα μὴ ἐντεῦθεν τὰ τῶν Ἐπισκόπων λυμαίνωνται, καὶ ἡ τοῦ λαοῦ ἀμελῆται διδασκαλία. εἰ δὲ, φασὶ, διά τινα περίστασιν ἀπαραίτητον κωλύεται ἡ τοῦ Ἐπισκόπου προχείρησις (τυχὸν γὰρ ἡ χηρεύουσα πόλις Ἐπισκόπου ὑπὸ ἐθνῶν ἑάλω, καὶ οὐκ ἔστι ῥᾷον ἀπελθεῖν ἐκεῖσέ τινα) πάντως ὑπερτεθείη καὶ ἡ χειρο-

E

F

Bals. Divini patres improbas multorum invaſiones amputantes, ſtatuerunt non eſſe in Metropolitanorum poteſtate Epiſcoporum ordinationes diu differre, ſed eas intra trimeſtre ſpacium facere. Et hæc quidem de Metropolitanis qui neminem in Epiſcopatus ſuos eligunt: de electis autem & differentibus ſuſceptionem aut renunciationem ſæpe quæſitum fuit quid fieri debet. Et nondum determinatur quid ſit faciendum. Dico itaque quod trimeſtre ſpatium poſt electionem electo extendi debet ad ſuſcipiendum, vel renunciandum: quod etiam Metropolitano ad aliquem in Epiſcopatum ſuum eligendum ab hoc Canone conceditur. Et ſi intra tres iſtos menſes qui electus eſt nec ſuſcipit, nec renunciat, altera fieri debet electio, iſte vero qui diſtulit poſt trimeſtre ſpatium ordinationem revocare nequit, ſed potius Eccleſiaſticè corrigitur, utpote qui futiliter ludit in rebus minime ludicris, Deique gregem injuriâ afficit. Electum autem ab eo qui elegit citari non oportet, quoniam nec Metropolitanus à Patriarchâ ad eligendum citatur. Collige autem hanc interpretationem etiam ex capit. viii. tituli primi & lib. iii. Baſilic. quo examinatio emergentis de electo controverſiæ in trimeſtre ſpacium contrahitur. Quod etiam ſitum eſt in interpretatione capit. viii. tituli primi præſentis operis. Debet autem ordinationes celebrare intra trimeſte ſpatium, ne res Epiſcoporum ex ea re detrimento afficiantur, & populi doctrina ac inſtructio negligatur. Si autem propter inevitabilem aliquam neceſſitatem, inquiunt, Epiſcopi provectio prohibetur (fortè enim civitas, quæ eſt Epiſcopo vidua, à gentibus capta eſt, nec facile poteſt illuc quiſquam venire) prorogabitur omnino ordinatio. Porro Epiſcopatus reditus ab ejus œconomo inferri vult Canon, qui quidem debent dari, non Metropolitano, ſed Epiſcopo, qui eſt eligendus, etiamſi ad tres menſes differatur electio, vel etiam ultra. Metropolitanos autem, qui præter hæc faciunt, pœnæ ſubjicit: quænam vero ſit iſta neſcio. Exiſtimo autem eam eſſe quæ à Synodo definietur. Nota ergo quomodo intelligitur illud, Inexorabilis neceſſitas. Neque enim ſi Epiſcopatus injuria aliqua forenſi vexetur, aut aliqua alia ejuſmodi ratione agitetur, id juſtam Epiſcopi electionis dilationem Metropolitano concedit. Lege etiam nonum cap. primi tituli præſentis operis, & quæ in illud ſcripta ſunt.

A νία. τὴν μέντοι πρόσοδον τῆς ἐπισκοπῆς, παρὰ τοῦ οἰκονόμου ταύτης εἰσοδιάζεσθαι θέλει ὁ κανών, δοθῆναι ὀφείλουσαν οὐ τῷ μητροπολίτῃ, ἀλλὰ τῷ χειροτονηθησομένῳ Ἐπισκόπῳ, κἂν ἐπὶ τρίμηνον ἡ χειροτονία ὑπερτεθῇ, κἂν ἐπὶ πλέον. τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας μητροπολίτας ἐπιτιμίῳ καθυποβάλλει· οἷον δὲ τοῦτό ἐστιν, οὐκ οἶδα. νομίζω δὲ τὸ παρὰ τῆς Συνόδου ὁρισθησόμενον. σημείωσαι οὖν πῶς νοεῖται τὸ τῆς ἀπαραιτήτου ἀνάγκης. τὸ γὰρ ἐπηρεάζεσθαι τὰ τῆς ἐπισκοπῆς ὑπὸ πραγματικῆς ἀδικίας, ἢ ἕτερόν τι τοιοῦτον, ἀναβολὴν εὔλογον χειροτονίας Ἐπισκόπου τῷ μητροπολίτῃ οὐ δίδωσι. ἀνάγνωθι καὶ κεφ. θ'. τοῦ α'. τίτλου τοῦ παρόντος Συντάγματος. καὶ τὰ ἐν αὐτῷ. B

Zonar. Ne Metropolitani quos penes Epiſcopos creandi jus eſt, diu eam rem differant, hoc Canone conſtitutum. Proinde tempus quoque ultra quod creationem hujuſmodi extendere minime liceat, trium videlicet menſium intervallum, definivit. Nec enim commiſſos eorum curæ populos ſuo Epiſcopo diu carere, ac incertos conſilii nemine ipſis viam præmonſtrante, vagari par eſt. Si tamen interea, quo minus intra ſpatium trimeſtre conſtitui Epiſcopus poſſit, cauſa aliqua neceſſaria aliquando impediat; ut ſi forte captam urbem barbarus occupaverit, nec ad eam aditus cuiquam ita facile pateat: tum demum præfinitum illud tempus extendi & ordinationem deferri licere decernit; qui vero contra conſtitutionem hanc fecerit, Eccleſiaſticis pœnis ſubjici jubet. Quamdiu autem Epiſcopi ordinatio differatur, ſive per tres menſes, ſive urgente aliqua neceſſitate, per plures, proventus futuro Epiſcopo ab Eccleſiæ Oeconomo reſervari debent; ita ſcilicet, ut quæ opus fuerint in Epiſcopatûs neceſſarios uſus erogatis, reliqua deinde, ſi qua forte ſupererunt, ſarta tecta conſervet.

ΖΩΝΑΡ. Τὰς τῶν Ἐπισκόπων χειροτονίας μὴ ἐπὶ πολὺ ὑπερτίθεσθαι τοὺς μητροπολίτας, οἷς ἡ ἐκείνων ἀνήκει προχείρισις, ὁ παρὼν κανὼν διορίζεται. διὸ καὶ χρόνον, οὗ ἐντὸς χειροτονεῖσθαι δέον τοὺς Ἐπισκόπους, ἔταξεν, ὁ δ' ἐστὶ τρίμηνον. οὐδὲ γὰρ ἐπὶ πολὺ χρὴ τοὺς ὑπ' ἐκείνους λαοὺς ἀνεπισκοπήτους εἶναι, καὶ ὡς ἔτυχε φέρεσθαι, μὴ ὄντος τοῦ καταρτίζοντος αὐτούς. εἰ δέ ποτε συμβαίη ἀπαραίτητός τις αἰτία κωλύουσα τὴν διὰ τοῦ τριμήνου προχείρισιν, ἐπιταθήσεταί φησιν, ὁ χρόνος καὶ ὑπερτεθήσεται ἡ χειροτονία. ἴσως C γὰρ ἑάλω ὑπὸ βαρβάρων ἡ πόλις ἐκείνη, καὶ οὐκ ἐστὶ ῥᾴδιον ἀπελθεῖν ἐκεῖσέ τινα. τοὺς δὲ μὴ οὕτως ποιοῦντας, ὑποκεῖσθαι κελεύει ἐκκλησιαστικοῖς ἐπιτιμίοις. ἐφ' ὅσον δὲ ἡ χειροτονία τοῦ Ἐπισκόπου ὑπερτεθῇ, εἴτε ἐπὶ τρίμηνον, εἴτ' ἐπὶ πλέον ἀνάγκης ἐπικειμένης, ἡ πρόσοδος φυλάττεσθαι ὀφείλει τῷ χειροτονηθησομένῳ Ἐπισκόπῳ, παρὰ τοῦ οἰκονόμου τῆς ἐκκλησίας ποιοῦντος τὰς ἀναγκαίας ἐξόδους τῆς ἐπισκοπῆς, τὰ δὲ περιττεύοντα ἴσως φυλάττοντος.

Arist. *Intra tres menſes Epiſcoporum ordinationes fiant: neceſſitas autem inevitabilis tempus prorogat. Alioquin autem, qui ordinat pœnæ obnoxius erit. Reditus vero penes Oeconomum maneat.*

D **ΑΡΙΣΤ.** Ἔσω μηνῶν τριῶν αἱ τῶν Ἐπισκόπων τελειοῦται χειροτονίαι· παρατείνει δὲ τὸν καιρὸν ἀνάγκη τις ἀπαραίτητος· εἰ δὲ μή, ὁ χειροτονῶν τὸ ἐπιτίμιον εἴσεται· ἡ μέντοι πρόσοδος μενέτω τῷ οἰκονόμῳ.

Metropolitanorum nonnulli greges ſibi commiſſos negligentes, & Epiſcoporum differentes ordinationes, in mandatis habent intra tres menſes poſt unius Epiſcopi mortem alium ordinare Epiſcopum. Niſi forſitan ob inevitabilem aliquam neceſſitatem prorogetur tempus. Si autem pluſquam tres menſes Epiſcopo vacaverit Eccleſia ſine inevitabili neceſſitate Metropolitanus reprehenſioni ſubjicietur. Reditus autem vacantis Eccleſiæ ab œconomo ſalvi interea cuſtodientur.

Τινὲς τῶν μητροπολιτῶν τῶν ἐγκεχειρισμένων αὐτοῖς ἀμελοῦντες ποιμνίων, καὶ τὰς τῶν Ἐπισκόπων χειροτονίας ἀναβαλλόμενοι, ὡρίσθησαν ἐντὸς τριῶν μηνῶν μετὰ τελευτὴν τοῦ Ἐπισκόπου ἕτερον χειροτονεῖν Ἐπίσκοπον· εἰ μὴ διά τινα ἀπαραίτητον ἀνάγκην ἐπιταθῇ ὁ καιρός. εἰ δὲ πλέον τῆς τριμήνου Ἐπισκόπου χηρεύσει ἡ ἐκκλησία, ἄνευ τινὸς ἀπαρ- E αιτήτου ἀνάγκης, ὁ μητροπολίτης ἐπιτιμηθήσεται· ἡ μέντοι πρόσοδος τῆς χηρευούσης ἐκκλησίας ἐν τῷ μεταξὺ παρὰ τοῦ οἰκονόμου σῶα φυλαχθήσεται.

CANON XXVI.

ΚΑΝΩΝ κϛ'.

Quoniam in nonnullis Eccleſiis, ut ſæpe à nobis auditum eſt, Epiſcopi abſque œconomis tractant res Eccleſiaſticas, placuit, omnem Eccleſiam Epiſcopum habentem, ex proprio Clero œconomum quoque habere, qui ex Epiſcopi ſui ſententia res Eccleſiaſticas diſpenſet: ut nec ſine teſtibus ſit Eccleſiæ adminiſtratio, atque ideo res ejus diſſipentur, & probrum ac dedecus ſacerdotio inuratur. Si autem hoc non fecerit, eum Divinis etiam Canonibus ſubjici.

Ἐπειδὴ ἔν τισιν ἐκκλησίαις, ὡς περιηχήθημεν, δίχα οἰκονόμων οἱ Ἐπίσκοποι τὰ ἐκκλησιαστικὰ χειρίζουσι πράγματα, ἔδοξεν πᾶσαν ἐκκλησίαν Ἐπίσκοπον ἔχουσαν, F καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου, οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ οἰκείου Ἐπισκόπου· ὥστε μὴ ἀμάρτυρον εἶναι τὴν οἰκονομίαν τῆς ἐκκλησίας, καὶ ἐκ τούτου σκορπίζεσθαι τὰ αὐτῆς πράγματα, καὶ λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι. εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι αὐτὸν τοῖς θείοις κανόσιν.

Balſ. Ut eſt veriſimile, ante præſentem Canonem, complures Epiſcopi laicos faciebant œconomos. Divini

ΒΑΛΣ. Ὡς ἔοικε πρὸ τοῦ παρόντος κανόνος οἱ πλείους τῶν Ἐπισκόπων λαϊκοὺς ἐποίουν οἰκονόμους. τοῦτο οὖν οἱ θεῖοι πατέρες διορθούμενοι παρακελεύονται διὰ κληρικῶν οἰκονομεῖσθαι τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ Ἐπισκόπου· ἐφ' ᾧ καταδήλους τε εἶναι τὰς εἰσόδους τῆς ἐκκλησίας, καὶ μὴ σκορπίζεσθαι, καὶ τὸν Ἐπίσκοπον ἀδιάβλητον συντηρεῖσθαι· τὸν δὲ μὴ ποιοῦντα οὕτως ἀρχιερέα ὑποκεῖσθαι τοῖς κανόσι παρακελεύονται. μὴ οὖν ἐναντιοθῇς τῷ λη'. καὶ τῷ μα'. κανόνι τῶν ἁγίων ἀποστόλων. κἂν γὰρ ἀνεκλόγιστον ἐξουσίαν ἔχωσιν οἱ Ἐπίσκοποι, ἀλλ' οὐκ ἐφεῖται τούτοις ὡς ἰδικοῖς, καὶ δεσποτικῶς αὐτοῖς διαφέρουσι τοῖς ἐκκλησίας χρᾶσθαι πράγμασι· τοσοῦτον, ὅτι καὶ τὰ περιττεύοντα μετὰ τὰς ἀναγκαίας ἐξόδους τοῖς πτωχοῖς διαδιδόναι ἀναγκάζονται, ὅτι καὶ πτωχικὰ τὰ ἐκκλησιαστικὰ λέγονται πράγματα. εἰ οὖν οἰκονομοῦνται ταῦτα διὰ κληρικῶν, ἀνέγκλητος ἔσται ὁ Ἐπίσκοπος, καὶ οὐδέ τις γογγύσει κατ' αὐτοῦ, ὡς μὴ τοὺς ὑπ' αὐτοῦ κληρικοὺς ἢ καὶ ἄλλους πενομένους, χορηγοῦντος. εἰ τάχα δὲ τὸ ἐπιτίμιον τῶν παραβαινόντων τὸν παρόντα κανόνα ἐν τούτῳ οὐ κεῖται, ἀλλὰ ἀνάγνωθι τὸν ια'. κανόνα τῆς ζ'. Συνόδου, καὶ μάθῃς τι γίνεσθαι εἰς τοὺς μὴ διοικοῦντας Ἐπισκόπους διὰ κληρικῶν τὰ τῶν ἐκκλησιῶν αὐτῶν, ἀλλὰ μὴν καὶ εἰς τοὺς ἡγουμένους.

A ergo patres hoc corrigentes, jubent per Clericos res Eccleſiaſticas adminiſtrari de ſententia Epiſcopi: ut & manifeſti ſint Eccleſiæ reditus, nec diſſipentur, & Epiſcopus à probro ac reprehenſione alienus conſervetur. Antiſtitem autem, qui non ita facit, Canonibus ſubjici jubent. Ne repugnare autem hæc exiſtimes xxxviii. & xli. Can. Sanctorum Apoſtolorum. Etſi enim poteſtatem reddendæ rationi non obnoxiam habeant Epiſcopi, iis tamen non permittitur, ut tanquam propriis & jure dominii ad ſe pertinentibus Eccleſiæ rebus utantur: adeo ut, poſt neceſſarias impenſas, ea quæ ſuperſunt pauperibus erogare cogantur. Res enim Eccleſiaſticæ dicuntur bona pauperum. B Si ea ergo per Clericum adminiſtrentur, à reprehenſione alienus erit Epiſcopus, neq; quiſquam adverſus eum murmurabit, quod Clericos qui ei ſubſunt, aut & alios egentes forte non ſublevet, nec ſuſtentet. Si autem forte pœna eorum, qui præſentem Canonem tranſgrediuntur, hic non ſita eſt, ſed lege xi. Canonem vii. Syn. & intelliges quid fit in Epiſcopos, qui per Clericos ſuarum Eccleſiarum bona non adminiſtrant, & quid in eos etiam, qui præficiuntur.

ΖΩΝΑΡ. Τὴν μὲν ἐξουσίαν τῆς διοικήσεως τῶν ἐπισκοπῆς ἑκάστης πραγμάτων, οἱ κανόνες τοῖς Ἐπισκόποις ἀνατιθέασιν· οὐ βούλονται δὲ καθ' ἑαυτοὺς ταῦτα διοικεῖν, μή τινος ἔχοντος εἴδησιν. οὐδὲ οἰκείους τινὰς, συγγενεῖς τυχὸν ἢ ἰδίους θεράποντας προϊστᾶν οἰκονόμους, ἀλλ' ἐκ τοῦ κλήρου τῆς ἐπισκοπῆς, τὸν οἰκονόμον προβάλλεσθαι παρὰ τοῦ Ἐπισκόπου· ὥστε ἐκείνου τὰ τῆς ἐκκλησίας διοικοῦντος κατὰ γνώμην Ἐπισκόπου, δῆλον εἶναι, ὅπῃ προχωροῖεν καὶ δαπανῶνται τὰ ἐκκλησιαστικὰ πράγματα, καὶ μὴ ὑπόνοιαν κατὰ τοῦ Ἐπισκόπου φύεσθαι ὡς κακῶς ἀναλίσκοντος τὰ τῆς ἐκκλησίας· τοῦτο γὰρ δηλοῦται διὰ τοῦ σκορπίζεσθαι, καὶ λοιδορεῖσθαι τὸν ἀρχιερέα ὡς ἀθέσμως καὶ οὐκ εὐσεβῶς χρώμενον τοῖς ἐκκλησιαστικοῖς, καὶ οὕτως ἀπιστίαν τοῖς ὑπ' αὐτὸν τίκτεσθαι κατ' αὐτοῦ, καὶ σκανδάλων ἀφορμὰς διδόναι αὐτοῖς διὰ τῆς δοθείσης αὐτῷ ἐξουσίας. ἁρμόσουσι γὰρ αὐτῷ τὰ τοῦ μεγάλου Παύλου ῥητὰ λέγοντος· βλέπετε μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν, καὶ μετά τινα· οὕτως δὲ εἰς τοὺς ἀδελφοὺς ἁμαρτάνοντες, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. τοὺς δὲ μὴ διὰ οἰκονόμων ἐκ τοῦ κλήρου ὄντων διοικοῦντας τὰ πράγματα τῶν ἐκκλησιῶν ἐπιτιμᾶσθαι κανονικῶς. τὰ αὐτὰ δὲ νοητέον καὶ ἐπὶ τοῖς προεστῶσι μονῶν, εἰ καὶ νῦν οὔτε τοῖς πλείοσι τῶν ἀρχιερέων, οὔτε τισὶν ἡγουμένοις μοναχῶν ταῦτα παραφυλάττονται.

Zonar. Penes Epiſcopos Epiſcopalia bona adminiſtrandi jus, & auctoritatem, Canones eſſe voluerunt. C Non volunt autem ut ea per ſeipſos adminiſtrent, nemine conſcio. Neque vero ex domeſticis ipſius Epiſcopi cuiquam, propinquo forte, aut uni è familia, ſed homini ex Epiſcopatus clero delecto, Oeconomi munus ab eodem mandari placet. Quo quidem, ex Epiſcopi tamen ſententia, bona procurante, & quos in uſus Eccleſiaſtici reditus inſumantur facile apparebit, nec erit cur quiſpiam in Eccleſiæ patrimonio diſſolutum Epiſcopum fuiſſe ſuſpicari queat (id enim diſſipandi verbo oſtenditur) eumque, quaſi ſacros proventus perdite irreligioſeque effundentem, conviciis contumeliiſque proſcindat. Qua quidem ex re, cum Epiſcopi fides multitudini ſuſpecta eſſe D conſuevit, tum offenſiones quoque populi, velut ex odio male geſtæ poteſtatis, excitantur. Huc illa namque magni Pauli ſpectant: Videte ne licentia veſtra offendiculum fiat infirmis; Et paulo infra, Sic in fratres peccantes. & verberantes ipſorum conſcientiam infirmam, in Chriſtum peccatis. Qui vero adminiſtrandis Eccleſiarum bonis delectos ex clero Oeconomos non præfecerint, canonicis in eos pœnis animadverti jubent. Quæ item de Monaſteriorum Præfectis eodem modo accipienda ſunt; Quamvis hoc tempore decreti hujus auctoritatem, & plerique Præſules, & nonnulli etiam Monachorum Rectores omnino contemnant.

E

ἈΡΙΣΤ. Οἰκονόμος ἀνὰ πάσας ἔστω τὰς ἐκκλησίας ἀπὸ τοῦ κλήρου. ὁ δὲ τούτου καταφρονῶν Ἐπίσκοπος οὐκ ἀνέγκλητος.

Ἀπὸ τοῦ κλήρου δεῖ τοῦ οἰκείου ἕκαστον τῶν Ἐπισκόπων προχειρίζεσθαι οἰκονόμον, εἰς τὸ τὰ τῆς ἐκκλησίας πράγματα διοικεῖν, κατὰ γνώμην αὐτοῦ. εἰ δὲ δίχα οἰκονόμου κεκληρωμένου τὰ τῆς ἐκκλησίας εὑρίσκεταί τις Ἐπίσκοπος διοικῶν, ὡς λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβων, διὰ τὴν ἀδιάγνωστον καὶ ἀμάρτυρον οἰκονομίαν, κανονικῶς ἐπιτιμηθήσεται.

Arist. *Oeconomus in omnibus Eccleſiis de Clero conſtituatur. Epiſcopus autem qui hoc contemnit, non eſt extra noxam.*

Quemque Epiſcoporum oportet è clero ſuo œconomum conſtituere, ad negotia Eccleſiaſtica ſecundum ipſius ſententiam adminiſtranda. Si quis autem Epiſcopus ſine œconomo conſtituto Eccleſiaſticica adminiſtrare inveniatur, ut convitium Sacerdotio fiat, Canonicis pœnis ſubjicietur.

F

CANON XXVII.

Eos, qui nomine conjugii mulieres rapiunt, vel opem ferunt, vel conſentiunt iis qui rapiunt, ſtatuit Synodus, ſi ſint quidem Clerici, proprio gradu excidere: ſin autem Laici, anathematizari.

BALS. Præſens Canon, & xcii. Canon Syn. in Trul. eodem omnino modo ſe habent, definientes, eos qui mulieres rapiunt, vel rapientibus opem ferunt, vel conſentiunt, ſi ſint quidem Clerici, deponendos; laicos autem anathematizandos. Lege & tit. ix. præſentis operis, cap. xxx. & quæ ibi ſunt. Similiter & lxvii. Apoſtolicum Canonem. Illic enim fuſius docuimus, quomodo punitur raptor, & quomodo qui vim attulit. Dicet autem fortaſſe quiſpiam, & quomodo ſimiliter qui rapit, & qui fert opem, & qui conſentit, puniuntur? Dic igitur, quod & eos qui opem ferunt, & qui conſentiunt, non minus quam eum qui rapuit, averſatur & odio habet Canon. Qui enim rapuit, nefarium amorem prætextum habet. Illi verò, ſolius improbitatis & iniqui propoſiti accuſantur, quod quidem civitatis honeſtatem ac decus evertit. Is autem opem ferre dicitur, qui facto ipſo, cum eo qui rapit, raptum ſtruit ac molitur. Conſentiens autem, qui per conſilium, vel aliud etiam auxilium cum eo, qui peccatum admiſit, concurrit. Quære & lv. Imp. Domini Leonis philoſophi novellam, punientem eum, qui unà cum raptu puellæ vim attulit, non ſolum per rerum publicationem, ſed etiam per pœnam corporalem; ſimiliter & eos qui illi conſenſerunt: & tractantem, aliter puniri eos qui vi armata rapuerunt, & aliter eos qui non ſic ſe improbè geſſerunt; puniri autem etiam & patrem, ſi factum approbaverit.

ZONAR. Et legum civilium decretis in raptores mulierum graves admodum pœnæ conſtitutæ, vetitis etiam, quamvis eas offenſione dimiſſa virginis pater approbet, raptoris cum rapta muliere nuptiis: Et Canonum quoque ſanctionibus, ne impunitum id facinus relinqueretur, proviſum. Verum hic Canon aliis ſeverius in raptores animadvertit, Clericos quidem deponens, in Laicos verò anathema denuncians. Nec ſolum rapinæ auctores, ſed eos etiam qui opem ferunt vel conſentiunt iiſdem pœnis ſubjicit. Neque id quidem injuria. Qui etenim ex raptu ſibi uxorem comparavit, ad facinus illud perpetrandum impellentem ſe amorem pro excuſatione habet, qui vero opem fert aut conſentit, cum nihil ſit quod ad nequiſſimam actionem incitare illum poterat, præter propriam pravitatem, per quam ſolam cum raptore convenit concurritque venia magis indignus eſt. Ac adjutores quidem intelligimus, qui ad ſcelus patrandum operam ſuam raptori commodarunt: conſentire vero eos dicimus, quorum manus quidem à ſcelere abſuit, conſilio tamen ac ſtudio delinquentibus ſuppetias ac opem tulerunt.

ARIST. *Clericus mulierem rapiens Eccleſia expellatur: Laicus autem, ſit anathema; ut & quicunque iſti opitulatur.*

Magnam quidem etiam à legibus habet mulctam qui mulierem rapit, nec minus à Canonibus habet ſupplicium. Clericus enim, ut loquitur præſens Canon, deponitur; Laicus autem, & qui ei in raptu mulieris opem ferunt, anathematizantur, uſquedum raptam, ſi deſponſata quidem fuerit, ſuo ſponſo, ſi ſoluta autem parentibus ejus reſtituerunt, juxta vigeſimum ſecundum Baſilii magni Canonem.

A

ΚΑΝΩΝ κζ'.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρουμένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ ϟβ'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀπαραλλάκτως ἔχουσι· διοριζόμενοι τοὺς ἁρπάζοντας γυναῖκας, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσι, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀναθεματίζεσθαι. B ἀνάγνωθι καὶ τίτλου θ'. τοῦ παρόντος συντάγματος κεφάλ. λ'. καὶ τὰ ἐν αὐτῷ. ὡσαύτως καὶ τὸν ξζ'. ἀποστολικὸν κανόνα. ἐκεῖσε γὰρ πλατύτερον ἐδιδάξαμεν πῶς τιμωρεῖται ὁ ἅρπαξ, καὶ πῶς ὁ βίαν πεποιηκώς. ἴσως δέ τις ἐρεῖ, καὶ πῶς ὁμοίως ὁ ἁρπάζων καὶ ὁ συμπράττων, καὶ ὁ συναιρόμενος, κολάζονται; εἰπὲ οὖν ὅτι καὶ τοὺς συμπράττοντας, καὶ τοὺς συναιρομένους οὐκ ἧττον τοῦ ἁρπάσαντος μισάττεται ὁ κανών. ὁ μὲν γὰρ ἁρπάζων ἔχει τὸν ἄθεσμον ἔρωτα πρόφασιν, οἱ δὲ κακίας μόνης καὶ ἀδίκου κατηγοροῦνται προθέσεως, καταστρεφούσης τὴν τῆς πόλεως κοσμότητα. ἔστι δὲ συμπράττων ὁ πραγματικῶς τὴν ἁρπαγὴν καταρτύων C σὺν τῷ ἁρπάζοντι· συναιρόμενος δὲ ὁ διὰ συμβουλῆς, ἢ καὶ ἐπικουρείας ἄλλης συντρέχων τῷ πλημμελήσαντι. ζήτει καὶ λέ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου τιμωροῦσαν τὸν μετὰ ἁρπαγῆς βιασάμενον κόρην, οὐ μόνον διὰ πραγμάτων ἀφαιρέσεως, ἀλλὰ καὶ διὰ σωματικῆς ποινῆς· ὡσαύτως καὶ τοὺς συναιρομένους αὐτοῖς· καὶ διαλαμβάνουσαν ἄλλως τιμωρεῖσθαι τοὺς ἔνοπλον ἁρπαγὴν ποιησαμένους, καὶ ἄλλως τοὺς μὴ οὕτως ἀτακτήσαντας· τιμωρεῖσθαι δὲ καὶ τὸν πατέρα ἐὰν καταδέξηται τὸ γεγονός.

ΖΩΝΑΡ. Καὶ οἱ πολιτικοὶ νόμοι σφοδρῶς τοὺς ἅρπαγας D γυναικῶν κολάζουσι, καὶ οὐδὲ εἰς γυναῖκα συζεύγνυσθαι τὴν ἁρπαγεῖσαν συγχωροῦσι τῷ ἅρπαγι, κἂν ὁ ταύτης πατὴρ συναινῇ συγχωρῶν τὸ ἔγκλημα· καὶ οἱ κανόνες δὲ κολάζουσι τοὺς τοιούτους· ἀλλ' δὲ ὁ κανὼν δριμύτερον τῶν ἄλλων ἐπεξέρχεται τοὺς ἁρπαγὴν πλημμελοῦντας, τοὺς μὲν κληρικοὺς καθαιρῶν, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζων. καὶ οὐ μόνον τοὺς ἁρπάζοντας τιμωρεῖται, ἀλλὰ καὶ τοὺς συμπράττοντας ἢ συναιρομένους ὑπὸ τὰς αὐτὰς ποιεῖται κολάσεις, καὶ εἰκότως. ὁ μὲν γὰρ ἑαυτῷ ἁρπάζων γυναῖκα ἔχει τὸν ἔρωτα πρὸς τὴν ἀθέμιτον πρᾶξιν αὐτὸν βιαζόμενον· ὁ δὲ συμπράττων ἢ συναιρόμενος μᾶλλον ἂν εἴη ἀσύγγνωστος, E μηδὲν ἔχων πρὸς τὴν ἐσχάτην πρᾶξιν συνελαῦνον αὐτὸν, ἢ τὴν οἰκείαν κακίαν δι' ἣν μόνην συντρέχει τῷ τὴν ἁρπαγὴν ἁμαρτάνοντι. συμπράττοντας δὲ νοητέον τοὺς συνεργοῦντας ἐπὶ τῇ ἁρπαγῇ· συναιρομένους δὲ τοὺς μὴ ἔργῳ συμβοηθήσοντας, συμβουλὴν δὲ καὶ σπουδὴν εἰσαγαγόντας, καὶ οὕτως ἐπικουρήσαντας καὶ ἀντιλαβομένους τῶν πλημμελούντων.

ΑΡΙΣΤ. Κληρικὸς ἁρπάζων γυναῖκα, ἀνεκκλησίαστος· ὁ δὲ λαϊκὸς, ἔστω ἀνάθεμα· κατὰ τοῦτο καὶ ὁ συναιρόμενος.

F

Ἔχει μὲν καὶ ἀπὸ τῶν νόμων μεγάλην τὴν καταδίκην ὁ ἁρπαγὴν ποιούμενος γυναικός· οὐκ ἔλαττον δὲ καὶ ἀπὸ τῶν κανόνων ἔχει τὸ ἐπιτίμιον. ὁ μὲν γὰρ κληρικὸς, ὡς ὁ παρὼν διαλαμβάνει κανὼν, καθαιρεῖται· ὁ δὲ λαϊκὸς, καὶ οἱ συναιρόμενοι τούτῳ ἐν τῇ τῆς γυναικὸς ἁρπαγῇ, ἀναθεματίζονται, μέχρις ἂν τὴν ἁρπαγεῖσαν, εἰ μὲν προμνηστευθεῖσα ἦν, τῷ οἰκείῳ μνηστῆρι ἀποκαταστήσωσιν· εἰ δὲ κοράζουσα, τοῖς γονεῦσιν αὐτῆς· κατὰ τὸν εἰκοστὸν δεύτερον κανόνα τοῦ μεγάλου Βασιλείου.

A

ΚΑΝΩΝ κη΄.

Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων Επισκόπων γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως νέας Ρώμης. καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ρώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα. καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι Επίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ρώμης ἁγιωτάτῳ θρόνῳ, εὐλό- B γως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ρώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ᾽ ἐκείνην ὑπάρχουσαν. καὶ ὥστε τοὺς τῆς Ποντικῆς καὶ τῆς Ασιανῆς καὶ τῆς Θρᾳκικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς Επισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας· δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας Επισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται. χειροτονεῖσθαι δὲ, καθὼς εἴρη- C ται, τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων παρὰ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων, καὶ ἐπ᾽ αὐτὸν ἀναφερομένων.

ΒΑΛΣ. Περὶ τοῦ πῶς ἐτιμήθη ὁ τῆς Κωνσταντινουπόλεως θρόνος, εἴπομεν εἰς τὸν γ΄. κανόνα τῆς δευτέρας συνόδου, καὶ ἀνάγνωθι τοῦτον, καὶ τὸ α΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος συντάγματος. ὁ δὲ παρὼν κανὼν, μετὰ τὸ εἰπεῖν, ἔχειν μὲν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον τὰ πρεσβεῖα τῆς τῶν Ρωμαίων ἐκκλησίας, εἶναι δὲ δεύτερον μετ᾽ ἐκεῖνον, προστίθησι, τινὰς μητροπολίτας ὑπὸ τούτου χειροτονεῖσθαι, ὡς καὶ ἑκάστου αὐτῶν D ὀφείλοντος πάλιν χειροτονεῖν μετὰ τῆς ὑπ᾽ αὐτὸν συνόδου τοὺς ὑπὸ τούτων Επισκόπους. τὰς μέντοι ψήφους τῶν μητροπόλεων γίνεσθαι παρὰ τῶν μητροπολιτῶν κατὰ τὸ ἔθος, καὶ ἀναφέρεσθαι τὸ γινόμενον παρὰ τούτων τῷ πατριάρχῃ ὡς ἂν τῇ δοκιμασίᾳ τούτου ἀπὸ τῶν ψηφισθέντων τριῶν ὁ εἷς χειροτονηθῇ. σημείωσαι οὖν ὅτι πρὸ τοῦ κανόνος τούτου οὐκ ἐχειροτόνουν οἱ πατριάρχαι τοὺς μητροπολίτας, ἀλλ᾽ οἱ ἑκάστης ἐπαρχίας Επίσκοποι· καὶ ὅτι οἱ μητροπολῖται ἔχουσι τὰ ἀρχιερατικὰ δίκαια εἰς τὸ ποιεῖν Επισκόπους, καὶ ὅτι οὐκ ὀφείλουσι οἱ πατριάρχαι ἢ οἱ μητροπολῖται παρουσιάζειν εἰς τὰς ψήφους τῶν μητροπολιτῶν ἢ τῶν Επισκόπων. ζήτει καὶ E τὸν δ΄. κανόνα τῆς α΄. συνόδου, τῆς β΄. συνόδου κανόνα β΄. τῆς γ΄. η΄. καὶ τῆς ϛ΄. λθ΄. γίνωσκε δὲ ὅτι Ποντικοὶ λέγονται μητροπολῖται οἱ τῷ Εὐξείνῳ πόντῳ παρακείμενοι μέχρι τῆς Τραπεζοῦντος, καὶ ἐνδοτέρω· Ασιανοὶ οἱ περὶ τὴν Εφεσον, Λυκίαν, Παμφυλίαν, καὶ τὰ πέριξ αὐτῶν, οὐχὶ ἀνατολικοὶ, ὥς φασι τινές. τῆς ἀνατολῆς ὁ Αντιοχείας ἔχει χειροτονίαν. καὶ Θρᾳκικοὶ οἱ δυτικοί· κἂν γὰρ τινὲς τὴν Θρᾴκην μέχρι τῶν ὁρίων Μακεδονίας ἐστενοχώρησαν, καὶ εἶπον τοὺς τῆς Μακεδονίας μητροπολίτας, Θετταλοὺς, Ελλαδικούς τε καὶ Πελοποννησίους, ποτὲ χειροτονεῖσθαι παρὰ τοῦ Πάππα Ρώμης, καὶ παρίστασθαι τοῦτο δῆθεν ἐκ τοῦ μὴ ἐνδοθῆναι τῷ Κωνσταντινουπό- F λεως τὸ τούτους χειροτονεῖν· ἀλλὰ σὺ τοῖς λεγομένοις μὴ προσέχῃς. τῷ γὰρ ὀνόματι τῆς Θρᾴκης περιέχονται αἱ μέχρι καὶ αὐτοῦ τοῦ Δυῤῥαχίου μητροπόλεις. τὸν δὲ Πάπαν κακῶς λέγουσι τινὲς χειροτονεῖν ποτὲ τὸν Θεσσαλονίκης, καὶ ἑτέρους Δυτικοὺς μητροπολίτας. λεγάτους γὰρ εἶχε τούτους. ἐπισκοπὰς δὲ εἰπὲ εἶναι ἐν τοῖς βαρβάροις τὴν Αλανίαν, τὴν Ρωσίαν καὶ ἑτέρας. οἱ μὲν γὰρ Αλανοὶ τῆς Ποντικῆς εἰσὶ διοικήσεως, οἱ δὲ Ρώσιοι τῆς Θρᾳκικῆς. περὶ δὲ τῶν λεγάτων τοῦ Πάπα Ρώμης, καὶ τίνες οὗτοι εἰσὶ, καὶ πῶς ἐνεδόθη αὐτῷ ἡμετέρους μητροπολίτας ἔχειν λεγάτους, εἰρήσεται μετὰ τὸ προσφώνημα τῆς ἐν τῷ Τρούλλῳ Συνόδου.

Canon XXVIII.

Sanctorum patrum decreta ubique ſequentes, & Canonem, qui nuper lectus eſt, centum & quinquaginta Dei amantiſſimorum Epiſcoporum agnoſcentes, eadem quoque & nos decernimus ac ſtatuimus de privilegiis ſanctiſſimæ Eccleſiæ Conſtantinopolis novæ Romæ. Etenim antiquæ Romæ throno, quòd urbs illa imperaret, jure patres privilegia tribuêre. Et eadem conſideratione moti centum quinquaginta Dei amantiſſimi Epiſcopi, ſanctiſſimo novæ Romæ throno æqualia privilegia addixerunt, rectè judicantes, urbem, quæ & imperio & ſenatu honorata ſit, & æqualibus cum antiquiori regina Roma privilegiis fruatur, etiam in rebus Eccleſiaſticis, non ſecus ac illam, extolli ac magni fieri, ſecundam poſt illam exiſtentem. Ut & Ponticæ, & Aſianæ & Thracicæ diœceſis Metropolitani ſoli, præterea & Epiſcopi prædictarum diœceſium, quæ ſunt inter barbaros, à prædicto throno ſanctiſſimæ Conſtantinop. Eccleſiæ ordinentur; unoquoque ſcilicet prædictarum diœceſium Metropolitano cum provinciæ Epiſcopis provinciæ Epiſcopos ordinante, quemadmodum Divinis Canonibus eſt traditum: Ordinari autem, ſicut dictum eſt, prædictarum diœceſium Metropolitanos à Conſtantinop. Archiepiſcopo, convenientibus de more factis electionibus & ad ipſum relatis.

Bals. Quomodo ſit honoratus thronus Conſtantinopolitanus, in iii. Can. Syn. ſecundæ dictum eſt: & lege eum, & primum cap. viii. tit. præſentis operis. Præſens autem Canon poſtquam dixit, habere quidem thronum Conſtantinopolis Romanorum Eccleſiæ privilegia, eſſe autem ſecundum poſt illum, adjicit, quoſdam Metropolitanos ab illo ordinari, ut & unuſquiſque ipſorum rurſus debeat cum ſua Synodo, eos qui ſubſunt Epiſcopos ordinare. Metropoleon vero electiones à Metropolitanis de more fieri, & quod factum eſt ab illis ad Patriarcham referri, ut ejus examinatione ex tribus electis unus ordinetur. Nota ergo, quòd ante hunc Canonem Patriarchæ non ordinabant Metropolitanos, ſed uniuſcujuſque provinciæ Epiſcopi: & quod Metropolitani antiſtitum jura habent ad faciendos Epiſcopos, & quòd non debent Patriarchæ ſeu Metropolitani in Metropolitanorum aut Epiſcoporum electionibus intereſſe. Quære iv. Can. primæ Syn. ſecundæ Syn. Can. ii. tertiæ viii. & ſextæ xxxix. Scias autem, quod Metropolitani dicuntur Pontici, qui prope Euxinum Pontum habitant Trapezuntem uſque, & interiùs. Aſiani, qui ſunt circa Epheſum, Lyciam, & Pamphyliam, & partes circumjacentes; non Orientales, ut dicunt quidam. Antiochia enim habet Orientis ordinationem. Et Thracici, Occidentales. Etſi enim nonnulli Thraciam ad Macedoniæ uſque terminos in anguſtum redegerunt, dixerunt Macedoniæ Metropolitanos, Theſſalos, Helladicos, & Peloponneſios à Papâ Romano aliquando fuiſſe ordinatos, & hoc utique ex eo probari, quod non conceſſum ſit Conſtantinopolitano Patriarchæ eos ordinare: ſed tu his fidem ne adhibueris. Thraciæ enim nomine comprehenduntur Metropoles uſque ad ipſum Dyrrhachium. Quidam autem malè dicunt, Papam aliquando ordinaſſe Theſſalonicenſem, & alios Occidentales Metropolitanos. Hos enim habuit legatos. Epiſcopatus autem dic eſſe inter barbaros, Alaniam, Ruſſiam & alios. Alani enim ſunt Ponticæ diœceſis: Ruſſi vero Thraciæ. De legatis autem Papæ Romani & quinam hi ſunt, & quomodo illi conceſſum eſt, ut noſtros Metropolitanos legatos haberet, dicetur poſt allocutionem ſynodi quæ fuit in Trullo.

ALTERA EXPOSITIO.

Ac preſens quidem Canon ſtatuit Conſtantinopolitanum Archiepiſcopum habere privilegia Papæ Romæ, & eum quemadmodum & ille, in omnibus rebus Eccleſiaſticis honorari ac magni fieri, convenienter iii. Canoni ſecundæ Syn. Nonnulli autem videntes eum nolle Papæ Romani privilegio ſe jactare & extollere (neque enim Imp. loro ei caput tegitur, nec cum imp. ſceptris, ſignis, & vexillis progreditur, nec imperial. præ ſe fert auctoritatem, nec revera induitur & equitat ſecundum id quod Imperiali decreto continetur à ſancto magno Conſtantino ad Papam Romanum ſanctum Silveſtrum & ſucceſſores ejus facto) dicunt ea quæ his Canonibus continentur exoleviſſe & in uſu non eſſe, id etiam quod dicunt ex hoc confirmantes, quod in imperialibus longo poſt tempore ſcriptis & repurgatis non ſitæ ſint leges, quæ definiant Conſtantinopolitanum Archiepiſcopum habere Romani Papæ privilegia quemadmodum & nos ea declaravimus in primo cap. viii. tit. præſentis operis. Ego verò, cum Conſtantinopolitanus civis ſim integerrimus, & ſanctiſſimi Conſtantinopolitani throni factus Dei gratia pars opportuniſſima, volo & opto, ut Archiepiſcopus Conſtantinopolitanus, citra ullum tamen offendiculum, habeat omnia privilegia, quæ à divinis Canonibus ſunt illi honorificè conceſſa.

ZONAR. Conſtantinopolitanæ urbis thronum antiquæ Romæ throno nullo pacto dignitate cedere, ſed æqualibus illi prærogativis honeſtatum fuiſſe, non ſunt qui evincere contendant. Verum hæc controverſia ſecundæ Synodi tertio Canone ſatis jam explicata eſt, hallucinariq; in ea re ejuſmodi homines demonſtratum; quem locum quicunque animadverterit, regiam hanc urbem ſecundam honoris ac dignitatis ordine conſtituendam eſſe facile intelliget. Nam æqualibus frui privilegiis ob imperium & Senatum dicitur: quamvis illud, mutato rerum ſtatu, in tyrannidem degeneravit; hic vero, ſplendore priſtino amiſſo defecit. Ut ſanctorum illorum Patrum ea mens fuerit, quoniam urbs imperio ac Senatu, ſicut olim Roma ornata fuit, eam Eccleſiaſticis quoq; prærogativis iiſdem omnibus, quibus illa honeſtari oportere, ac primum quidem inter alias omnes Ecleſias, ab illâ verò ſecundum dignitatis locum obtinere. Omnibus namque modis æqualem, propter allatas eo loco rationes, intelligere non poſſumus, niſi forte dixerit quiſpiam quoniam divini illi patres ſpiritu ſancto illuminati præviderunt, Romanam Eccleſiam propter errores ſuos ab orthodoxorum cœtu ſegregandam, atque omni fidelium conſortio eliminandam fore, primas huic detulerunt; atq; ita iiſdem eam prærogativis in omnibus decorarunt, quæ ut illa aliquando, principatum olim obtinebit. Nam præpoſitionem, poſt, juxta eos de poſt in tempore conſtitutæ reginæ urbium, intelligi non permittit Canon xxxvi. Synodi Trullanæ, ſecundum Conſtantinopolis thronum poſt veteris Romæ thronum conſtituens & ſubjungens, Poſt hunc Alexandrinus numeretur thronus, deinde Antiochenus, & poſt eum Hieroſolymitanus. Sicut igitur, ubi de aliis ſedibus ſermo eſt, inferiorem dignitatis gradum præpoſitio illa, poſt, ſignificet, ita etiam, cum de Conſtantinopolitana ſede agitur, eodem modo accipiendam eſſe facile conſtat. Et verò clariſſimus Patriarcha Nicephorus divinus, in duodecimo ſcriptorum ſuorum contra Iconomachos capite hæc habet: Eſſe verò iſtos [Iconomachos ſcilicet] ab eccleſia catholica prorſus excluſos atque ejectos, vel ipſæ litteræ quæ à beatiſſimo Antiſtite veteris Romæ hoc eſt, à prima & Apoſtolica ſede miſſæ ſunt ſatis ſuperque teſtantur. His igitur de throni magnæ hujuſce civitatis ordine & honore à ſacra Synodo conſtitutis, de diœceſibus etiam illi olim ſubjiciendis diſſerit, quas dicit eſſe Ponticam, Aſia-

Ἑτέρα ἑρμηνεία.

Ὁ μὲν παρὼν κανὼν διορίζεται ἔχειν τὸν Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον, τὰ πρεσβεῖα τοῦ Πάπα Ῥώμης, καὶ κατ' ἐκεῖνον ἐπὶ πᾶσι τοῖς ἐκκλησιαστικοῖς πράγμασι μεγαλύνεσθαι, ἀκολούθως τῷ τρίτῳ κανόνι τῆς β'. συνόδου. τινὲς δὲ βλέποντες τοῦτον διὰ μηδενὸς τῶν προνομίων τοῦ Πάπα Ῥώμης ἀποσεμνυνόμενον, (οὔτε γὰρ ὑπὸ βασιλικοῦ λώρου τὴν κεφαλὴν κατακαλύπτεται), οὔτε μετὰ βασιλικοῦ σκήπτρου καὶ σίγνων καὶ βάνδων προέρχεται, οὔτε ἀξιώματα προβάλλεται βασιλικά, οὔτε ἀληθινὰ ἐνδιδύσκεται, καὶ καβαλικεύει κατὰ τὴν περίληψιν τοῦ γεγονότος βασιλικοῦ θεσπίσματος, παρὰ τοῦ ἁγίου μεγάλου Κωνσταντίνου, πρὸς τὸν Πάπαν Ῥώμης ἅγιον Σίλβεστρον, καὶ τοὺς μετ' αὐτὸν) λέγουσι ἀπρακτῆσαι τὰ τῶν κανόνων, κατασκευάζοντες τὸν οἰκεῖον λόγον καὶ ἀπὸ τοῦ μὴ καταστρωθῆναι εἰς τὰ βασιλικά, τὰ μεταγενεστέρως κατὰ πολὺ συγγραφέντα καὶ ἀνακαθαρθέντα, τοὺς νόμους τοὺς διοριζομένους ἔχειν τὸν Κωνσταντινουπόλεως τὰ προνόμια τοῦ Πάπα Ῥώμης, καθὼς καὶ ἡμεῖς προεδηλώσαμεν τὰ περὶ τούτου, ἐν τῷ α'. κεφ. τοῦ η'. τίτλου, τοῦ παρόντος συντάγματος. ἐγὼ δὲ Κωνσταντινουπολίτης ὢν ἀκραιφνέστατος, καὶ τοῦ ἁγιωτάτου θρόνου τῆς Κωνσταντινουπόλεως μέρος γεγονὼς τῇ χάριτι τοῦ θεοῦ καιριώτατον, θέλω καὶ εὔχομαι ἔχειν τὸν Κωνσταντινουπόλεως ἀσκανδαλίστως πάντα τὰ παρὰ τῶν θείων κανόνων φιλοτιμηθέντα αὐτῷ προνόμια.

ΖΩΝΑΡ. Βιάζονταί τινες κατασκευάζειν μὴ ἐλαττοῦσθαι τῇ τιμῇ τὸν τῆς Κωνσταντινουπόλεως θρόνον τοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἀλλὰ τῶν ἴσων πρεσβείων ἐκείνῃ καταπολαύειν. ἤδη μὲν οὖν ἐν τῷ γ'. κανόνι τῆς δευτέρας συνόδου εἴρηται περὶ τούτου, καὶ ἀποδέδεικται μὴ εὐστόχως ἐκείνους λέγειν, καὶ ζητητέον τὰ ἐκεῖ εἰρημένα ἀρκοῦντα εἰς ἀπόδειξιν τοῦ δευτέραν ταύτην βασιλίδα πόλιν κατὰ τάξιν τῆς τιμῆς κρίνεσθαι. ὃ γὰρ τῶν ἴσων ἀπολαύειν πρεσβείων, διὰ τὴν βασιλείαν καὶ τὴν σύγκλητον εἴρηται· εἰ καὶ ἡ μὲν εἰς τυραννίδα μετήμειπται· ἡ δὲ συγκέκλεισται καὶ ἐκλέλοιπε· τοῦτο λεγόντων τῶν ἁγίων πατέρων ἐκείνων, ὅτι ἐπεὶ βασιλείᾳ ἐτιμήθη ἡ πόλις αὕτη καὶ συγκλήτῳ ὡς ἡ πάλαι Ῥώμη, δεῖ αὐτὴν καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς προνομίοις, ὡς ἐκείνην τιμᾶσθαι, πᾶσιν τῶν ἄλλων προτιμωμένην ἐκκλησιῶν, δευτέραν δὲ μετ' ἐκείνην ὑπάρχουσαν. τῶν ἴσων γὰρ ἐν ἅπασιν ἀξιοῦσθαι ταύτην ἀμήχανον, δι' ἃς αἰτίας ἐκεῖσε εἰρήκαμεν, εἰ μή που τὶς εἴποι ὅτι προορῶντες ἐν πνεύματι ἁγίῳ οἱ θεῖοι πατέρες ἐκεῖνοι, ὡς ἀποτμηθήσεται τῆς τῶν ὀρθοδόξων ὁλοκληρείας, καὶ ἐξοστρακισθήσεται τῆς ὁμηγύρεως τῶν πιστῶν διὰ δόγματα ἑτερόδοξα ἡ Ῥωμαίων ἐκκλησία, πρώτην ταύτην ἐλογίσαντο· καὶ οὕτως τῶν αὐτῶν ἐκείνῃ δικαίων ἐν πᾶσιν ἠξίωσαν πρωτεύειν μέλλουσαν, ὡς ἐκείνη ποτέ. τὴν γὰρ μετὰ πρόθεσιν οὐ συγχωρεῖ κατ' ἐκείνους νοεῖσθαι ἐπὶ τῷ μετὰ χρόνῳ τῆς συστάσεως τῆς βασιλίδος τῶν πόλεων, ὁ λϛ'. κανὼν τῆς ἐν τῷ Τρέλλῳ συνόδου δευτεροῖ τὸν θρόνον τῆς Κωνσταντινουπόλεως τάττων μετὰ τὸν τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐπάγων, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον, ὁ τῆς Ἱεροσολυμιτῶν. ὡς γὰρ ἐπὶ τῶν ἄλλων θρόνων ἡ μετὰ πρόθεσις ὑποβιβασμὸν δηλοῖ, οὕτω καὶ ἐπὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἐτέθη. καὶ οὕτω νοεῖσθαι χρέων. καὶ ὁ ἐν πατριάρχαις δὲ ἀοίδιμος Νικηφόρος ὁ θεῖος ἐν τῷ ιβ'. τῶν παρ' αὐτοῦ συγγραφέντων κεφαλαίων κατὰ τῶν εἰκονομάχων ταῦτά φησιν· ὅτι δὲ τῆς καθολικῆς ἐκκλησίας ἀπερριμμένοι εἰσὶ σαφῶς μαρτυροῦσι καὶ τὰ πεμφθέντα γράμματα παρὰ τοῦ μακαριωτάτου ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης, τουτέστι τοῦ πρώτου καὶ ἀποστολικοῦ θρόνου. ταῦτα περὶ τῆς τάξεως καὶ τιμῆς διαταξαμένη ἡ ἱερὰ σύνοδος τοῦ θρόνου τῆς μεγαλοπόλεως ταύτης, διαλέγεται καὶ

περὶ τῶν ὑποκεῖσθαι μελλουσῶν αὐτῇ διοικήσεων καὶ ταύτας εἶναί φησι, τὴν Ποντικὴν, τὴν Ἀσιανὴν, καὶ τὴν Θρᾳκικήν· ὧν δὴ διοικήσεων καὶ τὰς χειροτονίας τῶν μητροπολιτῶν μόνων ἀνατίθησι τῷ Κωνσταντινουπόλεως. εἴρηται δὲ τὸ μόνων, ἵνα μὴ καὶ τὰς τῶν Ἐπισκόπων χειροτονίας σφετερίσηταί τις τῶν Κωνσταντινουπόλεως Ἐπισκόπων. ἐκεῖναι γὰρ ἑκάστῳ τῶν μητροπολιτῶν οἷς ἀνέκαθεν ἀνῆκον, εἰάθησαν. διὸ καὶ ἐπιφέρει ὁ κανὼν τὸ δηλαδὴ ἑκάστου μητροπολίτου χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας Ἐπισκόπους μετὰ τῶν Ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας. ἀνατίθησι δὲ τῷ Κωνσταντινουπόλεως καὶ τὴν χειροτονίαν τῶν Ἐπισκόπων τῶν ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι, τοῖς οὖσιν ἐν ταῖς ῥηθείσαις διοικήσεσιν. οἷοί εἰσιν οἱ Ἀλανοὶ καὶ οἱ Ῥῶσοι, οἱ μὲν γὰρ, τῇ Ποντικῇ διοικήσει, οἱ δὲ Ῥῶσοι τῇ Θρᾳκικῇ συμπαράκεινται. ἵνα δὲ μὴ τῇ αὐθεντίᾳ τοῦ Κωνσταντινουπόλεως νομισθῶσιν οἱ θεῖοι πατέρες ἐκεῖνοι τὸ πᾶν τῆς χειροτονίας ἀνατιθέναι, ὥστε ποιεῖν ἐκεῖνον ἐπὶ ταῖς χειροτονίαις κατ᾽ ἐξουσίαν ἃ βούλεται, προσέθεντο χειροτονεῖσθαι παρ᾽ αὐτοῦ τοὺς μητροπολίτας συμφώνων ψηφισμάτων γινομένων, καὶ ἐπ᾽ αὐτὸν ἀναφερομένων μονονουχὶ τοῦτο λέγοντες· ὅτι οὐχ᾽ οὓς βούλεται ὁ Κωνσταντινουπόλεως χειροτονήσει μητροπολίτας, ἀλλ᾽ ἢ ὑπ᾽ αὐτὸν σύνοδος τὰς ψήφους ποιήσεται. καὶ ἐφ᾽ οὓς ἂν οἱ ψηφιζόμενοι συμφωνήσουσιν, ἐξ ἐκείνων χειροτονήσει ἀναφερομένων τῶν ψηφισμάτων πρὸς αὐτόν. τισὶ μὲν οὖν τὸ μόνων, οὕτω νενόηται καθὼς εἴρηται· ἄλλοι δὲ εἰς διαστολὴν φασὶ τεθῆναι τῶν λοιπῶν διοικήσεων διαστελλόντων τῶν πατέρων τὰς ἄλλας διοικήσεις, καὶ τὰς εἰρημένας μόνας ἀνατιθεμένων τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως. αἱ γὰρ λοιπαὶ διοικήσεις, ἡ τῆς Μακεδονίας δηλαδὴ καὶ Θετταλίας, Ἑλλάδος τε καὶ τῆς Πελοποννήσου, καὶ τῆς λεγομένης Ἠπείρου καὶ τοῦ Ἰλλυρικοῦ τῷ Ῥώμης τῆς παλαιᾶς Ἐπισκόπῳ τότε ἀνέκειντο.

ΑΡΙΣΤ. Ὁ τῆς νέας Ἐπίσκοπος Ῥώμης τῷ τῆς παλαιᾶς ὁμότιμος, διὰ τὴν τῶν σκήπτρων μετάθεσιν· ὅθεν οἱ Πόντου, καὶ Θρᾴκης, καὶ Ἀσίας, καὶ οἱ Βάρβαροι, τῷ τῆς Κωνσταντινουπόλεως κεχειροτόνηνται.

Ἰσότιμος ὁ Κωνσταντινουπόλεως τῷ τῆς Ῥώμης Ἐπισκόπῳ, καὶ τῶν ἴσων ἀπολαύσει πρεσβείων, διὰ τὸ βασιλείᾳ τε καὶ συγκλήτῳ ταύτην τιμηθῆναι· ὑποκείσονται δὲ αὐτῷ μόνοι οἱ τοῦ Πόντου, καὶ Ἀσίας, καὶ τῆς Θρᾴκης μητροπολῖται, καὶ χειροτονηθήσονται ὑπ᾽ αὐτοῦ. ὡσαύτως καὶ οἱ ἐν ταῖς τοιαύταις διοικήσεσι τῶν βαρβάρων Ἐπίσκοποι. ἡ γὰρ τῆς Μακεδονίας, καὶ Ἰλλυριῶν, καὶ Θετταλίας, καὶ Ἀττικῆς, καὶ Πελοποννήσου, καὶ πάσης Ἠπείρου, καὶ τῶν ταύτης ἐθνῶν διοίκησις ὑπὸ τὸν Ῥώμης τῷ τότε ἐτέλει.

ΚΑΝΩΝ κθ΄.

Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν φέρειν ἱεροσυλία ἐστίν. εἰ δὲ αἰτία τις δικαία ἐκείνους ἀπὸ τῆς πράξεως τῆς ἐπισκοπῆς ἀποκινεῖ, οὐδὲ πρεσβυτέρου τόπον κατέχειν ὀφείλουσιν. εἰ δὲ ἐκτός τινος ἐγκλήματος ἀπεκινήθησαν τοῦ ἀξιώματος, πρὸς τὴν τῆς ἐπισκοπῆς ἀξίαν ἐπαναστρέψουσιν. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· οὗτοι οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπικῆς ἀξίας εἰς τὴν τοῦ πρεσβυτέρου τάξιν καταλελυθέναι, εἰ μὲν ἀπὸ εὐλόγων τινῶν αἰτιῶν καταδικάζονται, εἰκότως οὐδὲ τῆς πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμὸν, δίκαιοι τυγχάνουσιν, εἴ γε ἀνεύθυνοι φανεῖεν, τὴν τῆς ἐπισκοπῆς ἐπαναλαβεῖν ἀξίαν τε καὶ ἱερωσύνην.

ΒΑΛΣ. Γέγραπται περὶ τὰ τέλη τῶν πρακτικῶν τῆς δ΄. συνόδου, ἀνενεχθῆναι παρὰ Φωτίου Ἐπισκόπου τῆς μητροπόλεως Τύρου τῷ βασιλεῖ Μαρκιανῷ, ὡς ὁ Ἐπίσκοπος τῆς Βηρυτῶν πόλεως καιροῦ δραξάμενος, ἀπέσπασεν ἀπὸ τῆς

A nam & Thracicam: quarum quidem diœceſium Metropolitanos ſolos à Patriarcha Conſtantinopolitano ordinari jubet. Sed ſolos, inquit, Metropolitanos, ne Epiſcopos quoq; creandi jus Conſtantinopolitanus ſibi quandoque Antiſtes aſſumeret. Illud enim unicuique Metropolitano quos penes olim quoque fuerat, eſt relictum. Idcirco ſubjungit Canon, hoc viz. unoquoque Metropolitano provinciæ ſuæ Epiſcopos, adhibitis aliis ejuſdem provinciæ Epiſcopis, ordinante. Epiſcoporum verò illorum, qui apud barbaras nationes in dictis diœceſibus degunt, quales Alani ſunt & Ruſſi, illi quidem Ponticæ diœceſi, hi verò Thracicæ adjuncti, Conſtantinopoli- B tano etiam Præſuli ordinationem demandat. Verùm ne à divinis patribus, quæ ad creationem Metropolitanorum pertinent, univerſa Conſtantinopolitani auctoritati conceſſa eſſe putarentur, ut ipſi quæcunque collibitum eſſet, pro poteſtate ſtatuere liceret; idcirco, ab illo quidem, ſed conſentientibus tamen aliorum ſuffragiis, atque ad eum delatis, Metropolitanos creandos eſſe decernunt. Quibus nimirum verbis id apertè indicare voluerunt; non fas eſſe Conſtantinopolitano Præſuli Metropolitanos, arbitratu ſuo quos voluerit, conſtituere; ſed quos, ſuffragiis inſpectis, concordibus votis per ſubjectam ſynodum deſignatos eſſe cognoverit, ex eo numero aliquem ab C ipſo ſcilicet eſſe deligendum exiſtimavere. Ac verbum quidem [ſolum] hoc pacto nonnulli intelligendum exiſtimavere. Alii, ut enumeratas diœceſes à reliquis ſegregarent, eáſque tantum Conſtantinopolitanæ ditioni adjudicatas eſſe declararent, id verbum à Patribus adhibitum fuiſſe arbitrantur. Nam aliæ diœceſes, Macedoniæ ſcilicet ac Theſſaliæ, totiúſque Græciæ & Peloponeſi, & ejus quæ Epirus dicitur, ac Illyrici veteris Romæ Epiſcopo tunc temporis aſcriptæ fuerunt.

Arist. *Novæ Romæ Epiſcopus eodem atque veteris honore fruatur, propter imperii tranſlationem. Qua-* D *propter Ponti, Aſiæ, Thraciæque Epiſcopi ut & Barbari à Conſtantinopolitano ordinentur.*

Epiſcopus Conſtantinopolitanus æqualem habet Romano honorem, & æqualibus fruetur privilegiis, quia ipſa imperio & ſenatu honoratur. Subjecti autem ipſi erunt ſoli Ponti, & Aſiæ, & Thraciæ Metropolitani, & ab ipſo ordinati. Similiter & qui in iſtiuſmodi ſunt diœceſibus Barbarorum Epiſcopi. Nam Macedoniæ, & Illyriorum, & Theſſaliæ, & Atticæ, & Peloponeſi, & Epiri univerſæ, & illius gentium diœceſis ſub Romano tunc temporis erat.

E

CANON XXIX.

Epiſcopum in Presbyteri gradum deducere eſt ſacrilegium. Si qua autem juſta cauſa illos ab Epiſcopali actione removet, nec Presbyteri debent locum obtinere. Sin autem abſque ullo crimine dignitate moti ſunt, ad Epiſcopalem dignitatem redibunt. Anatolius religioſiſſimus Conſtantinopolitanus Archiepiſcopus dixit; Ii qui dicuntur ab Epiſcopali dignitate ad Presbyteri ordinem deſcendiſſe, ſi juſtis quidem aliquibus de cauſis condemnan- F *tur, jure nec Presbyteri quidem honore digni ſunt: Sin autem ſine aliqua probabili cauſa ad inferiorem gradum depreſſi ſint, jure, ſi quidem nulli crimini obnoxii deprehendantur, Epiſcopatus auctoritatem & ſacerdotium recipient.*

Bals. Scriptum eſt in fine Actorum iv. ſynodo relatum fuiſſe à Photio Metropolis Tyri Epiſcopo ad regem Marcianum, quòd Epiſcopus Beritenſis civitatis, arrepta occaſione, diverſos Epiſcopatus ab Eccleſia Tyriorum avulſit, Byblum, Botrin, Tripolin, Orthoſiadem,

Arcadem,

UMI

Arcadem, & Antaradum, & eos qui ab ipſo Photio ordinati fuerant, depoſitos Epiſcopos, in Presbyteri locum deduxit. Hoc cum obſervaſſent, qui ſecundum imperiale decretum Chalcedone convenerant patres, cum civilibus magiſtratibus ſtatuerunt æquum eſſe, Tyriorum Eccleſiæ reſtitui ablatos, ut dictum eſt, Epiſcopatus, & habere depoſitos Epiſcopos priores honores. Et Romanæ quidem Eccleſiæ loci conſervatores pronunciarunt, Epiſcopum in Presbyteri locum deducere eſt ſacrilegium, & cæt. Anatolius autem & magiſtratus & reliqua Synodus, ſecuti ſunt. Lege primum & ii. Can. Syn. Ancyr. Neocæſar. Syn. Can. ix. Syn. vi. Can. iii. xxvi. & ſancti Baſilii Can. xxvii. & lxx. Excipe mihi eos qui poſt ordinationem uxores duxerunt. Ii enim poſtquam à miniſterio ceſſaverunt, quædam agunt. Lege lxxix. novellam Imp. domini Leonis philoſophi, ſitam in vi. Can. vi. Syn. & finem interrogationum factarum ad ſanctam Conſtantinopolitanam Synodum, & reſponſiones ad illas tempore ſanctiſſimi illius Patriarchæ domini Nicolai.

A ἐκκλησίας τῶν Τυρίων διαφόρους ἐπισκοπὰς, Βύβλον, Βότρυν, Τρίπολιν, Ὀρθωσιάδα, Ἄρκας καὶ Ἀντάραδον, καὶ τοὺς ὑπὸ τοῦ αὐτοῦ Φωτίου χειροτονηθέντας Ἐπισκόπους καθελὼν, εἰς πρεσβυτέρου τόπον κατήγαγεν. τοῦτο γοῦν τηρήσαντες κατὰ βασιλικὸν ὁρισμὸν οἱ ἐν Χαλκηδόνι συνελθόντες πατέρες, μετὰ καὶ πολιτῶν ἀρχόντων ὥρισαν δίκαιον εἶναι ἀποκαταστῆναι τῇ τῶν Τυρίων ἐκκλησίᾳ τὰς ἀφαιρεθείσας, ὡς εἴρηται, ἐπισκοπὰς, καὶ ἔχειν τοὺς καθαιρεθέντας Ἐπισκόπους τὴν προτέραν τιμήν. οἱ μὲν τοποτηρηταὶ τῆς ἐκκλησίας Ῥώμης ἀπέφηναν, τὸ Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν φέρειν, ἱεροσυλία ἐστὶ καὶ τὰ ἑξῆς. ὁ Ἀνατόλιος δὲ καὶ οἱ ἄρχοντες καὶ λοιπὴ σύνοδος ἠκολούθησαν. B ἀνάγνωθι τὸν α'. καὶ β'. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα θ'. συνόδου ϛ'. κανόνα γ'. κϛ'. καὶ τοῦ ἁγίου Βασιλείου κανόνα κζ'. καὶ ο'. ὑπέξελέ μοι τοὺς μετὰ τὴν χειροτονίαν γαμήσαντας. οὗτοι γὰρ μετὰ τὸ παυθῆναι τῆς λειτουργίας, ἐνεργοῦσί τινα. καὶ ἀνάγνωθι τὴν οθ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, κατατεθεῖσαν εἰς τὸν ϛ'. κανόνα τῆς ϛ'. συνόδου· ἔστι δὲ τέλος τῶν γεγονυιῶν ἐρωτήσεων πρὸς τὴν ἐν Κωνσταντινουπόλει ἁγίαν σύνοδον, καὶ τὰς ἐπ' αὐταῖς ἀποκρίσεις κατὰ τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Νικολάου.

ZONAR. Neminem ex Epiſcopali faſtigio ad Presbyteri gradum demitti licet. Vel enim à ſummo ſacerdotio ob crimina quædam ejicitur, & omni ſacerdotii quoque inferioris functione talis indignus exiſtimabitur: vel ſine cauſâ Epiſcopi dignitate privatur, proindéque non in Presbyteri ordinem referri, ſed ei dignitatem præter meritum ereptam reddi, ac in eum, unde per injuriam dejectus fuit, honoris locum reſtitui decet. Ex Epiſcopatu enim in Presbyteri gradum dejici quenquam, ſacrilegium nominat Canon. Exuitur quippe ille per injuriam ſummi ſacerdotii dignitate, quam qui eripit, non modò rem ſacram, ſed aliquid etiam re ſacra majus atque præſtantius rapit. Summi ſiquidem ſacerdotis obteſtatione ac precibus templa illapſu ſancti Spiritus conſecrantur, ſuámque ſacræ res aliæ ſanctitatem accipiunt; majorem autem eſſe, qui res ſanctas efficit, ipſis rebus ſanctificatis omnino neceſſe eſt.

ΖΩΝΑΡ. Τοὺς Ἐπισκόπους οὐ δεῖ κατάγεσθαι εἰς C πρεσβυτέρου βαθμόν. ἢ γὰρ διά τινα αἰτιάματα τῆς ἀρχιερωσύνης ἐκβάλλεταί τις, καὶ οὐδὲ ἱερεὺς ὁ τοιοῦτος δύναται εἶναι· ἢ χωρὶς αἰτίας εἴργεται τοῦ εἶναι Ἐπίσκοπος, καὶ οὐ κατενεχθήσεται εἰς πρεσβυτέρου τάξιν, ἀλλ' ὡς μάτην ἐκπεσὼν τὴν οἰκείας ἀξίαν καὶ ἐξ οὐδεμιᾶς δικαίας αἰτίας, ἐπαναλήψεται τὸν οἰκεῖον τόπον, καὶ ἔσται αὖθις Ἐπίσκοπος. τὸ γὰρ ἐξ ἐπισκοπῆς εἰς πρεσβυτέρου βαθμὸν καταχθῆναι ἱεροσυλίαν ὁ κανὼν ὠνόμασε. συλᾶταί γε τὴν ἱερωσύνην ὁ ταύτης οὐκ ἐνδίκως στερούμενος, καὶ ὁ ἀδίκως στερῶν αὐτῆς τὸν ἔχοντα ταύτην οὐχ ἱερόν τι συλᾷ, ἀλλὰ καί τι πλέον, καὶ μεῖζον. διὰ γὰρ τῆς ἐπικλήσεως D τοῦ ἀρχιερέως οἱ ναοὶ καθιεροῦνται τῇ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει, καὶ τὰ ἱερὰ ἁγιάζονται, καὶ μεῖζον πάντως τὸ ἁγιάζον τοῦ ἁγιαζομένου.

ARIST. *Qui Epiſcopum ad Presbyteri gradum detrudit ſacrilegus eſt. Qui enim crimini obnoxius, etiam ſacerdotio indignus eſt. Qui vero inſons dejectus eſt, ſit Epiſcopus.*

ΑΡΙΣΤ. Ὁ καταβιβάζων Ἐπίσκοπον εἰς πρεσβύτερον, ἱερόσυλος· ὁ γὰρ ὑπαίτιος, καὶ ἀνίερος· ὁ δὲ καταβιβασθεὶς ἀναίτιος, ἔστω Ἐπίσκοπος.

Epiſcopum ad Presbyteri gradum deducere, palam eſt ſacrilegium. Vel enim crimini obnoxius eſt, & ſacerdotio deponitur, vel extra culpam eſt, & Epiſcopatus dignitate non debet amoveri.

Ἱεροσυλία ἐστὶν ἄντικρυς, τὸ τὸν Ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμόν. ἢ γὰρ ὑπαίτιός ἐστι, καὶ καθαιρεῖται τῆς ἱερωσύνης· ἢ ἐκτὸς τινος ἐγκλήματος, καὶ οὐκ ὀφείλει μετακινεῖσθαι E τοῦ τῆς Ἐπισκοπῆς ἀξιώματος.

CANON XXX.

Quoniam religioſiſſimi Ægypti Epiſcopi, non ut catholicæ fidei adverſantes, ſanctiſſimi Archiepiſcopi Leonis epiſtolæ ſubſcribere differebant, ſed dicentes in Ægyptiaca diœceſi hanc eſſe conſuetudinem, ut præter voluntatem & mandatum Epiſcopi nihil tale faciant, & petunt concedi ſibi uſque ad ordinationem futuri magnæ civitatis Alexandrinorum Epiſcopi: juſtum nobis & humanum viſum eſt, ut ipſis in eodem habitu in imperiali urbe manentibus remiſſio concedatur, donec ordinatus fuerit magnæ Alexandrinorum civitatis Archiepiſcopus. Unde in proprio habitu manentes, vel fidejuſſores dabunt, ſi hoc ab eis fieri poteſt, vel eorum jurejurando fides habebitur.

ΚΑΝΩΝ λ'.

Ἐπειδὴ οἱ εὐλαβέστατοι Ἐπίσκοποι τῆς Αἰγύπτου, οὐχ ὡς μαχόμενοι τῇ καθολικῇ πίστει, ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ἐπὶ τοῦ παρόντος ἀνεβάλλοντο, ἀλλὰ φάσκοντες ἔθος εἶναι ἐν τῇ Αἰγυπτιακῇ διοικήσει παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτο ποιεῖν. καὶ ἀξιοῦσιν ἐνδοθῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς τῶν Ἀλεξανδρέων μεγαλοπόλεως Ἐπισκόπου· F εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνθρωπον, ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ ὁμοίου σχήματος ἐν τῇ βασιλευούσῃ πόλει, ἔνδοσιν παρασχεθῆναι, ἄχρις ἂν χειροτονηθῇ ὁ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίας καταπιστευθήσονται.

BALS. Scriptum eſt in iv. Actione actorum iv. Synodi, quòd poſt Dioſcori Alexandriæ Epiſcopi depoſitionem, xiii. Ægyptii Epiſcopi ex Alexandrina diœceſi

ΒΑΛΣ. Γέγραπται ἐν τῇ τετάρτῃ πράξει τῶν πρακτικῶν τῆς δ'. συνόδου, ὅτι μετὰ τὴν καθαίρεσιν Διοσκόρου Ἐπισκόπου Ἀλεξανδρείας, τρισκαίδεκα Ἐπίσκοποι Αἰγύπτιοι

παρουσι·

παρουσιάζοντες ἀπὸ τῆς διοικήσεως Ἀλεξανδρείας, τὸν μὲν Εὐτυχέα καὶ τὰ δόγματα αὐτοῦ ἀνεθεμάτισαν· ὑπογράψαι δὲ ἀκολούθως καὶ ἐν τῇ ἐπιστολῇ τοῦ ἁγίου Λέοντος Πάππα Ῥώμης, ἣν ἀπέστειλε τῷ πατριάρχῃ Κωνσταντινουπόλεως Φλαβιανῷ, ὡς στοιχοῦντες τοῖς ἐν αὐτῇ, οὐκ ἐπείθοντο, λέγοντες ἀσύνηθες εἶναι τῇ κατ' αὐτοὺς Αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην τοῦ Ἐπισκόπου Ἀλεξανδρείας τοιοῦτόν τι ποιεῖν, καὶ παρακαλοῦντες ἐνδοθῆναι αὐτοῖς, μέχρις ἂν Ἀλεξανδρείας Ἀρχιεπίσκοπος γένηται. ὅτι οὖν τινὲς οὐ παρεδέχοντο τούτους ταῦτα λέγοντας, ὥρισεν ἡ σύνοδος μηδέν τι αὐτοῖς παθεῖν κακὸν, ἀλλὰ μένειν ἐπὶ τῆς οἰκείας ἐπιτιμίας, καὶ ἀναμένειν τὴν τοῦ Ἀλεξανδρείας χειροτονίαν. ἐν τῷ μέσῳ δὲ ἢ ἐγγυητὰς δοῦναι παραστάσεως, ἢ ἐὰν μὴ δύνωνται δοῦναι ἐγγυητὰς, ἐξωμοσίᾳ καταπιστωθῆναι. ἐξωμοσία δέ ἐστι τὸ εἰς τὴν κεφαλὴν τοῦ βασιλέως, ἢ εἰς τὴν οἰκείαν σωτηρίαν ὀμόσαι τινά. καλεῖται δὲ ἐξωμοσία, ὅτι οὐκ ἀνάγεται ὁ ὅρκος οὗτος κατὰ τοὺς νομομαθεῖς εἰς τοὺς νενομισμένους πέντε ὅρκους, ἀλλ' ἔξω τούτων ἐστί. καὶ ἀνάγνωσον τὸ η'. θέμα τοῦ κ'. κεφ. τοῦ ϛ'. τίτλου τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν, καὶ τὰ ἔξωθεν αὐτοῦ γεγραμμένα. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος ὅπως ἑρμηνεύεται ὁ ἀποστολικὸς κ'. κανὼν, ὁ λέγων, κληρικὸς ἐγγύας διδοὺς καθαιρείσθω, καὶ ἀνάγνωσον τὴν τούτου ἑρμηνείαν.

ΖΩΝΑΡ. Ἐν τῇ τετάρτῃ συνόδῳ τῇ ἐν Χαλκηδόνι συγκροτηθείσῃ κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς καὶ τῶν ὁμοφρόνων αὐτοῖς, παρῆσάν καί τινες τῶν ἐξ Αἰγύπτου Ἐπίσκοποι, οἳ παρῃτοῦντο ὑπογράψαι τοῖς δογματισθεῖσι τῇ ἁγίᾳ συνόδῳ, ἑπομένην τῇ ἐπιστολῇ τοῦ ὁσίου Λέοντος πάπα Ῥώμης, ἣν ἐπέστειλε τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως Φλαβιανῷ. παρῃτοῦντο δὲ, οὐχ ὡς ἀπαρεσκόμενοι τοῖς δόξασι τῇ συνόδῳ· ἀλλ' ὅτι Ἀλεξανδρείας οὐκ ἦν τηνικαῦτα ἀρχιεπίσκοπος, λέγοντες ἔθος εἶναι ἐν Αἰγύπτῳ, ἀρχιερεῦσι μηδέν τι πράττειν ἐκκλησιαστικὸν παρὰ γνώμην τοῦ Ἀλεξανδρείας Ἀρχιεπισκόπου, καὶ ἀξιοῦντες ἐνδοθῆναι αὐτοῖς, μέχρις ἂν Ἀλεξανδρείας Ἀρχιεπίσκοπος γένηται. οἱ μὲν οὖν τῆς συνόδου ἀρχιερεῖς ὑποπτεύοντες ὡς ἑτεροδοξοῦσιν οἱ Αἰγύπτιοι Ἐπίσκοποι, καὶ διὰ τοῦτο οὐ βούλονται βεβαιῶσαι δι' ὑποσημασίας οἰκείας τὰ συνοδικῶς ψηφισθέντα, καθαίρεσιν ἐκείνων κατεψηφίζοντο. οἱ δὲ συμπαρόντες τῇ συνόδῳ ἄρχοντες, καὶ ἡ σύγκλητος, διέγνων δεῖν ἐνδοθῆναι αὐτοῖς μένουσιν ἐπὶ τοῦ οἰκείου σχήματος τῆς ἀρχιερατικῆς ἀξίας, ἀναμένειν τὴν χειροτονίαν τοῦ Ἀλεξανδρείας Ἀρχιεπισκόπου. οἱ δέ γε τῆς συνόδου ἀρχιερεῖς, σκῆψιν τὴν ὑπέρθεσιν ὑπολαβόντες εἶναι, ἵνα τυχόντες ἀδείας ὑποχωρήσωσιν, ἤτουν ἐγγύας δοῦναι αὐτοὺς προσμένειν τῇ βασιλίδι τῶν πόλεων· καὶ οἱ ἄρχοντες καὶ ἡ σύγκλητος ἀπεφήναντο, ἢ ἐγγύας αὐτοὺς παρασχεῖν εἰ εὐποροῖεν ἐγγυητῶν, ἢ ἐξωμοσίᾳ καταπιστωθῆναι. ἐξωμοσία δ' ἐστὶ, τὸ εἰς τὴν κεφαλὴν, καὶ τὴν σωτηρίαν τοῦ βασιλέως, καὶ εἰς τὴν οἰκείαν σωτηρίαν ὀμόσαι.

ΑΡΙΣΤ. Εἴθισται τοῖς Αἰγυπτίοις, εἰ μὴ ὁ Ἀρχιεπίσκοπος ἐπιτρέπει, μὴ ὑπογράφειν. ἐντεῦθεν ἄμεμπτοι μὴ ὑπογράφοντες τῇ ἐπιστολῇ τοῦ ὁσίου Λέοντος, ἕως Ἀρχιεπίσκοπος αὐτοῖς γένηται.

Ἔθος ἐπεκράτησεν ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, ἄνευ ἐπιτροπῆς τοῦ Ἀρχιεπισκόπου αὐτῶν, μὴ ὑπογράφειν τοὺς Ἐπισκόπους. Ἐπεὶ δὲ αὕτη ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως, κατὰ τοῦ τότε ὄντος Ἀρχιεπισκόπου Ἀλεξανδρείας συνῆλθε, τοῦ βεβήλου καὶ αἱρετικοῦ Διοσκόρου, τοῦ φαντασίᾳ τὴν σάρκα μυθολογήσαντος φορέσαι τὸν κύριον, καὶ ἐν μιᾷ φύσει αὐτὸν ὑπάρχειν, καὶ τῇ θεότητι πάθη προσνέμοντος, καὶ τοῦ θρόνου καθεῖλεν αὐτὸν, καὶ οὔπω ἦν ἕτερος ἀντ' αὐτοῦ τοῦ δυσσεβοῦς προβληθεὶς Πατριάρχης. κατὰ τοῦτο τῇ τοῦ ἁγίου πάπα Λέοντος

A præſentes Eutychen & ejus dogmata anathematizarunt: ſubſcribere autem conſequenter epiſtolæ ſancti Leonis Papæ Romani, quam miſit ad Flavianum Patriarcham Conſtantinopolitanum, ut iis quæ in ea erant aſſentientes, non perſuadebantur: dicentes eſſe inuſitatum in ſua Ægyptiaca diœceſi præter Alexandrini Archiepiſcopi ſententiam tale quid facere, & petentes id ſibi concedi donec Alexandrinus Archiepiſcopus factus ſit. Quoniam ergo quidam eos ſic dicentes non admittebant, definiit Synodus eos nihil mali pati oportere, ſed in proprio ſtatu manere, & Alexandrini Archiepiſcopi ordinationem expectare. Interea autem vel dare fidejuſſores de ſiſtendo, B vel ſi fidejuſſores dare non poſſunt, eorum jurijurando fidem haberi (Græcè eſt ἐξωμοσία.) Eſt autem ἐξωμοσία, dum in caput Imperatoris vel in propriam ſalutem jurat quiſpiam. Dicitur autem ἐξωμοσία, quod non reducitur hoc jusjurandum ſecundum juriſperitos ad quinque jurisjurandi ſpecies lege ſtatutas, ſed eſt extra eas. Lege viii. them. xx. cap. vi. tit. vii. lib. Baſilic. & quæ extra ſcripta ſunt. Nota autem ex hoc præſenti Canone quomodo exponitur xx. Canon Apoſtolicus, dicens, Clericus fidejubens deponatur: & lege ejus interpretationem.

C

Zonar. In quarta Synodo contra Dioſcorum ac Eutychetem eorumque gregales Chalcedone celebrata, Ægyptii quidam Epiſcopi cum adeſſent, ut ejuſdem Synodi decreta, ex S. Leonis Romani Papæ ad Flavianum beatiſſimum Conſtantinop. Archiepiſc. miſſis litteris edita, chirographo ſuo confirmarent, adduci non poterant. Non quod ea quidem, ut ferebant, illi minus probarent: ſed quod Alexandriæ Archiepiſcopus tunc quidem nullus erat; Ægyptiorum Epiſcoporum conſuetudinis eſſe dicentes, nihil inconſulto Alexandrino Archiepiſcopo de rebus Eccleſiaſticis conſtituere; idcirco par- D vi ſibi temporis moram, donec is creatus fuiſſet, concedi poſtulabant. Sed Ægyptiis Epiſcopis quod eorum nempe fidem ſuſpectam haberent, atque ideo Synodice decreta ſuis ſubſcriptionibus confirmare noluerunt, depoſitionis pœnam Synodi Antiſtites irrogavere. Qui tamen in Synodo Principes viri aderant ſimul cum ſenatu, ut, manentibus ipſis in proprio dignitatis Epiſcopalis habitu, Alexandrini Archiepiſcopi creationem expectarent, concedi oportere arbitrabantur. Verum Syn. Antiſtites delationem illam prætextum eſſe, ut nacti libertatem diſcederent, ſuſpicati, de illorum in urbe Conſtantinopolitana manſione ſponſores dari poſtulabant. Qua quidem poſtula- E tione à Principibus quoque & Senatu probata, Ægyptiis, ut vel fidejuſſores darent, ſi quos haberent, vel certe ſacramento fidem ſuam obſtringerent, imperatum. Eſt vero ſacramentum hoc loco, cum jusjurandum per imperatoris caput & ſalutem, perque ipſius jurantis ſalutem concipitur.

Arist. *Mos eſt Ægyptiis, niſi Archiepiſcopus permiſerit, non ſubſcribere. Quocirca minime culpandi ſunt, qui S. Leonis Epiſtolæ non ſubſcribunt, uſque dum Archiepiſcopus iis creatus fuerit.*

F In diœceſi Ægyptiacâ obtinuit conſuetudo, ut Epiſcopi ſine Archiepiſcopi permiſſione non ſubſcriberent, cum itaque hæc Sancta Synodus ſub religioſiſſimo Imperatore Marciano contra profanum & hæreticum Dioſcorum Alexandriæ tunc Archiepiſcopum, qui Dominum imaginatione tantum carnem geſtaſſe, & in una tantum natura eum exiſtere, fabulatus eſt, & divinitati paſſiones attribuit, Chalcedone convenit, & throno eum depoſuit, & nondum erat alius iſtius impii loco creatus Patriarcha. Propterea orthodoxiſſimæ Sancti Papæ Leonis Epiſtolæ ſubſcribere non ſunt coacti, ſed remiſſio iis conceſſa fuit uſque dum Alexandriæ Epiſcopus crearetur. Et ſic ſecundum ejus mandatum ſubſcribent. Rogati ſunt autem fidejuſſores dare, vel in Imperatoris caput jurare, ſe patienter ibidem manſuros, donec Alexandrinorum civitas Epiſcopum habuerit.

A ὀρθοδοξοτάτῃ ἐπιστολῇ ὑπογράψαι οὐκ ἠναγκάσθησαν. ἀλλ' ἐνεδόθη αὐτοῖς, μέχρις ἂν χειροτονηθῇ τῶν Ἀλεξανδρέων Ἐπίσκοπος, καὶ οὕτω κατὰ πρόσταξιν αὐτοῦ ὑπογράψουσι. ἀπῃτήθησαν δὲ δοῦναι ἐγγυητὰς, ἢ εἰς τὴν τοῦ βασιλέως κεφαλὴν ἐπομόσασθαι προσκαρτερεῖν ἐνταῦθα μέχρις ἂν ἡ τῶν Ἀλεξανδρέων πόλις Ἐπίσκοπον δέξηται.

* * *

DE QUINTA SYNODO.

Περὶ τῆς πέμπτης Συνόδου.

Bals. Quinta Synodus fuit ſub Juſtiniano Imp. primo, cum centum & quinquaginta quinque S. Patres Conſtantinopoli coveniſſent: quæ confirmavit ea quæ à quarta Synodo decreta ſunt, & eos, qui adverſus eam maledicè loquebantur & blaſphemabant, anathematizavit, ſcilicet Origenem, & impia ejus decreta & ſcripta; Euagrium & Didymum, & quæ ab ipſis expoſita ſunt capita; & præterea Mopſueſtiæ Theodorum, Neſtorii magiſtrum, & blaſphemam ejus doctrinam; Anthimum item & Petrum & Zooram, & qui erant ejuſdem cum illis opinionis; & conſcripta à Theodorito capita, & Ibæ epiſtolam. Canones autem non edidit.

B **ΒΑΛΣ.** Ἡ ε'. Σύνοδος γέγονεν ἐπὶ Ἰουστινιανοῦ βασιλέως τοῦ πρώτου, ἑκατὸν ἑξήκοντα πέντε ἁγίων πατέρων συνελθόντων ἐν Κωνσταντινουπόλει. ἥτις ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς ἁγίας δ'. Συνόδου, καὶ τοὺς κατ' αὐτῆς βλασφημοῦντας ἀνεθεμάτισεν, ἤγουν Ὠριγένην καὶ τὰ αὐτοῦ ἀσεβῆ δόγματα καὶ συγγράμματα, Εὐάγριόν τε καὶ Δίδυμον, καὶ τὰ παρ' αὐτῶν ἐκτεθέντα κεφάλαια, καὶ πρὸς τούτοις τὸν Μοψουεστίας Θεόδωρον, τὸν Νεστορίου διδάσκαλον, καὶ τὰς αὐτοῦ βλασφήμους διδασκαλίας, Ἀνθιμόν τε καὶ Πέτρον καὶ Ζωόραν, καὶ τοὺς ὁμοδοξοῦντας αὐτοῖς· καὶ τὰ παρὰ τοῦ Θεοδωρίτου συγγραφέντα κεφάλαια, καὶ τὴν Ἴβα C ἐπιστολήν. κανόνας δὲ οὐκ ἐξέθετο.

Zonar. Quinta Synodus Juſtiniani primi Imp. temporibus, centum & ſexaginta quinq; Sanctis Patribus Conſtantinopoli congregatis celebrata fuit. Ea quartæ Synodi decreta omnia ſanxit & confirmavit, &, qui contra illam nefarie obloquebantur, anathemate damnavit; Origenem etiam, & impia ejus ſcripta, ac abſurda dogmata, Euagrium & Didymum, evulgataque ab iiſdem capita. Tum Neſtorii magiſtrum Theodorum Mopſueſtienſem, ac impias ejus doctrinas. Anthimum quoque & Petrum & Zooram, cum gregalibus ſuis. Capita demum à Theodoreto conſcripta, & Ibæ epiſtolam. Nullos vero Canones ea Synodus promulgavit.

ΖΩΝΑΡ. Ἡ πέμπτη Σύνοδος γέγονεν ἐπὶ Ἰουστινιανοῦ βασιλέως τοῦ πρώτου, ἑκατὸν ἑξήκοντα πέντε ἁγίων πατέρων συνελθόντων ἐν Κωνσταντινουπόλει, ἥτις ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς ἁγίας τετάρτης Συνόδου καὶ ἐβεβαίωσε, καὶ τοὺς κατ' αὐτῆς ἀνεθεμάτισε, καὶ Ὠριγένην καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα καὶ ἀλλόκοτα δόγματα, Εὐάγριόν τε καὶ Δίδυμον καὶ τὰ παρ' αὐτῶν ἐκτεθέντα κεφάλαια. καὶ πρὸς τούτοις τὸν Μοψουεστίας D Θεόδωρον τὸν Νεστορίου διδάσκαλον, καὶ τὰς αὐτοῦ βλασφήμους διδασκαλίας. Ἀνθιμόν τε καὶ Πέτρον καὶ Ζωόραν, καὶ τοὺς ὁμοδοξοῦντας αὐτοῖς. καὶ τὰ παρὰ τοῦ Θεοδωρήτου συγγραφέντα κεφάλαια· καὶ τὴν Ἴβα ἐπιστολήν. κανόνας δὲ ἡ τοιαύτη σύνοδος οὐκ ἐξέθετο.

DE SEXTA SYNODO.

Περὶ τῆς ἕκτης Συνόδου.

Bals. Sexta Synodus fuit in hac urbium reginâ Imperante Conſtantino Pogonato Juſtiniani patre, Heraclii vero nepote, cum clxx. Sancti Patres conveniſſent adverſus Theodorum, qui in Phara Epiſcopatum geſſerat, Honorium qui Romæ, Cyrum qui Alexandriæ, Sergium, Pyrrhum, Paulum, & Petrum, qui Eccleſiæ Conſtantinopolitanæ præfuerant, Macarium Antiochenum, & Stephanum ejus diſcipulum, & Polychronium delirum ſenem, qui auſi fuerant dogma introducere, Dominum noſtrum Jeſum Chriſtum unam voluntatem & unam operationem habere, poſtquam incarnatus eſt. Quos cum iis qui conſentiebant illis, ex Eccleſia amputavit & anathematizavit ſancta hæc Synodus: duas naturales voluntates & duas operationes ſimiles habere poſt incarnationem ſtatuens Dominum noſtrum Jeſum Chriſtum, non in diviſione perſonarum, ſed quod nulla natura ex duabus naturis, quæ ſunt in Chriſto, eſt ſine voluntate vel operatione; ne utriuſque naturæ ſublatis hiſce proprietatibus, operatione dico & voluntate, duæ quoque naturæ, quarum ſunt proprietates, unà auferri videantur. Sed hæc quoque Synodus Canones non edidit.

E **ΒΑΛΣ.** Ἡ ἕκτη Σύνοδος γέγονεν ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου πατρὸς μὲν τοῦ Ἰουστινιανοῦ ἀπογόνου δὲ τοῦ Ἡρακλείου, ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων συνελθόντων κατὰ Θεοδώρου ἐπισκοπεύσαντος ἐν Φαρᾷ, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, Πύρρου, Παύλου, καὶ Πέτρου τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας προεδρευσάντων, Μακαρίου Ἀντιοχείας καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου, τοῦ νηπιόφρονος γέροντος, τῶν τολμησάντων δογματίσαι, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔχειν μετὰ τὴν σάρκωσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὓς μετὰ τῶν συμφρονούντων αὐτοῖς ἐξέκοψε τῆς ἐκκλησίας καὶ ἀνεθεμάτισεν ἡ F ἁγία αὕτη Σύνοδος· δύο θελήματα φυσικὰ καὶ δύο ἐνεργείας ὁμοίας ἔχειν μετὰ τὴν σάρκωσιν δογματίσασα, καὶ κυρώσασα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ' ὅτι μηδεμία φύσις τῶν δύο φύσεων ἐπὶ Χριστοῦ, ἀθέλητος ἦν ἢ ἀνέργητος· ἵνα μὴ τῶν ἰδιωμάτων τούτων ἑκατέρας φύσεως ἀναιρουμένων, τῆς ἐνεργείας λέγω καὶ τῆς θελήσεως, καὶ αἱ δύο φύσεις, ὧν εἰσὶν ἰδιώματα, συναναιρεῖσθαι δοκῶσιν. οὐδὲ αὕτη μέντοι ἡ σύνοδος κανόνας ἐξέθετο.

A

ΖΩΝΑΡ. Ἡ ἕκτη σύνοδος γέγονεν ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων βασιλεύοντος Κωνσταντίνου τοῦ πωγωνάτου τοῦ ἀπογόνου Ἡρακλείου, ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων συναθροισθέντων κατὰ Θεοδώρου ἐπισκοπήσαντος ἐν Φαρᾶν, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, Πύρρου, Παύλου, Πέτρου τῆς ἐν Κωνσταντινουπόλεως ἐκκλησίας προεδρευσάντων, Μακαρίου Ἀντιοχείας καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος τῶν τολμησάντων ἓν θέλημα καὶ μίαν ἐνέργειαν δογματίσαι ἔχειν μετὰ τὴν σάρκωσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὓς μετὰ τῶν συμφερόντων αὐτοῖς, B ἐξέκοψε τῆς ἐκκλησίας καὶ ἀναθεμάτισεν ἡ ἁγία αὕτη σύνοδος, δύο θελήματα φυσικὰ καὶ δύο ἐνεργείας ὁμοίας ἔχειν μετὰ τὴν σάρκωσιν δογματίσασα. καὶ κυρώσασα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ᾽ ὅτι οὐδὲ μία φύσις τῶν δύο φύσεων ἐπὶ Χριστοῦ ἀθέλητος ἦν ἢ ἀνενέργητος. ἵνα μὴ τῶν ἰδιωμάτων, τούτων ἑκατέρας φύσεως ἀναιρουμένων, τῆς ἐνεργείας λέγω καὶ τῆς θελήσεως, καὶ αἱ φύσεις ὧν εἰσιν ἰδιώματα συναναιρεῖσθαι δοκῶσιν. οὐδὲ αὕτη μέντοι ἡ σύνοδος κανόνας ἐξέθετο.

Zonar. Sexta Synodus imperante Conſtantino Pogonato Heraclii nepote, in hac urbium regina habita fuit; cum adverſus Theodorum, qui Pharæ Epiſcopatum geſſerat; Honorium, quem Alexandria; Sergium, Pyrrhum, Paulum, Petrum, quos Eccleſia Conſtantinopolitana præſides habuerat; Macarium Antiochenum, ejuſque auditorem Stephanum, ſtultumque & ineptum ſenem Polychronium, centum & ſeptuaginta Sancti Patres conveniſſent. Qui cum unam in Domino noſtro Jeſu Chriſto voluntatem, poſtquam is hominem induit, unamque efficiendi vim extitiſſe profiteri auſi forent; à ſancta Synodo, cum omnibus qui eodem errore tenerentur, ab Eccleſiæ corpore exciſi, atque anathemate notati ſunt. Quæ quidem Synodus, duas in Chriſto voluntates poſtquam humanam ſibi naturam adjunxit, duoque ſimilia agendi principia omnino admittenda & agnoſcenda eſſe definivit. Non quia Dominum noſtrum Jeſum Chriſtum perſonarum multiplicitate diviſum vellet, ſed quod ex duabus in eo naturis neutram, aut voluntate ſua, aut agendi facultate, caruiſſe exiſtimaret. Ne iis, quæ cujuſque naturæ propria ſunt, voluntate nimirum & agendi vi, ex alterutra natura ſublatis, ipſam quoque naturam, C cujus eæ facultates propriæ ſunt, ſuſtuliſſe viderentur. Sed ne hujus quidem Syn. Can. ulli uſquam editi ſunt.

ΠΕΡΙ ΤΗΣ ΛΕΓΟΜΕΝΗΣ ἕκτης Συνόδου.

ΒΑΛΣ. Τοῦ δευτέρου Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου δηλαδὴ βασιλεύοντος, ὃς ἦν υἱὸς τοῦ Πωγωνάτου Κωνσταντίνου, συνῆλθον Ἐπίσκοποι διακόσιοι εἴκοσι D καὶ ἑπτὰ κατὰ κέλευσιν τοῦ ῥηθέντος αὐτοκράτορος, καὶ κανόνας ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικήν.

DE SYNODO, QUÆ Sexta dicitur.

Zonar. Cum ſecundus Juſtinianus, is ſcilicet qui ab amputato naſo Ῥινότμητος dictus eſt, regnaret, qui quidem erat Pogonati Conſtantini filius, convenerunt Epiſcopii ccxxvii. juſſu dicti Imperatoris, & ad conſtitutionem Eccleſiaſticam Canones ediderunt.

ΖΩΝΑΡ. Διὸ τοῦ δευτέρου Ἰουστινιανοῦ, τοῦ ῥινοτμήτου δηλαδὴ, βασιλεύοντος, ὃς ἦν υἱὸς τοῦ πωγωνάτου Κωνσταντίνου, συνῆλθον Ἐπίσκοποι διακόσιοι εἰκοσιεπτὰ κατὰ κέλευσιν τοῦ ῥηθέντος αὐτοκράτορος, καὶ κανόνας ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικὴν, βεβαιωθέντας καὶ παρὰ τοῦ εἰρημένου βασιλέως, ἥτις καὶ αὕτη ἕκτη ὀνομάζεται, ὅτι τε μὴ περὶ πίστεως καὶ δογμάτων E ἐν αὐτῇ γέγονε ζήτησις, ὥστε αὐτὴν ἰδιαιτάτην διὰ τοῦτο λογίζεσθαι σύνοδον, καὶ ὅτι τὸ τῆς ἕκτης ὑστέρημα τὴν τῶν κανόνων ἔκθεσιν αὕτη ἀνεπλήρωσε, καὶ διὰ τὸ προσεχεστέρα πρὸς ἐκείνην εἶναι, συνηριθμήθη ἐκείνῃ.

Zonar. Igitur Juſtiniano ſecundo, qui Ῥινότμητος (ab amputato ſcilicet naſo) dictus eſt, Conſtantini Pogonati filio imperium tenente, ab eodem Imperatore juſſi, ſeptem & viginti ſupra ducentos Epiſcopi convenere, atque ad Eccleſiaſticam rem conſtituendam confirmatos etiam ejuſdem Imperatoris auctoritate Canones edidere. Atque hæc quidem Synodus, ſextæ appellationem ipſa quoque retinuit, tum quia nihil in ea de rebus ad fidei dogmata pertinentibus, ex quo proprio nomine Synodus cenſenda fuerit, quæſitum eſt; tum quia ſextæ ſuperioris lacunas, quod ad Canonum editionem attinet, illa explevit. Et quoniam proxime eam ſequebatur, una cum eâ recenſita eſt.

A

* * *

CANONES SANCTORUM Patrum qui in Trullo Imperialis Palatii Conſtantinopoli convenerunt, tempore Juſtiniani religioſiſſimi & Chriſtianiſſimi noſtri Imperatoris.

Sanctorum patrum, qui in Trullo Palatii Imperialis Conſtantinopoli convenerunt, ad Juſtinianum religioſiſſimum Imperatorem Oratio Dedicatoria.

Imprimis pio & Chriſti amantiſſimo Imperatori Juſtiniano ſancta & univerſalis Synodus divino piæ veſtræ potentiæ nutu & decreto congregata in hac à Deo cuſtodita & regia civitate.

Cum ineffabilis ac divina redemptoris & ſervatoris noſtri Jeſu Chriſti gratia omnem terrarum orbem comprehenderit, & vivificum veritatis præconium ſit omnium auribus diſſeminatum, populus quidem ſedens in ignorantiæ tenebris, vidit magnam cognitionis lucem, & ab erroris vinculis liberatus eſt, cum regno cœlorum antiqua ſervitute permutata: qui autem à primi ſpendoris pulchritudine propter elationem extruſus eſt, primus draco, ſpiritus, magnus Aſſyrius, à prius captivis capitur, & fit incarnati verbi potentiâ ab omni fortitudine alienus, quemadmodum ſcriptum eſt, quod inimici romphææ defecerunt in finem. Ubique enim cultus rationalis lege ſancitur, & holocauſtum offertur: Deúſque, qui ſacrificatur ac communicatur ad corporum ſimul & animarum conſervationem, eos qui ſunt ejus participes deificat. Quamobrem & dæmones fugantur, & ſacer hominum qui congregatur cœtus in Eccleſiis myſticè ſanctificatur, deliciarum Paradiſus omnibus apertus eſt, & tandem fiunt nova omnia. Sed quoniam homicida diabolus contra præpotentem Dominum cervicem ſemel attollebat, parturienſque defectionis laborem peperit, non ferens videre nos à tranſgreſſionis lapſu excitatos ad cœlum evolare per primitias noſtras, hoc eſt Chriſtum, qui ſe dedit pro nobis redemptionis pretium: non deſtitit improbitatis tela torquere, & animi perturbationibus fideles ſauciare, ut à data illis ſpiritus efficacia honoréque a cgratia ſepararentur. Nec bonus noſter Athlothetes & ſalutis dux ac princeps Deus, auxilii nos expertes reliquit, in unaquaque generatione excitans, qui in hujus vitæ ſtadio, cultus ac religionis armis inſtructi, adverſus eum in acie ſtarent, & manus cum eo conſererent: qui ſtricto ſpiritus gladio, quod eſt verbum Dei, & ſic cum malo congreſſi, quam in nos exercebat tyrannidem diſſolverunt, gregum duces effecti, & vias domini populis ſternentes ac præparantes, ne in iniquitatis præcipitia, propter ejus quod eſt melius ignorantiam, detrudantur ac prolabantur. Oportebat enim eum, qui, ut eſſemus, nobis largitus eſt, & tanta depreſſionis humilitatiſque magnitudine noſtrum ſibi genus vendicavit, & ad ſe revocavit ac reduxit, nobis quoque ſemitam, ut bene eſſemus, oſtendere per Eccleſiæ luminaria ac doctores, qui noſtros ſecundùm Deum greſſus illuminantes dirigunt, & ad Evangelium incitant: quorum etiam converſatio in cælis eſt, ut ait divinus Apoſtolus. Unde etiam nobis vitam nunc negligentius agentibus, & ratiocinationis conſiderationiſq; otio indormientibus, cum nobis incautis viæ inſidiator inimicus ſe injecerit, & virtutem paulatim ſuffuratus, nobis ejus loco vitium ſuppoſuerit: qui magnam hanc præſentis mundi navem clavo aſſidens regit Chriſtus Dominus noſter, te ſapientem nobis gubernatorem, pium Imperatorem, verè præſidem excitavit, diſpenſantem ſermones in judicio, in ſeculum veritatem ſervantem, facientem judicium & juſtitiam in medio terræ, & in via ab omni repre-

* * *

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΚΩΝσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ Βασιλικοῦ παλατίου συνελθόντων ἁγίων πατέρων, ἐπὶ Ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν Βασιλέως.

Προσφωνητικὸς λόγος τῶν ἐν Κωνσταντινουπόλει ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συνελθόντων ἁγίων πατέρων πρὸς Ἰουστινιανὸν τὸν εὐσεβέστατον βασιλέα.

B

Τῷ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ βασιλεῖ Ἰουστινιανῷ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ θεῖον νεῦμα καὶ θέσπισμα τοῦ εὐσεβεστάτου ὑμῶν κράτους συναθροισθεῖσα κατὰ ταύτην θεοφύλακτον καὶ βασιλίδα πόλιν.

ΤΗΣ ἀῤῥήτου καὶ θείας χάριτος τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πᾶσαν περιλαβούσης τὴν γῆν, καὶ τοῦ ζωηφόρου τῆς ἀληθείας κηρύγματος ταῖς ἁπάντων ἀκοαῖς ἐνσπαρέντος· ὁ μὲν λαὸς ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, φῶς εἶδε μέγα τῆς ἐπιγνώσεως, καὶ τῶν τῆς πλάνης ἠλευθερώθη δεσμῶν,
C
βασιλείαν οὐρανῶν τῆς παλαιᾶς δουλείας ἀνταλλαξάμενος· ὁ δὲ τοῦ κάλλους τῆς πρώτης λαμπρότητος δι' ἔπαρσιν ἀπωσθεὶς, ὁ πρῶτος δράκων, ὁ νοῦς, ὁ μέγας ὁ Ἀσσύριος, ὑπὸ τῶν πρὶν αἰχμαλώτων ἁλίσκεται, καὶ γίνεται τῇ δυνάμει τοῦ σαρκωθέντος λόγου πάσης ἰσχύος ἀλλότριος, καθὼς γέγραπται, ὅτι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. πανταχοῦ γὰρ λατρεία λογικὴ νενομοθέτηται, καὶ ὁλοκάρπωσις ἀναφέρεται, καὶ ὁ θεὸς θυόμενος καὶ διαδιδόμενος εἰς σωμάτων ὁμοῦ καὶ ψυχῶν περιποίησιν, θεουργεῖ τοὺς μετέχοντας, ὑφ' οὗ καὶ δαίμονες φυγαδεύονται, καὶ ἱερὰ τῶν ἀνθρώπων ἀθροιζομένη πανήγυρις ἐπ' ἐκκλησίαις μυστικῶς ἁγιάζεται, καὶ τῆς τρυφῆς ὁ παράδεισος τοῖς πᾶσιν ἀνέῳκται· καὶ τέλος, γέγονε τὰ πάντα καινά.
D
ἀλλ' ἐπεὶ ὁ ἀνθρωποκτόνος διάβολος ἅπαξ κατέναντι παντοκράτορος κυρίου τραχηλιάσας καὶ ὠδινήσας, καὶ τεκὼν πόνον τῆς ἀποστάσεως, μὴ φέρων βλέπειν ἡμᾶς ἐγερθέντας τοῦ τῆς παραβάσεως πτώματος, καὶ τὸν οὐρανὸν διαπτάντας διὰ τῆς ἀπαρχῆς ἡμῶν, τουτέστι Χριστοῦ, τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν· οὐκ ἀνῆκεν τὰ τῆς κακίας βέλη κινῶν, καὶ τοὺς πιστοὺς τιτρώσκων τοῖς πάθεσιν, ὡς ἂν χωρισθεῖεν τῆς δοθείσης αὐτοῖς ἐνεργείας τοῦ πνεύματος, τιμῆς τε καὶ χάριτος. οὐδὲ ὁ ἀγαθὸς ἡμῶν ἀθλοθέτης καὶ τῆς σωτηρίας ἀρχηγὸς παρεῖδεν θεὸς ἀβοηθήτους ἡμᾶς, καθ' ἑκάστην ἀνιστῶν γενεὰν τοὺς, ἐν τῷ βίου τούτου σταδίῳ, διὰ τῶν ὅπλων αὐτῆς τῆς εὐσεβείας παραταξαμένους, καὶ τὸν πρὸς αὐτὸν συναψαμένους
E
πόλεμον· οἳ τὴν τοῦ πνεύματος σπασάμενοι μάχαιραν, ὅ ἐστιν ῥῆμα θεοῦ, καὶ οὕτως συμπλακέντες τῷ πονηρῷ, τὴν καθ' ἡμῶν τυραννίδα κατέλυσαν, ὁδηγοὶ τῶν ποιμνίων γενόμενοι, καὶ τὰς ὁδοὺς κυρίου τοὺς λαοὺς εὐθετίζοντες, ὅπως μὴ κατὰ κρημνῶν τῆς ἀνομίας ὑπ' ἀγνοίας τοῦ κρείττονος ὠθοῖντό τε καὶ διολισθαίνοιεν. ἔδει γὰρ τὸν τὸ εἶναι ἡμῖν χαρισάμενον, καὶ τοσούτῳ μεγέθει συγκαταβάσεώς τε καὶ ταπεινώσεως τὸ ἡμέτερον γένος μεταποιήσαντα, καὶ πρὸς ἑαυτὸν ἀνακαλεσάμενον καὶ ἀναβιβάσαντα καὶ τὴν εἰς τὸ εὖ εἶναι τρίβον ἡμῖν ὑποδείξαντα διὰ τῶν τῆς ἐκκλησίας λαμπτήρων καὶ διδασκάλων, φωταγωγούντων τὰ κατὰ θεὸν ἡμῶν διαβήματα, καὶ πρὸς τὸ εὐαγγέλιον παρορμώντων· ὧν καὶ τὸ πολίτευμα
F
ἐν οὐρανοῖς ὑπάρχει κατὰ τὸν θεῖον ἀπόστολον· ὅθεν καὶ νῦν ἡμῶν τὸν οἰκεῖον βίον διεξάγουσι ῥαθυμότερον, καὶ τῇ τῶν λογισμῶν ἀργείᾳ καθεύδουσιν, ὡς ἐπεισελθεῖν ἀφυλάκτοις τὸν ὁδοστάτην ἐχθρὸν, καὶ κατὰ μικρὸν τὴν ἀρετὴν ὑποκλέψαντα, τὴν κακίαν ἡμῖν ἀνθυπενεγκεῖν· ὁ τὴν μεγίστην ταύτην τοῦ παρόντος κόσμου πηδαλιουχῶν ὁλκάδα Χριστὸς ὁ θεὸς ἡμῶν, σὲ τὸν σοφὸν ἡμῖν κυβερνήτην τὸν εὐσεβῆ βασιλέα προστάτην ὄντως ἀνέστησεν, οἰκονομοῦντα τοὺς λόγους ἐν κρίσει, φυλάσσοντα εἰς τὸν αἰῶνα ἀλήθειαν, ποιοῦντα κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς, καὶ ἐν ἀμώμῳ ὁδῷ πορευόμενον· ὃν ἡ σοφία κυοφορήσασα, καὶ μαιευσασα, καλῶς ταῖς ἀρεταῖς ἐκθρέψασά τε καὶ περιστείλασα, καὶ

θείου πληρωθεῖσα πνεύματος, ὀφθαλμὸν οἰκουμένης ἀπέδειξεν, τῇ τοῦ νοῦ καθαρότητι καὶ τῇ λαμπρότητι διαυγάζοντα περιφανῶς τὸ ὑπήκοον· ᾧ τὴν ἑαυτῆς ἐκκλησίαν παρέθετο, καὶ τὸν νόμον αὐτῆς μελετᾷν νυκτὸς καὶ ἡμέρας ἐδίδαξεν, πρὸς καταρτισμὸν καὶ οἰκοδομὴν τῶν ὑπὸ χεῖρα λαῶν· ὃς τῷ θερμῷ τοῦ πρὸς θεὸν πόθου τὸν ζηλωτὴν ὑπερβαλὼν Φινεές, καὶ τὴν ἁμαρτίαν ἐκκεντήσας τῷ κράτει τῆς εὐσεβείας τε καὶ συνέσεως, καὶ τὸ ποίμνιον τῆς κακίας τε καὶ φθορᾶς συνεξελέσθαι προείλου. ἔπρεπεν γὰρ τὸν τῶν οἰάκων μετὰ τὴν ἄνω ῥοπὴν τοῦ ἀνθρωπείου γένους ἐπειλημμένον, μὴ μόνον τὸ καθ' ἑαυτὸν σκοπεῖν, καὶ ὅπως ἂν ὁ οἰκεῖος αὐτῷ διευθύνοιτο βίος, ἀλλὰ καὶ πᾶν τὸ ἀρχόμενον ἐκ τρικυμίας περισώζειν, καὶ τῆς πολλῆς τῶν πραγμάτων συγχύσεως ἐπικλυζόντων πάντοθεν τῶν πνευμάτων τῆς πονηρίας καὶ τὸ σῶμα ἡμῶν ἐκταρασσόντων τῆς ταπεινώσεως. ἐπειδὴ δὲ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ δύο σύνοδοι, αἱ κατὰ ταύτην τὴν βασιλίδα καὶ θεοφύλακτον πόλιν συναθροισθεῖσαι, ἡ μὲν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως, ἡ δὲ ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου, πατρὸς τῆς σῆς ἡμερότητος, τὸ περὶ τῆς πίστεως πατρικῶς διατρανώσασαι μυστήριον, οὐδαμῶς ἱεροὺς κανόνας ἐνεγράψαντο· καθάπερ αἱ λοιπαὶ ἅγιαι τέσσαρες οἰκουμενικαὶ σύνοδοι, δι' ὧν ἀποστήσονται μὲν οἱ λαοὶ τῆς χείρονος καὶ ταπεινοτέρας διαγωγῆς, ἐπὶ δὲ τὸν κρείττονα καὶ ὑψηλότερον μεταθῶνται βίον· ἐντεῦθέν τε τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν, ὑπὸ πολλῶν ἐξ ἀταξίας παθῶν διασπώμενον, καὶ ὑποσυρόμενον, καὶ κατὰ μικρὸν τῆς θείας μάνδρας ἀπορραγὲν καὶ διατμηθέν, καὶ τῇ ἀγνοίᾳ καὶ λήθῃ τῶν τῆς ἀρετῆς κατορθωμάτων ἀπολισθῆσαν, καὶ ἀποστολικῶς εἰπεῖν, τὸν υἱὸν τοῦ θεοῦ καταπατῆσαν, καὶ τὸ αἷμα τῆς διαθήκης, ἐν ᾧ ἡγιάσθη, κοινὸν ἡγησάμενον, τὴν τοῦ πνεύματος ὕβρισε χάριν. τοῦτο λίαν ὡς περιούσιον λαὸν ἐπισυναγαγεῖν βουληθείς, μιμήσει τοῦ τὸ πλανώμενον πρόβατον ἐπὶ τὸ ὄρος ἐπιζητοῦντος Χριστοῦ, καὶ τῇ αὐτοῦ ἀποκαταστῆσαι αὐλῇ, καὶ πεῖσαι φυλάττειν τὰς ἐντολάς τε καὶ τὰ θεῖα προστάγματα δι' ὧν τῶν νεκρῶν ἀποχωροῦντες ἔργων ζωοποιούμεθα, πᾶσάν τε προνοήσας σωτηρίας διάσκεψιν, καὶ θεὸν ἐκζητήσας κατὰ τὸ φάσκον ῥητόν, οἱ ζητοῦντες τὸν κύριον εὑρήσουσι γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην· τὴν ἁγίαν ταύτην καὶ θεόλεκτον οἰκουμενικὴν ἀθροισθῆναι σύνοδον ὥρισας, ὅπως τῇ τῶν πολλῶν ἐπὶ τὸ αὐτὸ συνελεύσει τε καὶ ὁμοπνοίᾳ, κατορθωθείη σοι εἰς δέον τὸ σπουδαζόμενον· ἀλλὰ καὶ εἴ τι λείψανον Ἑλληνικῆς ἢ Ἰουδαϊκῆς σκαιότητος τῷ τῆς ἀληθείας ὡρίμῳ σίτῳ ἐγκαταμέμικται, ἐκ ῥίζης αὐτῆς ὡς ζιζάνιον ἀρθείη, καὶ καθαρὸν ἀποδειχθείη τὸ τῆς ἐκκλησίας λήϊον. ὅπου γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν, ἡ κυρία ἔφη φωνή· καὶ πάλιν διὰ Ἱερεμίου ἡμῖν ἀνακέκραγεν ἐκζητήσατέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ ἐπιφανοῦμαι ὑμῖν. ἐπὶ τοῦτο τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν, κανόνας ἱεροὺς ἀνεγράψαμεν. διὸ τῆς σῆς εὐσεβείας δεόμεθα, τὰς τῶν πρὶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως συναθροισθέντων πατέρων φωνάς σοι προσάγοντες, ἵνα ὥσπερ τοῖς τῆς κλήσεως γράμμασιν τὴν ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων δι' εὐσεβῶν κεραιῶν ἐπισφραγίσῃς τὸ τέλος. ὁ δὲ κύριος στηρίξαι σου τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψοι γενεαῖς γενεῶν· καὶ προσθείη τῷ ἐπιγείῳ κράτει καὶ τῆς βασιλείας τῆς ἐν οὐρανοῖς τὴν ἀπόλαυσιν.

A *henſione aliena procedentem; quem cùm ſapientia concepiſſet, eique obſtetricis officium præſtitiſſet, pulchrè virtutibus enutritum & ornatum, divinoque Spiritu repletum, orbis terrarum oculum effecit, qui mentis puritate & ſplendore ſubjectos apertè illuminas, cui ſuam Eccleſiam commendavit, & legem ejus noctu diùque meditari docuit, ad populorum, qui ſunt ſub ejus manibus, perfectionem & ædificationem; qui tuo in Deum deſiderii ardore Phinecs zelum ſuperas, & pietatis ac prudentiæ robore confoſſo peccato, gregem quoque à vitio & exitio ſubtrahere voluiſti. Oportebat enim eum, qui poſt ſupernum momentum humani generis gubernaculum ſuſcepiſſet,* B *non ſolum id quod ad ſe pertinet conſiderare, & quomodo ſua à ſe vita dirigatur; ſed & omnes, quibus imperat, ex maximis fluctibus ſervare, & à multa confuſione, undique obruentibus improbitatis ſpiritibus & humilitatis noſtræ corpus perturbantibus, eripere. Quoniam autem ſanctæ & univerſales duæ Synodi in hac Imp. & Dei obſervatrice civitate congregatæ; una quidem temporibus divinæ ſortis Juſtiniani; altera verò ſub pia memoria Imperatore Conſtantino, tuæ manſuetudinis patre; ad paternè declarandum fidei myſterium, ſacros Canonas nequaquam conſcripſerunt, ſicut reliquæ ſanctæ quatuor univerſales Synodi, per* C *quos populi quidem à deteriore & abjectiore vivendi ratione recedant, ad meliorem autem & altiorem vitam ſe traducant: Et ex hoc gens ſancta, regale ſacerdotium, pro quo Chriſtus mortuus eſt, à multis perturbationibus animi propter mores incompoſitos diſtractum ac divulſum, & à divino ſtabulo propemodum abruptum & abſciſſum, & propter ignorantiam ac oblivionem à bonis & ex virtute factis prolapſum, & Dei filio, ut apoſtolicè loquar, conculcato; ſanguinem quoque teſtamenti, in quo eſt ſanctificatum, communem arbitratum, ſpiritus gratiam contumelia affecit. Hanc, utpote peculiarem populum, reducere, inſtar Chriſti qui errantem* D *in montibus ovem quærit, & ſuo ſtabulo reſtituere, & mandata divinaque præcepta, per quæ à mortuis operibus recedentes vivificamur, ut ſervet perſuadere valde cupiens, omnique ſalutis proviſione ac perpenſione cogitata, Deóque quæſito, ut vult id quod dicit, Quærentes Dominum invenient cognitionem cum juſtitia; qui autem ipſum rectè quærunt, invenient pacem: & ſanctam hanc & divinitùs electam univerſalem Synodum congregari decreviſti, ut multorum ſimul congreſſione unanimique conſenſione, id, quod magno ſtudio contenditur, à te rectè & ordine efficiatur; ſed & ſi quæ Judaicæ vel gentilis improbitatis reliquiæ maturo veritatis frumento immixtæ ſint, radicitus tanquam lolium* E *evellantur, & pura Eccleſiæ ſeges oſtendatur. Ubi enim ſunt duo vel tres in nomine meo congregati, illic ſum in medio illorum, inquit Dominus. Et rurſus per Hierimiam nobis clamavit, Quærite me in toto corde veſtro, & apparebo vobis. Propterea ergo tuæ pietatis juſſu in hac Dei obſervatrice & Imp. urbe congreſſi, ſacros Canones ſcripſimus. Quamobrem tuam pietatem rogamus, eas, quæ priùs in hac Dei obſervatrice civitate à congregatis ſub bonæ memoriæ Imperatore noſtro patribus editæ ſunt, voces tibi adducentes, ut quemadmodum convocationis ſcriptis Eccleſiam honoraſti, ſic & eorum quæ decreta ſunt piâ ſubſignatione finem obſignes. Do-* F *minus autem imperium tuum ſtabiliat ac confirmet in pace ac juſtitia, & generationum generationibus tranſmittat: & terrenæ quoq; potentiæ adjiciat, ut etiam cæleſti regno fruaris.*

ΒΑΛΣ. Ἀπὸ τοῦ παρόντος προσφωνήματος τοῦ γεγονότος πρὸς τὸν βασιλέα Ἰουστινιανὸν τὸν καὶ Ῥινότμητον λεγόμενον, παρίσταται ὅτι τῶν δύο οἰκουμενικῶν συνόδων, τῆς πέμπτης δηλαδὴ τῆς γενομένης βασιλεύοντος Ἰουστινιανοῦ τοῦ μεγάλου, καὶ τῆς ἕκτης τῆς γενομένης βασιλεύοντος Κωνσταντίνου τοῦ Πωγωνάτου, μὴ ποιησασῶν κανόνας εἰς κατάστασιν τῶν ἐκ-

Bals. Ex præſenti allocutione, quæ ad imperatorem Juſtinianum, qui etiam Ῥινότμητος (ab inciſo naſo) dictus, habita eſt, oſtenditur, quòd cum duæ univerſales Synodi, quinta ſcilicet, quæ fuit regnante magno Juſtiniano, & ſexta, tempore Conſtantini Pogonati, non fecerint Canones ad Eccleſiarum conſtitutionem, Synodus

hæc facta eſt ad ſupplementum duarum. Propterea enim nec ſexta propriè nominatur, ſed πενθέκτη, id eſt quiniſexta: nam quod quintæ & ſextæ Synodo deerat, replevit. Eſt autem etiam univerſalis. Etſi enim Occidentales Epiſcopi, Itali ſcilicet & Latini, ab ejus Synodi Canonib. opportunè icti, eam non eſſe univerſalem inſtiterunt, nec Romani Papæ legatos in ea adfuiſſe, eò quod ſit alia ſexta Synodus, quæ regnante Conſtantino Pogonato facta eſt, ut diximus; hanc autem longo poſt tempore factam fuiſſe juſſu Juſtiniani ῥινοτμήτου, id eſt, trunco naſo: ego tamen eos audire non patiens, & hujus allocutionis contextum potius reſpiciens, & deinceps Canones dicentes; Definit hæc ſancta & univerſalis Synodus hæc & hæc: recens quidem ſcripta Nomocanona, ut quæ eorum Imperatorum & Patrum, qui Synodos expoſuerunt, ſubſcriptiones non haberent, præterii; antiquitus autem ſcripta Nomocanona verſavi, & ex ſubſcriptionib. inveni, quòd & in hac Synodo, quæ in Trullo magni palatii congregata eſt, aderant Baſilius quidam Gortynæ Cretæ Inſulæ metropolis Epiſcopus, & quidam Ravennæ Epiſcopus, totius Synodi Romanæ Eccleſiæ vicem gerentes; & non ſolùm ipſi, ſed & qui tunc erant Papæ legati, Theſſalonicæ, Sardaniæ, Heracleæ in Thracia, & Corinthi, Epiſcopi. Sunt autem legati, qui à facie dicuntur, qui etiam particularem habent juriſdictionem, ut hoc oſtenditur ex ſecundo titulo ſexti libri Baſilic. Quòd autem Papa Romanus jus ordinationis in noſtris regionibus non habuit, ut nonnulli hallucinantur, dicentes Theſſalonicenſem & alios ab eo ordinari; ſed habuit legatos, hoc eſt à facie, qui intereſſe, quando opus erat, debebant, probatur quidem certè & ex aliis multis, & quod aliquando quidem, ut Papæ legati adeſſent Theſſalonicæ, Athenarum, & Corinthi Epiſcopi; aliquando verò Corinthi, Cretæ, Patrarum, Ravennæ, & cæteri; nonnunquam verò & alii. Ut manifeſtum ſit eos eſſe Papæ legatos, quos ſinguli illorum elegerunt, non tamen eum ſub ſe habere tot extra ſuos fines Epiſcopos, & eos ordinare. Ut autem Papa ex noſtris etiam regionibus legatos haberet, excogitatum eſt propter viæ longitudinem. Si vis ergo de his fuſiùs audire, lege primum à Conſtantino Cæſare ſcriptæ hiſtoriæ caput. Nota quamobrem Synod. in Trullo imperialis palatii congregata ſexta propriè non vocatur, ſed quiniſexta; & quod hæc etiam Synodus fuit univerſalis, & quod nulla noſtrarum Eccleſiarum papæ Romano unquam ſubjecta fuit.

ZONAR. Sunt iſta proœmii loco Canonum editioni præfixa, quibus ad imperatorem Iuſtinianum, eum qui ῥινότμητος dictus allocutio Synodi continetur, quomodo & propter quas cauſas eadem Synodus juſſu Imperatoris convenerit explicans. Nempe cum duabus œcumenicis quinta & ſexta Synodo, quarum altera Juſtiniano magno, altera Conſtantino Pogonato Juſtiniani Rhinotmeti, ad quem ſermo eſt, patre imperante habita fuit, multa de fidei dogmatibus quæſita & ſancita forent, nullos tamen ad Eccleſiaſticam rem conſtituendam, moreſque Chriſtiani populi conformandos, Canones præcedentium adinſtar Synodorum promulgarunt. Hinc curæ fuit Imperatori ne ignoratione officii ſui à recto virtutis tramite populus deflecteret, & liberiorem vivendi rationem nactus in improbitatis ac vitiorum barathrum poſtremo delaberetur. Synodus itaque per illum indicta, in qua congregati patres illi, editis Canonibus, quæ in ſuperioribus Synodis deſiderata fuerant, expleverunt. Quos quidem Canones ab hâc Synodo editos, ut chirographi ſui auctoritate confirmet, eóque quaſi ſigno impreſſo & munitos velit, Imperatorem hoc ſcripto ad extremum rogant, illudque votis demum pro eodem Imperatore nuncupatis abſolvunt.

A κλησιῶν, γέγονεν αὕτη ἡ σύνοδος εἰς ἀναπλήρωσιν τῶν δύο. διὰ γὰρ τοῦτο καὶ οὐδὲ ἕκτη κυρίως κατονομάζεται, ἀλλὰ πενθέκτη· ἀνεπλήρωσε γὰρ τὸ ὑστέρημα τῆς τε πέμπτης καὶ τῆς ἕκτης συνόδου. ἔστι δὲ καὶ οἰκουμενική. κἂν γὰρ οἱ δυτικοὶ Ἐπίσκοποι, Ἰταλοὶ δηλονότι καὶ Λατῖνοι ὑπὸ τῶν κανόνων τῆς τοιαύτης συνόδου καιρίως πληττόμενοι διενίστανται μὴ εἶναι ταύτην οἰκουμενικὴν, μηδὲ τοποτηρητὰς τοῦ Πάπα Ῥώμης ἐν αὐτῇ παρουσιάζειν, διὰ τὸ ἄλλην εἶναι τὴν ἕκτην σύνοδον τὴν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου γενομένην, ὡς εἴρηται, ταύτην δὲ μετὰ χρόνους γενεὰς πολλοὺς κατὰ κέλευσιν τοῦ ῥινοτμήτου Ἰουστινιανοῦ· ἀλλ' ἐγὼ μὴ ἀνεχόμενος ἀκούειν τοιούτων, καὶ μᾶλλον
B βλέπων τὴν ὕφην τοῦ προσφωνήματος τούτου, καὶ ἐφεξῆς τοὺς κανόνας λέγοντας, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος τάδε καὶ τάδε· τὰ μὲν νεόγραφα νομοκάνονα, ὡς μὴ ἔχοντα καὶ ὑπογραφὰς τῶν ἐκθεμένων τὰς συνόδους βασιλέων καὶ πατέρων παρέδραμον, ἐψηλάφησα δὲ παλαιόγραφα νομοκάνονα, καὶ εὗρον ἐκ τῶν ὑπογραφῶν, ὅτι καὶ ἐν τῇ τοιαύτῃ συνόδῳ ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συστάσῃ, παρῆσαν Βασίλειός τις Ἐπίσκοπος τῆς Γορτυνέων μητροπόλεως τῆς νήσου Κρήτης, καί τις Ἐπίσκοπος Ῥαβέννης, τὸν τόπον ὑπέχοντες πάσης τῆς συνόδου τῆς ἐκκλησίας Ῥώμης, καὶ οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ τότε ὄντες λεγάτοι τοῦ Πάπα, ὁ Θεσσαλονίκης, ὁ Σαρδηνίας, ὁ
C Ἡρακλείας Θρᾴκης, καὶ ὁ Κορίνθου. λεγάτοι δέ εἰσιν οἱ ἐκ προσώπου λεγόμενοι, οἵτινες καὶ μερικὴν δικαιοδοσίαν ἔχουσι, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ β΄. τίτλου τοῦ ϛ΄. βιβλίου τῶν βασιλικῶν. ὅτι δὲ ὁ Πάπας Ῥώμης οὐκ εἶχε δίκαιον χειροτονίας εἰς τὴν ἡμετέραν ἐνορίαν, καθὼς τινὲς πλανῶνται, λέγοντες τὸν Θεσσαλονίκης καὶ ἑτέρους ὑπὸ τούτου χειροτονεῖσθαι, ἀλλὰ λεγάτους εἶχε, τουτέστιν ἐκ προσώπου, ὅτε δεήσει παρουσιάζειν ὀφείλοντας, παρίσταται μὲν καὶ ἀπὸ ἄλλων πολλῶν, τέως δὲ καὶ ἀπὸ τοῦ ποτὲ μὲν ὡς λεγάτους παρουσιάζειν τοῦ Πάπα τὸν Θεσσαλονίκης, τὸν Ἀθηνῶν, καὶ τὸν Κορίνθου, ποτὲ δὲ τὸν Κορίνθου, τὸν Κρήτης, τὸν Πατρῶν, τὸν Ῥαβέννης, καὶ ἑτέρους, ἐνίοτε δὲ ἄλλους. ὡς εἶναι δῆλον ἐκείνους εἶναι τοῦ Πάπα
D λεγάτους, οὓς ὁ καθ' ἕνα τούτων ᾑρετίσατο, οὐ μὴν ἔχειν τοσούτους ὑποφορίους Ἐπισκόπους ὑφ' ἑαυτὸν, καὶ χειροτονεῖν τούτους. τὸ δὲ ἔχειν τὸν Πάπαν λεγάτους τινὰς καὶ ἀπὸ τῆς ἡμετέρας ἐνορίας, ἐπενοήθη διὰ τὸ μῆκος τῆς ὁδοῦ. εἰ θέλεις οὖν μαθεῖν τὰ περὶ τούτου πλατύτερον, ἀνάγνωθι τὸ πρῶτον τῆς παρὰ τοῦ Καισαρέως Κωνσταντίνου συγγραφείσης ἱστορίας. σημείωσαι διὰ τί οὐ λέγεται ἕκτη κυρίως σύνοδος ἡ ἐν τῷ Τρούλλῳ τοῦ βασιλικοῦ παλατίου συστᾶσα, ἀλλὰ πενθέκτη, καὶ ὅτι οἰκουμενικὴ καὶ αὕτη σύνοδός ἐστι· καὶ ὅτι οὐδεμία τῶν ἡμετέρων ἐκκλησιῶν ὑπέκειτό ποτε τῷ πάππᾳ Ῥώμης.

ΖΩΝΑΡ. Ἡ γραφὴ αὕτη προοίμιόν ἐστι τῆς συγγραφῆς
E τῶν κανόνων, καὶ πρὸς βασιλέα Ἰουστινιανὸν τὸν ῥινότμητον ἐκ τῆς συνόδου προσφώνησις διηγουμένη πῶς καὶ διὰ τίνα αἰτίαν ἡ τῆς συνόδου ταύτης συναθροίσις γέγονε κελεύσει βασιλικῇ, καὶ ὅτι δύο οἰκουμενικαὶ σύνοδοι, ἥτε πέμπτη δηλαδὴ, καὶ ἡ ἕκτη, ἡ μὲν ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου συστᾶσα, ἡ δὲ βασιλεύοντος Κωνσταντίνου τοῦ πωγωνάτου, ὃς ἦν πατὴρ τοῦ, πρὸς ὃν ὁ λόγος, βασιλέως Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου, περὶ δογμάτων ζητήσεις καὶ ψήφους ἐποιήσαντο, κανόνας δὲ, ὡς αἱ προλαβοῦσαι σύνοδοι, οὐκ ἐξέθεντο εἰς κατάστασιν ἐκκλησιαστικὴν, καὶ εἰς ὠφέλειαν τοῦ πιστοῦ λαοῦ. καὶ διὰ τοῦτο φροντὶς τῷ εἰρημένῳ γέγονε βασιλεῖ, ἵνα μὴ ἀγνοίᾳ τοῦ προσήκοντος ἀποπλανῶνται τῆς
F ἐναρέτου ζωῆς οἱ λαοὶ, καὶ πρὸς ἀδιάφορον ἐκκλίνοιεν βιοτὴν, καὶ τέλος πρὸς τὸ τῆς κακίας καταλισθαίνοιεν βάραθρον. ἀθροισθῆναι οὖν σύνοδον ὥρισε, κἀντεῦθεν ἠθροίσθησαν οἱ πατέρες ἐκεῖνοι, καὶ κανόνας ἐξέθεντο τὸ ὑστέρημα τῶν εἰρημένων συνόδων ἀναπληροῦντες. καὶ τέλος ἀξιοῖ ἡ γραφὴ αὕτη τὸν βασιλέα δι' οἰκείας ὑπογραφῆς βεβαιῶσαι τοὺς παρὰ τῆς αὐτῆς συνόδου τεθέντας κανόνας, καὶ ταύτην ἐπιθεῖναι αὐτοῖς ἐπισφράγισμα, εἶτα εἰς εὐχὴν τὴν ὑπὲρ τοῦ βασιλέως τραπεῖσα καταπαύει τὸν λόγον.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ α'.

Τάξις ἀρίστη παντὸς ἀρχομένου καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν. ὅθεν καὶ τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττομένης, καὶ τῆς ἐκκλησίας, ἐφ' ᾗ Χριστὸς τεθεμελίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης, ὡς τῶν τοῦ Λιβάνου κέδρων ταύτην ὑπερεκτείνεσθαι· καὶ νῦν ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων, χάριτι θείᾳ ὁρίζομεν ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν, ὑπό τε τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου τῶν θεοκρίτων ἀποστόλων· ἔτι δὲ καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασιλέως, κατὰ Αρείου τοῦ δυσσεβοῦς, καὶ τῆς παρ' αὐτοῦ δογματισθείσης ἐθνικῆς ἑτεροθείας ἢ πολυθείας (εἰπεῖν οἰκειότερον) οἳ τῇ ὁμογνωμοσύνῃ τῆς πίστεως τὸ ὁμοούσιον ἡμῖν ἐπὶ τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων ἀπεκάλυψάν τε καὶ διετράνωσαν, μὴ ἐπικεκρύφθαι τῷ μοδίῳ τῆς ἀγνωσίας τοῦτο παραχωρήσαντες, ἀλλὰ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα προσκυνεῖσθαι μιᾷ προσκυνήσει τοὺς πιστοὺς ἀναφανδὸν ἐκδιδάξαντες, καὶ τήν τε τῶν ἀνίσων βαθμῶν τῆς θεότητος δόξαν καθελόντες καὶ διασπάσαντες, τά τε ὑπὸ τῶν αἱρετικῶν συσταθέντα ἐκ ψάμμου κατὰ τῆς ὀρθοδοξίας μειρακιώδη ἀθύρματα καταβαλόντες καὶ ἀνατρέψαντες. ὡσαύτως δὲ καὶ τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου τοῦ γενομένου ἡμῶν βασιλέως ὑπὸ τῶν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συναχθέντων ἑκατὸν πεντήκοντα ἁγίων πατέρων κηρυχθεῖσαν πίστιν κρατύνομεν, τὰς θεολόγους περὶ τοῦ ἁγίου πνεύματος φωνὰς ἀσπαζόμενοι, καὶ τὸν βέβηλον Μακεδόνιον τοῖς προτέροις ἐχθροῖς τῆς ἀληθείας συνεξελαύνοντες, ὡς δοῦλον αὐθαδῶς τὸ δεσπόζον δοξάσαι τολμήσαντα, καὶ τεμεῖν τὴν ἄτμητον μονάδα λῃστρικῶς προελόμενον, ὡς ἂν μὴ ἐντελὲς ἡμῖν τὸ τῆς ἐλπίδος εἴη μυστήριον· τῷ βδελυρῷ τούτῳ καὶ κατὰ τῆς ἀληθείας λυττήσαντι, καὶ Απολινάριον τὸν τῆς κακίας μύστην συγκατακρίναντες, ὃς ἂν οὖν ἄψυχον τὸν κύριον ἀνειληφέναι σῶμα δυσσεβῶς ἐξηρεύξατο· ἐντεῦθεν καὶ οὗτος ἀτελῆ τὴν σωτηρίαν ἡμῖν γενέσθαι συλλογιζόμενος. ἀλλὰ μὴν καὶ παρὰ τῶν ἐν Εφεσίων πόλει τὸ πρότερον συναχθέντων, ἐπὶ Θεοδοσίου τοῦ υἱοῦ Αρκαδίου γενομένου ἡμῶν βασιλέως, διακοσίων θεοφόρων πατέρων ἐκτεθέντα διδάγματα, ὡς κράτος ἄρραγες τῆς εὐσεβείας, ἐπισφραγίζομεν, ἕνα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ καὶ σαρκωθέντα κηρύττοντες, καὶ τὴν αὐτὸν ἀσπόρως τεκοῦσαν, ἄχραντον ἀειπάρθενον, κυρίως καὶ κατὰ ἀλήθειαν Θεοτόκον δοξάζοντες· καὶ τὴν ληρώδη τοῦ Νεστορίου διαίρεσιν, ὡς ἀπῳκισμένην θείας μοίρας ἀποδιώκοντες, ἄνθρωπον ἰδικῶς καὶ Θεὸν ἰδικῶς τὸν ἕνα Χριστὸν δογματίζοντος, καὶ τὴν Ιουδαϊκὴν ἀνανεοῦντος δυσσέβειαν. οὐ μὴν ἀλλὰ καὶ τὴν ἐν Χαλκηδονέων μητροπόλει, ἐπὶ Μαρκιανοῦ καὶ αὐτοῦ γενομένου ἡμῶν βασιλέως, τῶν ἑξακοσίων τριάκοντα θεοκρίτων πατέρων στηλογραφηθεῖσαν πίστιν ὀρθοδόξως ἐπικυροῦμεν· ἥτις τὸν ἕνα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ ἐκ δύο συντεθέντα τῶν φύσεων, καὶ ἐν δύο ταῖς αὐταῖς δοξαζόμενον φύσεσιν, μεγαλοφώνως τοῖς πέρασι παραδέδωκεν, καὶ Ευτυχέα τὸν ματαιόφρονα, τὸν δοκήσει τὸ μέγα τῆς οἰκονομίας μυστήριον τελεσθῆναι ἀποφηνάμενον, ὡς ἀποτρόπαιόν τι καὶ μίασμα τῶν ἱερῶν τῆς ἐκκλησίας περιβόλων ἐξήλασεν. σὺν αὐτῷ δὲ καὶ Νεστόριον καὶ Διόσκορον, τὸν μὲν, τῆς διαιρέσεως, τὸν δὲ, τῆς συγχύσεως ὑπερασπιστήν τε καὶ πρόμαχον, τοὺς ἐκ διαμέτρου τῆς ἀσεβείας πρὸς ἓν ἐκπεπτωκότας ἀπωλείας καὶ ἀθεότητος βάραθρον. ἀλλά γε καὶ τὰς εὐσεβεῖς φωνὰς τῶν ἑκατὸν ἑξήκοντα πέντε θεοφόρων πατέρων, τῶν κατὰ τὴν ταύ-

CANON I.

Ordo eſt optimus omnis qui orationem & rem incipit, & à Deo incipere, & in Deum deſinere, ut dicit Theologus. Quocirca cùm & pietas à nobis clarè prædicetur, & Eccleſia, in qua Chriſtus eſt fundamentum, aſſidue augeatur ac promoveatur, ut ea ſupra cedros libani extollatur; & nunc ſacros ſermones ordientes, Divinâ gratiâ ſtatuimus fidem ab iis, qui & ipſi ſpectatores fuerunt & verbi Miniſtri, à Deo electis nempe Apoſtolis traditam, B *citra ullam innovationem immutabiliterque ac inviolabiliter eſſe ſervandam; præterea autem & cccxviii. ſanctorum & beatorum patrum, qui Nicææ convenerunt ſub Conſtantino, noſtro Imperatore, adverſus impium Arium, & gentilem ab eo decretam Deitatis diverſitatem, vel Deorum potiùs, (ut aptius dicam) multitudinem, qui unanimi fidei agnitione eandem omnino ſubſtantiam ſive conſubſtantialitatem in tribus Divinæ naturæ perſonis & revelarunt & declararunt, hanc ſub ignorantiæ modo abſconſam eſſe non ſinentes, ſed Patrem & filium & ſpiritum* C *ſanctum una adoratione fideles adorare apertè docentes, & inequalium divinitatis graduum opinionem detrahentes ac divellentes, & ab hæreticis ex arena constructa adverſus rectam opinionem puerilia ludibria dejicientes & ſubvertentes. Similiter & eam, quæ ſub Theodoſio, qui fuit noſter imperator, à cl. ſanctis patribus, qui in hac urbe Imperatoria convenerunt, prædicata eſt, fidem confirmamus, de ſpiritu ſancto voces quæ eum deum eſſe ſtatuunt, amplectentes, & prophanum Macedonium unà cum prioribus veritatis inimicis expellentes, ut qui eum, qui dominatur, ſervum eſſe arroganter decernere au-*D *ſus ſit, & inſectilem unitatem ſecare prædonis more voluerit, ut non eſſet perfectum fidei noſtræ myſterium: una etiam cum iſto odioſo ac deteſtabili, quique adverſus veritatem fuit rabie percitus, etiam Apollinarem ejuſdem iniquitatis myſtam unà condemnantes, qui dominum corpus mente ſeu intelligentia non præditum ſumpſiſſe impie eructavit; hinc quoque imperfectam nobis fieri ſalutem ratiocinans. Jam verò, & quæ in Epheſiorum civitate à ducentis divinis patribus ſub Theodoſio Arcadii filio Imperatore noſtro primo congregatis expoſitæ ſunt doctrinæ, tanquam* E *infractum pietatis robur obſignamus, unum Chriſtum filium Dei & incarnatum prædicantes, &, quæ ipſum ſine ſemine peperit, impollutam ſemper virginem, propriè & verè Deiparam decernentes: & ineptam Neſtorii diviſionem, tanquam à divina ſorte ſemotam, perſequentes, hominem ſeparatim, & Deum ſeparatim, unum Chriſtum decernentis, & impietatem Judaicam renovantis. Quinetiam eam, quæ in Calcedonenſium metropoli ſub Marciano, qui fuit & ipſe imperator noſter, à ccccccxxx. deſcripta eſt patribus à Deo delectis fidem orthodoxè confirmamus; quæ unum Chriſtum fi-*F *lium Dei, ex duabus naturis compoſitum, & in duabus eiſdem naturis creditum; magna ac ſublimi voce terrarum finibus tradidit, & ſtultè ac ineptè ſentientem Eutichen, qui magnum æconomiæ myſterium exiſtimatione ſolum perfectum eſſe putabat, tanquam avertendum aliquod portentum, tetramque peſtem ex ſacris Eccleſiæ ambitibus exturbavit. Unà autem cum eo etiam Neſtorium & Dioſcorum, quorum ille quidem diviſionis, hic vero confuſionis defenſor erat & propugnator, qui quidem ex impietatis diametro ad unum perditionis & impietatis*

pietatis barathrum deciderant. Sed & clxv. divinorum A
patrum in hac civitate Imp. congregatorum ſub Juſtiniano
piæ memoriæ, qui fuit imperator noſter, pias
voces & à ſpiritu editas cognoſcimus, & poſteros
noſtros docemus. Qui Theodorum Mopſueſtiæ, Neſtorii
magiſtrum, & Origenem & Didymum & Evagrium,
qui Græcas fabulas rurſus fictas retulerunt, &
corporum quorundam & animarum circuitiones & immutationes
ſeu tranſmigrationes de integro nobis revocarunt
ſuis quibuſdam mentis deliriis ac ſomniis, &
in mortuorum reſurrectionem impiè ac contumelioſè
inſultarunt: & quæ à Theodorito ſcripta ſunt adverſus B
rectam fidem & xii. beati Cyrilli capita, & eam,
quæ dicitur Ibæ, epiſtolam, ſynodicè anathematizarunt
& execrati ſunt. Porrò ſextæ quoque Synodi,
quæ in hac civitate Imp. ſub divinæ memoriæ Imp.
noſtro Conſtantino nuper congregata fuerat, fidem,
quæ majorem firmitatem ex eo accepit, quòd pius imperator
noſter ejus deciſiones ſuo ſignaculo muniit
ad futuram in omnia ſecula ſecuritatem, inviolatam
nos ſervare profitemur, quæ duas naturales volitiones
ſive voluntates duáſque naturales operationes in C
incarnata unius Domini noſtri Jeſu Chriſti veri Dei
œconomia nos piè opinari debere apertè docuit: iis,
qui rectum veritatis decretum adulteraverant, & unam
voluntatem ac operationem unam in uno Domino
Deo noſtro Jeſu Chriſto populos docuerant, pia ſententia
condemnatis, Theodoro, inquimus, Epiſcopo Pharam,
Cyro Alexandriæ, Honorio Romæ, Sergio, Pyrrho,
Paulo, Petro, qui in hac religioſa Deique obſervatrice civitate
præſederunt, Macario, qui fuit Antiochenſium
Epiſcopus, Stephano ejus diſcipulo, & inſipiente Polychronio:
hac ratione intacto & illibato communi corpore
Dei noſtri Jeſu Chriſti ab eis ſervato. Atque, ut ſemel D
dicam, omnium qui in Dei Eccleſia decora ornamentáque
fuerunt, & luminaria in mundo vitæ rationem
obtinentia, firmam fidem valere, & uſque ad ſeculi conſummationem
inconcuſſam ac illabefactatam permanere
ſancimus, eorúmque ſcripta ac decreta divinitus
tradita: rejicientes omnes, & anathematizantes,
quos rejecerunt & anathematizarunt, ut veritatis inimicos,
& qui adverſus Deum inaniter fremuerunt, &
injuſtitiam in altum meditati ſunt. Si quis autem ex
omnibus prædicta pietatis decreta non tenet & amplectitur, E
ſicque opinatur & prædicat, ſed iis contra adverſari
conatur, ſit anathema, & ſecundum expoſitum
prædictorum ſanctorum & beatorum Patrum decretum,
à Chriſtiano quoque catalogo ut alienus extrudatur &
excidat. Nos enim his prius definitis neque aliquid
adjicere neque quidquam adimere omnino ſtatuimus,
vel ullo modo potuimus.

τὴν τὴν βασιλίδα συναγηγερμένων πόλιν ἐπὶ Ἰουστινιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως γενομένου ἡμῶν βασιλέως, ὡς ὑπὸ τοῦ πνεύματος ἐξενεχθείσας γινώσκομεν, καὶ τοὺς μεθ' ἡμᾶς ἐκδιδάσκομεν. οἳ Θεόδωρον τὸν Μοψουεστίας, τὸν Νεστορίου διδάσκαλον, Ὠριγένην τε καὶ Δίδυμον καὶ Εὐάγριον, τοὺς τὰς Ἑλληνικὰς ἀναπλασαμένους μυθοποιΐας, καὶ σωμάτων τινῶν καὶ ψυχῶν ἡμῖν περιόδους καὶ ἀλλοιώσεις ἀναπεμπάσαντας ταῖς τοῦ νοῦ παραφοραῖς τε καὶ ὀνειρώξεσιν, καὶ εἰς τὴν τῶν νεκρῶν δυσσεβῶς ἐμπαροινήσαντας ἀναβίωσιν. τά τε γραφέντα παρὰ Θεοδωρίτου κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῶν δώδεκα κεφαλαίων τοῦ μακαρίου Κυρίλλου, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολήν, συνοδικῶς ἀνεθεμάτισάν τε καὶ ἐβδελύξαντο. καὶ τὴν ὑπὸ τῆς ἔναγχος συναθροισθείσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν ἐπὶ τοῦ ἐν θείᾳ τῇ λήξει γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου ἕκτης ἁγίας συνόδου πίστιν, ἣ μειζόνως τὸ κῦρος ἐδέξατο, δι' ὧν ὁ εὐσεβὴς βασιλεὺς σφραγῖσι τοὺς ταύτης τόμους κατησφαλίσατο, πρὸς τὴν ἐν τῷ παντὶ αἰῶνι ἀσφάλειαν, καὶ αὖθις ὁμολογοῦμεν φυλάττειν ἀπαρεγχείρητον, ἣ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ δοξάζειν ἡμᾶς θεοφιλῶς διεσάφησεν, τοὺς δὲ εὐθὲς τῆς ἀληθείας δόγμα παραχαράξαντας, καὶ ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ ἑνὸς κυρίου τοῦ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τοὺς λαοὺς ἐκδιδάξαντας, τῇ τῆς εὐσεβείας ψήφῳ καταδικάσασα, φαμὲν Θεόδωρον τὸν τῆς Φαράν, Κῦρον τὸν Ἀλεξανδρείας, Ὀνόριον τὸν Ῥώμης, Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς ἐν τῇ ταύτῃ θεοφυλάκτῳ προεδρεύσαντας πόλει, Μακάριον τὸν γενόμενον τῶν Ἀντιοχέων Ἐπίσκοπον, Στέφανον τὸν αὐτοῦ μαθητήν, καὶ τὸν ἄφρονα Πολυχρόνιον. ἐντεῦθεν ἀνέπαφον τηροῦσα τὸ κοινὸν σῶμα Χριστοῦ τοῦ θεοῦ ἡμῶν. καὶ συνελόντα φάναι, πάντων τῶν ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ διαπρεψάντων ἀνδρῶν, οἳ γεγόνασι φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, τὴν πίστιν κρατεῖν βεβαίαν, καὶ μέχρι συντελείας τοῦ αἰῶνος ἀσάλευτον διαμένειν θεσπίζομεν, καὶ τὰ αὐτῶν θεοπαράδοτα συγγράμματά τε καὶ δόγματα πάντας ἀποβαλλόμενοί τε καὶ ἀναθεματίζοντες, οὓς ἀπεβάλλοντο καὶ ἀνεθεμάτισαν ὡς τῆς ἀληθείας ἐχθρούς, καὶ κατὰ θεοῦ φρυαξαμένους κενά, καὶ ἀδικίαν εἰς ὕψος ἐκμελετήσαντας· εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατεῖ καὶ ἀσπάζεται, καὶ οὕτως δοξάζει τε καὶ κηρύττει, ἀλλ' ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειρεῖ, ἔστω ἀνάθεμα κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων ἁγίων καὶ μακαρίων πατέρων, καὶ τοῦ Χριστιανικοῦ καταλόγου, ὡς ἀλλότριος, ἐξωθείσθω καὶ ἐκπιπτέτω. ἡμεῖς γὰρ οὔτε προσθεῖναί τι, οὔτε μὴν ὑφαιρεῖν κατὰ τὰ προορισθέντα παντελῶς διαγινώσκομεν, ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον.

ARIST. *Apoſtolorum fides non eſt innovanda. Patrum Nicenorum fides perfecta eſt, quæ Arii Divinitatis gradus introducentis dogma per conſubſtantialitatem ſubvertit.*

Synodus ſub Theodoſio magno habita, inviolata maneat, quæ Macedonium qui Spiritum ſanctum ſervum eſſe aſſeruit, depoſuit. F

Qui ſub Theodoſio minori Epheſi convenerunt ducenti perpetuo reverendi, qui Neſtorium ſeparatim hominem & ſeparatim Deum eſſe Dominum aſſerentem, expulſerunt.

Qui Chalcedone Marciano convenerunt, æternâ memoriâ ſunt celebrandi, qui Eutychen, qui imaginatione magnum perfici myſterium dicere auſus eſt, depoſuerunt, & Neſtorium & Dioſcorum ex diametro æqualia obſervantes.

ΑΡΙΣΤ. Ἡ τῶν ἀποστόλων πίστις ἀκαινοτόμητος. ἡ τῶν ἐν Νικαίᾳ ὁλόκληρος, ἣ τὸ Ἀρείου δόγμα βαθμοὺς εἰσάγον θεότητος διὰ τοῦ ὁμοουσίου κατέστρεψε.

Ἡ ἐπὶ Θεοδοσίου τοῦ μεγίστου σύνοδος, ἀπαράτρωτος, ἣ Μακεδόνιον δοῦλον εἰπόντα τὸ πνεῦμα τὸ ἅγιον, καθῄρηκε.

Οἱ ἐπὶ τοῦ μικροῦ Θεοδοσίου εἰς Ἔφεσον συνελθόντες διακόσιοι, ἀεισέβαστοι· ἄνθρωπον ἰδικῶς, καὶ θεὸν ἰδικῶς τὸν κύριον εἰπόντα Νεστόριον, ἐξελάσαντες.

Οἱ κατὰ τὴν Χαλκηδόνα τῷ Μαρκιανῷ συνελθόντες, ἀείμνηστοι, Εὐτυχέα, δοκήσει τελεσθῆναι τὸ μέγα μυστήριον φράσαι τολμήσαντα καθελόντες, καὶ Νεστόριον, καὶ Διόσκορον, τοὺς ἐκ διαμέτρου ἶσα παρατηρήσαντας.

Εἰς τὴν βασιλεύουσαν πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν, ἐπὶ Ἰουστινιανοῦ συνεληλύθασιν, οἱ Ὠριγένην σωμάτων καὶ ψυχῶν περιόδους ἀποφηνάμενον, καὶ Θεοδώρητον κατὰ τῶν δώδεκα κεφαλαίων θρασυνθέντα Κυρίλλου, ἀνεθεμάτισαν.

Εἰς τὴν Κωνσταντίνου ἐπὶ Κωνσταντίνου συνείλεκται σύνοδος, ἣ Ὀνώριον τὸν Ῥώμης, καὶ Σέργιον Κωνσταντινουπόλεως, ἓν θέλημα καὶ μίαν ἐνέργειαν δογματίσαντας, ἀποβέβληκεν.

Αὕτη ἡ σύνοδος ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου συναθροισθεῖσα, καὶ τοὺς ἀποστολικοὺς κανόνας, καὶ τὰς προγενομένας οἰκουμενικὰς ἓξ Συνόδους, καὶ τὰς τοπικὰς τὰς ἑπτὰ βεβαίας μένειν ὁρίσασα, καὶ ἀκαινοτομήτους καὶ ἀπαρατρώτους φυλάττεσθαι, ἐξέθετο καὶ τοὺς ὑποτεταγμένους κανόνας, εἰς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν· καὶ πρώτως αὐτίκα τὴν τῶν ἀποστολικῶν κανόνων παράδοσιν βεβαιοῖ· καθεξῆς δὲ τῶν οἰκουμενικῶν, καὶ τοπικῶν συνόδων τοὺς ἱεροὺς κανόνας ἐπισφραγίζει. γέγονε δὲ ἡ μὲν πρώτη σύνοδος ἐν Νικαίᾳ, ἐπὶ τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ μεγάλου, κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, ἐθνικὴν ἑτεροθεΐαν εἰπεῖν οἰκειότερον δογματίσαντος, καὶ τὸν υἱὸν τοῦ θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν, κτίσμα εἰπεῖν τολμήσαντος, καὶ οὐχ ὁμοούσιον τῷ θεῷ καὶ πατρί.

Ἡ δὲ δευτέρα ἐν Κωνσταντινουπόλει, ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, κατὰ Μακεδονίου τοῦ πνευματομάχου, τοῦ τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσαντος, καὶ μὴ θεὸν αὐτὸ εἶναι λέγοντος· προσέτι δὲ, κατὰ Ἀπολιναρίου τοῦ Λαοδικέως, καὶ Σαβελλίου τοῦ Λίβυος, τῶν φρονούντων τε καὶ λεγόντων ἄψυχον εἶναι καὶ ἄνουν τὴν τοῦ κυρίου ἡμῶν καὶ θεοῦ Ἰησοῦ Χριστοῦ σάρκα.

Ἡ δὲ τρίτη ἐν Ἐφέσῳ, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου τοῦ τὸν Χριστὸν δυσσεβῶς διαιροῦντος καὶ κατατέμνοντος, καὶ ψιλὸν ἄνθρωπον αὐτὸν εἶναι λέγοντος, καὶ οὐ Θεὸν σεσαρκωμένον· καὶ δύο υἱοὺς, καὶ ὑποστάσεις δύο ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ θεοῦ δογματίζοντος, ὅθεν μηδὲ θεοτόκον, ἀλλὰ χριστοτόκον ὀνομάζοντος τὴν ὑπεραγίαν παρθένον Μαρίαν, τὴν τεκοῦσαν αὐτὸν τὸν θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἡ δὲ τετάρτη, ἐν Χαλκηδόνι, ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως, τοῦ γαμβροῦ ἐπ' ἀδελφῇ Θεοδοσίου τοῦ μικροῦ, κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, τῶν τὴν ἐνανθρώπησιν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν φαντασίᾳ γενέσθαι μυθολογησάντων, καὶ ἐν μιᾷ φύσει αὐτὸν ὑπάρχειν λεγόντων, καὶ προσνεμόντων τῇ θεότητι τὰ παθήματα.

Ἡ δὲ πέμπτη, ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐν Κωνσταντινουπόλει κατὰ τοῦ παράφρονος Ὠριγένους, Εὐαγρίου τε, καὶ Διδύμου, τῶν τὰς ἑλληνικὰς ἀναπλασαμένων μυθοποιΐας, καὶ αὐτὰ τὰ σώματα ἃ νῦν περικείμεθα ἀνοήτως εἰπόντων μὴ ἀνίστασθαι· καὶ παράδεισον αἰσθητὸν μὴ γενέσθαι, ἐκ τοῦ θεοῦ μήτε εἶναι· καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδάμ· καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν. καὶ ἑτέρας μυρίας βλασφημίας ληρωδησάντων.

Ἡ δὲ ἕκτη ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐν Κωνσταντινουπόλει, κατὰ Θεοδώρου τοῦ τῆς Φαρᾶν Ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε, καὶ Πύῤῥου, Παύλου καὶ Πέτρου, τῶν γενομένων Κωνσταντινουπόλεως Ἐπισκόπων, καὶ ἑτέρων τῶν τὴν αἵρεσιν αὐτῶν ἀνακαινισάντων· οὗτοι γὰρ οἱ θεομάχοι, καὶ ἀσεβέστατοι ἓν θέλημα, μίαν ἐνέργειαν ἔχειν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μετασαρκω-

A *Centum ſexaginta quinque in imperiali civitate ſub Juſtiniano congregati ſunt, qui Originem, qui corporum ac animarum periodos aſſeruit, & Theodoretum, qui contra duodecim Cyrilli Capita ſeſe offerre auſus eſt, anathematizarunt.*

Conſtantinopoli ſub Conſtantino collecta eſt ſynodus, quæ Honorium Romæ, & Sergium Conſtantinopolis præſulem, voluntatem & unam operationem prædicantes, rejecit.

Hæc Synodus ſub Juſtiniano Rhinotmeto congregata, B & apoſtolicos Canones & ſex ſynodos œcumenicas, quæ ante ipſam habitæ fuere, & ſeptem provinciales firmas manere cum decreviſſit, eaſque nec innovatas nec depravatas cuſtodiri, & ſubjectos Canones ad animæ medelam & paſſionum curationem expoſuit, & imprimis Canonum apoſtolicorum traditionem confirmat; deinceps autem ſacros Oecumenicorum & provincialium conciliorum Canones approbat. Habita autem prima quidem Synodus Nicææ, ſub imperatore, qui inter ſanctos eſt, Conſtantino magno, contra impium Arium, qui Ethnicam numinum diverſitatem aptius loqui pro dogmate habuit, & Dei filium Dominum no- C ſtrum Jeſum Chriſtum, verum Deum, creaturam dicere non erubuit, & Deo patri non eſſe Conſubſtantialem.

Secunda autem Synodus habita eſt Conſtantinopoli ſub imperatore Theodoſio magno contra Macedonium ſpiritus ſancti inimicum, qui in ſpiritum ſanctum impia profudit verba, dixitque eum non eſſe Deum; & etiam contra Apolinarium Laodicææ, & Sabellium Libyæ, qui ſenſerunt pariter & dixerunt, ſine animâ & mente eſſe Domini noſtri & Dei Jeſu Chriſti carnem.

D

Tertia autem Epheſi fuit, ſub Theodoſio minori contra Neſtorium hominis cultorem, qui Chriſtum impiè diviſit, & diſſecuit, eumque nudum eſſe hominem dixit & non Deum incarnatum, & duos filios & duas perſonas in uno Chriſto Deo docuit, unde & ſanctiſſimam virginem Mariam, quæ ipſum Deum Dominum noſtrum Jeſum Chriſtum peperit, non deiparentem, ſed Chriſti parentem vocavit.

Quarta vero Chalcedone, ſub religioſiſſimo Impe- E ratore Marciano, genero Theodoſii minoris ex ſorore, contra Dioſcorum & Eutychem, qui Dei & ſoſpitatoris noſtri Jeſu Chriſti incarnationem imaginatione tantum fieri fabulati ſunt, eumque in unâ ſola naturâ exiſtere dixerunt, & Deitati paſſiones attribuerunt.

Quinta autem ſub Juſtiniano magno Conſtantinopoli habita eſt contra delirantem Origenem, Evagrium & Didymum, qui Græcanica refingentes figmenta, & ipſa hæc corpora, quibus cingimur, ſtultè dixerunt non reſurgere, & Paradiſum ſub ſenſum non cadere, nec à Deo eſſe, & in carne non formatum fuiſſe Adamum, & F punitionis futurum eſſe finem, & dæmonum ad ſtatum priſtinum reſtitutionem, & alias innumeras delirantium blaſphemias.

Sexta autem ſub Conſtantino Pogonato habita fuit Conſtantinopoli, contra Theodorum Epiſcopum Pharam, Honorium Romæ, Cyrum Alexandriæ, Sergiumque & Pyrrhum, Paulum & Petrum, qui Eccleſiæ Conſtantinopolitanæ præfuerunt, & alios qui eorum hæreſim renovarunt. Hi enim Deo repugnantes & nequiſſimi, cùm Dominum noſtrum Jeſum Chriſtum etiam poſt incarnationem unam voluntatem & unam operationem habere docuerunt, ab hac ſynodo anathemate percutiebantur. Canones autem nec à quinta Synodo ſub Juſtiniano magno habitâ nec ab hâc ſextâ ſub Conſtantino Pogonato congregatâ editi fuere. Dicitur autem & illa ſub Conſtantino Pogonato Synodus ſexta, & hæc præſens, quæ ſub filio ejus Rhinotmeto habita, ſexta quoque, quia ambæ ut una viſa eſt ſynodus, quoniam hæc poſt viginti ſeptem annos habita fuit, & vel omnes veriſimile eſt vel ſaltem plurimos Epiſcoporum eoſdem fuiſſe qui hic & qui ibi convenerunt, & quod eaſdem quæſtiones eademque dogmata congregati ſunt.

Canon II.

Hoc quoque huic ſanctæ ſynodo pulcherrime & honeſtiſſimè placuit, ut ab hoc nunc tempore deinceps, ad animarum medelam & perturbationum curationem firmi ſtabileſque maneant, qui à ſanctis & beatis patribus qui C *nos præceſſerunt, ſuſcepti ac confirmati ſunt, atque adeo nobis etiam traditi ſunt, ſanctorum & glorioſorum Apoſtolorum nomine lxxxv. Canones. Quoniam autem in his nobis Canonibus præceptum eſt, ut eorundem ſanctorum Apoſtolorum per Clementem Conſtitutiones ſuſciperemus, quibus jam olim ab iis, qui à fide aliena ſentiunt ad Eccleſiæ exitium adulterina quædam & à pietate aliena introducta ſunt, quæ divinorum nobis decretorum elegantem ac decoram ſpeciem obſcurarunt: has conſtitutiones ad Chriſtianiſſimi gregis ædificationem ac ſecuritatem commodè rejecimus, hæreticæ falſitatis fœtus nequaquam immiſcentes,* D *& germanæ ac integræ Apoſtolorum doctrinæ inſerentes. Obſignamus etiam reliquos omnes Canones, qui à ſanctis & beatis noſtris patribus expoſiti ſunt, id eſt à trecentis decem & octo divinitus inſpiratis patribus, qui Nicææ convenerunt, iiſque qui Ancyræ, & iis etiam qui Neocæſareæ, ſimiliter & qui Gangris; præterea & iis qui in Antiochia Syriæ, atque iis etiam qui in Laodicea Phrygiæ; præterea autem & cl. patribus qui in hac Dei cultrice & imp. civitate convenerunt, & ducentis qui in Epheſiorum metropoli priùs coacti ſunt, & ſexcentis triginta ſanctis & beatis patribus, qui Chalcedone;* E *ſimiliter & iis qui Sardicæ, & qui Carthagine, & qui rurſus in hac Dei cultrice & imp. urbe convenerunt ſub Nectario, qui imperiali huic civitati præſidebat, & Theophilo, qui fuit Alexandriæ Archiepiſcopus. Quinetiam Canones Dionyſii, qui fuit Archiepiſcopus magnæ Alexandrinorum civitatis, Petri qui fuit Alexandriæ Archiepiſcopus & martyr, Gregorii Neocæſareæ Epiſcopi, qui Thaumaturgus dictus eſt, Athanaſii Alexandrini Archiepiſcopi, Baſilii Archiepiſcopi, Cæſareæ Cappadociæ, Gregorii Epiſcopi Nyſſæ, Gregorii Theologi, Amphilochii Iconii, Timothei Archiepiſcopi Alexandrini primi,* F *Theophili Archiepiſcopi ejuſdem Alexandriæ magnæ civitatis, Cyrilli Alexandriæ Archiepiſcopi, & Gennadii, qui fuit patriarcha hujus Dei cultricis & imp. civitatis. Præterea vero & à Cypriano, qui Aphrorum regionis fuit Archiepiſcopus & martyr, & Syn. quæ ſub ea fuit, emiſſum Canonem, qui in prædictorum præſulum locis & ſolum, ſecundùm traditam eis conſuetudinem, ſervatus eſt. Et nulli licere prius declaratos Canones adulterare, vel abolere, vel alios præter priùs hic propoſitos Canones admittere, à quibuſdam falſa adjecta inſcriptione*

A σιν δογματίσαντες, ὑπὸ τῆς συνόδου ταύτης ἀναθεματίσθησαν. κανόνες δὲ, οὔτε παρὰ τῆς πέμπτης Συνόδου τῆς ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου γινομένης, οὔτε παρ' αὐτῆς τῆς ἕκτης, τῆς ἐπὶ Κωνσταντίνου τοῦ πωγωνάτου Συναθροισθείσης, ἐξετέθησαν. λέγεται δὲ καὶ ἡ ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου Σύνοδος ἕκτη, καὶ ἡ παροῦσα, ἡ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ ῥινοτμήτου γινομένη, ἕκτη· διότι ὡς μία ἔδοξαν Σύνοδος καὶ ἀμφότεραι, διὰ δὲ μετ' εἰκοσιεπτὰ χρόνους ταύτην γενέσθαι, καὶ τοὺς αὐτοὺς ἴσως εἶναι, ἢ τοὺς πλείονας τῶν Ἐπισκόπων, τοὺς ἐνταῦθα, κἀκεῖ συναθροισθέντας, καὶ περὶ τῶν αὐτῶν ζητημάτων τε καὶ δογμάτων τὴν συνέλευσιν ποιησαμένους. B

ΚΑΝΩΝ β'.

Ἔδοξε δὲ καὶ τοῦτο τῇ ἁγίᾳ ταύτῃ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βεβαίους, καὶ ἀσφαλεῖς, πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων πατέρων δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων ὀγδοήκοντα πέντε κανόνας. ἐπειδὴ δ' ἐν τούτοις τοῖς κανόσι ἐντέταλται δέχεσθαι ἡμᾶς τὰς τῶν αὐτῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος διατάξεις, αἷς πάλαι ὑπὸ τῶν ἑτεροδόξων ἐπὶ λύμῃ τῆς ἐκκλησίας νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας παρενετέθη, τὸ εὐπρεπὲς κάλλος τῶν θείων δογμάτων ἡμῖν ἀμαυρώσαντα· τὴν τῶν τοιούτων διατάξεων προσφόρως ἀποβολὴν πεποιήμεθα πρὸς τὴν τοῦ Χριστιανικωτάτου ποιμνίου οἰκοδομὴν καὶ ἀσφάλειαν, οὐδαμῶς ἐγκρίνοντες τὰ τῆς αἱρετικῆς ψευδολογίας κυήματα, καὶ τῇ γνησίᾳ τῶν ἀποστόλων καὶ ὁλοκλήρῳ διδαχῇ παρενείροντες. ἐπισφραγίζομεν δὲ καὶ τοὺς λοιποὺς πάντας κανόνας τοὺς ὑπὸ τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν ἐκτεθέντας, τοῦτ' ἔστιν τῶν τε ἐν Νικαίᾳ συναθροισθέντων τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων, καὶ τῶν ἐν Αγκύρᾳ, ὡσαύτως καὶ τῶν ἐν Γάγγραις· πρὸς τούτοις δὲ καὶ τῶν ἐν Αντιοχείᾳ τῆς Συρίας· ἀλλὰ μὴν καὶ τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας· προσέτι καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι συνελθόντων πόλει, καὶ διακοσίων τῶν ἐν τῇ Εφεσίων μητροπόλει τὸ πρότερον συναγηγερμένων· καὶ τῶν ἐν Καλχηδόνι τῶν ἑξακοσίων τριάκοντα ἁγίων καὶ μακαρίων πατέρων· ὡσαύτως καὶ τῶν ἐν Σαρδικῇ· ἔτι μὴν καὶ τῶν ἐν Καρθαγένῃ· προσέτι γε μὴν καὶ τῶν αὖθις ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων ἐπὶ Νεκταρίου τοῦ τῆς βασιλίδος ταύτης πόλεως προέδρου, καὶ Θεοφίλου τοῦ γενομένου Αλεξανδρείας Αρχιεπισκόπου· ἀλλὰ μὴν καὶ Διονυσίου ἀρχιεπισκόπου γενομένου Αλεξανδρείας μεγαλοπόλεως, καὶ Πέτρου γενομένου ἀρχιεπισκόπου Αλεξανδρείας καὶ μάρτυρος, καὶ Γρηγορίου Επισκόπου γενομένου Νεοκαισαρείας τοῦ θαυματουργοῦ, Αθανασίου Αρχιεπισκόπου Αλεξανδρείας, Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκείας, Γρηγορίου Επισκόπου Νύσσης, Γρηγορίου τοῦ Θεολόγου, Αμφιλοχίου τοῦ Ἰκονίου, Τιμοθέου Αρχιεπισκόπου γενομένου Αλεξανδρείας τὸ πρότερον, Θεοφίλου ἀρχιεπισκόπου τῆς αὐτῆς Αλεξανδρείας μεγαλοπόλεως, Κυρίλλου Αρχιεπισκόπου τῆς Αλεξανδρείας· καὶ Γενναδίου πατριάρχου γενομένου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως· ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ τοῦ γενομένου Αρχιεπισκόπου τῆς Αφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις, καὶ μόνον, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος, ἐκράτησεν· καὶ μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας ψευδεπιγράφως ὑπό τινων συντεθέντας τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. εἰ δέ τις ἁλῷ κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν ἢ ἀνατρέπειν ἐπιχειρῶν, ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα, ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος, καὶ δι᾽ αὐτοῦ ἐν ᾧπερ πταίει θεραπευόμενος.

A *compoſitos, qui veritatem cauponari conati ſunt. Si quis autem, quod prædictorum Canonum aliquem innovare vel ſubvertere conetur, convictus fuerit, reus erit ſecundum eum Canonem, ut ipſe pronunciat Canon, pænam luens, & per ipſum in eo, in quo offendit, medelam ſuſcipiens.*

ΒΑΛΣ. Τοῦ παρόντος κανόνος μέμνησο διηνεκῶς· ἐπιστομιεῖς γὰρ δι᾽ αὐτοῦ τοὺς λέγοντας μὴ ἐκτεθῆναι παρὰ τῶν ἁγίων ἀποστόλων κανόνας πε΄. μηδὲ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς διορισαμένης ἔχειν τὴν τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίαν τὰ πρεσβεῖα τῆς παλαιᾶς Ῥώμης, οἱονδηποτοῦν κανόνα. σημείωσαι δὲ καὶ τὴν γινομένην διὰ τούτου ἐπικύρωσιν τῶν τοπικῶν ἁγίων Συνόδων, καὶ τῶν ὁροθετηθέντων θεσπισμάτων παρά τινων ἁγίων πατέρων. πολλοὶ γὰρ ἀξιοῦσι μὴ κρατεῖν ταῦτα, ὡς μὴ γινόμενα παρὰ οἰκουμενικῶν Συνόδων, μηδὲ παρὰ βασιλέων κρατυνθέντα.

Bals. Hujus præſentis Canonis perpetuò recordare. Per ipſum enim os eis occludes, qui dicunt à ſanctis Apoſtolis non fuiſſe editos lxxxv. Canones, nec à ſancta & univerſali Syn. quæ Conſtantinopolitanorum Eccleſiam veteris Romæ privilegia habere decrevit, B ullnm penitus editum fuiſſe Canonem. Nota autem per hunc quoque factam localium ſanctarum Synodorum comfirmationem, & decretorum à quibuſdam ſanctis Patribus factorum. Multi enim ea nequaquam obſervari debere exiſtimant, ut quæ neque ab univerſalibus Synodis facta ſint, nec ab imperatoribus confirmata.

ΖΩΝΑΡ. Εντεῦθεν ἄρχεται τῶν κανόνων, καὶ πρὸ τῶν ἄλλων τὰ παρὰ τῶν ἱερῶν καὶ πανσέπτων ἀποστόλων φυλάττεσθαι διατάττεται, ὁμοίως καὶ τὰ παρὰ τῶν προγεγονυιῶν συνόδων δογματισθέντα μὴ παρεξιέναι μηδὲ κατά τι παραθραύειν ποσῶς διορίζεται. εἶτα καὶ ἀπαριθμεῖ τὰς Συνόδους, καὶ καθ᾽ ὧν ἑκάστη Συνήχθη, καὶ τίνα τὰ παρ᾽ ἐκείνων ἀσεβῶς εἰσαγόμενα, καὶ τίνα τὰ παρ᾽ ἑκάστης Συνόδου δογματισθέντα καὶ κυρωθέντα, καὶ πάντων τῶν ἁγίων πατέρων τὴν πίστιν καὶ τὰ δόγματα, ἀσάλευτα καὶ βέβαια διαμένειν παρεγγυᾷ, καὶ τὰ ἐκείνων συγγράμματα στέργειν, ἀποβάλλεσθαι δὲ καὶ ἀναθεματίζειν τοὺς τῆς ἀληθείας ἐχθρούς· τοῖς δὲ μὴ οὕτως φρονοῦσι τε καὶ ποιοῦσι, δοξάζουσί τε καὶ κηρύττουσιν ἐπιτιμᾷ καὶ ποιεῖται ὑπὸ ἀνάθεμα. οὔτε γὰρ προστιθέναι τί, φησι, δεδυνήμεθα τοῖς παρὰ τῶν ἁγίων πατέρων διεγνωσμένοις, οὔτε τι παντελῶς ὑφαιρεῖν, ἀλλὰ ἐκείνοις ἐν πᾶσιν ἑπόμεθα.

Zonar. Ducitur ab hoc loco initium Canonum, ac quæ quidem à ſanctis & reverendiſſimis Apoſtolis ſancita ſunt imprimis ſervare jubentur, deinde ſynodica quoque in hoc tempus edita decreta, ne violare aut ulla C ex parte infirmare liceat conſtituitur. Commemorantur inde cum ipſæ Synodi, tum ii contra quos quæque habita fuit; quidque, aut illi impie ſenſerint, aut quid uniuſcujuſque Synodi viciſſim auctoritate definitum & confirmatum ſit explicatur. Tum ſanctorum Patrum fidem ac dogmata inviolata ac firma omnino teneri, eorum nos ſcriptis ac auctoritati acquieſcere, veritatis hoſtes averſari, ac diris omnibus devovere jubent. Si qui vero aliter ſenſerint fecerintve, opinati fuerint aut docuerint, eos caſtigant, & anathemati ſubjectos eſſe definiunt. Nec enim, inquiunt, aliquid invenimus, quod ſanctorum Patrum placitis addi, aut demi poſſet; ſed ea in omnibus ſe- D quimur.

ΑΡΙΣΤ. Τὰ παρὰ τῶν ἑτεροδόξων κλοπιμαίως ἐμβεβλημένα ταῖς διὰ Κλήμεντος τῶν ἀποστόλων διατάξεσιν, ἀποκήρυκτα.

Arist. *Quæ ab heterodoxis Apoſtolorum per Clementem Conſtitutionibus furtim inſerta ſunt, abdicentur.*

Εν τοῖς ἀποστολικοῖς κανόσι πρὸς τοῖς ἄλλοις τοῖς τῆς καινῆς καὶ παλαιᾶς διαθήκης βιβλίοις, καὶ τὰς διατάξεις τῶν ἀποστόλων, τὰς διὰ Κλήμεντος ἐν ὀκτὼ συντεθείσας βιβλίοις, σεβασμίας καὶ ἁγίας ἔχειν ὡρίσθημεν. ὁ δὲ παρὼν κανὼν διὰ τὸ νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας ὑπὸ τῶν ἑτεροδόξων παρατεθῆναι ἐν αὐταῖς ἐπὶ λύμῃ τῆς ἐκκλησίας, ἀποβάλλεσθαι αὐτὰς ἐγκελεύεται, πρὸς οἰκοδομὴν καὶ ἀσφάλειαν τοῦ Χριστιανικωτάτου ποιμνίου.

In Canonibus Apoſtolicis, præter alios novi & veteris teſtamenti libros, & conſtitutiones Apoſtolorum, à Clemente in octo libris compoſitas venerandas & ſacras habere nobis in mandatis datur. At præſens Canon, quia ſpuria quædam & à pietate aliena in iſtis ab Heterodoxis adduntur ad Eccleſiæ exitum, abjici ea præcipit, E ad gregis Chriſtianiſſimi ædificationem & ſecuritatem.

ΚΑΝΩΝ γ΄.

Επειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ προσεφώνησεν συνόδῳ, ὥστε τοὺς ἐν τῷ κλήρῳ καταλεγομένους, καὶ ἄλλοις τὰ θεῖα διαπορθμεύοντας, καθαροὺς ἀποφῆναι καὶ λειτουργοὺς ἀμώμους, καὶ τῆς νοερᾶς τοῦ μεγάλου θεοῦ, καὶ θύματος καὶ ἀρχιερέως, θυσίας ἀξίους, ἀνακαθᾶραί τε τὰ ἐξ ἀθέσμων γάμων τούτοις ἐπιτριβέντα μύση· πρὸς τούτῳ δὲ τῶν μὲν τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας τὸν τῆς ἀκριβείας τηρηθῆναι κανόνα προτιθεμένων· τῶν δὲ ὑπὸ τὸν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως θρόνον, τὸν τῆς φιλανθρωπίας καὶ συμπαθείας εἰς ἓν ἀμφότερα μίξαντες, πατρικῶς ὁμοῦ καὶ θεοφιλῶς, ὡς μήτε τὸ πρᾶον ἔκλυτον, μήτε στύφον τὸ αὐστηρὸν καταλείψοιμεν· καὶ μάλιστα τοῦ ἐξ ἀγνοίας πτώματος εἰς οὐκ ὀλίγων ἀνδρῶν πλῆθος διήκοντος, συνορῶμεν ὥστε τοὺς μὲν δυσὶ γά-

Canon III.

Quoniam pius Chriſtique amator Imperator noſter hanc ſanctam & univerſalem Synodum allocutus eſt, ut qui in clerum relati ſunt, & aliis divina tranſmittunt, puros & à & reprehenſione alienos miniſtros efficiant, quod intelligentia percipitur, magni Dei, qui eſt & F ſacrificium & Pontifex, ſacrificio dignos, & quæ ex nefariis nuptiis iis inuſta ſunt probra ac dedecora repurgent: & præterea alii quidem ſanctiſſimæ Romanorum Eccleſiæ exactiſſimum Canonem ſervandum proponant; alii verò, ſub hoc Dei obſervatricis & Imperatoriæ urbis throno, quod fuit humanitatis & miſericordiæ, utriſque paternè ſimul & religiosè mixtis, ut neque quod eſt mite nimis ſtrictum, diſſolutum, neque quod eſt auſterum, relinquamus; & maximè cum ex ignorantiæ lapſus in non exi-

A *guam hominum multitudinem pervadat, omnes ſimul decernimus eos qui duobus quidem matrimoniis implicati fuere, & uſque ad xv. præteriti menſis Januarii, præteritæ iiii. indictionis, anni 6109. peccato ſervierunt, & non ab ea reſipiſcere voluerunt, depoſitioni Canonicæ ſubjicere: eos autem, qui in tale quidem bigamiæ ſcelus lapſi ſunt, ante noſtrum autem decretum id quod eſt utile agnoverunt, & malum à ſe abſciderunt, & hanc adulterinam & alienam congreſſionem procul ſeipſis abegerunt; vel eos etiam, quorum uxores in ſecundis nuptiis jam mortuæ ſunt, vel ipſi etiam ad converſionem reſpexerunt,* B *& continentiam didicerunt, & priorum ſuarum iniquitatum obliti ſunt, ſive ſint Preſbyteri, ſive Diaconi, eos ab omni quidem ſacerdotali miniſterio ſive exercitio jam ceſſare, præfinito aliquo tempore punitos, honorem autem in cathedra & ſtatione participare, prima ſede contentos, & cum fletu à Domino poſtulantes, ut eis condonetur peccatum ignorantiæ. Neque enim convenit, ut is alteri benedicat, qui debet propria curare vulnera. Eos vero, qui uni quidem uxori copulati ſunt, ſi vidua erat quæ accepta eſt; ſimiliter & eos,* C *qui poſt ordinationem uni matrimonio ſe applicarunt, hoc eſt, Preſbyteros, Diaconos, & Hypodiaconos, brevi aliquo tempore à ſacro miniſterio prohibitos, & punitos, rurſus propriis gradibus reſtitui, ad alium gradum nequaquam promovendos, eis nefario manifeſte diſſoluto conjugio. Hæc autem in iis qui deprehenſi ſunt uſque ad xv. ut dictum eſt, menſis Ianu. iv. indictionis, in prius declaratis delictis & ſolum ſacerdotalibus ſtatuimus, abhinc definientes, & renovantes canonem, qui dicit eum, qui duobus matrimoniis poſt baptiſmum implicatus fuerit, vel concubinam habuerit, non poſſe* D *eſſe Epiſcopum, vel Preſbyterum, vel Diaconum, vel omnino ex Sacerdotali catalogo. Similiter & qui viduam accepit, vel dimiſſam, vel meretricem, vel ſervam, vel ſcenicam non poſſe Epiſcopum, vel Preſbyterum, vel Diaconum, vel omnino ex ſacerdotali Catalogo.*

Bals. Præſens Canon de quibuſdam, quæ priùs dicta ſunt, conſtituit: & propterea in ejus interpretationem nihil ſcriptum eſt. Quæ autem in poſterum firma & rata eſſe circa finem canonicè conſtitutum eſt, ſunt ſanctorum Apoſtolorum, xvii. & xviii. qui cum, ut eſt veriſimile, non obſervati eſſent, eos patres renovaverunt. Quære ergo illic eorum interpretationem, præcipue au- E tem ea quæ ſcripta ſunt in xii. Can. Ancyr. Synodi.

Zonar. Quæ ad hunc tertium Canonem pertinent, illi quippe ſolum tempori, quo Canon editus eſt, accommodata, nullamque poſtea vim amplius habitura prætermiſſa ſunt. Quæ autem apud poſteros quoque firma Patres eſſe voluerunt, Apoſtolico decimo ſeptimo & decimo octavo Canone continentur: quos paſſim neglectos hæc Synodus cenſuit renovandos. Illi vero ambo Canones explicantur: & eorum explicationem ſiquis quæſiverit, inter Apoſtolicos Canones ſuo loco eam reperiet.

F **Arist.** *Sacerdotes, qui ſecundas contraxerunt nuptias & non reſipiſcunt, deponuntur. Qui autem à malo abſtinent, definito tempore ceſſabunt. Vulneratus enim non benedicit. Qui nefariis autem nuptiis implicati ſunt, & qui poſt ordinationem matrimonium contraxerunt, poſt tempus definitum ad gradus ſuos reſtituantur, ulterius non promovendi matrimonio ſcil. diſſoluto. Sin poſt decretum, cum prohibiti fuerint, depoſiti maneant.*

Synodi hujuſce patres, ut malum quod jam factum fuit emendarent, & futurum propulſarent, præſentem

μοις περιπαρέντας, καὶ μέχρι τῆς πεντεκαιδεκάτης τοῦ παρελθόντος Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἰνδικτιῶνος, ἔτους ἑξακισχιλιοστοῦ ἑκατοστοῦ ἐννάτου, δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ ἐκνῆψαι ταύτης προαιρουμένους, καθαιρέσει κανονικῇ ὑποβάλλειν· τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας μύσει περιπεσόντας, πρὸ δὲ τῆς ἡμετέρας ἐπιγνώσεως τὸ συμφέρον ἐπεγνωκότας, καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας, καὶ πόῤῥω τὴν ξένην ταύτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας, ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη τετελευτήκασιν, ἢ καὶ αὐτοὶ πρὸς ἐπιστροφὴν εἶδον μεταμαθόντες τὴν σωφροσύνην, καὶ τῶν προτέρων αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι εἴτε διάκονοι ὄντες τυγχάνοιεν, τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας, ἤτοι ἐνεργείας, ἤδη ἐπὶ ῥητόν τινα χρόνον ἐπιτιμηθέντας· τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν, ἀρκουμένους τῇ προεδρίᾳ, καὶ προσκλαίοντας τῷ κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. εὐλογεῖν γὰρ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον. τοὺς δὲ γαμετῇ μὲν μιᾷ συναφθέντας, εἰ χήρα δὲ ἡ προσληφθεῖσα ἐτύγχανεν, ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ προσομιλήσαντας, τοῦτ᾽ ἔστιν πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοῖς ἐν τοῖς οἰκείοις ἀποκατασταθῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ προκόπτοντας βαθμῷ, προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. ταῦτα δὲ ἐπὶ τοῖς καταληφθεῖσιν μέχρι τῆς πεντεκαιδεκάτης, ὡς εἴρηται, τοῦ Ἰανουαρίου μηνὸς, τῆς τετάρτης ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι πταίσμασι καὶ μόνον ἱερατικοῖς ἐτυπώσαμεν, ὁρίζοντες ἀπὸ τοῦ παρόντος, καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, μὴ δύνασθαι εἶναι Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ. ὡσαύτως καὶ τὸν χήραν λαμβάνοντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτην, ἢ τῶν ἐπὶ τῆς σκηνῆς, μὴ δύνασθαι εἶναι Ἐπίσκοπον ἢ πρεαβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν περὶ προλαβόντων τινῶν θεσμοθετεῖ, καὶ διὰ τοῦτο οὐκ ἐγράφη τι εἰς ἑρμηνείαν αὐτοῦ. ἃ δὲ κρατεῖν καὶ ἐφεξῆς κεκανόνισται περὶ τὸ τέλος, τῶν ἁγίων ἀποστόλων, εἰσὶ κανόνες ιζ΄. καὶ ιη΄. οὓς παραβαινομένους, ὡς ἔοικεν οἱ πατέρες ἀνενεώσαντο. ζήτει οὖν τὰς τούτων ἑρμηνείας ἐκεῖσε· ἐξαιρέτως δὲ τὰ γραφέντα εἰς τὸν ιβ΄. κανόνα τῆς ἐν ἀγκύρᾳ συνόδου.

ΖΩΝΑΡ. Τὰ μὲν τοῦ τρίτου κανόνος τούτου ὡς καιρικὰ καὶ ἐπὶ τοῖς τότε δι᾽ οἰκονομίαν ὁρισθέντα, οὐ μέντοι γε καὶ ἐπὶ τοῖς ἑξῆς κρατεῖν ὀφείλοντα εἰάθησαν· ἃ δὲ κρατεῖν καὶ ἐπὶ τῶν ἐφεξῆς κεκανόνισται, τῶν ἁγίων ἀποστόλων εἰσὶ κανόνες ἑπτακαιδέκατος, καὶ ὀκτωκαιδέκατος, οὓς παραβαινομένους ἡ σύνοδος αὕτη ἀνενεώσατο. οἱ τοιοῦτοι δὲ καὶ ἄμφω κανόνες ἐξηγήθησαν, καὶ ὁ ζητῶν τὴν τούτων ἐξήγησιν εὑρήσει αὐτὴν ἐν τοῖς τῶν ἁγίων ἀποστόλων κανόσιν.

ΑΡΙΣΤ. Ἱερεῖς δίγαμοι, καὶ ἀμεταμέλητοι, καθῃροῦνται. οἱ δὲ τὸ κακὸν ἀμελήσαντες, ἐπὶ ῥητὸν παύσονται χρόνον· οὐκ εὐλογεῖ γὰρ ὁ τραυματίας. καὶ οἱ παρανόμως γαμήσαντες, καὶ οἱ μετὰ τὴν χειροτονίαν συζυγέντες μετὰ τὸν ῥητὸν χρόνον τοὺς βαθμοὺς γνωριζέτωσαν, ἀπρόκοποι μένοντες, δηλαδὴ τῆς συζυγίας ἀφέμενοι. εἰ δὲ μετὰ τὸν ὅρον κωλυόμενοι, καθῃρημένοι μενέτωσαν.

Οἱ τῆς συνόδου ταύτης πατέρες, καὶ τὸ γινόμενον διορθούμενοι κακὸν, καὶ τὸ μέλλον ἐξασφαλιζόμενοι, τὸν παρόντα κανόνα να διεξέθεντο, καὶ διορίζονται, ὡς ὅσοι μὲν τῶν ἱερέων καὶ διακόνων δευτέραν ἔλαβον γαμετὴν πρὸ τῆς αὐτῶν συνελεύσεως, καὶ ἔμειναν μέχρι τῆς παρουσίας αὐτῶν ἀμεταμέλητοι, τοὺς ἀθέσμους γάμους μὴ διασπάσαντες, καθαιρέσει κανονικῇ ὑποβληθήσονται, καὶ εἰς τοὺς λαϊκοὺς μεταπέσωσιν. ὅσοι δὲ πρὸ τῆς συνελεύσεως αὐτῶν μεταμεληθέντες, τὸ συμφέρον ἐπέγνωσαν, καὶ τὴν ξένην καὶ νόθον ταύτην συμπλοκὴν ἀπεδίωξαν, τῆς μὲν ἱερωσύνης παυθήσονται, ἐπιτιμηθέντες καὶ ἐπὶ ῥητὸν ἤδη χρόνον, μόνης δὲ τῆς τιμῆς μεθέξουσι τῆς κατὰ τὴν καθέδραν, καὶ στάσιν, καὶ ἀρκεσθήσονται τῇ προεδρίᾳ, τῷ κυρίῳ προσκλαίοντες συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. ἀνακόλουθον γὰρ τὸν τραυματίαν γενόμενον, ἕτερον εὐλογεῖν. ἀλλὰ καὶ οἱ πρὸ τῆς χειροτονίας, πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, μιᾷ μὲν γαμετῇ συναφθέντες, χήρᾳ δὲ τυγχανούσῃ· ὡσαύτως δὲ καὶ οἱ μετὰ τὴν χειροτονίαν ἑνὶ γάμῳ προσομιλήσαντες, τῆς μὲν ἱερωσύνης τέλεον οὐ παυθήσονται, ἀλλ' ἐπὶ ῥητόν τινα ἐπιτιμηθήσονται χρόνον καὶ τῆς ἱερᾶς κωλυθήσονται λειτουργίας, καὶ εἰς τοὺς οἰκείους αὖθις ἀποκαταστῶσι βαθμοὺς, προδήλως διαλυόμενοι τὸ ἄθεσμον συνοικέσιον, καὶ μηδαμῶς ἐν ἑτέρῳ μείζονι βαθμῷ προκόπτοντες, ἀλλ' ἧς εὑρέθησαν μένοντες τάξεως. καὶ ταῦτα μὲν προσέταξαν γενέσθαι, διὰ δὲ τὴν φιλανθρωπίαν τε καὶ συμπάθειαν, πρὸ τῆς αὐτῶν, ὡς εἴρηται, συνελεύσεως. ἔκτοτε δὲ, μετὰ τὸν ὅρον τοῦτον, καὶ τὸν κανόνα, οὐδέν τι τοιοῦτον γίνεσθαι συγχωροῦσιν. ἀλλὰ καὶ τὸν δισὶ γάμοις συμπλακέντα, μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενον, ἢ χήραν λαβόντα, ἢ παρ' ἑτέρου ἐκβεβλημένον, ἢ πόρνην, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς· μὴ δύνασθαι εἶναι Ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον· κατὰ τοὺς ἀποστολικοὺς κανόνας, τὸν ἑπτακαιδέκατον, καὶ ὀκτωκαιδέκατον, διορίζονται.

ΚΑΝΩΝ δ'.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης ἢ θυρωρὸς, γυναικὶ ἀφιερωμένῃ τῷ Θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Πρὸ πάντων σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὸ παλαιὸν οὐκ ἀπ' εὐνούχων μόνον τὸ τῶν ψαλτῶν τάγμα συνίστατο, καθὼς γοῦν σήμερον· ἀλλὰ καὶ ἀπὸ μὴ τοιούτων. τὸ τάγμα δὲ τῶν ἀναγνωστῶν, οὐ διὰ τὸ ψάλλειν αὐτοὺς, ἐτυπώθη, ἀλλὰ διὰ τὸ ἀναγινώσκειν ἐπ' ἄμβωνος τὰς θείας γραφὰς μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου· ἐξ οὗ καὶ ἀναγνῶσται καλοῦνται. φησὶ γὰρ καθαιρεῖσθαι τοὺς ψάλτας ὥσπερ καὶ τοὺς λοιποὺς κληρικοὺς μιγνυμένους ταῖς τῷ θεῷ ἀφιερωθείσαις· καὶ οὐ μόνον τούτους κολάζει, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοιοῦτόν τι ποιοῦντας ἀφορίζει. οὐκ ἔστι δὲ καινὸν ἐὰν καθαιρῆται κληρικὸς ἐκ τούτου τοῦ ἁμαρτήματος. ἀπὸ γὰρ τοῦ κε'. ἀποστολικοῦ κανόνος, καὶ ὁ οἱανδήτινα πορνεύσας γυναῖκα κληρικὸς καθαιρεῖται· πολλῷ οὖν πλέον ὁ τὴν νύμφην τοῦ Χριστοῦ καὶ τὸ σκεῦος τὸ ἀνατεθειμένον τῷ θεῷ μολύνων καθαιρεθήσεται. ἀνάγνωθι καὶ τοῦ ἁγίου Βασιλείου κανόνα ιη'. κ'. καὶ ξ'. μανθάνων μέντοι πῶς τιμωροῦνται οἱ τοιαύταις γυναιξὶ μιγνύμενοι, μὴ ἀποδιαστείλῃς παρθενίαν ἢ χηρείαν, ἀλλὰ περὶ πάσης γυναικὸς ἀφιερωθείσης τῷ θεῷ λέγε τὸν κανόνα ἐκφωνηθῆναι. ἔσο δὲ εἰδὼς ὅτι ὁ τοιαύτῃ γυναικὶ μιγνύμενος λαϊκὸς, ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἀφορίζεται· ἀπὸ δὲ τοῦ ε'. κεφαλαίου τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ἤγουν τῆς ρκγ'. νεαρᾶς, κεφαλικῶς τιμωρεῖται. ἀνάγνωθι καὶ τὸ λ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Ὥσπερ σκεῦος οἱονδηποτοῦν ἢ ὀθόνην ἀνατεθέντα θεῷ, κἀντεῦθεν ἁγιασθέντα σφετερίζεσθαί τις καὶ χρᾶσθαι αὐτοῖς κωλύεται, ἢ τοῦτο ποιῶν ἀφορίζεται κατὰ τὸν ἑβδο-

A edidere Canonem,& decernunt, quod quicunque quidem Sacerdotes & Diaconi ſecundam duxerunt uxorem ante hunc eorum conventum, & uſq; ad ipſorum adventum impœnitentes manſere, nefarias iſtas non diſtrahentes nuptias, depoſitioni Canonicæ ſubjicientur, & ad Laicos decident. Quicunque autem ante ipſorum conventum reſipiſcentes quod expedit agnoverunt, & alienam iſtam ſpuriamque congreſſionem expulerunt, ſacerdotio quidem fungi ſuperſedebunt, ad præfinitum etiam tempus puniti, illius autem honoris ſolius participes erunt qui in cathedrâ eſt & ſtatione,& primæ ſedi acquieſcent, domino lachrymis ſupplicantes ut peccato ſuo per ignorantiam B admiſſo venia concederetur. Non enim convenit, ut qui ipſe eſt vulneratus alteri benedicat. Sed & Presbyteri & Diaconi & Hypodiaconi, qui ante ordinationem unam duxerant uxorem, ſed quæ vidua ſit; ſimiliter & qui poſt ordinationem uni matrimonio ſe applicuerunt, ſacerdotio quidem non penitus abſcedent,ſed ad præfinitum aliquod tempus punientur, & à ſacro miniſterio prohibiti erunt,& ad proprios tandem gradus iterum reſtituentur, nefarium conjugium manifeſto diſſolventes, & ad alium gradum majorem nequaquam promovendi, ſed in eodem quo inventi fuerunt ordine permanentes. Et hæc quidem conſtituerunt fieri,& ob humanitatem & commiſerationem, an- C te eorum, ut dictum eſt,conventum. Poſt hanc autem conſtitutionem & Canonem nihil ejuſmodi fieri permittunt, ſed & illum, qui binis implicatus eſt nuptiis, poſt baptiſmum, aut pellicem retinet, aut viduam, aut ab alio dimiſſam, aut meretricem, aut ſervam, aut ſcenicam ducit, non poſſe Epiſcopum, aut Presbyterum, aut Diaconum, aut Hypodiaconum fieri, juxta decimum ſeptimum, & decimum octavum Apoſtolorum Canones decernunt.

CANON IIII.

D

Si quis Epiſcopus vel Presbyter vel Diaconus vel Subdiaconus vel Lector vel Cantor vel Oſtiarius cum muliere Deo dedicata coierit, deponatur, ut qui Chriſti ſponſæ vitium attulerit: Sin autem Laicus, ſegregetur.

BALS. Ante omnia nota ex hoc præſenti Canone, quod olim cantorum ordo, non ex eunuchis ſolùm, ut hodie fit, conſtituebatur; ſed & ex iis qui non erant ejuſmodi. Lectorum autem ordo, non ut ipſi cantarent, conſtitutus eſt, ſed ut in ambone divinas ſcripturas legerent poſt finitum matutinum; unde etiam Lectores E appellantur. Dicit enim deponendos Cantores, ſicut & reliquos Clericos, qui cum mulieribus Deo conſecratis coëunt: & non ſolum in eos animadvertit; ſed Laicos etiam, qui tale quid faciunt, ſegregat. Non eſt autem novum, ſi Clericus propter tale delictum deponatur. Ex xxv. enim Canone Apoſtolico, etiam qui qualemcunque mulierem ſtupravit Clericus, deponitur: multò autem magis qui ſponſam Chriſti & vas Deo dedicatum polluit, deponetur. Lege & ſancti Baſilii Canonem xviii. xx. & lx. Cùm autem diſcis, quomodo puniuntur qui cum talibus mulieribus rem habent, ne ſubdiſtinguas virginem an viduam, ſed de omni muliere Deo conſecrata dic F locutum eſſe Canonem. Scias autem quòd Laicus, qui cum tali muliere rem habet, à præſenti quidem Canone ſegregatur: à v. autem cap. primi tit. iiii. lib Baſilic. ſeu cxxiii. Novel. capite punitur. Lege & xxx. cap. ix. Tit. præſentis operis.

ZONAR. Ut vas quodcunque aut veſtem Deo dicatam, ac proinde ſanctam, ad ſe quempiam avertere, iiſq; uti, vetitum eſt, aut qui id auſus fuerit ſecundùm ſeptuageſimum tertium ſanctorum Apoſtolorum Canonem ſegregatur: ſic, multoque magis, qui Deo ſacratam, ſive virginem, ſive etiam commercii virilis haud inexpertam mulierem, violaverit, non impunis abiit; ſed ſi ſacris ordinibus initiatus aut omnino in clerum cooptatus ſit, ut ſacrilegus vel etiam gravioris culpæ reus, quippe qui fœminam Deo conſecratam, deſponſámque rapuit, deponetur; ſi verò Laicus ſit qui talia audet, ſegregatione mulctabitur. Sed ſi initiatus aliquis cum non ſacra, at laici ordinis fœmina rem habuerit, depoſitionis mulctam nihilominus non effugiet.

ARIST. *Clericus Dei ſponſæ conjunctus, deponitur: Laicus autem excommunicatur.*

Hic quidem Canon eum, qui virgini conſecratæ & deſponſatæ Deo copulâ matrimoniali conjungitur, ſi quidem Clericus eſt, deponit: ſin Laicus excommunicat. At decimus octavus Baſilii magni Canon talem ut Adulterum reputat, eumque ad communionem non aliter admittit, niſi à peccato prius ceſſaverit.

CANON V.

Nullus eorum qui in ſacerdotali catalogo recenſentur, extra eas, quæ in Canone inſeruntur, à ſuſpicione alienas perſonas, degens, mulierem poſſideat vel ancillam, ſe nulli reprehenſioni obnoxium ex hoc ſervans. Si quis autem quæ à nobis definita ſunt tranſilierit, deponatur. Hoc ipſum autem etiam eunuchi ſervent, ut inculpati ſint providentes. Qui autem tranſgrediuntur, ſi ſint quidem Clerici, deponantur: ſi vero Laici, ſegregentur.

BALS. In iii. Can. primæ Syn. Nicenæ fuſiùs ſcripſimus de iis quæ dicit præſens Canon, & quære quæ in illo adſcripta ſunt. Et nota ex omnibus, quòd etiam eunuchi ſegregantur, qui cum alienis mulieribus cohabitant.

ZONAR. Quoniam eadem hoc loco, quæ Nicenæ quoque primæ Synodi Canone tertio definiuntur, vide quæ ibi diximus.

ARIST. *Eunuchus etiam ſacerdos ancillam, vel aliam, exceptis iis, in quas nulla cadit ſuſpicio, perſonis, ne poſſideat.*

Sacratos introductas habere mulieres, licet Eunuchi ſint, aut admodum ſenes, & præſens Canon, & Baſilii magni ad Gregorium presbyterum epiſtola prohibet, niſi forte mulieres ſint perſonæ extra omnem ſuſpicionis aleam poſitæ, puta Matres, ſorores, amitæ, materteræ, & ejuſmodi aliæ. Eos autem, qui hæc decreta tranſilierint, deponi jubent. De Eunuchis autem plus etiam addit hic præſens Canon, quod licet Laici ſint, & unà cum mulieribus, quæ non ſunt ex cognatis iſtis perſonis omnem ſuſpicionem effugientibus, cohabitent, excommunicantur.

CANON VI.

Quoniam in Apoſtolicis Canonibus dictum eſt, eorum, qui non ducta uxore in Clerum promoventur, ſolos Lectores & Cantores uxorem poſſe ducere: & nos hoc ſervantes, decernimus, ut deinceps nulli penitus Hypodiacono, vel Diacono vel Presbytero, poſt ſui ordinationem, conjugium contrahere liceat. Si autem fuerit hoc auſus facere, deponatur. Si quis autem eorum, qui

A μηκοστὸν τέταρτον κανόνα τῶν ἱερῶν ἀποστόλων· οὕτω καὶ πολλῷ πλέον τὴν ἀφιερωθεῖσαν Θεῷ φθείρων τις κἂν παρθένος ᾖ, κἂν ἀνδρὸς ἐν πείρᾳ πρότερον γενομένη, οὐκ ἀτιμώρητος ἔσται, ἀλλ' εἰ μὲν ἱερωμένος εἴη ὁ τοῦτο ποιήσας, ἢ ὅλως ἐν κλήρῳ κατειλεγμένος, καθαιρεθήσεται ὡς ἱερόσυλος, ἢ καὶ βαρύτερόν τι τολμήσας· τὴν γὰρ τῷ Θεῷ ἀφιερωθεῖσαν ἐσύλησεν. εἰ δὲ λαϊκὸς ὁ τολμητίας ἐστὶν, ἀφορισμῷ ὑποβληθήσεται. κἂν δὲ μὴ ἀφιερωμένῃ γυναικὶ μιχθῇ τις τῶν ἱερωμένων, ἀλλὰ λαϊκῇ, καθαιρεθήσεται.

B

ΑΡΙΣΤ. Κληρικὸς νύμφῃ Θεοῦ συναπτόμενος, καθαιρείσθω· ὁ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Ὁ μὲν κανὼν οὗτος τὸν γαμικῶς συναφθέντα τῇ παρθένῳ τῇ καθιερωθείσῃ καὶ νυμφευθείσῃ Θεῷ, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖ αὐτόν· εἰ δὲ λαϊκὸς, ἀφορίζει. ὁ δὲ ὀκτωκαιδέκατος τοῦ μεγάλου Βασιλείου κανὼν, ὡς μοιχὸν καὶ τοιοῦτον λογίζεται, καὶ εἰς κοινωνίαν αὐτὸν ἄλλως οὐ παραδέχεται, εἰ μὴ πρότερον τῆς ἁμαρτίας παυθῇ.

C

ΚΑΝΩΝ ε'.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλόγῳ, τῶν ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γυναῖκα κεκτήσθω ἢ θεραπαινίδα, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν. εἰ δὲ παραβαίνῃ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, καθαιρείσθω. τὸ αὐτὸ δὲ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέσθωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

D ΒΑΛΣ. Ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου πλατύτερον ἐγράψαμεν περὶ ὧν φησὶ καὶ ὁ παρὼν κανών. καὶ ζήτει τὰ ἐν ἐκείνῳ παραγραφέντα. καὶ σημείωσαι ἐκ πάντων ὅτι καὶ οἱ εὐνοῦχοι ἀφορίζονται μετὰ γυναικῶν ἀλλοτρίων συνοικοῦντες.

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ ὁ τρίτος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὡρίσατο, καὶ ζητητέον τὰ ἐν ἐκείνῳ εἰρημένα.

ΑΡΙΣΤ. Καὶ εὐνοῦχος ἱερεὺς θεραπαινίδα, ἢ ἑτέραν, πλὴν τῶν ἀνυπόπτων, μὴ κεκτήσθω προσώπων.

E

Τὸ ἐπεισάκτους ἔχειν τοὺς ἱερωμένους γυναῖκας, κἂν εὐνοῦχοί εἰσι, κἂν ἄγαν γηραιοὶ, καὶ ὁ παρὼν κανὼν καὶ ἡ τοῦ μεγάλου Βασιλείου πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολὴ κωλύει, εἰ μή που τῶν ἀνυπόπτων προσώπων εἰσὶν αἱ γυναῖκες, οἷον μητέρες, ἀδελφαὶ, καὶ πρὸς πατρὸς ἢ πρὸς μητρὸς θεῖαι, καὶ ἄλλαι τινὲς τοιαῦται. τοὺς δὲ παραβαίνοντας τὰ ὁρισθέντα, καθαιρεῖσθαι προστάττουσιν. ἐπὶ δὲ τῶν εὐνούχων τὸ πλέον ὁ παρὼν ἐπάγει κανὼν, ὅτι κἂν λαϊκοί εἰσι, καὶ συνοικῶσι γυναιξὶ μὴ οὔσαις ἀπὸ τῶν ἀνυπόπτων συγγενικῶν προσώπων, ἀφορίζονται.

ΚΑΝΩΝ ϛ'.

Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εἴρηται, τῶν εἰς κλῆρον προσαγομένων ἀγάμων μόνους ἀναγνώστας καὶ ψάλτας γαμεῖν· καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες, ὁρίζομεν, ἀπὸ τοῦ νῦν μηδαμῶς ὑποδιάκονον ἢ διάκονον ἢ πρεσβύτερον, μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν, ἔχειν ἄδειαν, ἑαυτῷ συνιστᾷν συνοικέσιον. εἰ δὲ τοῦτο τολμήσοι ποιῆσαι, καθαιρείσθω· εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων γάμου νόμῳ συνάπτεσθαι γυναικί, πρὸ τῆς τοῦ A ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου χειροτονίας τοῦτο πραττέτω.

in Clerum accedunt, velit lege matrimonii mulieri conjungi, antequam Hypodiaconus vel Diaconus vel Presbyter ordinetur, hoc faciat.

ΒΑΛΣ. Ὁ κϛʹ. ἀποστολικὸς κανὼν διορίζεται μόνους ἀναγνώστας καὶ ψάλτας νομίμους συνάπτειν γάμους. περὶ δὲ τῶν ἄλλων κληρικῶν οὐδέν τι φησί. καὶ διὰ τοῦτο πλατύνοντες ἀκολούθως τούτῳ τὴν διδασκαλίαν, οἱ ἅγιοι πατέρες διορίζονται ἐντεῦθεν ἀναγνώστας μὲν καὶ ψάλτας γαμεῖν· ἕτερον δέ τινα παρὰ τούτους, ἤγουν ὑποδιάκονον ἢ διάκονον ἢ πρεσβύτερον, μετὰ τὴν χειροτονίαν μὴ λαμβάνειν νόμιμον γυναῖκα, ἢ μὴν ἐκ παραβάσεως τοῦ κανόνος καθαιρεῖσθαι. ὅπως B δὲ διάγουσιν οὗτοι παραιτούμενοι τὴν χειροτονίαν καὶ γυναῖκας λαμβάνοντες, μαθήσῃ ἀπὸ τῆς οθʹ. νεαρᾶς τοῦ Βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, λεγούσης ἐν μέρει ταῦτα ῥητῶς· οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον ἢ διάκονον ἢ ὑποδιάκονον, μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικί, παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀκυροῦμεν τὸ δόγμα· θεσπίζομεν δὲ μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς. τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς C ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι. ἔστι δὲ ὁ παρὰ τῆς τοιαύτης νεαρᾶς ἀναιρεθεὶς νόμος κεφ. λʹ. τοῦ ιαʹ. τίτλου τοῦ γʹ. βιβλίου τῶν βασιλικῶν, κεφάλ. κζʹ. τῆς κγʹ. Ἰουστινιανείου νεαρᾶς.

Bals. Xxvi. Canon Apoſtolicus decernit, ut ſoli Lectores & cantores legitima matrimonia contrahant. De aliis autem Clericis nihil dicit. Et propterea eorum doctrinam ſancti patres conſequenter extendentes, hîc quidem Lectores & Cantores uxores d ucere poſſe decernunt: nullum autem alium præter hos, ſive Hypodiaconum ſive Diaconum ſive Presbyterum, poſt ordinationem legitimam uxorem accipere, vel propter Canonis tranſgreſſionem deponi. Quomodo autem hi degunt, qui ordinationem recuſant & uxores accipiunt, diſces ex lxxix. Imperatoris domini Leonis ſapientis Novella, hæc partim expreſsè dicentis; non admittentes ergo hac in re veterem legiſlatorem, qui vult Presbyterum vel Diaconum vel Subdiaconum, poſt ſui ordinationem uxori conjunctum, à tali omnino habitu recedere, & ad vitam laicam converti, decretum infirmamus: ſancimus autem ſufficientem lis eſſe pœnam, ſi ſolo ordine careant in quo ante matrimonium dignoſcebantur; non autem à clericali habitu & alio in Eccleſiis miniſterio, quod tangere non eſt illicitum, omnino alieni eſſe condemnentur. Eſt autem lex que ab hac novella ſublata eſt cap. xxx. tit. xi. lib. iii. Baſilic. quòd eſt xxvii. cap. Novellæ Juſtiniani xxiii.

ΖΩΝΑΡ. Ὁ εἰκοστὸς ἕκτος ἀποστολικὸς κανὼν περὶ τούτου θεσμοθετεῖ, ᾧ ἑπόμενοι καὶ οἱ τῆς συνόδου ταύτης τὰ αὐτὰ διατάττονται, τῶν κληρικῶν μετὰ τὴν εἰς κλῆρον καταταγὴν μόνοις ἀναγνώσταις καὶ ψάλταις νομίμοις γάμοις συνδυάσειν ὁρίζοντες, οὐ μέντοι πρεσβυτέροις ἢ διακόνοις, οὐδὲ μὴν ὑποδιακόνοις. τούτους γὰρ, πρὸ τῆς χειροτονίας, λαμβάνειν γυναῖκας ἐφίησιν ὁ κανών, μετὰ δὲ τὴν D χειροτονίαν σωφρονεῖν ἐπιτάσσει, ἢ πρὸς γάμον ἐκκλίναντας καθαιρεῖσθαι.

Zonar. Apoſtolico Canone vigeſimo ſexto, cujus hoc loco Patres auctoritatem ſecuti decretum hoc edidere, hæc eadem conſtituta reperias. Ne cuiquam igitur, inquiunt, ubi ſemel in clerum eſt cooptatus, præter eos qui ſolis Cantorum aut Lectorum ordinibus initiati ſunt, uxorem poſtea ducere ullo modo liceat. Presbyteris autem Diaconis & Hypodiaconis etiam nullo modo. Iis enim ante ordinationem uxores ducere permittit Canon, poſt ordinationem autem abſtinere mandat, vel ad matrimonium ſe convertentes deponi.

ΑΡΙΣΤ. Ὁ χειροτονηθεὶς εἰ ζεύγνυται, καθαιρεῖται· εἰ γὰρ βούλοιτο, προζευχθῆναι ὀφείλει.

Arist. *Qui ordinatur, ſi matrimonium contrahit, deponitur: Si enim velit, anteà matrimonio conjungi debet.*

Ὁ μὲν δέκατος κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου προστάττει, τὸν μέλλοντα γενέσθαι πρεσβύτερον, ἢ διάκονον, καὶ προμαρτυράμενον, ἐν τῷ γίνεσθαι, μὴ δύνασθαι μένειν ἄγαμον, ἀλλὰ λαβεῖν ἐθέλειν γυναῖκα, καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ ἐν τῇ ἰδίᾳ μένειν ὑπηρεσίᾳ. ὁ δὲ παρὼν κανὼν τὸν τοιοῦτον ἀνατρέπει κανόνα, καὶ παντελῶς E ἀπείργει μετὰ τὴν χειροτονίαν τὸν πρεσβύτερον, τὸν διάκονον, καὶ τὸν ὑποδιάκονον, γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον, τῷ εἰκοστῷ ἕκτῳ ἀποστολικῷ κανόνι ἑπόμενος· καὶ διορίζεται, τὸν μετὰ τὴν χειροτονίαν τοῦτο πλημμέλημα ποιῆσαι, καθαιρεῖσθαι· διδοὺς ἄδειαν ἑκάστῳ πρὸ τῆς χειροτονίας γαμικῷ νόμῳ συνάπτεσθαι γυναικί.

Decimus quidem Synodi Ancyranæ Canon jubet eum, qui Presbyteri aut Diaconi gradum eſt ſuſcepturus, & cum eum ſuſceperit, ante teſtatus eſt ſe non poſſe innuptum manere, ſed velle uxorem ducere, etiam poſt ordinationem matrimonium inire, & in proprio manere miniſterio. Præſens autem Canon iſtum evertit Canonem & omnino prohibet Presbyterum Diaconum aut Hypodiaconum poſt ordinationem fæminam ſibi matrimonio conjungere, vigeſimum ſextum Canonem Apoſtolicum ſequens: & decernit eum qui poſt ordinationem hoc facere auſus fuerit, deponi; cuique concedens libertatem, ante ordinationem lege matrimoniali ſe fæminæ conjungendi.

ΚΑΝΩΝ ζʹ.

Ἐπειδὴ δὲ μεμαθήκαμεν ἔν τισι τῶν ἐκκλησιῶν, διακόνους τυγχάνειν ὀφφίκια ἐκκλησιαστικὰ ἔχοντας, ἐντεῦθέν τε τινὰς αὐτῶν αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους F πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, ὁρίζομεν ὥστε τὸν διάκονον κἂν ἐν ἀξιώματι, τουτέστιν ἐν ὀφφικίῳ τῷ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνοι, τὸν τοιοῦτον μὴ πρὸ τοῦ πρεσβυτέρου καθέζεσθαι, ἐκτὸς, εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγένηται ἐπί τινι κεφαλαίῳ. τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται. εἰ δέ τις τοῦτο τολμήσοι τυραννικῷ χρώμενος θράσει διαπράξασθαι,

Canon VII.

Quoniam in nonnullis Eccleſiis Diaconos officia Eccleſiaſtica habere didicimus, & ex hoc nonnullis eorum arrogantia & licentia fretos ante Presbyteros ſedere: ſtatuimus, ut Diaconos, etiamſi in dignitate, id eſt, in quovis ſit officio Eccleſiaſtico, ante Presbyterum ne ſedeat, præterquam ſi Proprii Patriarchæ vel Metropolitani vicem gerens, adſit in alia civitate ſuper aliquo capite. Tunc enim, ut locum illius implens, honorabitur. Si quis autem Tyrannica adductus audacia tale quid efficere auſus fuerit, is ex proprio gradu dejectus, ſit omnium ultimus ejus ordinis, in cujus eſt catalogo in *ſua Eccleſia; Domino noſtro præcipiente, ne primis ſedibus* A *delectemur, ſecundùm eam, quæ in ſancto evangeliſta Luca, ut ex ipſo Domino noſtro & Deo profecta, poſita eſt, doctrinam. Iis enim, qui vocati erant, dicebat hanc parabolam; Quando ab aliquo ad nuptias invitatus fueris, ne in primo loco accubueris, ne forte quiſpiam te honoratior ab eo invitatus fuerit, íſque qui te & ipſum invitavit, veniat & dicat, Da ei locum, & tunc incipies cum pudore ultimum locum tenere: ſed quando invitatus fueris, in ultimo loco accumbe, ut quando venerit qui te invitavit, dicat tibi, Amice aſcende altius; tunc erit tibi gloria coram iis qui tecum occumbunt.* B *Nam quiſquis ſe extollit, humiliabitur, & qui ſe humiliat, exaltabitur. Hoc ipſum autem etiam ſervabitur in reliquis ſacris ordinibus: quandoquidem ſecularibus ſeu mundanis dignitatibus ſpiritales præſtantiores eſſe ſcimus.*

BALS. Xviii. Canon Syn. primæ Nicenæ jubet deponi Diaconos qui ſedent in medio Presbyterorum. Præſens autem Canon eos, qui ſic faciunt, ex proprio gradu dejici jubet. Si enim aliis fortè Diaconis in gradu prior erat qui ſe impudenter geſſit, & ante Presbyteros ſedit, in ultimum locum dimittetur, C & erit in gradu omnium infimo, nec id quod habet officium Eccleſiaſticum ſeu dignitas ei proderit. Sin autem à ſuo Patriarcha vel Metropolitano in aliquam urbem miſſus fuerit, ut locum illius repleturus, tunc perinde, ac qui ipſum miſit, reputabitur & honorabitur. Quomodo vero xviii. quidem Canon Nic. Syn. eum, qui in medio Presbyterorum ſedit, Diaconum deponendum dicit: hic autem leviùs in eum animadvertit, nempe dimiſſione? SOL. Ille quidem Canon de iis, qui in ſacro tribunali tempore ſacrificii ſe impudenter geſſerunt, & ante ſacerdotes ſederunt, loquitur; de hujuſmodi enim omnino diſſerit, D ſcilicet de iis Diaconis, qui ſacerdotibus communionem porrigunt, & quædam alia ejuſmodi indigna faciunt. Præſens autem Canon loquitur de Diaconis, qui extra ſacrum tribunal in quavis cathedra ante Presbyteros ſederunt, & ideo eis lenius ſupplicium infligit. Officia autem Eccleſiaſtica dicuntur ἀρχοντίκια. Canon autem idipſum vult etiam ſervari in aliis ſacris ordinibus: ne quis dignitate vel officio fretus, adverſus alios extollatur, & adverſus eos qui altiori gradu ſunt, efferatur; Hypodiaconus forte adverſus Diaconum, vel Lector adverſus Hypodiaconum. Spirituales enim dignitates ſecularibus, inquit, ſunt præſtantiores. Nota verò quod etiam è præſenti E Canone manifeſtum eſt Eccleſiaſtica officia ſive dignitates gradus eſſe Eccleſiaſticos ut Diaconica & cætera. Miror autem quomodo, cum Canon ſtatuat eum, qui miſſus eſt, obtinere locum mittentis quod ad honorem attinet, Gortynenſis Epiſcopus Baſilius, qui in hac Synodo totius Romanæ Eccleſiæ jure præſens aderat, poſt quatuor Patriarchas & quoſdam Metropolitanos ſubſcripſiſſe invenitur. Sed, ut eſt probabile, ipſe quoque erat Papæ legatus, & ideo ſubſcripſit poſt Patriarchas, ſicut & cæteri legati, ſcilicet Theſſalonicenſis Epiſcopus & Heracleanus & alii. Conſtantinopolitanus autem chartophylax, quomodo cùm ſit Diaconus, ante Antiſtites ſedet, F in primæ Synodi xviii. Can. dictum eſt. Nota autem & Canonem qui dicit, ſpirituales dignitates eſſe præſtantiores ſecularibus dignitatibus. Sed ne hoc eò traxeris, ut nonnulli dicebant, ad Eccleſiaſticas dignitates imperatoriis præferendas. Interpretare autem hoc adverſus Hypodiaconos, qui fortaſſe ſuperbè & inſolenter ſe gerunt adverſus Diaconos, vel Diaconos qui adverſus Presbyteros: & dic, quòd ſi in ſecularibus dignitatibus non licet ei, qui eſt minoris dignitatis, præſidere vel præferri ei, qui eſt majore dignitate honoratus, multo magis non licet hoc facere iis qui ſunt Eccleſiaſticis dignita-

ὁ τοιοῦτος ἐκ τοῦ οἰκείου καταβιβαζέσθω βαθμοῦ, ἔσχατος πάντων γινέσθω τοῦ ἐν ᾧ περ καταλέγεται τάγματος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· τοῦ κυρίου ἡμῶν παραινοῦντος, μὴ χαίρειν ἐν ταῖς πρωτοκλισίαις, κατὰ τὴν ἐν τῷ ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ, ὡς ἐξ αὐτοῦ τοῦ κυρίου ἡμῶν καὶ θεοῦ κειμένην διδασκαλίαν. ἔλεγε γὰρ πρὸς τοὺς κεκλημένους παραβολὴν τοιάνδε· ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι· δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν· ἀλλ' ὅταν κληθῇς, ἀνάπεσε εἰς τὸν ἔχατον τόπον ὅταν ἔλθῃ ὁ κεκληκώς, εἴπῃ σοι, φίλε προσαναβῆθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν, ὑψωθήσεται. τὸ δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων· ἐπειδὴ τῶν κατὰ τὸν κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα.

ΒΑΛΣ. Ὁ ιη'. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου καθαιρεῖσθαί φησι τοὺς ἐν μέσῳ πρεσβυτέρων καθεζομένους διακόνους. ὁ δὲ παρὼν κανὼν τοὺς οὕτω ποιοῦντας ὑποβιβάζεσθαι ἐκ τοῦ οἰκείου βαθμοῦ παρακελεύεται. εἰ γὰρ τυχὸν τῶν ἄλλων διακόνων πρωτοβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος, μὴ ὠφελούμενος ἐκ τοῦ αὐτῷ προσόντος ἴσως ἐκκλησιαστικοῦ ὀφφικίου ἤτοι ἀξιώματος. εἰ δὲ ἀπὸ τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου ἔν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε ὡς αὐτὸς ὁ στείλας αὐτὸν λογισθήσεται καὶ τιμηθήσεται. πῶς οὖν ὁ μὲν ιη'. κανὼν τῆς ἐν Νικαίᾳ συνόδου καθαιρεῖσθαί φησι τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα διάκονον, οὗτος δὲ κουφότερον κολάζει αὐτόν, ἤγουν διὰ ὑποβιβασμοῦ; Λύσις. ἐκεῖνος μὲν ὁ κανὼν περὶ τῶν εἰς τὸ βῆμα ἐν ἱερουργίας καιρῷ ἀναιδευσαμένων, καὶ πρὸ τῶν ἱερέων καθισάντων, φησὶν, ὅτι καὶ περὶ τῶν τοιούτων ὅλως διαλέγεται, δηλονότι περὶ διακόνων μεταδιδόντων ἱερεῦσι καὶ ἄλλα τοιαῦτα ἀνάξια διαπραττομένων. ὁ δὲ παρὼν κανὼν περὶ τῶν ἐκτὸς τοῦ βήματος ἐν τυχούσῃ καθέδρᾳ καθισάντων διακόνων πρὸ τῶν πρεσβυτέρων· καὶ διὰ τοῦτο μετριωτέραν ἐπάγει τὴν κόλασιν· ὀφφίκια μέν τοι ἐκκλησιαστικὰ λέγονται τὰ ἀρχοντίκια. τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι θαρροῦντα ἢ ὀφφικίῳ κατεπαίρεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν ὑποβαθμιωτέρων αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου, ἢ ἀναγνώστην κατὰ ὑποδιακόνου. κρείττω γάρ φησιν εἰσὶ τὰ πνευματικὰ ἀξιώματα τῶν κοσμικῶν. σημείωσαι δὲ ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται τὰ ἐκκλησιαστικὰ ἀρχοντίκια ἤτοι ἀξιώματα βαθμοὺς εἶναι ἐκκλησιαστικούς, ὡς τὰ διακονικὰ καὶ τὰ λοιπά. θαυμάζω δὲ πῶς τοῦ κανόνος διοριζομένου τὸν ἀποσταλέντα ἐπέχειν τὸν τόπον τοῦ ἀποστείλαντος, ὅσον κατὰ τὴν τιμὴν, ὁ Ἐπίσκοπος τῶν Γορτυναίων Βασίλειος παρουσιάζων ἐν τῇ συνόδῳ ταύτῃ, δικαίῳ πάσης τῆς ἐκκλησίας Ῥώμης, εὑρίσκεται ὑπογράψας μετὰ τοὺς τέσσαρας πατριάρχας καί τινας μητροπολίτας. ἀλλ' ὡς ἔοικε καὶ αὐτὸς λεγάτος ἦν τοῦ Πάπα· καὶ διὰ τοῦτο μετὰ τοὺς πατριάρχας ὑπέγραψεν ὥσπερ καὶ οἱ λοιποὶ λεγάτοι, ἤτοι ὁ Θεσσαλονίκης, ὁ Ἡρακλείας καὶ ἕτεροι. ὁ δὲ χαρτοφύλαξ τῆς Κωνσταντινουπόλεως, ὅπως προκάθηται τῶν ἀρχιερέων διάκονος ὤν, εἴρηται ἐν τῷ ιη'. κανόνι τῆς πρώτης συνόδου. σημείωσαι δὲ τὸν κανόνα λέγοντα κρείττονα εἶναι τὰ πνευματικὰ ἀξιώματα τῶν κατὰ κόσμον ἀξιωμάτων· πλὴν μὴ ἑλκύσῃς τοῦτο, ὡς τινὲς εἶπον, χάριν τοῦ προτιμᾶσθαι τὰ ἐκκλησιαστικὰ ἀξιώματα τῶν βασιλικῶν. ἑρμήνευσον τοῦτο εἰς τοὺς καταυθαδιαζομένους τυχὸν ὑποδιακόνους κατὰ διακόνων, ἢ διακόνους κατὰ πρεσβυτέρων. καὶ εἰπὲ ὅτι εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεστι τῷ ἥττονι ἀξίᾳ ὄντι προκαθῆσθαι ἢ προτιμᾶσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι,

ματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν τοῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσε, καὶ χρεωστοῦσι πᾶσαν εὐταξίαν ἐκ τοῦ ἐπαγγέλματος αὐτῶν. σημείωσαι οὖν τὸν κανόνα ὀνομάζοντα περὶ τὸ τέλος τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς ἀξιώματα. πολλάκις γὰρ εἰς τὸ δικαστήριον εἶπον τινὲς μήτε τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας μήτε τοὺς μητροπολίτας ἐν ἀξιωματικῇ μοίρᾳ συντάττεσθαι, καὶ διὰ τοῦτο μηδὲ δυνατὸν εἶναι τὸν στίχον τοῦ ἐκκλησιαστικοῦ κυβουκλεισίου ἤτοι τοῦ Ἐπισκόπου, ἀλλὰ ταπεινόν. ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ. καὶ ἀνάγνωθι τὸ α. κεφάλαιον τοῦ η΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ ἐκεῖσε καταστρωθὲν ἔγγραφον θέσπισμα τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κωνσταντίνου, καὶ τὸ σχόλιον τοῦ λϛ΄. κεφαλαίου τοῦ α΄. τίτλου τοῦ παρόντος Συντάγματος.

ΖΩΝΑΡ. Ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου μὴ ἐν μέσῳ πρεσβυτέρων καθῆσθαι τοὺς διακόνους κελεύει, τοὺς δὲ μὴ πειθαρχοῦντας παύεσθαι τῆς διακονίας. ὁ δὲ παρὼν κανὼν τοῖς αὐθαδῶς πρὸ τῶν πρεσβυτέρων καθῆσθαι ἀναιδευομένοις οὐκ ἔκπτωσιν τῆς διακονίας εἰς κόλασιν τῆς αὐθαδείας ἐπάγει, ἀλλὰ ὑποβιβασμὸν ἐκ τοῦ οἰκείου βαθμοῦ. εἰ γὰρ τυχὸν τῶν ἄλλων διακόνων πρωτοβαθμιώτερος ἦν ὁ ἀναιδευσάμενος, καὶ πρὸ τῶν πρεσβυτέρων καθίσας, κατενεχθήσεται εἰς τὸν ἔσχατον τόπον, καὶ ἔσται πάντων ὑποβάθμιος. εἰ δὲ ὑπὸ τοῦ οἰκείου πατριάρχου ἢ μητροπολίτου ἔν τινι πόλει σταλῇ, ὡς τὸν τόπον ἐκείνου ἀναπληρώσων, τότε ὡς αὐτὸς ὁ στείλας αὐτὸν λογισθήσεται καὶ τιμηθήσεται. πῶς οὖν ὁ μὲν τῶν κανόνων τὸν ἐν μέσῳ πρεσβυτέρων καθίσαντα βαρύτερον κολάζει, παύων αὐτὸν τῆς διακονίας, οὗτος δὲ κουφοτέραν ἐπάγει τὴν τιμωρίαν τῷ προκαθίσαντι πρεσβυτέρου, καταβιβάζων αὐτὸν εἰς τὸν ἔσχατον τόπον τοῦ οἰκείου βαθμοῦ; φασὶν οὖν ὅτι ὁ μὲν τῆς πρώτης Συνόδου κανὼν περὶ τῶν ἐν βήματι ἐν ἱερουργίας καιρῷ καθεζομένων ἐν μέσῳ πρεσβυτέρων φησίν, ὅτε διακονεῖν μᾶλλον καὶ ὑπηρετεῖν τοῖς ἱερεῦσιν ὀφείλουσι καὶ παρεστάναι αὐτοῖς· ὁ δὲ τῆς Συνόδου ταύτης περὶ τῶν ἐκτὸς βήματος ἐν τυχούσῃ καθέδρᾳ προκαθισάντων πρεσβυτέρων. πανταχοῦ μὲν γὰρ τοῖς ἱερεῦσιν οἱ διάκονοι χρεωστοῦσι τιμήν, μάλιστα δὲ ἐν ἱερουργίᾳ. ὀφφίκια δὲ ἐκκλησιαστικὰ τὰ ἀρχοντίκια λέγει. τὸ αὐτὸ δὲ κρατεῖν βούλεται ὁ κανὼν καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων, ὥστε μή τινα ἀξιώματι κοσμικῷ θαῤῥοῦντα ἢ ὀφφικίῳ, καταναιδεύεσθαι τῶν ἄλλων, καὶ θρασύνεσθαι κατὰ τῶν πρωτοβαθμιωτέρων αὐτοῦ, ὑποδιάκονον τυχὸν κατὰ διακόνου, ἢ ἀναγνώστην κατὰ ὑποδιακόνου. κρείττω γάρ, φησι, τὰ πνευματικὰ ἀξιώματα τῶν κοσμικῶν, μονονουχὶ τοῦτο λέγων· εἰ ἐν τοῖς κοσμικοῖς ἀξιώμασιν οὐκ ἔξεστι τῷ ἥττονος ἀξίας ὄντι προκαθῆσθαι ἢ προτετιμῆσθαι τοῦ μείζονι τετιμημένου ἀξιώματι, πολλῷ πλέον οὐκ ἔξεστι τοῦτο ποιεῖν τοῖς ἐκκλησιαστικαῖς ἀξίαις τετιμημένοις, ἃς καὶ πνευματικὰς ἐκάλεσεν, ὡς οὐ κατὰ ἀνθρωπίνην χάριν παρέχεσθαι ὀφειλούσας, ἀλλὰ κατὰ θείαν χάριν ἐπικλήσει τοῦ θείου πνεύματος.

ΑΡΙΣΤ. Καὶ ὀφφίκιον ἔχων διάκονος, εἰ μὴ τοποτηρητὴς εἴη πατριάρχου, ἢ Ἐπισκόπου, πρὸ τῶν πρεσβυτέρων καθεζόμενος, ἁπάντων ἐσχατώτερος ἔσοιτο.

Τοὺς κοσμικοὺς τύφους, καὶ τὰς πρωτοκλισίας οἱ θεῖοι πατέρες ἐκ τῆς ἐκκλησίας περιαιροῦντες, προστάττουσι, μηδένα τῶν διακόνων, κἂν οἱονδήποτε ἐκκλησιαστικὸν ὀφφίκιον ἔχῃ, τῶν πρεσβυτέρων καθέζεσθαι ἄνωθεν, εἰ μήπου, ὡς τοποτηρητής, τὸ πρόσωπον ἐπέχει τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου, ἐν ἑτέρᾳ πόλει σταλείς, χάριν κανονικῶν καὶ ἐκκλησιαστικῶν ζητημάτων· τότε γάρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται. εἰ δὲ ἄλλως τολμήσει τις τῶν διακόνων,

A tibus honorati, quas etiam ſpirituales appellavit, qui quidem ex ſua profeſſione debent omnem bonum ordinem obſervare. Nota ergo Canonem, qui circa finem nominat eccleſiaſticos gradus dignitates. Nonnulli enim ſæpe in judicio dixere, nec Eccleſiaſticos præfectos, nec Metropolitanos inter dignitates collocari, & propterea nec potentem quidem eſſe Eccleſiaſtici Cubicularii vel Epiſcopi ordinem, ſed vilem. Hoc autem mihi ita eſſe non videtur. Et lege primum cap. viii. tit. præſentis operis, & illic poſitum ſcriptiſque mandatum ſancti Conſtantini magni, qui eſt Apoſtolis æqualis, decretum, & commentarium xxxvi. cap. primi tit. præſentis o-

B peris.

Zonar. Ne medium in Presbyterorum conſeſſu locum Diaconi occupent xviii. primæ in Nicæâ Synodi Canone interdictum eſt, contumaceſque à miniſterio arceri eadem conſtitutione decretum. Hic vero Canon, qui honeſtiorem ſedendi locum impudenti temeritate ſacerdotibus præripuerit, eum in arrogantiæ ſuæ pœnam non à miniſterio quidem repelli, ſed de ſuo gradu deturbari jubet. Proinde ſi primum forte locum inter Diaconos obtinuerat, qui adeo impudenter ſe gerit & ante Presbyteros ſedet, in poſtremum detrudetur, honoreque

C cæteris omnibus inferior habebitur. Si quem tamen Diaconum, muneris ſui vicarium, in urbem aliquam Patriarcha vel Metropolitanus deſtinarit, debitos ipſis Præſulibus honores legato deferri, eodemq; quo ille loco haberi placet. Sed cum altero Canone, qui medius inter Presbyteros conſederit, illi ceſſationis à miniſterio pœna gravior inflicta ſit, qua ratione factum arbitremur, ut qui honeſtiorem locum ſacerdote aſſidente occuparit, cum eo hic Canon remiſſius agat, levioreque animadverſionis genere nihil aliud quam poſtremum inter ſui ordinis homines gradum obtinere jubeat? Id igitur ita nonnulli explicant, ut de Diaconis, qui dum ſacra myſteria peraguntur,

D in ſacrario medii inter Presbyteros conſedere, quo quidem tempore eos maxime ſacerdotibus inſervire atque aſtare oportuerat, primæ Synodi Canonem accipi velint: hunc vero de iis, qui extra ſacrarium, alio quocunque conſeſſu, digniorem ſibi inter ſacerdotes locum arrogarint, intelligendum eſſe arbitrentur. Cum enim ubique ſacerdotes vereri Diaconi debeant, tum id eos, dum opera rei divinæ miniſterio impenditur, præſtare maxime decet. Officia vero Eccleſiaſtica Αρχοντικια vocat. Idem porrò ut in aliis quoque ſervetur ſacris ordinibus, neve, quia profanam ſcilicet dignitatem magiſtratumve quis obtineat, inſolenter efferri, ac in ſuperiori ordine conſtitutis, Diacono verbi

E cauſa Hypodiaconus, aut huic Lector inſultare temere audeat, hac conſtitutione decretum. Eſt Eccleſiaſtica ſiquidem civili quacunque dignitate præſtantior. Cujus quidem argumenti ea vis eſt, ut quoniam inter eos qui profanos magiſtratus gerunt, ei, qui inferioris eſt dignitatis, anteſedere aut præferri ei, qui majori dignitate honoratur, non licet; multo magis iis idem non liceat, qui Eccleſiaſticis ornantur dignitatibus, quas etiam ſpirituales Canon hoc loco nominat, quippe quæ non hominum ſed Dei gratiæ, ſpiritus ſancti invocatione, conferri debent.

Arist. *Diaconus etiam officium aſſecutus, niſi Patri-*

F *archæ vel Epiſcopi locum teneat, ſi ante Presbyteros ſederit omnium erit infimus.*

Faſtus ſeculares & primos accubitus patres Divini ab Eccleſiâ amputantes, ſtatuunt neminem Diaconorum, qualecunque Eccleſiaſticum habeat officium, ante Presbyteros ſedere; niſi forte, ut vicarius, Patriarchæ ſui aut Metropolitani vicem gerat, & in aliam civitatem miſſus canonicarum quarundam & Eccleſiaſticarum cauſa quæſtionum: tunc enim, ut illius locum implens, honorabitur. Si quis autem Diaconus tyrannicâ adductus audaciâ, aliter auſus fuerit ſupra Presbyterum ſedere, ſuo gradu dejectus erit, & omnium ultimus Diaconorum evadet.

Canon VIII.

In omnibus ea, quæ à noſtris ſanctis patribus decreta ſunt, nos quoque rata ac firma eſſe volentes, Canonem quoque renovamus, qui jubet ſingulis annis uniuſcujuſque provinciæ Epiſcoporum Synodos fieri, ubi Metropolitanus Epiſcopus ſatius eſſe duxerit. Quoniam autem propter aliquas Barbarorum incurſiones & quaſdam alias incidentes cauſas, non poſſunt qui Eccleſiis præſident Synodos bis in anno facere, viſum eſt, ut omnino ſemel in anno, propter Eccleſiaſticas quæſtiones, ut veriſimile eſt, emergentes, prædictorum Epiſcoporum in unaquaque provincia fiat ſynodus, à ſancto Paſcha feſto, & uſque ad Octobris menſis complementum, ſingulis annis, in loco quem, ut prædictum eſt, Metropolitanus Epiſcopus aptiorem judicaverit: ii autem, qui non conveniunt, Epiſcopi, cum in ſuis civitatibus agant & ſani ſint, & ab omni inevitabili & neceſſario negotio liberi, fraternè corripiantur.

Bals. Quomodo & quando debeant Epiſcopi ad ſuos primos convenire, ut Synodi habeantur, & Eccleſiaſticæ quæſtiones ſolvantur, in diverſis præcedentibus Canonibus dictum eſt. Lege & caput octavum tituli octavi præſentis operis, & quæ ibi ſcripta ſunt. Præſens autem Canon nihil plus quàm alii dicit, præterquam ut ſemel fiant in anno Synodi. Lege & quartæ Synodi Canon. decimum nonum, & primæ Synodi Canonem quintum, & Sanctorum Apoſtolorum Canonem trigeſimum ſeptimum. Dicat autem non nemo, quòd cùm Epiſcopi quotannis apud Metropolitanos convenire cogantur, Metropolitani apud patriarcham convenire non cogentur. Vel enim illi apud patriarcham conveniunt, & provincialium Epiſcoporum Synodos ceſſare uſu venit, vel non conveniunt, & patriarchæ Synodi non fient. Et hæc quidem dicat aliquis, veriſimile eſt. Tu autem diligentius lege caput vigeſimum tituli primi lib. tertii, hæc ex parte dicens, omnimodo unam Synodum quotannis celebrari mandamus in unaquaque provinciâ, vel Junio vel Septembri menſe, & eos qui ab illis ordinantur, alios autem Epiſcopos ordinandi jus non habent apud beatiſſimos patriarchas convenire. Apud religioſiſſimos autem Metropolitanos cujuſque provinciæ qui ab iis ordinati ſunt. Nota igitur ex hac novella quam ob rem provinciales Patriarchæ Conſtantinopolitani vocantur, Archiepiſcopus Derci, Meſſanæ, Parii, Apri, & alii nonnulli Archiepiſcopi, & Metropolitani, quibus nulli ſubſunt Epiſcopi. Illi enim & ſoli ad patriarcham ſemel quotannis convenire compelluntur. Reliquas autem cauſas ab aliis allatas ne admittas. Lege & finem dicti vigeſimi capitis ſtatuentis ſummis ſuppliciis ſubjiciendos eſſe præſules, qui Epiſcopos hujuſmodi celebrare ſynodos non compellunt.

Zonar. Quod Apoſtolicis antea ſynodiciſque Canonibus cautum fuerat, hæc quoque ſynodus renovata conſtitutione decrevit, ac, ut ſingulis annis in unaquaque provincia ſynodus haberetur, edixit, adeo ut omni modo, hoc eſt nullo cauſæ cujuſquam obtentu tergiverſationeque admiſſa Synodus in unaquâque provinciâ ſemel quotannis habeatur propter e-

A τυραννικῷ θράσει χρώμενος, τῶν πρεσβυτέρων ἄνωθεν καθεσθῆναι, τοῦ ἰδίου βαθμοῦ καταβιβασθήσεται, καὶ πάντων ἔσχατος τῶν διακόνων γενήσεται.

ΚΑΝΩΝ η΄.

Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων πατέρων ἡμῶν θεσπισθέντα καὶ ἡμεῖς κρατεῖν βουλόμενοι, ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα καθ' ἕκαστον ἔτος συνόδους τῶν ἑκάστης ἐπαρχίας γίνεσθαι ἐπισκόπων, ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος. ἐπειδὴ δὲ διά τινας τε τῶν βαρβάρων ἐπιδρομὰς, διά τε προσπιπτούσας ἑτέρας αἰτίας, B ἀδυνάτως οἱ τῶν ἐκκλησιῶν πρόεδροι ἔχουσιν δὶς τοῦ ἐνιαυτοῦ τὰς συνόδους ποιεῖσθαι, ἔδοξεν, ὥστε τρόπῳ παντὶ ἅπαξ τοῦ ἐνιαυτοῦ τὴν τῶν προγεγραμμένων ἐπισκόπων, διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα ἐκκλησιαστικὰ κεφάλαια, ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, ἀπὸ τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς, καὶ μέχρι συμπληρώσεως τοῦ Ὀκτωβρίου μηνὸς ἑκάστου ἔτους κατὰ τὸν τόπον, ὃν ὁ τῆς μητροπόλεως, καθὰ προείρηται, δοκιμάσει ἐπίσκοπος. τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους, ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσιν, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι. C

ΒΑΛΣ. Περὶ τοῦ πῶς καὶ πότε ὀφείλουσιν οἱ ἐπίσκοποι παρὰ τοῖς πρώτοις αὐτῶν συνέρχεσθαι, ὥστε γίνεσθαι συνόδους, καὶ λύεσθαι τὰ ἐκκλησιαστικὰ ζητήματα, εἴρηται ἐν διαφόροις προλαβοῦσι κανόσιν. ἀνάγνωθι καὶ κεφ. η΄. τοῦ η΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. ὁ δὲ παρὼν κανὼν οὐδέν τι πλέον τῶν ἄλλων φησὶν, ἀλλ' ἢ τὸ γίνεσθαι ἅπαξ τοῦ ἐνιαυτοῦ τὰς συνόδους. ἀνάγνωθι καὶ τῆς δ΄. συνόδου κανόνα ιθ΄. καὶ τῆς α΄. συνόδου κανόνα ε΄. καὶ τῶν ἁγίων ἀποστόλων κανόνα λζ. D εἴποι δέ τις ὡς τῶν ἐπισκόπων ἀναγκαζομένων παρὰ τοῖς μητροπολίταις ἐτησίως συνέρχεσθαι, οἱ μητροπολῖται οὐκ ἀναγκασθήσονται παρὰ τῷ πατριάρχῃ συνελθεῖν. ἢ γὰρ οὗτοι παρὰ πατριάρχῃ συνέρχονται, καὶ συμβαίνει, τὰς τῶν ἐπαρχιωτῶν ἐπισκόπων συνόδους ἀπράκτους, ἢ οὐ συνέρχονται, καὶ αἱ πατριαρχικαὶ σύνοδοι οὐ γενήσονται. καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις· σὺ δὲ ἀνάγνωθι ἐπιστατικώτερον τὸ κ΄. κεφάλ. τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου λέγον ἐν μέρει οὕτως, κελεύομεν πᾶσι τρόποις μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ, ἢ τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ μηνὶ, E καὶ συνιέναι παρὰ μὲν τοῖς μακαριωτάτοις πατριάρχαις ἐκείνους τοὺς παρ' αὐτῶν χειροτονουμένους, μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν· παρὰ δὲ τοῖς ὁσιωτάτοις μητροπολίταις ἑκάστης ἐπαρχίας τοὺς ὑπ' αὐτῶν χειροτονουμένους· σημείωσαι οὖν ἀπὸ ταύτης τῆς νεαρᾶς τὴν αἰτίαν, δι' ἣν λέγονται ἐπαρχιῶται τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὁ Δέρκου, ὁ Μεσήνης, ὁ Παρίου, ὁ Ἀπρω, καὶ ἄλλοι τινὲς Ἀρχιεπίσκοποι καὶ μητροπολῖται μὴ ἔχοντες ἐπισκόπους· οὗτοι γὰρ ἀναγκάζονται, καὶ μόνοι παρὰ τῷ πατριάρχῃ ἅπαξ ἐνιαυτοῦ συνέρχεσθαι· τὰς δὲ λοιπὰς αἰτίας παρά τινων λεγομένας μὴ παραδέχου· ἀνάγνωθι καὶ τὸ τέλος τοῦ ῥηθέντος κ΄. κεφαλ. διοριζομένου ἐσχάτας F τιμωρίας, ὑφίστασθαι τοὺς ἄρχοντας τοὺς μὴ καταναγκάζοντας τοὺς ἐπισκόπους τὰς τοιαύτας συνόδους ποιεῖν.

ΖΩΝΑΡ. Καὶ οἱ θεῖοι ἀπόστολοι καὶ αἱ προλαβοῦσαι σύνοδοι περὶ τῶν ἐτησίων τούτων συνόδων κανόνας ἐξέθεντο, καὶ ἡ σύνοδος αὕτη, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι συνόδους ἐν ταῖς ἐπαρχίαις διετάξατο, ἀνανεοῦσα τοὺς κειμένους περὶ αὐτοῦ κανόνας, ὥστε ἐκ παντὸς τρόπου, ἀντὶ τοῦ ἀπαραιτήτως καὶ ἀπροφασίστως, ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, διὰ τὰς ἀναφυομένας ἐκκλησιαστικὰς αἰτίας. γίνεσθαι δὲ ταύτην ἀπὸ τοῦ πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου μηνός. ἐγράφη δὲ περὶ τούτου πλατύτερον ἐν τοῖς προλαβοῦσι κανόσιν.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ δὶς δυνατὸν, ἅπαξ ἑκάστου ἔτους γινέσθω σύνοδος, μέσον τοῦ πάσχα καὶ τοῦ ὀκτωβρίου μηνός.

Διὰ τὰς προσπιπτούσας δυσχερείας τοῖς Ἐπισκόποις, καὶ τὰς τῶν βαρβάρων ἐπιδρομὰς, τὸ, δὶς τοῦ ἔτους γίνεσθαι σύνοδον ὑπὸ τοῦ παρόντος συνεστάλη κανόνος· καὶ ὡρίσθη, ἅπαξ ἐφ' ἑκάστῳ ἐνιαυτῷ γίνεσθαι σύνοδον, μεταξὺ τοῦ πάσχα καὶ τοῦ ὀκτωβρίου μηνός.

ΚΑΝΩΝ θʹ.

Μηδενὶ ἐξεῖναι κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν. εἰ γὰρ τῷ τοιούτῳ εἰσιέναι ἐν καπηλείῳ οὐκ ἐπιτέτραπται, πόσῳ μᾶλλον ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν; εἰ δέ τι τοιοῦτον διαπράξοιτο, ἢ παυσάσθω ἢ καθαιρείσθω.

ΒΑΛΣ. Ὁ μὲν νδʹ. κανὼν τῶν ἁγίων ἀποστόλων, ἀφορίζεσθαι λέγει τοὺς ἐσθίοντας ἐν καπηλείῳ κληρικούς· ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ ἔχειν κληρικὸν καπηλικὸν ἐργαστήριον, ἤγουν μὴ ἐνεργεῖν ἐμπορείαν καπηλικήν. εἰ γὰρ κατὰ δεσποτείαν ἔχει καπηλικὸν ἐργαστήριον, καὶ πρὸς ἑτέρους τοῦτο ἐκδίδωσι, καινὸν οὐκ ἔστι. τοῦτο γὰρ καὶ παρὰ μοναστηρίων καὶ ἐκκλησιῶν διαφόρων γίνεται· ὥστε τὸ ἔχειν ἐνταῦθα ἀντὶ τοῦ ἐνεργεῖν ἐκλάμβανε. ἐπεὶ δὲ ἕτερόν ἐστι τὸ εἰσέρχεσθαι ἐν καπηλείῳ ἀλλοτρίῳ καὶ ἐσθίειν, καὶ ἕτερον τὸ ἐμπορεύεσθαι καπηλικὴν τέχνην, ἐν μὲν τῷ ἀποστολικῷ κανόνι ἀφορίζεσθαί φησι τὸν ἐσθίοντα ἐν καπηλείῳ κληρικὸν, καὶ μετὰ παραγγελίαν μὴ διορθούμενον, πάντως διὰ τὸ μετριώτερον τοῦ ἁμαρτήματος· τὸν δὲ ἐνεργοῦντα κληρικὸν καπηλικὸν ἐργαστήριον, μὴ διορθούμενον μετὰ παραγγελίαν, καθαιρεῖσθαί φησιν ὁ παρὼν κανὼν, πάντως διὰ τὸ βαρύτερον τοῦ ἁμαρτήματος. ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ ῥηθέντι νδʹ. ἀποστολικῷ κανόνι, καὶ συνόδου Λαοδικείας κανόνα κδʹ. συνόδου Καρθαγένης κανόνα μʹ. καὶ βιβλίου δʹ. τῶν βασιλικῶν, τίτλου αʹ. κεφ. τελευταῖον, ὅπερ κατεστρώθη ἔξωθεν τοῦ λεʹ. κεφ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τὸ ἔχειν καπηλικὸν ἐργαστήριον κληρικὸν νοητέον τὸ δι' ἑαυτοῦ ἐνεργεῖν αὐτὸν ἐν αὐτῷ καὶ ὑπηρετεῖν. οὐ γὰρ εὔσχημον, ἀλλὰ καὶ λίαν ἐστὶν ἀπρεπὲς τὸ καπηλείου προΐστασθαι κληρικὸν, καὶ τοὺς εἰς αὐτὸ εἰσιόντας ὑποδέχεσθαι, καὶ βρώματα παρατιθέναι αὐτοῖς, καὶ οἶνον ἐγχέειν. ᾧ γὰρ ἀπηγόρευται τὸ ὅλως εἰς καπηλεῖον εἰσέρχεσθαι κατὰ τὸν νδʹ. κανόνα τῶν ἁγίων ἀποστόλων, πῶς ἐπιτραπήσεται ἐν αὐτῷ διηνεκῶς ἔσται ἀναστρεφόμενος; τόν τε τοῦτο ποιοῦντα, ἢ παύεσθαι βούλεται ὁ κανὼν ἢ καθαιρεῖσθαι. εἰ δέ τις κληρικὸς ἴδιον ἐργαστήριον ἔχων ἑτέρῳ αὐτὸ ἐκμισθώσῃ, περὶ τὴν οἰκείαν κατάστασιν οὐ βλαβήσεται.

ΑΡΙΣΤ. Εἰ εἰσιέναι ἐν καπηλείῳ κεκώλυται κληρικὸς, καὶ ἔχειν κωλυθήσεται μᾶλλον· ἢ τοίνυν παυθήσονται, ἢ καθαιρεθήσονται.

Οὐκ ἔξεστι κληρικὸν καπηλικὸν ἐργαστήριον ἔχειν, καὶ ἐνεργεῖν ἐν αὐτῷ· εἰ γὰρ κεκώλυται ἐν ἀλλοτρίῳ καπηλείῳ εἰσέρχεσθαι, εἰ μὴ δι' ἀνάγκην τοῦτο ποιήσει,

A mergentes in Ecclesia difficultates; idque à festo Paschatis ad finem usque mensis Octobris. Sed de his fusiùs in superiorum Canonum explicatione disseruimus.

Arist. *Quandoquidem bis nequit, semel quotannis saltem celebretur Synodus, inter Pascha & mensem Octobrem.*

Propter difficultates Episcopis accidentes, & Barbarorum incursiones, decretum de Synodo bis quotannis B celebrando à præsenti Canone contrahitur; & decernitur, semel in singulis annis haberi Synodum inter pascha & mensem Octobrem.

Canon IX.

Nulli licere Clerico cauponiam habere tabernam. Si ei enim in cauponam ingredi non est permissum, quanto magis & aliis in ea ministrare, & ea, quæ non licet ipsi tractare? Si quid autem tale fecerit, vel cesset, vel deponatur.

C

Bals. Quinquagesimus quartus Apostolorum Canon Clericos segregari jubet, qui in caupona comedunt. Decernit autem præsens Canon, ne Clericus habeat cauponiam officinam, sive ne cauponiam mercaturam exerceat. Si enim cauponiam officinam in dominio habet, & eam aliis elocat, novum non est. Hoc enim etiam apud monasteria & diversas fit Ecclesias. Quamobrem, habere hic, pro eo quod est exercere, accipe. Quoniam autem aliud est in alienam cauponam ingredi & comedere, & aliud cauponariam exercere: in Canone quidem Apostolico Clericum, qui in caupona comedit, D & post denunciationem non corrigitur, eo omnino quod peccatum sit levius, segregandum dicit. Clericum autem, qui cauponiam tabernam exercet, nec post denunciationem corrigitur, præsens Canon, quoniam gravius omnino peccatum est, dicit esse deponendum. Lege quæ adscripta sunt in dicto quinquagesimo quarto Canone Apostolico, & Synodi Laodic. Can. xxiv. Synod. Carth. Canon xl. & iv. libri Basilic. tit. primi cap. ultimum quod extra xxxv. cap. ix. tit. præsentis operis, positum est.

E

Zonar. Quod cauponiam domum habere clerici hoc Canone prohibentur, id ita accipiendum est, ut eis videlicet operas in caupona locare, ejusque ministeriis inservire ne liceat. Turpe siquidem, atque ab ordinis dignitate vehementer alienum, exercendæ cauponæ clericum præsidere, excipiendis hominibus, apponendis ferculis præsto esse, pincernæque quodammodo operam ac ministeria hospitibus exhibere. Cui enim ut Apostolico Canone quinquagesimo quarto videre est, ad cauponam divertere omnino non permissum, quo pacto talis in eo perpetuo versabitur? Qui igitur id fecerit, aut ab eo instituto cessa- F re, aut depositione mulctari Canon jubet. Domum tamen ejusmodi habere, ac locare alteri, Clericis quoque sine ulla dignitatis jactura concessum est.

Arist. *Si cauponam ingredi prohibetur Clericus, & habere magis prohibebitur: vel itaque desistant, vel deponantur.*

Non licet Clerico cauponariam habere officinam, & in eâ operari. Si enim alterius cauponam ingredi prohibetur, nisi forsitam ob necessitatem illud fecerit: multo magis eum habere cauponam & aliis in ea miniſtrare non oportet. Qui hoc autem facere auſus fuerit, & ceſſare non perſuadetur, deponetur.

CANON X.

Epiſcopus, vel Presbyter, vel Diaconus, qui uſuras, vel quæ dicuntur centeſimæ accipit, vel ceſſet, vel deponatur.

BASS. In xvii. Canone i. Syn. ſatis ſcripſimus de omnibus ſacerdotibus, ſeu ſacris initiatis qui uſuras accipiunt, vel aliquod aliud turpe lucrum ſibi excogitant. Et lege quæ in illo ſcripta ſunt; & invenies ſolutionem repugnantiæ quæ eſſe videtur illius Canonis & præſentis. Præſens enim Canon, & Apoſtolicus xliv. vel ceſſare, vel deponi jubent eum qui tale quid facit. Xvii. autem Canon primæ Synodi eum deponi jubet. Lege & xxvii. cap. ix. tit. præſentis operis.

ZONAR. Uſuras exigere, non Epiſcopi ſolum, Presbyteri, & Diaconi, ſed & omnes in Canone recenſiti, primæ Synodi decimo ſeptimo Canone prohibentur. Ibi nos, & quid centeſima ſit explicavimus, & fuſius, quæ ad ipſius Canonis explicationem pertinent, executi ſumus. Ad ea igitur lectorem remittimus. Sed & eadem, quæ hoc loco, Laodicenæ quoque Synodi quarto Canone præcipiuntur.

ARIST. *Epiſcopus, Presbyter, & Diaconus qui uſuras accipit, niſi ceſſet, deponatur.* Perſpicuus.

CANON XI.

Nemo eorum qui in ſacerdotali ordine enumerantur, vel Laicus, Judæorum azyma comedat, vel ullam cum eis familiaritatem ineat, vel in morbis accerſat, vel ab eis medicinas accipiat, vel unà cum eis in balneis omnino lavetur. Si quis autem hoc facere aggreſſus fuerit, ſi ſit quidem Clericus, deponatur: ſi autem Laicus, ſegregetur.

BALS. Sancti patres nos cum Judæis nullam communionem habere volentes, ſtatuunt nos non debere cum eis feſta celebrare, nec accipere, nec comedere, quæ nunc ab illis fiunt azyma, nec ab eis medicinam accipere, nec cum eis lavari. Eos autem qui præter hæc faciunt, ſi ſint quidem Clerici, deponi jubent: ſi verò Laici, ſegregari. Quære Laod. Syn. Can. xxxi. xxxii. xxxvii. xxxviii. & ſanctorum Apoſtolorum Canonem lxx. & ejus interpretationem. Nec dicat quiſpiam, quod illa azyma vetiti ſunt comedere quæ dantur ab hæreticis, non autem ſacrificium facere per azyma, vel abſolutè comedere azyma; quoniam nos quoque diverſo modo azyma comedimus, quæ dicuntur λεπτμάβατα. Audiet enim quod non azyma comedere ſit prohibitum, ſed per azyma more Judaico feſta celebrare. Quod eſt autem majus feſtum incruento ſacrificio, quod Dominus noſter Jeſus Chriſtus tradidit tempore mortis ſuæ & feſti Paſchalis? Quia autem ſanctis patribus ne in mentem quidem venit nos per azyma celebraturos, quemadmodum hoc quoque fit à Judæis, quibus ſtatutum eſt cum agno & azymis & lactucis agreſtibus Paſchæ feſtum celebrare, ex eo clarum quod omne feſtum Judaicum aboleverint. Propter Latinos qui cum Azymis feſta celebrant, & propter eos qui à Judæis vel reliquis hæreticis medicamenta accipiunt: omnes enim iſti ſegregantur.

A πολλῷ πλέον ἔχειν αὐτὸν καπηλεῖον οὐκ ἔξεστι, καὶ ἄλλοις ἐν τούτῳ διακονεῖν. ὁ δὲ τολμήσας τοῦτο πράττειν, καὶ μὴ ὑπακούων παύσασθαι, καθαιρεθήσεται.

ΚΑΝΩΝ ι'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΒΑΛΣ. Ἐν τῷ ιζ'. κανόνι τῆς α'. συνόδου ἱκανῶς ἐγράψαμεν περὶ πάντων τῶν ἱερωμένων, τῶν λαμβανόντων B τόκους, ἢ καὶ ἕτερόν τι αἰσχρὸν κέρδος ἑαυτοῖς ἐπινοουμένων. καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα· καὶ εὑρήσεις τὴν λύσιν τῆς δοκούσης ἐναντιοφανείας, ἐκείνου τε τοῦ κανόνος καὶ τοῦ παρόντος. ὁ μὲν γὰρ παρὼν κανὼν, καὶ ὁ ἀποστολικὸς μδ'. ἢ παύσασθαι ἢ καθαιρεῖσθαί φησι τὸν τοιοῦτόν τι ποιοῦντα. ὁ δὲ ιζ'. κανὼν τῆς α'. συνόδου καθαιρεῖσθαι τοῦτόν φησιν. ἀνάγνωθι καὶ τὸ κζ'. κεφάλαιον τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Ὁ δὲ τῆς πρώτης Συνόδου ἑπτακαιδέκατος κανὼν οὐ τοὺς Ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους μόνον C κωλύει λαμβάνειν τόκους, ἀλλὰ καὶ τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους. ἔνθα καὶ τί ἐστιν ἑκατοστὴ ἡρμήνευται, καὶ πλατύτερον τὰ περὶ τοῦ κανόνος ἐξήγηται, καὶ ζητητέον ἐκεῖνα. τὰ αὐτὰ δὲ καὶ ὁ τέταρτος κανὼν τῆς ἐν Λαοδικείᾳ Συνόδου κελεύει.

ΑΡΙΣΤ. Ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος τόκους λαμβάνων, εἰ μὴ παύοιτο, καθαιρείσθω. Σαφής.

D

ΚΑΝΩΝ ια'.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ λαϊκὸς, τὰ παρὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθιέτω, ἢ τούτοις προσοικειούσθω, ἢ ἐν νόσοις προσκαλείσθω, καὶ ἰατρείας παρ᾽ αὐτῶν λαμβανέτω, ἢ ἐν βαλανείοις τούτοις παντελῶς συλλουέσθω. εἰ δέ τις τοῦτο πρᾶξαι ἐπιχειροίη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Μηδεμίαν κοινωνίαν ἔχειν ἡμᾶς μετὰ τῶν E Ἰουδαίων οἱ θεῖοι πατέρες θέλοντες, διορίζονται μὴ συνεορτάζειν τούτοις ἡμᾶς, μηδὲ λαμβάνειν καὶ ἐσθίειν τὰ παρ᾽ αὐτῶν τηνικαῦτα γινόμενα ἄζυμα, μηδὲ ἰατρεύεσθαι παρὰ τούτων, ἢ συλλούεσθαι. τοὺς δὲ ποιοῦντας παρὰ ταῦτα, κληρικοὺς μὲν ὄντας παρακελεύεται καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι. ζήτει τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνα λα'. λβ'. λζ'. καὶ λη'. καὶ τῶν ἁγίων Ἀποστόλων κανόνα ο'. καὶ τὴν ἑρμηνείαν αὐτοῦ. καὶ μή τις λεγέτω ὡς ἐκεῖνα τὰ ἄζυμα ἐκωλύθησαν ἐσθίεσθαι τὰ παρὰ τῶν αἱρετικῶν διδόμενα, οὐ μὴν τὸ γίνεσθαι θυσίαν διὰ ἀζύμων, ἢ ἁπλῶς τὸ ἐσθίειν ἄζυμα, ὅτι καὶ ἡμεῖς διαφόρως ἐσθίομεν ἄζυμα τὰ λεγόμενα λειπτμάβατα. ἀκού-F σει γὰρ ὡς οὐ τὸ ἐσθίειν ἄζυμα κεκώλυται, ἀλλὰ τὸ διὰ ἀζύμων κατὰ τοὺς Ἰουδαίους ἑορτάζειν. ποία δὲ μείζων ἑορτὴ τῆς ἀναιμάκτου θυσίας ἐστὶν, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡμῖν παρέδωκε κατὰ τὸν καιρὸν τοῦ θανάτου αὐτοῦ, καὶ τῆς πασχαλίου ἑορτῆς; ὅτι δὲ οὐδὲ εἰς νοῦν ἦλθε τοῖς ἁγίοις πατράσι τὸ ἑορτάζειν ἡμᾶς διὰ ἀζύμων, καθὼς τοῦτο καὶ παρὰ τῶν Ἰουδαίων γίνεται, τῶν ὁρισθέντων μετὰ ἀμνοῦ καὶ ἀζύμων καὶ πικρίδων τὴν τοῦ πάσχα ποιεῖν ἑορτὴν, δῆλόν ἐστιν ἀπὸ τοῦ καταργῆσαι αὐτοὺς πᾶσαν Ἰουδαϊκὴν ἑορτήν. διὰ τοὺς Λατίνους τοὺς ἑορτάζοντας μετὰ ἀζύμων, καὶ διὰ τοὺς ἰατρευομένους παρὰ Ἰουδαίων ων, ἢ λοιπῶν αἱρετικῶν· πάντες γὰρ οὗτοι ἀφωρισμένοι εἰσίν. σημείωσαι τὸν παρόντα κανόνα διδάσκοντα περὶ τῶν ἀζύμων· καὶ ὅτι οἱ παρὰ Ἰουδαίων ἢ ἄλλων αἱρετικῶν ἰατρευόμενοι κολάζονται.

ΖΩΝΑΡ. Καὶ ὁ ἑβδομηκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων ὁρίζει μήτε συνεορτάζειν τοῖς Ἰουδαίοις, μήτε τινὰ παρ' αὐτῶν δέχεσθαι ξένια τῶν παρ' αὐτοῖς ἑορτῶν. οὗτος δὲ ὁ κανὼν οὐδὲ οἰκειοῦσθαι αὐτοῖς, ἀντὶ τοῦ φιλιοῦσθαι συγχωρεῖ, οὔτε παρ' αὐτῶν ἰατρεύεσθαι νοσοῦντας, οὔτε συλλούεσθαι ὅλως αὐτοῖς. καὶ ὁ λβʹ. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ἀπαγορεύει αἱρετικῶν εὐλογίας λαμβάνειν· καὶ ὁ λζʹ. τῆς αὐτῆς συνόδου κανὼν, καὶ ὁ ληʹ. μὴ δεῖν φησι παρὰ Ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς, ἢ ἄζυμα λαμβάνειν, καὶ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν. ἐπάγει δὲ ὁ κανὼν οὗτος τοῖς παραβαίνουσι τὰ ὡρισμένα κόλασιν, τοῖς μὲν ἐν κλήρῳ καθαίρεσιν, τοῖς δὲ λαϊκοῖς ἀφορισμόν.

ΑΡΙΣΤ. Ἄζυμα Ἰουδαίων ἀπόπτυστα· ὁ δὲ καὶ ἰατροὺς αὐτοὺς προσκαλούμενος, ἢ συλλουόμενος, ἔκπτωτος.

Οὐδεμία χριστιανοῖς κοινωνία πρὸς Ἰουδαίους· διὰ τοῦτο χρεὼν ὅστις εὑρεθῇ τὰ τούτων ἄζυμα ἐσθίων, ἢ εἰς ἰατρείαν αὐτοὺς προσκαλούμενος, ἢ συλλουόμενος τούτοις, ἢ ἄλλως πως αὐτοῖς οἰκειούμενος, εἰ μὲν κληρικός ἐστι καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται.

ΚΑΝΩΝ ιβʹ.

Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἔν τε τῇ Ἀφρικῇ καὶ Λιβύῃ, καὶ ἑτέροις τόποις, οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς, καὶ μετὰ τὴν ἐπ' αὐτοὺς προελθοῦσαν χειροτονίαν, οὐ παραιτοῦνται, πρόσκομμα τοῖς ἐντεῦθεν ἄλλοις τιθέντες καὶ σκάνδαλον. πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης, τοῦ πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι, ἔδοξεν, ὥστε μηδαμῶς τὸ τοιοῦτον ἀπὸ τοῦ νῦν γίνεσθαι. τοῦτο δὲ φαμὲν, οὐκ ἐπ' ἀθετήσει ἢ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς προκοπῆς τῆς ἐπὶ τὸ κρεῖττον τῶν λαῶν προθυμούμενοι, καὶ τοῦ μὴ δοῦναι μώμῳ τινὶ τὰ τῆς ἱερατικῆς καταστάσεως. φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, ἀπρόσκοποι γίνεσθε, καὶ Ἰουδαίοις, καὶ Ελλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. εἰ δέ τις φωραθείη τὸ τοιοῦτο πράττων, καθαιρείσθω.

ΒΑΛΣ. Πρὸς κρείττονα βιοτὴν προάγοντες τοὺς τῆς ἐκκλησίας τροφίμους οἱ θεῖοι πατέρες, διακελεύονται πάντη ἀποδιΐστασθαι τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν τῶν ἰδίων γαμετῶν. ἵνα δὲ μὴ δόξωσιν ὑπεναντίως ποιεῖν τῷ εʹ. ἀποστολικῷ κανόνι τῷ παραχωροῦντι τοῖς Ἐπισκόποις συνεῖναι ταῖς οἰκείαις γυναιξὶ μετὰ τὴν χειροτονίαν· ἐπάγουσιν ὡς οὐκ ἐναντιούμενοι τοῖς θείοις ἀποστόλοις ταῦτα διορίζονται, ἀλλ' ὡς θέλοντες τὴν ἐκκλησιαστικὴν κατάστασιν εἰς πλείονα εὐταξίαν προκόψαι· μονονουχὶ τοῦτο λέγοντες, ὅτι οἱ μὲν θεῖοι ἀπόστολοι ἀρχὴν ἐχούσης τῆς πίστεως, συγκαταβατικώτερον διατίθεντο πρὸς τοὺς τῇ πίστει προσερχομένους. ἄρτι δὲ τοῦ εὐαγγελικοῦ κηρύγματος πλατυνθέντος, χρή φασι καὶ τοὺς ἀρχιερεῖς τὸν οἰκεῖον βίον ἀπευθύνειν πρὸς ἀκριβῆ σωφροσύνην. εἰ δὲ συνοικεῖν ταῖς οἰκείαις γαμεταῖς οἱ Ἐπι-

A Nota præſentem Canonem, qui de azymis inſtruit; & quod illi, qui à Judæis vel etiam aliis hæreticis medicis curantur, puniuntur.

Zonar. Ne feſtos dies cum Judæis ſimul celebrare, neve munuſcula ab iis anniverſariis eorum celebritatibus mitti ſolita accipere liceat, ſanctorum etiam Apoſtolorum ſeptuageſimo Canone interdictum fuit. Hoc autem Canone cum iis amicitiam jungere, (i.e.) familiaritatem inire, & illorum opera ægrotantes curari, & eodem cum B illis balneo uti omnino prohibemur. Hæreticorum etiam benedictiones Laodicenæ Synodi trigeſimus ſecundus Canon accipere vetat. Ejuſdem quoque ſynodi xxxvii. & xxxviii. à Judæis vel hæreticis miſſa ex feſtivo apparatu xenia recipere, aut cum eis feſtos dies celebrare, aut azyma ab illis accipere, eorumque proinde impietati communicare negat oportere. Indicit autem hic Canon non obtemperantibus mulctam, Clericis quidem depoſitionem, Laïcis vero ſegregationem.

Arist. *Azuma Judaica ſunt reſpuenda. Quinetiam qui eos medicos accerſit, vel unà cum iis lavat, deponitur.*

C Nulla eſt Chriſtianis cum Judæis communio. Propterea itaque quicunque eorum azyma comedere, aut ad medicationem eos vocare, aut cum iis unà lavare, aut aliter cum iis familiaritatem inire deprehendatur, ſi quidem Clericus eſt, deponetur, ſi vero Laicus, excommunicabitur.

Canon XII.

D *Porro hoc quoque ad noſtram cognitionem pervenit, quod in Africa & Libya & aliis locis, quidam ex iis, qui illic ſunt religioſiſſimi præſules, cum propriis uxoribus, etiam poſtquam ad eos proceſſit ordinatio, unà habitare non recuſant, ex eo populis offendiculum & ſcandalum afferentes. Cum itaque ſtudium noſtrum in eo magnopere laboret, ut omnia ad gregis in manus noſtras traditi nobiſque commiſſi utilitatem fiant, nobis viſum eſt, ut nihil ejuſmodi deinceps ullo modo fiat. Hoc autem dicimus, non ad ea abolenda & evertenda, quæ apoſtolicè antea conſtituta ſunt, ſed populorum ſalutis & ad meliora progreſſionis curam gerentes, & ne ſtatus eccleſiaſti-* E *cus ullo probro afficiatur. Dicit enim Divinus Apoſtolus, Omnia ad Dei gloriam facite, ſine offendiculo eſtote & Judæis, & Græcis, & Dei Eccleſiæ, quemadmodum & ego per omnia omnibus placeo, non quærens meam utilitatem, ſed multorum, ut ſerventur. Imitatores mei eſtote, ſicut & ego Chriſti. Si quis autem tale quid agere deprehenſus fuerit, deponatur.*

Bals. Ad meliorem vitam Eccleſiæ alumnos ſancti patres provehentes, jubent omnino antiſtites, poſtquam ſunt ordinati, à propriis uxoribus ſecedere. Ne F autem contra v. Apoſtolicum Canonem facere videantur, qui Epiſcopis cum ſuis uxoribus poſt ordinationem habitare permittit, inferunt, quod non divinis apoſtolis adverſantes hæc decernunt, ſed ſtatum Eccleſiaſticum in pulchriorem ordinem provehi volentes: propemodum, hoc dicentes; quod divini quidem Apoſtoli, cum fides tantum inciperet, ſe in eos, qui ad fidem accedebant, ita gerebant, ut ad eorum imbecillitatem ſe magis demitterent. Nunc autem cum evangelii prædicatio ſit magis amplificata, Oportet, inquiunt, & Pontifices ad perfectam continentiam vitam ſuam dirigere. Si autem Epiſcopis cum propriis uxoribus habitare non permittetur: multo magis & ipſis tanquam A uxoribus uti permittetur; ſed nec eis cum alienis uxoribus habitare concedetur, ut omne offendiculum amputetur. Lege librum iii. Baſilicor. tit. i. cap. liv. lv. lvi. quæ quidem, cum cxxiii. Juſtiniani Novellæ ſint capita, Epiſcopos deponendos decernunt, qui cum quacunque muliere cohabitant.

σκοποι οὐ παραχωροῦνται, πολλῷ πλέον οὐ κεχρῆσθαι αὐταῖς ὡς γαμεταῖς ἐκχωρηθήσονται· ἀλλ' οὐδὲ μετὰ ἀλλοτρίων γυναικῶν συνοικεῖν παραχωρηθήσονται διὰ περιαίρεσιν παντὸς σκανδάλου. ἀνάγνωθι καὶ βιβλίον τρίτον τῶν βασιλικῶν τίτλῳ α΄. κεφ. νδ΄. νε΄. καὶ νϛ΄. ἅτινα τῆς ρκγ΄. Ιουστινιανείου νεαρᾶς ὄντα κεφ. διορίζονται καθαιρεῖσθαι τοὺς Ἐπισκόπους, οἱᾳδήτινι συνοικοῦντας γυναικί.

Zonar. Ne Epiſcopo, Presbytero, aut Diacono, uxorem ſuam ſub prætextu pietatis repudiare liceat, quinto Apoſtolico Canone cautum eſt; quique id fecerit, ſegregari primo, ac ſi tum quoque pertinax fuerit, depoſitione B mulctari decretum. Hoc verò Canone, ubi renunciatus aliquis Epiſcopus fuerit, uxorem, ſi quæ nondum ſacris ordinibus initiato ducta foret, ſub eodem tecto ne habeat, conſtitutum. Et vero non ſe ſtudio evertendæ contrariis ſanctionibus Apoſtol. conſtitutionis adductos, ſed populorum ſaluti, atque in virtutibus progreſſioni conſulentes, ac ne qua inde ſacro ordini macula inureretur providentes, Epiſcopis uxorum, quas antea duxerant, commercio & conſuetudine interdicendum cenſuiſſe, auctores Canonis addidere. Quaſi divinos ſcilicet Apoſtolos, naſcente ac emergente tum primum fide, neque adhuc ſonitu divinæ prædicationis latiùs evulgato mitius cum iis, qui fidem C amplecterentur, ac remiſſiùs egiſſe, nec ab eis omnes perfectionis numeros exigentes, aliquid tum imbecillitati ipſorum, tum inveteratæ apud omnes gentes, atque adeo apud ipſos Judæos, conſuetudini indulſiſſe affirment. Nam & ſummis Judæorum ſacerdotibus uxores habere per leges licebat, neque id vero Græcorum ſacrificulis ulla conſtitutione interdictum fuit. Nunc vero longe latéque propagata religione, ac diligentius quæ ad ſanctiorem vitæ normam pertinent conſtitutis, augeſcente indies Euangelico cultu, ſeverioribus, inquiunt, vitam ſuam continentiæ legibus adſtringere ipſi quoque Epiſcopi debent, ut non modo ab alienis uxorib. abſtineant, ſed ab iis quoque, quas thori D conſortes habuere: neque ſolum lecti ſocias non admittant, ſed nec ſub eodem tecto aut iiſdem ædibus degere patiantur. Nam etſi fieri poteſt, ut caſtos ſe nihilominus atque integros ſervent, aliis tamen offendiculo & ſcandalo erunt. Quo loco magnum quoque Paulum ſancti Patres producunt, dicentem. Sine offenſione eſtote & Judæis & Græcis & Eccleſiæ Dei, quemadmodum & ego omnibus in omnibus placeo, non meam utilitatem quærens, ſed multorum, ut ſalventur. Imitatores mei eſtote, ſicut & ego Chriſti. Poſtremo qui huic Canoni non obtemperaverint, eis depoſitionis mulctam irrogari jubent. E

ΖΩΝΑΡ. Ὁ πέμπτος ἀποστολικὸς κανών φησιν· Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω, ἐπιμένων δὲ, καθαιρείσθω. ὁ δὲ παρὼν κανὼν κωλύει τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν συνοικεῖν ταῖς πρὸ τῆς ἱερωσύνης γυναιξὶν αὐτῶν, καί φασιν οἱ τοῦτον ἐκθέμενοι τὸν κανόνα, ὅτι οὐκ ἀνατρέποντες τὰ νενομοθετημένα τοῖς ἀποστόλοις καὶ ἀντινομοθετοῦντες κωλύομεν τοῖς Ἐπισκόποις τὴν μετὰ τῶν προτέρων συμβίων αὐτῶν συνοίκησιν, ἀλλὰ θέλοντες τὴν σωτηρίαν τῶν λαῶν, καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν προκοπὴν, καὶ ὥστε μή τινα μῶμον ἐκ τούτου προστρίβεσθαι τῇ ἱερωσύνῃ, μονονουχὶ τοῦτο λέγοντες, ὅτι οἱ μὲν θεῖοι ἀπόστολοι ἀρχὴν ἐχούσης τῆς πίστεως, καὶ τοῦ θείου κηρύγματος οὔπω πλατυνθέντος συγκαταβατικώτερον διετίθεντο πρὸς τοὺς τῇ πίστει προσερχομένους, καὶ πάντη ἀπῄτουν τὸ τέλειον, ἀλλ' ἐνεδίδουν τῇ ἀσθενείᾳ αὐτῶν, καὶ τοῖς ἔθεσι τοῖς ἐθνικοῖς, καὶ Ἰουδαϊκοῖς. οἵ τε γὰρ τῶν Ἰουδαίων ἀρχιερεῖς γυναιξὶ συνοικεῖν συγκεχωρημένον εἶχον ἐκ τοῦ νόμου, καὶ τοῖς Ἑλλήνων ἀρχιερεῦσιν ὁ γάμος ἀκώλυτος ἦν. ἄρτι δὲ τοῦ κηρύγματος πλατυνθέντος καὶ εἰς κρείττω κατάστασιν καὶ τάξιν τῶν πιστῶν ἐληλυθότων, καὶ τῆς εὐαγγελικῆς πολιτείας ἐπιδιδούσης, χρῆναι φασὶ καὶ τοὺς ἀρχιερεῖς τὸν οἰκεῖον βίον πρὸς ἀκριβῆ σωφροσύνην ἀπευθύνειν, ὡς μὴ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ τῶν πρότερον αὐτοῖς συνευναζομένων, καὶ μὴ μόνον εὐνῆς αὐταῖς μὴ κοινωνεῖν, μηδὲ μίξεως, ἀλλὰ μηδὲ συνοικεῖν αὐταῖς, καὶ ἐν τῇ αὐτῇ κατοικίᾳ συζῆν. οἱ μὲν γὰρ ἴσως καὶ τοῦ σωφρόνως ζήσονται, ἄλλοις δὲ πρόσκομμα καὶ σκάνδαλον ἔσονται. καὶ παράγουσιν οἱ ἱεροὶ πατέρες ἐκεῖνοι καὶ τὸν μέγαν Παῦλον λέγοντα, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. εἶτα τοῖς μὴ τὸν κανόνα τοῦτον φυλάττουσιν ἐπάγουσιν ἐπιτίμιον τὴν καθαίρεσιν.

Arist. *Etiamſi dictum ſit uxores non ejiciendas eſſe, nihilominus ad melius progreſſioni conſulentes, præſuli ordinato, cum uxore amplius ne cohabitet, in mandatis damus.*

ΑΡΙΣΤ. Εἰ καὶ λέλεκται μὴ ἐκβάλλειν γυναῖκας, ἀλλὰ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς προμηθέμενοι, τῷ χειροτονουμένῳ προέδρῳ μηκέτι συνοικεῖν γυναικὶ παραγγέλλομεν.

Quintus ſanè Canon Apoſtolicus nec Epiſcopum nec Presbyterum nec Diaconum uxorem ſuam religionis prætextú ejicere vellet; ſed & ab eo qui hoc fecerit pœnas petit; eumque ſi corrigi non poteſt, deponit. Hic autem Canon Epiſcopis, poſtquam ad F Epiſcopatum ordinati ſunt, unà cum ſuis cohabitare uxoribus non permittit; non in eorum quæ Apoſtolicè ſunt conſtituta contemptum & everſionem illud faciens, ſed populi ſalutis & ad meliora progreſſionis curam gerens, & ne ſtatus Sacerdotalis probo aliquo afficeretur. Omnia enim, inquit divinus Apoſtolus, ad Dei gloriam facite, ſine offendiculo eſtote & Judæis & Græcis, & Eccleſiæ Dei, quemadmodum & ego per omnia omnibus placeo, non meam quærens utilitatem ſed multorum, & ut ſerven-

Ὁ μὲν Ἀποστολικὸς πέμπτος κανὼν, οὔτε Ἐπίσκοπον, οὔτε πρεσβύτερον, ἢ διάκονον, τὴν ἑαυτοῦ γυναῖκα, προφάσει εὐλαβείας ἐκβάλλειν βούλεται· ἀλλὰ καὶ τὸν τοῦτο ποιοῦντα ἐπιτιμᾷ, καὶ ἀδιόρθωτον μένοντα καθαιρεῖ. οὗτος δὲ ὁ κανὼν οὐ συγχωρεῖ τοῖς Ἐπισκόποις, μετὰ τὴν ἐπ' αὐτοῖς προελθοῦσαν τῆς ἐπισκοπῆς χειροτονίαν, ταῖς ἰδίαις συνοικεῖν γαμεταῖς, οὐκ ἐπ' ἀθετήσει καὶ ἀνατροπῇ τῶν ἀποστολικῶν νενομοθετημένων τοῦτο ποιῶν, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τοῦ λαοῦ προμηθέμενος, καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως. πάντα γάρ, φησὶν ὁ θεῖος ἀπόστολος, εἰς δόξαν θεοῦ ποιεῖτε, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ· καθὼς ἐγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ

συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. μιμηταί μου γίνεσθε, καθὼς ἐγὼ Χριστοῦ. Τὸν δὲ τοῦτο πράττοντα Ἐπίσκοπον, καὶ μετὰ τὴν χειροτονίαν τῆς ἐπισκοπῆς τῇ ἰδίᾳ γαμετῇ συνοικοῦντα, καθαιρεῖσθαι προστάττει.

ΚΑΝΩΝ ιγ΄.

Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου χειροτονίας ἀξιοῦσθαι, καθομολογεῖν ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας· ὥστε, εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐμβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ· μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται ἀπὸ τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας· ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ Θεοῦ νομοθετηθέντα, καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ, γάμον καθυβρίζειν ἐκβιασθῶμεν· τῆς τοῦ εὐαγγελίου φωνῆς βοώσης, ἃ ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ τοῦ ἀποστόλου διδάσκοντος, τίμιον τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον· καὶ, δέδεσαι γυναικί, μὴ ζήτει λύσιν. ἴσμεν δέ, ὥσπερ καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες, τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν, ἔφασαν, ὥστε τοὺς ὑποδιακόνους, τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους, κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι· ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθέν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν, καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος, καὶ μάλιστα νηστείας καὶ προσευχῆς. χρὴ γὰρ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρήσεως ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν, ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν, ἐπιτυχεῖν. εἴ τις οὖν τολμήσοι παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰς τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν ἢ διακόνων ἢ ὑποδιακόνων ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω· ὡσαύτως, καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω.

ΒΑΛΣ. Κωλύσαντες οἱ θεῖοι πατέρες τοὺς Ἐπισκόπους μετὰ τὴν χειροτονίαν ταῖς οἰκείαις συνοικεῖν γυναιξὶν, ὑποδιαστέλλουσι τὰ περὶ τῶν διακόνων καὶ τῶν ἱερέων· καὶ διορθούμενοι ὥσπερ τὸ γινόμενον χάριν τούτων εἰς τὴν τῶν Ῥωμαίων ἐκκλησίαν, δηλονότι τὸ ἀναγκάζεσθαι καὶ τούτους μετὰ τὴν χειροτονίαν ἀπέχειν ἐκ τῶν πρότερον συζευχθεισῶν αὐτοῖς γυναικῶν· ἀναστέλλοντες δὲ καὶ τοὺς ἴσως μέλλοντας εἰπεῖν κωλύεσθαι καὶ τούτους συνεῖναι ταῖς οἰκείαις γυναιξὶν, ὥσπερ δὴ κεκώλυνται καὶ οἱ ἀρχιερεῖς, διορίζονται τοὺς ἀξίους χειροτονίας μὴ ἀποζευγνύεσθαι ἐκ τῶν προτέρων νομίμων γυναικῶν αὐτῶν. προστιθέασι δὲ μὴ ἔχειν τούτους τὴν μετὰ τῶν ὁμοζύγων αὐτῶν συνάφειαν ἀδιάφορον· ἀλλὰ ἀποδιΐστασθαι τούτων, κατὰ τὸν καιρὸν τῆς ἐφημερείας αὐτῶν, ἤγουν καθ' οὓς ἱερουργοῦσι καιρούς. ὥσπερ τοῦτο διωρίσατο καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος ἐν τῷ γ΄. καὶ κε΄. καὶ ο΄. κανόνι. καὶ ὁ γ΄. κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου. τοὺς δὲ τολμῶντας ἀποστερεῖν μετὰ τὴν χειροτονίαν τοὺς διακ

A tur. Imitatores mei eſtote, ſicut ego ſum Chriſti. Epiſcopum autem, qui hoc fecerit, & poſt ordinationem ad Epiſcopatum cum ſuâ habitaverit uxore, deponi jubet.

Canon. XIII.

Quoniam Romanæ Eccleſiæ pro Canone traditum eſſe cognovimus, ut Diaconi vel Presbyteri, qui ut ordinentur, digni exiſtimandi ſunt, profiteantur ſe non amplius ſuis uxoribus conjungendos: nos antiquum Canonem Apoſtolicæ perfectionis ordiniſque ſervan- B *tes, hominum in ſacris ordinibus legitima conjugia deinceps ex hoc temporis momento firma & ſtabilia eſſe volumus, nequaquam eorum cum uxoribus conjunctionem diſſolventes, vel eos mutua tempore convenienti conſuetudine privantes. Quamobrem, ſi quis dignus inventus fuerit, qui Hypodiaconus vel Diaconus vel Presbyter ordinetur, is ad talem gradum aſſumi nequaquam prohibeatur, ſi cum legitima uxore cohabitet. Sed neque ordinationis tempore ab eo poſtuletur, ut profiteatur ſe à legitima cum uxore conſuetudine abſtenturum: ne ex eo à Deo* C *conſtitutas & ſua præſtantia benedictas nuptias injuria afficere cogamur; evangelica voce exclamante, Quæ Deus conjunxit, homo ne ſeparet; & Apoſtolo docente, Honorabiles nuptias, & thorum immaculatum; &, Alligatus es uxori, ne quære ſolutionem. Scimus autem, ſicut & qui Carthagine convenerunt, miniſtrorum gravitatis honeſtatiſque curam gerentes, dixerunt, ut Subdiaconi, qui ſacra myſteria contrectant, & Diaconi & Presbyteri, propriis terminis à conſortibus abſtineant. Ut & quod per Apoſtolos traditum eſt, & ab ipſa uſ-* D *que antiquitate ſervatum, nos quoque ſimiliter ſervemus, tempus in omni re ſcientes, & maximè in jejunio & oratione. Oportet enim eos qui divino altari aſſident, in ſanctorum tractandorum tempore eſſe omnino continentes, ut poſſint id, quod à Deo ſimpliciter petunt, obtinere. Si quis ergo præter Apoſtolicos Canones, incitatus ſit aliquem eorum qui ſunt in ſacris, Presbyterorum, inquimus, vel Diaconorum vel Hypodiaconorum conjunctione cum legitima uxore & conſuetudine privare, deponatur. Similiter & ſi quis Presbyter vel Diaconus ſuam uxo-* E *rem pietatis prætextu ejecerit, ſegregetur: & ſi perſeveret, deponatur.*

Bals. Cùm prohibuiſſent ſancti patres Epiſcopis cum propriis uxoribus habitare poſt ordinationem, de Diaconis & Sacerdotibus ſubdiſtinguunt; & veluti corrigentes quod ea de cauſa fit in Romana Eccleſia, ſcilicet quod & ii poſt ordinationem cogantur à prius ſibi conjunctis uxoribus abſtinere: reprimentes autem & eos, qui fortaſſe dicturi erant prohiberi & illos cum ſuis uxoribus coire, quemadmo- F dum prohibentur & Antiſtites; decernunt eos, qui ut ordinentur digni ſunt, à prioribus ſuis legitimis uxoribus non ſeparari. Adjiciunt autem eos non cum ſuis conjugibus conjunctionem indiſcriminatim habituros; ſed ab iis abſtenturos vicis ſuæ tempore, eo ſcilicet tempore quo ſacrificant: ſicut hoc definiit & Carthaginenſis Synodus in iii. & xxv. & lxx. Can. & iii. Canon Dionyſii Archiepiſcopi Alexandrini. Eos autem, qui audeant poſt ordinationem Diaconos & Sacerdotes cum prioribus ſuis legitimis uxoribus conſuetudine privare, deponendos dicunt. Præterea

autem & ipſos qui ordinantur, ſuas uxores pietatis prætextu expellentes, ſegregandos ſtatuunt: ſin autem in malo perſiſtant, ſeu eas non accipiant, etiam deponendos. Excipe mihi ſacerdotes, qui ſunt in Eccleſiis barbaricis. Lege & xxx. Canonem hujus ſynodi de his quoque ſtatuentem. Ne repugnare autem exiſtimes iii. Can. Carth. Syn. dicenti, prohiberi à conjunctione cum ſuis uxoribus, vicis ſuæ tempore, Epiſcopos, Presbyteros & Diaconos. Ejuſdem enim Synodi Canon iv. & xxv. & præſens, etiam Hypodiaconos adjicit. Nota ex præſenti Canone, quod ſacerdotes & Diaconi & Hypodiaconi, ut qui ſacra tractant, à ſuis abſtineant uxoribus vicium ſuarum temporibus neceſſe eſt. Qui itaque perpetuo & indies propemodum miniſtrant, & ſacra attingunt, quonam modo ſe excuſabunt? Lege & iii. xxv. & lxx. Can. Synodi Carthaginenſis & quæ in iis ſcripta ſunt.

A κόνους καὶ τοὺς ἱερεῖς τῆς μετὰ τῶν προτέρων νομίμων γυναικῶν αὐτῶν συναφείας, καθαιρεῖσθαι φασί. προσέτι γοῦν καὶ αὐτοὺς τοὺς χειροτονουμένους, προφάσει εὐλαβείας τὰς γυναῖκας αὐτῶν ἐκβάλλοντας, ἀφορίζεσθαι διορίζονται· ἐπιμένοντας δὲ τῷ κακῷ, ἤγουν μὴ προσλαμβανομένους ταύτας, καὶ καθαιρεῖσθαι. ὑπέξελέ μοι τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερεῖς. καὶ ἀνάγνωθι τὸν λ΄. κανόνα τῆς παρούσης Συνόδου περὶ τούτων θεσμοθετοῦντα. μὴ ἐναντιωθῇς δὲ τῷ γ΄. κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου, λέγοντι κωλύεσθαι τῆς μετὰ τῶν ὁμοζύγων αὐτῶν συναφείας, κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, Ἐπισκόπους, πρεσβυτέρους καὶ διακόνους. ὁ γὰρ δ΄. κανὼν τῆς αὐτῆς συνόδου, B καὶ ὁ κε΄. καὶ ὁ παρών, καὶ τοὺς ὑποδιακόνους προστίθησι. σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἀναγκάζονται οἱ ἱερεῖς καὶ οἱ διάκονοι καὶ οἱ ὑποδιάκονοι, ὡς τὰ ἱερὰ μεταχειριζόμενοι, ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν κατὰ τοὺς καιροὺς τῶν ἐφημεριῶν αὐτῶν. οἱ γοῦν δι' ὅλου καὶ σχεδὸν καθ' ἑκάστην λειτουργοῦντες καὶ ψηλαφῶντες τὰ ἅγια, τί ἀπολογήσονται; ἀνάγνωσον καὶ γ΄. κε΄. καὶ ο΄. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου καὶ τὰ ἐν αὐτοῖς.

ZONAR. In Romana Eccleſia morem invaluiſſe, vimque in ea legis obtinere divini Patres aiunt, ut quicunque ſacerdotes, aut Diaconi fiunt, ſibi nihil in poſterum cum uxoribus, quibus ante ſociati fuerant, amplius omnino commercii fore profiteantur, & ſpondeant. At nos, inquiunt, nihil ejuſmodi poſtulamus, verum Apoſtolico Canone edocti, contractum cum juſta uxore connubii fœdus, ratum inviolatumque eſſe volumus, neque quo minus mutua inter ſe conſuetudine, congreſſuque, habita nihilominus temporum ratione, conjuges perfruantur, prohibemus. Si quis igitur ſacro ſe presbyteratus, aut diaconatus, aut ſubdiaconatus ordine dignum præbeat, eligi, quamvis uxori alligatum, nulla ex eo divortii impoſita neceſſitate hominem licebit: ne alioqui nuptias, quas & ſuo ipſe conſpectu dominus honeſtavit, & miraculis ibidem editis conſecravit, improbare videamur. Quarum quidem etiam ſanctitatem, aliis quoque ſacrarum literarum teſtimoniis aſſerere nituntur. Deinde quod in connubiali copula temporis rationem ab initiatis habendam eſſe antea dictum eſt, id nunc allato ſynodi Carthaginenſis decreto, quale ſit explicant: quo ſcilicet quibus tractandarum rerum ſacrarum cura demandata eſt, per vices ſuas, conſtitutaque ipſis divini miniſterii tempora, abſtinere ab uxorum contagione jubentur. Quod idem Alexandrini quoque Archiepiſcopi Dionyſii Canone tertio ſancitum eſt. Quod ſi qui nihilominus ab uxoris legitimæ conſociatione, & commercio, ſacerdotes, aut Diaconos, aut Hypodiaconos conetur abducere, depoſitionis, quæ maxima eſſe poteſt, homini pœnam Patres denuntiant. Sed nec ſacris ordinibus initiatis, quos diximus, uxores ſuas religionis obtentu repudiare permiſſum, quin ſegregari primo, ſi id fecerint, ac niſi poſtea mutata ſententia eaſdem reduxerint, eos deponi præterea jubent.

ΖΩΝΑΡ. Ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ φασὶν οἱ θεῖοι πατέρες ἔθος κρατῆσαι, καὶ ὡς κανόνα ἐκείνοις κρίνεσθαι τοὺς χειροτονουμένους ἱερεῖς καὶ διακόνους, συντίθεσθαι καὶ ὁμολογεῖν ἀπέχεσθαι C τελείως μετὰ τὴν χειροτονίαν τῶν πρότερον αὐτοῖς συζευχθεισῶν γυναικῶν. τοῦτο δὲ ἡμεῖς οὐκ ἀπαιτούμενοι φασιν, ἀλλὰ τῷ κανόνι τῷ ἀποστολικῷ ἀκολουθοῦντες, τὰ νόμιμα συνοικέσια τῶν εἰς ἱερωσύνην ἐρχομένων κρατεῖν βουλόμεθα, καὶ ἱερωμένα εἶναι, καὶ ἀδιάλυτα, καὶ οὐκ ἀποστεροῦμεν αὐτοὺς τῆς πρὸς ἀλλήλους συναφείας, καὶ μετὰ τὸν προσήκοντα καιρὸν ὁμιλίας. ὃς τοίνυν ἄξιος φανείη χειροτονίας πρεσβυτέρου ἢ διακόνου ἢ ὑποδιακόνου ἔχων γυναῖκα οὐ κωλυθήσεται τῆς τοιαύτης χειροτονίας, οὔτε ἀπαιτηθήσεται ὁμολογῆσαι ὡς ἀποστήσεται τῆς πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας. ὡς ἂν μὴ ἐντεῦθεν διαβάλλοιτο ὁ γάμος, ὃν ὁ κύριος παρ- D ουσιάσας, καὶ ἐν αὐτῷ θαυματουργήσας, εὐλόγησε. καὶ ἑτέραις δὲ γραφικαῖς χρήσεσι κέχρηνται περὶ τοῦ γάμου. εἶτα ὃ εἶπον ἀνωτέρω περὶ τοῦ κατὰ τὸν προσήκοντα καιρὸν ὁμιλεῖν ταῖς γαμεταῖς τοὺς ἱερωμένους σαφηνίζουσι· καὶ μέμνηνται τῆς ἐν Καρθαγένῃ Συνόδου διαταξαμένης τοὺς τὰ ἱερὰ ψηλαφῶντας ἤτοι μεταχειριζομένους κατὰ τοὺς ἰδίους ὅρους, ἤγουν μετὰ τὰς ἐφημερίας αὐτῶν καὶ τοὺς καιροὺς καθ' οὓς ἱερουργοῦσιν, ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι. καὶ ὁ τρίτος δὲ κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου τὰ αὐτὰ διατάττεται. καὶ ἐπὶ τούτοις ἀπειλοῦσιν οἱ τὸν κανόνα θέμενοι πατέ- E ρες τοῖς ἀποστερεῖν ἐπιχειροῦσι πρεσβυτέρους ἢ διακόνους ἢ ὑποδιακόνους τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας εἰς τὸ παντελὲς καθαίρεσιν. ἀλλ' οὐδὲ τοῖς εἰρημένοις ἱερωμένοις συγχωρεῖ τὰς οἰκείας γυναῖκας ἐκβάλλειν προφάσει εὐλαβείας· ἀφορίζει γὰρ τοὺς τοιούτους μέχρις ἂν προσλάβωνται αὖθις τὰς οἰκείας συμβίους, ἐπιμένοντας δὲ καθαιρεῖ.

ARIST. *Etiamſi Romani eum, qui Diaconus vel Presbyter ordinatus eſt, uxorem ſuam dimittere velint, nos tamen Diaconorum & Presbyterorum conjugia rata, firmaque manere volumus.*

ΑΡΙΣΤ. Κἂν οἱ Ῥωμαῖοι τὸν εἰς διάκονον ἢ πρεσβύτερον προαγόμενον ἀφεῖναι τὴν γυναῖκα βεβούλωνται· F ἡμεῖς ἐρρῶσθαι τὰ διακόνων καὶ πρεσβυτέρων βουλόμεθα συνοικέσια.

Et ſi in Eccleſiâ Rom. ut in Can. ordine hoc obtinuit, ut qui ad Presbyteratum aut Diaconatum eſt promovendus ante ordinationem confiteatur, ſe non amplius uxori ſuæ conjungi, ſed omnem cum eâ congreſſionem diſſolvere: tamen, ut Evang. & Apoſt. curæ contrarium, ab hoc Can. non admittitur, qui quidem decernit Presbyteros & Diaco. conjugia ſua legitime inita nequaquam diſſolvere,

Εἰ καὶ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ, ὡς ἐν τάξει κανόνος, κρατεῖ τό, τὸν μέλλοντα γενέσθαι πρεσβύτερον ἢ διάκονον, πρὸ τῆς χειροτονίας ὁμολογεῖν τὸ μηκέτι συνάπτεσθαι τῇ αὐτοῦ γαμετῇ, ἀλλὰ τὴν πρὸς αὐτὴν συνάφειαν διαλύειν· ἀλλ' οὖν ὡς ἐναντιούμενον καὶ τῇ εὐαγγελικῇ καὶ τῇ ἀποστολικῇ ἀκριβείᾳ, ἀδεκτόν ἐστι καὶ τῷ παρόντι κανόνι καὶ διορίζεται μηδαμῶς τοὺς πρεσβυτέρους καὶ διακόνους τὰ κατὰ νόμους συστάντα συνοικέσια διαλύειν· ἀλλὰ τὴν πρὸς τὰς γαμετὰς αὐτῶν συνάφειαν διατηρεῖν, ἀπέχεσθαι δὲ τῆς πρὸς αὐτὰς ὁμιλίας κατὰ τὸν καιρὸν τὸν προσήκοντα, τοῦτ᾽ ἔστιν, ἐν τῷ καιρῷ τῆς νηστείας καὶ τῆς τῶν ἁγίων μεταχειρήσεως· ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ θεοῦ αἰτοῦσιν ἁπλῶς ἐπιτυχεῖν· τὸν δὲ ἐπιχειρήσαντα προφάσει εὐλαβείας τὴν ἑαυτοῦ ἐκβαλεῖν γυναῖκα, ἀφορίζεσθαι· εἶτα καὶ ἀδιόρθωτον μένοντα, καθαιρεῖσθαι κατὰ τὸν ἀποστολικὸν πέμπτον κανόνα.

ΚΑΝΩΝ ιδ'.

Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν πατέρων κρατείτω κανὼν καὶ ἐν τούτοις, ὥστε πρεσβύτερον πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλ᾽ ἀποστερεῖσθαι. ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως, μήτε διάκονον, πρὸ τῶν εἰκοσιπέντε χρόνων, ἢ διακόνισσαν πρὸ τῶν τεσσαράκοντα ἐτῶν χειροτονεῖσθαι.

ΚΑΝΩΝ ιε'.

Ὑποδιάκονος μὴ ἧττον τῶν εἴκοσι χρόνων χειροτονείσθω· εἰ δέ τις τῶν ἐν οἱᾳοῦν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

ΒΑΛΣ. Σημείωσαι ὅτι ἀπὸ τῶν παρόντων δύο κανόνων καθαιρέσει καθυποβάλλονται οἱ παρὰ τοὺς ὁρισθέντας τοῖς κανόσι χρόνους χειροτονούμενοι. οἱ παρόντες δύο κανόνες ὁ ιδ'. καὶ ὁ ιε'. τοὺς χρόνους ὑποτυποῦσι τῶν ἐν τῷ βήματι ἐξυπηρετούντων, ἤγουν ἱερέων, διακόνων, ὑποδιακόνων, καὶ διακονισσῶν. καὶ διορίζονται τὸν πρεσβύτερον τριακονταετῆ γεγονότα χειροτονεῖσθαι· τὸν διάκονον κε'. χρόνων· τὸν ὑποδιάκονον εἰκοσαετῆ. καὶ τὴν διακόνισσαν τεσσαρακονταετῆ. τοὺς δὲ μὴ ὑπερβάντας τοὺς τοσούτους χρόνους καὶ χειροτονουμένους, καθαιρεῖσθαι. καὶ ταῦτα μὲν περὶ τῆς τῶν τεσσάρων τούτων βαθμῶν χειροτονίας. τὸ δὲ κη'. κεφ. τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν περὶ κληρώσεως ἀναγνώστου διδάσκον, διορίζεται μὴ εἶναι τοῦτον ἧττονα τῶν δεκαοκτὼ ἐνιαυτῶν. καὶ ἀνάγνωθι τὸ κη'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, ἀνάγνωθι καὶ τὴν ις'.. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην ἀκολούθως τῷ παρόντι κανόνι, γίνεσθαι ὑποδιάκονον τὸν πληρώσαντα τὰ εἴκοσι ἔτη.

ΖΩΝΑΡ. Οἱ κανόνες οὗτοι τοὺς χρόνους ἱστῶσι τῶν χειροτονουμένων, καὶ τὸν μὲν πρεσβύτερον τριακονταετῆ χειροτονεῖσθαι ὁρίζουσι, τὸν δὲ διάκονον κε'. γεγονότα ἐτῶν, τὴν δὲ διακόνισσαν τεσσαρακοστὸν διανύσασαν ἐνιαυτόν, πρὸ δὲ τῶν χρόνων τούτων μὴ χειροτονεῖσθαι αὐτούς, κἂν πάνυ δόξωσιν ἄξιοι τῆς χειροτονίας, ἀλλ᾽ ἀποτηρεῖσθαι, φυλάττεσθαι δηλαδή, ἀναμένοντας καὶ τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν· ὑποδιάκονον δὲ εἰκοσαετῆ χειροτονεῖσθαι. εἰ δέ τις πρὸ τῶν ῥηθέντων χρόνων χειροτονηθείη, τῆς τῶν κανόνων παραβάσεως ὑφέξει τὴν καθαίρεσιν. καὶ ὁ ιε'. δὲ τῆς τετάρτης συνόδου κανὼν ὁμοίως περὶ τοῦ χρόνου τῶν διακονισσῶν διατάττεται.

ΑΡΙΣΤ. Καν. ιδ'. Πρεσβύτερος τριακονταετίας ἐνδέων, καὶ διάκονος εἰκοσιπενταετίας, καὶ διακόνισσα τεσσαρακονταετίας.

A sed cum uxoribus suis conjunctionem obſervare, à conſuetudine autem cum iis abſtinere tempore convenienti, hoc eſt, in jejunii & ſacrorum tractandorum tempore; ut poſſint id, quod à Deo ſimpliciter petunt, obtinere. Is autem qui pietatis prætextu uxorem ſuam ejicere aggreſſus eſt, ſegregatur, & ſi in emendabilis maneat, deponitur, juxta quintum Canonem Apoſtolicum.

CANON XIIII.

B *Sanctorum divinorúmque patrum noſtrorum canon in his quoque valeat, ut Presbyter ante xxx. annos non ordinetur, etiamſi ſit homo valde dignus, ſed reſervetur. Dominus enim Jeſus Chriſtus xxx. anno baptizatus eſt, & cœpit docere. Similiter nec Diaconus ante xxv. annos, nec Diaconiſſa ante quadraginta annos ordinetur.*

CANON XV.

C *Subdiaconus ne minor xx. annis ordinetur. Si quis autem eorum, qui ſunt in ſtatu ſacerdotali, præter præfinita tempora ordinatus fuerit, deponatur.*

BALS. Nota ex his duobus canonibus depoſitioni obnoxios reddi eos qui extra tempora canonibus aſſignata ordinantur. Præſentes duo Canones, xiiii. & xv. eorum tempora deſcribunt qui in ſacrario ſerviunt, ſcilicet Sacerdotum, Diaconorum, Subdiaconorum & Diaconiſſarum; & ſtatuunt Sacerdotem ordinandum, qui fuerit xxx. annos natus, Diaconum qui xxv. Subdiaco- D num qui xx. & Diaconiſſam, quæ xl. eos autem qui hæc tempora non exceſſerint & ordinati fuerint, deponendos. Et hæc quidem de horum iiii. graduum ordinatione. xxviii. autem caput primi tituli iii. libri Baſilicor. docens de Lectoris in clerum cooptatione, decernit eum non debere eſſe minorem xviii. annis. Lege etiam cap. xxviii. primi tituli præſentis operis, & quæ in eo ſunt. Et lege etiam xvi. novellam Imp. domini Leonis philoſophi, quæ preſenti canoni conſequenter ſtatuit, demum fieri Subdiaconum oportere qui vigeſimum annum compleverit.

E **ZONAR.** Initiandorum ſacris ordinibus ætates canon hic uterque deſcribit, ac in Sacerdote creando trigeſimum, in Diacono vigeſimum quintum, in Diaconiſſa quadrageſimi anni finem expectari jubet, neque qui minor ſit, quamvis ſe dignum is maxime oſtenderit, quenquam ad ordines admitti; verum ſeponi hominem, hoc eſt, dum ad cætera ejus merita ætatis quoque maturitas acceſſerit, expectari placet; Hypodiaconum autem viginti annis natum ordinari. Si quis verò ante prædictam ætatem ordinibus initiatus ſit, violati canonis pœ- F nas depoſitione luet. Eadem de Diaconiſſarum ætate quartæ quoque Synodi decimo quinto canone conſtituta ſunt.

ARIST. Can. xiiii. *Presbyter annos triginta, Diaconus viginti quinque, & Diaconiſſa quadragina nata*, ordinatur.

Arist. *Et Hypodiaconi viginti annos nati eliguntur.*

Quamvis nonnulli admodum digni inveniantur, nemo tamen intra præfinita cuique ordini tempora in gradum aliquem provehatur. Sed quicunque, ſive Preſbyter ante annos triginta, ſive Diaconus ante viginti quinque, ſive Hypodiaconus ante viginti ſit, deponetur. Sic & Diaconiſſa ſi ante quadraginta annos fiet.

CANON XVI.

Quoniam Actuum liber ſeptem Diaconos ab Apoſtolis conſtitutos eſſe tradit; Neocæſarienſis autem Synodus ſic in à ſe editis canonibus apertè diſſeruit; quòd ſeptem debent eſſe Diaconi ex canone, etiamſi ſit magna civitas: ex libro porro Actuum perſuadeberis: nos cùm dicto Apoſtolico patrum mentem adaptaſſemus, invenimus eos eſſe locutos, non de viris qui miniſtrant myſteriis, ſed de miniſterio quod in uſu menſarum adhibebatur, cùm liber Actuum ſic habeat: In diebus illis, cùm diſcipulorum multitudo creſceret, fuit Græcorum murmur adverſus Hebræos, quòd deſpiciebantur eorum viduæ in miniſterio quotidiano. Duodecim ergo, accerſita diſcipulorum multitudine, dixerunt, Non æquum eſt ut verbo Dei relicto menſis miniſtremus, Deligite ergo, fratres ex nobis viros ſeptem, de quibus bonum ſit teſtimonium, Spiritu ſancto & ſapientia plenos, quos huic uſui præficiamus: nos autem in oratione & verbi miniſterio fortiter perſeverabimus. Et placuit ſermo toti præſenti multitudini, & elegerunt Stephanum virum plenum fide & Spiritu ſancto & Philippum & Prochorum & Nicanorem & Timonem & Parmenam, & Nicolaum proſelytum Antiochenum, quos ſtatuerunt coram Apoſtolis. *Hæc interpretans Eccleſiæ doctor Joannes Chryſoſtomus, ſic proſequitur:* Eſt operæ pretium admirari, quomodo non eſt ſciſſa multitudo in virorum electione, quomodo non ſunt ab ipſis rejecti ac reprobati Apoſtoli. Quamnam autem habebant hi auctoritatem, & quam acceperunt ordinationem, ſcire eſt neceſſarium. Nunquid Diaconorum? Atqui hoc non eſt in Eccleſiis. Sed eſt presbyterorum diſpenſatio? Atqui nullus adhuc erat Epiſcopus, ſed ſoli Apoſtoli. Unde nec Diaconorum nec Presbyterorum nomen exiſtimo apertum eſſe ac manifeſtum. *Poſt hæc ergo nos quoque prædicamus, ut prædicti ſeptem Diaconi, non de iis accipiantur, qui myſteriis ſerviunt, ut eſt prius expoſita doctrina: ſed eos eſſe, quibus fuit concredita ac tradita diſpenſatio eorum quæ tunc collecta fuerant. Qui nobis in hoc quoque forma fuere humanitatis & ſtudii in eos qui indigent.*

Bals. Præſens canon interpretatur, vel potiùs & corrigit xv. can. Neocæſar Syn. qui dicit, Diaconi ſeptem debent eſſe ſecundùm canonem, etiamſi ſit magna civitas. Perſuadeberis autem ex libro Actuum. Dicit enim, Liber Actuum non tractat de Diaconis, qui in ſacro tribunali miniſtrant, ſed de miniſtris, qui alimenta diſpenſant eorum qui Chriſti evangelium prædicant. Quoniam tunc nec erant Epiſcopi neque Diaconi neque Presbyteri. Quare & verbis, ad dicti ſui confirmationem appoſitis, ex libro Actuum & magni etiam Chryſoſtomi interpretatione uſi, ſtatuerunt dictum canonem non eſſe ſequendum. Eſt autem conſentaneum, quòd & antea ſic intelligebantur quæ in Neocæſarienſi ſynodo continentur.

A

ΑΡΙΣΤ. Καὶ εἰκοσαετίας ὑποδιάκονοι δὲ καθαίρεται.

Κἂν ἄγαν τινὲς δὲ εὑρίσκωνται ἄξιοι, ἀλλ' οὐδεὶς ἐντὸς τῶν ὁρισθέντων ἐφ' ἑκάστῳ τάγματι χρόνων τοῦ βαθμοῦ τύχῃ· ἀλλ' ὅστις, ἢ πρεσβύτερος πρὸ τριάκοντα ἐτῶν, ἢ διάκονος πρὸ εἰκοσιπέντε, ἢ ὑποδιάκονος πρὸ τῶν εἴκοσι, καθαιρεθήσεται· ὥσπερ καὶ διακόνισσα, εἰ πρὸ τεσσαράκοντα ἐτῶν γένηται.

ΚΑΝΩΝ ιϛʹ.

B Ἐπειδὴ ἡ τῶν πράξεων βίβλος ἑπτὰ διακόνους ὑπὸ τῶν ἀποστόλων καταστῆναι παραδίδωσιν, ἡ δὲ κατὰ Νεοκαισάρειαν σύνοδος οὕτως ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον, ὅτι διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις ᾖ· πεισθήσῃ δὲ ἐκ τῆς βίβλου τῶν πράξεων· ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν πατέρων, εὕρομεν ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ἦν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας, τῆς τῶν πράξεων βίβλου οὕτως ἐχούσης. ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. C προσκαλεσάμενοι οὖν οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστὸν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις. ἐπισκέψασθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν· καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ D Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον ἐν Ἀντιοχείᾳ, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. ταῦτα διερμηνεύων ὁ τῆς ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος, οὕτως διέξεισιν· θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι. ὁποῖον δὲ ἄρα ἀξίωμα οὗτοι εἶχον, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν· ἄρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν. ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία; καί τοι οὐδέπω οὐδεὶς Ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μόνοι· ὅθεν οὔτε διακόνων οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν. E ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε τοὺς προειρημένους ἑπτὰ διακόνους, μὴ ἐπὶ τῶν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι, κατὰ τὴν προερμηνευθεῖσαν διδασκαλίαν· ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας τούτους ὑπάρχειν· οἳ τύπος ἡμῖν κἀν τούτῳ γεγόνασι τῆς περὶ τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἑρμηνευτικός ἐστι, μᾶλλον δὲ καὶ διορθωτικὸς τοῦ ιεʹ. κανόνος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, λέγοντος, διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη εἴη πόλις· πεισθείσῃ δὲ ἐκ τῆς βίβλου τῶν πράξεων. F φησὶ γὰρ, ὡς ἡ βίβλος τῶν πράξεων οὐ περὶ διακόνων διαλαμβάνει τῶν ἐν τῷ ἁγίῳ βήματι διακονούντων, ἀλλὰ περὶ τῶν διακονιτῶν τῶν οἰκονομούντων τὰς διατροφὰς τῶν κηρυττόντων τὸ τοῦ Χριστοῦ εὐαγγέλιον· ὅτι οὐδὲ Ἐπίσκοποι ἦσαν τότε, οὐδὲ διάκονοι, οὐδὲ πρεσβύτεροι. διὸ καὶ χρησάμενοι πρὸς σύστασιν τοῦ λόγου αὐτῶν τοῖς προσφόροις ῥήμασι ἐκ τῆς βίβλου τῶν πράξεων, ναὶ μέντοι καὶ ἑρμηνείαν τοῦ μεγάλου Χρυσοστόμου, διωρίσαντο τῷ ῥηθέντι κανόνι μὴ ἀκολουθεῖν. ἔοικε δὲ, ὅτι καὶ πρὸ τούτου οὕτως ἐννοοῦντο τὰ ἐν τῷ κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου περιεχόμενα.

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Νεοκαισαρείᾳ συστάσης συνόδου πεντεκαιδέκατος κανὼν οὕτω φησί. Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη εἴη ἡ πόλις. πεισθήσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν πράξεων. τοῦτον οὖν τὸν κανόνα οἱ τῆς συνόδου ταύτης πατέρες διαγράφουσι μὴ δεόντως ἐκλαβέσθαι τὸ τῶν διακόνων ὄνομα τὸ ἐν ταῖς πράξεσι λέγοντες. μηδὲ γὰρ περὶ τῆς ἐν τῇ θείᾳ ἱερουργίᾳ διακονεῖν μελλόντων ἀνδρῶν τὴν φροντίδα τότε εἶναι, ἀλλὰ περὶ τῆς ἐν ταῖς τραπέζαις ὑπηρεσίας, καὶ τῆς περὶ τὰς τροφὰς τοῦ πλήθους τῶν πιστευόντων οἰκονομίας. καὶ τὸν μέγαν Ἰωάννην τὸν τὴν γλῶτταν χρυσοῦν παράγουσιν ἑρμηνεύοντα τὰ ἐν ταῖς πράξεσι περὶ τούτων ῥητὰ καὶ λέγοντα, μήτε διακόνων μήτε πρεσβυτέρων δηλωτικὸν εἶναι τὸ ὄνομα. καὶ φασὶ καὶ οἱ πατέρες ἐκεῖνοι τοὺς ἐν ταῖς πράξεσιν ἑπτὰ διακόνους μὴ ἐπὶ τῶν ἐν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι, ἀλλὰ τῶν οἰκονομούντων ὅπως τρέφοιντο οἱ περὶ τοὺς ἀποστόλους ἀθροιζόμενοι καὶ πιστεύοντες, οὓς καὶ τύπον ἡμῖν γεγονέναι φασὶ περὶ τοὺς δεομένους σπουδῆς τε καὶ μεταδόσεως. καὶ ὁ μὲν κανὼν ἐν τούτοις τελευτᾷ μή τι προστιθεὶς πλέον, αἰδοῖ τῶν ἐν Νεοκαισαρείᾳ συστησαμένων οἶμαι τὴν σύνοδον· συνάγεται δὲ, ὅτι ἐπεὶ ἐκεῖνοι τῇ πράξει τῶν ἀποστόλων οἷον ὑποβάθρᾳ ἐχρήσαντο τῇ περὶ τῶν ἑπτὰ διακόνων, εἰς τὸ ὁρίσαι μὴ πλείους τῶν ἑπτὰ διακόνων ἐν πόλει εἶναι, κἂν πάνυ μεγάλη ἡ πόλις εἴη, οἱ δὲ παρὰ τῶν ἀποστόλων ἐκλεγέντες εἰς διακονίαν, οὐχ ἱερουργίας ἦσαν διάκονοι, ἀλλ' ὑπηρέται καὶ οἰκονόμοι τροφῶν, οὐ κατὰ τὸ προσῆκον τὸν ἀριθμὸν τῶν διακόνων εἰς τὸν ἕβδομον ἐστενοχώρησαν ἀριθμὸν καὶ ἐπὶ τῶν μεγάλων πόλεων. ὅθεν οὐδὲ πρὸ τοῦ κανόνος τούτου ὁ τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ἐφυλάττετο. ὁ μὲν γὰρ Ἰουστινιανὸς ἑξήκοντα πρεσβυτέρους, διακόνους δὲ ἑκατὸν, καὶ διακονίσσας τεσσαράκοντα ἐν τῇ μεγάλῃ εἴασεν ἐκκλησίᾳ, ὡς ἐν βιβλίῳ τῶν βασιλικῶν τρίτῳ κεῖται, τίτλῳ δευτέρῳ. ὁ δὲ Ἡράκλειος ἐπηύξησε τὸν ἀριθμὸν καὶ τῶν πρεσβυτέρων καὶ διακόνων καὶ τῶν λοιπῶν κληρικῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἄμφω δὲ οὗτοι οἱ βασιλεῖς πρὸ τῆς ἕκτης ταύτης ἦσαν συνόδου. καὶ αἱ λοιπαὶ δὲ τῆς Κωνσταντινουπόλεως ἐκκλησίαι πολλοὺς εἶχον κληρικοὺς, καὶ πλείονας τῶν παρὰ τῶν δομησαμένων αὐτὰς ἐν αὐταῖς ταχθέντων ὡς ἔστιν εὑρεῖν ἐν τῷ πρώτῳ τίτλῳ τοῦ τρίτου βιβλίου τῶν βασιλικῶν.

ΑΡΙΣΤ. Γινωσκέτω, ὁ λέγων ἑπτὰ διακόνους εἶναι κατὰ τὸ εἰρημένον ταῖς πράξεσιν, ὅτι οὐ περὶ τῶν διακόνων τοῖς μυστηρίοις ὁ λόγος, ἀλλὰ περὶ τῶν τραπέζαις ὑπηρετούντων.

Ὁ τεσσαρακαιδέκατος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, ἀπὸ τῆς βίβλου τῶν πράξεων δῆθεν ὁρμηθεὶς, ἑπτὰ διακόνους ἐφ' ἑκάστῃ πόλει, κἂν πάνυ μεγάλη ἐστὶ, καθίστασθαι ὥρισε, τοῖς μυστηρίοις ὑπηρετήσοντας. Ὁ δὲ παρὼν κανὼν μὴ καλῶς φάσκει νοῆσαι τὴν τοιαύτην σύνοδον, τὸ ἐν τῇ βίβλῳ τῶν πράξεων περὶ τῶν ἑπτὰ διακόνων κείμενον ῥητόν. οὐ γὰρ περὶ τῶν διακονουμένων, φησὶ τοῖς θείοις μυστηρίοις ἀνδρῶν ἦν ἡ φροντὶς τὸ τότε τοῖς ἀποστόλοις, ἀλλὰ περὶ τῶν ὑπουργούντων ἐν ταῖς τραπέζαις, καὶ τὴν οἰκονομίαν ἐμπεπιστευμένων τῆς κοινῆς χρείας τῶν τότε συναθροισμένων. διὰ τοῦτο γοῦν αἱ ἐκκλησίαι οὐκ ἀπαιτηθήσονται, κατὰ τὸν κανόνα ἐκεῖνον, ἀνὰ ἑπτὰ διακόνους ἔχειν εἰς τὴν τῶν θείων μυστηρίων διακονίαν· ἀλλὰ ἑκάστη, πρὸς τὰς εἰσόδους αὐτῆς, ἕξει καὶ τὸ πόσον τῶν πρεσβυτέρων καὶ διακόνων καὶ τῶν λοιπῶν κληρικῶν.

ZONAR. Septem ex legum præſcripto ſufficere in una, quamvis magna, civitate Diaconos, idque ex Actorum libro conjici facile poſſe, decimoquinto Neocæſarienſis Synodi canone declaratum eſt. Illum igitur canonem Synodi Patres hoc loco reprehendunt, neque ſatis Diaconorum nomen, quod ex Actis affertur, intellectum eſſe pronuntiant. Neque enim de Diaconis, qui ſacro altaris miniſterio aſſiſterent, ſed quibus cura menſarum ac fidelium multitudini ſuppeditandi commeatus incumberet, accipiendum; Divi quoque Chryſoſtomi verba eadem explicantis, & nec de Diaconis nec Presbyteris intelligi poſſe aſſeverantis, teſtimonio confirmant. Septem igitur illos Actorum Diaconos fuiſſe, non qui ſacris miniſteriis, dum res divina peragitur, obeundis vacarent, ſed qui hominibus amplectendæ fidei ſtudio ad Apoſtolos aſſidue commeantibus alimenta proſpicerent; à quibus exemplum quoque in egenos charitatis piæque liberalitatis ad noſtra uſque tempora ductum eſſe affirmant. Atque hic quidem, reverentia, ut arbitror, erga Patres ſynodi Neocæſarienſis auctores, nullo adjecto verbo canon abſolvitur. Ex quo tamen effici planum eſt, quoniam actis Apoſtolorum quaſi fundamento Neocæſarienſes nitebantur, ut in quacunque magna licet ac ampla urbe ſeptem Diaconorum numerum præfinirent; qui vero ab Apoſtolis Diaconi deſignati fuerant, non ſacrorum miniſtri, ſed rei potius cibariæ præfecti & œconomi adhibebantur, nequaquam adeo anguſtis ſeptenarii terminis in magnarum quoque urbium celebritate Diaconorum numerum coërceri debuiſſe. Igitur etiam ante hunc canonem editum Neocæſarienſi conſtitutioni minime obtemperatum eſt. Sexaginta ſiquidem Presbyteris, Diaconis centum, quadraginta Diaconiſſis magnam Eccleſiam cenſeri Juſtinianus voluit, ut Baſilic. libro iii. titulo ii. videre eſt: eúmque numerum, tam in Sacerdotibus & Diaconis, quam in reliquo omni clero Heraclius amplificavit, cum utrumque tamen Imperatorem ante hujus ſextæ Synodi tempora vixiſſe conſtet. Reliquo quoque Conſtantinopolitanæ urbis Eccleſiæ plures Clericos habuere, aucto etiam numero qui præfinitus iis ab earum conditoribus initio fuerat, quemadmodum tertio Baſilic. libro, titulo primo, licet animadvertere.

ARIST. *Qui ſeptem eſſe Diaconos, juxta quod in Actibus dictum eſt, affirmat, ſciat, quod non de Diaconis, qui Myſteriis, ſed qui menſis miniſtrant, ibidem ſermo habetur.*

Decimus quartus Synodi Neocæſarienſis canon ex Actuum videlicet libro ductus, ſeptem Diaconos in unaquâque civitate, quamvis admodum magna ſit, conſtitui decrevit, myſteriis ſervientes. At præſens canon ait ſynodum illam non recte intelligere ſermonem de ſeptem Diaconis in Actuum libro poſitum. Non enim de hominibus, inquit, qui divinis miniſtrant myſteriis intelligendi ſunt Apoſtoli, ſed de iis qui in menſis ſubſerviunt; & quibus concredita eſt diſpenſatio eorum, quæ communi uſui tunc collecta fuerunt. Propterea ab Eccleſiis non exigetur ſecundùm illum canonem, ut ſingulæ ſeptem habeant Diaconos ad divinorum myſteriorum miniſterium. Sed quæque, ſecundum reditus ſuos, & Presbyterorum & Diaconorum & reliquorum Clericorum numerum habebit.

A

CANON XVII.

Quoniam diverſarum Eccleſiarum Clerici, propriis, in quibus ſunt ordinati, relictis Eccleſiis, ad alios Epiſcopos ſe contulerunt, & ſine proprii Epiſcopi ſententia in alienis Eccleſiis conſtituti ſunt, & ex eo ipſos reddi inſolentes evenit: Statuimus, ut à præſenti menſe Januario præterita quartæ indictionis, nullus omnino Clericus, in quocunque ſit gradu, poteſtatem habeat ſine proprii Epiſcopi ſcripta dimiſſoria in alienæ Eccleſiæ catalogum referri. Qui enim à præſenti nunc tempore B *hoc non ſervat, ſed quod in ſe eſt eum, qui illi manus impoſuit, dedecore afficit, deponatur & ipſe, & qui eum præter rationem ſuſcepit.*

BALS. Sæpiùs diximus, quòd omni clerico, qui foris ordinatus eſt, duas ſcripturas afferre opus eſt ejus qui eum ordinavit, commendatitiam ſcilicet & dimiſſoriam, ut illa quidem utatur ad comprobationem illius gradus qui ei ineſſe dicitur: hac verò, ut citra ullum impedimentum ab alia Eccleſia in clerum cooptetur. Nota ergo præſentem canonem maximè neceſſarium eſſe, & Clericum qui non illius virtute receptus eſt, & C Epiſcopum qui eum recepit ſine dimiſſoriâ ejus qui illum ordinavit, deponi jubere. Cùm hoc enim ſæpè ſynodicè dictum eſſet, dixerunt quidam, unam vel ſolam ſcripturam ſatis eſſe ei qui eſt foris ordinatus, ſcilicet commendatitiam. Excipe mihi Conſtantinopolitanum & Carthaginenſem Epiſcopum. Ii enim ſoli, ut ſæpe dictum eſt, poſſunt alienos Clericos ſuſcipere præter voluntatem eorum qui ipſos ordinarunt.

ZONAR. Multi in hanc ſententiam alii canones editi ſunt. Hic quoque Clericum in aliam Eccleſiam, abſque impetrata ſcripta ab Epiſcopo facultate, tranſire, tanquam eo contumeliam Epiſcopo ſuo, quantum in ipſo D eſt, inferentem, non ſinit. Nam is certe auctoritatem Epiſcopi dignitatémque contemnit, quicunque alio, nulla migrationis ab eo facta poteſtate, proficiſcitur. Proinde utrumque, tum qui diſceſſerit, tum Epiſcopum ipſum à is exceptus fuerit, deponi jubet.

ARIST. *Qui Clericun peregrinum excipit, ordinatque, unà cum Clerico male ordinato deponetur.*

Nemini Clericorum citra ſui Epiſcopi voluntatem in aliâ Eccleſiâ conſtitui permittitur. Si quis autem Epiſcopus alienum admiſerit Clericum ſine literis ejus Epiſcopi dimiſſoriis, & in ſuâ Eccleſiâ collocaverit, E licet in eâdem dignitate maneat, ſive ad majorem gradum provehatur, ambo etiam deponentur.

CANON XVIII.

Eos qui barbaricæ incurſionis prætextu, vel aliquo alio modo propter aliquam circunſtantiam emigrarunt, clericos, poſtquam modus ille ac circunſtantia ceſſarit, vel barbaricæ incurſiones, propter quas ſeceſſerant, rurſus in ſuas jubemus Eccleſias reverti, nec eas diu abſ- F *que ulla occaſione relinquere. Si quis autem, non ut præſens vult canon, abfuerit, ſegregetur, donec ad ſuam Eccleſiam redeat. Hoc ipſum autem etiam in eo fiat Epiſcopo, qui illum detinet.*

BALS. Magnis laudibus digni ſunt patres. Eccleſiaſtici enim ordinis & uniuſcujuſque Epiſcopi honoris curam gerentes, ſtatuerunt Clericos, qui propter juſtas aliquas ac probabiles cauſas, ſine eorum à quibus ordi-

ΚΑΝΩΝ ιζ΄.

Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ, τὰς ἰδίας, ἐν αἷς ἐχειροτονήθησαν, ἐκκλησίας καταλιπόντες, πρὸς ἑτέρους συνέδραμον Ἐπισκόπους, καὶ γνώμης δίχα τοῦ οἰκείου Ἐπισκόπου ἐν ταῖς ἀλλοτρίαις κατετάγησαν ἐκκλησίαις, ἐκ τούτου τε συνέβη ἀνυποτάκτους αὐτοὺς καταστῆναι· ὁρίζομεν ὥστε ἀπὸ τοῦ προόντος Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης Ἐπινεμήσεως, μηδένα τῶν ἁπάντων κληρικῶν, κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν, ἐκτὸς τῆς τοῦ οἰκείου Ἐπισκόπου ἀπολυτικῆς ἐγγράφου, ἐν ἑτέρᾳ καταλέγεσθαι ἐκκλησίᾳ. ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ καταισχύνων τό γε ἐπ' αὐτὸν τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ παραλόγως αὐτὸν προσδεξάμενος.

ΒΑΛΣ. Πολλάκις εἴπομεν ὅτι χρεία ἐστὶ παντὶ κληρικῷ ἔξω χειροτονήτῳ διττὰς γραφὰς ἐπιφέρεσθαι τοῦ χειροτονήσαντος αὐτὸν, συστατικὴν δηλαδὴ καὶ ἀπολυτικὴν, ὡς ἂν τῇ μὲν χρήσηται εἰς ἐπισύστασιν τοῦ λεγομένου προσεῖναι αὐτῷ βαθμοῦ· τῇ δὲ εἰς τὸ ἀπαρεμποδίστως ἐφ' ἑτέρας ἐκκλησίας κλήρῳ συγκαταλεγῆναι. σημείωσαι οὖν τὸν παρόντα κανόνα ἀναγκαιότατον εἶναι, καὶ διοριζόμενον καθαιρεῖσθαι τὸν παρὰ τὴν τούτου δύναμιν δεχθέντα κληρικὸν, καὶ τὸν ἀναδεξάμενον αὐτὸν Ἐπίσκοπον, χωρὶς ἀπολυτικῆς τοῦ χειροτονήσαντος αὐτόν. πολλάκις γὰρ τούτου λαληθέντος συνοδικῶς, τινὲς εἶπον μίαν καὶ μόνην γραφὴν τῷ ἔξω χειροτονήτῳ ἀρκεῖν, συστατικὴν δηλαδή. ὑπέξελέ μοι τὸν Κωνσταντινουπόλεως καὶ τὸν Καρχηδόνος. οὗτοι γὰρ μόνοι δύνανται, ὡς πολλάκις εἴρηται, ἀλλοτρίους κληρικοὺς δέχεσθαι παρὰ γνώμην τῶν χειροτονησάντων αὐτούς.

ΖΩΝΑΡ. Περὶ τούτου πολλοὶ κανόνες διαγορεύουσι. καὶ οὗτος δὲ οὐ συγχωρεῖ ἄνευ γραφῆς τοῦ οἰκείου Ἐπισκόπου μετατίθεσθαί τινα κληρικὸν εἰς ἑτέραν ἐκκλησίαν, ὡς καταισχύνοντα ὅσον τὸ εἰς αὐτὸν τὸν χειροτονήσαντα αὐτόν. εἰς γὰρ καταφρόνησιν ἐκείνου καὶ ἀτιμίαν ἐστὶ τὸ ἀλλαχοῦ ἀπελθεῖν ἐκείνου μὴ ἐπιτρέψαντος. διὸ καὶ καθαιρέσει ὑπάγει τόν τε προσελθόντα Ἐπισκόπῳ ἑτέρῳ, καὶ αὐτὸν τὸν δεξάμενον.

ΑΡΙΣΤ. Ὁ προσδεχόμενος ξένον κληρικὸν, καὶ χειροτονῶν, σὺν τῷ κακῶς χειροτονηθέντι καθῄρηται.

Οὐδεὶς τῶν κληρικῶν ἄνευ γνώμης τοῦ ἰδίου Ἐπισκόπου, ἐν ἑτέρᾳ ἐκκλησίᾳ καταλέγεσθαι συγκεχώρηται. εἰ δέ τις Ἐπίσκοπος τὸν ἀλλότριον προσδέξεται κληρικὸν ἄνευ ἐγγράφου ἀπολυτικοῦ τοῦ Ἐπισκόπου αὐτοῦ, καὶ τῇ ἰδίᾳ ἐκκλησίᾳ ἐγκατατάξει, κἂν ἐπὶ τῆς αὐτῆς ἀξίας αὐτὸν φυλάξῃ, κἂν καὶ εἰς μείζονα χειροτονήσῃ βαθμὸν, καθαιρεθήσονται καὶ ἀμφότεροι.

ΚΑΝΩΝ ιη΄.

Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, ἢ ἄλλως πως ἐκ περιστάσεως μετανάστας γεγονότας κληρικοὺς, ἡνίκα δ' ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, δι' ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἀνέρχεσθαι, καὶ μὴ ἐπὶ πολὺ ταύτας ἀπροφασίστως καταλιμπάνειν. εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω, μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμοι. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν Ἐπισκόπῳ γινέσθω.

ΒΑΛΣ. Μεγάλων εἰσὶν ἐγκωμίων ἄξιοι οἱ πατέρες. τῆς γὰρ ἐκκλησιαστικῆς εὐταξίας καὶ τῆς τιμῆς ἑκάστου τῶν Ἐπισκόπων φροντίζοντες, ὥρισαν τοὺς διά τινας εὐλόγους αἰτίας μεταναστάντας κληρικοὺς, χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτοὺς, πάλιν δραμεῖν εἰς τὸν οἰκεῖον κλῆρον, παρελθούσης τῆς περιστάσεως δι' ἣν ἀνεχώρησαν· καὶ μὴ ἔχειν ἐπ' ἀδείας εἰς ἑτέρας ἐκκλησίας καταλάττεσθαι. τὸν δὲ μὴ πειθόμενον ὑποστρέψαι, ἀλλὰ καὶ αὐτὸν τὸν κατέχοντα τοῦτον Ἐπίσκοπον ἀφορίζεσθαι. εἴποι δέ τις, ὡς εἰ μὲν Ἐπίσκοπος τοιοῦτόν τι ποιήσῃ, παρὰ τοῦ μητροπολίτου ἀφορισθήσεται· ὡσαύτως καὶ ἐὰν μητροπολίτης καταφρονήσῃ τοῦ κανόνος, παρὰ τοῦ πατριάρχου κολασθήσεται. εἰ δὲ αὐτοκέφαλος ἀρχιεπίσκοπος ἢ πατριάρχης χωρὶς τοῦ Κωνσταντινουπόλεως, (οὗτος γὰρ ἔλαβεν ἐξουσίαν οἵαν εἴπομεν) ὑπὸ τοῦ κανόνος ἁλίσκεται, παρὰ τίνος ἀφορισθήσεται, οἴομαι οὖν παρὰ τοῦ μείζονος ἀρχιερέως.

ΖΩΝΑΡ. Τινὲς κληρικοὶ διὰ βαρβάρων ἐφόδους, ἢ φορολόγων ἀπανθρωπίας, ἢ λιμὸν ἴσως τῇ χώρᾳ αὐτῶν ἐπισυμβάντα, ἢ καὶ δι' ἑτέρας αἰτίας μεταναστεύοντες εἰς χώρας ἄλλας ἀπίασι. τοὺς οὖν τοιούτους βούλεται ὁ κανὼν τῆς αἰτίας διαλυθείσης, δι' ἣν μετανάσται τῶν ἰδίων γεγόνασι πόλεων καὶ ἐκκλησιῶν, εἰς αὐτὰς ὑποστρέφειν, καὶ μὴ ἐπιμένειν τῇ χώρᾳ, ᾗ προσεληλύθασι τῆς προφάσεως παρελθούσης· τοὺς δὲ μὴ ἐπανιόντας κληρικοὺς, ὡς ἀπροφασίστως τὰς ἐκκλησίας καταλιμπάνοντας, ἐν αἷς κατελέχθησαν, καὶ ἑτέραις σχολάζοντας ἀφορίζεσθαι κελεύει, ἕως ἂν ἐπανέλθωσι πρὸς τὴν ἐκκλησίαν ἐξ ἧς ὑπεχώρησαν. καὶ τὸν Ἐπίσκοπον δὲ τὸν δεξάμενον καὶ κατέχοντα αὐτοὺς ἀφορισμῷ ὑποτίθησι, μέχρις ἂν κατέχῃ αὐτούς.

ΑΡΙΣΤ. Ὁ διὰ βαρβαρικὴν ἐπιδρομὴν μετανάστης, παυσαμένης τῆς ἐπιδρομῆς παλινοστείτω πρὸς τὴν ἐκκλησίαν ᾗ κεκλήρωται· εἰ δὲ μή, μετὰ τοῦ προσειληφότος ἀφορίζεται.

Ὁ μὲν μὴ διά τινα περίστασιν ἀναχωρήσας κληρικὸς τῆς ἐκκλησίας ᾗ ἐκληρώθη, καὶ πρὸς ἑτέραν ἀπελθὼν ἐκκλησίαν, καὶ παρὰ τοῦ ἐκεῖσε Ἐπισκόπου προσδεχθεὶς, καὶ τοῖς κληρικοῖς αὐτοῦ συγκαταλεγεὶς, καθαιρεῖται, σὺν τῷ προσδεξαμένῳ αὐτόν· καθὼς ὁ προγραφεὶς ἑπτακαιδέκατος ὁρίζει κανών. Ὁ δὲ δι' ἐπιδρομὴν βαρβάρων, ἢ περίστασιν ἄλλην μετανάστης τῆς ἰδίας ἐκκλησίας γενόμενος κληρικὸς, ἐάν, τοῦ αἰτίου δι' ὃ ὑπεχώρησεν ἐπιλείψαντος, οὐ θελήσει πάλιν ἐπανελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ ἐν ᾗ ἐκληρώθη, ἀφορίζεται, σὺν τῷ κατέχοντι αὐτὸν Ἐπισκόπῳ, μέχρις ἂν πρὸς αὐτὴν ἐπαναδράμῃ· ἡ δὲ αἰτία, δι' ἣν μὲν οὗτος ἀφορίζεται, ἐκεῖνος δὲ καθαιρεῖται, δῆλος· οὐδὲ γάρ, ὡς ἐκεῖνος, καὶ οὗτος, ἐξ ἀρχῆς ὑπεχώρησεν ἄνευ εὐλόγου αἰτίας. καὶ ὅσον τὸ ἐπ' αὐτῷ, τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα οὐ περιύβρισε καὶ κατῄσχυνεν· ἀλλὰ δι' ἀνάγκην τοῦτο πεποίηκε.

ΚΑΝΩΝ ιθ'.

Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐν πάσῃ μὲν ἡμέρᾳ ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ κρίματα, καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τιθέντας ὅρους, ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν· ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες, ἵνα μὴ ἔστιν ὅτε πρὸς τοῦτο ἀπόρως ἔχοντες ἀποπίπτοιεν τοῦ προσήκοντος. διὰ γὰρ τῆς τῶν εἰρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι, τῶν τε σπουδαίων καὶ αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταρρυθμίζουσι πρὸς τὸ βέλτιον,

A nati sunt dimissoriis literis, emigrarunt, ad suum clerum reverti, cùm illa præterierit circumstantia propter quam secesserunt; nec eis licere in aliarum Ecclesiarum catalogum referri: eum autem, cui persuaderi non potest ut redeat, quinetiam & Episcopum qui ipsum detinet, segregari. Dixerit autem quispiam, quòd si Episcopus quidem tale quid fecerit, à Metropolitano excommunicabitur: similiter & si Metropolitanus Canonem contempserit, à Patriarcha punietur. Si autem Archiepiscopus, qui est primas & caput, vel Patriarcha, præter Constantinopolitanum (is enim habet eam quam diximus facultatem) quòd canonem transgressus sit, convincatur, à B quo excommunicabitur? Existimo ergo, quòd à majore Pontifice.

Zonar. Vel incursionibus barbarorum, vel acerbitate illorum qui tributa exigunt, vel fortasse fame regionem occupante, vel ob alias ejusmodi causas aliquando fiebat, ut in alienas terras, domestica sede relicta, migrare clerici quidam cogerentur. Eos igitur, ubi primum causa illa, propter quam sese ab urbibus Ecclesiisque suis abjunxere, sublata fuerit, ad eas reverti, neque diutius in externa regione ad quam accesserunt, prætextu cessante peregrinari canon jubet. Clericos autem, qui C non redeunt, ut Ecclesias in quibus ordinati sunt, sine causâ relinquentes, & aliis vacantes segregari jubet, usque dum ad Ecclesiam, è quâ emigrabant, revertantur: ipsum porro Episcopum qui eos admisit & detinet, segregatori subjicit, quamdiu eos detinet.

Arist. *Qui barbaricam propter incursionem emigravit cessante incursione, ad Ecclesiam in cujus clerum cooptatus est revertatur. Sin minus, una cum eo, ad quem accessit, segregatur.*

Clericus, qui sine causâ aliquâ necessariâ ab Ecclesiâ D in quâ in clerum cooptatus fuit, recedit, & aliam adit Ecclesiam, & ab Episcopo qui ibi est admittitur, & inter Clericos ejus recensetur, deponitur, unà cum eo qui eum admisit ut canon decimus septimus ante-scriptus decernit. Qui autem ob barbarorum incursionem aut aliam circumstantiam causamve justam Ecclesiâ suâ emigrat Clericus, si, causâ illâ ob quam migravit cessante, ad Ecclesiam suam, in quâ in clerum cooptatus fuit, non vult redire, segregatur, unà cum Episcopo qui eum retinet, usque dum ad eam recurrat. Causa autem, propter quam hic quidem segregatur, ille autem deponitur, justa est. Nec enim ut ille, sic hic, ab initio sine justâ causâ E recessit. Quandoquidem ille eum, qui ordinationem ipsi imposuit, quantum in eo fuit, injuriâ & probro non affecit sed necessario hoc fecit.

Canon XIX.

Quòd oportet eos qui præsunt Ecclesiis, in omnibus quidem diebus, sed præcipuè dominicis, omnem clerum & populum docere pietatis & recta religionis eloquia, ex divina scriptura colligentes intelligentias & judicia veritatis, & non transgredientis jam positos terminos, F *vel divinorum patrum traditionem: sed & si ad scripturam pertinens controversia aliqua excitata fuerit, nè eam aliter interpretentur, quam ut Ecclesiæ luminaria & doctores suis scriptis exposuerunt; & majorem ex iis laudem assequantur, quàm si proprios sermones componant, ne dum quandoque ad id hæsitant, ab eo, quod convenit, excidant. Per dictorum enim patrum doctrinam, populi, ad eorum quæ sunt bona & expetenda, & inutilia ac rejicienda, cognitionem venientes, vitam in melius componunt, nec ignorantiæ*

A *vitii convincuntur, ſed doctrinæ mentem adhibentes, ſeipſos ad id, ne mali quid eis accidat, excitant, & imminentium ſuppliciorum metu ſibi ſalutem procurant.*

Bals. Epiſcopi Eccleſiarum doctores conſtituuntur: & propterea dicit canon eis omnino neceſſe eſſe, cui præſunt populum ſemper docere, & multo magis in diebus dominicis: in quibus omnes ferè ſolent in Eccleſiis intereſſe, ut qui à ſuis artificiis operibúſque ceſſent. Eos autem docere oportere decernit, non quæ B nimiam continent digreſſionem, & pro arbitrio, ſed ea quæ à ſanctis patribus tradita ſunt. Et patres quidem hæc. Nonnulli autem hujuſmodi præceptum negligunt, eo quòd, ut eſt veriſimile, eis pœna non infligatur: ut mihi autem videtur, etiam à lviii. canone ſanctorum Apoſtolorum hi valde puniuntur. Dicit enim, Epiſcopus vel Presbyter clerum vel populum negligens, & eos pietatem non docens, ſegregetur: ſin autem in ſocordia perſeveret, deponatur. Nota ergo ex hoc canone, quòd populum docere ſolis Epiſcopis datum eſt, & magnæ Eccleſiæ doctores patriarchæ jure docent. Hoc autem C etiam oſtenditur ex novella illuſtris Imp. domini Alexii Comneni, quæ deſcribit, & quomodo & quinam debent in Eccleſiis eligi, & decernit omnibus doctoribus, tam iis qui ſunt extra Eccleſiam, quàm iis qui ſunt intra, ſingulis tres numiſmatum libras, & ſingulis frumenti modios quinquaginta; & hæc apertè decidit. Sit autem & hic doctoribus honor tributus ut iterum in propriis Eccleſiis, propter quas ſeceſſerunt, ſtatim poſt officiales proximi patriarchæ aſſideant, tanquam ejus perſonam repræſentantes. Et audimus enim, quòd qui pontificis locum tenet, maximum habet honorem, & huic rei nemo poterit contradicere. Et rurſum qui au- D tem & verbo & opere digni ſunt quorum ratio habeatur, ad doctrinæ miniſterium introducantur, & per docendi munera ad officia provehantur. Propterea enim, mortuo qui pro tempore Patriarcha, nec ipſi docere poſſunt.

Zonar. Et Apoſtolico quinquageſimo octavo canone in Epiſcopum, qui cleri populique ſibi commiſſi curam obire, eóſque religioſæ vitæ præceptis erudire neglexerit, ſegregatio primum, ac niſi poſtea ſocordiam exuerit, depoſitionis quoque pœna conſtituta eſt. Et E magnus præterea Paulus, dum in ea quæ eſt ad Timotheum epiſtola formam conditionéſque Epiſcopi deſcribit, docendi quoque facultate præditum eſſe oportere demonſtrat. Ad Titum quoque ſcribens; Oportet, inquit, Epiſcopum amplecti eum, qui ſecundum doctrinam eſt, fidelem ſermonem, ut potens ſit exhortari in doctrina ſana, & eos qui contradicunt arguere. Hæc & Synodi hujuſce Patres ſecuti, hoc edito canone, cum aliis quoque, tum Dominicis præſertim diebus, Epiſcopi oratione populum ad pia religionis ſtudia informari, ac inſtitui jubent. Per eos enim dies vacationem à laboribus nacti homines in Eccleſiam conveniunt, & Divinas F ſcripturas audiunt. Quocirca ſi iſtis præſertim diebus doceant, majorem exinde fructum populus feret. Quæ porro doceant, non ab ipſis inventa, ſed ex ſacris literis repetita proferri volunt, quarum quidem explicationem ex ſanctorum Patrum fontibus hauriant, non ipſi ſibi ex ingenio ſuo arbitrióque confingant. Si enim judicio in ea re ſuo uterentur, hærebunt forſitan nonnunquam & à vero aberrabunt. Sanctorum verò Patrum præceptis inſtituta atque imbuta multitudo, quid potiſſimum ſequi

καὶ τῷ τῆς ἀγνοίας οὐκ ἁλίσκονται πάθει· ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσιν, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν ἑαυτοῖς ἐξεργάζονται.

ΒΑΛΣ. Διδάσκαλοι τῶν ἐκκλησιῶν οἱ Ἐπίσκοποι καθίστανται· καὶ διὰ τοῦτο φησὶν ὁ κανὼν ἔχειν τούτους πᾶσαν ἀνάγκην, καὶ ἀεὶ μὲν διδάσκειν τὸν ὑπ' αὐτοὺς λαόν, πολλῷ δὲ μᾶλλον ἐν ταῖς κυριωνύμοις, ἐν αἷς εἰώθασιν ἅπαντες σχεδὸν τῇ ἐκκλησίᾳ προσεδρεύειν, τῶν ἐργοχειρίων αὐτῶν ἀπαλλαττόμενοι. διδάσκειν δὲ τούτους διορίζεται οὐ παρεκβατικώτερά τινα καὶ οἴκοθεν, ἀλλ' αὐτὰ ἐκεῖνα τὰ παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα. καὶ οἱ μὲν πατέρες ταῦτα. τινὲς δὲ ἀμελοῦσι τοῦ τοιούτου αὐτῶν ἐπαγγέλματος, διὰ τὸ μὴ ἐπισείεσθαι αὐτοῖς, ὡς ἔοικε, ποινήν. ἐμοὶ δὲ δοκεῖ ὡς ἀπὸ τοῦ νη'. κανόνος τῶν ἁγίων ἀποστόλων μεγάλως οὗτοι κολάζονται. φησὶ γάρ, Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω. ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ καθαιρείσθω. σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὸ διδάσκειν τὸν λαὸν μόνοις ἐνεδόθη τοῖς Ἐπισκόποις, καὶ οἱ διδάσκαλοι τῆς μεγάλης ἐκκλησίας δικαίῳ τοῦ πατριάρχου διδάσκουσι. παρίσταται δὲ τοῦτο καὶ ἀπὸ τῆς νεαρᾶς τοῦ ἀοιδίμου βασιλέως· καὶ τίνες ὀφείλουσι ψηφίζεσθαι εἰς τὰς ἐκκλησίας. καὶ τυπωσάσης τοῖς διδασκάλοις πᾶσι τοῖς τε ἐντὸς οὖσι δηλαδὴ τῆς ἐκκλησίας, καὶ τοῖς ἐκτὸς ἀνὰ νομισμάτων λίτρας τρεῖς, καὶ ἀνὰ σίτου μοδίους πεντήκοντα· καὶ διοριζομένης ἐν μέρει κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τῆς ὑποτυπούσης ὅπως ταῦτα ῥητῶς. ἔστω καὶ αὕτη τοῖς διδασκάλοις, δι' ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις ἀπονενεμημένη τιμή, τὸ εὐθὺς μετὰ τοὺς ἄρχοντας ἵστασθαι, τῷ ἁγιωτάτῳ πατριάρχῃ παρισταμένους, ὡς ἐκπροσωποῦντας αὐτοῦ. καὶ ἀκούομεν γὰρ τὸν πληροῦντα τὸν τοῦ ἀρχιερέως τόπον μεγίστην ἔχειν ἀεὶ τιμήν· καὶ οὐδεὶς πρὸς τοῦτο δυνήσεται ἀντειπεῖν. καὶ πάλιν· οἱ δὲ ἀξιόλογοι κατά τε λόγον καὶ πρᾶξιν, εἰσαγέσθωσαν εἰς τὴν τῆς διδασκαλίας διακονίαν, καὶ διὰ τῶν διδασκαλικίων προβαινέτωσαν εἰς τὰ ἀρχοντίκια. διὰ γὰρ τοῦτο καὶ τελευτήσαντος τοῦ κατὰ καιροὺς πατριάρχου, οὐδὲ αὐτοὶ δύνανται διδάσκειν.

ΖΩΝΑΡ. Καὶ ὁ πεντηκοστὸς ὄγδοος τῶν ἁγίων ἀποστόλων κανὼν τὸν ἀμελοῦντα Ἐπίσκοπον τοῦ οἰκείου κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ ἐκπαιδεύοντα αὐτοὺς τὴν εὐσέβειαν ἀφορίζει, ἐπιμένοντα δὲ τῇ ῥαθυμίᾳ καὶ καθαιρεῖ. καὶ ὁ μέγας Παῦλος Τιμοθέῳ μὲν ἐπιστέλλων, καὶ οἷον δεῖ τὸν Ἐπίσκοπον εἶναι διατατττόμενος, καὶ διδακτικὸν αὐτὸν τυγχάνειν παρακελεύεται. τῷ δέ γε Τίτῳ γράφων, ἀντέχεσθαι δεῖν, φησι, τὸν Ἐπίσκοπον τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. τούτοις καὶ οἱ τῆς συνόδου ταύτης ἑπόμενοι τὸν παρόντα κανόνα ἐξέθεντο, ἀεὶ μὲν δεῖν λέγοντες τοὺς Ἐπισκόπους διδάσκειν τὸν λαὸν τοὺς τῆς εὐσεβείας λόγους, μάλιστα δὲ ἐν ταῖς κυριακαῖς. ἐν γὰρ αὐταῖς σχολάζοντες ἐκ τῶν ἐργοχειρίων αὐτῶν οἱ ἄνθρωποι συνέρχονται εἰς τὰς ἐκκλησίας, καὶ ἀκροῶνται τῶν θείων γραφῶν. εἰ οὖν ἐν ταύταις μᾶλλον διδάσκουσι, πλείων ἔσται καὶ ἡ ὠφέλεια τοῦ λαοῦ. διδάσκειν δὲ αὐτοὺς βούλονται μὴ οἴκοθεν, ἀλλ' ἐκ τῆς θείας γραφῆς, καὶ ταύτην ἑρμηνεύειν κατὰ τὴν τῶν θείων πατέρων ἐξήγησιν, ἀλλὰ μὴ ἐξ οἰκείων νοημάτων καὶ λογισμῶν. εἰ γὰρ τοῖς οἰκείοις, φασί, χρῶνται λογισμοῖς, ἴσως καὶ ἀπτρήσουσί ποτε, καὶ ἐκπεσοῦνται τοῦ προσήκοντος. ἐκ δὲ τῆς τῶν θείων πατέρων διδασκαλίας γνώσονται οἱ λαοί, τίνα μὲν δεῖ αἱρεῖσθαι, τίνα δὲ ἀποτρέπεσθαι, καὶ τὴν οἰκείαν ζωὴν ἀπευθύνουσι πρὸς ἀρετὴν, ἐκφεύγοντες δὲ τὸ ἐξ ἀγνοίας τῶν θείων ἐντολῶν ὀλισθαίνειν εἰς ἁμαρτήματα, καὶ φόβῳ τῶν μελλουσῶν κολάσεων ἐκ τῆς κακίας ἀναστελλόμενοι.

ΑΡΙΣΤ. Ὁ προεστὼς ἐκκλησίας, καὶ ἐξαίρετον ταῖς κυριακαῖς διδασκέτω τὰ δόγματα· καὶ διερμηνευέτω, μὴ οἴκοθεν, ἀλλὰ ὡς οἱ θεῖοι πατέρες διέλαβον.

Οἱ Ἐπίσκοποι ἐν πάσαις μὲν ἡμέραις, ὀφείλουσι τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τῆς εὐσεβείας τὰ δόγματα· ἐξαιρέτως δὲ ἐν ταῖς κυριακαῖς. καὶ εἰ γραφικόν τις αὐτοὺς ἐρωτήσει λόγον, μὴ οἴκοθεν τοῦτον ἑρμηνευέτωσαν· τοῦτο γάρ ἐστιν αὐτοῖς εὐδοκίμησις, τὸ εἰδέναι τὰς παραδόσεις τῶν θεοφόρων πατέρων, καὶ κατ᾽ αὐτὰς λύειν τὰ ἐρωτώμενα· καὶ μὴ οἰκείους λόγους συντάττειν· ἵνα μὴ ἀπόρως ἴσως ἔχοντες πρὸς τὸ ἀφ᾽ ἑαυτῶν λῦσαι ταῦτα, τῆς ἀληθοῦς ἑρμηνείας πόῤῥω ἐκπέσοιεν. τὸν δὲ ἀμελοῦντα τοῦ κλήρου καὶ τοῦ λαοῦ, καὶ μὴ διδάσκοντα αὐτοὺς τὴν εὐσέβειαν, πρῶτα μὲν ἀφορίζει ὁ πεντηκοστὸς ὄγδοος τῶν ἁγίων ἀποστόλων κανὼν, εἶτα τῇ ῥαθυμίᾳ ἐπιμένοντα καὶ καθαιρεῖ.

ΚΑΝΩΝ κʹ.

Μὴ ἐξέστω Ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν. εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω· τὰ δὲ τοῦ πρεσβυτερίου ἐνεργείτω.

ΒΑΛΣ. Ὁ κανὼν σαφής ἐστι· διορίζεται γὰρ μὴ διδάσκειν δημοσίᾳ Ἐπίσκοπον εἰς πόλιν μὴ ἀνήκουσαν αὐτῷ. ἀτιμία γάρ, φησι, τοῦτό ἐστι τῶν κατὰ χώραν ἀρχιερέως, καὶ ἀμαθίας κατάκρισις. τοῦτο δὲ νόει, ὅταν γίνηται παρὰ γνώμην τοῦ ἐγχωρίου Ἐπισκόπου. εἰ γὰρ κατὰ γνώμην αὐτοῦ τοιοῦτόν τι ποιήσει τις, οὐ προκριματισθήσεται, ὅτι καὶ ἱερουργεῖ τις εἰς ἀλλοτρίαν ἐνορίαν ἀπροκριματίστως θελήσει τοῦ ἔχοντος αὐτήν. καὶ ὁ μέγας δὲ ἐν θεολογίᾳ Γρηγόριος, τῶν Στασίμων Ἐπίσκοπος ὢν, πολλοὺς λόγους ἀνέγνω εἰς Ναζιανζὸν, τοῦ πατρὸς αὐτοῦ ἐν ταύτῃ ἀρχιερατεύοντος, καὶ παρίσταται τοῦτο ἀπὸ τοῦ λόγου τοῦ οὕτως ἔχοντος, τί λύετε τάξιν ἐπαινουμένην; καὶ ὁ σοφώτατος ἐκεῖνος μητροπολίτης Ἐφέσου, κῦρος Ἰωάννης, ὁ κατὰ ποταμοὺς προχέων τὰ τῆς φιλοσοφίας νάματα, καὶ κολπωτὸς λεγόμενος, εἰς τὴν λαχοῦσαν αὐτὸν ἀπερχόμενος, μετὰ ἀξιώσεως τῶν κατὰ χώραν ἀρχιερέων δημοσίᾳ ἐδίδασκεν. ἀνάγνωθι καὶ τὸν ιδʹ. κανόνα τῶν ἁγίων ἀποστόλων. καλῶς δὲ πρόσκειται τῷ κανόνι τὸ δημοσίᾳ. ἰδιαιτάτως γὰρ ἀπολογεῖσθαι πρὸς τοὺς ἐρωτῶντας περί τινος ἐκκλησιαστικοῦ προβλήματος ἔξεστι παντὶ καὶ πανταχοῦ, καθὼς καὶ ὁ ιαʹ. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου τὰ περὶ τούτου διατρανοῖ. εἰ δέ τις ἀπορήσει πῶς ὁ μὲν κθʹ. κανὼν τῆς δʹ. συνόδου λέγει, ὅτι τὸ ἐξ Ἐπισκόπου εἰς πρεσβυτέρου ἀξίαν καταγαγεῖν, ἱεροσυλία ἐστίν· ὁ δὲ παρὼν κανὼν φησίν, εἴ τις φωραθείη τοῦτο ποιῶν, παυέσθω τῆς ἐπισκοπῆς, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω· ἀκούσει ὅτι ἐκεῖ περὶ καθαιρέσεως φησὶν εὐλόγου ἢ παραλόγου· ἢ γὰρ δι᾽ αἰτίαμά τι εὔλογον ἐξεβλήθη τῆς ἐπισκοπῆς, καὶ οὐδὲ πρεσβύτερος ἔσται· ἢ ἀναιτίως καὶ οὐδὲ οὕτως εἰς πρεσβυτέρου βαθμὸν καταταχθήσεται, ἀλλ᾽ ἔσται αὖθις Ἐπίσκοπος. ἐνταῦθα δὲ, ἁμάρτημα μὲν ὁ Ἐπίσκοπος κωλύων αὐτὸν τῆς ἱερωσύνης οὐχ ἥμαρτε· φιλοδοξία δὲ μόνῃ καὶ δόξης ἔρως ὃ ἥμαρτεν. ἵνα γοῦν ἀντίῤῥοπον τὴν τιμωρίαν ἔχῃ τῷ πταίσματι αὐτοῦ καὶ ταπεινωθῇ, παύεται μὲν τῆς ἐπισκοπικῆς τιμῆς, κατατάττεται δὲ εἰς πρεσβυτέρου τιμήν. τὸ γὰρ καθαιρεῖσθαι τοῦτον, καὶ γίνεσθαι ἱερέα οὐ δέδοκται τοῖς πατράσιν· ἀνάγνωσον, καὶ τὸν ιηʹ. κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, τὴν δὲ ἐνέργειαν ἐκλαβοῦ εἰς τὴν διδασκαλικὴν ἐνέργειαν, καὶ μὴ εἰς τὴν ἱεροπραξίαν. οἱ γὰρ ἱερεῖς τὸ παλαιὸν ἐξ ἀνάγκης εἶχον τὸ διδάσκειν.

A quidve fugere oporteat, ſine controverſia diijudicare, moreſque ſuos ad virtutis normam conformare facile poterit, neque transverſam divini imperii ignoratio aget, ſeque ab omnibus vitiorum maculis futuri ſupplicii recordatione puram integrámque conſervabit.

Ariſt. *Præſul Eccleſiæ dominicis præſertim diebus dogmata doceat, & interpretetur, non pro ſuo arbitrio, ſed ut Divini patres tradiderunt.*

Epiſcopi omnibus quidem diebus clerum & populum pietatis dogmata edocere debent, præſertim autem dominicis. Et ſi quis ſcripturarum mentem eos rogaverit, B ne pro arbitrio illam interpretentur; hoc enim iis laudem conciliat, ſi divinorum patrum traditiones ſciant, & ſecundùm eas ſolvant quæſtiones, & non ſua verba componant; ne forte cum non poſſint à ſeipſis eas ſolvere, verâ interpretatione procul decidant: eum autem qui clerum & populum negligit, eoſque pietatem non docet, primo quidem excommunicat quinquageſimus octavus ſanctorum apoſtolorum canon, poſtea, ſi in negligentiâ perſeverat, etiam deponit.

C

Canon XX.

Ne liceat Epiſcopo in alia, quæ ad ſe non pertinet, civitate publicè docere. Si quis autem hoc facere deprehenſus fuerit, ab Epiſcopatu deſiſtat; Presbyteri autem munere fungatur.

Bals. Canon eſt apertus. Decernit enim, ne Epiſcopus publicè doceat in civitate quæ ad ſe non pertinet. Eſt enim, inquit, hoc dedecus pontificis illius regionis, & ejus ignorantiæ condemnatio. Hoc autem intellige, quando fit præter mentem illius regionis Epiſcopi. Si quis enim ejus voluntate tale quid fecerit, id ei præjudicium non afferet. D Nam & in alia regione ſine ullo præjudicio ſacra celebrat quiſpiam, ejus qui illam habet voluntate. Quinetiam magnus theologus Gregorius, cùm Staſimorum eſſet Epiſcopus, multa legit Nazianzi, cùm ejus in ea civitate eſſet Pontifex: & hoc oſtenditur ex oratione quæ ſic habet; Cur ſolvitis ordinem laudabilem? Porrò & ſapientiſſimus ille Epheſi Metropolitanus dominus Joannes, qui inſtar fluvii philoſophiæ fluenta effudit, & κολπωτὸς, (id eſt, Sinuoſus) dictus eſt, in eam regionem veniens, quæ illum erat ſortita, cum auctoritate illius regionis Antiſtitum publicè docuit. Lege & xiv. canonem ſanctorum Apoſtolorum. E Canoni autem rectè adjicitur illud, publicè. Privatim enim interrogantibus de Eccleſiaſtica aliqua quæſtione reſpondere licet cuilibet & ubique, ſicut & xi. canon Sardicenſis Synodi de ea re apertè loquitur. Si quis autem dubitet, quomodo xxix. canon iv. Synodi dicit, quòd ex Epiſcopo ad Presbyteri dignitatem deducere, eſt ſacrilegium: præſens autem canon dicit, ſi quis hoc facere deprehenſus fuerit, ab Epiſcopatu ceſſet, Presbyteri autem munere fungatur; audiet, quòd illic dicit de depoſitione juſta vel injuſta; vel enim propter juſtam cauſam Epiſcopatu dejectus eſt, & ne Presbyter quidem erit: vel ſine cauſa, & ne ſic quidem ad Presbyteri gradum deprimetur, F ſed erit rurſus Epiſcopus. Hic autem Epiſcopus quidem peccatum non admiſit, quòd eum à ſacerdotio arceat, ſed gloriæ tantùm cupiditate & laudis amore peccavit. Ut ergo, quod ſuo peccato reſpondeat, ſupplicium habeat, & humilis evadat, ab Epiſcopatus quidem honore deſiſtit, in Presbyteri autem honore collocatur. Ut is enim deponatur, & ſacerdos fiat, patribus viſum non eſt. Lege & xviii. can. Anc. Syn. Sacerdotis autem munus, accipe etiam de docendi munere, & non de ſacrificii celebratione. Sacerdotes enim antiquitus neceſſe habebant etiam docere.

A

Zonar. Ne qua inter Epiſcopos cauſa offenſionis exiſteret, nulli propterea Epiſcopo publice in aliena urbe docendi facultatem Patres eſſe voluerunt. Nec enim id ſine aliqua præfecti urbis iſtius Epiſcopi contumelia fieri poteſt. Sed publice tantum docendi facultate interdictum; ut viciſſim, quidpiam ex eo privatim quærenti ſatisfacere, ſeorſimq; docere, nequaquam Epiſcopo vetitum, nec aliquid eum qui id faciat in ſe culpæ ſuſcipere intelligamus. Sed de hac re fuſiùs Sardicenſis quoq; Synodi undecimo canone conſtitutum. Dubitaverit porro aliquis, cùm hominem de Epiſcopali faſtigio dejectum, B cogi in Presbyterorum ordinē ſine ſacrilegio non poſſe, undetrigeſimo quartæ Synodi Canone definitum ſit, qua ratione Epiſcopum hoc loco, qui iſtud faciat, ab Epiſcopatu ceſſare, & Presbyteri munere fungi Canon decernat. Igitur in quarta Synodo de juſta, vel injuſta depoſitione ſermonem eſſe dicemus. Vel enim ob gravem delicti culpam qui Epiſcopus fuerat, ea dignitate ſpoliatus eſt, ac ne inter ſacerdotes quoq; locum teneat idem crimen efficiet; vel innocenti mulcta irrogata, proindéque ne tum quidem ſacerdotibus annumerari, ſed Epiſcopali faſtigio unde per injuriam dejectus fuerat, reſtitui hominem oportebit. Hic verò Epiſcopus nullum, ex quo C ſacerdotio moveri debeat, in ſe facinus admiſit: ſola is ambitione, laudiſque immoderata cupiditate peccavit. Ut igitur peccato animadverſio reſpondeat, temeraríaque hominis elatio comprimatur, ab Epiſcopatu gerendo deſiſtere, atq; in Presbyterorum ordinem traduci jubet.

Arist. *Epiſcopus in aliâ urbe ne publicè doceat. Sin hoc feciſſe deprehenſus fuerit, ab Epiſcopatu deſiſtat, Presbyteri muneribus fungens.*

Epiſcopus qui hoc facit, quoniam per oſtentationem & ſuperbiam & Epiſcopi, qui ibi præeſt, contemptum publicè docet, ut eum pudefacere & vilipendere & alienam cathedram ſibi conciliare contendens, juſtè Epi- D ſcopatu deponitur. Qui aliena enim petit, & ſuis privatur. Sed ad Presbyterorum locum deducitur, & inter eos munere fungetur. Et nota quando etiam Epiſcopus ad Presbyteri locum reducitur. Nam undetrigeſimus Synodi Chalcedonenſis canon è contra ſacrilegium vocat Epiſcopi ad Presbyteri gradum deductionem & hunc præſentem canonem ex eo canone catholico exceptum habeas.

E

Canon XXI.

Qui canonicorum quidem criminum rei facti, & propterea perfectæ ac perpetuæ depoſitioni ſubjecti, in laicorum locum detruſi ſunt; ſiquidem ad converſionem ſua ſponte reſpicientes peccatum delent, propter quod à gratia exciderunt, & ab eo ſe penitus alienos efficiunt, cleri habitu tondeantur: Sin autem non ſua ſponte hoc elegerint, comam ſicut laici nutriant, utpote qui mundanam ſeu ſecularem converſationem vitæ cæleſti præpoſuerint.

F

Bals. Nota ex hoc præſenti canone, quòd qui propter aliquod crimen deponuntur, ut laici reputantur, nec poſſunt poſt depoſitionem aliquid agere, quod ad Clericum ulla ratione pertineat. Eos autem ſolos, qui à peccato receſſerint propter quod depoſiti fuerant, à fornicatione forte vel aliquo alio, decernit canon eſſe tondendos capite, ut clericos, id eſt, habere papalem tonſuram, & Clerici habitu indui. In eos enim eſt mitior ac clementior propter pœnitentiam.

ΖΩΝΑΡ. Τοῖς Ἐπισκόποις τὰς τῶν σκανδάλων περιαιροῦντες ἀφορμὰς οἱ θεῖοι πατέρες ὥρισαν μὴ διδάσκειν Ἐπίσκοπον δημοσίᾳ ἐν πόλει μὴ ἀνηκούσῃ αὐτῷ. τοῦτο γὰρ εἰς ἀτιμίαν ἐστὶ τοῦ τῆς πόλεως ἐκείνης ἀρχιερέως. δημοσίᾳ δὲ διδάσκειν κεκώλυται, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὡς εἴ τις αὐτῷ κατ' ἰδίαν προσέλθοι ἐρωτῶν αὐτὸν, ἐκείνῳ πρὸς τὸ ἐρώτημα ἀποκρινόμενος, καὶ διδάσκων καθ' ἑαυτὸν, οὐχ ἁμαρτάνει. καὶ ὁ ἑνδέκατος δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου θεσμοθετεῖ τὰ περὶ τούτου πλατύτερον. ἀπορήσει δέ τις, πῶς ὁ μὲν εἰκοστὸς ἔννατος κανὼν τῆς τετάρτης συνόδου λέγει, ὅτι τὸ ἐξ Ἐπισκόπου εἰς πρεσβυτέρου ἀξίαν καταγαγεῖν ἱεροσυλία ἐστίν· ὁ δὲ παρὼν κανών φησιν, εἴ τις φωραθείη τοῦτο ποιῶν, παυέσθω τῆς ἐπισκοπῆς, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω· εἴποι οὖν ἄν τις, ὅτι ἐκεῖ περὶ καθαιρέσεώς φησιν εὐλόγου ἢ παραλόγου. εἰ γὰρ διὰ αἰτίαμά τι ἐξεβλήθη τῆς ἐπισκοπῆς, καὶ διὰ τὸ ἁμάρτημα, ἐκεῖνος οὐδὲ πρεσβύτερος ἔσται, ἢ ἀναιτίως ἐξεβλήθη τῆς ἐπισκοπῆς καὶ οὐδ' οὕτως εἰς πρεσβυτέρου βαθμὸν καταχθήσεται, ἀλλ' ἔσται αὖθις Ἐπίσκοπος. ἐνταῦθα δὲ ἁμάρτημα μὲν ὁ Ἐπίσκοπος κωλῦον αὐτὸν τῆς ἱερωσύνης οὐχ ἥμαρτε, φιλοδοξίᾳ δὲ τὴν καὶ δόξης ἔρως, ὃ ἥμαρτεν. ἵνα οὖν ἀντίῤῥοπον τὴν τιμωρίαν ἔξῃ τῷ πταίσματι αὐτοῦ, καὶ ταπεινωθῇ, παύεται μὲν τῆς ἐπισκοπῆς, κατάγεται δὲ εἰς πρεσβυτέρου τόπον.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἐν ἑτέρᾳ πόλει δημοσίᾳ μὴ διδασκέτω· εἰ δὲ φωραθῇ, παυέσθω τῆς ἐπισκοπῆς, τὰ τῶν πρεσβυτέρων ἐνεργῶν.

Ὁ τοῦτο ποιῶν Ἐπίσκοπος, ἐπεὶ δι' ἀλαζονείαν καὶ τῦφον καὶ καταφρόνησιν τοῦ ἐκεῖσε Ἐπισκόπου δεμοσίᾳ διδάσκει, ὡς σπουδάζων καταισχύνειν, καὶ κατευτελίζειν, καὶ τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι· εὐλόγως παυθήσεται τῆς ἐπισκοπῆς· ὁ γὰρ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ τῶν ἰδίων στερίσκεται· εἰς δὲ τὸν τόπον τῶν πρεσβυτέρων κατενεχθήσεται, καὶ κατ' αὐτῶν ἐνεργήσει. καὶ σημείωσαι, πότε καὶ Ἐπίσκοπος εἰς πρεσβυτέρου τόπον κατάγεται. ὁ γὰρ εἰκοστὸς ἔννατος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, ἱεροσυλίαν ἄντικρυς καλεῖ, τὸ, τὸν Ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμόν· καὶ ἔχε τὸν παρόντα κανόνα ὑπεξῃρημένον ἐκ τοῦ καθολικοῦ ἐκείνου κανόνος.

ΚΑΝΩΝ κα'.

Οἱ ἐπ' ἐγκλήμασι κανονικοῖς ὑπεύθυνοι γινόμενοι, καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ καθαιρέσει ὑποβαλλόμενοι καὶ ἐν τῷ τῶν λαϊκῶν ἀπωθέμενοι τόπῳ· εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες ἀθετοῦσι τὴν ἁμαρτίαν, δι' ἣν τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους ἑαυτοὺς καθιστῶσι, τῷ τοῦ κλήρου κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοὶ, τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς προτιμήσαντες.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οἱ ἀπό τινος ἐγκλήματος καθαιρέμενοι, ὡς λαϊκοὶ λογίζονται, καὶ οὐ δύνανται μετὰ τὴν καθαίρεσιν ἐνεργεῖν οἷον δήτι ἀνῆκον κληρικῷ· μόνους δὲ τοὺς ἀποστάντας τοῦ ἁμαρτήματος, δι' ὃ καθῃρέθησαν, τυχὸν τῆς πορνείας ἢ ἑτέρου τινὸς, διορίζεται ὁ κανὼν κείρεσθαι τὴν κεφαλὴν κατὰ κληρικοὺς, ἤγουν ἔχειν παπαλήθραν, καὶ ἐνδύεσθαι σχῆμα κληρικοῦ. φιλανθρωπότερον γὰρ ἐπὶ τούτοις διατίθεται διὰ τὴν μετάνοιαν.

τοὺς δέ γε ἀμεταθέτως ἐξεχομένους τῆς ἁμαρτίας, τρέφειν τὴν κόμην διακελεύεται, κατὰ λαϊκοὺς, ἵνα ἔχοιεν πλείονα αἰσχύνην, μὴ παραχωρούμενοι ἐν μετοχῇ κληρικοῦ ὅλως εἶναι, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐνδύματος στερισκόμενοι. καὶ ὁ μὲν κανὼν ταῦτα. ἡ δὲ οθ΄. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου καθαιρεῖσθαι διαγορευομένη τοὺς μετὰ χειροτονίαν γαμοῦντας, συνδοκεῖ μήτε τοῦ σχήματος τῶν κληρικῶν αὐτοὺς ἀπαλλοτριοῦσθαι, μήτε τῆς ἐν τῇ ἐκκλησίᾳ κοινοτέρας ὑπηρεσίας. καὶ ἡ ζ. νεαρὰ τοῦ αὐτοῦ βασιλέως, τοὺς ἀπὸ κληρικῶν πρὸς λαϊκοὺς μετασχηματισθέντας, καὶ ἄκοντας πρὸς αὐτὸ πάλιν ἀποκαθίστασθαι διορίζεται. φαίνεται οὖν ἐναντιότης ἐν τούτοις. ἐμοὶ δὲ δοκεῖ τὸν μὲν κανόνα νομοθετεῖν περὶ τῶν καταδικαζομένων διὰ ἔγκλημά τι προσαγγελθὲν, καὶ ἀμεταθέτως ἐξεχομένων τοῦ κακοῦ οἷον διὰ μοιχείαν, διὰ ἁρπαγὴν, διὰ ἱεροσυλίαν· τὴν δὲ νεαρὰν, περὶ τῶν μετὰ τὴν χειροτονίαν διγαμησάντων, ὅπερ κἂν καθαίρεσιν ἐπάγῃ, ἀλλ' οὖν διὰ τὸν γάμον συγγινώσκεται. καὶ διὰ τοῦτο παρεχωρήθησαν οὗτοι ὑπὸ τῆς νεαρᾶς ἐνεργεῖν τὰ ἔξω τοῦ βήματος· οἱ δὲ λοιποὶ οἱ μετασχηματισθέντες, ὡς οἴομαι, κατὰ τὴν νεαρὰν ἀναγκασθήσονται μὴ κατορχεῖσθαι τοῦ ἁγίου σχήματος.

ΖΩΝΑΡ. Διάφορά εἰσιν ἐγκλήματα δι' ἃ καθαιροῦνται οἱ ἱερωμένοι καὶ ἐξωθοῦνται τοῦ κλήρου, καὶ συναριθμοῦνται τοῖς λαϊκοῖς. κείσθω δὲ νῦν ἡμῖν εἰς παράδειγμα ἡ πορνεία. εἰ γοῦν ἁλῷ τις πορνεύσας πρεσβύτερος ἢ διάκονος, καθαιρεῖται καὶ συντάττεται λαϊκοῖς. εἰ μὲν οὖν μετὰ τὴν καθαίρεσιν ἑκουσίως πρὸς μετάνοιαν ἀπονεύσῃ, καὶ ἀπόσχηται τῆς ἁμαρτίας, δι' ἣν τῆς ἱερωσύνης ἐξέπεσε, καὶ τέλεον τοῦ πτώματος ἀπαλλοτριώσῃ ἑαυτὸν, ἐφίησιν αὐτῷ ὁ κανὼν κατὰ κληρικοὺς κείρεσθαι, ὥστε τῷ σχήματι τέως κεκοσμῆσθαι τῶν κληρικῶν, καὶ μὴ πάντῃ αἰσχύνεσθαι εἰς λαϊκοὺς καταχθέντα καὶ σχῆμα καὶ τόπον. εἰ δὲ ἐπιμένει τῇ ἁμαρτίᾳ, καὶ οὐχ αἱρεῖται τὴν ἐπιστροφὴν ἑκουσίως, τρέφειν αὐτὸν τὴν κόμην διακελεύεται κατὰ λαϊκοὺς, καὶ μὴ τὰς τῆς κορυφῆς ξυρᾶσθαι τρίχας. ἵν' αἰσχύνοιτο ὡς εἰς λαϊκοὺς ἀπωσθεὶς ὁ πρὶν ἱερεὺς ἢ διάκονος, καὶ οὕτω ποτὲ συνήσῃ, καὶ τῆς ἁμαρτίας ἀπόσχηται.

ΑΡΙΣΤ. Ο διηνεκῶς καθῃρημένος, καὶ εἰς τοὺς λαϊκοὺς ἀπωσθεὶς, μεταμελόμενος καθαιρείσθω, καὶ κειρέσθω μόνον. εἰ δὲ μὴ, τὴν κόμην ἐπιτρεφέτω.

Ο μὲν τῆς ἀξίας μετακινηθεὶς πρεσβύτερος ἢ διάκονος, τῆς δὲ τιμῆς μετέχων καὶ τῆς καθέδρας· κατὰ τοὺς λοιποὺς τοὺς ἐν κλήρῳ τὴν κεφαλὴν ὀφείλει ἀποκείρεσθαι. ὁ δ' ἐπ' ἐγκλήμασι γεγονὼς ὑπεύθυνος, καὶ καθαιρεθεὶς, καὶ εἰς τὸν τόπον τῶν λαϊκῶν ταχθεὶς, εἰ μὲν ἑκουσίως ἀθετεῖ τὴν ἁμαρτίαν, δι' ἧς τῆς χάριτος ἐστερήθη καὶ τῆς τιμῆς, καὶ πρὸς ἐπιστροφὴν ὁρᾷ, κατὰ τοὺς κληρικοὺς τῆς κεφαλῆς τὰς τρίχας κειρέσθω· εἰ δὲ οἰκείᾳ γνώμῃ τοῦ πταίσματος οὐκ ἀφίσταται, ἀλλὰ πράττειν τοῦτο ἀρνεῖται, κατὰ τοὺς λαϊκοὺς τὴν κόμην ἐπιτρεφέτω· ὡς προτιμησάμενος τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς.

ΚΑΝΩΝ κβ΄.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε Ἐπισκόπους ἢ οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάττομεν. ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

ΒΑΛΣ. Περὶ χειροτονουμένων διὰ χρήματα ἢ διὰ προστασίαν ἀρχόντων, εἰς διαφόρους κανόνας ἐγράψαμεν τὰ εἰκότα. καὶ ὁ παρὼν κανὼν καθαιρεῖσθαί φησι τὸν οὕτω χειροτονηθέντα καὶ χειροτονήσαντα.

A Ii autem, qui in peccato perpetuò hærent, comam nutrire jubentur ut laici, ut majori pudore afficiantur, nec in cleri participatione ullo eſſe modo eis permittatur, ſed ipſo etiam amictu priventur. Et hæc quidem canon. lxxix. autem Imp. domini Leonis philoſophi novella eos deponi debere ſtatuens, qui ducunt uxores poſt ordinationem, vult neque eos à clericorum habitu alienari, nec à communione miniſterii in Eccleſia.. Et vii. ejuſdem Imp. novella, eos, qui à Clericis in laicos transmutati ſunt, eôdem rurſus vel invitos redire jubet. Videtur igitur in his eſſe repugnantia. Exiſtimo autem canonem quidem de iis ſtatuere, qui propter delatum aliquod B crimen condemnati, malo aſſiduè inhærent; quemadmodum propter adulterium, propter rapinam propter ſacrilegium: Novellam autem, de iis qui poſt ordinationem uxorem duxerunt; quod quidem etſi inducit depoſitionem, eis tamen propter matrimonium ignoſcitur. Et ideo eis à novella permiſſum eſt, ut ea exerceant quæ fiunt extra ſacrum tribunal: reliqui autem tranſmutati cogentur, ut puto, ex Novellæ ſententia & à ſancto habitu non deſilire.

C **ZONAR.** Multa ſunt criminum genera, ob quæ initiatos deponi & clero moveri, atque inter Laicos referri decretum eſt. Sed ponatur, exempli cauſa, fornicatio. Si quis ergo fornicationis reus deprehendatur, Presbyter aut Diaconus deponi ac Laicis adſcriptus cenſeri debet. Verum, ſi poſtquam ordine motus eſt ad pœnitentiam ſponte ſe dederit, ſéque ab ea culpa, ob quam ſacerdotio mulctatus eſt, quàm longiſſime abduxerit & à peccato penitus abſtinuerit, tonderi hominem Clericorum more canon permittit; ut eo videlicet, qui Clericorum proprius eſt, ornatu conceſſo, reliquo Laicorum habitu utentis, ad Laicorum locum dejecti, pudor ignominiáque mi- D nuatur. Quòd ſi nullum abdicandi dedecoris ac vitæ emendandæ ſua ſponte conſilium capiat, ex Laicorum conſuetudine nutrire comam, capillóque abradendo penitùs abſtinere jubent: ut cum ſe antea Sacerdotem aut Diaconum, nunc in Laicorum ordines relatum non ſine rubore animadvertat, ita demum ſe ipſe colligat, & à peccato abſtineat.

ARIST. *Qui jam depoſitus & ad Laicos detruſus eſt, pœnitentiâ ductus deponatur, & tondeatur ſolum. Sin minus, comam nutriat.*

Presbyter quidem aut Diaconus dignitate motus, ſed E honoris & cathedræ particeps, reliquorum adinſtar Clericorum, caput detondere debet. Qui criminum vero reus factus eſt, & depoſitus, & in Laicorum ordine collocatus, ſi ſua ſponte peccatum, propter quod gratia & honore privatus fuit, rejicit, & ad converſionem reſpicit, Clericorum more capillos capitis detondeat. Si autem ſuâ voluntate delicto non abſtineat, ſed illud facere recuſat, Laicorum ad inſtar comam nutriat, ut mundanam converſationem vitæ cœleſti præferens.

CANON XXII.

F *Eos qui pecuniis ordinantur, ſive Epiſcopos ſive qualeſcunq; Clericos, & non ex examinatione ac vita electione, deponi jubemus: ſed & eos etiam qui ordinaverunt.*

BALS. De iis qui propter pecunias ordinantur, vel propter magiſtratuum mandatum, in diverſos canones ſcripſimus ea quæ ſunt conſentanea. Præſens autem canon eum deponi jubet, qui ordinatus eſt, & qui ordinavit.

Zonar. Innumeri hac de re canones editi fuere: ſerpebat tamen adhuc indies malum, & Eccleſias velut gangræna depaſcebatur. Proinde hunc canonem ſextæ quoque hujus Synodi Patres ſuperioribus addidere; ac ſi quis Epiſcopus Clericúſve quicunque dignitatem ordinémve emercatus, non autem explorata morum gravitate approbatus, & religioſam vitam ac inculpabilem elegiſſe inventus fuerit, deponi jubent. Neque vero eo, qui pecuniis ordinatur, depoſito, qui ordines ei contulit impune feret; ſed eum quoque depoſitionis eadem pœna teneri decretum eſt. Porro de hac eadem re pluribus in aliorum canonum explicatione diſſeruimus.

Arist. *Qui pecuniis ordinatur, unà cum ordinante deponatur.* Perſpicuus.

Canon XXIII.

Ut nullus, ſive Epiſcopus ſive Presbyter ſive Diaconus, immaculatam præbens communionem, ab eo qui communicat, ejus participationis gratia, obolos vel quamvis aliam ſpeciem exigat. Non eſt enim vænalis gratia, nec pro pecuniis, Spiritus ſanctificationem impertimur: ſed ea iis, qui digni ſunt, abſque ulla calliditate eſt communicanda. Si quis autem eorum, qui ſunt in cleri catalogo ab eo, cui immaculatam impertit communionem, ullam ſpeciem exigere viſus fuerit, deponatur, ut Simoniaci erroris & maleficij æmulator.

Bals. Cùm ſatis longo abhinc tempore in quodam loco, qui Calotychas appellatur, & in Cherſoneſi regione poſitus eſt, ſancta dominica Paſchæ Chriſti reſurrectionis diverſarer, vidi quaſdam illius loci mulierculas, & quoſdam homunculos, poſt matutinam divinam Pſalmodiam, ad catholicæ Eccleſiæ templum confluentes, cum ovis gallinæ panis fermento mixtis, & cum falſis carnibus, & cum aliis quibuſdam eſculentis, vel etiam ad aliquid aliud aptis: & interrogavi quamnam ob cauſam hoc fieret; & audivi, quòd unuſquiſque iis quibus poteſt donis ſacerdotem, qui populo divina ſacramenta porrigit, proſequitur. Neque enim aliter cuiquam licet ſacramenta percipere: & tunc quidem reprehendi quod fiebat. Cùm autem nuper in hunc præſentem canonem incidiſſem, ei gratias egi, ut qui ab iis, qui communicant ſacramentis, obolos vel ullam aliam ſpeciem exigi prohibet. Quoniam, inquit, non venditur, nec pecuniis ſanctificatio impertitur: ſed iis qui digni ſunt, ſancta dona gratis diſtribuuntur. Propterea enim, ut eſt probabile, etiam ſancta donatio à vulgo ſacramenta dicuntur. Eum autem, qui aliter fecerit, deponendum decernit canon, ut qui ſit Simoniacæ improbitatis & erroris æmulator.

Zonar. Quibus divina & tremenda myſteria populo impertiendi cura demandata eſt, obolos aut rem aliam, quæcunque demum ea ſit, à communicantibus exigere canon vetat. Nec enim vænalis, inquit, eſt gratia, neque pretio ſanctitas comparatur, ſed dignis hominibus gratuita largitione confertur. Qui verò aliquid à communicantibus etiam minimum exigere auſus fuerit, quaſi Simoniaci erroris ac improbitatis æmulatorem deponi placet. Iſte enim oblato pretio, rependi ſibi viciſſim ſancti ſpiritus gratiam poſtulabat.

Arist. *Qui immaculatam impertitur communionem, & obolum vel aliud quodcunque exigit, deponatur.* Perſpicuus.

A **ΖΩΝΑΡ.** Μυρίοι κανόνες περὶ τούτου διαγορεύουσιν, ἀλλ' ἔτι τὸ κακὸν, ὡς γάγγραινα, τὰς ἐκκλησίας ἐνέμετο, διὸ καὶ οἱ τῆς ἕκτης ταύτης συνόδου τὸν κανόνα τοῦτον ἐξέθεντο καί φασιν, ὡς εἴ τις Ἐπίσκοπος, ἢ οἱοσδήποτε κληρικὸς ἐπὶ χρήμασι τὴν χειροτονίαν ὠνήσατο, καὶ οὐ προκριθείη δοκιμασθεὶς, καὶ εὑρεθεὶς βίον αἱρετισάμενος σεμνόν τε καὶ ἄμεμπτον, ὁ τοιοῦτος καθαιρείσθω. καὶ οὐχ ὁ μὲν χειροτονηθεὶς ἐπὶ χρήμασι καθαιρεθήσεται, ὁ δὲ χειροτονήσας αὐτὸν οὕτως ἀτιμώρητος ἔσται, ἀλλὰ κἀκεῖνος τῇ καθαιρέσει ὑποβληθήσεται. ἐξήγηται δὲ τὰ περὶ τούτου πλατύτερον ἐν ἑτέροις κανόσιν. B

ΑΡΙΣΤ. Ὁ χειροτονηθεὶς ἐπὶ χρήμασι, συγκαθαιρείσθω τῷ χειροτονήσαντι. Σαφής.

ΚΑΝΩΝ. κγ'.

Περὶ τοῦ μηδένα τὸν εἴτε Ἐπισκόπων εἴτε πρεσβυτέρων ἢ διακόνων, τῆς ἀχράντου μεταδιδόντα κοινωνίας, παρὰ τοῦ μετέχοντος εἰσπράττειν, τῆς τοιαύτης μεταλήψεως χάριν, ὀβολοὺς ἢ εἶδος τὸ οἱονοῦν. οὐδὲ γὰρ πεπραμένη ἐστὶν ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδιδόαμεν, C ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργήτως μεταδοτέον. εἰ δὲ φανείη τις τῶν ἐν κλήρῳ καταλεγομένων ἀπαιτῶν ᾧ μεταδίδωσιν τῆς ἀχράντου κοινωνίας, τὸ οἱονοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

ΒΑΛΣ. Καταλύσας πρὸ χρόνων ἱκανῶν εἰς χωρίον τι Καλοτυχάδα ἐπιλεγόμενον, καὶ ἐν τῷ θέματι Χερρονήσου διακείμενον, κατὰ τὴν ἁγίαν κυριώνυμον τοῦ πάσχα τῆς τοῦ Χριστοῦ ἀναστάσεως, εἶδον χωριτικὰ γύναια καὶ ἀνδράρια, μετὰ τὴν ἑωθινὴν θείαν ὑμνῳδίαν τῷ ναῷ τῆς καθολικῆς D ἐκκλησίας συῤῥέοντα, μετὰ ὀρνιθείων ὠῶν ζύμῃ ἄρτου συνειλωμένων, καὶ μετὰ κρεῶν τεταριχευμένων, καὶ μετὰ ἄλλων τινῶν εἰδῶν βροσίμων, ἢ καὶ πρὸς ἄλλο τι ἐπιτηδείων· καὶ ἠρώτησα τίνος χάριν τοῦτο γίνεται, καὶ ἤκουσα ὡς ἕκαστος δεξιοῦται τὸν ἱερέα τὸν μεταδιδόντα τῷ λαῷ τῶν θείων ἁγιασμάτων, ἐφ' οἷς δύναται. ἄλλως γὰρ οὐκ ἔξεστιν ἐντυχεῖν τινα τῷ ἱερεῖ, καὶ τῶν ἁγιασμάτων μεταλαβεῖν· καὶ τότε μὲν ἐμεμψάμην τὸ γινόμενον. ἀρτίως δὲ ἐντυχὼν τῷ παρόντι κανόνι, ηὐχαρίστησα αὐτῷ ὡς κωλύοντι ἀπαιτεῖσθαι τοὺς μεταλαμβάνοντας τῶν ἁγιασμάτων, ὀβολὸν ἢ οἱονδήποτε εἶδος. ὅτι φησὶν οὐ πιπράσκεται οὐδὲ χρήμασιν ὁ ἁγιασμὸς μεταδίδοται· ἀλλὰ δωρεὰν E τοῖς ἀξίοις τὰ ἅγια δῶρα διανέμεται. διὰ γὰρ τοῦτο ὡς ἔοικε καὶ ἁγία δωρεὰ κατὰ κοινολαΐτας λέγονται τὰ ἅγια. τὸν δὲ παρὰ ταῦτα ποιοῦντα καθαιρεῖσθαι ὁ κανὼν διορίζεται, ὡς τῆς κακίας καὶ τῆς πλάνης τοῦ Σίμωνος ζηλωτήν.

ΖΩΝΑΡ. Τοὺς μεταδιδόντας τῷ λαῷ τῶν θείων καὶ φρικτῶν μυστηρίων κωλύει ὁ κανὼν ἀπαιτεῖν ἀπὸ τῶν μεταλαμβανόντων ὀβολοὺς ἢ οἱονδήποτε εἶδος. ἡ γὰρ χάρις, φησὶν, οὐ πιπράσκεται, οὐδὲ χρήμασιν ὁ ἁγιασμὸς μεταδίδοται, ἀλλὰ δῶρον τοῖς ἀξίοις διανέμεται. ὁ δέ τι ἀπαιτῶν τοὺς μεταλαμβάνοντας, κἂν ἐλάχιστον εἴη, καθαιρεθήσεται, F ὡς τοῦ Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας. ἐκεῖνος γὰρ ἐζήτει δοθῆναι αὐτῷ ἐπὶ χρήμασιν ὤνιον τὴν χάριν τοῦ πνεύματος.

ΑΡΙΣΤ. Ὁ τῆς ἀχράντου μεταδιδοὺς κοινωνίας, καὶ ὀβολὸν ἀπαιτῶν ἢ ἕτερον εἶδος, καθαιρείσθω. Σαφής.

A

ΚΑΝΩΝ κδʹ.

Μὴ ἐξέστω τινὶ τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ μοναχῷ, ἐν ἱπποδρομίαις ἀνιέναι, ἢ θυμελικῶν παιγνίων ἀνέχεσθαι. ἀλλ᾽ εἰ καί τις κληρικὸς κληθείη ἐν γάμῳ· ἡνίκα τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω, καὶ αὐτίκα ἀναχωρείτω· οὕτω τῆς τῶν πατέρων ἡμῶν προσταττούσης διδασκαλίας. εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω ἢ καθαιρείσθω.

ΒΑΛΣ. Ἀκολούθως τῷ νδʹ. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου ἀπαγορεύει καὶ ὁ παρὼν κανὼν, εἰς ἱπποδρομίαν ἀνιέναι ἱερατικοὺς ἢ μοναχοὺς, ἢ θυμελικῶν παιγνίων ἀκούειν· προσθέμενος τοὺς μετακαλουμένους εἰς γάμον κληρικοὺς (περὶ γὰρ μοναχῶν εἰπεῖν ἄτοπον ἐλογίσθη τοῖς πατράσι, διὰ τὸ πάντη ἀπρεπὲς) ἀναχωρεῖν ἅμα τῷ εἰσελθεῖν τὰ παίγνια. πλὴν ὁ μὲν κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου οὐ κολάζει τοὺς ἀθετητὰς τούτου· οὗτος δὲ παραινεῖ παύσασθαι τοὺς τοιοῦτόν τι ποιοῦντας. μὴ παυομένους δὲ καθαιρεῖσθαι διορίζεται. ταῦτα τῶν διττῶν τούτων κανόνων λεγόντων, καὶ κωλυθέντων παρὰ μικροῦ παρὰ τοῦ μέρους τῆς ἐκκλησίας τῶν μοναχῶν καὶ τῶν ἱερωμένων πάντων ἀπελθεῖν εἰς τὰς γινομένας ἱπποδρομίας, εἶπον τινὲς ὅτι τὸ μὲν μὴ ἀπελθεῖν μοναχὸν ἢ κληρικὸν εἰς ἱππόδρομον, μηδὲ ἰδεῖν θεωρίαν τὴν ὄψιν ἐκθηλύνουσαν, μηδὲ ῥημάτων ἀκροάσασθαι καταγοητευόντων τὴν ἀκοὴν, ἐπαινετόν ἐστιν καὶ πολλῆς εὐχαριστίας ἄξιον. ὥσπερ καὶ τὸ παρθενεύειν καὶ τὰ λοιπὰ τὰ τὸν ἄνθρωπον ἁγιάζοντα. εἰ δέ τις μὴ δυνάμενος παρθενεύειν γαμήσει, οὐ κολασθήσεται. καὶ ὁ μὴ δυνάμενος παντὸς ἐνηδόνου ἀπέχεσθαι, ἐὰν ἀνέλθῃ εἰ ἱπποδρόμιον, συγγνωσθήσεται. καὶ μᾶλλον ἐὰν ἐφάπαξ καὶ οὐ κατὰ παράχρησιν εἰς τοῦτο ἐκδώσει ἑαυτόν. ὁ γὰρ κανὼν οὗτος, φασὶ, τὰς ποτὲ γινομένας ἱπποδρομίας ἀπαγορεύει, οὐ μὴν τὰς σήμερον τελουμένας κατ᾽ ἐπιτροπὴν καὶ παρουσίαν βασιλικήν. τότε μὲν γὰρ τῶν δήμων κατεξουσιαζόντων ἐν ταῖς ἱπποδρομίαις, καὶ ποιούντων ταύτας ὅτε καὶ ὅπως ἠβούλοντο, ἐκ δαπανημάτων οἰκείων, ὡς καὶ ἐχόντων οἴκους καὶ ἵππους καὶ ἱππῶνας, τοὺς καὶ μέχρι καὶ νῦν περισωζομένους, καὶ προσόδους χάριν τῶν ἱπποδρομιῶν, καὶ τοῦ βασιλέως προσκαλουμένου, καὶ εἰς τοῦτο μὴ ἐξουσιάζοντος, πολλὰ στασιώδη καὶ ἄτοπα συνέπιπτον γίνεσθαι κατὰ τὸν τῆς ἱπποδρομίας καιρόν· τῶν μὲν προστιθεμένων τῷ δήμῳ τῶν Βενετῶν, τῶν δὲ τῷ μέρει τῶν Πρασίνων. ἐν καιροῖς δέ τισι καὶ πόλεμοι συνεκροτήθησαν ἐμφύλιοι μέσον τῶν ἀντιθέτων μερῶν, καὶ κατὰ τῆς βασιλείου περιοπῆς ἀναιδῆ ῥήματα οἱ δημόται ἀπηρεύξαντο, καθὼς ἀπὸ διαφόρων χρονικῶν τοῦτο παρίσταται. οἷόν τι γέγονε ἐπὶ τοῦ βασιλέως Ἰουστινιανοῦ, ἐπὶ τοῦ Ἀναστασίου, ἐπὶ τοῦ Φωκᾶ τοῦ τυράννου, καὶ ἐπὶ ἑτέρων βασιλέων· ἀλλὰ καὶ συνθηκίζειν τὰ μέρη μὴ κωλυόμενα, διὰ κότλου καὶ τύχης τὴν νίκην ἀνεκαλοῦντο. ὅπερ τοῖς θείοις κανόσι παντελῶς ἀπηγόρευται. ἐπέτρεπον δὲ καὶ τὰς θηριομαχίας καὶ ἄλλα τινὰ αἰσχρὰ καὶ ἀπρεπῆ. διὰ γὰρ τοῦτο φασὶ καὶ ὁ νά. κανὼν τῆς παρούσης συνόδου ἀπαγορεύει τοὺς μίμους, καὶ τὰ θέατρα, καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις· καὶ διορίζεται τοὺς καταφρονητὰς αὐτοῦ κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀφορίζεσθαι. καὶ τὸ τέλος τοῦ ιέ. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου λέγει οὕτω ῥητῶς. καὶ ὥστε τὰ τέκνα τῶν ἱερέων θεώρια κοσμικὰ μὴ ἐκτελεῖν μηδὲ θεωρεῖν. τοῦτο δὲ καὶ πᾶσι Χριστιανοῖς ἀεὶ κεκήρυκται, ὥστε ὅπου βλασφημίαι εἰσὶ μὴ προσιέναι. σήμερον δὲ τῶν ἱπποδρομιῶν τελουμένων κατὰ παρουσίαν βασιλικὴν δίχα τοιούτου ἀποτροπαίου τινὸς, κακόν τι γενέσθαι οὐχ ὑποπτεύεται. διὸ εἶπον ὡς ἐπαινετὸν μὲν ἐστι τὸ μηδὲ ὅλως ἡδονῆς ἐξ ἱπποδρομίας ἢ ἄλλου τινὸς θυμήρους γεύσασθαί τινα· ἀκόλαστον δὲ καὶ τὸ εἰς τοιαύτας ἱπποδρομίας κληρικοὺς ἀπέρχεσθαι. εἰ γὰρ πᾶσα ἱπποδρομία ἤδε ἐκ-

Canon XXIIII.

Ne cui liceat eorum qui in ſacerdotali ordine enumerantur, vel Monachorum, in equorum curriculis ſubſiſtere, vel ſcenicos ludos ſuſtinere. Sed & ſi quis Clericus ad nuptias vocetur, quando ad deceptionem comparata ludicra ingreſſa fuerint, ſurgat & è veſtigio diſcedat, patrum noſtrorum ſic jubente doctrina. Si quis autem ejus rei conjunctus fuerit, vel ceſſet vel deponatur.

Bals. Conſequenter liv. canoni Synodi Laodicenæ B prohibet etiam præſens can. in equorum curriculum aſcendere vel Sacerdotes vel Monachos, vel ſcenicos etiam ludos audire: adjiciens, ut Clerici ad nuptias vocati (de Monachis enim dicere patribus á ratione alienum viſum eſt, quòd id ſit nimis indecorum) recedant cùm primùm ludicra ingreſſa fuerint. Sed Laodicenæ quidem Syn. can. in ejus contemptores non animadvertit: hic autem admonet quidem, ut qui tale quid faciunt deſiſtant; ſi autem non deſiſtant, deponendos decernit. Cùm hi duo Canones hæc dicant, & propemodum ab Eccleſiæ parte prohibiti ſint Monachi & Sacerdotes omnes ad equorum curſus videndos accedere; dixerunt nonnulli, C quòd Clericum quidem vel Monachum ad equorum curriculum non accedere, nec ſpectaculum quod effœminat aſpicere, nec verba aures præſtringentia audire, eſt laudabile & maximè commendandum; quemadmodum & eſſe virginem, & reliqua quæ hominem ſanctificant. Si quis autem, cùm virgo eſſe nequeat, uxorem duxerit, non punietur: & qui non poteſt ab omni voluptate abſtinere, ſi in equorum curriculum fuerit ingreſſus, ei venia dabitur; & magis ſi ſemel, non autem ſi immodicè utens, ſe ei dicaverit. Hic enim can. inquiunt, curſus, qui olim fiebant, vetat, non autem qui nunc fiunt, permittente ac præſente principe. Tunc enim cùm populus in illis equorum D curriculis nimia libertate vel potiùs licentia uteretur, equorúmque curſus celebraret quomodo & quando volebant, inq; propriis expenſis, ut qui haberet & domos & equos & ſtabula, quæ ad hunc uſque diem ſervantur, & reditus pro illis celebrandis curriculis, & Imperator invitaretur, nullam autem ad eam rem poteſtatem haberet illius curſus tempore multa turbulenta & abſurda fieri contingebat; cum alii quidem populo Venetorum, alii verò Praſinorum parti adjungerentur: aliquando verò etiam bella inteſtina excitata ſunt inter adverſas partes, & in Imperatoris conſpectu verba etiam impudentia populares eructarunt, quemadmodum ex diverſis Chronicis oſtenditur; E ſicut factum eſt regnante Juſtiniano, & tempore Anaſtaſii, & Phocæ tyranni, & aliorum Imper. Sed & depoſitis pignoribus ludere partes prohibitæ, non per talos & fortunam victoriam provocabant; quod quidem divinis canonibus eſt omnino prohibitum. Permittebantur autem & belluarum certamina, & multa alia indecora ac turpia. Propterea enim, inquiunt, & li. can. præſentis Syn. prohibet mimos & theatra & venationum ſpectacula & ſaltationes in ſcena: & ſtatuit, ut qui ipſum contemnerent, ſi ſint quidem clerici, deponantur, laici verò ſegregentur. Et finis xv. can. Carth. Syn. ſic apertè dicit. Et F quòd filii Sacerdotum ſpectacula ſecularia non perficiant nec ſpectent. Hoc autem etiam omnibus chriſtianis ſemper eſt prædicatum, ut ubi ſunt maledicta ac blaſphemia ne accedant. Hodie autem, cùm equorum curſus Imp. præſente fiant, nec ſit ejuſmodi fugiendum & averſandum quidpiam, nulla eſt penitus ſuſpicio illic mali quicquam fieri. Quamobrem dicebant, quòd eſt quidem laudabile nullam penitus quempiam voluptatem guſtare ex equorum curriculo vel ex aliquo alio grato: Impune autem eſt & ad ejuſmodi equorum curſus Clericos accedere. Si enim omnis equorum curſus, & qui olim fiebat & qui hodie fit, eſt prohibitus, ut multi inquiunt, quemadmodum

dum & ſpectacula omnia & venationes, cogetur quis dicere, neque omnino tale quid unquam debere fieri ab Imp. vel ullo alio: ceſſaſſe autem ac exoleviſſe leporum cum canibus venationes, ne laici, ut equorum curſibus & ſpectaculis & venationibus vacantes, ſegregationi ſubjiciantur, quod eſt abſurdum. Quocirca debent & equorum curricula & ſpectacula & venationes in duo dividi, ut dictum eſt; in ea quæ ſunt omnino averſanda & fugienda, & ad quæ non ſolùm Clericis, ſed neque Laicis accedere permittetur, metu excommunicationis; & in ea quæ permiſſa ſunt, quæ ſunt hodie in uſu, ad quæ non ſolùm Laici, ſed & Clerici citra ullum præjudicium accedent. Quòd autem, inquiunt, non omnia ſpectacula equorúmque curricula cannones prohibuerunt, ſed ea demum quæ ſunt periculoſa ac turpia, ex lxi. Carthaginenſis Synodi canone apertè oſtenditur, qui hæc expreſſè dicit; Porrò & illud petere, ut theatricorum ludorum ſpectacula in dominicis & in reliquis Chriſtianorum fidei feſtis diebus fieri prohibeantur; maximè quoniam in octava ſancti Paſchatis populus ad equorum curricula potiùs quàm ad Eccleſias convenit; & ut debeant præſtituti eorum dies transferri, quando occurrerint: nec debet ullus Chriſtianus cogi ad hæc ſpectacula. Si enim equorum curſus eſſet à canonibus omnino prohibitus, non petiiſſent patres, ne equorum curſus & ſpectacula fierent diebus dominicis, & in reliquis feſtis ſeu Paſchalibus diebus, ſed ea omnino celebrari ægre tuliſſent. Jam verò etiam magnus Eccleſiæ doctor Johannes Chryſoſtomus, ſolos equorum curſus, qui fiunt diebus dominicis, diſſuadet. Adjiciebant autem & iis quæ à ſe dicuntur, nullam aliam ob cauſam eſſe hodie lectores populares, quàm quòd equorum curſus hodie fieri videantur permiſſione Eccleſiaſtica, & prior popularium laicorum indignitas, & omnia quæ turpia & indecora erant, ceſſaverint. Cur enim inquiebant, lectoribus popularibus ſolis ſe in equorum curricula ingerere, & ex populo incipere permiſſum eſt, reliquis autem Lectoribus, & omnibus, ut ſemel dicam, ſacris initiatis, equorum curriculi fores occluſerunt? Ad ſuam autem ſententiam confirmandam etiam v. cap. viii. tit. lx. lib. Baſilic. uſi ſunt, quod ſic dicit; Conſtitutio prohibet ludos, & quinq; exceptis quaſdam etiam pœnas ſtatuit adverſus eas qui ludunt aleis, præſidi civitatis & provinciarum rectoribus & Epiſcopis quærere & prohibere permittens, & omnes qui in iis fiunt contractus rejicere. Ex permiſſis autem ludis dat actionem, eorúmque mutuo data fuerint, eo nomine actionem permittit, & x. librarum pœnam adverſus eos, qui hanc conſtitutionem tranſiliri permiſerint, decernit. Et dicebant, pentathlon, hoc eſt ludos quinque eſſe permiſſos, luctam, pugilatum, curſum, ſaltum, & diſcum. Ligneum autem equeſtre certamen eſſe lege prohibitum, quòd hoc quoq; aleæ vel talentorum reprehenſionis cauſam habeat; quemadmodum in xxix. cap. xiii. tit. præſentis operis declaratur. Et hæc quidem de equorum curriculis nonnulli dixere. De mimis autem & ludis ſcenicis nullam penitus diviſionem fecere, ſed canonis decreto ſubmiſere. Plures autem, & maximè qui ſunt paulo religioſiores, quibus ipſe etiam aſſentior, hæc non ſibi ſufficere putavere; dicentes, debere canones ad id quod eſt animæ utilius exponi, non ad id quod eſt diſſolutius & magis indifferens.

A πάλαι τελουμένη καὶ ἡ σήμερον γινομένη ἀπαγορεύεται κατὰ τοὺς πολλοὺς, ὥσπερ δὴ καὶ πάντα τὰ θεώρια καὶ τὰ κυνήγια, ἀναγκασθήσεταί τις εἰπεῖν, μηδὲ ὅλως γίνεσθαί τι τοιοῦτον ποτὲ τῶν καιρῶν παρὰ βασιλέως ἢ ἑτέρου τινός. ἀπρακτῆσαι δὲ καὶ τὰ μετὰ κυναρίων λαγοκυνήγια, ἵνα μὴ καὶ οἱ λαϊκοὶ εἰς ἱπποδρομίας καὶ θεωρίας καὶ κυνήγια ἀσχολούμενοι, ἀφορισμῷ ὑποπέσωσιν, ὅπερ ἄτοπον. διὰ γοῦν τοῦτο ὀφείλουσι τὰ τῆς ἱπποδρομίας καὶ τὰ τῶν θεωρίων καὶ τὰ τῶν κυνηγίων εἰς δύο διαιρεῖσθαι, ὡς εἴρηται· εἰς τὰ πάντη ἀποτρόπαια, εἰς ἃ μὴ μόνον κληρικοὶ, ἀλλ' οὐδὲ λαϊκοὶ παραχωροῦνται ἀπέρχεσθαι, τῷ φόβῳ τοῦ ἀφορισμοῦ, καὶ εἰς τὰ ἐπιτετραμμένα, τὰ καὶ σήμερον ἐνεργούμενα, B εἰς ἃ οὐ μόνον λαϊκοὶ ἀλλὰ καὶ κληρικοὶ ἀπροκριματίστως ἀπελεύσονται. ὅτι δὲ, φασὶν, οὐ πάντα τὰ θεώρια καὶ τὰ ἱπποδρόμια οἱ κανόνες ἀπηγόρευσαν, ἀλλὰ τὰ κινδυνώδη καὶ αἰσχρὰ, δηλοῦται ἀπὸ τοῦ ξα΄. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, λέγοντος ταῦτα ῥητῶς. κἀκεῖνο δὲ αἰτῆσαι ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν Χριστιανῶν πίστεως ἡμέραις κωλύωνται, μάλιστα δὲ, ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα οἱ ὄχλοι μᾶλλον εἰς τὰς ἱπποδρομίας ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται, ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας ὅτε ἀπαντήσει. καὶ C μὴ ὀφείλειν τινὰ τῶν Χριστιανῶν εἰς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι. πάντως γὰρ εἰ παρὰ τῶν κανόνων πᾶσα ἱπποδρομία ἐκωλύετο, οὐκ ἂν οἱ πατέρες ᾐτήσαντο μὴ γίνεσθαι τὰς ἱπποδρομίας καὶ τὰ θεώρια ἐν ταῖς κυριωνύμοις καὶ ἐν ταῖς λοιπαῖς ἑορτασίμοις ἡμέραις, ἤγουν ταῖς πασχαλίοις, ἀλλ' ἐδυσώπησαν ἂν παντελῶς ταῦτα σχολάσαι. καὶ τῆς ἐκκλησίας δὲ ὁ μέγας διδάσκαλος ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης, μόνας ἀποτρέπει τὰς κατὰ τὰς κυριωνύμους γινομένας ἱπποδρομίας. προσετίθουν δὲ τοῖς λεγομένοις ὑπ' αὐτῶν, δι' οὐδὲν ἕτερον ἀναγνώστας εἶναι δημότας σήμερον, ἀλλ' ἢ διὰ τὸ φαίνεσθαι κατὰ προτροπὴν ἐκκλησιαστικὴν τὰς ἱπποδρομίας γίνεσθαι. καὶ τὴν προ- D τέραν ἀταξίαν τῶν λαϊκῶν δημοτῶν καὶ πάντα τὰ ἀπρεπῆ καὶ ἄσεμνα σχολάσαι. ἵνα τί γὰρ, εἶπον, ἀναγνώσταις δημόταις μόνοις παρεχωρήθη ἐν ταῖς ἱπποδρομίαις παραβάλλειν, καὶ τοῦ δήμου κατάρχεσθαι· τοῖς δὲ λοιποῖς ἀναγνώσταις καὶ ἱερωμένοις ἁπλῶς τὰς θύρας τῆς ἱπποδρομίας ἀπέκλεισαν; ἐχρῶντο δὲ πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν καὶ τῷ ε΄. κεφαλ. τοῦ η΄. τίτλου τοῦ ξ΄. βιβλίου τῶν βασιλικῶν, οὕτω λέγοντι. ἡ διάταξις κωλύει τὰ παίγνια. καὶ πέντε ὑπεξαιρουμένων ὁρίζει καί τινα ἐπιτίμια κατὰ τῶν κυβευόντων, ἐπιτρέπουσα καὶ τῷ ἐπάρχῳ τῆς πόλεως καὶ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν καὶ τοῖς Ἐπισκόποις ζητεῖν καὶ κωλύειν, καὶ πάντα τὰ ἐν αὐτοῖς γινό- E μενα συναλλάγματα ἀποτρέπειν. δίδωσι δὲ ἀγωγὰς ἐκ τῶν τετραμμένων παιγνίων, καὶ ἀπαίτησιν τῶν ἐντεῦθεν χρεωστηθέντων, δέκα λιτρῶν ἐπιτίμιον ὁρίζουσα κατὰ τῶν συγχωρούντων παραβῆναι τὴν διάταξιν. καὶ ἔλεγον, πένταθλον, ἤγουν πέντε παίγνια εἶναι ἀκώλυτα, πάλην, πυγμὴν, δρόμον, δίαλμα, καὶ δίσκον. τὸ δὲ ξύλινον ἱππικὸν εἶπον κωλύεσθαι ὑπὸ τοῦ νόμου, διὰ τὸ ἔχειν καὶ τοῦτο αἰτίαν κύβου ἤγουν κόττου, καθὼς ἐν τῷ κθ΄. κεφαλ. τοῦ ιγ. τίτλου τοῦ παρόντος συντάγματος δηλοῦται. καὶ ταῦτα μὲν εἶπον τινὲς περὶ τῶν ἱπποδρομιῶν. περὶ δὲ τῶν μίμων καὶ τῶν θυμελικῶν παιγνίων οὐδεμίαν ἐποίησαν διαίρεσιν, ἀλλ' εἰς τὸν διορισμὸν τοῦ κανόνος αὐτὰ ἀνήρτησαν. οἱ πλεί- F ους δὲ, καὶ μᾶλλον οἱ εὐλαβέστεροι, οἷς συντίθεμαι καὶ αὐτὸς, οὐκ ἠρέσθησαν ἐπὶ τούτοις. εἰπόντες ὀφείλειν τοὺς κανόνας πρὸς τὸ ψυχωφελέστερον ἑρμηνεύεσθαι, οὐ μὴν πρὸς τὸ ἐκκεχυμένον καὶ ἀδιάφορον.

ZONAR. Equorum curſibus & ludis ſcenicis intereſſe ſacris initiati, ac monachi omnes hoc canone prohibentur. Quin vocatum ad nuptias Clericum, ubi ſe primum ludiones oſtenderint, recedere jubet. Sic enim patres noſtri docuere. Patres autem Epiſcopos intellige, qui in Laodiceâ congregati Synodum in ea urbe celebravere. Nam ut ſacro ordine initiati homines Clericive alii, ad

ΖΩΝΑΡ. Ἐν ἱπποδρομίαις καὶ ἐν παιγνίοις θυμελικοῖς παρουσιάζειν ἱερωμένους ἢ ἀσκητὰς ἅπαντας ἀπαγορεύει ὁ κανὼν οὗτος. ἀλλὰ κἂν κληρικός τις, φησὶν, εἰς γάμον κληθείη, ὅτε τὰ παίγνια εἰσέλθοιεν, οὕτω ἀναχωρείτω ἐκεῖθεν· οὕτω γὰρ οἱ πατέρες ἡμῶν ἐδίδαξαν. πατέρας δ' ἐνταῦθα φασὶν οἱ τῆς συνόδου ταύτης τοὺς ἐν Λαοδικείᾳ συνελθόντας Ἐπισκόπους, καὶ τοὺς ἐκεῖ συγκροτήσαντας σύνοδον. φησὶ γὰρ ὁ νδ΄. τῆς τοιαύτης συνόδου κανὼν, ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικούς τινας θεωρίας θεωρεῖν ἐν γάμῳ ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι θυμελικοὺς ἐγείρεσθαι αὐτοὺς, καὶ ἀναχωρεῖν ἐκεῖθεν. οἱ μὲν οὖν τῆς ἐν Λαοδικείᾳ συνόδου οὐκ ἐπήγαγον τοῖς μὴ τηροῦσι τὸν κανόνα τὸ ἐπιτίμιον· οἱ δὲ τῆς ἕκτης ταύτης συνόδου παύσασθαι τοὺς τοιοῦτόν τι ποιοῦντας παραινοῦσι, μὴ παυομένους δὲ, ἀλλ' ἔτι ἐχομένους τῆς ἀσχήμονος πράξεως, καὶ καθαιρεῖσθαι προστάσσουσι.

ΑΡΙΣΤ. Κληρικὸς ἢ μοναχὸς ἐν ἱπποδρομίαις ἀνιὼν, ἢ καὶ μελλόντων εἰσιέναι θυμελικῶν ἐν γάμῳ μὴ προεξιὼν, καθαιρείσθω.

Οὐκ εὐθὺς καθαιρεῖται ὁ κληρικὸς, ἡνίκα δ' ἂν εἰς γάμον κληθεὶς οὐκ ἐξαναστῇ καὶ ὑποχωρήσῃ, τῶν πρὸς ἀπάτην εἰσερχομένων παιγνίων· ἀλλ' ὁπόταν τοῦτο ποιῶν, οὐ πείθεται παύεσθαι· μὴ παυόμενος δὲ καθαιρεῖται. ὡσαύτως καὶ ὁ ἐν ἱπποδρομίαις ἀπερχόμενος.

ΚΑΝΩΝ κέ.

Πρὸς τοῖς ἄλλοις ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς Ἐπισκόποις, καὶ μάλιστα, εἰ τριακονταετῆ χρόνον αὐτὰς ἀβιάστως διακατέχοντες ᾠκονόμησαν. εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις ἢ γένηται περὶ αὐτὸ ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι, περὶ τούτου κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.

ΒΑΛΣ. Οὗτος ὁ ἀνανεούμενος κανὼν τῆς δ΄. συνόδου, ἐστὶ κανὼν ιζ΄. καὶ ἀνάγνωθι τὴν ἑρμηνείαν αὐτοῦ.

ΖΩΝΑΡ. Οὗτος ὁ ἀνανεούμενος κανὼν τῆς τετάρτης συνόδου ἐστὶν ἑπτακαιδέκατος, ὃς ἐξηγήθη ἐκεῖσε καὶ ζητητέον τὰ ἐκεῖ γεγραμμένα.

ΑΡΙΣΤ. Ἀγροικικαὶ καὶ ἐγχώριοι παροικίαι, ἐπὶ τριακονταετίαν ἐρχόμεναι, κατεχέσθωσαν· ἔνδον δὲ, τὸ ἀμφισβητήσιμον ἔχουσι.

Ἀγροικικὰς παροικίας λέγει [ὡς καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου ἐγράψαμεν,] τοὺς ἰδιοτάτους τῶν ἐκκλησιῶν ἀγροὺς, καὶ μὴ ἀνακεκοινωμένους, ὅλως ὄντας ἔν τισι κώμαις ἢ καὶ χωρίοις· οὓς καὶ μονοίκια νῦν λέγουσιν· ἐγχωρίους δὲ, τοὺς ἐν μέσοις χωρίοις ἢ κώμαις κειμένους ἀγρούς. εἴ τις οὖν τῶν Ἐπισκόπων ἐπὶ τριακονταετίαν κατέχει τοιαύτην τινὰ ἐγχώριον, ἢ καὶ ἀγροικικὴν παροικίαν, ἑτέρῳ διαφέρουσαν Ἐπισκόπῳ, καὶ οὐδεμίαν ὑπέστη ὄχλησιν περὶ αὐτῆς ἐντὸς τῆς τριακονταετηρίδος, ἀπαρασαλεύτως ταύτην καθέξει· εἰ δὲ ἀμφιβολία γέγονε περὶ αὐτῆς μέσον ἀμφοτέρων τῶν Ἐπισκόπων, μήπω τῆς τριακονταετίας παραδραμούσης, ἔξεστι τῷ οἰομένῳ ἀδικεῖσθαι παρὰ τῇ συνόδῳ τῆς ἰδίας ἐπαρχίας περὶ ταύτης κινεῖν.

ΚΑΝΩΝ κϛ΄.

Πρεσβύτερον, τὸν κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντα, καθέδρας μὲν μετέχειν, κατὰ τὰ ὑπὸ τοῦ ἱεροῦ κανόνος ἡμῖν νομοθετηθέντα, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι. ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον. εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν. ὁ δὲ τοῦτον

A nuptiarum aut convivii celebritatem vocati, ſpectaculis non interſint, ſed antequam hiſtriones producantur exurgant, ſeque inde removeant, ejus Synodi quarto & quinquageſimo canone conſtitutum eſt. Sed nullam iis, qui canoni non paruiſſent, Laodicenæ Synodi Patres decrevere pœnam. Patres autem ſextæ hujuſce Synodi, ne quid ſimile in poſterum aliquis audeat, quique auſus fuerit, neque ſe ab ejuſmodi deformitate removerit, etiam depoſitione mulctari jubent.

Arist. *Clericus vel Monachus, qui ad equorum* B *curſus ſe confert, vel in nuptiis, cùm ingreſſuri ſunt hiſtriones, non prius exit, deponatur.*

Non ſtatim deponitur Clericus quando ad nuptias vocatus non ſurgit & diſcedit, cum ad deceptionem facti incipiunt ludi; ſed quando hoc faciens ceſſare non perſuadeatur. Non ceſſans autem deponitur; ut qui equorum curſus adit.

Canon XXV.

C *Præterea renovamus etiam canonem, qui dicit uniuſcujuſque Eccleſiæ agreſtes, & quæ ſunt in regione, parochias firmas manere apud Epiſcopos qui eas poſſident, & maxime ſi xxx. annorum ſpatio eas ſine vi poſſidentes adminiſtraverint. Si autem intra xxx. annos fuit vel fuerit aliqua de iis controverſia, licere iis, qui ſe injuria affectos dicunt, de eo actionem movere apud Synodum provinciæ.*

Bals. Hic renovatus canon eſt iiii. Synodi canon xvii. & lege ejus interpretationem.

D

Zonar. Eſt is canon, quem hoc loco renovant, quartæ Synodi decimus ſeptimus. Nos eum ſuo loco explicavimus. Tu quæ ibi ſcripta ſunt vide.

Arist. *Agreſtes & regionales parœciæ triginta annos poſſeſſæ, retineantur. Intra autem illud tempus, controverſia de iis moveatur.*

Agreſtes Parœcias dicit (ut & in decimo ſeptimo Synodi Chalcedonenſis canone ſcripſimus) maximè proprios Eccleſiarum agros, & cum aliis communicatos, qui in- E tegre ſunt in vicis quibuſdam aut oppidulis, quos & monœcia nunc vocant: Regionales autem agros, in mediis regionibus aut vicis ſitos. Si quis itaque Epiſcoporum per triginta annos talem aliquam regionalem aut agreſtem parœciam poſſedit ad alium pertinentem Epiſcopum, & de eâ nulla movetur moleſtia intra triginta annorum ſpatium eam, inde non movendus poſſidebit. Si autem inter ambos Epiſcopos mota de eâ fuerit controverſia priuſquam triginta anni elapſi fuerint, licet ei, qui ſibi injuriam fieri ratus eſt, apud propriæ provinciæ Synodum actionem movere.

F

Canon XXVI.

Presbyterum per ignorantiã illicitis nuptiis implicatum eſſe quidem cathedræ participem, ſecundum ea quæ ſunt in ſacro can. decreta, à reliquis autem operationibus abſtinere. Etenim tali ſatis eſt, ſi venia detur. Ut autẽ alii benedicat qui debet ſua curare vulnera, eſt incongruum. Benedictio enim eſt ſanctificationis impertitio. Qui autem id non habet propter delictum ex ignorantia, quomodo alteri id impertiet?

A *Nec ergo publicè nec privatim benedicat, nec Domini corpus aliis diſtribuat, nec aliquod aliud miniſterium obeat; ſed prima ſede contentus Domino defleat, ut illi ex ignorantia peccatum remittatur. Manifeſtum enim eſt, quòd nefarium iſtiuſmodi conjugium diſſolvetur, nec vir cum eâ ullo modo conſuetudinem habebit, per quam ſacra operatione privatus eſt.*

Bals. Canones Neocæſar. ſyn. ante præſentem ſynodum ſcripti ſunt. Propterea enim & præſens canon illorum compoſitionis meminit, dicens ix. illius ſynodi
B canoni conſequenter, non licere ei, qui per ignorantiam ſuæ cognatæ legitimè conjunctus eſt, & ſacerdos poſtea factus, offerre, vel aliquid aliud ſacerdotale exercere; ſed ſola cathedra dignum cenſeri, quoniam non ex ſcientia, ſed per ignorantiam peccavit. Porrò & cathedra tunc dignus putabitur, quando ab illicito conjugio ſejunctus fuerit, & pœnitentiæ opera oſtenderit, quæ ſuadebunt ut mitius cum eo agatur. Si enim ab illicito conjugio non ſeparatur, ignorantia nihil ei proderit; ſed à magiſtratus poteſtate & matrimonium illicitum diſſolvetur. Hæc autem ex eo apparent, quod dicit canon; ſed prima ſede contentus, Domino defleat; & ex eo quod dicit nuptiæ autem diſſolventur. Porro & ix. canon Neocæſar.
C Syn. propter aliud ejus qui depoſitus eſt ſtudium, eum in reliquis quoque manere jubet. Quære & xxvii. canonem ſancti Baſilii, & vigeſ. primum præſentis Synodi. Poſtquam autem matrimonium illicitum ex effectu apparuerit propter cognationem, is qui poſtquam reſciverit in peccato permanet, non ſolùm cathedra dignus non reputabitur, ſed etiam tanquam inceſtus reus punietur, non ſecus ac laici. Dicit enim liber lx. tit. xxxvii. cap. xli. decr. Illicitæ nuptiæ non confirmantur, & propterea, ſi ante accuſationem ſolutæ fuerint, pœna remittitur. Et decret. vii. In illicito matrimonio, quod per ignorantiam contractum eſt, dat veniam natura & ætas
D & peccati correctio: & maximè ſi quis nondum ipſum accuſaverat.

Zonar. Qui in corpus ſuum peccaverit, ac ordinibus poſtea inſignitus fuerit, quod ne offerat, inter reliquos propter aliud ſtudium manens, Neocæſarienſis Synodi nono canone conſtitutum eſt. Et magnus Baſilius xxvii. can. cujus hic quoq; meminit, qui ſe vetitis nuptiis inſcius illigaverit, ſolo cathedræ honore conceſſo, à reliquis ſacrorum munerum functionibus omnino abſtinere jubet. Eadem hic quoq; decreta; ut qui ſe damnatis
E videlicet nuptiis imprudens implicuerit, ſibiq; forte conſanguineam, ignorata propinquitate, ſociarit, cathedræ ſolo honore contentus, quod reliquum eſt nullum omnino ſacerdotale munus attingat, quodque ejus ignorationi noxa condonata ſit, bene ſecum ac feliciter actum eſſe ſibi perſuadeat. Benedicere verò alteri, inquit, qua ratione audeat, qui de ſua potius expianda culpa ſollicitus eſſe debet? Eſt nàmque benedictio ſpiritualis quædam gratiæ ſanctitatiſque communicatio. Quicunq; igitur, quod in ipſo ſanctitatis & gratiæ fuit, propter offenſionem ab ipſo patrati facinoris amiſit, aliis impertire qua ratione poterit? Neque igitur is publice neque privatim benedicet,
F neq; dominicum corpus cuiquam impertietur, ſed cathedra contentus ſit, pœnitentiam agens, ut delictum ſibi remittatur. Connubium porro damnatum reſcindat, atq; ſe penitus ab omni conſanguineæ mulieris commercio abducat, ac ita demum conceſſum cathedræ honorem obtinebit. Nam ſi inceſtæ nuptiæ maneant, cathedræ quoque jus omne amittet; quin ab Eccleſia uterq; conjux ejicietur, & male contractum inter ipſos fœdus ſecularis judex pro poteſtate diſſolvet.

μὴ ἔχων, διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέροις μεταδώσει; μὴ τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω· μήτε τὸ σῶμα τοῦ κυρίου διανεμέτω ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω. ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. πρόδηλον γὰρ, ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν, δι' ἣν τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται.

ΒΑΛΣ. Οἱ κανόνες τῆς ἐν Νεοκαισαρείᾳ συνόδου πρὸ τῆς παρούσης συνόδου ἐγράφησαν. διὰ γὰρ τοῦτο καὶ μέμνηται ὁ παρὼν κανὼν τῆς συνθήκης ἐκείνων, λέγων ἀκολούθως τῷ θ'. κανόνι τῆς συνόδου ἐκείνης, μὴ ἔχειν ἐπ' ἀδείας τὸν ἐν ἀγνοίᾳ μετὰ προσγενοῦς αὐτοῦ νομίμως συναφθέντα, καὶ μετὰ τοῦτο ἱερωθέντα, προσφέρειν, ἢ ἄλλό τι ἱερατικὸν ἐνεργεῖν· μόνης δὲ καθέδρας ἀξιοῦσθαι διὰ τὸ μὴ ἐν εἰδήσει, ἀλλ' ἐν ἀγνοίᾳ ἁμαρτῆσαι, καὶ τῆς καθέδρας δὲ τότε ἀξιωθήσεται, ὅτε τοῦ ἀθέσμου συνοικεσίου ἀποστῇ, καὶ δείξῃ ἔργα μετανοίας, παρακαλοῦντα γενέσθαι συμπαθέστερόν τι ἐπὶ αὐτῷ. εἰ γὰρ ἔχεται τοῦ ἀθέσμου γάμου, διὰ τὴν ἄγνοιαν οὐκ ὠφεληθήσεται, ἀλλ' ὑπὸ ἀρχοντικῆς ἐξουσίας καὶ ὁ ἄθεσμος γάμος λυθήσεται. ταῦτα δὲ ἀναφαίνεται ἀπὸ τοῦ λέγειν τὸν κανόνα· ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ κυρίῳ· καὶ ἀπὸ τοῦ εἰπεῖν· ὁ δὲ γάμος διαλυθήσεται. καὶ ὁ θ'. δὲ κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου διὰ τὴν ἄλλην σπουδὴν καθαιρηθέντος, μένειν αὐτὸν ἐν τοῖς λοιποῖς παρακελεύεται. ζήτει καὶ τὸν κζ'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὸν κά. τῆς παρούσης συνόδου. τοῦ γάμου δὲ ἀπὸ τελέσματος ἀθέσμου ἀναφανέντος διὰ τὴν συγγένειαν, ὁ μετ' εἴδησιν ἐπιμένων τῇ ἁμαρτίᾳ, οὐ μόνον καθέδρας οὐκ ἀξιωθήσεται, ἀλλὰ καὶ ὡς αἱμομίκτης τιμωρηθήσεται κατὰ λαϊκούς. φησὶ γὰρ βιβλίον ξ'. τίτλῳ λζ'. κεφ. μα'. θέματι ϛ'. ὁ ἀθέμιτος γάμος οὐ βεβαιοῦται· καὶ διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή. καὶ θέματι ζ'. ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γινομένου ἀθεμίτου γάμου δίδωσι συγγνώμην φύσις καὶ ἡλικία καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος· καὶ μάλιστα εἰ μήπω τὶς αὐτὸν κατηγόρησεν.

ΖΩΝΑΡ. Καὶ ὁ ἔννατος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου περὶ ἡμαρτηκότος ἐν σώματι καὶ χειροτονηθέντος, φησὶν, ὅτι μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς διὰ τὴν ἄλλην σπουδήν. καὶ ὁ εἰκοστὸς ἕβδομος τοῦ μεγάλου Βασιλείου κανὼν, περὶ τοῦ ἀθέσμῳ γάμῳ περιπαρέντος ἐν ἀγνοίᾳ, φησὶ, καθέδρας μὲν τὸν τοιοῦτον μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι, οὗ δὴ κανόνος ὁ παρὼν μέμνηται κανὼν, καὶ τὰ αὐτὰ διατάττεται τὸν κατ' ἄγνοιαν εἰς ἄθεσμον γάμον ἐμπεπτωκότα, συγγενεῖ τυχὸν οἰκείᾳ μιγέντα, ὡς ἀγνοήσαντα τὴν συγγένειαν, καθέδρας μόνης μετέχειν κελεύων, ἕτερον δέ τι ἱερατικὸν δίκαιον μὴ ποιεῖν. ἀρκεῖν γὰρ αὐτῷ, ὅτι συγγνωμονεῖται διὰ τὴν ἄγνοιαν. πῶς δὲ εὐλογήσει, φησὶν, ὁ τοιοῦτος ἕτερον, ὃς μᾶλλον τῶν οἰκείων ἁμαρτημάτων φροντίζειν χρεωστεῖ; ἡ γὰρ εὐλογία χάριτος πνευματικῆς καὶ ἁγιασμοῦ ἐστὶ μετάδοσις. ᾧ δὲ οὐ μέτεστι χάριτος οὐδ' ἁγιασμοῦ διὰ τὸ παράπτωμα, πῶς οὗτος ἑτέρῳ δυνηθείη μεταδοῦναι αὐτοῦ; οὔτε οὖν δημοσίᾳ οὔτε ἰδίᾳ εὐλογήσει, οὔτε τὸ σῶμα τοῦ κυρίου διανεμεῖ· ἀλλ' ἀρκεθήσεται τῇ καθέδρᾳ μετανοῶν, ἵν' αὐτῷ συγχωρηθῇ τὸ ἁμάρτημα. ὁ δὲ ἄθεσμος γάμος λυθήσεται, καὶ οὐκέτι πρὸς τὴν γυναῖκα ἐκείνην εἰσελεύσεται ὁ ἀνὴρ ἐκεῖνος. καὶ οὕτως ἕξει τὴν τῆς καθέδρας τιμήν. εἰ γὰρ μὴ διασπασθείη τὸ ἄθεσμον συνοικέσιον, οὔτε τὴν καθέδραν ἕξει, ἀλλὰ καὶ τῆς ἐκκλησίας ἐξωθήσονται ἄμφω οἱ ἀλλήλοις ἀθέσμως μιγνύμενοι, καὶ ὁ ἄθεσμος γάμος δι' ἀρχοντικῆς ἐξουσίας λυθήσεται.

ΑΡΙΣΤ. Πρεσβύτερος ἀθέσμῳ περιπεσὼν γάμῳ, καὶ καθαιρεθεὶς, καθέδρας μετεχέτω, καὶ μόνον, πάντως διαλυθεὶς τοῦ μιάσματος.

Εἴ τις πρεσβύτερος πρὸ τῆς χειροτονίας γυναῖκα ἔλαβεν, ἢ χήραν, ἢ πόρνην, ἢ τὴν ἐπὶ σκηνῆς, ἢ ἑτέραν τινὰ τῶν ἀπηγορευμένων, ἐν ἀγνοίᾳ· τῆς μὲν ἱερωσύνης παυθήσεται, τῆς δὲ καθέδρας τῶν πρεσβυτέρων μεθέξει. διαλυθήσεται δὲ καὶ ὁ τοιοῦτος ἄθεσμος γάμος, δι' ὃν τῆς ἱερᾶς ἐνεργείας στερεῖται.

ΚΑΝΩΝ κζʹ.

Μηδεὶς τῶν ἐν κλήρῳ καταλεγομένων ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω, μήτε ἐν πόλει διάγων, μήτε ἐν ὁδῷ βαδίζων· ἀλλὰ στολαῖς κεχρήσθω ταῖς ἤδη τοῖς ἐν κλήρῳ καταλεγομένοις ἀπονεμηθείσαις. εἰ δέ τις διαπράξοιτο τὸ τοιοῦτον, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

ΒΑΛΣ. Τινὲς τῶν κληρικῶν, ὡς ἔοικεν, ἔξω τῆς ἐνεγκαμένης αὐτοὺς διατρίβοντες, μετ' ἀνοικείων στολῶν ἐβάδιζον· ἢ καὶ ἐν πόλει διάγοντες ὁμοίοις ἐχρῶντο περιβλήμασι. τοῦτο οὖν ἐπανορθούμενοι οἱ πατέρες, διωρίσαντο μηκέτι τοιοῦτόν τι γίνεσθαι· ἢ μὴν τοὺς παρὰ ταῦτα ποιοῦντας ἀφορίζεσθαι ἐπὶ ἑβδομάδα μίαν. καὶ ὁ ιϛʹ. δὲ κανὼν τῆς ζʹ. συνόδου μὴ δεῖν φησὶν ἱερατικὸν ἄνδρα πολυτελέσιν ἱματίοις χρᾶσθαι. ἀνοίκειος δὲ τῷ κληρικῷ στολή ἐστιν, οὐχὶ τὰ τῶν στρατιωτῶν ἐνδύματα. ταῦτα γὰρ εἴποτέ τις κληρικὸς ἐνδυθῇ, μεγάλως κολασθήσεται. ἀλλὰ τὰ πολυτελῆ χρυσέφαντα ἐπιβλήματα· τὰ δημοτικῶς λεγόμενα μαργέλια γράμματα καὶ ἀντίπανα, καὶ τὰ ἐκ κογχύλης πορφυρίζοντα ἱμάτια· ἀρετῆς γὰρ καὶ εὐσχημοσύνης ὑπόδειγμα οἱ κληρικοὶ ὀφείλουσιν εἶναι, οὐ μὴν βλακείας καὶ ἀσχήμονος διαγωγῆς.

ΖΩΝΑΡ. Τοὺς τῷ θεῷ καθιερωμένους πανταχόθεν δεῖ κεκτῆσθαι τὸ εὔσχημον καὶ ἐξ αὐτῆς τῆς ἔξω φαινομένης αὐτῶν καταστάσεως. ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, φησὶν ἡ γραφή· θεὸς δὲ εἰς καρδίαν. καὶ τὰ μὲν τῆς καρδίας κινήματα γνωστὰ τῷ θεῷ· οἱ ἄνθρωποι δὲ ἐκ τῶν ἐκτὸς τεκμαίρονται τὰ ἔνδον καὶ ἀφανῆ. εἰ γοῦν ὁρῶμεν τοὺς τῷ θεῷ κεκληρωμένους μὴ τῷ τύπῳ καὶ τῇ συνηθείᾳ τῇ περὶ τὴν στολὴν ἐμμένοντας, ἀλλ' ἀνοικείως τῇ ἑαυτῶν καταστάσει ἐσταλμένους, καὶ ἢ λαμπράς τινας ποικίλας τε καὶ πολυτελεῖς ἀμφιεννυμένους στολὰς, ἢ στρατιωτικά τινα περικειμένους ἐνδύματα ὡς δῆθεν εὐσταλεῖς ἐσομένους ὁδὸν ἀνύοντας, καταγνώσονται τῶν πιστῶν, καὶ ἐκ τῆς ἔξωθεν ἀτάκτου περιφορᾶς τοιαῦτα κρινοῦσι τῶν τῷ θεῷ κεκληρωμένων καὶ τὰ ἐντός. ὁ δὲ μέγας Παῦλος, ἀπρόσκοποι, φησὶ, γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. ὁ γοῦν παρὼν κανὼν πᾶσιν ἐντέλλεται τοῖς ἐν κλήρῳ ταῖς συνήθεσι κεχρῆσθαι στολαῖς, καὶ ἐν πόλει καὶ ἐν ὁδῷ. ἢ μὴ τοῦτο ποιοῦντας, ἀλλὰ παρεξιόντας τὴν συνήθειαν, ἀφορίζεσθαι ἐπὶ ἑβδομάδα μίαν. καὶ ὁ ιϛʹ. τῆς ζʹ. συνόδου κανὼν μὴ δεῖν φησιν ἱερατικὸν ἄνδρα πολυτελέσιν ἱματίοις κεχρῆσθαι.

ΑΡΙΣΤ. Κληρικὸς, μήτε ἐν ὁδῷ μήτε ἐν οἴκῳ, ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω. εἰ δὲ μὴ, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω. Σαφής.

A **Ariſt.** *Presbyter in illicitum matrimonium incidens, & depoſitus, cathedræ ſit particeps, & ſolùm, à ſcelere prorſus abſtinens.*

Si quis Presbyter ante ordinationem uxorem duxit, aut viduam, aut meretricem, aut ſcenicam, aut aliam quamcunque earum quæ prohibentur, in ignorantiâ, à ſacerdotio quidem ceſſabit, at cathedræ Presbyterorum particeps erit. Diſſolvetur autem & illegitimum iſtiuſmodi conjugium, per quod ſacro miniſterio privatur.

B

Canon XXVII.

Nullus eorum, qui in cleri catalogum relati ſunt, veſtem ſibi non convenientem induat, neque in civitate degens, neque iter ingrediens: ſed utatur veſtibus quæ antehac iis, qui in clerum relati ſunt, attributa fuere. Si quis autem tale quid fecerit, una ſeptimana ſegregetur.

Bals. Quidam Clerici, ut eſt veriſimile, extra patriam quæ eos tulit verſantes, cum veſtibus ſibi nequaquam convenientibus incedebant: vel etiam in civitate degentes, ſimilibus veſtimentis utebantur. Patres C ergo hoc corrigentes, ſtatuerunt ne tale quid fiat amplius: vel eos quidem certè, qui præter hæc faciunt, una ſeptimana ſegregandos. Porrò & vii. Syn. can. xvi. dicit, non oportere ſacerdotem uti ſumptuoſis veſtibus. Stola autem clerico nequaquam conveniens eſt, nec veſtes militum: ſi quis enim clericus iis unquam indutus fuerit, vehementer punietur. Sunt vero ſumptuoſa auro intexta veſtimenta, quæ vulgo dicuntur μαργέλλια γράμματα, & ἀντίπανα, & veſtes purpureæ. Virtutis enim & honeſtatis exemplum debent eſſe Clerici, non autem ſtolidæ ac inhoneſtæ vitæ.

D **Zonar.** Qui ſeipſos Deo dicarunt, modeſtiam in ipſo quoque corporis habitu & ornatu externo conſervare ac tueri debent. Nam homo quidem, ut ſacræ teſtantur literæ, faciem intuetur: Deus autem cor. Ac arcanas quidem animi cogitationes divina vis inſpicit: homines vero ab externa ſpecie ad interiora & latentia ſuſpicionibus & conjectura perveniunt. Quamobrem ſi in Dei ſortem vocatos nequaquam conſueto ſui ordinis hominibus, ſed longe diſſimili ac diverſo habitu, uti quiſpiam animadvertat, eóſque, vel ſplendida variéque elaborata veſte indutos, vel militari ornatu, quaſi ad iter E agendum, bene præcinctos conſpiciat, fideles damnabit, atque ex præpoſtero illo habitu, omnium qui clero adſcripti ſunt, animum ac mores æſtimabit. At vero, Sine offenſione, magnus Paulus ait, eſtote Judæis & Græcis & Eccleſiæ Dei. Univerſos igitur, qui in clerum cooptati ſunt, conſuetis, tum in urbe tum in itinere, veſtibus hic canon uti jubet. Qui vero ſecus fecerint, atque à conſuetudine in eo recepta ſe abduxerint, unius hebdomadæ ſpatio ſegregandos eſſe diſcernit. Et verò, ne ſacerdotalis ordinis viro ſumptuoſis veſtibus uti liceat, decimo ſexto quoq; ſeptimæ Synodi canone conſtitutum eſt.

F **Ariſt.** *Clericus nec itinere nec domi veſtem non convenientem induat, Alioquin, unâ ſeptimâ ſegregetur.* Perſpicuus.

Canon.

A

CANON XXVIII.

Quoniam in diversis Ecclesiis intelleximus, uva ad altare allata, ex quadam quæ invaluit consuetudine, ministros, postquam hanc incruento oblationis sacrificio conjunxerint, utraque simul populo distribuere: simul etiam decernendum esse perspeximus, ut nullus Sacerdos hoc amplius faciat, sed ad vivificationem & peccatorum remissionem solam oblationem populo impertiat; tanquam primitias autem uvæ allationem existimantes, Sacerdotes eam seorsim benedicentes petentibus impertire, ad fructuum datori gratiarum actionem, per quos corpora nostra divina dispositione augentur & aluntur: Si quis itaque Clericus præter hæc decreta fecerit, deponatur.

BALS. De iis, quæ in præsenti canone declarantur, satis in iv. Apostolico canone scripsimus. Lege ergo quæ in illo scipta sunt.

ZONAR. Multæ locis quibusdam ab Ecclesiasticæ disciplinæ gravitate alienæ consuetudines sunt receptæ. Quarum ex numero ea quoque fuit, ut uvarum primitiæ templo allatæ, divinóque & incruento sacrificio adjunctæ, populo dividerentur. Morem igitur ejusmodi canon hic damnat, ab eoque sacri ordinis homines in posterum abstinere jubet. Solùm porro, inquit, sacram oblationem, qua peccatorum veniam obtineant, nisi si qui ad eam participandam minus probati accesserint, populo impertiri concessum sit. Uvas autem, ut primitias allatas, à Sacerdotibus benedici & populo distribui, ut exinde frugum datori, omniúmque quæ ad carnis victum cultúmque necessaria sunt largitori gratias agant. Qui secus fecerit, in eum depositione animadverti jubet.

ARIST. *Uvæ à nonnullis incruento sacrificio conjunguntur. Ne quis autem hoc ampliùs audeat, decretum est.*

Uvas quidem tempore convenienti super altare offerre, eásque à sacerdotibus benedici, & petentibus distribui, tertius sanctorum Apostolorum canon permittit. At eas incruento conjungere sacrificio & utrumque simul populo distribuere præsens canon prohibet, mandátque ne quispiam è Sacerdotibus hoc ampliùs audeat. Alioquin, eum qui fecerit, deponi.

CANON XXIX.

Carthaginensis Synodi canon dicit, ut sancta altaris non nisi à jejunis hominibus peragantur, excepto uno die in anno, in quo cœna domini peragitur: tunc fortasse propter aliquas in iis locis occasiones Ecclesiæ utiles patribus hac dispensatione usis. Cùm nihil ergo nos inducat, ut accuratam diligentiam relinquamus, Apostolicas ac Paternas traditiones sequentes statuimus, non oportere in quadragesima postrema, septimana quinta feria jejunium solvere, & totam quadragesimam injuria afficere.

BALS. Sancti patres qui Carthagine convenerant, scientes quòd Dominus noster Jesus Christus, postquam legale Pascha fecisset, & etiam cum suis discipulis comedisset, mysticum quoque Pascha peregit, & incruentum sacrificium tradidit, jusserunt alio quidem toto tempore esse jejunos, qui sancta tractant, Diaconos & Sacerdotes: in magna autem quinta feria, ubi commederint, sacrum celebrare. Hoc ergo non esse faciendum sanctæ Synodi sextæ patres statuerunt, dicentes, quòd tunc quidem fortasse, propter

ΚΑΝΩΝ κη΄.

Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν, σταφυλῆς ἐν τῷ θυσιαστηρίῳ προσφερομένης κατά τι κρατῆσαν ἔθος, τοὺς λειτουργοὺς ταύτην τῇ ἀναιμάκτῳ τῆς προσφορᾶς θυσίᾳ συνάπτοντας, οὕτως ἅμα τῷ λαῷ διανέμειν ἀμφότερα, συνείδομεν, ὥστε μηκέτι τοῦτο τινὰ τῶν ἱερωμένων ποιεῖν, ἀλλ' εἰς ζωοποίησιν καὶ ἁμαρτιῶν ἄφεσιν τῷ λαῷ τῆς προσφορᾶς μόνης μεταδιδόναι. ὡς ἀπαρχὴν δὲ τὴν τῆς σταφυλῆς λογιζομένους προσένεξιν, ἰδικῶς τοὺς ἱερεῖς εὐλογοῦντας τοῖς αἰτοῦσι ταύτης μεταδιδόναι πρὸς τὴν τοῦ B δοτῆρος τῶν καρπῶν εὐχαριστίαν, δι' ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον αὔξει τε καὶ ἐκτρέφεται. εἴ τις οὖν κληρικὸς παρὰ τὰ διατεταγμένα ποιήσοι, καθαιρείσθω.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι δηλουμένων ἀρκούντως ἐγράψαμεν ἐν τῷ τετάρτῳ ἀποστολικῷ κανόνι. ἀνάγνωθι οὖν τὰ ἐν ἐκείνῳ γεγραμμένα.

ΖΩΝΑΡ. Πολλὰ παρά τισιν ἔθη ἀλλότρια τῆς ἐκκλησιαστικῆς κεκράτηκε καταστάσεως. ὧν καὶ τὸ, σταφυλῆς ὡς ἀπαρχῆς κομιζομένης ἐν τῷ ναῷ, συνάπτεσθαι ταύτην τῇ C θείᾳ καὶ ἀναιμάκτῳ θυσίᾳ, καὶ μεταδίδοσθαι τῷ λαῷ. τοῦτο τοίνυν τὸ ἔθος ὁ κανὼν ἀποτρέπεται, καὶ μηκέτι γίνεσθαι κελεύεται παρά τινος τῶν ἱερωμένων, ἀλλ' ἰδίᾳ μὲν τῷ λαῷ μόνης μεταδιδόναι τῆς προσφορᾶς εἰς ἄφεσιν ἁμαρτιῶν τοῖς ἀναξίως ταύτης μετέχουσι. τὴν δὲ σταφυλὴν ὡς ἀπαρχὴν προσαγομένην εὐλογεῖσθαι παρὰ τῶν ἱερέων, καὶ διανέμεσθαι τῷ λαῷ, ἵν' εὐχαριστοῖεν τῷ τῶν καρπῶν δοτῆρι καὶ χορηγῷ τῶν ἀναγκαίων ἡμῖν πρὸς σύστασιν τῆς σαρκός. εἰ δέ τις φησὶ παρὰ τὰ διατεταγμένα ποιήσει, καθαιρείσθω.

D ΑΡΙΣΤ. *Σταφυλαὶ πρός τινων τῇ ἀναιμάκτῳ θυσίᾳ συνάπτονται. τοῦτο δὲ μηκέτι τολμᾶσθαι διώρισται.*

Τὸ μὲν, σταφυλὰς ἐν καιρῷ τῷ δέοντι τῷ θυσιαστηρίῳ προσφέρειν, καὶ εὐλογεῖσθαι ταύτας παρὰ τῶν ἱερέων, καὶ τοῖς αἰτοῦσι μεταδιδόναι, ὁ τῶν ἁγίων ἀποστόλων τρίτος κανὼν συγχωρεῖ. τὸ δὲ, τῇ ἀναιμάκτῳ θυσίᾳ ταύτας συνάπτειν, καὶ ἅμα διανέμειν ἀμφότερα τῷ λαῷ, ὁ παρὼν ἀπαγορεύει κανὼν, καὶ προστάττει, μηκέτι τοῦτο τολμηθῆναι παρά τινος τῶν ἱερέων· εἰ δὲ μὴ, καθαιρεῖσθαι τὸν E τοῦτο ποιήσαντα.

ΚΑΝΩΝ κθ΄.

Ὁ τῶν ἐν Καρθαγένῃ διαγορεύει κανὼν, ὥστε ἅγια θυσιαστηρίου, εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης μιᾶς ἐτησίου ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται. ἴσως τηνικαῦτα διά τινας κατὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς τῶν θείων ἐκείνων πατέρων τῇ αὐτῇ χρησαμένων οἰκονομίᾳ. μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν, ὁρίζομεν, ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσιν, μὴ δεῖν ἐν τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ F ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.

ΒΑΛΣ. Οἱ ἐν Καρθαγένῃ συναχθέντες ἅγιοι πατέρες, εἰδότες ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τὸ ποιῆσαι τὸ νομικὸν πάσχα σὺν τοῖς μαθηταῖς αὐτοῦ καὶ φαγεῖν, ἐτέλεσε καὶ τὸ μυστικὸν πάσχα καὶ τὴν ἀναιμάκτην θυσίαν παρέδωκε, παρεκελεύσαντο κατὰ μὲν τὸν ἄλλον χρόνον νήστεις εἶναι τοὺς τὰ ἅγια μεταχειριζομένους διακόνους καὶ ἱερεῖς· κατὰ δὲ τὴν μεγάλην πέμπτην, μετὰ τὸ φαγεῖν, ἱερουργεῖν. τοῦτο οὖν μὴ γίνεσθαι διωρίσαντο οἱ τῆς ς΄. συνόδου πατέρες· εἰπόντες, ὅτι τότε μὲν ἴσως, διά τινα εὔλογον αἰτίαν καὶ λυσιτελῆ ταῖς ἐκκλησίαις, τοῦτο οὕτω γίνεσθαι οἰκονομικῶς διωρίσθη. ἀρτίως δὲ μηδενὸς ἀναγκαίου κατεπείγοντος, οὐ χρὴ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις παραβαίνεσθαι. εἰσὶ δὲ αὗται, ὁ ξθʹ. κανὼν τῶν ἁγίων ἀποστόλων· ὁ νʹ. τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ἕτεροι.

ΖΩΝΑΡ. Οἱ μὲν ἐν Καρθαγένῃ πατέρες νήστεις τὸν ἄλλον ὅλον χρόνον τοὺς τὰ ἅγια τοῦ θυσιαστηρίου ἐπιτελοῦντας ἤγουν ἱερουργοῦντας διετάξαντο εἶναι, ἄνευ τῆς μεγάλης πέμπτης. ἐν ταύτῃ γὰρ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται. οἱ δὲ τῆς ἕκτης ταύτης συνόδου καὶ τότε νήστεις εἶναι δεῖν διὰ τοῦ κανόνος τούτου ὡρίσαντο τοὺς τὰ ἅγια χειρίζοντας καὶ τελοῦντας, εἰπόντες ὡς ἴσως οἱ θεῖοι πατέρες ἐκεῖνοι ᾠκονόμησαν τότε τοῦτο διά τινας αἰτίας τῇ ἐκκλησίᾳ κατὰ τοὺς τόπους ἐκείνους λυσιτελεῖς. νῦν δὲ μηδενὸς ἀναγκαίου κατεπείγοντος, παριδεῖν τὴν ἀκρίβειαν καὶ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις οὐ χρή· καὶ ἐν τῇ τεσσαρακοστῇ λύειν τὴν πέμπτην κατὰ τὴν ὑστέραν ἑβδομάδα, κἀντεῦθεν ἀτιμάζειν καὶ ἀχρειοῦν ὅλην τὴν τεσσαρακοστήν. ἀποστολικὰς δὲ καὶ πατρικὰς παραδόσεις τὸν ἑξηκοστὸν ἔννατον κανόνα τῶν ἁγίων ἀποστόλων ὠνόμασαν οἱ θεῖοι πατέρες οὗτοι, καὶ τὸν πεντηκοστὸν τῆς ἐν Λαοδικείᾳ συνόδου. ὁ μὲν γὰρ τοὺς μὴ νηστεύοντας τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ πάσχα, εἰ μὴ δι᾽ ἀσθένειαν σωματικὴν ἐμποδίζοιντο, ἱερωμένους ὄντας καθαιρεῖ, λαϊκοὺς δὲ ἀφορίζει. ὁ δὲ τῶν ἐν Λαοδικείᾳ, οὐ δεῖ, φησι, τῇ τεσσαρακοστῇ ἐν τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ δεῖ πᾶσαν ξηροφαγοῦντας νηστεύειν.

ΑΡΙΣΤ. Τινὲς τῶν πατέρων, τῇ ἡμέρᾳ τοῦ θείου δείπνου μετὰ τὸ δειπνῆσαι προσῆγον. ἔδοξε τοίνυν τῇ συνόδῳ τοῦτο μὴ γίνεσθαι· μηδ᾽ ἐν τῇ τεσσαρακοστῇ, τῇ ὑστέρᾳ ἑβδομάδι, τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.

Ἡ μὲν ἐν Καρθαγένῃ σύνοδος ὥρισεν ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κανόνι, ἀπὸ νηστικῶν ἀνθρώπων τελεῖσθαι τὰ ἅγια, ἄνευ μιᾶς ἐτεσίου ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται. ὁ δὲ κανὼν οὗτος φυλάττων τὸ ἀκριβές, οὐδὲ ταύτην ἡμέραν ὑπεξαιρεῖ· ἀλλὰ προστάττει καὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἤγουν τῇ μεγάλῃ πέμπτῃ, καὶ τοὺς ἱερεῖς νηστικοὺς ὄντας τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖν· ἵνα μὴ διὰ τὴν παράβασιν τῆς μιᾶς ἡμέρας ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζομεν.

ΚΑΝΩΝ λʹ.

Πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας βουλόμενοι διαπράττεσθαι, καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέας οἰκονομεῖν διεγνώκαμεν. ὥστε εἰ τὸν ἀποστολικὸν κανόνα, τὸν περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν, ὑπεραναβαίνειν οἴονται δεῖν, καὶ πέρα τῶν ὁρισθέντων ποιεῖν· ἐκ τούτου τε μετὰ τῶν οἰκείων συμφωνοῦντες συμβίων, τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχονται· ὁρίζομεν τούτους μηκέτι ταύταις συνοικεῖν καθ᾽ οἱονδήτινα τρόπον, ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξοιεν τὴν ἀπόδειξιν. πρὸς τοῦτο δὲ αὐτοῖς, οὐ δι᾽ ἄλλο τι ἢ διὰ τὴν τῆς γνώμης μικροψυχίαν, καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον καὶ ἀπαγές, ἐνδεδώκαμεν.

ΒΑΛΣ. Εμαθον οἱ ἅγιοι πατέρες, ὅτι οἱ τῶν βαρβαρικῶν χωρῶν ἱερεῖς προφάσει εὐλαβείας ἀπείχοντο κατὰ κοινὴν ἀρέσκειαν τῶν οἰκείων γαμετῶν. εἶπον οὖν ὡς κἂν ὁ ἀποστολικὸς έ. κανὼν ἀπαγορεύῃ τοῖς πρεσβυτέροις καὶ διακόνοις

A juſtam aliquam cauſam & Eccleſiis utilem, hoc ita fieri oportere œconomicè ſtatutum eſt. Sed nunc cùm nihil neceſſarium urgeat, non oportet Catholicas & paternas traditiones tranſgredi: ſunt autem hæ, lxix. can. Sanctorum Apoſtolorum, l. Laodic. Syn. & alii.

Zonar. Cum reliquo toto anni tempore ſacra altaris myſteria à jejunis hominibus celebranda eſſe Patres olim Carthagine decreviſſent, quintam nihilominus magnam, ut vocant, feriam, quod ſolennis in ea cœnæ Dominicæ apparatus exhiberi ſoleat, excepere. Sed eum B quoque diem à ſacrorum miniſtris jejunio tranſigi, ſextæ hujus Synodi Patres hujus canonis conſtitutione jubent. Habuerunt ſiquidem forte divini illi Patres, inquiunt, aliquas cauſas, ob quas iis in locis decretum illud Eccleſiæ profuturum exiſtimarent; nunc verò neceſſitatis omni excuſatione ſublata, ſanctionibus Apoſtolicis Patrúmque decretis negligentiùs obtemperare, ac unius diei violato jejunio totam, quãtum in nobis eſt, Quadrageſimam deturpare, collectúmque tot dierum ſpatio fructum effundere, non oportet. Quod vero de Apoſtolicis Patrúmque conſtitutionibus aſſerunt, in eo ſexageſimum nonum Apoſtolorum canonem, & Laodicenæ Synodi quinquageſimum intellexere. Nam Apoſtolicus ille quidem, C qui ſacram Quadrageſimam Paſchali celebritati præfixam, valetudine nequaquam impediti, non jejunarint, depoſitionis quidem, ſi ſacris initiati ſunt, Laicos vero ſegregationis pœna teneri jubet. Laodicenus autem canon, Non oportet, inquit, in quadrageſimæ poſtremâ ſeptimanâ quintæ feriæ jejunium ſolvere, & totam Quadrageſimam injuriâ afficere, ſed totam Quadrageſimam jejunare oportet, aridis veſcentes.

Ariſt. *Quidam è Patribus Cœnæ Dominicæ die cœnati offerebant. Viſum eſt ergo Synodo, hoc non faciendum eſſe, nec in ultimâ Quadrageſimæ ſeptimanâ quinta feriæ jejunium ſolvere, & totam Quadrageſimam injuriâ afficere.* D

Synodus quidem Carthaginenſis in Quadrageſimo primo canone decrevit ſancta à jejunis hominibus peragi, excepto uno die in anno in qua Cœna Dominica peragitur. Hic autem canon, rigorem juris obſervans, nec iſtum diem excipit. Sed jubet etiam in iſta feriâ ſive magnâ quintâ Sacerdotes etiam jejunos incruentum ſacrificium celebrare; ne ob unius diei tranſgreſſionem totam Quadrageſimam injuriâ afficeremus.

E

Canon XXX.

Ad Eccleſiæ ædificationem omnia facere volentes, etiam Sacerdotes, qui ſunt in Barbaricis Eccleſiis, diſpenſare conſtituimus. Quare ſi Apoſtolicum canonem, de uxore non ejicienda religionis prætextu, ſe tranſgredi debere exiſtimant, & ultra ea quæ ſunt conſtituta facere; & ideo communi cum ſuis conſortibus conſenſu inito, à mutua conſuetudine abſtinent, ſtatuimus, eos non amplius cum illis ul- F *lo modo cohabitare debere, ut ex eo nobis perfectam ſui promiſſi demonſtrationem præbeant: Hoc autem illis, non propter aliud quàm eorum puſillanimitatem externoſque ac non ſatis firmos mores conceſſimus.*

Bals. Reſciverunt ſancti Patres, quòd Barbaricarum regionum Sacerdotes pietatis prætextu, communi conſenſu à propriis uxoribus abſtinebant. Dixerunt ergo, quòd etiamſi Apoſtolicus v. can. Presbyteris & Diaconis interdicit ſuas legitimas uxores dimittere; & id quod à dictis fit Sacerdotibus non diſſolvere, eſt Apoſtolico can. contrarium: tamen quoniam ea, quæ propter pietatem fiunt ab aliquibus, non diſſolvere, ſed potiùs conſtituere, & ædificare oportet; hoc eis ex diſpenſationis ratione facere permittetur, propter barbaros eorum abjectique & puſilli animi mores, & à morum Eccleſiaſticorum conſtitutione alienos, & etiam propter eorum imbecillitatem, & in fide infirmitatem. Deinde adjicitur, eos non ſolum à propriis uxoribus ſejungendos, ſed nec eos cum ipſis ullo modo cohabitare debere. Sic enim, aiunt, certò probabunt, ſe non fictè, ſed verè & propter puram ac ſinceram religionem Deo continentiam voviſſe. Nota ergo hoc veluti privatim editum eſſe, & de ſolis Sacerdotibus debere intelligi, qui ſunt in barbaris regionibus, non etiam de cæteris. Ego verò varios Epiſcopos, qui ex Ruſſia venerant, atque adeò ipſum Alaniæ Metropolitanum, de ea re ſciſcitatus, etiam accepi, præſentem canonem in iis regionibus locum non habere, licèt ſint barbaricæ: ſed quemadmodum noſtri, eorum quoque Sacerdotes proprias uxores habere etiam poſt ordinationem. Interrogabit autem quiſpiam, cùm canon dicat communi conſenſu & voluntate fieri ſeparationem, ſi hoc fieri nolit mulier, an canon locum non habebit? Sol. Exiſtimo non eſſe juſtum, ut cogatur mulier à proprio marito ſeparari, propter Apoſtolicum canonem, qui ſuperiùs dictus eſt, & propter Juſtiniani novellam, quæ non ſinit conſenſu ſolvi matrimonia.

ZONAR. Cum Apoſtolorum v. can. uxores religionis ſpecie repudiare Presbyteri Diaconique prohibeantur; Sacerdotes tamen aliqui barbarorum Eccleſiis adſcripti, qui & Apoſtolica ſcilicet decreta ſuperanda, & aliquid ultra quam illi conſtituerant, faciendum ſibi eſſe perſuaſum haberent, mulierum quoque forte ipſarum voluntate, ab earum commercio abſtinere ſoliti ſunt. Ea igitur conſuetudine, propter Sacerdotum hujuſmodi barbaros, agreſtéſque mores, nec ſatis præterea firmā ac ſolidam in fide conſtantiam (utrumque enim illis verbis, τῷ ἀπεξενωμένῳ, & τῷ ἀπαγεῖ, indicare voluerunt) prudentiæ quodam artificio conſultò admiſſa, qui ex condicto cum uxoribus divortium fecere, ne eas ſub eodem quoque tecto habere liceat, à Patribus hoc canone conſtitutū. Hinc enim, cùm & eos implere promiſſi fidem facile apparebit, tum vero conſtantiores in ſuſcepto continentiæ conſilio, diſſociatio procul amandatæ uxoris efficiet. Cum iis enim cohabitare, eaſque continuo aſpicere ad veneream congreſſionem ſit iis forſitan incitamento.

ARIST. *Qui in Barbaricâ etiam conſtituuntur Eccleſiâ Sacerdotes, ſi ex conſenſu ab uxorum commercio abſtineant, atque propterea cum iis quocunque modo commercium ampliùs non habebunt.*

Presbyterum vel Diaconum, qui religionis prætextu uxorem ſuam ejicit, v. can. Apoſtolicus excommunicari decrevit, vel etiam deponi, ſi eam ad ſe rurſus accipere non perſuadetur. Quidam autem Sacerdotes in barbaris viventes Eccleſiis, & ſe debere aliquid amplius, quam quod in can. Apoſtolico conſtituitur, facere exiſtimantes, uxores quidem ſuas non ejiciebant, cum iis autem conſentiebant à mutuā conſuetudine abſtinere. Hujus itaque barbarorum iſtorum Sacerdotum conſenſum hic canon non improbans, decernit eos non ampliùs cum iis quocunque modo cohabitare, ut abſolutam & perfectam ſui promiſſi demonſtrationem exhibeant. Hoc autem permiſit hæc Synodus propter externos eorum & non ſatis firmos mores & puſillanimitatem.

A ἀποπέμπεσθαι τὰς νομίμους αὐτῶν γυναῖκας, καὶ ἔστι τὸ παρὰ τῶν ῥηθέντων ἱερέων γινόμενον οὐ καταλύειν ὑπεναντίον τῷ ἀποστολικῷ κανόνι· ἀλλ' ἐπεὶ τὰ κατ' εὐλάβειαν παρά τινων γινόμενα, οὐ καταλύειν, ἀλλὰ μᾶλλον συνιστᾶν καὶ οἰκοδομεῖν δέον ἐστὶν, ἐκχωρηθήσεται κατὰ λόγον οἰκονομίας αὐτοῖς τοῦτο ποιεῖν, διὰ τὸ βαρβαρικὸν ἦθος τούτων καὶ μικρόψυχον, καὶ ἀπεξενωμένον τῆς καταστάσεως τῶν ἐκκλησιαστικῶν ἐθῶν, ἀλλὰ μὴν καὶ διὰ τὸ ἀπαγὲς αὐτῶν τὸ πρὸς τὴν πίστιν καὶ ἀστήρικτον: εἶτα προσετέθη, αὐτοὺς μὴ μόνον διαζεύγνυσθαι ἐκ τῶν οἰκείων γαμετῶν, ἀλλὰ μηδὲ συνοικεῖν αὐταῖς καθ' οἱονδήτινα τρόπον. οὕτω γάρ φασι πληροφορήσουσι B μὴ καθ' ὑπόκρισιν, ἀλλὰ ἀληθῶς διὰ καθαρὰν εὐλάβειαν ὑποσχέσθαι τῷ θεῷ σωφρονεῖν. σημείωσαι οὖν τοῦτο ὡς ἰδικῶς ἐκφωνηθὲν, καὶ ὀφεῖλον ἐξακούεσθαι εἰς μόνους τοὺς ὄντας ἱερεῖς ἐν χώραις βαρβαρικαῖς, οὐ μὴν καὶ εἰς τοὺς λοιπούς. ἐγὼ δὲ ἐρωτήσας διαφόρους Ἐπισκόπους περὶ τούτου, ἀπὸ Ῥωσίας ἐλθόντας, ἀλλὰ μὴν καὶ τὸν μητροπολίτην Ἀλανίας, καὶ ἔμαθον μὴ ἐνεργεῖν τὰ τοῦ παρόντος κανόνος εἰς τὰς τοιαύτας χώρας, καὶ ταῦτα, οὔσας βαρβαρικάς· ἀλλὰ κατὰ τοὺς ἡμετέρους ἱερεῖς κἀκείνους ἔχειν τὰς οἰκείας γυναῖκας καὶ μετὰ τὴν χειροτονίαν. ἐρωτήσει δέ τις ὡς τοῦ κανόνος λέγοντος κατὰ συμφωνίαν κοινὴν καὶ ἀρέσκειαν γίνεσθαι τὴν διάζευξιν, ἐὰν οὐ θέλῃ C τοῦτο γενέσθαι ἡ γυνὴ, ἀπρακτήσουσι τὰ τοῦ κανόνος; Λύσις. οἴομαι μὴ δίκαιον εἶναι καταναγκάζεσθαι τὴν γυναῖκα τοῦ οἰκείου συζύγου ἀποδιΐστασθαι, διά τε τὸν ἄνωθεν ῥηθέντα ἀποστολικὸν κανόνα, καὶ διὰ τὴν Ἰουστινιάνειον νεαρὰν τὴν μὴ παραχωροῦσαν κατὰ συναίνεσιν λύεσθαι τὰ συνοικέσια.

ΖΩΝΑΡ. Τοῦ πέμπτου κανόνος τῶν ἱερῶν ἀποστόλων ἀπαγορεύοντος τοῖς πρεσβυτέροις καὶ διακόνοις ἀποπέμπεσθαι τὰς οἰκείας γαμετὰς, ὡς τάχα θέλοντας σωφρονεῖν, οἱ ἐν βαρβαρικαῖς ἐκκλησίαις ἱερεῖς οἰόμενοι δεῖν ὑπερβαίνειν τὴν ἀποστολικὴν ἐντολὴν, καὶ πλέον τι τῶν παρ' ἐκείνων ὁρισ- D θέντων ποιεῖν, ἐκ συμφώνου τάχα τῶν συνοικουσῶν αὐτοῖς γυναικῶν ἀπείχοντο τῆς πρὸς αὐτὰς ὁμιλίας. τοῦτο οὖν οἱ τῆς συνόδου ταύτης κατ' οἰκονομίαν δεξάμενοι διὰ τὸ τῶν ἱερέων ἐκείνων βάρβαρον ἦθος καὶ ἄγριον· τοῦτο γάρ ἐστι τὸ ἀπεξενωμένον· καὶ διὰ τὸ μὴ βεβηκὸς αὐτῶν πρὸς τὴν πίστιν μηδὲ πάνυ ἑδραῖον, ὃ δηλοῦται διὰ τοῦ ἀπαγοῦς, ὥρισαν, τοὺς ἐκ συμφώνου ἀπέχεσθαι κρίναντας τῆς πρὸς ἀλλήλους ὁμιλίας, μηδὲ συνοικεῖν, ἵνα τε ἀπόδειξις εἴη τούτοις τοῦ πληροῦν ὃ ἐπηγγείλαντο, καὶ ἵνα καὶ πρὸς σωφροσύνην μᾶλλον ἐπιρρωννύωνται, πόρρω τῶν πρώην αὐτῶν διάγοντες γαμετῶν. τὸ γὰρ ταύταις συνοικεῖν καὶ ὁρᾶν αὐτὰς συνεχῶς, εἰς παροξυσμὸν μίξεως γίνοιτο ἂν E αὐτοῖς.

ΑΡΙΣΤ. Καὶ οἱ ἐν βαρβαρικῇ ἐκκλησίᾳ ἱερεῖς, εἰ τῆς τῶν συμβίων ἐκ συμφώνου ὁμιλίας ἀπέχονται, ἀλλ' οὖν μηκέτι ταύταις καθ' οἱονδηποτοῦν ὁμιλήσωσι τρόπον.

Τὸν προφάσει εὐλαβείας τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλόντα πρεσβύτερον ἢ διάκονον ὁ ἀποστολικὸς πέμπτος κανὼν ὥρισεν ἀφορίζεσθαι, ἢ καὶ καθαιρεῖσθαι, εἰ ἐπαναλαβεῖν ταύτην αὖθις οὐ πείθεται· τινὲς δὲ ἱερεῖς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ὄντες, καὶ πλέον τι τοῦ ἀποστολικοῦ κανόνος πράττειν F οἰόμενοι, τὰς μὲν ἰδίας γαμετὰς οὐκ ἐδίωκον, συνεφώνουν δὲ μετ' αὐτῶν τῆς πρὸς ἀλλήλους κοινωνίας ἀπέχεσθαι· τὴν τοιαύτην συμφωνίαν τῶν βαρβάρων τούτων ἱερέων ὁ κανὼν οὗτος μὴ ἀποδοκιμάζων ὁρίζει, μηκέτι τούτους ταύταις συνοικεῖν καθ' οἱονδήτινα τρόπον, ὡς ἂν ἀπηρτισμένην καὶ τελείαν τῆς ὑποσχέσεως αὐτῶν παρέξωσι τὴν ἀπόδειξιν. ἐνδίδωσι δὲ πρὸς τοῦτο ἡ σύνοδος αὕτη, διὰ τὸ ἀπεξενωμένον τοῦ ἤθους αὐτῶν καὶ ἀπαγὲς, καὶ τὴν τῆς γνώμης μικροψυχίαν.

ΚΑΝΩΝ

ΚΑΝΩΝ λα'.

A Τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας τυγχάνουσι λειτουργοῦντας ἢ βαπτίζοντας κληρικοὺς, ὑπὸ γνώμην τοῦτο πράττειν τοῦ κατὰ τὸν τόπον Ἐπισκόπου, ὁρίζομεν. ὥστε εἴ τις κληρικὸς μὴ τοῦτο οὕτως διαφυλάττοι, καθαιρείσθω.

ΒΑΛΣ. Παρασυναγωγὴν ὁ κανὼν ἡγεῖται τὸ ἱερουργῆσαί τινα ἢ βαπτίσαι ἐν εὐκτηρίῳ οἴκῳ παρὰ γνώμην τοῦ κατὰ χώραν ἀρχιερέως. καὶ ἐνταῦθα μὲν, τοὺς τοιοῦτόν τι ποιοῦντας ἱερεῖς καθαιρεῖσθαι οἱ πατέρες διορίζονται. ἐν δὲ τῷ νθ'. κανόνι, καὶ τοὺς ἔχοντας τὰ εὐκτήρια λαϊκοὺς ἀφορίζουσι. σὺ δὲ ἀνάγνωθι τὴν δ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ B σοφοῦ, οὕτως ἔχουσαν μετὰ τὸ προοίμιον· ὁρίζομεν οὖν οὐ μόνον τοὺς ἑκάστης καθολικῆς ἱερεῖς, ἀλλὰ καὶ τοὺς ἱερεῖς ἑκάστης οἰκίας ἄδειαν ἔχειν ἐν πάσαις ταῖς οἰκίαις ἱερᾶσθαί τε καὶ μυσταγωγεῖν, οὓς ἂν προσκαλεῖσθαι αἱροῖτο ὁ ἑκάστης οἰκίας δεσπόζων. καὶ τὴν ιε'. οὕτως ἔχουσαν ἐν μέρει. ὁρίζομεν οὖν καθὼς περὶ θυσιῶν, οὕτω καὶ περὶ τοῦ σωτηρίου βαπτίσματος, τὸ ἐξεῖναι αὐτὸ ἐν παντὶ εὐσεβῶν εὐκτηρίῳ τοῖς βουλομένοις τελεῖν. πλὴν καὶ τούτων οὕτως ἐχόντων, ἐὰν κωλυθῇ τις παρὰ τοῦ ἐγχωρίου ἀρχιερέως ἱερουργῆσαι ἢ βαπτίσαι ἐν εὐκτηρίῳ, ὃς δὲ ποιήσει τοιοῦτόν τι, καθαιρεθήσεται, μὴ ὠφελούμενος ἐκ τῶν νεαρῶν. ὁ δὲ μὴ ῥητῶς κωλυθεὶς, C δοκεῖ σιωπηρῶς κατὰ γνώμην ἐπισκοπικὴν τοῦτο ποιεῖν. διὰ τοῦτο γὰρ ὡς ἔοικεν ἐπενοήθησαν καὶ τὰ ἀντιμίνσια, καὶ γίνονται παρὰ τῶν κατὰ χώραν ἀρχιερέων καθ' ὃν καιρὸν ποιοῦσιν ἐνθρονισμὸν ἐκκλησίας, ἐφ' ᾧ τίθεσθαι αὐτὰ εἰς τὰς ἁγίας τραπέζας τῶν εὐκτηρίων· καὶ ἀρκεῖν οὐ μόνον ἀντὶ τῶν καταρτιζόντων τὸ ἅγιον θυσιαστήριον, καὶ λογιζομένων μίνσων τῆς ἁγίας τραπέζης, ἤγουν τοῦ ἐνθρονισμοῦ τῶν ἀνοίξεων καὶ τῶν ἐγκαινίων, ἀλλὰ καὶ εἰς τὸ ἀναφαίνεσθαι τὸ κατ' ἐπιτροπὴν ἐπισκοπικὴν γίνεσθαι ἐν τῷ εὐκτηρίῳ τὴν ἱερουργίαν.

ΖΩΝΑΡ. Τὸ παρασυνάγειν καὶ θυσιαστήρια ἱστᾶν τοὺς D ἱερωμένους, γνώμης χωρὶς τοῦ Ἐπισκόπου ὑφ' ὃν τελοῦσιν, ὑπὸ καθαίρεσιν αὐτοὺς ἄγει, κατὰ τὸν πέμπτον κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. ὁ γοῦν ἐν εὐκτηρίῳ λειτουργῶν ἢ βαπτίζων ἐντὸς οἰκίας ὄντι, παρὰ γνώμην τοῦ Ἐπισκόπου τῆς πόλεως ἐκείνης, παρασυνάγει· ἐνδίκως τοίνυν καὶ καθαιρεῖται.

ΑΡΙΣΤ. Εἰ μὴ μετὰ γνώμης Ἐπισκόπου, ἔνδον οἴκου εἰς εὐκτήριον μὴ προσαγάγῃς.

Ὁ μὲν πεντηκοστὸς ὄγδοος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου κωλύει ἐν εὐκτηρίῳ ἔνδον οἰκίας ὄντι, παρ' Ἐπισκόπου E ἢ πρεσβυτέρου τὴν θείαν λειτουργίαν ἐπιτελεῖσθαι. ὁ δὲ παρὼν κανὼν τοῦτο ἀνατρέπει, καὶ προστάττει, κατὰ γνώμην τοῦ κατὰ τόπον Ἐπισκόπου, τοὺς ἱερεῖς λειτουργεῖν ἐν τοῖς εὐκτηρίοις τοῖς ἔνδον οἰκίας οὖσι· τὸν δὲ παρὰ γνώμην αὐτοῦ τοῦτο ποιοῦντα καθαιρεῖ.

ΚΑΝΩΝ λβ'.

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην F τὸν Χρυσόστομον φάσκοντα διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας ταῦτα· τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστὰς, ἀλλ' οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν. ἐπειδὴ γάρ εἰσίν τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων καὶ ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐχρῆτο, ἐκ τοῦ γεννήματος φησὶν τῆς ἀμπέλου, ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ· ἐκ τούτου τε τὸν διδάσκαλον οἴονται ἀνατρέπειν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν· ὡς ἂν μὴ καὶ ἀπὸ τοῦ νῦν κατέχοιντο τῇ ἀγνοίᾳ

CANON XXXI.

Clericos, qui in oratoriis quæ ſunt intra domos miniſtrant, vel baptizant, hoc illius loci Epiſcopi ſententia facere debere, decernimus. Quare ſi quis Clericus hoc non ſic ſervaverit, deponatur.

Bals. Conventiculum exiſtimat eſſe canon, ſi quis in oratorio, quod eſt intra domum, præter Antiſtitis ſententiam ſacrificet, vel baptizet. Et hîc quidem eos qui ſic faciunt Sacerdotes deponendos Patres ſtatuunt. In quinquageſimo autem nono canone Laicos etiam, qui habent oratoria, excommunicant. Tu autem lege quartam Novellam Imperatoris domini Leonis ſapientis, quæ ſic habet poſt proœmium: Statuimus ergo, non ſolùm uniuſcujuſque Catholicæ Sacerdotes, ſed etiam Sacerdotes uniuſcujuſque domus, habere poteſtatem in omnibus domibus celebrandi & myſteria peragendi, quoſcunque adſciſcere voluerit qui unicuique domui præeſt. Et xv. quæ ſic viciſſim habet. Statuimus ergo, ſicut & de ſacrificiis, ita etiam de ſacro baptiſmate, ut id liceat volentibus peragere in omni piorum oratorio. Sed quamvis hæc ita ſe habeant, ſi quis à regionis Antiſtite ſacrificare vel baptizare in oratorio prohibitus fuerit, is verò qui tale quid fecerit, deponetur, nec ei novellæ proderunt. Is autem, qui non eſt expreſsè prohibitus, videtur etiam tacitè ex Epiſcopi ſententia hoc facere. Propterea enim, ut eſt veriſimile, excogitata ſunt menſalia, & fiunt à regionis Antiſtibus, quo tempore faciunt Eccleſiæ inthronizationem, ut ponantur ea ſupra ſanctas menſas oratoriorum; & ſufficiant non ſolùm pro iis quæ ſanctum altare perficiunt, & ſanctæ menſæ tabulæ exiſtimantur, ſcilicet inthronizatione apertionum & dedicationum, ſed ut oſtendatur ex Epiſcopi permiſſione in oratorio fieri ſacrificium.

Zonar. Conventus privatim agere, altariave excitare, niſi Epiſcopo cujus in ditione ſunt conſentiente, ſacris initiati quinto Antiochenæ Synodi canone, depoſitionis quoque propoſita pœna, prohibentur. Quicunque igitur in oratorio privatæ domus ſacra fecerit, baptiſmumve invito Epiſcopo adminiſtraverit, is conventus agit: jure igitur depoſitione mulctatur.

Arist. *Niſi cum Epiſcopi conſenſu in oratorio, quod intra domum eſt, non offeres.*

Quinquageſimus quidem octavus Synodi Laodicenſis canon ſacrum miniſterium in oratorio quod intra domum eſt, ab Epiſcopo fieri aut Presbytero vetat. At præſens canon illud evertit, & mandat, Epiſcopo iſtius loci ita volente, Sacerdotes in oratoriis quæ ſunt intra domum ſacra facere. Eum autem, qui præter illius voluntatem hoc facit, deponit.

CANON XXXII.

Quoniam ad noſtram cognitionem pervenit, quòd in Armeniorum regione vinum tantùm in ſacra menſa offerunt, aquam illi non miſcentes, qui incruetum ſacrificium peragunt, adducentes Eccleſiæ Doctorem Joannem Chryſoſtomum hæc dicentem in interpretatione Evangelii ſecundùm Matthæum: Quamobrem non aquam bibit cùm ſurrexit, ſed vinum? improbam aliam hæreſin radicitùs extirpans. Quoniam enim nonnulli aqua in myſteriis uſi ſunt, oſtendens quòd, & quando myſteria tradidit, & quando poſtquam ſurrexiſſet abſque myſteriis, ſolam ac nudam menſam appoſuit, Uſus eſt, inquit, vino ex germine vitis; vitis autem vinum, non aquam generat; & ex eo aquæ in ſacrificio adjunctionem doctorem ſubvertere exiſtimant: Ut non ab hoc tempore in poſterum *ignorantia teneantur, patris ſententiam orthodoxè* A *aperimus. Cùm enim improba Hydroparaſtatarum antiqua eſſet hæreſis, qui pro vino ſola aqua in proprio ſacrificio uſi ſunt, refellens hic vir divinus iniquam ejuſmodi hæreſis ſucceſſionem, & oſtendens, quòd directè Apoſtolicæ traditioni adverſetur, dictum aſtruebat ſermonem. Quoniam autem & ſuæ Eccleſiæ, ubi eſt illi paſtoralis adminiſtratio tradita, aquam vino miſcendam tradidit, quando incruentum peragi ſacrificium oporteret, ex precioſo noſtri Redemptoris & Servatoris Chriſti Dei latere ex ſanguine & aqua contemperationem oſtendens, quæ in to-* B *tius mundi vivificationem, & peccatorum redemptionem effuſa eſt. Et in omni etiam Eccleſia, ubi ſpiritualia lumina refulſerunt, hic ordo divinitùs traditus ſervatur. Nam & Jacobus Chriſti Domini noſtri ſecundùm carnem frater, cui Hieroſolymitanæ Eccleſiæ thronus primùm eſt creditus, & Baſilius Cæſarienſium Eccleſiæ Archiepiſcopus, cujus gloria omnem terrarum orbem pervaſit, myſtico nobis in ſcriptis tradito ſacrificio, ita peragendum in ſacro miniſterio ex aqua & vino ſacrum calicem ediderunt. Et qui Carthagine convenerunt ſancti patres, adeò apertè & præciſè mentionem fecere,* C *ut in ſanctis nihil plus quàm corpus & ſanguis Domini offeratur, ut ipſe Dominus tradidit, hoc eſt panis & vinum aqua mixtum. Si quis ergo Epiſcopus vel Presbyter, non ſecundùm traditum ab Apoſtolis ordinem facit, & aquam vino miſcens, ſic immaculatum offert ſacrificium, deponatur ut imperfectè myſteriũ enuncians, & quæ tradita ſunt innovans.*

Bals. Armenii, cum aliis quæ eis aderant hæreſibus, ſolo vino in ſanctis myſteriis uſi ſunt: & dicebant ſe facere conſequenter iis, quæ à ma- D gno Eccleſiæ Doctore, linguáque aureo, Joanne Chryſoſtomo conſcripta ſunt in ſua Evangelii interpretatione ſecundùm Matthæum; quæ tractant, non per aquam, ſed vinum ſacrum calicem exhiberi; cùm tamen non doceat ſanctus per ſolum vinum oblationem fieri. Hoc ergo, quod ſic fit ab Armeniis, ſubvertentes divini patres, per vinum & aquam ſacrum calicem offerri oportere ſtatuerunt, interpretantes verba Chryſoſtomi, non ut ab Armeniis dicebatur eſſe accipienda; ſed ad Hydroparaſtatarum, qui per aquam ſolam ſancti calicis oblationem faciebant, hæreſis everſionem eſſe conſcripta. E Confutatis ergo ac colliſis iis, quæ ab ipſis decreta ſunt, & ex multis aliis, & ex tradito etiam ſacrificio à prædicto ſancto patre, & à magno Baſilio, Epiſcopos & Presbyteros depoſitioni ſubjecerunt, qui ſancti calicis ſacrificium per vini & aquæ unionem non faciunt. Hæc autem divina incitatione commoti præceperunt. In divina enim paſſione Dei & Domini noſtri Jeſu Chriſti, non ſanguinem tantùm, ſed etiam aquam emiſit ejus per lanceam punctum latus, ut duarum ejus naturarum non confuſam vnionem oſtenderet. F Nota ergo, quòd à præſenti canone duæ hæreſes ſubvertuntur: Una quidem Hydroparaſtatarum, qui ſola aqua in ſancti calicis ſacrificio utuntur; Alia autem Armeniorum, qui id per vinum ſolum faciunt. Quoniam autem non ſolùm Armenii, ſed etiam Latini reprehendunt aquæ ferventis in ſacrum calicem immiſſionem, dicentes eam non eſſe traditam ab Evangelico vel canonico præcepto, & ideo malè fieri, & adverſus hanc divinam traditionem, quæ decernit per aquam & vinum faciendam ſancti calicis oblationem: audiant, quòd

τὴν τοῦ πατέρος διάνοιαν ὀρθοδόξως ἀποκαλύπτομεν. τῆς γὰρ πονηρᾶς τῆς Ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἳ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων οὕτως ὁ θεοφόρος ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέσεως διαδοχὴν, καὶ δεικνὺς ὡς ἐξ ἐναντίας τῆς ἀποστολικῆς ἵενται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον. ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθη ἡγεμονίαν, ὕδωρ οἴνῳ μιγνύναι παρέδωκεν, ἡνίκα τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσειεν, τὴν ἐκ τῆς τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος Χριστοῦ τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδεικνὺς, ἥτις εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου καὶ ἁμαρτιῶν ἐξεχύθη ἀπολύτρωσιν. καὶ κατὰ πάσης δὲ ἐκκλησίας, ἔνθα οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρατεῖ. καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀδελφὸς, ὃς τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θρόνον ἐνεπιστεύθη, καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἐκκλησίας Ἀρχιεπίσκοπος, οὗ τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τὴν μυστικὴν ἡμῖν ἱερουργίαν παραδεδωκότες, οὕτω τελειοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν ποτήριον ἐκδεδώκασιν. καὶ οἱ ἐν Καρθαγένῃ συναχθέντες ὅσιοι πατέρες, οὕτω ῥητῶς ἐπεμνήσθησαν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παραδέδωκεν, τοῦτ' ἔστιν, ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου. εἴ τις οὖν Ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μιγνὺς οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινίζων τὰ παραδεδομένα.

ΒΑΛΣ. Οἱ Ἀρμένιοι μετὰ τῶν προσούσων αὐτοῖς ἄλλων αἱρέσεων, οἴνῳ μόνῳ κέχρηνται ἐν τοῖς ἁγίοις μυστηρίοις· καὶ λέγουσι τοῦτο ποιεῖν ἀκολούθως τοῖς γραφεῖσι παρὰ τοῦ μεγάλου τῆς ἐκκλησίας διδασκάλου, καὶ χρυσοῦ τὴν γλῶτταν Ἰωάννου, ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐξηγήσει αὐτοῦ, τοῖς διαλαμβάνουσι μὴ δι' ὕδατος τὸ ἅγιον ποτήριον προσάγεσθαι, ἀλλὰ δι' οἴνου· καὶ ταῦτα τοῦ ἁγίου μὴ διδάσκοντος διὰ οἴνου μόνου τὴν προσαγωγὴν γίνεσθαι. τὴν γοῦν οὕτω γινομένην θυσίαν παρὰ τῶν Ἀρμενίων ἀνατρέποντες οἱ θεῖοι πατέρες, διωρίσαντο διὰ οἴνου καὶ ὕδατος ἱερὸν ποτήριον προσάγεσθαι, ἑρμηνεύσαντες τὰ Χρυσοστομικὰ ῥήματα, μὴ ἐκλαμβάνεσθαι πρὸς τὰ παρὰ τῶν Ἀρμενίων λεγόμενα, ἀλλ' εἰς ἀναίρεσιν γραφῆναι τῆς αἱρέσεως τῶν Ὑδροπαραστατῶν, τῶν δι' ὕδατος μόνου τὴν προσαγωγὴν τοῦ ἁγίου ποτηρίου ποιουμένων. συγκροτήσαντες τὰ παρὰ τούτων διορισθέντα, ἔκ τε ἄλλων πολλῶν, ἀλλὰ μὴν καὶ ἐκ τῆς παραδοθείσης θυσίας, παρά τε τοῦ ῥηθέντος ἁγίου πατρὸς ἡμῶν, καὶ παρὰ τοῦ μεγάλου Βασιλείου, καθαιρέσει ὑπέβαλλον τοὺς Ἐπισκόπους καὶ τοὺς πρεσβυτέρους τοὺς μὴ ποιοῦντας τὴν θυσίαν τοῦ ἁγίου ποτηρίου διὰ ὕδατος ἑνώσεως καὶ οἴνου. ταῦτα δὲ παρεκελεύσαντο θεοκινήτως. ἐν γὰρ τῷ θείῳ πάθει τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν ἡ διὰ λόγχης νυγεῖσα θεία τούτου πλευρὰ, ἵνα τὴν τῶν δύο τούτου φύσεων παραστήσῃ ἀσύγχυτον ἕνωσιν. σημείωσαι οὖν ὅτι δύο αἱρέσεις ἀνατρέπονται διὰ τοῦ παρόντος καν. μία μὲν, τῶν Ὑδροπαραστατῶν, τῶν χρωμένων ὕδατι μόνῳ ἐν τῇ τοῦ ἁγίου ποτηρίου θυσίᾳ· ἑτέρα δὲ ἡ τῶν Ἀρμενίων, τῶν διὰ οἴνου μόνου ποιούντων αὐτήν. ἐπεὶ δὲ οὐ μόνον οἱ Ἀρμένιοι, ἀλλὰ καὶ οἱ Λατῖνοι αἰτιῶνται τὴν εἰς τὸ ἅγιον ποτήριον τοῦ ζέοντος εἰσβολὴν, λέγοντες μὴ παραδοθῆναι ταύτην ἀπὸ εὐαγγελικῆς ἢ κανονικῆς παραγγελίας, κἀντεῦθεν γίνεσθαι κακῶς, καὶ ὑπεναντίως δῆθεν τῇ θείᾳ ταύτῃ παραδόσει, τῇ διοριζομένῃ δι' ὕδατος καὶ οἴνου τὴν τοῦ ἁγίου ποτηρίου γίνεσθαι προσαγωγήν· ἀκουσάτωσαν, ὅτι τὸ ζέον προστιθέμενον, τὴν δι' ὕδατος καὶ οἴνου ἕνωσιν τοῦ ἁγίου ποτηρίου οὐ μεταβάλλει, ὅτι δ' οὐκ ἔστιν ἕτερόν τι παρὰ τὸ ὕδωρ. βάλλεται δὲ εἰς πληροφορίαν τοῦ εἶναι ζωοποιὰ τὰ ἀπὸ τῆς ἁγίας πλευρᾶς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ῥεύσαντα, τὸ αἷμα δηλονότι καὶ τὸ ὕδωρ, καὶ μὴ νεκρά· ὅτι τὸ τοῦ θαύματος μέγεθος καὶ ἐκ τούτου πιστεύεται. ἀπὸ γὰρ νεκροῦ σώματος μὴ πεφυκότος καταρρέειν ζέοντος αἵματος, ἐκ τοῦ κυριακοῦ σώματος καὶ μετὰ θάνατον αἷμα καὶ ὕδωρ ζέοντα ἐξερρεύσαν, ὡς ἐκ ζωοποιοῦ σώματος ζωοποιά. εἰ δέ τις εἴπῃ, καὶ διά τι πρὸ τοῦ ἁγιασθῆναι τὸ ἅγιον ποτήριον οὐ βάλλεται τὸ ζέον εἰς τὴν ἕνωσιν, ἀλλὰ μετὰ τὸν ἁγιασμόν; ἀκούσεται, ὅτι ἐὰν B ἐβάλλετο τὸ ζέον κατὰ τὸν καιρὸν τῆς ἑνώσεως, ἔμελλε καταψύχεσθαι μέχρι τῆς τῶν ἁγίων μεταλήψεως, καὶ ἀπεπλεύτα τὸ πρᾶγμα εἰς τὸν πρότερον λόγον. διὰ γοῦν τὴν αἰτίαν ταύτην βάλλεται τὸ ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ τὴν ὕψωσιν, καὶ μεταλαμβάνουσιν αὐτοῦ οἱ πιστοὶ ὡς ζωοποιοῦ. οἱ μέντοι Ἴβηρες ἱερεῖς ζέον ἐν τῷ ἁγίῳ ποτηρίῳ οὐ βάλλουσιν, ὀρθοδοξότατοι καὶ ταῦτα ὄντες· καὶ ἐρωτηθέντες ποτὲ συνοδικῶς, πῶς τοῦτο ποιοῦσιν, εἶπον, μηδέποτε ὕδατι θερμῷ χρήσασθαι τινὰ Ἴβηρα εἰς πόσιν οἴνου, ἀπὸ ἐγχωρίου συνηθείας μακρᾶς. καὶ διὰ τοῦτο μηδὲ αὐτοὺς χρᾶσθαι ζέοντι εἰς τὰ ἅγια. ἀναδι- C διδαχθέντες δὲ τοῦ μυστηρίου τὴν δύναμιν, ἐπετράπησαν ἐν τῷ ἁγίῳ ποτηρίῳ βάλλειν ἀπαραιτήτως ζέον κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως. σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι πρῶτος ὁ ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος ὡς πρῶτος ἀρχιερατεύσας τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας παρέδωκε τὴν θείαν ἱεροτελεστίαν, ἥτις παρ' ἡμῖν ἀγνοεῖται, παρὰ δὲ τοῖς Ἱεροσολυμίταις καὶ τοῖς Παλαιστιναίοις ἐνεργεῖται ἐν ταῖς μεγάλαις ἑορταῖς. οἱ δὲ Ἀλεξανδρεῖς λέγουσιν εἶναι καὶ τοῦ ἁγίου Μάρκου· ᾗ καὶ χρῶνται ὡς τὰ πολλά. Ἐγὼ δὲ συνοδικῶς, μᾶλλον δὲ καὶ ἐνώπιον Βασιλείου τοῦ ἁγίου ἐλάλησα τοῦτο· ὅτε ὁ πατριάρχης Ἀλεξανδρείας ἐνεδήμει εἰς τὴν D βασιλεύουσαν. μέλλων γὰρ λειτουργῆσαι μεθ' ἡμῶν καὶ τοῦ οἰκουμενικοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ὥρμησε κρατεῖν τὸ τῆς τοῦ Ἰακώβου λειτουργίας κοντάκιον, ἀλλ' ἐκωλύθη παρ' ἡμῶν, καὶ ὑπέσχετο λειτουργεῖν, καθὼς καὶ ἡμεῖς.

ΖΩΝΑΡ. Τὰ θεῖα μυστήρια, ὁ ἄρτος λέγω καὶ τὸ ποτήριον, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου παριστῶσιν ἡμῖν. τὸν γὰρ ἄρτον διδοὺς τοῖς οἰκείοις ὁ κύριος μαθηταῖς, λάβετε, φάγετε, ἔφη· τοῦτό ἐστι σῶμά μου. καὶ τὸ ποτήριον παρέχων αὐτοῖς, πίετε ἐξ αὐτοῦ πάντες, ἔφη· τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον. E ἐπεὶ οὖν ἐν τῷ θείῳ πάθει αὐτοῦ, κενῶν τὸ οἰκεῖον αἷμα ὁ κύριος νυγείσης λόγχῃ τῆς πλευρᾶς αὐτοῦ, οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐξήγαγεν, ἀναγκαίως πάντως τῇ ἐκκλησίᾳ νενόμισται ἐν τοῖς ἱεροῖς μυστηρίοις ὕδωρ τῷ οἴνῳ παρακιρνᾶν. ἀλλ' οἱ Ἀρμένιοι οἴνῳ μόνῳ ἐκέχρηντο ἐν τῇ μυστικῇ τραπέζῃ, χρώμενοι τῇ εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγήσει τοῦ Χρυσοστόμου καὶ θείου πατρός. τοῦτο οὖν ἀναιροῦντες οἱ τῆς συνόδου ταύτης πατέρες τὰ ῥήματα τοῦ Χρυσοστόμου καὶ τὴν αὐτῶν διάνοιαν σαφηνίζουσι, καί φασιν, ὅτι τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἀνατρέπων, οἳ μόνῳ ὕδατι τὴν θυσίαν ἱερουργεῖν οἰόμενοι κέχρηνται, καὶ δεικνύων αὐτοὺς ἐναντίως τοῖς F πατράσι, καὶ τοῖς ἱεροῖς ἀποστόλοις πορευομένους καὶ ποιοῦντας, τὸν οἰκεῖον κατεσκεύασε λόγον, ἀλλ' οὐκ ἐπιτρέπων οἶνον μόνον ἐν τοῖς μυστηρίοις παραλαμβάνειν. καὶ αὐτὸς γὰρ οὗτος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ οἶνον καὶ ὕδωρ ἐν τοῖς μυστηρίοις λαμβάνεσθαι παραδέδωκε, καὶ οἱ λοιποὶ πατέρες καὶ φωστῆρες τῆς ἐκκλησίας παραδεδώκασιν, ἄρτῳ καὶ οἴνῳ ὕδατι μεμιγμένῳ τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖν. καὶ ἐπὶ τούτοις ἐπάγουσιν οἱ τῆς ἕκτης ταύτης συνόδου τοῖς παραβαίνουσι τὸν παρόντα κανόνα

A fervens addita, quæ fit per aquam & vinum ſancti calicis, unionem non mutat; quoniam non eſt aliquid aliud præter aquam. Injicitur autem ad ſignificandum, quòd ſunt vivifica, quæ ex ſancto Domini noſtri Ieſu Chriſti latere fluxerunt, ſanguis ſcilicet & aqua, & non mortua; quoniam ex hoc quoque miraculi magnitudo oſtenditur. Cùm enim ex corpore mortuo ſuapte natura non ſoleat fervens ſanguis egredi, ex corpore Dominico etiam poſt mortem ſanguis & aqua ferventes effluxerunt, ut ex vivifico corpore vivifica. Si quis autem dixerit, Et cur, antequam ſit ſanctificatus ſanctus calix, fervens aqua ad unionem non injicitur, ſed poſt B ſanctificationem? audiet, quòd ſi injiceretur fervens tempore unionis, ad ſanctorum uſque participationem refrigeraretur, & res in priorem ſtatum deſineret. Propter hanc ergo cauſam fervens in ſanctum calicem injicitur poſt elevationem, & fideles ei tanquam vivificæ communicant. Ac Iberi quidem ſacerdotes ferventem aquam in ſanctum calicem non injiciunt, licet ſint alioqui in primis orthodoxi, & ſynodicè aliquando interrogati quomodo hoc faciunt, dixerunt, nunquam ullum Iberum, aqua calida uſum eſſe ad vini potionem, ex longa regionis conſuetudine: & propterea eos ne ferventi quidem aqua uti ad ſacramen- C ta. Myſterii autem facultatem edocti, citra ullam recuſationem perſuaſi ſunt in ſacrum poculum ferventem ſanctæ participationis tempore injicere. Nota ex præſenti canone, quod primus ſanctus Iacobus Domini frater, ut Hieroſolymitanæ Eccleſiæ Archiepiſcopus primus ſacram Liturgiam tradidit, quæ à nobis non agnoſcitur, ab Hieroſolymitanis vero, & Paleſtinæ incolis in Feſtis majoribus uſurpatur. Alexandrini vero dicunt à ſancto etiam Marco conſtitutam eſſe, quâ etiam, ut plurimum utuntur. Ipſe vero ſynodicè, vel potiùs coram ſancto Imperatore de hac re ſermonem habui; quo tempore Patriarcha Alexandrinus in urbium D reginâ agebat. Enimvero nobiſcum & œcumenico in magnâ Eccleſia ſacra celebraturus, Iacobi liturgiæ volumen obſervare voluit, ſed à nobis prohibitus eſt, & ſe non ſecus ac nos ſacra celebraturum pollicebatur.

Zonar. Panis ſacer & calix, divina myſteria, ipſum nobis Chriſti Domini corpus, & ſanguinem exhibent. Nam panem ſuis ille quidem diſcipulis porrigens, Accipite, comedite, inquit; hoc eſt corpus meum. Calicem verò præbens, Bibite ex hoc omnes E ait; Hic eſt ſanguis meus, qui pro vobis & pro multis effunditur. Quoniam ergo in divinâ paſſione, haſtâ trajecto latere ejus ſanguinem ſuum Dominus effundens, non ſanguinem ſolum, ſed & aquam emiſit, Eccleſia proinde in ſacris quoque myſteriis vinum infuſâ aqua miſceri omnino neceſſarium exiſtimavit. Verum Armenii vinum in myſtica menſa merum adhibebant, divini Patris Chryſoſtomi in Evangelium Matthæi explicationem in ejus argumentum adducentes. Eo igitur errore damnato, Chryſoſtomi verba Patres hujus ſynodi explicant, quæque iis ſententia ſit ſubjecta demonſtrant. Nec enim, inquiunt, F ut ſolius vini potionem in ſacris myſteriis adhibendam doceret; ſed ut Hydroparaſtatarum, qui ſola aqua ſacrum faciendum opinarentur, hæreſim convelleret, eoſque ſanctiſque Apoſtolis Patribus contraria ſentire & facere doceret, ſermonem illum inſtituit. Etenim & ipſe, in Eccleſia quam tenuit, vinum aqua dilutum in myſtica oblatione adhibendum tradidit, & reliqui Patres Eccleſiæque lumina, eundem incruenti ſacrificii pane & vino, admixta aquæ potione, conficiendi ritum tradidere. Et præterea vi. hujus ſynodi patres ſubjiciunt iis, qui præſentem canonem transgrediuntur, quæ transgreſſioni juſta credebant. Nam ſi Epiſcopus aliquis aut Presbyter acceptam ab Apoſtolis conſuetudinem neglexerit, ac vinum, aqua nullatenus infuſa, in ſacrificio puriſſimo obtulerit, hominem, myſterii quippe imperfecte enuntiati reum, deponi jubent. Minus verò perfectè myſterium enuntiat; quia, cùm ex morientis Domini latere ſanguis & aqua ſimul, ut diximus, emanarint: ſacrificium tamen ſola vini oblatione perficiendo, ex Domini corpore ſanguinem ſolum effuſum fuiſſe opere ipſo demonſtrat, & ſacris Evangeliſtarum teſtimoniis adverſatur, & tradita immutat, dum juxta antiquam conſuetudinem non ſacrificat.

A ἃ διὰ τὴν παράβασιν πείθονται· καί φασιν, εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἁγίων ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μὴ μιγνὺς οὕτω τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸ μυστήριον ἐξαγγέλλων. ἀτελῶς δὲ τὸ μυστήριον ἐξαγγέλλει, διὰ τὸ οἴνῳ μόνῳ ἐπὶ τῇ θυσίᾳ κεχρῆσθαι, τοῦ κυρίου ὡς ἔφημεν αἷμα καὶ ὕδωρ ἐκ τῆς οἰκείας πλευρᾶς ἐν τῷ πάθει προχέοντος. διδάσκει γὰρ πραγματικῶς αἷμα μόνον ἐκ τῆς τοῦ κυρίου κενωθῆναι σαρκὸς, καὶ ἐναντιοῦται τοῖς ἱεροῖς εὐαγγελισταῖς, καὶ καινίζει τὰ παραδεδομένα, μὴ κατὰ τὴν ἀρχαίαν θύων παράδοσιν.

B

Arist. *Chryſoſtomus Hydroparaſtatarum evertens hæreſim, quando, dicit, & paſſus eſt Dominus & ſuſcitatus, vino uſus eſt. Hoc arripientes Armenii, vinum ſolum offerunt, non intelligentes, ipſum etiam Chryſoſtomum, & Baſilium, & Jacobum vino aquâ commixto uſos fuiſſe, &, ut ita nos offeramus, tradidiſſe. Si quis ergo vel ſolo vino, vel aquâ ſolâ, & non mixtâ, utitur, deponatur.*

Τὴν Ὑδροπαραστατῶν ἀναιρῶν αἵρεσιν ὁ Χρυσόστομος, ἡνίκα, φησὶ καὶ πέπονθεν ὁ κύριος, καὶ ἐγήγερται, οἴνῳ ἐχρήσατο· τοῦτο λαβόντες οἱ Ἀρμένιοι, οἶνον προσάγουσι μόνον· οὐκ εἰδότες, καὶ αὐτὸν τὸν Χρυσόστομον, καὶ Βασίλειον, καὶ Ἰάκωβον οἴνῳ μεμιγμένῳ ὕδατι κεχρημένους, καὶ ἡμῖν οὕτω παραδεδωκότας προσάγειν. εἴ τις οὖν ἢ οἴνῳ μόνῳ, ἢ ὕδατι μόνῳ, ἀλλ' οὐχὶ μεμιγμένῳ χρῷτο, καθαιρείσθω.

Armenii à Chryſoſtomi in Matthæi Evangelium interpretatione, in quâ Hydroparaſtatarum, qui aquâ ſolâ in incruentâ oblatione utebantur, hæreſim auferre conatus eſt, ſeducti, vinum ſolum offerunt. Non intelligentes impii, quod ad hoc reſpicit tota ſancti patris oratio, ut Hydroparaſtatarum hæreſim tolleret, iiſque vino etiam in myſteriis uti perſuaderet. Sed arbitrantes, quòd ille aquæ in iis immiſſionem refellens, ad eorum redargutionem ſeſe oppoſuit, vinum ſolum offerunt, ignorantes quòd & ipſe Chryſoſtomus, & Baſilius magnus, & Domini frater Jacobus vinum aquæ immiſcentes ſacrificium offerebant: & nobis ita offerre tradiderunt. Si quis itaque Epiſcopus aut Presbyter, non ſecundum hanc Apoſtolorum & divinorum Patrum traditionem, immaculatum offert ſacrificium, deponatur, ut non accuratè myſteria evulgans, & tradita contemptui habens.

Ἀπὸ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας τοῦ C Χρυσοστόμου οἱ Ἀρμένιοι πλανηθέντες, ἐν ᾗ τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν ἐσπούδασεν ἀναιρῆσαι, τῶν ὕδατι μόνῳ ἐν τῇ ἀναιμάκτῳ κεχρημένων θυσίᾳ, οἶνον μόνον προσάγουσι· μὴ νοήσαντες οἱ δυσσεβεῖς, ὡς εἰς τοῦτο ὁρᾷ ἡ πᾶσα κατασκευὴ τοῦ ἁγίου, εἰς τὸ ἀναιρῆσαι τὴν αἵρεσιν τῶν Ὑδροπαραστατῶν, καὶ πεῖσαι αὐτοὺς καὶ οἴνῳ χρᾶσθαι ἐν τοῖς μυστηρίοις. ἀλλὰ νομίσαντες, ὅτι ἀναιρείπων τὸ ὕδωρ ἐμβάλλεσθαι ἐν αὐτοῖς, πρὸς τὸν ἔλεγχον ἀντεκατέστη αὐτῶν, οἶνον μόνον προσφέρουσιν, ἀγνοοῦντες, ὡς καὶ αὐτὸς ὁ Χρυσόστομος καὶ ὁ μέγας Βασίλειος καὶ ὁ ἀδελφόθεος Ἰάκωβος οἶνον μιγνύντες ὕδατι τὴν D θυσίαν προσέφερον, καὶ ἡμῖν οὕτω προσάγειν παραδεδώκασιν. εἴ τις οὖν Ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ κατὰ τὴν παράδοσιν ταύτην τῶν ἀποστόλων καὶ τῶν θεοφόρων πατέρων, τὴν ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἁπλῶς τὸ μυστήριον ἐξαγγέλλων, καὶ ἀθετῶν τὰ παραδεδομένα.

Canon XXXIII.

Quoniam cognovimus, in Armeniorum regione eos ſolùm in cleri ordinem referri, qui ſunt ex genere ſacerdotali, iis, qui hoc facere aggrediuntur, mores Judaïcos ſequentibus; nonnullos autem eorum, etiam non tonſos, ſacros Cantores & divini templi Lectores conſtitui: decernimus, ut deinceps non liceat iis, qui volunt aliquos ad clerum adducere, ad ejus qui manus imponitur, genus reſpicere; ſed examinantes an digni ſint juxta præſcripta in ſacris canonibus decreta, qui in cleri catalogum referantur, eos Eccleſiaſticos promovere, ſive ſint ex majoribus ſuis ſacerdotibus, ſive non; ſed etiam ut nulli ex omnibus eorum liceat, qui ſunt in Clericorum ordinem relati, populo in ſuggeſtu divinas ſcripturas recitare, niſi is ſacerdotali tonſura uſus fuerit, & benedictionem à ſuo paſtore canonicè ſuſceperit. Si quis autem aliter facere deprehenſus fuerit, deponatur.

ΚΑΝΩΝ λγ'.

Ἐπειδήπερ ἔγνωμεν ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ μόνους ἐν κλήρῳ τοὺς ἐκ γένους ἱερατικοῦ καταλέγεσθαι, Ἰουδαϊκοῖς E ἔθεσιν ἑπομένων τῶν τοῦτο πράττειν ἐπιχειρούντων, τινὰς δὲ αὐτῶν καὶ μὴ ἀποκειρομένους ἱεροψάλτας καὶ ἀναγνώστας θείου ναοῦ καθίστασθαι συνείδομεν, ὥστε ἀπὸ τοῦ νῦν μὴ ἐξεῖναι τοῖς κλῆρον βουλομένοις προάγειν τινὰς, εἰς τὸ γένος ἀποβλέπειν τοῦ προχειριζομένου· ἀλλὰ δοκιμάζοντες, εἰ ἄξιοι εἶεν, κατὰ τοὺς τεθέντας ἐν τοῖς ἱεροῖς κανόσιν ὅρους, ἐν κλήρῳ καταλεγῆναι, τούτους ἐκκλησιαστικοὺς προχειρίζεσθαι, εἴτε καὶ ἐκ προγόνων γεγόνασι ἱερέων, εἴτε καὶ μή. ἀλλὰ μηδέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ' ἄμβωνος, κατὰ τὴν τῶν ἐν τῷ κλήρῳ καταλεγομένων τάξιν, τοὺς θείους τῷ λαῷ λόγους ἀποφωνεῖν· εἰ μή τι ἂν ἱερατικῇ F κουρᾷ χρήσαιτο ὁ τοιοῦτος, καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς ὑποδέξοιτο. εἰ δέ τις φωραθείη παρὰ τὰ προγεγραμμένα ποιῶν, ἀφοριζέσθω.

Bals. Hæc duo præſens canon corrigit, & quod in Armeniorum regione malè fiebat, ut non aliàs fierent Clerici, niſi ij qui ex genere ſacerdotali deſcendiſſent; & quòd in ſuggeſtu divinæ ſcripturæ legebantur ab iis qui Epiſcopales tonſuras non habebant: illud quidem, ut Iudaïcum (lege enim apud Iudæos cautum eſt, ut ex

ΒΑΛΣ. Δύο ταῦτα ὁ παρὼν κανὼν διορθοῦται, τὸ κατὰ τὴν χώραν τῶν Ἀρμενίων κακῶς γινόμενον, χάριν τοῦ μὴ ἄλλως γίνεσθαι κληρικοὺς, ἀλλὰ μόνους τοὺς ἐκ γένους ἱερατικοῦ καταγομένους· καὶ τὸ ἐπὶ ἄμβωνος ἀναγινώσκεσθαι τὰ θεῖα λόγια, παρὰ τῶν μὴ ἐχόντων ἐπισκοπικὰς ἐπικουρίδας, τὸ μὲν, ὡς Ἰουδαϊκὸν, (νενομοθέτηται γὰρ παρὰ Ἰουδαίοις ἀπὸ τῆς

Λευιτικῆς

A Λευιτικῆς φυλῆς καὶ μόνης τοὺς ἱερεῖς γίνεσθαι) τὸ δὲ, ὡς ἀλογίστως τελούμενον. φασὶν οὖν οἱ πατέρες, ἐκείνους ἐν τῷ κλήρῳ καταττάττεσθαι, μὴ τοὺς ἐκ γένους κληρικῶν ὄντας, ἀλλὰ τοὺς ἀξίους, καὶ καθ᾽ ἐπιλογὴν ἐπισκοπικὴν προτιμωμένους, κἂν μὴ ἐκ γένους τοιούτου ὦσιν· ὡσαύτως τοὺς ἐπ᾽ ἄμβωνος ἀναγνώστας μόνους ποιεῖν τοὺς εἰς τὸν ἀποκληρωθέντας, ἤγουν τοὺς ἔχοντας ἐπισκοπικὰς ἐπικουρίδας. ταῦτα τοῦ θείου κανόνος παρακελευομένου, καὶ ἀφορίζοντος τοὺς παρὰ ταῦτα ποιοῦντας, ἐλαλήθη πολλάκις περὶ διαφόρων ἀρχιερέων ἐχόντων ἀπὸ χρυσοβούλλων κληρικούς, ἤγουν τοῦ Ἀθηνῶν, τοῦ Μεσημβρείας καὶ ἑτέρων, ὡς οἱ ἀπόγονοι τῶν ἀρχαίων κληρικῶν καταναγκάζουσιν αὐτοὺς μὴ τοὺς ἀξίους τῷ κλήρῳ κατατάττειν, ἀλλὰ τούτους B πολλάκις ὄντας καὶ λαϊκούς, καὶ τὴν δουλείαν τῆς ἐκκλησίας δι᾽ ἑτέρων παρ᾽ ἐκείνων διδομένων γίνεσθαι. καὶ ἐν τῇ βασιλευούσῃ δὲ ταύτῃ τῶν πόλεων ἐν τῷ ναῷ τῶν ἁγίων μεγάλων μαρτύρων τεσσαράκοντα, καὶ ἐν τῷ ναῷ τῆς ὑπεραγίας θεοτόκου τοῦ κυρίου, καὶ ἐν ἑτέροις θείοις ναοῖς, ἔχουσι λαϊκοὶ ἀλλὰ μὴν καὶ μοναστήρια διάφορα, κληρικά τε ὀφφίκια. πλὴν οἱ μὲν ἀρχιερεῖς ἤκουσαν, ὡς ὁ παρὼν κανὼν ἐπιστομίζει τοὺς ὀχλοῦντας αὐτούς, τὸ δὲ γινόμενον εἰς τὰς ῥηθείσας καθολικὰς ἐκκλησίας, ὅπως παραχωρεῖται, ἀγνοῶ. σημειώσαι δὲ ὅτι ἅμα τῷ δέξασθαί τινα σφραγῖδα ἐπικουρίδος ἀπὸ C χειρὸς ἀρχιερατικῆς, κληρικὸν τοῦτον ἔχει ὁ κανών. ἤκουσα γάρ τινων λεγόντων, μὴ εἶναι ἀναγνώστην μηδὲ λέγεσθαι κληρικόν, τὸν εἰς κλῆρον ναοῦ μὴ κατατεθέντα ἀλλὰ μόνην ἔχοντα ἐπικουρίδα. διὸ καὶ ἔχειν ἐπ᾽ ἀδείας ἀκινδύνως αὐτὸν μετασχηματίζεσθαι εἰς λαϊκούς, ὅπερ ἐμοὶ τέως οὐ δοκεῖ. ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας μοναχοὺς ἐπικουρίδα ἀρχιερατικήν, ἀλλὰ μοναχικὴν ἀπόκαρσιν, λέγουσί τινες δύνασθαι ἐπ᾽ ἄμβωνος ἀναγινώσκειν ἀπόστολον καὶ τὰ λοιπὰ κατὰ τοὺς κληρικούς, ὡς ἀρκούσης δῆθεν τῆς ἀποκάρσεως ἀντὶ τῆς ἐπικουρίδος. ἐμοὶ δὲ δοκεῖ τὸν μὲν παρὰ ἡγουμένου ἱερέως καταστάντα ἀναγνώστην μοναχόν, κατὰ τὸν ιδʹ. κανόνα τῆς ζʹ. συνόδου D καλῶς ἀναγινώσκειν ἐπ᾽ ἄμβωνος· τὸν δὲ μόνον ἀπόκαρσιν ἔχοντα, μὴ δύνασθαι τοῦτο ποιεῖν. καὶ ἀνάγνωθι τὰ γραφέντα εἰς τὸν ῥηθέντα κανόνα τῆς ζʹ. συνόδου.

ΖΩΝΑΡ. Τοῖς Ἰουδαίοις ἡ Λευιτικὴ φυλὴ εἰς ἱερωσύνην ἀφώριστο, ἐξ ἧς μόνης οἱ ἱερᾶσθαι μέλλοντες ἐλαμβάνοντο. τοῦτο οὖν καὶ παρὰ τοῖς Ἀρμενίοις γινόμενον ὁ παρὼν κωλύει κανών, θεσπίζων μὴ πρὸς γένος ἀφορᾶν τοὺς μέλλοντας εἰς κλῆρον τάττειν τινάς, ἀλλὰ δοκιμάζειν τὸν βίον αὐτῶν, καὶ τοὺς ἀξίους, κατὰ τὰ ὁρισθέντα παρὰ τῶν θείων κανόνων εὑρεθέντας, ἐξ οἵου ἂν εἶεν γένους, E ἐκείνους ἐκκλησιαστικῶς προχειρίζεσθαι, κἂν προγόνους μὴ εἶχον ἱερατικούς· ἀλλὰ μηδὲ ἐπ᾽ ἄμβωνος συγχωρείσθω, φησίν, ἀνιέναι τις, καὶ τὰς θείας γραφὰς ὑποφωνεῖν τῷ λαῷ, ὃς οὐ κατὰ τὴν ἱερατικὴν συνήθειαν τὴν κόμην κέκαρται, ὑπὸ τοῦ οἰκείου ποιμένος εὐλογηθεὶς κανονικῶς, ἤγουν τὴν συνήθη σφραγῖδα δεξάμενος. τοὺς δὲ ἄλλως ποιοῦντας παρὰ τὰ ὁρισθέντα ὁ κανὼν ἀφορίζει.

ΑΡΙΣΤ. Ὁ χειροτονίας ἐπάξιος, καὶ ἱερατικοῦ τελῶν γένους καὶ ἑτέρου, χειροτονείσθω. μὴ κεκαρμένος καὶ εὐλογίας τυχών, ἐπ᾽ ἄμβωνος ἱεροὺς λόγους οὐκ ἀναγνώσεται. F

Τοῖς Ἰουδαϊκοῖς ἑπόμενοι ἔθεσιν οἱ ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων, μόνους τοὺς ἐκ γένους ἱερατικοῦ ὄντας εἰς κλῆρον προσδέχονται. ἀλλὰ καὶ τοὺς μὴ εὐλογίας τυχόντας Ἐπισκόπου, καὶ ἱερατικῇ κουρᾷ χρησαμένους, ἱεροψάλτας καθιστῶν, καὶ τῷ λαῷ ἐπ᾽ ἄμβωνος τὰς ἱερὰς βίβλους ἀναγινώσκειν ἐπέταττον. διὰ τοῦτο γοῦν ταῦτα καὶ ἀμφότερα ὁ παρὼν οὗτος ἀπαγορεύων κανών, προστάττει, μήτε εἰς τὸ γένος

tribu Levitica eáque ſola Sacerdotes fierent; hoc verò, ut quod inconſideratè fieret. Dicunt itaque patres, illos in clero ordinari oportere, non qui ex genere Clericorum, ſed qui digni ſunt, & Epiſcopali electione præponuntur, etiamſi non ſint ex tali genere: ſimiliter & in ſuggeſtu eos ſolos legere debere, qui ad hoc in Clericorum numerum relati ſunt, eos ſcilicet qui habent Epiſcopales tonſuras. Hæc cùm ſacer canon jubeat, & eos excommunicet qui aliter faciunt, ſæpe dictum eſt à diverſis antiſtibus, qui habent ex aurea bulla Clericos, Athenarum ſcilicet, & Meſembriæ & aliis; quod, qui ex antiquis Clericis deſcenderunt, ipſos cogunt eos qui non ſunt clero digni ordinare, atque adeò etiam qui ſæpe ſunt laïci; & quòd Eccleſiæ officium per alios ab illis datos fiat. Jam & in hac regina urbium, in æde ſanctorum magnorum martyrum quadraginta, & in æde ſanctiſſimæ deiparæ Domini, & in aliis divinis templis, habent Laïci & complura etiam monaſteria & clericorum officia. Sed audierunt Antiſtites, quòd præſens canon eis omnibus os occludit, qui eis moleſtiam exhibent. Quod autem fit in dictis catholicis Eccleſiis, quomodo permittitur, neſcio. Nota autem, quòd ſimul ac acceperunt aliqui tonſuræ characterem à manu Antiſtitis, eos pro Clericis habet canon: Audivi enim nonnullos dicentes, non eſſe Lectorem, nec dici Clericum, qui in Clerum templi non relatus eſt, ſed ſolam habet tonſuram. Et ideo ei licere in laïcalem habitum tranſmutari: quod mihi quidem non videtur. Sed & monachos, qui non habent Epiſcopales coronas, ſed monachicam tonſuram, dicunt nonnulli poſſe in ſuggeſtis legere Apoſtolum & reliqua, quemadmodum & Clerici, tanquam monachalis tonſura utique ſufficiat pro tonſura clericali. Mihi autem videtur monachum, qui à Sacerdote qui præeſt Lector eſt conſtitutus, ſecundùm xiiii. canonem vii. Synodi, in ſuggeſtu poſſe legere: eum autem, qui ſolam habet monachalem tonſuram, hoc facere non poſſe, & lege quæ ſcripta ſunt in dictum canonem vii. Synodi.

ZONAR. Iudæis ſola tribus Levitica in Sacerdotium ſeparata fuit, è quâ ſolâ qui ſacra celebrarent eligebantur. Eum igitur, ab Armeniis quoque uſurpatum, morem hic canon damnat; neque ullam in clero legendo generis & familiæ rationem haberi, ſed uniuſcujuſque vitam ac mores inſpici jubet. Ac ſi quidem ex præſcripta ſacris canonibus norma digni homines reperti fuerint, quocunque demum genere, & quamvis majoribus nullo ſacerdotii munere perfunctis ſint prognati, Eccleſiaſtico tamen ordini adſcribi licere decernunt. Sed neque præterea cuiquam, inquiunt, ſuggeſtum aſcendere, divináſque ſcripturas ibidem recitare aſtante populo liceat, niſi cui prius, uſitata ſacris hominibus conſuetudine detonſa coma, benedictionem ex præſcripto canonum ſuus paſtor impertiverit, hoc eſt, charactere de more conſignaverit. Qui verò hujus canonis decreta violârint, eos canon ſegregatione puniendos eſſe decernit.

ARIST. *Qui ordinatione dignus eſt, ſive à genere Sacerdotali ſive alio prognatus, ordinetur. Qui non deterſus & benedictionem aſſecutus eſt, è ſuggeſtu ſacras ſcripturas ne legat.*

Qui in Armeniorum ſunt regione Iudaïcos ſequentes mores eos ſolos, qui ex genere ſunt Sacerdotali, in clerum admittunt. Sed & eos, qui Epiſcopi benedictionem non habuerunt, nec Sacerdotali tonſurâ ſunt uſi, ſacros Lectores conſtituebant, & è ſuggeſtu ſacros libros populo legere imperabant. Propterea horum utrumque prohibens hic præſens canon, mandat nec ad genus illius reſpicere, qui in clerum promoveri

veri cupit; ſed hoc tantum perſcrutari an dignus ſit: nec cuiquam concedere, ut legat aut cœnat è ſuggeſtu, niſi à ſuo Epiſcopo canonicam ſuſceperit benedictionem, & tonſurâ Sacerdotali utatur: eum verò, qui contra ea quæ hîc decernuntur, fecerit, deponi.

CANON XXXIV.

Porrò autem, cùm & hoc canon ſacerdotalis apertè edicat, quòd conjurationis vel ſodalitatis crimen, etiam ab externis legibus eſt vetitum; multo autem magis hoc fieri in Eccleſia prohibere oportet: nos quoque obſervare ſtudemus, ut ſi qui Clerici aut Monachi inventi ſint, vel conjurantes vel ſodalitates ineuntes, vel adverſus Epiſcopos vel conclericos aliquid ſtruentes, à proprio gradu prorſus excidant.

Bals. De conjuratione & ſodalitate ſcripſimus etiam in xviii. canone Chalcedon. Synodi. Lege autem eum, & quæ in eum ſcripta ſunt. Eſt autem aliquando quæſitum, an ii etiam puniri debeant, qui boni alicujus gratia conjurationem fecère, fortè ſi conſpiraverint ac conjuraverint, ſine Imperatoris vel magiſtratûs juſſu, ſe pro defendendâ ab hoſtibus oppugnatâ urbe morituros, vel aliquem ſuæ civitatis everſorem de medio ſublaturos, vel aliquid aliud boni facturos. Ac nonnulli quidem dixerunt, quòd, quoniam rarò accidit ut pro aliqua re bona aliqui conjurent, & nec à canonibus vel legibus expreſsè permiſſum eſt, conjurare omnino prohibitum eſt, ne boni prætextu multi, iidémque leviores, in multa mala incidant, ſe boni aliquid facere exiſtimantes. Hinc autem excepta ſit Imperatoria & magiſtratuum poteſtas, quæ mala ulciſcitur, & populum ad honeſta excitat. Uſi ſunt autem & iii. cap. xxxvii. tit. lx. libri dicente circa medium. Puniri eum qui bellum gerit injuſſu Imperatoris; & quæ in eo eſt, præſcriptione dicente, Etiam ſi is vicerit, punitur. Alii autem præſenti canone utentes, & legibus quæ à nobis poſitæ ſunt in xxxvii. cap. ix. tit. præſentis operis, quæ omnino docent de conjuratione, quæ adverſus aliquos ſtruitur, dixerunt, eas ſolas, quæ ad malum fiunt, conjurationes prohiberi & puniri; non autem eas quæ alicujus boni gratia fiunt. Mihi autem videtur omnem conjurationem à lege puniri, tum propter ea quæ ſuperiùs dicta ſunt, & quòd incertus ſit ejus eventus; & eò magis, quòd turbam quomodocunque cogi ſine Imperatoris facultate à lege valde punitur, etiamſi in bonum facta videatur conjuratio. Inveniens autem conſtitutionem Imperatoris Domini Alexii filii Imperatoris Domini Manuelis Comneni ſitam in convenientibus ſecretis menſe Julio Indict. xv. factam, & ſtatuentem magnos nobileſque Principes, qui conjurarunt, non condemnandos eſſe, quoniam quod factum eſt conjuratio non reputatur, ſed legitimum jusjurandum, quia pro illius Imperio juratum eſt. Ne dicas conjurationem quæ fit ad malum puniri, quæ vero ad bonum facta eſt commendari; ſed dic omnem conjurationem puniri, propter prædictas cauſas. Quæ autem in Imperatoriâ prædictâ conſtitutione continentur privata eſſe, & Imperatoriâ miſericordiâ digna: non autem legum & Canonum interpretationes.

Zonar. Hunc qui de conjuratione eſt Canonem duodevigeſimum quarta Synodus numerat, eundemque à nobis ſuo loco explicatum reperies.

A ἀφορᾷν τοῦ βουλομένου εἰς κλῆρον παραχθῆναι, ἀλλὰ τοῦτο μόνον ἀνερευνᾷν, εἰ ἄξιός ἐστι· μήτε τινὶ συγχωρεῖν, ὥστε ἀναγινώσκειν ἢ ψάλλειν ἐπ᾽ ἄμβωνος, εἰ μὴ παρὰ τοῦ ἰδίου Ἐπισκόπου εὐλογίας τύχοι κανονικῆς, καὶ ἱερατικῇ κουρᾷ χρήσηται. τὸν δὲ παρὰ τὰ ἐνταῦθα διατεταγμένα ποιοῦντα, ἀφορίζεσθαι.

ΚΑΝΩΝ λδ΄.

Καὶ τοῦτο δὲ τοῦ ἱερατικοῦ κανόνος σαφῶς διαγορεύοντος, ὡς τὸ τῆς συνωμοσίας ἢ φρατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων κεκώλυται· πολλῷ δὲ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει· καὶ ἡμεῖς B φυλάττειν σπουδάζομεν, ὡς εἴ τινες κληρικοὶ ἢ μοναχοὶ εὑρεθεῖεν, ἢ συνομνύμενοι ἢ φρατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες Ἐπισκόπων ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

ΒΑΛΣ. Περὶ συνωμοσίας καὶ φρατρίας ἐγράψαμεν ἐν τῷ ιη΄. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου. καὶ ἀνάγνωθι τοῦτον, καὶ τὰ ἐν αὐτῷ. ἐζητήθη δέ ποτε, εἰ ὀφείλουσι κολάζεσθαι καὶ οἱ συνωμοσίας ποιήσαντες χάριν ἀγαθοῦ τινος, τυχὸν ἐὰν ὁμογνωμονήσωσι καὶ ὀμόσωσι χωρὶς προστάξεως βασιλικῆς ἢ ἀρχοντικῆς ὑπὲρ καταπολεμουμένης ὑπὸ ἐχθρῶν πόλεως ἀποθανεῖν, ἢ ἀναιρῆσαι τινὰ λυμεῶνα τῆς κατ᾽ αὐτοὺς πόλεως, ἢ ἄλλό τι ἀγαθὸν ποιῆσαι. καὶ τινὲς μὲν εἶπον, C ὡς ἐπεὶ σπανίως ἐστὶ τὸ ὑπὲρ ἀγαθοῦ πράγματος συνομόσασθαί τινας, καὶ οὐδὲ ῥητῶς ὑπὸ τῶν νόμων ἢ τῶν κανόνων τοῦτο ἐπιτέτραπται, κεκώλυται πάντη τὸ συνομνύειν, ἵνα μὴ τῇ προφάσει τοῦ ἀγαθοῦ οἱ πολλοὶ καὶ ἐλαφρότεροι εἰς πολλὰ κακὰ περιπίπτωσι, νομίζοντες ἀγαθόν τι ποιεῖν. περιαιρεθῇ δὲ ἐντεῦθεν καὶ ἡ βασιλικὴ καὶ ἀρχοντικὴ ἐξουσία, ἡ τὰ κακὰ διεκδικοῦσα, καὶ εἰς τὰ καλὰ τὸν δῆμον διεγείρουσα. ἐχρήσαντο δὲ καὶ τρίτῳ κεφ. τοῦ λϛ΄. τίτλου τοῦ ξ΄. βιβλίου λέγοντι περὶ τὰ μέσα, κολάζεσθαι τὸν πολεμοῦντα παρὰ κέλευσιν βασιλέως· καὶ τῇ ἐν αὐτῷ παραγραφῇ λεγούσῃ, κἂν νικήσῃ οὗτος τιμωρεῖται. ἕτεροι δὲ τῷ παρόντι κανόνι χρώμενοι, καὶ τοῖς καταστρωθεῖσι παρ᾽ ἡμῶν D νόμοις εἰς τὸ λζ΄. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος, διδάσκουσι δι᾽ ὅλου περὶ συνωμοσίας κατά τινων τυρευθείσης, ἀντέθεντο μόνας τὰς ἐπὶ κακῷ γινομένας συνωμοσίας κωλύεσθαι καὶ κολάζεσθαι, οὐ μὴν καὶ τὰς χάριν ἀγαθοῦ τινός. ἐμοὶ δὲ δοκεῖ πᾶσαν συνωμοσίαν ὑπὸ τοῦ νόμου κωλάζεσθαι· δι᾽ ἅπερ ἄνωθεν εἴρηται, καὶ διὰ τὸ ἐν ἀδήλῳ εἶναι τὸ ἀποτέλεσμα ταύτης, καὶ μᾶλλον ὅτι καὶ τὸ συνάγεσθαι ὄχλον ὁπωσδήποτε χωρὶς ἐξουσίας βασιλικῆς μεγάλως ὑπὸ τοῦ νόμου τιμωρεῖται, κἂν ἐπὶ δοκοῦντι ἀγαθῷ γίνηται ἡ συνωμοσία· εὑρίσκων δὲ σημείωμα τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ E Κομνηνοῦ κατεστρωμένον ἐν τοῖς προσφόροις σεκρέτοις γεγονὸς κατὰ μῆνα Ἰούλιον, τῆς ιε΄. ἰνδικτ. καὶ διαλαμβάνον μὴ ὑποκεῖσθαι καθοσίωσιν τοὺς τότε συνωμοσαμένους μεγάλους καὶ ὑψηλοὺς ἄρχοντας διὰ τὸ μὴ λογίζεσθαι συνωμοσίαν τὸ γεγονὸς, ἀλλὰ θέμιτον ὅρκον διὰ τὸ ὑπὲρ τῆς βασιλείας αὐτοῦ τὸν ὅρκον γίνεσθαι. μὴ εἴπῃς τὴν ἐπὶ κακῷ γενομένην συνωμοσίαν εὐθύνεσθαι, τὴν δὲ ἐπὶ ἀγαθῷ εὐλογεῖσθαι, ἀλλὰ λέγε πᾶσαν συνωμοσίαν εὐθύνεσθαι διὰ τὰς προρρηθείσας αἰτίας. τὰ δὲ τῷ ῥηθέντι βασιλικῷ σημειώματι περιεχόμενα ἰδικὰ εἶναι καὶ ἄξια συμπαθείας βασιλικῆς· οὐ μὴν ἑρμηνείας νόμων καὶ κανόνων εἶναι.

F

ΖΩΝΑΡ. Ὁ περὶ τῆς συνωμοσίας κανὼν οὗτος τῆς τετάρτης ἐστὶ συνόδου ὀκτωκαιδέκατος, ὃς ἐκεῖσε ἡρμήνευται.

ΑΡΙΣΤ. Εἴ τινες κληρικοὶ ἢ μοναχοὶ συνωμοσίας ἢ φρατρίας ποιήσαιεν, ἢ συσκευὰς κατ' Ἐπισκόπου ἢ συγκληρικοῦ· τοῦ βαθμοῦ ἐκπιπτέτωσαν. Σαφής.

ΚΑΝΩΝ λε΄.

Μὴ ἐξέστω τινὶ τῶν πάντων μητροπολιτῶν τελευτῶντος Ἐπισκόπου, τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον, τὰ αὐτοῦ πράγματα ἢ τὰ τῆς κατ' αὐτὸν ἐκκλησίας ἀφαιρεῖσθαι ἢ σφετερίζεσθαι· ἀλλ' ὑπὸ παραφυλακὴν ἔστωσαν τοῦ κλήρου τῆς ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανεν πρόεδρος, μέχρι τῆς ἑτέρου Ἐπισκόπου προαγωγῆς· ἐκτὸς εἰ μὴ κληρικοὶ ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐχ ὑπελείφθησαν· τηνικαῦτα γὰρ ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, τῷ χειροτονηθέντι Ἐπισκόπῳ πάντα ἀποδιδούς.

ΒΑΛΣ. Ἐν τῷ κβ΄. κανόνι τῆς δ΄. συνόδου γέγραπται, καθαιρεῖσθαι τοὺς ἁρπάζοντας κληρικοὺς τὰ διαφέροντα τῷ ἀποθανόντι Ἐπισκόπῳ πράγματα· ὁ δὲ παρὼν κανὼν κωλύει τὸν μητροπολίτην σφετερίζεσθαι ταῦτα. ἀκούων δὲ ὡς ὑπὸ φυλακὴν ὀφείλουσιν εἶναι ταῦτα, ἢ παρὰ τῷ κλήρῳ, ἢ παρὰ τῷ μητροπολίτῃ, ὅταν οὐκ ὦσι κληρικοί, ἐφ' ᾧ δοθῆναι τῷ χειροτονηθησομένῳ Ἐπισκόπῳ, μὴ εἴπῃς ἐξ ἀνάγκης ὀφείλειν τοῦτο γίνεσθαι. Εἰ γὰρ ὁ τελευτήσας Ἐπίσκοπος ἐποίησεν ἀπογραφὴν, κατὰ τὸν μ΄. ἀποστολικὸν κανόνα, ἅμα τῷ χειροτονηθῆναι, τοῖς ἐξ ἀδιαθέτου κληρονόμοις τούτου δοθήσεται τὰ ἐκείνου πράγματα. καὶ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι κβ΄. κανόνι χάριν τούτου γραφέντα. ἐπὶ τούτοις, ἔχε ἐπὶ μνήμης καὶ τὸ κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς ιδ΄. ἰνδικτιῶνος ἀπολυθὲν πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν Ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων, καὶ τάδε κατὰ ῥῆμα διαλαμβάνον. Πρᾶγμα καὶ εἰς Θεοῦ τολμώμενον καταφρόνησιν, καὶ εἰς ἀθέτησιν θεσμῶν φυσικῶν παρὰ τῶν, ὅ φασι, μήτε Θεοῦ ὄπιν, μήτ' ἀνθρώπων νέμεσιν ὑφορωμένων, ὡς ἔοικεν, οὐκ ἀνεκτὸν ὅλως ἐλογίσθη τῇ βασιλείᾳ μου, εἰς ἀκοὰς αὐτῇ πεπτωκός· ἔνθεν τοι καὶ ὡς πάντη τῆς τῶν χριστωνύμων ἀνάξιον ἐπαγγέλματος, διορθοῦται τοῦτο ἡ βασιλεία μου. ἀνηνέχθη γὰρ αὐτῇ, ὡς ἐν ταῖς ἀπὸ τοῦ ζῆν ἐκδημίαις τῶν ὁπουδήποτε ἀρχιερατευόντων ἐν ταῖς τοῦ Θεοῦ ἁγιωτάταις ἐκκλησίαις, πῇ μὲν καὶ πρὸ τῆς αὐτῶν ἐκφορᾶς, πῇ δὲ καὶ μετὰ τὴν ἐκφοράν, οἱ κατὰ χώραν ἐνεργοῦντες, προφάσει τῆς αὐτῶν τελευτῆς, τῶν τε κελλίων αὐτῶν ἀπανθρώπως κατεπεμβαίνουσι, καὶ τῶν ὑπὸ τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀκινήτων, καὶ ἀφαιροῦνται μὲν ἅπαντα τὰ ἐν τούτοις παρευρεθέντα τῶν ὑπαρχόντων αὐτοῖς· καθολικὴν δὲ ποιοῦνται τῶν τοιούτων ἀκινήτων ἀπαίτησιν, καὶ παντοίως ἑτέρως ταῦτα συντρίβουσιν· ἡ δὲ βασιλεία μου μηδὲ μέχρι καὶ εἰς ἄκουσμα μόνον ἀνεκτὴν ἡγησαμένη τὴν τοιαύτην τόλμαν αὐτῶν, ἵνα μὴ καὶ τῆς ἐπὶ τοῖς θανάτοις τῶν ἀρχιερέων ἐπιούσης ταῖς κατ' αὐτοὺς ἐκκλησίαις ζημίας καὶ συμφορᾶς, οὗτοι βαρυσυμφορώτεροι γίνοιντο, καὶ τῆς ἐπ' αὐτοῖς ἀνίας ἀνιαρώτεροι, διορίζεται διὰ τῆς παρούσης προστάξεως, μηκέτι παρὰ τῶν κατὰ χώραν τὰς δουκικὰς ἀρχὰς διεπόντων ἢ ἀναγραφὰς ἢ ἕτερ' ἄττα δικαία τοῦ δημοσίου ἐνεργούντων, τοιοῦτόν τι κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἢ τῶν ὑπ' αὐτὰς ἀκινήτων, ἢ τῶν κελλίων τῶν ἀρχιερέων, ἐν ταῖς αὐτῶν τελευταῖς τοῦ λοιποῦ νεωτερισθῆναι· ἀλλ' εἰ μὲν ἐνδιαθήκως οἱ ἀρχιερεῖς τελευτῶσιν, κατὰ τὰς αὐτῶν βουλάς τε καὶ διατάξεις ἅπαντα γίνεσθαι, ὅσον ἐπὶ τοῖς παρευρισκομένοις ἐν τοῖς κελλίοις αὐτῶν· εἰ δ' ἴσως καὶ ἀδιάθετοι ἀπαλλάττοιντο, πάντα καὶ οὕτω συντελεσθῆναι κατὰ τὸ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς νόμοις δοκοῦν. τοῖς ἀκινήτοις μέντοι τῶν χηρευουσῶν ἐκκλησιῶν οὐδὲ πόδα ὅλως ἐπιβάλοι τις τῶν κατὰ χώραν δουκῶν ἢ τινῶν ἑτέρων, ὡς εἴρηται, οὐδέ τι οἱονοῦν ἐκεῖθεν ὁπωσοῦν ἀναλάβηται· ἀλλὰ πάντα παρὰ τῶν μερῶν τῶν τοιούτων ἐκκλησιῶν ἐν αὐτοῖς οἰκονομηθήσεται, καθὼς ἄρα καὶ περὶ τούτου νομίμως καὶ κανονικῶς διηγόρευται, μέχρις ἂν δηλαδὴ οἱ μετὰ τοὺς τεθνηκότας ἀρχιερεῖς εἰς ἐκκλησίας ἐπι-

A ARIST. *Si qui Clerici aut Monachi conjurationes vel ſodalitates inierint, vel inſidias contra Epiſcopum aut Conclericum ſtruxerint, gradu excidant.* Perſpicuus.

CANON XXXV.

Nulli omnium Metropolitanorum liceat, mortuo Epiſcopo qui ejus throno ſubeſt, res ejus vel ipſius Eccleſiæ auferre vel ſibi vendicare; ſed ſint ſub cuſtodia Cleri Eccleſiæ, cui defunctus præfuit, uſque ad alterius Epiſcopi promotionem: niſi in eadem Eccleſia non relicti ſint Clerici. Tunc enim B *Metropolitanus ea non diminuta ſervabit, ordinato Epiſcopo omnia reddens.*

BALS. In xxii. Canone iv. Synodi ſcriptum eſt, deponendos Clericos, qui rapiunt bona quæ ad mortuum Epiſcopum pertinent. Præſens autem Canon prohibet Metropolitanum ea ſibi vendicare. Cùm autem audis ea debere eſſe ſub cuſtodia, vel apud Clerum, vel quando non fuerint Clerici, apud Metropolitanum, ut dentur ordinando Epiſcopo: ne dixeris hoc debere neceſſariò fieri. Si enim defunctus Epiſcopus inventarium C fecerit (ut vult xl. Canon Apoſtolicus) cùm primùm fuit ordinatus; hæredibus ejus ab inteſtato illius bona dabuntur. Et lege quæ in dicto xxii. Canone de eo ſcripta ſunt. Præterea autem, tene memoria conſtitutionem potentis ſanctique Imperatoris domini Emanuelis Comneni Septembri menſe xiv. indictione emiſſam, de non rapiendis, ab exactoribus, bonis quæ ad defunctos Epiſcopos pertinent, quæ quidem hæc verbatim complectitur: Res, quæ & in Dei contemptum, & ad legum naturæ infirmationem, ab iis qui, ut aiunt, neque Dei vocem neque hominum vindictam formidant, ut eſt veriſimile, audetur, non ferenda omnino Imperiali meæ poteſtati, D cùm ad ejus aures perveniſſet, viſa eſt. Quamobrem eam, ut omnino Chriſtiana profeſſione indignam, mea corrigit Imperialis poteſtas. Ei enim relatum eſt, quòd in exceſſu è vita eorum, qui ubivis Pontificatum gerunt in ſanctiſſimis Dei Eccleſiis, partim quidem & antequam funus efferatur, partim verò & poſtquam elatum fuerit, ii, qui in ea regione fiſci procurationem exercent, ipſorum mortis prætextu, eorum cellas inhumanè invadunt, & Eccleſiarum, quæ eis obtigerant immobilia, & omnes quidem facultates, quæ in illis inventæ fuerint, auferunt: univerſam autem ejuſmodi immobilium exactionem faciunt, & ea alioqui omnino eliquant. Imperialis ergo mea poteſtas ne vel auditu quidem ferendam eorum eſſe E audaciam exiſtimans, ne cùm damnum & calamitas ex Antiſtitum morte ad eorum Eccleſias pervaſerit, hi multo majorem calamitatem invehant, & ea ſint quam jam habent moleſtia longè moleſtiores; ſtatuit per hanc præſentem conſtitutionem, ne ab iis, qui ducales magiſtratus gerunt, vel deſcriptiones, vel aliqua alia publici jure exercent, tale quid in ſanctiſſimas Eccleſias, vel earum immobilia, vel Antiſtitum cellas, in eorum morte deinceps ampliùs innovetur: ſed ſi teſtati quidem moriantur Antiſtites juxta eorum voluntatem & ordinationem omnia fiant, quod ad ea attinet quæ in eorum cel- F lis inveniuntur. Quòd ſi fortè etiam inteſtati deceſſerint, omnia quoque fiant, prout in ſacris Canonibus & legibus fieri præſcriptum eſt. Atqui in viduarum Eccleſiarum immobilia ne pedem quidem omnino immittet aliquis ex ducibus, vel aliquibus aliis, ut dictum eſt: ſed nec quælibet illinc pars quomodocunque auferatur, ſed omnia à partibus ejuſmodi Eccleſiarum in ipſis adminiſtrabuntur, quemadmodum de ea legitimè & Canonicè edictum eſt, donec ſcilicet, qui poſt mortuos Antiſtites in Eccleſias renunciati ſunt, in regione fuerint, & eo-

rum adminiſtrationem ſuſceperint. Interim ſciat is, qui ad infirmationem alicujus eorum, quæ à præſenti Imperialis poteſtatis meæ conſtitutione decreta ſunt, proceſſerit; quòd etiamſi Deus in tali ejus támque audaci incepto in præſentia ſiluerit, omnino in futurum dignum ejus ſupplicium reſervans; Imperialis tamen mea poteſtas eum acerbiùs in præſentia aggredietur, pœnis eum corporalibus ſubjiciens, & ſuorum membrorum truncationibus, bonorúmque publicationi, & diuturno exilio. Non ſolùm enim ex eo ſimplum reddet Eccleſiæ, quod ei illo modo ab ipſo auferendum eſt, ſed etiam à fiſco talis quantitatis duplum abſque ulla commiſeratione exigetur, perfectiſſima ea de re cognitione per Antiſtitem ei, qui pro tempore Myſticus erit, datâ, qui etiam utraque adminiſtrare debet: de ſuo autem peccato omnino excuſationem non habebit. Venit enim Imperialis mea poteſtas, & eis per præſentem conſtitutionem evangelicè locuta eſt; quæ in ſacro chartophylacio reponetur, ſanctiſſimis Eccleſiis ſufficiens futura, ſi ejus ſolùm exempla authentica ac competenti fide munita ab ipſis partibus oſtendantur. Ea enim archetypi vim habebunt, & exhibentibus ad æternam ſecuritatem erunt.

Zonar. Idem argumentum quartæ quoque Synodi Canon vigeſimus ſecundus exequitur. Ibi & hujus Canonis mentio à nobis facta, & alia, per quæ ejuſdem explicationi ſatisfactum arbitramur, allata fuere.

Arist. *Epiſcopo vitâ defuncto, Clerus bona reſervabit. Si vero nullus relinquatur Clericus, Metropolitanus ea conſervabit, donec alter ordinetur.*

Nec Clericis poſt mortem Epiſcopi ſui nec Metropolitano licet quicquam è vacantis Eccleſiæ bonis auferre, ſed omnia cuſtodiri debent ab illis ipſis Clericis, uſque dum alius Epiſcopus conſtituatur. Si forte autem Clericus in illa non relinquatur Eccleſiâ, Metropolitanus ea imminuta ſervabit omnia futuro Epiſcopo redditurus.

Canon XXXVI.

Renovantes quæ à ſanctis centum & quinquaginta patribus, qui in hac à Deo conſervatâ & regia urbe, & ſexcentis triginta, qui Chalcedone convenère, conſtituta ſunt, decernimus, ut thronus Conſtantinopolitanus æqualia privilegia cum antiquæ Romæ throno obtineat, & in Eccleſiaſticis negotiis ut ille magnificat, ut qui ſit ſecundus poſt illum. Poſt quem, magnæ Alexandrinorum civitatis numeretur thronus, deinde Antiochiæ, & poſt eum Hieroſolymitanæ civitatis.

Bals. De ſecundo & tertio Canone ſecundæ Synodi, & xxviii. Can. quartæ Synodi loquuntur. Et lege quæ in eos à nobis ſcripta ſunt.

Zonar. Quæ à nobis de Conſtantinopolitana ſede in eorum Canonum, qui hìc laudantur, explicatione dicta ſunt, ea quærenda; quæ qui legerit, plura in hanc ſententiam, ut arbitror, non requiret.

A κηρυττόμενοι μετὰ χώραν γεγονότες αὐτοί, τὴν τούτων οἰκονομίαν ἀναδέξωνται. εἰδέναι ὀφείλοντος τοῦ, εἰς ἀθέτησιν τινὸς τῶν ἐν τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου διωρισμένων, χωρήσοντος, ὡς εἰ καὶ Θεὸς ἐπὶ τῷ τοιούτῳ αὐτοῦ τολμήματι πρὸς τὸ παρὸν παρασιωπήσεται, πάντως εἰς τὸ μέλλον αὐτοῖς τὴν ἀξίαν δίκην ταμιευόμενος, ἀλλ' ἡ βασιλεία μου, καὶ εἰς τὸ παρὸν, πικρότερον αὐτὸ μετελεύσεται, σωματικαῖς ποιναῖς αὐτὸν καθυποβάλλουσα, μελῶν τε οἰκείων ἀκρωτηριασμοῖς, καὶ τῶν ὑπαρχόντων δημεύσει, καὶ ἐξορίᾳ μακρᾷ. οὐ μόνον γὰρ τὸ ἁπλοῦν ἀπεντεῦθεν ἀποδώσει ὁ τοιοῦτος τῇ ἐκκλησίᾳ, τὸ ἐξ αὐτῆς τοιουτοτρόπως παρ' αὐτοῦ ἀφαιρεθησόμενον, ἀλλὰ καὶ B πρὸς τοῦ δημοσίου εἰς τὸ διπλοῦν ἀσυμπαθῶς ἀπαιτηθήσεται τὴν τοιαύτην ποσότητα· εἰδήσεως ἀκριβεστάτης διδομένης περὶ τούτου παρὰ τοῦ τηνικαῦτα ἀρχιερέως τῷ κατὰ τὴν ἡμέραν μυστικῷ, ὃς καὶ ὀφείλει καὶ ἄμφω οἰκονομεῖν· πρόφασιν δὲ πάντως οὐκ ἕξει περὶ τῆς ἁμαρτίας αὐτοῦ. ἦλθε γὰρ ἡ βασιλεία μου, εὐαγγελικῶς τε ἐλάλησεν αὐτοῖς διὰ τῆς παρούσης προστάξεως, ἥτις καταστρωθήσεται, καὶ τῷ ἱερῷ χαρτοφυλακίῳ ἐναποτεθήσεται, ἀρκέσουσα ταῖς ἁγιωτάταις ἐκκλησίαις, κἂν ἰσότυπα καὶ μόνα ταύτης πεπιστωμένα παρὰ τῶν μερῶν αὐτῶν ἐμφανίζηται. ἕξουσι γὰρ πρωτοτύπων ἰσχὺν ταῦτα, καὶ τοῖς προκομισαμένοις προσέσονται εἰς ἀσφάλειαν αἰωνίζουσαν.

C

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς δεύτερος κανὼν τῆς τετάρτης συνόδου περὶ τούτου τοῦ κεφαλαίου διαλαμβάνει. ἔνθα καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν, ἀρκεῖ οὖν τὰ εἰρημένα ἐκεῖ.

ΑΡΙΣΤ. Τελευτῶντος Ἐπισκόπου, ὁ κλῆρος φυλάξει τὰ πράγματα· εἰ δὲ μὴ ὑπολέλειπται κληρικὸς, ὁ μητροπολίτης ταῦτα διαφυλάξει, ἕως τῆς ἑτέρου χειροτονίας.

Οὔτε τοῖς κληρικοῖς μετὰ τὴν τελευτὴν τοῦ Ἐπισκόπου αὐτῶν, D οὔτε τῷ μητροπολίτῃ ἔξεστιν ἀφαιρεῖσθαί τι τῶν τῆς χηρευούσης ἐκκλησίας πραγμάτων· ἀλλὰ πάντα ὀφείλουσι παραφυλάττεσθαι παρ' αὐτῶν δὴ τῶν κληρικῶν, μέχρις ἂν ἕτερος Ἐπίσκοπος χειροτονηθῇ. εἰ δ' ἴσως κληρικὸς ἐν τῇ τοιαύτῃ οὐχ ὑπελείφθη ἐκκλησίᾳ, ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, ἀποδοῦναι μέλλων πάντα τῷ χειροτονηθησομένῳ Ἐπισκόπῳ.

ΚΑΝΩΝ λϛ'.

Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα τῶν ἐν Καρχηδόνι συνελθόντων E νομοθετηθέντα, ὁρίζομεν τὸν Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ Ἀντιοχείας καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως.

ΒΑΛΣ. Περὶ τοῦ δευτέρου καὶ τρίτου κανόνος φασὶ τῆς δευτέρας συνόδου· καὶ τοῦ κη'. κανόνος τῆς δ'. συνόδου. καὶ ἀνάγνωθι τὰ ἐν τούτοις παρ' ἡμῶν γραφέντα.

F **ΖΩΝΑΡ.** Τὰ ἐν τῇ ἐξηγήσει τῶν εἰρημένων κανόνων, ὧν μέμνηται ὁ παρὼν κανὼν, εἰρημένα ἡμῖν περὶ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ζητητέον, καὶ οἶμαι ὡς οὐ πλειόνων δεήσει τῷ τοῦτον ἀναγινώσκοντι.

ΑΡΙΣΤ. Ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης ἔστω, τῶν ἴσων ἀπολαύων πρεσβείων· μεθ' ὃν ὁ τῆς Ἀλεξανδρείας· ἑξῆς ὁ Ἀντιοχείας· εἶτα ὁ Ἱεροσολύμων.

Τὸ τὸν Κωνσταντινουπόλεως τῶν ἴσων ἀπολαύειν πρεσβείων μετὰ τὸν Ῥώμης, οὕτως ἐν τῷ τρίτῳ κανόνι τῆς ἐν Κωνσταντινουπόλει συνόδου ἡρμηνεύσαμεν, καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ τῆς ἐν Χαλκηδόνι συνόδου· ὥστε μὴ κατὰ τὴν τιμὴν δεύτερον τὸν Ῥώμης τάττεσθαι, ἀλλὰ κατὰ τοὺς χρόνους. οὕτω γοῦν καὶ ἐνταῦθα δεῖ νοεῖν, τὴν μετὰ πρόθεσιν τοῦ χρόνου εἶναι δηλωτικήν, ἀλλ' οὐ τῆς τιμῆς. μετὰ γὰρ χρόνους πολλοὺς τῶν ἴσων πρεσβείων τῇ Ῥωμαίων ἐκκλησίᾳ καὶ ὁ θρόνος οὗτος τῆς Κωνσταντινουπόλεως ἔτυχε, διὰ τὸ βασιλείᾳ τε καὶ συγκλήτῳ τιμηθῆναι τὴν πόλιν ταύτην, καὶ τῶν ἴσων ἀπολαύειν πρεσβείων τῇ πρεσβυτέρᾳ Ῥώμῃ.

ΚΑΝΩΝ λζ'.

Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ γεγόνασιν ἔφοδοι, καὶ πλεῖσται πόλεις ἐντεῦθεν ὑποχείριοι τοῖς ἀνόμοις κατέστησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῆναι τὸν τῆς τοιαύτης πόλεως πρόεδρον, μετὰ τὴν ἐπ' αὐτῷ χειροτονίαν, τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱερατικῇ καταστάσει ἐνιδρυνθῆναι· καὶ οὕτω κατὰ τὸ κρατῆσαν ἔθος τὰς χειροτονίας καὶ πάντα ἃ τῷ Ἐπισκόπῳ ἀνήκει πράττειν τε καὶ μεταχειρίζεσθαι· ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῇ ἱερωσύνῃ φυλάττοντες, καὶ μηδαμῶς πρὸς λύμην τῶν ἐκκλησιαστικῶν δικαίων τὴν ἐθνικὴν ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς οὕτω χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῶν μὴ ἐγκαταστᾶσι θρόνοις, τὸ ἀπροκριμάτιστον τηρεῖσθαι συνεωράκαμεν, ὥστε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῇ τῆς προεδρίας αὐθεντείᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ νενομισμένην εἶναι πᾶσαν τὴν ὑπ' αὐτῶν προϊοῦσαν διοίκησιν. οὐ γὰρ ὑπὸ τοῦ τῆς ἀνάγκης καιροῦ τῆς ἀκριβείας περιγραφείσης, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα διὰ τοὺς λέγοντας, μὴ δύνασθαι τόν τε Ἀντιοχείας καὶ Ἱεροσολύμων πατριάρχας, καὶ τοὺς λοιποὺς τοὺς μὴ φθάσαντας εἰς τὰς ἰδίας ἐκκλησίας ἀπελθεῖν, καὶ ἐνθρονισθῆναι μὴ δύνασθαι, διαγινώσκειν χάριν ἐκκλησιαστικῶν ὑποθέσεων λαλουμένων συνοδικῶς ἢ χειροτονεῖν, ἢ ἄλλο τι ἀρχιερατικὸν ἐνεργεῖν· ἀντιστομίζει γὰρ τοὺς τοιούτους. προεβάλετο γὰρ τὸν τοιοῦτον κανόνα ὁ ὑπέρτιμος ἐκεῖνος κῦρος Ἀλέξιος ὁ Ἀριστηνὸς κατὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου Ἱεροσολύμων κυροῦ Νικηφόρου. ὁ λϛ'. ἀποστολικὸς κανὼν, καὶ ὁ ιζ'. καὶ ὁ ιη'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, τοὺς μὲν Ἐπισκόπους, τοὺς μετὰ τὸ χειροτονηθῆναι μὴ ἐπιδημήσαντας εἰς τὰς λαχούσας αὐτοὺς, ἀφορισμῷ καθυποβάλλουσι· τοὺς δὲ, μὴ παρ' αἰτίαν οἰκείαν, ἀλλὰ διά τινα πρόφασιν εὔλογον, μὴ ἀπελθόντας, ἀνευθύνους εἶναί φασι, καὶ διορίζονται ἔχειν τούτους τὴν οἰκείαν τιμὴν τοιαύτην, ὥσπερ ἂν εἰ κατὰ χώραν ἐνεδήμησαν, καὶ ἐνεθρονίσθησαν. ὁ δὲ παρὼν κανὼν θεσπίζει τοὺς Ἐπισκόπους, τοὺς μὴ δυνηθέντας διὰ βαρβαρικὴν ἔφοδον ἀπελθεῖν εἰς τοὺς λαχόντας αὐτοῖς θρόνους, παρομοίως τιμᾶσθαι, καὶ ἐνεργεῖν ἀπροκριματίστως πάντα τὰ ἀρχιερατικὰ, καὶ ἁπλῶς λογίζεσθαι, ὥσπερ εἰ κατὰ χώραν ἀπῆλθον, καὶ ἐνεθρονίσθησαν. ὥστε καὶ ὁ μητροπολίτης Ἰκονίου καὶ ἕτεροι Ἀνατολικοὶ μητροπολῖται μὴ ἔχοντες ἐκκλησίας, ὡς κρατουμένας ὑπὸ βαρβάρων, καλῶς Ἐπισκόπους χειροτονοῦσι, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐνεργοῦσι, κἂν οὐκ ἔφθασαν ὅλως εἰς τὰς λαχούσας αὐτοὺς ἐκκλησίας ἀπελθεῖν καὶ ἐνθρονισθῆναι. εἶδον γὰρ τοῦτο πολλάκις λαληθὲν καὶ εἰς ἀμφιβολίαν ἐλθόν. ἀνάγνωθι καὶ τὴν κατὰ τὸν Νοέμβριον μῆνα τῆς β'. ἰνδικτιῶνος ἀπολυθεῖσαν πρόσταξιν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ διοριζομένην τοὺς ψηφισθέντας εἰς Ἀνατολικὰς

Arist. *Thronus Constantinopolitanus post Romanum proximus, æqualibus fruatur privilegiis. Post eum Alexandrinus, deinceps Antiochenus, & deinde Hierosolymitanus.*

Episcopum Constantinopolitanum æqualibus frui privilegiis post Romanum, sic in tertio Synodi Constantinopolitanæ, & in vigesimo octavo Synodi Chalcedonensis Canone interpretati sumus ut non honoris, sed temporis respectu secundus à Romano collocetur. Sic itaque & hic intelligendum est præpositionem, post, tempus indicare, non autem honorem. Nam post annos multos æqualia Romanæ Ecclesiæ obtinuit thronus hic Constantinopolitanus privilegia; eò quòd imperio & Senatu hæc civitas honorata est, æqualibus veteri Romæ gaudet privilegiis.

Canon XXXVII.

Quoniam diversis temporibus Barbaricæ incursiones fuere, & ex eo plurimæ civitates ab iniquis subjugatæ, ut ideo non possit ejus civitatis præsul, postquam ordinatus fuerit, suum thronum occupare, & in sacerdotali statu in eo collocari; & sic pro ea quæ invaluit consuetudine, ordinationes & omnia quæ ad Episcopum pertinent, agere & tractare: nos honorem ac venerationem sacerdotio servantes, & gentilem injuriam nequaquam ad Ecclesiasticorum jurium perniciem posse quidquam agere volentes, eis qui sic ordinati sunt, & propter prædictam causam in suis thronis non sunt constituti, ut absque ullo ex ea re præjudicio conserventur decrevimus, & ut diversorum Clericorum ordinationes canonicè faciant, & præsulatûs auctoritate secundùm proprios fines utantur; & sit firma ac legitima quæcunque sub iis procedit administratio. Non enim à tempore necessitatis exacta juris observatione circumscripta dispensationis terminus definietur.

Bals. Nota præsentem Canonem propter eos qui dicunt, Patriarchas Antiochenum & Hierosolymitanum, & alios qui ad Ecclesias suas non prius veniebant, nec posse in throno constitui ad causas Ecclesiasticas, de quibus Synodicè agendum est, dignoscendas, vel ad ordinandum, vel aliud quippiam Sacerdotale celebrandum; hujusmodi enim hominibus os occludit. Hunc enim Canonem incomparabilis ille dominus Alexius Aristenus contra sanctissimum illum Patriarcham Hierosolymitanum dominum Nicephorum protulit. Xxxvi. Canon Apostolicus, & xvii. & xviii. Antiochenæ Synodi, Episcopos quidem, qui postquam ordinati fuerint in eas quæ illis obtigerunt diœceses non proficiscuntur, segregationi subjiciunt: eos autem, qui non sua culpa, sed propter causam aliquam rationabilem, non accesserint, puniendos non esse dicunt, & eos suum honorem habere decernunt, perinde ac si in regione versati, & in sede collocati essent. Præsens autem Canon decernit Episcopos, qui non potuerint, propter barbaricam incursionem, in eos qui eis obtigerunt thronos proficisci, similiter honorari, & sine ullo præjudicio omnia Pontificialia exercere, & omnino reputari, perinde ac si in regionem accessissent, & in throno suo collocati essent. Quamobrem & Iconii Metropolitanus, & Orientales alii Metropolitani, non habentes Ecclesias, ut quæ à barbaris teneantur, Episcopos rectè ordinant, & pontificialia omnia exercent, etiamsi omnino in Ecclesias, quæ illos sortitæ sunt, non venerint, nec in throno collocati fuerint. Vidi enim hoc sæpe dictum, & in controversiam deductum. Lege &, quæ in mense Novembri secunda indictione emissa est, constitutionem illustris Imperatoris domini Alexii

Comneni, & decernentem eos, qui in Orientales Eccleſias electi ſunt, habere in poſterum Monaſteriorum præfecturas,& fraternitates,& officia, ad illos pertinentia. Quæ verbatim ſic ſe habet, Didicit Imperialis mea poteſtas ſanctiſſime domine & univerſalis Patriarcha, quod cum in Dei eccleſia electiones procedant, quidam eorum, qui electi ſunt, in monaſteriis gubernantes & domus adminiſtrationis curam gerentes, vel alia etiam miniſteria exercentes, & omnino Monachi exiſtentes, alii autem in magna Dei Eccleſia,& in aliis, ex officiis & aliis muneribus ac miniſteriis, ea quæ victui ſufficiunt poſſidentes, ægre ferunt Pontificale jugum ſubire, & illis Eccleſiis præeſſe, in quas renunciati ſunt, veriti ne cum ejuſmodi Eccleſiæ in Orientis partibus ſint, eis neceſſaria deſint; utpote, cum Eccleſiæ quidem, in quibus electi ſunt, admodum indigentes ſint & illis omnino inacceſſæ, priventur autem & ipſi, eo quòd illarum curam ſuſcipiant, præfecturis & œconomiis, quæ ſibi adſunt, & aliis muneribus, & iis, quæ ſimpliciter dicuntur fraternitates, & officiis, & quibuſdam aliis miniſteriis. Mea itaque ſtatuit Imperialis poteſtas, ea, quæ ad ipſos pertinent, diſpenſativa quadam ratione diſponens, ne quis poſthac Pontificale jugum ſubire recuſet. Ii enim omnes etiam rurſus fruentur iis, quæ ſibi adſunt, præfecturis, & œconomiis, & aliis item miniſteriis ac muneribus & officiis, & quæ illis adſunt fraternitates: & doctrinæ rationem ſubeuntes, perficiente à ſe ſuſcepto ordine, illorum quoque reditus libere percipient, donec remiſſionem acceperint, & ab ea, quæ nunc eſt, Cleri calamitoſa ſorte ad meliorem Cleri ſucceſſum eis attributarum Eccleſiarum, quæ ab eis, ut dixi, adiri non poſſunt, ut quæ ab infeſtiſſimis teneantur hoſtibus, pervenerint. Sed, quæ à mea Imperiali poteſtate conſtituta ſunt, locum non habebunt in officiis vel gradibus Sacerdotum & Diaconorum & cæterorum cleri magnæ Dei Eccleſiæ. Pone ergo præſentem conſtitutionem in Codicibus Chartophylacii magnæ Dei Eccleſiæ.

Zonar. Qui aſſignatum Præfecturæ munus defugiunt, Antiochenæ Synodi xvii. Can. ſegregantur. Qui vero Paſtores renunciati, non aliquo ſuo vitio, ſed vel à multitudine excluſi, vel alia cauſa, in qua culpa ipſi vacarent, impediti, muneris ſui partes obire vetarentur, iis ut honore nihilominus & miniſterii prærogativis frui liceat decimo octavo ejuſdem ſynodi Can. conſtitutum. Idem hoc Canone, fuſius explicata conſtitutione, decernitur. Si quis enim, inquit, ad Epiſcopatum evectus, deſtinatam ſibi civitatem, quippe à barbaris forte occupatam, obire non queat, omnia is privilegia, ſibi pro munere præfecturæ, quam obtinet debita, nihilominus vindicabit. Itaq; & clericos ordinibus inſignire, canonicè tamen, hoc eſt, ſervatis in eo Canonum ſanctionibus poterit,& honorem Epiſcopi & cathedræ dignitatem obtinebit. Eſt hæc namq; præſulatûs auctoritas ſecundum proprios finos ſive prout definitum eſt & conſtitutum, honore affici illam civitatem, ita ut prima ſit forte, vel ſecunda, vel alia deinceps. Non enim de ea dejicietur, propterea quod ſacram ipſius urbis Cathedram tenere adhuc non potuerit. Sed & quæcunque Epiſcopali auctoritate ab eo conſtituta actave fuerint, rata omnia & quam optimo jure firma haberi placet. Nec enim, quia temporum iniquitate, excitataq; à barbaris procellæ periculo excluſus Eccleſiæ ſuæ poſſeſſionem Epiſcopus adire non poſſit, idcirco circumſcribetur diligentia, & œconomiæ ſive diſpenſationis termini anguſtius definientur; hoc eſt, non ea de cauſa minus exactè ac religioſè Can. ſervari placet, quorum auctoritate Epiſcopis, in ſua cuique diœceſi, de omnibus quæ ad eam pertinent ſtatuendi eſt conceſſa facultas.

A ἐκκλησίας ἔχειν αὖθις τὰ προσόντα αὐτοῖς ἡγουμενεῖα καὶ ἀδελφᾶτα καὶ ὀφφίκια. ἥτις ἔχει κατὰ ῥῆμα οὕτως, ἀνέμαθεν ἡ βασιλεία μου ἁγιώτατε δέσποτά μου καὶ οἰκουμενικὲ πατριάρχα, ὅτι τῶν ἐν ταῖς τοῦ θεοῦ ἐκκλησίαις ψήφων προβαινουσῶν, τινὲς τῶν εἰς τὰς ψήφους ἐπιλεγομένων ἡγουμενεύοντες ἐν μοναστηρίοις καὶ οἰκονομοῦντες, ἢ καὶ ἑτέρας τινὰς ὑπηρεσίας διενεργοῦντες, καὶ ἁπλῶς τυγχάνοντες μοναχοί, ἕτεροι δὲ ὄντες τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν ἑτέραις, ἀπό τε ὀφφικίων καὶ ἑτέρων τινῶν λειτουργιῶν τὰ ζωάρκη κεκτημένοι, δυσχερῶς ἔχουσι τὸν τῆς ἱερωσύνης ζυγὸν ὑπελθεῖν, καὶ ταῖς ἐκκλησίαις ἐπιστατῆσαι αἷς ἐπικηρύχθησαν, δεδιότες μήποτε τῶν B τοιούτων ἐκκλησιῶν ἐν τοῖς τῆς Ἀνατολῆς μέρεσι διακειμένων, ἐπιλείψειε τούτοις τὰ ἀναγκαῖα· ἅτε τῶν μὲν ἐν αἷς ἐπεψηφίσθησαν ἐκκλησιῶν πάντη τυγχανουσῶν ἀπόρων καὶ ἀπροσβάτων αὐτοῖς παντελῶς, στερουμένων δὲ καὶ αὐτῶν, διὰ τὴν ἐπιστασίαν τούτων ὑπεισελθεῖν, τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν καὶ οἰκονομιῶν, καὶ ἑτέρων λειτουργιῶν, καὶ τῶν ἁπλοϊκῶς λεγομένων ἀδελφάτων ἢ καὶ ὀφφικίων, καὶ ἑτέρων τινῶν ὑπηρεσιῶν. διορίζεται τοίνυν ἡ βασιλεία μου οἰκονομικῷ τινι λόγῳ διατιθεῖσα τὰ κατ' αὐτούς, μή τινα τούτων μετὰ ταῦτα δυσχεραίνειν τῷ ζυγῷ τῆς ἀρχιερωσύνης ὑποδραμεῖν. πάντες γὰρ οὗτοι καταπολαύσουσι καὶ πάλιν τῶν προσουσῶν αὐτοῖς ἡγουμενειῶν τε C καὶ οἰκονομιῶν, τῶν ἑτέρων τε ὑπηρεσιῶν καὶ λειτουργιῶν καὶ ὀφφικίων, καὶ τῶν προσόντων αὐτοῖς ἀδελφάτων· καὶ τὸν τῆς διδασκαλίας ὑπεισερχόμενοι λόγον, καὶ τὴν τελειοποιὸν τάξιν ἀναδεξάμενοι, καὶ τῶν ἀπ' ἐκείνων προσόδων κατεξουσιάσωσι μέχρις ἂν ἄνεσιν λάβοιεν, καὶ ἀπὸ τῆς νῦν δυσκληρίας κατασταῖεν πρὸς εὐκληρίαν τῶν ἐπιψηφισθεισῶν αὐτοῖς ἐκκλησιῶν, ὡς εἴρηται, ἀβάτων οὐσῶν τούτοις, ὡς ὑπὸ τῶν ἐχθίστων κατεχομένων ἐχθρῶν. πλὴν τὰ ἐνταῦθα διορισθέντα παρὰ τῆς βασιλείας μου οὐκ ἐπὶ τῶν ἀρχοντικίων κρατήσει καὶ τῶν βαθμῶν τῶν ἱερέων τε καὶ τῶν διακόνων καὶ τῶν λοιπῶν τοῦ κλήρου τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας. κατάστρωσον οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς κώδιξι τοῦ D χαρτοφυλακίου τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας.

ΖΩΝΑΡ. Τοὺς κληθέντας εἰς λαοῦ προστασίαν, καὶ μὴ πειθομένους ἀπελθεῖν, ἀφορίζει ὁ ἑπτακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κανών. τοὺς δὲ χειροτονηθέντας, μὴ ἀπελθόντας δέ, οὐ παρ' αἰτίαν οἰκείαν, ἀλλ' ἢ διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτῶν γενομένην, ὁ ὀκτωκαιδέκατος τῆς αὐτῆς Συνόδου κανὼν μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας κελεύει. τοῦτο δὴ πλατύτερον καὶ ὁ παρὼν θεσπίζει κανών, λέγων, ὡς ἐάν τις εἰς ἐπισκοπὴν προαχθεὶς μὴ δυνηθῇ ἀπελθεῖν εἰς E τὴν λαχοῦσαν αὐτὸν πόλιν, ὑπὸ βαρβάρων ἴσως κατεχομένην, ὁ τοιοῦτος ἅπαν ἕξει προνόμιον ἀρχιερατικὸν ἀνῆκον αὐτῷ. καὶ χειροτονήσει γὰρ κληρικούς, πλὴν μέντοι κανονικῶς, ὡς οἱ κανόνες δηλαδὴ διατάττονται, καὶ τὴν τιμὴν ἕξει τοῦ Ἐπισκόπου καὶ καθέδρας ἀξιωθήσεται. αὕτη γὰρ ἡ τῆς προεδρίας αὐθεντία κατὰ τὸν ἴδιον ὅρον, ἤγουν καθὼς ὥρισται καὶ τετύπωται. τιμᾶσθαι τὴν πόλιν ἐκείνην, πρώτην εἶναι τυχόν, ἢ δευτέραν, ἢ ἐφεξῆς. οὐ γὰρ ὑποβιβασθήσεται, διὰ τὸ μὴ ἐνιδρυνθῆναι αὐτῇ τῇ ἱερᾷ καθέδρᾳ. ἀλλὰ καὶ ὅσα ἂν διοικήσῃ καὶ διαπράξηται ἀρχιερατικῷ δικαίῳ, βέβαια ἔσονται πάντα, καὶ νόF μιμα λογισθήσονται. οὐ γὰρ ἐκ τοῦ μὴ δυνηθῆναι αὐτὸν ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, καὶ τὴν περίστασιν τὴν ἐκ τῶν βαρβάρων, παραγραφήσεται ἡ ἀκρίβεια, καὶ ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται, ἀντὶ τοῦ συστολὴν ἕξει τινὰ καὶ ἐλαττωθήσεται ἡ τῶν κανόνων ἀκρίβεια, διδοῦσα τοῖς Ἐπισκόποις ἐξουσίαν τῆς διοικήσεως τῶν ἐν ταῖς ἐπισκοπαῖς αὐτῶν πάντων.

ΑΡΙΣΤ. Ἐπίσκοπος ὁ διὰ βαρβάρων ἔφοδον μὴ ἐπιστὰς τῷ θρόνῳ, καὶ καθέδραν τὴν οἰκείαν ἐχέτω, καὶ χειροτονείτω, καὶ πάντα τὰ τῆς ἱερωσύνης ἐνεργείτω βεβαιότατα.

Εἴ τις Ἐπίσκοπος χειροτονηθῇ, καὶ διὰ τὰς τῶν βαρβάρων ἐπιδρομὰς οὐ δυνηθῇ ἀπελθεῖν εἰς τὴν ἐχειροτονήθη πόλιν, ὥστε ἐν αὐτῇ ἐγκαταστῆναι, καὶ ἐγκαθιδρυνθῆναι ἱερατικῇ καταστάσει· μὴ κωλυέσθω ἐνεργεῖν ἃ τοῖς Ἐπισκόποις ἀνήκει, ἀλλὰ πάντα πραττέσθω καὶ μεταχειριζέσθω, καὶ τὴν ἐν τῇ καθέδρᾳ τιμὴν ἐχέτω, καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιείτω, καὶ πᾶν ὑπ᾽ αὐτοῦ πραχθὲν κατὰ κανονικὴν ἀκρίβειαν ἔστω βέβαιον. ἡ γὰρ ἀνάγκη τοῦ καιροῦ εἰς περιγραφὴν αὐτοῦ οὐ γενήσεται, ὥστε τὴν ἐπισκοπικὴν αὐτοῦ ἐλαττοῦσθαι ἀξίαν.

A **Arist.** *Epiſcopus qui propter barbarorum incurſionem in throno non collocatur, & Cathedrâ ſuâ fruatur, & ordinet, atque omnibus ſacerdotis muneribus firmiſſimè fungatur.*

Si quis Epiſcopus ordinetur, & propter barbarorum incurſiones non poſſit ad urbem, in quam ordinatus erat, ſe recipere, ut in eâ conſtituatur, & in ſtatu collocetur ſacerdotali: ne prohibeatur agere quæ ad Epiſcopum pertinent, ſed omnia faciat tractetq;, & honoris qui in cathedrâ eſt particeps ſit, & clericorum variorum ordinationes B Canonicè faciat, & quicquid ab eo ſecundum jus Canonicum factum fuerit firmum habeatur. Temporis enim neceſſitas eum non circumſcribet, ut dignitas ejus Epiſcopalis ullo modo imminuta ſit.

ΚΑΝΩΝ λη'.

Τὸν ἐκ τῶν πατέρων τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων τάξις ἀκολουθείτω.

Canon XXXVIII.

Canonem, qui à patribus factus eſt, nos quoque obſervamus, qui ſic edicit; Si qua civitas ab Imp. poteſtate innovata ſit, vel poſthac innovanda, civiles ac publicos C *typos & Eccleſiaſticarum quoque rerum ordo conſequatur.*

ΒΑΛΣ. Ἐν μὲν τῷ ιβ'. κανόνι τῆς ἐν Καλχηδόνι συνόδου, ἐγράψαμεν ὅσα δὴ καὶ ἐγράψαμεν. ἐπειδὴ δὲ καὶ ὁ παρὼν κανὼν διορίζεται τὰς διὰ βασιλικῆς ἐξουσίας ἀνεγερθείσας πόλεις ἢ καὶ ἀνεγερθησομένας τιμᾶσθαι καὶ παρὰ τῶν ἐκκλησιῶν, καθὼς ἡ βασιλικὴ ὑποτυπώσει πρόσταξις, τουτέστιν ἔχειν αὐτὰς ἢ ἐπισκοπῆς ἀξίωμα ἢ μητροπόλεως. (δέον γάρ ἐστιν ἀκολουθεῖν τὴν ἐκκλησιαστικὴν τάξιν τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἤτοι τοῖς βασιλικοῖς προστάγμασι.) φαμὲν ὡς ἐνεδόθη μὲν ἀπὸ τοῦ παρόντος κανόνος τῷ βασιλεῖ ἐπισκοπὰς ποιεῖν ἐκ νέου, ἑτέρας δὲ ἀνάγειν εἰς δίκαια μητροπόλεως, καὶ ὑποτυποῦν τὰ περὶ τῆς ψήφου αὐτῶν, καὶ τῆς ἄλλης οἰκονομίας κατὰ τὸ δόξαν αὐτῷ. τέως δὲ ὀφείλει εἰδέναι ὅτι κατὰ τὸν Μάϊον μῆνα τῇ ι'. ἰνδικτιῶνι τοῦ ϛ,φϟε'. ἔτους, γέγονε σημείωμα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, διαλαμβάνον, ὡς τῆς μητροπόλεως τοῦ Βασιλαίου καὶ τῆς μητροπόλεως Μαδύτων χηρευουσῶν καὶ μελλουσῶν ψηφισθῆναι, διανέστησαν οἱ μητροπολῖται ὅ τε Ἡρακλείας καὶ ὁ Ἀγκύρας, καὶ εἶπον μὴ ὀφείλειν τὰς τοιαύτας ἐκκλησίας, κἂν ἐτιμήθησαν τῷ τῆς μητροπόλεως ἀξιώματι, παρὰ τοῦ μέρους τῆς μεγάλης ἐκκλησίας ψηφισθῆναι, ἀλλὰ παρ᾽ αὐτῶν· διὰ τὸ τὴν μὲν ἐκκλησίαν τῶν Μαδύτων ἐπισκοπὴν εἶναι τοῦ Ἡρακλείας, τὴν δὲ ἐκκλησίαν τοῦ Βασιλαίου ἐπισκοπὴν εἶναι τοῦ Ἀγκύρας. χρησαμένων δὲ τῶν τοιούτων μητροπολιτῶν καὶ τῷ ιβ'. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, διοριζομένῳ σώζεσθαι τῇ κατὰ ἀλήθειαν μητροπόλει τὰ προσόντα αὐτῇ δίκαια ἐπὶ τῇ τιμηθείσῃ ἐκκλησίᾳ, διάγνωσις γέγονε βασιλικὴ κατὰ παρουσίαν καὶ τῆς τότε συνδιαγνωμονούσης Συνόδου, ἐφειμένον εἶναι τῷ βασιλεῖ προεδρίας θρόνον ταῖς ἐκκλησίαις χαρίζεσθαι, καὶ τὰς ἐπισκοπὰς καὶ τὰς ἀρχιεπισκοπὰς εἰς μητροπόλεις ἀνάγειν· καὶ τὰ περὶ τῶν ψήφων αὐτῶν καὶ τῆς ἄλλης διαθετήσεως ὑποτυποῦν κατὰ τὸ αὐτῷ θελητόν, μὴ ἐμποδιζομένῳ πρὸς τοῦτο ἐκ τοῦ κανόνος τοῦ διοριζομένου φυλάττεσθαι τῇ μητροπόλει τὰ κατὰ τὴν τιμηθεῖσαν ἐπισκοπὴν προσόντα αὐτῇ ἀρχῆθεν δίκαια. καὶ ἀνάγνωθι τὸ τοιοῦτον σημείωμα ἑρμηνεῦον πῶς ὀφείλει νοεῖσθαι τὸ σώζεσθαι τὰ δίκαια τῆς παλαιᾶς μητροπόλεως, καὶ τὸ μὴ κατατέμνεσθαι τὴν μίαν ἐπαρχίαν εἰς δύο. ἡμεῖς γὰρ διὰ τὸ πολύστιχον εἶναι, οὐ κατεστρώσαμεν αὐτὸ ἐνταῦθα ἐξ ὁλοκλήρου. τὸ αὐτὸ δὲ σημείωμα, μετὰ τὴν διήγησιν τὴν περιέχουσαν, ὀφείλειν ψηφίζεσθαι τὰς τιμηθείσας ἐκκλησίας κατὰ πρόσταξιν βασιλικὴν παρὰ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως,

Bals. In xii. Canone Chalcedonenſis Synodi ſcripſimus quæ quidem ſcripſimus. Quoniam autem præſens quoque Canon ſtatuit eas, quæ Imperatoriâ poteſtate excitatæ, vel etiam excitandæ ſunt civitates, ab Eccleſiis quoque honorari, ſicut Imperiale juſſum deſcripſerit; id eſt, ut ipſæ habeant vel D Epiſcopalem dignitatem vel Metropolitanam: (oportet enim Eccleſiaſticum ordinem civiles & publicos, ſive Imperatorios typos ſequi.) Dicimus, quod etiam à præſenti Canone Imperatori datum eſt Epiſcopatus novos facere, alias autem in jura Metropoleos erigere, & de eorum electione aliaque adminiſtratione, prout ei viſum fuerit, ſtatuere. Interim autem debet ſcire, quod in menſe Maio, decimâ indictione, anno VIMDXCV. exiit edictum ab illuſtri Imperatore domino Alexio Comneno in hunc tenorem, quod cum Metropolis Baſilæi & Metropolis Madytana viduæ eſſent, & Antiſtitum electionem fieri oporteret, exurrexerunt Heracleanus & Ancyranus Metropolitanus, E & dixerunt, non debere eas Eccleſias, etiamſi metropolium dignitate honoratæ ſint, à magnæ Eccleſiæ partibus earum Antiſtitum electionem ſuſcipere, ſed ab ipſis: eo quod Madytana quidem Eccleſia ſit Heracleæ Epiſcopatus, Baſilæi autem Eccleſia ſit Ancyrani Metropolitani Epiſcopatus. Et cum uſi eſſent ii Metropolitani xii. Canone Chalcedonenſis Synodi, quæ decernit ſervanda veræ Metropoli jura, quæ illi adſunt in honorata Eccleſia; decretum fuit Imperiale in præſentia Synodi, quæ tunc erat, conſentientis unaque decernentis, licere Imperatoribus pontificalem thronum Eccleſiis largiri, & Epiſcopatus vel Archiepiſcopatus F in Metropoles erigere: eaque, quæ ad electionem pertinent & reliquam diſpoſitionem, prout ipſe voluerit, deſcribere, nec à Canone impediri, qui ſtatuit Metropoli jura ſervari, quæ illi adfuerunt ab initio in honorato Epiſcopatu. Et lege hoc edictum, quod interpretatur quomodo intelligi debeat illud, ſervari jura antiquæ Metropolis, & hoc, non dividendam eſſe unam provinciam in duas. Nos enim, eo quod ſit prolixius, hic integrum non poſuimus. Hoc ipſum autem edictum, poſt decretum quod continet, debere Eccleſias quæ ſunt honoratæ juſſu imperiali à throno Conſtantinopolitano

Præſulum electionem accipere, nec eos, qui paulo ante erant Metropolitani ullam in eis partem habere; hæc quoque expreſſe continet. Quoniam autem rurſus quoque Antiſtites, Chalced. Synodi Canonem adducentes, eos qui ex ſupplicatione altiore throno digni habiti ſunt, dicebant, præter Canones honorem perfectiorem conſequi, & rationis expertes eorum appetitiones coerceri volebant & canonicam auctoritatem afferebant; Imperium meum & Imperiali ſua poteſtate, quod à divinis Canonibus ei datum eſt privilegium, neglectui haberi non ſinens, & antiſtitum ob honoris provocationem ſupplicationes, ut non Canonicas neque legitimas, appellationis eventum accipere nolens ſtatuit, epiſcopatum non aliter in ſublimiorem thronum erigendum, Archiepiſcopatus ſcilicet vel Metropolis, quam ſi qui tunc eſt Imperator proprio motu impulſus, nulla humana indecore gratia intercedente, voluerit illam, quæ ſuperior eſt ac eminentior, dignitatem ei præbere, vel propter civitatis honorem, vel propter ejus fidem in ſanctam Eccleſiam, vel ejus, qui illi præeſt, virtutem honorans, & ex eo ſua ſponte incitatus ad largiendum honorem. Ac ei quidem, qui propter humanam affectionem, & mores non laudatos, ordinem ſublimem largitur divinorum Canonum metus intentatur. In quos ne ſæpe Imperator impingat, permittit & ſanctiſſimo, qui pro tempore eſt, Patriarchæ, non aliter à quovis allatam de cujuſcunque Eccleſiæ primatu chartam confirmare, nec ejus præſulum inter Archiepiſcopos vel Metropolitanos recipere, quam poſtquam de ea re ad Imperialem poteſtatem Patriarcha retulerit, & quid ſacris cautum ſit Canonibus docuerit, & intellexerit, quod Imperator, proprio motu, juſta de cauſa Eccleſiæ hunc honorem largitus eſt. Tunc enim & eam admittet, & in eorum qui ſub ſe ſunt antiſtitum numerum illum cooptabit, qui præſtantiorem honorem ab Imp. ſortitus eſt. Nota ergo quæ à præſenti Imp. edicto dicuntur, de Eccleſiis honoratis erectiſque ex Epiſcopatibus & Archiepiſcopatibus in Metropoles.

Zonar. Renovari urbes, hoc eſt excitari, quæ nullæ fuerant, ab Imperatoribus conſuevere, quibus cætera urbium privilegia, aut Epiſcopatus quoque honorem, aut etiam Metropolitani forte tituli dignationem, edictis promulgatis, quos etiam publicos typos, pragmaticos alibi, & imperatorias literas vocavere, dilargiri ſoliti ſunt: Pragmaticis igitur hujuſmodi vel publicis typis Eccleſiaſtici quoque ordinis diſpoſitionem accommodandam ſuadet Canon, ut ſive Epiſcopatus appellationem nova urbs habuerit, ſeu ad Metropolitani faſtigii honorem, evecta ſit eodem prorſus Eccleſiaſticorum jurium ordine recenſeatur.

Arist. *Si qua de novo ab Imperatore extructa eſt civitas, vel extruetur, politicos publicoſque typos rerum etiam Eccleſiaſticarum ordo conſequatur.*

Quæ ab Imperatore de novo extruitur aut extruetur urbs ſub ejus Epiſcopi diœceſi erit, ſub quâ deſcripta eſt, & cui ſubjacere juſſa. Licet enim alterius Epiſcopi parœciæ proximior ſit, eam tamen ſibi non vendicabit qui vicinior eſt, ſed civiles & publicos typos etiam talis civitas ſequetur, quemadmodum & in decimo ſeptimo Synodi Chalcedonenſis Canone decretum eſt.

Canon XXXIX.

Cum frater & comminiſter noſter Joannes, inſulæ Cypri præſul, unà cum ſuo populo in Helleſpontica provincia, & propter barbaricas incurſiones, & ut à Gentilium ſervitute liberarentur, & Chriſtianiſſimæ potentiæ ſceptris purè ſubjicerentur, à prædicta inſula emigraverint; clementis Dei providentia, & pii Chriſtique amantis Imperatoris noſtri labore, conſtituimus; ut citra ullam innovationem ſerventur quæ à divinis patribus, qui E-

A καὶ μηδὲν μετέχειν ἐπὶ αὐταῖς τοὺς πρώην μητροπολίτας διαλαμβάνει καὶ ταῦτα ῥητῶς. ἐπεὶ δὲ οἱ ἀρχιερεῖς καὶ αὖθις τὸν τῆς ἐν Χαλκηδόνι συνόδου κανόνα προσφέροντες, τοὺς ἐκ προσελεύσεως τῶν ὑψηλοτέρων ἀξιουμένους θρόνων, παρὰ κανόνας ἔλεγον τῆς τελεωτέρας τυγχάνειν τιμῆς, καὶ ἤθελον ταῖς ἀλογίστοις ὁρμαῖς ἐπιτεθῆναι κώλυμα, καὶ ἦσαν κανονικὴν προσφέροντες ἀξίωσιν, ἡ βασιλεία μου καὶ τῇ βασιλικῇ ἐξουσίᾳ τὸ παρὰ τῶν θείων κανόνων δεδομένον ταύτῃ προνόμιον παρορᾶσθαι μὴ θέλουσα, καὶ τὰς ἐπὶ προκλήσει τιμῆς προσελεύσεις τῶν ἀρχιερέων ὡς μὴ κανονικάς, μηδ' ἐννόμους, τὸ τῆς ἐφέσεως ἀποτέλεσμα μὴ λαμβάνειν ἐθέλουσα, ὀυδικεῖ μὴ ἄλλως B ἐπισκοπὴν εἰς περιβαθμιώτερον θρόνον ἀνάγεσθαι, ἀρχιεπισκοπῆς δηλονότι ἢ μητροπόλεως, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἴκοθεν ὁρμηθείς, χάριτος ἀνθρωπίνης μὴ μεσολαβούσης οὐκ εὐπρεποῦς, βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν· ἢ τιμῇ τῆς πόλεως, ἢ πίστει τῇ πρὸς τὴν ἁγίαν ἐκκλησίαν, ἢ τοῦ προεστῶτος αὐτῆς τὴν ἀρετὴν σεβασθείς, κἀντεῦθεν αὐτόρμητος γεγονὼς πρὸς τὸ χαρίσασθαι τὴν τιμήν. καὶ τῷ γὰρ δι' ἀνθρωπίνην προσπάθειαν καὶ τρόπον οὐκ ἐπαινούμενον τὸ ὑπερβεβηκὸς χαριζομένῳ τῆς τάξεως, τὸ ἀπὸ τῶν θείων κανόνων δέος ἐπανατείνεται. οἷς ἵνα μὴ περιπέσῃ πολλάκις ὁ βασιλεύς, ἐφίησι καὶ C τοῦτο τῷ κατὰ καιροὺς ἁγιωτάτῳ πατριάρχῃ· μὴ ἄλλως καταστρωννύειν τὸ παρ' οἱουδήτινος προσκομιζόμενον πιττάκιον χάριν προεδρίας τῆς οἱασοῦν ἐκκλησίας, μηδὲ τὸν προεστῶτα αὐτῆς τοῖς Ἀρχιεπισκόποις ἢ τοῖς μητροπολίταις συγκαταλέγεσθαι, εἰ μὴ ὁ πατριάρχης περὶ τούτου ἀνενεγκὼν τῇ βασιλικῇ ἐξουσίᾳ, καὶ τὰ περὶ τῶν θείων κανόνων ἀναδιδάξας, μάθοι ὡς κατὰ τὸ ἐφειμένον οἴκοθεν ὁ βασιλεὺς ἐξ εὐλόγου προφάσεως τῇ ἐκκλησίᾳ τὴν τιμὴν ἐχαρίσατο. τότε γὰρ καὶ προσδέξεται τοῦτο, καὶ τῇ τῶν ὑπ' αὐτὸν ἀρχιερέων ὁμηγύρει συγκαταλέξει τὸν εἰληχότα ἐκ βασιλέως τὴν κρείττω τιμήν. σημείωσαι οὖν τὰ τοῦ παρόντος βασιλικοῦ σημειώματος ῥητά, χάριν τῶν τιμωμένων ἐκκλησιῶν D ἀπὸ Ἐπισκοπῶν καὶ ἀρχιεπισκοπῶν εἰς μητροπόλεις.

ΖΩΝΑΡ. Καινίζουσι πόλεις οἱ βασιλεῖς, ἀντὶ τοῦ νέας ἀνεγείρουσι, καὶ διδόασι ταύταις προνόμιον πολιτικόν, ἢ καὶ τιμῶσιν αὐτὰς εἰς ἐπισκοπάς, ἢ καὶ μητροπόλεις τυχὸν διὰ προσταγμάτων ἐγγράφων, ἃ καὶ δημοσίους τύπους ὠνόμασεν, ἀλλαχοῦ δὲ πραγματικοὺς αὐτοὺς καλεῖ, καὶ βασίλεια γράμματα. τούτοις οὖν τοῖς πραγματικοῖς ἢ δημοσίοις τύποις παρακελεύεται ὁ κανὼν καὶ τὴν τῶν ἐκκλησιαστικῶν τάξιν ἀκολουθεῖν. ὡς εἴτε ἐπισκοπῆς ἔσχε κλῆσιν ἡ καινὴ πόλις, εἴτε εἰς μητροπόλεως ἀνήχθη τιμήν, οὕτω καὶ παρὰ τῇ τάξει τῶν ἐκκλησιαστικῶν δικαίων E καταλογίζεσθαι.

ΑΡΙΣΤ. Εἴτις ἐκαινίσθη πόλις ἐκ βασιλέως, ἢ καινισθείη, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις, καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων τάξις ἀκολουθείτω.

Η παρὰ βασιλέως καινισθεῖσα, ἢ καὶ καινισθησομένη πόλις, ὑπὸ τὴν ἐνορίαν ἐκείνου ἔσται τοῦ Ἐπισκόπου, ὑφ' ὃν ἐναπεγράφη καὶ ὑπετέθη τελεῖν. κἂν τῇ παροικίᾳ ἑτέρου Ἐπισκόπου μᾶλλον ἐγγίζει, οὐκ ἐκδικήσει αὐτὴν οὕτως ὁ γειτνιάζων, ἀλλὰ τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις ἐπακολουθήσει καὶ ἡ τοιαύτη πόλις, καθὼς καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ κανόνι τῆς ἐν F Χαλκηδόνι Συνόδου ὥρισται.

ΚΑΝΩΝ λθʹ.

Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ τῆς Κύπρου νήσου προέδρου ἅμα τῷ οἰκείῳ λαῷ ἐπὶ τὴν Ἑλλησπόντιον ἐπαρχίαν, διά τε τὰς βαρβαρικὰς ἐφόδους, διά τε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ Χριστιανικωτάτου κράτους ὑποταγῆναι, τῆς εἰρημένης μεταναστάντος νήσου, προνοίᾳ τοῦ φιλανθρώπου θεοῦ, καὶ μόχθῳ τοῦ φιλοχρίστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως, συνορῶμεν, ὥστε ἀκαινοτόμητα διατηρηθῆναι τὰ παρὰ τῶν ἐν

Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων πατέρων τῷ A θρόνῳ τοῦ προγεγραμμένου ἀνδρὸς παρασχεθέντα προνόμια, ὥστε τὴν νέαν Ἰουστινιανούπολιν τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως· καὶ τὸν ἐπ' αὐτῇ καθιστάμενον θεοφιλέστατον Ἐπίσκοπον, πάντων προεδρεύειν τῶν τῆς Ἑλλησποντίων ἐπαρχίας, καὶ ὑπὸ τῶν οἰκείων Ἐπισκόπων χειροτονεῖσθαι κατὰ τὴν ἀρχαίαν συνήθειαν· τὰ γὰρ ἐν ἑκάστῃ ἐκκλησίᾳ ἔθη καὶ οἱ θεοφόροι ἡμῶν πατέρες παραφυλάττεσθαι διεγνώκασιν, τοῦ τῆς Κυζικηνῶν πόλεως Ἐπισκόπου ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰουστινιανουπόλεως, μιμήσει τῶν λοιπῶν ἁπάντων Ἐπισκόπων, τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ἰωάννην· ὑφ' οὗ χρείας καλούσης, B καὶ ὁ τῆς αὐτῆς Κυζικηνῶν πόλεως Ἐπίσκοπος χειροτονηθήσεται.

ΒΑΛΣ. Ἀπὸ μὲν τοῦ η'. κανόνος τῆς γ'. συνόδου παρίσταται, ὅτι ἐκ προσελεύσεως Ἐπισκόπου τινὸς Κυπρίων, Ῥηγίνου ἐπιλεγομένου, ὡρίσθη αὐτοκέφαλον εἶναι τὴν ἐκκλησίαν τῆς Κύπρου· καὶ ἐκωλύθη ὁ Ἀντιοχείας χειροτονίας ἐν αὐτῇ ποιεῖν. ὁ δὲ παρὼν κανὼν ἐξενεχθεὶς ἀπὸ αἰτήσεως ἑτέρου ἀρχιεπισκόπου Κύπρου Ἰωάννου, ἐπικυροῖ μὲν καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα, ὀνομάζων καὶ τὴν ἐκκλησίαν τῶν Κυπρίων νέαν Ἰουστινιανούπολιν. διορίζεται δὲ ἔχειν αὐτὴν καὶ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως, ὡσαύτως καὶ τὰς ἐκκλησίας τῶν ἐπαρχιῶν τοῦ C Ἑλλησπόντου, καὶ τὴν ἐκκλησίαν τῆς Κυζίκου· καὶ γίνεσθαι τὰς τῶν Ἐπισκόπων αὐτῶν χειροτονίας παρὰ τοῦ Ἐπισκόπου Κύπρου. σήμερον δὲ οὐδεμία ἀπὸ τῶν ἐκκλησιῶν τούτων τῇ ἀρχιεπισκοπῇ Κύπρου ὑπόκειται, ἀλλ' οὐδὲ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως ἔχει. καὶ ζητητέον ὅπως τοῦτο γίνεται. Ἑλλήσποντος μέντοι ἐστὶ τὰ ἀπὸ τῆς Ἀβύδου καὶ μέχρι τῆς Θρᾴκης παρεκτεινόμενα ἀνατολικὰ ὅρια.

ΖΩΝΑΡ. Ἐν τῇ τρίτῃ συνόδῳ ἐψήφισται παρὰ τῶν τῆς συνόδου ἐκείνης θείων πατέρων, τοὺς Κυπρίους Ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν Ἐπισκόπων ποιεῖν. ἐπειρᾶτο γὰρ ὁ D Ἀντιοχείας τότε ὑφ' ἑαυτὸν καὶ τὴν Κύπρον ἔχειν, καὶ παρ' ἐκείνου χειροτονεῖσθαι τοὺς ἐν αὐτῷ Ἐπισκόπους. τοῦτο οὖν προνόμιον καὶ ὁ κανὼν οὗτος ἀκαινοτόμητον περιεῖναι ψηφίζεται ταῖς ἐκκλησίαις ταῖς ἐν τῇ Κύπρῳ, καὶ προστίθησι τῇ νέᾳ πόλει, ἥτις Ἰουστινιανούπολις ἐπεκλήθη, τὸ ἔχειν τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον. καὶ ὥσπερ τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ὑποτέθειται ἥτε Ἀσιανὴ καὶ ἡ Ποντικὴ καὶ ἡ Θρᾳκικὴ ἐπαρχία, οὕτω καὶ τούτῳ δέδοται προεδρεύειν τῆς Ἑλλησποντίων ἐπαρχίας, ὑποκεῖσθαι δὲ αὐτῷ καὶ τὸν Κυζίκου Ἐπίσκοπον, καὶ παρ' αὐτοῦ χειροτονεῖσθαι. καὶ αὕτη γὰρ ἡ πόλις, τὴν Κύζικον φημί, Ἑλλησπόντιός ἐστιν. εἰ μὲν οὖν καὶ εἰς ἔργον ἦλθεν ἡ περὶ τῆς Κυζίκου ψῆφος ποτέ, οὐκ οἶδα· E τέως δὲ οὐ κρατεῖ τὰ τῆς ψήφου, ὅσον πρὸς τὴν Κύζικον. ἀλλὰ οὐδ' ἐπὶ ταῖς ἄλλαις Ἑλλησποντίων χώραις καὶ πόλεσι πρόσεστί τι τῷ Κύπρου δίκαιον.

ΑΡΙΣΤ. Ἡ νέα Ἰουστινιανούπολις τὸ δίκαιον ἐχέτω Κωνσταντινουπόλεως, καὶ ὁ ταύτης πρόεδρος πάντων Ἑλλησποντίων, πρὸς οὓς μετῴκισε, προεδρευέτω, καὶ ὑπὸ τῶν οἰκείων Ἐπισκόπων χειροτονείσθω· ὡς οἱ ἐν Ἐφέσῳ ἐθέσπισαν.

Οὗτος ὁ τῆς τῶν Κυπρίων νήσου πρόεδρος Ἰωάννης, (αὕτη γάρ ἐστι καὶ νέα Ἰουστινιανούπολις) διὰ τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ Χριστιανικωτάτου κράτους ὑποταγῆναι, F μετανάστης τῆς Κύπρου γενόμενος, καὶ εἰς τὴν τῶν Ἑλλησποντίων μετοικίσας ἐπαρχίαν· ἐπετράπη τὸ δίκαιον ἔχειν Κωνσταντινουπόλεως ἐπὶ ταῖς Ἑλλησποντίαις ἐπισκοπαῖς, καὶ πάντων τῶν ἐν τῇ τοιαύτῃ ἐπαρχίᾳ Ἐπισκόπων προεδρεύειν αὐτὸν, καὶ ἰδιαιτάτην ἀρχὴν ἔχειν, καὶ ὑπὸ τῶν ἰδίων Ἐπισκόπων χειροτονεῖσθαι· καθὼς καὶ ἡ ἐν Ἐφέσῳ σύνοδος ὥρισεν. ἐπεὶ δὲ ἡ Κύπρος τῆς ἐθνικῆς ἐλευθερώθη χειρὸς, ἐπανῆλθον πάλιν αἱ καθ' Ἑλλήσποντον μητροπόλεις πρὸς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον.

pheſi olim convenerunt, prædicti viri throno privilegia conceſſa ſunt; ut nova Juſtinianopolis Conſtantinopolis jus habeat, &, qui in ea conſtituitur, in primis pius ac religioſiſſimus Epiſcopus, præſit omnibus Helleſpontiorum provinciæ Epiſcopis, & à ſuis Epiſcopis eligatur, ex antiqua conſuetudine. Mores enim, qui ſunt in unaquaque Eccleſia, divini etiam noſtri patres ſervandos cenſuerunt, Cyzicenorum civitatis Epiſcopo prædictæ Juſtinianopoleos Præſuli ſubjecto exiſtente, ad imitationem reliquorum omnium Epiſcoporum, qui ſubſunt prædicto Dei amantiſſimo præſuli Joanni, à quo, cùm uſus poſtulaverit, etiam ipſius Cyzicenorum civitatis Epiſcopus ordinabitur.

Bals. Ab viii. Canone iii. Syno. apparet, quòd ex ſupplicatione cujuſdam Cypriorum Epiſcopi, Rhegini dicti, ſtatutum eſt ipſam Cypri Eccleſiam eſſe principalem ac primam: & prohibitus eſt Antiochenus Epiſcopus facere in ea ordinationes. Preſens autem Canon editus ad poſtulationem alterius Archiepiſcopi Cypri, Joannis, confirmat quidem quæ Epheſi acta ſunt, nominans etiam Cypriorum Eccleſiam novam Juſtinianopolin. Statuit autem, illam quoque habere jura Conſtantinopolis, ſimiliter & Eccleſias provinciarum Helleſponti, & Eccleſiam Cyzici; & ipſorum Epiſcoporum ordinationes à Cypri Epiſcopo fieri. Hodie autem nulla ex his Eccleſiis Cypri Archiepiſcopatui ſubjicitur, ſed neque habet jura Conſtantinopolis. Quærendum ergo quomodo hoc fiat. Helleſpontus quidem eſt, qui ab Abydo ad Thraciam uſque extenduntur fines orientales.

Zonar. Cypri Epiſcopis, ejus inſulæ Epiſcopum quemque renuntiandi auctoritas, divinorum tertiæ Synodi patrum decreto adjudicata eſt, Antiochenus enim Cyprum ſub ſe habere, & Epiſcopos ibidem ordinare conatus eſt. Prærogativam igitur ſuam Cypri Eccleſiis inviolatam ſervare hic Canon jubet; novamque urbem, quæ Juſtinianopolis dicta, æquali cum urbe Conſtantinopolitana jure eſſe decernit. Et quemadmodum Conſtantinopolitanæ ſedi Aſiana provincia, Pontica, Thraciaque ſubjectæ, ſic Helleſpontica Juſtinianopolitanæ adjudicata, & in Epiſcopum Cyzicenum auctoritas (nam ipſa quoque Cyzicus in Helleſponto eſt) ejuſdémque renuntiandi facultas permiſſa. Hoc autem de Cyzico decretum utrum unquam in uſu fuit, haud facile dixerim, nunc quidem hoc decretum, quod ad Cyziceni electionem attinet, negligi conſtat. Sed neque in Helleſponti regiones urbéſque ulla hoc tempore Cypri Epiſcopo eſt poteſtas.

Arist. *Nova Juſtinianopolis Conſtantinopoleos jus obtineat, ejuſque præſul omnibus Helleſpontiorum Epiſcopis, ad quos emigravit, præſit, & à ſuis Epiſcopis ordinetur: uti patres Epheſini decreverunt.*

Hic qui Cypriorum præſidebat inſulæ Johannes (hæc namque eſt & nova Juſtinianopolis) propter Barbarorum incurſiones, & ut infidelium ſervitute eximeretur, planeque Chriſtianiſſimæ potentiæ ſceptris ſubjiceretur, inſulâ decedens, & ad Helleſpontiorum ſe recipiens provinciam, patrum indulgentiâ in Helleſpontiacis Epiſcopalibus jus Conſtantinopolitanum habere, omnibuſque in ea provincia Epiſcopis præſidere, & maximè propriam habere auctoritatem, & à ſuis Epiſcopis ordinari permiſſus eſt: quemadmodum & Synodus Epheſina decrevit. Poſtquam autem Cyprus gentilium manibus liberata fuit, quæ in Helleſponto erant Metropoles ad thronum Conſtantinopolitanum redierunt.

Canon XL.

Quoniam Deo hærere per ſeceſſum ex vitæ ſtrepitu, valde eſt ſalutare, oportet nos non ſine examinatione eos, qui vitam monaſticam eligunt, non intempeſtivè admittere: ſed nobis à patribus traditum decretum in eis quoque ſervare, ut vitæ ſecundùm Deum profeſſionem, ut jam firmam & à ſcientia ac judicio factam, tunc admittamus, poſt rationis complementum. Qui ergo monachicum jugum eſt ſubiturus, ne ſit minor quàm decem annos natus, ejus quoque rei examinatione in præſulis arbitrio ſita, an augeri tempus conducibilius exiſtimet ad introductionem & conſtitutionem in vita monaſtica. Etſi enim magnus etiam Baſilius, in ſacris ſuis Canonibus, eam, quæ ſe ſua ſponte Deo offert, & virginitatem amplectitur, ſi decimum ſeptimum annum compleverit, in virginum ordinem referendam eſſe ſtatuit: ſed tamen de viduis & Diaconiſſis exemplum ſecuti, in dictum tempus, analogia & proportione habita, eos, qui vitam monaſticam elegerunt, deduximus. In divino enim Apoſtolo ſcriptum eſt, lx. annorum viduam in Eccleſia eligendam: ſacri autem Canones quadraginta annorum Diaconiſſam ordinandam eſſe ſtatuerunt, cùm Eccleſiam Dei gratia potentiorem evaſiſſe & ulterius procedere vidiſſent, fideliúmque, ad divinorum mandatorum obſervationem, firmitatem ac ſtabilitatem. Quod quidem cùm nos quoque optimè intellexiſſemus, perfectè ſtatuimus benedictionem gratiæ, ei qui certamina ſecundùm Deum aggreſſurus eſt, veluti quoddam ſignaculum celeriter imprimentes, hinc eum ad non diu cunctandum & tergiverſandum inducentes, vel potiùs etiam ad boni electionem & conſtitutionem incitantes.

A

ΚΑΝΩΝ μ'.

Ἐπειδὴ τῷ θεῷ κολλᾶσθαι, διὰ τῆς ἐκ τῶν τοῦ βίου θορύβων ἀναχωρήσεως, λίαν ἐστὶ σωτήριον, χρὴ ἀνεξετάστως ἡμᾶς παρὰ τὸν καιρὸν τοὺς τὸν μονήρη βίον αἱρουμένους προσίεσθαι. ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν πατέρων καὶ ἐν αὐτοῖς φυλάττειν ὅρον, ὥστε τὴν ὁμολογίαν τοῦ κατὰ θεὸν βίου, τότε προσίεσθαι, ὡς ἤδη βεβαίαν καὶ ἀπὸ γνώσεως καὶ κρίσεως γινομένην, μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν. ἔστω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν, οὐκ ἥττων ἢ δεκαέτης, ἐν τῷ προέδρῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν B χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν. εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι, τὴν ἑκουσίως ἑαυτὴν προσάγουσαν τῷ θεῷ, καὶ τὴν παρθενίαν ἀσπαζομένην, τὸν ἑπτακαιδέκατον διανύουσαν χρόνον, τῷ τῶν παρθένων τάγματι ἐναριθμεῖσθαι νομοθετεῖ· ἀλλ' οὖν τῷ περὶ τῶν χηρῶν τε καὶ διακονισσῶν παραδείγματι κατακολουθήσαντες, εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μονήρη βίον ἑλομένους προεστήσαμεν· ἐν γὰρ τῷ θείῳ Ἀποστόλῳ γέγραπται, ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ ἐκκλησίᾳ καταλέγεσθαι χήραν· οἱ δὲ ἱεροὶ κανόνες τεσσαράκοντα ἐτῶν τὴν διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασιν, τὴν ἐκκλησίαν χάριτι θείᾳ κρα- C ταιοτέραν γινομένην, καὶ ἐπὶ τὸ πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῶν πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλές· ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες, ἀρτίως διωρισάμεθα τὴν εὐλογίαν τῆς χάριτος τῷ μέλλοντι τῶν κατὰ θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινὰ σφραγῖδα ταχέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ μὴ ἐπὶ πολὺ ὀκνεῖν καὶ ἀναδύεσθαι προβιβάζοντες· μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

Bals. Magnus quidem Baſilius in xviii. ſuo Canone eas, quæ poſt ſedecim annos ſe virginitatem ſuſcipere profitentur, admittit: ut quæ bonum à malo poſſint ſecernere ac eligere. Præſens autem Canon eum qui x. annos natus eſt, ſi monachus eſſe elegerit, non rejicit: ſed eum ad vitam monaſticam non aliter recipiendum decernit, quàm ſi ab Epiſcopo probatus fuerit. Adjicit autem ſe hæc ſtatuere, quoniam Eccleſia Dei gratia ad anteriora procedat, & ad divinorum mandatorum obſervationem firmior ac validior evadat. Uſus eſt autem ad eorum confirmationem etiam iis quæ de Diaconiſſis in iv. Synodo dicta ſunt, dicens: Quòd cùm ſanctus Paulus decreverit, quæ ſexaginta ſunt annorum, viduas in Diaconiſſarum ordinem poſſe referri, patres virginem xl. annos natam Diaconiſſam ordinari cenſuerunt: ut ex eo colligatur, patres nihil abſurdum decreviſſe, qui imperfectos tondendi tempus ab xviii. anno ad decimum redegerint. Eſt autem magna iis agenda gratia, quòd non quemcunque x. annos natum, nulla diligentiori perſcrutatione facta, tonderi permiſerint: ſed hoc Epiſcopi prudentiæ ac judicio reliquerint. Fortaſſe enim ejus examinatio, hunc quidem, qui decimum annum exceſſerit, ad tonſuram admittet: illum verò repellet. Atque hæc quidem ſunt, quæ in Canone continentur. Tu autem lege vi. Novellam Imperatoris domini Leonis philoſophi, quæ continet illum quidem, qui xvi. annum complevit vel xvii. abſque ullo impedimento poſſe tonderi, ut vult magnus Baſilius, atque etiam teſtari: eum autem, qui anno ætatis ſuæ decimo Monachus eſſe voluerit, poſſe quidem liberè hoc facere, ex ſententia hujus Canonis; de bonis autem, quæ habet, teſtamentum facere non poſſe, ſed expectare, donec xv. annum attigerit. Interea autem ſi mortuus fuerit, ejus quidem ſervi manumittentur, reliquæ autẽ facultates bifariàm dividentur; & duas quidem partes accipiet monaſterium, tertia verò pars cognatis dabitur. Quòd ſi defuncto non fuerint cognati, tertia quoque pars monaſterio accreſcet.

ΒΑΛΣ. Ὁ μὲν μέγας Βασίλειος ἐν τῷ ιη'. κανόνι αὐτοῦ D τὰς μετὰ τὰ δεκαὲξ ἔτη ὁμολογέσας παρθενίαν προσδέχεται· ὡς δυναμένας τὸ καλὸν ἀπὸ τοῦ φαύλου διακρίνειν καὶ ἐπιλέγεσθαι. ὁ δὲ παρὼν κανὼν τὸν δεκαετῆ μονάσαι αἱρετισάμενον οὐκ ἀποπέμπεται· πλὴν οὐκ ἄλλως τοῦτον εἰς τὸν μοναδικὸν βίον παραδέχεσθαι διορίζεται, εἰ μὴ κατὰ δοκιμασίαν τοῦ Ἐπισκόπου. προστίθησι δὲ ταῦτα νομοθετεῖν, διὰ τὸ τὴν ἐκκλησίαν χάριτι θεοῦ ἐπὶ τὸ πρόσω προβαίνειν, καὶ παγιωτέραν γίνεσθαι τὴν τῶν θείων ἐντολῶν συντήρησιν. ἐχρήσατο δὲ εἰς ἐπιστηριγμὸν τούτων καὶ τοῖς περὶ διακονισσῶν εἰρημένοις ἐν τῇ τετάρτῃ συνόδῳ· εἰπὼν, ὅτι τοῦ θείου Παύλου διαταξαμένου τὰς ἑξήκοντα ἐτῶν οὔσας χήρας τῷ τῶν διακονισσῶν καταλέγεσθαι τάγματι, οἱ E πατέρες τὴν παρθένον τὴν τεσσαρακονταετῆ χειροτονεῖσθαι διακόνισσαν ὥρισαν· ὡς ἐντεῦθεν συνάγεσθαι, μηδέν τι τοὺς πατέρας διορίσασθαι ἄτοπον, ὑποβιβάσαντας τὸν χρόνον τῆς ἀποκάρσεως τῶν ἀτελῶν καὶ ἀπὸ ιη'. εἰς ι'. αὐτὸν περιστήσαντας. εὐχαριστίας δὲ ἄξιοι μεγάλης εἰσίν, ὅτι οὐκ ἐξεχώρησαν παντὶ δεκαετεῖ ἀπολυπραγμονήτως ἀποκείρεσθαι, ἀλλὰ ἐπὶ τῇ διακρίσει τοῦ Ἐπισκόπου τὰ περὶ τούτου ἀνέθεντο. ἴσως γὰρ δοκιμασία αὐτοῦ τόνδε μὲν ὑπεραναβάντα τὸν δεκαετῆ χρόνον εἰς ἀπόκαρσιν παραδέξεται· τόνδε δὲ ἀποπέμψεται. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. σὺ δὲ ἀνάγνωθι τὴν ἕκτην νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διαλαμβάνουσαν, τὸν μὲν ἀνύσαντα F χρόνον ις'. ἢ ιζ'. ἀπαρεμποδίστως ἀποκείρεσθαι, κατὰ τὸν μέγαν Βασίλειον, καὶ διατίθεσθαι· τὸν βουλόμενον μονάσαι μετὰ τὸν ι'. ἐνιαυτὸν τῆς ἡλικίας αὐτοῦ, ἔχειν μὲν ἐπ' ἀδείας τοῦτο ποιεῖν κατὰ τὸν παρόντα κανόνα· διαθήκην δὲ χάριν τῶν προσόντων αὐτῷ μὴ ποιεῖν, ἀλλὰ περιμένειν μέχρις ἂν τοῦ πεντεκαιδεκάτου χρόνου ἅψηται. ἐν τῷ μέσῳ δὲ εἰ τελευτήσει, οἱ μὲν οἰκέται αὐτοῦ ἐλευθερωθήσονται, ἡ δὲ λοιπὴ τούτου περιουσία διαιρεθήσεται διχῇ, καὶ τὸ μὲν δίμοιρον τὸ μοναστήριον λήψεται, τὸ δὲ τρίτον τοῖς συγγενέσι τούτου δοθήσεται. μὴ ὄντων δὲ συγγενῶν τῷ τελευτήσαντι, καὶ τὸ τρίτον εἰς τὸ μοναστήριον προχωρήσει.

A

ΖΩΝΑΡ. Ὁ μὲν μέγας Βασίλειος ἐν τῷ ὀκτωκαιδεκάτῳ αὐτοῦ κανόνι μετὰ τὰ ἑξκαίδεκα ἢ καὶ ἑπτακαίδεκα ἔτη τὰς τῶν παρθένων ὁμολογίας ἐγκρίνεσθαι διατάττεται· τὰς δὲ πρὸ τῆς ἡλικίας ταύτης συγκαταθέσεις παιδικὰς ἡγεῖται φωνάς. ὁ δὲ τῆς συνόδου ταύτης κανὼν δεκαέτην φησὶν εἶναι δεῖν, τὸν μοναχικὸν ζυγὸν ὑπερχόμενον. καὶ μέμνηται μὲν τοῦ κανόνος τοῦ μεγάλου Βασιλείου, λέγει δὲ οἰκονομεῖν τοῦτο, ὡς τῆς ἐκκλησίας κραταιοτέρας γενομένης, καὶ τῆς πίστεως ἐπὶ πλέον στηριζομένης, καὶ τῶν πιστῶν πρὸς τήρησιν τῶν θείων ἐντολῶν μᾶλλον ἑδραιουμένων. κέχρηται δὲ εἰς παράδειγμα καὶ τῷ περὶ τῶν διακονισσῶν B κανόνι τῆς τετάρτης συνόδου, λέγων, ὅτι τοῦ θείου Παύλου ἑξήκοντα ἐτῶν τὰς χήρας καταλέγεσθαι διαταξαμένου, οἱ πατέρες τὴν παρθένον τεσσαράκοντα ἐτῶν οὖσαν χειροτονεῖσθαι διάκονον ὥρισαν διὰ τὴν αὐτὴν πάντως αἰτίαν, ὡς τῆς πίστεως βεβαιοτέρας γενομένης, καὶ τῶν ἀνθρώπων προθυμοτέρων πρὸς τὴν τῶν ἐντολῶν φυλακήν. πλὴν καὶ τὸ περὶ τοῦ χρόνου τῷ τῆς χώρας Ἐπισκόπῳ ἀνατίθησιν· ἵνα ἐκεῖνος σκοπῇ ἐφ' ἑκάστῳ τῶν τὸν μονήρη βίον αἱρουμένων, εἰ δέον αὐξηθῆναι αὐτῷ τὸν χρόνον, ἢ καὶ δεκαέτην δεχθῆναι.

ZONAR. Puellas ad virginitatis professionem non nisi sexdecim aut septemdecim annis majores, Basilius Magnus decimo octavo canone admitti jubet: si quæ vero ante id tempus promissiones intercesserint, non magis illis quam puerorum vocibus auscultandum arbitratur. Hic autem canon, qui decem modo annos natus sit, ad monasticæ disciplinæ exercitationes ac munia admittendum esse decernit. Et canonis quidem à Basilio editi meminit, sed quoniam hoc tempore & Ecclesiæ aliquid roboris, & fidei plus omnino firmitatis accesserit, sintque fidelium animi ad capessenda divinæ legis imperia paratiores, hoc dispensasse dicit. Simileque exemplum ex quarta Synodo de Diaconissis profert, dicens; Cùm viduam sexaginta annis natam eligi divus Paulus statuisset, eandem prorsus rationem secuti Patres, quod aucta fidei constantia, altiores divini quoque obsequii amor in humanis pectoribus radices egisset, quadragenariam virginem in album Diaconissarum referri licere decreverunt. In quo tamen rem totam, quod ad ætatem attinet, Episcopi arbitrio permittit; ut quicunque se monasticæ vitæ studio teneri ostenderit, num exacto decennio illico admittendum, an ætatis progressum aliquem expectandum putet, ipse dispiciat.

C

ΑΡΙΣΤ. Ὁ μονάζων μονάσει δεκαετής. εἰ γὰρ καὶ ὁ θεῖος Βασίλειος τὴν ἀποκειρομένην τὸν ἑπτακαιδέκατον ἀνύειν χρόνον ἀπέφηνεν· ἀλλ' ἐπεὶ τοῦ ἀποστόλου ἑξηκονταέτην οὖσαν τὴν ἐν ἐκκλησίᾳ χήραν ἐγγυῶντος, οἱ πατέρες τὴν διακόνισσαν ἔφησαν τεσσαρακονταέτην γίνεσθαι, κραταιοτέρας τῆς ἐκκλησίας γενομένης· καὶ ἡμεῖς ὀξυτέραν τὴν σφραγίδα τῷ μονάζοντι σημαινόμεθα.

ARIST. *Monachus decem annos natus vitam monasticam aget. Etiamsi enim Divus Basilius detonsam septemdecim annos transigere censuerit: At quoniam Apostolus viduam sexagenariam Ecclesiæ desponsam tradit, Patres Diaconissam quadragenariam ordinari dixerunt, Ecclesiâ firmiori redditâ; & nos quoque citius monacho sigillum imponimus.*

D

Ὁ μὲν ὀκτωκαιδέκατος κανὼν τοῦ μεγάλου Βασιλείου ὑπὲρ τὰ δεκαὲξ ἢ καὶ δεκαεπτὰ ἔτη λέγει ὀφείλειν εἶναι τὴν προσάγουσαν ἑαυτὴν τῷ κυρίῳ, καὶ ἀποταττομένην τῷ γάμῳ· ἵνα αἱ ὑποσχέσεις αὐτῆς βέβαιαι ὦσι, καὶ ἀθετοῦσα ταύτας ἀπαραιτήτως κολάζηται. τὰς γὰρ παιδικὰς φωνὰς οὐ προσήκει, φησί, κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι. ὁ δὲ παρὼν κανὼν τὸν μὴ ἥττονα τῶν δέκα ἐτῶν μονάσαι θέλοντα παραδέχεται, ἀνατιθεὶς τὴν ἐπὶ τῷ χρόνῳ δοκιμασίαν εἰς τὴν κρίσιν τοῦ ἡγουμένου, εἴπερ ἡγεῖται λυσιτελέστερον αὐξηθῆναι αὐτὸν πρὸς τὴν ἐν τῷ μονήρει βίῳ διαγωγὴν καὶ κατάστασιν. E ἐλαττοῖ δὲ τὸν χρόνον τὸν ὁρισθέντα παρὰ τοῦ μεγάλου Βασιλείου, διὰ τὸ τὴν ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν ὁρᾶν, καὶ ἐπὶ τὰ πρόσω προβαίνουσαν καὶ προκόπτουσαν, καὶ τοὺς πιστοὺς πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν ἀσφαλεστέρους καὶ παγιωτέρους δείκνυσθαι. καὶ γὰρ διὰ τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ κρεῖττον ἡ ἐκκλησία προέκοψεν, ἠλάττωσαν οἱ ἱεροὶ κανόνες καὶ τὸν χρόνον τῆς διακονίσσης, καὶ τεσσαράκοντα ἐτῶν χειροτονεῖσθαι ταύτην παραδεδώκασιν· εἰ καὶ ὁ ἀπόστολος ἑξήκοντα ἐτῶν τὴν ἐν τῇ ἐκκλησίᾳ μέλλουσαν καταλεγῆναι χήραν προστάττει.

Decimus quidem octavus Basilii magni canon eam, quæ se Domino offert & matrimonio renunciat, supra sexdecim vel etiam septemdecim esse annos debere dicit: ut promissa ejus firma fiant, eaque violans inexorabiles luat pœnas. Pueriles enim voces, inquit, in hisce ratas existimare non convenit. At præsens canon eum, qui non minor est quam decem annos natus, & monachum agere cupit, admittit, de tempore examinationem præsulis judicio committens, an augeri tempus conducibilius existimet ad introductionem & constitutionem in vitâ monasticâ. Tempus autem à Basilio magno definitum minuit canon, quia Ecclesiam gratiâ divinâ potentiorem esse, & ulteriùs procedere & provehi, & fideles ad divinorum mandatorum observationem firmiores & stabiliores videri deprehendissent patres. Ob eandem enim rationem, quoniam, viz. ad melius procedit Ecclesia, sacri Canones & Diaconissæ tempus imminuunt, eamque cum quadraginta sit annorum ordinari statuunt; etiamsi Apostolus ipse viduam quæ in Ecclesiâ est eligenda sexaginta esse annorum jubet.

F

A

Canon XLI.

Eos, qui in urbibus vel vicis in clauſuris volunt ſecedere, & ſibi ipſis ſeparatim ſeu in ſolitudine mentem adhibere, prius quidem in monaſterium ingredi oportet, & anachoreticam vivendi rationem exercere, & ſpatio triennii ei, qui manſioni præeſt, in Dei timore parere, & obedientiam in omnibus, ut æquum eſt, implere, & ita de ejus vitæ eligendæ inſtituto profitentes, & quòd eam ex toto corde ſua ſponte amplectuntur, ab ejus loci B *præſule examinari: deinde ſic alio anno extra clauſuram fortiter ſe gerere, ut ſcopus eorum evadat manifeſtior. Tunc enim plenè atque perfectè ſignificabunt, quòd non inanem gloriam captantes, ſed propter ipſum revera pulchrum ac honeſtum, hanc ſolitudinem perſequuntur. Poſt tanti autem temporis complementum, ſi in eodem eligendæ vitæ inſtituto permaneant, includi ipſos, & eis non amplius licere, quando etiam voluerint, ex tali manſione egredi, niſi propter communem utilitatem, vel aliam neceſſitatem ad mortem urgentem, ad id trahantur, & ita cum benedictione loci illius Epiſcopi. Qui autem ſine his jam dictis cauſis ex* C *ſuis habitaculis exire aggrediuntur, primò quidem vel invitos dictâ clauſurâ coerceri, deinde jejuniis & aliis afflictionibus ipſos curare, ſcientes, quemadmodum ſcriptum eſt, quòd Nemo, qui manum aratro immiſit, & retro converſus eſt, eſt aptus regno cælorum.*

Bals. Magna quædam res eſt, & inceptum valde audax, ſeparatim & in ſolitudine quieſcere ac ſilentium agere; ſeipſúmque in exigua domuncula, tanquam toto vitæ ſuæ tempore mortuum, includere. Et propterea à patribus conſtitutum eſt, ne quiſpiam ubilibet & quomodocunque abſque diligenti inveſtigatione includatur: D ſed ut is quidem, qui hoc facere voluerit, priùs triennio, ei qui monaſterio præeſt, ſubjectum & morigerum ſe præbeat, & ex prioribus plenè declaret, quænam futura ſit in poſterum ejus vitæ ratio, cum probatione ac examinatione regionis illius Epiſcopi. Deinde extra clauſuram uno adhuc anno ſe fortiter gerat. Quòd ſi ne ſic quidem viſus fuerit, is qui includi petit, propter mores improbos hoc facere, ſed propter ipſum honeſtum & animæ ſalutis deſiderium, is ab Epiſcopo includatur, ut ex clauſura amplius non exeat; præterquam propter communem utilitatem, vel propter mortis periculum: ad hæc, ut nec is aliter ſit exiturus, quàm cum Epiſco- E pali permiſſione. Si autem aliter, & non propter dictas cauſas exierit, primum quidem vel invitus includatur, ubi priùs erat: deinde & commiſſum ab eo delictum ſupplicio curetur. Neque enim is eſt, inquiunt, à Deo recipiendus, qui ſe bonum aliquod & ſalutare facturum profeſſus, ſuorum poſtea promiſſorum pœnitentiam agit. Nota ergo ejus, qui eſt includendus, quatuor annorum probationem. In externis enim regionibus è veſtigio includitur qui vult includi, abſque Epiſcopali permiſſione & conſuetis canticis. Nota ſimiliter, quòd ſine Epiſcopali permiſſione non licet ei, qui incluſus eſt, F ex clauſurâ ſuâ egredi, etiamſi ſit cauſa juſtiſſima, quæ ei exeundum eſſe ſuadeat. Eos autem, qui non ſic egrediuntur, etiam invitos ab Epiſcopo rurſus includi. Et hæc quidem decernit canon. Primum autem caput cxxxiii. Novellæ, quæ ſita eſt in libro iiii. Baſilic. capite xiiii. hæc dicit; Statuimus neminem omnino propriam habere habitationem, neq; eam quæ dicitur cellula, niſi quis velit ſolus, & uno vel duobus fortaſſe utens adminiſtris, vitam in contemplatione & ſilentio tranſigere: ſed ſi plures omnino ſint viri, unam eſſe eandémque congreſſionem, & orantium, & naturæ opera facientium,

ΚΑΝΩΝ μα'.

Τοὺς ἐν πόλεσιν ἢ χωρίοις ἐν ἐγκλείστραις βουλομένους ἀναχωρεῖν, καὶ ἑαυτοῖς καταμόνας προσέχειν, πρότερον ἐν μοναστηρίῳ εἰσιέναι δεῖ, καὶ τὴν ἀναχωρητικὴν παιδοτριβεῖσθαι διαγωγὴν, καὶ ἐπὶ τριετῆ χρόνον τῷ τῆς μονῆς ἐξάρχοντι ἐν φόβῳ Θεοῦ ὑποτάττεσθαι, καὶ τὴν κατὰ πάντα, ὡς προσήκει, ὑπακοὴν ἐκπληροῦν, καὶ οὕτως ὁμολογοῦντας περὶ τῆς ἐν τῷ τοιούτῳ βίῳ προαιρέσεως, καὶ ὡς ἐξ ὅλης καρδίας ἑκουσίως τοῦτον ἀσπάζονται, ὑπὸ τοῦ κατὰ τὸν τόπον δοκιμάζεσθαι προέδρου· εἶθ' οὕτως ἐφ' ἕτερον ἐνιαυτὸν ἔξωθεν προσκαρτερεῖν τῆς ἐγκλείστρας, ὡς ἂν ὁ σκοπὸς αὐτῶν πλειόνως φανερωθῇ. τηνικαῦτα γὰρ πληροφορίαν παρέξουσιν, ὡς οὐ κενὴν θηρώμενοι δόξαν, ἀλλὰ δι' αὐτὸ τὸ ὄντως καλὸν τὴν ἡσυχίαν ταύτην διώκουσι. μετὰ δὲ τὴν τοσούτου χρόνου συμπλήρωσιν, εἰ τῇ αὐτῇ προαιρέσει ἐμμένοιεν, ἐγκλεισθῆναι αὐτοὺς, καὶ μηκέτι τούτοις ἐξεῖναι, ὅτε βούλονται, τῆς τοιαύτης καταμονῆς ἀφίστασθαι ἐκτὸς, εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν, ἢ ἑτέραν ἀνάγκην πρὸς θάνατον αὐτοὺς βιαζομένην, πρὸς τοῦτο ἕλκοιντο, καὶ οὕτω μετ' εὐλογίας τοῦ κατὰ τὸν τόπον Ἐπισκόπου. τῶν δὲ εἰρημένων προφάσεων δίχα ἐγχειροῦντας ἐκ τῶν καταγωγίων αὐτῶν ἐξιέναι, πρωτοτύπως μὲν ἄκοντας αὐτοὺς καθειργνύειν ἐν τῇ εἰρημένῃ ἐγκλείστρᾳ, ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις αὐτοὺς θεραπεύειν, εἰδότας, κατὰ τὸ γεγραμμένον, ὡς οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

ΒΑΛΣ. Μέγα τι καὶ τολμηρὸν, καταμόνας ἡσυχάσαι τινὰ, καὶ ἐν βραχυτάτῳ οἰκίσκῳ ἐγκλεῖσαι ἑαυτὸν ὡς τεθνεῶτα παρ' ὅλον τὸν τῆς οἰκείας ζωῆς χρόνον. καὶ διὰ τοῦτο νενομοθέτηται παρὰ τῶν πατέρων, μὴ ἀπολυπραγμονήτως ἐγκλείεσθαι τινὰ ὁπουδήποτε· ἀλλὰ τὸν βουλόμενον τοῦτο ποιῆσαι, πρότερον ἐπὶ τριετίᾳ παρὰ καθηγουμένῳ ὑποτάττεσθαι· καὶ διδόναι πληροφορίαν ἐκ τῶν προτέρων τῆς εἰς τὸ μέλλον διαγωγῆς αὐτοῦ, μετὰ δοκιμασίας τοῦ κατὰ χώραν Ἐπισκόπου. εἶτα προσκαρτερεῖν ἔξωθεν τῆς ἐγκλείστρας καὶ ἐφ' ἕτερον ἐνιαυτόν. καὶ εἰ μηδὲ οὕτως ἀναφανῇ ὁ τὸ ἐγκλεῖσθαι ζητῶν, διὰ φαῦλον τρόπον τοῦτο ποιῶν, ἀλλὰ δι' αὐτὸ τὸ καλὸν καὶ δι' ἔφεσιν ψυχικῆς σωτηρίας, ἐγκλείεσθαι τοῦτον διὰ τοῦ Ἐπισκόπου, ἐφ' ᾧ μηκέτι ἐξελθεῖν τῆς ἐγκλείστρας ἐκτὸς, εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν ἢ διὰ κίνδυνον θανάτου· καὶ ταύτην δὲ τὴν ἐξέλευσιν μὴ ἄλλως γίνεσθαι, εἰ μὴ μετὰ προτροπῆς ἐπισκοπικῆς. εἰ δὲ ἄλλως, καὶ μὴ διὰ τὰς εἰρημένας αἰτίας ἐξέλθῃ, πρῶτον μὲν, καὶ ἄκοντα ἐγκλείεσθαι ἔνθα καὶ πρότερον ἦν· εἶτα καὶ δι' ἐπιτιμίων τὸ γεγονὸς παρὰ τούτου ὀλίσθημα θεραπεύειν. ἀνένδεκτος γάρ φασιν ἐστὶ τῷ Θεῷ ὁ ἐπαγγελλάμενος τὶ ἀγαθὸν καὶ σωτηριῶδες ποιῆσαι, καὶ τῶν οἰκείων ὑποσχέσεων ὄπισθεν ἐκ μεταμελείας γεγονώς. σημείωσαι οὖν τὴν τετραετίαν δοκιμασίαν τοῦ μέλλοντος ἐγκλεισθῆναι. εἰς τὰς ἔξω γὰρ χώρας ἅμ' ἔπος ἅμ' ἔργον ἐγκλείεται ὁ βουλόμενος, δίχα ἐπισκοπικῆς ἐπιτροπῆς καὶ τῶν συνήθων ψαλτῳδημάτων. ὡσαύτως σημείωσαι, ὅτι χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς οὐκ ἔξεστιν ἐγκλείστῳ ἐξιέναι ἀπὸ τοῦ ἐγκλειστηρίου, κἂν εὐλογωτάτη ἐστὶν αἰτία, παρακαλοῦσα τὴν τούτου ἐξέλευσιν. τοὺς δὲ μὴ οὕτως ἐξερχομένους, καὶ ἄκοντας ἐγκλείεσθαι πάλιν παρὰ τοῦ Ἐπισκόπου. καὶ ὁ μὲν κανὼν ταῦτα διορίζεται. τὸ δὲ α'. κεφ. τῆς ρλγ'. νεαρᾶς τῆς κειμένης ἐν βιβλίῳ τῶν βασιλικῶν δ'. κεφ. ιδ'. φησὶ ταῦτα· θεσπίζομεν μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν, μηδὲ τὸ καλούμενον κελλίον, εἰ μή τις βούλοιτο μόνος ὢν καὶ ἑνὶ τυχὸν ἢ δύο χρώμενος ὑπουργοῖς, κατὰ τὸν ἐν θεωρίᾳ τε καὶ ἡσυχίᾳ διαζῆν βίον· ἀλλ' ὅλως ὄντων πλειόνων ἀνδρῶν, μίαν εἶναι καὶ τὴν αὐτὴν συνέλευσιν, καὶ εὐχομένων, καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων, ὁπόσα ἄμεμπτά τε καὶ ἀδιάβλητα καθέστηκε· καὶ κοινῇ μὲν, ὡς εἴρηται, σιτεῖσθαι, κοινῇ δὲ καθεύδειν, καὶ εἰ μὲν τοσοῦτον εἴη τὸ πλῆθος, ὅσον εἰς ἕνα οἶκον χωρεῖσθαι, ἐπείτοιγε τυχὸν δύο ἢ τρεῖς οἴκους εἶναι τοὺς δεχομένους αὐτοὺς, μηδένα μέντοι παντελῶς ἴδιον ἔχειν μηδὲν, ἀλλ' ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθ' ἡμέραν, ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐτὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν. οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεὶ, ἀλλὰ πρόδηλον, ὡς οἱ μὲν ἐν τῷ καθεύδειν εἰσὶν, οἱ δὲ ἐγρηγόρασι· καὶ πάντως ἔσονται τινὲς τοὺς καθεύδοντας ἐποπτεύοντες. εἰ δέ τινα οἰκήματά ἐστιν ἐν οἱῳδήποτε μοναστηρίῳ τῶν ὑπὸ τὸν οἰκουμενικὸν πατριάρχην ταύτης τῆς μεγαλοπόλεως, ἢ τῶν ὑπὸ τὴν σὴν ὄντων ἁγιωσύνην, εἴτε ἐπὶ τῆς αὐτῆς ὑπαροικίδος, εἴτε παρ' ἡμῶν αὐτῶν ᾠκοδομημένων, ἢ παρ' ἑτέρων· ταῦτα πάντα καθαιρήσεις τρόποις ἅπασιν, ἀνοίξεις τε αὐτοῖς τὴν ἀλλήλων θέαν, καὶ ὄψονται πάντα τὰ παρ' ἀλλήλων πραττόμενα. τί γὰρ δὴ καὶ εὐλαβηθήσονται τοῦτο πράττειν, ἅπαξ ἑαυτοὺς ἀναθέντες τῷ θεῷ, καὶ ἀπειπόντες πρὸς πᾶσαν δημώδη δίαιταν; καὶ τοῦτο μὲν ταύτῃ κρατεῖν νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον βουλόμεθα, οὐδενὸς, ὡς εἴρηται, ἔχοντος οἴκησιν ἰδίαν, ἀλλὰ συναθροιζομένων ἁπάντων καὶ θεωμένων τὰ παρ' ἀλλήλων πραττόμενα. πρόδηλον γὰρ, ὅτι τὰ τοιαῦτα σπεύδουσιν αὐτὰ καθεστάναι, οἷα παντελῶς ἀνεπίληπτα μένει. εἰ δέ τις ὀφθείη τοσοῦτον ἀναιδὴς, ὥστε τολμᾷν ἐπιχειρεῖν παραβαίνειν τι τῶν νενομοθετημένων, ὁ τῆς μονῆς ἡγούμενος ταῦτα ἐξεταζέτω. βουλόμεθα γὰρ τὴν νῦν σφοδροτέραν γενέσθαι παρατήρησιν. λέγουσιν οὖν τινὲς ἐναντιοῦσθαι τῷ κανόνι τὴν νεαράν. ἐμοὶ δὲ δοκεῖ, τὸν μὲν κανόνα διὰ τὴν ἔγκλειστραν ἐκφωνηθῆναι, τὴν δὲ νεαρὰν διὰ τοὺς ἔχοντας κελλία εἰς κοινόβια μοναστηρίων. καὶ ἔστι μεγάλη διαφορὰ ἀμφοτέρων τῶν νομοθεσιῶν· καὶ κατὰ τοῦτο οὐδὲ ἐναντιοῦνται τὰ ὁρισθέντα. σήμερον δὲ εἰς μὲν τὰ γυναικεῖα μοναστήρια ἐνεργοῦσι τὰ τῆς νεαρᾶς· εἰς δὲ τὰ ἀνδρῷα οὐδαμοῦ.

A quæcunque à vituperatione ac reprehensione aliena sunt; & communiter quidem, ut dictum est, comesse, communiter autem dormire, & si sit tanta multitudo, quantam una domus comprehendat, etsi duæ sunt fortasse vel tres domus quæ eos suscipiunt, nullus tamen quidquam omnino proprium habeat, sed in communi noctu & diu vivat, ut noctes eandem illis habeant observationem, quam dies. Non enim omnes semper dormiunt; sed clarum est, quòd alii quidem dormiunt, alii verò vigilant: & erunt semper aliqui, qui dormientes observent. Si sint autem aliqua domicilia in quovis monasterio eorum, quæ sunt sub universali Patri- B archa hujus magnæ civitatis, vel quæ sunt sub tua sanctitate, seu in eodem circumcirca incolatu, sive quæ sunt à nobis ædificata sive ab aliis: ea omnia omnino dirues, & eis aperies sui invicem spectaculum, & videbunt omnia quæ à se invicem fiunt. Cur enim hoc facere cavebunt, cùm se Deo semel dicarint, & omnem popularem vivendi rationem valere jusserint? Et hoc quidem servari volo, & nunc & in omne deinceps tempus, nullo, ut dictum est, habente propriam habitationem, sed congregatis omnibus & ea quæ à se invicem fiunt spectantibus. Clarum est enim, quòd ea studebunt esse ejusmodi, ut ab omni penitus reprehensione aliena maneant. C Si quis autem usque adeò impudens visus fuerit, ut eorum, quæ lege cauta sunt, transgredi aliquid conari audeat, qui illi præest mansioni hoc examinet. Volumus enim nunc acriorem fieri observationem. Dicunt itaque nonnulli novellam canoni adversari. Mihi autem videtur quidem canon loqui de anachoretarum inclusionibus, Novella autem esse edita propter eos, qui in monasteriorum cœnobiis habent cellas. Et est magna utrarumque legum differentia: & ideo, hac ratione non repugnant quæ iis constituta sunt. Hodie autem in mulierum quidem Monasteriis locum habent quæ Novella cauta sunt; in virorum autem D minimè.

ΖΩΝΑΡ. Σφαλερὸν ἡγήσαντο οἱ θεῖοι πατέρες, τὸ ἐκ κοσμικῆς διαγωγῆς τινας εἰς ἀναχωρητικὸν καθίστασθαι βίον, καὶ ἑαυτοὺς ἐγκλείειν βραχέσιν οἰκίσκοις, καὶ αὐτοὺς ἑαυτοῖς εἶναι καθηγητάς. διὸ τοὺς βουλομένους τοιοῦτόν τι, πρότερον εἰς ἀσκητήριον εἰσιέναι κελεύουσι, καὶ ἐπὶ τριετίαν ἐν ὑποταγῇ γίνεσθαι, οὕτω τε παιδοτριβεῖσθαι τὴν ἀναχωρητικὴν διαγωγὴν, καὶ δουλεύσαντας ἐν ὑπακοῇ ὁμολογεῖν, ὅτι ὁλοψύχως αἱροῦνται τὴν ἀναχώρησιν· καὶ παρὰ τοῦ κατὰ χώραν ἀρχιερέως αὐτοὺς δοκιμάζεσθαι, καὶ πάλιν ἐπὶ ἐνιαυτὸν ἕτερον προσμένειν τῆς ἐγκλείστρας ἐκτὸς, ἵνα μᾶλλον τὸ ἀμετάθετον φανείη τῆς γνώμης αὐτῶν, οὕτω τε πληροφορήσαντες ὡς οὐ δόξης ἔρωτι ἀνθρωπίνης, ἀλλὰ δι' ἀρετῆς ἐργασίαν τὴν ἡσυχίαν ζητοῦσιν, ἐγκλεισθήσονται, οὐκέτι ἐξελευσόμενοι τοῦ οἰκίσκου, εἰ μή που βιασθεῖεν ὑπ' ἀνάγκης τινὸς ὁρώσης ἢ πρὸς κοινὴν ὠφέλειαν ἴσως τῆς χώρας ἐν ᾗ διάγουσιν, ἢ διὰ κίνδυνον ἴσως θάνατον ἀπειλοῦντα. καὶ οὕτως δὲ μετὰ γνώμης καὶ εὐλογίας τοῦ Ἐπισκόπου ἐξελεύσονται. εἰ δὲ ἄλλως καὶ μὴ διὰ τὰς εἰρημένας αἰτίας ἐξέλθωσι, πρῶτον μὲν καὶ ἄκοντας αὐτοὺς ἐγκλείεσθαι ἔνθα καὶ πρότερον, οἱ πατέρες ὥρισαν· εἶτα καὶ ἐπιτιμίοις αὐτοὺς ὑποβάλλεσθαι. ἵνα νηστείαις καὶ σκληραγωγίαις ἑαυτοὺς θεραπεύσωσιν, ἤγουν τὸ τῆς ἑαυτῶν γνώμης εὐμετάβολον.

Zonar. Qui se ex communi vitæ consuetudine ad anachoreticum institutum subitò transferunt, cellulæque angustiis inclusi facti sibi duces vivendi, degunt, periculoso se negotio haud dubie committere divini Patres existimavere. Quos igitur aliquid ejusmodi animo agitare contingat, asceterium prius ingredi, ibique se tribus annis majorum imperiis obsequentes præbere jubent, ut eo pacto anachoreticæ disciplinæ præceptis imbuti, ac in exercitatione parendi multum diuque versati, re- E motum illud ab hominum societate vitæ genus ex animo se amplecti velle demonstrent. Tum mentem eorum ipse quoq; loci Antistes exploret, uniusque anni præterea spatium, probandæ magis constantiæ, extra cellæ septa exigat. Hinc ubi se non laudis humanæ studio, sed virtutis exercendæ desiderio solitudinem adamasse fidem fecerint, ita demum includi volunt, ut omnem sibi penitus ex statiuncula sua amplius egrediendi potestatem ereptam esse intelligant: Nisi si forte necessaria causa, vel aliquid in publica totius regionis, ubi degunt, commoda futurum procurandi, vel periculum, ex quo mors fortasse impendeat, declinandi, exire compellat. Et sic F porro, Episcopo annuente, ipsisque benedicente, egrediantur. Qui verò nulla ejusmodi causa intercedente egressi fuerint, primò vel invitos ad suas clausuras rejici, deinde pœnis quoque in eos animadverti patres jubent: ut jejuniis severioreque disciplinæ ratione exerciti, ea veluti medicina, animum levitatis inconstantiæque morbis liberare nitantur.

A **Arist.** *Qui clauſuram ingreſſurus eſt, triennium in monaſterio prius agat, & priuſquam includatur alium annum tranſigat, & ſic ingrediatur. Et ne egrediatur, niſi mors aut communis utilitas cogat.*

Eum qui clauſuram ingredi & ſibi ſoli attendere cupit, oportet primo in monaſterium ſecedere, & per triennii ſpatium ei, qui manſioni præeſt, in Dei timore ſubjici; & ſic à loci illius Epiſcopo propoſitum ejus examinari, an ſuâ ſponte & ex toto animo talem vitam amplectatur. Et ſi adhuc confiteatur eodem modo ſe eam deſiderare, alio etiam anno extra clauſtrum patienter B maneat, ut planius demonſtret ſe non ob vanam gloriam, ſed ob ipſum bonum, ſolitudinem perſequi; poſt tempus autem illud elapſum ſi in eâdem ſententiâ permanens inveniatur: tunc includatur, & amplius illinc non exeat, niſi forte communis utilitas proponatur, aut alia neceſſitas mortem ei minata: tunc enim cum Epiſcopi, qui loco præeſt, benedictione egredietur. Sine dictis autem cauſis ſi egrediatur, primo quidem etiam invitus includetur, deinde autem jejuniis & aliis tractationibus duris ſubjicietur, & per eas puſillanimitatis ſuæ medelam inveniet, ſciens, juxta quod ſcriptum eſt, quod nemo, qui manum ſuam aratro immiſit, & retro converſus eſt, C aptus eſt Cœlorum regno.

Canon XLII.

Eos qui dicuntur Eremitæ, qui quidem nigris veſtibus induti & capite comati urbes obeunt, & cum viris laicis ac mulieribus verſantur, & propriæ profeſſioni faciunt injuriam, ſtatuimus, ſi elegerint quidem tonſis comis reliquorum monachorum amictum ſuſcipere, eos in monaſterio conſtitui, & inter fratres referri. Quòd ſi hoc non elegerint, eos omnino ex urbibus expelli, D *& eremos habitare; ex quibus ſibi etiam denominationes confinxere.*

Bals. Complures populi ſeductores, urbes obeuntes, induuntur nigris veſtibus, & ſunt intonſis capillis, jejunium ac ſquallorem præ ſe ferentes, & ſimpliciores decipientes, ac monachalem profeſſionem injuria afficientes. Ac nonnulli quidem eorum, unà cum viris laicis mulieribúſque verſantes, & in triviis dæmoniacis doctrinis circumſtrepentes, pro populo utique precantur, & pœnitentiam prædicant. Alii verò dicunt ſe E Dei juſſu ex ſolitudine in civitates veniſſe, ut futura quædam prædicant: & ſimplicioribus bona quædam impudenter pollicentur, lucri & mercimonii gratia. Hæc ergo Synodus ſtatuit, ut eis comæ tondeantur, & in monaſteria introducantur, ut monaſticam in eis vitam agant. Sin autem hoc nolint, ut ex urbibus expellantur, quò in Eremis eam vivendi rationem perſequantur, quam ſibi, non ex veritate, ſed ex fallacia & morum improbitate, confinxere. Neque enim in Eremo propter animæ ſalutem habitaviſſent, ſi hanc reipſa neceſſariò tenuiſſent, ad urbes accedere non conceſſi.

Zonar. Antiquum hoc malum eſt, in hominum F pectoribus ab ipſo malorum omnium auctore & parente diſſeminatum. Olim quoque igitur non defuere, qui nigro amictu, comáque nequaquam detonſa, ſed in cincinnos plexa & intorta, in pectus humeróſque defluente, ita demum urbes pervolitarent, & cum Laicis viris pariter ac fœminis, non ſine injuria monaſticæ profeſſionis ac inſtituti, aſſiduè verſarentur. Eos igitur homines detonſa coma in monaſteria deduci, ibique cum monachis degentes eadem vitæ munia obire: quòd ſi hoc non volunt, omnino ex urbibus extrudi, ac in Ere-

ΑΡΙΣΤ. Ὁ ἐγκλεισθησόμενος, τριετίαν προδιάγων ἐν τῷ μοναστηρίῳ, καὶ πρὸ τῆς ἐγκλείστρας ἕτερον ἐνιαυτὸν μετιὼν, οὕτως εἰσίτω· καὶ μὴ ἐξίτω, εἰ μὴ βιάζοι θάνατος, ἢ πρὸς τὸ κοινὸν λυσιτέλεια.

Τὸν εἰς ἐγκλείστραν βουλόμενον εἰσιέναι, καὶ ἑαυτῷ μόνῳ προσέχειν, δεῖ πρότερον ἐν μοναστηρίῳ εἰσελθεῖν, καὶ ἐπὶ τριετῆ χρόνον ὑποταγῆναι τῷ τῆς μονῆς προεστῶτι ἐν φόβῳ θεοῦ, καὶ οὕτως ὑπὸ τοῦ κατὰ χώραν Ἐπισκόπου τὴν προαίρεσιν αὐτοῦ δοκιμασθῆναι, εἰ ἑκουσίως καὶ ἐξ ὅλης τῆς καρδίας τὸν τοιοῦτον βίον ἀσπάζηται. καὶ εἰ ἐπιμένει ὁμολογῶν τοιουτοτρόπως ἐπιποθεῖν αὐτὸν, καὶ ἐφ' ἕτερον ἐνιαυτὸν προσκαρτερεῖν ἔξωθεν τῆς ἐγκλείστρας, ὡσὰν περισσοτέραν παρέξει πληροφορίαν, ὡς οὐ διὰ ματαίαν δόξαν τὴν ἡσυχίαν μεταδιώκει, ἀλλὰ δι' αὐτὸ τὸ καλόν· μετὰ δὲ τὴν τοῦ τοσούτου χρόνου παραδρομὴν εἰ ἐπὶ τῆς αὐτῆς εὑρίσκεται γνώμης ἱστάμενος, ἐγκεκλεῖσθαι αὐτὸν, καὶ μηκέτι ἐκεῖθεν ἐξέρχεσθαι, εἰ μήπου κοινὴ ὠφέλεια πρόκειται, ἢ ἑτέρα ἀνάγκη, θάνατον ἐπαπειλοῦσα αὐτῷ· τηνικαῦτα γὰρ, μετ' εὐλογίας τοῦ κατὰ χώραν Ἐπισκόπου ἐξελεύσεται. ἄνευ δὲ τῶν εἰρημένων προφάσεων εἰ ἐξέλθῃ, πρῶτα μὲν ἄκων ἐγκλεισθήσεται, ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις ὑποπέσῃ, καὶ δι' αὐτῶν τῆς μικροψυχίας αὐτοῦ θεραπείαν εὑρήσει, γινώσκων, κατὰ τὸ γεγραμμένον, ὡς οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

ΚΑΝΩΝ μβʹ.

Τοὺς λεγομένους ἐρημίτας, οἵ τινες μελανειμονοῦντες καὶ τὰς κεφαλὰς κομῶντες περιάγουσι τὰς πόλεις, μεταξὺ ἀνδρῶν λαϊκῶν καὶ γυναικῶν ἀναστρεφόμενοι, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντες, ὁρίζομεν, εἰ μὲν αἱροῦνται τὰς κόμας ἀποκειράμενοι τὸ τῶν λοιπῶν μοναχῶν ἀναδέξασθαι σχῆμα, τούτους ἐν μοναστηρίῳ ἐγκαθίστασθαι, καὶ τοῖς ἀδελφοῖς ἐγκαταλέγεσθαι· εἰ δὲ μὴ τοῦτο προέλοιντο, παντάπασιν αὐτοὺς τῶν πόλεων ἀπελαύνεσθαι, καὶ τὰς ἐρήμους οἰκεῖν, ἐξ ὧν καὶ τὰς ἐπωνυμίας ἑαυτοῖς ἀνεπλάσαντο.

ΒΑΛΣ. Πολλοὶ λαοπλάνοι τὰς πόλεις περιέρχονται μελανειμονοῦντες καὶ ἀκειρόκομοι, νηστείαν καὶ ἀλουσίαν ὑποκρινόμενοι, καὶ ἀπατῶντες τοὺς ἁπλουστέρους, καὶ τὸ μοναχικὸν ἐπάγγελμα καθυβρίζοντες. καὶ οἱ μὲν ἐξ αὐτῶν μετὰ λαϊκῶν ἀνδρῶν καὶ γυναικῶν συνδιάγοντες, καὶ τὰς τριόδους δαιμονιώδεσι διδάγμασι καταβομβοῦντες, εὔχονται δῆθεν ὑπὲρ τοῦ λαοῦ, καὶ μετάνοιαν κηρύττουσιν. οἱ δὲ λέγουσι καθ' ὁρισμὸν θεοῦ ἐξ ἐρήμου εἰς τὰς πόλεις ἐλθεῖν, ἐφ' ᾧ προμηνύσαι τινὰ μέλλοντα· καὶ ἀναιδῶς ἀγαθά τινα τοῖς ἁπλουστέροις ἐπαγγέλλονται, χάριν κέρδους καὶ ἐμπορίας. τούτων οὖν ἡ σύνοδος αὕτη διορίζεται τὰς κόμας κείρεσθαι, καὶ ἐν μοναστηρίοις εἰσάγεσθαι, ὥστε τὸν μονήρη βίον διάγειν ἐν αὐτοῖς. εἰ δ' οὐ βούλονται τοῦτο, ἐκδιώκειν αὐτοὺς ἐκ τῶν πόλεων, ὡς ἂν ἐν ἐρήμοις διάγωσι· καὶ ἣν ἑαυτοῖς ἀνεπλάσαντο διαγωγὴν, οὐκ ἐξ ἀληθείας, ἀλλ' ἀπὸ πλάνης καὶ τρόπου σκαιοῦ. οὐδὲ γὰρ ᾤκησαν τὴν ἔρημον διὰ σωτηρίαν ψυχῆς, εἰ ταύτην πραγματικῶς ἐξ ἀνάγκης ἔχωσι, μὴ παραχωρούμενοι ἐν πόλεσι παραβάλλειν.

ΖΩΝΑΡ. Παλαιὰ ἡ κακία, ἀεὶ ταύτην ταῖς τῶν ἀνθρώπων καρδίαις τοῦ ἀρχεκάκου ἐνσπείροντος. ἦσαν γὰρ καὶ πάλαι τινὲς, οἳ μέλανα περιβλήματα ἐνεδύοντο, καὶ τὰς κόμας οὐκ ἔκειρον, ἀλλ' εἴων εἰς βοστρύχους αὐτὰς καθισταμένας τοῖς στέρνοις αὐτῶν καὶ τοῖς ὤμοις περικεῖσθαι, καὶ οὕτω τὰς πόλεις περιέτρεχον, καὶ λαϊκοῖς ἀνδράσι συνῆσαν καὶ γυναιξὶ, τὸ μοναχικὸν ἐπάγγελμα καθυβρίζοντες. τούτοις ἡ σύνοδος αὕτη προστάσσει τὰς κόμας κείρεσθαι, καὶ ἐν μοναστηρίοις εἰσάγεσθαι, ὥστε μοναχοῖς συνοικεῖν τε καὶ συνασκεῖν· εἰ δὲ οὐ βούλονται τοῦτο, παντελῶς τῶν πόλεων ἀπελαύνεσθαι.

λαύνεσθαι, ἵνα ἐν ἐρήμοις διάγωσιν, ἐξ ὧν τὴν ἐπωνυμίαν τὸ ἐρημῖται καλεῖσθαι ἑαυτοῖς ἀνεπλάσαντο. οὐ γὰρ ἐξ αὐτοῦ τοῦ πράγματος ἐσχήκασι τὴν ἐπωνυμίαν, ἀλλὰ ψευδῶς ταύτην ἑαυτοῖς ἐπωνόμασαν, καὶ πλάσμα αὐτοῖς τὸ σχῆμά τε καὶ τὸ ὄνομα.

ΑΡΙΣΤ. Μελανείμων, καὶ ἀκερσεκόμης ἐρημίτης, εἰ μὴ κειρόμενος ἐγκαταλέγοιτο τῷ μοναστηρίῳ, τῆς πόλεως ἀπελαυνέσθω.

Οἱ τὰς πόλεις περιτρέχοντες, ὡς δῆθεν ἐρημῖται, καὶ τὰς κεφαλὰς κομῶντες, καὶ μελανειμονοῦντες, ἢ εἰς μοναστήριον εἰσερχέσθωσαν, τὰς τρίχας κειρόμενοι, καὶ τὸ σχῆμα τῶν λοιπῶν μοναχῶν ἀναδεχόμενοι· ἢ εἰ μὴ τοῦτο αἱροῦνται, τῶν πόλεων ἀπελαυνέσθωσαν, ἵνα μὴ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζωσι· καὶ τὰς ἐρημίας οἰκείτωσαν, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἐκτήσαντο.

ΚΑΝΩΝ μγ'.

Ἐξὸν ὑπάρχει Χριστιανῷ τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ τὴν πολυτάραχον τῶν βιωτικῶν πραγμάτων ζάλην ἀποθέμενον ἐν μοναστηρίῳ εἰσιέναι, καὶ κατὰ τὸ μοναχικὸν σχῆμα ἀποκαρῆναι, κἂν ἐν οἱῳδήποτε πταίσματι ἁλῷ· ὁ γὰρ σωτὴρ ἡμῶν θεὸς ἔφη· Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ὡς οὖν τῆς μοναχικῆς πολιτείας, τῆς ἐν μετανοίᾳ στηλογραφούσης ζωὴν ἡμῖν, τῷ γνησίως ταύτῃ προστιθεμένῳ συνευδοκοῦμεν, καὶ οὐδεὶς αὐτὸν παρεμποδίσει τρόπος πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἐκωλύοντο τινὲς τὴν ἀπόκαρσιν προαιρούμενοι, ἢ διὰ τὸ τοῦ βίου αὐτῶν αἰσχρόν τε καὶ ἀδιάφορον, ἢ διά τι πταῖσμα. φησὶν οὖν ὁ κανὼν, ὅτι οὐδὲν ἁμάρτημα κωλύει τὸν Χριστιανὸν τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ διὰ μετανοίας τὸν θεὸν ἐξιλεώσασθαι. ὅτι οὐδέ ἐστιν ἁμάρτημα τὴν τοῦ θεοῦ νικῶσαν φιλανθρωπίαν. καὶ ὁ σωτὴρ δὲ ἔφη, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. καὶ ἕτεροι δὲ κανόνες, Ναυατιανῶν εἶναι λέγουσι, τὸ μὴ δέχεσθαι τὴν μετάνοιαν τῶν προσερχομένων, ἀλλὰ ἐὰν τοὺς πταίσαντάς τι, κἂν ὑπέρμεγα τοῦτό ἐστι, τῷ τῆς ἀπογνώσεως καλύπτεσθαι βυθῷ. κατασκευάζοντες δὲ οἱ πατέρες τὴν οἰκείαν νομοθεσίαν, λέγουσιν, ὅτι ὥσπερ ἡ στήλη τὸ στηλογραφούμενον ζωγραφεῖ, οὕτω καὶ τὸ μοναχικὸν ἐπάγγελμα τὴν μετάνοιαν ὑπογράφει τοῦ μοναχοῦ. ταῦτα δὲ νόησον ὅταν τὴν ἀπόκαρσιν οὐκ ἐμποδίζῃ ἡ ἀτελὴς ἡλικία ἢ ἄλλο τι εὔλογον. τηνικαῦτα γὰρ ἡ ἐπισκοπικὴ δοκιμασία ἐπιτρέψει τὸ ποιητέον, κατὰ τὸν μ'. κανόνα τῆς παρούσης συνόδου. εἰ δὲ θέλεις μαθεῖν, ὡς πολλαὶ αἰτίαι εἰσὶ κωλύουσαι τὴν ἀπεντεῦθεν ἀπόκαρσιν, ἀνάγνωθι κεφ. γ'. τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, συνοψισθὲν παρὰ τοῦ πατριάρχου περὶ τὰ μέσα τοῦ γ'. κεφ. τοῦ ια'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ κατατεθὲν εἰς τὸ σχόλιον τοῦ λβ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Πταισμάτων μέγεθος ἢ πληθὺν, ἀπόγνωσιν μετανοίας τοῖς εἰς τὴν θείαν ἀφορῶσι φιλανθρωπίαν οὐ δεῖ ἐμποιεῖν· τοῦτο γὰρ ὁ κανὼν οὗτός φησιν, ἔξεστι λέγων παντὶ, κἂν μεγάλα ἡμάρτηκε, τὸν ἀσκητικὸν ἑλέσθαι βίον, καὶ ἐν μοναστηρίῳ ἀποκαρῆναι, καὶ τὴν μοναχικὴν μετελθεῖν πολιτείαν, ἥτις ἡμῖν τὴν ἐν μετανοίᾳ ζωὴν στηλογραφεῖ. ὡς γὰρ ἡ στήλη δείκνυσιν ἡμῖν καὶ τὸ σχῆμα τοῦ στηλογραφουμένου· οὕτω καὶ τὸ μοναχικὸν ἐπάγγελμα τὴν μετάνοιαν ἡμῖν ὑπογράφει καὶ σχηματίζει, καὶ ταύτης μεμνῆσθαι παρασκευάζει διηνεκῶς.

A mis, unde Eremitarum ſibi falſum nomen adſciverant, relegari Synodus jubet. Nec enim nomen illud ex vero ductum, ſed quod ſibimet ipſi falſò indiderant, cum habitu mendaci nomen quoque fictum habuere.

Arist. *Eremita nigris veſtibus indutus,& comas non detonſus, niſi detonſus monaſterio includatur, urbe expellatur.*

Qui urbes percurrunt, ut ſcilicet Eremitæ, & capitum comam nutriunt, & nigris induuntur veſtibus, vel B monaſterium ingrediantur, capillos detonſi, & reliquorum Monachorum habitum ſuſcipientes, vel ſi hoc non elegerint, urbibus abigantur, ne profeſſioni ſuæ injuriam faciant: & Eremos inhabitent, è quibus & nomen ſortiti ſunt.

Canon XLIII.

Licet Chriſtiano vitam aſceticam eligere, & rerum ad vitam pertinentium depoſita tempeſtate, monaſterium ingredi, atque inſtar monachi tonderi, in quocunque C *delicto deprehenſus fuerit. Servator enim noſter Deus inquit, Eum qui ad me venit non ejiciam foras. Tanquam ergo monachali vitæ agendæ inſtituto in pœnitentia nobis vitam deſcribente, ei, qui ad illud ſincerè accedit, acquieſcimus ac favemus; nec ulli ei mores impedimentum afferent, quo minus proprium ſcopum adimpleat.*

Bals. Ut eſt veriſimile,prohibebantur quidam qui tonderi volebant, ad hoc inducti, vel propter ſuam vitæ turpitudinem ſordéſque ac contemptum, vel propter aliquod delictum. Dicit ergo canon, quod nullum peccatum prohibet Chriſtianum vitam aſceticam eli- D gere,& per pœnitentiam Deum placare. Neque enim ullum eſt peccatum, quod Dei clementiam ſuperet. Porrò etiam Servator noſter dixit, Eum, qui ad me venit,non ejiciam foras. Et alii etiam canones dicunt Novatianorum eſſe, eorum qui accedunt pœnitentiam non ſuſcipere, ſed ſinere eos qui offenderunt, ſi magnum ſit aliquod delictum,profundo deſperationis obrui. Patres autem id quod à ſe decretum eſt confirmantes, dicunt, quòd ſicut columna id, quod in ea deſcribitur, exprimit, ita & monachica profeſſio monachi pœnitentiam deſcribit. Hoc autem intellige, quando tonſuram non E impedit ætas imperfecta, vel aliquid aliud rationabile. Tunc enim Epiſcopalis examinatio id quod erit agendum excutiet, ut vult xl. Canon præſentis Synodi. Si vis autem ſcire quàm multæ ſint cauſæ, quæ hic tonderi prohibeant, lege cap.iii. tit. I. lib. iiii. Baſilic. à Patriarcha in Synopſin redactum circa medium iii. cap. undecimi tit. præſentis operis, & poſitum in commentario xxxii. cap.ix.tit. præſentis operis.

Zonar. Peccatorum magnitudo aut multitudo efficere non debet, ut ii qui ad Dei miſericordiam intuentur, ſpem propitiandi ſibi pœnitentia numinis ab- F jiciant. Idem hic quoque canon aſſerit, ac unicuique integrum eſſe affirmat, valde ſcelerato quamvis & nefario, vitam aſceticam eligere, & in monaſterio tonderi, monaſticámque diſciplinam amplecti, quæ nobis in pœnitentiâ vitam deſcribit. Ut enim columna quod in eâ deſcribitur nobis exprimit;ſic monaſtica profeſſio pœnitentiæ imaginem ita effingit ac exprimit, ut eam ex animis noſtris elabi aut effluere nunquam omnino patiatur.

Arist. *Quilibet vita procellam fugiens, & monaſterium ingredi cupiens, ejus rei licentiam habeat.*

Deo & ſervatore noſtro dicente, Eum qui venit ad me nullo modo ejiciam foras; licet omni Chriſtiano turbulentam vitæ fugere tempeſtatem, & ad monaſterium ſe recipere, & tonderi, etiamſi omnem perpetraverit iniquitatem. Sincere enim agentes pœnitentiam Deus recipit, & nulli mores eis impedimento erunt, quo minus ſcopum ſuum attingent.

Canon XLIIII.

Monachus fornicationis convictus, vel qui ad matrimonii communionem vitæque ſocietatem uxorem duxit, fornicatorum pœnis ſecundùm canones ſubjicietur.

Bals. Quòd fornicatorum pœnis ſubjiciatur, qui fornicatus eſt monachus, eſt ut clementiſſimum amplectendum ac recipiendum. Fortè enim dixerit quiſpiam, non ex æquo debere puniri Laicos & Monachos fornicantes. Quòd autem fornicatorum ſolùm pœnis puniatur, qui venit ad matrimonii ſocietatem Monachus, non eſt, ut exiſtimo, ſine diſtinctione. Vidi enim, tempore ſanctiſſimi illius Patriarchæ domini Lucæ, Monachum quendam Leontium Muzacem nomine, cùm veſte militari indutus ſynodicè adſtitiſſet, & ab ea muliere, cum qua matrimonii ſocietate male vixerat, ſeparari non perſuaderetur; ea de cauſa cum ſeveritate monachalibus fuiſſe veſtimentis indutum, & carceri traditum, & aliàs valde punitum. Mihi ergo videtur, quòd præſens canon illum Monachum, qui in matrimonio verſatus eſt, fornicatorum pœnis ſubjiciendum dicit, qui ſua ſponte ab illicitis nuptiis ſejunctus eſt, & ad priorem monachalem ſtatum reverſus eſt ac confeſſus. Qui enim non ſua ſponte ab illicito matrimonio recedit, propter apertam impudentiam graviter punitur: ut dicit ii. decret. undecimi cap. primi tit. quarti libri, quod eſt pars cxxiii. Novellæ Juſtiniani. Lege autem hoc, poſitum in primo commentario xxxii. cap. ix. tit. præſentis operis. Quære & xvi. can. iiii. Syn. & lege can. xix. Anc. Syn. & can. lx. magni Baſilii, dicentes; Graviùs puniri monachos, qui virginitatem profeſſi ſunt, eámque non ſervaverunt. Et dic canones inter ſe non pugnare; eo quòd hic, ſive præſens canon, de Monachis confitentibus ſtatuat: illi verò de condemnatis, qui propterea graviùs puniuntur.

Zonar. Qui virginitatis voto obſtricti, fidem promiſſi poſtea fallerent, eos decimo ſexto canone quarta Synodus communione privatos eſſe decernit; iiſque clementiæ aliquid impertiendi, ac animadverſionis moram contrahendi, vel etiam, ſi res tulerit, augendi, poteſtatem Epiſcopo defert: at undevigeſimus Ancyranæ Synodi canon eos digamorum pœnis teneri jubet, qui virginitatem profeſſi, à ſuſcepto conſilio propoſitoque poſtea deſciverint. Magnus autem Baſilius in canone ſexageſimo, ait; Quæ mulier virginitatis votum nuncupavit, & fidem voti non ſolvit, ea adulterorum pœnas luet. Idem ab eo de monachis quoque decretum. Hic autem canon, ſi quis monachus cum muliere deprehenſus fuerit, ſibive fœminam matrimonio copulârit, mulctam, inquit, ſcortatoribus conſtitutam perſolvat. Atque hunc quidem canonem, quippe poſt alios editum, ex omnibus arbitror retinendum.

Arist. *Monachus matrimonio conjunctus, aut fornicatus, pœnas fornicatoris luat.*

Æquales pœnas dabit Monachus, ſive fornicatus fuerit, ſive ad matrimonii communionem uxori conjunctus.

ΑΡΙΣΤ. Ἄδειαν ἅπας, ὁ τὴν ζάλην τοῦ βίου φεύγων, καὶ εἰς μοναστήριον εἰσιέναι βουλόμενος, ἀπενέγκοιτο.

Τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν εἰπόντος, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω, ἔξεστι παντὶ χριστιανῷ τὴν πολυτάραχον ζάλην τοῦ βίου φεύγειν, καὶ εἰς μοναστήριον ἀπέρχεσθαι, καὶ ἀποκείρεσθαι, κἂν πᾶσαν διεπράξατο ἁμαρτίαν. γνησίως γὰρ τοὺς μετανοοῦντας δέχεται ὁ θεὸς, καὶ οὐδεὶς αὐτοὺς τρόπος παρεμποδίσει πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν.

ΚΑΝΩΝ μδ'.

Μοναχὸς ὁ ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν γυναῖκα ἀγόμενος, τοῖς τῶν πορνευόντων ἐπιτιμίοις κατὰ τοὺς κανόνας ὑποβληθήσεται.

ΒΑΛΣ. Τὸ μὲν ἐπιτιμίοις πορνευόντων καθυποβάλλεσθαι τὸν πορνεύσαντα μοναχὸν, προσκυνητέον ἐστὶν ὡς συμπαθέστατον. ἴσως γάρ τις εἴπῃ μὴ ὀφείλειν ἐπίσης κολάζεσθαι τοὺς λαϊκοὺς καὶ τοὺς μοναχοὺς πορνεύσαντας. τὸ δὲ μόνον ἐπιτιμᾶσθαι κατὰ πόρνους τὸν πρὸς γάμου κοινωνίαν ἐλθόντα μοναχὸν, οὐκ ἔστιν, ὡς οἶμαι, ἀδιάστικτον. εἶδον γὰρ, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, μοναχόν τινα Λεόντιον Μουζάκην καλούμενον, μετ' ἐσθῆτος στρατιωτικῆς παραστάντα συνοδικῶς, καὶ μὴ πειθόμενον ἀποζευχθῆναι τῆς κακῶς συμβιοτευσάσης αὐτῷ κατὰ γάμου κοινωνίαν γυναικός· καὶ διὰ τοῦτο μετ' αὐστηρίας τὸ μοναχικὸν ἐνδυθέντα, καὶ εἱρκτῇ παραδοθέντα, καὶ ἄλλως μεγάλως κολασθέντα. δοκεῖ μοι οὖν, ὡς ὁ παρὼν κανὼν ἐκεῖνον τὸν μοναχὸν, τὸν γάμῳ προσομιλήσαντα, λέγει τοῖς τῶν πορνευόντων ἐπιτιμίοις καθυποβάλλεσθαι, τὸν ἑκουσίως ἀποστάντα τοῦ ἀθέσμου γάμου, καὶ πρὸς τὴν προτέραν μοναδικὴν ἐπανελθόντα κατάστασιν καὶ ἐξομολογησάμενον. ὁ γὰρ ἑκουσίως τοῦ ἀθεμίτου γάμου μὴ ἀφιστάμενος, μεγάλως τιμωρεῖται διὰ τὴν προφανῆ ἀναίδειαν· καθὼς φησι τὸ β'. θέμα τοῦ ια'. κεφ. τοῦ α'. τίτλου τοῦ δ'. βιβλ. μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς. καὶ ἀνάγνωθι τοῦτο, κατεστρωθὲν εἰς τὸ α'. σχόλιον τοῦ λβ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος. ζήτει καὶ τὸν ις'. κανόνα τῆς δ'. συνόδου, καὶ ἀνάγνωσον κανόνα ιθ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ κανόνα ξ'. τοῦ μεγάλου Βασιλείου, λέγοντας, βαρυτέρως κολάζεσθαι τοὺς μοναχοὺς, τοὺς παρθενίαν ἐπαγγειλαμένους καὶ μὴ φυλάξαντας. καὶ εἰπὲ μὴ ἐναντιοῦσθαι ἀλλήλοις τοὺς κανόνας, διὰ τὸ τὸν μὲν, ἤγουν τὸν παρόντα κανόνα, περὶ τῶν ἐξομολογουμένων μοναχῶν νομοθετεῖν· τοὺς δὲ περὶ τῶν κατακρινομένων, καὶ διὰ τοῦτο κολαζομένων πικρότερον.

ΖΩΝΑΡ. Ο μὲν ἑκκαιδέκατος τῆς τετάρτης συνόδου κανὼν ἀκοινωνήτους εἶναι ψηφίζεται τοὺς ὁμολογήσαντας παρθενεύειν, καὶ μὴ φυλάξαντας τὴν ὁμολογίαν· καὶ τῷ Ἐπισκόπῳ τὴν διάκρισιν ἀνατίθησι τοῦ φιλανθρωπεύσασθαι, καὶ συστεῖλαι αὐτοῖς, ἢ καὶ ἐπιτεῖναι ἴσως τὸ ἐπιτίμιον. ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν ἐννεακαιδέκατος τὸν τῶν διγάμων ὅρον ἐκπληροῦν ὁρίζει τοὺς παρθενίαν ἐπαγγειλαμένους, καὶ μὴ φυλάξαντας τὴν ὁμολογίαν. ὁ δὲ μέγας Βασίλειος ἐν κανόνι ἑξηκοστῷ φησιν· ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα τῆς ὁμολογίας, τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας ἐκπληρώσει· ὁμοίως καὶ ἐπὶ μοναχῶν. ὁ δὲ παρὼν κανὼν τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ὑποβάλλει τὸν ἐπὶ πορνείᾳ ἁλόντα μοναχὸν, ἢ γάμον ἑλόμενον. οἶμαι τοίνυν τὸν κανόνα τοῦτον δεῖν μᾶλλον κρατεῖν, ὡς τῶν ἄλλων μεταγενέστερον.

ΑΡΙΣΤ. Μοναχὸς ζευγνύμενος, ἢ πορνεύων, δεχέσθω τὸ τοῦ πορνεύοντος ἐπιτίμιον.

Ἐπίσης ὁ μοναχὸς ἐπιτιμηθήσεται, κἄν τε πορνεύσῃ, κἄν τε πρὸς γάμου κοινωνίαν γυναικὶ συζευχθῇ. τὸ δὲ ἐπιτίμιον τῶν πορνευόντων ἐν ἑπτὰ ἐστὶν ἔτεσι, κατὰ τὸν πεντηκοστὸν ἔννατον κανόνα τοῦ μεγάλου Βασιλείου. δύο γὰρ ἔτη προσκλαίει, δύο ἀκροᾶται, δύο ὑποπίπτει, ἐν ἑνὶ συνίσταται τοῖς πιστοῖς, καὶ τῷ ὀγδόῳ δέχεται εἰς κοινωνίαν.

ΚΑΝΩΝ με΄.

Ἐπειδὴ μεμαθήκαμεν, ἔν τισι γυναικείοις μοναστηρίοις τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος, πρότερον σηρικαῖς καὶ παντοίαις στολαῖς, ἔτι μὴν καὶ κοσμίοις χρυσῷ καὶ λίθῳ πεποικιλμένοις, ὑπὸ τῶν προσαγόντων αὐτὰς περιστέλλεσθαι, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας, ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίασιν, παραχρῆμά τε γίνεσθαι ἐπ' αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν, καὶ τὸ μέλαν αὐταῖς ἔνδυμα ἀμφιέννυσθαι· ὁρίζομεν, ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι. οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει, τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου τερπνότητα, καὶ ἀσπασαμένην τὴν κατὰ θεὸν πολιτείαν, καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσιν, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τε καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην· ἐκ τούτου τε ἀμφίβολον καταστῆναι, καὶ τὴν ψυχὴν ἐκταραχθῆναι δίκην κυμάτων ἐπικλυζόντων, καὶ τῇδε κἀκεῖσε περιστρεφόντων, ὡς μήτε δάκρυον ἐστὶν ὅτε λοιπὸν ἀφιεῖσαν καὶ τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι. ἀλλ' εἰ καὶ βραχύ τι, ὡς εἰκὸς, ἐκπηδήσειεν δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν, ἢ διὰ τὸ τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καταλιπεῖν, παρὰ τοῖς ὁρῶσιν τοῦτο παρελθὸν λογισθῆναι.

ΒΑΛΣ. Ὅπερ οἱ θεῖοι πατέρες ἔμαθον τότε εἰς τὰ γυναικεῖα γίνεσθαι μοναστήρια, καὶ θεαρέστως ἐκώλυσαν, τοῦτο καὶ νῦν γίνεται παρὰ τοῖς κελλιωτικοῖς καὶ μάλιστα μοναστηρίοις. τὴν γὰρ μέλλουσαν ἀποκείρεσθαι στολίζουσι νυμφικῶς μετὰ ἐνδυμάτων πολυτελῶν καὶ κοσμίων χρυσῷ καὶ λίθοις πεποικιλμένων, κατ' αὐτὴν τὴν ὥραν σχεδὸν τῆς ἀποκάρσεως, καὶ ἐν τῷ ναῷ ταύτην οὕτω κεκοσμημένην εἰσάγουσι· τοῦ δὲ καιροῦ ἐπιστάντος τῆς ἀποκάρσεως, τὴν μὲν ματαίαν ἐκείνην ἐνδυμασίαν καὶ τὴν πολυτελῆ στολὴν ἐκ τῆς νυμφευομένης ἀπεκδιδύσκουσιν, ἔνδυμα δὲ μέλαν ταύτῃ περιτιθέασι. τοῦτο οὖν γίνεσθαι ἡ ἁγία ἐκώλυσε σύνοδος, ὡς προτρεπτικὸν κοσμικῆς ἐπιθυμίας, καὶ παρὰ τῶν βλεπόντων καταγινωσκόμενον. ὡς ἔοικε δὲ, οὐ δι' ἄλλο τι παρορᾶται τὸ τοιοῦτον σωτηριῶδες θέσπισμα, ἀλλ' ἢ διὰ τὸ μὴ ἐπάγεσθαι κόλασιν τοῖς τούτου καταφρονηταῖς. ἐμοὶ δὲ δοκεῖ, ὅτι πάντες οἱ τοὺς κανόνας παραβαίνοντες κατὰ τὸ δοκοῦν τῷ ἐγχωρίῳ Ἐπισκόπῳ τιμωρηθήσονται· κἂν οὐκ ἐξεφωνήθη παρὰ τῶν κανόνων ἔν τισι τὸ εἶδος τῶν ἐπιτιμίων.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὰς κείρεσθαι μελλούσας κοσμεῖσθαι πρότερον στολαῖς λαμπροτέραις, χρυσοῖς τε καὶ λίθοις, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσάγεσθαι, κἀκεῖ τὴν μὲν φλυαρίαν ἐκείνην ἐκδύεσθαι, ἐνδύεσθαι δὲ τὰ μοναχικὰ ἄμφια, καὶ τὴν ἐπ' αὐτοῖς εὐλογίαν γίνεσθαι, καὶ ὁρίζει μηκέτι τοῦτο γίνεσθαι. ἥτις γὰρ ἑκουσίως, φησὶν, ἀπέθετο τὰ βιωτικὰ, καὶ ἠσπάσατο τὴν κατὰ θεὸν πολιτείαν, καὶ τῷ μοναστηρίῳ προσῆλθεν, αὕτη εἰς ἀνάμνησιν αὖθις ἔρχεται τῆς κοσμικῆς ὕλης τε καὶ τερπνότητος διὰ τοῦ κοσμεῖσθαι τοῖς φθαρτοῖς καὶ ῥέουσι κόσμοις, καὶ ἐκταράττεται τὴν ψυχὴν τῆς μνήμης τῶν ἡδέων τοῦ κόσμου ἐπεγειρομένης, καὶ δίκην κυμάτων καταβαπτιζούσης αὐτήν· καὶ τοσοῦτον ὡς μηδὲ κατάνυξιν αὐτῇ τότε προσγίνεσθαι, ἣν τεκμηριοῦσι τὰ δάκρυα. εἰ δὲ καὶ δακρύσει, φησὶ, κἀκεῖνο τοῖς ὁρῶσιν ἀμφίβολον κρίνεται, τῶν πλειόνων διὰ τὴν τοῦ κόσμου στέρησιν καὶ τῶν ἡδέων αὐτοῦ λογιζομένων δακρύειν αὐτήν.

A Fornicatorum autem pœna eſt ſeptem annorum, juxta quinquageſimum nonum Baſilii magni canonem; Duos namque annos deflet, duos audit, duos ſubſternitur, unum cum fidelibus conſiſtit, & octavo ad communionem admittitur.

Canon XLV.

Quoniam intelleximus, in nonnullis mulierum monaſteriis, mulieres quæ ſacro illo amictu dignæ habentur, prius ſericis & omnis generis veſtibus, præterea autem & mundis auro & gemmis variatis, ab iis qui illas du- B *cunt, exornari, & ſic ad altare accedentes, exui tanto opum apparatu, & ſtatim in illis fieri habitus benedictionem, illáſque nigro amictu indui: ſtatuimus ne hoc deinceps fiat. Neque enim fas eſt, ut quæ jam propria voluntate omnem vitæ jucunditatem depoſuit, & eam quæ eſt ſecundùm Deum vitæ agendæ rationem amplexa eſt, firmíſque ac ſtabilibus rationibus eam confirmavit, & ita ad monaſterium acceſſit, per ornatum hujuſmodi corruptibilem & caducum, ea quorum jam oblita erat in memoriam revocet; & ex eo anceps reddatur, & ejus anima perturbetur inſtar exundantium* C *fluctuum, húcque & illuc verſantium, ut nec reliquam nonnunquam lacrymam emittendo cordis per corpus compunctionem oſtendat: ſed & ſi exigua aliqua, ut eſt conſentaneum, lacryma exilierit, non magis propter affectionem quam habent propter exercitatorium certamen, quàm propterea quòd mundum & mundana ſeu ſecularia relinquant, ea à videntibus profluxiſſe putetur.*

Bals. Quod didicerunt divini patres in mulierum fieri monaſteriis, & piè ac ſanctè prohibuerunt, hoc nunc vel maximè fit à cellulariis monaſteriis. Eam enim quæ D eſt tondenda, inſtar ſponſæ ſumptuoſis & ſplendidis veſtibus auro ac gemmis variatis, in ipſo ferè tonſuræ tempore induunt, & eam ſic exornatam in templum introducunt: cùm autem inſtat tonſuræ tempus, ſupervacaneam illam & ſumptuoſam veſtem ſponſæ exuunt, & illam nigris veſtimentis induunt. Ne autem hoc fieret, ſancta prohibuit Synodus, ut quod & ad mundi cupiditatem excitet, & à videntibus damnetur. Ut eſt autem veriſimile, non aliam ob cauſam contemnitur hoc ſalutare decretum, quàm quòd ejus contemptoribus ſupplicium quoque non ſimul ab eo inducatur. Mihi autem videtur, quòd omnes, qui canones tranſgrediuntur, E pro regionis Epiſcopi arbitratu punientur, etiamſi in nonnullis non fuerit genus ſupplicii canonibus expreſſum.

Zonar. Mulieres, antequam tondeantur, ſplendido veſtium apparatu, auróque ac gemmis conſpicuas ad altare ſiſtendi, ibique illa ornatus inanitate exutis, monaſtica indumenta de more conſecrata tribuendi conſuetudinem hic canon damnat; idque in poſterum fieri omnino vetat. Nam quæ mulier, inquit, omnibus hujus ſeculi rebus à ſe ſponte abdicatis, religioſúmque vivendi inſtitutum ſecuta ad monaſterium acceſſerat, hæc, ubi ſeſe fluxo & caduco ornatu comptam atque excultam videt, F mundanarum ſordium profanæque voluptatis iterum reviviſcente memoria, commovetur animo ac perturbatur, terrenarúmque ſuavitatum identidem ſubeunte recordatione, quaſi fluctibus viciſſim ingruentibus abſorbetur: uſque adeo, ut nec compunctio quidem, quam teſtantur lachrymæ, ei excitetur. Nam etſi aliquis etiam, inquit, fletus exiſtat, dubiæ tamen adhuc intuentibus lacrymæ illæ & ſuſpectæ ſunt, quas nimirum plerique vitæ ſolutioris ac earum, quibus cariturам ſe animadvertit, voluptatum deſiderio expreſſas eſſe arbitrantur.

Arist. *Parentes eam, quæ monaſticam vitam eligit, ſericis non induent, & ſic habitum ei circumponent. Hoc enim eſt labentis mundi in animum revocatio.*

Patres intelligentes, quod mulieres quædam, quæ monaſtico amictu habentur dignæ, primo ſericis veſtimentis, & alio omnis generis auro & lapidibus variegato amictu, ab iis qui eas introducunt induuntur, & ſic omni modo ornatæ altari afferuntur; poſtea talis materiæ amictum exuentes, habitus benedictionem ſtatim recipiunt, & nigro veſtimento induuntur: hoc non amplius fieri jubent. Nec licitum enim nec ſanctum eſt, ut illa, quæ omnem vitæ jucunditatem per propoſitum ſuum depoſuit, & eam quæ ſecundum Deum eſt vivendi rationem amplectitur, & rationibus quæ everti nequeunt eandem confirmavit, & ſic monaſterium acceſſit, rurſum per corruptibilem & fluentem ornatum ad eorum recordationem venire, quorum modo oblita fuerat, & animam exundantium ad inſtar fluctuum perturbari, eamque huc & illuc circumvertere, ut neque lachrymam emittat, quæ cordis compunctionem oſtendat.

Canon XLVI.

Quæ vitam aſceticam eligunt, & in monaſteriis ſunt conſtitutæ, ne omnino progrediantur. Siqua autem inexorabilis neceſſitas ad hoc trahit, cum benedictione & permiſſione ejus, quæ præeſt, hoc agant: túncque non ſolæ per ſe, ſed cum aliquibus vetulis, & quæ in monaſterio primæ ſint, cum mandato ejus quæ præfecta eſt. Eis autem omnino extra cubare non licet. Sed & viri qui vitam monaſticam conſectantur, urgente neceſſitate, & ipſi, cum benedictione ejus cui regimen creditum eſt, procedant. Quamobrem qui tranſgrediuntur id quod eſt nunc à nobis decretum, ſive ſint viri, ſive mulieres, convenientibus pœnis ſubjiciantur.

Bals. Alii quoque canones ſtatuunt non debere Monachos, circuncurſare ubi velint. His ergo conſequenter præſens canon de Monachis mulieribus decernit, eis non licere monaſterio egredi. Quòd ſi inexorabilis neceſſitas eas ad egrediendum urgeat, ne ſic quidem egredi licere abſque benedictione & permiſſione ejus quæ præeſt, & niſi unà cum illis egrediantur anus aliquæ piæ ac ſanctæ monachæ. Eis autem omnino extra cubare, ſeu extra manſionem pernoctare, non permittit. Et hæc quidem de mulieribus Monachis. Jubet autem Monachos propter ſolam inexorabilem neceſſitatem à manſione egredi cum benedictione & permiſſione ejus qui præfectus eſt. Qui autem hæc tranſgrediuntur, monachos vel monachas, convenientibus ſuppliciis ab eo qui præeſt ſubjici. Lege & ii. juſſ. xi. cap. primi tit. iiii. lib. Baſilic. quod quidem eſt pars cxxiii. Juſtiniani Novellæ, & redacta circa finem iiii. cap. xi. tit. præſentis operis. Nota autem, quòd mulieribus quidem non eſt omnino conceſſum extra monaſterium permanere, ſeu pernoctare: viris autem ne pernoctent non eſt prohibitum. Et quòd muliebris quidem cum aliis religioſis mulieribus egredi permittitur extra monaſterium, urgente quandoque neceſſitate, idque omnino propter muliebris animi lubricitatem & inconſtantiam. Monachi verò per ſe & ſoli, cum rectoris benedictione, ad urgentia miniſteria & ſolùm abeunt. Hæc autem omnia, ut mihi videtur, dicenda de iis, qui propter juventutem ſuſpecti ſunt: non autem de iis, qui propter ſenium & virtutem à ſuſpicione ſunt alieni.

ΑΡΙΣΤ. Οὐκ ἀμφιάσουσιν οἱ γονεῖς σηρικοῖς τὴν προερχομένην μονάσαι, καὶ οὕτω τὸ σχῆμα περιθήσουσιν· ἀνάμνησις γὰρ τοῦτο τοῦ ῥέοντος κόσμου.

Μανθάνοντες οἱ πατέρες, ὥς τινες τῶν γυναικῶν τοῦ μοναδικοῦ καταξιοῦσθαι μέλλουσαι σχήματος, πρότερον σηρικὰ ἱμάτια ἐνδιδύσκονται, καὶ παντοίαν ἄλλην στολὴν χρυσῷ καὶ λίθοις πεποικιλμένην, ὑπὸ τῶν προσαγόντων αὐτὰς, καὶ οὕτω κεκοσμημέναι πολυτελῶς, τῷ θυσιαστηρίῳ προσάγονται· εἶτα τὴν τοσαύτης ὕλης ἀμφίασιν ἀποδυόμεναι, παραχρῆμα τὴν τοῦ σχήματος εὐλογίαν δέχονται, καὶ τὸ μέλαν ἔνδυμα ἀμφιέννυνται· προστάττουσι μὴ τοῦτο ἀπὸ τοῦ νῦν γίνεσθαι. οὐδὲ γὰρ εὐαγὲς, οὐδὲ ὅσιον, τὸ τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀπορρίψασαν, πᾶσαν τὴν τοῦ βίου τερπνότητα, καὶ τὴν κατὰ θεὸν πολιτείαν ἀσπασαμένην, καὶ λογισμοῖς ταύτην ἀπεριτρέπτοις βεβαιώσασαν, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην, καὶ τὴν ψυχὴν, δίκην κυμάτων ἐπικλυζόντων, ἐκταραχθῆναι, καὶ τῇδε κἀκεῖσε περιστρέφειν αὐτήν· ὡς μηδὲ δάκρυον ἐπαφῆναι, καὶ τὴν ἐν τῇ καρδίᾳ κατάνυξιν ἐπιδείξασθαι.

ΚΑΝΩΝ μϛ'.

Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον, καὶ ἐν μοναστηρίοις καταττόμεναι, καθόλου μὴ προϊέτωσαν. εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκοι, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης τοῦτο πραττέτωσαν· καὶ τότε μὴ μόναι καθ' ἑαυτὰς, ἀλλὰ μετά τινων πρεσβυτίδων καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ, μετ' ἐντολῆς τῆς καθηγουμένης. παντελῶς δὲ αὐταῖς ἐξωκοιτεῖν οὐκ ἔξεστιν. ἀλλὰ καὶ ἄνδρες οἱ τὸν μονήρη μετερχόμενοι βίον, χρείας ἐπειγούσης, καὶ αὐτοὶ μετ' εὐλογίας τοῦ τὴν ἡγουμένειαν ἐμπεπιστευμένου προϊέτωσαν· ὥστε οἱ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ' ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

ΒΑΛΣ. Καὶ ἄλλοι διάφοροι κανόνες διορίζονται μὴ περιπολεῖν τοὺς μοναχοὺς ἔνθα βούλονται. ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν διορίζεται περὶ τῶν μοναζουσῶν, μὴ ἔχειν ἐπ' ἀδείας τοῦ μοναστηρίου ἐξέρχεσθαι. ἀπαραιτήτου δὲ χρείας κατεπειγούσης, τὴν ἐξέλευσιν μηδ' οὕτω ποιεῖν χωρὶς εὐλογίας καὶ προτροπῆς τῆς καθηγουμένης, καὶ μέντοι καὶ συναπελεύσεως τινῶν πρεσβυτίδων εὐλαβῶν μοναζουσῶν. ὅλως δὲ ἐξωκοιτῆσαι αὐτὰς ἤγουν ἔξω τῆς μονῆς διανυκτερεῦσαι, οὐ παραχωρεῖ. καὶ ταῦτα μὲν περὶ τῶν μοναζουσῶν. τοὺς δὲ μοναχοὺς παρακελεύεται διὰ ἀπαραίτητον καὶ μόνην χρείαν τῆς μονῆς ἐξέρχεσθαι μετ' εὐλογίας καὶ προτροπῆς τοῦ καθηγουμένου. τοὺς δὲ παραβαίνοντας ταῦτα μοναχοὺς καὶ τὰς μοναζούσας, προσφόροις ἐπιτιμίοις παρὰ τοῦ προεστῶτος καθυποβάλλεσθαι. ἀνάγνωθι καὶ τὸ β'. θέμα τοῦ ια'. κεφ. τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ συνοψισθὲν περὶ τὸ τέλος τοῦ δ'. κεφ. τοῦ ια'. τίτλου τοῦ παρόντος συντάγματος. σημείωσαι οὖν ὅτι γυναιξὶν μὲν οὐκ ἐνεδόθη ὅλως ἔξω τοῦ μοναστηρίου καταμεῖναι, ἤγουν νυκτερινὴν διαβιβάσαι καταμονήν· ἄνδρες δὲ οὕτω διανυκτερεῦσαι οὐκ ἐκωλύθησαν. καὶ ὅτι αἱ μὲν γυναῖκες μετ' ἑτέρων εὐλαβῶν μοναζουσῶν ἐξέρχεσθαι τῆς μονῆς παραχωροῦνται, ἀνάγκης ἔστιν ὅτε κατεπειγούσης, πάντως διὰ τὸ ὀλισθηρὸν τοῦ γυναικείου φρονήματος. οἱ δὲ μοναχοὶ καθ' ἑαυτοὺς καὶ μόνοι ἄπιασι, μετ' εὐλογίας ἡγουμενικῆς, εἰς τὰς κατεπειγούσας δουλείας καὶ μόνον. ταῦτα δὲ πάντα, ὡς ἐμοὶ δοκεῖ, περὶ ὑπόπτων διὰ τὴν νεότητα ὀφείλομεν εἰπεῖν, οὐ μὴν καὶ περὶ ἀνυπόπτων διὰ γῆρας καὶ ἀρετήν.

ΖΩΝΑΡ. Τὰς μοναζούσας ἀπροΐτους βούλονται οἱ πατέρες διάγειν ἐν τῇ μονῇ. εἰ δέ ποτε τις γένηται ἀπαραίτητος ἀνάγκη ἐξελθεῖν τοῦ μοναστηρίου μοναζούσαις, καὶ τότε μετ' ἐπιτροπῆς τῆς προεστώσης ἐξέρχεσθαι διατάττονται, καὶ μηδὲ μόνας, ἀλλὰ συνεῖναι αὐταῖς καί τινας τῶν γεραιοτέρων, καὶ πρωτευουσῶν τῷ τε χρόνῳ καὶ τῇ ἀρετῇ, καὶ μηδὲ ἔξω τῆς μονῆς τὴν νύκτα διάγειν. τοῦτο γὰρ τὸ ἐξωκοιτεῖν. καὶ οἱ ἀσκηταὶ δέ φησιν ὁ κανὼν, ὅτε χρεία τις κατεπείγει μετ' εὐλογίας τοῦ ἡγουμένου ἐξιέτωσαν. οἱ δὲ μὴ οὕτω ποιοῦντες, κἂν ἄνδρες κἂν γυναῖκες ὦσι, προσφόρως ἐπιτιμάσθωσαν, ἀντὶ τοῦ κατὰ τὴν ἑκάστου διάθεσιν ὁ προεστὼς αὐτοῖς ἐπαγέτω τὸ ἐπιτίμιον, ἢ μαλακώτερον ἢ σφοδρότερον. τοῖς μὲν γὰρ ταπεινουμένοις καὶ μεταμελουμένοις ἐπὶ τῷ σφάλματι ἀνήσει τὸ ἐπιτίμιον, καὶ ποιήσει κουφότερον· τοῖς δὲ σκληρυνομένοις καὶ ἀναιδευομένοις ἐντονωτέραν θήσει καὶ βαρυτέραν τὴν ἐπιτίμησιν, καὶ οὕτω προσφόρως ἑκάστῳ ἐπιτιμήσει.

ΑΡΙΣΤ. Οὐκ ἔξεισι μονάζουσα τῆς μονῆς, εἰ μὴ μετ' εὐλογίας τῆς προεστώσης. καὶ οὐδὲ μόνη, ἀλλὰ μεθ' ἑτέρας πρεσβύτιδος· ἐξώκοιτος δὲ τὸ παράπαν οὐ γίνεται. κατὰ ταυτὸ καὶ μονάζων, εἰ μὴ μετ' ἐπιτροπῆς ἡγουμένου, τῆς μονῆς μὴ ἐξιέτω.

Τὸ μὲν, μεῖναί ποτε καθ' οἱονδήτινα τρόπον ἔξω τοῦ μοναστηρίου μονάζουσαν, παντελῶς ὁ κανὼν ἀπηγόρευσε· τὸ δὲ, ἀνάγκης ἀπαραιτήτου περιεμπιπτούσης ταύτην ἐξέρχεσθαι τῆς μονῆς μετὰ γνώμης καὶ εὐλογίας τῆς προεστώσης, καὶ αὖθις ὑποστρέφειν, καὶ μένειν ἐν αὐτῇ, οὐ κεκώλυσεν, ἀλλὰ ἐπιτρέπει γίνεσθαι. πλὴν καὶ ἐν τούτῳ προστίθησι, τὸ μὴ μόνην ἐξέρχεσθαι, ἀλλὰ μετά τινων πρεσβυτίδων, καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ· ὡσαύτως δὲ, οὐδὲ μοναχὸν, ἄνευ εὐλογίας τοῦ προεστῶτος αὐτοῦ, βούλεται. τοῦ μοναστηρίου ἐξελθεῖν. τοὺς δὲ παραβαίνοντας τὰ ὁρισθέντα, προσφόροις ὑποβάλλει ἐπιτιμίοις.

ΚΑΝΩΝ μζ'.

Μήτε δὲ ἐν ἀνδρείῳ μοναστηρίῳ γυνὴ, μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω. παντὸς γὰρ προσκόμματος καὶ σκανδάλου ἔξω εἶναι δεῖ τοὺς πιστοὺς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσδεκτον τῷ κυρίῳ τὸν ἑαυτῶν εὐθετίζειν βίον. εἰ δέ τις τοῦτο πράξοι, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Παντὸς σκανδάλου ἀπηλλάχθαι ὁ κανὼν οὐχὶ τοὺς μοναχοὺς μόνους ἀπαιτεῖ, ἀλλὰ καὶ τοὺς πιστοὺς ἅπαντας, καὶ μήτε ἑαυτοῖς δι' ἑτέρων περιποιεῖν σκάνδαλα, μήθ' ἑτέροις δι' ἑαυτῶν· τοὺς δὲ μοναχοὺς πολλῷ πλέον. τὸ δὲ ἐν γυναικείῳ μοναστηρίῳ καθεύδειν ἄνδρας ἢ τοὐναντίον, καὶ αὐτοῖς ἐκείνοις σκανδάλων αἴτιον ἔσται καὶ ἄλλοις. ἔμφυτον γὰρ τῇ σαρκὶ τὸ πῦρ τὸ ἐκ τῶν παθῶν, καὶ μόλις, ἡμῶν ὕλης ἀναπτούσης αὐτὸ πόῤῥω καθιστῶσιν ἑαυτοὺς, μαλθακώτερον γένοιτ' ἄν. εἰ δὲ ἡμεῖς αὐτῷ παρατιθέαμεν ὑπεκκαύματα, λάβρον ἔσται, καὶ καταφρήσει ὡς χόρτον ἡμᾶς ῥᾳδίως. τί δ' ἂν ἔσται ἀνδράσι πρὸς τὸ τῆς ἐπιθυμίας πῦρ δραστικώτερον ὑπέκκαυμα γυναικὸς, ἢ γυναιξὶν αὖθις, ἀνδρὸς, πρὸς ἔξαψιν τῆς φλογός; καὶ οὕτω μὲν ἀλλήλοις οἱ μονασταὶ λαβὰς σκανδάλου παρέξουσιν, ἑτέρους δὲ σκανδαλίσουσιν ὁρῶντας γυναῖκας ἐν ἀνδρῶν καταγωγίοις διανυκτερευούσας, ἢ ἄνδρας ἐν ἀσκητηρίοις γυναικῶν. κακύποπτοι γὰρ οἱ πλείους καὶ ἀφορμὰς ζητοῦντες σκανδάλων καὶ διαβολῶν. διὸ καὶ τοῖς πατράσιν ἀπηγόρευται τοῦτο. τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας ἀφορισμῷ κολάζουσι. καὶ ὁ μὲν κανὼν ταῦτα. τὸ δὲ β'. κεφ. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τὸ ιε'. κεφ. τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν Βασιλικῶν, φησίν· οὐκ εἰσελεύσεται δὲ, οὔτε γυνὴ παντελῶς εἰς ἀνδρικὸν μοναστήριον, οὐδὲ ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει τελευτήσαντος κἀκεῖσε κειμένου μνήμης, ἢ κατὰ ἄλλην αἰτίαν.

A **ZONAR.** Monialibus extra monaſterii ſepta egrediendi facultatem eſſe Patres vetuere. Quòd ſi neceſſaria exeundi cauſa quandoque inciderit, id non niſi Præfectæ facultate impetrata, nec tamen ſolis, ſed earum, quæ cum ætate grandiores tum moribus præ cæteris probatæ ſint, honeſto comitatu ſeptis, licere decernunt; & extra monaſterium nullo modo pernoctent, (id enim verbo ἐξωκοιτεῖν planè indicatum.) Sed monachi quoque, inquit canon, cum id aliqua neceſſitas poſtulaverit, Præfecto ipſis benedicente egrediantur. Qui ſecus fecerint, ſive viri ſive mulieres, in eos accommodate atque appoſite, hoc eſt, leviore aut acerbiore pœna, prout B quemque affectum animo viderit, Præfectus animadvertat. Quos enim animo conſternatos, culpæque pertæſos cognorit, leviore in eos erit animadverſione contentus: contumaces verò atque arrogantes, omnino ſeveriùs accipiet, eaque ratione accommodatè atque appoſitè pœnam ſingulis decreviſſe exiſtimabitur.

ARIST. *Monialis monaſterio non egredietur, niſi ejus quæ præfecta eſt benedictione: & neque ſola, verùm cum aliâ vetulâ. Extra vero cubare nullo modo licet. Eodem modo & Monachus, niſi præfecto permittente, monaſterio non egredietur.*

C Monialem quocunque modo extra monaſterium unquam manere canon omnino prohibet: eam autem, ſi inexorabilis aliqua inciderit neceſſitas, manſione exire cum voluntate & benedictione ejus qui præeſt, & rurſum redire, & in eâ manere non prohibet, ſed fieri permittit. Sed & in eo addit, eam non ſolum exire, ſed cum vetulis quibuſdam & quæ ſunt in monaſterio primæ. Similiter verò, nec monachum, ſine benedictione ejus qui ipſi præeſt, monaſterio exire vellet. Hæc autem decreta tranſilientes convenientibus pœnis ſubjicit. D

CANON XLVII.

Neque mulier in virorum monaſterio, neque vir in mulierum dormiat. Extra offendiculum enim & ſcandalum fideles eſſe oportet, & ad id quod eſt decorum ac honeſtum, Deoque gratum, vitam ſuam componere. Si quis autem hoc fecerit, ſive ſit Clericus, ſive Laïcus, ſegregetur.

BALS. Ab omni ſcandalo eſſe remotos exigit canon, non ſolùm Monachos, ſed & omnes fideles, & nec eis E ſcandala per alios, nec aliis per eos dari: ſed multo magis Monachos. In mulierum autem monaſterio dormire viros, vel contrà, & illis ipſis eſt offenſionis cauſa, & aliis. Carni enim innatus eſt animi perturbationum ignis, & vix, nobis etiam procul à materiâ quæ eum accendit noſmet conſtituentibus, debilior fiat. Quòd ſi nos ei fomites addiderimus, erit acris & vehemens, &, ſicut fœnum, facilè nos incendet. Quod autem viris ad ignis cupiditatem poteſt eſſe acrius fomentum muliere, vel mulieribus rurſus, viris, ad flammam excitandam? Et ſic inter ſe quidem Monachi offenſionis anſam præbebunt; F aliis verò ſcandalum afferent, cùm viderint mulieres in virorum habitaculis pernoctantes, vel viros in mulierum aſceteriis. Sunt enim quàm plurimi ſuſpicioſi, offenſionúmque & calumniæ occaſionem quærunt. Quàobrem & hoc quoque à patribus interdictum eſt. Eos autem, qui aliter faciunt, ſegregatione puniunt. Et hæc quidem canon. Secundum autem caput cxxiii. Novellæ, ſeu xv. caput primi tit. iiii. libri Baſilic. dicit: Non ingredietur autem omnino, nec mulier in virorum monaſterium nec vir in mulierum, vel prætextu memoriæ ac monumenti alicujus mortui qui illic poſitus eſt, vel aliam ob cauſam. Et maximè, ſi quis fratrem fortè vel ſororem vel aliquem ex ſuo genere in monaſterio ſe habere dixerit: non eſt enim cognatio Monachis, qui eam quæ eſt in cælo vitam æmulati ſunt. Quid enim ſibi volunt qui ſic ingrediuntur, ſi non aliquid eorum, quæ ſunt prohibita, volunt agere? Cùm ergo, quæ viris conveniunt, poſſint viri in virorum monaſterio facere, & ſimiliter quæ mulieribus attributa ſunt, in mulierum monaſteriis mulieres facere: nullus quoque miſceatur alteri, nec ſi quis fortè dicatur frater vel ſoror vel alius cognatus. Neque enim alicui eo prætextu introire permittimus. Si enim ipſa principia abſciderimus, & eam quæ per viſum animis infunditur fraudem, &, quæ ex eo oritur, prolapſionem prohibuerimus, erit multo facilior & planior ſacris concertatoribus vitæ melioris correctio. Omnes ergo illi legi pareant, & nec viri in mulierum monaſteriorum ſepulcris reponantur, nec mulieres in virorum inhumentur monaſteriis. Neque enim viris Gynæcea, nec rurſus mulierum catalogis virorum habitacula conveniunt. Hinc nec propter defunctos indecoras has congreſſiones à ſuperſtitibus fieri volumus: ne ex eo naturæ ad ſeipſam detur aditus, ut quomodo non fas eſt ſe delicatè gerat & ludat, & res divinas injuria afficiat, & pietatis utique prætextu & ſub ſanctitatis ſpecie ea agat, quæ ne dicere quidem nec cogitare fas eſt eos qui honeſtam vitam monaſticam perſequuntur. Cùm hoc autem ſit apertum, neceſſe eſt eos qui ſepulturis deſerviunt, & eos maximè qui lectum ferunt, & qui fodiunt, ad monaſterium accedere. Et in virorum quidem monaſteriis res eſt facilis, ſed non ſic in mulierum, propter dictam prohibitionem. Statuimus itaque, ſi quando quid ejuſmodi futurum eſt, & ſepelienda ſit mulier in tali mulierum monaſterio (virum enim non admittimus) ut religioſiſſimæ quidem mulieres in ſuo monaſterio maneant; ſola autem oſtiaria vel oſtiariæ & ipſa fortè rectrix, ſi velit, adſint iis quæ fiunt: & illi cùm primùm juſta & exequias quàm celerrimè fecerint, & ſepulcrum foderint, corpúſque contexerint, ſtatim recedant, nec ullis à ſe viſis religioſiſſimis fœminis, nec eis viciſſim ab ullis earum conſpectis. Sed nec viri alium excogitent prætextum, quo ad mulierum monaſteria accedant, vel mulieres ad monaſteria quæ viris dedicata ſunt, ab obtentu eorum quæ in exequiis & juſtis mortuo præbendis fiunt; ut qui eorum memoriam faciunt, tertio & nono die convenientes, vel quando quadraginta dies venerint, vel etiam annus: cùm liceat quidem mulieribus, ſi mulierum ſit monaſterium, omnia facere; ſin autem virorum, viris; & non talium obſervationum prætextu ſanctis monaſteriis aliquam infamiæ notam inurere.

Z ω n a r. Offenſiones omnes & ſcandala evitare, neque vel ex aliis ſibi peccandi occaſiones quærere, vel aliis ipſi præbere, non aſcetæ, ſed omnes quidem fidei myſteriis initiati, proindeque multo magis monachi hoc canone jubentur. Quòd ſi in monaſteriis mulierum viri pernoctent, aut contra, in eo, tum ipſorum qui id faciunt tum aliorum quoque, offenſionem aliquam intercedere neceſſe eſt. Carni enim innatus eſt animi perturbationem ignis, & vix nobis, procul à materiâ, quæ eum accendit, noſmet conſtituentibus debilior fiat. Quod ſi etiam fomitem ipſimet ingeramus, invaleſcet vehementiùs, nóſque nullo negotio fœni ſtipulæve inſtar abſumet. Quid porrò ad cupiditatis in homine flammam excitandam muliere vehementius? quid viciſſim, ut inflammetur hoc igne mulier, homine periculoſius? Erunt igitur tum ſibi invicem, qui in monaſteriis degunt, offen-

A καὶ μάλιστα εἴτις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσει· συγγένεια γὰρ τοῖς μοναχοῖς οὐκ ἔστι, τοῖς γε τὸν ἐν οὐρανῷ ζηλώσασι βίον. τί γὰρ δὴ καὶ βουλόμενοι τὰς τοιαύτας εἰσόδους ποιήσοιντο, εἰ μὴ βέλτιόν τι πράττειν τῶν ἀπηγορευμένων; ἐξὸν οὖν καὶ τὰ ἀνδράσι πρέποντα ἐν τοῖς ἀνδρικοῖς μοναστηρίοις ἄνδρας ποιεῖν, καὶ τὰ γυναιξὶν ὁμοίως ἀπονενεμημένα, ἐν τοῖς γυναικείοις μοναστηρίοις πράττειν γυναῖκας, οὐδενὸς ἐπιμιγνυμένου θατέρῳ· οὐδὲ εἴτις τυχὸν εἶναι λέγοιτο ἀδελφὸς ἢ ἀδελφὴ ἢ ἄλλος συγγενής. οὐδὲ γὰρ κατὰ ταύτην τὴν πρόφασιν εἰσιτητὸν εἶναί τισι συγχωροῦμεν. εἰ γὰρ αὐτὰς τὰς B ἀρχὰς ἐκκόψομεν, καὶ τὴν δι' αὐτῆς τῆς ὁράσεως εἰσκρινομένην ταῖς ψυχαῖς ἀπάτην, καὶ τὸν ἐντεῦθεν ὄλισθον κωλύσομεν· ἔσται πολλῷ ῥάων τε καὶ εὐκολωτέρα τοῖς ἱεροῖς ἀγωνισταῖς ἡ τοῦ κρείττονος βίου κατόρθωσις. πάντες τοίνυν τῷδε τῷ νόμῳ πειθέσθωσαν, καὶ μήτε ἄνδρες ἀποτιθέσθωσαν ἐν γυναικείων μοναστηρίων τάφοις, μήτε γυναῖκες ἀνδρικοῖς μοναστηρίοις κατορυττέσθωσαν. οὐδὲ γὰρ ἀνδράσι γυναικωνίτιδες πρέπουσιν, οὔτε αὖθις ἀνδρῶνες τοῖς τῶν γυναικῶν καταλόγοις. οὐδὲ ἐντεῦθεν διὰ τοὺς τελευτήσαντας τοῖς περιοῦσι τὰς ἀσχήμονας ταύτας ἐπιμίξεις γίνεσθαι βουλόμεθα· ἵνα μὴ πάροδος ἐντεῦθεν γένη- C ται τῇ φύσει πρὸς ἑαυτὴν, ἃ μὴ θέμις τρυφᾶν τε καὶ παίζειν, καὶ τὰ θεῖα καταισχύνειν πράγματα, καὶ εὐσεβείας δῆθεν προκαλύμματι καὶ τῷ τῆς ὁσίας σχήματι ταῦτα πράττειν, ἅπερ οὐδὲ λέγειν οὐδὲ ἐννοεῖν τοῖς μονήρη βίον ἀσκοῦσι καλόν. ἐκείνου δὲ οὕτω φανεροῦ ὄντος, ἀνάγκη καθέστηκε τοὺς ταῖς ταφαῖς ὑπηρετουμένους, καὶ μάλιστα τοὺς τὴν κλίνην φέροντας, τούς τε ὀρύττοντας, εἰσφοιτᾶν εἰς τὰ μοναστήρια. καὶ ἐν μὲν τοῖς ἀνδρικοῖς μοναστηρίοις τὸ πρᾶγμα εὔκολόν ἐστιν, ἐν δὲ τοῖς γυναικείοις οὐχ οὕτως, διὰ τὴν εἰρημένην ἀπαγόρευσιν. θεσπίζομεν τοίνυν εἴποτε μέλλοι τοιοῦτον γίνεσθαι, καὶ θάπτεσθαί τις D γυνὴ ἐν γυναικείῳ μοναστηρίῳ (ἄνδρας γὰρ οὐκ ἐφίεμεν) τὰς μὲν εὐλαβεστάτας γυναῖκας ἐν τῷ οἰκείῳ μένειν μοναστηρίῳ· μόνην δὲ τὴν θυρωρὸν ἢ τὰς θυρωροὺς, καὶ τὴν ἡγουμένην ἴσως αὐτὴν, εἰ βουληθείη, παρεῖναι τοῖς γινομένοις· καὶ θᾶττον ἐκείνους πράξαντας τὰ περὶ τὴν ὁσίαν νενομισμένα, καὶ τὸν τάφον ὀρύξαντας, καὶ τὸ σῶμα καλύψαντας, εὐθὺς ἀποχωρεῖν μὴ τεθεαμένους τινὰς τῶν εὐλαβεστάτων γυναικῶν, μήτε παρά τινων αὐτῶν θεαθέντας. ἀλλὰ μηδὲ ἐπινοείτωσαν πρόφασιν ἢ ἄνδρες τῆς εἰς γυναικεῖα μοναστήρια παρόδου, ἢ γυναῖκες τῶν ἀνδράσιν ἀφωρισμένων, καὶ προφάσει τῶν περὶ τὴν ὁσίαν πρατ- E τομένων· ἃς δὴ μνήμας ποιοῦσιν, εἰς τρίτην καὶ ἐννάτην συνιόντες ἡμέρας, ἢ ἡνίκα τεσσαράκοντα ἐξήκοιεν, ἢ καὶ ἐνιαυτός. ἐξὸν, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν· εἰ δὲ ἀνδρῶον, ἄνδρας· καὶ μὴ προφάσει τῶν τοιούτων παρατηρήσεων ἀδοξίαν τινὰ τοῖς εὐαγέσι μοναστηρίοις προστρίβεσθαι.

ΖΩΝΑΡ. Παντὸς σκανδάλου ἀπηλλάχθαι ὁ κανὼν οὐχὶ τοὺς ἀσκητὰς ἀπαιτεῖ, ἀλλὰ τοὺς πιστοὺς ἅπαντας, καὶ μήτε ἑαυτοῖς δι' ἑτέρων περιποιεῖν σκάνδαλα, μήτε ἑτέροις δι' ἑαυτῶν, τοὺς δὲ μοναχοὺς πολλῷ πλέον. τὸ F δὲ ἐν γυναικείῳ μοναστηρίῳ καθεύδειν ἄνδρας, ἢ τοὐναντίον, καὶ αὐτοῖς ἐκείνοις σκανδάλων αἴτιον ἔσται καὶ ἄλλοις. ἔμφυτον γὰρ τῇ σαρκὶ τὸ πῦρ τὸ ἐκ τῶν παθῶν, καὶ μόλις ἡμῶν ὕλης ἀναπτούσης αὐτὸ πόῤῥω ἑαυτοὺς καθιστῶσι μαλθακώτερον γένοιτ' ἄν. εἰ δὲ ἡμεῖς αὐτῷ παρατιθέαμεν ὑπεκκαύματα, λαῦρον ἔσται, καὶ καταπρήσει ὡς χόρτον ῥᾳδίως ἡμᾶς. τί δ' ἂν ἔσται ἀνδράσι πρὸς τὸ τῆς ἐπιθυμίας πῦρ δραστικώτερον ὑπέκκαυμα γυναικὸς, ἢ γυναιξὶν αὖθις ἀνδρὸς πρὸς ἔξαψιν τῆς τοιαύτης φλογός. καὶ οὕτως μὲν ἀλλήλοις οἱ μονασταὶ λαβὰς σκανδάλου παρέξουσιν, ἑτέρους δὲ σκανδαλίζουσιν, ὁρῶντας γυναῖκας ἐν ἀνδρῶν καταγωγίοις διανυκτερευούσας, ἢ ἄνδρας ἐν ἀσκητηρίῳ γυναικῶν ὁμοίως ποιοῦντας. ταχύποπτοι γὰρ οἱ πλείους, καὶ ἀφορμὰς ζητοῦντες σκανδάλων ἢ καὶ διαβολῶν. διὸ καὶ τοῖς πατράσιν ἀπηγόρευται τοῦτο ὡς οὐκ εὔσχημον· τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας ἀφορισμῷ κολάζουσιν.

ΑΡΙΣΤ. Οὔτε γυναῖκα χρεὼν ἐν ἀνδρῶν καθευδῆσαι μοναστηρίῳ· οὔτε γυναικῶν, ἄνδρα. Σαφής.

ΚΑΝΩΝ μη'.

Η τοῦ πρὸς ἐπισκοπῆς προεδρείαν ἀναγομένου γυνὴ κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν, ἐν μοναστηρίῳ εἰσίτω πόῤῥω τῆς τοῦ Επισκόπου καταγωγῆς ᾠκοδομημένῳ, καὶ τῆς ἐκ τοῦ Επισκόπου προνοίας ἀπολαυέτω. εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίας ἀναβιβασθήσεται ἀξίωμα.

ΒΑΛΣ. Οἱ μὲν ἅγιοι ἀπόστολοι ἐν πέμπτῳ κανόνι διοριζόμενοι, Επίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλέτω προφάσει εὐλαβείας, ἐνέδωκαν τοῖς Επισκόποις καὶ μετὰ τὴν χειροτονίαν ἔχειν τὰς οἰκείας γυναῖκας. οἱ δὲ τῆς παρούσης συνόδου ἅγιοι πατέρες ἐν μὲν τῷ ιβ'. κανόνι διωρίσαντο ὅσα δῆτα καὶ ὡρίσαντο. ἀρτίως δὲ παρακελεύονται τὸν ψηφιαθέντα εἰς ἐπισκοπὴν ἀποδιΐστασθαι τῆς προσούσης αὐτῷ γυναικὸς, κατὰ κοινὴν ἀρέσκειαν, καὶ μετὰ τὴν χειροτονίαν ἐν μοναστηρίῳ εἰσέρχεσθαι τὴν γυναῖκα, πόῤῥω ὄντι τῆς ἐπισκοπῆς. τὸ γὰρ ἀλλήλους ὁρᾷν συνεχῶς, ἀναμιμνήσκειν μέλλει πάντως αὐτοὺς τῆς προτέρας διαγωγῆς τε καὶ συμβιώσεως, καὶ ὑπεκκαίειν τὸν ἔρωτα. οὕτω δὲ τούτου γινομένου, ἀξιοῦσθαι τὴν γυναῖκα παρὰ τοῦ Επισκόπου προνοίας σωματικῆς, ἐνδεῆ οὖσαν· εἰ γὰρ εὐπορεῖ, οὐδέν τι δοθήσεται αὐτῇ παρὰ τοῦ Επισκόπου. οὐ γὰρ αὐτὸς εὐπορῶν δύναταί τι εἰς ἑαυτὸν δαπανᾷν ἐκ τῶν εἰσόδων τῆς ἐπισκοπῆς. εἰ δὲ καὶ ὁ βίος τῆς γυναικὸς σεμνός ἐστι καὶ τοῦ βαθμοῦ τῆς διακονίας ἄξιος, καὶ πρὸς ταύτην προαναβιβασθήσεται. ταῦτα τοῦ κανόνος διοριζομένου, ἐρωτήσει τις, ὡς τῆς ρκζ'. Ιουστινιανείου νεαρᾶς τῆς πολλάκις ἐν τῷ παρόντι βιβλίῳ καταστρωθείσης, ἀπαγορευούσης τὸ κατὰ συναίνεσιν τῶν ὁμοζύγων λύεσθαι τὰ συνοικέσια, πῶς ὁ παρὼν κανὼν διορίζεται ἀποδιΐστασθαι κατὰ συναίνεσιν τοῦ ὑποψηφίου ἀνδρὸς τὴν γυναῖκα; Λύσις. κατὰ συναίνεσιν μὲν οὐ λύεται συνοικέσιον· ἐξ εὐλόγου δὲ αἰτίας λύεται. καὶ ὥσπερ τοῦ ἑνὸς τῶν ὁμοζύγων ἀποκειρομένου λέγομεν ἀγαθῇ χάριτι τὴν διάζευξιν γίνεσθαι· οὕτω καὶ τοῦ ἀνδρὸς ψηφιαθέντος, λυθήσεται μετὰ τὴν χειροτονίαν καὶ τὸ συνοικέσιον. καὶ οὐ δοκεῖ κατὰ συναίνεσιν λύεσθαι τοῖς νόμοις ἀπαράδεκτον· πρὸ δὲ τῆς χειροτονίας οὐ λύεται, ὅτι εἰκός ἐστιν αὐτὴν μὴ προβῆναι διά τινα ἀναφυησόμενα εὔλογα αἴτια. τί δὲ, τῆς γυναικὸς μὴ ἀρεσκομένης ἰδιοστατῆσαι ἐκ τοῦ ψηφιαθέντος ὁμοζύγου αὐτῆς, ἐμποδισθήσεται ἡ χειροτονία; Λύσις. δοκεῖ μοι τὴν ψῆφον ἀκυροῦσθαι, ἐὰν ἡ γυνὴ τοῦ ἀνδρὸς ἀνακαλῆται τὴν συζυγίαν. διὰ τοῦτο γὰρ εἴρηκεν ὁ κανὼν, κατὰ συναίνεσιν καὶ αὐτῆς τὴν διάστασιν γίνεσθαι· ὡς μὴ δυναμένην γενέσθαι, εἰ αὕτη ἀπαναίνεται τὴν διάζευξιν. εἰ δέ τις ἐρεῖ, καὶ μὴν ἡ ἀπόκαρσις καὶ μὴ θέλοντος θατέρου τῶν ὁμοζύγων γίνεται ἀσφαλῶς, εἰπὲ πρὸς αὐτὸν, ὅτι ἐπὶ μὲν τῆς ἀποκάρσεως, ὁ παραλειφθεὶς δύναται πρὸς συζυγίαν ἑτέραν ἐλθεῖν, καὶ οὐκ ἀδικεῖται τοσοῦτον· ἐπὶ δὲ τῆς χειροτονίας, οὐ δύναται πρὸς ἕτερον γάμον ἐλθεῖν ἡ τοῦ χειροτονηθέντος γυνὴ ἀποκειρομένη, καὶ ὡς μεγάλως ἐντεῦθεν ἀδικουμένη, εἰσακουσθήσεται μὴ θέλουσα τὴν διάζευξιν.

A sionis causa, tum aliis quoque, quicunque aut muliebrem in diversorio virili, aut virorum in muliebri asceterio pernoctationem animadverterint. Suspiciosi etenim sunt plerique homines, quique offensionis & calumniæ occasiones undique aucupantur. Eam rem igitur, à recti specie quippe alienam, Patres hac constitutione damnant; quique constitutioni non paruerint, eos segregatione mulctari jubent.

Arist. *Neque mulierem in virorum, nec virum in mulierum monasterio dormire oportet.* Perspicuus.

Canon XLVIII.

B *Uxor ejus, qui ad Episcopalem dignitatem promotus est, communi sui viri consensu prius separata, postquam in Episcopum ordinatus est, monasterium ingrediatur procul ab Episcopi habitatione extructum, & Episcopi providentia fruatur. Sin autem digna visa fuerit, etiam ad diaconatus dignitatem provehetur.*

Bals. Sancti quidem Apostoli in v. canone definientes, Episcopus, vel Presbyter, vel Diaconus suam uxorem ne ejiciat pietatis prætextu, concesserunt C Episcopos post ordinationem habere proprias uxores. Præsentis autem Synodi sancti patres in xii. quidem canone definierunt, quæ tandem definierunt. Nunc autem jubent eum, qui electus est Episcopus, ab ea quam habet uxore communi consensu separari, & post consecrationem mulierem monasterium ingredi, quod sit longè ab Episcopatu. Se enim invicem frequenter intueri, priorem eorum vitæ rationem ac consuetudinem est omnino in memoriam eis revocaturum, & amorem accensurum. Cùm hoc autem sic fiat, mulierem quidem ab Episcopo dignam existimari providentia corporali, si sit D pauper: sin autem sit locuples, nihil ei ab Episcopo dignam existimari providentia corporali, si sit pauper: sin autem sit locuples, nihil ei ab Episcopo dabitur; quoniam nec si ipse quidem sit locuples, ex Episcopatû reditibus quidquam potest in seipsum expendere. Si autem ejus uxoris vita sit gravis & gradu diaconatûs digna, ad eam quoque provehetur. Hæc cùm à canone decernantur, interrogabit quispiam, cùm Iustiniani cxxvii. Novella, quæ in præsenti libro sæpe posita est, prohibeat conjugum consensu dissolvi matrimonium, quomodo decernit præsens canon, uxorem ab electo marito consensu separari? E Solutio. Consensu quidem non solvitur matrimonium: sed justa de causa solvitur: & quemadmodum, si unus ex conjugibus tondeatur, dicimus bona gratia separationem fieri: ita & viro electo post ordinationem solvetur conjugium. Nec videtur consensu solvi matrimonium, quod legibus non admittitur. Ante ordinationem autem non solvitur, quoniam consentaneum est eum fortè non provehendum propter aliquas probabiles causas exorituras. Quòd si mulieri non placeat seorsum à suo conjuge, qui electus est, vitam agere, impedieturne ordinatio? Solutio. Videtur mihi esse infirmanda electio, si uxor mariti conjugium revocet. F Propterea enim dixit canon, ejus quoque consensu separationem fieri: ut quæ non possit fieri, si ipsa divortium recuset. Si quis autem dicat, Atqui monachalis tonsura, etiam nolente altero ex conjugibus, fit securè; dic ei, quòd in tonsura quidem, is qui relictus est, potest ad alterum venire conjugium, nec tanta injuria afficitur: in consecratione autem non potest ad alterum venire matrimonium consecrati Episcopi uxor quæ tondetur, & ut quæ magna ea ex re injuria afficiatur, audietur si nolit separari. Quòd autem ordinati uxor tonderi, & monaſticam vitam agere non cogetur, coram Imperatore ſancto Domino Iſaacio Angelo diſceptatum eſt, menſe Septembri indictionis v. præſentibus tribus Patriarchis, Conſtantinopolitano, Antiocheno, & Hieroſolymitano, & Metropolitanis circiter xl. & judicatum eſt, quòd ordinati uxor neceſſariò detonderi debet. Quære igitur dictam conſtitutionem, in Chartophylacio repoſitam. Præterea interrogabit aliquis, cur, cùm canon dicat, Nullum monaſticam vitam invitum ſubire oportere, ejus, qui electus eſt, uxor, quæ nihil mali fecit, in monaſterium includitur? Sol. Dicunt quidam, quòd quoniam canon non ſtatuit expreſsè eam eſſe tondendam, includetur quidem in monaſterio, tonderi tamen non cogetur, quemadmodum & adulteratæ mulieres, vel quæ alias extremè deliquerunt: & maximè quoniam etiam ad Diaconatus dignitatem vult eam poſſe provehi, quæ aliquando mulieribus laïcis concedebatur. Mihi autem videtur oportere eam neceſſariò tonderi. Licebat enim ei ante conſecrationem, ut dictum eſt, à proprio marito non ſeparari, & ita efficere, ut nec conſecratio nec tonſura locum haberet. Quoniam autem per conſecrationem divortium elegit, per tonſuram cogetur ſeparationem perficere, & non ludere ubi non eſt ludendum. Cum laïco enim habitu eam eſſe in monaſterio, ſupplicii non beneficii opus eſt: quod ad non parvum conſecrationis dedecus ſpectat. Quare nec vi ſuſcipi tonſura, ſed ſponte ac conſilio reputatur. Quòd autem laïcæ ſolum mulieres dignæ Diaconiſſæ dignitate habeantur, verùm non eſt. Nam & monachæ ea dignæ habebantur. Alioqui ſi conceſſum fuerit, ut cum laïco habitu ingrediatur monaſterium, ejus qui conſecratus eſt uxor, juſtè ac probabili de cauſa extrà quoque verſari quæret, fortè autem etiam cum alio viro conjungi, vel etiam cum eo, qui Epiſcopus factus eſt, conſuetudinem habere: quod quidem eſt abſurdum, & contra divinorum canonum voluntatem. Nota ergo hæc omnia, & maximè propter eos qui exiſtimant Sacerdotum uxores poſſe etiam ſecundò nubere. Exiſtimo enim, quòd ab hoc canone, eis ſecundò nubere non permittetur. Quoniam autem in multis nomocanonis invenitur Iuſtiniani novella (ſita in iii. lib. Baſilic. tit. primo cap. vii. quod quidem poſitum eſt à nobis in cap. xxiii. primi tituli præſentis operis) quæ ſtatuit ad Epiſcopalem dignitatem non eſſe provehendum qui habet uxorem vel liberos, vel eum alioqui, qui præter hæc facit, deponendum, & frequens de ea re mentio facta eſt: Dicimus eam Novellam exoleviſſe, eo quod in Baſilicis non ponitur; hunc autem canonem eſſe in uſu, & ſecundam Novellam Imperatoris Domini Leonis philoſophi, quam lege, quæ hæc apertè decernit circa finem. Noſtra igitur Imperatoria, quæ ex Deo eſt, majeſtas, ſi mandatis Divinis inſiſtatur, id longè convenientius fore animadvertens, conſonam illis profert legem; & quemadmodum ipſis videtur ad primarium Sacerdotium promoveri, qui illo honore alioqui dignus ſit, etiamſi liberos habeat legitimos: & ita quidem cenſens, ut à lege quæ contradicere auſa fuit, in audaciæ pœnam perpetuum in futurum exigatur ſilentium.

A τὸ περὶ τοῦ μὴ ἀναγκάζεσθαι τὴν γυναῖκα τοῦ χειροτονηθέντος ἀποκείρεσθαι καὶ μονάζειν, ἐλαλήθη ἐνώπιον τοῦ βασιλέως τοῦ ἁγίου κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου κατὰ τὸν σεπτέβριον μῆνα τῆς ε΄. ἰνδικτιῶνος, παρόντων πατριαρχῶν τριῶν, τοῦ Κωνσταντινουπόλεως, τοῦ Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ μητροπολιτῶν ὡσεὶ μ΄. καὶ διεγνώσθη ὀφείλειν ἀποκείρεσθαι κατὰ τὸ ἀπαραίτητον τὴν γυναῖκα τοῦ χειροτονηθέντος. ζήτει γοῦν τὸ τοιοῦτον σημείωμα καταταχθὲν ἐν τῷ χαρτοφυλακίῳ. ἔτι ἐρωτήσει τις διὰ τί τοῦ κανόνος λέγοντος μηδένα τὸν μονήρη βίον ἄκοντα ὑποδύεσθαι, ἡ τοῦ χειροτονηθέντος γυνὴ μηδὲν ἀδικήσασα B ἐγκλείεται εἰς τὸ μοναστήριον; Λύσις. τινὲς λέγουσιν ὡς ἐπεὶ ὁ κανὼν οὐ διορίζεται αὐτὴν ῥητῶς ἀποκείρεσθαι, ἀποκλεισθήσεται μὲν εἰς τὸ μοναστήριον, ἀποκαρῆναι δὲ οὐκ ἀναγκασθήσεται, κατὰ τὰς μοιχευθείσας γυναῖκας, ἢ καὶ ἄλλως ἐσχάτως παραπεσούσας· καὶ μάλιστα ὅτι καὶ πρὸς τὸ τῆς διακονίας ἀξίωμα θέλει ταύτην προάγεσθαι, ὃ ταῖς λαϊκαῖς γυναιξί ποτε χαριζόμενον. ἐμοὶ δὲ δοκεῖ ἐξ ἀνάγκης ὀφείλειν αὐτὴν ἀποκείρεσθαι. ἐξῆν γὰρ ταύτῃ πρὸ τῆς χειροτονίας, ὡς εἴρηται, μὴ διαζυγῆναι τοῦ οἰκείου ἀνδρός, κἀντεῦθεν καὶ τὴν χειροτονίαν ἀπρακτῆσαι καὶ τὴν ἀπόκαρσιν. ἐπεὶ δὲ διὰ τὴν χειροτονίαν τὴν C διάζευξιν ἠρετίσατο, ἀναγκασθήσεται διὰ τῆς ἀποκάρσεως τελειῶσαι τὸ διαζύγιον, καὶ μὴ παίζειν ἐν οὐ παικτοῖς. τὸ γὰρ μετὰ λαϊκοῦ σχήματος εἶναι αὐτὴν εἰς τὸ μοναστήριον, κολάσεως ἔργον ἐστὶν οὐκ εὐεργεσίας· ὅπερ εἰς ἀτιμίαν τῆς χειροτονίας ἀφορᾷ οὐ μικράν. διὸ οὐδὲ λογίζεται ἀναγκαστικὴ ἡ ἀπόκαρσις, ἀλλὰ αἱρετή. τὸ δὲ λαϊκὰς μόνας γυναῖκας ἀξιοῦσθαι διακονικοῦ ἀξιώματος, οὐκ ἔστιν ἀληθές· καὶ μονάζουσαι γὰρ ἠξιοῦντο αὐτοῦ. ἄλλως τε εἰ δοθῇ μετὰ λαϊκοῦ σχήματος εἶναι εἰς τὸ μοναστήριον τὴν τοῦ χειροτονηθέντος γυναῖκα, ζητήσει εὐλόγως καὶ ἐκτὸς διατρίβειν αὐτοῦ, ἴσως δὲ καὶ συζευχθῆναι ἑτέρῳ ἀνδρί, ἢ καὶ D μετὰ τοῦ ἐπισκοπεύσαντος συνδιάγειν· ὅπερ ἄτοπον καὶ τοῖς θείοις κανόσιν ἀβούλητον. σημείωσαι οὖν ταῦτα πάντα διὰ τοὺς ἀξιοῦντας δευτερογαμεῖν τὰς τῶν ἱερέων γυναῖκας. νομίζω γὰρ ὡς ἀπὸ τοῦ παρόντος κανόνος οὐ παραχωρηθήσονται δευτερογαμῆσαι. ἐπεὶ δὲ ἐν πολλοῖς τῶν νομοκανόνων εὑρίσκεται νεαρὰ Ἰουστινιανείου (κεῖται δὲ ἡ τοιαύτη νεαρὰ καὶ εἰς βιβλίον γ΄. τῶν βασιλικῶν, τίτλ. α΄. κεφ. ζ΄. ὅπερ κατετέθη παρ᾽ ἡμῶν εἰς κεφ. κγ΄. τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος,) διοριζομένη μὴ ἀνάγεσθαι εἰς ἀξίωμα ἐπισκοπικὸν τὸν ἔχοντα γυναῖκα ἢ τέκνα, ἢ μὴν τὸν παρὰ ταῦτα χειροτονηθησόμενον καθαιρεῖσθαι, καὶ ἐλαλήθησαν τὰ περὶ τούτου πολλάκις, λέγομεν ὡς τὰ τῆς E τοιαύτης νεαρᾶς ἠπράκτησαν διὰ τὸ μὴ τεθῆναι εἰς τὰ βασιλικά, καὶ ἐνεργοῦσι τὰ τοῦ παρόντος κανόνος, καὶ ἡ δευτέρα νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ἣν καὶ ἀνάγνωθι, διοριζομένην περὶ τὸ τέλος ταῦτα ῥητῶς. ἡ οὖν ἐκ Θεοῦ βασιλεία ἡμῶν τοῦτο ἁρμοδιώτερον κατανοοῦσα τοῖς θείοις ἕπεσθαι ἐντάλμασι, σύμφωνον ἐκείνοις ἐκφέρει νόμον. καὶ ὥσπερ αὐτοῖς δοκεῖ τὸ πρὸς ἀρχιερωσύνην ἀνάγεσθαι τὸν ἄξιον τιμῆς, κἂν ὦσι γοναὶ νόμῳ τετιμημέναι· οὕτως ὁρίζουσα τὸν ἀντιφθέγγεσθαι θρασυνθέντα νόμον, δίκην τῆς θρασύτητος, τὴν εἰς τὸν ἔπειτα χρόνον καὶ διηνεκῆ ἀφωνίαν εἰσπράττεσθαι.

F

Zonar. Si quis maritus ad Epiſcopale munus vocetur, eum non ab uxore invita divelli, ſed ea conſentiente & volente divortium fieri; eo vero facto, ne vel ſub eodem tecto, vel in vicinis ædibus uxor habitet, ſed in monaſterio procul ab Epiſcopi ſtatione degat, hoc canone conſtitutum. Mutuus namque & quotidianus illorum inter ſe conſpectus, prioris vitæ conſuetudiniſque memoriam proculdubio renovabit, & amoris in utroque flammam accendet. Uxori vero longè,

ΖΩΝΑΡ. Οὐκ ἀκούσης τῆς γυναικὸς διαζεύγνυσθαι αὐτῆς τὸν ἄνδρα βούλεται ὁ κανὼν καλούμενον εἰς ἐπισκοπήν, ἀλλ᾽ ἐκ συμφώνου, καὶ διαζευχθεῖσαν μὴ συνοικεῖν αὐτῷ, μήτ᾽ ἐγγὺς τῆς ἐκείνου κατοικίας οἰκεῖν, ἀλλ᾽ ἐν μοναστηρίῳ πόῤῥω κειμένῳ τῆς τοῦ Ἐπισκόπου καταγωγῆς. τὸ γὰρ ἀλλήλους ὁρᾶν συνεχῶς ἀναμιμνήσκειν μέλλει πάντως αὐτοὺς τῆς προτέρας διαγωγῆς τε καὶ συμβιώσεως, καὶ ὑπεκκαίειν σφίσι τὸν ἔρωτα. πόῤῥω δὲ οὔσης

προνοίας ἀπολαύειν κελεύει παρὰ τοῦ Ἐπισκόπου. τοῦτο δὲ νοητέον, A ὅτε μὴ οἴκοθεν ἐκείνη δύναται εἰς τὰ ἀναγκαῖα ἐπαρκεῖν ἑαυτῇ. εἰ γὰρ αὐτὸς ὁ Ἐπίσκοπος οὐ συγκεχώρηται περαιτέρω τῶν ἀναγκαίων εἰς ἑαυτὸν δαπανᾶν ἐκ τῶν τῆς ἐπισκοπῆς προσόδων, καὶ τοῦτο, ὅτε μὴ οἴκοθεν εὐπορεῖ τῶν ἀναγκαίων, πῶς οὐ μᾶλλον τῇ πρώην συνοικησάσῃ αὐτῷ κωλυθήσεται χορηγεῖν τι ἐκ τῶν τῆς ἐκκλησίας, δυναμένῃ πορίζεσθαι τὰ πρὸς διοίκησιν ἄλλοθεν; ὡς γοῦν ἐνδεεῖ κἀκείνῃ, ὅτε μὴ ἔχει, παρέξει ἐκ τῶν τῆς ἐπισκοπῆς. εἰ δὲ καὶ ὁ βίος αὐτῆς σεμνὸς εἴη, καὶ τοῦ βαθμοῦ τῆς διακονίας ἄξιος, καὶ πρὸς ταύτην προσβιβασθήσεται. B

ΑΡΙΣΤ. Ἡ διαζευχθεῖσα τοῦ Ἐπισκόπου μέλλοντος δέξασθαι, μετὰ τὴν χειροτονίαν εἰσίτω πρὸς μοναστήριον, τῆς ἐπισκοπῆς πορρωτάτω, καὶ ἀπολαυέτω τῆς προνοίας τοῦ Ἐπισκόπου.

Διὰ τὸ μὴ σκάνδαλον καὶ πρόσκομμα τοῖς λαοῖς εἶναι, δεῖ τὴν κατὰ κοινὴν συμφωνίαν, τοῦ ἀνδρὸς αὐτῆς διαζευχθεῖσαν, τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου, εἰς μοναστήριον εἰσέρχεσθαι, μετὰ τὴν χειροτονίαν αὐτοῦ, πόῤῥω κείμενον τῆς τοῦ Ἐπισκόπου καταμονῆς. τὴν δὲ πρόνοιαν αὐτῆς πᾶσαν γίνεσθαι παρὰ τοῦ Ἐπισκόπου. C

ΚΑΝΩΝ μθʹ.

Ἀνανεούμενοι καὶ τοῦτον τὸν ἱερὸν κανόνα, ὁρίζομεν ὥστε τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην Ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ, καὶ μηκέτι δύνασθαι γίνεσθαι αὐτὰ κοσμικὰ καταγώγια, μηδὲ ὑπό τινος τῶν ἁπάντων κοσμικοῖς ἀνδράσι ταῦτα ἐκδίδοσθαι, ἀλλ᾽ εἰ καὶ μέχρι νῦν γέγονε τοῦτο, μηδαμῶς κρατεῖσθαι ὁρίζομεν· τοὺς δὲ ἀπὸ τοῦ παρόντος τοῦτο πράττειν ἐπιχειροῦντας, ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις. D

ΒΑΛΣ. Ὁ κδʹ. κανὼν τῆς δʹ. συνόδου παρορώμενος, ὡς ἔοικεν, ἀνανεοῦται ἀρτίως. καὶ ἀνάγνωθι τὴν ἐκείνου ἑρμηνείαν καὶ τὴν ἑρμηνείαν τοῦ ιγʹ. κανόνος τῆς ζʹ. συνόδου ἀναγκαίαν οὖσαν.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν προηρμήνευται. κδʹ. ὢν τῆς δʹ. συνόδου.

ΑΡΙΣΤ. Ὅσα κατὰ γνώμην Ἐπισκόπου πέπηγε μοναστήρια, οὐκέτι κοσμικοῖς καταγώγια γίνεται· οὐδὲ κοσμικοῖς ἀνδράσιν ἐκδίδοται. E

Τὰ αὐτὰ τῷ εἰκοστῷ τετάρτῳ κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὁ κανὼν οὗτος λέγει. ὁ δὲ τέταρτος κανὼν τῆς αὐτῆς ἐν Χαλκηδόνι συνόδου κωλύει τὸ κτίζεσθαι μοναστήριον, ἄνευ βουλῆς τοῦ κατὰ τόπον Ἐπισκόπου.

ΚΑΝΩΝ νʹ.

Μηδένα τῶν ἁπάντων εἴτε λαϊκὸν εἴτε κληρικὸν κυβεύειν ἀπὸ τοῦ νῦν. εἰ δέ τις τοιοῦτο φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. F

ΒΑΛΣ. Ἐν τῷ μβʹ. καὶ ἐν τῷ μγʹ. κανόνι τῶν ἁγίων ἀποστόλων γέγραπται τοὺς κυβεύοντας παύεσθαι, ἢ μὴν καθαιρεῖσθαι ἢ ἀφορίζεσθαι. ὁ δὲ παρὼν κανὼν διορίζεται ἀπεντεῦθεν καθαιρεῖσθαι τοὺς ἱερωμένους κυβεύοντας, καὶ τοὺς λαϊκοὺς ἀφορίζεσθαι. ἀνάγνωθι καὶ κεφ. κζʹ. καὶ λθʹ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν τούτοις γραφέντα. ζητεῖται δὲ, ὡς τοῦ παρόντος κανόνος μὴ διοριζομένου ἀκολούθως τοῖς ἀποστολικοῖς κανόσι μετὰ παραγγελίας κολάζεσθαι τοὺς κυβεύοντας,

inquit, agenti, Epiſcopi cura providentiáque ſubveniet. Quod quidem ita eſt accipiendum, niſi mulieri ſcilicet, ex domeſtica iſtius copia, opportuna vitæ ſubſidia ſuppeditari queant. Si namque Epiſcopo ipſi, ne ſui quidem commodi cauſa, quidquam ex Epiſcopatus ſui proventibus, præterquam in neceſſarios uſus, idque niſi domeſticis facultatibus deſtituto, inſumere conceſſum eſt: quanto minus illi ad uxoris relictæ ſubſidium derivare aliquid ex Eccleſiæ bonis, ſi mulieri vitæ opportunitates aliunde ſuppeditentur, licebit? Igitur uxori quoque, ut indigenti, cum eam cuncta fecerint, ex Epiſcopali proventu ſubminiſtrabit. Quòd ſi etiam morum gravitate dignam ſe honore Diaconatûs exhibuerit, ad eum quoque gradum evehi fas eſſe decernit.

Ariſt. *Quæ à futuro Epiſcopo ſeparatur, poſt ordinationem Monaſterium ingrediatur, procul Epiſcopatus ſitum, & Epiſcopi curâ fruatur.*

Ne ſcandalum & offenſio populo detur, oportet eam communi conſenſu à viro ſuo ad Epiſcopatus dignitatem promoto ſeparatam, Monaſterium, poſt ipſius ordinationem, procul ab Epiſcopi habitatione extructum ingredi: Epiſcopum autem ei omnino providere.

Canon XLIX.

Hunc ſacrum etiam Canonem renovantes, decernimus, ut quæ Epiſcopali voluntate ſemel conſecrata fuerint Monaſteria, ſemper Monaſteria maneant, & res quæ ad ipſa pertinent Monaſterio ſerventur, & ea non poſſint eſſe ampliùs ſecularia habitacula, nec ab ullo ſecularibus tradi hominibus; ſed etiam ſi hoc hucuſque factum eſt, nequaquam ſervandum decernimus: eos autem, qui in præſentia & deinceps hoc facere aggrediuntur, Canonum quoque pœnis ſubjici.

Bals. Vigeſimus quartus Canon quartæ Synodi contemptus, ut eſt veriſimile, hîc renovatur. Et lege eam quæ illic eſt interpretationem, & interpretationem Can. xiii. Syn. vii. quæ neceſſaria eſt.

Zonar. Hic Canon antea interpretatus eſt, ut qui ſit xxiiii. Syn. iiii.

Ariſt. *Quæcunque Epiſcopi ſententiâ extructa ſunt Monaſteria, ne ſecularibus poſtea fiant habitacula, nec hominibus ſecularibus elocentur.*

Eadem quæ vigeſimus quartus Synodi Chalcedonenſis, etiam hic Can. dicit. Cæterùm quartus ejuſdem Synodi Chalcedonenſis Can. prohibet extrui Monaſterium, ſine ejus qui loco præeſt Epiſcopi voluntate.

Canon L.

Nullus ſive Laicus ſive Clericus, ab hoc deinceps tempore alea ludat. Si quis autem hoc facere deprehenſus fuerit, ſi ſit quidem Clericus, deponatur: Sin Laicus, ſegregetur.

Bals. Eos qui ludunt alea ceſſare, vel deponi ac ſegregari, in xlii. Canone & in xliii. ſanctorum Apoſtolorum ſcriptum eſt. Præſens autem Canon decernit, ab hoc tempore Sacerdotes, qui aleâ ludunt, deponi, & Laicos ſegregari. Lege & xxvii. cap. & xxxix. ix. tit. præſentis operis, & quæ in iis ſcripta ſunt. Quæritur autem, cùm præſens Canon non decernat conſequenter Apoſtolicis Canonibus, eos qui alea ludunt

Poſt denunciationem puniri, quemnam ſequi debeamus? Et mihi quidem videntur eſſe ſequendi Apoſtolici canones, utpote humaniores, & quòd præſens Synodus in ejus ix. canone de Clerico, qui cauponatoriæ officinæ præeſt, ſtatuens, non eum ex eo ipſo punit, ſed dicit, vel ceſſet, vel deponatur.

Zonar. Hoc ludi genus xlii. & xliii. Apoſtolici canonis decreto interdictum reperias.

Arist. *Nec Laicum alea ludere oportet.* Perſpicuus.

Canon LI.

Omnino prohibet hæc ſancta & univerſalis Synodus, eos qui dicuntur mimi, & eorum ſpectacula, deinde venationum quoque ſpectationes, eáſque quæ fiunt in ſcena ſaltationes perfici. Si quis autem præſentem canonem contempſerit, & ſe alicui eorum quæ ſunt vetita dederit, ſi ſit quidem Clericus, deponatur: ſi vero Laicus, ſegregetur.

Bals. In xxiiii. canone præſentis Synodi plurima ſcripſimus de equorum curriculis, venationibus & reliquis ſpectaculis: quinetiam de mimis & ſaltationibus in ſcena, & lege ea. Interrogaverit autem quiſpiam, cur ille quidem canon ſtatuit, ſacris initiatos & Monachos, qui in equorum curriculis vel ludis thymelicis ſeu ſcenicis verſantur, ceſſare vel deponi: præſens autem canon dicit indiſtinctè, eos qui hujuſmodi rebus ſe dedunt, ſi ſint quidem Clerici, deponi, ſi Laici verò, ſegregari? Sol. Alterum eſt tolerabilius, aſcendere quandoque aliquem ad equorum curricula, aut in ludis ſcenicis deprehendi: alteri autem venia dari non poteſt, ſi quis ejuſmodi rebus ſe dediderit, & hoc opus perpetuò exerceat. Unde, qui ſemel quidem, prudentéſque ac ſcientes peccant, ut ceſſent admonentur: ſi nolint, deponuntur. Qui autem malo utuntur, ſi ſint quidem Clerici, ex eo deponuntur: ſi autem Laici, ſegregantur. Scias autem, quòd etiamſi in illo canone ſcripſimus quæ à nonnullis dicuntur, quòd non prohibentur qui hodie fiunt equorum curſus: ſed tamen ſcenicas ſaltationes, & mimorum in thymele ſpectacula, indiſtinctè prohiberi omnes aſſerunt ex utriſque canonibus. Venationum autem ſpectationes vocat canon, beſtiarum pugnas, eæ enim prohibentur, non tamen & leporum venationes. Propter horum autem Can. pœnas videntur eſſe excogitati ludi Imp. Contopæctes ſcilicet, Maro, Achilles, Octoëchus & cæteri, ut qui ſpectantibus diſſolutionem & immodicum riſum non movent.

Zonar. Non remiſſe aut diſſolute vitam inſtituere, ſed eam quæ ſanctos viros decet morum integritatem ac ſeveritatem tueri, ex præſcripto Evangelicæ diſciplinæ fideles jubentur. Igitur ea omnia, per quæ animus minime neceſſaria remiſſione laxari, ejuſdémque contentio diſſolvi poteſt, undeque riſus immodici & cachinnationes exiſtunt, vetita hujus canonis decreto atque interdicta fuere. Sunt ejus generis mimorum ludicræ artes, qui nũc Arabas, nunc Armenios, nunc ſervi perſonam, nunc alia quædam imitatione effingentes, colaphis ſibi viciſſim impactis ſtrepituque incompoſito riſus inconditos movent, rudiorumq; proinde ſimplices animos quodam quaſi furore percellunt. Venationum vero ſpectacula, quæ hîc prohibentur non ea intelligẽda ſunt, cùm feræ canum miniſterio, aut alia ſimili ratione captãtur; Nec enim ſpectaculi vicem, ſed actionis potiùs cujuſdam ea res obtinet. Verùm in magnis urbibus feræ beſtiæ, leones nimirum urſique, alebantur, quæ quidem, cum ſtatis temporibus producerentur in theatrum, ibíque vel cum tauris, vel etiã cum hominibus, aut captivis aut rei capitalis damnatis, cõmitterentur, plures eo aſpectu oblectari ſoliti ſunt.

A τίνι προσέχειν ὀφείλομεν. καὶ πῶς ἐμοὶ δοκεῖ, καὶ τοῖς ἀποστολικοῖς κανόσιν, ὡς καὶ φιλανθρωποτέροις, καὶ ὅτι ἡ παροῦσα σύνοδος ἐν κανόνι αὐτῆς ἐννάτῳ περὶ κληρικοῦ προϊσταμένου καπηλικοῦ ἐργαστηρίου διαταττομένη, οὐκ ἀπεντεῦθεν τοῦτον κολάζει, ἀλλά φησιν, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ΖΩΝΑΡ. Καὶ ὁ μβʹ. καὶ ὁ μγʹ. τῶν ἁγίων ἀποστόλων κανὼν τοῦτο κωλύουσιν.

ΑΡΙΣΤ. Οὐδὲ τὸν λαϊκὸν κυβεύειν δέον. Σαφής.

B

ΚΑΝΩΝ ναʹ.

Καθόλου ἀπαγορεύει ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύνοδος, τοὺς λεγομένους μίμους, καὶ τὰ τούτων θέατρα, εἶτα γε μὴν καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις ἐπιτελεῖσθαι. εἰ δέ τις τοῦ παρόντος κανόνος καταφρονήσοι, καὶ πρός τι ἑαυτὸν τῶν ἀπηγορευμένων τούτων ἐκδῷ· εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Ἐν τῷ κδʹ. κανόνι τῆς παρούσης συνόδου ἐγράψαμέν C τινα διάφορα χάριν τῶν ἱπποδρομιῶν, τῶν κυνηγίων, καὶ τῶν λοιπῶν θεωριῶν, ἀλλὰ μὴν καὶ περὶ τῶν μίμων καὶ τῶν ἐπὶ σκηνῆς ὀρχήσεων, καὶ ἀνάγνωθι ταῦτα. ἐρωτήσει δέ τις, διὰ τί ἐκεῖνος μὲν ὁ κανὼν διορίζεται τοὺς ἱερωμένους καὶ τοὺς μοναχοὺς, τοὺς ἀσχολουμένους ἐν ἱπποδρομίαις ἢ θυμελικοῖς παιγνίοις, παύεσθαι ἢ καθαιρεῖσθαι· ὁ δὲ παρὼν φησιν ἀδιαστίκτως, τοὺς εἰς τὰ τοιαῦτα ἐκδόντας ἑαυτοὺς, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀφορίζεσθαι; Λύσις. ἕτερόν ἐστι φορητότερον τὸ ἀνιέναι τινὰς εἰς ἱπποδρομίας ἔστιν ὅτε, ἢ ἐπὶ θυμελικοῖς παιγνίοις ἁλῶναι· καὶ ἕτερον ἀσύγγνωστον τὸ ἐκδοῦναι ἑαυτοὺς εἰς τὰ τοιαῦτα, καὶ τοῦτο ἔργον ἔχειν D διηνεκές. ὅθεν καὶ οἱ μὲν ἐφάπαξ μετὰ προσοχῆς ἁμαρτάνοντες, ἐπιφωνοῦνται παύσασθαι· εἰ μὴ θέλοιεν, καθαιρεθῆναι. οἱ δὲ κατακεχρημένοι τῷ κακῷ, κληρικοὶ μὲν ὄντες ἀπεντεῦθεν καθαιροῦνται, λαϊκοὶ δὲ, ἀφορίζονται. ἔσο δὲ εἰδὼς, ὡς εἰ καὶ ἐν ἐκείνῳ τῷ κανόνι ἐγράψαμεν τὰ παρά τινων λεγόμενα, χάριν τοῦ μὴ κωλύεσθαι τὰς σήμερον τελουμένας ἱπποδρομίας, ἀλλά γε τὰς ἐπὶ σκηνῆς ὀρχήσεις καὶ τὰ ἐπὶ θυμέλης τῶν μίμων θεώρια ἀδιαστίκτως κολάζεσθαι πάντες λέγουσι, καὶ ἐξ ἀμφοτέρων τῶν κανόνων. κυνηγίων δὲ θεώρια λέγει ὁ κανὼν τὰς θηριομαχίας· αὗται δὲ κωλύονται· οὐ μὴν τὰ λαγωκυνήγια. ἔοικε δὲ διὰ τὰ τῶν τοιούτων κα- E νόνων ἐπιτίμια ἐπινοηθῆναι τὰ βασιλικὰ παίγνια· τὸν κοντοπαίκτην δηλαδὴ, τὸν Μάρωνα, τὸν Ἀχιλλέα, τὴν Ὀκτώηχον, καὶ τὰ λοιπά. ὡς μὴ διάχυσιν καὶ γέλωτα ἄσεμνον ἐμποιοῦντα τοῖς βλέπουσιν.

ΖΩΝΑΡ. Τοὺς πιστοὺς ἡ ἀκρίβεια τῆς εὐαγγελικῆς πολιτείας μὴ ἀνειμένως καὶ διακεχυμένως βιοῦν βούλεται, ἀλλ᾽ ὡς πρέπει ἁγίοις. διὰ τοῦτο οὖν ὁ κανὼν ὅσα διάχυσιν τῇ ψυχῇ ἐμποιοῦσι παρὰ τὸ ἀναγκαῖον, ἐκλύουσί τε καὶ χαυνοῦσι τὸν τόνον αὐτῆς, καὶ πρὸς γέλωτας βρασματώδεις παρακινοῦσι καὶ καγχασμοὺς, ἀπηγόρευσεν, οἷά εἰσι τὰ τῶν μί- F μων, οἳ ποτὲ μὲν Ἀρραβίτας μιμούμενοι, ποτὲ δὲ Ἀρμενίους, ποτὲ δὲ δούλους, ἐνίοτε δ᾽ ἕτερ᾽ ἄττα τοῖς ἐπὶ κόρρης ῥαπίσμασι καὶ ψοφήμασι, γέλωτας ἀπρεπεῖς κινοῦσι, καὶ οἷον ἐκβακχεύουσι τοὺς ἀφελεστέρους ἢ ἀπροσεκτοτέρους. τὰ δὲ τῶν κυνηγίων θεώρια, οὐ τὸ θηρεύειν διὰ τῶν κυνῶν ἢ ἄλλως ἐστί. τοῦτο γὰρ οὐ θεώριον, ἀλλ᾽ ἔργον ἐστίν. ἐν ταῖς πόλεσι δὲ ταῖς μεγίσταις θηρία ἐτρέφοντο λέοντες καὶ ἄρκτοι, καὶ κατά τινας καιροὺς ἐξήγοντο εἰς τὰ θέατρα, καὶ ποτὲ μὲν ταύροις ἐμάχοντο, ποτὲ δὲ καὶ ἀνθρώποις, αἰχμαλώτοις τυχὸν ἢ κατακρίτοις, καὶ ἥδετο ταῦτα τοῖς θεωμένοις πρὸς ἡδονήν.

ταῦτα δὲ ἀπαγορεύει γίνεσθαι ὁ κανὼν, ὡς ὠμότητα κατηγοροῦντα τῶν θεωμένων, καὶ τὰς ἑτέρων συμφορὰς χαρμονὰς οἰκείας λογιζομένων. καὶ τὰς ἐπὶ σκηνῆς δὲ ὀρχήσεις κωλύει. σκηνὴ δέ ἐστιν ἡ προσποίησις καὶ ὑπόκρισις, ὅθεν καὶ σκηνικοὶ λέγονται οἱ ὑποκρινόμενοι, καὶ ἀπεικάζοντες ἑαυτοὺς ποτὲ μὲν δούλοις, ποτὲ δὲ δεσπόταις, ποτὲ δὲ στρατηγοῖς καὶ ἄρχουσιν. ὥσπερ οὖν ταῦτα ἐκώλυσεν ὁ κανὼν διὰ τῶν μίμων, οὕτω καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, εἴτε δι' ἀνδρῶν γίνοιντο ἀπρεπῶς λυγιζομένων, καὶ ἀσχημονούντων ἐν τῷ ὀρχεῖσθαι, εἴτε διὰ γυναικῶν εἰς ἀκολασίαν τοὺς ὁρῶντας ἐκκαλουμένων. τοῖς δὲ μὴ φυλάσσουσι τὸν κανόνα, ἀλλ' ἐκδιδοῦσιν ἑαυτοὺς δι' αὐτοῦ ἀπαγορευθεῖσι, κληρικοῖς μὲν οὖσι καθαίρεσιν ἐπάγει· λαϊκοῖς δὲ ἀφορισμόν.

ΑΡΙΣΤ. Οὐδὲ μῖμον εἶναι, οὐδὲ θεάτρων, καὶ κυνηγίων ἀνέχεσθαι· ἀφορίζεται γάρ. ὁ δὲ κληρικὸς καθαιρεῖται.

Καὶ οἱ λαϊκοὶ χριστιανοὶ ὄντες σεμνῶς ἀπαιτοῦνται διαβιώσκειν. καὶ διὰ τοῦτο ὁ κανὼν τοὺς κυβεύοντας ἐξ αὐτῶν, ἢ ὀρχήσεις ἐπὶ σκηνῆς ἐπιτελοῦντας, ἢ μίμους γινομένους, καὶ πρὸς θέαν ἀνθρώπους ἐπισυνάγοντας, ἢ πρὸς κυνηγέσια ἐνασχολουμένους, ἀφορίζει· κληρικοὺς δὲ εἴ τι τῶν ἀπηγορευμένων ποιήσουσι, καθαιρεῖ.

ΚΑΝΩΝ νβʹ.

Ἐν πάσαις ταῖς τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου καὶ κυριακῆς καὶ τῆς ἁγίας τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία.

ΒΑΛΣ. Αἱ τῶν νηστειῶν ἡμέραι, πένθους εἶναι ἐτάχθησαν καὶ κατανύξεως εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων. τὸ δὲ προσάγειν τῷ θεῷ θυσίαν, πανηγυρίζειν ἐστί. τὸ δὲ πανηγυρίζειν οὐδέν τι ἄλλο ἐστὶν ἢ χαρμονή. πῶς οὖν ἐν ταυτῷ δύναταί τις πενθεῖν καὶ διακεχύσθαι; διὰ τοῦτο ὥρισαν οἱ πατέρες μὴ γίνεσθαι θυσίαν δι' ὅλης τῆς τεσσαρακοστῆς ἄνευ σαββάτου καὶ τῆς ἡμέρας τοῦ εὐαγγελισμοῦ. ἐν ταύταις γὰρ πανηγυρίζειν, ἀλλ' οὐ πενθεῖν ἢ νηστεύειν, ἢ γόνυ κάμπτειν, προστετάγμεθα. τὴν δὲ λειτουργίαν τῶν προηγιασμένων ἀναίμακτον θυσίαν οὐ λέγομεν, ἀλλὰ προσαγωγὴν τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης θυσίας καὶ τελείας ἱεροτελεστίας. νομίζω δὲ, ὅτι καὶ τὰ ἀκριβῆ τῶν μοναστηρίων, διὰ τὸν παρόντα κανόνα, πρὸ τῆς τυροφάγου ψάλλουσι καὶ ἀναγινώσκουσι τοὺς κανόνας καὶ τὰ μαρτύρια τῶν κατὰ τὴν ὅλην τεσσαρακοστὴν προβαινουσῶν ἑορτῶν καὶ μνημῶν ἁγίων. σημείωσαι οὖν καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κυρίως μία ἐστὶ τεσσαρακονθήμερος. εἰ γὰρ ἐπεγινώσκετο καὶ ἑτέρα, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ μὴ γίνεσθαι τὴν ἱεροτελεστίαν διὰ τελείας θυσίας, ἀλλὰ διὰ προηγιασμένων, καθὼς ὡρίσθη τοῦτο γίνεσθαι καὶ ἐν τῇ τεσσαρακοστῇ τοῦ μεγάλου Πάσχα.

ΖΩΝΑΡ. Αἱ τῶν νηστειῶν ἡμέραι πένθους εἶναι ἐτάχθησαν, καὶ κατανύξεως εἰς ἐξίλασμα τῶν ἑκάστου σφαλμάτων. τὸ δὲ τῷ θεῷ προσάγειν θυσίας πανηγυρίζειν ἐστί· τὸ δὲ πανηγυρίζειν χαρμονῆς ἐστι. καὶ πῶς ἐν ταυτῷ τις πενθεῖν δύναται καὶ διακεχύσθαι; διὰ τοῦτο ἐν μὲν ταῖς ἄλλαις τῆς τεσσαρακοστῆς ἡμέραις ἡ τῶν προηγιασμένων γίνεται λειτουργία, οὐ τότε γινομένης τῆς ἀναιμάκτου θυσίας, ἀλλὰ τῆς ἤδη προσαχθείσης καὶ τελεσθείσης αὖθις προσαγομένης. κατὰ δὲ τὰ σάββατα καὶ τὰς κυριακὰς, ἐπεὶ ἐν ταύταις νηστεύειν ἀπηγόρευται, ἐνδέδοται καὶ θυσίαν προσφέρειν καὶ τελείαν λειτουργεῖν λειτουργίαν. ὁμοίως καὶ κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ. τιμῶμεν γὰρ αὐτὴν ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς σωτηρίας ἡμῶν, καὶ πανηγυρίζομεν ἐν αὐτῇ. διὸ οὐδὲ μνήμας ἁγίων ἐπιτελεῖν συγκεχώρηται ἐν ταῖς τῶν νηστειῶν ἡμέραις, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ, κατὰ τὸν να. κάν. τῆς ἐν Λαοδ. συνόδου.

A Ea igitur ſpectacula, quippe ſævitiæ aſtantium argumenta, qui aliena clade ad ſuas ipſi voluptates abuterentur, edi vetat Canon. Saltationes quoque in ſcenis exhiberi ſolitas damnat. Scena porro aſſimulatio atque imitatio quædam eſt, unde ſcenici hiſtriones dicuntur, qui ſervos aut dominos, nonnunquam exercituum ductores ac Principes viros agendo imitantur. Ut ergo iſta mimorum appellatione, ita ſcenicas ſaltationes, ſive à viris incompoſito ac turpi motu inter ſaltandum laſcivientibus, ſive à fœminis ad libidinem ſpectatores provocantibus, exerceantur, eodem hoc canone ſublata eſſe voluere. Cujus B quidem auctoritate neglecta, ſi quis ad ea, quæ hîc vetita ſunt, animum adjunxerit, depoſitione Clericos, Laicos verò ſegregatione mulctandos eſſe decernit.

ARIST. *Nec hiſtrionem agere, nec ſpectaculis & venationibus ſe indulgere: ſegregatur enim. Clericus autem deponitur.*

Etiam Laici Chriſtiani religioſè vitam agere admonentur. Propterea canon eos, qui ex illis alea ludunt, vel ſaltationes in ſcenâ peragunt, vel hiſtriones facti ſunt, & ad ſpectaculum homines congregant, aut in venationibus ſunt occupati, excommunicat. Clericos autem, ſi qui ex iis quæ prohibentur fecerint, deponit. C

CANON LII.

In omnibus ſanctæ Quadrageſimæ jejunii diebus, præterquam Sabbato & Dominica & ſancto Annunciationis die, fiat ſacrum præſanctificatorum miniſterium.

BALS. Statutum eſt ut jejuniorum dies, luctus & compunctionis dies ſint, ad ſua uniuſcujuſque expianda peccata. Deo autem ſacrificium offerre, eſt feſtum celebrare. Feſtus autem dies nihil eſt aliud quàm gau- D dium. Quomodo ergo poteſt quis ſimul & mœrere & lætitia diffundi? Et ideo ſtatuerunt Patres non fieri ſacrificium tota Quadrageſima, præterquam Sabbato & die Dominico & die Annunciationis. In his enim feſtum agere, non deflere vel jejunare vel genu flectere, juſſi ſumus. Præſanctificatorum autem miniſterium incruentum ſacrificium non dicimus, ſed oblationem priùs oblati & perfecti ſacrificii ſacríque myſterii. Exiſtimo autem, quòd quæ accuratam rationem ſequuntur monaſteria, propter præſentem canonem, ante Quinquageſimam canunt & legunt canones, & martyria feſtorum & ſacrarum memoriarum, quæ tota Quadrageſi- E ma proveniunt. Nota autem ex hoc canone, quòd propriè una eſt Quadrageſima. Si enim alia eſſet, cautum fuiſſet, ne in illa fieret ſacrum myſterium per perfectum ſacrificium, ſed per præſanctificata, ſicut etiam cautum eſt, ne fiat in magni Paſchæ Quadrageſima.

ZONAR. Jejuniorum tempora mœrori potiſſimùm dicata, expiandiſque intimo animi dolore cujuſque criminibus conſtituta ſunt. Deo porro ſacrificare feſtivæ celebritatis eſt, ea verò celebritas hilaritatis atque lætitiæ. At quo pacto quiſpiam & mœrere poteſt & gaudio ſimul effundi? Proinde aliis quidem Quadrageſimæ diebus celebrari ex præſanctificatis ſacra myſteria conſuevere, ne- F que ullus tunc quidē ſacrificii incruenti uſus admittitur, ſed eorum, quæ jam conſecrata ſemel atque altari admota ſunt, oblatio iteratur, Sabbatis verò ac Dominicis diebus, per quos exerceri jejunia leges haud ſivere, & ſacrificium offerre, & undique ſuis partibus abſolutum liturgiæ munus exhibere cōceſſum eſt. Similiter & Annunciationis die. Eam enim, ut principium caputq; ſalutis noſtræ, veneramur, feſtumque in eâ celebramus. Atque id etiam cauſæ fuit, cur ſanctorū quoque memoriam publice colere, quotieſcunq; jejunii tēpora inciderint, Sabbatis Dominiciſque diebus exceptis, li. Laodic. Syn. can. vetitū ſit.

Habet ſiquidem ſanctorum commemoratio jucunditatem & lætitiam. Jejunii vero dies non gaudio, ſed luctu tranſigi par eſt.

Arist. *Per totam Quadrageſimam, præterquam Dominicâ, Sabbato & Annunciationis die, præſanctificata offeruntur.*

Ratio quare totâ Quadrageſimâ, præterquam Sabbato, Dominicâ, & die Annunciationis, panis non offertur, ſed præſanctificata celebrantur, deſcripta eſt, quantum nobis licuit, in quadrageſimo nono Synodi Laodicenſis canone.

Canon LIII.

Quoniam ſpiritualis affinitas corporum conjunctione major eſt, in nonnullis autem locis cognovimus quoſdam, qui ex ſancto & ſalutari baptiſmate infantes ſuſcipiunt, poſtea quoque cum matribus illorum viduis matrimonium contrahere: ſtatuimus, ut in poſterum nihil fiat ejuſmodi. Si qui autem poſt præſentem canonem hoc facere deprehenſi fuerint, ii quidem primò ab illicito iſtiuſmodi matrimonio deſiſtant: deinde & fornicatorum pœnis ſubjiciantur.

Bals. Præſens canon fornicatorum pœnis ſubjicit eos, qui ſuas commatres viduas in matrimonii ſocietatem accipiunt: decernens has quoque eſſe divellendas contra leges contractas nuptias. Exiſtimo ergo, quòd ille quidem fornicatorum pœnis ſubjicietur, qui ab eo malo protinus recedit, & id confitetur. Qui enim in peccato perſeverat, etiam fortaſſe pluſquam ii, qui cum conſanguineis rem habent, punietur. Lege poſtremum decretum decimi capitis quinti tituli vigeſimi octavi libri Baſilic. poſitum in ſecundo Commentario quinti capitis decimi tertii tituli præſentis operis. Cùm hæc ita ſe habeant, quæſiverunt nonnulli, ad quem uſque gradum in ejuſmodi ſpirituali cognatione matrimonium prohibeatur. Et nonnulli quidem dixerunt, quòd quoniam & ex canone & ex lege major eſt ſpiritualis cognatio cognatione carnali, debemus ea ſequi quæ conſtituta ſunt de carnalibus nuptiis prohibitis. Compluribus autem non ita viſum eſt, ſed ad eas ſolas perſonas, quæ lege continentur, ejuſmodi cognationem extenderunt, & prohibitionem intentarunt. Vigeſimo quarto verò Imperatoris domini Leonis philoſophi novella, quæ vetat adoptatos matrimonio conjungi cum liberis ejus qui adoptavit, hæc circa finem inducit. Sed qui olim quidem non convenienti ratione eſt adoptatus, etiam ſi turpe quid & indecorum habet matrimonium, non tamen quòd contra leges fecerint, tenetur. Nunc autem cùm juſto & convenienti ritu fiat adoptio, & per ſacrum myſterium hi quidem ad parentum, illi verò ad filiorum ordinem locúmque deducantur: non jam reſtat ratio ulla ob quam filii adoptivi cum filiis naturalibus ejus qui adoptavit matrimonio jungantur. Sancimus ergo, nequaquam licere eos, qui fratrum nomen ſic ſubierunt, fraternitatis nomen conjugii nomine commutare. Nota ergo ex novella, quòd ſicut prohibentur quædam perſonæ, quæ per ſacrum baptiſmum cognationem invicem acceperunt, matrimonio conjungi, ita etiam prohibentur quæ per adoptionem fraternitatis cognationem acceperunt. Nota præterea quod per ſacras preces fit adoptio. Tene ergo hoc memoria: neque enim alibi invenitur, & ideo à multis ignoratur. Cùm autem lex dicat, Adoptio imitatur naturam, & ideo prohibeat eunuchos adoptare filium, & eum in ſua poteſtate habere: xxvi. ejuſdem Imperatoris philoſophi Novella hoc fieri permiſit, quam lege. Similiter

A καὶ αἱ μνῆμαι γὰρ τῶν ἁγίων χαρμόσυνοι· ἐν δὲ ταῖς τῶν νηστειῶν ἡμέραις πενθεῖν, ἀλλ' οὐ χαίρειν χρεών.

ΑΡΙΣΤ. Δι' ὅλης τῆς τεσσαρακοστῆς, δίχα κυριακῆς καὶ σαββάτου καὶ τῆς ἡμέρας τοῦ εὐαγγελισμοῦ, τὰ προαγιασθέντα προσάγονται.

Η αἰτία δι' ἣν ἐν ὅλῃ τῇ τεσσαρακοστῇ, ἄνευ σαββάτου καὶ κυριακῆς καὶ τῆς ἡμέρας τοῦ εὐαγγελισμοῦ, ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται, ἐγράφη κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἐν τῷ τεσσαρακοστῷ ἐννάτῳ κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου.

B

ΚΑΝΩΝ νγ'.

Ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ τὸ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας· ἔγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάσσοντας συνοικέσιον, ὁρίζομεν, ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. εἰ δέ τινες μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν συνοικεσίου τοιούτου τοῦ παρανόμου, ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

C ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἐπιτιμίοις πορνευόντων ὑποβάλλει τοὺς τὰς συντέκνους αὐτῶν χηρευούσας εἰς γάμου κοινωνίαν λαμβάνοντας· διοριζόμενος διασπᾶσθαι καὶ τὸν παράνομον γάμον. οἴομαι οὖν, ὅτι ἐκεῖνος ἐπιτιμίοις πορνευόντων ὑποβληθήσεται, ὁ ἑτοίμως ἀφιστάμενος τοῦ κακοῦ, καὶ ἐξομολογούμενος. ὁ γὰρ ἐπιμένων τῇ ἁμαρτίᾳ, καὶ ὑπὲρ τοὺς αἱμομίκτας σχεδὸν κολασθήσεται. καὶ ἀνάγνωθι τὸ τελευταῖον θέμα τοῦ ι. κεφ. τοῦ ε. τίτλου τοῦ κη'. βιβλίου τῶν βασιλικῶν, κατεστρωθὲν εἰς σχόλιον β'. τοῦ ε. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος. D τούτων οὕτως ἐχόντων, ἠρώτησαν τινὲς μέχρι πόσου βαθμοῦ ἐπὶ τῆς κατὰ πνεῦμα τοιαύτης συγγενείας ὁ γάμος κωλύεται. καὶ τινὲς μὲν εἶπον, ὡς ἐπεὶ καὶ ἀπὸ τοῦ κανόνος καὶ ἀπὸ τοῦ νόμου μείζων ἡ πνευματικὴ συγγένεια ἐστὶ τῆς κατὰ σάρκα συγγενείας, ὀφείλομεν ἀκολουθεῖν τοῖς νομοθετηθεῖσι χάριν τῶν σαρκικῶν κεκωλυμένων γάμων. τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἔδοξεν, ἀλλ' εἰς μόνα τὰ πρόσωπα τὰ τῷ νόμῳ περιεχόμενα τὴν τοιαύτην συγγένειαν, καὶ ἐξέτειναν, καὶ τὴν κώλυσιν ἐπέτειναν. ἡ μέντοι κδ'. νεαρὰ τοῦ βασιλέως Κυροῦ Λέοντος τοῦ φιλοσόφου κωλύουσα τοὺς υἱοθετουμένους πρὸς γαμικὴν ὁμιλίαν συνάπτεσθαι τοῖς τοῦ υἱοθετησαμένου παισὶν, ἐπάγει περὶ τὸ τέλος E ταῦτα. ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον υἱοθετουμένων προσήκοντα, εἰ καὶ ὁ γάμος ἔχει πως τὸ ἄδοξον, ὅμως οὐχὶ καὶ παρανομίας ἀνέχεται. νῦν δὲ κατὰ θεσμὸν γινομένης καὶ πρέποντα καὶ δίκαιον τῆς υἱοθετήσεως, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν εἰς γονέων τάξιν καθισταμένων, τῶν δὲ, εἰς τὴν τῶν παίδων, οὐκέτι περιλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ υἱοποιησαμένου παισὶ, τοὺς υἱοποιητοὺς παῖδας. τοιγαροῦν καὶ θεσπίζομεν μηδαμῶς ἐξεῖναι τοὺς οὕτως ὑποβεβηκότας τὸ τῶν ἀδελφῶν ὄνομα, πρὸς τὸ τῆς συζυγίας, ἀντὶ τοῦ τῆς ἀδελφότητος μεθαρμόζεσθαι. F σημείωσαι οὖν ἀπὸ τῆς νεαρᾶς, ὅτι ὥσπερ κωλύονταί τινα πρόσωπα διὰ τοῦ ἁγίου βαπτίσματος λαβόντα πρὸς ἄλληλα συγγένειαν, γαμικῶς συνάπτεσθαι, οὕτω κωλύονται καὶ τὰ διὰ τῆς υἱοθεσίας λαβόντα συγγένειαν ἀδελφότητος. ἔτι σημείωσαι ὅτι καὶ διὰ ἱερᾶς εὐχῆς γίνεται υἱοθεσία. ἔχε οὖν τοῦτο ἐπὶ μνήμης. οὐδὲ γὰρ εὕρηταί που ἀλλαχοῦ κείμενον, καὶ διὰ τοῦτο ἀγνοεῖται τοῖς πολλοῖς. τοῦ δὲ νόμου λέγοντος, ἡ θέσις μιμεῖται τὴν φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους λαμβάνειν εἰς θέσιν υἱὸν, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κϛ'. νεαρὰ τοῦ αὐτοῦ βασιλέως τοῦ φιλοσόφου ἐξεχώρησεν τοῦτο γίνεσθαι· ἀνάγνωθι ταύτην. ὡσαύτως καὶ ἡ κζ΄. νεαρὰ τοῦ αὐτοῦ βασιλέως διακελεύεται μὴ μόνας τὰς παιδοποιησάσας γυναῖκας υἱοθετεῖσθαι, ἀλλὰ καὶ τὰς παρθένους· ὥστε καὶ τοὺς παρὰ τούτων υἱοθετηθέντας ἔχειν, ὡς ὑπεξουσίους, δίκαια κληρονομίας ἐπ᾽ αὐτῶν· καὶ μηδὲ δεῖσθαι προστάξεως βασιλικῆς ἢ πράξεως δικαστικῆς, χάριν τοῦ υἱοποιήσασθαί τινα ὑπεξούσιον ἢ αὐτεξούσιον. καὶ ἀνάγνωσον τὴν τοιαύτην νεαράν. πολλάκις γὰρ ἤκουσα ἀπὸ πολλῶν καὶ ταῦτα τετριβακότων περὶ τὰ νομικὰ καὶ τὰ ἐκκλησιαστικὰ, μὴ ἔχειν χώραν τὰ τῆς υἱοθεσίας· ἀρτίως δὲ μηδὲ ἀπὸ μόνης εὐχῆς καὶ τῆς ἀπὸ τῆς ἐκκλησίας ἀναδοχῆς γίνεσθαι νόμιμον υἱοθεσίαν· ὅπερ αἱ ῥηθεῖσαι βασιλικαὶ νεαραὶ οὐκ ἀνέχονται λέγεσθαι. σὺ δὲ γίνωσκε, ὅτι τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφύλακος κατέστρωται σημείωμα οὕτως ἐπιλέξεως ἔχον· μηνὶ Μαΐῳ ιζ΄. ἡμέρᾳ β΄. ἰνδικτ. ιε΄. προκαθημένου Νικολάου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων συγκλητικῶν καὶ πολιτικῶν δικαστικῶν τοῦ δεῖνος καὶ τοῦ δεῖνος, καὶ θεοφιλεστάτων μητροπολιτῶν. ὁ πανεντιμότατος ὑπέρτιμος Γρηγόριος ὁ Ξηρὸς διάγραμμα προσκομίσας τὴν σήμερον συνοδικῶς οὕτως ἔχον. ἡ Μαρία, ἔχουσα υἱὸν γνήσιον τὸν Κωνσταντῖνον, γέγονεν ἀνάδοχος ἀπὸ τοῦ θείου καὶ ἁγίου βαπτίσματος τῆς Εἰρήνης· ἐγέννησε ὁ Κωνσταντῖνος Θεόδωρον, καὶ ἡ Εἰρήνη Θεοδώραν, καὶ αὖθις ἐγέννησε ἡ Θεοδώρα Ανναν· θέλων οὖν ὁ Θεόδωρος νομίμῳ γάμῳ συζευχθῆναι τῇ Αννῃ, ἠρώτησε μαθεῖν εἰ ἐφεῖται τοῦτο ποιῆσαι· ἀνεγνώσθη τοίνυν ἐπὶ συνόδῳ ὁ νγ΄. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ τὸ ϛ΄. θέμα τοῦ ι΄. κεφ. τοῦ ε΄. τίτλου τοῦ κη΄. βιβλίου ἔχον ἐν μέρει οὕτως· ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀνάγεσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ᾽ οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι᾽ οὗ θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται. καὶ διεγνώσθη κεκωλυμένον εἶναι τὸ διαληφθὲν συνάλλαγμα, ὡς οὐκ ἀναγόμενον εἰς πέμπτον βαθμόν· διὰ τὸ προτιμᾶσθαι κατὰ τὴν τοῦ τοιούτου νόμου περίληψιν τὴν πνευματικὴν συγγένειαν τῆς φυσικῆς ἤτοι τῆς σαρκικῆς. τοῦτο δὲ ὠρίσθη κρατεῖν καὶ ἐπὶ τῆς υἱοθεσίας, διὰ τὸ καὶ τὴν ἐκ ταύτης συγγένειαν ἀπὸ θεοῦ καὶ διὰ θείων εὐχῶν τελετὴν συνίστασθαι κατὰ τὴν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ νεαράν.

ΖΩΝΑΡ. Τοὺς τὰς οἰκείας συντέκνους χηρευούσας εἰς συμβίωσιν γαμικὴν λαμβάνοντας ἀφίστασθαι τοῦ τοιούτου συνοικεσίου κελεύει ὁ κανὼν, τοῦ παρανόμου γάμου διασπωμένου, ἐκείνους δὲ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι.

ΑΡΙΣΤ. Τοὺς ἀναδεχομένους παῖδας ἀπὸ βαπτίσματος, οὐκ ἐάσεις συναφθῆναι ταῖς τῶν παίδων μητράσιν· εἰ δέ τις καὶ συναφθείη, μετὰ τὸ ἀποσυναφθῆναι καὶ τὸ ἐπιτίμιον γνοίη.

Η κατὰ πνεῦμα οἰκειότης, μείζων τῆς σωματικῆς συγγενείας ἐστί· διὰ τοῦτο γοῦν τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ἔνοχον καθιστᾷ ὁ κανὼν οὗτος τὸν πρὸς γάμου κοινωνίαν τῇ μητρὶ τοῦ παιδὸς συναφθέντα, τοῦ παρ᾽ αὐτοῦ ἀναδεχθέντος ἀπὸ τοῦ ἁγίου βαπτίσματος, πρότερον διαλύων καὶ τὸ παράνομον συνοικέσιον.

A & xxvii. ejuſdem Imperatoris Novella decernit, non eas ſolas mulieres, quæ filios pepererunt, poſſe adoptare, ſed etiam virgines; ut etiam qui ab eis adoptati fuerint, non ſecus ac ſi in earum poteſtate eſſent, jus earum hæreditatis habeant: & ne Imperatoris quidem juſſione opus habeant, vel judiciali actione, ut poſſint eum qui eſt in alterius poteſtate, vel eum qui eſt ſui juris adoptare. Illam etiam Novellam lege. Multos enim ſæpe audivi atque adeò in jure civili & Eccleſiaſtico valde verſatos, dicentes non habere locum adoptionem; nunc autem nec ex ſola precatione Eccleſiæque receptione legitimam adoptionem fieri: quod B quidem dictæ regiæ Novellæ dici non ſinunt. Scias autem, quòd in ſacri cuſtodis ſigilli Patriarchalis ſecreto conſtitutio reponitur verbatim ſic ſe habens. Menſe Maio, die xvii. Feria ii. Indict. xv. præſidente ſanctiſſimo noſtro domino & Oecumenico Patriarchâ Nicolao, aſſidentibus Senatoriis Magiſtratibus & judicibus politicis, his & illis, & religioſiſſimis Metropolitanis. Vir longe clariſſimus incomparabilis Gregorius Xerus ſcripturam hodie ad Synodum attulit, quæ ſic ſe habet. Maria habens filium germanum Conſtantinum, ſuſceptrix fuit Irenes ex divino ſanctoque baptiſmate. Conſtantinus genuit Theodorum, & Irene Theodoram, & C Theodora rurſum genuit Annam. Theodorus itaque legitimum matrimonium cum Annâ contrahere flagitans, an hoc fieri liceat ſcire rogavit. Lectus ergo eſt in Synodo Can. liii. ſanctæ & œcumenicæ in Trullo Synodi, & etiam decretum vi. cap. x. tit. v. lib. xxviii. ſic habens expreſsè; Qui quampiam à ſacro baptiſmate ſuſcepit, non poteſt eam poſtea uxorem ducere, ut quæ facta ſit ipſius filia, neque matrem ejus filiamve; ſed nec filius ejus: Quandoquidem nihil aliud æque poteſt inducere paternam affectionem juſtamque matrimonii prohibitionem, ac hujuſmodi nexus, quo Deo intercedente animæ eorum conjunguntur. Et decretum eſt dictum con- D tractum prohibitum eſſe, ut qui ad quintum gradum non perveniat; propterea quod, juxta quæ in hac lege continentur, ſpiritualis cognatio naturali ſive carnali præferatur. Ut hoc autem & in adoptione valeat cautum eſt, eo quod quæ ex eâ etiam contrahitur cognatio à Deo & per divinarum precum myſteria conſtituitur, juxta inclyti Imperatoris D. Leonis Sapientis Novellam.

Zonar. Qui commatres ſuas, viro poſtea orbatas, in matrimonii ſocietatem accepere, ab illarum commercio, eo quod contra leges initum eſt, fœdere diſſoluto ſejungi, utrumque verò conjugem pœnis E ſcortatorum teneri Canon decernit.

Arist. *Qui filios à baptiſmate ſuſceperunt, cum filiorum matribus copulari non permittes. Si quis autem copulatus ſit, poſt ſeparationem, pœnam etiam ſubeat.*

Spiritualis affinitas major eſt corporali cognatione. Quare eum fornicatorum pœnæ obnoxium reddit hic Canon, qui filii ab ipſo in ſacro baptiſmo ſuſcepti matrem ſibi in matrimonii communionem aſſumit, primo illegitimum conjugium F diſſolvens.

A

CANON LIV.

Cum divina Scriptura nos apertè doceat, Non ingredieris ad omnem conſanguineum carnis tuæ, ad revelandam ejus turpitudinem: divinus Baſilius nonnullas prohibitas nuptias in ſuis canonibus enumeravit, multis ſilentio præteritis, & his utriſque nobis utilitatem attulit. Turpium enim nominum multitudine evitata, ne verbis orationem pollueret, generalibus nominibus impuritates complexus eſt: per quas legibus vetitas nuptias nobis in ſumma oſtendit. B *Quoniam autem propter ejuſmodi ſilentium, & quòd non diſcerni poſſet illicitarum nuptiarum prohibitio, ſeipſam natura confudit, nobis viſum eſt ea paulò apertiùs exponere, ab hoc deinceps tempore decernendo, ut qui cum fratris ſui filia matrimonii ſocietatem coierit, (vel pater & filius, qui cum matre & filiâ, vel cum duabus puellis ſororibus, pater & filius, vel cum duobus fratribus, mater & filia, vel fratres duo cum duabus ſororibus) in ſeptennii Canonem incidant, iis apertè ſeparatis à nefario contubernio.*

Bals. Quidam lxxxvi. magni Baſilii Canone C utentes, qui nuptias propter cognationem vetitas enumerat, dicebant omnes alias his exceptis non eſſe prohibitas. Divini ergo patres hoc ſubvertentes, primùm quidem dixerunt omnem cum ſua cognatione conjunctionem prohiberi per Moſaicam Legem, quæ ſic habet; Non ingredieris ad omnem conſanguineum carnis tuæ ad revelandam ejus turpitudinem: deinde, veluti prædictum magnum Patrem defendentes, ſubjunxerunt, quòd etiamſi non expreſsè hic divinus Pater in ſuis Canonibus omnes propter cognationem interdictas nuptias comprehenderit, ſed quoniam has impuras nominavit, ut quæ ſint propter co- D gnationem prohibitæ, omnes communi ratione comprehendit, & paucis verbis non ſolùm enumeratas prohibuit, ſed & omnes quæ à cognatione deducuntur. Nec oportet dici eas non eſſe prohibitas quæ propter verecundiam non ſunt expreſſæ. Et ideo definierunt illicitas & nefarias nuptias eſſe has & has; hoc adjecto, quòd, qui ab illis apertè deſiſtunt, id eſt cum confeſſione, & ſine condemnatione, ex ſeptennii Canone puniuntur; ut manifeſtum ſit eos vehementiùs puniri, qui non facilè deſiſtunt, ſed condemnantur. Hoc enim apparet ex verbis Canonis, quæ dicunt; His apertè deſiſtentibus à nefario contubernio. E Quoniam autem de vetitis nuptiis latiùs ſcripſimus in ii. cap. xiii. tit. præſentis operis, id lege, & quæ in ipſum ſcripta ſunt longe utiliſſima.

Zonar. Cum de magno Baſilio quæſitum eſſet, an marito defunctæ uxoris ſororem ſibi matrimonio jungendi facultas eſſet, ille verò negavit licere. Tum, adverſus eos qui ſecus opinabantur ſcribens, ſententiam ſuam, pro ea qua mire valebat ingenii præſtantia, egregie confirmavit. Inde verò, cum nuptiarum genera quædam legibus interdicta ſigillatim commemoraſſet, reliqua deinde uno impuritatis vocabulo complexus eſt & indica- F vit. Atque hæc quidem ſic à divino Patre cõſtituta ejuſdem octogeſimo ſexto Canone explicata reperias. Eo igitur Canone quidam utentes quæcunque eo loco nuptiæ inter damnatas nequaquam enumeratæ fuerant, eaſdem quaſi conceſſas uſurpare ipſi nitebantur, violatáque naturæ lege cum propinquis coibant. Proinde illum Canonem hoc loco Synodus ſpectavit, eâque ratione adducta, multa in eo ſanctum virum ſilentium involviſſe defendit, ne ſcilicet dum damnati conjugii genera univerſa perſequitur, orationem ſuam verborum turpitudine

ΚΑΝΩΝ νδʹ.

Τῆς θείας ἡμᾶς οὕτως σαφῶς ἐκδιδασκούσης γραφῆς, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ· ὁ θεοφόρος Βασίλειος τινὰς τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον. Τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταρυπαίνῃ τοῖς ῥήμασιν, γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβεν· δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. ἐπειδὴ δὲ τῇ τοιαύτῃ σιωπῇ καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεεν, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον (ἢ πατέρα καὶ υἱὸν, μητρὶ καὶ θυγατρὶ, ἢ δυσὶ κόραις ἀδελφαῖς, πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ, μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο, δυσὶν ἀδελφαῖς) ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου.

ΒΑΛΣ. Τινὲς τῷ πϛʹ. κανόνι τοῦ μεγάλου Βασιλείου χρώμενοι ἀπαριθμοῦντι γάμους κεκωλυμένους διὰ συγγένειαν, ἔλεγον πάντας τοὺς παρὰ τούτους ἀκωλύτους εἶναι. τοῦτο οὖν ἀνατρέποντες οἱ θεῖοι πατέρες, πρῶτον μὲν εἶπον πᾶσαν συγγενικὴν συνάφειαν κωλύεσθαι διὰ τοῦ Μωσαϊκοῦ νόμου τοῦ διαλαμβάνοντος, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ· εἶτα ὑπεραπολογούμενοι ὥσπερ τοῦ ῥηθέντος μεγάλου πατρὸς, ἐπήγαγον, ὡς εἰ καὶ μὴ ῥητῶς ὁ θεοφόρος οὗτος πατὴρ ἐν τοῖς οἰκείοις κανόσι πάντας τοὺς κεκωλυμένους συγγενικοὺς γάμους διέλαβεν, ἀλλ' ἐπεὶ τούτους ἀκαθάρτους ὠνόμασεν, ὡς ἀπηγορευμένους διὰ τὴν συγγένειαν, τῷ κοινῷ λόγῳ πάντας συμπεριέλαβε, καὶ διὰ ῥημάτων ὀλίγων οὐ μόνον τοὺς ἀπαριθμηθέντας ἐκώλυσεν, ἀλλὰ καὶ πάντας τοὺς ἀπὸ συγγενείας καταγομένους. καὶ οὐ χρὴ τοὺς δι' εὐλάβειαν μὴ ἐκφωνηθέντας ἀκωλύτους κατονομάζεσθαι. διὸ καὶ ὥρισαν γάμους ἀθέσμους εἶναι τόνδε καὶ τόνδε· προσθέμενοι, τοὺς ἀφισταμένους αὐτῶν προδήλως, τουτέστι μετὰ ἐξομολογήσεως, καὶ χωρὶς κατακρίσεως, τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι· ὡς εἶναι δῆλον, σφοδρότερον κολάζεσθαι τοὺς μὴ ἀφισταμένους ῥᾳδίως, ἀλλὰ κατακρινομένους. τοῦτο γὰρ ἀναφαίνεται ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος τῶν λεγόντων· ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου. ἐπεὶ δὲ περὶ κεκωλυμένων γάμων πλατύτερον ἐγράψαμεν εἰς τὸ βʹ. κεφ. τοῦ ιγʹ. τίτλου τοῦ παρόντος συντάγματος, ἀνάγνωθι τοῦτο καὶ τὰ ἐν αὐτῷ χρησιμώτατα ὄντα.

ΖΩΝΑΡ. Ὁ μέγας Βασίλειος ἐρωτηθεὶς εἰ δύναταί τις μετὰ θάνατον τῆς ἰδίας συμβίου τῇ ἀδελφῇ ἐκείνης συνάπτεσθαι, ἀπηγόρευσε τοῦτο. καὶ πρὸς τοὺς τὸ ἐναντίον φρονοῦντας γράψας τὸν οἰκεῖον λόγον γενναιότατα κατεσκεύασε, καὶ ἀξίως τοῦ βάθους τῆς διανοίας αὐτοῦ. εἶτα καί τινων ἀθέσμων ἐμνήσθη γάμων καὶ ἀπηγορευμένων, τοὺς ἄλλους τῷ τῆς ἀκαθαρσίας ὀνόματι συμπεριλαβὼν καὶ παραδηλώσας. ἡ δὲ περὶ τούτων διαταγὴ ἐν τοῖς κανόσιν ἠρίθμηται τοῦ θεολήπτου πατρὸς ὀγδοηκοστὸς ἕκτος οὖσα κανών. τούτῳ οὖν τῷ κανόνι τινὲς κεχρημένοι, τοὺς μὴ ἀπηριθμημένους ἐν αὐτῷ γάμους ὡς παρανόμους ἀκωλύτους ἐβιάζοντο φρονεῖν, καὶ τὴν φύσιν συνέχεον συγγενέσι μιγνύμενοι. διά ταῦτα πρὸς τὸν κανόνα τοῦτον ἀπεῖδεν ἡ σύνοδος, καὶ ἀπολογεῖται μὲν διά τι τὰ πλείω σιωπῇ ὁ ἅγιος παρέδραμεν· ἵνα φησὶ μὴ τὸν λόγον καταρυπαίνῃ τοῖς ῥήμασιν ἕκαστον τῶν ἀθέσμων γάμων ἀπαριθμῶν, περιεκτικῶς δὲ τῷ τῆς ἀκαθαρσίας ὀνόματι τοὺς παρανόμους γάμους ὑπέδειξεν. εἶτα ἐπήγαγον οἱ τῆς συνόδου πατέρες καὶ γάμους ἀθέσμους, οὓς καὶ ἀπηριθμήσαντο, καὶ διασπᾶσθαι μὲν τοὺς τοιούτους γάμους ἐκ παντὸς διωρίσαντο, τοὺς δὲ χραινθέντας αὐτοῖς τῷ τῆς ἑπταετίας κανόνι ἐπιτιμᾶσθαι.

ΑΡΙΣΤ. Οὐ συγχωρήσεις ἐξαδέλφῃ συζευχθῆναι ἐξάδελφον· οὐδὲ θυγατρὶ καὶ μητρὶ, υἱὸν καὶ πατέρα· οὐδὲ δυσὶν ἀδελφοῖς μητέρα καὶ θυγατέρα· οὐδὲ δυσὶν ἀδελφαῖς, ἀδελφούς· εἰ δέ τι τοιοῦτον καὶ γένοιτο, μετὰ τῆς διαλύσεως ἑπταετίαν ὑποπιπτέτωσαν.

Καὶ οὗτοι οἱ γάμοι, ὡς ἀπηγορευμένοι, διαλυθήσονται· καὶ οἱ συναλλάξαντες αὐτοὺς, κατὰ τὸν παρόντα κανόνα καὶ τὸν ἑβδομηκοστὸν ὄγδοον τοῦ μεγάλου Βασιλείου, ἐπὶ ἐνιαυτὸν προσκλαύσουσι, διετίαν ὑπακροάσονται, τριετίαν ὑποπεσοῦνται, καὶ τῷ ἑβδόμῳ συστήσονται μετὰ τῶν πιστῶν· καὶ οὕτως, ἐὰν μετὰ δακρύων μετανοήσωσι, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται.

ΚΑΝΩΝ νε'.

Ἐπειδὴ μεμαθήκαμεν, τοὺς ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις τοῖς ταύτης σαββάτοις νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν· ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα, τὸν λέγοντα, εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ νηστεύων ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Καὶ εἰς ἄλλα μὲν πολλὰ, τέως δὲ καὶ διὰ τὸν παρόντα κανόνα, λέγουσιν οἱ τῆς παλαιᾶς Ῥώμης, μὴ εἶναι τὴν ἁγίαν ταύτην σύνοδον οἰκουμενικὴν, καθὼς καὶ ἐν τῷ προοιμίῳ αὐτῆς ἐγράψαμεν. ὡς γὰρ σίδηρος διῆλθε τὴν καρδίαν αὐτῶν, καὶ στηλιτεύει τούτους ὡς ὑπεναντίως ποιοῦντας τῷ ἀποστολικῷ κανόνι, τῷ λέγοντι, εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ καὶ τῷ σαββάτῳ νηστεύων, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. οὐ χρὴ οὖν τούτους συγγνώμης ἀξιωθῆναι, τῆς αὐτῆς ἐξερχομένους ἰδιορυθμίας καὶ πάλιν· καὶ νηστεύοντας μὴ μόνον κατὰ τὰ σάββατα τῆς ἁγίας τεσσαρακοστῆς, ἀλλὰ καὶ κατὰ τὰ λοιπά. Ἐγὼ δὲ εἶδον τινὰς Λατίνους αἰτιωμένους διὰ τοῦτο, καὶ ματαίαν προβαλλομένους πρόφασιν, τὴν εἰς τὸν ἅγιον τάφον τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπέλευσιν, καὶ τὴν χάριν τούτου κρατήσασαν νηστείαν ἐκ συνηθείας μακρᾶς. ἄλλους γὰρ εἶδον μὴ ἀπελθόντας εἰς τὰ Ἱεροσόλυμα, καὶ νηστεύοντας ὁμοίως· καὶ ἄλλους ἀτιμάζοντας τὴν τοιαύτην νηστείαν καὶ ἀδιαφόρως κατὰ τὰ σάββατα καταλύοντας, ἀπελθόντας καὶ ταῦτα εἰς τὸν τοῦ Κυρίου τάφον. οὐκ ἔχω γοῦν εἰπεῖν ὅπως ταῦτα οὕτω παρὰ τῶν τοιούτων γίνονται. ἔοικε δὲ ὡς τοῖς ἔθεσι μᾶλλον ἢ τοῖς κανόσιν ἀκολουθεῖν.

ΒΑΛΣ. Σημείωσαι τὸν παρόντα κανόνα, καὶ ζήτησον διόρθωσιν ἐπὶ τοῖς γινομένοις παρὰ τῶν κληρικῶν εἰς τὴν ἑορτὴν τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ τὴν ἑορτὴν τῶν φώτων, ὑπεναντίως τούτῳ· καὶ μᾶλλον εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν. καταλαμβάνεται γὰρ ἀπὸ τῆς χρονικῆς ἱστορίας τοῦ Σκυλίτζη, E ὅτι οὐδὲ ἀρχαιοπαράδοτόν ἐστι τὸ κακὸν, ἀλλὰ ἐξ ἐπιτροπῆς τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως Θεοφυλάκτου, τοῦ υἱοῦ τοῦ βασιλέως κυροῦ Ρωμανοῦ τοῦ Λακαπηνοῦ. ἀπαριθμεῖται γὰρ ὁ τοιοῦτος ἱστορικὸς, μετὰ τῶν λοιπῶν φαύλων καὶ διαφόρων ἐργασιῶν τοῦ αὐτοῦ πατριάρχου καὶ τὸ τοιοῦτον κακόν. Καλάνδαι λέγονται αἱ πρῶται δέκα ἡμέραι τοῦ μηνὸς, νόνναι αἱ δεύτεραι, καὶ εἶδοι αἱ τρίται. ἐκλήθησαν δὲ οὕτως ἀπὸ τινων τριῶν Ρωμαίων μεγιστάνων ἀνδρῶν, ἐν καιρῷ λιμοῦ τοὺς περὶ τὴν Ρώμην ἀποτρεψάντων. εἴθιστο γοῦν παρὰ Ρωμαίοις, εἰς μνήμην τούτων ἐτησίως πανηγυρίζειν Ἑλληνικώτερον, καί τινα ἄσεμνα διαπράττεσθαι, ὅπερ καὶ μέχρι τοῦ νῦν παρὰ F τινων ἀγροίκων γίνεται κατὰ τὰς πρώτας ἡμέρας τοῦ Ιανουαρίου μηνὸς, οὐ κατὰ Ρωμαίους μεμνημένων τῶν καλανδῶν καὶ τῶν λοιπῶν, ἀλλὰ διὰ τὸ τηνικαῦτα τὴν σελήνην ἀνακαινίζεσθαι, καὶ τὸ θεμέλιον ταύτης ψηφίζεσθαι ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ μηνὸς, καὶ νομίζειν μετ' εὐθυμίας τὸν ὅλον διελθεῖν αὐτοὺς ἐνιαυτὸν, ἐὰν ἐν τῇ καταρχῇ τούτου πανηγυρίσωσι. τοιαύτη πανήγυρις ἀλλόκοτός ἐστι, καὶ τὰ λεγόμενα ῥουσάλια, τὰ μετὰ τὸ ἅγιον Πάσχα ἀπὸ κακῆς συνηθείας ἐν ταῖς ἔξω χώραις γινόμενα. τὰ Βοτὰ καὶ τὰ Βρουμάλια, ἑορταὶ ἦσαν Ἑλληνικαὶ, ἡ μὲν τελουμένη χάριν τοῦ ψευδωνύμου θεοῦ τοῦ Πανὸς, τοῦ ἐφορῶντος, ὡς ἐφλυάρουν οἱ Ἕλληνες, τὰ τῶν βοτῶν, ἤγουν τὰ τῶν προβάτων καὶ τῶν λοιπῶν ζώων. ἡ δὲ χάριν τοῦ Διονύσου, τοῦ σωτῆρος, ὡς ἐκεῖνοι ἐβλασφήμουν, τοῦ οἴνου. Βρόμιος γὰρ ἦν ἐπίθετον τοῦ Διονύσου. κατὰ δὲ τὸν Μάρτιον μῆνα ἐτελεῖτο πανήγυρις Ἑλληνικὴ μεγάλη διὰ τὴν τῶν ὡρῶν καὶ τοῦ ἀέρος εὐκρασίαν· ὅτε καὶ ὀρχήσεις ἀπρεπεῖς ἐγίνοντο παρά τινων γυναίων καὶ ἀνδρῶν. ἅπαντα καὶ τὰ τούτοις ὅμοια οἱ ἅγιοι πατέρες ἀποτρεπόμενοι, ἐπήγαγον μηδένα ἄνδρα ὁτεδήποτε κεχρῆσθαι γυναικείᾳ στολῇ, ἢ τὸ ἀνάπαλιν· ἀλλὰ μηδὲ προσωπεῖα κωμικὰ ὑποδύεσθαι ἢ τραγικὰ ἢ σατυρικά· μήτε μὴν τὸ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν, μηδὲ τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου γελᾶν καὶ ἐπικαγχάζειν. τοὺς δὲ τοιοῦτόν τι ἐπιχειρήσοντας ποιῆσαι μετὰ τὸ λαβεῖν εἴδησιν τοῦ κανονικοῦ διορισμοῦ, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι· λαϊκοὺς δὲ ἀφορίζεσθαι. ζητητέον οὖν τίνα εἰσὶ τὰ κωμικὰ προσωπεῖα, τίνα τὰ τραγικά, καὶ τίνα τὰ σατυρικά. καὶ κωμικὰ μέν εἰσι τὰ γελωτοποιὰ καὶ ἐφύβριστα, ὡς τὰ συγγραφέντα παρὰ τοῦ Ἀριστοφάνους. τραγικά, τὰ περιπαθῆ καὶ τὰ θρηνώδη, ὡς τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα. καὶ σατυρικά, τὰ εἰς ὕμνον τοῦ Διονύσου τελούμενα ὄργια παρὰ Σατύρων καὶ Βακχῶν. ταῦτα τῶν πατέρων διορισαμένων ἁγιοπρεπῶς, καὶ τοῦ ξδ΄. κεφ. τῆς ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ ιγ΄. κεφ. τοῦ α΄ τίτλου τοῦ δ΄. βιβλίου παρακελευομένου ταῦτα ῥητῶς. πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικοῖς ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις, ἀνδράσι τε καὶ γυναιξί, καὶ μὴν καὶ ταῖς προϊσταμέναις, ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι. ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαῖξαι εἰς οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται. προνοούντων τοῦ τοιούτου οὐ μόνον τῶν κατὰ τόπον ὁσιωτάτων Ἐπισκόπων καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, ἀλλὰ καὶ τῶν πολιτικῶν καὶ τῶν στρατιωτικῶν ἀρχόντων, καὶ τῶν ὑπ' αὐτοὺς τάξεων, καὶ τῶν κατὰ τόπον ἐκδίκων. οἱ δὲ σκηνικοὶ παντοῖα πρόσωπα ὑποδύονται, καὶ ἀδεῶς τοὺς μοναχοὺς ἐμπαίζουσι καὶ τοὺς κληρικούς. ἀλλὰ καί τινες κληρικοὶ κατά τινας ἑορτάς, πρὸς διάφορα μετασχηματίζονται προσωπεῖα. καὶ ποτὲ μέν, ξιφήρεις ἐν τῷ μεσονάῳ τῆς ἐκκλησίας μετὰ στρατιωτικῶν ἀμφίων εἰσέρχονται, ποτὲ δέ, καὶ ὡς μοναχοὶ προοδεύουσιν, ἢ καὶ ὡς ζῶα τετράποδα. ἐρωτήσας οὖν, ὅπως ταῦτα παρεχωρήθησαν γίνεσθαι, οὐδέν τι ἕτερον ἤκουσα, ἀλλ' ἢ ἐκ μακρᾶς συνηθείας ταῦτα τελεῖσθαι. τοιαῦτά εἰσιν ὡς ἐμοὶ δοκεῖ καὶ τὰ παρά τινων δομεστικευόντων ἐν κλήρῳ γινόμενα, τῶν ἀέρα τοῖς δακτύλοις κατὰ ἡνιόχους τυπτόντων, καὶ φύκη ταῖς γνάθοις δῆθεν περιτιθεμένων καὶ ὑποκρινομένων ἔργα τινὰ γυναικεῖα, καὶ ἕτερα ἀπρεπῆ, ἵνα πρὸς γέλωτα τοὺς βλέποντας μετακινήσωσι. τὸ δὲ γελᾶν τοὺς ἀγρότας ἐγχεομένους τοῦ οἴνου τοῖς πίθοις, ὡσεί τι παρεπόμενον ἐξ ἀνάγκης ἐστὶ τοῖς ληνοβατοῦσιν· εἰ μήτις εἴπῃ τὴν σατανικὴν ταύτην ἐργασίαν καταργεῖσθαι, διὰ τοῦ λέγειν τοὺς ἀγρότας συχνότερον ἐφ' ἑκάστῳ μέτρῳ σχεδὸν τό, κύριε ἐλέησον. τὰ μέντοι ποτὲ γινόμενα ἀπρεπῆ παρὰ τῶν νοταρίων παιδοδιδασκάλων κατὰ τὴν ἑορτὴν τῶν ἁγίων νοταρίων, μετὰ προσωπείων σκηνικῶν διερχομένων τὴν ἀγοράν, πρὸ χρόνων τινῶν κατηργήθησαν, καθ' ὁρισμὸν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ.

A ut Græci nugabantur, pecoribus, ſcilicet ovibus, & reliquis animalibus, proſpicit & eorum curam gerit: Hoc vero pro Baccho, vini, ut illi impie dicebant, conſervatore. Eſt enim Bromius Bacchi epitheton. Menſe autem Martio fiebat magna Græca concio, ſeu univerſalis conventus, propter bonam temporum & aëris temperiem: quo tempore etiam indecoræ ſaltationes à quibuſdam mulierculis viriſque fiebant. Quæ omnia & his ſimilia ſancti patres averſantes, nulli viro permittebant muliebri ſtola ullo modo uti, vel contrà; ſed neque perſonas induere comicas vel tragicas vel ſatyricas: nec Bacchi quidem, nomen in tor- B cularibus nominare, nec vino doliis infuſo ridere & cachinnari. Eos autem qui tale quid facere adorti fuerint, poſtquam canonici decreti cognitionem ceperint, ſi ſint quidem Clerici deponi: ſi verò Laici, ſegregari. Quærendum ergo eſt quænam ſint comicæ perſonæ, quæ tragicæ, & quæ ſatyricæ. Ac ſunt quidem comica, quæ riſum movent & ſunt petulantia ac contumelioſa, ut quæ ab Ariſtophane ſcripta ſunt. Tragica, quæ movent affectus & ſunt lamentabilia, ut Euripidis Iambica. Et ſatyrica, quæ in Bacchi hymnum ac laudem celebrantur orgia à Satyris & Bacchis. Cùm patres hæc ſanctè ſtatuerint, & lxiiii. cap. cxxiii. Juſtiniani nov. ſive, xiii. cap. C primi tit. iiii. lib. Baſilic. hæc expreſsè dicat: Omnibus autem omnino qui in ſecularibus verſantur, & iis maximè, qui ſcenica tractant, viris & mulieribus, atque iis etiam quæ præſunt, interdicimus, ne Monachi amictu vel aſcetriæ utantur, vel eum quovis modo imitentur, ſcientibus univerſis, qui audent vel tali uti amictu, vel imitari, vel in quamcunque Eccleſiaſticam conſtitutionem illudere, quòd etiam corporalia ſupplicia ſubibunt, & exterminabuntur: huic rei proſpicientibus, non ſolùm locorum ſanctiſſimis Epiſcopis & qui ſub eis ſunt Clericis, ſed etiam civilibus & militaribus magiſtrati- D bus, eiſque ſubjectis ordinibus, & locorum defenſoribus. Hiſtriones autem quaſvis perſonas induunt, Monachóſque & Clericos ſecurè ludificantur. Sed & quidam Clerici in quibuſdam feſtis varias perſonas ſuſcipiunt & effingunt: & aliquando quidem enſe cincti cum militaribus veſtibus in Eccleſiæ meditullium ingrediuntur, aliquando verò ut Monachi progrediuntur, vel ut quadrupedia animalia. Cùm itaque interrogaſſem, quomodo hæc fieri permiſſum ſit, nihil aliud audivi, quàm hæc longa conſuetudine fieri. Ejuſmodi ſunt, ut mihi videtur, & quæ à quibuſdam, qui in clero ſunt, domeſticorum inſtar fiunt, qui aërem digitis ut aurigæ feriunt, & ge- E nis fucos apponunt, & muliebria quædam opera fingunt, & alia indecora, ut ſpectatoribus riſum moveant. Ridere autem agreſtes vino infuſo doliis, eſt aliquid veluti neceſſariò conſequens iis, qui in lacum ingrediuntur, vinitoribus: niſi quis dixerit hanc ſatanicam operationem exoleviſſe, eo quòd agreſtes frequentiùs dicant in unaquâque ferè menſura, Kyrie eleiſon. Quæ porro indecora aliquando fiebant à notariis, adoleſcentium inſtructoribus, in ſanctorum notariorum feſto, cum ſcenicis perſonis forum obeuntibus, ante aliquot annos exoleverunt, ſanctiſſimi illius Patriarchæ domini Lucæ decreto.

F

ΖΩΝΑΡ. Καλάνδαι εἰσὶν αἱ πρῶται ἑκάστου μηνὸς ἡμέραι, ἐν αἷς εἴθιστο τοῖς Ελλησι ποιεῖν τινας τελετάς. καὶ τὰ βότα δὲ καὶ τὰ βρουμάλια Ελληνικαὶ ἦσαν ἑορταί. Βρόμιος γὰρ ἐπίθετον ἦν τῷ Διονύσῳ. καὶ τἄλλα ὁμοίως, ἃ πάντα κωλύουσι γίνεσθαι οἱ πατέρες παρὰ τῶν πιστῶν. εἴργουσι δὲ καὶ τὰς τῶν γυναικῶν δημοσίας ὀρχήσεις, ὡς εἰς ἀκολασίας ἐρεθισμὸν τοῖς θεωμένοις αὐτάς, καὶ ὅσα τοῖς Ελλησιν ἐπράττοντο ἐξ ἀνδρῶν ἢ γυναικῶν ὀνόματι

Zonar. Sunt Calendæ primi menſis cujuſque dies, quos Græci ſolenni religione ac ceremonia de more celebrabant. Bota quoque & Brumalia Græcorum feſti dies fuere. Bromius ſiquidem Bacchi epithetum. Eos igitur alióſque ejuſmodi Græcorum feſtos dies, ne cultu aliquo proſequi fidelibus liceat, Patres decrevere. Publicas quoque mulierum ſaltationes, quibus ſpectandis videlicet ad libidinem homines incitantur, tum quæcunque Græci viri aut fœminæ, commentitiorum numinum honori tribuentes, peragere ſoliti ſunt, exhiberi vetant. Præterea viris muliebri ornatu, virili fœminis, quæ bacchantium ſibi conſuetudo permiſerat; quinimo perſonarum quoque, comicæ, tragicæ, Satyricæve uſu penitus interdictum. Eſt vero comica perſona, quæ ad alios ſcommate perſtringendos aſſumitur. Tragica, quæ perturbationes animi ac dolores incitat. Satyrica, demum, eorum qui Baccho initiarentur propria fuit. Satyrorum ſiquidem, ſicut & Baccharum, è Bacchi comitatu eſſe dicebatur illa furoris attoniti plena ſaltatio. Ad hæc neque Bacchi nomen in torcularibus paſſim cieri, neque merum, interea dum in doliis conditur, riſu & cachinno proſequi ſinunt. Porro Bacchus à Græcis in Deorum numero habitus, quem ebrietatis præſidem viníque largitorem agnoſcebant. Hi tamen mores à ruſticis, eorum quæ faciunt ignoratione, nunc quoque retinentur. Verùm hic canon, ſacri ordinis Clericum, ſi ejuſmodi quidpiam ſciens admiſerit, deponi; Laicum verò ſegregari, jubet.

ARIST. *A fidelium vitæ ratione auferantur Bota, & Calendæ, & Brumalia, & in Deorum honorem ſaltationes, & Comicæ, & Satyricæ, & Tragicæ perſonæ, & Bacchi in torcularibus invocatio, riſúſque in doliis. Qui autem poſt canonem in his perſiſtunt, obnoxii ſunt.*

Omnem idololatriam & vanitatem è fidelium converſatione patres tollentes, non permittunt ea, quæ in præſenti Canone diſertè numerantur, à Chriſtianis peragi: Sed ſi ſint quidem Clerici, qui hæc & hujuſmodi faciunt, deponi jubet canon; ſin vero Laici, ſegregari.

CANON LXIII.

Quæ à veritatis hoſtibus falsò conficta ſunt Martyrum hiſtoriæ, ut Chriſti Martyres ignominia afficerent, & qui eas audituri eſſent, ad infidelitatem deducerent, in Eccleſiis non publicari jubemus, ſed eas igni tradi. Qui eas autem admittunt, vel tanquam veris iis mentem adhibent, anathematizamus.

BALS. Non latuit ſanctos patres, quòd multi infideles & Chriſtum exoſi, ſanctorum Martyrum & confeſſorum certamina non admittentes, vel etiam Chriſtianos qui hæc recipiunt irridentes, quædam falſa & aliena, ſuáque improbitate digna confinxerunt, tanquam à martyribus dicta vel facta eſſent: ut qui in ea inciderent, vel ad infidelitatem deducerentur vel riſum, ſanctique ignominia ac probro afficerentur. Et ideo ſtatuerunt hæc ſcripta non omnino in vulgus edenda, ſed eſſe igni mandanda: eos autem, qui hæc admittunt, eſſe anathematizandos. Propter hanc itaque cauſam, ut eſt conſentaneum, lxxxv. canon ſanctorum Apoſtolorum definiit, quinam libri legi debeant ex antiquo teſtamento, & quinam ex novo: & reliqua ut adulterina obeliſco confodit. Magna itaque beato Metaphraſtæ agenda eſt gratia, qui martyrum pro veritate certamina non ſine multis laboribus & ſudoribus repurgavit & exornavit, ad Dei laudem & ſanctorum Martyrum perennem gloriam. Porrò ſanctiſſimus ille Patriarcha dominus Nicolaus Muzalon, cùm vitam ſanctæ Paraſceves, quæ in quodam Callicratiæ vico colebatur, à quodam vicano ineptè ac indoctè, & ſanctæ angelica vivendi ratione indigne compoſitam inveniſſet, eam igni mandari juſſit: & Diacono illi Baſilico mandavit, vitam ejus Deo gratā conſcribere.

ZONAR. Quidam à fine alieni homines, noſtrorum accuſationi & contumeliis intenti, nonnulla plena abſurditatis & ineptiarum, quaſi à martyribus dicta aut effecta fuiſſent, literis conſignaverant: ut in eo ſcilicet fidei noſtræ contemptus, & ſanctis quoque martyribus ignominia conciliaretur. Eorum non modo lectione interdi-

τῶν ψευδωνύμων θεῶν αὐτῶν, καὶ μὴ κεχρῆσθαι κελεύουσι τοὺς ἄνδρας γυναικείαις στολαῖς, ἢ τὰς γυναῖκας ἀνδρῴαις, οἷα ἐποίουν οἱ τῷ Διονύσῳ βακχεύοντες· ἀλλὰ μηδὲ προσωπεῖα Κωμικὰ ὑποδύεσθαι, ἢ Τραγικὰ, ἢ Σατυρικά. Κωμικὰ μὲν οὖν προσωπεῖά εἰσι τὰ εἰς σκώμματά τινων ἐπιτηδευόμενα. Τραγικὰ δὲ τὰ περιπαθῆ καὶ θρήνους ἐμποιοῦντα. τὰ δὲ Σατυρικὰ τῶν ἐπὶ τῷ Διονύσῳ τελουμένων ἦσαν. καὶ οἱ Σάτυροι γὰρ, ὡς αἱ Βάκχαι, τῆς περὶ τὸν Διόνυσον ἐμπλήκτου χορείας ἐλέγοντο εἶναι. μήτε μὴν δὲ τοῦ Διονύσου ὄνομα ἐν ταῖς ληνοῖς ὀνομάζειν, μήτε τοῖς πίθοις ἐγχεομένου τοῦ οἴνου γελᾷν καὶ ἐπικαγχάζειν. ὁ δὲ Διόνυσος θεὸς ἐνομίζετο τοῖς Ἕλλησιν, ἔφορος τῆς μέθης καὶ τοῦ οἴνου δοτήρ. ἃ καὶ νῦν γίνονται παρὰ τοῖς ἀγρόταις, μὴ εἰδόσιν ἃ ποιοῦσιν. ὁ δὲ κανὼν οὗτος τοὺς μὲν ἱερωμένους καθαιρεῖσθαι προστάσσει, τοιοῦτόν τι ποιοῦντας ἐν γνώσει· τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι.

ΑΡΙΣΤ. Περιαιρείσθω τῆς τῶν πιστῶν Βοτὰ πολιτείας, καὶ αἱ καλάνδαι, καὶ τὰ βρουμάλια, καὶ αἱ ὀρχήσεις εἰς θεοὺς, καὶ τὰ κωμικὰ, καὶ σατυρικὰ, καὶ τραγικὰ πρόσωπα, καὶ ἡ ἐπὶ ληνοῖς τοῦ Διονύσου ἐπίκλησις, καὶ ὁ ἐπὶ τοῖς πίθοις γέλως· οἱ δὲ ἐπιμένοντες μετὰ τὸν κανόνα, ὑπεύθυνοι.

Πάντα τὰ τῆς εἰδωλικῆς καὶ ματαιότητος ἐκ τῆς τῶν πιστῶν πολιτείας οἱ πατέρες περιαιροῦντες, οὐκ ἀνέχονται τελεῖσθαι παρὰ τῶν χριστιανῶν τὰ ἐν τῷ παρόντι κανόνι ῥητῶς ἀπηριθμημένα· ἀλλ' εἰ μὲν κληρικοί εἰσιν οἱ τοιαῦτα ποιοῦντες, προστάττει καθαιρεῖσθαι· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

ΚΑΝΩΝ ξγ'.

Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς Χριστοῦ μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ' ἐκκλησίαις δημοσιεύεσθαι προστάσσομεν, ἀλλὰ ταῦτα πυρὶ παραδίδοσθαι. τοὺς δὲ ταῦτα παραδεχομένους, ἢ ὡς ἀληθέσι τούτοις προσέχοντας, ἀναθεματίζομεν.

ΒΑΛΣ. Οὐκ ἔλαθε τοὺς ἁγίους πατέρας, ὅτι πολλοὶ τῶν ἀπίστων καὶ μισοχρίστων μὴ παραδεχόμενοι τοὺς τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν ἄθλους, ἢ καὶ καταμωκώμενοι τῶν ταῦτα δεξαμένων Χριστιανῶν, συνεπλάσαντό τινα ψευδῆ καὶ ἀλλόκοτα, καὶ ἄξια τῆς αὐτῶν κακίας, ὡς δῆθεν παρὰ τῶν μαρτύρων λαληθέντα ἢ πραχθέντα· ἐφ' ᾧ τοὺς ἐντυγχάνοντας ἐνάγεσθαι εἰς ἀπιστίαν ἢ γέλωτα, καὶ τοὺς ἁγίους περιυβρίζεσθαι. διὸ καὶ ὥρισαν τὰ τοιαῦτα συγγράμματα μὴ δημοσιεύεσθαι ὅλως, ἀλλὰ καίεσθαι· τοὺς δὲ παραδεχομένους ταῦτα ἀναθεματίζεσθαι. διὰ τὴν τοιαύτην οὖν, ὡς ἔοικεν, αἰτίαν καὶ ὁ πε. κανὼν τῶν ἁγίων ἀποστόλων διωρίσατο, ποῖα ὀφείλουσι βιβλία ἀναγινώσκεσθαι ἀπὸ τῆς παλαιᾶς διαθήκης, καὶ ποῖα ἀπὸ τῆς νέας· καὶ τὰ λοιπὰ ὠβέλισεν ὡς νενοθευμένα. χάρις τοίνυν τῷ μακαρίτῃ μεταφραστῇ τῷ τὰ μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα πολλοῖς πόνοις καὶ ἱδρῶσι κατακαλλύναντι, εἰς ὕμνον θεοῦ καὶ δόξαν αἰωνίζουσαν τῶν ἁγίων μαρτύρων. ὁ ἁγιώτατος δὲ πατριάρχης ἐκεῖνος κυρὸς Νικόλαος ὁ Μουζάλων, εὑρὼν συγγραφέντα τὸν βίον τῆς ἁγίας Παρασκευῆς, τῆς ἐν τῷ χωρίῳ τῇ Καλλικρατείᾳ τιμωμένης, παρά τινος χωρίτου ἰδιωτικῶς καὶ ἀναξίως τῇ ἀγγελικῇ διαγωγῇ τῆς ἁγίας, ὥρισεν πυρὶ παραδοθῆναι· καὶ ἐπέτρεπε τῷ διακόνῳ ἐκείνῳ τῷ Βασιλικῷ συγγράψασθαι τὸν ταύτης θεάρεστον βίον.

ΖΩΝΑΡ. Ὑπὸ ἀπίστων, ὡς ἔοικε, θελόντων διασύρειν τὰ τῶν Χριστιανῶν συνεγράφησάν τινα, ὡς λεχθέντα καὶ πραχθέντα παρὰ τῶν ἁγίων μαρτύρων, ἀλλόκοτα ἢ καὶ γελοῖα, ἵν' οὕτω καταγελῶτο μὲν ἡ πίστις ἡμῶν, ὑβρίζοιντο δὲ καὶ οἱ μάρτυρες. τὰ γοῦν τοιαῦτα οὐ μόνον ἀναγινώσκεσθαι

UMI

σκεσθαι κωλύει ὁ κανὼν, ἀλλὰ καὶ καίειν αὐτὰ ἀπαιτεῖ. εἰ A δέ τινες τούτοις χρῶνται πιστεύοντες ὡς ἀληθέσιν, ἀναθεματίζεσθαι κελεύει αὐτούς.

cit, sed flammis quoque aboleri canon jubet. Qui vero ea legerint, ac pro veris acceperint, anathemate puniendos esse decernit.

ΑΡΙΣΤ. Τὰ ὑφ' Ἑλλήνων συμπλασθέντα μαρτυρολόγια μὴ ἐκκλησιάζοιτο.

Οὐ δεῖ ἐπ' ἐκκλησίαις ἀναγινώσκεσθαι, ἀλλὰ καὶ πυρὶ παραδίδοσθαι, τὰ πρὸς ὕβριν τῶν τοῦ Χριστοῦ μαρτύρων παρὰ τῶν Ἑλλήνων γραφέντα μαρτυρολόγια· εἰ δέ τις εὑρεθῇ, ὡς ἀληθῆ ταῦτα παραδεχόμενος, ἀναθεματιζέσθω.

Arist. *Martyrologia ab ethnicis conficta in Ecclesia ne publicentur.*

Martyrologia in Christi martyrum ignominiam ab ethnicis conscripta non oportet in Ecclesiis legere, sed igni tradere. Si quis autem deprehendatur ea, ut vera, recipiens, anathemate percutiatur.

ΚΑΝΩΝ ξδʹ. B

Ὅτι οὐ χρὴ δημοσίᾳ λαϊκὸν λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα ἑαυτῷ διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἴκειν τῇ παραδοθείσῃ παρὰ τοῦ Κυρίου τάξει, καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λαβοῦσι λόγου διανοίγειν, καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι. ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ Θεὸς, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν. ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος, σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι, λέγων· ταύτην αἰδώμεθα τὴν τάξιν ἀδελφοί, ταύτην φυλάττωμεν. ὁ μὲν, ἔστω τις ἀκοή· ὁ δὲ, γλῶττα· ὁ δὲ, χείρ· ὁ δὲ ἄλλο τι· ὁ δὲ, διδασκέτω· C ὁ δὲ μανθανέτω· καὶ μετὰ βραχέα· καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ, καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι, καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ· μὴ πάντες ὦμεν γλῶσσα, τὸ ἑτοιμότατον· μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν· καὶ μετά τινα, τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποὺς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι ἡ σοφία διακελεύεται, μὴ ἴσθι ταχὺς ἐν λόγοις· μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος. εἰ δέ τις ἁλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφοριζέσθω. D

Canon LXIV.

Quod non oportet laicum publicè disputare vel docere, docendi auctoritatem ex eo sibi vindicantem, sed ordini à Domino tradito cedere, & aurem iis, qui docendi gratiam acceperunt, aperire, & divina ab eis doceri. In una enim Ecclesia diversa membra fecit Deus, ut est vox Apostoli: Quam interpretans Gregorius Theologus, eum qui in iis est ordinem apertè commendat, dicens: Hunc ordinem revereamur fratres, hunc servemus. Hic quidem sit auris; ille verò lingua; hic autem manus; ille verò aliquid aliud. Hic quidem doceat: ille verò discat. Et paulo post, Et qui discit, in docilitate, & qui suppeditat, in hilaritate, & qui opem fert ac subministrat, in alacritate. Ne simus omnes lingua, quod est promptissimum; ne omnes Apostoli; ne omnes Prophetæ; ne omnes interpretemur. Et post quædam, Cur te pastorem facis cùm sis ovis? Cur caput efficeris, cum sis pes? Cur Imperator esse conaris, cum relatus sis in numerum militum? Et alibi jubet sapientia, ne sis velox in sermonibus; ne, cum sis pauper, unà cum divite extendaris; nec quæras sapientibus esse sapientior. Si quis autem præsentem canonem labefactans deprehensus fuerit, xl. diebus segregetur.

ΒΑΛΣ. Τὸ διδάσκειν τὸν τοῦ Κυρίου λαὸν, καὶ ἑρμηνεύειν τὰ θεῖα δόγματα, μόνοις ἐδόθη παρὰ τῆς χάριτος τοῦ παναγίου πνεύματος τοῖς ἀρχιερεῦσι καὶ τοῖς παρὰ τούτων ἐπιτρεπομένοις. ὡς ἔοικεν οὖν τινὲς λαϊκοὶ, ἴσως πεπαιδευμένοι σοφίαν, διελέγοντο δημοσίᾳ περί τινων ἐκκλησιαστικῶν ὑποθέσεων, καὶ διδασκαλικὸν ὑπεκρίνοντο ἀξίωμα. τοῦτο ἀπαγορεύοντες οἱ ἅγιοι πατέρες, διωρίσαντο μηκέτι τοιοῦτόν τι γίνεσθαι, καὶ συγχέεσθαι τὴν ἐκκλησιαστικὴν εὐταξίαν. ἀλλ' ἐπεί φασιν ἐκ διαφόρων μελῶν ὁ Θεὸς τὴν ἐκκλησίαν ἐστερέωσέ τε καὶ ὕψωσε, καὶ οἱ λαϊκοὶ διδάσκεσθαι E ἐτάχθησαν, οὐχὶ διδάσκειν, ὀφείλουσι μᾶλλον ὑπέχειν τὸ οὖς τοῖς διδάσκουσιν, ἢ τὴν γλῶτταν κινεῖν, καὶ σκανδαλίζειν πολλάκις· καὶ ἕκαστον μένειν ἐν ᾗ ἐκλήθη τάξει, κατὰ τὸ γράμμα τὸ ἱερόν. ἐχρήσαντο δὲ, εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν, καὶ γραφικοῖς διαφόροις ῥητοῖς, ἀποστολικοῖς δηλαδὴ, θεολογικοῖς, καὶ προφητικοῖς. τοὺς μέντοι παραβαίνοντας τὸν παρόντα κανόνα, ἐπὶ τεσσαράκοντα ἡμέραις ἀφορίζεσθαι διωρίσαντο. ἐρωτήσει δέ τις, ὡς τοῦ κανόνος κωλύοντος δημοσίᾳ διδάσκειν ἢ διαλέγεσθαι τοὺς λαϊκοὺς περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, κωλυθήσονται κληρικοὶ καὶ μοναχοὶ παρομοίως τοῖς λαϊκοῖς ἢ οὔ; F Λύσις. ἐπεὶ τὸ διδάσκειν μόνων τῶν ἀρχιερέων ἐστὶ, καὶ τῶν τεταγμένων εἰς τοῦτο, εἴτις ἐξ αὐτῶν τὴν κανονικὴν παραδράμῃ παραγγελίαν, ὑπεύθυνος ἔσται, ὡς ἐμοὶ δοκεῖ. διὰ γὰρ τοῦτο καὶ ἐν τῇ κατεξετάσει τοῦ εὐαγγελικοῦ ῥητοῦ, τοῦ λέγοντος, ὁ πατήρ μου μείζων μου ἐστὶ, πολλοὶ μοναχοὶ καὶ κληρικοὶ, ὅτι περὶ τούτου ἀντιθετικῶς ἢ ἐλάλησαν ἢ ἔγραψαν, ἐκολάσθησαν· καλῶς δὲ προσετέθη τὸ δημοσίᾳ. ἐπείτοιγε κατ' ἰδίαν ἐρωτώμενός τις συνετὸς περί τινος δογματικῆς ὑποθέσεως, ἢ περὶ ἄλλης ψυχωφελοῦς αἰτίας, οὐ κωλυθήσεται τὸ δοκοῦν αὐτῷ

Bals. Populum Domini docere, & divina decreta interpretari, solis Antistibus à divina spiritus gratia concessum est, & iis quibus ab illis permissum est. Ut est ergo verisimile, quidam Laici & fortè etiam docti, de quibusdam Ecclesiasticis argumentis publicè disputabant, & quandam auctoritatem docendi præ se ferebant. Divini ergo patres hoc prohibentes, statuerunt, ne quid amplius ejusmodi fieret, ne Ecclesiæ ordo confunderetur. Sed quoniam, inquit, Deus ex diversis membris Ecclesiam suis stabiliit & erexit, & constitutum est ut Laici docerentur, non docerent, debent potiùs aurem docentibus præbere, quàm linguam movere, ac multos offendere: & unusquisque manere in quo vocatus est ordine, ut dicit sacra scriptura. Ad ejus autem, quod dixerunt, confirmationem diversis scripturæ dictis Apostolicis scilicet, & theologicis, & Propheticis usi sunt. Eos autem qui præsentem can. transgrediuntur lx. diebus segregari jusserunt. Interrogaverit autem quispiam, cùm can. prohibeat Laicos de rebus Ecclesiasticis publicè docere vel disserere, an Clericus vel Monachus prohibebitur similiter ac Laici, an non? Solutio. Quoniam docere solorum est Antistitum, & eorum qui ad hoc sunt ordinati, si quis ex eis canonicum præceptum transgressus fuerit, is, ut mihi videtur, canone tenebitur. Propterea enim & evangelici dicti examinatione, quod dicit; Pater meus major me est, multi Monachi & Clerici, quoniam de eo contentiosè, vel locuti fuerant, vel scripserant, puniti sunt. Rectè autem adjectum est illud, publicè. Si quis enim intelligens privatim de aliqua decreti materia, vel de alia ad animæ utilitatem pertinente causa, interrogetur, non prohibebitur id quod sibi videtur respondere. Iiij. enim cap. i. tit.

primi lib. Baſilic. dicit, Nemo vel Clericus vel Monachus militans, vel quicunque is ſit alius cogens multitudinem, publicè de fide diſſerat. Videtur enim injuriam facere Chalcedon. Syn. quæ omnia aptè definiit; quæ etiam dat omnibus hæreticis noſtra cognoſcenda. Quocirca ſi is quidem, qui hæc facit, fuerit Clericus, à Clericorum conventu excidet: ſi autem miles, à militia. Reliqui autem, prout cujuſque fuerit conditio, punientur.

Zonar. Ordinem ab unoquoque, in quem vocatus eſt, retinendum, divino oraculo admonemur. Idem hic quoque canon præcipit, laicúmque hominem, neque publice diſputationem de fide inſtituere, neque docendi ſibi munus uſurpare, verùm quibus ea docendi cura demandata eſt ſilentio attentas aures præbere jubet. Unicum eſt enim Eccleſiæ corpus, quod ex multis membris perficitur, ut divinus Apoſtolus docet. Deinde Theologi verba, hoc Apoſtoli dictum interpretantis, ſubnectit. Tum illa quoque ſapientiæ ſubjicit, Ne ſis velox in loquendo, & quæ ſequuntur. Qui vero canoni non obtemperaverint, quadraginta dierum ſegregatione mulctari placet. Privatim tamen quis interroganti reſpondere, ac propoſitæ ab eo quæſtioni docendo ſatisfacere, non prohibebitur.

Arist. *Laicus ne doceat: Non enim omnes Prophetæ, non omnes Apoſtoli.*

Unuſquiſque debet ſuum cognoſcere ordinem, & non ſe paſtorem facere, cum ſit ovis, vel caput ſe efficere, cùm ſit pes: ſed ordine à Domino tradito contentum eſſe, & aurem iis aperire qui docendi gratiam acceperunt. Omnes enim non ſunt prophetæ, nec omnes Apoſtoli. Quapropter Laici neque doceant, nec verba dogmatica moveant, docendi autoritatem ſibi exinde vendicantes.

CANON LXV.

Qui in noviluniis à quibuſdam ante ſuas officinas & domos accenduntur, rogos, ſupra quos etiam antiqua quadam conſuetudine ſalire nonnulli ineptè ac delirè ſolent, jubemus deinceps ceſſare. Quiſquis ergo tale quid fecerit, ſi ſit quidem Clericus, deponatur: ſin autem Laicus, ſegregetur. In quarto enim libro Regum ſcriptum eſt, Et ædificavit Manaſſes altare univerſæ militiæ cœli, in duobus atriis domus Domini, & filios ſuos traduxit per ignem, ſortibúſque & auguriis auſpiciiſque uſus eſt, & fecit ventriloquos, & divinatores multiplicavit, & perrexit facere malum coram domino, ut eum ad iram provocaret.

Bals. Novilunia dicebantur dies primi menſium. Mos ergo erat apud Judæos & Græcos feſtum tunc agere & genu flectere, ut totum menſem feliciter tranſigerent. De quibus Deus quoque dixit per Prophetam: Novilunia veſtra & ſabbata odit anima mea. Sed & ante ſuas officinas & ædes rogos incendebant, & ſupra eos ſaliebant, per id exiſtimantes ea quæ illis priùs obtigiſſent mala comburi, foréque ut in alia bona inciderent. His ergo conſequenter faciebant etiam quidam orthodoxi eo tempore quo hæc habita eſt Synodus. Unde etiam patres ea ceſſare juſſerunt; & eum quidem qui tale quid feciſſet, ſi eſſet Clericus, deponi; ſi verò Laicus, ſegregari ſanxerunt. Cùm autem vellent oſtendere hæc eſſe mala maxima, & à Deo alienationem: ex quarto quoque libro Regum verbis uſi ſunt, de rege Manaſſe, qui Deum ad iram provocavit, quia in domus Domini atriis ſacrificavit militiæ cœli, aſtris ſcilicet, & quòd filios ſuos per ignem traduxit, ſortibúſque & auguriis auſpi-

A ἀποκρίνεσθαι. καὶ τὸ δ΄. γὰρ κεφάλ. τοῦ α΄. τίτλου τοῦ α΄. βιβλίου τῶν βασιλικῶν, φησί, μηδεὶς ἢ κληρικὸς ἢ μοναχὸς στρατευόμενος, ἢ ἄλλος οἱοσδήποτε πλῆθος συνάγων δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω. ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δεόντως πάντα διατυπώσασαν, ἥτις καὶ τοῖς αἱρετικοῖς πᾶσι δίδωσι γινώσκειν τὰ ἡμέτερα. ὥστε οὖν εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται· εἰ δὲ στρατευόμενος, τῆς στρατείας. οἱ δὲ λοιποὶ κατὰ τὴν ἰδίαν τύχην τιμωρείσθωσαν.

ΖΩΝΑΡ. Ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω, φησὶν ἡ θεία γραφή. τοῦτο δὲ καὶ ὁ κανὼν οὗτος νομοθετεῖ, καὶ B λαϊκὸν δημοσίᾳ διαλέγεσθαι περὶ πίστεως, ἢ διδάσκειν ὡς διδάσκαλον, οὐ βούλεται, ἀλλ᾽ ὑπέχειν τὸ οὖς τοῖς ταχθεῖσιν εἰς τὸ διδάσκειν. ἓν γάρ ἐστι σῶμα ἡ ἐκκλησία, ὑπὸ διαφόρων δὲ συμπληροῦται μελῶν κατὰ τὸν θεῖον ἀπόστολον. εἶτα τοῦ θεολόγου ἐπάγει ῥητά, ἑρμηνεύοντος τὰ ἀποστολικὰ ῥήματα, καὶ προσεπάγει τὰ τῆς σοφίας λεγούσης, μὴ ἴσθι ταχὺς ἐν λόγοις, καὶ τὰ λοιπά. τοὺς δὲ παραβαίνοντας τὸν κανόνα, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφορίζει. ἰδίᾳ δέ τις ἐρωτώμενος, οὐ κωλυθήσεται ἀποκρίνεσθαι καὶ διδάσκειν τὸν ἐρωτῶντα.

C

ΑΡΙΣΤ. Λαϊκὸς μὴ διδάσκοι· μὴ γὰρ πάντες προφῆται, μὴ πάντες ἀπόστολοι.

Ἕκαστος ὀφείλει τὴν ἑαυτοῦ τάξιν εἰδέναι, καὶ μὴ ποιμένα ἑαυτὸν ποιεῖν, πρόβατον ὤν, ἢ κεφαλὴν καθιστᾷν πούς τυγχάνων· ἀλλ᾽ ὑπείκειν τῇ παραδοθείσῃ παρὰ τοῦ κυρίου τάξει, καὶ τὸ οὖς διανοίγειν τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσιν. οὐ γὰρ πάντες προφῆται, οὐδὲ πάντες ἀπόστολοι. διὰ τοῦτο οἱ λαϊκοὶ μήτε διδασκέτωσαν, μήτε λόγους δογματικοὺς κινείτωσαν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν ἑαυτοῖς περιποιούμενοι.

D

ΚΑΝΩΝ ξε΄.

Τὰς ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργαστηρίων ἢ οἴκων ἀναπτομένας πυρκαϊάς, ἃς καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον ἐπιληροῦσι, ἀπὸ τοῦ παρόντος καταργηθῆναι προστάσσομεν. ὅστις οὖν τοιοῦτόν τι πράξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω. γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν· καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἐν ταῖς δύο αὐλαῖς οἴκου κυρίου, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρί, καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, E καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, τοῦ παροργίσαι αὐτόν.

ΒΑΛΣ. Νουμηνίαι ἐλέγοντο αἱ πρῶται ἡμέραι τῶν μηνῶν. εἴθιστο οὖν παρὰ Ἰουδαίοις καὶ Ἕλλησιν ἑορτάζειν τηνικαῦτα καὶ γονυκλιτεῖν, ὡς ἂν τὸ μηνιαῖον διάστημα εὐτυχῶς διέλθωσι· περὶ ὧν καὶ ὁ θεὸς εἶπε διὰ τοῦ προφήτου, τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου. ἀλλὰ καὶ ἔμπροσθεν τῶν ἐργαστηρίων αὐτῶν καὶ τῶν οἰκείων ἀνῆπτον πυρκαϊάς, καὶ ἐπήδων ἐπάνω τούτων, νομίζοντες διὰ τοῦτο τὰ προσυμβάντα ἴσως αὐτοῖς δυσχερῆ F κατακαίεσθαι, καὶ ἑτέροις ἀγαθοῖς ἐντυγχάνειν. ἀκολούθως οὖν τούτοις ἐποίουν καί τινες ὀρθόδοξοι ἐν ταῖς ἡμέραις ἐν αἷς ἡ παροῦσα γέγονε σύνοδος. ἔνθεν τοι καὶ διωρίσαντο οἱ πατέρες καταργηθῆναι ταῦτα. καὶ τὸν τοιοῦτόν τι ποιήσαντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δέ, ἀφορίζεσθαι. θέλοντες δὲ παραστῆσαι ὅτι μέγιστόν τι κακὸν ταῦτα εἰσί, καὶ ἀπαλλοτρίωσις τοῦ θεοῦ, ἐχρήσαντο καὶ ῥήμασιν ἀπὸ τῆς δ΄. τῶν βασιλειῶν, περὶ τοῦ βασιλέως τοῦ Μανασσῆ τοῦ τὸν θεὸν παροργίσαντος, ὅτι ἔθυσεν ἐν ταῖς αὐλαῖς τοῦ οἴκου κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ, ἤτοι τοῖς ἄστρασι, καὶ ὅτι διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, καὶ ἐγγαστριμύθους καὶ γνώστας ἐπλήθυνε. καὶ περὶ μὲν τῶν πυρκαϊῶν ὅπως ἐτελοῦντο, εἴπομεν ἄνωθεν. κληδὼν δὲ ἐστιν ἡ διά τινων σημείων μαντεία. οἰωνισμὸς ἡ ἀπὸ κραυγῆς ἢ πτήσεως οἰωνῶν, τουτέστιν ἀγρίων πτερωτῶν ζώων, περὶ ὧν αἱρεῖταί τις μάθησις· ἐξ οὗ καὶ οἰωνοσκόποι λέγονται. ἐγγαστρίμυθοι δὲ καὶ γνῶσται λέγονται πάντες οἱ σατανικῶς ἐνθουσιῶντες, καὶ προλέγοντες δῆθεν τὰ ἄγνωστα· ὡς οἱ κρίτριαι, οἱ ἀθίγγανοι, οἱ ψευδοπροφῆται, ἐρημῖται, καὶ ἕτεροι. ταῦτα τοῦ κανόνος διοριζομένου, ἡ μὲν τῆς νουμηνίας ἑορτὴ προαμνημονεύτων χρόνων ἐσχόλασε, καὶ ἀντὶ ταύτης, θεοῦ χάριτι, ἱλαστήριοι εὐχαὶ πρὸς θεὸν καὶ ἁγιασμοὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πιστοῦ λαοῦ γίνονται καθ' ἑκάστην ἀρχιμηνίαν, καὶ ὕδασιν εὐλογίας οὐκ ἀντιλογίας χριόμεθα. ἡ δὲ τῶν πυρκαϊῶν δαιμονιώδης τελετὴ καὶ αἱ κληδόνες ἐγίνοντο, μέχρι τῆς ἐφημερίας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, εἰς ταύτην τέως τὴν τῶν πόλεων βασιλεύουσαν, οὕτως. κατὰ τὴν ἑσπέραν τῆς κγ΄. τοῦ Ἰουνίου μηνὸς ἠθροίζοντο ἐν ταῖς ῥυμάσι καὶ ἔν τισιν οἴκοις ἄνδρες καὶ γυναῖκες, καὶ πρωτότοκον κοράσιον νυμφικῶς ἐστόλιζον. μετὰ γοῦν τὸ συμποσιάσαι καὶ βακχικώτερον ὀρχήσασθαι, καὶ χορεῦσαι καὶ ἀλαλάξαι, ἔβαλον ἐν ἀγγείῳ συστόμῳ χαλκῷ θαλάττιον ὕδωρ, καὶ εἴδη τινὰ ἑκάστῳ τούτων ἀνήκοντα· καὶ ὥσπερ τῆς παιδὸς ἐκείνης λαβούσης ἰσχὺν ἐκ τοῦ σατανᾶ προμηνύειν τὰ ἐρωτώμενα, αὐτοὶ μὲν περὶ τοῦ δέ τινος ἀγαθοῦ ἢ καὶ ἀποτροπαίου ἀνεβόων ἐρωτηματικῶς. τὸ δὲ κοράσιον ἀπὸ τῶν ἐν τῷ ἀγγείῳ ἐμβληθέντων εἰδῶν τὸ παρατυχὸν ἐξαγαγὼν, ὑπεδείκνυεν· ὃ καὶ λαμβάνων ὁ ἀνόητος τούτου δεσπότης, ἐπληροφορεῖτο τάχα τὰ ἐπ' αὐτῷ συνεχθῆναι μέλλοντα, εὐτυχῆ τε καὶ δυστυχῆ. τῇ ἐπαύριον δὲ μετὰ τυμπάνων καὶ χορῶν σὺν τῷ κορασίῳ εἰς τοὺς αἰγιαλοὺς ἀπερχόμενοι, καὶ ὕδωρ θαλάττιον ἀφθόνως ἀναλαμβανόμενοι, τὰς κατοικιῶν αὐτῶν ἔρραινον· καὶ οὐ μόνον ταῦτα ἐτελοῦντο παρὰ τῶν εὐσυνετωτέρων, ἀλλὰ καὶ δι' ὅλης τῆς νυκτὸς ἀπὸ χόρτου πυρκαϊὰς ἀνάπτοντες, ἐπήδων ὑπεράνω αὐτῶν, καὶ ἐκληδονίζοντο ἤτοι ἐμαντεύοντο περὶ εὐτυχίας καὶ δυστυχίας καὶ ἄλλων τινῶν, δαιμονιωδῶς. τὰς δὲ ἔνθεν κἀκεῖθεν εἰσόδους αὐτῶν, καὶ τὸ δωμάτιον ἐν ᾧ ἐτελεῖτο ἡ κληδὼν, σὺν τοῖς παρακειμένοις ὑπαίθροις, χρυσίζουσι πέπλοις καὶ σηρικοῖς κατεκόσμουν ὑφάσμασιν. ἀλλὰ μὴν καὶ φύλλασι δένδρων κατεστεφάνουν, εἰς τιμὴν καὶ ὑποδοχὴν, ὡς ἔοικε, τοῦ οἰκειωσαμένου αὐτοὺς σατανᾶ· ἃ δὴ πάντα ὁ ῥηθεὶς ἁγιώτατος πατριάρχης μετὰ πάσης ἐπιμελείας καταργηθῆναι ἐπέτρεψεν· ὃ καὶ γέγονε. καὶ νῦν εὐδοκοῦντος θεοῦ, τὰ τοιαῦτα θεοστυγῆ ἔργα παντελῶς ἠπράκτησαν· ὡς τῶν ἐν ταῖς γειτονίαις ὄντων προκριτωτέρων καὶ τῶν ἱερέων ἐπιτιμηθέντων, παντοίως φροντίζειν καὶ μὴ παραχωρεῖν τοιοῦτόν τι γίνεσθαι. γένοιτο δὲ καὶ τὰς ἀπὸ τῶν κορωνῶν καὶ τῶν κοράκων καὶ τῶν λοιπῶν ἀγρίων ζώων οἰωνοσκοπίας καταργηθῆναι, ὡσαύτως καὶ τὰς φλυαρίας τῶν Κριτριῶν καὶ τῶν ἑτέρων λαοπλάνων. τὸ μέντοι, διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, ὁ μέγας Κύριλλος, ἐξηγούμενος τὸν προφήτην Ἡσαΐαν, ἀντὶ τοῦ ὁλοκαύτωσε, ἡρμήνευσεν, ἤγουν θυσίαν προσήγαγε τοῖς δαίμοσιν.

ΖΩΝΑΡ. Ἔθη Ἑλληνικά τε καὶ ἐθνικὰ κατὰ παράδοσιν ἐποίουν τινὲς, καὶ ποιοῦσι, μηδὲ εἰδότες τί δηλοῦσι τὰ γινόμενα παρ' αὐτῶν· οἷον ἐστι καὶ τὸ πυρκαϊὰς ἀνάπτεσθαι ἔμπροσθεν ἐργαστηρίων καὶ οἰκιῶν, καὶ αὐτῶν ὑπεράλλεσθαι, καὶ τοῦτο δὲ ὁ κανὼν ἀπείργνυσι γίνεσθαι, καὶ τοὺς τοιοῦτόν τι πράσσοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει. εἶτα δεικνὺς, ὅτι ἀπηγορευμένα εἰσὶ ταῦτα καὶ τῷ παλαιοτέρῳ νόμῳ, ἐκ τῆς τετάρτης τῶν βασιλειῶν ἐποιήσατο τὴν ἀπόδειξιν λεγούσης· καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον, καὶ τὰ ἑξῆς.

A ciiſque uſus eſt, & ventriloquos divinatores multiplicavit. Ac de rogis quidem ſeu pyris priùs diximus quomodo fierent. Sors autem eſt divinatio, quæ fit per ſigna. Augurium eſt ex volatu vel garritu avium, hoc eſt, ſylveſtrium pennatorum animalium, eorum quæ quis ſcire deſiderat, cognitio; unde & auſpices ſeu avium inſpectores augureſque dicuntur. Ventriloqui autem aruſpiceſque dicuntur omnes, qui ſatanica incitatione afflati, dicunt ea quæ cognoſci non poſſunt, ut Critriæ, Athingani, pſeudoprophetæ, Eremitæ & alii. Hæc ſtatuente Canone, Novilunii quidem feſtum ante annos omnem memoriam ſuperantes ceſſavit, & ejus loco Dei gratia B propitiatoriæ preces ad Deum ac ſanctificationes in Eccleſia à fideli populo fiunt, in uniuſcujuſque menſis principio, & aqua benedictionis, non contradictionis, inungimur. Rogorum autem dæmoniacum myſterium ſorteſque fiebant, uſque ad tempus ſanctiſſimi Patriarchæ domini Michaëlis, qui fuit philoſophorum princeps in hac urbium regina, hoc modo. Xxiii. menſis Junii veſpere cogebantur in littoribus & quibuſdam ædibus viri & mulieres, & primogenitam puellam inſtar ſponſæ ornabant. Poſtquam ergo convivati eſſent, & bacchantûm ritu ſaltâſſent & choreas duxiſſent, in feſtiſque conſuetas exclamationes uſurpâſſent, in vas oris contractioris C marinam aquam injiciebant, & res quaſdam ad unumquemq; eorum pertinentes: & tanquam puella illa à Satana facultatem accepiſſet futura prædicendi, ipſi quidem de bono aliquo, vel etiã averſando ac fugiendo quopiam, interrogando exclamabant. Puella autem ex rebus in vas injectis eam, quæ incidiſſet, eductam oſtendebat; Quam etiam accipiens ſtultus ejus dominus, certior forſan fiebat de proſperis vel adverſis ex eo eventuris. Poſtridie autem cum tympanis & choris unà cum puella ad littora venientes, & aquam marinam copioſè accipientes, ædes ſuas aſpergebant: & à paulò ſapientoribus hæc non ſolùm fiebant, ſed & per totam noctem rogos ex fœno D accendentes, ſupra eos ſaliebant, & ſortiebantur ſeu divinabant de felicitate & infelicitate, & de quibuſdam aliis, planè dæmoniacè. Eorum autem hinc & illinc aditus, & domunculam, in qua ſors illa fiebat, unà cum iis ſub dio locis quæ propè erant, aureis veſtibus & ſericeis textibus exornabant. Quinetiam arborum foliis coronabant, ad honorandum, ut veriſimile eſt, & excipiendum Satanam, qui illos ſibi familiares effecerat. Quæ quidem omnia prædictus ſanctiſſimus Patriarcha cum omni diligentia prohiberi & penitùs aboleri curavit; quod & factum. Et nunc, ut Deo placuit, hæc opera Deo inviſa omnino exoleverunt; ideo quòd qui propè habitabant, & E judices & ſacerdotes ſæpe ſunt reprehenſi, & admoniti, ut omnino curarent ac viderent, ne quid tale fieret. Ac utinam corvorum & cornicum & reliquarum ferarum avium inſpectiones abolitæ eſſent: ſimiliter autem & Critriarum nugæ & aliorum populi ſeductorum. Illud autem, Traduxit filios ſuos per ignem, magnus Cyrillus, prophetam Eſaiam explicans, interpretatus eſt, in holocauſto obtulit ſeu ſacrificabat dæmonibus.

F

ZONAR. Græcorum ethnicorúmque conſuetudines à majoribus acceptas nonnulli ſervabant, hodieq; ſervant, etſi quid iis, quæ per ipſos geruntur, indicetur haud ſatis intelligant. Tale illud eſt, cum pro foribus officinæ aut domus rogos incendunt ſaltúq; tranſiliunt. Atq; id quidem, & fieri vetat canon, & qui fecerit Clerico depoſitionis, Laico verò ſegregationis pœnam injungit. Deinde ut hæc antiqua quoque lege vetita fuiſſe oſtendat, rei demonſtrandæ illa ex quarto Regum protulit; Et ædificavit Manaſſes altare, & quæ ſequuntur. Ergo ſi qui minus perfecta vivendi lege tenebantur, prava hæc nihilominus eſſe, Deique iracundiam elicere arbitrantur: quanto magis ea nobis, qui magis perfectam, magiſque ſpiritualem legem accepimus, & iniqua & inconceſſa videri debent? Verba porro illa, Et traduxit filios ſuos per ignem, hujus quidem Synodi Patres videntur accipere, pro his, tranſilire fecit ignem accenſum. Magnus vero Cyrillus illud, traduxit filios ſuos per ignem, hoc eſt, holocauſtum obtulit dæmonibus ſacrificans, interpretatus eſt. Ita ille in ſuis in Eſaiam commentariis. Et ſortibus uſus eſt. Sors autem eſt, cum per ſigna quædam fortuna cujuſpiam infortuniave indagatur; quod quidem hoc quoque tempore nonnullis fortunæ ſuæ cognoſcendæ cupidis eſt uſitatum. Et utebatur auſpiciis. Auſpicium vero eſt, cum volatus avium (nam aves vocantur οἰωνοὶ) clangor & alia hujuſmodi obſervantur: quæ obſervatio οἰωνοσκοπία à Græcis dicta, maximóque olim in honore tota hæc auſpiciorum ratio apud Romanos habita eſt. Militiam porro cœli ſtellas intellige.

Arist. *Rogi, qui noviluniis in officinis extruuntur, & qui eos tranſiliunt, abrogentur.*

Quidam coram officinis domibúſve ſuis rogos accendentes, eis juxta antiquam quandam conſuetudinem inſiliebant. Et illud abolentes patres, jubent, quòd ſi quidem Clericus inveniatur aliquid ejuſmodi faciens, deponetur: ſi Laicus autem, ſegregabitur. Nam & Manaſſes per ignem filios ſuos traducens, & auguriis uſus, Deum ad iram provocavit.

Canon LXVI.

A ſancta Chriſti Dei noſtri reſurrectionis die uſque ad novum dominicum, tota ſeptimana in ſanctis eccleſiis vacare fideles jugiter oportet pſalmis & hymnis & ſpiritualibus canticis, in Chriſto gaudentes feſtúmque celebrantes, & divinarum ſcripturarum lectioni mentem adhibentes, & ſanctis myſteriis jucundè & lautè fruentes. Sic enim cum Chriſto unà reſurgemus & exaltabimur. Nequaquam ergo prædictis diebus equorum curſus vel aliquod publicum fiat ſpectaculum.

Bals. Tanquam unus dies dominicus per omnia reputatur ea quæ poſt ſanctam Domini & Dei & Servatoris noſtri Jeſu Chriſti reſurrectionem currit ſeptimana: in eo verò quod genu non flectatur, & tota etiam Pentecoſte. Quoniam autem feſti celebrandi prætextu apud quoſdam inoleverant equorum curſus, & alia etiam publica ludicra ſpectacula, ſtatuerunt patres, nos ſic feſtum non oportere celebrare in hac paſchali hebdomade, ſed religioſè & quoad fieri poteſt, ſanctè videlicet eccleſia vacare, diviniſque canticis ſatiari: & tanquam jam digni ſimus reſurrectionem domini celebrare, divinis myſteriis jucundè lautéque perfrui, & unà conſurgere cum eo qui reſurrexit, & nos in cœlum unà ſuſtulit, Chriſto Deo noſtro. Nota ergo quòd omnes fideles debent eſſe parati ſancta myſteria participare unoquoque die, ſi fieri poteſt, quemadmodum & in aliis canonibus ante ſcriptum eſt. Cùm autem canon hæc ſtatuat, interrogaverit quiſpiam, quomodo artifices poſt diem tertium hujus ſeptimanæ ſuas mechanicas artes & opera exercent? Exiſtimo ergo eos malè hoc facere. Etſi enim à præſenti Canone non puniuntur, qui feſtum ſic ſolvunt: ab alio tamen Canone, qui Laicos, qui non ſunt agricolæ & in diebus

A εἰ οὖν παρὰ τοῖς τὸν ἀτελέστερον δεξαμένοις νόμον ταῦτα πονηρὰ ἐδόκει, καὶ εἰς ὀργὴν κυρίου. πόσῳ μᾶλλον ἐφ' ἡμῖν, τοῖς τὸν τελεώτερον καὶ πνευματικώτερον παραλαβοῦσι νόμον, ἄθεσμα ταῦτα καὶ ἀπηγορευμένα λογίζεσθαι χρή; τὸ δὲ, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, οἱ μὲν τῆς συνόδου ταύτης πατέρες ἐοίκασι νοῆσαι, ἀντὶ τοῦ, ὑπερπηδᾶν ἐποίει τὸ ἀναπτόμενον πῦρ. ὁ δὲ μέγας Κύριλλος τὸ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, ἀντὶ τοῦ, ὡλοκαύτωσεν, ἡρμήνευσε, θυσίας προσάγων τοῖς δαίμοσι. τοῦτο δὲ τὸν Ησαΐαν φησὶν ἐξηγούμενος. καὶ ἐκληδονίζετο. κληδὼν λέγεται τὸ διά τινων ζητεῖν γνῶναι, εἰ μέλλοι τις B εὐπραγῆσαι ἢ δυσπραγῆσαι, οἷα καὶ νῦν ποιοῦσί τινες θέλοντες τὴν τύχην τὴν ἰδίαν καταμαθεῖν. καὶ οἰωνίζετο· οἰωνισμὸς δέ ἐστι τὸ ἐπιτηρεῖν τὰς τῶν ὀρνέων πτήσεις. οἰωνοὶ γὰρ τὰ ὄρνεα λέγονται· καὶ τὰς αὐτῶν κλαγγὰς, καὶ τοιαῦτά τινα, ἃ καὶ οἰωνοσκοπίαι παρὰ τοῖς Ελλησιν ὠνομάζοντο, καὶ ἐν τάξει τιμῆς μεγίστης ἡ οἰωνοσκοπικὴ παρὰ Ρωμαίοις λελόγιστο. στρατιὰν δὲ τοῦ οὐρανοῦ τοὺς ἀστέρας νοητέον.

ΑΡΙΣΤ. Αἱ ἐν τοῖς ἐργαστηρίοις ἐν νουμηνίαις πυρκαϊαὶ, καὶ οἱ ταύτας ὑπεραλλόμενοι, καταργείσθωσαν.

C Τινὲς ἔμπροσθεν τῶν ἐργαστηρίων ἢ τῶν οἴκων πυρκαϊὰς ὑπανάπτοντες, ἐν αὐταῖς κατά τι ἀρχαῖον ἔθος ἐπήδων. καὶ καταργοῦντες αὐτὸ οἱ πατέρες προστάττουσιν, ὡς εἰ μὲν κληρικὸς εὑρεθήσεται τοιοῦτόν τι πράττων, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται. καὶ γὰρ ὁ Μανασσῆς ἐν πυρὶ τὰ τέκνα αὐτοῦ διαγαγὼν, καὶ οἰωνιζόμενος, παρώργησε τὸν θεόν.

ΚΑΝΩΝ ξϛʹ.

Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡμέρας μέ- D χρι τῆς καινῆς κυριακῆς, τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, εὐφραινομένους Χριστῷ καὶ ἑορτάζοντας, καὶ τῇ τῶν θείων γραφῶν ἀναγνώσει προσέχοντας, καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας. ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοί τε καὶ συνανυψούμενοι. μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρόμια ἢ ἑτέρα δημώδης θέα ἐπιτελείσθω.

ΒΑΛΣ. Ως μία κυριώνυμος ἡμέρα λογίζεται κατὰ πάντα ἡ μετὰ τὴν ἁγίαν ἀνάστασιν τοῦ Κυρίου καὶ Θεοῦ E καὶ Σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ τρέχουσα ἑβδομὰς, κατὰ δὲ τὸ μὴ γόνυ κάμπτειν, καὶ ἡ ὅλη πεντηκοστή. ἐπεὶ δὲ ἑορτῆς καὶ πανηγύρεως ἀφορμὴ ἐνομίζοντό τισιν αἱ ἱπποδρομίαι, πρὸς δὲ καὶ αἱ ἄλλαι δημοτικαὶ παιγνιώδεις θέαι, διωρίσαντο οἱ πατέρες, μὴ οὕτως ἑορτάζειν ἡμᾶς κατὰ ταύτην τὴν πασχάλιον ἑβδομάδα, ἀλλὰ θεοφιλῶς καὶ κατὰ τὸ δυνατὸν ἁγιοπρεπῶς δηλονότι σχολάζειν ἐν ταῖς ἐκκλησίαις, καὶ διὰ τῶν θείων ψαλτῳδημάτων κορέννυσθαι, καὶ ὡς ἤδη ἀξίους γενομένους ἑορτάσαι τὴν τοῦ κυρίου ἀνάστασιν, κατατρυφᾶν τῶν θείων μυστηρίων, καὶ συνανίστασθαι τῷ ἀναστάντι, καὶ ἡμᾶς εἰς οὐρανοὺς ἀνυψώσαντι, F Χριστῷ τῷ θεῷ ἡμῶν. σημείωσαι οὖν ὅτι πάντες οἱ πιστοὶ ὀφείλουσιν ἐν ἑτοιμότητι εἶναι τοῦ μεταλαμβάνειν τῶν ἁγίων μυστηρίων καθ' ἑκάστην εἰ δυνατὸν, καθὼς καὶ ἐν ἑτέροις κανόσι τοῦτο προείρηται. τοῦ δὲ κανόνος ταῦτα διοριζομένου, ἐρωτήσει τις, οἱ χειρωνάκται μετὰ τὴν τρίτην τῆς ἑβδομάδος ταύτης τὰ οἰκεῖα ἐργάζονται ἐργόχειρα; νομίζω οὖν, ὅτι κακῶς τοῦτο ποιοῦσι. κἂν γὰρ ἀπὸ τοῦ παρόντος κανόνος οὐ κολάζονται οἱ οὕτω τὴν ἑορτὴν καταλύοντες· ἀλλ' ἀπὸ τοῦ ἑτέρου κανόνος τοῦ ἀφορίζοντος τοὺς λαϊκοὺς, μὴ ὄντας γεωργοὺς, καὶ κατὰ τὰς κυριωνύμους,

UMI

κυριωνύμους ἐργαζομένους, καὶ οὗτοι κολασθήσονται. ζήτει καὶ τὴν νδ΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, διαλαμβάνουσαν μηδὲ αὐτοὺς τοὺς γεωργοὺς κατὰ τὴν κυριώνυμον ἐργάζεσθαι. ὥστε ἀπηγόρευται καὶ αὐτοῖς κατὰ τὴν ὅλην πασχάλην ἑβδομάδα ἐργάζεσθαι, ὡς μιᾶς κυριωνύμου λογιζομένης αὐτῆς.

ΖΩΝΑΡ. Ἑορτάζειν οἱ ἀπὸ Χριστοῦ κεκλημένοι ὀφείλομεν, οὐ τρυφὰς ἑαυτοῖς καὶ λαμπρότητας καὶ ἀνέσεις ἐπιτηδεύοντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι. πνευματικὴ δ' ἐστὶν εὐφροσύνη, τὸ ᾄδειν τῷ κυρίῳ, καὶ δοξάζειν αὐτὸν, ἐφ' οἷς ἐποίησε θαυμασίοις, ῥυσάμενος ἡμᾶς ἐκ τῆς δουλείας τῶν διαβόλου. οὕτω τοίνυν καὶ τὴν τοῦ Πάσχα ἑορτὴν βούλεται ἑορτάζειν ἡμᾶς ὁ κανὼν, ὅλην τὴν ἑβδομάδα ἐν ἐκκλησίαις σχολάζοντας, ἐν ψαλμοῖς τε καὶ ὕμνοις ᾄδοντας τῷ κυρίῳ, καὶ οὕτως ἐν Χριστῷ ἑορτάζοντας καὶ τῇ μελέτῃ προσέχοντας τῶν θείων γραφῶν, καὶ κατατρυφῶντας τῶν θείων μυστηρίων. καὶ οὕτω φησὶν ἐσόμεθα Χριστῷ συνανιστάμενοι, καὶ συνανυψούμενοι. ἀνιστάμενοι μὲν τοῦ πτώματος τῆς ἁμαρτίας, καὶ τῆς χαμαιζήλου καὶ γηΐνης ζωῆς· ἀνυψούμενοι δὲ πρὸς ὑψηλοτέραν καὶ πνευματικὴν τῷ ὄντι διαγωγήν. ὅθεν οὔτε ἱπποδρομίας ἐν τῇ τοῦ Πάσχα ἑβδομάδι γίνεσθαι συγχωρεῖ, οὔτε θέας ἑτέρας δημώδεις, ἐν αἷς δηλονότι ὁ δῆμος ἀθροίζεται θεώμενος τὰ γινόμενα.

ΑΡΙΣΤ. Τὴν μετὰ τὴν ἀνάστασιν πᾶσαν ἑβδομάδα πᾶς ἐκκλησιαζέτω πιστός.

Ἐν ταῖς ἁγίαις ἐκκλησίαις δεῖ σχολάζειν τοὺς πιστοὺς, καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις εὐφραίνεσθαι πᾶσαν τὴν ἑβδομάδα τὴν μετὰ τὴν ἁγίαν ἀνάστασιν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

ΚΑΝΩΝ ξζ΄.

Ἡ θεία ἡμῖν γραφὴ ἐνετείλατο, ἀπέχεσθαι αἵματος καὶ πνικτοῦ καὶ πορνείας. τοῖς οὖν διὰ τὴν λίχνον γαστέρα αἷμα οἱουδήποτε ζώου τέχνῃ τινὶ κατασκευάζουσιν ἐδώδιμον, καὶ οὕτω τοῦτο ἐσθίουσι, προσφόρως ἐπιτιμῶμεν· εἴ τις οὖν ἀπὸ τοῦ νῦν αἷμα ζώου ἐσθίειν ἐπιχειρήσοι οἱῳδήτινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Γέγραπται ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, μὴ ἐσθίειν ἡμᾶς οἱονδήποτοῦν αἷμα, ἢ ζῶον πνικτὸν, ἀπέχεσθαι δὲ καὶ πορνείας. καὶ ὁ Μωσαϊκὸς δὲ νόμος παρακελεύεται, αἷμα οὐ φάγεσθε. ἐπεὶ οὖν τινὲς αἷμα μὲν οὐκ ἤσθιον, ἐποίουν δέ τινα ἐδώδιμα ἔκ τε ἄλλων καὶ ἐξ αἱμάτων, καὶ ἔλεγον φυλάττειν τὰ τῆς θείας γραφῆς, ὅτι οὐκ ἤσθιον ἀμέσως αἷμα, ὥρισαν οἱ ἅγιοι πατέρες, τὴν τοιαύτην περιγραφὴν τῆς θείας νομοθεσίας σχολάσαι· καὶ τὸν καθ' οἱονδήτινα λόγον ἢ τέχνην φαγόντα αἷμα ζώου τινὸς, κληρικὸν μὲν ὄντα καθαιρεῖσθαι· λαϊκὸν δὲ ἀφορίζεσθαι. καὶ ὁ μὲν κανὼν ταῦτα· οἱ δὲ Λατῖνοι ἀδιαφόρως ἐσθίουσι τὰ πνικτά. ἀλλὰ καὶ οἱ Ἀδριανουπολῖται, ὡς ἀκούω, τοῖς αἵμασι τῶν ζώων χρῶνται μετ' ἐδωδίμων τινῶν. ζήτει καὶ τὴν νη΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην, τοὺς μὲν πωλοῦντας ἢ ἐσθίοντας εἶδος οἱονδήποτοῦν αἱματηρὸν δημεύεσθαι καὶ αἰκίζεσθαι, καὶ διὰ τῆς ἐν χρῷ κουρᾶς τιμωρεῖσθαι, καὶ ἀειφυγίᾳ κατακρίνεσθαι· τοὺς δὲ μὴ τὰ τοιαῦτα διεκδικοῦντας ἄρχοντας δέκα λιτρῶν χρυσίου προστίμῳ εὐθύνεσθαι.

ΖΩΝΑΡ. Τὸ αἵματος ἀπέχεσθαι, καὶ πνικτοῦ καὶ πορνείας ἐν ταῖς πράξεσι γέγραπται. τινῶν γὰρ λεγόντων δεῖν τοὺς πιστεύοντας περιτέμνεσθαι, συνελθόντες οἱ ἀπόστολοι καὶ ὁ ἀδελφόθεος Ἰάκωβος ἐβουλεύσαντο περὶ τούτου, καὶ ἐπεστάλκασι τοῖς πιστοῖς ἀπέχεσθαι τῶν εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας, καὶ μηδὲν πλέον αὐτοῖς ἐπιτίθεσθαι βάρος. καὶ ἐν τῇ γενέσει δὲ διατέτακται, τὸ κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε. τῇ θείᾳ τοίνυν γραφῇ καὶ οἱ θεῖοι πατέρες ἑπόμενοι, ἐπεὶ ἔμαθόν τινας μεθόδοις τισὶ τὸ αἷμα τῶν σφαττομένων ζώων ποιοῦντας ἐδώδιμον, καὶ ἐσθίοντας

A dominicis operantur, ſegregat, ii quoque punientur. Quære etiam liv. domini Imp. Leonis ſapientis Novellam, ſtatuentem ne ipſos quidem agricolas in die dominico operari debere. Quare eis quoque prohibitum eſt tota paſchali ſeptimana operari, nempe cùm ipſa unus dies dominicus reputetur.

Zonar. Non delitias aut luxum otiave ſectantes, ſed ſpirituali gaudio exultabundi, feſtos dies agere Chriſtiani debemus. Spiritualis porro lætitiæ eſt canticis numen venerari, illiúſque laudes, pro iis quæ admirabilia præſtitit, quodque diabolo mancipatos in libertatem nos aſſeruit, celebrare. Hanc ergo rationem Paſchæ B quoque feſtos atque ſolennes dies agitandi præſcribit Canon, ut ea nimirum ſeptimana, perpetuam in Eccleſiis ſtationem agentes, pſalmis hymniſque Domino concinendis occupati, in Chriſto proinde lætemur, ſacrarúmque litterarum accurata meditatione tempora traducentes, divinorum myſteriorum epulis inſaturabiliter expleamur. Atque hoc pacto, inquit, cum Chriſto ſimul exurgere, atque ad altiora ſimul eniti continget. A peccati ſcilicet lapſu menteque humi depreſſâ & ad terrena abjectâ exurgemus: ad ſublimiorem autem & verè ſpiritualem vivendi rationem excitabimur. Proinde nec equeſtres ludos tota Paſchatis hebdomada, C nec alia publica ſpectacula, ad quæ nimirum tuenda multitudo convenit, exhibendi facultatem eſſe decernit.

Arist. *Quiſque fidelis per totam poſt reſurrectionem hebdomadam in Eccleſiâ verſetur.*

In ſanctis Eccleſiis fideles oportet vacare, & in Pſalmis & hymnis gaudio exultare totam ſeptimanam poſt ſanctam Chriſti veri Dei noſtri reſurrectionem.

Canon LXVII.

Divina nobis ſcriptura mandavit, à ſanguine & ſuffocato & fornicatione abſtinere. Eos ergo, qui propter lautum & delicatum ventrem cujuſcunque animalis ſanguinem arte aliqua eſculentum condiunt ac inſtruunt, & ſic D *illo veſcuntur, ut par eſt punimus. Si quis ergo deinceps animalis ſanguinem quovis modo comedere aggrediatur, ſi ſit Clericus, deponatur: ſin Laicus, ſegregetur.*

Bals. Scriptum eſt in Actibus Apoſtolorum, Ne nos quemvis ſanguinem comedamus, vel ſuffocatum animal, & etiam à fornicatione abſtineamns. Atque etiam lex jubet Moſaica, Sanguinem ne comedatis. Quoniam ergo nonnulli ſanguinem, non quidem comedebant, nonnulla autem eſculenta & ex aliis & ex ſanguine faciebant, & ſe ſacram ſcripturam obſervare dicebant, quòd non ſanguinem nulla re intercedente E comederent, ſtatuerunt ſancti patres, ejuſmodi ſacræ legis circumſcriptionem ceſſare oportere; eúmque, qui quavis arte vel ratione animalis ſanguinem comederit, ſi ſit quidem Clericus, deponendum: ſin verò Laicus, ſegregandum. Et hæc quidem canon. Latini verò indiſcriminatim ſuffocata comedunt. Adrianopolitani etiam, ut audio, animalium ſanguine cum quibuſdam eſculentis utuntur. Quære & Imp. domini Leonis Sapientis novellam lviii. quæ ſtatuit eos, qui quamcunque ſanguinolentam ſpeciem comedunt, publicandos & corpore puniendos, & impreſſa cuti tonſura notandos, & perpetuo exilio condemnandos: eos autem, qui hæc non F vindicant, magiſtratus x. librarum auri mulcta corrigendos.

Zonar. A ſanguine, ſuffocato & fornicatione abſtinendum eſſe in Actis Apoſtoli decrevêre. Cum enim circumciſionem fidelibus neceſſariam eſſe nonnulli aſſeverarent, convenêre ſimul Apoſtoli cum fratre Domini Jacobo, & conſilio ea de re habito, fideles ab idolothytis, ſanguine, ſuffocato & fornicatione, nihil eis præterea oneris imponentes, abſtinere juſſerunt. Verùm in Geneſi quoque præceptum hujuſmodi extat: Carnem, in ſanguine animæ non comedetis. Divinæ igitur ſcripturæ auctoritatem, cum mactatorum animantium ſanguinem à nonnullis quadam arte condiri, atque ab iis eſitari cognoviſſent, id hoc Canone fieri vetuere; quiq; non paruerint, Clericos quidem depoſitione: Laicos verò ſegregatione mulctari jubent.

Arist. *Clericus ſanguinem edens deponitur: Laicus autem ſegregatur.* Perſpicuus.

Canon LXVIII.

Nemini licere veteris & novi teſtamenti librum, ſanctorumve noſtrorum & approbatorum præconum ac doctorum, corrumpere vel conſcindere, vel librorum cauponatoribus, vel iis qui dicuntur unguentarii, vel alii cuicunque, ad eum perdendum tradere: niſi utique omnino, vel à tineis, vel ab aqua, vel aliquo alio modo redditus fuerit inutilis. Qui autem tale quid facere deinceps deprehenſus fuerit, anno uno ſegregetur. Similiter & qui tales libros emit, ſi eos quidem ipſe non ad ſuam utilitatem retineat, nec alteri, ad ejus beneficium, & ut ii permaneant, vendat, ſed eos corrumpere aggreſſus fuerit, ſegregetur.

Bals. Nonnulli turpis quæſtus gratia divinarum ſcripturarum libros ementes delebant, vel etiam conſcindebant, Dei quæ ex ea re proficiſcebatur condemnationem non reputantes. Hæc ergo divini ſanctique patres corrigentes, nulli licere ſtatuerunt corrumpere, vel conſcindere, vel vendere unguentariis vel librorum cauponatoribus, ad delendum vel conſcindendum, quemcunque librum divinæ ſcripturæ, & ex vetere teſtamento & novo: niſi talis liber vel ab aqua, vel à vermibus, vel ab alio modo, ab igne videlicet, fuerit omnino redditus inutilis: eum autem, qui aliter facit, anno uno ſegregandum, eúmque etiam, qui ejuſmodi libros emit, & eos non poſſidet vel ad ſuam vel ad alienam utilitatem. Cùm autem audis canonem dicentem, non eſſe delendos vel quomodocunque corrumpendos libros veteris vel novi teſtamenti, vel aliquem alium ex divina ſcriptura, dic canonem de iis libris loqui, quos permiſſum eſt legi. Eos enim, qui non ſunt in uſu, ſi quis deleat & conſcindat, non punietur. Nota autem hæc propter librorum cauponatores, qui divinarum ſcripturarum membranas delent: & ne admiſeris eos dicentes, quod licet hunc divinæ ſcripturæ librum delere, & alium loco deletorum tranſcribere. Dato enim uno abſurdo, multa quoque alia abſurda conſequentur: ſed ſunt quidem laudandi bibliopolæ.

Zonar. Veteris ac novi teſtamenti, divino ſpiritu dictante, conſcriptos libros, ut & ſanctorum Patrum ac Doctorum, qui non ſine probatione videlicet admiſſi receptique ſunt, (multi namque res fidei, multi ſacrarum literarum interpretationes ſcripſerunt, verùm improbatis poſtea damnatiſque operibus proſecuti fuerant.) Sacros igitur veteris ac novi teſtamenti, & probatorum Patrum libros hic Canon ſtudioſè conſervari jubet. Neque vero eos inquit corrumpere aut conſcindere, vel librorum cauponatoribus, unguentariiſve perituros tradere cuiquam liceat. Cauponatores autem librorum, non qui libros vendunt, ſed quæ in libris ſcripta ſunt obliterantes, ipſiſve alia ratione, ita ut ſcriptura intereat, abutentes Canon intelligit. Si quæ verò forte exemplaria ſic à tineis corroſa ſunt, ut corrupta penitus cenſeantur, vel ſuperfuſa aqua, aut alio malo ita conſumpta, ut nullo amplius uſui legentibus eſſe poſſint, ea ſi quis obliteraverit, non idcirco pœnam Canonis violatori propoſitam, ut uno anno ſegregetur, incurret. Reus autem violati Canonis eſt, tum qui vendit libros, tum qui emit, eo nomine ut corrumpat.

Arist. *Divinas ſcripturas non corrumpes nec corrumpendas trades, niſi ſint prorſus inutiles.*

Non licet cuipiam veteris & novi teſtamenti vel etiam eximiorum & ſanctorum noſtrorum magiſtrorum

A αὐτὸ, διὰ τοῦ κανόνος τούτου κεκωλύκασι τὸ τοιοῦτόν τι ποιεῖν, ἐπιτιμήσαντες τοῖς τοιοῦτόν τι ποιοῦσιν, εἰ μὲν κληρικοὶ εἶεν, καθαίρεσιν· εἰ δὲ λαϊκοὶ ἀφορισμόν.

ΑΡΙΣΤ. Κληρικὸς αἷμα ἐσθίων καθαιρεῖται, λαϊκὸς δὲ ἀφορίζεται. Σαφής.

ΚΑΝΩΝ ξη΄.

Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῶν πάντων βιβλίων τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, τῶν τε ἁγίων καὶ ἐγκρίτων ἡμῶν κηρύκων καὶ διδασκάλων, διαφθείρειν ἢ κατατέμνειν, ἢ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς λεγομένοις μυρεψοῖς, ἢ ἄλλῳ τινὶ τῶν ἁπάντων πρὸς ἀφανισμὸν ἐκδιδόναι· B εἰ μή τι ἄρα τέλεον, εἴτε ὑπὸ σητῶν ἢ ὕδατος ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθῇ. ὁ δέ τι τοιοῦτο ποιεῖν ἀπὸ τοῦ νῦν ἁλισκόμενος, ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω· ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ὠνούμενος, εἰ μήτε αὐτὸς ταύτας κατέχει πρὸς οἰκείαν ὠφέλειαν, μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ διαμεῖναι ἀποδοίη, ἀλλὰ ταῦτα διαφθείρειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

ΒΑΛΣ. Τινὲς δι' αἰσχροκέρδειαν βιβλίων τῶν θείων γραφῶν ἐμπορευόμενοι ἀπήλειφον, ἢ καὶ κατέτεμνον, μὴ συλλογιζόμενοι τὴν ἐντεῦθεν τοῦ θεοῦ κατάκρισιν. διορθούμενοι οὖν τὰ περὶ τούτου οἱ θεῖοι καὶ ἅγιοι πατέρες, διωρίσαντο C μὴ ἔχειν ἐπ' ἀδείας τινὰ τῶν ἁπάντων διαφθείρειν ἢ κατατέμνειν ἢ πωλεῖν πρὸς μυρεψοὺς ἢ βιβλιοκαπήλους, χάριν ἀπαλοιφῆς ἢ κατατομῆς, οἱονδηποτοῦν βιβλίον ἐκ τῆς θείας γραφῆς, ἔκ τε τῆς παλαιᾶς δηλονότι διαθήκης καὶ τῆς νέας, εἰ μήπω τὸ τοιοῦτον βιβλίον, ἢ ἀπὸ ὕδατος ἢ ἀπὸ σκωλήκων ἢ ἀπὸ ἑτέρου τρόπου, πυρὸς δηλονότι, πάμπαν ἀχρειωθῇ· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι, καὶ τὸν ἐξωνούμενον οὕτω ταῦτα, καὶ μὴ ἐπικτώμενον αὐτὰ ἢ διὰ οἰκείαν ἢ διὰ ἀλλοτρίαν ὠφέλειαν. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ ἀπαλείφεσθαι ἢ ὁπωσδήποτε διαφθείρεσθαι βιβλίον τῆς παλαιᾶς ἢ τῆς καινῆς διαθήκης, ἢ D ἕτερον ἐκ τῆς θείας γραφῆς, περὶ ἐκείνων τῶν βιβλίων λέγε τὸν κανόνα διαλέγεσθαι τῶν ἐκχωρηθέντων ἀναγινώσκεσθαι. τὰ γὰρ ἀπρακτήσαντα, καὶ κατατέμνων τις καὶ ἀπαλείφων, οὐ κολασθήσεται. σημείωσαι ταῦτα διὰ τοὺς βιβλιοκαπήλους, τοὺς ἀπαλείφοντας τὰς μεμβράνας τῶν θείων γραφῶν, καὶ μὴ παραδέξῃ τούτους λέγοντας, ὡς ἐφεῖται τὸ δέ τι ἐκ τῆς θείας γραφῆς ἀπαλείφειν, καὶ ἕτερον ἐν τοῖς ἀπαλειφεῖσι μεταγράφειν. ἑνὸς γὰρ ἀτόπου δοθέντος, καὶ ἕτερα πολλὰ ἄτοπα συνακολουθήσουσιν· οἱ μέντοι βιβλιοπῶλαι ἐπαινετέοι εἰσί.

ΖΩΝΑΡ. Τὰ βιβλία τῆς θεοπνεύστου γραφῆς, τῆς E τε παλαιᾶς διαθήκης καὶ τῆς καινῆς, καὶ τὰ τῶν ἁγίων πατέρων καὶ διδασκάλων τῶν ἐγκριθέντων δηλαδὴ τῶν μετὰ δοκιμασίας δεχθέντων. (πολλοὶ γὰρ συνεγράψαντο περὶ πίστεως λόγους καὶ ἑρμηνείας γραφῶν, ἀλλ' ἀπεβλήθησαν καὶ ἀπεδοκιμάσθησαν.) τὰ γοῦν τῆς παλαιᾶς καὶ νέας διαθήκης βιβλία, καὶ τὰ τῶν ἐγκριθέντων πατέρων φυλάττεσθαι ὁ κανὼν κελεύει, ἀλλὰ μὴ διαφθείρεσθαι, μηδὲ κατατέμνεσθαι, μηδὲ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς μυρεψοῖς ἐκδίδοσθαι εἰς ἀφανισμόν. βιβλιοκαπήλους δὲ, οὐ τοὺς τὰ βιβλία πωλοῦντας φησὶν ὁ κανὼν, ἀλλὰ τοὺς ἀπαλείφοντας ἢ καὶ ἄλλως χρωμένους ταῖς βίβλοις εἰς ἀφανισμὸν τῶν ἐν αὐτοῖς γεγραμμένων. F τὰ δὲ ὑπὸ σκωλήκων ἴσως βρωθέντα ὡς τέλεον διαφθαρῆναι, ἢ ὑπὸ ὕδατος, ἢ ἄλλως ἀχρειωθέντα, ὡς μὴ χρησιμεύειν εἰς ἀνάγνωσιν, εἰ ἀπαλείψει τις, οὐχ ὑποπεσεῖται τῷ ἐπιτιμίῳ, ὅπερ ἐστὶ τὸ ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι τὸν παραβαίνοντα τὸν κανόνα. παραβάτης δ' ἐστὶ καὶ ὁ πωλῶν ταύτας ἐπὶ διαφθορᾷ καὶ οὕτως ὠνούμενος.

ΑΡΙΣΤ. Οὐ διαφθαρεῖς θεῖον βιβλίον. οὐδὲ δώσεις διαφθαρῆναι· εἰ μὴ τέλεον κατηχρείωται.

Οὐκ ἔξεστι τινὶ τῶν ἁπάντων βιβλίων τῆς παλαιᾶς ἢ τῆς καινῆς διαθήκης, καὶ τῶν ἐγκρίτων καὶ ἁγίων ἡμῶν διδασκάλων διαφθείρειν, ἢ τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς μυρεψοῖς διδόναι, πρὸς τὸ καταλῦσαι καὶ ἀφανίσαι αὐτὸ, εἰ μὴ τέλεον ἠχρειώθη ὑπὸ σητῶν, ἢ ὕδατος, ἢ ἑτέρου τρόπου. ὁ δὲ παραβαίνων τὸ ὁρισθὲν, ἐπὶ ἐνιαυτὸν ἀφορίζεται.

ΚΑΝΩΝ ξθʹ.

Μὴ ἐξέστω τινὶ τῶν ἁπάντων ἐν λαϊκοῖς τελοῦντι ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου, μηδαμῶς ἐπὶ τοῦτο τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντείας, ἡνίκα δ' ἂν βουληθείη προσάξαι δῶρα τῷ πλάσαντι, κατά τινα ἀρχαιοτάτην παράδοσιν.

ΒΑΛΣ. Ἀπαγορεύει ὁ κανὼν εἰσιέναι τοὺς λαϊκοὺς ἔνδον τοῦ θείου θυσιαστηρίου, ὡς ὄντος τούτου ἀφωρισμένου μόνοις τοῖς ἱερωμένοις. τῷ βασιλεῖ δὲ, καὶ λαϊκῷ ὄντι, ἐνεδόθη φησὶ τοῦτο ἡνίκα προσάξαι δῶρα τῷ θεῷ αἱρετίσεται, κατά τινα παλαιὰν παράδοσιν. ὅπως οὖν εἰς τὸ θεῖον ἄδυτον τοῦ περιωνύμου ναοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χαλκῇ ἀκωλύτως εἰσέρχεται ὁ βουλόμενος, ἀγνοῶ. περὶ δέ γε τῶν Λατίνων μανθάνω, ὅτι οὐ μόνον λαϊκοὶ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες εἰς τὸ ἅγιον βῆμα εἰσέρχονται καὶ κάθηνται, ἱσταμένων πολλάκις καὶ τῶν ἱερουργούντων. περὶ μέντοι τῶν βασιλέων εἶπόν τινες, τοῖς ῥήμασιν ἐπικαθήμενοι τοῦ κανόνος, ὅτι τότε οὐ κωλυθήσονται ἔνδον τοῦ θυσιαστηρίου εἰσιέναι, ὅτε προσαγαγεῖν δῶρον τῷ θεῷ μέλλουσιν, οὐ μὴν ὅτε χάριν προσκυνήσεως μόνον βουληθῶσιν εἰσελθεῖν ἐν αὐτῷ· ἐμοὶ δὲ τοῦτο οὐ δοκεῖ. οἱ γὰρ πατριάρχας προβαλλόμενοι ὀρθόδοξοι βασιλεῖς δι' ἐπικλήσεως τῆς ἁγίας τριάδος, καὶ χριστοὶ ὄντες Κυρίου, ἀκωλύτως ὅτε καὶ βούλονται εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέρχονται, καὶ θυμιῶσιν καὶ σφραγίζουσι μετὰ τρικηρίου, καθὼς οἱ ἀρχιερεῖς.

ΖΩΝΑΡ. Τὸ θυσιαστήριον τοῖς ἱερωμένοις ἀφώρισται. διὸ καὶ ὁ κανὼν τοῖς λαϊκοῖς ἀπαγορεύει τὴν πρὸς αὐτὸ εἴσοδον. τῷ δὲ βασιλεῖ μόνῳ παραχωρεῖ τῆς εἰς τὸ θυσιαστήριον εἰσόδου, ὅτε προσάγει δῶρα τῷ θεῷ. ὥσπερ δ' ὑπεραπολογούμενοι ἑαυτῶν οἱ τοῦτο δόντες τῷ βασιλεῖ τὸ προνόμιον τῆς ἐξουσίας καὶ τῆς αὐθεντείας ἐμνήσθησαν, μονονουχὶ τοῦτο λέγοντες, ὅτι οὐδὲ τοῦτον, καθὸ λαικός ἐστιν, ἐξῆν ἐντὸς εἰσιέναι τοῦ θυσιαστηρίου· ἀλλὰ διὰ τὴν ἐξουσίαν καὶ τὴν αὐθεντείαν, ἐνεδόθη αὐτῷ ἀρχῆθεν τοῦτο παραδόντων τῶν παλαιοτέρων πατέρων.

ΑΡΙΣΤ. Εἰ μὴ βασιλεὺς, οὔτις τῶν λαϊκῶν εἰς ἱλαστήριον εἴσεισιν.

Τοῖς κοσμικοῖς τὸ ἱλαστήριον ἄβατον· βασιλεὺς δὲ οὐ κεκώλυται εἰσέρχεσθαι ἐν αὐτῷ, ἡνίκα ἂν βουληθῇ, καὶ προσάγειν δῶρα τῷ θεῷ.

ΚΑΝΩΝ οʹ.

Μὴ ἐξέστω ταῖς γυναιξὶν ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας λαλεῖν· ἀλλὰ κατὰ τὴν φωνὴν Παύλου τοῦ ἀποστόλου, σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάττεσθαι, καθὼς καὶ ὁ νόμος φησίν· εἰ δέ τι μαθεῖν θέλουσιν ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

ΒΑΛΣ. Πρὸς Κορινθίους ἐπιστέλλων ὁ μέγας Παῦλος, παρεγγυᾶται ταῖς γυναιξὶ σιγᾷν, καὶ τοῖς οἰκείοις ἀνδράσιν ὑπείκειν, κατὰ τὸν Μωσαϊκὸν νόμον, τὸν λέγοντα, πρὸς τὸν ἄνδρα σου γύναι ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἀκολούθως οὖν τούτοις διορίζεται ὁ κανὼν, μὴ λαλεῖν τὰς γυναῖκας ἐν καιρῷ τῆς θείας λειτουργίας, ἀλλ' ὑπὸ τῶν ἰδίων ἀνδρῶν οἴκοι μανθάνειν περὶ ὧν θέλουσι· τούτου δὲ ὁρισθέντος οὕτω, μὴ εἴπῃς κατὰ μὲν τὸν καιρὸν τῆς λειτουργίας κωλύε-

A librum quemvis corrumpere, vel librorum cauponatoribus aut unguentariis tradere, ad eum destruendum perdendumve, nisi reddatur prorsus inutilis à tineis aut aquâ aut alio modo. Qui hoc autem decretum transgreditur, anno segregatur.

Canon LXIX.

Non liceat cuipiam ex Laicorum numero intra sacri altaris septum ingredi: ab eo tamen nequaquam prohibita potestate & auctoritate Imperatoria quando quidem luerit creatori dona offerre, ex antiquissima traditione. B

Bals. Prohibet præsens canon, ne Laici ad divinum altare ingrediantur, ut quod solis sacratis hominibus sit destinatum. Id autem, inquit, Imperatori soli, licèt sit laicus, concessum est, quando munera Deo offerre voluerit, ex antiqua quadam consuetudine. Quomodo ergo in divinum adytum inclyti templi Domini nostri Jesu Christi, quod est in Chalce, quicunque vult citra ullum impedimentum ingreditur, nescio. De Latinis autem audio, quòd non solùm viri Laici, sed & mulieres in sanctum tribunal ingrediuntur, & sedent, stantibus sæpe iis qui sacrificant. C De imperatoribus autem dixerunt quidam, verbis canonis insistentes, quòd tunc non prohibebuntur intra septum altaris ingredi, quando sunt Deo munera oblaturi, non autem si solius adorationis gratia ipsum ingredi voluerint: sed mihi non ita videtur. Orthodoxi enim Imperatores, qui per sanctæ Trinitatis invocationem Patriarchas provehunt, & sunt uncti Domini, sine ullo impedimento, quando etiam voluerint, ad sacrum altare accedunt, & suffiunt, & cum triplici cereo signant, sicut & Pontifices.

Zonar. Altare sacratis hominibus destinatur. D Proinde Laicos ab illius ingressu arceri canon jubet; sed ita, ut Imperatori tamen, cum sacra munera Deo oblaturus accesserit, sacra adyta intrandi soli sit facultas. Quasi verò se abundanter excusarent, qui hanc Imperatori prærogativam concesserant, Imperatoriæ potestatis supremæque auctoritatis mentionem idcirco injecere, ferme hoc dicentes, quòd Imperatori quoque, qua Laicus est, ad sacrum altare ingredi non licet: sed propter eam, qua prædìtus est, supremæ potestatis ac autoritatis amplitudinem, id ei pervetusto antiquorum Patrum exemplo ipsi quoque concedere non recusarunt.

Arist. *Nullus Laicus excepto Imperatore ad altare accedit.* E

Laicis altare est inaccessum. Imperator autem non prohibetur intra septum ejus ingredi, quandocunque voluerit dona etiam Deo offerre.

Canon LXX.

Ne liceat mulieribus divini ministerii tempore loqui; sed secundum Apostoli Pauli præceptum sileant. Non enim eis loqui permissum est, sed subjici, sicut dixit lex: si quid autem volunt discere, domi proprios maritos interrogent. F

Bals. Corinthiis scribens magnus Paulus, præcipit mulieribus silere, & maritis suis subjectas esse, convenienter legi Mosaicæ, quæ dicit, Ad virum tuum mulier conversio tua, & ipse dominabitur tibi. His ergo consequenter decernit canon, ne mulieres divini ministeri tempore loquantur, sed domi à viris suis ea discant, quæ scire volunt. Hoc autem sic constituto, ne dixeris eas quidem prohiberi loqui tempore ministerii: in aliis autem Ecclesiasticis conventibus nihil vetare eas loqui. Debent enim tunc quoque tacere. Ut eſt autem veriſimile, mulieres quædam eo tempore divinas ſcripturas legere præ ſe ferentes, concionari ſæpe aggrediebantur, & ad interrogationes ac reſponſiones ſe comparare. Quod quidem patribus nequaquam mulieribus convenire viſum eſt; ideoque eſt prohibitum. Privatim autem prudentiores interrogare de aliquibus animæ conducibilibus, novum non eſt. Lege & viii. lib. Baſil. tit. i. cap. i. decret. v. quod prohibet mulieres publicè cauſas agere, ſic expreſſè dicens; Pro ſe ſolis cauſas agunt mulier & cæcus: mulier enim virili officio non fungitur, & xxi. lib. tit. I. cap. xi. dicens, Mulier in teſtamento non fert teſtimonium: in aliis autem dicit teſtimonium, in quibus viri non accerſuntur. Et xlviii. novellam Imp. domini Leonis Sapientis, quæ prohibet mulieres in conventionibus & contractibus ferre teſtimonium: in partu autem, & in iis, in quibus ſolus fœmininus aſpectus admittitur, non etiam oculi hominum, eas teſtimonium præbere permittit. Quære & Juſtiniani cxviii. novellam, ſeu caput xiiii. iiii. tit. xxxvii. libri Baſilic. quæ prohibet mulieres fieri tutrices, & hæc præciſè dicit; Fœminis enim nos quoque prohibemus, ne tutelæ munera ſubeant, niſi ſit mater vel avia. Iis enim ſolis ſecundum hæreditatis ordinem tutelam quoque ſubire permittimus, ſi ſcriptis & aliis nuptiis, & ſenatusconſulti Velleiani auxilio renunciaverint. Si hæc enim ſervaverint, omnibus qui in tranſverſa ſunt linea cognatis in tutela præferentur, teſtamentariis demum tutoribus eas anteeuntibus. Defuncti enim voluntatem & electionem præferri volumus. Lege & tit. v. ejuſdem libri cap. xx. thema iii. dicens; Mulier non eſt curatrix.

Zonar. Silentium fœminis, non ſolùm quandiu ſacra myſteria peraguntur, ſed ubicunque fideles convenerint, magnus Paulus indicit. Hoc autem iis etiam, qui ſunt extra Eccleſiam, conveniens viſum eſt. Mulieres enim, inquit poëta neſcio quis, ornat ſilentium. Hic vero canon ſacri miniſterii tempore fœminas ſilere duntaxat jubet. Si quid autem ſcire cupiunt, viros, inquit canon, idque ex Apoſtolo, domi interrogent. Legis porro nomine Apoſtolica oracula hoc canone ſignificantur.

Arist. *Mulieribus in Eccleſiis loqui non permittitur.*

Si enim diſcere aliquid vellent, maritos ſuos domi interrogent.

Canon LXXI.

Eos, qui docentur leges civiles, Græcis moribus uti non oportere, & neque in theatrum induci, neque quæ dicuntur Cyliſtræ peragere, vel præter uſum communem ſibi veſtes induere, nec quo tempore diſciplinam aggrediuntur, vel ad finem ejus perveniunt, vel, ut in ſumma dicam, in ejus doctrinæ dimidio: ſi quis autem deinceps hoc facere auſus fuerit, ſegregetur.

Bals. Magnus Theologus Gregorius hæc ſcribit in funebri magni Baſilii oratione; quòd plurimi, iique ſtultiſſimi, ex adoleſcentibus qui erant Athenis, ſophiſtico quodam furore perciti, & non ſecus ac ii, qui equeſtris curſus certaminis furioſo deſiderio tenentur, contra adverſarios ſuos pugnantes, urbes viâſque anticipant, & recenter advenientes ſophiſtas excipiunt & complectuntur, magna ſplendidâque pompa deducentes, & hoſpitaliter comitantes, & alia quædam ludibria ſophiſtis familiaria facientes. Ut eſt ergo credibile, in hac

A πρὸς αὐτὰς τὸ λαλεῖν· κατὰ δὲ τὰς ἑτέρας ἐκκλησιαστικὰς συνάξεις ἀπαρεμποδίστως λαλεῖν. καὶ τηνικαῦτα γὰρ σιγᾶν ὀφείλουσιν. ὡς ἔοικε δὲ γυναῖκές τινες κατὰ τὸν τότε καιρὸν ἀνάγνωσιν θείων γραφῶν ὑποκρινόμεναι, ἐκκλησιάζειν ἐπεχείρουν τὰ πολλὰ, καὶ πρὸς ἐρωτήσεις καὶ ἀποκρίσεις ἑτοιμάζεσθαι· ὅπερ ἀνοίκειον εἶναι γυναιξὶν ἔδοξε τοῖς πατράσι· κἀντεῦθεν καὶ ἐκωλύθη. κατ' ἰδίαν δὲ ἐρωτᾶν τοὺς συνετωτέρους περὶ ψυχωφελῶν τινων, οὐκ ἔστι καινόν. ἀνάγνωθι καὶ βιβλίον η'. τῶν βασιλικῶν τίτλου α'. κεφ. α'. θέμα ε'. κωλῦον τὰς γυναῖκας συνηγορεῖν δημοσίᾳ, λέγον οὕτω ῥητῶς· ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι γυνὴ καὶ τυφλός· ἡ γυνὴ γὰρ οὐ μετέρχεται ἀνδρῶν ὀφφικίων. B καὶ βιβλίον κα'. τίτλ. α'. κεφ. ια'. λέγον, Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ, ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει, ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. καὶ τὴν μη'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ κωλύουσαν γυναῖκας ἐπὶ συμφώνοις μαρτυρεῖν καὶ συναλλάγμασιν· ἐπὶ δὲ τοκετῶν καὶ ἐφ' ὧν μόνη θηλυκὴ ὄψις ὁρᾷ, οὐ μὴν καὶ ὀφθαλμοὶ ἀρρένων, ἐπιτρέπουσαν αὐτὴν μαρτυρεῖν. ζήτει δὲ τὴν ριη'. Ἰουστινιανείου νεαρὰν, ἤτοι κεφ. ιδ'. τοῦ δ'. τίτλου τοῦ λζ'. βιβλίου τῶν βασιλικῶν, κωλύουσαν τὰς γυναῖκας ἐπιτρόπους γίνεσθαι, καὶ λέγουσαν οὕτω ῥητῶς ἐν μέρει· ταῖς γὰρ γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν τὰ τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργήματα, εἰ μήτηρ ἢ μάμμη εἴη. C ταύταις γὰρ μόναις κατὰ τὴν τῆς κληρονομίας τάξιν, καὶ τὴν ἐπιτροπὴν ὑπελθεῖν ἐφίεμεν, ἐὰν ἐν ὑπομνήμασι καὶ γάμοις ἑτέροις καὶ τῇ βοηθείᾳ τοῦ Βελλιανείου δόγματος ἀπαγορεύσωσι. ταῦτα γὰρ φυλάττουσαι πάντων τῶν ἐκ πλαγίου συγγενῶν εἰς τὴν ἐπιτροπὴν προτιμηθήσονται, τῶν ἐκ διαθήκης μόνων ἐπιτρόπων προλαμβανόντων ταύτας. τὴν γὰρ τοῦ τελευτήσαντος βούλησίν τε καὶ ἐπιλογὴν προτιμᾶσθαι βουλόμεθα. ἀνάγνωθι καὶ τίτλον ε'. τοῦ αὐτοῦ βιβλίου κεφ. κ'. καὶ θέμα γ'. λέγον, γυνὴ οὐ κουρατωρεύει.

ΖΩΝΑΡ. Σιγᾶν ὁ μέγας Παῦλος ταῖς γυναιξὶν ἐπιτάττει, οὐ κατὰ τὸν καιρὸν μόνον τῆς λειτουργίας, ἀλλ' ἐπὶ πάσης συνελεύσεως τῶν πιστῶν. D τοῦτο δὲ καὶ τοῖς θύραθεν ἁρμόδιον ἔδοξε· φησὶ γάρ τις τῶν ποιητῶν, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. τέως δὲ ὁ παρὼν κανὼν σιγὴν αὐταῖς ἐπιτάττει ἐν τῷ τῆς λειτουργίας καιρῷ. εἰ δέ τι φησὶ μαθεῖν θέλουσι, τοὺς οἰκείους ἄνδρας οἴκοι ἐρωτάτωσαν. καὶ τοῦτο δὲ ἀποστολικόν ἐστι. νόμον δὲ ταῦτα ὠνόμασεν ὁ κανὼν τὰ ἀποστολικὰ διατάγματα.

ΑΡΙΣΤ. Γυναιξὶ λαλεῖν ἐπ' ἐκκλησίαις οὐκ ἐπιτέτραπται.

E Εἰ γὰρ θελήσουσί τι μαθεῖν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

ΚΑΝΩΝ οα'.

Τοὺς διδασκομένους τοὺς πολιτικοὺς νόμους μὴ δεῖν τοῖς Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε μὴν ἐπὶ θεάτρων ἀνάγεσθαι, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελεῖν, ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολὰς ἑαυτοῖς περιτιθέναι· μήτε καθ' ὃν καιρὸν τῶν μαθημάτων ἀπάρχωνται, ἢ πρὸς τὸ τέλος αὐτῶν καταντῶσιν· ἢ καθόλου φάναι διὰ μέσης τῆς τοιαύτης παιδεύσεως. εἰ δέ τις ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσοι, ἀφοριζέσθω.

F

ΒΑΛΣ. Ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος γράφει εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου λόγον τοῦτο, ὡς οἱ πλεῖστοι καὶ ἀφρονέστεροι τῶν ἐν Ἀθήναις νέων σοφιστομανοῦντες καὶ κατὰ τοὺς ἱπποδρομομανοῦντας μαχόμενοι πρὸς τοὺς ἀντιθέτους, προκαταλαμβάνουσι τὰς πόλεις καὶ τὰς ὁδούς· καὶ τοὺς νεήλυδας σοφιστὰς δεξιοῦνται μετὰ πομπείας καὶ ξεναγωγίας, καί τινων ἑτέρων παιδιῶν συνήθων τοῖς σοφιστεύουσι. ὡς ἔοικεν οὖν εἴθιστό ποτε καὶ ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων, ὅτε καὶ ἡ τῶν νόμων μάθησις ἤκμαζε, τοιούτοις Ἑλληνικοῖς ἔθεσι κε-

χρῆσθαι τινὰς, καὶ τοὺς μέλλοντας πρὸς τὴν τῶν νόμων μάθησιν ἀποδύεσθαι, ἢ τοὺς διὰ μέσης τῆς διδασκαλίας προοδεύοντας, ἢ τοὺς πληρωθέντας μετὰ προπομπῆς καὶ πολυτελῶν ἀσυνήθων ἱματίων θεατρίζειν· καὶ διὰ τοῦτο τοὺς πατέρας θεσμοθετῆσαι τὰ ἐν τῷ παρόντι κανόνι. κυλίστραι δὲ ἐγίνοντο, ὡς ἐμοὶ δοκεῖ, μεταξὺ τῶν διδασκόντων. τοῦ μὲν γὰρ ἰδιουμένου τὸν δεῖνα τὸν μαθητὴν, τοῦ δὲ, ἑτέρωθεν ἀντιπίπτοντος, αἱ κυλίστραι ἐπενοήθησαν, καὶ τὸ ἐκ τῆς τύχης ἀποτέλεσμα, ὡς γίνεται σήμερον ἐν ταῖς ἱπποδρομίαις χάριν τῶν καγκέλων. ταῦτα οὖν πάντα οἱ ἅγιοι πατέρες ἀπαγορεύοντες, καὶ Ἑλληνικὰ ἔργα καλονομάζοντες, διορίζονται μηδέν τι τοιοῦτον γίνεσθαι πάντως, διὰ τὸ πολλὰ σκάνδαλα ταραχώδη χάριν τούτων ἀναφύεσθαι μέσον τῶν πιστῶν, καὶ ἐθνικῆς εὐτυχίας ἢ δυστυχίας εἶναι ἐπίχειρον τὸ γινόμενον. τοὺς δὲ παραβάτας τοῦ κανόνος ἀφορισμῷ ὑποκεῖσθαι παρεκελεύσαντο.

ΖΩΝΑΡ. Τὸ ἔθεσιν Ἑλληνικοῖς τοὺς πιστοὺς χρᾶσθαι ἐν πᾶσιν οἱ θεῖοι πατέρες ἀπαγορεύουσιν. ἐπεὶ δὲ καὶ οἱ τοὺς πολιτικοὺς μανθάνοντες νόμους ἔθεσι τοιούτοις ἐκέχρηντο, καὶ στολὰς ἀλλοκότους τινὰς ἐνεδύοντο τῶν μαθημάτων ἀρχόμενοι, ἢ καὶ πρὸς τὸ τέλος τούτων γινόμενοι, κωλύουσι καὶ ταῦτα πάντα ὁποῖα ποτ' ἂν ἦσαν τὰ παρ' ἐκείνων γινόμενα, καὶ ἀφορισμὸν τῶν τοιοῦτόν τι πραξάντων καταψηφίζονται.

ΑΡΙΣΤ. Ἀφορίζεται νομομαθὴς ἔθει ἑλληνικῷ χρώμενος, καὶ θεάτροις ὑπαγόμενος, καὶ κυλίων, ἢ παρὰ τὴν κοινὴν χρῆσιν στολιζόμενος.

Εθεσιν εἰ χρήσεταί τις ἑλληνικοῖς, τοὺς πολιτικοὺς νόμους ἐκδιδασκόμενος, ἐπὶ θέατρα ἴσως ἀναγόμενος, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελῶν, ἢ στολάς τινας παρὰ τὴν κοινὴν χρῆσιν ἐνδιδυσκόμενος, ἀφορισθήσεται.

ΚΑΝΩΝ οβ'.

Μὴ ἐξεῖναι ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικὶ, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι· ἀλλ' εἰ καὶ φανῇ τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον. οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ τὸν λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον· εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. εἰ δέ τινες, ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὔπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος, τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν· ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἑλόμενος (εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ) μὴ χωριζέσθωσαν κατὰ τὸν θεῖον ἀπόστολον. ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί.

ΒΑΛΣ. Ο πολιτικὸς νόμος τὸν γάμον ὁρίζεται κοινωνίαν καὶ συγκλήρωσιν θείου τε καὶ ἀνθρωπίνου δικαίου. ἀκολούθως οὖν τούτῳ διορίζονται οἱ ἅγιοι πατέρες, μὴ συνάπτεσθαι κατὰ νόμον γάμου ὀρθόδοξον ἄνδρα αἱρετικῇ γυναικὶ, ἢ τὸ ἀνάπαλιν· ἀλλ' εἴ ποτε γένηταί τι τοιοῦτον, διασπᾶσθαι τὸ συνοικέσιον ὡς ἀνυπόστατον. τίς γάρ φασι κοινωνία ἔσται λύκῳ καὶ ἀρνείῳ, ἐναντιοφρονοῦσι κατὰ πάντα καὶ ἐχθραίνουσι διὰ τὸ τῆς διαγωγῆς διάφορον; καὶ οὐ μόνον διασπᾶσθαι τὸ συνοικέσιον, ἀλλὰ καὶ τὸν τοιοῦτόν τι τολμήσαντα ἀφορίζεσθαι. εἰ μέντοι ἕτερος τῶν ὁμοζύγων προέληται τὴν ὀρθόδοξον πίστιν, οὐ παρὰ τοῦτο τὸ συνοικέσιον διασπασθήσεται. ὁ γὰρ μέγας ἀπόστολος Παῦλος διωρίσατο, ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ

A urbium regina hæc conſuetudo invaſerat; quando legum quoque diſciplina vigebat, ut quidam his Græcis moribus uterentur, & eos, qui legum erant diſciplinam aggreſſuri, vel qui per mediam doctrinam proceſſerant, vel qui jam perfecti erant, cum magna quadam pompa & ſumptuoſis inſuetis veſtibus in theatrum deducerent: & ideo ſtatuiſſe patres ea quæ ſunt in præſenti canone. Cyliſtræ autem fiebant, ut mihi videtur, inter eos qui docebant. Cùm enim hic ſibi diſcipulum vendicaret, ille verò ex altera parte reſiſteret, Cyliſtræ excogitatæ fuere, idque fortuitu, ut fit hodie in equorum curriculis pro cancellis. Hæc ergo omnia prohibentes ſancti pa-
B tres, & Græca opera nominantes, ſtatuunt nihil tale fieri omnino oportere, eo quod multa offendicula turbulenta eorum gratia inter fideles naſcantur, & ſit id, quod eo modo fit, gentilitiæ felicitatis vel infelicitatis præmium. Eos autem, qui canonem tranſgrediuntur, ſegregationi ſubjici juſſerunt.

Zonar. Profanas ethnicorum conſuetudines nulla in re divini Patres à fidelibus uſurpari patiuntur. Cùm igitur ex iis aliquas juris civilis candidati adhuc retinerent, ac peregrino veſtium ornatu, ſive cum ſtudiorum curriculum ingrederentur, ſive cum eorundem metam attigiſſent, induti prodirent; hæc, & alia ejus generis o-
C mnia, quæcunque ab illis fieri conſueverunt, prohibent; quique tale quidquam admiſerint ſegregari jubet.

Arist. *Qui juri diſcendo incumbit, more Gentili utens, & ad theatra deductus, & ſeſe volutans, vel præter communem conſuetudinem indutus, ſegregatur.*

Moribus Gentilibus ſi quis uſus ſit, civiles edoctus leges, ad theatra fortaſſe deductus, aut Cyliſtras dictas peragens, aut veſtes præter uſum communem induens, ſegregabitur.

D

Canon LXXII.

Non licere virum orthodoxum cum muliere hæretica conjungi, neque verò orthodoxam cum viro hæretico copulari: ſed & ſi quid ejuſmodi à quopiam factum apparuerit, irritas nuptias exiſtimare, & nefarium conjugium diſſolvi. Neque enim ea quæ non ſunt miſcenda miſceri, nec ovem cum lupo, nec peccatorum ſortem cum Christi parte conjungi oportet: ſi quis autem ea quæ à nobis decreta ſunt, tranſgreſſus fuerit, ſegregetur. Si autem aliqui, qui adhuc infideles ſunt, & in orthodoxo-
E *rum gregem nondum relati, ſunt inter ſe legitimo matrimonio conjuncti; deinde hic quidem, eo quod eſt honeſtum electo, ad lucem veritatis accurrerit: ille verò erroris vinculo detentus fuerit, nolens divinos radios fixis oculis intueri (ſi infideli uxori placeat cum viro fideli habitare, vel vice verſa viro infideli cum fideli uxore) ne à ſe invicem ſeparentur juxta divinum Apoſtolum. Nam Sanctificatus eſt vir infidelis per mulierem, & ſanctificata eſt mulier infidelis per virum.*

Bals. Lex civilis definit matrimonium, ſocietatem & communicationem divini & humani juris. Huic
F ergo conſequenter ſancti patres decernunt, jure matrimonii non eſſe conjungendum virum fidelem mulieri infideli, vel è contra: ſed & ſi quid ejuſmodi factum fuerit, divellendum eſſe matrimonium, ut quod conſiſtere non poſſit. Quæ eſt enim, inquiunt, lupo cum agno ſocietas, quorum eſt penitus contraria voluntas, ſibique ſunt invicem in omnibus adverſi & infeſti, quòd ſit contraria eorum vivendi ratio? Et non ſolùm ſeparandum eſſe matrimonium, ſed & eum, qui tale quid auſurus eſt, ſegregandum eſſe. Sed ſi, alter ex conjugibus fidem orthodoxam elegerit, non propterea ſeparabitur matrimonium.

Magnus enim Apoſtolus Paulus in Epiſtolâ ſuâ ad Corinth. ſtatuit, eos non eſſe ſeparandos, quoniam ſanctificatus eſt vir infidelis per fidelem mulierem, & contrà, ſanctificatur infidelis mulier per virum qui credidit. Eſt autem ſpes fore ut ejuſdem ſint ſententiæ conjuges, ſi alter ex ipſis fidem orthodoxam elegerit. Nota ergo præſentem canonem propter Iberos, qui ſuas filias Agarenis indiſcriminatim in matrimonio collocant. Similiter nota & verbum canonis, quod dicit, Infideli autem mulieri cum viro fideli, cohabitare placet? vel contrà, infideli viro cum muliere fideli? ne ſeparentur. Si quis enim horum ſeparari maluerit, matrimonium ex eo divelletur. Quod quidem factum eſt tempore ſanctiſſimi Patriarchæ domini Theodoti. Separatus eſt enim à ſua infideli uxore Baſilicus Buccinator, poſtquam baptizatus fuerat, cum decreto Patriarchali: utpote quæ à viri ſuaſione induci non poſſet ut baptizaretur. Lege & decimum caput primi tituli præſentis operis, & quæ in eo ſunt.

Zonar. De iis qui inter ſe non ita pridem matrimonii fœdere juncti ſunt, ſi eorum alterum fidelem eſſe, alterum à fide abhorrere contigerit, canonem hunc ſacri & divini Patres promulgaverunt; eoque ſocietatem ejuſmodi damnant, & poſtquam etiam contracta fuerit, reſcindi jubent. Non enim ea, inquiunt, miſcenda ſunt, quæ naturam, ut inter ſe miſceri poſſint, non habent. Nam qui ſimul ita vivunt, ut eorum animi, in iis quæ ad fidem pertinent, contrario modo affecti ſint, quo pacto eos in aliis rebus convenire poſſe quiſpiam arbitretur? quorumque ſenſus, in iis quæ ſunt fidei, quorum prima eſt atque præcipua ratio, minime congruunt, quo pacto inter ſe æquis animis in reliqua vitæ ſocietate communicabunt? Quamobrem, & nuptiarum fœdus male contractum reſcindi, & eos inſuper, qui canonem hunc violaverint, ſegregari volunt. Atque hæc quidem de matrimonio nuper inito, quo hæreticam ſibi mulierem vir orthodoxus copularit, aut contra, Patres ſanxere. Quòd ſi quo tempore uterque ab orthodoxis diſſidebat, mutuam inter ſe conjugii ſocietatem contraxere, decurſu vero temporis, alterâ perſonâ adhuc errorum tenebris involutâ, altera agnita veritate fidem amplexa eſt, tunc quidem divini Patres magni Pauli præceptis ſtandum eſſe decernunt. Si enim, ait, cum fideli vitæ ſocietatem infidelis retinere velit, aut contra, ne ſegregentur. Sanctificatus eſt enim vir infidelis per mulierem, & è contra.

Ariſt. *Irritum eſt matrimonium cum hæreticis contractum. Qui vero antea contraxerant, ſi velint, maneant.*

Non licet viro orthodoxo cum muliere hæreticâ conjungi, aut è contrario. Si qui autem, cùm ſint infideles, legitimo matrimonio conjuncti ſunt, poſtea autem vir quidem ad fidem accedit, mulier vero in errore detinetur; & fideli placet cum infideli cohabitare, aut vice verſa: ne ſeparentur, juxta Divinum Apoſtolum Paulum.

Canon LXXIII.

Cùm crux nobis vivifica ſalutare oſtenderit, nos omnem diligentiam adhibere oportet, ut ei, per quem ab antiquo lapſu ſalvati ſumus, eum quem par eſt honorem habeamus. Quamobrem & mente & ſermone & ſenſu adorationem ei tribuentes, crucis figuras, quæ à nonnullis in ſolo ac pavimento fiunt, omnino deleri jubemus, ne incedentium conculcatione victoria nobis trophæum injuria afficiatur. Eos itaque, qui deinceps crucis ſignum in ſolo conſtruunt, ſegregari decernimus.

Bals. Nonnulli in Eccleſiarum vel aliorum etiam locorum pavimentis crucis ſigna in lapide, vel aliqua alia ſpecie, imprimebant. Hoc ergo prohibens canon, dicit, quòd ſalus hominum per crucem vivificam

A αὐτοῦ, τοὺς τοιούτους μὴ χωρίζεσθαι, ὅτι ἡγίασται ὁ ἄπιστος ἀνὴρ διὰ τῆς πιστῆς γυναικὸς, καὶ ἀντιστρόφως, ἁγιάζεται ἡ ἄπιστος γυνὴ διὰ τοῦ πεπιστευκότος ἀνδρός. ἔστι δὲ καὶ ἐλπὶς ὁμοφρονῆσαι τοὺς ὁμοζύγους ἐκ τοῦ προελέσθαι θάτερον ἐξ αὐτῶν τὴν ὀρθόδοξον πίστιν. σημείωσαι οὖν τὸν παρόντα κανόνα, διὰ τοὺς Ιβηρας τοὺς ἀδιαφόρως τὰ οἰκεῖα θυγάτρια τοῖς Ἀγαρηνοῖς ἐκγαμίζοντας. ὡσαύτως σημείωσαι καὶ τὸ ῥῆμα τοῦ κανόνος τὸ λέγον, δοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν; ἢ τὸ ἔμπαλιν, ὁ ἄπιστος τῇ πιστῇ; μὴ χωριζέσθωσαν. εἰ γὰρ αἱρετίσεταί τις τούτων διαζυγῆναι, ἀπεντεῦθεν ὁ γάμος διασπασθήσεται. ὅπερ γέγονε καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁ- B γιωτάτου πατριάρχου κυροῦ Θεοδότου. διεζύγη γὰρ Βασιλικὸς Βυκινάτωρ μετὰ τὸ βαπτισθῆναι ἀπὸ τῆς ἀπίστου γυναικὸς αὐτοῦ, μετὰ πατριαρχικοῦ ὁρισμοῦ, ὡς μὴ πειθομένης βαπτισθῆναι κατὰ τὴν τοῦ ἀνδρὸς παράκλησιν. ἀνάγνωσον καὶ τὸ ι. κεφ. τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Οἱ τῆς συνόδου ταύτης ἱεροὶ καὶ θεῖοι πατέρες περὶ τῶν ἄρτι ζευγνυμένων εἰς γάμου κοινωνίαν νομοθετοῦσιν· ὧν τὸν μὲν, πιστὸν εἶναι ὑποτιθέασι· τὴν δὲ ἄπιστον, ἢ τοὐναντίον. καὶ ἀπαγορεύουσι, τὰς τοιαύτας συζυγίας, καὶ C γενομένας δὲ διασπᾶσθαι κελεύουσιν. οὐ γὰρ χρή φασι μιγνύναι τὰ ἄμικτα. εἰ γὰρ ἡ τῆς ψυχῆς περὶ τὴν πίστιν διάθεσις ἐναντία τοῖς συνοικοῦσι, πῶς ἂν περὶ τὰ ἄλλα ὁμόψυχοι ἔσονται, ἢ πῶς ἐν τῷ μείζονι, τῇ πίστει λέγω, ἀσύμβατοι ὄντες, καὶ ἀκοινώνητοι, συμβαῖεν ἀλλήλοις καὶ συγκοινωνήσαιεν ἐν τοῖς λοιποῖς; διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθέσμου τούτου γάμου, καὶ ἀφορίζεσθαι βούλονται τοὺς τὸν παρόντα κανόνα παραβαίνοντας. ταῦτα μὲν οὖν περὶ τῶν ἄρτι πρώτως ζευγνυμένων ἀλλήλοις εἰς γάμου κοινωνίαν οἱ πατέρες φασὶ, τοῦ μὲν ὀρθοδόξου τυγχάνοντος τῆς δὲ μὴ τοιαύτης. εἰ δὲ ὅτε εἰς γάμον συνῆλθον ἀλλήλοις, καὶ ἄμφω τῶν D ὀρθοδόξων ἠλλωτρίωντο, εἶτα τὸ μὲν τῶν προσώπων ἐπέγνω τὴν ἀλήθειαν, καὶ προσῆλθε τῇ πίστει, τὸ δὲ ἔτι τῷ σκότει τῆς πλάνης συνέχεται, τῇ τοῦ μεγάλου Παύλου διαταγῇ ἕπεσθαι καὶ οἱ πατέρες οὗτοι ψηφίζονται. εἰ γὰρ θέλει, φησὶ, τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τοὐναντίον, μὴ χωριζέσθωσαν, ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ τὸ ἔμπαλιν.

ΑΡΙΣΤ. Ἄκυρος ὁ μετὰ τῶν αἱρετικῶν γάμος· οἱ δὲ προλαβόντες, εἰ ἐθέλοιεν, μένοιεν.

E Οὐκ ἐξέσται ὀρθοδόξῳ αἱρετικῇ συνάπτεσθαι γυναικὶ ἢ τὸ ἀνάπαλιν· εἰ δέ τινες, ἄπιστοι ὄντες, νομίμῳ γάμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν προσῆλθε τῇ πίστει, ἡ δὲ ἔτι ὑπὸ τῆς πλάνης κατέχεται· καὶ δοκεῖ ὁ πιστὸς συνοικεῖν τῇ ἀπίστῳ, ἢ τὸ ἀνάπαλιν· μὴ χωριζέσθωσαν, κατὰ τὸν θεῖον Ἀπόστολον Παῦλον.

ΚΑΝΩΝ ογ΄.

Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ, τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ δι' οὗ σεσώσμεθα τοῦ παλαιοῦ παραπτώματος. F ὅθεν καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους ὑπό τινων κατασκευαζομένους ἐξαφανίζεσθαι παντοίως προστάττομεν, ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νίκης ἡμῖν τρόπαιον ἐξυβρίζοιτο. τοὺς οὖν ἀπὸ τοῦ νῦν τοῦ σταυροῦ τύπον ἐπὶ ἐδάφους κατασκευάζοντας ὁρίζομεν ἀφορίζεσθαι.

ΒΑΛΣ. Τινὲς ἐν ἐδάφεσιν ἐκκλησιῶν ἢ καὶ ἄλλων τόπων σταυρικὰ σημεῖα ἀπὸ λίθου ἢ ἀπὸ ἑτέρου τινὸς εἴδους ἐχάραττον. τοῦτο οὖν κωλύων ὁ κανὼν, φησὶν ὅτι ἡ σωτηρία τῶν ἀνθρώπων διὰ τοῦ ζωοποιοῦ σταυροῦ γέγονε. καὶ χρὴ ἡμᾶς τὴν ἀνάλογον τιμὴν καὶ προσκύνησιν αὐτῷ ἀπονέμειν, νῷ καὶ λόγῳ καὶ αἰσθήσει· A ἤτοι νῷ μὲν, διὰ εὐχαριστίας σιωπηρᾶς· λόγῳ, διὰ τῆς πρὸς πάντας ὁμολογίας τοῦ γεγονότος ἀγαθοῦ πρὸς ἡμᾶς· καὶ αἰσθήσει, ὅταν καὶ πραγματικῶς τοῦτον ὁρῶντες κατασπαζώμεθα. ὅθεν καὶ τοὺς ὁπουδήποτε εὑρισκομένους τύπους τοῦ σταυροῦ ἐν ἐδάφει διωρίσατο ἀφανισθῆναι, ὡς ἂν μὴ καταπατῆται ὑπὸ τῶν βαδιζόντων τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἡμῶν· τοὺς δὲ ἐπιχειρήσοντας σταυροῦ τύπον ἐν ἐδάφει κατασκευάσαι, ἀφορισμῷ καθυποβάλλεσθαι· φησὶ δὲ καὶ τὸ ε'. κεφ. τοῦ α'. τίτλου τοῦ α'. βιβλίου, μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ, ἢ ἐν ᾧ θέα ἐπιτελεῖται, σταυρὸν ἐπιβαλλέτω ἢ λείψανα ἁγίων. καὶ κεφ. ς'. μηδεὶς ἐν ἐδάφει ἢ μυλίτῃ B λίθῳ ἢ ἐν μαρμάρῳ ἐδαφικῷ ἐγγλυφέτω ἢ γραφέτω σταυρόν· ἀλλὰ περιαιρείσθω, τὴν βαρυτάτην τοῦ παραβαίνοντος ὑφισταμένου ποινήν. καὶ κεφ. νή. τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου λέγον ἐν μέρει, ἀλλὰ καὶ τοὺς τιμίους σταυρούς, μεθ' ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχόσε πλὴν εἰ μὴ ἐν εὐαγέσι τόποις ἀποτίθεσθαι. ταῦτα τοῦ κανόνος καὶ τῶν νόμων διοριζομένων, σταυρὸν μὲν ἐν ἐδάφει οὐ τολμᾷ τις κατασκευάσαι ἀπό τινος ὕλης· ἅγιαι δὲ εἰκόνες καὶ σταυροὶ ἐν δημοσίοις ὁδοῖς παρὰ τοῦ θέλοντος ἀναστηλοῦνται. καὶ ἡμεῖς μὲν, διὰ τὴν πρὸς τὸν θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ καθαρὰν πίστιν, τὰ ὁπουδήποτε ἀναστηλούμενα τοιαῦτα ἅγια προσκυνοῦμεν καὶ κατασπαζόμεθα. C οἱ δὲ νόμοι, ὡς ἔοικε, διὰ τὰς τῶν ἀπίστων καὶ τῶν ἀδιαφόρως ζώντων κακίας, τὰ ῥηθέντα γεγράφασιν. οἶμαι δὲ ὅτι ἐκεῖνοι καθυποβάλλονται ἀφορισμῷ, οἱ ἁπλούστεροι, καὶ δι' εὐλάβειαν δῆθεν κατασκευάζοντες ἐν τῷ ἐδάφει τίμιον σταυρόν· οἱ γὰρ κακῇ διαθέσει τοιοῦτόν τι ποιοῦντες, χάριν τοῦ τὸν σωτηριώδη τύπον τοῦ σταυροῦ, διὰ τοῦ καταπατεῖσθαι, παρυβρίζεσθαι, ὡς ἀσεβεῖς κολασθήσονται.

ΖΩΝΑΡ. Τοῦ κυρίου ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Χριστοῦ ἐν τῷ σταυρῷ κρεμασθέντος ἡμεῖς σεσώσμεθα, καὶ τῆς ἀρχαίας δουλείας τῆς ἁμαρτίας ἠλευθερώμεθα. τούτῳ τοίνυν τῷ D τῆς νίκης ἡμῶν αἰτίῳ τὴν τιμὴν ἀπονέμειν χρῆναι φασὶν οἱ ἱεροὶ πατέρες, καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει. νῷ μὲν οὖν ἀποδιδῶμεν, ὅτε καθ' ἑαυτοὺς ἐνθυμούμενοι καὶ λογιζόμενοι ὅσων ἀγαθῶν ἐτύχομεν δι' αὐτοῦ, ἐκπληττόμεθα τὴν εἰς ἡμᾶς εὐεργεσίαν τοῦ θεοῦ· λόγῳ δὲ, ὅτε καὶ πρὸς ἑτέρους ταῦτα λέγοντες, χάριτας ὁμολογοῦμεν τῷ σώσαντι ἡμᾶς· αἰσθήσει δὲ, ὅτε αὐτὸν ὁρῶντες τιμῶμεν καὶ κατασπαζόμεθα. ἐπεὶ δέ τινες, ὡς τάχα πλείονα τιμὴν νέμοντες τῷ σταυρῷ, πανταχοῦ ἐτύπουν αὐτὸν, πρὸς δὲ τοῖς ἄλλοις καὶ ἐν ἐδάφεσι· τοῦτο ὁ παρὼν ἀπαγορεύει κανὼν, κελεύων μὴ ἐν ἐδάφει τυποῦσθαι σταυρὸν, καὶ οὕτω τὸ τῆς νίκης ἡμέτερον τρόπαιον ἀτιμάζεσθαι E καταπατούμενον. τοὺς δὲ τοῦτο τολμῶντας ὑπάγει ἀφορισμῷ.

ΑΡΙΣΤ. Ὁ ἐν ἐδάφει σταυρὸς ἀφανίζεται.

Πᾶσαν σπουδὴν χρὴ τιθέναι ἡμᾶς, τὴν ἀξίαν ἀποδιδόναι τιμὴν τῷ ζωοποιῷ σταυρῷ, δι' οὗ τοῦ πάλαι σεσώσμεθα παραπτώματος· καὶ ἐὰν ἐν τῷ ἐδάφει ὁ τοῦ σταυροῦ τύπος κατεσκευάσθη ὑπό τινος, ἀπαλειφέσθω, ἵνα μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νίκης ἡμῶν ἐφυβρίζηται τρόπαιον.

ΚΑΝΩΝ οδ'. F

Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκούβιτα στρωννύειν. οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν ἢ ἀφοριζέσθωσαν.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ αὐτοῦ μέμφεται τοὺς ἐν ἐκκλησίαις συμποσιάζοντας, λέγων, μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ

facta eſt, & oportet nos ei convenientem & proportione reſpondentem honorem adorationémque tribuere, mente, ſermone & ſenſu: mente ſcilicet, per tacitam gratiarum actionem; ſermone, per boni quòd in nos factum eſt apud omnes confeſſionem; & ſenſu, quando eam actu videntes ſalutamus. Unde etiam omnes qui ubivis inveniuntur, crucis typos in pavimento deleri & tolli jubet, ne ab incedentibus conculcetur noſtrum adverſus diabolum trophæum: eos autem, qui aggreſſi fuerint crucis figuram in ſolo conſtruere, jubet ſegregationi ſubjici. Dicit autem & v. cap. primi tituli primi libri; Nec monachus nec ullus alius in publico loco, vel in quo ſpectaculum peragitur, crucem imponat, vel ſanctorum reliquias. Et cap. vi. Nemo in ſolo, vel molari lapide, vel marmore pavimenti, crucem inſculpat vel pingat: ſed auferat, eo qui id tranſgreditur graviſſimum ſubeunte ſupplicium. Et cap. lviii. primi tit. iii. lib. imperat præcisè dicens; Sed & precioſas cruces, cum quibus in ſupplicationibus egrediuntur, non alibi quàm in ſanctis locis reponi. Hæc cùm & canon & leges ſtatuant, crucem quidem in pavimento non audet quis ex aliqua materia conſtruere: ſanctæ autem imagines & cruces in publicis viis à volente eriguntur. Et nos quidem, propter puram erga Deum & ejus ſanctos fidem, ſancta ejuſmodi ubicunque erecta adoramus & ſalutamus. Leges autem, ut eſt conſentaneum, propter infidelium, eorúmque qui ſine ulla honeſta conſideratione indiſcriminatim vivunt, improbitates, hæc ſcripſerunt. Exiſtimo ergo, quòd illi ſegregationi ſubjiciuntur, qui ſunt ſimpliciores, & propter pietatem in ſolo precioſam crucem fabricantur. Qui enim mala animi affectione hoc agunt, ut ſalutaris crucis figura, eo quòd conculcetur, contumelia afficiatur, ut impii punientur.

Zonar. Domino noſtro Deo ac ſervatore Jeſu Chriſto cruci affixo, nos ſalutem adepti, atque ab antiqua peccati tyrannide liberati ſumus. Crucem igitur, quippe quæ ſalutis noſtræ cauſam præbuit, mente, ſermone & ſenſu colendam à nobis eſſe ſancti Patres affirmant. Ac mente quidem illam veneramur, cum tacita meditatione, quam ingentia bona per illam ad nos devenerint recolentes, tantæ Dei in nos beneficentiæ magnitudinem obſtupeſcimus; Sermone, cum eadem illa ſermonibus uſurpantes, quantum proinde noſtro ſalvatori debeamus, apud alios profitemur. Senſu verò, cum eam aſpicientes veneramur atque ſalutamus. Quoniam igitur nonnulli, ſtudio forte ampliùs honeſtandæ crucis, eam cum aliis locis tum in pavimento quoque efformabant: id fieri præſens canon, ac ex eo noſtræ victoriæ trophæum per contumeliam conculcandum proponi, vetat. Qui vero id auſi fuerint, ſegregationi obnoxios eſſe decernit.

Arist. *Crux in pavimento, tollitur.*

Omnem adhibere debemus diligentiam, ut dignum vivificæ cruci tribuamus honorem, per quam ab antiquo lapſu ſervamur: Et ſi à quopiam in pavimento crucis figura ponitur, deleatur; ne incedentium conculcatione victoriæ noſtræ trophæum injuriâ afficiatur.

Canon LXXIV.

Quòd non oportet in Dominicis locis vel Eccleſiis agapas, ut vocant, facere, & intus in æde comedere, & accubitus ſternere. Qui autem hoc auſi fuerint, vel ceſſent vel ſegregentur.

Bals. Magnus Paulus in epiſtola ſua ad Corinthios eos reprehendit, qui in Eccleſia convivantur, dicens: An non habetis domos ad edendum vel bibendum? An Dei Eccleſiam contemnitis, & eos qui non habent pudore afficitis? Quoniam ergo omnis locus Domino conſecratus Dominicus dicitur, etiam ſi non eſt Eccleſia, ſed templi veſtibulum aut aliquid aliud ſacrum, ſtatuit canon, ne aliqui in Eccleſia conviventur, vel in ejuſmodi locis: (Hoc enim vocat ἀγάπην, id eſt dilectionem, vel quòd ſit dilectionis efficiens eámque conſtituens, vel quòd fiat propter dilectionem:) ſed neque intra domum Dei comedant, & accubitus ſternant. Eos autem qui tale quid faciunt, & poſt denunciationem non abſtinent, ſegregationi ſubjici. Et vocatur quidem Agape, fraternitas, & quæ propter eam ineuntur convivia. Quæ quidem ſunt prohibita, ut quæ offendiculorum & contumeliarum, & nonnunquam etiam conjurationum & ſodalitatum, cauſæ eſſent. Accubitus autem dicitur omnis impoſita ſtrati ſtrues, quæ in altitudinem erecta apud Latinos idem eſt, quod ἀναπίπτω. Nonnulli ergo, ut videtur, lectulos in medium templi ſubmittentes, hujuſmodi toros ſeu ſtrata, vel ad majores delicias, vel alioqui ad ſuam quietem faciebant: quod eſt etiam prohibitum. Nonnulli autem dicere conati ſunt, idem eſſe locum Dominicum & Eccleſiam: & interpretati ſunt illud, Vel, ut conjunctivum, & non disjunctivum. Mihi autem non ita viſum eſt. Poſtquam enim dixiſſet non faciendas agapas in Dominicis vel in Eccleſiis, prohibet comedere & accubitus ſternere in ſolis ædibus ſive Eccleſiis. Quamobrem eſt differentia inter Eccleſias & pronaos, & alios locos Dominicos.

Zonar. Moris antiqui fuit divinorum myſteriorum communione peractâ convivia, cibariis ditiorum liberalitate collatis, ac per eos tenuioribus quoque ad menſæ ſocietatem admiſſis, celebrare: cujus etiam magnus Paulus epiſtola ad Corinthios meminit, eóſque, quod privatim aliis non expectatis epularentur, objurgat. Unuſquiſque, inquit, ſuam cœnam præoccupat in edendo; & alius quidem eſurit, alius autem ebrius eſt. Nunquid enim domos non habetis, ut manducetis & bibatis? aut Eccleſiam Dei contemnitis, & confunditis eos qui non habent? Hanc igitur epulandi conſuetudinem, quam etiam agapen ſive charitatem nuncupavit, quaſi à charitate profectam, vel quia charitatis efficiens ſit, (nam illa menſæ communio quandam inter eos, qui una cibum capiunt, procreat charitatem) in Eccleſiis renovatam, convenientibus intra ſacra templa veſtibulave ad veſcendum convivis, hic canon improbat, neque in Eccleſiis, aut intra ſacrarum domorum ſepta, ſed alicubi extra epulari jubet: accubitus etiam ſterni vetat. Eſt autem accubitus Latina vox: Idem enim Latinis accumbo, quod ἀναπίπτω. Strata vero altius excitata molliorάque, quæ delitiarum inertiæque ſunt, ſignificat. Dominici porro nomen pro Eccleſia paſſim canones uſurpâſſe reperias. Hic autem canon ſolus inter Eccleſiam atque Dominicum fortè diſcriminis aliquid ſtatuit. Particulam vero, Aut, non habere hoc loco disjungendi vim, ſed explicationis gratia, pro, Sive, poſitam eſſe arbitror. Siquidem in ſacris quoq; libris particulam, &, non copulativè, ſed cauſaliter pro voce, Enim, invenimus uſurpatam. Ut in iis verbis, Gloria in excelſis Deo, & in terra pax: cauſam divinæ gloriæ concelebrandæ ſcriptura explicat, pacem terris conciliatam; ut pro voce, Enim, particula, Et, ſit accipienda. David quoq; Da nobis auxilium, ait, de tribulatione, & vana ſalus hominis. Tu, inquit, auxiliare, hominum enim adjumenta ad ſalutem inania atque irrita ſunt. Libri quoque, quibus legum ſanctiones continentur, disjnnctivam conjunctionem pro copulativa non raro adhibent. Sic libro quadrageſimo quarto, titulo tertio, Si quis ſcripſerit, Hic vel ille meus hæres eſto, aut Hunc vel illum manumittam; illud, Vel, conjunctive, pro, Et, accipi voluere. Et ejuſdem libri titulo decimo quinto; Si legavero uxori meæ ornamenta, vel quæcunq; ejus gratia comparavi, ad eam omnia lege per-

A ἔχοντας; ἐπεὶ οὖν πᾶς τόπος τῷ κυρίῳ ἀνατεθειμένος κυριακὸς λέγεται, κἂν μὴ ἐκκλησία ἐστὶν, ἀλλὰ πρόναος τυχὸν ἢ ἕτερόν τι ἱερὸν, διορίζεται ὁ κανὼν, μὴ συμποσιάζειν τινὰς ἐν ἐκκλησίαις ἢ ἐν τοιούτοις τόποις· (τοῦτο γὰρ ἀγάπην καλεῖ, ἢ ὡς συστατικὸν ἀγάπης, ἢ δι' ἀγάπην γινόμενον) ἀλλὰ μηδὲ ἔνδον τοῦ οἴκου τοῦ θεοῦ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν. τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας, καὶ μετὰ παραγγελίαν μὴ διορθουμένους, ἀφορισμῷ καθυποβάλλεσθαι. καὶ ἀγάπη μὲν καλεῖται ἡ ἀδελφοσύνη καὶ τὰ διὰ ταύτης συμπόσια· ἅτινα ἐκωλύθησαν ὡς παραίτια σκανδάλων καὶ ὕβρεων, ἔστιν ὅτε καὶ συνωμοσιῶν καὶ φατριῶν. ἀκούβιτον δὲ B λέγεται πᾶν ἐπίθετον στρωμνῆς κατασκεύασμα εἰς ὕψος ἠρμένον καὶ μαλακόν. ἀκούμβω γὰρ παρὰ Λατίνοις, τὸ ἀναπίπτω. τινὲς γοῦν ὡς ἔοικεν ὑποστελλόμενοι κλινίδια ἐν τῷ μεσονάῳ εἰσάγειν, ἢ καὶ διὰ θρύψιν πλείονα ἐποίουν ἢ ἀλλοτρόπως εἰς ἀνάπαυσιν αὐτῶν στρωμνὰς τοιαύτας, ὅπερ καὶ ἐκωλύθη. ἐπεχείρησαν δέ τινες εἰπεῖν, τὸ αὐτὸ εἶναι κυριακὸν τόπον καὶ ἐκκλησίαν· καὶ ἡρμήνευσαν τὸ ἢ, συμπλεκτικὸν καὶ οὐ διαζευκτικόν· ἐμοὶ δὲ οὐκ ἔδοξε. μετὰ γὰρ τὸ εἰπεῖν μὴ γίνεσθαι ἀγάπας ἐν κυριακοῖς ἢ ἐν ἐκκλησίαις, κωλύει τὸ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν εἰς μόνους τοὺς οἴκους, ἤγουν τὰς ἐκκλησίας. ὥστε διαφορά ἐστιν ἐκκλησιῶν καὶ προνάων καὶ ἄλλων C κυριακῶν τόπων.

ΖΩΝΑΡ. Ἀρχαῖον ἔθος ἦν τὸ μετὰ τὴν κοινωνίαν τῶν θείων μυστηρίων συσσίτια γίνεσθαι καὶ συμπόσια τῶν πλουσίων χορηγούντων τὰ βρώματα, προσκαλουμένων δὲ καὶ τοὺς πενεστέρους· οὗ καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ μέμνηται, μεμφόμενος αὐτοῖς, ὅτι ἰδίᾳ ἤσθιον μὴ ἀναμένοντες καὶ τοὺς ἄλλους, καὶ ἐπάγων, ἕκαστος τὸ ἴδιον δεῖπνον προσλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς D ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τοῦτο οὖν τὸ τῶν συμποσίων ἔθος, ὃ καὶ ἀγάπην ἐκάλεσεν ὁ κανὼν, διὰ τὸ ἐξ ἀγάπης γίνεσθαι, ἢ ὡς ἀγάπης συστατικὸν (τὸ γὰρ συνεσθίειν εἰς ἀγάπην τὴν πρὸς ἀλλήλους ἄγει τοὺς συνεσθίοντας) ἐν ἐκκλησίαις ὕστερον γινόμενον ἔνδον τῶν θείων ναῶν ἢ τῶν προτεμενισμάτων ἐσθιόντων τῶν συνερχομένων εἰς τὸ φαγεῖν αἰτιᾶται ὁ κανὼν οὗτος, καὶ κελεύει μὴ ἐν ταῖς ἐκκλησίαις ταῦτα ποιεῖν, καὶ ἐντὸς τῶν θείων οἴκων ἐσθίειν, ἀλλ' ἔξω που· μηδὲ ἀκούβιτα στρωννύειν. ἡ δὲ λέξις τῶν ἀκουβίτων Λατίνων ἐστίν. ἀκούμβω γὰρ παρὰ Ῥωμαίοις τὸ ἀναπίπτω. σημαίνει δὲ στρωμνὰς ἠρμένας εἰς ὕψος, καὶ E μαλακάς. αὗται δὲ τρυφῆς καὶ βλακείας εἰσί. πολλαχοῦ δὲ τὸ τοῦ κυριακοῦ ὄνομα εὕρηται ἐν τοῖς κανόσιν ἐπὶ τῆς ἐκκλησίας λαμβανόμενον, μόνος δ' ὁ κανὼν οὗτος διαστέλλει τάχα τὴν ἐκκλησίαν καὶ τὸ κυριακόν. οἶμαι δὲ τὸ, ἢ, ἐνταῦθα μὴ διαζευκτικῶς κεῖσθαι, ἀλλ' ὡς ἐφερμηνευτικὸν, καὶ ἀντὶ τοῦ, ἤτοι. εὑρίσκομεν γὰρ καὶ ἐν τῇ θείᾳ γραφῇ τὸ, καὶ, μὴ ὡς σύνδεσμον συμπλεκτικὸν παραλαμβανόμενον, ἀλλ' ὡς αἰτιολογικὸν, καὶ ἀντὶ τοῦ, γὰρ, δεχόμενον. ὡς ὅταν λέγῃ, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· αἰτίαν τοῦ δοξάζεσθαι τὸν θεὸν τιθείσης τῆς γραφῆς, ὅτι ἐπὶ γῆς εἰρήνη, τοῦ, καὶ, ἀντὶ τοῦ, γὰρ, τεθέντος. καὶ ὁ Δαβὶδ δέ φησι, δὸς ἡμῖν βοήθειαν ἐκ F θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. σὺ λέγων βοήθει· ἡ γὰρ ἀνθρωπίνη σωτηρία ματαία καὶ ἀνωφελής. καὶ ἐν ταῖς νομικαῖς δὲ βίβλοις εὕρηται πολλάκις ὁ διαζευκτικὸς σύνδεσμος ἀντὶ συμπλεκτικοῦ παραλαμβανόμενος. φησὶ γὰρ βιβλίον μδʹ. τίτλος γʹ. ἐάν τις γράψῃ, ὁ δεῖνα ἢ ὁ δεῖνα ἔστω μου κληρονόμος, ἢ τόνδε ἢ τόνδε ἐλευθερῶ, ἔδοξε τὸ, ἢ, ἀντὶ τοῦ, καὶ, δεχθῆναι συμπλεκτικοῦ. καὶ τίτλος ιεʹ. τοῦ αὐτοῦ βιβλίου φησίν· ἐὰν ληγατεύσω τῇ γυναικί μου κόσμια, ἢ ὅσα χάριν αὐτῆς ηὐτρέπικα, πάντα λαμβάνει· τοῦ, ἢ, συνδέσμου, ἀντὶ τοῦ, καὶ, παραλαμβανομένου. καὶ ὁ δεύτερος δὲ τίτλος τοῦ δευτέρου βιβλίου, ὃς περὶ ῥημάτων ἐπιγέγραπται σημασίας, ἐν κεφαλαίῳ νγʹ. φησίν· ὁ συμπλεκτικὸς καὶ ὁ διαζευκτικὸς ἔσθ' ὅτε ἀντὶ ἀλλήλων παραλαμβάνονται. οὕτως οὖν ἐοίκασι καὶ οἱ τῆς συνόδου ταύτης πατέρες τὸ, ἢ, ἐνταῦθα ἀντὶ τοῦ, ἤτοι, χρήσασθαι.

ΑΡΙΣΤ. Ἀγάπαι ἐν κυριακαῖς οὐ τελοῦνται, οὐδὲ ἀκούβιτα στρώννυνται· ἀλλ' οἱ μὴ παυόμενοι ἀφορίζονται.

Οὐ δεῖ τὸν τοῦ θεοῦ οἶκον κοινὸν ἡγεῖσθαι οἶκον, καὶ ἐν αὐτῷ τὰς λεγομένας ἀγάπας τελεῖσθαι· καὶ ἔνδον ἐσθίειν, ἢ στρωννύειν ἀκούβιτα. τὸν δὲ τοῦτο ποιεῖν τολμῶντα, εἰ μὴ παύοιτο, ἀφορίζεσθαι.

ΚΑΝΩΝ οεʹ.

Τοὺς ἐπὶ τὸ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγινομένους βουλόμεθα, μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι, μήτε τι ἐπιλέγειν τῶν μὴ τῇ ἐκκλησίᾳ ἁρμοδίων τε καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσοχῆς καὶ κατανύξεως τὰς ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ θεῷ. εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον.

ΒΑΛΣ. Αἱ τοῦ θεοῦ ἐκκλησίαι οἶκοι προσευχῶν λέγονται, ὅθεν καὶ οἱ προσευχόμενοι παρακαλεῖν τὸν θεὸν ὀφείλουσι μετὰ δακρύων καὶ ταπεινώσεως, οὐ μὴν μετὰ ἀτάκτου καὶ ἀναιδοῦς σχήματος. διωρίσαντο οὖν οἱ πατέρες, μὴ γίνεσθαι τὰ ἱερὰ ψαλμῳδήματα διὰ βοῶν ἀτάκτων καὶ ἐπιτεταμένων, καὶ τὴν φύσιν παραβιαζομένων· μήτε μὴν διά τινων καλλιφωνιῶν ἀνοικείων τῇ ἐκκλησιαστικῇ καταστάσει καὶ ἀκολουθίᾳ, οἷά εἰσι τὰ θυμελικὰ μέλη, καὶ αἱ περιτταὶ ποικιλίαι τῶν φωνῶν· ἀλλὰ μετὰ πολλῆς κατανύξεως καὶ θεαρέστου τρόπου προσάγειν τῷ θεῷ τὰς εὐχὰς, τῷ εἰδότι τὰ κρυπτὰ τῶν καρδιῶν ἡμῶν. ταῦτα δὲ παρεκελεύσαντο ἀκολούθως τῷ εὐαγγελικῷ ῥητῷ, τῷ διοριζομένῳ, μὴ κατὰ ἐθνικοὺς εὔχεσθαι ἡμᾶς μετὰ βαττολογίας καὶ κραυγῆς, ὡς οἰομένους εἰσακουσθῆναι διὰ τὴν πολυλογίαν ἡμῶν, ἀλλ' ἐν τῷ κρυπτῷ προσάγειν τὸν ὕμνον τῷ θεῷ· ποιεῖν δὲ καὶ τὰς αἰτήσεις ὁμοίως, ἵνα καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσῃ ἡμῖν ἐν τῷ φανερῷ. ἐπεὶ δέ, φασι, καὶ ὁ Μωσαϊκὸς νόμος εἶπεν ἐν τῷ Λευιτικῷ, εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραὴλ, μᾶλλον ἡμεῖς, οἱ τοῦ νόμου τούτου δεξάμενοι τὸ πλήρωμα, ὀφείλομεν εὐλαβέστεροι εἶναι, καὶ κατὰ τὰ νενομισμένα πολιτεύεσθαι. ἐπεὶ δὲ παρὰ διαφόροις ἁγιωτάτοις πατριάρχαις ἐλαλήθη, μὴ μόνον ἐν ταῖς ἑορταῖς γίνεσθαι τοιαῦτα παρὰ τῶν ψαλτῶν, ἀλλὰ καὶ ἐν παννυχίσι καὶ μνημοσύνοις τεθνεώτων· γεγόνασι διάφορα σημειώματα συνοδικὰ ἀφορισμῷ καθυποβάλλοντα τοὺς τοιαῦτα ποιοῦντας, καὶ μὴ διὰ ψαλμῳδημάτων καὶ ἀλληλουϊαρίων λιτῶν καὶ ψαλλομένων κατὰ τὸ θεμέλιον τῆς ἐκκλησίας ἐκπληροῦντας τὴν παννύχιον ψαλμῳδίαν. ἀνάγνωθι καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ρηʹ. καὶ τὰ ἐν αὐτῷ γραφέντα. ὡσαύτως ἀνάγνωθι καὶ τὸν εἰς τὰ Σεραφιμὰ καὶ εἰς τὸ, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. κωλύει γὰρ τὰς θυμελικὰς ψαλμῳδίας καὶ ὀρχήσεις τῶν χειρῶν, καὶ τὰς ἐκτεταμένας φωνὰς καὶ κινήσεις.

ΖΩΝΑΡ. Ἡ ἐν ταῖς ἐκκλησίαις γινομένη ψαλμῳδία παράκλησίς ἐστι πρὸς θεὸν, δεομένων ἡμῶν, ἵλεον ἔσεσθαι τὸ θεῖον ἡμῖν, ἐφ' οἷς αὐτῷ προσκεκρούκαμεν. οἱ δὲ παρακαλοῦντές τε καὶ δεόμενοι ταπεινὸν ἦθος καὶ κατανενυγμένον ἔχειν ὀφείλουσι. τὸ δὲ βοᾷν καὶ κραυγάζειν, οὐ κατεσταλμένου ἤθους, ἀλλὰ θρασέος ἐστὶ καὶ γεγαυρωμένου. διὸ καὶ τοὺς ψάλλοντας ἐν ἐκκλησίαις ὁ κανὼν ἀπαιτεῖ μετὰ προσοχῆς καὶ κατανύξεως ψάλλειν, ἀλλὰ μὴ ἀτάκτως βοᾷν, καὶ τὴν φωνὴν ἐκβιάζεσθαι πρὸς κραυγήν. κραυγὴ δ' ἐστὶν ἐπιτεταμένη φωνὴ καὶ βίᾳ ἐκρηγνυμένη. καὶ οὐ μόνον τοῦτο

A veniunt: conjunctione, Vel, pro, Et, intellecta. Et ſecundo titulo ſecundi libri, qui de verborum ſignificatione inſcribitur, capite quinquageſimo tertio; Conjunctivæ particulæ quandoque, inquit, pro disjunctivis, ac viciſſim hæ pro illis uſurpantur. Eodem modo igitur ab hujus quoque ſynodi Patribus particulam, Vel, pro, Sive, adhibitam fuiſſe exiſtimarim.

Arist. *Agapæ in Eccleſiis non ſunt peragendæ, nec accubitus ſternendi: Quinetiam qui non deſiſtunt, ſegregantur.*

Non oportet Dei domum communem domum exiſti- B mare, & in eâ Agapas dictas peragere, & intus comedere, aut accubitus ſternere: Is autem, qui hoc auſus eſt facere, & non ceſſat, ſegregatur.

Canon LXXV.

Eos, qui in Eccleſiis ad pſallendum accedunt, volumus, nec inordinatis vociferationibus uti & naturam ad clamorem urgere, nec aliquid eorum, quæ Eccleſiæ non conveniunt & apta non ſunt, aſciſcere: ſed cum magna attentione & compunctione pſalmodias Deo, qui eſt occultorum inſpector, offerre. Pios enim fore filios Iſraël ſacrum docuit oraculum.

C Bals. Dei Eccleſiæ dicuntur domus orationis; unde etiam qui orant, cum lachrymis Deum orare debent & cum humilitate, non autem cum inordinato & impudente habitu. Statuerunt ergo patres, non eſſe ſacra canenda cantica & pſalmodias inordinatis & intentis vociferationibus, & naturæ vim afferentibus; nec etiam quibuſdam flexis modulatiſque vocibus, Eccleſiaſticæ conſtitutioni & conſequentiæ non convenientibus, cujuſmodi ſunt modi ſcenici & ſupervacaneæ vocis varietates: ſed cum multa compunctione & moribus piis & ſanctis Deo preces offerre, qui novit cordium noſtrorum occulta. Hæc autem juſſerunt conſe- D quenter dicto Evangelico, quod ſtatuit; Non oportere nos, ſicut & ethnici, cum loquacitate & clamore precari, tanquam per multiloquium noſtrum nos exaudiendos arbitremur, ſed in occulto, Deo hymnum offerre: facere autem petitiones ſimiliter, ut pater noſter cœleſtis, qui videt in abſcondito, nobis reddat in aperto. Quoniam autem, inquiunt, Lex quoque Moſaica dixit in Levitico, pios filios Iſrael futuros, nos quoque, qui hujus legis complementum accepimus, magis pii eſſe debemus, &, prout conſtitutum eſt, nos gerere. Quoniam autem apud diverſos ſanctiſſimos Patriarchas dictum eſt, non ſolùm in feſtis hæc fieri à cantoribus, ſed etiam in vigi- E liis & mortuorum monumentis: fuerunt multa ſynodalia edicta ſegregationi ſubjicientia eos, qui talia faciunt, & non per cantica, & triodia ſimplicia minimeque elaborata, & ſecundum Eccleſiæ conſtitutionem cantata nocturnam pſalmodiam peragunt. Lege & Synodi Carthaginenſis canonem cviii. & quæ in eum ſcripta ſunt. Lege etiam patris noſtri Johannis Chryſoſtomi jam inter beatos, homiliam in ſeraphim, item in illud, Vidi Dominum ſedentem in throno alto & elato. Prohibet enim pſalmodias ſcenicas, & manuum geſticulationes, voceſque protractas & vibratas.

F Zonar. Pſalmos in Eccleſia recitandi conſuetudo deprecatio quædam eſt ad Deum, qua numinis, ob ea quæ admiſimus irritati, pacem nobis ac veniam votis ſupplicibus imploramus. Supplicantes vero ac rogantes humili, abjectoque habitu incedere par eſt. Clamores autem inconditæque vociferationes, non demiſſionis, ſed elati ac temerè exultantis animi ſunt argumentum. Qui ergo pſalmis in Eccleſia recitandis vacant, eos attentè ac mærentium habitu pſallere, non inconditis ac violentis vociferationibus (eſt verò vociferatio intenta & vehementiore conatu exploſa vox,) obſtrepere jubet Canon.

Neque id tantum, ſed quidquam præterea minus accommodatum atque ab Eccleſiæ ſanctitate alienum, quales ſunt infracti illi modorum ſoni argutæque cantilationes, atque ad ſcenicos meretricióſque ritus nimis evariata modulatio, quibus præcipua hoc tempore in templis canentium cura impenditur, adhiberi vetat. Quibus ſic conſtitutis, teſtimonium quoque poſtea ex ſacris literis profert. Pios namque, inquit, fore filios Iſraël ſacro oraculo edocti ſumus. Nos autem filiorum Iſraël nomine ſignificari indicant illa Divi Pauli; Non enim, omnes qui ex Iſraël ſunt, ii ſunt Iſraëlitæ, neque qui ſemen ſunt Abrahæ, omnes filii; ſed in Iſaac vocabitur tibi ſemen: id eſt, non qui filii carnis, hi ſunt filii Dei; ſed qui filii ſunt promiſſionis æſtimantur in ſemine.

Arist. *Inordinata pſallentium vociferatio non admittitur, & qui adſciſcit quæ Eccleſiis non conveniunt.*

Cum compunctione & attentione multâ Pſalmodias Deo occultorum inſpectori offerre oportet, & non inordinatas edere vociferationes, & naturam ad clamorem urgere; Filios enim Iſrael pios fore ſacrum docuit oraculum: ſed nec quicquam, quod non aptum & accommodatum eſt Eccleſiaſticæ conſtitutioni, pſallere oportet.

Canon LXXVI.

Quòd non oportet intra ſanctos ambitus cauponatoriam officinam, vel quæ fiunt per aromata ſpecies proponere, vel alias venditiones facere, ſuam venerationem Eccleſiis ſervantes. Servator enim noſter & Deus, per ſuam in carne vitæ agendæ rationem nos inſtituens, non facere domum patris ſui domum negotiationis juſſit; qui etiam nummulariorum æs effudit, & eos, qui ſacrum commune faciebant, ejecit. Si quis ergo in prædicto delicto deprehenſus fuerit, ſegregetur.

Bals. Sanctarum Eccleſiarum convenientem honorem, eorúmque quæ ad illas pertinent, ſancti patres conſervantes, nec ſuſtinentes ut ab ullo omnino quæ ſunt ſacra fiant communia, decreverunt non eſſe proponendas aromaticas ſpecies intra ſanctos ambitus, nec in eis fieri cauponatoriam officinam, nec intra ipſos aliquid omnino vendi: ſed eos eſſe à mercatorum communione alienos; Quoniam, inquiunt, Dominus quoque noſter Jeſus Chriſtus & Deus, per ſuam in carne vitæ agendæ rationem, nos docens eſſe valde diſertè puniendum eum, qui quod eſt ſacrum commune facit, & domum Dei domum negotiationis reddit, nummularios, hoc eſt, menſarios ſeu argentarios ex ſacris ambitibus abegit, (κόλλυβος autem exiguum nummum ſignificat.) Et æs eorum, hoc eſt, nummos expoſitos effudit. Eos ergo, qui hoc facere auſi fuerint, ſegregationi ſubjecerunt. Cum autem permulti ſanctiſſimi Patriarchæ, & ab Auguſtali & à propinquioribus magnæ Eccleſiæ veſtibulo partibus, nummularios, & cruſtularum fructuumq; venditores, & reliquos mercatores, expelli juſſiſſent, dicebant quidam, canonem Eccleſiaſticos ambitus nominare porticus ac veſtibula uniuſcujuſque templi, ſed non & phialas aliaſq; divinarum ædium partes, quæ eis unitæ ſunt: hoc autem pluribus non placuit. Dicebant enim, quòd quoniam canon de Eccleſiâ non meminit: (Quòd enim in medio templi vel in ejus veſtibulo ſit caupona vel mercatorum conventus, nulli Chriſtiano ne in mentem quidem venerit, ut quod ſit à pietate alieniſſimum) ſed de ſacris templi ambitibus, de his debemus omnem dubitationem adducere. Omnes autem illos eſſe ſacros ambitus dixerunt, qui rationis expertium animantium conculcationi permiſſi non ſunt, etiamſi alio quodam modo ſint communes: Ex xii. cap. primi tit. v. lib. quod dicit; Uſque ad terminos Eccleſiæ in foro publico ſecuritatem habeant, qui confugerunt interioribus lavacris vel hortis vel domiciliis vel porticibus vel atriis utentes,

A ἀπαγορεύει, ἀλλ', οὐδέ τι ἐπιλέγειν συγχωρεῖ ἀνοίκειον καὶ ἀνάρμοστον ἐκκλησίᾳ, οἷά εἰσι τὰ κεκλασμένα μέλη καὶ μινυρίσματα, καὶ ἡ περιττὴ τῶν μελοδιῶν ποικιλία, εἰς ᾠδὰς ἐκτρεπομένη θυμελικὰς καὶ εἰς ᾄσματα πορνικά, τὰ νῦν ἐν ψαλμῳδίαις ἐπιτηδευόμενα μάλιστα. ταῦτα διατατόμενος ἐπάγει καὶ γραφικὴν μαρτυρίαν, λέγων. εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον. υἱοὶ δὲ Ἰσραὴλ ἐσμὲν ἡμεῖς κατὰ τὸν ἅγιον Παῦλον, λέγοντα, οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντα τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα θεοῦ, ἀλλὰ τὰ B τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.

ΑΡΙΣΤ. Ἄτακτος κραυγὴ τοῦ ψάλλοντος ἄδεκτος· καὶ ὁ ἐπιλέγων τὰ ταῖς ἐκκλησίαις ἀνάρμοστα.

Μετὰ κατανύξεως καὶ προσοχῆς πολλῆς, δεῖ τὰς ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ θεῷ, καὶ μὴ ἀτάκτοις χρῆσθαι βοαῖς, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι. εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον· ἀλλὰ μηδέ τι ψάλλειν ἀνοίκειον, καὶ τῇ ἐκκλησιαστικῇ καταστάσει μὴ ὂν ἁρμόδιον.

C ΚΑΝΩΝ ος'.

Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον ἢ τὰ διὰ ἀρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλησίαις φυλάττοντας. ὁ γὰρ σωτὴρ ἡμῶν καὶ θεὸς διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ἐμπορίου οἶκον παρεκελεύσατο· ὃς καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐξέχεεν, καὶ τοὺς τὸ ἱερὸν κοινοποιοῦντας ἀπήλασεν. εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέσθω.

ΒΑΛΣ. Τὴν ἀνάλογον τιμὴν τῶν ἁγίων ἐκκλησιῶν καὶ D τῶν περὶ αὐτὰς συντηροῦντες οἱ θεῖοι πατέρες, καὶ μὴ ἀνεχόμενοι ὅλως κοινοῦσθαι παρά τινος τὰ ἱερά, διωρίσαντο μὴ προτίθεσθαι ἀρωματικὰ εἴδη ἔνδον τῶν ἱερῶν περιβόλων, μηδὲ καπηλεῖον γίνεσθαι ἐν αὐτοῖς μηδὲ ἁπλῶς πιπράσκεσθαί τι ἔνδον τούτων· ἀλλ' εἶναι ἀνεπικοινώνητα παντελῶς τοῖς ἐμπορευομένοις, ὅτι, φασί, καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεός, πραγματικῶς διδάσκων ἡμᾶς διὰ τῆς ἐνσάρκου πολιτείας αὐτοῦ, μεγάλως κολάζεσθαι τὸν κοινοῦντα τὸ ἱερόν, καὶ οἶκον ἐμπορίου τὸν οἶκον τοῦ θεοῦ ποιοῦντα, τοὺς κολλυβιστάς, τουτέστι τοὺς τραπεζίτας, ἐκ τῶν ἱερῶν περιβόλων ἐξήλασε, κόλλυβος δὲ τὸ λεπτὸν E νόμισμα· καὶ τὰ κέρματα αὐτῶν, τουτέστι τὰ διὰ νομισμάτων προχείρια, ἐξέχεεν. τοὺς οὖν τοιοῦτόν τι ποιῆσαι τολμήσοντας ἀφορισμῷ καθυπέβαλον. διαφόρων δὲ ἁγιωτάτων πατριαρχῶν προσταξάντων ἀπό τε τοῦ αὐγουστεῶνος καὶ τῶν προσεχεστέρων μερῶν τῷ προνάῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τοὺς τραπεζίτας διωχθῆναι, καὶ τοὺς ψωμοπώλας καὶ ὀπωροπώλας, καὶ τοὺς λοιποὺς ἐμπόρους, εἶπόν τινες, ὡς περιβόλους ἐκκλησιαστικοὺς ὁ κανὼν ὀνομάζει τοὺς προνάους ἑκάστου ναοῦ, οὐ μὴν τὰς φιάλας καὶ τὰ ἕτερα μέρη τῶν θείων ναῶν, τὰ συνηνωμένα αὐτοῖς. τοῖς πλείοσι δὲ τοῦτο οὐκ ἤρεσεν. εἶπον γάρ, ὡς ἐπεὶ ὁ κανὼν ἐκκλησίας οὐκ ἐμνήσθη, F (τὸ γὰρ ἐν μεσονάῳ ἢ προνάῳ καπηλεῖον γενέσθαι ἢ ἀγορανόμων συνέδριον, οὐδὲ εἰς ἐνθύμησιν τινὸς Χριστιανοῦ ἔλθοι, ὡς ἀσεβέστατον) ἀλλὰ ἱερῶν περιβόλων ναοῦ, ὀφείλομεν περὶ τούτων τὴν πᾶσαν εἰσάγειν ἀμφιβολίαν. πάντας δὲ ἐκείνους εἶπον εἶναι ἱεροὺς περιβόλους, τοὺς μὴ ἀπολυθέντας εἰς ἀλόγων ζώων καταπάτησιν, καὶ ἀλλοτρόπως κοινωθέντας. ἀπὸ μέντοι τοῦ ιβ'. κεφ. τοῦ α'. τίτλου τοῦ ε'. βιβλίου, τοῦ λέγοντος, μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασι ἢ στοαῖς ἢ αὐλαῖς διαγώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. μὴ εἴπῃς καὶ τὰ λουτρὰ καὶ τοὺς κήπους καὶ τὰς στοὰς τὰς συνημμένας ταῖς ἐκκλησίαις ἱεροὺς περιβόλους εἶναι, ὡς ἐντεῦθεν κωλύεσθαι καὶ τὸ προτίθεσθαι ὤνια ἐπ᾽ αὐτοῖς. ταῦτα γὰρ μέρη μὲν τῆς ἐκκλησίας λογίζονται· ἱεροὶ δὲ περίβολοι οὐ λεχθήσονται. καὶ ὡς κοινὰ μέν, τῆς τιμῆς τῶν ἱερῶν περιβόλων οὐκ ἀξιωθήσονται· διὰ δὲ τὸ τῆς ἐκκλησίας προνόμιον, ὁ ἐξ αὐτῶν ἀφαρπάσας πρόσφυγα κολασθήσεται. σημείωσαι δέ, ὅτι ἐντὸς μόνου τοῦ ναοῦ ἐσθίειν καὶ πίνειν τοὺς πρόσφυγας κεκώλυται.

ΖΩΝΑΡ. Ὁ οἶκός μου, τοῖς Ἰουδαίοις ἔφη ὁ κύριος, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. ἵν᾽ οὖν μὴ καὶ τοῖς πιστοῖς τοῦτο ῥηθῇ, ἀπηγόρευσαν οἱ πατέρες ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖα συνιστᾷν, ἢ ἐδώδιμα προτιθέναι εἰς πρᾶσιν, ἢ ἕτερά τινα. οὐκ εἶπον δὲ ἔνδον τῆς ἐκκλησίας, ἀλλὰ τῶν ἱερῶν περιβόλων. περίβολοι δ᾽ εἰσὶν ἱεροὶ αἱ τῶν θείον ναῶν ἅπασαι περιοχαί· ὥστε οὐδ᾽ ἐν προτεμενίσμασιν, οὐδ᾽ ἐν προαυλίοις τοιοῦτόν τι γίνεσθαι παραχωρεῖ ὁ κανών· εἰ δὲ νῦν ἀνευλαβῶς ταῦτα γίνονται. κατασκευάζουσι δὲ τὸν οἰκεῖον λόγον οἱ πατέρες ἐκ τοῦ εὐαγγελίου, λέγοντες, τὸν χριστὸν τοῦτο παραδοῦναι ἡμῖν, λέγοντα τοῖς Ἰουδαίοις, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορείου, καὶ ἀπελάσαντα ἐκ τοῦ ἱεροῦ τοὺς θεοκαπήλους, καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐκχέαντα. κολλυβισταὶ δ᾽ εἰσὶν οἱ τὰ λεπτὰ νομίσματα πωλοῦντες, ἤτοι τοὺς νούμμους· κόλλυβος γὰρ παρ᾽ Ελλησι τὸ λεπτὸν νόμισμα, ὃ παρὰ Ῥωμαίοις νοῦμμος καλεῖται. καὶ κέρμα δὲ τὸ νόμισμα λέγεται.

ΑΡΙΣΤ. Ἐν ἱερῷ περιβόλῳ καπηλεῖον ἀσύστατον, καὶ πωλούμενα βρώματα μάταια· καὶ ἐν ἀμφοτέροις ὁ ποιῶν, ἀφορίζεται.

Τὸν τοῦ θεοῦ οἶκον μὴ ποιεῖν ἐμπορείου οἶκον παρεκελεύσατο ὁ σωτὴρ ἡμῶν καὶ θεός, διὰ τοῦτο οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον συνιστᾷν, καὶ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι. εἴ τις οὖν τοιοῦτόν τι φανῇ πλημμελῶν, ἀφορισθήσεται.

ΚΑΝΩΝ ος'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι· μηδὲ πάντα Χριστιανὸν ἢ λαϊκόν. αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν. εἰ δέ τις ἐπὶ τοῦτο φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

ΒΑΛΣ. Ὡς ἔοικε πρὸ τῆς συνόδου ταύτης ἐλούοντο ἱερώμενοί τινες καὶ μοναχοὶ καὶ λαϊκοὶ μετὰ γυναικῶν, μὴ ἐπιστρεφόμενοι τῆς ἀποστολικῆς θείας παραγγελίας, τῆς λεγούσης, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ελλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. διορθούμενοι οὖν τοῦτο οἱ ἅγιοι πατέρες, ὡς ἀπρεπέστατον καὶ σκανδαλοποιόν, καὶ διεγεῖρον εἰς δαιμονιώδεις ἐπιθυμίας, φέρον τε τοὺς διαγομένους τῇ ἀσέμνῳ ταύτῃ διαγωγῇ εἰς μεγάλην κατάγνωσιν, διωρίσαντο τὸν οὕτως ἀδιαφόρως καὶ ἀπρεπῶς εἰς τὸ ἑξῆς μετὰ γυναικὸς λουόμενον, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δέ, ἀφορίζεσθαι. σημείωσαι δὲ ὅτι ὁ κανὼν διαφορὰν ποιεῖται κληρικῶν, ἱερωμένων, λαϊκῶν, καὶ ἀσκητῶν. ἱερώμενοι γάρ εἰσιν, οἱ τοῦ βήματος, οἱ καὶ χειροτονούμενοι· Ἐπίσκοποι δηλονότι, ἱερεῖς, διάκονοι καὶ ὑποδιάκονοι. κληρικοί, πάντες οἱ ἐκτὸς τοῦ βήματος ἐν ναοῖς ἐξυπηρετούμενοι, ἤγουν ἀναγνῶσται, θεωροί, καὶ ἕτεροι τοιοῦτοι. ἀσκηταὶ δὲ οἱ μοναχοὶ ὅσοι οὐκ ἔφθασαν ἐπισκοπικὴν σφραγῖδα δέξασθαι, ἀλλὰ μόνην ἐπικουρίδα μοναχικήν. οἱ γὰρ σφραγῖδα δεξάμενοι ἐπισκοπικὴν μοναχοί, κληρικοὶ λέγονται. ἀσκητῶν δὲ καὶ μοναχῶν οὐδεμία διαφορά.

A & prohibeantur intra templum dormire vel comedere. Lavacra et hortos & porticus Eccleſiæ conjuncta ſacros ambitus eſſe ne dixeris, ut illic etiam prohibeantur proponi venalia. Hæc enim Eccleſiæ quidem partes reputabuntur: ſacri autem ambitus non dicentur. Et, ut communia quidem, ſanctorum ambituum honore digna non habebuntur: ſed propter Eccleſiæ privilegium, qui eum, qui eò confugit, ex ipſis abripuerit, punietur. Nota verò, intra ſolum templum edere ac bibere prohiberi eos, qui ad ipſum confugerint.

Zonar. Domus mea, dixit Dominus ad Judæos, B domus orationis vocabitur: vos autem feciſtis illam ſpeluncam latronum. Ne igitur eadem fidelibus objici queant, ne intra ſacri loci ambitum cauponas extruere, neve eſculenta aut alia quæcunque venalia habere liceat, Patres decrevêre. Neque vero intra Eccleſiam, ſed intra ſacri loci ambitum ea fieri vetant. Sunt vero ſacri ambitus omnia ſanctorum templorum ſepta, ita ut neque in templorum areis, neque in veſtibulis aliquid ejuſmodi fieri canon ſinat: quamvis ea nunc impie fiant. Suam vero ſententiam Patres ex Evangelio confirmant, nos ita à Chriſto edoctos eſſe dicentes; qui & Judæis, ne domum Patris ſui domum negotiationis facerent, imperavit, C & ſacrilegos nundinatores à templo expulit, & nummulariorum æs effudit. Sunt vero κολλυβισταὶ, ſeu nummularii, qui exigua numiſmata, hoc eſt, nummos, vendunt. Κόλλυβος enim apud Græcos exiguum numiſma eſt, quod à Romanis nummus vocatur. Eſt vero κέρμα, idem quod numiſma.

Arist. *Intra ſacrum ambitum caupona conſtitui non debet; ac ibidem cibos vendi ineptum: & qui utrumvis facit, ſegregatur.*

Dei domum domum negotiationis non facere juſſit D ſoſpitator & Deus noſter: quapropter intra ſacros ambitus non oportet officinam cauponatoria minſtituere, & quæ per edulia fiunt ſpecies proponere, aut alias facere venditiones. Si quis itaque in hujuſmodi peccato deprehenſus fuerit, ſegregabitur.

Canon LXXVII.

Quòd non oportet ſacris initiatos vel Clericos vel Aſcetas lavari cum mulieribus: nec omnem Chriſtianum vel Laicum. Hæc eſt enim prima condemnatio apud gentes. Si quis autem hac in re deprehenſus fuerit, ſi ſit E *quidem Clericus, deponatur: ſin verò Laicus, ſegregetur.*

Bals. Ut eſt veriſimile, ante hanc Synodum lavabantur Sacerdotes quidam & Monachi & Laici cum mulieribus, Apoſtolicum divinum præceptum non curantes, quod dicit; Sine offendiculo ſitis & Judæis & Græcis & Eccleſiæ Dei. Corrigentes hoc ergo ſancti patres, ut maximè indecorum & offenſionem ſcandalúmque afferens, & ad dæmoniacas cupiditates excitans, & eos qui hoc turpi inſtituto utuntur ad magnam condemnationem deducens; ſtatuerunt, ut qui deinceps adeò inconſideratè & indecorè cum muliere lavabitur, ſi ſit qui- F dem Clericus, deponatur: ſi verò Laicus, ſegregetur. Nota autem, quòd canon facit differentiam inter ſacris initiatos, Clericos, Laicos & Aſcetas. Sacris initiati ſunt, qui ſunt ex ſacro tribunali, qui etiam ordinantur; Epiſcopi ſcilicet, Sacerdotes, Diaconi & Hypodiaconi. Clerici, omnes qui extra ſacrum tribunal in templis ſerviunt, ut lectores, oſtiarii, & alii ejuſmodi. Aſcetæ autem Monachi, qui Epiſcopalem characterem non accepere, ſed ſolam tonſuram monachalem. Monachi enim, qui Epiſcopalem tonſuram accepere, dicuntur Clerici. Aſcetarum autem & monachorum nulla eſt differentia.

Dic ergo in ſummam redigens, quòd qui ſunt quidem ex ſacro tribunali in ſcriptis jurare debent: qui autem ſunt extra tribunal, ut Laici jurabunt, etiamſi ſint Monachi. Quidam autem Laici, cùm in balneis unà cum conjugibus lavantur, & propterea reprehenduntur, dicunt iſtud ab hoc canone non prohiberi. Sunt enim caro una, & nihil turpe ac indecorum inter eos fieri videatur, cùm à ſe invicem non ſint disjuncti corporibus: illos autem puniri, qui cum ſcortatione ſe turpiter & indecorè gerunt, naturæque pudendorum nullo penitus pudore afficiuntur. Hæc autem religioſioribus non placuêre, dicentibus hoc eſſe primam apud gentes condemnationem, ut dicit canon: & ideo id eſſe puniendum quomodocunque fiat: & quòd etiamſi videantur conjuges unum eſſe corpus, eis tamen non permittitur ſuis membris malè uti. Si enim ita eſſet, nec ii qui ſibi mortem conſciſcere conati ſunt, punirentur.

Zonar. Oportet, inquit divinus Apoſtolus Paulus, bona providere coram Deo & hominibus; & alibi, Sine offenſione eſtote & Judæis & Græcis & Eccleſiæ Dei. Quòd ſi viri cum mulieribus ſimul laventur, magnam offenſionem apud eos, qui id conſpicati fuerint, ea res facile excitabit. Etenim ſi vel ipſe mulieris in privata domo aut in via forte occurrentis aſpectus perturbationum fluctus in animis virorum ut plurimùm commovet: una cum iis lavari, quî fieri poteſt, ut non iiſdem laticibus ipſorum quoque mentem demergat, & cupiditatis aliquid excitet? Quòd ſi etiam demus aliquos, quamvis eodem balneo cum fœminis utentes, id ſine periculo facere: quominus tamen, & qui vident offenſionem ex ea re capiant, & fidelium in eo licentiam tacita cogitatione damnent, id qua ratione quiſquam vitare poſſit? His igitur de cauſis, id canon Chriſtianis omnibus vetitum eſſe decernit: qui vero id fecerint, ſi quidem ſacrati fuerint, hoc eſt, ex eorum numero qui circa ſacrum tribunal verſantur, aut Clerici, hoc eſt, clero quacunque ratione adſcripti, depoſitione: Aſcetas vero & Laicos ſegregatione puniri jubet. Eſt porro hic canon idem cum Laodicenæ ſynodi trigeſimo, quamvis illic abſque ulla pœnarum mentione editus.

Arist. *Chriſtianus cum mulieribus non lavatur: Clericus enim deponitur; Laicus autem ſegregatur.* Perſpicuus.

Canon LXXVIII.

Quòd oportet eos, qui illuminantur, fidem diſcere, & quinta ſeptimanæ feria Epiſcopo vel Presbyteris renunciare.

Bals. Quomodo qui recèns ſunt illuminati debent fidem orthodoxam doceri, à diverſis canonibus didicimus. Præſens autem canon iis adjicit, nobis ſufficere non debere aſſertiones eorum qui illuminantur, affirmantium, ſe rectam fidem fuiſſe edoctos: ſed eos quidem oportere ſacra oracula diſcere totis primis quatuor diebus ſeptimanæ; quinto autem die ea Epiſcopo, vel iis quibus hoc ab illo permittetur, ſcilicet Catechiſtis, renunciare. Sic enim facientes perfectè demonſtrabunt, quòd tota anima ad fidem orthodoxam acceſſerunt, & in divinis ejus myſteriis initiati, ſatiſque confirmati ſunt. Hoc autem non ſemel facient, ſed per totam ferè ſuam vitam. Præſens autem canon omnino idem eſt cum canone xliii. Synodi Laodicenæ.

Zonar. Eſt hic canon idem cum Laodicenæ Synodi quadrageſimo tertio, iiſdem namque verbis inter alios ejus Synodi canones recenſetur. Porro eos qui illuminantur, hoc eſt, ad illuminationem ſe comparant, & inter catechumenos numerantur, myſteria fidei ediſcere, & quinto quoque cujuſlibet hebdomadæ die, quæ tota hebdomada didicêre, audiente Epiſcopo aut Sacerdoti-

A συναγαγὼν οὕτως εἰπὲ, ὡς οἱ μὲν τοῦ βήματος διὰ ἐγγράφου ὀμνύειν ὀφείλουσιν· οἱ δὲ ἐκτὸς τοῦ βήματος κατὰ λαϊκοὺς ἐπομόσονται, κἂν μοναχοὶ ὦσι. τινὲς μέντοι λαϊκοὶ μετὰ τῶν οἰκείων ὁμοζύγων ἐν βαλανείοις λουόμενοι, καὶ χάριν τούτου ἐλεγχόμενοι, λέγουσι μὴ κωλύεσθαι τοῦτο ὑπὸ τοῦ κανόνος. σὰρξ γὰρ μία εἰσὶ, καὶ οὐδέν τι ἄσεμνον δοκεῖ γίνεσθαι μέσον αὐτῶν, μὴ διεστηκότων ἀλλήλων τοῖς σώμασιν· ἐκείνους δὲ κολάζεσθαι, τοὺς σὺν τῇ πορνείᾳ καὶ ἀσχημόνως διάγοντας, καὶ τῆς φύσεως μὴ αἰσχυνομένους τὴν ἀπρέπειαν. οὐκ ἤρεσαν δὲ ταῦτα τοῖς εὐλαβεστέροις, εἰποῦσι κατάγνωσιν πρώτην εἶναι τοῦτο παρὰ τοῖς ἔθνεσιν, ὡς ὁ κανών φησι, κἀντεῦθεν καὶ κολάζεσθαι ὁπωσδήποτε B γινόμενον· καὶ ὅτι κἂν δοκῶσι οἱ ὁμόζυγοι ἓν σῶμα εἶναι, ἀλλ᾽ οὐκ ἐφεῖται αὐτοῖς κακῶς τοῖς οἰκείοις χρήσασθαι μέλεσιν. ἐπείτοιγε εἰ τοῦτο ἦν, οὐδὲ οἱ ἐπιχειρήσαντες ἑαυτοὺς ἀνελεῖν ἵνα ἐκολάζοντο.

ΖΩΝΑΡ. Ο θεῖος ἀπόστολος Παῦλος, δεῖ, φησι, καλὰ προνοεῖσθαι ἐνώπιον θεοῦ καὶ ἀνθρώπων· καὶ πάλιν, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ελλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. τὸ δὲ ἄνδρας συλλούεσθαι γυναιξὶ, σκάνδαλον μέγα τοῖς ὁρῶσι τοῦτο δύναται ἐμποιεῖν. εἰ γὰρ καὶ ἡ ἐν οἰκίᾳ ἢ ἐν ὁδῷ ἐντυχία τῆς γυναικὸς σάλον τῷ λογισμῷ τῶν ἐντυγχανόντων C αὐταῖς ἀνδρῶν ὡς τὰ πολλὰ ἐμποιεῖ· τὸ ταύταις συλλούεσθαι πῶς οὐκ ἂν τὸν νοῦν τῶν συλλουομένων αὐταῖς κατεβάπτισε, καὶ εἰς ἐπιθυμίαν ἠρέθισεν; εἰ δὲ καὶ δοίη τις καθ᾽ ὑπόθεσιν μὴ βλάπτεσθαι ἴσως τινὰς, κἂν συλλούωνται γυναιξίν· ἀλλά γε τὸ τοὺς ὁρῶντας τοῦτο σκανδαλίζεσθαι, καὶ καταγινώσκειν τῶν τοῦτο ποιούντων πιστῶν, τίς ἄν ποτε δυνηθείη φυγεῖν; διὰ ταῦτα τοίνυν ἀπαγορεύει τοῦτο ὁ κανὼν πᾶσι Χριστιανοῖς· τοῖς δὲ τοῦτο ποιοῦσιν, ἱερατικοῖς μὲν οὖσι, τοῖς περὶ τὸ βῆμα δηλαδὴ καὶ κληρικοῖς τοῖς ἄλλως ἐν κλήρῳ τεταγμένοις, καθαίρεσιν ὁρίζει τὸ ἐπιτίμιον· ἀσκηταῖς δὲ καὶ λαϊκοῖς ἐπάγει ἀφορισμόν. οὗτος δὲ ὁ κανὼν τῆς ἐν D Λαοδικείᾳ συγκροτηθείσης συνόδου τριακοστός ἐστιν, ἄνευ τῶν ἐπιτιμίων ἐκεῖσε ἐκφωνηθείς.

ΑΡΙΣΤ. Χριστιανὸς γυναιξὶν οὐ συλλούεται. κληρικὸς μὲν γὰρ καθαιρεῖται· λαϊκὸς δὲ ἀφορίζεται. Σαφής.

ΚΑΝΩΝ οη΄.

Οτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ Επισκόπῳ ἢ τοῖς πρεσβυτέροις. E

ΒΑΛΣ. Οἱ νεοφώτιστοι ὅπως ὀφείλουσι διδάσκεσθαι τὴν ὀρθόδοξον πίστιν, ἀπὸ διαφόρων κανόνων ἐμάθομεν. ὁ δὲ παρὼν κανὼν προστίθησι, μὴ ἀρκεῖν ἡμᾶς ταῖς καταθέσεσι τῶν φωτιζομένων, διαβεβαιουμένων ἀναδιδαχθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως· ἀλλὰ μανθάνειν μὲν αὐτοὺς τὰ ἱερὰ λόγια δι᾽ ὅλων τῶν πρώτων τεσσάρων ἡμερῶν τῆς ἑβδομάδος, κατὰ δὲ τὴν πέμπτην ἀπαγγέλλειν αὐτὰ τῷ Επισκόπῳ ἢ τοῖς ἐπιτραπησομένοις παρὰ τούτου, ἤγουν τοῖς κατηχηταῖς. οὕτω γὰρ ποιοῦντες δώσουσιν ἐντελῆ πληροφορίαν, ὡς ὁλοψύχως τῇ ὀρθοδόξῳ πίστει προσῆλθον, καὶ τὰ θεῖα ταύτης F ἐμυήθησαν μυστήρια, καὶ ἱκανῶς ἐστηρίχθησαν. τοῦτο δὲ οὐκ ἅπαξ ποιήσουσιν, ἀλλὰ σχεδὸν δι᾽ ὅλης τῆς ζωῆς αὐτῶν. ὁ μέντοι παρὼν κανὼν μγ΄. ἐστὶν ἀπαράλλακτος τῆς ἐν Λαοδικείᾳ συνόδου.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου ἐστὶ τεσσαρακοστὸς τρίτος, αὐτοῖς γὰρ ῥήμασι τοῖς ἄλλοις κανόσι τῆς συνόδου ἐκείνης ἐγκατέστρωται. κελεύει δὲ τοὺς φωτιζομένους, ἤγουν τοὺς πρὸς τὸ φώτισμα ἑτοιμαζομένους καὶ κατηχουμένους τὸ μυστήριον τῆς πίστεως ἐκμανθάνειν καὶ τῇ πέμπτῃ ἡμέρᾳ ἑκάστης ἑβδομάδος ἀπαγγέλλειν, ἃ διὰ τῆς

ἑβδομάδος ἔμαθον, τῷ Ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. τοῦτο δὲ γίνεσθαι, ἵνα μὴ ἀμύητος τοῦ καθ᾿ ἡμᾶς μυστηρίου ἄν τις βαπτισθῇ, καὶ ἀστήρικτος ὢν ὑπὸ αἱρετικῶν ὑποσυρῇ καὶ ὑποκλαπῇ.

ΑΡΙΣΤ. Ὁ φωτισθεὶς, τὴν πίστιν ἀπαγγελλέτω τῇ πέμπτῃ τῆς ἑβδομάδος.

Δεῖ τὸν προσερχόμενον τῷ θείῳ φωτίσματι, καθὼς καὶ ὁ τεσσαρακοστὸς ἕκτος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διαλαμβάνει, τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος, καθ᾿ ἣν μέλλει φωτισθῆναι τῷ Ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις ταύτην ἀπαγγέλλειν.

ΚΑΝΩΝ οθ.

Ἀλόχευτον τὸν ἐκ τῆς παρθένου θεῖον τόκον ὁμολογοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ παντὶ τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας πράττοντάς τι τῶν οὐ δεόντων, διορθώσει καθυποβάλλομεν. ὅθεν ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ ταύτης ἀλλήλοις μεταδιδόντες, προφάσει τιμῆς δῆθεν λοχείων τῆς ἀχράντου παρθενομήτορος, ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι. οὐ γὰρ τιμή γε τοῦτο τῇ παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ᾿ ἡμᾶς κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων τοιοῦτο φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Μαθόντες οἱ ἅγιοι πατέρες, ὅτι τινὲς διὰ τιμὴν τῆς ἀχράντου δεσποίνης ἡμῶν καὶ θεοτόκου ἑορτάζουσι, μετὰ μίαν ἡμέραν τῆς γεννήσεως τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰ ἐπιλόχεια ταύτης μετὰ σεμιδάλεως ἑψητῆς, καὶ ἑτέρων τινῶν εἰδῶν, ὥρισαν μηκέτι τοῦτο γίνεσθαι παρὰ τῶν Χριστιανῶν. τὸν γὰρ τόκον, φασὶ, τῆς θεομήτορος ὁμολογοῦμεν μὴ τοιοῦτον γενέσθαι, καθὼς παρὰ τῶν λοιπῶν γυναικῶν γίνεται, ἀλλὰ ἀλόχευτον, ὅτι καὶ ἡ σύλληψις ὑπὲρ φύσιν καὶ ἐκ πνεύματος ἁγίου ἐγένετο. τῇ οὖν μὴ γνούσῃ λοχείαν, πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; ὅθεν οὐκ ἔστι τοῦτο τιμὴ τῆς ἁγίας παρθένου, τῆς ὑπὲρ νοῦν καὶ λόγον τεκούσης τὸν θεὸν λόγον σαρκὶ ἄνευ ὠδίνων μητρικῶν. κἀντεῦθεν οὐ χρὴ τὰ ὑπὲρ φύσιν συνεξισοῦσθαι τοῖς κατὰ φύσιν, καὶ οὕτω κοινοῦσθαι ταῦτα, καὶ ἐκ τῶν καθ᾿ ἡμᾶς γεωδῶν ὑπογράφεσθαι. τοίνυν καὶ διορίζονται τὸν τοιοῦτόν τι ποιήσοντα, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι. διάτοι τοῦτο καὶ Χριστοῦ χάριτι τέως εἰς ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν οὐδέν τι τολμᾶται τοιοῦτον παρά τινος, ἀλλὰ μετὰ τὴν ἄρρητον γέννησιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἑορτάζει τὸ πλήρωμα τῶν πιστῶν τὰ ἐπιλόχεια τῆς ὑπεραγίας θεοτόκου διὰ θείων ψαλμῳδημάτων καὶ ὑμνῳδίας ἐκκλησιαστικῆς.

ΖΩΝΑΡ. Τινὲς δοκοῦντες εἰς τιμὴν τῆς ἁγίας παρθένου καὶ θεομήτορος ποιεῖν τι, τῇ ἑξῆς ἡμέρᾳ μετὰ τὴν ἑορτὴν τῆς ἁγίας γεννήσεως τοῦ Χριστοῦ ἐποίουν τινὰ, οἷα ἐπὶ ταῖς λοχευομέναις γίνονται γυναιξί. ταῦτα οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανὼν, ἀλόχευτον εἶναι λέγων τὸν τόκον τῆς ἁγίας παρθένου. λοχεία δ᾿ ἐστὶν ἡ μετ᾿ ὠδίνων τοῦ βρέφους ἀπότεξις, καὶ ἡ τῶν αἱμάτων ἀκόλουθος ῥύσις· ὧν μὴ πειραθῆναι τὴν θεοτόκον πιστεύομεν. ταῦτα γὰρ ταῖς φυσικῶς συλλαβούσαις παρομαρτεῖ· τῇ δὲ ὑπὲρ φύσιν ἡ σύλληψις· ἐκ γὰρ πνεύματος ἁγίου ἐγένετο, καὶ ὁ τόκος τῶν φυσικῶν ἰδιωμάτων ὑπέρτερος. τῇ οὖν μὴ γνούσῃ λοχείαν πῶς ἡμεῖς τὰ τῶν λοχευομένων διαπραξόμεθα; ὕβρις γὰρ καὶ οὐ τιμὴ τῆς ὑπεραγίας παρθένου ἐστὶ, τὸ γίνεσθαί τι ἐπὶ τῷ ἀνεκφράστῳ τόκῳ αὐτῆς, οἷα ἐπὶ τῶν ἄλλων γίνεται γυναικῶν

A bus, recitare jubet. Id vero ita fieri, ne mysteriorum nostræ religionis ignarus aliquis baptizetur, ac proinde parum stabilis hæreticorum artibus se à recto tramite auferri abducive patiatur.

Arist. *Illuminatus quintâ hebdomadis feriâ fidem renunciet.*

Eum qui divinam adit illuminationem, ut & quadragesimus sextus Synodi Laodicensis Canon statuit, fidem oportet discere, & quintâ hebdomadis, quâ illuminandus est, feriâ, eam Episcopo aut Presbyteris renunciare.

B CANON LXXIX.

Absque puerperio editum ex virgine Divinum partum esse confitentes, ut qui sine semine constitutus sit, idque toti gregi annunciantes, Eos qui ex ignorantia faciunt quod non decet, correctioni subjicimus. Quare quoniam aliquos post sanctæ Christi Dei nostri nativitatis diem similam coquere compertum est, & eam sibi invicem impartiri, honoris scilicet prætextu puerperii impollutæ virginis matris; statuimus, ut deinceps nihil tale fiat à fidelibus. Neque enim hoc honor est virgini, quæ supra mentem & sermonem, quod comprehendi C *non potest, verbum peperit carne, ex communibus, & iis quæ in nobis fiunt, inenarrabilem ejus partum definire ac describere. Si quis ergo deinceps hoc facere aggressus fuerit, si sit quidem clericus, deponatur: si verò laicus, segregetur.*

Bals. Cùm intellexissent sancti patres, quòd quidam propter honorem impollutæ dominæ nostræ & deiparæ, post unum diem natalis Dei & Servatoris nostri Jesu Christi, ejus puerperium celebrant cum cocta simila & quibusdam aliis speciebus; statuerunt hoc à Christianis non esse amplius faciendum. Dei matris enim partum, inquiunt, talem non fuisse profitemur, D quemadmodum à reliquis fit mulieribus, sed absque puerperio: quoniam conceptio & supra naturam & ex sancto spiritu facta est. Ei ergo, quæ puerperium non novit, quomodo nos ea quæ ad puerperas pertinent peregerimus? Quare non est hoc honor sanctæ virginis, quæ supra mentem & sermonem Deum verbum peperit carne, absque ullis maternis in partu doloribus. Quocirca non oportet ea, quæ sunt supra naturam, iis, quæ sunt secundùm naturam, exæquare, & ea veluti communia reddere, ex nostrísque terrestribus describere & metiri. Statuunt ergo, ut qui est hoc facturus, si sit quidem Clericus, deponatur: sin verò Laicus, segregetur. E Hanc ergo ob causam, Christi Dei gratia, in hac urbium regina nemo tale quidpiam audet facere: sed post ineffabilem Christi Dei nostri nativitatem, fidelium cœtus sanctissimæ deiparæ festum celebrat divinis canticis hymnísque Ecclesiasticis.

Zonar. Nonnulli, se in eo semper virginis ac Dei matris honori aliquid deferre existimantes die, qui sanctam Christi natalis festivitatem proxime consequitur, quædam facere soliti sunt, ex iis quæ in aliarum quoque mulierum puerperio agi consuevere. Eas res igitur hic F canon prohibet, sanctæ virginis partum absque ullo puerperio fuisse dicens. Est vero puerperium emissio fœtus, quam doloris sensus ac profluvium sanguinis comitantur: quibus quidem malis nullatenus obnoxiam fuisse deiparam credimus. Partus etenim naturales ista consequuntur; ejus vero conceptio fuit supra naturam: nam à spiritu sancto effecta est, ejusdémque partus nequaquam iis, quæ partum naturalem proprie consequuntur, obnoxius fuit. Quæ igitur puerperium non agnovit, quid nos ei quæ puerperarum sunt exhibebimus? Est id quidem sacrosanctæ virgini contume-

lioſum potius, quam honorificum, eorum aliquid in ejus eximio partu, quale in aliarum mulierum fœtura contingit, uſurpari. Qui ergo tale quidpiam admiſerit, depoſitione Clericos: Laicos vero ſegregatione teneri jubet.

Arist. *Qui poſt deiparæ feſtum ſimilam vel aliud quidlibet, propter ea quæ dicuntur Puerperia, præparat, ſegregatur.*

Hoc virgini, quæ ſupra mentem & ſermonem incomprehenſibile peperit carne verbum, non eſt honor, ex communibus & iis quæ in nobis ſunt, inenarrabilem ejus partum definire & deſcribere. Si quis itaque poſt ſanctæ Chriſti veri Dei noſtri nativitatis diem ſimilam coquere deprehenditur, eamque aliis exhibere, puerperii ſcilicet immaculatæ virginis matris honoris prætextu; ſi quidem Clericus eſt, deponetur: ſin vero Laicus, ſegregabitur. Divinum enim è virgine partum, ut ſine ſemine conſtitutum, ſine puerperio editum confitemur.

Canon LXXX.

Si quis Epiſcopus vel Presbyter vel Diaconus, vel eorum qui in clero enumerantur, vel Laicus, nullam graviorem habeat neceſſitatem vel negotium difficile, ut à ſua Eccleſia abſit diutiſſimè, ſed in civitate agens, tribus diebus dominicis in tribus ſeptimanis unà non conveniat, ſi ſit quidem Clericus, deponatur: ſin verò Laicus, communione moveatur.

Bals. Alii quidem diverſi canones alio modo puniunt Epiſcopos & Clericos, qui aliquandiu à ſuis Eccleſiis peregre abſunt. Præſens autem canon non ſolùm Epiſcopos & Clericos, ſed etiam Laicos, qui à ſuis regionibus in alieno ſolo degentes abſunt, cogit unà cum fidelibus communicare & orare; & ſtatuit, quòd ſi quis eorum, nulla neceſſitate propoſita, morbi ſcilicet, vel graviſſimæ ſervitutis, quæ ei non concedit ut in Eccleſia verſetur, tribus diebus dominicis cum fidelibus non convenerit, & unà non oraverit, ſed in hanc ſalutiferam communionem negligenter affectus fuerit, ſi ſit quidem Clericus, deponatur: ſi verò Laicus, à communione moveatur, hoc eſt, ſegregetur. Ex eo enim duorum alterum apparet, eum vel divina præcepta divináſque pſalmodias & orationes non curare, vel non eſſe fidelem. Cur enim xx. diebus cum Chriſtianis in Eccleſia verſari noluit, unáque cum Dei fideli populo communicare?

Zonar. Qui tribus hebdomadis ab Eccleſia ſua, nulla gravi neceſſitate difficilive alia cauſa impediti, abfuerint, verùm in urbe degentes cum fidelibus in Eccleſiam non convenerint, ſi quidem Epiſcopi aut Clerici ſint, eos canon deponi: laicos autem ſegregari, (hoc namque illud eſt, communione moveri) jubet.

Arist. *Si quis nullâ cogente neceſſitate Eccleſiam tribus dominicis derelinquat, communione privatur.*

Qui ab Eccleſiâ tribus diebus dominicis abeſt, ſine neceſſitate aliqua & difficultate graviſſimâ, ſi quidem Clericus eſt, deponitur: ſin vero Laicus, ſegregatur.

A πικτουσῶν τοὺς δὲ τοιοῦτόν τι πράττοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ· λαϊκοὺς δὲ, ἀφορίζει.

ΑΡΙΣΤ. Ἀφορίζεται ὁ μετὰ τὴν ἑορτὴν τῆς Θεοτόκου, σεμίδαλιν ἢ ἄλλο τι κατασκευάζων, διὰ τὰ λεγόμενα ἐπιλόχεια.

Οὐκ ἔστι τοῦτο τιμὴ τῇ παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν. διὰ τοῦτο εἴ τις μετὰ τὴν ἡμέραν B τῆς ἁγίας χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν γεννήσεως σεμίδαλιν εὑρίσκεται ἕψων, καὶ ταύτην παρέχων τισὶ, προφάσει τιμῆς δῆθεν λοχείων τῆς ἀχράντου παρθενομήτορος· εἰ μὲν κληρικὸς ἐστὶ, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται. ἀλόχευτον γὰρ ὁμολογοῦμεν τὸν ἐκ τῆς παρθένου θεῖον τόκον, ὡς καὶ ἀσπόρως συστάντα.

ΚΑΝΩΝ π'.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ τῶν ἐν τῷ κλήρῳ καταλεγομένων, ἢ λαϊκὸς, μηδεμίαν ἀνάγκην C βαρυτέραν ἔχοι ἢ πρᾶγμα δυσχερὲς, ὥστε ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς αὐτοῦ ἐκκλησίας, ἀλλ' ἐν πόλει διάγων, τρεῖς κυριακὰς ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀποκινείσθω τῆς κοινωνίας.

ΒΑΛΣ. Ἄλλοι μὲν κανόνες διάφοροι ἀλλοτρόπως κολάζουσι τοὺς Ἐπισκόπους καὶ τοὺς κληρικοὺς ἐφ' ἱκανὸν ἀποδημοῦντας ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν. ὁ δὲ παρὼν κανὼν οὐ μόνον Ἐπισκόπους καὶ κληρικοὺς, ἀλλὰ καὶ τοὺς λαϊκοὺς τοὺς ἀπὸ τῶν χωρῶν αὐτῶν ἐν ἀλλοδαπῇ διάγοντας, καταναγκάζει μετὰ τῶν πιστῶν συγκοινωνεῖν καὶ συνεύχεσθαι· καὶ διορίζεται, ὡς εἴπερ D τις ἐκ τούτων μηδεμιᾶς προκειμένης ἀνάγκης, νόσου τυχὸν ἢ δουλείας βαρυτάτης μὴ παραχωρήσης αὐτῷ ἐκκλησιάζειν, ἐπὶ τρεῖς κυριακὰς οὐ συνέλθῃ μετὰ τῶν πιστῶν καὶ συνεύξηται, ἀλλ' ἀμελῶς διατεθῇ ἐπὶ τῇ τοιαύτῃ σωτηριώδει κοινωνίᾳ, κληρικὸς μὲν ὢν, καθαιρείσθω· λαϊκὸς δὲ, ἀποκινείσθω τῆς κοινωνίας, τουτέστιν, ἀφοριζέσθω. δυοῖν γὰρ θάτερον ἐκ τούτου ἀναφαίνεται, ἢ μηδεμίαν φροντίδα τίθεσθαι τὸν τοιοῦτον τῶν θείων παραγγελιῶν καὶ τῆς εἰς Θεὸν εὐχῆς καὶ ὑμνῳδίας, ἢ τὸ μὴ εἶναι πιστόν· ἵνα τί γὰρ ἐπὶ εἴκοσιν ἡμέραις μετὰ τῶν Χριστιανῶν ἐκκλησιάσαι οὐχ ᾑρετίσατο, καὶ συγκοινωνῆσαι τῷ πιστῷ λαῷ τοῦ Θεοῦ;

E

ΖΩΝΑΡ. Τοὺς ἐπὶ τρεῖς ἑβδομάδας ἀπολειφθέντας τῆς ἐκκλησίας αὐτῶν, ἄνευ βαρείας ἀνάγκης τινὸς ἢ δυσχερείας ἑτέρας, ἀλλ' ἐν πόλει διάγοντας, μὴ συνερχομένους δὲ εἰς ἐκκλησίαν τοῖς πιστοῖς, Ἐπισκόπους μὲν καὶ κληρικοὺς ὄντας ὁ κανὼν καθαιρεῖσθαι προστάττει· λαϊκοὺς δὲ ἀφορίζεσθαι. τοῦτο γάρ ἐστι τὸ ἀποκινεῖσθαι τῆς κοινωνίας.

ΑΡΙΣΤ. Εἰ μὴ δι' ἀνάγκην ἀπολιμπάνεταί τις τῆς ἐκκλησίας ἐπὶ τρισὶ κυριακαῖς, ἀκοινώνητος.

Ὁ τῆς ἐκκλησίας ἐν τρισὶ κυριακαῖς ἀπολειφθεὶς, ἄνευ F βαρυτάτης ἀνάγκης, ἢ δυσχερείας τινὸς, εἰ μὲν κληρικὸς ἐστὶ, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

A

ΚΑΝΩΝ πα΄.

Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν ἐν τῷ τρισαγίῳ ὕμνῳ ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τό, ἅγιος ἀθάνατος, τό, ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς ἐλέησον ἡμᾶς· τοῦτό τε ὑπὸ τῶν πά. ἁγίων πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον, ἐκ τοῦ τοιούτου ἀπελασθὲν ὕμνου, σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ ἡμεῖς κυροῦντες τὰ παρὰ τῶν ἁγίων πατέρων ἡμῶν εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζομεν ἔτι μετὰ τὸν παρόντα ὅρον μεταδεχομένους τὴν τοιαύτην φωνὴν ἐπ᾽ ἐκκλησίαις, ἢ ἄλλως πως τῷ τρισαγίῳ ὕμνῳ συνάπτοντας. καὶ εἰ μὲν ἱερατικὸς ἐστὶν ὁ παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερωσύνης προστάσσομεν· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφορίζεσθαι.

Ὁ ματαιόφρων ἐκεῖνος καὶ βλάσφημος Πέτρος ὁ Κναφεὺς, προσθήκην ἐν τῷ τρισαγίῳ ὕμνῳ ἐποίησε, μετὰ τὸ ἐκφωνεῖσθαι τὸ, ἅγιος ἀθάνατος, εἰπὼν ὀφείλειν λέγεσθαι τὸ, ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, ἐλέησον ἡμᾶς. ἣν δὴ προσθήκην ἡ ἐκκλησία οὐ παρεδέξατο, ὡς παρεισάγουσαν τέταρτον πρόσωπον, καὶ ἀνὰ μέρος τιθεῖσαν τὸν τοῦ Θεοῦ υἱὸν τὴν τοῦ πατρὸς ἐνυπόστατον δύναμιν, καὶ ἀνὰ μέρος, τὸν ἐσταυρωμένον Χριστὸν, ὡς ἄλλον ὄντα παρὰ τὸν ἰσχυρὸν, ἢ ὡς παθητὴν τὴν τριάδα δοξάζουσαν, καὶ συσταυροῦσαν τῷ υἱῷ τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἐδογμάτισεν εὐσεβῶς τὸν τρισάγιον ὕμνον χάριν τῆς τριάδος λέγεσθαι· ὅπερ τι διὰ μὲν τῆς τρισσῆς ἁγιότητος τὰς τρεῖς τῆς ὑπερουσίου θεότητος ὑποστάσεις τὰ ἅγια σεραφὶμ ἡμῖν ὑπεμφαίνουσι· διὰ δὲ τῆς μιᾶς κυριότητος τὴν μίαν τῆς θεαρχικῆς τριάδος οὐσίαν τε καὶ βασιλείαν γνωρίζουσιν. εὕρηται δὲ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, ὅτι λιτανεύοντος τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ διά τινα θεήλατον ἀπειλὴν ἐπὶ Πρόκλου ἀρχιεπισκόπου γεγενημένην, ἀφαρπαγῆναι παιδίον ἐκ τοῦ λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπ᾽ ἀγγελικῆς τινος διδασκαλίας τὸν τρισάγιον ὕμνον, ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. καὶ αὖθις ἐπιστραφέντος τοῦ παιδίου, καὶ τὸ μυηθὲν ἀπαγγείλαντος, ᾆσαι τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι τὴν ἀπειλήν. καὶ ἐν τῇ ἁγίᾳ δὲ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ τῇ ἐν Χαλκηδόνι, οὕτως ὑμνεῖσθαι ὁ τρισάγιος ὕμνος παραδέδοται. ἀλλὰ τῆς τῶν πολλῶν καὶ βλασφημάτων κακίας μηδὲ διὰ τούτων πρὸς τὸ ὀρθόδοξον δόγμα μεταρρυθμηθείσης, ὡς ἔοικεν, οἱ κατὰ ταύτην συνελθόντες τὴν σύνοδον ἅγιοι πατέρες, ἐπικυρώσαντες τὰ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων περὶ τοῦ τρισαγίου ὕμνου θεσμοθετηθέντα, ἀναθέματι καθυπέβαλλον τοὺς μετὰ τὸν παρόντα κανόνα τὴν προσθήκην τοῦ Κναφέως τῷ τρισαγίῳ συνάπτοντας· καὶ εἰ μὲν ἱερατικὸς ἐστὶ, φασὶν, ὁ παραβαίνων, καθαιρείσθω· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω. τοῦ δὲ κανόνος ἀναθεματίζοντος τοὺς τὴν κακόδοξον ταύτην προσθήκην παραδεχομένους, καὶ ἀπὸ τοῦ ἀναθεματισμοῦ μὴ μόνον ἀτίμων γινομένον τῶν ἀναθεματιζομένων, ἀλλὰ καὶ παντελῆ ἀπώλειαν ὑφισταμένων, καὶ πάσης τῆς ἐν κόσμῳ διαγωγῆς ἀπαλλοτριουμένων, θαυμάζω πῶς ὁ κανὼν, σὺν τῷ ἀναθεματισμῷ, καθαιρέσεως ἐμνήσθη καὶ ἀφορισμοῦ. ἀλλ᾽, ὡς ἔοικε, τὰ περὶ τούτου εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνήρτησεν, ἐφ᾽ ᾧ τὸν μὲν παραδεξάμενον τὴν βλάσφημον ταύτην προσθήκην καὶ ῥᾳδίως μετατιθέμενον καθαιρεῖσθαι, ἢ ἀφορίζεσθαι· τὸν δὲ μὴ μετατιθέμενον ἀλλ᾽ ἔτι τῆς βλασφήμου φλυαρίας ἐχόμενον, ἀναθεματίζεσθαι, καὶ οὕτω μὴ μόνον τῆς ἱερωσύνης ἢ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀπογυμνοῦσθαι, ἀλλὰ καὶ περιορίζεσθαι, ἐφ᾽ ᾧ μὴ μεταδοῦναι τῆς αἱρέσεως καὶ ἄλλοις.

CANON LXXXI.

Quoniam in nonnullis locis didicimus, in ſanctiſſimo hymno additamenti loco dici poſt illud, Sanctus immortalis, hoc, Qui crucifixus eſt pro nobis, miſerere noſtri; id autem ab antiquis ſanctis patribus, ut à pietate alienum, ex hoc hymno ejectum cum ſcelerato hæretico, qui hanc vocem innovavit: nos quoque confirmantes ea quæ à ſanctis noſtris patribus piè conſtituta ſunt, anathematizamus eos, qui poſt præſens decretum ejuſmodi vocem in Eccleſiis admittunt, vel aliquo alio modo B *ſanctiſſimo hymno adjungunt. Et ſi eſt quidem ſacerdotalis ordinis qui tranſgreſſus eſt, eum ſacerdotio privari jubemus: ſin autem Laicus vel Monachus, ſegregari.*

Bals. Stolidus ille & blaſphemus Petrus Fullo in ſanctiſſimo hymno fecit additamentũ, dicens, poſtquam dictum eſſet, Sanctus immortalis, debere dici, Qui crucifixus es pro nobis, miſerere noſtri. Quod quidem additamentum Eccleſia non admiſit, ut quod quartam perſonam inducat, & Dei filium, Servatoris ſcilicet conſiſtentem facultatem, ſeorſum ponat, & Chriſtum cru- C cifixum tanquam alium à forti, & tanquam affectionibus ſubjectam trinitatem glorificet, & Patrem unà cum Filio crucifigat & ſpiritum ſanctum. Et decrevit quidem ſanctiſſimum hymnum piè dici de ſancta trinitate, quod per trinam ſanctitatem tres ſuperſubſtantialis deitatis perſonas ſancta nobis ſeraphim oſtendant: per unam verò dominationem unam divinæ Trinitatis ſubſtantiam regnúmque ſignificant. In Eccleſiaſtica autem hiſtoria inventum eſt, cùm populus Conſtantinopoli ſupplicaret, propter quaſdam divinitùs intentatas minas, quæ tempore Procli Archiepiſcopi fuêre, ex populo raptum fuiſſe puerum, & ſic ter ſanctum hy- D mnum ab angelica aliqua doctrina fuiſſe inſtitutum, Sanctus Deus, ſanctus fortis, ſanctus immortalis, miſerere noſtri: & converſo rurſus puero, cùm quod inſtitutum erat renunciaſſet, univerſam multitudinem hymnum ceciniſſe, & ſic minas ceſſâſſe. Porrò autem & in ſancta & univerſali Chalcedon. Synodo ſic ſanctiſſimum hymnum canendum eſſe traditum eſt. Sed cùm ne ſic quidem multorum eorúmque blaſphemorum improbitas ad orthodoxum decretum traducta eſſet, ut eſt veriſimile, qui in hac Synodo convenerant ſancti patres, iis, quæ à ſanctis patribus, qui Chalcedone convenerant, de hoc ſanctiſſimo hymno conſtituta erant, confir- E matis, anathemati eos ſubjecerunt, qui poſt præſentem canonem Fullonis additamentum Triſagio adjungant: Et ſi eſt quidem ſacerdotalis, inquit, ordinis, qui tranſgreditur, deponatur: ſin autem Laicus vel Monachus, ſegregetur. Cùm autem canon eos anathematizet, qui malum hoc additamentum ſuſcipiunt, & ex anathematizatione non ſolùm fiant, qui anathematizantur, infames, ſed omnis etiam generis exitium ſubeant, & ab omni in mundo converſatione alienentur, miror quomodo canon depoſitionis & ſegregationis unà cum anathematiſmo meminit. Sed, ut eſt veriſimile, hoc quoque Epiſcopali diſcretioni ac prudentiæ relictum eſt, F ut qui blaſphemum quidem hoc additamentum admiſit & facile convertitur, deponatur vel ſegregetur: qui autem non convertitur, ſed blaſphemis nugis adhæret, anathematizetur; & ſic non ſolùm ſacerdotio vel Eccleſiaſtica communione privetur, ſed etiam exterminetur, ut non aliis quoque hæreſin communicet.

Zonar. Quidam affectionibus obnoxiam divinitatem exiſtimantes, triſagio hymno verba illa, Qui pro nobis crucifixus eſt, addidêre. Quod quidem ante hanc Synodum alii quoque ſancti Patres, ut adulterinum rectæque ſententiæ minùs conſentaneum, repudiavêre; & à quibuſdam adhuc, ut credibile eſt, uſurpatum, hujus Synodi auctores ex triſagio tollunt; quique id nihilominus adhibuerint, ac triſagio quomodocunque adjunxerint, anathemate damnant. Atque hujus decreti violatores, ſacratos quidem depoſitione; Monachos verò aut Laicos ſegregationis pœna teneri jubent.

Arist. *Qui hymno triſagio, illud, Qui Crucifixus, adjungit, heterodoxus cenſetur.*

Dicitur, quod ſub Theodoſii junioris imperio Puer in campi precibus ſublatus eſt, & per multas horas in ſublimi ſuſpenſus; & audivit vocem divinam, ne hoc, *Qui pro nobis crucifixus*, in Triſagio adderetur, ut veſanus Paulus Samoſatenus delire effutiebat. Si quis itaque talem vocem hymno Triſagio adjunxerit, ut heterodoxus anathemate percutietur. Invenies autem in Damaſceno cap. liii. de Triſagio plenius tractans; & propter quam cauſam puer in ſublimi attollebatur.

CANON LXXXII.

Inter nonnullas venerabilium imaginum picturas, agnus, qui digito Præcurſoris monſtratur, depingitur, qui ad gratiæ figuram adſumptus eſt, verum nobis agnum per legem Chriſtum Deum noſtrum præmonſtrans. Antiquas ergo figuras & umbras, ut veritatis ſigna & characteres, Eccleſiæ traditas amplectentes, gratiam & veritatem præponamus, eam ut legis impletionem ſuſcipientes. Ut ergo quod perfectum eſt, ſaltem coloribus effigiatum, omnium oculis ſubjiciatur, agni ejus, qui tollit peccatum mundi, Chriſti Dei noſtri inſtar hominis characterem, etiam in imaginibus deinceps pro veteri agno ſtatui jubemus, ut per ipſum verbi Dei humiliationem mente comprehendentes, ad memoriam quoque ejus in carne converſationis, ejúſque paſſionis & ſalutaris mortis manu ducamur, ejúſque quæ ex eo facta eſt mundo redemptionis.

Bals. Quando adverſus Ægyptiorum primogenita Moſes juſſu Dei elocutus eſt, juſſit ab Hebręis agnum interfici, & ejus ſanguine Judæorum limina inungi: ut à primogenitorum deſtructore ad eos adiri non poſſet. Hic ergo agnus præfigurabat Dominum. Unde etiam magnus propheta angeliſque æqualis præcurſor, cùm Dominum & Deum noſtrum Jeſum Chriſtum vidiſſet, dixit, Ecce agnus Dei, filius patris, qui tollit peccatum mundi. Quidam ergo in ſacris imaginibus ſanctum pręcurſorem deſcribentes, è regione ejus agnum imprimebant, qui à pręcurſoris digito monſtrabatur. Hoc ergo ſancta Synodus prohibens, ſtatuit, quòd quoniam agnus in typum veritatis acceptus eſt; umbrę autem & ſigna & typi præterierunt, utpote cùm veritas exhibeatur: typos quoque & umbras, ut ſigna veritatis, amplectimur; ſed veritatem præponimus. Et ideo typum quidem ceſſare ſtatuerunt; pro agno autem in ſanctis imaginibus ipſum Dominum & Deum noſtrum Jeſum Chriſtum humana forma deſcribi. Si hæc autem ita ſe habeant, eos malè facere arbitror, qui in Eccleſia columbas emittunt pro ſancti ſpiritus adventu: & qui pro illâ ſtellâ, quæ novo modo apparuerat & erat admirabilis, cereos accendunt: & qui ineffabilem & ſalutarem Domini & Dei & Servatoris noſtri Jeſu Chriſti generationem puero & thoro ſtrato exprimunt, & quæ ſunt ſupra rationem & mentis cogitationem humanis ſtudiis deſcribunt.

ΖΩΝΑΡ. Οἱ τῇ θεότητι πάθος προσαρμόζοντες προσετίθεντο τῷ τρισαγίῳ τὴν προσθήκην ταύτην, τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς. ὅπερ καὶ πρὸ τῆς συνόδου ταύτης ὑφ' ἑτέρων ἁγίων πατέρων, ὡς νόθον καὶ τῆς ὀρθῆς δόξης ἀλλότριον, ἀπεβλήθη, καὶ ἔστι δὲ παρά τινων, ὡς ἔοικε, λεγόμενον, οἱ τῆς συνόδου ταύτης τοῦ τρισαγίου αὐτὸ ἐξορίζουσιν, ἀναθέματι καταδικάζοντες τοὺς ἔτι αὐτὸ παραδεχομένους, καὶ τῷ τρισαγίῳ ὁπωσδήποτε συνάπτοντας. καὶ καθαιροῦσι μὲν τοὺς ἱερατικοὺς παραβαίνοντας τὰ ὁρισθέντα, τοὺς δὲ μοναχοὺς ἢ λαϊκοὺς ἀφορίζουσιν.

ΑΡΙΣΤ. Τῷ τρισαγίῳ ὕμνῳ ὁ συνάπτων τὸ, ὁ σταυρωθεὶς, ἑτερόδοξος.

Λέγεται, ὡς ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ ἤρθη παιδίον ἐν τῇ τοῦ κάμπου λιτῇ, καὶ ἐπὶ πολλὰς ὥρας μετέωρον γέγονε, καὶ ἤκουσε θείας φωνῆς, μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ὡς ὁ παράφρων Παῦλος ὁ Σαμοσατεὺς ἐληρώδει. εἴ τις οὖν τὴν τοιαύτην φωνὴν τῷ τρισαγίῳ ὕμνῳ συνάψει, ὡς ἑτερόδοξος ἀναθεματισθήσεται. εὑρήσεις δὲ καὶ ἐν τῷ Δαμασκηνῷ νγ΄. κεφάλαιον διαλαμβάνον πλατύτερον περὶ τοῦ τρισαγίου, καὶ διὰ ποίαν αἰτίαν ἤρθη τὸ παιδίον.

ΚΑΝΩΝ πβ΄.

Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιάς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν κόσμου, ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν, ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ, ἀναστηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

ΒΑΛΣ. Ὅτε τὴν κατὰ τῶν πρωτοτόκων Αἰγυπτίων ἀπειλὴν διελάλησε κατὰ κέλευσιν τοῦ Θεοῦ ὁ Μωϋσῆς, ἐνετείλατο τοῖς Ἑβραίοις σφαγιάσαι ἀμνόν, καὶ τῷ αἵματι τούτου χρισθῆναι τὰς Ἰουδαϊκὰς φλιάς, ὡς ἂν ἄβατοι ὦσι τῷ τῶν πρωτοτόκων ὀλοθρευτῇ· προετύπου οὖν ὁ τοιοῦτος ἀμνὸς τὸν Κύριον. ὅθεν καὶ ὁ μέγας ἐν προφήταις καὶ ἰσάγγελος πρόδρομος ἰδὼν τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, εἶπεν, ἴδου ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ υἱὸς τοῦ πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. τινὲς οὖν ἐν ἁγίαις εἰκόσι τὸν ἅγιον πρόδρομον ἀναστηλοῦντες, ἀμνὸν ἀντικρὺ αὐτοῦ ἀνεχάραττον ὑπὸ τοῦ προδρόμου δακτυλοδεικνύμενον. τοῦτο τοίνυν ἡ ἁγία σύνοδος ἀποτρέπουσα, ὥρισεν, ὡς ἐπεὶ ὁ ἀμνὸς εἰς τύπον τῆς ἀληθείας παρελήφθη, αἱ σκιαὶ δὲ καὶ οἱ τύποι καὶ τὰ σύμβολα παρῆλθον, ὡς τῆς ἀληθείας παρρησιασθείσης· κατασπαζόμεθα μὲν καὶ τοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολα, προτιμώμεθα δὲ τὴν ἀλήθειαν. διὸ καὶ ὥρισαν τὰ μὲν τοῦ τύπου σχολάσαι· ἀντὶ δὲ ἀμνοῦ, ἐν ταῖς ἁγίαις εἰκόσιν ἀναστηλοῦσθαι αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα. εἰ δὲ ταῦτα οὕτως ἔχουσι, νομίζω ὅτι κακῶς ποιοῦσιν οἱ ἐπ' ἐκκλησίας περιστερὰς ἀπολύοντες ἀντὶ πνεύματος ἁγίου ἐπιδημίας, καὶ ἀντὶ τοῦ ἀστέρος ἐκείνου τοῦ ὑπερφυοῦς καὶ καινοφανοῦς κηρὸν ἀνάπτοντες· καὶ τὴν ἀπόρρητον καὶ σωτήριον ἐν σπηλαίῳ γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ παιδὸς καὶ στρωμνῆς ὑποτυποῦντες, καὶ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν ἀνθρωπίνοις ἐπιτηδεύμασι διαγράφοντες.

A **ΖΩΝΑΡ.** Ὁ τοῖς Ἑβραίοις παρὰ Μωσέως ἐνταλθεὶς σφαγιασθῆναι ἀμνὸς, οὗ τῷ αἵματι αἱ φλιαὶ τῶν οἴκων αὐτῶν χρισθεῖσαι ἄβατοι τῷ τῶν πρωτοτόκων ἦσαν ὀλοθρευτῇ, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προετύπου καὶ προεικόνιζεν. ὅθεν καὶ ὁ Βαπτιστὴς δεικνύων τοῖς λαοῖς τὸν Χριστὸν, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ἔφη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἐγράφετο οὖν ἐν εἰκόσιν ἀμνὸς, καὶ ὁ πρόδρομος τῷ δακτύλῳ δεικνύων αὐτόν. τοῦτο δὲ μὴ γίνεσθαι ἡ σύνοδος αὕτη θεσμοθετεῖ, λέγουσα, ὅτι τοὺς μὲν τύπους καὶ τὰς σκιὰς τιμῶμεν ὡς σύμβολα τῆς ἀληθείας καὶ προχαράγματα, προτιμῶμεν δὲ τὴν χάριν καὶ τὴν ἀλήθειαν· καὶ ὁρίζομεν μηκέτι ἐν εἴδει ἀμνοῦ γράφεσθαι B τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλὰ κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα ἀναστηλοῦσθαι αὐτὸν ἐν εἰκόσιν· ἵν' οὕτω κατανοῶμεν τὴν συγκατάβασιν τοῦ θεοῦ λόγου, καὶ τὸ τῆς αὐτοῦ ταπεινώσεως ἄμετρον, καὶ μνημονεύωμεν τῆς ἐν σαρκὶ ἀναστροφῆς αὐτοῦ, καὶ τοῦ πάθους καὶ τοῦ σωτηρίου θανάτου, καὶ ὅσων εὐεργεσιῶν ἐτύχομεν δι' αὐτοῦ.

ΑΡΙΣΤ. Οὐ χαράξεις ἀμνὸν εἰς τύπον Χριστοῦ· ἀλλ' ἐκεῖνον αὐτόν.

C Ὁ ἀμνὸς εἰς τύπον παρελήφθη τοῦ ἀληθινοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. καὶ οὐ χρὴ τὸν τύπον προτιμᾶσθαι τῆς ἀληθείας, καὶ ἀμνὸν ἐν ταῖς σεπταῖς εἰκόσιν ἐγγράφειν, τῷ δακτύλῳ τοῦ προδρόμου δεικνύμενον· ἀλλ' αὐτὸν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν, καὶ ἐν ταῖς χρωματουργίαις κατὰ τὸ ἀνθρώπινον ἐγχαράττειν.

ΚΑΝΩΝ πγ'.

Μηδεὶς τοῖς σώμασι τῶν τελευτησάντων τῆς εὐχαριστίας μεταδιδότω. γέγραπται γὰρ λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύναται, οὐδὲ φαγεῖν.

D **ΒΑΛΣ.** Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς δειπνήσας μετὰ τῶν οἰκείων μαθητῶν, καὶ τοῦ ἄρτου τούτοις μεταδιδοὺς, λάβετε, φάγετε, ἔφησε, τοῦτ' ἔστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· καθὼς τοῦτο ἐν εὐαγγελίοις γέγραπται. ἔθος γοῦν πρὸ τῆς συνόδου ταύτης παρά τισι μεταδιδόναι τῶν θείων ἁγιασμάτων (ταῦτα γὰρ εὐχαριστίαν οἱ πατέρες ὠνόμασαν) σώμασι νεκροῖς. τοῦτο οὖν κωλύοντες οἱ πατέρες, διωρίσαντο μηκέτι τοιοῦτόν τι γίνεσθαι. ὅτι, φασὶ, γέγραπται, λάβετε, φάγετε· τὰ δὲ πώματα τῶν νεκρῶν, οὔτε λαβεῖν οὔτε φαγεῖν δύνανται. ἀνάγνωσον καὶ τὸν ιη'. κανόνα τῆς ἐν Καρθαγένῃ E συνόδου. τὸ μέντοι χειρίζεσθαι τοῖς ἀρχιερεῦσι μετὰ τελευτὴν ἅγιον ἄρτον, καὶ οὕτως ἐνταφιάζεσθαι, νομίζω γίνεσθαι εἰς ἀποτροπὴν τῶν δαιμονίων, καὶ ἵνα δι' αὐτοῦ ἐφοδιάζηται πρὸς οὐρανὸν, ὁ τοῦ μεγάλου καὶ ἀποστολικοῦ καταξιωθεὶς ἐπαγγέλματος.

ΖΩΝΑΡ. Ἔθος ἦν παλαιὸν μεταδίδοσθαι τοῖς νεκροῖς σώμασι τῶν τελευτησάντων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. τοῦτο γὰρ ὠνόμασται εὐχαριστία, ὅτι εὐχαριστεῖν ἡμᾶς χρὴ μεταλαμβάνοντας τούτων, ὡς ἀξιωθέντας τοιούτων δωρεῶν. τοῦτο τοίνυν γίνεσθαι ὁ κανὼν ἀπηγόρευσε, καὶ τὴν αἰτίαν ἐπάγει λέγων, ὅτι ὁ κύριος διανέμων τὸν ἄρτον τοῖς F μαθηταῖς, λάβετε, φάγετε, εἶπε· τὰ δὲ νεκρωθέντα σώματα οὔτε λαβεῖν, οὔτε φαγεῖν δύναται. καὶ ὁ ὀκτωκαιδέκατος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου πρὸ τῆς συνόδου ταύτης ἀπηγόρευσε τὸ τῆς εὐχαριστίας μεταδίδοσθαι τοῖς νεκροῖς.

ΑΡΙΣΤ. Σώματι νεκρῷ οὐ μεταδοτέον τῶν ἁγιασμάτων.

Ἐπειδὴ γέγραπται, λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν

ZONAR. Qui ab Hebræis agnus Moſe præcipiente immolatus eſt, cujus ſanguine conſignata domorum limina primogenitorum interfectori inacceſſa fuere, is Chriſti Ieſu Domini noſtri typum ac imaginem referebat. Quapropter & Baptiſta, cum Chriſtum populo indicaret, Ecce, inquit, agnus Dei, qui tollit peccatum mundi. Proinde in imaginibus quoque agnus, cum præcurſore illum intento digito monſtrante, effingebatur. Quod quidem hæc Synodus fieri vetat, figuras dicens, & umbras, ut ſigna veritatis indiciaque, veneramur; ſed gratiam & veritatem, longè pluris facienda eſſe judicamus: ac ne in poſterum is, qui peccatum mundi tollit, agni ſpecie in imaginibus pingatur, ſed humano habitu ac figura exprimatur; decernimus; ut hinc, quæ noſtra cauſa Verbi Dei abjectio demiſſioníſque immenſitas fuerit, intelligamus, ejúſque in carne converſationis, & paſſionis ac mortis quoque ſalutaris, &, quæcunque demum in nos contulit, beneficiorum, memoriam perpetuò conſervemus.

ARIST. *Non depinges agnum in typum Chriſti: ſed illum ipſum.*

Agnus in veri Chriſti Dei noſtri typum aſſumptus fuit. Et non oportet typum veritati præponere, & agnum in venerabilibus imaginibus præcurſoris digito monſtratum depingere: ſed ipſum Chriſtum & Deum noſtrum etiam coloribus delineatum forma humana exprimere.

CANON LXXXIII.

Nemo mortuorum corporibus Euchariſtiam communicet. Scriptum eſt enim, Accipite, comedite. Mortuorum autem corpora nec accipere poſſunt, nec comedere.

BALS. Dominus & Deus noſter Ieſus Chriſtus, cùm unà cum ſuis diſcipulis cœnans eis panem impertiiſſet, dixit, Accipite, comedite; hoc eſt corpus meum, quod pro vobis frangitur in remiſſionem peccatorum: ſicut hoc ſcriptum eſt in Evangeliis. Ante hanc ergo Synodum mos erat nonnullis divina ſacramenta (ea enim patres Euchariſtiam nominavêre) corporibus mortuis impertire. Patres ergo hoc fieri prohibentes, tale quid non ampliùs faciendum decreverunt. Quoniam, inquiunt, ſcriptum eſt, Accipite, comedite: mortuorum autem corpora non poſſunt accipere, nec comedere. Lege & xviii. can. Carth. Syn. Quòd autem ſanctus panis Antiſtitibus poſt mortem tradatur, & ſic ſepeliantur, exiſtimo hoc fieri ad avertendos dæmonas, & ut per ipſum, tanquam viaticum, deducatur ad cœlum, qui magna & Apoſtolica profeſſione dignus eſt habitus.

ZONAR. Antiquæ conſuetudinis fuit corpus & ſanguinem Domini mortuorum corporibus impertiri. Illa ſiquidem Euchariſtiæ nomine intelliguntur, quod ea dum percipimus, ſit à nobis, qui ejuſmodi muneribus digni habiti ſimus, gratiarum actio adhibenda. Id igitur hic canon fieri vetuit, ejúſque rei rationem hanc ſubdit, quod panem Dominus in diſcipulos dividens, Accipite, ait, & comedite: mortuis autem cadaveribus neque accipere neque comedere datum eſt. Carthaginenſis quoque Synodi decimooctavo canone, jam olim ante hanc ſynodum, Euchariſtiam vita functis præbere ne liceat interdictum eſt.

ARIST. *Corpori mortuo ſacramenta non ſunt communicanda.*

Quoniam ſcriptum eſt, Accipite, edite; at mortuorum

tuorum corporum nec accipere poſſunt, nec comedere: nemo mortuis divina Sacramenta communicabit.

Canon LXXXIV.

Canonicas patrum leges ſequentes, de infantibus quoque decernimus, quoties non inveniuntur firmi teſtes, qui eos indubiè baptiZatos eſſe dicant, nec ipſi propter ætatem de ſibi tradito myſterio aptè reſpondere poſſint, debere ſine ulla offenſione baptiZari: ne forte ejuſmodi dubitatio eos tali ſanctitatis puritate privet.

Bals. Patres, qui Carthagine convenerant, quorum præſens canon meminit, unum baptiſmum confitentes ex ſancti ſymboli comprehenſione, can. lxxii. ſtatuerunt, ut qui in infantia dicuntur eſſe baptizati ſive non, ſi non ſint firmi teſtes, qui eos eſſe baptizatos plenè & integrè probent, baptizentur. His ergo conſequenter patres in præſenti canone ea ipſa ſtatuerunt, quæ & qui Carthagine convenerunt juſſerant: ut ii ſcilicet baptizarentur, de quibus dubitabatur, an baptizati eſſent, ſi nec illi ipſi probare poſſint ſe fuiſſe baptizatos, eo quòd neſciant quid ſibi in infantia factum ſit (nam κεῖρα eſt ætas imperfecta) nec teſtes adducunt, qui probent eos fuiſſe baptizatos. Eſt enim timendum, ne propter dubitationem infantes ſacro baptiſmate & regno cœlorum, quod per id datur, priventur, prout eſt vox Domini dicentis, Niſi quis per aquam & ſpiritum renatus fuerit, non intrabit in regnum cœlorum. Hæc autem conſtituta ſunt, quoniam non permittebant aliqui, ut tales propter dubitationem baptizarentur: ne eos, qui anteà baptizati fuerant, rebaptizare viderentur. De ea re autem ſæpe ſynodicè controverſia exorta eſt. Cùm enim infantes ex Chriſtianorum regione à Scythis & Agarenis bello capti eſſent, & Romanis divenditi, dubitatum eſt, an oporteat venundatos baptizari. Dicebant enim nonnulli, quoniam ex Chriſtiana regione capti ſunt, præſumptio eſt eos fuiſſe in regione baptizatos in infantia, nec rebaptizandos. Placuit verò potiùs baptizandos eſſe, eo quòd hi neſciant, an in infantia baptizati fuerint, nec ulli inveniantur qui baptiſmum affirment. De iis autem, qui ex infidelium regione capiuntur, eos eſſe baptizandos indiſtinctè ſtatutum eſt: niſi teſtes profiteantur eos poſt captivitatem fuiſſe baptizatos. Tempore autem ſanctiſſimi Patriarchæ domini Lucæ ſynodicè adfuerunt Agareni, & cùm ab eis poſtularetur ut baptizarentur, dixerunt, quòd in ſuis regionibus antea baptizati fuerant. Et interrogati quomodo reſponderunt, eſſe conſuetudinem ut omnes Agarenorum infantes ab orthodoxis ſacerdotibus baptizarentur: non tamen admiſſi fuerunt. Audierant enim, quòd baptiſmus, quem infideles à Chriſtianis petunt, non bona affectione & orthodoxo propoſito petitur; ſed propter corporalem medicinam. Perſuaſum eſt enim Agarenis, fore ut ſui liberi à dæmone vexentur, & tanquam canes malè oleant, niſi baptiſmum Chriſtianum aſſequantur. Quamobrem, non ut omnium animæ ſordidum mundatorem, divinæque lucis & ſanctificationis præbitorem, baptiſmum poſtulant; ſed tanquam veneficium & incantationem. Quidam autem eorum dicebant ſe matres habere orthodoxas, ſéque earum cura fuiſſe ab orthodoxis baptizatos: ſed nec ii exauditi ſunt, quoniam teſtes non adducebant, qui hoc ipſum pro teſtimonio dicerent; imo potiùs condemnati ſunt, quòd non bonam de ſe exiſtimationem dabant, quòd rectè ad fidem non accederent. Propterea & hos omnes baptizari permiſſum eſt.

A σώματα οὔτε λαβεῖν οὔτε φαγεῖν δύνανται· οὐδεὶς μεταδώσει τοῖς τελευτήσασι τῶν θείων καὶ ἀκηράντων ἁγιασμάτων.

ΚΑΝΩΝ πδʹ.

Τοῖς κανονικοῖς τῶν πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκωνται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ αὐτὰ διὰ τὴν ἡλικίαν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσιν, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι· μήποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ B τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

ΒΑΛΣ. Οἱ ἐν Καρθαγένῃ συνελθόντες πατέρες, ὧν ὁ παρὼν κανὼν μέμνηται, ἓν βάπτισμα ὁμολογοῦντες, κατὰ τὴν τοῦ ἁγίου συμβόλου περίληψιν, ὥρισαν ἐν κανόνι οβʹ. τοὺς ἐν νηπιότητι λεγομένους βαπτισθῆναι, εἴτε καὶ μὴ βαπτίζεσθαι, ἐὰν μὴ ὦσι μάρτυρες βέβαιοι πληροφοροῦντες αὐτοὺς βαπτισθῆναι. ἀκολούθως οὖν τούτοις ἐθεσμοθέτησαν οἱ πατέρες ἐν τῷ παρόντι κανόνι αὐτὰ ἐκεῖνα, ὅσα καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες παρεκελεύσαντο· δηλονότι βαπτίζεσθαι τοὺς ἀμφιβαλλομένους βαπτισθῆναι, εἰ μήτε αὐτοὶ ἐκεῖνοι δύνανται C πληροφορῆσαι τὸ βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τί γέγονεν εἰς τούτους ἐν νηπιότητι (κεῖρα γάρ ἐστιν ἡ ἀτελὴς ἡλικία) μηδὲ μάρτυρες παράγονται πληροφοροῦντες τὸ βαπτισθῆναι αὐτούς. δέος γάρ ἐστι, μήποτε διὰ τὸν δισταγμὸν ἀποστερηθῶσι τὰ νήπια τοῦ θείου βαπτίσματος, καὶ τῆς διὰ τούτου διδομένης βασιλείας τῶν οὐρανῶν, κατὰ τὴν τοῦ κυρίου φωνὴν τὴν λέγουσαν, εἰ μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ταῦτα δὲ νενομοθέτηται, ὅτι τινὲς οὐ παρεχώρουν διὰ τὴν ἀμφιβολίαν βαπτίζεσθαι τοὺς τοιούτους· ἵνα μὴ δόξωσιν ἀναβαπτίζειν τοὺς προβαπτισθέντας. περὶ δὲ τούτου πολλάκις D ἀμφισβήτησις γέγονε συνοδικῶς. νηπίων γὰρ ἀπὸ Χριστιανικῆς χώρας αἰχμαλωτισθέντων παρὰ Σκυθῶν καὶ Ἀγαρηνῶν, καὶ διαπραθέντων πρὸς Ῥωμαίους, ἀμφιβολία γέγονεν, εἰ χρὴ τοὺς πωληθέντας βαπτισθῆναι. ἔλεγον γάρ τινες, ὡς ἐπεὶ ἀπὸ Χριστιανικῆς χώρας ᾐχμαλωτίσθησαν, πρόληψίς ἐστι βαπτισθῆναι κατὰ χώραν ἐν νηπιότητι, καὶ οὐ χρὴ αὖθις ἀναβαπτισθῆναι. ἤρεσε δὲ μᾶλλον ὀφείλειν βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τούτους εἰ ἐν νηπιότητι ἐβαπτίσθησαν, μήτε τινὰς εὑρίσκεσθαι διαβεβαιουμένους τὸ βάπτισμα. περὶ δὲ τῶν ἀπὸ χώρας ἀπίστων αἰχμαλωτιζομένων ὥρισται, ἀδιακρίτως αὐτοὺς βαπτίζεσθαι· εἰ μὴ μάρτυρες ὁμολογοῦσι βαπτισθῆ- E ναι τούτους μετὰ τὴν αἰχμαλωσίαν. ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, παρέστησαν Ἀγαρηνοὶ συνοδικῶς, καὶ ἀπαιτούμενοι βαπτισθῆναι, εἶπον, ὡς ἔφθασαν εἰς τὰς χώρας αὐτῶν βαπτισθῆναι. καὶ ἐρωτώμενοι ὅπως, ἀπελογήσαντο, ὅτι συνήθειά ἐστι πάντα τὰ νήπια τῶν Ἀγαρηνῶν βαπτίζεσθαι παρὰ ὀρθοδόξων ἱερέων· ἀλλ' οὐ παρεδέχθησαν. ἤκουσαν γὰρ, ὡς τὸ παρὰ τῶν ἀπίστων ζητούμενον ἀπὸ τῶν Χριστιανῶν βάπτισμα, οὐ κατὰ διάθεσιν ἀγαθὴν καὶ προαίρεσιν ὀρθόδοξον ζητεῖται· ἀλλὰ διὰ θεραπείαν σωματικήν. δέδοκται γὰρ παρὰ τοῖς Ἀγαρηνοῖς, τὰ τέκνα τούτων δαιμονᾷν καὶ κατὰ κύνας ὄζειν, εἰ μὴ βα- F πτίσματος τύχωσι Χριστιανικοῦ. κἀντεῦθεν οὐχ ὡς καθαρτήριον παντὸς ῥύπου ψυχικοῦ, καὶ φωτὸς θείου καὶ ἁγιασμοῦ πάροχον ἀνακαλοῦνται τὸ βάπτισμα, ἀλλ' ὡς φαρμακείαν ἢ ἐπῳδήν. τινὲς δὲ ἐξ αὐτῶν εἶπον μητέρας ἔχειν ὀρθοδόξους, καὶ ἀπὸ σπουδῆς τούτων βαπτισθῆναι αὐτοὺς παρὰ ὀρθοδόξων· ἀλλ' οὐδὲ οὗτοι εἰσηκούσθησαν, ὅτι οὐ παρέστησαν μάρτυρες τοῦτο αὐτὸ μαρτυροῦντες. μᾶλλον μὲν οὖν καὶ κατεγνώσθησαν, ὡς μὴ ἀγαθὴν πρόληψιν διδόντες καθ' ἑαυτῶν, εἰς τὸ μὴ προσέρχεσθαι τῇ πίστει ὀρθῶς. διὸ καὶ ἐξεχωρήθη πάντας τούτους βαπτισθῆναι.

ΖΩΝΑΡ.

A **ΖΩΝΑΡ.** Ἓν βάπτισμα ὁμολογεῖν ὑπὸ τοῦ θείου συμβόλου τῆς πίστεως δεδιδάγμεθα. ὅτι δὲ ὁ κύριος ἔφη, εἰ μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, διὰ τοῦτο ἔδοξε τοῖς ἱεροῖς πατράσι παλαιοτέρων πατέρων ἐξακολουθοῦσι θεσμοῖς, εἰ ἀμφίβολόν ἐστι τὸ βαπτισθῆναί τινας, ἐκείνων μὲν μὴ εἰδότων εἰ ἐβαπτίσθησαν διὰ νηπιότητα καὶ τὸ λίαν ἀτελὲς τῆς ἡλικίας αὐτῶν (ἡλικία γὰρ ἡ κείρα ἑρμηνεύεται) καὶ οὐδέ τινες εὑρίσκονται εἰδότες καὶ μαρτυροῦντες, ὅτι ἐβαπτίσθησαν, βαπτίζεσθαι αὐτοὺς χωρίς τινος προσκόμματος, ἀντὶ τοῦ μή τινος ἐμποδίου ὄντος διὰ τὸ ἀγνοεῖσθαι εἰ ἐβαπτίσθησαν. B τοῦτο δέ, φασιν, ὁρίζομεν, ἵνα μὴ διὰ δισταγμὸν καὶ ἀμφιβολίαν τοῦ, εἴτε ἐβαπτίσθησαν εἴτε μή, στερηθῶσι τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως, καὶ ἔξω μείνωσι τῆς τοῦ θεοῦ βασιλείας κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν.

ΑΡΙΣΤ. Οἱ μὴ γινώσκοντες, μηδὲ μαρτυρούμενοι βαπτισθῆναι, βαπτιζέσθωσαν.

Ὅσοι ἀγνοοῦσιν εἰ ἐν τῇ νηπιώδει αὐτῶν ἡλικίᾳ ἐβαπτίσθησαν, καὶ οὐδὲ εὑρίσκονταί τινες ἀξιόπιστοι μάρτυρες ἀναμφιβόλως αὐτοὺς διαβεβαιούμενοι βαπτισθῆναι· χωρίς τινος προσκόμματος βαπτιζέσθωσαν. C

ΚΑΝΩΝ πε'.

Ἐπὶ δύο ἢ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα γραφικῶς παρελάβομεν. τοὺς οὖν ὑπὸ τῶν οἰκείων δεσποτῶν ἐλευθερουμένους δούλους ἐπὶ τρισὶ μάρτυσι, τῆς τοιαύτης τιμῆς ἀπολαύειν διοριζόμεθα, οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ προσοίσουσιν, καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γινομένοις παρέξουσιν.

ΒΑΛΣ. Εἶπεν ἐν εὐαγγελίοις ὁ κύριος, ἐπὶ δύο ἢ τριῶν D μαρτύρων πᾶν ῥῆμα σταθήσεται. διὸ καὶ ὁ παρὼν κανὼν διορίζεται τοὺς λέγοντας ἐλευθερίας ἀξιωθῆναι παρὰ τῶν οἰκείων δεσποτῶν, μὴ ἀναγκάζεσθαι πολλοὺς μάρτυρας χάριν ἀποδείξεως τούτου παράγειν· ἀλλὰ διὰ τριῶν μαρτύρων συνιστᾶν τὴν λεγομένην προσεῖναι αὐτοῖς ἐλευθερίαν. ἦσαν γάρ τινες, ὡς ἔοικε, λέγοντες ὀφείλειν τὴν ἐλευθερίαν ἀποδείκνυσθαι διὰ πλειόνων μαρτύρων, πέντε τυχὸν ἢ καὶ ἕξ. ὅπερ τῇ ἁγίᾳ συνόδῳ οὐκ ἤρεσεν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. ἐτρακταΐσθη δὲ πολλάκις, εἰ τοῦ νόμου λέγοντος ἐν βιβλίῳ κα'. τίτλῳ α'. καὶ βιβλ. κγ'. τίτ. α'. ἐπὶ μὲν τοῖς ἐπέκεινα τῆς μιᾶς ὑπερπύρων λίτρας πράγμασιν, ὀφείλειν παράγεσθαι μάρτυρας τρεῖς· ἐπὶ δὲ ὑποθέσει λίτρας E ὑπερπύρων μιᾶς καὶ κατωτέρω, ἀρκεῖν μάρτυρας δύο, ἀναγκάζεται ὁ ἐλευθεροβοῶν κατὰ τὸν παρόντα κανόνα παράγειν μάρτυρας τρεῖς. καὶ τέως ἐμοὶ ἔδοξε, δύο καὶ μόνους ἀρκεῖν μάρτυρας εἰς ἀπόδειξιν ἐλευθερίας, διὰ τὸ ἐπιθάλπεσθαι παρά τε τῶν νόμων καὶ τῶν κανόνων πλέον πάντων τὴν ἐλευθερίαν· ἄλλως τε ἐπεὶ οὐχ ὑπερβαίνει τίμημα δούλου οἱουδήτινος μίαν ὑπερπύρων λίτραν, νενομοθέτηται δὲ ἐπὶ μιᾶς ὑπερπύρων λίτρας ἀρκεῖν μάρτυρας δύο, πάντως καὶ εἰς ἀπόδειξιν ἐλευθερίας δύο ἀρκέσουσι μάρτυρες, ἀκολούθως τῷ παρόντι κανόνι τῷ ὑπὲρ τῆς ἐλευθερίας ἐκφωνηθέντι, καὶ λέγοντι ἐξ ἀρχῆς, ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. καὶ F ὅτι ἐξ ἀτονίας τῶν ἀποδείξεων οὐχὶ ἡ ἀδιατίμητος ἐλευθερία δίδοται τῷ ἀντιδίκῳ, ἀλλὰ ἡ δουλεία, ἥτις ἀποτιμᾶται ὡς ἄνωθεν εἴρηται, ἧς καὶ δοθείσης διὰ νομισμάτων ἐλευθερωθήσεται ὁ ἐλευθεροβοῶν. ἀνάγνωθι καὶ τὴν νεαρὰν τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν ἐξενεχθεῖσαν χάριν τοῦ μὴ δέχεσθαι ἀντιπαραστάσεις μαρτύρων, ὅταν παράγωνται μάρτυρες παρὰ τοῦ ἐλευθεροβοῶντος, καὶ χάριν τοῦ μὴ γίνεσθαι ἐλευθέρους τοὺς ἱερολογουμένους δούλους, τὴν καὶ ταῦτα ῥητῶς διεξιοῦσαν. δύο ταῦτα ἐπὶ τὰς ἀκοὰς τῇ βασιλείᾳ μου ἦλθεν ἁγιώτατε δέσποτα, ὡς τινὲς τῶν προσερχομένων τῷ ἁγίῳ

Zonar. Unum baptiſma confiteri divino fidei ſymbolo edocti ſumus. Quoniam verò Domini illa verba ſunt, Niſi quis renatus fuerit ex aqua & ſpiritu non intrabit in regnum cœlorum, propterea ſancti Patres, antiquiorum Patrum ſecuti decreta, ſtatuere; ut ſi de aliquibus, ſint baptizati nec ne, incertum ſit, cum nec ipſi ob infantiam ætatémque teneram (eſt idem namque κείρα, quod ætas) ſe baptiſmo initiatos norint, nec aliorum, qui id ſciant, teſtimonio baptizatos eſſe probari poſſit, ſine offenſione, hoc eſt, ſine ulla mora cunctationéque, cum nihil de illorum baptiſmo certi cognitum ſit, baptizentur. Hoc vero, inquiunt, ita decernimus, ne ob incertam ambiguámque de baptiſmo ſuſcepto ab his hominibus controverſiam, tali ſanctitatis puritate priventur, atque à Dei regni aditu ex dominica aſſertione prohibeantur.

Arist. *Qui nec cognoſcunt, nec per teſtes probare poſſunt, ſe baptizatos eſſe, baptizentur.*

Quotquot ignorant, an in infantili ſuâ ætate baptizati fuerint; & non inveniuntur aliqui teſtes fide digni, qui extra controverſiam confirmatum dent, eos fuiſſe baptizatos: ſine ullo ſcandalo baptizentur.

CANON LXXXV.

In duobus vel tribus teſtibus confirmari omne verbum ex ſcriptura accepimus. Servos ergo, qui à ſuis dominis ſub tribus teſtibus manumittuntur, eo frui honore decernimus; qui præſentes libertati vires & firmitatem afferent, &, ut iis quæ ab ipſis facta ſunt fides habeatur, efficient.

Bals. Dominus dixit in Evangeliis; In duobus vel tribus teſtibus ſtabit omne verbum. Et ideo præſens quoque Canon ſtatuit, ut qui ſe dicunt fuiſſe manumiſſos à ſuis dominis, non neceſſe habeant ad hoc oſtendendum multos teſtes adducere: ſed per tres teſtes probare libertatem quæ illis adeſſe dicitur. Erant enim nonnulli, qui, ut eſt veriſimile, dicebant, oportere eum eſſe liberum oſtendi per plures teſtes, quinque fortaſſe vel ſex: quod quidem ſanctæ Synodo non placuit. Et hæc quidem in hoc canone continentur. Sæpe autem tractatum eſt, an cùm lex dicat in libro xxi. tit. i. & lib. xxiii. tit. i. in negotiis, quæ unam hyperpyrorum libram excedunt, debere tres teſtes adduci, in cauſis autem unius hyperpyrorum libræ & inferioribus ſufficere duos teſtes; cogatur, qui ad libertatem proclamat, ex præſenti canone tres teſtes adducere. Et mihi quidem viſum eſt, ad oſtendendam libertatem duos ſolos teſtes ſufficere, eo quòd leges & canones libertati maxime faveant; & quandoquidem cujuſlibet ſervi pretium unam hyperpyrorum libram non excedit, in una autem hyperpyrorum libra conſtitutum eſt duos teſtes ſufficere, omnino & ad oſtendendam libertatem duo teſtes ſufficient, præſenti canoni conſequenter, qui eſt pro libertate editus, & dicit ab initio, In ore duorum vel trium teſtium ſtabit omne verbum; & quòd ex infirmitate probationum inæſtimabilis libertas non datur adverſario, ſed ſervitus quæ æſtimatur, ut ſuperiùs dictum eſt, qua etiam data, pecuniis liberabitur qui ad libertatem proclamat. Lege etiam novellam Imperatoris domini Alexii Comneni, quæ edita eſt de non admittendis teſtibus qui contra opponuntur, quando teſtes adducuntur ab eo qui ad libertatem proclamat, & de eo, quòd liberi ſervi non fiant, qui ſacram benedictionem acceperint: quæ hæc his verbis perſequitur. Duo hæc ad aures Imperialis meæ poteſtatis pervenerunt, ſanctiſſime domine, quòd quidam eorum, qui ad ſanctum & magnum

gnum divini verbi ſapientiæ templum accedunt, ad libertatem proclamantes, & genus ſuum ad libertatis oſtenſionem allegantes (dicunt enim ſe ex liberis parentibus eſſe natos, Bulgaris fortè vel aliquibus aliis, quos in ſervitutem noſtra non accepit reſpublica) ea quidem quæ dicunt demonſtrare permittuntur. Et poſtquam teſtes omni exceptione majores, & in quos nulla cadit criminatio, adduxerint, ad alios eis teſtes opponendos eorum domini procedunt; & ſic cùm ii, qui provocant, non poſſint amplius in judiciis perſiſtere, ſervilis conditionis onere rurſus opprimuntur: & quando matrimoniales fiunt ſervorum conſuetudines & convinctiones in noſtra republica, eas tamen ſacra non conſequitur benedictio, caventibus dominis ne ſervi inter ſe invicem cum ſacra benedictione conjungantur, ne ex eo ad libertatem conveniant. Eorum autem utrumque convenienti correctione opus habere cenſuit; & propterea hanc conſtitutionem magna cum cautione & obſervatione edidit, per quam ſtatuitur de his qui ad libertatem proclamant ſervis, ne ii, qui contrà adducuntur, teſtes vim ullam locúmve habeant, in quocunque ſeu civili ſeu Eccleſiaſtico judicio: ſed ii ſoli, qui in jus vocant, legitimas probationes afferant; & ſi ii quidem teſtibus abundent, qui jure ſunt recipiendi, neque calumnia inducti, teſtium jurejurando judicium ſolvatur; ſed non contrariæ etiam per teſtes probationes eorum dominis permittantur, ne magna adverſariorum inæqualitas ſit inferioribus damni cauſa. Sed quemadmodum in iis, qui idem tributum ſolvunt, lex beatiſſimi domini Baſilii potentibus adverſus pauperes contrarias probationes per teſtes non permiſit: ſic & hîc dominis adverſus ſervos vis contrariæ per teſtes probationis extincta erit, & ſola apud eos valebit adverſus ipſos teſtes illata criminatio; contraria non omnino per teſtes probatione excluſa, quando ii, qui trahunt in ſervitutem, adverſus illos, qui jure ſunt liberi, ſervis in jus vocatis teſtes, produxerint. Inferioribus enim & imbecillis præſens conſtitutio gratificatur, & quod eos juvet ſubminiſtrat: non autem pro majoribus & potentioribus editur. Adjicit autem & ſacras benedictiones, non ſolùm apud liberos, ſed etiam apud ſervos valere. Et nuptias non alias legitimas & Chriſtiana inſtitutione dignas eſſe & exiſtimari, niſi etiam benedictio eos, qui conjunguntur, colliget. Abſurdum enim eſſet, cùm una in omnibus Chriſtiana fides valeat, & unus ſit in confeſſo baptiſmus, per quem ad Dominum deducti ſumus, & eadem ſalus à nobis omnibus qui credimus ſperetur, nonnullis hanc obortam eſſe ſuſpicionem, quòd ſervi ſint boni minùs participes; & liberi quidem matrimonio invicem conjungantur, priùs oratione colligati: ſervi autem à tali bono excidant, & Deum non aſſumant in congreſſus benedictione, vel metuant, quòd ſi aſſumpſerint, eorum dominus in dominio injuria afficeretur, illorum dominio privatus. Si hoc autem locum habuerit, ſanctum quoque baptiſmum timere oportet, ne ſervi dominium ſibi vendicent: ſed etiam immaculatorum myſteriorum aſſumptionem, ne per eam ab illis quoque alienentur. Quo fiet ut in ſervis intereat magnum & venerabile divinæ fidei nomen: & non ſolùm ſervi hominum, ſed etiam diaboli homicidæ, fient homines. Eorum autem domini in periculum quoque venient, ne dum hominum miniſterio privari formidant, à Dei gloria ſeipſos abalienare ſuſtineant, ſed neque hoc eſt rationi conſentaneum, & ſacram benedictionem in ſervis quoque valere æquum, & Chriſtiana inſtitutione dignum eſt. Verum enimvero fortuna novit in hominibus diverſa eſſe dominium & ſervitutem, & quæ noſtra accepit reſpublica, ea in iis quoque valere oportet. Unus autem dominus omnium, una fides, unum baptiſma:

A μεγάλῳ τε καὶ θείῳ ναῷ τῆς τοῦ θεοῦ λόγου σοφίας, εἰς ἐλευθερίαν ἀναφωνοῦντες, καὶ πρόφασιν τῆς ἐλευθερίας τὸ γένος ποιούμενοι (φασὶ γὰρ ἐξ ἐλευθέρων γεγενῆσθαι γονέων, Βουλγάρων τυχὸν ἢ τινῶν τοιούτων οὓς εἰς δουλείαν ἡ καθ' ἡμᾶς οὐ παρέλαβε πολιτεία,) εἰς ἀπόδειξιν τῶν λεγομένων ἀφίενται. κἀπειδὴ παραστήσονται μάρτυρας ἀδιαβλήτους, εἰς ἀντιπαραστατικὴν μαρτυρίαν οἱ κύριοι τούτων χωροῦσι, καὶ οὕτως τῶν ἐγκαλούντων διὰ τέλους παραμένειν τοῖς δικαστηρίοις ἀδυνατούντων, ἡ δουλικὴ τύχη πάλιν τούτοις ἐπιφορτίζεται· καὶ ὅτε γαμικαὶ δούλων ὁμιλίαι τε καὶ συναρμογαὶ παρὰ τῷ καθ' ἡμᾶς γίνονται πολιτεύματι, οὐ μέντοιγε B καὶ ἱερολογία ταύταις ἀκολουθεῖ, τῶν κυρίων αὐτῶν εὐλαβουμένων μεθ' ἱερολογίας ἀλλήλους συνάπτειν τοὺς δούλους, ἵνα μὴ πρὸς ἐλευθερίαν ἐντεῦθεν συνέλθωσι. καὶ τῆς προσηκούσης ἄμφω διορθώσεως ἔγνωκε δεῖν· καὶ διὰ τοῦτο τὸ παρὸν διάταγμα συντετηρημένως ἐξέθετο, δι' οὗ διορίζεται κατὰ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων δούλων, ἀντιπαραστατικὴν μαρτυρίαν μὴ κρατεῖν, μηδὲ χώραν ὅλως ἔχειν αὐτὴν, παρ' οἱῳδήτινι πολιτικῷ ἢ ἐκκλησιαστικῷ δικαστηρίῳ· ἀλλὰ τοῖς ἐγκαλοῦσι μόνοις τὰς ἀποδείξεις κατὰ νόμους ἐπάγεσθαι, κἂν εἴ που μαρτυριῶν εὐπορήσοιεν οὗτοι νόμοις δεκτῶν καὶ μὴ περιτρεπομένων δια- C βολαῖς, τῷ τῶν μαρτύρων ὅρκῳ τὴν δίκην λύεσθαι· ἀλλὰ μὴ καὶ ἀντιπαραστάσεις τοῖς κυρίοις αὐτῶν ἐγχωρεῖσθαι, ἵνα μὴ τὸ πολὺ τῶν ἀντιθέτων ἄνισον, βλάβης αἴτιον τοῖς ἐλαχιστοτέροις γενήσηται. ἀλλ' ὥσπερ ἐπὶ τῶν ὁμοτελῶν ἡ τοῦ μακαριστοῦ κυροῦ Βασιλείου νομοθεσία τοῖς δυνατοῖς κατὰ τῶν πενήτων ἀντιπαραστάσεις οὐκ ἐξεχώρησεν· οὕτω κἀνταῦθα τοῖς κυρίοις κατὰ τῶν δούλων ἀπεσβεσμένον ἔσται τὸ τῆς ἀντιπαραστάσεως ἰσχυρὸν, καὶ μόνη κρατήσει παρὰ τούτοις ἡ κατὰ τῶν μαρτύρων διαβολή· τῆς ἀντιπαραστάσεως πάντως μὴ ἀποκλειομένης τοῖς ἐγκαλουμένοις δούλοις, ὅταν τοὺς μάρτυρας κατὰ τῶν ἐν νο- D μῇ ἐλευθερίας ὄντων οἱ πρὸς δουλείαν ἕλκοντες τούτους παραγάγωσι. τοῖς γὰρ ἐλαχιστοτέροις καὶ ἀσθενέσιν ἡ παροῦσα διάταξις χαρίζεται τὴν ῥοπὴν, ἀλλ' οὐχ ὑπὲρ τῶν δυνατῶν καὶ μᾶλλον ἰσχυροτέρων ἐκτίθεται. προστίθησι δὲ καὶ τὰς ἱερολογίας μὴ μόνον παρὰ τοῖς ἐλευθέροις, ἀλλὰ καὶ παρὰ τοῖς δούλοις κρατεῖν. καὶ γάμον μὴ ἄλλως ἔννομόν τε καὶ τῆς Χριστιανικῆς καταστάσεως ἄξιον εἶναί τε καὶ νομίζεσθαι, εἰ μὴ καὶ ἱερολογία τοὺς συναπτομένους συνδεῖ. ἄτοπον γὰρ ἂν εἴη, μιᾶς ἐν πᾶσι τῆς Χριστιανικῆς κρατούσης πίστεως καὶ βαπτίσματος ὁμολογουμένου ἑνὸς, δι' οὗ προσήγμεθα τῷ Κυρίῳ, καὶ τῆς αὐτῆς σω- E τηρίας ἐλπιζομένης πᾶσιν ἡμῖν τοῖς πιστεύουσιν, ὑποτρέχειν ἐνίους ὑπόνοιαν, ὡς τοῖς δούλοις ἧττον μέτεστι τοῦ καλοῦ· καὶ τοὺς μὲν ἐλευθέρους κατὰ γάμον ἀλλήλοις συνάπτεσθαι θείᾳ συνδουμένους εὐχῇ πρότερον· τοὺς δούλους δὲ, τοιούτου διαπίπτειν καλοῦ, καὶ μὴ παραλαμβάνειν θεὸν ἐπ' εὐλογίᾳ τῆς συνελεύσεως, ἢ δεδιέναι, ὡς εἰ παραλαμβάνοιτο, ἀδικηθείη ἂν περὶ τὴν δεσποτείαν ὁ τούτων κύριος, τῆς ἐπ' αὐτοῖς στερισκόμενος δεσποτείας. οὕτω γὰρ εἰ τοῦτο κρατοίη, δεδιέναι χρὴ καὶ τὸ ἅγιον βάπτισμα, μὴ δοῦλοι ξενωθεῖεν τῶν δεσποτειῶν· ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἀχράντων μυστηρίων μετάληψιν, μὴ καὶ διὰ ταύτης ἐκείνων ἀλλοτριωθεῖεν. κἀν- F τεῦθεν ἐκ τῶν δούλων οἰχήσεται τὸ μέγα καὶ σεβάσμιον τῆς θείας πίστεως ὄνομα· καὶ οὐ δοῦλοι μόνον ἀνθρώπων, ἀλλὰ καὶ τοῦ ἀνθρωποκτόνου γενήσονται ἄνθρωποι. συγκινδυνεύσουσι δὲ καὶ οἱ κύριοι τούτων, φόβῳ τοῦ μὴ διαπεσεῖν ὑπηρεσίας ἀνθρώπων, τῆς τοῦ θεοῦ δόξης ἀποξενοῦν ἑαυτοὺς ἀνεχόμενοι. ἀλλ' οὔτε τοῦτο λόγον ἔχει δίκαιον. καὶ τὴν ἱερολογίαν ἐξ ἀνάγκης καὶ ἐπὶ τῶν δούλων κρατεῖν, εὔλογον καὶ Χριστιανικῆς ἐπάξιον καταστάσεως. ἀλλὰ γὰρ ἐν ἀνθρώποις οἶδεν ἡ τύχη δεσποτείαν καὶ δουλείαν διάφορα, καὶ ἅπερ ἡ καθ' ἡμᾶς πολιτεία παρέλαβε ταῦτα καὶ ἐπὶ τούτων χρεὼν κρατεῖν. εἷς δὲ κύριος πάντων, μία πίστις, ἓν βάπτισμα, ἡ δουλεία καὶ δεσποτεία ὅσα γε κατὰ πίστιν διάφορα οὐ γινώσκομεν, ὅτι καὶ πάντες ἐπίσης δοῦλοι ἐσμὲν τῷ ἐκ δουλείας λυτρωσαμένῳ ἡμᾶς τῷ ἐξ αὐτοῦ θείῳ καὶ ζωοποιῷ αἵματι. καὶ ἐπεὶ ταῦτα καλῶς τέως καὶ λυσιτελῶς διατέτακται, δεῖ τὴν μεγάλην ἁγιωσύνην σου δῆλα ταῦτα θέσθαι ἁπανταχοῦ τῶν ἁγίων ἐκκλησιῶν, ὡς ἂν οἱ ἐν αὐταῖς προεστῶτες οὕτω τε τὰ περὶ τῶν ἐλευθεριῶν δοκιμάζωσιν, ἀντιπαραστατικὴν μαρτυρίαν κατὰ τῶν δούλων τοῖς δεσπόταις μὴ συγχωροῦντες, καὶ πᾶσι ποιῶνται καταφανὲς ἐν ταῖς ὑπ' αὐτῶν ἐνορίαις, ὡς οἱ μὴ μεθ' ἱερουργίας ἀλλήλοις συνάπτοντες τοὺς δούλους, οὐχὶ θεοφιλῆ γάμον συνιστῶσιν ἐν αὐτοῖς· ἀλλ' ἐκπορνευομένην μίξιν κρατύνουσιν. οὓς γὰρ μὴ συνάπτει Θεὸς δι' ἱερολογίας παραλαμβανόμενος, οὗτοι πάντες εἰς ἁμαρτίας συνέρχονται. καὶ εἴ που προσαγγελθείη τοῦτο παρ' οἱουδήτινος οὕτως ἀπὸ τοῦδε γινόμενον, ἴστωσαν οἱ δεσπόται ὡς οὐ μόνον θείῳ μηνύματι καταστήσονται ἔνοχοι, ἀλλὰ καὶ τῶν δούλων ἀλλοτριωθήσονται, εἰς ἐλευθερίαν ἁρπαζομένων. ἐξὸν γὰρ αὐτοῖς κατὰ νόμους Θεοῦ συνάπτειν ἀλλήλοις τοὺς δούλους, καὶ τὴν ἐπ' αὐτοῖς δεσποτείαν ἔχειν ἀλώβητον, εἰ μὴ τοῦτο ποιοῖεν, ἑαυτοῖς δικαίως πάντως τὴν τῆς δεσποτείας ἐπάγουσιν ἔκπτωσιν. τὸ δὲ παρὸν διάταγμα οὐ μόνον ὀφείλει ἐν ταῖς ἁπανταχοῦ τῶν ἐκκλησιῶν διαγγελθῆναι, ἀλλὰ κἂν τοῖς πολιτικοῖς δικαστηρίοις καταστρωθῆναι. γενέσθαι δὲ διαδόσιμον καὶ εἰς τοὺς τῶν ἐπαρχιωτῶν προεστῶτας ἀρχῶν, ὡς ἂν εἴδησιν ἔχωσι ἅπαντες τῶν καλῶς παρὰ τῆς βασιλείας ἡμῶν ὁρισθέντων. ἐπεὶ δὲ καὶ γάμοι ἔφθασαν ἤδη γενέσθαι ἐπὶ προσώποις δουλικὴν ἔχουσι τύχην, καὶ οἱ γάμοι κατὰ τὴν ἕως τοῦ νῦν κρατοῦσαν παράλογον συνήθειαν προβεβήκασι, δεῖ καὶ ἐπὶ τούτων τὴν ἱερολογίαν γενέσθαι, ἵνα διὰ ταύτης, κἂν ὀψὲ γένηται, τὸ σεβάσμιον ἔχωσι, τῶν ἀνωτέρω εἰρημένων παρατηρήσεων καὶ ἐπὶ τῷ τοιούτῳ γάμῳ κρατεῖν ὀφειλουσῶν.

ΖΩΝΑΡ. Ἀδιατίμητον πρᾶγμα τὴν ἐλευθερίαν, ἤγουν διατιμηθῆναι καὶ τιμὴν ὁρισθῆναι ἐπ' αὐτῇ μὴ δυνάμενον οἱ τῆς πολιτείας εἶναι νόμοι φασί. ὡς οὖν περὶ μεγάλου πράγματος ἐσομένης τῆς μαρτυρίας, ὅτε δεήσει μαρτυρίας περὶ ἐλευθερίας, ἀπῃτοῦντο οἱ τὰς ἀποδείξεις ποιούμενοι πέντε τυχὸν ἢ καὶ πλείονας παράγειν μάρτυρας, ὡς τοσούτων καὶ ἐφ' ἑτέραις ὑποθέσεσι παραγομένων. τοῦτο οὖν ἀναιρῶν ὁ κανὼν ἐπὶ θάλψει τῆς ἐλευθερίας, καὶ τρεῖς ὁρίζει ἀρκεῖν, καὶ τὴν γραφὴν παράγει εἰς σύστασιν τῆς θεσμοθεσίας, λέγουσαν, ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἀντὶ τοῦ βεβαιωθήσεται, κυρωθήσεται.

ΑΡΙΣΤ. Ἐλευθερούμενος ὑπὸ δεσπότου δοῦλος ἐπὶ δυσὶ μάρτυσιν, εἴη ἀδούλωτος. Σαφής.

ΚΑΝΩΝ πϛʹ.

Τοὺς ἐπὶ ψυχῶν ὀλέθρῳ πόρνας ἐπισυνάγοντας καὶ ἐκτρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι ὁρίζομεν. εἰ δὲ λαϊκοί, ἀφορίζεσθαι.

ΒΑΛΣ. Ὥσπερ ὁ πολιτικὸς νόμος κολάζει τοὺς πορνοβοσκούς, οὕτω καὶ ὁ κανὼν διορίζεται τοὺς ἐπισυνάγοντας πόρνας, καὶ οἷον διὰ τούτου συνωθοῦντας εἰς ψυχικὴν ἀπώλειαν τοὺς πολλούς, καὶ οὐ μόνον ἐπισυνάγοντας, ἀλλὰ καὶ ἐκτρέφοντας, ἤγουν τὰ ἀναγκαῖα αὐταῖς ἐπιχορηγοῦντας (τῷ γὰρ ὀνόματι τῆς τροφῆς καὶ ἐνδυμενίαι, καὶ τὰ λοιπά, τὰ πρὸς ἀκολασίαν τοὺς ἁπαλωτέρους ἕλκοντα, περιέχονται) κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δέ, ἀφορίζεσθαι. οὐ παρὰ τοῦτο δὲ οἱ μόνον ἐπισυνάγοντες καὶ μὴ ἐκτρέφοντες αὐτὰς οὐ τιμωρηθήσονται· ἀλλὰ κἀκεῖνοι ὁμοίως κολασθήσονται. εἶπε δὲ ὁ κανὼν τὸ ἐκτρέφοντες, ὅτι ἐξ ἀνάγκης τῇ συναγωγῇ ἐπακολουθεῖ καὶ ἡ λοιπὴ φροντὶς τῶν ἐπισυναγομένων. οὐ γὰρ τὸ συναγαγεῖν μόνον ἄξιόν ἐστι κολάσεως· διότι συνάγει τις πολλάκις πόρνας χάριν τοῦ ὑποθέσθαι

A & quod ad fidem quidem attinet, dominii & servitutis differentiam non cognoscimus; quoniam omnes sumus ex æquo servi ejus, qui nos ex servitute divino suo & vivifico sanguine redemit. Et quoniam hæc rectè his & utiliter constituta sunt, oportet magnam tuam sanctitatem hæc omnia in omnibus Ecclesiis manifesta reddere: ut qui eis præsunt, ea quæ ad libertatem pertinent sic examinantes contrarias testium probationes adversus servos dominis non permittant, & omnibus in suis provinciis manifestum efficiant, quòd qui non cum sacra benedictione servos invicem conjungunt, non Deo gratum inter eos matrimonium constituunt: sed fornicatorium B coitum confirmant. Quos enim non conjungit Deus per sanctam benedictionem assumptus, hi omnes ad peccata conveniunt. Et sicubi hoc ab aliquo, quicunque is sit, abhinc factum renunciatum fuerit, sciant domini, quòd non solùm iræ divinæ erunt obnoxii, sed à servis quoque abalienabuntur, eis abductis in libertatem. Cùm eis enim liceat servos suos jure in Deo invicem conjungere, & integrum in eis habere dominium, nisi hoc fecerint, jure omnino ab eorum dominio excident. Præsens autem constitutio non solùm debet in Ecclesiis quæ ubique sunt promulgari, sed in omnibus etiam civilibus judiciis deponi: tradi autem etiam iis, qui in provinciis Magistratus gerũt, C ut quæ ab Imperatoriâ nostrâ auctoritate bene decernuntur, omnibus innotescant. Quoniam autem in personis servilem fortunam habentibus nuptiæ priùs factæ sunt, & nuptiæ convenienter iniquæ, quæ hucusque invaluit, consuetudini processerunt; oportet in iis quoque sacram benedictionẽ fieri, ut per eam, etiãsi tardè fiat, id quod est colendum ac venerandum habeant, superioribus quoque observationibus etiam in hisce nuptiis valere debentibus.

Zonar. Rem inæstimabilem esse libertatem, hoc est, impossibile esse, ut æstimetur, vel pretium ejus constituatur, leges civiles docent. Igitur, quoties de libertate, D quippe de non levis momenti re testimonium ferri oporteret, quorum intererat probationes afferre, quinque scilicet aut plures etiam (quod totidem in aliis quoque disceptationibus dari consuevissent) testes exhibere cogebantur. Qua quidem consuetudine hîc damnata Can. (qui nimirum libertati faveat) trium quoque testimonium satis esse decernit; & stabiliendæ constitutioni ex sacris literis illa profert, in ore scilicet duorum aut trium testium stabit omne verbum, hoc est, firmum ac ratum esse judicabitur.

Arist. *Servus à domino sub duobus testibus manumissus, libertate donetur.* Perspicuus.

E

Canon LXXXVI.

Eos, qui ad animarum lapsum meretrices cogunt & alunt, si sint quidem Clerici, deponi definimus: sin verò Laici, segregari.

Bals. Quemadmodum lex civilis lenones, qui meretrices alunt, punit, ita & Canon decernit eos, qui meretrices cogunt, & multos ea ratione ad animæ exitium veluti protrudunt; & non solùm eos qui co- F gunt, sed & qui alunt sive eis necessaria suppeditant (alimenti enim nomine & indumenta & reliqua, quæ molliores ad intemperantiam attrahunt, comprehenduntur) si sint quidem Clerici, deponendos: sin verò Laici, segregandos. Non autem idcirco qui solùm quidem cogunt, & eas non nutriunt, non punientur: sed in eos quoque similiter animadvertetur. Dixit autem Can. illud, Et alunt, quoniam ubi coëgerint, necessariò quoque sequitur, ut coactarum cura deinceps ab iis geratur. Neque enim solùm cogere supplicium meretur: Meretrices enim sæpe cogit quispiam, ut eis illa, quæ ſunt ſalutaria, ſuggerat, vel ut earum opera ad tractandum aliquod miniſterium utatur, vel ut det eas magiſtratui caſtigandas. Quære librum lx. Baſilic. tit. xxxviii. cap. i. Si pater filiam, vel dominus ſervam nutriat ad quæſtum meretricium, perdant quam habent in eas poteſtatem. Adjicit autem conſtitutio, Per Epiſcopum & Magiſtratum eis quoque ferri debere auxilium: & quòd ſi ad hoc reſiſtat pater vel dominus, publicantur & exterminantur. Ac ſecundum quidem caput viles lenones ſimiliter punit: eos autem, qui ſunt militaris ordinis, publicandos dicit. Ejuſdem autem libri & tituli cap. iii. quod eſt Juſtiniani Novella, valde punit eos, qui arte & dolo & neceſſitate aliquas in hanc intemperantiam attrahunt, & iis mercaturam exercent. Lege ergo hoc caput diligentiùs. Dicunt enim nonnulli, quòd id illos punit qui ſeducunt, & aliquo artificio vel neceſſitate mulieres aliquas ad fornicationem attrahunt: non autem eos qui illas ſuſcipiunt, quæ ſpontanea voluntate fornicationem eligunt propter naturæ neceſſitatem vel etiam paupertatem. Ad hoc autem probandum utuntur, & nonnullis ipſius Novellæ verbis, & præſenti Canone puniente, non eos ſolùm qui meretrices cogunt, ſed etiam qui eas nutriunt, per fraudem & adulationem eas in malum impellentes. Porro autem & quod hodie actu fit in lenonum officinis videtur cum eorum dicto concurrere. Mihi autem videtur, quòd leges & Canones quemcunque lenonem indiſtinctè puniunt, & omnem meretricem ad temperantiam retrahunt. Lege & xci. Novellam Imperatoris domini Leonis Philoſophi, quæ non permittit ut veteri lege aliquis degat cum concubinis.

Zonar. Meretrices alere civilium quoque legum ſanctiones vetant. Alere vero meretrices eſt, eis ob lucrum ex meretricio quæſtu percipiendum, cum animarum pernicie alimenta ſuppeditare. Quam rem, ſi civiles quoque leges prohibeant, multo illam certe magis Eccleſiaſticæ ac ſpirituales debent averſari. Proinde graviores etiam pœnæ Clericis in hoc genere delinquentibus irrogatæ. Illos ſiquidem (quod non ita crebro reperias) deponi ſimul & ſegregari jubet. Pro quovis enim alio ſupplicio in eos, qui clero adſcripti fuerant, plerumque depoſitio ſola ſufficere viſa fuit. Laicos verò, qui id fecerint, ſegregatione puniendos eſſe decernit.

Arist. *Qui meretrices in animarum exitium cogit, ſegregatur.* Perſpicuus.

Canon LXXXVII.

Quæ maritum reliquit, eſt adultera, ſi venerit ad alium, ut vult ſacer & divinus Baſilius, qui ex Hieremia Propheta hoc optimè collegit: quòd ſi alii viro uxor fuerit, ad maritum ſuum non convertetur, ſed polluta, polluetur: & rurſus, Qui detinet adulteram, eſt & inſipiens & impius. Si itaque præter rationem à marito ſeceſſiſſe appareat; ille quidem venia dignus eſt: hæc verò pœna. Illi autem venia dabitur, ut Eccleſiæ communicet. Sed is qui legitimè ſibi datam uxorem relinquit, & aliam ducit, ex Domini ſententia eſt adulterii judicio obnoxius. A Patribus autem noſtris ſtatutum eſt: ut qui ſunt ejuſmodi uno anno defleant, biennio audiant, triennio ſubſternantur, & ſeptimo cum fidelibus conſiſtant, & ſic oblatione digni habeantur, ſi cum lachrymis pœnitentiam egerint.

Bals. Dominus & Deus noſter Jesus Christus interrogatus, an liceat marito uxorem quavis ex cauſa dimittere, hoc vetuit, dicens: Quòd qui uxorem ſuam reliquit præterquam fornicationis cauſa,

A αὐταῖς τὰ σωτηριώδη, ἢ χειραγωγίας ἀξιοῦσθαι σωματικῆς, ἢ παραδοῦναι τῷ ἄρχοντι χάριν σωφρονισμοῦ. ζήτει βιβλίον ξ. τῶν βασιλικῶν τίτλῳ λη΄. κεφ. α΄. ἐὰν πατὴρ θυγατέρα ἢ δεσπότης δούλην πορνοβοσκῇ, ἀπολλύτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν. προστίθησι δὲ τὸ κεφάλαιον, διὰ τοῦ Ἐπισκόπου καὶ τοῦ ἄρχοντος αὐταῖς βοηθεῖσθαι· καὶ ὅτι ἐὰν ἀνθίσταται πρὸς τοῦτο ὁ πατὴρ ἢ ὁ δεσπότης, δημεύονται καὶ ἐξορίζονται. καὶ τὸ δεύτερον κεφάλαιον τοὺς μὲν εὐτελεῖς πορνοβοσκοὺς ὁμοίως τιμωρεῖ, τοὺς δὲ στρατείαν ἔχοντας δημεύεσθαί φησι. τὸ μέντοι γ΄. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιανοῦ, μεγάλως κολάζει τοὺς σὺν τέχνῃ B καὶ δόλῳ καὶ ἀνάγκῃ εἰς τὴν τοιαύτην ἀσέλγειαν ἄγοντας, καὶ ἐμπορευομένους ταῦτα. ἀνάγνωθι οὖν τὸ τρίτον κεφάλαιον ἐπιστατικώτερον. λέγουσι γάρ τινες, ὡς ἐκείνους τοῦτο κολάζει τοὺς πλανῶντας, καὶ μετά τινος μεθόδου ἢ ἀνάγκης μεθέλκοντας εἰς πορνείαν γυναῖκάς τινας· οὐ μὴν τοὺς προσδεχομένους τὰς ἑκουσίῳ βουλήσει τὴν πορνείαν ἑλομένας, διὰ φύσεως ἀνάγκην ἢ καὶ πενίαν. χρῶνται δὲ καὶ πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν, καὶ ῥήμασί τισι τῆς αὐτῆς νεαρᾶς, καὶ τῷ παρόντι κανόνι μὴ μόνον τοὺς ἐπισυνάγοντας πόρνας κολάζοντι, ἀλλὰ καὶ τοὺς ἐκτρέφοντας, τουτέστι διὰ πλάνης καὶ κολακείας συνωθοῦντας αὐτὰς C εἰς τὸ κακόν. καὶ τὸ σήμερον δὲ γινόμενον πραγματικῶς εἰς τὰ πορνοβοσκεῖα διενίστανται συντρέχειν τοῖς λόγοις αὐτῶν. ἐμοὶ δὲ δοκεῖ, ὅτι πάντα πορνοβοσκὸν οἱ νόμοι καὶ οἱ κανόνες ἀδιαστίκτως κολάζουσι, καὶ πᾶσαν πόρνην εἰς σωφροσύνην μεθέλκουσιν. ἀνάγνωθι καὶ τὴν ϟα΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, μὴ παραχωροῦσαν κατὰ τὸν παλαιὸν νόμον διάγειν τινὰ μετὰ παλλακῶν.

ΖΩΝΑΡ. Τὸ πορνοβοσκεῖν καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. πορνοβοσκεῖν δ' ἐστὶ τὸ τρέφειν πόρνας διὰ κέρδος τοῦ μισθώματος ἐπὶ βλάβῃ ψυχῶν. εἰ δὲ τοῖς D τῆς πολιτείας τοῦτο θεσμοῖς ἀπηγόρευται, πολλῷ τῷ μέσῳ εἴη ἂν ἀποτετραμμένον τοῖς ἐκκλησιαστικοῖς καὶ πνευματικοῖς. διὸ καὶ βαρύτατα τοῦτο κολάζει ὁ κανὼν ἐπὶ κληρικῶν. καθαιρεῖσθαι γὰρ αὐτοὺς ἐν ταὐτῷ καὶ ἀφορίζεσθαι διατάττεται, ὅπερ σπανιάκις εὑρίσκεται. ἀντὶ γὰρ πάσης ἑτέρας τιμωρίας ὡς ἐπὶ τὸ πολὺ τοῖς κεκληρωμένοις ἀρκεῖν νενομοθέτηται ἡ καθαίρεσις. τοὺς δὲ λαϊκοὺς ἀφορίζεσθαι προστάττει τοῦτο ποιοῦντας.

ΑΡΙΣΤ. Ο συνάγων πόρνας ἐπ' ὀλέθρῳ ψυχῶν, ἀφορίζεται. Σαφής.

E ΚΑΝΩΝ πζ΄.

Η καταλιποῦσα τὸν ἄνδρα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον· ὅτι ἐὰν γυνὴ γένηται ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται. καὶ πάλιν, ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. εἰ οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος· ἡ δὲ ἐπιτιμίων. ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται. ὁ μέντοι καταλιμπάνων τὴν F νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. κεκανόνισται δὲ παρὰ τῶν πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσι.

ΒΑΛΣ. Ο Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐρωτηθεὶς, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπὼν, ὅτι ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν, μοιχᾶται. καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ἰουστινιανὸς, τοὺς πάλαι κρατοῦντας νόμους, καὶ ἐγχωροῦντας τοῖς ὁμοζύγοις λύειν χωρὶς εὐλόγου αἰτίας τὸ συνοικέσιον, καὶ λέγοντα, ἕνα ἕκαστον πρὸς τὸν ἕτερον, πρᾶττε τὰ σεαυτοῦ, ἀνῄρησε διὰ τῆς νεαρᾶς ριζ΄. τῆς κειμένης ἐν τῷ ζ΄. τίτλῳ τοῦ κη΄. βιβλίου, καὶ ἀπαριθμουμένης τὰς αἰτίας δι᾽ ἃς καὶ μόνας ὀφείλουσι λύεσθαι τὰ συνοικέσια. ὅθεν συνανῃρέθη καὶ ὁ Ἑβραϊκὸς νόμος, ὁ ἐνδιδοὺς τοῖς ἀνδράσι βιβλίον ἀποστασίου πέμπειν ταῖς γυναιξὶν, καὶ τὴν ὁμοζυγίαν λύειν. ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν φησὶν, ὅτι ἡ τὸν ἄνδρα καταλιποῦσα γυνὴ, ἐὰν μετ᾽ ἑτέρου συμφθαρῇ, ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι, καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειος φησὶν ἔν τε τῷ θ΄. αὐτοῦ κανόνι καὶ ἐν τῷ κα΄. ἀναλεξάμενος αὐτὸ ἀπὸ τῆς Ἱερεμίου προφητείας, τῆς λεγούσης, ἐὰν γυνὴ ἀπὸ τῆς ἀνδρώας ὁμοζωΐας ἐξελθοῦσα, ἑτέρῳ μιανθῇ, οὐ δύναται ὑποστρέψαι πρὸς τὸν ἄνδρα αὐτῆς, ὡς μοιχευθεῖσα. ἀλλὰ καὶ ὁ Σαλομὼν ἐν ταῖς παροιμίαις εἶπεν, ὁ μιγνύμενος μετὰ μοιχαλίδος, τουτέστι μετ᾽ ἐχούσης ἄνδρα, ἄφρων ἐστὶ καὶ ἀσεβής. τιμωρηθήσεται οὖν ἡ οὕτω μοιχεύσασα διὰ ἐπιτιμίων κανονικῶν. ὁ ἀνὴρ δὲ, ὡς μὴ πταίσας, συγγνώμης ἀξιωθήσεται, τουτέστιν οὐκ ἐπιτιμηθήσεται. ὁ καταλιμπάνων μέντοι τὴν οἰκείαν σύζυγον καὶ ἑτέραν ἀγόμενος κατὰ γάμου κοινωνίαν, ὡς μοιχὸς τιμωρηθήσεται κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν. τῶν μοιχῶν δὲ ἐπιτίμια εἰσὶν ἀπὸ τοῦ οζ΄. κανόνος τοῦ αὐτοῦ μεγάλου πατρὸς, τὸ προσκλαίειν ἐνιαυτὸν ἔξω τοῦ προνάου, καὶ τὰ λοιπὰ τὰ ἐν τῷ αὐτῷ κανόνι περιεχόμενα. καὶ ὁ μὲν κανὼν ταῦτα. ὁ δὲ πολιτικὸς νόμος τοὺς μοιχοὺς ἀλλοτρόπως κολάζει. καὶ ἀνάγνωθι βιβλίον ξ΄. τίτλου λζ΄. κεφ. ογ΄. καταστρωθὲν εἰς τὰς ἑρμηνείας τοῦ δ΄. καὶ ε΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος· καὶ τὴν ριζ΄. καὶ ρλδ΄. νεαρὰν τοῦ βασιλέως Ἰουστινιανοῦ, τὰς κειμένας ἐν τῷ ζ΄. τίτλῳ τοῦ κη΄. βιβλίου τῶν βασιλικῶν, καὶ συνοψισθείσας εἰς τὸ διαληφθὲν δ΄. καὶ ε΄. κεφ. καὶ τὴν λβ΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζουσαν, καὶ διορίζομένην τὸν μὲν ἄνδρα τῆς μοιχευθείσης κερδαίνειν τὴν προῖκα, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι. τὰ μέντοι προσόντα ἴσως αὐτῇ πράγματα ἐπέκεινα τῆς προικὸς οἰκονομεῖσθαι, καθὼς αὐτὴ ἡ νεαρὰ διορίζεται. σημείωσαι δὲ, ὅτι ἀπὸ μὲν τοῦ παρόντος κανόνος ἡ καταλιποῦσα τὸν ἄνδρα ὡς μοιχαλὶς οὐ κολάζεται, εἰ μὴ μετ᾽ ἑτέρου συμφθαρῇ· ἀπὸ δὲ τῶν διαληφθεισῶν νεαρῶν λύεται τὸ συνοικέσιον ἀπὸ μόνου τοῦ μεῖναι τὴν γυναῖκα ἔξω τῆς οἰκίας τοῦ ἀνδρὸς παρὰ γνώμην αὐτοῦ, εἰ μή τι γε τυχὸν παρὰ τοῖς γονεῦσιν τοῖς ἰδίοις. ἆρα δὲ ἀπολελυμένη λέγεται καὶ ἡ παρὰ τοῦ ἀνδρὸς ἐκβληθεῖσα; Λύσις. οὐδαμῶς. φησὶ γὰρ ἡ ῥηθεῖσα ριζ΄. νεαρὰ ἐν μέρει ταῦτα. εἰ μέντοι συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἐχουσαν γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν, μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν διαζύγιον πέμπειν τῇ γυναικὶ, διότι περ αὐτὸς τούτου αἴτιος γέγονε. τὸ μέντοι γραφικὸν τὸ λέγον· οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς ἡ μοιχευθεῖσα, νόει περὶ ἀνδρὸς μὴ θέλοντος ἀναλαβέσθαι ταύτην. εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἀναλάβεται ἐντὸς διετίας, κατὰ τὴν αὐτὴν νεαράν. ἐπεὶ δέ φησιν ὁ κανὼν ὡς ἐκείνη ἡ γυνὴ τιμωρεῖται ὡς μοιχαλὶς, ἡ ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, εἴποι τις, ὡς ἡ τοῦ ἀνδρὸς εὐλόγως ἀναχωρήσασα οὐ τιμωρηθήσεται. οὐκ ἔστι δὲ τοῦτο ἀληθές. οὔτε γὰρ μετ᾽ εὐλόγου αἰτίας, οὔτε μετὰ παραλόγου δύναται ἡ γυνὴ ἀναχωρεῖν ἀπὸ τοῦ ἀνδρὸς, χωρὶς δικαστικῆς ἐπιτροπῆς, καθὼς τοῦτο φησὶν ὁ θ΄. κανὼν τοῦ ἁγίου Βασιλείου, καὶ διάφοροι Ἰουστινιάνειοι νεαραὶ κείμεναι ἐν τῷ ζ΄. τίτλῳ τοῦ κη΄. βιβλίου ὅθεν καὶ τὰ τοῦ κανόνος ὀφείλομεν ἐκλαβέσθαι ἐκ περιουσίας· ἢ εἰπεῖν ἄλογον ἀναχώρησιν τῆς γυναικὸς εἶναι τὴν χωρὶς δικαστικῆς ἐπιτροπῆς ταύτης ἀναχώρησιν. ἐρωτήσει δέ τις, ὡς τῶν κανόνων τοῦ ἁγίου Βασιλείου, ἤτοι τοῦ θ΄. καὶ τοῦ κδ΄. λεγόντων τὴν μὲν γυναῖκα ἑτέρῳ

A & alteram uxorem ducit, mœchatur. Et inclytus Imperator Justinianus, leges quæ olim locum habebant, & conjugibus permittebant conjugia sine justa causa solvere, & unicuique alteri dicere, Res tuas gere, per cxvii. novellam sustulit, quæ sita est in vii. tit. xxviii. lib. & causas enumerat, propter quas & solas solvi debent matrimonia. Quamobrem lex quoque Hebraica una sublata est, quæ libellum repudii mittere mulieribus & conjugium solvere viris permittebat. Consequenter ergo præsens quoque Canon dicit, quòd mulier, quæ, relicto marito, cum altero polluta fuerit, est adulterii crimini B obnoxia, quemadmodum hoc quoque magnus dixit Basilius in ix. suo Canone, & xxi. hoc colligens ex prophetia Hieremiæ dicentis, Si mulier à mariti communi vitæ societate egressa, cum altero polluta fuerit, non potest ad maritum suum reverti, ut quæ adulterata sit. Sed etiam Salomon dixit in Proverbiis, Qui coit cum adultera, id est, cum ea quæ habet maritum, stultus est & impius. Quæ ergo sic est adulterata, canonicis pœnis mulctabitur. Maritus autem, ut qui non offenderit, venia dignus censebitur, id est, non punietur. Qui autem relinquit propriam conjugem, & alteram ducit uxorem, ut adulter punietur, ex Domini sententia. C Adulterorum autem pœna est in lxxvii. Canone ejusdem magni Patris, anno uno extra templi vestibulum deflere, & reliqua, quæ in eo Canone continentur. Et hæc quidem Canon. Lex autem civilis adulteros alio modo punit. Et lege librum lx. tit. xxxvii. cap. lxxiii. situm in interpretatione cap. iv. & v. tit. xiii. præsentis operis. Et cxvii. & cxxxiv. Novellam Imperatoris Justiniani, sitas in vii. tit. xxviii. lib. Basilic. Et compendio reductas in prædicta capita iv. & v. & xxxii. Imperatoris domini Leonis Philosophi novellam, quæ narium truncatione punit adulterum & adulteram, & statuit adulteræ quidem maritum lucrari do- D tem; ipsam autem in Monasterio includi, invitam tamen non tonderi: res autem, quas habet ultra dotem, administrari, quemadmodum ipsa novella statuit. Nota ergo, quòd ex præsenti quidem Canone quæ virum dimisit ut adultera non punitur, nisi cum alio polluta fuerit: ex prædictis autem novellis solvitur matrimonium, eo quòd solùm manserit mulier extra domum mariti præter ejus voluntatem, nisi forté apud suos parentes. Nunquid autem ea etiam soluta dicitur, quæ à marito ejecta est? Solutio. Nullo modo: prædicta enim cxvii. Novella hæc dicit præcisé. Sin autem contigerit aliquem absque una præ- E dictarum causarum uxorem suam ex propriis ædibus extrudere, ut illa quidem, cùm parentes non habeat apud quos possit manere, necessariò foris noctem agat, jubemus nullo modo licere marito propter hanc causam mulieri mittere libellum repudii, quoniam ipse hujus rei causa est. Id autem quod scriptum est, Non revertetur ad virum suum adulterata, intellige de viro, qui non vult eam recipere: si vir enim crimen condonat, eam absque ullo impedimento rursus accipiet intra biennium, ut vult Novella. Quoniam autem dicit Canon, eam esse puniendam mulierem tanquam adulteram, quæ à marito nullam F ob causam secessit, dixerit quispiam, quòd quæ ob rationabilem causam à marito recessit, non punietur. Non est autem hoc verum: neque enim rationabili, neque non rationabili de causa potest mulier à marito discedere sine permissione judicis, quemadmodum hoc dicit ix. Canon sancti Basilii, & diversæ Justiniani novellæ sitæ in vii. tit. xxviii. lib. unde etiam debemus Canonem ex abundanti accipere: vel dicere injustam mulieris discessionem esse ejus sine judiciali permissione recessum. Rogaverit autẽ quispiam, cùm Can. S. Basilii, ix. scilicet & xxiv. dicant mulierẽ quidem quæ cum altero polluitur, mœchari; virum autem, qui cum alia ſcortatur, non condemnari: (non enim habemus, inquit, Canonem, quo eum adulterii crimini ſubjiciamus.) Quomodo præſens Canon indiſtinctè dicit, eum qui aliam duxit, adulterii judicio teneri? Solutio. Differentia eſt inter virum, qui cum muliere libera, viva ſua uxore, rem habuerit, & eum qui in matrimonii ſocietatem ſecundam uxorem duxit. Ille enim non eſt adulter, ſed punitur ut fornicator. Hic verò eſt adulter, & ut adulter punitur. Quare Canones inter ſe non repugnant. Et quomodo canonicè quidem puniuntur qui fornicantur, dictum eſt. Octogeſimum autem tertium caput xxxvii. tit. lx. lib. decreto ſecundo, hæc dicit: Qui habet uxorem, & fornicatur, per duodecim ictus alternis inflictos caſtigetur. Qui verò uxorem quidem habet, & cum ſua ancilla rem habet, re cognita, hic quidem verberatus caſtigetur: ejus autem loci magiſtratus receptam ancillam vendat extra provinciam, ejus pretio in publici ærarii partem illato. Qui autem in alienam ancillam fornicationem exercet, ſi ſit quidem locuples, det ancillæ domino pro delicto numiſmata xxxvi. Si ſit autem humilis & abjectæ conditionis, verberetur, & pro ſuis facultatibus, det ex proportione xxxvi. numiſmatum. Quòd autem lex æquè ac Canones eum punit ut adulterum, qui ſecundam uxorem duxit, dicit penultimum cap. ejuſdem tit. Qui duas uxores habere conatus eſt, non lege, ſed ſuæ facto voluntatis, adulterii crimini rectè ſubjicietur. Quæ autem ei poſtea nupſit, ſi ipſum habere legitimam uxorem ignorabat, ei venia dabitur. Quare per diſtinctionem à contrario ſumptam, quæ ſciebat adulteratur. Animadverte autem, quòd Patres ubique puram pœnitentiam in animæ delictis exigunt: & propterea conceſſerunt Epiſcopis, qui ſunt in eo loco, pœnas augere vel diminuere, pro ejus qui punitur compunctione.

Zonar. Et veterum legum decretis, & diuturni temporis conſuetudine, matrimonia vel ſine cauſa diſſolvendi facultas erat, ac tam viro, quam uxori, alteri conjugi dicere, Res tuas gere vir, vel res tuas gere mulier, atque ita conjugii contractum fœdus reſcindere permiſſum fuit. Quod Hebræorum quoque conceſſere leges. Viro ſiquidem, ut repudii libellum uxori mittere, ſeque ab illius conſuetudine abjungere liceret, facultas data. Id vero nunc Chriſtianorum inſtituto haud conceditur: ſed connubii diſſociandi certæ quædam ac definitæ cauſæ ſunt, quarum niſi aliqua extiterit, abſcedere invicem inter ſe matrimonii jure ſociatos ſit nefas. Et vero Dominus, an viro uxorem quacunque de cauſa dimittendi jus eſſet rogatus, id vetuit. Nam qui uxorem ſuam, inquit, excepta fornicationis cauſa dimiſerit, & alteram duxerit, mœchatur. Et qui dimiſſam duxerit, mœchatur. Hanc igitur rationem divini quoque Patres ſecuti mulierem, quæ ſine cauſa relicto viro alteri nupſerit, adulteram vocavere: quæ quidem etiamſi ad virum ſuum reverti poſtea velit, nequaquam invito illo excipietur. Polluta eſt enim. Quæ igitur mulier, inquit Canon, à viro abſque cauſa ſeceſſit, pœnis, iis nimirum quæ in adulteros conſtitutæ ſunt, mulctabitur: viro autem ignoſci, & eam, quæ in Eccleſia eſt, communionem concedi placet. Ex quo contra intelligi licet, quæ non temere ſe à viro abjunxerit, ſed aut illius nimia moroſitate, aut injuriis victa, aut aliis modis ab eodem irritata diſceſſerit, illam extra culpam fore, ſed à viro pœnas, quippe qui culpæ cauſam uxori præbuerit, exigendas. Qui verò, inquit Canon, uxore dimiſſa aliam duxerit, adulterii reus ex ipſius Domini verbis exiſtimabitur: indéque qua pœna talis homo mulctandus ſit, quidque cum eo agendum, Canon diſſerit. Quinimo pugnantia cum magno Baſilio affirmare hoc loco Patres videntur. Nam is mulierem quidem, quæ contracto nuptiarum fœdere cum alio viro rem habuerit,

A συμφθειρομένην μοιχᾶσθαι, τὸν δὲ ἄνδρα μεθ' ἑτέρας πορνεύοντα μὴ κατακρίνεσθαι (οὐ γὰρ ἔχομεν, φησὶ, κανόνα τοῦ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι) πῶς ὁ παρὼν κανὼν ἀπροσδιορίστως φησὶ, τὸν ἑτέραν ἀγόμενον τῷ τῆς μοιχείας ὑποκεῖσθαι κρίματι; Λύσις. Διαφορά ἐστι τοῦ συμφθαρέντος ἀνδρὸς μετ' ἐλευθέρας γυναικὸς, ζώσης τῆς γυναικὸς τούτου, καὶ τοῦ κατὰ γάμου κοινωνίαν ἀγαγόντος δευτέραν γαμετήν. ἐκεῖνος μὲν γὰρ οὐ μοιχᾶται, ἀλλ' ὡς πόρνος τιμωρεῖται· οὗτος δὲ μοιχᾶται, καὶ κολάζεται ὡς μοιχός· ὅθεν οἱ κανόνες οὐκ ἐναντιοῦνται ἀλλήλοις. καὶ ὅπως μὲν κολάζονται κανονικῶς οἱ πορνεύοντες, εἴρηται. τὸ δὲ πγ΄. κεφ. τοῦ
B λζ΄. τίτλου τοῦ ξ΄. βιβλίου φησὶν ἐν β΄. θέματι ταῦτα· ὁ ἔχων γυναῖκα, καὶ πορνεύων, διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω. ὁ μέντοι γυναῖκα ἔχων, καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβανόμενος τὴν δούλην, ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πλαίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λϛ΄. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθ' ὅσον εὐπορεῖ, κατὰ ἀναλογίαν τῶν λϛ΄. νομισμάτων διδότω. ὅτι δὲ καὶ ὁ νόμος ἐπίσης τοῖς
C κανόσιν ὡς μοιχὸν τιμωρεῖ τὸν δευτέραν γυναῖκα ἀγόμενον, φησὶ τὸ παρατέλευτον κεφάλ. τοῦ αὐτοῦ τίτλου· ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι. ἡ δὲ, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται. ὥστε ἐξ ἀντιδιαστολῆς, ἡ γινώσκουσα μοιχᾶται. πρόσεχε δὲ, ὅτι πανταχοῦ οἱ πατέρες τὴν καθαρὰν μετάνοιαν ἐπὶ τῶν ψυχικῶν σφαλμάτων ἀπαιτοῦσι. διὰ γὰρ τοῦτο καὶ ἐξεχώρησαν τοῖς κατὰ τόπον Ἐπισκόποις, αὔξειν καὶ μειοῦν τὰ ἐπιτίμια, , πρὸς τὴν τοῦ ἐπιτιμωμένου κατάνυξιν.

D ΖΩΝΑΡ. Πάλαι μὲν τοῖς ἀνθρώποις καὶ ἐκ τῶν νόμων τῶν παλαιῶν καὶ ἐξ ἔθους μακροῦ ἐνεδέδοτο λύειν καὶ ἀναιτίως τὰ συνοικέσια, καὶ ἐξῆν καὶ ἀνδρὶ καὶ γυναικὶ τῷ συνοίκῳ προσώπῳ λέγειν, τὰ σαυτοῦ πράττε, ἢ τὰ σαυτῆς πράττε, καὶ λύειν τὸν γάμον. ὅπερ καὶ τοῖς Ἑβραίοις νενομοθέτητο. ἐνεδέδοτο γὰρ τοῖς ἀνδράσι βιβλίον ἀποστασίου πέμπειν ταῖς γυναιξὶ, καὶ τῆς μετ' αὐτῶν ἀφίστασθαι συμβιώσεως. νῦν δὲ τοῦτο παρὰ Χριστιανοῖς οὐ κρατεῖ· ἀλλ' αἰτίαι ἠριθμημέναι εἰσὶν, αἳ τὸν γάμον δύνανται λύειν, καὶ ἄνευ μιᾶς ἐκείνων χωρίζεσθαι τοὺς συνοικοῦντας ἐννόμῳ γάμῳ οὐκ ἔξεστι. καὶ ὁ κύριος δὲ τοῖς ἐρωτήσασιν, εἰ ἔξεστιν ἀνδρὶ τὴν γυναῖκα
E ἀπολύειν κατὰ πᾶσαν αἰτίαν, ἀπηγόρευσε τοῦτο, εἰπὼν, ὅτι ὁ ἀπολύσας τὴν γυναῖκα ἐκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν μοιχᾶται. καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται. κατὰ τοῦτον οὖν τὸν λόγον καὶ οἱ θεῖοι πατέρες τὴν ἀναιτίως καταλιποῦσαν τὸν ἄνδρα καὶ ἑτέρῳ γενομένην μοιχαλίδα ἐκάλεσαν, ἥτις κἂν ὑποστρέψαι βουληθῇ πρὸς τὸν ἴδιον ἄνδρα, ἄκοντος αὐτοῦ οὐ παραδεχθήσεται. μεμίανται γάρ. ἡ οὖν ἀλόγως ἀναχωρήσασα τοῦ ἀνδρὸς, φησὶν ὁ κανὼν, ἐπιτιμίων ἀξία, ἤγουν τῶν τῆς μοιχείας· ὁ δὲ ἀνὴρ συγγνωμονηθήσεται καὶ ἀξιωθήσεται τῆς ἐν ἐκκλησίᾳ κοινωνίας. ὥστε ἐξ ἀντιδιαστολῆς νοεῖσθαι δίδοται, ὅτι εἰ οὐκ ἀλόγως ἀνεχώρησε τοῦ ἀνδρὸς, ἐμπικραινομένου ἴσως αὐ-
F τῇ παρὰ τὸ προσῆκον, ἢ κακουχουμένη, ἢ τινὰς αἰτίας ἔχουσα παρὰ τοῦ ἀνδρὸς ἐπαγομένας, ἐκείνη ἔσται ἀναίτιος, ὁ δὲ ἀνὴρ ἐπιτιμηθήσεται ὡς αὐτὸς αἴτιος τῆς ἁμαρτίας τῇ γυναικὶ γεγονώς. ὁ μέντοι καταλιμπάνων, φησὶν ὁ κανὼν, τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος τῷ τῆς μοιχείας ὑπόκειται κρίματι κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, καὶ ἑξῆς ἐπάγει πῶς ὁ τοιοῦτος ἐπιτιμηθήσεται καὶ οἰκονομηθήσεται. ἐοίκασι δὲ οἱ πατέρες οὗτοι καὶ ἐναντιοῦσθαι τῷ μεγάλῳ Βασιλείῳ· ἐκεῖνος γὰρ τὴν μὲν γυναῖκα ἑτέρῳ συμφθειρομένην τοῦ γάμου συνισταμένου

μοιχαλίδα

A μοιχαλίδα καλεῖ. καὶ ἀποπέμψει λέγει ταύτην τῶν οἴκων αὐτοῦ ὁ ἀνήρ. ἡ δὲ γυνὴ ἐκ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται. οὐ γὰρ ἔχομεν, φησι, κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπάγειν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἁμάρτῃ. ἀλλ' οὐκ ἐναντιοῦνται οἱ κανόνες ἀλλήλοις. ὁ μὲν γὰρ μέγας Βασίλειος περὶ πορνεύσαντος λέγει τοῦ γάμου συνισταμένου, καὶ συμφθαρέντος ἑτέρᾳ ἐξ ἀνδρὸς ἐλευθέρᾳ· ὁ δὲ παρὼν κανὼν περὶ τῶν ἀναιτίως ἀποπεμψαμένων τὴν γυναῖκα αὐτοῦ, καὶ ἑτέραν ὡς τάχα νόμιμον γαμετὴν εἰσοικισαμένων, ὃν καὶ ὁ Κύριος ἐν εὐαγγελίοις μοιχὸν ἐκάλεσε.

adulteram vocat, eámque maritus, inquit, à suis ædibus amandabit. Veruntamen ex fornicatione redeuntem maritum suum uxor excipiet. Nullus enim, inquit, extat Canon, cujus auctoritate, qui cum soluta muliere peccarit, adulterii reus agi queat. Sed nullo modo inter se hi Canones pugnant. Nam magnus quidem Basilius de eo homine agit, qui manentibus nuptiis fornicatus, & cum muliere nulli viro sociata pollutus est: hic vero Canon eos tangit, qui uxore sine causâ dimissâ aliam sibi, quasi pro justa scilicet conjuge habituri, adjunxerint, quos quidem adulteros ipse in Evangelio Dominus appellavit.

B ΑΡΙΣΤ. Ἡ ἐξ ἀνδρὸς ἐπ' ἄλλον ἰοῦσα, μοιχαλίς· καὶ ὁ ἀπὸ γυναικὸς ἐπ' ἄλλην, κατὰ τὸν Κύριον, ὁμοίως μοιχός. Σαφής.

ARIST. *Quæ à viro suo ad alium accedit, adultera est: Et qui ab uxore ad aliam, juxta Domini sermonem, similiter mæchus est.* Perspicuus.

ΚΑΝΩΝ πη'.

CANON LXXXVIII.

Μηδεὶς ἔνδον ἱεροῦ ναοῦ κτῆνος τὸ οἱονοῦν εἰσαγέτω· ἐκτὸς, εἰ μή τις ὁδοιπορῶν μεγίστης καταλαβούσης ἀνάγκης οἰκίσκου καὶ καταγωγῆς ἀπορῶν ἐν τῷ τοιούτῳ καταλύσει ναῷ. διὰ γὰρ τὸ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μέν ἐστιν ὅτε διαφθαρήσεται· ὁ δὲ τῇ τοῦ ὑποζυγίου ἀποβολῇ, καὶ τῷ ἐντεῦθεν ἀπόρως ἔχειν τῆς ἐπὶ τὴν ὁδοι- C πορίαν ὁρμῆς, κινδύνῳ θανάτου παραδοθήσεται. τὸ γὰρ σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα, ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. εἰ δέ τις φωραθείη χωρὶς ἀνάγκης, ὡς εἴρηται, κτῆνος εἰσάγων εἰς ἱερὸν, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Nemo intra ædes sacras quodvis jumentum introducat: nisi fortè viator quispiam, maxima urgente necessitate, domunculæ vel diversorii indigens, in id templum diverterit. Nisi enim jumentum introductum fuerit, ipsum quidem nonnunquam peribit: hic verò, propter jumenti amissionem, & facultatis ad iter peragendum ex eo profectam inopiam, mortis periculo tradetur. Sabbatum enim propter hominem factum esse docemur; quamobrem & per omnia præferendam esse existimare hominis salutem & incolumitatem. Si quis autem deprehensus fuerit sine necessitate jumentum in templum introducere, si sit quidem Clericus, deponatur: sin verò Laicus, segregetur.

ΒΑΛΣ. Ὡς ἔοικε συνέβη ποτὲ ἐν δριμυτάτῳ χειμῶνι καταλῦσαι τινὰς εἰς ναὸν παρακείμενον ἐν δημοσίᾳ ὁδῷ· καὶ ἡ μὲν ἀπειλὴ τῆς χιόνος κατηνάγκαζε τούτους ἔν- D δον τοῦ ναοῦ εἰσελθεῖν μετὰ τῶν ἵππων αὐτῶν, καὶ τὴν ἀπὸ τοῦ ψύχους θανατηφόρον κάκωσιν ἐκφυγεῖν· τὸ αἰδέσιμον δὲ τοῦ ναοῦ οὐ παρεχώρησεν αὐτοὺς τοῦτο ποιῆσαι· ἀλλ' αὐτοὶ μὲν εἰσελθόντες ἐν τῷ ναῷ, τὸν ἐκ τοῦ κρύους κίνδυνον ἔφυγον, τὰ δὲ ὑποζύγια αὐτῶν ἔξω τοῦ ναοῦ ἑστηκότα τοῦ ψύχους γεγόνασι παρανάλωμα, ὡς ἐντεῦθεν καὶ τοὺς ἀνθρώπους τὰ ὅμοια τοῖς ἀλόγοις ζώοις παθεῖν, ἢ ὡς ἀπὸ τῆς θλίψεως, ἢ ὡς μὴ δυναμένους πεζῇ βαδίσαι, διὰ τὴν ὑπερβολικὴν τῆς ὥρας κατάψυξιν. τοῦτο οὖν διορθούμενοι οἱ ἅγιοι πατέρες, διωρίσαντο μὴ ἔχειν ἐπ' ἀδείας τινὰς κτῆνος οἱονδηποτοῦν ἔνδον εἰσάγειν ναοῦ, εἰ μὴ κατεπείγει ἀνάγκη μεγίστη· τηνικαῦτα γάρ, E φασι, καὶ τὸ κτῆνος ἐν τῷ ναῷ εἰσαχθήσεται, ἵνα μὴ σὺν αὐτῷ καὶ ὁ ἄνθρωπος θανάτῳ παραδοθῇ. ἐπάγουσι δὲ πρὸς κατασκευὴν τοῦ λόγου αὐτῶν καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν, τοῦ τὸ σάββατον καταλύσαντος, καὶ εἰπόντος πρὸς τοὺς αἰτιωμένους αὐτὸν, ὡς προτιμοτέρα ἐστὶν ἡ τοῦ ἀνθρώπου σωτηρία παρὰ τὴν τοῦ σαββάτου φυλακήν. τὸ γὰρ σάββατον γέγονε διὰ τὸν ἄνθρωπον, οὐ μὴν ὁ ἄνθρωπος διὰ τὸ σάββατον. ὅπως δὲ μὴ γένηται τοῦτο τοῖς ἀδιαφόρως ζῶσιν ἀφορμὴ κακίας, ὥστε ἀνεπικαλύπτως καὶ χωρὶς ἀνάγκης τὸν ἅγιον ναὸν τοῦ θεοῦ κοινοποιεῖν τε καὶ βεβηλοῦν, διωρίσαντο, τὸν μὴ χωρὶς ἀνάγκης μεγάλης τοιαύτης, κτῆ- F νος οἱονδηποτοῦν εἰσάγοντα ἐν τῷ ναῷ, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ ἀφορίζεσθαι. τί δὲ, πετεινὰ πτερωτὰ, πέρδικάς τε δηλονότι καὶ περιστερὰς, καὶ ἄλλως στρουθοὺς ἀδιαφόρως εἰσαγάγῃ τις ἐν ναῷ; Λύσις. οὐδὲ ταῦτα, ὡς ἐμοὶ δοκεῖ, ἵνα μὴ τὸ ἅγιον διὰ τῶν ἐκκρίσεων βεβηλωθῇ.

BALS. Ut est verisimile, accidit quandoque ut in maxima tempestate diverterent quidam in templum, quod prope viam publicam situm erat; & vis quidem nivis eos urgebat in templum ingredi cum suis equis, & lethiferum frigoris incommodum effugere; templi autem reverentia non permittebat eis hoc facere: sed ipsi quidem templum ingressi, frigoris periculum evitarunt; eorum autem jumenta, quæ extra templum steterant, à frigore consumpta fuere; quo factum est, ut idem quoque hominibus quod bestiis eveniret; vel propter afflictationem, vel quòd non possent ire pedites propter nimiam temporis refrigerationem. Hoc ergo corrigentes sancti Patres decreverunt, nemini licere quodvis jumentum in templum introducere, nisi maxima urgeat necessitas: tunc enim, inquit, jumentum quoque in templum introducetur, ne homo unà cum ipsa morti tradatur. Ad ejus autem quod dicunt probationem, Domini quoque doctrinam inserunt, qui Sabbatum dissolvit, & eis, qui ipsum reprehendebant, dixit, præferendam esse hominis salutem observationi Sabbati. Sabbatum enim factum est propter hominem, non autem homo propter Sabbatum. Ne hoc autem fiat iniquitatis occasio iis qui inconsideratè & absque ullo discrimine vivunt, & absque ullo impedimento & nulla proposita necessitate sanctum Domini templum commune prophanúmque efficiant, statuerunt, ut qui sine magna ejusmodi necessitate quodvis jumentum in templum introducit, si sit quidem Clericus, deponatur: sin autem Laicus, segregetur. Quid verò, alatas volucres, perdices scilicet & columbas & passeres, an quis citra ullam distinctionem in templum introducet? Solutio. Nequaquam, ut mihi videtur, ne sanctum per excrementa prophanetur.

Zonar. Sacra templa in honore habere ac venerari debemus. Proinde nec in illa jumentum quodvis introduci conceditur: niſi forte in itinere aliquem maxima neceſſitas, aut coortæ videlicet tempeſtatis, aut imbrium ſeſe intolerabili impetu effūdentium, oppreſſerit. Tunc enim etiamſi jumentum intra ſacras ædes compulerit, non tamen ob eam rem aliquid culpæ contrahet; ne illud quidē foris relictum male pereat, ipſe vero Dominus, cum iter inceptum proſequi non poſſit, nec alterius forte jumenti copia ſuppetat, conficiatur mærore, aut ipſius quoque vitæ periculum ſubeat. Teſtimonia vero ex ſacris quoque literis hujus Can. auctores producunt. Sabbatum enim, inquit Scriptura, propter hominem factum eſt, & ut quieſcat ſervus tuus & jumentum tuum. Quare jumenti quies, non ipſius jumēti, ſed hominis gratia præcepta eſt, ut illo poſt quietem vegetiore mox uteretur. Quod idem magnus quoque Paulus aſſerit, Nunquid enim, ait, de bobus cura eſt Deo? Qui vero, neceſſitate nulla cogente, jumentum intra templi ſepta compulerit, depoſitione Clericum, Laicum verò, ſegregatione puniri decretum eſt.

Arist. *Intra ſacras ædes jumentum non introducitur: niſi maximâ in viâ neceſſitate cogente.*

Si quis autem citra neceſſitatem, aliud habens diverſorium, intra ſacrum templum jumentum ſuum introducit, ſi ſit quidem Clericus deponetur: ſin verò Laicus, ſegregabitur.

CANON LXXXIX.

Dies ſalutiferæ paſſionis jejunio & oratione & cordis compunctione peragentes fideles, circa mediam magni Sabbati noctem jejunium ſolvere oportet; cùm divini Evangeliſtæ, Matthæus & Lucas, ille quidem per veſperem Sabbati: hic verò per id, valde diluculo, noctis nobis tarditatem deſcribant.

Bals. Et in Apoſtolicis Canonibus & in Synodalibus ſtatutum eſt, ne in Sabbato, vel in Dominico, præter unum & ſolum Sabbatum, magnum ſcilicet, jejunetur. In eo enim juſſi ſumus jejunare. His ergo conſequenter præſens quoque Canon ſtatuens, omnibus diebus ſalutiferæ Chriſti & Dei noſtri Paſſionis jejunare oportere & orare cum compunctione, id eſt, non ſimulatè, in quibus magnum quoque Sabbatum connumeratur: adjicit, & eo ipſo quoque Sabbato poſt ſex horas noctis jejunium ſolvere fideles, eo quòd reſurrexerit Chriſtus Deus noſter, ſecundùm divinos Evangeliſtas, Matthæum & Lucam, circa noctis dimidium; cùm ille quidem dicat, Veſpere Sabbati venerunt Mariæ ad ſepulchrum Domini, & corpus ejus non invenerunt: hic verò medium noctis deſcribat, eo quòd dicit, Erat ſummum mane quando venerunt mulieres ad monumentum. Et hæc quidem ita ſe habent. Dixerit autem quiſpiam, quòd quoniam ſtatuit Canon, ut omnibus ſalutaris Paſſionis diebus jejunemus, magno autem Sabbato jejunium ſolvamus ad mediam noctem, alterum duorum neceſſariò dicendum proponitur, vel omnibus Dominicæ Paſſionis diebus, qui propriè poſt quartam Feriam præfiniuntur, nos omnino jejunare, & ab omni cibo abſtinere oportere, ſolo autem Sabbato jejunium ſolvere, ut dictum eſt, vel hoc Sabbato magis jejunium ſolvere quàm aliis diebus ſalutaris Chriſti Paſſionis. Cur enim ſtatutum eſſet, ut mediâ hujus nocte jejunium ſolvamus, ſi omnibus his diebus æqualiter jejunare deberemus? Mihi autem videtur eſſe eximium magni Sabbati jejunium, aliiſque Chriſti Paſſionis diebus præſtantius, quoniam tunc in ſepulchro jacebat corpus ejus quod viſum erat. Oportet ergo in aliis quoque diebus jejunare cum compunctione, propter Paſſionem Chriſti & Dei noſtri: multo autem magis magno Sabbato, quando redemptio noſtra è mortis vinculis

A **ΖΩΝΑΡ.** Τιμῆς ἄξια τὰ ἱερὰ καὶ σεβάσματος· διὸ οὐδέ τι κτῆνος ἐν αὐτοῖς εἰσάγεσθαι συγκεχώρηται· εἰ μή που τις ὁδοιπορῇ καὶ ἀνάγκη μεγίστη χειμῶνος τυχὸν ἢ ῥαγδαίων ὄμβρων καὶ ἀφορήτων καταλάβῃ αὐτόν· τότε γὰρ κἂν ἐντὸς ἱεροῦ τὸ ὑποζύγιον εἰσαγάγῃ, ἀνέγκλητος ἔσεται, ἵνα μὴ τὸ μὲν ἔξω μεῖναν διαφθαρῇ, ὁ δὲ μὴ ἔχων ὅπως τὸ λοιπὸν τῆς ὁδοιπορίας ἀνύσῃ, ἀπόρως ἴσως ἔχων ἕτερον κτήσασθαι, τῇ λύπῃ καταποθῇ, ἢ καὶ εἰς τὴν ζωὴν κινδυνεύσῃ. παράγουσι δὲ καὶ ἀπὸ τῆς γραφῆς μαρτυρίας οἱ θέμενοι τὸν κανόνα. φησὶ γὰρ ἡ γραφὴ, τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, καὶ ἵνα B ἀναπαύσηται ὁ δοῦλός σου καὶ τὸ ὑποζύγιον. ὥστε ἡ τοῦ κτήνους ἀνάπαυσις οὐ δι' αὐτὸ νενομοθέτηται, ἀλλὰ διὰ τὸν ἄνθρωπον, ἵνα ἀναπαυθὲν ἔχῃ τοῦτο εἰσέπειτα ἀκμαιότερον. τοῦτο δὲ καὶ ὁ μέγας Παῦλός φησι, λέγων, μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ὁ δὲ χωρὶς ἀνάγκης μεγίστης κτῆνος εἰσάγων ἐν ἱερῷ, κληρικὸς μὲν ὢν καθαιρεθήσεται· λαϊκὸς δὲ ἀφορισθήσεται.

ΑΡΙΣΤ. Ἱεροῦ ἔνδον οὐκ εἰσάγεται κτῆνος· εἰ μὴ καταλαβούσης ἐν ὁδῷ μεγίστης ἀνάγκης.

C Εἰ δέ τις χωρὶς ἀνάγκης, εὐπορῶν ἑτέρου καταγωγίου, ἔνδον τοῦ ἱεροῦ ναοῦ τὸ ὑποζύγιον αὐτοῦ εἰσάξει, εἰ μὲν κληρικὸς ἐστι, καθαιρεθήσεται· εἰ δὲ λαϊκὸς, ἀφορισθήσεται.

ΚΑΝΩΝ πθʹ.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς περὶ τὸ μέγα σάββατον νυκτὸς ὥρας ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν, διὰ τοῦ ὀψὲ σαββάτων ῥήματος· τοῦ δὲ, διὰ τοῦ ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογραφόντων.

D **ΒΑΛΣ.** Καὶ ἐν ἀποστολικοῖς κανόσι καὶ ἐν συνοδικοῖς νενομοθέτηται μὴ νηστεύειν ἐν σαββάτῳ ἢ ἐν κυριακῇ, ἄνευ ἑνὸς καὶ μόνου σαββάτου, τούτου δηλονότι τοῦ μεγάλου. κατὰ τοῦτο γὰρ νηστεύειν προσετάχθημεν. ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν ὁρίζων κατὰ τὰς ὅλας ἡμέρας τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν νηστεύειν καὶ προσεύχεσθαι μετὰ κατανύξεως, τουτέστι μὴ καθ' ὑπόκρισιν, ἐν αἷς καὶ τὸ μέγα συναριθμεῖται σάββατον· προστίθησι, κατὰ τὸ αὐτὸ σάββατον μετὰ ἓξ ὥρας τῆς νυκτὸς ἀπονηστίζειν τοὺς πιστοτέρους, διὰ τὸ ἀναστῆναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν κατὰ τοὺς θείους εὐ- E αγγελιστὰς, τὸν Ματθαῖον καὶ τὸν Λουκᾶν, περὶ τὴν μεσότητα τῆς νυκτός. ὡς τοῦ μὲν λέγοντος, ὀψὲ σαββάτων ἦλθον αἱ Μαρίαι εἰς τὸν τάφον Κυρίου, καὶ οὐχ εὗρον τὸ σῶμα αὐτοῦ· τοῦ δὲ, ὑπογράφοντος τὴν μεσότητα τῆς νυκτὸς, διὰ τοῦ εἰπεῖν, ὄρθρος ἦν βαθὺς ὅτε αἱ γυναῖκες ἦλθον εἰς τὸ μνημεῖον. καὶ ταῦτα μὲν οὕτως. εἴποι δέ τις, ὡς ἐπεὶ ὁ κανὼν διορίζεται ἐπὶ πάσας τὰς ἡμέρας τοῦ σωτηρίου πάθους νηστεύειν ἡμᾶς, ἀπονηστίζειν δὲ κατὰ τὸ μέγα σάββατον ἐν ὥρᾳ μεσονυκτίου, πρόκειται ἐξ ἀνάγκης δυοῖν θάτερον εἰπεῖν, ἢ δι' ὅλων τῶν ἡμερῶν τοῦ κυριακοῦ πάθους, τῶν ψηφιζομένων κυρίως μετὰ τὴν τετράδα, καθόλου νηστεύειν ἡμᾶς, καὶ παντὸς ἀπέχεσθαι βρώ- F ματος, κατὰ μόνον δὲ τὸ σάββατον ἀπονηστίζειν, ὡς εἴρηται, ἢ κατὰ τὸ τοιοῦτον σάββατον καταλύειν ἡμᾶς πλέον τῶν ἄλλων ἡμερῶν τοῦ σωτηριώδους πάθους τοῦ Χριστοῦ. ἵνα τί γὰρ ὡρίσθημεν κατὰ τοῦτο ἀπονηστίζειν ἐν μεσονυκτίῳ, εἰ ἐπίσης νηστεύειν μέλλομεν κατὰ τὰς ὅλας τοιαύτας ἡμέρας; ἐμοὶ δὲ δοκεῖ, ὅτι ὑπεξῃρημένη ἐστὶν ἡ νηστεία τοῦ μεγάλου σαββάτου, καὶ προτιμότερον τῶν ἄλλων ἡμερῶν τοῦ Χριστοῦ, ὅτι τότε κατέκειτο ἐν τῷ τάφῳ τὸ τεθεαμένον σῶμα αὐτοῦ· χρὴ οὖν ἐν ταῖς ἄλλαις μὲν ἡμέραις νηστεύειν μετὰ κατανύξεως διὰ τὰ πάθη τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· πολλῷ δὲ πλέον κατὰ τὸ σάββατον,

ὅτι

A ὅτε ἡ ἐκ τῶν δεσμῶν τοῦ θανάτου ἀπολύτρωσις ἡμῶν κατηρτύετο. διὰ γὰρ τοῦτο καὶ οἱ εὐλαβέστεροι δι' ὅλου τοῦ σαββάτου, καὶ μέχρις ἕκτης ὥρας τῆς νυκτὸς, ἐν ταῖς ἐκκλησίαις προσεδρεύουσι· καὶ κατὰ τὴν ἕκτην ὥραν τῶν θείων ἁγιασμάτων μεταλαμβάνοντες, ἅπτονται ἄρτου καὶ ὕδατος, ἴσως δὲ καὶ οἴνου πάνυ μετρίου. κατὰ δὲ τὴν ἑβδόμην ὥραν, ἀκούοντες τῆς ἑωθινῆς ὑμνῳδίας, ὅτε καὶ τὸ, ὁ Χριστὸς ἀνέστη, ἐκφωνεῖται, ὑποστρέφουσιν εἰς τὰς κατοικίας αὐτῶν τὴν μεγάλης κυριακῆς ἱεροτελεστίαν ἀναμένοντες. ὅτι δὲ ἀπὸ τῆς ζ'. ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς κυριακῆς ἄρχεται ἡ κυριώνυμος, δῆλον μὲν καὶ ἀπὸ τοῦ γίνεσθαι τὴν ἀνάβασιν τοῦ ἡλίου, ἤγουν τὴν φαῦσιν τῆς ἡμέρας ἀπὸ τῆς ζ'. ὥρας τῆς πρὸ αὐτῆς νυκτός. B δῆλον δὲ καὶ ἀφ' ὧν ὁ μέγας πατὴρ ἡμῶν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἡρμήνευσε. μετὰ γὰρ τὸ ἐπιστομίσαι τοὺς λέγοντας μὴ ἀναστῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τριήμερον, καὶ εἰπεῖν, ὡς εἰ καὶ δοίη τις μὴ τριήμερον ἀναστῆναι τὸν Κύριον, εὐχαριστέον μᾶλλόν ἐστιν, ὅτι καὶ πρὸ τῆς ὁρισθείσης προθεσμίας τῶν τριῶν ἡμερῶν ἐγήγερται ὁ Χριστὸς, καὶ οὐ μᾶλλον αἰτιατέον. ἐπιμέμφοιτο γάρ τις καὶ τὸν δανεισάμενον καταβάλλοντα τὸ χρέος πρὸ τῆς ὁρισθείσης προθεσμίας εἰς καταβολὴν, ὅπερ ἄτοπον· προστίθησιν, ὡς ἐπεὶ τὸ ἐν οἱαδήποτε ὥρᾳ τῆς ἡμέρας γινόμενον, τῆς ψηφιζομένης ἀπὸ ἑβδόμης ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταληγούσης μέχρις ἕκτης ὥρας τῆς μετὰ ταύτην νυκτὸς, ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενῆσθαι δοκεῖ· C καλῶς λέγομεν ὡς τριήμερος γέγονεν ἡ ἀνάστασις τοῦ Χριστοῦ, κατὰ τὴν αὐτοῦ ἀψευδῆ ἐπαγγελίαν. κατὰ γὰρ τὴν παρασκευὴν ἀπέθανεν, ἥτις ἐστὶ πρώτη ἡμέρα· δευτέρα, τὸ σάββατον. καὶ ἐπεὶ ἥψατο καὶ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς τῆς πρὸ τῆς κυριακῆς, λογίζεται καὶ ἡ κυριακὴ τρίτη ἡμέρα. ὁ μέντοι ἅγιος Γρηγόριος ὁ Νύσσης περὶ τοῦ ἁγίου πάσχα διδάσκων, φησὶ ταῦτα ῥητῶς. ἑσπέρα μὲν γὰρ ἦν ὅτε ἐβρώθη τὸ ἱερὸν ἐκεῖνο καὶ ἅγιον σῶμα· νὺξ δὲ τὴν ἑσπέραν ἐκείνην πρὸ τῆς παρασκευῆς διαδέξατο. εἶτα ἡ τῆς παρασκευῆς ἡμέρα τῇ ἐπεισάκτῳ νυκτὶ διατμηθεῖσα, εἰς μίαν νύκτα καὶ εἰς ἡμέρας δύο καταψηφίζεται. D ἐν γὰρ ταῖς τρισὶν ὥραις ἐγένετο σκότος ἐπὶ πᾶσαν τὴν οἰκουμένην. αὕτη ἐστὶν ἡ κατὰ τὸ μέσον τῆς ἡμέρας καινοτομηθεῖσα νὺξ, τὰ δύο τμήματα τῶν ἡμερῶν δι' αὐτῆς ὑπογράφουσα, τὸ μὲν, ἀπὸ τῆς τοῦ ὄρθρου ἐπὶ τὴν ἕκτην ὥραν· τὸ δὲ ἀπὸ τῆς ἐννάτης ὥρας ἐπὶ τὴν ἑσπέραν. ὥστε εἶναι μέχρι τούτου δύο νύκτας καὶ δύο ἡμέρας. εἶτα ἡ πρὸ τοῦ σαββάτου ἡμέρα ἔχει τὰς τρεῖς νύκτας καὶ τὰς τρεῖς ἡμέρας.

ΖΩΝΑΡ. Τὰς τοῦ πάθους ἡμέρας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν νηστείᾳ καὶ κατανύξει ἀνύειν τοὺς πιστοὺς ὁ κανὼν ἀπαιτεῖ. ἐν κατανύξει δὲ καρδίας, τοῦτ' ἔστι, μὴ ὑποκεκριμένην εἶναι τὴν κατάνυξιν ἔξω μόνον φαινομένην, ἀλλὰ E καὶ αὐτῆς τῆς καρδίας ἁπτομένην. περὶ δὲ τὸ μέσον τῆς νυκτὸς τοῦ σαββάτου ἐπιφωσκούσης τῆς κυριακῆς προτρέπει ἀπονηστίζεσθαι, ἀντὶ τοῦ βρώσεως ἅπτεσθαι, ὡς ἤδη γεγονυίας τῆς ἀναστάσεως. ὁ μὲν γὰρ εὐαγγελιστὴς, φησὶ, Ματθαῖος, ὀψὲ σαββάτων εἰπὼν, ὁ δὲ Λουκᾶς, ὄρθρου βαθέος, τὴν βραδύτητα τῆς νυκτὸς ἡμῖν ὑπογράφουσιν, ἀντὶ τοῦ, παραδηλοῦσι, παραδιδόασι. καὶ νῦν δέ φασι τοὺς ἐν Ἱεροσολύμοις οὔτε κατὰ τὴν παρασκευὴν, οὔτε κατὰ τὸ σάββατον ἐσθίειν. καὶ ὁ Ἀλεξανδρείας δὲ Διονύσιος περὶ τούτου ἐρωτηθεὶς τὰ αὐτὰ πλατύτερον ἀπεκρίνατο.

F ΑΡΙΣΤ. Τῷ μεγάλῳ σαββάτῳ περὶ μέσας νύκτας τὴν νηστείαν διαρκετέον.

Ο μὲν Ματθαῖος, ὀψὲ σαββάτων ἀναστῆναι λέγει τὸν κύριον· ὁ δὲ Λουκᾶς, ὄρθρου βαθέως· δεῖ γοῦν τῷ μεγάλῳ σαββάτῳ ἄχρι μεσονυκτίου νηστεύειν, καὶ ἔκτοτε μεταλαμβάνειν, τὸν βουλόμενον, τροφῆς, διὰ τὸ καταλαμβάνειν ἐκ τῶν ῥημάτων τούτων τῶν εὐαγγελιστῶν, περὶ μέσας ὥρας τῆς νυκτὸς ἀναστῆναι τὸν κύριον.

A adornabatur. Propterea enim & qui ſunt religioſiores toto Sabbato, & uſque ad horam ſextam noctis, in Eccleſiis aſſident: & hora ſexta divinis Sacramentis communicantes, panem & aquam guſtant, fortaſſe autem & modicum vini. Septima autem hora matutinas Pſalmodias audientes, quando etiam illud, Chriſtus reſurrexit, dicitur, domum ſuam revertuntur, magni dominici ſacrorum celebrationem expectantes. Quod autem à ſeptima hora noctis, quæ eſt ante dominicum, incipit dies dominicus, manifeſtum eſt ex eo quòd ortus Solis, ſive diei illuminatio, eſt à ſeptima hora noctis, quæ eum præceſſit: clarum eſt & ex iis B quæ noſter magnus Pater Joannes Chryſoſtomus interpretatus eſt. Poſtquam enim os iis occluſit, qui dicunt Chriſtum die tertio non reſurrexiſſe, & dixit, quòd etiamſi dederit quiſpiam Dominum tertio die non reſurrexiſſe, gratiæ magis eo nomine ei agendæ ſunt, quòd etiam ante præfinitum trium dierum terminum Chriſtus reſurrexerit, quàm eſt reprehendendus: reprehenderit enim etiam eum quiſpiam, qui fœnori acceperit, quòd ante præſtitutum ſolutioni terminum debitum ſolverit, quod eſt abſurdum: hoc adjicit; Quòd ſi id quod in quacunque hora diei fit, qui à ſeptima hora præcedentis noctis incipit, & ſextâ horâ ſe- C quentis noctis deſinit, in eo ipſo die factum eſſe videtur: rectè dicimus, quòd die tertio fuit Chriſti reſurrectio, ut ipſe verè eſt pollicitus. In Paraſceve enim mortuus eſt, qui eſt dies primus: ſecundus, Sabbatum: & quoniam ſeptimam quoque horam noctis, quæ eſt ante dominicum, attigit, etiam dominicus tertius dies putatur. Jam verò ſanctus Gregorius Nyſſenus de ſancto Paſcha docens, hæc dicit expreſsè; Veſpera enim erat, quando manducatum eſt ſacrum illud & ſanctum corpus: quam quidem veſperam nox quæ Paraſcevem antecedit, excepit. Deinde dies Paraſceves introducta nocte diſciſſus in unam noctem & duos dies D reducitur. Tribus enim horis fuerunt tenebræ ſuper univerſam terram. Hæc eſt enim in medio diei nox innovata, duas dierum ſectiones per ſe deſcribens, hanc quidem à mane uſque ad ſextam horam: illam verò ab hora nona uſque ad veſperam; ita ut huc uſque duæ ſint noctes & duo dies. Deinde dies præcedentis Sabbati habet tres noctes & tres dies.

Zonar. Dies illos, quibus Chriſtus Jeſus Dominus noſter dolores acerbiſſimos pertulit, jejuniis & compunctione Canon à fidelibus trãſigi oportere decernit. Cordis vero compunctione, hoc eſt, compunctione non fore E ſimulatam, externa tantùm ſpecie apparentem; ſed quæ ipſius quoque cordis penetralia contingat. Circiter vero mediam Sabbati noctem, quam dies mox dominicus excipit, ad ſolvenda jejunia, hoc eſt, cibi aliquid ſumẽdum, quaſi redivivo jam à mortuis Chriſto, invitat. Nam Evãgeliſta quidem, inquit, Matthæus, Veſpere ſabbati, cum dixerit; Lucas autem, Valde diluculo, noctis illius tarditatem nobis deſcribunt, hoc eſt, ſignificant, indicant. Et vero nunc quoque aiunt, eos qui Hieroſolymis degunt, neque toto paraſceves, neque Sabbati die, cibi aliquid deguſtare. Et Dionyſius quoque Alexãdrinus, cùm ex eo de hac re quæreretur, eadem hæc fuſiùs explicata reſpõdit.

F **Arist.** *Magno Sabbato uſque ad mediam noctem in jejunio perſeverandum eſt.*

Matthæus quidem veſpere Sabbati reſurrexiſſe dicit Dominum: Lucas autem valde diluculo. Magno itaque Sabbato uſque ad mediam noctem oportet jejunare, & tunc, qui vult, alimentum ſumere, quoniam ex verbis illis Evangeliſtarum circiter medias noctis horas reſurrexiſſe Dominum deprehendimus.

A

Canon XC.

Dominicis genu non flectere à divinis noſtris Patribus, Chriſti reſurrectionem honorantibus, Canonicè accepimus. Ne ergo hujus obſervationis evidentiam ignoremus, fidelibus manifeſtum facimus, quòd poſt veſpertinum Sacerdotum ad Altare Sabbato ingreſſum, ex conſuetudine quæ ſervatur, nemo genu flectat uſque ad ſequentem veſperam in die dominico: in qua poſt ingreſſum in veſpertino ſeu completorio, genua rurſus flectentes Domino preces ſic offerimus. Servatoris enim noſtri B *reſurrectionis veluti præcurſorem noctem, quæ poſt Sabbatum fuit, accipientes, hymnos ab ea ſpiritualiter incipimus, feſtum ex tenebris in lucem tranſmittentes, ut in perfecto & integro die ac nocte nos inde reſurrectionem celebremus.*

Bals. Viceſimus Canon Nicenæ Synodi, xxv. Canon ſancti Petri Alexandrini, & xxvii. reſponſum Epiſtolæ magni Baſilii ad Amphilochium, (horum enim ſancti Patres meminerunt, & divinos Patres appellant) ſtatuerunt, genu non eſſe flectendum in diebus dominicis, vel in diebus Pentecoſtes. His er- C go conſequenter decernit quoque præſens Canon, ſanctam Domini reſurrectionem eſſe honorandam. Quoniam autem nonnulli dubitabant, unde & ex quanam hora dominicus incipit, & ad quam uſque completur, hoc quoque fidelibus manifeſtè & perſpicuè declarârunt, & dixerunt eum incipere poſt veſpertinam Sabbati hymnodiam, & deſinere ad complementum lychnicum, id eſt, veſpertini officii Dominicæ. Et tunc quidem, ſcilicet poſt veſpertinum Sabbati uſque ad complementum veſpertini dominicæ, genua flectere non oportere, propter Chriſti reſurrectionem: poſt dominicæ verò lychnicum, genua D rurſum flectere & preces Deo effundere. Ad hujus autem rei confirmationem adjicit Canon, quòd Chriſti etiam reſurrectio veſpere Sabbati, hoc eſt, ante diem dominicum extitit: ut feſtum ex tenebris in lucem deſineret, & celebratio reſurrectionis per integrum diem integrámque noctem fieret. Cùm hæc ita ſe habeant, dixerit quiſpiam, ea quæ ſunt in præſenti Canone repugnare doctrinæ præcedentis Canonis. Illic enim dictum eſt, diem dominicum numerari à ſeptima hora præcedentis noctis, & hora ſexta ſequentis noctis deſinere. Nunc autem decretum eſt, dominicum numerari poſt lychnicum Sabbati, & deſinere veſpera ejuſdem etiam dominicæ. Non ſunt autem contraria. E A naturali enim cæleſtium corporum motu, & ex iis quæ magnus Damaſci Doctor inquit, dies ita incipit & deſinit, ſicut in lxxxix. Canone dictum eſt, Præſens autem Canon ſimiliter jubens per totum diei & noctis ſpatium nos Domini reſurrectionem celebrare, non habens autem neceſſe tunc docere de diurno ſpacio, ſed quomodo & quando nos oportet ad feſti celebrationem & pœnitentiam componere, dicit, quòd poſt lychnicum, Sabbati ea, quæ ad reſurrectionis feſtum celebrandum pertinent, componenda ac paranda ſunt: ita & poſt veſpertinum dominicæ ea quæ ad pœnitentiam. Si enim hoc non fecerimus, ſed uſque ad ho- F ram ſeptimam veſperæ poſt dominicum pœnitentiæ præparationem diſtulerimus, tanquam in ea completo dominico, populi poſt dominicum, populo feſtum celebrante ignotum erit tempus poſt dominicum, feſtum celebrantes manſerint, eo quòd multis atque adeò pluribus ſit incognitum quando veniat hora ſeptima, & quando terminetur ſexta. Obſerva ergo Canones, ubi & quomodo editi ſunt: nec eos dixeris inter ſe repugnare. Spiritus enim ſanctus in omnibus locutus eſt.

ΚΑΝΩΝ ϟʹ.

Ταῖς κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων ἡμῶν πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμώντων ἀνάστασιν. ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς τοιαύτης παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, κατὰ τὸ κρατοῦν ἔθος, μηδένα γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν κυριακὴν ἑσπέρας· καθ' ἣν μετὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γόνατα κάμπτοντες, οὕτω τὰς εὐχὰς τῷ κυρίῳ προσάγομεν. τῆς γὰρ τοῦ σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββατον νύκτα παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταλήγοντες, ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

ΒΑΛΣ. Ὁ κʹ. κανὼν τῆς ἐν Νικαίᾳ συνόδου, ὁ ιεʹ. κανὼν τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, καὶ τὸ κζʹ. κεφάλαιον τῆς πρὸς τὸν Ἀμφιλόχιον ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου (τούτων γὰρ οἱ ἅγιοι πατέρες μέμνηνται καὶ θεοφόρους πατέρας καλοῦσιν) ὥρισαν, μὴ κλίνειν γόνυ ἐν ταῖς κυριακαῖς ἢ ἐν ταῖς ἡμέραις τῆς πεντηκοστῆς. ἀκολούθως οὖν αὐτοῖς διορίζεται ὁ παρὼν κανὼν, τιμᾶσθαι τὴν τοῦ κυρίου ἁγίαν ἀνάστασιν. ἐπεὶ δέ τινες διηπόρουν, ὅθεν καὶ ἐκ ποίας ὥρας ἡ κυριώνυμος ἄρχεται, καὶ μέχρι τινὸς συμπεραίνεται, κατέστησαν καὶ τοῦτο δῆλον καὶ σαφὲς τοῖς πιστοῖς, καὶ εἶπον ταύτην ἄρχεσθαι μετὰ τὴν ἑσπερινὴν ὑμνῳδίαν τοῦ σαββάτου, καὶ καταλήγειν μέχρι τῆς συμπληρώσεως τοῦ λυχνικοῦ, ἤτοι τοῦ ἑσπερινοῦ τῆς κυριακῆς. καὶ τότε μὲν, ἤγουν μετὰ τὸ ἑσπερινὸν τοῦ σαββάτου μέχρι περατώσεως τοῦ ἑσπερινοῦ τῆς κυριακῆς, μὴ κλίνειν γόνυ, διὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν. μετὰ δὲ τὸ λυχνικὸν τῆς κυριακῆς, αὖθις τὰ γόνατα κάμπτειν καὶ τῷ κυρίῳ προσεύχεσθαι. προστίθησι δὲ εἰς κατασκευὴν τούτου ὁ κανὼν, ὅτι καὶ ἡ ἀνάστασις τοῦ Χριστοῦ κατὰ τὴν ἑσπέραν τοῦ σαββάτου, τουτέστι πρὸ τῆς ἡμέρας τῆς κυριακῆς, γέγονεν, ἵνα ἀπὸ τοῦ σκότους τὰ τῆς ἑορτῆς καταλήξωσι πρὸς φῶς, καὶ ἡ πανήγυρις τῆς ἀναστάσεως γίνηται διὰ ὁλοκλήρου νυχθημέρου. τούτων οὕτως ἐχόντων, εἴποι τις ἐναντιοῦσθαι τὰ ἐν τῷ παρόντι κανόνι τῇ διδασκαλίᾳ τοῦ προλαβόντος κανόνος. ἐκεῖ μὲν γὰρ εἴρηται, τὴν κυριώνυμον ψηφίζεσθαι ἀπὸ τῆς ζʹ. ὥρας τῆς πρὸ αὐτῆς νυκτὸς, καὶ καταλήγειν μέχρι τῆς ἕκτης ὥρας καὶ αὐτῆς τῆς μετὰ ταύτην νυκτός· ἀρτίως δὲ δέδοκται, τὴν κυριακὴν ψηφίζεσθαι μετὰ τὸ λυχνικὸν τοῦ σαββάτου, καὶ καταλήγειν μέχρι τοῦ ἑσπερινοῦ καὶ αὐτοῦ τῆς αὐτῆς κυριακῆς. οὐκ εἰσὶ δὲ ἐναντία. ἀπό τε γὰρ τῆς φυσικῆς κινήσεως τῶν οὐρανίων σωμάτων, καὶ ἐξ ὧν ὁ μέγας τῆς Δαμασκοῦ διδάσκαλος φησὶν, οὕτως ἡ ἡμέρα ἄρχεται καὶ πληροῦται, καθὼς ἐν τῷ πθʹ. κανόνι εἴρηται. ὁ δὲ παρὼν κανὼν παρομοίως παρακελευόμενος δι' ὅλου ἡμερονυκτίου πανηγυρίζειν ἡμᾶς τὴν τοῦ κυρίου ἀνάστασιν, μὴ ἔχων δὲ τὸ τηνικαῦτα ἠναγκασμένον διδάξαι περὶ τοῦ ἡμερησίου διαστήματος, ἀλλὰ περὶ τοῦ πῶς δεῖ καὶ πότε εὐτρεπίζεσθαι ἡμᾶς εἰς πανήγυριν καὶ μετάνοιαν, φησὶν, ὅτι μετὰ τὸ λυχνικὸν τοῦ σαββάτου τὰ πρὸς πανήγυριν τῆς ἀναστάσεως εὐτρεπιστέον· ὡσαύτως καὶ μετὰ τὸ ἑσπερινὸν τῆς κυριακῆς, τὰ πρὸς μετάνοιαν. εἰ μὴ γὰρ οὕτω ποιήσομεν, ἀλλὰ μέχρι τῆς ἑβδόμης ὥρας μετὰ τὴν κυριακὴν ἑσπέρας ἀναμείνωμεν, καὶ τὸν εὐτρεπισμὸν τῆς μετανοίας, ὡς ἐν ταύτῃ συμπληρουμένης τῆς κυριωνύμου, λάθοιεν ἂν πανηγυρίζοντες καὶ μετὰ τὴν κυριώνυμον, διὰ τὸ πολλοῖς, μᾶλλον δὲ τοῖς πλείοσιν ἀδιάγνωστον εἶναι τὴν ἐπίστασιν τῆς ἑβδόμης ὥρας, καὶ τὸ τέλος τῆς ἕκτης. συντήρει οὖν τὰ κανονικὰ, ἔνθα καὶ ὅπως ἐξεφωνήθησαν· καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι. ἐν πᾶσι γὰρ τὸ πανάγιον πνεῦμα ἐλάλησεν.

ΖΩΝΑΡ. Τὸ μὴ κλίνειν γόνυ ἐν κυριακαῖς ἢ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις διάφοροι νομοθετοῦσι κανόνες, καὶ ὁ μέγας Βασίλειος, ὃς καὶ τὰς αἰτίας προστίθησι, δι᾽ ἃς ἀπηγόρευται. οὗτος δὲ ὁ κανὼν περὶ μόνης τῆς κυριακῆς διατάττεται, καὶ ἐκ ποίας ὥρας μέχρι τινὸς οὐ δεῖ κλίνειν γόνυ σαφῶς διορίζων φησιν, μετὰ τὴν κατὰ τὸ σάββατον ἑσπερινὴν εἴσοδον εἰς τὸ θυσιαστήριον τῶν ἱερωμένων, μηδένα γόνυ κλίνειν μέχρι τῆς ἑσπέρας τῆς κυριακῆς, ὅτε δηλαδὴ αὖθις ἡ εἴσοδος γίνεται τῶν ἱερωμένων, ἔκτοτε γὰρ κλίνοντες γόνυ καὶ οὕτως εὐχόμενοι οὐχ ἁμαρτήσομεν. ἡ γὰρ μετὰ τὸ σάββατον νὺξ τῆς κυριακῆς λογίζεται, ἣν καὶ ἐν ὕμνοις δέον διάγειν, φησὶν ὁ κανὼν, ἐκ σκότους εἰς φῶς τὴν ἑορτὴν παραπέμποντας, καὶ οὕτως ἐν ὁλοκλήρῳ νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

ΑΡΙΣΤ. Μετὰ τὴν ἑσπερινὴν εἴσοδον τοῦ σαββάτου μὴ γονυκλίνῃς, ἄχρι τῆς ἑσπερινῆς κατὰ τὴν κυριακὴν εἴσοδον.

Ἐκ τῶν θεοφόρων πατέρων κανονικῶς παρελάβομεν, μὴ γονυκλίνειν ἐν ταῖς κυριακαῖς, ὡς τιμῶντες τὴν τοῦ κυρίου ἀνάστασιν. ἵνα γοῦν μὴ ἀγνοῆται ἡ παρατήρησις αὕτη, ὅπως ὀφείλει γίνεσθαι, δήλην αὐτὴν οἱ πατέρες τοῖς πιστοῖς διὰ τοῦ κανόνος τούτου πεποιήκασιν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, μὴ γονυκλίνειν, μέχρι τῆς ἐφεξῆς κατὰ τὴν κυριακὴν ἑσπερινῆς εἰσόδου· ὡς ἐν ὁλοκλήρῳ νυχθημέρῳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

ΚΑΝΩΝ ϟα΄.

Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δεχομένας τὰ ἐμβρυοκτόνα δηλητήρια, τῷ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν.

ΒΑΛΣ. Ἐπίσης κολάζει ὁ κανὼν τῷ ἐπιτιμίῳ τοῦ φονέως τὰς διδούσας φάρμακα δηλητήρια χάριν τοῦ ἀμβλωθῆναι τὰ ἔμβρυα, καὶ τὰς δεχομένας αὐτά. καὶ ὁ μὲν κανὼν διὰ τοιούτου ἐπιτιμίου κολάζει ταύτας. καὶ εὑρήσεις τὰ εἴδη τῶν ἐπιτιμίων ἐν τῷ β΄. κανόνι τοῦ ἁγίου Βασιλείου, καὶ ἐν τῷ κα΄. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου. τὸ δὲ α΄. κεφ. τοῦ λθ΄. τίτλου τοῦ ξ΄. βιβλίου φησὶ ταῦτα ῥητῶς. τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται ὁ φονεύων ἄνθρωπον, καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμὸν, καὶ ὁ διὰ φόνον ἢ κλοπὴν μεθ᾽ ὅπλων περιιὼν, καὶ ὁ ἀρχῆς ἢ δικαστηρίου δημοσίου προεστὼς, καὶ σπουδάσας πλαστῶς κατηγορηθῆναι τινὰ καὶ ἀναιτίως καταδικασθῆναι, καὶ ὁ ἐπὶ ἀναιρέσει κατασκευάσας ἢ δεδωκὼς φάρμακον, καὶ κεφ. γ΄. τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται. καὶ ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων. εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα, καὶ τὰ λεγόμενα φίλτρα. οἱ δὲ τὰ φίλτρα ποιοῦντες δημευόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσῃ γυναικὶ συλληπτικὸν, καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται. καὶ θέμα γ΄. τοῦ αὐτοῦ κεφ. λέγον περὶ τὰς ἀρχὰς, κατέχεται τῷ περὶ ἀνδροφόνων νόμῳ, καὶ ὁ πημεντάριος προπετῶς διδοὺς φάρμακον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ βούπρεστιν ἢ μανδραγόραν ἢ κανθαρίδας. καὶ θέμα δ΄. ἡ ποινὴ ἡ κατὰ ἀνδροφόνων, ἐπὶ μὲν ἐντίμων, περιορισμός ἐστι καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι. καὶ ταῦτα μὲν ἀπὸ τοῦ παλαιοῦ νόμου καὶ τῶν κανόνων. ἀπελύθησαν δὲ νεαραὶ περὶ φονέων ἀκουσίων καὶ ἑκουσίων διάφοροι, παρά τε τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ θεοστεφοῦς καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ὧν αἱ δυνάμεις συνωψίσθησαν ἐν τοῖς περὶ φονέων κανόσι τοῦ μεγάλου Βασιλείου. ἐρωτήσει δέ τις, ὡς ἐκ μόνου τοῦ δοῦναι τινὰ πρὸς γυναῖκα ἀμβλωθρίδια ὑποπεσεῖται τῷ τῶν φονέων ἐγκλήματι· ἢ χρεία ἐστὶ

A **Zonar.** Non eſſe dominicis aut Pentecoſtes diebus flectenda genua multi canones decrevêre. Eadem Baſilii quoque mens fuit, qui præterea cauſas, propter quas ea conſuetudo ſit damnata, ſubnectit. Hic vero canon de ſolo die dominico ſtatuit, tempúſque à primo ad extremum, in quo genua procumbere minime liceat, aperte deſcribens, ait; à ſabbato quidem, cum primum veſpere ad altare initiatorum chorus ingreditur, nemo genu flectat, ad uſque diei dominici veſperam, quando ſcilicet alter initiatorum fit ingreſſus, tunc enim genua flectentes, & ſic orantes non peccabimus. Quæ nox etenim ſabbatum conſequitur, ea propria Dominicæ B lucis exiſtimatur, quam etiam hymnis, inquit canon, traducere, feſtivam celebritatem è tenebris in lucem tranſmittentes, & ſic totâ nocte dieque reſurrectionem nos celebrare oportet.

Arist. *Poſt veſpertinum Sabbati ingreſſum, uſque ad veſpertinum Dominicæ ingreſſum, genua ne flectas.*

A divinis patribus canonicè accepimus, Dominicis genu non flectere, ut Domini reſurrectionem honorantes. Ut itaque hæc obſervatio non ignoretur, quomodo fieri debet, eam patres per hunc canonem C fidelibus maniſeſtam effecerunt; ut poſt veſpertinum Sacerdotum in Sabbato ad altare ingreſſum, genu non flectere debemus, uſque ad ſequentem in die Dominico veſpertinum ingreſſum, ut per integrum noctis & diei ſpatium nos reſurrectionem celebremus.

Canon XCI.

Eas quæ dant abortionem cientia medicamenta, & quæ fœtus necantia venena accipiunt, homicidæ pœnis ſubjicimus.

Bals. Eadem pœnâ, quâ homicidam, punit Ca- D non eas, quæ dant venena, ut provocetur abortio, & quæ accipiunt. Et hic quidem Canon illas tali pœna afficit. Pœnarum autem genera invenies in ii. can. ſancti Baſilii, & in xxi. can. Synodi Ancyr. Primum autem caput xxxix. tit. lx. lib. hæc dicit expreſsè: Lege de homicidis tenetur is, qui hominem occidit, & qui dolo ſuſcitat incendium, & qui, vel furandi vel cædis faciendæ gratia, cum armis obambulat, & qui, cùm magiſtratum gereret vel judicio præeſſet, procuraverit ut quis fictè accuſaretur, & innocens condemnaretur, & qui ad tollendum de medio venenum præparaverit vel dederit. Et cap. iii. Lege de homicidis latâ tenetur, qui E ad hominem occidendum medicamentum facit, vel emit, vel habet. Sunt autem pharmaca, quæ ſanitatem afferunt, & quæ dicuntur amatoria. Qui autem faciunt amatoria, publicatis bonis exterminentur. Quòd ſi quis etiam non malo animo mulieri dederit medicamentum ad concipiendum, eóque accepto mortua ſit, in exilium mittitur. Ejuſdémque capitis thema tertium, dicens in principio: Lege de homicidis latâ tenetur, & quicunque pigmentarius temere dat medicamentum, vel ſalamandram, vel aconitum, vel pityocampam vel bupreſtim vel mandragoram vel cantharides. Et thema iv. adverſus homicidas pœna eſt, in F claris quidem exilium & perfecta bonorum publicatio: in humilioribus autem enſi & beſtiis ſubjici. Et hæc quidem ex veteri lege & antiquis canonibus. Emiſſæ ſunt autem de homicidis, tam voluntariis quam involuntariis, diverſæ novellæ ab Imp. domino Conſtantino Porphyrogenneta, & præſtantiſſimo ſanctoque Imp. noſtro domino Emanuele Comneno, quarum vires in canonibus magni Baſilii de homicidis in compendium redactæ ſunt. Interrogaverit autem quiſpiam, an ex eo, quòd dederit quiſpiam mulieri medicamentum ad abortionem, homicidii tenebitur;

an opus ſit ut ſequatur etiam eventus vel cædes? Solutio. Quod ſuperiùs poſitum eſt caput iii. xxxix. tit. lx. lib. conſtituit, non eum ſolùm qui dat venenum puniri ut homicidam, ſed eum etiam qui tale quid habet: & ii. thema primi capitis ejuſdem tit. & lib. dicit; Qui eo fuit animo ut vellet interficere, etiamſi non interfecerit, ſed ſauciaverit, eſt homicida: & qui noluit interficere, etiamſi interfecerit, non eſt homicida. Affectio autem, ex inſtrumento ejus qui percuſſit, apparet & probatur. Sed magni Baſilii canones etiam eum qui non ſponte interfecit, quomodocunque fuerit, puniunt ut homicidam, contra ac comprehenditur hac lege, & aliter quam decernit vi. thema iii. cap. xxxix. tit. lx. lib. quod ſic dicit: Lex de homicidis dolum requirit, & non magnam negligentiam. Quare ſi quis, ſeipſo ex alto dejecto, vel ramo arboris deorſum miſſo, quempiam occiderit, præſenti lege non tenetur. Jam verò xxxi. Imp. domini Leonis Philoſophi novella dat viro poteſtatem matrimonium diſſolvendi cum uxore, quæ illius ſemen abortione ſciens ejicit.

Zonar. Mulieres, poſtquam ex furtivo concubitu concepêre, prolem eam, ne prodantur, medicamentis quibuſdam epotis in utero necant, indéque vitâ deſtitutam ejiciunt. Eas igitur quæ ejuſmodi pharmaca aliis præbent, tum eas quæ accipiunt, homicidarum pœnis canon teneri jubet, ac meritò quidem: quippe quæ non modo conceptam prolem, ſed ipſas etiam quandoque prægnantes mulieres, quod magnus quoque Baſilius canone ſecundo teſtatur, è medio tollunt. Ancyranæ verò Synodi canone vigeſimo primo mulieres ejuſmodi decennii ſegregatione puniuntur.

Arist. *Et qui dat, & quæ accipit medicamenta abortionem cientia, eſt homicida.*

Subjiciuntur homicidæ pœnis & illæ, quæ fœtus necantia accipiunt medicamenta, & qui ea iſtis exhibent.

Canon XCII.

Eos qui nomine matrimonii mulieres rapiunt, vel qui operâ opéque ſuâ raptores adjuvant, ſtatuit ſancta Synodus, ſi ſint quidem Clerici, proprio gradu excidere: ſin verò Laici, anathemate percuti.

Bals. Præſens canon idem eſt omnino cum xxvii. canone Chalcedon. Synodi. Et quære quæ in eo ſcripta ſunt, & ix. tit. præſentis operis, cap. xxx. & quæ in eum ſcripta ſunt. Similiter & lxvii. can. Apoſt. Quid autem, ſi quis mulierem non rapuerit nomine matrimonii, ſed fornicationis gratiâ, non punietur unà cum iis, qui illum opera & ope ſua adjuvant? Solutio. Maximè. Hoc eſt enim ſine controverſia: id autem, quod dubitationem afferebat, erat prætextus matrimonii. Dicebant enim nonnulli, eum nihil mali feciſſe, qui rapuit mulierem, ut ei legitimè conjungeretur, quæ fortaſſe etiam indigna eſt ejus genere, & ex eo maximè vi abducta. Quod quidem patribus non viſum eſt, ut quod & ad improbitatem incitet, & civitatum bonum ordinem evertat. Præterea interrogaverit quiſpiam, ſi poſt raptum velit rapta cum raptore legitimè habitare, an audietur? Solutio. Nequaquam. Dicit enim cxliii. Iuſtiniani novella, ſive iii. cap. lviii. tit. lx. lib. hæc expreſſe: Rapta ei, qui illam rapuit, ne nubat. Sed & ſi ejus parentes tali matrimonio conſenſerint, in exilium mittuntur. Quartum autem, v. & vi. ejuſdem tituli & libri caput dicit, raptam mulierem raptoris bona lucrari, quæ ei matrimonio legitimè conjungi noluerit. Si hoc enim voluerit, publicantur ejus facultates, & raptoris, & eorum qui ad malum opem tulerint, ſive ſint eorum parentes, ſive alieni. Lege etiam totum iſtum lviii.

A τοῦ γενέσθαι καὶ ἀποτέλεσμα, ἤγουν φόνον; Λύσις. τὸ καταστρωθὲν ἄνωθεν γ΄. κεφ. τοῦ λθ΄. τίτλου τοῦ ξ΄. βιβλίου, διορίζεται, μὴ τὸν δόντα μόνον δηλητήριον φάρμακον ὡς φονέα τιμωρεῖσθαι, ἀλλὰ καὶ τὸν ἔχοντά τι τοιοῦτον. καὶ τὸ β΄. θέμα τοῦ α΄. κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, φησὶν, ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τραυματίσῃ, φονεύς ἐστι· καὶ ὁ μὴ θελήσας φονεῦσαι, ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς. ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου ἐλέγχεται. οἱ μέντοι κανόνες τοῦ μεγάλου Βασιλείου, καὶ τὸν ἀκουσίως φονεύοντα, ὡς ἂν ἔχει, ὡς φονέα κολάζουσι, παρὰ τὴν περίληψιν τοῦ τοιούτου νόμου, καὶ παρὰ τὸ ς΄. B θέμα τοῦ γ΄. κεφ. τοῦ λθ΄. τίτλου τοῦ ξ΄. βιβλίου, τὸ λέγον οὕτως· ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν. ὅθεν ἐάν τις ἑαυτὸν ἐξ ὕψους ῥίψας, ἢ κλάδον ἀπὸ δένδρου, φονεύσει τινὰ, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ. ἡ μέντοι λα΄. νεαρὰ τοῦ Βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου δίδωσιν ἄδειαν τῷ ἀνδρὶ διασπᾷν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐπιτηδὲς ἀμβλωσκούσης τὴν ἐκείνου σποράν.

ΖΩΝΑΡ. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθεῖεν, φάρμακά τινα πίνουσι, δι' ὧν τὰ ἔμβρυα διαφθείρουσι, καὶ οὕτως αὐτὰ νεκρὰ ἀ- C ποβάλλονται. τὰς οὖν διδούσας τὰ τοιαῦτα φάρμακα, καὶ τὰς λαμβανούσας τῷ τῶν φονέων ἐπιτιμίῳ καταδικάζει, καὶ εἰκότως. οὐ μόνον γὰρ τὰ ἔμβρυα κτείνουσιν αἱ τοιαῦται, ἀλλ' ἐνίοτε καὶ αὐτὰς τὰς ἐγκύους, ὃ καὶ ὁ μέγας Βασίλειος ἐν δευτέρῳ κανόνι φησίν· ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν κα΄. τὰς τοιαύτας γυναῖκας δεκαετίαν ἀφορίζει.

ΑΡΙΣΤ. Καὶ ὁ διδοὺς, καὶ ἡ λαμβάνουσα ἀμβλωθρίδια ἀνδροφόνοι.

Ὑπόκεινται τῷ τοῦ φονέως ἐπιτιμίῳ, καὶ αἱ τὰ ἐμβρυο- D κτόνα φάρμακα λαμβάνουσαι, καὶ οἱ παρέχοντες ταῦτα αὐταῖς.

ΚΑΝΩΝ ϟβ΄.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀπαράλλακτός ἐστι κανὼν κζ΄. τῆς ἐν Χαλκηδόνι συνόδου. καὶ ζήτει τὰ ἐν αὐτῷ παραγραφέντα, E καὶ τίτλον θ΄. τοῦ παρόντος συντάγματος κεφ. λ΄. καὶ τὰ ἐν αὐτῷ. ὡσαύτως καὶ τὸν ξζ΄. ἀποστολικὸν κανόνα. τί δὲ, ἐὰν μὴ ὀνόματι συνοικεσίου ἁρπάσῃ τις γυναῖκα, ἀλλὰ διὰ πορνείαν, οὐ κολασθήσεται σὺν τοῖς συμπράξασι καὶ συναραμένοις αὐτῷ; Λύσις. καὶ μάλιστα. τοῦτο γὰρ ἀζήτητόν ἐστι. τὸ δὲ ποιοῦν τὴν ζήτησιν ὑπῆρχεν ἡ πρόφασις τοῦ συνοικεσίου. ἔλεγον γάρ τινες, μηδέν τι κακὸν ποιῆσαι τὸν ἁρπάσαντα γυναῖκα διὰ τὸ νομίμως συναφθῆναι αὐτῇ, ἴσως καὶ ἀναξίαν οὖσαν τῷ γένει τούτου, κἀντεῦθεν μεγάλως χειραγωγουμένην. ὅπερ τοῖς πατράσιν οὐκ ἔδοξεν, ὡς προτρεπτικὸν κακίας, καὶ τὴν εὐταξίαν καταστρέφον τῶν F πόλεων. ἔτι ἐρωτήσει τις, εἰ μετὰ τὴν ἁρπαγὴν θελήσει ἡ ἁρπαγεῖσα συνδιάγειν νομίμως τῷ ἅρπαγι, ἀκουσθήσεται; Λύσις. οὐδαμῶς. φησὶ γὰρ ἡ ρμγ΄. Ἰουστινιάνειος νεαρὰ, ἤτοι τὸ γ΄. κεφ. τοῦ νη΄. τίτλου τοῦ ξ΄. βιβλίου, ταῦτα ῥητῶς. μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν. ἀλλ' εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται. τὸ δὲ δ΄. καὶ ε΄. καὶ ς΄. κεφ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου λέγουσι, τὴν ἁρπαγεῖσαν κερδαίνειν τὰ τοῦ ἁρπάσαντος πράγματα, μὴ θελήσασαν συζευχθῆναι νομίμως αὐτῷ. ἐπείτοιγε εἰ θελήσει τοῦτο, δημεύεται ἥ τε περιουσία ταύτης, καὶ τοῦ ἅρπαγος, καὶ τῶν συναιρομένων ἐπὶ τῷ κακῷ, κἄντε γονεῖς τούτων ὦσι, κἄντε ἀλλότριοι. ἀ-

ναγνωθι

νάγνωθι καὶ τὸν αὐτὸν νη΄. ὅλον τίτλον, καὶ μαθήσῃ, ὅτι πᾶς ἁρπάσας γυναῖκα οἱανδήτινα, κἂν ἔστιν μνηστὴ αὐτοῦ, κἂν δούλη, ἢ ἀπελευθέρα, εἰ μὲν μεθ' ὅπλων, αὐτὸς μὲν ξίφει τιμωρεῖται· οἱ δὲ συμπράττοντες καὶ συναιρόμενοι αὐτῷ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοποῦνται. εἰ δὲ χωρὶς ὅπλων, ὁ μὲν ἅρπαξ χειροκοπεῖται· οἱ δὲ βοηθοὶ αὐτοῦ τυπτόμενοι καὶ κουρευόμενοι ἐξορίζονται. ταῦτα μὲν οὕτω γίνονται, κἂν καὶ αὐτὴ ἡ γυνὴ ἐπὶ τῇ ἁρπαγῇ συναινέσῃ. ἀνάγνωθι καὶ τὴν λε΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ἐστὶν εἰκοστὸς ἕβδομος· εἴπομεν οὖν περὶ τούτου ἐκεῖ.

ΑΡΙΣΤ. Οἱ ἁρπάζοντες γυναῖκας, καὶ οἱ συμπράττοντες καὶ συναιρόμενοι, κληρικοὶ μὲν, καθαιροῦνται· λαϊκοὶ δὲ ἀναθεματίζονται.

Τὰ αὐτὰ διαλαμβάνει τῷ παρόντι κανόνι καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου· ἐγράφη δὲ παρ' ἡμῶν ἐν ἐκείνῳ, ὡς μέχρις ἂν τὴν ἁρπαγεῖσαν ἀποκαταστήσωσιν οἱ ἁρπάσαντες, εἰ μὲν προμνηστευθεῖσα ἦν, τῷ οἰκείῳ μνηστῆρι· εἰ δὲ σχολάζουσα, τοῖς γονεῦσιν αὐτῆς· τὸν ἀναθεματισμὸν, λαϊκοὶ ὄντες, οὐκ ἐκφεύξονται.

ΚΑΝΩΝ ϟγ΄.

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ, ἑτέρῳ συνοικοῦσα, μοιχᾶται· καὶ ὡσαύτως καὶ στρατιώτιδες, αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ὥσπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀναμείνασαι τὴν ἐπάνοδον. πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν. ἡ δὲ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσεν μὲν, ἐν ἀγνοίᾳ δέ· γάμου οὖν οὐκ εἰρχθήσεται. κάλλιον δὲ, ἐὰν μείνῃ οὕτως. εἰ δέ γε ὁ στρατιώτης ἐπανέλθοι χρόνῳ ποτὲ, οὗ ἡ γυνὴ διὰ τὴν ἐπὶ πολὺ ἐκείνου ἀπόλειψιν ἑτέρῳ συνήφθη ἀνδρὶ, οὗτος, εἰ προαιρεῖται, τὴν οἰκείαν αὖθις ἐπαναλαμβανέτω γυναῖκα, συγγνώμης αὐτῇ ἐπὶ τῇ ἀγνοίᾳ δεδομένης, καὶ τῷ ταύτην εἰσοικισαμένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

ΒΑΛΣ. Τινὲς γυναῖκες τῶν οἰκείων ἀνδρῶν ἀναχωρησάντων ἐκ τῆς ὁμοζωΐας τούτων, ἢ διά τινα αἰτίαν στρατιωτικὴν ἀποδημούντων, καὶ ἀφανῶν γενομένων, ὡς μηδὲ ἀναδιδαξάντων ἢ ταύτας ἢ ἑτέρους τινὰς τὰ περὶ αὐτοὺς, ἀδηλίαν ἔχουσαι τοῦ θανάτου αὐτῶν, ἑτέροις συνήφθησαν. φησὶ γοῦν ὁ κανὼν, ὡς μοιχαλίδας ταύτας κολάζεσθαι, μετὰ τὸ ἐκείνους ὑποστρέψαι, διὰ τὸ μὴ ἀναμεῖναι μαθεῖν τελειόν τι περὶ τοῦ θανάτου αὐτῶν. οὐδὲ γὰρ ἔχουσι πρόφασιν εὔλογον τὴν τῶν ἀνδρῶν εἰς πολὺ ἀποδημίαν καὶ ἀδηλίαν τοῦ θανάτου αὐτῶν. ἡ δὲ κατ' ἄγνοιαν γαμηθεῖσα τάχα νομίμως τῷ διακριθέντι πρὸς καιρὸν ἀπὸ τῆς οἰκείας συζύγου, εἶτα ἐκ τούτου ἀναχωρήσασα, διὰ τὸ τὸν σύμβιον αὐτῆς πάλιν θελῆσαι συνοικεῖν τῷ οἰκείῳ ἀνδρὶ, μοιχείαν μὲν οὐχ ἥμαρτεν, ἐπόρνευσε δέ. ἔχει μέντοι εὔλογον πρόφασιν τὴν ἄγνοιαν. διὸ καὶ ἑτέρῳ νομίμως γαμηθῆναι οὐ κωλυθήσεται. ζήτει καὶ τὸν μϛ΄. κανόνα τοῦ ἁγίου Βασιλείου. συμβουλευτικῷ τρόπῳ ὑποτιθέασιν οἱ πατέρες τῇ γυναικὶ μὴ συζευχθῆναι ἑτέρῳ, ἀλλὰ καρτερῆσαι καὶ ἐξιλεώσασθαι τὸ ἁμάρτημα διὰ μετανοίας. καὶ τῷ ἐπαναζεύξαντι δὲ στρατιώτῃ ἐξεχώρησαν, εἰ θέλει, ἀνακαλέσασθαι τὴν ἑτέρῳ συζευχθεῖσαν γυναῖκα αὐτοῦ, ὀφείλουσαν συγγνώμης ἀξιωθῆναι, ὡς ἀπελπίσασαν τὴν ἐπάνοδον τοῦ οἰκείου ἀνδρός· ὥσπερ δὴ συγγνωσθήσεται καὶ ὁ εἰς δεύτερον γάμον αὐτὴν ἀγαγόμενος. τούτων οὕτως ἐχόντων, ἐρωτήσει τις, διὰ τί ἄνω μὲν ὁ κανών φησι μοιχᾶσθαι τὰς γυναῖκας, τοῦ τε ἀναχωρήσαντος,

tit. & ſcies, quòd quicunque mulierem ullam rapuit, ſive ſit ejus ſponſa, ſive ancilla, ſive liberta, ſi cum armis quidem, de ipſo ſupplicium gladio ſumitur: qui eum autem ope operâque ſua adjuverunt, verberati & tonſi, naribus truncantur. Sin autem ſine armis, raptori quidem manus amputatur: qui autem ei opem tulerunt, verberati & tonſi, in exilium mittuntur. Hæc autem ita fiunt, etiamſi ipſa mulier raptui conſenſerit. Lege & xxxv. novellam Imperatoris Domini Leonis ſapientis.

ZONAR. Eſt hic Canon Synodi Chalcedonenſis vigeſimuſſeptimus: de quo ſuo loco diximus.

ARIST. *Qui mulieres rapiunt, & qui adjuvant opemque ferunt, Clerici quidem deponuntur: Laici vero anathemate percutiuntur.*

Eadem quæ hic ſtatuit & vigeſimus ſeptimus Synodi Chalcedonenſis Canon. In eo autem à nobis ſcriptum eſt, quòd donec illi, qui rapuerunt, raptam reſtituerint, ſi deſponſata quidem fuit, ſponſo ipſius: ſi ſoluta autem, ipſius parentibus: ſi ſint Laïci, anathematiſmum non effugient.

CANON XCIII.

Uxor viri qui ſeceſſit, & non apparet, antequam de ejus morte certior facta ſit, alteri cohabitans, adulteratur: ſimiliter & militum uxores, quæ non apparentibus maritis nupſerunt, in eandem rationem incidunt; quemadmodum & quæ propter mariti peregrinationem reditum non expectant. Sed res hic quidem aliquam veniam habeat, quòd ſit major ejus mortis ſuſpicio. Ea autem, quæ illi, qui ad tempus erat ab uxore relictus, nupſit per ignorantiam, deinde dimiſſa eſt, quòd prior ad ipſum redierit, eſt quidem fornicata, ſed per ignorantiam: à matrimonio ergo non arcebitur. Melius autem ſi ſic manſerit. Sin autem miles aliquanto poſt tempore redierit, cujus uxor propter longam illius abſentiam alteri viro conjuncta eſt, is, ſi velit, propriam uxorem recipiat, ipſi venia propter ignorantiam data, cique qui illam in ſecundis nuptiis domum duxit.

BALS. Quædam mulieres, cùm ſui mariti ab earum vitæ ſocietate ſe ſejunxiſſent, vel propter militarem cauſam quampiam peregre profecti eſſent, nec uſquam apparerent, ut qui neque ipſas neque ullos alios de ſe certiores feciſſent, cùm de ipſorum morte incertæ eſſent, aliis matrimonio conjunctæ ſunt. Dicit ergo Canon, eas ut adulteras puniri, poſtquam illi redierint, quòd non expectaverint ut ſcirent de eorum morte aliquid certius. Non juſtum enim habent prætextum, longam ſuorum maritorum peregre abſentiam, & de morte eorum incertitudinem. Quæ autem per ignorantiam fortè legitimè nupſit ei, qui ad tempus à propria conjuge ſejunctus eſt, deinde ab eo ſeceſſit, quòd ejus uxor velit rurſus cum proprio marito cohabitare; adulterium quidem non commiſit, ſed fornicata eſt. Habet tamen juſtam excuſationem, ignorantiam. Quare nec alteri nubere prohibebitur. Quære & xlvi. Can. ſancti Baſilii. Suadent tamen patres mulieri, ne alii conjungatur, ſed ſe fortiter & continenter gerat, & peccatum pœnitentia expiet. Porrò & militi, qui reverſus eſt, permiſerunt, ſi velit, uxorem ſuam alteri conjunctam revocare, eámque venia dignam cenſeri, ut quæ viri ſui reditum deſperaverit: quemadmodum & illi ignoſcetur, qui ipſam duxit in ſecundum matrimonium. Cùm hæc ita ſe habeant, rogaverit quiſpiam, Cur canon quidem dicit ſuperiùs adulterari mulieres, tam ejus qui diſceſſit, quam quàm militis, ſi alteri nupſerint, antequam planè de virorum ſuorum morte certiores factæ fuerint: in fine autem decernit militis uxori ignoſci oportere, eique qui illi in ſecundis nuptiis copulatus eſt? Solutio. Magna eſt differentia inter uxorem militis & aliam. Illa enim, ſimul ac peregre profectus eſt miles, habet aliquam de ejus morte ſuſpicionem; quemadmodum & præſens Canon, poſtquam dixit de milite, hoc expreſſe dicit; ſed res hîc quidem aliquam habet veniam, hoc eſt, militis uxori ignoſcitur, quòd ſit major de morte ſuſpicio: quod etiam xxxi. & xxxvi. Canones ſancti Baſilii ſtatuunt. Alia autem nihil poteſt ejuſmodi allegare. Simul enim ac è domo ſua maritus exceſſit, incertam quoque ejus eſſe abſentiam cognovit: & propterea ne veniam quidem meretur. Ad hæc dixerit quiſpiam, Quòd cùm matrimonium, cum eo qui à propria uxore relictus eſt & libera ſeu ſoluta muliere, non poſſit conſiſtere, quænam relicta eſt ratio de ea alteri viro non conjungenda, maximè cum ignoraverit matrimonium viri qui relictus eſt? Solutio. Cùm quidam dicerent, quòd etiamſi non fuit adulterium à muliere commiſſum propter ignorantiam, admiſſa eſt tamen fornicatio, & cùm ſit fornicata, debet ex canonibus de fornicatione puniri, & ideo nec alij quidem viro conjungi, ut quæ ſit extra ambitus Eccleſiaſticos: patres hoc etiam ſolventes, dixerunt, quòd fornicatio quidem commiſſa eſt; ſed quoniam mulier, non more fornicatorio, ſed legitimè ei, qui relictus erat, conjuncta fuit, ſcortatorum pœna non punietur; ſed digna Eccleſiaſtica communione cenſebitur, nec alii conjungi prohibebitur. Ne autem viderentur patres adhortari mulieres ad id quod eſt minùs pium, dixerunt eſſe melius ut quieſcant. Etſi enim per ignorantiam peccarunt: ſed quod ad eas quidem attinet, primum matrimonium reputatur illud quod non poteſt conſiſtere, nec debent ſecundò nubere, niſi velint pœnis earum, quæ ſecundo nubunt, ſubjici. Præterea interrogabit quiſpiam, Nunquid & qui militis uxorem per ignorantiam duxit, ei venia dabitur? Solutio. Maximè. Si enim prodeſt mulieri ignorantia, multo magis & virum, qui eam duxit, indemnem nulloque præjudicio affectum conſervabit, ut qui ne ſcire quidem debeat. Quid verò, ſi miles ſuam uxorem recipere voluerit, an ea fient quæ Canone comprehenduntur? Sin autem recuſet, nequaquam; ſed ipſa cum alio vitam tranſiget? Solutio. Poſt reditum militis, exinde ſecundum matrimonium diſſolvitur: & ſi velit quidem miles eam ſuſcipere, ei licet hoc facere. Sin minùs, nec cum ſecundo quidem viro cohabitabit. Multo magis autem ſi cum eo vivere perſeveraverit, ei venia non dabitur, ſed ut adultera punietur. Illis enim eſſe dandam veniam dicunt patres, quæ à ſecundo matrimonio promptè recedunt, & ignorantiæ peccatum agnoſcunt: non autem quæ reſiſtunt & adulterium eligunt. Et hæc quidem Canon. Lex autem civilis, x. ſcilicet cap. vii. tit. xxviii. lib. quod quidem eſt novella Iuſtin. cxvii. dicit uxores eorum, qui ſunt in acie, & in militares ordines relati ſunt, militum & reliquorum, debere expectare maritorum reditum, quantumcunque tempus præterierit: & etiamſi de ejus morte literis certiores factæ fuerint, debere quoque alterum annum expectare, & ei poſtea veniam dandam eſſe, ſi cum alio viro matrimonium contrahat, quod non debet ſeparari. Viceſima autem ſecunda Iuſtiniani novella, ſive v. caput vii. tit. xxviii. lib. ſtatuit quinquennio debere expectare mulierem vel maritum, quando quis ex ipſis bello captus fuerit, & an vivat incertum eſt: poſt quinquennium autem, alterum matrimonium contrahere. Lege ergo hanc Novellam, & xxxiii. Imp. domini Leonis ſapientis Novellam ſtatuentem non licere prætextu captivitatis ſolvi matrimonium, nec parti, quæ libera conſervata eſt, licere

A πρὸς δὲ καὶ τοῦ στρατιώτου, ἑτέροις γαμηθείσας πρὸ ἐντελοῦς πληροφορίας τοῦ θανάτου τῶν ἀνδρῶν αὐτῶν· ἐν τῷ τέλει δὲ διορίζεται συγγνώσκεσθαι τὴν γυναῖκα τοῦ στρατιώτου, καὶ τὸν συναφθέντα αὐτῇ μετὰ δεύτερον γάμον; Λύσις. πολλὴ διαφορά ἐστι τῆς γυναικὸς τοῦ στρατιώτου καὶ τῆς ἄλλης. ἡ μὲν γὰρ ἅμα τῷ ἀποδημῆσαι τὸν στρατιώτην, ὕποπτον ἔχει τὸν θάνατον, καθὼς καὶ ὁ παρὼν κανών, μετὰ τὸ εἰπεῖν περὶ τοῦ στρατιώτου, φησὶ ταῦτα ῥητῶς· πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα, ἤγουν συγγνώσκεται ἡ τοῦ στρατιώτου γυνή, διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν· ὅπερ καὶ ὁ λα΄. καὶ ὁ λϛ΄. κα- B νὼν τοῦ ἁγίου Βασιλείου θεσμοθετοῦσιν. ἡ ἄλλη δὲ οὐδέν τι τοιοῦτον προβάλλεσθαι δύναται. ἅμα γὰρ τῇ ἐκ τῆς οἰκίας αὐτῆς ἀναχωρήσει τοῦ ἀνδρὸς ἐγίνωσκε τὴν ἀφανῆ τούτου ἀποδημίαν· καὶ διὰ τοῦτο οὐδὲ συγγνώμης ἀξιοῦται. πρὸς τούτοις εἴποι τις, ὡς τοῦ γάμου τοῦ γινομένου μετὰ τοῦ καταλειφθέντος παρὰ τῆς οἰκείας συζύγου, καὶ τῆς ἐλευθέρας γυναικός, ἀνυποστάτου ὄντος, ποῖος λόγος ὑπελίπετο χάριν τοῦ μὴ συναφθῆναι αὐτὴν ἑτέρῳ ἀνδρί, ἀγνοήσασαν καὶ ταῦτα τὸν πρῶτον γάμον τοῦ καταλειφθέντος ἀνδρός; Λύσις. τινῶν λεγόντων, ὅτι κἂν μοιχεία οὐ γέγονε παρὰ τῆς γυναικὸς διὰ τὴν ἄγνοιαν, ἀλλὰ πορνεία ἐ- C τελέσθη, καὶ ὀφείλει ἡ πορνεύσασα κατὰ τοὺς περὶ τῆς πορνείας κανόνας ἐπιτιμηθῆναι, καὶ διὰ τοῦτο μηδὲ συζυγῆναι ἀνδρί, ὡς ἔξω οὖσα τῶν ἐκκλησιαστικῶν περιβόλων· οἱ πατέρες καὶ τοῦτο λύοντες ἔφησαν, ὅτι πορνεία μὲν γέγονεν· ἐπεὶ δὲ ἡ γυνὴ οὐ πορνικῷ τρόπῳ, ἀλλὰ νομίμως συνεζύγη τῷ καταλειφθέντι, πορνευόντων ἐπιτιμίοις οὐχ ὑποπεσεῖται, ἀλλὰ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀξιωθήσεται, καὶ ἑτέρῳ συζυγῆναι οὐ κωλυθήσεται. ἵνα δὲ μὴ δόξωσι προτρέπειν τὰς γυναῖκας πρὸς τὸ ἀνευλαβέστερον, εἶπον κάλλιον εἶναι ἡσυχάζειν αὐτάς. κἂν γὰρ ἐν ἀγνοίᾳ ἥμαρτον· ἀλλ' ὅσον τὸ εἰς αὐτὰς πρῶτος γάμος λογίζεται ἐκεῖνο τὸ ἀνυπόστατον, καὶ οὐκ ὀφείλουσι δευτερογαμῆσαι, εἰ μὴ βούλονται τοῖς τῶν δευτερο- D γαμούντων ἐπιτιμίοις ὑποπεσεῖν. ἔτι ἐρωτήσει τις, ἆρα καὶ ὁ τὴν τοῦ στρατιώτου γυναῖκα ἐν ἀγνοίᾳ ἀγαγόμενος συγγνωσθήσεται; Λύσις. καὶ μάλιστα. εἰ γὰρ ὠφελεῖ τὴν γυναῖκα ἡ ἄγνοια, πολλῷ μᾶλλον τὸν ἄνδρα τὸν ταύτην ἀγαγόμενον ἀπροκριμάτιστον συντηρήσει, ὡς μηδὲ εἰδέναι ὀφείλοντα. τί δέ, τοῦ στρατιώτου αἱρετισαμένου μὲν ἀναλαβέσθαι τὴν οἰκείαν ὁμόζυγον, γενήσεται τὰ τῷ κανόνι περιεχόμενα; ἀπαναινομένου δέ, οὐδαμῶς· ἀλλ' ἔσται αὐτὴ μετὰ τοῦ ἑτέρου συμβιοτεύουσα; Λύσις. μετὰ τὴν ὑποστροφὴν τοῦ στρατιώτου, ἀπεντεῦθεν ὁ δεύτερος γάμος διασπᾶται· καὶ εἰ μὲν θέλει ὁ στρατιώτης λαβεῖν αὐτήν, ἔχει ἐπ' ἀδείας E τοῦτο ποιεῖν. εἰ δὲ μή, οὐδὲ μετὰ τοῦ δευτέρου ἀνδρὸς συνοικήσει. μᾶλλον μὲν οὖν καὶ εἰ ἐπιμείνῃ μετὰ τούτου συμβιοτεύουσα, συγγνώμης οὐκ ἀξιωθήσεται, ἀλλὰ καὶ ὡς μοιχαλὶς τιμωρηθήσεται. ἐκείνας γὰρ συγγνωμονεῖσθαι φασὶν οἱ πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ συντιθεμένας τῷ ἐξ ἀγνοίας ἁμαρτήματι· οὐ μὴν τὰς ἀνθισταμένας καὶ τὴν μοιχείαν προελομένας. καὶ ταῦτα μὲν ὁ κανών. ὁ δὲ πολιτικὸς νόμος, ἤτοι τὸ ι΄. κεφ. τοῦ ζ΄. τίτλου τοῦ κη΄. βιβλ. ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιανοῦ ριζ΄. φησὶ τὰς γυναῖκας τῶν ἐν ταξατιῶνι ὄντων καὶ στρατείας καταλεγομένων στρατιωτῶν καὶ λοιπῶν, περιμένειν τὴν ἐπιδημίαν τῶν ἀνδρῶν, κἂν ὅσος F παρέλθῃ χρόνος· καὶ κἂν δέξωνται γράμματα πληροφορητικὰ τοῦ θανάτου αὐτῶν, ἀναμένειν καὶ ἕτερον ἐνιαυτόν, καὶ μετὰ τοῦτο συγγνωστέον εἶναι τὸν μετὰ ἑτέρου ἀνδρὸς γάμον ταύτης, μὴ ὀφείλοντα διασπασθῆναι. ἡ μέντοι κβ΄. Ἰουστινιάνειος νεαρά, ἤτοι τὸ ε΄. κεφ. τοῦ ζ΄. τίτλου τοῦ κη΄. βιβλ. διορίζεται ἐπὶ πενταετίαν ἀναμένειν τὴν γυναῖκα ἢ τὸν ἄνδρα, ὅταν τις ἐξ αὐτῶν αἰχμαλωτισθῇ καὶ ἀδηλία ἐστὶ τῆς τούτου ζωῆς. μετὰ δὲ τὴν πενταετίαν ἕτερον συναλλάττειν γάμον. ἀνάγνωθι οὖν τὴν τοιαύτην νεαράν, ὡσαύτως καὶ τὴν λγ΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, διοριζομένην μὴ λύεσθαι προφάσει τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἐπιδεῖν συνοικέσιον· ἀλλ' εἰ καὶ συναφθῇ ἑτέρῳ, ἄδειαν ἔχειν τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμαλωσίας ἀνακαλεῖσθαι τὸ οἰκεῖον μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾷν. τοῦ γοῦν κανόνος διοριζομένου ὅσα εἴπομεν ἄνωθεν, καὶ τῶν νόμων παρακελευομένων ταῦτα δὴ τὰ προσεχῶς γεγραμμένα, ἐρωτήσῃ τις, τίσιν ἐκ τούτων προσέχειν ὀφείλομεν; φαμὲν οὖν, ὅτι καὶ τοῖς ἐν τῷ κανόνι, καὶ ἐν τοῖς νόμοις, ἑκατέροις πάντως κατὰ καιρόν· καὶ ἀπὸ μὲν τοῦ κανόνος μοιχαλίδας εἴποιμεν εἶναι τὰς, περὶ ὧν ὁ κανὼν, γυναῖκας γαμηθείσας ἑτέροις πρὸ τοῦ λαβεῖν ἐντελῆ πληροφορίαν τοῦ θανάτου τῶν ἀφανῶν ἀνδρῶν αὐτῶν. τοῦτο γὰρ καὶ αἱ νεαραὶ παρακελεύονται. τὴν δὲ γυναῖκα τοῦ στρατιώτου, μὴ κατὰ τὴν περίληψιν τῆς νεαρᾶς γαμηθεῖσαν, συγγνώμης οὐκ ἀξιώσομεν, ὥσπερ καὶ τὴν ταύτην ποιήσασαν οὐκ αἰτιασόμεθα. τὸ μέντοι ἔχειν ἐπ' ἀδείας τοὺς ἄνδρας πασῶν τῶν μοιχευθεισῶν γυναικῶν ἀναλαμβάνεσθαι αὐτὰς καὶ μετὰ τὴν ὑποστροφὴν, κοινῶς εἰπὲ, καὶ μὴ ἐπὶ μόνης τῆς γυναικὸς τοῦ στρατιώτου κατὰ τὴν περίληψιν τῆς ῥηθείσης ριζ'. νεαρᾶς, τῆς συνοψισθείσης ἐν κεφ. γ'. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος. ἐπεὶ δὲ ὁ κανὼν μὲν περὶ αἰχμαλώτου οὐδέν τι ἐθεσμοθέτησεν, ἡ δὲ διαληφθεῖσα Ἰουστινιάνειος νεαρὰ διορίζεται ἐπὶ πενταετῆ καιρὸν ἀναμένειν τὸ ὑπολειφθὲν μέρος ἐλεύθερον, καὶ οὕτως ἀπροκριματίστως ἕτερον συνοικέσιον συνιστᾷν· ᾧ δῆτα διορισμῷ ἐναντιοῦται ἡ λγ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, λέγουσα ἀδιακρίτως, ἀνακαλεῖσθαι ἀεὶ τὸν ὑποστρέψαντα αἰχμάλωτον τὸ οἰκεῖον μέλος· εἰπὲ, ὅτι τὰ τῆς Ἰουστινιανείου νεαρᾶς ἠπράκτησαν, ἀναιρεθέντα ὑπὸ τῆς ῥηθείσης ρλγ'. νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ. ἐπὶ τούτοις μὴ ἐναντιωθῇ σοι τὸ παρατελευταῖον θέμα τοῦ ια'. κεφ. λζ'. τίτλου τοῦ ξ'. βιβλ. λέγον, ἐὰν ἐπὶ πολὺν χρόνον ἀπολειφθέντα τὸν ἄνδρα πλασῶς ἡ γυνὴ ἀκούσῃ τελευτῆσαι, καὶ πεισθεῖσα τῇ φήμῃ ἑτέρῳ γαμηθῇ ἀδόλως, οὐ τιμωρεῖται. ἀλλ' εἰπὲ εἶναι τοῦτο τῶν διγέστων, καὶ ἀναιρεθῆναι ὑπὸ τῶν ῥηθεισῶν νεαρῶν.

ΖΩΝΑΡ. Ἐὰν γυνὴ ἀναχωρήσαντος τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἐπὶ μακρὰν ἴσως μὴ ἐπανελθόντος, πρὸ τοῦ πληροφορηθῆναι εἰ ὡς ἀληθῶς τέθνηκεν, ἑτέρῳ συνοικήσῃ, μοιχείαν τολμᾷ. καὶ στρατιωτῶν δὲ γυναῖκες, ἀφανῶν τῶν ἀνδρῶν αὐτῶν γινομένων, εἰ γαμηθεῖεν ἑτέροις, μοιχαλίδες εἰσίν. ἐπὶ τούτων δὲ μᾶλλον συγγνωμονεῖ ὁ κανὼν, διὰ τὸ τοὺς στρατιώτας μᾶλλον πιστεύεσθαι θανεῖν, ἐν πολέμοις ἀναστρεφομένους. περὶ τούτων δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τριακοστῷ πρώτῳ κανόνι, καὶ λς'. τὰ αὐτὰ διατάττεται, ἢ μᾶλλον τοὺς ἐκείνου κανόνας ἡ σύνοδος αὕτη τοῖς ῥήμασιν ἐγκατέστρωσε. περὶ δὲ στρατιωτίδων γυναικῶν πολλὴν ὁ πολιτικὸς νόμος ποιεῖται ἀκρίβειαν, ὥστε μὴ ἑτέροις συνάπτεσθαι, εἰ μάθοιεν ἀνῃρῆσθαι τοὺς ἄνδρας αὐτῶν, εἰ μὴ τὰς παρατηρήσεις φυλάξαιεν, ἃς ἡ ἑπτακαιδεκάτη νεαρὰ περιέχει, κειμένη εἰς βιβλίον τῶν Βασιλικῶν εἰκοστὸν ὄγδοον, τίτλον ζ'. κεφ. ζ'. εἰ δέ τις, φησὶν ὁ κανὼν οὗτος, γυνὴ συνοικήσει τῷ πρὸς καιρὸν καταλειφθέντι παρὰ τῆς ἰδίας γυναικὸς, ἀγνοοῦσα τὸ πρᾶγμα, εἶτα ἐπανελθούσης τῆς προτέρας αὐτοῦ γυναικὸς ἀποπεμφθῇ ἡ αὐτῷ κατὰ δεύτερον τάχα συνοικήσασα γάμον, ὡς πορνεύσασα, καὶ οὐχ ὡς μοιχαλὶς καταδικασθήσεται, καὶ εἰ βούλεται ἑτέρῳ ἀνδρὶ νομίμῳ γενέσθαι, οὐ κωλυθήσεται. καὶ τοῦτο δὲ τοῦ μεγάλου Βασιλείου κανών ἐστι τεσσαρακοστὸς ἕκτος. εἰ δὲ στρατιώτου γυνὴ ὡς τοῦ ἀνδρὸς αὐτῆς θανόντος ἕτερον λάβοι, εἶτα ἐπανέλθοι ὁ στρατιώτης, εἰ βούλεται, λήψεται τὴν οἰκείαν γυναῖκα συγγνωμονουμένην διὰ τὴν ἄγνοιαν, ὥστε μὴ ἐπιτιμηθῆναι, ἀλλ' οὐδὲ ὁ ταύτῃ νομίμως συναφθεὶς ἐπιτιμηθήσεται διὰ τὴν αὐτὴν αἰτίαν.

ΑΡΙΣΤ. Ἀνδρὸς ἀφαντουμένου, ἡ πρὸ τοῦ πεισθῆναι λαβοῦσα, μοιχᾶται· ὁ δὲ ὑποστρέψας ἀνὴρ, εἰ προαιρεῖται, λήψεται αὐτήν.

Συνᾴδει τῷ παρόντι κανόνι καὶ ἡ ἑκατοστὴ ἑπτακαιδεκάτη Ἰουστινιάνειος νεαρὰ, ἡ ἐν τῷ ἑβδόμῳ τίτλῳ τοῦ εἰκοστοῦ

ad alterum matrimonium reſpicere: ſed & ſi alii conjunctus fuerit, licet parti, quæ ex captivitate reverſa eſt, proprium membrum revocare, ſecundas autem nuptias diſtrahere. Cùm ergo Canon hæc omnia decernat, quæ ſuperiùs dicta ſunt, & leges ea jubeant quæ proximè ſcripta ſunt, interrogaverit quiſpiam, Utriſnam mentem adhibere debemus? Dicimus, quòd & iis quæ ſunt in Canone, & quæ ſunt in lege, unicuique eorum opportunè: & eas quidem ex Canone adulteras eſſe dixerimus mulieres, de quibus Canon, quæ aliis nupſerunt, priuſquam planè certiores factæ fuerint de morte maritorum ſuorum, qui non comparent. Hoc enim Novellæ quoque jubent. Militis autem uxorem, quæ non ut Novella continetur nupſerit, venia non eſſe dignam exiſtimabimus; ſicut & eam, quæ ſecundum illam fecerit, non reprehendemus. Quòd autem liceat omnibus adulterarum mulierum maritis eas recipere etiam poſt reditum, dic communiter, & non in ſola militis uxore, ut dicta cxvii. Novella continetur, quæ redacta eſt in cap. iii. xiii. tit. præſentis operis. Quoniam autem Canon quidem de captivis nihil conſtituit, dicta autem Juſtiniani Novella ſtatuit quinquennio expectare debere relictam partem liberam, & ſic ſine ullo præjudicio alterum matrimonium contrahere; cui quidem definitioni adverſatur xxxiii. Novella Imp. domini Leonis ſapientis, quæ dicit indiſtinctè, captivum, qui reverſus eſt ſemper revocare proprium membrum: dic Juſtiniani Novellam abrogatam eſſe à dicta novella Imp. domini Leonis ſapientis. Præterea ne tibi contrarium videatur penultimum thema xi. cap. xxxvii. tit. lx. lib. dicens; Si diu abſentem virum falsò periiſſe mulier audiverit, & fama perſuaſa alii ſe ſine dolo matrimonio junxerit, non punitur. Sed dic hoc eſſe jure Digeſtorum, & à dictis novellis eſſe ſublatum.

ZONAR. Quæ mulier, viro peregrinante, neque longo temporis intervallo revertente, cum illum deceſſiſſe nondum plane compertum ſit, alteri viro nupſerit, adulterii crimen admittit. Militum quoque uxores, ſi viris ipſarum non apparentibus aliis nupſerint, adulterii culpa non vacant. Quibus tamen, quod in milite vitam inter tumultus bellorum agente mortis ſuſpicio faciliùs fidem inveniat, faciliorem ſe canon in ignoſcendo præbet. De his autem magnus quoque Baſilius eodem trigeſimoprimo & trigeſimoſexto canone ſtatuit, vel potius ejus canones in hunc locum Synodus totidem verbis tranſtulit. De uxoribus porro militum quam diligentiſſime legum civilium ſanctionibus cautum eſt; Ut quamvis nuntiato virorum interitu, non tamen, niſi iis omnibus quæ decimaſeptimâ Novellâ in libro vigeſimo octavo, titulo ſeptimo, cap. ſeptimo Baſilic. poſitâ, continentur, ſervatis, alteri cuipiam nubant. Siquæ vero mulier, inquit hic canon, viro ad tempus ab uxore ſuâ relicto, factum ignorans, nupſerit, tum uxore priore redeunte ab illo dimiſſa fuerit, cum quo ſecundis forte nuptiis copulata coiverat: inſtar fornicatricis, non ut adultera condemnabitur, nec quidquam, quominus, ſi velit, alteri viro nubat, obſtabit. Atque hoc quoque magni item Baſilii quadrageſimo ſexto canone conſtitutum eſt. Quòd ſi uxor militis, maritum interiiſſe rata, alteri nupſerit, ac revertatur poſtea miles, ſuam is, ſi voluerit, uxorem recipiet; Cui quidem ob ignorantiam ignoſcitur, adeo ut non punitur; Quinetiam nec is, qui eam legitimè duxit, illam ob cauſam punietur.

ARIST. *Viro non apparente, quæ alium prius acceperit, quàm certior facta ſit, adulteratur. Vir autem reverſus, ſi voluerit, eam recipiet.*

Concinit præſenti Canoni & centeſima decima ſeptima Iuſtiniani novella in ſeptimo titulo vigeſimi octavi libri Baſilic. poſita. Illa etenim jubet, quod ſi mulier militem habuerit virum, qui in expeditione peregre profectus ſit, ea autem didicerit illum mortem obiiſſe; non aliter ea alias nuptias ineat, niſi pro certo habuerit à primis numeri in quo vir ejus militabat, propoſitis etiam ſanctis Evangeliis, & per actionis monumenta confitentibus, quòd vir ejus reverà vitâ defunctus ſit, & hujuſmodi monumenta acceperit, & poſt certam hujuſmodi perſuaſionem, unius etiam anni ſpatium manſerit. Si autem præter hanc obſervationem alias nuptias inierit, & illa, & qui eam ducit, ut adulteri puniendi ſunt. Si autem hâc factâ obſervatione iſti, qui cum juramento eam fecerunt certiorem, mentiti fuiſſe deprehendantur; iſtis militiâ denudandos eſſe, & decem librarum auri pœnam ei, quem falsò dixerunt diem obiiſſe, perſolvere jubet: eum autem, ſi velit, uxorem ſuam recipere non prohibet.

ὀγδόου βιβλίου τῶν βασιλικῶν κειμένη· προστάττει γὰρ κἀκείνη, ὡς ἐὰν γυνὴ στρατιώτην ἔχῃ ἄνδρα, καὶ ἐν ἐκστρατείᾳ ἀποδημῇ, καὶ μάθῃ τοῦτον τετελευτηκέναι, μὴ ἄλλως εἰς ἑτέρους αὐτὴν ἔρχεσθαι γάμους, εἰ μὴ πληροφορίαν σχῇ παρὰ τῶν πρώτων τοῦ ἀριθμοῦ ἐν ᾧ ὁ ἀνὴρ αὐτῆς ἐστρατεύσατο, προκειμένων τῶν ἁγίων εὐαγγελίων καὶ ἐπὶ πράξεως ὑπομνημάτων ὁμολογούντων, ὡς ταῖς ἀληθείαις ὁ ἀνὴρ αὐτῆς ἐτελεύτησε, καὶ τὰ τοιαῦτα ὑπομνήματα λάβῃ, καὶ μετὰ τὴν τοιαύτην πληροφορίαν ἀναμείνῃ καὶ ἑνὸς ἐνιαυτοῦ διάστημα. εἰ δὲ παρὰ τὴν παρατήρησιν ταύτην εἰς ἕτερον ἔλθῃ γάμον· καὶ αὐτὴν, καὶ τὸν ἀγαγόμενον αὐτὴν ὡς μοιχοὺς τιμωρεῖσθαι. εἰ δὲ τῆς παρατηρήσεως ταύτης γενομένης, εὑρεθῶσιν οἱ μεθ᾽ ὅρκου πληροφορήσαντες αὐτὴν ψευσάμενοι, αὐτοὺς μὲν τῆς στρατείας ἀπογυμνοῦσθαι, καὶ δέκα λιτρῶν χρυσίου ποινὴν πρὸς ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι, καταθεῖναι παρακελεύεται· αὐτὸν δὲ, εἰ βουληθῇ, τὴν ἰδίαν γαμετὴν ἀναλαβεῖν οὐ κωλύει.

CANON XCIV.

Eos, qui Gentilium ſacramenta jurant, canon pœnis ſubjicit: & nos iis quoque ſegregationem decernimus.

ΚΑΝΩΝ ϟδʹ.

Τοὺς ὀμνύοντας ὅρκους Ἑλληνικοὺς ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· καὶ ἡμεῖς τούτοις τὸν ἀφορισμὸν ὁρίζομεν.

Bals. Magnus Baſilius in canone lxxxi. pœnis ſubjicit, non eos ſolùm, qui ſua ſponte dæmoniaca ſacrificia attigerunt, & gentilium ſacramenta jurârunt, ſed eos etiam qui non ſponte ad ea detruſi ſunt. Ei ergo canoni conſequenter, præſens quoque canon eos ſegregat. Sunt autem ſacramenta gentilium, quæ jurantur à gentilibus. Alii enim in deos falsò appellatos credentes, in eorum nomina jurabant. Alii credebant in elementa, & alii in quædam alia. Rogaverit autem quiſpiam, cùm præſens canon canonis ſancti Baſilii meminit, qui eos punit, qui ſponte vel involuntariè ad dæmonas acceſſerunt, & gentilium ſacramenta jurârunt: Si quis ad dæmonas quidem non acceſſerit, neque pollutus fuerit, ſed orthodoxam fidem colens, gentilium ſacramenta contemptim juraverit, punietur, an non? Solutio. Punietur; ſed non æquè ac ii qui ad dæmonas acceſſerunt: ſed paulò mitiùs, ut viſum fuerit loci illius Epiſcopo. Nam & magnus Baſilius ponit differentiam inter eos, qui ad dæmonas acceſſerunt, & juraverunt; & mitiùs punit eum, qui propter magnam neceſſitatem illicita guſtavit, & gentilium ſacramenta juravit: ſegregationi tamen omnes indiſcriminatim ſubjicientur, ut divinorum quoque præceptorum contemptor, illic ubi non opus eſt ludere, non ludendum eſſe ſciat. Quid verò, ſi quis ſacramentum non gentilium juraverit, ſed inſolens, utpote per ſuos liberos, vel aliquid aliud, quod fidem non offendit, punietúrne? Solutio. Quartum caput & quintum v. tit. xxii. libri, eos qui per improbatam religionem jurant, averſantur. Dicit enim quartum caput, Sicut defertur jusjurandum, ita etiam debet jurari: ſi enim cùm ego per Deum detulerim, per caput tuum juraveris, vel per tuos liberos, non eſt firmum ac ratum. Quare ſi detuli tibi per caput tuum, & ſic juraveris, jusjurandum valere debuit. Et v. cap. Rectè tibi defero ut per ſalutem tuam jures: omne enim licitum jusjurandum ex delatione juratum ſervatur, & quicunque per propriam religionem juraverit. Et poſtremum thema ejuſdem cap. Jusjurandum quod per improbatam religionem concipitur, non ſervatur. Improbata autem eſt religio, quæ eſt præter orthodoxam fidem. Orthodoxus ergo, non aliorum Chriſtianorum, ſed eorum, qui malè ſentiunt, more jurans, non ſolum ex eo jurejurando nihil juvabitur, ſed etiam ex canonibus punietur.

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος ἐν κανόνι παʹ. ἐπιτιμίοις καθυποβάλλει οὐ μόνον τοὺς ἑκουσίως τῶν δαιμονιωδῶν θυμάτων ἀψαμένους, καὶ ὀμόσαντας Ἑλληνικοὺς ὅρκους, ἀλλὰ καὶ τοὺς ἀκουσίως εἰς τοῦτο συνωθηθέντας. ἀκολούθως οὖν τῷ τοιούτῳ κανόνι καὶ ὁ παρὼν ἀφορίζει τούτους. Ἑλληνικοὶ δὲ ὅρκοι εἰσὶν, οἱ παρὰ τῶν Ἑλλήνων ὀμνύμενοι. οἱ μὲν γὰρ εἰς ψευδωνύμους θεοὺς πιστεύοντες, ὤμνυον εἰς τὰ τούτων ὀνόματα· ἄλλοι ἐπίστευον εἰς τὰ στοιχεῖα, καὶ ἕτεροι εἰς ἄλλα τινά. ἐρωτήσει δέ τις, ὡς τοῦ παρόντος κανόνος μεμνημένου τοῦ κανόνος τοῦ ἁγίου Βασιλείου τοῦ κολάζοντος τοὺς ἑκουσίως ἢ ἀκουσίως προσελθόντας τοῖς δαίμοσι, καὶ ὀμόσαντας Ἑλληνικοὺς ὅρκους, ἐάν τις τοῖς δαίμοσι μὲν μὴ προσέλθῃ, μηδὲ μιανθῇ, ἀλλὰ τὴν ὀρθόδοξον πίστιν σεβόμενος, ὀμνύει ὅρκους Ἑλληνικοὺς ἐκ καταφρονήσεως, κολασθήσεται ἢ οὔ; Λύσις. κολασθήσεται· οὐκ ἐπίσης δὲ τοῖς προσελθοῦσι τοῖς δαίμοσι, ἀλλὰ μετριώτερον, καὶ κατὰ τὸ δοκοῦν τῷ κατὰ χώραν Ἐπισκόπῳ. ὅτι καὶ ὁ μέγας Βασίλειος διαφορὰν ποιεῖ τε τῶν προσελθόντων τοῖς δαίμοσι, καὶ ὀμοσάντων· καὶ μετριώτερον κολάζει τὸν δι᾽ ἀνάγκην μεγάλην τῶν ἀθεμίτων γευσάμενον καὶ Ἑλληνικοὺς ὅρκους ὀμόσαντα. τῷ μέντοι ἀφορισμῷ ἀδιαφόρως πάντες ὑποβληθήσονται· ἵνα μάθῃ καὶ ὁ καταφρονητὴς τῶν θείων παραγγελιῶν, μὴ παίζειν ἐν οὐ παικτοῖς. τί δὲ, ἐὰν ὀμόσῃ τὶς ὅρκον μὴ Ἑλληνικὸν, ἀλλὰ ἀσυνήθη, τυχὸν εἰς τοὺς παῖδας αὐτοῦ, ἢ εἰς ἕτερον, μὴ προσκρούων εἰς τὴν πίστιν, τιμωρηθήσεται; Λύσις. τὸ δʹ. κεφ. καὶ τὸ εʹ. τοῦ εʹ. τίτλου τοῦ κβʹ. βιβλ. τοὺς κατὰ ἀδοκίμου θρησκείας ὀμνυμένους ὅρκους ἀποτρέπονται. φησὶ γὰρ τὸ δʹ. κεφ. ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ἐποφείλει ὀμνύεσθαι. εἰ γὰρ ἐμοῦ ἐπάγοντος κατὰ τοῦ θεοῦ ὀμόσαι, κατὰ τῶν τέκνων σου ὀμόσεις, οὐκ ἔῤῥωται. ὥστε εἰ ἐπήγαγόν σοι κατὰ τῆς κεφαλῆς σου καὶ ὤμοσας οὕτως, ὤφειλεν εἶναι ὁ ὅρκος ἐῤῥωμένος. καὶ τὸ εʹ. κεφ. καλῶς ἐπιφέρω σοι κατὰ τῆς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὀμοθεὶς, φυλάττεται· καὶ ὅστις ὀμόσει κατὰ τὴν ἰδίαν θρησκείαν. καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφαλαίου, ὁ κατὰ ἀδοκίμου θρησκείας ὀμνύμενος ὅρκος, οὐ φυλάττεται· ἀδόκιμος δὲ θρησκεία ἐστὶν, ἡ παρὰ τὴν ὀρθόδοξον πίστιν. ὁ γοῦν ὀρθόδοξος μὴ κατὰ τοὺς λοιποὺς χριστιανοὺς ὀμνύων, ἀλλὰ κατὰ τοὺς κακοδόξους, οὐ μόνον οὐκ ὠφεληθήσεται ἀπὸ τοῦ ὅρκου, ἀλλὰ καὶ τιμωρηθήσεται κατὰ τοὺς κανόνας.

A **ΖΩΝΑΡ.** Τὰ τῶν Ἑλληνικῶν ἔθη καὶ τὰ τῶν ἐθνικῶν ἀπόβλητα τοῖς πιστοῖς. διὸ οὐδὲ ὅρκους Ἑλληνικοὺς ὀμνύειν ἐπιτετράμμεθα. καὶ ὁ μέγας δὲ Βασίλειος ἐν ὀγδοηκοστῷ πρώτῳ κανόνι περὶ τῶν ἐθνικοὺς ὀμοσάντων ὅρκους ὅπως οἰκονομηθήσονται διατάττεται. καὶ ὁ πολιτικὸς δὲ νόμος ἐν εἰκοστῷ δευτέρῳ βιβλίῳ τῶν βασιλικῶν κείμενος τίτλῳ ε΄. κεφ. δ΄. φησί· πᾶς θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὀμοθεὶς φυλάττεται, ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι ὁ ἀθέμιτον ὅρκον ὀμόσας, οἷον, μὰ τὸν ἥλιον καὶ τοιούτους, οὐκ ἀναγκασθήσεται φυλάξαι αὐτόν.

B **ΑΡΙΣΤ.** Ὁ ἑλληνικοῖς ὅρκοις ὀμνύμενος, ἐπιτιμητέος· ἀφορίζεται γάρ. Σαφής.

ΚΑΝΩΝ ϟε΄.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς, καὶ Ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας καὶ Ἀπολιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ C ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας καὶ τὸ στόμα καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. περὶ δὲ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ, ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς, καὶ τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλαί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ D τῆς Γαλατῶν χώρας ὁρμώμενοι· πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν μὲν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς· τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν. καὶ τοὺς Μανιχαίους δὲ καὶ τοὺς Οὐαλεντινιανοὺς, καὶ Μαρκιονιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων. τοὺς δὲ Νεστοριανοὺς χρὴ ποιεῖν λιβέλλους, καὶ ἀναθεματίζειν τὴν αἵρεσιν αὐτῶν καὶ Νεστόριον καὶ Εὐτυχέα καὶ E Διόσκορον καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις· καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

ΒΑΛΣ. Περὶ τοῦ κανόνος τούτου ἑβδόμου ὄντος τῆς οἰκουμενικῆς β΄. συνόδου, ἱκανῶς ἐκεῖσε ἐγράψαμεν, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν παλιλογεῖν. ἐπεὶ δὲ προσετέθη παρὰ τῆς συνόδου ταύτης, ὀφείλειν καὶ τοὺς Μανιχαίους καὶ τοὺς Οὐαλεντίνους καὶ τοὺς Μαρκιονιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, κατὰ τοὺς Εὐνομιανοὺς καὶ τοὺς Μοντανιστὰς βαπτίζεσθαι· τοὺς δὲ Νεστοριανοὺς μετὰ τὸ δοῦναι λιβέλλους τῆς πίστεως αὐτῶν, καὶ F ἀναθεματίσαι Νεστόριον καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ὁμοφρονοῦντας αὐτοῖς, καὶ τὰς αἱρέσεις αὐτῶν, μεταλαμβάνειν τῆς κοινωνίας· φέρε περὶ τούτων καὶ μόνων ἀρτίως εἴπωμεν. Μανιχαῖοι μὲν οὖν εἰσιν, οἱ τὰ τοῦ Μάνεντος φρονοῦντες. ὅστις Μάνης Παράκλητον ἑαυτὸν ἐκάλει· τὸν Χριστὸν δὲ δοκήσει μόνῃ φανῆναι εἰσηγήσατο. καὶ δύο ἀρχὰς πονηράν τε καὶ ἀγαθὴν, ἤγουν Θεόν τε καὶ ὕλην, καὶ τὰ τῆς παλαιᾶς διαθήκης ἐβλασφήμει· σελήνῃ καὶ ἄστρασιν ὡς θεοῖς προσκυνεῖν ἐπέτρεψε. σαρκὸς ἀνάστασιν ἠρνήσατο· καὶ βοτάνας καὶ δένδρα καὶ ὕδωρ ἔμψυχα εἶναι ἀπεφήνατο.

A **Zonar.** Græcorum & Gentium ritus fideles penitus averſari debent. Quare neque Græcorum jurejurando nobis uti permiſſum eſt. Et verò magnus Baſilius, quo modo Græcorum juramentis utentes puniendi ſint, canone octogeſimo primo præſcribit. Lex autem civilis Baſilic. libro vigeſimo ſecundo, titulo quinto, capite quarto, ſita ait, Omne licitum jusjurandum ex delatione juratum ſervatur: ut ex adverſo intelligi liceat, eum qui vetito ſe jurejurando obſtrinxerit, veluti qui per ſolem, aut quid aliud ejuſmodi iurârit, ut id ſervet nequaquam eſſe cogendum.

B **Arist.** *Qui Gentilium juramentis utitur, puniendus: nam ſegregatur.* Perſpicuus.

Canon XCV.

Eos, qui rectæ de fide ſententiæ accedunt, & parti eorum qui ex hæreticis ſervantur, ſubjecto ordine & conſuetudine recipimus; Arianos quidem & Macedonianos & Novatianos, qui ſeipſos Catharos appellant, & Ariſteros & Quartadecimanos ſeu Tetraditas & Apolliniriſtas recipimus, dantes libellos, & omnem hæreſin C *anathematizantes, quæ non ſentit ut ſentit ſancta Dei univerſalis & Apoſtolica Eccleſia, ſancto primùm chriſmate & frontem & oculos & nares & os & aures conſignatos ſive inunctos: & eos conſignantes dicimus, Signaculum doni Spiritus ſancti. De iis autem, qui Pauliani ſectam ſecuti ſunt, deinde ad catholicam Eccleſiam confugerunt, ſtatutum eſt ut ii omnino rebaptizentur. Eunomianos quoque, qui unâ demerſione baptizant, & Montaniſtas qui hîc dicuntur Phryges, & Sabellianos qui filium idem eſſe cum patre exiſtimant, & alia quædam gravia faciunt, & omnes alias hæreſes, quoniam multi hîc ſunt, & maximè* D *qui ex Galatarum regione profecti ſunt; omnes ex iis, qui ad rectam de fide ſententiam volunt accedere, ut Græcos recipimus: & primo quidem die eos Chriſtianos facimus, ſecùndo autem catechumenos; deinde tertio adjuramus, ſimul etiam ter in faciem & aures inſpirantes; & ſic initiamus, & diù in Eccleſia verſari & ſcripturas audire facimus, & tunc ipſos baptizamus. Quin etiam Manichæos, & Valentinianos, & Marcioniſtas, & ſimiles Hæreticos: Neſtorianos autem oportet libellos facere, & hæreſin ſuam anathematizare, & Neſtorium & Eutychem* E *& Dioſcorum & Severum, & reliquos talium hæreſewn principes, & qui eadem cum illis ſentiunt; & omnes prædictas hæreſes: & ſic eſſe ſanctæ communionis participes.*

Bals. De hoc canone, qui eſt ſeptimus univerſalis ſecundæ ſynodi, ſatis illic ſcripſimus, & non oportet eadem repetere. Quoniam autem ab hac ſynodo adjectum eſt, debere etiam Manichæos & Valentinos & Marcioniſtas, & alios ejuſmodi hæreticos, quemadmodum Eunomianos & Montaniſtas, baptizari; F Neſtorianos autem ſuæ fidei libellos tradere & anathematizare Neſtorium & Eutychen & Dioſcorum & Severum, eóſque qui eadem cum illis ſentiunt, & eorum hæreſes, & ſic eſſe communionis parrticipes: age de iis quoque ſolis in præſentia dicamus. Manichæi ergo ſunt, qui id quod Manes ſentiunt; qui quidem Manes ſeipſum paracletum appellabat: Chriſtúmque ſola opinione apparuiſſe dictitabat. Introduxerat autem duo principia, malum & bonum, ſcilicet Deum & materiam; & adverſus vetus teſtamentum blaſphemabat; lunam & ſtellas ut Deos adorare permittebat; carnis reſurrectionem negabat; herbas & arbores & aquam & arbores animata eſſe aſſerebat. Valentiniani ſunt, qui Valentis Imperatoris tempore inventi ſunt, Bogomili ſeu Maſſaliani & Euchitæ & Enthuſiaſtæ. Marcioniſtæ autem, qui à Marciano deducuntur: qui quidem Marcion tria dixit eſſe principia; primum quidem Deum, qui ſuprà eſt, inviſibilem; ſecundum, viſibilem & creatorem & opificem; & tertium, diabolum. Baptizabat autem non ſolùm ſemel, ſed ter quoque: mulieribus quoque baptizare permittens. Neſtoriani autem dicuntur, qui, ſicut & Neſtorius, Deum verbum ſeparant, & hominem qui ab eo aſſumptus eſt. De quo in procemio tertiæ Synodi ſcripſimus. Similiter & de hæreſi Eutychis, Dioſcori & Severi, quæ par erat, tractavimus in procemio iv. Synodi. Hæc igitur conſule.

Zonar. Idem eſt hic Canon cum ſecundæ œcumenicæ Synodi ſeptimo. Quæ igitur ibi dicta ſufficiunt. Nam eadem in ejuſdem rei explicatione qui repetat fruſtra, ſuſcepti laboris reprehenſionem haud effugiet.

Arist. *Eos, qui ab hæreticis converſi ſunt, ſic admittimus: Arrianos, Macedonianos, Novatianos qui & Cathari, Ariſteros, qui & Quartadecimani ſive Tetraditæ, & Apolliniariſtas, omnem hæreſim anathematizantes, ſancto chriſmate inungimus, frontem, oculos, nares, os & aures, & conſignantes dicimus, Signaculum doni Spiritus ſancti. Amen.*

Nonnulli hæreticorum baptizantur; alii ſancto chriſmate ſolùm unguntur; alii autem omnem hæreſin & ſuam anathematizantes in communionem admittuntur. Quinam verò baptizantur, & quinam ſolo chriſmate unguntur; quinam autem & ſuam & alias execrantur hæreſes, & hoc ſolo ſatisfaciunt, & ad communionem recipiuntur, præſenti canone indicantur: licet multæ hæreſes prætermittuntur. Interim autem Pauliniſtas à Paulo Samoſatano ſeductos & alios hæreticos orthodoxæ fidei accedentes, etiam ut Græcos recipientes & baptizantes, primo die omnes ſuas hæreſes repoſcimus execrari, eoſque facimus, quantum ad hoc, Chriſtianos; ſecundo autem die eos verbum veritatis docemus & deinceps reliqua facimus: & ſic, cùm aliquamdiu in Eccleſiâ permanſerunt, & divinas audierunt ſcripturas, divino baptiſmo eos dignamur. Pauliniſtas rebaptizamus. Eunomianos, Montaniſtas, Sabellianos, & omnes ex eis ut Græcos recipimus: & primo die eos facimus Chriſtianos; ſecundo Catechumenos; tertio adjuramus, ter in faciem & aures inſpirantes; & ſic eos initiamus, & diu in Eccleſiâ verſari & ſcripturas audire facimus; & tunc eos baptizamus. At Manichæos & Valentinianos & Marcioniſtas, & Severianos, & alios ejuſmodi hæreticos, libellos dantes anathematizare oportet omnem hæreſin, & ſic ſanctæ communionis participes eſſe.

A Οὐαλεντινιανοί εἰσιν, οἱ εὑρεθέντες κατὰ τὸν καιρὸν τοῦ Οὐάλεντος βασιλέως, Βογόμιλοι ἤτοι Μασσαλιανοὶ καὶ Εὐχῖται καὶ Ἐνθουσιασταί. Μαρκιωνισταὶ δὲ, οἱ ἀπὸ Μαρκίωνος καταγόμενοι. ὅστις Μαρκίων, τρεῖς ἀρχὰς εἶπε· πρώτην τὸν ἄνω Θεὸν ἀόρατον· δευτέραν, τὸν ὁρατὸν καὶ κτίστην καὶ δημιουργόν· καὶ τρίτην, τὸν διάβολον. ἐβάπτιζε δὲ, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ ἐκ τρίτου· παραχωρῶν καὶ ταῖς γυναιξὶ βαπτίζειν. Νεστοριανοὶ δὲ λέγονται, οἱ κατὰ τὸν Νεστόριον χωρίζοντες τὸν θεὸν λόγον, καὶ τὸν προσληφθέντα τούτῳ ἄνθρωπον. περὶ οὗ ἐν τῷ προοιμίῳ τῆς τρίτης συνόδου ἐγράψαμεν. ὡσαύτως καὶ περὶ τῆς αἱρέσεως τοῦ Εὐτυχοῦς, τοῦ Διοσκόρου, καὶ τοῦ B Σευήρου, τὰ εἰκότα διελάβομεν ἐν τῷ προοιμίῳ τῆς τετάρτης συνόδου. ἀνάγνωθι οὖν ταῦτα.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν τῆς οἰκουμενικῆς δευτέρας ἐστὶ συνόδου ἕβδομος. ἃ οὖν ἐκεῖ εἴρηται ἀρκοῦσι. ὁ γὰρ αὖθις τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν λέγων ματαιοπονία κριθήσεται.

ΑΡΙΣΤ. Τοὺς ἀπὸ αἱρετικῶν ἐπιστρέφοντας οὕτω δεχόμενοι. C Ἀρειανοὺς, Μακεδονιανοὺς, Ναυατιανοὺς, τοὺς καὶ καθαροὺς, ἀριστεροὺς τοὺς καὶ τεσσαρεσκαιδεκατίτας, ἤγουν τετραδίτας, καὶ Ἀπολλιναριστὰς, ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, χρίομεν τῷ ἁγίῳ μύρῳ μέτωπον, ὀφθαλμοὺς, ῥῖνας, στόμα καὶ ὦτα, καὶ σφραγίζοντες λέγομεν, Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου Ἀμήν.

Τινὲς τῶν αἱρετικῶν βαπτίζονται· ἄλλοι τῷ ἁγίῳ μύρῳ χρίονται μόνῳ· ἕτεροι δὲ πᾶσαν αἵρεσιν, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες εἰς κοινωνίαν προσδέχονται· τίνες δὲ οἱ βαπτιζόμενοι, καὶ τίνες οἱ μόνῳ μύρῳ χριόμενοι, τίνες δὲ οἱ τὴν D ἰδίαν αἵρεσιν, καὶ τὰς ἄλλας ἀναθεματίζοντες, καὶ τούτῳ μόνῳ ἀρκούμενοι, καὶ εἰς κοινωνίαν παραδεχόμενοι τῷ παρόντι κανόνι δηλοῦνται· κἂν καὶ πολλαὶ τῶν αἱρέσεων παρελείφθησαν. τέως δὲ τοὺς Παυλιανιστὰς τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως καταγομένους, καὶ τοὺς λοιποὺς αἱρετικοὺς, τοὺς προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, καὶ ὡς ἕλληνας παραδεχόμενοι καὶ βαπτίζοντες, τῇ πρώτῃ ἡμέρᾳ τὰς αἱρέσεις αὐτῶν ἀπαιτοῦμεν ἀναθεματίζειν, καὶ ποιοῦμεν αὐτοὺς, ὅσον κατὰ τοῦτο, χριστιανούς· τῇ δὲ δευτέρᾳ κατηχοῦμεν αὐτοὺς τὸν λόγον τῆς ἀληθείας, καὶ ἐφεξῆς τὰ λοιπὰ ποιοῦμεν· καὶ οὕτω μετὰ τὸ χρονίσαι αὐτοὺς ἐν ταῖς ἐκκλησίαις, καὶ E τῶν θείων γραφῶν ἀκροάσασθαι, τοῦ θείου καταξιοῦμεν βαπτίσματος. Παυλιανιστὰς ἀναβαπτίζομεν. Εὐνομιανοὺς, Μοντανιστὰς, Σαβελλιανοὺς, καὶ πάντας τοὺς ἀπ᾽ αὐτῶν, ὡς ἕλληνας, δεχόμενοι· καὶ τῇ πρώτῃ ἡμέρᾳ ποιοῦμεν αὐτοὺς χριστιανοὺς, τῇ δευτέρᾳ κατηχουμένους, τῇ τρίτῃ ἐξορκίζομεν, ἐμφυσῶντες τρίτον εἰς τὸ πρόσωπον, καὶ τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν ἐν τῷ ναῷ, καὶ ἀκροᾶσθαι τῶν γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν. καὶ Μανιχαίους δὲ καὶ Οὐαλεντινιανοὺς, καὶ Μαρκιωνιστὰς, καὶ Σευηριανοὺς καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων, χρὴ, λιβέλλους διδόντας, ἀναθεματίζειν πᾶσαν αἵρεσιν, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας. F

ΚΑΝΩΝ

ΚΑΝΩΝ ϞϚʹ.

A

Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν. τοὺς οὖν τὰς ἐν τῇ κεφαλῇ τρίχας πρὸς λύμην τῶν ὁρώντων ἐν ἐπινοίαις ἐμπλοκῆς συνθετίζοντας καὶ διασκευάζοντας, καὶ δέλεαρ προτιθέντας ἐντεῦθεν ταῖς ἀστηρίκτοις ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θεραπεύομεν, παιδαγωγοῦντες αὐτοὺς καὶ σωφρόνως βιοῦν ἐκδιδάσκοντες, πρὸς τὸ, ἀφέντας τὴν ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα, πρὸς τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν τὸν νοῦν μετάγειν διηνεκῶς, καὶ ἐν φόβῳ ἁγνὴν ἔχειν ἀναστροφήν, καὶ Θεῷ πλησιάζειν κατὰ τὸ ἐφικτὸν διὰ τῆς ἐν βίῳ καθάρσεως, καὶ τὸν ἔνδον ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς ἤθεσιν· ὥς τι μηδὲν λείψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναντίου σκαιότητος. εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διάγοι, ἀφοριζέσθω.

B

ΒΑΛΣ. Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς τοῦ μεγάλου Παύλου προοιμιασάμενοι οἱ ἅγιοι πατέρες, τῆς λεγούσης ἐν μέρει, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, διωρίσαντο διορθωθῆναι δι' ἐπιτιμίου, τοὺς δι' ἐπινοίας ἐν διασκευῇ καὶ ἐμπλοκαῖς τὰς ἐν τῇ κεφαλῇ τρίχας πληθύνοντας καὶ καλλωπίζοντας, χάριν τοῦ ἐφέλκειν δι' αὐτῶν, ὡς διά τινος δελεάσματος, τὰς τῶν ἀστηρίκτων ψυχάς. ὀφείλουσι γάρ, φασι, πάντες οἱ πιστοὶ πρὸς τὴν ἄνω καὶ μακαρίαν ζωὴν ἀποβλέπειν, καὶ μετὰ φόβου Θεοῦ ἀναστρέφεσθαι, ἐφ' ᾧ πλησιάσαι αὐτῷ κατὰ τὸ ἐφικτόν, καὶ τὸν ἔνδον μᾶλλον ἄνθρωπον, ἤγουν τὴν ψυχήν, διὰ πάσης ἀρετῆς κοσμεῖν, καὶ μὴ τὸν ἐκτός. εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διάγει ἐφεξῆς, ἀφορισμῷ καθυποβληθήσεται. φησὶ δὲ καὶ ὁ μέγας Παῦλος, ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι. καὶ ὁ Μωσαϊκὸς δὲ νόμος λέγει ἐν τῷ Δευτερονομίῳ, οὐ ποιήσετε σισόην ἐκ τῆς κεφαλῆς ὑμῶν. σημείωσαι οὖν ταῦτα, διὰ τοὺς κλώθοντας ἢ πλέκοντας ἢ βάπτοντας ἢ μετὰ ὕδατος βρέχοντας, ἢ ἄλλως πως πληθύνοντας καὶ καλλωπίζοντας τὰς οἰκείας τρίχας, ἢ ταύταις ἀλλοτρίας συνάπτοντας· ὡσαύτως καὶ τοὺς καλλύνοντας κατὰ γυναῖκας τὰ περὶ τὴν κεφαλὴν μέρη αὐτῶν.

C

D

ΖΩΝΑΡ. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ὁ μέγας Παῦλός φησιν· οἱ δὲ διὰ τοῦ θείου βαπτίσματος τὸν Χριστὸν ἐνδυσάμενοι, κατ' ἐκεῖνον ὀφείλουσι πολιτεύεσθαι, καὶ πᾶσαν ἁγνείαν καὶ σωφροσύνην μετιέναι καὶ καθαρότητα, καὶ μὴ τῇ τῆς ὕλης προσπεπηγέναι ματαιότητι, καὶ τὸ σῶμα κοσμεῖν περιττῶς τε καὶ περιέργως. τί δ' ἂν γένοιτο περιεργότερόν τε καὶ περιττότερον κόσμημα τοῦ τὰς τρίχας τῆς κεφαλῆς πλέκειν, καὶ εὖ διατιθέναι καὶ διασκευάζειν, δέλεαρ αὐτὸν ἀπάτην προτιθέντας ταῖς ἀστηρίκτοις πρὸς τὴν πίστιν ψυχαῖς, κἀντεῦθεν πρὸς ἀκολασίαν ἐνολισθοῖς; οἱ μὲν οὖν θεῖοι πατέρες ἐκεῖνοι τοῦ δι' ἐμπλοκῆς συνθετίζειν καὶ διασκευάζειν τὰς κόμας ἐμνήσθησαν. οὐδὲν γὰρ ἕτερον τότε περὶ τὴν κόμην τισίν, ὡς ἔοικε, περιείργαστο, οἷα νῦν τοῖς τριχοβάπταις καὶ τριχοπλάσταις περιεργάζεται, πᾶσαν σπουδὴν ποιουμένοις κομᾶν, καὶ γυναικώδεις φέρειν βοστρύχους μέχρι ζωστῆρος καθιεμένους, εἰ δυνατόν. τοῦτο δ' οὐκ ἐκ μόνου τοῦ μὴ κείρειν τῆς κόμης τὸ περιττὸν σφίσιν ἐπιτετήδευται, ἀλλὰ πρὸς τὸ μὴ σίδηρον ἀναβαίνειν ἐπὶ τῆς κεφαλῆς αὐτῶν, καὶ ἅπασαν τὴν κόμην τρέφειν αὐτοῖς πεφυκός, καὶ βαθεῖαν ποιεῖν περιείργασται. πλάττονταί τε σφίσιν αἱ κόμαι καλάμοις συνδεύμεναι, ἵν' αὐταῖς οὐλότης προσγένηται καὶ βάπτονται δέ, ἵν' εἶεν ξανθαὶ καὶ χρυσίζουσαι. οἱ δὲ καὶ ὕδατι τὴν τρίχα τῆς κεφαλῆς ποιοῦντες διάβροχον, εἰληθερεῖσθαι ταύτην ἐν ἀκμῇ θέρους ἀνέχονται, ἵν' αὐτοῖς τὸ μέλαν μεταβληθείη τὸ τῶν τριχῶν· εἰσὶ δ' οἳ καὶ νόθους πλοκάμους περιτιθέασιν ἑαυτοῖς, τὴν ἐγγενῆ τε καὶ σύμφυῆ ξυρώμενοι τρίχωσιν. καὶ ἡ μὲν κόμη νῦν οὕτω τοῖς πλείοσιν

E

F

Canon XCVI.

Qui Chriſtum per baptiſmum induerunt, ejus in carne vitæ agendæ rationem imitari profeſſi ſunt. Eos ergo, qui capillos ad videntium detrimentum ſcitè excogitatis nexibus adornant & componunt, & infirmis animis eſcam ea ratione objiciunt, convenienti ſupplicio paterne curamus, ipſos inſtituentes & temperanter vivere docentes, ut relicta fraude & vanitate, quæ ex ſordibus mundanis oritur, ad interitûs expertem beatamque vitam mentem aſſidue traducant, & in timore puram & ſanctam converſationem habeant, & Deo, quoad ejus fieri poteſt, appropinquent, per vitæ puritatem, & internum magis quàm externum hominem virtutibus & bonis inculpatiſque moribus exornent, ut nullas in ſe ferant reliquias perverſitatis uſque adeò repugnantis: ſi quis autem præter hunc canonem verſatus ſit, excommunicetur.

Bals. Ex magni Pauli Epiſtola ad Galatas ducto principio, quæ quidem præciſè dicit, Quicunque in Chriſtum baptizati eſtis, Chriſtum induiſtis, ſtatuerunt ſancti Patres eos pœna inflicta corrigere, qui ſcitè excogitatis compoſitiſque nexibus capillos pleniores & elegantiores efficiunt, ut per ipſos, veluti per eſcam quampiam, infirmorum animas attrahant. Debent enim, inquiunt, omnes fideles ad ſupernam beatámque vitam reſpicere, & cum Dei timore converſari: ut, quoad ejus fieri poteſt, ad eum appropinquent, & internum magis hominem, animum ſcilicet, omni virtute exornent, & non externum. Si quis autem præter præſentem canonem deinceps vitam inſtituit, ſegregationi ſubjicietur. Dicit autem & magnus Paulus, Vir, ſi comam alit, eſt illi ignominia. Porrò & lex Moſaica dicit in Deuteronomio, Non facietis cincinnos in capite veſtro. Nota ergo hæc, propter eos qui capillos nectunt, vel implicant, vel tingunt, vel cum aqua madefaciunt, vel aliquo alio modo capillos ſuos pleniores elegantioreſque faciunt, vel iis alienos connectunt: ſimiliter & propter eos, qui inſtar mulierum partes, quæ ſunt circa ſuum caput, ornant.

Zonar. Quicunque in Chriſtum baptizati eſtis, magnus Paulus ait, Chriſtum induiſtis. Qui vero divino baptiſmo initiati Chriſtum induerunt, ad illius vivendi normam mores conformare, omneſque puritatis, temperantiæ atque innocentiæ numeros implere, nec verò rerum terrenarum vanitati adhæreſcere, aut ſupervacuo nimiſq; affectato & operoſo corporis ornatui indulgere decet. Quæ porro magis affectata ac ſupervacanea exornandi corporis ratio, quam eorum, qui capillum variis nexibus implicant, multa arte diſponunt, in partes concinne dividunt, eoque imbecilliores in fide animos, quique propterea ad intemperantiam facilius delabuntur, velut quadam eſca deceptos, in fraudem alliciunt? Igitur divini illi Patres implexi nodis apteque ac ſtudioſe compoſiti capilli meminere. Nihil enim aliud, ut videtur, in ornatu comarum eo tempore peccabatur. Nihil eorum ſcilicet, quæ noſtris temporibus in capillo tingendo fingendóque homines elaborant; qui quidem omne ſtudium ſuum eo conferunt, ut comam alant, ac cincinnorum fimbrias, fœminarum ritu, ſi fieri poſſit, ad zonam uſque demittant. In quo non ſolùm illi nimirum de non tondendo capillo ſolliciti ſunt, ſed etiam, præterquam quod ferramenti omne genus à capite amovent, omnia præterea comæ nutriendæ aut augendæ medicamenta ſtudioſe nimis atque accuratè conquirunt. Fingunt ſibi exinde crines, calamiſtro, quo criſpi fiant, intorquentes; tingunt quoque, ut flaveſcant, & auri ſpeciem referant. Alii aqua madefactos in ſole explicant, ejuſque radiis torreri patiuntur, ut ater inde capillorum color immutetur. Sunt etiam qui mentitam cæſariem, nativo ac ingenito crine abraſo, induunt. Atque hæc quidem hoc tempore, in componendo ornandóque capillo, à plurimis uſurpantur. Contra vero omnia, quod ad barbam attinet, fieri conſuevere. Quibus etenim juvenilis ille floſculus primum innaſcitur, illum ſubitò, ne in lanuginem excreſcat, ſed ipſorum in facie lævitas oberret, ſintque mulierum inſtar teneri ac molles, abradi jubent. Quibus vero longius ætate provectis denſiores fere pili mento enaſcuntur, illi, ne demiſſiore barba conſpiciantur, à novacula quidem abſtinent, teſtæ vero ignito fragmento barbæ admoto, quicquid è mento altiùs eminet depaſcuntur, tantúmque linquunt, ut lanuginis modo pubeſcentis ſimilitudo appareat; ac jam in viros adſciti, nihil ab adoleſcentioribus, primo ævi flore pubeſcentibus, differre videantur. Quæ quidem, non à tenuioribus modo, ſed ab ipſis quoque longe amplioris fortunæ hominibus uſurpantur. Hinc diffuſum longe latéque malum univerſos pene occupavit, ac inſtar peſtis cujuſdam, in eos qui Chriſtianorum nomine cenſentur irruens, ubique fere graſſatur. Idque cum in Deuteronomio quidem divinum illud & antiquiſſimum extet præceptum, Non facietis, inquit, cincinnos in capite veſtro, neque barbæ veſtræ ſpeciem corrumpetis. Et magnus quoque Paulus ait, Vir, ſi comam nutriat, ignominia illi eſt. Hujus itaque Synodi Patres, quicunque eorum, quæ ſupra ab ipſis commemorata ſunt, quidpiam admiſerit, paterne in illos animadverti, ac ſegregatione puniri volunt. Noſtri vero Patres hoc tempore, qui in capillo & barba ea quæ diximus peccant, ac deformiùs adhuc laſciviunt, eoque ornatu Eccleſiam ingrediuntur, non modo impunè abire patiuntur; ſed & iis benedicunt, & ſacra myſteria communicare volentibus, (proh facinus) impertiunt. Neque verò qui hæc prohibeat quiſquam eſt: non Patriarchæ, non alii Præſules, non Monachi demum, quos parentum ſe ſpiritualium loco tam inſigniter inverecundi homines agnoſcere profitentur.

Arist. *Qui capillos artificioſis nexibus intorquent, in ſpectantium perniciem, ſegregantur.*

Eos qui caput adornant, & capillos ſuos nexibus concinnè diſponunt, ad ſimpliciorum damnum eorumque qui ſocordius vivunt, ſegregari decrevit Synodus. Nos enim puram oportet habere converſationem & in timore, & Deo appropinquare, quantum poſſumus, per vitæ puritatem, ac internum hominem pariter ac externum virtutibus adornare.

Canon XCVII.

Eos, qui vel cum uxore cohabitant, vel alioqui indiſcriminatim ſacra loca communia faciunt, & contemptim in ea afficiuntur, & ſic in eis permanent, etiam ex catechumeniis quæ ſunt in venerabilibus templis extrudi jubemus. Si quis autem hæc non ſervaverit, ſi ſit quidem Clericus, deponatur: ſin verò Laicus, ſegregetur.

Bals. Sacra loca dicuntur, quæ ſunt Deo dedicata, ædes ſcilicet divinæ, & divinarum ædium porticus ſeu veſtibula, & catechumenia, & quæ circa ea ſunt. Neque enim ſacra loca dixeris omnia quæ ſunt Eccleſiæ attributa, domos ſcilicet, & reliqua habitacula. Quidam ergo templa tenentes, nulla penitus diſtinctione habita, cum ſuis mulieribus habitabant in catechumeniis & habitaculis, inter ſanctum & prophanum nullum penitus diſcrimen facientes, ſed promiſcuè his omnibus utentes. Quamobrem ſancti quoque Patres ſtatuerunt, eos, qui ſacra loca per contemptum communia faciunt, non ſolùm ab Eccleſiis expelli, etſi jus in eis habeant, ſed ab ipſis etiam catechumeniis. Propterea enim, nec lege quidem caverunt, ut ex templis ejicerentur, quòd id eſſet extra omnem controverſiam. Quoniam autem, qui habent Eccleſias,

A ἐνθετίζεταί τε καὶ διεσκεύασται· ἅπαν δὲ τοὐναντίον περὶ τὸν πώγωνα διαπράττεται. οἷς μὲν γὰρ ἄρτι τὸ νεοτήσιον ἄνθος φύεται, ξυρᾶται αὐτίκα, ἵνα μὴ εἰς ἴουλον καταστῇ, ἀλλὰ λειότης αὐτῶν ἐπιπρέπῃ ταῖς ὄψεσι, καὶ οἷον εἰπεῖν γυναικίζοιντό τε καὶ μαλακίζοιντο. οἷς δὲ προήκων ὁ χρόνος κατὰ συστήματα σχεδὸν ποιεῖ τὰς τρίχας τοῦ πώγωνος φύεσθαι, ἵνα μὴ τὴν ὑπήνην φέροιεν καθειμένην, οὗτοι ἀπέχονται μὲν ξυροῦ, κεράμου δ' ἐστὶ θραῦσμα ἄνθραξιν ἐκπυρούμενον τῇ ὑπήνῃ προσφέρουσι, καὶ τούτου τοῦ πώγωνος ἅπαν ἐκτεφροῦσι τὸ αἰωρούμενον, λείπουσι δὲ τοσοῦτον, ὡς δοκεῖν ἄρτι τὸν ἴουλον φύεσθαι· καὶ τοὺς εἰς ἄνδρας ἤδη τελέσαντας B νεανίσκοις ἐοικέναι πρώτοις ὑπηνήταις. ταῦτα δὲ, οὐ τοῖς τυχοῦσι μόνοις ἐπιτηδεύεται, ἀλλὰ καὶ τοῖς ὑπερλίαν αὐτοῖς. ὅθεν κατενεχθὲν τὸ κακὸν ἐγένετο πάνδημον, καὶ ὥς τι νόσημα ἐπιδήμιον ἐνσκῆψαν τοῖς χριστωνύμοις πάντας σχεδὸν ἐπιβόσκεται. καὶ ταῦτα τοῦ μὲν θείου καὶ παλαιοτάτου θεσμοῦ ἐν τῷ Δευτερονομίῳ λέγοντος, οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν. τοῦ δὲ μεγάλου Παύλου, ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, λέγοντος. οἱ μὲν οὖν τῆς συνόδου ταύτης πατέρες, τοὺς ἅπερ εἰρήκασιν ἄνω ποιοῦντας, ἐπιτιμῶσι πατρικῶς, καὶ ἀφορισμῷ ὑποβάλλουσιν. οἱ δὲ νῦν πατέρες, C τοὺς τὰ ἀπηριθμημένα ποιοῦντας περὶ τὴν κόμην τε καὶ τὸν πώγωνα, καὶ ἔτι μᾶλλον ἀσχημονοῦντας, καὶ οὕτως εἰσιόντας ἐν ἐκκλησίᾳ, οὐ μόνον ἀνεπιτιμήτους ἐῶσιν, ἀλλὰ καὶ εὐλογοῦσι, καὶ τῶν ἁγιασμάτων αὐτοῖς μεταλαβεῖν αὐτῶν βουλομένοις, βαβαὶ τῆς ἀτοπίας, μεταδιδόασι. καὶ ὁ κωλύων ταῦτα οὐδείς· οὐ Πατριάρχης, οὐκ ἄλλοι ἀρχιερεῖς, οὐ μοναχοὶ, οἷς ὡς πατράσι χρῶνται πνευματικοῖς οἱ οὕτως ἀσχημονοῦντες.

D **ΑΡΙΣΤ.** Οἱ τὰς κόμας ἐν πλοκῆς ἐπινοίᾳ πρὸς λύμην ἐργαζόμενοι τῶν ὁρώντων, ἀφορίζονται.

Τοὺς κομμοῦντας τὴν κεφαλὴν, καὶ τὰς τρίχας αὐτῶν ἐν πλοκῇ διευθετίζοντας, πρὸς βλάβην τῶν ἁπλουστέρων καὶ ῥαθύμως βιούντων, ἀφορίζεσθαι ἡ σύνοδος ὥρισε· δεῖ γὰρ ἁγνὴν τὴν ἀναστροφὴν ἡμῶν ἔχειν, καὶ ἐν φόβῳ, καὶ θεῷ πλησιάζειν, κατὰ τὸ δυνατὸν ἡμῖν, διὰ τῆς ἐν τῷ βίῳ καθάρσεως, καὶ ἀρεταῖς κοσμεῖν τὸν ἔνδον καὶ τὸν ἔξω ἄνθρωπον.

ΚΑΝΩΝ ϟζʹ.

E Τοὺς ἢ γαμετῇ συνοικοῦντας, ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμένων προστάσσομεν ἐξωθεῖσθαι. εἰ δέ τις μὴ τοῦτο παραφυλάξῃ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Ἱεροὶ τόποι λέγονται οἱ ἀφωρισμένοι τῷ Θεῷ, ἤγουν οἱ θεῖοι ναοὶ, οἱ πρόναοι, κατηχουμενεῖα, καὶ τὰ περὶ αὐτά. μηδὲ γὰρ εἴπῃς ἱεροὺς τόπους, πάντας τοὺς προσκυρωθέντας ταῖς ἐκκλησίαις, ἤγουν ἐνοικικὰ καὶ λοιπὰ οἰκήματα. τινὲς γοῦν F κατέχοντες ναοὺς κατῴκουν ἀδιαφόρως μετὰ τῶν γυναικῶν ἐν τοῖς περὶ αὐτοὺς κατηχουμενείοις καὶ οἰκήμασι, μὴ διαστέλλοντες μέσον ἁγίου καὶ βεβήλου, ἀλλ' ἀδιακρίτως τούτοις κεχρημένοι· ὅθεν καὶ διωρίσαντο οἱ ἅγιοι πατέρες, τοὺς οὕτω καταφρονητικῶς κοινοποιοῦντας τοὺς ἱεροὺς τόπους, μὴ μόνον ἀπὸ τῶν ἐκκλησιῶν ἐξωθεῖσθαι, κἂν ἔχωσι δίκαια ἐπ' αὐταῖς, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν κατηχουμενείων. διὰ γὰρ τοῦτο, οὐδὲ εἰς νομοθεσίαν ἔφερον τὸ ἐκβάλλεσθαι τούτους ἀπὸ τῶν ναῶν, ὡς εἰδότες εἶναι αὐτὸ ἀναμφίβολον. ὅτι δὲ ἤθελον οἱ ἔχοντες τὰς ἐκκλησίας κἂν τὰ κατηχουμενεῖα κατέχειν, εἶπον οἱ πατέρες, ὡς οὐ μόνον ἀπὸ τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κατηχουμενείων ἵνα ἐξωθῶνται. καλῶς δὲ οὐκ ἐμνήσθησαν ἐκκλησιῶν, ἀλλὰ ἱερῶν τόπων. τὸ γὰρ καταμένειν μετὰ γυναικὸς ἐν ἐκκλησίᾳ ἀσεβέστατόν ἐστι· καὶ οὐδὲ εἰς ἐνθύμησιν ἦλθε τοῖς πατράσι τολμηθῆναι ὅλως παρά τινος τοιοῦτον ἀσέβημα. κοινοποιοῦνται δὲ οἱ ἱεροὶ τόποι, διὰ τοῦ καταμένειν μετὰ γυναικῶν διὰ ἀλλαγῆς μελισμάτων ἀσχημόνων καὶ ἀπρεπῶν, καὶ διὰ κατασκευῆς παρακελλίων ἢ μαγειρείων ἢ ἄλλων τοιούτων. τοὺς μέντοι παραβάτας τοῦ κανόνος, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι διορίζονται· λαϊκοὺς δὲ ἀφορίζεσθαι. ἀνάγνωσον καὶ τὸ ιβ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ ε΄. βιβλίου, ὅπερ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ πη΄. κανόνος. καὶ μὴ ἐναντιωθῇ σοι, διδάσκον ὅρια τῆς ἐκκλησίας εἶναι τὰ λουτρὰ καὶ τοὺς κήπους καὶ τὰς στοὰς ταύτης, καὶ διὰ τοῦτο μὴ δύνασθαί τινα ἀφέλκειν ἐκ τούτων τοὺς προσφυγάς· κατὰ γὰρ τοῦτο καὶ μόνον δοκοῦσι καὶ ταῦτα τῆς ἐκκλησίας μέρη. ἐπείτοιγε καὶ αὐτὸ τὸ κεφ. διορίζεται ἐν τούτοις καὶ ὑπνοῦν καὶ ἐσθίειν, ἅπερ εἰς τὸν ναὸν ἐκωλύθησαν γίνεσθαι. τὸ μέντοι κα΄. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου, καὶ ἀπὸ τῆς ἐκκλησίας, καὶ ἀπὸ τῶν ὅρων ταύτης, ἐξέλκειν διορίζεται τοὺς ἀνδροφόνους τοὺς μοιχοὺς καὶ τοὺς ἅρπαγας. τοῖς γὰρ τοιούτοις τόπος ἀσυλίας οὐκ ἔστιν· ὅτι, φησὶν, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις οἱ νόμοι βοηθοῦσιν. ἀνάγνωθι καὶ τὴν ογ΄. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, παρομοίως κολάζουσαν καὶ τοὺς ἐπιτρέποντας τὴν εἰς τὰ κατηχούμενα κατοικίαν.

ΖΩΝΑΡ. Ἱεροὺς τόπους οὐ τοὺς θείους ναοὺς ἐνταῦθα καλεῖ, ἀλλὰ τὰς περὶ αὐτοὺς κατοικίας, οἷά εἰσι τὰ λεγόμενα κατηχούμενα. οὐδεὶς γὰρ οὕτως ἂν εἴη τολμητίας, ὡς ἐντὸς ναοῦ συνοικεῖν γαμετῇ. ἐν οἰκίαις δὲ πάνυ συνημμέναις ναοῖς καὶ ἐν τοῖς κατηχουμένοις ᾤκουν τινὲς μὴ σεμνῶς ἴσως βιοῦντες, καὶ καταφρονητικῶς εἶχον περὶ τοὺς τόπους τοὺς ἱερούς, ἀδιακρίτως οἰκοῦντες ἐν αὐτοῖς, ἀντὶ τοῦ μὴ διαστέλλοντες μηδὲ διαχωρίζοντες μέσον ἁγίου καὶ βεβήλου. τοὺς οὖν οὕτως ἔχοντας ἐξωθεῖσθαι τῶν κατηχουμένων ὁ κανὼν διατάττεται, καὶ τοὺς μὴ φυλάττοντας αὐτὸν, κληρικοὺς μὲν καθαιρεῖσθαι· λαϊκοὺς δὲ ἀφορίζεσθαι. ὅτι δὲ καὶ τὰ συγκείμενα τοῖς θείοις ναοῖς προνομίων ἀξιοῦνται, φησὶ τὸ δωδέκατον κεφάλαιον τοῦ πρώτου τίτλου τοῦ ε΄. βιβλίου, περιέχον οὕτως· μέχρι τῶν ἐπὶ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν.

ΑΡΙΣΤ. Ὁ ὑπόγυναιος, καὶ καταφρονητικῶς μένων ἐν τῷ ναῷ, ἐξωθείσθω καὶ τῶν κατηχουμενείων· εἰ δὲ μὴ παραφυλάττοι, καθαιρείσθω, ἢ ἀφοριζέσθω.

Οἱ κοινοποιοῦντες τοὺς ἱεροὺς οἴκους, καὶ ἐν αὐτοῖς καταφρονητικῶς καταμένοντες, κἂν ἄζυγοί εἰσιν, ἐξωθοῦνται καὶ τῶν κατηχουμενείων· ὡσαύτως καὶ οἱ γυναιξὶ συνοικοῦντες, καὶ οἰκοῦντες ἐν αὐτοῖς· καὶ ὅστις τοῦτο οὐ παραφυλάξει, ἀλλὰ ἀδιακρίτως ἔχει περὶ αὐτοὺς τοὺς θείους ναοὺς, εἰ μὲν κληρικός ἐστι, καθαιρεῖται· εἰ δὲ λαϊκὸς, ἀφορίζεται.

A Catechumenia quoque detinent, dixerunt Patres, quòd non ſolùm ab Eccleſiis, ſed etiam à Catechumeniis expellentur. Pulchrè autem admodum Eccleſiarum mentionem non fecerunt, ſed ſacrorum locorum. Cum muliere enim in Eccleſiis habitare eſt maximè impium: & nec Patribus quidem venit in mentem, fore ut ab ullo tam impium ſcelus ſuſcipiatur. Fiunt autem ſacra loca communia, per turpium & minimè decentium cantuum communicationem, ex eo quòd cum mulieribus in iis maneatur, & per cellularum vel coquinarum & aliorum ejuſmodi extructionem. Ac canonis quidem tranſgreſſores, ſi ſint quidem Clerici, deponendos decernunt: Laicos verò excommunicandos. Lege & xii. cap. primi tit. v. B lib. quod poſitum eſt in interpretatione lxxxviii. can. Nec tibi contrarium eſſe videatur, quòd doceat terminos Eccleſiæ eſſe lavacra & hortos & porticus ejus, & propterea non poſſe quempiam ex iis eos abſtrahere, qui illuc confugerunt: in eo enim ſolo videntur eſſe partes Eccleſiæ. Ipſum enim caput in iis & dormire & comeſſe quoque poſſe decernit: quæ quidem in templo fieri prohibentur. Ac viceſimum quidem primum ejuſdem libri & tit. caput & ab Eccleſia, & ab ejus finibus, extrahendos eſſe decernit homicidas, adulteros & raptores. Ejuſmodi enim hominibus nullus eſt aſyli locus: quoniam, inquit, non iis, qui injuria afficiunt, ſed iis qui injuria afficiuntur, leges auxilium ferunt. Lege & lxxiii. Imp. do- C mini Leonis Philoſophi Novellam, quæ eos etiam ſimiliter punit, qui in Catechumeniis habitari permittunt.

Zonar. Sacrorum locorum nomine, non hic templa, ſed adjunctas templis habitationes, qualia ſunt, quæ Catechumena appellantur, intelligit. Neque enim quiſquam audax adeo fuerit, ut intra divini templi ſepta cum uxore habitare velit. In ædibus verò templis adjunctis, & in Catechumeniis nonnulli degebant, qui forte vitam haud ſatis caſtè integréque agerent, quique ſacrorum locorum dignitatem contemnerent, ac in iis ſine diſcrimine, hoc eſt, quid inter ſacrum & profanum intereſſet minimè æſtimantes, verſarentur. Eos igitur homi- D nes è Catechumeniis canon ejiciendos eſſe decernit, quique non paruerint, depoſitione Clericos: Laicos vero ſegregatione teneri jubet. Suis verò prærogativis adjuncta quoque ſacris ædibus loca ornata fuiſſe, ex iis facile apparet, quæ duodecimo cap. tituli primi libri quinti ſic habentur. Quicunque ad Eccleſiam confugerint, uſque ad fori publici terminos ſecuritate fruantur; ſive in interioribus lavacris, ſive hortis, aut domibus, aut porticibus, aut aulis commorentur. Neque cuiquam intra ipſius templi fines cubandi cibive ſumendi fiat facultas.

Ariſt. *Uxori addictus, & per contemptum in templo* E *manens, è Catechumeniis etiam expellatur. Si hoc autem non ſervaverit, deponatur, vel ſegregetur.*

Qui ſacras ædes communes faciunt, & in eis ſine reſpectu permanent, etiamſi cœlibes ſint, extruduntur etiam è Catechumeniis. Similiter & qui cum uxoribus ſuis cohabitant, & in eis commorantur. Et quicunque hoc non obſervaverit, ſed indifferenter ſe geſſerit erga ipſas divinas ædes, ſi quidem Clericus eſt, deponitur: ſin verò Laicus, ſegregatur.

F

Canon

A

Canon XCVIII.

Qui alteri deſponſam mulierem, eo adhuc vivo cui deſponſata eſt, in nuptiarum ducit ſocietatem, adulterii crimini ſubjiciatur.

Bals. Legiſlatores ſponſalia definiunt, mentionem ac promiſſionem futurarum nuptiarum. Dicebant ergo nonnulli, quòd ſi quis alteri deſponſam in matrimonium duxerit, non eſt adulter, ſed neque fornicator. Neque enim fornicationem admiſit, quòd cum ea legitimo matrimonio junctus eſt. Neque verò adulterium perpetravit, quoniam non eſt adhuc ſub marito. Hoc ergo non admittentes ſancti Patres, decreverunt, ut tanquam adulter condemnetur, qui ad nuptiarum ſocietatem eam accepit, quæ eſt alteri deſponſa; utpote quòd inter ſponſos oſculum proceſſit, & arrhæ datæ ſunt pro contrahentium partium ſecuritate. Nec ſponſus aliam uxorem potuit aliter ducere, niſi legitimè prima ſponſalia ſolverit. Et hæc quidem ex præſenti canone. Multo autem magis is nunc ut adulter condemnabitur, quando ex illuſtris Imperatoris domini Alexii Comneni veneranda novella de ſponſalibus, Sponſalia ferè in omnibus perfectis nuptiis æquivalent: nec aliis modis ſolvuntur, quàm quibus jam perfectum diſtrahitur matrimonium. Ne mireris autem, Patres nihil de muliere ſtatuiſſe. Si is enim punitur, qui eam ducit, qui forte uti poteſt prætextu ignorantiæ, multo magis punietur mulier, quæ nihil tale poteſt dicere, dum vivit ejus ſponſus. Ille quidem punietur ut adulter, qui cùm alteri deſponſam eſſe ſciret, eam uxorem duxerit. Mulier autem, quomodocunque ſe res habeat, ut adultera punietur. Quid verò? Qui in matrimonii ſocietatem alienam ſponſam ducit, ut adulter punitur: qui verò cum ea fornicatus eſt, non ut adulter punitur? Solutio. Sive in matrimonio, ſive fornicatoriè quis cum ea, quæ alterius eſt ſponſa, ſciens rem habuerit, ut adulter punitur. Ille enim ſolus, qui ſponſalia ignoravit, ut fornicator punitur. Adjicitur autem canoni, ad matrimonii ſocietatem aliquem alterius ſponſam uxorem ducere, propter cauſam priùs declaratam in principio interpretationis. Et hæc quidem de muliere alteri deſponſa dicta ſunt. Si enim non proceſſerunt ſponſalia, ſed conventa pœnæ ſtipulatione munita, cujuſmodi ſunt, quæ hodie fiunt matrimonii vincula; non punietur quis ex eo, quo pacta conventa tranſgreſſus ſit, & cum alia perſona matrimonium contraxerit. Scias autem, quòd à lege Moſaïca ſponſalia pro nuptiis reputabantur, & ſponſa uxor nominabatur, & ſi vir alter eam ducebat, ut adulter puniebatur. Dicit enim lex in veteri Teſtamento; Et humiliavit uxorem proximi, ejus ſcilicet ſponſam devirginavit. Porrò ſancta quoque Virgo & Dei mater, itidem Joſephi uxor appellata eſt. Dicit enim Divinum & ſacrum Evangelium, Ne timeas accipere Mariam uxorem tuam. Lege & xciii. Novellam Imperatoris domini Leonis Philoſophi, quæ ſolvi ſponſalia ſtatuit, ſi poſtea mulier prægnans inventa fuerit ex præcedente alieni ſeminis ſuſceptione.

Altera Interpretatio.

Nota ex præcedenti canone, quod & ante Imperatoris domini Alexii Comneni Novellam ſponſalia, niſi juſtam ob cauſam, non diſſolvebantur. Propterea enim in adulterii crimen incidebat, qui vel fornicatione, vel matrimonio alterius ſponſæ conjunctus eſt. Sed & hoc præterea ſcias, quod ſancti Patres, ut ait Canon, eum, qui alterius ſponſam in matrimonium ducit, adulterii

ΚΑΝΩΝ ϟη´.

Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

ΒΑΛΣ. Τὴν μνηστείαν οἱ νομοθέται ὁρίζονται μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. ἔλεγον οὖν τινες, ὡς εἴτις τὴν ἑτέρῳ μνηστευθεῖσαν κατὰ νόμον γάμου ἀγάγηται, B οὐκ ἔστι μοιχὸς, ἀλλ᾽ οὐδὲ πόρνος. πορνείαν μὲν γὰρ οὐχ ἥμαρτεν, ὅτι νομίμως συνεζύγη μετὰ ταύτης. μοιχείαν δὲ οὐκ ἐπλημμέλησεν, ὅτι ὕπανδρος οὐκ ἔτι ἐστίν. τοῦτο τοίνυν μὴ παραδεξάμενοι οἱ ἅγιοι πατέρες, ὥρισαν, ὡς μοιχὸν κατακρίνεσθαι τὸν πρὸς γάμου κοινωνίαν λαμβάνοντα τὴν ἑτέρῳ μεμνηστευμένην, ὅτι τε φίλημα προέβη μέσον τῶν μνηστιῶν, καὶ ἀῤῥαβῶνες ἐδόθησαν χάριν ἀσφαλείας τῶν συναλλαξάντων μερῶν. καὶ οὐκ ἄλλως ὁ μνηστὴρ ἑτέραν γυναῖκα λαβεῖν ἠδύνατο, εἰ μὴ κατὰ νόμους τὴν πρώτην μνηστείαν ἔλυσε. καὶ ἀπὸ μὲν τοῦ κανόνος ταῦτα. πολλῷ δὲ πλέον σήμερον ὡς μοιχὸς ὁ τοιοῦτος κατακριθήσεται, ὅταν ἀπὸ C τῆς περὶ μνηστείας προσκυνητῆς νεαρᾶς τοῦ ἀοιδίμου ἁγίου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἡ μνηστεία κατὰ πάντα σχεδὸν ἰσοδυναμεῖ τῷ τελείῳ γάμῳ· καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ᾽ οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον. μὴ θαυμάσῃς δὲ, ὅτι περὶ τῆς γυναικὸς οὐκ ἐθεσμοθετήθη τι παρὰ τῶν πατέρων. εἰ γὰρ κολάζεται ὁ ταύτην ἀγόμενος, δυνάμενος ἴσως προβάλλεσθαι καὶ ἄγνοιαν, πολλῷ πλέον ἡ γυνὴ τιμωρηθήσεται ἡ μηδὲν τοιοῦτον εἰπεῖν ἰσχύουσα ζῶντος τοῦ μνηστῆρος αὐτῆς. ἐκεῖνος μέντοι ὡς μοιχὸς τιμωρηθήσεται, ὁ ἐν εἰδήσει, τὴν μεμνηστευμένην ἑτέρῳ γαμήσας· ἡ δὲ γυνὴ, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, D ὡς μοιχαλὶς κολασθήσεται. τί δέ; ὁ μὲν εἰς γάμου κοινωνίαν ἀγόμενος τὴν ἀλλοτρίαν μνηστὴν, ὡς μοιχὸς κολάζεται, ὁ δὲ πορνεύσας μετὰ ταύτης, οὐ τιμωρεῖται ὡς μοιχός; Λύσις. εἴτε κατὰ γάμου κοινωνίαν, εἴτε πορνικῶς συμφθαρῇ τις ἐν εἰδήσει μετὰ τῆς ἑτέρῳ μεμνηστευμένης, ὡς μοιχὸς κολάζεται. μόνος γὰρ ὁ ἀγνοήσας τὴν μνηστείαν ὡς πόρνος τιμωρεῖται. πρόσκειται δὲ τῷ κανόνι τὸ πρὸς γάμου κοινωνίαν ἀγαγέσθαι τινὰ τὴν τοῦ ἑτέρου μνηστὴν, διὰ τὴν δηλωθεῖσαν αἰτίαν ἐν τῇ ἀρχῇ τῆς ἑρμηνείας. καὶ ταῦτα μὲν περὶ μεμνηστευμένης ἑτέρῳ γυναικός. εἰ γὰρ οὐ προέβη μνηστεία, ἀλλὰ συμφωνία δόσει προστίμου κατωχυρωμένη, οἷά εἰσι τὰ σήμερον γινόμενα δεσμο- E τικὰ χαρτία, οὐ τιμωρηθήσεταί τις ἐκ τούτου, ὡς παραβαίνων τὰ συμφωνημένα, καὶ συναλλάττων μεθ᾽ ἑτέρου προσώπου γάμον. γίνωσκε δὲ, ὅτι καὶ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου ἡ μνηστεία ὡς γάμος ἐλογίζετο· καὶ ἡ μνηστὴ γαμετὴ κατωνομάζετο, καὶ ὁ ταύτην ἀγόμενος ἕτερος ἀνὴρ, ὡς μοιχὸς ἐκολάζετο. φησὶ γὰρ ὁ νόμος ἐν τῇ παλαιᾷ. καὶ ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον, ἤγουν διεπαρθένευσε τὴν μνηστὴν τούτου. καὶ ἡ ἁγία παρθένος καὶ θεομήτωρ, οὕτω γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε. φησὶ γὰρ τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον, μὴ φοβηθῇς παραλαβεῖν Μαρίαν τὴν γυναῖκά σου. ἀνάγνωθι καὶ τὴν ϟγ´. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, διοριζομένην λύεσθαι τὴν μνηστείαν, ἐὰν F μετὰ ταύτην ἡ γυνὴ φωραθείη ἐγκυμονοῦσα ἐκ προϋποδοχῆς ἀλλοτρίων σπερμάτων.

Ἑτέρα ἑρμηνεία.

Σημείωσαι ἀπὸ τοῦ παρόντος καν. ὅτι καὶ πρὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, οὐκ ἐλύετο ἡ μνηστεία, εἰ μὴ ἀπὸ εὐλόγων αἰτιῶν. διὰ γὰρ τοῦτο καὶ τῷ τῆς μοιχείας ὑπέπιπτεν ἐγκλήματι ὁ συναπτόμενος πορνικῶς ἢ γαμικῶς τῇ ἑτέρῳ μεμνηστευμένῃ· γίνωσκε δὲ καὶ τοῦτο, ὅτι οἱ μὲν ἅγιοι πατέρες, ὡς ὁ κανών φησι, τῷ τῆς μοιχείας ἐγκλήματι καθυποβάλλουσι τὸν τὴν τοῦ ἑτέρου μνηστὴν εἰς γάμον ἀγόμενον. τινὲς δὲ τῶν λογίων ἐνθεν τῆς τοιαύτης ἐνοχῆς συνηθῶς αὐτὸν ἀπαλλάττουσι· λέγουσι γὰρ, ὡς ἐὰν πρὸ τοῦ γάμου συνέλθωσιν ὅ,τε μνηστὴρ καὶ ἡ μνηστὴ, καὶ τέκωσι παῖδα, φυσικὸν εἶναι τοῦτον καὶ πορνογενῆ· ἑνὸς τῶν μνηστήρων τελευτήσαντος πρὸ τοῦ γάμου. ἡμεῖς δέ φαμεν, ὅτι καὶ πρὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τῆς ἐξισωσάσης τὴν μνηστείαν κατὰ πάντα τῷ γάμῳ, τοῖς μνηστῆρσι γαμικὰ κατ' ἀλλήλων παρὰ τῶν νόμων ἐδόθησαν δίκαια. ἥ,τε γὰρ μνηστὴ, πρὸ τῶν γάμων λυομένης τῆς μνηστείας, τὴν περὶ προικὸς ἀγωγὴν ἐκίνει χάριν τῆς δοθείσης τῷ μνηστῆρι προικὸς, κατὰ τὸ δεύτερον θέμα τοῦ ιζ. κεφ. τοῦ ζ. τίτλου τοῦ θ'. βιβλίου, λέγον· ἡ μνηστὴ διδοῦσα προῖκα, εἰ μὴ γαμηθῇ, ἔχει τὸ τῆς προικὸς προνόμιον· καὶ κατὰ τὸ οδ'. κεφ. τοῦ α'. τίτλου, τοῦ κθ'. βιβλίου, λέγον, ἡ μνηστὴ παρεχομένη προῖκα καὶ μὴ γαμηθεῖσα, καὶ ἡ ἥττων τῶν ιβ'. ἐτῶν, προνόμιον ἔχει ἀπαιτήσεως κατὰ μίμησιν τῆς προικός· τὸ δὲ προνόμιον ἐν ταῖς προσωπικαῖς ἀγωγαῖς χώραν ἔχει· καὶ μνηστὴρ, κατά τε τὸν παρόντα κανόνα καὶ κατὰ τὸ η'. κεφ. τοῦ νη'. τίτλου τοῦ ξ'. βιβλίου, καὶ κατὰ τὸ γ'. θέμα τοῦ ιβ'. κεφ. τοῦ ξ'. τίτλου τοῦ ζ'. βιβλίου, δικαίῳ ἀνδρὸς ἐκίνει τὸ μοιχικὸν κατά τε τῆς μνηστῆς ἑτέρῳ συμφθαρείσης πρὸ τοῦ γάμου, καὶ κατὰ τοῦ ταύτην μοιχεύσαντος. εἰ γοῦν πρὸ τῆς νεαρᾶς τοιαῦτα δίκαια εἶχον κατ' ἀλλήλων οἱ μνηστῆρες, πολλῷ πλέον διὰ τὴν νεαρὰν, τὴν διοριζομένην ἰσοδυναμεῖν κατὰ πάντα τὴν μνηστείαν τῷ γάμῳ, διὰ τὴν τῶν ἁγίων καὶ θείων εὐχῶν τελετήν· διὸ καὶ ὁμόζυγος ὁ μνηστὴρ κληθήσεται τῆς ἰδίας μνηστῆς· καὶ ὁ ἐξ αὐτῶν γεννηθεὶς, γνήσιος αὐτῶν ἔσται παῖς καὶ κληρονόμος, καὶ ὑπεξούσιος τῷ πατρί· ἐκ τοῦ μὴ γενέσθαι τὸν γάμον, κατὰ μηδένα λόγον ἐμποδιζόμενος.

ΖΩΝΑΡ. Νῦν μὲν ἡ μνηστεία γάμῳ ἰσοδυναμεῖ, ἐκ νεαρᾶς τοῦ βασιλέως Κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ. καὶ πάλαι δὲ, ἐπεὶ φίλημα τῶν μνηστευομένων ἐπὶ τῇ μνηστείᾳ ἐγίνετο, καὶ ἀρραβὼν τῇ γυναικὶ παρείχετο παρὰ τοῦ ἀνδρὸς, εἰκότως καὶ τότε ὁ ζῶντος τοῦ μνήστορος τὴν μνηστὴν εἰς γάμον ἀγόμενος, τῷ τῆς μοιχείας ἐγκλήματι καθίστατο ἔνοχος. κἂν ἐξῆν τότε λύειν τὴν μνηστείαν τῆς ποινῆς τοῦ προστίμου παρεχομένης. ἀλλ' εἰ, μήπω τῆς μνηστείας λυθείσης, μνηστὴ ἦν ἡ γυνὴ ἑτέρου, καὶ ὁ ταύτην λαβὼν μοιχὸς εἰκότως ἐκρίνετο. ὅπου δὲ οὔτε φίλημα οὔτε δόσις ἀρραβῶνος παρηκολούθησεν, ὡς νῦν γίνεται ἐπὶ τῶν λεγομένων δεσμῶν, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, οὐχ ὑποπεσεῖται τῷ τῆς μοιχείας ἐγκλήματι.

ΑΡΙΣΤ. Μοιχός ἐστιν ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος. Σαφής.

ΚΑΝΩΝ ϟθ'.

Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι μεμαθήκαμεν, ὥς τινες ἔνδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες, προσάγουσιν ἀφαιρέματα τοῖς ἱερεῦσιν, Ἰουδαϊκῶς ἀπονέμοντες· ὅθεν τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀκηλίδωτον, ὁρίζομεν, μὴ ἐξεῖναί τινι τῶν ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγόντων λαμβάνειν, ἀλλ' οἷς ἀρεσθῇ ὁ προσάγων, τούτοις ἀρκείσθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς· εἰ δέ τις μὴ τοῦτο ποιῇ, ἀφοριζέσθω.

ΒΑΛΣ. Οἶδας, ὅτι τοῦ Μωϋσέως κελεύσαντος τοῖς Ἰσραηλίταις, κατὰ τὸν καιρὸν τῆς ἀπὸ τῆς Αἰγύπτου ἐξελεύσεως αὐτῶν, σφαγιάσαι ἀμνὸν, καὶ χρίσαι διὰ τοῦ αἵματος τὰς φλιὰς τῶν οἰκιῶν αὐτῶν, ὅπως φύγωσι τὸν ἐκ τοῦ ὀλοθρευτοῦ τῶν πρωτοτόκων κίνδυνον, δέδοκται παρὰ Ἰουδαίοις διὰ θυσίας ἀμνοῦ καὶ ἄλλων τινῶν ζώων ἐξιλεοῦσθαι τὸν θεὸν ἐν ἡμέραις τισίν. ἡ δὲ θυσία αὕτη ἐν ἄλλῳ μὲν τόπῳ ἐγίνετο, ἐν ἑτέροις δὲ τὰ κρέα ἕψετο καὶ ἐμερίζετο. τινὰ γοῦν μέρη τοῦ θυομένου ζώου τοῖς ἱερεῦσι προσήγοντο διὰ λόγους τινὰς, περὶ ὧν οὐκ ἔστι καιρὸς λέγειν. ἐπεὶ

A crimini ſubjiciunt. Nonnulli autem è doctis nimirum, iſtiuſmodi obligatione eum artificiosè liberant. Dicunt enim, quòd ſi ante nuptias ſponſus & ſponſa conveniant, & filium procreaverint, naturale id eſſe peccatum, & fornicationis ſpeciem: ſi unus è deſponſis ante nuptias moriatur. Nos autem dicimus, quòd etiam ante Imperatoris domini Alexii Comneni novellam, quæ matrimonio in omnibus ſponſalia æquiparavit, ſponſis matrimonialia in ſe invicem jura à legibus conceſſa ſunt. Sponſa enim, ſi ſponſalia ante nuptias diſſolvantur, de dote actionem movet ob datam ſponſo dotem, juxta ſecundum thema cap. xvii. tit. vii. B lib. ix. dicens: Mulier dotem dans, ſi nupta non fuerit, dotis privilegium habet. Et juxta cap. lxxiv. tit. i. lib. xxix. dicens: Sponſa, quæ dotem dedit, & non nupſit, & quæ minor eſt xii. annis, privilegium repetendi habet ſecundùm dotis ſimilitudinem. Privilegium autem in actionibus perſonalibus locum habet. Et ſponſus, juxta præſentem Canonem, & cap. viii. tit. lviii. lib. lx. & thema iii. cap. xii. tit. vii. lib. lx. jure viri, tam contra ſponſam ab alio ante nuptias corruptam, quam contra eum qui cum ea adulterium commiſit, adulterii actionem movebat. Si ſponſi itaque ante novellam hujuſmodi in ſe invicem jura habuerant, multò magis per C novellam, quæ ſponſalia nuptiis ob ſacrarum, divinarumque precum celebrationem in omnibus æquivalere ſtatuit. Quapropter etiam conjux ſuæ ſponſæ appellabitur ſponſus; & qui ex iis procreatur, legitimus eorum erit filius & hæres, & patri erit ſub poteſtate, nullo modo impeditus, quod nuptiæ non celebratæ ſunt.

Zonar. Sponſalia, hoc quidem tempore, ex Imperatoris Alexii Comneni Novella, ejuſdem ſunt cum nuptiis poteſtatis. Et olim quidem quoniam oſculum à viro in ſponſalibus cum arrabone mulieri præbitum eſſet, jure fiebat, ut qui viro ſuperſtite ſponſam du- D xiſſet, adulterii reus ageretur; ac tum ſponſalia reſcindere, & mulctam ex condicto præfinitam exigere licebat. At ſi, ſponſalibus nondum diſſolutis, mulier alterius erat ſponſa, & qui eam ducebat, adulter jure judicabatur. Quòd ſi nec oſculum nec aliquid arrabonis nomine interceſſiſſet, ut in iis, quæ dicuntur vincula, hoc tempore fieri conſuevit; tunc, etſi mulierem ſibi alter adjunxerit, ab adulterii nihilominus criminis immunis exiſtimabitur.

Arist. *Adulter eſt qui alteri deſponſam ducit.* Perſpicuus.

[E

Canon XCIX.

Porrò hoc quoque in Armeniorum regione fieri didicimus, quòd quidam intus in ſacris altaribus carnium membra coquentes fruſta offerunt Sacerdotibus Judaicè diſtribuentes. Quocirca Eccleſiam immaculatam ſervantes, ſtatuimus, nulli licere Sacerdoti ſeparata carnium membra ab offerentibus accipere; ſed iis ſint contenti, quæ offerenti viſa fuerint, ejuſmodi oblatione extra Eccleſiam factâ: ſi quis autem hoc non fecerit, ſegregetur.

F **Bals.** Scis, quòd cùm Moſes juſſiſſet Iſraëlitis, ſuæ ex Ægypto egreſſionis tempore, agnum interficere, & ejus ſanguine domorum poſtes inungere, ut, quod ex primogenitorum exterminatore impendebat, periculum effugerent: Judæis hinc viſum eſt, per agni & aliorum quorundam animalium ſacrificium, Deum quibuſdam diebus placare. Ipſum autem ſacrificium in alio quidem loco fiebat: in alio autem coquebantur carnes & dividebantur. Aliquas ergo partes animalis quod ſacrificabatur, Sacerdotibus propter aliquas rationes afferebant, de quibus non eſt dicendi tempus. Quoniam autem didicêre ſancti Patres, quòd in Armeniorum A regione per animalia quidem non fiunt ſacrificia, ſed carnium partes intra altare coquuntur, & ex iis fruſta quædam, ſcilicet membra ſeparata, pedes fortè & caput, vel aliquid ejuſmodi, Sacerdotibus more Judæorum offerunt, ſtatuerunt, nec in altari carnium membra coquere, nec extra ipſum tales ſeparatas partes Sacerdotibus offerre ex antiqua conſuetudine oportere: ſed ejuſmodi ceſſare, & Sacerdotes à Laicis oblationem ſuſcipere debere, in quibuſcunque rebus & generibus ipſi voluerint. Ut eſt autem veriſimile, propter conſuetudinem quæ in Armeniis obtinuit, conceſſerunt ſancti Patres, ut Laici Sacerdotibus offer- B rent quæ ipſi vellent. Apud nos enim nemo cogitur aliquid hujuſmodi facere. Dixerit autem quiſpiam, quomodo, cùm Canon tractet de duobus quæ in Armeniorum regione fiebant, de coquendis ſcilicet carnium membris in altari, & de fruſtis Sacerdotibus in Eccleſiâ offerendis, ſolam carnium in Eccleſia oblationem Patres prohibuerunt? Solutio. In altaribus carnium membra coquere apud Chriſtianos eſt omnino prohibitum, ex quo per animalia ceſſavit ſacrificium; & propterea de eo patribus dicere non placuit: unde & de ſolis fruſtis, quæ Sacerdotibus offeruntur, lex conſtituit; nempe cùm de eo ſolùm capite C quæſtio inſtituta eſſet.

A δὲ μεμαθήκασιν οἱ ἅγιοι πατέρες, ὡς ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων θυσίαι μὲν διὰ ζώων οὐ γίνονται, μέρη δὲ κρεῶν ἐντὸς τοῦ θυσιαστηρίου ἕψονται, καὶ ἐκ τούτων ἀφαιρέματά τινα, ἤγουν ἀφωρισμένα μέλη, πόδας τυχὸν καὶ κεφαλὴν, ἢ ἕτερόν τι τοιοῦτον, τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς προσάγουσιν, ὥρισαν, μήτε ἐντὸς τοῦ θυσιαστηρίου μέλη κρεῶν ἕψεσθαι, μήτε ἐκτὸς αὐτοῦ προσάγεσθαι τοιαῦτα ἀφωρισμένα μέλη τοῖς ἱερεῦσι κατὰ τὸ πάλαι κρατοῦν ἔθος· ἀλλὰ τὴν τοιουτότροπον προσαγωγὴν σχολάσαι, καὶ δεξιοῦσθαι τοὺς ἱερεῖς παρὰ τῶν λαϊκῶν, ἐν οἷς οὗτοι θέλουσιν εἴδεσί τε καὶ πράγμασι. ὡς ἔοικε δὲ, διὰ τὴν κρατήσασαν ἐν Ἀρμενίοις συνή- B θειαν, ἐνέδωκαν οἱ πατέρες, προσάγειν τοὺς λαϊκοὺς τοῖς ἱερεῦσι τὰ αὐτοῖς αἱρετά. παρ' ἡμῖν γὰρ οὐδεὶς ἀναγκάζεται τοιοῦτόν τι ποιεῖν. εἴποι δέ τις, πῶς τοῦ κανόνος διαλαμβάνοντος περὶ δύο τινῶν γινομένων εἰς τὴν χώραν τῶν Ἀρμενίων, ἤγουν περὶ τοῦ ἕψεσθαι μέλη κρεῶν ἐν τοῖς θυσιαστηρίοις, καὶ περὶ τοῦ ἐντὸς τῆς ἐκκλησίας προσάγεσθαι τοῖς ἱερεῦσιν ἀφαιρέματα κάτω, μόνην τὴν ἐπ' ἐκκλησίας προσαγωγὴν τῶν κρεῶν οἱ πατέρες ἐκώλυσαν; Λύσις. τὸ ἐν τοῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψεσθαι, πάντη παρὰ Χριστιανοῖς ἀπηγόρευται, ἐξότου ἡ διὰ τῶν ζώων ἐπαύθη θυσία, καὶ διὰ τοῦτο εἰπεῖν περὶ αὐτοῦ τοῖς πατράσιν οὐκ C ἔδοξεν. ὅθεν καὶ περὶ μόνων τῶν ἀφαιρεμάτων τῶν τοῖς ἱερεῦσι προσαγομένων ἡ θεσμοθεσία γέγονεν, ὡς τούτου τάχα τοῦ κεφαλαίου εἰς ἔτι πίπτοντος ὑπὸ ζήτησιν.

Zonar. Hebræorum inſtituto, quicunque ſacrificaverat, ex mactato animali pectuſculum aliáſque ejuſdem animalis particulas, non ſine ſua quidque ratione latentiſque myſterii ſignificatione, Sacerdotibus offerebant. Apud Armenios vero, nulla quidem animalia immolabantur, ſiquidem illa ſacrificandi conſuetudo Chriſtianorum legibus ſublata fuit: ſed intra altare decoctis carnibus, ex iis certa ac definita quædam Sacerdotibus largiebantur. Quam quidem conſuetudinem, quippe Judæo- D rum mores adhuc redolentem, Synodus damnat; ac carnes quidem in Eccleſia coquere, aut in eadem definita illa Sacerdotibus offerri vetat: promiſcuè vero quæcunque demum offerẽtes maluerint extra Eccleſiam offerendi, idque prorſus inveterati apud eos moris habita ratione, poteſtatem facit. Per Αφαίρεμα porro id quod offerentes largiuntur intelligi debet, ex eo ſcilicet, quòd à toto mactati animalis corpore abſtractum ſit, appellatione deducta.

ΖΩΝΑΡ. Οἱ θύοντες παρ' Ἰουδαίοις προσῆγον τοῖς ἱερεῦσιν ἐκ τοῦ τεθυμένου ζώου τὸ στηθύνιον, καὶ ἕτερα τοῦ ζώου μέρη, ἃ καὶ λόγους εἶχον, δι' οὓς προσήγοντο, καὶ ἀναγωγάς. παρὰ δὲ τοῖς Αρμενίοις, ζώων μὲν θυσίαι οὐκ ἐπράττοντο, ἐπεὶ τὸ ζῶα προσάγειν εἰς θυσίαν ἀπηγόρευται τοῖς Χριστιανοῖς. ἕψοντες δὲ κρέα τοῦ θυσιαστηρίου ἐντὸς, ἐξ ἐκείνων προσῆγον τοῖς ἱερεῦσιν ὡρισμένα τινά. ὅπερ ὡς Ἰουδαϊκὸν κωλύει ἡ σύνοδος, καὶ τὸ μὲν ἕψειν ἐν ἐκκλησίᾳ, ἢ ὡρισμένα προσά- D γειν ἐν αὐτῇ τοῖς ἱερεῦσιν ἀπαγορεύει· τὸ δὲ προσάγειν αὐτοῖς οἷα καὶ ὅσα οἱ προσάγοντες βούλονται, ἔξω τῆς ἐκκλησίας ἐφίησι, καὶ τοῦτο δὲ πάντως διὰ τὴν κρατήσασαν παρ' ἐκείνοις συνήθειαν ἐφῆκεν ἡ σύνοδος. ἀφαίρεμα δὲ τὸ προσαγόμενον λέγεται, ὡς ἐκ τοῦ ὅλου θύματος ἀφαιρούμενον.

Ariſt. *Nonnulli more Judaico carnes in templis coquunt. Qui igitur hoc permiſerit, vel quippiam ex illis acceperit, non eſt habendus Sacerdos: ſi quis autem ſuâ E ſponte offeret, ipſe, quod offerenti placuerit, accipiat, oblatione extra Eccleſiam factâ.*

ΑΡΙΣΤ. Ἰουδαϊκῶς τινες ἐν ἱεροῖς ἕψουσι κρέα. ὃς τοῦτο οὖν συγχωρήσειεν, ἢ λάβῃ τι ἐξ αὐτῶν, οὐχ ἱερεύς· εἰ δέ τις οἴκοθεν ἄγοι, ὅδε κατὰ τὸ ἀρέσκον τῷ προσάγοντι λαβέτω, ἔξω τῆς ἐκκλησίας γινομένης τῆς προσαγωγῆς.

Quidam in Armeniorum regione carnium membra coquentes in ſacris ædibus offerebant, nonnulla eorum ſeparata Judæorũ more Sacerdotibus diſtribuentes. Hoc itaque factum fuiſſe intelligentes Patres, ampliùs fieri prohibent, jubentque non licere Sacerdotibus ſeparata carnium membra repoſcere, ſed illis acquieſcere quæ offerenti placent; eorum autem oblationem extra Eccleſiam fieri: Sin minus, ſegregari iſtum, qui aliter facit.

Τινὲς ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ μέλη κρεῶν ἕψοντες ἐν τοῖς ἱεροῖς οἴκοις προσῆγον, ἀφωρισμένα τινὰ τούτων τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ποιοῦντες. τοῦτο γοῦν οἱ πατέρες μαθόντες γινόμενον, κωλύουσι γίνεσθαι, καὶ προστάττουσι, μὴ ἐξεῖναι τοῖς ἱερεῦσιν ὡρισμένα μέλη κρεῶν ἀπαιτεῖν, ἀλλ' ἐκείνοις ἀρκεῖσθαι, οἷς ἀρέσκεται ὁ προσάγων, τὴν δὲ προσαγωγὴν τούτων ἔξω τῆς ἐκκλησίας γίνεσθαι· εἰ δὲ μὴ, ἀφορίζεσθαι τὸν ἄλλως ποιοῦντα.

F

A

ΚΑΝΩΝ ρ'.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ σοφία διακελεύεται· ῥαδίως γὰρ τὰς ἑαυτῶν ἐπὶ τὴν ψυχὴν αἱ τοῦ σώματος αἰσθήσεις εἰσκρίνουσι. τὰς οὖν τὴν ὅρασιν καταγοητευούσας γραφάς, εἴτε ἐν πίναξιν, εἴτε ἄλλως πως ἀνατιθεμένας, καὶ τὸν νοῦν φθειρούσας καὶ κινούσας πρὸς τὰ τῶν αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα, οὐδαμῶς ἀπὸ τοῦ νῦν οἱῳδήποτε τρόπῳ προστάσσομεν ἐγχαράττεσθαι· εἰ δέ τις τοῦτο πράττειν ἐπιχειρήσοι, ἀφοριζέσθω. B

Canon C.

Oculi tui recta aſpiciant, & omni cuſtodiâ ſerva cor tuum, jubet Sapientia: corporis enim ſenſus ſua facilè in animam infundunt. Picturas ergo, quæ oculos præſtringunt, ſive in tabulis, ſive alio quovis modo fiant, & mentem corrumpunt, & ad turpium voluptatum movent incendia, nullo modo deinceps exprimi jubemus: ſi quis autem hoc facere aggreſſus fuerit, deponatur.

ΒΑΛΣ. Πρώτη τῶν αἰσθήσεων ἡ ὅρασίς ἐστι, καὶ ὀφείλομεν διὰ ταύτης ἐπὶ πᾶν ἀγαθὸν ὁδηγεῖσθαι· οὐ μὴν δι' αὐτῆς κατὰ τὸν προπάτορα προδιδόναι τὰς ἐντολὰς τοῦ θεοῦ. εἶδε γάρ, φησι κἀκεῖνος, τὸ φυτὸν ὡς ὡραῖον, καὶ ἠπατήθη, καὶ ἔφαγε, καὶ τῷ θανάτῳ ὑπόδικος γέγονεν. ἐπεὶ τοίνυν τινὲς ἐρωτομανοῦντες, καὶ περὶ τὴν βιοτὴν ἀδιάφοροι, ἐν πίναξιν, ἢ ἐν τείχοις, ἢ ἐν ἄλλοις τισὶν εἴδεσιν εἰκόνιζον ἐρωτίδια, ἢ καί τινα μυσαρά, ὅπως τὰς σαρκικὰς αὐτῶν ἐπιθυμίας διὰ τῆς πρὸς ταῦτα ὁράσεως ἐκπεραίνωσιν, ὥρισαν οἱ ἅγιοι πατέρες, χρησάμενοι καὶ μαρτυρίαις γραφικαῖς, σχολάσαι ταῦτα C παντάπασιν, ὡς καταγοητεύοντα ἤτοι ἀπατῶντα τὴν ὅρασιν, καὶ εἰσκρίνοντα, ἤτοι εἰσβάλλοντα εἰς τὴν ψυχὴν πᾶν εἴτι κακόν, καὶ παραίτια ὄντα αἰσχρῶν καὶ ἀσέμνων τολμημάτων, καὶ διαφθειρόντων τὸ κατ' εἰκόνα θεοῦ. τοὺς δὲ τοιοῦτόν τι τολμήσοντας καθ' οἱονδήτινα τρόπον, ὑπευθύνους εἶναι ἀφορισμῷ. σημείωσαι τοῦτο· παρὰ γὰρ οἴκοις πλουσίων τινῶν, οὐ μόνον γραφαὶ τοιαῦται καὶ ταῦτα χρυσόπαστοι μετὰ πάσης ἀσχημοσύνης ἐξεικονίζονται, ἀλλὰ καὶ διὰ γυψίνων κατασκευασμάτων στηλογραφοῦνται ἀνθρωπόμορφα εἰκονίσματα.

Bals. Primus ſenſuum eſt viſus, & per eum debemus ad omne quod bonum eſt deduci: non autem per ipſum, quemadmodum & noſter primus pater, Dei præcepta prodere. Vidit enim, inquit & ille, arborem, quòd pulchra eſſet, & deceptus eſt, & comedit, & ſub mortis poteſtatem redactus eſt. Quoniam ergo nonnulli inſano amore capti, & vitam negligentem agentes, in tabulis, vel etiam in parietibus, vel in aliquibus aliis rebus, cupidines quoſdam, vel etiam alia quidem execranda depingebant, ut carnales ſuas cupiditates per eorum aſpectum peragerent; ſtatuerunt ſancti Patres, ſcripturæ quoque teſtimoniis utentes, ea omnino ceſſare oportere, utpote quæ ſenſum præſtringunt ſeu fallunt, & in animam infundunt ſeu immittunt omne malum, turpibuſque & inhoneſtis inceptis, quæque Dei imaginem corrumpunt, cauſam præbent: eos autem, qui tale quid quovis modo auſuri ſunt, eſſe ſegregationi obnoxios. Nota hoc: in ædibus enim quorundam divitum, non ſolùm ejuſmodi picturæ, eæque auro diſtinctæ, cum omni turpitudine effinguntur; ſed etiam per gypſeas ſtructuras, hominum repræſentatrices imagines, deſcribuntur.

ΖΩΝΑΡ. Γραφάς τινες, ἤτοι ζωγραφίας ἀσέμνους ἐν τοίχοις καὶ πίναξιν ἐνεχάραττον, αἳ τοὺς ὁρῶντας ἐξεκαλοῦντο πρὸς ἡδονὰς καὶ πράξεις αἰσχράς, καὶ πρὸς ἐπιθυμίας ἠρέθιζον σαρκικάς. D ταύτας οὖν ὁ κανὼν ἐν οὐδενὶ τόπῳ γίνεσθαι συγχωρεῖ, τάς τε γραφικὰς μαρτυρίας παράγων, καὶ λέγων, ὡς ῥαδίως αἱ αἰσθήσεις τὰ δι' αὐτῶν ὁρώμενα ἢ ἀκουόμενα τυχὸν εἰσκρίνουσιν ἐπὶ τὴν ψυχήν, ἀντὶ τοῦ εἰσωθοῦσιν, εἰσάγουσι. διὸ καὶ τοὺς τοιαῦτα ποιοῦντας κολάζει ἀφορισμῷ.

ΑΡΙΣΤ. Αἱ πρὸς τὰ αἰσχρὰ κινοῦσαι τὴν ὅρασιν γραφαί, ἀζωγράφητοι. ὁ δὲ παραβαίνων, ἀφορίζεται.

E Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἡ σοφία διακελεύεται. διὰ τοῦτο γοῦν δέον ἔκριναν οἱ πατέρες τὸ ἐν πίναξιν, ἢ ἐν τοίχοις γίνεσθαι ζωγραφίας πρὸς αἰσχρὰ κινούσας τὴν ὅρασιν, καὶ διαφθειρούσας τὸν νοῦν, καλύεσθαι· τὸν δὲ παραβαίνοντα τοῦτο προσέταξαν ἀφορίζεσθαι.

Zonar. Γραφὰς, hoc eſt Picturas habitu inverecũdo in parietibus ac tabulis aliqui efformabant, quarum aſpectus ad voluptates, facta obſcœna, flagitioſáſq; libidines excitaret. Eas ergo quocunque loco Canon adhiberi vetat, ac repetito etiã ex ſacris literis teſtimonio, quæ externis ſenſibus, oculis nimirum forte aut auribus, uſurpamus, in animum facile transfundi, hoc eſt inſinuari atque immitti, docet. Quamobrem & eos, qui ejuſmodi quidpiam admiſerint, ſegregatione puniendos eſſe decernit.

Arist. *Picturæ quæ ad turpia aſpectum movent, non ſunt pingendæ: qui enim tranſgreditur, ſegregatur.*

Oculi tui recta aſpiciant, & omni cuſtodiâ ſerves cor tuum, Sapientia jubet. Quapropter Patres neceſſarium judicàrunt, picturas in tabulis aut parietibus ad turpia moventes aſpectum, & mentem corrumpentes fieri prohibere. Qui hoc autem tranſgreſſus fuerit, eum ſegregari jubent.

ΚΑΝΩΝ ρα'.

Σῶμα Χριστοῦ καὶ ναὸν τὸν κατ' εἰκόνα θεοῦ κτισθέντα ἄνθρωπον ὁ θεῖος ἀπόστολος μεγαλοφώνως ἀποκαλεῖ. πάσης οὖν αἰσθητῆς κτίσεως ὑπερκείμενος ὁ τῷ σωτηρίῳ πάθει τοῦ οὐρανίου F τυχὼν ἀξιώματος, καὶ ἐσθίων καὶ πίνων Χριστόν, πρὸς ζωὴν διὰ παντὸς μεθαρμόζεται τὴν ἀΐδιον, ψυχῇ καὶ σώματι μεθέξει τῆς θείας ἁγιαζόμενος χάριτος· ὥστε, εἴτις τοῦ ἀχράντου σώματος μεταλαβεῖν ἐν τῷ τῆς συνάξεως βουληθείη καιρῷ, καὶ ἔμπροσθεν αὐτοῦ τῇ μετουσίᾳ γενέσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ, οὕτω προσίτω καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος. τοὺς γὰρ ἐκ χρυσοῦ ἢ ἄλλης ὕλης ἀντὶ χειρός τινα δοχεῖα κατασκευάζοντας πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχήν, καὶ δι' αὐτῶν τῆς ἀχράντου κοινωνίας ἀξιουμένους, οὐδαμῶς προσιέμεθα, ὡς προτιμῶντας τῆς τοῦ θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον. εἰ δέ τις ἁλῷ τῆς

Canon CI.

Corpus Chriſti & templum eſſe hominem ad imaginem Dei creatum altâ voce proclamat divinus Apoſtolus. Omnem ergo ſenſilem creaturam ſuperans is, qui ſalutari paſſione cæleſtem dignitatem eſt aſſecutus, & Chriſtum bibens & comedens, æternæ vitæ prorſus adaptatur, animam & corpus divinæ gratiæ participatione ſanctificans: Quare, ſi quis immaculati corporis in ſynaxis tempore eſſe particeps voluerit, etiã antequã ejus fiat communio, manus in crucis formã figurãs, ſic accedat & gratiæ cõmunionẽ accipiat. Eos enim, qui ex auro vel ex alia materia quædã loco manus receptacula efficiũt, ad divini muneris ſuſceptionẽ, & per ipſa immaculatã cõmunionẽ recipiũt, minimè admittimus, ut qui inanimatã ſubjectamque materiã Dei imagini præferant: ſi quis autẽ deprehenſus fuerit *immaculatam communionem iis impertiens, qui ejuſmodi receptacula afferunt, & ipſe ſegregetur, & is qui affert.*

Bals. Iis temporibus divites quidam pauperes, ut eſt veriſimile, irridentes, ex auro vel argento vel aliqua alia ſpecie vaſa ſeu receptacula conſtruentes, prætextu religionis & metus Dei, iis veluti manibus utebantur, & ſacroſanctũ Domini & Dei & Servatoris noſtri Jesu Christi corpus ſanctæ Communionis tempore in eis recipiebant. Et ab initio quidem hoc fortaſſe à quibuſdam propter pietatem excogitatum eſt, fortaſſe exiſtimantibus manum non eſſe dignam Dominicum corpus ſuſcipere, quæ turpia quædam & indigna tangit. Procedente autem tempore, ad animæ perniciem converſa eſt pietas, utpote iis, qui illa faciunt, pauperioribus præferri quærentibus, & ſe alioqui arroganter & inſolenter jactantibus. Quoniam ergo hoc ſanctis Patribus multorum ſcandalorum & offendiculorum cauſam præbere, ut & in noſtrum quoque corpus, ad imaginem Dei factum, contumelioſum eſſe viſum eſt, dixerunt, quòd cùm magnus Apoſtolus Paulus corpus Chriſti & Dei imaginem, & quavis creatura pretioſiorem, hominem vocet, ut qui divinorum Sacramentorum participatione dignus habeatur, & ex eo & anima & corpore ſanctificetur; non debent ulli, inanimatas & ſubjectas ſpecies, ex auro & quibuſdam aliis materialibus factas, ei præferre: vel alioqui ii quidem, qui præter hæc faciunt, ſegregantur, & ii ſcilicet, qui ejuſmodi materialibus ad corporis Chriſti ſuſceptionem utuntur, & qui eis hoc præbẽt. Ne mireris autem, nec cauſam rogaveris, propter quam in quibuſdam Eccleſiis datur Laicis ſanctum Chriſti corpus, nec eis in manu traditur, ut hoc Canone continetur: recta enim fides, & Dei timor, & ab omni ſuſpicione aliena pietas, hoc tradidit, non Laicorum indignitas. Exiſtimo autem hoc Canone eos coargui, qui auctoritates ſeu dignitates generiſque nobilitatem allegant, ſanctæ communionis tempore, & præponi quærunt.

Zonar. Nonnulli religione forte adducti, & ſacrorum donorũ veneratione, quibuſdam receptaculis ex auro aliave multi pretii materia comparatis, immaculatum Domini corpus excipere, eâque ratione communicare ſoliti ſunt. Quod quidem, licet à religione profectum, tamen Synodus improbavit. Rei nãque cuilibet ſenſili, hominis dignitatem, qui nimirum, & divina imagine nobilitatus, & cum Chriſto unius corporis nexu copulatus, & divini Apoſtoli Pauli teſtimonio templum Dei eſt, longe anteponit. Quoniam igitur is cui ſacra myſteria communicantur, quacunque ſenſili natura præſtantior eſt, ac dũ Chriſtum manducat, & bibit, ea communione animo pariter & corpore ſanctus efficitur, ſi quis interea dum ſacra ſynaxis peragitur, immaculatum corpus ſuſcipere amet, exporrectis, atque in crucis modum cõformatis manibus procedat, ac ita demum gratiæ communionem, quã Dominus nobis ad animum ſanctitate imbuendum donavit, accipiat. Ea ſiquidem communione, nemo revera dignus eſt, ſed ea digni, per gratiam, omnes efficimur, quemadmodum & gratia, ut D. Paulus teſtatur, ſalvati ſumus. Qui vero ejuſmodi receptacula ſecum afferunt, iiſque ad communionem percipiendam uti volunt, quippe qui expertem animi materiam Dei imagini anteponant, ac eos quoque qui illis ſic poſcentibus impertiverint, ſegregatione Canon puniri jubet.

Arist. *Manus in crucis figurã componit, qui Euchariſtiã ſumpturus eſt, ac ore ſumit; qui vero receptaculũ aureum, vel alius materiæ manus vice præparat, ſegregandus eſt.*

Homo ad Dei ſimilitudinem creatus, eſt ſupra omnem creaturam ſenſibilem, & Chriſti corpus, & templum eſt juxta divinum Apoſtolum. Si quis itaque ſe divinæ communionis participem eſſe cupit, eamque non ore accipit, ut manus ſuas in crucis formam figurans, ſed receptaculum quoddam aureum aut ex aliã materiã

A ἀχράντου κοινωνίας μεταδιδοὺς τοῖς τοιαῦτα δοχεῖα προσφέρουσι, καὶ αὐτὸς ἀφοριζέσθω, καὶ ὁ ταῦτα ἐπιφερόμενος.

ΒΑΛΣ. Κατὰ τοὺς τότε καιροὺς πλούσιοί τινες, τῶν πενεστέρων, ὡς ἔοικε, καταμωκώμενοι, ἐκ χρυσοῦ ἢ ἀργύρου ἢ ἄλλου τινὸς εἴδους κατασκευάζοντες δοχεῖα ἐν προσχήματι εὐλαβείας καὶ φόβου Θεοῦ, ἐχρῶντο τούτοις ὡσεὶ χερσί, καὶ τὸ ἄχραντον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως ἐν αὐτοῖς ὑπεδέχοντο. καὶ ἀρχῆθεν μὲν ἴσως ἐπενοήθη τοῦτο παρά τινων δι' εὐλάβειαν, νομιζόντων τάχα μὴ εἶναι ἀξίαν εἰς ὑποδοχὴν τοῦ κυριακοῦ σώματος τὴν χεῖρα τὴν ἁπτομένην καὶ αἰσχρῶν τινων καὶ ἀναξίων· B καιροῦ δὲ προϊόντος, εἰς ψυχικὴν ἀπώλειαν μετέπεσεν ἡ εὐλάβεια, ὡς τῶν ποιούντων ταῦτα ζητούντων προτιμᾶσθαι τῶν πενεστέρων, καὶ ἄλλως ἀλαζονευομένων. ἐπεὶ γοῦν ἔδοξε τοῦτο τοῖς πατράσι παραίτιον σκανδάλων πολλῶν, ἀλλὰ μὴν καὶ ὑβριστικὸν τοῦ ἡμετέρου σώματος, τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος, εἶπον, ὡς τοῦ μεγάλου ἀποστόλου Παύλου ἀποκαλοῦντος τὸν ἄνθρωπον σῶμα Χριστοῦ, καὶ εἰκόνα Θεοῦ, καὶ παντὸς κτίσματος τιμιώτερον, ὡς ἐστὶν ἀξιούμενον τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως, κἀντεῦθεν κατά τε ψυχὴν καὶ σῶμα ἁγιαζόμενον, οὐκ ὀφείλουσί τινες προτιμᾶσθαι αὐτοῦ τὰ ἐκ χρυσοῦ καί τινων ἑτέρων ὑλικῶν ἄψυχα καὶ ὑποχείρια εἴδη· ἢ μὴν τοὺς παρὰ ταῦτα ποιοῦντας ἀφορίζεσθαι, C δηλονότι αὐτούς τε τοὺς χρωμένους τοιούτοις τισὶν ὑλικοῖς εἰς ὑποδοχὴν τοῦ σώματος τοῦ Χριστοῦ, καὶ τοὺς μεταδιδόντας τούτου αὐτοῖς. μὴ θαυμάσῃς δέ, μηδὲ ἐρωτήσῃς τὴν αἰτίαν, δι' ἣν ἔν τισιν ἐκκλησίαις μεταδίδοται τοῖς λαϊκοῖς τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ, καὶ οὐκ ἐγχειρίζεται τούτοις κατὰ τὴν τοῦ κανόνος περίληψιν· πίστις γὰρ ὀρθὴ καὶ φόβος Θεοῦ καὶ εὐλάβεια ἀνύποπτος τοῦτο παρέδωκεν, οὐχὶ τὸ τῶν λαϊκῶν ἀνάξιον. νομίζω δὲ ὑπὸ τοῦ παρόντος κανόνος ἁλίσκεσθαι τοὺς προβαλλομένους ἀξιώματα καὶ γένη κατὰ τὸν τῆς ἁγίας μεταλήψεως καιρόν, ζητοῦντας προτιμᾶσθαι.

D ΖΩΝΑΡ. Τινὲς δι' εὐλάβειαν τάχα καὶ τιμὴν τῶν θείων δώρων δοχεῖά τινα χρύσεα ἢ ἐξ ἄλλης ὕλης τῶν πολυτίμων ποιοῦντες, ἐν ἐκείνοις ἐδέχοντο τὸ ἄχραντον σῶμα τοῦ Κυρίου, καὶ οὕτως αὐτοῦ μετελάμβανον. ὅπερ ἡ σύνοδος, κἂν δι' εὐλάβειαν ἐγίνετο, οὐκ ἐδέξατο. παντὸς γὰρ αἰσθητοῦ πράγματος, τιμιώτερον ἡγεῖται τὸν ἄνθρωπον, ὡς Θεοῦ εἰκόνι τετιμημένον, καὶ σῶμα Χριστοῦ γινόμενον, καὶ ναὸν Θεοῦ κατὰ τὸν θεῖον ἀπόστολον Παῦλον. ἐπεὶ οὖν φησιν ὑπέρκειται πάσης κτίσεως αἰσθητῆς, καὶ ἐσθίων καὶ πίνων Χριστὸν διὰ τῆς κοινωνίας ἁγιάζεται ψυχῇ τε καὶ σώματι ὁ τῶν ἁγιασμάτων ἀξιούμενος, εἴτις ἐν καιρῷ συνάξεως βούλεται τοῦ ἀχράντου E σώματος μεταλαβεῖν, προσίτω τὰς χεῖρας ἐκτείνας, καὶ σχηματίσας εἰς τύπον σταυροῦ, καὶ οὕτω δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος, ἣν ἡμῖν ὁ Κύριος εἰς ἁγιασμὸν ἐχαρίσατο. οὐδεὶς γὰρ ἄξιος ἀληθῶς ἐστι τῆς αὐτοῦ μεταλήψεως, ἀλλὰ πάντες χάριτι αὐτῆς ἀξιούμεθα, καθὸ καὶ χάριτί ἐσμεν σεσωσμένοι κατὰ τὸν μέγαν Παῦλον. τοὺς δὲ τοιαῦτα δοχεῖα κομίζοντας, καὶ δι' αὐτῶν δέχεσθαι βουλομένους τὴν κοινωνίαν ὡς προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην, ἀφορίζεσθαι ὁ κανὼν λέγει καὶ τοὺς τούτου μεταδιδόντας αὐτοῖς.

F ΑΡΙΣΤ. Τὰς παλάμας εἰς σταυρὸν τυποῖ ὁ μεταληψόμενος, καὶ λαμβάνων τῷ στόματι· ὁ δὲ δοχεῖον χρυσοῦν, ἢ ἐξ ἄλλης ὕλης ἀντὶ χειρὸς σκευάζων, ἀφοριστέος.

Πάσης τῆς αἰσθητῆς κτίσεως ἐπέκεινα ὁ κατ' εἰκόνα Θεοῦ κτισθεὶς ἄνθρωπος· καὶ σῶμα Χριστοῦ, καὶ ναός ἐστι, κατὰ τὸν ἀπόστολον. εἴ τις γοῦν τῆς θείας κοινωνίας μετασχεῖν βουληθείη, καὶ οὐ λάβῃ αὐτὴν τῷ στόματι, ὡς ἐν τύπῳ σταυροῦ σχηματίσας τὰς χεῖρας αὐτοῦ, ἀλλὰ δοχεῖόν τι χρυσοῦν, ἢ ἐξ ἄλλης ὕλης κατασκευάσει ἀντὶ χειρός, ὥστε δι' αὐτοῦ τὸ θεῖον δέξασθαι δῶρον, καὶ τῆς μεταλήψεως ταύτης ἀξιωθῆναι· ἀφορισθήσεται αὐτὸς, καὶ ὁ μεταδιδοὺς, ὡς προτιμῶντες τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον.

ΚΑΝΩΝ ρβʹ.

Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ Θεοῦ λαβόντας σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμότητα, καὶ οὕτω κατάλληλον τὴν θεραπείαν προσάγειν τῷ ἀρρωστήματι, ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀποσφαλείη πρὸς τὴν B σωτηρίαν τοῦ κάμνοντος. οὐ γὰρ ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλη καὶ πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης τὰς παραφυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πολὺ διαχεῖται καὶ πρόσω βαίνει, μέχρις ἂν στῇ τῇ δυνάμει τοῦ θεραπεύοντος. ὥστε τὸν τὴν ἰατρικὴν ἐν πνεύματι ἐπιστήμην ἐπιδεικνύμενον πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι, καὶ εἴτε πρὸς τὴν ὑγείαν νεύει, ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα, ἐφορᾶν, ὅπως τε τῆς ἐν τῷ μεταξὺ προνοεῖται ἀναστροφῆς· καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμένων C φαρμάκων αὐξάνει προσαγωγῆς, καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν. πᾶς γὰρ λόγος Θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὸν χαλινὸν ἐπιδοῦναι πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν· ἀλλ' ἐν ἑτέρῳ τρόπῳ πάντως, εἴτε διὰ τῶν στερροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πρᾳοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι καὶ οἰκονομοῦντι σοφῶς τὸν D πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον. ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρὴ, καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας, ἕπεσθαι δὲ ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα, τῷ παραδοθέντι τύπῳ, καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

ΒΑΛΣ. Καὶ ἐν ἄλλαις συνόδοις ὡρίσθη, τὸν κατὰ χώραν Ἐπίσκοπον, τὸν ἀπὸ τῆς χάριτος τοῦ παναγίου πνεύματος ἐξουσίαν λαβόντα δεσμεῖν καὶ λύειν, μὴ πάντοτε προσέχειν τοῖς θεσμοθετηθεῖσι παρὰ τῶν κανόνων χάριν τῶν ἐπιτιμίων· ἀλλ' οἰκονομεῖν ταῦτα, πρὸς τὰ πρόσωπα τὰ ἐπιτιμώμενα, ἤγουν πρὸς τὰς ἡλικίας αὐτῶν, καὶ πρὸς τὰς διαθέσεις, καὶ E πρὸς τὰ ἐπιτηδεύματα, ἀλλὰ μὴν καὶ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος, καὶ οὕτω προσάγειν ἑκάστῳ ἀῤῥωστήματι θεραπείαν κατάλληλον. καὶ ὁ παρὼν δὲ κανὼν τοῦτο αὐτὸ διορίζεται, ἀνατιθέμενος τὸ πᾶν τῆς διὰ τῶν ἐπιτιμίων θεραπείας τοῦ κάμνοντος εἰς τὴν διάκρισιν τοῦ ἰατρεύοντος, ἤγουν τοῦ κατὰ χώραν Ἐπισκόπου, καὶ τοῦ ἐπιτραπησομένου παρ' αὐτοῦ. καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι, σαφέστατός τε καὶ εὔληπτος. διὰ γὰρ τοῦτο οὐδὲ πλέον τι γέγραπται παρ' ἡμῶν χάριν ἑρμηνείας. ἐν τῷ τέλει δὲ διορίζεται, ὀφείλειν ἡμᾶς εἰδέναι καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας. γράφεται δὲ καὶ τὰ τῆς συμπαθείας, ἀκολούθως τῷ ἀποστολικῷ ῥητῷ F τῷ λέγοντι, εἰ δέ τις οὐχ ὑπακούει τοῦ λόγου ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθαι, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ· μηδὲ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ταῦτα γὰρ ἐλέους καὶ συμπαθείας εἰσὶν, ἤτοι συνηθείας, ἤγουν τοῦ ἤθους τοῦ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος. συναγαγὼν τοίνυν, εἰπὲ, ὡς χρὴ ἡμᾶς εἰδέναι, καὶ τὰ τῆς συμπαθεστέρας συνηθείας· καὶ ποτὲ μὲν, κανονικῶς θεραπεύειν τὰ ἀῤῥωστήματα, ὅταν ἑτοίμως καταδέχωνται οἱ κάμνοντες τὰ ἐπιτίμια· ποτὲ δὲ, διὰ τῶν συνήθων καὶ συμπαθεστέρων ἰατρειῶν, ὅταν σκληρότεροι ὦσιν εἰς τὴν ὑποδοχὴν τῶν ἐπι-

A manus loco conficit, ut per illud divinum donum acciperet, illiuſque participatione haberetur dignus, & ipſe & qui myſteria ei tradit ſegregabitur, ut qui inanimatam ſubjectamque materiam Dei imagini præferunt.

CANON CII.

Oportet autem eos, qui ſolvendi & ligandi poteſtatem à Deo accepère, peccati qualitatem conſiderare, & ejus qui peccavit ad converſionem promptum ſtudium, & ſic morbo convenientem afferre medicinam: ne ſi in utroque immoderatione utatur, ab ejus qui laborat ſalute excidat. Non enim ſimplex eſt morbus peccati, ſed varius & multiformis, & multas incommodi propagines germinans: ex quibus malum multum diffunditur, & ulteriùs progreditur, donec viribus medentis reprimatur. Quare, qui medicinæ ſcientiam in ſpiritu profitetur; oportet eum primùm ejus qui peccavit affectionem conſiderare, &, ſive vergat ad ſanitatem, ſive contrà propriis moribus provocet in ſe morbum, adſpicere, & quomodo ejus quæ intercedit vitæ rationiſque curam gerat. & ſi artifici non reluctatur, & ulcus animæ auget per impoſitorum medicamentorum adjectionem, ſic quoque miſericordiam, prout dignus eſt, impertiri. Omnem enim rationem init Deus, iſque cui paſtoralis traditus eſt principatus, ut errantem ovem reducat, & ei, quæ eſt à ſerpente vulnerata, medeatur, & neque per deſperationis præcipitia impellat, nec ad vitæ diſſolutionem & contemptum fræna relaxet: ſed aliâ quidem omnino ratione, ſive per acriora & aſtringentia, ſive per molliora & leniora medicamenta, affectioni reſiſtat, & ad ulceris obductionem adnitatur, fructus pœnitentiæ examinans, & ſapienter diſpenſans & gubernans hominem, qui ad ſuperiorem illuminationem vocatur. Nos enim utraque ſcire oportet, & quæ ſunt ſummi juris, & quæ ſunt conſuetudinis, in iis autem, qui extrema non admittunt, ſequi formam traditam, quemadmodum ſanctus nos docet Baſilius.

Bals. In aliis quoque Conciliis ſtatutum eſt, ut qui eſt loci Epiſcopus, qui à ſancti Spiritus gratia accepit poteſtatem ligandi & ſolvendi, non ea omnino obſervet, quæ de pœnis à canonibus ſtatuta ſunt: ſed eas modificetur, habita ratione perſonarum quibus infliguntur, earum ſcilicet ætatum & affectionum, & vitæ ſtudiorum, & etiam qualitatis peccati; & ſic unicuique morbo afferat convenientem medicinam. Præſens autem Canon hoc ipſum quoque ſtatuit, univerſam per pœnas ægroti curandi rationem medici prudentiæ ac judicio relinquens, Epiſcopi ſcilicet illius loci, & ejus cui hoc ab eo committetur. Et hic eſt quidem ſcopus Canonis, manifeſtiſſimus & comprehenſu facillimus. Propterea enim nec plura à nobis in ejus interpretationem ſcripta ſunt. In fine autem ſtatuit, nos ea quæ ſunt ſummi juris ſcire oportere, & quæ ſunt conſuetudinis (Græcè eſt, καὶ τὰ τῆς συνηθείας.) Invenitur autem etiam ſcriptum τὰ τῆς συμπαθείας quæ ſunt commiſerationis, conſequenter dicto Apoſtolico, quod ita ſe habet; Si quis autem id, quod à nobis dicitur, non audit, hoc per Epiſtolam ſignificari, & ne cum illo conſuetudinem haberi ut confundatur: neque ut inimicum exiſtimate, ſed admonete ut fratrem. Ea autem ſunt miſericordiæ & commiſerationis, ſive conſuetudinis & moris ſcilicet tempore comprobati & confirmati. His ergo ſimul collectis, dic, quòd oportet nos ſcire, & quæ ſunt pœnæ canonicæ ſummo jure, & quæ ſunt paulo mitioris conſuetudinis: & aliquando quidem morbos canonicè curare, quando, qui laborat, pœnas ſatis promptè & non gravatè acceperint; aliquando verò per conſuetas & mitiores medicinas, quando ii, quibus medicina adhibetur, ad pœnas ſuſcipiendas paulo duriores fuerint. Ad hæc conſueta enim nemo reſtiterit. His conſimiliter jubet magnus quoque Baſilius in tertio ſuo canone.

ZONAR. Cum de multis ac variis mulctarum generibus Synodus diſſeruerit, ſuáſque ſingulis criminibus pœnas viciſſim debitas conſtituerit, hoc demum canone Epiſcoporum judicio univerſa permiſit. Nec vero ſolum de peccatorum qualitate gravioráne an leviora ſint, cogitandum, ſed ejus quoque qui peccavit, affectionem, & quomodo ad pœnitentiam diſponitur, an ſcilicet ad ea remedia quæ acrimoniam, acerbitatémque habeant, excipienda ſit paratus, an vero curationem mollis ac ſegnis animus reformidet, inſpiciendum, proque affectionum varietate, diverſam curandæ ægritudinis rationem ineundam eſſe demonſtrat, ne duobus forte eodem crimine obſtrictis, quorum alter ad luendas errati pœnas paratus ſit, ſegniorem ſe alter ac tardiorem præbeat, qui utrumque curandum ſuſcepit, ſi ſolius peccati ſpectata ratione, eadem utrique remedia curationis adhibeat, aberret longius, ac ægrotanti ſalutem afferre non ita facile poſſit. Nam ille quidem alter, ad expianda crimina ſtrenue paratus, etiam ſi acerbior homini pœna luenda ſit, non recuſabit, ſéque totum illius à quo regitur voluntati, arbitrióque permittet; Alter vero qui nullo ſe pœnitentiæ amore incenſum oſtendat, acriorem quamcunque medicinam faſtidioſe reſpuet, neque modo morbos non depellet, ſed deſperatione fortaſſe victus in facinora etiam graviora præcipitabit. Multiplex enim eſt, inquiunt Patres, ac varius peccati morbus, multáſque propagines erroris emittit, ex quibus malum longè latéque diffunditur, hoc eſt, latius evagatur ac ſerpit, donec eouſque proceſſerit, ut etiam medicinam adhibere cupientis longe ſuperet facultatem. Proinde, ſit illa prima, inquit, ſpiritualis medici cura, ut eum qui peccavit, quemadmodum animo affectus ſit, diligenter inſpiciat, an ardentiorem agat pœnitentiam, & ſanitatem appetat, an contra, morum improbitate morbum ſuum ipſemet augeat; tum quænam hominis poſt admiſſum facinus vitæ ratio ac modus; an cum medici artificio ipſemet, inſaniâ correptorum more, colluctetur; illi enim medicis adverſantur, ſalutariáque ipſis medicamenta adhibentes repellunt. Illud quoque ſedulò animadvertat; ne forte animæ ulcus ipſa curatione medicamentorúmque appoſitione crudeſcat; itáque oleum, ut ægritudinis ratio poſtulabit, medicamentis admiſceat. Eſt verò id quod dicit hujuſmodi; eſſe nimirum à ſpirituali medico attentè conſiderandum ægrotantis affectum; ut nec eum, qui anguſto puſillóque animo ſit, vehementioribus remediis urgeat, ne vulneris moleſtiam, deſperata ab eo curatione, adhuc magis intendat; neque, quem aſperioribus medicamentis ſufficere poſſe intellexerit, in eo curando facilioribus utatur, ex quo illum pœnæ levitas in eandem vel etiam graviorem noxam rurſus impellat: ſed eſſe miſerationem unicuique pro meritis impertiendam, hoc eſt pro ea, quæ in ſingulis fuerit animi affectione, ita uniuſcujuſque miſerendum; & animi quidem abjectioris hominem, leviore pœna, magni vero ſpiritus & erectum, graviore puniendum, idque totum miſericordiæ tribuendum, ut ab altero quidem ſqualorem & ſordes abſtergat, alterius vero vulnus ne ſcalpendo adhuc magis exaſperet. Omnis ſiquidem tum ipſius Dei tum paſtoris animarum cura & ſtudium in eo poſitum eſt, ut errabundas oves in ſuam ſtationem revocet, ac ſerpentis veneno infectis ſalutarem faciat medicinam, nec vel acerbitate nimia in prærupta deſperationis impellat, vel indulgentia ac remediorum facilitate habenas quodammodo, quaſi equo,

A τιμίων ἰατρευόμενοι. εἰς ταῦτα γὰρ τὰ συνήθη οὐκ ἄν τις ἀντιστῇ. παρομοίως δὲ τούτοις παρακελεύεται καὶ ὁ μέγας Βασίλειος ἐν τῷ γʹ. κανόνι αὐτοῦ.

ΖΩΝΑΡ. Περὶ πολλῶν ἐπιτιμίων καὶ διαφόρων διαλεχθεῖσα ἡ σύνοδος, καὶ τῶν ἀπαριθμηθέντων πταισμάτων ἑκάστῳ τὸ κατάλληλον ἀποτάξασα τελευταῖον διὰ τοῦ παρόντος κανόνος τὸ πᾶν τῇ κρίσει τῶν Ἐπισκόπων ἀνέθετο. καὶ χρεὼν, φησι, μὴ μόνον τὴν ποιότητα τῆς B ἁμαρτίας σκοπεῖν, εἰ μεγάλη τυχὸν εἴη ἢ μετρία· ἀλλὰ καὶ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν, καὶ ὅπως πρὸς τὴν μετάνοιαν διατίθεται· εἰ ἑτοίμως ἔχει δηλαδὴ δέξασθαι φάρμακα στύφοντα καὶ πικραίνοντα, ἢ μαλακώτερον διάκειται, καὶ νωθρότερον πρὸς τὴν θεραπείαν, καὶ οὕτω κατάλληλον προσάγειν τὸ ἴαμα· ἵνα μὴ δύο τυχὸν τῶν τὸ αὐτὸ ἁμαρτησάντων ὄντων, καὶ τοῦ μὲν ἑτοίμου τυγχάνοντος πρὸς μετάνοιαν· τοῦ δὲ νωθρότερον διακειμένου, ὁ θεραπεύων αὐτοὺς πρὸς τὸ ἁμάρτημα μόνον ἀποβλέπων, καὶ ἑκατέρῳ αὐτῶν ὁμοίως χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος. ὁ μὲν γὰρ ἑτοίμως C ἔχων πρὸς τὴν μετάνοιαν, κἂν αὐστηρότερον εἴη τὸ ἐπιτίμιον, δέξεται τοῦτο, καὶ ἑαυτὸν ὑποθήσει τῷ τοῦ αὐτὸν οἰκονομοῦντος θελήματι· ὁ δὲ μὴ θερμότητα δεικνὺς πρὸς μετάνοιαν ἀποδυσπετήσει πρὸς τὰ πάνυ στύφοντα φάρμακα, καὶ οὐ μόνον οὐκ ἰαθήσεται, ἀλλὰ καὶ εἰς ἀπόγνωσιν ἴσως ἐμπεσὼν χείροσιν ὑποπεσεῖται πλημμελείαις. πολυειδὴς γὰρ, φασιν οἱ πατέρες, καὶ ποικίλη τῆς ἁμαρτίας ἡ νόσος, καὶ πολλὰς παραφυάδας τῆς βλάβης βλαστάνουσα, ἐξ ὧν παραφυάδων τὸ κακὸν διαχεῖται, πλατύνεται δηλαδὴ καὶ πρόεισιν, ἕως ἂν τοιοῦτον γένηται, ὥστε ὑπερνικᾶν καὶ τὴν τοῦ θεραπεύοντος δύ- D ναμιν. διὰ τοῦτό, φησι, τὸν πνευματικὸν ἰατρὸν δεῖ πρῶτον τὴν τοῦ ἡμαρτηκότος διάθεσιν κατασκοπεῖν, εἴτε θερμῶς μετανοεῖ, καὶ ὑγείας ὀρέγεται, εἴτε μᾶλλον τὴν νόσον αὔξει καθ' ἑαυτοῦ διὰ τρόπων κακίαν, καὶ πῶς μετὰ τὴν ἁμαρτίαν ἀναστρέφεται καὶ βιοῖ, καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίσει, ὅπερ γίνεται ἐπὶ τῶν μανίαν νοσούντων. ἐκεῖνοι γὰρ τοῖς ἰατρεύουσιν αὐτοὺς ἀνθίστανται, καὶ οὐκ ἐῶσι προσαγαγεῖν αὐτοῖς τὰ σωτήρια φάρμακα. σκοπεῖν δὲ καὶ τοῦτο, μήποτε ἰατρεύων καὶ φάρμακα προσάγων διὰ τῆς ἐπιθέσεως αὐτῶν αὐξάνῃ τὸ ἕλκος τὸ ψυχικὸν, καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμε- E τρεῖν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὅτι προσέχειν δεῖ τὸν πνευματικὸν ἰατρὸν τῇ διαθέσει τοῦ κάμνοντος, καὶ μήτε τῷ μικροψύχῳ ἐπιτιθέναι στύφοντα φάρμακα, ἵνα μὴ μᾶλλον αὐξήσῃ τὸ ἕλκος, ἀπαγορεύσαντος πρὸς τὴν θεραπείαν ἐκείνου, μήτε τῷ δυναμένῳ τὰ αὐστηρότερα δέχεσθαι μαλακώτερον προσφέρεσθαι, ὥστε διὰ τὴν μαλακότητα τῶν ἐπιτιμίων ἐμπίπτειν ἐκεῖνον εἰς τὸ αὐτὸ πάθος καὶ εἰς μεῖζον ἴσως· ἀλλ' ἐπιμετρεῖν τὸν ἔλεον κατ' ἀξίαν, ἤγουν ἐλεεῖν ἕκαστον ἀξίως τῆς αὐτοῦ διαθέσεως, καὶ ἐλαφρύνειν μὲν τῷ μικροψύχῳ τὴν ἐπιτίμησιν, βαρύνειν δὲ τῷ μεγαλοψύχῳ αὐτὴν, καὶ ἀμφότερα δι' ἔλεον F ποιεῖν, ἵνα τὸν μὲν ἐκκαθάρῃ τοῦ ῥύπου, τῷ δὲ μὴ ἐπιξέσῃ τὸ τραῦμα, καὶ χεῖρον τὸ ἕλκος ἐργάσηται. ἡ γὰρ πᾶσα φροντὶς καὶ σπουδὴ τῷ τε θεῷ καὶ τῷ ψυχῶν ποιμένι τοῦτό ἐστι, τὸ, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ φαρμαχθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε διὰ τῆς αὐστηρίας ὠθῆσαι κατὰ κρημνοῦ τῆς ἐπιγνώσεως, μήτε διὰ χαυνότητος καὶ τῶν ἁπαλωτέρων φαρμάκων ἐνδοῦναι αὐτῷ τὸν χαλινὸν, ὡς ἵππῳ, ὥστε σκιρτᾶν καὶ βίον ἔκλυτον ζῆν, ἀλλὰ σπεύδειν ἀντιστῆναι τῷ πάθει, εἴτε δι' αὐστηρίας, εἴτε διὰ πραότητος, ὡς ἂν διαθέσεως ἔχῃ πρὸς αὐτὰ ὁ θεραπευόμενος. τοῦ δ'

ἔσται

UMI

A ἔσται, εἰ δοκιμάζει καὶ καταστοχάζεται τοὺς τῆς μετανοίας αὐτῶν καρπούς, καὶ οἰκονομεῖν τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν, ἤγουν τὴν τῶν οὐρανῶν βασιλείαν καλούμενον ἄνθρωπον. ἀμφότερα οὖν ἐνδέχεται ἡμᾶς γινώσκειν, φασὶν οἱ τῆς συνόδου πατέρες, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας ἢ συμπαθείας. γράφονται γὰρ καὶ ἀμφότερα, ἤγουν καὶ ὅσα ἡ ἀκρίβεια βούλεται, καὶ ὅσα τὸ συμπαθὲς ἀπαιτεῖ εὐκαίρως καὶ σὺν διακρίσει γινόμενον· ἢ τὰ τῆς συνηθείας, ἤγουν τὰ τοῦ ἔθους τοῦ χρόνῳ δοκιμασθέντος καὶ βεβαιωθέντος, ὃ καὶ ὡς νόμον κρατεῖν καὶ οἱ θεῖοι κανόνες, καὶ οἱ τῆς πολιτείας νόμοι κελεύουσι. καὶ ὁ μέγας δὲ Βασίλειος ἐπὶ B τῶν μὴ καταδεχομένων τὴν ἀκρότητα τῶν παραδοθέντων τύπων ἕπεσθαι τῇ συνηθείᾳ ἐδίδαξε. τὴν ἄνω δὲ λαμπροφορίαν εἶπεν, ὅτι τοῖς θείοις πατράσι καὶ διδασκάλοις βασιλεία τῶν οὐρανῶν πρὸ τῶν ἄλλων ἡ ἔλλαμψις κέκριται, ἡ ἐκ τῆς θείας φύσεως, καὶ τὸ νοῆσαι τελεώτερον.

ad laſciviam ſolutumque vitæ genus remittat: ſed vitiis obſiſtere, adhibita vel auſteritate vel lenitate, pro ejus, quem curandum ſuſceperit, affectione contendat. Quod quidem ita fiet, ſi ipſorum pœnitentiæ fructus examinaverit & diligenter conſideraverit; proindéque hominem ad illuſtrationis ſupernæ claritatem, ad regnum nimirum cœleſte vocatum, regendum ſibi moderandumque ſuſcipiat. Duo igitur illa, inquiunt Synodi Patres, licet nobis cognoſcere, tum ea quæ ſummi juris ſunt, tum ea quæ conſuetudini ſive miſericordiæ tribuuntur. Utraque enim ſcriptis commendata extant; & ea nimirum, quæ ſummi juris ſeveritas exigit, & quæ, temporis opportunitate ſervata judicióque adhibito, commiſeratio poſtulat: vel quæ conſuetudo, mos videlicet hominum temporis diuturnitate probatus confirmatúſque depoſcit. Nam ea quoque inſtar legis, tum ſacrorum canonum decretis tum civilium etiam legum conſtitutionibus obtinet. Magnus quoque Baſilius in iis, qui pœnarum ſeveritatem antiquis formulis expreſſam non admittunt, ſequendam eſſe conſuetudinem docuit. Illuſtrationem porro ſupernam dixit, eo quòd regnum cœlorum in illuſtratione quadam, in primis ex natura divina emanante, ac perfectiore Dei cognitione, ſancti Patres ac Doctores poſitum eſſe judicaverunt.

C

ΑΡΙΣΤ. Η τῆς ἁμαρτίας ἐπὶ πᾶσι σκοπεῖται ποιότης, καὶ ἡ ἐπιστροφὴ καθορᾶται· καὶ οὕτω μετρεῖται τὸ ἔλεος.

Arist. *Peccati qualitas in omnibus conſideratur, & converſio perſpicitur. Et ſic miſericordia menſurâ diſponitur.*

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἁμαρτήματι ὥρισαν οἱ πατέρες. τὴν δὲ κρίσιν πᾶσαν ἀνέθεντο πρὸς τὸν τὴν ἐξουσίαν παρὰ θεοῦ λαβόντα τοῦ δεσμεῖν τε καὶ λύειν· ὅπως αὐτὸς καὶ τὴν ποιότητα σκοπήσῃ τοῦ ἁμαρτήματος, καὶ τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος, καὶ οὕτως ἐπιμετρήσῃ τὸ ἔλεος, τὴν θεραπείαν προσάγων κατάλληλον τῷ ἀῤῥωστήματι. ὁ γὰρ πᾶς λόγος τῷ θεῷ, καὶ τῷ τὴν ποιμαντικὴν ἐγκεχειρισμένῳ ἡγεμονίαν D ἐν τούτῳ ἐστὶ, ἐν τῷ, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ μὴ κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, καὶ τὸν τρωθέντα ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων, καὶ πραοτέρων φαρμάκων.

Pœnas quidem cuique peccato adhibendas decreverunt Patres. Sed totum judicium ei relinquunt qui ligandi & ſolvendi poteſtatem à Deo accepit, ut ille & peccati conſideret qualitatem, & ejus qui peccavit converſionem, & ſic miſericordiam menſurâ diſponat, medelam morbo convenientem adhibens. Omnis enim ratio Deo & ei cui Paſtoralis traditur principatus, in eo eſt, ut errantem ovem reducat, & non in deſperationis præcipitia impellat, & à ſerpente vulneratum medicetur, ſive per acriora & aſtringentia, ſive per molliora & leniora medicamenta.

CANONES SANCTÆ ET UNIVERSALIS VII. SYNODI.

Bals. Sancta & œcumenica ſeptima Synodus fuit anno 6296. indictione xi. ſub Imp. Conſtantino & Irene matre ejus, (Erat autem hic Conſtant. filius Leonis filii Copronymi) cccLXVII. ſanctis patribus Nicææ Bithyniæ ſecundò congregatis, adverſus eos qui imaginum hoſtes ſeu Chriſtianorum erant accuſatores: Quæ quidem imagines relativè adorari & ſalutari decrevit.

Zonar. Sancta & œcumenica ſeptima Synodus, Conſtantino & Irene ejus matre imperantibus, celebrata fuit. (Conſtantinus hic porro Leonis ex Copronymo geniti filius) trecentis ſeptem & ſexaginta Sanctis Patribus Nicææ, quæ in Bithynia eſt, adverſus imaginum hoſtes ſeu Chriſtianorum accuſatores, congregatis. Quæ quidem imagines relativè adorandas & amplectandas, quemadmodum & verendæ crucis figuram, decrevit, & fidelium Eccleſiæ tradidit, ſic à Domino aſſumptæ humanitatis, & ejus, quæ ipſum ſine ſemine modóque prorſus inexplicabili edidit, Deiparæ omniúmque ſanctorum ſimulacra, eſſe colenda. Sed &, ad Eccleſiæ conſtitutionem fideliúmque utilitatem, ſubjectos præterea canones promulgavit.

Canon I.

Iis, qui ſacerdotalem dignitatem ſortiti ſunt, teſtimonia & ad rectè ſe gerendum inſtituta ſunt canonicarum conſtitutionum deſcriptiones: quas cum Deiloquo Davide lubenter recipientes, ad Dominum Deum cantamus, dicentes; In via mandatorum tuorum lætatus ſum, tanquam in omnibus divitiis; & mandâſti juſtitiam, teſtimonia tua in ſæculum; intellectum da mihi & vivam. Et in ſeculum nos jubet vox prophetica teſtimonia Dei ſervare, & in eis vivere, ut quæ ſcilicet nequaquam concutienda nullâque ratione labefactanda permaneant. Nam & qui Deum vidit Moſes ſic ait; Eis non licet addere, nec eis licet detrahere. Et divinus Apoſtolus Petrus, in iis glorians, exclamat; Ad quæ Angeli proſpicere deſiderant. Atque etiam dicit Paulus; Etiamſi nos vel Angelus de cœlo evangelizaverit vobis præter id, quod nos evangelizavimus vobis, ſit anathema. Cùm hæc ergo ita ſe habeant, & ſint nobis teſtata, iis exultantes, ut ſi quis multa ſpolia invenerit, divinos canones lubenter amplectimur, corúmque conſtitutionem integram & illabefactam confirmamus, qui editi fuerunt à ſanctis ſpiritus tubis, ſumma laude celebrandis Apoſtolis, & ſex ſanctis univerſalibus Synodis, iiſque quæ ad ejuſmodi decretorum traditionem localiter coactæ fuerunt, & noſtris ſanctis patribus. Ex uno enim eodémque ſpiritu omnes illuminati, quæ erant utilia, decreverunt: & quos anathemati quidem tranſmittunt, nos quoque anathematizamus; quos verò depoſitioni, nos quoque deponimus; quos autem ſegregationi, nos itidem ſegregamus; & quos pœnæ tradunt, nos quoque ſimiliter ſubjicimus. Sine avaritia namque ſint mores, præſentibus contenti, is qui tertium cœlum conſcendit, & arcana verba audivit, divinus Apoſtolus Paulus apertè vociferatur.

Bals. Teſtimonia dicuntur divinarum ſcripturarum præcepta, ut quæ teſtificentur & deſcribant quomodo fideles vitam inſtituere oporteat. Hujus ergo ſanctæ Synodi Patres dicunt, à Sanctis Apoſtolis,

ΚΑΝΟΝΕΣ ΤΗΣ ΑΓΙΑΣ καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου.

ΒΑΛΣ. Ἡ ἁγία καὶ Οἰκουμενικὴ ἑβδόμη σύνοδος γέγονεν ἐν ἔτει ϛσϟϛʹ. ἰνδικτιῶνος αʹ. ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ. ἦν δὲ οὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος τοῦ υἱοῦ τοῦ Κοπρωνύμου, τριακοσίων ἑξήκοντα ἑπτὰ ἁγίων πατέρων συναθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας τὸ δεύτερον, κατὰ τῶν εἰκονομάχων, ἤγουν Χριστιανοκατηγόρων· ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο.

ΖΩΝΑΡ. Ἡ ἑβδόμη καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ. ἦν δὲ οὗτος ὁ Κωνσταντῖνος υἱὸς Λέοντος τοῦ υἱοῦ τοῦ Κοπρωνύμου, τριακοσίων ἑξηκονταεπτὰ ἁγίων πατέρων ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας κατὰ τῶν εἰκονομάχων, ἤγουν χριστιανοκατηγόρων. ἥτις τὰς εἰκονικὰς ἐκτυπώσεις προσκυνεῖσθαι καὶ κατασπάζεσθαι σχετικῶς ἐψηφίσατο, ὁμοίως τῷ τοῦ τιμίου σταυροῦ τύπῳ, καὶ τῇ τῶν πιστῶν ἐκκλησίᾳ παρέδωκεν, οὕτω σέβεσθαι τοὺς τύπους τοῦ προσλήμματος τοῦ κυρίου καὶ τῆς αὐτὸν ἀσπόρως καὶ ἀρρήτως τεκούσης θεοτόκου, καὶ τοὺς τῶν ἁγίων ἁπάντων. ἀλλὰ καὶ κανόνας ἐξέθετο εἰς κατάστασιν ἐκκλησιαστικὴν, καὶ εἰς ὠφέλειαν τῶν πιστῶν, οἵπερ εἰσὶν οὗτοι.

ΚΑΝΩΝ αʹ.

Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεών εἰσιν ὑποτυπώσεις· ἃς δεχόμενοι ἀσμένως, μετὰ τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην θεὸν λέγοντες· ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ, καὶ ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι. καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δηλονότι ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσι. ὅτι καὶ ὁ θεόπτης Μωϋσῆς οὕτω φησίν· ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. καὶ ὁ θεῖος ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. καὶ ὁ Παῦλός φησι, κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω. τούτων οὖν οὕτως ἐχόντων καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ᾽ αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλὰ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων σαλπίγγων τοῦ πνεύματος τῶν πανευφήμων ἀποστόλων, τῶν τε ἓξ ἁγίων οἰκουμενικῶν συνόδων καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν. ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα, καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν, καὶ ἀκούσας ἄρρητα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος διαρρήδην βοᾷ.

ΒΑΛΣ. Μαρτύρια λέγονται τὰ τῶν θείων γραφῶν παραγγέλματα, ὡς διαμαρτυρόμενα καὶ ὑποτυποῦντα πῶς χρὴ πολιτεύεσθαι τοὺς πιστούς. φασὶν οὖν οἱ τῆς συνόδου ταύτης ἅγιοι πατέρες, ὅτι κατασπαζόμενοι τοὺς προεκτεθέντας κανόνας παρὰ τῶν ἁγίων ἀποστόλων, τῶν ἐξ οἰκουμενικῶν Συνόδων καὶ τῶν τοπικῶν, ἀναθεματίζομεν τοὺς παρὰ τούτων ἀναθεματισθέντας, καθαιροῦμεν τοὺς καθαιρεθέντας, ἀφορίζομεν τοὺς ἀφορισθέντας καὶ ἐπιτιμῶμεν τοὺς ἐπιτιμηθέντας· ἀφιλάργυρος γὰρ ὁ τρόπος, τουτέστιν οὐδὲν τι πλέον διὰ φιλοδοξίαν τούτοις προστιθέαμεν, ἀπλεστευσάμενοι ὡς φιλάργυρος, ἀλλ' ἀρκούμενοι τοῖς παρ' ἐκείνων διορισθεῖσι. καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος οὗτός ἐστι. τὰ δ' ἐν αὐτῷ περιεχόμενα γραφικὰ σαφῆ ὄντα, ἑρμηνείας οὐ δέονται. γίνωσκε δὲ, ὅτι οὗτος μὲν ὁ κανὼν τῶν ἀποστολικῶν καὶ Συνοδικῶν κανόνων μόνων ἐμνήσθη· ὁ β'. δὲ κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται καὶ ἑτέρων ἁγίων θεσπίσματα ὡς τοὺς ἱεροὺς κανόνος κρατεῖν. μὴ θαυμάσῃς οὖν, πῶς καὶ περὶ τούτων οὐ γέγραπταί τι ἐνταῦθα. ἠρκέσθησαν γὰρ οἱ πατέρες τοῖς ὁρισθεῖσι τότε λίαν καλῶς. μὴ ἐναντιωθῇ δέ σοι ἡ ρλα'. Ἰουστινιάνειος νεαρὰ, ἡ καταστρωθεῖσα εἰς σχόλιον τοῦ δευτέρου κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ μεμνημένη μόνων τῶν οἰκουμενικῶν Συνόδων καὶ τῶν τοπικῶν. δι' ὧν γὰρ ἐπεκύρωσε τὸν β'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, συνεστήριξε καὶ τὰ τῶν ἑτέρων ἁγίων θεσπίσματα, τὰ τούτῳ περιεχόμενα.

A à ſex univerſalibus, & à localibus Synodis prius editos Canones amplectentes, eos anathematizamus qui ab eis anathematizati fuêre, deponimus qui fuêre depoſiti, ſegregamus qui fuerunt ſegregati, eoſque pœnis mulctamus, quibus fuerunt pœnæ ſtatutæ. Ab avaritia enim alieni mores, id eſt, nihil iis propter gloriæ cupiditatem adjicimus, ut avari, inexplebiles; ſed iis, quæ ab illis conſtituta ſunt, contenti ſumus. Atque hic eſt quidem ſcopus hujus Canonis. Quæ autem in eo continentur ad contextum pertinentia, ea, cùm ſint dilucida, non egent interpretatione. Scito autem, quòd hic quidem Canon Apoſtolicorum tantum & Synodalium Canonum B meminit: ſecundus autem Canon Synodi in Trullo, aliorum quoque ſanctorum decreta tanquam ſacros Canones obſervari jubet. Ne mireris ergo cur nihil hîc de iis, quoque ſcriptum ſit. Contenti enim fuêre patres iis, quæ tunc admodum pulchrè de illis ſtatuta ſunt. Ne tibi autem adverſari putetur cxxxi. Juſtiniani Novella, quæ in commentario ii. cap. primi tit. præſentis operis ſita eſt, & univerſalium tantum Synodorum & localium meminit. Per quæ enim ſecundum Can. Synodi in Trullo confirmavit, per eadem aliorum quoque ſanctorum patrum decreta, quæ eo comprehenduntur, ſtabilivit.

ΖΩΝΑΡ. Ἐν τῇ θεοπνεύστῳ γραφῇ πολλαχοῦ εὑρίσκεται τὸ τῶν μαρτυρίων τὸ ὄνομα, ὧν ἐνίων καὶ οἱ ἱεροὶ πατέρες οὗτοι ἐν τῷ παρόντι κανόνι ἐμνήσθησαν. δεῖ τοίνυν εἰπεῖν πρότερον, τίνα εἰσὶ τὰ μαρτύρια. μαρτύρια οὖν λέγονται αἱ τοῦ κυρίου διαταγαὶ, αἱ διαμαρτυρόμεναι, καὶ παριστῶσαι, πῶς δεῖ βιοῦν ἡμᾶς, καὶ ὅπως οἱ παραβάται τῶν τῷ θεῷ διατεταγμένων, τιμωρηθήσονται. φασὶν οὖν οἱ τῆς Συνόδου πατέρες, ὅτι τοῖς τῆς ἱερατικῆς ἀξίας ἀξιωθεῖσιν οἱ θεῖοι κανόνες, καὶ τὰ ὑπ' ἐκείνων τυπούμενα καὶ ὁριζόμενα, μαρτύριά εἰσι. διαμαρτύρονται γὰρ πῶς χρὴ βιοῦν αὐτοὺς καὶ πῶς πολιτεύεσθαι, καὶ τὴν ἐκ παραβάσεως αὐτῶν ἀπειλοῦσι καὶ προδεικνύουσι κόλασιν. εἰσὶ δὲ τοῖς αὐτοῖς οἱ κανόνες καὶ κατορθώματα, συντηρούμενοι δηλαδὴ καὶ ῥυθμίζοντες τὸν βίον αὐτοῖς. οὕτω γὰρ κατορθοῦσι τὴν ἀρετὴν καὶ εὐαρεστοῦσι θεῷ, οὗ μεῖζον οὐκ ἂν εὕροι κατόρθωμα. ταύτας τοίνυν τὰς κανονικὰς διατάξεις ἀσμένως, φασὶ, δεχόμενοι, ἀντὶ τοῦ ἀγαπητῶς, προθύμως, μετὰ τοῦ Δαβὶδ ᾄδομεν· ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ, τοῦτο λέγοντες, ὅτι ὁδεύοντες, ἤγουν τὴν ὁδὸν τοῦ βίου ἀνύοντες, κατὰ τὰ μαρτύριά σου τερπόμεθα καὶ εὐφραινόμεθα, ὡς ἐπὶ παντὶ πλούτῳ, ὡς ἐπὶ παντοδαπῷ καὶ πολυειδεῖ πλούτῳ, ἢ ὥσπερ εἰ πάντα τὸν πλοῦτον ὁμοῦ συναχθέντα εἰς ἓν, εἰ δυνατὸν, εἴχομεν. καὶ πάλιν, ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι. καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δηλονότι ἀκραδάντοις καὶ ἀσαλεύτοις μένουσι. ζῶμεν γὰρ ἐν τοῖς τοῦ θεοῦ μαρτυρίοις, ὅταν ἀσάλευτα ταῦτα μένωσι, μὴ παραβαινόμενα παρ' ἡμῶν μηδὲ ἀθετούμενα. ἀκράδαντα δὲ τὰ ἐστηριγμένα καὶ μὴ ῥᾳδίως κινούμενα λέγονται. κράδη γὰρ ὁ κλάδος λέγεται τῆς συκῆς, ὃς ἀσθενής ἐστι καὶ εὐκόλως συνθλώμενος. ὁ γοῦν ἐστηριγμένος καὶ μὴ εὐκόλως κινούμενος ἀκράδαντος λέγεται. εἶτα καὶ τὸν Μωσῆν παράγει λέγοντα, ὅτι ἐν αὐτοῖς, τοῖς θείοις δηλαδὴ διατάγμασιν, οὐκ ἔστι προσθεῖναι, καὶ ἐξ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. καὶ τοὺς ἀποστόλους τὸν μὲν τὴν πίστιν θερμότατον Πέτρον ἐν αὐτοῖς καυχώμενον, καὶ εἰπόντα· εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι, ἅ τινά εἰσιν, ὡς ἐκεῖνός φησιν, ἃ νῦν ἀνηγγέλη ἡμῖν διὰ τῶν εὐαγγελισαμένων ἡμῖν ἐν πνεύματι ἁγίῳ. εἰ καί τινες ἑτέρως ἐξηγοῦνται τὸ ἀποστολικὸν τοῦτο ῥητόν. τὸν δὲ τὸν ζῆλον πολὺν Παῦλον βοῶντα· κἂν ἄγγελος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καὶ ἐπὶ τούτοις ἐπάγουσιν οἱ τὸν κανόνα τοῦτον ἐκθέμενοι, ὅτι τούτων οὕτως

C Zonar. Pluribus locis teſtimonii nomen in ſacris literis uſurpatum reperias: quorum etiam locorum aliquos ſancti Patres hoc Can. protulere. Eſt igitur primo, quid teſtimonii nomine intelligamus, explicandum. Sunt ergo teſtimonii Domini conſtitutiones, quæ nobis, & quo pacto vita inſtituenda, & quibus ſuppliciis puniendi ſint, quicunque divina imperia contempſêre, teſtantur ac ob oculos ponunt. Qui ergo ſacri ordinis dignitate honeſtati ſunt, iis divinos Canones, quæq; illorum auctoritate deſcripta & conſtituta ſunt, teſtimonii loco eſſe debere, hujus Synodi Patres affirmant. Quis enim vitæ modus, quæ ratio unicuique ſervanda, teſtantur, quæque illorum violatoribus pœnæ luendæ ſint, minantur atq; præmonſtrant. D Sunt verò iiſdem Canones etiam recte agendi præcepta: Vitæ ſiquidem illorum honeſtatem tuentur apteq; componunt. Virtutem enim eo pacto in nobis efficiunt, Deóq; conciliant, quo nullum præſtantius recte agendi præceptum repiriri queat. Has igitur, inquiunt, canonicas conſtitutiones lubenter, hoc eſt, cupide ac alacriter, amplexi, cum Davide illud occinimus; in via teſtimoniorum tuorum delectatus ſum, ſicut in omnibus divitiis: Quaſi ſic dicerent; Nos deambulantes, ſeu vitæ curſum peragentes ex teſtimoniis tuis, oblectamur exultamuſque, ut in omnibus divitiis, non minus videlicet, ac ſi divitiarum omni E copia varietateque affluerimus, vel ſi divitiis omnibus in unum locum, ſi fieri poſſet, collectis perfrui datum eſſet. Et rurſum; mandâſti juſtitiam teſtimonia tua in ſeculum, intellectum da mihi, & vivam. Et in ſeculum teſtimonia Dei ſervare prophetica voce jubemur, ac in ipſis vivere, ita ſcilicet ut firma illa, inconcuſſaq; permaneant. Tunc enim in Dei teſtimoniis vivimus, cum ea immota ſtabili veſtigio, nullo noſtro facto violata aut contempta, nituntur. ἀκράδαντα namque dicuntur, quæ firmo nixu hærent, nec ita facile commoveri poſſunt. Eſt enim κράδη ficus ramus tener & fragilis. Qui igitur ita ſtabilitus eſt, ut haud facili F negotio moveri queat, ἀκράδαντος nominatur. Moſem deinde producit, qui ad ea, divina decreta videlicet, nihil addi, nec ab iis quidquam auferri licere affirmat. Tum ex Apoſtolorum quoq; numero, primum quidem immenſo fidei amore flagrantem Petrum illum, magnifice ſe in ipſis efferentem; in quæ deſiderant, inquit, Angeli proſpicere, quæ ſunt ut ille ait, ea quæ nuntiata ſunt nobis, per eos qui evangelizaverunt nobis in Spiritu ſancto; quamvis alii hunc Apoſtoli locum aliter explicent. Deinde Paulum multo zelo incenſum, qui ſic obteſtatur: vel ſi Angelus annunciet vobis, præter id quod accepiſtis, anathema ſit. Proinde cum hæc, inquiunt Canonis auctores, ita conſtituta ſint, nobiſque teſtata, in iis exultantes, ſicut qui invenit ſpolia multa, (Et hoc Davidicum eſt.) Spolia vero dicuntur ea, quibus qui in bello cecidêre induti ſunt, tum veſtes, tum arma, tum quicquid ad ornatum aliquo modo pertinet; Hic ergo lætitiæ magnitudinem Propheta demonſtravit. Nam qui interfectis in bello ſpolia detrahunt, victoriam reportaſſe ac ſuperiores adverſariis fuiſſe intelliguntur, geminâque, partim ob victoriam quâ potiti ſunt, partim ob ſpolia quibus ſunt ditati, voluptate perfruuntur. Eodem modo nos quoque, aiunt Patres, exultabundi, divinos canones pectoribus admovemus, hoc eſt, perlubenti animo accipimus, & amplectimur; quos enim diligimus, pectora brachiis amplexi ſalutamus; vel intimo cordis affectu diligimus, (eſt namque in pectore cordis locus) eorumque conſtitutionis univerſas, neque ulla ex parte labefactatas conſervamus, inquiunt, ac retinemus; ratis ſcilicet ac confirmatis iis canonibus, tum quos Sancti Apoſtoli, tum quos œcumenicæ, quoſque item locales Synodi, quos etiam extra Synodicos conventus ſancti Patres noſtri edidêre. Omnes namque, ejuſdem ſancti Spiritûs lumine illuſtrati, utilia decrevêre, ac omnia, inquiunt, ex illorum inſtitutis nos quoque ſancimus. Quos enim illi anathemate, aut depoſitione, aut ſegregatione, aut aliis pœnis afficiunt, illos eodem prorſus mulctæ genere nos quoque damnamus. Sint etenim mores ſine avaritia, contenti præſentibus, inquit Apoſtolus. Quæ quidem verba Synodi auctores uſurpavêre, illud, ut arbitror, indicantes, ſe nihil ſcilicet ad ea quæ jam ab antiquis Patribus conſtituta ſunt ambitioni ſtudentes adjungere, avarorum more, qui ad ea quæ poſſident aliquid addere aſſiduè contendunt; ſed præſentibus, iis nimirum quæ à Sanctis Patribus definita ſunt, eſſe contentos.

Arist. *Canones divinos, Sanctorum nempe Apoſtolorum, Synodorum ſex Oecumenicarum, nec non topicarum, utique & Sanctorum Patrum noſtrorum, ab uno ſc. & eodem Spiritu Sancto inſpiratorum, lubenter amplectimur. Eos igitur quos ii anathematizârunt, & nos anathematizamus; quos depoſuerunt, deponimus; quos ſegregârunt, ſegregamus; & quos pœnis ſubjiciebant, eoſdem & nos pœnis ſubjicimus.*

Septima hæc Synodus ſecundo in Nicæa habebatur, ſub Conſtantino execrandi impiiq; Copronymi nepote, & Irene matre ejus ex Athenis oriundâ, congregatis conſilio & adhortatione Taraſii Archiepiſcopi Conſtantinopolitani, trecentis ſexaginta ſeptem patribus divinis. Conventus autem eorum erat adverſus imaginum hoſtes ſive Chriſtianorum accuſatores, & eos anathematizârunt: Eccleſiæ autem antiquum ejus ornatum reſtituerunt, eamque imaginum habere expreſſiones, & relative eas ſalutare recte definierunt: pari vero ratione etiam crucis honorabilis adorari figuram: amplectentes & confirmantes tum ſummâ laude prædicandorum & ſanctorum Apoſtolorum, tum ſex ſanctorum conciliorum generalium, & etiam provincialium Canones; & eos qui ab illis anathematizati fuiſſent, anathematizârunt & ipſi, & depoſitione ob aliquod crimen damnatos, ſimiliter & ipſi condemnarunt, ſegregatos autem ſegregârunt, & pœnis ſubjectos æqualibus pœnis ſubjecerunt; nihil omnino iis, quæ ſanctis Apoſtolis & divinis patribus expoſita & decreta fuerunt, vel addentes vel ſubtrahentes.

A ὄντων, καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκῦλα πολλά, καὶ τοῦτο τὸ Δαυιδικόν. σκῦλα δὲ τὰ τοῖς νεκροῖς τοῖς ἐν πολέμῳ πεσοῦσι περικείμενα λέγονται, εἴτε ἐσθῆτες εἰσιν, εἴτε ὅπλα, εἴτε τις κόσμος. τὸ ὑπέρβαλλον οὖν διὰ τούτου ὁ προφήτης ἐδήλωσε τῆς ἀγαλλιάσεως. οἱ γὰρ τοὺς ἐν πολέμῳ πεσόντας σκυλεύοντες νενικηκότες ἂν νοοῖντο, καὶ τῶν ἐναντίων ὑπερτερέσαντες, καὶ διπλῆν τὴν ἀγαλλίασιν ἔχουσι, τὴν μὲν διὰ τὴν νίκην, τὴν δὲ διὰ τὸν πλοῦτον, ὃν ἐκ τῶν σκύλων συνήγαγον. οὕτως οὖν καὶ ἡμεῖς, οἱ πατέρες οὗτοι φασίν, ἀγαλλόμενοι τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, ἀντὶ τοῦ ἀγαπητικῶς δεχόμεθα καὶ κατασπαζόμεθα. B οὓς γὰρ ἀγαπῶμεν περὶ τὰ στέρνα ταῖς περιπλοκαῖς τιθέντες κατασπαζόμεθα, ἢ ἀντὶ τοῦ, ἐγκαρδίως φιλοῦμεν· περὶ τὰ στέρνα γὰρ ἡ καρδία ἡμῶν. καὶ ὁλόκληρον καὶ ἀσάλευτον τὴν αὐτῶν διάταξιν τηροῦμεν φασί. κρατυνομένων ἤγουν ἐπικυρουμένων καὶ βεβαιουμένων τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν ἐξ οἰκουμενικῶν συνόδων, καὶ τῶν κατὰ τόπους συναθροισθεισῶν, καὶ τῶν ἁγίων πατέρων ἡμῶν, δηλαδὴ τῶν ἐκτὸς συνόδων κανόνας ἐκτεθεικότων· πάντες γὰρ ἐκ τοῦ αὐτοῦ πνεύματος ἁγίου φωτισθέντες τὸ νοοῦν ὥρισαν τὰ συμφέροντα, καὶ πάντα, φασί, κατ' ἐκείνους καὶ ἡμεῖς ποιοῦμεν. οὓς γὰρ ἐκεῖνοι ἀναθεματίζουσι, καὶ ἡμεῖς. C οὓς δὲ ἀφορίζουσι, καὶ ἡμεῖς. οἷς δὲ ἐπιτιμῶσι, καὶ ἡμεῖς. ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσι, τὸ μὲν ῥητὸν ἀποστολικόν. ἐχρήσαντο δὲ τούτῳ οἱ τῆς συνόδου, δηλοῦντες οἶμαι, ὅτι οὐδὲν πλέον τοῖς παρ' ἐκείνων διαταγεῖσι θέλομεν ἡμεῖς προσθεῖναι διὰ φιλοδοξίαν ἀπληστευόμενοι, ὡς οἱ φιλάργυροι ἀεὶ ζητοῦντες, οἷς ἔχουσι, προστιθέναι, ἀλλ' ἀρκούμεθα τοῖς παροῦσι τοῖς παρὰ τῶν ἁγίων πατέρων δηλονότι ὁρισθεῖσιν.

ΑΡΙΣΤ. Τοὺς θείους κανόνας ἀσπασίως ἐνστερνιζόμεθα, τῶν τε ἁγίων ἀποστόλων, τῶν ἐξ οἰκουμενικῶν συνόδων, D καὶ τῶν τοπικῶν, πρὸς δὲ καὶ τῶν ἁγίων πατέρων ἡμῶν, ὡς ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου πνεύματος ἐμπνευσθέντων. οὓς οὖν ἀνεθεμάτισαν, ἀναθεματίζομεν· καὶ οὓς καθεῖλον, καθαιροῦμεν· οὓς ἀφώρισαν, ἀφορίζομεν· καὶ οὓς ἐπετίμησαν, ἐπιτιμῶμεν.

Ἐπὶ Κωνσταντίνου τοῦ ἐγγόνου τοῦ τρισκαταράτου καὶ θεομισοῦς Κοπρωνύμου, καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ τῆς ἐξ Ἀθηνῶν, ἡ παροῦσα ἑβδόμη γέγονε Σύνοδος ἐν Νικαίᾳ τὸ δεύτερον, συνελθόντων συμβουλῇ καὶ παραινέσει Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τριακοσίων ἑξήκοντα ἑπτὰ θεοφόρων πατέρων. ἡ δὲ συνέλευσις τούτων γέγονε κατὰ τῶν εἰκονομάχων, ἤτοι E χριστιανοκατηγόρων· καὶ τούτους ἀνεθεμάτισαν. τῇ δὲ ἐκκλησίᾳ τὸν ἀρχαῖον αὐτῆς κόσμον ἀποδεδώκασι, καὶ τὰς εἰκονικὰς ἀνατυπώσεις ἔχειν αὐτήν, καὶ σχετικῶς ἀσπάζεσθαι ταύτας, καλῶς διωρίσαντο· ὡσαύτως δὲ καὶ τὸν τύπον τοῦ τιμίου προσκυνεῖσθαι σταυροῦ· ἀσπασάμενοι καὶ κρατύναντες τούς τε τῶν πανευφήμων καὶ ἁγίων ἀποστόλων κανόνας, τῶν τε ἁγίων οἰκουμενικῶν ἓξ συνόδων, καὶ τῶν τοπικῶς Συναθροισθεισῶν· καὶ τοὺς μὲν ἀναθεματισθέντας ὑπ' αὐτῶν ἀναθεματίζουσι καὶ αὐτοί· τοὺς δὲ καθαιρέσει διά τι πταῖσμα κατακριθέντας, ὡσαύτως καὶ οὗτοι καταδικάζουσι· τοὺς δὲ ἀφωρισμένους ἀφορίζουσι· καὶ τοὺς ἐπιτιμίοις καθυποβαλλομένους, ἐπιτιμῶσιν ἐπίσης, μηδέν τι προστιθέντες F ἢ ὑφαιροῦντες τῶν παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν θεοφόρων πατέρων ἐκτεθέντων καὶ ὁρισθέντων.

ΚΑΝΩΝ β′.

Ἐπειδήπερ ψάλλοντες συντασσόμεθα τῷ Θεῷ, ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου· πάντας μὲν Χριστιανοὺς τοῦτο φυλάττειν σωτήριον, κατ᾽ ἐξαίρετον δὲ τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους ἀξίαν. ὅθεν ὁρίζομεν, πάντα τὸν προάγεσθαι μέλλοντα, εἰς τὸν τῆς ἐπισκοπῆς βαθμὸν, πάντως τὸ ψαλτήριον γινώσκειν, ἵνα, ὡς ἐκ τούτου, καὶ πάντα τὸν κατ᾽ αὐτὸν κλῆρον οὕτω νουθετῇ μυεῖσθαι· ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μητροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν ἐρευνητικῶς καὶ οὐ παροδευτικῶς τούς τε ἱεροὺς κανόνας, καὶ τὸ ἅγιον εὐαγγέλιον, τήν τε τοῦ θείου ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν· καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸν κατ᾽ αὐτὸν λαόν. οὐσία γὰρ τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων γραφῶν ἀληθινὴ ἐπιστήμη· καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος. εἰ δὲ ἀμφισβητοίη, καὶ μὴ ἀσμενίζει οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονείσθω. ἔφη γὰρ προφητικῶς ὁ Θεός· σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

ΒΑΛΣ. Εἰδότες οἱ ἅγιοι πατέρες, ὅτι διὰ τὴν τῶν εἰκονομάχων αἵρεσιν οἱ πλείους πιστοὶ ἐξηγριώθησαν, ὡς φεύγοντες, καὶ μὴ δυνάμενοι κἂν εἰς ὄψιν ἀνθρώπων ἔρχεσθαι, εἶπον ὡς καὶ πάντες μὲν Χριστιανοὶ ἀναγκάζονται τὴν θείαν γραφὴν ἀναγινώσκειν μετὰ ἐρεύνης· πολλῷ δὲ πλέον οἱ ἀρχιερεῖς, οἱ πρὸς τὸ διδάσκειν τὸν ὑπ᾽ αὐτοὺς λαὸν τεταγμένοι. διὸ καὶ ὥρισαν μὴ ἄλλως τινὰ χειροτονεῖσθαι, εἰ μὴ τὸ ψαλτήριον γινώσκει, καὶ ἀνακρινόμενος ὑπὸ τοῦ μέλλοντος χειροτονεῖν αὐτὸν, ὁποίαν ἔφεσιν ἔχει περὶ τὴν μάθησιν τῆς θείας γραφῆς, καθίσταται ἐπιμεληθῆναι τῆς ἀναγνώσεως τῶν ἱερῶν καὶ θείων κανόνων, καὶ τῶν λοιπῶν, μετὰ ἐρεύνης δηλονότι, καὶ οὐ κατὰ πάροδον· ἀναστρέφεσθαι δὲ καὶ κατὰ τὰ θεῖα ἐντάλματα, καὶ διδάσκειν τοῦ Κυρίου λαὸν, καὶ ἁπλῶς εἶναι ἕτοιμον εἰς τὸ διδάσκειν, καὶ ἀποκρίνεσθαι τὰ εἰκότα περὶ τῶν θεοπαραδότων λογίων τῶν ὄντων οὐσίαν ἤτοι σύστασιν τῆς ἱερωσύνης. εἴποι δέ τις, πῶς οἱ ἅγιοι πατέρες οὐκ εἶπον ὀφείλειν χειροτονεῖσθαι τοὺς εἰδότας τοὺς ἱεροὺς κανόνας, τὸ ἅγιον εὐαγγέλιον καὶ τὰ λοιπὰ, ἀλλὰ τοὺς εἰδότας μόνον τὸ ψαλτήριον, καὶ ἐπαγγελλομένους ἐπιμεληθῆναι καὶ τῆς τῶν λοιπῶν μαθήσεως; Λύσις. τὸ μὲν εἰδέναι τὸ ψαλτήριον, ὡς ἀπητημένον ἐξ ἀνάγκης, ἀπητήθη καὶ παρὰ τῶν ἁγίων πατέρων, ἀσυμπαθῶς τοὺς χειροτονεῖσθαι ὀφείλοντας· τῶν δὲ λοιπῶν θείων διδαγμάτων ἡ κατάληψις οὐκ ἐζητήθη, διὰ τὸ μὴ ὀφειλόμενον εἶναι καὶ τοὺς μήπω ἀξιωθέντας διδασκαλικοῦ ἀξιώματος ταῖς τοιαύταις ἀναγνώσεσι ἑαυτοὺς ἀπασχολεῖν, καὶ μᾶλλον τότε, ὅτε οἱ Χριστιανοὶ φυγαδείας κατεκρίνοντο. ἵνα τί γοῦν, εἶπον, ὁ ἀπὸ τῶν ἄλλων βιωτικῶν ἴσως ἐργασιῶν εἰς χειροτονίαν μετακαλούμενος, καὶ διὰ τοῦτό τε καὶ διὰ τὴν τῶν ὀρθοδόξων στενοχωρίαν συγγνωμονούμενος, οὐ χειροτονηθείη, ὡς μὴ ἔχων κατάληψιν ἀκριβῆ τῆς θείας γραφῆς; διό, φασιν, εἰ πρὸς ταύτην ἕτοιμός ἐστι, καὶ ἐπαγγέλλεται μετὰ διαθέσεως ἐπιμεληθῆναι τῆς ἀναγνώσεως αὐτῆς, χειροτονηθήσεται, ὅτι μετὰ τὸ ἀπαλλαγῆναι τῶν ἄλλων ὀχλήσεων, καὶ ἀναδέξασθαι τὸ διδασκαλικὸν ἀξίωμα, ἐξ ἀνάγκης οὐ καταισχύνει ἐπάγγελμα, ἀλλὰ σχολήσεται τούτῳ καὶ μόνῳ, καὶ ῥᾳδίως ἕξει τὴν ἐπιστήμην τῆς θείας γραφῆς.

ΖΩΝΑΡ. Πάντας μὲν δεῖ τοὺς πιστοὺς ἐν τοῖς τοῦ Θεοῦ μελετᾶν δικαιώμασι, καὶ μὴ ἐπιλανθάνεσθαι τῶν λόγων αὐτοῦ· ἐξαιρέτως δὲ τοὺς τὸ ἱερατικὸν ἀμπεχομένους, ἐνδεδυμένους, περικειμένους ἀξίωμα. διὸ καὶ ὁ κανὼν οὗτος τὸν εἰς ἐπισκοπὴν προάγεσθαι μέλλοντα κελεύει τὸ ψαλτήριον γινώσκειν, ἵνα καὶ τὸν οἰκεῖον οὕτως ἐκπαιδεύῃ μυεῖσθαι λαὸν, ἀντὶ τοῦ μανθάνειν. ἀνακρίνεσθαι δὲ βούλεται αὐτὸν παρὰ τοῦ μέλλοντος χειροτονῆσαι αὐτὸν μητροπολίτου,

CANON II.

Quoniam pſallentes Deo repromittimus, In juſtificationibus tuis meditabor, non obliviſcar eloquiorum tuorum: omnes quidem Chriſtianos hoc ſervare ſaluberrimum eſt; eos autem præcipuè qui ſacerdotalem dignitatem obtinent. Quamobrem decernimus, quemlibet quidem, qui ad Epiſcopalem gradum eſt provehendus, Pſalterium omnino nôſſe, ut ex eo omnem quoque ſuum clericum ita inſtitui moneat: à Metropolitano autem bene examinari, an ad ſacros Canones diligenter ac cum perſcrutatione, non autem obiter curſimque legendos prompto paratóque ſit animo, & ſacrum etiam evangelium & librum divini Apoſtoli omnemque divinam ſcripturam; & in divinis præceptis verſari, & populum ſibi commiſſum docere. Noſtræ enim hierarchiæ ſubſtantiæ ſunt eloquia divinitùs tradita, divinarum ſcilicet ſcripturarum vera ſcientia; ſicut & magnus ait Dionyſius. Si autem dubius animi fuerit, & non lubenter hæc facere & docere voluerit, non ordinetur. Propheticè enim dixit Deus; Tu repuliſti ſcientiam, & ego te repellam ne ſis mihi ſacerdos.

BALS. Cùm ſcirent ſancti patres, quod propter imaginum adverſariorum hæreſin complures fideles fieri agreſteſque evaſerunt, ut qui fugerent, & ne in hominum quidem conſpectum venire auderent, dixerunt, quod omnes quidem Chriſtiani coguntur cum perſcrutatione divinam ſcripturam legere; multo autem magis Antiſtites, qui ad ſibi ſubjectum populum docendum ordinati ſunt. Unde etiam definierunt, non alias ordinari quempiam, quam ſi nôrit Pſalterium, & ab eo, qui eſt ipſum ordinaturus, examinatus, quodnam ſit ejus in ſanctam ſcripturam deſiderium, aſſerat ſe ſacrorum & divinorum Canonum ac reliquorum lectioni operam dare cum diligenti ſcilicet inveſtigatione, & non obiter: verſari autem etiam in divinis præceptis, & Domini populum docere; & eſſe, ut ſemel dicam, promptum ad docendum & reſpondendum, quæ ſunt conſentanea, de eloquiis à Deo traditis, quæ quidem ſunt ſubſtantia ſeu conſtitutio ſacerdotii. Dixerit autem quiſpiam, Cur ſancti patres non dixerunt eos debere ordinari, qui ſacrum Canonem nôrunt, ſanctum Evangelium, & reliqua: ſed eos qui Pſalterium tantum nôrunt, & profitentur ſe reliquorum quoque diſcendorum curam gerere? Solutio. Scire quidem Pſalterium, ut neceſſario requiſitum, eos, qui citra ullam commiſerationem ordinari debent, à ſanctis quoq; patribus poſtulatum eſt: reliquarum autem doctrinarum comprehenſio non requirebatur, eo quòd jure exigi non poteſt, ut qui docendi auctoritatem & munus nondum ſunt aſſecuti in ejuſmodi lectionibus verſentur, & maximè eo tempore, quando Chriſtiani exilii pœna damnabantur. Quidni ergo, dixerunt, qui ab aliis, quibus victus paratur, artificiis ad ordinationem accerſitur, cuique propterea, & propter orthodoxorum anguſtias, venia datur, ordinetur, ut qui non habeat exactam divinæ ſcripturæ comprehenſionem? Ideo, inquiunt, ſi ad eam paratus ſit, & ſe ad eam diligenter legendam operam poſiturum profiteatur, ordinabitur: quia poſtquam ab aliarum rerum moleſtia eſt liberatus, & docendi auctoritatem ſuſcepit, profeſſionem ſuam dedecore non afficiat; ſed in eo ſolo verſetur neceſſe eſt, & divinæ ſcripturæ ſcientiam facile aſſequetur.

ZONAR. Omnes quidem fideles in juſtificationibus Dei meditari, nec illius ſermonum obliviſci decet: ſed eos maximè, qui ſacerdotalem dignitatem obtinent ſive eâ præditi atque ornati ſunt. Quicunque igitur ad Epiſcopatum fuerit evehendus, hunc præſens Can. in Pſalterii cognitione verſatum eſſe jubet, ut hoc pacto ab illo populus quoque initiari, hoc eſt eadem cognitione imbui diſcat. Examinati porro illum vult ab eo, à quo renuntiandus eſt, Metropolitano, an ſacros Canones, Evan. Apoſtoli librum, omnia deniq; divinæ ſcripturæ monumenta perlegere velit. Ac ita quidem perlegere, ut reconditas abditaſque illorum ſententias ſcrutetur, proindeque, & uniuſcujuſque rei rationem intelligat, & populo ſibi commiſſo erudiendo ſit idoneus, ipſumque interrogantibus reſpondere paratus; juxta divinum Apoſtolum, qui jubet fideles, paratos eſſe ſemper reſpondere omni petenti ab ipſis rationem de ea, quæ in nobis eſt, ſpe: Non autem perfunctoriè, hoc eſt, alias res agens, & verbis ſolum recitandis occupatus, ſubjectas vero ſententias cognitione nequaquam attingens. Nec ſolum ab eo ſacrarum literarum ſtudium, quod diximus, poſtulari; ſed ut vitam præterea ac mores ad legis divinæ præſcriptum normamq; componat, exigi placet neq; id tantum, ſed ut in erudiendo præterea credito ſibi populo elaboret. Sunt etenim ejus, quæ apud nos eſt, hierarchiæ ſubſtantia, ut magnus Dionyſius indicavit, eloquia divinitùs tradita, hoc eſt, divinarum ſcripturarum vera cognitio. Subſtantia vero hierarchiæ divina ſcriptura vocata eſt, quòd ex illa nimirum tota ejus conſtitutio pendeat. De ſubſtantia porro, iis qui extra ſunt, hoc tempore plura dicere alienum mihi viſum eſt. Vel enim qui ſe ad cognoſcendos Can. contulere liberali doctrina expoliti ſunt, ejuſque definitionem, & quæcunque de illa in prædicamentis traduntur, novere; vel, ſi politioris literaturæ ignari ſunt, fruſtra illis, quæcunq; hac de re dici poſſunt, inculcaveris. Hæc igitur ſiquidem Epiſcopus ſe facturum recipiat, ipſeque hanc vitæ normam amplecti, tum in aliorum quoque moribus componendis laborem ſuſcipere non recuſet, eum ordinari patres jubent: ſin dubius ſit animi, & non libenter accipiat, hoc eſt, amet, & prompto ſit animo ita facere & docere, non ordinari. His præterea prophetæ verba ſubjiciunt.

Ariſt. *Qui futurus eſt Epiſcopus, pſalterium noſcat: pernoſcat, quod legit, non ſimpliciter, ſed cum perſcrutatione, ſacros Canones, ſanctum Evangelium, Apoſtoli librum, & divinam ſcripturam univerſam: ſin minus, ne ordinetur.*

Eum, qui ad Epiſcopatus gradum promovendus eſt, oportet pſalterium omnino noſcere illudq; interpretari, ut & Clerum ſuum ſic diſcere edoceat. Quam diligenter etiam à Metropolitano examinari an ſacros Canones accuratè poteſt legere, & ſanctum evangelium, & divini Apoſtoli Pauli librum, & totam ſcripturam divinam, & mentem illorum inveſtigare, & quæ ſcripta ſunt intelligere. Quandoquidem vera divinarum ſcripturarum ſcientia eſt conſtitutio & ipſa Hierarchiæ eſſentia, ſecundum magnum Dionyſium: & ſcientiâ ſic inſtructum, eum ordinari: ſin minus, non ordinari. Dixit enim Deus per prophetam, Tu ſcientiam repuliſti, & ego te repellam, ne ſis mihi ſacerdos.

Canon III.

Omnem electionem Epiſcopi vel Presbyteri vel Diaconi, quæ fit à magiſtratibus, irritam manere, ex Canone dicente: Si quis Epiſcopus, ſecularibus magiſtratibus uſus, per eos Eccleſiam obtinuerit, deponatur & ſegregetur, & omnes qui cum eo communicant. Oportet enim eum, qui ad Epiſcopatum promovendus eſt, ab Epiſcopis eligi; quemadmodum à ſanctis patribus Nicææ decretum eſt in Canone, qui dicit; Epiſcopum oportet maxime quidem ab omnibus, qui ſunt in provincia, conſtitui: ſi autem hoc difficile fuerit, vel propter urgentem neceſſitatem, vel propter viæ longitudinem, tres omnino eodem convenientes, (iis quoque, qui abſunt, ſimul ſuffragium ferentibus & aſſentientibus per literas) tunc facere electionem. Eorum autem, quæ per unamquamque provinciam fiunt, confirmationem tribui Metropolitano.

Bals. Tempore præſentis Synodi eligebantur quidam, ut eſt veriſimile, quorundam procerum poteſtate

εἰ θέλει ἀναγινώσκειν τοὺς ἱεροὺς κανόνας, τὸ εὐαγγέλιον, τὴν τοῦ ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν. ἀναγινώσκειν δὲ ἐρευνητικῶς, ὥστε εἰδέναι τὸν νοῦν ἑκάστου, καὶ ἱκανὸν εἶναι πρὸς διδασκαλίαν τοῦ ὑπ' αὐτὸν λαοῦ, καὶ ἕτοιμον πρὸς ἀπόκρισιν τοῖς ἐρωτῶσιν αὐτόν, κατὰ τὸν θεῖον ἀπόστολον, παραγγέλλοντα τοῖς πιστοῖς, ἵνα ἕτοιμοι ὦσιν ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι αὐτοὺς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. ἀλλὰ μὴ παροδευτικῶς, ἤγουν ἀπροσέκτως, καὶ μόνα τὰ ῥήματα λέγοντα, τῆς δὲ ἐννοίας μὴ προσαπτόμενον. καὶ οὐ μόνον οὕτως ἀναγινώσκειν τὴν θείαν γραφὴν ἀπαιτεῖσθαι αὐτόν, ἀλλὰ καὶ κατὰ τὰ ἐντάλματα ἀναστρέφεσθαι καὶ βιοῦν καὶ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ διδάσκειν τὸν ὑπ' αὐτὸν λαόν. οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας τὰ θεοπαράδοτά εἰσι λόγια, ἤγουν ἡ τῶν θείων γραφῶν ἀληθινὴ ἐπιστήμη, ὡς ὁ μέγας ἀπεφήνατο Διονύσιος. οὐσία δὲ τῆς ἱεραρχίας ἐκλήθη ἡ θεία γραφή, ὡς σύστασις ταύτης. ἄκαιρον γάρ μοι κέκριται τὸ πλέον εἰπεῖν τι περὶ οὐσίας κατὰ τοὺς ἔξω. ἢ γὰρ τῶν μετασχόντων παιδείας οἱ τοὺς κανόνας μετιόντες εἰσί, καὶ οἴδασι τὸν ὅρον ταύτης, καὶ ὅσα ἐν ταῖς κατηγορίαις περὶ αὐτῆς εἴρηται, ἢ ἄγευστοι παιδείας εἰσί, καὶ μάτην ὅσα ἂν τις εἴποι πρὸς ἐκείνους εἰρήσονται. εἰ μὲν οὖν ταῦτα ὑπισχνεῖται ποιεῖν, καὶ οὕτω βιοῦν, καὶ τοὺς ἄλλους ῥυθμίζειν, χειροτονεῖσθαι αὐτὸν κελεύουσιν οἱ πατέρες· εἰ δὲ ἀμφιβάλλοι, καὶ μὴ ἀσμενίζοι, ἀντὶ τοῦ ἀγαπᾷ, προθυμεῖται οὕτως ποιεῖν καὶ διδάσκειν, μὴ χειροτονεῖσθαι, καὶ ἐπὶ τούτοις ἐπάγουσι τὰ προφητικὰ ῥήματα.

ΑΡΙΣΤ. Ὁ γενησόμενος Ἐπίσκοπος, γινωσκέτω τὸ ψαλτήριον· διαγινωσκέτω, ὅτι ἀναγινώσκει, οὐχ ἁπλῶς, ἀλλ' ἐρευνητικῶς, τοὺς ἱεροὺς κανόνας, τὸ ἅγιον εὐαγγέλιον, τὴν τοῦ ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν· εἰ δὲ μή, μὴ χειροτονείσθω.

Τὸν μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς προάγεσθαι βαθμόν, δεῖ πάντως τὸν ψαλτῆρα γινώσκειν, καὶ ἑρμηνεύειν αὐτόν, ἵνα καὶ τὸν ὑπ' αὐτοῦ κλῆρον οὕτω μανθάνειν διδάσκει. ἐξετάζεσθαι δὲ ἀσφαλῶς καὶ ὑπὸ τοῦ μητροπολίτου, εἰ ἐπιμελῶς δύναται τοὺς ἱεροὺς κανόνας ἀναγινώσκειν, τὸ ἅγιον εὐαγγέλιον, τὴν τοῦ θείου ἀποστόλου Παύλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν, καὶ τὸν νοῦν αὐτῶν ἐρευνᾷν, καὶ συνιέναι τὰ γεγραμμένα· διότι σύστασις καὶ οὐσία τῆς ἀρχιερωσύνης ἡ τῶν θείων γραφῶν ἐστὶν ἀληθινὴ ἐπιστήμη, κατὰ τὸν μέγαν Διονύσιον· καὶ οὕτως ἔχοντα γνώσεως χειροτονεῖσθαι αὐτόν· εἰ δὲ μή, μὴ χειροτονεῖσθαι. εἶπε γὰρ ὁ θεὸς διὰ τοῦ προφήτου, Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε, τοῦ μὴ ἱερατεύειν μοι.

ΚΑΝΩΝ γʹ.

Πᾶσαν ψῆφον γινομένην παρὰ τῶν ἀρχόντων, Ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου, ἄκυρον μένειν κατὰ τὸν κανόνα τὸν λέγοντα· εἴ τις Ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπήν, ὑπὸ Ἐπισκόπων ψηφίζεσθαι· καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ὥρισται ἐν τῷ κανόνι τῷ λέγοντι· Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους (συμψήφων γινομένων καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων) τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

ΒΑΛΣ. Ἐν ταῖς ἡμέραις τῆς παρούσης συνόδου ἐψηφίσαντό τινες, ὡς ἔοικεν, ἀπὸ ἐξουσίας τινῶν παραδυναστευόντων ὑπεναντίως τῷ περὶ τούτου ἀποστολικῷ κανόνι. μὴ ἀνεχόμενοι οὖν τοῦτο οἱ ἅγιοι πατέρες, ὥρισαν τὴν τοιαύτην ψῆφον ἄκυρον εἶναι ἀκολούθως τῷ ῥηθέντι ἀποστολικῷ κανόνι, τῷ διοριζομένῳ τοὺς οὕτω ψηφισθέντας καθαιρεῖσθαι καὶ ἀφορίζεσθαι τοὺς δὲ κοινωνήσαντας αὐτοῖς ἀφορίζεσθαι· τὴν μέντοι ψῆφον ὀφείλει γίνεσθαι κατὰ τὸν δ'. κανόνα τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. καὶ ἀνάγνωσον οὖν τὸν τοιοῦτον κανόνα, καὶ τὸν λ'. κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ τὰς ἑρμηνείας αὐτῶν. τί δὲ τῶν κανόνων μὴ διοριζομένων διὰ ψήφου γίνεσθαι τὰς χειροτονίας τῶν πρεσβυτέρων καὶ τῶν διακόνων, ἀλλὰ μόνον τῶν Επισκόπων, πῶς ὁ κανὼν φησιν ἀκυροῦσθαι τὰς παρὰ ἀρχόντων γινομένας ψήφους Επισκόπων, πρεσβυτέρων καὶ διακόνων; Λύσις. τινὲς εἶπον καὶ τὰς τρεῖς χειροτονίας ἐπὶ ἑνὸς προσώπου ὀφείλειν ἐκλαμβάνεσθαι, καὶ τὴν οὕτω γινομένην ψῆφον χάριν τοῦ δέ τινος, ἐφ' ᾧ γενέσθαι διάκονον, πρεσβύτερον, καὶ οὕτως Επίσκοπον, ἄκυρον εἶναι· ἕτεροι εἶπον, ὅτι τὸ παλαιὸν αἱ ψῆφοι παρὰ τοῦ δήμου ἐγίνοντο, καὶ ἐψηφίζοντο οὐ μόνον Επίσκοποι, ἀλλὰ καὶ πρεσβύτεροι καὶ διάκονοι, καὶ διὰ τοῦτο εἶπεν ὁ κανὼν τὰς κατὰ δυναστείαν ἀρχοντικὴν γινομένας ψήφους Επισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἀκυροῦσθαι· ἄλλοι δὲ εἶπον, ὡς ἐπὶ μὲν Επισκόπου ἡ ψῆφος κατὰ κυριωνυμίαν ἐρρέθη· ἐπὶ δὲ πρεσβυτέρου καὶ διακόνου καταχρηστικῶς· ἀντὶ γὰρ χειροτονίας ἐξελήφθη· ὅπερ καὶ ἐμοὶ ἀρέσκει, εὑρίσκοντι καὶ ἑτέρους κανόνας τὴν ψῆφον ἀντὶ χειροτονίας ἐκλαμβανομένους. τῶν δὲ ἀρχόντων μὴ δυναμένων ὅλως ψηφίζεσθαι Επισκόπους, πῶς ὁ κανὼν διορίζεται ἀκυροῦσθαι τὰς παρὰ τούτων γινομένας ψήφους; Λύσις. οὐ περὶ ψήφων παρὰ ἀρχόντων γινομένων ὁ κανὼν θεσπίζει, ἀλλὰ περὶ ψήφων Επισκόπων, προβαινουσῶν κατὰ ἐξουσίαν ἀρχοντικήν, καὶ περὶ ψήφων ἤτοι χειροτονιῶν πρεσβυτέρων ἢ διακόνων, προβαινουσῶν κατὰ κέλευσιν ὁμοίαν. φησὶ γοῦν, ὡς κἂν τῷ δοκεῖν παρὰ τῶν ἐχόντων ἐξουσίαν ἀρχιερέων γίνωνται, ἀλλ' ἐπεὶ κατὰ δυναστείαν καὶ βίαν προβαίνουσιν, ὀφείλουσιν ἀκυροῦσθαι καὶ ἀναλύεσθαι.

ΖΩΝΑΡ. Παλαιὰ ἡ κακία. ἐγίνοντο γὰρ καὶ πάλαι ἀθέσμά τινα, καὶ ἄρχοντες τῇ δυναστείᾳ θαρροῦντες ἐψηφίζοντο Επισκόπους, καὶ πρεσβυτέρους καὶ διακόνους προσέταττον γίνεσθαι. ταῦτα οὖν ἡ σύνοδος κωλύει, τὸν ἀποστολικὸν κανόνα παράγουσα, ὃς τὸν δι' ἀρχόντων ἐγκρατῆ γενόμενον ἐκκλησίας Επίσκοπον καθαιρεῖ ἅμα καὶ ἀφορίζει, μεγάλης τιμωρίας ἀξιῶν τὸν τοῦτο ποιοῦντα, καὶ οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ. ὁρίζει δὲ ὑπὸ Επισκόπων ψηφίζεσθαι τὸν εἰς ἐπισκοπὴν προαχθήσεσθαι μέλλοντα, καὶ μέμνηται τοῦ τετάρτου κανόνος τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων, ὃς ἐξηγήθη ἐκεῖ.

ΑΡΙΣΤ. Πᾶσα ψῆφος ὑπὸ κοσμικῶν ἀρχόντων γινομένη ἄκυρος ἔστω.

Ἐν πολλοῖς τῶν κανόνων εἴρηται, ὅτι, ὑπὸ πάντων τῶν Επισκόπων ἑκάστης ἐπαρχίας ὀφείλειν ψηφίζεσθαι, (εἴγε τοῦτο δυνατόν,) τὸν μέλλοντα εἰς ἐπισκοπὴν προβιβάζεσθαι. εἰ δὲ μή, κἂν ὑπὸ τριῶν Επισκόπων, συμψήφων γινομένων καὶ τῶν ἀπόντων διὰ γραμμάτων· τὸ δὲ, κοσμικοῖς ἄρχουσι χρήσασθαί τινα, καὶ δι' αὐτῶν ἐκκλησίας τινὸς ἐγκρατῆ γενέσθαι, οὐ μόνον ἐστὶν ἀνίσχυρον, ἀλλὰ καὶ καθαίρεσιν, καὶ ἀφορισμὸν ἐπάγει τῷ τοιουτοτρόπως τῆς ἱερωσύνης τυχόντι.

A contrà quam Canone Apoſtolico traditum eſt. Hoc ergo ſancti patres non ſuſtinentes, ſtatuerunt, dictam electionem eſſe irritam conſequenter dicto Apoſtolico Canoni, qui decernit eos qui ſic electi fuerint, deponendos & ſegregandos, eoſque excommunicandos qui cum illis communicaverint: oportet autem electionem fieri prout vult IV. Canon ſanctorum patrum concilii Niceni. Et illum itaque Canonem & xxx. ſanctorum Apoſtolorum eorumque interpretationes lege. Atqui cum non decernant Canones Preſbyterorum & Diaconorum ordinationes electione fieri, ſed ſolum Epiſcoporum; quomodo dicit Can. irritas eſſe electiones Epiſcoporum, Preſbyterorum B & Diaconorum, quæ fiunt à magiſtratibus? Solutio. Dicebant quidam, tres ordinationes in una perſona intelligi debere, & eam quæ ſic fit electionem alicujus, ea de cauſa ut fiat Diaconus, Preſbyter, & ſic Epiſcopus, nullius eſſe momenti. Alii dicebant, quod antiquitùs electiones fiebant à populo, & eligebantur, non ſolum Epiſcopi, ſed etiam Preſbyteri & Diaconi: & propterea dixit Canon; Quæ magiſtratus auctoritate fiunt, electiones Epiſcoporum vel Preſbyterorum vel Diaconorum, non valere. Alii autem dixerunt, quod in Epiſcopo quidem electio propriè dicta eſt; in Preſbytero autem & Diacono abuſive: pro ordinatione enim accepta eſt; quod mihi quoque C placet, cum inveniam alios etiam Canones, qui electiones pro ordinatione accipiunt. Cùm autem non poſſint omnino Magiſtratus Epiſcoporum eligere, quomodo decernit Can. ut quæ ab iis fiunt electiones ſint irritæ? Solutio. De electionibus, quæ magiſtratibus vel principibus fiunt, non decernit hic Canon: ſed de electionibus Epiſcoporum, quæ principum ſeu Magiſtratuum poteſtate procedunt: & de electionibus ſeu ordinationibus Preſbyterorum vel Diaconorum, quæ ſimili juſſu procedunt. Dicit ergo, quod etiamſi opinione ac ſpecie ab antiſtitibus, penes quos eſt eligendi poteſtas, fiant, quoniam tamen potentia ac vi procedunt, infirmari debent & reſolvi.

D **Zonar.** Vetus malum improbitas eſt. Et vero antiquis etiam temporibus aliqua contra legum ſanctiones admittebantur, ac Principes viri, potentia imperii freti, Epiſcopos eligebant, & Preſbyteros ac Diaconos fieri pro poteſtate jubebant. Nihil igitur ejuſmodi Synodus in poſterum licere decernit, profertq; Apoſtolicum Canonem, quo, ſi quis Epiſcopus Magiſtratuum opera Eccleſiam obtinuerit, illum depoſitione ſimul ac ſegregatione (magno videlicet ſupplicio, qui id fecerit, dignum exiſtimans,) nec illum tantùm, ſed quicunq; ab ejuſdem communione non abſtinuerit, puniri jubet. Ab Epiſcopis autem eum, qui ad Epiſcopatum evehendus eſt, renunciari placet, ac E quarti Canonis à ſanctis Patribus in Nicæna Synodo editi mentionem adjungit, qui ibidem explicatur.

Arist. *Omnis electio à ſecularibus magiſtratibus facta irrita ſit.*

In multis Canonibus dicitur, quod ab omnibus cujuſque provinciæ Epiſcopis (ſi quidem fieri id poteſt) eligi debet, qui ad Epiſcopatum eſt promovendus: ſin minus, à tribus ſaltem Epiſcopis, abſentibus etiam per literas ſuffragia ſua ferentibus. Secularibus autem principibus F uti quemlibet, & per eos Eccleſiæ alicujus poſſeſſorem fieri, non modo infirmum eſt, ſed & depoſitionem & ſegregationem ei affert, qui tali modo ſacerdotium obtinuit.

A

CANON IIII.

Præco veritatis magnus Paulus divinus Apoſtolus, quendam veluti Canonem Epheſiorum Presbyteris imponens, vel univerſæ potiùs ſacerdotali multitudini, ſic libere dixit: Argentum vel aurum vel veſtem nullius concupivi, omnia vobis oſtendi, quod oportet ſic laborantes infirmos ſuſcipere, dare beatius quam recipere exiſtimantes. Quocirca nos ab eo edocti ſtatuimus, ne turpis lucri gratia Epiſcopus excuſationes in peccatis excogitans, aurum vel argentum vel ullam aliam ſpeciem ab iis, qui ſibi ſubſunt, Epiſcopis vel Clericis B *vel Monachis exigat. Dicit enim Apoſtolus; Injuſti regnum Dei non poſſidebunt: nec debent liberi parentibus theſaurum parare, ſed parentes liberis: Si quis ergo per exactionem auri, vel alicujus alterius ſpeciei, vel propter aliquam propriam affectionem à miniſterio arcere inventus fuerit, vel ſegregare ſuorum Clericorum aliquem, vel venerandum templum claudere, ne in eo divina fiant miniſteria, & ad id, quod non eſt ſenſu præditum, ſuam inſaniam immittens; eſt revera ſine ſenſu, & talionis erit legi obnoxius: & labor ipſius in caput ejus redibit, ut qui ſit mandati Dei & Apoſtolicarum Conſtitutionum tranſgreſſor. Præcipit enim &* C *Petrus Apoſtolorum ſummus; Paſcite gregem Dei, qui penes vos eſt, Epiſcopatum gerentes, non per vim, ſed ſponte ac voluntariè ſecundum Deum; neque turpis lucri gratia, ſed promptè & alacriter; nec ut dominatum in Clerum obtinentes, ſed gregis exemplaria exiſtentes; & cùm ſummus paſtor apparuerit, quæ nec corrumpi nec marceſcere poteſt, gloriæ coronam referetis.*

BALS. Ut turpis quæſtûs affectio à Chriſtianis radicitus evellatur, ſtatuerunt patres, non licere Antiſtitibus, à ſuis Epiſcopis, Clericis vel Monachis, aurum vel aliam quamcunque rem exigere. Antiſtitem autem, qui aliquem ex ſuis propter ullam ejuſmodi cauſam ſegregat, D vel non ſinit propterea in divino templo divinum celebrare miniſterium, & ſic in id quod non eſt ſenſu præditum ſive in templum inauditam ſuam inſaniam effundit, vanas aliquas & à Canonibus alienas excuſationes afferens, eſſe legi talionis obnoxium, ut qui ſit revera ſenſu vacuus. Eſt autem talio, id jure pati quempiam, quod præter rationem fecerit. Hæc autem decernentes patres, diverſis quoque locis ex epiſtola ſancti Pauli ad Epheſios uſi ſunt, qui turpem quæſtum & avaritiam puniunt, miſericordiam autem & eleemoſynam maximi faciunt. Quid autem, ſi ſit aliqua cauſa Canonica, non venia dabitur E Antiſtiti, qui ab eo, cui præeſt, aurum vel argentum exigit? Solutio. Minimè: ſi enim hoc fecerit, ut Dei mandatorum tranſgreſſor, & ut qui ejus, qui præeſt, animæ ſalutem vendiderit, punietur. Debet enim, qui fortè deliquerit, Epiſcopum vel Clericum vel Monachum ex Canonum præſcriptis primus punire, & non propter turpe aliquod lucrum Canonicam correctionem tranſgredi. Jubet autem Canon Antiſtitibus, ne in Clericos ſuos dominatum exerceant, id eſt, ne ut ſervis & miniſtris eis utantur ſed ſine perturbatione & vi aliqua eos paſcant & corrigant. Nota autem ex hoc præſenti Canone, quòd non F ſolum Antiſtes, qui turpis lucri cauſa Clericum ſuum ſegregavit, ſegregatur ex lege talionis; ſed & qui propter aliquam animi perturbationem vel aliquam non juſtam cauſam tale quid iniquè fecit. De ea re autem quæſtio agitanda eſt apud eum, qui habet majorem poteſtatem, & poteſt de iis rebus ut judex cognoſcere. Quære & Can. xvii. i. tit. iii. lib. Baſil. quæ quidem eſt Novella Juſt. ſic dicens; Omnibus autem Epiſcopis vel Presbyteris interdicimus, ne quempiam à ſancta communione ſegregent, priuſquam cauſa oſtenſa fuerit, propter quam Eccleſiaſtici Canones hoc jubent fieri:

ΚΑΝΩΝ δʹ.

Ο κήρυξ τῆς ἀληθείας ὁ μέγας Παῦλος ὁ θεῖος ἀπόστολος, οἱονεὶ κανόνα τιθεὶς τοῖς Ἐφεσίων πρεσβυτέροις, μᾶλλον δὲ καὶ παντὶ ἱερατικῷ πληρώματι, οὕτως ἐπαῤῥησιάσθη εἰπών· ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μακάριον ἡγουμένους τὸ διδόναι ἢ λαμβάνειν. διὸ καὶ ἡμεῖς μαθόντες παρ' αὐτοῦ ὁρίζομεν, μηδ' ὅλως αἰσχροκερδῶς ἐπινοεῖσθαι Ἐπίσκοπον, προφασιζόμενον προφάσεις ἐν ἁμαρτίαις, ἀπαιτεῖν χρυσὸν ἢ ἄργυρον ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν τελοῦντας Ἐπισκόπους ἢ κληρικοὺς ἢ μοναχούς. φησὶ γὰρ ὁ ἀπόστολος· ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· καὶ οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. εἴ τις οὖν διὰ ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, εἴτε διά τινα ἰδιοπάθειαν εὑρεθείη ἀπείργων τῆς λειτουργίας, καὶ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, ὡς μὴ γίνεσθαι ἐν αὐτῷ τὰς τοῦ θεοῦ λειτουργίας, καὶ εἰς ἀναίσθητον τὴν ἑαυτοῦ μανίαν ἐπιπέμπων, ἀναίσθητος ὄντως ἐστίν, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὡς παραβάτης ἐντολῆς θεοῦ καὶ τῶν ἀποστολικῶν διατάξεων. παραγγέλλει γὰρ καὶ Πέτρος ἡ κορυφαία τῶν ἀποστόλων· ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ ἐπισκοποῦντες μὴ ἀναγκαστικῶς ἀλλ' ἑκουσίως κατὰ θεόν· μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

ΒΑΛΣ. Ἵνα δὲ τὸ τῆς αἰσχροκερδείας πάθος ὑπὸ τῶν χριστωνύμων ἐκριζωθῇ, ὥρισαν οἱ πατέρες, μὴ ἔχειν ἐπ' ἀδείας τοὺς ἀρχιερεῖς ἀπὸ τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων ἢ κληρικῶν ἢ μοναχῶν χρυσὸν ἀπαιτεῖν, ἢ ἕτερον οἱονδηποτοῦν πρᾶγμα. τὸν δὲ ἀφορίζοντα ἀρχιερέα, διὰ τὴν τοιαύτην αἰτίαν, τινὰ ἐκ τῶν ὑπ' αὐτόν, ἢ ἐπιτρέποντα διὰ τοῦ τὸ μὴ γίνεσθαι τὴν τοῦ θείου ναοῦ δοξολογίαν, καὶ οὕτως εἰς ἀναίσθητον ἤγουν εἰς τὸν ναὸν τὴν ἀλλόκοτον αὐτοῦ μανίαν ἐκχέοντα, προφασιζόμενον ματαίας τινὰς καὶ ἀκανονίστους προφάσεις, ὑποκεῖσθαι τῇ ταυτοπαθείᾳ, ὡς τῇ ἀληθείᾳ ὄντα ἀναίσθητον. ταυτοπάθεια δέ ἐστι τὸ παθεῖν εὐλόγως ὃ παραλόγως ἐποίησε. ταῦτα δὲ θεσπίζοντες οἱ πατέρες, ἐχρήσαντο καὶ διαφόροις ῥητοῖς ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Παύλου, τὴν αἰσχροκέρδειαν καὶ τὴν φιλαργυρίαν κολάζουσι, καὶ τὴν ἐλεημοσύνην ἀποσεμνύνουσι. τί δέ, εἰ κανονική ἐστιν ἡ πρόφασις, συγγνωσθήσεται ὁ ἀρχιερεὺς ἐκ τοῦ ὑπ' αὐτὸν ἀπαιτῶν χρυσὸν ἢ ἄργυρον; Λύσις. οὐδαμῶς. εἰ γὰρ τοῦτο ποιήσει, ὡς παραβάτης τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ ὡς πωλήσας τὴν ψυχικὴν σωτηρίαν τῶν ὑπ' αὐτόν, κολασθήσεται. ὀφείλει γὰρ τὸν ἴσως ἐπταικότα Ἐπίσκοπον αὐτοῦ ἢ κληρικὸν ἢ μοναχὸν ὁ πρῶτος κατὰ κανόνα κολάζειν, καὶ μὴ διά τι αἰσχροκερδὲς τὴν κανονικὴν διόρθωσιν παρατρέχειν. ἐντέλλεται δὲ ὁ κανὼν τοῖς ἀρχιερεῦσι μὴ κατακυριεύειν τῶν κληρικῶν αὐτῶν, τουτέστιν, ὡς δούλοις καὶ ὑπηρέταις τούτοις κεχρῆσθαι, ἀλλὰ χωρὶς ἐμπαθείας καὶ ἀνάγκης τινὸς ποιμαίνειν καὶ διορθοῦσθαι αὐτούς. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐ μόνος ὁ ἀφορίσας ἀρχιερεὺς τὸν κληρικὸν αὐτοῦ διὰ πρόφασιν αἰσχροκερδείας ἀφορίζεται, κατὰ τὸν λόγον τῆς ταυτοπαθείας, ἀλλὰ καὶ ὁ κατ' ἐμπάθειαν ἢ ἄλλην ἀνεύλογον αἰτίαν τοιοῦτόν τι ἀδίκως ποιήσας. καὶ τὰ περὶ τούτου ζητεῖται παρὰ τῷ μείζονα ἔχοντι ἐξουσίαν καὶ δυναμένῳ διαιτᾶν τοῖς τοιούτοις. ζήτει καὶ κεφ. ιζʹ. τοῦ αʹ. τίτλου τοῦ γʹ. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιανείου, λέγον οὕτως. πᾶσι δὲ τοῖς Ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν μὴ ἀφορίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν αἰτία δειχθῇ δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γίνεσθαι κελεύουσιν·

εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινά, ἐκεῖνος μὲν, ὃς ἀδίκως τῆς ἁγίας κοινωνίας ἐχωρίσθη, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς ἁγίας ἀξιούσθω κοινωνίας. ὁ δὲ ἀδίκως τινὰ τῆς ἁγίας κοινωνίας χωρίσαι τολμήσας, πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως, ὑφ' ὃν τέτακται, χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον χρόνον ἐκεῖνος συνίδῃ· ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείνῃ. σημείωσαι τὸν παρόντα κανόνα, διὰ ταυτοπαθείας κολάζοντα τοὺς Ἐπισκόπους, τοὺς κατὰ πρόφασιν αἰσχροκερδείας ἢ ἰδιοπαθείας ἀφορίζοντας ἐκ τῶν ὑπ' αὐτοὺς τινας, ἢ κλείσαντας ναούς· ὥστε ὁ οὕτως ἀφορίσας, ἀφορισθήσεται· ὁ δὲ κλείσας ναὸν καὶ πλεῖον τοῦ ἀφορισμοῦ κολασθήσεται. μὴ εἴπῃς δὲ ἐξ ἀντιδιαστολῆς, μὴ κολάζεσθαι τὸν Ἐπίσκοπον, τὸν μὴ διὰ αἰσχροκέρδειαν ἢ διὰ ἰδιοπάθειαν, ἀλλ' εὐλόγως ἀφορίζοντά τινας, ἢ κλείοντα ναούς· ἀλλὰ τὸ ἐξ ἀντιδιαστολῆς ἐκλάβου εἰς μόνους τοὺς ἀφορισμούς· ὁ γὰρ κλείων ναὸν Ἐπίσκοπος ἐξ οἱουδήτινος εὐλόγου ἢ παραλόγου τρόπου, ὡς ἐμοὶ δοκεῖ, κολασθήσεται, ὡς ἄνωθεν εἴρηται.

Ἑτέρα ἑρμηνεία.

Ὁ μὲν παρὼν δ'. κανὼν ἀπαλλάττει τοὺς κληρικοὺς πάσης αἰσχροκερδοῦς εἰσπράξεως, ἐπινοουμένης παρὰ τῶν κατὰ τόπους ἀρχιερέων. τὸ δὲ β'. γ'. δ'. καὶ ε'. κεφ. τοῦ γ'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν διορίζεται, μήτε μιτάτων δόσεσι, μήτε προσωπικῇ λειτουργίᾳ, μήτε ἁπλῶς οἱαισδήτισιν ἐπηρείαις δημοσιακαῖς τοὺς κληρικοὺς ὑποκεῖσθαι, ἀλλὰ καὶ τὰ ἐγνωσμένα δημοσιακὰ τελέσματα καὶ μόνα τελεῖν. ἀλλ' ὁ ἀείμνηστος ἐν βασιλεῦσι κύριος Μανουὴλ ὁ Κομνηνὸς διὰ χρυσοβούλλου ἀπολυθέντος κατὰ τὸν φευρουάριον μῆνα τῆς ζ'. ἰνδικτιῶνος τοῦ ͵ςχ'. ἔτους ἐφιλοτιμήσατο πᾶσι τοῖς ὁπουδήποτε τῶν χωρῶν τῆς Ῥωμανίας προσκαθημένοις ἱερεῦσι καὶ δημοσιακοῖς τελεσταῖς οὖσι, μὴ μόνον ἐξκουσείαν πάσης δημοσιακῆς ἐπηρείας, ἀλλὰ καὶ ἀτέλειαν τοῦ ζευγολογίου. μετὰ δέ τινα καιρὸν ἀπεχαρίσατο τούτοις μετὰ δοχῆς ἀτέλειαν κεφ. δ'. κἂν μὴ ἀπὸ ζευγολογίου ὦσι τὰ διδόμενα παρὰ τούτων τελέσματα. τὴν δὲ ῥηθεῖσαν φιλοτιμίαν τῆς ἐξκουσείας τῶν δημοσιακῶν ἐπηρειῶν ἀπεχαρίσατο καὶ τοῖς ἐν πᾶσι προσωπικοῖς ἐκκλησιαστικοῖς καὶ μοναστηριακοῖς προσκαθημένοις ἱερεῦσι· πλὴν τῶν μὲν δημοσιακῶν ἱερέων τὴν ποσότητα διὰ ἀπογραφῆς ἐστενοχώρησε, διὰ τὴν δοχὴν τῶν συμπαθηθέντων τελεσμάτων αὐτῶν, ὥστε εἰς τὸ ἑξῆς μὴ αὐξάνεσθαι· τοὺς δὲ προσωπικοὺς καὶ λοιποὺς ἱερεῖς, οὐκ εὐδόκησε ἀπογραφῆναι πάντως, διὰ τὸ μηδὲ ὀφείλειν γίνεσθαι δοχὴν ὑπὲρ τούτων. καὶ μετά τινας χρόνους, ἱερέων τινῶν δημοσιακῶν ὑπερβαινόντων τὴν ποσότητα τῶν, ὡς εἴρηται, γεγονυιῶν ἀπογραφῶν, καὶ ἑλκομένων εἰς ἀπόδοσιν πλωΐμων καὶ λοιπῶν δημοσιακῶν ἐπηρειῶν, ὑπεμνήσθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς παρὰ τοῦ τότε ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, καὶ συνεζητήθη κατὰ πρόσταξιν βασιλικὴν εἰ βοηθοῦνται οἱ τοιοῦτοι δημοσιακοὶ ἱερεῖς ἀπὸ τοῦ ῥηθέντος χρυσοβούλλου, εἰς τὸ ἐξκουσεύεσθαι τέως ἀπὸ τῶν δημοσιακῶν ἐπηρειῶν· διεγνώσθη συνοδικῶς ἔχειν τοὺς τοιούτους ἱερεῖς τέως τὴν ἐξκουσείαν ἀπὸ τῶν ἐπηρειῶν. εἶπε γὰρ ἡ ἁγία σύνοδος, ὅτι καὶ ἀπὸ τοῦ προοιμίου, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ ἐξκουσεύεσθαι πάντας τοὺς προσωπικοὺς ἱερεῖς μηδὲ ἀπογραφομένους, παρίσταται ἐναργῶς, τὴν βασιλικὴν εὐεργεσίαν πρὸς πάντας ὑφαπλωθῆναι τοὺς ἱερεῖς· ἄδικον δ' ἔφασαν, καὶ τῆς βασιλικῆς εὐεργεσίας ἀλλότριον, τούτους μὲν τῷ δημοσίῳ μηδὲν συνεισφέροντας, ἐξκουσεύεσθαι διὰ τὴν τιμὴν τῆς ἱερωσύνης· ἐκείνους δὲ τελεστὰς ὄντας τοῦ δημοσίου ἐπηρεάζεσθαι, καὶ τὴν ἐκ τῆς ἱερωσύνης μὴ ἔχειν παράθαλψιν, ἀλλὰ κατὰ τοὺς λαϊκοὺς εὐθύνεσθαι· καὶ ἀνάγνωθι τὸ κατὰ τὸν Ἰούλιον μῆνα τῆς α'. ἰνδικτιῶνος τοῦ ͵ςχ'. ἔτους γεγονὸς χάριν τούτου συνοδικὸν σημείωμα.

A si quis autem præter hæc à ſancta communione quempiam ſeparaverit, ille quidem, qui à ſancta communione injuſtè ſeparatus eſt, ſoluta ſeparatione à majori Antiſtite, ſancta communione dignus exiſtimetur. Qui autem injuſtè aliquem ſancta communione privare auſus eſt, omnibus modis à Sacerdote, cui eſt ſubjectus, tanto tempore, quantum is ſatis eſſe viderit, communione movebitur; ut quod injuſtè fecit, juſtè patiatur. Nota præſentem Canonem, qui pœna talionis punit Epiſcopos, qui turpis quæſtûs gratia, vel propter privatas affectiones, ex ſuis aliquos ſegregant, vel templa claudunt. Quare qui ſic ſegregavit, ſegregabitur. Qui autem templum clauſit, B plus quam ſegregatione punietur. Ne dixeris autem per argumentum à contrario ſumptum non puniri Epiſcopum, qui non propter turpe lucrum vel privatam affectionem, ſed jure ſegregat aliquos vel templa claudit: ſed argumentum a contrario accipe ad ſolas ſegregationes. Epiſcopus enim, qui ex quacunq; ſive iuſta ſive injuſta cauſa, templum claudit, punietur, ut mihi quidem videtur, ſicut ſuperius dictum eſt.

Altera Interpretatio.

Præſens quidem quartus Canon ab omni exactione, C turpis lucri gratia, Clericos liberat, quæ ab Antiſtitibus, qui locis præſunt, excogitatur. Secundum autem, tertium, quartum, & quintum caput iii. tit. iii. lib. Baſilic. neque metatorum dationibus, neque perſonali munere, nec ullis omnino publicis oneribus Clericos aſtrictos eſſe decernunt, ſed ſola nota publica tributa eaque ſola pendere. Jam vero inter Imperatores perpetuo celebrandus dominus Manuel Comnenus, per bullam auream menſe Feb. indictione vii. an. 6600. emiſſam, conceſſit omnibus Sacerdotibus, qui ubivis Romaniæ locorum aſſident, & publica ſacra peragunt, non ſolum ab omni onere publico excuſationem habere, ſed etiam im- D munitatem jugationum. Poſt aliquod autem tempus eis quoque largitus eſt immunitatem capitis quarti, etiamſi non ſint ex jugatione quæ ab eis dantur tributa. Dictam autem à publicis muneribus excuſationem dedit omnibus, qui in perſonalibus Eccleſiaſticis & monaſterialibus aſſident, ſacerdotibus; ſed publicorum quidem ſacerdotum quantitatem deſcriptione facta in anguſtum redegit propter ſuſceptionem eis conceſſorum vectigalium, ut deinceps non augeatur: Perſonales autem & reliquos ſacerdotes non eſſe deſcribendos ei viſum eſt omnino, quoniam nulla pro iis eſſe deberet penitus ſuſceptio. Cum autem aliquanto poſt tempore, ſacerdotes E quidam publici, qui quantitatem factarum, ut dictum eſt, deſcriptionum excedebant, ad nautica ſolvenda & reliqua onera publica traherentur, commonitus eſt potens & ſanctus noſter Imperator à ſanctiſſimo tunc temporis Patriarcha domino Luca, & quæſitum eſt juſſu Imp. an hi publici Sacerdotes à dicta aurea bulla juventur, & publicis oneribus interim excuſentur: Synodice definitum eſt, tales ſacerdotes excuſationem ab oneribus habere. Dixit enim ſancta Synodus, quod & ex procemio, & ex eo etiam, quod omnes accuſantur perſonales Sacerdotes etiamſi non deſcribantur, evidentèr oſtenditur, Imp. beneficium ad omnes extendi Sacerdotes. F Injuſtum autem eſſe dicebant, & ab Imp. beneficentia alienum, ut qui publico quidem nihil conferunt, propter Sacerdotii honorem excuſentur: illi autem, qui publico deſerviunt, opprimantur, & ex ſacerdotio non habeant ſolatium, ſed perinde ac ſi eſſent Laici, in judicio vexentur. Et Lege eam, quæ in Julio menſe prima indictione anno 6600. facta eſt, de hac re declarationem.

Zonar.

A **Zonar.** Aliquid Epiſcopum ſui emolumenti cauſa à ſibi ſubjectis exigere hic Can. omnino vetat, magnumq; Paulum ita de ſe loquentem inducit; Aurum, aut argentum, aut veſtem nullius concupivi; ut ſuo ipſemet exemplo, omnibus ad imitandum propoſito, eundem vitæ curſum à fidelibus retinendum, ac aſſidue laborantibus infirmorum curam ſuſcipiendam eſſe commonefaceret: infirmorum appellatione, hoc loco, non qui morbo aliquo tenentur, ſed omnes qui miſericordia quomodocunq; indigent, intelligens. Quod ſi hæc univerſis ita præcipitur, ea multo accommodatius Epiſcopis arbitrabimur convenire. Statuit igitur, ne quid Epiſcopus, turpis lucri gratià commentitiarum cauſarum obtentu, à ſubjectis ſibi Epiſcopis, B Clericis aut Monachis, ſive aurum, ſive argentum, ſive aliud quidpiam, exigat. Injuſta enim ejuſmodi, inquit, exactio eſt: injuſti porro regnum Dei non poſſidebunt. Neque vero debent filii parentibus theſauros recondere, ſed parentes filiis, idem ait Apoſtolus. Si quis igitur Epiſcopus ſubditos ſuos, quod ei rem qualemcunque demum poſtulanti non obtemperaverint, vel alia quapiam animi perturbatione incitatus, ſegreget, vel templum, ſacrorum celebrationi impediendæ, clauſerit, in rem ſenſu carentem, templum ſcilicet, iram, quam, eo quod vehemens & abſq; ratione ſuſcepta ſit furorem appellavit, effundens, ſenſu ipſe carere, inquit, exiſtimandus eſt, pœnaq; talionis, hoc C eſt, ſegregatione damnabitur, quodq; ipſe fecit, Epiſcopus quidem à ſuo Metropolitano, Metropolitanus autem à Patriarcha, quibus ſubjiciuntur patietur, & revertetur labor ipſius in caput ejus, quippe qui Dei mandatis & conſtitutionibus Apoſtolicis nequaquam obtemperaverit. Poſt hæc vero, Apoſtolorum coryphæi Petri verba, ex ipſius prima Epiſtola Catholica, ſubjicit.

Arist. *Statuimus, ut Epiſcopus aurum, aut argentum, vel aliud quippiam ab Epiſcopis, Clericis aut Monachis ſibi ſubjectis exigere nequaquam excogitet. Si quis igitur per auri, aut alius cujuſvis rei actionem, vel* D *per propriam ſuam affectionem, quempiam ex iis, qui ſibi ſubjiciuntur, Clericis à ſacrorum celebratione arcere, vel venerandum templum, ne ſacræ in eo Dei celebrationes fiant, claudere inventus fuerit, legi talionis ſubjicitur. Petrus enim Apoſtolus dicit; Paſcite Dei gregem, non ex neceſſitate, ſed voluntarie, & ſecundum Deum, non turpis lucri gratia, ſed prompto animo: non ut in Clerum dominium exercentes; ſed ut exemplar gregis facti.*

Punire & ſegregare ob hoc à ſacris Canonibus conceditur Epiſcopis, ut Clericorum ſuorum & aliorum delicta ſpiritualiter ſimul & paternè corrigerentur. Si E qui autem poteſtate eâ abutentes, ob propriam ſuam paſſionem, aut auri vel alterius alicujus rei exactionem, ſegregent aliquos aut pœnis ſubjiciant, juſte iiſdem pœnis ſubjicientur: ut diſcant, non ſine ratione pœnas ſumere.

Canon V.

Eſt peccatum ad mortem, quando peccantes aliqui perſtant non corrigendi. Hoc autem eſt deterius, quando & erecta cervice adverſus pietatem & religionem inſurgunt, mammonam Dei obedientiæ præferen- F *tes; & ejus Canonicas conſtitutiones non ferentes. In iis non eſt Dominus Deus, niſi forte humiliati à ſuo delicto reſipuerint. Oportet enim eos magis Deo ſupplicare, & cum corde contrito hujus peccati remiſſionem & condonationem petere, & non de illicita donatione ſe jactare. Deus enim prope eſt iis, qui ſunt contriti corde. Eos ergo, qui per auri donationem ſe fuiſſe in Eccleſia conſtitutos gloriantur, & in ea improba conſuetudine ſpem habent, quæ à Deo & ab omni ſacerdotio alienat,*

ΖΩΝΑΡ. Τὸ ἀπαιτεῖν τὸν ἀρχιερέα τοὺς ὑπ' αὐτὸν διδόναι τι αὐτῷ, πάντη κωλύει ὁ κανὼν, καὶ τὸν μέγαν Παῦλον εἰσάγει λέγοντα· χρυσίου, ἢ ἀργυρίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, τύπον ἑαυτὸν καὶ ὑπόδειγμα πᾶσι διδόντα, ὅτι οὕτω χρὴ τοὺς πιστοὺς ἀναστρέφεσθαι, καὶ κοπιῶντας ἀντιλαμβάνεσθαι τῶν ἀσθενῶν· ἀσθενεῖς ἐνταῦθα οὐ τοὺς νοσοῦντας δηλῶν, ἀλλὰ πάντας τοὺς ὁπωσδήποτε δεομένους ἐλέους. εἰ δὲ πᾶσι ταῦτα ἐντέλλεται, πολλῷ μᾶλλον ἂν τοῖς Ἐπισκόποις ἁρμόσωσιν. ὁρίζει οὖν, μὴ προφάσεις πλαττόμενον δι' αἰσχροκέρδειαν τὸν Ἐπίσκοπον ἀπαιτεῖν, ἀπὸ τῶν ὑπ' αὐτὸν ὄντων Ἐπισκόπων, κληρικῶν, ἢ μοναχῶν, χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον εἶδος. ἄδικος γάρ, φησιν, ἡ τοιαύτη ἀπαίτησις· B ἄδικοι δὲ βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. καὶ οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. καὶ ταῦτα δὲ ἀποστολικὰ τὰ ῥητά. εἰ γοῦν ἀπαιτῶν τις Ἐπίσκοπος τοὺς ὑπ' αὐτὸν οἱονδήποτε πρᾶγμα, καὶ μὴ εὐπειθεῖς εὑρίσκων αὐτοὺς, ἀφορίσει αὐτοὺς, ἢ δι' ἐμπάθειαν ἑτέραν, ἢ κλείσει ναὸν, ὥστε μὴ γίνεσθαι ἐν αὐτῷ τὰς ἱερουργίας, εἰς ἀναίσθητον τὸν ναὸν δηλαδὴ τὴν ὀργὴν αὐτοῦ, ἣν μῆνιν διὰ τὸ πάνυ σφοδρὸν καὶ παράλογον ὠνόμασεν, ἐπιπέμπων, ἀναίσθητός ἐστι, φησὶ, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, ἤγουν ἀφορισθήσεται, καὶ C ὃ ἐποίησε πάθῃ ὁ μὲν Ἐπίσκοπος παρὰ μητροπολίτου αὐτοῦ, ὁ δὲ μητροπολίτης παρὰ τοῦ πατριάρχου, οἷς ὑπόκεινται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, ὡς παραβάτου ἐντολῆς θεοῦ καὶ τῶν ἀποστολικῶν διατάξεων. καὶ ἑξῆς τίθησι τὰ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ῥητὰ, ἃ ἐν τῇ πρώτῃ τῶν καθολικῶν αὐτοῦ ἐπιστολῶν γέγραπται.

ΑΡΙΣΤ. Ὁρίζομεν μηδ' ὅλως ἐπιλογίζεσθαι Ἐπίσκοπον ἀπαιτεῖν χρυσὸν, ἢ ἄργυρον, ἢ ἕτερον εἶδος, τοὺς ὑπ' αὐτὸν Ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχούς. εἴ τις οὖν δι' ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου εἴδους, ἢ διά τινα ἰδιο- D πάθειαν, εὑρεθείη ἀπείργων τῆς λειτουργίας, ἢ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, μὴ γίνεσθαι ἐν αὐτῷ τὰς ἱερὰς τοῦ θεοῦ λειτουργίας· τῇ ταυτοπαθείᾳ ὑποκείσεται· φησὶ γὰρ Πέτρος ὁ ἀπόστολος· ποιμάνετε τὸ ποίμνιον τοῦ θεοῦ, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, καὶ κατὰ θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλ' ὡς τύπος γινόμενοι τοῦ ποιμνίου.

Τὸ ἐπιτιμᾶν, καὶ ἀφορίζειν, διὰ τοῦτο ἐδόθη παρὰ τῶν ἱερῶν κανόνων τοῖς Ἐπισκόποις, ἵνα τὰ ἐπταισμένα παρὰ E τῶν ὑπ' αὐτοὺς κληρικῶν καὶ λοιπῶν πνευματικῶς, ὁμοῦ καὶ πατρικῶς διορθῶνται· εἰ δέ τινες, τῇ ἐξουσίᾳ πάντῃ καταχρώμενοι, ἀφορίσουσί τινας, ἢ ἐπιτιμήσουσι δι' ἰδίαν ἐμπάθειαν, ἢ ἀπαίτησιν χρυσοῦ, ἢ ἑτέρου τινὸς εἴδους, δικαίως τῇ ταυτοπαθείᾳ ὑποπεσοῦνται· ἵνα μάθωσι, μὴ ἀλόγως ἐπιτιμᾶν.

ΚΑΝΩΝ ε΄.

Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρτάνοντες ἀδιόρθωτοι μένωσι. τὸ δὲ τούτου χεῖρον, ἐὰν τραχηλιῶντες κατεξανίστανται τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, προτιμώμενοι τὸν F μαμωνᾶν τῆς τοῦ Θεοῦ ὑπακοῆς, καὶ τῶν κανονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι· ἐν τούτοις οὐκ ἔστι Κύριος ὁ Θεός, εἰ μήπω ταπεινωθέντες τοῦ ἰδίου σφάλματος ἀνανήψωσι· χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ Θεῷ, καὶ μετὰ συντετριμμένης καρδίας τὴν ἄφεσιν τούτου τοῦ ἁμαρτήματος καὶ τὴν συγχώρησιν αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει. ἐγγὺς γὰρ Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. τοὺς οὖν ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι ἐν ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας τῇ ἀλλοτριούσῃ ἀπὸ τοῦ Θεοῦ καὶ πάσης ἱερωσύνης,

καὶ

A καὶ ἐκ τούτου ἀναιδεῖ προσώπῳ καὶ ἀπαρακαλύπτῳ στόματι, ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεγέντας καὶ καταταγέντας ἐκτὸς δόσεως χρυσίου, ἀτιμάζοντας· πρῶτα μὲν τοῦτο ποιοῦντας τὸν ἔσχατον λαμβάνειν βαθμὸν τοῦ οἰκείου τάγματος· εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμίου διορθοῦσθαι. εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ ποτε τοῦτο πεποιηκὼς, γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα, τὸν λέγοντα· εἴ τις Ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι ἐκ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ B Πέτρου· ὡσαύτως καὶ τὸν δεύτερον κανόνα τῶν ἐν Χαλκηδόνι ὁσίων πατέρων ἡμῶν, τὸν λέγοντα· εἴ τις Ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσοιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσοι ἐπὶ χρήμασιν Ἐπίσκοπον ἢ χωρεπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς, κινδυνευέτω εἰς τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν C ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη καὶ τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω.

ΒΑΛΣ. Μέλλοντες οἱ ἅγιοι πατέρες κολάσαι τοὺς κληρικοὺς τοὺς πρῶτα μὲν ἑκοντὶ καὶ κατὰ φιλόθεον γνώμην προσάγοντας ἐν ταῖς ἐκκλησίαις χρήματα ἢ ἕτερά τινα· ὕστερον δὲ ἐγκαυχωμένους ἐπὶ τῇ δόσει, καὶ ζητοῦντας προκαθεδρίας καὶ προτιμήσεις, καὶ ὀνειδίζοντας τοὺς δι' ἀρετὴν ἢ ἐνέργειαν D κληρωθέντας κατὰ Θεὸν συναδελφοὺς αὐτῶν· ἐχρήσαντο ἐν προοιμίοις ῥήματί τινι ἀπὸ τῆς πρώτης καθολικῆς ἐπιστολῆς ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου, λέγοντι, ἔστιν ἁμαρτία πρὸς θάνατον, ἤγουν ἐστὶν ἁμαρτία θανάσιμος ἢ ἀδιόρθωτος καὶ ἀμετανόητος, καὶ ἔστι ταύτης χείρων ἡ σὺν τῇ ἁμαρτίᾳ ἀναίδεια. ποῖον γὰρ οὐκ ὑπερβαίνει κακὸν τὸ προτιμᾶσθαί τινα τῆς ἐντολῆς τοῦ Θεοῦ τὰ τοῦ μαμμωνᾶ, ἤγουν τὰ χρήματα, καὶ λέγειν ὀφείλειν τοῦτον δι' ἃ προσήγαγε προτιμότερον εἶναι τῶν ἄλλων πάντων, τῶν καὶ ἐνεργείας ἴσως ἐχόντων ἢ καὶ ἀρετήν; τοὺς γοῦν οὕτω φρονοῦντας, καὶ ὅλως δόσεως χρημάτων μεμνημένους, καὶ ἐλπίζοντας διὰ τοῦτο προτιμᾶσθαι παρὰ τοὺς πολλοὺς, ἀφ' οὗ μᾶλλον κατάγνωσις ἐπάγεται, καὶ ὡς ἀπαρακαλύπτως E ὀνειδίζοντας τοὺς ἀδελφοὺς αὐτῶν διὰ τὴν ὑψοποιὸν πενίαν· ὑποβιβάζεσθαι εἰς τὸν ἔσχατον τόπον τοῦ βαθμοῦ αὐτῶν, ἵνα ταπεινωθῶσιν· εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν τῷ κακῷ, ἐπιτιμᾶσθαι κατὰ τὸ δόξαν πάντως τῷ Ἐπισκόπῳ. καὶ ταῦτα μὲν, ὁπόταν τις αὐθαιρέτως προσαγάγῃ ἐν ἐκκλησίᾳ οἱαδήτινα πράγματα, ἅτινα καὶ οἱ λαμβάνοντες ἀπροκριματίστως λαμβάνουσι, καὶ οἱ διδόντες, ἀνευθύνως διδόασιν. εἰ δέ τις, φησὶν, οὐκ ἐξ ἀρχῆς μετὰ τοιαύτης αὐθαιρέτου γνώμης ἐποίησε τὴν προσαγωγὴν, ἀλλὰ διὰ τὸ χειροτονηθῆναι, ἢ κληρωθῆναι ἢ ἄλλως πως ἐν ἐκκλησίᾳ καταλεγῆναι· ὁ τοιοῦτος F κολαζέσθω κατὰ τὸν κθ'. ἀποστολικὸν κανόνα, καὶ τὸν β'. κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου. τὸ μέντοι ῥῆμα τὸ λέγον, ἐν τούτοις οὐκ ἔστι Κύριος ὁ Θεὸς, ἐξελήφθη παρὰ τῶν ἁγίων πατέρων ἐκ τῆς τρίτης τῶν βασιλειῶν, διὰ τοὺς ἀλαζόνας καὶ προτιμωμένους τὰ τοῦ μαμμωνᾶ. ἀκούων δὲ τοῦ κανόνος ὀνομάζοντος τὴν οὕτως ἑκουσίως γινομένην δόσιν τοῦ χρυσίου ἄθεσμον, μὴ εἴπῃς εἶναι ταύτην κεκωλυμένην, κἀντεῦθεν καὶ ἄθεσμον, ὡς προβᾶσαν χάριν ἐξ ὠνήσεως χειροτονίας ἢ κληρώσεως. περὶ ταύτης γὰρ ἐφεξῆς διδάσκει. ἀλλ' ἄθεσμον ταύτην οἱ πατέρες ὠνόμασαν διὰ τὸν προσαγαγόντα, καὶ διὰ ταύτην προσαγωγὴν ἐναβρυνόμενον. σημείωσαι ταῦτα διὰ τοὺς ἀποκειρομένους εἰς μοναστήρια μετὰ δόσεως

& ideo impudente vultu & ore aperto, probroſis & contumelioſis verbis eos, qui propter actam ex virtute vitam à ſancto Spiritu ſelecti conſtitutique ſunt abſque auri largitione, vilipendunt: primum quidem eos qui hoc faciunt ultimum proprii ordinis gradum ſumere; ſin autem perſeveraverint, inflicta quoque pœna corrigere decernimus. Si quis autem in ordinatione hoc quandoque feciſſe viſus fuerit, fiat ut vult canon Apoſtolicus, qui dicit; ſi quis Epiſcopus per pecunias hanc dignitatem ſit aſſecutus, vel Presbyter, vel Diaconus, deponatur & ipſe, & is qui ordinavit, & excindatur omnino à communione, ut Simon magus à me Petro: & ii. canon ſanctorum patrum qui Chalcedone convenerunt, qui dicit; Si quis Epiſcopus pecuniis ordinationem fecerit, & gratiam non venalem in emptionem deduxerit, & pecuniis ordinaverit Epiſcopum, vel Chorepiſcopum, vel Presbyterum, vel Diaconum, vel aliquem eorum qui in clero enumerantur, vel pecuniis promoverit Oeconomum, vel Defenſorem, vel monaſterii Adminiſtrum, vel omnino aliquem ex canone, turpis lucri gratia, qui hoc aggreſſus eſſe convictus fuerit, de proprio gradu veniat in periculum: & qui ordinatur, ex ea ordinatione vel promotione, quæ pretio dato inſtar mercaturæ facta eſt, nihil juvetur; ſed ſit alienus à dignitate vel munere ſeu curatione quam pecuniis aſſecutus eſt. Si quis autem & lucris adeo turpibus & illicitis interceſſor ſeu ſequeſter apparuerit, hic quoque, ſi ſit quidem Clericus, à proprio gradu excidat: ſin autem Laicus vel Monachus, ſegregetur.

Bals. Sancti patres Clericos punituri, qui primum quidem ſponte & pia mente pecunias vel aliqua alia in Eccleſias adferunt; poſtea autem propter donationem ſe jactant, & primas ſedes prioreſque honores quærunt, in eos probra ingerentes, qui propter virtutem vel actionem in clerum divinitus recepti ſunt confratres ſui: dicto quodam in prœmiis uſi ſunt ex prima catholica epiſtola ſancti Apoſtoli & Evangeliſtæ Joannis, dicente; Eſt peccatum ad mortem, ſcil. peccatum mortale quod eſt incorrigibile & cujus nulla agitur pœnitentia; & eo adhuc deterior quæ eſt cum peccato impudentia. Quodnam enim malum non ſuperat, ſi quis mammonam, id eſt, pecunias Dei mandato præferat: & dicat, debere ſe ob ea quæ attulit, cæteris aliis honore præferri, qui fortaſſe actiones habent aut etiam virtutem? Eos ergo, qui ita ſentiunt & pecuniarum dationis omnino meminerunt, & ſperant propter id ſe apud multos præponendos, ex quo major condemnatio ſequitur, & aperto quaſi ore ſuis fratribus paupertatem, quæ ad alta eos provexit, exprobrant, ad ultimum ſui gradûs locum dimitti, ut humilientur: ſin autem ſic quoque in malo perſeverent, puniri ut Epiſcopo omnino viſum fuerit. Et hæc quidem, quando quiſpiam ſua ſponte in Eccleſiam res aliquas tulerit: quas & qui accipiunt, citra ullum præjudicium accipiunt, & qui dant in pœnam non incidunt. Si quis autem, inquit, ab initio non ita liberali & ſponte ſuſcepta voluntate, ſed ut ordinetur, vel in clerum cooptetur, vel aliquo alio modo in Eccleſia eligatur, oblationem fecerit: talis puniatur, ut vult xxix. Can. Apoſt. & ii. Can. Chalced. Syn. Id autem quod dicitur; In his non eſt Dominus Deus, à patribus acceptum eſt ex tertio lib. Regum, propter arrogantes, & eos qui mammonam præferunt. Cùm autem audis Canonem nominantem eam, quæ ſic ſponte fit, auri dationem illicitam, ne dixeris eam eſſe prohibitam, & ideo etiam illicitam, ut ea eſt quæ proceſſit ordinationis vel clericatûs gratia. De ea enim deinceps docet. Sed eam patres ideo illicitam nominaverunt, quod is, qui eam offerat, propter hanc oblationem ſe jactitet & glorietur. Nota ergo hæc propter eos qui tondentur in monaſteriis cum pecuniarum largitione, & propter eos, qui

qui Deo ſua ſponte oblationes faciunt. Eos autem, qui pecuniis in externis monaſteriis jus fraternitatis acquirunt, Canonibus teneri non exiſtimo, quòd ſit vituperanda alimentorum acquiſitio. Quid autem, qui ſponte quidem res obtulit ſic punitur; qui vero, ut eſſet Clericus vel ut tonderetur, res ullas dedit, poſtquam punitus fuerit, eáne, quæ dederit, petet efficaciter? Solutio. Nequaquam. Ait enim xi. cap. ii. tit. xxiv. lib. Baſil. hoc modo: Quod turpi utriuſque cauſa datur, ejuſque qui dat & ejus qui accipit, non redit. Et exteriorem affert lex antiqua rationem, quoniam in pari cauſâ potior eſt qui poſſidet; ex xxii. lib. hæc eligens.

Z o n a r. Nonnulli, cùm in clerum legendi eſſent, pecunias Eccleſiæ offerre, Deóque dicare ſoliti ſunt: quibus deinde præfidentes, ſeque in auro illo glorioſè jactantes, quicunque nulla data pecunia ob virtutem forte, vel etiam ob dicendi facultatem, clero adſcripti fuerant, protervè conviciis inſectabantur. Hujuſmodi igitur homines, primo quidem de gradu dejici, ac in extremum ordinis ſui locum amandari: tum ſi adhuc à malitia non diſcedant, pœnis quoque, ut per eas corrigantur, affici Can. jubet. Exordium vero ab Apoſt. & Evang. Joanne Can. auctores mutuati ſunt. Illius namque verba illa ſunt, in i. catholica Epiſtola, Eſt peccatum ad mortem: quæ quidem Patres de iis, qui peccârunt, & non reſipuerunt, interpretantur. Et verò, nequiores adhuc illos eſſe aſſerunt, & revera ſunt, qui patrato nefario facinore tollere cornua, hoc eſt, ſeſe impudenter efferre minimè verentur. Ac facinus quidem illud appellant, in oblata nimirum pecunia ſeſe glorioſiùs jactare, divinique præcepti auctoritati canoniciſque conſtitutionibus mammonam, pecuniam videlicet, anteferre. Impudentiæ vero nomine convicia & contumelias, quæ illi in clerum abſque pecuniæ præbitione cooptatis ingerunt, intellexêre. Non eſt in his, inquiunt, Dominus Deus; hoc quoque ex ſcriptura, Regum tertio. Eos igitur magna demiſſione Deo ſupplicare, ac peccati veniam expoſcere, non contrà iniqua largitione efferri oportet. Iniquam verò appellat largitionem, non quod ipſa ſit ejuſmodi: ſi enim iniqua fuerat, cur admiſſa? aut cur è clero, qui dedit, non prorſus ejicitur, & in eum, qui data pecunia in clerum electus eſt, animadvertitur? Non igitur quod ſeipsâ ſit talis, idcirco hæc iniqua dicta donatio eſt; ſed quòd ejus vitio, qui ſe ob illam jactat & æqualibus anteponit, ut proinde non illum demereri numen, ſed auram inanem popularesque rumuſculos captare ea donatione voluiſſe ſuſpicari liceat, ſpeciem, hominum exiſtimatione, induit pravitatis. Quod etiam ſatis ex ſequentibus declaratur. Nam ſi quem, inquit Canon, ob ordinationem id aliquando feciſſe, pecuniam videlicet obtuliſſe, compertum fuerit, Canonum in eo conſtitutiones ſervari placet: Canonum ſcilicet, Apoſtolici undetrigeſimi, Synodique Chalcedonenſis ſecundi. Quemadmodum igitur hoc loco, iniqua donatione intercedente, & qui ordines contulit, & qui ſuſcepit, uterque pœnis afficitur: idem de illa quoque donatione, ſi ea revera legibus adverſaretur, conſtitutum fuiſſet. Horum porro Canonum explicationem, qui voluerit, ſuis locis reperiet.

A r i s t. *Iſti, qui ſe per auri largitionem in Eccleſiâ conſtitutos gloriantur, illos autem, qui propter virtutem eliguntur, & ſine largitione conſtituuntur, vilipendunt, viſum eſt, ut ultimum ordinis ſui gradum accipiant: Sin perſeverent, puniantur. Qui vero ordinationis gratiâ hoc fecerint, à communione, non ſecus ac Simon Magus à Petro, excindantur.*

Dicendi facultatem & virtutem præferre oportet, & qui ſic ſe habere inveniuntur ſine auri donatione in Eccleſiæ clero conſtitui debent, & non probris onerari ab iis, qui per largitionem quamcunq; in Eccleſiâ collocantur: ſed potius

A χρημάτων, καὶ διὰ τοὺς αὐτοπροαιρέτως ποιοῦντας προσαγωγὰς τῷ Θεῷ. τοὺς μέντοι ἐπικτωμένους ἐξωμονίταια ἀδελφάτα ἐν μοναστηρίοις διὰ χρημάτων, οὐ νομίζω ὑπὸ τῶν κανόνων ἁλίσκεσθαι, διὰ τὸ μὴ εἶναι ἐπίμεμφον τὴν τῶν σιτηρεσίων ἐπίκτησιν. τί δὲ, ὁ μὲν αὐθαιρέτως προσαγαγὼν χρήματα, οὕτω κολάζεται, ὁ δὲ διὰ τὸ κληρωθῆναι ἢ ἀποκαρῆναι δοὺς οἱαδήτινα πράγματα ἐνδυνάμως ζητήσει μετὰ τὸ κολασθῆναι ἃ δέδωκε; Λύσις. οὐδαμῶς. φησὶ γὰρ τὸ ια'. κεφ. τοῦ β'. τίτλου τοῦ κδ'. βιβλίου τῶν βασιλικῶν οὕτω, τὸ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενον, τοῦ τε λαβόντος καὶ τοῦ παρέχοντος, οὐκ ἀντιστρέφεται. καὶ προστίθησιν ἔξωθεν ὁ παλαιὸς λογισμὸν, ὅτι ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ νεμόμενος, B ἐκ τοῦ κβ'. βιβλίου τοῦτο ἀναλεξάμενος.

ΖΩΝΑΡ. Τινὲς εἰς κλῆρον καταταγῆναι μέλλοντες προσῆγον τῇ ἐκκλησίᾳ χρήματα, ὡς ἀφιεροῦντες ταῦτα τῷ Θεῷ· εἶτα τούτοις θαῤῥοῦντες, καὶ τῇ δόσει τοῦ χρυσίου καυχώμενοι, ὠνείδιζον ἀδεῶς τοὺς δόσεως χρυσίου χωρὶς, δι' ἀρετὴν ἴσως ἢ καὶ λόγον, καταταγέντας τῷ κλήρῳ. τοὺς γοῦν τοιούτους πρῶτον μὲν ὑποβιβάζεσθαι βούλεται ὁ κανὼν ἐκ τοῦ οἰκείου βαθμοῦ, καὶ εἰς τὸν ἔσχατον τόπον τοῦ τάγματος, ἐν ᾧ εἰσι, τάττεσθαι· εἰ δὲ καὶ ἔτι τὰ αὐτὰ ποιοῦσιν, ἐπιτιμᾶσθαι αὐτοὺς, ἵνα διορθωθῶσι. προοιμιάζονται δὲ οἱ τὸν κανόνα ἐκθέμενοι, ἀπὸ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ C Ἰωάννου. ἐκείνῳ γὰρ εἴρηται ἐν τῇ πρώτῃ καθολικῇ ἐπιστολῇ, τὸ, ἔστιν ἁμαρτία πρὸς θάνατον. καὶ ἐκλαμβάνονται οὗτοι τὸ ῥητὸν ἐπὶ τῶν ἁμαρτανόντων, καὶ μὴ μετανοούντων. εἶτα καὶ χεῖρον λέγουσιν, ὥσπερ δὴ καὶ ἐστὶ, τὸ μετὰ τὴν ἁμαρτίαν τραχηλιᾶν, ἤγουν ἀναισχυντεῖν· ἁμαρτίαν μὲν καλοῦντες, τὸ ἐγκαυχᾶσθαι ἐπὶ τῇ προσαγωγῇ τῶν χρημάτων, καὶ προτιμᾶν τῆς τοῦ Θεοῦ ὑπακοῆς καὶ τῶν κανονικῶν διατάξεων μαμωνᾶν, τὰ χρήματα δηλονότι. ἀναισχυντίαν δὲ τὸν ὀνειδισμὸν καὶ τὴν ἀτιμίαν, ἣν ἐπάγουσι τοῖς κληρωθεῖσι χωρὶς παροχῆς χρημάτων. ἐν τούτοις οὐκ ἔστι, φασὶ, Κύριος ὁ Θεὸς, καὶ τοῦτο δὲ γραφικὸν, ἐκ D τῆς τρίτης τῶν βασιλειῶν. χρὴ οὖν αὐτοὺς ταπεινωθέντας προσπεσεῖν τῷ Θεῷ, καὶ αἰτεῖν τοῦ ἁμαρτήματος ἄφεσιν, καὶ οὐχὶ μᾶλλον ἐπαίρεσθαι ἐπὶ τῇ δόσει τῇ ἀθέσμῳ. ἄθεσμον δὲ τὴν δόσιν καλεῖ, οὐ κατ' αὐτό. εἰ γὰρ ἄθεσμος ἦν, διατί προσεδέχθη; καὶ διατί μὴ καὶ αὐτὸς τέλεον ἐξωθεῖται τοῦ κλήρου, καὶ ὁ ἐπὶ δόσει τοῦτον κληρώσας κολάζεται; οὐ κατ' αὐτὸ τοίνυν ἄθεσμος ἡ δόσις ἐκλήθη, ἀλλ' ὅτι ἐκεῖνος ταύτην ποιεῖ νομίζεσθαι ἄθεσμον, ὡς δι' αὐτὴν ἀλαζονευόμενος καὶ κατεπαιρόμενος τῶν ὁμοταγῶν, κἀντεῦθεν ὑπόληψιν διδοὺς, ὅτι οὐ κατὰ Θεὸν ἐποιήσατο τὴν προσαγωγὴν, ἀλλ' ἵν' ἔχοι ταύτην εἰς καύχημα καὶ ἀλαζονείαν ὑπόθεσιν. E τοῦτο δὲ δηλοῦται καὶ διὰ τῶν ἐφεξῆς, φησὶ γὰρ ὁ κανών· εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανῇ ποτὲ τοῦτο πεποιηκὼς, τὸ δοῦναι δηλαδὴ χρήματα, γινέσθω κατὰ τοὺς κανόνας, ἤγουν τὸν ἀποστολικὸν, ὃς εἰκοστὸς ἔννατός ἐστι, καὶ κατὰ τὸν δεύτερον τῆς ἐν Χαλκηδόνι Συνόδου. ὥσπερ οὖν ἀθέσμου οὔσης ἐνταῦθα τῆς δόσεως, καὶ ὁ χειροτονήσας ποινηλατεῖται, καὶ ὁ χειροτονηθεὶς, οὕτως κἀκεῖ ἐγίνετο ἂν, εἰ πρὸς ἀλήθειαν ἄθεσμος ἦν. τὴν δὲ τῶν κανόνων τούτων ἐξήγησιν ὁ ζητῶν εὑρήσει ἐν τοῖς τόποις αὐτῶν.

ΑΡΙΣΤ. Τοὺς ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι F ἐν ἐκκλησίᾳ, καὶ ἀτιμάζοντας τοὺς δι' ἀρετὴν ἐκλεγέντας, καὶ χωρὶς δόσεως καταταχθέντας· ἔδοξε τὸν ἔσχατον βαθμὸν τοῦ ἰδίου λαμβάνειν τάγματος· εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμᾶσθαι· τοὺς δ' ἐπὶ χειροτονίᾳ τοῦτο πεποιηκότας, ἐκκόπτεσθαι τῆς κοινωνίας, ὡς ὑπὸ Πέτρου τὸν Σίμωνα μάγον.

Τὸν λόγον δεῖ καὶ τὴν ἀρετὴν προτιμᾶσθαι· καὶ χωρὶς δόσεως χρυσίου, τοὺς οὕτως ἔχειν εὑρισκομένους τάττεσθαι χρὴ ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας· καὶ μὴ ὀνειδίζεσθαι αὐτοὺς ὑπὸ τῶν καταταγέντων τῇ ἐκκλησίᾳ δι' οἱασδήτινος δόσεως· ἀλλὰ μᾶλλον καὶ ἐπαινεῖσθαι, ὡς διὰ ἀρετὴν ὄντως ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεγέντας. εἰ δέ τινες, ὡς ἐγκαυχώμενοι ἐπὶ τῇ τοιαύτῃ ἀθέσμῳ δόσει, καὶ τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ τῇ ἀλλοτριούσῃ ἀπὸ θεοῦ καὶ πάσης ἱερωσύνης, κατονειδίσουσιν ἀναιδεῖ προσώπῳ, καὶ ἀπερικαλύπτῳ στόματι τοὺς ἄνευ χρυσίου καταταγέντας κληρικούς· οὗτοι τὸν ἔσχατον βαθμὸν ἐν τῷ οἰκείῳ τάγματι λήψονται. εἰ δὲ καὶ οὕτως ἐπιμένοιεν αὐτοὺς ὀνειδίζοντες, διὰ ἐπιτιμίου διορθωθήσονται· καὶ ταῦτα μὲν περὶ τῶν εἰς κλῆρον καταλεγομένων. ὅσοι δὲ διὰ χρημάτων χειροτονίας τύχωσί τινος, καθαιρεθήσονται καὶ αὐτοί, καὶ οἱ χειροτονήσαντες αὐτούς.

A laudibus ornari, ut qui propter vitæ pietatem à ſancto ſpiritu electi ſunt. Si qui autem, ut in illegitima iſtiuſmodi datione, & impiâ iſtâ conſuetudine, quæ à Deo & omni ſacerdotio alienat, gloriantes vultu impudente, & ore aperto Clericos, qui ſine auro conſtituti fuerint, probris affecerint; ultimum gradum in ordine ſuo accipient: Si autem ſic probra in eos jacere perſeverent, per pœnam corrigentur. Et hæc quidem de iis, qui in clerum conſcripti ſunt. Quicunque autem per pecuniam ordinationem aliquam conſequuntur, deponentur, & ipſi, & qui eos ordinârunt.

B

ΚΑΝΩΝ ς΄.

Ἐπειδήπερ κανών ἐστιν ὁ λέγων, δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρῆναι γίνεσθαι διὰ συναθροίσεως Ἐπισκόπων τὰς κανονικὰς ζητήσεις, διὰ τὴν συντριβὴν καὶ τὸ ἐνδεῶς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ τῆς ἕκτης Συνόδου ὅσιοι πατέρες, ἐξ ἅπαντος τρόπου καὶ προφάσεως, ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι. τοῦτον οὖν τὸν κανόνα καὶ ἡμεῖς ἀνανεοῦμεν, καὶ εἴ τις εὑρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφοριζέσθω· εἰ δέ τις ἐκ τῶν μητροπολιτῶν ἀμελήσοι τοῦτο γίνεσθαι, ἐκτὸς ἀνάγκης καὶ βίας καί τινος εὐλόγου προφάσεως, τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. τῆς δὲ συνόδου γινομένης περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοῖς συναθροισθεῖσιν Ἐπισκόποις ἐν μελέτῃ καὶ φροντίδι τίθεσθαι τοῦ φυλάττεσθαι τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ Θεοῦ. ἐν γὰρ τῷ φυλάσσεσθαι αὐτὰς ἀνταπόδοσις πολλή, ὅτι καὶ λύχνος ἐντολή, νόμος δὲ φῶς καὶ ὁδὸς ζωῆς, ἔλεγχος καὶ παιδεία· καὶ ἡ ἐντολὴ Κυρίου τηλαυγής φωτίζουσα ὀφθαλμούς. μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην, ἐξ ὧν ἐπιφέρεται ὁ Ἐπίσκοπος μετ' αὐτοῦ, ἢ κτῆνος ἢ ἕτερον εἶδος ἀπαιτεῖν· εἰ γὰρ τοῦτο ἐλεγχθῇ πεποιηκὼς ἀποτίσει τετραπλάσιον.

CANON VI.

Quoniam Canon eſt, qui dicit, bis in anno in unaquaque provincia per congregationes Epiſcoporum fieri oportere quæſtiones canonicas, propter vexationem, & quod itineri peragendo minùs ſufficerent qui congregabantur, ſtatuerunt ſancti ſextæ Synodi patres, quovis modo & quacunque ex cauſa, ſemel in anno fieri, & delicta corrigi. Hunc ergo Canonem nos quoque renovamus; & ſi quis magiſtratus hoc prohibere inventus fuerit, ſegregetur: ſi quis autem Metropolitanus hoc fieri non cura- C *verit, præterquam vi vel neceſſitate & juſta aliqua de cauſa, Canonicis pœnis ſubjiciatur. Cum autem de Canonicis & evangelicis rebus fiat Synodus, opus eſt ut congregati Epiſcopi magnam curam & diligentiam gerant, ut divina & vivifica Dei mandata ſerventur. In eis enim ſervandis eſt retributio multa, quoniam lucerna eſt mandatum, lex vero lux & via vitæ, probatio & diſciplina; & mandatum domini lucidum illuminans oculos. Ne liceat autem Metropolitano, ex iis quæ ſecum affert Epiſcopus, vel jumentum vel aliquam rem aliam petere. Si enim hoc feciſſe convictus* D *fuerit, reddet quadruplum.*

ΒΑΛΣ. Κανόνων διαφόρων διοριζομένων πότε ὀφείλουσι γίνεσθαι αἱ σύνοδοι, καὶ τῶν μὲν λεγόντων ἅπαξ τοῦ ἐνιαυτοῦ συνέρχεσθαι τοὺς ἐπαρχιώτας Ἐπισκόπους, τῶν δὲ δὶς τοῦ ἔτους· ὁ παρὼν κανὼν διὰ τὴν ἐκ τῆς ὁδοιπορίας συντριβὴν τῶν Ἐπισκόπων κατηκολούθησε τῷ η΄. κανόνι τῆς ς΄. συνόδου, τῷ διοριζομένῳ ἅπαξ τοῦ ἐνιαυτοῦ τούτους συναθροίζεσθαι, καὶ διωρίσατο οὕτω γίνεσθαι, εἰ μή τις ἀνάγκη καὶ βία ἢ ἄλλη πρόφασις εὔλογος τὴν συνέλευσιν παρεμποδίσει· τοὺς δὲ μὴ οὕτω ποιοῦντας ἀρχιερεῖς τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκεῖσθαι, ἀλλὰ καὶ τοὺς πολιτικοὺς ἄρχοντας, τοὺς κωλύοντας τοῦτο γίνεσθαι, ἀφορίζεσθαι. ὅτε μέντοι, φησίν, ἡ σύνοδος γένηται, ὀφείλουσιν οἱ Ἐπίσκοποι φροντίζειν τοῦ φυλάττεσθαι τὰς εὐαγγελικὰς καὶ κανονικὰς παραδόσεις, καὶ τὰς ἄλλας ἐντολὰς τοῦ θεοῦ. καὶ κανονικαὶ μὲν παραδόσεις εἰσὶν οἱ εὔλογοι καὶ παράλογοι ἀφορισμοί, αἱ καταγωγαὶ τῶν κληρικῶν, αἱ παραδόσεις τῶν ἐπισκοπικῶν πραγμάτων, καὶ τὰ τοιαῦτα· εὐαγγελικαὶ δὲ παραδόσεις καὶ ἐντολαὶ τοῦ Θεοῦ τὸ βαπτίζεσθαι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τὸ μὴ μοιχεύσῃς, μὴ πορνεύσῃς, μὴ ψευδομαρτυρήσῃς, καὶ τὰ ὅμοια. ἐπεὶ δὲ ἔμαθον οἱ πατέρες, ὅτι ἐν ταῖς συνελεύσεσι τῶν Ἐπισκόπων μητροπολῖται τινὲς κατεξουσιάζουσιν αὐτῶν, καὶ ἀπαιτοῦσιν ἵππους ἢ ἕτερά τινα εἴδη, ὥρισαν καὶ τοῦτο σχολάσαι, καὶ τὸν τοιοῦτόν τι ποιήσαντα μητροπολίτην, ἀντιστρέφειν τὸ διδόμενον εἰς τὸ τετραπλοῦν. καλῶς δὲ εἶπεν ὁ κανών, μὴ ἔχειν ἐπ' ἀδείας τὸν μητροπολίτην ἀπαιτεῖν τι ἐξ ὧν ὁ Ἐπίσκοπος ἐπιφέρεται. εἰ γὰρ ἑκόντι Ἐπίσκοπος θελήσει δεξιώσασθαι τὸν μητροπολίτην αὐτοῦ διά τινος πράγματος, οὐ κωλυθήσεται τοῦτο ποιεῖν. ζήτει τὸ η΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος Συντάγματος, καὶ τὸν η΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ Συνόδου.

BALS. Cùm diverſi Canones ſtatuant, quando fieri debeant ſynodi; & alii quidem ſemel in anno convenire oportere provinciales Epiſcopos, alii verò bis in anno dicant: hic Canon, ob itineris moleſtiam Epiſcopis, octavum Canonem vi. Synodi ſecutus eſt, qui decernit eos ſemel in anno congregari oportere, & ſic faciendum eſſe, niſi quædam vis, vel neceſſitas, vel cauſa probabilis impedimento fuerit, quominus conveniant; Antiſtites autem, qui non ita faciunt, pœnis Canonicis ſubjici; ſed & civiles magiſtratus, qui hoc fieri prohibent, ſegregari. E Quando autem fuerit, inquit, facta Synodus, debent Epiſcopi curam gerere, ut evangelicæ & Canonicæ traditiones ſerventur & alia Dei mandata. Et ſunt Canonicæ quidem traditiones, juſtæ & injuſtæ excommunicationes, clericorum ordinationes, Epiſcopalium rerum adminiſtrationes, & ſimilia: Evangelicæ autem traditiones & mandata Dei, baptizari in nomine Patris & filii & Spiritûs ſancti; non mœchaberis, non ſcortaberis, non falſum teſtimonium dices, & ſimilia. Quoniam autem intellexerunt patres, quòd in Epiſcoporum concionibus quidam Metropolitani nimis ſua poteſtate & imperio in eos utuntur, & equos ab eis, vel aliqua alia exigunt, id F quoque ceſſare ſtatuerunt, & Metropolitanum, qui tale quid fecerit, quadruplum ejus quod datum eſt reſtituere. Pulchrè autem dixit Canon, non licere Metropolitano quidquam eorum exigere, quæ affert Epiſcopus. Si enim ſua ſponte voluerit Epiſcopus Metropolitanum aliquo ejuſmodi dono proſequi, non prohibebitur hoc facere. Quære viii. cap. viii. tit. præſentis operis, & viii. Can. Syn. in Trullo.

ZONAR.

A **ZONAR.** De Synodis in unaquaq; provincia quotannis celebrandis multi Canones extant. Idem hic quoque ſtatuit, canoniſque in ſexta Synodo editi meminit, à qua quidem, ut Epiſcopis itinerum moleſtiæ vexationeſque minuerentur, ſemel in anno Synodum in ſingulis provinciis haberi decretum eſt, ac antiquiorem de ſynodicis conventibus celebrandis conſtitutionem reſtituit. Quod ſi magiſtratus aliquis Synodo cogendæ obſtet, ſegregari, & Metropolitanos, qui eam nulla neceſſaria cauſa interveniente nullaq; vi coacti prætermiſerint, canonicis pœnis teneri jubet. In Synodo porro de canonicis Evangeliciſque negotiis habitâ, an divina præcepta ſerventur, ſtudioſè ab Epiſcopis inquirendum. Ac negotia quidem canonica B ſunt exempli cauſa; an ſegregationes jure irrogentur; an per Oeconomos ex uniuſcujuſque ipſorum clero delectos Eccleſiarum bona ab Epiſcopis adminiſtrentur, aliaq; hujuſmodi canonicis conſtitutionibus definita ſerventur, inveſtigare. Evangelica vero ea ſunt, quæ nobis in Evangelio præcipiuntur; quale eſt illud, ut in nomine Patris & Filii & Spiritus ſancti baptiſmus adminiſtretur; & ne quis uxorem ſuam ejiciat exceptâ cauſâ fornicationis; ac ejus generis alia. Hæc enim omnia, an in ſubjectis cuique regionibus ita fierent, Epiſcopi convenientes inquirebant; & an juxta divina mandata homines vitam inſtituerint. Hinc teſtimonia quoq; Canon ex Pſalmorum & ex Pro- C verbiorum libris adducit. Ad hæc, ne Metropolitano liceat, Epiſcopis ex Canonis præſcripto in eum locum quem ipſe delegerit congregatis, aliquid ex ipſorum rebus, nec jumentum, equum forte aut mulum, nec aliud quidpiam ſibi vindicare, decernit. Quod ſi rem aliquam ab eo vindicatam atque ablatam eſſe probatum fuerit, quadruplum reddet.

ARIST. *Quandoquidem non eſt poſſibile, ut Synodus juxta decretum olim editum, bis quotannis celebretur, ſemel, uti ſextæ Synodo viſum eſt, habeatur. Et Magiſtratus, qui hoc prohibuerit, ſegregetur: & Epiſcopus,* D *qui id fieri non curaverit, pœnis ſubjiciatur. Habitâ autem Synodo, ſi Metropolitanus quippiam à quovis Epiſcopo abſtulerit, quadruplum reddet.*

Et hæc Synodus illud confirmat, nempe ſemel quotannis in unaquâque provinciâ haberi Synodum: eum autem qui regioni præeſt, ſi Epiſcoporum conventum propter Canonica & Evangelica factum negotia prohiberi deprehendatur, ſegregat; Metropolitanum autem, qui curam non gerit ut hoc fiat, ſine neceſſitate aliquâ & violentiâ Canonicis pœnis ſubjicit. Et jubet autem, non licere Metropolitano aliquid ex iis, quæ Epiſcopi ſecum E attulerint, ut jumentum vel aliquid aliud, auferre. Si autem deprehenſus fuerit aliquid ex eis abſtuliſſe, illud ad quadruplum exigetur.

CANON VII.

Dixit Paulus divinus Apoſtolus, Quorundam hominum peccata ante manifeſta ſunt: quorundam vero etiam ſubſequuntur. Præcedentibus enim peccatis, alia quoque ea ſequuntur. Impiam ergo eorum ſectam, qui Chriſtianos accuſant, alia quoque impia conſecuta ſunt. Quemadmodum venerabilium imaginum aſpectum ex Eccleſia ſuſtulerunt, alias quoque conſuetudines reliquerunt, quas F *quidem oportet renovari, & tam ex jure ſcripto quam non ſcripto ſic obſervari. Quæcunq; ergo templa conſecrata ſunt abſque ſanctis reliquiis martyrum, in iis fieri ſtatuimus reliquiarum depoſitionem cum conſuetis precibus. Qui autem templum conſecrat ſine ſanctis reliquiis, deponatur, ut qui Eccleſiaſticas traditiones tranſgreſſus ſit.*

BALS. Mos erat Eccleſiaſticus divina templa per ſanctas martyrum reliquias conſecrare. Chriſtianorum autem accuſatores, ſeu imaginum hoſtes exuſtoreſque, qui venerabilium & ſanctarum imaginum cultores

ΖΩΝΑΡ. Περὶ τοῦ γίνεσθαι συνόδους ἐν ταῖς ἐπαρχίαις καθ' ἕκαστον ἔτος διάφοροι κανόνες διαλαμβάνουσι, καὶ ὁ παρὼν δὲ τοῦτο, καὶ μέμνηται τοῦ κανόνος τῆς ἕκτης συνόδου, ἥτις ἅπαξ τοῦ ἐνιαυτοῦ διετυπώσατο γίνεσθαι τὰς συνόδους ἐν ταῖς ἐπαρχίαις, ἵνα μὴ πολλὴν ὄχλησιν καὶ καινοτονομίαν ἐν ταῖς ὁδοιπορίαις οἱ Ἐπίσκοποι ἔχωσι, καὶ ἀνανεοῖ τὴν περὶ τῶν Συνόδων παλαιοτέραν διάταξιν. καὶ εἰ ἄρχων κωλύσει, φησὶ, τὸ γίνεσθαι σύνοδον, ἀφοριζέσθω, καὶ τοὺς ἀμελοῦντας τοῦ πράγματος μητροπολίτας, εἰ μὴ ἀνάγκη τις μεσολαβήσῃ καὶ βία, κανονικοῖς ὑποβάλλει ἐπιτιμίοις. ὅτε δὲ γίνηται Σύνοδος περὶ κανονικῶν καὶ εὐαγγελικῶν πραγμάτων, δεῖ τοὺς Ἐπισκόπους φροντίζειν, εἰ φυλάσσονται αἱ θεῖαι ἐντολαί. κανονικὰ μὲν οὖν πράγματα εἶεν ἂν οἱ ἀφορισμοὶ, εἰ δικαίως γίνονται σκοπούμενοι, εἰ διὰ οἰκονόμων ὄντων ἐκ τῶν κλήρων αὐτῶν τὰ τῶν ἐκκλησιῶν διοικοῦσιν οἱ Ἐπίσκοποι, καὶ τοιαῦτά τινα, ἃ οἱ κανόνες γίνεσθαι διατάττονται. εὐαγγελικὰ, ἃ διὰ τοῦ εὐαγγελίου ἡμῖν ἐπιτάττονται· οἷον ἐστι τὸ βαπτίζειν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ τὸ μὴ ἐκβάλλειν τινὰ τὴν γυναῖκα αὐτοῦ ἐκτὸς λόγου πορνείας, καὶ ἄλλα τοιαῦτα. ταῦτα γὰρ πάντα ἠρεύνων, εἰ ἐν ταῖς χώραις αὐτῶν ἐγίνοντο, οἱ ἀρχιερεῖς ἀθροιζόμενοι, καὶ εἰ κατὰ τὰς θείας ἐντολὰς βιοῦσιν οἱ ἄνθρωποι. καὶ μαρτυρίας γραφικὰς ὁ κανὼν παράγει ἔκ τε τοῦ ψαλτῆρος καὶ ἐκ τῶν παροιμιῶν. καὶ ἐπὶ τούτοις προστίθησιν, ὅτι συναγομένων τῶν Ἐπισκόπων ἔνθα ὁ μητροπολίτης τῆς ἐπαρχίας ὁρίσει κατὰ τὸν κανόνα, οὐκ ἔξει ὁ μητροπολίτης ἐξουσίαν ἀπαιτεῖν τι ἐξ αὐτῶν, οὔτε κτῆνος, ἵππον τυχὸν ἢ ἡμίονον, οὔτε τι ἕτερον εἶδος. εἰ δὲ καὶ ἀπαιτήσας καὶ λαβών τι ἐλεγχθείη, ἀποδώσει τὸ τετραπλοῦν.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ δυνατὸν, κατὰ τὸ πάλαι δόξαν, δὶς τοῦ ἔτους γίνεσθαι Σύνοδον· γινέσθω ἅπαξ κατὰ τὸ δόξαν τῇ ἕκτῃ. καὶ ὁ κωλύσας ἄρχων, ἀφοριζέσθω· καὶ ὁ ἀμελήσας Ἐπίσκοπος, ἐπιτιμάσθω. τῆς Συνόδου δὲ γινομένης, ἐὰν ὁ μητροπολίτης ἀφέληταί τι τῶν τοῦ Ἐπισκόπου, ἀποτίσει τετραπλάσιον.

Βεβαιοῖ καὶ αὕτη ἡ Σύνοδος, τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι σύνοδον ἐν ἑκάστῃ ἐπαρχίᾳ· καὶ τὸν μὲν κατὰ χώραν ἄρχοντα, εἰ εὑρεθῇ κωλύων τὴν τῶν Ἐπισκόπων συνέλευσιν, τὴν διὰ κανονικὰ καὶ εὐαγγελικὰ πράγματα γινομένην, ἀφορίζει· τὸν δὲ μητροπολίτην τὸν ἀμελοῦντα τοῦτο γενέσθαι, ἄνευ τινὸς ἀνάγκης καὶ βίας, κανονικοῖς ἐπιτιμίοις καθυποβάλλει. προστάττει δὲ καὶ τὸ, μὴ ἔχειν ἄδειαν τὸν μητροπολίτην ἀφαιρεῖσθαί τι ὧν οἱ Ἐπίσκοποι ἐπιφέρονται μεθ' ἑαυτῶν, ἢ κτῆνος ἢ ἕτερον εἶδος. εἰ δὲ ἐλεγχθῇ ἀφελόμενός τι ἐξ αὐτῶν, ἀπαιτεῖσθαι τοῦτο εἰς τὸ τετραπλάσιον.

ΚΑΝΩΝ ζʹ.

Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος, τινῶν αἱ ἁμαρτίαι ἀνθρώπων πρόδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ἁμαρτιῶν γὰρ προκαταλαμβανουσῶν, καὶ ἕτεραι ἁμαρτίαι ἕπονται ταύταις. τῇ οὖν ἀσεβεῖ αἱρέσει τῶν χριστιανοκατηγόρων καὶ ἄλλα ἀσεβήματα συνηκολούθησαν. ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ἀφείλοντο ὄψιν ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερά τινα ἔθη καταλελοίπασιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτω κρατεῖν. ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατάθεσιν γίνεσθαι λειψάνων μετὰ τῆς συνήθους εὐχῆς. ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν ναὸν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

ΒΑΛΣ. Ἔθος ἦν ἐκκλησιαστικὸν τοὺς θείους ναοὺς καθιεροῦσθαι διὰ ἁγίων λειψάνων μαρτυρικῶν. οἱ δὲ χριστιανοκατήγοροι ἤγουν εἰκονοκαῦσται, οἱ λέγοντες τοὺς προσκυνητὰς τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων εἰδωλολάτρας, ἐπέκεινα τῆς αἱρέσεως αὐτῶν καὶ τῆς κατὰ τῶν ὀρθοδόξων μανίας, καὶ σεπτοὺς ναοὺς καθιέρωσαν ἄνευ ἁγίων λειψάνων. φασὶν οὖν οἱ πατέρες, ὅτι ταῖς ἀνθρωπίναις ἁμαρτίαις ἐπακολουθοῦσι καὶ ἕτεραι ἁμαρτίαι, κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον. καὶ ἐπεὶ τῇ αἱρέσει τῶν εἰκονομάχων καὶ ἄλλα κακὰ ἐπηκολούθησαν, (παρελείφθησαν γὰρ ἔθισμα ἐκκλησιαστικὰ ἀναγκαῖα,) ὁρίζομεν τοὺς καθιερωθέντας ναοὺς ἄνευ ἁγίων λειψάνων πάλιν καθιερωθῆναι διὰ λειψάνων, καὶ ἐφεξῆς οὕτω γίνεσθαι· τοὺς δὲ καθιεροῦντας ναοὺς χωρὶς ἁγίων λειψάνων καθαιρεῖσθαι. καὶ ὁ μὲν κανὼν ταῦτα. εἶπε δέ τις, καὶ πῶς ἄνευ καταθέσεως λειψάνων σήμερον τὰ εὐκτήρια καθιεροῦνται· καὶ διὰ τί οὐ γίνονται ἱεροτελεσίαι ἐν αὐτοῖς καὶ παρὰ Ἐπισκόπων, ἀλλὰ παρὰ ἱερέων μόνων; καὶ ἤκουσεν, ὡς τὰ γινόμενα παρὰ τῶν ἀρχιερέων ἀντιμίνσια, καθ' ὃν καιρὸν καθιέρωσις ναοῦ γίνεται, διαδιδόμενα εἰς εὐκτηρίους οἴκους, ἀρκοῦσιν ἀντὶ καθιερώσεως ἤτοι ἐνθρονισμοῦ, καὶ ἐγκαινίων καὶ ἀνοιξίων. διὰ γὰρ τοῦτο καὶ ἀντιμίνσια ἐκλήθησαν, ἤτοι ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν πολλῶν τοιούτων μίνσων τῶν καταρτιζόντων τὴν ἁγίαν δεσποτικὴν τράπεζαν. οἱ μέντοι ἀρχιερεῖς οὐ ποιοῦσιν ἱεροτελεσίας εἰς εὐκτηρίους ἀνενθρονίστους ναοὺς, διότι τὸ τῆς ἱερωσύνης ἀξίωμα ὑποβιβάζεται, θρόνου μὴ ὄντος αὐτίκα εἰς ὃν ἀποστολικῶς ὁ Ἐπίσκοπος καθιδρύεται, μηδὲ τῶν ἄλλων τῶν συνιστάντων τὴν τοῦ ναοῦ καθιέρωσιν καὶ εὐπρέπειαν. ἐρωτήσαντες δέ τινες, πότε ἡ καθιέρωσις γίνεται τῶν ἐκκλησιῶν; ἤκουσαν, ὅτι ἡ μὲν πῆξις τοῦ θεμελίου διὰ εὐχῆς μόνης καὶ σταυροπηγίου τοῦ κατὰ χώραν Ἐπισκόπου γίνεται· ἡ δὲ καθιέρωσις μετὰ τὸν ἀπαρτισμὸν τοῦ ναοῦ, ὅτε τελοῦνται τὰ ἀνοίξια καὶ ὁ ἐνθρονισμός, καὶ ὁ ἅπας τούτου ἀπαρτισμὸς ὑπὸ ἁγίου μύρου χριομένου, καὶ λείψανα μαρτυρικὰ ὑποδεχομένου. διενισταμένου δέ τινος, ὀφείλειν καθαιρεθῆναι ἀρχιερέα τινὰ ποτὲ εἰς ἀνενθρόνιστον ἐκκλησίαν ἱερουργήσαντα, καθὼς καθαιρεῖται καὶ ὁ καθιερῶν ναὸν ἄνευ ἁγίων λειψάνων· ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς ἀπεφήνατο, ἄλλως πῶς τὸν τοιοῦτον ἀρχιερέα κολασθῆναι, κατὰ τὸ δοκοῦν δηλαδὴ τῇ συνόδῳ, οὐ μὴν διὰ καθαιρέσεως, ὅτι κατὰ πολὺ ἀκατάλληλά εἰσι τὰ ἐπταισμένα.

ΖΩΝΑΡ. Τοῦτο τὸ ἀποστολικὸν ῥητὸν ὁ μὲν μέγας Βασίλειος ἄλλως ἐξελάβετο. οὗτοι δὲ οἱ πατέρες ἐνταῦθα ἁπλοϊκώτερον ἐδέξαντο τὸ, ἐπακολουθοῦσι, τὸ ἕπεσθαι δηλονότι ταῖς προλαβούσαις ἁμαρτίαις καὶ ἑτέραις· καὶ τοῦτο ἐκβῆναι φασὶν ἐπὶ τῶν εἰκονομάχων. ἐκείνους γὰρ ὀνομάζουσι χριστιανοκατηγόρους, ὡς κατηγοροῦντας τῶν χριστιανῶν εἰδωλολατρείαν. οὐ μόνον γὰρ τὰς ἐκκλησίας τοῦ κόσμου τῶν σεπτῶν εἰκόνων ἐστέρησαν, ἀλλὰ καὶ ἔθη παλαιὰ παραλελοίπασιν, ἃ καὶ ἀνανεοῦσιν οὗτοι· ἵνα καὶ ἡ ἔγγραφος θεσμοθεσία καὶ ἡ ἄγραφος συνήθεια κρατῇ. τὸ δὲ παραλειφθὲν ἔθος ἦν, τὸ ἐν ταῖς καθιερώσεσι τῶν θείων ναῶν μὴ γίνεσθαι καταθέσεις λειψάνων ἁγίων. ὅσοι οὖν, φασὶ, χωρὶς καταθέσεως ἁγίων λειψάνων καθιερώθησαν ναοὶ, δεξάσθωσαν νῦν καὶ ἅγια λείψανα κατατιθέμενα ἐν αὐτοῖς. ὁ δὲ καθιερῶν ναὸν χωρὶς ἱερῶν λειψάνων, καθαιρείσθω, ὡς παραβάτης τῶν ἐκκλησιαστικῶν παραδόσεων.

ΑΡΙΣΤ. Κατατιθέσθω μαρτύρων ἅγια λείψανα ἐν τοῖς ἄνευ αὐτῶν καθιερωθεῖσι ναοῖς, μετὰ τῆς συνήθους εὐχῆς. ὁ δὲ ἄνευ τούτων καθιερώσας, καθαιρείσθω, ὡς παραβὰς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

Ὅσοι μὲν ναοὶ πρὸ τῆς συνόδου ταύτης, ἄνευ τῆς συνήθους εὐχῆς τῶν Ἐπισκόπων, καὶ λειψάνων ἁγίων μαρτύρων ἀνῳκοδομήθησαν, ὡρίσθη γενέσθαι κατάθεσιν ἐν αὐτοῖς λειψάνων ἁγίων καὶ τὴν συνήθη εὐχὴν τελεσθῆναι. ὅσοι δὲ μετὰ τὴν σύνοδον ταύτην εὑρεθῶσι χωρὶς λειψάνων καθιεροῦντες ναόν, καθαιρεῖσθαι κατεδικάσθησαν, ὡς παραβάται τῶν ἐκκλησιαστικῶν παραδόσεων.

A idololatras eſſe dicunt, ultra eorum hæreſin & adverſus orthodoxos inſaniam, veneranda quoque templa ſine ſanctis reliquiis conſecrârunt. Dicunt ergo patres, quòd humana peccata alia quoq; peccata conſequuntur, ut dicit magnus Apoſtolus Paulus. Et quoniam Iconomachorum hæreſin alia quoque mala ſubſecuta ſunt: (prætermiſſæ ſunt enim neceſſariæ conſuetudines Eccleſiaſticæ) decernimus, ut templa, quæ abſque reliquiis conſecrata fuêre, rurſus per reliquias conſecrentur, & ſic deinceps fiat: ii autem, qui templa ſine ſanctis reliquiis conſecrant, deponantur. Et hæc quidem Can. Dixit autem nonnemo, Et quomodo oratoria hodie ſine reliquiarum depoſitione conſecrantur? Et cur ſacra in eis non celebrantur etiam B ab Epiſcopis, ſed à ſolis ſacerdotibus? Eique reſponſum fuit, Quod quæ fiunt ab Antiſtitibus ſuperaltaria, eo tempore quo fit templi conſecratio, oratoriis tradita ſufficiunt pro conſecratione, ſive dedicatione ac inthronizatione, encæniis & apertionibus. Propterea enim & ἀντιμίνσια appellata ſunt, quòd multas ejuſmodi menſas exprimant & referant, quæ ſanctam dominicam menſam perficiunt. Cæterum Antiſtites ſacra non faciunt in oratoriis, quæ non ſunt dedicata, quoniam præſulatûs dignitas deprimitur, ſi non ſit thronus in quo Epiſcopus apoſtolicè collocatur, nec alia quæ templi conſecrationem C decoremq; conſtituunt. Cùm autem interrogâſſent aliqui, quando fit Eccleſiarum conſecratio? Reſponſo acceperunt, quòd fundamenti quidem locatio fit per ſolam orationem Epiſcopi illius regionis, & crucis fixionem: conſecratio autem poſt templi perfectionem, quando fiunt encænia & apertiones & inthronizatio, & univerſa ejus perfectio, ſacro chriſmate inuncti, & martyrum reliquias ſuſcipientis. Cùm inſtaret autem quiſpiam; debere deponi Antiſtitem, qui in non dedicata Eccleſia ſacrificaverat; quemadmodum deponitur & qui templum conſecrat ſine ſanctis reliquiis: ſanctiſſimus ille Patriarcha Dominus Lucas pronunciavit, alio quodam talem eſſe D puniendum Antiſtitem, prout ſcilicet Synodo viſum fuerit; ſed non per depoſitionem. Delicta enim ea ſunt longe lateque diſſidentia.

Zonar. Magnus quidem Baſilius aliter hoc Apoſtoli dictum interpretatus eſt. Hi vero Patres verbum illud, conſequuntur, paulo ſimpliciùs accepêre, ut ad priora ſcilicet facinora alia quoque ſolere ſequi intelligendum ſit. Quod quidem Iconomachis aiunt contigiſſe. Illos namque Chriſtianorum accuſatores nominant, quippe qui Chriſtianos idololatriæ accuſarent. Nec enim ii ſolùm Eccleſias ſacrarum imaginum ornamentis ſpoliavêre, ſed E antiquas etiam conſuetudines reliquêre; quæ quidem, ut ſimul & ſcriptis conſignata lex, & non ſcripta quoque conſuetudo ſervetur, hujus Canonis decreto renovantur. Conſuetudo porro prætermiſſa ea fuit, quòd cum divina templa conſecrarentur, nullæ ſimul in eis ſanctorum reliquiæ conderentur. Quæcunque ergo templa, inquiunt, abſque conditis ſanctorum reliquiis conſecrata ſunt, in eis ſacræ quoque reliquiæ hoc demum tempore collocentur. Qui vero templum, non adhibitis ſanctorum reliquiis conſecraverit, eum, quippe traditionum quas à majoribus accepimus tranſgreſſorem, deponi jubent.

F Arist. *Sancta martyrum reliquiæ in templis, quæ abſque iis conſecrata ſunt, idque cum conſuetis precibus, reponantur. Qui autem abſque iis conſecrat, ut Eccleſiaſticas traditiones tranſgreſſus, deponatur.*

Quæcunque templa ante hanc ſynodum, ſine conſuetis Epiſcoporum precibus & Sanctorum Martyrum reliquiis, fundata fuerunt, in eis ſanctas reliquias deponi, & conſuetas preces celebrari definitum eſt. Quicunque autem poſt hanc ſynodum ſine reliquiis templum conſecrâſſe deprehenduntur, depoſitione damnantur, ut traditionum Eccleſiaſticarum tranſgreſſores.

A

Canon VIII.

Quoniam Hebræorum religionis quidam errantes, Chriſtum Deum noſtrum ſubſannare viſi ſunt, ſeſe quidem Chriſtianos eſſe fingentes, ipſum autem occulte negant, & clanculum ſabbata obſervant, & multa alia Judaica faciunt: ſtatuimus, ut iſti neque ad communionem, neque ad orationem, neque ad Eccleſiam admittantur; ſed aperte ſint ſecundum ſuam religionem Hebræi, & neque filios ſuos baptizent, neque ſervum emant vel poſſideant. Si autem ex pura & ſyncera fide quis eorum converſus, & ex toto corde confeſſus fuerit, eorum moribus & rebus inſultans ac veluti triumphum agens, ut & alii refellantur & corrigantur; eum recipiant, & baptizent ejus liberos; & caveant ipſi ſe ab Hebræorum ſtudiis & inſtitutis deſcituros: ſin autem non ita ſe gerant, eos nullo modo admittant.

Bals. Judæi quidam, cum quorundam criminum rei agerentur, vellent autem damnationem effugere, ad fidem Chriſtianam accedebant, & ſe Chriſtiana quidem ſentire præ ſe ferebant; ſed Judaica revera ſentiebant, ſabbata clanculum obſervantes, & noſtra lacerantes; ſuos autem liberos baptizabant, & alia quædam pia faciebant ut orthodoxi fortaſſe viderentur. Dicunt ergo patres, eos non in aliquam communionem admittendos, nec permittendum ut filii eorum baptizentur, nec ut Chriſtianum ſervum ullo modo poſſideant, ſed juxta Hebræorum religionem ſe aperte gerant. Si quis autem à Judaica impietate, cum bona affectione, & ſine neceſſitate vel ſimulatione, ad orthodoxam fidem converſus fuerit, & Judaicis moribus valedixerit, & toto animo de iis triumphum egerit, & confeſſus fuerit ea quæ ab aliquibus prætextu facta ſunt, & ad Chriſtianorum fidei ludificationem reſpiciunt, ut & illi convincantur & corrigantur: ipſe & ejus liberi ad communionem admittantur, & baptizentur, ſi priùs caverint fore ut à Judaicis traditionibus & ſtudiis abſtineant. Nota igitur iſta propter ſacerdotes qui Sarracenorum filios baptizant; & baptiſmum, qui ab illis propter corporis ſanitatem expetitur, non eſſe admittendum. Quadrageſimum verò quartum caput primi tit. primi lib. Baſil. inquit, Judæus qui ſe Chriſtianum eſſe velle præ ſe ferens, ut qui adverſus ſe accuſationem vel mutui actionem expectet, ad Eccleſiam confugit, debito non ſoluto, vel à crimine non abſolutus, ne admittatur. Quære & xlvii. caput ejuſdem libri & tit. Judæus mancipium Chriſtianum ne habeat, nec catechumenum circumcidat, nec alius hæreticus Chriſtianum ſervum habeat. Et liv. cap. Samaritanus autem nullus ſervum Chriſtianum habebit: ſed cùm primùm eum poſſederit, ſtatim in libertatem vendicetur. Si ſervus autem ejuſdem cum ipſo perverſæ opinionis fuerit, licebit ei Chriſtianam amplectenti opinionem, ſtatim etiam Romanam libertatem aſſequi.

Zonar. Quidam ex Judæis ſe fidei ſtudio teneri, Chriſtianamque religionem amplecti velle, ſimulabant: Chriſtum vero illi ſubſannabant, hoc eſt, Chriſto, privatim ab eo deficientes, illudebant, atque ſabbata ſecretò colebant, & alios Judæorum ritus, quippe ut infantes ſuos præciderent, tum qui cadaver attigiſſet, qui lepra infectus eſſet, cui ſemen efflueret, quiq; ejuſmodi quidquam aliud antiqua lege vetitum feciſſent, tanquam impuros averſarentur, retinebant. Ejuſmodi igitur homines, nec ad communionem admitti, nec in conventum ſacræ precationis recipi, tum ab Eccleſiæ ingreſſu omnino arceri, Hebræorumque rurſum publicè profiteri ſectam, nec liberos ſuos baptizare, nec ipſis mancipium emendi facultatem eſſe, Synodus jubet. Chriſtianum

ΚΑΝΩΝ η'.

Ἐπειδὴ πλανώμενοί τινες ἐκ τῆς τῶν Ἑβραίων θρησκείας μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν Θεὸν ἡμῶν, προσποιούμενοι μὲν χριστιανίζειν, αὐτὸν δὲ ἀρνούμενοι κρύβδην, καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες, ὁρίζομεν τούτους μήτε εἰς κοινωνίαν, μήτε εἰς προσευχήν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι· ἀλλὰ φανερῶς εἶναι κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραίους· μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνεῖσθαι ἢ κτᾶσθαι. εἰ δὲ ἐξ εἰλικρινοῦς πίστεως ἐπιστρέψει τις ἐξ αὐτῶν B καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς δὲ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι, καὶ βαπτίζειν τοὺς παῖδας αὐτοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

ΒΑΛΣ. Ἰουδαῖοί τινες ἔνοχοι καταστάντες ἐπί τισιν ὑποθέσεσιν, καὶ θέλοντες ταύτας ἐκφυγεῖν, προσήρχοντο τῇ ὀρθοδόξῳ πίστει, καὶ προσεποιοῦντο μὲν τὰ τῶν Χριστιανῶν φρονεῖν, τῇ ἀληθείᾳ δὲ τὰ τῶν Ἰουδαίων ἐφρόνουν, λάθρα σαββατίζοντες, C καὶ τὰ ἡμέτερα διασύροντες, ἐβάπτιζον δὲ καὶ τοὺς παῖδας αὐτῶν, καὶ ἄλλα τινὰ ἐποίουν εὐσεβῆ, ὡς ἂν φαίνωνται τάχα ὀρθόδοξοι. φασὶν οὖν οἱ πατέρες, μὴ δέχεσθαι τούτους εἰς κοινωνίαν οἱανδήτινα, μηδὲ παραχωρεῖν τοὺς παῖδας αὐτῶν βαπτίζεσθαι, μηδὲ δοῦλον χριστιανὸν ὁπωσδήποτε κτᾶσθαι, ἀλλὰ φανερῶς κατὰ τὴν τῶν Ἑβραίων θρησκείαν αὐτοὺς πολιτεύεσθαι. εἰ δέ τις ἐξ αὐτῶν ἀπὸ τῆς Ἰουδαϊκῆς θρησκείας πρὸς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψει μετὰ καθαρᾶς διαθέσεως, καὶ ἄνευ ἀνάγκης, ἢ προσποιήσεως, καὶ ἀποτάξεται τοῖς Ἰουδαϊκοῖς ἔθεσιν, καὶ ὁλοψύχως θριαμβεύσει αὐτά, καὶ ὁμολογήσει τὰ παρά τινων κατὰ σκῆψιν γινόμενα, καὶ εἰς ἐμπαιγμὸν ἀφορῶντα τῆς πίστεως τῶν D χριστιανῶν, ἐφ' ᾧ κἀκείνους ἐλεγχθῆναι καὶ διορθωθῆναι, προσδέχεσθαι τοῦτον καὶ τοὺς παῖδας αὐτοῦ εἰς κοινωνίαν, καὶ βαπτίζειν, ἀσφαλιζομένους ἀπέχειν ἀπὸ τῶν Ἰουδαϊκῶν παραδόσεων καὶ ἐπιτηδευμάτων. σημείωσαι οὖν ταῦτα διὰ τοὺς ἱερεῖς τοὺς βαπτίζοντας τοὺς παῖδας τῶν Ἀγαρηνῶν, καὶ ὅτι τὸ διὰ θεραπείαν σωματικὴν ζητούμενον ὑπὸ τούτων βάπτισμα ἀπαράδεκτόν ἐστι. τὸ μέντοι μδ'. κεφ. τοῦ α'. τίτλου τοῦ α'. βιβλίου τῶν βασιλικῶν, φησιν, Ἰουδαῖος, ὁ θέλειν εἶναι χριστιανὸς προσποιούμενος, ὡς ἂν τὴν κατ' αὐτοῦ κατηγορίαν ἢ τὴν ἀπὸ χρέους ἀγωγὴν παραμένων, τῇ ἐκκλησίᾳ φεύγῃ, μὴ πληρώσας τὸ χρέος, ἢ ἐλευθερωθεὶς τοῦ ἐγκλήματος, μὴ δεχέσθω. ζήτει δὲ τὸ μζ'. E κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω, μήτε ἄλλος αἱρετικὸς χριστιανὸν ἀνδράποδον ἐχέτω. καὶ τὸ νδ'. κεφ. Σαμαρείτης δὲ οὐδεὶς χριστιανὸν οἰκέτην ἕξει, ἀλλ' ἅμα τῷ κτήσασθαι τοῦτον, εὐθέως εἰς ἐλευθερίαν ἁρπάζεσθαι. εἰ δὲ τῆς ὁμοίας αὐτῷ ὁ οἰκέτης κακοδοξίας εἴη, ἐξέστω αὐτῷ τὴν τῶν Χριστιανῶν ἀσπαζομένῳ δόξαν, εὐθὺς καὶ τῆς Ῥωμαϊκῆς ἀπολαύειν ἐλευθερίας.

ΖΩΝΑΡ. Τινὲς Ἰουδαῖοι προσήρχοντο τῷ δοκεῖν τῇ πίστει, καὶ προσεποιοῦντο γίνεσθαι Χριστιανοί. ἐκεῖνοι δὲ ἐμυκτήριζον τὸν Χριστόν· ἀντὶ τοῦ ἐνέπαιζον κρυφίως F αὐτὸν ἀρνούμενοι, καὶ λεληθότως τὰ σάββατα φυλάσσοντες, καὶ ἄλλα Ἰουδαϊκὰ ποιοῦντες, οἷον περιτέμνοντες τοὺς παῖδας αὐτῶν, ἀκαθάρτους ἡγούμενοι, τοὺς νεκροῦ προσψαύσαντας, καὶ τοὺς λεπροὺς, καὶ τοὺς γονοῤῥυεῖς, καὶ ἄλλα τοιαῦτα, ὅσα τῷ παλαιῷ ἀπηγόρευται νόμῳ. τοὺς γοῦν τοιούτους, ὥρισεν ἡ Σύνοδος, μήτε εἰς κοινωνίαν δέχεσθαι, μήτε συνεύχεσθαι αὐτοῖς, μήτε ὅλως εἰς ἐκκλησίαν εἰσιέναι παραχωρεῖν, εἶναι δὲ Ἑβραίους καὶ αὖθις κατὰ τὸ φανερόν, καὶ μηδὲ τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε παραχωρεῖν αὐτοῖς δοῦλον ὠνεῖσθαι. τὸ γὰρ Χριστιανὸν

ἀνδραἀνδράποδον κτᾶσθαι Ἰουδαῖον καὶ ὁ πολιτικὸς κωλύει νόμος. οἱ δὲ τάχα τῇ πίστει προσελθόντες, ὡς Χριστιανοὶ οὐκ ἐκωλύοντο δούλους ὠνεῖσθαι. ἐπεὶ δὲ ὑποκρινομένως τοῦτο ἐποίουν, φησὶν ἡ σύνοδος μὴ ἐξεῖναι αὐτοῖς δούλους ὠνεῖσθαι, ἢ ἄλλως κτᾶσθαι, ἐκ δωρεᾶς τυχὸν, ἢ ἀνταλλαγῆς, ἢ ἑτέρῳ τρόπῳ. εἰ δὲ ἐξ εἰλικρινοῦς καὶ καθαρᾶς πίστεως, ἀντὶ τοῦ καθαρῶς καὶ ἀνυποκρίτως πιστεύσας, ἐπιστρέψει τις αὐτῶν καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, ἀντὶ τοῦ τὰ αὐτὰ ἡμῖν λέγει, καὶ τὰ ἔθη τὰ οἰκεῖα καὶ ὅσα πράττουσι θριαμβεύει, ἤγουν εἰς τὸ φανερὸν προτίθησι, καὶ συντίθεται μὴ ποιεῖν, ὥστε καὶ ἄλλους ἐλεγχθῆναι ὁμοπίστους αὐτοῦ, καὶ διορθωθῆναι, τὸν τοιοῦτον B προσδέχεσθαι καὶ βαπτίζειν, καὶ παῖδας αὐτοῦ, καὶ ἀκριβῶς προσέχειν αὐτοῖς, ὥστε ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων, ἄλλως δὲ αὐτοὺς μὴ προσδέχεσθαι. καὶ ὁ μέγας δὲ Βασίλειος ἐν πέμπτῳ κανόνι, τοὺς μετανοοῦντας δεῖ, φησι, δέχεσθαι, οὐκ ἀκρίτως δὲ, ἀλλὰ δοκιμάζειν, εἰ ἀληθῶς καὶ γνησίως μετανοοῦσι. καὶ ὁ πολιτικὸς νόμος πολλὴν ποιεῖσθαι θεσπίζει περὶ τῶν προσερχομένων Ἰουδαίων τὴν ἀκριβολογίαν.

A namque servum Judæus poſſidere civili quoque lege prohibetur. Qui tamen ex eorum numero fortè fidem amplexi forent, ſervos emere Chriſtianorum more permittebantur. Quoniam verò id ſimulatè agebant, idcirco Synodus ſervum iis emere, aut aliter poſſidere, donatione nimirum, aut permutatione, aut alia quacunq; ratione quæſitum, minime licere decernit. Quòd ſi eorum quiſpiam ex pura & ſyncera fide, hoc eſt, puro animo atque omni ſimulatione ſublata, fidei myſteriis aſſenſus convertatur, atque ex toto corde confiteatur, hoc eſt, nobiſcum in omnibus plane conſentiat, & de ſuorum moribus ac inſtitutis quibuſque triumphum agat, hoc eſt, ſe nihil ſimile facturum aperte profiteatur ac ſpondeat, ut ex eo alii quoq; B erroris ſocii refutentur ac reſipiſcant: admitti hominem, ipſumque & filios baptizari, ſtudioſeque ipſos, ut ab Hebraicis ſe inſtitutis abjungant, obſervari; ſecus omnino repelli placet. Magnus verò etiam Baſilius, quinto Canone; Quos, inquit, errari pœnitet, admittendi ſunt: non tamen iis temere habenda fides, ſed an vere eos & ex animo pœniteat ſedulò cognoſcendum. De Judæis itidem, ut non niſi diligenter examinati probatique recipiantur, civilia quoque jura decernunt.

ΑΡΙΣΤ. Ἑβραίους μὴ χρῆναι προσδέχεσθαι, εἰ μὴ φαίνοντο ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέφοντες. Σαφής. C

ARIST. *Hebræos admittere non oportet, niſi eos ſyncero corde converſos eſſe conſtiterit.* Perſpicuus.

ΚΑΝΩΝ θ'.

Πάντα τὰ μειρακιώδη ἀθύρματα καὶ μανιώδη βακχεύματα, τὰ ψευδοσυγγράμματα, τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γινόμενα, δέον δοθῆναι τῷ ἐπισκοπείῳ Κωνσταντινουπόλεως· ἵνα ἀποτεθῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων· εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω.

CANON IX.

Puerilia omnia ludibria furioſaque dicta ac ſcripta, quæ adverſus venerabiles imagines edita ſunt Epiſcopio Conſtantinopolitano tradi oportet; ut cum reliquis hæreticis libris deponantur. Si quis autem hæc celare inventus fuerit, ſi quidem Epiſcopus vel Presbyter vel Diaconus ſit, deponatur: ſin verò Laicus vel Monachus, ſegregetur. D

ΒΑΛΣ. Τῆς τῶν Χριστιανοκατηγόρων ἤτοι τῶν εἰκονοκαυτῶν αἱρέσεως κρατησάσης ἐπὶ πολὺ, οἱ ταύτῃ προσκείμενοι, διὰ γραφῶν τὰς κατὰ τῶν ἁγίων εἰκόνων βλασφημίας αὐτῶν ἐστηλίτευον. φασὶν οὖν οἱ πατέρες, ὀφείλειν ταύτας δοθῆναι, ἐφ' ᾧ ἀποτεθῆναι ἐν τῷ ἐπισκοπείῳ τῆς Κωνσταντινουπόλεως, ἔνθα ἀπόκεινται καὶ τὰ λοιπὰ βιβλία τῶν αἱρετικῶν. τοὺς δὲ κρύπτοντας ταῦτα, ἱερωμένους μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ καὶ μοναχοὺς, ἀφορίζεσθαι. καλῶς δὲ ὠνόμασαν οἱ πατέρες τὰ τοιαῦτα συγγράμματα, μειρακιώδη ἀθύρματα, ἤγουν νηπιώδη παίγνια καὶ μανιώδη βακχεύματα, ἤτοι μαινομένων βακχῶν φλυαρήματα, ὅτι εὐδιάλυτα καὶ εὐκατάσειστά εἰσιν ὡς τὰ τῶν E μειρακίων παίγνια, καὶ ἀξιογέλαστα ὡς τὰ τῶν μαινομένων ἔργα καὶ μεθυόντων. αἱ βάκχαι γὰρ χοροὶ ἦσαν μαινομένων ἑπόμενοι τῷ ἐφόρῳ τῆς μέθης ψευδωνύμῳ θεῷ τῷ Διονύσῳ. οἱ μέντοι νόμοι τὰ τῶν αἱρετικῶν βιβλία διορίζονται καίεσθαι. καὶ ζήτει κεφ. γ'. τοῦ ιβ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ εὑρήσεις ἐν αὐτῷ κατεστρωμένα κεφ. διάφορα τοῦτο αὐτὸ παρακελευόμενα. εἴποι δέ τις, δι' ἣν αἰτίαν ὁ μὲν κανὼν τὰ τῶν Χριστιανοκατηγόρων βιβλία ἀποτίθεσθαι ἐν τῷ ἐπισκοπείῳ διορίζονται; λύσις. ταὐτόν ἐστι τὸ καυθῆναι τὰ βέβηλα συγγράμματα τῶν αἱρετικῶν, καὶ τὸ ἀποτεθῆναι ἐν τῷ ἐπισκοπείῳ τῆς Κωνσταντινουπόλεως. οὔτε γὰρ καιόμενα εἰς ἀνάγνωσιν ἔλθοιεν, F οὔτε ἐν τοιούτῳ τόπῳ ἀσύλῳ ἀποτιθέμενα, θεατὰ γενήσεταί τινι. ὁ γοῦν καύσας ταῦτα καὶ μὴ ἀποτιθέμενος ἐν τῷ ἐπισκοπείῳ, τῷ κανόνι οὐχ ὑποκείσεται, ὡς μηδὲ ὑπεναντίως αὐτῷ διαπραξάμενος. ἐπισκοπεῖον δὲ τῆς Κωνσταντινουπόλεως τὸ πατριαρχεῖόν ἐστιν. ἐπεὶ δὲ τὸ μεγαλεῖον τοῦ πατριαρχικοῦ θρόνου διάφορα μὲν σέκρετα ἔχει ὑφ' ἑαυτὸ, ἰδικῶς δὲ ἀφωρίσθησαν τῷ σεκρέτῳ τοῦ χαρτοφυλακείου τὰ ἐπισκοπικὰ δίκαια, καὶ ὁ κατὰ καιροὺς χαρτοφύλαξ ἐνεργεῖ δικαίῳ τοῦ κατὰ καιροὺς ἁγιωτάτου πατριάρχου πάντα τὰ τούτῳ ἀνήκοντα, ὡς Ἐπισκόπῳ·

BALS. Cùm Chriſtianorum hoſtium ſeu imaginum exuſtorum diu invaluiſſet hæreſis, qui ei adhærebant, ſuas adverſus ſacras imagines blaſphemias literis mandabant. Dicunt ergo patres, eas debere tradi, ut in Epiſcopio Conſtantinopolitano reponantur, ubi reponuntur reliqui quoq; libri hæreticorum: eos autem, qui hæc celaverint, ſi quidem ſacris ordinibus initiati ſint, deponi; ſin verò Laici vel Monachi, ſegregari. Rectè autem patres ejuſmodi ſcripta nominârunt puerilia ludibria, hoc eſt, ludicra puerorũ oblectamenta & inſana ac bacchica reſponſa, inſanientium ſc. baccharum nugas; quia ſunt ſolutu facilia & nullo negotio labefactabilia, ut puerorum ludibria, & ridicula ut furioſorum & ebriorum opera. Bacchæ enim erant chori inſanientium, ebrietatis præſidem ſequentes Bacchum, qui falsò Deus cognominatur. Jam verò leges hæreticorum libros exuri quoque decernunt. Quære autem tertium caput xii. tit. præſentis operis, & invenies diverſa capita in eo poſita, quæ hoc ipſum jubent. Dixerit autem quiſpiam quamnam ob cauſam Canon quidem Chriſtianorum hoſtium ſeu imaginum combuſtorum libros in Epiſcopio reponi jubet, leges autem eos comburi permittunt? Solutio. Idem eſt cumburi profana & impia hæreticorum ſcripta, & in Conſtantinopolitano Epiſcopio reponi. Neque enim, ſi combuſta fuerint, legentur, nec ſi in ejuſmodi tuto & inacceſſo loco reponantur, ab ullo unquam aſpicientur. Qui ergo ea combuſſerit, & in Epiſcopio non repoſuerit, non tenebitur Canone, ut qui non contrà fecerit. Conſtantinopoleos autem Epiſcopium Patriarchæ palatium eſt. Porro quoniam patriarchalis throni magnificentia diverſa quidem ſub ſe habet ſecreta; chartophylacii vero ſeu tabularii ſecretò ſeorſum deputata ſunt jura Epiſcopalia, & qui pro tempore eſt chartophylax, ſanctiſſimi tempore Patriarchæ jure, omnia, quæ ad eum pertinent ut Epiſcopum exercet;

etenim excommunicat, animæ delicta corrigit, Diaconos & Sacerdotes ordinari permittit, ſacrorum miniſteriorum pittacia exponit, & quædam hujuſmodi alia: chartophylacium Epiſcopium rectè dicetur.

Zonar. Qui rabioſe ſacras imagines inſectati, eas idoli quoque nomine vocitârunt, libros etiam, quibus opinio ipſorum comprehenditur, conſcripſerunt; quos quidem ſancta hæc Synodus Puerilia ludibria, hoc eſt, ludicra puerorum oblectamenta inſanáſq; Bacchationes, nominat. Bacchæ namque mulieres erant, quæ ſociato cœtu furentes Bacchum comitabantur. Bacchus vero Deus à Græcis habebatur, ebrietati præfectus, ebrius ſane ille quoq; ſemper, & plenus amentiæ. Quemadmodum ergo Bacchæ illæ, dum furor gliſceret, nullam modeſtiæ aut gravitatis rationem habuère, ſed ſola eas ſtimulante inſania ferebantur: ita qui ſcripta ejuſmodi edidère, eos Synodi Patres furore & amentia, non aliqua gravi & ſedata ratione, ad eam ſcriptionem impulſos eſſe confirmant. Ejuſmodi porro ſcripta à nemine occultari, ſed ab iis qui habent, cum aliis hæreticorum libris, ſeponenda proferri jubent. Qui autem hæc occultaverint, ſi quidem Epiſcopi aut aliàs ſacris ordinibus initiati fuerint, depoſitione; ſin verò Laici & Monachi, ſegregatione puniendos eſſe decernunt.

Arist. *Si quis librum contra venerabiles imagines compoſitum celâſſe deprehenditur; ſi quidem è ſacro ſit catalogo, deponatur: ſin Laicus aut Monachus, ſegregetur.* Perſpicuus.

CANON X.

Quoniam nonnulli Clerici canonicam conſtitutionem circumſcribentes, ſua relicta parochia, in alias parochias excurrunt, ut plurimum autem in hac à Deo cuſtodita & Imperiali urbe, & ſeſe apud Principes locant, & in eorum oratoriis ſacra faciunt; eos ſine proprio Epiſcopo & Conſtantinopolitano non licet in quavis æde vel Eccleſia recipi: ſi quis autem hoc fecerit, ſi perſeveret, deponatur. Quicunque vero cum prædictorum Sacerdotum conſenſu id faciunt, non licet eis curas ſeculares & ad victum pertinentes ſuſcipere, ut qui à divinis Canonibus hoc facere ſint prohibiti. Si quis autem, eorum qui dicuntur majores, curationem obtinere deprehenſus fuerit, vel ceſſet, vel deponatur: potiùs vero ad docendos pueros & ſervos accedat, legens eis divinas ſcripturas. Ad hoc enim etiam ſacerdotium ſortitus eſt.

Bals. Diverſi Canones prohibent Clericos parochias, in quibus in Clerum relati ſunt, relinquere, & ad alias tranſire. His ergo conſequenter præſens quoque Canon decernit, ne ullus Clericus abſque proprio Epiſcopo, vel ſine ejus commendatoria & dimiſſoria epiſtola vel Conſtantinopolitani Patriarchæ decreto, uſquam ſuſcipiatur, vel miniſtret in quavis Eccleſia vel in magiſtratuum ſeu officiorum oratorio: is autem qui præter hæc fecerit, & in proprium clerum non redierit poſt denunciationem, deponatur. Hoc enim ſignificat illud, vel ceſſet vel deponatur. Si qui autem, quibus, ab iis qui in clerum illos retulerunt, per eas quas diximus literas, vel à Patriarcha Conſtantinopolitano, in alia Eccleſia ſacra celebrare permiſſum eſt, ſeculares curationes ſuſceperint, contra ac Canonibus continetur, vel Majores facti fuerint; poſtquam prohibiti ſunt, ceſſare debent vel deponi. Atque alia quidem, quæ in Canone comprehenduntur, in diverſis Canonibus expoſita ſunt, ſcilicet in xvii. & xviii. Can. Syn. in Trullo. xiii. & xxiii. Chalced. Syn. & in aliis. Ex hoc autem præſentis Canonis contextu nota, quòd ſoli Patriarchæ Conſtantinopolitano permiſſum eſt clericos

A ἀφορίζει γάρ, διορθοῦται ψυχικὰ σφάλματα, διακόνους καὶ ἱερεῖς ἐπιτρέπει χειροτονεῖσθαι, τὰ τῶν ἱεροτελεστιῶν πιττάκια ἐκτίθεται, καὶ ἄλλα τοιαῦτά τινα· καλῶς ἐπισκοπεῖον κληθήσεται τὸ χαρτοφυλακεῖον.

ΖΩΝΑΡ. Οἱ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσαντες, καὶ εἴδωλα ταύτας καλοῦντες, καὶ συγγράμματα συγγεγράφασι συγκροτοῦντα τὴν δόξαν αὐτῶν, ἅ τινα ἡ ἁγία σύνοδος ὠνόμασε μειρακιώδη ἀθύρματα, ἤγουν παιδικὰ παίγνια, καὶ μανιώδη βακχεύματα. αἱ βάκχαι χορὸς ἦσαν γυναικῶν μαινομένων, ἀκολουθοῦσαι τῷ Διονύσῳ. ὁ δὲ Διόνυσος θεὸς τοῖς Ἕλλησιν ἐνομίζετο, ἔφορος B τῆς μέθης, μεθύων κἀκεῖνος, καὶ παράφορος ὤν. ὥσπερ οὖν αἱ Βάκχαι ὑπὸ μανίας κρατούμεναι οὐδὲν σωφρόνως ἐποίουν, ἀλλ' ἐμμανῶς ἐκινοῦντο· οὕτω καὶ τοὺς τὰ συγγράμματα ἐκεῖνα ποιήσαντας οἱ τῆς συνόδου λέγουσι κινηθῆναι πρὸς συγγραφὴν μανιωδῶς καὶ παρακεκομμένως, ἀλλ' οὐ σωφρόνως. ἐκεῖνα οὖν τὰ συγγράμματα ὁρίζει παρὰ μηδενὸς κρύπτεσθαι, ἀλλὰ δοθῆναι παρὰ τῶν ἐχόντων αὐτά, ἵνα ποτὲ θεῖεν μετὰ τῶν ἄλλων αἱρετικῶν βιβλίων. τοὺς δὲ κρύπτοντας ταῦτα Ἐπισκόπους ἢ ἄλλως ἱερωμένους καθαιρεῖσθαι· λαϊκοὺς δὲ καὶ μοναχοὺς ἀφορίζεσθαι.

C **ΑΡΙΣΤ.** Εἴ τις εὑρεθείη κρύπτων βιβλίον κατὰ τῶν σεπτῶν εἰκόνων συντεθέν· τοῦ μὲν ἱεροῦ ὢν καταλόγου, καθαιρείσθω· λαϊκὸς δὲ ἢ μοναχός, ἀφοριζέσθω. Σαφής.

ΚΑΝΩΝ ι΄.

Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν εἰς ἑτέρας παροικίας ἐκτρέχουσι, κατὰ πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες· D τούτους χωρὶς τοῦ ἰδίου Ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως οὐκ ἔξεστι δεχθῆναι ἐν οἱῳδήποτε οἴκῳ ἢ ἐκκλησίᾳ· εἰ δέ τις τοῦτο ποιήσει ἐπιμένων, καθαιρείσθω. ὅσοι δὲ μετ' εἰδήσεως τῶν προλεχθέντων ἱερέων τοῦτο ποιοῦσιν, οὐκ ἔξεστιν αὐτοῖς κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκωλυμένους τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων. εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων τὴν φροντίδα ἐπέχων, ἢ παυσάσθω, ἢ καθαιρείσθω· μᾶλλον μὲν οὖν ἴτω πρὸς διδασκαλίαν τῶν π παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων τὰς θείας γραφάς· εἰς τοῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

E

ΒΑΛΣ. Διάφοροι κανόνες κωλύουσι τοὺς κληρικοὺς καταλιμπάνειν τὰς παροικίας ἐν αἷς ἐκληρώθησαν, καὶ μεταβαίνειν εἰς ἑτέρας. ἀκολούθως οὖν τούτοις καὶ ὁ παρὼν κανὼν διορίζεται, μηδένα κληρικὸν χωρὶς τοῦ ἰδίου Ἐπισκόπου, ἤτοι δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς αὐτοῦ ἢ ὁρισμοῦ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὁπουδήποτε δέχεσθαι, ἤτοι λειτουργεῖν εἰς οἱανδήτινα ἐκκλησίαν ἢ εἰς ἀρχοντικὸν εὐκτήριον· τὸν δὲ παρὰ ταῦτα ποιήσαντα, καὶ μὴ ὑποστρέφοντα εἰς τὸν οἰκεῖον κλῆρον μετὰ ἐπιφώνησιν, καθαιρεῖσθαι. τοῦτο γάρ ἐστι τὸ παυσάσθω ἢ καθαιρείσθω. εἰ δέ τινες ἐκχωρηθέντες παρὰ F τῶν κληρωσάντων αὐτούς, δι' ὧν εἴπομεν γραφῶν ἢ παρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως εἰς ἑτέρας ἐκκλησίας ἱερουργεῖν κοσμικὰς φροντίδας ἀναδέξωνται, παρὰ τὴν τῶν κανόνων περίληψιν, ἢ γένωνται μειζότεροι, ὀφείλουσι, μετὰ τὸ κωλυθῆναι, παύεσθαι ἢ καθαιρεῖσθαι. καὶ τὰ μὲν ἄλλα τὰ τῷ κανόνι περιεχόμενα ἐν διαφόροις κανόσιν ἐξηγήθησαν, ἤγουν ἐν τῷ ιζ΄. καὶ ιη΄. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τῷ ιγ΄. καὶ κγ΄. τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ἑτέροις, ἀπὸ δὲ τοῦ παρόντος κανόνος σημείωσαι ἐν ῥητῷ, ὅτι μόνῳ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως ἔφεσται κληρικοὺς ἀλλοτρίους δέχεσθαι, καὶ δίχα ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτοὺς, ἐὰν πρὸς τούτοις γραφὰς ἐπιφέρωνται, συνιστώσας ὅτι ἐχειροτονήθησαν ἢ ἐκληρώθησαν. ὅθεν καὶ ἐνδυνάμως, ὡς ἐμοὶ δοκεῖ, ἐγχωρήσει ὁ κατὰ καιροὺς ἁγιώτατος πατριάρχης, καὶ ὁ χαρτοφύλαξ αὐτοῦ, ἀλλότριον κληρικὸν λειτουργεῖν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, καὶ δίχα ἀπολυτικῆς γραφῆς τοῦ χειροτονήσαντος αὐτόν. μειζότεροι μέντοι λέγονται, οἱ κουράτορες τῶν ἀγροικικῶν προαστείων, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ ια΄. κανόνος τῆς α΄. καὶ β΄. συνόδου τῆς συστάσης ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων· τοῦτο οὖν τῶν ἱερωμένων οἱ πατέρες ἀποτρεπόμενοι, ὑποτιθέασιν αὐτοῖς διδάσκειν γράμματα καὶ τὰ πρὸς ζωὴν ἐκεῖθεν πορίζεσθαι· ὅτι καὶ εἰς τοῦτο ἀφωρίσθησαν. τὸ δὲ προσεδρεύειν τοὺς ἀλλοτρίους κληρικοὺς εἰς ἄρχοντας, καὶ εἰς εὐκτήρια τούτων λειτουργεῖν, τοῦ φάκτου ἐστί. κἂν γὰρ εἰς ταπεινότερα λειτουργῶσιν εὐκτήρια παρὰ γνώμην τῶν Ἐπισκόπων αὐτῶν, ἢ τοῦ Κωνσταντινουπόλεως, ὁμοίως κολασθήσονται.

A alienos suscipere, etiam sine dimissoriis literis ejus qui ipsos ordinavit, si modò literas commendatitias attulerint, quibus se ordinatos & Clericos esse probent. Quamobrem ritè, ut mihi videtur, concedet sanctissimus pro tempore Patriarcha, & ejus chartophylax, alieno clerico in hac urbium regina sacra celebrare, etiam sine dimissoriis literis ejus qui illum ordinavit. Majores verò dicuntur, qui agrestium suburbanorum curatores fiunt; sicut hoc ab xi. Can. primæ & secundæ Syn. quæ coacta fuit in æde sanctorum Apostolorum, ostenditur. Hoc ergo ab iis, qui sacris ordinibus initiati sunt, patres removentes, eis literas docere consulunt, & ex eo sibi victum parare;
B quoniam ad hoc quoque selecti & deputati sunt. Alienos autem Clericos inter magistratus seu officia assidere, & in eorum oratoriis ministrare, est facti: nam etsi in inferioribus oratoriis, præter suorum Episcoporum vel Constantinopolitani mentem, celebraverint, similiter punientur.

ΖΩΝΑΡ. Πολλοὶ περὶ τούτου τοῦ κεφαλαίου κανόνες εἰσὶ καὶ ἀποστολικοὶ καὶ συνοδικοί· ἀλλ' εἰς ἐκκοπὴν οὐκ ἤρκεσαν τοῦ κακοῦ. διὸ καὶ ἡ σύνοδος αὕτη τὸν κανόνα τοῦτον ἐξέθετο, δύο ἐν ταὐτῷ κωλύοντα ἄθεσμα, τό τε ἀπὸ πόλεως εἰς πόλιν, μηδ' εἰς ταύτην τὴν βασιλίδα τῶν πόλεων, προστρέχειν κληρικοὺς ἀλλοτρίους, καὶ ἄρχουσι προσιέναι, καὶ ἐν τοῖς εὐκτηρίοις τῶν οἴκων αὐτῶν λειτουργεῖν, ἄνευ γνώμης τοῦ ἰδίου Ἐπισκόπου, ὃν ἀπέλιπον, καὶ τοῦ Κωνσταντινουπόλεως, οὗ τῇ ἐνορίᾳ προσῆλθον· εἰ δὲ μὴ, καθαιρεῖσθαι αὐτούς. καὶ τὸ κἂν καὶ παραχωρηθῶσι παρὰ τῶν εἰρημένων Ἐπισκόπων λειτουργεῖν ἐν εὐκτηρίῳ οἴκῳ, μὴ κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναδέχεσθαι, προνοητὰς γινομένους, ἢ λογαριαστὰς, ἢ ἄλλας τοιαύτας μεταχειριζομένους φροντίδας. εἰ δέ τι τοιοῦτον, φασιν οἱ τῆς Συνόδου πατέρες, εὑρεθεῖεν τινες ποιοῦντες ἢ παυσάσθωσαν, ἢ καθαιρείσθωσαν. ἡ τῶν λεγομένων δὲ μειζοτέρων φροντὶς, ἣν ὁ κανὼν οὗτος λέγει, ἐστὶν, ὡς ἐκ τοῦ ια΄. κανόνος τῆς πρώτης καὶ δευτέρας συνόδου τῆς συστάσης ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων γνῶναι ἐστὶν, ἡ ἐν ἀγροῖς ἀρχοντικοῖς λεγομένη κουρατωρεία, ὅπου καὶ μειζότεροι ὠνομάζοντο.

Zonar. Multi hac de re Apostolici synodicique Canones editi sunt, sed malo huic excindendo haud sufficiebant. Proinde hunc Canonem hæc quoque Synodus promulgavit, duas res simul, quarum utraque legum constitutionibus repugnaret, una eadémque opera prohiben-
C tem. Alteram ne ex una urbe in aliam, ne in hanc quidem urbium reginam, Clerici alieni discurrant, neque se magistratibus adjungant, ac in eorum oratoriis nisi impetrata, tum Episcopi, à quo discesserunt, tum Constantinopolitani, cujus in ditionem venerunt, facultate, sacra faciant; alioqui depositione mulctandi: Alteram, ne, quamvis in oratorio sacra celebrandi ab iis quos diximus Episcopis facultatem obtinuerint, profanis sese ac secularibus negotiis implicent, procuratoris aut rationum præfecti, aut aliud quodcunque munus ejusmodi suscipiant. Quòd si nonnullos ejus generis negotiis vacare animadversum sit, eos Synodi Patres aut ab incepto desistere, aut
D deponi jubent. Eorum porrò, qui majores dicebantur, de quibus hoc Canone mentio, munus illud erat, ut ex undecimo Canone primæ & secundæ Synodi in templo sanctorum Apostolorum congregatæ conjicere facile est, ut in agris Magistratuum, in quibus & Majorum nomine appellabantur, curationem, quæ dicitur, exercerent.

ΑΡΙΣΤ. Κληρικὸς, τὴν ἑαυτοῦ παροικίαν ἀπολιπὼν καὶ ἐν ἑτέρᾳ ἀφικόμενος χωρὶς τοῦ ἰδίου Ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως, μὴ δεχέσθω, μήτε ἐν οἴκῳ μήτε ἐν ἐκκλησίᾳ. ὁ δὲ τοῦτο ποιῶν καὶ ἐπιμένων, καθαιρείσθω. εἰ δὲ μετ' εἰδήσεως ὧν ἔφημεν τοῦτο ποιοῦντες, κοσμικὰς φροντίδας μὴ ἀναδεχέσθωσαν, ἢ δεξάμενοι παυσάσθωσαν, εἰ δὲ μὴ, καθαιρείσθωσαν.

Arist. *Clericus, qui suâ relictâ parochiâ in aliam se confert, sine proprio Episcopo & Constantinopolitano, ne admittatur, neque in domo, nec in Ecclesiâ. Qui autem hoc facit & perseverat, deponatur. Si autem iis quos*
E *diximus scientibus hoc fecerint, seculares in se curas in ne suscipiant, vel si susceperint, cessent, alioquin deponantur.*

Ἀλλότριον κληρικὸν ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων εἰσελθόντα οὐ χρὴ, ἄνευ γνώμης τοῦ ἰδίου Ἐπισκόπου, καὶ τοῦ Κωνσταντινουπόλεως Ἐπισκόπου, ἐν οἱῳδήτινι οἴκῳ ἢ ἐκκλησίᾳ παραδεχθῆναι· εἰ δὲ παρά τινος προσδεχθῇ, χωρὶς εἰδήσεως αὐτῶν, καὶ ἐπιμένει, πρὸς τὴν ἑαυτοῦ παροικίαν μὴ ἐπιστρέφων, καθαιρεθήσεται. ὁ δὲ μετ' εἰδήσεως αὐτῶν ἔν τινι οἴκῳ τῶν κατὰ τὴν θεοφύλακτον ταύτην πόλιν εἰσιὼν, οὐκ ὀφείλει προνοητὴς, ἢ μειζότερος, ἢ κουράτωρ γίνεσθαι· ἀλλὰ πρὸς διδασκαλίαν τῶν παίδων, καὶ τῶν οἰκετῶν εἶναι. εἰ δὲ τοιαύτας φροντίδας ἀναδέξεται, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

Peregrinum Clericum hanc urbium reginam ingredientem non oportet sine sui Episcopi & Episcopi Constantinopolitani voluntate in quavis æde vel Ecclesiâ recipi. Si autem à quopiam sine eorum scientiâ recipiatur, & maneat, ad suam parœciam non rediens, deponetur. Qui autem cum eorum scientiâ in æde aliquâ, earum quæ in urbe hâc à Deo custoditâ sunt, admissus est, non debet provisor, aut major, aut curator fieri: sed
F pueros & servos docere. Si autem ejusmodi curas susceperit, vel cesset, vel deponatur.

ΚΑΝΩΝ ια΄.

Ὑπόχρεοι ὄντες πάντας τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα οἰκονόμους εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ παντὶ τρόπῳ ἀπαράτρωτον διατηρεῖν ὀφείλομεν. καὶ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ καθιστᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι· εἰ δὲ μή γε, ἐξ αὐθεντείας ἰδίας τοῦ Κωνσταντινουπόλεως.

Canon XI.

Cum omnes divinos Canones servare teneamur, eum quoque, qui jubet œconomos esse in Ecclesiis, illæsum omnino servare debemus. Et si quidem unusquisque Metropolitanus in sua Ecclesia Oeconomum constituit, bene habet: sin minus, Constantinopolitano Episcopo propria *auctoritate licebit Oeconomum in ejus Ecclesia præficere.* A *Similiter & Metropolitanis, si qui eis subsunt Episcopi nolint in suis Ecclesiis Oeconomos constituere. Hoc ipsum autem servari etiam in monasteriis oportet.*

Bals. Chalcedon. Syn. Can. xxvi. decrevit ut omnis Ecclesia per Clericos ex Episcopi voluntate & sententia administretur: eos autem, qui hæc transgrediuntur, quomodo punire oporteat, non statuit. Præsentis ergo Synodi sancti patres, cùm in exorsu dixissent esse inexcusabiliter observandos Canones, & magis ab Antistitibus, qui ante ordinationem inter cætera se servaturos Canones profitentur, & propterea sunt veluti obligati, statuerunt, ut præsens Canon illæsus conservetur; & B adjecerunt, quòd nisi Metropolitani in suis Ecclesiis hoc fecerint, Patriarcha Constantinopolitanus sua auctoritate in metropoli quidem omnino ex ipsius Clericis Oeconomum constituet. Similiter etiam Metropolitanus œconomum episcopatu constituat, si Episcopus hoc neglexerit. Idipsum autem etiam in monasteriis fieri decernit. Cùm autem Episcopus quidam accusatus esset, quòd res episcopatûs per Laicum administraret, dixerunt aliqui quod quoniam præsens Canon punit Antistites qui œconomos non præficiunt, nec dicit esse Clericos qui debent fieri œconomi, Laici quoque res Ecclesiarum rite administrabunt: sed mihi non ita videtur; quo- C niam Chalced. Synodi patres res Ecclesiarum per Clericos administrari debere definierunt; & quia hic Canon, id ipsum quoque in monasteriis servari oportere dicendo, idem quod constituit Chalced. Syn. declaravit. Bona enim monasteriorum esse à laicis administranda non dixerit quispiam, etiamsi desipiat. Nota præsentem Can. definientem, quid fieri debeat sacerdotibus & præfectis qui bona Ecclesiarum & monasteriorum per Clericos vel monachos non administrant.

Zonar. Antistites quandocunque creandi sunt, prius & fidem suam & alia quædam, ac in iis etiam sacros à D se Canones servandos data fide, profiteri solent. Hinc igitur est, quòd hoc loco Patres omnium se divinorum Canonum obsequio obligatos esse pronuntiant. Cum ergo vigesimosexto Synodi Chalcedonensis Canone constitutum sit, ut in quacunque Ecclesia sit Episcopus, ea Oeconomum quoque ex ejusdem Ecclesiæ clero delectum habeat, à quo ex Episcopi sui sententia Ecclesiasticæ facultates administrentur; hunc quoque Canone de Oeconomo in unaquaque Ecclesia constituendo Synodi hujus Patres servandum esse declarant. Ac si quidem, inquiunt, Oeconomum Ecclesiæ suæ quisque Episcopus designaverit, bene est: verùm si id non fecerit, E Constantinopolitano Præsuli auctoritate propria, hoc est, pro arbitrio & potestate, Oeconomum in subjectis sibi videlicet Ecclesiis constituendi jus esse decernunt. Tum eandem Metropolitanis quoque in Episcoporum, qui ab ipsis creantur, parœciis tribuunt facultatem. Idem etiam in Monasteriis servari jubent. Verùm hæc in libris extare sit satis, quod ad nonnullos quidem homines attinet. Neque etiam omnes accusandi, neque id certe fieri salva æquitate potest.

Arist. *Si Metropolitanus metropolis Oeconomum non designaverit, designet Patriarcha; Si Episcopus hoc non fecerit, faciat Metropolitanus: ut visum est patribus* F *Chalcedone congregatis. Idem & in Monasteriis servetur.*

In unaquâque Ecclesiâ œconomum è proprio clero esse oportet, qui juxta Episcopi sententiam Ecclesiastica negotia administrare debet. Quemadmodum vigesimus sextus Synodi Chalcedonensis Canon statuit. Si qui autem Episcoporum per se ipsos ea administrare velint: in metropolibus quidem Patriarcha œconomum præferet; in Episcopalibus autem suis Metropolitanus. At hoc idem erit, & in monasteriis quæ non habent œconomos, observatum.

Ἐπισκόπῳ ἀλλὰ δεῖ προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ. ὡσαύτως δὲ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτοὺς Ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

ΒΑΛΣ. Ἡ ἐν Χαλκηδόνι σύνοδος διορίσατο ἐν κανόνι κϛ΄. πᾶσαν ἐκκλησίαν οἰκονομεῖσθαι διὰ κληρικῶν κατὰ γνώμην τοῦ Ἐπισκόπου, τοὺς δὲ παραβαίνοντας ταῦτα οὐκ εἶπεν ὅπως προσήκει κολάζεσθαι. οἱ γοῦν τῆς παρούσης Συνόδου ἅγιοι πατέρες προοιμιασάμενοι, ὅτι ἀπαραίτητόν ἐστι φυλάττεσθαι τοὺς κανόνας, καὶ μᾶλλον ἐπὶ τῶν ἀρχιερέων τῶν ἀσφαλιζομένων πρὸ τῆς χειροτονίας μετὰ τῶν ἄλλων καὶ τὸ φυλάττειν τοὺς κανόνας καὶ οἷον διὰ τοῦτο καθισταμένων ὑποχρέων, διωρίσαντο ἀπαρεγχείρητον συντηρεῖσθαι τὸν παρόντα κανόνα, καὶ προσέθεντο, ὡς εἰ μὴ οὕτω ποιοῦσιν οἱ μητροπολῖται ἐν ταῖς ἐκκλησίαις αὐτῶν, προβάλλεται ὁ πατριάρχης Κωνσταντινουπόλεως αὐθεντικῶς οἰκονόμον ἐν τῇ μητροπόλει πάντως ἀπὸ τῶν κληρικῶν αὐτῆς. ὡσαύτως καὶ ὁ μητροπολίτης ἵνα καθιστᾷ οἰκονόμον εἰς τὴν ἐπισκοπὴν, ἐὰν ὁ Ἐπίσκοπος ἀμελήσῃ τούτου. τὸ αὐτὸ δὲ γίνεσθαι καὶ εἰς τὰ μοναστήρια. Ἐπισκόπου δέ τινος αἰτιαθέντος, ὅτι τὰ τῆς ἐπισκοπῆς οἰκονομεῖ διὰ λαϊκοῦ, εἶπόν τινες, ὡς ἐπεὶ ὁ παρὼν κανὼν ὁ κολάζων τοὺς ἀρχιερεῖς τοὺς μὴ προχειριζομένους οἰκονόμους, οὐ λέγει κληρικοὺς εἶναι τοὺς ὀφείλοντας γίνεσθαι οἰκονόμους, ἐνδυνάμως καὶ λαϊκοὶ τὰ τῶν ἐκκλησιῶν οἰκονομήσουσιν. ἐμοὶ δὲ οὐ δοκεῖ τοῦτο, ὅτι τε οἱ ἐν Χαλκηδόνι πατέρες διὰ κληρικῶν οἰκονομεῖσθαι τὰ τῶν ἐκκλησιῶν διωρίσαντο· καὶ ὅτι ὁ παρὼν κανὼν, δι' ὧν εἶπε, τὸ αὐτὸ φυλάττεσθαι καὶ εἰς τὰ μοναστήρια, παρεδήλωσεν ὅπερ καὶ ἡ ἐν Χαλκηδόνι ἐθέσπισε σύνοδος. οἰκονομεῖν γὰρ τὰ τῶν μοναστηρίων οὐκ εἴπῃ τις λαϊκοὺς κἂν παραφρονῇ. σημείωσαι τὸν παρόντα κανόνα διοριζόμενον, τί ὀφείλει γίνεσθαι εἴς τε τοὺς ἀρχιερεῖς καὶ τοὺς μὴ διὰ κληρικῶν ἢ μοναχῶν οἰκονομοῦντας τὰ τῶν ἐκκλησιῶν καὶ τὰ τῶν μοναστηρίων.

ΖΩΝΑΡ. Οἱ ἀρχιερεῖς περὶ τοῦ χειροτονεῖσθαι ἀσφαλίζονται καὶ περὶ τῆς πίστεως, καὶ περὶ ἄλλων· μετὰ τῶν ἄλλων δὲ, καὶ ὅτι φυλάξουσι τοὺς ἱεροὺς κανόνας. διὰ τοῦτο οὖν λέγουσιν οἱ πατέρες οὗτοι, ὅτι ὑπόχρεῳ ἐσμὲν πάντας τοὺς θείους κανόνας φυλάττειν. ἐπεὶ τοίνυν καὶ ὁ κϛ΄. τῆς ἐν Καλκηδόνι κανὼν ὥρισε, πᾶσαν ἐκκλησίαν Ἐπίσκοπον ἔχουσαν καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ ἰδίου Ἐπισκόπου, φασὶν οἱ τῆς συνόδου ταύτης, ὅτι φυλάττειν ὀφείλομεν καὶ τὸν κανόνα τὸν λέγοντα οἰκονόμον εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ. καὶ εἰ μὲν ἕκαστος Ἐπίσκοπος προβάλλεται οἰκονόμον τῆς ἰδίας ἐκκλησίας, ἔσται· εἰ δὲ μὴ ποιεῖ τοῦτο, τῷ Κωνσταντινουπόλεως διδόασι προνόμιον προχειρίζεσθαι οἰκονόμον ἐξ αὐθεντίας ἰδίας, ἤγουν μετ' ἐξουσίας, ἐν ταῖς ὑποκειμέναις αὐτῷ δηλαδὴ ἐκκλησίαις. ὁμοίως δὲ καὶ τοῖς μητροπολίταις ἐν ταῖς ἐπαρχίαις τῶν παρ' αὐτῶν χειροτονουμένων ἀρχιερέων. αὐτὸ κελεύουσι φυλάττεσθαι δὲ ἐπὶ τῶν μοναστηρίων. ἀλλὰ ταῦτα ἐν γράμμασιν ὅσον τέως παρά τισιν. οὐδὲ γὰρ πάντων κατηγορητέον, οὐδὲ γὰρ δίκαιον.

ΑΡΙΣΤ. *Τοῦ μητροπολίτου μὴ ποιοῦντος οἰκονόμον τῆς μητροπόλεως, ποιείτω ὁ Πατριάρχης· καὶ τοῦ Ἐπισκόπου, ὁ μητροπολίτης· κατὰ τὴν δόξαν τῆς ἐν Χαλκηδόνι· τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναστηρίων.*

Ἐν ἐκκλησίᾳ ἑκάστῃ δεῖ οἰκονόμον εἶναι ἐκ τοῦ ἰδίου κλήρου, κατὰ γνώμην τοῦ Ἐπισκόπου τὰ ἐκκλησιαστικὰ πράγματα διοικεῖν ὀφείλοντα· καθὼς ὁ εἰκοστὸς ἕκτος κανὼν τῆς ἐν Χαλκηδόνι Συνόδου διαλαμβάνει. εἰ δέ τινες τῶν Ἐπισκόπων δι' ἑαυτῶν οἰκονομεῖν ταῦτα βούλονται, ἐπὶ μὲν τῶν μητροπόλεων ὁ πατριάρχης προβάλλεται οἰκονόμον, ἐπὶ δὲ τῶν Ἐπισκόπων αὐτῶν, ὁ μητροπολίτης. τὸ δὲ αὐτὸ ἔσται καὶ ἐπὶ τῶν μοναστηρίων τῶν μὴ ἐχόντων οἰκονόμους.

ΚΑΝΩΝ ιβ'.

Εἴ τις Ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτουργιῶν τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ ἑτέρῳ προσώπῳ ἐκδιδοὺς, ἄκυρον εἶναι τὴν ἔκδοσιν, κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων, τὸν λέγοντα, πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ Ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς Θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τοῦ Θεοῦ ἀπεμπολείτω. εἰ δὲ προφασίζοιντο ζημίαν ἐμποιεῖν, καὶ μηδὲν πρὸς ὄνησιν τυγχάνειν τὸν ἀγρὸν, μηδὲ οὕτω τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς. εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιντο, καὶ ἐκ τοῦ κληρικοῦ ἢ τοῦ γεωργοῦ ὠνήσηται ἄρχων τὸν ἀγρὸν, οὕτως ἄκυρος ἔστω ἡ πρᾶσις, καὶ ἀποκαθιστάσθω τῷ ἐπισκοπείῳ ἢ τῷ μοναστηρίῳ. καὶ ὁ Ἐπίσκοπος, ἢ ἡγούμενος τοῦτο ποιῶν, ἐκδιωχθήτω· ὁ μὲν Ἐπίσκοπος τοῦ ἐπισκοπείου· ὁ δὲ ἡγούμενος τοῦ μοναστηρίου· ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συνήγαγον.

ΒΑΛΣ. Ἔφησε διὰ Μωυσέως ὁ Θεὸς, τὰ τῷ Θεῷ προσφερόμενα μὴ ἀνταλλάττεσθαι, ἀλλ' ἀνεκποίητα μένειν, κἂν χείρονα ὦσι τῶν ἀντιδιδομένων. ἐὰν δὲ ἀλλάσσων, φησὶν, ἀλλάξῃς αὐτὸ, ἔσται καὶ αὐτὸ τὸ ἀντάλλαγμα αὐτοῦ ἅγιον. φησὶ γοῦν καὶ ὁ κανὼν μὴ ἐκποιεῖσθαι ἢ ἐκδίδοσθαι παρὰ Ἐπισκόπου ἢ ἡγουμένου πρὸς οἱονδηποτοῦν πρόσωπον αὐτέργιον τῆς ἐπισκοπῆς ἢ τοῦ μοναστηρίου, ἢ μὴν ἀκυροῦσθαι τὴν ἐκποίησιν ἢ τὴν ἔκδοσιν κατὰ τὸν λη'. ἀποστολικὸν κανόνα. προστίθησι δὲ, ὡς εἴπερ προφασίζεται ὁ Ἐπίσκοπος ἢ ὁ ἡγούμενος ἀπρόσοδον εἶναι τὸν ἀγρὸν, καὶ ταῖς ἐκκλησίαις ἐπιζήμιον, ἡ μὲν ἔκδοσις τούτου γινέσθω, πλὴν μὴ πρὸς ἀρχοντικὰ πρόσωπα, ἀλλὰ προσχωριτικὰ ἢ πρὸς κληρικούς. ἐπεὶ δὲ τὸ εἰκότων ἦν περιγραφῆναι τὸν κανόνα παρά τινων, ὥρισαν οἱ πατέρες, ὡς εἴποτε μετὰ πανουργίας περιέλθῃ εἰς δυνατὸν πρόσωπον πρᾶγμα ἐκκλησιαστικὸν διὰ μέσου ταπεινοῦ ἢ κληρικοῦ προσώπου προσποιησαμένου ἐκλαμβάνεσθαι τὸ ἀκίνητον· εἶναι μὲν καὶ οὕτω τὰ προγεγονότα ἄκυρα, καὶ ἀποκαθίστασθαι τῇ ἐκκλησίᾳ τὸ ἀκίνητον· ἐκβάλλεσθαι δὲ καὶ τὸν τοῦτο ποιήσαντα Ἐπίσκοπον ἢ ἡγούμενον ἀπὸ τοῦ ἐπισκοπείου ἢ ἐκ τοῦ ἡγουμενείου. καὶ ὁ μὲν κανὼν ταῦτα. ἐπεὶ δὲ αὐτέργιά εἰσι τὰ ἐξ αὐτῶν τῶν πραγμάτων καὶ ὡσεὶ οἴκοθεν διδόντα τοὺς καρποὺς, ὡς αἱ ἁλικαὶ, οἱ ἐλεῶνες, οἱ ἀμπελῶνες, οἱ λιβαδιαῖοι τόποι, οἱ ὑδρόμυλοι, τὰ κεραμαρεῖα, ὡς καὶ τὰ λοιπὰ τοιαῦτα· ἐρωτήσει τις, περὶ τοιούτων αὐτουργιῶν διορίζεται ὁ κανὼν ἢ περὶ παντὸς εὐπροσόδου ἀκινήτου, καὶ μᾶλλον, ὅτι περὶ τὸ τέλος ἐπιζημίων ἀγρῶν μέμνηται; Λύσις. περὶ ἀμφοτέρων θεσπίζει, καί φησι, τὰ μὲν εὐπρόσοδα ὡς αὐτέργια μὴ ἐκποιεῖσθαι μηδὲ ἐκδίδοσθαι· τὸν δὲ τῇ ἀληθείᾳ καὶ μὴ κατὰ σκῆψιν ὄντα ἀπρόσοδον ἀγρὸν ἐκδίδοσθαι. ὥστε ἐὰν μὲν τὸ αὐτέργιον γένηται πάντη ἀπρόσοδον (τυχὸν γὰρ ὁ λιβαδιαῖος τόπος κατεκλύσθη ὑπὸ ποταμίου ῥεύματος,) ἢ καὶ τὸ ἐξώχωρον προάστιον, ἐὰν εὐπρόσοδον καταστῇ, ὡς διὰ παροίκων οἰκισθὲν ἐκ νέου, τοῦτο μὲν τὸ ἐξώχωρον διὰ τὸ εὐπρόσοδον οὐκ ἐκποιηθήσεται· ἐκεῖνο δὲ, κἂν αὐτέργιον ἐλέγετο, διὰ τὸ ἀπρόσοδον καὶ τὸ ἀνωφελὲς, ἐκδοθήσεται. οὐ γὰρ διὰ τὰ ὀνόματα, ἀλλὰ διὰ τὴν πρόσοδον ὀφείλουσιν ἐκποιεῖσθαι, εἴτε καὶ μή. γίνωσκε δὲ, ὅτι ἀπὸ τῶν νόμων κυρίως ἐκποίησις μὲν λέγεται ἡ μετάθεσις τῆς δεσποτείας, ἤγουν ἡ δωρεὰ, ἡ πρᾶσις, ἡ ἐμφύτευσις, ἡ ἀνταλλαγὴ, καὶ τὰ ὅμοια· ἔκδοσις δὲ, ἡ ἐπὶ προσώποις ἢ χρόνοις ὡρισμένοις παραπομπή. καταχρηστικῶς δὲ καὶ ἡ ἔκδοσις ἐκποίησις λέγεται, καὶ ἡ ἐκποίησις ἔκδοσις. ὅτι δὲ τὰ πρόσοδον ἔχοντα οὐκ ἐκποιοῦνται, τὰ δὲ ἀπρόσοδα διὰ κατεπείγουσαν ἀνάγκην ταῖς ἐκκλησίαις ἐκποιοῦνται, παρίσταται ἀπὸ τοῦ κθ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου

CANON XII.

Si quis Epiſcopus, vel monaſterii præfectus ex Epiſcopii vel monaſterii agris in principis alicujus manus alienare, vel alteri perſonæ tradere deprehenſus fuerit, irrita ſit traditio, ut ſanctorum Apoſt. vult Canon, qui dicit, Omnium rerum Eccleſiaſticarum Epiſcopus curam gerat, & ea adminiſtret tanquam Deo intuente. Ne liceat autem quidquam ex eis ſibi vendicare, vel propriis cognatis, quæ Dei ſunt, elargiri: ſi ſint autem pauperes, ut pauperibus ſuppeditet; ſed non eorum prætextu res Dei venundet. Si vero detrimentum afferre cauſentur, nec quidquam ex agro emolumenti percipi: ne ſic quidem Magiſtratibus aut principibus, qui ſunt in eo loco, det prædium, ſed Clericis vel agricolis. Sin autem aliqua improba calliditate utantur, & ab agricola vel Clerico agrum præſes vel magiſtratus emerit, ſic quoque irrita ſit venditio, & Epiſcopio vel monaſterio reſtituetur. Porro Epiſcopus vel monaſterii præfectus, qui hoc fecerit, exturbetur; Epiſcopus quidem ab Epiſcopatu; monaſterii verò præfectus à monaſterio: ut qui diſſipent quæ non congregavêre.

Bals. Dixit Deus per Moſen, ea non eſſe commutanda quæ Deo oblata ſunt; ſed non alienabilia manere oportere, etiamſi ſint iis quæ dantur in permutatione longè deteriora: ſed ſi permutans, inquit, ipſum permutaveris, erit & ea ipſa ejus permutatio ſancta. Dicit ergo Canon, non eſſe alienandum vel tradendum ab Epiſcopo, vel eo qui præeſt monaſterio, agrum Epiſcopatûs vel monaſterii, vel eſſe irritam alienationem, vel traditionem, ut vult xxxviii. Canon Apoſtolorum. Adjicit autem; Quòd ſi cauſetur quidem Epiſcopus, vel monaſterii præfectus, agrum nullius eſſe reditûs, & damnum Eccleſiis afferre; fiat quidem ejus alienatio, ſed non alicui perſonæ principali, verùm vicanis aut clericis: ſed quoniam veriſimile erat, Canonem ab aliquibus circunſcribi eique fraudem fieri, ſtatuerunt Patres, ut ſi quando cum improba calliditate res Eccleſiaſtica ad potentem perſonam pervenerit, intercedente vili perſona vel Clerico, qui fingebat ſe rem immobilem accipere: & ſic quoque priùs facta irrita forent & res immobilis Eccleſiæ reſtitueretur; & qui hoc fecerit, Epiſcopus vel monaſterii præfectus, ab epiſcopatu vel præfecturâ expelleretur. Et hæc quidem Canon. Quoniam autem αὐτέργια, (quod agros Latine diximus,) ſunt quæ ex rebus ipſis & tanquam ſuâ ſponte fructus præbent, ut ſunt ſalinæ, oliveta, vineta, prata, molendina in aquis ſita, figulinæ, ut & ejuſmodi alia: interrogaverit quiſpiam; an de ejuſmodi prædiis Canon decernit; an potiùs de quovis immobili, cujus eſt bonus reditus; & eo magis, quòd meminit in fine de damnoſis agris? Solutio. De utriſque decernit, & dicit, ea quidem prædia, quæ ſunt boni reditûs, non alienari nec elocari: agrum vero, qui eſt revera, & non ſola ſpecie nullius reditûs, alienari. Quare ſi ſit quidem prædium omnino inutile (fortè enim pratum fluvii inundatione obrutum eſt) vel ſi etiam à regione remotum boni reditûs ſit effectum, ut quòd ſit à colonis recens habitatum & extructum: hoc quidem ſejunctum prædium, qui eſt boni reditûs, non alienabitur; illud autem, etiamſi αὐτέργιον, (quaſi per ſe agens ac producens dicatur,) eo quòd eſt inutile & nullius reditûs, alienabitur. Non enim propter nomina, ſed propter reditûs alienari vel non alienari debent. Scias autem, quòd à legibus propriè ἐκποίησις quidem (id eſt, alienatio) dicitur dominii tranſlatio, ſcilicet donatio, venditio, emphyteuſis, permutatio, & ſimilia. ἔκδοσις autem, (id eſt, elocatio,) eſt ad perſonas & tempora præfinita tranſmiſſio. Abuſivè autem & ἐκποίησις ἔκδοσις, & ἔκδοσις ἐκποίησις dicitur. Quod autem quæ reditum non afferunt non alienantur, quæ autem reditum non afferunt, propter urgentem Eccleſiis neceſſitatem, alienantur; ex xxix. Canone Carth. Syn. apparet, qui hoc cum diſtinctione permittit ; quem lege. Sed magnus etiam Cyrillus, in ſecundo capite ſuæ ad Domnum epiſtolæ, inalienabilia eſſe dicit vaſa pretioſa, ſacra ſcilicet, & immobiles eccleſiarum poſſeſſiones. Cæterum hoc quoque interpretare ex ſententia canonis Carthag. Syn. Cum quidam autem Epiſcopus prædium Eccleſiaſticum principali cuidam perſonæ alienâſſet, & alienatio per hunc Canonem infirmata eſſet, dicebant quidam debere Epiſcopum ab Epiſcopatu expelli, ut hoc Canone continetur. Mihi autem non ita videtur. Neque enim jubet Canon Epiſcopum ex epiſcopatu dejici, quando fecerit prædii alienationem, quæ rata ac firma non fuerit ; ſed quando immobilis rei Eccleſiaſticæ alienationem cum dolo fecerit: & id quidem revera ad potentem perſonam pervenire velit, fraude autem ac malitioſa calliditate Clerico vel agricolæ tradiderit, id non eſſe magni reditus cauſans, ut ab illo ad potentem perveniat. Non enim propter alienationem, ſed propter fraudulentum conſilium, ut ex epiſcopatu deturbaretur conſtitutum eſt. Atque hoc quidem ex xxxviii. Canone Apoſtolico in præſenti Canone ſito declaratum eſt, qui non punit Epiſcopum, qui ſine dolo & malitia rebus Eccleſiaſticis utitur ; ſimiliter & ex cxx. Juſt.nov.ſeu xxiii. c.ii. tit.v.lib. Baſil. quod decernit ejuſmodi contractus non valere ; de Epiſcopi autem vel monaſterii rectoris pœna nihil penitus tractat ; ſed tantum tabellionem mulctat exilio. Sed quoniam dicta novella (ſive totus potius ſecundus quinti libri titulus) ſtatuit nonnunquam non ſolum infructuoſa & nihil reditus afferentia immobilia Eccleſiarum & monaſteriorum, & ipſius etiam magnæ Eccleſiæ & aliarum ſacrarum ædium ; verum ea etiam ex quibus fructus & redditus percipitur, vendi & alienari, per diſtinctiones quæ in ea declarantur : præterea autem & quædam ſuadente tempore alienari permitit: lege eam, quæ & magna eſt & multiplex, plurimaſque diſtinctiones recipit: & procura ut fiant vel non fiant, ab Eccleſiis & monaſteriis alienationes & venditiones ſacrorum & ipſorum immobilium, ut ea continetur, & ab omni reprehenſione alienus ſervaberis. Neque enim tibi eſſe contrarius videatur hic præſens Canon ; quoniam novella quoque rerum immobilium Eccleſiarum vel monaſteriorum alienationem aut venditionem, quæ ſine juſta & urgente cauſa fit, ſimiliter ac præſens Canon prohibet. Quid vero, cum alienatio, ut dictum eſt infirmetur, & res Eccleſiaſtica ad Eccleſ. vel monaſterium revertatur, cogeturne ipſi viciſſim quos ea de cauſa acceperunt nummos vel res dare? Solutio. Nequaquam. Dicit enim dicta Novella hæc expreſsè; ſi vero pręter ea quę à nobis hâc lege ſancita ſunt, fuit aliquis contractus in diverſis rebus mobilibus vel immobilibus, uni ſanctarum domorum, reddatur quidem ipſi ſanctiſſimæ Eccleſ. vel ſacroſanctæ domui res, ſuper qua tale quid conſecutum eſt, cum intermedii temporis fructibus; maneat autem apud ipſam pretium vel antidorum, aut quod pro permutatione vel quacunque alia cauſa datum eſt. Sin autem emphyteuſis, præter ea quæ à nobis ſunt, facta fuerit; ſanctæ Eccleſiæ vel ſacroſanctis domibus eandem rem reddi jubemus : emphyteutam autem id quod conventum eſt pendere, ut emphyteuticorum contractuum robur exigit. Si vero donetur res Eccleſiaſtica vel alicujus ſacroſanctæ domus ; ea quoque ſanctiſſimæ Eccleſiæ vel aliis ſacroſanctis domibus, cum fructibus intermedii temporis, reddatur, & tantum præterea quanti res ipſa valet: ſin autem, præter hæc, pignori data fuerit, debitum perdat fœnerator & eandem rem ſacroſancto loco reddat, tabellionibus, qui præter hanc noſtram legem in ejuſmodi contractibus operam ſuam præbere audent, perpetuo exilio damnatis. Hoc autem etiam interrogaverit quiſpiam ; cum Canon dicat, Epiſcopum ex Epiſcopatu, & monaſterii præfectum ex monaſterio, ut pernitioſos & fraudulentos expelli, detruſionem conſequetúrne depoſitio, annon? Et nonnulli quidem

A ἐπιτρέποντος τοῦτο μετὰ διασκέψεως· ὃν καὶ ἀνάγνωθι. ἀλλὰ καὶ ὁ μέγας Κύριλλος ἐν τῷ β΄. κεφ. τῆς πρὸς Δόμνον ἐπιστολῆς αὐτοῦ, ἀνεκποίητα εἶναι διορίζεται τὰ κειμήλια, ἤγουν τὰ ἱερὰ, καὶ τὰς ἀκινήτους κτήσεις τῶν ἐκκλησιῶν. πλὴν καὶ τοῦτο κατὰ τὸν κείμενον τῆς ἐν Καρθαγένῃ Συνόδου ἑρμήνευσον. Επισκόπου δέ τινος αὐτούργιον ἐκκλησιαστικὸν ἐκδεδωκότος πρὸς ἀρχοντικὸν πρόσωπον, καὶ τῆς ἐκδόσεως διὰ τὸν κανόνα τοῦτον ἀκυρωθείσης, εἶπόν τινες ὀφείλειν ἐκβληθῆναι τὸν Επίσκοπον ἐκ τῆς ἐπισκοπῆς, κατὰ τὴν τοῦ κειμένου περίληψιν· ἐμοὶ δὲ οὐ δοκεῖ. ὁ γὰρ κανὼν οὐ παρακελεύεται ἐκβάλλεσθαι τὸν Επίσκοπον ἐκ τοῦ ἐπισκοπείου, ὅτε ἄκυρον ἐκποίησιν B αὐτουργίου διαπράξοιτο, ἀλλ' ὅτε μετὰ δόλου ἔκδοσιν ἀκινήτου ἐκκλησιαστικοῦ ποιήσει, καὶ τῇ μὲν ἀληθείᾳ θέλει περιελθεῖν τοῦτο εἰς δυνατὸν πρόσωπον, κατὰ δὲ ῥᾳδιουργίας παραπέμψει αὐτὸ πρὸς κληρικὸν ἢ γεωργὸν, προφασιζόμενος εἶναι ἀπρόσοδον, ὡς ἂν ἐξ ἐκείνου περιέλθῃ εἰς τὸν δυνατόν· οὐ γὰρ διὰ τὴν ἐκποίησιν, ἀλλὰ διὰ τὴν πανουργίαν ἐπεψηφίσθη τούτῳ ἡ ἐκ τοῦ ἐπισκοπείου ἐκβολή. καὶ δηλοῦται τοῦτο ἀπὸ τοῦ ἀποστολικοῦ λη΄. κανόνος, τοῦ καταστρωθέντος εἰς τὸν παρόντα κανόνα, καὶ μὴ κολάζοντος τὸν Επίσκοπον τὸν δίχα δόλου χρώμενον καλῶς τοῖς ἐκκλησιαστικοῖς πράγμασιν. ὡσαύτως καὶ ἀπὸ τῆς ρκ΄. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ κγ΄. κεφ. τοῦ β΄. τίτλου τοῦ ε΄. βιβλίου C τῶν βασιλικῶν, τοῦ διοριζομένου τὰ τοιαῦτα συναλλάγματα ἀκυροῦσθαι· περὶ δὲ τοῦ τιμωρεῖσθαι τὸν Επίσκοπον ἢ τὸν ἡγούμενον, μηδέν τι διαλαμβάνοντος, ἀλλὰ τὸν συμβολαιογράφον μόνον εἰς ἐξορίαν καταδικάζοντος. ἐπεὶ δὲ ἡ ῥηθεῖσα νεαρὰ, ἤτοι ὁ ὅλος τίτλος τοῦ ε΄. βιβλίου, θεσπίζει, ἔστιν ὅτε μὴ μόνον ἀπρόσοδα, ἀλλὰ καὶ εὐπρόσοδα ἀκίνητα ἐκκλησιῶν καὶ μοναστηρίων, καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας καὶ τῶν ἄλλων εὐαγῶν οἴκων, ἐκποιεῖσθαι καὶ ἐκδίδοσθαι μετὰ διασκέψεων δηλουμένων ἐν αὐτῇ· προσέτι γοῦν καὶ ἱερά τινα ἐπιτρέπει καιροῦ καλοῦντος ἐκποιεῖσθαι· ἀνάγνωθι ταύτην μεγάλην οὖσαν καὶ πολυειδῆ καὶ πολυδιάστικτον· καὶ οἰκονόμει γίνεσθαι, ἢ μὴ γίνεσθαι, παρά D τε τῶν ἐκκλησιῶν καὶ τῶν μοναστηρίων τὰς ἐκποιήσεις καὶ ἐκδόσεις τῶν ἱερῶν, καὶ τῶν ἀκινήτων αὐτῶν, κατὰ τὴν ταύτης περίληψιν, καὶ φυλαχθήσῃ ἀκαταιτίατος. οὐδὲ γὰρ ἐναντιωθῇ σοι ὁ παρὼν κανὼν, ὅτι καὶ ἡ νεαρὰ τὴν χωρὶς εὐλόγου καὶ ἀναγκαστικῆς αἰτίας ἐκποίησιν ἢ ἔκδοσιν τῶν ἐκκλησιαστικῶν ἢ μοναστικῶν ἀκινήτων παρομοίως τῷ παρόντι κανόνι κωλύει. τί δὲ, τῆς ἐκποιήσεως ἀκυρουμένης, ὡς εἴρηται, καὶ τοῦ ἐκκλησιαστικοῦ πράγματος ἀντιστρεφομένου πρὸς τὴν ἐκκλησίαν ἢ τὸ μοναστήριον, ἀναγκασθήσεται τὸ μέρος αὐτῶν, ἃ χάριν τούτου ἔλαβε, νομίσματα ἢ πράγματα δοῦναι; Λύσις. οὐδαμῶς. φησὶ γὰρ ἡ ῥηθεῖσα νεαρὰ ῥητῶς ταῦτα, εἰ δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν E τῷ παρόντι νόμῳ συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι, κινητοῖς τε καὶ ἀκινήτοις, ἑνὶ τῶν εὐαγῶν οἴκων, ἀναδίδοσθαι μὲν τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἤτοι τῷ εὐαγεῖ οἴκῳ τὸ πρᾶγμα, ἐφ' ᾧ τοιοῦτόν τι παρηκολούθησε, μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, μένειν δὲ παρ' αὐτῇ καὶ τὸ τίμημα ἢ τὸ ἀντίδωρον, ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ δεδομένον. εἰ δὲ ἐμφύτευσις πραχθείη παρὰ τὰ διηγορευμένα ἡμῖν, ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἢ τοῖς εὐαγέσι τόποις τὸ αὐτὸ πρᾶγμα κελεύομεν, καὶ τὸν ἐμφυτευτὴν τὸ πάκτον τελεῖν κατὰ τὴν δύναμιν τῶν ἐμφυτευτικῶν Συμβολαίων. εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικὸν ἢ ἑτέρου εὐαγοῦς οἴκου, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ F ἐκκλησίᾳ ἢ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, καὶ τοσοῦτον ἕτερον ὅσου ἄξιόν ἐστι τὸ πρᾶγμα. εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ τόπῳ ἀποδιδότω, τῶν συμβολαιογράφων, τῶν θαρρούντων παρὰ τὸν ἡμῶν τὸν νόμον τοιούτοις ὑπουργεῖν συμβολαίοις, διηνεκεῖ ἐξορίᾳ καταδικαζομένων. ἠρώτησε δέ τις καὶ τοῦτο, τοῦ κειμένου λέγοντος ἐκβάλλεσθαι τὸν Επίσκοπον ἀπὸ ἐπισκοπείου, καὶ τὸν ἡγούμενον ἐκ τοῦ μοναστηρίου, ὡς λυμεῶνας καὶ δολερούς, ἐπακολουθήσει τῷ ἐξωθῆσαι καὶ καθαίρεσις ἢ οὐχί;

καὶ

καί τινες μὲν εἶπον, ὡς τῶν ἁγίων πατέρων μηδέν τι τοιοῦτον διορισαμένων, προβήσεται μόνον ἐξώθησις. ἐμοὶ δὲ δοκεῖ, ὡς τῆς ἐξωθήσεως γινομένης διὰ δόλον, ἐξ ἀνάγκης παρέπεται καὶ καθαίρεσις. οὐδεὶς γὰρ ἐξ ἀτιμοποιοῦ αἰτίας καταδικαζόμενος, ἔντιμός ἐστιν. εὐχαριστητέον οὖν τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, τῷ συντηρήσαντι ἀκολούθως τῷ ἀποστολικῷ κανόνι, καὶ τῷ παρόντι διορισμῷ, τὰ τῶν ἐκκλησιῶν καὶ τῶν κατὰ πόλιν τέως μοναστηρίων ἀκίνητα ἀνέπαφα ἐκ τῆς χειρὸς τοῦ δημοσίου, διὰ τριῶν χρυσοβούλλων τῆς ἁγίας βασιλείας αὐτοῦ, ἀφ' ὧν τὸ μὲν κατὰ τὸν Ἰούλιον μῆνα τῆς α'. ἰνδικτιῶνος τοῦ ςχνδ'. ἔτους γεγονὸς, καὶ διοριζόμενον, μὴ βλάπτεσθαι τὰ μοναστήρια ἐκ τοῦ ἴσως χωλεύειν κατά τι τὰ προσόντα τούτοις δικαιώματα· καὶ τὸ κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς ζ'. ἰνδικτιῶνος τοῦ ςχξε'. ἔτους ἀπολυθὲν, καὶ παρακελευόμενον ἔχειν τὰ μοναστήρια κατὰ τὸ ἀναπόσπαστον τὰ ἀκίνητα τούτων κἂν διαγνώσεις ἐδόθησαν αὐτοῖς παρὰ τῶν ἀναγραφέων δικαιοῦσαι τὸ δημόσιον, ἅτινα οὐ κατεστρώθησαν ἐν τῷ διὰ τὸ αἰωνίζουσαν ὠφέλειαν ἐκ τούτων μὴ ἐπιχορηγεῖσθαι ταῖς μοναῖς, ἀλλὰ καιρικήν. τὸ δὲ κατὰ τὸν Μάρτιον μῆνα τῆς ς'. ἰνδικτιῶνος τοῦ ςχξς'. ἔτους ἐξενεχθὲν καὶ καταστρωθὲν ἐν πᾶσι τοῖς σεκρέτοις, παρακελεύεται μετὰ τὸ προοίμιον ταῦτα ῥητῶς. ἔφθασε μὲν οὖν πρὸ χρόνων τινῶν χρυσόβουλλον λόγον ἐπιβραβεῦσαι τοῖς τε κατ' αὐτὴν τὴν βασιλίδα τῶν πόλεων διακειμένοις εὐαγεστάτοις μοναστηρίοις, καὶ τοῖς κατὰ τὸ δυτικὸν μέρος τοῦ στενοῦ, ὅσον τε κατ' αἰγιαλὸν, καὶ ὅσον πόῤῥωθεν· ὡσαύτως καὶ τοῖς περὶ τὸν κόλπον τῆς Νικομηδίας, καὶ μέχρι καὶ αὐτῆς τῆς Νικομηδίας, καὶ τοῖς ἐν ταῖς νήσοις, τῇ ὀξείᾳ, τῇ πρώτῃ, τῇ χάλκῃ, τῇ πλάτῃ, τῇ ἁγίᾳ γλυκερίᾳ, τῇ πριγκίπῳ τῇ τοῦ Ἀντιγόνου, τῷ βραχυνησίῳ, τῇ τερεβίνθῳ, τῷ ἁγίῳ Ἀνδρέᾳ, τῷ ἁγίῳ Τρύφωνι, τῷ ἁγίῳ Ἐλευθέρῳ τῷ Κωδώνης, καὶ πελάγει, τῇ θεοτόκῳ, τῷ Μεσόνης, τῇ ἰατρῷ καὶ τῷ ἁγίῳ Δημητρίῳ, καὶ τοῖς ἐν ταῖς κτήσεσι τῶν πορτῶν καὶ ἄχρι τῆς περιοχῆς τῆς Ἀθύρας· καὶ ἁπλῶς τοῖς πέριξ τῆς βασιλίδος τῶν πόλεων ἀσκουμένοις μοναχοῖς, ἀνδράσι τε καὶ γυναιξὶ, πολλὰ τούτοις φιλοτιμησαμένην δίκαια, καὶ τὸ ἀδιάσειστον αὐτοῖς δωρησαμένην ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ τῶν ἀκινήτων τῶν ἀπό τινων δικαιωμάτων διαφερόντων τούτοις, καθὼς ὁ τοιοῦτος χρυσόβουλλος λόγος πλατύτερον ταῦτα διέξεισιν. ἐπεὶ δὲ τοὺς θηρελάκτας οὐκ ἦν ἠρεμεῖν, ἀλλὰ τῷ τοῦ δημοσίου προσχήματι βαρεῖαν τούτοις ἐπῆγον οὗτοι τὴν κάκωσιν, ἡ βασιλεία μου ἅμα μὲν τὸ θεῖον ἐξευμενίσαι καὶ ἐξιλεώσασθαι, ἐφ' οἷς ὡς ἄνθρωπος τοῦτον προσκέκρουκεν, ἅμα δὲ βουλομένη καὶ τοὺς στρατιώτας τοῦ μεγάλου βασιλέως, Χριστοῦ δηλονότι, τοὺς δι' αὐτὸν τὸν μονήρη βίον προελομένους, καὶ τὴν πανοπλίαν ἐνδυσαμένους τοῦ πνεύματος, συμμάχους ἔχειν καὶ συνασπιστὰς ἰσχυροὺς κατὰ τῶν ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν, τῷ ἀγαθῷ ἐκείνῳ θεμελίῳ, καὶ ὄροφον ἐπιθεῖναι ἀνάλογον ἠρετίσατο, καὶ τὸν παρόντα χρυσόβουλλον ἀπολέλυκεν εὐλόγως, δι' οὗ θεσπίζει καὶ διορίζεται πάντα τὰ σήμερον νεμόμενα ἀκίνητα παρὰ τῶν ἄνωθεν ἀριθμηθέντων μοναστηρίων, ἢ καὶ ἡσυχαστηρίων, ἢ καὶ ἀναχωρητικῶν κελλίων καὶ λαυρῶν, καὶ ἁπλῶς κατοικητηρίων μοναχικῶν, κἂν ᾧ ἂν καλοῖντο ὀνόματι, τούς τε προσοίκους, τὰ αὐτούργια, τὰς πανηγύρεις, τοὺς φόρους, τοὺς πόρους, τὰς λίμνας, τοὺς ποταμοὺς, τὰ θαλάσσια δίκαια, καὶ καθολικῷ λόγῳ οἱονδηποτοῦν δίκαιον ἐν ἀκινήτοις κτήμασι θεωρούμενον, καὶ οἱῳδήτινι τόπῳ διακείμενον παρ' αὐτῶν κατεχόμενον νῦν, ἐφ' ᾧ δηλονότι μέχρι τοῦ νῦν ἐδόθη τούτοις διάγνωσις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων, τὸ τοῦ δημοσίου μέρος ἐπὶ τούτῳ προσδικαιοῦντα, ἔχειν τὰς ῥηθείσας μονὰς κατὰ διηνεκῆ δεσποτείαν ὡς δῶρον καὶ φιλοτίμημα τῆς βασιλείας μου, καὶ δεσπόζειν αὐτῶν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, κἂν εὐλόγως κἂν παραλόγως τούτων τινὰ ἢ τὰ ὅλα ἴσως ἕως τοῦ νῦν κατεῖχον, κἂν δίχα τινὸς δικαιώματος, ἢ ἀπὸ δικαιωμάτων μὲν, κακῶς δὲ ἐχόντων, ἢ ψευδῶς συντεθέντων. πάντα γὰρ τὰ παρ' αὐτῶν κατεχόμενα ἐν οἱῳδήτινι θέματι κατά τε δύσιν καὶ ἀνατολὴν, κἂν ἐξ αὐτῶν τῶν εἰς ἐνδιαίτημα τῶν κατὰ τὴν ἡμέραν βασιλέων, κἂν ἀπὸ κλασμάτων ὦσι, κἂν ἀπὸ συμπαθῶν, ἢ ἀποκεκινημένων, ἢ ὁλο-

A dixerunt, quòd cùm patres nihil tale decernant, ſola procedet extruſio. Mihi autem videtur, quòd cùm propter dolum fiat ejectio, neceſſariò etiam ſequitur depoſitio. Nemo enim, ex cauſa lædente famam condemnatus, bonæ eſt exiſtimationis. Potenti ergo & ſancto noſtro Imperatori gratiæ agendæ ſunt, qui ut vult Apoſtolicus Canon, & hæc conſtitutio, Eccleſiarum civitatiſque monaſteriorum immobilia à manu fiſci ſeu publici, per tres ſacræ ſuæ majeſtatis Aureas-Bullas, intacta & integra conſervavit: quarum altera quidem Julio menſe, i. indictione, 6654. anno facta eſt, & conſtituit, non lædi monaſteria, eo quod jura, quæ illis adſunt, in aliquo forte mutila ſint & imperfecta: & ſecunda menſe B Octobri, vii. indictione, 6665. anno emiſſa eſt, & jubet monaſteria indivulsè & inſeparabiliter ſua habere immobilia; etiamſi notitiæ, quæ pro jure fiſci faciunt, à cenſûs deſcriptoribus eis datæ ſint, quæ hîc ſitæ non ſunt, quod non perpetua cautio & utilitas monaſteriis ex iis ſuppeditetur, ſed temporalis: alia verò menſe martio, vi. indictione 6666. anno edita eſt, & in omnibus ſecretis poſita, quæ poſt proœmium hoc expreſsè edicit; Aliquot abhinc annis definitionem Aurea-Bullâ munitam emittere diſpenſareque prævenit mea Majeſtas, iiſque, quæ in hac urbium regina ſita ſunt, ſan- C ctiſſimis monaſteriis, & iis quæ ſunt in Occidentali parte freti, quantum eſt in littore & longius; ſimiliter & iis quæ ſunt in ſinu Nicomediæ, & uſque ad ipſam Nicomediam, & iis quæ ſunt in inſulis, Oxea, Prima, Chalce, Plate, ſancta Glyceria, Principo Antigoni, Brachyneſio, Terebintho, ſancto Andrea, ſancto Tryphone, ſancto Eleuthero Codonæ, Pelago, Deiparæ, Meſonæ, Medica & ſancto Demetrio, & iis quæ ſunt in poſſeſſionibus portuum, & uſque ad complexum Athyræ; &, ut ſemel dicam, iis qui circumcirca reginam civitatem exercentur monachis, viris & mulieribus, his multa jura largita eſt, & in im- D mobilium detentione ac dominatione, quæ quibuſdam juribus ad eos pertinent, firmam & illabefactabilem poſſeſſionem conceſſit: quemadmodum dicta definitio Aurea-Bullâ munita hæc fuſius perſequitur. Sed quoniam venatores quieſcere non potuerunt, ſed fiſci ſeu publici prætextu eis gravem afflictionem intulerunt; Majeſtas mea Deum placare & propitium efficere volens, ob ea per quæ ipſum ut homo offendit, ſimulque magni Imp. Chriſti ſcilicet, milites, qui vitam monaſticam propter ipſum elegerunt, & ſpiritûs armaturam induerunt, ſocios habere & ſtrenuos defenſores adverſus hoſtes, tam qui videntur quam qui non viden- E tur, bono illi fundamento tectum quoque proportione conveniens imponere voluit, & præſentem Auream-Bullam optima cum ratione edidit; per quam ſtatuit & definit, omnia immobilia, quæ hodie ab enumeratis monaſteriis poſſidentur, vel etiam Anchoretarum ædiculis, cellulis, lauris, &, ut ſummatim dicam, quocunque nomine cenſeantur, Monachorum habitaculis; colonos, prædia, conventus, tributa, vectigalia, portus, flumina, jura maritima, &, ut ſemel dicam, quodcunque jus in poſſeſſione immobili conſideratur, & in quocunque loco ſitum ſit, ab iiſque nunc occupatum; ſcilicet eo quod illi, qui ſingulis provinciis cenſum agebant, Notitiam, partes in his fiſco debitas F vendicantem, illis nondum dederunt, habere dictas manſiones perpetuo dominio, ut donum & Majeſtatis meæ magnificentiam, & eis deinceps ſemper in poſterum dominari, etiamſi probabili vel non probabili de cauſa aliqua eorum vel etiam fortaſſe omnia hucuſque detinuerunt, vel etiam ſine ullo titulo, vel ex titulo quidem qui malè ſe habet, vel fortaſſe falsò confictus eſt. Omnia enim, quæ ab ipſis in quacunque provincia poſſidentur in Occidente & in Oriente, ſive ex iis hoſpitio Imperatoris quotidie præberi ſolitis, ſive ſint ex fragmentis, ſive ex commiſerationibus, ſive loco motis, vel caducis, vel ex vilibus quæ penduntur diariis, vel ex vilibus calamitate vexatis, vel iis quæ à potentibus vendita ſunt, vel contrà, vel correctione malefactarum venditionum, etſi in aliis locis juſſa dari, in aliis tradita ſunt; vel donata, non tradita ſunt; vel tradita, non donata ſunt; vel quovis alio modo malè ab ipſis detinentur, inconcuſsè, & nullo negotio eis exhibito, à dictis omnibus monaſteriis vult mea Majeſtas in æternum poſſideri, ut majeſtatis meæ donum à liberalitate & munificentia mea profectum. Cùm enim ſola, quæ apud ipſos nunc invenitur, immobilium detentio pro omni titulo debet eis ſufficere, eſt ſupervacaneum de ullis aliis curioſè inquirere. In omnibus enim quæ hodie poſſident, præterquam in iis in quibus à publici cenſûs in ea regione deſcriptoribus Notitiæ datæ, quæ jus fiſci ſeu publici, ut dictum eſt, probant, debet præſens Majeſtatis meæ ſcriptum Aurea-Bullâ munitum ſufficere: & pro donatione & emptione & quovis alio titulo ſatis eſſe, etiamſi quodcunque aliud ſecretum in eis probetur. Nec cogentur monaſteria, ob ea quæ nunc poſſident immobilia, antiqua alia quæ eis adſunt jura proferre: ſed hac præſenti Majeſtatis meæ Aurea-Bullâ pro omni jure utentia, ea contenta eſſe debent, ut quæ eis, ut priùs ſcriptum eſt, ſufficere debeat, & pro donatione & pro traditione, & quovis alio jure. Sin autem invitante fortaſſe tempore voluerit ullum monaſterium iis etiam quæ habet juribus & titulis uti, ea pro ſe afferens, à nullo penitus prohibebitur. Hoc enim non faciet neceſſario: ſin autem propria voluntate illud eligerit, nemo impediturus admittetur. Non ſolum autem ad terreni, quod habent, jus probandum monaſteriis ſufficiet præſens Aurea-Bulla; ſed etiam in parochiis, quæ nunc ab eis detinentur, & prædiis, vectigalibus, conventibus, trajectionis ſolutionibus, portibus, fluviis, juribus maritimis & quocunque alio jure, quod ab eis poſſidetur, præterquam in iis, in quibus documenta pro publico, ut ſæpe ſuperius dictum eſt, aſſumpta ſunt. Sin autem recenſeri juſſa ſunt, vel amputari quædam tributa, vel pacta, vel militiæ, vel publica, vel libellica, vel aliquid aliud, quod ad fiſcum pertinet, & non factum eſt quod recenſendum erat, vel aliquod aliud habet jus, quod reprehendi poſſit; monaſteria ex eo nihil lædentur. Quid autem opus eſt multa dicere & enumerare & exempli gratia afferre? miſſo à Majeſtate mea multiloquio, ne quis in ejuſmodi rebus callidus & vafer, nonnullis quidem dictis, ex iis cauſis quæ immobilia concutiunt, aliis vero ſilentio præteritis, verba arripiat, & more Judaico literæ inſiſtat, & conetur in iis, quæ dicta non ſunt monaſteria agitare & vexare, ſententia generali & munifera vult mea Majeſtas & decernit, ut omne in iis, quæ hodie à monaſteriis poſſidentur, vel in ipſis ſunt monaſteriorum cathedris, eſſe publicum cogitatum fuerit, idipſum ab aliquo, vel nunc vel quandocunque, monaſterio datum eſſe reputetur. Et ſimulac hoc cogitârit quiſpiam ac dixerit, id quoque ſtatim apprehendit monaſterium, ut hodie à mea regia ſublimitate donatum. Quod enim ad ea attinet, quæ nunc poſſident, immobilia, de quibus pro publico documenta non acceperunt monaſteria; mea majeſtas vult unumquodque eorum publicum exiſtimari, & perpetuam firmitatem obtinere, & à nullo de ea re diſceptari. Et quemadmodum publico nulla à ſe moleſtia negotiúmve exhibetur; ſic nec ædes ſacræ, ſive Anachoretarum cellulæ, nec monaſteria, nec aliqua, ab ullo publici curatore litibus agitabuntur, ſive quis probabilem ſive non probabilem cauſam afferat, ſive cujuſmodicunque ſit quod loquetur. Quiſquis enim hoc facere aggreſſus fuerit, invalida & revera infirma dicere videbitur, & citra ullam miſericordiam ejus facultates fiſco conſecrabuntur, iſque omnino infamis ſemper erit: utpote qui Imp. ad-

A πλώτων, ἢ ἀπὸ ταπεινῶν τελουμένων διαρίων, ἢ ἀπὸ ταπεινῶν κλαματιαθέντων, ἢ καὶ δυνατοῖς διαπραθέντων, ἢ τοὐναντίον, ἢ ἐξ ὀρθώσεως κακῶς γεγονυιῶν διαπράσεων, κἂν ἐν ἄλλοις τόποις ὁρισθέντων δωρηθῆναι, ἐν ἄλλοις παρεδόθησαν, ἢ δωρηθέντα οὐ παρεδόθησαν, ἢ παραδοθέντα οὐκ ἐδωρήθησαν, ἢ καθ' ἕτερόν τινα λόγον κακῶς παρ' αὐτῶν κατέχωνται, ἀδιασείστως καὶ ἀπολυπραγμονήτως κατέχεσθαι παρὰ τῶν ῥηθεισῶν πασῶν μονῶν ἡ βασιλεία μου βούλεται εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ὡς δῶρον τῆς βασιλείας μου, καὶ καθαρὸν φιλοτίμημα. μόνης γὰρ τῆς παρ' αὐτοῖς διευρισκομένης νῦν κατοχῆς τῶν ἀκινήτων ὀφειλούσης ἀρκεῖν αὐτοῖς ἀντὶ παντὸς δικαιώματος, περιττόν ἐστι τὸ πολυπραγμονεῖν B περὶ ἑτέροις. ἐπὶ πᾶσι γὰρ οἷς κατέχουσι σήμερον, ἄνευ μέντοι τῶν ἐφ' οἷς ἐδόθησαν αὐτοῖς διαγνώσεις παρὰ τῶν κατὰ χώραν ἀναγραφέων τὸ δημόσιον δικαιοῦσαι, ὡς εἴρηται, ὀφείλει ἀρκεῖν ἡ παροῦσα χρυσόβουλλος γραφὴ τῆς βασιλείας μου, καὶ ἀντὶ δωρεᾶς, καὶ ἀντὶ πράσεως, καὶ ἀντὶ ἑτέρου παντὸς δικαιώματος, κἂν οἱονδηποτοῦν σεκρέτον ἐπ' αὐτῷ δικαιοῖτο. οὐδὲ ἀναγκασθήσονται αἱ μοναὶ ἐφ' οἷς κατέχουσιν ἀκινήτοις προκομίζειν ἕτερα παλαιγενῆ προσόντα αὐτοῖς δικαιώματα· ἀλλὰ τῇ παρούσῃ χρυσοβούλλῳ γραφῇ τῆς βασιλείας μου ἀντὶ παντὸς δικαιώματος χρώμεναι ἀρκεσθήσονται ταύτῃ καὶ μόνῃ ὀφειλούσῃ ἀρκεῖν αὐτοῖς, ὡς προεγράφη, καὶ ἀντὶ δωρεᾶς, καὶ ἀντὶ παραδόσεως, καὶ ἀντὶ παντὸς ἑτέρου δικαιώματος. εἰ δ' ἴσως καιροῦ καλοῦντος θελήσει C οἱονδηποτοῦν μοναστήριον χρήσασθαι καὶ τοῖς προσοῦσιν αὐτῷ δικαιώμασιν ὑφ' ἑαυτοῦ ταῦτα προκομίζον, παρ' οὐδήτινος πρὸς τοῦτο οὐ κωλυθήσεται. ἀναγκαστικῶς γὰρ τοῦτο οὐ ποιήσει, εἰ δὲ οἰκείῳ θελήματι αὐτὸ αἱρεθήσεται, οὐδεὶς ὁ ἐμποδίζων ἔσεται. οὐ μόνον δὲ ἐπὶ τῇ δικαιώσει τῆς γῆς συμβαλεῖται τοῖς μοναστηρίοις ἡ παροῦσα χρυσόβουλλος γραφὴ, ἀλλὰ καὶ ἐπὶ τοῖς παροικίοις τοῖς νῦν παρ' αὐτῶν κατεχομένοις, καὶ τοῖς αὐτουργίοις, φόροις, πανηγύρεσι, διαβατοῖς, λίμναις, ποταμοῖς, θαλασσίοις δικαίοις, καὶ ἑτέρῳ οἱῳδήτινι δικαίῳ παρ' αὐτῶν κατεχομένῳ, ἄνευ μέντοι τῶν ἐφ' οἷς ἔλαβον διαγνώσεις ὑπὸ τοῦ δημοσίου, ὡς πολλάκις ἀνώτερον διείληπται. εἰ δὲ προσετάχθησαν D λογισθῆναι ἢ ἐκκοπῆναί τινα τελέσματα, ἢ πάκτα, ἢ στρατεῖαι, ἢ δημόσια, ἢ λιβελλικὰ, ἢ ἕτερόν τι τῷ δημοσίῳ ἀνῆκον, καὶ οὐ γέγονε τὸ λογισμένον, ἢ ἕτερόν τι ἔχει ἐπιλήψιμον τὸ δικαίωμα, οὐδέν τι ἐκ τούτου βλαβήσεται τὰ μοναστήρια. τί δὲ χρὴ τὰ πολλὰ καταλέγειν, καὶ ἀπαριθμεῖσθαι καὶ χάριν παραδείγματος ἀπογράφεσθαι; τὴν πολυλογίαν ἡ βασιλεία μου παρατρέχουσα, ἵνα μή τις τῶν περὶ ταῦτα δεινῶν τινων μὲν ἐκφωνηθέντων ἐκ τῶν τὰ ἀκίνητα κατασειόντων αἰτιῶν, τινῶν δὲ παρασιωπηθέντων, ἐπιδράττοιτο τῶν ῥημάτων, καὶ κατὰ Ἰουδαίους τῷ γράμματι ἐπικάθηται, καὶ ἐπιχειρῇ ἐπὶ τοῖς μὴ ἐκφωνηθεῖσι διασείειν καὶ παρενοχλεῖν ταῖς μοναῖς, καθολικῷ λόγῳ καὶ περιεκτικῷ E τοῦτο ἡ βασιλεία μου βούλεται, καὶ διορίζεται, καὶ ὡς ἂν πᾶν ὅπερ ἐπὶ τοῖς σήμερον παρὰ τῶν μοναστηρίων κατεχομένοις ἢ ἐπ' αὐταῖς ταῖς καθέδραις τῶν μοναστηρίων νοηθῇ ὑπὲρ τοῦ δημοσίου, παρά τινος ἢ νῦν ἢ ὁπότε δήποτε αὐτὸ τοῦτο δεδωρημένον λογίζεσθαι τῇ μονῇ. καὶ ἅμα τις τοῦτο διανοήσεται καὶ φθέγξεται, καὶ εὐθὺς ἀντιλήψεται αὐτοῦ ἡ μονὴ, ὡς σήμερον δεδωρημένου ταύτῃ παρὰ τῆς βασιλείας μου. ὅσον γὰρ ἐφ' οἷς κατέχουσι νῦν ἀκινήτοις, περὶ ὧν ὑπὲρ τοῦ δημοσίου οὐκ ἔλαβον τὰ προγραφέντα, μοναστήρια, δημόσιον βούλεται ἡ βασιλεία μου λογίζεσθαι ἓν ἕκαστον τούτων κατὰ μόνον τὸ ἔχειν τὸ ἀδιάσειστον, καὶ μὴ ὑπ' οὐδενὸς ἀνακρίνεσθαι· καὶ ὃν τρόπον ὁ δημόσιος οὐ πολυπραγμονεῖται F ὑφ' ἑαυτοῦ, οὕτως οὐδὲ τὰ ἱερὰ σεμνεῖα ἢ ἡσυχαστήρια, μοναστήριά τε καὶ λοιπὰ ὑπό τινος τῶν τοῦ δημοσίου φροντιστῶν ἀνακριθήσεται· κἂν τι εὔλογον δικαιολογεῖταί τις, κἂν παράλογον, κἂν ὁποῖον ἂν εἴη τὸ λαληθησόμενον. πᾶς γὰρ ὁ τοιοῦτόν τι ἐπιχειρήσων ποιῆσαι, ἀνίσχυρα δόξει λέγων καὶ τῷ ὄντι ἀβέβαια, καὶ ἀσυμπαθῶς ἡ τούτου περιουσία τῷ δημοσίῳ καθοσιωθήσεται, καὶ αὐτὸς ἄτιμος ἔσεται παντάπασιν, ὡς ἀντιπίπτων βασιλεῖ εὐσεβῶς τε καὶ φιλοθέως τὸ ἀνενόχλητον ταῖς μοναῖς ἀποχαριζομένῳ ἐπὶ τοῖς δεδωρημένοις αὐταῖς διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, καὶ δι' αὐτοῦ βραχύ τι δῶρον προσ-

ἄγοντι

ὡς ἀντιπίπτων βασιλεῖ εὐσεβῶς τε καὶ φιλοθέως τὸ ἀνενόχλητον ταῖς μοναῖς ἀποχαριζομένῳ ἐπὶ τοῖς δεδωρημένοις αὐταῖς διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, καὶ δι᾽ αὐτοῦ βραχύ τι δῶρον προσάγοντι τῷ Θεῷ, ἀνθ᾽ ὧν μυρίων εὐεργεσιῶν παρὰ τῆς πλουσιοπαρόχου δεξιᾶς αὐτοῦ παραπήλαυσεν. οὐκ ἐξέσται οὖν οὔτε ἀναγραφεῖ, οὔτε προκαθημένῳ οἱουδήτινος σεκρέτου, ἢ ἐξισωτῇ, ἢ ἐνεργοῦντι ἑτέρῳ τινὶ προσώπῳ τοῦ δημοσίου, τὰ τῶν μοναστηρίων ἀκίνητα ἀναγράφεσθαι, ἢ καπνολογεῖν, ἢ ἀναζητεῖν μέτρον γῆς ἢ παροίκων ποσότητα, ἢ γῆς τὸ ὑπέρπλεον, ἢ τὸ ἀδίκως κατεχόμενον ἐξετάζειν· ἀλλ᾽ ἐπεὶ ἐκ προστάξεως τῆς βασιλείας μου μέλλουσι γενέσθαι πρακτικὰ τῶν σήμερον κατεχομένων παρὰ τῶν μονῶν ἀκινήτων καὶ παροίκων, τότε μόνον ὀχληθήσεται ἡ μονὴ, καὶ τὸ ἀδίκως κατεχόμενον ἀφαιρεθήσεται, ὅτε ὁ ἀναγραφεὺς δείκνυσι, ὡς ἐπέκεινα τοῦ περιορισμοῦ κατέχει ἡ μονὴ τόπια ἢ παροίκους ἢ ἕτερον δίκαιον. οὐδὲ γὰρ ἐπ᾽ ἀδείας ἕξουσιν αἱ μοναὶ τὰ σήμερον παρ᾽ αὐτῶν κατεχόμενα, εἴτε πάροικοι εἶεν, εἴτε τόποι, εἴτε αὐτέργια, ἐπαύξειν, καὶ εἰς πληθυσμὸν ἄγειν πλείονα. πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέσται πράκτορι ἢ ἀναγραφεῖ οἱῳδήτινι ἢ καπνικὸν, ἢ μετρητίκιον, ἢ ἕτερόν τι ἀναγραφικὸν ἢ πρακτορικὸν φορολόγημα ἀπὸ τῶν ὑποκειμένων ταῖς δηλωθείσαις μοναῖς ἀκινήτων ἀναλαμβάνεσθαι. εἰδέναι γὰρ ὀφείλει ὁ τοῦτο τολμήσων, ὡς οὐ μόνον ἐπὶ τὸ πολλαπλοῦν ἀντιστρέψει ὅπερ ἂν ἀναλάβηται, ἀλλὰ καὶ τελεία δημεύσει ὑποβληθήσεται, καὶ ἄτιμος ἔσται καὶ ἀπολίτευτος. οὕτω γὰρ θέλει ἡ βασιλεία μου τὰ τῶν δηλωθέντων μονῶν ἀκίνητα πάντα λογίζεσθαι ὑφ᾽ ἑκάστου τῶν πρακτόρων, ὡς μὴ ὄντα ὑπὸ τὴν ἑαυτοῦ ἀρχὴν καὶ ἐξουσίαν. καὶ ὃν τρόπον οἱ πράκτορες ἐπὶ τοῖς μὴ ὑποκειμένοις αὐτοῖς θέμασιν οὐδέν τι δίκαιον ἔχουσιν ἐνεργεῖν, ἢ ὅλως ποιεῖν τι ἐπ᾽ αὐτοῖς, οὕτως οὐδὲ ἐπὶ τοῖς τῶν μοναστηρίων ἀκινήτοις οἱ πράκτορες τῶν θεμάτων, ὑφ᾽ οὓς τελοῦσι τὰ τοιαῦτα ἀκίνητα, πράκτορες λογισθήσονται. τὰ μέντοι γενησόμενα πρακτικὰ καὶ οἱ περιορισμοὶ παρ᾽ ὧν ἂν ὁρίσῃ ἡ βασιλεία μου εἰς παράστασιν τῶν σήμερον παρὰ τῶν μοναστηρίων νεμομένων τοῖς προσφόροις σεκρέτοις δι᾽ εἴδησιν ἐγκαταστρωθήσονται. ὀφείλουσι δὲ εἰδέναι πάντα τὰ μοναστήρια, ὡς εἴ τι ἂν ἐξ αὐτῶν εὑρέθη ῥᾳδιουργίαν τινὰ ποιησάμενον, ἐπὶ τοῖς σήμερον παρ᾽ αὐτῶν κατεχομένοις, ἢ συμπαιγνίαν, ἢ δόλον πλημμελησάμενόν τινα, οὐ μόνον τῆς ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὠφελείας οὐκ εὐμοιρήσει τὸ σύνολον, ἀλλὰ καὶ τοῦ προτιμηθέντος αὐτοῦ ἐκπεσεῖται δικαίου διὰ τοῦ προγεγονότος πᾶσι ταῖς δηλωθείσαις μοναῖς ἑτέρου χρυσοβούλλου λόγου τῆς βασιλείας μου. ἐφεξῆς δὲ ἀνεῖλε τὸ τοιοῦτον χρυσόβουλλον καὶ πᾶσαν πρόσταξιν ἐναντιουμένην τούτῳ, γεγονυῖαν δηλονότι ἢ καὶ γενησομένην καὶ διωρίσατο χρᾶσθαι τὰς μονὰς καὶ τοῖς παλαιγενέσιν αὐτῶν δικαιώμασιν. ἐπεὶ δὲ ἐκ προσαγγελίας χαιρεκάκων τινῶν ἀπολύθη κατὰ τὸν Ἰούνιον μῆνα τῆς θ΄. ἰνδικτιῶνος τοῦ ͵ϛχπδ΄. ἔτους πρόσταγμα βασιλικὸν ἀνατρέπον σχεδὸν τὸ τοιοῦτον εὐσεβέστατον καὶ εὐεργετικώτατον χρυσόβουλλον, καὶ διὰ τοῦτο πάντα τὰ μοναστηριακὰ ἀκίνητα ὑπὸ τῶν ἀναγραφέων ἥρπαζον, ἀπελύθη κατὰ τὸν Ἰούλιον μῆνα τῆς δ΄. ἰνδικτιῶνος τοῦ ͵ϛχπθ΄. λύσις προσκυνητὴ τῶν θεοσέπτων κρατίστων καὶ ἁγίων ἡμῶν βασιλέων ἐπὶ ὑπομνήσει τῶν μοναστηρίων, ἐκκόπτουσα τὴν πραιτωρικὴν χρείαν καὶ τὴν κατεπανικὴν, καὶ διοριζομένη ἔχειν τὸ ἐνεργὸν τὰ προγεγονότα χρυσοβούλλου χάριν τοῦ μὴ ἀναγράφεσθαι τὰ τῶν μοναστηρίων ἀκίνητα κατὰ ῥῆμα οὕτω διαλαμβάνουσα. ἡ βασιλεία μου τῆς ἐκ τῶν ὑμετέρων εὐχῶν συνάρσεως χρήζουσα, καὶ ἐν πᾶσι κατ᾽ ἴχνος βαίνειν τοῦ ἐν μακαρίᾳ τῇ λήξει βασιλέως αὐθέντου καὶ πατρὸς αὐτῆς θέλουσα, καὶ τὸ περὶ τοὺς ἀνατεθειμένους ὑμᾶς τῷ θεῷ εὐεργετικὸν ἐκείνου μιμεῖσθαι προῄρηται. ταυτηνὶ καὶ διὰ μιᾶς ταύτης τῆς ἐφ᾽ ὑμῖν ἀγαθοποιΐας, καὶ τῷ βασιλεύσαντι ταύτην

A verſetur, qui piè ac religioſè omnem moleſtiam & vexationem à monaſteriis, in iis quæ ipſis data ſunt, per præſentem Auream-Bullam amoveat, & per ipſam exiguum aliquod donum Deo offerat, pro innumerabilibus beneficiis quæ à munifica ejus dextra accepit. Non licebit ergo, nec publici cenſûs deſcriptori, nec ei qui cuivis ſecreto præeſt, vel exæquatori, vel alicui alii perſonæ, quæ publicum exercet, monaſteriorum immobilia deſcribere, vel focos cenſere, vel inquirere quantus ſit eorum fundus, vel colonorum numerus, vel quod terræ amplius poſſidetur, vel non juſto pretio emptum eſt aut injuſtè detinetur, examinare. B Sed quia juſſu meo Imperiali acta facienda ſunt, eorum nomine, quæ hodie à monaſteriis detinentur, immobilium & colonorum, tunc demum juſtè monaſterium moleſtia afficietur, & quod injuſtè detinet ab eo auferetur, quando publici cenſûs deſcriptor oſtendit, quod ultra definitionem & monaſterium locum occupat, vel colonos, vel ulla alia. Nec enim licentiam habebunt monaſteria augendi & amplificandi ea, quæ ab ipſis hodie poſſidentur, ſive coloni ſint, ſive loci, ſive prædia ruſtica. Veruntamen per ejuſmodi occaſionem non licebit exactori, aut deſcriptori ulli fumarium vel menſorium, aut aliud quodpiam vectigal, quod ad C ipſius officium pertineat, recipere ab immobilibus, quæ ſuprà ſcriptis ſubjacent monaſteriis. Qui enim contra auſus fuerit, ſciat ſe non tantum id quod exegit multiplicatum reſtituturum, ſed & omnium bonorum publicationi cum infamia & civilium munerum incapacitate ſubjectum iri. Sic enim vult mea Majeſtas, jam manifeſtatorum monaſteriorum immobilia omnia haberi ab unoquoque exactore, quaſi non ſubſint ipſius officio vel poteſtati. Et quemadmodum exactores in non ſubjectis ſibi provinciis nihil juris habent, ut in iis agant adminiſtréntve quidquam: ſic nec in immobilibus monaſteriorum exactores provinciarum, quibus eæ ſubſunt, cenſebuntur exactores. Quæ igitur fient acta & finium D deſcriptiones ab eis, quos Majeſtas deſtinaverit ad probationem eorum, quæ à monaſteriis hodie poſſidentur, competentibus ſecretis propter notitiam inſinuabuntur. Scire namque debent omnia monaſteria, ſi quod ex iis deprehenſum fuerit fraudem aliquam vel colluſionem vel dolum in immobilibus quæ hodie ab ipſis poſſidentur feciſſe: non ſolum nihil utilitatis ex hac meæ majeſtatis Aurea Bulla conſequuturum; ſed etiam caſurum jure prædictis omnibus monaſteriis, per aliam prius factam Majeſtatis meæ Auream-Bullam, conceſſo. Deinde autem ſuſtulit hæc Bulla Aurea omnem quoque juſſionem qnæ ei adverſatur, quæ ſcilicet E facta eſt vel fiet: & ſtatuit ut monaſteria ſuis quoque antiquis titulis utantur. Quoniam autem per quorundam alienis malis lætantium inſtigationem, menſe Junio, nona indictione anno 6684. Imp. juſſum editum eſt, quod hanc in primis piam & maximè beneficam Auream Bullam propemodum ſubvertit, & propterea monaſteriorum immobilia à publici cenſûs deſcriptoribus rapiebantur: Julio menſe Indictione 4. anno 6689. edita eſt venerabilis reſolutio divine-colendorum potentiſſimorum & ſanctorum noſtrorum Imp. ſuper monaſteriorum commonitione, quæ omnem uſum Prætorianum & Catepanicum excindit, & ſtatuit, ut F prædictæ bullæ aureæ vim ſuam ſortiantur de non deſcribendis monaſteriorum immobilibus; quæ ad verbum ſic ſe habet: Majeſtas mea veſtrarum precum adjumento indigens, & beatæ memoriæ Imperatoris domini ac ejus patris veſtigiis in omnibus inſiſtere volens; ejus quoque in vos, qui Deo dedicati eſtis beneficentiam immitari conſtituit. Id & per hanc unam in vos beneficentiam, & Deo, qui ipſum Imperatorem fecit, gratificantur, & domini & patris Majeſtatis meæ animæ beatæ, & noſtræ potentiæ profectûs in bonum baſin ac fundamentum ponit; & veſtræ petitioni ſe inclinans, ut vim ſuam habeant, ſintque ſtabiles, firmæ ac immobiles, quæ de veſtris monaſteriorum beneficiis Aureæ tres Bullæ emiſſæ ſunt à ſancta illius majeſtate, decernit, & ut in eodem robore immobiliter permaneant, in quo à principio expoſitæ ſunt, & quæ iis conſequenter proceſſerunt traditionis acta ſecuritatem referant, etiamſi poſt biennium facta fuerint; licet fortaſſe quædam eorum in convenientibus ſecretis priùs poſita non fuêre: iis, quæ ad interpretationem vel ſubverſionem bullarum aurearum potentiæ paticularem vel generalem editæ ſunt, omnimodis juſſionibus, quæ in noſtris monumentis declarantur, quomodocunque emiſſæ fuerint, per præſentem reſolutionem inutilibus invalidiſque redditis, & perinde, ac ſi ne eſſent quidem omnino, reputatis. Ceſſabit autem, & quæ hucuſque veſtris monaſteriorum immobilibus in Thracia & Macedonia ſitis inſultavit Prætoricæ & Catepanicæ circulationis & functionis exactio, ſtuppæque & axungiæ emptio vel exactio, tanquam per hanc præſentem exemptionem exciſæ & radicitùs extirpatæ, & eo redactæ, ut nec amplius ſint nec nominentur; prætoribus & exactoribus ſubordinatis & ſupremis, & iis qui ſtuppæ & axungiæ emptionem vel exactionem ſtatis temporibus exercent, iiſque qui illis miniſtrant, ſic ejuſmodi immobilia prætercurrere debentibus, ut ea, unde fiſcus nihil exigit, in omnibus quæ hoc modo decreta ſunt ipſi, ab initio hodierni diei repetito diurno & deinceps in omne ac perpetuum tempus, & ſine contradictione ſuſcipiuntur, & pro non deſcriptis in publicis actis habentur. Licet autem non deſcripta ſint in actis, alio tamen quodam modo agnita ſunt; & ſic recepta, ſi quis præterea quæ conſtituta ſunt his Aureis Bullis & præſenti Majeſtatis meæ exemptione, fuerit auſus aliquid exequi in quibuſvis poſſeſſionibus immobilibus veſtrorum monaſteriorum, præterquam quod læſæ majeſtatis tenebitur reus (ſicut his Aureis Bullis definitum eſt) ab eminentiſſimo quoque pro tempore Myſtico illatum cuipiam veſtrarum poſſeſſionum damnum ſarcire compelletur. Monaſteriis quoque omnibus, quantum in ipſis eſt, curæ erit, tam iis quæ ſunt intra urbem, quàm quæ extra, ſub terminis iis Aureis Bullis comprehenſis Imperatoris inclyti & piæ memoriæ, domini ac patris Majeſtatis meæ ea peragere, quæ in noſtris commentariis declarata ſunt; niſi velint tali excuſatione privari, eo quod ſemel tantum ea neglexerint. Sed & ſanctiſſimæ Deo magnæ Eccleſiæ Aurea Bulla data eſt potentis noſtri Imperatoris, quæ hæc ad verbum continet; Et illi quidem antiquo & celebri Solomonis ſapientiæ templo pro viribus offerebant omnes: Et huic quoque ſacro & maximo templo, quod eſt ſub nomine Dei ſapientiæ, qui ex Solomone & Davide ſecundum humanitatem derivatur, magnificè & regaliter extructo, cujus illud Solomonis erat præfiguratio, novæ, inquam, Sion, arcæ ſanctificationis, Servatoris noſtri Eccleſiæ, quam ſuper Apoſtolicorum mandatorum petram revera ſtabilem & immobilem Spiritus ſanctus ædificavit, multi diverſa munera obtulerunt, quæ in immobilibus poſſeſſionibus ſpectantur ad Orientem & Occidentem ſitis, & in aliquibus inſulis. Quædam & per emptionem ab eo ſunt requiſita. Horum multa (ne dicam plurima) diverſis ex cauſis ad fiſcum pertinere cenſebantur ab iis, qui ubiq; ſunt, publici cenſus deſcriptoribus aliiſque in ejuſmodi rebus exercitatis.

A Θεῷ χαρίζεται, καὶ τῇ τοῦ αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἁγίᾳ ψυχῇ, καὶ τῷ ἡμετέρῳ καὶ κράτει τῆς εἰς τὸ ἀγαθὸν προκοπῆς ὑποβάθρα καὶ θεμέλιος τίθεται, καὶ ἐπικλινὴς τῇ ὑμῶν γινομένῃ αἰτήσει, τὸ ἐνεργὸν ἔχειν καὶ ἀπαρασάλευτον καὶ ἀμετακίνητον τοὺς ἐπ' εὐεργεσίᾳ τῶν καθ' ὑμᾶς μονῶν ἀπολυθέντας τρεῖς χρυσοβούλλους λόγους παρὰ τῆς ἁγίας ἐκείνου βασιλείας διορίζεται, καὶ ἐπὶ τῆς αὐτῆς ἀμετακινήτως μένειν δυνάμεως, ἐφ' ἧς κατὰ τὴν ἀρχὴν ἐξετέθησαν, καὶ τὰ ἀκολούθως δὲ τούτοις προβάντα τῆς παραδόσεως πρακτικὰ τὸ ἀσφαλὲς ἀποφέρεσθαι, κἂν μετὰ διετίαν γεγόνασι, κἂν ἴσως τινὰ τούτων τοῖς προσφόροις σεκρέτοις καταστρωθῆναι οὐκ ἔφθασαν, B τῶν εἰς ἑρμηνείαν ἢ ἀνατροπὴν τῆς τῶν χρυσοβούλλων δυνάμεως μερικὴν ἢ καθόλου ἀπολυθέντων παντοίων προσταγμάτων, τῶν καὶ ἐν ὑπομνήσει ἡμῶν δηλουμένων, κἂν ὅπως ἄρα καὶ ἀπελύθησαν, τὸ ἄπρακτον καὶ ἀνίσχυρον ἀποφερομένων διὰ τῆς παρούσης λύσεως, καὶ ὥσπερ εἰ μηδὲ ὅλως γεγόνασι λογιζομένων. ἀργήσει δὲ καὶ ἡ μέχρι τοῦ νῦν ἐπεισκωμάσασα τοῖς ὑπὸ τὰς καθ' ὑμᾶς μονὰς ἀκινήτοις, τοῖς κατὰ τὸ θέμα Θρᾳκίας καὶ Μακεδονίας διακειμένοις, ἀπαίτησις τῆς τε πρακτορικῆς καὶ κατεπανικῆς γύρας καὶ χρείας, ἢ καὶ τοῦ στυππείου καὶ C ἀξουγγίου ἐξώνησις ἢ ἀπαίτησις, ὡς διὰ τῆς παρούσης λύσεως ἐκκοπτομένη καὶ ῥιζοτομουμένη, καὶ εἰς ἀνύπαρκτον καὶ ἀνονόμαστον ἀποκαθισταμένη, τῶν πραιτώρων καὶ πρακτόρων καὶ κατεπάνων, καὶ τῶν τὴν ἐξώνησιν ἢ ἀπαίτησιν τοῦ στυππείου καὶ τοῦ ἀξουγγίου κατὰ καιροὺς ποιουμένων, καὶ τῶν ἐξυπηρετούντων αὐτοῖς, οὕτω παρατρέχειν ἅτε καὶ αὐτῶν ἀνεπιζητήτων μελλόντων διατηρεῖσθαι ἀπὸ τοῦ δημοσίου, ἐπὶ πᾶσι τοῖς τοιουτοτρόπως ἐπιγνωσθεῖσιν αὐτῷ ἀπ' ἀρχῆς τῆς σήμερον ἀπαιτουμένης ἐγχρονίας, καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, δεχομένοις ἀναντιρρήτως, καὶ ὡς μηδὲ ἐν δημοσιακοῖς πρακτι- D κοῖς καταγραφεῖσι λογιζομένοις· κἂν μὴ κατεγράφησαν δὲ ἐν πρακτικοῖς, ἄλλως δέ πως ἐγνώσθησαν· δεχομένοις καὶ οὕτω, τοῦ κατατολμήσοντος ἕτερόν τι παρὰ διωρισμένα τοῖς τοιούτοις χρυσοβούλλοις, καὶ τῇ παρούσῃ λύσει τῆς βασιλείας μου, ἐπὶ ταῖς ὑπὸ τὰς καθ' ὑμᾶς μονὰς παντοίαις ἀκινήτοις κτήσεσι διαπράξασθαι, σὺν τῷ καὶ καθοσιώσει ὑποπίπτειν, (καθὼς διὰ τῶν τοιούτων χρυσοβούλλων διωρίσθη,) καὶ, παρὰ τοῦ κατὰ τὴν ἡμέραν μεγαλεπιφανεστάτου Μυστικοῦ, καταναγκαζομένου εἰς τὴν ἐπενεχθεῖσαν τινὶ τῶν ὑφ' ὑμᾶς κτήσεων βλάβην ἀποθεραπεύειν αὐτῇ. μελήσει μέντοι καὶ τῷ μέρει τῶν μονῶν πασῶν, τῶν τε ἐντὸς τῆς μεγαλοπόλεως καὶ ἐκτὸς E ὑπὸ τοὺς ἐμπεριειλημμένους μέντοι ὅρους τοῖς τοιούτοις χρυσοβούλλοις διακειμένων, τοῦ ἐν τοῖς μνημοσύνοις τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἐκπληροῦν ὅσα ἐν τῇ ὑπομνήσει ὑμῶν δεδήλωται, εἰ μὴ βούλονται τῆς τοιαύτης ἐξκουσσείας διαπεσεῖν ἐκ τοῦ ἅπαξ τούτων καταμελῆσαι. Ἀλλὰ καὶ τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἐπορέχθη χρυσόβουλλον τοῦ κραταιοῦ ἡμῶν βασιλέως, ταῦτα κατὰ ῥῆμα διαλαμβάνον· καὶ τῷ παλαιῷ μὲν ἐκείνῳ καὶ περιπύστῳ τῆς τοῦ Σολομῶντος σοφίας ναῷ τὸ κατὰ δύναμιν προσέφερον ξύμπαντες· καὶ τῷ ἱερῷ δὲ τούτῳ καὶ παμμεγίστῳ τεμένει τῷ ἐπ' ὀνόματι τῆς F τοῦ Θεοῦ σοφίας, τοῦ καὶ ἐκ Σολομῶντος κατηγμένου καὶ ἐκ Δαβὶδ κατὰ τὸ ἀνθρώπινον, φιλοτίμως ὄντας ἐνιδρυμένῳ καὶ τῷ ὄντι βασιλικῶς, οὗ κἀκεῖνος ἦν ὁ Σολομώντειος προεκτύπωμα, τῇ νέᾳ λέγω Σιὼν, τῇ τοῦ ἁγιάσματος κιβωτῷ, τῇ τοῦ Σωτῆρος ἡμῶν ἐκκλησίᾳ, ἣν τῇ πέτρᾳ ἐπῳκοδόμησε τῶν ἀποστολικῶν διατάξεων τὸ πνεῦμα τὸ ἅγιον ὄντως ἀῤῥαγῆ καὶ ἀκλόνητον, διάφορα πολλοὶ προσήγαγον ἀναθέματα, ἐν ἀκινήτοις θεωρούμενα κτήσεσι κατά τε τὴν ἕω διακειμέναις καὶ πρὸς δυσμὰς, ἀλλὰ δὴ καὶ κατὰ τῶν νήσων τινάς. εἰσὶ δ' ἃ προσῆλθον τούτῳ καὶ κατ' ἐξώνησιν. τούτων πολλὰ (ἵνα μὴ λέγω τὰ πλείω) ἐκ διαφόρων αἰτιαμάτων τῷ δημοσίῳ προσαρμόττειν διεγινώσκοντο παρά τε τῶν ἑκασταχοῦ ἀναγραφέων καὶ τῶν ἄλλων περὶ ταῦτα δεινῶν

ἐπεὶ

A ἐπεὶ δὲ ταῖς ἀκοαῖς ἐνηχήθη τῆς βασιλείας μου ἐξ ἀναφορᾶς τῶν κατὰ τὸν μέγιστον τοῦτον καὶ θεῖον οἰκονομούντων ναὸν, αὐτίκα μηδὲν μελλήσασα τὸ ἡμέτερον κράτος τὸν παρόντα χρυσόβουλλον λόγον τῷ πανσέπτῳ τούτῳ σηκῷ ἐπεβράβευσε, δι' οὗ καθαρῶς αὐτῷ δωρεῖταί τε καὶ ἀποχαρίζεται ἡ ἡμετέρα εὐσέβεια ἅπαντα τὰ τῷ δημοσίῳ ὁπωσδήποτε διαφέροντα, ἀπό τε τῶν ἐν τῇ ἀνατολῇ καὶ τῇ δύσει καὶ ταῖς ὅλαις νήσοις κατεχομένων παρ' αὐτοῖς παντοίων ἀκινήτων ἐπικτήσεων, ὡς δῶρον ταύτης καὶ ἱερόν τι ἀνάθημα, κἂν πάροικοι ὦσι, κἂν γῆ, ἀρόσιμος τυχὸν ἢ λιβαδιαία ἢ ὑπάμπελος ἢ κηπεύσιμος, κἂν αὐτούργια οἱαδήτινα, κἂν ἔνοικοι πραγματευταὶ ἢ ἐργαστηριακοί, B κἂν κάστρα ἔν τισι τούτων ᾠκοδομήθησαν, κἂν ἕτερόν τι ὁποιονδηποτοῦν τῷ δημοσίῳ διαφέρον ἐν τούτοις ἐφεύρηται. ἐπανορθοῖ δὲ ἡ βασιλεία μου διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου καὶ ὅσα που χωλεύοντα εὑρίσκονται ἐπὶ τοῖς προσοῦσι τῇ διαληφθείσῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ δικαιώμασιν, ἐν πᾶσι τοῖς τοιούτοις ἀκινήτοις, ὁποῖα ἂν καὶ ὦσι, καὶ πάντα τὰ προσόντα αὐτῇ κατά τε δύσιν καὶ ἀνατολὴν καὶ τὰς ὅλας νήσους, ὡς νῦν παρὰ τῆς βασιλείας μου δωρούμενα καὶ παραδιδόμενα ταύτῃ λογίζεσθαι, διὰ τῆς παρούσης εὐσεβοῦς χρυσοβούλλου γραφῆς ἡ γαληνότης ἡμῶν θεσπίζει καὶ διορίζεται. C διὰ γὰρ τοῦτο καὶ περιορισμοὺς προβῆναι λεπτομερεῖς παντοίων ἀκινήτων δηλωτικοὺς καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων τε καὶ ἐνοίκων, ἔτι δὲ καὶ τῶν ἐν τούτοις εὑρισκομένων παντοίων αὐτουργίων, παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, καὶ ταῖς πιστωθῆναι ὑπογραφαῖς, καὶ τῷ μέρει τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐπιδοθῆναι εἰς ἀσφάλειαν αἰωνίζουσαν τὸ κράτος ἡμῶν ἐγκελεύεται, ὡς ἂν ὦσι δῆλα καὶ ἀναμφίλεκτα ξύμπαντα, καὶ μηδέποτε τῶν καιρῶν ὑπ' ἀνάκρισιν ἄγοιντο παρ' οὑτινοσοῦν τῶν κατὰ καιροὺς ἀναγραφέων ἢ ἐπόπτων ἢ ἐξισωτῶν καὶ τῶν ἄλλως ἀνερευνώντων τὰ δημοσιακὰ, τῶν δηλωθέντων περιορισμῶν ἐγκαταστρωθῆναι ὀφειλόντων τοῖς προσφόροις D σεκρέτοις δι' εἴδησιν. οὐδὲ γὰρ ἐξέσται τινὶ τούτων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐν τοῖς τοιούτοις πᾶσιν ἀκινήτοις εἰσέρχεσθαι ὁπωσδήποτε, ἢ ταῦθ' ὑπὸ ζήτησιν ἄγειν καὶ ἐξέτασιν οἱανδήτινα. ἀλλ' οὐδὲ δικαιώματα ἐπὶ τούτοις ἐπιζητητέον, οὐ καπνικὸν ἀναλαμβάνεσθαι, οὐ μετρητικιὸν, οὐχ ἕτερόν τι οἱονδηποτοῦν φορολόγημα εἰς κέρδος τοῖς ἀναγραφεῦσιν ἐπινοούμενον, ἀποτρεπομένοις τῇ ἐμφανείᾳ καὶ μόνῃ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, καὶ τῶν προβησομένων περιορισμῶν, ὡς διείληπται. πᾶσα δὲ πρόσταξις γεγονυῖα, εἴτε περὶ προαφορισμένων, εἴτε περὶ κλασμάτων, εἴτε περὶ συμπαθειῶν, εἴτε περὶ τῶν ἀπὸ ταπεινῶν E στίχων, εἴτε περὶ τῶν ὑποκειμένων ταῖς χαραγαῖς, εἴτε περὶ στρατειῶν συμπεπαθημένων, κἂν μὴ ἀντισήκωσις τούτων ἐγένετο, εἴτε περὶ τοῦ τὰς ἀπόσοις μὴ στέργειν δωρεὰς, εἴτε περὶ οἱουδήτινος ἑτέρου κεφαλαίου ἐξεφωνήθη, καὶ κατά τι ἐναντιοῦται τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, ὅσον ἐπ' αὐτῷ ἀποίσεται τὸ ἀνίσχυρον, κἂν τὸ μὴ ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ, εἰ μὴ ῥητῶς ἐκφωνηθῇ. ἐν εἰδήσει γὰρ πασῶν τῶν γεγενημένων προστάξεων ἡ ἡμετέρα Θεοσέβεια, τὸ κατὰ μέρος ταύτας ἀπαριθμήσασθαι παρέλκον ἡγήσατο, καὶ ὡς ἀδιαπτώτως ἀριθμηθείσας καὶ ἀνατραπείσας, ὅσον ἐπὶ τῷ παρόντι χρυσοβούλλῳ F λόγῳ, λογίζεσθαι ταύτας θεσπίζει ἡ βασιλεία μου. ἀλλ' οὐδὲ γενησομένη οἱαδήτις ἑτέρα πρόσταξις τῆς παρούσης εὐσεβοῦς κατισχύσει γραφῆς· ἀλλὰ κἀκείνη ἐφ' οἷς ἐναντιοῦται τῷ παρόντι τῆς βασιλείας μου ὁρισμῷ, ὅσον ἐπ' αὐτῷ τὸ ἀνίσχυρον ἀποίσεται καὶ ἄκυρον, κἂν τὸ μὴ ἀνατρέπεσθαι ἔχῃ ἐγκείμενον ἐν αὐτῇ, (εἰ μὴ ῥητῶς ἐκφωνηθῇ) κἂν ἑτέραν διάστιξιν οἱανδήτινα. ἵνα οὖν εἴη δῆλα τὰ προσόντα τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἀκίνητα ἅπαντα, ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ ῥητῶς ἐνεγράφησαν, ἃ ἔχουσιν οὕτως πρὸς ὄνομα·

A Quoniam autem hoc ad Majeſtatis meæ aures frequenter delatum eſt à relatione eorum qui hujus magni & ſacri templi ſunt œconomi, ſtatim nihil cunctata Majeſtas mea hanc præſentem definitionem Aurea-Bullâ munitam ſanctiſſimo huic templo elargita eſt; per quam ei purè donat & concedit noſtra pietas omnia, quæ ad fiſcum ſeu publicum quomodocunque pertinent, ex iis, quæ in Oriente & Occidente & in omnibus inſulis ab illis poſſidentur, omnifariorum immobilium poſſeſſionibus, tanquam donum ejus & ſacram aliquam oblationem, ſive coloni ſint, ſive terra, arabilis ſcilicet vel pratenſis, vel conſita vitibus, vel hortenſis, vel cujuſmodicunque prædia, B ſive inquilini negotiatores vel artifices, & ſi caſtra in aliquibus eorum extructa ſint, vel aliquid aliud, quod ad publicum utique pertinet, in iis inventum fuerit. Per præſentem autem hanc & piam definitionem Aurea-Bulla munitam Majeſtas mea corrigit quæcunque claudicare inveniuntur in iis, quæ dictæ magnæ Dei Eccleſiæ adſunt, juribus ac titulis, in omnibus ejuſmodi immobilibus, quæcunque ea fuerint; & omnia quæ illis adſunt, in Oriente & Occidente, & in omnibus inſulis, ut nunc à Majeſtate mea data & ei conceſſa putentur, per hoc ſcriptum præſens pi- C umque Aurea-Bullam munitum ſerenitas noſtra jubet ſtatuique. Ob eam enim cauſam & exactas procedere deſcriptiones, quæ declarent cujuſque generis immobilia, & qui eis præſunt colonos & inquilinos, nec non omnis generis prædia ruſtica in eis inventa, à locorum deſcriptoribus, eorumque ſubſcriptionibus confirmari, & in perpetuam ſecuritatem ſanctiſſimæ magnæ Eccleſiæ tradi jubet noſtra Majeſtas, ut omnia manifeſta & extra controverſiam poſita ſint, nec ullo tempore in diſquitionem revocentur à deſcriptorum quoquam, vel inſpectorum, vel peræquatorum, & eorum qui aliter fiſcalia perſcrutantur, declaratis de- D ſcriptionibus in futuram rei memoriam competentibus ſecretis inſinuandis. Neque enim cuiquam eorum ullo modo ingredi hujuſmodi immobilia, aut ea in controverſiam deducere & diſquiſitionem quamcunque unquam licebit. Sed nec de juribus (Eccleſiæ) in his (dictis poſſeſſionibus) debent inquirere, nec tributum fumarium nec menſuraticum recipere, nec vectigal aliud quodcunque, in lucrum deſcriptorum excogitatum, qui ad ſolum aſpectum præſentis definitionis meæ Majeſtatis Aurea-Bulla munitæ, & deſcriptionum præcedentium, ut conſtitutum eſt, prohibentur. Omnis autem quæ facta eſt juſſio, ſive de prius alio deputatis, ſive de fragmentis, ſive de commiſerationibus, ſive E de iis quæ ab humilibus ordinibus, ſive de iis quæ inciſionibus ſubjecta, ſive de militiis affectatis, licèt compenſatio facta non ſit, ſive de non acquieſcendo factis ſine quantitate donationibus, ſive de quacunque alia re edita eſt juſſio, & ulla in re repugnet præſenti Majeſtatis meæ definitioni Aurea-Bulla munitæ, irrita erit & invalida: etſi, ne reſcindatur, in ea expreſſum ſit (niſi nominatim pronunciatum fuerit.) Omnium enim juſſionum, quæ factæ ſunt, notitiam habens mea pietas, eas ſigillatim enumerare ſupervacuum exiſtimavit, & ut expreſſim enumeratas & everſas, quod ad hanc Aureæ-Bullæ defini- F tionem attinet, cenſeri conſtituit Majeſtas mea. Sed nec ulla alia, quæ in poſterum fiet juſſio, huic piæ ſcripturæ prævalebit: quinimo & illa, quatenus præſenti meæ majeſtatis definitioni adverſatur, irrita fiet, nullarumque virium, licet, ne ſubvertatur, appoſita ſit clauſula (niſi nominatim pronunciatum ſit) aut quævis alia diſtinctio. Ut igitur manifeſta ſint, quæ adſunt ſanctiſſimæ Dei magni Eccleſiæ, immobilia omnia, in præſenti definitione Aurea-Bulla munita apertè inſcripta ſunt, quæ ad verbum ſic ſe habent:

In Thraciæ & Macedoniæ provincia illa & illa, & deinceps enumerat omnia immobilia. Poſt horum enumerationem dicit; Judæi Strobiliotæ ubicunque inventi, & excuſatio navium capacitatis xxx. millium. In his omnibus ſancit Imperialis mea poteſtas ſanctiſſimam magnam Eccleſiam & omnem ejus partem habere jus ſuum inviolatum omnino & inconcuſſum; quum exactiores fieri debebunt terminorum definitiones à locorum deſcriptoribus ut ſæpe dictum eſt: verùm eo prætextu non licebit prædictis deſcriptoribus tributum fumarium vel menſuraticum exigere, aut neceſſariorum dationem, ullamve exactionem facere à quibuſcunq; immobilibus ejus: ſed abſque ulla collatione & petitione prædictas finium deſcriptiones conficient. Quod ſi quis auſus fuerit violare quidquam eorum, quæ præſenti Aureæ-Bullæ oratione Majeſtatis meæ definiuntur, præter Imperialem indignationem in periculum veniet ſubeundi pœnam aureorum triginta librarum, quæ ſine commiſeratione rerum privatarum ſecreto ex conventione ſanctiſſimæ magnæ Eccleſiæ ab illo exigentur: quippe cum firma ſit ac munita præſens Aureæ-Bullæ oratio facta menſe Aug. prima indictione an. *6661.* cui noſtrum pietate præcellens ac à Deo deſignatum ſubſcripſit imperium. Præterea autem & alia Bulla Aurea ejuſdem potentis ſanctique noſtri Imperatoris, menſe Febr. Indict. 11. an. *6656.* emiſſa eſt, quæ dicitur medicator, utpote quæ titulis & juribus omnium ubique Eccleſiarum, quæ forte claudicabant Epiſcopatuum ſcilicet & metropolium & ipſius magnæ Eccleſiæ, medeatur, quæ etiam ad verbum ſic tractat; Qui poſt Moſen fuit electi illius populi Imperator Jeſus, Hierichuntis feſtinans munimenta diruere, Sacerdotibus juſſit in circuitu tuba canere, & ſic murorum propugnacula mirabiliter dejecit: Majeſtati autem meæ, quæ novo à Deo electo populo præeſt, poſt illum regem, Moſem alium populi ſervatorem ac ducem, inclytum dico Majeſtatis meæ dominum ac genitorem, veluti quædam Hierichuntina mœnia communis Chriſtianorum inimici propugnacula (Occidentalis dico draconis, qui in Sicilia tyrannidem exercet, & illinc adverſus Romanum Imperium latenter prorepit) diruere properanti, quibuſdam quaſi ſpiritualibus tubis, Antiſtitum, Deum nobis quotidie placantium, precibus, & ad illum diruendum conferentibus, opus eſt. Sed & ipſe divinus Moſes, quando cum Amalech prælium commiſit Sacerdotibus utrinque inixus, ſic eum fugavit & vicit. Sicut ille igitur etiam & Majeſtas mea ſacro Antiſtitum ſuſtentaculo indigens ad aciem adverſus novum hunc Amalech propoſitam & veluti quandam lucis columnam novum hunc Iſraël præcedentem, & ejus greſſus dirigentem, preces eorum habere volens, hanc præſentem Bullam auream, & omnium Eccleſiarum matri, novæ Sion, Dei ſapientiæ habitaculo, & iis, qui ſunt in omnibus inſulis & in Oriente & Occidente, antiſtitibus donavit, eorum pro Majeſtate mea preces magis confirmans. Rectè enim novit mea Majeſtas, quod rex non ſervatur per multam potentiam, & quod Gigas non ſervabitur in multitudine virtutis ſuæ: mendax autem equus ad ſalutem, ut cum divino propheta & Pſalmographo & Dei patre loquar. Volens enim, ut firmitas & ſtabilitas Eccleſiæ, quæ omnibus præeſt, omnino ſervetur, & omnibus dictis Antiſtitibus ſanctarum quæ ubicunque ſunt Eccleſiarum, & ſecuritatem titulorum ac jurum, quæ illis adſunt, in ipſorum immobilium detentione, firmius conſtituens; & præterea corrigens ſi quid in eorum juribus claudicet, & à ſummo exactóque jure diſtet; & non ſolum hoc, ſed & ſi quod jus conſequi

A ἐν τῷ θέματι Θρακίας καὶ Μακεδονίας τὸ δεῖνα καὶ δεῖνα, καὶ ἐφεξῆς καταλέγει τὰ ἀκίνητα πάντα. καὶ μετὰ τὴν τούτων ἀπαρίθμησιν φησιν, οἱ πανταχοῦ διευρισκόμενοι Στροβιλιῶται Ἰουδαῖοι, καὶ ἐξκουσεία πλοίων χωρήσεως χιλιάδων τριάκοντα. ἐπὶ τούτοις πᾶσι τὸ ἀπαρεγκλόνητον ἔχειν καὶ ἀδιάσειστον τὴν μεγάλην ἐκκλησίαν καὶ τὸ μέρος ἅπαν αὐτῆς θεσπίζει τὸ κράτος ἡμῶν, περιορισμῶν ὀφειλόντων προβῆναι λεπτομερῶν παρὰ τῶν κατὰ τόπους ἀναγραφέων, ὡς πολλάκις διείληπται· πλὴν τῇ τοιαύτῃ προφάσει οὐκ ἐξέσται τοῖς δηλωθεῖσιν ἀναγραφεῦσιν ἢ καπνικὸν ἀπαιτῆσαι ἢ μετρητικιὸν, ἢ χρειῶν δόσιν, ἢ ἑτέραν B ὁποιανδήτινα εἰσπραξιν ἀπὸ τῶν ὁπουδήποτε ἀκινήτων αὐτῆς· ἀλλ' ἄνευ τῆς οἱασοῦν συνεισφορᾶς τε καὶ ἀπαιτήσεως τοὺς δηλωθέντας περιορισμοὺς συντελέσουσι· τοῦ κατατολμήσοντος ἀθετῆσαί τι τῶν διωρισμένων τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, πρὸς τῷ τὴν βασιλικὴν ὑποστήσεσθαι ἀγανάκτησιν, ὑποστῆναι ὑφορωμένου καὶ δόσιν προστίμου λιτρῶν ὑπερπύρων τριάκοντα, ἀπαιτηθησομένων ἀσυμπαθῶς ἐξ αὐτοῦ παρὰ τοῦ σεκρέτου τῶν οἰκείων ἐκ προσελεύσεως τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ὡς βεβαίου καὶ ἀσφαλοῦς τοῦ παρόντος χρυσοβούλλου λόγου τυγχάνοντος γεγενημένου κατὰ τὸν Αὐγουστον μῆνα τῆς α'. ἰνδικτιῶνος τοῦ ͵ϛχξα'. ἔτους, ἐν ᾧ καὶ ἡμέτερον C εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. προσέτι τούτοις ἀπελύθη καὶ ἕτερος χρυσόβουλλος λόγος τοῦ αὐτοῦ κραταιοῦ ἁγίου ἡμῶν βασιλέως κατὰ μῆνα Φεβρουάριον ἰνδικτιῶνος ια'. τοῦ ͵ϛχνϛ'. ἔτους, ὁ καὶ ἰατὴρ λεγόμενος, ὡς ἰώμενος τὰ χωλεύοντα ἴσως δικαιώματα τῶν ἁπανταχοῦ ἐκκλησιῶν, ἐπισκοπῶν δηλονότι καὶ μητροπόλεων, καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας, ὃς καὶ κατὰ ῥῆμα οὑτωσὶ διαλαμβάνει. ὁ μὲν μετὰ Μωϋσέα τοῦ ἐκλεκτοῦ λαοῦ ἐκείνου στρατηγὸς Ἰησοῦς τὰ Ἱεριχούντεια καθελεῖν ἐπειγόμενος ὀχυρώματα, τοῖς ἱερεῦσι κύκλῳ σαλπίζειν ἐκέλευε, καὶ οὕτως παραδόξως τὰς τῶν τειχῶν ἐπάλξεις κατέρριπτε· D τῇ δὲ τοῦ νέου τοῦ Θεοῦ ἐκλεκτοῦ καθηγουμένῃ τούτου λαοῦ βασιλείᾳ μου, μετὰ τὸν ἐν βασιλεῦσιν ἐκεῖνον ἄλλον Μωϋσέα τοῦ λαοῦ σωτῆρα καὶ ὁδηγὸν, τὸν ἀοίδιμον λέγω αὐθέντην τῆς βασιλείας μου καὶ γεννήτορα, ὥσπερ τινα τείχη καθελεῖν ἐπειγομένῃ Ἱεριχούντεια, τὰς τοῦ κοινοῦ τῶν Χριστιανῶν ἐχθροῦ ὀχυρώσεις (τοῦ δυτικοῦ λέγω δράκοντος, τοῦ τῆς Σικελικῆς κατατυραννοῦντος γῆς, κἀκεῖθεν κατὰ τῆς τῶν Ῥωμαίων ἐπικρατείας λαθραίως ἑρπύσαντος) ἀναλόγως οἷα πνευματικάς τινας σάλπιγγας, τὰς τῶν τὸν Θεὸν ἐξιλεουμένων καθ' ἑκάστην ὑπὲρ ἡμῶν ἀρχιερέων εὐχὰς, πρὸς ἐκείνου καθαίρεσιν συνεργούσας, ἐδέησεν. ἀλλὰ καὶ αὐτὸς E ὁ Θεόπτης Μωϋσῆς ὁπηνίκα τῷ Ἀμαλὴκ συνεκρότει μάχην, ἑκατέρωθεν στηριζόμενος, οὕτω τοῦτον κατετροποῦτο καὶ ὑπερίχυε, κατ' ἐκεῖνον οὖν καὶ ἡ βασιλεία μου τοῦ ἀρχιερατικοῦ δεομένη ὑποστηρίγματος εἰς τὴν κατὰ τοῦ νέου τούτου Ἀμαλὴκ προκειμένην ἀντιπαράταξιν, καὶ ὥσπερ τινα στῦλον φωτὸς τοῦ νέου Ἰσραὴλ προηγούμενον, καὶ τὰ τούτου κατευθύνοντα διαβήματα, τὰς τούτων ἔχειν εὐχὰς ἐθέλουσα, τὸν παρόντα χρυσόβουλλον λόγον τῇ μητρὶ πασῶν τῶν ἐκκλησιῶν, τῇ νέᾳ Σιὼν, τῷ τῆς τοῦ Θεοῦ σοφίας ἐνδιαιτήματι, καὶ τοῖς κατὰ τὰς νήσους πάσας καὶ τὴν ἀνατολὴν καὶ τὴν δύσιν ἐβράβευσε, F τὰς ὑπὲρ τῆς βασιλείας μου τούτων εὐχὰς ἐπὶ πλέον ἀναρρωννύουσα. ἀκριβῶς γὰρ οἶδεν ἡ βασιλεία μου, ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ ὡς γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς δὲ ἵππος εἰς σωτηρίαν, κατὰ τὸν θεῖον φάναι προφήτην καὶ ψαλμογράφον καὶ θεοπάτορα. τοιγάρτοι καὶ τὸ ἀπαρεγκλόνητον πάντη περιφυλάττεσθαι, τῇ τε πασῶν προκαθημένῃ ἐκκλησιῶν, καὶ τοῖς μνημονευθεῖσι πᾶσιν ἀρχιερεῦσι, τῶν ὁπουδήποτε ἁγίων ἐκκλησιῶν, καὶ τὸ ἀσφαλὲς τῶν προσόντων ταύταις δικαιωμάτων ἐπὶ τῇ κατοχῇ τῶν ἀκινήτων αὐτῶν βεβαιότερον καθιστῶσα· προσεπανορθοῦσα δὲ καὶ, εἴ τι που χωλεῦον ἐστὶν ἐν τοῖς αὐτῶν δικαιώμασι, καὶ τῆς ἀκριβείας λειπόμενον, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ εἴ τι ὀφεῖλον ἐπανα-

λυθῆσαι

λευθῆσαι δικαίωμα πρὸς τὴν ἀσφαλῆ τῶν τοιούτων ἀκινήτων δεσποτείαν, κατοχήν τε καὶ κυριότητα γενέσθαι ἴσως οὐκ ἔφθασεν· αὐτὸν δὴ τὸν παρόντα χρυσόβουλλον λόγον ἰατρεῖον ἡ βασιλεία μου τούτου δὴ τοῦ ἐλλείποντος αὐτοῖς ἐπιδέδωκεν, ὃς ἄρτιον καὶ ὁλομελὲς δεικνύωτα τὸ ἐπὶ τούτοις δίκαιον, καὶ εἰς τὸ παντελὲς ἀδιάσειστον δι᾽ οὗ βεβαιοῖ μὲν, καὶ ἀσφαλέστερον τίθησι, πᾶν προσὸν ταῖς κατ᾽ αὐτοὺς ἁγιωτάταις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ αὐτῇ τῇ τούτων προκαθημένῃ, δικαίωμα ἐπὶ τοῖς αὐτῶν ἀκινήτοις, ὅποι ἂν καὶ καθέστηκε, κἂν ὁπουδήποτε ταῦτα διάκεινται. καὶ τὸ καλὸν κάλλιον τίθησι τῇ ἐπικρίσει καὶ ψήφῳ τῆς βασιλείας μου. πᾶν δὲ ἐν αὐτοῖς, ἐν ὁποίοις εἴποι τις θεωρούμενον, εἴτε ἐν χρυσοβούλλῳ λόγῳ διαφόρων βασιλέων, εἴτε ἐν σιγιλλίοις, εἴτε ἐν ἁπλαῖς προστάξεσιν, εἴτε ἐν λύσεσιν, τουτέστι πρακτικοῖς, ὑποσκάζον, καὶ κατά τι τοῦ ἀκριβοῦς καὶ τῆς ὀφειλομένης ἀκολουθίας λειπόμενον, ἀπό τε βασιλικῶν προσταγμάτων καὶ νόμων, ἐπανορθοῖ, καὶ διορίζεται μὴ κατά τι πρόκριμα ἐκ τούτων εἶναι ταῖς δηλωθείσαις πάσαις ἁγιωτάταις ἐκκλησίαις εἰς τὸν αἰῶνα ἀπαντᾶν, ἀλλὰ τὸ ὑπόσαθρον ἐκείνων καὶ ἀσθενὲς, ἐντονώτατον εἶναι καὶ ἀνάλωτον πάσῃ δικαιολογίᾳ τοῦ βουλομένου λέγειν τι ὑπὲρ τοῦ δημοσίου, τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ῥωννύμενον καὶ σφόδρα ἐνδυναμούμενον. καὶ ἵνα ἀπὸ τῶν πολλῶν, ὧν ἄν τις ἐννοήσειεν, ὀλίγων τινῶν ἡ βασιλεία μου ἐπιμνησθείη, ἐὰν τυχὸν δωρεὰ αὐτοῖς παροίκων ἄποσος εἴη, ἢ μέτρων γῆς, ἢ αὐτέργιά τινα ἐκαινίσθησαν ἐν τοῖς τοιούτοις κτήμασι, τυχὸν μὴ δεδωρημένα αὐτοῖς, ἢ καὶ ἐδωρήθησαν μὲν, οὐκ ἀνετράπησαν δὲ αἱ περὶ τούτων προστάξεις, ἢ ἐπὶ προαφωρισμένοις δεδωρημένοις αὐτοῖς, αἱ προαφωρισμέναι προστάξεις οὐκ ἀνετράπησαν, ἤ τινα τῶν πορισθέντων αὐτοῖς βασιλικῶν προσταγμάτων οὐδ᾽ ὅλως κατεστρώθησαν, ἢ κατεστρώθησαν μὲν εἴς τινα τῶν σεκρέτων, ἢ κατεστρωθέντα ἀπώλοντο, ἴσα δὲ τούτων πεπιστευμένα εὑρίσκονται, ἢ πρακτικὰ ὀφείλοντα προβῆναι οὐ προέβησαν, ἢ προβάντα οὐ κατεστρώθησαν, ἢ ὡρισθέντα γενέσθαι λογίσιμα, οὐκ ἐγένοντο, ἢ κατά τινα ἴσως ἄλλην ὁποίαν ἄν τις εἴποι αἰτίαν, εἴτε κατὰ μέρος εἴτε καθολόκληρον, τὰ προσόντα ταῖς πολλάκις διαληφθείσαις ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ τῇ μητρὶ πασῶν χωλεύουσι δικαιώματα, κἀντεῦθεν οὐκ ἔχουσι τὸ ἀπερικλόνητον, κἂν μὴ ῥητῶς ἐνταῦθα πᾶσα ὁποιαδήτις αἰτία ὑποσκάζειν ποιοῦσα τὰ δικαιώματα ἐκπεφώνηται, ἢ ὀφεῖλον τυχὸν καὶ ἕτερα δικαιώματα προσεπορισθῆναι αὐταῖς ἐπὶ τοῖς τοιούτοις ἀκινήτοις, ὡς τινῶν πάντων προβάντων ἐν αὐταῖς ἀκινήτων κέκτηνται, οὐδέν τι ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφεληθήσονται, κατὰ μηδέν τι ταῦτα πάντα, καὶ ὅσα ἄν τις ἄλλα εἰς νοῦν λάβῃ ποτὲ ὑπὲρ τοῦ δημοσίου ἀγωνιζόμενος, καταβλάψαι ποτὲ τὰς τοῦ Θεοῦ ἁγιωτάτας ἐκκλησίας, τόν τε τῆς τοῦ Θεοῦ σοφίας οἶκον, καὶ τὰς λοιπὰς μητροπόλεις, ἀρχιεπισκοπὰς, ἐπισκοπὰς, δυνήσεται ἐπὶ τοῖς, ὡς εἴρηται, διαφέρουσιν αὐτοῖς ἀκινήτοις ἀφ᾽ οἱωνδήποτε δικαιωμάτων. εἰ γὰρ μηδέν τι μηδαμῶς δικαίωμα ἐκτήσαντο ἐπί τισιν ἴσως τῶν προσόντων αὐταῖς ἀκινήτων, οὐδεμίαν ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφέλειαν ἕξουσιν, ὥσπερ οὐδὲ ἐφ᾽ οἷς εἶχε τὴν κατοχὴν ὁ δημόσιος ἀφ᾽ οἱασδήτινος εὐλόγου αἰτίας μέχρι τῆς σήμερον, ἐπὶ τούτοις γὰρ πᾶσι τὸ ἀκριβὲς παραφυλαχθήσεται. εἴ τις οὖν θελήσει διὰ φιλοχρηματίαν ἢ δι᾽ ἑτέραν αἰτίαν τινὰ καταφρονῆσαι τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διωρισμένων, πρῶτα μὲν οὖν τὸ τῆς ἁγίας τριάδος φέγγος, ὅτε παριστάμεθα τῷ φοβερῷ βήματι, μὴ θεάσαιτο, ἐκπέσοι δὲ καὶ τῆς τῶν Χριστιανῶν μερίδος, ὡς Ἰούδας τῆς δυοδεκάδος, προσέτι τούτοις καὶ τὴν ἀρὰν ἐπισπάσαιτο τῶν ἀπ᾽ αἰῶνος προκεκοιμημένων πρωτοτόκων ἁγίων, δικαίων καὶ θεοφόρων πατέρων.

A debet, ad ejuſmodi immobilium dominationem, detentionem & proprietatem, id fortaſſe priùs factum non eſt: hanc Majeſtas mea Bullam Auream, ejus quod deeſt medicatricem, illis tradidit, quæ veluti perfectum & integrum & omnino illabefactabile & immobile jus ejus oſtendit: per quam confirmat quidem, & tutius facit, quodcunque jus adeſt ſanctiſſimis Dei Eccleſiis, eique quæ illis præſidet, in ſuis immobilibus, cujuſmodicunque fuerint, & ubicunque ea ſita ſint, & quod pulchrum pulchrius conſtituit Majeſtatis meæ ſententia & calculo. Quicquid autem eſt in eis, in quibuſcunque quis ſpectatum id dixerit, ſive in reſcripto diverſorum Imperatorum B Aurea-Bulla munito, ſive in ſigillis, ſive in ſimplicibus juſſionibus, ſive in ſolutionibus, hoc eſt in actis, claudicans, & aliqua in re ab eo quod eſt exactum & à debita conſequentia deficiens, è regalibus juſſionibus & legibus corrigit, & decernit dictis ſanctiſſimis Eccleſiis nullum ex ea re præjudicium in æternum afferri: ſed quod in eis eſt infirmum & imbecillum, eſſe firmiſſimum & nulla juris alligatione oppugnandum ab eo, qui velit aliquid pro fiſco ſeu publico dicere, ut quod præſenti Majeſtatis meæ definitione Aurea-Bulla munita confirmetur & valde corroboretur. Et ut ex multis eorum, quæ cuipiam in mentem venire poſſint, pauca quædam Majeſtas mea memoria repetat; C ſi fortè donatio colonorum ipſis, aut menſurarũ terræ ſine certa quantitate ſit, vel prædia quædam ruſtica innovarint in hujuſmodi poſſeſſionibus, fortè quæ ipſis donata non fuerunt; aut donata quidem fuerunt; juſſiones autem de his factæ non ſunt revocatæ; vel in priùs deſignatis, quæ ipſis donata ſunt, juſſiones de priùs definitis non ſunt revocatæ; aut juſſionum Imperialium, quæ ipſis tributæ ſunt, aliquæ nullo modo inſinuatæ fuerunt; aut fuerunt quidem inſinuatæ in aliquo non tamen competente ſecreto; aut inſinuatæ perierunt, exempla autem earum fide digna reperiuntur; aut acta, quæ procedere debebant, non proceſſerunt; vel quæ proceſſerunt non D ſunt inſinuata; aut, quæ fieri debuerunt, rationum computationes, factæ non ſunt; aut fortè quamlibet aliam ob cauſam, ſive ex parte, ſive in totum, quæ adſunt ſæpe dictis ſanctis Dei Eccleſiis & matri omnium jura claudicant, & inde firmitatem ſuam non habent; etſi omnis quæ inſtrumenta claudicare faciat, cauſa non ſit hîc nominatim expreſſa; aut alia fortè ipſis concedi debuerunt inſtrumenta de hujuſmodi immobilibus, quum aliqua ſaltem impetraverint: (nam ſi documentum de quopiam ex poſſeſſis à ſe immobilibus, nequaquam acquiſierint, nihil à præſenti Aureæ-Bullæ oratione iuvabuntur) nulla in re hæc omnia, & quæcunque alia E cuipiam pro fiſco certanti in mentem quandoque venerint, lædere unquam ſanctiſſimas Dei Eccleſias, & Sapientiæ Dei templum, reliquaſque metropoles, archiepiſcopatus, epiſcopatus, poterunt in iis immobilibus, quæ, ut dictum eſt, ad eas pertinent, ex qualibuſcunque juribus. Si enim nullum penitus jus in aliquibus, quæ forte habent, immobilibus poſſident, à præſenti Aurea-Bulla munita definitione nihil omnino juvabuntur: ſicut nec in quibus fiſcus ex juſta aliqua cauſa ad hodiernum uſque diem poſſeſſionem habuit. In his enim omnibus juris obſervabitur exacta diſciplina. Si quis ergo velit, ob avaritiam vel ob aliam aliquam cauſam, F ea, quæ in præſenti Majeſtatis meæ Aurea-Bullâ munita definitione conſtituta ſunt, negligere: primum quidem ſanctæ Trinitatis lucem, quando coram formidabili tribunali ſteterimus, non viderit, à Chriſtanorum autem parte, ut Judas à duodenario numero, exciderit; præterea autem & maledictionem attraxerit eorum qui à ſeculo dormierunt ſanctorum primogenitorum, juſtorum & divinorum Patrum.

Zonar. Eccleſiarum αὐτέργια inalienabilia ſervari A hic Canon jubet (Αὐτέργια autem, hoc loco, quæcunque fructum ex ſe ferre queant, intelligimus) proferúntque Patres Apoſtolicum Canonem, quo rerum Eccleſiaſticarum procuratio Epiſcopo demandatur, ut eas ille, veluti inſpectante Deo, adminiſtret, nec ex iis aliquid intervertat, hoc eſt, ſibi tanquam proprium vendicet, neque cognatis ſuis largiatur. Quòd ſi forte, inquiunt hi patres, ſterilem agrum ac proinde Eccleſiæ inutilem eſſe Epiſcopus obtendat; ne ſic quidem eum magiſtratibus, ſed aut Clericis aut agricolis, addicat: Clericis quidem, quia inferiores & ſubjecti ſunt; agricolis verò, utpote qui ruri B degentes in humiliore atque ſubjectiore fortuna verſantur. Quòd ſi verſutè ac doloſe Clerico quidem aut agricolæ dedatur ager, ſed ab eo poſtea cuipiam è magiſtratibus mancipetur, totum illud negotium, ſive venditione ſive alia quacunque ratione tranſactum, irritum eſſe, poſſeſſionémque Eccleſiæ reſtitui, jubent: Qui vero rem ejuſmodi admiſerit, ut per fraudem videlicet, vel etiam manifeſtò & palam, dynaſtis Eccleſiaſticas poſſeſſiones proderet, ſive Epiſcopus ſive Monaſterii Præfectus ſit, è dignitatis gradu, quippe qui ea, quæ ipſe haud collegit, male diſperdat, dejici ac deturbari. Nam ſi quicunque ſua ipſius bona male diſtraxerit judicio eſt obnoxius, quanto illum magis obnoxium eſſe arbitremur, qui Deo ab aliis C conſecratas poſſeſſiones diſſipat? Atque hic quidem Canon de agris ſtatuit. Carthaginenſis autem Synodi undetrigeſimo, res quoque aliæ, quamvis fructui ferendo non ſint, diſtrahi, niſi cautione adhibita, prohibentur; quique Canoni non paruerint, dignitatis, quam obtinent, privatione mulctantur. Magnus autem Cyrillus in ſua ad Domnum epiſtola, Eccleſiarum vaſa pretioſa, earúmq; immobiles poſſeſſiones, nullo modo alienari licere decernit. Sed iſta nonnulli monaſteriorum Præfecti meras nugas putant.

Arist. *Juxta quod ſanctis Apoſtolis viſum eſt, quodcunque ab Epiſcopo vel monaſterii præfecto ex Epiſco-* D *patu vel monaſterio alienatur, irritum ſit. Et Epiſcopus vel præfectus, qui hoc fecerit, expellatur.*

Eccleſiarum bona, & præſertim prædia, alienari non debent. Quæcunque autem immobilia inutilia ſunt, & damnum Eccleſiæ afferunt, non loci magiſtratibus, ſed Clericis aut agricolis locabuntur. Qui autem decreta tranſgreditur, ſi quidem Epiſcopus eſt, exturbetur Epiſcopio: ſin autem monaſterii præfectus, monaſterio, ut qui male diſſipant quæ non congregavêre.

E

CANON XIII.

Quoniam propter eam quæ facta eſt ob peccata noſtra in Eccleſiis calamitatem, ſacroſanctæ quædam ædes à quibuſdam viris correptæ ſunt, & Epiſcopia & monaſteria, & communia facta diverſoria; ſi, qui ea quidem tenent, volunt reddere, ut in priſtinum ſtatum reſtituantur, bene & pulchrè habet: ſin minus; ſi ſint quidem Sacerdotalis catalogi, eos deponi jubemus; ſin vero Monachi vel Laici, ſegregari, ut qui à Patre & Filio & Spiritu ſancto condemnati ſint, & deputentur ubi vermis non moritur, F *nec ignis extinguitur; quia voci Domini adverſantur, quæ dicit; Ne facite domum patris mei domum negotiationis.*

Bals. Propter inimicorum imaginum inſaniam, multi orthodoxi ex ſuis epiſcopatibus & monaſteriis fugientes montes occupaverunt. Correptæ ſunt ergo ſacroſanctæ iſtæ ædes à quibuſdam, & alia ſacra divinorum meditandorum loca, & ſecularia facta habitacula. Quamobrem patres conſtituerunt, ut ea in antiquum

ΖΩΝΑΡ. Τὰ αὐτέργια τῶν ἐκκλησιῶν ἀνεκποίητα ὁ κανὼν οὗτος κελεύει φυλάττεσθαι (αὐτέργιον δὲ ἐνταῦθα πᾶν εὐπρόσοδον νοητέον) καὶ τὸν ἀποστολικὸν κανόνα παράγουσιν, ὅστις τῷ Ἐπισκόπῳ ἀνατίθησι τὴν φροντίδα τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἵν᾽ αὐτὰ διοικῇ ὡς τοῦ Θεοῦ ἐφορῶντος, καὶ μηδὲν ἐξ αὐτῶν σφετερίζηται, ἤτοι οἰκειῶται, ἢ συγγενέσι χαρίζηται ἑαυτοῦ. εἰ δὲ προφασίζοιτο Ἐπίσκοπος, φασὶν οἱ πατέρες οὗτοι, ὅτι ἀπρόσοδός ἐστι τυχὸν ὁ ἀγρὸς, καὶ οὐδεμίαν ὠφέλειαν τῇ ἐκκλησίᾳ ἐμποιεῖ, μηδὲ οὕτως ἄρχουσιν αὐτὸν ἐκδιδότω, ἀλλὰ κληρικοῖς, ἢ γεωργοῖς· τοῖς μὲν κληρικοῖς ὡς ὑποκειμένοις αὐτῷ καὶ ὑπείκουσι· τοῖς δὲ γεωργοῖς ὡς ἀγρόταις ἀνθρώποις, καὶ εὐτελοὺς καὶ ταπεινοτέρας καταστάσεως. εἰ δὲ πανούργως καὶ μετὰ δόλου ἐκδοθείη μὲν ὁ ἀγρὸς κληρικῷ ἢ γεωργῷ, ἐξ ἐκείνου δὲ μετατεθείη εἰς ἀρχοντικὸν πρόσωπον, ἄκυρον εἶναι τὸ πραχθὲν, εἴτε πρᾶσις λέγοιτο, εἴτε συνάλλαγμα ἕτερον, καὶ ἀποκαθίστασθαι τὸ πρᾶγμα τῇ ἐκκλησίᾳ. ὁ δὲ τοῦτο ποιῶν, τὸ μετὰ δόλου δηλονότι ἢ καὶ φανερῶς προδιδόναι δυνάσταις τὰ ἐκκλησιαστικὰ, εἴτε Ἐπίσκοπος εἴη, εἴτε ἡγούμενος, ἐκδιωκέσθω ὡς διασκορπίζων κακῶς ἃ οὐ συνήγαγεν. εἰ γὰρ ἃ ἕκαστος ἐκτήσατο διασκορπίζων κακῶς κρίματί ἐστιν ἔνοχος, πόσῳ μᾶλλον ὁ διασκορπίζων ἃ ἕτεροι τῷ Θεῷ ἀφιέρωσαν; οὗτος μὲν οὖν ὁ κανὼν περὶ αὐτεργίων λέγει. ὁ δὲ τῆς ἐν Καρθαγένῃ Συνόδου εἰκοστὸς ἔνατος κανὼν, οὐδὲ ἀπρόσοδον ἐᾷ ἐκποιεῖσθαι, εἰ μὴ μετὰ παρατηρήσεως, καὶ τοὺς μὴ φυλάσσοντας τὸν κανόνα ἐκπτώσει κολάζει τῆς οἰκείας τιμῆς. ὁ δὲ μέγας Κύριλλος Δόμνῳ ἐπιστέλλων, κειμήλια καὶ κτήσεις ἀκινήτους ἐκκλησιῶν ἀνεκποίητα εἶναι διατάττεται. ἀλλὰ ταῦτά τισι τῶν ἡγουμένων λῆρος δοκεῖ.

ΑΡΙΣΤ. Κατὰ τὸ δόξαν τοῖς ἁγίοις Ἀποστόλοις, τὸ ἐκποιηθὲν παρὰ Ἐπισκόπου ἢ ἡγουμένου πρᾶγμα τῆς ἐπισκοπῆς ἢ τοῦ μοναστηρίου, ἄκυρον ἔστω. καὶ ὁ τοῦτο ποιῶν Ἐπίσκοπος ἢ ἡγούμενος ἐκδιωκέσθω.

Τὰ τῶν ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι ὀφείλουσι, καὶ μάλιστα τὰ αὐτέργια. ὅσα δὲ τῶν ἀκινήτων εἰσὶν ἀκερδῆ, καὶ ζημίαν τῇ ἐκκλησίᾳ ἐπάγοντα, οὐ τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδοθήσονται, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς. ὁ δὲ παραβαίνων τὰ ὁρισθέντα, εἰ μὲν Ἐπίσκοπός ἐστιν, ἐκδιωχθήσεται τοῦ ἐπισκοπείου· εἰ δὲ ἡγούμενος, τοῦ μοναστηρίου, ὡς διασκορπίζοντες κακῶς ἃ οὐ συνήγαγον.

ΚΑΝΩΝ ιγ΄.

Ἐπειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίαις, καθηρπάγησάν τινες εὐαγεῖς οἶκοι ὑπό τινων ἀνδρῶν, ἐπισκοπεῖά τε καὶ μοναστήρια, καὶ ἐγένοντο κοινὰ καταγώγια· εἰ μὲν οἱ διακρατοῦντες ταῦτα προαιροῦνται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκατασταθῶσιν, εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μή γε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσι, τούτους καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφορίζεσθαι, ὡς ὄντας κατακρίτους ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τετάχθωσαν, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τοῦ Κυρίου φωνῇ ἐναντιοῦνται, τῇ λεγούσῃ, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.

ΒΑΛΣ. Διὰ τὴν τῶν εἰκονομάχων μανίαν, πολλοὶ ὀρθόδοξοι ἐκ τῶν ἐπισκοπῶν καὶ τῶν μοναστηρίων αὐτῶν φυγόντες εἰς τὰ ὄρη κατέλαβον. κατεσχέθησαν οὖν οἱ εὐαγεῖς οὗτοι οἶκοι καὶ ἕτερα ἱερὰ φροντιστήρια παρά τινων, καὶ ἐγένοντο κοσμικὰ καταγώγια. διὸ καὶ ὥρισαν οἱ πατέρες ἀποκαταστῆναι αὐτὰ εἰς τὴν ἀρχαίαν κατάστασιν· τοὺς δὲ μὴ εὐπειθοῦντας πρὸς τοῦτο, ἀλλὰ ἀντεχομένους τοῦ κακοῦ, ἱερωμένους μὲν ὄντας καθαιρεῖσθαι· λαϊκοὺς δὲ ἢ μοναχοὺς ἀφορίζεσθαι. καὶ ταῦτα μὲν ἐξεφωνήθησαν πρὸς τὴν τότε κατάστασιν. ἕλκυσον δὲ τὸν κανόνα καὶ εἰς τοὺς κατέχοντας ἱερὰ φροντιστήρια σήμερον κοινωθέντα ἐξ ἐπιδρομῆς ἐθνῶν. οὐδὲ γὰρ ἔχουσιν εἰπεῖν, μὴ παρ' αὐτῶν τολμηθῆναι τὸ κακόν, κἀντεῦθεν μηδὲ ὀφείλειν ποιῆσαι τὴν ἀποκατάστασιν. ὡσαύτως οὐδὲ χρόνων πολλῶν προβαλοῦνται παραδρομήν, εἰς τὸ κυρωθῆναι τὸ ἀνυπόστατον, καὶ κοινωθῆναι τὸ ἅγιον. ταῦτα γὰρ ἐπὶ τῶν ἄλλων ἔχουσι χώραν, τῶν ἀνθρωπίνων δηλαδὴ πραγμάτων· οὐ μὴν ἐπὶ τῶν ἁγίων καὶ ἱερῶν. σημείωσαι ταῦτα διὰ τοὺς ἀνατολικοὺς μητροπολίτας, τοὺς ἀνακαλουμένους τὰς οἰκείας ἐπισκοπὰς καὶ τὰ μοναστήρια ἀπὸ τῶν κατεχόντων αὐτὰ λαϊκῶν, καὶ ἀκούοντας τοιαῦτα. ἆρα δὲ τῶν ἁγίων τούτων φροντιστηρίων μὴ κοινωθέντων, ἀλλὰ συντηρουμένων, καθὼς πρότερον, ἀναγκασθήσονται οἱ κατέχοντες ταῦτα ποιῆσαι τὴν ἀποκατάστασιν τούτων; Λύσις. αἱ μὲν ἐπισκοπαὶ ἐξ ἀνάγκης εἰς τοὺς Ἐπισκόπους ἵνα περιέλθωσιν, καὶ διὰ χρόνου τινὸς οὐκ ἀποκλεισθήσονται εἰς τὴν τούτων ἀποκατάστασιν οἱ ψηφισθέντες, καθὼς γέγονε καὶ εἰς τὴν ἐπισκοπὴν τῶν Μεγάρων, τὴν περὶ χρόνων ἀμνημονεύτων ἀμαυρωθεῖσαν, καὶ διὰ προστάξεως βασιλικῆς καὶ συνοδικῆς πράξεως πρὸ μικροῦ ἐπιμασωθεῖσαν τῇ μητροπόλει Ἀθηνῶν. τὰ μοναστήρια δέ, ὡς ἐμοὶ δοκεῖ, ἐὰν κατεσχέθησαν πρὸ τεσσαρακονταετίας παρά τινων, οὐκ εὐχερῶς ἵνα περιέλθωσιν εἰς τοὺς προκατέχοντας αὐτά· ἐὰν ἔχωσιν εἴδησιν δηλονότι παρὰ τίνων κατέχονται, καὶ κατὰ ῥᾳθυμίαν μὴ ἀνακαλεσάμενοι αὐτὰ ἐπὶ τοσοῦτον καιρόν. ἐπεὶ δὲ ὁ μὲν παρὼν κανὼν ἐξηνέχθη ἀκολούθως τῷ κδ'. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου· ὁ δὲ μθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου τὰ αὐτὰ διοριζόμενος, προστίθησι, μὴ ἐκδίδοσθαι κοσμικοῖς ἀνδράσι τὰ μοναστήρια, ἐλαλήθη ποτέ, ὡς ὀφείλουσιν ἀκολούθως τῷ τοιούτῳ κανόνι καὶ τῷ παρόντι ἀνατραπῆναι αἱ προγενόμεναι πατριαρχικαὶ δωρεαὶ μοναστηρίων πρὸς κοσμικούς, ἀλλὰ μὴν καὶ ἐπιδόσεις τῶν προκυρωθέντων ἑτέραις μοναῖς μοναστηρίων, καὶ ἐπιμασωθῆναι τῇ μεγάλῃ ἐκκλησίᾳ. ἀνεγνώσθη δὲ καὶ τόμος τοῦ πατριάρχου ἐκείνου κυροῦ Σισιννίου τὰ αὐτὰ διοριζόμενος, καὶ τάχα ἔμελλε τοῦτο καὶ εἰς ἔργον ἐλθεῖν. ὅτι δὲ προεκομίσθη ἕτερος τόμος τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου κυροῦ Σεργίου γενόμενος κατὰ μῆνα Μάϊον, ἰνδικτιῶνος ιδ'. ἔτους ϛφκδ'. ὑπογραφῇ βασιλικῇ κατησφαλισμένος, ἑρμηνεύων τε τὸν μθ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ γνωματεύων τὴν ἔκδοσιν μὴ ἐκλαμβάνεσθαι εἰς τὰς δωρεὰς τὰς συντηρούσας τὴν τῶν μοναστηρίων κατάστασιν· ἀλλὰ εἰς τοὺς λαμβάνοντας μοναστήρια, ἐφ' ᾧ ἔχειν αὐτὰ κοσμικὰ καταγώγια, περὶ δὲ τὸ τέλος καὶ ταῦτα ῥητῶς διεξιών. ἀνατρέπομεν οὖν συνοδικῶς διὰ τῆς δοθείσης ἡμῖν παρὰ τοῦ ἁγίου πνεύματος ἐξουσίας τὰς δωρεὰς καὶ τὰς ἐπιδόσεις ἀναιροῦσαν ἐκείνην πρᾶξιν, ὡς ἐξ οὐδεμιᾶς ἐπισκοπικῆς συναινέσεως, ἐξ αὐτονόμου δὲ γνώμης γεγενημένην, καὶ μηδὲ βασιλεῖ τῷ φιλοχρίστῳ δεχθεῖσαν, καθὼς φαίνεται καὶ αὐτὸς δωρούμενος μοναστήρια παρὰ τὴν ταύτης ἰσχύν, καὶ προσέτι φανεῖσαν ἀπ' αὐτῶν τῶν πραγμάτων, οὐ πρὸς ὠφέλειαν τῶν μοναστηρίων, ἀλλὰ πρὸς τέλειον ὄλεθρον καὶ ἀφανισμόν. ἐπιβεβαιοῦντες δὲ καὶ ἐπικυροῦντες τὸ παλαιὸν καὶ καινὸν λυσιτελὲς ἔθος τῶν μακαρίων καὶ θεοφόρων πατέρων ἡμῶν, ὁρίζομεν γίνεσθαι δωρεὰς καὶ ἐπιδόσεις ἀκωλύτως ἐπὶ συστάσει καὶ βελτιώσει τῶν ἐπιδιδομένων καὶ δωρουμένων φροντιστηρίων. ἔδοξε δὴ τὰ τῶν ῥηθέντων κανόνων ὀφείλειν ἑρμηνεύεσθαι κατὰ τὸν παρόντα τόμον, καὶ τὰς πρὸς κοσμικοὺς γινομένας δωρεὰς τῶν μοναστηρίων, πολλῷ δὲ πλέον τὰς ἐπιδόσεις ἔχειν τὸ ἀπαρεγχείρητον. διὸ καὶ μέχρι τοῦ νῦν ἀκωλύτως τοιαῦτα γίνονται. τὰ ἐν τῇ ἐξηγήσει τοῦ παρόντος κανόνος γεγραμμένα παρ' ἡμῶν ἀρκέσουσι τῷ βουλομένῳ, εἰς τὸ μὴ προσέχειν τοῖς παρὰ τοῦ πατριάρχου ἐκείνου Ἀντιοχείας κυροῦ Ἰοάννου γραφεῖσι, χάριν τοῦ μὴ δίδοσθαι προσώποις μοναστήρια, καὶ ὀνομάζουσι τὸ ἔργον τοῦτο ἀσέβειαν.

A ſtatum reſtituantur: ii autem qui non obediunt, ſed
in malo perſiſtunt, ſi ſint quidem ſacris initiati, de-
ponantur: ſin verò Laici vel Monachi, ſegregen-
tur. Et hæc quidem dicta ſunt ad eam, quæ tunc
fuit, rerum conſtitutionem. Extende autem Cano-
nem etiam ad eos, qui hodie ſacras ædes tenent, ex
gentium incurſione profanatas & communes effectas.
Neque enim poſſunt dicere, ſe hoc malum non eſſe
auſos, & ideo non debere hanc reſtitutionem facere.
Similiter nec multorum annorum lapſum proferent,
ut id confirmetur quod non poteſt conſiſtere, & ſan-
ctum commune efficiatur. Ea enim in aliis quidem lo-
B cum habent, humanis ſcilicet negotiis: non autem in
ſanctis & ſacris. Nota hæc propter Metropolitanos
Orientales, qui proprios Epiſcopatus & monaſteria à
laicis, qui ea detinent, revocant, & hæc audiunt.
Nunquid autem ſanctis locis non communibus effe-
ctis, ſed conſervatis, ſicut priùs, cogentur qui ea de-
tinent reſtituere? Solutio. Epiſcopatus quidem ut ab
Epiſcopis occupentur neceſſe eſt, nec ullo tempore
ad illos revertere prohibebuntur electi: quemadmo-
dum & in Megarenſi Epiſcopatu factum eſt, qui tot
annis, quot hominum memoriam excedunt, deletus
extinctúſque fuerat, & per juſſionem Imperialem ſyno-
C dalémque actum metropoli Athenarum paulo antè
rurſus ſervatus eſt. Monaſteria autem, ut mihi videtur,
ſi xl. annorum ſpacio ab aliquibus poſſeſſa fuerint, non
facilè ad priores poſſeſſores revertuntur: ſi videlicet
ſciverint à quibuſnam poſſideantur, & propter ſocor-
diam ea tanto tempore non revocaverint. Quia autem
præſens quidem Canon conſequenter xxiv. Chalced.
Syn. editus eſt; xlix. autem Canon Syn. in Trullo
eadem decernens, adjicit, non tradenda ſecularibus
hominibus monaſteria; dictum eſt aliquando, quòd
ei Canoni & præſenti conſequenter, debent ſubverti
antiquiores Patriarchales monaſteriorum ſecularibus
D donationes, quinetiam & traditiones monaſterio-
rum aliis monaſteriis attributorum, & magnæ Eccle-
ſiæ reſervari. Lectus eſt & Patriarchæ illius domini
Siſinnii locus eadem decernens, & id fortaſſe etiam ad
effectum perveniſſet. Quia autem ſanctiſſimi illius Pa-
triarchæ domini Sergii alia allata eſt deciſio, quæ menſe
Maio facta eſt, indict. xiv. anno 6524. Imp. ſubſcri-
ptione munita, quæ xlix. Syn. in Trullo Canonem
interpretatur, & ſtatuit, non intelligi traditionem in do-
nationibus, quæ ſtatum monaſteriorum conſervant: ſed
in iis qui monaſteria accipiunt, ut ea habeant ſecula-
ria diverſoria; circa finem hæc quoque expreſsè pro-
E ſequens. Synodicè ergo ſubvertimus, per datam no-
bis à ſancto ſpiritu poteſtatem, actionem illam, quæ
donationes & traditiones tollit, ut quæ ex nullo Epi-
ſcopali conſenſu, ſed ex libera ſua ſententia facta
ſit, & nec ab Imp. Chriſti amantiſſimo ſuſcepta ſit,
quum & ipſe videtur donare monaſteria præter ejus vi-
gorem: & quæ ex rebus ipſis appareat non eſſe ad
monaſteriorum utilitatem, ſed ſummam perniciem &
exitium. Confirmantes autem & corroborantes an-
tiquam & novam utilem conſuetudinem beatorum
& divinorum patrum noſtrorum, ſtatuimus fieri dona-
tiones & traditiones citra ullam prohibitionem, ad
F conſtitutionem & meliorationem, quæ dantur ac do-
nantur, monaſteriorum. Viſum eſt itaque dictos Caon-
nes debere exponi ſecundùm præſentem deciſionem, &
quæ fiunt ſecularibus monaſteriorum donationes, mul-
to autem magis traditiones, non poſſe labefactari.
Quamobrem ea hucuſque ſine impedimento ſervan-
tur. Quæ à nobis in præſentis Canonis expoſitione
ſcripta ſunt, ei qui velit ſufficient, ut ſciat mentem non
adhibendam iis, quæ ab illo Patriarcha Antiocheno do-
mino Joanne ſcripta ſunt, de non elocandis monaſteriis
hominibus, quæque hoc opus impietatem nominant.

Omnino enim his præferenda ea, quæ à ſanctiſſimo univerſali patriarcha domino Sergio facta eſt deciſio, quæ quidem interpretatur, quomodo Canones cum ſynodali conſenſu intelligi debent.

Zonar. Quo tempore Iconomachorum hæreſis graſſabatur, multa contra orthodoxos nefariè patrata ſunt. Sed omnium maxime ſacris initiati ac monachi vexabantur, ut etiam Eccleſiis ſuis ac monaſteriis relictis plerique aufugerint. Deſertas igitur Eccleſiarum ac Monaſteriorum ſtationes, nonnulli occupabant, earúmque ſibi poſſeſſionem quaſi propriam arrogantes, addicta profanis uſibus ibidem domicilia collocabant. De hujuſmodi igitur hominibus Canon, ſi quidem, inquit, qui hæc tenent, ea, ut ad priores, ſive Epiſcopalium ædium ſive monaſteriorum, uſus denuò accommodentur, haud gravatè reddant, bene habebit, hoc eſt bene facient: ſin ea ſibi vendicare nihilominus contendant ſacris initiati quidem, deponantur; Monachi vero aut Laici, ſanctæ quippe Trinitatis præjudicio ob id facinus jam condemnati, ſegregentur.

Arist. *Qui Epiſcopia aut Monaſteria communia faciunt, niſi quod ad Epiſcopatum pertinet, aut monaſterium Epiſcopo aut Monaſterii præfecto reſtituerint, irritum ſit; & ſi ſacris quidem initiati fuerint, deponantur; ſin autem Laici vel Monachi, ſegregentur.*

Si Eccleſiarum bona alienari non debent; multo magis ipſas Eccleſias & monaſteria prophanari non oportet & communia fieri diverſoria. Illi itaque qui ea poſſident, & ad priſtinum ſtatum reſtituere nolunt ſi è catalogo quidem ſacerdotali ſint, deponentur: ſin vero Laici vel Monachi, ſegregabuntur; ut domum Dei domum negotiationis facientes.

Canon XIV.

Quod ordo in omni ſacerdotio cuſtodiri debet, eſt omnibus manifeſtum: & ſacerdotii promotiones exactè ſervare Deo gratum eſt. Quoniam ergo videmus nonnullos à pueris cleri tonſuram accipientes, nondum accepta Epiſcoporum manuum impoſitione, & in congregatione in ſuggeſtu legentes, & id non Canonicè facientes; per præſentem Canonem, ne hoc fiat, jubemus: idque ipſum etiam in monachis ſervari. Lectoris autem manuum impoſitionem licet in proprio Monaſterio etiam ſoli unicuique præfecto facere; ſi ad ejus præfecturam ab Epiſcopo manuum impoſitio fiat ipſi præfecto, qui ſcilicet & ipſe eſt presbyter. Similiter & ex antiqua conſuetudine Chorepiſcopos Epiſcopi permiſſu oportet per manuum impoſitionem Lectores creare.

Bals. Ordo omnia continet cœleſtia & terreſtria: multo magis autem, ſi bonus ordo in ſacerdotibus verſetur, id Deum mitigat. Quoniam ergo, inquiunt ſancti patres, videmus nonnullos à pueris nigris veſtibus indutos, tanquam Deo conſecratos, tonſuráque non per Epiſcopi ſui manuum impoſitionem ſuſcepta, audentes autem, poſtquam ad ætatem pervenerint, divinas ſcripturas in ſuggeſtu non canonicè legere: ſtatuimus ne hoc fiat, ut quod ſit inordinationis cauſa, nec quis divinas ſcripturas aliter in ſuggeſtu legat, quàm ſi tonſuræ characterem acceperit per Epiſcopalem manuum impoſitionem. Hoc ipſum autem etiam in Monachis ſervandum. Quoniam autem, ut conſentaneum eſt, hoc Monachis difficile videbatur, qui eremos ut plurimum habitant, & non poſſunt urbes obire, nec Epiſcop. facile adire; conceſſum eſt eorum præfectis, qui ab Epiſcopis characterem accepêre, Presbyteris quidem neceſſariò exiſtentibus, Monachos Lectores in proprio monaſterio facere, ut ipſi citra ullum impedimentum

A πάντως γὰρ κατακρατήσει τούτων, ὁ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου οἰκουμενικοῦ κυροῦ Σεργίου γεγονὼς τόμος, ἑρμηνεύων πῶς ὀφείλουσι νοεῖσθαι τὰ τῶν κανόνων μετὰ συνοδικῆς συμπράξεως.

ΖΩΝΑΡ. Ἐν τῷ καιρῷ τῆς αἱρέσεως τῶν Εἰκονομάχων πολλὰ ἐπλημμελήθησαν κατὰ τῶν ὀρθοδόξων. πλέον δὲ τῶν ἄλλων οἱ ἱερωμένοι καὶ οἱ μοναχοὶ ἐδιώχθησαν, ὡς καὶ τὰς ἐκκλησίας αὐτῶν καὶ τὰ μοναστήρια τοὺς πλείονας καταλιπεῖν καὶ φυγεῖν. ἐρήμων τοίνυν τῶν ἐκκλησιῶν καὶ τῶν μονῶν καταλιμπανομένων κατεῖχόν τινες καὶ ᾠκειοῦντο αὐτὰς, καὶ εἰς κοσμικὰ μετεποίουν καταγώγια. φησὶν οὖν περὶ
B τῶν τοιούτων ὁ κανὼν, ὅτι εἰ μὲν οἱ ἔχοντες ταῦτα βούλονται ἀποδοῦναι αὐτὰ, ἵνα ἀποκαταστῶσιν, οἷα πρότερον ἦσαν ἤγουν Ἐπισκοπαὶ καὶ μοναστήρια, καλῶς ἂν ἔχοι, ἀντὶ τοῦ καλῶς ποιήσουσιν. εἰ δὲ ἀντέχονται τούτων, εἰ μὲν ἱερατικοί εἰσι, καθαιρείσθωσαν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν, ὡς ἀπὸ τῆς ἁγίας τριάδος διὰ τοῦτο κατακεκριμένοι.

ΑΡΙΣΤ. Οἱ κοινώσαντες ἐπισκοπεῖα ἢ μοναστήρια, εἰ μὴ ἀποκαθισταῖεν παρὰ Ἐπισκόπῳ ἢ ἡγουμένῳ πρᾶγμα τῆς ἐπισκοπῆς ἢ τοῦ μοναστηρίου, ἄκυρον ἔστω· καὶ
C οἱ ἱερατικοὶ μὲν ὄντες, καθαιρείσθωσαν· λαϊκοὶ δὲ ἢ μοναχοὶ, ἀφοριζέσθωσαν.

Εἰ τὰ τῶν ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι ὀφείλουσι· πολλῷ μᾶλλον οὐ δεῖ κοινοῦσθαι τὰς ἐκκλησίας αὐτὰς, καὶ τὰ μοναστήρια, καὶ κοινὰ γίνεσθαι καταγώγια. οἱ οὖν διακατέχοντες ταῦτα, εἰ οὐ βούλονται εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα, τοῦ μὲν ἱερατικοῦ καταλόγου ὄντες, καθαιρεθήσονται· εἰ δὲ λαϊκοὶ ἢ μοναχοὶ τυγχάνουσιν, ἀφορισθήσονται, ὡς τὸν οἶκον τοῦ θεοῦ οἶκον ἐμπορίου ποιοῦντες.

ΚΑΝΩΝ ιδʹ.

D Ὅτι τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ πάσῃ, ἀρίδηλόν ἐστι, καὶ τὸ σὺν ἀκριβείᾳ διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρήσεις, θεῷ εὐάρεστον. ἐπεὶ οὖν ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαμβάνοντάς τινας, μήπω δὲ τῶν Ἐπισκόπων χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως δὲ τοῦτο ποιοῦντας, ἐπιτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναχῶν. ἀναγνώστου δὲ χειροθεσίαν ἄδειά ἐστιν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνῳ ἑκάστῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρὰ
E Ἐπισκόπου πρὸς προεδρίαν ἡγουμένου, δηλονότι ὄντος αὐτοῦ πρεσβυτέρου. ὡσαύτως καὶ τὸ ἀρχαῖον ἔθος τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ Ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

ΒΑΛΣ. Τάξις συνέχει πάντα τὰ οὐράνια καὶ τὰ ἐπίγεια· πολλῷ δὲ πλέον τὸ τῆς εὐταξίας καλὸν εἰς τοὺς ἱερουργοῦντας πολιτευόμενον θεραπεύει τὸν Θεόν. ἐπεὶ οὖν, φασιν οἱ ἅγιοι πατέρες, ὁρῶμέν τινας νηπιόθεν μελανειμονήσαντας, ὡς τῷ Θεῷ ἀφιερωθέντας, καὶ κουρὰν δεξαμένους μὴ διὰ χειροθεσίας τοῦ ἐγχωρίου
F Ἐπισκόπου, τολμῶντας δὲ μετὰ τὸ ἐνηλικιωθῆναι ἐπ' ἄμβωνος ἀναγινώσκειν τὰς θείας γραφὰς ἀκανονίστως· θεσπίζομεν μὴ γίνεσθαι τοῦτο, ὡς αἴτιον ἀταξίας, μηδὲ ἄλλως ἀναγινώσκειν ἐπ' ἄμβωνος τὰς θείας γραφάς τινα, εἰ μὴ λάβῃ σφραγῖδα ἐπικουρεῖδος διὰ χειροθεσίας ἐπισκοπικῆς. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. ὅτι δὲ, ὡς ἔοικεν, ἐνομίσθη δυσχερὲς εἶναι τοῦτο τοῖς μοναχοῖς τὰς ἐρήμους κατοικοῦσι κατὰ πολὺ, καὶ μὴ δυναμένοις τὰς πόλεις περιέρχεσθαι, καὶ τοῖς Ἐπισκόποις ἐντυγχάνειν εὐχερῶς, ἐνεδόθη τοῖς ἡγουμένοις τοῖς σφραγισθεῖσι παρὰ τῶν Ἐπισκόπων, πρεσβυτέροις οὖσιν ἐξ ἀνάγκης, ἀναγνώστας ποιεῖν μοναχοὺς

ναχοὺς ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ἐφ᾽ ᾧ ἀκωλύτως ἀναγινώσκειν τούτους ἐπὶ ἄμβωνος τὰς θείας γραφάς. ὡσαύτως ἐνεδόθη καὶ τοῖς χωρεπισκόποις ἀναγνώστας προχειρίζεσθαι κατ᾽ ἐπιτροπὴν ἐπισκοπικήν. καὶ ὁ μὲν κανὼν ταῦτα. λέλυται δὲ ἀπὸ τούτου μεγάλη ἔνστασις τῶν λεγόντων μὴ εἶναι κληρικοὺς τοὺς μόνας ἐπικουρίδας ἔχοντας διὰ χειροθεσίας ἀρχιερατικῆς, καὶ μήπω καταταχθέντας ἐν κλήρῳ, ὥστε ἔχειν ἐπ᾽ ἀδείας αὐτοὺς μετασχηματίζεσθαι εἰς λαϊκούς. παρίσταται γὰρ ἀριδήλως, ὡς ἡνίκα τις δέξεται χειροθεσίαν ἐπικουρίδος παρὰ ἀρχιερέως, αὐτίκα κληρικός ἐστιν, ὡς ἐγκεχωρημένος ἀναγινώσκειν ἐπὶ ἄμβωνος. ἐμοὶ δὲ δοκεῖ, ὅτι καὶ ὁ ἁπλῶς μελανειμονήσας Ἐπισκόπῳ τοῦ κληρωθῆναι, μετασχηματισθῆναι οὐ δύναται, ὡς προθέμενος ἀφιερωθῆναι τῷ Θεῷ· κἀντεῦθεν μὴ ἰσχύων τὴν πρὸς Θεὸν ὑπόσχεσιν ἀθετῆσαι, καὶ ἐμπαῖξαι τὸ ἅγιον σχῆμα κατὰ σκηνικούς, ὅπερ καὶ περὶ τῶν μοναχῶν πολλάκις εἶπον· τοὺς δὲ μετὰ τρισαγίου μελανειμονήσαντας ἀδιακρίτως λέγω μὴ δύνασθαι μετασχηματίζεσθαι. τοῦ δὲ κανόνος λέγοντος ἐπ᾽ ἀδείας ἔχειν πάντα καθηγούμενον σφραγισθέντα παρὰ ἀρχιερέως, δηλονότι ὄντα ἱερέα, ἀναγνώστας ποιεῖν μοναχοὺς ἐντὸς τῆς οἰκείας μονῆς καὶ μόνης, ἐζήτησάν τινες, εἰ ἐφεῖται αὐτῷ ἅμα τῷ σφραγισθῆναι τοῦτο ποιεῖν, καὶ δίχα ῥητῆς ἐπιτροπῆς τοῦ ἀρχιερέως; καί τινες μὲν εἶπον, ἐπακολουθεῖν σιωπηρῶς καὶ τοῦτο τῇ χειροθεσίᾳ τῆς ἡγουμενείας, ὡς τοῦ κανόνος πλέον τι μὴ προστιθεμένου χρώμενοι καὶ τῷ κδ΄. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου εἰς συγκρότησιν τοῦ λόγου αὐτῶν. ἀντέθεντο δὲ καὶ ἕτεροι, ὡς ἐπεὶ καὶ ὁ ἀναγνώστης κληρικός ἐστιν, ὀφείλει ἐξ ἀνάγκης μετὰ χειροθεσίας Ἐπισκόπου ἢ ἐπιτροπῆς αὐτοῦ σφραγίζεσθαι· ὅθεν καὶ ὁ καθηγούμενος τότε ἀναγνώστου χειροθεσίαν ποιήσει ἐν τῷ ἰδίῳ μοναστηρίῳ, ὅταν καὶ τοῦτο παρὰ τοῦ ἰδίου ἀρχιερέως ἐπιτραπῇ. εἰ μὴ γὰρ τοῦτο εἴπωμεν, δικαιώσομεν ἐξ ἀνάγκης αὐτὸν δέχεσθαι χωρὶς ἐπιτροπῆς ἀρχιερατικῆς καὶ τοὺς λογισμοὺς τῶν μοναχῶν αὐτοῦ καὶ ἑτέρων, ὅπερ ἀδύνατον. μόνοις γὰρ τοῖς ἀρχιερεῦσι καὶ τοῖς ἐγχωρηθεῖσι παρὰ τούτων ἱερεῦσιν ἐφιλοτιμήθη ἄνωθεν τὸ δεσμεῖν καὶ λύειν. τῶν δὲ ἀντιθέτων εἰπόντων, ὡς εἰ χρεία ἐστὶ τῷ καθηγουμένῳ πρὸς τοῦτο καὶ ἰδικῆς ἐπιτροπῆς τοῦ ἐγχωρίου Ἐπισκόπου, εἰς τὸ μηδὲν κατήντησε τὸ παρὰ τοῦ κανόνος ἐπιφιλοτιμηθὲν τῷ καθηγουμένῳ, ἀντεῖπον ἐκεῖνοι, ὅτι καὶ οὕτω μέγα δίκαιον δέδοται τῷ καθηγουμένῳ. μηδενὸς γὰρ ἱερέως δυναμένου ἀναγνώστου χειροθεσίαν ποιεῖν, κἂν ἐπιτραπῇ τοῦτο παρὰ ἀρχιερέως, οἱ ῥηθέντες καθηγούμενοι καθ᾽ ὁρισμὸν ἀρχιερατικὸν τοῦτο ἐνεργήσουσι, ὅπερ ἐστὶ φιλοτίμημα ἰδικόν· ἐμοὶ δὲ καταφαίνεται ἀδιακρίτως ἐνδοθῆναι τοῦτο τοῖς ἡγουμένοις παρὰ τοῦ κανόνος. ἔτι ἀμφιβολίας γενομένης περὶ τοῦ εἰ γίνονται ἡγούμενοι ἀνίεροι, εἶπόν τινες, ὡς ἐπεὶ κατὰ δοκιμασίαν τοῦ ἐπισκόπου σφραγίζονται, πάντως ἐπιλέξεται ὁ Ἐπίσκοπος τὸν εὐδοκιμοῦντα πρὸς ἰατρείαν ψυχῶν, κἂν ἀνίερος ἐστίν· οὐ μὴν τὸν χειροτονηθέντα καὶ μὴ εὐδοκιμοῦντα. ὥσπερ οὐδὲ ὁ νοσῶν σωματικῶς ἵνα ἐπιλέξηται τὸν πρὸς θεραπείαν ἀνεπιστήμονα περὶ τὰ ἰατρικά, διὰ τὸ ἀρχιητρὸν αὐτὸν χειροτονηθῆναι, καὶ παραδράμῃ τὸν δεξιὸν καὶ ἐπιστήμονα, ὡς ἀχειροτόνητον· ὅτι μηδὲ ἡ χειροτονία, ἀλλ᾽ ἡ ἀκριβὴς ἐπιστήμη τὴν θεραπείαν δίδωσιν. ἕτεροι δὲ ἀντέθεντο, ὡς τοῦ κανόνος διοριζομένου ἐκείνους ἔχειν τοῦτο τὸ δίκαιον, τοὺς σφραγισθέντας ἡγουμένους παρὰ Ἐπισκόπων, δηλονότι ὄντας ἱερεῖς, ἀναφαίνεται μὴ σφραγίζεσθαι ἡγούμενον, εἰ μὴ καὶ ἱερεύς ἐστιν· ὅπερ ἐμοὶ πως οὐ δοκεῖ. οὐδὲ γὰρ διὰ τὴν ἡγουμενείαν προσετέθη παρὰ τῶν ἁγίων πατέρων, τὸ εἶναι πάντως ἱερεῖς τοὺς ἡγουμένους, ἀλλὰ διὰ τὴν τοῦ ἀναγνώστου σφραγῖδα, ὡς δυνατοῦ μὴ ὄντος παρὰ ἀνιέρου καθηγουμένου ἀναγνώστην σφραγισθῆναι. λέγω οὖν, ἀπό τε τοῦ παρόντος κανόνος καὶ ἀπὸ τοῦ ιθ΄. καλῶς προχειρίζεσθαι καὶ ἀνιέρους καθηγουμένους, ὅτι καὶ γυναῖκες ἡγουμενεύουσι. καὶ ὥσπερ ἐκεῖναι οὔτε λογισμοὺς

A divinas in ſuggeſtu ſcripturas legant. Similiter etiam Chorepiſcopis conceſſum eſt, ut Epiſcopali permiſſu lectores per manuum impoſitionem conſtituant. Atque hæc quidem Canon. Ex eo autem ſoluta eſt magna inſtantia eorum qui dicunt, non eſſe Clericos eos, qui ſolas habent tonſuras per Antiſtitis manuum impoſitionem, & nondum ſunt in Cleri ordinem relati: & ideo poſſe illos Laicorum habitum amictumque accipere. Apertè enim oſtenditur, quòd quando quis tonſuræ manuum impoſitionem ſuſceperit ab antiſtite, is eſt protinus Clericus; ut cui etiam in ſuggeſtu legere ſit permiſſum. Mihi autem videtur, quòd qui etiam nigris ſimpliciter veſtibus fuerit B indutus ab Epiſcopo, ut Clericus fieret, amictum ampliùs mutare non poteſt, ut qui Deo conſecrare propoſuerit; & ideo nec ſuam Deo pollicitationem reſcindere, nec ſanctum habitum ſcenicorum inſtar ludificari poſſit; quod ſæpe etiam de Monachis dixi: eos autem, qui cum triſagio nigris veſtibus induti fuerint, indiſtinctè dico habitum mutare non poſſe. Cùm autem Canon dicat, licere cuivis monaſterii præfecto, qui ab Antiſtite characterem acceperit, ſacerdos ſcilicet Monachos Lectores facere intra monaſterium & ſolum; quæſiverunt nonnulli, an ſit ei permiſſum hoc facere, cùm primùm characterem ſuſceperit, etiam ſine expreſſâ Antiſtitis permiſſione? Et dixe- C runt quidem nonnulli, præfecturæ manuum impoſitionem hoc quoque tacite conſequi, utpote cùm Canon nihil ultra adjiciat: utentes & xxiv. Canone Syn. Laodicenæ ad id quod dicunt confirmandum. Alii autem contra opponebant, quòd quoniam lector quoque eſt Clericus, debet neceſſariò cum Epiſcopi manuum impoſitione vel ejus permiſſione characterem ſuſcipere; unde & monaſterii præfectus tunc lectoris ordinationem in ſuo monaſterio faciet, quando hoc à proprio Epiſcopo ei permiſſum fuerit. Niſi enim hoc dixerimus, eum quoque ſine Epiſcopali permiſſione Monachorum ſuorum & aliorum confeſſiones audire æquum cenſebimus, quod fieri non D poteſt. Solis enim Antiſtitibus, &, quibus ab ipſis permiſſum fuerit, Sacerdotibus, ſupernè conceſſum eſt ligare & ſolvere. Cùm autem dixerint adverſarii, quòd ſi monaſterii præfecto opus eſt ſpeciali quoque illius regionis Epiſcopi permiſſione, ad nihil redit quod præfecto à Canone conceſſum eſt: illi contra dixerunt, quòd ſic quoque magnum jus datur præfecto. Cùm enim nullus ſacerdos poſſit Lectorem ordinare, etiamſi ei ab Antiſtite hoc permiſſum fuerit, ſupradicti præfecti Antiſtitis decreto hoc facient, quod eſt quidem donum ſpeciale. Ego verò intelligo hoc monaſteriorum præfectis indiſtinctè à Canone conceſſum eſſe. Præterea cùm dubitaretur, an Mona- E chorum præfecti fiunt, qui ſacris non ſunt initiati; dicebant quidam, quòd quoniam ex Epiſcopi examinatione characterem ſuſcipiunt, illum omnino Epiſcopus eliget, qui ad animarum ſalutem eſt probatior, etiamſi non eſt ſacris initiatus; non autem eum, qui ordinatus eſt, ſed non eſt ſatis ſpectatus. Quemadmodum nec is, qui ægrotat corporaliter, medicinæ artis imperitum ad medendum eligerit, eo quòd archiater ſeu medicorum princeps ſit ordinatus; ſcientem verò & peritum prætermiſerit, ut qui non ſit ordinatus: quoniam non ordinatio, ſed perfecta ſcientia dat medelam. Alii autem contrà opponebant, quòd cùm Canon decernat illos hoc jus habere Monaſte- F riorum præfectos, qui ab Epiſcopis characterem acceperint, Sacerdotes ſcilicet, apparet characterem præfecturæ non ſuſcipere præfectum, niſi ſit Sacerdos: quod non mihi videtur. Non enim propter præfecturam à ſanctis patribus additum eſt, ut ſint omnino Sacerdotes, qui Monaſteriis præſunt; ſed propter lectoris ordinationem, nempe cùm lector ordinari non poſſit à monaſterii præfecto, qui non ſit Sacerdos. Dico ergo ex præſenti Canone & ex xix. rectè ad præfecturam provehi etiam eos, qui non ſunt ſacris initiati; quoniam fœminæ quoque monaſteriis præficiuntur. Et ſicut illæ nec peccatorum confeſſiones

audiunt, nec Lectores faciunt: ſic nec Monachi & præfecti, qui non ſunt ſacerdotes, hoc facient; eo quòd nec apti quidem ſunt, ut ejuſmodi rei permiſſionem ab Epiſcopo accipiant. Quid autem? Cùm Juſtiniani novella dicat, ut ſæpe diximus, non fieri Lectorem quempiam, niſi ſit Octodecim annos natus, ſi quis infans vel puer lectoris ordinationem ab Antiſtite ſuſceperit, eâne contentus erit; an poſt octavum decimum annum alio ab Antiſtite charactere opus habebit? Solutio. Si datum fuerit eum rurſus quoque characterem accipere, utpote quòd primus character non poſſit conſiſtere, ei licebit ante ſecundum, in Laicum transformari, quod eſt abſurdum. Et ideo ei, qui à pueritia characterem accepit, ſufficiet, ut mihi videtur, primus character ab Antiſtite ſuſceptus, & reputatus perinde, ac ſi poſt octavum decimum annum ab eo factus eſſet: & eo magis, quòd non invenitur Canon, qui dicat eum aliquo præjudicio affici, qui ante id tempus Lectoris ordinem ſuſceperit. De Chorepiſcopi autem privilegiis lege x. Canonem Antioch. Synodi.

Zonar. Quidam nulla manuum impoſitione creati Lectores, hoc eſt nulla certa deſignatione ad id munus electi, in conventibus è ſuggeſtu ſacros libros legebant. Id ergo hic can. fieri vetat, quoniam in omni, inquit, ſacerdotio ordinis rationem habendam eſſe, plane clarum, hoc eſt, valde manifeſtum & apertum eſt. Qui vero nec manuum impoſitione deſignatus, nec in Lectorum album relatus ſit; qualis illorum eſt ratio, qui à teneris Deo ſepoſiti, nihil aliud quàm coronam in capite geſtant; ab eo divinam ſcripturam de ſuggeſtu populo pronunciari, quædam ordinis perturbatio eſt. Id igitur ne fiat in poſterum decernit; eademque conſtitutione Monachos quoque teneri jubet. Et vero Lectorem, inquit, manuum impoſitione creare, in ſuo duntaxat monaſterio, ſi modo ab Epiſcopo Præfecturæ characterem accepit, & ſacerdotio initiatus fuerit, ipſe monaſterii Præfectus poteſt. Chorepiſcopi quoque ejus, cui ſubjiciuntur, Epiſcopi permiſſione Lectores, quin etiam ex decreto Canonis decimi Synodi Antiochenæ, Hypodiaconos quoque & Exorciſtas creandi jus habent.

Arist. *Sine manuum Epiſcopi impoſitione nemo de ſuggeſtu leget. Hoc & in Monachis obſervabitur. Monaſterii vero præfectus, cui Epiſcopus manus impoſuit, in ſuo ſolo monaſterio Lectorem ordinabit. Chorepiſcopus etiam Lectorem creabit.*

Licet tonſuram habeat quiſpiam ſacerdotalem, ſi non & ab Epiſcopo manuum impoſitionem recepit, in conventu ſacros Dei libros è ſuggeſtu non leget. Similiter autem nec Monachus hoc faciet. At monaſteriorum præfectis, ſi Presbyteri ſint, & ab Epiſcopo per manuum ejus impoſitionem manſionis curam acceperunt, manus in Lectorem imponendi in ſuo ſolo monaſterio poteſtas datur. Sed & Chorepiſcopi lectores ordinabunt: ut autem decimus ſynodi Antiochenæ Canon ſtatuit, Hypodiaconos etiam & Exorciſtas illi conſtituunt. Etiamſi Baſilius magnus hoc eis non concedit, ſine ejus voluntate, ad Eccleſiaſticum miniſterium quempiam admittere; quia illi contemptim & oſcitanter in talium electione ſe gerunt.

Canon XV.

Clericus ab hoc deinceps tempore in duabus Eccleſiis non collocetur: negotiationis enim & turpis lucri proprium eſt, & ab Eccleſiaſtica conſuetudine alienum. Ab ipſa enim Domini voce audivimus, non poſſe quempiam duobus dominis ſervire: vel enim unum odio habebit, & alterum diliget; vel unum amplectetur, & alterum negliget. Unuſquiſque ergo, ſecundum dictum Apoſtolicum, in eo, in quo vocatus eſt, debet manere, & in

A ἀναδέχονται, οὔτε ἀναγνώστας ποιοῦσι, οὕτως οὐδὲ οἱ ἀνίεροι μοναχοὶ καὶ καθηγούμενοι τοιοῦτόν τι ἐνεργήσουσι, διὰ τὸ μηδὲ πεφυκέναι τοιούτου τινὸς ἐπιτροπὴν λαβεῖν αὐτοὺς ἐκ τοῦ Ἐπισκόπου. τί δέ; τῆς Ἰουστινιανείου νεαρᾶς, ὡς πολλάκις εἴπομεν, λεγούσης, μὴ γίνεσθαί τινα ἀναγνώστην, εἰ μὴ ὀκτωκαιδεκαέτης ἐστίν, ἐάν τις νήπιος ὢν δέξηται χειροθεσίαν ἀναγνώστου ἀπὸ ἀρχιερέως, ἀρκεσθήσεται ταύτῃ, ἢ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον ἑτέρας σφραγῖδος ἀρχιερατικῆς δεηθείη; Λύσις. εἰ δοθῇ σφραγίζεσθαι καὶ αὖθις τοῦτον, ὡς τῆς πρώτης σφραγῖδος οὔσης ἀνυποστάτου, ἔξεστιν ἐπ' ἀδείας περὶ τῆς δευτέρας μετασχηματίζεσθαι, ὅπερ ἄτοπον. B διὸ καὶ ἀρκέσει τῷ νηπιόθεν σφραγισθέντι, ὡς ἐμοὶ δοκεῖ, ἡ πρώτη σφραγὶς ὑπὸ τοῦ ἀρχιερέως δεχομένη, καὶ λογιζομένη ὥσπερ εἰ μετὰ τὸν ὀκτωκαιδέκατον χρόνον γέγονε παρ' αὐτοῦ· καὶ μᾶλλον, ἐπεὶ οὐδὲ κανὼν εὑρίσκεται λέγων, προκριματίζεσθαι τὸν πρὸ τοῦ τοιούτου χρόνου λαβόντα χειροθεσίαν ἀναγνώστου. περὶ μέντοι τῶν προνομιῶν τῶν χωρεπισκόπων, ἀνάγνωθι τὸν ι'. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΖΩΝΑΡ. Τινὲς μὴ τυχόντες χειροθεσίας ἤγουν προχειρίσεως ἀναγνώστου ἐν ταῖς συνάξεσιν ἀνιόντες ἐν ἄμβωνι, ὑπανεγίνωσκον τὰς βίβλους τὰς ἱεράς. τοῦτο οὖν κωλύει γίνεσθαι ὁ παρὼν κανών, λέγων, ὅτι ἀρίδηλόν ἐστιν, ἀντὶ C τοῦ πάνυ φανερὸν καὶ πρόδηλον, ὅτι τάξις ἐν ἱερωσύνῃ πάσῃ πολιτεύεται. τὸ δὲ τὸν μὴ τυχόντα χειροθεσίας, μηδὲ τοῖς ἀναγνώσταις συντεταγμένον, οἷοί εἰσιν ὅσοι νηπιόθεν τῷ Θεῷ τάχα ἀφορισθέντες, κουρὰν μόνον ἔχουσιν ἐπὶ τῆς κορυφῆς καὶ πλέον οὐδέν, ἐπ' ἄμβωνος ἀναγινώσκειν τῷ λαῷ τὰ τῆς θεοπνεύστου γραφῆς ἀταξίας ἐστί. κωλύει οὖν μηκέτι τοῦτο γίνεσθαι· τὸ αὐτὸ δὲ καὶ ἐπὶ μοναχῶν. ἀναγνώστου δὲ χειροθεσίαν, φησί, δύναται καὶ ἡγούμενος ποιεῖν ἐν μόνῳ τῷ οἰκείῳ μοναστηρίῳ, εἰ σφραγῖδα ἔχει ἀρχιερέως καὶ ἱερεύς ἐστι. καὶ οἱ χωρεπίσκοποι δὲ μετ' ἐπιτροπῆς τοῦ Ἐπισκόπου, ὑφ' ὃν τελοῦσι, δύνανται D ἀναγνώστας χειροθετεῖν. κατὰ δὲ τὸν δέκατον κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, οἱ χωρεπίσκοποι καὶ ὑποδιακόνους χειροθετοῦσι καὶ ἐφορκιστάς.

ΑΡΙΣΤ. Ἐκτὸς χειροθεσίας Ἐπισκόπου οὐκ ἀναγνώσεταί τις ἐπ' ἄμβωνος· κρατήσει τοῦτο καὶ ἐπὶ μοναχῶν. ἡγούμενος δέ, χειροθεσίαν ἔχων Ἐπισκόπου, ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ χειροθετήσει ἀναγνώστην. προχειρίσεται ἀναγνώστην καὶ χωρεπίσκοπος.

Κἂν κουράν τις ἱερατικὴν ἔχῃ, εἰ μὴ καὶ παρ' Ἐπισκόπου χειροθεσίαν δέξεται, οὐκ ἀναγνώσεται ἐν τῇ συνάξει ἐπ' ἄμβωνος E τὰς ἱερὰς τοῦ Θεοῦ βίβλους. ὡσαύτως οὐδὲ μοναχὸς τοῦτο ποιήσει. τοῖς δὲ ἡγουμένοις, πρεσβυτέροις οὖσι, καὶ παρὰ Ἐπισκόπου διὰ χειροθεσίας αὐτοῦ τὴν προστασίαν τῆς μονῆς ἀναδεξαμένοις, ἄδεια δίδοται χειροθετεῖν ἀναγνώστην ἐν μόνῳ τῷ ἰδίῳ μοναστηρίῳ. ἀλλὰ καὶ οἱ χωρεπίσκοποι ἀναγνώστας χειροτονήσουσιν· ὡς δὲ ὁ δέκατος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου διαλαμβάνει, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστὰς οὗτοι καθιστῶσιν. εἰ καὶ ὁ μέγας Βασίλειος οὐ συγχωρεῖ αὐτοῖς, ἄνευ γνώμης αὐτοῦ εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν τινὰ παραδέχεσθαι, διὰ τὸ καταφρονητικῶς αὐτοὺς καὶ ῥαθύμως περὶ τὴν ἐπιλογὴν τῶν τοιούτων διατίθεσθαι.

F

ΚΑΝΩΝ ιε'.

Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ καταταττέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. ἠκούσαμεν γὰρ ἐξ αὐτῆς κυριακῆς φωνῆς, ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. ἕκαστος οὖν, κατὰ τὴν ἀποστολικὴν φωνήν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν, καὶ προσεδρεύειν

ἐν

A τὰ γὰρ διʼ αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ θεοῦ καθεστήκασι. πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα· ἐξ αὐτῶν οὖν εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος ποριζέσθω. ἔφη γὰρ ὁ ἀπόστολος, ταῖς χρείαις μου, καὶ τοῖς οὖσιν μετʼ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω χωρίοις, διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων παραχωρείσθω.

ΒΑΛΣ. Σαφής ἐστιν ὁ κανών. διορίζεται γάρ, μὴ κατατάττεσθαί τινα κληρικὸν εἰς δύο ἐκκλησίας, διὰ τὸ εἶναι τοῦτο αἰσχροκέρδειαν καὶ ἐμπορείαν. ὡς δέ τινος εἰπόντος, καὶ πόθεν τὰ πρὸς αὐτάρκειαν ἕξουσιν οἱ κληρικοὶ ἀνενδεῶς; εἶπον οἱ πατέρες, πολλὰ εἶναι καὶ διάφορα ἐπιτηδεύματα, ἐλεύθερα καὶ ἀκατάγνωστα, καὶ πορίζεσθωσαν διʼ αὐτῶν τὰ χρειώδη. παρήγαγον δὲ καὶ χρήσεις χάριν τούτου ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων καὶ εὐαγγελικάς. εἰς μέντοι τὰς ἔξω τῆς βασιλευούσης τῶν πόλεων χώρας, ἔνθα λεῖψις ἀνθρώπων εἰδότων γράμματά ἐστι, παρεχώρησαν καὶ εἰς δύο ἐκκλησίας κατατάττεσθαί τινα κληρικόν. γίνεται δὲ σήμερον τὸ ἀνάπαλιν. ἐν γὰρ ταῖς ἔξω χώραις, διὰ τὴν βασιλικὴν ἐξκουσσείαν τῶν ἱερέων, πλείους εἰσὶν οἱ κληρικοὶ παρὰ τὰς ἐκκλησίας, καὶ διὰ τοῦτο οὐδεὶς κατατάττεται εἰς δύο ἐκκλησίας. C ἐν δὲ τῇ βασιλευούσῃ τῶν πόλεων οὐ μόνον εἰς δύο ἐκκλησίας, ἀλλὰ καὶ εἰς τρεῖς οἱ πλείους κατατάττονται. ὡς ἔοικε δὲ καταπεφρόνηνται τὰ τοῦ παρόντος κανόνος, διὰ τὸ μὴ κολάζεσθαι τοὺς τούτου καταφρονητάς, ἢ διὰ τὸ πλῆθος τῶν ἐκκλησιῶν καὶ τὴν στενοχωρίαν τῶν ἀξιολογωτέρων καὶ τῶν πραγμάτων. οἱ δὲ λέγοντες τὸν κανόνα διαλαμβάνειν περὶ τῶν βουλομένων εἰς δύο πόλεις κατατάττεσθαι κλήρους, κακῶς λέγουσι. τοῦτο γὰρ ἕτεροι διάφοροι κανόνες μετὰ σφοδρότητος ἐκόλασαν.

ΖΩΝΑΡ. Τὸ ἐν δύο ἐκκλησίαις τάττεσθαι κληρικὸν τὸν αὐτὸν ἀπαγορεύει ὁ κανών, αἰσχροκέρδειαν τοῦτο καλῶν καὶ ἐμπορείαν. οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, καὶ ἕκαστος, φησι, κατὰ τὸν ἀπόστολον, ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω, καὶ προσεδρεύειν κελεύει τῇ ἐκκλησίᾳ, ἐν ᾗ ἐξ ἀρχῆς ἐκληρώθη. ὅσα γὰρ διʼ αἰσχροκέρδειαν γίνονται ἐπὶ τῶν ἐκκλησιαστικῶν, ἀλλοτριοῦσι τοῦ θεοῦ. τὸ δὲ ἐν δύο ἐκκλησίαις τάττεσθαι, πάντως διὰ τὸ ἀμφοτέρωθεν λαμβάνειν σιτηρέσια γίνεται, ὅπερ κέρδους αἰσχροῦ ἐστιν. ὥσπερ δέ τινος ἀντειπόντος, ὅτι καὶ πῶς ζήσονται οἱ κεκληρωμένοι, μὴ ἀρκούμενοι τοῖς διδομένοις αὐτοῖς ἐκ τῆς μιᾶς ἐκκλησίας; ἀντιτιθέασιν οἱ ποιηταὶ τοῦ κανόνος, E ὅτι διάφορά εἰσιν ἐπιτηδεύματα πρὸς τὴν τοῦ βίου χρείαν. καὶ ἐκ τούτων, τινὰ μετερχέσθωσαν, ἵνα, ὧν χρήζουσι, διὰ τούτων ταῦτα πορίζωνται, καὶ ἐκ τοῦ ἀποστόλου χρῆσιν παράγουσιν, αἱ χεῖρές μου, εἰπόντος, ὑπηρέτησαν ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετʼ ἐμοῦ, ὡς ἐν ταῖς πράξεσι γέγραπται. ταῦτα δέ, φασι, λέγομεν γίνεσθαι ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει, διὰ τὴν πολυπλήθειαν τῶν ἐν αὐτῇ. ἐν δὲ ταῖς ἔξω χώραις, ἔνθα ἔλλειψις ἀνθρώπων ἐστί, παραχωρείσθω τὸ ἕνα ἐν δύο ἐκκλησίαις κατατάττεσθαι.

ΑΡΙΣΤ. Κληρικὸς ἐν δυσὶν ἐκκλησίαις τὸ λοιπὸν μὴ καταταττέσθω ἐν Κωνσταντινουπόλει· ἔξω δὲ ταύτης παραχωρείσθω, διὰ τῶν ἀνθρώπων τὴν ἔλλειψιν. F

Οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, κατὰ τὴν κυριακὴν φωνήν, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. διὰ τοῦτο καὶ τὰ διʼ αἰσχροκέρδειαν ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων γινόμενα, ὡς ἀλλότρια θεοῦ, ἡ σύνοδος αὕτη ἀποβάλλει· καὶ οὐ συγχωρεῖ ἐν Κωνσταντινουπόλει,

una Eccleſia aſſidere. Quæ enim propter turpe lucrum fiunt in Eccleſiaſticis negotiis, ea à Deo ſunt aliena. Ad hujus autem vitæ uſum ſunt diverſa ſtudia: ex iis ergo, ſi quis velit, ea quæ ſunt corpori ad uſum neceſſario comparet. Dixit enim Apoſtolus; uſibus meis, & iis qui mecum ſunt, manus iſtæ ſubminiſtrârunt. Et hæc quidem in hac à Deo conſervanda civitate: in iis autem quæ extra ſunt locis, propter hominum inopiam indulgeatur.

Bals. Perſpicuus eſt Canon. Statuit enim, ne quis Clericus in duabus eccleſiis conſtituatur, quòd id ſit turpe lucrum & negotiatio. Perinde autem ac ſi dixiſſet quiſpiam; Et unde Clerici ea, quæ ad victum ſufficiunt, citra ullam indigentiam habebunt? dixerunt patres, multa eſſe & diverſa ſtudia, libera & non damnanda: & per ea quæ ſibi ſunt ad victum neceſſaria acquirant. Adduxerunt autem hujus rei gratia etiam ſententias ex Actibus Apoſtolorum & ex Evangeliis. In regionibus autem, quæ ſunt extra reginam urbium, ubi eſt inopia hominum qui ſciunt literas, permiſſum eſt ut aliquis Clericus in duabus Eccleſiis conſtituatur. Fit autem hodie contrà. In externis enim regionibus, propter imperialem ſacerdotum excuſationem, Clerici ſunt plures Eccleſiis, & ideo nullus in duabus Eccleſiis conſtituitur. In regina autem urbium, non ſolùm in duabus, ſed etiam in tribus Eccleſiis plerique conſtituuntur. Ut eſt autem veriſimile, præſens Canon neglectui eſt habitus, eo quòd non puniantur ejus contemptores; vel propter Eccleſiarum multitudinem, vel propterea quòd qui digni ſunt, unà cum rebus ipſis, in anguſtum contracti ſunt. Qui autem dicunt Canonem tractare de iis, qui in duarum urbium cleros referri volunt, malè dicunt. Alii enim Canones hoc vehementiſſimè puniunt.

Zonar. Eundem duabus Eccleſiis Clericum Canon adſcribi vetat, turpis lucri aviditatem ac negotiationem id appellans. Nemo enim poteſt duobus Dominis ſervire, & unuſquiſque, ait, ut monet Apoſtolus, in quo ordine vocatus eſt, in illo permaneat: in cujus igitur Eccleſiæ clerum primo quiſque ſublectus eſt, in ea ſtationem habere perpetuò jubet. Abducunt ſiquidem prorſus à Deo, quæcunque in Eccleſiaſticis rebus ſordidæ utilitatis cupiditate geruntur. Quod vero duabus Eccleſiis quiſpiam adſcribatur, prorſus ex eo fit, ut ex utraque videlicet demenſum accipiat, quo in lucello turpitudo ineſt. Hinc veluti objicienti cuipiam; Qua ratione igitur vitam Clerici tolerabunt, ſi minus, quam ipſis ſufficiat, ab una Eccleſia ſuppeditetur? Auctores Canonis diverſa ſtudiorum genera eſſe reſpondent, quibus ea quæ ad victum pertinent comparentur. Unum igitur ex iis aliquod, cujus ope ſibi neceſſaria conquirant, amplecti debere, remque Apoſtolico oraculo confirmant, dicente, Manus meæ miniſtrârunt uſibus meis, & iis qui mecum ſunt, ut in Actis habetur. Atque hæc quidem, inquiunt, in hac magna ac regina urbium civitate, propter hominum quæ in ea eſt multitudinem, ita ſervari jubemus. Verùm extra illam, quibus in locis hominum penuria eſt, unum duarum Eccleſiarum miniſterio Clericum addici licere decernimus.

Arist. *Clericus in duabus Eccleſiis in poſterum Conſtantinopoli ne conſtituatur: at extra eam propter hominum penuriam permittatur.*

Non poteſt quiſpiam duobus ſervire dominis: vel enim unum odio habebit, ſecundùm dictum dominicum, & alterum diliget; vel unum amplectetur, & alterum contemnet. Quocirca ea, quæ propter turpe lucrum in Eccleſiaſticis negotiis fiunt, ut Deo aliena, hæc Synodus rejicit: & non permittit Conſtantinopoli, A ubi est multitudo ſacerdotum, unum Clericum in duabus Eccleſiis conſtitui; ſed in unâ aſſiduum eſſe Eccleſiâ. Si autem ad vitæ neceſſitatem non ſufficiant, quæ ei dantur, talem aliud ſtudium quærere, & ex eo quæ ſunt corpori neceſſaria comparare, decernit. Ita enim fecit Apoſtolus, ut ipſe dicit; ea quibus mihi opus erat & iis qui mecum ſunt, hæ manus ſubminiſtrârunt.

Canon XVI.

Omnis luxus & ornatus corporeus eſt à ſacerdotali ordine & ſtatu alienus. Epiſcopos ergo vel Clericos, qui ſe B *ſplendidis & inſignibus veſtibus exornant, ſe corrigere oportet; ſin autem permaneant, pœnis coërceri: ſimiliter & eos, qui ſunt unguentis delibuti. Quoniam autem radix acerbitatis ſurſum pullulans, Catholicæ Eccleſiæ fuit inquinamentum, Chriſtianos ſcilicet accuſantium hæreſis; & qui eam ſuſceperunt, non ſolum imaginum picturas averſati ſunt, ſed omnem etiam pietatem ac religionem extruſerunt, eos, qui piè & honeſte vivunt, odio habentes; & in iis impletum fuit quod ſcriptum eſt; Abominatio peccatori religio & verus Dei cultus. Si inventi itaque fuerint nonnulli eos irridentes, qui vilem &* C *modeſtum amictum induti ſunt, pœna corrigantur. A ſuperioribus enim uſque temporibus omnis vir ſacratus cum moderato & honeſto indumento verſabatur. Quicquid enim, non propter uſum, oſtentatorium ornatum aſſumitur, in luxus reprehenſionem incurrit, ut ait magnus Baſilius. Sed nec ex ſericis texturis variatum quis veſtimentum habebat: neque in veſtimentorum fimbriis adjecta erant alieni coloris additamenta. Ex divina enim lingua audierunt; quòd, Qui mollibus veſtiuntur, in ædibus regum ſunt.*

Bals. Cùm Iconomachi omnem Eccleſiaſticam D conſtitutionem & pietatem in confuſionem & impietatem mutâſſent, utpote Clericis & Epiſcopis, qui ad eos accedebant, impiè & temere vitam inſtituere permiſſis, ut eorum voluntati obſequerentur; & ideo ſacerdotale quoque indumentum ad id quod plus habet luxûs & ornatûs mutatum eſſet: ſtatuerunt divini patres, eos puniri qui ſe ſplendida veſte exornant, & poſt denunciationem non corriguntur, & ſimiliter puniri eos qui unguentis delibuti ſunt. Quoniam autem hi præterea hæretici irridebant eos, qui piè & honeſtè vivebant, & vilioribus utebantur veſtibus propter humilitatem: ſtatuerunt ſancti patres eos, qui tale quid faciunt, E per pœnas corrigi; Sacerdotes enim, inquiunt, ſemper olim modeſtè & honeſtè vitam inſtituebant, (& ſplendidiorem veſtem, quæ non propter uſum corporis ſumitur, oſtentationem ſive luxum magnus vocavit Baſilius) ſed neque ſerica veſte, Metaxatâ ſcilicet (ſeres enim vermes ſunt) induebantur viri ſacerdotales, neque alia diverſi coloris additamenta veſtium ipſarum fimbriis adjiciebant, ſcilicet lembos; & deinde dictum evangelicum adjiciunt. Lege & xxvii. Can. vi. Syn. Cùm autem accuſarentur quidam Clerici ſplendidè induti, qui veſtes Samittos dictas geſtabant, quæ non ſolùm diverſi coloris antepannas ſeu fimbrias habebant, ſed etiam auro intexta, præterea autem, & ſumptuoſas aureas literas; dicebant quidam, F editum eſſe Canonem propter eam, quæ tunc erat in Eccleſiis, rerum confuſionem, & multam Clericorum à pietate alienationem; hodie autem non habere locum Canonem, quandoquidem Dei gratia abſoluta eſt Eccleſiaſtica conſtitutio & pietas, & ad Dei honorem Clerici cum veſtibus ſplendidioribus verſantur: audiverunt autem ſe non rectè dicere. Eſt enim Canon univerſalis; & quæ in eo ſcripta ſunt debent in ſecula ſeculorum obſervari & vim ſuam obtinere: qui verò præter eum vitam inſtituunt, rectè puniuntur, niſi corrigantur.

ἔνθα πλῆθος ἱερωμένων ἐστὶν, ἐν δυσὶν ἐκκλησίαις ἕνα κληρικὸν καταστάττεσθαι, ἀλλ' ἐν μιᾷ προσεδρεύειν ἐκκλησίᾳ. εἰ δὲ οὐκ ἀρκεῖται πρὸς τὴν τοῦ βίου χρείαν τοῖς διδομένοις αὐτῷ, ἐπιτήδευμά τι ἕτερον μετέρχεσθαι τὸν τοιοῦτον διορίζεται, καὶ ἐξ αὐτοῦ πορίζεσθαι τὰ χρειώδη τοῦ σώματος. καὶ γὰρ οὕτως ἐποίει καὶ ὁ ἀπόστολος, ὡς αὐτὸς λέγει· ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται.

ΚΑΝΩΝ ιϛ΄.

Πᾶσα βλακεία καὶ κόσμησις σωματικὴ ἀλλοτρία ἐστὶ τῆς ἱερατικῆς τάξεως καὶ καταστάσεως. τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας Ἐπισκόπους ἢ κληρικοὺς δι' ἐσθήτων λαμπρῶν καὶ περιφανῶν, τούτους διορθοῦσθαι χρή· εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμίῳ παραδίδοσθαι· ὡσαύτως καὶ τοὺς τὰ μύρα χριομένους. ἐπεὶ δὲ ῥίζα πικρίας ἄνω φύουσα, μίασμα γέγονε τῇ καθολικῇ ἐκκλησίᾳ, ἡ τῶν Χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, οὐ μόνον τὰς εἰκονικὰς ἀναζωγραφείσεις ἐβδελύξαντο, ἀλλὰ καὶ πᾶσαν εὐλάβειαν ἀπώσαντο, τοὺς σεμνῶς καὶ εὐσεβῶς βιοῦντας προσοχθίσαντες· καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ γεγραμμένον· βδέλυγμα ἁμαρτωλῶν θεοσέβεια. εἰ εὑρεθῶσι τοίνυν τινὲς ἐγγελῶντες τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν. ἐκ γὰρ τῶν ἄνωθεν χρόνων πᾶς ἱερατικὸς ἀνὴρ, μετὰ μετρίας καὶ σεμνῆς ἀμφιάσεως ἐπολιτεύετο. πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν, ὡς ὁ μέγας ἔφη Βασίλειος. ἀλλ' οὐδὲ ἐκ σηρικῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνεδέδυτό τις, οὐδὲ προσετίθησαν ἑτερόχροα ἐπιβλήματα ἐν τοῖς ἄκροις τῶν ἱματίων. ἤκουσαν γὰρ ἐκ τῆς θεοφθόγγου γλώσσης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλείων εἰσίν.

ΒΑΛΣ. Τῶν εἰκονομάχων μεταβαλόντων πᾶσαν ἐκκλησιαστικὴν κατάστασιν καὶ εὐλάβειαν πρὸς ἀκαταστασίαν καὶ ἀνευλάβειαν, ὡς τῶν αὐτοῖς προσερχομένων κληρικῶν καὶ Ἐπισκόπων ἀνευλαβῶς καὶ ἀδιαφόρως ἐκχωρηθέντων πολιτεύεσθαι, ἵνα τοῖς θελήμασιν αὐτῶν ὑπείκωσι, καὶ διὰ τοῦτο καὶ τῆς ἱερατικῆς ἐνδυμενίας πρὸς τὸ βλακικώτερον μεταβληθείσης καὶ κοσμιώτερον· διωρίσαντο οἱ πατέρες ἐπιτιμᾶσθαι τοὺς καλλωπίζοντας ἑαυτοὺς διὰ ἐνδυμενίας λαμπρᾶς, καὶ μὴ διορθουμένους μετὰ παραγγελίαν, ὡσαύτως κολάζεσθαι καὶ τοὺς τὰ μύρα χριομένους. ἐπεὶ δὲ οἱ αὐτοὶ αἱρετικοὶ πρὸς τούτοις κατεγέλων τῶν βιούντων μετὰ σεμνότητος καὶ εὐλαβείας, καὶ ἐνδύμασι χρωμένων εὐτελεστέροις διὰ ταπείνωσιν· ὥρισαν οἱ θεῖοι πατέρες τοὺς τοιοῦτόν τι ποιοῦντας δι' ἐπιτιμίων διορθοῦσθαι· ὅτι, φασὶν, οἱ ἱερεῖς ἀείποτε μετὰ μετρίας καὶ σεμνῆς διαγωγῆς ἐπολιτεύοντο (καὶ τὸν μὴ διὰ χρείαν τοῦ σώματος λαμπρότερον ἱματισμὸν περπέρειαν ἤγουν βλακείαν ὠνόμαζεν ὁ μέγας Βασίλειος,) ἀλλ' οὐδὲ ἐσθῆτα σηρικὴν ἤγουν μεταξωτὴν (σῆρες γὰρ οἱ σκώληκες) ἐνεδέδυντο ἱερατικοὶ ἄνδρες, οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθησαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν, ἤγουν μαργέλια, καὶ ἐφεξῆς ἐπιφέρουσι τὸ εὐαγγελικὸν ῥητόν. ἀνάγνωθι καὶ τὸν κζ΄. κανόνα τῆς ϛ΄. συνόδου. αἰτιωμένων δὲ τῶν λαμπρειμονούντων κληρικῶν διὰ ἱματίων λεγομένων ἐξαμίτων ἐχόντων, οὐ μόνον ἑτερόχροα ἀντίπασμα, ἀλλὰ καὶ χρυσόπαστα, πρὸς δὲ καὶ γράμματα πολυτελῆ χρυσᾶ, εἶπόν τινες τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὴν τότε οὖσαν ἀταξίαν εἰς τὰς ἐκκλησίας, καὶ τὴν πολλὴν ἀνευλάβειαν τῶν κληρικῶν, σήμερον τε μὴ ἔχειν χώραν τὰ τοῦ κανόνος, ὅτε Θεοῦ χάριτι πᾶσα ἐστὶν ἐκκλησιαστικὴ κατάστασις καὶ εὐλάβεια, καὶ πρὸς τιμὴν Θεοῦ οἱ κληρικοὶ μετὰ ἱματίων λαμπροτέρων πολιτεύονται. ἤκουσαν δὲ μὴ καλῶς λέγειν. καθολικὸς γάρ ἐστιν ὁ κανὼν, καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων τὰ ἐν αὐτῷ κρατεῖν καὶ ἐνεργεῖν ὀφείλουσι· οἱ δὲ παρὰ τοῦτον πολιτευόμενοι, καλῶς ἐπιτιμηθήσονται, εἰ μὴ διορθωθῶσιν.

ΖΩΝΑΡ. Καὶ ὁ εἰκοστὸς ἕβδομος κανὼν τῆς ἕκτης Συνόδου περὶ ἀμφιάσεως ἱερατικῶν διατάττεται· ἀλλὰ τῶν εἰκονομάχων συγχεάντων τὰ ἔθη τὰ ἐκκλησιαστικά, ἦλθε καὶ ἡ παροῦσα σύνοδος εἰς τὴν περὶ τούτου θεσμοθεσίαν. καὶ κελεύει τοὺς ἑαυτοὺς καλλωπίζοντας διὰ λαμπρῶν ἱματίων Ἐπισκόπους ἢ κληρικοὺς διορθοῦσθαι, ἢ ἐπιμένοντας ἐπιτιμᾶσθαι, ὁμοίως καὶ τοὺς τὰ μύρα χριομένους. ἐπεὶ δέ, φησιν, ἡ τῶν χριστιανοκατηγόρων αἵρεσις, καὶ οἱ ταύτην δεξάμενοι, καὶ τὰς σεπτὰς εἰκόνας ἐβδελύξαντο, ἀπώσαντο δὲ καὶ πᾶσαν εὐλάβειαν, μισοῦντες καὶ ἀποστρεφόμενοι τοὺς σεμνῶς βιοῦντας, εἰ εὑρεθῶσιν ἐγγελῶντες τοῖς εὐτελῆ καὶ σεμνὰ ἐνδεδυμένοις, ἐπιτιμάσθωσαν, ἵνα διορθῶσιν. ἐκ γὰρ τῶν ἀρχαίων χρόνων, φησὶν ἡ σύνοδος, οἱ ἱερατικοὶ ἄνδρες μετρίως καὶ σεμνῶς ἐπολιτεύοντο. εἶτα καὶ τὸν μέγαν Βασίλειον εἰς μαρτυρίαν παράγει, ἑρμηνεύοντα τί ἐστι περπερεία· ὅς φησιν, ὅτι πᾶν, ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν. οὔτε δὲ ἐκ μετάξης ἐσθῆτας πεποικιλμένας (αὗται γὰρ αἱ σηρικαί, ὡς διὰ σηρῶν γινόμεναι· σῆρες γὰρ οἱ σκώληκες λέγονται,) οἱ ἱερατικοὶ πάλαι ἐνεδέδυντο, λέγει ἡ σύνοδος· οὔτε τινὰ ἑτερόχροα ἐπιβλήματα προσετίθεσαν ἐν τοῖς ἄκροις τῶν ἱματίων αὐτῶν. καὶ ἑξῆς ἐπιφέρει τὸ εὐαγγελικὸν ῥητόν.

ΑΡΙΣΤ. Ἐπίσκοποι, ἢ κληρικοί, λαμπραῖς ἑαυτοὺς κοσμοῦντες ἐσθῆσιν, ἢ μύρα χριόμενοι, διορθούσθωσαν· ἐπιμένοντες δέ, ἐπιτιμάσθωσαν. Σαφής.

ΚΑΝΩΝ ιζʹ.

Τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν μοναστήρια, ἐφιέμενοι τοῦ ἄρχειν, καὶ τὸ ὑπακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες. εἴ τις οὖν τοῦτο ἐπιχειρήσοι ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τὸν τόπον Ἐπισκόπου· εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχει τὰ βεβουλευμένα αὐτῷ εἰς πέρας ἀγέσθωσαν. τὸ αὐτὸ δὲ φυλαττέσθω καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

ΒΑΛΣ. Καὶ πάλιν οἱ ἅγιοι πατέρες, μὴ ἀνεχόμενοι ὅλως παρρησιάζεσθαι τὸ τῆς φιλοδοξίας πάθος εἰς τοὺς πολιτευομένους κατὰ Θεόν, διωρίσαντο, τοὺς καταλιμπάνοντας μοναχοὺς τὰ οἰκεῖα μοναστήρια διὰ φιλοδοξίαν ἢ ἀνυποταξίαν, καὶ ἐγχειροῦντας μὲν κτίζειν εὐκτηρίους οἴκους, μὴ ἔχοντας δὲ αὐτάρκειαν πρὸς ἀπαρτισμόν, κωλύεσθαι παρὰ τοῦ κατὰ χώραν Ἐπισκόπου, ὥσπερ συγκροτεῖσθαι τοὺς ἔχοντας ἀνενδεῶς. τὸ αὐτὸ δὲ γίνεσθαι καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν. σὺ δὲ εἰ θέλεις μαθεῖν πλατύτερον πῶς καὶ κατά τινων κτίζονται τὰ μοναστήρια, ζήτει κεφ. αʹ. τοῦ αʹ. τίτλου τοῦ δʹ. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγʹ· Ἰουστινιανείου νεαρᾶς, καὶ τὸ ὅλον αʹ. κεφ. τοῦ ιαʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· ὡσαύτως καὶ τὸν αʹ. κανόνα τῆς ἁγίας καὶ μεγάλης αʹ. καὶ βʹ. Συνόδου τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης, καὶ μάθης πάντα τὰ περὶ τῆς οἰκοδομῆς τῶν μοναστηρίων. τὸ μέντοι προρρηθὲν παρὰ τῶν ἁγίων πατέρων, μὴ ἐξακουόμενον καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν, ἐκλαβοῦ εἰς μόνους τοὺς μοναχούς. τὸ δὲ κωλύεσθαι τοὺς κτίζοντας μοναστήρια, καὶ μὴ ἔχοντας ἀρκοῦσαν δαπάνην, ἕλκυσον εἰς πάντας, ἤγουν εἰς λαϊκούς, κληρικούς, Ἐπισκόπους, μοναχοὺς καὶ λοιπούς. ἐρωτήσει δέ τις, καὶ πῶς τὴν δαπάνην ἀπαιτηθήσεται ὁ θέλων κτίσαι μοναστήριον; ἆρα χρυσίου πολλά τινα τάλαντα ἢ μετρίους στατῆρας; Λύσις. οὐδὲν ἐξ ἀμφοῖν. οὔτε γὰρ ἀναγκάζεταί τις προσαγαγεῖν τῷ Θεῷ μεγαλοπρεπῆ καὶ ἀξίαν προσαγωγήν, οὔτε μικροπρεπὲς χρυσίου κερμάτιον, μὴ ἀρκοῦν εἰς ὃ προέθετο προφέρων εἰσακουσθήσεται. ἀλλ᾽ ἐπεὶ τὸ ἐλάχιστον ὑπὸ τριῶν μοναχῶν συνίσταται μοναστήριον, ἀναγκασθήσεται ὁ κτίσαι μέλλων προσαγαγεῖν,

A **Zonar.** De hominum qui ſacro ordini adſcripti ſunt indumentis, Synodi quoque ſextæ Can. xxvii. decernitur: ſed cum ritus Eccleſiaſticos Iconomachi perturbâſſent, idcirco de eadem re hæc quoque ſynodus decreto cavendum exiſtimavit. Si quis ergo Epiſcopus aut Clericus pretioſam veſtem ad ornatum cultúmq; corporis adhibuerit, aut unguento delibutus fuerit, primũ admoneri hominem, tum, ſi perſtiterit, pœnis quoq; in eum animadverti jubet. Quoniam vero, inquit, Chriſtiano accuſatorum hæreſis, quiq; illâ tenebantur, non modo ſacris imaginibus bellum indixêre; ſed totius quoq; religioſæ modeſtiæ prorſus obliti, eos, quorum moribus ac vitæ gravitas ineſſet, oderant B & averſabantur: ſi demiſſo ac modeſto ornatu indutos homines irridere deprehenſi fuerint, correctionis ergo puniendos eſſe decernit. Nam vel à prima antiquitate Deo ſacrati homines in omni victu cultúq; moderati & graves, inquit Synodus, extitêre. Deinde magni quoque Baſilii, quid περπερεία ſit explicantis, teſtimonium adducit. Quotieſcunque enim quidpiam, non ad uſum, ſed ad ornatum tantummodo ac elegantiam adhibeas, in vitium, inquit, quod περπερεία dicitur, incurras. Neque vero veſtibus ex metaxa variegatis (ſunt autem illæ ſericæ, à Seribus quippe metaxa conficitur; Seres porro vermes quidam dicuntur,) qui in ſacrum ordinem cooptati fuerant, inquit ſyn- C odus, antiquis temporibus utebantur; neque illis colorati panni additamenta indumentorum fimbriis aſſuere mos erat. Quæ mox Evangelica ſententia clauduntur.

Arist. *Epiſcopi vel Clerici ſplendidis ſe induentes veſtibus, vel unguentis delibuti, corrigantur. Perſiſtentes autem puniantur.* Perſpicuus.

Canon XVII.

Quidam monachi, ſuis monaſteriis relictis, ut qui imperare deſiderent, & parere recuſent, oratoria ædificare adgre- D *diuntur, cùm ea non habeant quæ ad perfectionem pertinent. Si quis igitur hoc facere aggreſſus fuerit, prohibeatur ab ejus loci Epiſcopo: ſi habeat autem quæ ad perfectionem ſufficiunt, ab ipſo deliberata ad finem deducantur. Idem autem ſervetur in Laicis & Clericis.*

Bals. Rurſus quoque ſancti patres, cùm omnino non ferrent gloriæ cupiditatem inter eos verſari, qui ſecundùm Deum vivere conſtituunt, ſtatuerunt, ut Monachi, qui propter gloriæ cupiditatem ſua monaſteria relinquunt, vel etiam propter inobedientiam, & oratoria quidem ædificare aggrediuntur, non habent autem quæ ad ejus perfectionem ſufficiunt, prohibeantur ab illius regio- E nis Epiſcopo, ut qui ea conſtituere minùs ſufficiunt. Hoc ipſum autem etiam fieri in Laicis & Clericis decrevêre. Si latius autem ſcire velis, quomodo & à quibus ædificantur monaſteria, quære i. cap. i. tit. iv. lib. Baſilic. quæ quidem eſt pars cxxiii. Juſtiniani novellæ, & totum i. cap. xi. tit. præſentis operis, & quæ ſunt in eo; ſimiliter & i. Can. ſanctæ & magnæ i. & ii. Syn. quæ in templo ſanctorum Apoſtolorum congregata eſt: & diſces omnia quæ ad monaſteriorum ædificationem pertinent. Quod autem à ſanctis patribus in proœmio dictum eſt, in Laicis etiam & Clericis non exauditum, de ſolis Monachis accipe. Prohiberi autem eos, qui Monaſteria F ædificant, & ſumptum ſufficientem non habent, ad omnes ſcilicet Laicos, Clericos, Epiſcopos, Monachos, & reliquos extende. Rogaverit autem quiſpiam, & quantus ſumptus ab eo exigetur, qui velit monaſterium extruere? Multáne auri talenta, an ſtateres aliquot? Solutio. Neutrum. Non enim cogetur quiſpiam magnificam & magni pretii Deo offerre oblationem, nec minutula aliquot auri numiſmata, ad ea quæ propoſuit non ſufficientiam afferens exaudietur. Sed quia monaſterium à tribus ad minimum Monachis conſtituitur, cogetur, qui vult ædificare, afferre, ſi non plura, ea quidem certè quæ ſufficiunt ad templi perfectionem, ſuámque & trium Monachorum habitationem & proviſionem. Dicit enim xiv. Imp. domini Leonis philoſophi novella poſt proœmium hæc; Dicimus itaque quòd quoniam divino ore dictum eſt, ubi ſunt duo vel tres congregati in nomine meo, illic ſum in medio eorum, oportet tribus ad minimum ſufficere opus, quod monaſterii ſubit appellationem, & aliorum ſcilicet pretioſorum inſtrumentorum, quæ ad ceremonias Deique cultum & nominis celebrationem pertinent, non deeſſe facultatem. Eum ergo, qui monaſterium conſecrare velit adgredi citra prohibitionem, eò uſque ad minimum oportebit ad ejus conſecrationem impendere. Quoniam autem plurimi, qui ſe tali rei adgrediundæ dedidêre, nonnunquam poſtea conſilio fruſtrantur, morte præveniente, & eorum inter homines converſationem tollente, illud à nobis decernitur; quòd ſi teſtamentum præceſſerit, quæ in eo diſpoſita ſunt, erunt Eccleſiæ: ſin autem cujuſmodi multa rerum affert incertitudo, ante factum de rebus ſuis teſtamentum è medio ſublatus fuerit, ſi ſint quidem tres liberi, quartam bonorum partem ſibi vendicabit monaſterium: ſin autem ultra tertium numerum prolis proceſſerit multitudo, monaſterium unà cum liberis numerabitur, & unuſquiſque eorum æqualem partem accipiet univerſarum facultatum, quas defuncti debita non attingunt. Si autem liberos non habeat qui vita exceſſit, ſed relictis parentibus deceſſerit, iis quæ habet bifariam diviſis, altera quidem pars parentibus, altera verò monaſterio tradetur. Si autem hæredibus aſcendentibus deſtitutus fuerit, eos autem, qui per tranſverſalem lineam eum attingunt, clerus admiſerit: ipſi quidem, quicunque fuerint, tertiam partem poſſidebunt, duæ autem partes Eccleſiæ accedent. Et hæc quidem de iis qui monaſteria ædificant. Interrogatio. Si quis autem domum oratoriam, non monaſterium, ædificare voluerit, tantùm ne ut afferat impenſam, ab eo poſtulabitur? Solutio. Nequaquam. Hæc enim de ſolis monaſteriis lata ſunt. Qui eſt ergo ædificaturus offerre cogetur quod ſatis eſt, ex Epiſcopi examinatione. His ergo ita ſe habentibus, in urbium quidem regina ab eo, qui ſtatis temporibus eſt Cartophylax, crucis fixio extra urbem alicui, templum excitare volenti non datur, niſi juxta primum Canonem i. & ii. Syn. in ſcriptis depoſuerit, ſe omnia attuliſſe quæ ad ejus perfectionem pertinent, ut ſuperiùs dictum eſt, & ea minutatim conconfirmaverit in Eccleſiaſtico codice. In externis autem regionibus, ut mihi quidem videtur, nihil ejuſmodi ſubtilitate diſquiritur; ſed licet omni volenti abſque ulla moleſtia oratoria ædificare. Quin & hîc etiam multi, abſque ſcientia Epiſcopi, multa audent ejuſmodi. Quia autem ſolius templi ſumptûs meminit Canon; ſumptûs autem nomine, omnia quæ ſunt monaſterio utilia & iis, qui in ipſo exercentur, comprehenduntur; debes tu ſumptum quoque ſic accipere.

Zonar. A Monachis monaſteria exædificari ne liceat, hic Canon decernit: ab imperandi ſiquidem ſtudio parendíque impatientia homines in id conſilium impelli dicit. Cum enim illos, inquit, obedientiæ tædium cepit, ædificationem moliuntur. Mox cùm ad perficiendum facultates non ſuppetant, opera inchoata relinquunt. Id ne fiat, Epiſcopi ſtudio curari, jubet. Quòd ſi cui tantum ſuppetat in ſumptum, quantum operi abſolvendo ſatis eſſe poſſit, ab eo cogitata perfici nihil vetat. Eandem porro conſtitutionem ad Clericos & ad Laicos pariter extendi placet.

Arist. *Qui monaſterium extruere vult, ſi habeat quidem quibus perficiat, opus adgrediatur, & ad finem iſtud perducat. Sin minus, à loci Epiſcopo prohibeatur. Idem & de Laicis & Monachis valet.*

A εἰ μὴ πλείονα, πρὸς γοῦν τὰ ἀρκοῦντα εἰς ἀπαρτισμὸν ναοῦ καὶ οἰκονομίαν αὐτοῦ καὶ τριῶν μοναχῶν. φησὶ γὰρ ἡ ιδʹ. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου μετὰ τὸ προοίμιον ταῦτα· φαμὲν οὖν, ὡς ἐπεὶ τὸ θεῖον ἀπεφήνατο στόμα, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν, χρῆναι τὸ ἐλάχιστον τρισὶν ἐπαρκεῖν τὸ μοναστηρίου κλῆσιν ὑποδυόμενον ἔργον, δηλονότι καὶ τῶν ἄλλων ἱερῶν κειμηλίων, ὅσα τε πρὸς ἁγιστείαν καὶ δοξολογίαν ὁρῶσιν, ὑπαρχούσης τῆς εὐπορίας. τῷ μὲν οὖν πρὸς ἀνιέρωσιν μοναστηρίου ἀκώλυτον ἔχοντι τὴν ἐπιχείρησιν, εἰς τοσοῦτον δεήσει τὸ ἐλάχιστον τὸ ἀφιέρωμα συντελεῖν. ὅτι δὲ οἱ B πλεῖστοι πρὸς τὴν τοιαύτην ἐπιχείρησιν ἑαυτοὺς ἐπιδιδόντες, ἐνίοτε ὀπίσω βουλῆς ἀπολείπονται, προλαβόντος τοῦ θανάτου, καὶ τῆς ἐν ἀνθρώποις αὐτοὺς συναναστροφῆς ἐξαφανίζοντος, ἐκεῖνο ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προελθούσης, τὰ ἐν αὐτῇ διορισθέντα ἔσται τῆς ἐκκλησίας. εἰ δὲ ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον, πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόντων ἄχρι τριῶν τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή· ἐπέκεινα δὲ τοῦ τρίτου ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας, ἧς C οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος. ἄπαιδος δὲ ὑπάρχοντος τοῦ τὸν βίον ἀπολιπόντος, ἐπὶ γονεῦσι δὲ λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων, ἡ μὲν γονεῦσι, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παραχωρηθήσεται. εἰ δ' ἔρημος εἴη κληρονόμων ἀνιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται· αὐτοὶ μὲν, ὅσοι ἂν καὶ ὦσι, τὸ τρίτον μέρος διανεμήσονται, τὸ δίμοιρον δὲ προσχωρήσει τῇ ἐκκλησίᾳ. καὶ ταῦτα μὲν εἰς τοὺς κτίζοντας μοναστήρια. ἐρώτησις. εἰ δέ τις εὐκτήριον οἶκον, οὐχὶ μοναστήριον, θελήσει κτίσαι, τοσαύτην δαπάνην προσαγαγεῖν ἀπαιτηθήσεται; Λύσις. οὐδαμῶς. περὶ γὰρ μοναστηρίων ταῦτα νενομοθέτηται. ἀναγκασθήσεται οὖν ὁ D κτίσαι μέλλων προσαγαγεῖν, κατὰ δοκιμασίαν τοῦ Ἐπισκόπου, τὸ ἀρκοῦν. τούτων οὕτως ἐχόντων, ἐν μὲν τῇ βασιλευούσῃ τῶν πόλεων ἄλλως σταυροπήγιον παρὰ τοῦ κατὰ καιροὺς χαρτοφύλακος οὐ δίδοταί τινι ἔξω τῆς πόλεως ταύτης ἀνεγεῖραι θέλοντι ναὸν, εἰ μὴ κατὰ τὸν αʹ. κανόνα τῆς πρώτης καὶ δευτέρας συνόδου καταθήσεται δι' ἐγγραφῆς, προσενεγκεῖν πάντα τὰ πρὸς ἀπαρτισμὸν τούτου, ὡς εἴρηται, καὶ βεβαιώσῃ αὐτὰ κατὰ λεπτὸν ἐν τῷ ἐκκλησιαστικῷ κώδικι. ἐν δὲ ταῖς ἔξω χώραις, ὡς ἐμοὶ δοκεῖ, οὐδέν τι τοιοῦτον ἀκριβολογεῖται, ἀλλὰ παντὶ τῷ βουλομένῳ ἐφεῖται ἀπολυπραγμονήτως κτίζειν εὐκτήρια. καὶ ἐνταῦθα δὲ οἱ πλείους χωρὶς εἰδήσεως ἐπισκοπικῆς πολλὰ τολμῶσι E τοιαῦτα. ἐπεὶ δὲ μόνης δαπάνης τοῦ ναοῦ ἐμνήσθη ὁ κανὼν, τῷ ὀνόματι δὲ τῆς δαπάνης πάντα τὰ χρειώδη τῷ μοναστηρίῳ καὶ τοῖς ἀσκουμένοις ἐν αὐτῷ συμπεριλαμβάνονται, ὀφείλεις καὶ σὺ οὕτως ἐκλαβέσθαι τὴν δαπάνην.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ παρὰ μοναχῶν κτίζεσθαι μοναστήρια, φιλαρχίας λέγων εἶναι τοῦτο καὶ ἀνυποταξίας. ἀπαυδαινόμενοι γὰρ, φησι, τουτέστιν ἀρνούμενοι τὴν ὑπακοὴν, ἐπιχειροῦσι κτίζειν. καὶ μὴ εὐποροῦντες ἀπαρτίσαι αὐτὰ, καταλιμπάνουσιν ἀτελῆ. τοῦτο F κωλύεσθαι παρὰ τῶν Ἐπισκόπων ὁρίζει. εἰ δὲ ἔχει ἀρκοῦσαν δαπάνην εἰς τὸ ποιῆσαι τέλειον ἔργον, ὃ ἐβουλεύσατο γινέσθω. τὸ αὐτὸ δὲ διορίζεται κρατεῖν καὶ ἐπὶ κληρικῶν καὶ λαϊκῶν.

ΑΡΙΣΤ. Ὁ βουλόμενος κτίσαι μοναστήριον, εἰ μὲν ἔχοι τὰ πρὸς ἀπαρτισμὸν, ἀρχέσθω τοῦ ἔργου, καὶ εἰς πέρας ἀγέσθω τοῦτο· εἰ δὲ μὴ, κωλυέσθω παρὰ τοῦ κατὰ χώραν Ἐπισκόπου. τούτου κρατοῦντος καὶ ἐπὶ λαϊκῶν καὶ μοναχῶν.

A

ΚΑΝΩΝ ιη'.

Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φησὶν ὁ θεῖος ἀπόστολος· τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν Ἐπισκοπείοις ἢ μοναστηρίοις, παντὸς προσκόμματός ἐστιν αἴτιον. εἴ τις οὖν δούλην ἢ ἐλευθέραν ἐν τῷ Ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ, πρὸς ἐγχείρησιν διακονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ, καθαιρείσθω. εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖκας εἶναι, καὶ θελήσοι ἐπίσκοπος ἢ ἡγούμενος πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος Ἐπι- B σκόπου ἢ ἡγουμένου, μηδ' ὅλως ἐγχείρησιν διακονίας ποιείσθω κατ' ἐκεῖνον τὸν καιρὸν γυνὴ, ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν ποιήσεται ὁ ἐπίσκοπος, διὰ τὸ ἀνεπίληπτον.

Canon XVIII.

Sine offenſione eſte etiam iis qui extra ſunt, inquit divinus Apoſtolus: mulieres autem in Epiſcopiis vel monaſteriis verſari, eſt omnis offenſionis cauſa. Si quis ergo ancillam vel liberam in Epiſcopio poſſidere deprehenſus fuerit, vel in monaſterio, ad miniſterium aliquod obeundum, reprehendatur: ſin autem perſeveret, deponatur. Si vero etiam in ſuburbiis mulieres eſſe contigerit, voluerit Epiſcopus vel monaſterii præfectus illuc iter facere præſenti Epiſcopo vel monaſterii præfecto, mulier eo tempore nullo modo miniſterium obeat; ſed alio in loco ſeorſum degat, donec receſſerit Epiſcopus: ut omnis reprehenſionis occaſio vitetur.

ΒΑΛΣ. Μαθόντες, ὡς ἔοικεν, οἱ ἅγιοι πατέρες, ὅτι εἰς ἐπισκοπεῖα καὶ εἰς μοναστήρια διάγουσι γυναῖκες, εἶπον, ὡς ἐπεὶ ὁ μέγας ἀπόστολος Παῦλος πρὸς Κορινθίους ἐπιστέλλων διωρίσατο ἀπροσκόπους εἶναι ἡμᾶς, μὴ μόνοις τοῖς ἐντὸς, ἀλλὰ καὶ τοῖς ἔξωθεν, ἤγουν μὴ μόνοις τοῖς πιστοῖς, ἀλλὰ καὶ τοῖς ἀπίστοις· τὸ δὲ συνδιάγειν μετὰ γυναικῶν ἐπισκόπους C ἢ ἡγουμένους, ἐν μοναστηρίῳ ἢ ἐν ἐπισκοπείῳ, παντός ἐστι προσκόμματος αἴτιον, καὶ λοιδορία οὐ τυχοῦσα τῆς ἐκκλησιαστικῆς καταστάσεως· ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ τοιοῦτόν τι ποιήσοντες, ἐπιμένοντες δὲ καθαιρεῖσθαι. ὡς δέ τινος εἰπόντος ἀδιάκριτον εἶναι τὸ κολάζεσθαι τούτους, ὁπωσδήποτε μετὰ γυναικῶν συνδιαιτωμένους (συμβαίνει γάρ τινα ἐξ αὐτῶν κατὰ πάροδον καταλῦσαι εἰς προάστειόν τι γυναῖκας ἔχον, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὴν μετὰ τούτων διαγωγὴν ἀποπέμψασθαι) ὡρίσθη, εἰ συμβῇ τοῦτο, μηδ' ὅλως ὁρῶντος τοῦ ἐπισκόπου ἢ τοῦ ἡγουμένου διακονεῖν τὰς γυναῖκας, ἀλλ' ἐν τόπῳ ἑτέρῳ ταύτας ἀναχωρεῖν καὶ ἡσυχάζειν D ἔστ' ἂν οὗτοι ἀποχωρήσωσι· τὴν δὲ τούτων διακονίαν γίνεσθαι πάντως παρὰ ἀνδρῶν. οὕτω γὰρ τὸ ἀνεπίληπτον ἤτοι ἀσκανδάλιστον ἐπ' αὐτοῖς συντηρηθείη. ἆρα δὲ ἐὰν ἐξ ἀντιδιαστολῆς ἐν ἐπισκοπείῳ ἢ μοναστηρίῳ μὴ συνδιάγωσι μετὰ γυναικῶν, ἀλλ' ἐν ἑτέρᾳ κατοικίᾳ, συγγνωμονηθήσονται; Λύσις· οἱ μὲν κανόνες, καθὼς πολλάκις εἴπομεν, καὶ τὸ νζ'. κεφ. τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν ἀπαγορεύουσιν ἱερωμένον τινὰ μετὰ ὑπόπτου γυναικὸς συνδιάγειν, ἄνευ μητρὸς, θυγατρὸς, ἀδελφῆς, καὶ τῶν λοιπῶν ἀνυπόπτων προσώπων. τὸ δὲ νζ'. κεφ. αὐτοῦ, μέρος ὂν τῆς ρλζ'. Ἰουστινιανείου νεαρᾶς, λέγει ταῦτα ῥητῶς· ἐπίσκοπον δὲ μηδε- E μίαν παντελῶς γυναῖκα ἔχειν ἢ μετ' αὐτῆς οἰκεῖν συγχωροῦμεν· εἰ δὲ ἀποδειχθείη τοῦτο, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. εἰ γοῦν ὁ ἁπλῶς συνοικῶν Ἐπίσκοπος μετὰ γυναικὸς οἱασδήτινος καθαιρεῖται, πολλῷ πλέον ὁ ἐν ἐπισκοπείῳ τοιοῦτόν τι ποιήσας ἀπεντεῦθεν καθαιρεθήσεται, ὡς ἐμοὶ δοκεῖ, διὰ τὸ τῆς νεαρᾶς ἀδιάστικτον. τὸ μέντοι ιε'. κεφ. τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου κωλύει, οὐ μόνον τὸ καταμένειν γυναῖκα ἐν μοναστηρίῳ ἀνδρῴῳ, ἢ τὸ ἀνάπαλιν, ἀλλὰ καὶ τὸ ὅλως εἰσελθεῖν ἐν αὐτῷ χάριν οἱασδήτινος ὑποθέσεως. σημείωσαι οὖν τὸν κανόνα λέγοντα, ὅτι οὐδὲ δούλη οὔτε ἐλευθέρα ὀφείλει συνδιάγειν μετ' Ἐπισκόπου ἢ ἡγουμένου καθ' οἱονδήτινα λόγον. τὰ F μέντοι περὶ τῶν ἐν προαστείοις οὐσῶν γυναικῶν εἰρημένα ἀπολυπραγμονήτως ἐκληφθήσονται εἰς προάστεια δεσποτικῶς τῷ ἐπισκοπείῳ καὶ τῇ μονῇ διαφέροντα· εἰ γὰρ καταλύσουσιν οὗτοι εἰς ξενοδοχεῖα ἢ εἰς ἀλλότρια προάστεια, δυσχερές ἐστιν, ὡς νομίζω, τὰ τοῦ κανόνος ἐνεργηθῆναι.

Bals. Cum intellexiſſent, ut videtur, ſancti patres, quod in Epiſcopiis & monaſteriis mulieres verſantur, dixerunt, quod quoniam magnus Apoſtolus Paulus ad Corinthios ſcribens ſtatuit, nos ſine offenſione eſſe debere, non ſolum iis qui intus, ſed iis etiam qui extra ſunt; ſcilicet non ſolum fidelibus, ſed & infidelibus; Epiſcopos autem vel monaſterii præfectos cum fœminis verſari, in monaſterio vel in Epiſcopio, eſt omnis offenſionis cauſa & non vulgare probrum Eccleſiaſticæ conſtitutionis; debent, qui tale quid facturi ſunt, puniri: ſin autem perſeverent, deponi. Perinde autem ac ſi dixiſſet aliquis, à recto diſcernendi judicio eſſe alienum, ut puniantur ii, qui quomodocunque cum mulieribus verſantur (contingit enim ut aliquis eorum in tranſitu divertat in ſuburbano, in quo ſunt mulieres, & non poteſt converſationem cum illis repudiare) ſtatuerunt, ſi hoc contigerit, nullo modo vidente Epiſcopo vel monaſterii præfecto miniſtrare mulieres, ſed eas in alium locum ſecedere, & in ſilentio degere, donec illi receſſerint: viros autem iis omnino miniſtrare. Sic enim omnis reprehenſionis ſive ſcandali vitabitur occaſio. Nunquid autem argumento à contrario ſumpto, ſi in Epiſcopio vel in monaſterio cum mulieribus non converſentur, ſed in aliis ædibus, eis venia dabitur: Solutio. Canones quidem, ut ſæpe diximus, & lvii. cap. i. tit. iii. lib. Baſilic. prohibet, ne quis eorum qui ſunt ex ſacerdotali ordine cum ſuſpecta muliere verſetur, præterquam cum matre, ſorore, filia, & reliquis perſonis de quibus nulla oriatur ſuſpicio. lvii. autem ejus caput, quod eſt pars cxxxvii. Juſtiniani novellæ, hæc dicit expreſſe; Epiſcopum autem nullam penitus habere fœminam vel cum ea habitare permittimus: ſi hoc autem demonſtratum fuerit, Epiſcopatu ejiciatur. Si ergo, qui ſolummodo cum quacunque muliere cohabitat Epiſcopus deponitur: multo magis qui tale quid in Epiſcopio fecerit, ideo deponetur, ut mihi videtur, quia novella indiſtinctè loquitur. Jam vero xv. cap. i. tit. iv. lib. prohibet, non ſolum mulierem manere in virorum monaſterio, vel contra: ſed etiam omnino in ipſum ingredi quacunque de cauſa. Nota ergo canonem qui dicit, quod neque ancilla neque libera debet cum Epiſcopo vel monaſterii præfecto quavis ex cauſa unà degere. Quæ autem de mulieribus quæ ſunt in ſuburbanis dicta ſunt, citra ullam curioſiorem inveſtigationem aſſumentur de ſuburbanis quæ ad Epiſcopium vel monaſterium jure dominii pertinent: ſi enim in publicis hoſpitiis vel etiam in alienis ſuburbanis diverterint, difficile eſt, ut exiſtimo, ea quæ in canone continentur obſervari.

ΖΩΝΑΡ. Καὶ ὁ τρίτος κανὼν τῆς πρώτης συνόδου, καὶ ὁ πέμπτος τῆς ἕκτης, περὶ συνεισάκτων γυναικῶν διαλέγονται. καὶ οὗτος δὲ ὁ κανὼν κωλύει τὸ ἐν ἐπισκοπείῳ ἢ ἐν ἀνδρῴᾳ μονῇ διάγειν γυναῖκα, καὶ τὸν ἐν ἐπισκοπείῳ χάριν ὑποθέσεώς τινος ἢ ἐν μοναστηρίῳ ἔχοντα γυναῖκας

Zonar. Tertio quoque primæ, & quinto ſextæ Synodi canone, de iis, quæ domi habebantur, mulieribus definitum. Hic vero etiam Canon in Epiſcopio aut in virorum monaſterio fœminam commorari vetat, quiq; illas cujuſcunq; cauſæ obtentu in his locis habuerint,

rint, pœnis in eos animadverti, ac niſi ejecerint, ſacris initiatos deponi jubent. Sed neque in ſuburbanum, in quo miniſteria per fœminas exercentur, Epiſcopum aut monaſterii præfectum abire permittit; niſi illæ in alium locum, quoaduſque Epiſcopus præfectuſve diſceſſerit, tranſeant. Lege Ancyranæ quoque Synodi Canonem undevigeſimum.

Arist. *Non oportet fœminas in Epiſcopiis aut monaſteriis commorari. Siqua igitur hoc auſa fuerit, reprehendatur: ſin perſtiterit, deponatur. Quinetiam ubicunque Epiſcopus vel monaſterii præfectus adfuerit, nulla mulier miniſtret, vel appareat; ſed ſeorſum agat, donec receſſerit.*

Sine offenſione oportet nos eſſe etiam iis qui extra ſunt, ſecundum divinum Apoſtolum; & idcirco mulieres in Epiſcopiis aut virorum monaſteriis habitare non oportet; ſed eum qui auſus fuerit ancillam vel liberam ob aliquod miniſterium in Epiſcopio aut monaſterio retinere, reprehendi jubent patres. Eum autem, qui & poſt reprehenſionem eas non abigit, ſed in Epiſcopio aut manſione adhuc etiam manere permittit, deponi ſtatuunt. Si vero in Epiſcopii vel monaſterii ſuburbanis Epiſcopus aut monaſterii præfectus abierit, & contigerit mulieres ibidem eſſe, hæ miniſterium non obeant quamdiu illi ibi ſunt; ſed alio in loco ſeorſum ſtent, donec receſſerint illi, ut reprehenſionis occaſio evitetur.

CANON XIX.

Tanta execrabilis avaritiæ labes Eccleſiarum rectores invaſit, ut nonnulli eorum virorum ac mulierum, qui pii ac religioſi dicuntur, Domini mandati obliti, fallantur, & eos qui ad ſacerdotalem ordinem & vitam monaſticam accedunt, pecuniis admittant. Et quorum reprobum eſt principium, univerſum quoque rejiciendum eſt, ut ait magnus Baſilius: nec Deo licet & mammonæ ſervire. Si quis ergo inventus fuerit hoc facere, Epiſcopus quidem vel monaſterii præfectus vel ex ſacerdotali ordine, aut ceſſet aut deponatur, ut vult ii. Canon Chalcedonenſis ſanctæ Synodi: monaſterii autem præfecta à monaſterio extrudatur, & alii monaſterio tradatur ad ſubjectionem. Similiter & monaſterii præfectus, qui Presbyteri ordinationem non habet. De iis autem, quæ dantur liberis à parentibus inſtar dotis, vel rebus ſuis propriis oblatis, profitentibus iis, qui ea offerunt, eſſe Deo conſecrata, ſtatuimus, ut ſive maneant, ſive exeant, ea in monaſterio maneant, ut fuit ipſorum profeſſio: niſi is, qui præeſt, in culpa fuerit.

Bals. In v. Canone præſentis Synodi diverſa quædam à ſanctis patribus conſtituta ſunt de pecuniarum datione ab iis, qui in aliquo clero conſtituuntur vel ordinantur. Ei ergo conſequenter præſens quoque Canon, reprehendens Epiſcopos & monaſteriorum præfectos, qui propter avaritiam aliquos ſuſcipiunt cum pecuniarum oblatione (ii enim ſunt populi duces & veluti in via ductores) decernit, ne quis in monaſterii fraternitate vel in clero templi per largitionem pecuniæ connumeretur: qui vero illos ſuſcipiunt, ſi ſint quidem Epiſcopi & monaſteriorum præfecti ſacerdotes, vel poſt denunciationem ceſſent vel deponantur; ſi ſint autem Monachæ, vel Monaſteriorum præfecti ſacris non initiati, monaſterio extrudantur, & alii monaſterio tradantur, ut ſint ſubjecti. Quæ autem à nonnullis Deo ſua ſponte offeruntur, vel à parentibus, ut quæ ad ipſos pertinent, vel aliundecunque, ea à monaſterio non poſſe auferri, ſive in monaſterio manſerit qui ea conſecravit, ſive egreſſus fuerit: niſi fortè is, qui monaſterio præeſt, egreſſionis cauſa fuerit.

A ἐπιτιμᾶσθαι κελεύει, καὶ εἰ μὴ ἐκβάλοι αὐτὰς, καὶ καθαιρεῖσθαι τοὺς ἱερωμένους. ἀλλ' οὐδὲ ἐν προαστείῳ, ἔνθα γυναῖκες εἰσὶν ὑπηρετοῦσαι, ἀπιέναι βούλεται Ἐπίσκοπον ἢ ἡγούμενον, εἰ μὴ ἐκεῖναι ἐν ἑτέρῳ τόπῳ μεταστῶσιν, ἕως ἂν ἐκεῖθεν ὁ Ἐπίσκοπος ἢ ὁ ἡγούμενος ὑποχωρήσωσιν. ἀναγνωστέον καὶ τὸν ιθ'. κανόνα τῆς ἐν Αγκύρᾳ Συνόδου.

ΑΡΙΣΤ. Οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι Ἐπισκοπείοις ἢ μοναστηρίοις· εἴτις οὖν τοῦτο τολμήσει, ἐπιτιμάσθω· εἰ δὲ ἐπιμένει, καθαιρείσθω. ἀλλὰ καὶ ἔνθα παραβάλλει Ἐπίσκοπος ἢ ἡγούμενος, μηδεμία γυνὴ διακονείτω, ἢ φαινέσθω· ἀλλ' ἰδιαζέτω, μέχρις ἀναχωρήσεως. B

Ἀπροσκόπτους δεῖ ἡμᾶς γίνεσθαι καὶ τοῖς ἔξωθεν, κατὰ τὸν θεῖον ἀπόστολον· καὶ διὰ τοῦτο οὐ δεῖ γυναῖκας οἰκεῖν ἐν ἐπισκοπείοις, ἢ ἀνδρώοις μοναστηρίοις· ἀλλὰ τὸν τολμήσαντα ἔχειν δούλην ἢ ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ ἢ ἐν τῷ μοναστηρίῳ διά τινα ὑπηρεσίαν, ἐπιτιμᾶσθαι προστάττουσιν οἱ πατέρες. τὸν δὲ μετὰ τὴν ἐπιτίμησιν μὴ διώκοντα ταύτας, ἀλλ' ἐν τῇ ἐπισκοπῇ, ἢ τῇ μονῇ καὶ εἰς ἔτι μένειν συγχωροῦντα, καθαιρεῖσθαι διορίζονται. εἰ δὲ ἐν προαστείῳ τῆς ἐπισκοπῆς ἢ τοῦ μοναστηρίου Ἐπίσκοπος ἢ ἡγούμενος ἀπέλθοι, καὶ τύχοιεν C εἶναι ἐκεῖσε γυναῖκας· μὴ διακονείτωσαν αὗται, μέχρις ἂν ἐνδημῶσιν οὗτοι ἐκεῖσε, ἀλλ' ἐν ἑτέρῳ τόπῳ ἰδιαζόντως ἔστωσαν, μέχρι τῆς αὐτῶν ἀναχωρήσεως, διὰ τὸ ἀνεπίληπτον.

ΚΑΝΩΝ ιθ'.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μύσος εἰς τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, ὥστε καί τινας τῶν λεγομένων εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐπιλαθομένους τῆς ἐντολῆς τοῦ θεοῦ ἐξαπατηθῆναι, καὶ διὰ χρυσίου τὰς εἰσδοχὰς τῶν προσερχομένων τῷ ἱερατικῷ τάγματι καὶ τῷ μονήρει βίῳ ποιεῖσθαι. καὶ γὰρ ὧν ἡ ἀρχὴ ἀδόκιμος, καὶ D τὸ πᾶν ἀπόβλητον, ὥς φησιν ὁ μέγας Βασίλειος· οὐδὲ γὰρ θεῷ καὶ μαμωνᾷ δουλεύειν ἔξεστιν. εἴ τις οὖν εὑρεθῇ τοῦτο ποιῶν, εἰ μὲν Ἐπίσκοπός ἐστιν ἢ ἡγούμενος ἤ τις τοῦ ἱερατικοῦ, ἢ παυσάσθω ἢ καθαιρείσθω, κατὰ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου· εἰ δὲ ἡγουμένη, ἐκδιωχθήτω τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγήν. ὡσαύτως καὶ ἡγούμενος μὴ ἔχων χειροτονίαν πρεσβυτέρου. ἐπὶ δὲ τῶν παρὰ γονέων παραδεδομένων δίκην προικῴων τοῖς τέκνοις, ἢ ἰδιοκτήτων αὐτῶν πραγμάτων προσαγομένων, ὁμολογούντων τῶν προσαγόντων ταῦτα εἶναι E ἀφιερωμένα τῷ θεῷ· ὡρίσαμεν, κἄντε μείνῃ, κἄντε ἐξέλθῃ, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ, κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ· εἰ μὴ εἴη αἰτία τοῦ προεστῶτος.

ΒΑΛΣ. Ἐν τῷ ε'. κανόνι τῆς παρούσης συνόδου ὡρίσθησαν παρὰ τῶν ἁγίων πατέρων διάφορά τινα χάριν τῆς διαδόσεως χρημάτων καθισταμένων ἢ χειροτονουμένων ἐν κλήρῳ οἱῳδήτινι. ἀκολούθως οὖν αὐτῷ καὶ ὁ παρὼν κανὼν, ὀνειδίζων τοὺς Ἐπισκόπους καὶ καθηγουμένους, τοὺς διὰ φιλαργυρίαν δεχομένους τινὰς μετὰ προσενέξεως χρημάτων (οὗτοι γάρ εἰσιν οἱ ἡγήτορες καὶ οἱονεὶ ὁδηγοὶ τοῦ λαοῦ,) διορίζεται, μὴ συναριθμεῖσθαί τινα ἐν ἀδελφότητι μονῆς ἢ ἐν κλήρῳ ναοῦ διὰ δόσεως χρημάτων· F τοὺς δὲ τούτους δεχομένους, Ἐπισκόπους μὲν ὄντας καὶ ἡγουμένους ἱερωμένους ἢ παύεσθαι μετὰ παραγγελίαν ἢ καθαιρεῖσθαι· εἰ δὲ μονάζουσι ἢ ἡγούμενοι ἀνίεροι, ἐκδιώκεσθαι ἀπὸ τοῦ μοναστηρίου, καὶ παραδίδοσθαι ἐν ἑτέρᾳ μονῇ ἐφ' ᾧ ὑποτακτικοὺς εἶναι. τὰ μέντοι παρά τινων προσφερόμενα τῷ Θεῷ αὐτοπροαιρέτως, καὶ ἀπὸ γονέων αὐτοῖς διαφέροντα, ἢ καὶ ἀλλαχόθέν ποθεν, ἀναφαίρετα εἶναι τῇ μονῇ, κἄντε μείνῃ ἐν τῷ μοναστηρίῳ ὁ ἀφιερώσας ταῦτα, κἄν τε ἐξέλθῃ· εἰ μήπω αἴτιος τῆς ἐξελεύσεως ὁ καθηγούμενος γίνηται.

εἴποι

εἶπον οὖν τινες, ὡς ταῦτα πάντα κατὰ τὸ ἀναμφίβολον ἕξουσι χώραν εἰς τὰ κοινοβιακὰ μοναστήρια, εἰς δὲ τὰ κελλιωτικὰ οὐκ ἐνεργήσουσι, διὰ τὸ σιτηρέσια ἐξωνεῖσθαι τοὺς ἀδελφατορίους, μὴ μέντοι γε καὶ δίκαιον ἀποκάρσεως ἢ κληρώσεως. ἤκουσαν δὲ, ἐπὶ πᾶσι καὶ εἰς πάντας τοὺς μοναχοὺς τὸν κανόνα ἐξακούεσθαι, διὰ τὸ μὴ διαφορὰν εἶναι μοναχῶν καὶ μοναστηρίων ἀπὸ τῶν κανόνων. ἠρώτησε δέ τις, ὡς τοῦ ε΄. κανόνος διοριζομένου ἀπεντεῦθεν καθαιρεῖσθαι τὸν οὕτως χειροτονήσαντα, πῶς ὁ παρὼν κανὼν διορίζεται, ἢ παύεσθαι, ἢ καθαιρεῖσθαι τὸν διὰ δόσεως χρημάτων δεχόμενον οἱονδήτινα κληρικὸν ἢ μοναχόν; Λύσις. ὅτε μὲν χειροτονία οἱαδήτις γίνεται μετὰ δόσεως χρημάτων, κατὰ τὸν ε΄. κανόνα, ἀπεντεῦθεν καθαιρεθήσεται ὁ χειροτονήσας· ὅτε δὲ μόνη δοχὴ προσώπου γίνεται, εἴτε ἐν κλήρῳ εἴτε ἐν μοναστηρίῳ, διὰ χρημάτων, ἄλλως οὐ καθαιρεθήσεται ὁ τὸ κακὸν ποιήσας, εἰ μὴ μετὰ ἐπιφώνησιν ἐμμένει ἐπὶ τῷ κακῷ· ὅτι καὶ οἱ κανόνες διάφοροί εἰσιν. ὁ μὲν γὰρ περὶ χειροτονίας ἀθέσμου διδάσκει· ὁ δὲ περὶ δοχῆς παραλόγου. καὶ ταῦτα μὲν περὶ τῶν χειροτονησάντων ἢ δεξαμένων τινὰς παρὰ τὴν τῶν κανόνων περίληψιν διὰ δόσεως χρημάτων. οἱ δὲ χειροτονηθέντες ἢ δεχθέντες πῶς κολασθήσονται; Λύσις. ὁ μὲν χειροτονηθεὶς, κατὰ τὸν ῥηθέντα κανόνα, καθαιρεθήσεται, ἀπολέσει δὲ καὶ τὰ παρ' αὐτοῦ δοθέντα. ὁ δὲ δεχθεὶς κακῶς ἀπολέσει τὰ παρ' αὐτοῦ δοθέντα, καὶ μόνον, κατὰ τὸν νόμον τὸν λέγοντα, ὁ ἐπὶ αἰσχρᾷ αἰτίᾳ διδοὺς οὐκ ἀναλαμβάνει. ἐπεὶ δὲ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται, ὅτι εἰς δύο διαιροῦνται οἱ καθηγούμενοι, εἰς ἱερωμένους καὶ ἀνιέρους, οἱ μὲν γὰρ καθαιροῦνται, οἱ δὲ διώκονται ἀπὸ τοῦ μοναστηρίου· φαμὲν καλῶς προχειρίζεσθαί τινας εἰς ἡγουμενείας καὶ ὄντας ἀνιέρους. ἐπὶ τούτοις ἠρώτησεν, ὡς τοῦ κανόνος διοριζομένου ἀναφαίρετα εἶναι παρὰ τῇ μονῇ τὰ ἀφιερωμένα τῷ Θεῷ αὐτοπροαιρέτως παρά τινος, κἄν τε ὁ προσαγαγὼν αὐτὰ ἔστι παρὰ τῇ μονῇ, κἄν τε καὶ μὴ, πῶς ἐν τῷ τέλει γέγραπται ἀντιστρέφεσθαι αὐτὰ, ἐὰν ἐξ αἰτίας τοῦ προεστῶτος ὁ προσαγαγὼν ταῦτα ἀναχωρήσει ἀπὸ τῆς μονῆς, ὀφείλοντος μᾶλλον τοῦ καθηγουμένου τοῦ ὑπαιτίου ὄντος εὐθύνεσθαι; Λύσις. ἐνταῦθα τὰ προσενεχθέντα τῷ Θεῷ, οὔτε ἐξ ὀρθοῦ προσενέχθησαν, ὥστε ἐκ πάσης αἰτίας ἀναφαίρετα εἶναι τῇ μονῇ, οὔτε χάριν τοῦ ἀποκαρῆναί τινα, ὥστε καὶ οὕτως εἶναι παρὰ τῇ μονῇ κατὰ πᾶσαν πρόφασιν, κατὰ τὸν νόμον τὸν λέγοντα, τὰ ἐπὶ ἴσῃ αἰτίᾳ τοῦ διδόντος καὶ τοῦ λαμβάνοντος δοθέντα οὐ ῥεπετιτεύονται· ἀλλὰ τῇ προσαγωγῇ τῇ κατὰ Θεὸν ἐπετέθη βάρος, οἷον ἡ τοῦ προσαγαγόντος εἰς τὸ μοναστήριον ἄσκησις. εἰ μὲν οὖν οἰκοθελῶς ὑποχωρήσει ἐκ τῆς μονῆς ὁ ταῦτα δοὺς, οὐδέν τι τούτῳ ἀντιστραφήσεται διὰ τὰ προρρηθέντα· εἰ δὲ ἐξ αἰτίας τοῦ καθηγουμένου ἀναχωρήσει, πάντως ἀντιστραφήσεται αὐτῷ τὰ χάριν τοῦ διάγειν τοῦτον εἰς τὴν μονὴν δοθέντα. ἐπεὶ δὲ χάριν τοῦ τῶν προσενέξεων καὶ ἑτέρων ἐκκλησιαστικῶν δικαίων ἀπελύθη πρόσταξις τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐπὶ ὑπομνήσει τινῶν ἐκκλησιαστικῶν διακόνων, ἀναδεξαμένων τῷ τότε τὴν φροντίδα τῶν πατριαρχικῶν μοναστηρίων ἀπὸ τῆς πατριαρχικῆς μεγαλειότητος, μηνολόγημα φέρουσα τὸν Δεκέμβριον μῆνα τῆς ε΄. ἰνδικτιῶνος, ὀφείλει εἰδέναι καὶ ταύτην τάδε κατὰ ῥῆμα διαλαμβάνουσαν, τὴν ἐπιτήρησιν καὶ διόρθωσιν τῶν ψυχικῶν σφαλμάτων ἀναμφίβολον ἔχειν τὸν κατὰ τὴν ἡμέραν ἁγιώτατον πατριάρχην ἐπὶ τοῖς ἐλευθέροις μοναστηρίοις καὶ ἐπὶ τοῖς ἐπιδοθεῖσι, καὶ ἐπὶ τοῖς δωρηθεῖσι καὶ κατ' ἐφορείαν ἢ οἰκονομίαν δοθεῖσι. δίκαιον γὰρ κέκτηται εἰσέρχεσθαι καὶ ἀναψηλαφᾶν τὰ ψυχικὰ σφάλματα καὶ εἰς τὰ κοσμικὰ καὶ εἰς τὰ τοῦ δημοσίου μοναστήρια, καὶ, ἁπλῶς εἰπεῖν, εἰς τὰ ὑπὸ τὴν ἐνορίαν αὐτοῦ πάντα, κἄν τε πατριαρχικὰ ὦσι, κἄν τε βασιλικὰ καὶ αὐτοδέσποτα, καὶ εἰς μὲν τὰ οἰκεῖα, ἃ οὐκ ἐξέδοντο οἱ πρώην πατριάρχαι εἰς ἐπιδόσεις, ἀκωλύτως, ὅταν βούληται, εἰσελεύσεται, εἴτε αὐτὸς δι' ἑαυτοῦ, εἴτε διὰ προσώπου αὐτοῦ, ὃν ἂν οὗτος ἀπὸ τῶν ἐκκλησιαστικῶν ἐπιλέξηται καὶ διακρίνῃ εἶναι ἄξιον τοῦ ἐρευνᾶν ταῦτα. εἰς δὲ τὰ ἐλεύθερα καὶ αὐτεξούσια μο-

A Dixerunt ergo quidam, hæc ſine dubio locum habere in monaſteriis ubi communiter vivitur (quæ cœnobia dicuntur) ſed non in cellulis, eò quòd in fraternitatem recepti victum emant; non tamen jus tonſuræ vel clericatûs. Audierunt autem, id in omnibus & de omnibus monachis intelligi: eo quod Monachorum & monaſteriorum non ſit differentia ex Canone. Rogaverit autem quiſpiam, cum v. Canon ſtatuat, eum, qui ſic ordinavit, eo ipſo deponi; quomodo præſens Canon decernat, vel ceſſare vel deponi eum, qui per pecuniariam dationem ullum Clericum vel Monachum ſuſcepit? Solutio. Quotieſcunque quidem ulla fit cum pecuniarum datione ordinatio, B ut vult v. canon, eo quoque ipſo deponetur qui ordinavit: quando autem ſola perſonæ ſuſceptio, ſive in clero ſive in monaſterio, per pecunias facta fuerit, qui illud malum fecit non aliter deponetur, quam ſi poſt denunciationem in malo perſtiterit; quoniam Canones quoque ſunt diverſi. Ille enim de illicita ordinatione docet: hic vero de ſuſceptione, quæ fit præter rationem. Et hæc quidem de iis, qui ordinaverunt vel ſuſceperunt aliquos, ſecus ac canonibus continetur, per pecuniæ dationem. Ordinati autem vel ſuſcepti quomodo punientur? Solutio. Is quidem, qui eſt ordinatus, ut vult dictus Canon, C deponetur; perdet autem & quæ ab ipſo data fuerint: qui autem male ſuſceptus eſt, tantummodo ea perdet, quæ ab ipſo data fuerint, ut vult lex, quæ dicit; qui dat ob turpem cauſam non recuperat. Quoniam autem, ut ex præſenti canone apparet, monaſteriorum præfecti in duo dividuntur, Sacerdotes & eos qui non ſunt ſacris initiati; & illi quidem deponuntur, hi vero monaſterio extruduntur; dicimus rectè aliquos ad monaſteriorum præfecturas provehi, etiamſi ſacros ordines non ſuſceperint. Præterea rogaverit quiſpiam, cum Canon decernat à monaſterio non poſſe auferri ea, quæ ſponte ab aliquo Deo conſecrata ſunt; ſive is, qui obtulit in monaſterio manſerit ſive non: quomodo in fine ſcriptum eſt, ea D reſtitui, ſi culpa monaſterii præfecti is, qui ea obtulit, à monaſterio receſſerit; cum debeat potius præfectus, qui eſt in culpa, puniri? Solutio. Hic quæ Deo oblata ſunt, nec directò oblata ſunt, ut ea ex nulla cauſa à monaſterio auferri poſſent, nec ut tonderetur aliquis, ut ſic etiam ex omni cauſa monaſterii eſſe permanſerint; ſecundum legem quæ dicit; Quæ in æquali cauſa, ejus qui dat & qui accipit, data ſunt, non repetuntur: ſed oblationi, quæ Deo fit, onus eſt impoſitum, nempe ejus qui monaſterio ea obtulit exercitatio. Si ergo qui ea dedit à monaſterio ſua ſponte abſceſſerit, nihil ei E reſtituetur propter ea quæ ſupra dicta ſunt: ſi autem monaſterii præfecti culpâ receſſerit, omnino ad eum revertentur quæ data ſunt, ut ipſe degat in monaſterio. Quia autem de oblationibus & aliis Eccleſiaſticis juribus emiſſa eſt conſtitutio illius inclyti Imperatoris domini Alexii Comneni, ad ſuggeſtionem quorundam Diaconorum, qui curam patriarchalium monaſteriorum à patriarchali magnificentia tunc ſuſceperant, quæ datum ut vulgo dicunt, habebat, Decembrem menſem quintæ indictionis, debet ſcire eam hæc ad verbum continere oportet: Obſervationem & correctionem animæ lapſuum non dubium habere ſanctiſſimum hujus temporis patriarcham; tam in liberis monaſteriis quam F in traditis, & in donatis, & iis quæ ad miniſtrationem vel diſpenſationem data ſunt. Jus enim habet ſubeundi, & contrectandi delicta animæ, & ſecularia, & publica monaſteria, &, ut ſemel dicam, omnia quæ ſunt in ejus Provincia, ſive ſint Patriarchalia, ſive Imperatoria & quæ per ſe dominum obtinent, & propria, quæ ſuperiores patriarchæ ad incrementum non elocabant, abſque impedimento, quando volet ingredietur: ſive ipſe per ſe, ſive ejus ſuaſione, quem ipſe ex Eccleſiaſticis elegerit, & ea perſcrutari dignum eſſe ſtatuerit. Libera autem & ſui juris monaſteria, quando ad ſanctiſſimum dominum meum & patriarcham delictum in monaſterio factum pervenerit, ſive alioqui ex fama aliquorum, vel etiam unius audiverit, tunc, ut dictum eſt, ingredietur, & perſcrutabitur delicta animæ, etiamſi is qui dixit, nolit ſubire probandi periculum. Homo enim Chriſtianus, quando aliquid non rectè factum audiverit, debet hoc dicere communi ſpirituali patri & Antiſtiti. Fortaſſe autem non vult hoc ſubire periculum; & propter ejuſmodi cauſam, delicta animæ inobſervata & incorrecta relinquere eſt valde abſurdum, nullo quocunque ſcripto Imperatorio vel Patriarchali hoc prohibente. Sed monaſteria quidem debent non innovata conſervari in perſcrutationibus eorum qui mittuntur, nullis exinde datis ſumptibus. Tunc enim animæ delictorum correctio facilè, ſi Deus volet, fiet. In monaſteriis autem quæ ad incrementum, & regimen ſive adminiſtrationem, aut omnino libertatem data ſunt, non ſolum alia animæ delicta inquiret, ſed etiam an diſſoluta ſunt, vel diſſolvantur in parte vel in univerſum ab iis, qui ea accepêre: & ſi inveniet in iis aliquas fieri imminutiones, coget detinentes ea reſtituere, quemadmodum accepêre, & ſecundum monaſterii facultatem; ſed in illis quidem, qui propter inopiam non ſufficiunt ad ſtatum in quo ea accepêre; quæ ſunt autem effecta meliora & aucta, cum rectè ſe habeant, non minuentur, ſed manebunt ut ſe habent. Qui autem ea detinent, quæ ſunt illis tradita, ut regimen & adminiſtrationem ad tempus ſuſcipiant, & eis damnum afferunt, ſi nolint in eum, quo acceperunt, ſtatum ea reſtituere, auferantur, nec ab iis quæ habent ſcriptis juventur, eis dato convenienti die præfinito. Interea autem, dum pendet terminus, obſervari debent, an ipſi operi de reſtitutione ſcilicet in integrum vacent, ut oſtenſum eſt. Tum enim etiam terminus ſervabitur. Renunciationes autem, quoniam præter Canones dantur & accipiuntur, dehinc omnino ceſſabunt, & qui accipere vel dare inventus fuerit, ſi ſit quidem monaſterii præfectus, ex præfectura expellatur: ſin autem Præbendarius, è monaſterio expelletur. Quæ autem ab iis, qui ad tonſuram veniunt, fiunt offerentium ſpontanea voluntate oblationes, ſuſcipientur & deſcribentur in Breviario Monaſterii, de iis quæ offeruntur etiam ſanctiſſimo Patriarchæ cognitione data; etiamſi monaſteria tenentes documenta habeant de accipiendis renunciationibus & oblationibus, & iis lucrifaciendis: hoc enim ceſſare nunc debet, & fieri quemadmodum ſuperius dictum eſt; ſed etiam ſervatæ oblationes non debent alienari prætextu documentorum. Porrò autem non ſolum cura animarum monachorum, ſed ipſorum etiam ſecularium, incumbit ſanctiſſimo Patriarchæ: & quando viderit aliquem ſecularium ſitientem propriam ſalutem, quomodo continget prohiberi quominus in monaſterio eum collocet, ad ſalutem animæ ejus qui accedit? Citra ullum enim impedimentum ſanctiſſimo Patriarchæ licebit collocare, magis quam præbendariis etiamſi documenta habeant. Præterquam ſi jubet ſanctiſſimus meus dominus fraternitatis uſum accipere ſecularem aliquem, vel monachum ex alio monaſterio ab eo differente, ne det ſeculari vel externo monacho monachatum, ut non gravetur monaſterium adelphato. Si enim gravetur, omnino deerit monachis qui ſunt intus, & pro mercede fit judicium. Si autem accedit Laicorum quiſpiam, qui eſt omnino inops & pauper, ad ſanctiſſimum meum dominum, vel ex Antiſtitibus, qui ſuos thronos perdiderunt, & ſunt inopes, & voluerit ſtatuere ut is victum capiat è ditiori aliquo monaſterio, hoc rectè faciet; modo numerus eorum qui ordinantur manſionis facultates non excedat. Monachi enim qui ſunt intus, debent præferri cæteris omnibus, ad ea quæ ſunt ſibi neceſſaria capienda.

A ναστήρια, ὅταν τις προσέλθῃ καὶ εἴπῃ τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ πατριάρχῃ γινόμενον σφάλμα εἰς μοναστήριον, ἢ καὶ ἄλλως ἀπὸ φήμης τινῶν ἢ καὶ ἑνὸς ἀκούσῃ, τότε εἰσελεύσεται, ὡς εἴρηται, καὶ ἐρευνήσει τὰ ψυχικὰ σφάλματα, κἂν μὴ ὁ εἰπὼν βούληται ὑπεισελθεῖν ἀγῶνα ἀποδείξεως. ὁ γὰρ Χριστιανὸς ἄνθρωπος χρέος ἔχει, ὅταν τι ἀκούσῃ γινόμενον ἐναντίον, λέγειν τοῦτο τῷ κοινῷ πνευματικῷ πατρὶ καὶ ἀρχιερεῖ. ἴσως δὲ οὐ μὴ βούλεται ὑπεισελθεῖν τὸν ἀγῶνα τοῦτον· καὶ τὸ καταλιμπάνεσθαι διὰ τὴν τοιαύτην αἰτίαν τὰ ψυχικὰ σφάλματα ἀνεπιτήρητα καὶ ἀδιόρθωτα, ἐστι τοῦτο πάντη ἄτοπον, μηδενὸς B ἐγγράφου οἱουδήτινος βασιλικοῦ ἢ πατριαρχικοῦ κωλύοντος εἰς τοῦτο. πλὴν τὰ μοναστήρια ὀφείλουσι διατηρεῖσθαι ἀκαινοτόμητα ἐν ταῖς ἐρεύναις τῶν ἀποστελλομένων, μηδεμιᾶς ἐντεῦθεν διδομένης δαπάνης. τότε γὰρ καὶ ἡ διόρθωσις τῶν ψυχικῶν σφαλμάτων εὐκόλως σὺν Θεῷ γενήσεται. ἐπὶ δέ γε τοῖς κατ᾽ ἐπίδοσιν δοθεῖσι μοναστηρίοις καὶ κατ᾽ ἐφορείαν ἢ οἰκονομίαν, ἢ παντελῶς ἐλευθερίαν, οὐ μόνον τὰ ἄλλα ψυχικὰ σφάλματα ἐπιζητήσει, ἀλλὰ καὶ εἰ κατελύθησαν, ἢ καταλύονται μερικῶς ἢ καθόλου παρὰ τῶν λαβόντων ταῦτα· καὶ εἰ εὑρήσει τινὰς μειώσεις ἐν αὐτοῖς γινομένας, καταναγκάσει τοὺς ταῦτα κατέχοντας C ἀποκαταστῆσαι ταῦτα, καθὼς παρέλαβον, καὶ κατὰ τὴν εὐπορίαν τοῦ μοναστηρίου· πλὴν ἐπ᾽ ἐκείνοις τοῖς ἐνδεῶς ἔχουσι πρὸς τὴν κατάστασιν καθ᾽ ἣν ταῦτα παρέλαβον· τὰ δέ γε βελτιωθέντα καὶ ἐπαυξηθέντα, καλῶς ἔχοντα, οὐκ ἐλαττωθήσονται, ἀλλὰ μένουσιν ὡς ἔχουσιν. οἱ δὲ κατ᾽ ἐφορείαν χαριστικὴν καὶ ἑτέραν οἰκονομίαν ἐκδοθέντα κατέχοντες, καὶ καταλυμηνάμενοι ταῦτα, εἰ μὴ βούλονται ἀποκαταστῆσαι ταῦτα εἰς ὃ παρέλαβον σχῆμα, ἵνα ἀφαιρῶνται, μὴ ὠφελούμενοι ἀφ᾽ ὧν ἔχουσιν ἐγγράφων, προθεσμίας διδομένης αὐτοῖς ἁρμοζούσης. μεταξὺ δὲ τῆς προθεσμίας ὀφείλουσιν ἐπιτηρεῖσθαι, εἰ φροντίζουσιν ἔργοις αὐτοῖς, περὶ τῆς εἰς τὸ ἀρχαῖον αὐ- D τῶν καταστάσεως, ὡς δεδήλωται. τότε γὰρ ἡ προθεσμία φυλαχθήσεται. αἱ δὲ ἀποταγαί, ἐπεὶ παρὰ κανόνας δίδονται καὶ λαμβάνονται, σχολάσουσι παντελῶς ἀπὸ τοῦ νῦν, καὶ ὁ εὑρισκόμενος λαμβάνων ἢ διδούς, εἰ μὲν ἐστὶν ἡγούμενος, ἵνα ἐκδιώκηται ἀπὸ τῆς ἡγουμενείας· εἰ δὲ χαριστικάριος, ἐκδιωχθήσεται ἀπὸ τῆς μονῆς. αἱ δὲ ἀπὸ τῶν προσερχομένων εἰς ἀπόκαρσιν γινόμεναι ἑκουσίως καὶ κατὰ γνώμην τῶν προσφερόντων προσενέξεις, προσδεχθήσονται, καὶ ἀπογραφήσονται ἐν τῷ βρεβίῳ τῆς μονῆς, εἰδήσεως διδομένης περὶ τῶν προσφερομένων καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ, κἂν οἱ τὰ μοναστήρια ἔχοντες ὑπομνήματα κέκτηνται περὶ τοῦ λαμβάνειν E ἀποταγὰς καὶ προσενέξεις, καὶ ἀποκερδαίνειν ταύτας· τοῦτο γὰρ ἀπὸ τοῦ νῦν ὀφείλει σχολάσαι, καὶ γίνεσθαι καθὼς ἄνωθεν εἴρηται· ἀλλὰ καὶ αἱ σωζόμεναι προσενέξεις οὐκ ὀφείλουσιν ἐκποιηθῆναι τῇ ἀφορμῇ τῶν ὑπομνημάτων· ἡ μέντοι φροντὶς οὐ μόνον τῶν ψυχῶν τῶν μοναχῶν, ἀλλὰ καὶ αὐτῶν τῶν κοσμικῶν, τῷ ἁγιωτάτῳ πατριάρχῃ ἐπίκειται· καὶ ὅταν θεάσηταί τινα τῶν κοσμικῶν διψῶντα τῆς οἰκείας σωτηρίας, πῶς ἐνδέχεται ἵνα κωλύηται τοῦ τάσσειν ἐν τῇ μονῇ, ἐπὶ ψυχικῆς σωτηρίας τοῦ προσερχομένου; ἔξεστι γὰρ ἀκώλυτον ὁ ἁγιώτατος πατριάρχης τὸ τάσσειν, ἤπερ οἱ χαριστικάριοι, κἂν ὑπομνήματα ἔχωσι. πλὴν εἰ κελεύει ὁ ἁγιώτατός μου δεσπότης λαμβάνειν χρείας ἀδελφάτου τινὰ F κοσμικὸν ὄντα, ἢ μοναχὸν ἀπὸ ἑτέρου μοναστηρίου διαφέροντος αὐτῷ, ἵνα μὴ δίδωσι κοσμικῷ ἢ μοναχῷ ἐξωμονίτατον, ὡς ἂν μὴ ἐπιβαρύνηται ἡ μονὴ ἀπὸ τοῦ ἀδελφάτου. εἰ γὰρ ἐπιβαρύνεται, λείψει πάντως καὶ τὸ ἐσωμονίτατον, καὶ γίνεται ἀντὶ μισθοῦ κρῖμα. εἰ δ᾽ ἴσως προσέρχεταί τις τῶν λαϊκῶν, ἀδύνατος πάντη καὶ πένης, τῷ ἁγιωτάτῳ μου δεσπότῃ, ἢ καὶ ἀπὸ τῶν ἀρχιερέων τῶν ἀπολεσάντων τοὺς θρόνους αὐτῶν, καὶ δεομένων, καὶ θελήσει τυποῦν αὐτὸν λαμβάνειν χρείας ἀπό τινος τῶν εὐπορωτέρων μοναστηρίων, ποιήσει τοῦτο καλῶς, μὴ ὑπὲρ τὴν δύναμιν τῆς μονῆς τοῦ ἀριθμοῦ τῶν τασσομένων ὄντος. προτιμότεροι γὰρ ὀφείλουσιν εἶναι οἱ ἐσωμονῖται τῶν ἄλλων ἁπάντων, εἰς τὸ λαμβάνειν τὰς χρείας αὐτῶν.

ΖΩΝΑΡ. Καὶ εἰς κλῆρον κατατάττεσθαί τινας, καὶ εἰς μοναστήρια τινὰς δέχεσθαι διὰ προσαγωγῆς χρημάτων τοὺς ἡγήτορας τῶν ἐκκλησιῶν, τουτέστι τοὺς Ἐπισκόπους καὶ ἡγουμένους (οὗτοι γὰρ προηγεῖσθαι ἐτάχθησαν τῶν πιστῶν εἰς πίστιν ὀρθὴν καὶ βίον σεμνὸν καὶ κατόρθωσιν ἀρετῆς) ἀπηγόρευται. ὁ δὲ κανὼν λέγει, ὅτι ἐπράττετο τοῦτο τότε, καί τινες τῶν εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν τὰς εἰσδοχὰς, εἴς τε τὰ ἱερατικὰ τάγματα καὶ εἰς τὰ μοναστήρια, διὰ δόσεως ἐποιοῦντο χρημάτων, ὡς συμβαίνειν πληροῦσθαι τὴν τοῦ μεγάλου Βασιλείου ἀπόφασιν, λέγοντος, οὗ ἡ ἀρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον. τοὺς οὖν τοῦτο ποιοῦντας ὁ κανὼν ἢ παύσασθαι κελεύει, εἰ Ἐπίσκοποι εἶεν ἢ ἡγούμενοι ἱερεῖς ἢ τοῦ ἱερατικοῦ τινες, ἢ καθαιρεῖσθαι· καὶ μέμνηται τοῦ δευτέρου κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου, ὃς οὐδὲ οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον ἢ ὅλως τινὰ τοῦ κανόνος προβάλλεσθαι ἀνέχεται ἐπὶ χρήμασιν. εἰ δὲ ἡγούμενος εἴη ὁ τοῦτο ποιήσας μὴ ὢν ἱερεὺς, ἐκδιώκεσθαι τοῦ μοναστηρίου αὐτὸν διατάττεται, καὶ ἐν ἑτέρῳ μοναστηρίῳ παραδίδοσθαι εἰς ὑποταγήν. ἐκδιώκεσθαι δὲ βούλεται τοὺς μὴ ἔχοντας ἡγουμένους χειροτονίαν πρεσβυτέρου. εἶτα φησὶν, ὅτι ἃ οἱ γονεῖς εἰς κλῆρον ἢ προῖκα τοῖς παισὶν ἀφορίζουσι, ταῦτα εἰ προσάγοιντο καὶ ἀφιερῶνται τῷ Θεῷ, ὡρισάμεθα ἀναφαίρετα εἶναι αὐτὰ, κἄν τε ὁ ἀφιερώσας αὐτὰ μείνῃ ἐν τῷ μοναστηρίῳ, κἄν τε ἐξέλθῃ· εἰ μὴ ἡ αἰτία τῆς ἐκ τῆς μονῆς αὐτοῦ ὑποχωρήσεως γένηται ἐκ τοῦ ἡγουμένου.

ΑΡΙΣΤ. Ὁ διὰ χρυσίου προσιέμενος τοὺς προσιόντας ἱερατικῷ πράγματι ἢ μονήρει βίῳ, Ἐπίσκοπος μὲν ἢ ἡγούμενος, ἢ ὅλως ἱερατικὸς ὢν, ἢ παυσάσθω, ἢ καθαιρείσθω. ἡγουμένη δὲ, ἐκδιωκέσθω, καὶ διδόσθω εἰς ὑποταγήν. ὡσαύτως καὶ ἡγούμενος, ὁ μὴ ἱερεύς. τὰ δὲ ἀφαιρούμενα παρὰ τῶν προσιόντων, μενέτω, κἂν ἐπιμένοιεν, κἂν μή· εἰ αἰτία εἴη τοῦ προεστῶτος.

Οἱ ἀπαιτοῦντες χρυσίον τοὺς προσερχομένους τῷ ἱερατικῷ τάγματι ἢ τῷ μονήρει βίῳ, εἴτε ἐπίσκοποί εἰσιν, εἴτε ἡγούμενοι, εἴτε ὅλως τοῦ ἱερατικοῦ καταλόγου, ἢ παυσάσθωσαν τοῦτο ποιοῦντες, ἢ καθαιρείσθωσαν· εἰ δὲ ἡγουμένη ἐστὶν ἡ τοῦτο ποιοῦσα, καὶ ἀποταγὰς ἀπαιτοῦσα τὰς ἐπὶ τῷ μονάσαι προσερχομένας, ἐκδιωχθήσεται τῆς μονῆς, καὶ ἐν ἑτέρῳ μοναστηρίῳ παραδοθήσεται εἰς ὑποταγήν· ἐκδιωχθήσεται δὲ ὡσαύτως καὶ ὁ μὴ ὢν ἱερεὺς ἡγούμενος, καὶ τὴν ἐν ἑτέρῳ μοναστηρίῳ ὑποταγὴν ὑπενέγκοι. τῷ γὰρ ὄντι ἱερεῖ ἀρκοῦσα καταδίκη ἐστὶν ἡ καθαίρεσις. ὅσα δέ τινες ἑκουσίως, ἢ ὑπὲρ ἑαυτῶν ἢ ὑπὲρ τῶν ἰδίων τέκνων, προσαγάγοιεν πράγματα τῇ μονῇ, καὶ τῷ Θεῷ ταῦτα ἀφιερώσουσιν, ὀφείλουσι ταῦτα μένειν ἐν τῷ μοναστηρίῳ, κατὰ τὴν ὑπόσχεσιν αὐτῶν, κἄν τε αὐτοὶ οἱ προσάγοντες αὐτὰ ἐκεῖσε προσκαρτερήσωσι, κἄν τε ἐξέλθοιεν ἐκ τῆς μονῆς· εἰ μή που δι' αἰτίαν τοῦ προεστῶτος ἐξῆλθον.

ΚΑΝΩΝ κʹ.

Ἀπὸ τοῦ παρόντος ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μοναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς γίνεται τοῦτο. εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δεῖ ἀπιέναι εἰς ἀνδρεῖον μοναστήριον, τὰς δὲ γυναῖκας εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται ὁ Θεός. τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ οὕτω διατυπούσθωσαν. μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν. μὴ ἐχέτω μοναχὸς παρρησίαν πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσ-

A Zonar. Et clero quemquam adſcribi, & in monaſterium intercedente pecunia recipi, ab iis quorum ductu Eccleſiæ reguntur, Epiſcopis videlicet & monaſteriorum Præfectis (ſunt illi namque rectæ fidei capeſſendæ vitæq; honeſte & cum virtute degendæ fidelibus ad imitandum propoſiti duces) interdictum eſt. Id vero Can. eo tempore uſitatum fuiſſe, atq; adeo à quibuſdam moderationis fama commendatis, viris pariter ac mulieribus, non niſi ſoluta pecunia quemquam, aut ſacris ordinibus annumeratum, aut in monaſteria admiſſum fuiſſe, affirmat: ex quo illud plane eveniret, quod ait magnus Baſilius; Cujus reprobum eſt initium univerſum etiam rejiciendum eſt. Eos igi- B tur qui id faciunt, ſi quidem Epiſcopi illi, monaſteriiſve Præpoſiti ſacerdotes, aut ſacris initiati fuerint, aut deſiſtere, aut depoſitione puniri hic Canon jubet: ſecundique Canonis in Synodo Chalcedonenſi editi meminit, quo Oeconomum, aut Defenſorem, aut Monaſterii adminiſtrum aut omnino quemquam è clero pecunia oblata promoveri vetitum eſt. Quod ſi à monaſterii Præfecto commiſſum id fuerit, qui ſacerdotii ordine haud ſit inſignitus, ex eo monaſterio ejiciendum, ac in aliud, ubi mancipatus obedientiæ vitam agat, relegandum eſſe decernit. Quæ vero, inquit deinde, parentes liberis nomine hæreditatis aut dotis ſeponunt, ſi Deo oblata conſecratáq; fuerint, ea, C ſive in Monaſterio poſteà is à quo ſunt conſecrata permanſerit, ſive eo relicto abſceſſerit, niſi penes Præfectum ejus diſceſſionis culpa reſideat, repeti nulla ratione licere decrevimus.

Arist. *Qui pecuniâ ad ſacerdotalem ordinem aut monaſticam accedentes vitam admittit, ſi Epiſcopus ſit, aut monaſterii præfectus, aut ſacris quiſpiam initiatus, vel ceſſet, vel deponatur. Monaſterii vero præfecta, expellatur, & in ſubjectionem tradatur. Similiter & præfectus, ſi non ſit ſacerdos. Quæ autem ab accedenti-* D *tibus conſecrantur, maneant; ſive ipſi permanſerint ſive non; niſi præfectus ſit in culpâ.*

Qui ad ordinem ſacerdotalem aut vitam monaſticam accedentes pecuniam repoſcunt, ſive Epiſcopi ſint ſive monaſteriorum præfecti, aut ullo modo è clericorum numero, aut ceſſent hoc facere aut deponantur; ſi monaſterii autem præfecta ſit iſta, quæ hoc facit, & ab iis, qui monaſticam agere vitam accedunt, renunciationes exigit, ſuâ manſione expelletur, & alii monaſterio in ſubjectionem tradetur. Eodem autem modo expelletur & E monaſterii præfectus, qui non eſt ſacerdos, & ſubjectionem in alio monaſterio ſuſtinebit; ei enim qui eſt ſacerdos, ſufficit depoſitionis mulcta. Quæcunque autem bona ſua ſpontè, vel pro ſeipſis vel pro liberis ſuis aliqui manſioni offerunt, & Deo conſecrant, illa debent in monaſterio permanere, juxta eorum promiſſionem, ſive illi qui ea offerunt ibi permaneant, ſive manſione exeant: niſi ob præfecti culpam exeant.

Canon XX.

A præſenti ſtatuimus non fieri duplex monaſterium, quoniam hoc fit multis ſcandalum & offenſio. Si qui autem F *volunt cum cognatis mundo renunciare, & vitam ſequi monaſticam, viros quidem oportet in virorum monaſteria diſcedere, fœminas autem ingredi in mulierum monaſteria: hoc enim eſt Deo acceptum. Quæ autem hucuſque duplicia fuerunt, ſerventur ſecundum regulam ſancti patris noſtri Baſilii, & ſecundum ejus conſtitutionem, ſic inſtituantur; In uno monaſterio ne verſentur Monachi & Monachæ. Adulterium enim converſationis interventu admittitur. Monachus cum Monacha libere non loquatur, vel Monacha cum monacho ſeorſum confabuletur.*

A *buletur. Nec cubet Monachus in fœminarum monaſterio, nec Monacha ſeorſum comedat. Et quando quæ ſunt vitæ neceſſaria à parte virorum ad regulares fœminas deferuntur, extra portam hæc accipiat monaſterii muliebris præfecta, cum aliqua anu Monacha. Si autem eveniat ut aliquam velit cognatam Monachus aſpicere, præſente præfecta cum ea colloquatur exiguo & brevi ſermone, & mox ab ea recedat.*

Bals. In primo quidem cap. xii. tit. præſentis operis diverſæ leges de monaſteriis traditæ ſunt: præ- B ſens autem Canon conſtituit, non eſſe facienda duplicia monaſteria, ne multi ex eo offendantur. Tanquam autem dixerit quiſpiam, hoc eſſe honeſtum & jure admittendum, quandoquidem quædam ſuſpicio inciderit propter perſonas non ſatis firmas & ſtabiles (ſi enim à ſuſpicione alieni, cognati fortaſſe vel fratres vel alii ejuſmodi, velint eſſe Monachi, cur non eis licebit in duplici monaſterio habitare?) dicunt patres, quod ne tunc quidem cognatos ſimul habitare oporteat, ne aliqui ex eo offendantur: ſed vir quidem in virorum proprium monaſterium abeat; mulier autem in mulierum. Sic enim viventes ſeparati, Deo accepti ſerviunt. Quæ prius autem C fuerant duplicia monaſteria ex decreto & conſtitutione magni patris Baſilii adminiſtrari juſſerunt, ſcil. ut non converſentur, hoc eſt, non cohabitent viri & mulieres in uno monaſterio; quoniam adulterii ſuſpicio oritur ex cohabitatione. Sed neque Monachus poteſtatem habeat cum Monacha ſeorſum confabulandi, vel comedendi, vel in muliebri monaſterio pernoctandi; quemadmodum nec contrá. Quæ autem ſunt Monialibus ad victum neceſſaria, ea viris recipiantur, non intra monaſterium, ſed extra portam ejus, per manum monaſterii præfectæ & anus Monachæ. Si quis autem Monachus velit Monacham cognatam ſuam aſpicere, ne liceat ei ſeorſum cum ea ſermones conferre: ſed in præſentia D præfectæ monaſterii, & protinus recedere. Nomen autem δίαιτα, non, ut apud Grammaticos, pro convivio, ſed pro habitatione accipitur: δίαιτα enim apud juriſconſultos eſt habitaculum. Duplicia autem monaſteria dici nonnulli affirmabant, non quæ ſimul habent viros & fœminas; ſed quæ propè & conjunctè ædificata ſunt, & tanquam unum reputantur propter multam unionem. Sed ex hoc Canone apparet, non dici propterea duplicia monaſteria; ſed quod in uno eodemq; monaſterio habitarent aliquando, ut eſt veriſimile, viri & mulieres. Conſtituit enim, ut cognati abeant, illi quidem in virorum, hæ vero in mulierum monaſteria; E tanquam eſſet prohibita in uno & eodem loco eorum habitatio. Similiter jubet ne converſentur, hoc eſt, ne in uno monaſterio cohabitent viri & mulieres. Lege & totum primum tit. iv. lib. qui ejuſmodi multa docet & ſtatuit, ut neque Monachus nec Laicus muliebre monaſterium ingrediatur quamcunque ob cauſam: & definit de iis, qui debent miniſtrare in muliebribus monaſteriis, & de ipſorum Apocriſiariis & reliquis miniſtris.

Zonar. Duplicia hic Can. monaſteria fieri vetat. F In iis autem non cum viris ſimul in eodem loco fœminæ degebant; ſed ita propinquo, ut voces audire redderéq; invicem utriq; poſſent. Id ergo, quia nimirum ex eo, ad cogitationes molles ac teneras, aut ad ipſas quoq; libidinoſas affectiones, titillatio exiſtere facile poſſet, offenſionemq; multis afferret illa vicinitas, quæ ſpeciem in eodem quaſi domicilio commorantium virorum ac mulierum exhiberet, nullo modo Synodus licere decernit. Quod ſi qui, inquit, una cum cognatis mundo renunciare cupiant, viri quidem ad virorum, mulieres autem ad fœminarum monaſteria ſe conferant. Sic enim Deo acce-

μιλεῖν. μὴ δὲ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ· μὴ δὲ συνεσθιέτω μονάστρια κατὰ μόνας· καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρείου μέρους πρὸς τὰς κανονικὰς ἀποκομίζονται, ἔξωθεν τῆς πύλης ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου μοναστηρίου, μετὰ γραός τινος μοναστρίας. εἰ δὲ συμβῇ, καὶ συγγενῆ τινα θέλει θεάσασθαι ὁ μοναχὸς, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων, καὶ συντόμως ἐξ αὐτῆς ἀποδιαχωρείτω.

ΒΑΛΣ. Ἐν μὲν τῷ α΄. κεφαλ. τοῦ ιβ΄. τίτλου τοῦ παρόντος συντάγματος κατεστρώθησαν διάφορα νόμιμα χάριν τῶν μοναστηρίων· ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ γίνεσθαι διπλᾶ μοναστήρια, διὰ τὸ μὴ σκανδαλίζεσθαι ἐκ τούτου τοὺς πολλούς. ὡς δέ τινος εἰπόντος, καλὸν εἶναι καὶ εὐπαράδεκτον τοῦτο, ὅταν ὑποψία τις ὑπερέχῃ διὰ τὰ ἀστήρικτα πρόσωπα (εἰ γὰρ ἀνύποπτοι, συγγενεῖς τυχὸν, ἀδελφοὶ ἢ ἕτεροι τοιοῦτοι, θελήσουσι μονάσαι, ἵνα τί οὐ παραχωρηθήσονται εἰς διπλοῦν κατοικεῖν μοναστήριον;) φασὶν οἱ πατέρες, ὡς οὐδὲ τηνικαῦτα τοὺς συγγενεῖς δέον ἐστὶ συνοικεῖν, ἵνα μὴ ἐκ τούτου προσκόπτωσί τινες· ἀλλ᾽ ὁ μὲν ἀνὴρ ἀνιέτω εἰς ἀνδρῶν μοναστήριον ἰδιαίτατον· ἡ δὲ γυνὴ εἰς γυναικεῖον. οὕτω γὰρ ζῶντες κεχωρισμένοι, εὐαρέστως δουλεύσουσι τῷ Θεῷ. τὰ μέντοι προγεγονότα διπλᾶ μοναστήρια παρεκελεύσαντο πολιτεύεσθαι, κατὰ τὸν ὁρισμὸν καὶ τὴν διάταξιν τοῦ μεγάλου πατρὸς Βασιλείου, ἤγουν μὴ συνδιαιτᾶσθαι, τουτέστι, μὴ συνοικεῖν ἄνδρας καὶ γυναῖκας ἐν ἑνὶ μοναστηρίῳ, ὅτι ὑποψία ἐστὶ μοιχείας ἀπὸ τῆς συνοικήσεως· ἀλλὰ μηδὲ μοναχὸς ἐχέτω ἄδειαν μετὰ μοναχῆς κατ᾽ ἰδίαν προσομιλεῖν ἢ συνεσθίειν, ἢ ἐν γυναικείῳ μοναστηρίῳ διανυκτερεύειν· ὥσπερ οὐδὲ τὸ ἀνάπαλιν. τὰ δὲ ἀναγκαῖα ταῖς μοναζούσαις ἀποκομίζεσθαι διὰ ἀνδρῶν, οὐχὶ ἐντὸς τοῦ μοναστηρίου, ἀλλὰ ἐκτὸς τῆς πύλης αὐτοῦ, διὰ χειρὸς τῆς ἡγουμένης καὶ μοναστρίας γραός. εἰ δήποτέ τις μοναχὸς θελήσει θεάσασθαι μονάζουσαν συγγενῆ αὐτοῦ, μὴ παραχωρείσθω κατ᾽ ἰδίαν μετ᾽ αὐτῆς συνείρειν λόγους· ἀλλὰ κατὰ παρουσίαν τῆς ἡγουμένης καὶ ἐν συντόμῳ ἀναχωρεῖν. τὸ ὄνομα δὲ τῆς διαίτης, οὐκ ἐκλαμβάνεται εἰς εὐωχίαν, κατὰ τοὺς γραμματικοὺς, ἀλλ᾽ εἰς κατοίκησιν· δίαιτα γὰρ παρὰ τοῖς νομικοῖς ἡ κατοικία ἐστί. διπλᾶ δὲ μοναστήρια εἶπόν τινες λέγεσθαι, οὐ τὰ ἔχοντα ἐν ταὐτῷ καὶ ἄνδρας καὶ γυναῖκας, ἀλλὰ τὰ πλησίον καὶ ἡνωμένως κτισθέντα, καὶ λογιζόμενα ἓν ὡσανεὶ διὰ τὴν πολλὴν ἑνότητα. ἀπὸ δὲ τοῦ κανόνος ἀναφαίνεται μὴ λέγεσθαι διὰ τοῦτο διπλᾶ μοναστήρια, ἀλλ᾽ ὅτι ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ κατῴκουν ποτὲ, ὡς ἔοικεν, ἄνδρες καὶ γυναῖκες.. διορίζεται γὰρ τοὺς προσγενεῖς ἀφίστασθαι εἰς ἀνδρῷα καὶ γυναικεῖα μοναστήρια, ὡς οὔσης κεκωλυμένης τῆς εἰς αὐτὸ καὶ ἓν κατοικίας τούτων. ὡσαύτως παρακελεύεται, μὴ διαιτᾶσθαι, τουτέστι μὴ συνοικεῖν ἐν ἑνὶ μοναστηρίῳ ἄνδρας καὶ γυναῖκας. ἀνάγνωθι καὶ τὸν ὅλον πρῶτον τίτλον τοῦ δ΄. βιβλίου, διδάσκοντα περὶ τοιούτων πολλῶν, καὶ διοριζόμενον μήτε μοναχὸν μήτε λαϊκὸν εἰσιέναι εἰς γυναικεῖον μοναστήριον χάριν οἱασδήτινος αἰτίας· διατυποῦντα δὲ καὶ τὰ περὶ τῶν ὀφειλόντων ἱερουργεῖν ἐν ταῖς γυναικείαις μοναῖς· καὶ τὰ περὶ τῶν ἀποκρισιαρίων αὐτῶν καὶ λοιπῶν διακονητῶν.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν διπλᾶ γίνεσθαι μοναστήρια. οὐχ ὁμοῦ δὲ δίῃτον τοῖς μονασταῖς αἱ μονάζουσαι ἐν τοῖς τοιούτοις μοναστηρίοις, ἀλλ᾽ ἔγγιστα κατῴκουν ἀλλήλων, ὥστε καὶ ἄμφω ἀλλήλων ἀκούειν. τοῦτο οὖν, ὑποκνίζον τε εἰς λογισμοὺς ἐμπαθεῖς, ἢ καὶ εἰς τὰ πάθη αὐτὰ, καὶ εἰς σκάνδαλον δὲ τοῖς πολλοῖς γινόμενον, ὁρῶσι σχεδὸν συνοικούσας ἀνδράσι γυναῖκας, διὰ τὴν πάνυ τῶν κατοικιῶν ἑκατέρων ἐγγύτητα, ἀποτρέπει ἡ σύνοδος γίνεσθαι. εἰ δέ τινες, φησὶ, μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, οἱ μὲν ἄνδρες εἰς ἀνδρῶν ἀπερχέσθωσαν μοναστήριον, αἱ δὲ γυναῖκες εἰς γυναικεῖον. οὕτω γὰρ εὐαρεστεῖται ὁ θεὸς, ἀντὶ τοῦ, οὕτως

εὐαρέστως

συναρέστως δουλεύουσι τῷ Θεῷ, ἰδίᾳ ζῶντες, καὶ ἀπ' ἀλλήλων κεχωρισμένοι, ὥστε ἀλλήλοις μήτε εἰς παροξυσμὸν εἶναι βιοτῆς ἐμπαθοῦς, μήτε ἄλλοις εἰς σκάνδαλον. ὅσα δὲ ἤδη γεγόνασι διπλᾶ μοναστήρια, ἑστώσαν, φησι, καὶ οἰκονομείσθωσαν κατὰ τὴν διάταξιν καὶ τὸν τύπον τοῦ μεγάλου Βασιλείου, καὶ μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι. δίαιτα δὲ ἐνταῦθα, οὐ τὸ συνεσθίειν ὁμοῦ καλεῖται, ἀλλ' ἡ μετ' ἀλλήλων συνδιαγωγὴ καὶ ἀναστροφή. μηδ' ἐχέτωσαν πρὸς ἀλλήλους παῤῥησίαν μοναχός τε καὶ μοναχὴ, ὥστε συνιέναι ὅτε βούλοιντο, καὶ ἀλλήλοις προσομιλεῖν, μηδὲ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ μηδὲ συνεσθιέτω κατὰ μόνας μοναζούσῃ. ἀλλὰ κἂν χορηγεῖν αὐταῖς τὰ ἀναγκαῖα μέλλοιεν ἐκ τῆς ἀνδρῴας μονῆς, μὴ εἰσίτωσαν μοναχοὶ ἐντὸς τοῦ γυναικείου μοναστηρίου· ἀλλὰ μέχρι τῆς πύλης ἐλθόντες προσμενέτωσαν ἔξω, ἡ δὲ προεστῶσα μετὰ γηραιῶν μοναζουσῶν ἐλθοῦσα πρὸς τὴν πύλην λαμβανέτω τὰ κομισθέντα. εἰ δὲ καὶ συγγενῆ οἰκεῖαν ἰδεῖν ζητεῖ μοναχὸς, παρούσης τῆς ἡγουμένης θεασάσθω αὐτὴν, καὶ προσομιλείτω δι' ὀλίγων λόγων, ὥστε ταχέως ὑποχωρεῖν.

A ptum eſt, Deo ſic accepti ſervient, ſi ſejuncti invicem ac diviſi vitam agant, nec alter alteri incitamentum ad libidinem, neque aliis offenſionem præbeat. Quæ autem duplicia monaſteria jam inſtituta ſunt, maneant, inquit, ac juxta mag. Baſil. conſtitutionem normamq; adminiſtrentur; neque in uno monaſterio, Monachi ſimul & Monachæ degant. Δίαιτα namque hoc loco, non ejuſdem menſæ communionem, ſed vitæ mutuam conſuetudinem familiaritatemque ſignificat. Neque vero ea concedatur ulli Monacho vel Monachæ licentia, ut ſimul colloqui uterque congredique pro arbitrio queant, neque in muliebri monaſterio Monachus pernoctet, neque ſeorſum B cum moniali aliqua cibum capiat. Verum etiamſi quandoque ad victum neceſſaria ex virorum monaſterio monialibus ſuppeditari contingat, nequaquam intra ſepta monaſterii muliebris Monachi ingrediantur: ſed ubi ad portam pervenerint, extra fores conſiſtant; Præfecta vero earum, & quæ ætate provectiores ſunt, monialium comitatu ſepta, portæ appropinquans quæ afferuntur accipiat. Si quis vero etiam cognatam viſere Monachus cupiat, præſente monaſterii Præfectâ id faciat, brevique colloqulo uſus quam primum recedat.

Arist. Μὴ ἤτω διπλᾶ μοναστήρια, μηδὲ διαιτάσθωσαν ἐν αὐτῷ μοναχοὶ καὶ μονάστριαι, μηδὲ κατὰ μόνας ὁμιλείτωσαν· ἀλλὰ καὶ εἴ τι διακομίσει ἀνὴρ κανονικῇ, ἔξω μένων διδότω, καὶ τὴν συγγενῆ ὑπὸ παρουσίας τῆς ἡγουμένης θεάσθω.

Arist. *Duplicia ne fiant monaſteria, neque Monachi C & Monachæ in eodem cohabitent, neque ſeorſim confabulentur: quinetiam ſiquid vir fœminæ regulari attulerit, extra fores expectans, tradat, & cognatam in præfectæ præſentia viſat.*

Πᾶσαν ἀσφάλειαν ἔθεντο οἱ πατέρες, ἵνα μὴ τῇ μοναδικῇ πολιτείᾳ μῶμός τις ἐπιτείβηται, καὶ προσέταξε, μὴ ἐν ταὐτῷ συνεσθίειν μοναχοὺς καὶ μονάστριας, μηδὲ πρὸς ἀλλήλους ὁμιλεῖν κατ' ἰδίαν. ἀλλὰ κἂν συγγενῆ τινα θέλῃ θεάσασθαι μοναχὸς, παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλεῖν. καὶ εἴ τι τῶν ἀναγκαίων τοῦ βίου ἀπὸ τοῦ ἀνδρῴου μοναστηρίου διακομίσῃ πρὸς τὰς μοναζούσας ὁ μοναχὸς, ἔξω τῆς μονῆς ἑστῶτα διδόναι τοῦτο τῇ ἡγουμένῃ.

Omnem curam adhibuerunt patres, ne probrum aliquod vitæ monaſticæ inferretur, & mandârunt in eodem monaſterio Monachos & Monachas non conveſci, nec inter ſe ſeorſim confabulari: ſed & ſi cognatam aliquam aſpicere cupit Monachus, præſentiâ præfectæ cum ea colloqui. Et ſi quid eorum, quæ vitæ ſunt neceſſaria, à virorum monaſterio ad Monachas tranſportabit Monachus, extra manſionem ſtans illud Præfectæ D tradat.

ΚΑΝΩΝ κα'.

Οὐ δεῖ μοναχὸν ἢ μονάστριαν καταλιμπάνειν τὴν οἰκείαν μονὴν, καὶ εἰς ἑτέραν ἀπέρχεσθαι· εἰ δὲ συμβῇ τοῦτο, ξενοδοχεῖσθαι αὐτὸν ἀναγκαῖον, προσλαμβάνεσθαι δὲ ἄνευ γνώμης τοῦ ἡγουμένου αὐτοῦ οὐ προσήκει.

ΒΑΛΣ. Μετὰ τὸ δοῦναί τινα συνθήκας καὶ ὁμολογίας εἰς Θεὸν, χάριν τοῦ προσμένειν ἐν ᾗ ἀπεκάρη μονῇ, πῶς παραχωρηθήσεται τὴν οἰκείαν ἀθετῆσαι ὁμολογίαν, καὶ εἰς ἑτέραν ἀπελθεῖν μονήν; διορίζεται οὖν ὁ κανὼν, μήτε μοναχὸν μήτε μονάστριαν ἀσυντάκτως ἀναχωρεῖν ἀπὸ τῆς οἰκείας μονῆς, καὶ εἰς ἕτερον ἀπέρχεσθαι μοναστήριον, χάριν τοῦ καταταγῆναι ἐν αὐτῷ. εἰ δὲ πολλάκις διὰ μικροψυχίαν γένηται τοῦτο, μὴ προσλαμβάνεσθαι αὐτὸν παρὰ τοῦ προεστῶτος ἄνευ εἰδήσεως τοῦ κυρεύσαντος αὐτὸν ἡγουμένου, δηλονότι χωρὶς ἀπολυτικῆς γραφῆς αὐτοῦ· ἀλλὰ μόνον ξενοδοχεῖσθαι· ἵνα μὴ βιασθῇ εἰς κοσμικὰ ἀπιέναι, καὶ διάγειν μετὰ λαϊκῶν. ὁ μέντοι μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ κεφαλαίοις διορίζεται τὸν μοναχὸν, βλαπτόμενον ψυχικῶς, ἀναχωρεῖν ἀφ' ἧς ἀπεκάρη μονῆς· καὶ τοῦτο δὲ ποιεῖν, μετὰ τὸ εἰπεῖν καὶ ἅπαξ καὶ δὶς τὰ περὶ τούτου πρὸς τὸν καθηγούμενον καὶ τοὺς μοναχοὺς, καὶ μὴ διορθωθῆναι τὸ κακόν. τῷ ὀνόματι δὲ τῆς ξενοδοχείας μὴ εἴπῃς ἐπὶ πολὺν καιρὸν τὸν ξενοκουρίτην μοναχὸν διάγειν εἰς ἀλλοτρίαν μονὴν, τοῦτο γὰρ καὶ περιγραφὴ τοῦ κανόνος ἐστίν· ἀλλ' ἐφ' ἡμέραις μετρίαις. μὴ θαυμάσῃς δὲ πῶς οὐ κολάζεται παρὰ τοῦ κανόνος ὁ παραβάτης τούτου. ἀνάγνωσον καὶ τὸν π'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ μάθῃς ὅπως οἱ ξενοκουρῖται κολάζονται, καὶ οἱ τούτους δεχόμενοι.

Canon XXI.

Non oportet Monachum vel Monacham proprium relinquere monaſterium, & ad aliud ſe conferre: ſi hoc autem contigerit, ipſum hoſpitio excipi eſt neceſſarium; ſed ſine notitia monaſterii præfecti eum recipi non convenit.

Bals. Poſtquam pollicitus ſit aliquis & Deo profeſſus ſe in monaſterio, in quo tonſus eſt, manſurum, quomodo ei permittetur ſuam profeſſionem infirmare, E & in aliud monaſterium abire? Statuit ergo Canon, ne Monachus vel Monacha ex ſuo monaſterio inordinatè recedat, & in aliud monaſterium ſe conferat, ut in eo collocetur. Si hoc autem propter puſillum & abjectum animum ſæpe fiat, is ne ab eo qui præeſt recipiatur, ſine ſcientia ac notitia ejus, qui illius curam gerit, monaſterii præfecti, ſcilicet ſine dimiſſoria ejus epiſtola: ſed ſolum hoſpitio excipiatur; ne ad ſecularia abire cogatur, & cum laicis vitam agere. Porro magnus Baſilius in ſuis Aſceticis capitibus ſtatuit, ut Monachus, qui animo offenditur, recedat ab eo, in quo tonſus eſt, monaſterio: & hoc faciat, poſtquam F monaſterii præfecto id ſemel & iterum dixerit, & etiam Monachis, nec malum corrigitur. Hoſpitii autem nomine ne dicas Monachum, qui alibi tonſus eſt, diu debere verſari in alieno monaſterio; hac enim ratione fit fraus Canoni: ſed paucis diebus. Ne mireris autem, quomodo à canone non punitur is, qui eum tranſgreditur. Lege & lxxx. can. Syn. Carth. & ſcies quomodo puniuntur, qui alibi tonſi ſunt, & qui eos ſuſcipiunt.

A **ZONAR.** Monachos, quo loco primum rebus humanis à se abjudicatis monasticæ vitæ institutum amplexi sunt, in eo manere, nec aliam sibi stationem quærere oportet. Quod si quis in alterum monasterium, relicto priore, demigret; hospitio scilicet hominem excipi necesse est, ne profana diversoria ingredi, & cum iis, qui nulla ad honeste vivendum disciplina instructi sunt vitam agere cogatur: adscribi vero ordini, & in fratrum numerum referri, nisi ejus unde discessit monasterii Præfecto annuente, non licet. Atque hic quidem Canon omnem, sine ullo discrimine, secessionem interdictam esse decernit: magnus vero Basilius, in asceticis B suis capitibus, diverso modo de Monachorum discessione loquitur, quam ita demum concedi probat, si manentes spirituali detrimento afficiantur; ac tum quidem ejus detrimenti causam Præfecto aperire, ac si quidem ea tollatur, in sua quemque statione persistere; illa vero adhuc manente, rem totam in fratrum conventu enuntiare jubet.

ARIST. *Monacho vel Monachæ suam relinquere mansionem, & aliam ingredi non liceat: sin ingrediatur, ut hospes accipiatur; at præter præfecti sententiam ne admittatur aut hospitio excipiatur.*

Recipi quidem & hospitio excipi Monachum vel Monacham, C ad aliam mansionem proficiscentem, præsens can. non permittit, ne ad seculares necessario divertens, ibi permaneat: at eam admittere, & præterea accipere, & inter sorores sine Præfectæ voluntate collocare non permittit.

CANON XXII.

Deo quidem universum dedicare, & non propriis voluntatibus servire, res magna est: Sive enim comeditis, sive bibitis, inquit divinus Apostolus, omnia in Dei gloriam facite. Christus autem Deus noster in suis Evangeliis jussit peccatorum principia resecare. Non enim adulterium solum apud ipsum punitur; sed etiam D cogitationis motus ad aggrediendum adulterium condemnatur, ipso dicente, Qui aspexit mulierem ad concupiscendam ipsam, eam jam in corde suo adulteravit: unde nos quoque edocti, debemus cogitationes purgare. Etsi enim omnia licent, non tamen omnia expediunt, ut à voce Apostolica docemur. Cuivis ergo homini necesse est comedere ut vivat. Et quibus est vita quidem matrimonii & liberorum & laicæ constitutionis, mixtim comedere viros & mulieres, est ab omni reprehensione alienum; si modo ei, qui dat nutrimentum, gratias agant, non cum scenicis quibusdam studiis sive satanicis canticis, & citharedicis ac meretriciis vocibus, quos E *prophetica execratio flexionibus seu gesticulationibus persequitur, sic dicens, Væ iis qui cum cithara & psalterio vinum bibunt, Domini autem opera non respiciunt, & opera manuum ejus non considerant. Et sicubi tales fuerint inter Christianos, corrigantur: sin minus, adversus eos robur suum obtineant, quæ ab antecessoribus canonice tradita sunt. Quibus autem quieta est vita & solitaria, ut qui domino Deo jugum monasticum tollere statuerint, in solitudine & silentio sedere convenit: sed nec iis etiam, qui vitam sacerdotalem elegerint, licet omnino seorsum cum mulieribus comedere;* F *nisi utique cum divinis & religiosis viris ac mulieribus, ut ipsum etiam convivium ad spiritalem correctionem adducat. Porro id ipsum etiam in cognatis fiat. Si autem rursus contingat, ut quæ sunt ad usum necessaria non afferat Monachus vel Sacerdos, & propter necessitatem velit, sive ad publicum diversorium, sive ad alicujus domum divertere; ei liceat hoc facere, ut pote urgente necessitate.*

BALS. Præsens Canon prohibet Laicis, ne cum scenicis ludicris & saltationibus comedant, & suadet Chri-

ΖΩΝΑΡ. Τοὺς μοναχοὺς, ἔνθα ἀπετάξαντο τῷ κόσμῳ, συνετάξαντο δὲ τῇ μοναχικῇ πολιτείᾳ, προσμένειν προσήκει, καὶ μὴ ἐκεῖθεν ἀναχωρεῖν. εἰ δέ τις ἀναχωρήσῃ, καὶ εἰς ἑτέραν ἀπέλθῃ μονὴν, ξενοδοχεῖσθαι μὲν τοῦτον ἀναγκαῖον, ἵνα μὴ βιασθῇ εἰς κοσμικοὺς ἀπιέναι, καὶ συνδιάγειν τοῖς ζῶσιν ἀδιαφόρως· προσλαμβάνεσθαι δὲ αὐτὸν καὶ καταλέγειν τῇ ἀδελφότητι οὐ δεῖ, εἰ μὴ ὁ ἡγούμενος ἐπιτρέψῃ τῆς μονῆς, ἀφ' ἧς ἐξῆλθεν. ὁ μὲν οὖν κανὼν ἀπαραίτητον ἔχει τὴν κώλυσιν τῆς ἀναχωρήσεως· ὁ δὲ μέγας Βασίλειος, ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ κεφαλαίοις, διαστίζει περὶ τῆς τῶν μοναχῶν ἀναχωρήσεως, καὶ οὐκ ἄλλως αὐτοῖς ἀναχωρεῖν δίδωσιν, εἰ μὴ ψυχικῶς βλάπτοιντο, καὶ τότε δὲ τὴν αἰτίαν τῆς βλάβης ἐπαγγέλλειν τῷ ἡγουμένῳ, καὶ εἰ μὲν θεραπεύοιτο τὸ αἴτιον αὖθις, διαμένειν βούλεται ἕκαστον ἐν τῇ οἰκείᾳ μονῇ· εἰ δὲ ἀθεράπευτον ᾖ τὸ κακὸν, λέγειν τοῦτο ἐπὶ τῆς ἀδελφότητος.

ΑΡΙΣΤ. Μοναχὸν ἢ μονάστριαν μὴ ἐξέστω καταλιμπάνειν τὴν οἰκείαν μονὴν, καὶ ἑτέρᾳ προσιέναι· εἰ δ' ἀφίκοιτο, ξενοδοχείσθω· μὴ μέντοι προσδεχέσθω, καὶ ξενοδοχείσθω παρὰ γνώμην τοῦ ἡγουμένου.

Τὸ μὲν ὑποδέχεσθαι, καὶ ξενοδοχεῖσθαι μοναχὸν ἢ μοναχὴν ἐν ἑτέρᾳ μονῇ ἀπιοῦσαν, ὁ παρὼν κανὼν οὐκ ἐπιτρέπει, ἵνα μὴ διὰ ἀνάγκην εἰς κοσμικοὺς ἀπέλθοι ἢ μείνῃ· τὸ δὲ προσλαβεῖν, καὶ προσδέξασθαι αὐτὴν, καὶ συντάξαι τῇ ἀδελφότητι παρὰ γνώμην τῆς ἡγουμένης, οὐκ ἐπιτρέπει.

ΚΑΝΩΝ κβʹ.

Θεῷ μὲν τὸ πᾶν ἀνατίθεσθαι, καὶ οὐ τοῖς ἰδίοις θελήμασι δουλεύειν, μέγα χρῆμα τυγχάνει· εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, ὁ θεῖος ἀπόστολός φησι, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. Χριστὸς δὲ ὁ Θεὸς ἡμῶν ἐν τοῖς εὐαγγελίοις αὐτοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν προστέταχεν. οὐ γὰρ μοιχεία μόνον παρ' αὐτοῦ κολάζεται, ἀλλὰ καὶ ἡ κίνησις τοῦ λογισμοῦ πρὸς τὴν τῆς μοιχείας ἐγχείρησιν κατακέκριται, λέγοντος αὐτοῦ, ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἔνθεν οὖν μαθητευθέντες, λογισμοὺς ὀφείλομεν καθαίρειν. εἰ γὰρ καὶ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, ὡς ἐξ ἀποστολικῆς φωνῆς διδασκόμεθα. ἐπάναγκες οὖν ἐστι παντὶ ἀνδρὶ διὰ τὸ ζῆν ἐσθίειν. καὶ οἷς μὲν βίος ἐστὶ γάμου καὶ τέκνων καὶ λαϊκῆς διαθέσεως, ἀναμὶξ ἐσθίειν ἄνδρας καὶ γυναῖκας, τῶν ἀδιαβλήτων ἐστὶ, μόνον τῷ διδόντι τροφὴν τὴν εὐχαριστίαν προσάγοντας, μὴ μετά τινων θυμελικῶν ἐπιτηδευμάτων, εἴτουν σατανικῶν ᾀσμάτων, κιθαρῳδῶν τε καὶ πορνικῶν λυγισμάτων, οἷς ἐπέρχεται προφητικὴ ἀρὰ, οὕτως ἡ λέγουσα, οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. καὶ εἴ πού ποτε εἶεν τοιοῦτοι ἐν τοῖς Χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή γε, κρατείτωσαν ἐπ' αὐτοῖς τὰ παρὰ τῶν πρὸ ἡμῶν κανονικῶς ἐκτεθέντα. οἷς δὲ ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὁ συνταξάμενος Κυρίῳ τῷ Θεῷ ζυγὸν μονήρη ἆραι, καθίσεται κατὰ μόνας καὶ σιωπήσῃ· ἀλλὰ μὴν καὶ τοῖς ἱερατικὸν ἐκλεξαμένοις βίον οὐδ' ὅλως ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν, εἰ μή που μετά τινων θεοφόρων καὶ εὐλαβῶν ἀνδρῶν καὶ γυναικῶν, ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ. καὶ ἐπὶ συγγενῶν δὲ τὸ αὐτὸ ποιείτω. εἰ δὲ καὶ αὖθις ἐν ὁδοιπορίᾳ συμβῇ τὰ τῆς ἀναγκαίας χρείας μὴ ἐπιφέρεσθαι μοναχὸν ἢ ἱερατικὸν ἄνδρα, καὶ διὰ τὸ ἀναγκαῖον καταλῦσαι βούλεται, εἴτε ἐν πανδοχείῳ, εἴτε ἐν οἴκῳ τινὸς, ἄδειαν ἔχειν αὐτὸν τοῦτο ποιεῖν, ὡς τῆς χρείας κατεπειγούσης.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κωλύει τοὺς λαϊκοὺς μετὰ θυμελικῶν παιγνίων καὶ ὀρχήσεων ἐσθίειν, καὶ παρεγγυᾶται τοῖς

τοιούτοις

A τοιοῦτόν τι ποιοῦσι Χριστιανοῖς διορθοῦσθαι· εἰ δὲ μή, κρατεῖν ἐπ᾽ αὐτοῖς τὰ παρὰ τῶν κανόνων προορισθέντα. τοὺς μέντοι μοναχοὺς καὶ τοὺς ἱερωμένους παρακελεύεται μὴ συνεσθίειν μετὰ γυναικῶν κατ᾽ ἰδίαν, κἂν τῇ ἀληθείᾳ ὦσι προσήκουσαι αὐτῶν· ἀλλ᾽ ἐν φωτὶ καὶ μετ᾽ εὐλαβῶν τινων, διὰ τὸ μήτε αὐτοὺς ὑπὸ λογισμῶν ἐναντίων κατασείεσθαι, μήτε ἄλλους σκανδαλίζειν. ἐν ὁδοιπορίᾳ δὲ ἢ ἐν ἑτέρᾳ ἀναγκαίᾳ διακονίᾳ ἀποδημοῦντά τινα ἐκ τούτων, καὶ τὰ πρὸς ζωὴν ἐπιτήδεια μὴ ἔχοντα, διωρίσαντο ἀπροκριματίστως καταλύειν ἐν ξενοδοχείῳ, ἢ ἐν ἀλλοτρίῳ οἴκῳ, διὰ τὸ κατεπεῖγον τῆς σωματικῆς τροφῆς καὶ ἀναπαύσεως. καὶ ὁ μὲν σκοπὸς τοῦ B κανόνος τοιοῦτος. τὸ προοίμιον δὲ αὐτοῦ ἐστιν ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς τοῦ μεγάλου ἀποστόλου Παύλου, οὕτω λεγούσης ἐν μέρει· εἴτε ἐσθίετε εἴτε πίνετε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. τὸ δέ, ὀφείλομεν καθαίρειν λογισμούς, ἀπὸ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς· τό, πάντα ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει, ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· καὶ τό, οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, καὶ τὰ ἑξῆς, ἐκ τῆς τοῦ Ἰσαΐου προφητείας. κανονικὰς δὲ παραδόσεις οἱ πατέρες φασί, τὸν μβ΄. καὶ μγ΄. τῶν ἁγίων ἀποστόλων· τὸν ξ΄. τῆς ἐν Καρθαγένῃ συνόδου καὶ τὸν ξβ΄. τῆς ἐν τῷ Τρούλλῳ.

C ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν κωλύει μοναχοὺς καὶ ἱερωμένους κατ᾽ ἰδίαν συνεσθίειν γυναιξί. προοιμιάζεται δέ, καί φησιν, ὅτι πάντα δεῖ τῷ θεῷ ἀνατιθέναι, καὶ χρῆσιν ἐκ τοῦ ἀποστόλου παράγει, λέγοντος, εἴτε ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. εἶτα μεταχειρίζεται τὸν λόγον, φάσκων, ὅτι ὁ Χριστὸς τὰς ἀρχὰς τῶν ἁμαρτημάτων περιαιρεῖν τοὺς πιστοὺς κελεύει. ἐν γὰρ τῷ λέγειν, ὁ ἐμβλέψας γυναικί, πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐ τὴν μοιχείαν κολάζει μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ πάθους ἀρχήν. ὅταν γάρ τις περιέργως ἴδῃ, δεξάμενος τὴν τοῦ πάθους ἀρχήν, τὴν ἐπιθυμίαν δηλαδή, τότε αὐτοῦ ὁ λογισμὸς κινεῖται πρὸς τὸ ἁμάρτημα. ἔνθεν, φησί, λο- D γισμοὺς ὀφείλομεν καθαίρειν, καὶ τοῦτο δὲ ἀποστολικόν, τουτέστι, διὰ τοῦτο χρεωστοῦμεν καταβάλλειν τοὺς λογισμούς, καὶ μὴ ἐᾶν αὐτοὺς ἐπαίρεσθαι καὶ κατεξανίστασθαι ἡμῶν· ἢ καθαίρειν, γράφεται γὰρ καὶ οὕτως, ἀντὶ τοῦ μὴ ἐᾶν μολύνεσθαι τὸν λογισμὸν δι᾽ ἐνθυμήσεων πονηρῶν, ἀλλ᾽ ἀποπέμπεσθαι ταύτας, ἢ καὶ διὰ τῆς παραδοχῆς τῶν ἀτόπων διαλογισμῶν μολυνθέντα καθαίρειν αὐτόν, ἐκπλύνειν τοῦ μολυσμοῦ διὰ μετανοίας, καὶ μὴ ἐᾶν περαιτέρω χωρῆσαι. εἰ γὰρ καὶ πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. ταῦτα δὲ τοῦ μεγάλου Παύλου τὰ ῥήματα. ἔξεστιν οὖν, φησι, τὸ ἐσθίειν διὰ τὸ ζῆν. καὶ οἱ μὲν κατὰ κόσμον βιοῦντες, καὶ γυναιξὶ συζῶντες καὶ τέκνοις, οὐ κωλύονται γυναιξὶ συνεσθίειν, E οὐδὲ διαβολῆς αὐτοῖς αἴτιον τοῦτο, εἰ μετ᾽ εὐχαριστίας τῆς πρὸς θεὸν γίνοιτο, καὶ οὐ μεσολαβοῦσιν ἐν ταῖς τραπέζαις αὐτῶν θυμελικὰ ἐπιτηδεύματα, ἤγουν σατανικὰ ᾄσματα. τί δὲ ταῦτά εἰσι; κιθάραι καὶ λυγίσματα πορνικά. διὰ δὲ τῶν λυγισμάτων, ἢ τὰς ἀσέμνους ὀρχήσεις ᾐνίξατο, ἢ τὰ ἐν ταῖς ᾠδαῖς λυγίσματα τῶν φωνῶν. οἷς ἐπέρχεταί φησι, προφητικὴ ἀρά, τό, οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, καὶ τὰ ἑξῆς. εἰ οὖν εἰσι τοιοῦτοί τινες ἐν Χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή, οἱ παλαιοὶ κανόνες κρατείτωσαν ἐπ᾽ αὐτοῖς. καὶ ταῦτα μὲν περὶ λαϊκῶν ὁ κανὼν διετάξατο. οἷς δέ, φησιν, ὁ βίος ἡσύχιος καὶ μονότροπος, ἀλλὰ μὴν καὶ τοῖς ἱερατικοῖς F οὐκ ἔξεστι κατιδίαν γυναιξὶ συνεσθίειν. εἰ δέ ποτε τοῦτο γίνεσθαι δεήσει, συμπαρόντων αὐτοῖς τιμίων ἀνδρῶν τε καὶ γυναικῶν συνεστιαθήσονται γυναιξίν, ἵνα καὶ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ· κατορθοῖ γὰρ ὁ οὕτως ἀνυπόπτως συνεσθίων γυναιξί, τὸ δοξάζεσθαι τὸν θεόν. οἱ γὰρ ὁρῶντες αὐτὸν ἔξω πάσης διατηροῦντα ἑαυτὸν ὑποψίας, δοξάζουσι τὸν θεόν, κατὰ τὸν εὐαγγελικὸν λόγον τὸν λέγοντα· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως

ſtianis qui tale quid faciunt, ut ſe corrigant: ſin minùs, adverſus eos valere, quæ Canonibus anteà conſtituta fuêre, decernit. Porrò & Monachis & Sacerdotibus præcipit, ne ſeorſum cum mulieribus comedant, etiamſi revera eorum cognatæ fuerint; ſed palam, & cum aliquibus bonis ac religioſis, ut neque ipſi à contrariis cogitationibus moveantur, neque aliis offenſionem ſcandalúmque præbeant. Si quis autem horum in itinere vel in alio non negligendo miniſterio peregrè verſetur, & non habeat ea quæ ſunt ad vitam neceſſaria, ſtatuerunt, eum abſque ullo præjudicio in hoſpitio publico vel in alienis ædibus diverſari, propter urgentem neceſſitatem corporei nutrimenti & quietis. Atq; hic quidem eſt hujus Canonis ſcopus. Ejus autem proœmium eſt ex prima ad Corinthios epiſtola magni Apoſtoli Pauli, quæ ſic expreſsè dicit; Sive comeditis, ſive bibitis, omnia in Dei honorem facite. Illud autem; Debemus cogitationes purgare; ex ii. ad Corinthios epiſtola. Illud; Omnia licent, ſed non omnia expediunt, ex primâ ad Corinthios Epiſtolâ. Et illud, væ illis, qui cum cithara & pſalterio vinum bibunt, & quæ deinceps ſequuntur; ex Eſaia prophetâ. Canonicas autem traditiones dicunt patres xlii. & xliii. Can. ſanctorum Apoſtolorum, & lx. Carthag. Syn. & lxii. Syn. in Trullo.

Zonar. Monachos & ſacris initiatos homines privatim in eadem menſa cum fœminis accumbere hic Canon vetat. Exordio verò utitur, atque ad Deum omnia referenda eſſe demonſtrat, dictúmque Apoſtoli profert dicentis; Sive manducatis, ſive bibitis, omnia in gloriam Dei facite. Deinde ſermonem aggreditur, atque ex Chriſti præcepto peccatorum initia à fidelibus reſecanda eſſe oſtendit. Illis namque verbis, Qui viderit mulierem, ad concupiſcendum eam, jam mœchatus eſt eam in corde ſuo, non adulterium ſolummodo, ſed ipſa quoque pravi motûs initia caſtigat. Cùm enim in mulieris forma contemplanda quiſpiam curioſus eſt, admiſſo pravæ affectionis initio, nempe cupiditate, ex eo ipſius quoque cogitatio & ratio ad crimen ſuſcipiendum impellitur. Proinde cogitationes, inquit, interimere debemus, (eſt & hoc quoque Apoſtolicum) id eſt, propter hoc naſcentes debemus extinguere, priuſquam ſeſe altius efferre ac nobiſcum colluctari poſſint: Vel καθαίρειν i. e. purgare, (utraque enim lectio admitti poteſt) ne videlicet mentem impuris cogitationibus contaminari ſinamus, ſed eas quam longiſſime amandemus; vel etiam mentem, ob admiſſas impuras cogitationes inquinatam, expurgemus, ac pænitentia contractas ſordes eluamus, neque ulterius progredi patiamur. Nam etſi mihi omnia licent, non tamen omnia expediunt: hæc quoque magni Pauli verba ſunt. Licet ergo, inquit, edere ut vivas. Et qui communi quidem more cum uxoribus ſuis ac liberis habitantes degunt, cum mulieribus cibum capere minime prohibentur, nec eos quiſquam ob id reprehendat; ſi meritas interea divinæ liberalitati gratias agant, neque inter epulas comica ſtudia, hoc eſt, ſatanicas cantiones adhibeant. Quænam hæc vero? Citharæ meretriciæque flexiones. Flexionum autem nomine, aut inconditas ſaltationes, aut vocum in cantilenis modulationes ſignificavit. In eos ſiquidem, ait, illa prophetæ execratio cadit, Væ, qui cum cathara & pſalterio vinum bibunt; & quæ ſequuntur. Si qui igitur hujuſmodi inter Chriſtianos ſint, corrigi: ſin minus, antiquorum Canonum conſtitutiones in ipſis ſervari placet. Et hæc quidem de laicis Canon ſtatuit. Quibus vero, inquit, vitæ genus quietum & ſolitarium, quin & iis, qui in ſacrum ordinem cooptati ſunt, privatim mulieribus conveſci non licet. Id vero ſi quandoq; neceſſario fiat, nequaquam cum fœminis diſcumbere, niſi præſentibus honeſtis viris ac mulieribus, permiſſum ſit, ut ſpiritualem aliquem fructum ipſa illa convivandi ſocietas pariat. Quiſquis enim hoc pacto citra ſuſpicionem cum mulieribus veſcitur, cæteros ad præconium divinæ laudis impellit. Nam qui ab eo ne tenuiſſimæ quidem ſuſpicioni locum relinqui animadverterint, Deum laudibus efferunt, ut in Evangelio ſcriptum eſt, illis verbis; Sic luceat lux veſtra coram hominibus, ut videant opera veſtra bona, & glorificent Patrem veſtrum, qui eſt in cœlis. Neque ſolum quandocunque cum alienis, ſed etiam ſi cum propinquitate junctis mulieribus Monachi aut ſacris initiati cibum capiant, modeſtia ſpectatos homines adhiberi hoc Canone eſt. In itinere tamen, ubi alius commorandi locus non ſuppetat, ſacrato homini aut Monacho impune ad cauponam divertere, aut in alterius cujuſpiam domo inſtanti neceſſitati ſatisfacere conceſſum ſit: ſed in iis quoque locis religionis nihilominus ac temperantiæ rationem ab illis Canon haberi jubet.

A ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ οὐ μόνον ἀλλοτρίαις γυναιξὶ συνεσθίειν ὁ μοναχὸς ἢ ὁ ἱερωμένος ἐπὶ παρουσίᾳ τινῶν εὐλαβῶν ἀπαιτεῖται, ἀλλὰ καὶ ὅτι συγγενέσι γυναιξὶ συνεσθίει. ἐν δὲ ὁδοιπορίαις ἱερωμένος ἢ μοναχὸς, εἰ μὴ ἔχοι ὅπου διαναπαύσεται, ἀλλὰ ἔξεστιν αὐτῷ καὶ ἐν πανδοχείῳ καὶ ἐν οἴκῳ τινὸς καταλῦσαι χρείας κατεπειγούσης. πλὴν κἀκεῖ μετ' εὐλαβείας βούλεται ὁ κανὼν καὶ σωφρόνως αὐτοὺς τὴν διαγωγὴν ποιεῖσθαι.

Arist. *Laicos quidem viros cum mulieribus conveſci eſt ab omni reprehenſione alienum: ſolitariis autem viris cum mulieribus privatim convivari non licet; niſi forſitan unà cum Dei timentibus & religioſis viris & mulieribus. In itinere autem Monachus vel & ſacris initiatus vir, ſecum neceſſaria non afferens, in publicum diverſorium divertat.*

B **ΑΡΙΣΤ.** Λαϊκοὺς μὲν ἄνδρας συνεσθίειν γυναιξὶν, ἀδιάβλητον· μονοτρόποις δὲ οὐκ ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν, εἰ μήπου μετὰ θεοφόβων καὶ εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν. ἐν ὁδῷ δὲ μοναχὸς, ἢ ἱερατικὸς ἀνὴρ, μὴ ἐπιφερόμενος τὰ ἀναγκαῖα, ἐν πανδοχείῳ καταλύσουσι.

Cum gratiarum quidem actione & Dei timore, non ſcenicis aliquibus & ſatannicis canticis, Laicos viros cum mulieribus conveſci, reprehendi nequit. Eis autem, qui vitam quietam & ſolitariam elegerunt, ut qui Deo ſpoponderunt ſolitariè ſedere & ſilere, non omnino licet cum mulieribus privatim comedere: niſi fortè cum religioſis quibuſdam viris aut mulieribus convivari velint; ut & ipſum etiam convivium ad ſpiritualem correctionem tendat. In itinere autem, ſi neceſſaria non afferuntur, licet Monacho aut homini ſacerdotali in publicum diverſorium, vel in alicujus domum divertere propter urgentem ipſius neceſſitatem.

Τὸ μὲν μετ' εὐχαριστίας καὶ φόβου Θεοῦ, μὴ διά τινων θυμελικῶν καὶ σατανικῶν ᾀσμάτων, λαϊκοὺς ἄνδρας γυναιξὶ συνεσθίειν, τῶν ἀδιαβλήτων ἐστί. τοῖς δὲ βίον ἡσύχιον ἔχουσι, καὶ C μονοτρόπως, ὡς συνταξαμένοις Θεῷ καὶ καταμόνας καθίσαι, καὶ σιωπῆσαι, κατ' ἰδίαν ὅλως οὐκ ἔξεστι γυναιξὶ συνεσθίειν, εἰ μήπου μετά τινων θεοφόβων ἀνδρῶν τε καὶ γυναικῶν συνεστιαθῆναι θελήσουσιν· ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν γένηται. ἐν ὁδῷ δὲ, εἰ τὰ ἀναγκαῖα οὐκ ἐπιφέρονται, ἄδεια δίδοται καὶ μοναχῷ, καὶ ἱερατικῷ ἀνδρὶ ἐν πανδοχείῳ, εἴτε καὶ ἐν οἴκῳ καταλύειν διὰ τὴν κατεπείγουσαν χρείαν.

D

E

KANO-

F

A

ΚΑΝΟΝΕΣ ΕΚΤΕΘΕΝΤΕΣ ΠΑΡΑ τῆς ἁγίας καὶ μεγάλης ἐν Κωνσταντινουπόλει πρώτης καὶ δευτέρας Συνόδου, τῆς συστάσης ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων.

CANONES EDITI A SANCTA ET MAGNA. Conſtantinopolitana prima & ſecunda Synodo, quæ congregata eſt in venerabili templo ſanctorum & benedictorum Apoſtolorum.

ΒΑΛΣ. Τινὲς τὴν ἐπιγραφὴν ἀναγινώσκοντες ἀποροῦσι πῶς μία οὖσα αὕτη ἡ σύνοδος, πρώτη καὶ δευτέρα λέγεται· Λύσις. ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Φωτίου, τοῦ τὸν νομοκάνονον συνθεμένου, B συνεκροτήθη κατὰ τοῦ μακαριωτάτου πατριάρχου Ἰγνατίου οἰκουμενικὴ σύνοδος. λαληθεισῶν δὲ καὶ δογματικῶν ὑποθέσεων καὶ ἀλλοίων ἐκκλησιαστικῶν, γέγονε διάστασις καὶ μερισμὸς τῆς συνόδου, ὡς τῶν ἑτεροδόξων μὴ ἀνεχομένων διὰ τὴν ἧτταν ὁμογνωμονῆσαι τοῖς ὀρθοδόξοις. χάριν τοῦτο καὶ ἐδέησε τοῖς θείοις πατράσι γενέσθαι καὶ δευτέραν συνέλευσιν, καὶ γραφῆναι τὰ προλαληθέντα καὶ κυρωθέντα. ὠνομάσθη οὖν ἐντεῦθεν ἡ τοιαύτη σύνοδος πρώτη καὶ δευτέρα, καὶ οἱ ὑποτεταγμένοι κανόνες ἐξετέθησαν.

BALS. Quidam hanc inſcriptionem legentes dubitant, quomodo hæc ſynodus, quæ una eſt, prima & ſecunda dicitur. Solutio. Tempore ſanctiſſimi illius Patriarchæ domini Photii, qui nomocanonon compoſuit, coacta eſt adverſus Ignatium beatiſſimum Patriarcham univerſalis Synodus. Cùm autem dictæ eſſent dogmaticæ cauſæ diverſæque Eccleſiaſticæ, fuit diviſio & ſeditio ſynodi; utpote iis, qui non rectè ſentiebant, cùm victi eſſent, orthodoxis aſſentiri nolentibus. Propterea & divinis patribus opus fuit, ut fieret ſecundus conventus, & ſcriberentur quæ priùs dicta erant & confirmata. Ex eo ergo nominata eſt hæc Synodus prima & ſecunda, & ſubjecti Canones editi fuere.

C

ΖΩΝΑΡ. Ἡ σύνοδος αὕτη ἐπιγέγραπται οὕτως, ἡ ἁγία καὶ μεγάλη πρώτη καὶ δευτέρα σύνοδος ἡ ἐν Κωνσταντινουπόλει συστᾶσα ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων. ἀπορεῖν τοίνυν ποιεῖ τοὺς τὴν ἐπιγραφὴν διαναγινώσκοντας αὐτὴν, πῶς μία οὖσα, πρώτη καὶ δευτέρα καλεῖται. λέγεται τοίνυν σύνοδον ἐν τῷ ῥηθέντι ναῷ τῶν ἁγίων ἀποστόλων συγκροτηθῆναι, καὶ διαλεχθῆναι τοὺς ὀρθοδόξους τοῖς ἑτεροδόξοις, καὶ δόξαι τοὺς ὀρθοδόξους ἐπικρατεστέρους, μέλλειν τε γραφῇ παραδοθῆναι τὰ λαληθέντα· τοὺς δὲ αἱρετικοὺς μὴ ἀνασχέσθαι γραφῆναι τὰ D δόξαντα, ἵνα μὴ φανεῖεν ἡττηθέντες, καὶ ἐκκηρυχθῶσι τῆς τῶν πιστῶν ὁμηγύρεως, καὶ στασιάσαι διὰ τοῦτο, καὶ ἐς τοσοῦτον τὴν στάσιν αὐτοῖς προελθεῖν, ὡς καὶ μέχρι ξιφουλκίας καὶ φόνων χωρῆσαι, καὶ οὕτω διαλυθῆναι τὴν πρώτην ἐκείνην συνέλευσιν, μὴ σχοῦσαν δῆλόν τι ἀποτέλεσμα. εἶτ' αὖθις παραῤῥυέντος χρόνου δευτέραν ἐν τῷ αὐτῷ ναῷ γενέσθαι συνέλευσιν, καὶ πάλιν περὶ τῶν αὐτῶν γενέσθαι διάλογον, καὶ τότε συγγραφῆναι τὰ λαληθέντα περὶ δογμάτων. καὶ διὰ τοῦτο, φασὶν αὐτὴν μίαν οὖσαν κυρίως, πρώτην καὶ δευτέραν ὀνομασθῆναι, ὡς δὶς γεγονυίας τῆς συνελεύσεως τῶν πατέρων. ἐν δὲ τῇ δευτέρᾳ, E συγγραφέντων τῶν λαληθέντων καὶ συνδοξάντων, ὅτε καὶ οἱ ὑποτεταγμένοι κανόνες ἐξεφωνήθησαν.

ZONAR. Synodi hujus inſcriptio hæc eſt; ſancta & magna prima & ſecunda Synodus Conſtantinopolitana in templo ſanctorum & glorioſiſſimorum Apoſtolorum congregata. Apud eos ergo, qui hanc inſcriptionem legunt, dubitatio exoritur; qua ratione, una cum ſit, prima & ſecunda hæc Synodus nuncupetur. Igitur in templo ſanctorum Apoſtolorum, quod diximus, Synodum celebratam, ibique inter orthodoxos & adverſæ factionis homines habitam diſputationem fuiſſe, ac in ea ſuperiores orthodoxos extitiſſe memorant. Cum vero de iis, quæ ultro citroque diſputata fuerant, ſcripto exarandis conſtitutum eſſet; hæreticos, quippe qui ſe victos atque à conventu fidelium eliminandos exiſtimari nollent, quæ decreta fuerant ſcriptis conſignari, ſeditione etiam ob eam cauſam excitata, minime paſſos; quam quidem ſeditionem euſque proceſſiſſe, ut eductis quoque gladiis complures interfecti ciciderint; atque hoc pacto conventum illum primum nullo videlicet rei exitu, diremptum. Hinc rurſum temporis intervallo alterum in eodem templo conventum habitum, iterúmq; de iiſdem rebus diſputatum, dogmaticáque decreta literarum monumentis commendata tum demum fuiſſe. Atque ex hoc factum aiunt, ut hæc, licet una Synodus, tamen ob Patres bis convocatos, prima & ſecunda meritò nominata fuerit. In ſecunda itaque congreſſione iis, quæ diſputata atq; omnium conſenſu decreta fuerant, ſcripto commiſſis, ſubjecti quoque Canones promulgati fuere.

ΚΑΝΩΝ α'.

Πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον, καὶ τοῖς μακαρίοις καὶ ὁσίοις πατράσιν ἡμῶν πάλαι καλῶς ἐπινοηθὲν, ἡ τῶν μοναστηρίων οἰκοδομὴ, κακῶς ὁρᾶται πραττόμενον σήμερον. τινὲς γὰρ ὄνομα μοναστηρίου ταῖς οἰκείαις περιουσίαις καὶ ὑπάρξεσι περιθέμενοι, καὶ θεῷ καθαγιάζειν ταύτας ἐπαγγελλόμενοι, F κυρίους τε τῶν ἀφιερωθέντων ἑαυτοὺς ἀναγράφουσι, καὶ μόνῃ τῇ προσηγορίᾳ τὸ θεῖον ἀφοσιοῦν ἐκμηχανᾶσθαι διεγνώκασι. τὴν αὐτὴν γὰρ ἐξουσίαν καὶ μετὰ τὴν ἀφιέρωσιν οὐκ ἐρυθριῶσι σφετερίζεσθαι, ἥνπερ εἶχον οὐκ ἐκωλύοντο πρότερον· καὶ τοσαύτη καπηλεία προσετρίβη τῷ πράγματι, ὥστε πολλὰ τῶν ἀφιερωθέντων παρ' αὐτῶν γε τῶν ἀφιερωσάντων ὁρᾶσθαι πιπρασκόμενα, θάμβος καὶ μῖσος τοῖς ὁρῶσι παρεχόμενα. καὶ οὐ μόνον οὐκ ἔστιν αὐτοῖς μεταμέλεια, ἐφ' οἷς τῶν ἅπαξ ἀνατεθειμένων θεῷ τὴν ἐξουσίαν ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ καὶ ἑτέροις ταύτην ἀδεῶς παραπέμπουσιν.

CANON I.

Res adeò veneranda & honorabilis, & à beatis & ſanctis patribus noſtris jam olim pulchrè excogitata, monaſteriorum ædificatio, hodie malè geritur. Nonnulli enim ſuis copiis & facultatibus nomen monaſterii imponentes, & eas Deo ſanctificare profitentes, ſe eorum quæ ſunt conſecrata dominos inſcribunt, & Deo dedicare ſola appellatione machinari decreverunt. Eandem enim poteſtatem etiam poſt conſecrationem ſibi uſurpare non erubeſcunt, quam priùs habere non vetabantur: & tanta rei c auponatio adhibita eſt, ut multa eorum quæ ſunt conſecrata, ab iis ipſis qui conſecrârunt, vendita cernantur, admirationem & odium in ipſis videntibus excitantia; & tantum abeſt ut ullam agant pœnitentiam ob id, quòd eorum quæ Deo dedicata ſunt ſibi poteſtatem attribuant, ut etiam eam ad alios ſine metu tranſmittant.

Propterea

A *Propterea ergo ſancta definivit Synodus, ut nemini liceat monaſterium ædificare abſq; Epiſcopi ſententia & conſilio. Illo autem ſciente & permittente, & debitam orationem peragente, ut ab antiquis piè ac religioſè cautum eſt, monaſterium quidem ædificetur: omnia autem, quæ ad ipſum pertinent, cum illo ipſo in Brevi inſcribantur, & in Epiſcopalibus archivis reponantur; nullo modo poteſtatem habente eo qui conſecrat, ſeipſum præter Epiſcopi ſententiam præfectum, vel pro ſe alium, conſtituere. Si enim eorum, quæ homini quis largitur, dominus ampliùs eſſe non poteſt: quomodo eorum quæ Deo ſanctificat & dedicat quiſpiam, ſibi dominium arripere ſinetur?* B

ὥρισεν οὖν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν ἄνευ τῆς τοῦ Ἐπισκόπου γνώμης καὶ βουλῆς. ἐκείνου δὲ συνειδότος καὶ ἐπιτρέποντος, καὶ τὴν ὀφειλομένην ἐπιτελοῦντος εὐχὴν, ὡς τοῖς πάλαι θεοφιλῶς νενομοθέτηται, οἰκοδομεῖσθαι μὲν τὸ μοναστήριον· πάντα δὲ τὰ ἐν αὐτῷ προσήκοντα σὺν αὐτῷ ἐκείνῳ βρεβίῳ ἐγκαταγράφεσθαι, καὶ τοῖς ἐπισκοπικοῖς ἀρχείοις ἐναποτίθεσθαι, μηδαμῶς ἄδειαν ἔχοντος τοῦ ἀφιεροῦντος, παρὰ γνώμην τοῦ Ἐπισκόπου ἑαυτὸν ἡγούμενον, ἢ ἀνθ' ἑαυτοῦ ἕτερον, καθιστᾶν. εἰ γὰρ ἅπερ τις ἀνθρώπῳ χαρίζεται, τούτων οὐκέτι κύριος εἶναι δύναται, πῶς ἅπερ τις θεῷ καθαγιάζει καὶ ἀνατίθησι τούτων ὑφαρπάζειν τὴν κυριότητα παραχωρηθήσεται;

Bals. In ſeptimo Canone vii. Syn. permulta ſcripſimus, quomodo fieri debeant monaſteria: & lege ea. Præſens autem Canon dicit; quòd quoniam nonnulli ſolo nomine monaſterii Deum complectuntur, re autem & veritate volunt in ea, quæ illi dedicata ſunt, poteſtatem iterum obtinere, ea ut volunt alienantes; monaſterium ſine illius regionis Epiſcopi conſenſu ædificari non debet. Is enim poſtquam, debitam orationem in fundamento ad Deum fuderit, ſeu poſt crucis fixionem, C permittet quidem ædificationem, & in Brevi etiam deſcribet, quæ ad monaſterii diſpenſationem & monachorum ſufficientiam ab extructore danda ſunt, & ipſum etiam monaſterium: ut Breve in Epiſcopatu reponatur, & qui offert ab eorum, quæ Deo conſecrata ſunt, dominio, alienetur. Adjicit autem, quòd tantum abeſſe debet is, qui obtulit, à dominio eorum quæ ad Deum pertinent, ut ne præfecturam quidem gerat in monaſterio præter ſententiam Epiſcopi; ſed nec etiam alium præfectum conſtituat. Si enim, inquit, quæ hominibus dantur, qui dedit auferre nequit: quomodo ea quæ ſunt Deo dedicata eripiat, D & in ſuam rurſus poteſtatem rediget? Rogaverit ergo quiſpiam quomodo, contra ac Canone continetur, monaſteriorum extructores & ſtatuta edunt, & non ſolùm præfectos, ſed & Ephoros in ipſis conſtituunt, & nonnunquam etiam, inter alia quæ contra Canones faciunt, ut illius regionis Epiſcopus ad ipſum aditum non habeat? Et dixerunt quidem nonnulli, omnia ſtatuta, quomodocunque ſe habeant & quicquid contineant, eſſe invalida, & quod Deo ſemel eſt dedicatum, abſque ulla curioſiori inveſtigatione eſſe juris Epiſcopalis, ut præſenti Canone continetur. Alii autem dicebant, ea debere ſervari, quando legibus & Canonibus conſentaneè ſcripta ſint. Alii autem volebant ea tum demum vim ſuam obtinere, quando præter id quòd legitimè & Canonicè edita fuerint, à manu quoque Imp. E confirmata ſint. Mihi autem videtur, quòd quoniam vii. cap. i. tit. v. lib. Baſilic. dicit; Qui donativum conſtituerit, & oratorium, vel xenodochium, vel noſocomium extruatur, & ipſe & hæredes ejus ab Epiſcopis & œconomis, quæ promiſſa ſunt, exigantur; ſi pro ejus quidem arbitratu adminiſtrentur, eſt in conditorum eorum poteſtate ſtatuta edere: ſed ex eo quod dicit lex, domos ſanctas & religioſas adminiſtrari pro poſſeſſoris arbitratu, non eſt ei permiſſum aliqua contra leges & Canones facere. Dicit enim xxxix. caput, primi tit. iii. lib. Baſilic. eos, qui à poſſeſſoribus in locum F Clericorum electi ſunt, ſi indigni inveniantur, ejici, & alios ab Epiſcopis ordinari debere. Et vii. cap. iii. titu. quinti li. in fine hæc expreſsè decernit; regionis Epiſcopi obſervent, an rectè adminiſtratio procedat; & ſi invenerint non eſſe frugi adminiſtratores, poteſtatem habeant citra ullum detrimentum alios pro iis aptos & idoneos conſtituendi. Quare quomodocunque confirmata & corroborata fuerint, quæ ſtatutis adverſus Canones & leges continentur, non valebunt. Præterea interrogaverit quiſpiam, an ex eo, quod decernat Canon Epiſcopum ea habere jura in monaſterio

ΒΑΛΣ. Ἐν τῷ ζ'. κανόνι τῆς η'. συνόδου ἐγράψαμεν διάφορά τινα περὶ τοῦ πῶς ὀφείλουσι γίνεσθαι τὰ μοναστήρια, καὶ ἀνάγνωθι ταῦτα. ὁ δὲ παρὼν κανών φησιν, ὡς ἐπεί τινες ὀνόματι μόνῳ μοναστηρίου τὸν θεὸν δεξιοῦνται, τοῖς πράγμασι δὲ καὶ τῇ ἀληθείᾳ θέλουσι πάλιν κατεξουσιάζειν τῶν ἀφιερωθέντων αὐτῷ, ἐκποιούμενοι ταῦτα καθὼς ἂν θελήσουσιν, οὐκ ὀφείλει ἀνεγείρεσθαι μοναστήριον ἄνευ εἰδήσεως τοῦ ἐγχωρίου Ἐπισκόπου. οὗτος γὰρ μετὰ τὸ ποιῆσαι τὴν ὀφειλομένην εὐχὴν τῷ θεμελίῳ, ἤγουν τὸ σταυροπήγιον, ἐπιτρέψει μὲν τὴν οἰκοδομὴν, ἐγκαταγράφεται δὲ καὶ ἐν βρεβίῳ τὰ πρὸς οἰκονομίαν τῆς μονῆς καὶ αὐτάρκειαν τῶν μοναχῶν μέλλοντα δοθῆναι παρὰ τοῦ δομήτορος καὶ αὐτὸ τὸ μοναστήριον, ἐφ' ᾧ ἀποκεῖσθαι τὸ βρεβίον ἐν τῇ ἐπισκοπῇ, καὶ ἀπαλλοτριωθῆναι τὸν προσάγοντα ἐκ τῆς τῶν ἀφιερωθέντων τῷ θεῷ κυριότητος. προστίθησι δὲ, ὡς τοσοῦτον ὀφείλει ἀπέχειν ὁ προσαγαγὼν ἐκ τῆς δεσποτείας τῶν προσαχθέντων τῷ θεῷ, ὡς μηδὲ ἡγουμενεύειν παρὰ γνώμην τοῦ Ἐπισκόπου ἐν τῷ μοναστηρίῳ, ἀλλ' οὐδὲ ἕτερον καθιστᾶν ἡγούμενον. εἰ γάρ, φησι, τὰ τοῖς ἀνθρώποις δωρούμενα, οὐκέτι ἀφελέσθαι ὁ δωρησάμενος δύναται, πῶς τὰ τῷ θεῷ ἀνατεθειμένα ὑφαρπάσει, καὶ αὖθις ὑφ' ἑαυτὸν ποιήσεται; ἠρώτησεν οὖν τις, πῶς παρὰ τὴν τούτου περίληψιν οἱ τῶν μοναστηρίων δομήτορες τυπικά τε ἐκτιθέασι, καὶ οὐ μόνον ἡγουμένους, ἀλλὰ καὶ ἐφόρους ἐν αὐτοῖς καθιστῶσι, καὶ ἔστιν ὅτε ὑποτυποῦσι σὺν ἑτέροις ἀκανονίστως τισὶ καὶ τὸ μὴ ἔχειν πάροδον ἐν αὐτῷ τὸν κατὰ χώραν Ἐπίσκοπον; καὶ τινὲς μὲν εἶπον, πάντα τὰ τυπικὰ, κἂν ὅπως ἔχωσι περιλήψεως, εἶναι ἀνίσχυρα· καὶ τὸ ἅπαξ ἀνατεθὲν τῷ θεῷ, τελεῖν ἀπολυπραγμονήτως ὑπὸ τὰ ἐπισκοπικὰ δίκαια, κατὰ τὴν τοῦ παρόντος κανόνος περίληψιν. ἕτεροι δὲ εἶπον, ὀφείλειν κρατεῖν αὐτὰ, ὅτε τοῖς νόμοις καὶ τοῖς κανόσι ἀκολούθως γεγράφαται. ἄλλοι δὲ ἤθελον τότε ταῦτα ἔχειν τὸ ἐνεργὸν, ὅτε σὺν τῷ κανονικῶς τε καὶ νομίμως ἐκτεθῆναι, καὶ παρὰ χειρὸς βασιλικῆς ἐπικυρωθῶσιν. ἐμοὶ δὲ δοκεῖ, ὡς ἐπεὶ τὸ ζ'. κεφάλαιον τοῦ α'. τίτλου τοῦ ε'. βιβλίου τῶν βασιλικῶν φησιν, ὁ συστησάμενος δωρεατικὸν ἐπὶ τῷ εὐκτήριον οἶκον κτισθῆναι, ἢ ξενῶνα ἢ νοσοκομεῖον, ἀπαιτείσθω καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ παρὰ τῶν Ἐπισκόπων καὶ οἰκονόμων τὰ ὑποσχεθέντα· διοικούμενα μέντοι κατὰ τὸ δοκοῦν αὐτῷ, ἐπ' ἀδείας ἔχουσιν οἱ δομήτορες τούτων τυπικὰ ἐκτίθεσθαι· πλὴν ἀπὸ τοῦ λέγειν τὸν νόμον διοικεῖσθαι τοὺς εὐαγεῖς οἴκους κατὰ τὸ δοκοῦν τῷ κτήτορι, οὐκ ἔφεσται αὐτῷ ἀκανόνιστά τινα καὶ παράνομα διατάττεσθαι. φησὶ γὰρ τὸ λθ'. κεφάλ. τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, τοὺς παρὰ τῶν κτητόρων ἐπιλεγέντας εἰς τόπον κληρικῶν, ἀναξίους εὑρισκομένους, ἐκβάλλεσθαι καὶ ἑτέρους παρὰ τῶν Ἐπισκόπων χειροτονεῖσθαι. καὶ τὸ ζ'. κεφ. τοῦ γ'. τίτλου τοῦ ε'. βιβλίου διορίζεται περὶ τὸ τέλος ταῦτα ῥητῶς, τῶν κατὰ τόπον Ἐπισκόπων ἐποπτευόντων, εἰ καλῶς ἡ διοίκησις προβαίνει· καὶ εἰ εὕρωσι μὴ χρησίμους ὄντας τοὺς διοικητὰς, ἄδειαν ἐχόντων ἄνευ ζημίας ἄλλους ἀντὶ τούτων ἐπιτηδείους ποιεῖν. ὥστε κἂν ὅπως ἐπιστηριχθῶσι τὰ παρανόμως ἢ ἀκανονίστως τοῖς τυπικοῖς περιεχόμενα, οὐ κρατήσουσιν. ἔτι ἐρωτήσει τις, εἰ ἄρα ἀπὸ τοῦ διορίζεσθαι τὸν κανόνα ἔχειν τὸν Ἐπίσκοπον τοιαῦτα δίκαια ἐν τῷ κτισθέντι παρά τινος μοναστηρίῳ εἰς τὴν ἐνορίαν αὐτοῦ, καὶ ἀπο-

κεῖσθαι ἐν τοῖς ἀρχείοις τῆς ἐπισκοπῆς τὸ βρέβιον τούτου, ἐκχωρεῖται αὐτῷ παραπέμπειν τοῦτο ἔνθα βούλεται, καὶ ἁπλῶς κυριαρχικὸν δίκαιον ἔχειν ἐπ' αὐτῷ. νομίζω οὖν, ὡς ἐκ τοῦ κανόνος τούτου οὐκ ἐνεδόθη τῷ Ἐπισκόπῳ κατεξουσιάζειν τοῦ μοναστηρίου, ὡς δεσποτικῶς διαφέροντος τῇ ἐκκλησίᾳ αὐτοῦ· ἀλλ' ἔχειν μόνα δίκαια ἐπισκοπικὰ ἐπ' αὐτῷ. εἰσὶ δὲ ταῦτα, ἀνάκρισις τῶν ψυχικῶν σφαλμάτων, ἐπιτήρησις τῶν διοικούντων αὐτὸ, ἀναφορὰ τοῦ ὀνόματος τούτου, καὶ σφραγὶς τοῦ ἡγουμένου. συντηρηθήσεται οὖν ἡ μονὴ ἐλευθέρα καὶ καθ' ἑαυτὴν διεξαγομένη, ἀνεκποίητος καὶ ἀδώρητος. ὁ δὲ κατὰ χώραν ἀρχιερεὺς ἕξει ἐπ' αὐτῇ μόνα τὰ ῥηθέντα ἐπισκοπικὰ δίκαια· καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος, καὶ ἐξ ἑτέρων διαφόρων νόμων καὶ κανόνων ἐξεχωρήθη, παρὰ τοῦ βουλομένου ἀνεγείρεσθαι μοναστήριον ἐκ καινῆς, κατὰ τὴν παροῦσαν θεσμοθεσίαν. ἡ δὲ νεαρὰ τοῦ βασιλέως κυροῦ Νικηφόρου τοῦ Φωκᾶ διορίζεται, μὴ κατασκευάζεσθαι νεωστὶ μοναστήρια, ἢ ξενῶνας, ἢ γηροκομεῖα, ἢ ἄλλους ἐναγεῖς οἴκους, ἀλλὰ τῶν παρόντων ἐπιμελεῖσθαι· καὶ προστίθησι περὶ τὸ τέλος ταῦτα ῥητῶς, ὥστε ἀπὸ τοῦ νῦν, ὅπερ ἐστὶν ἡ ἀρχὴ τῆς ἑβδόμης ἰνδικτιῶνος, μηδενὶ ἐξέστω, μὴ τόπους, μὴ ἀγροὺς μοναστηρίοις ἢ ξενῶσιν ὁπωσοῦν παραπέμπειν· ἀλλ' οὐδὲ μητροπόλεσιν ἢ ἐπισκοπαῖς· οὐδὲν γὰρ οὐδὲ ἐν ἐκείναις λυσιτελές. εἰ δέ τινα τῶν φθασάντων ἐναγῶν οἴκων, εἴτε μὴν ἐπισκοπῶν ἢ μοναστηρίων, τοιαύτης φαύλης ἔτυχον χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων καταλελεῖφθαι, τούτοις γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται. κελλεῖα δὲ καὶ τὰς καλουμένας λαύρας ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέρους ἐκτεινομένοις, ἀλλὰ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένοις, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν. ταύτην δὲ τὴν νεαρὰν ὁ Πορφυρογέννητος κυρὸς Βασίλειος ὁ νέος ἀνῄρησε διὰ νεαρᾶς αὐτοῦ ἀπολυθείσης κατὰ μῆνα Ἀπρίλλιον ἰνδικτιῶνος α'. ἔτους ϛυϟε'. καὶ διαλαμβανούσης ταῦτα ῥητῶς· ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν, καὶ παρὰ μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ μαρτυρουμένων, καὶ παρὰ πολλῶν ἀναμαθοῦσα τὴν περὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ τῶν ἐναγῶν οἴκων ἢ κατὰ τῶν ἐκκλησιῶν μᾶλλον καὶ τῶν τοσούτων οἴκων παρὰ τοῦ τῆς βασιλείας ἐπιβάντος κυροῦ Νικηφόρου τεθεῖσαν νομοθεσίαν, αἰτίαν καὶ ῥίζαν τῶν παρόντων γενέσθαι κακῶν, καὶ τῆς οἰκουμενικῆς ταύτης ἀνατροπῆς καὶ συγχύσεως, ἅτε μὴ πρὸς ἀδικίαν καὶ ὕβριν τῶν ἐκκλησιῶν μόνον καὶ τῶν ἐναγῶν οἴκων, ἀλλὰ καὶ αὐτοῦ τοῦ θεοῦ γενομένην, ἄλλως τε καὶ ἔργῳ τοῦτο βεβαιωθεῖσα (ἐξ ὅτου γὰρ τὰ τῆς τοιαύτης ἐκράτησε νομοθεσίας οὐδὲν πώποτε οὐδέ τι χρηστὸν ἄχρι τῆς σήμερον τῷ καθ' ἡμᾶς ἀπήντησε βίῳ· ἀλλὰ τοὐναντίον, συμφορᾶς μᾶλλον ἐπέλιπεν εἶδος ὅλως οὐδὲν,.) θεσπίζει διὰ τοῦ παρόντος ἐνυπογράφου χρυσοβούλλου τὸ, τὴν τοιαύτην νομοθεσίαν ἀργεῖν ἀπὸ τῆς παρούσης ταύτης ἡμέρας, ἄκυρόν τε καὶ ἄπρακτον τοῦ λοιποῦ διαμένειν· ἐνεργεῖν δὲ τοὺς πρὸ ταύτης κειμένους, περί τε τῶν ἐκκλησιῶν καὶ τῶν ἐναγῶν οἴκων, νόμους. πρὸς τούτοις γίνωσκε, ὅτι ὁ τρισμακάριστος βασιλεὺς κυρὸς Μανουὴλ ὁ Κομνηνὸς διωρίσατο, διὰ προστάξεως ἐπιλυθείσης κατὰ Σεπτέμβριον μῆνα ἰνδικτιῶνος ζ'. μὴ ἔχειν ἐπ' ἀδείας τινὰς, λαβόντας ἢ καὶ λαμβάνοντας δωρεὰς ἀκινήτων παρὰ βασιλέων, παραπέμπειν αὐτὰς ἀλλαχοῦ που καθ' οἱονδήτινα τρόπον, εἰ μὴ εἰς πρόσωπα ἀπὸ τῆς συγκλήτου ἢ τοῦ στρατιωτικοῦ καταλόγου τυγχάνοντα· εἰ δὲ μὴ οὕτω γένηται, ἵνα περιέρχηται τὰ ἀκίνητα εἰς τὸ δημόσιον. ὡσαύτως καὶ κατὰ τὸν Φεβρουάριον μῆνα τῆς γ'. ἰνδικτιῶνος, νεαρὰ νομοθεσία γέγονε τοῦ αὐτοῦ τῆς αὐτῆς σχεδὸν περιλήψεως, ἅτινα δὴ προστάγματα ἀνῃρέθησαν διὰ μεταγενεστέρου χρυσοβούλλου τοῦ υἱοῦ αὐτοῦ κυροῦ Ἀλεξίου ἀπολυθέντος κατὰ μῆνα Δεκέμβριον τῆς α'. ἰνδικτιῶνος τοῦ ϛχϟα'. ἔτους.

A ab aliquo in ſua diœceſi ædificato, & in archivis Epiſcopatûs Breve hujus eſſe reponendum, ipſi permittatur ad quemcunque velit illud tranſmittere, &, ut ſemel dicam, jus dominii in eo obtinere. Exiſtimo ergo, quòd ex hoc Canone non eſt Epiſcopo conceſſum, poteſtatem in id monaſterium obtinere, tanquam ad ejus Eccleſiam jure dominii pertineat: ſed habet in eo tantùm jura Epiſcopalia. Ea autem ſunt, delictorum animæ examinatio, obſervatio eorum qui illa adminiſtrant, ejus nominis relatio, & Præfecti ordinatio. Conſervabitur ergo monaſterium liberum & per ſe adminiſtratum, non alienabile nec donabile. Illius autem regionis, in qua ſitum eſt, Anti- B ſtes dicta ſolum jura Epiſcopalia in eo habebit: & à præſenti quidem Canone, & ab aliis diverſis legibus & Canonibus conceſſum eſt, ut, qui vellet, monaſteria nova extrueret, obſervatis ritu & forma hîc præſcriptis. Imp. autem domini Nicephori Phocæ novella decernit, non eſſe de novo conſtruenda monaſteria, vel xenodochia, vel gerocomia vel alias ſanctas & religioſas domos; ſed eorum quæ ſunt, curam geri oportere: & hæc expreſsè in fine adjicit; Quare ab hoc deinceps tempore, quod eſt vii. indictionis initium, nemini liceat, loca aut agros ad monaſteria vel gerocomia quomodocunque tranſmittere; ſed neque ad metropoles vel Epiſcopatus: neque C enim illis eſt hoc conducibile. Si quibus autem prædictarum ſanctarum & religioſarum domorum, ſive quidem Epiſcopatuum & monaſteriorum, adeò mala adminiſtratio & proviſio contigit, ut locis privatæ deſtitutæque ſint; iis ſententia & examinatione Imper. eorum quæ ſufficiunt acquiſitio non prohibebitur. Cellas autem, &, ut vocant, lauras in deſertis ædificare, quæ non ad poſſeſſiones & agros alienos extenduntur, ſed ſolo proprio ambitu definiuntur; tantùm abeſt ut volentibus prohibeamus, ut etiam in magna laude ponamus: quam quidem novellam Porphyrogennetus dominus Baſilius novus ſua novella menſe Aprili indictione i. anno 6495. emiſſa ſuſtu- D lit; quæ & hæc expreſsè continet: Imperium noſtrum quod à Deo profectum eſt cùm & à Monachis, quorum pietas & virtus eſt teſtata, & à multis aliis, legem de Dei Eccleſiis & ſanctis domibus, vel potiùs contra Eccleſias & tantas domos à domino Nicephoro, qui imperio exceſſit, conditam, præſentium malorum cauſam fuiſſe & radicem, & univerſalis hujus ſubverſionis & confuſionis; ut quæ ad injuriam & contumeliam, non ſolùm Eccleſiarum & ſanctarum domorum, ſed etiam Dei ipſius, facta ſit, intellexiſſet, & maximè cum id re ipſa expertum eſſet: (Ex quo enim hæc lex eſt obſervata, nihil boni penitus in hodiernum uſque diem vitæ noſtræ oc- E currit: ſed contrà, nullum penitus calamitatis genus defuit) per præſentem Auream-Bullam huic ſcripto annexam ſtatuit, ut lex prædicta ab hoc præſenti die ceſſet, & deinceps infirma & irrita permaneat: locum vero habeant & in uſu ſint, quæ, de Dei Eccleſiis & ſanctis & religioſis domibus ante hanc conditæ ſunt leges. Præterea ſcias, quod beatiſſimus Imperator dominus Emanuel Comnenus per juſſionem, menſe Septembri indictione vii. editam, definiit; ne ullis, qui immobilium donationes ab Imperatore accepiſſent vel acciperent, ad illos ea quàm ſenatorii ordinis vel numeri militaris perſonas quocunque modo tranſmitte- F re, liceret: ſin autem aliter factum fuerit, immobilia ad publicum redeant. Similiter & menſe Februario iii. indictionis, nova quoque conſtitutio ab eodem edita eſt, quæ eadem fermè complectitur. Quæ quidem ſtatuta, per poſteriorem filii ejus domini Alexii Aureæ-Bullæ definitionem, menſe Decembri primæ indictionis, anni 6691. editam, ſublata ſunt.

Zonar. Qui monaſteria extruere, ac per ea ſuas facultates Deo dicare volunt, illis ædificationem inchoari, niſi Epiſcopus loci re cognitâ poteſtatem fecerit, ac ſolennes precationes adhibuerit, nullo modo hic Canon licere decernit. Ita demum monaſterium quidem abſolvi, deinde vero breve fieri; & in eo tum monaſterium ipſum, tum monaſterio attributas poſſeſſiones deſcribi, illudq; breve, ne quid in poſterum à monaſterii conditore auferri liceat, ex iis quæ in eo ipſemet conſecravit, in ædibus Epiſcopalibus aſſervari jubet. Quæ etenim bona Deo quiſpiam per monaſterium addixit, eorum ſibi ipſe poſſeſſionem omnem abjudicavit, ac illorum dominus eſſe jam deſiit. Qua ratione igitur de illis quidquam ex eo tempore, ac ſi dominus adhuc eſſet, conſtituere poterit? Quinimo eousque Canon ab ejus monaſterii adminiſtratione hominem remotum eſſe jubet, ut neque illum Monaſterii Præfectum, niſi de Epiſcopi ſententia, creari, nec alium ejus loco Præfectum ab eo conſtitui patiatur. Etenim, ſi quæ homini quiſpiam largitus eſt, poſtquam jus poſſeſſionis in alium ipſemet tranſtulit, amplius auferre ſine cauſa, qui donavit, haud poteſt; quo jure, quæ Deo dicata ſunt, rapere, atque in eorum poſſeſſionem ſeſe rurſus inſinuare cuiquam licebit? De monaſteriis porro extruendis, libro quoque Baſilic. quarto, tit. i. cap. primo, hoc eſt, Novella quinta, & libro quinto tit. ſecundo cap. decimoquarto conſtitutum eſt.

Arist. *Præter Epiſcopi ſententiam monaſterium extruere nemini liceat. Illo autem ſciente, & preces peragente, extructum, unà cum iis quæ ab ipſum pertinent, in Brevi deſcribatur, & in Epiſcopatu reponatur. Et ipſi etiam extructori, vel Præfecto eſſe, vel Præfectum conſtituere, præter Epiſcopi ſententiam, ne liceat.*

Canon II.

Quoniam nonnulli ſe vitam monaſticam ſubire præ ſe ferunt, non ut Deo purè ſerviant, ſed ut propter habitûs honeſtatem pietatis opinionem conſequantur, & ea ratione propriis voluptatibus liberè fruantur (ſolorum enim pilorum jacturâ factâ, propriis domibus aſſident, nullam monaſticæ vitæ adminiſtrationem vel conſtitutionem implentes) ſtatuit ſancta Synodus, ne ullus omnino monaſtico habitu dignus cenſeatur, ſine præſentia ejus qui illum debet ad obedientiam ſuſcipere, & ſe principatum in illum obtenturum & ejus animæ ſalutis curam geſturum profiteri, qui ſcilicet eſt vir pius, & præeſt Monaſterio, & eſt idoneus ad ſervandam animam quæ modo Deo offertur. Si quis autem deprehenſus fuerit aliquem tondere, ſine præſentia Præfecti, qui ipſum debet ad obedientiam ſuſcipere, ille quidem depoſitioni ſubjiciatur, ut qui Canonibus non pareat, & monaſticum ordinem bene compoſitum diſſolvat: qui vero inordinatè & præter rationem tonſus eſt, in ſubjectionem etiam in monaſterio, in quo illius loci Epiſcopus melius eſſe duxerit, tradatur. Citra judicium enim factæ & temerariæ tonſuræ monaſticum quoque habitum ignominia affecerunt, &, ut Chriſti nomen blaſphemiis appeteretur, effecerunt.

Bals. Ficta pietas & evangelicis diviniſque præceptis & ſcripturæ traditionibus valde condemnatur. Dicunt ergo patres, quòd quoniam nonnulli pietatem fingentes vitam monaſticam ſubeunt, non propter Dei mandatum, ſed ut ſuis voluptatibus fruantur, & ut ſe ſolo ſancto habitu venditent (ſedent enim, etiam poſtquam tonſi fuerint, in ſecularibus ſuis habitationibus) neminem oportet ab ullo ton-

A **ΖΩΝΑΡ.** Ὁ κανὼν περὶ τοὺς βουλομένους μοναστήρια συνιστᾷν καὶ ἀφιεροῦν δι' αὐτῶν τὰς οἰκείας περιουσίας θεῷ κελεύει, μὴ ἄλλως δύνασθαι ἄρχεσθαι τῆς τοῦ μοναστηρίου οἰκοδομῆς, εἰ μὴ ἐν γνώσει γενόμενος ὁ Ἐπίσκοπος ὁ κατὰ τόπον ἐπιτρέψει τὴν οἰκοδομὴν, ποιήσας καὶ τὴν ὀφειλομένην εὐχήν. καὶ οὕτως τὸ μὲν ἀπαρτίζεσθαι, βρέβιον δὲ γίνεσθαι, καὶ ἐν ἐκείνῳ αὐτό τε τὸ μοναστήριον καταγράφεσθαι, καὶ τὰ αὐτῷ ἀνήκοντα πάντα, καὶ βρέβιον τῇ ἐπισκοπῇ ἐναποτίθεσθαι, ὥστε μή τι δύνασθαι ἔκτοτε τοῦ μοναστηρίου δομήτορα ἀφαιρεῖσθαί τι τῶν παρ' αὐτοῦ ἀφιερωθέντων ἐν αὐτῷ. ἃ γάρ τις τῷ θεῷ διὰ τῆς μονῆς ἀνα- B τέθεικεν, ἀπεξένωσε τῆς ἐξουσίας ἑαυτοῦ, καὶ οὐκέτι κύριος αὐτῶν ἐστι. πῶς οὖν ἐπ' αὐτοῖς τι ὡς δεσπότης ἔτι δυνήσεται διαπράξασθαι; τοσοῦτον δὲ αὐτὸν ἀπαλλοτριοῖ τῆς μονῆς ὁ κανὼν, ὥστε οὐδὲ ἡγούμενον αὐτὸν ἐᾷ γίνεσθαι τῆς μονῆς παρὰ γνώμην τοῦ Ἐπισκόπου, οὐδὲ ἕτερον ἀνθ' ἑαυτοῦ ἡγούμενον προχειρίζεσθαι. εἰ γὰρ τὰ ἀνθρώποις δωρούμενα οὐκέτι ἀναιτίως ἀφελέσθαι ὁ δωρησάμενος δύναται, τὴν δεσποτείαν τούτων ἐφ' ἕτερον ἀφ' ἑαυτοῦ μεταθεὶς, πῶς τὰ τῷ θεῷ ἀνατεθειμένα ὑφαρπάσει, καὶ αὖθις πρὸς ἑαυτὸν ἐπισπάσεται τὴν αὐτῶν κυριότητα; καὶ βιβλίον δὲ τῶν βασιλικῶν δ'. τίτ. α'. κεφάλαιον C α'. ἤγουν νεαρὰ, ε'. περὶ οἰκοδομῆς μοναστηρίων θεσπίζει, καὶ βιβλίον ε'. τίτλος β'. κεφάλαιον ιδ'.

ΑΡΙΣΤ. Παρὰ γνώμην τοῦ Ἐπισκόπου, μηδενὶ ἐξέστω μοναστήριον οἰκοδομεῖν· εἰδότος δὲ, καὶ εὐχὴν ποιοῦντος, τὸ κτισθὲν μετὰ τῶν αὐτῷ διαφερόντων βρεβίῳ ἐγγραφέσθω, καὶ τῇ ἐπισκοπῇ ἐναποτιθέσθω· καὶ παρὰ γνώμην τοῦ Ἐπισκόπου μὴ ἐξέστω τῷ κτίσαντι, ἢ ἡγουμενεύειν, ἢ ἡγούμενον ποιεῖν.

ΚΑΝΩΝ β'.

D Ἐπειδή τινες τὸν μονήρη βίον ὑποδύεσθαι σχηματίζονται, οὐχ ἵνα θεῷ καθαρῶς δουλεύσωσιν, ἀλλ' ἵνα τῇ σεμνότητι τοῦ σχήματος δόξαν εὐλαβείας προσλάβωσι, καὶ τῶν οἰκείων ἐντεῦθεν ἡδονῶν ἄφθονον εὑρήσωσι τὴν ἀπόλαυσιν· (τῶν τριχῶν γὰρ μόνην τὴν ἀποβολὴν ποιούμενοι, ἐν τοῖς οἰκείοις οἴκοις προεδρεύουσι, μηδεμίαν τῶν μοναχῶν ἀποπληροῦντες ἀκολουθίαν ἢ κατάστασιν) ὥρισεν ἡ ἁγία Σύνοδος, μηδένα τῶν ἁπάντων τοῦ μοναχικοῦ σχήματος ἀξιοῦν, ἄνευ παρουσίας τοῦ ὀφείλοντος αὐτὸν εἰς ὑποταγὴν ἀναδέχεσθαι, καὶ τὴν ἐπ' αὐτῷ ἡγεμονίαν καὶ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας τὴν πρόνοιαν E ἐπαγγέλλεσθαι, ἀνδρὸς ὄντος δηλονότι θεοφιλοῦς, καὶ μονῆς προεστηκότος, καὶ ἱκανοῦ σώζειν ψυχὴν ἀρτίως τῷ θεῷ προσαγομένην. εἰ δέ τις φωραθείη ἀποκείρων τινὰ χωρὶς παρουσίας τοῦ εἰς ὑποταγὴν αὐτὸν ὀφείλοντος ἀναλαμβάνειν ἡγουμένου, τοῦτον μὲν καθαιρέσει καθυποβάλλεσθαι, ὡς ἀπειθοῦντα τοῖς κανόσι, καὶ τὴν μοναδικὴν εὐταξίαν διαλύοντα· τὸν δὲ παραλόγως καὶ ἀτάκτως ἀποκουρευθέντα, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ, ἐν ᾧ ἂν ὁ κατὰ τὸν τόπον Ἐπίσκοπος δοκιμάσῃ, παραδίδοσθαι. αἱ γὰρ ἄκριτοι καὶ ἐπισφαλεῖς ἀποκουραὶ καὶ τὸ μοναχικὸν σχῆμα ἠτίμωσαν, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα βλα- F σφημεῖσθαι πεποιήκασιν.

ΒΑΛΣ. Ἡ ἐν ὑποκρίσει εὐλάβεια μεγάλως κατακρίνεται, καὶ διὰ εὐαγγελικῶν θείων παραγγελμάτων, καὶ διὰ γραφικῶν παραδόσεων. φασὶν οὖν οἱ πατέρες, ὡς ἐπεί τινες εὐλάβειαν ὑποκρινόμενοι ὑπεισέρχονται τὸν μονήρη βίον, οὐ διὰ τὴν τοῦ θεοῦ ἐντολὴν, ἀλλὰ διὰ τὴν ἀπόλαυσιν τῶν οἰκείων ἡδονῶν, καὶ ἵνα ἀπὸ μόνου τοῦ ἁγίου σχήματος σεμνύνωνται (κάθηνται γὰρ καὶ μετὰ τὴν ἀπόκαρσιν εἰς τὰς κοσμικὰς κατοικίας αὐτῶν) χρεὼν ἐστὶ μηδένα παρά τινος ἀποκείρεσθαι, εἰ μὴ κατὰ παρουσίαν τοῦ ὀφείλοντος αὐτὸν ἀναδέξασθαι ἡγουμένου, καὶ μέλλοντος κατατάξαι τῇ ἀδελφότητι τοῦ μοναστηρίου αὐτοῦ. ὁ δὲ παρὰ τὴν διαταγὴν ταύτην ποιήσας ἀπόκαρσιν, καθαιρείσθω· καὶ ὁ ἀποκαρεὶς εἰς ὑποταγὴν τοῦ μοναστηρίου παραδοθήτω κατὰ δοκιμασίαν τοῦ Ἐπισκόπου, ἵνα μὴ ἐκ τοῦ βλέπειν τοὺς ἀπίστους τὰ τοιαῦτα τολμήματα, βλασφημῆται μὲν τὸ τοῦ Χριστοῦ ὄνομα, ἀτιμάζηται δὲ καὶ τὸ ἅγιον σχῆμα. καὶ ταῦτα μὲν, ὅταν τις καθ᾽ ὑπόκρισιν ἀποκαρῇ· εἰ δὲ διὰ νόσον ἢ διὰ λύπην τοῦτο ποιήσει, παραχωρηθήσεται διάγειν εἰς τὰ κοσμικὰ ἢ μετασχηματισθῆναι; Λύσις. οὐδαμῶς. ὁ γὰρ κανὼν καθολικῶς ἐξεφωνήθη, καὶ διὰ πάντας τοὺς ὁπωσδήποτε ἀποκειρομένους. εἴδομεν δὲ καὶ πολλοὺς εἰς τὰς τελευταίας αὐτῶν σχεδὸν ἀναπνοὰς ἀποκαρέντας, καὶ μηδὲ εἰδότας διὰ τὴν νόσον τὸ γινόμενον ἐπ᾽ αὐτοῖς, καὶ ὕστερον σπουδάσαντας πολλὰ μετασχηματισθῆναι, διὰ τὴν ἄγνοιαν καὶ τὴν ἀπὸ τῆς νόσου κακότητα, καὶ θέλοντας εἰς τὰ κοσμικὰ διάγειν, καὶ μὴ παραχωρηθέντας, ἀλλὰ καὶ ἐπιτιμηθέντας· ἄλλους δὲ ἀσυμβόλως μετασχηματισθέντας, καὶ αὖθις εἰς τὴν προτέραν μοναδικὴν κατάστασιν καὶ ἄκοντας ὑποστρέψαντας. τί δὲ, ὁ παραλόγως ἀποκαρεὶς, ἤτοι δίχα παρουσίας τοῦ μέλλοντος τοῦτον ἀναδέξασθαι ἡγουμένου, καὶ μέλλων κατὰ δοκιμασίαν τοῦ Ἐπισκόπου νῦν πρώτως κατατάττεσθαι ἐν μοναστηρίῳ, ἀναγκασθήσεται συνθήκας ἑτέρας θεῖναι, καὶ ὁμολογῆσαι προσμένειν ἐν αὐτῷ, ἐφ᾽ ᾧ καὶ ἔσω κουρέτην λογίζεσθαι, ἢ ταῖς προτέραις ἀρκεσθήσεται; Λύσις. ὁ τοιοῦτος δοκεῖ τὰς συνθήκας δοῦναι εἰς ὃ πρώτως κατετάγη μοναστήριον, μετὰ δὲ τὴν ἀπόκαρσιν καὶ ἑτέρας συνθήκας δοῦναι οὐκ ἀναγκασθήσεται. διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ εἰς πᾶσαν ἀπόκαρσιν πᾶσαι αἱ ἐρωτήσεις καὶ αἱ συνθῆκαι ἐκφωνοῦνται.

A deri, niſi in præſentia præpoſiti, qui debet eum ſuſcipere, & in monaſterii ſui fraternitatem ipſum recepturus eſt. Qui autem præter hanc conſtitutionem tonſuram fecerit, deponatur: & qui tonſus eſt in monaſterii ſubjectionem tradatur, ut Epiſcopus melius eſſe judicabit; ne ex eo, quod infideles temeraria ejuſmodi facta videant, Chriſti quidem nomen blaſphemiis appetatur, ſanctus quoque habitus ignominia afficiatur. Et hæc quidem quando quis per hypocriſin tonſus fuerit: ſi autem propter morbum vel propter mœrorem hoc fecerit, permittetúrne ut in ſecularibus habitet, vel etiam priſtinum habitum recipiat? Solutio. Nequaquam. B Canon enim universè loquitur, & propter omnes qui quomodocunque tondentur. Vidimus autem multos, qui ad ultimum ferè ſpiritum tonſi ſunt, & propter morbum neſciebant quidem quid in ipſis fieret, qui cùm poſtea priorem vellent habitum recipere, propter ignorantiam & quòd morbo malè affecti eſſent, & in ſecularibus vitam agere, id non fuit eis permiſſum, ſed pœna etiam affecti fuêre: alios autem, qui cum temere priſtinum habitum reſumpſerunt rurſus ad prius monaſticum inſtitutum vel inviti reverſi ſunt. Quid verò, qui præter rationem tonſus eſt, vel ſine præſentia Præpoſiti, qui illum ſuſcepturus eſt, & Epiſcopi arbitratu C & examinatione eſt nunc primùm in monaſterio collocandus, cogetúrne alia pacta conventa ſeu vota facere, & profiteri in ipſo manere, ut etiam intus eſſe tonſus exiſtimetur, an ei priora ſufficiant? Solutio. Is videtur in eo, in quo primùm collocatus eſt, monaſterio pacta conventa feciſſe; poſt tonſuram autem etiam alia pacta conventa facere non cogitur. Propterea enim, ut eſt veriſimile, omnes interrogationes & conventa in omni tonſura proferuntur.

ΖΩΝΑΡ. Τινὲς διὰ νόσον ἴσως ἢ διὰ λύπην ἀποκειρόμενοι ἢ διὰ τὴν παρὰ τοῦ κανόνος εἰσαχθεῖσαν αἰτίαν πάλιν ἐν τοῖς οἰκείοις οἴκοις διέτριβον, μή τι μοναχοῖς πληροῦντες ἁρμόδιον. διὰ τοῦτο τοίνυν ὁ κανὼν οὗτος τῇ συνόδῳ ἐκπεφώνηται, κελεύων μὴ ἄλλως τινὰ ἀποκείρεσθαι μοναχὸν, εἰ μὴ παρῇ ὁ ὀφείλων αὐτὸν εἰς ὑποταγὴν ἀναδέξασθαι, καὶ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας φροντίζειν ἐπαγγελλόμενος, ἀνὴρ δηλαδὴ μονῆς προεστὼς, ἀρετῆς ἐργάτης, ψυχὴν ἄρτι προσερχομένην θεῷ οἰκονομεῖν πρὸς σωτηρίαν δυνάμενος. εἰ δέ τις, φησὶ, φωραθῇ ἀποκείρων τινὰ, μὴ παρόντος ἡγουμένου τοῦ τοῦτον ἀναδέξασθαι μέλλοντος εἰς ὑποταγὴν, αὐτὸς μὲν καθαιρείσθω, ὡς τοὺς κανόνας παραβαίνων, καὶ τὴν μοναχικὴν εὐταξίαν ἀνατρέπων, ὁ δὲ παραλόγως καὶ μὴ κατὰ τάξιν κανονικὴν ἀποκαρεὶς εἰς ὑποταγὴν ἐν μοναστηρίῳ παραδιδόσθω, ἐν ᾧ ἂν Ἐπίσκοπος δοκιμάσῃ. οὕτως γὰρ διὰ τὰς ἀκρίτους καὶ ἐσφαλμένας ἀποκάρσεις τὸ μὲν μοναχικὸν σχῆμα ἠτίμωται, τὸ δὲ ὄνομα τοῦ Χριστοῦ βλασφημεῖσθαι παρὰ τῶν ἀπίστων συμβαίνει, ὁρώντων μοναχοὺς ζῶντας ἀδιαφόρως καὶ ἀμελῶς· ὥσπερ δοξάζεται παρὰ πάντων ὁ κύριος, ὅταν ἐναρέτως ὁρῶσι ζῶντας τοὺς ἀνατεθειμένους αὐτῷ, κατὰ τὸ, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Zonar. Nonnulli, ob morbum forte aut mœrorem, aut ob eam quoque cauſam, quæ in Can. memoratur, D detonſi, ſuis rurſus in ædibus vitam agentes, nullam penitus inſtituti monaſtici partem exequebantur. Propterea igitur hic Can. à Syn. promulgatus eſt, ejuſque decreto interdictum, ne quem Monachum tonderi liceat, niſi eo præſente qui ſubjectum ſibi habere hominem non recuſet, ſalutémq; illius ſpiritualem ſibi curæ futuram eſſe promittat, monaſterii nimirum Præfecto, virtutum exercitationibus addicto, animúmq; nunc Dei inveſtigandi ſtudio incitatum ad ſalutem dirigendi perito. Quòd ſi quis, inquit, alicui tonſuram conferre, Præfecto, cujus ille obedientiæ mancipari debeat, non adhibito, deprehendatur, ipſum quidem quippe qui & Can. violet, & bene conſtitutam E monaſtici ſtatûs diſciplinam evertat, depoſitione mulctari, qui vero temere, non ſervatis in ea re Canonum ſanctionibus, detonſus eſt, in monaſterium, in quo mancipatus obedientiæ degat, ab Epiſcopo eligendum, compelli placet. Ita namq; propter eos, qui nullo adhibito judicio quamvis indigni tondentur, Monaſticus quidem habitus ſuo honore privatus eſt, Chriſti vero nomen ab infidelibus, Monachorum liberam ac ſolutam vivendi rationem intuentibus, blaſphematur: quemadmodum ab omnibus glorificatur Dominus, ſicubi eos, qui ſeſe ei mancipârunt, vitam cum virtute agere animadverterint; Juxta illud; Sic luceat lux veſtra coram hominibus, ut videant opera veſtra F bona, & glorificent Patrem veſtrum, qui in cœlis eſt.

ΑΡΙΣΤ. Εἴ τις φωραθείη ἀποκείρων τινὰ, χωρὶς παρουσίας τοῦ ὀφείλοντος αὐτὸν παραλαβεῖν εἰς ὑποταγὴν ἡγουμένου, αὐτὸς μὲν καθαιρείσθω· ὁ δὲ ἀποκαρεὶς, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ παρὰ τοῦ Ἐπισκόπου διδόσθω.

Arist. *Si quis detondere quempiam deprehenſus fuerit, non præſente, qui eum in ſubjectionem recepturus eſt, Præfecto, ille quidem deponatur: detonſus autem in ſubjectione etiam in monaſterio ab Epiſcopo collocetur.*

CANON III.

Id quoque quod male fit, & multo pejus despicatui & negligentia mandatur, correctionem oportere assequi judicatum est. Si quis ergo Monasterii præfectus eos, qui sibi subjecti sunt, Monachos aufugientes cum multa diligentia non requirat, vel inveniens non recipiat, & conveniente lapsuique congruente medicina id, quod morbo affectum est, non recuperet & confirmare contendat; statuit sancta Synodus eum congregationi subjici. Si enim, cui animalium ratione carentium præfectura credita est, & gregem negligit, id non fert impune is cujus fidei pastorale Christi pecoris imperium commissum est, & socordia ac negligentia eorum salutem venundat, quidni audacis ejus incepti pœnæ ab eo exigentur?

ΚΑΝΩΝ γ'.

Καὶ τοῦτο κακῶς πραττόμενον, μετὰ πολὺ δὲ χεῖρον παροράσει καὶ ἀμελείᾳ παραπεμπόμενον τυχεῖν ὀφείλει διορθώσεως. εἴ τις οὖν μονῆς προϊστάμενος τοὺς ὑπ' αὐτὸν τεταγμένους μοναχοὺς ἀποδιδράσκοντας οὐ μετὰ πολλῆς τῆς ἐπιμελείας ἀναζητοίη, ἢ ἐφευρίσκων οὐκ ἀναλαμβάνοιτο, καὶ τῇ προσηκούσῃ καὶ καταλλήλῳ τοῦ πταίσματος ἰατρείᾳ τὸ νενοσηκὸς ἀνακτᾶσθαι καὶ ἐπιρρωννύειν ἀγωνίζοιτο, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος ἀφορισμῷ ὑποκεῖσθαι. εἰ γὰρ ὁ ζώων ἀλόγων τὴν προστασίαν ἐγχειριζόμενος, καὶ τοῦ ποιμνίου καταμελῶν, οὐκ ἀτιμώρητος καταλιμπάνεται· τὴν Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἀρχὴν καταπιστευθεὶς, καὶ ῥᾳστώνῃ καὶ ῥᾳθυμίᾳ τὴν αὐτῶν σωτηρίαν ἀπεμπολῶν, πῶς οὐ δίκας τοῦ τολμήματος εἰσπραχθήσεται;

Bals. Canon xxi. vii. Syn. non permittit, ut Monachi vel Monachæ monasteria, in quibus tonsi sunt, relinquant, & ad aliud monasterium sine dimissoriis suorum præfectorum literis accedant: sed nulla eos pœna afficit. Præsens autem Canon præfectos segregationi subjicit, qui suos Monachos non diligenter requirunt, nec ubicunque inventi fuerint recipiunt, nec eorum animas ab ægritudine recuperare contendunt: usque adeo autem exigit Monachos in suis monasteriis manere, ut eorum inde recessum fugam nominaverit; quod quidem de servis & iis, qui custodia ac vinculis tenentur, dici consuevit. Atque lxxx. quidem Canon Carth. Syn. punit Episcopum, qui Monachum aliquem ex altero monasterio alteri regioni subjecto in alio Clericum vel Præfectum constituit. Punit autem etiam ipsum Monachum: & lege ipsum. Quid autem, si Præfectus quærat suum Monachum, & ipse aufugiat, quid fiet? Solutio. Episcopalibus mulctis cogetur ad monasterium reverti in quo tonsus est, nisi forte rationem aliquam probabilem afferat. Nota hæc propter alibi tonsos Monachos. Lege etiam sequentem Canonem.

ΒΑΛΣ. Ὁ μὲν κα'. κανὼν τῆς ζ'. συνόδου οὐ παραχωρεῖ καταλιμπάνειν μοναχοὺς ἢ μοναστρίας τὰς ἐν αἷς ἀπεκάρησαν μονὰς, καὶ εἰς ἕτερον ἀπέρχεσθαι μοναστήριον, ἄνευ ἀπολυτικῆς γραφῆς τῶν ἡγουμένων αὐτῶν· πλὴν οὐ τιμωρεῖ τούτους. ὁ δὲ παρὼν κανὼν ἀφορισμῷ καθυποβάλλει τοὺς ἡγουμένους τοὺς μὴ μετ' ἐπιμελείας ζητοῦντας τοὺς ὑπ' αὐτοὺς μοναχοὺς, μηδὲ ἀναλαμβάνοντας ὁπουδήποτε εὑρισκομένους, μήτε μὴν ἀνακτωμένους τὰ ψυχικὰ τούτων ἀρρωστήματα· τοσοῦτον δὲ τοὺς μοναχοὺς ἀπαιτεῖ προσμένειν ταῖς ἰδίαις μοναῖς, ὡς τὴν ἐκεῖθεν αὐτῶν ἀναχώρησιν ἀπόδρασιν ὀνομάσαι, ὅπερ ἐπὶ δούλων καὶ τῶν ἐν εἱρκταῖς ἢ δεσμοῖς κατεχομένων εἴωθε λέγεσθαι. ὁ μέντοι π'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου τιμωρεῖ τὸν Ἐπίσκοπον, τὸν ἐγκαταστήσαντα μοναχόν τινα ἀπὸ ἑτέρας μονῆς ἑτέρᾳ ἐνορίᾳ ὑποκειμένης εἰς ἑτέραν, κληρικὸν ἢ ἡγούμενον. κολάζει δὲ καὶ αὐτὸν τὸν μοναχόν· καὶ ἀνάγνωθι τοῦτον. τί δὲ τοῦ καθηγουμένου ἀναζητοῦντος τὸν οἰκεῖον μοναχὸν, ἐὰν αὐτὸς ἀποδυσπετῇ, τί γενήσεται; Λύσις. διὰ ἐπισκοπικῶν ἐπιτιμίων ἀναγκασθήσεται ὑποστρέψαι εἰς τὴν ἀπεκάρη μονὴν, εἰ μή που λέγει τι εὔλογον. σημείωσαι ταῦτα διὰ τοὺς ξενοκουρίτας μοναχούς. ἀνάγνωσον καὶ τὸν ἐπιόντα κανόνα.

Zonar. Pluribus Canonum sanctionibus, nequaquam Monachis licere monasteriis, in quibus detonsi fuerunt, relictis ad alia sese conferre, aut huc illuc errabundos vagari, decretum est. Sed hoc, inquit hic Canon, male servatum, deteriusque neglectum corrigimus. Ac nisi eorum, unde se monachi subducunt, monasteriorum Præsides, multam in eis quærendis inveniendis ac recipiendis diligentiam adhibeant, morboque affectis, prout prolapsionis ratio postulaverit, medicinam facere, & labentes sustentare ac fulcire contenderint, segregatione ipsos puniri jubet. Porro à Monachis, ut in suorum monasteriorum statione degant, tam vehementer contendit, ut illorum ab iis secessionem fugæ nomine appellârit: quod de servis, & iis qui in carceribus ac vinculis detinentur, usurpari solet. Etenim si ratione carentium animalium pastor aut bubulcus, qui crediti sibi pecoris curam neglexerit, haud impune feret: quanto graviora supplicia ab iis, qui ratione utentium Christi ovium pastores electi, sese negligentes in earum salute curanda præbuerint, repetenda existimabimus?

ΖΩΝΑΡ. Κανόνες διάφοροι ὥρισαν, μὴ δύνασθαι τοὺς μοναχοὺς τὰ ἐν οἷς ἀπεκάρησαν, μοναστήρια καταλιμπάνοντας ἐν ἄλλαις ἀπιέναι μοναῖς, ἢ τῇδε κἀκεῖσε περιπλανᾶσθαι, ἀλλὰ τοῦτο, φησὶν ὁ κανὼν οὗτος, κακῶς πραττόμενον, χείρονως δὲ παρορώμενον διορθούμεθα. καὶ εἰ μὴ οἱ τῶν μονῶν προϊστάμενοι, ἀφ' ὧν ὑποχωροῦσιν οἱ μοναχοὶ, πολλὴν ἐπιμέλειαν ποιοῦνται εἰς τὸ ἀναζητεῖν καὶ εὑρίσκειν αὐτοὺς καὶ ἀναλαμβάνεσθαι, καὶ ἀγωνίζοιντο καταλλήλως τῷ πταίσματι θεραπεύειν τὸν νοσοῦντα, καὶ σπεύδειν ἀνακτᾶσθαι αὐτὸν καὶ ἐπιρρωννύειν, ἀφορίζεσθαι κελεύει αὐτούς. τοσοῦτον δὲ τοὺς μοναχοὺς ἀπαιτεῖ προσμένειν ταῖς μοναῖς, ὡς τὴν ἐκεῖθεν αὐτῶν ἀναχώρησιν ἀπόδρασιν ὀνομάσαι, ὅπερ ἐπὶ δούλων καὶ τῶν ἐν εἱρκταῖς ἢ καὶ δεσμοῖς κατεχομένων εἴωθε λέγεσθαι. εἰ γὰρ ὁ ζώων ἀλόγων ποιμὴν ἢ βουκόλος, τῶν ὑπ' αὐτοῦ νεμομένων καταμελῶν, οὐκ ἀτιμώρητος ἔσται, πόσῳ μᾶλλον δίκας δώσουσιν οἱ τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἐγχειρισθέντες, καὶ ῥᾳθύμως περὶ τὴν τούτων σωτηρίαν διατιθέμενοι;

Arist. *Si quis monasterii præfecti Monachos aufugientes non requirit & recipit & sanat, segregetur.*

ΑΡΙΣΤ. Εἴ τις ἡγούμενος τοὺς ἀποδιδράσκοντας μοναχοὺς μὴ ἀναζητοίη καὶ ἀναλαμβάνοι καὶ ἰατρεύοι, ἀφοριζέσθω.

ΚΑΝΩΝ δʹ.

Πολυτρόπως ὁ πονηρὸς τοῦ μοναχικοῦ σχήματος τὸ σεβάσμιον ἐπονείδιστον θεῖναι κατηγωνίσατο, καὶ πολλὴν εὗρεν εἰς τοῦτο συνδρομὴν, τῆς προκαταρξάσης αἱρέσεως τὸν καιρόν. τὰς γὰρ ἰδίας μονὰς τῇ ἀνάγκῃ τῆς αἱρέσεως οἱ μονάζοντες καταλιμπάνοντες, οἱ μὲν εἰς ἑτέρας, οἱ δὲ εἰς κοσμικῶν ἀνδρῶν μετέπιπτον καταγώγια. ἀλλὰ γὰρ, ὅπερ αὐτοὺς δι' εὐλάβειαν τότε πραττόμενον μακαριστοὺς ἀπέφαινεν, εἰς ἔθος ἄλογον μεταπεσὸν, καταγελάστους παρίστησι. πανταχοῦ γὰρ νῦν τῆς εὐσεβείας ἐξηπλωμένης, καὶ σκανδάλων τῆς ἐκκλησίας ἀπηλλαγμένης, ἔτι τινὲς τῶν οἰκείων μοναστηρίων ἀποφοιτῶντες, καὶ καθάπερ τι ῥεῦμα δυσκάθεκτον ὧδε κἀκεῖσε μεταγγιζόμενοί τε καὶ μεταῤῥέοντες, πολλῆς μὲν πληροῦσι τῆς ἀκοσμίας τὰ μοναστήρια, πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζουσι, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσί τε καὶ καταλυμαίνονται. ἀλλὰ τούτων τὸ ἄστατον τῆς ὁρμῆς καὶ ἀνυπότακτον ἡ ἁγία σύνοδος ἀνακόπτουσα, ὥρισεν, ἵνα εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ καταγώγιον· οὗτός τε, καὶ ὁ τοῦτον ὑποδεξάμενος, ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ, ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς, εἰ μέντοι γε ὁ ἐπίσκοπός τινας τῶν μοναχῶν, ἐπ' εὐλαβείᾳ καὶ βίου σεμνότητι μαρτυρουμένους, εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς θελήσει μετακομίσαι, ἢ εἰς κοσμικὴν οἰκίαν ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστατῆσαι· τοῦτο, οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς ὑποδίκους ποιεῖ.

ΒΑΛΣ. Τὰ διὰ τὴν κακίαν καὶ τὴν ἐπίθεσιν τῶν εἰκονομάχων συμπεσόντα δεινὰ τοῖς μοναχοῖς, ἐπονείδιστον ἀπειργάσατο τὸ μοναχικὸν σεβάσμιον σχῆμα, φησὶν ὁ κανών. κατέλιπον γὰρ τὰς ἰδίας μονὰς οἱ μονάζοντες, διὰ τὴν τῶν αἱρετικῶν ἀπειλήν· καὶ οἱ μὲν, εἰς ἕτερον μετέπεσον μοναστήριον· οἱ δὲ, εἰς κοσμικὰ κατέλυσαν καταγώγια. καὶ τότε μὲν ἀνεύθυνον ὑπῆρχε τὸ γινόμενον, κατήντησε δὲ τοῦτο εἰς γέλωτα τοῖς πολλοῖς. παυθείσης γὰρ τῆς ἀπὸ τοῦ διωγμοῦ τῶν Χριστιανῶν ἀπειλῆς, διὰ τὸ ὑφαπλωθῆναι τὴν ὀρθοδοξίαν, τινὲς τῶν μοναχῶν ἀνερυθριάστως τολμῶσι ποιεῖν ἅπερ διὰ τὴν ἀνάγκην ἀκινδύνως ἐγίνοντο παρά τινων. τῷ τοι καὶ ὑποχωροῦσιν ἐκ τῶν οἰκείων ἀποκάρσεων, καὶ παρὰ ταῖς πόλεσι μετὰ λαϊκῶν διατρίβειν οὐκ αἰσχύνονται, προφασιζόμενοι καὶ παρὰ τῶν πρὸ αὐτῶν μοναχῶν τοιαῦτα πολλὰ γίνεσθαι. καὶ ἐπεὶ τοῦτο ἀνυποταξίας κατηγορεῖ τοὺς μοναχοὺς, καὶ τὴν κατάστασιν τῶν μοναστηρίων λυμαίνεται, ὥρισεν ἀφωρισμένους εἶναι, τόν τε ἀπὸ τῆς ἐν ᾗ ἀπετάξατο μονῆς ἀποδράσαντα μοναχὸν, καὶ εἰς ἕτερον δεχθέντα μοναστήριον, ἀλλὰ μὴν καὶ τὸν τοῦτον δεξάμενον ἡγούμενον, ἕως ἂν ὁ ἀποφυγὼν μοναχὸς ὑποστρέψῃ εἰς τὴν οἰκείαν μονήν. καὶ ταῦτα μὲν, ὅταν τοιοῦτόν τι γίνηται χωρὶς ἐπισκοπικῆς εἰδήσεως. εἰ δὲ ὁ κατὰ χώραν Ἐπίσκοπος κατανοήσει, τὴν δὲ (τυχὸν) τὴν μονὴν μὴ ἔχειν μοναχοὺς εὐλαβεῖς, ἱκανοὺς ἐκ τῶν οἰκείων πράξεων καὶ ἄλλους πρὸς σωτηρίαν μεταγαγεῖν, καὶ δοκιμάσει συμφέρον εἶναι μετενεχθῆναι τὸν δὲ τὸν μοναχὸν ἀφ' ἧς ἀπεκάρη μονῆς εἰς ἑτέραν, ἢ ἐγκαταστῆσαι εἰς κοσμικὰς οἰκίας οἰκονόμους, διὰ σωτηρίαν τῶν κατοικούντων ἐν αὐτῇ, ἢ καὶ ἀλλαχοῦ που ἐπιστατῆσαι γενήσεται τοῦτο ἀπαρεμποδίστως· μήτε τῶν μοναχῶν μήτε τῶν ὑποδεχομένων αὐτοὺς ὀφειλόντων ὅλως προκριματισθῆναι. τούτων οὕτως ἐχόντων, εἶπόν τινες ἐναντιοῦσθαι ταῦτα τοῖς θεσπισθεῖσιν ὑπὸ τοῦ πʹ. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ διοριζομένοις τὸν τοιοῦτόν τι ποιοῦντα ἐπίσκοπον, καὶ ὑποδεχόμενον, ἀπὸ ἀλλοτρίου μοναστηρίου

CANON IIII.

Multis modis Malignus ille monaſticum venerabilem habitum probroſum efficere contendit, & magnum ad eam rem auxilium invenit ejus qua præceſſit hæreſis tempus. Propria enim monaſteria, hæreſis vi coacti, relinquentes Monachi, hi quidem ad alia, illi vero etiam ad ſecularium virorum habitacula ſe transferebant. Verum enimvero quod tunc ab illis propter pietatem factum eos laudandos beandoſque efficiebat, in mores à ratione alienos converſum, eos jure deridendos efficit. Cum enim pietas ac religio nunc ſit ſimplex, & ab Eccleſiæ ſcandalis & offenſionibus aliena, quidam adhuc è ſuis monaſteriis excedentes, & tanquam fluentum aliquod, quod cohiberi non poteſt, nunc huc nunc illuc ſe conferentes & confluentes, monaſteria quidem multo dedecore & deformitate replent, multam ſecum confuſionem petulantiamq; afferunt, obedientiæque honeſtatem convellunt ac perdunt. Sed eorum inſtabilem & non ferendam appetitionem reſecans ſancta Synodus, conſtituit, ut ſi quis Monachus à proprio aufugiens monaſterio, vel ſe in aliud monaſterium conferat, vel in ſecularem habitationem ingrediatur; ipſe, & qui eum ſuſcepit, ſegregatus ſit, donec qui aufugit, in illud monaſterium, à quo improbe receſſerat, revertatur. Sed ſi Epiſcopus quidem, de nonnullorum Monachorum pietate & vitæ probitate teſtimonium ferens, in aliud monaſterium ad ejus conſtitutionem eos tranferre voluerit, vel in domum ſecularem, ad eorum qui inhabitant ſalutem, traducere cenſuerit, vel in quovis alio loco præponendos putârit hoc, neque eos qui ſuſcipiunt, nec ipſos Monachos obnoxios reddet.

BALS. Quæ propter Iconomachorum improbitatem & inſultum mala Monachis accederant, monaſticum venerandum habitum probroſum effecerunt, ut inquit canon. Monachi enim propria monaſteria reliquerunt, propter minas Hæreticorum: & alii quidem ſe in alia monaſteria contulerunt: alii vero in mundanis habitaculis vitam egerunt. Et tunc quidem, quod ab eis fiebat, erat ab omni culpa & reprehenſione alienum: evaſit autem hoc poſtea multis ridiculum. Cum enim ceſſaverint minæ quæ in Chriſtianos intentabantur propter perſecutionem, eo quod orthodoxa ſententia ſit ſimplex & aperta; quidam tamen Monachi audent abſque ullo pudore ea facere, quæ propter neceſſitatem ab aliquibus ſecurè fiebant. Quo fit, ut & â propriis tonſuræ locis recedant, & in civitatibus cum laicis verſari non erubeſcant; hoc prætextu utentes, quod à Monachis, qui eos præceſſerunt, multa ejuſmodi facta ſint. Et quoniam hoc Monachorum inobedientiam arguit, & monaſteriorum conſtitutionem evertit, ſtatuit Synodus, tam eum qui à monaſterio in quo conſtitutus eſt aufugit, & in altero monaſterio ſuſceptus eſt, quam ipſum etiam Præfectum, qui eum ſuſcepit ſegregatos eſſe, donec Monachus qui aufugit ad proprium monaſterium revertatur. Et hæc quidem quando abſque Epiſcopali ſcientia aliquid hujuſmodi factum ſit. Si autem ejus regionis Epiſcopus intellexerit, hoc (verbi gratia) monaſterium pios & religioſos Monachos non habere, nec propriis actionibus aptos ut ad ſalutem alios traducant, & utile eſſe judicaverit, ut hic videlicet Monachus à monaſterio, in quo tonſus eſt, in aliud transferatur, vel etiam ad ſecularis domus adminiſtrationem propter eorum qui in ipſa habitant ſalutem, collocetur, vel aliquo alio in loco præficiatur, hoc fiet ſine ullo impedimento: utpote cum nec Monachis, nec iis qui illos ſuſcipiunt, debeat ullum præjudicium afferri. Hæc cum ita ſe habeant, dixerunt quidam hæc adverſari iis quæ lxxx. can. Carth. Syn. ſtatuta ſunt, quibus cavetur, ut qui tale quid facit Epiſcopus, & Monachum ex alieno monaſterio ſuſcipit, & A ipſum vel Clericum vel Præfectum facit, à cæterorum fratrum communione ſeparetur, & ſit proprii populi communione contentus: Monachus autem nec fit Clericus nec Præfectus. Sed non ſunt, ut mihi videtur, contraria. Ille enim canon punit Epiſcopum, qui quemcunque Monachum ex aliena regione ſuſcipit, & eum vel Clericum facit, vel monaſterio quod ad ſe pertinet præficit, ſine prioris ipſius Epiſcopi ſcientia. Similiter Monachum quoque punit. Hic autem præſens canon permittit Epiſcopo, ut ex duobus tantum ad ſe pertinentibus monaſteriis faciat Monachorum tranſlationes, prout ei viſum fuerit. B Scias autem, quod tempore Patriarchæ domini Lucæ ſynodale decretum factum eſt, ut ſine præjudicio conſtituantur Præfecti in monaſteriis Patriarchæ regioni ſubjectis, quæ non habent Monachos idoneos ut præſint, ex altero monaſterio quod eſt ejuſdem regionis: etiamſi ſtatuta eorum caveant, ne qui in externo monaſterio tonſus eſt, fiat eorum Præfectus. Quod autem à canone definitum eſt, ut in ſeculari domo, vel in aliquo alio loco, Monachus virtute præditus, qui quidem ei ſubjectus eſt, ad eorum qui ibi ſunt ſalutem, ab Epiſcopo collocetur, ne novum tibi videatur. Sacris enim & divinis Canonibus ſolius animæ C hominum ſalutis cura eſt, & nullius alîus. Qui ergo vitam ex Dei præceptis inſtituit, à loco non læditur: ſed & eis qui unà ſunt admodum proderit. Quidni ergo fiet ex canone? Propter hanc enim cauſam ipſe quoque ſanctiſſimus Patriarcha dominus Lucas permiſit Monacho & Sacerdoti illi domino Macario Hieroſolymitano perpetuo verſari cum beatæ memoriæ imprimis nobiliſſimo Logotheta curſus domino Michaële Agiotheodorito, & una cum eo in præſidio verſari, & ſcribarum officio fungi. Nota ergo, quod ſuaſione & probatione Epiſcopali, multo autem magis regia, & Monachi & Clerici ſine præjudicio facient, quæ iis præmiſſa fuerit, cujuſmodicunque ea ſint. D

Zonar. Quo tempore hæreſis Iconomachorum regnabat, cum omnes alii, qui ſacras imagines colerent, tum in primis Monachi, conquiſiti, ac in eos præcipuè pœnis ſævitum eſt. Proinde ſuis monaſteriis relictis, vel in alia ſeſe monaſteria deliteſcendi cauſa contulerunt, vel ad privatorum quoq; ædes ac domicilia deflexerunt. Sed hoc factum, tunc quidem, inquiunt Synodi Patres, & rei honeſtate & temporis opportunitate beatos homines efficiebat: nunc vero abſque ratione conſilioque uſitatum, omnium irriſione haud immerito excipitur. Jam enim hæreſis tempeſtate ſedata ſuaq; pietati reddita libertate, E adhuc tamen è monaſteriis ſe ſubducentes, inſtar fluenti quod conſiſtere ac contineri non poſſit, ſeſe huc illuc elutriant & effundunt, ac monaſteria multo dedecore ac deformitate complent. Ad monaſteriorum quippe honeſtatem ac decus pertinet, ut in ſua ſtatione eorum alumni quiete degant, neq; perpetuo huc illuc vagi & incerti ferantur. Multum vero ſecum petulantiæ, inquit, adducunt, hoc eſt, petulanter agentes monaſteriis inferunt. Verum jucundam illis eam eſſe petulantiam, verbo κωμάζειν uſurpato voluit indicare. Eſt namque κωμάζειν, vinum, adhibito tibiarum ac citharæ ſono & cantibus, bibere. F Quemadmodum igitur illi, inquiunt, hoc pacto bibentes lætantur: ita iſtis quoque ignominia eſt voluptati. Obedientiæ præterea honeſtatem omnem diſtrahunt, atque diſperdunt. Cum enim ex univerſa fratrum multitudine unum quaſi corpus efficiatur, ac illius ex obedientia honeſtas omnis ac ſplendor exiſtat, quicunque ab illa deſciſcunt, ſplendorem illum omnem honeſtatemque diripiunt, univerſumque corpus ſocietatis lædunt. Propterea quicunque, inquiunt, è ſuis monaſteriis aufugerint, ſive in alia monaſteria incidant, ſive ſecularibus ſeſe habitaculis immiſerint, tam ipſos, quam eos à quibus recepti fuerint, donec ad ſua monaſteria qui fugerant revertantur, ſancta Synodus ſegregatos eſſe decernit. Quod ſi ejus loci Epiſcopus nonnullos è Monachorum

μοναχὸν, καὶ ποιοῦντα αὐτὸν κληρικὸν ἢ καθηγούμενον, ἀπὸ τῆς τῶν λοιπῶν ἀδελφῶν κοινωνίας χωρίζεσθαι· καὶ τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεῖσθαι· τὸν δὲ μοναχὸν μηδὲ κληρικὸν εἶναι μηδὲ καθηγούμενον. ἀλλ' οὐκ εἰσὶν, ὡς ἐμοὶ δοκεῖ, ἐναντία. ἐκεῖνος μὲν γὰρ ὁ κανὼν κολάζει τὸν Ἐπίσκοπον τὸν ἀπὸ ἀλλοτρίας ἐνορίας δεχόμενον οἱονδήτινα μοναχὸν, καὶ καθιστῶντα τοῦτον πρὸς κλήρωσιν ἢ ἡγουμενείαν μονῆς διαφερούσης αὐτῷ, χωρὶς εἰδήσεως τοῦ προτέρου Ἐπισκόπου αὐτοῦ. ὡσαύτως τιμωρεῖ καὶ τὸν μοναχόν. ὁ δὲ παρὼν ἐγχωρεῖ τῷ Ἐπισκόπῳ, ἀπὸ τῶν δύο διαφερουσῶν αὐτῷ μεταθέσεις ποιεῖν μοναχῶν κατὰ τὸ δόξαν τούτῳ. γίνωσκε δὲ, ὅτι γέγονε καὶ σημείωμα συνοδικὸν ἐπὶ τῆς ἐφημερείας τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ, χάριν τοῦ ἀπροκριματίστως καθηγουμένου εἰς μοναστήρια ὑποκείμενα τῇ ἐνορίᾳ τοῦ πατριάρχου, μὴ ἔχοντα ἱκανοὺς εἰς προστασίαν μοναχοὺς, ἀπὸ ἑτέρας μονῆς οὔσης ἐκ τῆς αὐτῆς ἐνορίας, κἂν τὰ τυπικὰ τούτων διορίζονται ξενοκουρείτην μὴ γίνεσθαι καθηγούμενον. τὸ μέντοι παρὰ τοῦ κανόνος διορισθὲν περὶ τοῦ καταστάτεσθαι εἰς κοσμικὸν καταγώγιον ἢ ἀλλαχοῦ παρὰ τοῦ Ἐπισκόπου μοναχόν τινα ἐνάρετον, ὑποκείμενον αὐτῷ, διὰ ψυχικὴν σωτηρίαν τῶν ἐν αὐτῇ, μὴ δόξῃ σοι καινόν. τοῖς γὰρ ἱεροῖς καὶ θείοις κανόσι μόνης τῆς ψυχικῆς τῶν ἀνθρώπων σωτηρίας ἠμέλησε, καὶ ἑτέρου παντελῶς οὐδενός. ὁ γοῦν κατὰ θεὸν ἀναστρεφόμενος, ἀπὸ τοῦ τόπου οὐ παραβλαβήσεται· ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ ὠφελήσει τὰ μέγιστα. ἵνα τί γοῦν οὐ γενήσεται κατὰ τὸν κανόνα; διὰ γὰρ τοῦτο καὶ ὁ αὐτὸς ἁγιώτατος πατριάρχης κυρὸς Λουκᾶς ἐπέτρεψε τῷ μοναχῷ καὶ ἱερεῖ ἐκείνῳ κυρῷ Μακαρίῳ τῷ Ἱεροσολυμίτῃ διάγειν διηνεκῶς μετὰ τοῦ μακαρίτου πρωτονωβελλισιμυπερτάτου καὶ λογοθέτου τοῦ δρόμου κυροῦ Μιχαὴλ τοῦ Ἁγιοθεοδωρίτου, καὶ συντάττεσθαι μετ' αὐτοῦ, καὶ τὰ τῶν γραμματικῶν ἐνεργεῖν. σημείωσαι οὖν, ὅτι κατὰ προτροπὴν καὶ δοκιμασίαν ἐπισκοπικὴν, πολλῷ δὲ πλέον κατὰ βασιλικὴν, καὶ μοναχοὶ καὶ κληρικοὶ ἀπροκριματίστως ἐνεργήσουσι τὰ τούτοις ἐπιτραπησόμενα, οἷα ἂν καὶ ὦσιν.

ΖΩΝΑΡ. Τῆς τῶν εἰκονομάχων ἐπικρατούσης αἱρέσεως καὶ πάντες μὲν οἱ τῶν σεπτῶν εἰκόνων προσκυνηταὶ καὶ ἐζητοῦντο καὶ ἐκολάζοντο, πολλῷ δὲ πλέον οἱ μοναχοί. διὸ καταλιμπάνοντες τὰ ἑαυτῶν μοναστήρια, ἢ εἰς ἑτέρας ἀπῄεσαν μονὰς, ἐκεῖσε κρυπτόμενοι, ἢ καὶ εἰς κοσμικῶν οἰκίας μετέπιπτον. ἀλλὰ τοῦτο, φασὶν οἱ τῆς συνόδου πατέρες, μακαρίους μέν ποτε ἐποίει, καλῶς γινόμενον καὶ κατὰ καιρόν· νῦν δὲ εἰς ἔθος γινόμενον ἄλογον, καταγελάστους τοὺς ποιοῦντας αὐτὸ τίθησι. τῆς ζάλης γὰρ τῆς αἱρέσεως παρελθούσης, καὶ τῆς εὐσεβείας παῤῥησίαν λαβούσης, καὶ πάλιν τῶν οἰκείων ὑποχωροῦντες μονῶν, ὧδε κἀκεῖσε μεταγγίζονται, καθάπερ τι ῥεῦμα μὴ δυνάμενον κατασχεθῆναι, καὶ μεταῤῥέουσι, καὶ πολλῆς ἀκοσμίας πληροῦσι τὰ μοναστήρια. κόσμος γάρ ἐστι τῶν μονῶν τὸ τοὺς τροφίμους αὐτῶν ἐν ἡσυχίᾳ διάγειν, καὶ προσμένειν αὐταῖς, μηδὲ συνεχῶς περιιέναι. πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζωσι, τουτέστιν ἀτάκτως εἰσφέρουσιν. ἵνα γὰρ δείξῃ τὸ, ἡδέως αὐτοὺς πρὸς τὴν ἀταξίαν διακεῖσθαι, τῇ λέξει τοῦ κωμάζειν ἐχρήσατο. κωμάζειν γάρ ἐστι τὸ μετὰ αὐλῶν καὶ κιθάρας καὶ ᾠδῶν τὸν οἶνον πίνειν. ὡς γοῦν οἱ οὕτω πίνοντες ἥδονται, τὸν ὅμοιον τρόπον, φασὶ, καὶ οὗτοι πρὸς τὴν ἀτιμίαν ἡδέως διάκεινται, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσι καὶ καταλυμαίνονται. ἓν γὰρ σῶμα τῆς ἀδελφότητος οὔσης, ἧς ἡ ὑποταγὴ σεμνότης καὶ καύχημα, οἱ ἐκ ταύτης ἀποῤῥηγνύμενοι διασπῶσι τὸ σεμνυνὸν αὐτὴν καὶ εἰς λύμην τοῦ ὅλου σώματος γίνονται. διὸ, φασὶν, ὥρισεν ἡ ἁγία σύνοδος, τοὺς τῶν ἰδίων μονῶν ἐκδιδράσκοντας, κἂν εἰς ἕτερα μεταπέσωσι μοναστήρια, κἂν εἰς κοσμικὰ εἰσκωμάσωσι καταγώγια, κἀκείνους καὶ τοὺς ὑποδεξαμένους αὐτοὺς ἀφωρισμένους εἶναι, ἕως ἂν ἐπανέλθωσιν οἱ ἀποφυγόντες εἰς τὴν οἰκείαν μονήν. εἰ δὲ ὁ κατὰ χώραν Ἐπίσκοπος τινὰς τῶν μοναχῶν ἐπ' ἀρετῇ μαρτυρουμένοις συνίδῃ εἰς ἑτέραν μονὴν ἐπὶ καταστάσει αὐτῆς καὶ ὠφελείᾳ τῶν ἐν αὐτῇ μεταγαγεῖν, ἢ καὶ εἰς κοσμικὴν οἰκίαν δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκιμάσει ἐπιστῆσαι, οὔτε οἱ μοναχοὶ, οἱ οὕτω μετατιθέμενοι, οὔτε οἱ τούτους δεχόμενοι, τῷ ἀφορισμῷ ὑπόδικοι ἔσονται.

ΑΡΙΣΤ. Εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς, ἢ εἰς ἕτερον μεταπέσοι μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσει καταγώγιον, αὐτός τε, καὶ ὁ ὑποδεξάμενος, ἀφοριζέσθω, ἕως ἐπανέλθοι. ὁ δὲ παρ' ἐπισκόπου ὁποδήποτε καταστάς, ἀναίτιος.

ΚΑΝΩΝ. ε΄.

Τὰς ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς ἐπὶ πολὺ τὴν μοναχικὴν εὐταξίαν λυμαινομένας εὑρίσκομεν. προπετῶς γάρ τινες εἰς τὸν μονήρη βίον ἑαυτοὺς ἐπιρρίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον καταλιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν. ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς παραστήσῃ. καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο, πλὴν εἰ μή πω τις βαρεῖα προσπεσοῦσα νόσος, τὸν χρόνον ἀναγκάσῃ συστεῖλαι τῆς δοκιμασίας, ἢ εἰ μή πω τις εἴη ἀνὴρ εὐλαβὴς, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι. ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς εἰς ἀπόπειραν παντελῆ καὶ ὁ ἑξαμηνιαῖος ἀρκέσει χρόνος. εἰ δέ τις παρὰ ταῦτα διαπράξεται, τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας τὴν ἐν ὑποταγῇ διαγωγὴν ἐφευρίσκειν· τὸν δὲ μονάσαντα ἐν ἑτέρᾳ μονῇ τὴν μοναχικὴν ἀκρίβειαν φυλαττούσῃ παραδίδοσθαι.

ΒΑΛΣ. Πολλάκις τινὲς, φασὶν οἱ πατέρες, διὰ θλῖψιν, ἢ ἑτέραν ὀλιγωρίαν τινὰ, τὸν μονήρη βίον προπετῶς ὑποδυόμενοι, καὶ μὴ δυνάμενοι καρτερῆσαι τὸ ἐπίπονον τῆς ἀσκήσεως, μεταμέλονται, καὶ πρὸς τὴν προτέραν κοσμικὴν διαγωγὴν κακῶς ὑποστρέφουσιν. ὥρισαν οὖν, μηδένα καταξιοῦσθαι τοῦ μοναχικοῦ σχήματος πρὸ δοκιμασίας καὶ κατεξετάσεως τῆς διαγωγῆς τοῦ ζητοῦντος αὐτό· ἀλλ' ἐπὶ τριετίαν δοκιμάζεσθαι, καὶ οὕτω λαμβάνειν τὸ μοναχικὸν σχῆμα. τούτου γὰρ οὕτω γινομένου, αὐτός τε διὰ τὴν ὀλιγωρίαν οὐ μεταμεληθήσεται, ἀλλ' ὁλοψύχως τὸ μοναχικὸν ἀναδέξεται σχῆμα· καὶ εἰ ἀπαρέσκεται, ἀπροκριματίστως ἀναχωρήσει ἀπὸ τῆς μονῆς, καὶ πρὸς τὸν κοσμικὸν ὑποστρέψει βίον. καὶ ὁ καθηγούμενος, ἀπόπειραν λαβὼν ἀκριβῆ διὰ τοῦ τοσούτου χρόνου τῆς τούτου ἀναστροφῆς, ἓν ἐκ τῶν δύο προέληται, δηλονότι ἢ ἀποκείρῃ αὐτὸν ὡς ἄξιον, ἢ ἐπιτρέψῃ ὑποχωρῆσαι ὡς ἀδόκιμον. τοῦτο δὲ παρεκελεύσαντο κρατεῖν εἰς τοὺς ὑγιαίνοντας. εἰ γάρ τις διὰ νόσον βαρεῖαν θελήσει ἀποκαρῆναι, οὐ κωλυθήσεται διὰ τὸν χρόνον τοῦτο ποιῆσαι, ἀλλ' ἀπεντεῦθεν μετασχηματισθήσεται. εἰ μέντοι βούληταί τις εὐλαβὴς μονάσαι, καὶ ἀπὸ τῆς ἐν τῷ κόσμῳ διαγωγῆς αὐτοῦ κρίνεται πρὸς τοῦτο ἄξιος, τοῦτον οὐκ ἐπὶ τριετῆ χρόνον, ἀλλ' ἐπὶ ἑξαμηνιαῖον δοκιμάζεσθαι χρή. τὸν δὲ παρὰ ταῦτα διαπραξάμενον καθηγούμενον ὥρισαν ἐκπίπτειν ἀπὸ τῆς ἡγουμενείας, καὶ γίνεσθαι ὑποτακτικόν· ἀλλὰ καὶ τὸν ἀποκαρέντα παραδίδοσθαι εἰς ἑτέραν ἀκριβεστέραν μονήν. ταῦτα τοῦ κανόνος διοριζομένου, λόγος ἐκινεῖτο κατὰ διαφόρους καιροὺς, περὶ τοῦ πῶς ὀφείλουσι δοκιμάζεσθαι, οἱ τὸν μονήρη βίον ἐπιλεξάμενοι. τινῶν γὰρ εἰσελθόντων εἰς μοναστήρια, καὶ ῥασοφορησάντων, ἴσως καὶ μετὰ τρισαγίου ἐν ναῷ, καὶ μετονομασθέντων, καὶ ἁπλῶς κατὰ μοναχοὺς ἀναστρεφομένων ἐντός τε καὶ ἐκτὸς τῆς μονῆς· πρὸ δὲ τοῦ τελειωθῆναι διὰ τῆς μοναδικῆς ἀποκάρσεως, μετασχηματισθέντων, καὶ εἰς κοσμικὴν ὑποστρεψάντων διαγωγὴν, ἔστι δ' ὅτε καὶ νομίμως γυναιξὶ συζευχθέντων,

A numero ſpectatæ virtutis, ut in aliud monaſterium ad res monaſterii conſtituendas, quique in eo degunt juvandos, tranſcribere, aut in hominis privati cujuſpiam domicilio conſtituere, aut ubivis demum collocare opportunum exiſtimaverit, nec Monachos, quibus ea mutandæ ſedis cauſa fuerit, nec qui eoſdem receperint, pœna illa ſegregationis afficiet.

Arist. *Si quis Monachus, proprio relicto monaſterio, ſive ad aliud monaſterium tranſmigraverit, ſive in ſeculare habitaculum petulanter ſe contulerit, ſegregetur tam ipſe, quam qui ipſum ſuſcepit, uſque dum reverſus fuerit. Qui vero ab Epiſcopo quocunque loco conſtitutus* B *eſt, culpa vacat.*

Canon V.

Quæ temerè & ſine judicio ac probatione fiunt renunciationes, bono monaſtico ordini magnum afferre incommodum invenimus. In monaſticam enim vitam ſe facile injicientes nonnulli, & ad aſperam & laborioſam exercitationem ſe ſegniter gerentes, ad carnalem & voluptariam vitam rurſus miſerè revertuntur. Propterea ergo ſtatuit ſancta Synodus ut monaſtico habitu digni nulli putentur, priuſquam triennii tempus ad experientiam eis relictum probatos eos eſſe & tali vita dignos C *oſtenderit. Et hoc omni modo obſervari præcepit, præterquam ſi gravis aliquis morbus incidens probationis tempora contrahi coegerit: vel niſi quis alicunde vir religioſus ſit, & vitam monaſticam in habitu ſeculari peragat. Tali enim viro ad abſolutam experientiam tempus ſemeſtre ſufficiet. Si quis autem præter hæc fecerit, Præfectus quidem præfectura excidens perperam obſervati ordinis correctionem, in obedientia & ſubjectione converſationem, inveniat: qui eſt autem in alio monaſterio Monachus, alii monaſterio tradatur, quod monaſticam diſciplinam accurate perfecteque obſervet.*

D **Bal's.** Nonnulli ſæpe, inquiunt patres, propter afflictionem, vel etiam per negligentiam aliquam, vitam monaſticam facile ſubeuntes, & exercitationis laborem ſufferre non valentes, pœnitentiam agunt, & ad priorem ſecularem vivendi rationem revertuntur. Statuerunt ergo, ne Monaſtico habitu dignus quis exiſtimetur, ante probationem & examinationem ejus qui ipſum petiit; ſed triennio probetur, & ſic monaſticum habitum accipiat. Hoc enim ita facto, nec ipſe propter negligentiam pœnitentia tangetur, ſed monaſticum habitum toto animo ſuſcipiet: aut ſi ei minus placet, citra E ullum præjudicium à monaſterio recedet, & ad ſecularem vitam revertetur. Et Præfectus, qui certum ejus vitæ rationis periculum tanto tempore fecit, unum ex duobus eligat, vel ipſum ſcil. ut dignum tondeat, vel ut non idoneum recedere permittat. Hoc autem voluerunt in iis, qui ſani ſunt, valere. Nam ſi propter gravem morbum aliquis tonderi voluerit, hoc propter tempus facere non prohibebitur; ſed ſtatim monaſticum habitum accipiet. Si quis vero vir pius ac religioſus velit eſſe Monachus, & ex ejus in ſeculo vitæ agendæ ratione ad hoc dignus eſſe judicatur, non triennio ſed ſemeſtri tantum ſpacio eum examinare oportet. Præfectum autem, qui præter hæc fecerit, præfectura excidere ſtatuerunt, & ad obe- F dientiam redigi: quinetiam eum, qui tonſus fuerit, exactiori tradi monaſterio. Hæc cum decernat canon, diverſis temporibus exorta eſt diſputatio, quomodo debent probari, qui vitam monaſticam elegerunt. Cum enim aliqui monaſteria ingreſſi, & raſa induti eſſent, forſan & cum Triſagio in templo, & nomen mutaviſſent, &, ut ſemel dicam, inſtar Monachorum, & intra & extra Monaſterium, verſarentur; antequam autem monaſtica tonſura perficerentur, ad priſtinum habitum & ſecularem vivendi rationem reverſi, & nonnunquam etiam legitimo matrimonio conjuncti eſſent;

dixerunt quidam, eos nihil abſurdum feciſſe; ſed in eorum eſſe poteſtate intra Canonicum triennium, ante tonſuram ſcilicet, monaſterio egredi ſine ullo præjudicio, & veſtes quidem monachales exuere, ſeculares vero induere: quoniam Canon de iis decernit, qui ante triennium tondentur; non autem de iis qui probantur, & adhuc raſa geſtant. Alii autem dicebant, quod Canon quidem monachalem habitum tonſuram vocat: non decernit autem debere fieri probationem cum monachalibus, eaque abjicere, & ſecularia induere, & ſecedere. Unde etiam apparet, debere eum, qui examinatur, cum veſtibus laicis examinari. Qui enim ſemel amictum monaſticum induit, ei non permittetur, ut heri quidem inſtar Monachorum in foro verſetur, hodie verò inſtar Laicorum ſe theatricè venditet, & inſtar ſcenicorum ſanctum habitum quodammodo ludificetur. Potius ergo cogetur vel invitus tonderi. Qui autem hæc dicebant, dictum ſuum confirmabant ex iii. capit. xi. tituli præſentis operis, ſic circa initium dicentis; xiii. conſtitutio primi tituli novellarum dicit; quod qui vitæ incumbunt monaſticæ, ſive ſint liberi ſive ſervi, triennio prius perſeverent Laicorum tonſu & veſtitu utentes, & ſcripturas diſcentes, & ſuam fortunam confitentes, & cauſam cur Monachi eſſe velint; ne fortè mala ſit, & admoneantur: & ſi triennio perſeveraverint & monaſterio digni viſi fuerint, tunc tondeantur. Et ex hac novella, quæ eſt Juſtiniani, volebant, cum Laicis veſtibus fieri probationem. Adjiciebant autem, quod quoniam xiii. cap. primi tituli iiii. lib. Baſilic. quod quidem eſt lxiiii. cap. cxxiii. Juſtiniani novellæ, decernit, ut qui auſi fuerint Monachi vel Aſcetriæ habitum imitari, & id inſtar ſcenicorum quovis modo illum illudere, corpore puniantur & exterminentur: multo autem magis punietur, qui vitam monaſticam profeſſus in monaſterium ingreſſus eſt, & veſte monachali indutus; ſi poſtea omni exuto pudore laicalem veſtitum receperit. Alii autem dixerunt; quod qui raſa induti fuerint cum Triſagio, ad laicalem habitum redire non ſinentur: qui vero abſque eo habitum ceperunt, indiſtinctè intra triennium, monaſticarum quidem veſtium otium damnabunt; laicis autem induentur. Nam & mulieres, quæ defunctos viros lugent, atris veſtibus ad tempus induuntur, & rurſus ſine periculo ſeculares induunt. Et hi quidem hæc dicunt. Pluribus autem & religioſioribus non videtur in ejus eſſe poteſtate, qui monaſterium ingreſſus, &, quomodocunque ſe res habeat, nigris veſtibus indutus eſt, & monaſtico more degit, habitum laicum reſumere. Ipſi enim, inquiunt, licebat cum veſtibus laicis ſpatio triennii probari: at quia veſtes monaſticas induit, cogetur ſuum vitæ propoſitum perficere; ſin vero hoc ægre ferat, punietur, ut lex dicit in primo titulo iiii. lib. Quoniam autem audivi nonnullos queri de Præfectis, qui ad ipſos accedentes poſt probationes non tondent, & eâ in re præſentem Canonem veluti tranſgrediuntur; exiſtimo, quod iii. cap. primi tituli iiii. lib. quod eſt ıv. cap. cxxiii. Juſtiniani novellæ, hoc dubium ſolvit. Dicit enim; Si quis ad monaſticam velit vitam accedere, jubemus, ut, ſi ſit quidem notum eum nulli eſſe fortunæ ſubjectum, monaſterii præfectus, quando hoc cognoverit, habitum illi præbeat: ſin autem neſcitur, an ulli ſit fortunæ ſubjectus, intra tres annos monaſticum habitum ne accipiat; ſed intra dictum tempus, ejus vitæ converſationis, is qui monaſterio præeſt, periculum faciat; & cætera. Quamobrem Præfectus rectè tondet accedentem ad eum, quando illum noverit; & probatio fit ſolum eorum de quibus dubitatur, ſervorum ſcilicet & reliquorum qui eodem capite continentur.

A εἶπόν τινες, μηδὲν αὐτοὺς ἀπεικὸς ποιῆσαι, ἀλλ' ἔχειν ἐπ' ἀδείας ἐντὸς τῆς κανονικῆς τριετίας, πρὸ τῆς ἀποκάρσεως δηλαδὴ, ἐξέρχεσθαι τῆς μονῆς ἀπροκριματίστως, καὶ ἀποτίθεσθαι μὲν τὰ μοναχικὰ ἄμφια, λαϊκὰ δὲ ἐνδύεσθαι· ὅτι καὶ ὁ κανὼν περὶ τῶν ἀποκειρομένων πρὸ τῆς τριετίας θεσπίζει, οὐ μὴν περὶ τῶν δοκιμαζομένων καὶ ἔτι ὄντων ῥασοφόρων. ἕτεροι δὲ εἶπον, ὡς ὁ κανὼν μὲν μοναχικὸν σχῆμα καλεῖ τὴν ἀπόκαρσιν· οὐ διορίζεσθαι δὲ τὴν δοκιμὴν γίνεσθαι μετὰ μοναχικῶν καὶ ῥίπτειν ταῦτα καὶ κοσμικὰ ἐνδύεσθαι καὶ ἀναχωρεῖν. τῷ τοι καὶ ἀναφαίνεται ὀφείλειν τὸν δοκιμαζόμενον μετὰ λαϊκῶν ἀμφίων δοκιμάζεσθαι. B ὁ γὰρ ἅπαξ τὰ μοναχικὰ ἐνδυσάμενος, οὐ παραχωρηθήσεται, χθὲς μὲν κατὰ μοναχοὺς ἐπὶ ἀγορᾶς ἀναστρέφεσθαι, σήμερον δὲ κατὰ λαϊκοὺς θεατρίζεσθαι, καὶ οἷον ἐμπαίζειν κατὰ σκηνικοὺς τὸ ἅγιον σχῆμα. μᾶλλον μὲν οὖν ἀναγκασθήσεται καὶ ἄκων ἀποκαρῆναι. λέγοντες δὲ ταῦτα κατεσκεύαζον τὸν λόγον αὐτῶν ἀπὸ τοῦ γ΄. κεφ. τοῦ ια΄. τίτλου τοῦ παρόντος συντάγματος, λέγοντος περὶ τὰς ἀρχὰς οὕτως· ἡ δὲ ιγ΄. διάταξις τοῦ α΄. τίτλου τῶν νεαρῶν φησιν, ὅτι οἱ παραμένοντες εἰς μονήρη βίον, εἴτε ἐλεύθεροι εἴτε δοῦλοι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς γραφὰς μανθάνοντες, καὶ τὴν C τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μήποτε πονηρὰ ἐστι, καὶ νουθετείσθωσαν· καὶ εἰ προσκαρτερήσουσι τὴν τριετίαν καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε κειρέσθωσαν. καὶ ἤθελον ἐκ ταύτης νεαρᾶς, οὔσης Ἰουστινιανείου, τὴν δοκιμὴν γίνεσθαι μετὰ λαϊκῶν ἀμφίων. προσετίθουν δὲ ὡς ἐπεὶ τὸ ιγ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ δ΄. βιβλίου τῶν βασιλικῶν ὅπερ ἐστὶ κεφάλ. ξδ΄. τῆς ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, διορίζεται τοὺς τολμήσαντας μιμήσασθαι σχῆμα μοναχοῦ ἢ ἀσκητρίας, καὶ κατὰ σκηνικοὺς ἐμπαῖξαι τοῦτο οἱῳδήτινι τρόπῳ, σωματικῶς τιμωρεῖσθαι καὶ ἐξορίζεσθαι· πολλῷ δὲ πλέον κολασθήσεται ὁ ἐπαγγειλάμενος μοναδικὴν διαγωγὴν, καὶ D εἰς μοναστήριον ἀπελθὼν, καὶ μοναχικὴν ἐσθῆτα περιβαλλόμενος, ἐὰν ὕστερον ἀνερυθριάστως εἰς λαϊκοὺς μετασχηματισθῇ. ἄλλοι δὲ εἶπον, ὡς οἱ ῥασοφορήσαντες μετὰ τρισαγίου οὐ παραχωρηθήσονται μετασχηματισθῆναι εἰς λαϊκούς· οἱ δὲ χωρὶς τούτου μετασχηματισθέντες, ἀδιαστίκτως ἐντὸς τῆς τριετίας, τῶν μὲν μοναχικῶν ἀμφίων σχολὴν καταψηφίσονται, ἐνδυθήσονται δὲ λαϊκά. ὅτι καὶ γυναῖκες πενθοῦσαι τοὺς ἀποβεβιωκότας ἄνδρας αὐτῶν μελανειμονοῦσιν ἐπὶ καιρὸν, καὶ ἀκινδύνως αὖθις τὰ κοσμικὰ περιτίθενται. καὶ αὐτοὶ μὲν ταῦτα. τοῖς πλείοσι δὲ καὶ εὐλαβεστέροις οὐ δοκεῖ τὸ ἔχειν ἐπ' ἀδείας τὸν εἰσελθόντα εἰς μοναστήριον, καὶ, ὡς ἂν ἔχῃ τὸ πρᾶγμα, μελανειμονήσαντα καὶ κατὰ μοναχοὺς E διατρίβοντα, μετασχηματισθῆναι εἰς λαϊκούς. ἐξῆν γάρ, φασιν, αὐτῷ μετὰ λαϊκῶν ἐσθήτων δοκιμασθῆναι κατὰ τὸν τῆς τριετίας καιρόν· ἐπεὶ δὲ μοναχικὰ ἐνεδύσατο, ἀναγκασθήσεται περατῶσαι τὴν οἰκείαν πρόθεσιν· εἰ δὲ πρὸς τοῦτο ἀποδυσπετήσει, τιμωρηθήσεται, καθὼς ὁ νόμος φησὶν ἐν τῷ α΄. τίτλῳ τοῦ δ΄. βιβλίου. ἐπεὶ δὲ ἤκουσά τινων μεμφομένων τοὺς καθηγουμένους, τοὺς μὴ μετὰ δοκιμασίαν ἀποκείροντας τοὺς προσερχομένους αὐτοῖς, καὶ κατὰ τοῦτο παραβαίνοντας ὡσανεὶ τὸν παρόντα κανόνα, νομίζω, ὅτι τὸ γ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ δ΄. βιβλίου, ὅπερ ἐστὶ δ΄. κεφάλ. τῆς ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, λύει καὶ τὸ τοιοῦτον ἀμφίβολον. φησὶ γάρ, εἴ τις δὲ εἰς μο- F ναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν, ἵνα, εἰ μὲν γνώριμός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου, ὅτε συνίδῃ, τὸ σχῆμα αὐτῷ παράσχῃ· εἰ δὲ μὴ γνωρίζεται, εἰ οἱᾳδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν αὐτὸν τὸ μοναχικὸν σχῆμα, ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου ἀποπειράσθω τῆς τούτου ἀναστροφῆς ὁ τοῦ μοναστηρίου ἡγούμενος· καὶ τὰ ἑξῆς. ὥστε καλῶς ὁ καθηγούμενος ἀποκείρῃ, ὅτε συνίδῃ, τὸν προσελθόντα αὐτῷ, καὶ ἡ δοκιμασία γίνεται εἰς μόνους τοὺς ἀμφιβόλους, δούλους τυχὸν, καὶ λοιποὺς τοὺς ἐν τῷ αὐτῷ κεφαλαίῳ περιεχομένους.

ΖΩΝΑΡ. A Ὁ παρὼν κανὼν οὐδένα βούλεται ἀποκείρεσθαι, πρὶν ἢ δόκιμον ἑαυτὸν δώσει. τινὲς γάρ, φησι, προπετῶς εἰς τὸν μοναχικὸν βίον ἑαυτοὺς ἐπιρρίπτοντες, ἀντὶ τοῦ οὐ μετὰ κρίσεως, ἀλλ' ἀπροσέκτως εἰσωθοῦντες. ὥσπερ γὰρ τὸ ῥιπτόμενον οὐκ εὐκόσμως, ἀλλ', ὡς ἔτυχε, κεῖται· οὕτω κἀκεῖνοι ὡς ἐρριμμένοι εἰσί, καὶ οὐ κατὰ κόσμον καὶ τάξιν διάγουσιν. ἀπαγορεύοντες γὰρ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον τῆς ἀσκήσεως πάλιν ἐπὶ τὸν φιλόσαρκον καὶ φιλήδονον βίον ἐπαναστρέφουσι. διὸ ἵνα μὴ ταῦτα γίνωνται, ὥρισεν ἡ σύνοδος ἐπὶ τριετίαν δοκιμάζεσθαι τοὺς προσερχομένους ἐπὶ τῷ μονάσαι. καὶ ὅταν διὰ τοῦ B τοσούτου χρόνου δῶσι πεῖραν ἑαυτῶν, καὶ δόκιμοι φανῶσι καὶ ἄξιοι τοῦ μοναχικοῦ βίου, τότε τοῦ σχήματος αὐτοὺς ἀξιοῦσθαι, εἰ μήπου τις ἐν τῷ μέσῳ συμβαίη βαρεῖα νόσος, καὶ θάνατον ἀπειλοῦσα· τότε γὰρ ὁ τῆς δοκιμασίας καιρὸς συσταλήσεται. εἰ δέ τις ἀνὴρ προσέλθῃ εὐλαβής, καὶ ἐν τῷ κόσμῳ κατὰ μοναχοὺς ζῶν, καὶ δῆλος ἐκεῖνος ᾖ, καὶ τὸ θεοφιλὲς τῆς αὐτοῦ βιοτῆς τηνικαῦτα εἰς ἀπόπειραν αὐτοῦ καὶ δοκιμασίαν ἡ Σύνοδος ἀρκοῦντα ἐδοκίμασε τὸν ἑξαμηνιαῖον χρόνον. ἀλλ' ἔνιοι τῶν ἡγουμένων νυνὶ τὰ οἰκεῖα θελήματα πρὸ τῶν κανόνων τιθέασι, καὶ τοὺς μὲν ἄρτι ἐπιδημήσαντας αὐτίκα κείρουσι, τοὺς δὲ μετὰ C βραχείας ἡμέρας, καὶ ταῦτα ἀνθρώπους οὐδ' ὅτι ἐστὶ τὸ μοναχικὸν εἰδότας ἐπάγγελμα· καὶ οὐδὲ τὸ ἐπιτίμιον τοῦ κανόνος ἀναστέλλει αὐτοὺς τῆς ἀλόγου ὁρμῆς αὐτῶν, ὅπερ ἐστὶ τῆς ἡγουμενείας ἔκπτωσις, καὶ εἰς ὑποταγὴν αὖθις ἀναστροφὴ διὰ παιδείαν τῆς ἀταξίας. τὸν δὲ ἀκρίτως μονάσαντα καὶ παρὰ τὸν τεταγμένον καιρόν, ὁ κανὼν εἰς ἑτέραν κελεύει μονὴν παραδίδοσθαι μοναχικὴν τηροῦσαν ἀκρίβειαν.

Zonar. Neminem hic Can. niſi prius experimento probatum, tonderi ſinit. Quidam enim, inquit, ſeſe temerario impetu in monaſticā vitam projicientes, hoc eſt, non judicio adhibito, ſed inconſulte prorſus in id vitæ genus immittentes. Ut enim res projecta non compoſitè jacet, ſed ut accidit: ſic & illi tanquam projecti quidam homines ſunt, vitamq; nulla honeſtatis aut ordinis habita ratione traducunt. Deficientes namq; animo, & monaſticæ diſciplinæ aſperitati ac laboribus ſuccumbentes, ad vitam mollem rurſus voluptariámq; revertuntur. Quamobrem hæc in poſterum ne fiant, triennii ſpatio Synodus eos, qui ad monaſticam vitam acceſſerint, probandos eſſe decernit. Ac ſi quidem tam longi temporis experimento probati appareant, ſeque dignos, qui ad illud vitæ genus admittantur, oſtendant, tum demum habitum illis monaſticum (niſi gravis ægritudo, ex qua vitæ quoq; periculum impendeat, medio illo tempore ſupervenerit, tunc enim contrahi probationis ſpatium licebit) concedi placet. Quòd ſi tamen vir aliquis religione ornatus, quique inter ſeculi turbas Monachorum more vitam agat, qui & ipſe cognitus, & pietate ſit egregi perſpecta, Monachorum inſtitutum amplecti velit, ad ejus experimentum ac probationem ſatis longum ſex menſium intervallum Synodus eſſe declaravit. Sed nunc quidem Præfectorum aliqui voluntatum ſuarum ſtudia auctoritati Canonum anteponunt; ac alios quidem illico advenientes, alios paucis interjectis diebus, & vero totius monaſticæ profeſſionis ignaros detondent: nec eos ſaltem pœnæ à Canone inflictæ metus ab impetu temerario deterret; quæ quidem eſt hæc, ut præfectus præfecturâ excidat, rurſuſque ad caſtigandam petulantiam obedientiæ addicatur. Qui vero Monachorum ordini, nullo delectu habito, nec expectato temporum intervallo, adſcriptus eſt, in aliud monaſterium, in quo diſciplinæ diligens obſervatio vigeat, Canon tranſmittendum eſſe decernit.

ΑΡΙΣΤ. Μηδεὶς ἀξιούσθω τοῦ μοναχικοῦ σχήματος, εἰ μὴ ἐπὶ D τριετίαν δοκιμασθείς, ἄξιος ἀναφανείη, πλὴν εἰ μὴ βαρεῖα νόσος τὸν χρόνον συστείλει· καὶ εἰς ἄνδρα δὲ εὐλαβῆ, καὶ κατὰ μοναχοὺς ζῶντα, ἀρκέσει ὁ ἑξαμηνιαῖος χρόνος. εἰ δὲ παρὰ τοῦτο γένηται, ἐκπεσεῖται μὲν τῆς ἡγουμενείας ὁ ἡγούμενος, καὶ εἰς ὑποταγὴν ἔσται· ὁ δὲ μονάσας, εἰς ἀκριβὲς μοναστήριον ἀπενεχθήσεται.

Arist. *Nemo monaſtico habitu dignus habeatur, niſi qui triennio probatus, dignus appareat; niſi gravis forſitan morbus tempus contraxerit: ad hominem verò pium, & Monachorum more ſe gerentem, ſemeſtre ſpatium ſufficiet. Si quid autem præter hæc factum fuerit, Præfectus quidem præfecturâ excidet, & in ſubjectionem detrudetur; Monachus autem in accuratum monaſteriū tranſmittetur.*

ΚΑΝΩΝ ϛ'.

Οἱ μοναχοὶ οὐδὲν ἴδιον ὀφείλουσιν ἔχειν, πάντα δὲ τὰ αὐτῶν προσκληροῦνται τῷ μοναστηρίῳ. φησὶ γὰρ ὁ μακάριος Λουκᾶς περὶ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ τὴν τῶν μοναχῶν πολιτείαν διατυπούντων, ὡς οὐδεὶς E τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. διὸ τοῖς ἐθέλουσι μονάζειν ἄδεια δίδοται περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο προσώποις, μὴ κεκωλυμένοις δηλονότι παρὰ τοῦ νόμου, τὰ αὐτῶν παραπέμπεσθαι. μετὰ γάρ τοι τὸ μονάσαι, τῶν προσόντων αὐτοῖς ἁπάντων τὸ μοναστήριον ἕξει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάσσεσθαι τούτοις παρακεχώρηται. εἰ δέ τις φωραθείη κτῆσίν τινα, ἥτις οὐκ ἀπεκληρώθη τῷ μοναστηρίῳ, ἰδιοποιούμενος, καὶ φιλοκτησίας πάθει δουλεύων, ταύτην μὲν παρὰ τοῦ ἡγουμένου ἢ τοῦ Ἐπισκόπου F ἀναλαμβάνεσθαι, καὶ πολλῶν παρουσίᾳ πιπρασκομένην πτωχοῖς καὶ ἀπόροις διανέμεσθαι. τὸν δέ γε τὴν τοιαύτην κτῆσιν, κατὰ τὸν παλαιὸν Ἀνανίαν, ὑποσυλᾶν μελετήσαντα τῷ προσήκοντι ἐπιτιμίῳ ἡ ἁγία Σύνοδος ὥρισε σωφρονίζεσθαι. δῆλον δέ, ὡς ἅτινα περὶ μοναζόντων ἀνδρῶν ἡ ἁγία σύνοδος ἐκανόνισε, ταῦτα καὶ περὶ μοναζουσῶν γυναικῶν κρατεῖν ἐδικαίωσεν.

Canon VI.

Monachi nihil debent habere proprium: ſed omnia eorum monaſterio adſcribuntur. Dicit enim beatus Lucas de iis qui credunt in Chriſtum, & Monachorum inſtitutionem deſcribunt, quòd nemo quidquam eorum, quæ aderant, proprium eſſe dicebat; ſed erant illis omnia communia. Et ideo iis, qui Monachi eſſe volunt, priùs datur facultas de ſuis rebus teſtandi, ac diſponendi, & quibuſcunque velint perſonis, lege ſcilicet non prohibitis, ſua tranſmittendi. Poſtquam enim Monachi facti fuerint, omnium bonorum dominium monaſterium habebit, & nullam de rebus propriis curam gerere vel diſponere eis permiſſum eſt. Si quis autem deprehenſus fuerit poſſeſſionem aliquam, quæ monaſterio non adſcripta fuerit, ſibi privatim attribuere, & acquirendarum poſſeſſionum cupiditati ſervire; ea quidem ab Epiſcopo ſeu Præfecto recipiatur, & in multorum præſentia vendita pauperibus & mendicis diſtribuatur. Qui talem autem poſſeſſionem, ut olim Ananias, ſurripere meditatus eſt, convenienti eum pœna caſtigandum eſſe ſancta Synodus ſtatuit. Clarum eſt autem, quòd quæ de viris Monachis ſancta Synodus canonicè conſtituit, ea in Monialibus quoque valere & obſervari æquum cenſuit.

ΒΑΛΣ. Καὶ ἕτεροι κανόνες διορίζονται ἀκτήμονας εἶναι τοὺς μοναχούς. φησὶ γοῦν καὶ ὁ παρών, ὡς ὁ μακάριος ἀπόστολος Λουκᾶς,

Bals. Alii quoque Canones definiunt, Monachos nullas debere poſſeſſiones habere. Dicit ergo præſens

ſens quoque Canon, quòd beatus Apoſtolus Lucas, Monachorum vitæ inſtitutionem delineans, in Actibus Apoſtolorum ſcripſit, eos, qui in Chriſtum crediderant, nihil proprium habuiſſe; ſed erant eis omnia communia. Quamobrem Monachi quoque ſic facere debent & quæ ipſi habent monaſterio offerre, ut ſint communia. Ne hoc autem ſit impedimento iis qui volunt eſſe Monachi (eſt enim veriſimile eſſe aliquos locupletes & multa poſſidentes, & qui hoc ſint animo, ut ſua velint ad ſuos pervenire) ſtatuerunt patres, eſſe in ejus poteſtate, qui Monachus eſſe vult ante tonſuram legitimè teſtari & de ſuis diſponere; eo quòd ad mortificantem vitæ rationem ſe conferat: & ſua ad quas velit partes tranſmittere, cognatas ſcilicet vel alienas; quæ tamen poſſint ex teſtamento legata vel hæreditatem capere. Sunt enim aliqui, qui non poſſunt ex teſtamento capere, hæretici ſcilicet & quidam alii. Si autem ante tonſuram hoc non fecerit; ſed tonſus fuerit: diſponendi quidem facultas illi ablata eſt; res autem ejus ad monaſterium pertinent. Si quis autem, contrà ac Canone continetur, poſtquam Monachus factus fuerit, aliquid ex iis rebus ſibi privatim tribuere conatus fuerit: hoc quidem Præfectus vel Epiſcopus recipiat, & vendat in multorum hominum præſentia, ut ſit ab omni calumnia & reprehenſione remotus & pretium pauperibus dividat. Monachus autem, qui ad Deum pertinentia ſurripuerit, more illius Ananiæ, pœna caſtigabitur. Hæc cùm decernat Canon, dixerunt quidam his repugnare vii. cap. i. tit. iv. lib. Baſilic. quod eſt lviii. cap. cxxiii. Juſtiniani novellæ, & ſic dicit; Si autem vir vel mulier vitam monaſticam elegerit, & monaſterium non exiſtentibus liberis ingreſſus ſit, ad monaſterium, quod ingreſſus eſt, res ejus pertinere jubemus: Sin autem ea perſona liberos habeat, & priuſquam monaſterium ingreſſa ſit de rebus ſuis non diſpoſuerit, nec ſuis liberis partem legitimam ſeparaverit; ſic quoque ei liceat, etiam poſtquam monaſterium ingreſſa fuerit, ſuas facultates in liberos ſuos dividere; ita tamen, ut nulli ſuorum liberorum partem legitimam diminuat. Pars autem, quæ ſuis liberis non data fuerit, ad monaſterium pertineat. Si autem omnes facultates inter liberos dividere voluerit, propria ejus perſona liberis connumerata, unam ſibi partem omnibus modis retineat, quæ debet ad jus monaſterii pertinere. Sin autem in monaſterio degens moriatur priuſquam inter ſuos liberos res proprias diviſerit, filii partem legitimam accipiant: reliqua autem bona ad monaſterium pertineant. Mihi autem non videntur hæc iis eſſe contraria, quæ in Canone definita fuerunt. Canon enim eorum tantùm meminit, qui non ſunt neceſſariò ſcripti hæredes, ſcilicet cognatorum qui ſunt à latere & externorum. Novella autem, ea dicens quæ à Canone accepit, quòd ſcilicet ſit in poteſtate ejus, qui vult fieri Monachus, ante tonſuram teſtari, & ſua ad quos velit tranſmittere; poſt tonſuram autem, non licere ei tale quid facere, eo quòd ſit mortuo ſimilis; mortuum autem nec res habere, nec de iis poſſe aliquid dicere; ſed fieri res ejus dominii monaſterii: adjecit hæc ſervari debere, quando, qui factus eſt Monachus, liberos non habeat. Sin autem habeat, & teſtamentum faciet, ut novella diſtinguit: & rurſus, ſi non fecerit, erunt hæredes ejus liberi, & reliqua fient, quæ hæc novella complectitur. Sic ergo ſoluta repugnantia, interrogaverit quiſpiam, quid debet fieri de rebus ejus qui tonſus eſt, ſi non habeat liberos, ſed parentes? Solutio. Idem jus liberi habebunt ac parentes inter ſeſe, quoad hæreditatis rationem. Si quid igitur poſt detonſionem in liberos fieri ſcriptum eſt, idem & in parentes fiet. Si autem & liberos habeat & parentes, quid fieri debet? Solutio. Cxviii. Juſtiniani novella, quæ ſita eſt in fine iii. tituli xlv. lib. ſtatuit liberos primùm neceſſario ſcribi debere hæredes: ſi autem non ſunt liberi, parentes. Nullum autem alium

A ὑποτυπῶν τὴν τῶν μοναχῶν πολιτείαν, ἔγραψεν ἐν ταῖς πράξεσι, μὴ ἔχειν τοὺς πιστεύοντας εἰς Χριστὸν ἴδιόν τι· ἀλλ' ἦσαν αὐτοῖς πάντα κοινά. διὸ καὶ οἱ μοναχοὶ ὀφείλουσιν οὕτω ποιεῖν, καὶ προσάγειν τῇ μονῇ τὰ προσόντα αὐτοῖς, ἐφ' ᾧ εἶναι κοινά. ἵνα μὴ γένηται τοῦτο εἰς ἐμποδισμὸν τοῖς θέλουσι μονάσαι (εἰκὸς γάρ ἐστιν εἶναι τινὰς πολυκτήμονας ἐν τῷ βίῳ, καὶ ἔχοντας θέλημα πρός τινας περιελθεῖν τὰ οἰκεῖα) ὥρισαν οἱ πατέρες ἔχειν ἐπ' ἀδείας τὸν μονάσαι ὀφείλοντα διατίθεσθαι νομίμως πρὸ τῆς ἀποκάρσεως, διὰ τὸ πρὸς τὴν νεκροποιὸν διαγωγὴν ὁδεύειν· καὶ παραπέμπειν τὰ ἀνήκοντα αὐτῷ πρὸς τὰ αὐτῷ βουλητέα μέρη, συγγενικὰ δηλονότι καὶ ἀλλότρια, B δυνάμενα λαμβάνειν ἀπὸ διαθήκης ληγάτα ἢ κληρονομίας. εἰσὶ γάρ τινες μὴ δυνάμενοι ἀπὸ διαθήκης λαμβάνειν τι, αἱρετικοὶ δηλαδὴ καὶ ἕτεροί τινες. εἰ δὲ πρὸ τῆς ἀποκάρσεως οὐ ποιήσει τοῦτο, ἀλλ' ἀποκαρῇ· ἡ μὲν τοῦ διατίθεσθαι ἐξουσία ἀφῄρηται ἐξ αὐτοῦ, τὰ δὲ πράγματα τούτου τῷ μοναστηρίῳ διαφέρουσιν. εἰ δέ τις, παρὰ τὴν τοῦ κανόνος περίληψιν, ἐπιχειρήσει μετὰ τὸ μονάσαι ἐκ τῶν πραγμάτων τούτων τινὰ ἰδιώσασθαι, ταῦτα μὲν ὁ Ἐπίσκοπος ἢ ὁ ἡγούμενος ἵνα ἀναλάβηται καὶ πωλήσῃ κατὰ παρουσίαν πολλῶν ἀνθρώπων διὰ τὸ ἀδιάβλητον, καὶ διανείμῃ πτωχοῖς τὸ τίμημα. ὁ δὲ μοναχὸς, ὁ ἀποσυλήσας τὰ τῷ Θεῷ ἀνήκοντα, κατὰ τὸν Ἀνανίαν ἐκεῖνον, δι' ἐπιτιμίου C σωφρονισθήσεται. ταῦτα τοῦ κανόνος διοριζομένου, εἶπόν τινες ἐναντιοῦσθαι τούτοις τὸ ζ'. κεφάλ. τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν Βασιλικῶν, κεφάλαιον ὂν νη'. τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ οὕτω λέγον· εἰ δὲ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξεται βίον, καὶ εἰσέλθῃ εἰς τὸ μοναστήριον, παίδων οὐχ ὑπόντων, τῷ μοναστηρίῳ ἐν ᾧ εἰσῆλθε τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν· εἰ δὲ τὸ τοιοῦτον πρόσωπον παῖδας ἔχει, καὶ πρὶν εἰσέλθῃ εἰς τὸ μοναστήριον περὶ τῶν οἰκείων πραγμάτων μὴ ποιήσει διατύπωσιν, καὶ τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσει, καὶ οὕτως ἐξέστω αὐτῷ, καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μοναστήριον, τὴν ἰδίαν οὐσίαν εἰς τοὺς οἰκείους διελεῖν παῖδας· οὕτω μέντοι D γε, ὥστε μηδὲ ἐπὶ ἑνὶ τῶν ἑαυτοῦ παίδων ἐλαττῶσαι τὸ νόμιμον μέρος. τὸ δὲ μὴ δεδομένον τοῖς παισὶ μέρος τῷ μοναστηρίῳ διαφερέτω. εἰ δὲ πᾶσαν τὴν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη, τοῦ οἰκείου αὐτοῦ προσώπου τοῖς παισὶ συναριθμουμένου, ἐν ἑαυτῷ μέρος πᾶσι τρόποις παρακρατείτω, ὀφεῖλον τῷ δικαίῳ τοῦ μοναστηρίου διαφέρειν. εἰ δὲ ἐν τῷ μοναστηρίῳ διάγων τελευτήσει πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴδια διανείμῃ πράγματα, τὸ νόμιμον μέρος οἱ παῖδες λήψονται· τὸ δὲ λοιπὸν τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω. ἐμοὶ δὲ οὐ δοκεῖ ἐναντιοῦσθαι ταῦτα τοῖς ἐν τῷ κανόνι διορισθεῖσιν. ὁ μὲν γὰρ κανὼν μόνων ἐμνήσθη τῶν μὴ ἐξ ἀνάγκης γραφομένων κληρονόμων, E δηλονότι τῶν ἐκ πλαγίου συγγενῶν καὶ ἀλλοτρίων. ἡ δὲ νεαρὰ εἰποῦσα καὶ τὰ περὶ τοῦ κανόνος, δηλονότι τὸ ἔχειν ἐπ' ἀδείας τὸν μέλλοντα μονάσαι, πρὸ τῆς ἀποκάρσεως διατίθεσθαι, καὶ παραπέμπειν τὰ οἰκεῖα ἔνθα βούλεται· μετὰ δὲ τὴν ἀπόκαρσιν μὴ ἐξεῖναι αὐτῷ τοιοῦτόν τι ποιεῖν, διὰ τὸ ἐοικέναι νεκρῷ· τὸν δὲ νεκρὸν μήτε πρᾶγμα ἔχειν, μήτε δύνασθαι λέγειν τι περὶ τούτου· ἀλλὰ γίνεσθαι τὰ πράγματα τούτου τῆς δεσποτείας τοῦ μοναστηρίου· προσέθετο ταῦτα φυλάττεσθαι, ὅταν οὐκ ἔχει ὁ μονάσας παῖδας. εἰ γὰρ ἔχει, διαθήκην τε ποιήσει, ὡς ἡ νεαρὰ διαστίζει· καὶ μὴ ποιήσας, πάλιν ὑπὸ τῶν οἰκείων παίδων κληρονομηθήσεται, καὶ τὰ λοιπὰ γενήσεται F τὰ τῇ καταστρωθείσῃ νεαρᾷ περιεχόμενα. οὕτω γοῦν τῆς ἐναντιοφανείας λυομένης, ἐρωτήσει τις τί ὀφείλει γίνεσθαι ἐπὶ τοῖς πράγμασι τοῦ ἀποκαρέντος, ἐὰν παῖδας οὐκ ἔχῃ, ἀλλὰ γονεῖς; Λύσις. τὸ αὐτὸ δίκαιον ἔχουσιν οἱ παῖδες καὶ οἱ γονεῖς ἐπ' ἀλλήλοις, ὅσον εἰς τὸν λόγον τῆς κληρονομίας. εἴ τι γοῦν γέγραπται γενέσθαι μετὰ τὴν ἀπόκαρσιν εἰς τοὺς παῖδας, γενήσεται καὶ εἰς τοὺς γονεῖς. εἰ δὲ καὶ παῖδας ἔχει καὶ γονεῖς, τί ὀφείλει γενέσθαι; Λύσις. ἡ ριη'. Ἰουστινιάνειος νεαρὰ ἡ κειμένη ἐν τῷ τέλει τοῦ γ'. τίτλου τοῦ με'. βιβλίου πρῶτον τοὺς παῖδας διορίζεται γράφεσθαι ἐξ ἀνάγκης κληρονόμους· παίδων δὲ μὴ ὑπόντων, τοὺς γονεῖς. ἕτερον δὲ οὐδένα ἀναγκαζόμεθα καὶ ἄκοντας γράφειν κληρονόμον. εἰ δὲ ἀδιάθετος τελευτήσει τις, ἔχων γονεῖς καὶ ἀδελφοὺς, ἐπίσης παρὰ τούτων κληρονομηθήσεται. καὶ ἀνάγνωσον τὴν ῥηθεῖσαν νεαρὰν, ἀναγκαίαν οὖσαν. καὶ ταῦτα μὲν γενήσεται ἐπὶ τοῖς πρὸ τῆς ἀποκάρσεως προσοῦσι τῷ μέλλοντι μονάσαι πράγμασιν. εἰς δὲ τὰ μετὰ τὴν ἀπόκαρσιν περιελθόντα εἰς αὐτὸν ἀπὸ διαθήκης ἢ καὶ ἐξ ἀδιαθέτου τελευτησάντων προσηκόντων αὐτοῦ, ἢ ἑτέρωθέν ποθεν, τί γενήσεται; Λύσις. ἀνάγνωθι τὴν ε΄. νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Λέοντος τοῦ Σοφοῦ, διαλαμβάνουσαν ἐν ἐπιτόμῳ καὶ τὰ ῥηθέντα μὲν ἄνωθεν, ἐν τῷ τέλει δὲ, καὶ περὶ τοῦ μὴ καθόλου ἀπείργεσθαι τοὺς μοναχοὺς ἐκ τοῦ δικαίου τῆς διαθήκης, εὐπορήσαντας ἴσως μετὰ τὸ μονάσαι πραγμάτων. ἀλλ' εἰ μὲν ὤφθησάν τι προκαταβαλόντες τῷ μοναστηρίῳ, κατὰ τὸν καιρὸν ὅτε τούτῳ προσήρχοντο, εἶναι αὐτοὺς περὶ τῶν ὕστερον ἐπικτηθέντων κυρίους, ὥστε διοικεῖν αὐτὰ καθὼς αἱροῦνται. εἰ δ' οὐδὲν προκατεβάλλοντο πρὸς τὴν μονὴν, αὐτοὺς μὲν περὶ τοῦ διμοίρου ἔχειν ἄδειαν ὁρίζειν καὶ διατίθεσθαι κατὰ νόμους. τὸ μοναστήριον δὲ τὸ ἄλλο μέρος ἤτοι τὸ τρίτον ἀναλαμβάνεσθαι. τί δὲ, εἰ μὴ θελήσει ὁ μοναχὸς περὶ τῶν ἐπικτηθέντων μετὰ τὴν ἀπόκαρσιν ὁρίσαι τι, ἀνθέξεται πάντων τῶν πραγμάτων ἡ μονὴ, ἢ μᾶλλον οἱ καλούμενοι ἐξ ἀδιαθέτου τὰ τοιαῦτα πράγματα ἀναλάβωνται, καὶ μᾶλλον εἴπερ ὁ τελευτήσας προσήνεγκέ τι τῷ μοναστηρίῳ; Λύσις. ἡ μὲν νεαρὰ τοῦ φιλοσόφου οὐδέν τι περὶ τούτου ἐθέσπισεν· ἐμοὶ δὲ δοκεῖ, ὡς ἐκεῖνα τηνικαῦτα γενήσεται, ὅσα ἡ ἄνωθεν κατεστρωθεῖσα νεαρὰ διορίζεται γενέσθαι, εἰς τὰ πρὸ τῆς ἀποκάρσεως προσόντα πράγματα τῷ μοναχῷ, ὁπηνίκα οὗτος τελευτήσει ἀδιάθετος. λόγος δὲ γέγονε ποτὲ εἰς τὸ δικαστήριον περὶ τῶν ἀσωμάτων δικαίων τοῦ μοναχοῦ, τῶν μὴ φθασάντων πρὸ τῆς ἀποκάρσεως οἰκονομηθῆναι παρὰ τούτου. μοναχοῦ γάρ τινος ἑλκύσαντος εἰς δικαστήριον περὶ δανείου τινὰ, συνεζητήθη εἰ δύναται μοναχὸς ἐνάγειν, καὶ ἔδοξεν ἀπαράδεκτος εἰς τοῦτο. ἐλθούσης δὲ τῆς μονῆς εἰς τὸ δικαστήριον, καὶ προβαλλομένης τὰ δίκαια τοῦ μοναχοῦ ὡς ἐκ τοῦ κανόνος περιελθόντα εἰς αὐτὴν, διὰ τὸ μὴ διοικηθῆναι πρὸ τῆς ἀποκάρσεως, εἶπον οἱ περὶ τοὺς ἐναγομένους, ὅτι οὔτε ἡ μονὴ οὔτε ὁ μοναχὸς ἐνάγειν δύναται. ὁ μὲν γὰρ, ὡς ἤδη τελευτήσας καὶ πράγματα μὴ ἔχων, ἀπαράδεκτός ἐστιν εἰς τὸ δικάζεσθαι. ἡ δὲ, ὡς μὴ ἐκχωρηθεῖσα τὸ ἀσώματον δίκαιον τῆς ἀγωγῆς, ἀμετόχως ἐνάγει. ἐμέμνηντο δὲ καὶ νόμου λέγοντος, τὸ ἀσώματον δίκαιον, εἰ μὴ ἐκχωρηθῇ, οὐ μεταβαίνει πρὸς ἕτερον· καὶ ἤθελον μὴ ἕλκεσθαι τὸν ἐναγόμενον διὰ τὸ τοιουτοτρόπως σβεσθῆναι τάχα τὴν ἀγωγήν. ἀλλ' οὐκ ἤρεσαν, ταῦτα λέγοντες. διεγνώσθη γὰρ, ὡς ἐπεὶ οὐ κατὰ προαίρεσιν τοῦ ἔχοντος τὸ ἀσώματον δίκαιον μοναχοῦ μεταβαίνουσι τὰ πράγματα τούτου εἰς τὴν μονὴν, ἀλλ' ἀπὸ τῆς αὐθεντίας τοῦ νόμου, ἐνδυνάμως καὶ χωρὶς ἐκχωρήσεως οἰκειώσεται αὐτῇ τὴν ἀγωγήν. ἔτι εἶπόν τινες, ὡς ταῦτα πάντα ἔχουσι τὸ ἐνεργὸν εἰς τοὺς κοινοβιώτας μοναχοὺς, οὐ μὴν καὶ εἰς τοὺς κελλιώτας· ἤκουσαν δὲ μὴ καλῶς λέγειν, ὅτι οὐδέ ἐστι διαφορὰ μοναστηρίων καὶ μοναχῶν ἀπὸ νόμων ἢ κανόνων.

ΖΩΝΑΡ. Οἱ τῇ μοναχικῇ ζωῇ συνταττόμενοι, ὡς θνήσκοντες τῷ βίῳ λογίζονται. ὥσπερ οὖν οἱ θανόντες οὐδὲν ἔχουσιν, οὕτω καὶ τοὺς μονάζοντας ὁ κανὼν ἀπαιτεῖ μηδὲν κεκτῆσθαι, καὶ ἐκ τῶν πράξεων μαρτυρίαν παράγει, ἐν αἷς ὁ θεῖος Λουκᾶς ἱστορεῖ, ὅτι τῶν πιστευόντων οὐδεὶς ἔλεγεν ἴδιόν τι ἔχειν τῶν ὑπαρχόντων αὐτῷ, ἀλλ' ἦν ἅπαντα κοινά. διὸ τοῖς ἀποδυομένοις εἰς μοναχικὴν διαγωγὴν ἐνδίδωσιν ὁ κανὼν, πρὸ τοῦ μονάσαι διατίθεσθαι περὶ τῶν προσόντων αὐτοῖς, καὶ οἰκονομεῖν τὰ οἰκεῖα ὡς βούλονται, ἵνα μέντοι μὴ κεκωλυμένοις προσώποις αὐτὰ καταλείψωσιν, οἷον αἱρετικοῖς ἢ νόθοις παισὶ πλέον

A hæredem ſcribere etiam inviti cogimur. Si quis autem inteſtatus moriatur habens parentes & fratres, ii hæredes ex æquis partibus erunt. Et lege hanc novellam, quæ eſt neceſſaria. Et hæc quidem fient in rebus, quas is habet ante tonſuram qui futurus eſt Monachus. De iis autem, quæ poſt tonſuram, vel ex teſtamento vel ab inteſtato, mortuis ejus cognatis, vel aliqua alia ratione, ad eum pervenerint, quid fiet? Solutio. Lege quintam novellam celeberrimi Imperatoris domini Leonis Sapientis, quæ compendio tractat ea quæ ſuperiùs dicta ſunt, & in fine cavet, ne à jure teſtamenti omnino arceantur Monachi; qui fortè, poſt- B quam Monachi facti ſunt, divites evaſerunt. Sed ſi aliquid quidem monaſterio priùs dediſſe viſi ſunt, eo tempore, quo ad ipſum acceſſerunt; eſſe eos eorum, quæ poſtea acquiſita fuerint, dominos, ut ea adminiſtrent ut volunt. Sin autem monaſterio nihil dederunt; ipſos quidem de duabus poſſe partibus diſponere & teſtari ſecundùm leges: Monaſterium autem aliam partem, ſcilicet tertiam, recipere. Quid autem, ſi noluerit Monachus de iis, quæ poſt tonſuram acquiſita ſunt diſponere, vendicabitne & apprehendet omnia monaſterium, an ii potiùs, qui ab inteſtato vocantur, res eas recipient, & maximè ſi C defunctus aliquid ad monaſterium attulit? Solutio. Philoſophi quidem novella nihil de iis conſtituit: mihi autem videtur, quòd tunc illa fient, quæ ſuperiùs ſita novella fieri conſtituit, in rebus quas habet Monachus ante tonſuram, quando is inteſtatus deceſſerit. Exorta eſt autem aliquando controverſia in judicio circa Monachi jura incorporalia, quæ ab eo ante tonſuram non fuêre diſpenſata. Cùm enim Monachus quidam pro mutuo aliquem in jus traxiſſet, quæſitum eſt an poſſit Monachus actionem intendere, & viſus eſt non eſſe ad hoc admittendus. Cùm autem monaſterium ad judicium veniſſet, & propo- D neret jura Monachi tanquam ex Canone ad ſe pertinere, quòd ante tonſuram de iis non diſpoſuerit: dixerunt reorum defenſores, quòd neque monaſterium neque Monachi poſſunt actionem intendere. Monachus enim qui jam ut mortuus ne res quidem habet, ad litem movendam admitti non debet. Monaſterium verò, ut cui jus actionis incorporale conceſſum non eſt, actionem intendit, cujus non eſt particeps. Meminerunt autem & legis, quæ dicit; jus incorporale ſi ab illo non ceditur, non tranſit ad alterum: & volebant reum in jus non eſſe trahendum, quòd eo modo ſtatim extincta ſit actio. Hæc tamen dicentes non E placuerunt. Statutum enim eſt, quòd quoniam non ex propoſito Monachi, qui habet jus incorporale, bona ejus ad monaſterium tranſeunt, ſed à legis auctoritate, ritè etiam ſine ceſſione ipſum ſibi actionem attribuet. Præterea dicebant nonnulli, quòd hæc quidem omnia vim obtinent in Cœnobitis; non autem in cellulanis Monachis: audiverunt autem ſe non rectè dicere, quoniam nulla eſt differentia monaſteriorum & Monachorum ex legibus aut Canonibus.

ZONAR. Qui monaſticum inſtitutum amplexi ſunt, F mortuorum inſtar in vitæ muneribus obtinent. Ut igitur eorum qui vita functi ſunt, nulla res cujuſquam propria eſt; ita ne Monachis quoque aliquid ut ſuum poſſidere liceat, hic Canon decernit; teſtimoniumq; ex Actis Apoſtolorum adducit, in quibus Divus Lucas, neminem fidelium ex iis, quæ habebat, aliquid tanquam proprium poſſediſſe, ſed omnia omnibus communia fuiſſe, commemorat. Quamobrem, qui de monaſtica vita ſuſcipienda deliberant, eis Canon, antequam monaſteria ingrediantur, teſtamenti factionem, deque rebus ſuis quod collibitum fuerit conſtituendi facultatem, permittit; modo tamen ea vetitis perſonis, ut, exempli cauſa, hæreticis aut ſpuriis, plus duodecima parte, cum liberi ex legitima uxore ſuperſtites fuerint, non relinquant. Quòd ſi Monachorum ordini ante conditum teſtamentum adſcripti fuerint, ad monaſterium facultatem omnium, quæ cujuſque antea fuerant, poſſeſſio pertinebit, nec ipſis amplius de rebus ſuis quidpiam ſtatuendi poteſtas erit. Quæ quidem ita fiunt, ſi nulli ejus, qui Monachus factus eſt neceſſarii hæredes extant, filii nimirum aut parentes, quibus ex legum præſcripto certa quædam hæreditatis portio neceſſariò relinquenda eſt. Novella enim cxxiii. lib. iv. tit. i. Baſilic. ſita inter alia ſtatuit, ut ei qui, priuſquam aliquid de ſuis rebus ſtatueret, monaſterium ingreſſus eſt, ſi filios habeat, etiam quando detonſus fuerit, liberis ſuis poſſeſſiones dividere, ac ſingulis portionem legibus præfinitam ſine ulteriori diviſione aſſignare liceat: quæ vero facta in liberos partitione ſupererunt, monaſterio addici jubet. Si vero filiis omnes poſſeſſiones ſuas relinquere Monachus velit, ipſum quoq; Novella cum filiis annumerandum eſſe decernit; ut ſi tres ſint, exempli cauſa, filii, illis ejus quoque, qui Monachus eſt, perſona adjungi debeat, ac ſi centum numiſmatum hæreditas fuerit, non tertiam ex centum illis, ſed quartam ſolummodo partem filii ſinguli capient, ut tantundem, quod monaſterio poſtea cedat, patri quoque relinquatur. At ſi facultatibus nondum in liberos diviſis, qui detonſus fuerat, in monaſterio deceſſerit; tunc filii quidem conſtitutam legibus partem accipient, reliqua vero monaſterio adjungentur. Quod ſi quempiam, ait Can. ubi detonſus fuerit, alicujus rei poſſeſſionem ſibi privatim retinuiſſe compertum ſit, eam monaſterii Præfectus, aut loci Epiſcopus, multis inſpectantibus vendet; ex quo, quanti vendita ea res ſit, omnes intelligant, nec ullam incommodæ ſuſpicionis anſam cuiquam Præfectus aut Epiſcopus præbeat; pretiúmque in egenos partiatur: illum vero poſſeſſionis retentæ, ac furto quodammodo uſurpatæ, reum, apta caſtigatione ad ſanitatem reduci placet. Eadem porro inquit, à monialibus quoque, quæcunq; de Monachis hoc Can. ſunt decreta, ſerventur.

τοῦ δωδεκάτου μέρους τῆς περιουσίας αὐτῶν, ὅταν καὶ γνησίους ἔχωσι παῖδας. εἰ δὲ μονάσωσι πρὸ τοῦ διαθέσθαι, ἡ μονὴ τῶν ἐκείνου πάντων κυρία ἔσται, καὶ οὐκέτι αὐτοῖς ἐκκεχώρηται οἰκονομεῖν περὶ τῶν οἰκείων. ταῦτα δὲ οὕτω γίνονται, ὅταν μὴ ἀναγκαίους τὸ μονάσαν πρόσωπον ἔχῃ κληρονόμους, ἤτοι παῖδας, ἢ γονεῖς, οἷς ἐξ ἀνάγκης ἔχει τὸ νόμιμον καταλιμπάνειν μέρος. ἡ γὰρ ἑκατοστὴ εἰκοστὴ τρίτη νεαρὰ κειμένη εἰς βιβλίον τῶν βασιλικῶν τέταρτον, τίτλον πρῶτον, φησὶ πρὸς τοῖς ἄλλοις, ὅτι εἰ παῖδας ἔχει ὁ πρὸ τοῦ οἰκονομῆσαι τὰ κατ' αὐτὸν εἰσελθὼν εἰς τὸ μοναστήριον, ἔξεστιν αὐτῷ μετὰ τὸ καρῆναι τὴν οἰκείαν οὐσίαν εἰς τοὺς παῖδας αὐτοῦ διελεῖν, καὶ ἑκάστῳ προσκληρῶσαι τὸ νόμιμον μέρος ἀκαινοτόμητον, τὸ δὲ περιττεῦον μετὰ τὴν εἰς τοὺς παῖδας διανομὴν προσκυροῦσθαι τῷ μοναστηρίῳ. εἰ δὲ βούλοιτο ὁ μονάσας πᾶσαν τὴν ἰδίαν οὐσίαν καταλιπεῖν τοῖς παισὶ, κελεύει ἡ νεαρὰ συναριθμεῖσθαι κἀκεῖνον τοῖς ἑαυτοῦ παισίν· ὥστε εἰ τρεῖς τυχὸν εἶεν οἱ παῖδες, συναριθμεῖσθαι αὐτοῖς καὶ τὸ μονάσαν πρόσωπον, καὶ εἰ ἑκατὸν νομισμάτων ἦν ἡ περιουσία, μὴ ἀνὰ τρίτον τῶν ἑκατὸν τοὺς παῖδας λαβεῖν, ἀλλὰ τετάρτην ἕκαστον μερίδα, ὥστε καὶ τῷ πατρὶ αὐτῶν ἴσον ἀπονεμηθῆναι μοῖραν, καὶ ταύτην λαβεῖν τὴν μονήν. εἰ δὲ ὁ ἀποκαρεὶς τελευτήσει ἐν τῷ μοναστηρίῳ πρὸ τοῦ διανείμασθαι τοῖς παισὶ τὴν περιουσίαν, τότε οἱ μὲν παῖδες τὸ νόμιμον λήψονται μέρος, τὸ δὲ λοιπὸν ἔσται τῆς μονῆς. εἰ δέ τις εὑρεθείη, φησὶν ὁ κανὼν, κτῆσιν ἔχων τινὰ μετὰ τὸ καρῆναι, τὴν μὲν κτῆσιν ὁ ἡγούμενος τῆς μονῆς ἢ ὁ τῆς χώρας Ἐπίσκοπος λαβὼν, καὶ πωλήσας παρουσίᾳ πολλῶν, ὥστε δῆλον εἶναι πόσου ἐπράθη· ἵνα μὴ ὑποψίαν καθ' ἑαυτοῦ δῷ ὁ ἡγούμενος, ἢ ὁ Ἐπίσκοπος, διανειμάτω πτωχοῖς· τὸν δὲ τὴν κτῆσιν παρακρατήσαντα, καὶ οἷον ὑποσυλήσαντα, ἐπιτιμίῳ τῷ προσήκοντι σωφρονισάτω. τὰ αὐτὰ δὲ, φησι, καὶ περὶ μοναζουσῶν κρατείτω, ὅσα περὶ μοναχῶν κεκανόνισται.

Arist. *Monaſticam vitam amplexuris teſtamentum priùs condere licet: Si autem teſtamentum non fecerint, bona eorum poſſidebit Monaſterium. Sin quicquam ſibi quis reſervaverit, & monaſterium illud non ſortitum fuerit, à Præfecto vel Epiſcopo palam venditum, pauperibus diſtribuetur: & qui ſurripuit, caſtigabitur. Eadem & in Monialibus valebunt.*

ΑΡΙΣΤ. Ἐξὸν ὂν τοῖς μονάσαι βουλομένοις διαθέσθαι πρότερον· εἰ μὴ διάθοιντο, τῶν αὐτοῖς προσόντων κυριεύσει τὸ μοναστήριον. εἰ δέ τι ἰδιοποιήσαιτο, καὶ μὴ ἀποκληρώσεται τὸ μοναστήριον, παρὰ τοῦ ἡγουμένου, ἢ τοῦ Ἐπισκόπου φανερῶς πιπρασκόμενον, πτωχοῖς διανεμηθήσεται· καὶ ὁ νοσφισάμενος, ἐπιτιμηθήσεται· κρατήσει ταῦτα καὶ εἰς μοναζούσας.

CANON VII.

Multos Epiſcopatus ruere, & perpetuo exitio tradi videmus, quòd qui eis præſunt, omnem de eis curam & ſollicitudinem in recentes monaſteriorum extructiones conferunt, & eos divellentes ac diſtrahentes, & ut ad ſe pertineant reditus, molientes, ut ipſa augeantur, laborant. Hoc ergo ſtatuit ſancta Synodus, nulli licere Epiſcopo privatum monaſterium ad proprii Epiſcopatus perniciem de novo extruere. Si quis autem hoc audere deprehenſus fuerit, ipſum quidem convenienti pœnæ ſubjici: quod ab ipſo autem recens extructum eſt, ut quod nec eſt ab initio jus monaſterii ſortitum, ut privatum Epiſcopatui adſcribi. Nihil enim eorum, quæ præter leges & ordinatè conſiſtunt, iis quæ Canonicè conſtituta ſunt, præjudicium afferre poteſt.

ΚΑΝΩΝ ζ.

Πολλὰς τῶν Ἐπισκοπῶν ὁρῶμεν καταπιπτούσας, καὶ ἀφανισμῷ τελείῳ κινδυνευούσας παραδίδοσθαι, ὅτι περ οἱ τούτων προεστηκότες τὴν περὶ αὐτῶν φροντίδα καὶ ἐπιμέλειαν, εἰς νεουργίας μοναστηρίων καταναλίσκουσι, καὶ ταύτας διασπῶντες, καὶ τὸν σφετερισμὸν τῶν εἰσόδων ἐκμηχανώμενοι, τὴν ἐκείνων ἐπαύξησιν πραγματεύονται. ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδενὶ τῶν Ἐπισκόπων ἐξεῖναι μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς οἰκείας ἐπισκοπῆς νεουργεῖν. εἰ δέ τις φωραθείη τοῦτο τολμῶν, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι, τὸ δὲ νεουργηθὲν ὑπ' αὐτοῦ, ὡς μηδὲ τὴν ἀρχὴν μοναστηρίου δίκαιον ἀπειληφὸς, ὡς ἰδιωτικὸν τῷ ἐπισκοπείῳ προσκυροῦσθαι. οὐδὲν γὰρ τῶν παρανόμως καὶ ἀτάκτως ὑφισταμένων τὸ πρόκριμα τῶν κανονικῶς συνισταμένων ἀποφέρεσθαι δύναται..

Bals. Cùm Epiſcopi quidam, ut eſt veriſimile, monaſteria de novo extruerent, & Epiſcopatuum reditus conſumerent, quos debeant, poſt neceſſarias impenſas ad ea comparanda quæ ad Epiſcopatum pertinent reconde-

ΒΑΛΣ. Ἐπισκόπων τινῶν, ὡς ἔοικε, νεουργούντων μοναστήρια καὶ καταναλισκόντων τὰς εἰσόδους τῶν ἐπισκοπῶν, ἅσπερ ὤφειλον, μετὰ τὴν ἀναγκαίαν τούτων δαπάνην εἰς περιποίησιν τῶν τῆς ἐπισκοπῆς ταμιεύεσθαι κατὰ τὸν ἀποστολικὸν κανόνα, κανκἀντεῦθεν τῶν ἐκκλησιῶν αὐτῶν καταπιπτουσῶν, καὶ εἰς τὸ μηδὲν σχεδὸν περιϊσταμένων· ὥρισαν οἱ πατέρες, μὴ νεουργεῖν Ἐπίσκοπον μοναστήριον ἴδιον, διὰ τὸ ἐπὶ καταλύσει τῆς ἐπισκοπῆς τοῦτο καινίζεσθαι. εἰ δὲ παρὰ ταῦτα τις Ἐπίσκοπος ποιήσει, αὐτὸς μὲν ἐπιτιμίῳ καθυποβληθήσεται· τὸ δὲ καινουργηθὲν μοναστήριον ὑπὸ τὴν κυριότητα ἔσεται τῆς ἐπισκοπῆς. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. καλῶς δὲ εἶπε, μὴ ἔχειν ἐπ' ἀδείας τὸν Ἐπίσκοπον ἐκ νέου καινίζειν μοναστήριον ἐπὶ καταλύσει τῆς ἰδίας ἐπισκοπῆς. εἰ γὰρ τὸ προὸν μοναστήριον ἀνακαινίζει τις, φθάσαν μὲν καταπτωθῆναι, καὶ μηδὲ τὰ τῆς ἐπισκοπῆς αὐτοῦ λυμαίνεται, οὐ κωλυθήσεται ποιῆσαι τὰ βουλητέα αὐτῷ, ὥσπερ οὐ κωλυθήσεται, ὡς ἐμοὶ δοκεῖ, καὶ μοναστήριον ἐκ καινῆς ἀνεγεῖραι, εἴπερ τὰ τῆς ἐπισκοπῆς οὐ λυμαίνεται ἀλλ' οἴκοθεν τὴν δαπάνην ποιεῖ. τὸ γὰρ ἀδιαστίκτως οὕτω, καὶ ὅτε μὴ βλάπτεται ἡ ἐπισκοπή, κωλύεσθαι τὸν Ἐπίσκοπον καινουργεῖν μοναστήριον εἰς δοξολογίαν θεοῦ καὶ σωτηρίαν ψυχῶν, οὐκ ἔστιν εὐπαράδεκτον, οὐδὲ τῆς τῶν πατέρων διακρίσεως ἐπάξιον. καὶ αὐτὸς γὰρ ὁ τῆς παρούσης συνόδου πρῶτος, ὁ μακαριώτατος Φώτιος, τὴν τοῦ Μανουὴλ μονὴν ἐκ κρηπίδων αὐτῶν σχεδὸν, εἰς ὃ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος κατέστησε. καὶ ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Ἀλέξιος μετὰ ταῦτα τὴν μονὴν τὴν λεγομένην τοῦ κυροῦ Ἀλεξίου ἀνήγειρεν. καὶ ὁ ἁγιώτατος πατριάρχης κυρὸς Θεοφύλακτος τὴν περιβόητον μονὴν τῶν Ῥουφινιανῶν, καὶ ἄλλοι δὲ πατριάρχαι, μητροπολῖταί τε καὶ Ἐπίσκοποι διάφορα μοναστήρια ἐκαινούργησαν ἔντε τῇ βασιλευούσῃ τῶν πόλεων καὶ ἔξωθεν, καὶ οὐδὲν ἐκ τούτων κατὰ τὴν τοῦ κανόνος περίληψιν εἰς τὰ δίκαια τῶν ἐπισκοπῶν περιῆλθε πάντως, διὰ τὸ μὴ γενέσθαι τὴν τούτων ἀνέγερσιν παρὰ τῶν ἀρχιερέων ἐπὶ καταλύσει τῶν οἰκείων ἐπισκοπῶν. ὥσπερ δέ τινος εἰπόντος, ἵνα τί ἡ παρὰ τοῦ Ἐπισκόπου ἀνεγερθεῖσα μονὴ οὐ συντηρεῖται ὑπὸ τὰ δίκαια τούτου, ἢ κἂν ἐλευθέρα, ἀλλ' ὑπὸ τὴν ἐπισκοπικὴν μεταβαίνει κυριαρχίαν; εἶπον οἱ πατέρες, ὡς ἐπεὶ ἀρχῆθεν καὶ ἐκ κρηπίδων αὐτῶν ὑπεναντίως τοῖς κανόσι συνέστη τὸ τοιοῦτον εὐαγὲς φροντιστήριον, ὀφείλει λογίζεσθαι ὥσπερ εἰ μηδὲ ἐκτίσθη παρὰ τοῦ Ἐπισκόπου· καὶ ἐπεὶ τὰ παρά τινων προσαγόμενα τῷ θεῷ οὐκ εἰσὶ τῆς τοῦ κτίζοντος κυριότητος, ἀλλὰ τῆς τοῦ θεοῦ, καὶ ἀπὸ τῶν εἰσόδων δὲ τῆς ἐπισκοπῆς ἐκτίσθη, ὀφείλει καὶ τὸ τοιοῦτον ὡς ἰδιόκτητον τῇ ἐπισκοπῇ προσκυροῦσθαι. ἐρωτήσει δέ τις, εἰς ποῖον Ἐπίσκοπον ὀφείλει τὸ μοναστήριον περιέρχεσθαι, εἰς τὸν διαδεξάμενον τὸν κτίσαντα τοῦτο ἀρχιερέα, ἢ εἰς τὸν ἐγχώριον Ἐπίσκοπον; Λύσις. τὰ δαπανηθέντα εἰς ἀνέγερσιν τοῦ μοναστηρίου, ὡς ἀπὸ τοῦ κανόνος ἀναφαίνεται, ἀπὸ τῶν εἰσόδων ἦσαν τῆς ἐπισκοπῆς· διὸ καὶ ὀφείλει τοῦτο εἰς τὴν ἐπισκοπὴν ταύτην περιέρχεσθαι, ὡς δικαιουμένην ἐπ' αὐτῷ, διὰ τὸ κτισθῆναι ἀπὸ τῶν εἰσόδων ταύτης. καὶ εἰ μὲν ἐκτίσθη εἰς τὴν ἐνορίαν αὐτῆς, λόγος οὐδείς· εἰ δὲ καὶ εἰς ἑτέραν ἐνορίαν, καὶ οὕτως μοναστήριον περιελεύσεται εἰς τὴν ἐπισκοπήν. ὁ δὲ κατὰ χώραν Ἐπίσκοπος ἕξει ἐπ' αὐτῷ μόνα τὰ ἀρχιερατικὰ δίκαια. καὶ ἡ μὲν ἑρμηνεία τοῦ κανόνος ἐν τούτοις. ἔχε δὲ ἐπὶ μνήμης, ὅτι ὁ ἅγιος Χρυσόστομος ἐν τῇ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου ἑρμηνείᾳ αὐτοῦ λέγει, ὡς ἐάν τις ἐρωτήσῃ σε ποῖόν ἐστι κρεῖττον, προσενεγκεῖν ἐκκλησίᾳ δῶρον, ἢ χαρίσασθαι πτωχοῖς, εἰπὲ προτιμήσασθαι τοὺς πτωχούς. ὅτι, φησί, τὰ μὲν τῶν ἐκκλησιῶν, καὶ χρόνος φθείρει, καὶ τύραννοι ἀφαιροῦνται· τὰ δὲ δοθέντα πτωχοῖς, οὐδὲ ὁ διάβολος δύναται ἀφελέσθαι. ἐὰν δὲ πρόθηται τις δωρήσασθαι ἐκκλησίᾳ, οὐκ ὀφείλει περικόπτεσθαι χάριν τοῦ προτιμηθῆναι τοὺς πτωχούς. καὶ ὅτι ἡ ἀνακαίνησις τῶν ἐκκλησιῶν προτιμοτέρα ἐστὶ τῶν πτωχῶν· οὐ μὴν ἡ πρώτη νεουργία.

Τὰς τῶν αἱρετικῶν ζιζανίων ἐπισπορὰς ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὁ παμπόνηρος καταβαλὼν, καὶ ταύτας ὁρῶν τῇ μαχαίρᾳ τοῦ πνεύματος τεμνομένας προρρίζους, ἐφ' ἑτέραν ἦλθε μεθοδείας ὁδὸν, τῇ τῶν σχισματικῶν μανίᾳ τὸ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειρῶν· ἀλλὰ καὶ ταύτην αὐτοῦ τὴν ἐπιβολὴν ἡ ἁγία σύνοδος ἀναστέλλουσα, παντελῶς ὥρισε τοῦ λοιποῦ, ἵνα εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δῆθεν ἐπ' ἐγκλήμασί τισι τοῦ οἰκείου κατεγνωκὼς Ἐπισκόπου, πρὸ συνοδικῆς διαγνώσεως, καὶ ἐξετάσεως, καὶ τῆς ἐπ' αὐτῷ τελείας κατακρίσεως ἀποστῆναι τολμήσοι τῆς αὐτοῦ κοινωνίας, καὶ τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς τῶν λειτουργιῶν εὐχαῖς κατὰ τὸ παραδεδομένον τῇ ἐκκλησίᾳ μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. ὁ γὰρ ἐν πρεσβυτέρου τάξει τεταγμένος, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ, τὸν οἰκεῖον πατέρα καὶ Ἐπίσκοπον, οὗτος οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐστὶν ἄξιος τιμῆς ἢ ὀνομασίας. οἱ δὲ τούτοις συνεπόμενοι, εἰ μὲν τῶν ἱερωμένων εἶέν τινες, καὶ αὐτοὶ τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον Ἐπίσκοπον ἐπιστραφεῖεν.

ΒΑΛΣ. Παυθείσης τῇ χάριτι τοῦ Θεοῦ τῆς ἀπὸ τῶν αἱρέσεων διαστάσεως, ἑώρων οἱ πατέρες τινὰς ἱερωμένους ὑποκλεπτομένους κατὰ μεθοδείαν σατανικὴν εἰς τὴν τῶν σχισματικῶν μανίαν, ὡς ἀφισταμένους ἀπὸ τῆς τῶν Ἐπισκόπων αὐτῶν κοινωνίας, μὴ ὄντων ἀσεβῶν ἢ ἀδίκων, κατὰ τὸν λαʹ. ἀποστολικὸν κανόνα· διὰ μόνον δὲ τὸ λαληθῆναι τινὰ ἴσως ἐγκληματικὰ κατ' αὐτῶν. τοῦτο γοῦν, ὡς καταμερίζον τὸ σῶμα τοῦ Χριστοῦ, ἤτοι τὴν ἐκκλησίαν, διορθούμενοι, ὥρισαν καθαιρεῖσθαι τοὺς τολμήσαντας ἱερεῖς ἢ διακόνους ἀνευλόγως οὕτως ἀποστῆναι τῆς τοῦ Ἐπισκόπου αὐτῶν κοινωνίας πρὸ ἐντελοῦς Συνοδικῆς καταδίκης τούτου, καὶ μὴ ἀναφέρειν ἐν ταῖς θείαις ἱεροτελεστίαις τὸ ὄνομα αὐτοῦ κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν. ὅτι, φασὶν, οὐκ ἔστιν ἄξιος πρεσβυτέρου ὄνομα

ἢ

ἢ τιμὴν ἔχειν ὁ ἁρπάζων ἀναιδῶς τὴν τοῦ μητροπολίτου κρίσιν, ἣν ἔμελλε κατὰ τοῦ ἐπισκόπου ἴσως ἐξαγαγεῖν, καὶ κατακρίνων, ὅσον κατὰ τὸ οἰκεῖον συνειδὸς, τὸν οἰκεῖον πατέρα ἐπίσκοπον, διὰ τοῦ μὴ συγκοινωνεῖν αὐτῷ, ὡς δῆθεν ἀληθῶς ὄντι κατακεκριμένῳ· καὶ οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς, ἱερωμένους μὲν ὄντας, διορίζονται καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι, καὶ εἶναι ἐπιτετιμημένους μέχρις ἂν ἐν ἐπιγνώσει τοῦ κακοῦ γένωνται, καὶ τῷ οἰκείῳ ἐπισκόπῳ προσέλθωσιν. ἀνάγνωθι καὶ τὸ α΄. κεφάλ. τοῦ ιϐ΄. τίτλου τοῦ παρόντος συντάγματος· καὶ τὸν α΄. κανόνα τοῦ ἁγίου Βασιλείου. ἐρωτήσει δέ τις ὡς, τοῦ κανόνος μόνους κολάζοντος τοὺς σχισματικοὺς πρεσβυτέρους καὶ διακόνους, ἐὰν ἕτερός τις κληρικὸς παρὰ τούτους ἀποστῇ ἐκ τῆς τοῦ ἐπισκόπου αὐτοῦ κοινωνίας, κολασθήσεται ἢ οὔ; Λύσις. τοῦ κανόνος ἐφεξῆς καθαιροῦντος μὴ μόνους τοὺς πρωταιτίους ἱερωμένους, ἀλλὰ καὶ τοὺς συνεπομένους αὐτοῖς, ἐξ ἀνάγκης πάντες οἱ πρωταίτιοι τοῦ σχίσματος κληρικοὶ, οἷοι ἂν καὶ ὦσιν, ἐκ τῶν οἰκείων βαθμῶν διωχθήσονται. καλῶς δὲ πρεσβυτέρων καὶ διακόνων μόνων ἐμνήσθη ὁ κανὼν, ὅτι κυρίως τὸ σχίσμα παρὰ τούτων γίνεται, ὡς ἐνεργούντων τὰ τοῦ ἁγίου θυσιαστηρίου, καὶ δυναμένων ἀναφέρειν ἢ μὴ ἀναφέρειν τὸ ὄνομα τοῦ ἐπισκόπου. καὶ μή μοι εἴπῃς, καὶ πῶς ὑποκατιὼν ὁ κανὼν πρεσβυτέρου μόνου ἠμνήσθη οὐ μὴν καὶ διακόνου; ἀκούσεις γὰρ, ὅτι τοῖς ἱερεῦσι πάλιν πλέον τῶν διακόνων τὰ περὶ τῆς ἀναφορᾶς τῶν ἐπισκόπων ἀνήκουσι· καὶ διὰ τοῦτο περὶ αὐτῶν ἐποίησε τὸν πλείονα λόγον.

ΖΩΝΑΡ. Ποικίλως, φησὶν ὁ κανὼν, ἐπιβουλεύει τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὁ πονηρός. ἐπεὶ γὰρ τὰ ζιζάνια τῶν αἱρέσεων εἶδεν ἐκτετμημένα τῇ μαχαίρᾳ τοῦ πνεύματος, ἑτέραν ἐμηχανήσατο μέθοδον· ἵνα τὸ σῶμα τῆς ἐκκλησίας μερίσῃ, καὶ διασπάσῃ τὴν ἕνωσιν. αὕτη δ᾽ ἐστὶν ἡ τῶν σχισματικῶν μανία, ἣν ἀναστέλλοντες, φασὶν οἱ τῆς συνόδου, ὁρίζομεν μηδένα πρεσβύτερον ἢ διάκονον τολμᾶν ἀφίστασθαι τοῦ ἐπισκόπου, ὑφ᾽ ὃν τελεῖ, καὶ μὴ συγκοινωνεῖν αὐτῷ, μηδὲ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ἔθος, ὡς τάχα κατεγνωκότα τοῦ ἐπισκόπου αὐτοῦ, πρὶν ἢ συνοδικῶς ζητηθῇ ἡ κατὰ τοῦ ἐπισκόπου φερομένη αἰτία καὶ τελεία προενεχθῇ ψῆφος κατακρίνουσα αὐτόν, τὸν δὲ τοῦτο ποιήσαντα καθαιρεῖσθαι. ὁ γὰρ ἐν πρεσβυτέρου ἀξίᾳ ὢν, καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, τοὺς γὰρ ἐπισκόπους οἱ μητροπολῖται κρίνουσι, καὶ πρὸ κρίσεως τὸν οἰκεῖον ἐπίσκοπον, ὃς πατήρ ἐστιν αὐτοῦ κατὰ πνεῦμα, κρίνων, οὐκ ἔστιν ἄξιος ὡς πρεσβύτερος τιμᾶσθαι ἢ ὀνομάζεσθαι. καὶ οἱ συνεπόμενοι δὲ τῷ σχισματικῷ, καὶ ἀποσχίζοντες καὶ αὐτοὶ, ἱερωμένοι μὲν ὄντες καθαιρείσθωσαν· λαϊκοὶ δὲ τυγχάνοντες ἢ μοναχοὶ ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας, ἀντὶ τοῦ ἐξωθείσθωσαν, ὥστε μηδὲ εἰσιέναι εἰς ἐκκλησίαν. ἔστι γὰρ ἀφορισμὸς, καὶ τὸ μόνης εἴργεσθαι τῆς μεταλήψεως τῶν θείων μυστηρίων, ἔστι δὲ, καὶ τὸ, ἔξω τῆς ἐκκλησίας εἶναι, ὃν παντελῆ ὠνόμασαν, ὡς βαρύτερον, καιρὸν δὲ τῷ ἀφορισμῷ τούτῳ ὁρίζουσι τὴν ἐκείνων ἐπιστροφήν. ἔσονται γάρ, φησιν, ἀφωρισμένοι, μέχρις ἂν τῷ οἰκείῳ ἐπισκόπῳ προσέλθωσι, μισήσαντες τὴν πρὸς τοὺς σχισματικοὺς οἰκείωσιν.

ΑΡΙΣΤ. Εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δῆθεν ἐπ᾽ ἐγκλήματι τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου, πρὸ συνοδικῆς διαγνώσεως, ἀποστῇ τῆς αὐτοῦ κοινωνίας, καὶ μὴ ἀναφέρει αὐτοῦ τὸ ὄνομα, καθαιρείσθω, καὶ πάσης ἱερατικῆς στερείσθω τιμῆς. οἱ δὲ συνεπόμενοι, ἱερατικοὶ μὲν ὄντες, τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· μοναχοὶ δὲ, ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν, μέχρις ἐπιστραφεῖεν.

A vel honorem habere, qui Metropolitani judicium ſibi impudenter arrogat, quod ſcilicet adverſus Epiſcopum fortaſſe erat laturus: & quod ad propriam conſcientiam attinet, ſuum patrem Epiſcopum condemnat, eo quod cum eo non communicet, tanquam ſit jam revera condemnatus. Et non ſolum eos, ſed & qui ipſos conſequuntur, ſi ſint quidem ſacrati, deponi: ſin vero Laici, ſegregari, & tamdiu mulctari, donec ad ſui mali cognitionem venerint, & ad proprium Epiſcopum reverſi fuerint. Lege etiam i. cap. xii. tit. præſentis operis & i. canonem ſancti Baſilii. Quæſiverit autem quiſpiam, cum canon ſolos ſchiſmaticos Sacerdotes & B Diaconos puniat, ſi alius Clericus præter hos à ſui Epiſcopi communione recedat, punietur an non? Solutio. Cum canon deinceps deponat, non ſolum primos auctores Sacerdotes, ſed eos etiam qui conſequuntur, neceſſario omnes ſchiſmatis primi auctores Clerici, quicunque fuerint, propriis gradibus exturbabuntur. Recte autem Presbyterorum & Diaconorum tantum meminit canon, quia ſchiſma propriè ab illis fit; ut qui, quæ ſacri ſunt altaris, peragant, & nomen Epiſcopi vel referre vel non referre poſſunt. Nec dixeris, quomodo canon ſubſequens meminit Presbyteri, non itidem & Diaconi? Audies enim, quod ad Sacerdo- C tes olim magis quam ad Diaconos relatio Epiſcoporum pertinebat: & propterea de iis amplius locutus eſt.

Zonar. Multis modis, inquit can. Chriſti Eccleſiæ adverſarius inſidiatur. Cum enim ſpiritus machæra hęreſeon zizania interciſa fuiſſe haud ignoret; aliam rationem excogitavit, qua Eccleſiæ corpus diſtrahere, animorumq; inter ſe conjunctionem diſſipare, ac divellere. Eſt vero ea ſchiſmaticorum inſania, quam nos ut reprimamus, decernimus, inquiunt Synodi Patres, ne quis Presbyter, aut Diaconus, ſeſe ab Epiſcopi auctoritate, cui ſubjectus eſt D ſubtrahere, ac illius, quaſi videlicet ab ipſo condemnati, vel communionem repudiare, vel ab ejuſdem nomine de more referendo deſiſtere, audeat; priuſquam Epiſcopi cauſa in ſynodico conventu examinata & cognita fuerit, omninoq; latis ſuffragiis, de illius damnatione ſit pronuntiatum; quiq; id fecerit, depoſitione mulctari jubemus. Quiſquis enim ſacerdotali dignitate præditus, quæ Metropolitanorum judicii ſunt ſibi arrogat, (quippe de Epiſcopis judicare Metropolitanorum proprium eſt munus) ac Epiſcopum ſuum, qui ſpiritualis ipſius pater eſt, priuſquam de eo quidquam judicatum fuerit, ipſe condemnet; hic ſacerdotis honore aut appellatione haudquaquam eſt E dignus. Et vero quicunq; ſchiſmaticis conſentientes ipſi quoque ſeſe cum illis abjungunt, ſi quidem ſacris initiati ſint, deponantur: ſin vero Laici aut Monachi, penitus ſegregentur, hoc eſt, ita, ut ne Eccleſiam quidem ipſis ingredi fas ſit, ejiciantur. Eſt namque ſegregatio, etiam cum à ſolo divinorum myſteriorum perceptione quiſpiam ſummovetur: eſt etiam, cum Eccleſiæ quoq; aditu ſegregati prohibentur; quod penitus ſegregari dixerunt, quia gravior ea ſegregatio ſit. Spatium porro, quouſq; ad ſanitatem homines revertantur, ſegregationi præfiniunt. Erunt ſiquidem, inquit, ſegregati, donec Epiſcopo ſuo, repudiata cum ſchiſmaticis familiaritate, ſe adjunxerint.

F **Arist.** *Si quis Presbyter vel Diaconus, nimirum acſi Epiſcopum ſuum & crimine aliquo condemnaret, ante ſynodalem cognitionem, ab illius communione ſe ſubduxerit, & nomen ejus non retulerit, deponatur, & omni ſacerdotali dignitate privetur. Qui autem eam conſequuntur, ſi quidem ſacris ſint initiati, dignitate ſuâ excidant: Sin Monachi vel Laici; ſegregentur, uſq; dum reverſi fuerint.*

A

Canon XIV.

Si quis Epiſcopus Metropolitani crimen prætexens, ante ſynodalem cognitionem, ſeipſum ab ejus communione ſubduxerit, & nomen ejus, in divini myſterii celebratione ut conſuetum eſt, non referat; ſancta Synodus eum depoſitum eſſe ſtatuit, ſi tantum convictus fuerit à proprio metropolitano receſſiſſe & ſchiſma feciſſe. Oportet enim unumquemque proprias cognoſcere & nec Presbyterum proprium Epiſcopum contemnere nec Epiſcopum proprium Metropolitanum. B

Bals. Præſens quoque canon præcedenti eſt in omnibus ſimilis, etiamſi in perſonis differant.

Zonar. Eadem cum ſuperiori canone de Epiſcopis, qui ſe à Metropolitanorum ſuorum conjunctione divellunt, nec eis communicant, nec eorum omnia referunt, hic quoque canon decernit.

Arist. *Et ſi quis Epiſcopus id ipſum auſus fuerit contra ſuum Metropolitanum, deponatur. Oportet enim unumquemque proprias ſuas menſuras cognoſcere.*

C

Canon XV.

Quæ de Presbyteris & Epiſcopis & Metropolitanis conſtituta ſunt, multo magis etiam in Patriarchas conveniunt. Quamobrem ſi quis Presbyter, vel Epiſcopus, vel Metropolitanus à ſui Patriarchæ communione recedere auſus fuerit, & nomen ejus in divini myſterii celebratione, prout conſtitutum eſt & ordinatum non referat, ſed ante ſynodale decretum, & perfectam ejus condemnationem ſchiſma fecerit; ſtatuit ſancta Synodus eum eſſe ab omni ſacerdotio alienum, ſi in hoc ſolum deliquiſſe convictus fuerit. Et hæc quidem conſtituta & obſignata ſunt de iis, qui aliquorum criminum prætextu à propriis Præſulibus recedunt, D *& ſchiſma faciunt, & Eccleſiæ unionem convellunt. Qui enim propter hæreſin aliquam, à ſancti Patribus vel Synodis condemnatam, ſe à Præſulis communione ſeparant, illo hæreſin ſcilicet publice prædicante, & nudo capite in Eccleſia docente; ii non ſolum canonicæ pœnæ non ſubjicientur, ante ſynodalem cognitionem ſeipſos à commune ejus, qui Epiſcopus dicitur, ſejungentes: ſed & honore, qui orthodoxis convenit, digni habebuntur. Non enim Epiſcopos, ſed pſeudepiſcopos doctores condemnarunt: & non ſchiſmate Eccleſiæ unionem* E *conſciderunt; ſed à ſchiſmatibus & diviſionibus Eccleſiam liberare ſtuduerunt.*

Bals. Hic quoque præſens canon eadem cum xiii. & xiiii. Canone aliqua ex parte præcipit. Dicit enim ea, qui priùs definita ſunt, etiam in Patriarcham multo magis convenire, quando ab ejus communione ſe quis temere ſubtraxerit. Perinde autem ac ſi dixiſſet quiſpiam, ſi ex cauſa probabili, videlicet propter hæreſin fortaſſe, quis à proprii Antiſtitis communione receſſerit, cur punietur? inferunt patres, quod hæc tunc fiunt, quando alicujus criminalis cauſæ prætextu F per ſe quis proprium paſtorem condemnaverit, & ideo ſeipſum ab eo abſciderit; & hoc modo Eccleſiæ unionem perruperit. Si enim non propter criminalem accuſationem, ſed propter hæreſin, ſeipſum à proprio Epiſcopo ſejunxerit, vel Metropolitano, vel Patriarcha, tanquam in Eccleſia ſine pudore docente doctrinas quaſdam à recto dogmate alienas; is & ante perfectam cognitionem, & multo magis etiam poſt cognitionem, ſi ſeipſum à ſui Præſulis communione ſejunxerit vel ſeparaverit, non ſolum non punietur, ſed etiam ut orthodoxus honorabitur. Non Enim ſe ab Epiſcopo abſcindit, ſed à Pſeu-

ΚΑΝΩΝ ιδ'.

Εἴ τις ἐπίσκοπος ἐγκλήματος πρόφασιν ποιούμενος κατὰ τοῦ οἰκείου μητροπολίτου πρὸ συνοδικῆς διαγνώσεως, ἀποστήσῃ ἑαυτὸν τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέρῃ τὸ ὄνομα αὐτοῦ κατὰ τὸ εἰθισμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος καθῃρημένον εἶναι, εἰ μόνον ἐλεγχθείη. ἀποστὰς τοῦ οἰκείου μητροπολίτου καὶ σχίσμα ποιήσας· δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν, καὶ μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ οἰκείου ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ οἰκείου μητροπολίτου.

ΒΑΛΣ. Καὶ ὁ παρὼν ἡμῶν ὅμοιος κατὰ πάντα ἐστὶ τῷ πρὸ αὐτοῦ, κἂν διαλλάττῃ περὶ τὰ πρόσωπα.

ΖΩΝΑΡ. Τὰ αὐτὰ τοῦ ἀνωτέρου κανόνος καὶ ὁ ἡμῶν οὗτος, περὶ ἐπισκόπων ἀποσχιζόντων ἐκ τῶν ἰδίων μητροπολιτῶν, καὶ μὴ κοινωνούντων αὐτοῖς, μηδὲ ἀναφερόντων αὐτούς, διορίζεται.

ΑΡΙΣΤ. Καὶ εἴ τις ἐπίσκοπος αὐτὸ τοῦτο τολμήσῃ κατὰ τοῦ οἰκείου μητροπολίτου, καθαιρείσθω. δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν.

ΚΑΝΩΝ. ιε'.

Τὰ ὁρισθέντα ἐπὶ πρεσβυτέρων καὶ ἐπισκόπων καὶ μητροπολιτῶν, πολλῷ μᾶλλον καὶ ἐπὶ Πατριαρχῶν ἁρμόζει. ὥστε εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ μητροπολίτης τολμήσειεν ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον Πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ὡρισμένον καὶ διατεταγμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς, καὶ τελείας αὐτοῦ κατακρίσεως, σχίσμα ποιήσῃ τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο παρανομήσας. καὶ ταῦτα μὲν ὥρισται καὶ ἐσφράγισται περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ σχίσματα ποιούντων, καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας διασπώντων. οἱ γὰρ διαίρεσίν τινα παρὰ τῶν ἁγίων συνόδων ἢ πατέρων κατεγνωσμένην τῆς πρὸς τὸν πρόεδρον κοινωνίας ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν δηλονότι δημοσίᾳ κηρύττοντος, καὶ γυμνῇ τῇ κεφαλῇ ἐπ' ἐκκλησίας διδάσκοντος, οἱ τοιοῦτοι, οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκείσονται, πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς πρὸς τὸν καλούμενον ἐπίσκοπον κοινωνίας ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς πρεπούσης τιμῆς ὀρθοδόξοις ἀξιωθήσονται· οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων διδασκάλων κατέγνωσαν, καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν τὰ αὐτὰ τῷ ιγ'. καὶ ιδ'. κανόνι παρακελεύεται μέχρι τινός. φησὶ γὰρ πλέον ἁρμόζειν τὰ προδιορισθέντα καὶ ἐπὶ πατριάρχου, ὅταν ἐκ τῆς τούτου κοινωνίας, ἀποστήσῃ τις ἑαυτὸν τολμηρῶς. ὡς δέ τινος εἰπόντος, ἐὰν δὲ ἐξ εὐλόγου αἰτίας, τυχὸν προφάσει αἱρέσεως, ἀποστῇ τις ἀπὸ τῆς τοῦ οἰκείου ἀρχιερέως κοινωνίας, διά τι κολασθήσεται; ἐπάγουσιν οἱ πατέρες, ὡς ταῦτα πάντα τότε γίνονται, ὅταν προφάσει ἐγκληματικῆς τινος ὑποθέσεως καθ' ἑαυτόν τις τοῦ οἰκείου ποιμένος καταγνώσεται, καὶ ἀποσχίσῃ ἑαυτὸν ἐκ τούτου· καὶ τοιουτοτρόπως διαρρήξῃ τὴν ἕνωσιν τῆς ἐκκλησίας. εἰ γὰρ μὴ δι' ἐγκληματικὴν αἰτίασιν, ἀλλὰ δι' αἵρεσιν, χωρίσῃ τις ἑαυτὸν ἀπὸ τοῦ ἐπισκόπου αὐτοῦ ἢ τοῦ μητροπολίτου ἢ τοῦ πατριάρχου, ὡς ἐπὶ ἐκκλησίας διδάσκοντος ἀνερυθριάστως διδάγματά τινα ἀπηλλοτριωμένα τοῦ ὀρθοῦ δόγματος, ὁ τοιοῦτος καὶ πρὸ ἐντελοῦς διαγνώσεως, πολλῷ δὲ πλέον καὶ μετὰ διάγνωσιν, ἐὰν ἑαυτὸν ἀποτειχίσῃ, ἤγουν χωρίσῃ ἐκ τῆς κοινωνίας τοῦ προέδρου αὐτοῦ, οὐ μόνον οὐ τιμωρηθήσεται, ἀλλὰ καὶ τιμηθήσεται ὡς ὀρθόδοξος. οὐ γὰρ ἀπέσχισεν ἑαυτὸν ἀπὸ Επισκόπου, ἀλλὰ ἀπὸ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου· καὶ τὸ παρὰ τούτου γεγονὸς ἐπαίνου ἄξιόν ἐστιν, ὡς μὴ κατατέμνον τὴν ἐκκλησίαν, ἀλλὰ μᾶλλον συνάπτον αὐτὴν καὶ τοῦ μερισμοῦ ἀπαλλάττον. εἴρηται καὶ τῷ κανόνι δὲ, πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι τὸν σχισματικὸν, διὰ τοὺς λέγοντας ὀφείλειν τοὺς τοιούτους ἐπὶ καιρόν τινα τῆς ἱερατείας παύεσθαι, καὶ μὴ καθαιρεῖσθαι. ἐγκληματικὰ δὲ αἰτιάματά εἰσι, πορνεία, ἱεροσυλία, καὶ τῶν κανόνων ἀθέτησις. καλῶς δὲ εἶπεν ὁ κανὼν ἐπαινετοὺς εἶναι τοὺς ἀποσχίζοντας ἑαυτοὺς, καὶ πρὸ καταδίκης, ἀπὸ τῶν δημοσίᾳ διδασκόντων αἱρετικὰ διδάγματα, καὶ ὄντων προφανῶς αἱρετικῶν. εἰ γὰρ ἀποκρύφα καὶ μετὰ ἀποστολῆς ψιθυρίζονται τὰ τῆς αἱρέσεως παρὰ τοῦ πρώτου ὡς ἀναμφιβαλλόντος, οὐκ ὀφείλει τις ἐξ πρὸ αὐτοῦ καταδίκης ἀποσχισθῆναι· εἰκὸς γάρ ἐστι μεταρυθμισθῆναι τοῦτον πρὸς τὸ ὀρθόδοξον, πρὸ τῆς ἐντελοῦς ἀποφάσεως, καὶ ἀποστῆναι τῆς αἱρέσεως. σημείωσαι ταῦτα ἴσως ὠφελήσοντα κατὰ τῶν λεγόντων, μὴ καλῶς ἡμᾶς ἀποσχισθῆναι ἀπὸ τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης, πρὸ τοῦ καταδικασθῆναι τοὺς περὶ ταύτην ὡς κακόφρονας. καὶ ὁ μὲν παρὼν κανὼν τοὺς διὰ δογματικὴν αἰτίαν ἀποτειχίζοντας οὐ κολάζει. ὁ δὲ λα΄. ἀποστολικὸς κανὼν, καὶ τοὺς κατεγνωκότας τῶν οἰκείων ἐπισκόπων ὡς προδήλως ἀδικούντων καὶ ἀποσχισθέντας ἐξ αὐτῶν, ἀνευθύνους συντηρεῖ.

ΖΩΝΑΡ. Ἃ περὶ ὥρισαν οἱ τῆς συνόδου πατέρες περὶ μητροπολιτῶν καὶ Ἐπισκόπων, ταῦτα λέγουσι πλέον ἁρμόζειν καὶ περὶ Πατριαρχῶν. εἰ γάρ τις, φασὶ, μητροπολίτης ἢ Ἐπίσκοπος ἢ πρεσβύτερος τολμήσει ἀποστῆναι τοῦ συγκοινωνεῖν τῷ Πατριάρχῃ αὐτοῦ, καὶ ἀναφέρειν τὸ ὄνομα αὐτοῦ, πρὶν ἢ ἐμφανίσει τῇ συνόδῳ κατὰ τοῦ Πατριάρχου. καὶ πρὸ τοῦ ἐξετασθῆναι ταῦτα, καὶ κατακριθῆναι ἴσως αὐτὸν, ὁ τοιοῦτος ὡς σχίσμα ποιήσας πάσης ἱερατείας ἀλλότριος ἔσται παντελῶς. εἴρηται δὲ τὸ, πάσης, ἀντὶ τοῦ οἱ μὲν ἀρχιερεῖς τῆς ἀρχιερατικῆς, οἱ δὲ ἱερεῖς τῆς ἱερατικῆς· τὸ δὲ παντελῶς, ὅτι οὐκ ἐπί τινα χρόνον εἰρχθήσονται τῆς ἱερουργίας, εἶτα ἀποκαταστήσονται αὖθις εἰς τὴν οἰκείαν τιμήν· ἀλλὰ τελείως ἐκπεσοῦνται τῆς ἀξίας αὐτῶν, καὶ οὐδὲ τιμὴν ἕξουσι μόνην ἀρχιερεῦσι καὶ ἱερεῦσιν ἀνήκουσαν. εἶτα ἐπάγουσιν, ὅτι ταῦτα μὲν ὥρισαν καὶ ἐσφράγισαν, τουτέστι, βεβαίως τετύπωνται· ἡ γὰρ σφραγὶς εἰς βεβαίωσίν ἐστι τῶν σφραγιζομένων καὶ φυλακήν. περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ τὴν ἕνωσιν διασπώντων τῆς ἐκκλησίας, ὅτε δηλαδὴ πορνείαν ἴσως αἰτιωμένῳ προσάπτουσιν, ἱεροσυλίαν, ἢ ἐπὶ χρήμασι χειροθεσίαν, ἢ ἄλλα τοιαῦτά τινα. εἰ δὲ ὁ Πατριάρχης τυχὸν ἢ μητροπολίτης, ἢ ὁ Ἐπίσκοπος αἱρετικὸς εἴη, καὶ τοιοῦτος ὡς δημοσίᾳ κηρύττειν τὴν αἵρεσιν, καὶ γυμνῇ τῇ κεφαλῇ, ἀντὶ τοῦ, ἀνυποστόλως καὶ μετὰ παρρησίας, διδάσκει τὰ αἱρετικὰ δόγματα, οἱ ἀποσχίζοντες αὐτοῦ, ὁποῖοι ἂν εἶεν, οὐ μόνον κολάσεως ἄξιοι οὐκ ἔσονται διὰ τοῦτο, ἀλλὰ καὶ τιμῆς, ὡς ὀρθόδοξοι, ἀξιωθήσονται, χωρίζοντες ἑαυτοὺς τῆς τῶν αἱρετικῶν κοινωνίας. τοῦτο γὰρ δηλοῖ τὸ, ἀποτειχίζοντες. τὸ γὰρ τεῖχος τῶν ἐντὸς αὐτοῦ πρὸς τοὺς ἐκτὸς χωρισμός ἐστιν. οὐ γὰρ Ἐπισκόπου ἀπέστησαν, ἀλλὰ ψευδεπισκόπου καὶ ψευδοδιδασκάλου· οὐδὲ σχίσμα τὰ τῆς ἐκκλησίας ἐποίησαν, ἀλλὰ μᾶλλον σχισμάτων τὴν ἐκκλησίαν ἀπήλλαξαν, ὅσον τὸ ἐπ᾽ αὐτοῖς.

A depiſcopo & falſo doctore: & quod ab eo factum eſt laude dignum; ut quod Eccleſiam non conſcindat, ſed eam magis conjungat, & à diviſione liberet. Dictum eſt autem à canone, ſchiſmaticum ab omni ſacerdotio debere eſſe alienum, propter eos qui dicunt hujuſmodi homines debere aliquo temporis ſpatio à ſacerdotio ceſſare, & non deponi. Criminales autem cauſæ ſunt, fornicatio, ſacrilegium, & canonum tranſgreſſio ac contemptus. Recte autem dixit canon eos eſſe laudandos, qui ſeipſos, etiam ante condemnationem, ab iis, qui hæreticas doctrinas publice docent, & ſunt aperte hæ- B retici abſcindunt. Si enim clanculum & cum quadam hæſitatione, præſul ut ambigens, hæretica loquatur, non debet quis ab eo propterea ante condemnationem abſcindi. Eſt enim veriſimile, fore ut ad orthodoxam ſententiam ante perfectam prolatamque in eum ſententiam reducatur, & ab hæreſi deſiſtat. Nota hæc, quæ fortaſſe proderunt adverſus eos qui dicunt nos non rectè à throno antiquæ Romæ ſejunctos eſſe, antequam qui eum obtinebant ut prave ſentientes, condemnati eſſent. Ac præſens quidem canon eos, qui propter dogmatis cauſam recedunt & abſcinduntur, non punit: trigeſimus autem primus canon Apoſtolicus eos etiam, qui proprios Epi- C ſcopos condemnarunt, ut qui apertè injuſtè agant, & ideo ſe ab iis ſejunxerant, ab omni pœna liberos conſervat.

ZONAR. Quæ de Metropolitanis Epiſcopiſque definita ſunt, ea de Patriarchis quoque multo magis intelligi debere Synodi Patres affirmant. Si quis enim, inquiunt, Metropolitanus, Epiſcopus aut Presbyter, ſe à Patriarchæ ſui communione removere, atque ab illius nomine referendo ceſſare audeat, priuſquam ea, de quibus Patriarcham accuſat, Synodo indicaverit, ac ille forte, cauſa diligenter examinata, damnatus fuerit; ejuſmodi hominem, tanquam ſchiſmaticum, omni prorſus ſacerdotali honore privatum eſſe decernunt. Omni qui- D dem aiunt, ſummos Sacerdotes ſummo ſacerdotio, Sacerdotes vero, ſacerdotali dignitate privandos demonſtrent. Prorſus vero particulam addidere, ut eos non ad certum temporis intervallum à ſacro miniſterio arcendos, ut deinde rurſus priſtino honore reſtituantur; ſed omni penitus dignitate ſpoliandos, neque ullum ipſis honorem, qui Præſulibus aut aliis Sacerdotibus proprie debetur, relinquendum eſſe oſtendant. Deinde vero hæc quidem ita decreta obſignataque, hoc eſt, ita plane conſtituta fuiſſe, ſubjiciunt: (Signum namque ad ea, quæ obſignantur, confirmanda ac cuſtodienda pertinet) ne qua fraudis occaſio iis hominibus relinqueretur, qui quorun- E dam criminum obtentu, quod ei videlicet quem accuſant, aut conſtupratam mulierem, aut rei ſacræ furtum, aut ordinum collationem pretio divenditam, aut alia hujus generis facinora, affingant, ab Antiſtitum ſuorum auctoritate deſciſcunt, & Eccleſiæ conjunctionem propterea diſtrahunt ac divellunt. Quod ſi forte Patriarcham, aut Metropolitanum, aut Epiſcopum hæreticum eſſe contingat, ac ejuſmodi quidem hæreticum, ut hæreſim ſuam publicè profiteatur, & aperto capite, hoc eſt, fidentur prorſus atque audacter, hæreticas opiniones docendo in vulgus diſſeminet; quicunq; demum ab illo ſe F abduxerint, non modo nullo animadverſionis aut mulctæ genere propterea puniendi; ſed honore potius, quippe qui certam fidem conſtanter teneant, ſeque ab hæreticorum conſociatione ſejungant, digni exiſtimabuntur. Hoc enim ſignificat verbum ἀποτειχίζοντες. Nam τεῖχος, id eſt, paries, ab iis quæ intus ſunt, exteriora diſcriminat. Nec enim ii ab Epiſcopo; ſed ab homine ſibi Epiſcopi ac doctoris nomen immerito uſurpante diſceſſere: neque ſchiſmatis contra Eccleſiam auctores fuerunt; ſed à ſchiſmate potius, quod in ipſis fuit, Eccleſiam vindicarunt.

ΑΡΙΣΤ. Ὡσαύτως καὶ εἴ τις Ἐπίσκοπος, ἢ μητροπολίτης, κατὰ τοῦ πατριάρχου τοιαῦτα τολμήσει, πάσης ἱερατείας ἀλλοτριούσθω. εἰ δέ τινες ἀποσταῖέν τινος, οὐ διὰ πρόφασιν ἐγκλήματος, ἀλλὰ διὰ αἵρεσιν, ὑπὸ συνόδου, ἢ ἁγίων πατέρων κατεγνωσμένην, τιμῆς καὶ ἀποδοχῆς ἄξιοι, ὡς ὀρθόδοξοι.

ARIST. *Similiter & ſi Epiſcopus aut Metropolitanus contra Patriarcham quippiam ejuſmodi auſus fuerit, ab omni ſacerdotio alienetur. Si qui autem à quopiam receſſerint, non criminis pretextu, ſed propter hæreſim, à Synodo vel ſanctibus patribus condemnatam, honore ac laude digni ſunt utpote orthodoxi.*

CANON

A

Canon XVI.

Propter contentiones & tumultus, qui in Dei Eccleſia contingunt, hoc quoque eſt definire neceſſarium, ut Epiſcopus nullo modo conſtituatur in Eccleſia, cujus Præſul adhuc vivit, & eſt adhuc in proprio honore conſtitutus; niſi Epiſcopatui ſuo ſponte renunciaverit. Oportet enim cauſam ejus, qui eſt Epiſcopatu expellendus, canonicè examinatam ad finem prius deduci: deinde, poſt ejus depoſitionem, alterum in ejus Epiſcopatum provehi. Si quis autem Epiſcopus in proprio honore conſtitutus, nec vult renunciare, nec proprium populum paſcere; ſed à ſuo Epiſcopatu recedens, pluſquam ſex menſibus in alio loco degat, nec regio juſſu detentus, nec ſui Patriarchæ miniſterio deſerviens, neque à gravi morbo, & qui, ut commovere ſe non poſſit, efficiat, omnino retentus: is ergo nulla ex ſupra dictis cauſis prohibitus, & à ſuo Epiſcopatu abſens, & ultra ſemeſtre tempus in alio loco degens, ab Epiſcopi dignitate & honore omnino alienabitur. Eum enim qui ſuæ fidei commiſſum gregem negligit, & in alio loco ſupra ſemeſtre tempus degit; ſtatuit ſancta Synodus, ut à ſacerdotio, per quod paſcere ordinatus eſt, alienus omnino conſtituatur, & in ejus Epiſcopatum alius loco illius promoveatur.

Bals. Sæpe quidam Epiſcopi, propter exactorum vexationes, vel propter vicinorum invaſiones, vel propter populi inobedientiam, puſillo & abjecto animo ſuos Epiſcopatus renunciant. Metropolitani ergo renunciationes ejuſmodi admittentes, alios Epiſcopos ordinabant; & nonnunquam etiam, antequam examinarentur cauſæ criminales quæ adverſus illos introducebantur, alios elegebant. Dicunt ergo patres, Quoniam id ſeditionum & Eccleſiaſticarum perturbationum cauſa eſt, ſtatuimus, ne eligatur Epiſcopus vivo Eccleſiæ Præſule, niſi utique vel ex examinatione conſtiterit eſſe admittendam viventis renunciationem, vel ſynodali ſententia condemnatus fuerit. Tunc enim eo etiam vivente ordinabitur alius. Quaſi vero dixiſſet quiſpiam, quid vero fiet in populo Epiſcopatus, ſi is, qui illi præeſt, non facit canonicam renunciationem, ſed extra ſuum Epiſcopatum moratur; intulerunt, quod ſi quis Epiſcopus ultra ſex menſes à ſua Eccleſia abfuerit, ſine Imperiali vel Patriarchali juſſione, vel ſine gravi morbo, qui non permittit ut poſſit locum loco mutare, is erit à ſacerdotio alienus, & alius pro eo ordinabitur. Quoniam autem ex his quidem apparet, eſſe admittendas, quæ quomodocunque fiunt ab Epiſcopis renunciationes; alii vero canones, & ſancti Cyrilli ad Domnum epiſtola, ſive i. & iii. ejus reſponſum, ſtatuunt, non eſſe inconſiderate admittendas Epiſcoporum renunciationes; debes præſentem quoque canonem ad illa reducere. Lege xi. quoque cap. ix. tit. præſentis operis, & quæ in eo ſunt. Quia autem ii. cap. viii. tit præſentis operis, vel quæ in eo continentur xviii. & xix. cap. i. tit. iii. lib. Baſilic. quod eſt pars cxxiii. Juſtiniani novellæ, videtur præſenti canoni repugnare, quæſitum eſt à quibuſdam, quidnam ſequi debeamus. Videntur autem in his adverſari. Canon Epiſcopo ſex menſium ſpatium, ad hoc ut poſſit peregrinari & ab Epiſcopatu abeſſe, largitus eſt: Novella vero id ad unius anni intervallum extendit. Præterea canon eos, qui ultra ſex menſes à ſuis Eccleſiis abſunt, Antiſtites citra inquiſitionem ab iis ipſis alienari ſtatuit: Novella ſumptus prius ab œconomicis Antiſtibus non ſuppeditari jubet,

ΚΑΝΩΝ ιϛʹ.

Διὰ τὰς φιλονεικίας τε καὶ ταραχὰς, τὰς τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συμβαινούσας, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖόν ἐστι, μηδενὶ τρόπῳ Ἐπίσκοπον καθιστᾶναι ἐν τῇ ἐκκλησίᾳ, ἧς ἔτι ὁ προεστὼς ζῇ, καὶ ἐν τῇ ἰδίᾳ συνίσταται τιμῇ, εἰ μὴ αὐτὸς ἑκὼν τὴν ἐπισκοπὴν παραιτήσεται. χρὴ γὰρ πρότερον τὴν αἰτίαν τοῦ μέλλοντος τῆς ἐπισκοπῆς ἐκδιώκεσθαι κανονικῶς ἐξεταζομένην εἰς πέρας ἄγεσθαι, εἶθ' οὕτω, μετὰ τὴν αὐτοῦ καθαίρεσιν ἕτερον ἀντ' αὐτοῦ εἰς τὴν B ἐπισκοπὴν προβιβάζεσθαι. εἰ δέ τις τῶν Ἐπισκόπων ἐν τῇ ἰδίᾳ συνιστάμενος τιμῇ, μήτε παραιτεῖσθαι βούλοιτο, μήτε τὸν οἰκεῖον ἐθέλοι ποιμαίνειν λαὸν, ἀλλὰ τῆς οἰκείας ἀποστὰς ἐπισκοπῆς ὑπὲρ τὸ ἑξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μήτε βασιλικῷ προστάγματι κατεχόμενος, μήτε τὰς τοῦ οἰκείου Πατριάρχου λειτουργίας ὑπηρετούμενος, μήτε μὴν ὑπὸ νόσου χαλεπῆς τε καὶ ἀκινησίαν ἐμποιούσης παντελῆ συνεχόμενος, ὁ τοιοῦτος οὖν ὁ κατὰ μηδεμίαν τῶν εἰρημένων προφάσεων κωλυόμενος, τῆς οἰκείας ἀφιστάμενος ἐπισκοπῆς, καὶ ὑπὲρ τὸν ἑξαμηνιαῖον χρόνον ἐν ἑτέρῳ διατρίβων τόπῳ, τῆς τοῦ Ἐπισκόπου τιμῆς τε καὶ ἀξίας ἀλλοτριω- C θήσεται παντελῶς. τὸν γὰρ τῆς ἐμπιστευθείσης αὐτῷ καταμελοῦντα ποίμνης, καὶ ἐν ἑτέρῳ ὑπὲρ τὸ ἑξάμηνον χρονοτριβοῦντα τόπῳ, ὥρισεν ἡ ἁγία Σύνοδος τῆς ἀρχιερωσύνης, δι' ἧς ποιμαίνειν ἐτάχθη, παντελῶς ἀλλότριον καθιστᾶναι, καὶ εἰς τὸν αὐτοῦ τῆς ἐπισκοπῆς τόπον ἕτερον ἀντ' αὐτοῦ προχειρίζεσθαι.

ΒΑΛΣ. Πολλάκις τινὲς Ἐπίσκοποι διὰ ἐπηρείας πακτορικὰς, ἢ διὰ ἐπιθέσεις γειτονούντων ἢ δι' ἀνυποταξίαν λαοῦ, παραιτοῦνται ἀπὸ μικροψυχίας τὰς οἰκείας ἐπισκοπάς. οἱ γοῦν μητροπολῖται τὰς τοιαύτας παραιτήσεις δεχόμενοι, ἑτέρους Ἐπισκόπους ἐχειροτόνουν· ἔστι δ' ὅτε καὶ πρὸ τοῦ καθεξετασθῆναι D τὰ παρά τινων κατ' αὐτῶν εἰσαγόμενα ἐγκληματικὰ αἰτιάματα, ἑτέρους ἐψηφίζοντο. φασὶ γοῦν οἱ πατέρες, ὡς ἐπεὶ τοῦτο στάσεων καὶ θορύβων ἐκκλησιαστικῶν ἐστὶ παραίτιον, ὁριζόμεθα, μὴ ψηφίζεσθαι Ἐπίσκοπον, ζῶντος τοῦ προέδρου τῆς ἐκκλησίας, εἰ μήπω ἀπὸ καθεξετάσεως ἀναφανῇ δεκτὴ ἡ τοῦ ζῶντος παραίτησις, ἢ καταδικασθῇ ἀπὸ Συνοδικῆς ἀποφάσεως. τηνικαῦτα γὰρ καὶ ζῶντος τούτου χειροτονηθήσεται ἕτερος. ὡς δέ τινος εἰπόντος, τί δὲ γενήσεται εἰς τὸν λαὸν τῆς ἐπισκοπῆς, ἐὰν ὁ προϊστάμενος ταύτης οὐ ποιεῖ παραίτησιν κανονικὴν, ἀλλὰ χρονοτριβεῖ ἔξω τῆς οἰκείας ἐπισκοπῆς. ἐπήγαγον, ὡς εἴ τις Ἐπίσκοπος ὑπὲρ τὸ E ἑξάμηνον ἀποδημήσει ἐκ τῆς ἐκκλησίας αὐτοῦ χωρὶς βασιλικῆς ἢ πατριαρχικῆς προστάξεως, ἢ δίχα βαρείας νόσου, μὴ παραχωρούσης αὐτῷ ἐκ τόπου εἰς τόπον μεταβαίνειν, ἀλλότριος τῆς ἀρχιερωσύνης γενήσεται, καὶ ἀντ' αὐτοῦ χειροτονηθήσεται ἕτερος. ἐπεὶ δὲ ἐκ τούτων μὲν ἀναφαίνεται παραδεκτέας εἶναι τὰς παρὰ τῶν Ἐπισκόπων ὁπωσδήποτε γινομένας παραιτήσεις· ἕτεροι δὲ κανόνες, καὶ αὐτὴ ἡ πρὸς Δόμνον ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου, ἤτοι τὸ αʹ. καὶ γʹ. κεφ. αὐτῆς, διορίζονται, μὴ ἀπεριμερίμνως τὰς τῶν Ἐπισκόπων παραιτήσεις δέχεσθαι· ὀφείλεις καὶ τὸν παρόντα κανόνα πρὸς ἐκεῖνα συμβιβάσαι. ἀνάγνωσον καὶ τὸ ιαʹ. κεφ. F τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. ὅτι δὲ τὸ μὲν βʹ. κεφ. τοῦ ηʹ. τίτλου τοῦ παρόντος συντάγματος· ἤτοι τὸ ἐν τούτῳ περιεχόμενον ιηʹ. καὶ ιθʹ. κεφ. τοῦ αʹ. τίτλου τοῦ γʹ. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ρκγʹ. Ἰουστινιανείου νεαρᾶς, δοκεῖ ἐναντιοῦσθαι τῷ παρόντι κανόνι, συνεζητήθη παρά τινων, τίνι προσέχειν ὀφείλομεν. δοκοῦσι δὲ ἐναντιοῦσθαι ἐν τούτοις. ὁ κανὼν ἐφιλοτιμήσατο εἰς ἀποδημίαν τῷ Ἐπισκόπῳ ἑξαμηνιαῖον καιρόν· ἡ νεαρὰ, εἰς χρονιαῖον διάστημα τοῦτον ἐφήπλωσεν. ἔτι ὁ κανὼν τοὺς ὑπὲρ τὸ ἑξάμηνον ἀποδημοῦντας ἐκ τῶν οἰκείων ἐκκλησιῶν ἀρχιερεῖς ἀσυζητήτως ἐξ αὐτῶν ἀλλοτριοῦσθαι διωρίσατο· ἡ νεαρὰ πρότερον δαπάνας ἀρχιερεῦσι μὴ χορηγεῖσθαι παρὰ τῆς οἰκονομίας, μετὰ τὴν χρόνου παραδρομὴν, παρεκελεύσατο, καὶ οὕτω μετακαλέσασθαι αὐτοὺς ὑπὸ τῶν οἰκείων κληρικῶν· καὶ εἰ μηδὲ οὕτω πεισθῶσιν, ἑτέρους χειροτονεῖσθαι. ὁ κανὼν ἐκχωρεῖ τοῖς ἀρχιερεῦσι καὶ πλέον τοῦ ἐνιαυτοῦ ἀποδημεῖν, παρὰ βασιλέων ἢ πατριαρχῶν κατεχομένοις, ἢ διὰ νόσον βαρεῖαν κωλυομένοις· ἡ νεαρὰ οὐδέν τι τοιοῦτον διαλαμβάνει. μᾶλλον μὲν οὖν τὸ ἐν μέρει τοῦ ϛ΄. Ἰουστινιανείου νεαρᾶς περὶ μόνου τοῦ βασιλέως περιεχόμενον, καὶ καταστρωθὲν παρὰ τοῦ Φωτίου ἐν τῷ ῥηθέντι β΄. κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος Συντάγματος, ἡ ἀνακάθαρσις οὐκ ἐδέξατο, ἀλλ' ἐδίωξεν· ἔδοξε γοῦν τὰ τοῦ κανόνος μᾶλλον ὀφείλειν κρατεῖν. ἐγὼ δὲ καὶ ἔτι ἀμφιβάλλω. καθὼς μὲν γάρ ἐστι τὸ ζήτημα ἐκκλησιαστικὸν, πρόσκειμαι τοῖς λέγουσιν ὀφείλειν μᾶλλον τὰ τοῦ κανόνος κρατεῖν· καθὸ δὲ τὰ βασιλικὰ ἀνεκαθάρθησαν μετὰ τὴν τοῦ νομοκανόνου ποίησιν, καὶ τὴν τοῦ κανόνος τούτου ἀπόλυσιν, πρόσκειμαι τῇ ἑτέρᾳ γνώμῃ.

Ετέρα ἑρμηνεία.

Ἐν τοῖς μὲν ἐγράψαμεν, ὀφείλειν τὰ τῷ παρόντι κανόνι περιεχόμενα, χάριν τῶν παραιτουμένων Ἐπισκόπων, ἐξακούεσθαι πρὸς τὰ κανονισθέντα παρὰ τοῦ ἁγίου Κυρίλλου, ἐν τῇ πρὸς Δόμνον ἐπιστολῇ· ὡς συγκροτούμενα καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου, διὰ τῆς γενομένης τηνικαῦτα ἐπιστολῆς πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον. σὺ δὲ γίνωσκε, ὅτι ταῦτα τὰ παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθέντα, οὐκ οἶδ' ὅπως παραβλέπονται. πολλοὶ μὲν γὰρ καὶ τὰς ὁπωσδήποτε γινομένας παρὰ τῶν Ἐπισκόπων παραιτήσεις, δεκτέας εἶναι θέλουσι, κατὰ τὸν παρόντα κανόνα. οἱ ἀκριβέστεροι δὲ, ἐκείνας τὰς παραιτήσεις λέγουσι εἶναι δεκτὰς, τὰς διαλαμβανούσας γίνεσθαι ταύτας διὰ τὴν ἀναξιότητα τῶν παραιτουμένων. ἐγὼ δὲ τοῖς παρὰ τοῦ ἁγίου Κυρίλλου διορισθεῖσιν ἕπομαι. εἰ γὰρ δοθῇ παραιτήσεις Ἐπισκόπων δέχεσθαι, πλείους τῶν Ἐπισκόπων οἱ ἀποεπίσκοποι ἔσονται διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν, ὅπερ πρὸς μεγάλην ὕβριν ἀφορᾷ τῆς ἐκκλησιαστικῆς εὐταξίας· ἐῶ γὰρ λέγειν καὶ τοῦ Θεοῦ. εἰ δὲ παραιτεῖσθαι θέλεις Ἐπισκόπους διὰ ἀποκάρσεως, καὶ διὰ τοῦ ἐπιλέξασθαι διαγωγὴν μοναδικὴν, καθὼς καὶ ὁ μέγας Γρηγόριος ὁ Θεολόγος ἐποίησε, καὶ περὶ τοιούτων παραιτήσεων λέγεις τὸν κανόνα ταῦτα διαλαμβάνειν, συντίθεμαι καὶ αὐτός. ἡ μέντοι παραίτησις τοῦ Μάκρης ἐκείνου θεοδούλου, δεχθεῖσα συνοδικῶς παρὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, μετὰ ἡμέρας ἠπράκτησεν ἐκ παρακλήσεως τοῦ Ἐπισκόπου, διὰ ψήφου συνοδικῆς, πατριαρχεύοντος τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου. ἰδὼν γὰρ ὁ τοιοῦτος πατριάρχης, τὴν παραίτησιν τοῦ Ἐπισκόπου μὴ διαλαμβάνουσαν, παραιτεῖσθαι τὸν Ἐπίσκοπον ὡς ἀνάξιον, ἀλλ' ὡς μὴ ἄξιον, εἶπεν, ὅτι ἀπαράδεκτος ἡ τοιαύτη ἀπαίτησις ἐστίν. οὐδὲ γὰρ ὁ μὴ ἄξιος εἰς τὸ ἱερουργεῖν, ἤδη καὶ ἀνάξιός ἐστι. καθὼς τοῦτο καὶ ὁ μέγας Βασίλειος, ἐν μιᾷ τῶν ἁγίων εὐχῶν τῆς ἱερᾶς ἁγιαστείας, φησὶν, οὕτω πῶς διαλαμβανούσης· οὐδεὶς ἄξιος, τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι καὶ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· καὶ διαγνοὺς, τὸν μὲν εἰπόντα ἑαυτὸν ἀνάξιον αὐτοκατάκριτον εἶναι, τὸν δὲ μὴ ἄξιον, ἐγκωμιασθητέον ὡς ταπεινόφρονα, ἐδικαίωσε τὸν Ἐπίσκοπον ἱερατεύειν, ὡς μὴ κατὰ κανόνας παραιτησάμενον. οἱ δὲ λέγοντες ὀφείλειν ὡς κανόνα τὴν περὶ τῶν παραιτήσεων μακρὰν συνήθειαν κρατεῖν, κακῶς λέγουσι. μακρὰ γὰρ συνήθεια ἄγραφος οὐ κρατεῖ, ἔνθα ἐγγράφῳ νόμῳ ἢ κανόνι ἐναντιοῦται. καὶ ζήτει τὰ γραφέντα παρ' ἡμῶν χάριν τούτου εἰς κεφάλ. γ΄. τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τινὲς, ὡς ἔοικε, πάλαι, ἢ αἰτιαμάτων ἁπλῶς λαληθέντων κατ' Ἐπισκόπων, ἢ παραιτήσεων παρ' αὐτῶν δοθεισῶν, πρὸ τοῦ τὰ αἰτιάματα ἐξετασθῆναι ἢ τὰς αἰτίας σκοπηθῆναι τῶν παραιτήσεων, ἑτέρους εἰς τὰς ἐκκλησίας τῶν

A poſt tempus elapſum, & ſic à ſuis Clericis accerſiri; & ſi non ſic perſuaſi fuerint, alios ordinari. Canon permittit Antiſtitibus etiam ultra annum abeſſe, ſi ab Imperatoribus vel à Patriarchis detineantur, vel propter gravem morbum prohibeantur: Novella nihil tractat ejuſmodi. Magis ergo quod in parte vi. Juſtiniani novellæ de ſolo Imperat. continetur, & à Photio in dicto ii. cap. viii. tit. præſentis operis ſitum eſt, repetita prælectio non recepit, ſed expulit; viſum eſt ergo Canonem potiùs ſervari oportere. Ego verò adhuc etiam dubito. Quatenus enim eſt quæſtio Eccleſiaſtica, ſto ab illis qui dicunt Canonem magis ſervari oportere: B Quatenus autem Baſilica repurgata ſunt poſt nomocanoni compoſitionem, & hujus Canonis editionem, alteri ſententiæ aſſentior.

ALTERA INTERPRETATIO.

In his quidem ſcripſimus ſervari oportere, quæ hoc Canone comprehenduntur, de Epiſcopis qui renunciant, præter ea quæ à ſancto Cyrillo in epiſtola ad Domnum conſtituta ſunt: ut quæ à ſancta & univerſali iii. Synodo diſcuſſa & examinata fuere, per Epiſtolam quæ tunc miſſa C erat ad ſynodum in Pamphilia. Tu autem ſcias quod hæc omnia, quæ à ſancto Cyrillo conſtituta ſunt, neſcio quomodo contemnuntur. Multi enim, etiam eas, quæ quomodocunque fiunt ab Epiſcopis, renunciationes, admittendas eſſe volunt, ut vult hic præſens Canon. Qui ſunt autem ſubtiliores, illas eſſe dicunt admittendas renunciationes, quæ continent eas fieri propter indignitatem eorum qui renunciant. Ego verò ea ſequor, quæ ſunt à ſancto Cyrillo definita. Si enim conceſſum fuerit, ut Epiſcoporum renunciationes citra curioſiorem examinationem admittantur, multi Epiſcopi Epiſcopos eſſe deſinent, propter rerum inæqualitatem; quod quidem ad magnam D ſtatûs Eccleſiaſtici ſpectat injuriam: ut de Dei contumelia nihil dicam. Si vis autem per tonſuram renunciare Epiſcopos, & eo quòd vitam Monaſticam elegerint, quemadmodum magnus quoque fecit Gregorius Theologus, & dicis hunc Canonem de iis renunciationibus dicere; aſſentior & ipſe. Renunciatio verò Macres illius ſervi Dei, ſynodaliter accepta ab illo Patriarcho domino Luca, aliquanto poſt tempore exolevit, Epiſcopi ſuaſione, per ſynodalem ſententiam, cum patriarchatum gereret ſanctiſſimus ille Patriarcha dominus Michaël Anchialus. Cùm videret enim ille Patriarcha, Epiſcopi E renunciationem non continere, Epiſcopum renunciare ut indignum, ſed ut non dignum; dixit non eſſe admittendam ejuſmodi renunciationem. Non enim qui utique non dignus eſt ſacrum facere, jam etiam indignus eſt; ſicut & magnus inquit Baſilius in una ratione ſacroſancti myſterii, quæ ſic ſe habet; Nemo eorum, qui carnalibus deſideriis & voluptatibus alligati ſunt, dignus eſt accedere & appropinquare, vel tibi miniſtrare, Rex gloriæ: & ſtatuens eum quidem, qui ſe dixit indignum, eſſe per ſe condemnatum, qui autem non dignum, laudandum ut humilem; æquum cenſuit, ut Epiſcopus ſacerdotis officio fungeretur, ut qui non Canonicè renunciaſſet. F Qui autem dicunt longam renunciationum conſuetudinem, perinde ac Canonem, valere debere, malè dicunt. Longa enim non ſcripta conſuetudo non valet, quando legi ſcriptæ vel Canoni adverſatur. Et quære quæ à nobis de ea re ſcripta ſunt, in iii. cap. primi tit. præſentis operis.

ZONAR. Quidam olim, ut credibile eſt, vel ex eo tantum, quod aliqua contra Epiſcopos crimina quiſpiam detuliſſet, vel quod ipſimet libellos renunciationis dediſſent, antequam vel de objectis criminibus quæſitum vel cauſæ renunciationis examinatæ fuiſſent, alios in eorum

Eccleſiis, qui accuſati fuerant, quive renunciationis libellos obtulerunt, Epiſcopos ſubrogabant: qua ex re ſeditiones in Eccleſiis ac tumultus excitabantur. Proinde igitur, qua in Eccleſia Epiſcopus eſt ſuperſtes, neq; proprio honore, hoc eſt, Epiſcopali dignitate, motus eſt, nullum in ea Epiſcopum alium conſtitui licere Synodus definivit. Oportet enim prius, inquit, ex præſcripto Canonum crimen, quod Epiſcopo intenditur, examinari ad exitúmque perduci, hoc eſt, ſententiam de illo ferri; eoque demum ex decretis Canonum depoſito, alterum in ejus Epiſcopatu denique ſubrogari. Idem Sardicenſis quoque Synodi iv. Can. conſtitutum eſt. Quod ſi quiſpiam Epiſcopus, jure Epiſcopatus retento, neque in curam paſcendi gregis incumbit, neque renunciat, ſi juſta illi forte aliqua cauſa ſit renunciationis; ſed ultra ſemeſtre temporis ſpatium alio in loco degit, is Epiſcopatu ſimul ipſaq; Epiſcopali dignitate excidet; niſi vel Imperatoris juſſu, ejus opera utentis, alicubi detineatur, vel neceſſariis Patriarchæ ſui miniſteriis occupetur, vel eouſq; difficili graviq; morbo oppreſſus decumbat, ut commovere ſeſe nullatenus queat. Tunc enim, quamvis procul ab Eccleſia ſua degenti, nihilominus ignoſcetur. Si vero, nulla ejuſmodi cauſa intercedente, ultra ſemeſtre ſpatium alibi abſens exegerit: altero in ejus Epiſcopatu ſuffecto, ſummi ſacerdotii dignitate ipſe privabitur.

Arist. *Nemo Epiſcopatum ullo modo invadat, cujus Præſul adhuc vivit. Cauſam enim illius, qui expellendus eſt, examinari prius oportet, & poſt depoſitionem alium promoveri. Si quis autem gregem ſuum neglexerit, & neque morbo, nec Imperiali nec Patriarchali juſſu detentus, ultra ſemeſtre ſpatium abfuerit, ab Epiſcopi dignitate ſimul ac honore alienus ſit.*

Canon XVII.

In omnibus boni eccleſiaſtici ordinis curam gerentes, hoc quoque definire neceſſarium duximus; ut nullus deinceps Laicus vel Monachus repentè ad Epiſcopalem altitudinem evehatur; ſed in Eccleſiaſticis gradibus primùm examinatus, ita Epiſcopalis dignitatis ordinationem ſuſcipiat. Etſi enim huc uſque quidam ex Monachis vel Laicis, exigente neceſſitate, Epiſcopali honore ſtatim digni facti ſunt, qui & virtute excellenti fuere, & ſuam Eccleſiam in altum extulère: id tamen, quod rarò evenit, Eccleſiæ legem nequaquam ſtatuentes, decernimus ut in poſterum hoc minimè fiat; niſi is, qui ritè ordinatur, per gradus Sacerdotales proceſſerit in unoquoque ordine tempus præſtitutum adimplens.

Bals. Confuſionem Eccleſiaſticam vocant patres, inconſideratè & abſque examinatione fieri aliquem Monachum vel Laicum Antiſtitem. Et ideo dicunt, non debere eorum quempiam ad Epiſcopatûs altitudinem provehi, niſi omnes priùs gradus Eccleſiaſticos, præſtituto & ſufficienti unicuique ordini tempore, pervaſerit. Adjiciunt autem, quòd etiamſi tale quid priùs factum ſit propter urgentem neceſſitatem, & qui electi & eodem die ordinati ſunt virtute clari extitere, & Eccleſias, quibus præfuerunt, exornavere; id tamen quod rarò fit non eſt lex Eccleſiæ, ut nos deinceps illud ſequi oporteat. Quia autem ſæpe fuit dubitatum, quantum eſt tempus præſtitutum, quod Canone declaratur: nonnulli quidem dicebant, quòd quoniam præſtantiſſimus Theologus magnus Gregorius, in orationibus de ſacerdotio dicit Sacerdotem vii. diebus perfici; debemus nos quoque ſi non plus certè neceſſariò id ipſum tempus in unoquoque gradu obſervare. Alii dicebant, x. Canonem Sardicenſis Synodi definire, nullum divitem vel ſcholaſticum è foro Epiſcopum conſtitui; niſi Lectoris & Presbyteri & Diaconi

A αἰτιαθέντων ἢ παραιτησαμένων ἐχειροτόνουν, ὅπερ στάσεις καὶ θορύβους ἐνεποίει ταῖς ἐκκλησίαις. Διὰ ταῦτα τοίνυν ἡ σύνοδος ὥρισε, μὴ χειροτονεῖσθαι Ἐπίσκοπον ἐν ἐκκλησίᾳ, ἧς ὁ Ἐπίσκοπος ζῇ, καὶ οὐκ ἀπεκινήθη τῆς ἰδίας τιμῆς, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας. δεῖ γάρ, φησι, πρότερον κανονικῶς ἐξετάζεσθαι τὴν αἰτίαν τὴν κατ' αὐτοῦ ἐπαγομένην, καὶ εἰς πέρας ἄγεσθαι, τουτέστιν εἰς ἀπόφασιν, καὶ ὅτε κανονικῶς ἐκεῖνος καθαιρεθῇ, ἕτερον χειροτονεῖσθαι εἰς τὴν ἐπισκοπήν. ὁμοίως φησὶ καὶ ὁ τέταρτος κανὼν τῆς ἐν Σαρδικῇ συνόδου. εἰ δέ τις Ἐπίσκοπος τοῦ δικαίου τῆς ἐπισκοπῆς ἀντεχόμενος, οὔτε τὸν οἰκεῖον ποιμαίνει λαόν, οὔτε B παραιτεῖται, εἰ εὔλογον αἰτίαν ἴσως ἔχει παραιτήσεως, ἀλλὰ πλέον ἓξ μηνῶν ἐν ἑτέρῳ διατρίβει τόπῳ, ἐκπεσεῖται καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀξίας αὐτῆς, εἰ μή που ἢ ἐκ βασιλικοῦ προστάγματος κατέχεται διά τινα χρείαν, ἢ τῷ οἰκείῳ Πατριάρχῃ ἀναγκαίως ὑπηρετεῖ, ἢ νόσῳ τινὶ χαλεπῇ καὶ βαρείᾳ συνέχεται, καὶ τοιαύτῃ, ὡς ἀκινησίας αὐτῷ αἰτίαν γίνεσθαι. τότε γὰρ συγγνώμην ἕξει ἀποδημῶν τῆς ἐκκλησίας αὐτοῦ. ἄνευ δὲ τῶν τοιούτων αἰτιῶν ἀποδημῶν ὑπὲρ τὸ ἑξάμηνον, καὶ ἀλλαχοῦ διατρίβων, ἀλλοτριωθήσεται τῆς ἀρχιερωσύνης, καὶ ἕτερος εἰς τὴν ἐπισκοπὴν ἐκείνην ἀντικατασταθήσεται. C

ΑΡΙΣΤ. Κατὰ μηδένα τρόπον ἐπιβαινέτω τις ἐπισκοπῆς, ἧς ὁ προεστὼς ἔτι ζῇ. δεῖ γὰρ τὴν αἰτίαν πρότερον ζητεῖσθαι τοῦ μέλλοντος ἐκδιώκεσθαι, καὶ μετὰ καθαίρεσιν ἕτερον προβιβάζεσθαι. εἰ δέ τις ἀμελοίη τῆς ἰδίας ποίμνης, καὶ μήτε νόσῳ, ἢ βασιλικῷ, ἢ πατριαρχικῷ κελεύσματι κατεχόμενος, ὑπὲρ ἑξαμηνιαῖον ἀποδημήσει χρόνον, τῆς τοῦ Ἐπισκόπου ἀξίας καὶ τιμῆς ἤτω ἀλλότριος.

ΚΑΝΩΝ. ιζ΄.

D Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας φροντίζοντες, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐθέμεθα, ὥστε τοῦ λοιποῦ μηδένα τῶν λαϊκῶν ἢ μοναχῶν ἀθρόον εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀνάγεσθαι, ἀλλὰ ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξεταζόμενον πρότερον, οὕτω τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑποδέχεσθαι. εἰ γὰρ καὶ μέχρι τοῦ νῦν ἀπὸ τῶν μοναχῶν ἢ λαϊκῶν τινες, ἀπαιτούσης χρείας, παραυτίκα τιμῆς ἄξιοι γεγόνασιν ἐπισκοπικῆς, ἀρετῇ τε διαπρέψαντες, καὶ τὰς κατ' αὐτοὺς ἐκκλησίας ὑψώσαντες, ἀλλά τό γε σπάνιον οὐδαμοῦ νόμον τῆς ἐκκλησίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι τοῦτο γίνεσθαι· εἰ μὴ κατὰ λόγον ὁ χειροτονούμενος E διὰ τῶν ἱερατικῶν προέλθοι βαθμῶν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον ἀποπληρῶν.

ΒΑΛΣ. Ἀταξίαν ἐκκλησιαστικὴν οἱ πατέρες καλοῦσι τὸ, ἀπεριασκέπτως καὶ δίχα δοκιμασίας γίνεσθαι τινὰ μοναχὸν ἢ λαϊκὸν ἀρχιερέα. διό φασι, μὴ προαναβιβάζεσθαί τινα ἐξ αὐτῶν εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος, εἰ μὴ πάντας πρότερον τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς διέλθῃ, διὰ τοῦ νενομισμένου καὶ ἀρκοῦντος καιροῦ ἑκάστῳ τάγματι. προστιθέασι δὲ, ὡς εἰ καὶ πρότερον γέγονέ τι τοιοῦτον διὰ κατεπείγουσαν χρείαν, καὶ οἱ ἐκλεγέντες καὶ αὐθημερὸν χειροτονηθέντες διέλαμψαν ἐπ' ἀρετῇ, καὶ τὰς ἐκκλησίας ἐκόσμησαν ὧν προέστησαν, ἀλλὰ τὸ σπανίως γινόμενον F νόμος τῆς ἐκκλησίας οὐκ ἔστιν, ὥστε τούτῳ ἀκολουθεῖν ἡμᾶς καὶ ἐφεξῆς. ἐπεὶ δὲ γέγονε πολλάκις ἀμφιβολία περὶ τοῦ πόσος ἐστὶν ὁ τῷ κανόνι δηλούμενος νενομισμένος καιρός· τινὲς μὲν εἶπον, ὡς ἐπεὶ ὁ ἐν θεολογίᾳ διαλάμψας μέγας Γρηγόριος ἐν τοῖς περὶ ἱερωσύνης λόγοις λέγει τελεῖσθαι δι' ἑπτὰ ἡμερῶν τὸν ἱερέα, ὀφείλομεν παρατηρεῖν καὶ ἡμεῖς, εἰ μὴ πλείονα, ἀλλὰ δὴ ἀνάγκης τέως τὸν αὐτὸν καιρὸν ἐφ' ἑκάστῳ βαθμῷ. ἕτεροι εἶπον, ὡς ὁ ι΄. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται, μηδένα πλούσιον ἢ σχολαστικὸν ἀπὸ τῆς ἀγορᾶς καθίστασθαι Ἐπίσκοπον, εἰ μὴ ἀναγνώστου καὶ πρεσβυτέρου καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσῃ, ἐν ἑκάστου τάγματος βαθμῷ οὐκ ἐλαχίστου χρόνου διαβιβαζόμενος. ἐχρήσαντο δὲ καὶ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ κεφάλαιον πρῶτον τῆς ρλζ΄. Ἰουστινιανείου νεαρᾶς, λέγοντι ἐν μέρει, μὴ ψηφίζεσθαι ταξεώτην ἢ πολιτευόμενον ἄλλως, εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐτῶν μοναχικὸν βίον ἀδιαβλήτως ἐξετέλεσε. καὶ ἐνέστησαν εἶναι νενομισμένον καιρὸν τὸν πεντεκαιδεκαετῆ. ἐμοὶ δὲ δοκεῖ, ὡς ἡ μὲν νεαρὰ περὶ ταξεωτῶν καὶ πολιτευομένων τὸν λόγον ποιεῖται· ὁ δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου περὶ τῶν ἀπὸ ἀγορᾶς πλουσίων, καὶ περὶ τοὺς λόγους σχολαστικῶν, διαλαμβάνει· οὐ μέντοιγε καὶ περὶ πάντων τῶν μοναχῶν ἢ τῶν λαϊκῶν. καὶ εἰσὶ καὶ ἄμφω ἀμέτοχα. ἀνάγνωθι οὖν τὴν ρκβ΄. Ἰουστινιάνειον νεαρὰν περὶ τὰς ἀρχὰς λέγουσαν οὕτω· δίδομεν δὲ ἄδειαν τοῖς τὰ ψηφίσματα ποιουμένοις, εἴ τινα κοσμικὸν, δίχα κοσμικοῦ καὶ ταξεώτου, ἄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίζουσι, τὸν τοιοῦτον ἅμα ἄλλοις δύο κληρικοῖς ἢ μοναχοῖς ἐπιλέξασθαι· οὕτω μέντοι, ἵνα κοσμικὸς, ὁ τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς, μὴ εὐθέως Ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν τῆς ἐκκλησίας λειτουργίαν διδαχθεὶς, Ἐπίσκοπος χειροτονηθῇ. καὶ μετά τινα, πάλιν ταῦτά φησι· εἰ δέ τις παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν Ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν τοῦτον πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι, ἀλλὰ κἀκεῖνον, ὅστις παρὰ ταῦτα ἐτόλμησε χειροτονῆσαι, χωρίζεσθαι ἐπὶ ἕνα ἐνιαυτὸν τῆς ἱερατικῆς λειτουργίας, καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν, ἥτις καθ' οἱονδήτινα χρόνον ἢ τρόπον εἰς τὴν αὐτοῦ δεσποτείαν περιῆλθε, διὰ τὸ πταῖσμα ὃ ἐποίησε, τῇ δεσποτείᾳ τῆς ἐκκλησίας, ἧς Ἐπίσκοπός ἐστιν, ἐκδικεῖσθαι. ὥστε εἰ μὴ ἐμποδίζοι τὸ μὴ καταστρωθῆναι τὴν τοιαύτην νεαρὰν εἰς τὰ βασιλικὰ, ἐκ ταύτης πῶς τὸ περὶ τῶν λαϊκῶν ἀμφίβολον λύεται. νομίζω δὲ ἐκ τούτου, μηδὲν εἶναι τὸ ἐμποδὼν τῇ ἐπιλύσει τῆς ἀμφιβολίας· διὸ καὶ καταφεύγω εἰς τὸ παρὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου ὑποτυπωθὲν χάριν τῆς τελειώσεως τῶν ἱερέων, καὶ λέγω ἐξ ἀνάγκης ὀφείλειν δι' ἑπτὰ ἡμερῶν τὴν ἑκάστου βαθμοῦ τελεῖσθαι χειροτονίαν καὶ μᾶλλον ὅτι καὶ ἡ ἄγραφος ἐκκλησιαστικὴ συνήθεια τοῦτο παραδεξαμένη τὰς τῶν βαθμῶν χειροτονίας ἐνεργεῖ. ἀνάγνωθι καὶ τὸ κγ΄. κεφάλαιον τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος. καὶ σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐν τοῖς ἐκκλησιαστικοῖς τάγμασιν, οἱ μοναχοὶ οἱ μὲν δεξάμενοι σφραγίδα Ἐπισκόπου λαϊκοῦ τόπον ἐπέχουσιν.

ΖΩΝΑΡ. Κωλύει ὁ κανὼν τὸ εἰς Ἐπίσκοπον χειροτονεῖσθαί τινα λαϊκὸν ἢ μοναχὸν, μὴ πρότερον ἐν τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξετασθέντα, ἤγουν ταχθέντα, δοκιμασθέντα. βούλεται γὰρ τὸν εἰς ἐπισκοπὴν προβιβασθήσεσθαι μέλλοντα κατὰ τάξιν εἰς ἕκαστον τῶν ἱερατικῶν βαθμῶν προχειρίζεσθαι, καὶ πληροῦν ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον, καὶ οὕτως εἰς τὸ τῆς ἐπισκοπῆς ἀνάγεσθαι ὕψος. εἰ γὰρ καὶ ἔφθασαν, φησι, τινὲς ἀπὸ λαϊκῶν ἢ μοναχῶν αὐτίκα εἰς ἐπισκοπικὸν ἀναχθῆναι ἀξίωμα, καὶ ἀρετῇ τε διέλαμψαν καὶ τὰς ἐκκλησίας ἐκόσμησαν, ὧν προέστησαν· ἀλλὰ τὸ σπανίως συμβὰν οὐ νόμον τῆς ἐκκλησίας τιθέμεθα, ὥστε τούτῳ ἀκολουθεῖν. καὶ ὁ δέκατος δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου ὁμοίως διετάξατο.

ΑΡΙΣΤ. Ὁ χειροτονηθησόμενος Ἐπίσκοπος μὴ ἀθρόον ἐκ λαϊκῶν, ἢ μοναχῶν ὑψούσθω· ἀλλ' ἐν ἑκάστῳ τάγματι τῶν ἱερατικῶν βαθμῶν τὸν νενομισμένον ἀποπληρούτω χρόνον. εἰ γὰρ καί τινες ἀθρόον ὑψωθέντες διέπρεψαν, ἀλλ' οὐ νόμος ἐκκλησίας τὸ σπάνιον.

miniſterium peregerit, in uniuſcujuſque ordinis gradu non minimo tempore tranſmiſſo. Uſi ſunt autem & ſeptimo capite primi tituli tertii libri Baſilic. quod quidem eſt primum caput centeſimæ trigeſimæ ſeptimæ Juſtiniani Novellæ, quæ dicit præciſe; non ordinandum apparitorem, vel publicis muneribus aliter addictum, niſi in monaſterio non minus quàm xv. annis vitam monaſticam abſque reprehenſione peregerit: & inſtabant præſtitutum tempus eſſe xv. annos. Mihi autem videtur novella quidem loqui de tribunis militum acieive inſtructoribus, & iis qui rempublicam adminiſtrant: Sardicenſis autem Synodi Canon de divitibus ex foro, & ſcholaſticis in dicendo, tractat: ſed non de omnibus Monachis vel Laicis. Et utraque etiam inter ſe diſſident. Lege ergo cxxii. Juſtiniani novellam in principio ſic dicentem; Damus autem poteſtatem iis, qui electionem faciunt, ut abſque curiali & præſidis apparitore, ſi quem ſecularem prædicta electione dignum exiſtimaverint, eum ſimul cum aliis duobus Clericis vel Monachis eligant, ut ſecularis hoc modo ad Epiſcopatum electus, non protinus Epiſcopus ordinetur; ſed primùm Clericis non minùs quàm tribus menſibus connumeretur, & ſic ſanctos Canones & ſacrum Eccleſiarum miniſterium edoctus, Epiſcopus ordinetur. Et poſt aliquantum rurſus hæc dicit; Si quis autem præter memoratam obſervationem Epiſcopus ordinatus fuerit, jubemus eum omnino Epiſcopatu expelli: ſed & illum, quicunque præter hæc ordinare auſus fuerit, à ſacerdotali miniſterio anno uno ſeparari, & omnes facultates, quæ quocunque tempore vel modo in ſuum dominium venerunt, propter errorem quem commiſit, Eccleſiæ dominio, cujus eſt Epiſcopus, addici. Quare ſi non impedit, quòd hæc Novella in Baſilica non relata ſit, ex ea de Laicis dubitatio nunc ſolvitur. Exiſtimo autem hoc nihil afferre impedimenti ſolutioni dubii: & ideo confugio ad id quod à ſancto patre noſtro Gregorio Theologo de ſacerdotum profectione ſcriptum eſt, & dico neceſſariò per ſeptem dies uniuſcujuſque gradus fieri ordinationem, & eo magis quòd etiam non ſcripta Eccleſiaſtica conſuetudo, hoc ſuſcepto, ſic graduum ordinationes facit. Lege & xxiii. cap. primi tituli præſentis operis. Et nota ex hoc Canone, in Eccleſiaſticis ordinibus Monachos qui quidem Epiſcopi Characterem acceperunt, locum Laici obtinere.

Zonar. Laicum hominem aut Monachum, niſi qui prius in Eccleſiaſticis ordinibus recenſitus ſit, hoc eſt, conſtitutus & probatus, Epiſcopum ordinari hic Can. vetat. Sed eum, qui ad epiſcopatum ſit evehendus, ſingulis Eccleſiaſticis gradibus ordine adſcribi, & conſtitutum in unoquoque tempus implere; itaque demum ad epiſcopale faſtigium extolli placet. Nam etſi quidam, inquit, ex Laicorum Monachorumve numero ad epiſcopalem dignitatem, non expectato temporum intervallo, confeſtim evecti ſunt, iique & virtute præluxerunt, & Eccleſiis, quibus præfecti dati ſunt, ornamento fuere; tamen quod haud ita ſæpe contingit, id nos pro lege, quam ſequi oporteat, accipi nequaquam jubemus. Idem Sardicenſis quoque Synodi decimo Canone conſtitutum reperias.

Ariſt. *Qui Epiſcopus ordinandus eſt, è Laicis aut Monachis confeſtim ne evehatur: verum in unoquoque graduum Eccleſiaſticorum ordine tempus legibus conſtitutum adimpleat. Etiamſi enim nonnulli confeſtim evecti præclarè ſe geſſerunt, quod tamen raro accidit non eſt Eccleſiæ lex.*

A

CANONES EDITI A SANCTA SYNODO, QUÆ in celebri templo, cui nomen à verâ Dei ſapientiâ inditum, habita eſt, & Oecumenicam vii. ſynodum confirmavit, omnémque ſchiſmaticum & hæreticum errorem expulit.

CANON I. B

*S*Tatuit *ſancta & univerſalis Synodus, ut ſi qui ex Italiæ Clericis, vel Laicis, vel Epiſcopis, in Aſia, vel Europa, vel Libya verſantes ſub ligatione, vel depoſitione, vel anathematizatione apud ſanctiſſimum papam Joannem fuerunt; ut ii quoque ſint apud Photium ſanctiſſimum Patriarcham Conſtantinopolitanum in eadem pœnæ definitione, id eſt, vel depoſiti, vel anathematizati, vel ſegregati: & quos Photius quidem ſanctiſſimus noſter Patriarcha, Clericos, vel Laicos, vel Epiſcopalis* C *vel Sacerdotalis ordinis, in quacunque parœcia, ſegregationi, vel depoſitioni, vel anathematizationi ſubjecerit; ſanctiſſimus quoque papa Joannes, & ſancta Dei Romanorum Eccleſia, eoſdem in eodem pœnæ judicio habeat; privilegiis, quæ ſanctiſſimæ Romanorum Eccleſiæ ſedi, & ejus Antiſtiti adſunt, nihil penitus innovatis, nec nunc nec in poſterum.*

BALS. Quidam excommunicati, vel alii pœnæ Eccleſiaſticæ condemnationi ſubjecti, à veteris Romæ ſede ad Conſtantinop. ſedem accedebant; & contra. Et quoniam ex eo ſcandala inter duas Eccleſias oriebantur, D ea hujus univerſalis Synodi tempore ad eam relata ſunt. Ad omne ergo tollendum ſcandalum ſtatuerunt patres, ut qui quomodocunque à Papa ſunt condemnati, ii ſint apud Patriarcham quoque Conſtantinopolitanum condemnati; & vice verſâ. Tanquam autem dixiſſet Italus quiſpiam; hæc ad circumvenienda veteris Romanæ ſedis privilegia decerni, propterea quòd inducatur æqualitas; adjecerunt, nihil penitus innovata in poſterum ſervari ejus privilegia, & ejus Antiſtitis honorem. Quoniam autem rogaverunt nonnulli, cùm Canon duorum tantum magnorum Antiſtitum meminerit, quid fiet de aliis Patriarchis? E dicimus communiter & propter omnes editum eſſe Canonem. Nam alii quoque Canones ſimiliter decernunt eſſe excommunicatum Epiſcopum, qui ab alio Epiſcopo ſegregatos ſuſcipit, vel aliqua alia pœna affectos; eo quòd omnes Dei Eccleſiæ unum corpus reputentur. Quæ autem ſunt in præſenti Canone ſpecialiter ſcripta ſunt, propter ſcandala quæ tunc contigerunt, eo quòd Patriarcha Photius ſæpe ex throno Patriarchali dejectus eſt, & ſæpe reſtitutus: & ideo multa ſchiſmata inciderunt.

F ZONAR. Cum inter Romæ antiquæ Papam, & novæ hujus Conſtantinopolios Patriarcham controverſiæ nihil exiſtere, atque inter ipſos quam optime convenire, Synodi Patres optarent, (erant enim adhuc quidem, & ſententiarum opinione, & rei Eccleſiaſticæ concordi adminiſtratione, conjuncti) quicunque ex Italia Clerici, aut Laici, aut Epiſcopi à Papa ligati, hoc eſt, quicunque ſegregatione, quique depoſitione, aut anathemate mulctati fuiſſent, ſive in Aſia, hoc eſt, in Oriente, ſive in Europa, hoc eſt, in Occidente, ſive in Libya degerent: (nam ea quoque tunc temporis hujus reginæ urbium imperio ſubjecta erat) apud ipſum quoque Photium, qui Patriar-

ΚΑΝΟΝΕΣ ΕΚΤΕΘΕΝΤΕΣ ΠΑΡΑ τῆς ἁγίας συνόδου, τῆς ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ Θεοῦ λόγου σοφίας συστάσης, καὶ τὴν ζ΄. καὶ οἰκουμενικὴν σύνοδον βεβαιωσάσης, πᾶσαν δὲ σχισματικὴν καὶ αἱρετικὴν πλάνην ἀπελασάσης.

ΚΑΝΩΝ α΄.

ΩΡΙΣΕΝ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ὥστε εἴ τινες τῶν ἐξ Ἰταλίας κληρικῶν, ἢ λαϊκῶν, ἢ Ἐπισκόπων, ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν παρὰ τοῦ ἁγιωτάτου Πάπα Ἰωάννου, ἐγένοντο ἵνα ὦσιν οἱ τοιοῦτοι καὶ παρὰ Φωτίου τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ, τουτέστιν ἢ καθῃρημένοι, ἢ ἀναθεματισμένοι, ἢ ἀφωρισμένοι. καὶ οὓς μέντοι Φώτιος ὁ ἁγιώτατος ἡμῶν Πατριάρχης κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, ἐν οἱᾳδήποτε παροικίᾳ ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν ποιήσεται ἵνα ἔχῃ αὐτοὺς καὶ ὁ ἁγιώτατος Πάπας Ἰωάννης, καὶ ἡ κατ᾽ αὐτὸν ἁγία τοῦ Θεοῦ Ῥωμαίων ἐκκλησία, ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας κρίματι, μηδὲν τῶν προσόντων πρεσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων ἐκκλησίας, καὶ τῷ ταύτης προέδρῳ, τὸ σύνολον καινοτομουμένων, μήτε νῦν, μήτε εἰς τὸ μετέπειτα.

ΒΑΛΣ. Τινὲς κατακρινόμενοι ἀκοινωνησίᾳ, ἢ ἑτέρᾳ καταδίκῃ ἐπιτιμίου ἐκκλησιαστικοῦ καθυποβαλλόμενοι, παρὰ τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης, προσήρχοντο τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως· καὶ τὸ ἀνάπαλιν. καὶ ἐπεὶ ἐκ τούτου σκάνδαλα μέσον τῶν δύο ἐκκλησιῶν ἀνεφύοντο, ἐλαλήθησαν τὰ περὶ τούτου κατὰ τὸν καιρὸν τῆς οἰκουμενικῆς ταύτης Συνόδου. εἰς περιαίρεσιν οὖν σκανδάλου παντὸς ὥρισαν οἱ πατέρες, τοὺς ὁπωσδήποτε κατακριθέντας παρὰ τοῦ Πάπα εἶναι καὶ παρὰ τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως καταδεδικασμένους· καὶ τὸ ἀνάπαλιν. ὡς δέ τινος τῶν ἐξ Ἰταλίας εἰπόντος, ἐπὶ περιγραφῇ τῶν προνομίων τοῦ θρόνου τῆς παλαιᾶς Ῥώμης ταῦτα θεσπίζεσθαι, διὰ τὴν ἐξίσωσιν, προσέθεντο ἀκαινοτόμητα συντηρεῖσθαι εἰς τὸ ἑξῆς τὰ πρεσβεῖα, καὶ τὴν τιμὴν τοῦ προέδρου αὐτῆς. ἐπεὶ δὲ ἠρώτησάν τινες, ὡς τοῦ κανόνος μόνων τῶν δύο μεγάλων ἀρχιερέων μεμνημένου, τί γενήσεται εἰς τοὺς ἄλλους πατριάρχας; φαμὲν, κοινῶς καὶ διὰ πάντας ἐκφωνηθῆναι τὸν κανόνα. ὅτι καὶ ἕτεροι κανόνες παρομοίως διορίζονται ἀκοινώνητον εἶναι τὸν προσδεχόμενον Ἐπίσκοπον τοὺς παρὰ ἑτέρου Ἐπισκόπου ἀφορισθέντας, ἢ καὶ ἄλλως ἐπιτιμηθέντας, διὰ τὸ ἓν σῶμα λογίζεσθαι πάσας τὰς τοῦ Θεοῦ ἐκκλησίας. ἐγράφησαν δὲ τὰ ἐν τῷ παρόντι κανόνι ἰδικῶς, διὰ τὰ τότε συμπεσόντα σκάνδαλα ἐκ τοῦ πολλάκις καταβιβασθῆναι τὸν Πατριάρχην Φώτιον ἐκ τοῦ πατριαρχικοῦ θρόνου καὶ πολλάκις ἀποκατασταθῆναι κἀντεῦθεν πολλὰ σχίσματα συμπεσεῖν.

ΖΩΝΑΡ. Μὴ διαφέρεσθαι θέλοντες οἱ τῆς συνόδου πρὸς ἀλλήλους τόν τε τῆς πρεσβυτέρας Ῥώμης Πάπαν καὶ τὸν τῆς νέας ταύτης τῆς Κωνσταντινουπόλεως Πατριάρχην, ἀλλ᾽ ὁμονοεῖν ἀλλήλοις· ἔτι γὰρ ἦσαν ὁμόδοξοι καὶ ὁμόθρονοι· ὥρισαν καὶ τοὺς ὑπὸ τοῦ Πάπα δεδεσμημένους, ἤγουν ἀφωρισμένους, καὶ τοὺς καθῃρημένους, καὶ τοὺς ἀναθέματι ὑποβεβλημένους ἐκ τῶν ἐξ Ἰταλίας κληρικῶν ἢ λαϊκῶν, ἢ Ἐπισκόπων, κἂν ἐν τῇ Ἀσίᾳ διάγοιεν, ἤτουν τῇ ἀνατολῇ, κἂν ἐν τῇ Εὐρώπῃ, ἤγουν τῇ δύσει, κἂν ἐν τῇ Λιβύῃ (κἀκείνη γὰρ τότε ὑπὸ τὰ δίκαια τῆς βασιλείας ταύτης ἐτέλει) εἶναι ὑπὸ τὸ αὐτὸ ἐπιτίμιον τοῦ ἀφορισμοῦ ἢ τῆς καθαιρέσεως, ἢ τοῦ ἀναθέματος, καὶ παρὰ Φωτίῳ τῷ τότε

πατρι-

A πατριαρχοῦντι ἐν Κωνσταντινουπόλει. Ἰταλία δ' ἐστὶν ἡ πᾶσα χώρα ἡ περὶ τὴν Ῥώμην, καὶ ἡ κατ' ταύτην διοίκησις. Ῥώμη δὲ καλεῖται ἡ πόλις, ἐκ τοῦ ταύτην δομησαμένου Ῥωμύλου κληρωσαμένη ὄνομα. καὶ οὕτως δὲ τοὺς ὑπὸ τοῦ Πατριάρχου Φωτίου ἀπανταχοῦ, φασι, κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοὺς ἐξ ἱεραρχικοῦ τάγματος γινομένους ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, ἔχειν αὐτοὺς καὶ τὸν ἁγιώτατον Πάπαν καὶ τὴν τῶν Ῥωμαίων ἐκκλησίαν ἐν τῷ αὐτῷ ἐπιτιμίῳ. τὰ δὲ πρεσβεῖα, ἤγουν τὴν προτίμησιν, καὶ τὰ προνόμια, ὧν ἠξιώθη, ἔχειν τὴν Ῥωμαίων ἐκκλησίαν ἀκαινοτόμητα. Ἀλλὰ ταῦτα τότε, ὅτε B οὔπω περὶ τὴν πίστιν ἡ Ῥωμαίων ἐκκλησία ἐσφάλλετο καὶ πρὸς ἡμᾶς διεφέρετο· νῦν δὲ ἡμῖν τὰ πρὸς ἐκείνην ἀσύμβατα.

ΑΡΙΣΤ. Ὁ ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀνάθεμα, παρά τε Ῥώμης γινόμενος, καὶ παρὰ Κωνσταντινουπόλεως, οὕτω μενέτω.

ΚΑΝΩΝ β΄.

Εἰ καὶ μέχρι νῦν ἔνιοι τῶν ἀρχιερέων εἰς τὸ τῶν μοναχῶν κατιόντες σχῆμα ἐν τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, καὶ τοῦτο πράττοντες παρεωρῶντο· ἀλλ' οὖν ἡ ἁγία C καὶ οἰκουμενικὴ αὕτη Σύνοδος τοῦτο ῥυθμίζουσα τὸ παρόραμα, καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν, ἵνα εἴ τις Ἐπίσκοπος, ἢ εἴ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος, πρὸς τὸν μοναδικὸν θελήσει κατελθεῖν βίον, καὶ τὸν τῆς μετανοίας τόπον ἀναπληρῶσαι, μηκέτι λοιπὸν τῆς ἀρχιερατικῆς ἀντιποιεῖσθαι ἀξίας. αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς ἐπέχουσι λόγον καὶ μαθητείας, ἀλλ' οὐχὶ διδασκαλίας ἢ προεδρίας, οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. διὸ, καθὰ προείρηται, θεσπίζομεν, μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων εἰς τὴν D τῶν ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζεσθαι· εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι, μετὰ τὴν ἐκφώνησιν καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ διὰ τῶν ἔργων ἠθέτησεν, ἀξίωμα ἐπαναστρέψει.

ΒΑΛΣ. Περὶ Ἐπισκόπων θελόντων καὶ μετὰ τὴν ἀπόκαρσιν ἐνεργεῖν ἀρχιερατικὰ δίκαια οὐκ ἐγράφη κανών. καὶ διὰ τοῦτο ἐπεχείρουν τινὲς Ἐπίσκοποι μετὰ τὸ ἀποκαρῆναι ἔχειν τὰ τῶν Ἐπισκόπων προνόμια, παρὰ τὴν κρατήσασαν ἄγραφον E ἐκκλησιαστικὴν συνήθειαν. τοῦτο οὖν διορθούμενοι οἱ ἅγιοι πατέρες, εἶπον, ὡς ἐπεὶ τὸ μὲν ὕψος τῆς ἀρχιερωσύνης διδασκαλικόν ἐστιν ἀξίωμα· τὸ δὲ μοναχικὸν ἐπάγγελμα μαθητείας καὶ ὑποταγῆς ἔργον, καὶ ἀδύνατόν ἐστι τὸν ὑποτακτικὸν ἐπὶ θρόνου καθῆσθαι καὶ διδάσκειν· χρεὼν ἐστὶ τὸν ἀποστάντα ἐκ τοῦ ὕψους τῆς ἀρχιερωσύνης, καὶ καταγνόντα δῆθεν ἑαυτοῦ, καὶ πρὸς μετάνοιαν ἀποδιδόντα, καὶ διὰ τοῦ μοναχικοῦ σχήματος ὑποταγὴν ἐπαγγελλόμενον, μὴ ἐνεργεῖν διδασκαλικόν τι, καὶ ἀντὶ τοῦ ποιμαίνεσθαι, ἐπιχειρεῖν ἄλλους ποιμαίνειν· τὸν δὲ τοῦτο ποιῆσαι ἐπιχειρήσοντα, μὴ παραχωρεῖσθαι ἀρχιερατικόν τι ἐνεργεῖν, ὅτι αὐτὸς ἑαυτὸν διὰ τῆς ἀποκάρσεως ἐκ τούτου ἀπεξένωσεν. εἶπον F δὲ οἱ πατέρες περὶ τῶν ἀρχιερέων τὸ, μὴ καταβιβάζειν ἑαυτοὺς εἰς χώραν μετανοούντων, καὶ τὸ, εἰ δέ τις τολμήσειε τοῦτο πρᾶξαι, οὐκ ἀπαγορεύοντες τὴν μετάνοιαν, ὡς στυγητόν τι πρᾶγμα καὶ ἀποτρόπαιον· (τοῦτο γὰρ καὶ πολλοῦ ἐπαίνου ἐστὶν ἄξιον) ἀλλὰ παραγγέλλοντες τοιούτους εἶναι τοὺς ἀρχιερεῖς καὶ οὕτω βιοῦν, ὡς μὴ δεῖσθαι μετανοίας σχεδὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις διὰ τῶν οἰκείων ἐντεύξεων τὸ θεῖον ἐξιλεοῦν. ἐζητήθη δὲ, εἰ μοναχὸς μετὰ τὴν ἀρχιερωσύνην ἀξιωθεὶς τοῦ μεγάλου σχήματος, δύναταί τι ἐνεργεῖν ἐπισκοπικόν.

chatum eo tempore Conſtantinopoli gerebat, ſegregationis, vel depoſitionis, vel anathematis iiſdem pœnis conſtrictos teneri decreverunt. Italiæ vero nomine, univerſam circa Romam regionem, eique adjunctam diœceſim intelligimus. Roma porro ipſa urbs dicitur, à Romulo, qui eam condidit, appellationem ſortita. Quique viciſſim, aiunt, à Photio Patriarcha, ubicunque locorum, Clerici, vel Laici, vel ex Antiſtitum ordine ſegregationi, depoſitioni, aut anathemati ſubjicientur; à ſanctiſſimo quoq; Papa & Romanorum Eccleſia eidem pœnæ obnoxios exiſtimari. Prærogativas autem, hoc eſt, primum honoris locum, aliáque privilegia, quibus Romanorum Eccleſiæ honeſtata fuit, inviolata ſervari placet. Sed hæc jam olim, cum in iis, quæ fidei ſunt, Romanorum Eccleſia nihil errabat, neque à nobis interea diſſidebat. Nunc vero nobis cum illa non convenit.

ARIST. *Qui ſub vinculo, vel depoſitione, vel anathemate, & apud Romam & Conſtantinopolin fuit, ita maneat.*

CANON II.

Etiamſi hucuſque nonnulli Antiſtites, qui ad Monachorum habitum deſcenderant, ut in Epiſcopali faſtigio manerent, vim adhibuerunt; & cum hoc facerent, neglecti ſunt: ſancta tamen & univerſalis hæc Synodus, hanc negligentiam quoque corrigens, & ad ritus Eccleſiaſticos hanc inordinatam actionem redigens, ſtatuit, ut ſi quis Epiſcopus, vel aliquis alius ex pontificali dignitate, voluerit ad vitam monaſticam deſcendere, & pœnitentiæ locum implere, ne amplius Antiſtitis dignitatem uſurpet. Monachorum enim profeſſiones ſubjectionis & diſcendi cupiditatis rationem habent, non autem doctrinæ vel primatus: nec alios paſcere, ſed ipſos paſci profitentur. Et ideo, quemadmodum prædictum eſt, decernimus; ut nemo eorum, qui in Epiſcopalem paſtorumque catalogum relatus eſt, ad eorum, qui paſcuntur & agunt pœnitentiam, locum ſe demittat: Si quis autem hoc facere auſus fuerit, poſt denunciationem & declarationem hujus editæ ſententiæ, ipſe, qui ſeipſum Epiſcopali gradu privavit, non amplius ad priorem, quam factis deſpicatui habuit, dignitatem revertetur.

BALS. De Epiſcopis, qui volunt etiam poſt tonſuram Epiſcopalia jura exercere, non erat ſcriptus Canon. Et ideo quidam conabantur Epiſcopi, poſtquam tonſi fuiſſent, habere Epiſcopalia privilegia, præter Eccleſiaſticam non ſcriptam conſuetudinem, quæ invaluerat. Hoc ergo corrigentes ſancti patres, dixerunt; quòd quoniam Epiſcopalis altitudo eſt dignitas, quæ ad docendum ſe comparat; monaſtica autem profeſſio diſciplinæ & ſubjectionis eſt opus; & fieri non poteſt, ut qui ſe ſubjectum exhibet, in throno ſedeat & doceat: opus eſt, ut qui ab Epiſcopali altitudine receſſit, & ſeipſum veluti condemnavit, & pœnitentiæ tradidit, & per monaſticum habitum ſubjectionem & obedientiam profitetur, nihil exerceat quod ad docentis officium pertineat, nec pro eo quòd paſci debet, alios paſcat; qui autem hoc facere aggreſſus fuerit, ne quid Epiſcopale exercere permittatur; quia ipſe per tonſuram ſe ab eo alienavit. Dixerunt autem patres de Antiſtitibus, ne ſe in eorum, qui pœnitentiam agunt, locum deprimant; & illud, Si quis autem unquam fuerit auſus hoc facere: non prohibentes pœnitentiam, ut rem odioſam & avertendam: (ea enim magna quoque laude digna eſt) ſed ſignificantes tales eſſe Antiſtites, & ita vivere, ut propemodum pœnitentia non indigeant, ſed & ſuis interceſſionibus Deum aliis placent. Quæſitum eſt autem, ſi Monachus poſt Epiſcopatum fuerit magno habitu dignatus, an poſſit epiſcopale quidpiam exercere.

Dixerunt enim nonnulli, quod quoniam antequam electus eſt ille, tonſus fuit, ſecunda quoque tonſura nequaquam opus habuit: & inde fit ut canon in eo locum non habeat. Non placuit autem quod dicebant, ſed audierunt, quod propriè tonſura eſt magni & angelici habitus amictus. Parvus enim habitus, illius perfecti habitus arra dicitur. Si igitur parvus habitus facit ceſſare ſacerdotium ipſum; multo magis ceſſare illud faciet perfecta tonſura. Si quis autem etiam de Sacerdotibus, qui tondentur, rogaverit, quomodo poſt tonſuram ſacrificant & non ceſſant; audiet non eſſe Sacerdotes doctores, & propterea nec canonem quidem in eis locum habere.

A εἶπον γάρ τινες, ὡς ἐπεὶ ὁ τοιοῦτος πρὸ τοῦ ψηφισθῆναι ἀπεκάρη, οὐκ ἔδει καὶ δευτέρας ἀποκάρσεως, κἀντεῦθεν οὐδὲ ἔχουσιν ἐπ' αὐτοῦ χώραν τὰ τοῦ κανόνος. οὐκ ἤρεσαν δὲ ταῦτα λέγοντες, ἀλλ' ἤκουσαν, ὡς κυρίως ἀπόκαρσις ἡ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος περιβολή ἐστι. τὸ γὰρ μικρὸν σχῆμα, ἀῤῥαβὼν ἐκείνου τοῦ τελείου λέγεται. εἰ γοῦν τὸ μικρὸν σχῆμα τὴν ἀρχιερωσύνην παύει, πολλῷ πλέον σχολάσει ταύτην ἡ τελεία ἀπόκαρσις. εἰ δέ τις καὶ περὶ τῶν ἀποκειρομένων ἱερέων ἐρωτήσει, πῶς μετὰ τὴν ἀπόκαρσιν ἱερουργοῦσι, καὶ οὐ παύονται, ἀκούσει μὴ εἶναι διδασκάλους τοὺς ἱερεῖς, καὶ διὰ τοῦτο μηδὲ τὰ τοῦ κανόνος χώραν B ἔχειν ἐπ' αὐτοῖς.

Zonar. Ne Antiſtes quicunque, poſtquam detonſus fuerit, adhuc ſibi jus aliquod ſummi Sacerdotis uſurpet, hoc can. conſtitutum. Et ad hoc uſque tempus, Antiſtites quidam, ubi ſe ad monaſticum habitum demiſiſſent, adhuc à ſummi Sacerdotii functionibus avocari ſe nullo modo patiebantur: (accommodate vero demittendi quoque verbum appoſuit; ſi quidem è ſummi Sacerdotii faſtigio ad infimam abjectionis humilitatem, & ex Patriarchæ atque Doctoris dignatione in ordinem filiorum ac diſcipulorum ſeſe, qui tondetur, demittit) ſed nunc decrevit ſynodus, ut qui ſummi Sacerdotii dignitate præditi ad monaſticæ poſtea vitæ inſtitutum deflectere voluerunt, ne quam ipſis ejus dignitatis partem amplius uſurpare liceat. Cujus quidem rei hanc rationem ſubjicit; quoniam, inquit, illius qui tondetur propria abjectionis profeſſio eſt, ſeque is diſcipulum, & ab aliis paſcendum, non ipſum paſtorem, futurum eſſe deſpondet. Quo pacto igitur, & pro ſummi Sacerdotii munere aliis præfectus, & ob monaſtici habitus demiſſionem fuerit idemmet abjectus? qua ratione doctoris & diſcipuli ſimul muneribus ſatisfaciet? Propterea, ne ſe, inquit amplius in locum pœnitentium ſummi ſacerdotes demittant (Monachorum ſiquidem vita pœnitentiæ quædam profeſſio eſt) conſtituimus. Quod ſi quis fecerit, ſummi Sacerdotii dignitatem ſibi ipſemet abrogaverit, nec illius iterum vindicandæ facultas amplius relinquetur. Verba porro illa, ne ſe in locum pœnitentium demittant; & alia, quod ſi quis id facere audeat; non ita accipienda ſunt, quaſi Præſulibus omni pœnitentiæ genere ſit interdictum: ſed ut ejuſmodi Antiſtites eſſe, itaque vitam inſtituere debere oſtendant, qui ne ulla quidem pœnitentia ferme indigeant; verum aliis qnoque offenſum numen, ſua ipſi deprecatione concilient.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν οὐ παραχωρεῖ ἀρχιερεῖ οἱῳδήτινι μετὰ τὸ ἀποκαρῆναι αὖθις ἐνεργεῖν τι ἀρχιερατικὸν δίκαιον. καὶ ἕως ἄρτι τινὲς τῶν ἀρχιερέων εἰς τὸ μοναχικὸν κατιόντες σχῆμα πάλιν τὰ τῆς ἀρχιερωσύνης ποιεῖν ἐβιάζοντο. (προσφόρως δὲ τὸ κατιόντες, ἐπέθη· ἐκ γὰρ τῆς ἀρχιερατικῆς περιωπῆς κατέρχεται ὁ ἀποκειρόμενος εἰς τὴν τῆς ταπεινώσεως χθαμαλότητα, καὶ ἐκ τοῦ πατρικοῦ καὶ διδασκαλικοῦ ἀξιώματος εἰς υἱοῦ τάξιν καὶ μαθητοῦ) ἀλλ' ὥρισε νῦν ἡ σύνοδος τοὺς ἀρχιερατικοῦ ἀξιώματος τυγχάνοντας, εἶτα εἰς τὸν C μονήρη βίον θελήσαντας ἀποκλῖναι, μηκέτι τῆς ἀρχιερατικῆς ἀξίας ἀντιποιεῖσθαι· καὶ τὴν αἰτίαν ἐπάγει λέγων, ὅτι ὁ κειρόμενος ταπείνωσιν ἐπαγγέλλεται, καὶ μαθητὴς εἶναι συντίθεται, καὶ ποιμαίνεσθαι, ἀλλ' οὐχὶ ποιμαίνειν. πῶς οὖν ὁ αὐτὸς, καὶ προεδρεύων ἔσται διὰ τὴν ἀρχιερωσύνην, καὶ διὰ τὸ σχῆμα τὸ μοναχικὸν ταπεινούμενος; πῶς δὲ διδάσκων ἔσται καὶ διδασκόμενος, διὸ, φησι, θεσπίζομεν τοὺς ἀρχιερεῖς μηκέτι καταβιβάζειν ἑαυτοὺς εἰς τόπον μετανοούντων. (μετανοίας γὰρ ὁ μοναχικὸς βίος ἐπάγγελμα) εἰ δὲ τοῦτό τις πράξει, αὐτὸς ἑαυτὸν ἀποστερεῖ τῆς ἀρχιερατικῆς ἀξίας, καὶ οὐκέτι πρὸς τὸ πρότερον τῆς ἀρχιερωσύνης ἐπαναστρέψει ἀξίωμα. ταῦτα D δὲ ἤγουν τὸ, μὴ καταβιβάζειν ἑαυτοὺς εἰς χώραν μετανοούντων, καὶ τὸ, εἰ δέ τις τολμήσειε τοῦτο πρᾶξαι, οὐκ ἀπαγορεύοντα τὴν μετάνοιαν τοῖς ἀρχιερεῦσιν εἴρηται, ἀλλ' ἐνδείκνυσι τοιούτους εἶναι δεῖν τοὺς ἀρχιερεῖς, καὶ οὕτω βιοῦν, ὡς μηδὲ δεῖσθαι μετανοίας σχεδὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις διὰ τῶν οἰκείων ἐντεύξεων τὸ θεῖον ἐξιλεοῦν.

Arist. *Si quis ab Antiſtitis ſublimate ad monaſticam, & è contrario, vitam deſcenderit; Antiſtitis dignitatem amplius ne uſurpet.*

ΑΡΙΣΤ. Εἴ τις ἀπὸ ἱεραρχικοῦ ὕψους εἰς τὸν μοναδικὸν, καὶ ἔμπαλιν, κατέλθοι βίον, μηκέτι τῆς ἱεραρχικῆς E ἀντιποιείσθω ἀξίας.

CANON III.

Si quis Laicus authoritate uſus, divinis quidem & regiis juſſis contemptis, reverendiſque Eccleſiæ ritibus & legibus irriſis, aliquem Epiſcopum verberare auſus fuerit vel in cuſtodiam tradere, vel ſine cauſa, vel aliqua conficta cauſa, is ſit anathema.

ΚΑΝΩΝ. γʹ.

Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας καὶ καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Bals. Epiſcopalis dignitas omnem ferè honorem ſuperat. Apoſtolicæ enim dignitati æquiparatur, propter doctrinæ profeſſionem. Quoniam ergo quidam arrogantes, & divinorum præceptorum contemptores, Eccleſiaſticorum ſcilicet & Imperial. abſurda quædam & contumelioſa in quoſdam Antiſtites fecerant; definierunt ſancti patres, quod ſi quis Laicus auctoritate uſus, ſcilicet authenticam vel magiſtratus poteſtatem nactus, Judex forte vel exactor conſtitutus, confidenter aliquem Epiſcopum verberaverit, vel in cuſtodia incluſerit, vel ſine cauſa vel cum conficta & falſa cauſa, id eſt, ſine ratione; is ſit anathema, hoc eſt, à Deo ſit ſepara-

ΒΑΛΣ. Τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα σχεδὸν ὑπέρκειται F πάσης τιμῆς. τῆς γὰρ ἀποστολικῆς ἀξίας ἰσοστάσιόν ἐστι, διὰ τὸ τῆς διδασκαλίας ἐπάγγελμα. ἐπεὶ οὖν τινες αὐθάδεις καὶ καταφρονηταὶ τῶν θείων παραγγελμάτων, ἐκκλησιαστικῶν δηλονότι καὶ βασιλικῶν, ἄτοπά τινα καὶ ἐφύβριστα εἰς τινὰς εἰργάσαντο ἀρχιερεῖς, ὥρισαν οἱ ἅγιοι πατέρες, ὡς εἴ τις λαϊκὸς αὐθεντήσας, ἤγουν ἀρχοντικῆς αὐθεντίας καὶ ἐξουσίας δραξάμενος, δικαστὴς τυχὸν ἢ πράκτωρ καταστὰς, τολμηρῶς οἱονδήτινα ἐπίσκοπον τύψει, ἢ ἐν φυλακῇ ἀποκλείσει, ἢ χωρὶς αἰτίας, ἢ μετὰ τῆς ἐπιπλάστου καὶ ψευδοῦς αἰτίας, τουτέστιν ἀνευλόγως, ὁ τοιοῦτος ἀνάθεμα ἔστω, ἤγουν κεχωρισμένος ἀπὸ τοῦ θεοῦ ἔστω, καὶ παραδιδόσθω τῷ δαίμονι, ὡς ἀνάθημα. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ὡς ἐκεῖνος ὁ λαϊκὸς ἀναθεματίζεται, ὁ χωρὶς αἰτίας, ἢ μετὰ αἰτίας πεπλασμένης, τουτέστιν ἀνευλόγως, κατὰ μόνην αὐθεντίαν ἀρχοντικὴν τύψας ἢ φυλακίσας ἐπίσκοπον, μὴ εἴπῃς ἐξ ἀντιδιαστολῆς ἔχειν ἐπ᾽ ἀδείας τοὺς λαϊκοὺς ἄρχοντας ἐξ εὐλόγου αἰτίας τύπτειν καὶ φυλακίζειν τοὺς ἐπισκόπους. ἀπὸ γὰρ διαφόρων κανόνων καὶ νεαρῶν θεσπισμάτων ἔμαθες, ὡς κατὰ ἐπισκόπων οἱ λαϊκοὶ ἄρχοντες οὐδεμίαν δικαιοδοσίαν ἔχουσιν. ὅθεν ὁ τύπτων λαϊκὸς ἢ φυλακίζων τὸν τυχόντα ἀρχιερέα, κἂν ἐξ αἰτίας πάντη εὐλογωτάτης, κἂν τὴν μείζονα ἀρχὴν ἔχῃ, κολασθήσεται· καὶ τὸ εὔλογον τῆς αἰτίας οὐκ ὠφελήσει αὐτόν. ἀκούσει γὰρ, ὡς ταῖς συνόδοις καὶ μόναις ἐνεδόθη τοὺς ἀρχιερεῖς κολάζειν· καὶ ὤφειλε τὴν τοῦ ἀρχιερέως ἀνάκρισιν πρὸς τὴν προσφόρον σύνοδον ἀποστεῖλαι, καὶ ἑαυτὸν διατηρῆσαι ἀμέτοχον τῆς ἀρχιερατικῆς ἀνακρίσεως. προσετέθη δὲ τῷ κανόνι τὸ, χωρὶς εὐλόγου αἰτίας, καὶ τὰ λοιπὰ, διὰ τὸν ἀναθεματισμόν. οὐδὲ γὰρ ἦν δίκαιον ἀναθεματισθῆναι τὸν ἄρχοντα, τὸν προφάσει δικαίας αἰτίας τοιοῦτόν τι ἐφύβριστον πεποιηκότα πρὸς ἐπίσκοπον· ἀλλὰ ἀλλοτρόπως κολασθῆναι. τὸ ἀνάθεμα δὲ, χωρισμός ἐστι τοῦ θεοῦ. ὡς γὰρ τὰ προσαγόμενα ἀναθήματα τῷ θεῷ χωρίζονται ἀπὸ τῶν κοινῶν τε καὶ ἀνθρωπίνων πραγμάτων· οὕτω καὶ ὁ ἀνάθεμα γινόμενος ἐκκόπτεται καὶ διαιρεῖται ἀπὸ τῆς τῶν πιστῶν ὁμηγύρεως τῶν ἀνατεθειμένων καὶ ἀφωρισμένων τῷ θεῷ, καὶ ἀπ᾽ αὐτοῦ τοῦ θεοῦ, καὶ προσκυροῦται τῷ σατανᾷ, κατὰ τὸν μέγαν Παῦλον γράψαντα Κορινθίοις περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἑαυτοῦ μητρυιὰν, ὅτι, παράδοτε αὐτὸν τῷ σατανᾷ· καὶ ἐπιστείλαντα Τιμοθέῳ περὶ Ὑμεναίου καὶ Ἀλεξάνδρου, οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα μὴ βλασφημεῖν παιδευθῶσιν. εἰ δὲ ταῦτα οὕτως ἔχει, πολλῷ γε μᾶλλον ὁ ὑπὸ ἀνάθεμα γεγονὼς, ἀποδιΐσταται μὲν τοῦ θεοῦ, προσενοῦται δὲ καὶ προσκυροῦται τῷ σατανᾷ, καὶ ἀνάθημα ἐκείνου αὐτὸς ἑαυτὸν ποιεῖ. καλῶς δὲ ἐμνήσθη ὁ κανὼν αὐθεντίας ἀρχοντικῆς. ὁ γὰρ μὴ προφάσει τοιαύτῃ, ἀλλὰ ἰδιορρύθμου κακίας τοιοῦτόν τι τολμήσας, κἂν ἐξ εὐλόγου αἰτίας τοῦτο ποιήσῃ, μειζόνως κολασθήσεται διὰ τὴν ἄκραν ἀναίδειαν.

ΖΩΝΑΡ. Οὐδέποτε τῷ βίῳ ἐνέλιπον τὰ κακά. ἀληθὴς δ᾽ ἄρα καὶ ἀσφαλὴς ἡ τοῦ σοφοῦ γνώμη, ἡ τοὺς πλείονας ἀποφηναμένη κακούς. ἰδοὺ γὰρ καὶ πάλαι παρὰ λαϊκῶν ἐτύπτοντο ἀρχιερεῖς, καὶ εἱρκταῖς συνεκλείοντο. ὅθεν ἡ σύνοδος αὕτη διατάττεται, ὡς εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, τουτέστιν ἀρχικῆς ἐξουσίας καὶ αὐθεντίας δραξάμενος, ἢ ἑαυτῷ ψυχικοῦ θανάτου γινόμενος αἴτιος. (λέγεται γὰρ αὐθέντης, καὶ ὁ αὐτοφονευτής) καὶ καταφρονήσας τῶν βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν καὶ νόμων, (θεσμοὺς δὲ τοὺς ἀγράφους τύπους λέγει, καὶ τὰς ἀρχαίας παραδόσεις ἐνταῦθα, νόμους δὲ τοὺς ἐγγράφους) τολμήσειεν Ἐπίσκοπόν τινα τύψαι (τόλμης γὰρ ὄντως καὶ ἀμέτρου θρασύτητος τὸ, τύψαι ἐπίσκοπόν τινα) διὰ δὲ τοῦ εἰπεῖν τινα, ἐνέφηνεν, ὅτι οὐ μόνον ἐπίσημον ἐπίσκοπον οὐ δεῖ τύπτεσθαι ἢ καθείργνυσθαι, ἀλλ᾽ οὐδὲ τὸν τυχόντα καὶ ἄσημον καὶ τοῖς πλείοσιν ἄγνωστον ἤγουν εὐτελῆ καὶ πενέστατον, ἢ ἄνευ αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω, ἤγουν κεχωρισμένος ἔστω τοῦ θεοῦ. ὡς γὰρ τὰ ἀναθήματα προσαγόμενα τῷ θεῷ χωρίζονται ἀπὸ τῶν κοινῶν καὶ ἀνθρωπίνων πραγμάτων· οὕτω καὶ ὁ ἀνάθεμα γινόμενος ἐκκόπτεται καὶ ἀποδιαιρεῖται ἀπὸ τῆς τῶν πιστῶν ὁμηγύρεως τῶν ἀνατεθειμένων καὶ ἀφωσιωμένων τῷ θεῷ καὶ ἀπ᾽ αὐτοῦ τοῦ θεοῦ, καὶ προσκληροῦται τῷ διαβόλῳ, ἢ ἀνατίθησιν αὐτὸς ἑαυτόν. εἰ γὰρ ὁ μόνον ἀφορισθεὶς παραδίδοται τῷ σατανᾷ, κατὰ τὸν μέγαν Παῦλον γράψαντα Κορινθίοις περὶ τοῦ πεπορνευκότος εἰς τὴν

A tus, & tradatur Dæmoni, ut munus quod ei appenſum dedicatur. Cum autem audis canonem dicentem, quod ille Laicus anathematizatur, qui ſine cauſa; vel cum ficta cauſa, hoc eſt, præter rationem, ſola authoritate uſus, Epiſcopum vel verberaverit, vel cuſtodiæ tradiderit; ne dicas, argumento à contrario ſumpto, licere Laicis magiſtratibus Epiſcopos ex juſta & probabili cauſa verberare & cuſtodiæ tradere. A diverſis enim canonibus & novellis conſtitutionibus didiciſti, quod Laici magiſtratus nullam habent in Epiſcopos juriſdictionem. Unde etiam Laicus, qui quenvis Antiſtitem vel verberat, vel conjicit in carcerem, etiamſi ex cauſa longe juſtiſſi- B ma, & majorem magiſtratum gerat, punietur: & cauſæ bonitas ac probabilitas ei non proderit. Audiet enim, quod Synodis iiſque ſolis Antiſtites punire permiſſum eſt: & debebat de Antiſtite cognitionem ad convenientem Synodum remittere, & ſe ab epiſcopalis cauſæ diſceptatione integrum intactumque conſervare. Adjectum eſt autem canoni illud ſine juſta cauſa, & reliqua, propter anathematizationem. Neque enim æquum erat, ut magiſtratus, qui juſtæ cauſæ prætextu tale quid fecerat contumelioſius in Epiſcopum, anathematizaretur: ſed aliquo alio modo puniretur: Eſt autem anathema à Deo ſeparatio. Quemadmodum enim donaria, quæ C Deo offeruntur, à communibus & humanis rebus ſeparantur: ſic & qui anathema factus eſt excinditur & ſeparatur à cœtu fidelium, qui ſunt Deo conſecrati & dedicati, & etiam ab ipſo Deo, & Satanæ traditur, ſecundum magnum Paulum, qui ita ſcripſit Corinthiis, de eo, qui in ſuam novercam fornicationem commiſerat, Tradite eum Satanæ: & qui etiam ſcripſit ad Timotheum, de Hymenæo & Alexandro, Quos tradidi Satanæ, ut diſcant non blaſphemare. Si autem hæc ita ſe habeant; multo magis qui eſt ſub anathemate, à Deo quidem ſeparatur, & Satanæ unitur eique attribuitur, ipſeque ſeipſum ejus munus dedicatum conſtituit. Recte D autem meminit canon auctoritatis magiſtratus. Qui enim non eo prætextu, ſed ſua improbitate, tale quid auſus fuerit, etiamſi hoc probabili de cauſa fecerit, magis punietur propter ſummam impudentiam.

ZONAR. Nullo unquam tempore mala in hominum vita defecerunt. Vera quippe illa ac certa ſapientis ſententia plures improbos pronunciantis. Ecce jam olim à Laicis ſummi Sacerdotes vapulabant, carcerique mancipabantur. Si quis igitur Laicus, imperium ac poteſtatem magiſtratûs uſurpans, vel ſpiritualem ſibimet necem afferens, (nam is quoq; αὐθέντης dicitur, qui ſe ipſe E interficit,) & contemptis Imperatorum edictis, formidandiſque eccleſiæ inſtitutis legibuſque neglectis (Inſtituta porro, Græce θεσμοὺς, hoc loco conſuetudines non ſcriptas, eccleſiaſticaſq; antiquas traditiones; νόμους vero leges ſcriptas vocat) Epiſcopum quempiam verberare auſus fuerit (audaciæ enim profecto ea res, atque intolerabilis confidentiæ Epiſcopum quempiam verberare) ex eo vero quod verbum, quempiam, addidit, non modo inſignem præ cæteris Epiſcopum, ſed quemcunque etiam obſcurum, pluribuſque ignotum, abjectum videlicet, & maxime inopem, nullo modo verberari, aut carceri F includi licere demonſtrat ſive nulla cauſa, ſive cujuſcunque cauſæ obtentu id fecerit, ejuſmodi hominem anathema, hoc eſt, à Deo ſeparatum eſſe, hæc Synodus decernit. Ut enim anathemata, quæ Deo oblata ſunt, à rebus aliis communibus atque humanis ſegregantur: ita is, qui anathema factus eſt, a reliquo fidelium cœtu, qui Deo additi ac dicati ſunt, avellitur atq; diſtrahitur, & ab ipſo Deo, vel ipſe à ſeipſo potius Diabolo mancipatur. Etenim, ſi qui vel tantummodo ſegregatus eſt, Diabolo traditur, ut ex magno Paulo colligimus, qui ad Corinthios ſcribens hominem, qui cum noverca rem habuerat, Satanæ tradi jubet; tum ex iis, quæ epiſtola ad Timotheum habentur, de Hymenæo & Alexandro, quos Satanæ tradidit, ut diſcerent non blaſphemare: multo magis is, qui ſub anathemate factus eſt, à Deo quidem divellitur, Satanæ vero adjungitur atque addicitur, ſeque illi inſtar anathematis obnoxium ipſemet conſtituit.

ΑΡΙΣΤ. *Si quis Laicus Epiſcopum in cuſtodiam tradiderit, vel verberaverit, ſine cauſa, vel cauſa ficta, ſit anathema.*

A ἑαυτοῦ μητρυιάν, ὅτι, παράδοτε αὐτὸν τῷ Σατανᾷ· καὶ ἐπιστείλαντα Τιμοθέῳ περὶ Ὑμεναίου καὶ Ἀλεξάνδρου, οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν, πολλῷ δὲ τῷ μέσῳ μᾶλλον ὁ ὑπὸ ἀνάθεμα γεγονώς, ἀποχωρίζεται μὲν τοῦ Θεοῦ, προσενοῦται δὲ καὶ προσκληροῦται τῷ Σατανᾷ, καὶ ἀνάθημα ἐκείνου αὐτὸς ἑαυτὸν ποιεῖ.

ΑΡΙΣΤ. Εἴ τις τῶν λαϊκῶν ἐπίσκοπον φυλακίσειεν ἢ τυπτήσειεν, χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος, ἔστω ἀνάθεμα.

B

C

D

H EN

E

Η ΕΝ ΚΑΡΧΗΔΟΝΗ ΓΕΝΟΜΕΝΗ

σύνοδος, ἧς ἐξῆρχεν ὁ μέγας Κυπριανὸς, καὶ ἱερομάρτυς, Ἐπίσκοπος ὢν Καρχηδόνος.

ΒΑΛΣ. ΑΥΤΗ ἡ σύνοδος πασῶν τῶν συνόδων προγενεστέρα ἐστί. γέγονε γὰρ ἐπὶ Δεκίου βασιλέως, καὶ μετ᾽ αὐτὴν ἡ ἐν Αντιοχείᾳ τῆς Συρίας κατὰ Παύλου τοῦ Σαμοσατέως ἐπὶ Αυρηλιανοῦ βασιλέως. συνηθροίσθησαν δὲ εἰς Καρχηδόνα ὀγδοήκοντα πρὸς τοῖς τέσσαρσιν ἅγιοι πατέρες, καὶ συνεζητήθη, εἰ χρὴ βαπτίζεσθαι τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας εἰδωλοθύτας, κατὰ τὴν περὶ τούτου ἐρώτησιν τοῦ Επισκόπου Ιοβιανοῦ. ὅτι δὲ τότε καὶ ὁ Ναυάτος πρεσβύτερος ὢν τῆς Ρωμαίων ἐκκλησίας καθῃρέθη, ὡς μὴ δεχόμενος εἰς μετάνοιαν τοὺς θύσαντας τοῖς εἰδώλοις, κἀντεῦθεν ἐποίει σχίσμα μετά τινων ἀσυνέτων, ἐπολυπραγμονήθη, εἰ χρὴ καὶ τοὺς σχισματικοὺς βαπτίζεσθαι, ὡς καὶ τοῦτο ἐρωτήσαντος τοῦ Ιοβιανοῦ.

ΖΩΝΑΡ. Αὕτη ἡ σύνοδος πασῶν τῶν συνόδων προγενεστέρα ἐστί. προτερεύει μὲν γὰρ τῶν ἄλλων ἡ ἐν Αντιοχείᾳ τῆς Συρίας γεγονυῖα σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις ἐπὶ Αυρηλιανοῦ βασιλέως ἠθροίσθη, αὕτη δὲ κἀκείνης ἀρχαιοτέρα ἐστίν. ὁ γὰρ μέγας Κυπριανὸς ἐπὶ Δεκίου βασιλέως τὸν τῆς μαρτυρίας ἤνυσε δρόμον· πολλοστὸς δ᾽ ἐστιν ὁ Αυρηλιανὸς πρὸς τὸν Δέκιον. πολλοὶ γὰρ μετὰ τὸν Δέκιον ἐκράτησαν αὐτοκράτορες, μεθ᾽ οὓς ὁ Αυρηλιανὸς τῆς βασιλείας ἠξίωτο. οὕτω μὲν οὖν προγενεστέρα πασῶν ἐστιν. ἠθροίσθησαν δ᾽ ἐν αὐτῇ Ἐπίσκοποι πρὸς τέσσαρσιν ὀγδοήκοντα, ζητήσεως γενομένης, εἰ τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας καὶ τοὺς σχισματικοὺς βαπτίζεσθαι δεῖ προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. Ιοβιανὸς γάρ τις Ἐπίσκοπος ἐπέστειλε περὶ τούτου τῷ θείῳ Κυπριανῷ, ἐρωτῶν, εἰ δεῖ τοὺς τοιούτους βαπτίζεσθαι. τότε γὰρ καὶ ὁ Ναυάτος τῆς τῶν λεγομένων Καθαρῶν αἱρέσεως ἦρξε, πρεσβύτερος γεγονὼς τῆς ἐκλησίας Ρωμαίων, σχισματικὸς ὢν κυρίως, ἀλλ᾽ οὐχ αἱρετικός. οὐ γὰρ πρὸς δόγματι τοῖς ὀρθόφροσι διεφέρετο· ἀλλὰ τοῖς ἐν διωγμοῖς ὑποκύψασί τε καὶ θύσασιν ἀπηγόρευε τὴν μετάνοιαν. ἐπειδὴ ὁ τότε τῆς Ρωμαίων ἐκκλησίας προεστηκὼς Κορνήλιος μετὰ τῶν ὑπ᾽ αὐτὸν Ἐπισκόπων ζητήσαντες περὶ τοῦ εἰσαγομένου, ἐψηφίσαντο δέχεσθαι εἰς μετάνοιαν καὶ τοὺς ἐπιθύσαντας, ὁ δὲ Ναυάτος τῆς οἰκείας ἐν στάσεως οὐ μεθίετο, ἐξέκοψαν τῆς ἐκκλησίας ἐκεῖνον καὶ ἀπεκήρυξαν ὡς μισάδελφον. ὁ δὲ καὶ ἄλλους ὁμόφρονας ἐσχηκὼς, καθ᾽ ἑαυτὸν ἐποιεῖτο παρασυνάξεις, καὶ σχίσμα παρὰ τῇ ἐκκλησίᾳ ὑπ᾽ ἐκείνου καὶ τῶν αὐτῷ συγκοινωνούντων ἐγένετο. περὶ σχισματικῶν τοίνυν καὶ αἱρετικῶν ἐρωτήσαντος Ιοβιανοῦ, ἀντεπέστειλεν αὐτῷ τε καὶ τοῖς συνεπισκόποις αὐτοῦ ὁ μέγας Κυπριανὸς καὶ ἡ σὺν αὐτῷ σύνοδος τὴν ἐπιστολὴν ταύτην.

ΚΑΝΩΝ α΄.

Ἐν κοινοβουλίῳ ὄντες, ἀγαπητοὶ ἀδελφοὶ, ἀνέγνωμεν γράμματα ἀφ᾽ ὑμῶν σταλέντα περὶ τῶν παρὰ τοῖς αἱρετικοῖς ἢ σχισματικοῖς δοκούντων βεβαπτίσθαι, ἐρχομένων πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἥτις ἐστὶ μία, ἐν ᾗ βαπτιζόμεθα καὶ ἀναγεννώμεθα· περὶ ὧν καὶ πεποίθαμεν καὶ ὑμᾶς αὐτοὺς ἐκεῖνα πράττοντας τὴν στερρότητα τῆς καθολικῆς ἐκκλησίας κρατεῖν. ὅμως ἐπεὶ συγκοινωνοὶ ἡμῶν ἐστε, καὶ ζητῆσαι περὶ τούτου διὰ τὴν κοινὴν ἀγάπην ἠθελήσατε, οὐ πρόσφατον γνώμην, οὐδὲ νῦν ἡδρασμένην προσφέρομεν, ἀλλὰ τὴν πάλαι ὑπὸ τῶν προγενεστέρων ἡμῶν μετὰ πάσης

CARTHAGINENSIS SYNODUS,

CUI PRÆFUIT MAGNUS CYPRIANUS & ſanctus martyr, qui erat Carthaginenſis Epiſcopus.

BALS. HÆc eſt omnium Synodorum antiquiſſima: fuit enim ſub Decio; & poſt eam illa quæ fuit in Antiochia Syriæ adverſus Paulum Samoſatenum ſub Aureliano Imperatore. Congregati B ſunt autem Carthagine lxxxiiii. ſancti patres: & quæſitum eſt, an baptizare oporteat eos, qui revertuntur ex hæreſi eorum qui idolis immolaverant, convenienter interrogationi factæ de ea re ab Epiſcopo Joviano. Quia autem, tunc Novatus Romanorum Eccleſiæ presbyter depoſitus eſt, ut qui ad pœnitentiam non admitteret eos qui idolis ſacrificaverant; & ideo cum quibuſdam inſipientibus faciebat ſchiſma: agitatum eſt, an etiam ſchiſmaticos baptizare oporteat, tanquam hoc quoque Jovianus quæſiviſſet.

C **ZONAR.** EST hæc Synodus omnium antiquiſſima. Nam aliis quidem antiquior eſt ea, quæ Antiochiæ in Syria ante Paulum Samoſathenum Aureliano Romanorum Imperatore celebrata fuit, hæc vero vetuſtate illam quoq; antecedit. Magnus ſiquidem Cyprianus Decio Imperatore martyrii curſum confecit: at vero longo intervallo poſt Decium Aurelianus fuit. Multi ſiquidem Decio extincto regnavêre Imperatores, quibus denium Aurelianus in imperio ſuffectus eſt. Itaq; longe hæc Synodus omnium antiquiſſima eſt. In ea porro quatuor ſupra octoginta Epiſcopi congregati ſunt, ac de iis, qui abdicata hæreſi reſipiſcunt, ac Schiſmaticis, D qui ad Eccleſiam revertuntur, an baptizandi forent, quæſitum. Jovianus ſiquidem Epiſcopus quidam, ea de re, an ſcilicet ejuſmodi homines baptizari oporteret, Cyprianum per Epiſtolam conſuluerat. Tunc enim Navatus quoq; eorum ſectæ, qui Cathari (hoc eſt puri) dicebantur, ſe principem profitebatur, Romanæ Eccleſiæ presbyter, ſchiſmaticus propriè, non hæreticus. Nec enim in iis, quæ ad dogmata pertinent, ullo pacto à Catholicis diſſentiebat: ſed qui adverſis Chriſtianæ Reip. temporibus malo victi ſuccubuiſſent, diiſq; immolâſſent, ad pœnitentiam non admittebat. Cum vero Eccleſiæ Romanorum præfectus eo tempore Cornelius, cum ſibi ſubjectis Epiſcopis, E agitata quæſtione, eos quoq; qui immolaverant ad pœnitentiam admittendos eſſe decreviſſent; neque tamen Navatus aliquid de pertinacia remitteret, illum ab Eccleſiæ corpore exciſum, quippe fratrum oſorem, decreto promulgavêre. Alios vero ille ſectatores nactus, ſeorſim conventus peragere, ſchiſmatéq; hinc inde cum ſuis gregalibus Eccleſiam lacerare adortus eſt. Cùm ergo de ſchiſmaticis & hæreticis eſſet à Joviano quæſitum, ad eum ejúſq; coëpiſcopos magnus Cyprianus cum ſua Synodo reſcribens ſubjectam epiſtolam exaravit.

CANON I.

F *Cùm in communi conſilio eſſemus, dilecti fratres, legimus literas à vobis miſſas de iis, qui ab hæreticis vel ſchiſmaticis baptizati viſi ad catholicam Eccleſiam, quæ una eſt, in qua baptizamur & regeneramur veniunt: de quibus confidimus vos quoque, qui illa agitis, catholicæ Eccleſiæ canones firmitatem tenere. Tamen quoniam nobiſcum eſtis communionis participes, & propter communem dilectionem de eo quærere voluiſtis; non novam ſententiam neque nunc fundatam efferimus: ſed quæ olim ab antiquioribus accuratiſſimè & diligentiſſimè fuit*

examinata, eam à nobis obſervatam vobis communicamus, & conjungimus, id quoque nunc ſtatuentes, quod ſemper fortiter ſtabiliterque tenuimus; ut nemo poſſit baptizari extra catholicam Eccleſiam; cùm unus ſit baptiſmus, & in catholicâ Eccleſiâ ſolâ celebretur. Scriptum eſt enim, Me reliquerunt fontem aquæ vivæ, & foderunt ſibi ciſternas perforatas, quæ aquam continere nequeunt. Et rurſus ſacra ſcriptura hoc præſignificans dicit; Ab aqua aliena abſtinete, & ex fonte alieno ne bibite. Oportet autem aquam primùm purgari & ſanctificari à ſacerdote, ut poſſit proprio baptiſmate hominis, qui baptizatur, peccata abluere. Et per Iezechielem prophetam dicit Dominus; Et aſpergam vos aqua pura, & mundabo vos, & dabo vobis cor novum, & ſpiritum novum dabo vobis. Quomodo autem aquam purgare & ſanctificare poteſt, qui ipſe eſt immundus, & Spiritu ſancto deſtitutus? & cùm dicat Dominus in Numeris; Et omnia quæ tanget immundus, immunda erunt; quomodo poteſt baptizans dare alii remiſſionem peccatorum, qui non poteſt propria peccata extra Eccleſiam dimittere? Sed & ipſa interrogatio, quæ fit in baptiſmate, eſt teſtis veritatis. Dicentes enim ei qui examinatur; Credis vitam æternam & remiſſionem peccatorum accipere? nihil aliud dicimus, quàm quòd in catholica Eccleſia hæc dari poſſunt. Apud hæreticos autem, ubi Eccleſia non eſt, haberi non poteſt peccatorum remiſſio. Et ideo qui hæreticorum patrocinium ſuſcipiunt, vel debent interrogationem mutare, vel veritatem tueri. Neceſſe eſt etiam eum, qui baptizatus eſt, inungi, ut accepta unctione, fiat Chriſti gratiæ particeps. Sanctificare autem oleum non poteſt hæreticus, qui nec altare habet, nec Eccleſiam.. Non poteſt autem omnino Chriſma eſſe apud hæreticos. Nobis enim clarum eſt, nullo modo apud illos ſanctificari poſſe oleum ad gratiarum actionem. Scire enim & non ignorare debemus quod ſcriptum eſt; Oleum peccatoris non impinguet caput meum. Quod quidem etiam olim ſignificavit ſanctus Spiritus in pſalmis, ne forte abductus ſit aliquis, & à recta via aberrans apud hæreticos Chriſti adverſarios inungatur. Quomodo autem pro eo qui baptizatus eſt prædicabitur, non Sacerdos, ſed ſacrilegus, & peccator; dicente ſcriptura, quòd Deus peccatores non audit: ſed ſi quis eſt pius ac religioſus, & ejus voluntatem facit, eum audit? Per ſanctam Eccleſiam peccatorum remiſſionem intelligimus. Quis autem dare poteſt id quod ipſe non habet? vel quomodo poteſt operari ſpiritualia, qui Spiritum ſanctum abjecit? Et ideo etiam renovari debet, qui ad Eccleſiam accedit, ut intus per ſanctos ſanctificetur. Scriptum eſt enim; Sancti eritis, ſicut & ego ſanctus ſum, dicit Dominus: ut qui in errore paſtus eſt, in vero & Eccleſiaſtico baptiſmate ipſe quoque hoc exuat, qui homo ad Deum accedens, & ſacerdotem quærens, in errore inventus in ſacrilegium incidit. Eſt enim hæreticorum & ſchiſmaticorum hæreſin approbare, eis, qui ab illis baptizati ſunt, conſentire. Non enim poteſt in parte valere. Si potuit baptizare, potuit & ſanctum Spiritum dare: Si hoc non potuit, quia, cùm extra ſit, Spiritum ſanctum non habet, nec poteſt venientem baptizare; cum ſit unus baptiſmus, & unus ſanctus Spiritus, & una Eccleſia à Chriſto Domino noſtro, id ab initio dicente, ſupra Petrum Apoſtolum fundata unitate. Et ideo quæ ab eis facta ſunt, cùm ſint falſa & vana, omnia ſunt reprobata. Neq; enim Deo gratum & acceptum, eſſe poteſt quicquam eorum,

A ἀκριβείας καὶ ἐπιμελείας δεδοκιμασμένην, καὶ ὑφ' ἡμῶν παρατηρηθεῖσαν, κοινούμεθα ὑμῖν καὶ συζεύγνυμεν, τοῦτο καὶ νῦν χειροτονοῦντες, ὅπερ διὰ παντὸς ἰσχυρῶς καὶ ἀσφαλῶς κρατοῦντες, μηδένα βαπτίζεσθαι δύνασθαι ἔξω τῆς καθολικῆς ἐκκλησίας· ἑνὸς ὄντος βαπτίσματος, καὶ ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ ὑπάρχοντος. γέγραπται γάρ, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, τοὺς μὴ δυναμένους ὕδωρ συσχεῖν. καὶ πάλιν ἡ ἁγία γραφὴ προμηνύουσα λέγει· ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχεσθε, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίητε. δεῖ δὲ καθαρίζεσθαι καὶ ἁγιάζεσθαι τὸ ὕδωρ πρῶτον ὑπὸ τοῦ ἱερέως, ἵνα B δυνηθῇ τῷ ἰδίῳ βαπτίσματι τὰς ἁμαρτίας τοῦ βαπτιζομένου ἀνθρώπου ἀποσμῆξαι. διά τε Ἰεζεκιὴλ τοῦ προφήτου λέγει κύριος, καὶ ῥαντίσω ὑμᾶς καθαρῷ ὕδατι, καὶ καθαριῶ ὑμᾶς, καὶ δώσω ὑμῖν καρδίαν καινήν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν. πῶς δὲ δύναται καθαρίσαι καὶ ἁγιάσαι ὕδωρ, ὁ ἀκάθαρτος ὢν αὐτός, καὶ παρ' ᾧ πνεῦμα ἅγιον οὐκ ἔστι; λέγοντος τοῦ κυρίου ἐν τοῖς ἀριθμοῖς· καὶ πάντων ὧν ἅψεται ὁ ἀκάθαρτος ἀκάθαρτα ἔσται· πῶς βαπτίζων δύναται ἄλλῳ δοῦναι ἄφεσιν ἁμαρτιῶν, ὁ μὴ δυνηθεὶς τὰ ἴδια ἁμαρτήματα ἔξω τῆς ἐκκλησίας ἀποθέσθαι; ἀλλὰ καὶ αὐτὴ ἡ ἐρώτησις, ἡ ἐν τῷ βαπτίσματι γινομένη, μάρτυς ἐστὶ τῆς ἀληθείας. λέγοντες γὰρ τῷ C ἐξεταζομένῳ, πιστεύεις αἰώνιον ζωὴν καὶ ἄφεσιν ἁμαρτιῶν λαμβάνειν; οὐκ ἄλλο τι λέγομεν, εἰ μὴ ὅτι ἐν τῇ καθολικῇ ἐκκλησίᾳ δοθῆναι δύναται. παρὰ δὲ τοῖς αἱρετικοῖς ὅπου ἐκκλησία οὐκ ἔστιν, ἀδύνατον ἁμαρτημάτων ἄφεσιν λαβεῖν. καὶ διὰ τοῦτο οἱ τῶν αἱρετικῶν συνήγοροι, ἢ τὴν ἐπερώτησιν ἐναλλάξαι ὀφείλουσιν, ἢ τὴν ἀλήθειαν ἐκδικῆσαι. ἀνάγκη δὲ ἐστὶ χρίεσθαι τὸν βεβαπτισμένον, ἵνα λαβὼν χρίσμα μέτοχος γένηται Χριστοῦ. ἁγιάσαι δὲ ἔλαιον οὐ δύναται ὁ αἱρετικός, ὁ μήτε θυσιαστήριον ἔχων, μήτε ἐκκλησίαν· οὐ δύναται δὲ χρίσμα τὸ παράπαν παρὰ τοῖς αἱρετικοῖς εἶναι. πρόδηλον γάρ ἐστιν ἡμῖν μηδαμῶς δύνασθαι παρ' ἐκείνοις D ἁγιάζεσθαι ἔλαιον εἰς εὐχαριστίαν. εἰδέναι γὰρ καὶ μὴ ἀγνοεῖν ὀφείλομεν, ὅτι γέγραπται, ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. ὃ δὴ καὶ πάλαι ἐμήνυσε τὸ πνεῦμα τὸ ἅγιον ἐν ψαλμοῖς, μήπως ἐξιχνιασθῇ τις, καὶ ἀπὸ τῆς εὐθείας ὁδοῦ πλανηθεὶς παρὰ τοῖς αἱρετικοῖς τοῖς τοῦ Χριστοῦ ἀντιπάλοις χρισθῇ. πῶς δὲ εὔξεται ὑπὲρ τοῦ βαπτισθέντος, οὐχὶ ἱερεύς, ἀλλ' ἱερόσυλος καὶ ἁμαρτωλός, λεγούσης τῆς γραφῆς, ὅτι ὁ θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει; διὰ τῆς ἁγίας ἐκκλησίας νοοῦμεν ἄφεσιν ἁμαρτιῶν· τίς δὲ δύναται δοῦναι ὅπερ αὐτὸς οὐκ ἔχει; ἢ πῶς δύναται πνευματικὰ ἐργάζεσθαι ὁ ἀποβαλὼν E πνεῦμα ἅγιον; διὰ τοῦτο καὶ ἀνανεοῦσθαι ὀφείλει ὁ πρὸς τὴν ἐκκλησίαν ἐρχόμενος, ἵνα ἔσω διὰ τῶν ἁγίων ἁγιασθῇ. γέγραπται γὰρ ὅτι ἅγιοι ἔσεσθε, καθὼς ἐγὼ ἅγιός εἰμι, λέγει κύριος. ἵνα καὶ ὁ πλάνῃ βουκοληθείς, ἐν τῷ ἀληθεῖ καὶ ἐκκλησιαστικῷ βαπτίσματι καὶ αὐτὸς τοῦτο ἀποδύσηται, ὅς τις πρὸς θεὸν ἐρχόμενος ἄνθρωπος, καὶ ἱερέα ἐπιζητῶν, ἐν πλάνῃ εὑρεθεὶς ἱεροσύλῳ προσέπεσε. δοκιμάζειν γάρ ἐστι τὸ τῶν αἱρετικῶν βάπτισμα, τὸ συνευδοκεῖν τοῖς ὑπ' ἐκείνων βεβαπτισμένοις. οὐ γὰρ δύναται ἐν μέρει ὑπερισχύειν. εἰ ἠδυνήθη βαπτίσαι, ἴσχυσε καὶ ἅγιον πνεῦμα δοῦναι· εἰ οὐκ ἠδυνήθη, ὅτι ἔξω ὢν πνεῦμα ἅγιον οὐκ ἔχει, οὐ δύναται τὸν ἐρχόμενον F βαπτίσαι, ἑνὸς ὄντος τοῦ βαπτίσματος, καὶ ἑνὸς ὄντος τοῦ ἁγίου πνεύματος, καὶ μιᾶς ἐκκλησίας ὑπὸ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ἐπάνω Πέτρου τοῦ ἀποστόλου ἀρχῆθεν λέγοντος ἑνότητος τεθεμελιωμένης. καὶ διὰ τοῦτο τὰ ὑπ' αὐτῶν γινόμενα ψευδῆ καὶ κενὰ ὑπάρχοντα πάντα ἐστὶν ἀδόκιμα. οὐδὲ γὰρ δύναται δεκτὸν καὶ αἱρετὸν εἶναι παρὰ θεῷ τῶν ὑπ' ἐκείνων γινομένων, οὓς ὁ κύριος πολεμίους καὶ ἀντιπάλους αὐτοῦ λέγει ἐν τοῖς εὐαγγελίοις, ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. καὶ ὁ μακάριος ἀπόστολος Ἰωάννης, ἐντολὰς κυρίου τηρῶν, ἐν τῇ ἐπιστολῇ

A ἐπιστολῇ προέγραψεν· ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν δὲ ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν μεθ' ἡμῶν, ὅθεν καὶ ἡμεῖς συνιέναι ὀφείλομεν καὶ νοεῖν, εἰ οἱ ἐχθροὶ κυρίου, καὶ οἱ ἀντίχριστοι ὠνομασμένοι, δυνατοὶ οὐκ εἶεν χάριν δοῦναι τοῦ κυρίου, καὶ διὰ τοῦτο ἡμεῖς οἱ σὺν κυρίῳ ἰόντες, καὶ ἑνότητα κυρίου κρατοῦντες, καὶ κατὰ τὴν ἀξίαν αὐτοῦ χορηγούμενοι, τὴν ἱερατείαν αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ λειτουργοῦντες, ὅσα οἱ ἀντικείμενοι αὐτῷ, τουτέστι πολέμιοι καὶ ἀντίχριστοι ποιοῦσιν, ἀποδοκιμάσαι καὶ ἀποποιῆσαι καὶ ἀπορρίψαι, καὶ ὡς βέβηλα ἔχειν, ὀφείλομεν. καὶ τοῖς B ἀπὸ πλάνης καὶ στρεβλότητος ἐρχομένοις ἐπὶ γνῶσιν τῆς ἀληθινῆς καὶ ἐκκλησιαστικῆς πίστεως δοῦναι καθόλου θείας δυνάμεως· μυστήριον, ἑνότητός τε καὶ πίστεως καὶ ἀληθείας.

ΒΑΛΣ. Ἐν τῷ προοιμίῳ γέγραπται τίνος χάριν ἡ παροῦσα ἐξετέθη ἐπιστολή. καὶ αὕτη μὲν διορίζεται τοὺς προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ ἀπὸ αἱρετικῶν ἢ σχισματικῶν βαπτίζεσθαι, κἂν ὑπ' ἐκείνων προεβαπτίσθησαν. ὁ δὲ ζ. κανὼν τῆς οἰκουμενικῆς β'. συνόδου, ποιούμενος διαίρεσιν τῶν ὀφειλόντων βαπτίζεσθαι, καὶ μή, ἕτερά τινα C παρακελεύεται. ἀνάγνωθι οὖν τοῦτον, καὶ πρόσεχε τοῖς ἐν αὐτῷ μεταγενεστέροις οὖσιν. ἀνάγνωθι καὶ τὸν β'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ μάθῃς ὅτι τὰ τῆς παρούσης ἐπιστολῆς οὐκ ἐδέχθησαν παρὰ πάντων τῶν πατέρων. φησὶ γὰρ οὕτω ῥήμασιν αὐτοῖς· ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ, γενομένου Ἐπισκόπου τῆς Αφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς καὶ ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις καὶ μόνοις κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος ἐκράτησε. δείκνυται οὖν ἐντεῦθεν, ὅτι ἀρχῆθεν οὐ παρὰ πᾶσιν ἦν ἐνεργῶν ο κανών. D σημείωσαι δέ, ὅτι Αφροι λέγονται οἱ Καρχηδόνιοι. ἐπεὶ δὲ ἔν τισιν ἀντιγράφοις ῥητῶς εὑρίσκονται καταγεγραμμέναι αἱ τῶν ὀγδοήκοντα πρὸς τοῖς τέσσαρσιν Ἐπισκόποις γνῶμαι, τῶν συνομογνωμονησάντων μετὰ τοῦ ἁγίου Κυπριανοῦ, ἐμέλλομεν καὶ ταύτας γράψαι καὶ ἑρμηνεῦσαι. ὅτι δέ, ὡς εἴρηται, ὁ ζ'. κανὼν τῆς β'. συνόδου ἕτερά τινα ἐθέσπισε παρὰ τὰ περιεχόμενα τῇ παρούσῃ ἐπιστολῇ χάριν τῶν προσερχομένων τῇ πίστει αἱρετικῶν καὶ σχισματικῶν, παρείαθη ἡ τούτων ἐξήγησις.

ΖΩΝΑΡ. Αὕτη ἡ ἐπιστολή, καθάπαξ τοὺς ὑπὸ αἱρετικῶν ἢ σχισματικῶν βαπτισθέντας, προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ βαπτίζεσθαι διατάττεται, καὶ ἐκ διαφόρων ἐνθυμημάτων καὶ ἐπιχειρημάτων καὶ ῥητῶν γραφικῶν τὸν οἰκεῖον E λόγον κατασκευάζει. ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος, ἐν κανόνι αὐτῆς ἑβδόμῳ, οὐ πάντας ἐξ αἱρέσεων ἐπιστρέφοντας ἄνωθεν κελεύει βαπτίζεσθαι, ἀλλ' ἀπαριθμεῖ τινας μὲν δεῖ δέχεσθαι διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας τήν τε οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πᾶσαν μὴ φρονοῦσαν, ὡς ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία φρονεῖ, σφραγιζομένους ἤτοι χριομένους τῷ ἁγίῳ μύρῳ· τοὺς δὲ λοιποὺς πάντας, ὧν τινας καὶ ὀνόμασι καταλέγει, βαπτίζεσθαι ὁρίζεται, δεχομένους ὡς Ἕλληνας, ὃς δῆτα κανὼν καὶ ἐν τῷ ἰδίῳ τόπῳ ἐξήγηται. ὅθεν φαίνεται, ὅτι οὐκ ἐδέχθη παρὰ τῶν μετέπειτα ἁγίων πατέρων ἡ διαταγὴ αὕτη. ἐναντία τοίνυν ἐν τούτῳ τῷ F κεφαλαίῳ τῶν δύο συνόδων εἰσαγουσῶν, τὰ τῆς δευτέρας κρατεῖ συνόδου, ὅτι τε μεταγενεστέρα ἐστί, καὶ ὅτι οἰκουμενική, ἐν ᾗ πάντως ἐκ πάντων τῶν πατριαρχικῶν θρόνων συνῆσαν. ἢ οἱ πατριάρχαι αὐτοί, ἢ τοποτηρηταί. ὅτι δὲ οὐκ ἐδέχθη ὁ παρὼν κανὼν παρὰ πάντων τῶν ἁγίων πατέρων, δηλοῦται καὶ ἐκ τοῦ δευτέρου κανόνος τῆς ἐν τῷ Τρούλλῳ γενομένης συνόδου λεγομένης ἕκτης. ἀπαρίθμησιν γὰρ ἐν αὐτῷ οἱ συνόδου ἅγιοι πατέρες ἐκείνης ποιούμενοι τῶν ὀφειλόντων κρατεῖν κανόνων, ταῦτα περὶ τοῦ κανό-

quæ ab illis fiunt, quos Dominus hostes & adversarios dicit in Evangeliis: Qui non est mecum, contra me est; & qui non colligit mecum, dispergit. Quinetiam beatus Apostolus Joannes, præcepta Domini servans, in epistola præscripsit; Audivistis quòd Antichristus venit, & nunc etiam multi antichristi facti sunt; unde cognoscimus quòd extrema hora adest. Ex nobis exierunt, sed non erant cum nobis, unde & nos intelligere & cogitare debemus, si Domini inimici, & qui Antichristi sũt nominati, Domini gratiam dare non possunt; ideo nos, qui cum Domino simus & Domini unitatem tenemus, ut pro ejus dignitate subministrantes, sacerdotium ejus in Ecclesia gerimus, quæcunque adversarii ejus, hoc est, hostes & antichristi faciunt, reprobare, removere, & abjicere, & pro profanis habere debemus: iisque, qui ab errore & perversitate ad vera & ecclesiastica fidei cognitionem veniunt, divinæ potentiæ mysterium, unitatis & fidei & veritatis, omnino dare.

Bals. Scriptum est in prooemio quam ob causam præsens epistola fuit edita: & ipsa quidem statuit, ut qui ad catholicam Ecclesiam ab hæreticis vel schismaticis accedunt, baptizentur, etiamsi ab illis priùs baptizati fuerint. vii. autem can. ii. Syn. univers. eorum, qui baptizari & qui non baptizari debent, differentiam constituens, alia quædam præcipit. Lege ergo eum, & mentem adhibe iis quæ in ipso sunt posteriora. Lege ergo etiam ii. can. Syn. quæ est in Trullo, & scies, quòd quæ hac epistola continentur, ab omnibus patribus admissa non sunt. Sic enim dicit his verbis: Præterea autem & à Cypriano, qui Afrorum regionis Episcopus fuit & martyr, & à Synodo, quæ ab illo habita est, editum canonem, qui in prædictorum præsulum locis, iisque solis, juxta illis traditam consuetudinem, obtinuit. Hinc ergo notatur, quòd à principio non erat in usu apud omnes hic canon. Nota autem, quòd Afri dicuntur Carthaginenses. Quia autem in nonnullis exemplaribus apertè descriptæ inveniuntur lxxxiiii. Episcoporum sententiæ, qui in eadem fuerunt opinione cum sancto Cypriano; eramus eas quoque scripturi & interpretaturi: sed quia, ut dictum est, vii. secundæ Synodi can. alia quædam constituit ab iis, quæ hac præsenti epistola continentur, de hæreticis & schismaticis qui ad fidem accedunt; prætermissa est eorum expositio.

Zonar. Epistola hæc quoscunque ab hæreticis aut schismaticis baptizatos, si ad Ecclesiam catholicam se recipiant, iterum baptizari jubet, eámque sententiam variis epichirematibus enthymematis scripturæque testimoniis confirmat. At vero secunda oecumenica Synodus canone septimo, non omnes, qui ex hæresi demigrant, baptismo iterum expiandos; sed alios quidem si datis libellis suam præterea quisque hæresin, omnémq; à catholica & apostolica Dei Ecclesia alienum errorem execrentur, charactere notatos, hoc est sancto chrismate inunctos admitti oportere decernit; alios vero omnes, ex quibus nonnullos nominatim designat, baptizari, atque ut Græcos admitti, jubet. Qui quidem etiam canon suo loco explicatus est. Unde ejus canonis constitutionem à sanctis postea Patribus receptam haud fuisse facile apparet. Cum igitur de eadem re duæ Synodi contraria inter se decreta protulerint, potior habenda est secundæ Synodi constitutio, quippe quæ, & posterior fuit, & Oecumenica, in qua omnes scilicet quicunque Patriarchicam sedem obtinent, aut ipsimet Patriarchæ, aut ipsorum legati affuerunt. Porro hunc canonem nequaquam à sanctis Patribus universis receptum fuisse, vel ex secundo can. Syn. in Trullo habitæ, quæ sexta dicitur, intelligi licet, Ibi namq; sancti Patres iis canonibus, quorum rata auctoritas esse debet, sigillatim enumeratis; de hoc can totidem omnino verbis ita pronuntiant. Præterea vero, inquiunt, & à Cypriano, qui Aphrorum regionis fuit Archiepiſcopus & martyr, & à Synodo, quæ ſub eo fuit, editum canonem, qui in illorum Præſulum locis tantummodo juxta traditam ab eis conſuetudinem ſervatus eſt. Ex hoc loco igitur, primis quoque temporibus canonem hunc nequaquam apud omnes valuiſſe, facile apparet. Hic igitur eſt textus epiſtolæ: quæ vero in communi diſceptatione dicta ſunt à ſingulis, qui in Synodo convenerant, ita ſe habent.

Cyprianus dixit.

Audiſtis, dilectiſſimi Coepiſcopi, quid mihi Jovianus coëpiſcopus noſter, de illicito & prophano hæreticorum baptiſmo mediocritatem noſtram conſulens, ſcripſerit, & quid ego ei reſcripſerim, cenſens ſcilicet, quod ſemel atque iterum & ſæpe cenſuimus, hæreticos ad Eccleſiam venientes baptiſmo (Eccleſiæ) baptizari & ſanctificari oportere. Item lectæ ſunt vobis & aliæ literæ Joviani, quibus pro ſua ſyncera & religioſa devotione ad epiſtolam noſtram reſcribens, non tantum nobis conſenſit, ſed etiam veritate inſtructum ſe eſſe gratias egit. Supereſt de hac ipſa re, quid ſinguli ſentiamus, proferre, neminem judicantes, aut à jure communionis, ſi diverſum ſenſerit, amoventes. Neque enim quiſquam Epiſcopum ſe conſtituit, aut tyrannico terrore ad obſequendi neceſſitatem Coepiſcopos ſuos adigit, quandoquidem omnis Epiſcopus poteſtatem habet libere faciendi quæ ſentit. Ut ipſe enim alium judicare non poteſt, ſic nec ab alio judicari. Nam omnes expectamus judicium Domini noſtri Jeſu Chriſti, qui ſolus poteſtatem habet in Eccleſia ſua Epiſcopum conſtituendi, & acta uniuſcujuſque examinandi & judicandi.

Cæcilius Liberarius dixit.

Ego unum baptiſma in Eccleſia ſola ſcio, & extra Eccleſiam nullibi. Ibi enim eſt unum baptiſma, ubi ſpes vera & fides certa. Sic enim ſcriptum eſt: una fides, unum baptiſma. Non enim apud hæreticos, ubi ſpes nulla eſt, & fides falſa; ubi omnia per mendacium aguntur; ubi exorcizat dæmoniacus, ſacramentum interrogat, cujus os peſtilentia & venenoſa eructat: fidem autem dat infidelis, veniam delictorum tribuit ſceleratus, & in nomine Chriſti baptizat Antichriſtus, vitam pollicetur mortuus, pacem dat impacificus, Deum invocat blaſphemus, ſacerdotium adminiſtrat prophanus. Dicant, qui illis aſtipulantur, hæc omnia falſa eſſe de hæreticis; Ecce quibus Eccleſia conſentire cogitur, ut ſine baptiſmo ac venia delictorum cum talibus communicet. Quam rem, fratres, fugere ac vitare debemus, & à tanto ſcelere nos ſeparare, & unum baptiſma tenere, quod ſolum Eccleſiæ Dei conceſſum eſt.

Priamus à Maſtripa dixit.

Cenſeo omnem hominem ab hæreſi venientem baptizandum. Fruſtra enim illic putat eſſe baptizatum, cum non ſit niſi unum baptiſma in Eccleſia ſola: quia & Deus unus & baptiſma unum, & Eccleſia una, in qua baptiſma & ſanctificatio, & quæcunque alia ad ſalutem & vitam æternam ſpectant, perficiuntur. Nam quæ extra Eccleſiam exercentur, nullum habent ſalutis effectum.

Polycarpus ab Adrumeto dixit.

Qui hæreticorum baptiſma probant, noſtrum reprobum efficiunt.

Novatus à Thannubaſilio dixit.

Licet ſciamus omnem Scripturam teſtimonium reddere de ſalutari baptiſmo: debemus tamen fidem no-

A νος τούτου ῥήμασιν αὐτοῖς διεξιᾶσιν. ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ τοῦ γενομένου ἀρχιεπισκόπου τῆς Αφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ᾽ αὐτὸν συνόδου, ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προέδρων τόποις καὶ μόνοις κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος ἐκράτησεν. ἐντεῦθεν οὖν δείκνυται, ὅτι καὶ ἀρχῆθεν οὐ παρὰ πᾶσιν ἦν ἐνεργῶν ὁ κανών. ταῦτα μὲν οὖν τὰ τῆς ἐπιστολῆς· αἱ δὲ ἐν τῇ κοινῇ διασκέψει δοθεῖσαι γνῶμαι παρ᾽ ἑκάστου, τῶν ἐν τῇ συνόδῳ συνειλεγμένων, ἔχουσιν οὕτως κατ᾽ ἐπιτομήν.

Κυπριανὸς εἶπεν.

Ηκούσατε, ἀγαπητοὶ συνεπίσκοποι, τί μοι ἔγραψεν B Ιοβιανὸς ὁ συνεπίσκοπος ἡμῶν συμβουλὴν παρὰ τῆς μετριότητός μου βουλόμενος λαβεῖν περὶ τοῦ ἀνοσίου καὶ ἀνόμου βαπτίσματος τῶν αἱρετικῶν, καὶ τί ἐγὼ αὐτῷ ἀντέγραψα, δογματίζων, ὃ ἅπαξ καὶ δεύτερον καὶ πολλάκις ἐκρίναμεν, τοὺς αἱρετικοὺς τοὺς προσερχομένους τῇ ἐκκλησίᾳ βαπτίσματι βαπτίζεσθαι δεῖν καὶ ἁγιάζεσθαι. ἔπειτα δὲ ἀνεγνώσθη ὑμῖν καὶ ἄλλα γράμματα Ιοβιανοῦ, δι᾽ ὧν κατὰ τὸ αὐτοῦ εὐσεβὲς ἀντίγραμμα οὐ μόνον ἡμῖν συνευδόκησεν, ἀλλὰ καὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας χάριν ὡμολόγησεν. ὑπόλοιπον οὖν περὶ αὐτοῦ τί ἕκαστος ἡμῶν φρονεῖ εἰπεῖν, μηδενὸς ἀφ᾽ ἡμῶν ἐν τούτῳ κρινομένου, μη- C δὲ, εἰ ἐναντία φρονοίη, καὶ ἀκοινωνήτου γινομένου. οὔτε γάρ τις Επίσκοπον ἑαυτὸν καθίστησιν, οὐδὲ τυραννικῇ αὐθαδείᾳ εἰς ἀνάγκην τοῦ ἕπεσθαι αὐτῷ τοὺς συνεπισκόπους βιάζεται, ὁπότε εἷς ἕκαστος Επίσκοπος ἐξουσίαν ἔχει πράττειν ἐλευθερίως ἃ φρονεῖ. ὡς γὰρ αὐτὸς ἄλλον κρῖναι οὐ δύναται, οὕτως οὐδὲ ὑπὸ ἄλλου κριθῆναι. περιμένομεν γὰρ πάντες τὴν τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ κρίσιν, ὃς μόνος ἐξουσίαν ἔχει Επίσκοπον καθιστᾶν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, καὶ ἑνὸς ἑκάστου τὴν πρᾶξιν ἐξετάζειν καὶ δοκιμάζειν.

Καικίλλιος Λιβεράριος εἶπεν.

D Εν βάπτισμα ἐν μόνῃ τῇ ἐκκλησίᾳ οἶδα, καὶ ἐκτὸς τῆς ἐκκλησίας οὐδαμοῦ. ἔνθα γάρ ἐστι τὸ ἓν βάπτισμα, ὄντως καὶ ἐλπὶς ἀληθείας ἐστὶ, καὶ πίστις. οὕτω γὰρ γέγραπται, μία πίστις, ἓν βάπτισμα. οὐ γὰρ τοῖς αἱρετικοῖς, παρ᾽ οἷς οὐδεμία πίστις καὶ ἐλπὶς, ὅπου πάντα ψευδῆ, ὅπου ἐξορκίζει δαιμονιζόμενος, μυστήριον ἐρωτᾷ οὗ τὸ στόμα λοιμώδη καὶ ἰώδη φθέγγεται· πίστιν δὲ δίδωσιν ἄπιστος, ἄφεσιν ἁμαρτιῶν παρέχει ἁμαρτωλὸς, καὶ εἰς ὄνομα Χριστοῦ βαπτίζει ἀντίχριστος, ὑπισχνεῖται ζωὴν νεκρὸς, εἰρήνην δίδωσιν εἰρήνης ἀλλότριος, θεὸν ἐπικαλεῖται βλάσφημος, ἱερατείᾳ κέχρηται ἀσεβής. οἱ αὐτοῖς συνηγοροῦντες E εἰπάτωσαν ταῦτα πάντα ψευδῆ εἶναι περὶ τῶν αἱρετικῶν, ἰδοὺ τίσιν ἀναγκάζεται ἡ ἐκκλησία συνευδοκεῖν, ἵνα χωρὶς βαπτίσματος καὶ ἀφέσεως ἁμαρτιῶν τοιούτοις συγκοινωνήσῃ. ὅθεν, ἀδελφοὶ, φεύγειν καὶ ἐκκλίνειν ὀφείλομεν, καὶ χωρίζειν ἑαυτοὺς ἀπὸ τοιούτων πλημμελημάτων, καὶ ἓν βάπτισμα κατέχειν τὸ μόνον ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ δεδωρημένον.

Πρίαμος ἀπὸ μαστρίπης εἶπε.

Δογματίζω πάντα ἄνθρωπον ἀπὸ αἱρέσεως ἐρχόμενον δεῖν βαπτίζεσθαι. μάτην γὰρ αὐτὸν ἐκεῖ βεβαπτίσθαι, μὴ ὄντος, εἰ μὴ ἑνὸς βαπτίσματος, ἐν τῇ ἐκκλησίᾳ μόνῃ· ἐπεὶ καὶ ὁ F θεὸς εἷς, καὶ βάπτισμα ἓν, καὶ ἐκκλησία μία, ἐν ᾗ τὸ βάπτισμα καὶ ὁ ἁγιασμὸς καὶ ὅσα ἄλλα εἰς σωτηρίαν καὶ εἰς ζωὴν αἰώνιον ἐπιτελεῖται. τὰ γὰρ ἔξω τῆς ἐκκλησίας γινόμενα, εἰς οὐδὲν τούτων ἀφικνεῖται.

Πολύκαρπος Αδραμύτου εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν βάπτισμα δοκιμάζοντες τὸ ἡμέτερον ἀδόκιμον ποιοῦσι.

Νουβάτος ἀπὸ Θαννουβασιλέως εἶπεν.

Πᾶσαι αἱ γραφαὶ μαρτυροῦσι περὶ ἑνὸς καὶ μόνου τοῦ ἐν τῇ ἐκκλησίᾳ βαπτίσματος σωτηρίου, ὀφείλομεν τὴν ἡμετέραν πίστιν ὁμολογῆσαι, ἵνα τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς προσερχομένους τῇ ἐκκλησίᾳ μετὰ τὸ ψευδὲς ἐκείνων βάπτισμα τῷ ἀληθεῖ βαπτίσωμεν. καὶ διὰ τοῦτο ἐγὼ τοὺς ἐκεῖθεν ἐλθόντας πάντας ἐβάπτισα, καὶ τοὺς ἀπὸ κλήρου αὐτῶν λαϊκοὺς ἔστησα.

Νεμεσιανὸς ἀπὸ Θουβένων εἶπε.

Βάπτισμα ὃ δίδωσιν αἱρετικὸς καὶ σχισματικὸς μὴ εἶναι ἀληθὲς πᾶσαι αἱ γραφαὶ μαρτυροῦσιν· ἐπεὶ αὐτοὶ οἱ προεστῶτες αὐτῶν ψευδόχριστοί εἰσι καὶ ψευδοπροφῆται.

Ἰαννουάριος ἀπὸ Λαβῆς εἶπε.

Κατὰ τὰ προστάγματα τῶν ἁγίων γραφῶν κρίνω δεῖν πάντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι, καὶ οὕτως εἰς τὴν ἁγίαν ἐκκλησίαν προσδέχεσθαι.

Λούκιος ἀπὸ Γαστραγαλβῆς εἶπεν.

Ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησίν, ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; ὁπότε οὖν σαφές ἐστι, τοὺς αἱρετικοὺς, τουτέστιν ἐχθροὺς τοῦ θεοῦ, μὴ δεῖν δύνασθαι ζωοποιῆσαί τινα πνευματικῇ ὁμολογίᾳ, μωρανθέντας αὐτοὺς καὶ ἔξω ὄντας τῆς ἐκκλησίας, ἁγίῳ βαπτίσματι βαπτίζειν αὐτοὺς ἐρχομένους ὀφείλομεν.

Κρέσκης ἀπὸ Κρήτης εἶπε.

Καὶ αὐτὸς τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς, ὁπόταν εἰς τὴν ἐκκλησίαν τὴν καθολικὴν ἔλθωσι, μὴ πρότερον δεχθῆναι, πρὶν ἐξορκισθῶσι καὶ βαπτισθῶσι, χωρὶς ἐκείνων τῶν τῇ ἐκκλησίᾳ βαπτισθέντων καὶ ἀποστάντων· οὗτοι γὰρ ὀφείλουσι μετανοήσαντες χειροθεσίας μόνης τυχεῖν.

Νικομήδης ἀπὸ Σεργομέων εἶπεν.

Ἡ ἐμὴ ἀπόφασις αὕτη ἐστίν· ἵνα οἱ αἱρετικοὶ τῇ ἐκκλησίᾳ προσερχόμενοι βαπτισθῶσιν· ἐπεὶ μηδεμίαν ἔξω ἄφεσιν ἁμαρτιῶν εἰλήφασιν ὑπὸ τῶν αἱρετικῶν βαπτισθέντες.

Σεκουνδιανὸς ἀπὸ Καρινδίας εἶπεν.

Ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λέγει, ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ Ἰωάννης ὁ ἀπόστολος τοὺς ἐξερχομένους τῆς ἐκκλησίας ἀντιχρίστους ὀνομάζει. ἀδύνατον γάρ ἐστιν αὐτοὺς ὑπηρετῆσαι χάριτι θεοῦ καὶ σωτηρίῳ βαπτίσματι· καὶ διὰ τοῦτο κρίνω τοὺς τῇ ἐκκλησίᾳ προσελθόντας βαπτισθῆναι παρ' ἡμῶν.

Φῆλιξ ἀπὸ Γαμετῶν εἶπεν.

Ὡς τυφλὸς τυφλὸν ὁδηγῶν ἅμα εἰς βόθρον ἐμπίπτουσιν· οὕτω αἱρετικὸς αἱρετικὸν βαπτίζων τῷ βαπτιζομένῳ συναποθνήσκει. καὶ διὰ τοῦτο παρ' ἡμῖν τὸν αἱρετικὸν βαπτισθῆναι δεῖ, ἵνα μὴ ἡμεῖς οἱ ζῶντες νεκροῖς κοινωνήσωμεν.

Σουκέντιος ἀπὸ Ἀβιργερμανικιανῆς εἶπεν.

Αἱρετικοῖς ἢ οὐδὲν ἔξεστιν, ἢ πάντα. εἰ δύνανται βαπτίσαι, δύνανται καὶ πνεῦμα ἅγιον δοῦναι. ἐπεὶ δὲ μὴ ἔχουσιν, οὐδὲ πνευματικῶς βαπτίζουσι, καὶ διὰ τοῦτο κρίνω δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Φουρτουνάτος ἀπὸ Θουκγαβῶρ εἶπεν.

Οἱ ἔξω τῆς ἐκκλησίας ὄντες, ἐναντίοι τῷ Χριστῷ, ὡς τὰ πρόβατα καὶ τὴν ἀγέλην αὐτοῦ σκορπίζοντες, βαπτίζειν ἔξω οὐ δύνανται.

Θήδατος ἀπὸ Θουρβῶν εἶπε.

Πάσῃ δυνάμει ἀγωνιστέον, ἵνα μὴ ὁ τὴν τῶν αἱρετικῶν πλάνην ἀφεὶς τὸ μόνον τῆς ἐκκλησίας βάπτισμα διστάσῃ λαβεῖν, ᾧ τις μὴ βαπτισθεὶς ἀλλοτριοῦται τῆς τῶν οὐρανῶν βασιλείας.

Προβατιανὸς ἀπὸ Σοφετίνης εἶπεν.

Εἰ ἀπὸ θεοῦ ἡ αἵρεσίς ἐστιν, ἕξει αἱρετικὸς καὶ δωρεὰν θεοῦ· εἰ δὲ μή ἐστιν ἀπὸ θεοῦ, πῶς δύναται αὐτὸς ἔχειν τὴν χάριν τοῦ θεοῦ καὶ ἄλλῳ διδόναι.

Μονούαλος ἀπὸ Γέρβης εἶπε.

Τοῦ κυρίου λέγοντος, βαπτίσατε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, οἴδαμεν σαφῶς, τοὺς αἱρετικοὺς μὴ πατέρα ἔχειν μήτε υἱὸν

A ſtram exprimere, ut hæreticos & ſchiſmaticos ad Eccleſiam venientes, poſt falſum eorum baptiſma vero baptizemus. Ideoq; omnes, qui inde ad Eccleſiam converſi ſunt, ipſe baptizavi, & quicunque ex clero ordinati videbantur inter laicos recepi.

Nemeſianus à Thubunis dixit.

Baptiſma, quod dat hæreticus & ſchiſmaticus, non eſſe verum, ubique in ſcripturis ſanctis declaratum eſt: quoniam ipſi præpoſiti eorum falſi Chriſti ſunt & falſi prophetæ.

Januarius à Laba dixit.

Secundum ſcripturarum ſanctarum auctoritatem decer- B no hæreticos omnes baptizandos, & ſic in Eccleſiam ſanctam admittendos.

Lucius à Caſtragalba dixit.

Dominus in Evangelio dixit; Vos eſtis ſal terræ: ſi autem ſal infatuatum fuerit, in quo ſalietur? Cùm igitur manifeſtum ſit hæreticos, id eſt, hoſtes Dei, non poſſe quemquam ſpirituali confeſſione vivificare, quòd infatuati ſint & extra Eccleſiam; accedentes eos ſancto baptiſmate baptizare debemus.

Creſcens à Cretâ dixit.

Cenſeo & ipſe hæreticos & ſchiſmaticos, qui ad Catho- C licam Eccleſiam voluerint venire, non ante recipiendos, quam exorcizati & baptizati fuerint; exceptis iis, qui in Eccleſia fuerint ante baptizati, & ab ea defecerint. Hi enim pœnitentiam agentes per manuum impoſitionem ſolam Eccleſiæ reconciliari debent.

Nicomedes à Sergomeis dixit.

Mea ſententia hæc eſt; Ut hæretici ad Eccleſiam venientes baptizentur eo quod nullam foris peccatorum remiſſionem conſequuti ſint ab hæreticis baptizati.

Secundianus à Carindia dixit.

Cùm Dominus noſter Jeſus Chriſtus dicat; Qui non D eſt mecum, contra me eſt; & Joannes Apoſtolus eos, qui ab Eccleſia exeunt, Antichriſtos dicat; Impoſſibile enim eſt, ut ipſi gratiæ Dei & ſalutari baptiſmo inſerviant: et ideo cenſeo eos, qui ad Eccleſiam confugiunt, à nobis eſſe baptizandos.

Felix à Gametis dixit.

Sicut cæcus cæcum ducens ſimul in foveam cadunt; ita hæreticus hæreticum baptizans ſimul cum eo in mortem cadit. Et ideo baptizandus eſt apud nos hæreticus; ne nos vivi mortuis communicemus.

Succentius ab Abirgemaniciana dixit.

E Hæreticis aut nihil licet, aut omnia. Si poſſunt baptizare, poſſunt & dare Spiritum ſanctum. Quoniam autem non habent, nec baptizare ſpiritualiter poſſunt: propterea cenſeo hæreticos baptizandos eſſe.

Fortunatus à Thuchabori dixit.

Qui extra Eccleſiam ſunt, contra Chriſtum ſtantes, ut qui oves ejus & gregem ſpargunt, baptizare foris non poſſunt.

Thedatus à Thurbis dixit.

Omnibus viribus nitendum eſt, ne quis hæreticorum errorem derelinquens ſingulare & verum Eccleſiæ baptiſma detrectet accipere, quo quiſquis non fuerit ba- F ptizatus à regno cœlorum fit alienus.

Probatianus à Sophetia dixit.

Si hæreſis à Deo eſt, habebit hæreticus & indulgentiam divinam. Si vero à Deo non eſt, quomodo gratiam Dei ipſe habere & conferre alicui poteſt?

Monualus à Gerba dixit.

Domino dicente, Baptizate omnes gentes in nomine Patris & Filii & Spiritûs ſancti; manifeſtè ſcimus hæreticos nec Patrem habere, nec Filium, nec Spi-

A ritum ſanctum. Debent igitur venientes ad Eccleſiam baptizari, ut renaſcantur.

Politianus à Mileo dixit.

Juſtum eſt in Eccleſia baptizari eum, qui ab hæreſi venit.

Theognis ab Hippone Regio dixit.

Secundum ſacramentum Dei & gratiæ cœleſtis, quam accepimus, baptiſma, quod eſt in Eccleſia ſancta, novimus.

Diatius Seada dixit.

Nos, quantum in nobis eſt, hæreticis non communicamus; niſi baptizati in Eccleſia fuerint, & remiſſionem peccatorum acceperint. B

Probatus à Sophiſto dixit.

Qui hæreticorum baptiſmum probat, quid aliud quam hæreticis communicat?

Hortenſianus à Laburnâ dixit.

Nos unum baptiſma, quod non niſi in Eccleſia novimus, Eccleſia vindicamus.

Caſſius à Comazis dixit.

Cum baptiſmata duo eſſe non poſſint, qui hæreticis baptiſma concedit, baptiſma ſibi tollit. Cenſeo itaque baptizandos eſſe hæreticos, cùm ad Eccleſiam venerint; exceptis illis, qui ab eccleſia fidelium ſeparati ad hæreſis C tenebras tranſierunt, quos redeuntes oportet per ſolam manûs impoſitionem reſtitui.

Jannuarius ab Ubico dixit.

Si non obtemperat error veritati; multo magis veritas non conſentit errori. Et ideo nos Eccleſiæ aſſiſtimus, in qua præſidemus, ut qui in ea non baptizati ſunt, baptizemus.

Secundinus à Carpis dixit.

Si Chriſtiani ſunt hæret. cur in Eccleſia Dei non ſunt? ſin autem Chriſtiani non ſunt, fiant. Unde conſtat, ſuper filios alienos & ſobolem Antichriſti Spiritum ſanct. per manûs impoſitionem tantummodo non poſſe deſcendere. D

Victorinus à Thabacis dixit.

Si licet hæreticis baptizare, & Spiritum ſanctum ac remiſſionem peccatorum dare, quid adverſus illos mentimur, ut hæreticos illos appellemus.

Alius Felix à Thuinâ dixit.

Confirmare debemus, ut omnes hæretici, qui ad Eccleſiam accurrunt, baptizentur, ut omnis externa perverſitas purgata & ſanctificata in melius reformetur.

Quintus ab Uruc dixit.

Si illi, qui apud hæreticos baptizantur, remiſſionem E peccatorum & vitam æternam conſequuntur, cur ad Eccleſiam veniunt? ſin autem ad pœnitentiam veniunt, in qua & baptiſmate vivificantur, quod eſt in Eccleſia Catholica, baptizari & ſanctificari debent.

Caſtus à Dica dixit.

Qui contempta veritate præſumit conſuetudinem ſequi, aut fratribus invidus eſt, quibus veritas eſt revelata, aut erga Deum ingratus, qui eam revelavit.

Eucratius à Thenis dixit.

Venientes ad Eccleſiam hæreticos vero & Catholico baptiſmate baptizari oportet, ut à peccatis purificati ſanctificentur. F

Liboſus ab Urgaſa dixit.

Dominus dixit; Ego ſum veritas. Itaque veritate manifeſta cedat conſuetudo: ut licet olim in Eccleſia quis hæreticos non baptizaverit, nunc baptizare incipiat.

Lucinus à Thibiſto dixit.

Hæreticos ut blaſphemos & iniquos, qui verbis fallacibus ſcripturas ſacras adulterant, anathamate percuti oportet: atq; idcirco tales exorcizare ac baptizare debemus.

μήτε πνεῦμα ἅγιον. δεῖ οὖν ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζειν, ἵνα ἀναγεννηθῶσι.

Πολιτιανὸς ἀπὸ Μίλεως εἶπεν.

Ὀρθόν ἐστι τὸν ἀπὸ αἱρέσεως ἐρχόμενον ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι.

Θεόγνις ἀπὸ ἱππῶνος ῥηγίου εἶπεν.

Ἀκολούθως τῷ μυστηρίῳ τοῦ θεοῦ καὶ τῆς οὐρανίου χάριτος, ἣν εἰλήφαμεν, βάπτισμα, ὅ ἐστιν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, οἴδαμεν.

Διατίους ὁ Σεάδης εἶπεν.

Ἡμεῖς, ὃ ἐφ' ἡμῖν ἐστιν, αἱρετικοῖς οὐ κοινωνοῦμεν, ἐὰν μὴ ἐν τῇ ἐκκλησίᾳ βαπτισθῇ, καὶ ἄφεσιν ἁμαρτιῶν λάβῃ.

Προβάτος ἀπὸ Σοφιστοῦ εἶπεν.

Ὁ δοκιμάζων παρὰ τοῖς αἱρετικοῖς βάπτισμα εἶναι, τί ἄλλο ἢ τοῖς αἱρετικοῖς κοινωνεῖ;

Ὀρτησιανὸς ἀπὸ Λαβούρνης εἶπε.

Καὶ ἡμεῖς ἓν βάπτισμα, ὅπερ ἐν τῇ ἐκκλησίᾳ οἴδαμεν, τοῦτο τῇ ἐκκλησίᾳ ἐκδικοῦμεν.

Κάσιος ἀπὸ Κομαζῶν εἶπεν.

Ἐπεὶ δύο βαπτίσματα εἶναι οὐ δύναται, ὁ συγχωρῶν τοῖς αἱρετικοῖς βάπτισμα, ἑαυτὸν τοῦ βαπτίσματος ἀποστερεῖ. διὸ ἐπικυρῶ αἱρετικοὺς βαπτίζειν δεῖν, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔρχωνται, χωρὶς τῶν τῆς ἐκκλησίας τῶν πιστῶν χωρισθέντων, καὶ ἑαυτοὺς τῷ σκότει τῆς αἱρέσεως προδόντων, οὓς δεῖ ἐπανελθόντας μόνῃ τῇ χειροθεσίᾳ προσλαβέσθαι.

Ἰαννουάριος ἀπὸ Οὐβικοῦ εἶπεν.

Εἰ μὴ συγκατίθεται ἡ πλάνη τῇ ἀληθείᾳ, πολὺ μᾶλλον ἡ ἀλήθεια οὐ συγκατατίθεται τῇ πλάνῃ. διὸ καὶ ἡμεῖς συνιστάμεθα τῇ ἐκκλησίᾳ, ἐν ᾗ καὶ προκαθηδράσθημεν, ἵνα τοὺς ἐν αὐτῇ μὴ βαπτισθέντας βαπτίσωμεν.

Σεκουνδῖνος ὁ ἀπὸ Καλπῶν εἶπεν.

Εἰ Χριστιανοί εἰσιν οἱ αἱρετικοί, διὰ τί ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ οὐκ εἰσίν; εἰ δὲ μὴ Χριστιανοί εἰσι, γινέσθωσαν. δῆλον οὖν, ἐπάνω υἱῶν ἀλλοτρίων καὶ σπορᾶς ἀντιχρίστου διὰ μόνης χειρεπιθεσίας μὴ δύνασθαι ἅγιον πνεῦμα κατελθεῖν.

Οὐικτωρῖνος ἀπὸ Θαβάκων εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίσαι, καὶ ἅγιον πνεῦμα δοῦναι καὶ ἄφεσιν ἁμαρτιῶν, τί αὐτῶν καταψευδόμεθα, ἵνα αὐτοὺς αἱρετικοὺς ὀνομάσωμεν;

Ἄλλος Φίληξ ἀπὸ Θυίνης εἶπεν.

Ὀφείλομεν διαβεβαιῶσαι, ἵνα πάντες οἱ αἱρετικοὶ οἱ προσερχόμενοι τῇ ἐκκλησίᾳ βαπτισθῶσιν, ὅπως ἡ ἔξω γενομένη διαστροφὴ ἐπανορθωθῇ καὶ ἁγιασθῇ.

Κούιντος ἀπὸ Οὐρροὺκ εἶπεν.

Εἰ οἱ παρὰ τοῖς αἱρετικοῖς βαπτιζόμενοι ἀφέσεως ἁμαρτιῶν καὶ αἰωνίου ζωῆς τυγχάνουσι, τί πρὸς τὴν ἐκκλησίαν ἔρχονται; εἰ δὲ εἰς μετάνοιαν ἔρχονται, ἐν ᾗ ζωοποιοῦνται βαπτίσματι, ὅπερ ἐν καθολικῇ ἐκκλησίᾳ ἐστί, βαπτισθῆναι καὶ ἁγιασθῆναι ὀφείλουσιν.

Κάστος ἀπὸ Δίκης εἶπεν.

Ὁ παραπεμπόμενος τὴν ἀλήθειαν, καὶ τῇ συνηθείᾳ ἑπόμενος, ἢ περὶ τοὺς ἀδελφοὺς φθονερός, οἷς ἡ ἀλήθεια ἀπεκαλύφθη, ἢ περὶ θεὸν τὸν ἀποκαλύψαντα ἀχάριστος.

Εὐκράτιος ἀπὸ Θενῶν εἶπε.

Τοὺς αἱρετικοὺς ἐρχομένους εἰς τὴν ἐκκλησίαν ὀρθῷ καὶ καθολικῷ βαπτίσματι βαπτίζεσθαι δεῖ, ἵν' ἀπονιψάμενοι τὰς ἁμαρτίας ἁγιασθῶσιν.

Λίβυοσος ἀπὸ Οὐργάσης εἶπεν.

Ὁ κύριός φησιν· ἐγώ εἰμι ἡ ἀλήθεια. ὥστε ἀποκαλυφθείσης τῆς ἀληθείας παραχωρείτω ἡ συνήθεια, ἵνα εἰ καὶ γὰρ πρότερόν τις ἐν τῇ ἐκκλησίᾳ τοὺς αἱρετικοὺς μὴ ἐβάπτισε, νῦν βαπτίσῃ.

Λευκῖνος ἀπὸ Θιβίστου εἶπε.

Τοὺς γὰρ αἱρετικούς, ὡς βλασφήμους καὶ ἀνοσίους πλάνοις λόγοις τὰς θείας γραφὰς παραχαράσσοντας, ἀναθεματίζειν δεῖ. καὶ διὰ τοῦτο τοὺς τοιούτους ἐξορκίζειν καὶ βαπτίζειν ὀφείλομεν.

Εὐγένιος

A Εὐγένιος Ἀμμεδάρων εἶπε.

Κἀγὼ τοῦτο κρίνω, δεῖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Ἄλλος Φίληξ ἀπὸ Μεκκόρας εἶπε.

Καὶ αὐτὸς ἑπόμενος τῷ κανόνι τῶν θείων γραφῶν τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς βαπτίζεσθαι ἀποφαίνομαι.

Ἰανουάριος ἀπὸ Μουκούζης εἶπεν.

Εἰ αἱρετικοὶ ἔχουσι βάπτισμα, ἡμεῖς οὐκ ἔχομεν. εἰ ἡμεῖς ἔχομεν, αἱρετικοὶ ἔχειν οὐ δύνανται· ἀμφισβητήσιμον δὲ οὐκ ἔστι τὴν ἐκκλησίαν τὴν καθολικὴν τῷ τοῦ Χριστοῦ βαπτίσματι κεχρῆσθαι, τὴν μόνην κεκτημένην χάριν καὶ ἀγάπην καὶ ἀλήθειαν τοῦ Χριστοῦ.

B Ἀδέλφιδος ἀπὸ Θασβέλθης εἶπε.

Μάτην τινὲς τῇ ἀληθείᾳ πολεμοῦσι, λέγοντες ἡμᾶς ἀναβαπτίζειν. ἡ γὰρ ἐκκλησία τοὺς αἱρετικοὺς οὐκ ἀναβαπτίζει, ἀλλὰ βαπτίζει.

Δημήτριος ἀπὸ Πολεμόνου εἶπεν.

Οἱ λέγοντες, ὅτι οἱ αἱρετικοὶ ἀληθῶς καὶ νομίμως βαπτίζουσιν, οὗτοι οὐ μόνον δύο, ἀλλὰ καὶ πολλὰ βαπτίσματα εἰσάγουσιν. ὁπότε γὰρ διάφοροι καὶ πολλαὶ αἱρέσεις εἰσί, κατὰ τὸν ἀριθμὸν αὐτῶν καὶ τὰ βαπτίσματα ἀριθμεῖται.

Οὐικέντιος ἀπὸ Θιβάρης εἶπε.

C Τοὺς αἱρετικοὺς οἴδαμεν χείρονας τῶν σχισματικῶν. ἐὰν δὲ μετανοήσαντες θελήσωσιν ἐλθεῖν εἰς κανόνα τῆς ἀληθείας, πρότερον ἐξορκίζειν, ἔπειτα βαπτίζειν αὐτοὺς δεῖ. τότε γὰρ δύνανται τῆς Χριστοῦ ἐπαγγελίας τυχεῖν.

Μάρκος ἀπὸ Μαθάρων εἶπε.

Κρίνω, ὡς μηδὲν ἔχοντας, τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Σάτιος ἀπὸ Σακιλιβύης εἶπεν.

Εἰ τοῖς αἱρετικοῖς ἐν τῷ βαπτίσματι αὐτῶν ἄφεσις ἁμαρτιῶν γίνεται, μάτην τῇ ἐκκλησίᾳ προσέρχονται. οὐδὲν γάρ ἐστι τὸ δυνάμενον φοβῆσαι αὐτοὺς ἐν τῇ κρίσει τοῦ Χριστοῦ, ἄφεσιν ἁμαρτιῶν εἰληφότας.

Αὐρήλιος ἀπὸ Ἀττικῆς εἶπε.

D Λέγοντος τοῦ ἀποστόλου ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινωνεῖν, κρίνω βαπτίζεσθαι τοὺς αἱρετικούς, ἵνα λάβωσι πρότερον ἄφεσιν ἁμαρτιῶν, καὶ οὕτως αὐτοῖς κοινωνήσωμεν.

Ἰαμβὸς ἀπὸ Γερμανικείας εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν δοκιμάζοντες βάπτισμα, τὸ ἡμέτερον ἀποδοκιμάζουσιν.

Λουκιανὸς ἀπὸ Ῥουκούμης εἶπεν.

Εἰ δυνατὸν φῶς καὶ σκότος κοινωνεῖν, δύναται καὶ ἡμῖν καὶ τοῖς αἱρετικοῖς εἶναί τι κοινόν. κρίνω οὖν τοὺς αἱρετικοὺς βαπτίζεσθαι.

Πελάγιος ἀπὸ Λουπερκιανῆς εἶπεν.

E Εἰ αἵρεσις οὐκ ἔστιν ἐν ἐκκλησίᾳ, πῶς δύναται παρὰ τοῖς αἱρετικοῖς εἶναι τὸ τῆς ἐκκλησίας βάπτισμα;

Ἰάδερ ἀπὸ Μηδείας εἶπε.

Μία πίστις, ἓν βάπτισμα. ἀλλὰ τῇ καθολικῇ ἐκκλησίᾳ ἔξεστι βαπτίζειν.

Ἄλλος Φίληξ ἀπὸ Μαρδιανῆς εἶπε.

Τὰ αὐτά.

Παῦλος ἀπὸ Σαβᾶς εἶπεν.

Εἰ ὁ θεὸς ἀληθής ἐστι, πῶς ἔσται παρὰ τοῖς αἱρετικοῖς ἀληθὲς βάπτισμα, παρ' οἷς οὐκ ἔστι θεός.

Πομπώνιος ἀπὸ Διονυσιανῆς εἶπεν.

F Οἱ αἱρετικοὶ οὐ δύνανται βαπτίζειν, οὐδὲ ἄφεσιν ἁμαρτιῶν δοῦναι, οἱ μὴ ἔχοντες ἐξουσίαν λῦσαί τι ἐπὶ τῆς γῆς ἢ δῆσαι.

Οὐινάτος ἀπὸ Θουνίσης εἶπεν.

Ὁ δὲ βάπτισμα τῆς ἐκκλησίας τοῖς αἱρετικοῖς κοινῶν, τὴν νύμφην τοῦ Χριστοῦ μοιχοῖς παραδίδωσιν.

Λυμμὸς ἀπὸ ἀσυάγης εἶπεν.

Ἡμεῖς ἓν βάπτισμα εἰλήφαμεν, καὶ τούτῳ ἐξακολουθοῦμεν. ὁ δὲ λέγων, καὶ τοῖς αἱρετικοῖς ἔξεστι βαπτίζειν, δύο βαπτίσματα εἰσάγει.

Σατορνῖλος ἀπὸ Ἰουκτωριανῆς εἶπεν.

Εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίζειν, ἀνέγκλητοί εἰσιν ἀνο-

Eugenius ab Amedaris dixit.

Et ego hoc idem cenſeo: hæreticos baptizandos eſſe.

Alius Felix à Meccora dixit.

Et ipſe ſecutus divinarum ſcripturarum auctoritatem hæreticos & ſchiſmaticos baptizandos eſſe pronuncio.

Januarius à Mucuza dixit.

Si hæretici habent baptiſma, nos non habemus: ſi nos habemus, hæretici habere non poſſunt. Dubium autem non eſt, Eccleſiam Catholicam baptiſmo Chriſti uti; quæ ſola Chriſti gratiam & charitatem & veritatem poſſideat.

Adelphidus à Thaſuelta dixit.

Sine cauſa quidem impugnant veritatem, ut rebaptizare nos dicant. Siquidem Eccleſia hæreticos non rebaptizat, ſed baptizat.

Demetrius à Polemone dixit.

Qui dicunt hæreticos verè & legitimè baptizare, ipſi non ſolum duo, ſed & multa baptiſmata introducunt. Nam cum hæreſes variæ ac multæ ſint, pro earum numero & baptiſmata computabuntur.

Vincentius à Thibara dixit.

Hæreticos ſcimus eſſe pejores quam ſchiſmaticos. Si vero pœnitentiam agentes ad regulam veritatis venire voluerint; prius exorcizari, deinde baptizari eos oportet. Tunc enim Chriſti promiſſionem ſortiri poſſunt.

Marcus à Matharis dixit.

Judico hæreticos, ut qui nihil habeant, eſſe baptizandos.

Satius à Sacilibya dixit.

Si hæreticis in baptiſmo ipſorum peccata donantur, ſine cauſa ad Eccleſiam veniunt. Nihil enim eſt, quod timere poſſint in judicio Chriſti, ſi ſunt remiſſionem peccatorum conſecuti.

Aurelius ab Atticâ dixit.

Cum dicat Apoſtolus, non communicandum peccatis alienis, cenſeo baptizandos eſſe hæreticos, ut prius accipiant remiſſionem peccatorum, & ſic illis communicemus.

Iambus à Germanicia dixit.

Qui hæreticorum baptiſma probant, noſtrum improbant.

Lucianus à Rucuma dixit.

Si fieri poteſt ut luci cum tenebris conveniat, poteſt & nobis & hæreticis aliquid eſſe commune. Propterea cenſeo hæreticos baptizandos eſſe.

Pelagius à Luperciana dixit.

Si hæreſis in Eccleſia non eſt, quomodo Eccleſiæ baptiſma apud hæreticos eſſe poteſt?

Iader à Medeia dixit.

Una fides, unum baptiſma: ſed Eccleſiæ Catholicæ licet baptizare.

Alius Felix à Mardiana dixit.

Eadem.

Paulus à Saba dixit.

Si Deus verax eſt, quomodo apud hæreticos verum baptiſma eſſe poteſt, apud quos Deus non eſt?

Pomponius à Dionyſiana dixit.

Heretici baptizare non poſſunt, neq; remiſſionem peccatorum dare; poteſtatem aut ſolvendi aut ligandi aliquid in terris non habentes.

Vinatus à Thuniſa dixit.

Qui baptiſma Eccleſiæ hæreticis adminiſtrat, ſponſam Chriſti adulteris prodit.

Lymmus ab Aſuaga dixit.

Nos unum baptiſma accepimus, & ipſum tenemus & exercemus. Qui autem dicit, quòd & hæreticis licet baptizare, ipſe duo baptiſmata facit.

Saturninus à Victoriana dixit.

Si licet hæret. baptizare, excuſati ſunt & defenſi illicita facientes;

nec invenies, quare eos Chriſtus adverſarios ſuos aut Apoſtolus Antichriſtos appellaverit.

Alius Saturninus à Sycâ dixit.

Gentiles, etſi idola colant, tamen Deum patrem & creatorem cognoſcunt & confitentur dominum. In hunc Marcion blaſphemat, & quomodo non erubeſcunt, qui Marcionis baptiſmum probant?

Marcellus à Zama dixit.

Cùm peccatorum remiſſio non niſi in Eccleſia concedatur, qui hæreticum non baptizat, peccatori communicat.

Irenæus ab Ulis dixit.

Si ideo Eccleſia hereticum non baptizat, quòd dicatur jam baptizatus eſſe; antefertur hæreſis & major fit.

Donatus à Cibalina dixit.

Si quis dicat apud hæreticos eſſe baptiſmi gratiam, illic Eccleſiam eſſe prius oſtendat.

Zoſimus à Tharaſa dixit.

Revelatione factâ veritatis illi cedat error.

Julianus à Philippo dixit.

Scriptum eſt, Nemo poteſt aliquid accipere, niſi datum fuerit illi de cœlo. Si hæreſis de cœlo eſt, poteſt & cœleſte baptiſma dare.

Fauſtus à Themida dixit.

Qui pro hæreticis Eccleſiaſtico baptiſmati intercedunt, illos Chriſtianos, & nos hæreticos faciunt.

Geminus à Forma dixit.

Quod ſemel decrevimus, hoc & tenemus; ut ab hæreticis venientes baptizemus.

Rogatianus ab Uſa dixit.

Eccleſiam Chriſtus inſtituit, hæreſim Diabolus: quomodo ergo baptiſmum Chriſti ſynagoga Diaboli habere poteſt?

Therapius à Buliſmio dixit.

Qui hæreticis Eccleſiæ baptiſma concedit; quid aliud quam ſponſæ Chriſti proditor exiſtit?

Lucius à Memereſa dixit.

Scriptum eſt; Deus peccatores non audit. Hæreticus autem, cùm ſit peccator, quomodo in baptiſmo audiri poteſt.

Alius Felix à Vaglacena dixit.

In hæreticis ſine Eccleſiæ baptiſmo recipiendis nemo conſuetudinem rationi & veritati præponat.

Alius Saturninus à Plutimnâ dixit.

Si poteſt Antichriſtus dare gratiam Chriſti, poſſunt & hæretici baptizare, qui appellati ſunt Antichriſti.

Quintus ab Ugba dixit.

Deus unus eſt, & Eccleſia una, & baptiſma unum; quomodo ergo illic baptizari aliquis poteſt, ubi Deus & Chriſtus & Eccleſia non eſt.

Julianus à Marcelliana dixit.

Si poteſt homo duobus dominis ſervire, Deo & mammonæ: poteſt & baptiſma duobus inſervire.

Tenax ab Orii-Celliis dixit.

Baptiſma unum eſt, ſed Eccleſiæ, cujus eſt verum baptiſma.

Alius Victor ab Aſura dixit.

Similiter.

Donatulus à Caſpe dixit.

Et ego ſemper hoc ſenſi; ut hæretici, qui nihil foris conſequi poſſunt, quando ad Eccleſiam veniunt, baptizentur.

A μα ποιοῦντες, οὐδὲ εὑρήσεις διὰ τί αὐτοὺς ὁ Χριστὸς ἐναντίους ἢ ὁ ἀπόστολος ἀντιχρίστους ὀνομάζει.

Σατορνῖλος ἄλλος ἀπὸ Συκῆς εἶπεν.

Οἱ ἐθνικοὶ, εἰ καὶ εἴδολα σέβονται, ὅμως τὸν θεὸν πατέρα καὶ κτίστην ἐπιγινώσκουσι καὶ ὁμολογοῦσι δεσπότην. εἰς τοῦτον Μαρκίων βλασφημεῖ, καὶ πῶς οὐκ αἰσχύνονται οἱ Μαρκίωνος βάπτισμα δοκιμάζοντες;

Μάρκελλος ἀπὸ Ζάμης εἶπεν.

Ο πότε ἄφεσις ἁμαρτιῶν οὐδαμοῦ εἰ μὴ ἐν τῇ ἐκκλησίᾳ δίδοται, ὁ αἱρετικὸν μὴ βαπτίζων ἁμαρτωλῷ κοινωνεῖ.

B Εἰρηναῖος ἀπὸ Οὐλῶν εἶπεν.

Εἰ διὰ τοῦτο ἡ ἐκκλησία τὸν αἱρετικὸν οὐ βαπτίζει, ὅτι ἤδη λέγεται βεβαπτίσθαι, προκρίνει ἡ αἵρεσις καὶ μείζων γίνεται.

Δονάτος ἀπὸ Κιβαλινῆς εἶπεν.

Ο λέγων παρὰ τοῖς αἱρετικοῖς χάριν βαπτίσματος εἶναι, πρότερον ἀποδειξάτω ἐκεῖ ἐκκλησίαν.

Ζώσιμος ἀπὸ Θαράζου εἶπεν.

Ἀποκαλυφθείσης τῆς ἀληθείας, παραχωρείτω ἡ πλάνη τῇ ἀληθείᾳ.

Ἰουλιανὸς ἀπὸ Φιλίππου εἶπε.

C Γέγραπται, οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. εἰ ἡ αἵρεσις ἐξ οὐρανοῦ ἐστι, δύναται καὶ οὐράνιον βάπτισμα δοῦναι.

Φαῦστος ἀπὸ Θημίδης εἶπεν.

Οἱ τὸ τῶν αἱρετικῶν πρὸς τὸ τῆς ἐκκλησίας βάπτισμα ἐνιστάμενοι, ἐκείνους μὲν Χριστιανοὺς, ἡμᾶς δὲ αἱρετικοὺς ποιοῦσιν.

Γεμῖνος ἀπὸ Φόρμης εἶπεν.

Ο ἅπαξ ἐκρίναμεν, τοῦτο καὶ κατέχομεν· ἵνα τοὺς ἀπὸ αἱρέσεων ἐρχομένους βαπτίζωμεν.

Ρογατιανὸς ἀπὸ Οὔσης εἶπεν.

D Τὴν ἐκκλησίαν ὁ Χριστὸς ᾠκοδόμησε, τὴν αἵρεσιν ὁ διάβολος· πῶς οὖν δύναται ἔχειν βάπτισμα Χριστοῦ ἡ συναγωγὴ τοῦ διαβόλου.

Θεράπιος ἀπὸ Βουλισμίου εἶπεν.

Ο τοῖς αἱρετικοῖς τὸ βάπτισμα τῆς ἐκκλησίας προδιδοὺς, τί ἄλλο ἢ τῆς νύμφης τοῦ Χριστοῦ προδότης γίνεται.

Λούκιος ἀπὸ Μεμερέσης εἶπε.

Γέγραπται, ὅτι ὁ θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει. ὁ δὲ αἱρετικὸς, ὢν ἁμαρτωλὸς, πῶς ἀκούεται ἐν τῷ βαπτίζειν;

Ἄλλος Φίληξ ἀπὸ Οὐαγλακηνῆς εἶπεν.

E Ἐν τῷ προσδέχεσθαι τοὺς αἱρετικοὺς ἄνευ τοῦ τῆς ἐκκλησίας βαπτίσματος μηδεὶς τὴν συνήθειαν λόγου καὶ τῆς ἀληθείας προκρινέτω.

Ἄλλος Σατορνῖλος ἀπὸ Πλουτίμνης εἶπεν.

Εἰ δύναται Ἀντίχριστος δοῦναι τὴν χάριν τοῦ Χριστοῦ, δύνανται καὶ οἱ αἱρετικοὶ βαπτίζειν, οἱ ὀνομασθέντες ἀντίχριστοι.

Κοΐντος ἀπὸ Οὐγβᾶς εἶπεν.

Ο θεὸς εἷς ἐστι, καὶ ἐκκλησία μία καὶ ἓν βάπτισμα, καὶ πῶς δύναταί τις βαπτισθῆναι ἐκεῖ, ὅπου οὔτε θεὸς, οὔτε Χριστὸς, οὔτε ἐκκλησία ἐστί.

Ἰουλιανὸς ἀπὸ Μαρκελλιανῆς εἶπεν.

F Εἰ δύναται ἄνθρωπος δυσὶ κυρίοις δουλεύειν θεῷ καὶ μαμωνᾷ· δύναται καὶ τὸ βάπτισμα δυσὶν ὑπηρετεῖν.

Τέναξ ἀπὸ Ὀρίων Κελλίων εἶπε.

Βάπτισμα ἕν ἐστιν, ἀλλὰ τῆς ἐκκλησίας, ἧς τὸ βάπτισμα ἀληθές.

Ἄλλος Οὐίκτωρ ἀπὸ Ἀσούρας εἶπεν.

Ομοίως.

Δουνατοῦλος ἀπὸ Κάμψης εἶπεν.

Ἀεὶ τοῦτο ἐγὼ ἐφρόνησα, ἵνα οἱ αἱρετικοὶ μηδὲν ἔξω λαβεῖν δυνάμενοι, ὅταν πρὸς τὴν ἐκκλησίαν ἔλθωσι, βαπτισθῶσιν.

Οὐήρουλος ἀπὸ Ρουσικκάδας εἶπεν. A

Ἄνθρωπος αἱρετικὸς δύναται δοῦναι ὃ μὴ ἔχει, πολὺ μᾶλλον σχισματικὸς, ὅπερ εἶχεν ἀπολέσας.

Πουδεντιανὸς ἀπὸ Κουινκόλης εἶπεν.

Ἐάν τις ἀπὸ αἱρέσεως ἔλθῃ, βαπτισθῆναι αὐτὸν ὀρθῶς καὶ δικαίως κέκριται.

Πέτρος ἀπὸ Ἱππῶνος Διαρρύτου εἶπεν.

Ἐπεὶ ἓν βάπτισμά ἐστιν ἐν μόνῃ τῇ ἐκκλησίᾳ, διὰ τοῦτο τοὺς ἀπὸ τῶν αἱρετικῶν καὶ σχισματικῶν ἐλθόντας, ὡς μηδὲν ἐκεῖθεν εἰληφότας, ἐν τῇ ἐκκλησίᾳ βαπτίζεσθαι κρίνω.

Ἄλλος Λέκιος ἀπὸ Αὐσάφης εἶπεν.

Ἑνὸς ὄντος θεοῦ καὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, B καὶ μιᾶς ἐλπίδος, καὶ μιᾶς ἐκκλησίας, τὰ παρὰ τοῖς αἱρετικοῖς πραττόμενα λύεσθαι δεῖν φημι, καὶ τοὺς ἀπ' αὐτῶν ἐρχομένους ἐν τῇ ἐκκλησίᾳ βαπτίζειν.

Ἄλλος Φίληξ ἀπὸ Τουριτῶν εἶπεν.

Ἐγὼ κρίνω, ἵνα ἀκολούθως ταῖς θείαις γραφαῖς ἄνομοι παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντες, ἐὰν πρὸς τὴν ἐκκλησίαν καταφύγωσι, τῷ τῆς ἐκκλησίας βαπτίσματι, ἔνθα πᾶσα ἐξουσία παρὰ τοῦ θεοῦ δέδοται, βαπτισθῶσιν.

Πλουτιανὸς ἀπὸ Λαβάνης εἶπεν.

Ἐγὼ πιστεύω βαπτίσματι σωτηρίαν μὴ εἶναι, εἰ μὴ ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ὅταν ἔξω τῆς ἐκκλησίας C γίνηται, πιθηκισμὸν εἶναι.

Σαλουιανὸς ἀπὸ Ζυφάλης εἶπε.

Τοὺς αἱρετικοὺς μηδὲν ἔχειν συνέστηκε, καὶ διὰ τοῦτο πρὸς ἡμᾶς ἔρχονται, ἵνα λάβωσιν, ὃ μὴ ἔχουσιν.

Ὀνωρᾶτος ἀπὸ Λούγκης εἶπεν.

Ὁπότε ὁ Χριστὸς ἀληθής ἐστι, μᾶλλον τῇ ἀληθείᾳ ἢ τῇ συνηθείᾳ ἕπεσθαι ὀφείλομεν, ἵνα τοὺς αἱρετικοὺς, διὰ τοῦτο πρὸς ἡμᾶς ἐρχομένους, ὅτι ἔξω μηδὲν λαβεῖν ἠδυνήθησαν, τῷ τῆς ἐκκλησίας βαπτίσματι ἁγιάσωμεν.

Οὐίκτωρ ἀπὸ Ὀκτύβου εἶπε.

Τοῦτο καὶ αὐτὸς φρονῶ ἵνα οἱ ἀπὸ αἱρέσεως ἐρχόμενοι D ἀδιστάκτως βαπτισθῶσι.

Κλάρος ἀπὸ Μασκούλης εἶπε.

Πρόδηλός ἐστιν ἡ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπόφασις ἀποστέλλοντος τοὺς ἑαυτοῦ ἀποστόλους, καὶ αὐτοῖς μόνοις τὴν ἐξουσίαν ἐπιτρέποντος, οἷς ἡμεῖς ἐξακολουθοῦμεν, τῇ αὐτῇ ἐξουσίᾳ τὴν ἐκκλησίαν τοῦ θεοῦ κυβερνῶντες, καὶ τοὺς πιστεύοντας βαπτίζοντες. καὶ διὰ τοῦτο οἱ αἱρετικοὶ, οἱ μήτε τὴν ἐξουσίαν ἔχοντες, μήτε τὴν ἐκκλησίαν, οὐδὲ βαπτίζειν τῷ τῆς ἐκκλησίας βαπτίσματι δύνανται.

Σεκουνδιανὸς ἀπὸ Θάμβης εἶπεν.

Οὐδαμῶς ὀφείλομεν τοὺς αἱρετικοὺς τῇ ἡμετέρᾳ φιλονεικίᾳ ἐνεδρεύειν, ἵνα οἱ ἐν τῇ ἐκκλησίᾳ τοῦ κυρίου ἡμῶν E Ἰησοῦ Χριστοῦ μὴ βαπτισθέντες ὁπόταν ἡ ἡμέρα τῆς κρίσεως ἔλθῃ, ἡμᾶς αἰτιάσωνται, ὅτι δι' ἡμᾶς οὐκ ἐβαπτίσθησαν, οὐδὲ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἔλαβον. διόπερ μιᾶς οὔσης τῆς ἐκκλησίας καὶ ἑνὸς βαπτίσματος, ὅταν πρὸς ἡμᾶς ἔλθωσι, καὶ τῆς ἐκκλησίας καὶ τοῦ βαπτίσματος τυχεῖν ὀφείλουσιν.

Αὐρήλιος ἀπὸ Χολλάβης εἶπεν.

Ἰωάννης ὁ ἀπόστολος ἐν ἐπιστολῇ αὐτοῦ ἔφη· εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ τὴν διδαχὴν τοῦ θεοῦ οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν, αὐτῷ μὴ λέγετε. ὁ λέγων F αὐτῷ, χαίρειν, κοινωνεῖ τοῖς λόγοις αὐτοῦ καὶ τοῖς ἔργοις τοῖς πονηροῖς. πῶς οὖν οὗτοι εἰσδεχθῆναι εἰς οἰκίαν τοῦ θεοῦ δύνανται, ἢ πῶς αὐτοῖς χωρὶς τοῦ τῆς ἐκκλησίας βαπτίσματος κοινωνῆσαι δυνάμεθα, εἰ μὴ τοῖς πονηροῖς αὐτῶν ἔργοις κοινωνοῦμεν;

Βίκτωρ ἀπὸ Γεμέλλων εἶπε.

Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. ἐπεὶ οὖν σαφές ἐστι, μὴ δύνασθαι αἱρετικόν τινα φωτίσαι, ἅτε δὴ τυφλῶν αὐτῶν ὄντων, τῶν τοιούτων τὸ βάπτισμα οὐδέν ἐστι.

Verulus à Rusiccade dixit.

Homo hæreticus dare poteſt, quod non habet; multo magis ſchiſmaticus, qui quod habet amiſit.

Pudentianus à Quincola dixit.

Si quis ex hæreſi venerit, baptizari eum recte ac juſte ſtatutum eſt.

Petrus ab Hippone Diarrhyto dixit.

Cùm baptiſma unum ſit in ſola Eccleſia; idcirco eos, qui ab hæreticis & ſchiſmaticis veniunt, ut qui nihil inde acceperint, in Eccleſia cenſeo baptizari oportere.

Alius Lucius ab Auſafa dixit.

Cum ſit unus Deus, & Pater & Filius & Spiritus ſanctus, & una ſpes, & una Eccleſia; quæ apud hæreticos facta ſunt reſcindi debere dico, & eos, qui inde veniunt, in Eccleſia baptizandos eſſe.

Alius Felix à Turitis dixit.

Ego cenſeo, ut ſecundum ſanctarum ſcripturarum præcepta iniqui apud hæreticos baptizati, ſi ad Eccleſiam confugerint, Eccleſiæ baptiſmate, ubi poteſtas omnis à Deo data eſt, baptizentur.

Plutianus à Labana dixit.

Ego credo baptiſma ſalutare non eſſe, niſi ſolùm in Eccleſia Catholica; & quando extra Eccleſiam fit, ſimulationem eſſe.

Salvianus à Zufala dixit.

Hæreticos nihil habere conſtat, & ideo ad nos veniunt, ut poſſint accipere, quod non habent.

Honoratus à Lunca dixit.

Cum Chriſtus verus ſit, magis veritatem quàm conſuetudinem ſequi debemus, ut hæreticos, qui ideo ad nos veniunt, quia foris nihil accipere potuerunt, Eccleſiæ baptiſmo ſanctificemus.

Victor ab Octyvo dixit.

Sic & ipſe ſentio, ut qui ab hæreſi veniunt ſine dubio baptizentur.

Clarius à Maſcula dixit.

Manifeſta eſt ſententia Domini noſtri Jeſu Chriſti Apoſtolos ſuos mittentis, & ipſis ſolis poteſtatem permittentis, quibus nos ſucceſſimus, eadem poteſtate Eccleſiam Dei gubernantes, & eos qui credunt baptizantes. Et ideo hæretici, qui nec poteſtatem, nec Eccleſiam habent, neque baptizare Eccleſiæ baptiſmo poſſunt.

Secundianus à Tamba dixit.

Non debemus hæreteticos noſtra contentione decipere, ut in Eccleſia Domini noſtri Jeſu Chriſti non baptizati, cum judicii dies venerit, nobis imputent, quòd per nos non ſint baptizati, nec remiſſionem peccatorum conſequuti ſint. Quamobrem cùm una ſit Eccleſia & unum baptiſma, quando ad nos veniunt, ſimul cum Eccleſia baptiſmum etiam conſequi debent.

Aurelius à Chollaba dixit.

Joannes Apoſtolus in Epiſtola ſua dixit; Si quis ad vos venit, & doctrinam Chriſti non habet, nolite eum admittere in domum, & Ave illi ne dixeritis. Qui enim dixerit illi, Ave, communicat verbis & factis ejus malis. Quomodo igitur admitti in domum Dei poſſunt, aut quomodo cum eis ſine Eccleſiæ baptiſmo communicare poſſumus, quin ſimul & malis eorum factis communicemus?

Victor à Gemellis dixit.

Si cæcus cæcum ducat, ambo in foveam cadunt. Cùm ergo hæreticos conſtet non poſſe illuminare quenquam, cùm ipſi cæci ſint, talium baptiſma non valet.

Matolius ab Oea dixit.

Tam ego præsens, quam Pompeius Sabratensis, & Dioga Leptimagnensis, qui mihi mandaverunt, corpore quidem absentes, sed spiritu præsentes, censemus, quod & multi coëpiscopi nostri; quòd hæretici communicationem habere nobiscum non possunt, nisi à nobis fuerint baptizati.

Junius à Neapoli dixit.

Ab eo, quod semel censuimus, non recedo: ut hæreticos venientes ad Ecclesiam baptizemus.

Cyprianus à Carthagine dixit.

Meam sententiam plenissimè exprimit epistola, quæ ad Jovianum coëpiscopum nostrum scripta est: hæreticos Evangelico & Apostolico testimonio adversarios Christi & Antichristos appellatos, quando ad Ecclesiam venerint, unico Ecclesiæ baptismo baptizandos esse; ut possint fieri de adversariis amici, & de Antichristis Christiani.

ZONAR. Hæ sunt igitur Patrum sententiæ, qui cum magno Cypriano in concilio isto convenerant: sed nec apud omnes hæreticos nec apud schismaticos valuerunt. Nam secunda Synodus Oecumenica, ut jam dictum est, hæreticos nonnullos excepit, ac sine baptismo recipiendos illos sanxit, sancto chrismate tantum unctos, & singulos propriam hæresim ac omnino omnes anathematizantes. Atque hac de causa neque expositæ sunt hæ sententiæ, utpote minus necessariæ, & quæ non valent; sed & compendiosè perscriptæ sunt.

A Ματόλιος ἀπὸ Οἴας εἶπε.

Κἀγὼ παρὼν, καὶ Πομπήϊος ἀπὸ Σαβράτων, καὶ Διογᾶς ἀπὸ Λεπτιμάγνης, οἵπερ ἐνετείλαντό μοι, σώματι μὲν ἀπόντες, τῷ δὲ πνεύματι παρόντες, κρίνομεν, ὅπερ καὶ πολλοὶ συνεπίσκοποι ἡμῶν, τοὺς αἱρετικοὺς κοινωνεῖν ἡμῖν μὴ δύνασθαι, ἐὰν μὴ παρ' ἡμῶν βαπτισθῶσιν.

Ἰούνιος ἀπὸ Νεαπόλεως εἶπεν.

Ἀπ' ἐκείνου, οὗ ἅπαξ ἐκρίναμεν, οὐ χωρίζομαι· ἵνα τοὺς αἱρετικοὺς τοὺς ἐρχομένους εἰς τὴν ἐκκλησίαν βαπτίζωμεν.

B Κυπριανὸς ἀπὸ Καρχηδόνος εἶπε.

Τὴν ἐμὴν ἀπόφασιν ὁλόκληρος δείκνυσιν ἐπιστολὴ πρὸς Ἰοβιανὸν συνεπίσκοπον ἡμῶν γραφεῖσα· τοὺς αἱρετικοὺς κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν μαρτυρίαν ἐναντίους τοῦ Χριστοῦ καὶ ἀντιχρίστους ὀνομασθέντας, ὁπόταν τῇ ἐκκλησίᾳ προσέλθωσι, τῷ ἑνὶ τῆς ἐκκλησίας βαπτίσματι βαπτίζεσθαι δεῖν· ἵνα δυνηθῶσι γενέσθαι ἀντὶ ἐχθρῶν φίλοι, καὶ ἐξ ἀντιχρίστων Χριστιανοί.

ΖΩΝΑΡ. Αὗται μὲν οὖν αἱ γνῶμαι τῶν ἐν τῇ συνόδῳ ταύτῃ συνελθόντων πατέρων τῷ μεγάλῳ Κυπριανῷ· ἀλλ' οὔτε ἐπὶ τοῖς αἱρετικοῖς ἐκράτησαν πᾶσιν, οὔτε ἐπὶ τοῖς C σχισματικοῖς. ἡ γὰρ δευτέρα οἰκουμενικὴ σύνοδος, ὡς ἤδη εἴρηται, ὑπεξεῖλέ τινας τῶν αἱρετικῶν, καὶ ἄνευ βαπτίσματος δέχεσθαι τούτους θεσπίσασα, χριομένους μόνον τῷ θείῳ μύρῳ, καὶ ἀναθεματίζοντας τὴν οἰκείαν αἵρεσιν ἕκαστον, καὶ πάσας ἁπλῶς. καὶ διὰ τοῦτο οὐδὲ ἐξηγήθησαν αἱ γνῶμαι αὗται, ὡς μὴ ἀναγκαῖαι, οἷα μηδὲ ἐνεργοῦσαι, ἀλλὰ καὶ κατὰ σύνοψιν ἐγράφησαν.

A

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΑΓΚΥρᾳ συνόδου.

ΒΑΛΣ. Εἴπομεν περὶ μικροῦ, ὡς ἡ ἐν Καρχηδόνι σύνοδος πρώτη ἐστὶ πασῶν τῶν συνόδων, καὶ δευτέρα ἡ ἐν Ἀντιοχείᾳ, καὶ μετὰ ταύτας ἡ ἐν Ἀγκύρᾳ τῇ Μητροπόλει τῆς Γαλατίας συστᾶσα πρὸ τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. ἐξῆρχον δὲ ταύτης, Οὐιτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος Ἐπίσκοπος Ἀμασείας· καὶ συνεζήτησαν, εἰ χρὴ δέχεσθαι τοὺς θύσαντας τοῖς εἰδώλοις, καὶ προσερχομένους τῇ ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Πρώτη πασῶν τῶν συνόδων ἡ ἐν Ἀντιοχείᾳ γεγονυῖα σύνοδος κατὰ Παύλου τοῦ Σαμοσατέως, βασιλεύοντος ἐν Ῥώμῃ Αὐρηλιανοῦ, ἐστίν. καὶ αὕτη δὲ, ἡ ἐν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας συστᾶσα σύνοδος, προγενεστέρα ἐστὶ ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς συνόδου. ἠθροίσθησαν δὲ ἐν αὐτῇ πατέρες ἱεροὶ, ὧν ἐξῆρχεν Οὐιτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος ΚαιϹαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος Ἐπίσκοπος Ἀμασείας. ἐν γὰρ τοῖς διωγμοῖς τῶν Χριστιανῶν πολλῶν μὴ δυνηθέντων μέχρι τέλους ἐγκαρτερῆσαι ταῖς βασάνοις, ἀλλ' ὑποκυψάντων. εἶτα τινῶν μετανοούντων καὶ προσερχομένων τῇ ἐκκλησίᾳ εἰς μετάνοιαν, ζήτησις ἐγένετο, πῶς χρὴ τοὺς ἀρνησαμένους τὸν Χριστὸν προσδέχεσθαι, καὶ περὶ τούτων ἡ σύνοδος αὕτη κανόνας ἐξέθετο, οἵ τινές εἰσιν οὗτοι.

ΚΑΝΩΝ α'.

Πρεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, μήτε ἐκ μεθόδου τινὸς, ἀλλ' ἐξ ἀληθείας, μήτε προκατασκευάσαντας καὶ ἐπιτηδεύσαντας, καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασάνοις ὑποβάλλεσθαι, ταύτας δὲ τῷ δοκεῖν καὶ τῷ σχήματι προσαχθῆναι. τούτους ἔδοξε τῆς μὲν τιμῆς τῆς κατὰ τὴν καθέδραν μετέχειν· προσφέρειν δὲ αὐτοὺς καὶ ὁμιλεῖν, ἢ ὅλως λειτουργεῖν τι τῶν ἱερατικῶν λειτουργιῶν, μὴ ἐξεῖναι.

ΒΑΛΣ. Κατὰ τὸν καιρὸν τοῦ διωγμοῦ τῶν Χριστιανῶν ἱερεῖς τινες ἠναγκάσθησαν θῦσαι τοῖς εἰδώλοις· καὶ οἱ μὲν, μέχρι θανάτου κολασθέντες, τὸν τοῦ μαρτυρίου ἀνεδήσαντο στέφανον· οἱ δὲ, καὶ ἕως τέλους τὰς βασάνους μὴ καρτερήσαντες, ἡττήθησαν καὶ τὴν πίστιν ἠρνήσαντο, καὶ τοῖς εἰδώλοις ἔθυσαν· ἄλλοι καὶ πρὸ τοῦ βασανισθῆναι, ὅλως ἐνέδωκαν. ἵνα δὲ μὴ δόξωσιν αὐθαιρέτως θύειν, ἐσπούδασαν διὰ χρημάτων ἢ παρακλήσεων ἢ ἄλλως πως, ἀπειλὰς βασάνων μεγάλων εἰς αὐτοὺς γενέσθαι. διορίζονται οὖν οἱ πατέρες, μόνους ἐκείνους τοὺς μετ' ἀληθείας μὲν βασανισθέντας, διὰ δὲ τὴν δριμύτητα τῶν κολάσεων, μὴ ὑπομείναντας καὶ τὸν τῆς τελειώσεως στέφανον ἀναδήσασθαι, ἀλλὰ θύσαντας, εἶτα πάλιν ἀναπαλαίσαντας, τουτέστι νικήσαντας τὸν Σατανᾶν, ἐν τῇ πάλῃ ῥίψαντα αὐτοὺς, καὶ μετὰ καθαρᾶς ἐξομολογήσεως μετανοήσαντας, δέχεσθαι εἰς μόνην τιμὴν καὶ καθέδραν, μήτε δὲ προσφέρειν, μήτε ὁμιλεῖν, τουτέστι, διδάσκειν, μήτε τι ἄλλο ἐνεργεῖν ἱερατικόν· ὥστε ἐξ ἀντιδιαστολῆς οἱ ἕτεροι, οἱ παρὰ τούτους, μὴ πραγματικῶς, ἀλλὰ μετὰ σκῆψιν τὰς βασάνους προφασισάμενοι, καὶ τὸν θεὸν ἀρνησάμενοι, οὐδὲ τιμῆς ἢ καθέδρας ἀξιωθήσονται. τί δὲ, ὡς Χριστιανοὶ ἁπλῶς μετὰ δακρύων μετανοοῦντες καὶ ἐξομολογούμενοι τὸ ἁμάρτημα δεχθήσονται; ἐμοὶ τέως δοκεῖ. οὐ γάρ ἐστιν ἁμαρτία νικῶσα τὴν τοῦ θεοῦ φιλανθρωπίαν.

CANONES SYNODI Ancyranæ.

Bals. Diximus paulo antè, quòd Synodus Carth. eſt omnium, prim& Antiochena ſecunda; poſt illas autem ea, quæ in Ancyra Galatiæ metropoli ante primam Nicææ habitam œcumenicam Synodum coacta eſt. Huic vero præfuerunt, Vitalis Epiſcopus Antioch. Syriæ, Agricolaus Cæſareæ B Cappadociæ, & Martyr Baſilius Epiſcopus Amaſeæ;& quæſiverunt, an eos oporteat admittere, qui idolis ſacrificaverunt, & ad Eccleſiam accedunt.

Zonar. Synodorum omnium prima fuit Antiochena, contra Paulum Samoſatenum, imperante Romæ Aureliano, celebrata. Hæc vero, in Ancyrana urbe Galatiæ Metropoli habita, Nicæna prima Oecumenica Synodo antiquior eſt. In ea porro ſancti Patres affuere, quorum in conventu Vitalis Antiochiæ quæ eſt in Syria, Agricolaus Cæſareæ quæ in Cappadocia, & Martyr Baſilius Amaſeæ Epiſcopus, præerant. C Nam cum turbulentis Chriſtianæ Reipub. temporibus multi cruciatuum acerbitati perferendæ nequaquam pares fuiſſent, ſed tyrannorum imperiis obſecuti, diis immolaviſſent, atque ex iis aliquos poſtea pœnitentia facti pœnituiſſet, ſeque crimen expiaturi Eccleſiæ ſiſterent: de iis hominibus qui Chriſtum negaverant, qua ratione admittendi forent quæſitum eſt; deque illis ſubjectos canones hæc Synodus edidit.

Canon. I.

Presbyteros, qui ſacrificârunt, deinde contrà reluctati D *ſunt, non ſimulatione quadam, ſed verè; nec hoc priùs machinati ſunt, nec conſultò ac de induſtria id fecerunt, & perſuaſerunt, ut tormentis ſubjici viderentur, cùm ea ſpecie & opinione tantùm inferrentur: viſum eſt eos cathedrâ quidem honoris eſſe participes; non licere autem ipſis offerre & concionari, vel omnino ſacerdotale aliquod munus obire.*

Bals. Tempore perſecutionis Chriſtianorum quidam ſacerdotes idolis ſacrificare coacti ſunt: & hi quidem, ad mortem uſque puniti, martyrii coronam acceperunt; illi verò, cùm ad finem uſque tormenta perferre E non potuiſſent, victi ſunt & fidem abnegârunt, & idolis ſacrificârunt; alii autem, etiam antequam torquerentur, omnino ceſſârunt. Ne autem ſua ſponte ſacrificare viderentur, pecuniis vel ſuaſione vel aliqua alia ratione operam dederunt, ut magnorum tormentorum minæ illis intentarentur. Statuunt ergo patres, ut illi, qui vere torti fuerunt, propter ſupplicii autem acerbitatem ad perfectionis quoque coronam accipiendam non ſuſtinuerunt, ſed ſacrificaverunt, deinde reluctati ſunt, id eſt, Satanam vicerunt, qui eos in lucta proſtraverat, & cum pura confeſſione pœnitentiam egerunt, ad ſolum honorem & cathedram recipiantur, neque offerant, neque concionentur, id F eſt, ne doceant, neque aliquid aliud ſacerdotale exequantur. Quamobrem argumento à contrario ſumpto, alii præter hos, qui non revera, ſed ſimulate tormenta prætexuerunt, & Deum negaverunt, nec honore quidem vel cathedra digni habebuntur. Quid vero, num ut Chriſtiani ſimpliciter cum lacrymis pœnitentiam agentes, & peccatum confitentes, ſuſcipientur? Mihi certe videtur. Non eſt enim peccatum, quod vincat Dei miſericordiam.

Zonar. Qui ingruente perſecutionis procellâ Tyrannorum imperiis obſecuti immolavêre; partim tormentis exagitati,cum eorum vim & aſperitatem perferre non poſſent,victi ſunt & fidem denegârunt:partim,priuſquam etiam tormenta ipſis admoverentur, emolliti dedêre manus; & ne ſua voluntate ſacrificare viderentur, ſatellites,ut vehementiore forte impetu ipſos invaderent, acritérq;torquentium ſpeciem præberent,pretio aut precibus adduxêre; ut qui ſic immolâſſent, non ignavo languore animi, ſed cruciatuum diritate, victi,Chriſtum negâſſe exiſtimarentur. Quibus igitur verè cruciatus adhibiti, quique in acerbitate tormentorum aliquandiu conſtantes, ita demum illorum intollerabili aſperitate victi aris immolaverunt, deinde vero iterum reluctati ſunt,hoc eſt,hoſte,à quo prius in certamine dejecti fuerant,pœnitentia duce ſuperatum viciſſim proſtravêre,fidémq;ſuam apud tyrannos iterum profeſſi fuere: eos,ſiquidem ſacerdotio initiari fuerant,cathedræ quidem honorem obtinere; nullam tamen iis aut offerendi aut concionandi, hoc eſt docendi, aut omnino miniſterium aliquod, hoc eſt ſacerdotale munus quodcunque, obeundi facultatem Synodus eſſe decernit.

Canon II.

Diaconos ſimiliter qui ſacrificârunt, poſtea autem reluctati ſunt, alium quidem honorem habere, ipſos autem ab omni ſacerdotali miniſterio ceſſare, & panem vel calicem offerendi, vel prædicandi: ſed ſi ex Epiſcopis aliqui in iis vel afflictionem aliquam vel humilitatem ac manſuetudinem viderint, & aliquid ampliùs dare vel auferre voluerint, in eorum poteſtate id eſſe.

Bals. Præſens quoque canon eadem de Diaconis decernens, adjicit;quòd ſi regionis Epiſcopi animadverterint eos, qui verè torti ſunt, eſſe miſericordia dignos, propter lachrymas & eorum humilitatem;vel contra majore ſupplicio, propter impudentiam; facient prout eis videbitur, id eſt,vel pœnam augebunt, vel potiùs conſolationem afferent. Ea enim in eorum poteſtate & judicio ſita ſunt. Si quis autem dicat, præſentes canones Dei gratia locum hodie non habere,quia tyrannus non præeſt; audiet,quòd apud Agarenos & alios infideles multa ejuſmodi fiunt; & canones nunc quoque effectum rectè ſortientur. Nota etiam ex hoc præſenti canone, quòd omnis animæ medela dependet ab Epiſcopi judicio ac prudentia.

Zonar. Quæ ſuperiori de Sacerdotibus, eadem de Diaconis quoque hoc canone decernuntur. Nam eos quoque, ſi in tormentis per ignaviam devicti ſacrificaverint, deinde vero repetito certamine ſtrenuè depugnaverint, ab omni ſacro miniſterio ceſſare jubet. Quòd ſi homines poſtea, ſubjicit canon, in ſuſcepta propter abnegationem pœnitentia graviùs laborare, aut ob admiſſi facinoris culpam diſcruciari, demiſſionémque, ac in iis, qui prolapſionem exprobrarint, aut alia ratione inſultarint, pacatè atque humiliter perferendis modeſtiam retinere, non contra audacter obſiſtere aut ægrius ſuccenſere, Epiſcopi animadverterint, ac proinde aliquid ampliùs, quàm quod à Synodo conceſſum eſt, iis ob vehementius pœnitendi ſtudium elargiri, aut viciſſim fictè dolentibus nec de ſuperbia remittentibus demere quidpiam velint,id canon totum ipſorum poteſtati, judicióque permittit. Vide primæ quoque œcumenicæ Synodi canonem undecimum.

Arist. *In Can.prim. & ſec. Presbyteri & Daconi, quicùm priùs ſacrificârunt poſtea verè reluctati ſunt,*

A **ΖΩΝΑΡ.** Τῶν ὑποκυψάντων ἐν τοῖς διωγμοῖς τοῖς τυράννοις καὶ θυσάντων, οἱ μὲν βασάνοις ὑποβληθέντες, καὶ τῇ βίᾳ τούτων καὶ τῇ δριμύτητι μέχρι τέλους ἀντίσχειν μὴ δυνάμενοι, ἡττήθησαν καὶ τὴν πίστιν ἠρνήσαντο· οἱ δὲ καὶ πρὸ τῆς πείρας τῶν βασάνων μαλακισθέντες ἐνέδωκαν, καὶ, ἵνα μὴ δοκοῖεν αὐθαιρέτως θύειν, ἔπεισαν τοὺς κολαστὰς, ἢ χρήμασιν ἢ παρακλήσεσι, πικρότερον προσενεχθῆναι πάρα αὐτοῖς, καὶ κολάσεις αὐτοῖς τῷ δοκεῖν ἐπαγαγεῖν, ἵν' οὕτω θύσαντες δόξωσι τῇ βίᾳ νικηθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ μαλακισθέντες. τοὺς γοῦν μετ' ἀληθείας κολασθέντας, καὶ τῇ τῶν βασάνων πικρίᾳ ἐγκαρτερήσαντας μέχρι τινὸς, καὶ οὕτως ἡττηθέντας τῶν ἀφορήτων κολάσεων καὶ ἐπιθύσαντας τῷ βωμῷ, εἶτα ἀναπαλαίσαντας, B ἀντὶ τοῦ τὸν ἐχθρὸν ἐν τῇ πάλῃ ῥίψαντα αὐτοὺς, διὰ τῆς μετανοίας ἡττήσαντας, καὶ καταβαλόντας, καὶ ἐπὶ τῶν τυράννων αὖθις τὴν πίστιν ὁμολογήσαντας. εἰ πρεσβύτεροι εἶεν, ἔδοξε τῇ συνόδῳ τῆς τιμῆς μὲν τῆς ἐν ταῖς καθέδραις μετέχειν αὐτοὺς, μήτε δὲ προσφέρειν μήτε ὁμιλεῖν, ἀντὶ τοῦ διδάσκειν, μήτε ὅλως λειτουργεῖν, ἀντὶ τοῦ ἐνεργεῖν τι τῶν ἱερατικῶν δικαίων.

C

ΚΑΝΩΝ β'.

Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τὴν μὲν ἄλλην τιμὴν ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερατικῆς λειτουργίας, τῆς τε τοῦ ἄρτον ἢ ποτήριον ἀναφέρειν ἢ κηρύσσειν. εἰ μέντοι τινὲς τῶν Ἐπισκόπων τούτοις συνίδοιεν κάματόν τινα ἢ ταπείνωσιν πραότητος, καὶ ἐθέλοιεν πλέον τι διδόναι ἢ ἀφαιρεῖν, ἐπ' αὐτοῖς εἶναι τὴν ἐξουσίαν.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ περὶ διακόνων διοριζόμενος προστίθησιν, ὡς εἴπερ οἱ ἐγχώριοι Ἐπίσκοποι κατανοήσουσι τοὺς μετ' ἀληθείας βασανισθέντας, D ἀξίους ἐλέους διὰ τὰ δάκρυα καὶ τὴν ταπείνωσιν αὐτῶν· ἢ τοὐναντίον, κολάσεως πλείονος διὰ τὴν ἀναίδειαν, ποιήσουσι κατὰ τὸ δόξαν αὐτοῖς, τουτέστιν, ἢ ἐπαυξήσουσι τὴν τιμωρίαν, ἢ προσθήσουσι μᾶλλον τὴν παρηγορίαν. παρὰ γὰρ τῇ ἐξουσίᾳ καὶ τῇ διακρίσει αὐτῶν τὰ περὶ τούτου ἀνέθεντο. εἰ δέ τις ἐρεῖ, μὴ χώραν ἔχειν τὰ τῶν παρόντων κανόνων, Θεοῦ χάριτι, σήμερον, ὅτι τύραννος οὐ προκάθηται, ἀκούσεται, ὅτι παρὰ τοῖς Ἀγαρηνοῖς καὶ τοῖς ἄλλοις ἀπίστοις πολλὰ τοιαῦτα γίνονται· καὶ καλῶς τὰ τῶν κανόνων καὶ νῦν ἐνεργήσουσι. σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι πᾶσα ψυχικὴ θεραπεία εἰς τὴν ἐπισκοπικὴν ἀνηρτήθη διάκρισιν. E

ΖΩΝΑΡ. Τὰ αὐτὰ καὶ περὶ διακόνων ὁ κανὼν οὗτος διατάττεται, ὅσα περὶ πρεσβυτέρων ὁ ἀνώτερος. πεπαῦσθαι γὰρ καὶ αὐτοὺς, ἀνεπιτηδεύτως ἡττηθέντας τῶν βασάνων καὶ ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, πάσης τῆς ἱερᾶς λειτουργίας θεσπίζει. προστίθησι δ' ἐνταῦθα, ὅτι ἐὰν τοῖς μετανοοῦσι τούτοις συνίδοιεν οἱ Ἐπίσκοποι κάματόν τινα, τουτέστι, κόπον ἐν τῇ μετανοίᾳ διὰ τὴν ἄρνησιν, ἢ ὅτι συντριβέντες διὰ τὸ ἁμάρτημα, ἐταπεινώθησαν, καὶ πραότητα ἐκτήσαντο, τοῖς ἴσως αὐτοῖς ὀνειδίζουσι τὸν ὄλισθον πρᾴως καὶ μετὰ ταπεινώσεως προσφερόμενοι, F ἀλλ' οὐ θρασυνόμενοι καὶ τούτοις ἐμπικραινόμενοι, καὶ ἐθέλοιεν Ἐπίσκοποι ὑφ' οὓς τελοῦσι πλέον τι τῶν παρὰ τῇ συνόδῳ ὁρισθέντων αὐτοῖς παρασχεῖν, διὰ τὴν τῆς μετανοίας θερμότητα, ἢ ἀφελεῖν τι τῶν ὁρισθέντων, ὡς μὴ γνησίως αὐτῶν μεταμελομένων, μηδὲ ταπεινουμένων. ταῦτα τῇ ἐξουσίᾳ τῶν Ἐπισκόπων ἀνατίθησιν ὁ κανὼν, καὶ τῇ διακρίσει αὐτῶν. ἀνάγνωθι καὶ τὸν ια'. κανόνα τῆς πρώτης οἰκουμενικῆς συνόδου.

ΑΡΙΣΤ. Καν. α'. καὶ β'. Πρεσβύτεροι καὶ διάκονοι οἱ πρὶν ἐπιθύσαντες εἶτα ἐξ ἀληθείας ἀναπαλαίσαν-

A τες, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετεχέτωσαν, μηδὲν τῶν ἁγίων ἐπιτελοῦντες.

Ὅσοι τῶν πρεσβυτέρων καὶ διακόνων ἐν καιρῷ διωγμοῦ βιασθέντες ἔθυσαν, εἶτα ἐν ἀληθείᾳ προσῆλθον ἀναπαλαίοντες ὅπερ ἔπραξαν, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετέχειν ὀφείλουσιν· ἱερατικὸν δέ τι ἐνεργεῖν οὐκ ἔξεστιν αὐτοῖς, οἷον ἄρτον ἢ ποτήριον ἀναφέρειν ἢ λόγους διδασκαλίας τῷ λαῷ ποιεῖσθαι, ἢ ὅλως τι τῶν ἁγίων λειτουργιῶν ἐπιτελεῖν.

ΚΑΝΩΝ γ'.

Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, B ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρεθέντας, ἢ ὑπομείναντας βασάνους, ἢ εἰς δεσμωτήριον ἐμβληθέντας, βοῶντάς τε, ὅτι εἰσὶ Χριστιανοὶ καὶ περισχισθέντας, ἤτοι εἰς τὰς χεῖράς τι πρὸς βίαν ἐμβαλόντων τῶν βιαζομένων, ἢ βρῶμά τι πρὸς ἀνάγκην δεξαμένους, ὁμολογοῦντας δὲ δι' ὅλου, ὅτι εἰσὶ Χριστιανοὶ, καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμένους, τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι καὶ τῇ τοῦ βίου ταπεινότητι, τούτους ὡς ἔξω ἁμαρτήματος ὄντας τῆς κοινωνίας μὴ κωλύεσθαι. εἰ δὲ καὶ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας ἀκριβείας ἕνεκεν ἢ καί τινων ἀγνοίᾳ, εὐθὺς προσδεχθήτωσαν. τοῦτο δὲ ὁμοίως ἐπί τε C τῶν ἐκ κλήρου καὶ τῶν ἄλλων λαϊκῶν. προσεξητάσθη δὲ κἀκεῖνο, εἰ δύνανται καὶ λαϊκοὶ, τῇ αὐτῇ ἀνάγκῃ ὑποπεσόντες, προάγεσθαι εἰς τάξιν. ἔδοξεν οὖν καὶ τούτους, ὡς μηδὲν ἡμαρτηκότας, εἰ καὶ ἡ προλαβοῦσα εὑρίσκοιτο ὀρθὴ τοῦ βίου πολιτεία, προχειρίζεσθαι.

ΒΑΛΣ. Τινὲς κληρικοὶ καὶ λαϊκοὶ φεύγοντες τὰς τῶν τυράννων χεῖρας, καὶ συλληφθέντες, ἢ παρά τινων προδοθέντες, καὶ γυμνωθέντες τῶν προσόντων αὐτοῖς, ἔστι δ' ὅτε καὶ βασανισθέντες, καὶ φυλακισθέντες, ἐβόων εἶναι Χριστιανοί. ὅτι δὲ κατὰ βίαν ἐνεβλήθη παρὰ τῶν δημίων ταῖς χερσὶ τούτων λιβανωτὸν τυχὸν, ὅπερ τοῖς εἰδώλοις θύεται, D ἢ ἐν τῷ στόματι αὐτῶν βρῶμα εἰδωλόθυτον, ἐκωλύοντο τῆς μετὰ τῶν πιστῶν κοινωνίας, διὰ τὸ δῆθεν γενέσθαι αὐτοὺς εἰδωλοθύτας· φασὶ γοῦν οἱ πατέρες, τὸ κατὰ βίαν γενόμενον μὴ παρεμποδίζειν αὐτοὺς ὁμολογοῦντας διόλου εἶναι Χριστιανοὺς, ἀποκλαιομένους μετὰ κατανύξεως τὸ παρὰ τῶν τυράννων κατὰ βίαν γενόμενον εἰς αὐτούς. οὐδὲν γὰρ ἥμαρτον, ὥστε καὶ παρ' ἡμῶν κολάζεσθαι. εἰ δὲ παρά τινων διὰ περισσοτέραν ἀκρίβειαν ἢ δι' ἄγνοιαν τοῦ προσήκοντος ἐκωλύθησαν τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν. ὡς δέ τινος εἰπόντος ἐπὶ μόνοις τοῖς λαϊκοῖς ἔχειν χώραν τὰ τοῦ κανόνος (οἱ γὰρ κληρικοὶ κατὰ τοὺς προρ- E ρηθέντας κανόνας δεχθήσονται) ἐπήγαγον μὴ μόνους τοιούτους λαϊκοὺς συγκοινωνεῖν ἡμῖν, ἀλλὰ καὶ κληρικούς. εἴρηται δὲ τοῦτο, διὰ τὸ μεγάλην εἶναι διαφορὰν τῶν ἀρνησαμένων ἑκουσίως τὸν Θεὸν, ἐκ τοῦ μὴ δύνασθαι τὰς κολάσεις ὑπενεγκεῖν, καὶ τῶν τοιοῦτόν τι μὴ πεποιηκότων διὰ φάκτου οἰκείου, ἀλλὰ ἀκουσίως κατὰ βίαν ὑποδεξαμένων εἰδωλόθυτα ἢ λιβανωτὸν, καὶ καταπτυσάντων αὐτῶν· οἱ μὲν γὰρ ἥμαρτον, ὡς ἐνδόντες· ὤφειλον γὰρ ἀποθανεῖν διὰ τὸν Χριστόν. οἱ δὲ κατὰ βίαν ὑπεδέξαντο μόνον τὸ λιβανωτὸν, ἔργον δέ τι οὐκ ἐνήργησαν ἀσεβές. ὅτι γοῦν οὐδὲν ἥμαρτον, καὶ κληρωθήσονται οἱ λαϊκοὶ, ἐὰν ἄξιοι εὑρίσκωνται, F πάντως δὲ καὶ οἱ κληρικοὶ εἰς μείζονας βαθμοὺς διὰ τὸν αὐτὸν λόγον προαναβιβασθήσονται. ἐπεὶ δὲ ᾐτιῶντό τινες τούτους, ὡς τὸ μαρτύριον φυγόντας, καὶ κατασχεθέντας, εἶπον οἱ πατέρες, μηδὲ ἐκ τούτου αὐτοὺς βλάπτεσθαι. καὶ πάντως ἄριστα καὶ τοῦτο ἐνομοθέτησαν. φησὶ γὰρ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, μὴ ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων. καὶ ἐν εὐαγγελίοις ὁ Κύριος εἶπεν, ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις· τοῦ δὲ χρηματισθέντος Ἐπισκόπου Ἀμυκλείου κυροῦ Νικολάου

cathedræ ſolius & honoris ſint participes, nihil ſanctorum peragentes.

Quicunque Presbyteri vel Diaconi tempore perſecutionis compulſi ſacrificârunt, poſtea verè accedunt retrectantes quicquid fecerunt, cathedræ ſolius & honoris participes eſſe debent: at ſacerdotale aliquod munus obire, putà panem aut poculum offerre, aut doctrinæ ſermones populo facere, aut omnino ſacrum aliquod miniſterium peragere, iis non licet.

Canon III.

Eos, qui fugientes comprehenſi ſunt, vel à domeſticis traditi, vel ſuis alioqui facultatibus privati, vel tormenta perpeſſi, vel in carcerem conjecti ſunt, clamantes ſe eſſe Chriſtianos, & divulſi ac diſtracti ſunt, vel iis qui vim afferebant in manus aliquid immittentibus, vel cibo aliquo per neceſſitatem ſuſcepto, ſe tamen eſſe Chriſtianos perpetuò fatentes, & ejus quod accidit dolorem omni cohibitione & habitu & vitæ humilitate præ ſe ferentes, ut inculpatos à communione non arceri. Sin autem etiam ab aliquo ſunt prohibiti, majoris cautionis gratia, vel etiam propter aliquorum ignorantiam, ſtatim admittantur. Hoc autem ſimiliter in Clericis & aliis Laicis. Illud quoque eſt examinatum, an poſſint etiam Laici, qui in eandem neceſſitatem inciderunt, ad ordinem promoveri. Viſum eſt ergo & eos, ut qui nihil peccâſſent, ſi etiam præcedens eorum vitæ inſtituendæ ratio recta inveniatur, promoveri.

Bals. Quidam Clerici & Laici manus tyrannorum fugientes, & comprehenſi, vel ab aliquibus proditi, & iis quæ habebant privati, & nonnunquam etiam torti & in carcerem conjecti, ſe eſſe Chriſtianos fatebantur. Quia autem à lictoribus in manus eorum thus fortè injectum eſt, quod idolis ſacrificatur, vel in ora eorum cibus aliquis idolis immolatus, à fidelium communione arcebantur, quòd ſcilicet idolis ſacrificâſſent: Dicunt ergo patres, id quod illis vi factum eſt, non eſſe illis impedimento, fatentibus perpetuò ſe eſſe Chriſtianos, & cum compunctione id deflentibus quod in ipſos à tyrannis vi factum eſt. Nihil enim peccârunt, vi etiam à nobis puniantur. Sin autem ab aliquibus, propter majorem cautionem, vel propter ejus quod fieri oportet ignorationem, à communione ſunt prohibiti, ut ſtatim recipiantur ſententiam tulere. Perinde autem ac ſi dixiſſet aliquis, canonem in ſolis Laicis locum habere (Clerici enim ex prædictorum canonum ſententia recipientur) intulerunt, non ſolùm ejuſmodi Laicos, ſed etiam Clericos nobiſcum communicare. Hoc autem dictum eſt, eo quòd ſit magna differentia eorum qui Deum ſponte negârunt, quoniam ſupplicia perferre non poterant, & eorum qui tale quid non fecerunt facto proprio, ſed inviti & per vim idolothyta ſuſceperunt, vel thus, & ea deſpuerunt. Illi enim peccârunt, ut qui ceſſerint: debebant enim mori propter Chriſtum. Qui verò vi thus ſolum ſuſceperunt, nullum impium opus fecerunt. Quoniam ergo nihil peccârunt, Laici quoque Clerici fient, ſi digni inveniantur; omnino autem etiam Clerici ad majores gradus propter eandem rationem provehentur. Quoniam autem nonnulli eos accuſabant, ut qui martyrium fugiſſent & cunctati eſſent, dixerunt patres, eos non ideo lædi. Et omnino id optimè ſanxerunt. Dicit enim magnus theologus Gregorius, non eſſe ſua ſponte ad certamen procedendum, ut & perſequentibus & imbecillioribus parcatur. Et dominus dixit in evangeliis; Quando vos ex hac civitate perſequentur, fugite in aliam. Et in his quidem expoſitus eſt canon. Cùm autem dominus Nicolaus Muzalon, Amyclæus Epiſcopus dictus, vi à magiſtratu tonſus eſſet,

& ſupplex contenderet, ut quod vi in eum factum erat tolleretur, & epiſcopale rurſus munus obiret; ſanctiſſimus ille Patriarcha dominus Lucas, videns illum ſynodicè cum veſtibus epiſcopalibus præſentem, eum non admiſit, dicens; quòd ſi ſynodalem quidem ſententiam & correctionem expectâſſet Epiſcopus, canonicum auxilium inveniſſet: ſed quia veſtes monaſticas, quibus vi indutus fuerat, inordinatè exuit, & ſibi ipſi jus dixit, auxilium non aſſequetur. Sed cùm ſanctiſſimus ille Patriarcha ad Dominum migrâſſet, qui ei ſucceſſit ſanctiſſimus Patriarcha dominus Michael, vi quidem factam tonſuram tanquam non factam reputans, Epiſcopum ſynodicè juſtificavit, & eo præcipuè, quòd cum monaſticis omnino apparere haudquaquam coactus ſit. Si enim, inquit, vidiſſet eum cum monaſticis præſentem, illum non reſtituiſſet; ut qui, quod factum eſt, admiſit. Cumque nonnulli dicebant, admittendas eſſe tonſuras in periculo factas, ille judicabat tonſuram vi factam non eam eſſe, quæ periculo facta dicitur, ſed quæ fit propter morbum. Et ſic quidem reſtitutionem poſt decreta perfecit. Epiſcopum autem, ut qui negligens fuiſſet, & ſibi jus dixiſſet, ad tempus celebrandi officio privavit. Quin & alii multi vi ab Agarenis circumciſi, & qui alia multa impia vel fecerant vel paſſi erant, poſt puram & convenientem pœnitentiam, ab Eccleſia recepti ſunt, & pœnis impoſitis medelam acceperunt. Porrò & Comnenam dominam Theodoram, quæ dicta eſt Lapardæ illius domini Andronici conjux, vi illius tyranni Andronici tonſam, Conſtantinopolitana ſynodus non ſivit mutare habitum, nec cum Crate Hungariæ, qui hoc vehementiſſimè petebat, conjungi; eo quòd poſt ejus viri mortem proceſſiſſet tonſura, etiamſi vi facta eſſet, & in cœnobiaco monaſterio vitam egiſſet. Cùm tamen alias nobiles fœminas ſic tonſas æquum cenſuit hæc ſynodus ad priſtinum habitum reverti, vel quod eorum mariti ſupereſſent, vel quod tonſuram omnino non admiſiſſent poſt mortem tyranni.

A τοῦ Μυζάλωνος κατὰ βίαν πρακτορικὴν ἀποκαρέντος, καὶ πολλὰ παρακλητεύσαντος, τὸ κατὰ βίαν εἰς αὐτὸν γεγονὸς περιαιρεθῆναι, καὶ πάλιν ἐνεργεῖν τὰ Ἐπισκοπικά, ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Λουκᾶς βλέπων τοῦτον παρουσιάζοντα μετὰ Ἐπισκοπικῶν ἀμφίων συνοδικῶς, οὐ παρεδέξατο αὐτόν, εἰπών, ὡς εἰ μὲν τὴν συνοδικὴν ἐκδίκησιν καὶ διόρθωσιν ἀνέμενεν ὁ Ἐπίσκοπος, εὗρεν ἂν κανονικὴν βοήθειαν· ἐπεὶ δὲ τὰ κατὰ βίαν περιβληθέντα αὐτῷ μοναχικὰ ἀμφία ἀσυντάκτως ἀπέθετο, καὶ αὐτεκδίκητος γέγονεν, οὐ τεύξεται βοηθείας. ἀλλὰ τοῦ ἁγιωτάτου πατριάρχου τούτου μεταστάντος πρὸς κύριον, ὁ μετ᾽ ἐκεῖνον ἁγιώτατος πατριάρχης κυρὸς Μιχαήλ, B τὴν μὲν κατὰ βίαν γενομένην ἀπόκαρσιν ὡς μηδὲ γενομένην λογιζόμενος, ἐδικαίωσε συνοδικῶς τὸν Ἐπίσκοπον, καὶ μᾶλλον ὡς μηδὲ ἀναγκαζόμενον ὅλως μετὰ τῶν μοναχικῶν ἐμφανισθῆναι. εἰ γάρ φησιν ἔβλεπε τοῦτον μετὰ τῶν μοναχικῶν παριστάμενον, οὐκ ἂν αὐτὸν ἀπεκατέστησεν, ὡς καταδεξάμενον τὸ γεγονός. ὅτε καί τινων εἰπόντων, δεκτὰς εἶναι τὰς περιστατικὰς ἀποκάρσεις, αὐτὸς διέγνω τὴν κατὰ βίαν ἀπόκαρσιν μὴ εἶναι περιστατικήν, ἀλλὰ τὴν διὰ νόσον. καὶ τὴν μὲν ἀποκατάστασιν οὕτως ἐποιήσατο μετὰ σημειώματα. τὸν δὲ Ἐπίσκοπον, ὡς ὀλιγωρήσαντα, καὶ ἑαυτὸν δικαιώσαντα, χρονικῆς ἀλειτουργησίας C ἐπιτιμίῳ ὑπέβαλε. καὶ ἄλλοι δὲ πολλοὶ κατὰ βίαν περιτμηθέντες παρὰ Ἀγαρηνῶν, καὶ ἄλλα τινὰ πεποιηκότες ἢ καὶ παθόντες ἀσεβῆ, μετὰ ἐξομολόγησιν καθαρὰν καὶ προσήκουσαν μετάνοιαν, παρὰ τῇ ἐκκλησίᾳ ἐδέχθησαν, καὶ δι᾽ ἐπιτιμίων ἐθεραπεύθησαν. τὴν μέντοι Κομνηνὴν κυρὰν Θεοδώραν τὴν χρηματίσασαν σύμβιον τοῦ Λαπάρδα ἐκείνου κυροῦ Ἀνδρονίκου, ἀποκαρεῖσαν κατὰ βίαν τοῦ τυράννου, ἡ ἐν Κωνσταντινουπόλει σύνοδος οὐ παρεχώρησε μετασχηματισθῆναι, καὶ συζυγῆναι τῷ Κράτῃ Οὐγγρίας, ἐκθύμως τοῦτο ζητήσαντι, διὰ τὸ μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς στοιχῆσαι τῇ ἀποκάρσει, κἂν κατὰ βίαν ἐγένετο, καὶ ἐν κοινοβιακῇ διάγειν μονῇ. ἑτέρας D δὲ γυναῖκας εὐγενεῖς οὕτως ἀποκαρείσας ἐδικαίωσεν ἡ αὐτὴ σύνοδος μετὰ θάνατον τοῦ τυράννου μετασχηματισθῆναι, ἢ ὡς ἔτι περιόντων τῶν ἀνδρῶν αὐτῶν, ἢ διὰ τὸ μὴ καταδέξασθαι ὅλως τὴν ἀπόκαρσιν μετὰ θάνατον τοῦ τυράννου.

ZONAR. Lex martyrii eſt, magni Theologi Gregorii teſtimonio, ut neque nos ſponte certamini offeramus, & iis qui nobis infeſti ſunt, & imbecillioribus parcentes, &c. Proinde nonnulli, ſuæ ſibi infirmitatis conſcii, dum tyrannorum furor in Chriſtianos baccharetur, fuga ſibi & latebris proſpiciebant, Evangelicum in ea re præceptum ſecuti; dicente Domino; Cum vos ex hac urbe perſequentur, fugite in aliam. Quicunque igitur in fuga comprehenſi, vel à familiaribus proditi (nam id quoque Chriſtus indicavit; Tradet, ait, pater filium & frater fratrem,) quique facultatibus ſpoliati, vel tormenta perpeſſi, vel in carcerem conjecti, perpetuo tamen, veſtibus quoque dilaceratis corporique detractis, ſeſe Chriſtianos eſſe profeſſi ſunt; etiamſi vel aliquid per vim repugnantium manibus ſit injectum, thus videlicet aut aliud quidpiam eorum, quæ in idolorum ſacrificiis adhiberi ſolita ſunt, vel cibi aliquid ex immolatis per vim à coactoribus immiſſum ore excepêre, qui aliquid ejuſmodi perpeſſi fuerint, Chriſtianos ſe eſſe nihilominus interea clamitantes, atque ob id quod factum fuit dolentes, ac dolorem demiſſione, habitúque præ ſe ferentes (Eſt autem remiſſio Græcè καταστολή, æquabilis ac moderata morum compoſitio; quamvis eodem verbo amictus quoque ornatúſque corporis ſignificari queat: habitus vero, Græcè σχῆμα, triſtitia extrinſecus apparens, conditúmque animo mœrorem indicans, quam etiam vitæ humilitatem canon appellavit) ab iis ergo nihil peccatum eſſe Patres aſſerunt. Neq; enim, quòd vel idolothytum ore vel quòd thus aut aliquid ſimile manibus, nolentes exceperint, id criminis loco poni debet; ſi tamen illi interea quoque, dum hæc fierent, Chriſtum appella-

ΖΩΝΑΡ. Νόμος μαρτυρίου, φησὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, μήτε ἐθέλοντας εἰς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, καὶ τὰ ἑξῆς. διὰ γοῦν τοῦτον τὸν λόγον τινὲς ἑαυτοῖς συνειδότες ἀσθένειαν, ἐν τοῖς διωγμοῖς ἔφευγον καὶ ἐκρύπτοντο, κἀνταῦθα εὐαγγελικὴν πληροῦντες διαταγήν. τοῦ κυρίου εἰπόντος, ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε E εἰς τὴν ἑτέραν. τοὺς οὖν φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, (καὶ τοῦτο δὲ τοῦ κυρίου ἀποφάσει φήσαντος, παραδώσουσι δὲ γονεῖς τέκνα, καὶ ἀδελφὸν ἀδελφός,) καὶ τοὺς ἀφαιρεθέντας τὰ ὑπάρχοντα αὐτοῖς, ἢ ὑπομείναντας βασάνους, ἢ ἐγκλεισθέντας δεσμωτηρίοις, διόλου δὲ ὁμολογοῦντας, ὅτι Χριστιανοί εἰσι, καὶ περισχισθέντας τοὺς χιτῶνας, καὶ γυμνωθέντας, καὶ ἢ εἰς τὰς χεῖρας αὐτῶν πρὸς βίαν ἀκόντων ἐκείνων, ἐμβαλόντων τι τῶν βιαζομένων, οἷον λιβανωτὸν ἢ ἕτερόν τι εἰς θυσίαν τοῖς εἰδωλολάτροις προσαγομένων, ἢ βρῶμά τι τῶν εἰδωλοθύτων δεξαμένους εἰς τὸ στόμα, πρὸς ἀνάγκης αὐτὸ τῶν βιαστῶν F ἐμβαλόντων, τοὺς τοιοῦτόν τι πεπονθότας, βοῶντας δὲ διόλου, ὅτι εἰσὶ Χριστιανοί, καὶ διὰ τοῦτο πενθοῦντας, καὶ τῇ τε καταστολῇ καὶ τῷ σχήματι τὸ πένθος ἐνδεικνυμένους· καταστολὴ δὲ τὸ μέτριον καὶ κατεσταλμένον τοῦ ἤθους ἐστίν, ἢ τὰ περιβλήματα καὶ ἡ στολή. σχῆμα δέ, ἡ ἔξωθεν φαινομένη κατήφεια, τὴν λύπην δηλοῦσα, ὃ καὶ βίου ταπεινότητα ὠνόμασεν ὁ κανών· τούτους οὖν μηδὲν ἁμαρτῆσαι οἱ πατέρες φασίν· οὔτε γὰρ τὸ εἰδωλόθυτόν τι ἄκοντας δέξασθαι εἰς τὸ στόμα, οὔτε, τὸ ἐν ταῖς χερσὶν αὐτῶν ἐκβληθῆναι λιβανωτόν, ἁμαρτία ἐστίν. εἰ ἐκεῖνοι καὶ τούτων γινομένων ἐπεκαλοῦντο τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ θεὸν ὡμολόγουν αὐτόν· καὶ ὡς μηδὲν ἁμαρτάνοντας, μὴ κωλύεσθαι τῆς κοινωνίας παρεκελεύσαντο. κἂν τινὲς ἴσως ἀγνοήσαντες τὸ προσῆκον, ἢ πλέον τοῦ δέοντος τῆς ἀκριβείας ἐχόμενοι, ἐκώλυσάν τινας τῆς κοινωνίας, εὐθὺς δεχθῆναι τούτους ἐγνωμοδότησαν, κἂν τε τῶν τοῦ κλήρου ὦσι, κἄντε τῶν τοῦ λαοῦ. τοσοῦτον δέ, φασιν, οὐ λογισθήσεται τὰ ἄνω εἰρημένα εἰς ἁμάρτημα, ὥστε κἂν λαϊκός τις ᾖ ὁ ταῦτα ὑπομείνας, οὐ κωλυθήσεται διὰ ταῦτα εἰς ἱερωσύνην προβιβασθῆναι, εἰ ὁ βίος αὐτοῦ ὁ πρὸ τούτου ἀνεπίληπτος ἦν καὶ ὀρθῶς πεπολίτευτο.

ΑΡΙΣΤ. Οἱ βασανισθέντες καὶ βιασθέντες ἀληθῶς, καὶ μετὰ τυραννίδος βρώματα λαβόντες εἰδώλου, τῆς κοινωνίας μὴ κωλυέσθωσαν. καὶ λαϊκοὶ δὲ τοῦτο παθόντες, ὡς οὐδὲν ἡμαρτηκότες, εἰ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἄλλως ἀνεπίληπτοι ὄντες.

Οἱ μετὰ βασάνων εἰδωλόθυτον βρῶμα δέξασθαι βιασθέντες τῶν βιαζόντων τῷ στόματι αὐτῶν τοῦτο ἐμβαλόντων μετὰ ἀνάγκης, ὡσαύτως δὲ καὶ οἱ τοιουτοτρόπως λιβανωτὸν εἰς τὰς χεῖρας αὐτῶν δεξάμενοι, καὶ πρὸς βίαν εἰς τὸν τρίποδα ἐπιρρῖψαι τοῦτο καταναγκασθέντες· ὁμολογοῦντες δὲ διόλου, ὅτι εἰσὶ χριστιανοί, καὶ τούτου συμβάντος πένθος ἀεὶ ἐπιδεικνύμενοι τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι, καὶ τῇ τοῦ βίου ταπεινότητι, οὗτοι ὡς ἔξω ἁμαρτήματος ὄντες, τῆς κοινωνίας μὴ κωλυέσθωσαν, ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ μενέτωσαν. εἰ δὲ λαϊκοί εἰσιν οἱ τοιοῦτοι, καὶ βούλοιντο χειροτονίας τυχεῖν, τυγχανέτωσαν, ἐὰν ὁ προλαβὼν βίος αὐτῶν ἐστὶν ἀνεπίληπτος· ἐκ τούτου μόνου οὐ κωλυθήσονται τῆς τοιαύτης ἐπιτυχεῖν τιμῆς.

ΚΑΝΩΝ δ΄.

Περὶ τῶν πρὸς βίαν θυσάντων, ἐπὶ δὲ τούτοις καὶ τῶν δειπνησάντων εἰς τὰ εἴδωλα, ὅσοι μὲν ἀπαγόμενοι, καὶ σχήματι φαιδροτέρῳ ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον τοῦ παρασκευασθέντος δείπνου ἀδιαφόρως, ἔδοξεν, ἐνιαυτὸν ἀκροᾶσθαι, ὑποπεσεῖν δὲ τρία ἔτη, εὐχῆς δὲ κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον.

ΒΑΛΣ. Τοῦ διαληφθέντος τρίτου κανόνος συγγνωμονήσαντος ἀδιαστίκτως τοῖς κατὰ βίαν ὑποδεξαμένοις εἰδωλόθυτα· ἐπεί τινες ἤθελον καὶ τοὺς κατὰ βίαν φαγόντας αὐτά, ἢ καὶ θύσαντας, συγγινώσκεσθαι, ὥρισαν οἱ πατέρες διὰ τούτου τοῦ κανόνος καὶ τοῦ πέμπτου, ὡς ὅσοι μὲν ἀπαγόμενοι πρὸς τὸ εἰδωλικὸν δεῖπνον σχῆμα χαιρόντων ἐνεδείξαντο, καὶ μετὰ λαμπροτέρων ἐσθήτων ἀνέπεσον, καὶ μετέσχον τῶν εἰδωλοθύτων, ἐπιτιμηθήσονται, ὡς ὅλως ἐνδόντες πρὸς τὴν ἀσέβειαν. διὸ ἐπὶ ἕνα μὲν ἐνιαυτὸν ἀκροάσονται τῶν θείων γραφῶν ἐν τῷ νάρθηκι, καὶ μετὰ τοῦτον ἐπὶ τριετίαν ὑποπήσωσι, τουτέστιν, ἐκκλησιάσουσιν ὀπίσω τοῦ ἄμβωνος ἱστάμενοι, μέχρι τῆς τῶν κατηχουμένων ἐξελεύσεως· τηνικαῦτα γὰρ καὶ αὐτοὶ ἐξέλθωσι. συμπληρωθέντων δὲ καὶ τούτων τῶν τριῶν ἐνιαυτῶν, ἐπὶ ἔτη δύο συγκοινωνήσουσι τοῖς πιστοῖς, καὶ ἔκτοτε εἰς τὸ τέλειον ἔλθωσι, τουτέστι, καὶ τῶν θείων ἁγιασμάτων μεταλάβωσιν. ὅσοι δὲ ἀπαγόμενοι τὴν βίαν ἀπέκλαιον, καὶ μετὰ πενθικῆς ἐσθῆτος ἀνέπεσον καὶ ἔφαγον, μετὰ τὴν τριετίαν τῆς ὑποπτώσεως εἰς κοινωνίαν ἐκκλησιαστικὴν δεχθήσονται, οὐ μέντοι γε δὲ καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται. τοῦτο γάρ ἐστι τὸ δεχθῆναι τούτους χωρὶς προσφορᾶς. εἰ δὲ ἀνέπεσον μὲν, οὐκ ἔφαγον δὲ, ἐπὶ διετίαν ὑποπέσωσι, καὶ εἰς τὸν τρίτον χρόνον συνεκκλησιάσουσι τοῖς πιστοῖς χωρὶς προσφορᾶς· μετὰ γὰρ τὴν παραδρομὴν καὶ τούτου τῆς θείας μεταλήψεως ἀξιωθήσονται. ταῦτα δὲ πάντα εἰς τὴν ἐπισκοπικὴν διάκρισιν ἀνέθεντο οἱ πατέρες, ὡς ἂν πρὸς τὴν

A bant, Deúmque ipſum eſſe profitebantur: ac tanquam nulli culpæ affines, nullo modo à communione arcendos eſſe definivêre. Quòd ſi nonnullos etiam, æquitatis forte ignoratione, aut plus juſto diligentiores aliqui communione prohibuerint, ſive è clero illi ſive è populo fuerint; admittendos eſſe illico decrevêre. Tantum porro abeſt, ut quæ ſupra commemoravimus, crimini ſint ducenda, ut etiamſi Laico homini cuipiam perferenda fuerint, nihil tamen, modo vitam alioqui ſuſpicione vacuam ac probatam traduxerit, quominus ad ſacros ordines evehi liceat, obſtare velint.

B ARIST. *Qui tormentis ſubjecti, & vim verè paſſi ſunt, & poſt tyrannidem cibum idolis oblatum ſumunt, à communione nè prohibeantur. Et Laici hoc paſſi, ut nihil tranſgreſſi, ſi ordinationem velint conſequi, conſequantur, modò aliter inculpati ſint.*

Qui cum tormentis cibum idolis immolatum recipere coacti ſunt, iſtis, qui eos cogunt, in os eorum illud violenter injicientibus; ſimiliter & ſi thus eodem modo in manus ſuas recipiant, & illud per vim in tripodem injicere compulſi ſint; ſed confitentur omnino ſe eſſe chriſtianos, & cum hoc contigerit, luctum omni modeſtiâ & habitu & vitæ humilitate oſtendunt, hi ut qui ſunt extra C peccatum à communione ne arceantur, ſed in proprio honore maneant. Si autem tales ſint Laici & ordinationis compotes eſſe cupiunt, conſequantur, ſi præcedens eorum vita inculpata fuerit: ex eo ejuſmodi honoris participes eſſe nè prohibeantur.

CANON IV.

De iis, qui vi ſacrificârunt, & præterea ad idola pranſi ſunt, D quicunque abducti quidem, & lætiore habitu acceſſerunt, & veſte ſumptuoſiore uſi ſunt, & parati prandii, non ægrè id ferentes, participes fuerunt, vſum eſt, anno audire, tribus autem annis ſubſterni, orationi verò duobus annis communicare, & tunc ad id quod eſt perfectum accedere.

BALS. Cùm expoſitus tertius canon indiſtinctè ignoviſſet iis, qui vi idolothyta ſuſcepiſſent: quoniam dicebant nonnulli eis etiam ignoſci, qui ea vi comediſſent, vel etiam ſacrificâſſent; per hunc & quintum canonem E ſtatuerunt Patres, quòd quicunq; quidem, abducti ad idolicum prandium, lætum vultum oſtenderunt, & cum ſplendidioribus veſtibus diſcubuerunt, & eorum, quæ idolis immolata ſunt, participes fuere, punientur, ut qui omnino impietati ceſſerint. Quamobrem anno uno divinas ſcripturas audient in Narthece, & poſtea triennio ſubſternentur, id eſt, in Eccleſia erunt poſt ambonem ſtantes, uſque ad catechumenorum exitum; tunc enim ipſi quoque egrediantur. Completis autem his quoque tribus annis, unà cum fidelibus biennio communicabunt, & ab eo tempore ad id quod perfectum eſt, devenient, hoc eſt, etiam divinorum ſacramentorum erunt partici- F pes. Quicunque autem vi abducti mœſti fuerunt, & cum lugubri veſte accubuerunt & comederunt, poſt ſubſtrationis triennium in Eccleſiaſticam communionem ſuſcipientur; ſed non etiam divinis digni ſacramentis habebuntur. Id enim eſt eos ſine oblatione ſuſcipi. Si autem accubuerunt quidem, non autem comederunt; biennio ſubſternentur, & tertio anno, unà cum fidelibus in Eccleſia erunt ſine oblatione: poſt ejus enim lapſum erunt divinæ communionis participes. Hæc autem omnia epiſcopali judicio patres reliquêre, ut juxta ejus qui peccavit converſationem & ſocordiam, vel augeantur pœnæ, vel diminuantur. Examinatur autem etiam prior eorum converſatio, ut vel humanitatem vel ſeveritatem conſequantur. Rogaverit autem quiſpiam, & cur Clerici quidem vel Laici tertio canone indicati, qui vel thus vel idolothytum vi ſuſceperunt, non puniuntur, ut qui non erraverint, ſed etiã ad gradus Eccleſiaſticos promoventur; qui autem in quinti canonis fine continentur, & vi accubuerunt, puniuntur, ut qui peccarint, idque cùm lachrymas funderent, & nec idolothyta quidem guſtaverint? Solutio. Differentia eſt eorum, qui vi ſuſceperunt dona profana, & ex facto proprio nihil deliquerunt, & eorum, qui aliquid impium vi fecerunt; cujuſmodi videlicet eſt ad prandium accumbere. Unde illi quidem, ut qui mali nihil fecerint (ab aliis enim in os vel in manus ipſorum injectum eſt idolothytum) non puniuntur; Hi autem, ut qui proprio facto peccatum admiſerunt, nimirum lapſi ſunt, puniuntur. Hæc autem conſequenter iis, quæ à legibus ſtatuta ſunt definierunt. Dicitur enim in lib. x. Baſil. tit. i. quòd id, quod ab aliquo quidem vi ablatum eſt, rurſus manet ejus dominii, nec ullius unquam dominio tenetur, ut vult lex quæ dicit; Furtiva & vi poſſeſſa nunquam uſu capiuntur ſive dominio tenentur: Quod autem alicui ab aliquo metu datum eſt, à bonæ fidei poſſeſſore uſu capitur, etiamſi metui quoque vis inſit: veri enim domini proprio facto translata eſt. Jure ergo, qui nihil impium fecit, non punitur; quemadmodum & ei ignoſcitur, cui vi ſuum ablatum eſt, ſi id ad triginta annos uſque revocat. Qui autem aliquid impium fecit, ut qui in profano prandio vi accubuit, punitur; quemadmodum ei non ignoſcitur, qui propria manu, quod ſuum eſt, alicui metu tradidir. Poſt decennium enim perdidit ejus dominium.

Zonar. Quicunque coacti immolavêre, vel etiam in idolis accumbentes idolothyta guſtarunt, eorum, inquit canon, animi affectionem intueri, proque illius ratione ſupplicia iiſdem luenda moderari oportet. Etenim, ſi dum ad ſacrificandum epulandúmve abducerentur, & habitu hilari, ſplendioréque veſtium ornatu induti inceſſêre; & immolatorum abſque diſcrimine participes fuêre, hoc eſt perinde quaſi nihil ab aliis ciborum generibus differrent, ita ut nihil, quòd pollutis veſcerentur, dolerent; verum iis ſeſe, quaſi non pollutis, affatim ingurgitarent: eos unius anni ſpatio audire in narthece ſtantes, ſacrarúmque ſcripturarum recitationi attentos; triennio verò ſubſterni, hoc eſt, poſt ambonem conſiſtere, & cum catechumenis egredi; biennio verò precationi tantummodo communicare, hoc eſt, ad finem uſque cum fidelibus intereſſe, & cum iis una precationi vacare jubet; atque ita demum poſtea ad id quod perfectum eſt, ſanctorum videlicet myſteriorum perceptionem, accedendi poteſtatem facit.

Arist. *Quotquot abducti cum lætitiâ aſcenderunt & comederunt, ſex annos ſe ſubmittant.*

Quicunq; ſacrificare vel in Idoli templo prandere coacti ſũt, ſi poſtea cedentes habitu ſplendidiori incedebant, aut amictu utebantur ſumptuoſiori, & prandii partem accipiebant, & ſacrificium offerebant, hi uno anno inter audientes conſtituentur, tres autem annos ſubſternentur, & duos alios annos una cum fidelibus collocati erunt, & precum ſolarum erunt participes; poſt ſex autem iſtos annos perfectionis compotes fient, & divinorum ſacramentorum participes.

A ἐπιστροφὴν τοῦ ἡμαρτηκότος καὶ τὴν ῥᾳθυμίαν, ἢ προστεθήσονται τὰ ἐπιτίμια, ἢ ἐκκοπήσονται. ἐξετάζεται δὲ καὶ ἡ προτέρα τούτων ἀναστροφὴ ἵνα ἢ φιλανθρωπίας ἢ αὐστηρείας τύχωσιν. ἐρωτήσει δέ τις, καὶ διὰ τί οἱ μὲν περὶ τοῦ γ΄. κανόνι δηλούμενοι κληρικοὶ ἢ λαϊκοὶ κατὰ βίαν ὑποδεξάμενοι λίβανον ἢ εἰδωλόθυτον, οὐκ ἐπιτιμῶνται, ὡς μὴ ἐπταικότες, ἀλλὰ καὶ εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προκόπτουσιν· οἱ δὲ ἐν τῷ τέλει τοῦ ε΄. κανόνος περιεχόμενοι, καὶ κατὰ βίαν ἀναπεσόντες, ἐπιτιμῶνται, ὡς ἡμαρτηκότες, καὶ ταῦτα δακρυρροοῦντες, καὶ μηδὲ γευσάμενοι τῶν εἰδωλοθύτων; Λύσις. Διαφορά ἐστι τῶν κατὰ βίαν ὑποδεξαμένων τὰ βέβηλα δῶρα, καὶ μηδὲν B ἐξ οἰκείου φάκτου ἐπταικότων, καὶ τῶν ἀπὸ βίας ἐργασαμένων ἀσεβές τι, ὅπερ ἐστὶ τὸ ἀναπεσεῖν εἰς τὸν δεῖπνον. κἀντεῦθεν ἐκεῖνοι μὲν, ὡς μὴ διαπραξάμενοι τί κακὸν (παρὰ ἄλλων γὰρ εἰς τὸ στόμα ἢ εἰς τὰς χεῖρας αὐτῶν ἐνεβλήθη τὸ εἰδωλόθυτον) οὐκ ἐπιτιμῶνται· οὗτοι δὲ, ὡς ἀσέβειαν πλημμελήσαντες μετὰ οἰκείου φάκτου, δηλονότι ἀναπεσόντες ἐπιτιμῶνται. ταῦτα δὲ ἐθέσπισαν ἀκολούθως τοῖς ὑπὸ νόμων διορισθεῖσι. φησὶ γὰρ ἐν βιβλίῳ δεκάτῳ τῶν βασιλικῶν τίτλῳ α΄. ὡς τὸ μὲν κατὰ βίαν ἀφαιρεθὲν ἀπό τινος, μένει πάλιν τῆς δεσποτείας τούτου, καὶ οὐδέποτε παρ᾽ οἱουδή τινος δεσπόζεται κατὰ τὸν νόμον τὸν λέγοντα, τὰ φούρτιβα καὶ τὰ βιπόσεσα C οὐδέποτε οὐσουκαπιτεύονται, ἤτοι οὐ δεσπόζονται· τὸ δὲ κατὰ φόβον δοθὲν πρός τινα παρά τινος, οὐσουκαπιτεύεται παρὰ τοῦ καλῇ πίστει νομέως, κἂν ὕπεστι τῷ φόβῳ καὶ βία· μετετέθη γὰρ τοῦτο διὰ οἰκείου φάκτου τοῦ ἀληθοῦς δεσπότου. εὐλόγως τοίνυν ὁ μηδὲν ἐνεργήσας ἀσεβὲς οὐκ ἐπιτιμᾶται, ὥσπερ συγγινώσκεται καὶ ὁ κατὰ βίαν ἀφαιρεθεὶς τὸ οἰκεῖον, καὶ ἀνακαλεῖται αὐτὸ μέχρι τριακονταετίας· ὁ δὲ ἐργασάμενος τι ἀσεβὲς, ὡς ὁ ἀναπεσὼν κατὰ βίαν ἐπὶ τὸν βέβηλον δεῖπνον, ἐπιτιμᾶται, καθὼς οὐ συγγινώσκεται καὶ ὁ κατὰ φόβον οἰκειοχείρως παραδοὺς πρός τινα τὸ οἰκεῖον. μετὰ γὰρ δεκαετίαν ἀπόλλυσι τὴν δεσποτείαν αὐτοῦ.

D **ΖΩΝΑΡ.** Οσοι, φησὶν ὁ κανὼν, βιασθέντες ἔθυσαν, ἢ καὶ ἐν τοῖς εἰδώλοις ἐδείπνησαν μετασχόντες τῶν εἰδωλοθύτων, τούτων τὴν διάθεσιν χρὴ σκοπεῖν, καὶ πρὸς ἐκείνην τυποῦν αὐτοῖς καὶ τὰ ἐπιτίμια. εἰ μὲν γὰρ ἀπαγόμενοι πρὸς τὸ θῦσαι ἢ δειπνῆσαι, καὶ σχῆμα φαιδρὸν ἐπεδείκνυντο, καὶ ἐσθῆτι λαμπρᾷ ἐκόσμησαν ἑαυτοὺς, καὶ τῶν εἰδωλοθύτων μετέσχον ἀδιαφόρως, τουτέστι μὴ διαφερόμενοι καὶ δακνόμενοι ὡς μεμιασμένων γευόμενοι ἀλλ᾽ ἐμφορούμενοι τούτων, ὡς εἰ ἦσαν ἀμίαντα· τούτους ἐνιαυτὸν μὲν ἀκροᾶσθαι κελεύει, ἐν τῷ νάρθηκι ἱσταμένους, καὶ ἀκούοντας τῶν γραφῶν, τρία δὲ ἔτη ὑποπίπτειν ἤτοι ὄπισθεν τοῦ ἄμβωνος ἵστασθαι, E καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι, εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, ὅπερ ἐστὶ τὸ μέχρι τέλους συνίστασθαι καὶ συνεύχεσθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὅπερ ἐστὶν, ἡ τῶν ἁγιασμάτων μετάληψις.

ΑΡΙΣΤ. Οσοι ἀπαγόμενοι μετὰ θυμηδίας ἀνῆλθον καὶ ἔφαγον, ἐπὶ ἑξαετίαν ὑποπιπτέτωσαν.

Οσοι θῦσαι ἐβιάσθησαν, ἢ καὶ δειπνῆσαι ἐν τῷ εἰδωλείῳ, F ἐὰν μετὰ τοῦτο ὑπείξαντες μετὰ σχήματος φαιδροτέρου ἀνῆλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ τοῦ δείπνου μετέσχον, ἢ καὶ τὴν θυσίαν προσέφερον· οὗτοι ἐπὶ ἐνιαυτὸν μετὰ τῶν ἀκροωμένων ταχθήσονται, ἐπὶ δὲ τρία ἔτη ὑποπεσοῦνται, καὶ ἐφ᾽ ἕτερα δύο ἔτη μετὰ τῶν πιστῶν τὴν σύστασιν δέξονται, καὶ μόνων τῶν εὐχῶν κοινωνήσουσι· μετὰ δὲ τὴν ἑξαετίαν ταύτην, τῆς τελειότητος τύχωσι, καὶ τῶν θείων ἁγιασμάτων μετάσχωσι.

A

ΚΑΝΩΝ ε'.

Ὅσοι δὲ ἀνῆλθον μετὰ ἐσθῆτος πενθικῆς, καὶ ἀναπεσόντες ἔφαγον, μεταξὺ δι' ὅλης τῆς ἀνακλίσεως δακρύοντες, εἰ ἐπλήρωσαν τὸν τῆς ὑποπτώσεως τριετῆ χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν· εἰ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ τρίτῳ κοινωνείτωσαν ἔτει χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τετραετίᾳ λάβωσιν. τοὺς δὲ Ἐπισκόπους ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δοκιμάσαντας φιλανθρωπεύσασθαι ἢ πλείονα προστιθέναι χρόνον. πρὸ πάντων δὲ καὶ ὁ προάγων βίος, καὶ ὁ μετὰ ταῦτα, ἐξεταζέσθω, καὶ οὕτως ἡ φιλανθρωπία ἐπιμετρείσθω. B

ΒΑΛΣ. Περὶ τοῦ παρόντος κανόνος διελάβομεν ἐν τῇ ἑρμηνείᾳ τοῦ δ'. κανόνος, καὶ πλέον τι μὴ ζήτει.

ΖΩΝΑΡ. Εἴρηται τὴν διάθεσιν σκοπεῖν τῶν θυσάντων ἐκ βίας, καὶ πρὸς ἐκείνην οἰκονομεῖν αὐτούς. εἰπὼν οὖν ὁ κανὼν τὰ περὶ τῶν θυσάντων, καὶ μὴ πενθούντων, ἀλλὰ φαιδρότερον διακειμένων, νῦν καὶ περὶ τῶν φαγόντων μὲν εἰδωλόθυτα, δακνομένων δὲ ἐπὶ τούτῳ καὶ δακρυόντων, φησίν. οὓς μετὰ τριετίαν τῆς ὑποπτώσεως δέχεσθαι παρακελεύεται εἰς σύστασιν χωρὶς προσφορᾶς, ἤγουν συνίστασθαι μὲν ἐν τῇ ἐκκλησίᾳ τοῖς πιστοῖς, μὴ μεταλαμβάνειν δέ. εἰ δὲ οὐκ ἔφαγον, φησι, διετίαν ὑποπεσόντες, τουτέστι μετὰ τῶν κατηχουμένων ἱστάμενοι, καὶ σὺν ἐκείνοις ἐξερχόμενοι, τοῦ τρίτου ἁψάμενοι ἐνιαυτοῦ κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἤγουν τῆς μετὰ τῶν πιστῶν στάσεως. κοινωνίαν γὰρ ἐνταῦθα οὐ τὴν μετάληψιν τῶν ἁγιασμάτων λέγει, ἀλλὰ τὴν μετὰ τῶν πιστῶν σύστασιν. διὸ ἐπήνεγκε, χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τριετίᾳ λάβωσιν, ἵνα πληρουμένης τῆς τριετίας καὶ τοῦ ἀγαθοῦ ματάσχωσι. ταῦτα μὲν ὥρισαν οἱ τῆς συνόδου. ἐπειδὴ ᾔδεισαν, ὅτι οὐ πάντες ὁμοίως μετανοοῦσιν, ἀλλ' οἱ μὲν ἐπιμελέστερον ἔχονται τῆς μετανοίας, οἱ δὲ ῥαθυμότερον, τὸ πᾶν τῆς ἐπ' αὐτοῖς οἰκονομίας τοῖς ἐπισκόποις ἀνέθεντο, ὥστε δοκιμάζειν ἐκείνους τὸν τρόπον τῆς ἑκάστου ἐπιστροφῆς, καὶ φιλανθρωπεύεσθαι, καὶ συστέλλειν τὸν χρόνον τῶν ἐπιτιμίων τοῖς θερμότερον μετανοοῦσι, καὶ πλείονα προστιθέναι χρόνον τοῖς νωθρότερον, σκοπεῖν δὲ καὶ τὸν προλαβόντα βίον αὐτῶν, καὶ τὸν μεταταῦτα, εἰ σωφρόνως ἔζων καὶ συντετηρημένως, καὶ ζῶσιν, ἢ ἀνειμένως καὶ ἀδιαφόρως, καὶ οὕτως ἐπιμετρεῖν αὐτοῖς τὴν φιλανθρωπίαν.

ΑΡΙΣΤ. Οἱ μετὰ πενθικῆς στολῆς ἀνεληλυθότες, καὶ φαγόντες μετὰ δακρύων, τριετίαν ὑποπιπτέτωσαν· εἰ δὲ μὴ ἔφαγον, διετίαν. ὁ προάγων δὲ βίος, καὶ ὁ ἑπόμενος σπουδαῖος ὤν, ἢ οὐ σπουδαῖος, τὸν Ἐπίσκοπον φιλανθρωπότερον, ἢ ἀφιλανθρωπότερον δείκνυσιν.

Οἱ εἰς τὸ εἰδωλεῖον ἀνελθεῖν βιασθέντες, καὶ φαγεῖν ἐν αὐτῷ· ἐὰν μετὰ πενθικῆς ἀνῆλθον στολῆς, καὶ ἐν τῷ ἐσθίειν ἐδάκρυον· οὗτοι ὡς τῇ κολάσει ὑπείξαντες, καὶ τὸ πᾶν μὴ λογιζόμενοι ἀκουσίως ποιῆσαι, διὰ τὸ τοῖς οἰκείοις μέλεσι χρήσασθαι εἰς τὴν τῶν ἀπαιτουμένων ἀθέσμων ἐκπλήρωσιν, τριετίαν μόνην ὑποπιπτέτωσαν· εἶτα, χωρὶς τῆς μετοχῆς τῶν θείων ἁγιασμάτων, δεχθήτωσαν μετὰ τῶν πιστῶν. εἰ δὲ μὴ ἔφαγον, ἀνῆλθον δὲ μόνον, ἐπὶ διετίαν ἔσονται ὑποπίπτοντες, ἐπὶ ἐνιαυτὸν τοῖς πιστοῖς συνιστάμενοι. καὶ μετὰ ταύτην τὴν τριετίαν, τὴν τελειότητα λάβωσι. παρὰ τῇ ἐξουσίᾳ δὲ κεῖσθαι τοῦ Ἐπισκόπου, ὡς ὁρᾷ αὐτοὺς, εἴτε σπουδάζοντας, εἴτε καὶ ἀμελοῦντας, οὕτω καὶ διατεθῆναι, καὶ ἢ φιλανθρωπεύσασθαι καὶ συντεμεῖν τὸν χρόνον τῆς μετανοίας, ἢ μᾶλλον προσθῆναι. κατεξετάσει δὲ καὶ τὸν προλαβόντα βίον

C D E F

CANON V.

Quicunque autem cum veſte lugubri acceſſerunt, & accumbentes comederunt, interea toto accubitûs tempore lacrymas fundentes, ſi triennale ſubſtrationis tempus compleverint, ſine oblatione recipiantur: ſin autem non comederint, biennio ſubſtrati, tertio anno communicent ſine oblatione, ut perfectionem triennio conſequantur. Epiſcopi autem poteſtatem habeant, converſationis modum examinantes, vel utendi clementia, vel plus temporis adjiciendi. Ante omnia autem & præcedens vita, & quæ conſecuta eſt, examinetur, & ſic eis clementia impertiatur.

BALS. De præſenti canone tractavimus in interpretatione iiii. canonis, & ne quid ampliùs quære.

ZONAR. Eorum, qui vi adacti idolis immolarunt, affectionem uniuſcujuſque cognoſcendam, proque ejus ratione cum ſingulis agendum eſſe conſtitutum eſt. Cum ergo de iis, qui nihil dolentes, ſed lætitiæ potius aliquid præ ſe ferentes, immolavere, can. antea diſſeruerit; nunc de iis, qui idolothyta ſcilicet, verum non ſine acerbo animi ſenſu ac lacrymis, guſtavere, decernit. Quos quidem, exacto ſubſtrationis triennio, in conventum abſq; oblatione admitti, hoc eſt, in Eccleſia quidem cum fidelibus conſiſtere, non tamen communicare jubet. Quòd ſi nihil, inquit, ex immolatis guſtavere, biennio ſubſtrati, hoc eſt, in catechumenorum ſtatione agentes, & cum iis ſimul exeuntes, ubi tertium annum attigerint, abſque oblatione communicare, fidelium nempe ſocietati, liceat. Communionem námq; hoc loco, non ſacramentorum perceptionem, ſed ſolam cum fidelibus conſociationem intelligit; Quare illud addidit, ſine oblatione, ut tertio anno quod perfectum eſt accipiant, ut inquam, exacto triennio, communionis quoq; boni participes fiant. Atq; hæc quidem ita à ſanctis Patribus conſtituta ſunt. Sed cum æqualem non eſſe in omnibus pœnitentiæ rationem, ac alios quidem perfectiore conatu, remiſſiore alios in expiandis criminibus laborare intelligerent; de unoquoq; ſtatuendi poteſtatem omnem Epiſcopis permiſere, ut, quam quiſq; emendationis rationem oſtendat, in ſingulis explorent, ac in quibus pœnitentiæ ſtudium ardentiùs perſpexerint, eos benignius accipiant, tempúſq; animadverſionis contrahant; vel etiam ad præfinitum illud criminis luendi ſpatium iis, qui remiſſiorem pœnitentiam agunt, adjungant; anteactam quoque eorum, & quæ poſtea conſecuta eſt, vivendi rationem inſpiciant; num moderate ac religioſe, an remiſſe diſſolutéq; egerint, agántq; in præſentia, & ſic benignitatis quoq; ergo illos modum adhibeant.

ARIST. *Qui cum lugubri veſte aſcenderunt, & cum lacrymis comederunt, triennio ſubſternantur; ſi vero non comederunt, biennio. Præcedens verò ſubſequénſque vita, ut bona vel mala, Epiſcopum humaniorem aut ſeveriorem oſtendit.*

Qui ad idolorum templum accedere coacti, & in eodem edere, ſi lugubri amictu accedebant, & dum comederent lachrymas effundebant, hi ut tormentis cedentes, & omnia involuntariè feciſſe non reputati qui ad illicitorum quæ ab eis exacta fuerunt expletionem propriis ſuis membris uſi ſunt, tres ſolos annos diſcumbent; poſtea ſine divinorum ſacramentorum participatione inter fideles recipiantur. Si autem non edebant, ſed accedebant tantum, duos annos ſubſternentur, unum annum cum fidelibus conſtituti. Et poſt tres iſtos annos perfectionem accipiant. In Epiſcopi autem poteſtate ponitur ut videt vel diligentes vel negligentes, ſic eos tractare, & vel humaniorem ſe gerere & pœnitentiæ tempus decurtare, vel etiam plus addere. Examinabit autem & præcedentem eorum vitam qualis erat, & ex utriuſq; vitæ nimirum & præſentis & præcedentis conſtitutionibus vel minuet pœnas vel augebit.

Canon VI.

De iis, qui ſolis ſupplicii minis & bonorum ablationis vel exterminationis ceſſerunt & ſacrificârunt, & ad præſens uſque tempus pœnitentiam non egerunt, nec converſi ſunt; nunc autem circa tempus Synodi acceſſerunt, & converſionis cogitationem induerunt: viſum eſt ad magnum uſq; diem eos ad auditionem admitti, & poſt magnum diem tribus annis ſubſterni, & poſt alios duos annos communicare ſine oblatione; & ſic ad id quod eſt perfectum venire; ut totum ſexennium impleant. Si qui autem ante hanc Synodum ad pœnitentiam admiſſi ſunt, ab illo tempore eis ſexennium computari. Sed ſi periculum mortiſque expectatio ex morbo vel aliqua alia occaſione evenerit, ii ſub definitione recipiantur.

Bals. Poſtquam dixerunt ſancti patres, quid debeat fieri in eos qui ſacrificarunt, eo quòd tormenta ſuſtinere non poſſent; nunc de iis tractant, qui propter ſolas minas ſuppliciorum, vel eorum quæ habent ablationem, vel exilium, ſacrificarunt, & uſque ad tempus Synodi pœnitentiam non egerunt. Decernunt ergò quòd, quoniam nuper ad Eccleſiam veniunt, debent puniri: & primùm quidem audire ſcripturas in Narthece uſque ad magnum diem, ſcilicet Paſchæ, & poſtea tribus annis ſubſterni, tum fidelium concioni duobus annis intereſſe; & & ſic eſſe ſacramentorum participes, tanquam jam impleto ſexennio. Quoniam autem, inquiunt, quidam ex iis ad pœnitentiam ſuſcepti ſunt, debet eis reputari ſexennium ab eo tempore quo ad pœnitentiam converſi ſunt. Quicunque autem ex iis veniunt in periculum, ne ex morbo vel aliqua alia cauſa moriantur, divinorum ſacramentorum participatione digni habebuntur. Quòd ſi ipſos non mori contigerit, ne amplius communicent, tanquam pœna ſoluti, niſi præfinitum ſexennium præterierit. Hoc enim eſt illud, ſub definitione, ſcilicet ſub diſtinctione, recipi ad divinorum ſacramentorum participationem. Nota ergo, quòd ii magis puniuntur, qui non ſunt tormentis affecti & ſacrificarunt, quàm qui tormenta paſſi ſacrificarunt.

Zonar. Quicunque nulla tormentorum experientia minis ceſſere, jacturámque pecuniarum, aut exilium (id enim *μετοικία* ſignificat) metuentes immolavere, neque poſtea converſi ſunt, nunc vero, inquiunt Patres, Synodi tempore accedunt, & pœnitentiam agere velint, ad magnum uſque diem inter audientes admitti placuit. Magnum autem diem ſanctum Paſcha, Domini videlicet reſurrectionem, nominavere. Tum à Paſchate triennium in ſubſtratione degere, hoc eſt, in catechumenorum ſtatione commorari, cúmque illis exire; deinde biennio abſque oblatione communicare, hoc eſt, inter fideles, abſque ulla tamen ſacrorum perceptione verſari, atque hoc pacto ad perfectum, ſanctificatorum ſcilicet ſumptionem accedere; proindéque in omnibus pœnarum locis ſexennium abſolvi. Si qui vero, inquiunt, ſeſe, priuſquam Synodus haberetur, obtulere, ac ad pœnitentiam admiſſi ſunt, ab eo tempore ſexennium numerari, hoc eſt, ipſis præfiniri placet. Quòd ſi eos, quibus pœnæ nomine communione interdictum eſt, ob morbum aliámve quamcunque cauſam in diſcrimen vitæ vocari contingat, ad ſacrorum munerum communionem admitti; ſed ea tamen lege, ſive diſtinctione, ut ſi valetudinem evitata morte recuperarint, communione rurſus, ad præfinitum uſque ſexennii tempus, omnino careant.

A αὐτῶν ὁποῖος ἦν· καὶ ἐξ ἀμφοτέρων τῶν καταστάσεων, τῆς τε νῦν ὑπούσης, καὶ τῆς προτέρας, ἢ μειώσει, ἢ ἐπαυξήσει τὰ ἐπιτίμια.

ΚΑΝΩΝ ϛʹ.

Περὶ τῶν ἀπειλῇ μόνον εἰξάντων κολάσεως καὶ ἀφαιρέσεως ὑπαρχόντων, ἢ μετοικίας, καὶ θυσάντων, καὶ μέχρι τοῦ παρόντος καιροῦ μὴ μετανοησάντων, μηδὲ ἐπιστρεψάντων, νῦν δὲ παρὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντων, καὶ εἰς διάνοιαν τῆς ἐπιστροφῆς γενομένων, ἔδοξε μέχρι τῆς B μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι, καὶ μετὰ τὴν μεγάλην ἡμέραν ὑποπεσεῖν τρία ἔτη, καὶ μετὰ ἄλλα δύο ἔτη κοινωνῆσαι χωρὶς προσφορᾶς, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὥστε τὴν πᾶσαν ἑξαετίαν πληρῶσαι. εἰ δέ τινες πρὸ τῆς συνόδου ταύτης ἐδέχθησαν εἰς μετάνοιαν, ἀπ' ἐκείνου τοῦ χρόνου λελογίσθαι αὐτοῖς τὴν ἑξαετίαν· εἰ μέντοι κίνδυνος καὶ θανάτου προσδοκία ἐκ νόσου ἢ ἄλλης τινὸς προφάσεως συμβαίη, τούτους ἐπὶ ὅρῳ δεχθῆναι.

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι πατέρες τί ὀφείλει γίνεσθαι εἰς τοὺς θύσαντας διὰ τὸ ἀνυπόστατον τῶν βασάνων, ἀρτίως διαλαμβάνουσι περὶ τῶν θυσάντων διὰ C μόνην ἀπειλὴν κολάσεως ἢ ἀφαίρεσιν τῶν προσόντων τούτοις ἢ ἐξορίαν, καὶ μὴ μετανοησάντων μέχρι τοῦ καιροῦ τῆς συνόδου. διορίζονται οὖν, ὡς ἐπεὶ ἀρτίως προσέρχονται τῇ ἐκκλησίᾳ ὀφείλουσιν ἐπιτιμηθῆναι, καὶ πρῶτον μὲν ἀκροᾶσθαι τῶν θείων γραφῶν ἐν τῷ νάρθηκι μέχρι τῆς μεγάλης ἡμέρας, ἤτοι τοῦ πάσχα, καὶ μετὰ τοῦτο ὑποπίπτειν ἐπὶ ἔτη τρία, καὶ ἔκτοτε ἐκκλησιάζειν μετὰ τῶν πιστῶν ἐπὶ ἔτη δύο· καὶ οὕτω μεταλαμβάνειν τῶν ἁγιασμάτων, ὡς ἤδη ἑξαετίας πληρωθείσης. ἐπεὶ δέ, φασί, τινες ἀπὸ τούτων προσεδέχθησαν εἰς μετάνοιαν, ὀφείλει λογισθῆναι αὐτοῖς ἡ ἑξαετία ἀφ' οὗ καιροῦ ἐπέστρεψαν D εἰς μετάνοιαν. ὅσοι μέντοι ἐξ αὐτῶν κινδυνεύουσι τελευτῆσαι ἀπὸ νόσου ἢ ἑτέρας τινὸς αἰτίας, τῶν θείων ἁγιασμάτων ἀξιωθήσονται. πλὴν εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, μηκέτι αὖθις κοινωνείτωσαν, ὡς ἀνεπιτίμητοι, εἰ μὴ παρέλθῃ ἡ ὡρισμένη ἑξαετία. τοῦτο γάρ ἐστι τὸ ἐπὶ ὅρῳ ἤγουν ἐπὶ διαστίξει δεχθῆναι τούτους εἰς τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν. ὥστε σημείωσαι, ὅτι πλείονος ἐπιτιμῶνται οἱ μὴ βασανισθέντας καὶ θύσαντες, παρὰ τοὺς βασανισθέντας καὶ θύσαντας.

ΖΩΝΑΡ. Τοὺς μὴ μέχρι πείρας βασάνων ἐληλυθότας, ἀλλὰ ἀπειλαῖς εἴξαντας, καὶ ἀφαίρεσιν E φοβηθέντας χρημάτων, ἢ μετοικίαν, τουτέστιν ἐξορίαν, καὶ θύσαντας μὴ ἐπιστρέψαντας, νῦν δὲ φασὶν οἱ πατέρες, κατὰ τὸν καιρὸν τῆς συνόδου προσελθόντας, καὶ μετανοῆσαι θελήσαντας, ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι. μεγάλην δὲ ἡμέραν τὸ ἅγιον πάσχα ὠνόμασαν, τὴν τοῦ κυρίου δηλονότι ἀνάστασιν. καὶ μετὰ τὸ πάσχα τρία ἔτη εἶναι ἐν ὑποπτώσει, μετὰ τῶν κατηχουμένων δηλαδὴ συνισταμένους, καὶ σὺν αὐτοῖς ἐξιόντας, καὶ ἄλλα δύο ἔτη κοινωνῆσαι χωρὶς προσφορᾶς, ἀντὶ τοῦ συνίστασθαι τοῖς πιστοῖς μὴ μεταλαμβάνοντας, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ἤγουν τὴν τῶν ἁγιασμάτων μετάληψιν, ὥστε διὰ πάντων τῶν τόπων τῶν F ἐπιτιμίων πληρῶσαι τὴν ἑξαετίαν· εἰ δέ τινες, φασί, πρὸ τῆς συνόδου προσῆλθον, καὶ ἐδέχθησαν εἰς μετάνοιαν, ἔκτοτε λογίζεσθαι, ἤγουν συμψηφίζεσθαι αὐτοῖς τὸν χρόνον τῆς ἑξαετίας. εἰ δὲ τοῖς ἐν ἐπιτιμίοις ἀκοινωνησίας οὖσι νοσήσασιν, ἢ ἄλλως πως κίνδυνος θανάτου γένηται προσδοκήσιμος, τούτους δεχθήσεσθαι μὲν εἰς κοινωνίαν τῶν ἁγίων δώρων, ἐπὶ ὅρῳ δὲ ἤγουν ἐπὶ διαστίξει, ὥστε εἰ συμβαίη αὐτοὺς μὴ ἀποθανεῖν, ἀλλὰ ἀναρρωσθῆναι, μηκέτι αὖθις κοινωνῆσαι, εἰ μὴ ὁ ὡρισμένος παρέλθῃ χρόνος τῆς ἑξαετίας.

ΑΡΙΣΤ. Ἀνὴρ ἀπειλῇ μόνον εἴξας, καὶ θύσας, εἶτα μετανοήσας, πενταετίαν ὑποπιπτέτω.

Οἱ μὴ ὑπενεγκόντες βάσανα, ἀλλ' ὑπὸ μόνης ἀπειλῆς πτοηθέντες, καὶ θύσαντες, καὶ ἐπὶ καιρὸν τῇ πλάνῃ ταύτῃ προσκαρτερήσαντες, εἶτα ματανοήσαντες καὶ ἐπιστρέψαντες· ἐνιαυτὸν μὲν ἐπ' ἀκροωμένοις ἔσονται, ἐπὶ τριετίαν μετὰ τῶν ὑποπιπτόντων, ἐπὶ διετίαν συστήσονται μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν κοινωνήσουσι μόνον. καὶ μετὰ τὸ πληρῶσαι τὴν πᾶσαν ἑξαετίαν, ἐλεύσονται ἐπὶ τὸ τέλος, καὶ τῆς θείας μετάσχωσι μεταλήψεως.

ΚΑΝΩΝ ζ.

Περὶ τῶν συνεστιαθέντων ἐν ἐθνικῇ ἑορτῇ ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἴδια βρώματα ἐπικομισαμένων ἢ καὶ φαγόντων· ἔδοξε διετίαν ὑποπεσόντας δεχθῆναι· τὸ δὲ, εἰ χρὴ μετὰ τῆς προσφορᾶς, ἕκαστον τῶν Ἐπισκόπων ἐστὶ τὸ δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἐφ' ἑκάστου ἐξετάσαι.

ΒΑΛΣ. Τινὲς πιστοὶ εὑρεθέντες ἐν χώραις ἀλλοεθνῶν κατά τινα καιρὸν ἑορτῆς ἐθνικῆς συνέφαγον τούτοις ἐν τόπῳ τινὶ ἀφωρισμένῳ εἰς τοῦτο αὐτό. ὅτι δὲ οὐκ ἦσαν τὰ βρώματα ἀπὸ ἐθνικῶν, ἀλλ' οἰκεῖα, ἤθελον συντηρηθῆναι ἀκαταιτίατοι. φασὶ γοῦν οἱ πατέρες, ὡς εἰ καὶ μὴ ἐμολυώθησαν διὰ βρωμάτων μυσαρῶν, ἀλλ' ἐπεὶ συνανέπεσον μετὰ ἀπίστων, καὶ διὰ κοινῆς τραπέζης συνεκοινώνησαν ὥσπερ αὐτοῖς ἑορτάζουσιν, ἐπιτιμηθήσονται εἰς ὑπόπτωσιν ἐπὶ διετίαν· καὶ μετὰ τοῦτο δεχθήσονται κατὰ δοκιμασίαν τοῦ Ἐπισκόπου, εἴτε εἰς μόνην κοινωνίαν, εἴτε καὶ εἰς ἁγίαν μετάληψιν. τί δὲ, ἐὰν μὴ κατὰ τὸν ἑορτάσιμον καιρὸν, ἀλλ' ἐν ἑτέρᾳ ἡμέρᾳ καὶ ἐν ἑτέρῳ τόπῳ συνέφαγον μετὰ τῶν ἀπίστων, ἀνεπιτίμητοι ἔσονται; Λύσις. οὐδαμῶς. καὶ οὕτω γὰρ ἐπιτιμηθήσονται. εἰ μὲν γὰρ ἐξ ἀνάγκης συνέφαγον μετὰ τῶν ἀπίστων, ὡς πρεσβευταὶ τυχὸν ὄντες ἢ αἰχμάλωτοι, διὰ μετρίου φαρμάκου θεραπευθήσονται· εἰ δὲ ἀπὸ καταφρονήσεως καὶ ἀδιαφορίας, πλειόνως ἐπιτιμηθήσονται, πλὴν οὐ κατ' ἐκείνους τοὺς δόξαντας συνεορτάζειν μετὰ τῶν ἀπίστων. ὥσπερ πάλιν ἐπέκεινα καὶ τούτων τιμωρηθήσονται, οἱ μὴ φαγόντες οἰκεῖα βρώματα, ἀλλὰ τὰ τῆς ἐθνικῆς ἑορτῆς. ταῦτα δὲ πάντα εἰς τὴν τοῦ Ἐπισκόπου διάκρισιν ἀνηρτήθησαν. σημείωσαι ταῦτα, πολλὰ χρησιμεῦσαί σοι ὀφείλοντα εἰς τοὺς μετὰ τῶν Ἀγαρηνῶν συμφαγόντας, ἢ ἄλλων ἐθνικῶν. οἱ Ἴβηρες δὲ ἀδιάφορον λέγουσιν εἶναι τὸ μετὰ τῶν ὀρθοδόξων καὶ αἱρετικῶν ἐσθίειν· καὶ πῶς τοῦτο γίνεται ἀγνοῶ.

ΖΩΝΑΡ. Εἰ δέ τινες ἐν ἑορτῇ ἐθνικῇ συνεστιάθησαν ἐθνικοῖς, ἐν ἀπίστοις ἐν τόπῳ ἀφωρισμένῳ τοῖς ἐθνικοῖς, ἐν εἰδωλείῳ τυχὸν ἢ ἄλλῳ τόπῳ εἰς τελετὰς αὐτοῖς τελουμένας ἀνειμένῳ, κἂν ἴδια βρώματα ἐκόμισαν καὶ ἔφαγον οἱ πιστοὶ, δι' αὐτὸ μέντοι τὸ συνεστιαθῆναι τοῖς ἐθνικοῖς, καὶ οὕτω δόξαι συνεορτάσαι αὐτοῖς, ἔδοξε τῇ συνόδῳ διετίαν ὑποπεσεῖν αὐτοὺς, τουτέστι μετὰ τῶν κατηχουμένων ἵστασθαι καὶ σὺν αὐτοῖς ἐξιέναι, καὶ μετὰ τὴν διετίαν δεχθῆναι. ὅπως δὲ χρὴ ἕκαστον αὐτῶν δεχθῆναι εἴτε καὶ εἰς μετάληψιν τοῦ ἁγιασμοῦ, εἴτε εἰς μόνην τὴν μετὰ τῶν πιστῶν σύστασιν, τῶν Ἐπισκόπων ἐστὶ, φασὶ, δοκιμάσαι, καὶ τὸν ἄλλον βίον ἑκάστου ἐξετάσαι.

ΑΡΙΣΤ. Ἐάν τις, ἴδια βρώματα ἔχων, συνεστιάθῃ τοῖς ἔθνεσιν ἐν ταῖς ἑορταῖς αὐτῶν, διετίαν ὑποπιπτέτω.

Εἴ τις ἐν ταῖς ἑορταῖς τῶν ἐθνῶν ταῖς ἐν ἀφωρισμένῳ τινὶ τόπῳ γινομέναις συνῆλθε, καὶ ἴδια βρώματα ἔχων, συνέφαγε μετ' αὐτῶν, διετίαν μόνην ὑποπιπτέτω· εἰ δὲ χρὴ αὐτὸν ἔκτοτε εἴτε τῶν εὐχῶν μόνων μετὰ τῶν πιστῶν κοινωνεῖν, ἢ καὶ τῶν θείων ἁγιασμάτων μεταλαμβάνειν, παρὰ τῇ κρίσει ἔσται τοῦ Ἐπισκόπου τὸν ἄλλον αὐτοῦ δὴ τοῦ μετανοοῦντος βίον κατεξετάζοντος.

A ARIST. *Vir qui minis tantum ceſſerit, & ſacrificaverit, deinde reſipuerit, quinquennio ſubſternatur.*

Qui tormentis non ſubjecti erant, ſed minis ſolis terrefacti & ſacrificabant, & aliquandiu in errore iſto permanebant, poſtea autem reſipiſcebant & converſi fuere, per annum quidem inter audientes erunt, triennio cum ſubſtratis, biennio cum fidelibus conſtituentur, & precibus ſolis communicabunt, & poſt omnes ſex annos elapſos ad perfectionem venient, & divinæ communionis participes erunt.

B

CANON VII.

De iis qui in feſto ethnico, in loco gentilibus deputato convivati ſunt, & proprios cibos attulerunt vel comederunt, placuit cùm biennio ſubſtrati fuerint, eſſe recipiendos: an cum oblatione recipere oporteat, eſt Epiſcoporum examinare, & aliam vitam in unoquoque inquirere.

BALS. Quidam fideles in alienarum gentium regionibus inventi, quodam tempore feſti ethnici, cum eis in loco aliquo ad hoc ipſum deputato comederunt. Quia autem non erant gentilium cibi, ſed ſui, ſe ab omni reprehenſione alienos conſervari volebant. C Dicunt ergo patres, quòd etſi execrabilibus cibis non ſunt inquinati, quia tamen cum infidelibus accubuerunt, & per communem menſam cum illis feſtum agentibus communicarunt, per biennium ſubſtratione punientur: & poſtea ſecundum Epiſcopi examinationem, vel ad ſolam commmunionem, vel ad ſanctam etiam participationem recipientur. Quid autem, ſi non in tempore feſti, ſed in alio die, & in alio loco, cum infidelibus comederunt, nunquid pœnæ non erunt obnoxii? Solutio. Nequaquam. Nam ſic quoque punientur. Si enim ex neceſſitate cum infidelibus comederunt, ut qui ſint D fortaſſe legati vel captivi, mediocri medicamento curabuntur: ſin autem ex contemptu vel indifferentiâ, magis punientur; ſed non ut illi, qui cum eis feſtum celebrare viſi ſunt. Quemadmodum & magis quam illi punientur quoque ii, qui non ſuos ſed feſti Ethnici cibos comederunt. Hæc autem omnia Epiſcopi judicio ſunt relinquenda. Nota hæc, quæ tibi valde utilia futura ſunt adverſus eos, qui unà cum Saracenis comedunt, vel cum aliis gentilibus. Iberes autem nihil referre dicunt, an cum orthodoxis, an cum hæreticis comedatur: & quomodo hoc fiat neſcio.

E ZONAR. Si qui verò aliquo ex iis diebus, qui ethnicorum conſuetudine ſolennes habentur, definito apud ipſos loco, utpote in idolio forte aut alio in hos celebritatum uſus addicto, convivia cum ethnicis obierint; quamvis proprios cibos, quibus ipſi veſcerentur domi, fideles attulerint, ob hoc ipſum, quod cum ethnicis epulati ſint, ſpeciémq; proinde cum eis feſtum diem celebrantium præbuerint, biennio ſubſterni, hoc eſt, ſtare cum catechumenis & cum iiſdem egredi, biennióq; exacto rurſum admitti, ſynodica conſtitutione decretum eſt. De ſingulis porro quid ſtatuendum, an ad ſanctificatorum perceptionẽ, an vero ad ſolam cum fidelibus communionem admitti oporteat, Epiſcoporum judicio, F à quibus reliqua etiam uniuſcujuſq; vita examinetur, definiri placet.

ARIST. *Si quis proprios habens cibos, cum Ethnicis comederit in eorum feſtis, biennio ſubſternatur.*

Si quis ad Ethnicorum feſta ſelecto aliquo præparata loco convenerit, & proprios cibos habens cum eis comederit, ſubſternetur biennium tantum. An autem eum ex eo tempore precum ſolarum cum fidelibus communionem habere, aut divinorum ſacramentorum participem eſſe, oportet, judicio Epiſcopi novam illius reſipiſcentis vitam inquirentis relinquitur.

A

CANON VIII.

Qui autem bis & ter coacti ſacrificarunt, quadriennio ſubſternantur, duobus autem annis ſine oblatione communicent, & ſeptimo perfectè recipiantur.

BALS. Cùm dixiſſent ſancti patres de iis qui ſemel ſacrificaſſent, nunc etiam de iis dicunt qui bis vel ter ſacrificarunt. Quoniam enim dicebant quidam, idem eſſe & ſemel & ſæpe ſacrificare, definierunt patres eos magis puniri, qui bis vel ter coacti ſacrificarunt: adeo ut propter mali multitudinem etiam augeatur ſupplicium. Et hoc quoque omnino deinceps progredietur.

B

ZONAR. De iis qui ſemel immolaverunt, ea, quæ ſuperiorum canonum decretis continentur, à Patribus definita ſunt: hæc vero conſtitutio, de iis quoque qui bis ac ter coacti ſacrificaverunt, edita. Quos quidem quadriennio in ſubſtratione degere, duobus annis deinceps cum fidelibus communicare, hoc eſt, cum eis conſiſtere, ſimúlque preces, ſine oblatione tamen, id eſt, ſine Boni perceptione, fundere, ſeptimo demum anno perfectè recipi, hoc eſt, ad immaculati corporis & ſanguinis Domini perceptionem admitti jubent.

C

ARIST. *Qui ſecundò & tertiò ſacrificaverit, ſed vi coactus, ſeptennio pœnitentiæ ſubjiciatur.*

Quicunque non ſemel ſed bis aut ter coacti ſacrificarunt, hi quadriennium ſubſternantur, biennium ſine oblatione in precibus ſolis cum fidelibus communicent, & ſeptimo anno perfectionem recipiant.

CONON IX.

D

Quicunque autem non ſolùm deſciverunt, ſed etiam inſurrexerunt & fratres ſuos coegerunt, & cauſæ fuerunt ut cogerentur, ii annis quidē tribus auditionis locum ſuſcipiant, per aliud autem ſexennium ſubſternantur, alio autem anno ſine oblatione communicent: ut decennio expleto, ejus quod eſt perfectum ſint participes. Eorum autem reliquam in eo quoq; tempore vitam examinare oportet.

BALS. Fideles quidam adeò propter tormenta timidi ignavique evaſerunt, & ab orthodoxis defecerunt, ut etiam adverſus illos procederent; aliquando quidem cogentes eos idem ſentire cum tyrannis, aliquando verò etiam latebris occultatos prodentes: hos ergo ſancti patres decennio puniri definierunt. Ne dicas autem dictos fideles adeò à fide Chriſtiana fuiſſe abalienatos, ut etiam infideles & Chriſtianorum perſecutores fuerint; Tales enim Eccleſia alio quodam modo ſuſcipit, ſicut & eos qui ſunt à nativitate infideles; vel potiùs cum majore examinatione: ſed dic eos quidem adhuc orthodoxè ſentire, ſed propter tormenta ſtatim ceſſiſſe, & cum male ſentientibus conſentire videri; adeò ut qui eos videbant hæretici non offenderentur, ſed & ipſos quoque iis ſimiliter credere exiſtimarent. Propterea enim & pœnis ſubjiciuntur, & non ſuſcipiuntur ut idolatræ & infideles.

E

F

ZONAR. Si qui vero Chriſti fidem non deſeruerunt modo, ſed etiā inſurrexerunt, id eſt eam oppugnaverunt, fratréſque aut ad ſacrificia ipſi compulêre, aut ut ab aliis compellerentur, dum eos fugientes aut latebris occultatos produnt, aut Chriſtianos eſſe cum ignorarentur, hoſtibus Chriſtiani nominis indicant, cauſam præbuere; eos triennium in veſtibulo extra templum inter audientes explere, ſexennium vero deinceps in ſubſtratione degere, uno anno demum cum fidelibus unà precari; ac decennio mox expleto perfecti compotes fieri pa-

ΚΑΝΩΝ η'.

Οἱ δὲ δεύτερον καὶ τρίτον θύσαντες μετὰ βίας, τετραετίαν ὑποπεσέτωσαν, δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ τελείως δεχθήτωσαν.

ΒΑΛΣ. Εἰπόντες οἱ ἅγιοι πατέρες περὶ τῶν ἅπαξ θυσάντων, νῦν καὶ περὶ τῶν δὶς ἢ τρὶς θυσάντων φασίν. ἐπεὶ γὰρ ἔλεγόν τινες, ταὐτὸν εἶναι τὸ ἅπαξ καὶ τὸ πολλάκις θῦσαι, ὥρισαν οἱ πατέρες πλειόνως ἐπιτιμᾶσθαι τοὺς δὶς ἢ τρὶς θύσαντας κατὰ βίαν, ὥστε διὰ τὸ μέγεθος τοῦ κακοῦ μεγεθύνεται καὶ ἡ κόλασις. καὶ πάντως τοῦτο προχωρήσει καὶ ἐφεξῆς.

ΖΩΝΑΡ. Α μὲν ἐν τοῖς ἀνωτέρω κανόσιν εἴρηται περὶ τῶν ἅπαξ θυσάντων οἱ τῆς συνόδου ταύτης πατέρες διατάξαντο, νῦν δὲ καὶ περὶ τῶν δὶς ἢ τρὶς ἐκ βίας τεθυκότων φασίν, οὓς καὶ τετραετίαν διάγειν ἐν ὑποπτώσει κελεύουσιν, ἐπὶ διετίαν δὲ ἄλλην κοινωνεῖν τοῖς πιστοῖς, ἤτοι συνίστασθαι αὐτοῖς, καὶ συνεύχεσθαι ἄνευ προσφορᾶς, ἤγουν τῆς τοῦ ἀγαθοῦ μεταλήψεως, καὶ τῷ ἑβδόμῳ ἔτει τελείως δέχεσθαι, τουτέστι καὶ εἰς μετάληψιν τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ κυρίου.

ΑΡΙΣΤ. Ο δεύτερον καὶ τρίτον θύσας, ἀλλὰ μετὰ βίας, ἑπταετίαν ὑποπιπτέτω.

Οσοι οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον ἔθυσαν βιασθέντες, οὗτοι τετραετίαν ὑποπεσάτωσαν, διετίαν χωρὶς προσφορᾶς τῶν εὐχῶν μόνων μετὰ τῶν πιστῶν κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ ἔτει δεξάσθωσαν τὴν τελείωσιν.

ΚΑΝΩΝ θ'.

Οσοι δὲ μὴ μόνον ἀπέστησαν, ἀλλὰ καὶ ἐπανέστησαν, καὶ ἠνάγκασαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγένοντο τοῦ ἀναγκασθῆναι, οὗτοι ἔτη μὲν τρία τὸν τῆς ἀκροάσεως δεξάσθωσαν τόπον, ἐν δὲ ἄλλῃ ἑξαετίᾳ τὸν τῆς ὑποπτώσεως, ἄλλον ἐνιαυτὸν κοινωνησάτωσαν χωρὶς προσφορᾶς· ἵνα τὴν δεκαετίαν πληρώσαντες τοῦ τελείου μετάσχωσιν. ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον.

ΒΑΛΣ. Τοσοῦτον τινὲς ἐδειλάνδρησαν πιστοὶ διὰ τὰς βασάνους, καὶ ἀπέστησαν ἐκ τῶν ὀρθοδόξων, ὡς καὶ χωρῆσαι κατὰ τούτων, ποτὲ μὲν ἀναγκάζοντες αὐτοὺς φρονῆσαι τὰ τῶν τυράννων, ποτὲ δὲ καὶ καταμηνύοντες κρυπτομένους· τούτους γοῦν ἐπὶ δεκαετίαν ἐπιτιμᾶσθαι οἱ ἅγιοι πατέρες διωρίσαντο. μὴ εἴπῃς δὲ τοὺς ῥηθέντας πιστοὺς οὕτως ἀπαλλοτριωθῆναι τῆς πίστεως τῶν Χριστιανῶν, ὡς καὶ γενέσθαι ἀπίστους, καὶ διώκειν τοὺς ὀρθοδόξους. τοὺς τοιούτους γὰρ ἀλλοτρόπως ἡ ἐκκλησία δέχεται, ὥσπερ καὶ τοὺς ἐκ γενετῆς ἀπίστους, μᾶλλον δὲ καὶ μετὰ πλείονος ἐξετάσεως· ἀλλ' εἰπὲ αὐτοὺς φρονεῖν μὲν καὶ εἰσέτι τὰ τῶν ὀρθοδόξων διὰ δὲ τὰς βασάνους ταχέως ἐνδοῦναι καὶ κατὰ σκῆψιν ὑποκρίνεσθαι τὰ τῶν κακοδόξων· ὥστε τοὺς βλέποντας αἱρετικοὺς μὴ σκανδαλίζεσθαι, ἀλλὰ συντίθεσθαι παρομοίως τούτοις καὶ αὐτοὺς πιστεύειν. διὰ γὰρ τοῦτο καὶ ἐπιτιμίοις καθυποβάλλονται, καὶ οὐ δέχονται ὡς οἱ εἰδωλολάτραι καὶ οἱ ἄπιστοι.

ΖΩΝΑΡ. Εἰ δέ τινες οὐ μόνον ἀπέστησαν τῆς εἰς τὸν κύριον πίστεως, ἀλλὰ καὶ ἐπανέστησαν, ἀντὶ τοῦ κατ' αὐτῆς ἐγένοντο, καὶ ἠνάγκασαν ἀδελφοὺς θῦσαι, ἢ καὶ αἴτιοι ἐγένοντο ἀναγκασθῆναι αὐτοὺς, οἷον φεύγοντας καὶ κρυπτομένους καταμεμηνυκότες αὐτοὺς, ἢ ἀγνοουμένους ὅτι Χριστιανοί εἰσι δήλους αὐτοὺς θέμενοι τοῖς διώκταις, τοὺς τοιούτους ᾠκονόμησαν οἱ πατέρες τρία μὲν ἔτη ἐν ἀκροάσει πληρῶσαι, ἐκτὸς τοῦ ναοῦ ἱσταμένους ἐν τῷ προνάῳ, ἓξ δὲ ἄλλα ἐν ὑποπτώσει διαγαγεῖν, καὶ ἐνιαυτὸν ἕτερον κοινωνῆσαι τῶν

εὐχῶν τοῖς πιστοῖς· καὶ μετὰ τὴν δεκαετίαν ταύτην μετασχεῖν τοῦ τελείου. ἐν δὲ τῷ χρόνῳ τούτῳ τῆς μετανοίας αὐτῶν δηλονότι, φασὶ, χρὴ καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον. εἰ γὰρ ἀμελῶς ἢ καὶ πλημμελῶς διαγνωσθῶσι ζῶντες, ἐπιταθήσεται χρόνος τῶν ἐπιτιμίων αὐτῶν.

ΑΡΙΣΤ. Ὁ μὴ μόνον ἐθελουσίως τεθυκὼς, ἀλλὰ καὶ ἑτέρους ἀναγκάσας, δεκαετίαν ὑποπιπτέτω.

Οὗτος, ὡς καὶ ἑαυτὸν ἀπολέσας, καὶ ἑτέρους συνωθήσας καὶ βιάσας εἰς τὴν ἀπώλειαν, εἰ ὑποστρέψει, ἐπὶ τριετίαν μὲν ἔσω μετὰ τῶν ἀκροωμένων, ἐν δὲ ἄλλῃ ἑξαετίᾳ, μετὰ τῶν ὑποπιπτόντων, ἐπὶ δὲ ἕτερον ἕνα ἐνιαυτὸν, μετὰ τῶν συνισταμένων, καὶ κοινωνείτω, μέχρι τέλους τῆς θείας μυσταγωγίας, τῶν εὐχῶν μετὰ τῶν πιστῶν· καὶ οὕτω τοῦ δεκαετοῦς χρόνου παρρυέντος, μετασχέτω τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων ἀξιωθήτω· ἐάν μέν τοι καὶ ὁ ἄλλος αὐτοῦ βίος ἐπιτηρούμενος οὐκ ἀπείργει τοῦτον τῆς θείας μεταλήψεως.

ΚΑΝΩΝ ι.

Διάκονοι ὅσοι καθιστάμενοι, παρ' αὐτὴν τὴν κατάστασιν εἰ διεμαρτύραντο καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι οὕτω μένειν· οὗτοι μετὰ ταῦτα γαμήσαντες ἔστωσαν ἐν τῇ ὑπηρεσίᾳ, διὰ τὸ ἐπιτραπῆναι αὐτοὺς ὑπὸ τοῦ Ἐπισκόπου. τοῦτο δὲ εἴ τινες παρασιωπήσαντες, καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν οὕτως, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

ΒΑΛΣ. Τῷ κανόνι τούτῳ μὴ προσέχῃς διοριζομένῳ τοὺς διακόνους μετὰ τὸ χειροτονηθῆναι συνάπτεσθαι γυναιξὶν, ὅτι ἐν τῷ χειροτονεῖσθαι διεμαρτύραντο, τουτέστιν, εἶπον πρὸς τοὺς Ἐπισκόπους αὐτῶν ἀναγκαῖον εἶναι αὐτοῖς εἰς γάμον ἐλθεῖν, καὶ οἱονεὶ ἔλαβον τὸ ἐνδόσιμον. εἴτε γὰρ προανεφώνησαν τὰ περὶ τούτου εἴτε ἐσιώπησαν χειροτονούμενοι, οὐ παραχωρηθήσονται μετὰ τὴν χειροτονίαν γυναιξὶ συζευχθῆναι. ὅτι ὁ ϛʹ. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διορίζεται καθαιρεῖσθαι τοὺς μετὰ τὴν χειροτονίαν γάμους συναλλάττοντας πρεσβυτέρους, διακόνους καὶ ὑποδιακόνους. τὸ δὲ ἀκανόνιστον, οὔτε ἀπὸ ἐπιτροπῆς ἐπισκοπικῆς οὔτε ἀπὸ μόνου τοῦ σιωπῆσαι ἐκχωρηθήσεται, ὡς ἀνυπόστατον. ἀνάγνωθι καὶ τὴν ϛʹ. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, λέγουσαν, ὡς εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου εἶχον ἄδειαν οἱ ἱερωμένοι ἐντὸς διετίας ψηφιζομένης μετὰ τὴν χειροτονίαν λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ καὶ τοῦτο ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, οὐκ ὀφείλει κρατεῖν.

ΖΩΝΑΡ. Φησὶν ὁ κανὼν οὗτος, ὅτι ὅσοι ἐν τῷ καθίστασθαι εἰς διακονίαν, ἤγουν ἐν τῷ μέλλειν χειροτονεῖσθαι διεμαρτύραντο, ἀντὶ τοῦ φανερῶς εἶπον ὡς ἐπὶ μάρτυσιν, ὡς ἀναγκαῖόν ἐστιν αὐτοῖς εἰς γάμον ἐλθεῖν, μὴ δυναμένοις παρθενεύειν, οὗτοι μετὰ τὴν χειροτονίαν εἰς γάμον ἐλθόντες μενέτωσαν ἐν τῇ ὑπηρεσίᾳ, ἤτοι τῇ διακονίᾳ. δοκοῦσι γὰρ ἐπιτραπῆναι τὸ μετὰ τὴν χειροτονίαν ἐλθεῖν εἰς γάμον ὑπὸ τοῦ Ἐπισκόπου. εἰ δέ τινες σιωπήσαντες ἐν τῷ μέλλειν χειροτονεῖσθαι, καὶ καταδεξάμενοι διὰ τῆς σιωπῆς ἄγαμοι μένειν, κἀνταῦθα γὰρ ἡ σιωπὴ συγκατάθεσιν δηλοῖ, μετὰ τὴν χειροτονίαν ἔγημαν, πεπαῦσθαι τῆς διακονίας ὁρίζει. Ταῦτα μὲν τοῦ παρόντος κανόνος. ὁ δὲ εἰκοστὸς ἕκτος τῶν ἁγίων ἀποστόλων κανὼν μόνοις ἀναγνώσταις, καὶ ψάλταις ἐνδίδωσι, μετὰ τὸ εἰς κλῆρον καταταγῆναι, γαμεῖν. καὶ ὁ ἕκτος τῆς ἕκτης συνόδου κανὼν τῷ ἀποστολικῷ κανόνι ἑπόμενος, ἀπαγορεύει παντὶ πρεσβυτέρῳ καὶ διακόνῳ καὶ ὑποδιακόνῳ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ τοὺς μὴ τὸν κανόνα φυλάττοντας καθαιρεῖσθαι κελεύει. πρὸ δὲ τῆς χειροτονίας

A tres jubent. Interea vero (hoc videlicet pœnitentiæ tempore) reliquam quoque, inquiunt, ipſorum vitæ rationem obſervare oportet. Si namque otioſam vel etiam vitioſam vitam agere ſignificatum ſit, pœnarum quoque præfinitum ipſis tempus diutiùs prorogabitur.

ARIST. *Qui non ſolùm voluntariè ſacrificaverit, ſed & alium coegerit, decennio ſubſternatur.*

Hic, ut & ſe perdens & alios compellens cogénſque ad perditionem, ſi convertatur, triennium quidem cum audientibus tranſigat, alios autem annos ſex cum ſubſtratis, alium tandem unum cum conſiſtentibus, & B precum cum fidelibus uſque ad divinæ myſtagogiæ finem particeps ſit, & ſic decennio præterlapſo, perfectionis ſit compos, & divinis ſacramentis dignus habeatur. Niſi fortè reliqua ejus vita examinata eum à divinâ participatione arceat.

Canon X.

Quicunque Diaconi conſtituti, in ipſa ordinatione proteſtati ſunt, & dixerunt, oportere ſe uxores ducere, cùm C non poſſint ſic manere: ii, ſi uxorem poſtea duxerint, ſint in miniſterio; eò quòd hoc ſit illis ab Epiſcopo conceſſum. Si qui autem hoc ſilentio præterito, & in ordinatione ut ita manerent ſuſcepti ſunt, poſtea autem ad matrimonium venerunt, ii à diaconatu ceſſent.

BALS. Hunc canonem ne ſequaris, qui definit Diaconos poſſe cum mulieribus matrimonio conjungi, poſtquam ordinati fuerint: quando dum ordinarentur teſtificati ſunt, id eſt, dixerunt ſuis Epiſcopis, neceſſe eſſe ut ad matrimonium veniant, & veluti permiſſionem acceperunt. Sive enim hoc prædixerint, ſive ſilentio præterierint D qui ordinantur, non permittetur eis, ut poſt ordinationem cum mulieribus conjungantur, ſextus enim canon Synodi in Trullo deponendos decernit Presbyteros & Diaconos & Subdiaconos, qui poſt ordinationem matrimonium contraxerint. Quod fit autem contra canones, nec ex permiſſione Epiſcopali, nec ex eo tantùm quòd tacuerint, concedetur, ut quod conſiſtere nequit. Lege etiam ſextam novellam Imp. domini Leonis ſapientis, quæ dicit, quòd etiamſi ex conſuetudine non ſcriptâ poteſtatem habeant ii, qui ſunt ſacrati, intra biennium poſt ordinationem præfinitum, ducendi uxores legitimas: hoc tamen, ut à canonibus prohibitum, obſervari E non debet.

ZONAR. Quicunque, dum Diaconi conſtituerentur, hoc eſt, quo tempore diaconatu initiandi fuerant, uxorem ſibi neceſſariò ducendam eſſe, nec virginitatem à ſe coli poſſe, teſtati, hoc eſt, apertè, quaſi adhibitis etiam teſtibus, profeſſi ſunt, ſi quam ſibi mulierem poſt ſuſceptum ordinem matrimonii jure copulaverint, miniſterio, hoc eſt, à Diaconatu nequaquam arcendos eſſe canon decernit. Videtur iis ſiquidem obeundi poſt ordinē ſuſceptum matrimonii ab Epiſcopo facultas permiſſa. Si qui vero, dum initiandi forent, ſiluère, eóque proinde ſilentio ca- F ſtimoniam condixère: (nam hic quoq; aſſenſum taciturnitas indicat) eos, ſi uxorem poſtea duxerint, à miniſterio ceſſare jubet. Atq; hæc quidem hujus canonis decreto ſancita. Sanctorum vero Apoſtolorum vigeſimo ſexto canone, lectoribus ſolis & cantoribus, poſtquam in clerum lecti fuerint, matrimonia inire permiſſum. Et hunc Apoſtolicum can. ſecuta ſexta Synodus, canone ſexto, nulli Presbytero, Diacono aut Hypodiacono poſt ſuſceptum ordinem uxorem ducendi facultatem eſſe decernit; ac quicunque canoni non obtemperaverint depoſitione mulctari jubet. Nuptias porro,

A ſi velint, antequam initientur, celebrandi poteſtatem facit. Cum igitur ſibi invicem hi canones manifeſtò adverſentur, ſextæ Syn. can. qui & poſterior fuit & magis cum Apoſtolico canone conſentit, ſervari debet. Nec enim unquam Sacerdoti aut Diacono, qui uxorem poſt ſuſceptos ordines duxerit, aut dignitatem ſuam retinendi aut ſacra miniſteria obeundi facultas erit.

Arist. *Qui Diaconus eſt ordinandus, ſi proteſtatus fuerit Epiſcopo ſe non poſſe cœlibem perſeverare, uxore ductâ ſit Diaconus, ſi verò cùm tacuerit, uxorem poſtea duxerit, ejiciatur.*

B Hic Canon ſtatuit eum qui ante ordinationem Epiſcopo proteſtatus fuit, ſe non poſſe cœlibem agere, ſed velle matrimonii communionem inire, non prohiberi etiam poſt ordinationem matrimonium inire, & in eodem etiam miniſterio & honore adhuc permanere. Eum autem qui ſiluit & in ordinatione ut cœlebs maneret, ſuſceptus eſt, à diaconatu ceſſare, ſi poſtea matrimonii lege mulieri conjunctus fuerit. Sed huic canoni opponitur ſextus ſextæ Synodi canon, non omnino ei qui cœlebs ad Hypodiaconi aut Diaconi aut Presbyteri gradum venit, concedens matrimonio ſibi fœminam conjungere, C ſed eum qui hoc auſus fuerit, deponi jubens. Et vim retinet ille canon, ſed hic in deſuetudinem abiit.

Canon XI.

Deſponſas aliis puellas, & ab aliis poſtea raptas, placuit, iis, quibus deſponſæ erant, reddi, etiam ſi vim paſſæ ſint.

Bals. De iis, qui quaſlibet puellas rapiunt, ea quæ ſunt conſentanea tractata ſunt in xxx. cap. ix. tit. præſentis operis, & lege ipſum. Similiter lege & xcii. can. Synodi in Trullo, & lviii. tit. totum lx. lib. D Cum autem audis can. dicentem, raptas reddendas iis quibus deſponſæ fuerant; ne dicas eos cogi illas accipere; ſed ipſos quoque velle eas quærere. Hoc enim etiam in mulieribus adulteris dictum eſt, in lib. xxviii. tit. vii. cap. i. quod quidem eſt Juſtiniani novella cxvii. Sin autem velis dicere, eas ſponſos vel invitos accipere; canonem interpretare convenienter epiſtolæ ſancti Gregorii Thaumaturgi; quam etiam lege in principio: itémque ea, quæ ad expoſitionem iſtius epiſtolæ ſcripta ſunt, ſed & viceſimum ſecundum Canonem S. Baſilii ſic exponetur.

E **Zonar.** Magnus quoque Baſilius can. vigeſimo ſecundo, qui mulierem raptam habet, non prius ad pœnitentiam admitti ſinit, quam mulier ab eo abducta priori ſponſo, ſi tamen eam ducere adhuc ille in animo habeat, reſtituta ſit. Eodem modo hic etiam canon intelligendus; raptas videlicet mulieres iis, quibus ante deſponſæ fuerant, ſi nimirum illi ducere velint, eſſe reddendas. Inviti enim non cogentur.

Arist. *Si deſponſata ſit puella, ab alio verò rapta fuerit, priori reſtituitur.*

F Hic quidem canon deſponſam cuipiam puellam & poſtea ab alio raptam, priori ſponſo reſtitui jubet, etiamſi ab eo qui ipſam rapuit, virgo corrupta ſit. At quinquageſimus octavus tit. lx. lib. Baſilic. magnis pœnis eum ſubjicit, qui mulierem rapuit, eúmque qui opem iſti in raptu tulit, eóſque qui diligentiam quamcunque ei contulerunt. Et non permittit quamvis ipſa mulier rapta & quamvis ipſius parentes voluerint, iſti, qui eam rapuit, matrimonio conjungi. Sed & ſi parentes iſtiuſmodi aſſentiantur conjugio, exterminantur.

τοὺς εἰρημένους θεσπίζει συναλλάττειν γάμον, εἰ βούλοιντο. ἐναντίων οὖν προδήλως τῶν κανόνων τούτων ὄντων, ὁ τῆς ἕκτης συνόδου κρατεῖν ὀφείλει, ὡς μεταγενέστερος καὶ τῷ ἀποστολικῷ συμφωνῶν κανόνι. οὐ γάρ ποτε πρεσβύτερος ἢ διάκονος, μετὰ τὴν χειροτονίαν γυναῖκα λαβὼν, ἐν τῇ οἰκείᾳ ἔσται ἐπιτιμίᾳ, ἢ ἱερουργεῖν παραχωρηθήσεται.

ΑΡΙΣΤ. Ὁ μέλλων διάκονος χειροτονεῖσθαι, εἰ προεμαρτύρατο τῷ Ἐπισκόπῳ μὴ δύνασθαι καρτερεῖν ἄγαμον, γαμήσας ἔστω διάκονος· εἰ δὲ σιωπήσας ἔγημεν ὕστερον, ἀποβαλλέσθω.

Οὗτος ὁ κανὼν διαγορεύει τὸν πρὸ τῆς χειροτονίας προμαρτυράμενον τῷ Ἐπισκόπῳ, μὴ δύνασθαι παρθενεύειν, ἀλλ' εἰς γάμου βούλεσθαι κοινωνίαν ἐλθεῖν, μὴ κωλύεσθαι, καὶ μετὰ τὴν χειροτονίαν εἰς γάμον ἔρχεσθαι, καὶ μένειν ἐπὶ τῆς αὐτῆς αὖθις ὑπηρεσίας τε καὶ τιμῆς. τὸν δὲ σιωπήσαντα, καὶ καταδεξάμενον ἐν τῇ χειροτονίᾳ ἄγαμον μένειν τῆς διακονίας πεπαῦσθαι, εἴπερ μετὰ τοῦτο γάμου νόμῳ γυναικὶ συναφθῇ. πλὴν τῷ παρόντι κανόνι ἀντίκειται ὁ ἕκτος κανὼν τῆς ἕκτης συνόδου, μὴ παραχωρῶν ὅλως τῷ προελθόντι ἀγάμῳ, εἰς ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου βαθμὸν, μετὰ τὴν χειροτονίαν γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον· ἀλλὰ τὸν τοῦτο τολμήσαντα ποιῆσαι, διατατόμενος καθαιρεῖσθαι. καὶ κρατεῖ ὁ κανὼν ἐκεῖνος καὶ οὗτος, ἤργησε.

ΚΑΝΩΝ ια'.

Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπὸ ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.

ΒΑΛΣ. Περὶ τῶν ἁρπαζόντων κόρας οἱασδήτινας τὰ εἰκότα διελήφθη ἐν τῷ λ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τοῦτο· ὡσαύτως ἀνάγνωθι καὶ τὸν ϟβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὸν νη'. ὅλον τίτλον τοῦ ξ'. βιβλίου. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, ἀποδίδοσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις, μὴ εἴπῃς ἀναγκάζεσθαι τούτους ταύτας λαβεῖν, ἀλλὰ θέλειν καὶ ζητεῖν αὐτοὺς αὐτάς. τοῦτο γὰρ καὶ ἐπὶ μοιχαλίδων γυναικῶν εἴρηται ἐν βιβλίου κη'. τίτλου ζ'. κεφαλ. α'. ὅπερ ἐστὶ νεαρὰ Ἰουστινιανείου ριζ'. εἰ δὲ θέλεις εἰπεῖν, καὶ ἄκοντας λαμβάνειν αὐτὰς τοὺς μνηστῆρας, ἑρμήνευσον τὸν κανόνα κατὰ τὴν ἐπιστολὴν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ· ἣν καὶ ἀνάγνωθι περὶ τὰς ἀρχάς· πρὸς δὲ καὶ τὰ εἰς ἑρμηνείαν τῆς αὐτῆς ἐπιστολῆς γραφέντα, ἀλλὰ καὶ τὸν κβ'. κανόνα τοῦ ἁγίου Βασιλείου οὕτως ἑρμήνευσον.

ΖΩΝΑΡ. Καὶ ὁ μέγας Βασίλειος ἐν εἰκοστῷ δευτέρῳ κανόνι αὐτοῦ τὸν ἐξ ἁρπαγῆς ἔχοντα γυναῖκα μὴ πρότερον παραδέχεσθαι εἰς μετάνοιαν βούλεται, εἰ μὴ ἀφαιρεθῇ ἐξ αὐτοῦ ἡ ἁρπαγεῖσα, καὶ τῷ μνηστευσαμένῳ αὐτὴν δοθῇ, εἴ πως βούλοιτο λαβεῖν αὐτήν. οὕτως καὶ τὸν κανόνα τοῦτον νοητέον λέγειν τὸ ἀποδίδοσθαι τὰς ἁρπαγείσας τοῖς μνηστευσαμένοις αὐτάς. εἰ αἱροῖντο δηλονότι λαβεῖν αὐτάς. ἄκοντες γὰρ οὐκ ἀναγκασθήσονται.

ΑΡΙΣΤ. Εἰ ἐμνηστεύθη κόρη, ἡρπάγη δὲ παρ' ἄλλου· τῷ προτέρῳ ἀποκαθίσταται.

Ὁ μὲν κανὼν οὗτος τὴν μνηστευθεῖσάν τινι κόρην, καὶ μετὰ ταῦτα ὑφ' ἑτέρου ἁρπαγεῖσαν, προστάττει ἀποκαθίστασθαι τῷ προτέρῳ μνηστῆρι, κἂν ὑπὸ τοῦ ἁρπάσαντος αὐτὴν, ἡ παρθένος ἐφθάρη. ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ξ'. βιβλίου βασιλικῶν μεγάλαις ποιναῖς ὑποβάλλει τὸν ἁρπαγὴν ποιησάμενον γυναικὸς, καὶ τὸν βοηθήσαντα αὐτῷ ἐν τῇ ἁρπαγῇ, καὶ τοὺς ἄλλους τοὺς οἱανδήποτε σπουδὴν τούτῳ εἰσενεγκόντας. καὶ οὐδὲ συγχωρεῖ, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνὴ, κἂν οἱ γονεῖς αὐτῆς, τῷ ἁρπάσαντι συναφθῆναι πρὸς γάμον. ἀλλὰ καὶ εἰ συναινέσουσιν οἱ γονεῖς τῷ τοιούτῳ συνοικεσίῳ, περιορίζονται.

ΚΑΝΩΝ ιβʹ.

Τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι, ὡς ἀπολουσαμένους.

ΒΑΛΣ. Τινὲς ἄπιστοι τὸ μὲν κήρυγμα ἐδέχοντο, καὶ ἐπίστευον τῷ Χριστῷ· βαπτίζεσθαι δὲ ὑπερετίθεντο. ἐπεὶ οὖν οὗτοι κατὰ τοὺς λοιποὺς ἀπίστους θύσαντες ἠξίουν, μετὰ τὸ βαπτισθῆναι, ἱερωθῆναι, καὶ οὐ συνεχωροῦντο, ὡς τινῶν λεγόντων, μὴ ὀφείλειν τούτους εἰς βαθμοὺς ἐκκλησιαστικοὺς προαναβιβάζεσθαι κατὰ τοὺς προρρηθέντας κανόνας, τοὺς ἐπιτιμῶντας τοὺς θύσαντας τοῖς εἰδώλοις· διωρίσαντο οἱ πατέρες τούτους εἰς ἱερωσύνην προάγεσθαι ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπολουσαμένους καὶ καθαρισθέντας ἀπὸ παντὸς ῥύπου ἁμαρτίας. ἐρωτήσει δέ τις, καὶ τίνος χάριν τούτους μὲν ἑκοντὶ καὶ μὴ κατὰ βίαν θύσαντας δεχόμεθα καὶ βαπτίζομεν, καὶ τῷ κλήρῳ συντάττομεν, τοὺς δὲ Χριστιανοὺς κατὰ βίαν θύσαντας, οὐ μόνον ἱερωσύνης οὐκ ἀξιοῦμεν, ἀλλὰ ἐπιτιμίοις καθυποβάλλομεν ὡς προείρηται; Λύσις. ἐκεῖνοι μὲν Χριστιανοὶ ὄντες καὶ τὰς βασάνους μὴ ἀναμείναντες, ἀλλὰ θύσαντες, ἀρνησίθεοι γεγόνασι, καὶ ὡς τὰ ἔσχατα ἐπταικότες εἰς ἱερωσύνην οὐ παραδέχονται, ἀλλὰ καὶ ἐπιτιμῶνται· οὗτοι δὲ ἐκ γενετῆς ὄντες ἄπιστοι καὶ πρὸ τοῦ θείου βαπτίσματος θύσαντες, οὐκ ἠρνήσαντο τὸν θεόν. πῶς γὰρ, ὃν ἔτι οὐ παρεδέξαντο, διὰ τὸ μηδὲ βαπτισθῆναι, καὶ κατὰ τοῦτο οὐδὲ ἥμαρτον ποιήσαντες καὶ κατὰ τὴν οἰκείαν θρησκείαν; κἀντεῦθεν καὶ προσερχόμενοι τῇ ἐκκλησίᾳ δέχονται ὡς ἄπιστοι· καὶ ἐπεὶ οἱ τοιοῦτοι βαπτιζόμενοι καὶ ἱερωσύνης ἀξιοῦνται, μετὰ δοκιμασίας ἐπισκοπικῆς, οὐδὲ αὐτοὶ κωλυθήσονται ἱερωθῆναι, ἀλλὰ γενήσεται καὶ ἐπὶ τούτοις πάντα τὰ τοῖς θείοις πατράσι διωρισμένα χάριν τῶν ἐξ ἀπίστων βαπτισθέντων καὶ θελόντων ἱερωθῆναι.

Ἑτέρα ἑρμηνεία.

Τῷ παρόντι κανόνι χρησάμενος ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κῦρις Πολύευκτος πρῶτον μὲν ἐξώθησεν ἐκ τῶν ἱερῶν περιβόλων τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τὸν βασιλέα κύριον Ἰωάννην τὸν Τζιμισκὴν ὡς φονεύσαντα τὸν βασιλέα κύριον Νικήφορον τὸν Φωκᾶν· ὕστερον δὲ ἐδέξατο. εἶπε γὰρ μετὰ τῆς ἁγίας συνόδου ἐν τῇ γενομένῃ τηνικαῦτα συνοδικῇ πράξει, τῇ ἐν τῷ χαρτοφυλακείῳ ἀποκειμένῃ, ὡς ἐπεὶ τὸ χρίσμα τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου ἁμαρτήματα ἀπαλείφει, οἷα καὶ ὅσα ἂν ὦσι, πάντως καὶ τὸ χρίσμα τῆς βασιλείας τὸν πρὸ ταύτης γεγονότα φόνον παρὰ τοῦ Τζιμισκῆ ἐξήλειψεν. ἀκολούθως ἐν τῇ τοιαύτῃ πράξει λέγουσιν ὅσοι μᾶλλον εἰσὶ συμπαθέστεροι καὶ τὸν τοῦ θεοῦ ἔλεον τῆς κρίσεως προαρπάζουσι, διὰ τοῦ χρίσματος τῆς ἀρχιερωσύνης τὰ πρὸ ταύτης ἀπαλείφεσθαι ἁμαρτήματα, καὶ διενίστανται τῶν πρὸ τῆς ἀρχιερωσύνης ψυχικῶν μολυσμάτων τοὺς ἀρχιερεῖς μὴ εὐθύνεσθαι· ὡς γὰρ οἱ βασιλεῖς χριστοὶ κύριοι λέγονται καὶ εἰσὶν, οὕτω καὶ ἀρχιερεῖς εἰσί τε καὶ ὀνομάζονται. κατασκευάζονται δὲ τὸν οἰκεῖον λόγον καὶ ἀπὸ τοῦ εἶναι τὰς ἀναγινωσκομένας εὐχὰς ὅτε στέφονται οἱ βασιλεῖς τῆς αὐτῆς δυνάμεως καὶ ὅτε χειροτονοῦνται οἱ ἀρχιερεῖς. ἀντὶ γὰρ τοῦ χριομένου ἐλαίου τοῖς βασιλεῦσι καὶ τοῖς ἀρχιερεῦσι, κατὰ τὸν παλαιὸν νόμον, εἶπον ἀρκεῖν τοῖς ἀρχιερεῦσι τὸν ἐπικείμενον ζυγὸν τοῦ εὐαγγελίου τῷ τραχήλῳ αὐτῶν, καὶ δι' ἐπικλήσεως τοῦ ἁγίου πνεύματος σφραγῖδα τοῦ χειροτονοῦντος. εἰς σύστασιν δὲ τούτων πάντων ἀναντίρρητον χρῶνται καὶ τῷ τοῦ μεγάλου γρηγορίου τοῦ θεολόγου λόγῳ, οὗ ἡ ἀρχὴ, Πάλιν ἐπ' ἐμὲ χρίσμα καὶ πνεῦμα. ἀφ' οὗ μάθῃς, ὅτι οὐδὲν ἧττον ἀξιοῦται τῆς τοῦ παναγίου πνεύματος χάριτος ὁ ἀναξίως χειροτονηθεὶς, καὶ ἐν καθαρότητι τὸν μετὰ τὴν χειροτονίαν βίον ἀνύσας, τοῦ ἀξίως χειροτονηθέντος, καὶ μετὰ τῆς αὐτῆς καθαρότητος τὸν ἐν ἡμῖν βίον ἀπολιπόντος. ταῦτα περὶ ἀρχιερέων· περὶ γὰρ ἱερέων καὶ ἑτέρων κληρικῶν ζήτει συνόδου Νικαίας κανόνα ιθʹ. συνόδου Νεοκαισαρείας κανόνα θʹ. ιαʹ. Βασι-

A CANON XII.

Eos, qui ante baptiſmum ſacrificarunt, & poſtea baptizati ſunt, viſum eſt ad ordinem promoveri, ut qui abluti ſunt.

BALS. Infideles aliqui prædicationem quidem ſuſceperunt, & Chriſto credebant; baptizari autem differebant. Quoniam ergo ii, ut reliqui infideles, ſacrificantes, ubi baptizati fuerant, volebant ſacris initiari, & non ſinebantur, eo quòd nonnulli dicerent, eos non eſſe ad gradus Eccleſiaſticos provehendos, ex prædictis canonibus eos punientibus, qui idolis ſacrificarunt: ſtatuerunt B patres, ut ii ad ſacerdotium proveherentur, ut qui per ſacrum baptiſmum abluti & omni peccati ſorde mundati eſſent. Interrogaverit autem quiſpiam, quamnam ob cauſam hos quidem, qui ſua ſponte & non vi ſacrificarunt, ſuſcipimus & baptizamus, & clero ordinamus; Chriſtianos autem, qui vi ſacrificarunt, non ſolùm ſacerdotio dignos non exiſtimamus, ſed pœnis etiam ſubjicimus, ut priùs dictum eſt? Solutio. Illi quidem, cum ſint Chriſtiani, vim tormentorum non perferentes, ſed immolantes, Deum abnegarunt, &, ut qui graviſſimè deliquiſſent, ad ſacerdotium non admittuntur, ſed puniuntur: hi autem, infideles cum eſſent à nativitate, & ante divinum baptiſmum C ſacrificarunt, Deum non negaverunt. Quomodo enim negaſſent quem nondum ſuſceperant, quòd baptizati non eſſent; & ideo non peccarunt, ſuæ ſuperſtitionis ritui convenienter facientes: proinde ad Eccleſiam accedentes ſuſcipiuntur, ut infideles; & quoniam ii baptizati etiam ſacerdotio digni habentur, cum epiſcopali examinatione, nec ipſi ad ſacra admitti prohibebuntur; ſed in iis fient omnia, quæ à ſanctis patribus conſtituta ſunt de infidelibus baptizatis, & volentibus ad ſacros ordines promoveri.

ALIA INTERPRETATIO.

D Preſenti canone uſus ille ſanctiſſimus Patriarcha dominus Polyeuctus, primum quidem ex ſanctiſſimæ Dei magnæ Eccleſiæ ſacris ambitibus Imperatorem dominum Johannem Tzimiſchem expulit, ut qui Imperatorē Nicephoram Phocam interfecit; Poſtea autem ſuſcepit. Dixit enim cum ſanctâ Synodo, in ſynodalibus actis quæ tunc habita fuerunt, quæ in Chartophylacio reponuntur, quòd quoniam ſancti baptiſmatis unctio omnia, quæ ante baptiſmum fuerunt, qualia & quantacunque ſunt, peccata delet; omnino Imperatoris quoque unctio cædem, quæ ante eam à Tzimiſche facta eſt, delevit. Ei ergo actioni conſequenter, quicunque ſunt paulo miſericordiores, E & Dei miſericordiam ante judicium corripiunt, per Epiſcopalem unctionem quæ ante eam commiſſa ſunt peccata deleri dicunt, & pulchrè inſtant de animæ peccatis ante ſacerdotium commiſſis Sacerdotes non poſtulari. Ut enim Imperatores uncti domini appellati ſunt, ſic etiam Antiſtites & ſunt, & nominantur. Dictum autem ſuum ex hoc quoq; confirmant, quod ejuſdem virtutis ſunt preces, quæ leguntur quando Imperatores coronantur, & quando ordinantur Antiſtites. Pro oleo autem, quo antiquâ lege inungebantur Reges & Antiſtites, dicunt Antiſtitibus ſufficere evangelii jugum collis eorum impoſitum & ejus qui ordinat characterem, cum ſancti Spiritus invo- F catione. Ad irrefutabilem autem horum omnium comprobationem, magni quoque Gregorii Theologi ſermone utuntur, cujus initium; Rurſus ſuper me unctio & ſpiritus. Unde diſcas, quòd nihilo minus ſancti Spiritûs gratiâ dignus cenſetur is, qui indignè electus in puritate poſt ordinationem vitam tranſigit, quam is qui dignè electus, & poſt iſtam puritatem vitam noſtram reliquit. Hæc de Antiſtitibus. De Sacerdotibus enim & aliis Clericis quære Synodi Nicænæ Canonem decimum nonum, Synodi Neocæſarienſis can. ix. xi. Baſilii.

can. xxvii. & Theophili ex commentario can. iv. v. & viii. Et nota ex iis, quòd antiſtitum quidem ordinatio & Regum unctio, quæ ante ordinationem & unctionem fuerunt, delent. Propterea enim habent poteſtatem Epiſcopi remittendi peccata; ut qui cùm primi ordinati ſunt audiverint; Quæcunque ligaveritis ſuper terram erunt ligata in cœlis, & quæcunque ſolveritis ſuper terram erunt ſoluta in cœlis. Sacerdotum autem, & aliorum qui ſunt in ſacris, ordinatio, parva quidem peccata delet, conſenſum dico & mendacium, & ſimilia quæ depoſitionem non inducunt; non autem fornicationem. Unde nec Sacerdotes poſſunt peccata remittere. Et lege Neoceſarienſis Syn. Can. ix. qui eadem dicit de Sacerdotibus. In his autem nè tibi contrarius videatur Can. xvii. Sanctorum Apoſtolorum, dicens, qui duobus matrimoniis poſt baptiſmum fuit colligatus, vel habuit concubinam, non poteſt eſſe Epiſcopus, aut Presbyter, aut Diaconus, vel omnino in catologo Sacerdotali, neque xviii. eadem ferè ſtatuens. Sed accipe illud, eſſe, pro, fieri; & dic, qnòd nemo, qui ſic lapſus eſt, Epiſcopali vel Sacerdotali honori dignus habebitur. Qui autem præter decreta dignus habetur, ſiquidem eſt Epiſcopus non poſtulabitur propter dictas cauſas, & quod Antiſtites cum primùm ſunt ordinati, non ſolum Apoſtolicâ gratiâ digni ſunt, ſed etiam Propheticâ. Sic enim & Saul inter Prophetas, & Caiphas invitus prophetizavit. Erat enim, inquit, Pontifex anni illius. Sin Sacerdos ſit, aut alius ſacris initiatus, deponetur. Lege & xxix. cap. ix. tit. præſentis operis, & invenies in eo leges diverſas, quæ multa de Sacerdotibus & aliis qui ſunt in ſacris tractent; Epiſcoporum autem omnino mentionem non faciunt.

Zonar. Myſteria quidem olim noſtræ religionis audita plures admittebant, ac fidei, quæ de Chriſto eſt, planè aſſentiebantur; ſed baptiſmi diem longiùs nihilominus extrahebant. Ex quo & Gregorii Theologi & magni Baſilii orationes, quibus ad baptiſmum hortabantur, extitere. Erant itaque per ea tempora, quibus rem Chriſtianam tyranni divexabant, ejuſmodi homines haud pauci, qui cum Chriſtiana profeſſione cenſerentur, baptiſmo tamen nequaquã adhuc expiati fuiſſent. De his igitur hominibus, ſi nomine Chriſtianæ religionis comprehenſi immolavere, ac poſtea baptiſmo, quem antea non ſuſceperant, initiati ſunt; nihil ex eo quod ſacrificaverint impediri, quominus eos ad ordinem, hoc eſt, ſacerdotii gradum evehi liceat, canon decernit. Omnes enim antea contractæ ſordes baptiſmo elui delerique creduntur.

Arist. *Qui ante baptiſma ſacrificavit, poſt inſons habeatur.*

Cum ſanctum baptiſma omnem animalem ſordem abluat, merito quidem ille qui ante baptiſmum ſacrificavit, poſt baptiſmum crimine vacabit, & ad gradum ſacerdotalem promovebitur, ſi ſubſequens ejus vita inculpata inveniatur.

CANON. XIII.

Chorepiſcopis non licere Presbyteros vel Diaconos ordinare; ſed neque urbis Presbyteris, niſi cum literis ab Epiſcopo permiſſum fuerit, in aliena parochia.

Bals. Si ſcire velis quinam ſint Chorepiſcopi, & quænam eorum privilegia, lege Neocæſarianæ Synodi can. xiii. Antioch. can. x. & ſancti Baſilii ad Chorepiſcopos epiſtolam. Statuunt autem & præſentis Synodi patres Chorepiſcopum non ordinare Presbyteros vel Diaconos ſine ſcripta epiſtola proprii Epiſcopi, ſed neque urbis Presbyterum. Ac de præſenti

λείου κανόνα κζ'. καὶ Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανόνα δ'. ε'. η'. καὶ σημείωσαι ἐκ τούτων, ὅτι ἡ χειροτονία τῶν ἀρχιερέων καὶ τὸ χρίσμα τῶν βασιλείων ἀπαλείφουσι τὰ πρὸ τῆς χειροτονίας καὶ τοῦ χρίσματος ἁμαρτήματα, οἷα ἂν ὦσι· διὰ γὰρ τοῦτο ἔχουσιν οἱ Ἐπίσκοποι ἐξουσίαν ἀφιέναι ἁμαρτήματα, ὡς ἀκούσαντες ἅμα τῷ χειροτονηθῆναι, ὅσα δήσετε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα λύσετε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. ἡ δὲ τῶν ἱερέων καὶ τῶν λοιπῶν χειροτονία μικρὰ ἁμαρτήματα ἀπαλείφει, οἷον συγκατάθεσιν, ψεῦδος καὶ τοιαῦτα, μὴ ἐπάγοντα καθαίρεσιν, πορνείαν δὲ οὐχί. ὅθεν οὐδὲ ἀφιέναι ἁμαρτίας οἱ ἱερεῖς δύνανται. καὶ ἀνάγνωσον τὸν ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα θ'. τὰ αὐτὰ περὶ ἱερέων λέγοντα. μὴ ἐναντιωθῇ δέ σοι ὁ ιζ'. κανὼν τῶν ἁγίων ἀποστόλων, λέγων, ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι Ἐπίσκοπος πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου, μηδὲ ὁ ιη'. τὰ αὐτὰ σχεδὸν διοριζόμενος. ἀλλ' ἐκλαβοῦ τὸ εἶναι εἰς τὸ γίνεσθαι καὶ εἰπέ, οὐδεὶς οὕτως ὀλισθήσας ἀξιωθήσεται ἐπισκοπικοῦ ἢ ἱερατικοῦ ἀξιώματος. ἀξιωθεὶς δὲ παρὰ τὰ δεδογμένα, εἰ μὲν ἐστὶν Ἐπίσκοπος, οὐκ ἀνακριθήσεται διὰ τὰς ῥηθείσας αἰτίας καὶ οἱ ἀρχιερεῖς ἅμα τῷ χειροτονηθῆναι οὐ μόνον ἀποστολικοῦ χαρίσματος ἀξιοῦνται, ἀλλὰ καὶ προφητικοῦ. οὕτω γὰρ καὶ Σαὺλ ἐν προφήταις, καὶ Καϊφᾶς ἄκων προεφήτευσεν. ἦν γάρ, φησιν, ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· εἰ δὲ ἱερεύς ἐστιν ἢ ἕτερος ἱερωμένος καθαιρεθήσεται· ἀνάγνωσον καὶ τὸ κθ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ εὑρήσεις ἐν αὐτῷ νόμους διαφόρους πολλὰ περὶ ἱερέων καὶ ἑτέρων ἱερωμένων διαλαμβάνοντας· ἐπισκόπων δὲ ὅλως μνείαν μὴ ποιουμένους.

ΖΩΝΑΡ. Τὸ παλαιὸν τὸ μὲν κήρυγμα ἐδέχοντο οἱ πλείους, καὶ ἐπίστευον τῷ Χριστῷ, βαπτίζεσθαι δὲ ὑπερετίθεντο. διὸ καὶ ὁ θεολόγος Γρηγόριος, καὶ ὁ μέγας Βασίλειος τοὺς εἰς τὸ ἅγιον βάπτισμα προτρεπτικοὺς συνεγράψαντο λόγους. ἦσαν οὖν ἐν τοῖς καιροῖς τῶν διωγμῶν τοιοῦτοι πολλοί, Χριστιανοί, μὲν ὄντες, μήπω δὲ βαπτισθέντες. φησὶν οὖν περὶ τούτων ὁ κανών, ὅτι ἐὰν τινες ἔθυσαν κατασχεθέντες ὡς Χριστιανοί, ἀφώτιστοι δὲ ὄντες μετὰ ταῦτα ἐβαπτίσθησαν, οὐδὲν αὐτοὺς κωλύει τὸ θῦσαι εἰς τὸ προαχθῆναι εἰς τάξιν, τουτέστιν εἰς ἱερωσύνης βαθμόν· τὸ γὰρ ἅγιον βάπτισμα ἅπαντα τὰ πρώην μολύσματα ἀπολοῦσαι καὶ ἐκκαθάραι πεπίστευται ὁποῖα ἂν εἶεν.

ΑΡΙΣΤ. Ὁ πρὸ τοῦ βαπτίσματος θύσας, ἀνεύθυνος μετὰ τὸ βάπτισμα.

Ἐπεὶ τὸ ἅγιον βάπτισμα πάντα ῥύπον ψυχικὸν ἀποπλύνει, εἰκότως ὁ πρὸ τοῦ βαπτίσματος θύσας, μετὰ τὸ βάπτισμα ἔσται ἀνεύθυνος, καὶ εἰς ἱερατικὸν βαθμὸν προαχθήσεται, εἴπερ ὁ μετὰ ταῦτα βίος αὐτοῦ εὑρεθῇ ἀνεπίληπτος.

ΚΑΝΩΝ ιγ'.

Χωρεπισκόπους μὴ ἐξεῖναι πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν, ἀλλὰ μὴν μηδὲ πρεσβυτέρους πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι ὑπὸ τοῦ Ἐπισκόπου μετὰ γραμμάτων, ἐν ἑτέρᾳ παροικίᾳ.

ΒΑΛΣ. Εἰ θέλεις μαθεῖν τίνες εἰσὶν οἱ χωρεπίσκοποι καὶ τίνα τὰ τούτων προνόμια, ἀνάγνωθι τὸν ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα ιγ'. τὸν ἐν Ἀντιοχείᾳ κανόνα ι'. καὶ τὴν πρὸς τοὺς χωρεπισκόπους ἐπιστολὴν τοῦ ἁγίου Βασιλείου. διορίζονται δὲ καὶ οἱ τῆς παρούσης συνόδου πατέρες, μὴ χειροτονεῖν χωρεπίσκοπον πρεσβυτέρους ἢ διακόνους χωρὶς ἐγγράφου ἐπιστολῆς τοῦ ἐγχωρίου Ἐπισκόπου, ἀλλὰ μηδὲ πρεσβύτερον πόλεως. περὶ μέν-

τοι

ζι τοῦ παρόντος κανόνος ἠθέλομεν γράψαι τινά· ἐπεὶ δὲ ὁ τῶν χωρεπισκόπων βαθμὸς παντελῶς ἠπράκτησεν, οὐδὲ ἡμεῖς ματαιοπονῆσαι ἠθελήσαμεν.

A quidem canone quædam ſcribere volebamus; ſed quoniam Chorepiſcoporum gradus omnino exolevit, neque nos inanem fruſtra laborem ſuſcipere voluimus.

ΖΩΝΑΡ. Ο τῆς ἐν Αντιοχείᾳ συνόδου δέκατος κανὼν καὶ αὐτὸς περὶ τῶν χωρεπισκόπων ὁρίζει, ἀπαγορεύων αὐτοῖς χειροτονίαν πρεσβυτέρου ἢ διακόνου, μόνους δὲ ἐπιτρέπων χειροτονεῖν ὑποδιακόνους καὶ ἀναγνώστας καὶ ἐφορκιστάς· ἄνευ δὲ ἐπιτροπῆς τῶν Επισκόπων οἷς ὑπόκεινται μὴ ἐξεῖναι αὐτοῖς πρεσβύτερον ἢ διάκονον χειροτονεῖν, ἀλλὰ μηδὲ πρεσβυτέρους ἐν πόλεσι καθιστᾶν. εἰ γὰρ ἐν ταῖς χώραις, ἐν αἷς ἐπισκοποῦσιν, οὐ δύνανται χειροτονεῖν τοὺς εἰρημένους, B μᾶλλον ἐν πόλεσι τοῦτο ποιεῖν κωλύονται. τὴν δὲ ἐπιτροπὴν βούλεται ὁ κανὼν διὰ γραμμάτων γίνεσθαι, ἤτοι ἔγγραφον, ἵνα μή τις εἴη περὶ τούτου ἀμφιβολία, τοῦ μὲν χωρεπισκόπου λέγοντος ἐπιτραπῆναι, τοῦ δὲ Επισκόπου ἀρνουμένου ἴσως, ἢ διὰ λήθην ἢ ἄλλως.

Zonar. Eadem Antiochenæ quoque Synodi can. decimus de Chorepiſcopis ſtatuit, quibus Presbyteri ac Diaconi creatione interdicens, hypodiaconos tantum, Lectores, ac Exorciſtas creandi poteſtatem relinquit: Sacerdotes verò, ac Diaconos, abſque eorum, quibus ſubjecti ſunt, Epiſcoporum facultate, creare, ſed & Sacerdotes in urbe aliqua conſtituere, omnino vetat. Si namque in iis regionibus, quarum Epiſcopi ſunt, dictos creandi poteſtatem non habent: multo magis id ſibi ſumere in urbibus vetabuntur. Facultatem porro ejuſmodi per literas, hoc eſt ſcriptis exaratam, nequa de ea re controverſia oboriatur, Chorepiſcopo quidem factam ei poteſtatem aſſeverante, Epiſcopo autem, vel non ſatis explicata ratione memoriæ, vel alia quacunque de cauſa, pernegante, canon concedi jubet.

ΑΡΙΣΤ. Χωρεπίσκοπος οὐ χειροτονεῖ ἄνευ ἐπιτροπῆς Επισκόπου.

Arist. *Chorepiſcopus non ordinat ſine Epiſcopi permiſſione.*

Ο μὲν κανὼν οὗτος ἀδιαστίκτως τοὺς χωρεπισκόπους κωλύει χειροτονεῖν ἄνευ ἐπιτροπῆς Επισκόπου. ὁ δὲ δέκατος κανὼν τῆς ἐν Αντιοχείᾳ συνόδου συγχωρεῖ αὐτοῖς μόνον ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορικιστὰς καθιστᾶν, μὴ μέντοιγε πρεσβύτερον, ἢ διάκονον χειροτονεῖν τολμᾶν, δίχα γνώμης τοῦ ἐν τῇ πόλει Επισκόπου ᾧ ὑπόκειται αὐτός τε, καὶ ἡ χώρα. ὁ δὲ μέγας Βασίλειος, εὑρὼν ἀνεξετάστως γινομένους τοὺς ὑπηρέτας τῆς ἐκκλησίας παρὰ τῶν χωρεπισκόπων, πολλάκις δὲ καὶ παρὰ τῶν πρεσβυτέρων καὶ διακόνων εἰσαγομένους, κατ' ἐπιτροπὴν αὐτῶν Επισκόπων· οὐ συγχωρεῖ τοῖς χωρεπισκόποις, ἄνευ γνώμης αὐτοῦ, τινὰ εἰς ἐκκλησιαστικὴν ὑπηρεσίαν παραδέχεσθαι· ἀλλὰ κατεξετάζεσθαι μὲν τοὺς ἀξίους παρὰ τῶν χωρεπισκόπων, καὶ παραδέχεσθαι· μὴ συναριθμεῖν δὲ αὐτοὺς τῷ κλήρῳ, πρὸ τοῦ ἀνενεγκεῖν αὐτῷ τὰ περὶ αὐτῶν. χωρεπίσκοποι δέ εἰσιν, οἱ σήμερον ἐν τισι κώμαις καὶ χώραις, Πρωτοπαπάδες λεγόμενοι.

Hic quidem canon ſine diſtinctione Chorepiſcopos ſine Epiſcopi permiſſione ordinare prohibet. At decimus Synodi C Antiochenæ canon concedit eis Lectores tantum, vel Hypodiaconos vel Exorciſtas conſtituere, non autem Presbyterum vel Diaconum ordinare audere, ſine Epiſcopi civitatis illius cui & ille & regio ſubeſt voluntate. Magnus vero Baſilius inveniens miniſtros Eccleſiæ à Chorepiſcopis ſine examinatione factos, ſæpenumero autem & à Presbyteris & Diaconis introductos, contra Epiſcoporum ſuorum permiſſionem, non concedit Chorepiſcopis ſine illius ſententiâ ad Eccleſiaſticum miniſterium quempiam admittere; ſed dignos quidem à Chorepiſcopis inquiri, & admitti, non autem Clero eos connumerare, priuſquam quæ ad eos ſpectant, ipſi D Epiſcopo retulerunt. Chorepiſcopi autem ſunt qui nunc in quibuſdam vicis & regionibus protopapades nominantur.

ΚΑΝΩΝ ιδ'.

Τοὺς ἐν κλήρῳ, πρεσβυτέρους ἢ διακόνους ὄντας, ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι, καὶ οὕτως, εἰ βούλοιντο κρατεῖν ἑαυτῶν· εἰ δὲ μὴ βούλοιντο, ὡς μηδὲ τὰ μετὰ κρεῶν βαλλόμενα λάχανα ἐσθίειν, καὶ μηδὲ ὑπείκοιεν τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.

Canon XIIII.

Eos qui in clero ſunt, presbyteros vel diaconos, à carnibus abſtinentes, placuit illas attingere, & ſic, ſi velint, ab eis abſtinere: ſin autem nolint, ut nec olera, quæ cum carnibus apponuntur, comedere, & canoni non cedant, ab ordine ceſſare.

ΒΑΛΣ. Τὰ μὲν περιεχόμενα τῷ ἀποστολικῷ να'. κανόνι, χάριν τῶν ἀπεχομένων γάμου, οἴνου καὶ κρεῶν, προηρμηνεύθησαν ἐκεῖσε. ἐπεὶ δὲ διελήφθη ἐν τῷ τοιούτῳ κανόνι, μὴ κολάζεσθαι τοὺς διὰ ἄσκησιν νηστεύοντας, ἀλλὰ τιμωρεῖσθαι τοὺς βλασφημοῦντας κατὰ τῆς οἰκονομίας τοῦ θεοῦ· εἰκὸς δὲ εἰπεῖν τινὰς, καὶ πόθεν ἀναφανήσονται οἱ διὰ ἀγαθὸν τρόπον καὶ οἱ διὰ φαῦλον νηστεύοντες; οἱ τῆς παρούσης συνόδου πατέρες εὐμαρῶς καὶ τοῦτο διηυλήτωσαν. ἔφασαν γὰρ, ὡς εἰ βούλονται οἱ νηστεύοντες ἅπαν σκάνδαλον περιαιρῆσαι, ἐφαπτέσθωσαν μόνον τῶν κρεῶν, καὶ πάλιν νηστευέτωσαν εἰ αἱροῦνται. εἰ δὲ τοῦτο οὐ ποιήσουσιν, ἀλλ' οὐδὲ τὰ λάχανα τὰ μετὰ τῶν κρεῶν βαλλόμενα ἐσθίουσιν, ἀναγκαζόμενοι πάντως παρὰ τοῦ Επισκόπου ἐκ παρασαγγελίας τινῶν, καταλαμβάνονται διὰ τρόπον οὐκ ἀγαθὸν ἀπέχεσθαι τῶν κρεῶν, καὶ καθαιρείσθωσαν, ὡς μὴ τῷ κανόνι ὑποτασσόμενοι. καλῶς δὲ ἐκεῖσε μὲν ὁ κανὼν εἶπεν, ἢ παύεσθαι ἢ καθαιρεῖσθαι τούτους. ἐνταῦθα δὲ παύεσθαι τῆς τάξεως οἱ πατέρες διωρίσαντο. ἔτι γὰρ τοῦ ἀμφιβόλου μὴ λυθέντος, ὤφειλε πάντως ὁ αἰτιώμενος παρεγγυηθῆναι περιαιρῆσαι διὰ τοῦ κρεωφαγῆσαι τὸ σκάνδαλον, καὶ οὕτω κατακριθῆναι. ἐνταῦθα δὲ τῆς ὑποψίας περιαιρουμένης διὰ τῆς ὑποτυ-

E **Bals.** Quæ Apoſtolico lj. canone continentur, de iis qui à nuptiis & vino & carnibus abſtinent, illic ſunt expoſita. Quoniam autem in eo canone tractatum eſt, eos non puniendos qui propter exercitationem jejunent; ſed eos eſſe coercendos, qui adverſus Dei œconomiam maledicè blaſpheméque loquuntur; Eſt autem veriſimile dixiſſe nonnullos, & undénam à nobis cognoſcentur qui bono more & qui malo jejunant? præſentis Synodi patres hoc quoque facile diſſolverunt. Dicunt enim quòd ſi volunt, qui jejunant, omnem offenſionem tolli, carnes tantum attingant, & jejunent ſi velint: Si autem hoc non facient, ſed neque olera quæ ſunt cum carnibus injecta F comedunt, omnino ab Epiſcopo coacti ex aliquorum denunciatione, deprehenduntur non bono more à carnibus abſtinere, & deponantur, ut qui canoni non obediant. Rectè autem dixit illic canon, eos vel ceſſare, vel deponi. Hîc autem eos ab ordine ceſſare patres definiere. Cùm enim dubium adhuc non eſſet ſolutum, debebat omnino, qui accuſabatur, jubere veſcendo carnem tollere ſcandalum; & ſic condemnari. Hîc autem ablata ſuſpicione per œconomiam à patribus deſcriptam, neceſſariò, qui non facit ei convenienter, eo ipſo deponitur. Quoniam autem

Presbyterorum & Diaconorum ſolorum meminit præſens canon; dictus autem canon Apoſtolicus omnium hominum meminit: debes tu quoque, quæ illic dicta ſunt, ad omnes extendere. Ut eſt ergo veriſimile, ii quoque, qui Bogomilicæ hæreſis accuſantur, præſenti canoni conſentaneè coguntur carnibus vel caſeo veſci, & Bogomilici jejunii ſuſpicionem tollere: quin & paulo religioſiores complures Monachi, nolentes piſcibus jejunium ſolvere, propter ſanctæ Quadrageſimæ honorem, huic utique canoni convenienter ab eis quidem abſtinent; eorum autem jura comedunt, & olera quæ cum eis coquuntur. Et quod ſic quidem fit in eos, qui Bogomilicæ hæreſeos accuſantur, rectè fieri dixerit quiſpiam: quemadmodum & ſi quis carnem guſtet vel caſeum in hebdomadibus, in quibus Armenii vel alii hæretici jejunant; & maxime quando in ſuſpectâ regione verſatur. Hoc enim facit, ne unà cum hæreticis jejunare reputetur. Quod autem fit ab iis, qui in ſancta Quadrageſima jejunant, & jejunium ſolvunt, ut dictum eſt, non videtur mihi eſſe ignoſcendum. Oportebat enim eos jejunantes in iis jejunium non ſolvere, & Quadrageſimam deſpicatui habere. Canon autem dixit olera ejuſmodi comedere, non ut ſuadens à carnibus quidem abſtinere, quæ ſunt autem in eis olera comedere; ſed ut eos odio habens, qui propter carnium odium & abominationem, oleribus quoq; veſci recuſant, quę coquuntur cum carnibus. Ut ubique ejus, qui jejunium ſolvit, vel non ſolvit, affectio conſideretur. Latini verò Monachi, qui à carnibus quidem abſtinent, earum autem adipem cum oleribus indiſcriminatim comedunt, non mihi videntur huic canoni conſentaneè facere. Non enim, ne accuſentur quòd à carnibus abſtinent, adipe jejunium ſolvunt: ſed ut ventrem impleant, & gulæ blandiantur.

Zonar. Si quis Epiſcopus Presbyter, aut Diaconus, à vino & carnibus, non exercendæ temperantiæ ſtudio ſed quaſi à damnatis rebus abſtineat, eos ſancti Apoſtoli canone quinquageſimo tertio deponi juſſêre. Quoniam vero credibile erat aliquos carnem & vinum, tanquam impuros cibos, averſari, qui ſe ab illis ſtudio exercendæ virtutis abſtinere profiterentur: hæc Synodus definivit, ut qui à carnibus abſtinere ſoliti, quibus diebus fidelium conventus peragebantur, eas attingerent, hoc eſt, iis veſcerentur; atque ita rurſum, ſi voluiſſent, ab iis poſtea temperarent. Quòd ſi euſque à carnium eſu abſtineant, ut olera quoque cum iis decocta rejiciant, ab ordine ceſſare, hoc eſt ab eo, in quo ſunt conſtituti, honoris gradu repelli jubet.

Arist. *Sacerdos à carnibus abſtinens, ubi tantum guſtaverit, ſic abſtineat: ſi verò nec olera quæ cum carnibus ſunt, deguſtet, à fungendo munere deſiſtat.*

Presbyter vel Diaconus à carnibus abſtinens, deguſtet. Si autem non perſuadeatur vel olera cum carne guſtare, deponatur, ut Dei opificium improbans, illudque calumniâ afficiens. Et quære ſanctorum Apoſtolorum canonem li.

Canon XV.

Ex iis, quæ pertinent ad Dominicum, quæcunque dum non eſſet Epiſcopus Presbyteri vendiderunt, revocare Dominicum: Epiſcopi autem judicio relinqui, an oporteat pretium recipere annon, propterea quòd rerum venditarum redditus majus pretium his ipſis ſæpe reddiderit.

Bals. In xii. can. Syn. Nicænæ ſecundæ ſatis tractavimus de alienatione immobilium Eccleſiaſticorum. Cùm autem præſentis Synodi patres intellexiſſent immobilia Epiſcopalia, quæ etiam Dominica appellantur, ut quæ Domino ſint dedicata, vacante Epiſcopatu

A πωθείσης οἰκονομίας παρὰ τῶν πατέρων, ἐξ ἀνάγκης ὁ μὴ κατ' αὐτὴν ποιῶν καθαιρεῖται ἀπεντεῦθεν. ἐπεὶ δὲ πρεσβυτέρων καὶ διακόνων μόνων ἐμνήσθη ὁ παρὼν κανών, ὁ δὲ ῥηθεὶς ἀποστολικὸς κανὼν πάντων τῶν ἀνθρώπων μέμνηται, ὀφείλεις καὶ σὺ τὰ ἐν τούτῳ διορισθέντα εἰς πάντας ἑλκύσαι. ὡς ἔοικεν οὖν, καὶ οἱ αἰτιώμενοι διὰ βωγομιλικὴν αἵρεσιν ἀκολούθως τῷ παρόντι κανόνι ἀναγκάζονται κρεωφαγῆσαι ἢ τυροφαγῆσαι, καὶ περιαιρῆσαι τὴν ὑποψίαν τῆς βωγομιλικῆς νηστείας· ἀλλὰ καὶ οἱ πλείους τῶν εὐλαβεστέρων μοναχῶν, μὴ θέλοντες καταλῦσαι εἰς ἰχθύας διὰ τὸ τῆς ἁγίας τεσσαρακοστῆς αἰδέσιμον, κατὰ τοῦτον δῆθεν τὸν κανόνα, τούτων μὲν ἀπέχονται, ἐσθίουσι δὲ B τὰ ἀποβράσματα αὐτῶν καὶ τὰ σὺν αὐτοῖς ἑψόμενα λάχανα. καὶ τὸ μὲν οὕτω γινόμενον εἰς τοὺς κατηγορουμένους διὰ βωγομιλικὴν αἵρεσιν, καλῶς εἴποι τις γίνεσθαι· ὥσπερ καὶ τὸ ἀπογεύσασθαί τινα κρέατος ἢ τυροῦ εἰς τὰς ἑβδομάδας καθ' ἃς Ἀρμένιοι ἢ ἄλλοι αἱρετικοὶ νηστεύουσι· καὶ μᾶλλον ὅταν εἰς ὕποπτον χώραν διάγῃ. ποιεῖ γὰρ τοῦτο, ἵνα μὴ λογισθῇ συννηστεύειν τοῖς αἱρετικοῖς. τὸ δὲ γινόμενον παρὰ τῶν νηστευόντων ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς, καὶ καταλυόντων, ὡς εἴρηται, οὐ δοκεῖ μοι ἀκατάγνωστον. ἔδει γὰρ τοὺς νηστεύοντας μὴ καταλύειν ἐν τοιούτοις καὶ ἀτιμάζειν τὴν νηστείαν. ὁ δὲ κανὼν εἶπε τὸ ἐσθίειν τοιαῦτα λάχανα, οὐχ ὡς προτρέπων ἀπέχεσθαι μὲν C τῶν κρεῶν, τὰ δ' ἐν αὐτοῖς λάχανα ἐσθίειν, ἀλλ' ὡς μισῶν τοὺς διὰ βδελυρίαν καὶ ἀποστροφὴν τῶν κρεῶν ἀποτασσομένους καὶ αὐτοῖς τοῖς λαχάνοις τοῖς μετὰ τῶν κρεῶν ἑψομένοις. ὥστε πανταχοῦ ἡ διάθεσις σκοπεῖται τοῦ καταλύοντος καὶ μὴ καταλύοντος. οἱ δὲ Λατῖνοι μοναχοὶ τῶν κρεῶν μὲν ἀπεχόμενοι, τὸ δὲ στέαρ τούτων μετὰ λαχάνων ἀδιαφόρως ἐσθίοντες, οὐ δοκοῦσί μοι ποιεῖν κατὰ τὸν παρόντα κανόνα. οὐ γάρ, ἵνα μὴ αἰτιαθῶσιν ὡς ἀπεχόμενοι τῶν κρεῶν, καταλύουσιν εἰς τὸ στέαρ, ἀλλ' ἵνα τὴν γαστέρα ἐμπλήσωσι καὶ τὸν φάρυγγα θεραπεύσωσιν.

ΖΩΝΑΡ. Ἐν πεντηκοστῷ τρίτῳ κανόνι οἱ ἅγιοι ἀπόστολοι διετάξαντο, τοὺς μὴ μεταλαμβάνοντας κρεῶν καὶ D οἴνου Ἐπισκόπους ἢ πρεσβυτέρους ἢ διακόνους, ὡς βδελυσσομένους αὐτά, καὶ οὐ δι' ἄσκησιν, καθαιρεῖσθαι. ἐπεὶ δὲ εἰκὸς ἦν τινὰς βδελυττομένους τὸ κρέας καὶ τὸν οἶνον, ἀπέχεσθαι αὐτῶν, λέγειν δὲ ὅτι δι' ἄσκησιν αὐτῶν ἀπεχόμεθα, ὥρισεν ἡ σύνοδος αὕτη, ἅπτεσθαι τῶν κρεῶν τοὺς ἀπεχομένους αὐτῶν, ἀντὶ τοῦ ἀπογεύεσθαι αὐτῶν, κατά τινας καιροὺς συνάξεων, καὶ οὕτως αὖθις εἰ βούλοιντο ἐγκρατεύεσθαι. εἰ δὲ οὕτως βούλονται ἀπέχεσθαι αὐτῶν, ὡς μηδὲ λάχανα μετὰ κρεῶν ἑψόμενα ἐσθίειν, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως, τουτέστιν ἐξωθεῖσθαι τοῦ βαθμοῦ καὶ τῆς τιμῆς ἐν ᾗ τυγχάνουσιν.

E **ΑΡΙΣΤ.** Ἱερατικὸς κρεῶν ἀπεχόμενος γευσάμενος μόνον, οὕτως ἀπεχέσθω· εἰ δὲ μηδὲ τῶν μετὰ κρέατος γεύοιτο λαχάνων, πεπαύσθω.

Ὁ ἀπεχόμενος κρεῶν πρεσβύτερος, ἢ διάκονος, ἀπογευσάσθω. εἰ δὲ οὐ πείθεται, ὡς μηδὲ τῶν λαχάνων τῶν μετὰ κρέατος γεύσασθαι, καθαιρείσθω, ὡς τὴν τοῦ θεοῦ ἀποδοκιμάζων δημιουργίαν, καὶ διαβάλλων αὐτήν. καὶ ζήτει καὶ τῶν ἁγίων ἀποστόλων κανόνα να΄.

ΚΑΝΩΝ ιε΄.

F Περὶ τῶν διαφερόντων τῷ κυριακῷ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι τὸ κυριακόν. ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴπερ προσήκει ἀπολαβεῖν τὴν τιμήν, εἴτε καὶ μή, διὰ τὸ πολλάκις τὴν πρόσοδον τῶν πεπραμένων ἀποδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν.

ΒΑΛΣ. Ἐν τῷ ιβ΄. κανόνι τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον ἱκανῶς διελάβομεν περὶ ἐκποιήσεως ἀκινήτων ἐκκλησιαστικῶν. οἱ δὲ τῆς παρούσης συνόδου πατέρες μαθόντες παρὰ ἱερέων διαπραθῆναι, χηρευούσης τῆς ἐπισκοπῆς,

ἀκίνητα

ἐπισκοπικὰ, καὶ τὰ κυριακὰ λεγόμενα, ὡς τῷ κυρίῳ ἀνατεθειμένα, μὴ ἀνεχόμενοι τὸ γεγονὸς ἡγησάμενοι, διωρίσαντο ἀνακαλεῖσθαι ταῦτα τὸ κυριακὸν, ἤγουν τὸν τοῦ κυρίου λαὸν, ὡς τῆς πράσεως οὔσης ἀνυποστάτου, καὶ δι᾽ ἄλλα μὲν πολλὰ, οὐχ ἧττον δὲ καὶ διὰ τὸ χηρεύειν τὴν ἐκκλησίαν ἐπισκόπου κατὰ τὸν τῆς διαπράσεως καιρόν. ὥσπερ δέ τινος εἰπόντος, τί ἄρα καὶ γενήσεται εἰς τὸ δοθὲν τίμημα παρὰ τοῦ ἀγοραστοῦ; ἀπεφήναντο οἱ πατέρες παρὰ τῇ διακρίσει τοῦ ἐπισκόπου τὰ περὶ τούτου εἶναι ἀνατεθειμένα, καὶ αὐτὸς δοκιμάζει, εἰ προσήκει τὸν ἀγοραστὴν λαβεῖν τὸ παρὰ τούτου δοθὲν τίμημα, εἴτε καὶ μή. εἰ μὲν γὰρ ἀπὸ τῆς εἰσόδου τοῦ διαπραθέντος ἱκανώθη αὐτὸ, ἀναργύρως πρὸς τὴν ἐπισκοπὴν ἀντιστραφήσεται τὸ ἀκίνητον· εἰ δ᾽ οὐ, ἐξ ἀντιδιαστολῆς λάβῃ τοῦτο ἀπὸ τοῦ ἐπισκόπου. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. ἐρωτήσει δέ τις, τίνος χάριν ὁ κανὼν πρεσβυτέρων μόνων ἐμνήσθη, καὶ οὐχὶ καὶ τῶν λοιπῶν κληρικῶν; Λύσις. Διὰ τοῦ ὀνόματος τῶν πρεσβυτέρων τὸν ἅπαντα κληρικὸν ἠνίξατο. μνησθεὶς γὰρ αὐτῶν, ὡς ὑπερεχόντων ἐν τῷ βαθμῷ, ἔδοξε καὶ περὶ ἄλλων διαλαβεῖν. ἂν γὰρ ἀνατρέπεται ἡ γεγονυῖα πρᾶσις παρὰ τῶν πρεσβυτέρων, πολλῷ πλέον ἀνατραπήσεται ἡ παρὰ ἑτέρων γινομένη κληρικῶν. ὥστε μὴ κατ᾽ ἀντιδιαστολὴν νοήσῃς τὴν παρὰ ἄλλων κληρικῶν οὕτω γινομένην πρᾶσιν ἐρρωμένην εἶναι. τῆς δὲ πράσεως ὡς ἀνυποστάτου ἀνατρεπομένης, πῶς οἱ πατέρες λέγουσι τῆς ἐπισκοπικῆς εἶναι διακρίσεως τὸ ἀντιστραφῆναι τὸ τίμημα εἴτε καὶ μή; πάντως ὤφειλεν ὁ ἀγοραστὴς μὴ ζητεῖν τὸ τίμημα, κατὰ τὸν καθόλου νομικὸν κανόνα τὸν λέγοντα, ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς, ἀγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν. Λύσις. οὐ διωρίσαντο οἱ πατέρες, ἐξ ἀνάγκης ἀντιστρέφεσθαι τὸ τίμημα, ὑπεναντίως τῷ ῥηθέντι κανόνι, ἀλλὰ μᾶλλον ὁ ἐπιστατικώτερον ἀναγινώσκων τὸν κανόνα εὑρήσει τούτους ἀρνησαμένους τὴν ἀντιστροφὴν τοῦ τιμήματος. ἐπεὶ γὰρ παρὰ τῇ ἐπισκοπικῇ διακρίσει τὰ περὶ τούτου ἀνέθεντο, κατὰ λόγον συμπαθέστερον καὶ εἶπον, ὡς ἀληθὴς ἀρχιερεὺς καὶ πρὸς τὸ τῆς ἐκκλησίας ἀποβλέψει ἀζήμιον, καὶ πρὸς τὸ τοῦ ἀγοράσαντος, καὶ ποιήσει τὸ δόξαν αὐτῷ ἀγαθοθελὲς καὶ ἀκατάγνωστον. κἂν μὴ ἀκριβές ἐστιν, ἔδοξαν ἀποφαίνεσθαι μὴ ἔχειν ἐνδυνάμον ἀγωγὴν τὸν ἠγορακότα, καὶ διὰ τοῦτο ὀφείλειν αὐτὸν παρακαλεῖν καὶ μὴ ἐνάγειν. ἀνάγνωσον καὶ κεφάλαιον δ΄. τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου, τὸν ἐν Καρθαγένῃ συνόδου κανόνα κϛ΄. καὶ τὸν ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον κανόνα ιβ΄. ὡσαύτως καὶ τὰς ἑρμηνείας τούτων.

A fuiſſe à ſacerdotibus alienata; rati non eſſe ferendum quod factum eſt, ea juſſerunt revocare Dominicum, ſeu Domini populum, utpote cùm venditio non potuerit conſiſtere, cùm propter multa alia, tum etiam quòd tempore venditionis vacâſſet Eccleſia. Perinde autem ac ſi dixiſſet quiſpiam, & quid fiet de pretio quod datum eſt ab emptore? pronunciârunt patres id eſſe ſitum in judicio Epiſcopi, & ipſe examinabit, an oporteat emptorem accipere pretium quod ab eo datum eſt, an non. Si enim ex reddita ejus, quod venditum eſt, ei ſatisfactum fuerit, ipſum immobile non reddita pecunia ad Epiſcopatum redibit: Sin minùs, B argumento à contrario ſumpto, pretium ab Epiſcopo recipiet. Et in his quidem canon conſiſtit. Interrogaverit autem quiſpiam, quamobrem canon Presbyterorum tantùm meminit, & non etiam reliquorum Clericorum? Solutio. Nomine Presbyterorum omnem quoque Clericum innuit. Cùm enim eorum meminerit, ut qui in gradu antecellant, de aliis quoque tractare viſum eſt. Si enim ſubvertatur venditio facta à Presbyteris; multo magis ſubvertetur quæ fit ab aliis Clericis. Quamobrem ne exiſtimaveris, per argumentum à contrario ſumptum, venditionem, quæ hoc modo fit ab aliis Clericis, eſſe validam. C Cùm autem ſubvertatur venditio, ut quæ conſiſtere non poſſit, quomodo dicunt patres, in judicio Epiſcopi eſſe ſitum, an pretium reddatur an non? Debebat omnino emptor pretium non repetere, cùm ſit univerſalis in jure regula, quæ dicit; Qui dat ob contractum illegitimum, non habet actionem ad repetendum quod datum eſt. Solutio. Non ſtatuerunt patres neceſſariò reddendum pretium, adverſus dictam legem; imo, ſi attentiùs legas canonem, invenies eos negaviſſe pretii redditum. Cùm enim id Epiſcopi judicio reliquerint, benigniori etiam ratione dixerunt, quòd verus Antiſtes & ad Eccleſiæ indemnitatem D reſpiciet, & ad emptoris, & quod ei æquum bonum videbitur, quodque non ſit condemnandum, faciet. Quòd ſi id non fit accuratè & exactè, viſi ſunt pronunciare, non habere emptorem efficacem actionem, & propter ea debere ipſum admonere, non autem agere. Lege etiam caput iv. epiſtolæ ſancti Cyrilli ad Domnum; Carthaginenſ. Syn. can. xxvi. Nicænæ Syn. ii. can. xii. ſimiliter & eorum interpretationes.

ΖΩΝΑΡ. Ἐὰν μὴ ὄντος ἐπισκόπου ἐκποιήσωνταί τινα τῶν διαφερόντων ἀκινήτων τῇ ἐκκλησίᾳ οἱ τοῦ κλήρου, διά τινα ἴσως κατεπείγουσαν χρείαν· διὰ γὰρ τῶν πρεσβυτέρων τὸν κλῆρον ἠνίξατο ὁ κανὼν, μνησθεὶς αὐτῶν τὸ ὑπερέχον τοῦ βαθμοῦ· ἀνακαλέσασθαι ταῦτα δύναται ἡ ἐκκλησία, ἤτοι ὁ ἐπίσκοπος. οὗ τῇ κρίσει ἀνατίθησιν ὁ κανὼν δοκιμάσαι, εἰ χρὴ ἀντιστραφῆναι τὸ τίμημα, ἢ μή. ἴσως γὰρ εὐπρόσοδον ὂν τὸ ἀκίνητον περιεποιήσατο τῷ ἀγοραστῇ πλείονα τὴν τιμήν. ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου εἰκοστὸς ἕκτος κανὼν ἀπρόσοδα ἀκίνητα δίδωσιν ἐκποιεῖσθαι, ἀνάγκης ἐπικειμένης, ἀλλὰ καὶ τὰ τοιαῦτα μετὰ διαστίξεως.

Zonar. Si quo tempore Eccleſia ſuo Epiſcopo E deſtituta eſt, neceſſariam forte ob cauſam, ex immobilibus ejus bonis Clerus quidpiam alienaverit, (Clerum ſiquidem Presbyterorum nomine canon intelligit, eorúmque potiſſimum, quod in ſuperiori ordine collocati ſint, meminit) id Eccleſia ſuo jure repetere, vel etiam Epiſcopus poterit. Cujus quidem judicio, reddendum ſit necne pretium, permitti placet. Fieri enim poteſt, ut ager forte admodum fertilis magno pretio emptori ſit addictus. Carthaginenſis vero Syn. canon xxvi. infructuoſas poſſeſſiones, ſi neceſſitas urgeat, ſed cum aliquo id quoque diſcrimine alienari ſinit.

ΑΡΙΣΤ. Ἐάν τι τῆς ἐκκλησίας πρεσβύτεροι διαπράσοιεν, ἔστω ἀβέβαιον, καὶ μενέτω τῇ κρίσει τοῦ ἐπισκόπου.

Arist. *Si Presbyteri quippiam ad Eccleſiam pertinens* F *vendiderint, irritum ſit, & penes Epiſcopi judicium maneat.*

Τελευτήσαντος ἐπισκόπου τὰ τῆς ἐκκλησίας πράγματα ἀμείωτα ὀφείλουσι φυλάττεσθαι, παρὰ τῶν κληρικῶν· ἢ κληρικῶν μὴ ὑπόντων, παρὰ τοῦ μητροπολίτου· ὥστε πάντα ἀποδοθῆναι τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ, καὶ μήτε παρὰ τοῦ μητροπολίτου, ἢ τῶν κληρικῶν σφετερίζεσθαί τι, ἢ ἀφαιρεῖσθαι τούτων· μήτε μὴν τὴν χηρεύουσαν ἐκκλησίαν ἐπὶ πολὺ ἀνεπίσκοπον μένειν· ἀλλ᾽ ἐντὸς μηνῶν τριῶν τὰς χειροτονίας τῶν ἐπισκόπων γίνεσθαι· εἰ μή που

Vitâ functo Epiſcopo Eccleſiæ bona imminuta à Clericis cuſtodiri debent. Vel ſi nulli ſint Clerici à Metropolitano ut omnia Epiſcopo qui poſtea ordinatus erit, reddantur, & neque à Metropolitano neque à Clericis in ſuum commodum eorum aliquid converti aut auferri, nec Eccleſiam diù vacantem manere oportet, ſed intra tres menſes Epiſcopum ordinari; niſi forſitan inexorabilis aliqua neceſſitas tempus ex-

A tendi fecerit. Si quid itaque ex Ecclesiæ bonis tempore intermedio Clerici vendant, quo Ecclesia Episcopo vacat, infirmum erit, & penes Episcopi potestatem erit, aut venditionem evertere, ipsumque bonum recipere, aut eâ contentum esse, & pretium illius accipere; quære Synodi Chalcedonensis canonem trigesimum quintum.

CANON XVI.

De iis, qui rationis expertia animalia inierunt, vel ineunt, quicunque, priùs quam viginti quidem annos B *nati essent, peccarunt, postquam xv. annis substrati fuerint, communionem orationis assequantur. Deinde & cùm in communione quinque annis perseveraverint, tunc etiam oblationem attingant. Examinetur autem & eorum in substratione vita; & ita humanitatem consequantur. Quod si qui perseverantiùs his peccatis adhæserint, longam substrationem habeant. Quicunque autem hanc ætatem transgressi, & habentes uxores in hoc peccatum inciderunt, xxv. annis substrati, communionem orationis assequantur: deinde cùm in precum communione quinque annos* C *peregerint, oblationem assequantur. Si qui autem & uxores habentes, & quinquagesimum annum transgressi, peccaverunt, in vitæ exitu communionem assequantur.*

Bals. Admirabilem & magna laude dignam divisionem hîc patres faciunt. Decernunt enim, ut qui cum ratione carentibus animalibus coierint, vel etiam coeunt, dicendum est autem, & etiam coituri sunt, si non sint quidem viginti annos nati, xv. annis substernantur, & postea digni qui cùm fidelibus orent D quinquennio habeantur: eo autem expleto, divinorum quoque sint sacramentorum participes; debente Episcopo se in eos humaniùs gerere, si fortè pia eorum in substratione conversatio & pœnitentia id suadeat. Hæc autem dicunt in eos debere fieri, qui naturali quandoque necessitate peccant. Qui enim ad satietatem, id est, plusquam usus exigit, & indiscriminatim, ferino hoc & à ratione abhorrenti peccato usi sunt, longo tempore substernantur. Qui autem vigesimum annum excesserint, & uxores habentes in hoc peccatum inciderint, viginti quinque annis substerni oportere decernitur: & sic E communione cum fidelibus quinquennio dignos haberi. His autem etiam impletis, divina quoque sacramenta assequi. Qui autem quinquagesimum annum transgressi, si & uxores habentes in tale quid inciderint, divina nunquam digni communione habebuntur, nisi in ipso vitæ exitu. Quoniam autem sancti patres eos qui peccant in tria divisêre; & jusserunt, aliter puniri eos, qui ad vigesimum annum nondum pervenerunt; aliter eos, qui quinquagesimum attigêre annum; aliterque qui illum excesserunt: (Iis enim, qui sunt ætate minores, peccantibus ignoscunt, propter naturæ necessitatem, & F propter rationis & consilii infirmitatem: qui autem majoris sunt ætatis, & ideo firmioris & stabilioris rationis, eos magis puniunt; quemadmodum & ætate provectis, qui tale quid fecerunt, graviorem pœnam infligunt, ut sapientioribus, & qui non possint naturæ necessitatem prætexere.) Interrogaverit quispiam, cur eos quidem, qui vigesimum annum & quinquagesimum excesserunt, uxores habentes, peccantesque, patres puniunt: qui xx. autem annum nondum impleverunt, etiamsi uxores non habeant, puniunt? Solutio. In eos, qui ob florentem ætatem sunt in malum procliviores, iidémque insipientiores, patres humaniùs affecti sunt;

τις ἀπαραίτητος ἀνάγκη τὸν καιρὸν ἐπεκταθῆναι παρασκευάσει. εἴ τι οὖν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐν τῷ μεταξὺ τοῦ καιροῦ οἱ κληρικοὶ διαπεράσωσι, καθ᾽ ὃν ἐπισκόπου ἡ ἐκκλησία χηρεύει· ἔσται ἀβέβαιον, καὶ παρὰ τῇ ἐξουσίᾳ τοῦ ἐπισκόπου κείσεται, ἢ τὴν πρᾶσιν ἀνατρέψαι, καὶ ἐπαναλαβεῖν τὸ πρᾶγμα, ἢ στέρξαι ταύτην, καὶ ἀπολαβεῖν τὴν τιμήν. ζήτει τὸν ἐν Χαλκηδόνι συνόδου κανόνα λε΄.

ΚΑΝΩΝ ις΄.

Περὶ τῶν ἀλογευσαμένων, ἢ καὶ ἀλογευομένων, ὅσοι πρὶν εἰκοσαετεῖς γενέσθαι ἥμαρτον, πέντε καὶ δέκα ἔτεσιν ὑποπεσόντες κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς. εἶτα καὶ ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν. ἐξεταζέσθω δὲ αὐτῶν καὶ ὁ ἐν τῇ ὑποπτώσει βίος· καὶ οὕτως τυγχανέτωσαν τῆς φιλανθρωπίας. εἰ δέ τινες κατακόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν. ὅσοι δὲ ὑπερβάντες τὴν ἡλικίαν ταύτην, καὶ γυναῖκας ἔχοντες περιπεπτώκασι τῷ ἁμαρτήματι, πέντε καὶ εἴκοσι ἔτη ὑποπεσέτωσαν, καὶ κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα, ἐκτελέσαντες πέντε ἔτη ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, τυγχανέτωσαν τῆς προσφορᾶς. εἰ δέ τινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὸν πεντηκοστὸν χρόνον, ἥμαρτον, ἐπὶ τῇ ἐξόδῳ τοῦ βίου τυγχανέτωσαν τῆς κοινωνίας.

ΒΑΛΣ. Θαυμασίαν διαίρεσιν καὶ πολλοῦ ἀξίαν ἐπαίνου ποιοῦσιν οἱ πατέρες ἐνταῦθα. διατάττονται γάρ, ὡς οἱ μετὰ ἀλόγων ζώων συμφθαρέντες ἢ καὶ συμφθειρόμενοι, ῥητέον δὲ καὶ συμφθαρησόμενοι, εἰκοσαετεῖς μὲν μὴ ὄντες, πεντεκαίδεκα ἔτη ὑποπιπτέτωσαν, καὶ μετὰ τοῦτο τῆς μετὰ τῶν πιστῶν εὐχῆς ἀξιούσθωσαν ἐπὶ πενταετίαν· καὶ ταύτης δὲ πληρωθείσης, μεταλαμβανέτωσαν τῶν θείων ἁγιασμάτων, τοῦ ἐπισκόπου ὀφείλοντος φιλανθρωπότερόν τι ἐπ᾽ αὐτοῖς ποιεῖν, εἴπερ ἴσως τοῦτο παρακαλεῖ ἡ κατὰ τὴν ὑπόπτωσιν θεάρεστος αὐτῶν ἀναστροφὴ καὶ μετάνοια. ταῦτα δέ φασιν οὕτω γίνεσθαι εἰς τοὺς ἀπὸ φυσικῆς ἀνάγκης ἐνίοτε ἁμαρτάνοντας. οἱ γὰρ κατακόρως, τουτέστιν, ὑπὲρ τὴν χρείαν καὶ ἀδιαφόρως χρησάμενοι τῇ ἀλογίστῳ ταύτῃ ἁμαρτίᾳ, ἐπὶ μακρὸν χρόνον ὑποπιπτέτωσαν. τοὺς μέντοι ὑπερβάντας τὸν εἰκοσαετῆ χρόνον, καὶ γυναῖκας ἔχοντας περιπεσόντας τῷ ἁμαρτήματι τούτῳ ἐπὶ πέντε καὶ εἴκοσι χρόνους ὑποπίπτειν διορίζονται, καὶ οὕτω τῆς μετὰ τῶν πιστῶν κοινωνίας ἀξιοῦσθαι ἐπὶ χρόνους πέντε. πληρωθέντων δὲ καὶ τούτων τυγχάνειν καὶ τῶν θείων ἁγιασμάτων. οἱ δὲ τὸν πεντηκονταετῆ χρόνον ὑπερβάντες, ἐὰν καὶ γυναῖκας ἔχοντες εἰς τοιοῦτόν τι περιπέσωσιν, οὐδέποτε τῆς θείας ἀξιωθήσονται μεταλήψεως, εἰ μὴ ἐν τῇ ἐξόδῳ τοῦ βίου. ἐπεὶ δὲ εἰς τρία διεῖλον οἱ ἅγιοι πατέρες τοὺς ἁμαρτάνοντας, καὶ παρεκελεύσαντο ἄλλως κολάζεσθαι τοὺς μὴ φθάσαντας εἰς εἰκοσαετῆ χρόνον, καὶ ἄλλως τοὺς εἰς πεντηκονταετίαν καταντήσαντας, καὶ ἄλλως τοὺς ὑπερβάντας τὸν πεντηκονταετῆ χρόνον (τοῖς μὲν γὰρ ἐλάττονος ἡλικίας οὖσι συγγνωμονοῦσιν ἁμαρτάνουσι διὰ τὴν ἀνάγκην τῆς φύσεως, καὶ διὰ τὸ ὀλισθηρὸν τοῦ φρονήματος. τοὺς δὲ μείζονος ὄντας ἡλικίας καὶ κατὰ τοῦτο στερεωτέρους περὶ τὸ νοεῖν, πλειόνως κολάζουσι, ὥσπερ καὶ τοὺς εἰς γῆρας ἐληλακότας τοιοῦτόν τι ἐπταικότας ἐπὶ πλέον τιμωροῦσιν, ὡς συνετωτέρους καὶ μὴ δυναμένους φυσικὴν ἀνάγκην προβαλέσθαι) ἐρωτήσει τις, διατί τοὺς μὲν ὑπερβάντας τὸν κ΄. χρόνον καὶ τὸν ν΄. γυναῖκας ἔχοντας καὶ πταίσαντας, οἱ πατέρες κολάζουσι, τοὺς δὲ μὴ πληρώσαντας τὴν εἰκοσαετίαν, κἂν γυναῖκας οὐκ ἔχωσι, τιμωροῦσι; Λύσις. εἰς τοὺς ἔτι διὰ τὴν ἡλικίαν περὶ τὸ κακὸν ἀκμάζοντας, καὶ ὄντας ἀφρονεστέρους, φιλανθρωπότερον οἱ πατέρες διετέθησαν, καὶ οὐ προσέθεντο τὴν περὶ τῆς γυναικῶν διάστιξιν, ἀδιάφορον ἡγησάμενοι τὸ ἔχειν τούτους γυναῖκας εἴτε καὶ μή· τοὺς δὲ λοιποὺς πλέον βαρύνοντες, ὡς μὴ συγγινωσκομένους ἢ ἀπὸ παθημάτων ἀκμῆς ἢ ἀπὸ ἡλικίας ἀστηρίκτου, ἐπήγαγον ἐπὶ πλέον τούτους τιμωρεῖσθαι, εἴπερ ἔχουσι καὶ γυναῖκας. πλὴν γίνωσκε, ὡς καὶ μὴ ἔχοντες γυναῖκας οὐκ ἐκφεύξονται τὰ ἐπιτίμια, ἀλλὰ παρομοίως κολασθήσονται. μακρὰν μέντοι ὑπόπτωσιν τινὲς εἶπον τὴν εἰκοσαετῆ, κατασκευάζοντες τοῦτο ἀπὸ τοῦ νόμου, τοῦ λέγοντος διὰ μακροῦ χρόνου, τουτέστιν, εἰκοσαετοῦς, δεσπόζεσθαι παρὰ τοῦ καλῇ πίστει νομέως τὸ τοῦ ἀπόντος ἀκίνητον. οὐκ ἤρεσαν δὲ τοῦτο λέγοντες, διὰ τὸ λέγεσθαι μακρὸν χρόνον καὶ τὸν δεκαετῆ, δι' οὗ ὁ καλῇ B πίστει νομεὺς δεσποτείαν κτᾶται ἀκινήτου διαφέροντος παρόντι τινὶ, ἀλλ' ἤκουσαν μακρὸν χρόνον ἐκεῖνον εἶναι, τὸν ὑποτετυπωμένον παρὰ τοῦ ἐπισκόπου. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, δι' ἑνὸς ἐπιτιμίου, τῆς ἀποχῆς δηλονότι τῶν θείων ἁγιασμάτων, τιμωρεῖσθαι τοὺς ἐν γήρᾳ οὕτως ἐπταικότας, μὴ εἴπῃς τὰ ἄλλα ἐπιτίμια μὴ ἐπάγεσθαι ὡς παρασιωπηθέντα. τῷ γὰρ φρικτῷ τούτῳ ἐπιτιμίῳ ἐξ ἀνάγκης ἕπονται καὶ τὰ λοιπὰ, καὶ εἰ μὴ πλείονα, ἀλλὰ τέως τριάκοντα ἔτη καὶ αὐτοὶ δουλεῦσαι τοῖς ἐπιτιμίοις ἀναγκασθήσονται. οὐ προσετέθησαν δὲ οἱ τοσοῦτοι χρόνοι παρὰ τῶν πατέρων, διὰ τὸ μετρητοὺς πάνυ ἀνθρώπους ζῆν ἐπὶ χρό- C νοις τριάκοντα ψηφιζομένοις μετὰ τὴν πεντηκονταετίαν.

A nec de uxoribus diſtinctionem admiſerunt, nihil referre arbitrati an uxores habeant, an non: reliquos autem ſeveriùs excipientes, ut quibus neque propter perturbationum vehementiam, nec ætatis inſtabilitatem venia detur; intulerunt eos etiam magis puniri, ſi quidem uxores habent. Scias tamen, quòd etiam qui uxores non habent, pœnas non effugient: ſed ſimiliter punientur. Longam autem ſubſtrationem dixerunt nonnulli, tempus viginti annorum, hoc ex lege probantes, quæ dicit, longo tempore, id eſt, viginti annis, à bonæ fidei poſſeſſore uſucapi & dominio acquiri abſentis rem immobilem. Hoc autem dicentes non placuerunt, eò quòd etiam longum tempus dicatur decennium, quo bonæ fidei poſſeſſor dominium acquirit rei immobilis, quæ ad præſentem pertinet: ſed audierunt, longum eſſe tempus quod ab Epiſcopo definitur. Cùm autem audis canonem dicentem, per unam pœnam, ſcilicet, à ſacramentis abſtinentiam, eos puniri, qui ſic in ſenectute deliquerunt; ne dicas alias pœnas non induci, ut quæ fuerint ſilentio præteritæ. Hanc enim horrendam pœnam reliquæ quoque neceſſariò conſequuntur, ſi non plures: quin & ad annos uſque triginta ipſi pœnis ſervire cogentur. Non ſunt autem à patribus adjecti tot anni; quòd pauci admodum homines vivant triginta annis poſt quinquaginta computatis.

ΖΩΝΑΡ. Τοὺς ζώοις ἀλόγοις συμφθαρέντας, οὐχ ὁμοίως πάντας οἰκονομεῖσθαι ὁ κανὼν διατάττεται, ἀλλὰ διαφορὰς ποιεῖται κατὰ τὰς ἡλικίας αὐτῶν. τοὺς μὲν γὰρ μήπω τὸν εἰκοστὸν φθάσαντας χρόνον πεντεκαίδεκα ἔτη βούλεται ὑποπίπτειν, εἶτα ἐν ἄλλοις πέντε ἔτεσι κοινωνεῖν τοῖς πιστοῖς τῶν εὐχῶν, ἀντὶ τοῦ συνίστασθαι αὐτοῖς καὶ συνεύχεσθαι, καὶ μετὰ τὰ πέντε ἔτη τῆς συστάσεως μεταλαμβάνειν καὶ τῶν θείων δωρεῶν. χρὴ δέ, φησι, καὶ τὴν διαγωγὴν αὐτῶν ἐξετάζεσθαι, τὴν ἐν τοῖς χρόνοις τῶν ἐπιτι- D μίων, ὡς εἴγε ἀδιαφόρως καὶ ἐν τοῖς καιροῖς τούτοις ζῶσι, καὶ οὐκ ἐνδείκνυνται θερμότητα ἐν τῇ μετανοίᾳ, οὐκ ἂν τύχωσι φιλανθρωπίας. εἰ δέ τινες, φησιν, ἐπὶ μακρὸν χρόνον ἥμαρτον, καὶ εἰς κόρον ἐνεφορήθησαν τοῦ κακοῦ, οἱ τοιοῦτοι τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν, ἤτοι τὸν εἰκοσαετῆ χρόνον. καὶ παρὰ τοῖς πολιτικοῖς γὰρ νόμοις, μακρὸς χρόνος ὁ εἰκοσαετὴς λέγεται. καὶ ταῦτα μὲν περὶ νέων φησὶν ὁ κανὼν, καὶ μηδὲ γυναῖκας ἐχόντων. ὅσοι δὲ τὴν τῆς νεότητος ἡλικίαν ὑπερβάντες, καὶ εἰς ἄνδρας καταστάντες, καὶ γυναιξὶ συζῶντες περιέπεσον τῷ ἁμαρτήματι τούτῳ, τοὺς τοιούτους ὑποπίπτειν μὲν λέγει ὁ κανὼν εἴκοσι καὶ E πέντε ἔτη, καὶ οὕτως ἕτερα πέντε κοινωνεῖν τοῖς πιστοῖς τῶν εὐχῶν, καὶ μετὰ τὰ τριάκοντα ἔτη τυγχάνειν τῆς ἁγίας μεταλήψεως· τοὺς δὲ καὶ γυναῖκας ἔχοντας, καὶ εἰς γῆρας ἤδη κλίναντας, καὶ ἔτι τῷ κακῷ τούτῳ συνεχομένους, οὐδέποτε βούλεται ἀξιοῦσθαι τῆς θείας μεταλήψεως, εἰ μὴ ἐν τῇ ἐξόδῳ τοῦ βίου.

Zonar. Qui cum beſtiis ratione carentibus rem habuêre, non omnes eodem modo, ſed variè pro ætatum varietate, puniendos eſſe canon decernit. Qui enim xx. annum nondū exceſſêre, quindecim annos ſubſterni, tum aliis quinque cum fidelibus in precatione communicare, hoc eſt, cum eis ſimul conſiſtere precibúſque fundendis vacare, ac eo quinquennio exacto divinis quoque muneribus potiri jubet. Vitam quoque, inquit, ipſorum, interea dum criminibus expiandis obnoxii ſunt, obſervare oportet: ita ut ſi illo quoque pœnitentiæ tempore diſſolutè vitam agant, nec ullum in eluendis criminibus animi ardorem demonſtrent, nulla ſit eis viciſſim benignitas impertienda. Quòd ſi qui, inquit, longo tempore in ſceleribus volutati ſunt, ſeque improbitate affatim expleverunt; longo quoque tempore, viginti ſcilicet annis, in ſubſtratione degant. Nam civilium quoque legum æſtimatione, viginti annorum ſpatio tempus longum definiri cenſetur. Atque hæc quidem de junioribus; nec matrimonio ſociatis, canon ſtatuit. Quicunque vero ætatis hujus, adoleſcentiæ nimirum, limites transgreſſi, atque in viros relati, uxoribúſque conjuncti eo ſe flagitio contaminavêre; illos canon quinque & viginti annos in ſubſtratione agere, tum deinde quinquennio fidelium precibus communicare, atque exactis demum xxx. hiſce annis ſacra communione potiri jubet: Qui vero uxoribus copulati, ætateque jam affecta, hujuſmodi ſe nihilominus crimine implicuêre; non aliàs, quam in extremo ſpiritu, ſacræ communionis participes fieri licere decernit.

ΑΡΙΣΤ. Ο ἀλογευσάμενος πρὸ τῶν εἴκοσι χρόνων, πεντεκαίδεκα ἔτεσιν ὑποπιπτέτω· εἰ δὲ καὶ τὴν ἡλικίαν ταύτην ὑπερβὰς, καὶ γυναῖκα ἔχων, περιπέπτωκε, πέντε καὶ εἴκοσιν ἔτεσιν ὑποπιπτέτω. ὁ δὲ καὶ γυναῖκα ἔχων, F καὶ ὑπὲρ τὰ πεντήκοντα τελῶν ἔτη, ἄχρι τῆς ἐξόδου ὑποπιπτέτω.

Ariſt. *Qui rationis expertia animalia iniverit ante annos viginti, quindecim annis ſubſternatur. Si iſtam vero ætatem exceſſerit, & uxorem habuerit, in iſtud vero facinus inciderit, quinque & viginti annis ſubſternatur. Qui verò & uxorem habuerit, & quinquaginta annos tranſegerit uſque ad vitæ exitum ſubſternatur.*

Τὸ μὲν ὀγδοηκοστὸν πρῶτον κεφάλαιον τοῦ τριακοστοῦ ἑβδόμου τίτλου τοῦ ἑξηκοστοῦ βιβλίου τῶν βασιλικῶν, ἀλογευσαμένους λέγει τοὺς κτηνοβάτας· οὓς καὶ προστάττει καυλοκοπεῖσθαι· καὶ τοὺς μετὰ ἀρρένων τὴν ἀσχημοσύνην ἐργαζομένους. οὓς καὶ διορίζεται ὁ κανὼν εἰ μὲν ἥττονες τῶν εἴκοσι χρόνων εἰσὶν, ἐπὶ πεντεκαίδεκα ἔτεσιν ὑποπίπτειν, καὶ ἐφ' ἕτερα πέντε συνίστασθαι μετὰ τῶν πιστῶν, καὶ μόνων τῶν εὐχῶν κοινωνεῖν· εἶτα τῶν θείων ἁγιασμάτων ἐφάπτεσθαι.

Octogeſimum quidem primum caput trigeſimi ſeptimi tituli ſexageſimi libri Baſilicorum à ratione aberrantes vocat eos, qui jumenta ineant, eoſque virile diſſectos eſſe mandat, & eos qui cum maſculis turpitudinem committunt: quos & ſtatuit canon, ſi viginti annis minores eſſent, quindecim annos ſubſterni, & alios quinque conſiſtere cum fidelibus, & precum ſolarum participes eſſe, poſtea divina Sacramenta attingere. Eos autem qui viginti annos tranſilierunt, & uxores habent, & in hujuſmodi paſſionem incidunt, cùm viginti quinque annos in ſubſtratione tranſegerint, & alios quinque in precum communione, poſtea divinorum Sacramentorum participes eſſe. Eos autem qui quinquageſimum annum tranſegerunt, uxores habentes, totam vitam ſubſterni, & in diſceſſu boni viatici compotes fieri.

Canon XVII.

Eos, qui rationis expertia animantia inierunt, ſive qui leproſi ſunt vel fuerunt, juſſit ſancta Synodus inter hybernantes orare.

Bals. De iis, qui ratione carentia animalia ineunt, in præterito canone ſatis diximus. Præſens autem canon eos leproſos nominans, ſive immundos & pollutos, juxta legem Moſaïcam, decernit ut inter hybernantes orent. Dixerunt autem nonnulli, eos hybernantes appellari, qui ſunt à Dæmone correpti: Non eſt autem hoc verum, ut mihi videtur. Qui enim à Dæmone corripiuntur, vel perpetuò inſaniunt, & nunquam precantur; vel ex intervallo, & communicare eis permittitur: quod iis, qui cum beſtiis coierint, ex hoc loco non conceditur. Hybernantes ergo proprie appellabuntur, qui ſtant in narthece, & divinas ſcripturas audiunt; qui locum eorum tenent, qui hyeme ſeu tempeſtate agitantur, & in Eccleſiaſticum ſalutis portum ingredi non ſinuntur. Quòd autem ita ſit, ex iis manifeſtum eſt, quæ in canonem ſuperiorem dicta ſunt. Quoniam enim in illo de aliis quidem locis, ſubſtrationis ſcil. & communionis, quæ conſentanea fuerunt, patres juſſêre; auditione autem nihil penitus tractarunt: hîc de hoc quoque loco definierunt; ut illic ſubauditur. Neque enim fieri poterat, ut qui ſic puniretur, ante ſubſtrationem in loco audientium non ſtaret.

Zonar. Qui cum beſtiis rem habuêre, & lepra infecti, hoc eſt, impuri pollutique ſunt, (hoc autem ex Moſaicæ Legis præſcripto, quem lepra invaſiſſet pollutum exiſtimante) vel qui lepra infecti fuere, hoc eſt, à quibus ipſæ quoque beſtiæ pollutæ ſunt, inter hybernantes, hoc eſt, cum hybernantibus orare ſyn. decreto jubentur. Hybernantes porro nonnulli Dæmone correptos dicunt; ſed ego eos hoc loco à Syn. Patribus intelligi haud exiſtimo. Nam Dæmone correpti vel omnino furioſi ſunt, ac perpetuo inſanientes nullo unquam tempore precationi vacant; vel ex intervallo laborant, eiſque interea, dum ſui compotes ſunt, ex Timothei Alexandrini canone tertio, etiam communicare permiſſum. Quòd ſi cùm iis, qui ex intervallo à Dæmone agitantur, ſine diſcrimine beſtiariis hujuſmodi deſultoribus precari conceſſum ſit; quæcunque ſuperiori canone de variis peccantium ordinibus conſtituta fuerant, hic canon evertit. Quid ſit igitur inter hybernantes orare haud facile dixerim.

Arist. *Leproſus qui beſtias iniit, vel etiam leprâ infecit, cum hybernantibus comprecetur.*

Quandoquidem immundus erat in lege Moſaïcâ leproſus, idcirco canon eum qui jumenta iniit, ut immundum vocat leproſum. Vult itaque eos qui cum mulieribus præter naturam, aut cum maſculis, aut cum beſtiis turpitudinem commiſerunt, ſeque leproſos reddiderunt, & aliis de ſuâ impertiuntur immunditiâ ut immodicè utentes paſſione, cum hybernantibus comprecari. Hybernantes autem ſunt ſecundùm magnum Dionyſium qui à ſpiritu pravo vexantur, qui cum fidelibus orare non permittebantur, ſed loca habebant præſcripta & in iis preces effundebant. Quære Baſilii magni can. lxii. & lxiii. & ob eandem laſciviam pœnas majores invenies.

A τοὺς δὲ τοὺς εἴκοσι ὑπερβάντας χρόνους, καὶ γυναῖκας ἔχοντας καὶ τῷ τοιούτῳ περιπεσόντας πάθει· εἴκοσι καὶ πέντε ἔτη τελέσαντας ἐν τῇ ὑποπτώσει, καὶ ἕτερα πέντε ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, μετὰ ταῦτα τυγχάνειν τῆς μετοχῆς τῶν θείων ἁγιασμάτων· τοὺς δὲ τὸν πεντηκονταετῆ χρόνον ὑπερελάσαντας, γυναῖκας ἔχοντας· ὑποπίπτειν διὰ βίου παντὸς, καὶ ἐν τῇ ἐξόδῳ τοῦ ἀγαθοῦ ἐφοδίου ἐπιτυγχάνειν.

ΚΑΝΩΝ ιζ'.

Τοὺς ἀλογευσαμένους καὶ λεπροὺς ὄντας, ἤτοι λεπρώσαντας, τούτους προσέταξεν ἡ ἁγία σύνοδος εἰς τοὺς χειμαζομένους εὔχεσθαι.

B

ΒΑΛΣ. Περὶ τῶν ἀλογευσαμένων ἱκανῶς διελάβομεν ἐν τῷ προλαβόντι κανόνι. ὁ δὲ παρὼν κανὼν, λεπροὺς τούτους κατονομάζων, ἤτοι ἀκαθάρτους, καὶ μεμιασμένους, κατὰ τὸν Μωσαϊκὸν νόμον, διορίζεται εὔχεσθαι αὐτοὺς εἰς τοὺς χειμαζομένους. εἶπον οὖν τινες χειμαζομένους εἶναι τοὺς δαιμονῶντας. οὐκ ἔστι δὲ τοῦτο ἀληθὲς, ὡς ἐμοὶ δοκεῖ. οἱ γὰρ δαιμονῶντες, ἢ δι' ὅλου μεμήνασι καὶ οὐδέποτε εὔχονται, ἢ ἐκ διαλείμματος, καὶ μεταλαμβάνειν παραχωροῦνται· ὅπερ εἰς τοὺς ἀλογευομένους ἀπεντεῦθεν οὐ παραχωρεῖται. χειμαζόμενοι τοίνυν κληθήσονται κυρίως, οἱ ἐν τῷ νάρθηκι ἱστάμενοι, καὶ ἀκροώμενοι τῶν θείων γραφῶν, τόπον ἐπέχοντες χειμαζομένων, καὶ εἰς τὸν ἐκκλησιαστικὸν λιμένα τῆς σωτηρίας εἰσελθεῖν μὴ παραχωρούμενοι. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δῆλον καὶ ἀπὸ τῶν ῥηθέντων εἰς τὸν διελθόντα κανόνα. ἐπεὶ γὰρ ἐκείνῳ περὶ μὲν τῶν ἄλλων τόπων, ἤγουν τῆς ὑποπτώσεως καὶ τῆς κοινωνίας, τὰ εἰκότα οἱ πατέρες παρεκελεύσαντο, περὶ δὲ τῆς ἀκροάσεως οὐδέν τι διέλαβον, ὥρισαν ἐνταῦθα καὶ τὰ περὶ τοῦ τοιούτου τόπου, ὡς ἂν κἀκεῖσε ἐξακούηται. ἀδύνατον γὰρ ἦν, τὸν οὕτως ἐπιτιμούμενον μὴ στῆναι εἰς τὸν τόπον τῶν ἀκροωμένων πρὸ τῆς ὑποπτώσεως.

C

D

ΖΩΝΑΡ. Τοὺς ζώοις ἀλόγοις συμφθαρέντας καὶ λεπροὺς ὄντας, ἀντὶ τοῦ ἀκαθάρτους, μεμιασμένους (τοῦτο δὲ κατὰ τὸν Μωσαϊκὸν νόμον, ὃς τοὺς λεπροὺς ἀκαθάρτους ὀνόμαζεν) ἤτοι λεπρώσαντας ἤγουν καὶ αὐτὰ τὰ ζῶα μιάναντας τούτους, ἡ σύνοδος διετάξατο, εἰς τοὺς χειμαζομένους εὔχεσθαι, ἤτοι μετὰ τῶν χειμαζομένων. χειμαζομένους δέ τινες καλοῦσι τοὺς δαιμονῶντας, οὐκ οἶμαι δὲ τούτους λέγειν ἐνταῦθα τοὺς τῆς συνόδου πατέρας. οἱ γὰρ δαιμονῶντες, ἢ διόλου μεμήνασι, καὶ οὐδέποτε εὔχονται ἀδιάλειπτον ἔχοντες τὴν μανίαν, ἢ ἐκ διαλειμμάτων πάσχουσι, καὶ ἐν τοῖς διαλείμμασιν, ὅτε σωφρονοῦσι, καὶ μεταλαμβάνειν παραχωροῦνται, κατὰ τὸν γ'. κανόνα τοῦ Ἀλεξανδρέως Τιμοθέου. εἰ οὖν τοῖς ἐκ διαλειμμάτων δαιμονῶσι συνεύξονται ἀδιακρίτως οἱ ἀλογευσάμενοι, ἠπράκτησαν διὰ τοῦτο τοῦ κανόνος αἱ αἱρέσεις καὶ διατάξεις τοῦ προλαβόντος κανόνος. τί οὖν ἐστι τὸ εἰς τοὺς χειμαζομένους εὔχεσθαι, οὐκ ἔχω εἰπεῖν.

E

ΑΡΙΣΤ. Ὁ λεπρὸς ἀλογευσάμενος, ἢ καὶ λεπρώσας, τοῖς χειμαζομένοις συνεύχοιτο.

Ἐπειδὴ ἀκάθαρτος ἦν ὁ λεπρὸς ἐν τῷ νόμῳ τῷ τοῦ Μωσέως· κατὰ τοῦτο καὶ ὁ κανὼν τὸν ἀλογευσάμενον, ὡς ἀκάθαρτον κατονομάζει λεπρόν. βούλεται οὖν τοὺς τοιούτους τοὺς ἐν γυναιξὶ παρὰ φύσιν, ἢ ἐν ἄρρεσιν, ἢ ἐν ἀλόγοις τὴν αἰσχύνην ἐργαζομένους, καὶ λεπρώσαντας ἑαυτοὺς, ἢ καὶ ἑτέροις τῆς οἰκείας μεταδόντας ἀκαθαρσίας, ὡς κατακόρως χρησαμένους τῷ πάθει, μετὰ τῶν χειμαζομένων συνεύχεσθαι. χειμαζόμενοι δέ εἰσι, κατὰ τὸν μέγαν Διονύσιον, οἱ ὑπὸ πνεύματος πονηροῦ κατεχόμενοι, οἳ μετὰ τῶν πιστῶν οὐ συνεχωροῦντο εὔχεσθαι, ἀλλὰ τόπους εἶχον ἀφωρισμένους, καὶ ηὔχοντο ἐν αὐτοῖς. ζήτει τοῦ μεγάλου Βασιλείου κανόνα ξβ'. καὶ ἑξηκοστὸν τρίτον. καὶ εὑρήσεις ἐπὶ τῶν τοιούτων ἀσελγειῶν ἥττονα τὰ ἐπιτίμια.

F

A

ΚΑΝΩΝ ιη.

Εἴ τινες Ἐπίσκοποι κατασταθέντες, καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης, εἰς ἣν ὠνομάσθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ βιάζεσθαι τοὺς καθεστῶτας, καὶ στάσεις κινεῖν κατ᾽ αὐτῶν, τούτους ἀφορίζεσθαι. ἐὰν μέντοι βούλοιντο εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τιμῆς· ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεστῶτας ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοῖς καὶ τὴν τιμὴν τοῦ πρεσβυτερίου καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους.

B ΒΑΛΣ. Ὁ ιδʹ. κανὼν τῶν ἁγίων ἀποστόλων καὶ ὁ ιεʹ. καὶ ὁ λςʹ. ἀλλὰ μὴν καὶ ὁ ιζʹ. καὶ ὁ ιηʹ. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, πολλά τινα διαλαμβάνουσι περὶ τῶν χειροτονουμένων ἐπισκόπων, καὶ μὴ δεχομένων ὑπὸ τῶν παροικιῶν αὐτῶν, καὶ ἀνάγνωθι τούτους. ὁ μέντοι παρὼν κανὼν διορίζεται, τοὺς μὴ δεχθέντας ἐπισκόπους, εἰς ἃς ὠνομάσθησαν παροικίας, μὴ ἀπέρχεσθαι εἰς ἑτέρας, καὶ βιάζειν τοὺς προέδρους αὐτῶν, καὶ μήτε μὴν διεγείρειν κατὰ τούτων τοὺς ὑπ᾽ αὐτοὺς κληρικούς τε καὶ λαϊκούς. τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας ἀφορίζεσθαι. ὡς δὲ τινὸς εἰπόντος, καὶ ποῖος ἔσται τόπος κατοικίας τοῖς τοιούτοις; ἐπήγαγον οἱ πατέρες, ὡς εἰ βούλοιντο οἱ χειροτονηθέντες διάγειν εἰς ἑτέρας παροικίας, C ἤγουν εἰς τὰς προτέρας κατοικίας αὐτῶν, καὶ ἀνέχονται εἰς πρεσβυτέρου τόπου καθῆσθαι, οὐ κωλυθήσονται· τοίνυν καὶ οὕτω μὲν ποιοῦντες ἀνενόχλητοι διατηρηθήσονται, ἔχοντες τὴν τοιαύτην τιμήν. ἐὰν δὲ στάσεις καὶ διαφορὰς ἔχωσι μετὰ τοῦ ἐγχωρίου Ἐπισκόπου, ἀφαιρεθήσονται καὶ τὴν τοῦ πρεσβυτέρου τιμήν, καὶ γενήσονται ἐκκήρυκτοι. ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ εἴπῃς τοὺς μὴ δεχθέντας ἐπισκόπους καθῆσθαι εἰς τοὺς τόπους τῶν πρεσβυτέρων διὰ ὑπόπτωσιν τῆς τιμῆς τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ἀλλὰ διὰ τὸ μὴ εἶναι ἕτερον τόπον τοῦ πρεσβυτερίου μείζονα. τυχὸν γὰρ τινὸς ἐξ αὐτῶν ὄντος ἀπὸ Ἡρακλείας, D καὶ ὑποστρέψαντος εἰς ταύτην, οἱ μὲν πρεσβύτεροι, ὧν εἷς ποτε ἦν καὶ ὁ ψηφισθεὶς, τοὺς τῶν ἱερέων ἕξουσι τόπους. οὗτος δὲ εἰς ἐπισκοπικὸν ἀξίωμα περαναβιβασθεὶς μετὰ τῶν λοιπῶν ἐπισκόπων τοῦ Ἡρακλείας καθίσει· καὶ ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν, τουτέστιν ἰδιούμενος τὸν τοῦ μητροπολίτου τόπον, οὐκ εἰσακουσθήσεται. τὸ γὰρ καθῆσθαι τοῦτον μετὰ τῶν πρεσβυτέρων, ὅτε καὶ ἑτέρων ἐπισκόπων καθέδρα ἐστὶν, ὕβρις ἐστὶ τῆς ἀρχιερωσύνης. ὀφείλεις οὖν ἐν τούτῳ θεματίσαι, ὅτι ὁ ἐγχώριος Ἐπίσκοπος οὐκ εἶχε συνόντας αὐτῷ καὶ ἑτέρους Ἐπισκόπους, ἀλλὰ μόνους πρεσβυτέρους, οἳ καὶ συνεκάθηντο. τὸ ἀφαιρεῖσθαι δὲ τὸν παρὰ ταῦτα ποιοῦντα τὴν τιμὴν E τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι ἐκκήρυκτον, μὴ νοήσῃς ἐκλαμβάνεσθαι εἰς καθαίρεσιν, ἀλλ᾽ εἰς μόνην ὑπόπτωσιν τῆς τιμῆς τούτου, ἤγουν οὐδὲ μετὰ τῶν πρεσβυτέρων καθῆσθαι ἀξιωθήσονται.

ΖΩΝΑΡ. Ἐάν τινες Ἐπίσκοποι κατασταθέντες, ἀντὶ τοῦ χειροτονηθέντες, μὴ δεχθῶσι παρὰ τῆς παροικίας εἰς ἣν ὠνομάσθησαν, ἧς ἐπεκλήθησαν δηλονότι Ἐπίσκοποι· ἐπέλθωσι δὲ ἑτέρᾳ παροικίᾳ, ἤγουν ἑτέρᾳ ἐκκλησίᾳ καὶ ἀθροισμῷ πιστῶν, καὶ βιάζωνται τοὺς καθεστῶτας ἐκεῖ, τοὺς κεχειροτονημένους ἐν τῇ παροικίᾳ ἐκείνῃ, καὶ στάσεις κινῶσι κατ᾽ αὐτῶν, τούτους ὁ κανὼν ἀφορίζεσθαι κελεύει, ὥστε μὴ συντιμᾶσθαι τοῖς Ἐπισκόποις. εἰ δὲ βούλοιντο συγκαθῆσθαι τοῖς πρεσβυτέροις, F τούτου τυγχάνειν, ἤτοι, πρεσβυτέρου ἔχειν τιμήν. ἐὰν δὲ στάσεις κινῶσι πρὸς τοὺς ὄντας ἐκεῖ Ἐπισκόπους, τότε καὶ τῆς τοῦ πρεσβυτέρου τιμῆς στερεῖσθαι αὐτούς, καὶ γίνεσθαι ἐκκηρύκτους, τουτέστι καὶ τῆς ἐκκλησίας ἐκπτώτους.

ΑΡΙΣΤ. Ὁ Ἐπίσκοπος καταστὰς, εἰ οὐ δέχεται παρὰ τῆς παροικίας εἰς ἣν ἐκλήθη, ἀλλ᾽ ἑτέροις ἐπισκόποις ἐνοχλεῖ· ἀφοριζέσθω. εἰ δὲ τοῖς πρεσβυτέροις ἐθέλει συναριθμεῖσθαι, συναριθμείσθω· εἰ δὲ καὶ τοῖς ἐκεῖ Ἐπισκόποις διαστασιάζοι, ἀπωθείσθω καὶ τῆς πρεσβυτέρου τιμῆς.

CANON XVIII.

Si qui conſtituti Epiſcopi, & ab illa paræcia, in quam nominati fuerunt, non ſuſcepti, alias velint paræcias invadere, & iis, qui conſtituti ſunt, vim afferre, & ſeditiones adverſus illos excitare, eos ſegregari. Sin autem velint in Presbyterio reſidere, in quo prius erant Presbyteri, ipſos honore non moveri: Quòd ſi etiam adverſus eos, qui illic conſtituti ſunt, Epiſcopos, ſeditiones excitaverint, honorem quoque presbyterii ab eis auferri, & illos abdicatos effici.

B **Bals.** Quartus decimus canon ſanctorum Apoſtolorum, & xv. & xxxvi. quin etiam xvii. & xviii. canon Antiochenæ Synodi, multa tractant de Epiſcopis, qui ordinantur, & à ſuis parœciis non ſuſcipiuntur; & lege eos. Præſens verò canon decernit, ut Epiſcopi, qui non ſunt ſuſcepti in parœcias in quas nominati ſunt; in alias non abeant, nec earum præſulibus vim afferant; neque adverſus eos Clericos ſuos & Laicos excitent: ii verò, qui tale quid faciunt, ſegregentur. Tanquam verò dixerit aliquis, & quiſnam erit eis locus habitationis? ſubjunxerunt patres, quòd ſi velint quidem, C qui ordinati ſunt, in aliis parœciis degere, ſcilicet in ſuis prioribus habitationibus, & in Presbyteri loco reſidere ſuſtineant, non prohibebuntur; & ſi ſic agant, omnis moleſtiæ expertes conſervabuntur, eum honorem habentes: Sed ſi cum illius loci Epiſcopo ſeditiones diſſentionéſque excitaverint, Presbyteri quoque eis honor detrahetur, & abdicati erunt. Hæc cùm canon decernat, ne dixeris Epiſcopos, qui ſuſcepti non ſunt, in locis Presbyterorum ſedere, ut deprimatur honos Epiſcopalis dignitatis: ſed quòd non ſit alius locus major Presbyteratu. Si quis enim fortè eorum ſit Heracleanus, & eò redierit, Presbyteri quidem, quorum D aliquando unus erat & ipſe electus, ſacerdotum locos obtinebunt: Hic verò ad Epiſcopalem dignitatem promotus, cum reliquis Heracleæ Epiſcopis ſedebit; ſepta autem tranſiliens, hoc eſt Metropolitani locum ſibi uſurpans, non exaudietur. Cum enim tunc cum Presbyteris ſedere, quando eſt aliorum Epiſcoporum ſedes, eſt ignominia Epiſcopatus. Debes ergo facti ſpeciem ſic hoc in loco ponere, quòd ejus loci Epiſcopus non habebat alios Epiſcopos qui unà cum eo agerent; ſed ſolos Presbyteros, qui etiam ſimul ſedebant. Presbyteratûs autem honorem ab eo, qui ſic agit, auferri, & abdicatum fieri, ne intellexeris de depoſitione accipi; E ſed de ejus ſola honoris ablatione: ſcilicet ne, ut cum Sacerdotibus quidem ſedeat, dignus habebitur.

Zonar. Si qui forte poſtquam Epiſcopi conſtituti, hoc eſt creati ſunt, in ea parœcia ad quam nominati, cujuſque videlicet Epiſcopi dicti ſunt, haud recipiantur; alteram vero ipſi parœciam, hoc eſt, alteram Eccleſiam conventúmq; fidelium invadant, ac iis, qui in illa conſtituti, qui illius ſcilicet parœciæ Epiſcopi creati ſunt, vim afferant, ſeditionibúſq; perturbent: ſegregari eos, ita ut nequaquam eodem cum Epiſcopis honore afficiantur, hic F can. decernit. Si vero cum Sacerdotibus aſſidere velint, id obtinere, ut ſcilicet ſacerdotalem habeant dignitatem, haud vetat. Quòd ſi eos quoque, qui illic degunt Epiſcopos ſeditionibus vexent, Sacerdotis quoq; dignitate privari, & abdicatos effici, hoc eſt ab Eccleſia expelli jubet.

Arist. *Epiſcopus conſtitutus, ſi ab Eccleſiâ in quam electus eſt non recipiatur, ſed aliis Epiſcopis moleſtiam exhibeat, excommunicetur. Si verò preſbyteris annumerari velit, annumeretur. At ſi ab Epiſcopis ibi conſtitutis diſſideat, etiam presbyteri honore privetur.*

Qui

A Qui Epiſcopus fit, & non acceptus eſt à populo cujus curam ſibi habet commiſſam, ſi aggreſſus fuerit in alterius parœciâ munus aliquid Epiſcopale obire, & ibi conſtitutis Epiſcopis tumultum aliquem inducere, ſegregabitur. Si autem inter Presbyteros recenſeri velit, & cum eis cedere, & æquali gaudere honore, iis connumerabitur. Si autem contra Epiſcopos ibi conſtitutos ſeditiones excitet, & jus aliquid epiſcopale uſurpet, etiam iſto Presbyterorum honore privabitur, & ſegregabitur.

Canon XIX.

B *Quicunque virginitatem profitentes, profeſſionem ſuam irritam reddunt, ii bigamorum definitionem impleant. Virgines autem, quæ cum quibuſdam tanquam cum fratribus congrediuntur prohibuimus.*

Bals. Eos, qui ſuam Deo profeſſionem votúmque de virginitate ſervanda irritum reddunt, patres digamorum definitioni, hoc eſt pœnæ, ſubjiciunt. Quia autem nonnullæ, virgines ſe futuras profeſſæ, multos offendebant, eo quòd cum quibuſdam viris qui dicebantur eſſe fratres earum, habitarent; hoc quoque patres prohibuerunt. Voti autem virginitatis infirmationem ne hîc C eſſe fornicationem dixeris, ſed legitimum matrimonium. Propterea enim & eos ſola digamorum pœna afficiunt. Si qui etenim ex ipſis fornicati fuerint, punientur pœnis quæ fornicatoribus infliguntur. Debes autem hîc virgines dicere, viros ſcilicet & fœminas, non qui mundo renunciavere, & vitam monaſticam elegere; ſed alios quoſdam cum laico habitu ad Deum accedentes, & virginitatem profitentes. Qui enim vitam monaſticam elegerunt, ſuam Deo profeſſionem irritam facientes, & ſe matrimonio conjungentes, digamorum pœnis non ſubjicientur, ſed divulſo & ſeparato matrimonio, D ut quod non poſſit conſiſtere, valde punientur, & monaſterio, in quo tonſi ſunt, tradentur; ſicut in aliis diverſis canonibus diximus. Quia autem magnus Baſilius in ſuo xviii. canone definit, eam ut adulteram condemnari, quæ virginitatem, ſuam Deo promiſſionem, fecit irritam; lege eum, & vi. Synodi can. xvi.

Zonar. Qui virginitatem, ſive viri ſive mulieres, ſunt profeſſi, ſi fidem promiſſi fregerint, digamorum pœnis ſubjiciantur. Definitionis enim nomine canonem & conſtitutionem intelligit; ut quæcunque nimirum de digamis conſtituta ac decreta ſunt, ab iis quoque ſerventur, E ac non niſi lapſo demum anno admittantur. Quòd autem aliquæ mulieres virginitatem profeſſæ ſe cum viris ſociarent, hoc eſt vitam ſimul ac ſub eodem tecto degerent, ſorores eorum quibuſcum converſantur ſe nominantes, ne qua in eos incommodior ſuſpicio oriretur, id quoque hic canon vetat. Magnus vero Baſilius decimooctavo canone, quæ condictam virginitatem violaverit, adulterii judicio ac pœnis obnoxiam eſſe demonſtrat.

Arist. *Qui virginitatem profeſſus eſt, & votum irritum facit, quadriennio ſegregetur. Et virgines ad aliquos tanquam fratres ne accedant.* F

Hic quidem canon in latitudine ſuâ eum qui virginitatem profeſſus eſt, eamque rejicit, digamorum definitionem explere jubet. Digami autem pœna ut dicit quartus Baſilii magni canon hoc eſt, nempe anno ſegregari: quamvis alii patrum eum biennio ſegregant. Sed idem Baſilius magnus in undevigeſimo ſuo canone docet quod virorum de virginitate profeſſiones non novimus, preterquam ſi qui ſeipſos Monachorum ordini connumerant: ſed & de viris iſtis qui cœlibatum profeſſi ſunt conſentaneum videtur, ut ipſi interrogentur, & evidens

Ὁ γενόμενος Ἐπίσκοπος, καὶ μὴ προσδεχθεὶς παρὰ τοῦ λαοῦ, ὧν τὴν φροντίδα ἐνεχειρίσθη· εἰ ἐπιχειρήσει ἐν ἀλλοτρίᾳ παροικίᾳ ἐπισκοπικόν τι δίκαιον ἐνεργῆσαι, καὶ τοῖς ἐκεῖσε Ἐπισκόποις ὄχλησίν τινα ἐπαγαγεῖν· ἀφορισθήσεται. εἰ δὲ μετὰ τῶν πρεσβυτέρων ἐθέλει συναριθμεῖσθαι, καὶ συγκαθῆσθαι αὐτοῖς, καὶ τῆς ἴσης ἀπολαύειν τιμῆς, συγκαταλεγήσεται τούτοις. εἰ δὲ καὶ πρὸς τοὺς ἐκεῖσε καθεστῶτας Ἐπισκόπους διαστασιάζει, καὶ ἐπισκοπικά τινα δίκαια ὑφαρπάζει, καὶ τὴν τιμὴν ταύτην τῶν πρεσβυτέρων ἀφαιρεθήσεται, καὶ ἀφορισθήσεται.

ΚΑΝΩΝ ιθʹ.

Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι, ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν. τὰς μέντοι συνερχομένας παρθένους τισὶν, ὡς ἀδελφοῖς, ἐκωλύσαμεν.

ΒΑΛΣ. Τοὺς ἀθετήσαντας τὴν πρὸς Θεὸν γενομένην παρ᾽ αὐτῶν ἐπαγγελίαν χάριν τοῦ παρθενεύειν, οἱ πατέρες καθυποβάλλουσι ὅρῳ διγάμων, τουτέστιν ἐπιτιμίῳ. ἐπεὶ δέ τινες, ὡς ἔοικε, παρθενεύειν ὁμολογήσασαι ἐσκανδάλιζον πολλοὺς διὰ τὸ συνοικεῖν μετά τινων ἀνδρῶν, λεγομένων εἶναι ἀδελφῶν αὐτῶν, ἐκώλυσαν οἱ πατέρες καὶ τοῦτο. ἀθέτησιν δὲ ἐνταῦθα τῆς διὰ τὴν παρθενίαν ἐπαγγελίας μὴ εἴπῃς πορνείαν, ἀλλὰ τὸν νόμιμον γάμον. διὰ τοῦτο γὰρ καὶ ὑπὸ μόνου ἐπιτιμίου διγάμων κολάζουσι τούτους. εἰ γὰρ ἐπόρνευσάν τινες ἐξ αὐτῶν, τιμωρηθήσονται διὰ ἐπιτιμίων τοὺς πόρνους κολαζόντων. παρθένους μέντοι ὀφείλεις εἰπεῖν ἐνταῦθα, ἄνδρας δηλονότι καὶ γυναῖκας, μὴ τοὺς ἀποταξαμένους τῷ κόσμῳ, καὶ ἐπιλεξαμένους τὸν μονήρη βίον, ἀλλ᾽ ἑτέρους τινὰς μετὰ λαϊκοῦ σχήματος προσερχομένους τῷ Θεῷ, καὶ παρθενεύειν ἐπαγγελλομένους. οἱ γὰρ τὸν μονήρη βίον ἐπιλεξάμενοι, ἀθετοῦντες τὴν πρὸς Θεὸν ὁμολογίαν αὐτῶν, καὶ γάμοις προσομιλοῦντες, οὐκ ἐπιτιμίῳ διγάμων καθυποβληθήσονται, ἀλλὰ διασπωμένου τοῦ γάμου ὡς ἀνυποστάτου, μεγάλως κολασθήσονται, καὶ τῷ μοναστηρίῳ, ἐν ᾧ ἀπεκάρησαν, παραδοθήσονται, καθὼς καὶ ἐν ἑτέροις κανόσιν εἴπομεν διαφόροις. ἐπεὶ δὲ ὁ μέγας Βασίλειος διορίζεται ἐν ιηʹ. κανόνι αὐτοῦ, ὡς μοιχαλίδα κατακρίνεσθαι τὴν ἀθετήσασαν παρθενίαν, τὴν πρὸς Θεὸν ὁμολογίαν αὐτῆς, ἀνάγνωθι τοῦτον, καὶ τὸν ϛʹ. συνόδου κανόνα ιϛʹ.

ΖΩΝΑΡ. Οἱ παρθενεύειν ἐπαγγελλόμενοι, κἂν ἄνδρες εἶεν κἂν γυναῖκες, ἀθετοῦντες τὰς ἐπαγγελίας αὐτῶν, τῷ ἐπιτιμίῳ τῶν διγάμων ὑποβαλλέσθωσαν. ὅρον γὰρ τὸν τύπον καὶ τὸν κανόνα λέγει, ἤγουν ὅσα περὶ τῶν διγάμων κεκανόνισται καὶ διατετύπωται, ταῦτα κρατήσει καὶ ἐπ᾽ αὐτῶν, ὥστε μετ᾽ ἐνιαυτὸν δέχεσθαι. κωλύει δὲ ὁ κανὼν τὰς παρθενίαν ἐπαγγελλομένας συνέρχεσθαι ἀνδράσιν, ἀντὶ τοῦ συζῆν, συνοικεῖν, ἀδελφὰς ἑαυτὰς ὀνομαζούσας τῶν οἷς συνδιάγουσιν, ἵνα μηδὲ ὑποψία τις ᾖ κατ᾽ αὐτῶν ἀπρεπής. ὁ δὲ μέγας Βασίλειος ἐν ὀκτωκαιδεκάτῳ κανόνι αὐτοῦ, τῷ κρίματι τῆς μοιχείας ὑποκεῖσθαι τὴν ὁμολογήσασαν παρθενεύειν, καὶ μὴ τὴν ὁμολογίαν φυλάξασαν, ἀπεφήνατο.

ΑΡΙΣΤ. Ὁ ἐπαγγειλάμενος παρθενίαν, καὶ ἀθετῶν, τετραετίαν ἀφοριζέσθω· καὶ αἱ παρθένοι, ὡς ἀδελφοῖς τισὶ μὴ προσίτωσαν.

Ὁ μὲν κανὼν οὗτος, ἐν τῷ πλάτει τὸν ἐπαγγειλάμενον παρθενίαν, καὶ ἀθετοῦντα αὐτὴν, τὸν τῶν διγάμων ὅρον ἐκπληροῦν ἀπαιτεῖ. τὸ δὲ ἐπιτίμιον τοῦ διγάμου, ὡς ὁ τέταρτος κανὼν τοῦ μεγάλου Βασιλείου λέγει, τοῦτό ἐστι· τὸ ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι· κἂν ἄλλοι τῶν πατέρων ἐπὶ διετίαν τοῦτον ἀφώρισαν. ὁ δὲ αὐτὸς μέγας Βασίλειος, ἐν τῷ ἐννεακαιδεκάτῳ κανόνι αὐτοῦ παρίστησιν ὡς ὁμολογίας ἀνδρῶν περὶ παρθενίας οὐκ ἔγνωμεν· εἰ μή που τινὲς ἑαυτοὺς τῷ τῶν μοναζόντων τάγματι κατηρίθμησαν. πλὴν καὶ ἐπ᾽ αὐτῶν

τῶν ἀνδρῶν παρθενίαν ἐπαγγελλομένων, ἐκεῖνο πρόστιμον ἡγεῖται εἶναι, τὸ ἐρωτᾶσθαι αὐτοὺς, καὶ τὴν ὁμολογίαν αὐτῶν ἐναργῆ λαμβάνειν· ὥστε ἐπειδὰν τὴν ὁμολογίαν αὐτῶν ἀθετήσωσι, καὶ πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον μεταπεσῶσι, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ αὐτοὺς καθυπάγεσθαι. ὁ γοῦν συνοψίσας τὸν παρόντα κανόνα τὸν μὲν ἐν τῷ πλάτει κείμενον ἀφορισμὸν τῶν διγάμων τῷ ἀθετοῦντι τὴν παρθενίαν παρέδραμε. τὸ δὲ παρὰ τοῦ μεγάλου Βασιλείου ἐπαγόμενον τῷ τοιούτῳ προσέθετο· ἤγουν τὸ τῶν πορνευόντων ἐπιτίμιον· ἐπεὶ δὲ ἡ ἐπιτίμησις τῶν τοιούτων ἐν ἑπτά ἐστιν ἔτεσι· δύο μὲν προσκλαιόντων, δύο δὲ ἀκροωμένων, ἐφ᾽ ἑτέροις δὲ δυσὶν ὑποπιπτόντων, καὶ ἐν ἑνὶ τοῖς πιστοῖς συνισταμένων, τῷ δὲ ὀγδόῳ παραδεχομένων εἰς τὴν μετοχὴν τῶν ἁγιασμάτων· καθὼς ὁ πεντηκοστὸς ἔνατος τοῦ αὐτοῦ μεγάλου Βασιλείου κανὼν διορίζεται. εὑρίσκονται δέ ποτε καί τινες τῷ τῆς πορνείας ἐπιτιμίῳ ὑπόδικοι ὄντες, καὶ ἐν τέσσαρσιν ἔτεσι τὴν ἐπιτίμησιν ἔχοντες· ἐν ἑνὶ δὲ προσκλαίοντες, ἔξω τῶν περιβόλων τῆς ἐκκλησίας ἱστάμενοι, ἐν δὲ τῷ δευτέρῳ εἰς ἀκρόασιν παραδεχόμενοι, ἐν τῷ τρίτῳ εἰς μετάνοιαν μετὰ τῶν ὑποπιπτόντων ταττόμενοι· ἐν δὲ τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, τῆς προσφορᾶς ἀπεχόμενοι· καὶ ἐν τῷ πέμπτῳ τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἐπιτυγχάνοντες· ὡς οἱ γυναῖκα ἔχοντες ἐκ διαφορᾶς λαθραίας, ἢ καὶ βιαιοτέρας· καθὼς ὁ εἰκοστὸς δεύτερος κανὼν τοῦ αὐτοῦ ἁγίου διαλαμβάνει. κατ᾽ αὐτὸν τὸν κανόνα, ὡς ἔοικεν, ὁ τὸν παρόντα συνοψίσας κανόνα, τὸ ἧττον ἐπιτίμιον τῶν πορνευόντων, ἤγουν τὴν τετραετίαν, προσέθετο. κωλύει δὲ ὁ κανὼν οὗτος καὶ τὰς παρθένους μετὰ ἀνδρῶν ὅλως συναναστρέφεσθαι καθ᾽ οἱανδήτινα πρόφασιν.

ΚΑΝΩΝ κ'.

Ἐάν τινος γυνὴ μοιχευθῇ, ἢ μοιχεύσῃ τις, ἐν ἑπτὰ ἔτεσιν δεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς προάγοντας.

ΒΑΛΣ. Ἐν τῷ πζ'. καὶ ϟη'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀρκούντως διελάβομεν περὶ μοιχαλίδος καὶ μοιχοῦ. ὁ δὲ παρὼν κανὼν διορίζεται ἀξιοῦσθαι τούτους τῆς ἁγίας μεταλήψεως μετὰ ἑπτὰ ἔτη καταμεριζόμενα εἰς τοὺς βαθμοὺς τῶν ἐπιτιμίων. ἀνάγνωθι καὶ τὸν κα'. κανόνα καὶ κβ'. τοῦ ἁγίου Βασιλείου.

ΖΩΝΑΡ. Τὴν μοιχαλίδα καὶ τὸν μοιχὸν, δι᾽ ἑπτὰ ἐτῶν ὥρισεν ἡ σύνοδος αὕτη εἰς τὸ τέλειον ἔρχεσθαι, ἤγουν εἰς τὴν ἁγίαν μετάληψιν· τοὺς δὲ ἑπτὰ ἐνιαυτοὺς καταμερίζεσθαι εἰς τοὺς τῶν ἐπιτιμίων βαθμούς.

ΑΡΙΣΤ. Ἡ μοιχαλὶς καὶ ὁ μοιχὸς ἑπταετίαν ἀφοριζέσθωσαν.

Καὶ ὁ ὀγδοηκοστὸς ἕβδομος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, ἐν ἑπτὰ ἔτεσι τῷ μοιχῷ ἐπάγει τὴν ἐπιτίμησιν, καθὼς δὴ καὶ ὁ παρὼν διαλαμβάνει κανών· ὥστε ἐνιαυτὸν μὲν ἕνα προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω καταξιοῦσθαι τῆς προσφορᾶς, ἐὰν μετὰ δακρύων ποιήσεται τὴν μετάνοιαν. ὁ δὲ πεντηκοστὸς ὄγδοος κανὼν τοῦ μεγάλου Βασιλείου ἐν πεντεκαίδεκα ἔτεσιν ἐπιτιμᾷ τὸν μοιχόν· ὥστε ἐν τέσσαρσι μὲν προσκλαίειν, ἐν πέντε δὲ ἀκροᾶσθαι, ἐν τέσσαρσιν ὑποπίπτειν, ἐν δυσὶ συνίστασθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα ἀξιοῦσθαι τῆς κοινωνίας.

eorum accipiatur profeſſio, ut poſtquam profeſſionem ſuam irritam fecerint, & ad carnalem & voluptuariam vitam retroceſſerint, eorum qui fornicantur pœnæ ſubjiciantur. Qui hujus itaque canonis ſynopſim fecit digamorum ſegregationem in latitudine poſitam in eum qui cœlibatûs profeſſionem irritam facit tranſtulit. Quod autem à Baſilio magno infertur, tali apponitur, viz. fornicatorum pœna. Tandem autem talium pœna ſeptem eſt annorum, iſtis duos annos deflentibus, duos audientibus, alios autem duos ſubſtratis, & in unum cum fidelibus conſiſtentibus, octavo vero ad Sacramentorum participationem admiſſis, ut quinquageſimus ejuſdem Baſilii magni canon ſtatuit. Inveniuntur autem quandoque nonnulli qui fornicationis pœnæ obnoxii ſunt, & quatuor annis caſtigantur. Uno quidem deflentes extra Eccleſiæ ambitum ſtantes, ſecundo autem ad auditionem admiſſi, tertio ad pœnitentiam cum ſubſtratis collocati, quarto autem cum populo conveniunt, ab oblatione abſtinentes; & in quinto boni communionem conſequentes. Ut qui mulieres vel clam vel vi à ſe vitiatas habent. Quemadmodum vigeſimus ſecundus ejuſdem ſancti canon ſtatuit. Secundum illum canonem, ut videtur, qui hujus canonis ſynopſim fecit, minorem fornicatorum pœnam, ſive quadriennium appoſuit. Prohibet autem & hic canon virgines cum viris ſub quocunque prætextu converſari.

CANON XX.

Si alicujus uxor adulterata fuerit, vel quis eam adulteraverit, oportet eum in ſeptem annis quod perfectum eſt aſſequi, per gradus qui eò deducunt.

BALS. In lxxxvii. & in xcviii. canone Synodi in Trullo, de adultero & adultera ſufficienter tractavimus. Præſens autem canon eos ſancta communione dignos eſſe habendos decrevit, poſt ſeptem annos in gradus pœnarum diſpertitos. Lege & xxi. & xxii. canonem ſancti Baſilii.

ZONAR. Adulteram & adulterum, ſeptem annorum ſpatio ad id quod perfectum eſt, ſacram videlicet communionem Synodus pervenire decernit. Septem porro annos pro variis pœnitentium gradibus dividi jubet.

ARIST. *Adultera & adulter ſeptennio ſegregentur.*

Et octuageſimus ſeptimus ſextæ in Trullo Synodi canon ſeptem annorum pœnam adultero infert, quemadmodum & præſens canon conſtituit. Ut unum quidem annum defleat, biennium audiat, triennium ſubſternatur, & ſeptimo cum fidelibus conveniat, & ſic oblatione dignus habeatur, ſi cum lachrymis pœnitentiam egerit. At quinquageſimus octavus Baſilii magni canon adulterum quindecim annorum pœnæ ſubjicit. Ut quatuor quidem defleat, quinque verò audiat, quatuor ſubſternatur, duos cum fidelibus congregetur, & poſtea communione dignus cenſeatur.

CANON XXI.

De mulieribus, quæ ſunt fornicatæ, & fœtus in utero perimunt, & fœtuum necatoriis medicamentis faciendis dant operam; prior quidem definitio uſque ad vitæ exitum prohibebat, & ei quidam aſſentiuntur; ſed humanitate tamen utentes, decrevimus ut decennium per gradus præfinitos impleant.

BALS. Antiquiore Eccleſiaſtica definitione, in ſola ultima reſpiratione divinorum ſacramentorum participatione dignæ habebantur eæ, quæ cum clàm concepiſſent, ne id cognoſceretur, ſuos fœtus in utero necabant quovis modo. Hujus autem ſynodi Patres, uſi humanitate, poſt decem annos in pœnarum quatuor gradus diſpertitos, ſcilicet ejus qui deflet, ejus qui audit, ejus qui ſupplex ſubſternitur, & ejus qui ad preces fidelium congregatur, eas poſſe ſacramentis communicare ſtatuerunt. φθόρια autem dicuntur omnia medicamenta, quæ, quod in utero conceptum eſt, perimunt. Lege ii. canonem ſancti Baſilii, & xci. Syn. in Trullo, & eorum interpretationem.

ZONAR. Mulieres ex concubitu furtivo prægnantes, ne flagitium uterus prodat, fœtum, aut gravi pondere ad alvum premendam ſuperinjecto, aut epotis ad conceptum abigendum medicamentis, data opera interficiunt. Eas igitur mulieres toto vitæ tempore à communione arcendas, tantúmque in extremo vitæ articulo ad ſacrorum myſteriorum perceptionem admittendas, priori conſtitutione definitum eſſe hic canon affirmat. Nos, vero, inquiunt Synodi Patres, mitiore excogitato remedio, decennium conſtituimus; eoque per definitos gradus viciſſim exacto, hoc eſt certo tempore in ſingulis pœnitentium locis, lugentium ſcilicet, audientium, in ſubſtratione degentium, & cum cæteris aſtantium, expleto, ſacram illis communionem impertiri haud vetamus. Magnus quoque Baſilius ſecundo ipſius canone, quæ mulieres ſponte uterum vitiavere, decennii mulcta puniri jubet. Quamvis curationem non temporis longitudine, ſed pœnitendi modo definiri oportere demonſtret.

ARIST. *Meretrices medicamenta noxia accipientes, decennio ſubjiciantur.*

Mulieres quæ pharmaca noxia accipiunt ad fœtus ſuos in utero necandos, decem annos caſtigentur. Duos quidem annos extra Eccleſiæ ambitum ſtantes, & deflentes, tres autem ad Baſilicas fores immorantes, & divinas audientes ſcripturas. Aliud autem triennium in poſticâ ambonis parte ſubſtratæ & cum Catechumenis egredientes, unum autem annum cum fidelibus convenientes & precationum partem habentes. Et ſic poſt hoſce gradus perfectione dignæ habentur.

CANON XXII.

De involuntariis cædibus, prior quidem conſtitutio jubet in ſeptennio per præfinitos gradus eſſe perfecti participes: ſecunda verò quinquennii tempus implere.

BALS. Magnus Baſilius in ſuo canone viii. & in lvii. fuſiùs de voluntariis & involuntariis cædibus diſſerit. Tu igitur illos perlege, tum accuratiùs diſces, quænam involuntariæ ſint & voluntariæ cædes; & quales illarum pœnæ. Lege & quæ à nobis ſcripta ſunt, cùm xci. canonem Synodi in Trullo exponeremus.

ΚΑΝΩΝ κα'.

Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν, καὶ ἀναιρουσῶν τὰ γεννώμενα, καὶ σπουδαζουσῶν φθόρια ποιεῖν· ὁ μὲν πρότερος ὅρος μέχρις ἐξόδου ἐκώλυσεν, καὶ τούτῳ συντίθενται· φιλανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δεκαέτη χρόνον κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους πληρῶσαι.

ΒΑΛΣ. Ἀπὸ ὅρου ἀρχαιοτέρου ἐκκλησιαστικοῦ, κατὰ μόνας τὰς τελευταίας ἀναπνοὰς, τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως ἠξιοῦντο αἱ συλλαβοῦσαι λαθραίως, καὶ διὰ τὸ μὴ ἐπιγνωσθῆναι ἀναιροῦσαι τὰ ἔμβρυα αὐτῶν καθ' οἱονδήτινα λόγον. οἱ δὲ τῆς συνόδου ταύτης πατέρες φιλανθρωπευσάμενοι, ὥρισαν μετὰ δέκα ἐνιαυτοὺς μεριζομένους εἰς τοὺς τέσσαρας βαθμοὺς τῶν ἐπιτιμίων, ἤγουν εἰς τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, καὶ τὸν τοῦ συνεστῶτος, μεταλαμβάνειν αὐτάς. φθόριον δὲ ἐστὶ ἅπαν φάρμακον φθεῖρον τὸ ἐγκυμονούμενον. ἀνάγνωθι τὸν β'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὸν ϟα'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτῶν.

ΖΩΝΑΡ. Γυναῖκες λάθρα τισὶ μιγνύμεναι καὶ συλλαμβάνουσαι, ἵνα μὴ γνωσθῶσιν, ἀναιροῦσι τὰ ἔμβρυα ἐξεπίτηδες ἢ βάρη ταῖς κοιλίαις ἑαυτῶν ἐπιτιθεῖσαι καὶ συμπιέζουσαι ταύτας, ἢ φάρμακά τινα πίνουσαι, καὶ φθείρουσαι τὰ κυοφορούμενα. ταύτας οὖν, φησὶν ὁ κανὼν οὗτος, ὅτι ὁ πρότερος ὅρος ἐπετίμησεν ἀκοινωνησίᾳ μέχρι θανάτου, καὶ ὥστε ἐν τῷ θνήσκειν μόνον ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. ἡμεῖς δὲ, φασὶν, οἱ τῆς συνόδου πατέρες, φιλανθρωπότερόν τι εὑρόντες, δεκαετίαν ὡρίσαμεν, ὥστε διὰ δέκα ἐτῶν καταμεριζομένων εἰς τοὺς ὡρισμένους βαθμοὺς, ἤτοι τοὺς τόπους τῶν ἐπιτιμίων, τὸν τοῦ προσκλαίοντος, τὸν τοῦ ἀκροωμένου, τὸν τοῦ ὑποπίπτοντος, τὸν τοῦ συνεστῶτος, ἀξιοῦσθαι τῆς θείας μεταλήψεως. καὶ ὁ μέγας δὲ Βασίλειος ἐν δευτέρῳ αὐτοῦ κανόνι, ταῖς κατ' ἐπίδοσιν φθειρούσαις τὰ ἔμβρυα, δεκαετίαν ἐπιτιμᾷ. λέγει δὲ δεῖν μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας ὁρίζειν τὴν θεραπείαν.

ΑΡΙΣΤ. Αἱ πόρναι λαμβάνουσαι φθόρια, δεκαετίαν ὑποπιπτέτωσαν.

Αἱ δεχόμεναι δηλητήρια ἐπὶ τῷ τὰ ἔμβρυα αὐτῶν ἀνελεῖν, ἐπὶ δέκα ἐπιτιμάσθωσαν ἔτεσι· δύο μὲν ἔτη ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ἱστάμεναι καὶ προσκλαίουσαι· τρία δὲ παρὰ τοῖς βασιλικοῖς ἑστῶσαι πυλῶσι, καὶ τῶν θείων γραφῶν ἀκροώμεναι· ἄλλην δὲ τετραετίαν ἐντὸς τοῦ περιβόλου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος ὑποπίπτουσαι, καὶ μετὰ τῶν κατηχουμένων συνεξιοῦσαι· ἐπὶ δὲ ἐνιαυτὸν συνιστάμεναι τοῖς πιστοῖς, καὶ τῶν εὐχῶν κοινωνοῦσαι· καὶ οὕτω, μετὰ τοὺς βαθμοὺς τούτους, τῆς τελειώσεως ἀξιούμεναι.

ΚΑΝΩΝ κβ'.

Περὶ ἀκουσίων φόνων, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μετασχεῖν κατὰ τοὺς ὡρισμένους βαθμούς· ὁ δὲ δεύτερος, τὸν πενταέτη χρόνον πληρῶσαι.

ΒΑΛΣ. Ὁ μέγας Βασίλειος ἐν τῷ η'. κανόνι αὐτοῦ καὶ ἐν τῷ νζ'. πλατύτερον περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων διαλαμβάνει. καὶ ἀνάγνωθι τούτους, καὶ μάθοις ἀκριβέστερον ποῖοί τε εἰσὶν οἱ ἀκούσιοι φόνοι, καὶ τίνα τὰ κατὰ τούτων ἐπιτίμια. ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ ϟα'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΖΩΝΑΡ. Οὗτος μὲν ὁ κανὼν, ἀκοινωνησίας ἐπιτιμίῳ κολάζει τὸν ἑκούσιον φόνον μὴ συγχωρῶν μετέχειν τῶν ἁγιασμάτων τὸν ἑκουσίως φονεύσαντα, εἰ μὴ ἐν τῷ τέλει τοῦ βίου· ὁ δὲ μέγας Βασίλειος ἐν πεντηκοστῷ ἕκτῳ κανόνι εἰκοσαετίαν ὁρίζει ἐπὶ τούτῳ οὕτως αὐτὴν διαιρῶν· προσκλαίειν μὲν τετραετίαν, ἀκροᾶσθαι δὲ πέντε ἔτη, ὑποπίπτειν δὲ ἕτερα, καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπὶ τετραετίαν, καὶ τούτων ἐκπληρουμένων μετέχειν τῶν ἁγιασμάτων.

ΑΡΙΣΤ. Ο αὐθαίρετος ἀνδροφόνος, ἐν τῷ τέλει τοῦ τελείου τυγχανέτω.

Ο ἑκουσίως φονεύων, ἐν τῷ τέλει τοῦ βίου καταξιοῦται τῆς τελειώσεως, καὶ τῶν θείων ἁγιασμάτων μεταλαμβάνει, κατὰ τὸν παρόντα κανόνα. ὁ δὲ πεντηκοστὸς ἕκτος κανὼν τοῦ μεγάλου Βασιλείου ἐπὶ εἴκοσι ἔτεσιν τὸν ἑκούσιον φονέα ἀπείργει τῆς κοινωνίας· τέσσαρα μὲν ἔτη διοριζόμενος προσκλαίειν αὐτὸν, πέντε δὲ ἔτη ἀκροᾶσθαι, ἐν ἑπτὰ ἔτεσιν ὑποπίπτειν, καὶ ἐν τέσσαρσι συνίστασθαι τοῖς πιστοῖς, καὶ μετὰ ταῦτα μεταλαβεῖν τῶν ἁγιασμάτων.

ΚΑΝΩΝ κγ'.

Περὶ ἑκουσίων φόνων, ὑποπιπτέτωσαν μὲν, τοῦ δὲ τελείου ἐν τῷ τέλει τοῦ βίου καταξιούσθωσαν.

ΒΑΛΣ. Τὰ τῶν ἑκουσίων φόνων ἐπιτίμια ὁ νϛ'. κανὼν τοῦ ἁγίου Βασιλείου ὑποτυποῖ· καὶ πρόσεχε μᾶλλον τοῖς ἐν αὐτῷ.

ΖΩΝΑΡ. Τίνες εἰσὶν ἀκούσιοι φόνοι καὶ τίνες ἑκούσιοι ὁ μέγας Βασίλειος ἐν ὀγδόῳ αὐτοῦ κανόνι ὁρίζεται, ἐν δὲ τῷ νζ'. κανόνι ἐπὶ δεκαετίαν ἀκοινώνητον εἶναι τὸν ἀκουσίως φονεύσαντα διορίζεται. οὕτως δὲ τὴν δεκαετίαν καταμερίζει εἰς τοὺς τόπους τῶν ἐπιτιμίων. δύο μὲν, φησιν, ἔτη προσκλαύσει ἔξω τοῦ ναοῦ ἑστώς· τρία δὲ ἔτη ἐν ἀκροάσει ἔσται, τέσσαρα δὲ ἔτη ὑποπεσεῖται, καὶ ἐνιαυτὸν σταθήσεται, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

ΑΡΙΣΤ. Ο ἀκουσίως φονευτὴς, πενταετίαν ὑποπιπτέτω.

Περὶ τοῦ ἀκουσίου φονευτοῦ οὗτος μὲν ὁ κανὼν πενταετίαν ὁρίζει εἰς ἐπιτίμησιν. ὁ δὲ νζ'. τοῦ Βασιλείου κανὼν δύο ἔτη προσκλαίειν τὸν τοιοῦτον παρακελεύεται, τρία ἔτη ἐν ἀκροωμένοις διατελεῖν, τέσσαρα ὑποπίπτειν, καὶ ἐν ἐνιαυτῷ συνίστασθαι τοῖς πιστοῖς· ὥστε διὰ δεκαετίας τυγχάνειν τῆς τελειώσεως, καὶ ἀξιοῦσθαι τῆς κοινωνίας.

ΚΑΝΩΝ κδ'.

Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν κατακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς πενταετίας κατὰ τοὺς βαθμοὺς ὡρισμένους τρία ἔτη ὑποπτώσεως, καὶ δύο ἔτη εὐχῆς, χωρὶς προσφορᾶς.

Οὐ μόνους τοὺς γόητας καὶ τοὺς μάντεις κολάζουσιν οἱ κανόνες, ἀλλὰ καὶ τοὺς χρωμένους αὐτοῖς. ἐπεὶ οὖν τινες νοσηλευόμενοι, καὶ νομίζοντες ἀπὸ φαρμακειῶν πάσχειν, ἢ καὶ ἀπολέσαντες τινὰ τῶν προσόντων αὐτοῖς, μετεκαλοῦντο γόητας εἰς τοὺς οἴκους αὐτῶν, ἐφευρεῖν ἐπαγγελλομένους ἐν αὐτοῖς τὰς μαγείας, ἐξ ὧν δῆθεν κατεκλίθησαν οἱ νοσηλευόμενοι, καὶ καθᾶραι τὸ ἀπὸ τούτων μύσος, ἢ καὶ τὸ ἀπολεσθὲν καταμηνῦσαι· ἄλλοι δὲ συνηθείαις ἐθνικαῖς προσέχοντες περὶ εὐτυχημάτων καὶ δυστυχημάτων ἐρωτήσεις ἐποιοῦντο ἀπὸ ἀστρολόγων

Zonar. Hic quidem canon voluntariam cædem communionis privatione mulctat, ejuſque auctorem perpetuo à ſanctorum perceptione, extremo vitæ articulo duntaxat excepto arceri jubet. Magnus verò Baſilius ſexto & quinquageſimo canone viginti annorum ſpatium ei ſceleri luendo conſtituit, idque ita deſcribit; ut auctorem facinoris quadriennio lugere, quinquennio audire, ſeptem annis ſubſterni, & quatuor annis ſubſiſtere in fidelium conventu velit; quibus poſtmodum exactis, ad ſacramentorum communionem admitti ſinit.

Arist. *Voluntarius homicida, in fine vitæ perfectionem conſequatur.*

Qui voluntariè aliquem occidit in vitæ exitu perfectione dignus cenſetur, & de Sacramentis divinis participat, ſecundum præſentem canonem. At quinquageſimus ſextus Baſilii magni canon voluntarium homicidam viginti annos à communione arcet, quatuor quidem annos eum deflere jubens, quinque autem annos audire, ſeptem ſubſterni, & quatuor cum fidelibus conſiſtere, & poſteà Sacramentorum participem eſſe.

Canon XXIII.

De voluntariis cædibus, ſupplices quidem ſubſternantur: eo autem quod perfectum eſt in fine vitæ digni habeantur.

Bals. Voluntariarum cædium pœnas lvi. canon ſancti Baſilii deſcribit: & magis mentem adhibe iis, quæ in eo ſcripta ſunt.

Zonar. Quænam invitæ cædes, quæ vero voluntate ſuſceptæ dici debeant, aperte octavo canone Magnus Baſilius conſtituit. Qui vero cædem invitus patravit, ei toto decennio communione interdictum eſſe quinquageſimo ſeptimo canone jubet. Decennium porro pro variis pœnitentium locis ea ratione diſtribuit, ut duobus primum annis inter lugentes extra templi fores, tribus inter Audientes degere, ternos in ſubſtratione explere, extremo inter fideles conſiſtere, ac ita deinceps illum ad ſacramentorum communionem admitti licere decernat.

Arist. *Involuntarius homicida quinquennio ſubjiciatur.*

De involuntario homicidâ hic quidem canon quinquennium in pœnam ſtatuit. At lvii. Baſilii canon duos annos talem deflere jubet, tres annos inter audientes agere, quatuor ſubſterni, & uno anno cum fidelibus conſiſtere adeo ut poſt decennium perfectionem aſſequatur, & communione dignus habeatur.

Canon XXIV.

Qui vaticinantur, & gentium conſuetudines ſequuntur, vel in ſuas ædes aliquos introducunt, ad medicamenta arte invenienda, vel luſtrationem, in quinquennii canonem incidant, ſecundùm gradus definitos; tres annos ſubſtrationis, & duos annos orationis ſine oblatione.

Bals. Non ſolos præſtigiatores & vates puniunt canones; ſed & eos etiam qui illis utuntur. Quoniam ergo nonnulli ægrotantes, & artibus magicis ſe ita affici exiſtimantes, vel etiam cùm quaſdam res ad ſe pertinentes perdidiſſent, incantatores in ædes ſuas accerſebant, qui pollicebantur ſe artes magicas inventuros, ex quibus ſcilicet ægrotantes decumbebant, & eorum abominationem expiaturos; vel id etiam, quod amiſſum erat, indicaturos; alii verò gentilibus conſuetudinibus mentem adhibentes, de felicibus & infelicibus eventis interrogabant Aſtrologos & alios, qui dæmoniaca opera tractant: Statuerunt Patres, ut ii quinquennio pœnas darent; ut tribus ſcilicet annis eſſent ſubſtrati; duobus autem annis precarentur cum fidelibus; & poſtea divina ſacramenta percipere digni exiſtimarentur. Lege etiam lxi. can. Syn. in Trullo, & quæ in eum ſcripta ſunt; & lxxxiii. can. ſancti Baſilii, eos ſexennio punientem. Memento autem, eos etiam iiſdem pœnis ſubjiciendos, qui incantatricibus & critriis, & iis, quæ cum hordeo divinant, fidem adhibent.

Zonar. Vaticiniis uti Chriſtianum hominem, Ethnicorum & Græcorum conſuetudines ſectari, atque ad mali pharmaci cujuſpiam, hoc eſt veneficii inventionem præſtigiatores admittere (quibuſdam forte in ea re tunc nimium curioſis) vel eos ad remedia veneficiis quærenda adhibere hic canon vetat: quique iis uſi fuerint, quinquennii pœnam perſolvere, ac tribus quidem annis ſubſterni, duobus in conventu fidelium conſiſtere, precationique ſimul vacare, quinquennio vero expleto ad boni præterea communionem admitti jubet. Magnus vero Baſilius octuageſimo tertio canone, ejuſmodi homines ſexennii pœna puniendos eſſe decernit.

Arist. *Qui vaticiniis utitur, & qui quempiam in domum veneficii exquirendi, aut luſtrationis causâ introducit, quinquennio ſubjaceat.*

Qui vatibus aut incantatoribus, aut amuletorum præbitoribus, vel aliis iſtiuſmodi ſeipſum tradit, ut revelentur quæ in deſiderio habet, vel per medicamenta malum male ſanat, triennium ſubſternetur, & biennium cum fidelibus conſiſtet, & precum ſolarum particeps erit, & ſic poſt quinquennium de oblatione participabit. At ſexageſimus primus ſextæ Synodi in Trullo canon talem à communione ſex annos arcendum ſtatuit.

CANON XXV.

Quidam, cui erat deſponſa puella, ſororem ejus vitiavit, ita ut ea etiam conciperet. Sponſam autem poſtea uxorem duxit: Ea autem cui ſtuprum erat illatum ſe ſuffocavit. Qui conſcii fuerant, juſſi ſunt decennio inter eos, qui conſiſtunt, recipi, per gradus definitos.

Bals. Ex facto quodam moti ſunt Patres, ut præſentem canonem ederent. Eis enim nunciatum eſt quendam hominem, cui puella erat deſponſa, ſororem ejus conſtupraſſe, ut illa etiam ex eo in utero conciperet (illud enim ſignificat vox ἐπιφορῆσαι) & poſtea matrimonii ſocietate ſponſæ ſuæ conjunctus eſt. Ejus autem ſoror, cum inceſtus crimine, ſibi ipſi mortem conſcivit. Definierunt ergo, ut qui horum malorum fuerant conſcii, poſt decennium quod debebat per gradus conſuetos procedere, ad orationem unà cum fidelibus admitterentur. Ne tibi autem his contrarius videatur lxxviii. can. ſancti Baſilii, decernens, poſt vii. annos divinorum Sacramentorum perceptione dignum haberi eum, qui legitimo matrimonio duabus ſororibus conjunctus eſt. Hîc enim multa nefaria commiſſa ſunt; fornicatio, illicitum matrimonium & cædes: Illic autem, tantum nefarium matrimonium. Et propterea gravior hîc pœna decreta eſt. Interrogaverit autem quiſpiam; Cur ii, qui conſcii ſunt, æquè puniuntur, ac ipſi actores? Solutio. In illicitis ac nefariis nuptiis magis puniri debent ii, qui ſunt conſcii, quàm qui agunt. Hos enim amoris impotentia, ſæpe etiam nolentes, ad id quod eſt illicitum nefariúmque deducit: Illis autem non eſt danda venia, qui abſque ulla ne-

A καὶ ἑτέρων δαιμονιώδη μεταχειριζομένων ἔργα· ὥρισαν οἱ πατέρες ἐπὶ πενταετίαν τούτους ἐπιτιμᾶσθαι, ἤγουν ἐπὶ μὲν τρισὶν ἔτεσιν ὑποπίπτειν, ἐν δὲ δυσὶν εὔχεσθαι μετὰ τῶν πιστῶν, καὶ μετὰ ταῦτα ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. ἀνάγνωθι καὶ τὸν ξα΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα, καὶ τὸν πγ΄. κανόνα τοῦ ἁγίου Βασιλείου ἐπὶ ἑξαετίαν ἐπιτιμῶντα τούτους. ἔχε δὲ ἐπὶ μνήμης, ὅτι τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλονται καὶ οἱ προσερχόμενοι γυτευτρίαις καὶ κριτρίαις καὶ ταῖς μετὰ κριθῶν μαντευομέναις.

B ΖΩΝΑΡ. Τὸ χρῆσθαι μαντεύμασι καὶ ταῖς ἐθνικαῖς ἢ καὶ Ἑλληνικαῖς ἀκολουθεῖν συνηθείαις τοὺς Χριστιανούς, καὶ γόητας προσδέχεσθαι ἐπὶ ἀνευρέσει φαρμακειῶν ἤτοι μαγγανειῶν ὡς τάχα παρά τινων περιεργασθέντας, ἢ ἐπὶ καθάρσει τῶν γοητειῶν προσκαλεῖσθαι αὐτούς, ἀπηγόρευται, καὶ τοὺς τούτοις χρωμένους ὁ κανὼν ὑπὸ ἐπιτίμιον ποιεῖται πενταετίας, ὡς τρία ἔτη ὑποπίπτειν, καὶ δύο ἔτη συνεύχεσθαι τοῖς πιστοῖς· μετὰ δὲ τὴν πενταετίαν, ἀξιοῦσθαι καὶ τῆς τοῦ ἀγαθοῦ μεταλήψεως. ὁ δὲ μέγας Βασίλειος ἐν ὀγδοηκοστῷ τρίτῳ κανόνι, ἑξαετίας ἐπιτιμίῳ τοὺς τοιούτους κολάζει.

C ΑΡΙΣΤ. Ο καταμαντευόμενος, καὶ ὁ εἰσάγων τινὰ ἐν τῷ οἴκῳ ἐπὶ ἀνευρέσει φαρμακειῶν, ἢ καθάρσει, πενταετίαν ὑποπιπτέτω.

Ο μάντεσιν, ἢ γυτευταῖς, ἢ φυλακτηρίοις, ἢ ἑτέροις τισὶ τοιούτοις ἑαυτὸν ἐκδεδωκώς, ἐπὶ τῷ ἐκκαλυφθῆναι ἃ δι' ἐπιθυμίας ἔχει, ἢ ἐπὶ φαρμακείας κακῷ τὸ κακὸν ἰώμενος· ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ ἐπὶ διετίαν συστήσεται τοῖς πιστοῖς, καὶ μόνων τῶν εὐχῶν κοινωνήσει· καὶ οὕτω μετὰ τὴν πενταετίαν μεθέξει τῆς προσφορᾶς. ὁ δὲ ξα΄. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου ἐπὶ ἑξαετίαν ὁρίζει τὸν τοιοῦτον D τῆς κοινωνίας ἀπείργεσθαι.

ΚΑΝΩΝ κε΄.

Μνηστευσάμενός τις κόρην, προσέφθειρε τῇ ἀδελφῇ αὐτῆς, ὡς καὶ ἐπιφορῆσαι αὐτήν, ἔγημε δὲ τὴν μνηστὴν μετὰ ταῦτα· ἡ δὲ φθαρεῖσα ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν ἐν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας κατὰ τοὺς ὡρισμένους βαθμούς.

E ΒΑΛΣ. Ἀπὸ φάκτου τινὸς οἱ πατέρες παρεκινήθησαν τὸν παρόντα κανόνα ἐκθέσθαι. προσηγγέλθη γὰρ αὐτοῖς, ὅτι ἄνθρωπός τις μνηστευσάμενος κόρην, συνεφθάρη μετὰ τῆς ἀδελφῆς αὐτῆς, ὡς καὶ κατὰ γαστέρα ταύτην ἐκ τούτου συλλαβεῖν (τοῦτο γὰρ ἐστι τὸ ἐπιφορῆσαι) καὶ μετὰ τοῦτο κατὰ γάμου κοινωνίαν συνηρμόσθη τῇ οἰκείᾳ μνηστῇ. ἡ δὲ αὐταδέλφη ταύτης σὺν τῷ ἁμαρτήματι τῆς αἱμομιξίας ἐφόνευσεν ἑαυτήν. ὥρισαν οὖν τοὺς συνειδότας ταῦτα τὰ κακά, μετὰ δεκαετίαν ὀφείλουσιν διὰ τῶν συνήθων βαθμῶν παρελθεῖν, δεχθῆναι εἰς τὴν μετὰ τῶν πιστῶν εὐχήν. μὴ ἐναντιωθῇ δέ σοι πρὸς ταῦτα ὁ οη΄. κανὼν τοῦ ἁγίου Βασιλείου, διοριζόμενος μετὰ ἑπτὰ χρόνους ἀξιοῦσθαι τῶν F θείων ἁγιασμάτων τὸν συναρμοσθέντα κατὰ νόμον γάμου δυσὶν ἀδελφαῖς. ἐνταῦθα γὰρ πολλὰ ἐτολμήθησαν ἄτοπα, πορνεία, ἀθεμιτογαμία καὶ φόνος· ἐκεῖσε δὲ μόνη ἀθεμιτογαμία. καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη ὧδε τὸ ἐπιτίμιον. ἐρωτήσει δέ τις, διὰ τί ὁμοίως ἐπιτιμῶνται τοῖς αὐτουργοῖς, καὶ οἱ συνειδότες; Λύσις. ἐπὶ τῶν ἀθεμίτων γάμων πλέον ὤφειλον ἐπιτιμᾶσθαι οἱ συνειδότες παρὰ τοὺς αὐτουργούς. τούτους γὰρ πολλάκις ἀκολασία ἐρωτική, καὶ μὴ βουλομένους, κατάγει πρὸς τὸ ἀθέμιτον· ἐκεῖνοι δὲ συγγνωστέοι οὐκ εἰσίν, ὡς ἐπὶ τῷ κακῷ συμπράξαντες χωρὶς ἀνάγκης τινὸς, καὶ εὐχαριστείτωσαν, ὅτι ὁμοίως τοῖς αὐτουργοῖς κολάζονται. συνειδότες δέ εἰσιν οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἴδησιν, καὶ κωλῦσαι μὴ δυνάμενοι.

ΖΩΝΑΡ. Μνηστείαν τις συνεστήσατο ἐπί τινι κόρῃ, μήπω δὲ τῶν γαμηλίων ἐπ᾽ αὐτοῖς τελεσθέντων, ὁ μνηστὴρ συνεφθάρη τῇ ἀδελφῇ τῆς μνηστῆς, ὡς ἔγκυον ἐκείνην γενέσθαι. τοῦτο γάρ ἐστι τὸ ἐπιφορῆσαι αὐτήν. εἶτα ὁ ἀνὴρ ἔγημε τὴν μνηστὴν, ἡ φθαρεῖσα δὲ ἀπήγξατο. κατὰ τῶν συνειδότων οὖν τὴν ἄτοπον ταύτην πρᾶξιν δεκαετία ὡρίσθη, ὥστε αὐτοὺς ταύτης παρελθούσης δεχθῆναι εἰς τοὺς συνεστῶτας. ὁ δὲ τοῦ μεγάλου Βασιλείου ἑβδομηκοστὸς ὄγδοος κανὼν, τὸν δύο ἀδελφὰς εἰς συνοικέσιον ἀγαγόμενον κατ᾽ ἄλλον καὶ ἄλλον χρόνον, ἐνιαυτὸν προσκλαίειν ὁρίζει, δύο δ᾽ ἐπακροᾶσθαι, τρεῖς ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσῃ. εἴποι οὖν ἄν τις, πῶς ἐνταῦθα βαρύτερον τοὺς συνειδότας οἱ τῆς συνόδου ἐκόλασαν. οἶμαι τοίνυν, ὅτι ἔνθα δύο ἀδελφὰς ὁ αὐτὸς εἰς γάμον ἄγεται, ἀθεμιτογαμία μόνη πλημμελεῖται· ἐπὶ δὲ τῆς παρούσης ὑποθέσεως πολλὰ τὰ τολμηθέντα ἦσαν, φθορὰ τῆς παρθένου, ἀθεμιτογαμία, ὡς δύο ἀδελφαῖς τοῦ αὐτοῦ μιχθέντος, καὶ φόνος ἐκ τῆς αἰτίας ταύτης γενόμενος, καὶ διὰ τοῦτο βαρύτερον ὡρίσθη τὸ ἐπιτίμιον.

ΑΡΙΣΤ. Κόρην τις τινὸς μνηστευσάμενος προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, εἶτα τὴν μνηστὴν ἔλαβεν· ἡ πρώτη ἀπήγξατο· καὶ οἱ συνειδότες δεκαετίαν ὑποπιπτέτωσαν.

Καὶ οἱ συνειδότες γὰρ τὸ γενόμενον, καὶ τὴν ἀγχόνην δυνάμενοι κωλῦσαι, καὶ μὴ κωλύσαντες, ὡς αἴτιοι φόνου κρίνονται, καὶ δεκαετίαν ἐπιτιμῶνται· καὶ οὕτως συνίστανται καὶ συνεύχονται τοῖς πιστοῖς.

A ceſſitate malo auxilium tulêre; & benè ſecum actum eſſe exiſtiment, quòd non magis quàm ii qui fecerunt puniantur. Sunt autem conſcii ii, qui opera juverunt; non autem ii, qui ſolam habent conſcientiam, & prohibere nequeunt.

ZONAR. Deſponſa fuerat cuidam puella, cujus ſororem nuptiis nondum peractis ſponſus vitiavit, quæ etiam ex illo concubitu gravida facta eſt. (Id enim ſignificat verbum ἐπιφορῆσαι.) Sponſam deinde vir ejus traduxit; quæ vero fuerat vitiata ſe ſuffocavit. Contra igitur indigni facinoris conſcios decennii pœ-
B na conſtituta; quo demum elapſo in fidelium conventum reciperentur. Magni vero Baſilii ſeptuageſimus octavus canon, qui duas ſorores diverſo tempore duxerit, uno anno in luctu eſſe; duobus inter audientes; tribus in ſubſtratione degere; ſeptimo in conſortium fidelium admitti; & ſic, ſi cum lacrymis pœnitentiam egerit, oblatione dignum haberi, jubet. Quæret igitur quiſpiam; Cur in eos, qui conſcii fuerant, graviùs hoc loco Synodi Patres animadverterint? Ego vero propterea id factum exiſtimo, quod qui matrimonio duas ſibi ſorores jungit, in eo tantum, quod vetitis ſe nuptiis alligaverit, peccat: In
C præſenti autem facto multa ſcelera inerant; virgo ſtuprata, nuptiæ nefariæ, cum duabus ſcilicet ſororibus coitus, tum exinde quoque ſecuta cædes; idcirco gravioribus pœnis jure damnati ſunt.

ARIST. *Quidam cum puellam deſponsâſſet, ſororem ejus violavit, deinde ſponſam accepit. Prima ſuffocata eſt: & qui facti ſunt conſcii decennio ſubjiciantur.*

Et qui conſcii fuerunt hoc fieri, & ſuffocationem impedire potuerunt, & non impediebant, ut auctores
D cædis judicantur, & decennio punientur, & ſic conſiſtunt & cum fidelibus comprecantur.

E

F

CANONES

CANONES SYNODI NEOCÆSARIANÆ.

Bals. & Zonar. Synodus Neocæſareæ, quæ urbs eſt Ponti, congregata, ſecunda quidem eſt ab Ancyrana; reliquis autem antiquior, atque adeò ipſa etiam prima œcumenica Nicæna. In ea ergo congregati ſancti Patres, cum quibus etiam ſanctus Martyr Baſilius Amaſeæ Epiſcopus interfuit, Canones ad rem Eccleſiaſticam conſtituendam edidere, qui ſequuntur.

Canon I.

Presbyter, ſi uxorem duxerit, ordine ſuo moveatur: Si autem fornicatus fuerit, vel adulterium commiſerit, penitus extrudatur, & ad pœnitentiam deducatur.

Bals. Apoſtolicus xxvi. canon eos, qui ſunt Eccleſiaſtici ordinis, ſi legitimo matrimonio poſt ordinationem conjungantur, deponi jubet. Præſens quoque canon ei ſimiliter decernit. Subjungit autem; quòd ſi quis ex eis fornicatus fuerit, vel adulterium commiſerit, non ſolùm deponetur; ſed etiam à fidelium communione ejicietur; & quatuor pœnitentiæ loca pervadere cogetur, & ſic eſſe divinorum ſacramentorum particeps. Quæ autem hoc canone continentur, ſublata ſunt à xxvii. can. Carth. Syn. & à xxxii. canone magni Baſilii, dicentis; Clerici, qui peccatum quod eſt ad mortem peccant, è gradu dejiciuntur: ſed à laicorum communione non arcentur. Non enim vindicabis bis in idipſum.

Zonar. Si mulierem forte legitimis nuptiis ſibi Presbyter copularit, moveri ordine, hoc eſt, ſacerdotii dignitate privari: (depoſitioni is namque obnoxius eſt.) ſin autem ſtupro ſe aut adulterio polluerit, ab Eccleſia prorſus expelli, ac in pœnitentium ſtationem relegari, ibique lugere, audire, aliaque pœnarum perſolvere, hic canon jubet. Magnus autem Baſilius trigeſimo ſecundo canone totidem verbis ea, quæ ſequuntur, pronuntiat. Qui peccatum, inquit, ad mortem Clerici peccant, de gradu ſuo dejiciuntur; à Laicorum vero communione nequaquam arcentur. Non enim vindicabis bis in idipſum. Eadem vero, quæ magnus Baſilius Carthaginenſis quoque Synodus xxvii. canone ſtatuit; quæ ibi diximus quærenda. Magni porro Baſilii & Carthaginenſis Synodi canones magis puto ſervandos, quippe qui poſteriores fuerunt, magiſque cum Apoſtolico canone conſentiunt; qui ſacratos homines fornicationis reos, depoſitione tantum, non etiam ſegregatione mulctandos eſſe decernit.

Arist. *Presbyter qui uxorem duxerit, ordine deponatur, ſi vero mœchatus aut ſcortatus fuerit, expellatur, & ad pœnitentiam redigatur.*

Presbyter uxorem ducens ſacerdotio movetur, ſed honorem & cathedram retinet. Qui fornicatus autem fuit, aut adulterium commiſit, perfecte expellitur, & ad pœnitentiam redigitur.

Canon II.

Fœmina, ſi duobus fratribus nupſerit, extrudatur uſque ad mortem ſi matrimonium ſolvere non perſuadeatur: at in morte, propter humanitatem, ſi dixerit, quòd ſi convaluerit ſolvet matrimonium, habebit pœnitentiam. Sed ſi mortua fuerit mulier in tali conjugio exiſtens, vel ejus maritus, difficilis eſt ſuperſtiti pœnitentia.

Bals. Præſentis Synodi ſancti Patres ab Eccleſia ad mortem uſque expellunt, ſcilicet donec ei vita ſupereſt, eam quæ legitimo matrimonio duos fratres acceperit, & à nefario matrimonio non deſtiterit. Tanquam autem dixiſſet quiſpiam; Sin autem ad mortem pervenerit, ne tunc quidem divina ſacramenta percipiet?

A

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ συνόδου.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ἡ ἐν Νεοκαισαρείᾳ τῇ κατὰ Πόντον συστᾶσα σύνοδος, δευτέρα μέν ἐστι τῆς ἐν Ἀγκύρᾳ· τῶν δὲ λοιπῶν πρεσβυτέρα, καὶ αὐτῆς τῆς πρώτης οἰκουμενικῆς τῆς ἐν Νικαίᾳ. οἱ γοῦν ἐν ταύτῃ συναθροισθέντες ἅγιοι πατέρες, οἷς συνῆν καὶ ὁ ἅγιος μάρτυς Βασίλειος ἐπίσκοπος Ἀμάσεως, κανόνας ἐπὶ καταστάσει ἐκκλησιαστικῇ ἐξεφώνησαν, οἵτινες εἰσὶν οὗτοι.

ΚΑΝΩΝ α'.

B Πρεσβύτερος, ἐὰν γήμῃ, τῆς τάξεως αὐτοῦ μετατιθέσθω· ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθείσθω τέλεον, καὶ ἀγέσθω εἰς μετάνοιαν.

ΒΑΛΣ. Ὁ Ἀποστολικὸς κϛ'. κανὼν τοὺς τοῦ βήματος, συναπτομένους μετὰ τὴν χειροτονίαν γυναιξὶ κατὰ νόμον γάμου, καθαιρεῖσθαι διατάττεται. καὶ ὁ παρὼν κανὼν παρομοίως αὐτῷ διορίζεται. ἐπάγει δὲ, ὅτι ἐάν τις ἐξ αὐτῶν πορνεύσῃ ἢ μοιχεύσῃ, οὐ μόνον καθαιρεθήσεται, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν κοινωνίας ἐκβληθήσεται, καὶ ἀναγκασθήσεται τοὺς τέσσαρας τόπους τῆς μετανοίας διελθεῖν, καὶ οὕτω C μετασχεῖν τῶν θείων ἁγιασμάτων. τὰ περὶ τούτων δὲ ἀνῃρέθησαν ἀπὸ τοῦ κζ'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἀπὸ τοῦ λβ'. κανόνος τοῦ μεγάλου Βασιλείου, λέγοντος, οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ, τοῦ βαθμοῦ κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό.

ΖΩΝΑΡ. Ἐὰν γάμον νόμιμον τάχα ἑαυτῷ πρεσβύτερος συναλλάξῃ, μετατίθεται τῆς τάξεως αὐτοῦ, ἀντὶ τοῦ, ἐκβάλλεται τῆς ἱερωσύνης, καθαιρεῖται γάρ. ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, τελείως ἐξωθεῖται τῆς ἐκκλησίας, καὶ D εἰς μετανοούντων ἄγεται τόπον, ὥστε προσκλαίειν, καὶ ἀκροᾶσθαι, καὶ τὰ λοιπὰ ἀναπληροῦν. ὁ δὲ μέγας Βασίλειος ἐν λβ'. κανόνι ταῦτα λέγει ῥητῶς. οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται· τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. τὰ αὐτὰ δὲ τῷ μεγάλῳ Βασιλείῳ καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος διατάττεται ἐν κζ'. κανόνι αὐτῆς. ζητητέον οὖν τὰ ἐκεῖ εἰρημένα. οἶμαι δὲ τοὺς τοῦ μεγάλου Βασιλείου καὶ τοὺς τῆς ἐν Καρθαγένῃ συνόδου ἐπικρατεστέρους εἶναι, ὡς μεταγενεστέρους, καὶ ὡς τῷ ἀποστολικῷ συμφωνοῦντας κανόνι, ὃς τοὺς ἐπὶ πορνείᾳ ἁλόντας ἱερωμένους καθαιρεῖσθαι, καὶ μὴ ἀφορίζεσθαι λέγει. E

ΑΡΙΣΤ. Γήμας πρεσβύτερος, μετατιθέσθω τῆς τάξεως· ἐξωθείσθω δὲ, μοιχεύσας, ἢ πορνεύσας, καὶ ἀγέσθω εἰς μετάνοιαν.

Ὁ γυναῖκα λαβὼν πρεσβύτερος, τῆς μὲν ἱερωσύνης μετακινεῖται· τῆς δὲ τιμῆς καὶ τῆς καθέδρας μετέχει. ὁ δὲ πορνεύσας, ἢ μοιχεύσας, τέλειον ἐξωθεῖται, καὶ εἰς μετάνοιαν ἄγεται.

ΚΑΝΩΝ β'.

Γυνὴ, ἐὰν γήμηται δύο ἀδελφοῖς, ἐξωθείσθω μέχρι θανάτου F μὴ πειθομένη λῦσαι τὸν γάμον· πλὴν ἐν τῷ θανάτῳ, διὰ τὴν φιλανθρωπίαν, εἰποῦσα, ὡς ὑγιάνασα λύσει τὸν γάμον, ἕξει τὴν μετάνοιαν. ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν τοιούτῳ γάμῳ οὖσα, ἤτοι ὁ ἀνὴρ, δυσχερὴς τῷ μένοντι ἡ μετάνοια.

ΒΑΛΣ. Οἱ τῆς παρούσης συνόδου ἅγιοι πατέρες διώκουσιν ἀπὸ τῆς ἐκκλησίας μέχρι θανάτου, ἤγουν μέχρις ἂν τῷ βίῳ περίεσι, τὴν λαβοῦσαν κατὰ νόμον γάμου δύο ἀδελφοὺς, καὶ μὴ ἀποστᾶσαν τῆς ἀθεμιτογαμίας. ὡς δὲ τινος εἰπόντος, εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ τότε τῶν θείων ἁγιασμάτων ἀξιωθήσεται, ἐπήγαγον, ὡς εἴπερ ἐν τῷ τελευτᾷν ἡ τοιαύτη γυνὴ καταθῆται διαζευχθῆναι μετὰ ὑγείαν, τότε μὲν μεταλαβεῖν παραχωρηθήσεται. μετὰ δὲ τὸ ἀπαλλαγῆναι τῆς νόσου, καὶ ἀποστῆναι τῆς ἀθεμιτογαμίας, προσδεχθήσεται εἰς μετάνοιαν. καὶ τοῦτο μὲν γενήσεται ὅταν προβῇ ἐν ζωῇ αὐτῶν διαζύγιον. ἐὰν δὲ τὸ ἓν τῶν προσώπων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι. ὁ γὰρ μετανοῶν, ἀφιστάμενος τῆς ἁμαρτίας, πιστεύεται μετανοεῖν. ὁ δὲ μέχρι θανάτου μὴ ἀποστὰς αὐτῆς, δείκνυσιν ὅτι εἰ καὶ ἔτι περιῆν τὸ τελευτῆσαν μέρος, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας. ὅτι οὖν ὁ ζῶν ἀναφαίνεται, ὅσον τὸ ἐπ' ἐκείνῳ, τῷ κακῷ ἐπιμένων, δυσχερῆ ἕξει πρὸς μετάνοιαν. τούτων οὕτως ἐχόντων μὴ εἴπῃς ἐναντιοῦσθαι τῷ παρόντι κανόνι τὸν τοῦ μεγάλου Βασιλείου οη'. κανόνα λέγοντα τὸν δύο ἀδελφὰς εἰς συνοικέσιον ἀγαγόμενον μετὰ ἑπταετίαν ἀξιοῦσθαι τῶν θείων ἁγιασμάτων. ὁ μὲν γὰρ παρὼν κανὼν, νομοθετεῖ περὶ γυναικὸς ἀθέμιτον γάμον ποιησάσης, καὶ μὴ διαζευχθείσης ἐξ αὐτοῦ δι' ὅλης τῆς ζωῆς αὐτῆς, καὶ διὰ τοῦτο οὔσης ἀπαραδέκτου εἰς μετάνοιαν. ὁ δὲ ῥηθεὶς θεματίζει τὸν ἀθεμιτογαμήσαντα ἀποστῆναι τῆς ἁμαρτίας, καὶ διὰ τοῦτο προσδέχεται αὐτὸν εἰς μετάνοιαν. ἀνάγνωθι καὶ τὸν λθ'. κανόνα τοῦ ἁγίου Βασιλείου, ὀνομάζοντα μοιχαλίδα τὴν ἔτι τῷ μοιχῷ συζῶσαν· ὥστε σημείωσαι ὅτι τῷ ἁμαρτάνοντι καὶ ἀφισταμένῳ τοῦ κακοῦ, ἐπιτίμια δίδονται, οὐ μὴν τῷ ἐπιμένοντι· οὗτος γὰρ πάντη ἀπόβλητός ἐστιν. ἐρωτήσει δέ τις, εἰ δὲ οὐ θελήσει ἡ ῥηθεῖσα γυνὴ καταθέσθαι τὴν μετὰ τὴν ὑγείαν ἀπόστασιν τοῦ τοιούτου ἀθεμίτου γάμου, οὐ μετάσχῃ τελευτῶσα τῆς ἁγίας μεταλήψεως; Λύσις. ὁ μὲν παρὼν κανὼν, οὐδέν τι περὶ τούτου φησίν. οἶμαι δὲ ἀσυμπαθὲς εἶναι τὸ μὴ ἀξιωθῆναι ταύτην τοῦ καλοῦ ἐφοδίου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, ὀρθόδοξον οὖσαν. διὸ κἂν μὴ ποιήσῃ τοιαύτην κατάθεσιν, διὰ τῆς θείας μεταλήψεως ἐφοδιασθήσεται. καὶ εἰ μὲν ὑγιάνασα λύσῃ ἀθέμιτον γάμον, παραδεχθήσεται εἰς μετάνοιαν· εἰ δὲ μὴ, τῆς ἐκκλησίας παντάπασιν ἐξοστρακισθήσεται, ὡς τῷ κακῷ ἐπιμένουσα.

ΖΩΝΑΡ. Ἐὰν γυνὴ κατὰ γάμον δύο ἀδελφοῖς συνοικήσῃ, ἐξωθείσθω τῆς ἐκκλησίας μέχρι θανάτου μὴ πειθομένη λῦσαι τὸν γάμον· εἰ δὲ θνήσκουσα ἐπαγγέλληται, ὅτι ὑγιάνασα λύσει τὸν γάμον, τεύξεται τῆς ἁγίας μεταλήψεως τότε, καὶ ἀναῤῥωσθεῖσα, ἕξει μετάνοιαν, ἀντὶ τοῦ δεχθήσεται εἰς μετάνοιαν. ἐὰν δὲ τὸ ἓν τῶν προσώπων τούτων ἐν τῷ ἀθεμίτῳ γάμῳ τελευτήσῃ, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι. ὁ γὰρ μετανοῶν ἀφιστάμενος τῆς ἁμαρτίας πιστεύεται μετανοεῖν. εἰ δ' ἔτι τὸ κακὸν πράττει, πῶς λογισθήσεται μεταμέλεσθαι, ἢ πῶς δεχθήσεται εἰς μετάνοιαν; ὁ δὲ μέχρι θανάτου τῆς γυναικὸς μὴ ἀποστὰς τῆς ἀθεμιτογαμίας, δείκνυσιν, ὅτι εἰ καὶ ἔτι περιῆν, οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας, ὡς γοῦν ὅσον τὸ ὑπ' ἐκείνῳ τῷ κακῷ ἐπιμένων, δυσχερῆ ἕξει πρὸς τὴν μετάνοιαν· καὶ ὥσπερ ὁ μέγας Βασίλειος ἐν λθ'. κανόνι φησίν· ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον· οὕτω καὶ ὁ ἀθεμιτογαμῶν ἕως ἂν μὴ λύσῃ τὸν ἀθέμιτον γάμον, ἁμαρτάνει καὶ εἰς μετάνοιαν ἄδεκτός ἐστι.

ΑΡΙΣΤ. Ἡ ἀδελφοῖς γημαμένη δυσὶ, διὰ βίου ἐξωθείσθω· εἰ δὲ κατὰ τὸν θάνατον ὑπισχνοῖτο λύσειν τὸν γάμον, ἂν ἐπιβιώῃ, ἕξει μετάνοιαν· εἰ δὲ τελευτήσει τῶν συνοίκων ὁ εἷς, δυσχερὴς τῷ μείναντι ἡ μετάνοια.

Ἡ δυσὶν ἀδελφοῖς γαμηθεῖσα, καὶ τῷ ἀθέσμῳ γάμῳ ἐπιμένουσα, διὰ βίου παντὸς αὐτῆς ἐξωθείσθω τῆς ἐκκλησίας. ζήτει καὶ τοῦ μεγάλου Βασιλείου κανόνα κγ'. εἰ δὲ πρὸς θάνατον ἐλθοῦσα ὑποσχεθῇ λύσειν τὸν γάμον, ἐὰν ἐπιζήσει· δέχεται εἰς μετάνοιαν. ὅπως δὲ ζήτει κανόνα ξβ'. καὶ ξγ'. μεγάλου Βασιλείου.

A ſubjunxerunt, quòd ſi quidem inter moriendum, ejuſmodi mulier, ſe, poſtquam convaluerit, ſeparandam eſſe affirmet, tunc quidem communionis eſſe particeps ſinetur. Sed poſtquam à morbo liberata fuerit, & à nefario conjugio ſeparata, ad pœnitentiam admittetur. Et hoc quidem procedet, quando in vita eorum fuerit divortium. Si autem una ex perſonis in nefario matrimonio deceſſerit, ei qui relictus eſt, eſt admodum difficilis pœnitentia. Qui enim agit pœnitentiam à peccato deſiſtens, is creditur pœnitentia duci. Qui autem ad mortem uſque ab eo non deſiſtit, oſtendit quòd etiam ſi illa pars adhuc ſupereſſet quæ eſt mortua, à peccato non deſtitiſſet. Quia B ergo qui vivit, videtur adhuc in eo malo quantum in ſe eſt, perſeverare, difficilem habebit pœnitentiam. Quæ cùm ita ſe habeant, ne dixeris præſenti canoni adverſari magni Baſilii can. lxxviii. dicentem, eum qui duas uxores duxit in matrimonio, poſt ſeptennium dignum haberi qui divina ſacramenta percipiat. Præſens enim canon decernit de muliere quæ nefarium matrimonium contraxit, & ab eo tota vita non eſt ſejuncta, & propterea non eſt ad pœnitentiam admittenda. Dictus autem canon, ponit eum, qui nefarium matrimonium contraxit, à peccato deſtitiſſe, & eum propterea ad pœnitentiam admittit. Lege etiam xxxix. can. ſancti Baſilii, qui eam vocat C adulteram, quæ cum adultero adhuc cohabitat. Nota ergo, quòd ei qui peccat, & à pœnitentia deſiſtit, dantur pœnæ, non autem ei qui perſeverat: ipſe enim eſt omnino ejiciendus. Interrogavit autem quiſpiam, ſi autem nolit dicta mulier affirmare, ſe, poſtquam convaluerit, à nefario iſto conjugio ſeparandam, an non erit ſanctæ communionis particeps? Solutio. Præſens quidem canon de eo nihil dicit. Exiſtimo autem hoc eſſe nimiùm à miſericordia remotum, ſi ea, cùm ſit orthodoxa, ne in extremo quidem ſpiritu, bono viatico digna cenſebitur. Quare ſi nec hoc quidem affirmaverit, nihilo ſecius ſanctæ erit communionis particeps: & ſi, poſtquam convaluerit, D ſolvat nefarium conjugium, ad pœnitentiam admittetur: ſin minùs, ab Eccleſia omnino exterminabitur, ut quæ in malo perſeveret.

ZONAR. Si qua mulier nuptias cum duobus fratribus contraxerit, nec ut eas diſſolvat adduci poſſit, extra Eccleſiam inquit quoad vixerit extrudatur. Quod ſi inter moriendum de diſſolvendo conjugio ſi convaluerit polliceatur, ſanctæ communionis tunc quidem particeps fiet: verum depulſo morbo pœnitentiam habebit, hoc eſt, ad pœnitentiam admittetur. Quod ſi una ex his perſonis interdicto conjugio illigata deceſſerit, difficilis pœnitentiæ ratio ſuperſtiti relinquetur. Qui enim pœnitentiam E agit, is ſi à peccato deſiſtat pœnitentia duci exiſtimatur. At ſi in malo perſiſtit, quis eum pœnitentia admiſſi facinoris tangi credat, aut quo pacto ille ad pœnitentiam admitti queat. Qui vero uſque ad mulieris obitum nunquā ſe ab illegitimis nuptiis abjunxit, is ſe muliere ſuperſtite nunquam à crimine receſſurum fuiſſe plane demonſtrat. Igitur velut qui quantum in ipſo eſt, in nefario crimine perſeveret, ad pœnitentiam multis difficultatibus obſeptum iter inveniet; & quemadmodum Magnus Baſilius in canone ait, ſemper adulterii ream eſſe eam, quæ cum adultero habitat: ita & qui nefarias nuptias contraxit, donec interdictum conjugium reſciderit, in noxa eſt, nec F ad pœnitentiam ullatenus admitti poteſt.

ARIST. *Mulier quæ duobus fratribus nupta eſt, per totam vitam expellatur. Si vero morti proxima ſe nuptias ſoluturam promiſerit, ſi ſupervixerit, ad pœnitentiam admittitur. Si autem unus è conjugibus obierit, difficilis eſt ſuperſtiti pœnitentia.*

Quæ duobus fratribus nupta eſt, & in illegitimo iſto conjugio manet, per totam ſuam vitam Eccleſiâ expellatur. Quære & Magni Baſilii can. xxiii. Si autem morti appropinquans conjugium ſolvere promittit, ſi ſupervixerit, ad pœnitentiam admittitur. Quomodo verò, quære Baſilii Magni canonem lxii. & lxii.

Si

Tanquam autem dixiſſet quiſpiam; ſin autem ad mortem pervenerit, ne tunc quidem divina ſacramenta percipiet? Si autem in illegitimo iſto conjugio unus eorum mortem obierit, difficilis eſt ſuperſtiti pœnitentia, quia non diſcinditur & corrigitur ſcelus cum voluntate ipſius & propoſito.

CANON III.

De iis qui in plurima matrimonia incidunt, tempus quidem præſtitutum manifeſtum eſt. Sed converſio & pœnitentia eorum tempus contrahit.

BALS. Eos qui multas uxores duxerunt, dicit canon præfinito ſeu præſtituto tempore eſſe puniendos ex conſuetudine: ſed eſt in Epiſcopalis judicii poteſtate hoc tempus contrahere, propter bonam ejus qui peccavit converſionem. Sed quia ex hoc non oſtenditur, quinam ſint polygami: neque quodnam ſit tempus præſtitutum: & hoc aliter & aliter hinc & inde tractatum eſt: nec nos hîc aliquid ſcribere potuimus. Sed in quarto magni Baſilii canone Deo dante dicemus quæ ſunt conſentanea de trigamis & polygamis, & de tempore pœnarum quæ dantur unicuique ipſorum.

ZONAR. Magnus Baſilius quarto canone trigamos ad quinquennium ſegregari jubet: atque id ſpatium non à canone, ſed tradita à majoribus conſuetudine definitum eſſe aſſerit, ac trigamiam ad polygamiam quoque extendit. Quod vero tempus præfinitum hic canon intelligat, ignoratur, ſi quidem multo antiquior hæc Synodus Magno Baſilio fuit: ac omnino ſi in ea aliquod tempus trigamorum pœnitentiæ præfinitum fuiſſet, nequaquam illud ſapientiſſimum Baſilium latuiſſet. Niſi forte hæc quoque Synodus præfinitum tempus, conſuetudinem dicit. Tempus quidem igitur, inquit canon, præfinitum eſt, ſed eorum qui ob trigamiam pœnitentiæ addicti ſunt converſio, ac fiducia erga Deum, tempus contrahit. Si namque qui illorum pœnitentiæ præfectus eſt, eos in luendis pœnis ſtudium, ardorémque præ ſe ferre animadvertat, nec conſternari mente, ſed præfidentes divinæ bonitati veniam ſibi contractæ noxæ polliceri, præſtituti temporis intervallum contrahet ac præcidet.

ARIST. *Polygamorum tempus manifeſtum eſt. Pœnitentiæ vero ſtudium illud præcidit.*

Tempus trigamorum & polygamorum ſupplicii in quarto canone Magni Baſilii & in octuageſimo illius canone ponitur. Quinque enim annos, inquit, qui tres uxores duxit ſegregetur, ſed non omnino ab Eccleſiâ arceatur; verum duos aut tres annos divinarum ſcripturarum auditione dignetur: & poſtea uſque ad expletum quinquennium cum fidelibus conſiſtat, à boni autem communione abſtineat; & ſic ſyncerè reſipiſcens ad communionem admittatur. At polygami ſeu qui plures nuptias inierunt ut plus aliquid etiam fornicatione peccantes, unum annum defleant, tres ſubſternantur, & ſic admittantur cum fidelibus. In Epiſcopi autem poteſtate, ad converſationem fidemque agentis pœnitentiam reſpicientis, ut dicit hic canon, pœnitentiæ tempus contrahere, ponitur.

CANON IV.

Si quis mulierem concupiſcens, propoſuerit cum eâ concumbere, ejus autem deſiderium ad opus non venerit, manifeſtum eſt quod à gratiâ ſervatur.

BALS. In peccatis eſſe quatuor gradus dicunt ſancti patres, impreſſionem ſeu primum motum, luctationem, aſſenſionem, & actum: quorum duo quidem prima non eſſe pœnæ obnoxia; in duo au-

A ὡς δὲ τινὸς εἰπόντος, εἰ δὲ καταντήσει εἰς θάνατον, οὐδὲ τότε τῶν θείων ἁγιασμάτων ἀξιωθήσεται; ἐπήγαγεν, ὡς ἐὰν δὲ ἐν τῷ παρανόμῳ τούτῳ γάμῳ εἷς ἐξ αὐτῶν τελευτήσῃ, δυσχερὴς τῷ ζῶντι ἡ μετάνοια, διὰ τὸ μὴ διακοπῆναι τὸ ἄθεσμον παρὰ τὴν αὐτοῦ γνώμην τε καὶ προαίρεσιν.

ΚΑΝΩΝ γ'.

Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων ὁ μὲν χρόνος σαφὴς ὁ ὡρισμένος, ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν συντέμνει τὸν χρόνον.

B **ΒΑΛΣ.** Τοὺς πολυγάμους φησὶν ὁ κανὼν ἐπιτιμᾶσθαι διὰ χρόνου ὡρισμένου ἤτοι προεγνωσμένου ἀπὸ συνηθείας. πλὴν παρὰ τῇ ἐπισκοπικῇ διακρίσει ἐστὶ καὶ τὸν τοιοῦτον χρόνον συντεμεῖν διὰ τὴν ἀγαθὴν τοῦ ἁμαρτάνοντος ἐπιστροφήν. ἐπεὶ δὲ ἀπὸ τούτου οὐ παρίσταται τίνες εἰσὶ οἱ πολυγαμοῦντες, οὐδὲ τίς ἐστιν ὁ ὡρισμένος χρόνος, κἀντεῦθεν ἄλλως καὶ ἄλλως τὰ περὶ τούτου ἐξελήφθησαν, οὐδὲ ἡμεῖς ἠδυνήθημεν γράψαι τι ἐνταυθοῖ. ἐν μέντοι τῷ δ'. κανόνι τοῦ μεγάλου Βασιλείου, τοῦ θεοῦ διδόντος, εἴπομεν τὰ εἰκότα περὶ τῶν τριγάμων καὶ πολυγάμων καὶ περὶ τοῦ χρόνου τῶν διδομένων ἐπιτιμίων ἑκάστῳ αὐτῶν.

C **ΖΩΝΑΡ.** Ἐν τετάρτῳ κανόνι ὁ μέγας Βασίλειος, τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφορίζεσθαι λέγει, καὶ τοῦτον τὸν χρόνον οὐκ ἀπὸ κανόνος εἶναι φησὶν, ἀλλ' ἐκ συνηθείας καὶ τῆς τῶν προειληφότων ἀκολουθίας, καὶ τὴν τριγαμίαν δὲ, εἰς πολυγαμίαν ἀνάγει. τίνα δὲ λέγει χρόνον ὡρισμένον ὁ παρὼν κανὼν, ἠγνόηται, προγενεστέρα γάρ ἐστι πολλῷ τοῦ μεγάλου Βασιλείου ἡ σύνοδος αὕτη, καὶ παντελῶς εἰ ὥριστο πρὸ ταύτης χρόνος ἐπὶ τῶν τριγάμων, οὐκ ἂν ἠγνοήθη τῷ τὰ πάντα σοφῷ Βασιλείῳ. εἰ μή που λέγει καὶ αὕτη ἡ σύνοδος ὡρισμένον χρόνον, τὴν συνήθειαν. ὁ μὲν οὖν χρόνος, φησὶν, ὡρισμένος ἐστίν· ἡ δὲ τῶν ἐπὶ D τῇ τριγαμίᾳ μετανοούντων ἀναστροφὴ, καὶ ἡ πίστις ἡ πρὸς τὸν θεὸν, συντέμνει τὸν χρόνον. εἰ γὰρ ὁ τούτους οἰκονομῶν, ὁρᾷ αὐτοὺς σπουδὴν ἐνδεικνυμένους, καὶ θερμότητα περὶ τὴν μετάνοιαν, καὶ οὐκ ἀπογινώσκοντας, ἀλλὰ πιστεύοντας, ὅτι διὰ τὴν πολλὴν ἀγαθότητα τοῦ θεοῦ ἀφεθήσεται αὐτοῖς τὸ ἁμάρτημα, συντεμεῖ τὸν χρόνον καὶ ἐλαττώσει αὐτόν.

ΑΡΙΣΤ. Τῶν πολυγάμων ὁ χρόνος σαφής· τὸ δὲ τῆς μετανοίας σπουδαῖον, αὐτὸν ὑποτέμνεται.

Ὁ χρόνος τῆς ἐπιτιμίας τῶν τριγάμων καὶ πολυγάμων κεῖται ἐν τῷ τετάρτῳ κανόνι τοῦ μεγάλου Βασιλείου, καὶ ἐν E τῷ ὀγδοηκοστῷ κανόνι αὐτοῦ. ἐπὶ πέντε γὰρ ἔτεσί φησι, τὸν τρίγαμον ἀφορίζεσθαι. πλὴν μὴ παντῇ ἀπείργειν αὐτὸν τῆς ἐκκλησίας. ἀλλ' ἐν δυσὶν, ἢ καὶ τρισὶν ἔτεσι, τῆς τῶν θείων γραφῶν ἀκροάσεως αὐτὸν ἀξιοῦν· καὶ μετὰ ταῦτα, μέχρι τοῦ τὴν πληρωθῆναι τὴν πενταετίαν, συστήκειν μετὰ τῶν πιστῶν· τῆς δὲ τοῦ ἀγαθοῦ κοινωνίας ἀπέχεσθαι· καὶ οὕτω γνησίως μετανοοῦντα, εἰς κοινωνίαν παραδεχθῆναι· τοὺς δὲ πολυγάμους, ὡς πλέον τι καὶ πορνείας ἁμαρτάνοντας, ἐνιαυτὸν προσκλαίειν, τρεῖς ὑποπίπτειν, καὶ οὕτω δέχεσθαι μετὰ τῶν πιστῶν. παρὰ τῇ ἐξουσίᾳ δὲ κεῖται τοῦ ἐπισκόπου, ὡς ὁ παρὼν κανὼν λέγει, ἐλαττῶσαι τὸν χρόνον τῆς μετανοίας, πρὸς τὴν δια-F γωγὴν, καὶ τὴν πίστιν ὁρῶντος τοῦ μετανοοῦντος.

ΚΑΝΩΝ δ'.

Ἐὰν προθῆταί τις ἐπιθυμήσας γυναικὸς, συγκαθευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται, ὅτι ὑπὸ τῆς χάριτος ἐῤῥύσθη.

ΒΑΛΣ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς οἱ ἅγιοι πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν, καὶ πρᾶξιν· ὧν τὰς δύο τὰς πρώτας ἀνεπιτιμήτους εἶναι· τὰς δὲ μετ' αὐτὰς δύο ὑπὸ ἐπιτίμιον. οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς καὶ παλαίσας ἀπεπέμψατο τὸ ἐνθύμιον. ἡ δὲ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. ἐὰν οὖν ἐπιθυμία προσέβαλε τινὶ γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ, οὐκ ἦλθε δὲ εἰς ἔργον, ἤτοι οὐ τὴν πρᾶξιν ἐπλήρωσε, φαίνεται, ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐῤῥύσατο· πλὴν οὐκ ἀνεπιτίμητος ἔσται. καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον ἐστί. καὶ τοῦτο δῆλον ἐκ τοῦ ο΄. κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος, διάκονος ἐν χείλεσι μιανθεὶς, ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. εἰ δέ τι πλέον φωραθῇ τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται. τὸ μέντοι μιανθῆναι ἐν χείλεσι τινὲς ἄλλως ἑρμηνεύουσι· καὶ ῥηθήσεται τὰ περὶ τούτου ἐν τῷ ο΄. κανόνι τοῦ ἁγίου Βασιλείου.

ΖΩΝΑΡ. Ἐπὶ τῶν ἁμαρτημάτων τέσσαρας εἶναι βαθμοὺς οἱ ἅγιοι πατέρες φασὶ, προσβολὴν, πάλην, συγκατάθεσιν καὶ πρᾶξιν· ὧν τὰς δύο καὶ πρώτας ἀνεπιτιμήτους εἶναι, τὰς δὲ μετ᾽ αὐτὰς δύο ὑπὸ ἐπιτίμιον. οὔτε γὰρ ἡ προσβολὴ κρίνεται, οὔτε ἡ πάλη, ἐὰν τὴν προσβολὴν παραδεξάμενος ὁ λογισμὸς καὶ παλαίσας ἀπεπέμψατο τὸ ἐνθύμημα· ἡ συγκατάθεσις κρίνεται καὶ αἰτιᾶται, καὶ ἡ πρᾶξις κολάζεται. ἐὰν οὖν ἐπιθυμία προσέβαλέ τινι γυναικὸς, καὶ νικηθεὶς συγκατέθετο μιγῆναι αὐτῇ, οὐκ ἦλθε δὲ εἰς ἔργον, ἤτοι οὐ τὴν πρᾶξιν ἐπλήρωσε, φαίνεται, ὅτι ἡ χάρις τοῦ Θεοῦ αὐτὸν ἐῤῥύσατο. πλὴν οὐκ ἀνεπιτίμητος ἔσται. καὶ ἡ συγκατάθεσις γὰρ ὑπὸ ἐπιτίμιον γίνεται. καὶ τοῦτο δῆλον ἐκ τοῦ ἑβδομηκοστοῦ κανόνος τοῦ ἁγίου Βασιλείου, λέγοντος· διάκονος ἐν χείλεσι μιανθεὶς, ἤγουν μέχρι φιλήματος φθάσας γυναικὸς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται, τουτέστι μέχρι καιροῦ κωλυθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. εἰ δέ τι πλέον φωραθῇ τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεθήσεται. ἐντεῦθεν δῆλον, ὅτι ἄλλο δηλοῖ τὸ ἐπισχεθήσεται, ὡς εἴρηται, δηλαδὴ τὸ, προσκαίρως τῆς λειτουργίας εἰρχθήσεται. εἰ καὶ τισιν οὐχ οὕτως νοεῖται, οἷς καὶ τὸ χείλεσι μιανθῆναι ἑτέρως ἐκλαμβάνεται, οὐκ εὐστόχως μέντοι, ὡς οἶμαι.

ΑΡΙΣΤ. Ὁ ἐπιθυμήσας μὲν, μὴ δράσας δὲ, Θεῷ ἐῤῥύσθη.

Ὅστις μέχρι ψιλῆς προθέσεως συγκαθευδῆσαι γυναικὶ ἐπεθύμησεν, ἐχόμενον δέ τι σπουδῆς οὐκ ἔπραξεν, οὔτε ἔργον ἡ ἐνθύμησις αὐτοῦ ἦλθε· φαίνεται ὡς ὑπὸ τῆς ἄνωθεν ἐῤῥύσθη χάριτος. εἰ γὰρ καὶ ἐπεθύμησε, καὶ ἐσπούδασε, καὶ μέσοις τισὶν εἰς ἀπάρτισιν τοῦ μέσους ἐχρήσατο· ἀποτέλεσμα δὲ ἡ σπουδὴ αὐτοῦ οὐκ ἔσχε, διά τινα παρεμπεσόντα ἐμπόδια ἔξωθεν· ἐπιτιμίοις ὑπόκειται· ὡς ὁ ἑβδομηκοστὸς κανὼν τοῦ ἁγίου Βασιλείου διαγορεύει περὶ τοῦ ἐν χείλεσι μιανθέντος διακόνου.

ΚΑΝΩΝ ε΄.

Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς κυριακὸν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνων· ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων. ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω.

ΒΑΛΣ. Δύο τάξεις τῶν κατηχουμένων εἰσίν. οἱ μὲν γὰρ ἄρτι προσέρχονται, καὶ, ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν γραφῶν καὶ τῶν θείων εὐαγγελίων εὐθὺς ἐξίασιν· οἱ δὲ ἤδη προσῆλθον, καὶ γεγόνασι τελεώτεροι, ὅθεν καὶ τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένοντες, τὸ γόνυ κλίνουσιν ἐν ταύτῃ. ὅταν δὲ ἐκφωνηθῇ τὸ, οἱ κατηχούμενοι προέλθετε, τότε ἐξέρχονται καὶ οὗτοι. φησὶν οὖν ὁ κανὼν, ὅτι ἐὰν κατηχούμενος

A tem, quæ ſequuntur, pœnam cadere. Neq; enim impreſſio neq; luctatio judicatur; ſi ratio Impreſſionem ſuſcipiens, & cum ea colluctata, cogitatum repudiaverit: Aſſenſio autem judicatur & accuſatur, & actio punitur. Si ergo mulieris deſiderium alicui injectum eſt, & is victus, ut cum ea rem haberet, aſſenſus eſt, ad opus autem non venit, id eſt, actum non implevit, manifeſtum eſt, quod Dei gratia eum ſervavit; ſed non impune abibit. Pœna enim in aſſenſionem etiam cadit. Hoc quoque manifeſtum eſt ex lxx. Can. ſancti Baſilii, qui dicit; Diaconus labris pollutus, ſive qui uſque ad oſculum mulieris pervenit, & ſe hucuſque peccaſſe confeſſus eſt, miniſterio ei interdicetur, B id eſt, ad tempus prohibebitur: Sed ſacramentis unà cum Diaconis communicare non indignus habebitur. Itidem & Presbyter. Si quis autem ultra peccaſſe deprehenſus fuerit, in quocunque ſit gradu, deponetur. Labris autem eſſe pollutum nonnulli aliter interpretantur; & de eo dicetur in lxx. Can. ſancti Baſilii.

Zonar. In peccatis eſſe quatuor gradus dicunt ſancti patres, impreſſionem, luctationem, aſſenſionem & actum: quorum duo quidem prima non eſſe pœnæ obnoxia; in duo autem, quæ ſequuntur, pœnam cadere: Neque enim impreſſio, neque luctatio judicatur; ſi ratio impreſſionem C ſuſcipiens, & cum ea colluctata, cogitatum repudiaverit: Aſſentio autem judicatur & accuſatur, & actio punitur. Si ergo mulieris deſiderium alicui injectum eſt, & is victus, ut cum ea rem haberet, aſſenſus eſt, ad opus autem non venit, id eſt, actum non implevit, manifeſtum eſt, quod Dei gratia eum ſervavit; ſed non impune abibit. Pœna enim in aſſenſionem etiam cadit. Hoc quoque manifeſtum eſt ex lxx. Can. ſancti Baſilii, qui dicit; Diaconus labris pollutus, ſive qui uſque ad oſculum mulieres pervenit, & ſe hucuſque peccaſſe confeſſus eſt, miniſterio ei interdicetur, id eſt, ad tempus prohibebitur: Sed ſacramentis unà cum Diaconis communicare non indignus D habebitur. Itidem & Presbyter. Si quis autem ultra peccaſſe deprehenſus fuerit, in quocunque ſit gradu, deponetur. Unde conſtat, quod aliud ſignificatur per illud, interdicetur, nimirum, ad tempus à miniſterio arcebitur. Etſi à nonnullis ita non intelligitur; qui illud, Labris eſſe pollutum, aliter interpretantur, minus tamen rectè, ut opinor.

Ariſt. *Qui concupivit, ſed non perfecit, per Deum ſervatus eſt.*

Quicunque etiam nudo propoſito cum muliere dormire concupiverit, ſed quod conatus eſt, non fecit, neque E ad factum venit concupiſcentia ejus, manifeſtum eſt, quod per gratiam cœleſtem ſervatur. Si enim & concupivit, & diligentiam adhibuit, & mediis quibuſdam ad illius conſummationem uſus eſt, conatus autem ejus perfectionem non habuit propter impedimenta aliqua externa quæ inciderunt, pœnis ſubjicitur, ut ſeptuageſimus ſancti Baſilii Canon mandat de Diacono qui in labris pollutus eſt.

Canon V.

Catechumenus, ſi in dominicum ingrediens in Catechumenorum F ordine ſteterit, is autem peccat; ſi genu quidem flectens ſit, audiat, non amplius peccans: Sin autem etiam audiens adhuc peccet, extrudatur.

Bals. Duo ſunt ordines Catechumenorum. Hi enim nuper acceſſerunt, &, ut imperfectiores, poſt ſcripturarum & divinorum evangeliorum auditionem ſtatim exeunt: illi verò jampridem acceſſerunt, & perfectiores facti ſunt; Unde & orationem, quæ fit ſupra Catechumenos, expectantes, in ea genu flectunt. Quando autem pronunciatum fuerit; Catechumeni procedite, tunc & ipſi exeunt. Dicit ergo Canon, quòd ſi Catechumenus peccat, ſi eſt quidem ex perfectioribus, à peccando abſtinens, veniat ad locum imperfectiorum, id eſt, ſtet in templo uſque ad evangelium: Sin autem ex imperfectioribus, qui ſola etiam auditione digni habentur, & à peccato non abſtineat, extrudatur, id eſt, ſtet extra Eccleſiam cum deflentibus. Quid verò ſi imperfectior à peccato abſtinuerit, non punietur, quemadmodum perfectiores, ſed in primo loco ſtabit? Solutio. Duo ſunt loci Catechumenorum, ut dictum eſt; hic quidem, qui eſt uſque ad lectionem divinorum evangeliorum: ille verò uſque ad exitum Catechumenorum. Qui ſunt itaque perfectiores, ſi peccent & abſtineant, parum dimittentur in locum imperfectiorum: ſin autem non abſtineant, in deflentium loco ſtatuentur. Si ii autem, qui ſunt imperfectiores, peccent, nec deſiſtant, in locum deflentium abducentur: ſin vero deſiſtant, non habebunt locum, in quem deducentur. Si dixerimus enim eos cum flentibus ſtare oportere, deſperationis gravitate eos obruemus: nec ulla erit differentia eorum qui abſtinent & non abſtinent. Et ideo, tanquam qui à malo deſtiterint, rurſus cum audientibus ſtabunt.

Zonar. Duo Catechumenorum olim erant ordines. Alii quidem amplexi fidem, ſed qui baptiſmum differrent, cum Catechumenis aſtabant, dumque precatio in Catechumenos recitaretur genibus provolvebantur, ac poſtquam illud, Catechumeni procedite, de more pronunciatum eſſet, tunc egrediebantur. Alii autem jam primum accedentes, minúſque perfecti, ſacræ ſcripturæ auſcultabant, Evangelióque recitato dimittebantur. Quandocunque igitur è Catechumenis quiſpiam peccaverit, ſi quidem ex perfectiorum numero fuerit, eorum ſcilicet, qui in precatione genu flectunt, audiat, hoc eſt, cum iis qui auſcultari tantummodo permittuntur, ſi modo finem peccandi fecerit, conſiſtat: Sin vero inter Audientes agens adhuc tamen offenderit, expelli, hoc eſt, extra Eccleſiam cum lugentibus ſtare, hic Canon jubet.

Arist. *Catechumenus peccans, ſi dum genu flectit amplius peccaverit, inter audientes ſit; ſin dum inter audientes eſt peccet, penitus ejiciatur.*

Duæ ſunt ſpecies Catechumenorum: nonnulli enim modo accedunt; quocirca & ut imperfectiores poſt ſcripturarum & evangeliorum auditionem ſtatim emittuntur. Alii autem ante tempus aliquod advenerunt, & perfectiores evaſerunt. Quare & poſt evangelium preces pro Catechumenis factas expectant; & cum illud dicitur, (Catechumeni capita veſtra Domino flectite) genu flectunt. Perfectiores itaque ut qui bona Dei verba perguſtârunt, ſi lapſi fuerint, ſtatione ſuâ moventur, & cum audientibus collocantur; ſi autem, & cum audientes ſint, peccant, ab Eccleſia perfectè expelluntur.

Canon VI.

De ea quæ uterum gerit, quòd oporteat eam baptizari, quando velit. Nihil enim ea, quæ parit, cum fœtu, qui paritur, hac in re commune habet; quod proprium uniuſcujuſque inſtitutum ac propoſitum in confeſſione oſtendatur.

Bals. Quidam dicebant, non debere baptizari gravidas, quæ ex infidelibus ad Eccleſiam accedunt, ſed expectare fœtus in lucem exitum; ne dum ea baptizatur, videatur quoque unà baptizari fœtus, quem in utero gerit, ut qui ſit ei omnino unitus: quò fit, ut poſtquam natus fuerit, vel non baptizatus relinquetur, vel ſi baptizetur, rurſus baptizari reputetur. Patres itaque, hac contradictione non admiſſa, ſtatuerunt, ut ſine ullo præjudicio baptizentur prægnantes mulieres, quando voluerint; eo quod nihil habeat commune puerpera cum fœtu qui paritur, quod ad baptiſmum attinet. Maximè, inquiunt, cùm ſit unicuique ſua in baptiſmate neceſſaria promiſſio: Fœtus autem, qui eſt in utero, cùm ſit affectione deſtitutus, non poteſt, quæ in baptiſmate requiruntur, profeſſiones & vota facere.

ἁμαρτάνῃ, εἰ μὲν τῶν πλεωτέρων ἐστὶν, ἐὰν ἀπόσχηται τοῦ ἁμαρτάνειν, ἐλθέτω εἰς τὸν τόπον τῶν ἀτελεστέρων, τουτέστι, στήτω μέχρι τοῦ εὐαγγελίου ἐν τῷ ναῷ· εἰ δὲ τῶν ἀτελεστέρων, τῶν καὶ ἀκροάσεως μόνης ἀξιουμένων, καὶ οὐκ ἀφίσταται τῆς ἁμαρτίας, ἐξωθείσθω, ἀντὶ τοῦ ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων. τί δὲ, ἐὰν ἀποστῇ ὁ ἀτελέστερος τῆς ἁμαρτίας, οὐκ ἐπιτιμηθήσεται καθὼς ὁ πλεώτερος, ἀλλ' εἰς τὸν πρότερον τόπον στήσεται; Λύσις. δύο τόποι εἰσὶ τῶν κατηχουμένων, ὡς εἴρηται, ὁ μέχρι τῆς ἀναγνώσεως τῶν θείων εὐαγγελίων, καὶ ὁ μέχρι τῆς ἐξελεύσεως τῶν κατηχουμένων. οἱ γοῦν πλεώτεροι, ἁμαρτάνοντες καὶ ἀφιστάμενοι, μικρὸν ὑποβιβασθήσονται εἰς τὸν τόπον τῶν ἀτελεστέρων· μὴ ἀφιστάμενοι δὲ, εἰς τὸν τόπον τῶν προσκλαιόντων στήσονται. οἱ δὲ ἀτελέστεροι ἁμαρτάνοντες, μὴ ἀφιστάμενοι μὲν, εἰς τὸν τόπον τῶν προσκλαιόντων ἀπαχθήσονται· ἀφιστάμενοι δὲ, οὐκ ἔχουσι τόπον ἔνθα καταταχθήσονται. εἰ γὰρ εἴπωμεν τούτους μετὰ τῶν προσκλαιόντων στῆναι, ἀπογνώσεως θλίψει καταβαπτίσομεν, καὶ οὐδεμία ἔσται διαφορὰ ἀφισταμένων καὶ μὴ ἀφισταμένων. διά τοι τοῦτο, ὡς ἀποστάντες τοῦ κακοῦ, στήσονται καὶ πάλιν μετὰ τῶν ἀκροωμένων.

ΖΩΝΑΡ. Δύο τάξεις ἦσαν τῶν κατηχουμένων τὸ παλαιόν. οἱ μὲν γὰρ πιστοὶ ὄντες, ὑπερτιθέμενοι δὲ τὸ βάπτισμα, μετὰ τῶν κατηχουμένων ἵσταντο, καὶ τῆς ἐπὶ κατηχουμένοις εὐχῆς λεγομένης ἔκλινον τὸ γόνυ, ὅτε δ' ἐξεφωνήθη τὸ, οἱ κατηχούμενοι προέλθετε, τότε ἐξήρχοντο· οἱ δὲ ἄρτι προσελθόντες καὶ ἀτελέστεροι ὄντες, τῶν ἁγίων γραφῶν ἤκουον, καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου ἀπῄεσαν. ὅταν οὖν ὁ κατηχούμενος ἁμαρτάνῃ, εἰ μὲν τῶν τελεωτέρων τῶν γόνυ κλινόντων δηλονότι ἐν τῇ εὐχῇ ἐστὶν, ἀκροάσθω, τουτέστι μετὰ τῶν μέχρις ἀκροάσεως ἱσταμένων στήτω, εἰ ἀπόσχηται τοῦ ἁμαρτάνειν· εἰ δὲ τῶν ἀκροωμένων ἐστὶν, ἔτι καὶ ἁμαρτάνει, ἐξωθείσθω, ἀντὶ τοῦ ἔξω τῆς ἐκκλησίας στήτω μετὰ τῶν προσκλαιόντων.

ΑΡΙΣΤ. Ὁ ἐν τῷ κατηχεῖσθαι ἁμαρτάνων, ἐὰν γόνυ κλίνων μηκέτι ἁμαρτάνοι, ἀκροάσθω· εἰ δὲ καὶ ἀκροώμενος ἁμαρτάνοι, τέλεον ἀπωθείσθω.

Δύο εἴδη τῶν κατηχουμένων εἰσίν· οἱ μὲν γὰρ ἄρτι προσέρχονται· διὸ καὶ ὡς ἀτελέστεροι, μετὰ τὴν ἀκρόασιν τῶν γραφῶν, καὶ τῶν θείων εὐαγγελίων, εὐθὺς ἐξίασιν. οἱ δὲ πρὸ καιροῦ προσῆλθον, καὶ γεγόνασι τελεώτεροι· ὅθεν καὶ μετὰ τὸ εὐαγγέλιον, τὴν ἐπὶ τοῖς κατηχουμένοις εὐχὴν ἀναμένουσι· καὶ ἐν τῷ προσφωνεῖσθαι τὸ (οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε) τὸ γόνυ κλίνουσιν. οἱ γοῦν τελεώτεροι, ὡς γευόμενοι καλοῦ θεοῦ ῥήματα, καὶ παραπεσόντες, μετακινοῦνται τῆς στάσεως, καὶ τοῖς ἀκροωμένοις συντάττονται· εἰ δὲ καὶ ἀκροώμενοι ἁμαρτάνουσι, τῆς ἐκκλησίας τέλεον ἐξωθοῦνται.

ΚΑΝΩΝ ϛʹ.

Περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι, ὁπότε βούλεται. οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ· διὰ τὸ, ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

ΒΑΛΣ. Τινὲς ἔλεγον, μὴ ὀφείλειν βαπτίζεσθαι τὰς ἐξ ἀπίστων τῇ ἐκκλησίᾳ προσερχομένας κυοφορούσας, ἀλλ' ἀναμένειν τὴν εἰς τὸ φῶς τοῦ τοκετοῦ ἐξέλευσιν, ἵνα μὴ ταύτης βαπτιζομένης, δόξῃ συμβαπτίζεσθαι καὶ τὸ ἐγκυμονούμενον, ὡς ἡνωμένον ὅλως αὐτῇ· κἀντεῦθεν μετὰ τὸ γεννηθῆναι, ἢ ἀφώτιστον καταλειφθῇ, ἢ βαπτιζόμενον λογισθῇ καὶ αὖθις βαπτίζεσθαι. οἱ γοῦν πατέρες τὴν ἀντίθεσιν ταύτην μὴ παραδεξάμενοι, ὥρισαν ἀπροκριματίστως βαπτίζεσθαι τὰς κυοφορούσας, ὅτε βούλοιντο, διὰ τὸ μηδεμίαν κοινωνίαν ὑπεῖναι τῇ τικτούσῃ μετὰ τοῦ τικτομένου, ὅσον εἰς τὸν λόγον τοῦ φωτίσματος. ἄλλως τί, φασιν, ἀναγκαία ἐστὶν ἡ ἑκάστου ὁμολογία ἐν τῷ βαπτίζεσθαι· τὸ δὲ ἔμβρυον ἐστερημένον διαθέσεως οὐ δύναται τὰς ἐπὶ τῷ βαπτίσματι ὁμολογίας ποιῆσαι. προσετέθη δὲ τῷ κανόνι τὸ, ὅτε βούλοιντο, διὰ τοὺς λέγοντας πρὸ μὲν τοῦ εἰδοποιηθῆναι τὸ ἔμβρυον εἰς ἄνθρωπον ἀκινδύνως βαπτίζεσθαι τὴν μητέρα ἐγκυμονοῦσαν, μετὰ δὲ τοῦτο μὴ καλῶς αὐτὴν βαπτίζεσθαι· διὰ τὸ εἶναι τοιαύτης διαθέσεως τὸ ἐγκυμονούμενον, οἵας εἰσὶ καὶ ἀρτιγέννητα νήπια, τὰ μὴ δυνάμενα ὁμολογεῖν. διό τοι καὶ εἶπον οἱ πατέρες, ἐπ' ἀδείας ἔχειν τὴν ἐγκυμονοῦσαν, ὅτε θέλει βαπτίζεσθαι. τὰ μὲν γὰρ ἔμβρυα, ὅπως ἔχουσι διαθέσεως, οὐδεὶς περιεργάσασθαι δύναται ἢ ἀναδέξασθαι. τὰ δὲ νήπια διὰ τῶν ἀναδεχομένων αὐτὰ κατατίθενται, καὶ πραγματικῶς φωτιζόμενα θείας καταξιοῦνται ἐλλάμψεως. ἀνάγνωθι δὲ τὰ ἐν τῷ ι'. κεφαλ. τοῦ δ'. τίτλου τοῦ παρόντος συντάγματος παρ' ἡμῶν γραφέντα.

ΖΩΝΑΡ. Τὰς ἐν τῇ γαστρὶ φερούσας δεῖ βαπτίζειν, φησὶν ὁ κανών, ὅτε βούλονται. τινῶν δὲ λεγόντων, ὅτι λοιπὸν τὸ κυοφορούμενον συμβαπτίζεται τῇ μητρί, καὶ οὐ χρὴ αὐτὸ μετὰ τὸ γεννηθῆναι βαπτίζεσθαι, ἵνα μὴ δὶς δοκῇ βαπτίζεσθαι, ἐπήγαγε τό, οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ, ἀντὶ τοῦ, αὐτὴ γὰρ μόνη τοῦ ἁγίου ἀξιοῦται βαπτίσματος, καὶ οὐχὶ κἀκεῖνο διὰ μέσης αὐτῆς· ὅτι, φησίν, ἐπὶ τῇ ὁμολογίᾳ συντάττεσθαι τῷ Χριστῷ ἡ ἑκάστου προαίρεσις ἀπαιτεῖται, καὶ ἐξ αὐτῆς δείκνυται, εἰ προθύμως προσέρχεται τῷ ἁγίῳ βαπτίσματι. ἐπεὶ δὲ τὸ ἔμβρυον ἐστέρηται προαιρέσεως, οὐδὲ βαπτίζεσθαι δοκεῖ, ὥστε αὐτὸ χρήζει αὖθις βαπτίσματος, ὅτε προαιρεῖσθαι δυνήσεται.

ΑΡΙΣΤ. Η κυοφοροῦσα, ὅτε θέλει, βαπτίζεται· ἑκάστου γὰρ ἡ προαίρεσις κρίνεται.

Οὐ γὰρ ἐμποδισθήσεται ἡ κυοφοροῦσα διὰ τὸ τικτόμενον βαπτισθῆναι· οὐδὲ γὰρ λογίζεται τὸ ἔμβρυον συμβαπτίζεσθαι τῇ τικτούσῃ, ὥστε ἐὰν μετὰ τὸ γεννηθῆναι βαπτισθῇ, νομισθῆναι βαπτίζεσθαι δεύτερον. ἐκεῖνο γὰρ μήπω εἰς φῶς ἐλθόν, οὔτε καθ' ἑαυτὸ ὑπέστιν, οὔτε προαίρεσιν ἔχει.

ΚΑΝΩΝ ζ'.

Πρεσβύτερον εἰς γάμον διγαμοῦντος μὴ ἑστιᾶσθαι. ἐπεὶ μετάνοιαν αἰτοῦντος τοῦ διγάμου, τίς ἔσται ὁ πρεσβύτερος, ὁ διὰ τῆς ἑστιάσεως συγκατατιθέμενος τοῖς γάμοις.

ΒΑΛΣ. Ο διγαμήσας λαϊκὸς οὐ παραχωρεῖται μετασχεῖν τῶν θείων ἁγιασμάτων ἀπεντεῦθεν, ἀλλὰ μετὰ ἐνιαυτόν. φησὶ γοῦν ὁ κανών, ὡς ἐπεὶ τὸ ἐπιτίμιον τοῦτο παρὰ τοῦ ἱερέως ἐπάγεται τῷ διγαμήσαντι, οὐκ ὀφείλει οὗτος συνεστιᾶσθαι αὐτῷ εἰς τὸν γάμον. δοκεῖ γὰρ ὥσπερ διὰ τῆς παρουσίας συναινεῖν, καὶ οὐ δυνήσεται ἐπιτιμῆσαι τὸν διγαμήσαντα. καλῶς δὲ διωρίσαντο συνεστιᾶσθαι τούτῳ τὸν ἱερέα μετὰ τὸν καιρὸν τοῦ γάμου. μετὰ γὰρ τὸν γάμον οὐ κωλυθήσεται συνανακεῖσθαι αὐτῷ, ὡς μηδὲ ἀκοινωνήτῳ ὄντι. εἰπὼν δέ τις ποτὲ ὀφείλειν τὸν διγαμήσαντα μετὰ τὴν ἀπόστασιν τῆς διγαμίας δέχεσθαι εἰς μετάνοιαν, καὶ ἐπιτιμᾶσθαι, (ἔτι γὰρ τοῦ γάμου συνισταμένου, ταῦτα χώραν οὐκ ἔχουσι, κατὰ τὸν καθόλου κανόνα) ἤκουσε μὴ εἶναι γάμον ἀθέμιτον, ὥστε διασπᾶσθαι. καὶ διὰ τοῦτο ἔρρωται μέν· ἐπιτιμᾶται δὲ μετρίως, ὡς εἴρηται.

Ετέρα ἑρμηνεία.

Ο παρὼν κανὼν κωλύει τοὺς πρεσβυτέρους ἐσθιᾶσθαι μετὰ διγάμων, καὶ παρίστησι διὰ τούτου ἐπιτετιμημένον εἶναι τὸν δεύτερον γάμον. τὸ αὐτὸ δὲ φαίνεται καὶ ἀπὸ τοῦ γ'. κανόνος τῆς ἐν νεοκαισαρείᾳ συνόδου καὶ ἀπὸ δ'. κανόνος τοῦ ἁγίου Βασιλείου. ἐπεὶ δὲ βλέπομεν τινὰς σκανδαλιζομένους ἐκ τοῦ μηδέ τινα δευτερογαμήσαντα ἐπιτιμηθῆναί ποτε, μήτε τὴν τοιαύτην ἱερολογίαν ἐμποδίζεσθαι, μᾶλλον μὲν οὖν ἐστι ὅτε ἐπιτρέπεται διὰ πιττακίου χαρτοφύλακος· εἴδομεν δὲ πατριάρχας καὶ ἀρχιερεῖς, πολλοὺς συνεσθίοντας μετὰ βασιλέων διγαμούντων, καὶ ἄλλων μεγιστάνων φαμὲν, ὅτι

A Adjectum eſt autem Canoni illud, Quando velint, propter eos qui dicunt, antequam fœtus formetur in hominem poſſe mulierem prægnantem ſine periculo baptizari; non rectè autem baptizari poſtea: quoniam id, quod habetur in utero, in ea eſt conſtitutione, in qua infantes modo nati qui polliceri non poſſunt; & ideo dixerunt Patres, eſſe in mulieris gravidæ poteſtate baptizari quando velit. Quomodo enim ſe habeant fœtus, nemo poteſt perquirere, vel eos ſuſcipere. Infantes autem per ſuſceptores ſuos affirmant, & actu baptizati divina illuminatione digni cenſentur. Lege & quæ in x. cap. iv. titul. præſentis operis à nobis ſcripta ſunt.

B Zonar. Mulieres, quæ uterum ferunt, quandocunque voluerint, Can. baptizari oportere decernit. Quod autem nonnulli, fœtum cum matre ſimul baptizari, ac proinde infantem, poſtquam in lucem datus eſſet, ne baptiſmus in eodem geminaretur, nullo modo baptizandum eſſe, aſſeverabant; propterea verba illa, nihil enim ea quæ parit, cum fœtu qui paritur ea in re commune habet, adjunxit, hoc eſt, ſola etenim mater, non per eam filius quoque ſimul, ſancti baptiſmatis conſors efficitur. Ut enim, inquit, ſe quis Chriſti ſectatorem profiteatur, propria unuſcujuſque electio requiritur, ac per eam, quam libenti animo baptiſmum quiſque amplectatur, facile apparet. Quoniam C vero in fœtu maternis adhuc viſceribus incluſo electio nulla eſt, nec baptiſmum quidem ſuſcepiſſe putandus eſt, proindéque iterum baptizari, cum eligendi facultas penes illum fuerit, oportebit.

Ariſt. *Prægnans quandocunque vult baptizatur. Nam uniuſcujuſque voluntas judicatur.*

Gravida enim propter generatum baptizari non impedietur, nec enim fœtus unà cùm gravidà baptizatus reputatur, adeo ut ſi cum editus fuerit, baptizetur, ſecundo baptizatus exiſtimaretur. Ille enim cùm ad lucem nondum venerit nec per ſeipſum ſubſiſtit, nec voluntatem habet. D

Canon VII.

Presbyter in digamiam ineuntis nuptiis ne convivetur. Cum enim requirat pœnitentiam digamus, quis, erit Presbyter, qui, eo quod ſit convivio acceptus, nuptiis aſſentiatur?

Bals. Laicus, qui digamus eſt affectus, hinc non permittitur niſi anno præterito, eſſe divinorum ſacramentorum particeps. Dicit ergo Canon, quod quoniam hæc pœna à ſacerdote digamo inducitur, non debet cum eo in nuptiis convivium inire. Videtur enim veluti per ſuam præſentiam conſentire, nec poterit eum, E qui duas uxores duxit, punire. Rectè autem definierunt, ne Sacerdos cum eo convivetur tempore nuptiarum. Poſt nuptias enim non prohibebitur cum eo accumbere, ut qui non ſit omnino excommunicatus. Cùm autem dixiſſet aliquando quiſpiam, debere eum qui ſecundam uxorem duxit, poſtquam à ſecundo matrimonio diverterit, ad pœnitentiam recipi & puniri: (adhuc enim conſtante matrimonio, hæc locum non habent, ſecundùm univerſalem regulam) audivit non eſſe illicitum matrimonium, ut ſeparari debeat. Et propterea eſt quidem confirmatum: modicè autem punitur, ut dictum eſt.

Altera Interpretatio.

F Præſens Canon prohibet Presbyteros cum digamis convivari, & per hoc ſecundum matrimonium puniri oſtendit. Idem autem apparet & ex tertio Canone ſyn. Neocæſarianæ, & ex iv. Canone ſancti Baſilii. Quoniam autem videmus nonnullos offendi, eo quod nullus eorum, qui ſecundum matrimonium contraxit, unquam puniatur, nec iis ſacramentorum participatio impediatur, ſed potius etiam per Chartophylacis pittacium permittatur; vidimus autem & Patriarchas & multos alios Antiſtites cum imperatoribus, qui ſecundas nuptias celebrant, &

cum aliis magnatibus, comedentes vicimus, quod etiamſi temporalis excommunicationis pœnæ ex prædicto Can. digami ſubjecti ſint; unionis tamen deciſio, quæ à nobis ſita eſt in iv. Can. S. Baſilii, primo matrimonio ſecundum omnino æquavit; & dixit, quando ii omnino puniuntur, pœnam diſſolvit. Hæc etiam in particulari dicit de tertio matrimonio: At nec ſecundum nec primum ſine ſecuritate relinquimus: Sed & illa ſic conſtituenda decernimus, ut nullam improbam cauſam habeant, vel ex raptu, vel ex clandeſtino præcedente coitu; ſed ſint legitima & ab ejuſmodi inquinamentis ſordibuſque malis aliena; & deinceps quæ ſunt hujuſmodi ſolum punimus; reliqua vero pœnis non obnoxia conſervat.

ZONAR. Suam digamiæ mulctam can. ſtatuere. Uno ſiquidem anno digamos à perceptione ſacrorum munerum arceri jubent. Eam vero pœnam digamis, ſibi à pœnitentia remedium quærentibus, Sacerdotes injungunt. Quis ergo ſacerdos, inquit, Canon, ſecundis nuptiis, ut eas vel hoc ipſo, quod adeſt, probare videatur, interſit? Hoc eſt, quî fieri poteſt ut pœnam à digamo exigere non pudor ſit ei, qui digami factum à ſe non improbari, cum nuptiis ſecundis ipſe interfuerit, ſatis oſtendit? Verum hæc in libris ſcripta reperiuntur. Nos autem & Patriarcham & Metropolitanos complures in convivio Imperatoris ſecundas nuptias celebrantis adſpeximus.

ARIST. *Presbyter digamorum nuptiis non debet intereſſe. Cùm Digamus enim veniam imploraverit, quis eum veniâ dignabitur?*

Sacerdos qui digamo benedixit, à menſâ debet recedere & non cum eo convivari. Si enim pœnæ ſubjectus fuerit digamus, quænam Presbytero concedatur venia qui eo quod convivatus eſt, iſtiuſmodi nuptiis aſſenſum præbuit?

CANON VIII.

Si alicujus uxor, cum eſſet Laicus, adulterata fuiſſe plane convicta fuerit, is non poteſt ad miniſterium accedere. Sin autem etiam poſt ordinationem adulterata fuerit, debet eam dimittere. Quòd ſi cohabitet, non poteſt ſibi commiſſum miniſterium exequi?

BALS. Didiciſti ex diverſis legibus, licere ſine periculo uxorem adulteratam recipere, & peccati veniam dare. Et lege librum Baſil. xxviii. tit. vii. cap. i. qui dicit, maritum poſſe intra biennium, ſine ullo periculo, ſuam uxorem ex monaſterio recipere, quæ ut adultera condemnata eſt & incluſa: ab eo enim tempore tondetur. Dicit ergo etiam Canon, quòd etſi vir hoc facere poteſt nimirum veniam adulteratæ uxoris peccato dare: ſed tamen quoniam Can. Apoſtolicus xviii. non permittit, ut in ſacerdotalem catalogum adſcribatur, qui uxorem fornicatricem vel demiſſam vel ſcenicam duxerit; ne hic quidem ad ſacrum ordinem provehetur. Atq; id quidem ita ſe habet, ſi Laici uxor adulterata fuerit: Sin autem ejus qui eſt ſacratus, ipſe quidem, ut qui nihil deliquerit, ſi exinde ab ea ſeparetur, erit in proprio gradu. Sin vero hoc facere noluerit: ſed unà cum adultera cohabitat, deponetur, ut qui ſit inquinamenti particeps; eo quòd cum adultera rem habuerit. Interrogaverit autem quiſpiam, cur cùm Patres de mulieris adulterio dixiſſent, non ſatis habuerunt, niſi etiam adderent adulterium fuiſſe apertè convictum? Solutio. Diverſæ leges jubent mulierem non aliter condemnari ut adulteram, quam per apertas probationes, id eſt, per quinque teſtes jurantes ſe vidiſſe in ipſo actu fieri adulterium.. Hac ratione nec omnes poſſunt crimen adulterii intendere: ſed quinq; ſolùm perſonæ, Maritus, Pater, Frater, Patruus, Avunculus. Sed nec ipſa mulier, ſe adulterium commiſiſſe confeſſa, condemnatur, quod etiam eſt novum. Adjecerunt ergo Patres, eam damnari ut adulteram, quæ eſt apertis probationibus convicta, ut dictum eſt; non autem eam, quæ fuit ſuſpecta propter collocutionem, vel conſuetudinem ac familiaritatem, vel aliquam aliam ob cauſam. Quid autem, an Laicus, ſi poſt-

A κἂν ἐπιτιμίῳ κυριακῆς ἀκοινωνησίας ἐκ τοῦ ῥηθέντος κανόνος οἱ δευτερογαμοῦντες ὑπέκειντο, ἀλλ' ὁ τῆς ἑνώσεως τόμος, καταστρωθεὶς παρ' ἡμῶν εἰς τὸν δʹ. κανόνα τοῦ ἁγίου Βασιλείου, ἐξισώσει τῷ πρώτῳ γάμῳ διόλου τὸν δεύτερον. καὶ εἰπὼν ποτε καὶ οὗτοι ἐπιτιμᾶσθαι ὀφείλουσιν, ἔλυσε τὸ ἐπιτίμιον. φησὶ γὰρ ἐν μέρει ταῦτα μὲν περὶ τοῦ τρίτου γάμου· οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν αʹ. ἐκτὸς ἀσφαλείας ἐῶμεν· ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, εἰς τε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν ἢ ἐξ ἁρπαγῆς ἢ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμους καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων, καὶ πονηρᾶς ἀκαθαρσίας· καὶ ἐφεξῆς ἐπιτιμῶμεν τούτους μόνους· τοὺς δὲ λοιποὺς ἀνεπιτιμήτους συντηρεῖ. B

ΖΩΝΑΡ. Η διγαμία ὑπὸ ἐπιτίμιόν ἐστιν. ἐνιαυτὸν γὰρ τῆς ἁγίας μεταλήψεως εἴργεται. τὸ δὲ ἐπιτίμιον οἱ ἱερεῖς ἐπάγουσιν, εἰς μετάνοιαν ἐρχομένου τοῦ διγαμήσαντος. ὁ γοῦν διὰ τῆς παρουσίας αὐτοῦ συναινεῖν δοκῶν τῷ δευτέρῳ γάμῳ ἱερεὺς τίς ἔσται, φησὶν ὁ κανών, τουτέστι, πῶς οὐκ αἰδεσθήσεται ἐπιτιμῶν τῷ δευτερογαμοῦντι ὁ διὰ τῆς παρουσίας αὐτοῦ συνευδοκῶν τῇ δευτερογαμίᾳ; ἀλλὰ ταῦτα ἐν γράμμασιν· ἡμῖν δὲ καὶ πατριάρχης ὤφθη, καὶ μητροπολῖται διάφοροι συνεστιώμενοι δευτερογαμήσαντι βασιλεῖ. C

ΑΡΙΣΤ. Οὐχ ἑστιᾶται πρεσβύτερος ἐπὶ διγάμοις. ἐκείνου γὰρ συγγνώμης δεομένου, τίς ἐκεῖνον ἀξιώσει συγγνώμης;

Ο ἱερεὺς εὐλογήσας τὸν δίγαμον, τῆς τραπέζης ὀφείλει ὑπαναχωρεῖν, καὶ μὴ συνεστιαθῆναι αὐτῷ. εἰ γὰρ ὑπὸ ἐπιτίμιόν ἐστιν ὁ δίγαμος, ποία ἔσται τῷ πρεσβυτέρῳ συγγνώμη, τῷ διὰ ἑστιάσεως τοῖς τοιούτοις συγκατατεθειμένῳ γάμοις.

ΚΑΝΩΝ ηʹ.

Ἐὰν γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, ἐλεγχθῇ φανερῶς, D ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται. ἐὰν δὲ καὶ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν. ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας.

ΒΑΛΣ. Εμαθες ἀπὸ διαφόρων νομίμων, ὡς ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ, καὶ συμπαθεῖν τὸ ἁμάρτημα. ζήτει καὶ βιβλίον τῶν βασιλικῶν κηʹ. τίτ. ζʹ. κεφ. αʹ. λέγον, ἐντὸς διετίας δύνασθαι τὸν ἄνδρα λαμβάνειν ἀκινδύνως ἐκ τοῦ μοναστηρίου τὴν οἰκείαν γυναῖκα, καταδικασθεῖσαν ὡς μοιχαλίδα, καὶ ἐγκλεισθεῖσαν· ἔκτοτε γὰρ κουρεύεται. φησὶ τοίνυν ὁ κανὼν, ὡς εἰ καὶ δύναται ὁ ἀνὴρ τοῦτο ποιεῖν, ἤγουν τὸ συμπαθεῖν τὸ ἁμάρτημα τῆς μοιχευθείσης γυναικὸς, E ἀλλ' ἐπεὶ ὁ ιηʹ. ἀποστολικὸς κανὼν οὐ παραχωρεῖ ἱερατικῷ καταλόγῳ συναριθμηθῆναι τὸν λαβόντα γυναῖκα πόρνην ἢ ἐκβεβλημένην ἢ σκηνικὴν, οὐδὲ οὗτος εἰς βαθμὸν ἱερατικὸν ἀναχθήσεται. καὶ τοῦτο μὲν ἐὰν λαϊκοῦ τινος γυνὴ μοιχευθῇ· ἐὰν δὲ ἱερωμένου, αὐτὸς μὲν ὡς μηδέν τι πταίσας, ἐὰν διαζυγῇ αὐτῆς ἀπεντεῦθεν, ἔσται εἰς τὸν οἰκεῖον βαθμόν. εἰ δὲ οὐ θελήσει τοῦτο ποιῆσαι, ἀλλὰ συνδιάγει μετὰ τῆς μοιχαλίδος, καθαιρεθήσεται, ὡς μεταλαβὼν τοῦ μιάσματος διὰ τὸ συμμίγνυσθαι τῇ μοιχευθείσῃ. ἐρωτήσει δέ τις, διὰ τί εἰπόντες περὶ μοιχείας γυναικὸς οἱ πατέρες οὐκ ἠρκέσθησαν, ἀλλὰ προσέθεντο τὸ τὴν μοιχείαν φανερῶς ἐλεγχθῆναι; λύσις. διάφοροι νόμοι παρακελεύονται F μὴ ἄλλως τὴν γυναῖκα ὡς μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τοῦτ' ἔστι διὰ πέντε μαρτύρων ὀμνυόντων ἰδεῖν ἐπ' αὐτοφώρῳ τὴν μοιχείαν τελουμένην. κατὰ τοῦτο γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ μοιχικὸν ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε, ἀνὴρ, πατὴρ, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, καὶ θεῖος πρὸς μητρός. οὐδὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχεῦσαι καταδικάζεται, ὅπερ ἐστὶ καὶ καινόν. προσέθεντο οὖν οἱ πατέρες, ὡς μοιχαλίδα ἐκείνην καταδικάζεσθαι, τὴν ἐλεγχθεῖσαν διὰ φανερῶν ἀποδείξεων, ὡς εἴρηται, οὐ μὴν τὴν ὑποπτευθεῖσαν ἀπὸ ὁμιλίας ἢ συνοικήσεως, ἢ ἄλλης τινὸς αἰτίας. τί δὲ, ἐὰν ὁ λαϊκὸς, μετὰ τὸ μοιχευθῆναι τὴν γυναῖκα τούτου, ἀπολύσῃ αὐτὴν, προαναβιβασθήσεται εἰς βαθμόν, ὥσπερ οὐ καθαιρεῖται ὁ ἱερωμένος, ὁ ἀπολύσας τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ; Λύσις. ἀπὸ τοῦ ιη'. ἀποστολικοῦ κανόνος κωλύεται προαναβιβασθῆναι εἰς βαθμὸν ὁ γυναῖκα πόρνην ἀγόμενος· πολλῷ γοῦν πλέον οὐ προαναβιβασθήσεται ὁ μετὰ μοιχαλίδος συμφθαρείς, κἂν ἐν ἀγνοίᾳ. διὰ γὰρ τοῦτο καὶ οἱ πατέρες ἐπὶ μὲν τοῦ λαϊκοῦ διαίρεσιν οὐ πεποιήκασι, χάριν τοῦ ἀπολυθῆναι τὴν μοιχαλίδα, καὶ μὴ ἀπολυθῆναι, ἀλλὰ ἀδιακρίτως διωρίσαντο, μὴ δύνασθαι τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν. ἐπὶ δὲ τοῦ ἱερέως εἰσήγαγον τὴν διαίρεσιν. ἔστι δὲ καὶ διαφορὰ τοῦ μήπω ἱερωθέντος καὶ τοῦ ἱερωθέντος, καὶ διά τι πταῖσμα καθαιρεθῆναι μέλλοντος. ὁ μὲν γὰρ μὴ ἐπιτυχὼν πλείονός τινος, οὐ τοσοῦτον βαρυθυμήσει, ἀλλ' εὐχαριστήσει μᾶλλον, ὡς τῷ κανόνι μὴ προσκρούσας. ὁ δὲ διά τι πταῖσμα ἑτέρου ἀφαιρούμενος τὸ προσὸν αὐτῷ ἀξίωμα, μεγάλως δυσπαθήσει. τὸ γὰρ εἰς πεῖραν ἦκον ἀνιαρὸν εἰς ἀφαίρεσιν.

ΖΩΝΑΡ. Ἀνδρὸς λαϊκοῦ γυνὴ μοιχευθεῖσα, καὶ φανερῶς ἐλεγχθεῖσα, κωλύει τὸν ἄνδρα αὐτῆς εἰς ὑπηρεσίαν ἐλθεῖν, τουτέστιν εἰς βαθμὸν ἱερατικόν τινα· πλὴν ἡ φανερῶς ἐλεγχθεῖσα, οὐχ ἡ ἐν ὑποψίᾳ γενομένη ἢ καὶ κατηγορηθεῖσα παρά τινος τῶν κατηγορεῖν οὐ δυναμένων αὐτῆς προσώπων. οὐ γὰρ τῷ βουλομένῳ ἔξεστι περὶ μοιχείας κατηγορεῖν, ἀλλὰ ῥητοῖς προσώποις. ἐὰν δὲ καὶ ἱερωμένου γυνὴ μοιχευθῇ, ἀπολῦσαι αὐτὴν ὀφείλει, τουτέστι, διαζευχθῆναι αὐτῆς· εἰ δὲ συζῆν αὐτῇ βούλεται, κωλύεται τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας, ἤτοι τοῦ βαθμοῦ εἰς ὃν κατετάχθη. ἡ γὰρ μοιχευθεῖσα μεμίανται, ὁ δὲ ταύτῃ μιγνύμενος ἓν σῶμα γίνεται, καὶ λοιπὸν μετέχει κἀκεῖνος τοῦ μιάσματος. ὁ δὲ μεμιασμένος πῶς δεχθήσεται εἰς τι θεῖον λειτούργημα;

ΑΡΙΣΤ. Ὁ λαϊκός, οὗ ἡ γυνὴ μεμοίχευται, οὐ κληροῦται· καὶ ὁ ἐν κλήρῳ, εἰ κατέχει μοιχευθεῖσαν, αὐτὴν ἐκδιώκεται.

Εἰ ὁ κεκληρωμένος, τὴν γυναῖκα αὐτοῦ μοιχευθεῖσαν μὴ ἀπολύων, τῆς ἀξίας μετακινεῖται· πῶς ὁ λαϊκός, οὗ ἡ γυνὴ μεμοίχευται, εἰς κλῆρον παραδεχθήσεται;

ΚΑΝΩΝ. θ'.

Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι, προαχθῇ, καὶ ὁμολογήσῃ, ὅτι ἥμαρτε πρὸ χειροτονίας, μὴ προσφερέτω· μένων ἐν τοῖς λοιποῖς, διὰ τὴν ἄλλην σπουδήν. τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφασαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι. ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν.

ΒΑΛΣ. Ἱερεὺς πορνεύσας πρὸ τῆς χειροτονίας, ὡμολόγησεν ἑκὼν μετὰ τὴν χειροτονίαν τὴν ἁμαρτίαν. φασὶν οὖν οἱ πατέρες, τὸν τοιοῦτον ὡς αὐτοθελῶς ἐξομολογησάμενον τῆς μὲν ἱερουργίας παυθῆναι, ἔχειν δὲ τἄλλα προνόμια τῶν ἱερέων, δηλονότι τὴν μετὰ τῶν ἱερέων καθέδραν, τὴν ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μετάληψιν, καὶ ἕτερά τινα, καὶ μάλιστα ἐὰν πρὸς ἀρετὴν σπουδαῖος ἐστίν. ὡς τινὸς δὲ εἰπόντος, ἐπακολουθεῖν τῷ πάθει τῆς πορνείας καὶ ἄλλα τινὰ ἁμαρτήματα, συγκατάθεσιν, ἀφὴν χειρός, φιλήματα, καὶ τοιαῦτα, καὶ ἀπὸ τούτων ἐμποδίζεσθαι τὸν ἐξομολογούμενον, ὥστε ἔχειν τιμὴν ἱερέως, ἐπήγαγον οἱ πατέρες, ὡς ἐπεὶ ἀπὸ τοιούτων ἁμαρτημάτων οὐκ ἐμποδίζεταί τις εἰς ἱερωσύνην προαναβιβασθῆναι, διὰ τὸ λύεσθαι ταῦτα ὑπὸ τῆς χειροτονίας, οὐ κωλυθήσεται ἐξ αὐτῶν, ἔχειν τὰ ἄλλα προνόμια. καὶ ταῦτα μέν, ὅταν ὁ ἱερεὺς ἐξομολογήσεται τὸ ἁμάρτημα. ἐὰν δὲ μήτε ὁμολογήσῃ μήτε ἐλεγχθῇ φανερῶς, οὐδέπωποτε παρασαλευθήσεται, ἀλλὰ παρ' αὐτῷ κείσεται ἐξουσία τοῦ ἱερουργεῖν ἢ παύσασθαι, πρὸς τὸ οἰκεῖον συνειδός· ὥσπερ ἐὰν ἐλεγχθῇ, ἀπεντεῦθεν καθαιρεθήσεται, καὶ οὐδὲ τιμῆς ἢ ἄλλου προνομίου ἀξιωθήσεται.

A quam ejus uxor fuit adulterata dimiſerit eam ad gradum promovebitur; ſicut non deponitur is qui eſt ſacratus, dimiſſa uxore ſua, quæ commiſit adulterium? Solutio. A xviii. Canone Apoſtolico prohibetur ad gradum promoveri, qui duxit uxorem fornicatricem: multo ergo magis non promovebitur, qui cum adultera vel inſciens rem habuit. Propterea enim Patres nullam in Laico diviſionem fecere, de dimittenda adultera, vel non dimittenda: ſed indiſtinctè definierunt, non poſſe ejus maritum venire ad miniſterium. In ſacerdote autem diviſionem introduxêre. Eſt autem differentia ejus qui nondum eſt ſacratus, & ejus qui eſt ſacratus; ſed propter delictum aliquod eſt deponen- B dus. Qui enim non eſt majus aliquod aſſecutus, non tam ægre feret: ſed æquo potiùs animo patietur & lætabitur, quòd Canonem non offenderit. Is autem, cui propter alterius delictum aufertur ea quam habet dignitas, admodum ægrè feret. Id enim quod jam expertus eſt, moleſtum eſt ſi auferatur.

Zonar. Si Laici uxor adulterii manifeſtò convicta ſit, ejus virum à miniſterio, à ſacrorum ſcilicet ordinum ſuſceptione, arceri [Canon] jubet; modo tamen manifeſtis indiciis convicta mulier, non autem vel ſuſpicione tantum notata, vel ab iis, quibus nomen illius deferendi poteſtas non eſt, accuſata fuerit. Nec enim cuicunque vo- C lenti, ſed certis tantum quibuſdam hominibus, mulierem adulterii ream agere conceſſum eſt. Quod ſi adulterium ſacro ordine initiati hominis conjux patraverit, eam vir dimittat, hoc eſt, ab illius ſe conſuetudine commercióq; ſejungat: ſi verò cum illa vitæ ſocietatem habere voluerit, ipſum à commiſſo miniſterio, hoc eſt, à ſui ordinis gradu, dimoveri decretum eſt. Patrato namque adulterio mulier polluta eſt; qui vero pollutæ commiſcetur, unum corpus efficitur, eademq; proinde contagione ipſum maculari neceſſe eſt. Hominem vero pollutum in ſacro aliquo miniſterio quis ferat?

D Arist. *Laicus cujus uxor adulterata eſt non fit clericus. & Clericus qui eam retinet poſtquam adulterium commiſit, expellitur.*

Si ille qui in clerum cooptatus eſt, uxorem ſuam adulteratam non dimittens, dignitate movetur: Quomodo Laicus cujus uxor adulterata eſt in Clerum admittatur?

Canon IX.

Si Presbyter, qui corpore prius peccaverat, promotus fuerit, & ſi ante ordinationem peccaſſe confeſſus fuerit, ne offerat: manens in aliis, propter aliud ejus bonæ vitæ ſtudium. Reliqua enim peccata dicunt multi manuum impoſitione tolli. Quòd ſi ipſe non confiteatur, apertè autem convinci non potuerit, illius quoque ei fiat poteſtas. E

Bals. Sacerdos, qui ante ordinationem fornicatus erat, peccatum ſua ſponte poſt ordinationem faſſus eſt. Dicunt ergo patres, eum, ut qui ſua ſponte faſſus ſit, à ſacrificii quidem celebratione ceſſare, habere autem alia ſacerdotum privilegia, ſcilicet cum Sacerdotibus cathedram, ſacramentorum in altari participationem, & alia quædam: & maximè ſi ſit virtutis ſtudioſus. Perinde autem ac ſi dixiſſet quiſpiam, alia quoque peccata ſequi fornicationis vitium, conſenſum, manus contrectationem, oſcula, & hujuſmodi alia; & ab iis impediri eum F qui faſſus eſt, ne habeat Sacerdotis honorem: ſubjunxerunt patres, quòd quoniam ab hujuſmodi delictis non impeditur quiſpiam, quominus ad ſacerdotium provehatur, quia hæc ab ordinatione ſolvuntur; non impedietur ab iis, quominus alia habeat privilegia. Et hæc quidem, quando Sacerdos ſuum peccatum confeſſus fuerit. Sin autem nec confeſſus nec apertè convictus fuerit, nullo modo labefactabitur; ſed in ejus poteſtate erit ſacra celebrare vel ceſſare, prout ei ſua dictarit conſcientia: quemadmodum ſi convictus fuerit, exinde deponetur, & nec honore nec alio privilegio dignus habebitur.

Adjecerunt autem patres apertam probationem, eo A quod nemo deponatur, niſi per apertas probationes, ſcilicet per affirmationem quinque teſtium jurantium. Dicit autem etiam Lex civilis; Melius eſt peccata relinqui impunita, quàm aliquos ſine cauſa puniri. Lege & xxvii. Canonem ſancti Baſilii, & lxxix. Novellam domini Leonis philoſophi, & ex interrogationibus factis in Synodo Conſtantinopol. interpretationem reſponſi, dicentis, Laicorum loco cenſeri eos, qui depoſiti fuerint: & dic paucis, quod eſt differentia ejus qui peccavit ante ordinationem & confeſſus eſt & ejus qui propter crimen condemnatus eſt poſt ordinationem. Similiter & ejus qui fuit digamus poſt ordinationem, & B ejus cui ſacerdotium ablatum eſt. Qui enim, quod ante ordinationem commiſit, peccatum confeſſus eſt, ab offerendo tantum removebitur, ſed ſacerdotali cathedra dignus habebitur, & reliquis ejuſmodi; ut vult lxxxix. canon ſancti Baſilii. Qui autem ſecundam uxorem duxit, & ſe eo modo ſacerdotio movit, miniſteriis, quæ ſunt extra ſacrum tribunal, dignus habebitur. Sed qui eſt condemnatus ne hæc quidem exercebit; ſed in Laicorum locum rejicietur. Lege Syn. in Trullo Canonem xxi. & xxvi. & quæ ſunt in ipſis. lxxix. autem Imp. domini Leonis Sapientis Novella, ſic ſe habet ad verbum; Quæ Deo ſemel ſunt conſecrata, ea non eſſe auferenda C conſtitui oportet; idque non ſolum in rebus pretioſis conſecratis, ſed multo etiam magis in hominibus, quibus per clericatum Deo dedicatio acceſſit; etiamſi, cujuſmodi multa ſunt humana delicta, ab eo ordine, in quo, ut ſe honeſtè præclareque gererent, electi ſunt, tyrannidem exercens eos peccatum detruſerit. Veteris itaque Legiſlatoris inſtitutum non admittimus, qui vult Presbyterum vel Diaconum vel Subdiaconum, qui poſtquam ei manus eſt impoſita cum muliere conjungitur, ab eo habitu omnino excidere, & ad vitam laicam redire: & decretum infirmamus. Decernimus autem ſolum ut ordinis ceſſione, in quo ante matrimonium cognoſcebatur, D ſupplicii ſatis ſit: Clerici autem habitus, & alius in Eccleſiis miniſterii, quod nefas non eſt attingere, alienatione non omnino condemnetur.

Zonar. Si, priuſquam ſacris ordinibus initiaretur, corpore quiſpiam peccaverit, hoc eſt, ad libidinoſam uſq; corporum commixtionem progreſſus fuerit, deinde verò admiſſum crimen promotus, hoc eſt, ubi Sacerdos creatus fuerit, confiteatur, offere, hoc eſt, ſacra celebrare homini nequaquam licebit: cæterum alia, ſcil. Sacerdotum honorem, cathedræ prærogativam, juſque præterea in altari communicandi, retinebit, aliiſq; ob alias virtutes, ſi nimirum E vitæ integer ac virtutis exercendæ ſtudioſus ſit, privilegiis cohoneſtabitur. Nam reliqua minora crimina, quæ videlicet conjunctionem corporum comitantur, quale eſt facinori aſſentiri, contrectare manu fœminam, oſculum quoq; eidem impertiri, hæc, inquit, manuum impoſitione tolluntur. Verum ne id quidem tanquam omnino certum, ſed cum ea moderatione dixere multi, hoc eſt, ut à quibuſdam dicitur, aſſeveravit. Atque hæc quidem, eo ſcelus non inficiente, tenenda ſunt. Quod ſi nec ille crimen fateri velit, neque manifeſto convinci poteſt; tunc ſacra miniſteria obeundi, vel ab eis ceſſandi poteſtas illius arbitrio permitti debet; ut ſi quidem conſcientia F flagitii premitur, ſua ſponte à ſacrorum munerum functione deſiſtat. Maleficia namque, alicubi lex ita, potius impunita dimitti, quam innocentibus quibuſcunque pœnam irrogari, decet.

Arist. *Si Presbyter confeſſus fuerit ſe peccaſſe, ab oblatione abſtineat, & ab ea tantum. Quædam enim peccata ordines remittunt. Si vero nec confiteatur nec convincatur, ipſe ſui poteſtatem habeat.*

Omnia quidem alia peccata manuum impoſitio tollit, ſolo autem corporali peccato inferior eſt. Si quis itaque

προσέθεντο δὲ οἱ πατέρες τὸν φανερὸν ἔλεγχον, διὰ τὸ μηδένα καθαιρεῖσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, ἤτοι διὰ καταθέσεως μαρτύρων πέντε ὀμνυόντων. φησὶ δὲ καὶ ὁ νόμος, κρεῖττόν ἐστι τὰ ἁμαρτήματα ἀνεκδίκητα καταλιμπάνεσθαι, ἢ τινας ἀναιτίως κολάζεσθαι. ἀνάγνωθι καὶ τὸν κζ΄. κανόνα τοῦ ἁγίου Βασιλείου καὶ τὴν οθ΄. νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου, καὶ ἀπὸ τῶν γεγονυιῶν ἐρωτήσεων εἰς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον τὴν ἑρμηνείαν τῆς ἀποκρίσεως, τῆς λεγούσης, εἰς τὸν τόπον τάττεσθαι τῶν λαϊκῶν τοὺς καθαιρεθέντας· καὶ συναγαγὼν εἰπὲ, ὅτι διαφορά ἐστι τοῦ πρὸ τῆς χειροτονίας ἡμαρτηκότος καὶ ἐξομολογησαμένου, καὶ τοῦ καταδικασθέντος διὰ ἔγκλημα μετὰ τὴν χειροτονίαν. ὡσαύτως καὶ τοῦ διγαμήσαντος μετὰ τὴν χειροτονίαν, καὶ ἀφαιρεθέντος τὴν ἱερωσύνην. ὁ μὲν γὰρ ἐξομολογησάμενος τὴν πρὸ τῆς χειροτονίας ἁμαρτίαν, μόνου τοῦ προσφέρειν στερηθήσεται· καθέδρας δὲ ἱερατικῆς ἀξιωθήσεται καὶ λοιπῶν τοιούτων, κατὰ τὸν πθ΄. κανόνα τοῦ ἁγίου Βασιλείου. ὁ δὲ διγαμήσας, καὶ ἑαυτὸν τοιουτοτρόπως ἐκ τῆς ἱερωσύνης μετακινήσας, τῶν ἔξω τοῦ βήματος διακονιῶν ἀξιωθήσεται. ὁ δὲ καταδικασθεὶς οὐδὲ ταῦτα ἐνεργήσει, ἀλλ' εἰς τὸν τόπον τῶν λαϊκῶν ῥιφήσεται. ἀνάγνωθι καὶ τῆς ἐν τῷ Τρούλλῳ Συνόδου κανόνα κα΄. καὶ τὰ ἐν αὐτοῖς. ἡ δὲ οθ΄. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, ἔχει κατὰ ῥῆμα οὕτως· τὰ ἅπαξ ἀνατεθειμένα τῷ θεῷ, ἀναφαίρετα δεῖν εἶναι καθίστασθαι, καὶ τοῦτο οὐ μόνον ἐπὶ κειμηλίων ἀνιερωμένων, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἀνθρώπων, οἷς διὰ τοῦ κλήρου προσεγένετο ἡ πρὸς τὸ θεῖον ἀνάθεσις, κἂν, οἷα πολλὰ τὰ ἀνθρώπινα πταίσματα, τῆς τάξεως ἐν ᾗ διαπρέπειν κατακληρώθησαν, ἡ τύραννος αὐτοὺς ἐξωθήσειεν ἁμαρτία. οὐκ ἀποδεχόμενοι οὖν τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον ἢ διάκονον ἢ ὑποδιάκονον, μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναπτόμενον γαμετῇ, παντελῶς τοῦ τοιούτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι· ἀκυροῦμεν τὸ δόγμα. θεσπίζομεν δὲ μόνον τῇ ὑποχωρήσει τῆς τάξεως ἐφ' ᾗ πρὸ τοῦ γάμου ἐγνωρίζοντο, ἀρκεῖσθαι τὴν δίκην αὐτοῖς· τοῦ δὲ κληρικοῦ σχήματος καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι.

ΖΩΝΑΡ. Ἐάν τις πρὸ τῆς εἰς ἱερωσύνην χειροτονίας ἁμάρτῃ σώματι, ἤγουν μέχρι μίξεως σαρκικῆς ἔλθῃ, εἶτα προαχθῇ, ἀντὶ τοῦ, πρεσβύτερος χειροτονηθῇ, καὶ μετὰ τὴν χειροτονίαν ὁμολογήσῃ τὴν ἁμαρτίαν, προσφέρειν μὲν οὐ συγχωρεῖται, τουτέστιν ἱερουργεῖν· μένει δὲ ἐν τοῖς ἄλλοις, τουτέστιν ἐν τῇ τιμῇ τῶν ἱερέων, ἐν τῇ καθέδρᾳ, καὶ ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγιασμάτων μεταλήψεται, καὶ ἄλλα ἕξει προνόμια, διὰ τὴν ἄλλην σπουδὴν, σπουδαῖος. ἁμαρτήματα γὰρ τὰ ἐλάττω, τὰ πρὸ τῆς μίξεως δηλαδὴ, οἷον τὴν συγκατάθεσιν, τὸ ἅψασθαι χειρὶ γυναικὸς, τὸ μέχρι φιλήματος προελθεῖν, ἡ χειροθεσία λύει, φησί. καὶ οὐδὲ τοῦτο ὡς ὁμολογούμενον εἶπε, ἀλλὰ κεκολασμένως, ἔφασαν, εἰπὼν, οἱ πολλοὶ, ἀντὶ τοῦ, ὡς παρά τινων λέγεται. εἰ μὲν οὖν αὐτὸς ὁμολογεῖ τὸ ἁμάρτημα, τὰ εἰρημένα γενήσεται. εἰ δὲ οὐχ ὁμολογεῖ, οὔτε προφανῶς ἐλέγχοιτο, τότε χρὴ τὴν ἐξουσίαν τοῦ ἱερουργεῖν ἢ παύσασθαι ἐκεῖνον ἔχειν, ἵνα εἰ σύνοιδεν ἑαυτῷ τὸ ἁμάρτημα, παύσηται τῆς λειτουργίας, κρεῖσσον γὰρ, φησί που ὁ νόμος, τὰ ἁμαρτήματα καταλιμπάνεσθαι ἀνεκδίκητα, ἢ τινὰς ἀναιτίως κολάζεσθαι.

ΑΡΙΣΤ. Ἐὰν ὁμολογήσῃ πρεσβύτερος, ὅτι προήμαρτε, μὴ προσφερέτω, καὶ μόνον. τινὰ γὰρ τῶν ἁμαρτημάτων αἱ χειροτονίαι ἀφιᾶσιν. εἰ δὴ μήθ' ὁμολογοίη, μήτ' ἐλέγχοιτο, αὐτὸς ἐχέτω τὴν ἐξουσίαν.

Τὰ μὲν ἄλλα πάντα ἁμαρτήματα ἡ χειροθεσία λύει· μόνης δὲ τῆς σωματικῆς ἁμαρτίας ἡττᾶται. ἐὰν οὖν τις, πορνείαν προημαρτηκώς, εἰς ἱερωσύνην παραδέχθῃ, καὶ μετὰ τὴν χειροτονίαν ὡμολόγησε τὰ ἁμαρτήματα· τῆς μὲν καθέδρας καὶ τιμῆς τῶν πρεσβυτέρων μεθέξει. ἱερατικὸν δέ τι οὐκ ἐνεργήσει. εἰ δὲ μήτε αὐτὸς ὁμολογοίη, μήτε παρ' ἄλλου ἐλέγχοιτο φανερῶς, παρὰ τῇ αὐτοῦ ἐξουσίᾳ κείσεται τῆς ἱερωσύνης παυθῆναι, εἴτε καὶ μή.

ΚΑΝΩΝ ι'.

Ομοίως καὶ διάκονος, ἐὰν ἐν τῷ αὐτῷ ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω.

ΒΑΛΣ. Εν τῷ θ'. κανόνι τὰ περὶ πρεσβυτέρων ἡμαρτηκότων διελέχθησαν· ἐν δὲ τῷ παρόντι περὶ διακόνων. καὶ οὗτοι γὰρ ἐξομολογούμενοι, τοῦ μὲν διακονικοῦ ἀξιώματος ἐκπεσοῦνται, εἰς ὑπηρέτου δὲ τάξιν καταβιβασθήσονται, ἤτοι ἀχειροτονήτου ὑποδιακόνου ἢ ἀναγνώστου.

ΖΩΝΑΡ. Εκπεσεῖται γὰρ τῆς διακονίας, καὶ εἰς ὑπηρέτου τόπον καταβιβασθήσεται. οἱ γὰρ ὑπηρέται οὐ προσφέρουσιν.

ΑΡΙΣΤ. Καὶ ὁ διάκονος, τῷ αὐτῷ ἁμαρτήματι συσχεθεὶς, ὑπηρέτης μενέτω.

Καὶ διάκονος, τῷ αὐτῷ περιπεσὼν ἁμαρτήματι· παυθήσεται τοῦ ἄρτον, ἢ ποτήριον ἀναφέρειν, ἢ τὸν λαὸν διδάσκειν, ἢ ὅλως τι τῶν ἱερατικῶν λειτουργεῖν. ὑπηρέτης δὲ μόνον ἔσται τῆς ἐκκλησίας.

ΚΑΝΩΝ ια'.

Πρεσβύτερος πρὸ τῶν τριάκοντα ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ ᾖ ὁ ἄνθρωπος ἄξιος, ἀλλὰ ἀποτηρείσθω. ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν.

ΒΑΛΣ. Ο παρὼν κανὼν ἀπαραλλάκτως κεῖται ἐν τῷ ιδ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδῳ, καὶ ἐξηγήθη ἐκεῖσε.

ΖΩΝΑΡ. Τοῦτον τὸν κανόνα ἡ ἕκτη σύνοδος οὕτως τίθησι, καὶ ἐξηγήθη ἐκεῖ τεσσαρεσκαιδέκατος ὤν.

ΑΡΙΣΤ. Εἰ μὴ τριακονταέτης, μὴ γινέσθω πρεσβύτερος, κἂν ᾖ ἀξιόλογος, ἔχων παράδειγμα τὸ σωτῆρος φώτισμα.

Περὶ τοῦ μὴ γίνεσθαι τὸν ἥττονα τῶν τριάκοντα χρόνων πρεσβύτερον, κἂν πάνυ ἄξιος ᾖ ὁ ἄνθρωπος, καὶ ὁ παρὼν διαγορεύει κανὼν καὶ ὁ τεσσαρεσκαιδέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου.

ΚΑΝΩΝ ιβ'.

Εὰν νοσῶν τις φωτισθῇ, εἰς πρεσβύτερον ἄγεσθαι οὐ δύναται. οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ, ἀλλ' ἐξ ἀνάγκης. εἰ μὴ τάχα διὰ τὴν μετὰ ταῦτα τοῦ σπουδὴν καὶ πίστιν, καὶ διὰ σπάνιν ἀνθρώπων.

ΒΑΛΣ. Απιστός τις ὑγιαίνων μὲν, οὐκ ἐπέσπευδε τὸ βάπτισμα, νοσήσας δὲ ἐφωτίσθη. φασὶν οὖν οἱ ἅγιοι πατέρες, ὡς ἐπεὶ οὐκ ἀγαθῆς προαιρέσεως ἐστὶν ἐβαπτίσθη, ἀλλ' ὡς ὑπὸ τῆς ἀνάγκης τῆς νόσου νυττόμενος, ὡς μὲν πιστὸς μετὰ τὴν ὑγείαν δεχθήσεται· εἰς ἱερωσύνης δὲ βαθμὸν οὐ προαναβιβασθήσεται· εἰ μήπω σπουδαῖος ἐστὶ περὶ τὴν ἀρετὴν καὶ τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ θεοῦ, καὶ σπάνις εἴη ἀνθρώπων πρὸς ἱερωσύνην ἐπιτηδείων· τότε γὰρ ἱερωθήσεται. σημείωσαι οὖν, ὅτι καὶ ἀμφότερα ὀφείλουσι συνδραμεῖν, ἡ περὶ τὴν ἀρετὴν σπουδὴ, καὶ ἡ σπάνις τῶν ἀνθρώπων. ἑνὸς γὰρ λείποντος ἐξ αὐτῶν, οὐ παραβαθήσεται ὁ κανών. ἔτι σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, οὕτω καὶ ἐπὶ τῆς ἀποκάρσεως, ὁ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς ἀποκαρεὶς, εἰς τι μὲν ὡς μοναχὸς λογισθήσεται· εἰς τι δὲ οὐ παραδεχθήσεται κατὰ μονάζοντας, ὅτι καὶ ἡ ἀπόκαρσις δεύτερον λογίζεται βάπτισμα. εἰ μὲν γὰρ ἐπιζήσει ὁ οὕτως ἀποκαρεὶς, καὶ ἀξίαν ἐπιδείξεται μετάνοιαν

A qui fornicationem antea commisit, in Sacerdotium recipitur, & poſt ordinationem peccata ſua confeſſus eſt, cathedræ quidem & honoris Presbyterorum particeps erit; at Sacerdotale aliquod munus non obeat. Si autem nec ipſe confeſſus fuerit, nec ab alio manifeſtè convincatur, in ſuâ relinquitur poteſtate an à ſacerdotio ceſſabit necne.

CANON X.

Similiter & Diaconus, ſi in idem peccatum inciderit, Miniſtri ordinem habeat.

BALS. In ix. canone de Presbyteris qui peccârunt, B tractatum eſt: in præſenti autem de Diaconis: Nam & ii confeſſi à Diaconi dignitate excident: in Miniſtri autem ordinem deprimentur, Hypodiaconi ſcilicet, qui non eſt ordinatus, vel Lectoris.

ZONAR. Excidet enim à Diaconatu, & in Miniſtri locum dejicietur. Miniſtri namque non offerunt.

ARIST. *Diaconus etiam eodem crimine obſtrictus, miniſter maneat.*

Et Diaconus ſi in idem inciderit peccatum panem & poculum afferre, aut populum docere, aut omnino ali- C quid Sacerdotale peragere ceſſabit. Sed tantum eccleſiæ miniſter erit.

CANON XI.

Presbyter ante xxx. annos non ordinetur, etiamſi fuerit homo valde dignus; ſed reſervetur. Dominus enim Jeſus Chriſtus in xxx. anno baptizatus eſt, & cœpit docere.

BALS. Præſens canon ſine ulla mutatione in xiv. canone Synodi in Trullo ſitus eſt, & illic eſt expoſitus.

D ZONAR. Eſt hic canon ſextæ Synodi decimusquartus, ibique ejus explicatio allata.

ARIST. *Niſi xxx. annos natus ne fiat presbyter, etiamſi dignus habeatur, exemplum habens ſervatoris baptiſma.*

De eo quod nemo, qui non eſt triginta annos natus, fiat Presbyter, etiamſi omni modo dignus ſit homo, & præſens Canon dicit, & decimus quartus ſextæ in Trullo Synodi.

CANON XII.

E *Si quis ægrotans fuerit baptizatus, non poteſt in Presbyterum evehi. Fides enim ejus non eſt ex inſtituto, ſed ex neceſſitate. Niſi forte propter conſequens ejus ſtudium & fidem hominumque raritatem.*

BALS. Infidelis quidam, cum eſſet ſanus, baptiſmum non poſtulabat: cum autem ægrotaret, baptizatus eſt. Dicunt ergo ſancti Patres, quod quoniam iſte non ex bono inſtituto baptizatus eſt, ſed quaſi à morbi neceſſitate ſtimulatus, ut fidelis quidem, poſtquam convaluerit, recipietur: ſed ad ſacerdotii gradum non promovebitur; niſi fortè & virtutis ſtudioſus & Dei man- F datorum egregius obſervator fuerit, & hominum aptorum ſacerdotio magna fuerit penuria; tunc enim Sacerdos efficietur. Nota ergo, quod utrumque debet concurrere, virtutis ſcilicet ſtudium, & raritas hominum. Si enim unum eorum deſit, canon obſervabitur. Præterea nota ex hoc præſenti canone, quod ſicut in baptiſmate, ita etiam in tonſura, qui in extremo ſpiritu tonſus eſt, in aliquo quidem ut Monachus reputabitur: in aliquo autem tanquam Monachus non admittetur; eo quod tonſura ſecundus baptiſmus exiſtimatur. Si enim ſupervixerit is, qui in hunc morem tonſus eſt, & tonſura dignam pœnitentiam ſervitutemque oſtenderit, pro non ſponte tonſo minimè reputabitur. Si autem cum primum tonſus fuerit, commune mortis poculum hauſerit, apud Deum quidem certè, ut ego exiſtimo, ut qui in ſanitate Monachus factus eſt, recipietur. Sancti enim etiam, quæ caſu vel ex aliqua circumſtantia dantur, tonſuras amplectuntur: & veluti voce divina incitati, dicunt; Ubi te invenero, illic te judicabo. Apud homines autem non videbitur eſſe tonſus. Quare ſi ei aliquid relictum eſſet, ſub hac conditione, ſi tonſus eſſet, & cum in vita eſſet, tonſus non eſt, ſed in extremo ſpiritu vitam monaſticam elegit, & ſic mortuus eſt; non accipiet ejus hæres quæ ei relicta ſunt, tanquam impleta fuerit conditio: Sed condemnabitur, utpote quod defunctus non tonſus fuiſſe viſus ſit, & ideo conditio nullas vires habuerit. Lege & i. tit. iiii. lib. cap. v. in medio primi cap. xi. tit. præſentis operis in compendium redactum; & quæ ſunt circa finem primi capitis ſecundi tituli præſentis operis & ſecundum præſentem interpretationem illud caput expone; & dic, quod ſi is, qui ſub liberorum conditione rem aliquam gravatam acceperit, in ſanitate tonſus fuerit bona gratia, recte eam ad pias cauſas relinquat, & reſtitutio ceſſabit: Sin autem in extremi ſpiritus tempore, eam ad pias cauſas non tranſmittet, quod invalida fuerit conditio, & locum habebit reſtitutio.

Zonar. Quicunque incolumis baptiſmi diem longius extraxit, deinde verò morbo graſſante ſalutique metuens ſalutari lavacro ablutus eſt, ad ſacerdotii gradum non promovebitur. Ut enim voluptati ac libidinibus indulgeret, vitamque diſſolute ageret, atque à jugo Evangelii, immunis eſſet, idcirco baptiſmo moram interpoſuiſſe cenſendus eſt; proindeq; ab illo fides, neceſſitate quadam, non libera anima voluntate, ſuſcepta videri poteſt. Quod ſi poſtea baptiſmo initiatus in exhauriendis ſtrenue Dei mandatis operam ſuam fideique conſtantiam probaverit, & vero ſic eorum, qui ad ſacerdotale munus idonei ſunt, paucitas ſuadeat, tunc admittatur.

Arist. *Propter morbum baptizatus ne fiat Presbyter, niſi ob certamen quod poſtea ſubierit, aut hominum raritatem.*

Qui quidem nullâ urgente neceſſitate baptiſma quæſivit, quandoquidem iſtud ad omnem ſpiritualem diluendam ſordem ſufficiens ſit, & in Presbyterum & in Epiſcopum promovebitur, ut octogeſimus Sanctorum Apoſtolorum canon, ſecundus Synodi Nicænæ, tertius Laodicenſis, & decimus Carthaginenſis pronunciant. Qui autem propter morbum baptizatus eſt, ut non ex propoſito ſed neceſſitate ad illuminationem veniens, non aliter ad ſacerdotium admittetur, niſi ambo hæc concurrant, & paucos eſſe dignos homines, & ipſum poſt baptiſma multum certâſſe.

Canon XIII.

Vicani autem Presbyteri in urbis dominico offerre non poſſunt, præſente Epiſcopo, vel urbis Preſbyteris: neque panem dare in oratione, neque calicem. Sin autem abſint, & ſolus ad precationem vocatus fuerit, dat.

Bals. Eccleſiaſticæ pacis conſtitutio patribus ubique curæ fuit. Et ideo inquiunt, quoniam alii Presbyteri ad Eccleſias, quæ ſunt extra civitatem, ordinantur, & alii in dominico civitatis, ſive in Epiſcopatu; non debent regionis Epiſcopi civitatis Presbyterorum & Epiſcopi auctoritatem ſibi vendicare, nec præſente Epiſcopo, vel Sacerdotibus in civitatis dominico conſecratis, ſacra celebrare. Hoc enim ſpectat ad confuſionem, & ad Epiſcopi & Presbyterorum contemptum & injuriam, ut qui exinde condemnentur. Sed ſi peregre abſint Presbyteri & Epiſcopus, & regionis Sacerdos à populo vocatus fuerit, citra ullam prohibitionem ſacra celebrabit. Et ſic quidem expoſitus eſt canon.

A καὶ δουλείαν τῆς ἀποκάρσεως, οὐ λογισθήσεται ὡς ἀκουσίως ἀποκαρείς. εἰ δ' ἅμα τῇ ἀποκάρσει τὸ κοινὸν τοῦ θανάτου πίῃ ποτήριον, παρὰ μὲν τῷ θεῷ, ὡς ἐγὼ πως νομίζω ὡς ὁ ἐν ὑγείᾳ μονάσας δεχθήσεται. ἀσπάζονται γὰρ οἱ ἅγιοι καὶ τὰς περιστατικὰς ἀποκάρσεις. καὶ ὡς ἐκ θείας φωνῆς φασιν, ἐν ᾧ σε εὕρω, κρινῶ σε. παρὰ δὲ ἀνθρώποις οὐδὲ δόξει ἀποκαρῆναι. ὥστε ἐὰν ὑπὸ αἵρεσιν ἀποκάρσεως καταλείφθη αὐτῷ τὸ δέ τι, καὶ ἐν ζωῇ ὢν οὐκ ἀπεκάρη, ἀλλ' ἐν ταῖς τελευταίαις ἀναπνοαῖς τὸν μονήρη βίον εἵλετο, καὶ εὐθὺς ἀπέθανεν, οὐ λήψεται ὁ κληρονόμος αὐτοῦ τὰ καταλειφθέντα, διὰ τὸ πληρωθῆναι τάχα τὴν αἵρεσιν· ἀλλὰ καταδικασθήσεται ὡς B μηδὲ δόξαντος ἀποκαρῆναι τοῦ τελευτήσαντος, κἀντεῦθεν ἀτονησάσης καὶ τῆς αἱρέσεως. ἀνάγνωθι καὶ τοῦ α΄. τίτλου τοῦ δ΄. βιβλίου κεφ. ε΄. ὅπερ συνωψίσθη περὶ τὰ μέσα τοῦ α΄. κεφ. τοῦ ια΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ περὶ τὸ τέλος τοῦ α΄. κεφαλ. τοῦ β΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ κατὰ τὴν παροῦσαν ἑρμηνείαν ἑρμήνευσον καὶ ἐκεῖνο τὸ κεφάλαιον, καὶ εἰπέ, ὅτι εἰ μὲν ὁ ἐπὶ αἱρέσει παιδοποιΐας λαβὼν πρᾶγμα βεβαρημένον ἐν ὑγείᾳ ἀποκαρῇ ἀγαθῇ χάριτι, καλῶς ἵνα καταλείψῃ αὐτὸ εἰς εὐσεβεῖς αἰτίας, καὶ ἡ ἀποκατάστασις ἀπρακτήσει· εἰ δὲ ἐν τῷ καιρῷ τῆς τελευταίας ἀναπνοῆς αὐτοῦ, οὐ παραπέμψει τοῦτο εἰς εὐσεβεῖς αἰτίας, C διὰ τὸ ἀτονῆσαι τὴν αἵρεσιν, καὶ ἕξουσι χώραν τὰ τῆς ἀποκαταστάσεως.

ΖΩΝΑΡ. Ὃς ὑγιαίνων μὲν ὑπερετίθετο βαπτισθῆναι, νοσήσας δὲ καὶ κίνδυνον περὶ τὴν ζωὴν ὑφορώμενος ἐβαπτίσθη, οὗτος εἰς ἱερωσύνην οὐ προαχθήσεται. δοκεῖ γὰρ ἀναβάλλεσθαι τὸ φώτισμα διὰ τὸ φιλήδονον καὶ φιλόσαρκον, καὶ τὸ θέλειν ἀνέτως ζῆν, καὶ ὑπαχθῆναι τῷ ζυγῷ τοῦ εὐαγγελίου, καὶ ἐξ ἀνάγκης ἡ πίστις αὐτοῦ, ἀλλ' οὐκ ἐκ προαιρέσεως γενέσθαι φαίνεται. εἰ δὲ σπουδαῖος μετὰ τὸ βάπτισμα φανῇ περὶ τὴν τῶν θείων ἐντολῶν φυλακὴν, καὶ περὶ τὴν πίστιν βέβαιος, καὶ σπάνις εἴη ἀνθρώπων πρὸς ἱερωσύνην ἐπιD τηδείων, τότε γενήσεται.

ΑΡΙΣΤ. Ὁ διὰ νόσον βαπτισθεὶς, μὴ γινέσθω πρεσβύτερος, εἰ μὴ διὰ τὸν ἀγῶνα τὸν ἑξῆς, καὶ σπάνιν ἀνθρώπων.

Ὁ μὲν μή τινος ἀνάγκης κατεπειγούσης ἐπιζητήσας τὸ βάπτισμα, ἐπειδὴ πάντα ῥύπον ψυχικὸν ἱκανόν ἐστιν ἀποπλῦναι αὐτό, καὶ εἰς πρεσβύτερον, καὶ εἰς ἐπίσκοπον προαχθήσεται, καθὼς ὁ ὀγδοηκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων, ὁ δεύτερος τῆς ἐν Νικαίᾳ συνόδου, ὁ τρίτος τῆς ἐν Λαοδικείᾳ, καὶ ὁ δέκατος τῆς ἐν Καρθαγένῃ διαγορεύει. ὁ δὲ διὰ νόσον βαπτισθεὶς, ὡς μὴ ἐκ προαιρέσεως, ἀλλ' ἐξ ἀνάγκης προσελE θὼν τῷ φωτίσματι· οὐκ ἄλλως εἰς ἱερωσύνην παραδεχθήσεται, εἰ μὴ συνδράμωσι καὶ ἀμφότερα, τό, σπάνιν τε ἀξιολόγων ἀνθρώπων εἶναι, καὶ τὸ, ἀγωνίσασθαι αὐτὸν μετὰ τὸ βάπτισμα.

ΚΑΝΩΝ ιγ΄.

Ἐπιχώριοι δὲ πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως, οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ, οὐδὲ ποτήριον. ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, δίδωσιν.

ΒΑΛΣ. Πανταχοῦ τῆς ἐκκλησιαστικῆς εἰρηναίας καταστάσεως τοῖς πατράσιν ἐμέλησε. διό φασιν, ὡς ἐπεὶ ἕτεροι F πρεσβύτεροι χειροτονοῦνται εἰς τὰς ἔξω τῶν πόλεων ἐκκλησίας, καὶ ἕτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως ἤγουν ἐν τῇ ἐπισκοπῇ, οὐκ ὀφείλουσιν οἱ ἐπιχώριοι πρεσβύτεροι καταυθαδιάζειν τῶν τῆς πόλεως ἱερέων καὶ τοῦ ἐπισκόπου, καὶ ἱερουργεῖν ἐν τῷ κυριακῷ, παρόντος καὶ ταῦτα τοῦ ἐπισκόπου ἢ τῶν πρεσβυτέρων τῶν καθιερωθέντων ἐν τῷ κυριακῷ. τοῦτο γὰρ εἰς ἀταξίαν ἀφορᾷ καὶ εἰς καταφρόνησιν καὶ ὕβριν τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων, ὡς δῆθεν καταγινωσκομένων. εἰ μέντοι ἀποδημοῦσιν οἱ πρεσβύτεροι καὶ ὁ ἐπίσκοπος, καὶ κληθῇ ἱερεὺς ἀποχώριος παρὰ τοῦ λαοῦ, ἀκωλύτως ἱερουργήσει. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις

A ἐγράφησαν δὲ οὕτω, διὰ τοὺς λέγοντας, ἐπεὶ κεκανόνισται ἕνα ἕκαστον χειροτονεῖσθαι εἰς τὴν δὲ τὴν ἐκκλησίαν, καὶ μὴ ἀπολελυμένως, οἱ ἐπιχώριοι δὲ ἱερεῖς εἰς τὰς ἔξω τῆς πόλεως ἐκκλησίας ἐχειροτονήθησαν, οὐκ ὀφείλουσι χωρὶς ἐπιτροπῆς τοῦ Ἐπισκόπου ἐν ἐκκλησίᾳ πολιτικῇ ἱερουργεῖν, κἂν μετακληθῶσιν· ὥσπερ οὐδὲ οἱ τῆς ἐνορίας ἀρχιερεῖς. τὴν τοιαύτην οὖν ἀμφιβολίαν λύοντες οἱ πατέρες, φασὶν, ὅτι παρόντων μὲν τῶν Ἐπισκόπων ἢ τῶν πρεσβυτέρων οὐ δύναται εἰς πόλιν ἱερουργεῖν ἐπιχώριος ἱερεύς· ἀπόντων δὲ δύναται καὶ χωρὶς ἐπιτροπῆς ἐπισκοπικῆς. ταῦτα δὲ περὶ ἱερέων νόει μόνων· ὅτι καὶ οὗτοι ἐκ τῆς παροικίας ἐκείνης εἰσὶ, καὶ ὑπὸ τὸν ἐγχώριον Ἐπίσκοπον τελοῦσιν. B ἑτέρας γὰρ παροικίας Ἐπίσκοπος εἰς τὴν μὴ ὑποκειμένην αὐτῷ πόλιν οὐ λειτουργεῖ, μὴ ἐπιτρέποντος τοῦ ἐγχωρίου Ἐπισκόπου, κἂν μετακαλῆται ὑπὸ τοῦ ταύτης λαοῦ. νομίζω δὲ, ὅτι οὐδὲ ἱερεὺς ἵνα λειτουργήσῃ τῆς ἐνορίας παρὰ γνώμην τοῦ ἐγχωρίου Ἐπισκόπου.

ΖΩΝΑΡ. Ὁ τῆς ἐν Καλχηδόνι Συνόδου ἕκτος κανὼν, μηδένα ἀπολελυμένως χειροτονεῖσθαι διακελεύεται. οἱ γοῦν ἐν χωρίων ἢ κωμῶν ἐκκλησίαις χειροτονηθέντες, πῶς ἐν ἐκκλησίᾳ πόλεως δυνήσονται προσφέρειν, καὶ ταῦτα παρόντος τοῦ Ἐπισκόπου τῆς πόλεως C ἢ πρεσβυτέρων ἐν αὐτῇ καθιερωθέντων; οὔτε οὖν προσφέρειν δύνανται οἱ τοιοῦτοι, ἤγουν προσκομίζειν ἐπὶ λειτουργίᾳ, οὔτε ἄρτον ἢ ποτήριον διδόναι ἐν εὐχῇ, τουτέστιν, οὐδὲ τῶν ἁγίων δώρων ἔξεστιν αὐτοῖς μεταδιδόναι τῷ λαῷ ἐν εὐχῇ, ἤτοι ἐν ἱερουργίας καιρῷ. οἱ γὰρ προσφέρειν οὐ δυνάμενοι, οὐδὲ τὰ ἄλλα τὰ τοῖς προσφέρουσιν ἀνήκοντα πράξουσιν. ἐὰν δὲ ἀπῶσιν ὁ τῆς πόλεως Ἐπίσκοπος καὶ οἱ ἐν αὐτῇ ἱερεῖς, καὶ κληθῇ χωρίου ἢ κώμης ἱερεὺς εἰς εὐχὴν, τότε καὶ τῶν ἁγιασμάτων μεταδίδωσιν.

ΚΑΝΩΝ ιδʹ.

D Οἱ δὲ χωρεπίσκοποι εἰσὶ μὲν εἰς τύπον τῶν ἑβδομήκοντα. ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς, προσφέρουσι τιμώμενοι.

ΒΑΛΣ. Εἰς τύπον τῶν μαθητῶν τοῦ κυρίου, τῶν δώδεκα δηλαδὴ ἀποστόλων, τῶν καὶ λαβόντων τὴν χάριν τοῦ ἁγίου πνεύματος, ὥστε δεσμεῖν καὶ λύειν, προεβλήθησαν οἱ ἑκάστης χώρας Ἐπίσκοποι. ἐπεὶ δὲ κατὰ τὸν καιρὸν τοῦ σωτηριώδους κηρύγματος μὴ ἐξαρκούντων τῶν δώδεκα ἀποστόλων εἴς τε τὴν διδασκαλίαν τοῦ εὐαγγελίου, καὶ εἰς τὰς λοιπὰς διακονίας τῶν προσερχομένων τῷ θεῷ, παρελήφθησαν καὶ οἱ ἑβδομήκοντα ἄνδρες E οἵτινες διακονηταὶ μὲν ἐλέγοντο καὶ μαθηταὶ τοῦ κυρίου, ἐξουσίαν δὲ οὐκ εἶχον ἀφιέναι ἁμαρτίας, ὡς μηδὲ λαβόντες τὴν χάριν τοῦ πνεύματος· ἔδοξε τοῖς πατράσι εἰς τύπον τῶν τούτων ἑβδομήκοντα μαθητῶν χωρεπισκόπους παρὰ τῶν Ἐπισκόπων προβάλλεσθαι, ἐφ᾽ ᾧ διὰ τούτων γίνεσθαι τὴν εἰς τοὺς πτωχοὺς διανομὴν καὶ δαπάνην τῶν κυριακῶν χρημάτων καὶ πτωχικῶν λεγομένων. τῷ τοι οὐδὲ δύναται πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν· ἀλλ᾽ οὐδὲ ἀφιέναι ἁμαρτίας, ὥσπερ οὐδὲ οἱ ἑβδομήκοντα μαθηταί. ὅτι δὲ χρεὼν ἦν τούτους τιμᾶσθαι διὰ τοὺς κόπους αὐτῶν, ὥρισαν οἱ πατέρες μηδὲν ἕτερον τούτους ποιεῖν, ἀλλ᾽ ἢ ὡς συλλειτουργοὺς μόνον ἱερουργεῖν. ἐν δὲ τῷ δεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου κεκανόνισται, F τοὺς χωρεπισκόπους ποιεῖν ἀναγνώστας καὶ ὑποδιακόνους καὶ ἐξορκιστάς. σημείωσαι οὖν καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι καὶ οἱ ἱερεῖς οὐ δύνανται δέχεσθαι λογισμοὺς καὶ ἀφιέναι ἁμαρτίας, εἰ μὴ ἐκχωρηθῶσι ταῦτα παρὰ τοῦ Ἐπισκόπου· ἐπεὶ οὐδὲ οἱ χωρεπίσκοποι τοῦτο δύνανται, πλείονα καὶ ταῦτα προνόμια παρὰ τοὺς ἱερεῖς ἔχοντες. ὅτι δὲ οἱ ἑβδομήκοντα μαθηταὶ τοῦ κυρίου οὐκ εἶχον ἐξουσίαν ἀφιέναι ἁμαρτίας, δῆλόν ἐστιν ἐκ τῆς βίβλου τῶν ἀποστολικῶν πράξεων· ἐν ᾗ ἱστόρηται ὁ Φίλιππος, ὁ τῶν ἑπτὰ διακόνων εἷς καταβὰς εἰς Σαμάρειαν, καὶ βαπτίσας πολλούς· ἐφ᾽ οὓς ἀπεστάλκασιν

Sic autem ſcriptum eſt, propter eos qui dicunt; Quoniam ſtatutum eſt unumquemque debere ordinari in aliqua Eccleſia, & non abſolutè; vicani autem ſacerdotes in Eccleſiis, quæ ſunt extra civitatem, ordinati ſunt; non debent ſine permiſſione Epiſcopi in urbana Eccleſia ſacra celebrare, etiamſi accerſiti fuerint: ſicut nec alterius diœceſis Antiſtites. Hanc ergo dubitationem ſolventes patres, dicunt, quòd præſentibus quidem Epiſcopis vel Presbyteris, non poteſt regionis Sacerdos in urbe ſacra celebrare: Abſentibus autem poteſt, etiam ſine Epiſcopali permiſſione. Hæc autem de ſolis Sacerdotibus intellige: quia & hi ſunt ex illa parœcia & ſunt ſub illius regionis Epiſcopo. Alius autem parœciæ Epiſcopus in urbe, quæ non eſt diœceſis, non celebrat, niſi permittente ejus regionis Epiſcopo; etiamſi ab ejus populo accerſatur. Exiſtimo autem, quod neque Sacerdos in aliena diœceſi celebraverit, præter regionis Epiſcopi ſententiam.

Zonar. Vi. Chal. S. can. neminem abſolutè ordinibus inſigniri jubet. Quicunq; igitur in alicujus vici aut oppidi Eccleſia deſcripti ſunt, qua ratione iis in urbana Eccleſia offerendi, præſertim ejus urbis Epiſcopo, aut Sacerdotibus, qui in ea conſecrati ſunt, aſtantibus, facultas erit? Neq; ergo ejuſmodi hominibus offerre, eo fine videlicet, ut ſacris operentur, quidpiam afferre, neq; panem aut calicem in precatione tradere, hoc eſt, populo ſancta munera in precatione, interea ſcilicet dum ſacra peraguntur, impertiri conceſſum eſt. Quibus namq; aliquo in loco offerendi facultas non eſt, cætera quoq; offerentium propria munera illis eodem in loco obire nequaquam licebit. Abſentibus vero tum urbano Epiſcopo tum ejuſdem urbis Sacerdotibus, ſi ex vico aut oppido ad precationem Presbyter advocetur; ei tunc temporis ſacra quoque munera impertiri licere decretum eſt.

CANON XIV.

Chorepiſcopi autem ſunt quidem imitatione ſeptuaginta. Ut autem comminiſtri, propter ſtudium in pauperes, offerunt honorati.

Bals. In locum diſcipulorum Domini, duodecim ſcilicet Apoſtolorum, qui etiam ſpiritus ſancti gratiam acceperunt, ut ligarent & ſolverent, promoti ſunt uniuſcujuſque regionis Epiſcopi. Quia autem ſalutaris prædicationis tempore non ſufficiebant xii. Apoſtoli ad doctrinam Evangelii, & reliqua miniſteria eorum, qui ad Deum accedebant; aſſumpti ſunt etiam ſuptuaginta viri, qui dicebantur quidem Miniſtri & Diſcipuli Domini; non habebant autem facultatem dimittendi peccata, ut qui neque ſpiritus gratiam accepiſſent: viſum eſt Patribus, ad exemplum eorum ſeptuaginta diſcipulorum, Chorepiſcopos ab Epiſcopis promoveri; ut per eos fieret pauperibus diſtributio & expenſa Dominicarum pecuniarum, & eorum quæ πτωχικὰ, ſeu pauperum bona, dicuntur. Quamobrem nec poſſunt quidem Presbyteros vel Diaconos ordinare; ſed nec peccata dimittere, quemadmodum nec ſeptuaginta diſcipuli. Quia autem æquum erat, ut ii propter ſuos labores honorarentur, ſtatuerunt Patres ut ii nihil aliud facerent, quam ut tanquam Comminiſtri ſacra ſolum celebrarent. In x. autem Can. Syn. Antiochenę cautum eſt, ut Chorepiſcopi faciant Lectores & Subdiaconos & exorciſtas. Nota ergo & ex hoc præſenti Can. quòd etiam Sacerdotes non poſſunt peccatorum confeſſiones excipere, & peccata remittere; niſi ea ab Epiſcopo illis conceſſa fuerint: quandoquidem nec hoc poſſunt Chorepiſcopi; qui tamen plura habent privilegia quam Sacerdotes. Quod autem ſeptuaginta Diſcipuli Domini non habebant facultatem remittendi peccata, clarum eſt eſt libro Actorum Apoſtolorum: in quo ſcribitur Philippum ſeptem Diaconis unum, deſcendiſſe in Samaritam, & baptizaſſe multos; ad quos miſerunt Apoſtoli Petrum & Joannem; qui quidem eo profecti, impoſuerunt manus iis qui baptizati fuerant, & acceperunt Spiritum ſanctum. In nullum enim eorum adhuc deſcenderat.

Zonar. Epiſcopi quidem in duodecim Apoſtolorum locum ſuffecti ſunt, quibus cum ſufflâſſet Dominus, Accipite, inquit, Spiritum Sanctum, quorum remiſeritis peccata remittuntur eis, & cætera: quibus præterea ſpiritus Sancti gratiam aliis quoq; communicare conceſſum eſt. Chorepiſcopi vero lxx. Apoſtolorum imitatione conſtituti, quibus Spiritus Sancti gratiam aliis impertire nequaquam permiſſum. Quod quidem ex Actorum libro facilè apparet, in quo commemoratur Philippus unus ex ſeptem Diaconis deſcendiſſe in Samariam, & baptizaſſe multos, ad quos mittunt Apoſtoli Petrum & Joannem, qui venientes baptizatis manus imponebant, accipiebantq; ſpiritum Sanctum. Nondum enim in quenquam illorum deſcenderat. Cum ergo in lxx. locum Chorepiſcopi ſucceſſerint, proinde illis neq; Presbyteros neq; Diaconos creandi, quippe qui ſancti ſpiritus gratiam largiri non poſſent, facultas data: Offerre autem, ob eam curam, quam in pauperes juvandos conferebant, in honore habiti haud prohibentur. Quippe redditus Eccleſiarum, quibus præerant, pauperibus elargiri, eorúmq; commodis proſpicere, Chorepiſcopi debebant; ac in honore, qui id facerent, habebantur. Quòd ſi pecuniam Dominicam in pauperes conferri à Chorepiſcopis oportuit; quanto id magis, tanquam debitum & juſtum, ab Epiſcopis exigi arbitrabimur?

Arist. *Presbyter rarè degens in civitatis templo ne offerat, niſi Epiſcopus & totus Presbyterorum cœtus abfuerit. Si vero abfuerint, & ipſe vocetur, offert. Chorepiſcopi autem ut comminiſtri offerunt, ſeptuaginta locum obtinentes.*

Qui in parœciis ab Epiſcopis ordinantur Presbyteri in civitatis templo ſacra facere non permittuntur, ſi Epiſcopus aut Presbyteri civitatis adſint. Sin omnes abſint, & aliquis vicanorum Presbyterorum ad precationem vocetur, & offerre & ſacra facere non prohibetur. Chorepiſcopi autem tanquam comminiſtri Epiſcoporum, & honorati, quia etiam ſeptuaginta typum ferunt, quamvis civitatis Epiſcopus & Presbyteri adſint, vel non adſint, in civitatis templo ſine prohibitione miniſtrabunt.

CANON XV.

Diaconi ſeptem eſſe debent ex Canone, etiam ſi ſit magna civitas. Ejus autem rei fidem faciet liber Actorum.

Bals. Præſens Canon eſt expoſitus in xvi. can. vi. Syn. & non oportet de eodem amplius incaſſum laborare.

Zonar. De hoc Can. ſextus decimus ſextæ Synodi Can. diſſerit. Eo enim loci Diaconorum nomen, quod in actis habetur, ab hujus Synodi Patribus haud ita accommodatè explicatum eſſe diximus. Iterum eadem hic dicere aut ſcribere neceſſe non eſt.

Arist. *Septem Diaconi ſecundum Acta Apoſtolorum etiam in magnâ civitate conſtituantur.*

Ut decimus ſextus ſextæ in Trullo Synodi contendit, hic præſens Canon non loquitur de viris qui myſteriis inſerviunt, ſed de iis quibus concredita eſt adminiſtratio humanitatis & diligentiæ in egenos. Quandoquidem & liber Actuum de talibus diſſerit qui in menſarum neceſſitatibus miniſtrant. Plures itaque ſeptem ejuſmodi miniſtris licèt magna ſit civitas eſſe non debent. Diaconi autem qui in myſteriis miniſtrant, & reliquus clericorum catalogus juxta Eccleſiæ reditum conſtituentur.

A οἱ ἀπόστολοι Πέτρον καὶ Ἰωάννην, οἵτινες ἀπελθόντες ἐπετίθουν τὰς χεῖρας τοῖς βαπτισθεῖσι, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός.

ΖΩΝΑΡ. Οἱ μὲν Ἐπίσκοποι εἰς τύπον τῶν ιβʹ. ἀποστόλων εἰσὶν, οἷς ἐμφυσήσας ὁ κύριος ἔφησε, λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ τὰ ἑξῆς· οἷς ἐδόθη καὶ ἡ τῆς χάριτος τοῦ ἁγίου πνεύματος πρὸς ἄλλους διανομή. οἱ δὲ χωρεπίσκοποι εἰς τύπον τῶν οʹ. ἀποστόλων εἰσίν· οἷς τισιν οὐκ ἐδόθη ἡ τῆς χάριτος τοῦ ἁγίου πνεύματος διανέμησις. καὶ τοῦτο
B δῆλον ἐκ τῆς βίβλου τῶν πράξεων, ἐν ᾗ ἱστόρηται ὁ Φίλιππος, ὁ τῶν ἑπτὰ διακόνων εἷς, καταβὰς εἰς Σαμάρειαν, καὶ βαπτίσας πολλοὺς, ἐφ' οὓς ἀπεστάλκασιν οἱ ἀπόστολοι Πέτρον καὶ Ἰωάννην, οἵτινες ἀπελθόντες ἐπετίθουν τὰς χεῖρας τοῖς βαπτισθεῖσι, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. εἰς τύπον οὖν τῶν οʹ. ὄντες οἱ χωρεπίσκοποι, διὰ τοῦτο οὐδὲ πρεσβυτέρους ἢ διακόνους χειροτονοῦσιν, οἷα μηδὲ τὴν χάριν τοῦ πνεύματος παρέχειν δυνάμενοι· προσφέρειν δὲ οὐ κωλύονται διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς τιμώμενοι. τὰς γὰρ τῶν ἐκκλησιῶν, ὧν προΐσταντο, προσόδους εἰς πτωχοὺς δια-
C λίσκειν ὤφειλον, καὶ προνοεῖσθαι αὐτῶν, καὶ τοῦτο ποιοῦντες ἐτιμῶντο. εἰ δὲ τοῖς χωρεπισκόποις ὀφείλημα ἦν τὰ κυριακὰ χρήματα εἰς πτωχοὺς δαπανᾷν, πόσῳ μᾶλλον τοῦτο τοῖς Ἐπισκόποις ὀφείλεται;

ΑΡΙΣΤ. Ἐπιχώριος πρεσβύτερος εἰς ναὸν πόλεως οὐ προσφέρει, εἰ μὴ ἄπεστιν ὁ Ἐπίσκοπος, καὶ τὸ πρεσβυτέριον ὅλον. ἐὰν δὲ ἀπῶσι, καὶ καλοῖτο, προσάγει. οἱ μέντοι χωρεπίσκοποι, ὡς συλλειτουργοὶ προσφέρουσι, τῶν ἑβδομήκοντα τὸν τόπον ἐπέχοντες.

Οἱ χειροτονούμενοι πρεσβύτεροι ἐν παροικίαις παρὰ τῶν Ἐπι-
D σκόπων, λειτουργεῖν οὐ συγχωροῦνται εἰς ναὸν πόλεως, παρόντος Ἐπισκόπου καὶ τῶν πρεσβυτέρων τῆς πόλεως. ἐὰν δὲ πάντες ἀπῶσι καὶ καλοῖτό τις τῶν ἐπιχωρίων πρεσβυτέρων εἰς εὐχὴν, προσφέρειν τότε, καὶ λειτουργεῖν οὐ κεκώλυται. οἱ μέντοι χωρεπίσκοποι, ὡς συλλειτουργοὶ τῶν Ἐπισκόπων, καὶ τιμώμενοι διὰ τὸ ἐπέχειν καὶ τὸν τύπον τῶν ἑβδομήκοντα, κἂν ἐνδημῇ ὁ Ἐπίσκοπος τῆς πόλεως, καὶ οἱ πρεσβύτεροι, κἂν μὴ, λειτουργήσουσιν ἀκωλύτως ἐν τῷ ναῷ τῆς πόλεως.

ΚΑΝΩΝ ιεʹ.

Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγά-
E λη ᾖ ἡ πόλις. πεισθείσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν πράξεων.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἡρμηνεύθη ἐν τῷ ιϛʹ. κανόνι τῆς ἕκτης συνόδου, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν ματαιοπονεῖν.

ΖΩΝΑΡ. Ὁ ἑξκαιδέκατος κανὼν τῆς ἕκτης συνόδου περὶ τούτου τοῦ κανόνος διαλαμβάνει. εἴρηται οὖν ἐκεῖ, ὅπως οὐκ εὐστόχως οἱ τῆς Συνόδου ταύτης τὸ ἐν ταῖς πράξεσι τῶν διακόνων ὄνομα ἐξειλήφασι. τὰ αὐτὰ οὖν καὶ πάλιν λέγειν ἢ γράφειν οὐκ ἀναγκαῖον.

ΑΡΙΣΤ. Ἑπτὰ διάκονοι, κατὰ τὰς πράξεις, καὶ εἰς με-
F γάλην πόλιν ἔστωσαν.

Ὡς ὁ ἑξκαιδέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παρίστησιν, οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ὁ παρὼν προστάττει κανὼν, ἀλλὰ περὶ τῶν τὴν οἰκονομίαν πεπιστευμένων τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς. ὅτι καὶ ἡ βίβλος τῶν πράξεων περὶ τῶν τοιούτων διαλαμβάνει, τῶν ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργούντων. πλείονες γοῦν τῶν ἑπτὰ τοιούτων ὑπηρετῶν, κἂν μεγάλη ἡ πόλις ᾖ, οὐκ ὀφείλουσιν εἶναι· διάκονοι δὲ, οἱ ἐν τοῖς μυστηρίοις ὑπηρετοῦντες, καὶ ὁ λοιπὸς τῶν κληρικῶν κατάλογος, πρὸς τὴν εἴσοδον τῆς ἐκκλησίας ταχθήσονται.

A

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΓΑΓΓΡΑ ΣΥΝΟΔΟΥ.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ἡ ἐν Γάγγρᾳ τῇ μητροπόλει τῶν Παφλαγόνων γεγονυῖα σύνοδος, συνέστη μετὰ τὴν ἐν Νικαίᾳ πρώτην σύνοδον, κατὰ Εὐσταθίου τινὸς καὶ τῶν ὁμοδόξων ἐκείνῳ· οἵ τινες τὸν ἔννομον γάμον διαβάλλοντες, ἔλεγον, μηδενὶ τῶν ἐν γάμῳ τυγχανόντων σωτηρίας ἐλπίδα εἶναι παρὰ θεῷ. οἷς πειθόμενοι ἄνδρες τε καὶ γυναῖκες, οἱ μὲν τὰς ἑαυτῶν γυναῖκας ἐξώθουν, αἱ δὲ τοὺς ἰδίους ἄνδρας καταλιμπάνουσαι, σωφρόνως ζῆν ἤθελον. εἶτα τὸν ἄζυγον βίον μὴ φέροντες, εἰς μοιχείαν ἐξώλισθον. ἐδίδασκον δὲ οἱ περὶ τὸν Εὐστάθιον, καὶ ἄλλα παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ συνήθειαν, καὶ τὰς τῶν ἐκκλησιῶν καρποφορίας ᾠκειοῦντο· καὶ γυναῖκες παρ' αὐτοῖς ἀνδρῴας στολὰς ἠμφιέννυντο, καὶ τὴν κόμην ἀπέκειρον· παρεδίδουν δὲ καὶ ἐν ταῖς κυριακαῖς νηστεύειν, καὶ τὰς τῇ ἐκκλησίᾳ τεταγμένας νηστείας ἠθέτουν, καὶ τὰ κρέα ἐβδελύσσοντο, καὶ ἐν οἴκοις γεγαμηκότος οὔτε εὔχεσθαι ἠνείχοντο, οὔτε μεταλαμβάνειν, καὶ ἱερεῖς γεγαμηκότας ἀπεστρέφοντο, καὶ τῶν τόπων ἐν οἷς μαρτύρων ἀπέκειντο λείψανα, ὡς κοινῶν, κατεφρόνουν, καὶ τῶν χρήματα ἐχόντων, καὶ μὴ ἀναχωρούντων αὐτῶν, κατεγίνωσκον, ὡς ἀνελπίστου σφίσιν οὔσης τῆς σωτηρίας, καὶ ἄλλα πολλὰ ἐδογμάτιζον καὶ ἐδίδασκον. κατὰ τούτων οὖν ἱεροὶ ἀθροισθέντες πατέρες ἐξέθεντο τοὺς ὑποτεταγμένους κανόνας· διὸ καὶ ἐφ' ἑκάστῳ κανόνι τὸ ἀνάθεμα προσετίθουν εἰς ἀνατροπὴν τῆς αἱρέσεως, ἐκδιδάσκοντες, ὡς οὕτω δεῖ τοὺς περὶ τὸν Εὐστάθιον προσερχομένους τῇ ἐκκλησίᾳ ἑκάστην τῶν οἰκείων δοξῶν ἀναθεματίζειν.

ΒΑΛΣ. Καὶ ἡ μὲν παροῦσα σύνοδος, προφάσει τῶν γινομένων παρὰ τοῦ Εὐσταθίου κατὰ τῶν ὑπεναντίως τοῖς δογματισθεῖσιν ὀρθῶς παρὰ τῆς καθολικῆς ἐκκλησίας, ἀναθεματίζεσθαι τοὺς ὁμόφρονας ἐκείνῳ διορίζεται. ἡ δὲ ἐν Χαλκηδόνι ἁγία σύνοδος ἐν β'. καὶ ζ'. κανόνι ἀναθεματίζεσθαι διορίζεται τοὺς μεσιτεύοντας λαϊκοὺς ἐπὶ χρήμασι χειροτονεῖσθαί τινας· ὡσαύτως καὶ τοὺς μοναχοὺς καὶ τοὺς κληρικοὺς στρατευομένους, καὶ μὴ μεταμελομένους. ὁ δὲ χρυσοῦς τὴν γλῶτταν καὶ τῆς οἰκουμένης διδάσκαλος παρακελευόμενος μὴ ἀναθεματίζεσθαι ἄνθρωπον πιστόν, φησὶ ταῦτα ῥητῶς· τί οὖν ἐστι τοῦτο ὃ λέγεις τὸ ἀνάθεμα, ἀλλ' ὅτι ἀνατιθέσθω τῷ διαβόλῳ, καὶ μηκέτι σωτηρίας χώραν ἐχέτω, γινέσθω ἀλλότριος τοῦ Χριστοῦ; καὶ τίς εἶ σύ; ταῦτα τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνάμεως. τότε γὰρ καθίσει ὁ βασιλεὺς, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τί οὖν τῆς τοσαύτης ἐπελάβου ἀξίας; καὶ μετ' ὀλίγα. τοιγαροῦν ὁ ἀπόστολος ἐν δυσὶ μόνοις τόποις ἐξ ἀνάγκης τὴν φωνὴν ταύτην φαίνεται εἰπών· οὐχ ὁριστικῷ δὲ τρόπῳ ταύτην προσήγαγεν. ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπών, εἴ τις οὐ φιλεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα. καὶ εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τί οὖν, ἃ μηδεὶς τῶν εἰληφότων ἐξουσίαν πεποίηκεν, εἰ μὴ μόνος ὃς ἔλαβε, σὺ τολμᾷς ταῦτα ποιεῖν ἐναντίως τῷ δεσποτικῷ παραγγέλματι, καὶ προλαμβάνεις τὴν κρίσιν τοῦ βασιλέως. τὸ γὰρ ἀνάθεμα παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει· δίδαξον ἐν πρᾳότητι καὶ τὰ ἑξῆς. διὰ γὰρ τοῦτο, ὡς ἔοικεν, ἀπρακτεῖ καὶ ὁ γεγονὼς συνοδικὸς τόμος ἐπὶ τῆς βασιλείας τοῦ Πορφυρογεννήτου κυρίου Κωνσταντ. καὶ τῆς ἐφημερίας τοῦ πατριάρχου κυρίου Ἀλεξίου, χάριν τοῦ ἀναθεματίζεσθαι τοὺς ἀποστάτας καὶ μυλταρίους, καὶ κατὰ τῶν βασιλέων ὅπλα ἐγείροντας, καὶ τυραννίδα μελε-

CANONES SYNODI GANGRENÆ.

Bals. & Zonar. Synodus, quæ in Gangra Paphlagonum metropoli eſt habita, poſt Nicænam primam ſynodum, adverſus quendam Euſtathium, & eos qui erant ejuſdem cum illo ſententiæ, coacta eſt: qui legitimas B nuptias criminantes, dicebant, nulli eorum, qui matrimonio juncti ſunt, à Deo ullam eſſe ſpem ſalutis. Quibus fidem habentes viri & mulieres, illi quidem ſuas uxores ejiciebant, hæ vero proprios maritos relinquentes, continentèr vivere volebant. Deinde vitam conjugis expertem non ferentes, in adulterium prolabebantur. Docebant autem Euſtathiani, tum alia præter Eccleſiaſticam traditionem & conſuetudinem, tum etiam Eccleſiarum fructus ſibi vendicabant; & mulieres virilibus apud eos veſtibus induebantur, & comam tondebant: quin & diebus Dominicis jejunandum eſſe tradebant, & jejunia Eccleſiæ decreta aſpernabantur, & carnes abhorrebant; C & in ædibus ejus qui uxorem duxit neque orare, neque communicare permittebant, & Sacerdotes, qui uxores duxerant, averſabantur; & loca, in quibus Martyrum poſitæ erant reliquiæ, ut communia, contemnebant; & eos, qui pecunias habentes eas non contempſêre, condemnabant, perinde ac ſi nulla eis relicta eſſet ſpes ſalutis; & multa alia decernebant & docebant. Adverſus eos ergo ſancti Patres congregati hic ſubjectos Canones expoſuerunt: & ideo unicuique Canoni anathema adjecerunt ad ſubverſionem hæreſis, docentes, ſic oportere Euſtathianos ad Eccleſiam accedentes, unamquanque ſuam opinionem anathematizare. D

Bals. Ac præſens quidem Synodus occaſione malorum, quæ fiebant ab Euſtathio, adverſus ea quæ rectè decreta ſunt ab univerſali Eccleſia, ſtatuit, ut ii anathematizentur, qui ſunt ejuſdem cum illo ſententiæ. Sancta autem Chalcedon. Synodus, in ii. & vii. Canone, ſtatuit Laicos anathematizandos, qui, ut aliqui pecuniis ordinentur, intercedunt: Similiter Monachos & Clericos qui militant, & non agunt pœnitentiam. Lingua autem aureus, & orbis terrarum Doctor, præcipiens, ne homo fidelis anathematizetur, E hæc dicit expreſsè; Quid autem aliud eſt hoc, quod dicis anathema, quàm, Diabolo hic dedicetur, & nullum ſalutis locum habeat? Sit à Chriſto alienus? Et quis es tu? Hæc ſunt auctoritatis & magnæ potentiæ. Tunc enim ſedebit Rex & ſtatuet, oves quidem à dextris, hœdos vero à ſiniſtris. Cur hanc ergo dignitatem arripuiſti? Et paulo poſt; Apoſtolus quidem certè in duobus tantum locis neceſſariò hanc vocem dixiſſe videtur: ſed non eam definitivo modo protulit. In epiſtola quidem ad Corinthios dicit; Si quis non amat Dominum noſtrum Jeſum Chriſtum, ſit anathema: F & ſi quis vobis evangelizet aliud, quam accepiſtis, ſit anathema. Quid ergo, quæ nullus eorum, qui poteſtatem acceperunt, fecit, niſi ſolus qui accepit, tu ea facere audes adverſus Domini præceptum, & Imperatoris judicium anticipas? Anathema enim à Chriſto penitus exſcindit. Doce in lenitate; & quæ ſequuntur. Propterea ergo, ut eſt veriſimile, exolevit etiam ſynodalis deciſio facta ſub Imp. domini Conſtant. Porphyrogennetæ, & tempore Patriarchæ domini Alexii, de anathematizandis defectoribus & multariis, & qui adverſus Imp. arma excitant, & tyrannidem moliuntur. Si autem, quæ à magno Patre & doctore noſtro Chryſoſtomo ſcripta ſunt, debent eſſe ſuperiora iis, quæ à Chalced Syn. & Gangrenſi definita ſunt; quid omnino dicent ii, qui horum ordinandorum & componendorum poteſtatem habent? Hæc autem deciſio, vel potiùs effectus ejus ſitus eſt in expoſitione iii. Can. præſentis Synodi.

Zonar. Dominis honorabilibus conſacerdotibus in Armenia, Euſebius, Ælianus, Eugenius, Olympius Bithynicus, Gregorius, Philetus, Pappus, Eulalius, Hypatius, Proæreſius, Baſilius, Baſſus, qui convenerunt in ſanctum Gangrenſe Concilium, in Domino ſalutem.

Quoniam ſancta Synodus Epiſcoporum in Eccleſiam Gangrenſem conveniens propter quaſdam Eccleſiaſticas & neceſſarias cauſas & quæ ex Euſtathii mente geſta ſunt inquirenda, ab ipſis Euſtathianis multa nefariè fieri invenit; neceſſariò decrevit, & palam omnibus facere ſtuduit, ut amputentur univerſa, quæ ab eodem malè commiſſa ſunt. Ex eo enim, quod nuptias accuſent, & doceant, neminem in ſtatu conjugali poſitum ſpem habere apud deum; multæ mulieres ſeductæ proprios viros reliquerunt, virique ſuas uxores: interim ſe continere non valentes adulterium commiſerunt, & ob eam etiam cauſam probro affecti ſunt. Reperti ſunt itidem diſſentiones ac ſeparationes à domibus Dei & Eccleſiâ facere, Eccleſiam & quæ in ea ſunt contemptui habentes privatis conventiculis inſtitutis & concionibus ac doctrinis diverſis, aliiſque, tam contra Eccleſiam, quam contra ea quæ in Eccleſia fiunt, ad hæc veſtibus communibus ſpretis novos & inſolitos habitus ſumere, primitias quoque fructuum & eorum oblationes, quas veterum inſtitutio Eccleſiis tribuit, ſibimet & ſuis tanquam ſanctis, diſpenſandas vendicare. Servi præterea à dominis recedentes, per hunc inuſitatum habitum, eos contemnunt; Mulieres quoque hinc ſe juſtificari credentes, pro muliebribus veſtimentis, præter conſuetudinem, virilem habitum ſuſcipiunt, pluresque earum pietatis prætextu tonſæ, genuini decoris comas penitus amputant. Jejunia porro die Dominico peragunt, & ſanctitatem liberæ dici contemptui habent, & jejunia, quæ in Eccleſiis conſtituta ſunt, deſpiciunt, ac comedunt; & eorum nonnulli cibos carnium tanquam illicitos reputant. In domibus deinde conjugatorum orationes celebrare nolunt, & celebratas contemnunt, ac ſæpe oblationibus in ædibus nuptorum factis non communicant, & Presbyteros, qui matrimonia contraxêre, ſpernunt, nec ſacramenta, quæ ab iis conficiuntur, attingunt. Martyrum tandem congregationes, & omnes qui illac conveniunt & ſacra faciunt; ut & divites, qui non omnibus, quæ poſſident, renunciant, tanquam ſpem apud Deum non habentes, reprehendunt. Et alia præterea multa, quæ enumerare nulli poſſibile eſt. Unuſquiſque enim eorum, poſtquam ab Eccleſiaſtico Canone receſſit, ſibi proprias ac privatas quaſi leges conditas habuit. Nec enim communis his omnibus & una ſententia fuit: ſed quilibet, quicquid ſibi in mentem venit, adjecit, in calumniam Eccleſiæ & ſui ipſius damnum. Propterea ergo coactum eſt ſanctum Concilium Gangris habitum illos condemnare, & Canones edere, quibus extra Eccleſiam eſſe decernuntur. Quod ſi reſipuerint, & omnia hæc, quæ malè ſenſerunt, tanquam à ſe non benè prolata, anathematizarent, admittendos eos eſſe placet; atque ideo ſingula expoſuit Synodus, quæ anathematizare debent, antequam ſunt admittendi. Si quis vero dictis non obtemperaverit, tanquam hæreticus condemnetur, & ſit excommunicatus & ab Ec-

A ποιοῦντας. εἰ δὲ τὰ παρὰ τοῦ μεγάλου πατρὸς καὶ διδασκάλου ἡμῶν τοῦ Χρυσοστομου γραφέντα ὑπερτερεῖν, ὀφείλουσι κατὰ τὰ διορισθέντα παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῆς ἐν Γάγγρᾳ, τί ἐροῦσι πάντως οἱ τὰ τοιαῦτα διατιθέναι ἐξουσίαν ἔχοντες; ὁ τοιοῦτος δὲ τόμος, μᾶλλον δὲ ἡ δύναμις τούτου, κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ τρίτου κανόνος τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Κυρίοις τιμιωτάτοις ἐν Ἀρμενίᾳ συλλειτουργοῖς, Εὐσέβιος, Αἰλιανὸς, Εὐγένιος, Ὀλύμπιος Βιθυνικὸς, Γρηγόριος, Φιλητὸς, Πάππος, Εὐλάλιος, Ὑπάτιος, B Προαιρέσιος, Βασίλειος, Βάσσος, οἱ συνελθόντες εἰς τὴν κατὰ Γάγγραν ἁγίαν σύνοδον, ἐν κυρίῳ χαίρειν.

Επειδὴ συνελθοῦσα ἡ ἁγιωτάτη σύνοδος τῶν Ἐπισκόπων ἐν τῇ κατὰ Γάγγραν ἐκκλησίᾳ διά τινας ἐκκλησιαστικὰς χρείας, ζητουμένων καὶ τῶν κατ' Εὐστάθιον, εὕρισκεν πολλὰ ἀθέσμως γινόμενα ὑπὸ τούτων αὐτῶν τῶν περὶ Εὐστάθιον, ἀναγκαίως ὥρισεν, καὶ πᾶσι φανερὸν ποιῆσαι ἐσπούδασεν, εἰς ἀναίρεσιν τῶν ὑπ' αὐτοῦ κακῶς γινομένων. καὶ γὰρ ἐκ τοῦ καταμέμφεσθαι αὐτοὺς τὸν γάμον, καὶ ὑποτίθεσθαι, ὅτι οὐδεὶς τῶν ἐν γάμῳ ὄντων ἐλ- C πίδα παρὰ θεῷ ἔχει· πολλαὶ γυναῖκες ὕπανδροι ἀπατηθεῖσαι, τῶν ἑαυτῶν ἀνδρῶν ἀνεχώρησαν, καὶ ἄνδρες τῶν ἰδίων γυναικῶν· εἶτα ἐν τῷ μεταξὺ μὴ δυνηθεῖσαι ἐγκρατεύειν, ἐμοιχεύθησαν, καὶ διὰ τὴν τοιαύτην ὑπόθεσιν ὀνειδίσθησαν. εὑρίσκοντο δὲ καὶ ἀναχωρήσεις ἐκ τῶν οἴκων τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας ποιούμενοι, καταφρονητικῶς διακείμενοι κατὰ τῆς ἐκκλησίας, καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἰδίας συνάξεις ποιούμενοι, καὶ ἐκκλησιάσεις, καὶ διδασκαλίας ἑτέρας, καὶ τὰ ἄλλα καὶ κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ, ξένα ἀμφιέσματα ἐπὶ καταπτώσει τῆς κοινότητος τῶν ἀμφιεσμάτων συνάγοντες· καρποφορίας τε τὰς ἐκκλησιαστικὰς, τὰς ἀ- D νέκαθεν διδομένας τῇ ἐκκλησίᾳ, ἑαυτοῖς καὶ τοῖς σὺν αὐτοῖς ὡς ἁγίοις, τὰς διαδόσεις ποιούμενοι, καὶ δοῦλοι δεσποτῶν ἀναχωροῦντες, καὶ διὰ τοῦ ξένου ἀμφιέσματος καταφρόνησιν κατὰ τῶν δεσποτῶν ποιούμενοι, καὶ γυναῖκες παρὰ τὸ σύνηθες ἀντὶ ἀμφιεσμάτων γυναικείων ἀνδρικὰ ἀμφιέσματα ἀναλαμβάνουσαι, καὶ ἐκ τούτων οἰόμεναι δικαιοῦσθαι, πολλαὶ δὲ καὶ ἀποκείρονται προφάσει θεοσεβείας τὴν φύσιν τῆς κόμης τῆς γυναικείας· νηστείας τε ἐν κυριακῇ ποιούμενοι, καὶ τῆς ἁγιότητος τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες καὶ τῶν νηστειῶν τῶν ἐν ταῖς ἐκκλησίαις τεταγμένων ὑπερφρονοῦντες καὶ ἐσθίοντες, καὶ τινες αὐτῶν μεταλήψεις κρεῶν βδελυτ- E τόμενοι, καὶ ἐν οἴκοις γεγαμηκότων εὐχὰς ποιεῖσθαι μὴ βουλόμενοι, καὶ γινομένων εὐχῶν καταφρονοῦντες, καὶ πολλάκις προσφορῶν, ἐν αὐταῖς ταῖς οἰκίαις τῶν γεγαμηκότων γινομένων, μὴ μεταλαμβάνοντες, καὶ πρεσβυτέρων γεγαμηκότων ὑπερφρονοῦντες, καὶ τῶν λειτουργιῶν, τῶν ὑπ' αὐτῶν γινομένων, μὴ ἁπτόμενοι. καὶ τὰς συνάξεις τῶν μαρτύρων καὶ τῶν ἐκεῖ συνερχομένων καὶ λειτουργούντων καταγινώσκοντες, καὶ πλουσίων δὲ, τῶν μὴ πάντων τῶν ὑπαρχόντων ἀναχωρούντων, ὡς ἐλπίδα παρὰ θεῷ μὴ ἐχόντων. καὶ πολλὰ ἄλλα, ἃ ἀριθμῆσαι οὐδεὶς ἂν δυνηθείη. ἕκαστος γὰρ αὐτῶν, ἐπειδὴ τοῦ κανόνος τοῦ ἐκκλησιαστικοῦ ἐξῆλθεν, ὥσπερ νόμους ἰδιάζοντας F εἶχεν. οὔτε γὰρ κοινὴ γνώμη αὐτῶν ἁπάντων ἐγένετο· ἀλλ' ἕκαστος, ὅπερ ἂν ἐνεθυμήθη, τοῦτο προσέθηκεν, ἐπὶ διαβολῇ τῆς ἐκκλησίας καὶ ἑαυτοῦ βλάβῃ. δι' οὖν ταῦτα ἠναγκάσθη ἡ παραγινομένη ἐν Γάγγραις ἁγία σύνοδος καταψηφίσασθαι αὐτῶν, καὶ ὅρους ἐκθέσθαι, ἐκτὸς αὐτοὺς εἶναι τῆς ἐκκλησίας· εἰ δὲ μεταγνοῖεν, καὶ ἀναθεματίζοιεν ἕκαστον τούτων τῶν κακῶς λεχθέντων, δεκτοὺς αὐτοὺς γίνεσθαι· καὶ διὰ τοῦτο ἐξέθετο ἡ ἁγία σύνοδος ἕκαστον, ὃ ὀφείλουσιν ἀναθεματίσαντες δεχθῆναι. εἰ δέ τις μὴ πεισθείη τοῖς λεχθεῖσιν, ὡς αἱρετικὸν αὐτὸν ἀναθεματισθῆναι, καὶ εἶναι ἀκοινώνητον καὶ κεχωρισμένον τῆς ἐκκλησίας. καὶ δεήσει τοὺς Ἐπι- A σκόπους ἐπὶ πάντων τῶν διελεγχομένων παρ' αὐτοῖς τοιοῦτον παραφυλάξασθαι.

ΚΑΝΩΝ α'.

Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐσεβῆ, βδελύσσοιτο ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Φησὶν ὁ μέγας ἀπόστολος, Τίμιος ὁ γάμος καὶ ἡ B κοίτη ἀμίαντος. καὶ ἀλλαχοῦ πάλιν, ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν· καὶ τὰ ἑξῆς. καὶ αὖθις, Πάντα καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ἡ ψυχὴ καὶ ἡ συνείδησις. τούτοις ἑπομένη καὶ ἡ παροῦσα σύνοδος, τοὺς ἀκάθαρτον ἡγουμένους τὸν γάμον καὶ τὴν ἔννομον μίξιν βδελυσσομένους ἀναθεματίζει. ἀνάγνωθι καὶ τὸν να'. κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ εἰπὲ ἐξ ἀντιπαραστολῆς μὴ κολάζεσθαι τοὺς μυσαττομένους καὶ διώκοντας τὰς μοιχαλίδας C καὶ ἀπίστους γυναῖκας αὐτῶν.

ΖΩΝΑΡ. Φησὶν ὁ μέγας ἀπόστολος Παῦλος, τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· καὶ ἀλλαχοῦ πάλιν, ἐν ὑστέροις ἀποστήσονταί τινες τῆς πίστεως ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν, καὶ τὰ ἑξῆς. καὶ αὖθις, πάντα καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν· ἀλλὰ μεμίανται αὐτῶν καὶ ἡ ψυχὴ καὶ ἡ συνείδησις. τούτοις ἑπομένη τῶν πατέρων ἡ σύνοδος, τοὺς ἀκάθαρτον D ἡγουμένους τὸν γάμον, καὶ τὴν ἔννομον μίξιν βδελυσσομένους, ἀναθεμάτισεν.

ΑΡΙΣΤ. Τῷ ἀθετοῦντι τὸν νόμιμον γάμον ἀνάθεμα.

ΚΑΝΩΝ β'.

Εἴ τις ἐσθίοντα κρέα, χωρὶς αἵματος καὶ εἰδωλοθύτου καὶ πνικτοῦ, μετ' εὐλαβείας καὶ πίστεως, κατακρίνοι, ὡς ἂν διὰ τὸ μεταλαμβάνειν ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔστω. E

ΒΑΛΣ. Γέγραπται ἐν τῇ βίβλῳ τῶν πράξεων, ὅτι ἀμφιβολίας γενομένης, εἰ δεῖ τοὺς πιστεύοντας περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, ὁ μὲν τῶν ἀποστόλων κορυφαιότατος Πέτρος ἐδημηγόρησεν, ὅσα ἐκεῖ ὁ θεῖος Λουκᾶς ἱστόρησεν· ὁ δὲ ἀδελφόθεος Ἰάκωβος ἔφη, μὴ δεῖν παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν, ἀλλ' ἀπέχεσθαι αὐτοὺς τῶν εἰδωλοθύτων καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος. ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν ἀναθεματίζει τοὺς κατακρίνοντας τὸν F ἐσθίοντα κρέα χωρὶς ἐπιτηδευτοῦ αἵματος ἢ εἰδωλοθύτου ἢ πνικτοῦ. ἀνάγνωθι καὶ τῶν ἁγίων ἀποστόλων κανόνα ξγ'. καὶ τῆς ϛ'. συνόδου κανόνα ξζ'.

ΖΩΝΑΡ. Γέγραπται ἐν τῇ βίβλῳ τῶν πράξεων, ὅτι ἀμφιβολίας γενομένης, εἰ δεῖ τοὺς πιστεύοντας περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, ὁ μὲν τῶν ἀποστόλων κορυφαιότατος Πέτρος ἐδημηγόρησεν, ὅσα ἐκεῖ ὁ θεῖος Λουκᾶς ἱστόρησεν· ὁ δὲ ἀδελφόθεος Ἰάκωβος ἔφη, μὴ

cleſia ſegregatus: & in omnibus, quæ penes eos delecta & deprehenſa ſunt, talem obſervare oportebit Epiſcopos.

CANON I.

Si quis matrimonium vituperet, & eam, quæ cum marito ſuo dormit, fidelis cum ſit & religioſa, abhorreat aut inſimulet, tanquam quæ non poſſit regnum ingredi, ſit anathema.

BALS. Dicit magnus Apoſtolus; Honorabiles nuptiæ & cubile immaculatum. Et alibi rurſus; In poſtremis temporibus deficient quidam à fide in ſimulatione mendacium, qui cauteriatam habent conſcientiam, prohibent matrimonia contrahere, & jubent à cibis abſtinere, quæ Deus creavit ad participationem, &c. Et rurſus; Omnia munda mundis: inquinatis autem & infidelibus nihil purum; ſed polluta eſt eorum anima & conſcientia. Hæc ſequens præſens quoque Synodus eos, qui nuptias immundas exiſtimant, & legitimum coitum abhorrent, anathematizat. Lege & li. Can. ſanctorum Apoſtolorum, & dic argumento ſumpto à contrario, non puniri eos qui abhorrent & perſequuntur adulteras & infideles eorum uxores.

ZONAR. Honorabile connubium, & thorus immaculatus; verba ſunt magni Apoſtoli Pauli; cujus & illa alibi; In poſtremis temporibus deficient quidam à fide, in ſimulatione mentientium, cauteriatam habentium conſcientiam, prohibentium nubere, & jubentium à cibis abſtinere, quos Deus creavit ad participationem; & cætera. Et rurſus; Omnia munda mundis, inquinatis autem & infidelibus nihil purum; ſed polluta eſt eorum anima & conſcientia. Ad hæc reſpiciens Patrum Synodus eos, qui nuptias impuras exiſtimarent, legitimámque conjunctionem averſarentur, anathemati obnoxios eſſe decernit.

ARIST. *Legitimum improbanti matrimonium Anathema.*

CANON II.

Si quis eum, qui carnem ſine ſanguine & idolothyto & ſuffocato cum pietate & fide comedit, tanquam, propter hujuſmodi perceptionem, ſpem non habentem condemnat, ſit anathema.

BALS. Scriptum eſt in libro Actuum, quod cùm orta eſſet controverſia de circumciſione & obſervatione legis, an fidelibus eſſent neceſſariæ; Petrus quidem Apoſtolorum ſummus ea dixit, quæ illic divinus ſcripſit Lucas: Dei autem frater Jacobus dixit non eſſe moleſtia afficiendos eos, qui erant ex gentibus, ſed oportere eos abſtinere ab idolothytis & fornicatione & ſuffocato & ſanguine. Conſequenter ergo, qui condemnant eos, qui carnes ſine condito ſanguine idolothyto vel ſuffocato comedunt, præſens quoque can. anathematizat. Lege & lxiii. Can. ſanctorum Apoſtolorum & vi. Syn. Can. lxvii.

ZONAR. Scriptum extat in actis Apoſtolorum, cum de circumciſione, ambigeretur, an à fidelibus admittenda, atque ab iiſdem ſervanda lex eſſet; Petrum quidem Apoſtolorum principem eam concionem habuiſſe, quam divinus Lucas ibidem enarrat: Dei vero fratrem Jacobum cenſuiſſe, non eſſe moleſtiâ afficiendos eos, qui erant ex gentibus, ſed tantum, ut ab idolothytis, fornicatione, A ſuffocato & ſanguine abſtinerent, præcipiendum. Hanc Apoſtolicam conſtitutionem ſervantes hujus quoque Synodi Patres, ſi quis tantum carnes comederit, non autem ſanguinem de induſtria decoctum & coagulatum, neque idolothytum, neque ſuffocatum, eum nec odio habendum, neque damnandum eſſe decrevre; ac ſi quis hominem eum dêmnârit, anathematis pœna teneri juſſêre.

δεῖν παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν, ἀλλ' ἀπέχεσθαι αὐτοὺς τῶν εἰδωλοθύτων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. ταύτην τὴν ἀποστολικὴν διαταγὴν τηροῦντες καὶ οἱ τῆς παρούσης συνόδου, τὸν ἐσθίοντα κρέα, καὶ οὐχ αἷμα ἐξ ἐπιτηδεύσεως ἑψόμενον καὶ πηγνύμενον, οὔτε μὴν εἰδωλόθυτον, οὔτε πνικτὸν, μὴ βδελύττεσθαι, μηδὲ κατακρίνεσθαι ὥρισε, τὸν δὲ κατακρίνοντα αὐτὸν ὑπὸ ἀνάθεμα ἐποιήσατο.

Ariſt. *Et condemnanti carnes manducantem, excepto ſuffocato, & Idolis immolato, Anathema.*

ΑΡΙΣΤ. Καὶ τῷ κατακρίνοντι τὸν κρεωφαγοῦντα, δίχα πνικτοῦ, καὶ εἰδωλοθύτου, ἀνάθεμα.

B

Canon III.

Si quis doceat ſervum pietatis prætextu dominum contemnere, & à miniſterio recedere, & non cum benevolentia & omni honore domino ſuo inſervire, ſit anathema.

ΚΑΝΩΝ γ'.

Εἴ τις δοῦλον προφάσει θεοσεβείας διδάσκει καταφρονεῖν δεσπότου, καὶ ἀναχωρεῖν τῆς ὑπηρεσίας καὶ μὴ μετ' εὐνοίας καὶ πάσης τιμῆς τῷ ἑαυτοῦ δεσπότῃ ἐξυπηρετεῖσθαι, ἀνάθεμα ἔστω.

Bals. Magnus Paulus ſcribens ad Timotheum, inquit; Quicunque ſunt ſub jugo ſervi, dominos ſuos omni C honore dignos putent. Qui autem fideles habent dominos, ne contemnant, quòd fratres ſint; ſed magis ſerviant, quoniam ſunt fideles, qui bono eorum opere fruuntur. Et ad Titum rurſus, præcipiens quid docere oporteat, præter alia hoc quoque dicit; Servos ſuis dominis ſubjici, & in omnibus bene placentes, non contradicentes, non arrogantes; ſed fidem omnem bonam oſtendentes. Eos ergo, qui ſervis contraria ſuggerunt, ob exercitationem forte ſpiritualem, Canon anathematizat. Jam verò lxvi. Imp. domini Leonis philoſophi Novella jubet ut plagiarius non ſubeat pœnam capitis, ut volebat Lex antiqua: ſed cum D ſervi reſtitutione det loco pœnæ in duplum pretium eorum quæ à ſervo forte furto ſurrepta ſunt, & omnis ejus rei, quæ domini intereſt; quinetiam & ejus pretium. Et Canon quidem eos ſic punit, qui ſervis ſuggerunt, non eſſe parendum dominis: etiamſi hoc fiat prætextu religionis. Quæ autem menſe Julio, ix. indict anno 6534. ab Imper. domino Conſtantino Porphyrogenneta facta eſt Novella, ſanctiſſimo quoque Patriarcha domino Alexio, & Synodo aſſentiente, quæ deciſionis locum obtinet, ut quæ ab Imperatore & Synodo ſubſcripta eſt, & quæ decernit eos anathematizari, qui defectionem ab E Imp. moliuntur, vel tyrannidem invadere, & ea ratione ſubjectos adverſus eorum Magiſtratus incitant & ad inſurgendum provocant; inter alia hoc quoque circa finem expreſsè definit; Iis, qui ab hoc deinceps tempore inſidias ſunt machinaturi vel tumultum excitaturi, anathema. Iis, qui opem illis ferunt, & in defectione ſunt ſocii, anathema. Iis, qui conſulunt vel ad hujuſmodi incitant, anathema. Iis, qui expeditiones cum his ſuſcipiunt, anathema. Iis, qui ipſos ad pœnitentiam ſuſcipiunt, cum à defectione non reſipiſcant nec eam relinquant, anathema.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησίν, ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ τῷ Τίτῳ δὲ αὖθις ἐντελλόμενος τίνα διδάσκειν χρεὼν, πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησι, δούλους ἰδίοις δεσπόταις ὑποτάττεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν. τοὺς γοῦν τἀναντία τούτοις ὑποτιθέντας τοῖς δούλοις, τάχα διὰ ἄσκησιν, ἀναθεματίζει ὁ κανών. ἡ μέντοι ξϛ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου παρακελεύεται, τὸν ἀνδραποδιστὴν μὴ κεφαλικὴν τιμωρίαν ὑφίστασθαι κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ σὺν τῇ ἀναστροφῇ τοῦ δούλου διδόναι, χάριν ποινῆς, εἰς τὸ διπλάσιον τὴν διατίμησιν τῶν κλαπέντων παρὰ τοῦ δούλου ἴσως, καὶ πάντως διαφέροντος τῷ δεσπότῃ· ἀλλὰ μὴν καὶ τὴν ἀποδιατίμησιν αὐτοῦ. καὶ ὁ μὲν κανὼν οὕτω κολάζει τοὺς ὑποτιθεμένους δούλοις, μὴ ὑπείκειν τοῖς δεσπόταις, κἂν κατ' εὐλαβείας πρόφασιν τοῦτο γίνηται. ἡ δὲ κατὰ τὸν Ἰούλιον μῆνα τῆς θ'. ἰνδικτιῶνος τοῦ ϛφλδ'. ἔτους γενομένη νεαρὰ παρὰ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, συμπράξαντος καὶ τοῦ τότε ἁγιωτάτου πατριάρχου κυρίου Ἀλεξίου, καὶ τῆς συνόδου, ἡ καὶ τάξιν τόμου ἐπέχουσα, ὡς ὑπογραφεῖσα παρὰ τοῦ βασιλέως καὶ τῆς συνόδου, καὶ διοριζομένης ἀναθεματίζεσθαι τοὺς ἐπιχειροῦντας ἀποστασίαν κατὰ βασιλέως ποιῆσαι ἢ τυραννίδα, κἀντεῦθεν τοὺς ὑπηκόους κατὰ τῶν αὐθεντῶν αὐτῶν ἀνασαλεῦντας, διορίζεται μετὰ τῶν ἄλλων περὶ τὸ τέλος καὶ ταῦτα ῥητῶς. τοῖς μέλλουσιν ἢ ἐπιβουλὴν ἀπό γε τοῦ νῦν ἐπιχειρεῖν, ἢ μέλτῳ, ἀνάθεμα· τοῖς συμπράττουσιν αὐτοῖς καὶ συγκοινωνοῦσιν ἐν τῇ ἀποστασίᾳ, ἀνάθεμα. τοῖς συμβουλεύουσιν ἢ παρορμῶσιν εἰς τὰ τοιαῦτα, ἀνάθεμα. τοῖς συνεκστρατεύουσι τούτοις, ἀνάθεμα. τοῖς δεχομένοις αὐτοὺς ἐν μετανοίᾳ, μὴ μεταμελομένους ἀπὸ τῆς ἀποστασίας, καὶ καταλιμπάνοντας αὐτήν, ἀνάθεμα.

F

Zonar. Quicunq; inquit magnus Paulus ad Timotheum ſcribens, ſunt ſub jugo ſervi, dominos ſuos omni honore dignos putent. Qui autem fideles dominos habent ne contemnant, quod fratres ſint; ſed magis ſerviant, quoniam ſunt fideles qui bono eorum opere fruuntur. Et ad Titum rurſus, dum ea quæ docere oporteat exequitur, præter alia, hæc quoque habet, Servos ſuis dominis ſubjici, in omnibus bene placentes; Et quæ ſequuntur. At Euſtathius ejuſque aſſeclæ contraria prorſus diſſeminabant, ac ſervis, ut ſe dominorum imperio ſubtraherent,

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησίν· ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ τῷ Τίτῳ δὲ αὖθις ἐντέλλεται, τίνα διδάσκειν χρεών· καί φησι δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι, καὶ τὰ ἑξῆς. ἀλλ' ὁ Εὐστάθιος καὶ οἱ περὶ ἐκεῖνον τοὐναντίον ἅπαν ἐδίδασκον, καὶ τοῖς δούλοις παραινοῦσι καταλιμπάνειν τοὺς δεσπότας, καὶ τῆς τούτων ὑπηρεσίας καταφρονεῖν, τάχα δι' ἄσκησιν. οὓς ἡ σύνοδος διὰ τὴν διδαχὴν, στοιχοῦσα τῇ ἀποστολικῇ διδασκαλίᾳ, ἀνεθεμάτισεν.

ΑΡΙΣΤ. Τῷ πείθοντι δοῦλον ἀναχωρεῖν τοῦ δεσπότου, εὐσεβείας προφάσει, ἀνάθεμα.

ΚΑΝΩΝ δ'.

Εἴ τις διακρίνοιτο περὶ πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῆναι, λειτουργήσαντος αὐτοῦ, προσφορᾶς μεταλαβεῖν, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀναθεματίζει τοὺς μὴ ἀδιστάκτως μεταλαμβάνοντας ἀπὸ ἱερέων ἐχόντων γυναῖκας.

ΖΩΝΑΡ. Τὸν διακρινόμενον, ἤτοι ὑποστελλόμενον, καὶ μὴ θέλοντα μεταλαβεῖν, πρεσβυτέρου γεγαμηκότος λειτουργήσαντος, καὶ τὴν ἀναίμακτον θυσίαν τελέσαντος, ὁ κανὼν ἀναθέματι ὑπάγει.

ΑΡΙΣΤ. Τῷ διακρινομένῳ μεταλαβεῖν ἀπὸ πρεσβυτέρων ὑπογυναίων, ἀνάθεμα.

ΚΑΝΩΝ ε'.

Εἴ τις διδάσκει τὸν οἶκον τοῦ θεοῦ εὐκαταφρόνητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ αἱρετικὸς ἐκεῖνος Εὐστάθιος ἐδίδασκεν ἀναχωρεῖν τῆς ἐκκλησίας, καὶ κατ' ἰδίαν εὔχεσθαι. ἀναθεματίζει οὖν ὁ κανὼν τοὺς, διὰ καταφρόνησιν τῶν θείων συνάξεων, τὰς κατ' ἰδίαν ἀναχωρήσεις ἐπιτρέποντας.

ΖΩΝΑΡ. Καὶ τοῦτο τῆς διδασκαλίας τοῦ Εὐσταθίου, τὸ τῆς ἐκκλησίας ἀναχωρεῖν, καὶ καταφρονητικῶς διακεῖσθαι πρὸς τὰς ἐν αὐτῇ συνάξεις, ὡς ἐν παντὶ τόπῳ δυνατοῦ ὄντος εὔχεσθαι. ἐν παντὶ μὲν γὰρ τόπῳ εὔχεσθαι ὁ μέγας Παῦλος διατάττεται, ἀλλ' οὐχ ὥστε καταφρονεῖν τῶν συνάξεων, μηδὲ προσιέναι τοῖς ἱεροῖς. διὸ καὶ τοῖς τοῦτο διδάσκουσιν οἱ πατέρες ἐπιτίμιον τὸ ἀνάθεμα ἐποιήσαντο καὶ ἔθεντο.

ΑΡΙΣΤ. Ὁ τὸν θεῖον οἶκον εὐκαταφρόνητον ὀνομάζων, εἴη ἀνάθεμα·

ΚΑΝΩΝ ϛ'.

Εἴ τις παρὰ τὴν ἐκκλησίαν κατ' ἰδίαν ἐκκλησιάζει, καὶ καταφρονῶν τῆς ἐκκλησίας, τὰ τῆς ἐκκλησίας ἐθέλει πράττειν, μὴ συνόντος τοῦ πρεσβυτέρου, κατὰ γνώμην τοῦ Ἐπισκόπου, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ λα'. κανὼν τῶν ἁγίων ἀποστόλων, καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἕτεροι, μεγάλως κολάζουσι τὰς παρασυνάξεις· ὁ δὲ παρὼν ἀναθεματίζει τοὺς τοιούτους καὶ τοὺς ἐπιχειροῦντας ἱερουργεῖν ἐν εὐκτηρίῳ οἴκῳ χωρὶς εἰδήσεως Ἐπισκόπου.

ΖΩΝΑΡ. Οἱ περὶ τὸν Εὐστάθιον τῆς ἐκκλησίας καταφρονοῦντες, ἤτοι τοῦ ἀθροίσματος τῶν πιστῶν. τοῦτο γάρ ἐστι κυρίως ἡ ἐκκλησία· ὁ γὰρ ναὸς, κατὰ τὸν ἅγιον Ἰσίδωρον τὸν Πηλουσιώτην, ἐκκλησιαστήριον λέγεται, ὡς θυμίαμα καὶ θυμιατήριον, καὶ θυσία καὶ θυσιαστήριον· ἰδίᾳ ἐκκλησιάζειν, ἀντὶ τοῦ συνάξεις ποιεῖν ἢ μᾶλλον παρασυνάξεις ἤθελον,

A muniáq; ab illis impoſita negligerent, forte ſpiritualis exercitationis obeundi cauſa, ſuadebant. Quos quidem hæc Synodus ob ejuſmodi doctrinam, Apoſtolicæ diſciplinæ veſtigiis inſiſtens, anathemate irretitos eſſe decernit.

Ariſt. *Ei qui ſervo perſuadet à domino religionis prætextu recedere, Anathema.*

Canon IV.

B *Si quis de Presbytero conjugato contendat, non oportere eo ſacra celebrante oblationi communicare, ſit anathema.*

Bals. Præſens Canon eos anathematizat, qui non ſine hæſitatione communicant ſacris Sacerdotum qui habent uxores.

Zonar. Si quis, Sacerdote conjugato ſacra faciente, incruentúmque ſacrificium celebrante, communicare ambigat, hoc eſt, ſubducat ſe ac recuſet, eum Can. Anathemati ſubjici jubet.

C Ariſt. *Ei qui communionem à Presbyteris matrimonio junctis accipere dubitat, Anathema.*

Canon V.

Si quis docet domum Dei eſſe contemnendam, & quæ fiunt in ea congregationes, ſit anathema.

D Bals. Hæreticus ille Euſtathius docuit ab Eccleſia recedere, & ſeorſum orare. Can. ergo eos anathematizat, qui propter divinarum congregationum contemptum privatos ſeceſſus permittunt.

Zonar. Hoc quoq; ex Euſtathii diſciplina eſt, procul ab Eccleſiis abeſſe, & conventus, qui in iis celebrantur, quaſi precationi intentum eſſe ubique liceat, negligere. Nam omnibus quidem in locis magnus Paulus precari jubet; ſed non ita tamen ut congregationes contemnamus, nec ſacris intereſſe dignemur. Proindeque Patres, qui hæc docuerint, anathematis pœna teneri volunt.

E Ariſt. *Qui Dei domum contemptibilem nuncupat, ſit Anathema.*

Canon VI.

Si quis extra Eccleſiam privatim conciones habet, & contemnens Eccleſiam, vult ea quæ ſunt Eccleſiæ agere non conveniente Presbytero, de Epiſcopi ſententia, ſit anathema.

F Bals. Triceſimus primus Can. ſanctorum Apoſtolorum & ſecundus Can. Synodi Antiochenæ, & alii, valde puniunt ſeparatas congregationes: præſens autem can. eos anathematizat, & qui in domo oratoria ſacra celebrare aggrediuntur, ſine Epiſcopi ſententia.

Zonar. Euſtathiani, contemnentes Eccleſiam, hoc eſt, fidelium cœtum (id namque proprie eſt Eccleſia. Nam templum ipſum, ut aſſerit S. Iſidorus Peluſiota, ἐκκλησιαστήριον dicitur; cujus ſimile exemplum videre eſt in verbis θυμίαμα & θυμιατήριον, θυσία & θυσιαστήριον) privatim coibant, i.e. conventus aut Conventicula potius peragebant, ibique quæ in Eccleſia fieri debuerant, ſacra videlicet myſteria, nullo ex Epiſcopi ſententia delecto ſacerdote celebrabant. In oratorio enim quod eſt intra domum Presbyter ſacra celebrare non permittitur, niſi veniâ prius ab Epiſcopo civitatis inpetratâ Proinde, & in eos damnatio anathematis conſtituta.

Arist. *Qui privatim conventicula celebrat, ſit Anathema.*

Canon VII.

Si quis vult fructus Eccleſiæ oblatos accipere, vel dare extra Eccleſiam, præter Epiſcopi ſententiam, vel ejus cui cura eorum commiſſa eſt, & non cum ejus ſententia ea vult agere, ſit anathema.

Bals. Fructus, qui Eccleſiis offeruntur, per Epiſcopos dividuntur. Quoniam ergo in eorum contemptum quidam illos ſibi diviſerunt, Canon eos anathematizari ſtatuit, qui ſine ſcientia Epiſcopi tale quid faciunt.

Zonar. Præter alia crimina Euſtathiani fructus quoque, qui Eccleſiæ offerri conſueverant, invadentes inter ſe invicem partiebantur. Id igitur Canon prohibet, ac ne cuiquam abſque Epiſcopi auctoritate, vel ejus cui Eccleſiæ adminiſtratio mandata eſt, fructus qui offeruntur dare aut accipere liceat, decernit. Qui ſecus fecerit, anathemate plecti jubet.

Arist. *Qui præter Epiſcopi vel Presbyteri ſententiam Eccleſiaſtica peragit, ſit Anathema.*

Canon VIII.

Si quis det vel accipiat fructus oblatos, præter Epiſcopum, vel eum qui eſt conſtitutus ad beneficentiæ diſpenſationem: & qui dat, & qui accipit, ſit anathema.

Bals. & **Zonar.** Hic Canon præcedenti æquivalet.

Arist. *Quiſquis dat, vel accipit fructus oblatos, præter Epiſcopum & eum qui ad bona opera diſpenſare conſtituitur. & qui dat, & qui accipit, ſit Anathema.*

Canon IX.

Si quis virgitatem cuſtodiat vel continentiæ ſtudeat, à matrimonio tanquam abominand recedens, & non propter ipſam virginitatis pulchritudinem & ſanctitatem, ſit Anathema.

Bals. De iis qui legitimas nuptias averſantur non propter pietatem & virtutem, ſcripſimus in primo Canone; & lege ea.

Zonar. Pulcherima quidem res eſt virginitas, honeſta vero & continentia; ſi tamen eas ob honeſtatem ipſam, quæque illas comitatur, ſanctitatem ſequamur. Quòd ſi quis idcirco virginitatem amplectitur, quia nuptias ut impuras deteſtetur, & caſtum ſe ideo ſervat, atq; à congreſſu fœminarum & nuptiis abſtinet, quod in iis aliquid ineſſe ſceleris arbitretur; anathematis pœnam ex hujus Canonis decreto ſubit.

Arist. *Item qui virginitatem colit non virtutis cauſa, ſed quod matrimonium abominatur, ſit Anathema.*

Canon X.

Si quis eorum, qui virginitatem ſervant propter Dominum, in conjugatos inſultet, ſit anathema.

Bals. Et nonus & præſens Canon continentiam, quæ eſt propter virtutem & virginitatem, ſuſcipiunt: veruntamen legitimum matrimonium non averſantur. Unde & eos, qui propter inſolentiam in conjugatos invehuntur, anathemati ſubjiciunt.

A πράττειν τε τὰ τῆς ἐκκλησίας, ἱερουργίας δηλαδὴ, μὴ συνιόντος τοῦ πρεσβυτέρου κατὰ γνώμην τοῦ Ἐπισκόπου. ἐν εὐκτηρίῳ γὰρ ἐντὸς οἰκίας ὄντι οὐκ ἐγχωρεῖται πρεσβύτερος ἱερουργεῖν, εἰ μὴ τοῦ Ἐπισκόπου τῆς πόλεως ἐπιτρέποντος. διὸ καὶ ἀναθέματι κατεδικάσθησαν.

ΑΡΙΣΤ. Ὁ ἐκκλησιάζων ἰδίᾳ, εἴη ἀνάθεμα.

ΚΑΝΩΝ ζ'.

Εἴ τις καρποφορίας ἐκκλησιαστικὰς ἐθέλει λαμβάνειν,
B ἢ διδόναι ἔξω τῆς ἐκκλησίας, παρὰ γνώμην τοῦ Ἐπισκόπου, ἢ τοῦ ἐγκεχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλει πράττειν, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Αἱ προσαγόμεναι καρποφορίαι ταῖς ἐκκλησίαις διὰ τῶν Ἐπισκόπων μερίζονται. ἐπεὶ οὖν εἰς καταφρόνησιν τούτων τινὲς ἐμέριζον ταύτας ἑαυτοῖς, διορίζεται ὁ κανὼν ἀναθεματίζεσθαι τοὺς χωρὶς ἐπισκοπικῆς εἰδήσεως τοιοῦτόν τι ποιοῦντας.

ΖΩΝΑΡ. Μετὰ τῶν ἄλλων, ὧν ἐτόλμων οἱ περὶ τὸν Εὐστάθιον, καὶ καρποφορίας τὰς συνήθως ταῖς ἐκκλησίαις προσαγομένας λαμβάνοντες διένεμον ἀλλήλοις. τοῦτο οὖν ὁ κανὼν
C κωλύων, χωρὶς τοῦ Ἐπισκόπου ἢ τοῦ ἐμπεπιστευμένου τὴν τῆς ἐκκλησίας οἰκονομίαν ὁρίζει μὴ ἐξεῖναί τινι λαμβάνειν ἢ διδόναι καρποφορίαν. τῶν δὲ τὸν κανόνα παραβαινόντων, ἀνάθεμα κατεψηφίσατο.

ΑΡΙΣΤ. Ὁ παρὰ γνώμην Ἐπισκόπου, ἢ πρεσβυτέρου τὰ τῆς ἐκκλησίας τελῶν, εἴη ἀνάθεμα.

ΚΑΝΩΝ η'.

Εἴ τις διδοίη ἢ λαμβάνοι καρποφορίαν παρεκτὸς τοῦ Ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν εὐποιΐας, καὶ ὁ διδοὺς, καὶ ὁ λαμβάνων, ἀνάθεμα ἔστω.

D **ΒΑΛΣ.** καὶ **ΖΩΝΑΡ.** Ἰσοδυναμεῖ καὶ οὗτος ὁ κανὼν τῷ πρὸ αὐτοῦ.

ΑΡΙΣΤ. Διδοὺς τις, ἢ λαμβάνων καρποφορίαν, ἐκτὸς τοῦ Ἐπισκόπου, καὶ τοῦ οἰκονόμου ταχθέντος εἰς εὐποιΐαν καὶ ὁ διδοὺς, καὶ ὁ λαμβάνων ἔστω ἀνάθεμα.

ΚΑΝΩΝ θ'.

Εἴ τις παρθενεύοι ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρῶν, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω.

E **ΒΑΛΣ.** Περὶ τῶν ἀποστρεφομένων τὸν νόμιμον γάμον, μὴ διὰ ἀρετὴν καὶ εὐλάβειαν, ἐγράψαμεν ἐν τῷ πρώτῳ κανόνι· καὶ ἀνάγνωθι ταῦτα.

ΖΩΝΑΡ. Κάλλιστον μὲν ἡ παρθενία, καλὸν δὲ καὶ ἡ σωφροσύνη· ἀλλ' εἰ δι' αὐτὸ τὸ καλὸν γίνοιντο, καὶ διὰ τὸν ἐξ αὐτῶν ἁγιασμόν. εἰ δέ τις παρθενεύει, τὸν γάμον ὡς ἀκάθαρτον βδελυττόμενος, καὶ σωφρονεῖ καὶ ἐγκρατεύεται μίξεως ἀπεχόμενος τοῦ γάμου, ὡς τινος τάχα μιάσματος, οὗτος ἀναθέματος τῷ κανόνι κέκριται ἄξιος.

F **ΑΡΙΣΤ.** Καὶ ὁ μὴ διὰ τὸ καλὸν παρθενεύων, ἀλλὰ διὰ τὸ τὸν γάμον βδελύττεσθαι, εἴη ἀνάθεμα.

ΚΑΝΩΝ ι'.

Εἴ τις τῶν παρθενευόντων διὰ τὸν κύριον κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Καὶ ὁ ἔννατος κανὼν καὶ ὁ παρὼν τὴν δι' ἀρετὴν σωφροσύνην καὶ τὴν παρθενίαν ἀποδέχονται· πλὴν οὐδὲ τὸν νόμιμον γάμον μυσάττονται. ὅθεν καὶ τοὺς κατεπαιρομένους κατὰ τῶν ἐχόντων ὁμοζύγους διὰ ὑπερηφανίαν, ἀναθέματι καθυποβάλλουσιν.

ΖΩΝΑΡ.

ΑΡΙΣΤ. Ὁ καταπαιζόμενος τῶν γαμούντων, εἴη ἀνάθεμα.

ΚΑΝΩΝ ια.

Εἴ τις καταφρονοίη τῶν ἐκ πίστεως ἀγάπας ποιούντων, καὶ διὰ τιμὴν τοῦ κυρίου συγκαλούντων τοὺς ἀδελφοὺς, καὶ μὴ ἐθέλοι κοινωνεῖν ταῖς κλήσεσι, διὰ τὸ ἐξευτελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὑπὸ ἑτέρων κανόνων κεκώλυται γίνεσθαι ἀγάπας, τουτέστιν ἀδελφοσύνας καὶ συμπόσια. ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἐμέμφοντο καὶ τοὺς μετ' ἀγαθῆς προαιρέσεως καὶ διὰ τιμὴν τοῦ θεοῦ ποιοῦντας ἀγάπας, καὶ ἐλεοῦντας πενομένους ἀδελφοὺς, καὶ οὐκ ἤθελον συγκοινωνεῖν τοῖς οὕτως ἀγαθοεργοῦσιν, ἐξευτελίζοντες τὸ γινόμενον εἰς τιμὴν τοῦ θεοῦ, ὥρισαν οἱ πατέρες τούτους ἀναθεματίζεσθαι. ὥστε ἀπὸ τῆς διαθέσεως καταδικάζεταί τις τὰς ἀγάπας ποιῶν, εἴτε καὶ μή. κἀντεῦθεν καὶ οἱ τὰς ἀδελφοσύνας ἐν ταῖς ἐκκλησίαις ποιοῦντες, καὶ ἄρτου μετρίου καὶ ὀπωρῶν διὰ ψυχαγωγίαν ἀπογευόμενοι, οὐκ ἐπιτιμηθήσονται.

ΖΩΝΑΡ. Εἴθιστο ἐξ ἔθους ἀρχαίου τοῖς πιστοῖς, μετὰ τὴν τῶν ἁγιασμάτων μετάληψιν συνέρχεσθαι καὶ συνεσθίειν, τῶν πλουσίων χορηγούντων τὰ βρώματα, συγκαλούντων δὲ καὶ τοὺς πένητας, οὗ καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κορινθίους μέμνηται, αἰτιώμενος ἐκείνους, ὡς τὸ ἔθος παραχαράσσοντας, καὶ οὐχὶ κοινῶς δειπνοῦντας, ἀλλ' ἑκάστου τὸ ἴδιον δεῖπνον ἐσθίοντος, λέγων, καὶ ὃς μὲν, πεινᾷ, ὃς δὲ, μεθύει. κατὰ τοῦτο τὸ ἔθος ἐποίουν οἱ πιστοὶ καὶ τότε συσσίτια καὶ συμπόσια, ἃ καὶ ἀγάπας ἐκάλουν, ὡς δι' ἀγάπην ἐκ πίστεως γινόμενα. ὅτι δὲ τὰ συμπόσια καλεῖ ὁ κανὼν ἀγάπας, δηλοῖ ὁ μβ'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν περιέχων οὕτως, περὶ τοῦ μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι, καὶ ὥστε τοὺς Ἐπισκόπους καὶ κληρικοὺς ἐν τῇ ἐκκλησίᾳ μὴ συμποσιάζεσθαι. συμποσίων οὖν ἐκ πίστεως καὶ διὰ τιμὴν τοῦ κυρίου γινομένων, καὶ ἐν αὐτοῖς συγκαλουμένων τῶν ἀδελφῶν, εἰ μὴ βούλοιντό τινες μετέχειν αὐτῶν καλούμενοι, ὡς ὑπερηφανευόμενοι, καὶ ἐξευτελίζοντες τὸ γινόμενον, ἀναθεματίζει αὐτοὺς ὁ κανών.

ΑΡΙΣΤ. Ὁ τοὺς καλοῦντας εἰς ἀγάπην ἀθετῶν, καὶ τούτοις οὐ κοινωνῶν κεκλημένος, ἀνάθεμα.

ΚΑΝΩΝ ιβ'.

Εἴ τις ἀνδρῶν διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς ἂν ἐκ τούτου τὴν δικαιοσύνην ἔχων, καταψηφίσοιτο τῶν μετ' εὐλαβείας τοὺς βήρους φορούντων, καὶ τῇ ἄλλῃ κοινῇ καὶ ἐν συνηθείᾳ οὔσῃ ἐσθῆτι κεχρημένων, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Οἱ περὶ τὸν Εὐστάθιον πρὸς τοῖς ἄλλοις καὶ ῥακενδυτεῖν ἐδίδασκον· ὡς ἐκ τούτου ἁγιάζεσθαι μέλλοντας τοὺς μαθητευομένους αὐτοῖς. περιβόλαιον γὰρ τὸ ἐπάνω τῶν ἄλλων ἐπίβλημα ἐκάλουν. τοὺς γοῦν διὰ ὑπερηφανίαν καὶ ὑπόκρισιν ῥακενδυτοῦντας, καὶ κατηγοροῦντας τῶν φορούντων τοὺς βήρους ἤτοι τὰ σηρικὰ ὑφάσματα διὰ τὸ τίμιον τοῦ ἐπαγγέλματος, καὶ μὴ διὰ βλακείαν ἢ δι' ἀλαζονείαν, ἀναθέματι ὁ κανὼν καθυποβάλλει.

ΖΩΝΑΡ. Οἱ περὶ τὸν Εὐστάθιον πρὸς τοῖς ἄλλοις καὶ ῥακοδυτεῖν ἐδίδασκον, ὡς ἐκ τούτου ἁγιάζεσθαι μέλλοντας τοὺς μαθητευομένους αὐτοῖς. περιβόλαιον γὰρ τὸ ἐπάνω τῶν ἄλλων ἐπίβλημα ἐκάλουν, ἵνα φαίνοιτο, καὶ ἐκ τούτου θηρῶνται δόξας ἀσκήσεως, καὶ κατηγοροῖεν τῶν φορούντων τοὺς βήρους τὰ σηρικὰ δηλονότι ὑφάσματα, καὶ τὴν ἄλλην ἐσθῆτα τὴν συνήθη. ὁ βῆρος δὴ εἶδός ἐστιν ἐργασίας ὑφάσματος· ὅθεν καὶ νῦν εἰσι τὰ λεγόμενα ὁλόβηρα. οἱ οὖν μετ' εὐλαβείας ταῦτα φοροῦντες

A **Ariſt.** *Qui in matrimonio junctos inſultat, ſit Anathema.*

Canon XI.

Si quis contemnat eos, qui agapas ex fide faciunt, & propter Dei honorem fratres convocant, & nolit vocationibus communicare, id quod fit vilipendens, ſit anathema.

Bals. Aliis Canonibus vetitum eſt fieri agapas id eſt, fraternitates & convivia. Quia autem nonnulli, ut eſt veriſimile, eos etiam reprehendebant, B qui bono inſtituto, & propter Dei honorem, faciebant agapas, & egentium fratrum miſerebantur; & nolebant eis communicare bona opera agentibus, vilipendentes id quod fit in Dei honorem: ſtatuerunt Patres eos anathematizari. Quare ex hac diſpoſitione condemnatur quiſpiam qui facit agapas, vel non. Et hinc fit, ut qui in Eccleſiis faciunt fraternitates, & modicum panis & fructuum recreandi animi gratia guſtant, non ſint puniendi.

Zonar. Antiqui moris olim fuit apud fideles, ut ſacrorum myſteriorum participatione refecti, ſimul ad epulandum poſtea convenirent; ita ſcilicet, ut cibis è ditiorum C penu miniſtratis, ad convivium ipſi quoque pauperes ab iiſdem advocarentur. Cujus quidem rei magnus etiam Paulus epiſtola ad Corinthios meminit; eoſque, quod abolita priſtina conſuetudine, jam non una omnes epularentur, ſed unuſquiſque ſuam cœnam privatim abſumeret, objurgans, alium quidem eſurire, alium ebrium eſſe, conqueritur. Hanc conſuetudinem tunc quoque retinentes, mutua inter ſe convivia fideles curabant, quas quidem, eo quod ob charitatem ex fide celebrarent, agapas vocitabant. Porro convivia, agapes nomine, hunc Can. ſignificare voluiſſe, xlii. Syn. Carthaginenſis Can. indicat; quo in Eccleſiis convivia quomodocunq; celebrari D vetantur, neve Epiſcopis aut Clericis convivia in Eccleſiâ inſtituere liceat interdicitur. Ad hæc ergo convivia, ſi quando ex fide atq; in Domini honorem inſtituantur fratreſq; advocentur, quicunq; ab elatione animi rem ipſam contemnentes, vocati accedere recuſarint, anathematis pœna in eos Canon animadvertit.

Ariſt. *Qui ſpernit eos qui ad agapas vocant, & vocatus cum iis non communicat, Anathema.*

Canon XII.

Si quis vir, propter eam quæ exiſtimatur pietatis exercitationem, amiculo utatur, & tanquam ex eo juſtitiam habens E *condemnet eos qui cum pietate Beros ferunt, & alia communi & conſueta veſte utuntur; ſit anathema.*

Bals. Euſtathiani præter alia pannos quoque induere docebant: tanquam eorum diſcipuli ſint ex eo ſanctificandi. Pallium enim ſive amiculum quæ aliis ſuperponitur, veſtem vocabant. Eos ergo, qui propter arrogantiam & hypocriſin pannos induunt, & illos contemnunt, qui Beros, ſeu ex ſerico contextas veſtes, ob profeſſionis honorem, non propter mollitiem vel arrogantiam, ferunt, Canon anathemati ſubjicit. F

Zonar. Euſtathiani, præter cætera pannoſâ quoque ac lacerâ veſte ſectatores ſuos uti volebant; quaſi ex eo videlicet ſanctitate ornandi forent: (Pallium enim ſive amiculum, quæ aliis ſuperinduitur, veſtem vocabant) ut appareret, ac ex eo gloriam exercitationis pietatis aucuparentur, ac eos, qui Beris, ſericis nimirum indumentis, aliave uſitatiore veſte uterentur, contemnerent. Eſt vero Berus textile quoddam indumentum, unde & nunc quoque in uſu ſunt veſtimenta, quæ Holobera appellantur.

Ejuſmodi veſtes igitur, ſi qui ita geſtant, ut interea modeſtiæ non obliviſcantur, neq; vel tenuioribus inſultent, vel ſplendido veſtium ornatu ad laſciviam molliorem laſcivoſque amores abutantur, à culpa immunes ſunt. Proinde qui eos ut culpæ obnoxios damnant, qui ſericis veſtibus, modeſtiæ ratione ſervata, utuntur, anathematis pœna Canon teneri jubet.

Ar i s t. *Qui contemptui habet eos qui beros geſtant, ſit Anathema.*

Canon XIII.

Si qua mulier, propter eam quæ exiſtimatur pietatis exercitationem, veſtem mutet, & pro conſueto muliebri indumento virile accipiat, ſit anathema.

Bals. Mulieres, quæ viriles veſtes fortè propter exercitationem pietatis induunt, & muliebri ſexui veſtem convenientem abjiciunt, Canon anathematizat. Pulchrè autem ſubjunxerunt Patres illud, propter eam quæ exiſtimatur pietatis exercitationem. Ea enim, quæ non propter hypocriſin & fraudem, ſed verè, & propter puræ ac ſyncerae exercitationis modum tale quid fecerit, non ſolùm non anathematizabitur; ſed etiam laude digna cenſebitur. Multæ enim mulieres per virilem habitum exercitatorium curriculum peregerunt, & ad ſalutis faſtigium pervenerunt; ut ſancta Melane, ſancta Eugenia, & aliæ.

Zonar. Unuſquiſque in quo vocatus eſt ordine permaneat, ait Apoſtolus. Mulieres igitus mutato habitu incedere, virilemque ornatum, abjecta veſte ſexûs propria atque naturæ ipſarum congruente, ſtudio forte exercendæ virtutis aſſumere hic Canon vetat. Quæ vero id fecerunt, anathematis pœna teneri conſtituit.

Ar i s t. *Quæcunque mulieres virorum abutuntur veſtimentis, Anathema.*

Canon XIV.

Si qua mulier relinquat maritum, & recedere velit, matrimonium abhorrens, ſit anathema.

Bals. Magnus Paulus dicit conjugibus; Ne privetis vos invicem, niſi utique ex conſenſu. Et rurſus; Mulier non habet poteſtatem proprii corporis, ſed vir; & vir non habet poteſtatem proprii corporis, ſed mulier. Quamobrem, quæ virum reliquit, ut legitimum matrimonium abhorrens, anathematizatur; ut quæ Dei præcepto adverſatur, quod tori conſortes in carnem unam uniit; & cæteris divinis ſcripturis. Idem etiam de viris. Et hæc quidem, quando quis à ſua conjuge defecerit, propter ejuſmodi cauſam: Si enim propter monaſticæ vitæ deſiderium hoc fecerit, ei vitio non dabitur.

Zonar. Bonum non eſt bonum, ſi non bene fiat. Proculdubio enim temperantiam ſectari, ſeque à nuptiali congreſſu caſtum ſervare, laudabile eſt; ſed ita tamen, ut ne quid contra illud magni Pauli admittatur; Nolite, inquit fraudare invicem, niſi forte ex conſenſu; & rurſum; Mulier non habet poteſtatem ſui corporis, ſed vir; & vir poteſtatem non habet ſui corporis, ſed mulier. Quod ſi mulier virum ſuum abjungi nolentem dimittit, aut vir mulierem à divortio abhorrentem, atq; alter conjugum nuptias diſſolvi velit quippe legitimam conjunctionem, ut deteſtabilem, fugiens; anathemati obnoxium eſſe decernunt.

Ar i s t. *Item quæ à viris recedunt matrimonium abominantes, Anathema.*

A καὶ οὐχ ὥστε ἢ τῶν πενεστέρων κατεπαίρεσθαι, ἢ κεχρῆσθαι τῇ λαμπρότητι τῶν περιβλημάτων εἰς βλακείαν, καὶ ἐρωτικῶν ἔχειν ταῦτα ὑποθέσεων ἀφορμὰς ἀναίτιοι. τοὺς γοῦν καταψηφιζομένους ἤτοι καταδικάζοντας, ὡς ἁμαρτάνοντας, τοὺς σηρικαῖς ἐσθῆσι χρωμένους εὐλαβῶς, ἀναθέματι καταδικάζει ὁ κανών.

ΑΡΙΣΤ. Ὁ φαυλίζων τοὺς φοροῦντας βήρους, ἀνάθεμα.

ΚΑΝΩΝ ιγʹ.

B Εἴ τις γυνὴ διὰ νομιζομένην ἄσκησιν μεταβάλλοιτο ἀμφίεσμα, καὶ ἀντὶ τοῦ εἰωθότος γυναικείου ἀμφιάσματος ἀνδρῷον ἀναλάβοι, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Τὰς στολὰς ἀνδρῴας ἀμφιεννυμένας γυναῖκας διὰ ἄσκησιν τάχα, καὶ ἀπορριπτούσας τὴν κατάλληλον τῇ γυναικείᾳ φύσει στολὴν, ἀναθεματίζει ὁ κανών. καλῶς δὲ ἐπήγαγον οἱ πατέρες τὸ, διὰ νομιζομένην ἄσκησιν· ἡ γὰρ μὴ διὰ ὑπόκρισιν καὶ ἀπάτην, ἀλλ' ἐν ἀληθείᾳ καὶ διὰ τρόπον ἀληθοῦς ἀσκήσεως καὶ καθαρᾶς τοιοῦτόν τι ποιήσασα, C οὐ μόνον οὐκ ἀναθεματισθήσεται, ἀλλὰ καὶ συγκροτηθήσεται· πολλαὶ γὰρ γυναῖκες διὰ ἀνδρῴου σχήματος τὸν ἀσκητικὸν ἤνυσαν δρόμον, καὶ εἰς τὸ τῆς σωτηρίας ὑπέρτατον ἔφθασαν, ὡς ἡ ἁγία Μελάνη, ἡ ἁγία Εὐγενία, καὶ ἕτεραι.

ΖΩΝΑΡ. Ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει μενέτω, φησὶν ὁ ἀπόστολος. τὰς οὖν γυναῖκας οὐ βούλεται ὁ κανὼν μεταλλάττειν τὸ σχῆμα, καὶ ἀνδρῴαν στολὴν ἀμφιέννυσθαι δι' ἄσκησιν τάχα, τὴν οἰκείαν καὶ κατάλληλον τῇ φύσει αὐτῶν ἐπιρρίψασας. ταῖς δὲ τοῦτο ποιούσαις ἐπιφέρει τὸ ἀνάθεμα.

D **ΑΡΙΣΤ.** Ὅσαι γυναῖκες ἀνδρῶν ὑποκρίνονται ἱμάτια, ἀνάθεμα.

ΚΑΝΩΝ ιδʹ.

Εἴ τις γυνὴ καταλιμπάνοι τὸν ἄνδρα, καὶ ἀναχωρεῖν ἐθέλοι, βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος φησὶ πρὸς τοὺς ὁμοζύγους· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τοι ἐκ συμφώνου. καὶ πάλιν· γυνὴ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνήρ, καὶ ὁ ἀνὴρ E οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή. ὥστε ἡ καταλιποῦσα τὸν ἄνδρα, ὡς βδελυττομένη τὸν ἔννομον γάμον, ἀναθεματίζεται· ὡς ἐναντιουμένη τῷ τοῦ θεοῦ παραγγέλματι τῷ ἑνώσαντι τοὺς συνεύνους εἰς σάρκα μίαν, καὶ ταῖς λοιπαῖς θείαις γραφαῖς, τὸ αὐτὸ καὶ ἐπὶ ἀνδρῶν. καὶ ταῦτα μὲν, ὅταν τις ἀποστῇ τοῦ συζύγου αὐτοῦ διὰ τὴν τοιαύτην αἰτίαν· εἰ γὰρ δι' ἔφεσιν τοῦ μονήρους βίου τοῦτο ποιήσῃ, οὐκ αἰτιαθήσεται.

ΖΩΝΑΡ. Οὐ καλὸν τὸ καλὸν, ὅταν μὴ καλῶς γίνοιτο. καλὸν μὲν γὰρ ἡ σωφροσύνη, καὶ τὸ ἐγκρατεύεσθαι τῆς ἐν F γάμῳ μίξεως· ἀλλ' ὅταν κατὰ τὸν μέγαν Παῦλον γίνοιτο, λέγοντα· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἐκ συμφώνου. καὶ πάλιν, ἡ γυνὴ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνήρ, καὶ ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή. εἰ δὲ ἀφίησιν ἡ γυνὴ τὸν ἄνδρα μὴ βουλόμενον τὸν ἐξ αὐτῆς χωρισμὸν, ἢ ὁ ἀνὴρ τὴν γυναῖκα, μὴ βουλομένην τὸ διαζύγιον, καὶ λύειν τὸν γάμον ἐθέλει ἓν τῶν συνοικούντων προσώπων, φεῦγον τὴν ἔννομον συνουσίαν ὡς βδελυκτὴν, ἀνάθεμα γίνεται.

ΑΡΙΣΤ. Καὶ ὅσαι τῶν ἀνδρῶν διαζεύγνυνται, βδελυσσόμεναι τὸν γάμον, ἀνάθεμα.

ΚΑΝΩΝ

ΚΑΝΩΝ ιε΄.

Εἴ τις καταλιμπάνει τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοτροφεῖ, καὶ τὸ ὅσον ἐπ' αὐτῷ πρὸς θεοσέβειαν τὴν προσήκουσαν ἀνάγῃ, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελοίη, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ τῆς ἐκκλησίας διδάσκαλος ὁ μέγας Παῦλος περὶ χηρῶν διαταττόμενος φησίν, εἰ δέ τις χήρα τέκνα ἢ ἔγγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν. τοῦτο γάρ ἐστιν ἀποδεκτὸν τῷ θεῷ. καὶ μετ' ὀλίγα· εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖται, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. εἶτα, οἵας χρὴ τὰς χήρας τῇ ἐκκλησίᾳ καταλέγεσθαι διδάσκων, πρὸς τοῖς ἄλλοις εἰ ἐτεκνοτρόφησε φησί. καὶ ἀλλαχοῦ πάλιν περὶ πρεσβυτίδων διαταττόμενος, καλοδιδασκάλους αὐτὰς εἶναι θέλει, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι καὶ φιλοτέκνους. καὶ ἐν ἄλλῳ, οἱ πατέρες ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ ἐν νουθεσίᾳ Κυρίου. ἐπεὶ δὲ οἱ περὶ τὸν Εὐστάθιον ἐνομοθέτουν τοὺς ἔχοντας παῖδας καταλιμπάνειν αὐτοὺς, καὶ ἀπιέναι πρὸς ἄσκησιν, ἀνεθεμάτισεν ὁ κανὼν τοὺς τοῦτο ποιοῦντας. καὶ τοῦτο μὲν ὡρίσθη διὰ τὸν τρόπον θεοσεβῆ, καὶ διὰ τοὺς διδάσκοντας, ὡς εἴρηται, τὴν κατ' ὑπόκρισιν εὐλάβειαν, καὶ τοὺς ἐν τῷ κόσμῳ ἀναστρεφομένους. εἰ δέ τις ἀποκαρεὶς καὶ ἀναγκαζόμενος ἐν μονῇ διάγειν, λέγει τέκνα ἔχειν, καὶ μὴ δύνασθαι ἀποστῆναι τοῦ διάγειν ἐν τῷ κόσμῳ καὶ τεκνοτροφεῖν αὐτὰ, καὶ τὸν παρόντα κανόνα προΐστησιν εἰς βοήθειαν, οὐκ εἰσακουσθήσεται, ἀλλ' ἀκούσει μὴ καλῶς ταῦτα λέγειν. μελήσει γὰρ τῷ θεῷ τῷ πατρὶ τῶν ὀρφάνων καὶ τῆς τῶν τέκνων τούτου ἀναγωγῆς.

ΖΩΝΑΡ. Καὶ οἱ θῆρες τοὺς σκύμνους τοὺς ἑαυτῶν τρέφουσί τε καὶ περιέπουσι, καὶ προκινδυνεύουσιν αὐτῶν. εἰ δ' οὕτως διάκεινται τὰ θηρία περὶ τὰ ἔκγονα, πόσῳ μᾶλλον χρὴ τοὺς λόγῳ τιμηθέντας τῶν τέκνων ἐπιμελεῖσθαι καὶ φροντίζειν αὐτῶν; διὸ καὶ ὁ μέγας Παῦλος περὶ χηρῶν διαταττόμενος φησίν. εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν. τοῦτο γάρ ἐστιν ἀποδεκτὸν θεῷ. καὶ μετ' ὀλίγα· εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖται, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. εἶτα οἵας χρὴ τὰς χήρας τῇ ἐκκλησίᾳ καταλέγεσθαι διδάσκων, πρὸς τοῖς ἄλλοις καὶ εἰ ἐτεκνοτρόφησαν φησι. καὶ ἀλλαχοῦ πάλιν περὶ πρεσβυτίδων διαταττόμενος, καλοδιδασκάλους αὐτὰς εἶναι θέλει, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους. καὶ ἐν ἄλλῳ· οἱ πατέρες ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. ἀλλὰ τούτων οὐδενὸς οἱ περὶ Εὐστάθιον ἐπιστρεφόμενοι, ἐνομοθέτουν τοὺς ἔχοντας παῖδας, καταλιμπάνειν αὐτοὺς, καὶ ἀπιέναι πρὸς ἄσκησιν. διὸ καὶ ἡ σύνοδος τὸν κανόνα τοῦτον ἐξεφώνησεν, ἀναθέματι καταδικάσασα τοὺς καταλιμπάνοντας τὰ οἰκεῖα τέκνα, καὶ μὴ τεκνοτροφοῦντας, καὶ διδάσκοντας αὐτὰ θεοσέβειαν.

ΑΡΙΣΤ. Καὶ οἱ τὰ τέκνα καταλιμπάνοντες, καὶ οὐχὶ πρὸς θεοσέβειαν ὑπαλείφοντες, ἀνάθεμα.

ΚΑΝΩΝ ιϛ΄.

Εἴ τινα τέκνα γονέων, μάλιστα πιστῶν, ἀναχωροίη, προφάσει θεοσεβείας, καὶ μὴ τὴν καθήκουσαν τιμὴν τοῖς γονεῦσιν ἀπονέμοι, προτιμωμένης δηλονότι παρ' αὐτοῖς τῆς θεοσεβείας, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὥσπερ τοὺς γονεῖς ἀναγκάζει ὁ κανὼν ἀνάγειν καὶ τρέφειν τοὺς παῖδας, οὕτω καὶ τοὺς παῖδας θέλει γηροβοσκεῖν καὶ τιμᾶν τοὺς γονεῖς. διὸ καὶ τοὺς παῖδας, τοὺς μὴ τοῦτο ποιοῦντας, ἀλλὰ προφάσει θεοσεβείας ἀναχωροῦντας ἐκ τοῦ κόσμου, καὶ καταλιμπάνοντας ἀπρονοήτους τοὺς πενομένους γονεῖς αὐτῶν, ἀναθέματι καθυποβάλλει. προστίθησι δὲ προτιμᾶσθαι τὴν θεοσέβειαν, ἤγουν τὴν ὀρθοδοξίαν.

A

CANON XV.

Si quis ſuos liberos relinquit, nec eos alit, & quantum in ſe eſt ad convenientem pietatem religionemque adducit; ſed exercitationis prætextu negligit, ſit anathema.

Bals. Eccleſiæ doctor magnus Paulus, de viduis præcipiens, hæc dicit; Si qua autem vidua habet filios, diſcant primùm in domum ſuam eſſe pii. Hoc eſt enim Deo acceptum. Et paulo poſt; Si quis autem ſuorum, & maximè domeſticorum curam non gerit, fidem negavit, & eſt infideli deterior. Deinde quaſnam oportet viduas B in Eccleſiæ catalogum referri docens, præter alia dicit; Si liberos nutrierint. Et rurſus alibi de vetulis loquens, vult eas recta docere, ut juvenes inſtituant ad diligendos maritos & liberos. Et alibi, patres nutrite filios in diſciplina & admonitione Domini. Quia autem Euſtathiani legem ferebant, ut qui liberos habebant, eos relinquerent, & ad exercitationem abirent; eos, qui hoc agunt, Canon anathemate percuſſit. Et hoc quidem definitum eſt propter pios mores, & propter eos, qui fictè ac per hypocriſin, ut dictum eſt, pietatem docent, & qui in mundo utique verſantur. ſi quis autem tonſus, C & in Monaſterio habitare coactus, dicit ſe habere liberos, & non poſſe abſtinere quominus in mundo verſetur, & ipſos nutriat, & præſentem Canonem in auxilium producit, non exaudietur; ſed audiet ſe hæc non rectè dicere: Deo enim curæ erit, qui eſt pater orphanorum, filiorum ejus educatio.

Zonar. Feræ quoq; partus ſuos nutriunt curantq; proq; iis tuendis pericula ſuſcipiunt. Ergo ſi hoc pacto feræ erga fœtus ſuos ſunt affectæ; quanto magis qui rationis munere ornati ſunt, filiis educandis curam ac ſtudium præſtare debent? Quamobrem magnus quoq; Paulus, D dum præcepta vivendi viduis præſcribit, Si quæ vero, inquit vidua filios aut nepotes habet, diſcant primum in domum ſuam eſſe pii. Hoc enim Deo eſt acceptum. Et paulo poſt; Si quis autem ſuorum, & maxime domeſticorum, curam non habet, fidem negavit, & eſt infideli deterior. Deinde quales viduas ab Eccleſia eligi oporteat docens, præter alia etiam, ſi liberos enutriverint, inquiri jubet. Et alibi rurſus, de ſenioribus præcipiens, eas recta docere jubet, ut prudentiam doceant adoleſcentulas, ut viros ſuos ament, ac filios deligant. Et alibi; Patres enutrite filios in diſciplina ac eruditione Domini. Verum Euſtathiani nihil horum audientes, quibus liberi eſſent, ab iis, ut E ſe ad ſtudium exercendæ virtutis conferrent, deſeri volebant. Quapropter Synodus Canonem hunc edidit, eumque qui filios deſeruerit, nec eis educandis atque in pietate erudiendis operam impenderit, anathematis pœna teneri decernit.

Arist. *Item qui liberos relinquunt, eoſque ad pietatem non inſtruunt, Anathema.*

CANON XVI.

Si qui filii à parentibus, maxime fidelibus, prætextu pietatis G receſſerint, & parentibus quem par eſt honorem non tribuerint, apud eos ſcilicet præpoſita in Deum pietate, ſint anathema.

Bals. Quemadmodnm parentes cogit Canon liberos educare & nutrire: ſic etiam vult filios parentes in ſenectute alere & honorare. Et ideo filios, qui hoc non faciunt, ſed prætextu religionis è ſeculo recedunt, & egentes ſuos parentes nulla de eis cura habita relinquunt, anathemati ſubjicit. Adjicit autem præferri pietatem, ſeu orthodoxam ſententiam. Si enim parentes

tes malè ſentiant, eos fugere oportet, & illorum honori divinum cultum præferre.

Zonar. Non ſolum à parentibus, ut in educandis liberis ſedulò elaborent; ſed à filiis quoq; viciſſim, ut parentibus honorem exhibeant, poſtulatur. Honoris autem genus eſt ipſos in ſenectute alere, ſi egeant, vel ſi ob affectam ætatem inopia premantur. Neq; ſolum hæc officia parentibus, ſi fideles ſint, ſed etiam à fide alienis præſtari debent. Ex illis enim verbis, [maxime ſi fideles ſint,] de infidelibus quoq; Can. loqui facile apparet. Qui ergo pietatis ſimulatione parentes deſerunt, nec debitum honorem, ad quem ſpectat egentes alere, illis impertiunt; pœnam anathematis ejuſmodi hominibus Can. infligit: addit tamen ut præcipua religionis ratio ſit habenda. Si namq; infideles aut hæretici parentes ad infidelitatem aut hæreſim liberos impellant, tum vero fugiendos, eorúmq; honori religionem præferri oportere decernit.

Arist. *Item liberi, quicunque à fidelibus recedunt parentibus, Anathema.*

Canon XVII.

Si qua mulier, propter eam quæ exiſtimatur pietatem, tondeat comam, quam Deus ei dedit ad recordationem ſubjectionis, ut quæ ſubjectionis præceptum diſſolvat, ſit anathema.

Bals. Magnus Paulus ad Corinthios ſcribens dicit, Maritus eſt mulieris caput. Hoc autem dixit, quoniam is ipſius auctor & cauſa eſt, ut quæ ex eo facta ſit. Ex Adam enim Eva. Et poſt nonnulla, Si enim non veletur mulier, tondeatur. Si autem turpe eſt mulieri tonderi vel radi, veletur. Et paulo poſt: Mulier ſi comam nutriat, gloria eſt ipſi, quia coma pro amiculo illi data eſt. Et hæc quidem magnus Paulus. Euſtathius autem mulieres tonderi docuit, perinde ac ſi ipſa tonſura ad pietatem conferat; & ne adverſus quidem naturam legem ferre eum puduit. Natura enim comam mulieribus adeò eſſe convenientem novit, ut nec eis unquam calvitium naturaliter inſit. Si ergo tondeatur mulier, ut quæ ſe aliquid facere exiſtimet, quod Deo acceptum ſit, & ſubjectionis recordationem tollat: (Et hoc etiam ex epiſtola ad Corinthios ſumptum eſt à Synodi patribus. Dicit enim illic Apoſtolus; Debet mulier habere poteſtatem in capite, ſcilicet ſymbolum ſubjectionis, id eſt tectum habere caput) Anathema ſit illi, ut quæ ſolvat & tranſgrediatur ſubjectionis præceptum. His ita ſe habentibus, ne dixeris ex præſenti Canone prohiberi mulierem, ſi tonſuram monaſticam elegerit. Ea enim, vel invito marito, ſi vitam tori expertem elegerit, exaudietur, & tondebitur.

Zonar. Magnus Paulus ad Corinthios ſcribens dicit; Maritus eſt mulieris caput. Hoc autem dixit, quoniam is ipſius auctor & cauſa eſt, ut quæ ex eo facta ſit. Ex Adam enim Eva. Et poſt nonnulla; Si enim non veletur mulier tondeatur. Si autem turpe eſt mulieri tonderi vel radi, veletur. Et Paulo poſt; Mulier ſi comam nutriat, gloria eſt ipſi. Et hæc quidem magnus Paulus. Euſtathius autem mulieres tonderi docuit, perinde ac ſi ipſa tonſura ad pietatem conferat; & ne adverſus quidem naturam legem ferre eum puduit. Natura enim comam mulieribus adeò eſſe convenientem novit, ut nec eis unquam calvitium naturaliter inſit. Si ergo tondeatur mulier, ut quæ ſe aliquid facere exiſtimet, quod Deo acceptum ſit, & ſubjectionis recordationem tollat (& hoc etiam ex epiſtola ad Corinthios ſumptum eſt à Synodi patribus. Dicit enim illic Apoſtolus; Debet mulier habere poteſtatem in capite, ſcilicet ſymbolum ſubjectionis, id eſt, tectum habere caput, mariti poteſta-

A ἐὰν γὰρ κακόδοξοι ὦσιν οἱ γονεῖς, φεύγειν δεῖ τούτους καὶ προτιμᾷν τῆς τιμῆς ἐκείνων τὴν θεοσέβειαν.

ΖΩΝΑΡ. Οὐ μόνον οἱ γονεῖς ἀπαιτοῦνται φροντίζειν τῶν τέκνων καὶ ἐπιμελεῖσθαι αὐτῶν, ἀλλὰ καὶ οἱ παῖδες αὖθις χρεωστοῦσι τιμᾷν τοὺς γονεῖς, τιμῆς δὲ εἶδός ἐστι, καὶ τὸ γηροβοσκεῖν αὐτοὺς ἀπορῶντας ἢ διὰ γῆρας ἐνδεεῖς ὄντας, καὶ οὐ μόνον πιστοῖς τοῦτο χρεωστοῦσι γονεῦσιν, ἀλλὰ καὶ τοῖς ἀπίστοις. ἐκ γὰρ τοῦ εἰπεῖν, μάλιστα πιστῶν, δείκνυται, ὅτι καὶ περὶ ἀπίστων ὁ κανὼν λέγει. τοὺς γοῦν προφάσει θεοσεβείας τοὺς οἰκείους γονεῖς ἀπρονοήτους ἐῶντας, καὶ μὴ B τὴν ἐνδεχομένην τιμὴν αὐτοῖς ἀπονέμοντας, ἧς μέρος καὶ τὸ τρέφειν αὐτοὺς ἀπορῶντας, ἀναθεματίζει τούτους ὁ κανών. ἐπάγει δὲ, προτιμωμένης τῆς θεοσεβείας. εἰ γὰρ οἱ γονεῖς ἄπιστοι ὄντες ἢ κακόδοξοι τοὺς παῖδας εἰς ἀπιστίαν ἢ εἰς αἱρέσεις συνωθοῦσι, φεύγειν δεῖ αὐτοὺς, καὶ προτιμᾷν τῆς ἐκείνων τιμῆς τὴν θεοσέβειαν.

ΑΡΙΣΤ. Καὶ τέκνα,, ὅσα πιστῶν ἀποσκιρτῶσι γονέων, ἀνάθεμα.

ΚΑΝΩΝ ιζʹ.

C Εἴ τις γυναικῶν διὰ τὴν νομιζομένην θεοσέβειαν ἀποκείροιτο τὰς κόμας, ἃς ἔδωκεν ὁ θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς, ὡς ἂν παραλύουσα τὸ πρόσταγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ὁ μέγας Παῦλος Κορινθίοις ἐπιστέλλων, κεφαλὴ, φησὶ, γυναικὸς ὁ ἀνήρ. τοῦτο δὲ εἶπεν, ὅτι αἴτιος αὐτῆς ἐστὶν, ὡς ἐξ αὐτοῦ γενομένης. ἐκ τοῦ Ἀδὰμ γὰρ ἡ Εὔα. καὶ μετά τινα· εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναιξὶ τὸ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. καὶ μεθ' ἕτερα· γυνὴ, ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστὶν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου D δέδοται αὐτῇ. καὶ ταῦτα μὲν ὁ μέγας Παῦλος. ὁ δὲ Εὐστάθιος κείρεσθαι τὰς γυναῖκας ἐδίδασκεν, ὡς τάχα πρὸς θεοσέβειαν συμβαλλομένου τοῦ κείρεσθαι, καὶ οὐδὲ τῇ φύσει ἀντινομοθετῶν ᾐδεῖτο. τοσοῦτον γὰρ οἰκεῖον οἶδεν ἡ φύσις ταῖς γυναιξὶ τὴν κόμην, ὡς οὐδὲ φαλάκρωμα ταύταις ἐγγίνεται φυσικῶς. εἰ γοῦν κείροιτο γυνὴ, ὡς τάχα τι δοκοῦσα ποιεῖν πρὸς θεοῦ εὐαρέστησιν, καὶ περιαιρεῖ τὴν ὑπόμνησιν τῆς ὑποταγῆς (καὶ τοῦτο δὲ ἐκ τῆς πρὸς Κορινθίους εἴληπται τοῖς τῆς συνόδου πατράσι. λέγει γὰρ ἐκεῖ ὁ ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, ἤτοι τὸ σύμβολον τῆς ὑποταγῆς, τουτέστι τὸ κατακεκαλυμμένην ἔχειν τὴν κεφαλήν.) E ἀνάθεμα ἔστω αὐτῇ, ὡς λυούσῃ καὶ παραβαινούσῃ τὸ πρόσταγμα τῆς ὑποταγῆς. τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἐκ τοῦ παρόντος κανόνος κωλύεσθαι τὴν γυναῖκα, ἐὰν ἐπιλέγηται μοναδικὴν ἀπόκαρσιν. αὕτη γὰρ καὶ ἄκοντος τοῦ ἀνδρὸς τὸν ἄζυγα βίον αἱρετισαμένη, εἰσακουσθήσεται, καὶ ἀποκαρήσεται.

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος Κορινθίοις ἐπιστέλλων, κεφαλή, φησι, γυναικὸς ὁ ἀνήρ. τοῦτο δὲ εἶπεν, ὅτι αἴτιος αὐτῆς ἐστιν, ὡς ἐξ αὐτοῦ γενομένης. καὶ γὰρ ἡ Εὔα ἐκ τοῦ Ἀδάμ. καὶ μετά τινα· εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω καὶ μεθ' ἕτερα· F γυνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ. ταῦτα μὲν ὁ μέγας Παῦλος. ὁ δὲ Εὐστάθιος κείρεσθαι τὰς γυναῖκας ἐδίδασκεν, ὡς δή τι πρὸς θεοσέβειαν συμβαλλομένου τοῦ κείρεσθαι, καὶ οὐδὲ τῇ φύσει ἀντινομοθετῶν ᾐδεῖτο. τοσοῦτον γὰρ οἰκεῖον οἶδεν ἡ φύσις ταῖς γυναιξὶ τὴν κόμην, ὅτι οὐδὲ φαλάκρωμα ταύταις ἐγγίνεται φυσικῶς. εἰ γοῦν κείροιτο γυνὴ, ὡς τάχα τι δοκοῦσα ποιεῖν πρὸς θεοῦ εὐαρέστησιν, καὶ περιαιρεῖ τὴν ὑπόμνησιν τῆς ὑποταγῆς (καὶ τοῦτο ἐκ τῆς πρὸς Κορινθίους εἴληπται τοῖς τῆς συνόδου πατράσι. λέγει γὰρ ὁ ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, ἤτοι τὸ σύμβολον τῆς ὑποταγῆς τὸ κατακεκαλυμμένην ἔχειν τὴν κεφαλὴν ἐξουσίαν τοῦ

ἀνδρὸς καλῶν) ἀνάθεμα ἔστω αὐτῇ, ὡς λυούσῃ καὶ παραβαινούσῃ τὸ πρόσταγμα τῆς ὑποταγῆς.

ΑΡΙΣΤ. Ὅσαι γυναῖκες τὰς κόμας τίλλουσι, θεοσέβειαν ὑποκρινόμεναι, ἀνάθεμα.

ΚΑΝΩΝ ιη'.

Εἴ τις διὰ νομιζομένην ἄσκησιν ἐν τῇ κυριακῇ νηστεύσῃ, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Πολλαχοῦ κεκανόνισται, μὴ νηστεύειν καὶ σκυθρωπάζειν ἡμᾶς κατὰ τὴν χαρμόσυνον ἡμέραν τῆς κυριακῆς διὰ τὴν ἔγερσιν τοῦ κυρίου, ἀλλὰ πανηγυρίζειν καὶ εὐχαριστεῖν τῷ θεῷ, ὡς ἀναστάντας ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας. τοὺς γοῦν περὶ τὸν Εὐστάθιον διδάσκοντας νηστεύειν ἐν ταῖς κυριακαῖς διὰ ἄσκησιν δῆθεν, ἀναθεματίζει ὁ κανών· ὁ δὲ ξδ'. ἀποστολικὸς κανὼν ἀφορίζει τοὺς οὕτω νηστεύοντας λαϊκοὺς, ὥσπερ καὶ τοὺς κληρικοὺς καθαιρεῖ. ζήτει καὶ τὸν νε'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ Συνόδου.

ΖΩΝΑΡ. Καὶ ἐν ταῖς κυριακαῖς νηστείαν ἐκήρυττεν ὁ Εὐστάθιος, ὅτε διὰ τὴν ἔγερσιν τοῦ κυρίου, καὶ τὴν τῆς βροτείας φύσεως ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνάστασιν, εὐχαριστεῖν ἡμᾶς δεῖ τῷ θεῷ καὶ χαίρειν. ἡ δὲ νηστεία συντριβῆς καὶ λύπης ἐστὶ σύμβολον. διὸ καὶ τοῖς νηστεύουσιν ἐν κυριακαῖς ἐπάχθη ἀνάθεμα.

ΑΡΙΣΤ. Ὁ τὴν κυριακὴν, ἢ τὸ σάββατον ἀσιτῶν, ἀνάθεμα.

ΚΑΝΩΝ ιθ'.

Εἴ τις τῶν ἀσκουμένων χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλασσομένας ὑπὸ τῆς ἐκκλησίας, παραλύοι, ἀποκυροῦντος ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Αἵρεσις Βογομιλικὴ ἐστὶν ἐπί τινας χρόνους κατὰ πᾶσαν ἡμέραν νηστεύειν καὶ μηδέποτε καταλύειν, ὡς μετὰ τὸν τοσοῦτον καιρὸν λέγειν ἐν τελειότητι γενέσθαι τοὺς νηστεύοντας, καὶ καταλύειν καὶ ἁμαρτάνειν ἀδιαφόρως, καὶ πᾶσαν κακίαν διὰ τῆς τελειότητος ὡς ὑπὸ πυρὸς κατακαίεσθαι. τοιαῦτα γοῦν ἐδίδασκον, ὡς ἔοικε, καὶ οἱ περὶ τὸν Εὐστάθιον· διὸ καὶ ἀνεθεματίσθησαν. ὀφείλομεν γὰρ οἱ πιστοὶ νηστεύειν κατὰ τὰς παραδεδομένας νηστείας, ἤτοι τετράδα, καὶ τὴν παρασκευὴν, τὴν μεγάλην τεσσαρακοστὴν καὶ τὰς λοιπὰς νηστείας, καὶ αὖθις πανηγυρίζειν κατὰ τὰς ἑορτασίμους ἡμέρας, εἰ μήπω διὰ νόσον καταλῦσαι ἀναγκασθῶμεν. ὅτι φησὶ καὶ ὁ ξθ'. ἀποστολικὸς κανὼν, κατὰ πᾶσαν τετράδα καὶ παρασκευὴν καὶ τὴν τεσσαρακοστὴν τοῦ πάσχα μὴ καταλύειν ἡμᾶς, εἰ μὴ δι' ἀσθένειαν σωματικήν.

ΖΩΝΑΡ. Ὁ ἀποστολικὸς ἑξηκοστὸς τέταρτος κανὼν τοῦτο ῥητῶς φησίν. εἴ τις κληρικὸς εὑρεθείη τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. καὶ ὁ ξθ'. τὴν τεσσαρακοστὴν τοῦ πάσχα νηστεύειν διεγγυᾷ, καὶ τετράδα καὶ παρασκευήν· εἰ μὴ δι' ἀσθένειάν τις ἐμποδίζοιτο. τῶν δὲ περὶ τὸν Εὐστάθιον τὰς παραδεδομένας νηστείας λυόντων, ὡς τάχα φθασάντων πρὸς τελειότητα, καὶ οὐκέτι δεομένων νηστείας, τὸν κανόνα τοῦτον ἡ σύνοδος ἐξεφώνησεν, ἀνάθεμα καταψηφιζόμενον τῶν λυόντων τὰς παραδεδομένας νηστείας, καὶ ὑπὸ τῆς ἐκκλησίας φυλαττομένας, ἤγουν τοῦ ἀθροίσματος τῶν πιστῶν, εἰ μὴ δι' ἀσθένειάν τις σωματικὴν νηστεύειν οὐ δύναται κατὰ τὸν ἀποστολικὸν κανόνα.

ΑΡΙΣΤ. Καὶ τὰς ἐκκλησιαστικὰς νηστείας ἐκτρέπων, ἀνάθεμα.

A tem appellans) anathema ſit illi, ut quæ ſolvat & tranſgrediatur ſubjectionis præceptum.

ARIST. *Quæcunque mulieres, pietatem ſimulantes, comas tondent, Anathema.*

CANON XVIII.

Si quis propter eam, quæ exiſtimatur, exercitationem in dominico jejunet, ſit anathema.

BALS. Multis Canonibus cautum eſt, ne jejunemus, & triſtitiam præ nobis feramus, in feſto ac læto die B dominico, propter Domini reſurrectionem; ſed celebremus, & Deo gratias agamus, ut qui ex peccati lapſu ſurrexerimus. Euſtathianos ergo, docentes eſſe in diebus dominicis jejunandum, propter exercitationem ſcilicet, Canon anathemate percutit. Lxiv. autem Canon Apoſtolicus ſegregat Laicos, qui ſic jejunant, quemadmodum & Clericos deponit. Quære & lv. Can. Syn. in Trullo.

ZONAR. Jejunium Dominica quoque die Euſtathius indixit; quam tamen, quòd per eam Chriſtus ab inferis redivivus extiterit, naturámq; humanam à peccati lapſu excitarit, exultabundi Deo gratias agentes tranſigere de- C bemus. At jejunium doloris triſtitiæque habet argumentum. Quamobrem & in eos, qui dominica die jejunarent, pœna anathematis conſtituta fuit.

ARIST. *Qui diem Dominicam, vel ſabbatum jejunii peragit, Anathema.*

CANON XIX.

Si quis eorum, qui exercentur, abſque corporali neceſſitate ſe inſolenter gerat, & tradita jejunia, quæ communiter ſervantur ab Eccleſia, diſſolvat, perfecta in eo reſidente ratione, ſit anathema.

D

BALS. Bogomelica eſt hæreſis, ad aliquod tempus omni die jejunare, nec unquam jejunium ſolvere, ut eos, qui poſt tantum tempus jejunant, dicant eſſe in perfectione, & jejunium ſolvere & peccare indiſcriminatim poſſe, & omne vitium tanquam à perfectione ab igne exuri. Hujuſmodi ergo, ut videtur, docebant & Euſtathiani; & ideo fuerunt anathemate percuſſi. Debemus enim fideles in traditis jejuniis, nimirum quartâ feriâ, & paraſceve, & magnâ quadrageſimâ, & reliquis jejuniis jejunare, & rurſus feſtos dies celebrare, niſi fortè propter morbum jejunium ſolvere coacti ſimus. Dicit enim lxix. Can Apoſtolicus; E In omni quarta feria & paraſceve & in paſchæ quadrageſima nos jejunium non ſolvere niſi propter corporalem imbecillitatem.

ZONAR. Sexageſimus quartus Can. Apoſtolicus hæc totidem verbis habet; Si quis, inquit, Clericus inventus fuerit die Dominico jejunare, vel Sabbato, præterquam uno ſolo, deponatur: ſin autem laicus, ſegregetur. Sexageſimus vero nonus Quadrageſimam Paſchæ, & quartum diem, & paraſceven, niſi corporis aliqua infirmitas obſtiterit, jejunio tranſigendam eſſe decernit. Cùm vero Euſtathiani, quaſi ſummum perfectæ virtutis apicem attigiſſent, nec ipſos jejunio caſtigari amplius oporteret, F tradita jejunia violarent, hunc Can. Synodus promulgavit, eoſque, qui jejunia à majoribus tradita, atque ab Eccleſia, hoc eſt, fidelium multitudine ſervari conſueta violarint, niſi, ut Apoſtolico Canone explicatum eſt, valetudine impediantur, anathemati obnoxios eſſe decernit.

ARIST. *Et qui Eccleſiaſtica jejunia evertit, Anathema.*

A

Canon XX.

Si quis arrogantia utens, martyrum congregationes abhorreat, & ſacra quæ in eis celebrantur, & eorum memorias accuſet, ſit anathema.

Bals. In ſanctorum martyrum memoriis fiebant conventus quidam & congregationes in quibuſdam templis, ſicut & fit hodie. Euſtathiani ergo pietatis prætextu damnabant eos, qui hæc in Dei honorem faciebant; ſuperbiâ elati ob impiam ipſorum vivendi rationem: & ideo etiam anathemati ſubjecti ſunt. Nota ergo, quòd B quæ in ſolennibus martyrum feſtis fiunt, ſcilicet cantica, choreæ, & populi confluxus, quoniam in Dei fiunt honorem, non reprobantur; cùm de iis hæc Synodi Patres ſcripſerint.

Zonar. Hoc quoque eſt Euſtathii ejuſque gregalium diſciplina. Loca nimirum contemnebant, in quibus reliquiæ martyrum ſervabantur; quique in iis ſacra facerent, memoriamque eorum venerarentur, damnabant; & conventus fidelium in iis locis celebrari ſolitos averſabantur. Quamobrem hunc Canonem Synodus contra eos, qui ſuperbia elati conventus ejuſmodi aſpernarentur, C conſtituta in eos pœna anathematis, promulgavit.

Arist. *Et qui ſanctorum Martyrum conventus deſpectui habet, ſit Anathema.*

Canon XXI.

Hæc autem ſcribimus, non eos abſcindentes qui in Dei Eccleſia volunt ſecundum ſcripturas in continentia & pietate exerceri; ſed eos qui prætextum exercitationis ad arrogantiam aſſumunt, adverſus eos, qui ſimplicius vivunt, ſe efferentes, & præter ſcripturas Eccleſiaſticoſ- D que Canones novitates inducunt. Virginitatem itaque unà cum humilitate nos admiramur, & continentiam, quæ cum pietate & gravitate exercetur, admittimus; & à ſecularibus negotiis ſeceſſum cum humilitate ſuſcipimus; & ſanctam matrimonii conjunctionem honoramus; & divitias cum juſtitia & beneficentia non vilipendimus; & veſtium utilitatem, propter corporis tantum curam minimè curioſam ac operoſam, laudamus: diſſolutas autem & molles in veſtibus inceſſus averſamur; & domos Dei honoramus, & qui fiunt in iis conventus ut ſanctos & utiles amplectimur, non pietatem E in domibus includentes, ſed omnem locum in Dei nomine ædificatum honorantes; & quæ fit in ipſo Eccleſiæ congreſſionem ad publici utilitatem recipimus; & inſignes fratrum beneficentias, quæ tanquam ſecundum traditiones fiunt per Eccleſiam in pauperes, laudamus; & ut ſemel dicamus quæ à divinis ſcripturis & Apoſtolicis traditionibus commendata ſunt, in Eccleſia fieri optamus.

Bals. & Zonar. Cùm quædam opera, quæ bona & ex virtute exiſtimantur, hujus Synodi Patres à fidelibus fieri prohibuerint; ut virginitatem ſervare, F utpote cùm matrimonium ad ſalutem animæ impedimentum afferat; non jejunare diebus, quibus prohibitum eſt jejunium; ſolvere matrimonium propter eam quæ videtur exercitationem; non alere liberos vel parentes, propter virtutis exercitium; & quæcunque ſunt ejuſmodi: nunc pro iis reſpondent dicentes; Quòd hæc decrevimus, non eos, qui volunt exercere, amputantes; ſed eos, qui propterea ſuperbi & inſolentes fiunt, & nova quædam præter divinas ſcripturas introducunt, corrigentes. Nos enim & hoc & illud recipimus, & hoc admiramur,

ΚΑΝΩΝ κ'.

Εἴ τις αἰτιᾶται, ὑπερηφάνῳ διαθέσει κεχρημένος καὶ βδελυσσόμενος τὰς συνάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. Ἐν μνήμαις ἁγίων μαρτύρων ἐγίνοντο συνάξεις καὶ πανηγύρεις ἔν τισι ναοῖς, καθὼς καὶ σήμερον γίνεται. οἱ γοῦν περὶ τὸν Εὐστάθιον, προφάσει δῆθεν εὐλαβείας, κατεγίνωσκον τῶν ταύτας εἰς τιμὴν τοῦ Θεοῦ ποιούντων· ἀλαζονευόμενοι διὰ τὴν θεοστυγῆ αὐτῶν διαγωγήν. διὸ καὶ ἀναθέματι καθυπεβλήθησαν. ὥστε σημείωσαι, ὅτι τὰ εἰς τὰς ἐπισήμους ἑορτὰς τῶν ἁγίων μαρτύρων γινόμενα, ἤγουν τὰ ψαλμῳδήματα, αἱ χοροστασίαι καὶ ἡ σύρροια τοῦ πολλοῦ λαοῦ, ἐπεὶ εἰς τιμὴν γίνονται τοῦ Θεοῦ, οὐκ ἀποδοκιμάζονται. ἐπὶ τούτοις ἔγραψαν ταῦτα οἱ τῆς συνόδου.

ΖΩΝΑΡ. Καὶ τοῦτο τοῦ Εὐσταθίου καὶ τῶν αὐτοῦ φοιτητῶν τὸ διάταγμα. κατεφρόνουν γὰρ τῶν τόπων, ἐν οἷς μαρτύρων ἀπέκειντο λείψανα, καὶ τῶν ἐκεῖ λειτουργούντων, καὶ τὰς μνήμας αὐτῶν τιμώντων, κατεγίνωσκον, καὶ τὰς γινομένας ἐκεῖ συνάξεις ἀπεστρέφοντο. διὸ τὸν κανόνα τοῦτον ἡ σύνοδος ἐξεφώνησε κατὰ τῶν ὑπερηφανευομένων, καὶ βδελυκτὰς ἡγουμένων τὰς συνάξεις τὰς ἐπὶ τοῖς μάρτυσιν, ἀναθέματι τούτους καταδικάσασα.

ΑΡΙΣΤ. Καὶ ὁ τὰς τῶν ἁγίων μαρτύρων συνάξεις περιφρονῶν, ἀνάθεμα.

ΚΑΝΩΝ κα'.

Ταῦτα δὲ γράφομεν, οὐκ ἐκκόπτοντες τοὺς ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ κατὰ τὰς γραφὰς ἀσκεῖσθαι βουλομένους· ἀλλὰ τοὺς λαμβάνοντας τὴν ὑπόθεσιν τῆς ἀσκήσεως εἰς ὑπερηφανίαν, κατὰ τῶν ἀφελέστερον βιούντων ἐπαιρομένους τε καὶ παρὰ τὰς γραφὰς καὶ τοὺς ἐκκλησιαστικοὺς κανόνας καινισμοὺς εἰσάγοντας. ἡμεῖς τοιγαροῦν καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν, καὶ ἐγκράτειαν μετὰ θεοσεβείας καὶ σεμνότητος γινομένην ἀποδεχόμεθα, καὶ ἀναχώρησιν τῶν ἐγκοσμίων πραγμάτων μετὰ ταπεινοφροσύνης ἀποδεχόμεθα, καὶ γάμου συνοίκησιν σεμνὴν τιμῶμεν, καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιΐας οὐκ ἐξουθενοῦμεν, καὶ λιτότητα καὶ εὐτέλειαν ἀμφιασμάτων δι' ἐπιμέλειαν μόνον τοῦ σώματος ἀπερίεργον ἐπαινοῦμεν· τὰς δὲ ἐκλύτους καὶ τεθρυμμένας ἐν τῇ ἐσθῆτι προόδους ἀποστρεφόμεθα, καὶ τοὺς οἴκους τοῦ Θεοῦ τιμῶμεν, καὶ τὰς συνόδους, τὰς ἐπ' αὐτοῖς, ὡς ἁγίας καὶ ἐπωφελεῖς ἀσπαζόμεθα, οὐ συγκλείοντες τὴν εὐσέβειαν ἐν τοῖς οἴκοις, ἀλλὰ πάντα τόπον τὸν ἐν ὀνόματι τοῦ Θεοῦ οἰκοδομηθέντα τιμῶντες, καὶ τὴν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ συνέλευσιν εἰς ὠφέλειαν τοῦ κοινοῦ προσιέμεθα, καὶ τὰς καθ' ὑπερβολὴν εὐποιΐας τῶν ἀδελφῶν, ὡς τὰς κατὰ τὰς παραδόσεις διὰ τῆς ἐκκλησίας εἰς τοὺς πτωχοὺς γινομένας, μακαρίζομεν, καὶ πάντα συνελόντως εἰπεῖν, τὰ παραδοθέντα ὑπὸ τῶν θείων γραφῶν καὶ τῶν ἀποστολικῶν παραδόσεων, ἐν τῇ ἐκκλησίᾳ γίνεσθαι εὐχόμεθα.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Τινὰ τῶν νομιζομένων ἐναρέτων ἔργων οἱ τῆς συνόδου ταύτης κωλύσαντες γίνεσθαι παρὰ τῶν πιστῶν, οἷον τὸ παρθενεύειν, ὡς τάχα τοῦ γάμου πρὸς σωτηρίαν ψυχῆς ἐμποδίζοντος, τὸ μὴ νηστεύειν ἐν ἡμέραις αἷς ἀπαγορεύεται ἡ νηστεία, τὸ λύειν τὸν γάμον διὰ δοκοῦσαν ἄσκησιν, τὸ μὴ τεκνοτροφεῖν, ἢ γηροβοσκεῖν τοὺς γονεῖς, διὰ τὴν τῆς ἀρετῆς τάχα ἐργασίαν, καὶ ὅσα τοιαῦτα· νῦν ὑπὲρ τούτων ἀπολογοῦνται λέγοντες ὅτι ταῦτα ὡρίσαμεν, οὐχὶ τοὺς ἀσκεῖν αἱρουμένους ἀνακόπτοντες, ἀλλὰ τοὺς διὰ τοῦτο ὑπερηφανευομένους καὶ ἐπαιρομένους καὶ, καινά τινα παρὰ τὰς θείας γραφὰς εἰσάγοντας, διορθούμενοι. ἡμεῖς γὰρ καὶ τόδε καὶ τόδε ἀποδεχόμεθα, καὶ τόδε θαυμάζομεν, καὶ ἐφεξῆς ὅσα αὐτοῖς ἀριθμούμενα, καὶ εὐχόμεθα πάντα γίνεσθαι κατὰ τὰς θείας γραφὰς καὶ τὰς παραδόσεις τὰς ἀποστολικάς· διὰ μὲν τῶν θείων γραφῶν πάντα τὰ ἐγγράφως ἐντεταλμένα τοῖς πιστοῖς ὑπεμφαίνοντες· διὰ δὲ τῶν παραδόσεων τὰ τῶν ἀγράφων ἐθῶν αἰνιξάμενοι. καὶ τὰ ἄγραφα γὰρ ἔθη τῷ χρόνῳ δοκιμασθέντα καὶ κυρωθέντα, καὶ οἱ τῆς πολιτείας νόμοι κρατεῖν τε καὶ ἐνεργεῖν θεσπίζουσι, καὶ οἱ θεῖοι κανόνες. καὶ ὁ μέγας τὰ πάντα Βασίλειος περὶ τῆς τούτων φυλακῆς μακρὸν ἀποτείνει τὸν λόγον ἐν διαφόροις λόγοις αὐτοῦ.

A & eodem quo illi ordine habemus, & omnia fieri optamus ſecundum divinas ſcripturas & traditiones Apoſtolicas: per divinas quidem ſcripturas omnia, quæ fidelibus in ſcriptis mandata ſunt, ſignificantes; Per traditiones autem non ſcriptos mores innuentes. Non ſcriptos enim mores tempore approbatos & confirmatos, leges quoque civiles obſervari & valere decernunt, & divini Canones. Et magnus etiam in rebus omnibus Baſilius de eorum obſervatione in multis ſuis orationibus fuſe loquitur.

ΑΡΙΣΤ. Ἡ παροῦσα σύνοδος, καὶ δι᾽ ἄλλας μὲν ἐκκλησιαστικὰς χρείας συνελθοῦσα, ζητήσασα δὲ καὶ τὰ κατὰ τὸν Εὐστάθιον· καὶ εὑροῦσα πολλὰ ἀθέσμως ὑπὸ τῶν περὶ αὐτὸν τὸν Εὐστάθιον γινόμενα, τοὺς κανόνας τούτους ἐξέθετο, ἵνα μὴ εἰς τὴν αἵρεσιν αὐτῶν, ἤτοι τῶν Μασσαλιανῶν τε καὶ Εὐχιτῶν, ἐμπίπτωμεν. Οὗτοι γὰρ καὶ νόμιμον γάμον ἀθετοῦσι, καὶ κρέα βδελύττονται, τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων καταφρονοῦσι, καὶ τῶν ἐπ᾽ αὐτοῖς γινομένων συνάξεων· καὶ ἰδίᾳ ἐκκλησιάζειν, καὶ ἐν τοῖς εὐκτηρίοις αὐτῶν διδάσκουσιν εὔχεσθαι, καὶ διδασκαλίας ἰδίας, καὶ συνάξεις ποιούμενοι, παρὰ γνώμην Ἐπισκόπου ἢ πρεσβυτέρου τὰ τῆς ἐκκλησίας τελοῦσι μυστήρια· καὶ ἁπλῶς πάντα κανόνα ἐκκλησιαστικὸν παραβαίνοντες, νόμους ἔχουσιν ἰδιάζοντας, μᾶλλον δὲ ἕκαστος αὐτῶν, ὅπερ ἂν ἐνθυμηθῇ ἐπὶ διαβολῇ τῆς ἐκκλησίας καὶ ἑαυτοῦ βλάβῃ, τοῦτο προΐσθησι. διὰ ταῦτα οὖν ἡ ἁγία αὕτη Σύνοδος τῆς αἱρέσεως αὐτῶν καταψηφισαμένη, καὶ τοὺς δὲ τοὺς κανόνας ἐκθεμένη, ἐκτὸς αὐτοὺς εἶναι τῆς ἐκκλησίας προσέταξεν. εἴ τις γοῦν ἢ τὸν νόμιμον γάμον ἀθετεῖ, ἢ τὸν κρεωφαγοῦντα κατακρίνει, δίχα πνικτοῦ ἢ εἰδωλοθύτου· ἢ δούλους διδάσκει τῶν δεσποτῶν ὑποαναχωρεῖν, προφάσει θεοσεβείας, καὶ τῆς ὑπηρεσίας αὐτῶν καταφρονεῖν· ἢ διακρίνοιτο τῶν θείων ἁγιασμάτων μεταλαβεῖν ἀπὸ πρεσβυτέρων ὑπογυναίων· ἢ τῶν οἴκων τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας ἀναχωρεῖν, ὡς καταφρονήτους αὐτοὺς οἰόμενος, καὶ ἰδίᾳ ἐκκλησιάζων, διδασκαλίας ἑτέρας ποιοῖτο· ἢ παρὰ γνώμην Ἐπισκόπου, ἢ πρεσβυτέρου, ὡς καταφρονῶν αὐτῶν, τὰ τῆς ἐκκλησίας τελεῖ μυστήρια, διὰ τὸ τὴν προσευχὴν αὐτοῦ μεγάλα ἰσχύειν οἴεσθαι, ἢ διδάσκει τὰς ἀνέκαθεν τῶν χρόνων διδομένας καρποφορίας τῇ ἐκκλησίᾳ, καὶ εἰς εὐποιΐαν κατακενουμένας, παρά τε τοῦ Ἐπισκόπου, καὶ τῶν εἰς τὴν οἰκονομίαν τούτων παρ᾽ αὐτοῦ προβεβλημένων, μὴ προσφέρειν τῇ ἐκκλησίᾳ· ἀλλ᾽ αὐτῷ τε, καὶ τοῖς σὺν αὐτῷ, ὡς ἁγίοις, ταύτας διδόναι· ἢ τὴν παρθενίαν, μὴ δι᾽ αὐτὸ τὸ καλὸν, τοῦ γάμου προτιμᾶται, ἀλλ᾽ ὡς τὸν γάμον βδελυττόμενος. καὶ τῶν γεγαμηκότων κατεπαιρόμενος· ἢ οὐ συνέρχοιτο τοῖς συγκαλοῦσι δι᾽ ἀγάπην, κατὰ τὴν τῆς ἐκκλησίας ἀπόλυσιν, εἰς μετάληψιν ἄρτου καὶ οἴνου, ἀλλ᾽ ἀθετεῖ τούτους, καὶ συγκοινωνεῖν μετ᾽ αὐτῶν καλούμενος, οὐκ ἀνέχοιτο δι᾽ ὑπεροψίαν· ἢ τὸν πλουτοῦντα μετὰ δικαιοσύνης, καὶ εὐποιΐας ἐξουθενεῖ· ἢ καὶ τὸν σηρικὴν ἐσθῆτα φοροῦντα φαυλίζει, ξένα τινὰ αὐτὸς ἐπινοῶν ἀμφιάσματα, ὡς ἐκ τούτων δικαιοῦσθαι οἰόμενος· ἢ καὶ γυναῖκές τινες εἰ εὑρίσκοιντο ἀνδρικὰ ἱμάτια περιβαλλόμεναι, ἐπὶ καταπτώσει τῆς κοινῆς τῶν γυναικῶν ἀμφιάσεως, καὶ ὡς ἐκ τούτων οἰόμεναι σεμναὶ δοκεῖν τε καὶ δίκαιαι· ἢ τῶν ἰδίων ἀνδρῶν, ὡς τὸν γάμον βδελυττόμεναι, διαζεύγνυνται, ἢ τὰ οἰκεῖα τέκνα καταλιμπάνουσαι, καὶ μὴ τεκνοτροφοῦσαι ταῦτα, καὶ τὸ, ὅσον ἐπ᾽ αὐταῖς, πρὸς θεοσέβειαν τὴν προσήκουσαν ὑπαλείφουσαι, ἀλλὰ προφάσει ἀσκήσεως ἀμελοῦσαι τούτων· καὶ τὴν κόμην τὴν γυναικείαν ἀποκειρόμεναι, ὡς ὑποκρινόμεναι θεοσέβειαν· ἢ πάλιν, εἰ τέκνα πιστῶν γονέων ἀποσκιρτῶσι, τὴν πρέπουσαν τιμὴν γονεῦσι μὴ ἀπονέμοντα, ὡς προτιμώμενα δῆθεν τὴν θεοσέβειαν· ἢ εἰ παραβαίνει τις τὰς παραδεδομένας ἡμῖν νηστείας, καὶ κοινῶς ὑπὸ τῆς ἐκκλησίας φυλάττεσθαι νενομοθετημένας, τὴν κυριακὴν, ἢ τὸ σάββατον αἱρεῖται νηστεύειν· ἢ τὰς τῶν μαρτύρων συνάξεις, καὶ τὰς ἐν αὐταῖς

B Arist. *In omnes Canones.* Hæc præſens Synodus & propter alias Eccleſiaſticas coacta neceſſitates, inquirens etiam in ea quæ ad Euſtathium pertinebant, & inveniens multa ab Euſtathii aſſeclis injuſtè facta, hoſce Canones expoſuit, ne in iſtorum vel etiam Maſſalianorum, & Euchitarum hæreſim incideremus. Hi enim legitimas nuptias criminantur, & carnem deteſtantur, Eccleſias autem & altaria contemptui habent, ut & conventus in iis factos: & privatim concionari, & in ſuis oratoriis precari docent, & privatas inſtructiones & conventicula facientes præter Epiſcopi aut Presbyteri voluntatem Eccleſiaſtica celebrant myſteria: & C omnem omnino Eccleſiaſticum tranſilientes Canonem privatas habent leges, vel potius unuſquiſque eorum quicquid ad Eccleſiæ calumniam, & ipſius detrimentum animo concipit, illud profert. Idcirco ſancta hæc Synodus cum hæreſim eorum ſuo ſuffragio condemnaſſet, & hoſce expoſuiſſet Canones, eos extra Eccleſiam eſſe ſtatuit. Si quis itaque vel nuptias legitimas improbat, vel eum qui carnem comedit præter ſuffocatam & idolis immolatam, condemnat, vel ſervos à dominis recedere, pietatis prætextu, & miniſterium ſuum contemnere docet, aut dubitat divina accipere ſacramenta à Presbyteris qui uxores habent, vel ab ædibus D Dei & Eccleſiâ recedens ut eas juſtè contemnendas ducens, & privatim concionem habens, alias inſtructiones profert, vel præter Epiſcopi aut Presbyteri ſententiam, ut eos contemnens, Eccleſiaſtica peragit myſteria, quia ſuas preces magnopere prævalere opinatur, aut docet fructuum oblationes Eccleſiæ olim datas, & ad bona opera erogatas, & ab Epiſcopo & eis qui ad eorum adminiſtrationem ab ipſo deſignantur, Eccleſiæ non offerre, ſed ſibi aut illis qui ſecum ſunt eas dare, vel virginitatem non propter ipſam bonitatem, matrimonio præfert, ſed ut matrimonium execrans, & adverſus conjugatos elatus, vel non E convenit iis qui ad agapen congregant poſt Eccleſiæ diſmiſſionem ad panis & vini participationem, ſed eos rejicit, & cum eis communicare vocatus per contemptum & ſuperbiam non ſuſtinet, vel cum juſtitiâ & beneficentiâ diteſcentem aſpernatur, vel & eum qui ſericam veſtem induit, flocci facit, ipſe peregrina quædam excogitans indumenta, ut ex iis ſe juſtificari putans, vel etiam mulieres quædam ſi veſtimenta virilia induere inveniuntur, ad communis fœminarum veſtitus ruinam, & tanquam putantes ſe ex iis Sanctas & juſtas videri, aut à ſuis viris ut nuptias deteſtantes ſeparantur, vel proprios liberos relinquunt, & non F ut liberos eos alunt, nec quantum in ſe eſt ad religionem convenientem eos excitant, ſed exercitationis prætextu eos negligunt, & quæ comam muliebrem detondent, ut pietatem ſimulantes, vel vice verſâ ſi liberi à parentibus fidelibus reſiliunt, honorem parentibus debitum non tribuentes, tanquam pietatem nimirum præferentes, vel ſi quis tradita nobis jejunia tranſgrediatur, & profanans dies ab Eccleſiâ ſervari ſanctas, dominicâ vel ſabbato eligat jejunare, vel martyrum congregationes & ſacra quæ in iis fiunt myſteria, ut arrogans calumniatur, & abhorret. Si quis itaque ex iis quæ ſupra enumerantur, quicquam facere deprehenditur, ut ſe contra eos qui ſimplicius vivunt, efferens, & Eccleſiaſticas tranſiliens leges & innovationes è propriâ ſuperbiâ introducens, ſit anathema. Eccleſia enim virginitatem cum animo demiſſo admiratur, & ſeceſſionem à negotiis ſecularibus eodem modo factam admittit, & continentiam cum gravitate & religione, & venerabilem matrimonii uſum honore proſequitur, & divitem cum juſtitiâ & beneficentiâ non parvi pendet, & ſimplicitatem & frugalitatem veſtimentorum non propter ſuperbiam ſed propter ſolam corporis curam ſine curioſitate factam, approbare novit; quemadmodum non admittit etiam eos qui diſſolutas, & delicatas induunt veſtes; & ſimpliciter omnia quæcunque Dei nomine ad communicats utilitatem fiunt, recipit. Quæ autem per arrogantiam & contemptum, & odium eorum quæ à divinis patribus tradita fuerunt, contrariâ feruntur lege, magnopere rejicit pariter & execratur. Et imprimis ſi qui hæc faciunt, pietatem etiam ſimulant.

A γινομένας λειτουργίας, ὡς ὑπερήφανος διαβάλλοιτο καὶ βδελύττοιτο. εἴ τις γοῦν ἐκ τῶν ἄνωθεν ἀπηριθμημένων ἁλίσκοιτό τι ποιῶν, ὡς καταπαιρόμενος τῶν ἀφελεστέρως βιούντων, καὶ τοὺς ἐκκλησιαστικοὺς παραβαίνων θεσμοὺς, καὶ καινισμοὺς εἰσάγων ἐξ ἰδίας ὑπεροψίας· ἀνάθεμα ἔστω. ἡ γὰρ ἐκκλησία καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζει, καὶ ἀναχώρησιν τῶν ἐγκοσμίων πραγμάτων ὡσαύτως γινομένων ἀποδέχεται, καὶ ἐγκράτειαν μετὰ σεμνότητος καὶ θεοσεβείας, καὶ σεμνὴν διοίκησιν γάμου τιμᾷ, καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιΐας οὐκ ἐξουθενεῖ, καὶ λιτότητα καὶ εὐτέλειαν ἀμφιασμάτων, οὐ διὰ τῦφον, ἀλλὰ δι' ἐπιμέλειαν μόνον τοῦ B σώματος, ἀπερίεργον γινομένην, ἐπαινεῖν οἶδεν· ὥσπερ οὐκ ἀποδέχεται καὶ τοὺς ἐκλύτας καὶ τεθρυμμένας ἐνδεδυμένους ἐσθῆτας· καὶ ἁπλῶς πάντα, ὅσα ἂν ἐν τῷ ὀνόματι τοῦ θεοῦ εἰς ὠφέλειαν τοῦ κοινοῦ γίνωνται, ἀποδέχεται. τὰ δὲ δι' ὑπεροψίαν καὶ καταφρόνησιν καὶ μῖσος τῶν παραδεδομένων ὑπὸ τῶν θείων πατέρων ἀντινομοθετέμενα, σφόδρα καὶ ἀποπέμπεται καὶ βδελύττεται· καὶ μᾶλλον εἰ προφασίζονται οἱ ταῦτα ποιοῦντες καὶ θεοσέβειαν.

C

D

E

F

KANO-

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ

Τῆς Συρίας Συνόδου.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. ΔΥΟ γεγόνασιν ἐν Ἀντιοχείᾳ τῆς Συρίας σύνοδοι. ἡ μὲν ἐπὶ Αὐρηλιανοῦ βασιλέως Ῥωμαίων κατὰ Παύλου τοῦ Σαμοσατέως, ὃς αἱρεσιάρχης ἐγένετο, λέγων τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν, ψιλὸν ἄνθρωπον· τὸν δὲ υἱὸν τοῦ θεοῦ, λόγον προφορικόν. παρῆσαν δὲ ἐν τῇ συνόδῳ ταύτῃ πολλοὶ καὶ ἄλλοι, καὶ ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργός. ἠθροίσθησαν δὲ ἐν Ἀντιοχείᾳ, ἧς Ἐπίσκοπος ἦν ὁ Σαμοσατεὺς, ὃν δὴ Παῦλον ταῖς παραινέσεσι καὶ ταῖς ἀπὸ τῶν γραφῶν ἀποδείξεσι μὴ πείσαντες ἀποστῆναι ἀπὸ τῶν κατὰ τοῦ κυρίου βλασφημιῶν, κοινῇ ψήφῳ καθεῖλόν τε καὶ ἀνεθεμάτισαν. ὁ δὲ τοῦ θρόνου τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας οὐκ ἀφίστατο. διὸ οἱ τῆς Συνόδου πρὸς τὸν βασιλέα Αὐρηλιανὸν τὰ περὶ τούτου ἀνέφερον. καὶ ὃς τῷ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπῳ καὶ τοῖς κατ' αὐτὸν ἀρχιερεῦσιν ἐκέλευσε τὰ κατὰ τοῦ Παύλου ἐπισκέψασθαι, καὶ εἰ δικαίως καθήρηται, ἐκδιῶξαι αὐτὸν τῆς τῶν Χριστιανῶν ἐκκλησίας, ὃ καὶ γέγονεν, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ. ἑτέρα δὲ αὖθις Συνέστη σύνοδος ἐν Ἀντιοχείᾳ ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, μετὰ πέντε ἔτη τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ. καὶ κανόνας ἐξέθετο, οἵτινές εἰσιν οὗτοι.

Ἡ ἁγία καὶ εἰρηνικωτάτη σύνοδος, ἡ ὑπὸ τοῦ θεοῦ συγκροτηθεῖσα ἐν Ἀντιοχείᾳ, ἐξ ἐπαρχίας Συρίας κοίλης, Φοινίκης, Παλαιστίνης, Ἀραβίας, Μεσοποταμίας, Κιλικίας, Ἰσαυρίας· τοῖς κατ' ἐπαρχίαν ὁμοψύχοις καὶ ἁγίοις συλλειτουργοῖς ἐν κυρίῳ χαίρειν.

Ἡ χάρις καὶ ἡ ἀλήθεια Ἰησοῦ Χριστοῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, ἐπισκεψαμένη τὴν Ἀντιοχέων ἁγίαν ἐκκλησίαν, καὶ κατὰ τὸ αὐτὸ συνάψασα μετὰ ὁμονοίας καὶ συμφωνίας καὶ πνεύματος εἰρηνικοῦ, πολλὰ μὲν καὶ ἄλλα κατώρθωσεν, ἐν πᾶσι δὲ καὶ τοῦτο κατορθοῖ ἐξ ὑποβολῆς τοῦ ἁγίου καὶ εἰρηνικοῦ πνεύματος. ἃ γὰρ καλῶς ἔχειν ἔδοξεν, μετὰ πλείονος σκέψεως καὶ ἐπικρίσεως ὁμοῦ πάντων ἡμῶν τῶν Ἐπισκόπων κατὰ τὸ αὐτὸ συγκροτηθέντων ἐπὶ τῆς Ἀντιοχείας ἐκ διαφόρων ἐπαρχιῶν, ἐπὶ τὴν ὑμετέραν γνῶσιν ἀνηνέγκαμεν, πιστεύσαντες τῇ τοῦ Χριστοῦ χάριτι καὶ τῷ τῆς εἰρήνης ἁγίῳ πνεύματι, ὅτι καὶ αὐτοὶ συμπνεύσητε, ὡς ἂν δυνάμει συνόντες ἡμῖν, καὶ ταῖς εὐχαῖς συνεργοῦντες, μᾶλλον δὲ ἡνωμένοι, ἡμῖν καὶ τῷ ἁγίῳ πνεύματι συμπαρόντες, τὰ αὐτά τε ἡμῖν συμφωνήσαντες καὶ ὡρισάμενοι, καὶ τὰ ὀρθῶς δόξαντα ἐπισφραγιζόμενοι καὶ βεβαιοῦντες τῇ τοῦ ἁγίου πνεύματος συμφωνίᾳ. εἰσὶ δὲ οἱ ὁρισθέντες ἐκκλησιαστικοὶ κανόνες οἱ ὑποτεταγμένοι.

CANONES SYNODI ANTIOCHENÆ

in Syriâ celebratæ.

Bals. & Zonar. ANtiochiæ, quæ eſt civitas Syriæ, duæ fuere Synodi. Una quidem ſub Aureliano Imperatore Romanorum, adverſus Paulum Samoſatenum hæreſiarcham, qui dicebat Dominum noſtrum & Deum Jeſum Chriſtum eſſe ſolum hominem: filium Dei autem eſſe verbum prolatitium. Cæterum huic Synodo interfuerunt & multi alii, & ſanctus Gregorius Thaumaturgus. Convenerunt autem Antiochiæ, cujus erat Epiſcopus Paulus Samoſatenus: quem quidem Paulum, cum admonitionibus & ex ſcripturis demonſtrationibus à blaſphemiis deſiſtere non perſuaſiſſent, communi ſententia depoſuerunt & anathematizarunt. Is verò ab Antiochenæ Eccleſiæ throno non receſſit. Patres itaque Synodi de eo ad Aurelianum Imperatorem retulerunt. Ille verò Romanorum Epiſcopo & ejus Antiſtitibus juſſit de Paulo inquirere; & ſi juſtè depoſitus fuit, eum ex Chriſtianorum Eccleſia expellere; quod etiam factum eſt, ut ſcribit Euſebius Pamphili. Alia verò Synodus rurſus coacta eſt Antiochiæ ſub Conſtantio filio magni Conſtantini, quinque annis poſt mortem patris: & Canones edidit, qui ſunt hi.

Sancta & ſumme pacifica Synodus, in unum ſub Deo Antiochiæ congregata ex Cæleſyria, Phœnicia, Palæſtina, Arabia, Meſopotamia, Cilicia, Iſauria, his, qui per ſingulas provincias ſunt, unanimis ſanctis & conſacerdotibus in Domino ſalutem.

Gratia & veritas Jeſu Chriſti Domini & Salvatoris noſtri, ſanctam Antiochenam Eccleſiam viſitans, & in unum connectens per concordiam & conſenſum & ſpiritum pacificum multa quidem alia perfecit: in omnibus autem & hoc perficit ex ſuggeſtu ſancti & pacifici ſpiritus. Quæ enim viſa ſunt recte conſtitui tum plurima conſideratione & judicio, unà cum omnibus nobis Antiochiam ex diverſis provinciis in unum collectis Epiſcopis, in veſtram notitiam retulimus: gratiæ Domini & Spiritui ſancto pacis credentes, quod & ipſi conſpirabitis nobis, tanquam una nobiſcum virtute ſitis orationibus ſimul adnitentes; magis autem uniti, nobis & Spiritui ſancto præſentes, iiſdem nobiſcum conſentientes & definientes, & ea quæ viſa ſunt recta roborantes cum conſenſu Sancti ſpiritûs conſignabitis. Sunt autem præfiniti Canones Eccleſiaſtici hi qui infra ſunt ſcripti.

Canon I.

Omnes, qui audent diſſolvere decretum ſanctæ & magnæ Synodi, quæ Nicææ coacta eſt in præſentia pietatis religioſiſſimi Imperatoris Conſtantini, de ſancto feſto ſalutiferi Paſchatis, eſſe excommunicatos & Eccleſia ejectos ſtatuimus, ſi adverſus ea, quæ rectè decreta ſunt, contentioſius inſiſtere perrexerint. Et hæc quidem de Laicis dicta ſint. Si quis autem eorum qui præſunt Eccleſiæ, Epiſcopus, vel Presbyter vel Diaconus, audebit poſt hoc decretum, ad populorum ſubverſionem & Eccleſiarum perturbationem, ſeorſum agere & Paſcha cum Judæis peragere; ſancta Synodus eum abhinc alienum eſſe ab Eccleſia judicavit, ut qui non ſibi ſolum peccati, ſed & multis exitii & ſubverſionis cauſa fuerit: & non ſolum eos à miniſterio deponit, ſed & illos, qui audent iis poſt depoſitionem communicare. Depoſitos autem etiam externo honore privari, cujus ſanctus Canon & Dei ſacerdotium fuit particeps.

Bals. De feſto ſanctæ Paſchæ, quando debet fieri ſatis tractatum eſt in ſeptimo Canone Apoſtolico; & lege eum, & quæ in ipſum ſcripta ſunt. Præſentis autem ſynodi ſancti Patres dicunt de hoc feſto à prima Synodo fuiſſe definitum. Atque hoc in Canonibus Patrum Nicænæ Synodi non inventum eſt: ſed in actis primæ Synodi invenitur. Eos ergo qui audent, quæ de Paſcha ſic definita ſunt, ſolvere, & cum Judæis feſtum agere, ſi ſint quidem Laici, & ad Eccleſiaſticam traditionem non facilè redigantur, ſed contentioſè reſiſtant, decernunt abſolutè excommunicationis pœnis ſubjici; eos vero, qui ſunt ſacrati, deponi: & non ſolum ipſos, ſed & eos qui illis poſt depoſitionem communicant. Quin etiam iis ipſis, unà cum ſacrorum celebrandorum privatione, honorem quoque Canonicum, qui ad illos, utpote ſacratos, extra ſacrum tribunal pertinet, adimunt. Neque enim cathedræ, neque vocationis honore digni habebuntur: ſed nec alio ſacerdotali privilegio. Nota ergo ex hoc, quod ſi non eſt magnum crimen, propter quod quiſpiam eſt depoſitus, ſed lève (fortè duxit uxorem poſt depoſitionem) ea quæ ſunt extra tribunal peraget: & externum etiam honorem habebit. Lege & ix. Canonem Neocæſarienſis Synodi, & vi. Synodi Can. xxi. & xxvi.

Zonar. Decretum à Sanctis Patribus in prima Synodo congregatis, quod tamen inter Canones ejus Syn. non extat, de Paſchæ ſolenni die editum fuiſſe, hujus Synodi auctores aſſerunt; idque ab omnibus ſervari, quique ei non obtemperaverint, ſi quidem Laici ſint, communione privari & ab Eccleſia exterminari jubent. Quod ſi ſacro ordini conſtitutionis illius violatores adſcripti fuerint, iique cum Judæis diem Paſchatis celebrandum eſſe doceant, depoſitione ipſos, & qui iiſdem poſt depoſitionem communicare auſi fuerint, mulctari volunt; ac ne externum quidem ſacerdotii honorem, ut cùm à ſacrorum celebratione arceantur, tamen cathedræ prærogativam Epiſcopique aut Sacerdotis appellationem retineant, hominibus concedi patiuntur. Ac ii quidem, qui cum Judæis Paſchæ diem agunt, ſeptimo quoq; ſanctorum Apoſtolorum Canone deponi jubentur. Porro inter Can. primæ Synodi nihil quidquam de Paſchate decretum invenitur: An vero extra Canones aliquid ejuſmodi conſtitutum ſit, cum illis Concilii apud me Acta non extent, haud facile dixerim.

Arist. *Qui legibus ſancitam paſchæ traditionem immutare molitur, ſi quidem Laicus ſit, qui hoc agit, excommunicetur: ſin Clericus, ab Eccleſiâ arceatur.*

Dicitur & in ſeptimo Apoſtolico can. quod Presbyter qui cum Judæis paſcha celebrat, deponitur. Idem itaq; & hæc præſens can. ſtatuit; quod ſi quis Laicus legitimam

ΚΑΝΩΝ α΄.

Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Νικαίᾳ συγκροτηθείσης ἐπὶ παρουσίᾳ τῆς εὐσεβείας τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους πάσχα, ἀκοινωνήτους καὶ ἀποβλήτους εἶναι τῆς ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα. καὶ ταῦτα εἰρήσθω περὶ τῶν λαϊκῶν. εἰ δέ τις τῶν προεστώτων τῆς ἐκκλησίας, Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, μετὰ τὸν ὅρον τοῦτον τολμήσειεν ἐπὶ διαστροφῇ τῶν λαῶν καὶ ταραχῇ τῶν ἐκκλησιῶν ἰδιάζειν, καὶ μετὰ τῶν Ἰουδαίων ἐπιτελεῖν τὸ πάσχα, τοῦτον ἡ ἁγία σύνοδος ἐντεῦθεν ἤδη ἀλλότριον ἔκρινεν τῆς ἐκκλησίας, ὡς οὐ μόνον ἑαυτῷ ἁμαρτίας, ἀλλὰ καὶ πολλοῖς διαφθορᾶς καὶ διαστροφῆς αἴτιον γινόμενον· καὶ οὐ μόνον τοὺς τοιούτους καθαιρεῖ τῆς λειτουργίας, ἀλλὰ καὶ τοὺς τολμῶντας τούτοις κοινωνεῖν μετὰ τὴν καθαίρεσιν. τοὺς δὲ καθαιρεθέντας ἀποστερεῖσθαι καὶ τῆς ἔξωθεν τιμῆς, ἧς ὁ ἅγιος κανὼν καὶ τὸ τοῦ θεοῦ ἱερατεῖον μετείληφεν.

ΒΑΛΣ. Περὶ τῆς ἑορτῆς τοῦ ἁγίου πάσχα, πότε ὀφείλει γίνεσθαι, ἱκανῶς διελήφθη ἐν τῷ ζ΄. ἀποστολικῷ κανόνι, καὶ ἀνάγνωθι τοῦτόν τε καὶ τὰ ἐν αὐτῷ γραφέντα. οἱ δὲ τῆς παρούσης συνόδου ἅγιοι πατέρες λέγουσι τὰ περὶ τῆς τοιαύτης ἑορτῆς ὁρισθῆναι παρὰ τῆς πρώτης συνόδου. ἐν γοῦν τοῖς κανόσι τῶν ἐν Νικαίᾳ πατέρων τοῦτο οὐχ εὕρηται· εἰς δὲ τὰ πρακτικὰ τῆς πρώτης συνόδου εὑρίσκεται. τοὺς γοῦν τολμῶντας τὰ οὕτω διορισθέντα περὶ τοῦ πάσχα καταλύειν, καὶ μετὰ Ἰουδαίων ἑορτάζειν, λαϊκοὺς μὲν ὄντας καὶ μὴ ἑτοίμους εὐσυνθετοῦντας πρὸς τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἀλλὰ φιλονεικοῦντας, διορίζονται ἀκοινωνησίας παντελῶς ἐπιτιμίῳ καθυποβάλλεσθαι· ἱερωμένους δὲ καθαιρεῖσθαι. καὶ οὐ μόνους τούτους, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς μετὰ τὴν καθαίρεσιν. καὶ τούτους δὲ κἀκείνους, σὺν τῇ ἀλειτουργησίᾳ καὶ τῆς ἔξωθεν τοῦ βήματος διηκούσης αὐτοῖς κανονικῆς τιμῆς, ὡς ἱερωμένους ἀπαλλοτριοῦσιν. οὔτε γὰρ καθέδρας, οὔτε κλήσεως ἀξιωθήσονται, οὔτε μὴν ἑτέρου προνομίου ἱερατικοῦ. σημείωσαι οὖν ἀπὸ τούτου, ὅτι εἰ μὴ ἔστι τοιοῦτον μέγα τὸ ἔγκλημα, δι᾽ ὃ τις καθῃρέθη, ἀλλὰ ἐλαφρὸν (τυχὸν ἐγάμησε μετὰ τὴν χειροτονίαν) ἐνεργήσει τὰ ἔξω τοῦ βήματος· ἕξει δὲ καὶ τὴν ἔξω τιμήν. ἀνάγνωθι καὶ κανόνα θ΄. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ τῆς ς΄. συνόδου κανόνας κα΄. καὶ κς΄.

ΖΩΝΑΡ. Φασὶν οἱ τῆς συνόδου ταύτης, τοὺς τῆς πρώτης συνόδου ἁγίους πατέρας ὅρον ἐκθέσθαι περὶ τῆς ἑορτῆς τοῦ πάσχα, ὃς ἐν τοῖς παρ᾽ ἐκείνων συντεθειμένοις κανόσιν οὐχ εὕρηται, καὶ τοῦτο παρὰ πάντων φυλάττεσθαι ἀπαιτοῦσιν, ἢ ἀκοινωνήτους εἶναι καὶ ἀποβλήτους τῆς ἐκκλησίας τοὺς μὴ τὸν ὅρον ἐκεῖνον τηροῦντας λαϊκούς. εἰ δὲ ἱερωμένοι εἶεν οἱ τῷ ὅρῳ ἐκείνῳ ἐναντιούμενοι, καὶ μετὰ Ἰουδαίων τελεῖν τὸ πάσχα διδάσκοιεν, καθαιρεῖσθαι αὐτούς, καὶ τοὺς κοινωνεῖν τολμῶντας αὐτοῖς μετὰ τὴν καθαίρεσιν, διατάττονται, καὶ μηδὲ τιμῆς ἱερατικῆς τῆς ἔξωθεν μετέχειν αὐτούς. ὥστε κἂν τῆς ἱερουργίας κωλύωνται, καθέδρας τέως καὶ κλήσεως Ἐπισκόπων ἢ ἱερέων ἀπολαύειν. καὶ ὁ ἕβδομος δὲ κανὼν τῶν ἁγίων ἀποστόλων, τοὺς μετὰ Ἰουδαίων τὸ πάσχα ἑορτάζοντας, καθαιρεῖσθαι κελεύει. ἐν μὲν οὖν τοῖς κανόσι τῆς πρώτης συνόδου οὐδέν τι περὶ τοῦ πάσχα εὕρηται ὁρισθέν· εἰ δ᾽ ἐκτὸς τῶν κανόνων τι ᾠκονόμηται ἀγνοῶ, πρακτικὸν τῆς συνόδου ἐκείνης μὴ ἔχων.

ΑΡΙΣΤ. Ὁ τὴν ἔνθεσμον τοῦ Πάσχα παράδοσιν διαμεῖψαι πειρώμενος, λαϊκὸς μὲν τελῶν, ἀπόβλητος· κληρικὸς δὲ, ἀνεκκλησίαστος.

Εἴρηται καὶ ἐν τῷ ἑβδόμῳ ἀποστολικῷ κανόνι, ὡς ὁ μετὰ Ἰουδαίων τελῶν τὸ Πάσχα πρεσβύτερος, καθαιρεῖται. τοῦτο γοῦν καὶ ὁ παρὼν κανὼν διαλαμβάνει, ὡς εἴ τις τῶν λαϊκῶν παραβαίνων τὴν ἔννομον τοῦ Πάσχα παράδοσιν, μετὰ Ἰουδαίων τοῦτο ἢ καὶ καθ' ἑαυτὸν ἰδιαζόντως ἐν ἑτέρῳ καιρῷ τελεῖ· ἀκοινώνητος ἔσται, καὶ τῆς ἐκκλησίας ἀπόβλητος. εἰ δὲ κληρικός ἐστιν ὁ τοῦτο ποιῶν, καθαιρεθήσεται· ἀποστερηθήσεται δὲ καὶ τῆς ἐν τῇ καθέδρᾳ τιμῆς, καὶ ὅσοι τούτῳ τῶν κληρικῶν μετὰ τὴν καθαίρεσιν συγκοινωνήσουσι.

ΚΑΝΩΝ β'.

Πάντας τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν καὶ τῶν ἱερῶν γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ εὐχῆς ἅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὴν ἁγίαν μετάληψιν τῆς εὐχαριστίας κατά τινα ἀταξίαν, τούτους ἀποβλήτους γίνεσθαι τῆς ἐκκλησίας, ἕως ἂν ἐξομολογησάμενοι καὶ δείξαντες καρποὺς μετανοίας, καὶ παρακαλέσαντες, τυχεῖν δυνηθῶσι συγγνώμης· μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μηδὲ κατ' οἴκους συνελθόντας συνεύχεσθαι τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις, μηδὲ ἐν ἑτέρᾳ ἐκκλησίᾳ ὑποδέχεσθαι τοὺς ἐν ἑτέρᾳ ἐκκλησίᾳ μὴ συναγομένους. εἰ δὲ φανείη τις τῶν Ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων, ἤ τις τοῦ κανόνος τοῖς ἀκοινωνήτοις κοινωνῶν, καὶ τοῦτον ἀκοινώνητον εἶναι, ὡς ἂν συγχέοντα τὸν κανόνα τῆς ἐκκλησίας.

ΒΑΛΣ. Ἐν τῷ η'. καὶ θ'. ἀποστολικῷ κανόνι ἡρμηνεύθη, τίνες εἰσὶν οἱ μὴ παραμένοντες τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, καὶ πῶς κολάζονται, ὡσαύτως καὶ ἐν τῷ ι'. κανόνι περὶ τῶν κοινωνούντων τοῖς ἀκοινωνήτοις. ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται ἀφορίζεσθαι τοὺς εἰσερχομένους εἰς ἐκκλησίαν, καὶ μὴ ἐπιμένοντας τῇ εὐχῇ μηδὲ ἐπιστρεφομένους τῆς ἁγίας μεταλήψεως κατά τινα ἀταξίαν, καὶ εἶναι τούτους ἀποβλήτους μέχρις ἂν ἀξίαν μετάνοιαν μετὰ ἐξομολογήσεως ἐπιδείξωνται. ἐπεὶ δὲ εἰκὸς ἦν, τοῖς οὕτως ἀφορισθεῖσι συγκοινωνεῖν τινάς, ἤγουν συνεύχεσθαι, οὐχὶ ἐν τῇ ἐκκλησίᾳ ἀφ' ἧς ἐξεβλήθησαν, ἀλλ' ἐν εὐκτηρίῳ οἴκῳ, ἢ ἐν ἑτέρᾳ ἐκκλησίᾳ, καὶ λέγειν ἀνεπιτίμητον εἶναι τοῦτο, ὡς τοῦ ἀφορισθέντος ἀπὸ μιᾶς ἐκκλησίας δῆθεν διωχθέντος, τῆς ὑπὸ τὸ δίκαιον οὔσης τοῦ ἀφορίσαντος, φησὶν ὁ κανὼν μίαν ἐκκλησίαν εἶναι τοὺς ὁπουδήποτε ὄντας εὐκτηρίους οἴκους καὶ ναούς. καὶ οὐκ ὀφείλουσί τινες κληρικοὶ μετὰ τοῦ ἀφορισθέντος συνεύχεσθαι, κἂν ἀπὸ ἑτέρας ὦσιν ἐνορίας· τοὺς δὲ παρὰ ταῦτα ποιοῦντας τῷ αὐτῷ ἐπιτιμίῳ τῆς ἀκοινωνησίας καθυποβάλλεσθαι. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. σὺ δὲ ἀνάγνωθι τὰ ἐν τοῖς ῥηθεῖσιν ἀποστολικοῖς κανόσι γραφέντα, καὶ κατ' ἐκεῖνα νόει καὶ τὸν παρόντα κανόνα. καὶ εἰπέ, ὅτι οὐ λογισθήσονται ἀποστρεφόμενοι τὴν ἁγίαν μετάληψιν οἱ μυσαττόμενοι αὐτήν, ἤ, ὡς τινες εἶπον, οἱ δι' εὐλάβειαν καὶ ταπεινοφροσύνην ἀποφεύγοντες ταύτην· (οἱ μὲν γὰρ οὐ μόνον ἀφορισθήσονται, ἀλλὰ καὶ ἀποκηρυχθήσονται ὡς αἱρετικοί· οἱ δὲ συγγνώμης ἀξιωθήσονται διὰ τὴν εὐλάβειαν καὶ τὴν εἰς τὰ ἅγια ἀξίαν φειδώ) ἀλλ' ἐκεῖνοι, οἵτινες ἀπὸ καταφρονήσεως καὶ ἀλαζονείας ἀπὸ τῆς ἐκκλησίας ἐξέρχονται πρὸ τῆς ἁγίας μεταλήψεως ἀσυντάκτως, καὶ οὐ καρτεροῦσιν ἰδεῖν τὴν τῶν ἁγίων μυστηρίων θείαν μετάληψιν. ἀκούων δὲ τοῦ κανόνος λέγοντος ἀκοινωνήτους εἶναι τοὺς Ἐπισκόπους καὶ λοιποὺς ἱερωμένους τοὺς συνευχομένους τοῖς ἀκοινωνήτοις, μὴ εἴπῃς ἐξ ἀντιδιαστολῆς ἀνευθύνους εἶναι τοὺς λαϊκοὺς παρὰ τὸν κανόνα ποιοῦντας. καὶ οὗτοι γὰρ ἀφορισθήσονται κατὰ τὸν ι'. ἀποστολικὸν κανόνα, τὸν μὴ διαστέλλοντα κληρικοὺς καὶ λαϊκούς. ζήτει καὶ τὸν θ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. διὰ τὴν ἀπειλήν, ὡς ἔοικε, τοῦ η'. καν. καὶ θ'. τῶν ἁγίων ἀποστόλων, ἔτι καὶ τοῦ παρόντος ἐπενοήθη, ὡς ἔοικεν, ἡ τοῦ ἀντιδώρου διάδοσις. ὥστε καρτερεῖν ἐξ ἀνάγκης καὶ αὐτοὺς τοὺς μὴ δυναμένους μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων μέχρι τῆς εὐχῆς καὶ τῆς ἀπολύσεως. ἵνα λάβωσιν ἐκ τῶν χειρῶν τοῦ ἱερατεύσαντος τὴν εὐλογίαν τοῦ ἡγιασμένου κλάσματος. ἐπὶ τῆς λειτουργίας δὲ καὶ μόνης νόει διορίζεσθαι ταῦτα τοὺς ῥηθέντας κανόνας· οὐ μὴν ἐπὶ τῶν ἑτέρων ἐκκλησιαστικῶν ἀκολουθιῶν. ἐπεὶ δὲ λέγουσί τινες καὶ διὰ τί ὁ οἰ-

A paſchatis traditionem tranſgrediens, illud cum Judæis vel per ſeipſum privatim alio tempore celebrat, excommunicatus erit & Eccleſiâ ejectus. Si Clericus autem ſit qui hoc facit, deponetur; privabitur autem & cathedræ honore: ut & quotquot è Clericis tali poſt depoſitionem ſimul communicaverint.

Canon II.

Omnes qui in Eccleſiam ingrediuntur, & ſacras ſcripturas audiunt, orationi autem cum populo non communicant, vel ſanctam Euchariſtiæ participationem, propter ali- B quam inſolentiam averſantur; eos ab Eccleſia expelli; donec poſtquam confeſſi fuerint, fructuſque pœnitentiæ oſtenderint, & imploraverint, veniam aſſequi poſſint: non licere autem communicare cum excommunicatis, neque in domibus convenientes cnm iis orare qui precibus Eccleſiæ non communicant, neque in alia Eccleſia recipi, qui in alia Eccleſia non conveniunt. Si quem autem ex Epiſcopis vel Presbyteris vel Diaconis, vel quem ex can. excommunicatis communicare apparuerit; eum quoq; eſſe excommunicatum, ut qui can. Eccleſiæ confundat.

Bals. In viii. & ix. Canone Apoſtolico expoſitum C eſt, quinam ſunt qui orationem non expectant & participationem, & quomodo puniuntur: ſimiliter & in decimo Canone, de iis qui excommunicatis communicant. Conſequenter ergo præſens quoque Canon decernit, ut ii ſegregentur, qui in Eccleſiam ingrediuntur, & orationem non expectant, vel ſe ad ſanctam participationem non convertunt, propter inſolentiam; & ſint ejecti, donec dignam cum confeſſione pœnitentiam oſtenderint. Quia autem veriſimile erat, iis, qui ſic ſunt ſegregati, communicare quoſdam, ſeu unà cum eis orare; non in Eccleſia, ex qua ejecti ſunt; ſed in privato domus oratorio, vel in alia Eccleſia, & D dicere ob hoc pœnam in ſe non cadere, eo quòd ſegregatus ſit ab una Eccleſia ejectus, in qua jus habet is qui eum ſegregavit: dicit Canon unam eſſe Eccleſiam, oratoria & templa, ubicunque ſunt, nec debent ulli Clerici cum eo, qui eſt ſegregatus, orare, etiamſi ſint ex alia regione; ii autem, qui præter hæc faciunt eidem excommunicationis pœnæ ſubjiciuntur. Et hæc quidem dicit Canon. Tu autem lege quæ in dictis Apoſtolicis Canonibus ſcripta ſunt, & ſecundùm illa præſentem quoque Canonem intellige, & dic, quòd ii non exiſtimabuntur ſacram participationem averſari, qui eam odio habent & abominantur; vel qui, E ut nonnulli dicebant, propter pietatem & humilitatem eam fugiunt: (Illi enim non ſolùm ſegregabuntur, ſed ètiam ut hæretici exterminabuntur: hi vero, propter pietatem condignam ſacramentorum reverentiam venia digni habebuntur) ſed illi, qui præ contemptu & arrogantia ex Eccleſia ante ſanctam participationem inordinatè exeunt, nec ſacram divinorum myſteriorum participationem intueri ſuſtinent. Cùm autem audis Can. dicentem, eſſe excommunicatos Epiſcopos & reliquos ſacris initiatos, qui unà cum excommunicatis precantur; ne dixeris, argumento à contrario ſumpto, Laicos nulli eſſe pœnæ aſſines, qui præter can. faciunt. Nam & ii ſegregabun- G tur ſecundum decimum can. Apoſtolicum, qui non diſtinguit Clericos & Laicos. Quære & ix. can. Carth. Syn. Propter minas, ut veriſimile eſt can. viii. & ix. S. Apoſtolorum & preſentis etiam, excogitata eſt, ut videtur, Antidori diſtributio; ut neceſſe haberent, etiam qui non poſſunt incruentorum ſacrificiorum participes eſſe, uſque ad preces & abſolutionem perſeverare; ut è manibus ſacra peragentis ſanctificati fragmenti benedictionē acciperent. De liturgiâ autem, eâq; ſolâ dictos Can. hæc decreviſſe intellige; non item de aliis Eccleſiaſticis officiis. Quoniam autem dicunt quidam, & quamobrem Patriarcha univerſalis ſanctâ dominicâ à loco ejus prodiens non perſeverat uſq; ad liturgiæ abſolutionem; ſed poſt evangelium recedit: Hiſce dicimus, quod divina liturgia poſt ſancti Evangelii lectionem proprie celebratur. Quandoquidem enim in ſanctis Eccleſiis omnia canimus in Dei gloriam, ſive è veteri ſint teſtamento, ſive è novo; poſt principium enim protinus ordine recitantur pſalmi, uſque ad Apoſtoli lectionem qui quidem ſunt ex veteri teſtamento; Poſt evangelium autem incipit cæremonia celebrandi incruenti ſacrificii: Patriarcha ante hanc, & poſt ſanctum Evangelium rectè diſcedit, & can. non tranſgreditur. Ut nec quis tranſgreditur, ſi poſt evangelium vel ante evangelium diſcedit; verum ob neceſſariam piamque cauſam, non ob vituperabilem.

Zonar. Quæ hujus quoq; Syn. Patres decrevere, nono Apoſtolico can. reſpondent. Illo namq; quicunq; fideles Eccleſiam ingrediuntur, & ſcripturas audiunt, tum precatione ſanctâq; communione nondum peractis diſcedunt, ut confuſionis in Eccleſiâ autores ſegregari oportere decernitur. Hîc igitur eodem modo Patres, quicunque Eccleſiam adeuntes precationi haud aſſiſtunt, neq; communicant, ex quadam perverſitate ac licentia, hoc eſt, nulla juſta cauſa interdicente, ſed petulanter ac temere; eos extra Eccleſiam expelli, hoc eſt, ſegregari atque extra fidelium cætum eliminari juſſere. Averſionem porro hoc loco Patres, non odium erga divinam communionem nuncupavere, quo impulſi quidam ab illa abſtinent; ſed quandam ab ea fugam, à reverentia fortaſſe veluti ab animi demiſſione profectam. Qui namq; ex odio & animi offenſione ſacram communionem averſarentur; eos non ſegregatione, ſed omnino abſoluta excommunicatione atq; anathemate damnari oportuiſſet. Ex eo vero, quòd ſegregationis mentio injecta eſt, illud quoque addidere; ut ne cuiquam cum iis, qui communione moti vel extra Eccleſiam ejecti ſunt, communicare, neq; in privata domo cum iis precationi vacare, neq; vero in alteram eos Eccleſiam admitti liceat: qui vero ejuſmodi homines ad precationis ſocietatem aut in Eccleſiam receperint, quippe can. Eccleſiaſtici turbatores, ipſos quoq; communione privatos eſſe. Eadem x. & xi. ſanctorum Apoſtolorum can. conſtituta fuerant; xxxiii. quoque Laodicenæ Syn. canon hæreticos aut ſchiſmaticos ad precationis ſocietatem admitti vetat.

Ariſt. *Qui Eccleſiam ingreditur, & ſacras ſcripturas attentè audit, deinde deſpicit, & egreditur, & averſatur communionem, ejiciatur, uſque dum pœnitentiæ fructum oſtendens, veniam aſſequatur. Et qui cum excommunicato communicat, excommunicatus erit, & qui iis comprecatur, qui Eccleſiæ non comprecantur, reus eſt, & qui eum ſuſcipit qui Eccleſiæ conventibus non intereſt, non eſt extra culpam.*

Ille etiam Eccleſiâ eſt ejectus qui in oratione cum populo non communicat, ſed ante abſolutionem exit, ut divinam participationem contemnens & averſans, uſque dum reſipiſcens, pœnitentiæ fructum oſtenderit: ſed ardenti animo pœnitentiam agens, admittitur. Qui eum autem qui Eccleſiæ ſe non conjungit, nec cum fidelibus comprecatur, recipit, & privatim cum eo comprecatur, vel etiam in aliâ Eccleſiâ, pœnis Canonicis obnoxius erit. Quemadmodum & qui cum excommunicato communicat, erit excommunicatus.

Canon III.

Si quis Presbyter, vel Diaconus, vel quis omnino ex ſacerdotali ordine, relicta ſua parœcia, in aliam abierit; deinde omnino commigrans, in alia parœcia longo tempore verſari conatur, ne amplius celebret; maxime ſi proprio vocanti Epiſcopo, ut in ſuam parœciam redeat, exhortantique, non pareat. Si autem in inſolentia perſeverat, is

A κουμενικὸς πατριάρχης τὴν ἁγίαν κυριακὴν προκύπτων ἀπὸ τοῦ στασιδίου αὐτοῦ οὐ καρτερεῖ μέχρι τῆς ἀπολύσεως τῆς λειτουργίας, ἀλλὰ μετὰ τὸ εὐαγγέλιον ὑποχωρεῖ; λέγομεν πρὸς αὐτοὺς, ὅτι κυρίως ἡ θεία λειτουργία μετὰ τὴν τοῦ ἁγίου εὐαγγελίου ἀνάγνωσιν γίνεται. ἐπεὶ γὰρ ἅπαντα τὰ ἐν ταῖς ἁγίαις ἐκκλησίαις ψαλλόμενα εἰς δόξαν τοῦ θεοῦ, ἢ ἀπὸ τῆς παλαιᾶς διαθήκης εἰσὶν ἢ ἀπὸ τῆς νέας· μετὰ τὴν ἔναρξιν γὰρ αὐτίκα ψαλμοὶ στιχολογοῦνται, μέχρι τῆς τοῦ ἀποστόλου ἀναγνώσεως, οἵτινες τῆς παλαιᾶς εἰσὶ διαθήκης· μετὰ δὲ τὸ εὐαγγέλιον ἄρχεται ἡ τελετὴ τῆς λειτουργίας τῆς ὑπεραχράντου θυσίας· καλῶς ὁ πατριάρχης πρὸ ταύτης καὶ μετὰ τὸ ἅγιον εὐαγγέλιον ὑποχωρεῖ, καὶ οὐ προσκρούει τοῖς κανόσιν. ὥστε οὐδέ τις B προσκρούει, εἰ μετὰ τὸ εὐαγγέλιον ἢ πρὸ τοῦ εὐαγγελίου ἀποχωρεῖ, πλὴν διὰ ἀναγκαίαν καὶ εὐσεβῆ αἰτίαν, καὶ μὴ ἐπίψογον.

ΖΩΝΑΡ. Ἀκολούθως τῷ ἀποστολικῷ ἐννάτῳ κανόνι οἱ τῆς παρούσης συνόδου πατέρες διετάξαντο. λέγει γὰρ ἐκεῖνος, πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή. καὶ οὗτοι τοίνυν τοὺς εἰσιόντας εἰς ἐκκλησίαν, καὶ μὴ προσμένοντας τῇ εὐχῇ, μηδὲ μεταλαμβάνοντας κατά τινα ἀταξίαν, ἤγουν οὐ δι' αἰτίαν εὔλογον, ἀλλ' ἀτάκτως καὶ ἀναιτίως, ἀποβλήτους γίνεσθαι τῆς ἐκ- C κλησίας διωρίσαντο, ἤγουν ἀφωρισμένους καὶ ἔξω τῆς συνάξεως τῶν πιστῶν. ἀποστροφὴν δὲ ἐνταῦθα οἱ πατέρες, οὐ τὸ μῖσος τὴν θείαν μετάληψιν ὠνόμασαν, καὶ διὰ τοῦτο ἀνέχεσθαι τῆς κοινωνίας, ἀλλὰ τὸ ἀποφεύγειν αὐτὴν, δι' εὐλάβειαν τάχα, καὶ οἷον διὰ ταπεινοφροσύνην. εἰ γὰρ ὡς μισοῦντες καὶ μυσαττόμενοι τὴν ἁγίαν μετάληψιν ἀπεστρέφοντο ταύτην, οὐκ ἂν ἀφορισμῷ, ἀλλ' ἀποκηρύξει τελείᾳ καὶ ἀναθέματι κατεδικάσθησαν ἄν. ἐπεὶ δὲ ἀφορισμοῦ ἐμνήσθησαν, προσέθεντο καὶ τὸ μὴ ἐξεῖναι τινὶ κοινωνεῖν τοῖς ἀκοινωνήτοις καὶ τοῖς ἀποβληθεῖσι τῆς ἐκκλησίας, μήτε ἐν οἴκῳ τινὰς συνεύχεσθαι, μήτε μὴν D ἐν ἑτέρᾳ ἐκκλησίᾳ αὐτοὺς ὑποδέχεσθαι· τοὺς δὲ τοῖς τοιούτοις συνευχομένους ἢ ὑποδεχομένους αὐτοὺς εἰς ἐκκλησίαν, ἀκοινωνήτους κἀκείνους εἶναι, ὡς συγχέοντας τὸν κανόνα τῆς ἐκκλησίας. τὰ αὐτὰ δὲ καὶ ὁ ι΄. καὶ ια΄. τῶν ἱερῶν ἀποστόλων κανὼν ἔφη, καὶ λγ΄. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου φησὶν, ὅτι οὐ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνεύχεσθαι.

ΑΡΙΣΤ. Ὁ εἰς ἐκκλησίαν εἰσιὼς, καὶ προσέχων τῇ ἱερᾷ γραφῇ· εἶτα περιφρονῶν, καὶ ἐξιὼν, καὶ ἀποστρεφόμενος τὴν μετάληψιν· ἀπόβλητος, ἕως ἂν ἐπιδειξάμενος καρπὸν μετανοίας, συγγνωμονηθῇ. καὶ ἀ- E κοινωνήτῳ κοινωνῶν ἔσται ἀκοινώνητος. καὶ ὁ συνευχόμενος τοῖς μὴ τῇ ἐκκλησίᾳ συνευχομένοις, ὑπόδικος· καὶ τὸν μὴ εἰς ἐκκλησίαν συναγόμενον ὁ ὑποδεχόμενος οὐκ ἀναίτιος.

Ἀπόβλητος καὶ οὗτος τῆς ἐκκλησίας, ὁ μὴ συγκοινωνῶν τῷ λαῷ τῆς εὐχῆς, ἀλλ' ἐξερχόμενος πρὸ τῆς ἀπολύσεως· ὡς περιφρονῶν καὶ ἀποστρεφόμενος τὴν θείαν μετάληψιν. ἕως ἂν μεταμεληθεὶς, καρπὸν μετανοίας ἐνδείξηται μετανοήσας θερμῶς, παραδεχθήσεται. ὁ δὲ τὸν εἰς ἐκκλησίαν μὴ συναγόμενον, καὶ συνευχόμενον τοῖς πιστοῖς παραδεξάμενος, καὶ κατ' οἴκους αὐτοῦ συνευξάμενος, ἢ καὶ ἐν ἑτέρᾳ F ἐκκλησίᾳ, τοῖς κανόσιν ὑπόδικος ἔσται· καθάπερ δὴ καὶ ὁ ἀκοινωνήτῳ κοινωνῶν, ἔσται ἀκοινώνητος.

ΚΑΝΩΝ γ΄.

Εἴ τις πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου τις καταλειπὼν τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθῃ, ἔπειτα παντελῶς μεταστὰς, διατρίβειν ἐν ἄλλῃ παροικίᾳ πειρᾶται ἐπὶ πολλῷ χρόνῳ, μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ Ἐπισκόπῳ τῷ ἰδίῳ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ καὶ παραινοῦντι μὴ ὑπακούει. εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως. εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος Ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς Συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς.

ΒΑΛΣ. Περὶ τῶν καταλιμπανόντων τὰς οἰκείας παροικίας καὶ εἰς ἑτέρας ἀπερχομένων, ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα ιε΄. τῆς α΄. συνόδου κανόνα ις΄. καὶ τῆς δ΄. κανόνα ε΄. καὶ μάθῃς ἐκ τῶν ἐν τούτοις γραφέντων καὶ τὰ ἐν τῷ παρόντι κανόνι διωρισμένα.

Ἑτέρα ἑρμηνεία.

Ἐπειδὴ τινῶν πρεσβυτέρων διακόνων καὶ ὑποδιακόνων οἰκειοθελῶν, οὐκ ἐξ ἐπιτιμίου, ἐπὶ πολὺν χρόνον μὴ ἱερουργησάντων, πάλιν δὲ βουλομένων ἱερουργεῖν, καὶ κωλυομένων, συνεζητήθη πόσος νοηθήσεται χρόνος ὁ τὴν ἱερουργίαν ἀφαιρούμενος ἀπὸ τοῦ μὴ ἐνεργήσαντος ταύτην δι' ὅλου αὐτοῦ; λέγω, ὅτι πολὺς χρόνος ἀπὸ τοῦ νόμου ἡ τριετία ἐστίν. εἰ γοῦν ἱερωμένος τις δι' ὅλης τριετίας οὐκ ἐνεργήσει, μήτε ἀπὸ νόσου, μήτε ὑπὸ αἰχμαλωσίας, ἢ ἄλλης τοιαύτης κωλυόμενος αἰτίας, οὐκέτι λειτουργῆσαι παραχωρηθήσεται. εἰ γὰρ κατὰ τὸν παρόντα κανόνα καθαιρεῖται ὁ εἰς ἑτέραν παροικίαν διατρίβων ἐπὶ πολὺν χρόνον ἤγουν τριετίαν, ἴσως δὲ καὶ ἐνεργῶν ἐκεῖσε· πολλῷ πλέον οὐ παραχωρηθήσεται ἱερουργῆσαι ὁ τὴν οἰκείαν διακονίαν ἐπὶ τριετίαν ἀποστραφεὶς ἢ καὶ ἀναξιότητος ἑαυτὸν καταψηφισάμενος. συνίστω δὲ τοῦτον καὶ ἀπὸ τοῦ γεγονότος σημειώματος κατὰ τὸν μάρτιον μῆνα τῆς γ΄. ἰνδικτ. ἐπὶ τῆς πατριαρχίας τοῦ κυροῦ Νικολάου, λέγοντος ἐν μέρει ῥητῶς ταῦτα, πλὴν κοινῶς ὥρισται παρὰ πάντων τῶν ἐν πάσαις ταῖς ἑβδομάσιν ὑπηρετουμένων ἱερέων τε καὶ διακόνων, περὶ μὲν τῶν ἐν βαθμῷ ὃ καὶ πάλαι διώρισται. περὶ δὲ τῶν περιττῶν, τὸν μέλλοντα τῆς πόλεως ἐκδημεῖν κατά τινα χρείαν συνταξάμενον τῷ ἀρχιδιακόνῳ καὶ τοῖς πρωτεύουσιν ἐν τῇ ἑβδομάδι τὴν ἀποδημίαν στέλλεσθαι, ἐφ' ἓξ μὲν μῆνας· οὐδὲ σούπερον ἀντ' αὐτοῦ ἐνιστῶντα, μετὰ δὲ τούτοις ἕως πέρατος τριετίας ἕτερον ἀντ' αὐτοῦ τῇ δουλείᾳ ὑποβάλλοντα, ἵνα ἡ παρὰ τὴν ἐκκλησίαν διακονία αὐτοῦ ἀναπληροῦται διὰ τοῦ ἀντισήκου. εἶτα εἰ μὴ δι' ὅλης τριετίας ἐπανέλθῃ, πόρρω τοῦ καθίστασθαι, καὶ ἐκπτώσειν παντάπασι τῆς ἑβδομάδος, μηδ' ὁτιοῦν αὐτῷ συμβαλλομένης τῆς τοῦ ἀντισήκου δόσεως ἢ ἐλπίδα, ἀποκαταστάσεως δυναμένης παρέχειν· εἰ δὲ καὶ τῇ βασιλευούσῃ ἐπιδημοῦντες τινὲς ταῖς διακονίαις τῆς ἑβδομάδος μὴ πάνυ τῆς οἰκείας δουλείας ἀφίστασθαι. καὶ εἰ μὲν ἕως μηνῶν ὅλων ἓξ μὴ διανασταῖεν πρὸς ὑπηρεσίαν, ἐξωθεῖσθαι· μηδένα ἄλλον, ἀλλ' ἑαυτοὺς αἰτιᾶσθαι ἔχοντας· ὅτι παρόντες μῆνας ὅλους ἓξ ὕπνωσαν, καὶ ἐρραθύμησαν μὴ προσέχοντες τῇ ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης πολλοὶ κανόνες ἐξεφωνήθησαν. ὅ τε γὰρ ιε΄. κανὼν τῶν ἁγίων ἀποστόλων τὰ αὐτὰ προεψηφίσατο, ὁ τῆς ἐν Νικαίᾳ τε πρώτης συνόδου ις΄. κανὼν τὰ ὅμοια ἀπεφήνατο, καὶ ὁ ε΄. κανὼν τῆς δ΄. συνόδου τοὺς ἤδη τεθέντας κανόνας ἐπεβεβαίωσε. τὰ γοῦν ἐν ἐκείνοις γραφέντα ἀρκοῦσιν εἰς ἐξήγησιν καὶ τοῦ παρόντος κανόνος.

ΑΡΙΣΤ. Εἴ τις κληρικὸς καταλιπὼν τὴν ἰδίαν παροικίαν, εἰς ἑτέραν ἀπέλθοι, εἶτ' ἐκεῖθεν μεταστὰς, ἐν ἄλλῃ ἐπὶ μακρὸν διατρίβοι, μηκέτι λειτουργείτω· μάλιστα εἰ καλούμενος παρὰ τοῦ ἰδίου Ἐπισκόπου, μὴ ἐπανέλθοι. εἰ δὲ ἐπιμένοι τῇ ἀταξίᾳ, καθαιρείσθω, μηκέτι ἔχων ἀποκατάστασιν. καὶ εἴ τις Ἐπίσκοπος δέχεται τὸν οὕτω καθῃρημένον, ἐπιτιμάσθω παρὰ κοινῆς Συνόδου, ὡς τοὺς ἐκκλησιαστικοὺς παραλύων θεσμούς.

Τὰ αὐτὰ τῷ πεντεκαιδεκάτῳ ἀποστολικῷ κανόνι καὶ ὁ παρὼν κανὼν διαγορεύει· τὸ μή τινα τῶν πρεσβυτέρων, ἢ τῶν διακόνων, ἢ ὅλως τῶν τοῦ ἱερατικοῦ καταλόγου, καταλιπόντα τὴν ἑαυτοῦ παροικίαν, καὶ εἰς ἑτέραν ἀπελθόντα, καὶ ἐπὶ μακρὸν χρόνον ἐν αὐτῇ διατρίβοντα, λειτουργεῖν· καὶ μάλιστα εἰ παρὰ τοῦ ἰδίου Ἐπισκόπου καλοῖτο, καὶ μὴ ὑπακούοιτο ὑποστρέψαι. τὸν δὲ ἐπιμένοντα τῇ τοιαύτῃ ἀταξίᾳ, καὶ καθαιρεῖσθαι, μηδὲ

omnino à ſacro miniſterio deponatur, ut nec amplius redeundi locum inveniat. Si autem eum, qui propter hanc cauſam depoſitus eſt, alius Epiſcopus receperit; ille quoque à communi Synodo puniatur, ut qui ritus Eccleſiaſticos diſſolvat.

Bals. De iis, qui ſuas parœcias relinquunt, & in alias recedunt, quære Canonem ſanctorum Apoſtolorum xv. primæ Synodi. Can xvi. & iv. can. v. & & diſces ex iis, quæ illic ſcripta ſunt, etiam ea quæ hoc Canone conſtituta fuere.

Altera Interpretatio.

Quoniam nonnulli Presbyteri, Diaconi & Hypodiaconi, qui ſua ſponte, & non ob pœnam iis impoſitam, ſacra aliquandiu non celebrant; rurſus ſacra peragere volentes prohibiti ſunt; quæſitum eſt quantum ſit tempus, quod ſacrorum celebrationem ei adimit, qui eam non omnino exercuit? Dico quod multum tempus ex lege eſt triennium. Si ergo ſacerdos quiſpiam toto triennio non celebrat, non morbo, nec captivitate, nec aliâ ejuſmodi causâ impeditus; non amplius celebrare ſinetur. Si enim, ut vult hic præſens can. deponitur, qui longo tempore, triennio ſcilicet in alienâ parœciâ verſatur, licet etiam fortaſſis illic celebret, multo magis qui ſuum miniſterium per triennium averterit, vel ſe etiam indignitatis condemnaverit, celebrare non ſinetur. Hoc autem probo & ex edicto facto menſe Martio Indict. iii. tempore S. Patriar. D. Nicolai quod ſic præcisè dicit; ſed communiter definitum eſt de omnibus qui in omnibus ſeptimanis deſerviunt, ſacerdotibus & Diaconis, de iis quidem qui ſunt in gradu, quod & olim definitum fuit. De ſuperfluis autem, eum, qui à magnâ urbe peregrè profecturus eſt, aliquam cauſam neceſſariam ſignificantem Archidiacono, & iis qui in hebdomade primas gerunt, peregre proficiſci ad ſex menſes; nec alium ſuperum quidem loco ſuo ſubſiſtentem, poſtea autem ad finem uſque triennii, alterum pro ſe ſervitio ſubjicientem, ut Eccleſiæ miniſterium ei ſuppleatur per ſubſtitutum. Deinde ſi poſt integrum triennium non redierit, procul conſtituatur,& ab hebdomade omnino excidat, nihil eum juvante ſubſtituti datione vel reſtitutionis ſpem præbere valente. Si autem ſunt etiam quidam in urbe Imperiali, in hebdomadis miniſteriis vacare non ſinuntur, nec à proprio officio recedere; & ſi non ad ſex uſque menſes ad miniſterium redierint, extruduntur, nullum alium quem accuſent præter ſeipſos habentes; quod præſentes ſex menſes dormierint & ſacordiæ ſe dederint nullam Eccleſiæ curam gerentes.

Zonar. In hanc ſententiam multi Canones editi ſunt. Nam & ſanctorum Apoſtolorum decimoquinto, eadem, & Nicænæ primæ Synodi decimoſexto, valde his affinia, conſtituta ſunt; & Canones ante id tempus editi quinto quartæ Synodi Canone confirmati fuere. Quapropter ex iis, quæ in illos Canones ſcripſimus, hujus quoque explicationi ſatisfactum putamus.

Arist. *Si quis Clericus, ſua parochiâ relictâ ad aliam abierit, deinde illinc commigrans, in aliâ longo tempore verſetur, ne amplius ſacra peragat; præſertim ſi à proprio vocatus Epiſcopo non regrediatur. Si vero in inſolentiâ perſeveret, deponatur, nec ullam poſtea redeundi poteſtatem habeat. Et ſi quis Epiſcopus ſic depoſitum ſuſceperit, à communi Synodo puniatur, ut leges diſſolvens Eccleſiaſticas.*

Eadem quæ decimus quintus canon Apoſtolicus & hic Canon jubet, neminem viz. Presbyterorum aut Diaconorum aut aliorum omnino qui in ſacerdotali ſunt catalogo ſuam relinquentem parœciam & ad alteram proficiſcentem, & multum in eo abſumentem temporis ſacra peragere: & præſertim ſi à proprio Epiſcopo vocatus fuit & morem non geſſit nec redire voluit. Eum autem qui in iſtiuſmodi confuſione permanet, deponi, nec ſpem reſtituſtitutionis habere. Sed & Epiſcopum qui ita depoſitum ut Clericum admittit, ut legum Eccleſiaſticarum transgreſſorem caſtigari mandat à communi Synodo, quando omnium provinciæ Epiſcoporum fit conventus ob Eccleſiaſticas incidentes controverſias & quæſtiones Canonicas.

CANON IV.

Si quis Epiſcopus à Synodo, vel Presbyter aut Diaconus à proprio Epiſcopo depoſitus, aliquid de miniſterio agere auſus fuerit; ſive Epiſcopus ſecundum præcedentem conſuetudinem, ſive Presbyter, ſive Diaconus, nullam amplius ſpem reſtitutionis in alia Synodo, neque defenſionis locum ei habere liceat. Sed & omnes, qui ei communicant, ex Eccleſia ejiciantur, & maximè ſi cum ſententiam adverſus prædictos prolatam didicerint, eis communicare auſi fuerint.

BALS. Viceſimus quidem octavus Canon Apoſtolicus abdicat eos, qui juſtè depoſiti fuerint, & rurſus prius miniſterium attingunt. Præſens autem Canon dicit eos non habere ſpem reſtitutionis vel per judicium alterius Synodi, & eos, qui illis ſcientes communicant, ex Eccleſia ejici. Videntur ergo Canones non exæquari. Puto autem eos in omnibus convenire. Definiunt enim, ut duobus modis puniantur ii, qui poſt perfectam condemnationem aliquid ſacerdotale exercent. Apoſtilicus itaque can. dicit eos, qui juſtè depoſiti fuerint, ſcilicet qui non habent appellationis auxilium, & aliquid ſacerdotale exercent, abdicari. Præſens autem can. illi conſimiliter, primum quidem decernit ab alia Synodo non admitti eos, qui à perfectâ Synodo, Conſtantinopolitana, verbi gratia, depoſiti fuerint, adverſus quam non eſt appellatio; nec eos etiam, qui bis appellaverunt, & victi ſunt, & poſtquam appellationis auxilium eis denegatum fuerit, aliquid ſacerdotale exercent. Deinde per id quod dicit, eos ex Eccleſia ejici, qui ipſis communicant; debere ipſos etiam abdicatos fieri dicere videtur. Sic interpretare Canones; nec dixeris eum, qui eſt à Synodo depoſitus, & habet auxilium appellationis, ſi poſt depoſitionem aliquid ſacerdotale exerceat eſſe abdicatum, & appellationis auxilium perdere, ut nonnulli dixerunt. Dices enim repugnantia & Canonibus & diverſis legibus, quæ ſtatuunt, eos, qui ſunt condemnati integrum & intactum ſtatum habere, donec de appellatione cognitum fuerit: præcipuè autem quarto Can. Sardic. Syn. quem etiam lege. Quære etiam xiii. & xv. can. præſentis Syn. & Sardic. Syn. can. iv. qui hos tollit; & lib. iii. Baſilic. tit. i. cap. xlv. cujus principium eſt; Si autem aliqui ſanctiſſimi Epiſcopi: & ſcies, quomodo & à quibus de cauſis criminalibus judicantur Epiſcopi & Clerici; & quando & à quibus appellant condemnati.

ZONAR. Epiſcopi quidem, ſi accuſentur, ipſorum cauſam à Synodo examinari ac definiri oportet: de Presbyteris vero, Diaconis, aliiſque inferioribus Clericis proprio Epiſcopo judicare ac ſententiam ferre permiſſum eſt. Quod ſi injuſte ſe damnatos querantur, à Metropolitano Synodóque provinciæ, ex hujus Synodi ſexto Can. & ex Sardicenſis Synodi can. tertio & quinto, lata ab Epiſcopo ſententia examinari debet. Extat quoque de ea re decretum, lib. iii. titulo i. cap. xxii. Baſilic. cujus initium; ſi qua vero inter reverendiſſ. ejuſdem Synodi Epiſcopos controverſia exorta ſit. Hinc igitur ſunt illa hujus Canonis verba; Si quis Epiſcopus à Synodo depoſitus, &c. aliquam liturgiæ partem attingere auſus fuerit (liturgiæ nomine hoc loco, non ſacrorum celebratio incruentique ſacrificii oblatio ſolùm; ſed omnes præterea ſummi ſacerdotii functiones intelliguntur. Proinde etiamſi à ſacro faciendo abſtineat; baptiſmum tamen miniſtret, aliave, quæ ex precedente, hoc eſt, inveterata an-

A ἐλπίδα ἀποκαταστάσεως ἔχοντα. ἀλλὰ καὶ τὸν Ἐπίσκοπον τὸν παραδεξάμενον, ὡς κληρικὸν, τὸν οὕτω καθῃρημένον ἐπιτιμᾶσθαι προστάττει παρὰ τῆς κοινῆς συνόδου, ὅτε συνέλευσις πάντων τῶν Ἐπισκόπων τῆς ἐπαρχίας, διὰ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας, καὶ τὰ κανονικὰ ζητήματα, γίνεται, ὡς παραβάτην τῶν τῆς ἐκκλησίας θεσμῶν.

ΚΑΝΩΝ δ'.

Εἴ τις Ἐπίσκοπος ὑπὸ Συνόδου καθαιρεθεὶς, ἢ πρεσβύτερος ἢ διάκονος ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου, τολμήσειέν τι πρᾶξαι τῆς λειτουργίας, εἴτε ὁ Ἐπίσκοπος κατὰ τὴν προάγουσαν συνήθειαν, εἴτε ὁ πρεσβύτερος, εἴτε ὁ διάκονος, μηκέτι B ἐξὸν εἶναι αὐτῷ, μηδ' ἐν ἑτίρᾳ συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χώραν ἔχειν. ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς ἐκκλησίας, καὶ μάλιστα, εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν τολμήσειεν αὐτοῖς κοινωνεῖν.

ΒΑΛΣ. Ὁ μὲν κη'. ἀποστολικὸς κανὼν ἀποκηρύττει τοὺς καθαιρεθέντας δικαίως, καὶ αὖθις τῆς προτέρας ἐνεργείας ἁπτομένους. ὁ δὲ παρὼν κανών φησι, μὴ ἔχειν αὐτοὺς ἐλπίδα ἀποκαταστάσεως ἢ διὰ ἐπικρίσεως ἑτέρας συνόδου· καὶ τοὺς κοινωνοῦντας τούτοις ἐν εἰδήσει ἀποβλήτους εἶναι ἐκ τῆς ἐκκλησίας. δοκοῦσιν οὖν οἱ C κανόνες μὴ ἐξισοῦσθαι. οἶμαι δὲ συμφωνεῖν ἐν πᾶσιν αὐτούς. διορίζονται γὰρ κατὰ δύο τρόπους κολάζεσθαι τοὺς μετὰ ἐντελῆ καταδίκην ἱερατικόν τι ἐνεργοῦντας. ὁ μὲν οὖν ἀποστολικὸς κανών φησι, τοὺς δικαίως καθαιρεθέντας, ἤγουν μὴ ἔχοντας βοήθειαν ἐκκλήτου, καὶ ἐνεργήσαντας, ἱερατικόν τι, ἀποκηρύττεσθαι· ὁ δὲ παρὼν κανὼν παρομοίως ἐκείνῳ, πρῶτον μὲν διορίζεται μὴ προσδέχεσθαι παρ' ἑτέρας συνόδου τοὺς ὑπὸ συνόδου τελείας καθαιρεθέντας, τῆς ἐν Κωνσταντινουπόλει τυχὸν, καθ' ἧς οὐδὲ ἔκκλητός ἐστι· καὶ τοὺς δὲ ἐκκαλεσαμένους καὶ ἡττηθέντας καὶ μετὰ τὸ ἀπαγορευθῆναι αὐτοῖς τὴν βοήθειαν τῆς ἐκκλήτου, ἐνεργήσαντας ἱερατικόν τι. εἶτα διὰ ὧν φησὶν ἐκβάλλεσθαι ἀπὸ τῆς ἐκκλησίας καὶ τοὺς κοινωνοῦντας αὐτοῖς, δοκεῖ λέγειν καὶ ἀποκηρύκτους ὀφείλειν γίνεσθαι αὐτούς. οὕτως D ἑρμήνευσον τοὺς κανόνας, καὶ μὴ εἴπῃς τὸν καθαιρεθέντα ὑπὸ συνόδου καὶ ἔχοντα βοήθειαν ἐκκλήτου, ἐνεργοῦντα ἱερατικόν τι μετὰ τὴν καθαίρεσιν, ἀποκήρυκτόν τε εἶναι καὶ τὴν βοήθειαν ἐκκλήτου ἀπολλύειν, καθὼς τινες εἶπον. ἐναντιωθήσῃ γὰρ κανόσι καὶ νόμοις διαφόροις, διοριζομένοις ἀκεραίαν ἔχειν τὸν καταχριθέντα τὴν οἰκείαν κατάστασιν, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου γυμνασθῶσιν· ἐξαιρέτως δὲ τῷ δ'. κανόνι τῆς ἐν Σαρδικῇ συνόδου, ὃν καὶ ἀνάγνωθι. ζήτει τὸν ιγ'. καὶ ιε'. κανόνα τῆς παρούσης Συνόδου, καὶ τῆς ἐν Σαρδικῇ κανόνα δ'. ἀναιροῦντα τούτους· καὶ βιβλίου τῶν βασιλικῶν γ'. τίτλου α'. κεφάλαιον με'. οὗ ἡ ἀρχὴ, εἴ τινες δὲ ὁσιώτατοι Ἐπίσκοποι· καὶ μάθῃς πῶς καὶ παρὰ τίσι δικάζονται περὶ ἐγκληματικῶν ὑποθέσεων Ἐπίσκοποι καὶ κληρικοὶ, καὶ πότε καὶ παρὰ τίσιν ἐκκαλοῦνται καταδικαζόμενοι.

ΖΩΝΑΡ. Οἱ μὲν Ἐπίσκοποι ἐπὶ ἐγκλήμασι κατηγορούμενοι, Συνόδου δέονται δικαζούσης καὶ ἀποφαινομένης· οἱ δὲ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ οἱ καθεξῆς κληρικοὶ, ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου δικάζονται, καὶ αὐτῷ ψηφίζεσθαι δέδοται. εἰ δέ φασιν ἀδικεῖσθαι οἱ καταψηφισθέντες, ὑπὸ τοῦ μητροπολίτου καὶ τῆς Συνόδου τῆς ἐπαρχίας ἡ ψῆφος σκοπεῖται, κατὰ τὸν ἕκτον κανόνα τῆς Συνόδου ταύτης, F καὶ κατὰ τὸν τρίτον καὶ πέμπτον κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου. περὶ τούτου δὲ νομοθετεῖ καὶ βιβλίον τῶν βασιλικῶν τρίτον, τίτ. α'. κεφάλαιον κβ'. οὗ ἡ ἀρχὴ, εἴ τινες δὲ ὁσιώτατοι Ἐπίσκοποι τῆς αὐτῆς Συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν. διὰ ταῦτα τοίνυν ὁ παρὼν κανὼν εἶπεν, εἴ τις Ἐπίσκοπος ὑπὸ Συνόδου καθαιρεθεὶς, καὶ τὰ ἐφεξῆς, τολμήσει πρᾶξαί τι τῆς λειτουργίας (λειτουργίαν ἐνταῦθα οὐ τὴν ἱερουργίαν καὶ τὴν τελετὴν τῆς ἀναιμάκτου θυσίας φησὶ μόνην, ἀλλ' ἅπαν ἀρχιερατικὸν δίκαιον. κἂν γὰρ οὐχ ἱερουργήσῃ, βαπτίσῃ δὲ, ἢ ἕτερον ποιήσῃ ἀρ-

χιερ

χιερεῖ προσῆκον, κατὰ τὴν προάγουσαν συνήθειαν, ἤγουν κατὰ τὸ κρατῆσαν παλαιὸν ἔθος) ἢ πρεσβύτερος ἢ διάκονος, μὴ ἐξέστω αὐτῷ, κἂν λέγῃ μὴ καταδικασθῆναι, ἑτέρᾳ συνόδῳ προσέρχεσθαι, καὶ ζητεῖν δοκιμασθῆναι τὴν κατ' αὐτοῦ ψῆφον, μηδὲ χώραν αὐτοῦ ἀπολογίας παρέχεσθαι, ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτοῖς, μαθόντας τὴν κατ' αὐτῶν ἀπόφασιν, ἀφορίζεσθαι καὶ ἐξωθεῖσθαι τῆς ἐκκλησίας. καὶ ὁ κθ'. τῆς ἐν Καρθαγένῃ Συνόδου κανὼν λέγει καθ' ἑαυτοῦ τὸν τοιοῦτον τὴν δίκην προάγειν. φαίνεται οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τῶν ἀμφοτέρων μνημονευθέντων, ὅτι ἔξεστι τῷ δικαζομένῳ Ἐπισκόπῳ, ἀδικεῖσθαι ὑπολαμβάνοντι, ζητεῖν ὑφ' ἑτέρων διαγνωμονηθῆναι τὴν κατ' αὐτοῦ ἀπόφασιν. καὶ ὁ ιε'. δὲ ταύτης τῆς Συνόδου κανὼν ἐναντιοῦσθαι δοκεῖ τῷ παρόντι κανόνι, λέγων, εἴ τις Ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων, πάντες τε σύμφωνον μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον, τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι· ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν τῆς ἐπαρχίας Ἐπισκόπων ἀπόφασιν. δοκοῦσι μὲν οὖν, ὡς εἴρηται, ἐναντίοι ἀλλήλοις οἱ κανόνες οὗτοι, οὐκ εἰσὶ δέ. ἀλλ' ὁ μὲν τέταρτος κανὼν περὶ καταψηφισθέντος ὑπὸ συνόδου φησὶν, ἤγουν τινῶν Ἐπισκόπων τῆς ἐπαρχίας συνελθόντων καὶ ἀποφηναμένων, διὸ καὶ δίδωσι τῷ νομίζοντι ἀδικεῖσθαι, ζητεῖν καὶ δευτέραν ἐξέτασιν· ὁ δὲ ιε'. περὶ ψήφου φησὶ παρὰ πάντων ὁμοῦ τῶν τῆς ἐπαρχίας Ἐπισκόπων συμφώνως ἐξενεχθείσης. ὥστε ὅτε μὲν τινες τῶν ἐπαρχιωτῶν Ἐπισκόπων κατά τινος ἀποφήνωνται, δυνήσεται ὁ καταδικασθεὶς καὶ εἰς δευτέραν ζήτησιν τὴν δίκην καταγαγεῖν· ὅτε δὲ οἱ τῆς ἐπαρχίας πάντες Ἐπίσκοποι κατά τινος ὁμογνωμονήσαντες ἀπόφασιν ποιήσουσι σύμφωνον, οὐκέτι τῷ καταδικασθέντι δοθήσεται ἄδεια τὴν ψῆφον ἐκείνην ἀναπαλαίειν· ὡς ἐξ ἀντιδιαστολῆς νοεῖσθαι, ὅτι κἂν πάντες συνέλθοιεν, οὐχ ὁμοφωνήσωσι δὲ ἀλλήλοις περὶ τὴν ψῆφον, ἔξεσται καὶ τότε τῷ καταδικαζομένῳ ζητεῖν τὴν κατ' αὐτοῦ τηρηθῆναι ἀπόφασιν· καὶ περὶ τούτου ἀνάγνωθι καὶ τὸν ιδ'. κανόνα ταύτης τῆς Συνόδου.

A tiqua conſuetudine, ſummi ſacerdotis propria munia
ſunt) vel Presbyter aut Diaconus quamvis injuſte ſe
damnatum fuiſſe contendat audiri hominem in altera Syn.
& de illius damnatione iterum ipſo poſtulante cognoſci,
aut alium ei defenſionis locum concedi, ne liceat,
Quinetiam quicunque illorum damnatione cognita
ipſis communicaverint, ſegregentur & ab Eccleſia expellantur.
Et vero ejuſmodi hominem ſuo ſeipſum calculo
condemnare Synodi Carthaginenſis can. undetrigeſimus
aſſerit. Igitur, tum ex hoc canone, tum ex iis, quos ſupra
commemoravimus, facile apparet, licere Epiſcopo, qui
injuſtè ſe condemnatum exiſtimet, alios cauſæ ſuæ ac damnationis
B cognitores poſtulare: quamvis huic conſtitutioni
decimus quintus ejuſdem Synodi can. repugnare videatur;
Si quis, inquiens Epiſcopus, aliquorum criminum
coram omnibus provinciæ Epiſcopis accuſatus, conſentientibuſque
illorum ſuffragiis damnatus fuerit, is ne
amplius ab aliis judicetur; ſed ea ſententia, quam conſentientes
provinciæ Epiſcopi tulêre, rata permaneat. Videntur
ergo, ut diximus, hi can. inter ſe contrarii, ſed non ſunt
tamen. Verum iv. can. de iis agit, qui à Syn. hoc eſt, ſententia
ab aliquibus provinciæ Epiſcopis inter ſe convenientibus
pronuntiata, damnati fuerint; quamobrem & ei,
qui ſe injuſtè læſum putat, de altera quæſtione inſtituenda
C integrum eſſe decernit: At vero decimuſquintus can.
de damnatione, quam omnes ſimul provinciæ Epiſcopi
unanimi conſenſu approbavêre, eſt intelligendus. Igitur
quandocunque aliqui ex Epiſcopis provincialibus quenquam
condemnaverint, ei, qui damnatus eſt, ſecundam de
cauſa quæſtionem inſtituendi facultas erit: at ſi contra
aliquem omnes Epiſcopi provinciales conſentientibus
animis judicarint, judicium illud ei contra quem
pronuntiatum eſt, in dubium revocare amplius non licebit;
Ut facile à contrario intelligi queat, ſi minus
inter ſe de damnatione conſentiant, quamvis omnes
ſimul convenerint, tunc quoque de ſententia damnationis
D examinanda ab eo, qui damnatus eſt, quæri licere.
De hac re vide etiam Synodi hujus Canonem decimum
quartum.

ΑΡΙΣΤ. Ὁ ὑπὸ Συνόδου καθῃρημένος Ἐπίσκοπος εἰ αὐθαδειαζόμενος λειτουργήσει, μὴ ἐχέτω κατάστασιν.

Ariſt. *Epiſcopus à Synodo depoſitus, ſi ſacra celebrare auſus fuerit, redeundi poteſtatem non habeat.*

Ὁ μὲν κανὼν οὗτος ἐμφαίνει, ὡσαύτως καὶ ὁ δωδέκατος κανὼν, δύνασθαι τὸν ὑπὸ συνόδου καθαιρεθέντα Ἐπίσκοπον ἐκκαλεῖσθαι, καὶ τὴν κατ' αὐτοῦ ψῆφον, εἰ κακῶς γέγονεν, ὑφ' ἑτέρας μείζονος διορθοῦσθαι συνόδου· εἰ μή πού ὁ καθαιρεθεὶς Ἐπίσκοπος κατ' οἰκείαν αὐθάδειαν, πρὸ διορθώσεως τῆς κατ' αὐτοῦ ἀποφάσεως, τολμήσειε λειτουργεῖν. τηνικαῦτα γὰρ, οὐδὲ εἰ κακῶς λέγει καθαιρεθῆναι, ἀποκατάστασιν ἕξει, ἢ χώραν ἀπολογίας δευτέρας. ὁ δὲ πεντεκαιδέκατος κανὼν τῆς Συνόδου ταύτης φάσκει τὸν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων καθαιρεθέντα, μηκέτι δύνασθαι ἐκκαλεῖσθαι· ἀλλὰ τὴν κατ' αὐτοῦ ἀπόφασιν μένειν βεβαίαν. ὁ δὲ τῆς ἐν Σαρδικῇ Συνόδου τέταρτος καὶ πέμπτος κανὼν ἄδειαν δίδωσι τῷ ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν Ἐπισκόπων καθαιρεθέντι Ἐπισκόπῳ ἐκκαλεῖσθαι, καὶ ὑπὸ τὸν μακαριώτατον τῆς Ρωμαίων ἐκκλησίας Ἐπίσκοπον καταφεύγειν καὶ μηδὲ εἰς τὴν Ἐπισκοπὴν αὐτοῦ ψηφίζεσθαι ἕτερον, μέχρις ἂν ὁ τῆς Ρωμαίων Ἐπίσκοπος τὰ τῆς ἀποφάσεως ἐξετάσῃ, καὶ τελείαν ποιήσεται τὴν διάγνωσιν. καὶ ἔστιν ἡ γνώμη αὕτη δικαιοτέρα καὶ φιλανθρωποτέρα, καὶ κρατοῦσα καὶ νῦν.

Hic quidem canon, ut & can. duodecimus, oſtendit
Epiſcopum à Synodo depoſitum poſſe provocare, &
ſententiam contra ſe latam, ſi injuſtè facta fuit, ab alterâ
E majori emendare Synodo, niſi forſitan Epiſcopus qui
deponitur per arrogantiam ſuam ante ſententiæ contra
ſe latæ correctionem ſacra facere auſus fuerit. Tunc enim
neque licèt injuſte ſe deponi dicit, reſtitutionem
habebit, nec ſecundæ apologiæ locum. At decimus
quintus hujus Synodi canon ait, eum qui ab omnibus
in provinciâ Epiſcopis deponitur poſtea provocare non
poſſe, ſed ſententiam contra eum latam firmam manere.
At Synodi Sardicenſis quartus & quintus canon
licentiam dederunt Epiſcopo qui ab omnibus provincialibus
deponitur Epiſcopis provocare, & ad beatiſſimum
Eccleſiæ Romanæ Epiſcopum confugere, nec
F in Epiſcopatum ejus alium elegi priuſquam Romanorum
Epiſcopus ſententiam examinavit, & decretum
confirmavit; & hæc quidem ſententia juſtior & humanior
eſt, & nunc etiam obtinet.

CANON V.

Si quis Presbyter, vel Diaconus, proprio contempto Epiſcopo, ab Eccleſia ſeipſum ſegregaverit, & privatim congregationem effecerit, & altare fixerit, & Epiſcopo accerſente non obedierit, nec velit ei parêre, nec morem geſſerit primo & ſecundo vocanti; is omnino deponatur, & non amplius curationem aſſequi, nec ſuum poſſit honorem capere. Sin autem perſeveret turbas & ſeditionem in Eccleſia concitare, is per externam potentiam ut ſeditioſus caſtigetur.

BALS. Eadem cum xxxi. Canone Apoſtolico hic præſens Canon decernit; & ſufficiunt quæ illic ſcripta ſunt. Adjicit autem, ut & qui turbas excitant, & ſententiæ adverſus eos latæ, quæ quidem perfecta eſt, non ſtant, per civilium Magiſtratuum poteſtatem corrigantur. Quare nota ex præſenti Canone ſicut etiam ex ix. Can. Synodi quæ habita eſt in æde Apoſtolorum; quòd mulctare debent Epiſcopi delinquentes, non autem eos torquere. Si enim non pareant, tradent civilibus Magiſtratibus. Lege & Carthaginenſis Syn. Can. x. Syn. vi. Can. xxxi. & Syn. primæ & ſecundæ Can. xii. xiii. xiv. & xv. Conſidera ergo, nunquid etiam ex præſenti Canone ii, qui propter falſi vel læſæ Majeſtatis vel ſacrilegii crimen, vel cauſam ad religionis decreta pertinentem, vel aliquam aliam ejuſmodi cauſam, deponuntur, nec purè eloqui ac proferre & de conſciis fateri perſuadentur, à civilibus Magiſtratibus pœnis ſubjiciuntur. Scimus enim hoc variè fieri.

ZONAR. Eadem cum xxxi. ſanctorum Apoſt. Can. hic quoq; Can. decernit; quæq; eo loci diximus, ad hujus ſimul explicationem ſufficiunt. Quiddam vero præterea ad illa, quæ can. Apoſtolico continentur, hic can. adjungit, dicens, ſi vero tumultus ciere Eccleſiámq; labefactare pergat, ipſum ab externâ poteſtate veluti ſeditioſum coerceri placet. Quicunq; ait, ob conventus ſeorſim habitos depoſitione mulctatus fuit, ſi non quieſcat, ſed in Eccleſia tumultus ac perturbationes excitet, eam labefactans, hoc eſt, ſeditiones in ea commovens externæ poteſtatis, civilis nimirum, auctoritate, ut ſe ad pœnitentiam recipiat, veluti ſeditioſum volumus emendari. Conſtantinopolitanæ præterea Synodi, in templo ſanctorum Apoſtolorum congregatæ, nonus can. eos, qui Epiſcopis non obtemperant, neq; mulcta indicta reſipiſcunt, Magiſtratuum illius regionis opera coërcendos eſſe decernit. Ex quo illud ex hoc quoq; v. can. notandum eſt, quod Epiſcopis poteſtate cuiquam ſupplicia irrogandi omnino interdictum eſt: ſed ab iis mulctæ impoſitione, qui peccaverint, corrigendos; ac ſi minus paruerint, ſecularibus Magiſtratibus eſſe tradendos.

ARIST. *Omnis Presbyter, vel Diaconus qui Epiſcopum contemnit, & ab eo recedit, atque aliud altare extruit, ſi ter ab Epiſcopo vocatus in arrogantiâ perſiſtit, depoſitus ſit, & curationis ſpe deſtitutus.*

Talis Epiſcopum impietatis aut injuſtitiæ non condemnans, ut trigeſimus primus ſanctorum Apoſtolorum Canon ſtatuit, ſed ſuperbiâ & faſtu elatus juxta decimum Synodi Carthaginenſis Canonem, ſi ſeipſum ab Eccleſiâ ſeparaverit, & aliud altare ſtruxerit, & populum ſibi attraxerit privata peragens conventicula, poſtea ter ab Epiſcopo vocatus, non morem geſſerit, ſed in confuſione manſerit, dignus eſt qui omnino deponatur, & non amplius ſperet ſe curationem unquam aſſecuturum & honorem ſuum reſumpturum.

ΚΑΝΩΝ ε΄.

Εἴ τις πρεσβύτερος ἢ διάκονος, καταφρονήσας τοῦ Ἐπισκόπου τοῦ ἰδίου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔπηξε, καὶ τοῦ Ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ ὑπακούοι καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μήτε δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν. εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι.

ΒΑΛΣ. Τὰ αὐτὰ τῷ ἀποστολικῷ λα΄. κανόνι καὶ ὁ παρὼν κανὼν διορίζεται· καὶ ἀρκοῦσι τὰ ἐκεῖσε γραφέντα. προστίθησι δὲ τοὺς θορυβοῦντας καὶ μὴ ἐμμένοντας τῇ κατ᾽ αὐτῶν ἀποφάσει, ἐντελεῖ πάντως οὔσῃ, παρὰ τῆς ἀρχοντικῆς ἐξουσίας παιδεύεσθαι. ὥστε σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὥσπερ καὶ ἀπὸ τοῦ θ΄. κανόνος τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης Συνόδου, ὅτι ἐπιτιμᾶν, οὐ μὴν βασανίζειν οἱ Ἐπίσκοποι τοὺς πταίοντας ὀφείλουσι. μὴ πειθομένους γὰρ παραδώσουσι τοῖς ἄρχουσι. ζήτει τῆς ἐν Καρθαγένῃ Συνόδου κανόνα ι΄. συνόδου ϛ΄. κανόνα λα΄. καὶ συνόδου α΄. καὶ β΄. κανόνα ιβ΄. ιγ΄. ιδ΄. καὶ ιε΄. σκόπησον οὖν, μήπως ἀπὸ τοῦ παρόντος κανόνος καὶ οἱ διὰ πλαστογραφίαν ἢ καθοσίωσιν ἢ ἱεροσυλίαν ἢ δογματικὴν ὑπόθεσιν ἢ ἄλλην τοιαύτην αἰτίαν τινὰ καθαιρούμενοι, καὶ μὴ πειθόμενοι ἐξαγορίαν καθαρὰν ποιῆσαι, καὶ περὶ τῶν συνιστόρων ὁμολογῆσαι, βασανίζονται ὑπὸ τῶν πολιτικῶν ἀρχόντων. οἴδαμεν γὰρ διαφόρως τοῦτο γινόμενον.

ΖΩΝΑΡ. Τὰ αὐτὰ τῷ λα΄. κανόνι τῶν ἁγίων ἀποστόλων καὶ ὁ κανὼν οὗτος ψηφίζεται, καὶ τὰ εἰρημένα ἐκεῖ καὶ πρὸς τοῦτον ἀρκέσουσι. πλέον δέ τι τοῦ ἀποστολικοῦ κανόνος οὗτος διέξεισι, λέγων, εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι. ὁ διὰ τὸ παρασυνάγειν, φησὶ, καθαιρεθεὶς, ἐὰν οὐχ ἡσυχάζῃ, ἀλλ᾽ ἐπιθορυβεῖ καὶ ταράσσει τὴν ἐκκλησίαν, ἀναστατῶν αὐτὴν, τουτέστι, διεγείρων εἰς στάσεις, διὰ τῆς ἔξωθεν ἐξουσίας, τῆς πολιτικῆς δηλαδὴ, ὡς στασιώδης παιδευθήσεται, ὡς ἂν ἐπιστρέψῃ πρὸς μετάνοιαν. καὶ ὁ ἔννατος δὲ κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης Συνόδου ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, περὶ τῶν μὴ πειθομένων τοῖς Ἐπισκόποις, μηδὲ δι᾽ ἐπιτιμίων σωφρονιζομένων, φησὶ, διὰ τῶν κατὰ χώραν ἀρχόντων αὐτοὺς σωφρονίζεσθαι. ὥστε σημειωτέον καὶ ἐκ τοῦ ε΄. τούτου κανόνος, ὅτι ἀπηγόρευται τοῖς Ἐπισκόποις κολάζειν ὅλως τινάς· ἐπιτιμίοις δὲ μόνοις σωφρονίζειν αὐτοὺς, καὶ εἰ μὴ πείθοιντο, παραδιδόναι αὐτοὺς τῇ ἐξουσίᾳ.

ΑΡΙΣΤ. Πᾶς ὁ Ἐπισκόπου καταφρονῶν, καὶ ἀφιστάμενος πρεσβύτερος, ἢ διάκονος, καὶ οἰκοδομῶν ἄλλο θυσιαστήριον· εἰ προσκαλούμενος τρὶς τοῦ Ἐπισκόπου, ἐπιμένει τῇ ἀπονοίᾳ, καθαιρούμενος ἔστω, καὶ ἀθεράπευτος.

Ὁ τοιοῦτος, μηδὲν καταγνωκὼς τοῦ Ἐπισκόπου εὐσεβείᾳ καὶ δικαιοσύνῃ, ὡς ὁ τριακοστὸς πρῶτος κανὼν τῶν ἁγίων ἀποστόλων διαλαμβάνει, ἀλλ᾽ ὑπερηφανίᾳ καὶ τύφῳ ἐπαρθεὶς κατὰ τὸν δέκατον κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου· εἰ ἀφώρισε τῆς ἐκκλησίας ἑαυτὸν, καὶ θυσιαστήριον ἕτερον ἔπηξε, καὶ λαὸν ὑφ᾽ ἑαυτὸν εἵλκυσεν, ἰδίας συνάξεις ποιούμενος· εἶτα τρισσάκις παρὰ τοῦ Ἐπισκόπου καλούμενος, ἀπειθοίη, καὶ ἐπιμένοι τῇ ἀταξίᾳ· ἄξιός ἐστι παντελῶς καθαιρεῖσθαι, καὶ μηκέτι ἐλπίζειν θεραπείας τυχεῖν, καὶ τὴν ἑαυτοῦ τιμὴν ἐπαναλαβεῖν.

ΚΑΝΩΝ ϛʹ.

Εἴ τις ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου ἀκοινώνητος γέγονε, μὴ πρότερον αὐτὸν παρ' ἑτέρων δεχθῆναι (εἰ μὴ ὑπ' αὐτοῦ δεχθείη τοῦ ἰδίου Ἐπισκόπου) ἢ συνόδου γινομένης ἀπαντήσας ἀπολογήσεται· πείσας τε τὴν σύνοδον, καταδέξοιτο ἑτέραν ἀπόφασιν. ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν καὶ πρεσβυτέρων καὶ διακόνων καὶ πάντων τῶν ἐν τῷ κλήρῳ καταλεγομένων κρατείτω.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων ἱκανῶς ἐγράψαμεν, ἔν τε ἄλλοις κανόσι διαφόροις, καὶ ἐν τῷ ιβʹ. καὶ ιγʹ. ἀποστολικῷ κανόνι.

ΖΩΝΑΡ. Καὶ περὶ ταύτης τῆς ὑποθέσεως πολλοὶ διετάξαντο κανόνες, καὶ ἃ εἴρηται ἐν ἐκείνοις καὶ εἰς τὴν τοῦ παρόντος ἀρκοῦσι σαφήνειαν.

ΑΡΙΣΤ. Τὸν ἀφορισθέντα παρ' Ἐπισκόπου κληρικὸν, ἐὰν μείζων σύνοδος προσδέξοιτο, ἢ κατακρίνειε, στεργέτω τὴν ἀπόφασιν.

Ὁ δήσας, καὶ λύειν δύναται. διὰ τοῦτο γοῦν τὸν ἐπιτιμηθέντα παρ' Ἐπισκόπου κληρικὸν, καὶ ἀφορισθέντα, οὐ δεῖ παρ' ἑτέρου δεχθῆναι ὡς ἀνεπιτίμητον, εἰ μὴ παρ' αὐτοῦ λυθῇ τοῦ δεσμήσαντος. εἰ δὲ σύνοδος τὸν ἀφορισθέντα ἐξετάσοι, καὶ παραλόγως εὕροι τὸν ἀφορισμὸν ἐπενεχθέντα, δύναται τὸ κακῶς γινόμενον διορθοῦσθαι, καὶ λύειν αὐτὸν, καὶ ἡ περὶ τούτου ἀπόφασις μένει βεβαία.

ΚΑΝΩΝ ζʹ.

Μηδένα ἄνευ εἰρηνικῶν δέχεσθαι τῶν ξένων.

ΒΑΛΣ. Ἐν τῷ λγʹ. ἀποστολικῷ κανόνι, καὶ τῷ ιϛʹ. τῆς ἐν Χαλκηδόνι συνόδου, διελήφθησαν τὰ περὶ τῶν εἰρηνικῶν καὶ τῶν συστατικῶν ἐπιστολῶν, καὶ ὅτι ξένοι εἰσὶν, οἱ ἀπὸ ἑτέρων ἐνοριῶν ὁρμώμενοι. ἀνάγνωθι οὖν τὰ ἐν ἐκείνοις γραφέντα.

ΖΩΝΑΡ. Εἴρηται ἐν κανόνι ιαʹ. τῆς τετάρτης συνόδου, τίνες εἰσὶν εἰρηνικαὶ ἐπιστολαὶ, καὶ τίνες συστατικαί. ξένους οὖν ἐνταῦθα, οὐχὶ τοὺς τυχόντας λέγει, τοὺς ἐξ ἄλλης χώρας ἴσως εἰς ἄλλην ἐπιδημοῦντας, ἀλλὰ τοὺς κληρικοὺς τοὺς ἀπὸ ἄλλης ἐκκλησίας εἰς ἄλλην ἀπιόντας, οὓς καὶ μὴ δέχεσθαι παρὰ τῶν προεστώτων τῶν ἐκκλησιῶν, ἐν αἷς ἀπίασιν, ὁ κανὼν διακελεύεται, εἰ μὴ εἰρηνικὰς ἐπιστολὰς ἐπιφέρονται τῶν προεστώτων τῶν ἐκκλησιῶν, ἐξ ὧν ὑπεχώρησαν. ὁ δὲ λγʹ. τῶν ἀποστόλων κανὼν σαφέστερον τοὺς ξένους φησὶ, λέγων, μηδένα τῶν ξένων πρεσβυτέρων καὶ διακόνων ἢ καὶ Ἐπισκόπων ἄνευ συστατικῶν ἐπιστολῶν προσδέχεσθαι. ξενίζεσθαι μὲν γὰρ αὐτοὺς ὁ κανὼν, καὶ χορηγεῖσθαι αὐτοῖς τὰ πρὸς τὴν χρείαν παρὰ τῶν, πρὸς οὓς ἀπῆλθον, ἐπιτρέπει· δέχεσθαι δὲ εἰς κοινωνίαν ἀπαγορεύει.

ΑΡΙΣΤ. Ὁ ξένος, εἰρηνικὰς ἐπιστολὰς οὐ προσάγων, ἀπρόσδεκτος.

Ἐν πολλοῖς εἴρηται κανόσι καὶ τοῦτο, τὸ, μὴ τοὺς ξενοχειροτονήτους προσδέχεσθαι, ἄνευ γραμμάτων τοῦ Ἐπισκόπου παρ' οὗ τὴν χειροτονίαν ἀνεδέξαντο.

ΚΑΝΩΝ ηʹ.

Μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονικὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας Ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν· τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους διδόναι εἰρηνικάς.

ΒΑΛΣ. Ἔμαθες τίνες εἰσὶν εἰρηνικαὶ ἤτοι ἀπολυτικαὶ ἐπιστολαὶ, καὶ τίνες συστατικαὶ, αἱ λεγόμεναι καὶ κανονικαί. ἐπεὶ δέ τινες διετείνοντο δύνασθαι τοὺς ἐν ταῖς χώραις πρεσβυτέρους, ἤτοι τοὺς πρωτοπαπάδας, διδόναι εἰρηνικὰς ἐπιστολὰς, κἂν πρὸς τοὺς γείτονας Ἐπισκόπους, διὰ τὸ μὴ μετέχειν αὐτοὺς δικαίου τινὸς χειροτονίας, ἀλλ' εὐσεβείας καὶ Χριστιανικῆς κοινωνίας· ὥρισαν οἱ πατέρες καὶ ταύτας παρὰ μόνῃ τῇ Ἐπισκο-

CANON VI.

Si quis à proprio Epiſcopo fuit excommunicatus, ne prius ab aliis ſuſcipiatur (niſi à proprio ſuſceptus fuerit Epiſcopo) quam facta Syn. accedens ſe defenderit, & perſuaſa Synodo, aliam ſententiam retulerit. Idem autem decretum adverſus Laicos & Presbyteros & Diaconos, & omnes qui ſunt in cleri catalogo, obſervetur.

BALS. De iis, quæ hoc Canone comprehenduntur, ſatis ſcripſimus in aliis diverſis Canonibus, & in xii. xiii. Can. Apoſtolico.

ZONAR. Multi de hac quoque re Canones editi ſunt; ac per ea, quæ in illos diximus, hujus etiam explicationi ſatisfactum arbitramur.

ARIST. *Excommunicatum ab Epiſcopo Clericum ſi major Synodus ſuſceperit, vel condemnaverit, ſententiæ acquieſcat.*

Qui ligat & ſolvere poteſt. Idcirco Clericum ab Epiſcopo pœnis ſubjectum, & ſegregatum, non oportet ab alio ut inculpatum admitti, niſi ab eo qui ligavit, ſit abſolutus. Si Synodus autem depoſitum examinaverit, & ſegregationem invenerit præter rationem illatam, quod male factum eſt emendare poteſt, & eum ſolvere, & ſententia de eo firma manet.

CANON VII.

Nullus externus ſine pacificis ſuſcipiatur.

BALS. In xxxiii. can. Apoſtolico, & xvi. Chalced. Syn. de pacificis tractatum eſt & commendatoriis Epiſtolis, & quod ii ſunt externi, qui ab aliis diœceſibus veniunt. Lege ergo quæ in illis ſcripta ſunt.

ZONAR. Quænam ſint epiſtolæ pacificæ, quæve commendatitiæ, xi. can. iv. Syn. ſatis explicavimus. Externos porro hoc loco, non omnes, qui ex alia regione in aliam forte ſe conferunt, ſed Clericos, qui ex alia in aliam Eccleſiam proficiſcuntur, intelligit; quos quidem à Præſulibus Eccleſiarum, ad quas ſe conferunt, niſi à Præfectis Eccleſiarum, à quibus diſceſſere, pacificas epiſtolas afferant, hic can. admitti vetat. Externi vero qui ſint, trigeſimo-tertio Apoſtolorum Canone apertius indicatur, Ne quem, inquit, externum Epiſcopum, aut Presbyterum, aut Diaconum ſine commendatitiis litteris recipi liceat. Nam quominus hoſpitio excipiantur, neceſſariáque ad vitæ uſus ab iis, ad quos ſe contulere, ſuppeditentur, haud prohibet: ad communionem vero ipſos admitti Canon omnino vetat.

ARIST. *Peregrinus pacificas non afferens Epiſtolas, non eſt ſuſcipiendus.*

Etiam in plurimis canonibus hoc dicitur, nempe eos qui alibi ordinantur, non admittendos eſſe ſine Epiſcopi à quo ordinationem acceperunt literis.

CANON VIII.

Nec Presbyteri, qui ſunt in regionibus dent Canonicas epiſtolas, vel ad ſolos vicinos Epiſcopos epiſtolas emittant: Chorepiſcopi autem, nulli reprehenſioni affines dent pacificas.

BALS. Didiciſti quænam ſunt pacificæ vel dimiſſoriæ epiſtolæ, & quænam ſunt commendatitiæ, quæ dicuntur & canonicæ. Quia autem nonnulli aſſerebant, presbyteros, qui ſunt in regionibus ſeu Protopapas, dare poſſe epiſtolas pacificas, etiam ad vicinos Epiſcopos; eo quod ipſi non haberent jus aliquod ordinationis, ſed pietatis & Chriſtianæ communionis: ſtatuerunt Patres eas quoque dare in ſolius Epiſcopi poteſtate eſſe ſitum.

Chorepiſcopis autem ab omni reprehenſione alienis, quorum ſcilicet exiſtimatio nulla accuſatione, quæ labem afferat, tentata eſt, conceſſum eſt & dare literas pacificas; quia eis alia quoque privilegia data ſunt.

Zonar. Canonicæ epiſtolæ nomine commendatitiæ pacificæque hoc loco intelliguntur. Quæ vero ſint pacificæ epiſtolæ, quæve commendatitiæ, jam diximus. Hæ vero à Præfectis Eccleſiarum, non autem à Presbyteris, nec ab iis, qui ſunt in regionibus, à quibus ut plurimum abeſſe ſolent Epiſcopi, dari conſuevêre. Chorepiſcopis autem ab omni ſuſpicione alienis, quorum ſcilicet exiſtimatio nulla criminis labe maculata eſt, pacificas tribuendi (nam alia quoque Chorepiſcopis privilegia conceduntur) ad ſolos tamen vicinos Epiſcopos & qui ſunt in pagis Presbyteros, non ad eos qui longioribus intervallis disjuncti ſunt, Canon facultatem eſſe decernit.

Arist. *Presbyter ruri degens Canonicas ne det Epiſtolas, vel ſaltem ad vicinum tantum Epiſcopum.*

Solis Epiſcopis & Chorepiſcopis inculpatis permittitur Clericis parœciæ ſuæ peregrè proficiſci volentibus Canonicas dare epiſtolas: at Presbyteris, primas in regione forſitan partes tenentibus, hoc non decet. Ad vicinum autem Epiſcopum de talibus Clericis ſcribere, & ordinationem, ac fidem, ac opinionem eorum notam facere etiam illis conceditur.

Canon IX.

Epiſcopos, qui ſunt in unaquaque provincia, ſcire oportet Epiſcopum qui præeſt Metropoli, & curam ſuſcipere totius provinciæ: eo quod in Metropolim undequaque concurrunt omnes, qui habent negotia. Unde viſum eſt, eum quoque honore præcedere; reliquos autem Epiſcopos nihil magni momenti aggredi ſine ipſo, ut vult antiquior, qui obtinuit è patribus noſtris, Canon: vel ea ſola, quæ ad uniuſcujuſque parœciam conferunt, & regiones quæ ei ſubſunt. Unumquemque enim Epiſcopum habere ſuæ parœciæ poteſtatem, & adminiſtrare pro unicuique conveniente religione, & totius regionis quæ ſuæ urbi ſubeſt, curam gerere. Ut etiam ordinet Presbyteros & Diaconos, & unaquæque cum judicio tractet; & nihil ultra facere aggrediatur, ſine Metropolitano Epiſcopo, neque ipſe ſine reliquorum ſententia.

Bals. Quæ in præſenti Canone continentur, expoſita ſunt in xxxiv. Canone Apoſtolico, & lege eum.

Zonar. Quamvis non iiſdem omnino verbis hic Canon conſtet, ſi tamen ſententiam ſpectes, cum Apoſtolico canone trigeſimoquarto in omnibus congruit. Ex iis ergo quæ ibi dicta ſunt, hujus quoque intelligentiam facile, qui voluerit, aſſequetur.

Arist. *A Metropolitæ ſententiâ pendere oportet Epiſcopos, & nihil citra illius conſilium inſtituere, niſi ea ſola quæ ad ſuam cujuſque parœciam ſpectant, & viris reprehenſioni non obnoxiis manus imponere.*

Eadem ac trigeſimus quartus ſanctorum Apoſtolorum Canon etiam hic docet, Epiſcopos nimirum uniuſcujuſque provinciæ primum ſuum cognoſcere, & ſine ejus ſententiâ nec Epiſcopos eligere, nec aliquid aliud, ex iis quæ ibi dicuntur, magni momenti facere, ſed ea ſola quæ ad cujuſque provinciam ſpectant, & Presbyterum ac Diaconum ordinare, & quæcunque hiſce ſunt ſimilia.

A τικῇ ἐξουσίᾳ ἀνακεῖσθαι. τοῖς δὲ ἀνεπιλήπτοις χωρεπισκόποις, ἤτοι τοῖς μὴ ὑπὸ αἰτίασιν σπιλωτικὴν ὑπολήψεως αὐτῶν γινομένοις, ἐνεδόθη εἰρηνικὰς διδόναι ἐπιστολὰς, ὅτι καὶ ἄλλα προνόμια τούτοις ἐφιλοτιμήθησαν.

ΖΩΝΑΡ. Κανονικὰς ἐπιστολὰς τὰς συστατικὰς καὶ εἰρηνικὰς ὀνομάζει. τίνες δέ εἰσιν εἰρηνικαὶ, καὶ τίνες συστατικαὶ, καὶ ἤδη εἴρηται. ταύτας δὲ οἱ προεστῶτες τῶν ἐκκλησιῶν διδόασιν, οὐ μέντοι πρεσβύτεροι, οὐδὲ οἱ ἐν ταῖς χώραις, ἔνθα μὴ συχνάζει ὁ Επίσκοπος. οἱ δὲ χωρεπίσκοποι, εἰ ἀνεπίληπτοι εἰσι, B τουτέστιν ἀναίτιοι, μή τινος αἰτίας κατ᾽ αὐτῶν οὔσης σπιλούσης ἴσως τὴν τούτων ὑπόληψιν, δύνανται διδόναι εἰρηνικάς. ἐπεὶ τοῖς χωρεπισκόποις καὶ ἄλλα προνόμια δέδονται· πρὸς νόμους δὲ τοὺς γείτονας Επισκόπους πέμπειν εἰρηνικὰς ἐπιστολὰς δέδοται, καὶ τοῖς ἐν ταῖς χώραις πρεσβυτέροις, οὐ μὴν πρὸς τοὺς πορρωτέρω.

ΑΡΙΣΤ. Ὁ ἐπὶ χώρας πρεσβύτερος, μὴ διδότω κανονικὰς ἐπιστολὰς, ἢ πρὸς μόνον Επίσκοπον γείτονα.

Μόνοις τοῖς Επισκόποις, καὶ τοῖς ἀνεπιλήπτοις χωρεπισκόποις ἐφεῖται, κανονικὰς διδόναι ἐπιστολὰς τοῖς μακρὰν ἀποδημῆσαι θέλουσι τῆς ἑαυτῶν παροικίας κληρικοῖς· πρεσβυτέροις δὲ, τοῖς ἐπὶ χώρας ἴσως πρωτεύουσι, τὸ προνόμιον τοῦτο οὐκ ἀνήκει. πρὸς δὲ Επίσκοπον γείτονα γράφειν περὶ τῶν τοιούτων C κληρικῶν καὶ συνιστᾶν τὴν χειροτονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπόληψιν αὐτῶν, καὶ συγκεχώρηται καὶ αὐτοῖς.

ΚΑΝΩΝ θʹ.

Τοὺς καθ᾽ ἑκάστην ἐπαρχίαν Επισκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶτα Επίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας· διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάντας τοὺς τὰ πράγματα ἔχοντας. ὅθεν ἔδοξε καὶ τῇ τιμῇ προηγεῖσθαι αὐτὸν, μηδέν τε πράττειν περιττὸν τοὺς λοιποὺς Επισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαιότερον κρατήσαντα ἐκ τῶν πατέρων ἡμῶν κανόνα· ἢ ταῦτα D μόνα ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ, καὶ ταῖς ὑπ᾽ αὐτὴν χώραις. ἕκαστον γὰρ Επίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε κατὰ τὴν ἑκάστῳ ἐπιβάλλουσαν εὐλάβειαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν. ὡς καὶ χειροτονεῖν πρεσβυτέρους καὶ διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διαλαμβάνειν· περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν, δίχα τοῦ τῆς μητροπόλεως Επισκόπου, μηδὲ αὐτὸν ἄνευ τῆς τῶν λοιπῶν γνώμης.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος ἡρμηνεύθησαν ἐν τῷ λδʹ. ἀποστολικῷ κανόνι, καὶ ἀνάγνωθι τοῦτον.

E **ΖΩΝΑΡ.** Εἰ καὶ μὴ τοῖς ῥήμασι διόλου ὁ κανὼν οὗτος ἀπαραλλάκτως ἔχει πρὸς τὸν λδʹ. κανόνα τῶν ἁγίων ἀποστόλων, ἀλλὰ κατὰ τὴν ἔννοιαν ἐκείνῳ ἐν ἅπασι συμφωνεῖ. ὥστε ἃ ἐν ἐκείνῳ εἴρηται καὶ τὸν τούτου νοῦν παριστῶσι τῷ βουλομένῳ.

ΑΡΙΣΤ. Τοῦ μητροπολίτου τῆς γνώμης ἀναρτᾶσθαι τοὺς Επισκόπους, καὶ μή τι τῆς αὐτῶν προνοίας οἰκονομεῖν δίχα, ἢ μόνον τὰ τῇ ἰδίᾳ ἐνορίᾳ προσπίπτοντα καὶ χειροθεσίας ἀνεπιλήπτοις ἀνδράσιν ἐπιτελεῖν.

F Τὰ αὐτὰ τῷ τριακοστῷ τετάρτῳ κανόνι τῶν ἁγίων ἀποστόλων καὶ ὁ κανὼν οὗτος διδάσκει, τὸ ἐπιγινώσκειν τοὺς Επισκόπους ἑκάστης ἐπαρχίας τὸν ἑαυτοῦ πρῶτον, καὶ ἄνευ γνώμης αὐτοῦ μήτε Επισκόπους ψηφίζεσθαι, μήτε τι ἕτερον περιττὸν πράττειν τῶν ἐκεῖσε παρ᾽ ἡμῶν εἰρημένων, εἰ μόνα τὰ ἐπιβάλλοντα τῇ ἑκάστου παροικίᾳ· καὶ χειροτονεῖν πρεσβύτερον, καὶ διάκονον, καὶ ὅσα τούτοις ἀκόλουθα.

ΚΑΝΩΝ

ΚΑΝΩΝ ι΄.

Τοὺς ἐν ταῖς κώμαις ἢ ταῖς χώραις, ἢ τοὺς καλουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶεν Ἐπισκόπου εἰληφότες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιστᾶν δὲ ἀναγνώστας καὶ ὑποδιακόνους καὶ ἐφορκιστάς, καὶ τῇ τούτων ἀρκεῖσθαι προαγωγῇ, μήτε δὲ πρεσβύτερον μήτε διάκονον χειροτονεῖν τολμᾶν, δίχα τοῦ ἐν τῇ πόλει Ἐπισκόπου, ᾗ ὑπόκεινται αὐτός τε καὶ ἡ χώρα. εἰ δὲ τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς· χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως, ᾗ ὑπόκειται, Ἐπισκόπου.

ΒΑΛΣ. Κεκωλυμένον ὑπὸ τῶν κανόνων ἐστὶν Ἐπισκόπους γίνεσθαι εἰς βραχείας πόλεις καὶ κώμας. καὶ διὰ τοῦτο ἐχειροτόνουν εἰς ταύτας πρεσβυτέρους ἤγουν πρωτοπαπάδας καὶ χωρεπισκόπους. ἐπεὶ δέ τινες τῶν χωρεπισκόπων ἐπεχείρουν ἱερεῖς χειροτονεῖν, καὶ ἕτερα τινὰ ἐπισκοπικὰ δίκαια ἐνεργεῖν, καὶ αἰτιώμενοι, ἔλεγον καλῶς τοῦτο ποιεῖν, διὰ τὸ δέξασθαι χειροθεσίαν Ἐπισκόπου· ὥρισαν οἱ πατέρες, ἀπὸ τούτου μὴ ὠφελεῖσθαι αὐτοὺς εἰς τὸ παρεξιέναι τὰ ἀπὸ τῶν κανόνων ἐπιφιλοτιμηθέντα τούτοις προνόμια, μηδὲ χειροτονεῖν διάκονον ἢ πρεσβύτερον δίχα τοῦ Ἐπισκόπου, ἀλλὰ μόνους ἀναγνώστας, ὑποδιακόνους καὶ ἐφορκιστάς, ἤτοι κατηχητὰς διοικεῖν τε καὶ τὰ ἀνατεθέντα τούτοις ἐκκλησιαστικὰ πράγματα, ἢ μὴν ἐκ παραβασίας τῶν διορισθέντων ὑποκεῖσθαι καθαιρέσει καὶ ἧς μετέχουν τιμῆς. ἐπεὶ δέ τινες ἐσπούδαζον ἐξ ἀλαζονείας χειροθεσίαν χωρεπισκόπου λαβεῖν ἀπὸ μητροπολίτου ἢ πατριάρχου, μὴ ἐπιστρεφόμενοι τῶν ἐγχωρίων Ἐπισκόπων, ἐκωλύθη καὶ τοῦτο· καὶ ὡρίσθη παρ' αὐτοῦ Ἐπισκόπου τῆς πόλεως γίνεσθαι τὸν χωρεπίσκοπον, ἵνα ὑπόκειται αὐτῷ, καὶ μὴ καταφρονῇ τούτου, ὡς μὴ δεδωκότος αὐτῷ τὴν χειροθεσίαν τοῦ ἀξιώματος. καλῶς δὲ περὶ χωρεπισκόπων μόνον πεποιήκασι τὸν ἅπαντα λόγον οἱ πατέρες, οὐ μὴν καὶ περὶ πρεσβυτέρων. οὐδὲ γὰρ ἦν ἀμφιβολία περὶ αὐτῶν, οἷα μηδὲ λαβόντων ὅλως πάροδον εἰς τὸ ποιεῖν χειροτονίαν οἱανδήτινα. ἐρωτήσει δέ τις, διὰ τί προσετέθη τῷ ῥήματι τῆς καθαιρέσεως καὶ ἡ ἔκπτωσις τῆς τιμῆς; Λύσις. τινὲς διενίσταντο ὀφείλειν μὲν καθαιρεῖσθαι τὸν παραβάντα χωρεπίσκοπον, ἔχειν δὲ χωρεπισκοπικὴν τιμήν, ἤγουν τὴν καθέδραν, καὶ τὰ λοιπὰ, κατὰ τὸν θ΄. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου. καὶ τὸν κα΄. καὶ τὸν κϛ΄. τῆς ϛ΄. συνόδου. διὰ τοῦτο οὖν φησὶν ὁ κανὼν, ἀπολλεῖν τοῦτον καὶ ἀμφότερα, κατὰ τὸ τέλος τοῦ α΄. κανόνος τῆς παρούσης συνόδου. τὸ δὲ, δίχα τοῦ ἐν τῇ πόλει Ἐπισκόπου, οὐκ ἐκλαμβάνεται εἰς τὸ ἄνευ ἐντολῆς τούτου, ἀλλ' εἰς τὸ δίχα τελεσιουργίας ἐκείνου. κἂν γὰρ ἐνταλθῇ χωρεπίσκοπος χειροτονῆσαι πρεσβύτερον, καὶ ποιήσῃ τοῦτο, ἄκυρος ἔσται ἡ χειροθεσία, διὰ τὸ μὴ δοθῆναι αὐτῷ ἐξουσίαν ἀπὸ τῶν κανόνων πρεσβυτέρους χειροτονεῖν. ἀνάγνωθι καὶ τὸν ιδ΄. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου. καὶ σημείωσαι, ὅτι αἱ παρὰ μητροπολιτῶν γινόμεναι χειροθεσίαι εἰς ἡγουμένους, ἢ εἰς ἄλλους τινὰς ὑποκειμένους ἑτέραις ἐνορίαις, ἀκυροῦνται· ἀλλὰ καὶ τὰ παρά τινων γινόμενα τυπικὰ χάριν τοῦ μὴ σφραγίζεσθαι παρὰ τοῦ πατριάρχου τοὺς καθηγουμένους τῶν μοναστηρίων αὐτῶν, ἀλλὰ παρὰ ἑτέρων Ἐπισκόπων, ἢ μηδὲ ὅλως σφραγίζεσθαι, ἄκυρά εἰσι.

ΖΩΝΑΡ. Κεκώλυται κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου τὸ καθιστᾶν ἐπίσκοπον ἐν κώμῃ τινὶ ἢ βραχείᾳ πόλει. διὸ πρεσβυτέρους ἢ χωρεπισκόπους ἐν ταύταις καθίστων. τούτους οὖν τοὺς χωρεπισκόπους ἀπαιτεῖ ὁ κανὼν, μὴ παρεξιέναι τὴν οἰκείαν τάξιν, οἰκονομεῖν δὲ τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ ποιεῖν ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστάς· μήτε δὲ διάκονον χειροτονεῖν, μήτε πρεσβύτερον, ἄνευ τοῦ τῆς πόλεως Ἐπισκόπου, κἂν Ἐπισκόπου

Canon X.

Ii, qui ſunt in vicis vel regionibus, vel qui dicuntur Chorepiſcopi, etiam ſi Epiſcopi manuum impoſitionem acceperint, viſum eſt ſanctæ Synodo, ut ſuum modum ſciant, & ſibi ſubjectas Eccleſias adminiſtrent, earumque cura & ſollicitudine gerenda contenti ſint: conſtituant autem Lectores, Hypodiaconos & Exorciſtas, & eorum promotioni ſufficere exiſtiment; Presbyterum vero aut Diaconum ordinare non audeant, abſque urbis Epiſcopo, cui ſubjicitur ipſe & regio. Si quis autem ea, quæ definita ſunt, transgredi audeat, ipſe quoque honore, quem habet, B *privetur: fiat autem Chorepiſcopus ab Epiſcopo civitatis, cui ſubjicitur.*

Bals. Prohibitum eſt à Canonibus, ne in parvis urbibus & vicis fiant Epiſcopi; & propterea Presbyteros in eis ordinabant, ſeu Protopapas & Chorepiſcopos. Quia autem nonnulli Chorepiſcopi conabantur ordinare Sacerdotes, & alia quædam jura epiſcopalia exercere; & accuſati dicebant ſe hoc rectè facere, quòd Epiſcopi manuum impoſitionem accepiſſent: ſtatuerunt Patres eos non ex eo adiuvari, ut privilegia, quæ illis à Canonibus conceſſa ſunt, tranſgrediantur, C nec ordinent Diaconum vel Presbyterum ſine Epiſcopo, ſed ſolos Lectores, Subdiaconos & Exorciſtas, ſive Catechiſtas, & adminiſtrent res eccleſiaſticas, quæ ſunt illis attributæ; alioqui propter eorum, quæ definita ſunt, tranſgreſſionem depoſitioni ſubjiciantur, & à ſuo honore excidant. Quia autem nonnulli contendebant, propter arrogantiam, à Metropolitano vel etiam Patriarcha Chorepiſcopi ordinationem accipere, Epiſcoporum regionis nullam curam gerentes; hoc quoque prohibitum eſt: & ordinatum ab urbis Epiſcopo fieri Chorepiſcopum; ut ei ſubjiciatur; nec eum contemnat, ut qui ei dignitatis ordinem non D dederit. Rectè autem de ſolis Chorepiſcopis verba ſemper fecerunt Patres, non etiam de Presbyteris. Neque enim erat de iis dubium, ut qui nullum aditum accepiſſent ad ordinationem ullam faciendam. Interrogaverit autem quiſpiam, Cur verbo depoſitionis additum eſt, ab honore quoque deponi? Solutio. Nonnulli inſtabant, Chorepiſcopum quidem, qui tranſgreſſus eſt debere deponi; ſed tamen Chorepiſcopalem honorem habere ſive cathedram, & reliqua, ut vult ix. Can. Neocæſar. Syn. & xxi. & xxvi. vi. Syn. Propterea ergo dicit Canon, eum quoque utrumque amittere; ut eſt in fine i. can. præſentis Synodi. Illud autem, ſine civitatis Epi- E ſcopo, non accipitur pro eo quod eſt, ſine ejus mandato; ſed, ſine illius ſacrorum celebratione. Etſi enim fuerit Chorepiſcopo mandatum, ut Presbyterum ordinet, & hoc fecerit, irrita erit ordinatio; quod non ſit ei à Canonibus data Presbyterum ordinandi poteſtas. Lege & xiv. Canonem Neocæſar. Syn. Et nota, quod manuum impoſitiones, quæ fiunt à Metropolitanis in præfectos, vel in aliquos alios aliis regionibus ſubjectos, infirmantur: ſed & conſtitutiones, quæ factæ ſunt ab aliquibus, de non conſecrandis ſeu charactere donandis ipſorum Monaſteriorum præfectis ab ipſo Patriarcha, ſed ab illis Epiſcopis, vel omnino non F ordinandis, ſunt penitus irritæ.

Zonar. Ne quem in vico aut parva urbe Epiſcopum conſtitui liceat, ſexto Sardicenſis Synodi can. decretum eſt. Pro iis igitur, in ejuſmodi locis, Presbyteri vel Chorepiſcopi creabantur. Hos ergo Chorepiſcopos can. ultra poteſtatis ſuæ limites progredi vetat, ſed Eccleſiarum, inquit, ſibi ſubjectarum adminiſtratione contenti, Lectores, Hypodiaconos, Exorciſtáſque conſtituant: à Diaconis vero ſacerdotibúſque creandis, abſque urbani Epiſcopi facultate, etiamſi Epiſcopali ordine aliquando inſigniti fuiſſent, prorſus Chorepiſcopi abſtineant. Qui vero Canonem violârit, in eum depoſitione animadverti placet. Chorepiſcopos autem urbani Epiſcopi in ſua diœceſi conſtituunt; quos quidem in lxx. Apoſtolorum locum ſuffectos fuiſſe Neocæſ. Synodi canone edocemur.

Arist. *Exorciſtas, & Lectores, & Hypodiaconos, & Cantores Chorepiſcopus conſtituit, non itidem Presbyterum & Diaconum ſine Epiſcopo qui civitati præeſt: Qui hoc vero tranſgredi audet, deponatur. Civitatis vero Epiſcopus facit Chorepiſcopum.*

Quiſque debet ſuam cognoſcere menſuram & in propriis terminis manere. Propterea itaque & Chorepiſcopus ſi auſus fuerit Presbyterum aut Diaconum ordinare, exceptis iis qui ipſi committuntur, nempe Lectoribus, cantoribus, Exorciſtis, & Hypodiaconis, deponetur. Quamvis aliter de iſtis etiam gradibus viſum eſt magno Baſilio, ut in decimo tertio Syn. Ancyranæ can. ſcriptum eſt.

Canon XI.

Si quis Epiſcopus, vel Presbyter, vel omnino Eccleſiaſticæ regulæ ſubjectus, citra ſententiam & literas Epiſcoporum provinciæ, & maximè Metropolitanorum, ad Imp. proficiſci aggreſſus fuerit: is abdicetur & ejiciatur, non ſolum à communione, ſed etiam à dignitate, cujus eſt particeps; ut qui religioſiſſimi Imp. noſtri auribus moleſtiam afferre audeat præter ritum Eccleſiæ. Si autem neceſſarius uſus exigat, ut ad Imp. ſe conferat, id agat cum deliberatione & ſententia Metropolitani provinciæ, & Epiſcoporum qui ſunt in ea; eorumque literis munitus proficiſcatur.

Bals. Præſens Can. decernit, non ſolum ſegregari, ſed etiam deponi Epiſcopos vel Clericos, qui ad Imp. proficiſcuntur, ſine literis Epiſcopi regionis, & maximè Metropolitani; ut qui Imp. auribus moleſtiam exhibeant, præter ea, quæ ſunt ab Eccleſia decreta: ſi autem neceſſaria ſit cauſa propoſita, concedit ut ad Imp. proficiſcantur cum literis mandata permiſſione Synodali. Lege Sardic. Synodi Canones vii. viii. ix. xxi. & Carthaginen. Can. cvi. Quoniam autem nonnulli verbis præſentis Can. adhærentes (à ſententiâ enim longe abſunt) Antiſtites volunt, qui in reginâ urbium verſantur, cum ſcientia & permiſſione Patriarchæ, & non aliter, ad Imperatorem ſalutandum proficiſci: dicimus, quod quæ hoc Can. continentur, & reliqua quorum hîc fit mentio, locum habent, quando Antiſtes à ſuâ regione ſponte ſuâ ad Imperatorem profectus eſt. Cum enim in urbium reginâ verſetur, vel Imperatoris juſſu, vel Patriarchali permiſſione, citra ullum impedimentum Imperatorem conveniet, & eum, illorum quæ voluerit, admonebit. Imperatoris autem juſſu proficiſci Antiſtites, quo juſſi fuerint, etiam ſine Synodali conſenſu, in diverſis Canonum interpretationibus declaratum eſt; nec ſunt ea à nobis repetenda.

Zonar. Epiſcopos Imperatorem adire, ejuſque aures privatæ rei cauſa importunis precibus obtundere, niſi cum id prorſus neceſſario faciendum ſit, can. haud ſinunt. Verum & ſi quando aliquid ad Imperatorem deferre quiſpiam neceſſe habuerit, niſi ejus provinciæ, ex qua ipſe eſt, Epiſcopis, ac Metropolitano præſertim ejuſdem provinciæ conſentiente, proficiſci vetant. Qui vero abſq; Metropolitani conſenſu ac literis ad Imperatorem adire in animum induxerit, depoſitione mulctari jubent. Sardicenſis vero Syn. can. vii. & viii. Epiſcopo, ut viduarum pupillorumque & pauperum cauſam agat, ac laicis patrocinetur, qui ſe per injuriam à potentioribus opprimi, ſuáq; ſibi injuſte eripi queruntur, proptereáq; ab Eccleſia ſibi

A χειροτονίας ἔτυχον οἱ χωρεπίσκοποι. ὁ δὲ τὸν κανόνα παραβαίνων, καθαιρεθήσεται. τοὺς χωρεπισκόπους δὲ, οἱ τῶν πόλεων ποιοῦσιν Ἐπίσκοποι, αἷς ὑπόκεινται, οὓς ὁ ιδ΄. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου εἰς τύπον τῶν ο΄. ἀποστόλων εἶναι φησί.

ΑΡΙΣΤ. Ἐξορκιστὰς, καὶ ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ψάλτας καθίστησι χωρεπίσκοπος· οὐ μέντοι πρεσβύτερον, καὶ διάκονον ἄνευ τοῦ κατὰ τὴν πόλιν Ἐπισκόπου. ὁ δὲ τοῦτο τολμῶν ὑπερβαίνειν, εἴη καθῃρημένος. ὁ τῆς πόλεως δὲ Ἐπίσκοπος ποιεῖ χωρεπίσκοπον.

B Ἕκαστος ὀφείλει τὸ ἑαυτοῦ μέτρον εἰδέναι, καὶ τοῖς ἰδίοις ὅροις ἐμμένειν. διὰ τοῦτο γοῦν καὶ ὁ χωρεπίσκοπος, εἰ τολμήσει πρεσβύτερον, ἢ διάκονον χειροτονῆσαι, ἄνευ τῶν ἐπιτετραμμένων αὐτῷ, ἤγουν ἀναγνωστῶν, ψαλτῶν, ἐφορκιστῶν τε καὶ ὑποδιακόνων, καθαιρεθήσεται· κἂν ἄλλως καὶ περὶ αὐτῶν τῶν βαθμῶν τῷ μεγάλῳ Βασιλείῳ δοκῇ, καθὼς ἐγράφη ἐν τῷ τρισκαιδεκάτῳ κανόνι τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

ΚΑΝΩΝ ια΄.

Εἴ τις Ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων, καὶ C μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειε πρὸς βασιλέα ἀπελθεῖν, τοῦτον ἀποκηρύττεσθαι, καὶ ἀπόβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας, ἧς μετέχων τυγχάνει, ὡς παρενοχλεῖν τολμῶντα ταῖς τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν ἀκοαῖς παρὰ τὸν θεσμὸν τῆς ἐκκλησίας. εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασιλέα ὁρμᾶν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας Ἐπισκόπου, καὶ τῶν ἐν αὐτῇ, τοῖς τε τούτων γράμμασιν ἐφοδιάζεσθαι.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται, μὴ μόνον ἀφορίζεσθαι, ἀλλὰ καὶ καθαιρεῖσθαι, τοὺς εἰς βασιλέα ἀπερχομένους Ἐπι- D σκόπους ἢ κληρικοὺς, ἄνευ γραμμάτων τοῦ κατὰ χώραν Ἐπισκόπου, καὶ μάλιστα τοῦ μητροπολίτου, ὡς παρενοχλοῦντας ταῖς βασιλικαῖς ἀκοαῖς παρὰ τὰ δεδογμένα τῇ ἐκκλησίᾳ· ἀναγκαίας δὲ προκειμένης αἰτίας, παραχωρεῖ πρὸς βασιλέα ὁρμᾶν μετὰ ἐγγράφου ἐκχωρήσεως συνοδικῆς. ἀνάγνωθι τοὺς ἐν Σαρδικῇ συνόδου κανόνας ζ΄. η΄. θ΄. κα΄. καὶ τὸν ἐν Καρθαγένῃ κανόνα ρϛ΄. ἐπεὶ δέ τινες τῶν ῥημάτων τοῦ παρόντος κανόνος ἐξεχόμενοι (τῆς γὰρ ἐννοίας ἀποδιΐστανται) θέλουσι τοὺς ἐνδημοῦντας ἀρχιερεῖς εἰς τὴν τῶν πόλεων βασιλεύουσαν μετ' εἰδήσεως καὶ προτροπῆς πατριαρχικῆς, καὶ μὴ ἄλλως, εἰς βασιλέως προσκύνησιν ἀπέρχεσθαι, φαμὲν, ὅτι τὰ τοῦ παρόντος κανόνος, καὶ τῶν λοιπῶν τῶν ἐνταῦθα E μνημονευομένων, χώραν ἔχουσιν, εἰ ὁ ἀρχιερεὺς ἀπὸ τῆς λαχούσης αὐτοῦ αὐθόρμητος εἰς βασιλέα ἀπέλθῃ· ὅταν γὰρ ἐνδημῇ ἐν τῇ βασιλευούσῃ, καὶ κατὰ βασιλικὸν ὁρισμὸν ἢ κατὰ πατριαρχικὴν ἐπιτροπὴν ἀκωλύτως προσκυνήσει τὸν βασιλέα καὶ ὑπομνήσει περὶ ὧν βούλεται. τὸ δὲ μετὰ βασιλικὸν ὁρισμὸν ἀπέρχεσθαι τοὺς ἀρχιερεῖς, ἔνθα ἂν προσταχθεῖεν καὶ δίχα Συνοδικῆς εἰδήσεως, ἐν διαφόραις κανόνων ἑρμηνείαις ἐδηλώθη καὶ οὐ χρὴ ἡμᾶς ταυτολογεῖν.

ΖΩΝΑΡ. Εἰ μὴ ὅτι πᾶσα ἀνάγκη, οὐ βούλονται οἱ κανόνες τοὺς Ἐπισκόπους προσέρχεσθαι βασιλεῖ, F καὶ ἐνοχλεῖν αὐτῷ ὑπὲρ οἰκείων δεήσεων. ἀλλὰ καὶ ὅτε μέλλοι τις ἀναγκαῖόν τι ἀνενεγκεῖν βασιλεῖ, μὴ ἀπέρχεσθαι ἄνευ γνώμης τῶν τῆς ἐπαρχίας Ἐπισκόπων, ἀφ' ἧς καὶ ὁ ἀπελθεῖν μέλλων ἐστὶ, μάλιστα δὲ τοῦ μητροπολίτου τῆς ἐπαρχίας ἐκείνης. τὸν δὲ ὁρμήσαντα χωρὶς γνώμης καὶ γραμμάτων τοῦ μητροπολίτου ἀπελθεῖν πρὸς βασιλέα καθαιρεῖσθαι. ὁ δὲ τῆς ἐν Σαρδικῇ Συνόδου ζ΄. κανὼν, καὶ η΄. εἰ διὰ βοήθειαν χηρῶν καὶ ὀρφανῶν καὶ πενήτων, καὶ λαϊκῶν προσφευγόντων τῇ ἐκκλησίᾳ ἀδικουμένων ἢ καταδυναστευομένων ἢ ἀποστερουμένων

μένων τῶν ἀνηκόντων αὐτοῖς, ἢ καὶ περιορισθῆναι διὰ πταίσματα καταδικασθέντων, προσελθεῖν ἐθέλοι τῷ βασιλεῖ, συγχωροῦσι τῷ τοιούτῳ ἀπιέναι· μᾶλλον δὲ διάκονον στέλλειν οἰκεῖον πρὸς τὸν βασιλέα μετὰ γραμμάτων εἰς ἐπικουρίαν τῶν προσφευγόντων τῇ ἐκκλησίᾳ.

ΑΡΙΣΤ. Ὁ προσιὼν αὐτομάτως τῷ βασιλεῖ Ἐπίσκοπος, ἢ πρεσβύτερος, καὶ οὐχὶ κελευσθεὶς παρὰ τοῦ τῆς χώρας μητροπολίτου, μετὰ τῆς κοινωνίας ἐκπιπτέτω καὶ τῆς ἀξίας.

Τὸ ἀνυπότακτον ἐν πᾶσιν οἱ πατέρες περιαιροῦντες, καὶ τὸ εὔτακτον συντηροῦντες, κωλύουσι καὶ τοὺς Ἐπισκόπους, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς ἄλλους τοῦ ἱερατικοῦ καταλόγου, ἄνευ γραμμάτων τοῦ πρώτου αὐτῶν πρὸς βασιλέα ἀπέρχεσθαι, καὶ τὰς ἀκοὰς αὐτοῦ παρενοχλεῖν, καὶ ἀναφέρειν περί τινων. καὶ διὰ τοῦτο τὸν ἄνευ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας Ἐπισκόπου τῷ βασιλεῖ προσιόντα, καὶ τῆς ἀξίας καθαιρεῖσθαι προστάττουσι, καὶ τῆς κοινωνίας ἀπείργεσθαι.

ΚΑΝΩΝ ιβ'.

Εἴ τις ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου καθαιρεθεὶς πρεσβύτερος ἢ διάκονος, ἢ καὶ Ἐπίσκοπος ὑπὸ συνόδου, ὀχλῆσαι τολμήσειε τὰς βασιλικὰς ἀκοὰς, δέον ἐπὶ μείζονα Ἐπισκόπων σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν προσαναφέρειν πλείοσιν Ἐπισκόποις, καὶ τὴν παρ' αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι. εἰ δὲ τούτων ὀλιγωρήσας ἐνοχλήσειεν τῷ βασιλεῖ, καὶ τοῦτον μηδεμιᾶς συγγνώμης ἀξιοῦσθαι, μηδὲ χώραν ἀπολογίας ἔχειν, μηδὲ ἐλπίδα μελλούσης ἀποκαταστάσεως προσδοκᾶν.

ΒΑΛΣ. Παντὶ καταδικαζομένῳ καὶ ἀδικεῖσθαι οἰομένῳ, ἡ τῆς ἐκκλήτου ἐδόθη βοήθεια. φησὶ γοῦν ὁ κανὼν, ὡς εἰ καὶ ἐνεδόθη τοῦτο τοῖς Ἐπισκόποις, ὡσαύτως καὶ τοῖς κληρικοῖς, ἀλλ' οὐκ ἐξεχωρήθη καὶ τὰς βασιλικὰς ἀκοὰς χάριν τούτου ὀχλεῖν. εἴ τις οὖν, καταλιπὼν τὸ προσελθεῖν μείζονι συνόδῳ καὶ γυμνάσαι τὰς δικαίας δικαιολογίας κατὰ λόγον ἐκκλήτου, ὀχλήσει βασιλέα περὶ τούτου, οὐ μόνον οὐκ ὠφεληθήσεται, ἀλλ' ὡς μηδεμιᾶς συγγνώμης ἀξιούμενος, πᾶσαν θύραν οἰκείας δικαιολογίας ἑαυτῷ ἐπιζυγώσει, καὶ οὐδὲ ἐλπίδα ἕξει ἀποκαταστάσεως. εἴποι δέ τις, ὡς τοῦ κανόνος λέγοντος μὴ προσέρχεσθαι τὸν καθαιρεθέντα βασιλεῖ, ἀλλὰ μείζονι συνόδῳ, ὁ μὲν καθαιρεθεὶς ὑπὸ τοῦ Ἐφέσου τυχὸν ἢ τοῦ Θεσσαλονίκης τῷ οἰκουμενικῷ πατριάρχῃ εὐλόγως προσελθεῖν ἀναγκασθήσεται· ὁ δὲ ὑπὸ πατριάρχου καταδικασθεὶς, μὴ ἔχων ὅπου προσφύγῃ, τῷ βασιλεῖ προσερχόμενος κολασθήσεται ἢ οὔ; Λύσις. τινὲς μὲν εἶπον, καὶ εἰς τὰς ἀποφάσεις τούτων χώραν ἔχειν τὰ τοῦ κανόνος ἄνευ τοῦ οἰκουμενικοῦ, διὰ τὸ τὴν τοῦ Ἱεροσολύμων ἀπόφασιν ἀνακρίνεσθαι παρὰ τοῦ Ἀντιοχείας, καὶ τὴν τοῦ Ἀντιοχείας παρὰ τοῦ Ἀλεξανδρείας, καὶ ἐφεξῆς κατὰ τὴν μείζονα τάξιν ἑκάστου αὐτῶν. ἐμοὶ δὲ δοκεῖ τὸν κανόνα ἐκφωνηθῆναι διὰ τὰς ἀποφάσεις τῶν ἄλλων Ἐπισκόπων, καὶ τῶν μητροπολιτῶν, οὐ μὴν καὶ τῶν πατριαρχῶν. αἱ ψῆφοι γὰρ τούτων ἐκκλήτῳ οὐχ ὑπόκεινται. διὸ καὶ ὁ προσελθὼν βασιλεῖ χάριν τοῦ ἀνακριθῆναι κατ' ἔκκλητον ἀπόφασιν τούτων, τιμωρηθήσεται κατὰ τὸν παρόντα κανόνα. φησὶ γὰρ ἡ ρλζ'. Ἰουστινιανείου νεαρὰ, ἡ κειμένη ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν τιτ. α'. κεφ. με'. εἴ τινες δὲ ὁσιώτατοι Ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῆς αὐτῆς συνόδου Ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης ἐκείνης τῆς διοικήσεως μεταξὺ αὐτῶν ἀκροασάσθω καὶ ἐκεῖνα ὁριζέτω ἅτινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ τοῖς νόμοις συνᾴδουσιν, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου. ὅτι δὲ πολλάκις ἐτρακταΐσθη, εἰ χρὴ ἐκκλήτῳ ὑποκεῖσθαι τὴν ψῆφον τέως τοῦ Κωνσταντινουπόλεως,

A auxilium expoſcunt, aut etiam quibus ob aliquas delicti offenſiones exilii pœna irrogata eſt, Imperatorem adeundi facultatem eſſe decernunt: Diaconum tamen potius cum literis ſuum ad imperatorem mitti, eoque pacto Eccleſiæ ſupplicibus opitulari placet.

Arist. *Epiſcopus vel Presbyter, qui ſuâ ſponte, & non provinciæ Metropolitani juſſu Imperatorem adit, communione pariter ac dignitate excidat.*

Inobedientiam in omnibus tollentes patres, & conſtitutum ordinem conſervantes, prohibent & Epi- B ſcopos, & Presbyteros & alios catalogi ſacerdotalis ſine Primatis ſui literis regem adire & aures ejus obturbare, & quicquam de aliquibus referre. Et idcirco eum qui ſine illius, qui provinciæ metropolis eſt Epiſcopus, ſententiâ regem adit, & dignitate deponi jubent, & à communione arceri.

Canon XII.

Si quis Presbyter vel Diaconus à proprio Epiſcopo, vel Epiſcopus à Synodo depoſitus, auſus fuerit Imp. auribus moleſtiam exhibere, cum oporteat ad majorem Synodum converti, & jus, quod ſe habere, putat, C ad plures Epiſcopos referre, eorumque examinationem & judicium ſuſcipere: Si itaque his contemptis Imp. moleſtus fuerit, is nulla venia dignus, neque ſui defendendi locum habeat, nec reſtitutionis futuræ ſpem expectet.

Bals. Cuivis condemnato, qui ſe injuria affectum putet, appellationis auxilium datum eſt. Dicit ergo Canon, quod etſi hoc Epiſcopis datum eſt, ſimiliter & Clericis; non tamen eis permiſſum eſt, aures regias de ea re obtundere. Si quis ergo, relicto ad majorem Synodum aditu, prætermiſſiſque D juris ſui coram ea allegationibus per appellationem, de ea re Imperatori moleſtus fuerit, non ſolùm non juvabitur; ſed perinde ac nulla venia dignus, omnem ſui juris proponendi januam ſibi occludet, & nec ſpem quidem reſtitutionis habebit. Dixerit autem quiſpiam; cùm Canon dicat depoſitos non debere ad Imp. accedere, ſed ad majorem Synodum; ut is, qui fortè ab Epheſino vel Theſſalonicenſi depoſitus eſt, ad Patriarcham univerſalem rectè accedere cogetur: qui vero à Patriarcha condemnatus eſt, cum non habeat quo confugiat, ad Imp. accedens punietur, an non? Solutio. Nonnulli di- E cebant, in eorum quoque ſententias locum habere ea, quæ à Canone dicuntur, excepto univerſali, quoniam Hieroſolymitani ſententia ab Antiocheno dijudicetur, & Antiocheni ab Alexandrino, & ſic deinceps ſecundum majorem uniuſcujuſque ordinem. Mihi autem videtur Canon eſſe editus propter ſententias aliorum Epiſcoporum & Metropolitanorum, non etiam Patriarcharum. Eorum enim ſententiæ appellationi non ſubjiciuntur. Et ideo, qui Imp. adierit, ut de eorum ſententia per appellationem quæratur, ut vult hic præſens Canon, punietur. Dicit enim cxxxvii. Juſtiniani novella, quæ in iii. lib. F Baſilic tit. i. cap. xlv. ſita eſt ſic expreſsè; Si qui autem ſanctiſſimi hujus Synodi Epiſcopi aliquam inter ſeſe controverſiam habeant, ſive de jure eccleſiaſtico, ſive pro aliquibus aliis rebus; priùs eorum Metropolitanus cum aliis duobus ejuſdem Synodi Epiſcopis rem judicet, & niſi utraque pars ſtet iis quæ judicata fuerint, tunc beatiſſimus Patriarcha illius diœceſis inter eos audiat, & illa definiat, quæ eccleſiaſticis Canonibus & legibus conveniunt, nulla parte ejus ſententiæ contradicere valente. Quia autem ſæpe tractatum eſt, an oportet Conſtantinopol.

ſententiam eſſe appellationi ſubjectam; viſum eſt oportere, quod mihi videtur, de eo dicere, & ea quoque quæ de ea re ab aliis dicuntur. Dicunt nonnulli, quòd quoniam ſententiam Præfecti Prætorio, & ſententiam ejus, qui bis fuit præfectus urbis, leges apertè ſtatuunt appellationi non ſubjici; Patriarchalem autem ſententiam eo privilegio dignam non judicavêre: quemadmodum à multis & quibuſlibet Judicibus, ita etiam ab eo provocabitur. Ad ſui autem dicti confirmationem utuntur & iii. Juſtiniani novella, in iii. libro Baſil. tit. ii. ſita, quæ decernit Patriarcham Imperatori rationem reddere, ſi Clericum ultra numerum ordinârit. Alii Patriarchalis magnitudinis eminentiam veluti venerantes, dicunt nec omnino à Patriarchali ſententia penitus excludendam eſſe appellationem, nec omnino concedendam. Sed ſi partes quidem, quæ in judicio contendunt, ſunt vel Clericorum vel Monachorum ordinis, prolata adverſus aliquem eorum ſententia, non rurſus examinabitur: ſi vero altera pars vel utraque ſint Laici ordinis, citra ullam controverſiam appellabitur. Alii vero dicunt cauſam eſſe appellationis genetricem. Cauſa enim Eccleſiaſtica non parit, inquiunt, fœtum appellatorium: pecuniaria autem parit appellationem, tanquam viperinam quandam abortionem parentis viſcera lacerantem. Alii iis, qui hæc dicunt, os occludentes, cenſent Patriarchalem ſententiam tunc ſolum appellationi ſubjici, quando mandato Imp. præſidet Patriarcha cum aliis conjudicibus, vel cum ſua Synodo. Mihi autem videtur, quòd quoniam leges, antequam Eccleſiaſticus ſtatus conſtitueretur, conſcriptæ ſunt, & complures eorum à Græcis, rectè nullam Patriarcharum mentionem fecêre. Si quis autem dicat etiam ab orthodoxis Impp. factam fuiſſe novellam poſtquam ſedes Patriarchales honore affectæ ſint; primum quidem audiet, quòd orthodoxo Imp. nunquam in mentem venit, futurum ut quis hoc auderet, & diceret, quod à tanta auctoritate prædito támque honorato judicatum ſit eſſe rurſus in judicium revocandum. Deinde & Juſtiniani novellam, in præſentis Canonis interpretatione poſitam, qua cavetur ne quis Patriarchali ſententiæ contradicat, ſufficere ad os eis penitus occludendum: ab eo autem de iis, quæ ab illo factæ ſunt ſupernumerariis ordinationibus, rationem exigi, non introducit ejus judiciorum de integro examinationem. Illud enim eſt factum proprium: hoc verò, ſedis privilegium. Quoniam igitur ſtatutum eſt, nullum per alium injuria afficiendum, ipſe quidem ab Imp. qui Eccleſiæ habet poteſtatis ſcientiam, judicabitur, fortè ut ſacrilegus vel malè de fide ſentiens, vel alicujus alius criminis reus. Hoc enim nos judicialiter actum eſſe vidimus diverſis temporibus, ejus autem judicium in diſceptationem non revocari, nec de eo ratio poſtulari debet propter ſedis excellentiam. Quia vero adverſus hanc novellam quidam perverſam linguam immitemq; exacuunt, & dicunt, tunc non poſſe Patriarchæ judicio contradici, quando Patriarcha audit per appellationem Antiſtitis ſententiam, eo quod nolit novella cauſam in duobus judiciis agitatam ad tertium deduci; non autem quando primo loco judicat, & maximè Laicos: dico, me poſſe quidem multa ad hæc dicere, & oſtendere ipſos non rectè dicere. Quia autem iv. can. Sardicenſ. Syn. decernit licere ei, qui eſt condemnatus, bis appellare, & ultimum judicium fieri à Papa Romano: non ſinit hoc eis procedere. Alia quidem prætermitto; hoc autem dico, quod quoniam ſancti Conſtantini decretum ad Papam Silveſtrum factum, à nobis in i. cap. viii. tit. præſentis operis interpretatione ſitum ſtatuit, Papam habere omnia jura Imper. ſecunda autem univerſalis Synodus & iv. dederunt Patriarchæ Conſtantinopolitano privilegia Papæ, & ſtatuerunt, ut, quemadmodum & ille, in omnibus honoretur: neceſſariò in ejus ſententiam appellatio non cadit; quemadmo-

A ἔδοξέ μοι ἀναγκαῖον, εἰπεῖν ὃ δοκεῖ μοι χάριν τούτου, καὶ τὰ παρά τινων δικαιολογούμενα. λέγουσί τινες, ὡς ἐπεὶ τὴν μὲν ἀπόφασιν τοῦ ἐπάρχου, τῶν πραιτωρίων καὶ τὴν ἀπόφασιν τοῦ δὶς γεγονότος ἐπάρχου τῆς πόλεως, οἱ νόμοι ῥητῶς διορίζονται μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, πατριαρχικὴν δὲ ἀπόφασιν τοῦ τοιούτου προνομίου ῥητῶς οὐκ ἀξιοῦσι· κατὰ τὰς πολλὰς καὶ τυχόντων δικαστῶν ψήφους, καὶ αὕτη ἐκκλητευθήσεται. πρὸς ἐπισύστασιν τοῦ λόγου αὐτῶν χρῶνται καὶ τῇ τρίτῃ Ἰουστινιανείῳ νεαρᾷ, τῇ κειμένῃ ἐν βιβλίῳ τρίτῳ τῶν βασιλικῶν τίτλου β΄. καὶ διοριζομένῃ εὐθύνεσθαι παρὰ τοῦ βασιλέως τὸν πατριάρχην εἴπερ χειροτονήσει ὑπεράριθμον κληρικόν. ἄλλοι τῆς πατριαρχικῆς μεγαλειότητος τὴν ὑπεροχὴν ὥσπερ εἰ σεβαζόμενοι, φασὶ, μήτε πάντως ἀποκλειστέον κατὰ τῆς πατριαρχικῆς ἀποφάσεως τὸ ἔκκλητον, μήτε

B πάντῃ ἐνδοτέον. ἀλλ' εἰ μὲν τὰ μέρη τὰ δικαζόμενα τῆς τῶν ἱερωμένων ἢ καὶ μοναχῶν εἰσι τύχης, ἡ κατά τινος τούτων ἐξενεχθεῖσα ἀπόφασις οὐκ ἀνακριθήσεται· εἰ δὲ θάτερον τῶν μερῶν ἢ καὶ ἄμφω ἐν μοίρᾳ τάττοιντο λαϊκοῦ, ἀμάχως ἐκκλητευθήσεται. ἕτεροι τὴν τῆς ὑποθέσεως ποιότητα λέγουσι γεννήτειραν εἶναι τῆς ἐκκλησίας. ἡ μὲν γὰρ ἐκκλησιαστικὴ ζήτησις οὐκ ὠδίνει, φασὶ, παιδίον ἐκκλητοπόθητον· ἡ δὲ χρηματικὴ κυΐσκει τὸ ἔκκλητον, ὡς ἐχιδναῖον ἄμβλωμα τῆς τεκούσης παράττων τὰ ἔγκατα. ἄλλοι τοὺς ταῦτα λέγοντας ἐπιστομίζοντες, ἀξιοῦσι

C τότε καὶ μόνον ὑποκεῖσθαι ἐκκλήτῳ τὴν πατριαρχικὴν ἀπόφασιν, ὅτε κατὰ βασιλικὸν ὁρισμὸν προκάθηται δικάζων ὁ πατριάρχης μετὰ συνδικαστῶν, ἢ καὶ μετὰ τῆς οἰκείας συνόδου. ἐμοὶ δὲ δοκεῖ, ὡς ἐπεὶ οἱ νόμοι πρὸ τοῦ καταστῆναι τὴν ἐκκλησιαστικὴν τάξιν συνεγράφησαν, καὶ οἱ πλείους τούτων παρὰ Ἑλλήνων, καλῶς οὐκ ἐμνήσθησαν πατριαρχῶν. εἰ δέ τις ἐρεῖ καὶ παρὰ βασιλέων ὀρθοδόξων γενέσθαι νεαρὰν μετὰ τὸ τιμηθῆναι τοὺς πατριαρχικοὺς θρόνους, ἀκούσει πρῶτον μὲν, ὡς οὐδὲ εἰς ἐνθύμησιν ἦλθεν ὀρθοδόξῳ βασιλεῖ τοιοῦτόν τι τολμηθῆναι ποτὲ παρά τινος, καὶ εἰπεῖν τὴν κρίσιν τοῦ τοσαύτῃ τετιμημένου μεγαλειότητι ἀνακρίνεσθαι. εἶτα δὲ καὶ τὴν καταστρωθεῖσαν νεαρὰν τοῦ Ἰουστινιανοῦ εἰς τὴν τοῦ παρόντος κανό-

D νος ἑρμηνείαν, καὶ διοριζομένην μηδένα ἀντιλέγειν κατὰ τῆς πατριαρχικῆς ψήφου, ἀρκεῖν εἰς παντελῆ τούτων ἐπιστομισμόν. τὸ δὲ λογοπραγεῖσθαι τοῦτον χάριν τῶν παρ' αὐτοῦ γινομένων ὑπεραριθμίων χειροτονιῶν, οὐκ εἰσάγει καὶ τῶν κρίσεων τούτου ἀνάκρισιν. τὸ μὲν γὰρ φάκτον οἰκεῖόν ἐστι· τὸ δὲ, τοῦ θρόνου προνόμιον. ὅτι οὖν νενόμισται, μηδένα δι' ἑτέρου ἀδικεῖσθαι, αὐτὸς μὲν παρὰ τοῦ ἐπιστημονάρχου τῆς ἐκκλησίας τοῦ βασιλέως κριθήσεται, ὡς ἱερόσυλος τυχὸν ἢ ἑτερόδοξος, ἢ ὡς ἕτερόν τι ἡμαρτηκώς. εἴδομεν γὰρ τοῦτο καὶ πραγματικῶς γεγονὸς μετὰ διαφόρους καιρούς. τὸ δὲ δικαστήριον αὐτοῦ ἀλογοπράκτον ἔσται διὰ τὴν τοῦ θρόνου ὑπεροχήν. ἐπεὶ

E δέ τινες καὶ κατὰ τῆς τοιαύτης νεαρᾶς ὁπλίζουσι γλῶτταν σκολιὰν καὶ ἀπίθανον, καὶ λέγουσι τότε μὴ δύνασθαι τὸν παρὰ πατριάρχῃ δικαζόμενον ἀντιλέγειν, ὅτε κατ' ἔκκλητον ὁ πατριάρχης ἀκροᾶται τῆς ἱερατικῆς ἀποφάσεως, διὰ τὸ μὴ ἐθέλειν τὴν νεαρὰν τὴν εἰς δύο δικαστήρια ζητηθεῖσαν ὑπόθεσιν, καὶ εἰς τρίτον εἰσάγεσθαι, οὐ μὴν ὅτε πρωτοτύπως δικάζῃ καὶ μάλιστα λαϊκούς· λέγω, ὅτι εἶχον μὲν πρὸς τοῦτο πολλὰ εἰπεῖν, καὶ παραστῆσαι αὐτοὺς μὴ καλῶς λέγειν. ὅτι δὲ ὁ δ΄. κανὼν τῆς ἐν Σαρδικῇ συνόδου διορίζεται ἔχειν ἐπ' ἀδείας τὸν καταδικασθέντα δὶς ἐκκαλεῖσθαι, καὶ τὴν τελευταίαν κρίσιν

F γίνεσθαι παρὰ τοῦ Πάππα τῆς Ῥώμης, οὐ παραχωρεῖ τούτοις τοιαῦτα προτιθέναι. τὰ μὲν ἄλλα παρίημι, λέγω δὲ, ὅτι ἐπεὶ τὸ μὲν τοῦ ἁγίου Κωνσταντίνου θέσπισμα τὸ πρὸς τὸν ἅγιον Σίλβεστρον γεγονὸς, καταστρωθὲν παρ' ἡμῶν εἰς τὴν ἑρμηνείαν τοῦ πρώτου κεφ. τοῦ η΄. τίτλου τοῦ παρόντος συντάγματος, διορίζεται ἔχειν τὸν Πάππαν πάντα τὰ βασιλικὰ δίκαια· ἡ δὲ δευτέρα οἰκουμενικὴ σύνοδος καὶ ἡ τετάρτη δεδώκασι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως τὰ προνόμια τοῦ Πάππα, καὶ ὥρισαν κατ' ἐκεῖνον ἐπὶ πᾶσι τιμᾶσθαι· ἐξ ἀνάγκης ἐκκλήτῳ οὐχ ὑποπέσῃ ἡ τούτου ἀπόφασις, ὥσπερ οὐδὲ ἡ βα-

σιλικὴ ἀπόφασις ἀνακρίνεται. διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ τὰ συνοδικὰ σημειώματα κατὰ τὰ προνόμια τῶν βασιλικῶν σημειωμάτων ἀπολύονται. τούτου δὲ οὕτως ἔχοντος, πάντως ἀπρακτοῦσι καὶ τὰ λοιπὰ δικαιολογήματα. κἂν γὰρ ἱερατικοὺς τινας δικάσῃ ὁ πατριάρχης, κἂν λαϊκοὺς, κἂν λαϊκὸν μετὰ ἱερωμένου, κἂν διὰ βασιλικῆς προστάξεως, κἂν οἰκείῳ δικαίῳ, κἂν μετὰ συνδικαστοῦ, κἂν μόνος, πάσης ἀνακρίσεως ἔσται ἐπέκεινα· καὶ ὁ τολμήσας ἐκκαλέσασθαι εἰς βασιλέα χάριν τοῦ ἀνακριθῆναι τὴν ἀπόφασιν τὴν πατριαρχικὴν, ὑπόδικος ἔσται τῷ παρόντι κανόνι. εἰ γὰρ οὐκ ἐφεῖται βασιλεῖ ὀχλεῖν χάριν τοῦ ἀνακριθῆναι τὴν τοῦ δεῖνος μητροπολίτου ἀπόφασιν. πολλῷ πλέον οὐκ ἐκχωρηθήσεται πατριαρχικὴν διάγνωσιν παρὰ βασιλεῖ γενέσθαι εἰσαγώγιμον.

ΖΩΝΑΡ. Εἴρηται ἀνωτέρω, πῶς ἢ Ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς, ἢ κληρικὸς ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου, δύναται ζητεῖν δοκιμασθῆναι τὴν ψῆφον τὴν κατ' αὐτοὺς, εἰ δοκεῖ ἀδικεῖσθαι· ἐνταῦθα δὲ ἀπαγορεύει τοῖς καθαιρουμένοις ὁ κανὼν προσιέναι βασιλεῖ, καὶ ἐνοχλεῖν αὐτῷ, καὶ ζητεῖν τὴν κατ' αὐτοῦ ἐξετασθῆναι ἀπόφασιν, καὶ τῷ τοῦτο ποιήσαντι, μήτε χώραν ἀπολογίας δίδοσθαι κελεύει, μήτε ἐλπίζειν, ὡς ἀποκαταστήσεται.

ΑΡΙΣΤ. Ὁ καθῃρημένος, εἰ ἐνοχλοίη τῷ βασιλεῖ, αἰτείτω σύνοδον μείζονα, καὶ τὴν ἐκεῖθεν δόξαν στεργέτω· εἰ δὲ καὶ αὖθις ἀποδυσπετοίη, μὴ ἐχέτω ἀποκατάστασιν.

Τὸν καθαιρεθέντα ὑπὸ συνόδου, καὶ οἰόμενον ἀδικεῖσθαι, ὁ κανὼν οὐ κωλύει μείζονα σύνοδον ἐπικαλεῖσθαι, καὶ παρ' αὐτῇ γυμνάζειν ἃ νομίζει δίκαια ἔχειν, εἰς ἀνατροπὴν τῆς κατ' αὐτοῦ ἐξενεχθείσης ψήφου. ἀλλὰ μᾶλλον καὶ ἐπιτρέπει αὐτοῦ ποιεῖν αὐτόν. τὸν δὲ μὴ θέλοντα προσελθεῖν συνόδῳ, καὶ παρ' αὐτῇ τὰ οἰκεῖα προθεῖναι δίκαια, ἀλλὰ τὰς βασιλικὰς ἀκοὰς παρενοχλεῖν πειρώμενον εἰς ἐκδίκησιν, συγγνώμης τινὸς οὐκ ἀξιοῖ, οὐδὲ χώραν ἀπολογίας αὐτῷ δίδωσι, καὶ ἐλπίδα προσδοκᾶν μελλούσης ἀποκαταστάσεως.

ΚΑΝΩΝ ιγʹ.

Μηδένα Ἐπίσκοπον τολμᾷν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν, καὶ χειροτονεῖν ἐν ἐκκλησίαις τινὰς εἰς προαγωγὴν λειτουργίας, μηδὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους, εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ Ἐπισκόπων, ὧν εἰς τὴν χώραν παρέρχεται. εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταστάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πεπραγμένα τυγχάνειν· καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ καὶ τῆς παραλόγου ἐπιχειρήσεως τὴν προσήκουσαν δίκην, καθῃρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας συνόδου.

ΒΑΛΣ. Περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων ἱκανῶς διελάβομεν ἐν τῷ λεʹ. ἀποστολικῷ κανόνι, καὶ ἐν ἑτέροις. καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα. ζήτει καὶ τῆς παρούσης συνόδου καν. κβʹ.

ΖΩΝΑΡ. Σκανδάλων καὶ ταραχῶν αἴτιον, τὸ ἀπιέναι Ἐπίσκοπον εἰς ἐπαρχίαν ἑτέραν, καὶ χειροτονίας ποιεῖν ἄνευ γνώμης τοῦ Ἐπισκόπου τῆς ἐπαρχίας ἐκείνης. διὸ καὶ κωλύει τοῦτο ὁ κανὼν, καὶ τὸν τοῦτο ποιήσαντα καθαιρέσει καταδικάζει. ταῦτα δὲ κεκανόνισται καὶ τοῖς ἁγίοις ἀποστόλοις ἐν λεʹ. κανόνι, τὰ αὐτὰ δὲ ὁρίζει καὶ ὁ κβʹ. κανὼν τῆς συνόδου ταύτης.

ΑΡΙΣΤ. Εἰ μηδενὸς ἀξιοῦντος Ἐπίσκοπος εἰς ἄλλην ἐπαρχίαν ἄπιοι, καὶ χειροτονοίη, καὶ διοικοίη πράγματα, αὐτά τε ἄκυρα μενέτω, κἀκεῖνος καθαιρείσθω.

Πολλοὺς κανόνας εὑρήσεις τοῦτο κωλύοντας, τὸ μεταβαίνειν Ἐπίσκοπον ἀπὸ τῆς ἰδίας ἐπαρχίας εἰς ἀλλοτρίαν, καὶ χειροτονεῖν ἐν αὐτῇ, ἢ ἕτερόν τι ἐπισκοπικὸν ἐνεργεῖν· εἰ μήπου προσκληθῇ τις, καὶ ἀξιωθῇ παρὰ τοῦ κατὰ χώραν Ἐπισκόπου τοιοῦτόν τι ποιῆσαι. τὸν δ' οἴκοθεν εἰς ἐπαρχίαν ἑτέραν παραγενόμενον, καὶ ἢ

A dum nec de Imp. ſententia quæritur. Propterea enim, ut eſt conſentaneum, & ſynodalia edicta inſtar privilegiorum regalium edictorum emittuntur. Cùm hoc autem ita ſe habeat, reliquæ quoque eorum ceſſant allegationes. Nam ſive Clericos ſive Laicos judicaverit Patriarcha, ſive Laicum cum Clerico, ſive juſſu Imperatorio, ſive jure proprio, ſive cum conjudice, ſive ſolus, erit quacunque examinatione & judicatione ſuperior: & qui auſus fuerit ad Imp. appellare, ut de Patriarchæ ſententia rurſus judicetur, erit præſenti Canoni obnoxius. Si enim non permittitur Imp. moleſtia afficere, pro rurſus revocanda in judicium alicujus Metropolitani ſententia: B multo magis non permittetur Patriarchalem ſententiam ad Imperatorem introduci.

Zonar. Epiſcopo, quem Synodus, vel Clerico, quem Epiſcopus depoſuerit, quo pacto de ſententia ſuæ damnationis, ſi injuſtam eſſe aſſerat, examinanda agere liceat, jam antea explicavimus: hoc vero loco eos, qui depoſitione mulctati ſunt, Imperatorem adire, eique moleſtos eſſe, ac ad eum damnationis ſuæ cognitionem deferre, Canon vetat; quique id fecerit, nec audiri amplius in judicio, & omni in poſterum reſtitutionis ſpe carere jubet.

C **Arist.** *Depoſitus, ſi Imperatori moleſtiam exhibuerit majorem petat Synodum, ejuſque decreto acquieſcat. Si vero & rurſum ægrè tulerit, reſtitutionem ne aſſequatur.*

Eum qui à Synodo deponitur, ſibique videtur injuriâ affectus, Canon hic majorem provocare Synodum non prohibet, & apud eam proferre quæ juſta eſſe arbitratur, ad ſententiæ contra ſe latæ everſionem. Imo potius ei hoc permittit facere. Eum autem qui non vult Synodum adire, & apud eam jura ſua proponere, ſed Imperatorias obturbare aures in ultionem molitur, nullâ dignatur veniâ, nec apologiæ locum ei concedit, nec futuræ reſtitutionis ſpem expe- D ctare.

Canon XIII.

Nullus Epiſcopus audeat ab una provincia in aliam tranſire, & ad miniſterii promotionem aliquos Eccleſiis ordinare, nec ſi alios unà ſecum inducat, niſi venerit literis accerſitus Metropolitani, & Epiſcoporum qui ſunt cum ipſo, in quorum regionem accedit. Si autem nullo vocante, ad aliquorum ordinationem & Eccleſiaſticarum rerum ad ſe non pertinentium conſtitutionem, inordinate inſolenterque proceſſerit, ſint quidem irrita quæ ab ipſo geruntur: ipſe autem ſuæ E *inſolentiæ & præter rationem factæ aggreſſionis debitas det pœnas, à ſancta ſcilicet Synodo exinde depoſitus.*

Bals. De iis, quæ in præſenti Canone tractata ſunt, in xxxv. Canone Apoſtolico ſatis tractavimus, & alibi. Et lege ea, quæ illic ſcripta ſunt. Quære & præſentis Synodi Can. xxii.

Zonar. Si quis Epiſcopus alterius provinciam ingrediatur, ibique eo inconſulto ordines conferat, offenſiones ac tumultus ex ea re exiſtere facile eſt. Quare tum id fieri can. vetat, tum qui fecerit, depoſitione damnatum eſſe decernit. F Eadem vero, & Apoſtolorum xxxv. & hujus quoque Syn. vigeſimoſecundo Canone, conſtituta ſunt.

Arist. *Si, nemine rogante, Epiſcopus in aliam ſe contulerit provinciam, & ordinaverit, reſque adminiſtraverit, & irritæ maneant, & iſte deponatur.*

Multos Canones invenies hoc prohibentes, nimirum Epiſcopum è ſuâ provinciâ ad alienam tranſilire, & in eâ ordinare, aut aliud aliquod munus Epiſcopale obire. Niſi forſitan vocetur aliquis & à regionis Epiſcopo dignus habeatur, qui tale aliquid faciat. At qui ſuâ ſponte in al-

teram provinciam proficiſcitur, & vel manuum impoſitiones facit, vel negotiorum Eccleſiaſticorum conſtitutiones ad ipſum non pertinentium, & irrita manere quæ ab iſto facta ſunt, & ipſum deponi jubent.

CANON XIV.

Si quis Epiſcopus ob aliqua crimina judicetur, deinde contingat Epiſcopos Provinciæ de eo diſſentire; illis quidem eum, de quo fertur ſententia, innocentem pronunciantibus; his vero, reum: pro tota componenda controverſia, viſum eſt ſanctæ Synodo, ut metropolitanus Epiſcopus ex propinqua provincia alios evocet judices, qui controverſiam dirimant, cum provincialibus, quod probatum fuerit, confirmando.

BALS. Epiſcopum, qui ab Epiſcopis provincialibus judicatur, & ab aliquibus quidem abſolvitur, ab aliis verò condemnatur, non aliàs condemnari vel abſolvi ſtatuit Synodus, niſi Synodi Metropolitanus propinquos Epiſcopos accerſiverit, qui id quod quæritur judicare, & ſententiam confirmare debent. Ne dicas ergo xii. Canonem huic canoni adverſari, dicentem; dubiam ſententiam à majori Synodo rurſus judicari, & non ab eo, qui primò judicavit, cum finitimis Epiſcopis examinari. Illic enim fuerat prolata ſententia, nec poteſt amplius judicare qui illam ſemel protulit; & propterea illius ſententia, ut dubia appellationi ſubjicitur: hic autem non eſt prolata ſententia. Et Canon Metropolitanum admonet finitimos Epiſcopos accerſere ut tollatur diſſentio, & ſic omnis condemnati ſuſpicio & tergiverſatio reſecetur, ſed ſi hoc quoque facto, condemnatus ſibi factam injuriam eſſe putet, rectè appellaverit, ut xii. Canone continetur, & iv. Sardic. Syn. Lege & ejuſdem Syn. Can. iii. & v. Si autem apud Patriarcham litigaverit, præſens Canon & ſequens locum habebit.

ZONAR. Quandocunque aliquis ab omnibus provinciæ Epiſcopis unanimi conſenſu damnatus fuerit, damnationem in dubium revocare, ut hujus Synodi can. iv. conſtitutum eſt, nequaquam licebit. At ſi non omnes Epiſcopi idem ſentiant, ſed alii quidem damnari reum, alii contra fieri oportere contendant; tunc à Metropolitano ejus provinciæ à vicina provincia alii Epiſcopi evocari, eorumque ſuffragiis ad alteram partium adjunctis diſſentientium inter ſe Epiſcoporum controverſiæ componi, debent. Lege Sardicenſis quoque Synodi Canonem tertium & quintum.

ARIST. *Si Epiſcopo accuſato, provinciæ Epiſcopi inter ſe diſcrepent, ad controverſiam certò dirimendam, alii è vicinis ſunt advocandi.*

Unuſquiſque Epiſcopus criminibus accuſatus à propriâ Synodo judicari debet, ſi autem provinciæ Epiſcopi diſſentiant, illi quidem inſontem judicatum, alii reum dicentes, à vicinâ provinciâ poteſt Metropolitanus alios evocare Epiſcopos ut controverſiam ab Epiſcopis agitatam ſolvant.

CANON XV.

Si quis Epiſcopus aliquorum criminum accuſatus, fuerit ab omnibus provinciæ Epiſcopis condemnatus, & omnes unam conſentientem adverſus eum ſententiam tulerint: is ne amplius ab aliis judicetur; ſed provinciæ Epiſcoporum firma maneat ſententia.

BALS. Præſens can. ſublatus eſt à iv. can. Syn. Sardic. Sin autem hoc nolis dicere, interpretare can. ut ſuperius dictum eſt: & dic fieri condemnationem à Synodo, in quam non cadit appellatio, ut à Papa, vel à Patriarcha Conſtantinopolitano.

A χειροθεσίας ποιούμενον, ἢ καταστάσεις ἐκκλησιαστικῶν πραγμάτων, μὴ προσηκόντων αὐτῷ, σὺν τῷ, ἄκυρα μένειν τὰ ὑπ' αὐτοῦ πραττόμενα, καὶ καθαιρεῖσθαι προστάττουσι.

ΚΑΝΩΝ ιδ'.

Εἴ τις Ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κρίνοιτο, ἔπειτα συμβαίνη περὶ αὐτοῦ διαφωνεῖν τοὺς ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπους, τῶν μὲν ἀθῶον τὸν κρινόμενον ἀποφαινόντων, τῶν δὲ ἔνοχον· ὑπὲρ ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, τὸν τῆς μητροπόλεως Ἐπίσκοπον ἀπὸ τῆς B πλησιοχώρου ἐπαρχίας μετακαλεῖσθαι ἑτέρους τινὰς τοὺς ἐπικρινοῦντας, καὶ τὴν ἀμφισβήτησιν διαλύσοντας, τοῦ βεβαιῶσαι σὺν τοῖς τῆς ἐπαρχίας τὸ παριστάμενον.

ΒΑΛΣ. Τὸν ὑπὸ ἐπαρχιωτῶν Ἐπισκόπων κρινόμενον Ἐπίσκοπον, καὶ παρά τινων μὲν ἀθωούμενον, παρά τινων δὲ καταδικαζόμενον, μὴ ἄλλως κατακρίνεσθαι ἢ δικαιοῦσθαι ὥρισεν ἡ σύνοδος, εἰ μὴ μετακαλέσηται ὁ τῆς συνόδου μητροπολίτης πλησιοχώρους Ἐπισκόπους, ἐπικρῖναι ὀφείλοντας τὸ ζητούμενον, καὶ βεβαιῶσαι τὴν ψῆφον. μὴ εἴπῃς γοῦν ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ τὸν ιβ'. κανόνα, τὸν λέγοντα, τὴν ἀμφίβολον ψῆφον ἀνακρίνεσθαι παρὰ μείζονος συνόδου, καὶ μὴ δοκιμάζεσθαι παρὰ τοῦ πρώτως κρίνοντος C μετὰ πλησιοχώρων Ἐπισκόπων. ἐκεῖ μὲν γὰρ ἔφθασε γενέσθαι ἡ ἀπόφασις, καὶ οὐκέτι δύναται δικάζειν ὁ ἅπαξ ἀποφηνάμενος, καὶ διὰ τοῦτο ἡ ψῆφος ἐκείνου, ὡς ἀμφίβολος, ἐκκλήτῳ ὑπόκειται. ἐνταῦθα δὲ οὐ γέγονεν ἀπόφασις. καὶ ὑποτίθησιν ὁ κανὼν τῷ μητροπολίτῃ μετακαλεῖσθαι καὶ πλησιοχώρους Ἐπισκόπους, ἐφ' ᾧ τὴν διαφωνίαν λυθῆναι, καὶ οὕτω πᾶσαν περιαιρεθῆναι τὴν τοῦ καταδικαζομένου ὑποψίαν καὶ πρόφασιν· πλὴν καὶ τούτου γινομένου, ἐὰν ὁ καταδικασθεὶς νομίζῃ ἀδικεῖσθαι, καλῶς ἐκκαλέσηται, κατὰ τὴν περίληψιν τοῦ ιβ'. κανόνος καὶ τοῦ δ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. ἀνάγνωθι καὶ τὸν αὐτῆς γ'. καὶ ε'. κανόνα· εἰ δὲ παρὰ τῷ πατριάρχῃ ἐδικάσατο, τὰ τοῦ παρόντος κανόνος καὶ τοῦ ἐφεξῆς ἕξουσι χώραν. D

ΖΩΝΑΡ. Ὅτε μὲν ὑπὸ πάντων τῶν τῆς ἐπαρχίας Ἐπισκόπων συμφώνως καταδικάζοιτο ὁ κρινόμενος, οὐκ ἔξεστιν αὐτῶν τὴν ψῆφον αἰτιᾶσθαι, κατὰ τὸν δ'. κανόνα τῆς παρούσης συνόδου. ὅτε δὲ διαφωνοῦσιν οἱ Ἐπίσκοποι, καὶ οἱ μὲν καταδικάζουσιν αὐτὸν, οἱ δὲ ἀντιλέγουσι, τότε χρὴ τὸν μητροπολίτην τῆς ἐπαρχίας ἐκείνης ἀπὸ τῆς πλησιαζούσης ἐπαρχίας μετακαλεῖσθαι Ἐπισκόπους ἑτέρους, ὥστε παρ' ἐκείνων λυθῆναι τὴν διαφωνίαν τῶν Ἐπισκόπων, προστεθέντων ἑνὶ μέρει τῶν ἐναντιουμένων ἀλλήλοις. ἀναγνωστέον δὲ καὶ τῆς ἐν Σαρδικῇ συνόδου τὸν γ'. καὶ ε'. κανόνα.

E **ΑΡΙΣΤ.** Εἰ Ἐπισκόπου κρινομένου, οἱ τῆς ἐπαρχίας Ἐπίσκοποι διαφέροιντο· μετακλητέον ἀπὸ τῆς πέλας ἑτέρους, εἰς ἀναμφίβολον λύσιν τοῦ ἀμφισβητήματος.

Ἕκαστος τῶν Ἐπισκόπων κατηγορούμενος ἐπ' ἐγκλήμασι, παρὰ τῇ ἰδίᾳ συνόδῳ ὀφείλει κρίνεσθαι. εἰ δὲ οἱ τῆς ἐπαρχίας Ἐπίσκοποι διαφωνοῦσιν· οἱ μὲν ἀθῶον τὸν κρινόμενον λέγοντες, οἱ δὲ ὑπόδικον· ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας δύναται ὁ μητροπολίτης ἑτέρους Ἐπισκόπους μετακαλεῖσθαι· ἵνα τὴν ἀνὰ μέσον τῶν Ἐπισκόπων ἀμφιβολίαν λύσωσι.

ΚΑΝΩΝ ιε'.

F Εἴ τις Ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ Ἐπισκόπων, πάντες τε σύμφωνον μίαν κατ' αὐτοῦ ἐξενέγκοιεν ψῆφον· τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν τῆς ἐπαρχίας Ἐπισκόπων ἀπόφασιν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν ἀνῃρέθη ἀπὸ τοῦ δ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου. εἰ δὲ μὴ θέλεις τοῦτο εἰπεῖν, ἑρμήνευσον τὸν κανόνα καθὼς ἀνωτέρω εἴρηται· καὶ εἰπὲ τὴν καταδίκην γενέσθαι ἐνταῦθα παρὰ συνόδου μὴ παραπιπτούσης ἐκκλήτῳ, ὡς τοῦ Πάπα ἢ τοῦ Κωνσταντινουπόλεως.

ΖΩΝΑΡ. Τὰ ἐν τῷ δ'. κανόνι εἰρημένα, καὶ εἰς τὴν τοῦ παρόντος ἐξήγησιν, ἱκανά εἰσιν.

ΑΡΙΣΤ. Ἐπισκόπου δικαζομένου, εἰ πᾶς ἐπαρχιώτης Ἐπίσκοπος συμφωνοίη, παλινδικία οὐ γίνεται.

Ὁ κανὼν οὗτος οὐ συγχωρεῖ τῷ ὑπὸ πάντων τῶν Ἐπισκόπων τῆς ἐπαρχίας καθαιρεθέντι, παρ' ἑτέροις ἔκκλητον κρίνεσθαι. ἀλλὰ μένειν βεβαίαν τὴν κατ' αὐτοῦ ἀπόφασιν πάντων τῶν ἐπαρχιωτῶν Ἐπισκόπων συμφώνως ἐξενεχθεῖσαν βούλεται. πλὴν, ὡς εἰρήκαμεν ἐν τῷ τετάρτῳ κανόνι τῆς παρούσης Συνόδου, μᾶλλον ἡ γνώμη κρατεῖ τῶν ὁριζομένων ἐκκαλεῖσθαι τὸν οἰόμενον ἀδικεῖσθαι, καὶ τῆς βοηθείας τῆς ἐκκλήτου ἐπιτυγχάνειν, ὡς δικαιοτέρα καὶ φιλανθρωποτέρα.

ΚΑΝΩΝ ιϛʹ.

Εἴ τις Ἐπίσκοπος σχολάζων, ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, καὶ εἰ πᾶς ὁ λαὸς, ὃν ὑφάρπασεν, ἕλοιτο αὐτόν. τελείαν δὲ ἐκείνην εἶναι Σύνοδον, ᾗ συμπάρεστι καὶ ὁ μητροπολίτης.

ΒΑΛΣ. Ἐπίσκοπός τις σχολάζων, ἤγουν μὴ ἔχων ἐκκλησίαν, ὡς ὑπὸ ἐθνῶν κρατουμένην, κατέσχεν αὐθεντικῶς σχολάζουσαν ἐκκλησίαν, μὴ ἔχουσαν δηλονότι Ἐπίσκοπον, καὶ ἐπέβη τοῦ θρόνου αὐτῆς, καὶ ἐνήργει ἀρχιερατικὰ δίκαια. αἰτιώμενος οὖν ὅπως τοῦτο τετόλμηκεν, ἐδικαιολογεῖτο, μὴ δι' ἄλλο τι κωλυθῆναι τὴν παρ' ἐνορίαν ἐνέργειαν, ἀλλ' ἢ διὰ τὸ μὴ ὑβρίζεσθαι ἢ καταφρονεῖσθαι τὸν τῆς ἐνορίας ταύτης πρόεδρον· ἀρχιερέως δὲ μὴ ὄντος ἐν τῇ σχολαζούσῃ ἐκκλησίᾳ· ἐπεὶ καὶ αὐτὸς τὴν λαχοῦσαν τοῦτον οὐκ ἔχει, ὑπὸ τῶν ἐθνῶν κατεχομένην, οὔτε τὰ τῆς ῥηθείσης ὕβρεως χώραν ἔχει, οὐδὲ αὐτὸς προκριματισθήσεται ἐπέκεινα ὧν ἔχει ἰδιευόμενος τὰ ἀλλότρια. φησὶ τοίνυν ὁ κανὼν, τὸν οὕτω ῥιψοκινδύνως ἁρπάζοντα τὸν μὴ δοθέντα αὐτῷ θρόνον ὑπὸ τῆς χάριτος τοῦ παναγίου πνεύματος, κἂν σχολάζων ἐστὶ, καὶ ἡ τοιαύτη ἐκκλησία σχολάζουσα, ἀπόβλητον γίνεσθαι. ὡς δέ τινος εἰπόντος ταῦτα χώραν ἔχειν ἔνθα λῃστρικῶς ὁ σχολάζων ἐσφετερίσατο τὴν σχολάζουσαν, οὐ μὴν ὅτε ὁ ταύτης λαὸς καὶ ἄκοντα τὸν σχολάζοντα μετήγαγεν εἰς αὐτήν· προσετέθησιν ὁ κανὼν, μηδὲ ἀπὸ τούτου συγγινώσκεσθαι τὸν εἰς σχολάζουσαν ἐνορίαν ἀρχιερατικόν τι πράξαντα δίχα Συνοδικῆς ἐπιτροπῆς. ἐπεὶ δὲ, ὡς ἔοικεν, ἀπὸ οἰκονομίας ἐπαρχιωτῶν Ἐπισκόπων παρεχωρήθη τις σχολάζων ἱερουργεῖν εἰς σχολάζουσαν, καὶ τοῦ γεγονότος κατακρινομένου, διὰ τὸ μὴ συμψηφίσασθαι καὶ τὸν μητροπολίτην, ἔλεγον τινὲς, σύνοδον εἶναι καὶ ὀνομάζεσθαι τὴν συνέλευσιν τῶν ἐπαρχιωτῶν, κἀντεῦθεν εἶναι βέβαιον τὸ παρὰ τούτων γινόμενον δίχα τοῦ μητροπολίτου, ὅτι καὶ αἱ ψῆφοι τῶν Ἐπισκόπων ἀναντίῤῥητοί εἰσι, γινόμεναι καὶ ταῦτα δίχα τοῦ μητροπολίτου· εἶπον οἱ πατέρες, ἐπὶ ταύτῃ τῇ ὑποθέσει ἐκείνην εἶναι τελείαν σύνοδον, τὴν ἔχουσαν παρουσιάζοντα καὶ τὸν μητροπολίτην· τὸ δὲ τῆς ψήφου ἰδικόν ἐστι, καὶ τὰ ἰδικὰ οὐχ ἕλκονται εἰς ὑπόδειγμα. ὥστε σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἔφεσται μετὰ συνοδικῆς διαγνώσεως παραχωρεῖν τῷ σχολάζοντι Ἐπισκόπῳ ἱερουργεῖν εἰς σχολάζουσαν ἐκκλησίαν, καθῆσθαι δὲ καὶ εἰς αὐτὸν τὸν θρόνον αὐτῆς. ἤκουσα γὰρ πολλάκις, ὅτι χρεία ἐστὶ πρὸς τοῦτο καὶ βασιλικῆς προστάξεως. ἐρωτήσει δέ τις, πῶς ὀφείλει νοηθῆναι τὸ εἶναι ἀπόβλητον τὸν οὕτως ἁρπάσαντα ἐκκλησίαν; καί τινες μὲν εἶπον ἐκλαμβάνεσθαι τοῦτο εἰς ἀφορισμόν. ἐμοὶ δὲ δοκεῖ εἰς καθαίρεσιν, κατὰ τοὺς κανόνας τοὺς λέγοντας καθαιρεῖσθαι τοὺς παρ' ἐνορίαν χειροτονοῦντας. εἰ γὰρ, ὁ ἐφ' ὕβρει τοῦ ἐγχωρίου ἑνὸς ἀρχιερέως ἐνεργήσας ἀρχιερατικόν τι, καθαιρεῖται· πολλῷ πλέον κολασθήσεται ὁ ἐπὶ ὕβρει τελείας Συνόδου τοιοῦτόν τι ποιήσας.

ZONAR. Ex iis quæ in iv. can. diximus, hujus quoque can. intelligentiam quilibet aſſequetur.

ARIST. *Epiſcopo judicato, ſi omnium provinciæ Epiſcoporum ſententiæ ſint concordes, actionis redintegratio non datur.*

Hic Canon eum qui ab omnibus provinciæ Epiſcopis deponitur, ab aliis appellationis more judicari non permittit, ſed omnium provincialium Epiſcoporum ſententiam unanimiter contra eum illatam, firmam vult manere. Sed ut in quarto Synodi hujus Can. diximus, ſententia eorum qui decreverunt eum qui ſe injuriâ affectum putat, provocare & appellationis auxilium aſſequi, potius valet ut juſtior & humanior.

CANON XVI.

Si quis vacans Epiſcopus, in vacantem Eccleſiam irrumpens, ſedem arripuerit abſque perfecta Synodo; is ſit ejectus, etiamſi omnis populus, quem invaſit, eum elegerit. Perfecta vero Synodus illa eſt, cui unà quoque adeſt Metropolitanus.

BALS. Epiſcopus quidam vacans, ſeu Eccleſiam non habens, utpote quæ à gentibus tenebatur, ſua auctoritate vacantem occupabat Eccleſiam, quæ ſcilicet Epiſcopum non habebat, ejus ſedem invadens, & jura Archiepiſcopalia exercebat. Cum autem reprehenderetur, & interrogaretur, quomodo hoc eſſet auſus, hoc ſe modo defendebat; non propter aliquid aliud fuiſſe prohibitam in alia regione ſeu diœceſi operationem ſeu exercitium, quam ne injuria afficeretur & contemneretur hujus regionis diœceſiſve Præſul: cum autem non ſit Antiſtes in vacante Eccleſia, & cum ipſe eam, quæ illi obtigerat, non habet, ut quæ à gentibus detinebatur; nec quæ de injuria dicta ſunt locum habebunt, nec ullum ei præjudicium afferetur, tanquam qui, ultra ea quæ habet, aliena ſibi uſurpet. Dicit ergo Canon, eum, qui tam temere à ſpiritus ſancti gratia non ſibi datum thronum arripit, etiamſi & ipſe & Eccleſia vacet, eſſe ejiciendum. Perinde autem ac ſi dixiſſet quiſpiam, ea locum habere, quando is, qui vacat, prædonis more vacantem eccleſiam invaſiſſet; non autem quando ejus populus eum, qui vacat, vel invitum ad eam tranſtulerit: adjicit Can. ne propterea quidem eſſe illi ignoſcendum, qui in vacantem Diœceſin aliquid Epiſcopale exercuit abſq; ſyn. permiſſione. Cum autem, ut eſt veriſimile, à provincialium Epiſcoporum diſpenſatione vacanti cuipiam permiſſum eſſet in vacante Eccleſia celebrare, & hoc damnaretur, eo quod non eſſet etiam aſſenſus Metropolitanus; dicebant quidam, eſſe & vocari Syn. provincialium Epiſcoporum conventum, & ideo firmum eſſe quod ab eis fit ſine Metropolitano, quoniam Epiſcoporum ſententiis, etiam ſine Metropolitano, contradici non poteſt: dixerunt Patres, in hac cauſa eam eſſe perfectam Synodum, quæ habet etiam Metropolitanum præſentem; eſt autem ſententia ſingularis; & ſingularia non trahuntur ad exemplum. Nota ergo ex præſenti Canone, quod cum ſynodali decreto permittitur vacanti Epiſcopo in vacante Eccleſia celebrare; quin & in ipſo ejus throno ſedere. Sæpe enim audivi, quod Imperatorio quoque mandato ad id opus eſt. Interrogaverit autem quiſpiam, Quomodo intelligi debet illud, eſſe ejiciendum eum qui illam ſic invaſit Eccleſiam? & dicebant quidem nonnulli hoc de ſegregatione accipi. Mihi autem videtur eſſe accipiendum de depoſitione, ſecundum Canones qui dicunt eos eſſe deponendos qui ordinant ultra ſuas diœceſes. Si enim, qui ad injuriam unius Antiſtitis, qui eſt in regione, epiſcopale quidpiam exercuit, deponitur: multo magis punietur, qui ad perfectæ Synodi injuriam tale quid fecit.

Sæpe quæſitum eſt, quis eſt is qui vacat, & quænam A dicatur vacare Eccleſia. Ac de vacante quidem Eccleſia nulla fuit dubitatio: omnes enim dixerunt eam eſſe vacantem Eccleſiam, quæ Antiſtite orbata eſt: ſed de vacante Antiſtite multa fuit controverſia, & placuit omnibus eum dici vacare, qui non poteſt proficiſci ad eam Eccleſiam in quam ſuffectus eſt, eò quod vel à gentibus vel etiam ab hæreticis occupetur, & fortaſſe etiam proferetur communiſque reddatur, nec ſinatur Antiſtes pedem in eam inferre, cujuſmodi eſt hodie Hieroſolymitana Eccleſia, Antiochena, Tarſenſis, & aliæ. Hieroſolyma enim ab impiis Agarenis polluta ſunt, Thronus Antiochenus à patriarchâ Latino detinetur, & Tarſus ab Armeniis. B Nonnullæ autem Hieroſolymorum, Antiochiæ, & Conſtantinopolis Eccleſiæ non reputantur vacare; quia Latini & Agareni permittunt Antiſtitibus ſuas Eccleſias Epiſcopaliter adminiſtrare, & Chriſtianorum, qui illic ſunt, curam gerere. Unde & ejuſmodi Eccleſiarum evocati Antiſtites debent proficiſci. Quòd autem dantur quibuſdam Antiſtitibus non vacantibus, ſed paupertate laborantibus, orbatæ ſeu vacantes Eccleſiæ, eſt diſpenſationis ratio: & Can. qui dicit vacantem dandam eſſe vacanti, locum non habet. Et ideo, qui Synodaliter permittunt cuipiam, ut poſſit etiam in ſede illius Eccleſiæ, quam diſpenſationis ratione ſibi datam habet, ſedere, faciunt contra C Can. rem, cui venia danda non eſt: iis enim, qui vacant, debet dari thronus; non autem iis, qui habent ſedem Epiſcopalem. Propterea enim & Antiſtes, qui vacantem accipit Eccleſiam, non amplius vocatur Epiſcopus illius Eccleſiæ, in quam primum renunciatus eſt, ſed ejus, quæ illi ut vacans data eſt, quemadmodum magnus Theologus Gregorius non amplius dictus eſt Nazianzenus, ſed Conſtantinopolitanus Epiſc. nec qui proxime ordinatus eſt ad Amaſcam, & in Ceraſuntem tranſlatus, quia qui prius fuerat depoſitus, eſt reſtitutus, non Amaſeæ Epiſcopus vocatus eſt, ſed Ceraſuntis. Claudiopolitanus autem proprium Epiſcopatum, Heracleam Ponticam, ut vacan- D tem adeptus, & in ei quoque conjuncta ſede ſedere permiſſus, quomodo Claudiopolitanus appellatur neſcio.

Zonar. Vacans Epiſcopus ille eſt, qui vel nullius, vel occupatæ à Gentibus Eccleſiæ, præfectus eſt, vel à populo ejus urbis, cui datus Epiſcopus fuit, nullo ipſius vitio, ſed ſola populi pervicacia excluſus, vacans porro Eccleſia eſt, quæ præfectum ſibi Epiſcopum non habet. Si ergo vacans Epiſcopus vacantem Eccleſiam invadens, thronum illius occuparit; quamvis illum populi ejus urbis Epiſcopum habere velit, niſi tamen eidem perfecta Synodus vacantem illam Eccleſiam decreto ſuo adjudi- E carit, ab illius Eccleſiæ adminiſtratione omnino repelli placet. Perfecta vero Synodus ea exiſtimatur, cui provinciæ Metropolitanus interfuerit; ut proinde, ſi id Synodus perfecta decreverit, nihil obſtet quominus vacans Eccleſia Epiſcopo vacanti aſſignari queat.

Arist. *Qui ſine Synodo perfectâ, & ipſo Metropolitano in vacantem Eccleſiam tranſilit, etiamſi ipſe ſit vacans, ejiciendus eſt.*

Vacantem quidem Epiſcopum in vacanti Eccleſiâ à perfectâ Synodo præſente & Metropolis Epiſcopo, conſtitui, præſens Canon permittit. Non autem à ſe- F ipſo etiamſi à toto populo thronum uſurpare cogeretur, niſi excommunicari velit. Eum autem qui non vacat, nec omnino, & vigeſimus primus præſentis Syn. Canon, & alii varii ut in decimo quarto Canone Apoſtolico ſcribitur, in aliam migrare Eccleſiam permittunt, ſed in eâ manere Eccleſiâ in quam ab initio à Deo ordinatus fuit.

Πολλάκις συνεζητήθη, τίς ἐστιν ὁ σχολάζων, καὶ ποία ἐστὶν ἡ σχολάζουσα. καὶ περὶ μὲν τῆς σχολαζούσης οὐδεμία γέγονεν ἀμφιβολία· πάντες γὰρ διέγνων σχολάζουσαν εἶναι τὴν χηρεύουσαν ἀρχιερέως· περὶ δὲ τοῦ σχολάζοντος ἤρεσε πᾶσι, σχολάζοντα εἶναι μὴ δυνάμενον ἀπελθεῖν εἰς ἣν ἐπεκηρύχθη ἐκκλησίαν, διὰ τὸ ὑπὸ ἐθνῶν ἢ αἱρετικῶν ταύτην κατέχεσθαι, ἴσως δὲ κοινωθῆναι καὶ μὴ παραχωρεῖσθαι τὸν ἀρχιερέα πόδας βαλεῖν ἐν αὐτῇ. οἷά ἐστι σήμερον ἡ τῶν Ἱεροσολύμων, ἡ τῆς Ἀντιοχείας, ἡ Ταρσοῦ καὶ ἕτεραι· τὰ μὲν γὰρ Ἱεροσόλυμα ἐμιάνθησαν παρὰ ἀθέων Ἀγαρηνῶν, ἡ Ἀντιόχεια κατέχεται παρὰ πατριάρχου λατίνου, ἡ Ταρσὸς παρὰ Ἀρμενίων. τινὲς δὲ τῶν ἱεροσολυμιτικῶν ἐκκλησιῶν, τῆς Ἀντιοχείας καὶ τῆς Κωνσταντινουπόλεως οὐ λογίζονται σχολάζουσαι διὰ τὸ τοὺς Ἀγαρηνοὺς καὶ τοὺς λατίνους παραχωρεῖν τοῖς ἀρχιερεῦσι ἀρχιερατικῶς οἰκονομεῖν τὰς οἰκείας ἐκκλησίας, καὶ τῶν ἐκεῖσε ὄντων χριστιανῶν προνοεῖσθαι. ὅθεν καὶ μετακαλούμενοι οἱ τῶν τοιούτων ἐκκλησιῶν ἀρχιερεῖς ὀφείλουσιν ἀπέρχεσθαι. τὸ δὲ δίδοσθαι τισὶν ἀρχιερεῦσι, μὴ σχολάζουσιν, ἀλλὰ πενομένοις, ἐκκλησίας χηρευούσας, οἰκονομίας λόγος ἐστί· καὶ ὁ κανὼν ὁ λέγων τὴν σχολάζουσαν τῷ σχολάζοντι δίδοσθαι, χώραν οὐκ ἔχει. διὰ καὶ οἱ Συνοδικῶς ἐγχωροῦντες καθῆσθαι εἰς τὸ σύνθρονον τῆς κατὰ λόγον οἰκονομίας διδομένης τινὶ ἐκκλησίας, ἀκανόνιστόν τι πραγματοποιοῦσι καὶ ἀσύγγνωστον. τοῖς γὰρ σχολάζουσιν ὀφείλει δίδοσθαι θρόνος, οὐ μὴν τοῖς ἔχουσι θρόνον ἀρχιερατικόν. διὰ γὰρ τοῦτο καὶ ὁ μὲν λαμβάνων σχολάζουσαν ἐκκλησίαν ἀρχιερεὺς, οὐκέτι καλεῖται Ἐπίσκοπος, εἰς ἣν ἐπεκηρύχθη, ἐκκλησίας πρῶτον, ἀλλὰ τῆς δοθείσης αὐτῷ σχολαζούσης· ὡς ὁ μέγας θεολόγος Γρηγόριος οὐκέτι ἐκλήθη Ναζιανζοῦ, ἀλλὰ Κωνσταντινουπόλεως· οὐδὲ ὁ χειροτονηθεὶς προσεχῶς εἰς Ἀμάσειαν, καὶ μετατεθεὶς εἰς Κερασοῦντα, διὰ τὸ ἀποκατασταθῆναι τὸν προκαθαιρεθέντα Ἀμασείας, οὐκέτι ἐκλήθη Ἀμασείας, ἀλλὰ Κερασοῦντος. ὁ δὲ Κλαυδιουπόλεως λαβὼν τὴν ἰδίαν ἐπισκοπὴν, τὴν Ποντικὴν Ἡράκλειαν, ὡς σχολάζουσαν, καὶ ἐγχωρηθεὶς καθῆσθαι εἰς τὸν σύνθρονον αὐτῆς, ὅπως καλεῖται Κλαυδιουπόλεως ἀπορῶ.

ΖΩΝΑΡ. Σχολάζων ἐστὶν Ἐπίσκοπος, ὁ μὴ ἔχων ἐκκλησίαν, ἢ ὑπὸ ἐθνῶν κρατουμένην, ἢ ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐν ᾗ ἐχειροτονήθη, μὴ δεχθεὶς, οὐκ αὐτοῦ δόντος αἰτίαν, ἀλλ᾽ ἀτακτοῦντος τοῦ λαοῦ. σχολάζουσα δ᾽ ἐστὶν ἐκκλησία, ἡ μὴ ἔχουσα Ἐπίσκοπον. εἰ γοῦν σχολάζων Ἐπίσκοπος ἐπελθὼν ἐκκλησίᾳ σχολαζούσῃ ἁρπάσει τὸν θρόνον αὐτῆς, κἂν ὁ τῆς πόλεως ἐκείνης λαὸς θελήσῃ αὐτὸν, ἀπόβλητος ἔσεται, εἰ μὴ Σύνοδος τελεία τὴν σχολάζουσαν αὐτῷ ἐκκλησίαν ψηφίσηται. ἐκείνη δὲ τελεία λογίζεται Σύνοδος, ᾗ καὶ ὁ μητροπολίτης τῆς ἐπαρχίας συμπάρεστιν, ὥστε τελείας Συνόδου ψηφισαμένης δίδοσθαι τῷ σχολάζοντι τὴν σχολάζουσαν, δυνατόν.

ΑΡΙΣΤ. Ὁ δίχα συνόδου τελείας, καὶ αὐτοῦ τοῦ μητροπολίτου ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἐπιπηδῶν, κἂν ᾖ σχολάζων, ἀπόβλητος.

Τὸν μὲν σχολάζοντα Ἐπίσκοπον εἰς σχολάζουσαν ἐκκλησίαν καθίστασθαι παρὰ συνόδου τελείας, παρόντος καὶ τοῦ τῆς μητροπόλεως Ἐπισκόπου, ὁ παρὼν κανὼν παραδέχεται. μὴ μέντοι γε ἀφ᾽ ἑαυτοῦ, κἂν ὑπὸ παντὸς τοῦ λαοῦ βιάζηται τὸν θρόνον ὑφαρπάζειν, εἰ μὴ βούλεται γενέσθαι ἀπόβλητος. τὸν δὲ, μὴ σχολάζοντα, οὐδ᾽ ὅλως, ὁ εἰκοστὸς πρῶτος κανὼν τῆς παρούσης συνόδου, καὶ ἕτεροι διάφοροι, καθὼς ἐν τῷ ιδ΄. ἀποστολικῷ κανόνι ἐγράφη, μεταπεσεῖν εἰς ἑτέραν ἐκκλησίαν ἀνέχονται· ἀλλὰ μένειν εἰς ἣν ἐτάχθη ἐξ ἀρχῆς ὑπὸ θεοῦ ἐκκλησίαν.

ΚΑΝΩΝ ιζʹ.

Εἴ τις Ἐπίσκοπος χειροθεσίαν Ἐπισκόπου λαβὼν, καὶ ὁρισθεὶς προεστάναι λαοῦ, μὴ καταδέξοιτο τὴν λειτουργίαν, μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον, ἕως ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ ὁρίσοι τι περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν Ἐπισκόπων.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν λϛʹ. ἀποστολικὸν κανόνα, καὶ μαθήσῃ τὰ δεδογμένα περὶ τῶν ἀρχιερέων τῶν μὴ ἀπερχομένων εἰς ἃς ἐχειροτονήθησαν ἐκκλησίας. ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται τὰ αὐτὰ, προστιθέμενος εἶναι ἀφωρισμένον τὸν μὴ ἀπερχόμενον εἰς τὴν λαχοῦσαν αὐτὸν, μέχρις ἂν ὁρίσῃ τι περὶ αὐτοῦ ἡ ψηφισαμένη τοῦτον σύνοδος. τυχὸν γὰρ παραδέξεται αὐτὸν προβαλλόμενον εὔλογον αἰτίαν. ἐπεὶ δὲ ἐκεῖσε εἴπομεν, μὴ ἐκλαμβάνεσθαι, καθώς τινες λέγουσι, τὴν χειροθεσίαν εἰς ψῆφον, διὰ τὸ μεμνῆσθαι τάχα τὸν κανόνα καταδοχῆς, ὀφείλεις καὶ τὸν παρόντα κανόνα οὕτω νοεῖν.

ΖΩΝΑΡ. Ὁ εἰς προστασίαν λαοῦ καλούμενος, καὶ μὴ πειθόμενος καταδέξασθαι τὴν λειτουργίαν, τουτέστι, τὴν διακονίαν, ἀκοινώνητος ἔσται ἤγουν ἀφωρισμένος, ἕως ἂν καταδέξηται. εἰ δὲ διόλου ἀπειθεῖ, διόλου ἔσται ἀκοινώνητος, εἰ μή πού τι ὁρίσει περὶ αὐτοῦ τελεία σύνοδος. ἴσως γὰρ εἴποι ἄν τινας εὐλόγους αἰτίας, δι' ἃς παραιτεῖται τὴν προστασίαν, καὶ δεχθήσεται παρὰ τῆς συνόδου, καὶ τοῦ ἐπιτιμίου λυθήσεται.

ΑΡΙΣΤ. Ἀκοινώνητος, ὁ δεξάμενος χειροτονίαν, καὶ ταύτης ἀποκρίνων, ἕως μεταγνοὺς καταδέξοιτο.

Ὁ μὴ πειθόμενος ἀπελθεῖν εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, καὶ τοῦ λαοῦ προεστάναι, ἀφωρισμένος ἔσται, ἕως ἂν μεταγνοὺς, τὴν προστασίαν τῶν ἐμπιστευθεισῶν τούτῳ ψυχῶν καταδέξηται.

ΚΑΝΩΝ ιηʹ.

Εἴ τις χειροτονηθεὶς εἰς παροικίαν μὴ ἀπέλθῃ εἰς ἣν ἐχειροτονήθη Ἐπίσκοπος, οὐ διὰ τὴν ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ γινομένην· τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μόνον μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο. ἐκδέχεσθαι δὲ τοῦτον, ὃ ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος κρίνασα τὸ παριστάμενον ὁρίσῃ.

ΒΑΛΣ. Ἐν μὲν τῷ ιζʹ. κανόνι κολάζουσιν οἱ πατέρες τὸν χειροτονηθέντα καὶ μὴ πειθόμενον ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτόν. ἐν δὲ τῷ παρόντι συγγνώμης ἀξιοῦσι τὸν χειροτονηθέντα καὶ θέλοντα μὲν ἀπελθεῖν εἰς ἣν ἐχειροτονήθη παροικίαν· μὴ παραχωρούμενον δὲ, ἢ διὰ τὴν τοῦ ἐν ἐκείνῃ λαοῦ ἀναισχυντίαν, ἢ διὰ ἐπιδρομὴν ἐθνῶν. διὸ καὶ ἐπιτρέπουσι, παρ' ᾗ ἂν εὑρίσκηται ἐνορίᾳ, τιμῆς ἀξιοῦσθαι, ἤγουν καθέδρας καὶ κλήσεως καὶ ἐνεργείας ἀρχιερατικῆς, μετ' εἰδήσεως καὶ ἐπιτροπῆς τοῦ ἐγχωρίου Ἐπισκόπου. πλὴν μέντοι, μὴ ἔχειν ὅλως μετουσίαν ἐν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης ἔνθα κάθηται, ἤγουν μὴ διδάσκειν, μὴ χειροτονεῖν, μὴ ἕτερόν τι ἐνεργεῖν ἀρχιερατικὸν χωρὶς ἐπιτροπῆς τοῦ ἐγχωρίου Ἐπισκόπου, ἀλλ' ἡσυχάζειν μέχρις ἂν τὸ ποιητέον μάθῃ ἀπὸ οἰκονομίας καὶ κρίσεως τελείας συνόδου.

ΖΩΝΑΡ. Ὁ χειροτονηθεὶς εἰς ἐκκλησίαν πόλεως, καὶ μὴ δυνηθεὶς εἰς αὐτὴν ἀπελθεῖν, ἴσως ὑπὸ ἔθνους κυριευομένην, ἢ χώρας δι' ἧς ὁδεῦσαι αὐτὸν ἀνάγκη ὑπὸ βαρβάρων κατεχομένης, ἢ τοῦ λαοῦ τῆς πόλεως δι' ἀταξίαν οἰκείαν μὴ δεχομένου αὐτὸν, τὴν μὲν τιμὴν τὴν προσήκουσαν Ἐπισκόπῳ ἕξει καὶ τὴν λειτουργίαν· οὐ γὰρ αἴτιος αὐτὸς ἐστι τοῦ μὴ ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν·

CANON XVII.

A *Si quis Epiſcopus, accepta manuum impoſitione ab Epiſcopo, & populo præeſſe juſſus, munus non ſuſceperit, nec, ut ad ſibi concreditam Eccleſiam proficiſcatur, perſuaderi poſſit: is ſit excommunicatus, donec coactus ſuſcipiat, vel perfecta Synodus Epiſcoporum provinciæ de ipſo aliquid decernat.*

Bals. Lege xxxvi. Can. Apoſtolicum, & diſces quæ decreta ſunt de Præſulibus, qui ad eas ad quas ordinati ſunt Eccleſias non proficiſcuntur. Conſequenter ergo B præſens quoq; can. eadem decernit, adjiciens eum eſſe ſegregatum, qui non proficiſcitur ad Eccleſiam quæ ipſum ſortita eſt; donec aliquid de ipſo ſtatuerit Syn. quæ eum elegit. Fortè enim eum admittet aliquam cauſam probabilem afferentem. Quia autem illic diximus, non accipi, ut dicunt aliqui, manuum impoſitionem pro electione, eo quod can. utique de ſuſceptione, meminit; debes præſentem quoque Canonem ſic intelligere.

Zonar. Si quis ad Præfecturam populi vocatus, munus illud, hoc eſt, ſervitium ſive miniſterium, obire recuſaverit, communione motus, hoc eſt, ſegregatus erit, donec id ſuſcipiat. Quod ſi recuſare omnino pergat, à C ſegregatione hominem abſolvi prorſus haud licebit; niſi forte aliquid jam de ipſo perfecta Syn. conſtituerit. Cauſas enim fortaſſe ob quas à Præfecturæ munere excuſari velit probabiles afferet, quibus per Syn. approbatis mulcta quoque impoſita homini condonabitur.

Arist. *Qui ordinem ſuſcepit, & ab eo reſilit, excommunicatur, uſque dum pœnitentiâ ductus munus in ſe ſuſceperit.*

Qui non perſuadetur ad eam quam ſibi commiſſam habet Eccleſiam ire, & populo præeſſe, excommunicatus erit, donec ſententiam mutans, animarum curam ipſi D concreditam ſuſceperit.

CANON XVIII.

Si quis ordinatus non ierit ad parœciam ad quam eſt ordinatus Epiſcopus, non ſua quidem culpa, ſed propter populi recuſationem, vel aliquam aliam cauſam, quæ à ſe non oritur: is ſit & honoris & muneris particeps, dummodo nullam rebus Eccleſiæ, in qua convenit, moleſtiam afferat. Is autem id ſuſcipiat, quod perfecta provinciæ Synodus, quod ad ſe allatum eſt judicando, ſtatuerit.

E **Bals.** In xvii. quidem can. Patres eum puniunt, qui ordinatus fuerit, & non perſuadetur ad Eccleſiam proficiſci, quæ illum ſortita eſt. In præſenti autem Can. ei dant veniam, qui ordinatus eſt, ut vult quidem ad eam, ad quam ordinatus eſt, parœciam proficiſci; non ſinitur autem, vel propter populi impudentiam, vel propter gentium incurſionem: & ideo permittunt, ut in qua invenitur provincia, honore dignus habeatur; cathedra ſcilicet & vocatione & Epiſcopalis officii exercitio, cum ſcientia & permiſſione Epiſcopi illius regionis; nec tamen ſe omnino ingerat negotiis illius Eccleſiæ, in qua habitat, ſcilicet ne doceat, ne ordinet, neque aliquid ali- F ud Epiſcopale exerceat, ſine illius regionis Epiſcopi permiſſione; ſed quieſcat, donec quid ſit agendum didicerit à perfectæ Synodi ſententia.

Zonar. Quicunq; ordinatus eſt, ut Eccleſiæ urbis alicujus præſit, & ad eam vel quia forte Ethnicorum ditioni ſubjecta ſit, vel quòd itinera à barbaris obſideantur, vel quòd à populo ejus urbis inſolentiùs pervicaci non admittatur, minime proficiſci potuerit; dignitatem ille quidem Epiſcopi, Liturgiæque exercendæ facultatem, obtinebit: (Nec enim per ipſum factum eſt, ut ab Eccleſiæ, cui deſtinatus eſt ſtatione diutiùs abeſſet) verum ne ſe illius Eccleſiæ, in qua degit, negotiis immiſceat, interdictum. Eſt enim illi forte in urbe aliqua domicilium, ſuoſque in illius urbis Eccleſia conventus agit. Ejus igitur Eccleſiæ negotiorum partem aliquam attingere homini haud licebit. Neque enim in ea docendi, neq; ordinis conferendi, neque ſacra faciendi, niſi ejus rei conceſſa facultate, neque vero aliquid ex illius Eccleſiæ reditibus in ſuos uſus transferendi poteſtas erit. Univerſa porro ab illo perfectæ Synodi judicio conſilioque permitti decet, ut quod ipſius rationibus maximè opportunum fore videbitur, ſtatuat.

Ariſt. *Epiſcopus ordinatus & à civitate non acceptus honore fruatur, & munus tantum obeat, expectans quid provinciæ Synodus pronunciaverit.*

Qui non ſuam ob cauſam à civitate admittitur in quam ordinatus fuit, ſed propter populi improbitatem: & honoris particeps eſt, & ſacra facere non prohibetur. Debet autem patienter manere, & non militari aliquo uti auxilio aut aliâ poteſtate, donec perfecta provinciæ Synodus, quod ipſi de eo viſum eſt, decreverit.

CANON XIX.

Epiſcopus ne ordinetur, abſque Synodo & præſentia Metropolitani provinciæ: eo autem præſente, omnino melius eſt omnes unà cum eo adeſſe comminiſtros, qui ſunt in provincia & oportet per epiſtolam Metropolitanum eos convocare, & ſi omnes quidem acceſſerint, melius eſt: ſin autem hoc fuerit difficile, plures omnino adeſſe oportet, vel per literas unà cum illis ſuffragium ferre, & ſic cum plurium præſentia vel electione fieri conſtitutionem. Sin autem aliter præter hæc, quæ decreta ſunt, fiat, non valeat ordinatio. Si vero ex præfinito can. facta fuerit conſtitutio, aliqui autem propter ſuum contentionis ſtudium contradicant, vincat plurium ſuffragium.

Bals. Quomodo oporteat eligere Antiſtites, ex iv. can. i. Syn. didicimus. Et præſens can. eadem præcipit. Adjicit autem, electionem quæ præter ea quæ hîc decreta ſunt facta fuerit, eſſe irritam & invalidam: & quòd, cum ii qui eligunt in plures ſententias dividuntur, plurium vincent ſuffragia. Cum audiveris autem Canonem dicentem, non fieri electionem ſine præſentia Metropolitani; ne dixeris eum debere adeſſe in electione: (hoc eſt enim prohibitum, ſicut in aliis Canonibus dictum eſt) ſed dic præſentiam hîc ejus permiſſionem vel ſuaſionem eſſe, ſine qua fieri non poteſt electio.

Zonar. Primum quidem notandum eſt, ordinationis nomine hoc loco ſuffragii calculum, non autem perfectam cum manuum impoſitione Epiſcopi inſtitutionem intelligi. Primus namque ſanctorum Apoſtolorum can. à duobus tribuſve Epiſcopis Epiſcopum creari, ab uno Sacerdotem & Diaconum: hic vero omnes provinciæ Epiſcopos aut plures certe adeſſe, vel reliquorum ſententiæ per literas aſſentiri jubet. Ut ex hoc ſuffragium quoque ordinationis voce indicari certiſſime comprobetur. Diximus porro in Apoſtolici primi, & primæ Synodi quarti explicatione de hac re fuſius. Quandocunque igitur Epiſcopus aliquis ordinari ſeu eligi debet, ejus provinciæ Metropolitanum imprimis, deinde Epiſcopos pleroſque ejuſdem literis in Metropolitanam urbem evocatos adeſſe; qui vero juſta cauſa impediti convenire haud potuerint, aliorum ſententiæ per literas ſubſcribere, atq; eo pacto hunc hominem hujus urbis Epiſcopum conſtitui aut eligi oportere, Canon decernit, ac ſi aliter fiat, irritam eſſe ordinationem jubet. Quod ſi electione ex hujus conſtitutionis præſcripto canonice habita, adhuc tamen eam Epiſcopi forte aliqui contentionis cupidi haud probent, ratam nihilominus eſſe eámque ſententiam, quæ numero potior eſt ſuperiorem haberi placet. Quod eodem modo vi. quoq; Nicænæ Syn. Can. definitum eſt.

A παρενοχλεῖν δὲ τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο, οὐ παραχωρεῖται. εἰς γάρ τινα πόλιν ἴσως ἔσται αὐτοῦ ἡ κατοικία, καὶ παρὰ τῇ τῆς πόλεως ἐκείνης ἐκκλησίᾳ συνάγοιτο ἄν. ἐνοχλεῖν οὖν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐκείνης οὐκ ἐξέσται αὐτῷ· οὔτε γὰρ διδάσκειν δύναται ἐκεῖ, οὔτε χειροτονεῖν, οὔτε ἱερουργεῖν, εἰ μὴ ἐπιτραπείη, οὔτε τι τῶν προσόδων σφετερίζεσθαι τῆς ἐκκλησίας ἐκείνης. ἀναρτῆσαι δὲ τὸ πᾶν ὀφείλει εἰς τὴν κρίσιν καὶ οἰκονομίαν τῆς τελείας συνόδου, ὥστε παρ᾽ ἐκείνης αὐτῷ γενέσθαι πρόνοιαν.

B **ΑΡΙΣΤ.** Μετεχέτω τῆς τιμῆς Ἐπίσκοπος ὁ χειροτονηθεὶς, καὶ μηδαμῶς δεχόμενος παρὰ τῆς πόλεως· καὶ λειτουργείτω μόνον, ἀναμένων ὅ,τι ἂν ἡ τῆς ἐπαρχίας ἀποφαίνοιτο σύνοδος.

Ὁ μὴ παρ᾽ αἰτίαν ἰδίαν παρὰ τῆς πόλεως προσδεχθεὶς ἐν ᾗ ἐχειροτονήθη, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν· καὶ τῆς τιμῆς μετέχει, καὶ λειτουργεῖν οὐ κεκώλυται. ὀφείλει δὲ προσκαρτερεῖν, καὶ μή τινι στρατιωτικῇ βοηθείᾳ χρήσασθαι, ἢ δυναστείᾳ ἑτέρᾳ, μέχρις ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος τὸ δοκοῦν αὐτῇ περὶ τούτου ὁρίσῃ.

ΚΑΝΩΝ ιθ΄.

C Ἐπίσκοπον μὴ χειροτονεῖσθαι δίχα συνόδου καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας· τούτου δὲ παρόντος, ἐξάπαντος βέλτιον μὲν συνεῖναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργοὺς, καὶ προσήκει δι᾽ ἐπιστολῆς τὸν ἐν τῇ μητροπόλει συγκαλεῖν, καὶ εἰ μὲν ἀπαντοῖεν οἱ πάντες, βέλτιον· εἰ δὲ δυσχερὲς τοῦτο εἴη, τούς γε πλείονας ἐξάπαντος παρεῖναι δεῖ, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι, καὶ οὕτως μετὰ τῆς τῶν πλειόνον παρουσίας ἢ ψήφου γίνεσθαι τὴν κατάστασιν. εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα γίνοιτο, μηδὲν ἰσχύειν τὴν χειροτονίαν. εἰ δὲ κατὰ τὸν ὡρισμένον κανόνα γίγνοιτο ἡ κατάστασις, ἀντιλέγοιεν δέ τινες δι᾽ οἰκείαν φιλονεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον.

D **ΒΑΛΣ.** Πῶς δεῖ ψηφίζεσθαι τοὺς ἀρχιερεῖς, ἐμάθομεν ἀπὸ τοῦ δ΄. κανόνος τῆς πρώτης συνόδου. καὶ ὁ παρὼν δὲ κανὼν τὰ αὐτὰ παρακελεύεται. προστίθησι δὲ, τὴν γινομένην ψῆφον παρὰ τὰ ἐνταυθοῖ διωρισμένα, ἀνίσχυρον εἶναι· καὶ ὅτι τῶν ψηφιζομένων μεριζομένων εἰς διαφόρους γνώμας, ἡ τῶν πλειόνων ψῆφος νικᾷ. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ γίνεσθαι ψῆφον χωρὶς παρουσίας τοῦ μητροπολίτου, μὴ εἴπῃς ὀφείλειν καὶ αὐτὸν παρουσιάζειν εἰς τὴν ψῆφον· τοῦτο γὰρ κεκώλυται, καθὼς ἐν ἑτέροις κανόσι διελήφθη. ἀλλὰ παρουσίαν εἰπὲ ἐνταῦθα τὴν τούτου προτροπὴν, ἧς χωρὶς ψῆφον γενέσθαι ἀδύνατον.

E **ΖΩΝΑΡ.** Πρῶτον μὲν σημειωτέον, ὅτι χειροτονίαν ὁ κανὼν ἐνταῦθα τὴν ψῆφον λέγει, οὐχὶ τὴν τελεσιουργίαν τοῦ Ἐπισκόπου καὶ τὴν χειροθεσίαν. ὁ γὰρ πρῶτος τῶν ἁγίων ἀποστόλων κανὼν ὑπὸ δύο ἢ τριῶν Ἐπισκόπων χειροτονεῖσθαι κελεύει Ἐπίσκοπον, ἱερέα δὲ καὶ διάκονον, ὑφ᾽ ἑνός· οὗτος δὲ πάντας θέλει παρεῖναι τοὺς τῆς ἐπαρχίας Ἐπισκόπους, ἢ τέως τοὺς πλείονας, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι. ὡς ἐντεῦθεν σαφέστατα δείκνυσθαι, ὅτι καὶ τὴν ψῆφον χειροτονίαν ὠνόμασεν. εἴρηται δὲ περὶ τούτου πλατύτερον ἐν τῇ ἐξηγήσει τοῦ α΄. ἀποστολικοῦ κανόνος, καὶ τοῦ τετάρτου τῆς α΄. συνόδου. ὅτε οὖν χειροτονία ἤτοι ψήφισμα μέλλει γενέσθαι Ἐπισκόπου, παρεῖναι δεῖν, φησὶν ὁ κανὼν, ἐξάπαντος τὸν μητροπολίτην τῆς ἐπαρχίας, εἶτα καὶ τοὺς F πλείονας τῶν Ἐπισκόπων δι᾽ ἐπιστολῆς τοῦ μητροπολίτου συγκαλουμένους ἐν τῇ μητροπόλει· τοὺς δὲ μὴ συνιόντας διά τινα αἰτίαν ἀναγκαίαν διὰ γραμμάτων ὁμοψήφους γίνεσθαι, καὶ οὕτως γίνεσθαι τὴν κατάστασιν ἤτοι τὴν ψῆφον τὴν καθιστῶσαν τὸν δὲ εἰς τὴν πόλιν Ἐπίσκοπον· εἰ δὲ μὴ οὕτως γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. τῆς δὲ ψήφου κατὰ τὴν παραλήρησιν ταύτην γινομένης κανονικῶς, εἴ τινες ἴσως Ἐπίσκοποι ἀντιλέγοιεν φιλονείκως, μὴ ἐμποδίζειν τῇ ψήφῳ, ἀλλὰ κρατεῖν τὴν τῶν πλειόνων γνώμην. τοῦτο δὲ ὁ ἕκτος κανὼν τῆς ἐν Νικαίᾳ συνόδου οὕτω διατάττεται.

ΑΡΙΣΤ. Εἰ μὴ σύνοδος εἴη, καὶ ὁ μητροπολίτης, μὴ γινέσθω Ἐπίσκοπος. εἰ δὲ διά τι δυσχερὲς μὴ συνάγοιντο ἅπαντες, τέως οἱ πλείους, ἢ γράμμασιν ἔσοιντο σύμψηφοι. εἰ δ' οὕτω τοῦ πράγματος πληρουμένου φιλονεικοῖέν τινες, ἡ τῶν πλειόνων ψῆφος ἰσχυέτω.

Εἴρηται πολλάκις δὲ, μήτε τὸν μητροπολίτην, μήτε τοὺς Ἐπισκόπους, ἄνευ τῆς τῶν ἀλλήλων γνώμης, ψηφίζεσθαι Ἐπίσκοπον. εἰ δὲ πάντες οἱ τῆς ἐπαρχίας Ἐπίσκοποι συνελθεῖν τῇ ψήφῳ οὐ δυνῶνται, διά τινα δυσχέρειαν· τέως οἱ πλείους συνερχέσθωσαν, ἢ διὰ γραμμάτων γινέσθωσαν τοῖς παροῦσιν ὁμόψηφοι· καὶ οὕτω τῆς ψήφου πληρουμένης, ἐάν τινες, ὡς ἐριστικοὶ, ἀντιλέγοιεν, ἡ τῶν πλειόνων κρατείτω ψῆφος.

ΚΑΝΩΝ κ'.

Διὰ τὰς ἐκκλησιαστικὰς χρείας, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, καλῶς ἔχειν ἔδοξε συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῶν Ἐπισκόπων γίνεσθαι δεύτερον τοῦ ἔτους· ἅπαξ μὲν μετὰ τὴν τρίτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν σύνοδον, ὑπομιμνήσκοντος τοὺς ἐπαρχιώτας τοῦ ἐν τῇ μητροπόλει· τὴν δὲ δευτέραν σύνοδον γίνεσθαι εἰδοῖς ὀκτωβρίαις, ἥ τις ἐστὶ δεκάτη ὑπερβερεταίου, ὥστε ἐν αὐταῖς ταύταις ταῖς συνόδοις προσιέναι πρεσβυτέρους καὶ διακόνους, καὶ πάντας τοὺς ἠδικῆσθαι νομίζοντας, καὶ παρὰ τῆς συνόδου ἐπικρίσεως τυγχάνειν· μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοὺς συνόδους ποιεῖσθαι, ἄνευ τῶν πεπιστευμένων τὰς μητροπόλεις.

ΒΑΛΣ. Περὶ τῶν ὀφειλουσῶν ἐτησίως γίνεσθαι συνόδων ἱκανῶς διελήφθη ἐν τῷ λζ'. ἀποστολικῷ κανόνι, καὶ ἐν τῷ η'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου. καὶ ἀνάγνωθι τὰ ἐν αὐτοῖς γραφέντα. ὁ δὲ παρὼν κανὼν προστίθησι, μὴ γίνεσθαι τὰς συνόδους χωρὶς παρουσίας τοῦ μητροπολίτου.

ΖΩΝΑΡ. Καὶ τοῖς ἁγίοις ἀποστόλοις δὶς τοῦ ἔτους συνόδους ἐφ' ἑκάστῃ τῶν ἐπαρχιῶν γίνεσθαι ἔδοξε, καὶ τῇ ἐν Νικαίᾳ πρώτῃ συνόδῳ ἐν πέμπτῳ κανόνι ταῦτα κεκανόνισται, καὶ τῇ παρούσῃ ὁμοίως ὥρισται περὶ τῶν συνόδων. ὁ ὄγδοος δὲ κανὼν τῆς ϛ'. συνόδου διετάξατο μίαν ἐτησίως γίνεσθαι σύνοδον. λέγει δὲ ὁ παρὼν κανὼν τὰς συνόδους ὀφείλειν γίνεσθαι διὰ τὰς ἐκκλησιαστικὰς χρείας, ἤγουν τὰς περί τινων καταστάσεων ἐκκλησιαστικῶν ζητήσεις, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, ἤτοι τὰς αἰτιάσεις τὰς παρά τινων ἴσως κατὰ Ἐπισκόπων φερομένας, ὡς ἀδίκως αὐτοὺς ἀφορισάντων ἢ καθελόντων, καὶ ἄλλας τινὰς τοιαύτας ἀμφιβολίας. τέτακται δὲ καὶ ὁ καιρὸς ἑκάστης συνόδου, τῆς μὲν πρώτης ἡ τετάρτη ἑβδομὰς τῆς πεντηκοστῆς· τῆς δὲ δευτέρας αἱ τοῦ Ὀκτωβρίου εἰδοί. τὰς γὰρ ἑκάστου μηνὸς ἡμέρας οἱ παλαιοὶ εἰς τρεῖς κατεμέριζον τάξεις, καὶ τὰς μὲν πρώτας ἐκάλουν καλάνδας· ταῖς δὲ μετ' ἐκείνας εἰδοῖς ἦν ἡ κλῆσις· ταῖς δὲ τελευταίαις νόνναι. οὐ παραχωρεῖ δὲ ὁ κανὼν μόνους τοὺς Ἐπισκόπους συνιστᾶν σύνοδον, μὴ παρόντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας.

ΑΡΙΣΤ. Διὰ τὰς ἐκκλησιαστικὰς χρείας δὶς τοῦ ἔτους γινέσθω σύνοδος καθ' ἑκάστην ἐπαρχίαν· τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς, καὶ τῇ δεκάτῃ ἡμέρᾳ ὑπερβερεταίου.

Ἐγράφη καὶ ἐν τῷ λζ'. ἀποστολικῷ κανόνι, ὡς συνεστάλη δὲ, δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν σύνοδον γίνεσθαι· καὶ ὁρίσθη παρά τε τοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τοῦ ἕκτου κανόνος τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον, ἅπαξ τοῦ ἐνιαυτοῦ τῶν Ἐπισκόπων ἑκάστης ἐπαρχίας γίνεσθαι τὴν συνάθροισιν, μεταξὺ τοῦ Πάσχα καὶ τοῦ ὀκτωβρίου μηνὸς, καὶ τὰς κανονικὰς ζητήσεις λύεσθαι παρ' αὐτῶν.

A **Arist.** *Si non ſit Synodus & Metropolitanus, ne fiat Epiſcopus. Si vero propter aliquam difficultatem omnes non conveniant, ſaltem plures, vel literis aſſentiantur. Si autem re ita peractâ, contendant aliqui, plurium ſuffragium valeat.*

Sæpius dicitur nec Metropolitanum nec Epiſcopos ſine fratrum ſententiâ Epiſcopum eligere. Si autem omnes provinciæ Epiſcopi ad ſententiam ferendam convenire non poſſunt, ob aliquam difficultatem, ſaltem plures conveniant, aut per literas præſentibus conſenſum ſuum atteſtentur. Et ſic ſententiâ perfectâ, ſi nonnulli ut B contentioſi contradixerint, plurium ſententia valeat.

Canon XX.

Propter uſus Eccleſiaſticos, & pro dirimendis controverſiis, recte habere viſum eſt, ut Synodi Epiſcoporum in unaquaque provincia bis in anno fiant: ſemel quidem poſt tertiam hebdomadem feſti Paſchæ, ut quarto hebdomade Pentecoſtes perficiatur Synodus, Metropolitano provinciales Epiſcopos admonente; ſecundam vero Synodum idibus Octobris futuram, qui eſt decimus hyperberetæi, ut in his ipſis Synodis acce- C *dant Presbyteri & Diaconi, & omnes qui ſe injuria affectos putant, & à Synodo judicium aſſequantur: nullis autem liceat Synodos per ſe facere, ſine iis quibus ſunt creditæ Metropoles.*

Bals. De Synodis quæ debent fieri annuatim ſatis dictum eſt in xxxvii. Apoſtolico Canone, & in viii. Canone Syn. in Trullo. Et lege quæ in ipſis ſcripta ſunt. Præſens autem Canon adjicit non fieri Synodos ſine præſentia Metropolitani.

Zonar. De bina annua Syn. unaquaq; provincia celebranda, & ſanctorum Apoſtolorum decreto, & quinto D Nicænæ i. Syn. Can conſtitutum eſt; & eadem, quod ad conventuum Synodicorum rationem attinet, hæc quoq; Synodus definivit. Unam porro in ſingulos annos Syn. habendam eſſe viii. vi. Syn. Can. ſancitum eſt. Has vero Syn. ad res Eccleſiæ componendas, hoc eſt, ut in iis de rebus ad conſtitutionem Eccleſiaſticam ſpectantibus deliberetur, controverſiæq; dirimantur, eorum videlicet qui Epiſcopos forte accuſant, quòd ſe ab illis injuſtè ſegregatos aut depoſitos eſſe autument, contentioneſq; aliæ hujus generis tollantur, haberi oportere hic can. affirmat. Tempus vero etiam utriuſque Syn. præfinitum; Ac pri- E ori quidem quarta hebdomada Pentecoſtes: poſteriori vero celebrandæ idus octobris conſtitutæ. Priſci namq; dies cujuſq; menſis in tres ordines dividebant; ac primo quidem Calendas ſtatuebant; qui eas conſequerentur, Idus; poſtremos demum Nonas appellabant. A ſolis autem Epiſcopis, non adhibito cujuſque provinciæ Metropolitano, Synodum haberi Canon vetat.

Arist. *Propter Eccleſiaſticas neceſſitates bis quotannis in unaquaque provinciâ celebretur Synodus; quarta Pentecoſtes hebdomade, & decimâ die Hyperberetæi.*

Scribitur & in xxxvii. Can. Apoſtolico, quod contrahitur illud, bis quotannis in unâquaque provinciâ haberi F Synodum. Et decretum fuit ab octavo ſextæ in Trullo Synodi Canone, & à ſexto Synodi Nicænæ ſecundæ Canone ſemel quotannis Epiſcoporum cujuſque provinciæ fieri conventum, inter paſcha & menſem octobrem, & Canonicas ab eis ſolvi quæſtiones.

Canon XXI.

Episcopus ab alia paræcia in aliam ne transeat, nec sua ſponte ingerens, nec à populis vi adactus, nec ab Episcopis coactus: maneat autem in ea, in quam ab initio vocatus eſt, Eccleſia, & ab ea non recedat, ſecundum decretum prius de ea re editum.

Bals. Quære Canonem Apoſtolicum xiv. & Syn. i. Can. xv.

Zonar. Multi de hac quoque re Canones promulgati fuere. Idem namque & Apoſtolico decimoquarto & Nicænæ primæ Synodi quintodecimo Canone conſtitutum. Hic vero Canon aliquid etiam amplius adjungit; & quantumvis populo urbis adigente, hoc eſt, vehementiſſime urgente, (præpoſitiones namque ſignificationem augent) quamvis etiam Epiſcopo aliquo acrius impellente, relicta urbe quam ſortitus eſt in aliam demigrandi facultate omnino Epiſcopo cuilibet interdictum eſſe decernit.

Arist. *Epiſcopus etiam à populis coactus, & ab Epiſcopis compulſus, in aliam paræciam ne tranſeat.*

Epiſcoporum tranſlatio omnino prohibetur, quamvis à populo, quamvis ab Epiſcopis tranſilire ad aliam provinciam impellantur.

Canon XXII.

Episcopus in aliam civitatem quæ ei ſubjecta non eſt, non aſcendat, nec in regionem, quæ ad eum non pertinet, ad alicujus ordinationem, nec Presbyterum vel Diaconum conſtituat in locis alii Epiſcopo ſubjectis; niſi cum voluntate proprii illius regionis Epiſcopi. Si quis autem tale quid auſus fuerit, infirma ſit ordinatio, & ipſe à Synodo puniatur.

Bals. Lege etiam xiv. can. Apoſtolicum, & xv. Nicænæ primæ Synodi, & diſces ex illis, & ex duobus præſentibus Canonibus, quinetiam ex multis aliis, quomodo puniantur qui ultra ſuæ regionis fines ordinant & ordinantur, ſine permiſſione regionis Epiſcopi. Lege & xxxv. Can. Apoſtolicum & Can. ii. Syn. ſecundæ.

Zonar. Hoc quoq; plurium Can. ſanctionibus vetitum eſt, ac Epiſcopo in urbem, aut regionem alterius Epiſcopi ditioni ſubjectam, proficiſci, ibiq; ordines conferre, niſi facultate ab ejus loci Epiſcopo impetrata, ne liceat, conſtitutum: quod ſi tamen abierit, ordineſq; contulerit, collationem quidem irritam eſſe; ipſum vero, qui contulit, mulctæ irrogatione puniri jubent. Vide ſecundæ quoq; Oecumenicæ Syn. Can. ſecundum.

Arist. *Epiſcopus à civitate in civitatem ad aliquos ordinandos ne abeat, præterquam ex civitatis Epiſcopi ſententiâ: alioquin invalida ſit ordinatio, & ipſe judicio obnoxius.*

Eadem ac tertius decimus canon & hic Canon dicit, unumquemque Epiſcoporum quæ ad ſuam pertinent parœciam facere, & aliam non adire, ordines conferre, vel aliquod aliud munus Epiſcopale obire, ſine regionis Epiſcopi ſententiâ, niſi vellet & ſe depoſitioni fieri obnoxium, & quæ ab eo facta ſunt, infirma manere.

Canon XXIII.

Ne liceat Epiſcopo alium pro ſe ſucceſſorem conſtituere, etiamſi ſit in fine vitæ: ſi quid autem fiat ejuſmodi, irrita ſit conſtitutio. Servetur autem ritus Eccleſiaſticus, qui dicit, non aliter debere fieri Epiſcopum quàm cum Synodo & judicio Epiſcoporum, qui poſt defuncti dormitionem poteſtatem habent dignum provehendi.

Bals. Septuageſimus ſextus ſanctorum Apoſtolorum canon dicit, non licere Epiſcopo quem velit loco ſuo eligere. Eadem ergo præſens quoq; can. decernit, adjiciens, non aliter fieri Epiſcopum, quàm ſi, mortuo Epiſcopo dignum provinciæ Synodus elegerit.

A

ΚΑΝΩΝ κα΄.

Επίσκοπον ὑπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίστασθαι, μήτε αὐθαιρέτως ἐπιρρίπτοντα ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον, μήτε ὑπὸ Επισκόπων ἀναγκαζόμενον, μένειν δὲ εἰς ἣν ἐκλήθη ἐξ ἀρχῆς ἐκκλησίαν, καὶ μὴ μεθίστασθαι αὐτῆς, κατὰ τὸν ἤδη πρότερον περὶ τούτου ἐξενεχθέντα ὅρον.

ΒΑΛΣ. Ζήτει ἀποστολικὸν κανόνα ιδ΄. καὶ α΄. συνόδου ιε΄.

ΖΩΝΑΡ. Καὶ περὶ τούτου τοῦ κεφαλαίου διάφοροι κανόνες ἐξεφωνήθησαν. ὅτε γὰρ ἀποστολικὸς ιδ΄. κανὼν περὶ τούτου θεσμοθετεῖ, καὶ ὁ ιε΄. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης B συνόδου. οὗτος δὲ ὁ κανὼν καὶ πλέον τι προστίθησι· τοῦτο δ᾽ ἐστὶ, τὸ κἂν ὑπὸ τοῦ λαοῦ τῆς πόλεως ἐκείνης ἐκβιάζηται, ἀντὶ τοῦ σφοδρότατα βιάζηται· αἱ γὰρ προθέσεις ἐπίτασιν δηλοῦσι· κἂν ὑπὸ Επισκόπου ἀναγκάζηται, μὴ πείθεσθαι καταλιπεῖν τὴν, ἐν ᾗ ἐκληρώθη, πόλιν, καὶ ἀπελθεῖν εἰς ἑτέραν.

ΑΡΙΣΤ. Επίσκοπος καὶ ὑπὸ λαῶν βιαζόμενος, καὶ ὑπὸ Επισκόπων ἀναγκαζόμενος, μὴ μεθιστάσθω εἰς παροικίαν ἑτέραν.

Απηγόρευται καθόλου τῶν Επισκόπων ἡ μετάθεσις, κἂν ὑπὸ τοῦ λαοῦ, κἂν ὑπὸ Επισκόπων μεταπεσεῖν, εἰς ἑτέραν παροικίαν βιάζωνται.

C

ΚΑΝΩΝ κβ΄.

Επίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μηδὲ χώρᾳ τῇ αὐτῷ μὴ διαφερέσῃ ἐπὶ χειροτονίᾳ τινὸς, μηδὲ καθιστᾶν πρεσβύτερον ἢ διάκονον εἰς τόπους ἑτέρῳ Επισκόπῳ ὑποκειμένους, εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας Επισκόπου. εἰ δὲ τολμήσειέν τις τοιοῦτο, ἄκυρον εἶναι τὴν χειροτονίαν καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς συνόδου τυγχάνειν.

ΒΑΛΣ. Ανάγνωθι καὶ τὸν ιδ΄. ἀποστολικὸν κανόνα, καὶ τὸν ιε΄. τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ μάθῃς ἐξ ἐκείνων τε καὶ ἀπὸ τῶν παρόντων δύο κανόνων, ἀλλὰ μὴν καὶ ἐξ ἑτέρων πολλῶν, D ὅπως κολάζονται οἱ παρ᾽ ἐνορίαν χειροτονοῦντές τε καὶ χειροτονούμενοι χωρὶς προτροπῆς τοῦ κατὰ χώραν Επισκόπου. ἀνάγνωθι καὶ τὸν λε΄. ἀποστολικὸν κανόνα καὶ τὸν τῆς δευτέρας συνόδου τὸν β΄.

ΖΩΝΑΡ. Καὶ τοῦτο διαφόροις κανόσι κεκώλυται, τὸ μήτε εἰς πόλιν, μήτε εἰς χώραν ἄλλῳ ὑποκειμένην ἐπισκόπῳ, ἕτερον ἀπιέναι ἐπίσκοπον καὶ χειροτονεῖν, εἰ μὴ παραχωρηθείη παρὰ τοῦ ἐπισκόπου τῆς χώρας ἐκείνης· εἰ δὲ ἄλλως ἀπέλθῃ καὶ χειροτονήσει, τὴν μὲν χειροθεσίαν ἄκυρον εἶναι, τὸν δὲ χειροτονήσαντα ἐπιτιμᾶσθαι. ἀναγνωστέον καὶ τὸν δεύτερον κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου.

E ΑΡΙΣΤ. Επὶ τὸ χειροτονεῖν τινας, ἐπίσκοπος ἐκ πόλεως εἰς πόλιν μὴ ἀπίτω, ἀλλ᾽ ἢ γνώμῃ τοῦ ἐπισκόπου τῆς πόλεως· εἰ δ᾽ οὔ, ἀβέβαιος ἡ χειροτονία, κἀκεῖνος ὑπόδικος.

Τὰ αὐτὰ τῷ τρισκαιδεκάτῳ κανόνι καὶ ὁ κανὼν οὗτος λέγει, τὸ, ἕκαστον τῶν ἐπισκόπων τὰ τῆς ἰδίας ἐνεργεῖν παροικίας, καὶ εἰς ἑτέραν μὴ ἀπιέναι, καὶ χειροτονίας ποιεῖσθαι, ἢ ἕτερόν τι ἐπισκοπικὸν πράττειν, ἄνευ γνώμης τοῦ ἐγχωρίου ἐπισκόπου· εἰ μὴ βούλεται καὶ καθαιρέσει γενέσθαι ὑπόδικος, καὶ τὰ παρ᾽ αὐτοῦ πραχθέντα μένειν ἀβέβαια.

ΚΑΝΩΝ κγ΄.

F Επισκόπῳ μὴ ἐξεῖναι ἀντ᾽ αὐτοῦ καθιστᾶν ἕτερον ἑαυτοῦ διάδοχον, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ· εἰ δέ τι τοιοῦτον γίνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν, φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν περιέχοντα, δεῖν μὴ ἄλλως γίνεσθαι ἐπίσκοπον, ἢ μετὰ συνόδου καὶ ἐπικρίσεως ἐπισκόπων, τῶν μετὰ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου τὴν ἐξουσίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

ΒΑΛΣ. Ο ος΄. κανὼν τῶν ἁγίων ἀποστόλων λέγει, μὴ ἐξεῖναι τῷ Επισκόπῳ χειροτονεῖν ὃν βούλεται ἀντ᾽ αὐτοῦ. τὰ αὐτὰ οὖν καὶ ὁ παρὼν κανὼν θεσπίζει, προστιθέμενος, μὴ ἄλλως γίνεσθαι Επίσκοπον, εἰ μὴ θανόντος τοῦ Επισκόπου, ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσηται.

ΖΩΝΑΡ. Καὶ ὁ ος'. κανὼν τῶν ἁγίων ἀποστόλων μὴ ἐξεῖναι λέγει τῷ ἐπισκόπῳ χειροτονεῖν, ὃν βούλεται· εἰ δὲ χειροτονήσῃ, ἄκυρόν τε τὴν χειροτονίαν εἶναι, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι. ταῦτα οὖν καὶ ὁ παρὼν θεσπίζει κανὼν, καὶ μὴ δεῖν ἄλλως γίνεσθαι ἐπίσκοπον, εἰ μὴ θανόντος τοῦ ἐπισκόπου, ἡ τῆς ἐπαρχίας σύνοδος τὸν ἄξιον ψηφίσεται, καὶ καταστήσει.

ΑΡΙΣΤ. Μὴ καθιστάτω ἕτερον ἐπὶ τῇ ἐξόδῳ ἐπίσκοπον ὁ ἐπίσκοπος· ἐκείνου δὲ κοιμηθέντος, μετὰ συνόδου τῶν ἐχόντων ἐξουσίαν, ἄξιος προβεβλήσθω.

Οὐκ ἔξεστι τῷ τελευτῶντι ἐπισκόπῳ, ἐν τῷ τελευτᾷν ἐπίσκοπον ἕτερον ἀντ' αὐτοῦ καθιστᾷν· ἀλλ' ἡ Σύνοδος τῆς ἐπαρχίας, μετὰ θάνατον αὐτοῦ, κατὰ γνώμην καὶ τοῦ ταύτης μητροπολίτου, τὸν ἄξιον προχειρίζεται.

ΚΑΝΩΝ κδ'.

Τὰ τῆς ἐκκλησίας τῇ ἐκκλησίᾳ καλῶς ἔχει φυλάττεσθαι δεῖν, μετὰ πάσης ἐπιμελείας καὶ ἀγαθῆς συνειδήσεως, καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κριτὴν θεὸν, ἃ καὶ διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ Ἐπισκόπου, τοῦ πεπιστευμένου πάντα τὸν λαὸν καὶ τὰς ψυχὰς τῶν συναγομένων. φανερὰ δὲ εἶναι τὰ διαφέροντα τῇ ἐκκλησίᾳ μετὰ γνώσεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, ὥστε τούτους εἰδέναι, καὶ μὴ ἀγνοεῖν, τίνα ποτὲ τὰ ἴδια ἐστὶ τῆς ἐκκλησίας, ὥστε μηδὲν αὐτοὺς λανθάνειν· ἵν' εἰ συμβαίη τὸν Ἐπίσκοπον μεταλλάττεσθαι τὸν βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ Ἐπισκόπου ἐνοχλεῖσθαι προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων. δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε τῷ θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ Ἐπισκόπου, οἷς ἂν αὐτὸς βούληται, καταλιμπάνεσθαι· τὰ μέντοι τῆς ἐκκλησίας αὐτῇ φυλάττεσθαι· καὶ μήτε τὴν ἐκκλησίαν ἐπιμένειν ζημίαν, μήτε τὸν Ἐπίσκοπον προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας· μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

ΚΑΝΩΝ κε'.

Ἐπίσκοπον ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐξουσίαν, ὥστε αὐτὰ διοικεῖν εἰς πάντας τοὺς δεομένους, μετὰ πάσης εὐλαβείας καὶ φόβου θεοῦ· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴγε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς στερεῖσθαι, κατὰ τὸν θεῖον ἀπόστολον λέγοντα· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκειακὰς αὐτοῦ χρείας, καὶ τοὺς πόρους τῆς ἐκκλησίας ἢ τοὺς τῶν ἀγρῶν καρποὺς, μὴ μετὰ γνώμης τῶν πρεσβυτέρων ἢ τῶν διακόνων χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ καὶ συγγενέσιν ἢ ἀδελφοῖς ἢ υἱοῖς παρέχοι τὴν ἐξουσίαν, εἰς τὸ, διὰ τῶν τοιούτων λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας. εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ Ἐπίσκοπος ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν ἢ καὶ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς, εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσι, καὶ τούτους διορθώσεως τυγχάνειν, τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας Συνόδου.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες τὰ αὐτὰ θεσπίζουσι τῷ μ'. καὶ μα'. ἀποστολικοῖς κανόσι· καὶ ζήτει τὰ ἐν αὐτοῖς γραφέντα. σημείωσαι δὲ καὶ ἀπὸ τοῦ παρόντος κε'. κανόνος, ὅτι διὰ ἐκκλησιαστικῶν ὀφείλουσι πάντα τὰ τῶν ἐκκλησιῶν διοικεῖσθαι, καὶ ὅτι οἱ παρὰ τοὺς κανόνας τούτους διαπραττόμενοι, κατὰ τὸ δόξαν τῇ συνόδῳ κολάζονται.

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος συμφωνεῖ τῷ μα'. κανόνι τῶν ἁγίων ἀποστόλων. κελεύει γὰρ τῷ Ἐπισκόπῳ τὴν ἐξουσίαν

A **ZONAR.** Et lxxvi. ſanctorum Apoſtolorum can. ne Epiſcopo liceat quemcunq; collibitum fuerit ordinibus inſignire; idque ſi fecerit, cùm ordinum collationem irritam habendam, tùm eum, qui contulit, ſegregatione puniendum eſſe, decernit. Eadem hujus quoq; can. decreto ſancita, ac præter eum, quem, Epiſcopo vita functo, dignum eo munere provinciæ Synodus electum crearit, alium Epiſcopum habere ne liceat, conſtitutum.

ARIST. *Epiſcopus in vitæ exitu alium ne conſtituat Epiſcopum: Illo autem vitâ functo, à Synodo eorum qui poteſtatem habent, dignus provehatur.*

B Non licet Epiſcopo moribundo, cum moritur, alium Epiſcopum ſui loco conſtituere. Sed provinciæ Synodus poſt ejus mortem juxta ſententiam illius etiam provinciæ Metropolitani, dignum ordinabit.

CANON XXIV.

Rectè habet, ut ea, quæ ſunt Eccleſiæ, Eccleſiæ ſerventur cum omni cura & bona conſcientia, & fide in omnium præſidem & judicem Deum: quæ etiam adminiſtrari convenit cum judicio & poteſtate Epiſcopi, cui eſt omnis populus concreditus, & eorum animæ qui in Eccleſia congregantur. Sint autem manifeſta, quæ ad Eccleſiam pertinent, cum cognitione Presbyterorum & Diaconorum C *qui circa ipſum ſunt, ut ipſi ſciant, & non ignorent, quæ ſint propria Eccleſiæ; nec eos quicquam lateat: ut ſi contingat Epiſcopum è vita migrare, iis manifeſtis exiſtentibus, quæ ad Eccleſiam pertinent, ne ea intercidant & pereant, nec quæ ſunt propria Epiſcopi, prætextu rerum Eccleſiaſticarum, vexentur. Eſt enim juſtum, & apud Deum & homines acceptum, ut Epiſcopus propria, quibus velit, relinquat; quæ ſunt autem Eccleſiæ, ipſi ſerventur: ut nec Eccleſia damnum aliquod ſuſtineat, nec Epiſcopus Eccleſiæ prætextu proſcribatur, vel qui ad eum attinent in cauſas incidant quo* D *& ipſe poſt mortem maledictione oneretur.*

CANON XXV.

Epiſcopus habeat rerum Eccleſiæ poteſtatem, ut eas in omnes egentes diſpenſet, cum multa cautione & Dei timore: ipſi autem eorum, quibus ei opus eſt, ſi indigeat, ſit particeps ad uſus ſuos neceſſarios, & fratrum, qui apud eum hoſpitio excipiuntur, ut ipſi nullo modo priventur ſecundum divinum Apoſtolum, qui dicit; Habentes autem alimenta & quibus tegamur, iis contenti erimus. Sin autem iis non ſit contentus, ſed res in proprios uſus convertat, & Eccleſiæ redditus vel agro- E *rum fructus, non ex Presbyterorum vel Diaconorum ſententia adminiſtret, ſed domeſticis ſuis aut cognatis, vel fratribus, vel filiis, licentiam det, ut rationes Eccleſiæ per ipſos clam detrimentum capiant; is Synodo provinciæ adminiſtrationis rationem reddat. Sin autem etiam aliàs inſimuletur Epiſcopus, vel qui cum eo ſunt Presbyteri, ea quæ ad Eccleſiam pertinent vel ex agris vel quacunque alia cauſa Eccleſiaſtica, ad ſeipſos referendi ut pauperes quidem opprimantur, & rationi (Eccleſiæ) ac iis qui ſic adminiſtrant criminatio ac infamia* F *inuratur, ii quoque correctionem aſſequantur, ſancta Synodo id quod decet examinante.*

BALS. Præſentes duo can. eadem decernunt cum xl. & xli. can. Apoſtolicis: & quære quæ in ipſis ſcripta ſunt. Nota autem etiam ex præſenti can. xxv. quòd ab Eccleſiaſticis debent omnia, quæ ſunt Eccleſiarum, adminiſtrari: & quòd qui præter hos can. faciunt, ut Synodo viſum fuerit, puniuntur.

ZONAR. in Can. xxiv. Can. xli. ſanctorum Apoſtolorum Can. hic conſentit. Nam is quoq; Eccleſiæ nego-

tia adminiſtrandi poteſtatem penes Epiſcopum eſſe decernit. Quadrageſimus vero eorundem, privatas Epiſcopi poſſeſſiones, ſi quas habeat, notas eſſe vult; notas item eas, quæ Eccleſiæ adjudicatæ ſunt. Quæ igitur duo Can. allati ſtatuere, ea Syn. quoq; auctores hoc uno Can. complexi ſunt. Ergo huic quoque explicando, quæ in utriuſque Apoſtolici Canonis explicatione ſunt dicta, ſufficiunt.

Arist. *in Can.xxiv. Totum Clerum res Eccleſiæ cognoſcere oportet; ut cum Epiſcopus obdormierit, quæ ſua ſunt Eccleſiæ conſerventur: quæ autem ſunt Epiſcopi, juxta illius diſpoſitionem adminiſtrentur.*

Oportet Epiſcopum bonorum ſuorum inventorium facere, eaq; manifeſta reddere, & ſimiliter bonorum Eccleſiæ, & ea Presbyteris & Diaconis nota facere, ut cum moritur, inter ſuos quod ſibi placuerit, diſponat. Si autem ſic non fecerit, omnia Eccleſiæ adjudicari.

Zonar. Et quæcunq; hoc can. continentur, ab iis quos attulimus Apoſtolicis can. repetita ſunt. Eſſe namq; penes Epiſcopum res Eccleſiaſticas adminiſtrandi auctoritatem; ſed ita eſſe, ut nequaquam ipſius arbitratu abutendi, verum in uſus pauperum conferendi, facultas ſit, ac ſibi etiam retinendi ea, quibus opus habet, neceſſaria videlicet, ſed ea quoq; ſi egeat, hoc eſt, ſi inopia laboret: (Nec enim quidquam in res ſupervacuas inſumere, ſed Apoſtoli conſilium ſequi vult; Habentes alimenta, inquit ille, & quibus tegamur, his contenti erimus) hæc ex Apoſtolicis conſtitutionibus univerſa ducuntur. Quòd ſi non contentus ſumptibus neceſſariis, ad proprias quoque utilitates bona Eccleſiaſtica convertit, nec ex eorum ſententia, qui honeſtiores è Clero prohibentur, Eccleſiæ reditus adminiſtrat, hoc eſt, acceptos & expenſos refert, ſed eam propinquis licentiam permittit, ut ipſis res ad ſe occulte trahentibus, rationes Eccleſiæ lædantur; (λόγους vero i. e. rationes appellat, quas aliter Græci λογοπραγίας. Niſi enim ſubductis accepti & expenſi calculis; quo pacto Eccleſiaſtici homines adminiſtratarum Eccleſiæ facultatum rationem à Procuratoribus repetant?) Si ergo talem ſe in Eccleſiæ bonorum adminiſtratione Epiſcopus præbeat, hominem à provinciæ Syn. corrigi can. jubet. Quod ſi præterea res Eccleſiaſticas quomodocunq; intervertere, ſibiq; uſurpare, ſive quæ ex agris, ſive quæ aliunde obveniant, Epiſcopum ejuſque ſocios criminentur, ex quo pauperes quidem neceſſariis deſtituti ſubſidiis deficiant, ipſi vero infamia male geſtæ adminiſtrationis laborent, neq; vero rationes, quas ipſi videlicet exhibent, ſatis probatæ appareant; eos quoq; per Syn. rebus diligenter exploratis ac examinatis, vel etiam ab ea firmatis, corrigendos eſſe decernit.

Arist. *in Can xxv. Epiſcopus rerum Eccleſiaſticarum poteſtatem habeat; ſi autem non ſit contentus iis quæ illi ſufficiunt, verùm res ac redditus Eccleſiæ abſque Cleri conſilio in alienos uſus transfert, pœnæ ab eo coram Synodo exigantur. Si vero quæ pauperibus debita ſunt in proprios uſus converterit: ſic etiam Syn. rationes reddat.*

Qui pretioſas hominum animas ſibi habet concreditas, multo magis rerum Eccleſiaſticarum poteſtatem habeat, ut eas egentibus per Presbyteros & Diaconos diſtribuat, & ſibi etiam concedat, ſi indigens eſt, quibus opus habet, & quibus neceſſario uti debet & ille & fratres ab eo hoſpitio excepti, ne ipſi inopiam patiantur. Si autem neceſſariis non eſt contentus, ſed & Eccleſiæ redditus in proprium lucrum convertere deprehenditur, eoſque ſibi vendicare, & ideo Eccleſiaſticorum bonorum adminiſtrationem propinquis ſuis & cognatis præbet, ut clam exinde evacuarentur redditus, à Synodo in diſquiſitionem vocabitur, ut ipſi viſum fuerit.

A τῶν τῆς ἐκκλησίας δίδωσι πραγμάτων, καὶ τούτων διοίκησιν αὐτῷ ἀνατίθησι. καὶ ὁ μʹ. δὲ κανὼν τῶν αὐτῶν φανερὰ εἶναι βούλεται τὰ τοῦ Ἐπισκόπου πράγματα, εἰ ἔχοι ἴδια, καὶ φανερὰ αὖθις τὰ τῆς ἐκκλησίας. ἃ τοίνυν ἄμφω οἱ κανόνες ὥρισαν οἱ λεχθέντες, ταῦτα οἱ τῆς συνόδου ταύτης ἐν τῷ παρόντι κανόνι συμπεριέλαβον. τὰ γοῦν εἰρημένα εἰς ἐξήγησιν τῶν ἀποστολικῶν κανόνων ἀμφοῖν, καὶ τοῦτον σαφηνίζουσι τὸν κανόνα.

ΑΡΙΣΤ. Παντὶ τῷ κλήρῳ τὰ τῆς ἐκκλησίας θέμις διαγινώσκεσθαι· ἵνα τοῦ Ἐπισκόπου τελευτήσαντος, τὰ οἰκεῖα τῆς ἐκκλησίας διαφυλάττηται· τὰ δὲ τοῦ Ἐπισκόπου κατὰ τὴν ἐκείνου διοικῆται διάταξιν.

B Δεῖ τὸν Ἐπίσκοπον ἀπογραφὴν ποιεῖσθαι τῶν ἑαυτοῦ πραγμάτων, καὶ φανερὰ αὐτὰ καθιστᾶν. ὡσαύτως καὶ τὰ τῆς ἐκκλησίας, καὶ γινώσκεσθαι ταῦτα τοῖς πρεσβυτέροις καὶ διακόνοις· ἵν᾽ ἐπὶ τελευτᾷ, ἐν τοῖς οἰκείοις κατὰ τὸ βουλητὸν αὐτῷ διατάξηται. εἰ δὲ μὴ οὕτω ποιήσει, πάντα προσκυροῦσθαι τῇ ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Ὅσα ἐν τῷ κανόνι τούτῳ οἱ τῆς συνόδου ταύτης εἶπον, τοῖς εἰρημένοις ἀποστολικοῖς κανόσιν ἑπόμενοι εἶπον. καὶ τὸ ἔχειν γὰρ τὸν Ἐπίσκοπον ἐξουσίαν τῶν τῆς ἐκκλησίας πραγμάτων, ἐξουσίαν δὲ οὐχ ὥστε χρᾶσθαι τούτοις ὡς βούλεται, ἀλλ᾽ εἰς διοίκησιν τῶν δεομένων, καὶ τὸ C μεταλαμβάνειν αὐτὸν τῶν δεόντων, τουτέστι τῶν ἀναγκαίων, καὶ τούτων εἰ δέοιτο, ἀντὶ τοῦ, ἐνδεῶς ἔχῃ (περισσὸν γὰρ οὐδὲν αὐτῷ συγχωρεῖ δαπανᾶν, τῷ ἀποστόλῳ δὲ πείθεσθαι, λέγοντι, ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα) τῶν ἀποστολικῶν εἰσι διατάξεων· εἰ δὲ μὴ τοῖς ἀναγκαίοις ἀρκοῖτο, δαπανᾷ δὲ τὰ ἐκκλησιαστικὰ εἰς ἑαυτοῦ χρείας, καὶ μὴ μετὰ γνώμης τῶν τοῦ κλήρου ἀξιολογωτέρων τὰς προσόδους τῆς ἐκκλησίας εἰσοδιάζει τι καὶ ἐξοδιάζει, ἀλλὰ συγγενέσι παρέχῃ τὴν ἐξουσίαν, ὥστε λεληθότως ἐκείνων μετιόντων τὰ πράγματα, βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας, λόγους δὲ D τὰς λογοπραγίας καλεῖ. εἰ γὰρ μὴ εἴδησιν ἔχοιεν οἱ τῆς ἐκκλησίας τῶν ἀληθῶν εἰσόδων καὶ ἐξόδων, πῶς τοὺς διοικητὰς τῶν τοιούτων λόγους ποιεῖν ἀπαιτήσουσιν; ὅταν οὖν οὕτως Ἐπίσκοπος διοικῇ τὰ τῆς ἐκκλησίας, εὐθύνεσθαι αὐτὸν παρὰ τῆς συνόδου τῆς ἐπαρχίας διορίζεται ὁ κανών. εἰ δὲ καὶ ἄλλον τινὰ τρόπον σφετερίζεσθαι καὶ οἰκειοῦσθαι τὰ ἐκκλησιαστικὰ, κἂν ἐξ ἀγρῶν εἶεν, κἂν ἄλλοθεν, ὁ Ἐπίσκοπος καὶ οἱ σὺν αὐτῷ διαβάλλοιντο, ὥστε θλίβεσθαι μὲν τοὺς πένητας, μὴ χορηγουμένων σφίσι τῶν χρειωδῶν, δυσφημεῖσθαι δὲ καὶ κακῶς ἀκούειν τοὺς οὕτω διοικοῦντας, καὶ τὸν λόγον, τουτέστιν, ἃς ποιοῦσι λογοπραγίας, ὡς μὴ καλῶς προβαινούσας, E καὶ τούτους διορθοῦσθαι παρὰ τῆς συνόδου, τὸ ἐνδεχόμενον δοκιμαζούσης, ἐξεταζούσης ἢ κυρούσης.

ΑΡΙΣΤ. Κύριος ὁ Ἐπίσκοπος τῶν τῆς ἐκκλησίας ἔστω πραγμάτων. εἰ δὲ μὴ ἱκανοῖτο τοῖς ἱκανοῦσιν αὐτῷ, ἀλλὰ τὰ πράγματα καὶ τοὺς πόρους μεταβάλλοι τῆς ἐκκλησίας μὴ μετὰ γνώμης τοῦ κλήρου, εἰσπραττέσθω δίκας παρὰ τῆς συνόδου. εἰ δὲ καὶ τὰ πένησιν ὀφειλόμενα εἰς ἑαυτὸν σφετερίζοιτο· καὶ οὕτω τῇ συνόδῳ λόγους διδότω.

Ὁ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς ἐμπεπιστευμένος, πολλῷ μᾶλλον ἂν ἔχοι τῶν τῆς ἐκκλησίας πραγμάτων τὴν ἐξουσίαν, ὥστε διαG νέμειν ταῦτα τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων· ἐπιχωρεῖν δὲ καὶ ἑαυτῷ, εἴγε προσδεὴς ἐστι, τὰ δέοντα· ὥστε τὰς ἀναγκαίας αὐτῷ χρείας, καὶ τῶν παρ᾽ αὐτοῦ ἐπιξενουμένων ἀδελφῶν, ὥστε μὴ ὑστερεῖσθαι αὐτούς. εἰ δὲ οὐκ ἀρκοῖτο τοῖς ἀναγκαίοις, ἀλλὰ τὰς εἰσόδους τῆς ἐκκλησίας κερδαίνειν αἱροῖτο, καὶ οἰκειοῦσθαι αὐτὰς, καὶ διὰ τοῦτο τὴν οἰκονομίαν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκείοις αὐτοῦ καὶ συγγενέσι παρέχοιτο, ὥστε λανθάνειν ἔνθα κατακενοῦνται αἱ εἴσοδοι, παρὰ τῆς συνόδου εὐθυνθήσεται, καθὼς ἂν αὐτὴ συνίδοι.

A

ΚΑΝΟΝΕΣ ΤΗΣ ΕΝ ΛΑΟΔΙΚΕΙΑ καπατιανῆς, Φρυγίας συγκροτηθείσης συνόδου ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ασιανῆς.

ΚΑΝΩΝ α'.

ΠΕρὶ τοῦ, δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα τοὺς ἐλευθέρως καὶ νομίμως συναφθέντας δευτέροις γάμοις, μὴ λαθρογαμήσαντας, ὀλίγου χρόνου παρελθόντος, καὶ σχολάσαντας ταῖς προσευχαῖς καὶ νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν B κοινωνίαν.

ΒΑΛΣ. Οἱ δευτερογαμοῦντες, ἀπὸ τοῦ παρόντος κανόνος μετανοοῦντες, καὶ προσευχόμενοι, μετ' ὀλίγον χρόνον ἀξιοῦνται τῆς κοινωνίας τῶν θείων ἁγιασμάτων. ἀπὸ δὲ τοῦ δ'. κανόνος τοῦ ἁγίου Βασιλείου, μετ' ἐνιαυτόν. ἐκεῖνοι μέντοι οὕτως ἐπιτιμῶνται, οἱ μετὰ νομίμου συνοικεσίου δευτερογαμήσαντες. οἱ γὰρ πρότερον λαθρογαμήσαντες, ἤτοι πορνεύσαντες, μετὰ τὴν ὕστερον συζευχθεισῶν αὐτοῖς νομίμως, κατὰ πόρνους κολασθήσονται, κατὰ μηδὲν ὠφελούμενοι ἐκ τῆς νομίμου συναφείας. καὶ ταῦτα μὲν οὕτω. οἱ δὲ νόμοι τοὺς ἐκ πορνείας γεννηθέντας ὡς ἐκ νομίμου συναφείας τεχθέντας, λογίζονται, ἐὰν ὕστερον τὴν μητέρα αὐτῶν νομίμως ἀγάγηται ὁ πατήρ. καὶ ζήτει βιβλίου τῶν βασιλικῶν λβ'. τίτλον β'. ὅλον, καὶ τὸν ιδ'. τίτλον τοῦ κη'. βιβλίου τῶν βασιλικῶν, ἤτοι τὴν κβ'. Ιουστινιανείου νεαρὰν ἥτις ἄλλως τὰ περὶ τῶν δευτερογαμούντων, ἀνδρῶν καὶ γυναικῶν διατάττεται.

ΖΩΝΑΡ. Εἰ καὶ οὐ κεκώλυται ἡ δευτερογαμία, ἀλλ' οὐδ' ἀνεπιτίμητος πάντη ἐᾶται. εἰ γὰρ καὶ ὁ μέγας Παῦλος τὸν δεύτερον ἐπιτρέπει γάμον, ἀλλὰ νεωτέρας χήρας γαμεῖν διατάττεται· καὶ εἰσί τινες λέγοντες μόναις γυναιξὶ τοῦτο συγκεχωρῆσθαι διὰ τὸ τῆς φύσεως αὐτῶν ἀσθενὲς καὶ εὐόλισθον. οἱ δὲ πατέρες καὶ τοὺς ἄνδρας διγαμοῦντας ἐδέξαντο, καὶ εἰ νομίμως, φασί, τὸν δεύτερον ἐποιήσαντο γάμον, μὴ πρότερον λαθρογαμίαν ἐπ' ἀλλήλοις ἡμαρτηκότες, ὀλίγου παρελθόντος χρόνου σχολάσαντες νηστείᾳ καὶ προσευχῇ δεχθήσονται εἰς κοινωνίαν κατὰ συγγνώμην, τουτέστι, συγγνωμονούμενοι διὰ τὴν ἀνάγκην τὴν φυσικήν. ὁ μὲν οὖν κανὼν τοῦτον ἀόριστον ἀφῆκε τὸν χρόνον· ὁ δὲ μέγας Βασίλειος ἐν τῷ τετάρτῳ αὐτοῦ κανόνι ἐνιαυτὸν λέγει εἶναι τὸν τοῦ ἐπιτιμίου καιρόν· ἄλλους δέ φησι διετίαν ὁρίζειν ἐπὶ τῶν διγάμων. ἀλλ' ὁ μὲν ἐνιαυτὸς ἔσται, ὅτε οὐ προηγήσατο ἐπὶ τῶν δευτέροις ὁμιλησάντων γάμοις λαθρογαμία. εἰ δὲ λαθραίᾳ μίξει συνήλθεσαν πρότερον, εἶτα εἰς νόμιμον γάμον ἀπεῖδον, καὶ ὡς πεπορνευκότες ἐπιτιμηθήσονται. καὶ ἡ κβ'. Ιουστινιάνειος νεαρὰ κειμένη εἰς βιβλίον τῶν βασιλικῶν κη'. τίτλος ιδ'. πολλὰ περὶ δευτερογαμούντων καὶ ἀνδρῶν καὶ γυναικῶν διατάττεται.

ΑΡΙΣΤ. Ο μὴ λαθραιογαμήσας δίγαμος, ὀλίγον τοῖς ἐπιτιμίοις σχολάσας, λοιπὸν ἀνεύθυνος.

Ἐπὶ ἐνιαυτὸν ὁ δίγαμος ἀφορίζεται, τῇ προσευχῇ, καὶ τῇ νηστείᾳ σχολάζων· καὶ οὕτω τῆς κοινωνίας καταξιοῦται. εἰ δὲ μὴ ἐλευθερίως καὶ νομίμως τῷ δευτέρῳ συνήφθη γάμῳ, ἀλλὰ πρότερον λαθραιογαμήσας, μετὰ ταῦτα καὶ εἰς κοινωνίαν ἦλθε γάμου· τῷ τῆς πορνείας ἐπιτιμίῳ ὑπόκειται.

CANONES SYNODI LAODICENÆ, quæ eſt Urbs Phrygiæ Capatianæ, ex diverſis Aſiæ provinciis congregatæ.

CANON I.

QUod oportet, ſecundùm Eccleſiaſticum Canonem, eos, qui liberè & legitimè ſecundis nuptiis juncti ſunt, & non clam uxores duxerunt, cùm exiguum B *tempus prætererit, & orationibus & jejuniis vacaverint, ex venia dare communionem.*

BALS. Qui ſecundò uxores ducunt, ex præſenti quidem Canone, pœnitentiam agentes & orantes, poſt aliquantulum temporis divinorum ſacramentorum communione digni habentur: à iiii. autem Canone ſancti Baſilii, poſt annum. Illi quidem ſic puniuntur, qui in legitimo matrimonio uxores duxerunt. Qui enim priùs uxores clam duxerunt, ſive fornicati ſunt, cùm iis quæ illis poſtea legitimè conjunctæ ſunt, ut fornicatores punientur, ex legitima conjuctione nihil auxilii ſentientes. C Et hæc quidem ſic habent. Leges autem eos, qui ex fornicatione nati ſunt, tanquam ex legitima conjunctione natos, reputant; ſi pater eorum matrem poſtea legitimè duxerit. Quære libri xxxii. Baſilic. tit. ii. totum; & xiv. tit. xxviii. libri Baſilic. ſeu xxii. Juſtiniani Novellam, quæ aliter de iis, qui ſecundis nuptiis conjunguntur, tam viris quam mulieribus, decernit.

ZONAR. Nec vetitæ ſanè ſecundæ nuptiæ, nec omnino tamen impunitæ ſunt. Nam etſi ſecundas nuptias magnus quoque Paulus non improbet, tamen eas adoleſcentioribus tantummodo viduis concedi oportere decernit; D nec deſunt qui eas ſolis fœminis, quod natura infirmiores, atque ad deteriora proclives ſint, permiſſas fuiſſe contendant. Patres autem, viris quoque ejus rei facultatem eſſe haud vetant; Ac ſi quidem ſervatis legum conſtitutionibus ad ſecundas nuptias tranſivere, neque aliquid prius furtivo inter ſe inito matrimonio deliquere, poſtquam per aliquod tempus jejunio ac precationibus vacaverint; ex indulgentia, hoc eſt, data iis, ob neceſſitatem à natura impoſitam, venia, ad communionem admitti placet. Atque hic quidem Canon nihil certi, quod ad tempus attinet, definivit: Magnus vero Baſilius Can. iiii. bigamis unius anni tempus conſtitutum, ab aliis etiam E biennii mulctam impoſitam fuiſſe, affirmat. Sed tum quidem unius anni ſpatio mulcta finietur, cùm eorum, qui ad ſecundas nuptias convenêre, nulla prius conjunctio inter ipſos furtiva interceſſerit. Quòd ſi, cum occultè antea coiviſſent, ad legitimas deinde nuptias animum adjecêre; ſcortatorum præterea pœnis puniri debent. Multa de ſecundis virorum ac fœminarum nuptiis Juſtiniani quoque Novellâ xxii. lib. xxviii. tit. xiv. Baſil. ſita præcipiuntur.

ARIST. *Bigamus qui non occultè matrimonium inivit, ubi paululùm pœnas dederit, inſons poſtea habeatur.*

F Bigamus in annum ſegregatur, orationi & jejunio vacans, & ſic communionis dignus habetur. Si autem non liberè & legitimè ſecundis nuptiis conjunctus fuerit, ſed cum primo clam uxorem duxiſſet, poſtea & ad matrimonii communionem venit, fornicationis pœnæ ſubjicitur.

CANON II.

Quòd eis, qui diverſis delictis peccant, & in oratione confeſſionis & pœnitentiæ perſeverant, & ſe à malis perfectè convertunt, pro qualitate delicti tempore pœnitentiæ eis dato propter miſerationes & Dei bonitatem, communio concedenda eſt.

Bals. Didicimus nullum peccatum vincere Dei miſericordiam. Porrò præſens quoque Canon ſtatuit, ut qui à malo perfectè deſiſtunt, cum pura confeſſione & digna peccatorum pœnitentia, ii digni ſancta participatione habeantur; non propter eorum virtutis ſtudium, ſed propter Dei miſerationes & inenarrabilem bonitatem. Hæc autem omnino diſcernet Epiſcopalis examinatio.

Zonar. Si quis, multis licet facinoribus irretitus, tamen ea pœnitentiâ ductus confiteri velit, admiſſáque flagitia penitus averſetur; pro criminum ratione, quibus obſtrictus eſt, pœnitentiæ tempus homini præſcribendum; itaque ſibi ægre eſſe quæ patravit indicantem, admitti eum & communionem recipi Canon decernit: Neque vero ut divinorum myſteriorum perceptione dignus haberetur, ipſius diligentiæ; ſed Dei miſerationi ac longe maximæ bonitati adſcribi oportere demonſtrat.

Arist. *Qui variis delictis obſtricti ſunt, ſi iis cognitis confiteantur, & pro eorum ratione pœnitentiam agant, facile recipiantur.*

Omnes qui peccarunt, qualiacunque dicat aliquis eorum peccata, ſi pœnitentiam egerint, & ea confeſſi fuerint, & à malis perfecte ſe converterint, & tempus ad pœnitentiam agendum ſecundũ delicti proportionem iis conceſſum precibus & lacrymis abſolverint, propter Dei miſerationes & bonitatatem in communionem recipientur.

CANON III.

Quòd non oportet eum, qui recens baptizatus eſt, in ordinem ſacerdotalem promoveri.

Bals. Lege ſanctorum Apoſtolor. Canonem lxxx. Synodi Nicænæ Can. ii. qui eadem cum præſenti Canone decernunt, de iis qui ſunt recenter baptizati, & petunt ad ſacros ordines admitti. Magnum tamen illud lumen Nectarius, à Catechumenorum grege nuper ſeparatus, cùm divino lavacro vitæ ſordes abluiſſet, purus jam puriſſimam Epiſcopatûs dignitatem induit, & ſimul fit reginæ urbis Epiſcopus, & ſanctæ ſecundæ uuiverſalis Synodi præſes.

Zonar. Hoc, eodem modo, primæ quoque Nicænæ Synodi ſecundo Canone conſtitutum eſt; quæque in illius explicatione diximus, hîc quoque ſufficient.

Arist. *Recens illuminatus, ſacris ordinibus non eſt idoneus.*

Qui recens illuminatur, non ſtatim in ordinem ſacerdotalem promovetur.

CANON IIII.

Quòd non oportet Sacerdotes fœnerari, & uſuras quæ dicuntur hemioliæ (id eſt, totius ſortis dimidia pars) accipere.

Bals. Apoſtolicus xliiii. Canon, & xvii. primæ Syn. diffuſiùs tractant de ſacris initiatis, qui uſuras accipiunt: & lege eos.

Zonar. Eadem primæ quoque Oecumenicæ Syn. xvii. Can. conſtituta ſunt. Nec ad ea, quæ ibi attulimus, quicquam hoc loco addendum exiſtimamus.

A

ΚΑΝΩΝ β'.

Περὶ τοῦ, τοὺς ἁμαρτάνοντας ἐν διαφόροις πταίσμασι, καὶ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιουμένους, κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος, καιροῦ μετανοίας δοθέντος αὐτοῖς, τοὺς τοιούτους, διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ θεοῦ προσάγεσθαι τῇ κοινωνίᾳ.

ΒΑΛΣ. Ἐμάθομεν μηδεμίαν ἁμαρτίαν νικᾷν τὴν φιλανθρωπίαν τοῦ θεοῦ. καὶ ὁ παρὼν δὲ κανὼν διορίζεται τοὺς ἀφισταμένους τελείως τοῦ κακοῦ, μετὰ ἐξομολογήσεως καθαρᾶς καὶ
B μετανοίας ἀξίας τῷ πταίσματι, ἀξιοῦσθαι τῆς θείας μεταλήψεως· οὐ διὰ τὴν σπουδὴν τούτων, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα. ταῦτα δὲ πάντως διακρινήσει ἡ ἐπισκοπικὴ δοκιμασία.

ΖΩΝΑΡ. Κἂν ἐν διαφόροις πταίσμασιν ἥμαρτέ τις, ἐξομολογῆται δὲ ταῦτα, καὶ ἀποστρέφηται τελείως ἃ ἔφθη ποιῆσαι κακὰ, δίδοσθαι αὐτῷ καιρὸν μετανοίας, διορίζεται ὁ κανὼν, ἀναλόγως τοῖς πταίσμασιν, οἷς ἐποίησε, καὶ οὕτως αὐτοῦ ἐνδεικνυμένου μετάνοιαν, δέχεσθαι αὐτὸν καὶ προσάγεσθαι τῇ κοινωνίᾳ, οὐχ ὡς αὐτοῦ διὰ τῆς οἰκείας σπουδῆς ἀξιουμένου τῆς
C τῶν θείων μυστηρίων μεταλήψεως, ἀλλὰ διὰ τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ καὶ τὴν ἄφατον ἀγαθότητα.

ΑΡΙΣΤ. Οἱ διαφόροις ἀγνοήμασιν ἑαλωκότες, εἰ ἐπιγνόντες ἐξομολογοῖντο, καὶ ἀναλόγως μετανοοῖεν, συμπροσδεκτοί.

Πάντες οἱ ἁμαρτήσαντες, ὁποῖα ἄν τις εἴποι τὰ ἁμαρτήματα εἰ μετανοήσουσι καὶ ἐξομολογήσονται ταῦτα, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιήσονται, καὶ κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος τὸν δοθέντα αὐτοῖς καιρὸν εἰς μετάνοιαν ἐν προσευχαῖς καὶ δάκρυσιν ἐκτελέσουσιν· παραδεχθήσονται εἰς κοι-
D νωνίαν διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ θεοῦ.

ΚΑΝΩΝ γ'.

Περὶ τοῦ, μὴ δεῖν τὸν προσφάτως φωτισθέντα προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα π'. συνόδου Νικαίας κανόνα β'. τὰ αὐτὰ τῷ παρόντι καν. θεσπίζοντας χάριν τῶν προσφάτως βαπτισθέντων, καὶ ζητούντων ἱερωθῆναι. ὁ μέντοι μέγας ἐκεῖνος φωστὴρ Νεκτάριος ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθα-
E ρώτατον τῆς ἀρχιερωσύνης ἀξίωμα περιβάλλεται, καὶ ἅμα τῆς βασιλευούσης ἐπίσκοπος γίνεται, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου ἔξαρχος.

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ δεύτερος κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου διετάξατο, καὶ ἃ ἐν ἐκείνῳ εἴρηται, κἂν τούτῳ ἀρκέσουσιν.

ΑΡΙΣΤ. *Ὁ νεοφώτιστος ἀνιεράτευτος.*

Ὁ νεοφώτιστος οὐκ εὐθὺς ἐν ἱερατικῷ προσάγεται τάγματι.

F

ΚΑΝΩΝ δ'.

Περὶ τοῦ, μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους, καὶ τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

ΒΑΛΣ. Ὁ ἀποστολικὸς μδ'. κανὼν, καὶ ὁ ιζ'. τῆς πρώτης συνόδου, πλατύτερον διαλαμβάνουσι περὶ τῶν ἱερωμένων λαμβανόντων τόκους. καὶ ἀνάγνωθι τούτους.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἑπτακαιδέκατος κανὼν τῆς πρώτης οἰκουμενικῆς συνόδου οὕτως ὥρισε, καὶ πλείω τῶν εἰρημένων ἐκεῖ οὐ χρεία ἐρεῖν.

ΑΡΙΣΤ. Τόκους ἢ ἡμιολίας ἱερατικὸς οὐ λαμβάνει.

Οὐ δεῖ τοὺς ἐν κλήρῳ αἰσχρὰ κέρδη ἐπινοεῖν, καὶ ἐπὶ βαρυτάτοις τόκοις, ἢ καὶ ἐλαφροῖς ἐκδανίζειν· εἰ μὴ βούλοιντο τοῦτο ποιοῦντες, καὶ μὴ παυόμενοι, καθαιρεῖσθαι.

ΚΑΝΩΝ ε'.

Περὶ τοῦ, μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι.

ΒΑΛΣ. χειροτονίας ἐνταῦθα τὰς ψήφους ὀνομάζει ὁ κανών, καί φησιν, ὡς ἐπεὶ ἐν ταῖς ψήφοις λέγονταί τινα πολλάκις καὶ ἀνάξια χάριν τῶν ψηφιζομένων, οὐ χρὴ ἐπὶ κοινῇ ἀκροάσει τοῦ βουλομένου τὰς ψήφους γίνεσθαι. διὰ τοῦτο οὖν καὶ σήμερον κατ' ἰδίαν οἱ ἀρχιερεῖς καὶ μόνοι συνερχόμενοι ψηφίζονται. ἐν μέντοι τῷ πρώτῳ ἀποστολικῷ κανόνι ἡ χειροτονία εἰς χειροθεσίαν ἐκλαμβάνεται.

ΖΩΝΑΡ. Χειροτονίας ἐνταῦθα τὰς ψήφους ὠνόμασεν ὁ κανών. ἐπεὶ γὰρ ἐν τῷ τὰ ψηφίσματα γίνεσθαι παρὰ τῶν ἀρχιερέων, λέγονται κατά τινων αἰτιάματα, δι' ἃ κωλύονται τῆς ἱερωσύνης, οὐκ ἔδοξε τοῖς πατράσι προσῆκον παρεῖναί τινας ἀκροωμένους τῶν λεγομένων, ὡς αἰσχύνην τοῖς καθ' ὧν λέγονται ἀπαγόντων, καὶ τοῖς ἀκροωμένοις εἰς προτροπὴν γινομένων κακίας, καὶ τοῖς ἀστηρίκτοις πρὸς πίστιν εἰς βλασφημίαν κατὰ θεοῦ. ὥσπερ γὰρ διὰ τῶν ἐναρέτων δοξάζεται ὁ θεός, τῶν ὁρώντων τὰ καλὰ ἔργα δοξαζόντων αὐτόν, οὕτω διὰ τῶν ἐναντίων βλασφημεῖται τὸ θεῖον παρὰ ἀπίστων καὶ ἀστηρίκτων ἀνθρώπων. διατί δὲ καὶ ἡ ψῆφος χειροτονία λέγεται, εἴρηται ἐν τῷ πρώτῳ κανόνι τῶν ἱερῶν ἀποστόλων.]

ΑΡΙΣΤ. Αἱ χειροτονίαι ἐπ' ἀκροωμένοις οὐ γίνονται.

Αἱ εὐχαὶ τῶν χειροτονουμένων οὐκ ἐκφωνοῦνται μεγάλως, ὥστε τὸν λαὸν ἐπακροᾶσθαι αὐτῶν.

ΚΑΝΩΝ ϛ'.

Περὶ τοῦ, μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

ΒΑΛΣ. Σαφὴς ὁ καν. οὐ γὰρ συγχωρεῖ τοῖς αἱρετικοῖς ἐπιμένουσι τῇ αἱρέσει, συνεκκλησιάζειν μετὰ ὀρθοδόξων. ἀνάγνωθι καὶ τὸν θ'. καν. τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Τιμοθέου.

ΖΩΝΑΡ. Οἱ αἱρέσεσι περιπεσόντες, καὶ μένοντες ἐν αὐταῖς, τῆς ἐκκλησίας ἐξοστρακίζονται, ὡς ταύτης ἀλλότριοι. πῶς οὖν εἰς τὸν οἶκον τοῦ θεοῦ συγχωρηθήσονται εἰσιέναι; ὁ δὲ ἀρχιεπίσκοπος Ἀλεξανδρείας Τιμόθεος περὶ τούτου ἐρωτηθεὶς, ἀπεκρίνατο, ἐν κανόνι θ'. ὅτι οὐκ ὀφείλουσιν ἐν εὐχῇ παρεῖναι αἱρετικοὶ, εἰ μὴ ἐπαγγέλλονται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΑΡΙΣΤ. Αἱρετικοῖς τὸ ἱερὸν ἀνεπίβατον.

Οὐ συγχωροῦνται αἱρετικοὶ εἰς τὸν οἶκον τοῦ θεοῦ εἰσιέναι· κἂν ὁ μέγας Βασίλειος, οὔπω τοῦ κανόνος τούτου ἐκτεθέντος, τῷ πληρώματι τῶν πιστῶν Οὐάλεντα παρεδέξατο.

ΚΑΝΩΝ ζ'.

Περὶ τοῦ, τοὺς ἐκ τῶν αἱρέσεων, τοῦτ' ἔστιν, Νουατιανῶν, ἤτοι Φωτεινιανῶν, ἢ Τεσσαρεσκαιδεκατιτῶν, ἐπιστρεφομένους εἴτουν κατηχουμένους εἴτε πιστοὺς τοὺς παρ' ἐκείνοις, μὴ προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῶν μυστηρίων τῶν ἁγίων.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ζ'. κανόνα τῆς δευτέρας συνόδου, τὸν ιθ'. κανόνα τῆς α'. τὸν ϟε'. τῆς ἕκτης· καὶ μάθης περὶ ὧν καὶ ὁ παρὼν κανὼν διέξεισι.

A **Ariſt.** *Sacerdos uſuras vel ſeſquialteras non accipit.*

Non oportet eos qui ſunt in Clero turpia lucra excogitare, & graviſſimis aut levioribus uſuris fœnerari: niſi ſe hoc facientes & non ceſſantes deponi vellent.

Canon V.

Quòd non oportet Electiones fieri in præſentia audientium.

Bals. Χειροτονίας Canon hîc electiones nominat, & dicit, quòd quoniam in electionibus dicuntur nonnulla, ſæpe etiam indigna, de iis qui eliguntur; non licet B in communi cujuſlibet volentis auditione ea fieri. Propterea ergo hodie quoque ſeorſum Antiſtites & ſoli convenientes eligunt. In primo autem Can. Apoſtolico χειροτονία pro manuum impoſitione ſumitur.

Zonar. Χειροτονίας nomine electionem hoc loco Can. indicavit. Cum namque in electionibus, aliquorum crimina, propter quæ illi forte à ſacro ordine arcendi ſint, à Præſulibus enuntientur, adeſſe homines, qui ea quæ dicerentur exciperent, rationi minime conſentaneum Patres exiſtimavêre: quòd ea ſcilicet, quæ audiebant, & iis cōtra quos dicebantur pudori, & à quibus audiebantur ad nequitiam incitamento eſſent, & aliis, quorum non ita con- C ſtans in fide ratio, blaſphemandi numinis cauſam præberent. Ut enim virtutum actionibus gloria numinis augetur: (concelebrant ſiquidem, qui præclaras actiones intuētur, Dei majeſtatem) ita viciſſim ob ea, quæ virtuti adverſantur, qui parum firmis fidei radicibus nituntur, Divino Numini petulanter obtrectant. Cur autem Ordinationis nomine electio ſignificetur, jam primo ſacrorum Apoſtolorum Canone ſatis explicavimus.

Ariſt. *Ordinationes coram audientibus non celebrantur.*

Ordinatorum preces magnâ voce non exprimentur, adeo ut populus eas audiant.

D Canon VI.

Non eſſe permittendum hæreticis, ut in domum Dei ingrediantur, ſi in hæreſi permaneant.

Bals. Canon eſt apertus. Non enim permittit hæreticis, in hæreſi permanentibus, unà cum orthodoxis in Eccleſiis agere. Lege etiam ix. Can. Timothei Alexandriæ Archiepiſcopi.

Zonar. Qui in hæreſes lapſi ſunt, neque à pertinacia diſcedunt, extra Eccleſiam, tanquam ab eo alieni, ejiciuntur. Quî tandem igitur illis in domum Dei ingrediendi facultas erit? Alexandrinus vero Archiepiſco- E pus Timotheus, cum de hac re conſultus fuiſſet, nono Canone, hæreticos, niſi ſe pœnitentiam acturos hæreſimque averſaturos polliceantur, nullo modo ad fidelium precationes admittendos eſſe reſpondit.

Ariſt. *Hæreticis ſacra ædes eſt inacceſſa.*

Hæretici Dei domum ingredi non permittuntur, licet Baſilius magnus, hoc Canone nondum expoſito, ad fidelium completionem Valentem admiſit.

Canon VII.

Quòd ii, qui ex hæreſibus, hoc eſt, Novatianis, ſive Photi- F nianis, aut Quartadecimanis convertuntur, ſive catechumenos, ſive qui apud illos fideles dicuntur, non ſunt admittendi priuſquam omnem hæreſin anathematizaverint, & præcipuè eam in qua detinebantur: & tunc deinceps eos, qui apud illos fideles dicebantur, fidei ſymbola diſcentes, & ſancto Chriſmate inunctos, ſic ſancto myſterio communicare.

Bals. Lege vii. Can. ſecundæ Syn. xix. Can. i. xcvi. & ſcies ea de quibus hic quoque præſens Can. tractat.

Zonar. Hæreſes, quæ hoc loco afferuntur, aliæque A complures, ſecundæ Oecumenicæ Syn. vii. Canone continentur. Quænam igitur illæ ſint, & quæ ratio eos, qui ejuſmodi erroribus impliciti ſunt, cum ad Eccleſiam ſe conferunt, excipiendi, nos in illius Canonis explicatione perſecuti ſumus: Ea qui legerit, aliam hujus Canonis explicationem haud deſiderabit.

Arist. *Novatiani, & Photiniani, & Quartodecimani niſi cæteras hæreſes ſuamque abjurent, non ſunt ſuſcipiendi: poſt autem abjurationem, uncti communicent.*

Hi & alias hæreſes & ſuam anathematizantes, ab B Eccleſiâ accipiuntur, & ſolo Chriſmate ſancto unguntur, ſed Novatiani & Quartodecimani, & Photiniani, etiam ſancto & ſalutari baptiſmo opus habent, quandoquidem dux eorum Photinus multas hæreſes renovavit, & hæreſim Pauli Samoſateni, & Sabellii Afri, & Montani, docens verbum Dei non eſſe ſine principio, nec omnium ſeculorum factorem, nec ante omnem creaturam exiſtere. Sed de novo eſſe & recenter, & principium à generatione ejus ſecundum carnem è virgine ſumere. At Quartadecimanorum hæreſis eſt, decimâ quartâ Lunæ die etiamſi in ſecundâ C aut tertiâ aut quartâ feriâ inciderit, ſoſpitatoris noſtri JESU CHRISTI reſurrectionem celebrare. Non admittunt autem ſecundum Navatianos etiam converſorum pœnitentiam. Utuntur autem & ſpuriis libris, & alia nonnulla ejuſmodi tenent.

CANON VIII.

Quòd qui ab eorum hæreſi, qui Phryges dicuntur, converſi ſunt, ſive ſint in Clero, qui apud illos eſſe creditur, ſive Maximi dicantur; cum omni ſtudio catechizandi ſunt, ſeu initiandi, & ab Eccleſiæ Epiſcopis & Presbyteris baptizandi. D

Bals. Quæ in vii. Can. ſecundæ Syn. ſcripta ſunt, ad præſentis Canonis interpretationem ſufficiunt. Quia autem ex Phrygibus hæretici vocabant quoſdam ipſorum Doctores Clericos Maximos, quòd alios Clericos hæreticos ſuperabant; & non deerant, qui aſſerebant, non oportere eos baptizari, ut qui eſſent in Clerum recepti: adjicit Canon, eos quoque & catechizari, ſeu initiari ac baptizari oportere.

Zonar. Secundæ Syn. Can. is cujus proximo ſuperiore Can. mentio facta eſt, de Phrygibus quoque diſſerit; quos quidem Montaniſtas alio nomine appellat. E Eos ergo, cum ad Eccleſiam accedunt, catechiſmi inſtitutione diligenter eruditos, tum ille, tum hic quoque Can. baptizandos eſſe decernit. Idque etiã ſi in eum, quem illi cum revera non eſſet, Clerum tamen exiſtimabant, relati, vel ſi Maximi quoque dignitati ornati forent. Fuere ſiquidem apud illos quidam, primæ inter cæteros exiſtimationis, ac veluti Doctorum locũ obtinentes, qui ab illis etiam Maximorum appellatione deſignabantur. Ex eorum igitur numero qui mutata voluntate ad Eccleſiam reverti ſtatuerint, quicunque demum illi ſint, eos Canon, & catacheſi inſtrui, & ſalutari baptiſmi lavacro perfundi jubet.

Arist. *Phryges reſipiſcentes denuò baptizantur, etiamſi ab illis in Clerum cooptati ſunt.* F

Et hi pœnitentiam agentes & ab hæreſi ſuâ converſi, & ad inculpatam fidem accedentes, & omnes hæreſes, etiam ſuam, anathematizantes, admittuntur, & omni diligentiâ inſtruuntur, & baptizantur, quamvis in Clero ut apud illos Phryges exiſtimatur, fuerint. Hi autem Phryges à Montano & Priſcillâ hæreſim habuerunt. Montanus iſte ſe paracletum vocavit. Duas mulieres ut meretrices habuit Priſcillã & Maximillã quas & propheriſſas vocavit. Pezuſam oppidulum quoddam Phrygiæ

ΖΩΝΑΡ. Περὶ τῶν αἱρέσεων τούτων καὶ ἄλλων πλειόνων ὁ τῆς δευτέρας οἰκουμενικῆς συνόδου ζʹ. διαλέγεται κανών. ἐν γοῦν τῇ ἐξηγήσει τοῦ τοιούτου κανόνος εἴρηται, τίνες τε εἰσὶν αἱ αἱρέσεις αὗται, καὶ πῶς δέχονται οἱ ταύταις κατεχόμενοι, προσερχόμενοι τῇ ἐκκλησίᾳ, ἅπερ ἀναγινωσκόμενα ἑρμηνεύσουσι καὶ τὸν παρόντα κανόνα.

ΑΡΙΣΤ. Ναυατιανοὶ, καὶ Φωτεινιανοὶ, καὶ τεσσαρεσκαιδεκατῖται, εἰ μὴ τάς τε ἄλλας αἱρέσεις ἀναθεματίζοιεν, καὶ τὴν οἰκείαν, ἀπρόσδεκτοι. μετὰ μέντοι τὸ ἀνάθεμα, χριόμενοι κοινωνείτωσαν.

Οὗτοι τάς τε ἄλλας αἱρέσεις, καὶ τὴν οἰκείαν ἀναθεματίζοντες, προσδέχονται παρὰ τῆς ἐκκλησίας, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρίονται· ἀλλ' οἱ μὲν Ναυατιανοὶ καὶ οἱ τεσσαρεσκαιδεκατῖται, καὶ οἱ φωτεινιανοὶ, τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος χρήζουσιν· ὅτι περ ὁ ἀρχηγὸς ὁ αὐτῶν Φωτεινὸς, πολλὰς αἱρέσεις ἀνενεώσατο. τήν τε τοῦ Σαμοσατέως Παύλου, καὶ Σαβελλίου τοῦ Λίβυος, καὶ τοῦ Μοντανοῦ, οὐκ ἄναρχον δογματίσας τὸν τοῦ θεοῦ λόγον, οὐδὲ ποιητὴν τῶν αἰώνων πάντων, οὐδὲ πάσης τῆς κτίσεως προϋπάρχοντα. ἀλλὰ νέον καὶ πρόσφατον, καὶ ἀρχὴν λαβόντα ἀπὸ τῆς κατὰ σάρκα γεννήσεως ἐκ τῆς παρθένου. τῶν δὲ τεσσαρεσκαιδεκατιτῶν ἡ αἵρεσις ἐστι, τὸ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης ἡμέρᾳ, κἂν ἐν δευτέρᾳ, ἢ τρίτῃ, ἢ τετράδι ἐμπέσῃ, τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζειν ἀνάστασιν. οὐ παραδέχονται δὲ κατὰ τοὺς Ναυατιανοὺς, καὶ τὴν τῶν ἐπιστρεφόντων μετάνοιαν. κέχρηνται δὲ νόθοις καὶ βιβλίοις, καὶ ἄλλα τινὰ τοιαῦτα φρονοῦσι.

ΚΑΝΩΝ ηʹ.

Περὶ τοῦ, τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβυτέρων.

ΒΑΛΣ. Τὰ ἐν τῷ ζʹ. κανόνι τῆς δευτέρας συνόδου γραφέντα, ἀρκοῦσιν εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος. ἐπεὶ δὲ ἔλεγον οἱ ἐκ Φρυγῶν αἱρετικοί τινας διδασκάλους αὐτῶν κληρικοὺς μεγίστους, διὰ τὸ ὑπερέχειν τῶν ἄλλων αἱρετικῶν κληρικῶν· καὶ ἦσαν τινὲς διατεινόμενοι μὴ ὀφείλειν τούτους βαπτίζεσθαι, ὡς δῆθεν κεκληρωμένους· προστίθησιν ὁ κανὼν, καὶ τούτους κατηχεῖσθαι καὶ βαπτίζεσθαι.

ΖΩΝΑΡ. Ὁ τῆς δευτέρας συνόδου κανὼν, οὗ ἐν τῷ δευτέρῳ προσεχεῖ κανόνι ἐμνήσθημεν, διαλαμβάνει καὶ περὶ τῶν Φρυγῶν, οὓς Μοντανιστὰς λέγει. τούτους οὖν προσιόντας τῇ ἐκκλησίᾳ κἀκεῖνος ὁ κανὼν καὶ οὗτος βαπτίζεσθαι κελεύει κατηχουμένους ἐπιμελῶς, κἂν κληρικοὶ ἐν κλήρῳ τῷ παρ' αὐτοῖς δοκοῦντι, μὴ ὄντι δὲ πρὸς ἀλήθειαν, ὠνομάζοντο, κἂν μέγιστοι ἐλέγοντο. ἦσαν γὰρ παρ' ἐκείνοις τινὲς τῶν ἄλλων προέχοντες, ὡσπερεὶ διδασκάλων κληροῦντες τάξιν, οἳ καὶ μέγιστοι ἐκαλοῦντο. τοὺς γοῦν τοιούτους ἐπιστρέφοντας, καὶ τῇ ἐκκλησίᾳ προσερχομένους, ἐξ αὐτῶν οἵ τινες ἂν εἶεν, ὁ κανὼν κατηχεῖσθαι καὶ βαπτίζεσθαι βούλεται.

ΑΡΙΣΤ. Φρύγες μεταμελόμενοι, ἀναβαπτιζέσθωσαν· εἰ καὶ παρ' ἐκείνοις κεκλήρωνται.

Καὶ οὗτοι μεταμεληθέντες, καὶ ἀπὸ τῆς αἱρέσεως αὐτῶν ἐπιστρέφοντες, καὶ τῇ ἀμωμήτῳ πίστει προσερχόμενοι, καὶ τὰς αἱρέσεις πάσας, καὶ τὴν αὐτῶν ἀναθεματίζοντες προσδέχονται, καὶ μετὰ πάσης ἐπιμελείας κατηχοῦνταί τε καὶ βαπτίζονται, κἂν ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τοῖς Φρυξὶν ἐτύγχανον. οὗτοι δὲ οἱ Φρύγες ἀπὸ Μοντανοῦ καὶ Πρισκίλλης ἔσχον τὴν αἵρεσιν. ὁ δὲ Μοντανὸς οὗτος παράκλητον ἑαυτὸν προσηγόρευσε· δύο γυναῖκας πορνικῶς εἶχε, Πρισκίλλαν καὶ Μαξίμιλλαν· ἃς καὶ προφήτιδας ἐκάλεσε· πολίχνιόν τι τῆς Φρυγίας, τὴν Πέζουσαν,

Ἱερουσαλὴμ ὠνόμασε· γάμους ἐπέτρεψε λύεσθαι, καὶ βρωμάτων ἀπέχεσθαι· τὸ πάσχα διέστρεψε· καὶ τὰς τρεῖς ὑποστάσεις τῆς ὁμοουσίου θεότητος εἰς ἓν συνήψε πρόσωπον συγχεόμενον. αἷμα ἀναμιγνύειν ἀλεύρῳ, καὶ εἰς μετάληψιν τοῦτο διδόναι ἐδίδαξε· τὴν δὲ μέθεξιν τούτου τοὺς μεταλαμβάνοντας δι᾽ αἰσχύνην ἀρνεῖσθαι.

ΚΑΝΩΝ θ'.

Περὶ τοῦ, μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια ἢ εἰς τὰ λεγόμενα μαρτύρια πάντων τῶν αἱρετικῶν ἀπιέναι τοὺς τῆς ἐκκλησίας, εὐχῆς ἢ θεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι μέχρι τινός. μετανοοῦντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

ΒΑΛΣ. Ὥσπερ ἐν τῷ ϛ'. κανόνι ἐκωλύθησαν οἱ αἱρετικοὶ εἰσιέναι εἰς τὸν οἶκον τοῦ θεοῦ· οὕτω καὶ ἐν τούτῳ κωλύονται οἱ πιστοὶ ἀπιέναι εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα παρὰ τούτων μαρτύρια. ὡς δέ τινος εἰπόντος, εἰ δὲ ἀπέλθοι πιστὸς εἰς σύναξιν αἱρετικῶν χάριν τοῦ καταπτύσαι αὐτῆς, ἵνα τί κολασθήσεται; φασὶν οἱ πατέρες, ἐκείνους ἀκοινωνήτους εἶναι πρὸς καιρὸν, ἤγουν ἀφωρισμένους, τοὺς χάριν εὐχῆς ἢ θεραπείας ἀπιόντας εἰς τὰ τῶν αἱρετικῶν μαρτύρια οὓς καὶ μετανοοῦντας καὶ ἐπιγινώσκοντας τὸ παρ᾽ αὐτῶν ἐσφαλμένον, προσδέχεσθαι διορίζονται. ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων καν. ξδ'. καὶ ο'. τῆς παρούσης συνόδου καν. κθ'. λβ'. λδ'. λζ'. λή. καὶ λθ'. τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξ'. καὶ τῆς ϛ'. καν. ια'. μαρτύρια δὲ παρὰ αἱρετικῶν, λέγονται τὰ κοιμητήρια. ἐν γὰρ τῷ καιρῷ τοῦ διωγμοῦ τινες αἱρετικοὶ Χριστιανοὺς ἑαυτοὺς ὀνομάζοντες, μέχρι θανάτου ἐτιμωρήθησαν· διὸ καὶ μάρτυρας τούτους ἐκάλουν οἱ ὁμοδοξοῦντες αὐτοῖς.

ΖΩΝΑΡ. Οὐ μόνον αἱρετικοὺς εἰσιέναι εἰς ἐκκλησίαν πιστῶν κωλύουσιν οἱ κανόνες, ἀλλ᾽ οὐδὲ πιστοὺς ἀπιέναι παραχωροῦσιν εἰς τὰ τῶν αἱρετικῶν κοιμητήρια, ἔνθα τυχὸν οἱ παρ᾽ αὐτοῖς ὀνομαστοὶ θανόντες κατέκειντο, ἢ εἰς τὰ λεγόμενα μαρτύρια. εἰκὸς γὰρ καὶ τινὰς τῶν ὑποκειμένων αἱρέσεσιν ἐν τοῖς διωγμοῖς ἐνστῆναι μέχρι θανάτου, οὓς καὶ μάρτυρας οἱ ὁμοδοξοῦντες αὐτοῖς ἐκάλουν, καὶ τοὺς οἴκους, ἐν οἷς τὰ ἐκείνων ἐτέθαπτο σώματα, μαρτύρια ἔλεγον. ἐν τούτοις ἀπιέναι πιστοὺς εὐχῆς χάριν, ἢ θεραπείας ἕνεκα ἀπαγορεύεται. θεραπείαν δὲ ἢ τὴν τιμὴν ὀνομάζει, ἢ τὴν ἐκ νόσων ἴασιν. τοῦτο δ᾽ ἐστὶν ὃ βούλεται ὁ κανὼν, τὸ μὴ ἀπιέναι τινὰς εἰς τὰ εἰρημένα, μήτε ὡς εὐξομένους, μήτε ὡς τιμήσοντας τοὺς παρὰ τῶν αἱρετικῶν τιμωμένους, μήτε ὡς θεραπείαν νόσων ἢ πειρασμῶν ἀλλοίων ἐξ ἐκείνων αἰτήσοντας, ἀλλὰ τοὺς τῆς ἐκκλησίας ἀπερχομένους ἐκεῖ ἀφορίζεσθαι, ἤγουν ἐπί τινα καιρὸν τῆς κοινωνίας εἴργεσθαι. τῆς ἐκκλησίας δὲ, οὐ τοὺς ἱερωμένους λέγει, ἢ κεκληρωμένους, ἀλλὰ τοὺς πιστοὺς, κἂν λαϊκοὶ ὦσι. μετανοοῦντας δὲ καὶ ἐπιγινώσκοντας τὸ σφάλμα αὐτῶν δέχεσθαι.

ΑΡΙΣΤ. Ὁ κοιμητηρίοις καὶ μαρτυρίοις αἱρετικῶν ἐπευχόμενος, ἀκοινώνητος.

ΚΑΝΩΝ ιέ.

Περὶ τοῦ, μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιδ'. καν. τῆς δ'. συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα ἀρκέσουσι πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΖΩΝΑΡ. Περὶ τῆς ὑποθέσεως ταύτης διάφοροι κανόνες εἰσίν· ὧν ἐν τῇ ἐξηγήσει τοῦ ιδ'. κανόνος τῆς οἰκουμενικῆς τετάρτης συνόδου ἐμνήσθημεν, καὶ ἱκανὰ τὰ ῥηθέντα ἐκεῖ καὶ πρὸς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΑΡΙΣΤ. Αἱρετικοῖς γαμικῶς μὴ συνάλλασσε.

A Hieroſolymam nominavit. Nuptias permiſit ſolvi, & à cibis abſtinere. Paſcha evertit, & tres conſubſtantialis deitatis ſubſiſtentias in unam confuſam perſonam contraxit. Sanguinem farinâ commiſcere, eumque ad participationem dare docuit; iſtius autem participationem communicantes propter infamiam denegare.

Canon IX.

B *Non concedendum eſſe, ut in cœmeteria vel in ea quæ dicuntur martyria quorumvis hæreticorum, abeant ii qui ſunt Eccleſiæ, orationis vel curationis gratia. Sed tales, ſi ſint fideles, eſſe aliquantiſper excommunicatos: ſin autem pœnitentia ducantur, & ſe deliquiſſe confiteantur, ſuſcipi.*

Bals. Quemadmodum in vi. Canone prohibiti ſunt hæretici in domum Dei ingredi; ita hîc quoque prohibentur fideles hæreticorum cœmeteria, vel quæ apud eos dicuntur martyria, ingredi. Tanquam autem dixiſſet quiſpiam; ſed ſi profectus ſit fidelis quiſpiam ad hæreticorum congregationem, pro eis execrandis ac deſpuendis, cur punietur? C dicunt Patres, illos eſſe ad tempus ſegregatos, qui pro oratione vel curatione ad hæreticorum martyria proficiſcuntur: quos & pœnitentiam agentes, & ſuum delictum agnoſcentes, ſuſcipiendos decernunt. Lege ſanctorum Apoſtolorum Can. lxiv. & lxx. præſentis Syn. Can. xxix. xxxii. xxxiv. xxxvii. xxxviii. & xxxix. Carthag. Syn. Can. lx. & vi. Syn. Can. xi. Martyria autem dicuntur ab hæreticis cœmeteria. In tempore enim perſecutionis, quidam hæretici Chriſtianos ſeipſos nominantes, ad mortem uſque ſupplicio affecti ſunt: & ideo qui erant ejuſdem opinionis eoſdem martyras appellabant.

D **Zonar.** Non ſolùm Eccleſiâ fidelium ingredi hæretici Can. decreto prohibētur; ſed fidelibus quoq; hæreticorū cœmeteria, in quibus forte magni apud ipſos nomini hominum cadavera ſervarentur, vel martyria quæ vocabant adire ne liceat, interdictum eſt. Credibile eſt enim, ſæviente hoſtium Chriſtianæ religionis furore, etiam ex hæreticis quoſdam uſque ad necem infractos ſtetiſſe, quos & martyrum appellatione gregrales honeſtabant, & domos, in quibus ipſorum corpora tumulata fuerant, martyria nominabant. In ea igitur loca fideles, ſive ad fundendas preces, ſeu venerationis aut remedii gratia ingredi vetitum eſt. Nomine enim τῆς θεραπείας, aut venerationem, aut morborum remedium Can. intelligit. Vult igitur fideles, E nullo modo, neque ut precationi vacent, neque ut honorem iis, quos hæretici venerantur, exhibeant, neque ut morbis aut tentationum variis generibus remedium petant, in ea quæ diximus loca proficiſci: ſed qui Eccleſiæ ſunt, ſi eo ſe conferant, ſegregari, hoc eſt, ad aliquod tempus à cōmunione arceri; (eorum porro nomine, qui Eccl. ſunt, non initiati ſacris ordinibus, aut Clero adſcripti; ſed fideles, etiam Laici, intelliguntur) eoſdem vero, ſi poſtea commiſſi pœniteat, culpámque agnoſcant, admitti jubet.

Arist. *Qui in cœmeteriis & martyriis hæreticorum orat, excommunicatus eſt.*

F

Canon X.

Quòd non oportet eos, qui ſunt Eccleſiæ, indiſcriminatim ſuos filios hæreticis matrimonio conjungere.

Bals. Lege xiv. Can. iv. Synodi; & quæ in illo ſcripta ſunt ad præſentis Can. interpretationem ſufficient.

Zonar. Multi in hanc ſententiam Can. editi ſunt: quorum in explicatione xiv. Canonis quartæ Oecumenicæ Synodi meminimus; quæque ibi dicta ſunt, ad hujus quoque Canonis explicationem ſufficiunt.

Arist. *Cum hæreticis matrimonium ne contrahas.*

Canon XI.

Quod non oportet eas, quæ dicuntur ſeniores viduæ vel præſidentes, in Eccleſia conſtitui.

Bals. Antiquitùs mulieres quædam vetulæ in Catholicis Eccleſiis ſedentes, reliquas forte mulieres ad bonum honeſtúmque ordinem ſervandum deducebant. Quia autem ex earum conſuetudine, eo quod honeſtum eſt non rectè utentium, vel propter arrogantiam, vel propter turpem quæſtum, quædam offendebantur; prohibuerunt Patres, ne deinceps eſſent omnino in Eccleſiis Presbyteræ ſive præſidentes. Ne dixeris autem, Et quomodo hoc fit in fœminarum Monaſteriis, & una mulier, quæ ſcilicet præeſt, omnibus præſidet? Audies enim, quòd quæ ex Deo fit renunciatio, & tonſura, facit ut multæ unum corpus exiſtimentur: & omnia quæ ſunt ipſarum, ad ſolius animæ ſalutem reſpiciunt. Docere autem mulierem in Eccleſia Catholica, ubi virorum multitudo congregatur, & diverſarum ſententiarum fœminæ, eſt maximè indecorum & pernicioſum.

Zonar. Quædam antiquis temporibus in Eccleſia conſuetudines fuêre; quas temporis diuturnitas partim immutavit, partim omnino ſuſtulit, aliquæ etiam ex iis Can. decretis abrogatæ ſunt. Talis illa quoque fuit, ut Presbyteræ, vetulæ mulieres, in Eccleſiis conſtituerentur, quas etiam Præſidentes vocabant; quæ quidem, ingredientibus in Eccleſiam fœminis, veluti magiſterio quodam fungentes, præeſſent, ac ſuo quamque ordine rite conſiſtere juberent, & quo quamque loco, quove modo unicuique ſtandum eſſet, docerent. Ne quæ igitur hujuſmodi mulieres eligantur, neve iis nominibus nuncupentur, Canon decernit.

Arist. *Viduæ Præſidentes dictæ in Eccleſiis ne conſtituantur.*

Si enim politica officia obire prohibentur, quomodo unquam in Eccleſiâ Clero præſint; & eas tanquam capita quædam habeant.

Canon XII.

Quòd Epiſcopi Metropolitanorum & finitimorum Epiſcoporum judicio, in Eccleſiaſtico Magiſtratu conſtituendi ſunt, diu probati & in ratione fidei & in recti verbi diſpenſatione.

Bals. Præſens quoque Canon prohibet Epiſcopos à multitudine eligi; & eos à Metropolitanis & Epiſcopis conſtitui oportere decernit. Probari autem eos jubet & in ſententia & in vita.

Zonar. Populi ſuffragiis olim Epiſcopi eligebantur; ſed cum multæ inde ſeditiones exiſterent, hinc factum eſt, ut Epiſcoporum uniuſcujuſque provinciæ auctoritate eligi Epiſcopum quemque oportere decreverint. Deinde vero quales eos, qui Epiſcopi creandi ſunt, eſſe deceat, Canon ſubjungit, longo uſu videlicet in ratione fidei probatos, hoc eſt, in fide ſana rectâque conſtantes, vel aliter, in iis quæ ad fidei rationem ſpectant exercitatos & probatos. Magnus namque Paulus ad Timotheum ſcribens, qui Epiſcopatum deſiderat, aptum cæteris erudiendis eſſe oportere pronuntiat. Et ad Titum ſcribens, amplectentem eum qui ſecundum doctrinam eſt fidelem ſermonem, ut potens ſit exhortari in ſana doctrina, & eos qui contradicunt arguere. Ac talem quidem eſſe eum, qui Epiſcopus creandus eſt, in ratione fidei, Canon jubet: In politia vero, hoc eſt, ratione & inſtituto vitæ, rectiſſimis ſenſibus euntem, non pravum, neque improbum; ſed hîc quoque notæ ac ſpectatæ probitatis, & moribus omnino inculpatis eſſe debere decernit.

Arist. *Qui fide & vitâ probatiſſimus eſt, ac eruditiſſimus, idoneus eſt qui in Epiſcopatum eligatur.*

Oportet enim Epiſcopum probatum eſſe fide & bonâ vitâ.

A

ΚΑΝΩΝ ιαʹ.

Περὶ τοῦ, μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας ἤτοι προκαθημένας, ἐν ἐκκλησίᾳ καθίστασθαι.

ΒΑΛΣ. Τὸ παλαιὸν γυναῖκές τινες πρεσβύτιδες καθήμεναι εἰς τὰς καθολικὰς ἐκκλησίας, καθίστων τὰς λοιπὰς γυναῖκας τάχα εἰς εὐταξίαν. ἐπεὶ οὖν ἐκ τῆς ὁμιλίας τῆς ἀπὸ τούτων ἐβλάπτοντό τινες, μὴ χρωμένων καλῶς τῷ καλῷ διὰ ὑπεροψίαν, ἢ αἰσχροκέρδειαν, ἐκώλυσαν οἱ πατέρες τὸ ὅλως εἶναι τοιαύτας γυναῖκας εἰς ἐκκλησίας, καλουμένας πρεσβύτιδας, ἤτοι προκαθημένας. μὴ εἴπῃς δὲ, καὶ πῶς τοῦτο γίνεται εἰς B τὰ γυναικεῖα μοναστήρια, καὶ μία γυνὴ, ἡ ἡγουμένη δηλαδὴ, πασῶν προΐσταται; ἀκούσῃς γὰρ, ὅτι ἡ κατὰ θεὸν ἀποταγὴ, καὶ ἀπόκαρσις, τὰς πολλὰς ἓν σῶμα ποιεῖ λογίζεσθαι, καὶ πάντα τὰ αὐτῶν πρὸς μόνην ψυχικὴν σωτηρίαν ἀφορῶσι. τὸ δὲ διδάσκειν γυναῖκα εἰς ἐκκλησίαν καθολικὴν, ἔνθα πλῆθος ἀνδρῶν συναθροίζεται, καὶ διαφόρων γνωμῶν γύναια, ἀπρεπέστατόν ἐστι καὶ ὀλέθριον.

ΖΩΝΑΡ. Ησαν τινὰ παρὰ τοῖς παλαιοῖς ἔθη, ἐν ταῖς ἐκκλησίαις γινόμενα, ὧν τὰ μὲν ὁ χρόνος ἠλλοίωσε, τὰ δὲ καὶ τέλεον ἔπαυσε, τὰ δὲ καὶ κανόνες ἀπηγόρευσαν, ὧν C ἓν ἦν καὶ τὸ πρεσβύτιδάς τινας γηραιὰς γυναῖκας ἐν ταῖς ἐκκλησίαις τάττεσθαι, καὶ προκαθημένας λέγεσθαι, ἐξαρχούσας τῶν εἰσερχομένων εἰς τὴν ἐκκλησίαν γυναικῶν, ὥσπερ διδασκάλους, καὶ καθιστώσας αὐτὰς πρὸς εὐταξίαν, καὶ ὅπως, καὶ ὅπου χρὴ ταύτας ἑστάναι παιδευούσας αὐτάς. ταύτας οὖν μὴ δεῖν γίνεσθαι ὁ κανὼν διορίζεται, ἢ οὕτως καλεῖσθαι.

ΑΡΙΣΤ. Αἱ λεγόμεναι προκαθήμεναι, ἐν ἐκκλησίαις μὴ καθιστάσθωσαν.

Εἰ γὰρ πολιτικὰ ὀφφίκια κωλύονται ἐνεργεῖν, πῶς ποτε D ἐν ἐκκλησίᾳ τοῦ κλήρου πρωτεύουσι, καὶ ὡς κεφαλάς τινας ταῦτα ἔχουσι.

ΚΑΝΩΝ ιβʹ.

Περὶ τοῦ, τοὺς ἐπισκόπους κρίσει τῶν μητροπολιτῶν καὶ τῶν πέριξ ἐπισκόπων καθίστασθαι εἰς τὴν ἐκκλησιαστικὴν ἀρχὴν, ὄντας ἐκ πολλοῦ δεδοκιμασμένους τε τῷ λόγῳ τῆς πίστεως, καὶ τῇ τοῦ εὐθέος λόγου πολιτείᾳ.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν κωλύει ὑπὸ τοῦ ὄχλου τοὺς ἐπισκόπους ψηφίζεσθαι· καὶ διορίζεται παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων τούτους καθίστασθαι. παρακελεύεται δὲ δοκίμους εἶναι αὐτοὺς κατά τε τὸ δόγμα καὶ τὸν βίον.

E

ΖΩΝΑΡ. Τὸ παλαιὸν οἱ δῆμοι τῶν πόλεων ἡροῦντο τοὺς ἐπισκόπους· ὅτι δὲ στάσεις ἐντεῦθεν ἠγείροντο, διὰ τοῦτο τοῖς ἐπισκόποις ἑκάστης ἐπαρχίας τὰ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως ἀνετέθη ψηφίσματα. ἐπάγει δὲ ὁ κανὼν καὶ οἵους δεῖ εἶναι τοὺς εἰς ἐπισκοπὴν προχειριζομένους, ἤγουν πρὸ πολλοῦ δεδοκιμασμένους ἔν τε τῷ λόγῳ τῆς πίστεως, τουτέστιν ὀρθῶς καὶ ὑγιῶς ἔχοντας περὶ τὴν πίστιν, ἢ καὶ ἄλλως, ἤτοι περὶ τὸν λόγον τῆς πίστεως γεγυμνασμένους καὶ δοκίμους. τῷ μὲν γὰρ Τιμοθέῳ γράφων ὁ μέγας Παῦλος, διδακτικὸν εἶναι δεῖν λέγει τὸν ἐπισκοπῆς ὀρεγόμενον. τῷ Τίτῳ δ' ἐπιστέλλων, ἀντεχόμενον τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν F τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν· οὕτω μὲν οὖν ἔχειν τὸν ἐπισκοπῆς προστησόμενον ἐν τῷ λόγῳ τῆς πίστεως ὁ κανὼν διατάττεται· ἐν δὲ τῇ πολιτείᾳ, ἤγουν τῇ τοῦ βίου διαγωγῇ, εὐθύτατον εἶναι, μὴ σκολιὸν, μὴ πονηρίας μεστὸν, ἀλλὰ κἀκεῖ δεδοκιμασμένον, καὶ γνώριμον, ὅτι εὐθὺς ὁ βίος αὐτῷ, καὶ ὁ τρόπος, καὶ ἡ πολιτεία ἀνεπίληπτος.

ΑΡΙΣΤ. Ὁ πίστει καὶ πολιτείᾳ δοκιμώτατος, καὶ λογιώτατος, ἐπιτήδειος εἰς ἐπισκοπήν.

Δεῖ γὰρ τὸν ἐπίσκοπον δόκιμον εἶναι τῇ πίστει, καὶ τῷ ὀρθῷ βίῳ.

ΚΑΝΩΝ ιγʹ.

Περὶ τοῦ, μὴ τοῖς ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατεῖον.

ΒΑΛΣ. Καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, ὅτι οὐ μόνον ἐπίσκοποι τὸ παλαιὸν ἐψηφίζοντο ὑπὸ τῶν ὄχλων, ἀλλὰ καὶ ἱερεῖς, ὅπερ ἐκωλύθη.

ΖΩΝΑΡ. Οὐ μόνον ἐπισκόπων ἐκλογὴν οἱ ὄχλοι ποιεῖν ἐκωλύθησαν, ἀλλ' οὐδὲ ἱερεῖς ἐκλέγεσθαι παρεχωρήθησαν.

ΑΡΙΣΤ. Ἀνεπίλεκτος ὁ κοσμικοῖς ἐκλεγόμενος.

Ψήφῳ τῶν μητροπολιτῶν καὶ τῶν ἐπισκόπων καθίστανται οἱ ἐπίσκοποι· εἴ τις δὲ μὴ τοιούτῳ προβιβασθῇ εἰς ἐπισκοπὴν, ἀλλὰ παρὰ τῶν ὄχλων ἐκλεγῇ, ἄδεκτός ἐστι, καὶ ἀνεπίλεκτος.

ΚΑΝΩΝ ιδʹ.

Περὶ τοῦ, μὴ τὰ ἅγια, εἰς λόγον εὐλογιῶν, κατὰ τὴν ἑορτὴν τοῦ πάσχα εἰς ἑτέρας παροικίας μεταπέμπεσθαι.

ΒΑΛΣ. Ὅπερ γίνεται σήμερον παρὰ τῶν Λατίνων κατὰ τὴν ἑορτὴν τοῦ πάσχα· ἐπιμερίζουσι γὰρ τὰ ἄζυμα τοῖς κοινολαΐταις μετὰ τὸ ἁγιασθῆναι ὡς κοινά· τοῦτο καὶ παρὰ τῶν ἡμετέρων, ὡς ἔοικεν, ἐγίνετο τὸ παλαιὸν, εἰς τὰ ἅγια μυστήρια. κωλύει γοῦν τοῦτο ὁ κανὼν, καὶ διορίζεται μὴ τῇδε κἀκεῖσε μετακομίζεσθαι, ὡς κοινὰ καὶ τυχόντα, τὰ ὑπεράγια.

ΖΩΝΑΡ. Καὶ τοῦτο τοῦ παλαιοῦ ἔθους ἦν. κατὰ γὰρ τὸ πάσχα ἐπέμποντο ἐκ παροικίας εἰς παροικίαν τὰ ἅγια, ἤγουν μερίδες τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, χάριν εὐλογίας, οἷς ἐστέλλοντο, ὅπερ ὁ κανὼν οὗτος ἐκώλυσε γίνεσθαι. τὸ γὰρ περιάγεσθαι ἐν μακραῖς ὁδοιπορίαις τὰ θεῖα μυστήρια, καὶ ὡς ἔτυχε τὰ πάντιμα φέρεσθαι, ἀπρεπὲς καὶ οὐκ εὔσχημον ἐλογίσθη δικαίως καὶ εὐσεβῶς.

ΑΡΙΣΤ. Διαπέμπεσθαι τὰ ἅγια εἰς παροικίαν, ἀνάξιον.

Ὁ μέλλων μετασχεῖν τῶν θείων ἁγιασμάτων, τῇ ἐκκλησίᾳ προσερχέσθω, καὶ δι' ἱερέως, ἢ λειτουργοῦ λαμβανέτω τὴν κοινωνίαν, κατὰ τὸν μέγαν Βασίλειον. τὸ δὲ, στέλλεσθαι τὰ ἅγια εἰς παροικίας ἑτέρας, λόγῳ εὐλογιῶν, ἀνάξιον.

ΚΑΝΩΝ ιεʹ.

Περὶ τοῦ, μὴ δεῖν πλέον τῶν κανονικῶν ψαλτῶν, τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

ΒΑΛΣ. Φαίνεται ὅτι τὸ παλαιὸν κοινολαΐται τινὲς ἰδιοῦντο τὰ τῶν κληρικῶν προνόμια, καὶ ἐπ' ἐκκλησίας τῶν θείων ψαλτῳδημάτων κατήρχοντο, εἰς καταφρόνησιν τῶν κληρικῶν· ἔψαλλον δὲ καί τινα παρηλλαγμένα καὶ ἀσυνήθη, οἷά εἰσι τὰ σήμερον ψαλλόμενα παρὰ τῶν γυναικῶν τῶν ἑπομένων τοῖς Σίγνοις. ταῦτα οὖν ἀποτρέποντες οἱ πατέρες, φασὶ μηδένα ἕτερον, πλὴν τῶν κληρικῶν τῶν ἐπ' ἄμβωνος ἀναγινωσκόντων ἐπ' ἐκκλησίας, κατάρχεσθαι τῶν θείων ψαλτῳδημάτων. τὸ γὰρ συμψάλλειν καὶ λαϊκοὺς ἐπ' ἐκκλησίας οὐ κεκώλυται· ἀλλὰ μηδὲ ἑτεροῖα ψάλλειν παρὰ τὰ γεγραμμένα ἐν ταῖς ἀπὸ διφθερῶν ἤτοι μεμβρανῶν συντεθειμέναις ἐκκλησιαστικαῖς βίβλοις. ὅτι δὲ διφθέρα πᾶν δέρμα λέγεται, τῶν ὁμολογουμένων ἐστί. σημείωσαι ταῦτα διὰ τοὺς μοναχοὺς, τοὺς μὴ δεξαμένους ἐπισκοπικὴν ἐπικουρίδα, καὶ ἀτάκτως ἐπ' ἄμβωνος ἀναγινώσκοντας· καὶ διὰ τοὺς λαϊκοὺς, τοὺς χοροστάτας τῶν κονδακίων, τοὺς ἐπ' ἐκκλησίας, καὶ ἐν ταῖς ἀγοραῖς δομεστικεύοντας. ὡσαύτως σημείωσαι, ὅτι καὶ τὰ τῶν ψαλτῶν μινυρίσματα, καὶ τὰ θυμελικὰ μελῳδήματα, πάντη κεκώλυνται.

A

CANON XIII.

Quòd turbis non ſit permittendum, eorum qui ſunt in Sacerdotio conſtituendi, electionem facere.

BALS. A præſenti quoque Can. oſtenditur, quòd antiquitùs non ſolùm Epiſcopi eligebantur à populi multitudine, ſed etiam Sacerdotes: quod vetitum eſt.

ZONAR. Multitudini, non Epiſcopos tantum, B ſed Sacerdotes quoque, eligendi poteſtate interdictum fuit.

ARIST. *Qui à ſecularibus eligitur, non eſt eligendus.*

Epiſcopi Metropolitanorum & Epiſcoporum ſententiâ conſtituuntur. Si quis autem non illo modo ad Epiſcopatum promotus fuerit, ſed à multitudine eligitur, nec admittendus eſt nec eligendus.

CANON XIIII.

Quòd ſancta, inſtar Eulogiarum, in feſto Paſchæ in alias C *Parœcias tranſmitti non debeant.*

BALS. Quod fit hodie à Latinis in feſto Paſchæ; diſtribuunt enim Laicis azyma, poſtquam ſanctificata fuerint, perinde ac communia: hoc etiam olim fiebat à noſtris, ut eſt veriſimile, in ſanctis miniſteriis. Canon ergo hoc prohibet; & ſtatuit non eſſe huc & illuc transferenda ſancta, perinde ac communia & vulgaria.

ZONAR. Fuit hoc quoque antiqui moris, ut Sancta, particulæ videlicet ſancti corporis ac ſanguinis Chriſti, Paſchæ tempore, ab una parœcia in aliam, benedictionis iis ad quos deſtinatæ fuerant impertiendæ cauſa, tranſ- D mitterentur: quod quidem in poſterum ne liceat, hujus Canonis decreto ſancitum eſt. Divina enim myſteria longis itineribus circumferri, quæque omni veneratione digna ſunt ſine honore traduci, à ratione honeſtatéque alienum eſſe merito ac piè exiſtimatum eſt.

ARIST. *Sancta ad aliam parœciam dimitti, indignum eſt.*

Qui divina Sacramenta eſt participaturus, Eccleſiam adeat, & à Sacerdote aut ſacro Miniſtro communionem accipiat, ſecundum Magnum Baſilium. At ſacra ad alias mitti parœcias, benedictionum inſtar, indignum eſt.

CANON XV.

E *Quod non oportet, præter Canonicos Cantores qui ambonem aſcendunt, & ex codice canunt, aliquos alios canere in Eccleſia.*

BALS. Videtur quòd olim quidam ex plebe Laici ſibi Clericorum privilegia vendicabant, & in Eccleſiis divina Cantica incipiebant, ad Clericorum contemptum: canebant autem & quædam diſſona & inuſitata; cujuſmodi ſunt quæ hodie canuntur à mulieribus, quæ vexilla ſequuntur. Hæc ergo prohibentes Patres, dicunt nullum alium, præter Clericos qui in ambone F legunt in Eccleſia, ſancta Cantica debere incipere. Neque enim vetitum eſt, quominus etiam Laici in Eccleſiis concinant: non aliena autem canant ab iis, quæ in libris Eccleſiaſticis, ex diphtheris, id eſt, membranis, compoſitis ſcripta ſunt. Quòd autem diphthera dicatur omnis pellis, in confeſſo eſt. Nota hæc propter Monachos, qui Epiſcopalem tonſuram non ſuſcepêre, & in ambone inordinatè legunt: & propter Laicos, qui ex voluminibus chororum auctores ſunt in Eccleſia, & in foris domeſticè agunt. Nota ſimiliter, quòd Cantorum molles fractæque & ſcenicæ modulationes ſunt omnino prohibitæ.

Zonar. In Eccleſiis bonum ordinem Synodi Patres retineri volunt. Proinde in iis non quoſcunque, ſed cantores tantum Canonicos, in Clerum videlicet aſcriptos, qui in unaquaque Eccleſia ordinati & è diphtera pſallere docti ſunt, pſallendi munus obire oportere decernunt. Diphteras porro eas, quæ ab inclyto Paulo ad Timotheum ſcribente membranæ appellatæ ſunt, nominavêre: Affer, inquiens, libros, præſertim vero membranas. Sunt enim diphteræ pelles, ex quibus membranæ conficiuntur. Ex quo diphteræ appellatione libros Eccleſiaſticos ſancti Patres intellexiſſe exiſtimantur.

Arist. *Niſi cum pelle, nemo ſuggeſtum aſcendit.*

Non oportet quoſlibet ſuggeſtum aſcendere & divinos ſermones populo ſucclamare qui tonſuram ſacerdotalem non habent, nec benedictionem à proprio paſtore canonicè acceperunt. Sed & eos non aliter è ſuggeſto pſallere, niſi cum pelle ſive penulâ.

Canon XVI.

Quòd Evangelia cum aliis ſcripturis Sabbato legenda ſunt.

Bals. Antequam completa eſſet Eccleſiaſticorum Canticorum conſtitutio, non legebatur Evangelium, vel aliqua alia ſcriptura in Eccleſia, die Sabbati: ſed propter Canones, qui dicunt die Sabbati non eſſe jejunandum, vel genu flectendum, homines ut plurimùm tunc feſtum agebant, & nec Eccleſiaſtici quidem conventus fiebant. Hoc ergo prohibentes Patres, ſtatuerunt die quoque Sabbati peragendum eſſe omne Eccleſiaſticum officium.

Zonar. Quæ ad Eccleſiarum conſtitutionem poſtea ſancita ſunt, ea quo tempore hæc Syn. habebatur, minus diligenter explicata fuiſſe apparet; verùm ubi fideles conveniſſent, precationibus tantummodo intenti erant, indéque ſacrificium incruentum per Sacerdotes offerebatur: proindéque à Synodo ſingulis Sabbatis ad conſummationem fidelium, cum aliis, quæ ex ſcriptura legebantur, Evangelium quoque recitari decretum eſt.

Arist. *Evangelium, & Apoſtolus, & cæteræ ſcripturæ Sabbatis legantur.*

Canon XVII.

Quòd non oportet Pſalmos in Conventibus connectere; ſed unumquemque Pſalmum, interjecto ſpatio, eſſe legendum.

Bals. Cùm Pſalmi uno contextu ex antiqua traditione legerentur, & populus, qui congregabatur, ex eo moleſtia afficeretur, & labore propterea confectus nullam ejus curam gereret, & ab Eccleſia exiret; ſtatuerunt Patres, non eſſe Pſalmos in Eccleſiaſticis Congregationibus continuò legendos, ſed aliquo intercedente lectionem eſſe faciendam; ut aliquantulum quieſcat populus; & rurſus canat. Propterea enim & in diverſas ſeſſiones ſacrum diſtributum eſt Pſalterium. Sunt ergo ſanctis Patribus gratiæ agendæ pro hac eorum cura.

Zonar. Fuit hoc quoque antiquæ conſuetudinis, quæ quidem, alio nunc rerum Eccleſiaſticarum ordine inſtituto, ſublata eſt.

Arist. *In Conventibus lectiones Pſalmos interſerent.*

Populo in Eccleſiâ rectè congregato, oportet inter Pſalmos lectiones fieri, & non eos conjungere, & continuò pſallere, ne qui congregantur, defeſſi ad negligentiam inclinent.

A **ΖΩΝΑΡ.** Εὐταξίαν βούλονται οἱ τῆς συνόδου ἐν ταῖς ἐκκλησίαις φυλάττεσθαι. διὸ καὶ μὴ δεῖν εἶπον ψάλλειν ἐν ταῖς ἐκκλησίαις τὸν βουλόμενον, ἀλλὰ τοὺς ψάλτας τοὺς κανονικοὺς, τοὺς ἐν κλήρῳ δηλαδὴ τεταγμένους, τοὺς ἐν ἑκάστῃ ἐκκλησίᾳ κεχειροτονημένους, τοὺς ἀπὸ διφθέρας ψάλλοντας. διφθέρας ὠνόμασαν, ἃς ὁ κλεινὸς Παῦλος μεμβράνας ἐκάλεσεν ἐπιστέλλων τῷ Τιμοθέῳ, φέρε, γράψας, τὰ βιβλία, μάλιστα δὲ τὰς μεμβράνας. διφθέραι γὰρ τὰ δέρματα λέγονται, ἐξ ὧν αἱ μεμβράναι ἐργάζονται. τὰ βιβλία τοίνυν τὰ ἐκκλησιαστικὰ λέγονται καλέσαι οἱ τῆς συνόδου πατέρες διφθέρας.

B **ΑΡΙΣΤ.** Εἰ μὴ μετὰ διφθέρας, οὐδεὶς ἀμβωνίζεται.

Οὐ δεῖ ἐπ' ἄμβωνος ἀνέρχεσθαί τινας, μὴ ἱερατικὴν κουρὰν ἔχοντας, καὶ τὴν εὐλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς δεξαμένους, καὶ τοὺς θείους τῷ λαῷ λόγους ὑποφωνεῖν. πλὴν καὶ τούτους, μὴ ἄλλως ψάλλειν ἐπ' ἄμβωνος, εἰ μὴ μετὰ διφθέρας, ἤτοι φελωνίου.

ΚΑΝΩΝ ιϛʹ.

Περὶ τοῦ, ἐν σαββάτῳ εὐαγγέλια μετὰ ἑτέρων γραφῶν ἀναγινώσκεσθαι.

C **ΒΑΛΣ.** Πρὸ τοῦ συντελεσθῆναι τὴν κατάστασιν τῶν ἐκκλησιαστικῶν ψαλτῳδημάτων, οὐκ ἀνεγινώσκετο εὐαγγέλιον, ἢ ἄλλη τις γραφὴ ἐπ' ἐκκλησίας κατὰ τὴν ἡμέραν τοῦ σαββάτου· ἀλλὰ διὰ τοὺς κανόνας, τοὺς λέγοντας μὴ νηστεύειν ἢ γόνυ κάμπτειν κατὰ τὸ σάββατον, ἐπανηγύριζον τηνικαῦτα οἱ ἄνθρωποι τὰ πολλὰ, μηδὲ ἐκκλησιαστικῶν συνάξεων γινομένων. τοῦτο οὖν οἱ πατέρες ἀποτρέποντες, ὥρισαν καὶ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου πᾶσαν ἐκκλησιαστικὴν ἀκολουθίαν τελεῖσθαι.

D **ΖΩΝΑΡ.** Ἔοικε, μήπω τότε τὴν κατάστασιν τῶν ἐκκλησιῶν εἶναι, οἵα μετὰ ταῦτα ἐγένετο, ἀλλ' ὅτε ἠθροίζοντο οἱ πιστοὶ, εὐχαὶ μόνον ἐγίνοντο, καὶ προσέφερον τὴν ἀναίμακτον θυσίαν οἱ ἱερεῖς· καὶ διὰ τοῦτο ὥρισεν ἡ σύνοδος εἰς καταρτισμὸν τῶν πιστῶν ἀναγινώσκεσθαι ἐν σαββάτῳ εὐαγγέλιον μετὰ ἑτέρων γραφῶν.

ΑΡΙΣΤ. Εὐαγγέλιον, καὶ ἀπόστολος, καὶ ἕτεραι γραφαὶ ἀναγινωσκέσθωσαν τοῖς σάββασι.

ΚΑΝΩΝ ιζʹ.

E Περὶ τοῦ, μὴ δεῖν ἐπισυνάπτειν ἐν ταῖς συνάξεσι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.

ΒΑΛΣ. Τῶν ψαλμῶν ἀναγινωσκομένων διὰ μιᾶς ὑφῆς κατὰ παλαιὰν παράδοσιν, καὶ τοῦ συναγομένου λαοῦ ἀποκναίοντος, κἀντεῦθεν ἀκηδιῶντος ἀπὸ τοῦ κόπου, καὶ ἐξερχομένου ἀπὸ τῆς ἐκκλησίας, ὥρισαν οἱ πατέρες μὴ συναπτῶς ἐν ταῖς συνάξεσιν ἐκφωνεῖσθαι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου γίνεσθαι καὶ ἀναγνώσεις, ἐπὶ τῷ ἀναπαύεσθαι τὸν λαὸν πρὸς μικρὸν, καὶ πάλιν ψάλλειν. διὰ γὰρ τοῦτο καὶ εἰς καθίσματα διάφορα τὸ ἱερὸν κατεμερίσθη ψαλτήριον. χάρις οὖν τοῖς ἁγίοις πατράσι καὶ ὑπὲρ ταύτης τῆς κηδεμονίας.

F **ΖΩΝΑΡ.** Ἔθους ἦν καὶ τοῦτο παλαιοῦ, ὅπερ ἐσχόλασεν εἰς ἄλλην κατάστασιν καὶ τάξιν ἐλθούσης τῆς ἐκκλησίας.

ΑΡΙΣΤ. Ἐν ταῖς συνάξεσιν ἀναγνώσεις τοὺς ψαλμοὺς διακοπτέτωσαν.

Τοῦ λαοῦ πρὸς ὄρθρον ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένου, δεῖ μεταξὺ τῶν ψαλμῶν ἀναγνώσεις γίνεσθαι· καὶ μὴ ἐπισυνάπτειν αὐτοὺς, καὶ ψάλλειν κατὰ συνέχειαν· ἵνα μὴ κατάκοποι γινόμενοι οἱ συναθροιζόμενοι, πρὸς ῥαθυμίαν ἐκκλίνωσι.

ΚΑΝΩΝ ιη'.

Περὶ τοῦ, τὴν αὐτὴν λειτουργίαν τῶν εὐχῶν πάντοτε καὶ ἐν ταῖς ἐννάταις καὶ ἐν ταῖς ἑσπέραις ὀφείλειν γίνεσθαι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν διορθωτικός ἐστι παλαιοῦ τινος ἔθους ἀτάκτου. φαίνεται γὰρ, ὥς τινες ἐξ ὑπεροψίας εὐχὰς συντιθέμενοι εἰς τὰς ἑσπερινὰς ὑμνῳδίας καὶ, ἀνεγίνωσκον αὐτάς· καὶ αἰτιώμενοι, ἔλεγον μηδέν τι ἀπεικὸς ποιεῖν, μηδὲ παραλύειν τὰς παρὰ τῶν πατέρων δεδομένας εὐχάς. ἐκεῖναι μὲν γὰρ εἰς τὰς ἐννάτας ἐτυπώθησαν γίνεσθαι, αἱ δὲ παρ' αὐτῶν γεγονυῖαι εἰς τὰς ἑσπερινὰς ὑμνῳδοὺς ἐκφωνοῦνται. φασὶν οὖν οἱ πατέρες, ἀρκεῖν τὰς παραδεδομένας εὐχὰς καὶ ἐν ταῖς ἐννάταις καὶ ἐν ταῖς ἑσπέραις καὶ ἐν πάσαις ἁπλῶς ταῖς συνάξεσι· καὶ μὴ ἔχειν ἄδειαν τὸν βουλόμενον εὐχὰς συντιθέναι.

ΖΩΝ. Ὁ εἰκοστὸς τρίτος τῆς ἐν Καρθαγένῃ συνόδου καν. διατάττεται, ἐν ταῖς ἱκεσίαις τὰς κεκυρωμένας παρὰ τῆς συνόδου εὐχὰς παρὰ πάντων λέγεσθαι, καὶ μὴ νέας ἄλλας. τοῦτο οὖν ἔοικε καὶ ὁ παρὼν κανὼν διατάττεσθαι, τὸ μὴ τὸν βουλόμενον δηλαδὴ εὐχὰς ἰδίας συντιθέναι, καὶ ταύτας λέγειν ἐν ταῖς συνάξεσιν, ἀλλὰ τὰς αὐτὰς εὐχὰς, ἤγουν τὰς ἤδη παραδεδομένας, γίνεσθαι ἐν πάσῃ συνάξει.

ΑΡΙΣΤ. Ἐννάταις καὶ ἑσπέραις αἱ αὐταὶ εὐχαὶ ἐπιτελείσθωσαν.

Παρὰ τὰς κεκυρωμένας εὐχὰς, καὶ τὰ κεκανονισμένα βιβλία, οὐ δεῖ εὐχὰς ἄλλας ἢ ψαλμοὺς ἰδιωτικοὺς ἢ λέγεσθαι, ἢ ψάλλεσθαι· ἀλλὰ τὰς αὐτὰς εὐχὰς ἀεὶ ἐπιτελεῖσθαι, καὶ ἐν ἐννάταις, καὶ ἐν ἑσπέραις.

ΚΑΝΩΝ ιθ'.

Περὶ τοῦ, δεῖν ἰδίᾳ πρῶτον, μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων, καὶ τῶν κατηχουμένων εὐχὴν ἐπιτελεῖσθαι, καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τὴν εὐχὴν γίνεσθαι, καὶ τούτων προσελθόντων ὑπὸ χεῖρα καὶ ὑποχωρησάντων, οὕτως τῶν πιστῶν τὰς εὐχὰς γίνεσθαι τρεῖς, μίαν μὲν τὴν πρώτην, διὰ σιωπῆς, τὴν δὲ δευτέραν καὶ τρίτην διὰ προσφωνήσεως πληροῦσθαι· εἶθ' οὕτως τὴν εἰρήνην δίδοσθαι. καὶ μετὰ τὸ πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τὴν εἰρήνην, τότε τοὺς λαϊκοὺς τὴν εἰρήνην διδόναι, καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι. καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ κοινωνεῖν.

ΒΑΛΣ. Κατηχούμενοι μὲν λέγονται, οἱ πρὸς τὸ βάπτισμα ἑτοιμαζόμενοι. ἐν μετανοίᾳ δέ εἰσιν, οἱ διά τινα ἁμαρτήματα ἐπιτιμηθέντες πιστοὶ, οἱ ἀξιούμενοι καὶ τῆς ἁγίας μεταλήψεως. καταλαμβάνεται οὖν, ὡς ἄλλη τις ἀκολουθία ἐκράτει κατὰ τὸν τότε καιρὸν ἐν τῇ θείᾳ ἱεροτελεστίᾳ· καὶ διὰ τοῦτο οἱ πατέρες ὥρισαν τὰ ἐνταῦθα κανονισθέντα. ἐπεὶ δὲ σήμερον εἰς ἄλλην ἀκολουθίαν μετέπεσον ταῦτα, οὐ χρὴ περὶ ἐκείνων ἑρμηνεύειν. εἰρήνη δὲ μέσον τῶν ἐπισκόπων γίνεται διὰ τοῦ ἀσπασμοῦ. ἀγάπης γὰρ σύμβολόν ἐστιν ὁ ἀσπασμός. τῇ δὲ ἀγάπῃ τὸ εἰρηνεύειν ἑπόμενον. σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος μόνοις τοῖς ἱερωμένοις ἐφεῖται ἐντὸς τοῦ θυσιαστηρίου κοινωνεῖν. περὶ δὲ τοῦ μὴ εἰσιέναι λαϊκοὺς εἰς τὸ θυσιαστήριον, ἀνάγνωθι τῆς ϛ'. συνόδου κανόνας ξθ'. καὶ ο'. καὶ τῆς παρούσης συνόδου κανόνα μδ'.

ΖΩΝΑΡ. Τοῖς κατηχουμένοις ὡμίλουν πρότερον οἱ ἐπίσκοποι κατηχοῦντες καὶ διδάσκοντες αὐτούς· εἶτα ἐλέγετο ἡ ἐπὶ τοῖς κατηχουμένοις εὐχὴ, καὶ ἐξελθόντων ἐκείνων τοῖς ἐν μετανοίᾳ ἑτέρα ἐτελεῖτο εὐχὴ, καὶ τὰ λοιπὰ, ἃ ὁ κανὼν λέγει. ἀλλὰ νῦν τὰ τῶν ἐν μετανοίᾳ οὐ γίνεται, οὐκ οἶδ' ὅπως σχολάσαντα. εἶτα τὴν εἰρήνην τοῖς ἐπισκόποις ἐδίδουν οἱ ἱερεῖς, τὸν ἀσπασμὸν δηλαδή. ἀγάπης γὰρ σύμβολον

Canon XVIII.

Quod idem precum miniſterium omnino debeat fieri & in nonis & in veſperis.

Bals. Hic quoque Canon veterem quendam inordinatum morem corrigit. Quidam enim propter arrogantiam, ut videtur, in veſpertinos hymnos preces componentes, eas legebant: & cum reprehendebantur, ſe nihil abſurdum alienúmve facere, nec à Patribus datas orationes diſſolvere dicebant. Illæ enim in nonis fieri juſſæ ſunt: quæ autem ab ipſis factæ ſunt, in veſpertinis hymnis proferuntur. Dicunt ergo Patres, ſufficere preces, quæ ſunt traditæ, & in nonis & in veſperis, & in omnibus, ut ſemel dicam, congregationibus: nec licere ei, qui velit, preces componere.

Zonar. Ut in ſupplicationibus, probatæ tantummodo per Syn. precationes, rejectis aliis novis, ab omnibus adhibeantur, ᵇCarthag. Syn. xxiii. Can. conſtitutum eſt. Idem hoc quoque Canone decretum videtur, ac ne cui ſcilicet pro arbitrio formulas precum contexere, eáſque in publicis Conventibus recitare liceat; ſed eaſdem, hoc eſt, diuturna conſuetudine uſurpatas, in quocunque Conventu omnes retineant, definitum.

Arist. *Nonis ac veſperis eædem preces peragantur.*

Præter preces auctoritate comprobatas, & libros Canonicè ſancitos, non oportet alias preces vel Pſalmos privatos, vel legere vel pſallere. Sed eaſdem preces ſemper peragere, & in nonis & in veſperis.

Canon XIX.

Quòd oportet ſcorſum primùm, poſt Epiſcoporum ſermones, Catechumenorum orationem peragi; & poſtquam exierint Catechumeni, eorum, qui pœnitentiam agunt, fieri orationem; & cum ii ſub manum acceſſerint & ſeceſſerint, tres fidelium preces ſic fieri: Unam quidem, ſcilicet primam, ſilentio; ſecundam autem & tertiam pronunciatione impleri; deinde ſic pacem dari. Et poſteaquam Presbyteri Epiſcopo pacem dederint, tunc Laicos etiam pacem dare, & ſic ſanctam oblationem perfici. Et ſolis licere ſacratis ad altare accedere & communicare.

Bals. Catechumeni dicuntur, qui ad baptiſmum præparantur. In pœnitentia ſunt ſeu pœnitentiam agunt fideles, quibus ob peccata aliqua pœna injuncta eſt, qui etiam ſancta communione digni habentur. Colligitur ergo, quòd alia quædam erat conſequentia in ſacro divino myſterio eo tempore, propterea ſtatuerunt quoque Patres quæ hîc conſtituta ſunt. Quoniam autem hæc ad aliam conſequentiam nunc dierum devenerunt, ea interpretanda non ſunt. Pax autem fit inter Epiſcopos per ſalutationem ſeu amplexum. Dilectionis enim ſignum eſt ſalutatio & complexus. Dilectioni autem pacificum eſſe eſt conſequens. Nota autem, quòd ex præſenti Can. ſolis ſacratis permittitur ad altare communicare. Quòd autem non debeant Laici ad altare ingredi, lege vi. Syn. Can. lxix. & lxx. & præſentis Synodi Can. xliiii.

Zonar. Concio ad Catechumenos, iis docendis, ac erudiẽdis, primo loco ab Epiſcopis habebatur; tum precatione in Catechumenos recitata illi egrediebantur, moxq; in eos, qui pœnitentiam agebant, altera precatio adhibebatur; aliáq; ut in Can. peragebantur. Verũ hoc tempore, quæ ad pœnitentes ſpectant, neſcio quomodo intermiſſa obſoleverũt. Ad hæc pacem Epiſc. offerre, ac in eorum videlicet amplexũ progredi Sacerdotes conſueverãt. Signũ namque eſt dilectionis amplexus; dilectionem vero pax conſequitur. Sacerdotibus quoque viciſſim pacem Laici offerebant, quod nunc, ut alia multa ex antiquo riſu, uſurpari deſitum eſt. Hæc omnia ſacræ oblationis celebritas, hoc eſt, incruenti ſacrificii oblatio conſecratióque ac eâ perfectâ, ſacrorum deinde munerum communicatio conſequebatur. Cujus quidem percipiendæ cauſa altaris ſepta ingredi, ſacro tantum ordine initiatis hominibus conceſſum eſſe, Canon affirmat.

Arist. *Poſt Catechumenorum, pœnitentium preces offerri oportet, & poſtea fidelium. Et poſt pacem, ſive amplexum, oblationem fieri: ſolis Sacerdotibus altaris ſepta ingredientibus, & communicantibus.*

Præſens Canon ordinem precum docet, & quomodo fieri debent. Et dicit primo quidem Catechumenorum precationem peragendam eſſe, poſtea eorum qui pœnitentiam agunt, & poſtea fidelium. Tunc pacem & amplexum fieri, & ſic divinam oblationem peragi, & ſolos homines Sacerdotales intra altaris ſepta participare.

Canon XX.

Quòd non oportet Diaconum ante Presbyterum ſedere, ſed ſedere cum juſſu Presbyteri. Similiter autem Diaconis haberi honorem à Miniſtris & omnibus Clericis oportet.

Bals. Quæ in vii. Can. vi. Syn. & xviii. Nicænæ ſcripta ſunt, de ordine Presbyterorum & Diaconorum, ſufficiunt ad præſentis Canonis interpretationem.

Zonar. De Sacerdotibus, Diaconis, aliiſque ſacris ordinibus, quem quiſq; proprium honoris locum habere debeat, vii. Can. vi. Syn. conſtitutum eſt: Et quæcunque eo loco attulimus, ad hujus quoque Canonis explicationem transferri commodè poſſunt.

Arist. *Diaconus niſi juſſus ne ſedeat.*

Diaconus ne ſedeat coram Presbytero, niſi ab eo mandatum habet, ſed nec reliqui Eccleſiæ miniſtri & Clerici ante Diaconum, niſi & ipſe ab eo in mandatis acceperunt.

Canon XXI.

Quòd non oportet miniſtros locum habere in Diaconico, & ſacra vaſa tangere.

Bals. Miniſtri dicuntur Subdiaconi. Canon ergo eos prohibet ea, quæ ad Diaconos pertinent, aggredi, ſeu ſacra vaſa tangere, ſcilicet corporis & ſanguinis Chriſti. Neque enim dixeris, Non debere eos ſacra vaſa tangere, ſeu ſacrum calicem & ſacram patinam, cum ſunt inanes. Eorum enim miniſterium ſive tranſlatio eis magis convenit.

Zonar. Miniſtros hîc Hypodiaconos nominat, quos quidem Canon in Diaconico locum habere negat oportere. Quod ita intelligendum eſt, ut Diaconorum munera obire, ac res ſacras, panem ſcilicet ac vinum, quæ in ſacrificio offeruntur, aut vaſa quibus hæc excipiuntur, patellam nempe ſacram & calicem contingere, cum nec uſquam hæc deferri per eos liceat, nequaquam ipſis conceſſum eſſe demonſtret.

Arist. *Vaſa miniſter ne tangat.*

Eccleſiæ miniſtri vaſa Dominica manibus non tangunt, ſed à ſacerdotibus aut Diaconis ad menſam ea adducuntur.

A ἐστὶν ὁ ἀσπασμὸς, τῇ δὲ ἀγάπῃ τὸ εἰρηνεύειν ἑπόμενον. καὶ τοῖς ἱερεῦσιν αὖθις οἱ λαϊκοὶ ἐδίδουν τὴν εἰρήνην, ὃ νῦν οὐ γίνεται ἀπρακτῆσαν, ὡς καὶ ἄλλα τῶν πάλαι τελουμένων πολλά. καὶ ἐπὶ τούτοις ἡ τῆς προσφορᾶς ἐγίνετο τελετὴ, ἤτοι προσεφέρετο ἡ ἀναίμακτος θυσία, καὶ ἡγιάζετο, τελεσθείσης δὲ τῆς θυσίας ταύτης ἡ μετάδοσις αὐτῆς ἐνηργεῖτο. κοινωνεῖν δὲ ταύτης ἐντὸς τοῦ θυσιαστηρίου μόνοις τοῖς ἱερατικοῖς ἔξεστι, λέγει ὁ κανών.

ΑΡΙΣΤ. Μετὰ τὴν τῶν κατηχουμένων εὐχὴν τὴν τῶν ἐν μετανοίᾳ προσάγεσθαι δεῖ, καὶ μετὰ τοῦτο, τὴν τῶν πιστῶν· καὶ μετὰ τὴν εἰρήνην, ἤτοι τὸν ἀσπασμὸν, τὴν ἀναφορὰν γίνεσθαι, B μόνον εἰσιόντων εἰς τὸ βῆμα, καὶ μεταλαμβανόντων τῶν ἱερέων.

Παρὼν κανὼν τὴν τάξιν διδάσκει τῶν εὐχῶν, ὅπως ὀφείλει γίνεσθαι· καὶ φάσκει, πρῶτα μὲν τὴν τῶν κατηχουμένων ἐπιτελεῖσθαι εὐχὴν, εἶτα τὴν τῶν ἐν μετανοίᾳ προσάγεσθαι, καὶ μετὰ ταῦτα τὴν τῶν πιστῶν. εἶτα τὴν εἰρήνην, καὶ τὸν ἀσπασμὸν γίνεσθαι, καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι, καὶ μεταλαμβάνειν ἐντὸς τοῦ βήματος μόνους τοὺς ἱερατικούς.

ΚΑΝΩΝ κʹ.

C Ὅτι οὐ δεῖ διάκονον ἔμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι. ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν καὶ πάντων τῶν κληρικῶν.

ΒΑΛΣ. Τὰ γραφέντα εἰς τὸν ζʹ. κανόνα τῆς ϛʹ. συνόδου, καὶ τὸν ιηʹ. τῆς ἐν Νικαίᾳ περὶ τάξεως πρεσβυτέρων καὶ διακόνων, ἀρκοῦσι καὶ εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΖΩΝΑΡ. Ὁ ἕβδομος κανὼν τῆς ἕκτης συνόδου περὶ τάξεως ὁρίζει πρεσβυτέρων καὶ διακόνων καὶ τῶν λοιπῶν ἱερῶν D ταγμάτων· καὶ ὅσα ἐν ἐκείνῳ εἴρηται ἁρμόζουσι καὶ τῷ παρόντι κανόνι.

ΑΡΙΣΤ. Ἀκέλευστος μὴ καθεζέσθω διάκονος.

Ἔμπροσθεν πρεσβυτέρου μὴ καθεζέσθω διάκονος, εἰ μὴ κελευσθῇ ὑπ' αὐτοῦ· ἀλλὰ μηδὲ οἱ λοιποὶ ὑπηρέται τῆς ἐκκλησίας, καὶ κληρικοὶ ἔμπροσθεν διακόνου· εἰ μὴ καὶ αὐτοὶ ὑπ' αὐτοῦ κελευσθῶσι.

ΚΑΝΩΝ καʹ.

E Ὅτι οὐ δεῖ ὑπηρέτας ἔχειν χώραν ἐν τῷ διακονικῷ, καὶ ἅπτεσθαι τῶν ἱερῶν σκευῶν.

ΒΑΛΣ. Ὑπηρέται λέγονται οἱ ὑποδιάκονοι. τούτους οὖν κωλύει ὁ κανὼν τὰ τῶν διακόνων μεταχειρίζεσθαι, ἤγουν ἅπτεσθαι τῶν ἱερῶν σκευῶν, τουτέστι τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ. μηδὲ γὰρ εἴπῃς, μὴ ὀφείλειν τούτους ἅπτεσθαι τῶν ἱερῶν σκευῶν, ἤτοι τοῦ ἁγίου ποτηρίου καὶ τοῦ ἁγίου δίσκου, κενῶν ὄντων. αὐτοῖς γὰρ μᾶλλον οἰκεία ἐστὶν ἡ τούτων ὑπηρεσία ἢ καὶ μετάθεσις.

ΖΩΝΑΡ. Ὑπηρέτας τοὺς ὑποδιακόνους λέγει, οὓς οὐ χρή, φησιν ὁ κανὼν, χώραν ἔχειν ἐν τῷ διακονικῷ, ἀντὶ τοῦ F οὐκ ἐκκεχώρηται αὐτοῖς ἐνεργεῖν τὰ τῶν διακόνων, καὶ ἅπτεσθαι τῶν ἱερῶν, ἢ τοῦ ἄρτου καὶ τοῦ οἴνου, τῶν εἰς θυσίαν προσφερομένων, ἢ τῶν δεχομένων αὐτὰ σκευῶν, τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ποτηρίου, οὐ γὰρ ἐφεῖται αὐτοῖς προσκομίζειν.

ΑΡΙΣΤ. Σκευῶν ὑπηρέτης μὴ ἅπτοιτο.

Οὐ χειραπτοῦσιν οἱ ὑπηρέται τῆς ἐκκλησίας τῶν σκευῶν τῶν δεσποτικῶν· ἀλλὰ παρὰ ἱερέων, ἢ διακόνων, τῇ ἱερᾷ τραπέζῃ ταῦτα προσάγονται.

A

ΚΑΝΩΝ κβʹ.

Ὅτι οὐ δεῖ ὑπηρέτην ὡράριον φορεῖν, οὐδὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

ΒΑΛΣ. Τὸ ὡράριον φορεῖν μόνων ἐστὶ τῶν διακόνων. οὗτοι γὰρ τοῖς ἱερουργοῦσι παριστάμενοι, καὶ ἐπιτηροῦντες τὰς τῶν ἁγίων εὐχῶν τελετὰς καὶ τὰς τῶν πρεσβυτέρων ἐκφωνήσεις, διδόασιν εἴδησιν διὰ τοῦ ὠραρίου τοῖς ἐν τῷ ἄμβωνι διακόνοις, τῆς ὀφειλούσης γίνεσθαι ἐκφωνήσεως, ἤγουν τοῦ καιροῦ τῆς ἐκτενοῦς τῶν αἰτήσεων τῶν κατηχουμένων, καὶ τῶν λοιπῶν. B καὶ ἐκλήθη ὡράριον, ἀπὸ τοῦ ὁρῶ, τὸ φυλάσσω καὶ ἐπιτηρῶ. ὥσπερ δὲ τοῖς διακόνοις τοῦτο ἀπενεμήθη, δέδοκται καὶ τοὺς ὑποδιακόνους τὰς θύρας τῶν ἐκκλησιῶν κατέχειν, καὶ εἰσάγειν καὶ ἐξάγειν τοὺς κατηχουμένους καὶ τοὺς ἐν μετανοίᾳ· διὰ γὰρ τοῦτο καὶ σήμερον παρὰ τῶν ὑποδιακόνων λέγεται τό, ὅσοι πιστοί, δηλονότι οἱ μὴ πιστοί, ἀλλὰ κατηχούμενοι ὄντες, ἐξέλθετε· οἱ δὲ πιστοί, ἵστασθε, ὀψόμενοι τὴν τῶν ἁγίων μυστηρίων θυσίαν. καὶ οὐ μόνων ταῦτα τὰ προνόμια τούτοις ἐδόθησαν· ἀλλὰ καὶ τοῖς λοιποῖς τάγμασι. τοῖς γὰρ ἀναγνώσταις διακονία ἐδόθη, οὐχὶ τὸ ψάλλειν, ἀλλὰ τὸ ἀναγινώσκειν τὰς θείας γραφὰς ἐπὶ κοινῇ ἀκροάσει, καὶ τοῖς ψάλταις τὸ ψάλλειν. C ἐπεὶ οὖν ἐπεχείρουν τινὲς ὑποδιάκονοι ὠράρια φορεῖν, παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἐκώλυσαν τοῦτο οἱ πατέρες, καὶ διωρίσαντο μὴ ἐγκαταλιμπάνειν αὐτοὺς τὴν φυλακὴν τῶν ἀπονεμηθεισῶν αὐτοῖς θυρῶν τῶν ἐκκλησιῶν, ἵνα μὴ ἀταξία γίνηται τῶν ἱερῶν ταγμάτων.

ΖΩΝΑΡ. Ἑκάστῳ ἱερῷ τάγματι ἀπονενέμηται καὶ στολὴ οἰκεία αὐτῷ, καὶ ὑπηρεσία. τοῖς γοῦν ὑπηρέταις, ἤτοι τοῖς ὑποδιακόνοις, οὐκ ἐφεῖται φορεῖν ὡράριον. τοῦτο γὰρ τῶν διακόνων ἐστί. τὸ δὲ μὴ ἐγκαταλιμπάνειν τὰς θύρας τοιοῦτόν ἐστι, τὸ παλαιὸν περὶ τὰς θύρας ὑπηρέτουν τῶν ἐκκλησιῶν, D ἐκβάλλοντες τοὺς κατηχουμένους, καὶ τοὺς ἐν μετανοίᾳ, ὅτε ἔδει. διὸ καὶ νῦν αὐτοὶ ἐκφωνοῦσι, τό, οἱ κατηχούμενοι προέλθετε. εἰ δὲ νῦν οὐ περὶ τὰς θύρας ἀσχολοῦνται, οὐ θαυμαστόν. πολλοὶ γὰρ τῶν ἐν ταῖς ἐκκλησίαις πάλαι γινομένων νῦν ἄλλως ἐκράτησε γίνεσθαι. καὶ τοῖς ἀναγνώσταις γὰρ τὸ ἀναγινώσκειν τὰς θείας γραφὰς εἰς ἐπήκοον τοῦ λαοῦ ἔργον ἦν, ὡς καὶ ἐκ τοῦ ὀνόματος αὐτῶν δείκνυται καὶ ἐκ τοῦ ἑξῆς κανόνος, καὶ τοῦ ἐνενηκοστοῦ τῆς ἐν Καρθαγένῃ συνόδου, ἀλλὰ νῦν ἔργον αὐτοῖς τὸ ψάλλειν, τὸ δὲ ἀναγινώσκειν αὐτοὺς, ὡς ἐπ' ἐλάχιστον γίνεται.

E **ΑΡΙΣΤ.** Ὑπηρέτην ὡράριον οὐ δεῖ φορεῖν, οὐδὲ τὰς θύρας καταλιμπάνειν.

Ἕκαστος ὀφείλει τὴν ἑαυτοῦ συντηρεῖν τάξιν, καὶ ἐπιμελῶς τὴν ἰδίαν ὑπηρεσίαν ἐκπληροῦν. διὰ τοῦτο γοῦν οὐδὲ οἱ ὑπηρέται τῆς ἐκκλησίας τὰς θύρας ἐγκαταλιμπάνειν ὀφείλουσιν, ἀλλὰ μέχρι τέλους τῆς θείας μυσταγωγίας ἐκεῖσε ἵστασθαι, καὶ τὸ ἀνῆκον αὐτοῖς λειτούργημα ἐκπληροῦν. ὡράριον δὲ, μήτε αὐτοὺς, μήτε ἀναγνώστας, ἢ ψάλτας φορεῖν· τοῦτο γὰρ τῶν διακόνων ἐστί.

ΚΑΝΩΝ κγʹ.

F Ὅτι οὐ δεῖ ἀναγνώστας ἢ ψάλτας ὡράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν.

ΒΑΛΣ. Τὰ εἰς τὸν κβʹ. κανόνα γραφέντα, ἀρκοῦσι καὶ εἰς ἑρμηνείαν τοῦ παρόντος κανόνος.

ΖΩΝΑΡ. Διὰ τὰς εἰρημένας αἰτίας οὐδὲ τούτοις ἔξεστιν ὡράριον φορεῖν. τὸ γὰρ ἀναγινώσκειν ἀποδοτέον τοῖς ἀναγνώσταις, τὸ δὲ ψάλλειν τοῖς ψάλταις.

ΑΡΙΣΤ. Ψάλται καὶ ἀναγνῶσται οὐ φοροῦσιν ὡράριον.

CANON XXII.

Quod non oportet miniſtrum ferre orarium, neque oſtia relinquere.

Bals. Orarium ferre eſt ſolorum Diaconorum. Hi enim eis, qui celebrant, adſiſtentes, & ſanctarum orationum myſteria, & Presbyterorum prolationes obſervantes, eis qui ſunt in ſuggeſto Diaconis per orarium ſignificant quando debeat fieri pronunciatio ſeu prolatio petitionum Catechumenorum, & reliquorum. Et appellatum eſt Orarium ἀπὸ τοῦ ὁρῶ, quod eſt obſervo. Quemadmodum autem hoc Diaconis eſt attributum, viſum eſt Hypodiaconos quoque Eccleſiarum fores tenere, & Catechumenos introducere & educere, ac eos qui ſunt in pœnitentia. Propterea enim hodie quoque etiam ab Hypodiaconis dicitur illud, Quotquot fideles, qui ſcilicet non eſtis fideles, ſed Catechumeni, egredimini: Fideles autem ſtate, viſuri ſanctorum myſteriorum ſacrificium. Et non ſolùm eis hæc privilegia data ſunt; ſed reliquis etiam ordinibus. Lectoribus enim miniſterium datum eſt, non pſallendi, ſed legendi divinas ſcripturas in communi auditione: & Cantoribus, pſallendi. Quia ergo conabantur quidam Subdiaconi ferre oraria, contra traditionem Eccleſiaſticam, Patres hoc prohibuerunt, & ſtatuerunt, ut ii non relinquerent ſibi attributam cuſtodiam portarum Eccleſiæ; ne ſit ſanctorum ordinum confuſio.

Zonar. Unicuique ſacro ordini, & ſuus habitus, & propria miniſteria attributa fuere. Miniſtris igitur, quos Hypodiaconos eſſe diximus, orarium deferre vetitum eſt. Diaconorum namque id eſt peculiare. Illud vero ne à foribus abſcedant, ita intelligi debet; Siquidem antiquis temporibus ad fores Eccleſiæ conſiſtere, ibique Catechumenis, & iis qui in pœnitentium ordine cenſebantur, cum opus foret, emittendis operam dare Hypodiaconi ſoliti ſunt. Propterea nunc quoque illud; Quicunque eſtis Catechumeni egredimini; ipſi pronuntiant. Quod ſi hoc tempore nequaquam ad fores Eccl. aſſident, non eſt cur miremur. Multi etenim alii antiqui Eccleſiæ mores nunc quidem omnino immutati ſunt. Sic divinas quoque ſcripturas in conventu populi recitare, quod vel ex ipſo Lectoris nomine, tum ex ſequenti Canone tum ex Carthag. Syn. Can. xc. demõſtratur, propriũ Lectorum officium ac munus fuit: quibus tamen plurima hoc tempore canendi cura, cum eos lectioni raro admodũ operã navare contingat.

Arist. *Miniſtrum geſtare Orarium on oportet, neque fores relinquere.*

Quiſque debet ſuum conſervare ordinem, & diligenter proprium explere miniſterium. Idcirco itaque nec Eccleſiæ miniſtri fores relinquere debent, ſed ad divinæ myſtagogiæ finem ibi ſtare, & quod eis decet miniſterium peragere. Orarium autem nec eis nec Lectoribus aut Cantoribus ferre licet. Hoc enim ad Diaconos pertinet.

CANON XXIII.

Quod non oportet Lectores vel Cantores ferre orarium, & ſic legere vel canere.

Bals. Quæ in xxii. Canone ſcripta ſunt, ſufficiunt ad præſentis Canonis interpretationem.

Zonar. Eaſdem ob cauſas ne his quidem orarium deferre permiſſum eſt. Ac legendi quidem verbum ad Lectores, pſallendi vero ad Cantores referri oportet.

Arist. *Cantores & Lectores non ferunt Orarium.*

A

CANON XXIIII.

Quòd non oportet ſacratum à Presbytero uſque ad Diaconũ, & deinceps quemlibet Eccleſiaſtici ordinis, uſque ad Miniſtros, vel Lectores, vel Cantores, vel Exorciſtas, vel Oſtiarios, vel ordinis Monachorum, in cauponam ingredi.

BALS. Lege liv. Can. Apoſtolicum, Carthag. Syn. Can. xl. & ſextæ Syn. Can. ix. & ſufficiunt quæ in illis ſcripta ſunt ad præſentem quoque Canonem.

B **ZONAR.** Ad cauponam divertere, niſi itineris ratio ibi hoſpitium capere neceſſariò compellat, liv. Apoſt. Can. Clerici prohibentur. Idem hic Can. præcipit, eodem decreto exercitationi quoq; addictos homines teneri jubens.

ARIST. *Omnis Clericus cauponam ingredi non debet.*

A Presbyteris uſque ad ultimum ſacratorum ordinem cauponam ingredi omnes prohibentur.

CANON XXV.

C *Quòd non oportet miniſtrum panem dare, vel Calici benedicere.*

BALS. Ad hunc quoque Canonem ſufficiunt & quæ in xxi. ſcripta ſunt.

ZONAR. Cum Hypodiaconis ſacra vaſa contingere, aut in Diaconico verſari, munuſve aliquod ibidem exercere vetitum ſit; multo minus aut panem dare, hoc eſt, Domini corpus fidelibus impertiri, aut Dominici ſanguinis calici benedicere, eiſdem licebit.

ARIST. *Panem & calicem miniſter non dat.*

D Presbyterorum aut Diaconorum opus miniſtri Eccleſiæ perficere non permittuntur. Quocirca nec panem vel calicem populo tradunt.

CANON XXVI.

Quòd eos exorciſare non oportet, qui ab Epiſcopis promotì non ſunt, neque in Eccleſiis, neque in ædibus.

E **BALS.** Quidam aggrediebantur exorciſare, hoc eſt, catechizare infideles, qui hoc per Epiſcopalem manuum impoſitionem non acceperant: & cùm accuſarentur, contendebant ſe hoc in Eccleſias non feciſſe, ſed in quadam domo; & ideo ſe nulli pœnæ obnoxios conſervari æquum cenſebant. Dicunt ergo Patres, quòd etiam adjurare eſt Eccleſiaſticum miniſterium, nec oportet quempiam hoc aggredi, niſi ab Epiſc. promotus fuerit. Excipe mihi Exorciſtam, qui à Chorepiſcopo promotus fuerit. Nam is quoque pulchrè catechizabit, etiamſi non fuerit ab Epiſcopo promotus. A x. enim Can. Antioch. Syn. didiciſti, poſſe etiam Chorepiſcopum facere Exorciſtam.

F **ZONAR.** Equidem cum aliis Exorciſtas quoque creare Antioch. Syn. Can. x. Chorepiſcopis permiſſum eſt. Quid ita igitur, qui ab Epiſcopis creati non ſunt, ab Exorcizandi munere abſtinere hic Canon jubet? Reſpondent ergo, in Epiſcoporum numero Chorepiſcopos quoque cenſeri; ex quo Neocæſarianæ Syn. Can. xiv. ſeptuaginta Apoſt. typum eos ait referre; & pacificas quoque epiſtolas dare, quod Epiſcoporum proprium eſt, viii. Antiochenæ Synodi Canone permittuntur.

ARIST. *Non exorcizat, niſi ab Epiſcopo promotus.*

Et Exorciſtæ quemadmodum ac alii ex ordine Sacerdotali ab Epiſcopo deliguntur. Qui itaque ad talem gradum per Epiſcopum non promovetur, & Exorciſtam agere non poteſt, nec privatim, nec in Eccleſiâ.

ΚΑΝΩΝ κδ′.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἀπὸ πρεσβυτέρου ἕως διακόνου, καὶ ἑξῆς τῆς ἐκκλησιαστικῆς τάξεως ἕως ὑπηρετῶν ἢ ἀναγνωστῶν ἢ ψαλτῶν ἢ ἐφορκιστῶν ἢ θυρωρῶν, ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν νδ′. ἀποστολικὸν κανόνα, τὸν ἐν Καρθαγένῃ κανόνα μ′. καὶ τῆς ϛ′. κανόνα θ′. καὶ ἀρκέσουσι τὰ ἐν ἐκείνοις γραφέντα, καὶ εἰς τὸν παρόντα κανόνα.

ΖΩΝΑΡ. Καὶ ὁ νδ′. ἀποστολικὸς κανὼν ἀπαγορεύει τοῖς κληρικοῖς εἰσιέναι εἰς καπηλεῖον, εἰ μή που ὁδεύοιεν, καὶ ἐν πανδοχείῳ δι' ἀνάγκην καταλύσωσι. τοῦτο οὖν καὶ ὁ παρὼν κανὼν διατάττεται, προσθέμενος καὶ τοὺς ἀσκητάς.

ΑΡΙΣΤ. Ἅπας κληρικὸς ἀκαπήλευτος.

Ἀπὸ πρεσβυτέρων, μέχρι καὶ τοῦ ἐσχάτου τάγματος τοῦ ἱερατικοῦ πάντες κωλύονται εἰς καπηλεῖον εἰσέρχεσθαι.

ΚΑΝΩΝ κε′.

Ὅτι οὐ δεῖ ὑπηρέτην ἄρτον διδόναι, οὐδὲ ποτήριον εὐλογεῖν.

ΒΑΛΣ. Ἀρκοῦσι εἰς τοῦτον τὸν κανόνα τὰ εἰς τὸν κα′. κανόνα γραφέντα.

ΖΩΝΑΡ. Ἐπεὶ ἅπτεσθαι τῶν ἱερῶν σκευῶν αὐτοῖς οὐκ ἐφεῖται, οὐδὲ ἐν τῷ διακονικῷ ἐμφιλοχωρεῖν, καί τι ἐνεργεῖν ἐκεῖ, πολλῷ πλέον αὐτοῖς οὐ παραχωρηθήσεται τὸ ἄρτον διδόναι, τουτέστι, μεταδιδόναι τοῖς πιστοῖς τοῦ σώματος τοῦ κυρίου, καὶ εὐλογεῖν τὸ ποτήριον τοῦ αἵματος τοῦ κυρίου.

ΑΡΙΣΤ. Ἄρτον καὶ ποτήριον ὑπηρέτης οὐ δίδωσι.

Τὸ τῶν πρεσβυτέρων καὶ διακόνων ἔργον οἱ ὑπηρέται τῆς ἐκκλησίας οὐ συγκεχώρηνται ἐκτελεῖν· διὰ τοῦτο οὐδὲ ἄρτον ἢ ποτήριον διδόασι τῷ λαῷ.

ΚΑΝΩΝ κϛ′.

Ὅτι οὐ δεῖ ἐφορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις μήτε ἐν ταῖς οἰκίαις.

ΒΑΛΣ. Τινὲς ἐπεχείρουν ἐφορκίζειν, τουτέστι, κατηχεῖν ἀπίστους, μὴ λαβόντες τοῦτο δι' ἐπισκοπικῆς χειροθεσίας· καὶ αἰτιώμενοι, διετείνοντο μὴ ποιῆσαι τοῦτο εἰς ἐκκλησίαν, ἀλλὰ εἰς οἰκίαν τινά· κἀντεῦθεν ἤθελον διατηρεῖσθαι ἀνεύθυνοι. φασὶν οὖν οἱ πατέρες, ὅτι καὶ τὸ ἐφορκίζειν, ἐκκλησιαστικὴ διακονία ἐστί, καὶ οὐ χρὴ τινὰ τούτων μεταχειρίζεσθαι ὁπουδήποτε, εἰ μὴ παρὰ ἐπισκόπου προβληθῇ. ὑπέξελέ μοι τὸν παρὰ χωρεπισκόπου προχειρισθέντα ἐφορκιστήν. καὶ οὗτος γὰρ καλῶς κατηχήσει, κἂν μὴ προχειρισθῇ παρὰ ἐπισκόπου. ἔμαθες γὰρ ἀπὸ τοῦ ι′. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου δύνασθαι τὸν χωρεπίσκοπον ποιεῖν καὶ ἐφορκιστήν.

ΖΩΝΑΡ. Καὶ μὴν μετὰ τῶν ἄλλων καὶ ἐφορκιστὰς ποιεῖν δέδοται τοῖς χωρεπισκόποις, κατὰ τὸν ι′. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. πῶς οὖν ἐνταῦθα λέγει, μὴ ἐφορκίζειν τοὺς μὴ ὑπὸ ἐπισκόπων προαχθέντας; φασὶν οὖν, ὅτι καὶ οἱ χωρεπίσκοποι τάξιν ἐπισκόπων ἔχουσι, διὸ καὶ ιδ′. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τὸν τῶν ἀποστόλων τύπον λέγει πληροῦν, καὶ ὁ η′. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν καὶ εἰρηνικὰς ἐπιστολὰς διδόναι ἐφίησιν αὐτοῖς, ὅπερ τῶν ἐπισκόπων ἐστίν.

ΑΡΙΣΤ. Οὐκ ἐφορκίζει ὁ μὴ παρ' ἐπισκόπου προαγόμενος.

Καὶ οἱ ἐφορκισταί, καθὼς καὶ οἱ λοιποὶ τοῦ τάγματος, παρὰ τοῦ ἐπισκόπου δέχονται τὴν προχείρισιν. ὁ γοῦν μὴ προαχθεὶς εἰς τὸν τοιοῦτον βαθμὸν παρὰ ἐπισκόπου, ἐφορκίζειν οὐ δύναται, οὔτε κατ' οἴκους, οὔτε ἐν τῇ ἐκκλησίᾳ.

ΚΑΝΩΝ

ΚΑΝΩΝ κζ'.

A

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ λαϊκοὺς, καλουμένους εἰς ἀγάπην, μέρη αἴρειν, διὰ τὸ, τὴν ὕβριν τῇ τάξει προστρίβεσθαι τῇ ἱερατικῇ.

ΒΑΛΣ. Ἀγάπαι καλοῦνται τὰ παρὰ φιλοχρίστων γινόμενα συμπόσια, ἤγουν τὰ ἁγιομνήσια. ἐπεὶ οὖν τινες τῶν ἀνακειμένων, αὐτοῖς συμποσίοις μερίδας ἐλάμβανον ἐκ τῶν παρατιθεμένων βρωμάτων, καὶ κατὰ λυξουρίαν οἴκοι ἀπῆγαγον, κἀντεῦθεν κατάγνωσις τῶν συνελθόντων ἐγίνετο, πολλάκις δὲ καὶ φιλονεικία ἐκ τούτου μέσον αὐτῶν ἀνηγείρετο, ὥρισαν οἱ πατέρες, μηκέτι τοῦτο γίνεσθαι ἐφ' ὕβρει τῆς ἱερατικῆς τάξεως. B

ΖΩΝΑΡ. Ἐν ταῖς γινομέναις ἀγάπαις, τοῖς συμποσίοις δηλονότι, ἐκαλοῦντο μὲν οἱ πένητες, ἐκαλοῦντο δὲ καὶ ἱερωμένοι καὶ λαϊκοί. τοὺς οὖν ἱερωμένους καὶ κληρικοὺς, ἀλλὰ μέντοι καὶ λαϊκοὺς, λέγει ὁ κανὼν μὴ δεῖν μέρη αἴρειν, ἤγουν μερίδας τῶν παρατιθεμένων βρωμάτων καὶ οἴκαδε ἀπάγειν, εἰς ὕβριν ὂν τοῦτο τῆς ἐκκλησιαστικῆς καταστάσεως, λιχνείαν κατηγοροῦν καὶ μοχθηρίαν τῶν ποιούντων αὐτό. πιστοὺς δὲ τοιούτους εἶναι οὐ χρή· πολλῷ πλέον τοὺς ἱερατικούς.

ΑΡΙΣΤ. Ὁ κληθεὶς εἰς ἀγάπην κληρικὸς, μερίδας οὐκ ἄγεται· ὑβρίζει γὰρ τὴν τάξιν. C

Οὔτε κληρικοὶ, οὔτε λαϊκοὶ κληθέντες εἰς ἀγάπην, μερίδας αἴρειν ὀφείλουσι· τοῦτο γὰρ τὴν ἐκκλησιαστικὴν τάξιν ὑβρίζει· ἀλλὰ μόνον ἐσθίειν, καὶ ὑπαναχωρεῖν.

ΚΑΝΩΝ κη'.

Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν οδ'. κεφ. τῆς ϛ'. συνόδου, αὐτοῖς τοῖς ῥήμασιν ἔχοντα, ὡς καὶ ὁ παρὼν κανών· καὶ ἀρκέσουσι τὰ ἐν ἐκείνῳ γραφέντα. ζήτει καὶ τὸν οϛ'. κανόνα τῆς αὐτῆς συνόδου, καὶ τῆς ἐν Καρθαγένῃ μβ'. D

ΖΩΝΑΡ. Τοῦτον τὸν κανόνα αὐτοῖς ῥήμασιν ἡ ἕκτη σύνοδος ἐν τοῖς παρ' αὐτῆς ἐκτεθεῖσι κανόσιν ἔθετο οδ'. ἔνθα καὶ ἐξηγήθη. τὰ γοῦν ἐκεῖ εἰρημένα ἀναγνωστέον.

ΑΡΙΣΤ. Ἐπ' ἐκκλησίας ἀκούβιτα οὐ στρώννυνται, καὶ ἀγάπαι οὐ γίνονται.

E

Οὐ δεῖ τὸν οἶκον τοῦ θεοῦ οἶκον ἡγεῖσθαι κοινὸν, καὶ ἐν αὐτῷ στρωννύειν ἀκούβιτα, ἢ τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον τοῦ ἱεροῦ οἴκου ἐσθίειν.

ΚΑΝΩΝ κθ'.

Ὅτι οὐ δεῖ Χριστιανοὺς Ἰουδαΐζειν καὶ ἐν τῷ σαββάτῳ σχολάζειν, ἀλλὰ ἐργάζεσθαι αὐτοὺς ἐν τῇ αὐτῇ ἡμέρᾳ, τὴν δὲ κυριακὴν προτιμῶντας, εἴγε δύναιντο, σχολάζειν ὡς οἱ Χριστιανοί. εἰ δὲ εὑρεθεῖεν Ἰουδαϊσταὶ, ἔστωσαν ἀνάθεμα παρὰ Χριστῷ.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ο'. κανόνα τῶν ἁγίων ἀποστόλων, F μὴ παραχωροῦντα τοῖς πιστοῖς νηστεύειν ἢ ἑορτάζειν μετὰ Ἰουδαίων. ἐπεὶ δὲ, καθὼς εἴπομεν ἐν τῷ ιϛ'. κανόνι τῆς παρούσης συνόδου, τινὲς ἐν τῷ σαββάτῳ παντελῆ ἀπραξίαν ἐργοχείρου παντὸς εἶχον, καὶ αὐτῶν τῶν θείων ψαλτωδημάτων, ὅπερ τῆς Ἰουδαϊκῆς θρησκείας ἔργον ἐστὶν, ἐν δὲ τῷ κανόνι ἐκείνῳ περὶ μόνου τοῦ ἀναγινώσκεσθαι τὸ ἅγιον εὐαγγέλιον καὶ τὰς θείας γραφὰς οἱ πατέρες διωρίσαντο, ἄρτι παρακελεύονται μὴ σχολάζειν τοὺς πιστοὺς κατὰ Ἰουδαίους ἀπὸ τῶν ἐργοχείρων αὐτῶν, ἀλλ' ἐν μὲν τῷ σαββάτῳ ἐργάζεσθαι, τιμᾷν δὲ τὴν κυριακὴν διὰ τὴν

CANON XXVII.

Quod non oportet ſacratos, vel Clericos, vel Laicos, ad Agapas vocatos, partes tollere; eo quod ignominia inuratur ordini Sacerdotali.

BALS. Agapæ dicuntur quæ fiunt à Chriſtianis convivia, ſeu ſanctæ commemorationes. Quoniam ergo ex iis, quæ erant in convivio appoſita, quidam accumbentes partes accipiebant, & per luxuriam domum auferebant; & ex eo eorum, qui convenerant, condemnatio profecta eſt; ſæpe autem etiam inter eos contentio excitata eſt: Patres definierunt; ne hoc ampliùs fiat ad Sacerdotalis ordinis contumeliam.

ZONAR. Ad convivia, quæ ſub Agaparum nomine inſtituebantur, pauperes tum ex ſacro ordine, tum ex Laicis quoque, advocari ſoliti ſunt. Ne igitur ſacro ordine initiatis, Cleróque adſcriptis, imò vero ñec Laicis partes tollere, hoc eſt, ex appoſitis epulis particulis auferre, domúmque, non ſine aliqua Eccleſiaſtici ordinis ignominia, aſportare liceat, Canon decernit. Eſt id namque hominis abdomini dediti atque improbi argumentum. Ejuſmodi porro eſſe fideles, ſacratos præſertim, haud decet.

ARIST. *Clericus ad Agapas vocatus, partes non aufert. Ordinem enim contumeliâ afficit.*

Nec Clerici nec Laici ad Agapas vocati, partes tollere debent, illud enim ordinem Eccleſiaſticum injuriâ afficit, ſed tantum edere & recedere.

CANON XXVIII.

Quod non oportet dominicis, vel in Eccleſiis Agapas, ut vocant facere, & in domo Dei comedere, & accubitus ſternere.

BALS. Lege lxxiiii. Can. vi. Syn. quæ eadem verba continet, quæ præſens Canon: & tibi ſufficient, quæ in illo ſcripta ſunt. Quære & lxxvi. Canonem ejuſdem Synodi, & Carthaginenſis xlii.

ZONAR. Hunc Canonem totidem verbis ſexta Synodus protulit, eſtque in ea ſeptuageſimusquartus; ejuſdem ibi nos explicationem attulimus. Legenda ſunt itaque quæ ibi ſcripta.

ARIST. *Accubitus in Eccleſiis non ſternuntur, nec Agapæ celebrantur.*

Non oportet domum Dei domum communem exiſtimare & in ea accubitus ſternere, aut Agapas dictas facere & intra ſacram domum comedere.

CANON XXIX.

Quod non oportet Chriſtianos judaizare, & in Sabbato otiari; ſed eo die operari: die autem dominicum præferentes otiari, ſi modo poſſint, ut Chriſtianos. Quod ſi inventi fuerint judaizare, ſint anathema à Chriſto.

BALS. Lege lxx. Can. ſanctorum Apoſtolorum, qui non permittit fidelibus jejunare vel feſtum celebrare cum Judæis. Quia autem, ſicut diximus in xvi. Can. præſentis Synodi, quidam Sabbato ab omni penitus opere, atque adeò etiam ab ipſis divinis canticis, omnino ceſſabant, quod eſt Judaicæ ſuperſtitionis opus; in illo autem Canone, solùm ut legatur Evangelium & divinæ ſcripturæ, Patres conſtituerunt: nunc jubent, ne otientur fideles more Judæorum à ſuis operibus, ſed in Sabbato quidem operentur, dominicum autem honorent, propter

Domini reſurrectionem; & à manuum quidem operibus abſtineant, Eccleſiis autem aſſideant. Sed & hoc, ſcilicet die dominico non operari, non neceſſariò mandarunt; ſed adjecerunt, ſi poſſint fideles. Si enim propter inopiam, vel aliquam aliam neceſſitatem, etiam die dominico fuerit aliquis operatus, præjudicium ei non afferetur. Et hæc quidem prædictus Canon. Quinquageſimæ quartæ autem Imperat. domini Leonis ſapientis Novella decernit, ipſos quoque agricolas die dominico debere otiari. Lege & vi. Syn. Can. lxvi.

Zonar. Sabbati diem Judæi colunt, nec quicquam operis, ita antiquæ legis inſtituto edocti, ea luce attingunt: qui vero legem Evangelicam perfectiorem ſunt amplexi, iis, ne imperfectioris decreta ſervent, interdictum eſt. Proinde Sabbato otiari, tanquam repetito à Judæis more, fidelibus haud permiſſum, quique Judaicis ritibus adhæreſcant, iis Canon anathema in Chriſto indicit, hoc eſt, à Chriſto ſegregatos ac diviſos eſſe decernit. Vacationem porro Dominica luce, id ejus diei venerationi, qua Chriſtus à mortuis redivivus extitit deferentes, agitare permiſſum. Et Can. quidē addit, ſi poſſunt: Lex vero civilis, à muneribus die dominico vacationem eſſe, ſi agricolarum opera excipias, omnino jubet. Illis namque, quia forte operibus primo quoque tempore obeundis alium diem pariter accommodatum nanciſci non ita facile fuerit, dominico quoq; die operam navandi facultas conceſſa eſt. Et vero lxx. quoque SS. Apoſt. Can. neque jejunia cum Judæis exercere, nec feſtos dies agere, fideles ſinit: verum qui id fecerint, ſacris quidem ordinibus initiatos depoſitione, Laicos vero ſegregatione, teneri jubet.

Arist. *Chriſtianus non Sabbato, ſed die dominicâ feriatur.*

Chriſtianus enim qui in Sabbato vacat, judaizat. Quapropter iſtâ die operari oportet & dominicâ vacare.

Canon XXX.

Quòd non oportet ſacratum, vel Clericum, vel Monachum, in balneo cum mulieribus lavari, neque omnem penitus Chriſtianum, vel Laicum. Hæc eſt enim prima gentibus condemnatio.

Bals. In lxxvii. Can. vi. Syn. quæ eadem omnino cum præſenti Can. ſtatuit, ſcripſimus quæ viſa fuerunt.

Zonar. Viros cū fœminis lavari, tum eſt animo perniciosum, tum à decore & honeſtate omni prorſus alienum. Etenim ſi ſe invicem nudos viri mulieréſque conſpiciant, flammam inde cupiditatis exiſtere, ardorémque libidinis excitari neceſſe eſt. Ipſa vero per ſe ſatis ad luxuriem ebulliente natura, quid adhuc oleum camino ſuperinfundas? Quin id uſque adeo cum omni honeſtate pugnare ſemper exiſtimatum eſt; ut à quibus committeretur eos intemperantiæ crimine ethnici quoque graviter condemnarint. Omnibus igitur, qui Chriſtiana profeſſione cenſentur, vetitum id omnino eſſe Canon decernit.

Arist. *Cum mulieribus lavare, nefas eſt.*

Magnam nos condemnandi occaſionem ethnicis dedit quod omnis Chriſtianus unà cum mulieribus lavatur. Quocirca ut illegitimum, prohibetur.

Canon XXXI.

Quòd non oportet cum omni hæretico matrimonium contrahere, vel dare filios aut filias; ſed magis accipere, ſi ſe Chriſtianos futuros profiteantur.

Canon XXXII.

Quòd non oportet hæreticorum benedictiones accipere, quæ ſunt potiùs maledictiones quàm benedictiones.

A τοῦ κυρίου ἀνάστασιν· καὶ τῶν ἐργοχειρίων μὲν ἀπέχεσθαι, προσεδρεύειν δὲ ταῖς ἐκκλησίαις. πλὴν καὶ τοῦτο, δηλαδὴ τὸ μὴ ἐργάζεσθαι κατὰ τὴν κυριώνυμον, οὐκ ἀναγκαστικῶς ἐπέτρεψαν, ἀλλὰ προσέθεντο, εἴγε δύναιντο οἱ πιστοί. εἰ γὰρ ἐξ ἀπορίας, ἢ ἄλλης τινὸς ἀνάγκης, καὶ κατὰ τὴν κυριώνυμον ἐργάσεταί τις, οὐ προσκριματισθήσεται. καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα. ἡ δὲ νδ'. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ καὶ αὐτοὺς τοὺς γεωργοὺς διορίζεται σχολάζειν κατὰ τὴν κυριώνυμον. ἀνάγνωθι καὶ τῆς ϛ'. συνόδου κανόνα ξϛ'.

ΖΩΝΑΡ. Τοῖς Ἰουδαίοις τιμᾶται τὸ σάββατον, ἀπραB ξίαν ἄγουσιν ἐκ τῶν ἔργων αὐτῶν, τοῦ παλαιοῦ νόμου τοῦτο αὐτοῖς ἐπιτάσσοντος· τοῖς δὲ τὸν εὐαγγελικὸν νόμον δεξαμένοις τὸν πλεώτερον τηρεῖν τὰ τοῦ ἀτελοῦς ἀποτέτραπται. διὸ καὶ τὸ ἐν σαββάτῳ ἀργεῖν, τοῖς πιστοῖς ὡς Ἰουδαϊκὸν ἀπηγόρευται, καὶ τοῖς Ἰουδαΐζουσιν ἀνάθεμα ὁ κανὼν ἐπιψηφίζεται ἐν Χριστῷ, τουτέστι κεχωρισμένους εἶναι καὶ ἀποδιῃρημένους τοῦ Χριστοῦ. ἀργεῖν δὲ ἐπιτρέπει κατὰ τὴν κυριακήν, διὰ τὴν τοῦ κυρίου ἀνάστασιν, τὴν ἡμέραν τιμῶντας. ἀλλ' ὁ μὲν κανών, εἰ δύναιντο, προσέθετο· ὁ δὲ τῆς πολιτείας νόμος ἀπαραίτητον τὴν ἀργίαν ἐν τῇ κυριακῇ ἀπαιτεῖ, δίχα τῶν γεωργῶν. ἐκείνοις γὰρ καὶ ἐν κυριακῇ ἐργάζεσθαι ἐφίησιν, C ὅτι ἴσως τῶν ἔργων κατεπειγόντων, οὐχ εὑρήσουσιν ἄλλην ἡμέραν οὕτως αὐτοῖς εἰς τὰ ἔργα αὐτῶν συμβαλλομένην. καὶ ὁ ο'. κανὼν τῶν ἀποστόλων, οὔτε νηστεύειν μετὰ Ἰουδαίων, οὔτε ἑορτάζειν, παραχωρεῖ τοῖς πιστοῖς, ἀλλὰ τῶν μὲν ἱερωμένων καθαίρεσιν καταψηφίζεται, τοὺς δὲ λαϊκοὺς ἀφορίζει.

ΑΡΙΣΤ. Οὐ σάββατον ἀργήσει Χριστιανός, ἀλλὰ κυριακήν.

Ἰουδαΐζει γάρ, ἐν τῷ σαββάτῳ σχολάζων, χριστιανός. διὰ τοῦτο δεῖ ἐργάζεσθαι ἐν αὐτῇ ἡμέρᾳ, σχολάζειν δὲ ἐν τῇ κυριακῇ.

D

ΚΑΝΩΝ λ'.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἢ ἀσκητὴν ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα Χριστιανόν, ἢ λαϊκόν· αὕτη γὰρ πρώτη κατάγνωσις τοῖς ἔθνεσιν.

ΒΑΛΣ. Ἐν τῷ οζ'. κανόνι τῆς ϛ'. συνόδου, τὰ αὐτὰ τῷ παρόντι κανόνι διοριζομένῳ ἀπαραλλάκτως, ἐγράψαμεν τὰ δόξαντα.

ΖΩΝΑΡ. Τὸ συλλούεσθαι γυναιξὶν ἄνδρας καὶ βλαβερόν ἐστιν εἰς ψυχήν, καὶ ἄλλως ἀσχημοσύνης ἁπάσης ἐπέκειE να. τὸ γὰρ γυμνὰς ὁρᾶσθαι γυναῖκας παρὰ ἀνδρῶν, καὶ ἄνδρας ὁμοίως αὖθις παρὰ γυναικῶν, ἀναφλέγει τοὺς ἔρωτας, καὶ τῆς σαρκὸς ἀνάπτει τὴν πύρωσιν. ἀρκετὸν δὲ τῇ σαρκὶ ἡ ἐκ τῆς φύσεως κίνησις, τί δὲ δεῖ πλειόνων ὑλῶν τῇ φλογί; καὶ πᾶσαν δὲ ὑπερβαίνει ἀσχημοσύνην, ὡς καὶ παρὰ τῶν ἐθνῶν τοὺς οὕτω ποιοῦντας ὡς ἀκολάστους καταγινώσκεσθαι. πᾶσιν οὖν τοῖς Χριστιανοῖς ἀπαγορεύει τοῦτο ὁ κανών.

ΑΡΙΣΤ. Γυναιξὶ, τῶν ἀθεμίτων, συλλούεσθαι.

F Μεγίστην καθ' ἡμῶν κατάγνωσιν τοῖς ἔθνεσιν δίδωσι, τὸ μετὰ γυναικῶν πάντα χριστιανὸν συλλούεσθαι· διὰ τοῦτο γοῦν, ὡς ἀθέμιτον, ἀπηγόρευται.

ΚΑΝΩΝ λα'.

Ὅτι οὐ δεῖ πρὸς πάντα αἱρετικὸν ἐπιγαμίας ποιεῖν, ἢ διδόναι υἱοὺς ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γίνεσθαι.

ΚΑΝΩΝ λβ'.

Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵτινές εἰσιν ἀλογίαι μᾶλλον, ἢ εὐλογίαι.

ΚΑΝΩΝ λγʹ. A

Ὅτι οὐ δεῖ αἱρετικῷ ἢ σχισματικῷ συνεύχεσθαι.

ΒΑΛΣ. Οἱ παρόντες τρεῖς κανόνες ἰσοδυναμοῦσι· παρακελεύονται γὰρ τοῖς πιστοῖς μήτε συνεσθίειν μετὰ αἱρετικῶν, μήτε συνεύχεσθαι, μήτε εὐλογίας ἐξ αὐτῶν λαμβάνειν, μήτε γάμον συναλλάττειν οἰκείῳ ὀνόματι, ἀλλὰ μηδὲ διδόναι πρὸς αἱρετικοὺς παῖδας οἰκείους· διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν θρησκείαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως. εἰ δὲ αἱρετικοὶ βούλοιντο παῖδας αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι πιστοῖς, ἐπαγγελλομένους γενέσθαι πιστούς, ἐφίησιν ὁ κανὼν τοῦτο. τὸ δὲ οὐ δεῖ πρὸς πάντα αἱρετικόν, μὴ εἴπῃς B ἐκλαμβάνεσθαι, ὡς πρὸς πάντας μὲν οὐ δεῖ, πρὸς τινὰς δὲ δεῖ, ἀλλὰ καθόλου εἰπὲ ὑπὸ τῶν κανόνων τοῦτο ἀπαγορεύεσθαι. τοιοῦτον γάρ ἐστι καὶ τὸ γεγραμμένον, μὴ φοβοῦ ὅταν πλουτίσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. ἐπεὶ καὶ ἐντεῦθεν ἐκ τοῦ λέγειν τὸν Δαβίδ, τὰ πάντα οὐ λήψεται, ἐξ ἀντιπαραστολῆς οὐ λάβῃ τινὰ ἐκ πλούτου αὐτοῦ. ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα ι. μέ. καὶ μϛʹ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα βʹ. τῆς ἐν Χαλκηδόνι κανόνα ιδʹ. τῆς ἐν Καρθαγένῃ κανόνα καʹ. τῆς ϛʹ. συνόδου κανόνα οβʹ. καὶ τοῦ παρόντος συντάγματος τίτλου ιβʹ. κεφ. ιγʹ. καὶ τὰ ἐν αὐτῷ.

C

ΖΩΝΑΡ. Εἰ συνεσθίειν ἢ συνεύχεσθαι αἱρετικοῖς, ἢ εὐλογίας ἐξ αὐτῶν λαμβάνειν τοὺς πιστοὺς οὐ δεῖ, πολλῷ μᾶλλον γάμον συναλλάττειν, καὶ διδόναι αὐτοῖς υἱοὺς ἢ θυγατέρας εἰς ἐπιγαμίαν. διδάξουσι γὰρ αὐτοὺς τὴν οἰκείαν κακοδοξίαν, καὶ μεταστρέψουσιν ἐκ τῆς ὀρθῆς πίστεως εἰς τὰς διεστραμμένας δόξας αὐτῶν. εἰ δὲ αἱρετικοὶ βούλονται παῖδας αὐτῶν εἰς ἐπιγαμίαν δοῦναι πιστοῖς, ἐπαγγελλομένους ἐξ ἀπίστων Χριστιανοὺς γενέσθαι, ἢ ἐκ διεστραμμένων δογμάτων εἰς ὀρθοδοξίαν μεταθέσθαι, τοῦτο ἐφίησιν ὁ κανών. τὸ δὲ, οὐ δεῖ πρὸς πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐχ οὕτω νοητέον, ὅτι πρὸς πάντας μὲν οὐ δεῖ, πρὸς τινὰς δὲ D δεῖ· ἀλλ' ἁπαξαπλῶς ἀπαγορεύουσι τοῦτο, μονονουχὶ τοῦ κανόνος λέγοντος, ὅτι πρὸς οὐδένα αἱρετικὸν δεῖ ἐπιγαμίαν ποιεῖν, τοῦτο δὲ ἰδίωμα γραφικόν ἐστι. λέγει γὰρ ὁ Δαβίδ· μὴ φοβοῦ ὅταν πλουτίσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. τί οὖν, τινὰ πέως λήψεται; ἀλλ' οὐδὲν πάντως. καὶ ἀλλαχοῦ, μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; τινὰς δὲ ματαίως ἔκτισεν; οὐδεὶς τοῦτο ἐρεῖ. οὕτως οὖν ἐκληπτέον κἀνταῦθα τὸ πρὸς πάντας. τοιοῦτόν ἐστι καὶ τὸ, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου. αἱρετικοὶ δὲ λέγονται, οἱ περὶ τὴν πίστιν σφαλλόμενοι· σχισματικοὶ δὲ, οἱ περὶ μὲν τὴν πίστιν καὶ τὰ δόγματα ὑγιῶς ἔχοντες, διά τινας δ' αἰτίας ἀποσχίζοντες E καὶ ἀντισυνάγοντες.

ΑΡΙΣΤ. Οὐ διδόναι τοῖς αἱρετικοῖς εἰς συνάφειαν τέκνα, ἀλλὰ λαμβάνειν δεῖ, χριστιανίζειν ἐπαγγελλόμενα.

Τὸ μὲν λαμβάνειν τῶν αἱρετικῶν τέκνα, χριστιανίζειν ἐπαγγελλόμενα, καὶ ἐπισυνάπτειν αὐτὰ εἰς γάμου κοινωνίαν τοῖς παισὶ τῶν χριστιανῶν, ἐπιτέτραπται. τὸ δὲ διδόναι τὰ τῶν χριστιανῶν τέκνα εἰς συνάφειαν τοῖς αἱρετικοῖς, ἐν πολλοῖς τῶν καν. ἀπηγόρευται.

ΑΡΙΣΤ. Ἀλογίαι αἱ τῶν αἱρετικῶν εὐλογίαι.

Οὐ δεῖ προσδέχεσθαι τὰ παρὰ τῶν αἱρετικῶν προσαγόμενα. F ἀλογίαι γὰρ μᾶλλον ταῦτά εἰσιν ἢ εὐλογίαι.

ΑΡΙΣΤ. Αἱρετικοῖς, ἢ σχισματικοῖς μὴ συνεύξῃ.

Ἀκοινώνητος ὁ τούτοις συνευχόμενος. σχισματικοὶ δέ εἰσιν, οἱ Αὐδιανοί, οἵτινες τὴν μὲν πίστιν, ὡς ἡ καθολικὴ ἐκκλησία, ἔχουσιν· ἐν μοναστηρίοις δὲ οἱ πλείους αὐτῶν οἰκοῦσι, καὶ οὐ πᾶσι συνεύχονται. ψέγουσι δὲ καὶ τοὺς παρ' ἡμῖν ἐπισκόπους πλουσίους, καὶ ἄλλους εἰς ἄλλα. καὶ μετὰ Ἰουδαίων τὸ πάσχα ἰδιαζόντως ποιοῦσιν. ἔχουσι δέ τι καὶ ἰδίωμα φιλονεικόν, ξηρότατά τινα τῶν τῆς θείας γραφῆς ἑρμηνεύοντες.

CANON XXXIII.

Quòd non oportet unà cum hæretico vel ſchiſmatico orare.

BALS. Præſentium trium Canonum vis eſt æqualis & poteſtas eadem. Jubent enim fideles; nec cum hæreticis comedere, nec unà orare, nec benedictionem ab eis accipere, nec proprio nomine cum eis matrimonium contrahere; ſed neque hæreticis filios proprios dare: eos enim ſuam ſuperſtitionem docebunt, & à recta fide avertent. Si autem velint hæretici liberos ſuos fidelibus dare in matrimonium, qui ſe fideles futuros profiteantur; Canon hoc permittit. Illud autem, cum omni hæretico non oportet, ne dixeris accipi; quòd cum omnibus quidem non oportet, cum aliquibus autem oportet: ſed dic hoc eſſe à Canonibus omnino prohibitum. Eſt enim ejuſmodi & quod ſcriptum eſt; Ne verêre quando dives fuerit homo: quia non dum morietur ipſe accipiet omnia: quoniam & hîc, ex eo quòd dicat David, Omnia non accipiet, ex contrario non acceperit aliqua ex ſuis divitiis. Lege ſanctorum Apoſt. Can. x. xlv. & xlvi. Antiochenæ Syn. Can. ii. Chalcedonenſis Canonem xiv. Carthaginenſis Can. xi. vi. Syn. Can. lxxii. & præſentis operis tit. xii. cap. xiii. & quæ in eo ſunt.

ZONAR. Si neque cum hæreticis veſci, nec eos precationem ſocios adhibere, nec ab eis benedictiones accipere, fidelibus conceſſum eſt; multo minus connubio cum ipſis jungi, aut cum iis liberos matrimonio ſociare, fidelium cuiquam licebit. Suis namque erroribus illos imbuent, atque à recta fide ad perverſas opiniones, quibus ipſi irretiti ſunt, avocabunt. Quòd ſi liberos ſuos fidelibus matrimonio copulare hæretici velint, modo ſe illi infidelitate depoſita Chriſtianos fore, atque opinionum pravitate abjecta rectam fidem amplexuros eſſe, polliceantur; tum vero ejus rei Canon facultatem eſſe decernit. Verba autem illa, Non oportet cum omni hæretico matrimonium contrahere, non ita intelligas, quaſi non cum omnibus quidem hæreticis, ſed cum aliquibus tamen ex eo grege matrimonia inire conceſſum ſit: nam iis verbis inita cum hæreticis quibuſcunque connubii fœdera univerſe damnantur; perinde ac ſi cum nemine prorſus hæretico matrimonia jungi licere Canon affirmet. Eſt vero hæc loquendi formula in ſacris literis uſitatior: ut cum David ait; Ne timueris cum dives factus fuerit homo; quoniam non dum morietur recipiet omnia. Quænam etenim demū recipiet? nihil omnino. Et illud; Nunquid vane conſtituiſti omnes filios hominum? Quinam ergo vane conſtituti? nemo hoc dixerit. Eodem modo igitur verba, Non cum omnibus, hoc loco ſunt accipienda. Simile eſt & illud; Non ingredieris ad omnem domeſticum carnis tuæ. Dicuntur porro hæretici, qui in iis quæ fidei ſunt hallucinātur: Schiſmatici vero, qui à recta quidē fidei doctrina nequaquā aberrant; verum aliquas ob cauſas ipſi ſeorſim conventus agentes, ab Eccl. ſe communione divellunt.

ARIST. *Hæreticis liberos in matrimonium dare non oportet, ſed accipere, Chriſtianos ſe futuros profitētes.*

Hæreticorum liberos Chriſtianiſmum amplecti profitentes, ſumere, eoſque in matrimonii communionē Chriſtianorum filiis conjungere, permittitur. At Chriſtianorū liberos hæreticis conjungere, in multis Can. prohibetur.

ARIST. *Hæreticorum benedictiones ſunt maledictiones.*

Non oportet ea accipere quæ ab hæreticis afferuntur. Ea enim maledictiones potius ſunt quam benedictiones.

ARIST. *Cum hæreticis vel ſchiſmaticis ne compreceris.*

Excommunicatur qui cum illis comprecatur. Schiſmatici autem ſunt Audiani, qui fidem quidem, ut Catholica Eccleſia, retinent, ſed eorum plurimi in Monaſteriis habitant, & cum omni non orant. Vituperant autem divites noſtros Epiſc. & alios ob alia. Et cum Judæis Paſcha ſeorſim celebrant. At contentioſam habent proprietatē, avidiſſimè quædam divinæ ſcripturæ loca interpretantes.

Canon XXXIV.

Quòd non oportet quemcunque Chriſtianum Chriſti martyras relinquere, & ad falſos martyras, hoc eſt hæreticos, abire, vel eos qui priùs hæretici fuere. Hi enim ſunt à Deo alieni. Sint ergo anathema qui ad eos abeunt.

Bals. Nonus Canon præſentis Synodi dicit aliquantiſper eos excommunicatos fieri, qui ad hæreticorum cœmeteria, & quæ ab eis martyria appellantur, profecti fuerint: præſens autem Canon eos anathematizat. Et eſt Canonum differentia. Illic enim qui proficiſcuntur, ex errore & per aliquorum fraudem profecti ſunt, fortaſſe ut curarentur, & propterea mitiùs puniuntur: Hìc autem, toto animo ſe malo dederunt; & à Deo defecerunt; & propterea anathematizantur. Cur autem hæretici pſeudomartyres dicantur, dictum eſt in ix. Canone.

Zonar. Quoſdam ex hæreticis, dum Chriſtiana religio infenſis Principum odiis agitaretur, cruciatus pertuliſſe, atque in tormentis uſq; ad necem obduraſſe, jam antea diximus; quos proinde inſtar martyrum gregales venerabantur: verum pſeudomartyres, atque à Deo alienos hic Can. appellat. Cùm igitur ipſorū ſepulchra nonnulli ex fidelibus frequentarent; quicunque ad ea inviſenda profecti fuerint, anathematis pœna teneri jubet.

Ariſt. *Qui martyrem, falsò ſic dictum, hæreticum honorat, ſit anathema.*

Qui à Deo alienos ut martyres honorat, & ipſe à Deo erit alienus.

Canon XXXV.

Quòd non oportet Chriſtianos, relicta Dei Eccleſia, abire, & Angelos nominare, vel congregationes facere, quæ ſunt prohibita. Si quis ergo inventus fuerit huic occultæ idololatriæ vacare, ſit anathema: quia reliquit Dominum noſtrum Jeſum Chriſtum, filium Dei, & acceſſit ad idololatriam.

Bals. Malus ut plurimùm nos à dextris ſenſim adoritur. Propterea enim & nonnullis ſuggeſſit, ne Chriſtum ad auxilium invocarent, ſed Angelos, inſtar ſcilicet religionis & honoris in Deum: & ideo orationes ſuas non ad Deum dirigebant ex quadam hæreſi, ſed ad Angelos. Quod Patres tanquam maximum malum punientes, anathemati ſubjiciunt eos, qui Eccleſiaſticam traditionem relinquunt, & illicitos conventus faciunt, & dicunt ab Angelorum interceſſione noſtram ſalutem pendere. Hoc autem idololatria nominatum eſt: non quòd honor in Angelos ſit averſandus; ſed quòd Malus nos ad idololatriam devolvat, eo quòd non invocetur Chriſtus & Deus noſter. Erant & alii hæretici, qui dicebantur Angelici, ut ſanctus Epiphanius ſcribens de hæreſibus dicit, vel quòd fortè angelicè viverent, vel quòd ſe ab Angelis myſteriis initiatos putarent.

Zonar. Antiqua illa quorundam hæreſis fuit ut non Chriſtum nobis patronum aut interpretem apud Deum adhibendum eſſe, ſed Angelos affirmarent; quòd ea nimirum Chriſti interpellatio majus quiddam eſſet, quàm ut id audire nos homunculi deberemus. In quo forte demiſſionem animi quandam ſecuti eſſe videri poſſunt, cum perverſi hoſtis illud ſolenne ſit, ut in nos plerumque latenter à dextris impetum faciat. Enimvero hæreſeos hujus magnus quoque Paulus ad Coloſſenſes meminit, iis verbis; Nemo vos, inquit, ſeducat volens in humilitate & in cultu Angelorum, in ea quæ non vidit pedem inferens. Quorum quidem Apoſtoli verborum hæc eſt ſententia; Nemo vos, inquit, fidei vitæque integræ bravio

ΚΑΝΩΝ λδʹ.

Οτι οὐ δεῖ πάντα Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας, τουτέστιν αἱρετικούς, ἢ αὐτοὺς τοὺς προειρημένους αἱρετικοὺς γενομένους. οὗτοι γὰρ ἀλλότριοι τοῦ θεοῦ τυγχάνουσιν· ἔστωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς.

ΒΑΛΣ. Ο μὲν θʹ. κανὼν τῆς παρούσης συνόδου ἀκοινωνήτους γίνεσθαι φησὶ μέχρι τινὸς τοὺς ἀπερχομένους εἰς τὰ κοιμητήρια τῶν αἱρετικῶν, καὶ τὰ μαρτύρια παρὰ τούτων λεγόμενα. ὁ δὲ παρὼν κανὼν ἀναθεματίζει τούτους. καὶ ἔστι διαφορὰ τῶν κανόνων. ἐκεῖ μὲν γὰρ οἱ ἀπερχόμενοι, κατὰ πλάνην καὶ ἀπάτην τινῶν ἀπῆλθον, χάριν τοῦ ἰατρευθῆναι τάχα, καὶ διὰ τοῦτο μετρίως κολάζονται· ἐνταῦθα δὲ ὁλοψύχῳ διαθέσει ἐτόλμησαν τὸ κακόν, καὶ ἀπέστησαν τοῦ θεοῦ, καὶ διὰ τοῦτο ἀναθεματίζονται. διατί δὲ λέγονται ψευδομάρτυρες οἱ αἱρετικοί, εἴρηται ἐν τῷ θʹ. κανόνι.

ΖΩΝΑΡ. Εἴρηται καὶ ἄνω που, ὅτι τινὲς τῶν αἱρετικῶν ἐν τοῖς καιροῖς τῶν διωγμῶν ἔπαθον, καὶ μέχρι θανάτου ταῖς βασάνοις ἐνεκαρτέρησαν, οὓς οἱ συναιρεσιῶται ἐτίμων ὡς μάρτυρας, οὓς ὁ κανὼν ψευδομάρτυρας ὀνομάζει, καὶ ἀλλοτρίους καλεῖ τοῦ θεοῦ. τινὲς οὖν τῶν πιστῶν ἀπήρχοντο πρὸς τοὺς τάφους αὐτῶν. τοὺς οὖν ἀπερχομένους ἀναθέματι καταδικάζει.

ΑΡΙΣΤ. Ο ψευδομάρτυρα αἱρετικὸν τιμῶν, ἤτω ἀνάθεμα.

Ο τοὺς ἀλλοτρίους θεοῦ τιμῶν, ὡς μάρτυρας, ἀλλότριος ἔσται θεοῦ καὶ αὐτός.

ΚΑΝΩΝ λεʹ.

Οτι οὐ δεῖ Χριστιανοὺς ἐγκαταλείπειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους ὀνομάζειν, ἢ συνάξεις ποιεῖν, ἅπερ ἀπηγόρευται. εἴ τις οὖν εὑρεθῇ ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα, ὅτι ἐγκατέλιπε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν.

ΒΑΛΣ. Ως ἐπὶ τὸ πολὺ ὁ πονηρὸς ἐκ τῶν δεξιῶν ἡμᾶς ὑποκλέπτει. διά τοι τοῦτο καὶ ὑπέβαλλέ ποτε τινὰς μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν εἰς βοήθειαν, ἀλλὰ τοὺς ἀγγέλους, κατὰ τρόπον δῆθεν εὐλαβείας καὶ τῆς πρὸς τὸν θεὸν τιμῆς. διὸ καὶ τὰς ἐντεύξεις οὐ πρὸς τὸν θεὸν ἐποίουν κατά τινα αἵρεϲιν· ἀλλὰ πρὸς τοὺς ἀγγέλους. ὅπερ πατέρες ὡς μέγιστον κακὸν κολάζοντες, διορίζονται ἀναθέματι καθυποβάλλεσθαι τοὺς ἐγκαταλιμπάνοντας τὴν ἐκκλησιαστικὴν παράδοϲιν, καὶ ποιοῦντας παρασυνάξεις, καὶ λέγοντας τῆς μεσιτείας τῶν ἀγγέλων ἠρτῆσθαι τὴν σωτηρίαν ἡμῶν. εἰδωλολατρείαν δὲ τοῦτο ὠνόμασαν, οὐχ ὡς τῆς πρὸς τοὺς ἀγγέλους τιμῆς ἀποτροπαίας οὔσης, ἀλλ' ὡς τοῦ πονηροῦ ἐκκυλίοντος ἡμᾶς πρὸς εἰδωλολατρείαν, διὰ τὸ μὴ ἐπικαλεῖσθαι τὸν Χριστὸν καὶ θεὸν ἡμῶν. ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ ἀγγελικοὶ λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος περὶ αἱρέϲεων γραφῶν, φηϲὶν, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρ' ἀγγέλων τὰ θεῖα μυεῖσθαι νομίζοντες.

ΖΩΝΑΡ. Αἵρεϲις ἦν παλαιὰ λεγόντων τινῶν, ὅτι οὐ δεῖ τὸν Χριστὸν ἐπικαλεῖσθαι εἰς βοήθειαν ἢ εἰς προσαγωγὴν τὴν πρὸς θεόν, ἀλλὰ τοὺς ἀγγέλους, ὡς τάχα τοῦ τὸν Χριστὸν ἐπικαλεῖσθαι πρὸς τὰ εἰρημένα μείζονος ὄντος τῆς ἡμετέρας ἀξίας. τοῦτο δὲ τάχα ταπεινούμενοι ἔλεγον, ὡς ἐπὶ τὸ πολὺ τοῦ πονηροῦ εἰωθότος κλέπτειν ἡμᾶς ἐκ τῶν δεξιῶν. ταύτης τῆς αἱρέσεως καὶ ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐπιστολῇ μέμνηται, λέγων· μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων. τοῦτο δ' ἐστὶ τὸ παρὰ τοῦ ἀποστόλου λεγόμενον, ὅτι μηδεὶς ὑμᾶς τοῦ βραβείου τῆς πίστεως καὶ τοῦ ὀρθοῦ βίου ἀποστερείτω (καταβραβεύειν γάρ ἐστι, τὸ μὴ τὸν νικήσαντα ἀξιοῦν τοῦ βραβείου, ἀλλ᾽ ἑτέρῳ διδόναι αὐτὸ, ἀδικουμένου τοῦ νικητοῦ) θέλων μετάγειν ὑμᾶς ἀπὸ τῆς ὀρθῆς πίστεως εἰς θρησκείαν τῶν ἀγγέλων, ἤγουν εἰς τὸ λατρεύειν τοῖς ἀγγέλοις ἐν ταπεινοφροσύνῃ, διὰ ταπεινοφροσύνην τάχα, ὡς ὑπὲρ ὑμᾶς ὄντος τοῦ ἐπικαλέσασθαι τὸν κύριον, καὶ αὐτῷ χρῆσθαι προσαγωγεῖ πρὸς τὸν αὐτοῦ πατέρα. παλαιὰ οὖν, ὡς εἴρηται, ἡ αἵρεσις ἦν, καὶ ὠνόμαζόν τινες ἀγγέλους, ἤγουν ἐπεκαλοῦντο, καὶ συνάξεις ἐποίουν, ἅπερ ὁ κανὼν ἀναιρῶν, εἴ τις εὑρεθῇ, φησι, ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα. ἣν ὁ ἀπόστολος ἔφη θρησκείαν τῶν ἀγγέλων, ὁ κανὼν εἰδωλολατρείαν ἐκάλεσεν, οὐχ ὡς τῆς πρὸς ἀγγέλους τιμῆς εἰδωλολατρείας οὔσης, ἀλλ᾽ ὡς τοῦ πονηροῦ ἀπάγοντος ἡμᾶς τοῦ ἐπικαλέσασθαι τὸν Χριστὸν, ἵνα κατὰ μικρὸν καὶ λεληθότως εἰς εἰδωλολατρείαν ἐκκυλίσῃ ἡμᾶς. ἦσαν δὲ καὶ ἄλλοι αἱρετικοὶ ἄγγελοι λεγόμενοι, ὡς ὁ ἅγιος Ἐπιφάνιος περὶ αἱρέσεων γράφων φησὶν, ἀγγελικοὺς δ᾽ ἐκάλουν ἑαυτοὺς, ἢ ὡς ἀγγελικῶς τάχα βιοῦντες, ἢ ὡς παρὰ ἀγγέλων προσκληθέντες πρὸς τὴν πίστιν καὶ τὴν θείαν ἐπίγνωσιν.

ΑΡΙΣΤ. Ο παρασυνάγων καὶ ὀνομάζων ἀγγέλους, εἰδωλολατρείας πλησίον, καὶ ἤτω ἀνάθεμα.

Ἔστι τις αἵρεσις τῶν ἀγγελικῶν λεγομένη, ἢ διὰ τὸ ἑαυτοὺς σεμνύνειν, ὡς τάξιν ἀγγέλων καὶ πολιτείαν ἔχοντας· ἢ διὰ τὸ ληρεῖν ὑπ᾽ ἀγγέλων ἐκτίσθαι τὸν κόσμον. ἦσαν δὲ καί τινες διδάσκοντες, καθὼς ἐν τῇ πρὸς Κολασσαεῖς ἐπιστολῇ ὁ μέγας Παῦλος ἐδήλωσε, μὴ δεῖν λέγειν ἡμᾶς διὰ Χριστοῦ προσάγεσθαι τῷ θεῷ καὶ πατρί. μείζων γὰρ ἢ καθ᾽ ἡμᾶς, φησιν, ὁ Χριστός· ἀλλὰ δι᾽ ἀγγέλων. τοῦτο δὲ ἄρνησις ἦν τῆς θείας οἰκονομίας, ἐν προσχήματι τῆς ταπεινοφροσύνης. ὁ γοῦν παρασυνάγων, καὶ ὑπ᾽ ἀγγέλων ἐκτίσθαι τὸν κόσμον λέγων, ἢ δι᾽ ἀγγέλων ἡμᾶς προσάγεσθαι τῷ θεῷ καὶ πατρὶ, ἤτω ἀνάθεμα ὡς ἐγκαταλιπὼν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ, καὶ ἐγγὺς φρονῶν τῶν εἰδωλολατρῶν.

ΚΑΝΩΝ λϛʹ.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς, μάγους ἢ ἐπαοιδοὺς εἶναι, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια, ἅτινά ἐστι δεσμωτήρια τῶν ψυχῶν αὐτῶν. τοὺς δὲ φοροῦντας ῥίπτεσθαι ἐκ τῆς ἐκκλησίας ἐκελεύσαμεν.

ΒΑΛΣ. Ο παρὼν κανὼν ἐπιτρέπει τοὺς ἱερωμένους μάγους εἶναι, ἢ ἐπαοιδοὺς, ἢ μαθηματικοὺς, ἢ ἀστρολόγους, καὶ ἀκοινωνησίας κατακρίνει τοὺς φοροῦντας τὰ φυλακτήρια. μάγοι μὲν οὖν εἰσὶν οἱ προσερχόμενοι τῷ σατανᾷ διά τινα αἰτίαν. ἐπαοιδοὶ, οἱ γοητευταὶ, οἱ τὰς ἐπῳδὰς λέγοντες, καὶ διὰ τούτων ἐφέλκοντες τοὺς δαίμονας εἰς τὰ οἰκεῖα θελήματα. μαθηματικοὶ, οἱ τὰ οὐράνια σώματα δοξάζοντες ἔχειν τὴν τοῦ παντὸς κυριότητα, καὶ κατὰ τὴν κίνησιν τούτων διοικεῖσθαι τὰ καθ᾽ ἡμᾶς. ἀστρολόγοι οἱ διὰ τῶν ἄστρων μαντευόμενοι κατὰ δαιμονικὴν συνεργίαν, καὶ τούτοις πιστεύοντες. ἐπεὶ δὲ τέσσαρα εἰσὶ τὰ μαθήματα, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία καὶ ἀστρονομία, μὴ εἴπῃς παρὰ τοῦ κανόνος κωλύεσθαι καὶ τὰ τέσσαρα, ἀλλὰ μόνην τὴν ἀστρονομίαν. καὶ ἀνάγνωθι τὸ κβʹ. κεφάλ. τοῦ λθʹ. τίτλου τοῦ ξʹ. βιβλίου, λέγον, ἡ μὲν γεωμετρικὴ δημοσίᾳ διδάσκεται· ἡ δὲ μαθηματικὴ κατακρίνεται, ὡς ἀπηγορευμένη καὶ τὸν ἔξωθεν παλαιόν. μαθηματικὴν εἰπὲ τὴν ἀστρονομίαν. περὶ δὲ τοῦ πῶς κολάζονται ὑπὸ τῶν νόμων οἱ μάγοι καὶ οἱ ἐπαοιδοὶ καὶ τοιοῦτοι, ἀνάγνωθι τοῦ αὐτοῦ λθʹ. τίτλου τοῦ ξʹ. βιβλίου τὸ κγʹ. κεφάλ. καὶ ἐφεξῆς μέχρι τέλους. ζήτει καὶ τὸ γʹ. κεφάλ. τοῦ ιβʹ. τίτλου τοῦ παρόντος συντάγματος.

A fraudet, (Eſt namque καταβραβεύειν, non victorem bravio honeſtare; ſed illi per injuriam ereptum, alteri cupiam elargiri) cupiens vos à recta fide ad venerationem Angelorum abducere, ut videlicet Angelorum venerationi addicti ſitis, In humilitate, humilitatis nimirum ſtudio, quaſi ſcilicet Dominum implorare, eoque apud Patrem ſuum conciliatore uti, noſtræ ſortis eſſe nequaquam arbitrarentur. Antiqua igitur, ut diximus, hæc hæreſis fuit, ut Angelos aliqui nominarent, hoc eſt, invocarent, conventuſque privatos ſeorſim ab Eccleſia celebrarent: quæ quidem Canon aboleri cupiens, Si quis, inquit, occultæ huic idololatriæ operam dare deprehenſus fuerit, B anathema ſit. Ac eam quidem, quam Apoſtolus Angelorum venerationem, idololatriam hic Canon nuncupavit; non quod inſit in Angelorũ veneratione idololatriæ crimen; ſed quia, ut inde nos in idololatriæ culpam paulatim impellat, idcirco à Chriſto invocando ſceleratus hoſtis nos deterreat. Extitêre porro & alii hæretici quidam Angelorũ appellatione, ut ſcribit S. Epiphanius lib. de hæreſibus; Angelicos vero, ſeſe nominabant, aut quaſi ſe inſtituto vivendi Angelos imitari, aut ab Angelis ad fidei divinæque agnitionis lucẽ vocatos eſſe ſignificarẽt.

Arist. *Qui alienos ab Eccleſiâ conventus agit & Angelos nominat, idololatriæ proximus eſt, & ſit anathema.*

C Eſt hæreſis quædam Angelicorum dicta vel quia ſeipſos jactitant, ut Angelorum ordinem & politiam habentes, vel quod delirantes dicunt ab Angelis creari mundum. Erant autem & nonnulli qui docuerunt, ut in epiſtolâ ad Coloſſenſes magnus indicavit Paulus, non oportere dicere nos per Chriſtum Deo & Patri adduci. Major enim quam ſecundum nos, inquiunt, eſt Chriſtus: ſed per Angelos; hoc autem ſub humilitatis ſpecie divinæ diſpenſationis erat abnegatio. Qui iis itaque ſe conjungit, & ab Angelis creari mundum dicit, aut per Angelos nos Deo & Patri adduci, ſit anathema, D ut Dominum noſtrum Jeſum Chriſtum Dei filium relinquens, & idololatrarum ſententiæ appropinquans.

Canon XXXVI.

Quod non oportet ſacratos vel Clericos, eſſe magos, vel incantatores, vel mathematicos, vel aſtrologos, vel facere quæ dicuntur Phylacteria, quæ quidem ſunt ipſarum animarum vincula: eos autem qui ferunt, ejici ex Eccleſia juſſimus.

E Bals. Præſens Canon iis, qui ſunt ſacrati, prohibet, ne ſint magi, vel incantatores, vel mathematici, vel aſtrologi: & eos, qui ferunt phylacteria, excommunicatione condemnat. Sunt itaque magi, qui ad Satanam propter aliquam cauſam accedunt. Incantatores autem, præſtigiatores, qui carmina ſeu incantationes dicunt, & per ea dæmones ad ſuam voluntatem attrahunt. Mathematici, qui opinantur corpora cœleſtia habere univerſi dominationem, omniaque noſtra ab eorum motu adminiſtrari. Aſtrologi, qui per aſtra divinant, auxilium eis ferente dæmone, & eis credunt. Quia autem F ſunt quatuor mathemata, Arithmetica, Muſica, Geometria & Aſtronomia, ne dixeris etiam quatuor à Canone prohiberi; ſed ſolam Aſtronomiam. Et lege xxii. cap. xxxix. tit. lx. lib. Baſilic. quod dicit, Geometria quidem publicè docetur, Mathematica autem condemnatur, ut prohibita externa lege veteri. Dic Mathematicam, Aſtronomiam. Quomodo autem à legibus puniuntur magi, incantatores, & ejuſmodi, lege ejuſdem xxxix. tit. lx. libri cap. xxiii. & deinceps uſque ad finem. Quære & iii. cap. xii. tit. præſentis operis.

Zonar. Veneficiis atque incantationibus operam navare Clerici hoc Can. prohibentur. Sunt vero ἐπαοιδαὶ, id eſt, incantationes idem quod præſtigiæ. Ἀοιδὴ enim, id eſt, cantio ſeu carmen, tragœdia eſt. Præſtigiatores ergo carminibus quibuſdã ſive incantationibus dæmones ad ſe alliciunt, ac feras quoque & reptilia devinciunt. Sunt etiã, qui jumento ſuo extra urbem relicto, carminibus ita lupos obſtupefaciunt, ut nihil ab eis noxæ, quamvis unà degẽtibus animanti inferri queat; ex quo proinde forte illud ex ſacris literis uſurpare liceat; Paſcetur lupus cum agnis. Alii ſerpentes incantatos, ita manibus tractant, ut morſu tamen ab illis nequaquam appetantur. Sed Mathematicorum quoque aut Aſtrologorum diſciplinas ab iis, qui ſacro ordine initiati ſunt, exerceri non ſinit. Quatuor porro libri ſunt Mathematici nuncupati, quibus diſciplinæ quatuor Arithmetica, Muſica, Geometria, Aſtronomiáque continentur. Non igitur, ut puto, eos libros omnino legi; ſed nimium in eis ſtudium Can. adhiberi vetat. Si quis etenim unitatem non eſſe numerum, quamvis totius numeri effectricem, noverit, (numerus namque multitudo unitatum eſſe definitur; quapropter neque binarius numerus eſſe cenſetur, quod unitatum multitudine careat) ſi item ex binario, ſive compoſito, ſive repetito, nihil ſupra quaternariũ effici ſciat, (ſive enim bis duo, ſive duo & duo dixeris, non alius inde à quaternario numerus exiſtet) Numerorum quoque, qui impares ſint quive pares; quinam inæqualiter impares, qui vero æqualiter pares; quinam æqualiter impares, quique inæqualiter pares; qui deinde ex eis perfecti quique imperfecti; quinam plani, qui ſolidi, qui quadrati, cubive nominentur; tum vero quid ſit analogia, decémque illius formas, arithmeticam, geometricam, harmonicam, tum huic contrariam, aliáſque præterea, ac quæcunque demum hac diſciplina continentur; deinde ex Muſicis, quid ſit ſonus, quæ ſonorum intervalla complexionéſque, quid harmonia, quæ ſonorum appellationes, quid nete, hypate, parhypatéque ſignificent: nullam idcirco ex ea re fidei aut probitatis jacturam ſentiet. Verùm ſi hac cognitione imbutus, inſtrumenta quoque muſicæ artis adhibeat, cantiunculiſque laſciviens oblectetur: id demum à perſonæ Deo ſacratæ gravitate alienum fuerit. In Geometria quoque, ſi quis eodem modo, quid punctum ſit, quid linea, quid ſuperficies, quidve item figura; tum linearum, quæ recta, quæ curva, quæ ſinuoſa, quæ obliqua, quæ rotunda; angulorum præterea quinam rectilinei, qui ſecus; initium quoque figuræ planæ cujuſque eſſe trilaterum, quaſque in ſpecies id tribuatur tributúmque iterum dividatur, ac circulum figuram eſſe planam, quæque eum abſolvat lineam eſſe circumferentiam, quid porro centrum, quid diameter, quid ſector circuli, quid gnomonis nomine intelligendum; poſtremo circulum eſſe figurarum omnium initium, & cauſam, alia denique, ne in ſingulis percenſendis diutiùs immoremur, ſit edoctus; Tum in Aſtronomia, ſi quid ſphæra, quid centrum ejus, ac eſſe centrum veluti terram cœlo comparatam; ſi quid diameter, & quando Axis dicatur; ſi qua ratione in ſphæra Zodiacus jaceat, illi concentricus; ſi unde Planetarum motus, ut videtur inæqualis & reciprocus, cæteráque his conſequentia haud ignoret: nihilo præterea minus conſtanter erga fidei myſteria hominem affectum eſſe putandum eſt. Si quis vero hæc ita didicit, ut in eo diſciplinæ genere nimis curioſe ſit verſatus, ac ſimul cum cœli motibus noſtra quoque circumferri exiſtimans, tum centra collocat, tum ſigniferi orbis aſcenſus, ac delapſiones notat, domiciliique præſides, & figurarum loca, & ſtellarum terminos conſtituit, quæque ex his boni, quæve mali ominis ſint, noſſe, ſeque per ea quæ didicit eventus aliquos, tanquam ex illo aſtrorum motu neceſſario futuros, præſentire ac divinare poſſe arbitretur: id vero execrandum ſcelus eſt, ac à Synodo, ne quis ejuſmodi ſtudiis vacet, jure optimo conſtitutum.

A ΖΩΝΑΡ. Μαγείαις μετέρχεσθαι ἢ ἐπαοιδίαις τοὺς κεκληρωμένους ὁ κανὼν κωλύει, ἐπαοιδαὶ δὲ αἱ γοητεῖαί εἰσιν. ἀοιδὴ γὰρ ἡ τραγῳδία ἐστίν. οἱ γοῦν γόητες ἀοιδάς τινας ἤγουν ἐπῳδὰς λέγοντες, ἐφέλκονται δαίμονας, ἢ καὶ θηρία καταδεσμοῦσι, καὶ ἑρπετά. εἰσὶ γάρ τινες οἳ κτήνους ἔξω που τῆς ἐπαύλεως αὐτῶν καταλειφθέντας, δι' ἐπαοιδίας δεσμοῦσι τοὺς λύκους, ὥστε μὴ δύνασθαι αὐτοὺς βλάψαι τὸ ζῶον μετ' αὐτοῦ ἀναστρεφομένους, ὡς τάχα πληροῦσθαι τὸ τῆς γραφῆς, τό, συμβοσκηθήσεται λύκος μετὰ ἀρνός· καὶ ἄλλοι ὄφεις καταγοητεύουσι, καὶ τούτους μεταχειρίζονται, καὶ ἄδηκτοι ἐξ αὐτῶν μένουσιν. ἀλλ' οὐδὲ μαθηματικοὺς ἢ B ἀστρολόγους εἶναι τοὺς ἱερωμένους βούλεται. τέσσαρα δέ εἰσι τὰ βιβλία τὰ λεγόμενα μαθηματικά, ἀριθμητική, μουσική, γεωμετρία, καὶ ἀστρονομία· οὐ ταῦτα τοίνυν ἀναγνώσκειν ὁ κανὼν οἶμαι ἀπείργει, ἀλλὰ τὸ περιέργως αὐτοῖς κεχρῆσθαι. εἰ γάρ τις εἰδείη, ὅτι ἡ μονὰς ἀριθμὸς οὐκ ἔστι, καίτοι γεννητικὴ οὖσα παντὸς ἀριθμοῦ (ἀριθμὸς γὰρ, τὸ ἐκ μονάδων πλῆθος ὁρίζεται, δι' ὃν λόγον οὐδὲ ἡ δυὰς λέγεται ἀριθμός, ὅτι οὐκ ἔχει πλῆθος μονάδων) καὶ ὅτι ἡ δυὰς καὶ συντιθεμένη καὶ πολλαπλασιαζομένη τὸν τέσσαρα συνίστησιν ἀριθμόν, καὶ οὐ πλέον τι (δὶς γὰρ εἰπὼν τὰ δύο τέσσαρα συνάξεις, καὶ δύο καὶ δύο ἐπειπὼν, οὐκ ἄλλον ἀποτελέσεις ἀριθμόν, C ἀλλ' ἢ τὸν αὐτόν) καὶ τίνες τῶν ἀριθμῶν περιττοί, καὶ τίνες ἄρτιοι, καὶ τίνες περισσάκις περισσοί, καὶ τίνες ἀρτιάκις ἄρτιοι, καὶ τίνες ἀρτιάκις περιττοί· καὶ ποῖοι περισσάκις ἄρτιοι, καὶ τίνες τῶν ἀριθμῶν τέλειοι, τίνες δὲ ἀτελεῖς, ποῖοι δ' ἐπίπεδοι, καὶ ποῖοι λέγονται στερεοί, τίνες δ' εἰσὶ τετράγωνοι, καὶ τίνες καλοῦνται κύβοι, καὶ τί ἐστιν ἀναλογία, καὶ ὡς δέκα αὗται τὸν ἀριθμόν, καὶ ἡ μὲν ἀριθμητική, ἡ δὲ γεωμετρική, ἡ δέ τις ἁρμονική, ἡ δ' ἐναντία ταύτῃ καὶ αἱ λοιπαί, καὶ τἄλλα ὅσα τῷ μαθήματι τούτῳ ἐμπεριείληπται· εἰ δ' ἐπὶ τῆς μουσικῆς γνοίη τις, τίς μέν ἐστι φθόγγος, τί δὲ φθόγγων διάστημα, τί δὲ σύστημα, καὶ τί ἁρμονία, καὶ τὰς τῶν D φθόγγων προσηγορίας, καὶ τί μὲν νήτη, τί δ' ὑπάτη, καὶ παρυπάτη, οὐδὲν πρὸς πίστιν, οὐδὲ πρὸς βίον αὐτοῦ λυμανοῦνται. εἰ δὲ ταῦτα εἰδὼς, καὶ ὀργάνῳ κέχρηται μουσικῷ, καὶ τοῦτο μεταχειριζόμενος ᾄσματα ᾄδει, καὶ χαίρει τούτοις ἡδόμενος, τοῦτο ἱερωμένων ἀνάξιον. καὶ ἐπὶ τῆς γεωμετρίας εἴ τις αὖθις γινώσκοι, τί μὲν σημεῖόν ἐστι, τί δὲ γραμμή, καὶ τί ἐπιφάνεια, καὶ σχῆμα δὲ τί, καὶ τίς τῶν γραμμῶν εὐθεῖα, ποία δὲ καμπύλη, καὶ τίς ἑλικοειδής, τίς δὲ σκολιά, καὶ ποία περιφερής, καὶ τίνες τῶν γωνιῶν εὐθύγραμμοι, τίνες δὲ οὐ τοιαῦται, ὅτι ἀρχὴ τῶν ἐπιπέδων σχημάτων τὸ τρίπλευρον, καὶ εἰς πόσα τοῦτο διῄρηται, καὶ ὑποδιῄρηται, καὶ ὅτι ὁ κύκλος E σχῆμα ἐπίπεδον, καὶ ἡ τοῦτον ἀποτελοῦσα γραμμὴ περιφέρεια, καὶ τί μὲν κέντρον, τί δε διάμετρος, καὶ τίς ὁ τοῦ κύκλου τομεύς· ὁ γνώμων δὲ τίς, καὶ ὅπως ὁ κύκλος σχημάτων ἐστὶν ἁπάντων ἀρχὴ, καὶ πρωταίτιος, καὶ τἄλλα, ἵνα μὴ ἕκαστον καταλέγοιμεν. καὶ ἐπὶ τῆς ἀστρονομίας εἴ τις εἰδείη, τί μέν ἐστι σφαῖρα, τί δὲ κέντρον αὐτῆς, καὶ ὅτι κέντρον, ὥσπερ ἡ γῆ πρὸς τὸν οὐρανόν, καὶ τίς ἡ διάμετρος, καὶ πότε ἄξων λέγεται αὕτη, καὶ ὅπως πρὸς τὴν σφαῖραν ὁ ζῳδιακὸς κεῖται κύκλος, ὁμόκεντρος ταύτης ὤν, καὶ ὅθεν ἡ δοκοῦσα τῶν πλανήτων ἀνώμαλος γίνεται. καὶ παλινόρμητος κίνησις, καὶ τἄλλα, ὅσα τούτοις ἕπεται, οὐδὲν ἂν εἰς F τὸ τῆς πίστεως λυμανεῖται μυστήριον. εἰ δέ τις ταῦτα εἰδὼς περιεργότερον κέχρηται τῷ μαθήματι, καὶ ταῖς τῶν οὐρανίων κινήσεσι συμπεριφέρεσθαι πιστεύων τὰ ἡμέτερα, ἱστῇ τε τὰ κέντρα, καὶ τὰς ἀναφορὰς τε καὶ ἀνακλίσεις τοῦ ζῳοφόρου κύκλου καταμανθάνοι, οἰκοδεσπότας τε καὶ τόπους σχημάτων, καὶ ὅρια ὅσα τούτων ἀμείνω, καὶ ὅσα χείρονα, καί τινα τῶν ἐσομένων οἴεται προγινώσκειν ἐκ τούτων καὶ προμαντεύεσθαι, ὡς ἐξ ἀνάγκης συμβησομένων διὰ τὴν τοιάνδε κίνησιν τῶν ἄστρων, τοῦτό ἐστιν ἀποτρόπαιον, καὶ τοῦτο τῇ συνόδῳ καλῶς ἀπηγόρευται.

ΑΡΙΣΤ. Οὐκ ἔσται μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθηματικὸς, ἢ ἀστρολόγος, ἢ περιάπτης, ὁ ἱερατείαν ἐπαγγελλόμενος.

Εἰ γὰρ εὑρεθῇ τις τῶν ἱερωμένων τοιαύτην τινὰ κακοτεχνίαν μετερχόμενος, τῆς ἐκκλησίας ἐκβάλλεται.

ΚΑΝΩΝ λζʹ.

Οτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς.

ΚΑΝΩΝ ληʹ.

Οτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἄζυμα λαμβάνειν, ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

ΚΑΝΩΝ λθʹ.

Οτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν.

ΒΑΛΣ. Ανάγνωσον τῶν ἁγίων ἀποστόλων κανόνα οʹ. καὶ οαʹ. καὶ τῆς ἐν Καρθαγένῃ κανόνα ξʹ.

ΖΩΝΑΡ. Ο ἑβδομηκοστὸς κανὼν καὶ ὁ οαʹ. τῶν ἁγίων ἀποστόλων κωλύει πάντας συνεορτάζειν τοῖς Ἰουδαίοις, ἢ ξένια ἑορτῆς, ἄζυμα τυχὸν ἢ τοιοῦτόν τι δέχεσθαι παρ' αὐτῶν, ἢ ἔλαιον ἀπάγειν εἰς ἐθνῶν ἱερὸν, ἢ εἰς συναγωγὴν Ἰουδαίων, καὶ λύχνον ἅπτειν· τοὺς δὲ τοιοῦτόν τι ποιοῦντας, κληρικοὺς, καθαιρεῖσθαι κελεύει, λαϊκοὺς δὲ ἀφορίζεσθαι. ἐκ τούτων οὖν τῶν κανόνων καὶ οἱ τῆς συνόδου ταύτης ὁρμώμενοι, τοὺς παρόντας κανόνας ἐξεφώνησαν. ζήτει καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξʹ.

ΑΡΙΣΤ. Οὐ συνεορτάσεις Ἑβραίοις, ἢ αἱρετικοῖς. οὐδὲ δέξῃ τὰ καλούμενα παρ' αὐτῶν ἑορταστικά.

Οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος. διὰ τοῦτο γοῦν οὐδὲ τοῖς αἱρετικοῖς, ἢ τοῖς Ἰουδαίοις χριστιανὸς συνεορτάσει, οὐδὲ τὰ ἐν ταῖς ἑορταῖς αὐτῶν τελούμενα, οἷον ἄζυμα, ἤ τι τοιοῦτον ὑποδέξηται.

ΚΑΝΩΝ μʹ.

Οτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ διδάσκεσθαι, εἰς κατόρθωσιν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν. εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰτιάσεται· παρεκτὸς, εἰ μὴ δι' ἀνωμαλίαν ἀπολιμπάνοιτο.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίων συνόδων, ὅπως ὀφείλουσι γίνεσθαι, ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα λζʹ. συνόδου Νικαίας κανόνα εʹ. τῆς ἐν Ἀντιοχείᾳ κʹ. τῆς ἐν Χαλκηδόνι ιθʹ. τῆς ἐν Καρθαγένῃ ιζʹ. ογʹ. οϛʹ. ϟεʹ. τῆς ἐν τῷ Τρούλλῳ ηʹ. τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, ϛʹ. καὶ ὁ παρὼν δὲ κανὼν, τοὺς καλουμένους εἰς τὴν σύνοδον τοὺς ἐπισκόπους, διορίζεται μὴ καταφρονεῖν, ἀλλ' ἀπιέναι ἐξάπαντος, ἐφ' ᾧ τοὺς μὲν σοφωτέρους διδάσκειν, τοὺς δὲ ἁπλουστέρους μανθάνειν τὰ στηρίζοντα ἐκκλησίαν, ἤγουν τὸν λαὸν τοῦ θεοῦ, καὶ μετάγοντα πρὸς ὀρθοδοξίαν τοὺς λοιποὺς, ἤγουν τοὺς ἀπίστους. τοὺς μέντοι καταφρονητικῶς πρὸς τοῦτο διακειμένους, φησὶ μὴ γογγύζειν ἐὰν κατὰ τὴν περίληψιν τῶν ἑτέρων κανόνων ἐπιτιμηθῶσιν· ἀλλ' αἰτιάσθωσαν ἑαυτοὺς, ὅτι κατεφρόνησαν. ἀνωμαλίαν δὲ νοητέον, οὐ μόνον τὴν σωματικὴν νόσον, ἀλλὰ καὶ τὴν πραγματικὴν ἀσχολίαν. εἰ γὰρ διά τι ἀναγκαῖον καὶ εὔλογον ὁ ἐπίσκοπος ἐμποδισθῇ, συγγνωσθήσεται. τοῦ δὲ κανόνος διοριζομένου μὴ καταφρονεῖν τοὺς μετακαλουμένους ἐπισκόπους εἰς σύνοδον, εἰπὲ καὶ σὺ ὀφείλειν, ἐξ ἀνάγκης μετακαλεῖσθαι τούτους. χωρὶς γὰρ μετακλήσεως

A **Arist.** *Qui Sacerdotium profitetur, non erit Magus, vel Incantator, vel Mathematicus, vel Astrologus, vel ex iis qui Amuleta collis appendunt.*

Si enim deprehendatur quiſpiam malam hujuſmodi artem conſectari, Eccleſiâ ejicitur.

Canon XXXVII.

Quòd non oportet, quæ à Judæis vel hæreticis mittuntur feſtiva accipere, neque unà cum eis feſtum agere.

B

Canon XXXVIII.

Quòd non oportet à Judæis azyma accipere, vel eorum impietatibus communicare.

Canon XXXIX.

Quòd non oportet cum gentibus feſtum agere, & eorum impietati communicare.

C **Bals.** Lege ſanctorum Apoſtolorum Canonem lxx. & lxxi. & Carthag. Syn. Can. lx.

Zonar. Ne feſtos dies cum Judæis celebrare, neve xenia eorum celebritatis, azyma forte, aut ejus generis quidpiam ab eis accipere, aut oleum in templa Gentilium, Judæorúmve ſynagogam inferre, lychnumve accendere liceat, lxx. & lxxi. ſanctorum Apoſt. Can. conſtitutum eſt, quique aliquid ejuſmodi commiſerint, depoſitione Clericos, Laicos vero ſegregatione mulctari jubent. Illa igitur Apoſt. decreta reſpicientes, quæ horum Can. conſtitutionibus continentur Syn. auctores promulgavere. Vide etiam Carthag. Syn. lx. Canonem.

D **Arist.** *Feſta cum Hebræis, & Hæreticis non celebrabis. Nec feſtiva ab iis dicta accipies.*

Nulla eſt communio lucis cum tenebris. Idcirco nec cum hæreticis, nec cum Judæis feſtum celebrabit Chriſtianus, nec quæ in feſtis eorum peraguntur, ut azyma, aut aliquid tale accipiet.

Canon XL.

E *Quòd non oportet Epiſcopos ad Synodum vocatos, negligere; ſed abire, & docere vel doceri, ad correctionem Eccleſiæ & reliquorum. Si quis autem neglexerit, is ſeipſum accuſabit; præterquam ſi propter intemperiem & ægritudinem non veniat.*

F **Bals.** De annuis Synodis, quomodo debeant fieri, lege ſanctorum Apoſtolorum Can. xxxvii. Syn. Nicænæ Can. v. Antioch. xx. Chalced. xix. Carthag. xvii. lxxiii. lxxvi. xcv. Syn. in Trullo, viii. Nicænæ ſecundæ vi. Præſens quoque Canon, Epiſcopos, qui ad Synodum accerſuntur, decernit non oportere negligere, ſed omnino accedere, ut ſapientes quidem doceant, ſimpliciores verò diſcant ea, quæ confirmant Eccleſiam, ſive populum Dei, & reliquos ſcilicet infideles ad rectam de fide ſententiam traducant. Eos autem qui ad hoc ſe negligenter geſſerint, dicit murmurare non oportere, ſi ut aliis Canonibus comprehenditur, puniantur: ſed ſeipſos accuſent, quod neglexerunt. Per intemperiem verò intelligere oportet, non ſolùm morbum corporalem, ſed & negotiorum turbam. Si enim propter aliquid neceſſarium & juſtum Epiſcopus fuerit impeditus, ei venia dabitur. Cùm autem decernit Canon, Epiſcopos ad Concilium accerſitos negligere non oportere; dic eos etiam omnino accerſi debere. Abſq; enim evocatione

Metropolitani non debent convenire, ut vult xx. Canon Syn. Antioch. & hic præſens Canon. Docere autem vel doceri adjicitur, propter eos qui dicebant ſeipſos ſibi ſufficere ad omnis Eccleſiaſticæ quæſtionis diſſolutionem; & non debere adeſſe ad Syn. Etſi enim Epiſcopus nullas in ſua Eccleſia dubitationes habeat, & nec doctrina egeat; ſed tamen ut aliorum quæſtiones diſſolvat, & decretum magis confirmet, debet neceſſariò præſens eſſe.

τῶν μητροπολίτου οὐκ ὀφείλουσι συνέρχεσθαι κατὰ τὸν κ΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τὸν παρόντα. τὸ δὲ διδάσκειν ἢ διδάσκεσθαι πρόσκειται, διὰ τοὺς λέγοντας ἀρκεῖν αὐτοὺς ἑαυτοῖς εἰς παντὸς ἐκκλησιαστικοῦ ζητήματος διάλυσιν· καὶ μὴ ὀφείλειν παρουσιάζειν εἰς τὴν σύνοδον. κἂν γὰρ ἀμφιβολίαν τινὰ ὁ ἐπίσκοπος οὐκ ἔχῃ εἰς τὴν κατ' αὐτὸν ἐκκλησίαν, καὶ οὐδὲ διδασκαλίας δέηται, ἀλλ' ὅμως διὰ τὸ ἑτέρων ζητήματα λῦσαι, καὶ ἐπὶ πλέον στηρίξαι τὸ δόγμα, ὀφείλει ἐξ ἀνάγκης παρουσιάζειν.

Zonar. Quamvis hoc tempore decretum de annua Synodo ita negligatur, ut omnibus locis Synodi haberi omnino deſierint, tamen ut ea ſingulis annis in unaquaque provincia ne intermitteretur, id vero Sanctis Patribus, quorum auctoritate Can. editi ſunt, haud mediocri curæ fuit. Epiſcopos igitur, quicunque ad conventus Synodicos vocarentur, non parvi facere imperium, ſed in iis, inquiunt, ut doceantur, aut doceant, adeſſe jubent. Synodos enim, ob eas controverſias, quæ vel de veritate dogmatum, vel de mulctarum æquitate emergerent, aut ad alias canonicas quæſtiones excutiendas haberi decretum eſt. Ex iis igitur qui convenerant, qui quidem cæteros prudentia antecellebant, & quid credendum, & quæ cuique peccato pœna irroganda, quoque modo ex præſcripto Can. reliqua adminiſtranda eſſent docebant. Alii vero rudiores, minúſque in dicendo exercitati, docebantur. Quæ vero tum docebant, tum docebantur, ad rectam Eccleſiæ adminiſtrationem, aliorumque emendationem pertinebant. Recta porro adminiſtratio, atque emendatio, ad fidei puritatem, morumque integritatem referri debet. Eccleſiæ vero nomine fidelium conventum, alios vero, hæreticos ſcilicet aut infideles intelligas. Nam his quoque veritatis lumen præferri, atque ad Evangelici inſtituti iter ingrediendum ſemitam præmonſtrari decet. Hinc minas iis qui in Syn. non adfuerint, Canon intentat. Qui quidem ſi conſtitutas pœnas, aliáſque forte graviores dependere cogentur, niſi cum aliqua perturbatione impediti non venerint, ſeipſi, inquit, accuſent. Perturbationis autem nomine, non corporis ſolum intemperies, ægritudo videlicet, ſed negotiorum quoque moleſta occupatio intelligi debet, proindéque Epiſcopum, quamvis nulla infirmitas valetudinis, ſed ſola Eccleſiaſtici negotii cura neceſſaria hominem detinuerit, excuſari placet.

ΖΩΝΑΡ. Εἰ καὶ νῦν τὸ τῶν ἐτησίων συνόδων πάντη καταπεφρόνηται, ὡς μηδέποτε γίνεσθαι, ἀλλά γε τοῖς τοὺς κανόνας ἐκθεμένοις ἁγίοις τὸ γίνεσθαι συνόδους καθ' ἑκάστην ἐπαρχίαν ἐτησίως, πολλῆς φροντίδος ἠξίωτο. διὸ καὶ τοὺς ἐπισκόπους καλουμένους εἰς τὰς συνόδους ἀπιέναι διακελεύονται, ἵνα διδάσκωσιν ἢ διδάσκωνται. αἱ γὰρ σύνοδοι διὰ ἀμφιβολίας ἀναφυομένας περὶ δογμάτων ἢ ἐπιτιμίων ἁμαρτήμασι προσηκόντων, ἢ κανονικῶν ἑτέρων ζητήσεων ὡρίσθησαν γίνεσθαι. τῶν γοῦν συνερχομένων οἱ μὲν λόγιοι ἐδίδασκον περὶ τούτων, οἱ δ' ἁπλούστεροι, καὶ ἀφελέστεροι πρὸς τὸν λόγον ἐδιδάσκοντο· ἃ δ' ἐδίδασκόν τε καὶ ἐδιδάσκοντο, εἰς κατόρθωσιν ἦσαν τῆς ἐκκλησίας καὶ τῶν λοιπῶν. κατόρθωσιν δὲ, τὴν ὀρθὴν πίστιν καὶ διαγωγὴν ὀνομάζει, ἐκκλησίαν δὲ τὸ τῶν πιστῶν φησὶν ἄθροισμα, λοιποὺς δὲ, τοὺς αἱρετικοὺς, ὥστε κἀκείνους εἰς πίστιν ὀρθὴν ὁδηγηθῆναι διὰ τῆς διδαχῆς, καὶ εἰς εὐαγγελικὴν πολιτείαν. εἶτα φησὶν ὁ κανὼν, ὅτι ἑαυτοὺς αἰτιάσθωσαν, εἰ ἐπιτιμηθῶσιν οἱ μὴ ἀπερχόμενοι εἰς τὰς συνόδους, εἰ μὴ δι' ἀνωμαλίαν ἀπολειφθῶσιν. ἀνωμαλίαν δὲ νοητέον οὐ μόνον σωματικὴν, οἷον νόσον, ἀλλὰ καὶ πραγματικήν. εἰ γὰρ καὶ μὴ νοσήσειεν ὁ ἐπίσκοπος, ἔχοι δέ τι ἕτερον περὶ ἐκκλησιαστικὰ πράγματα ἀσχολεῖσθαι αὐτὸν ἀναγκάζον, συγγνωσθήσεται.

Arist. *Qui ad Synodum vocatur, & ſpernit, præterquam ob intemperantiam, culpa non vacat.*

ΑΡΙΣΤ. Ὁ καλούμενος ἐπὶ σύνοδον, καὶ ἀθετῶν, εἰ μὴ δι' ἀνωμαλίαν, οὐκ ἀναίτιος.

Propter incidentes controverſias Eccleſiaſticas & quæſtiones canonicas, decretum eſt omnium cujuſque provinciæ Epiſcoporum Syn. quotannis haberi, ubi Metropolis Epiſcopus ſtatuerit. Si itaq; cum ſic conveniunt, Epiſcopus aliquis vocatus convenire non vult, ſe in criminationem ducit, & à Syn. pœnis ſubjiciatur; niſi forſitan non per contemptum ſed propter morbum aut aliam circumſtantiam ad vitam pertinentē advenire non poteſt.

Διὰ τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀμφιβολίας, καὶ τὰ κανονικὰ ζητήματα, ὡρίσθη σύνοδον πάντων τῶν ἐπισκόπων ἑκάστης ἐπαρχίας κατ' ἐνιαυτὸν γίνεσθαι, ἔνθα ἂν ὁ τῆς μητροπόλεως ὁρίσῃ ἐπίσκοπος. εἰ οὖν ἐν τῇ συνελεύσει ταύτῃ καλούμενός τις τῶν ἐπισκόπων συνελθεῖν οὐ θελήσῃ, ἑαυτὸν ὑπὸ αἰτίασιν τίθησι, καὶ ἐπιτιμηθήσεται παρὰ τῆς συνόδου· εἰ μή που οὐ διὰ καταφρόνησιν, ἀλλὰ διὰ νόσον ἢ ἄλλην τινὰ βιωτικὴν περίστασιν παρουσιάσαι οὐκ ἴσχυσε.

Canon XLI.

Quod non oportet ſacratum, vel Clericum, ſine juſſu Epiſcopi iter ingredi.

ΚΑΝΩΝ μα΄.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως ἐπισκόπου ὁδεύειν.

Bals. De Clericis & Monachis, qui præter ſuorum Epiſcoporum mentem peregrinantur, lege cap. ii. primi tituli iii. lib. Baſil. quod ita dicit; Qui falſum crimen adverſus Epiſcopum intendit, xxx. libras auri fiſco pendat: confirmentur autem omnia Eccleſiaſtica Privilegia; nec omnino Clericus vel Monachus exiſtimetur, qui ſine proprio Epiſcopo comitatum accepit. Lege ſimiliter & ultimum reſponſum quinti capitis xxii. tituli vi. lib. Baſil. quod quidem eſt pars ſextæ Juſtiniani Novellæ, & ſic dicit; Nec Monachum, nec Clericum, nec Epiſcopum huc venire jubemus, ſine literis ſanctiſſimi eorum Patriarchæ: vel ſciant, quòd ſeipſos habitu indignos reddent.

ΒΑΛΣ. Περὶ κληρικῶν καὶ μοναχῶν ἀποδημούντων παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων, ἀνάγνωθι κεφ. β΄. τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλ. τῶν βασιλικῶν, οὕτω λέγον· ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον, τριάκοντα χρυσίου λίτρας προστιμάσθω τῷ δημοσίῳ· βεβαιούσθω δὲ τὰ ἐκκλησιαστικὰ ἅπαντα προνόμια, καὶ μὴ νομιζέσθω ὅλως κληρικὸς ἢ μοναχὸς ὁ συλλαβὼν ἄνευ τοῦ οἰκείου ἐπισκόπου, τὸ κομιτάτον κατειληφώς. ὡσαύτως ἀνάγνωθι καὶ θέμα τελευταῖον τοῦ ε΄. κεφ. τοῦ κβ΄. τίτλου τοῦ ϛ΄. βιβλ. τῶν βασιλικῶν, ὅπερ ἐστὶ μέρος τῆς ϛ΄. Ἰουστινιανείου νεαρᾶς, καὶ οὕτω φησίν· οὔτε δὲ μοναχὸν οὔτε κληρικὸν οὔτε ἐπίσκοπον κελεύομεν ἔρχεσθαι ἐνταῦθα ἄνευ γραμμάτων τοῦ ὁσιωτάτου αὐτῶν πατριάρχου, ἢ εἰδέτωσαν, ὡς ἀναξίους ἑαυτοὺς τοῦ σχήματος ποιήσουσι.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ μβ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν.

ΒΑΛΣ. Καὶ ἕτεροι κανόνες διορίζονται μὴ ἀποδημεῖν κληρικοὺς ἄνευ κανονικῶν γραμμάτων, τουτέστι συστατικῶν καὶ ἀπολυτικῶν ἐπιστολῶν· καὶ οἱ παρόντες δὲ κανόνες τὰ αὐτὰ διορίζονται· ἱερατικοὶ μέντοι εἰσὶν, οἱ περὶ τὸ βῆμα, κληρικοὶ δὲ, οἱ λοιποί. ἀνάγνωθι τὸν ι'. κανόνα τῆς δ'. συνόδου, τῶν ἁγίων ἀποστόλων καν. ιβ'. καὶ τῆς ἐν Ἀντιοχείᾳ καν. ζ'. η'. καὶ ια'.

B

ΖΩΝΑΡ. Ἱερατικοὺς μὲν, τοὺς, περὶ τὸ βῆμά φησι, κληρικοὺς δὲ τοὺς λοιπούς. τούτους οὖν ἀπιέναι ποι μέλλοντας, καὶ ἀποδημῆσαι τῆς ἐν ᾗ κατελέχθησαν ἐκκλησίας, οὐ συγχωρεῖ ὁ κανὼν ἄνευ γνώμης τοῦ ἐπισκόπου ὁδεύειν. εἴρηται δὲ ἤδη περὶ γραμμάτων εἰρηνικῶν καὶ συστατικῶν ἐν τῷ ια'. κανόνι τῆς δ'. συνόδου. ταύτας οὖν τὰς ἐπιστολὰς τὰς εἰρηνικάς τέ φημι καὶ συστατικὰς κανονικὰ γράμματα ἐνταῦθα ὠνόμασεν.

ΑΡΙΣΤ. Κληρικὸς, χωρὶς κανονικῶν ἐπιστολῶν, ἢ ἀνεπίτακτος, οὐ περίεισι. C

Οὐ συγχωροῦνται παρὰ τῶν ἱερῶν κανόνων οἱ ξενοχειροτόνητοι παραδέχεσθαι, συστατικὰ μὴ ἐπιφερόμενοι γράμματα· καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ὁδεύειν αὐτοὺς μετὰ γραμμάτων κανονικῶν, ὥσπερ δὴ καὶ τοὺς κεκληρωμένους ἐν ἑκάστῃ ἐκκλησίᾳ, μετὰ γνώμης καὶ κελεύσεως τοῦ ἰδίου ἐπισκόπου, εἰς ἑτέραν πόλιν καὶ ἐπαρχίαν ὁδεύειν.

ΚΑΝΩΝ μγ'.

Ὅτι οὐ δεῖ ὑπηρέτας, κἂν πρὸς βραχὺ, τὰς θύρας ἐγκαταλείπειν, καὶ τῇ εὐχῇ σχολάζειν. D

ΒΑΛΣ. Εἰρήκαμεν ἐν τῷ κβ'. κανόνι, ὑπηρέτας τοὺς ὑποδιακόνους, καὶ ἔχειν αὐτοὺς πᾶσαν ἀνάγκην τῶν ἁγίων ἐκκλησιῶν θύραις ἐφίστασθαι κατὰ τὸν τῆς λειτουργίας καιρὸν, χάριν τοῦ εἰσάγειν τε καὶ ἐξάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιπούς. ἐπεὶ οὖν τινες ἐκ τούτων τὴν ἀνατεθειμένην αὐτοῖς διακονίαν καταλιπόντες ἥπτοντο τῶν θείων ἁγιασμάτων, ὥρισαν οἱ πατέρες, παρὰ ταῖς θύραις τῶν ἐκκλησιῶν τούτους προσεδρεύειν, καὶ μὴ μεταχειρίζεσθαι τὰ θεῖα μυστήρια, καὶ εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ κατὰ ἱερεῖς. ἀνάγνωθι καὶ τὸν κα'. καὶ τὸν κβ'. κανόνα, καὶ τὰ ἐν αὐτοῖς. E

ΖΩΝΑΡ. Ὑπηρέτας τοὺς ὑποδιακόνους εἶναι φασί. τοὺς δὲ ὑποδιακόνους ταῖς θύραις τῶν ἁγίων ἐκκλησιῶν ἐφίστασθαι ὥριστο. τούτους οὖν ἐν τῷ τῆς λειτουργίας καιρῷ, οὐ χρή, φησὶν ὁ κανὼν, τὰς θύρας ἀφιέναι καὶ εὐχῇ σχολάζειν. τὸ γὰρ εὔχεσθαι τότε, καὶ ἁγιάζειν τὰ θεῖα δῶρα τῶν ἱερέων ἐστίν. ὥσπερ οὖν ἐκωλύθησαν ὠράρια φορεῖν οἱ ὑπηρέται, ἢ ἅπτεσθαι δεσποτικῶν σκευῶν, κατὰ τὸν κα'. καὶ κβ'. κανόνα. οὕτως ἐκωλύθησαν καὶ εὐχῇ σχολάζειν. καὶ ἀναγνωστέον τὰ γεγραμμένα ἐν τῷ κβ'. κανόνι. F

ΑΡΙΣΤ. Ὑπηρέτην οὐ δεῖ τὰς θύρας, κἂν βραχὺ, ἀφέντα προσεύχεσθαι.

Ἐν ταῖς ἱεραῖς λειτουργίαις οὐ δεῖ τὸν ὑπηρέτην καταλιπεῖν τὰς θύρας τοῦ θυσιαστηρίου, κἂν βραχὺ, καὶ τῇ εὐχῇ σχολάζειν. ἵνα μὴ εὑρίσκηται τῆς ἐπικειμένης αὐτῷ ὑπηρεσίας καταφρονῶν, καὶ προτιμώμενος τὴν ἰδίαν εὐχὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως.

CANON XLII.

Quòd non oportet ſacratos vel Clericos, ſine literis canonicis iter ingredi.

Bals. Alii quoque Canones decernunt, non debere Clericos peregre proficiſci ſine canonicis literis, hoc eſt, commendatitiis & dimiſſoriis Epiſtolis: Et præſentes etiam Canones eadem decernunt. Sunt autem ſacrati ii, qui ſunt circa ſacrum tribunal: Clerici verò reliqui. Lege x. Can. iiii. Syn. ſanctorum Apoſtolorum Can. xii. & Antioch. Syn. Can. vii. viii. & xi.

Zonar. Sacratos quidem, eos qui circa ſacrarium verſantur, Clericos vero alios omnes appellat. Eos igitur, ſi aliquo profecturi ſint, & ab Eccleſia cui adſcripti ſunt migraturi, abſque Epiſcopi facultate ingredi Canon haud ſinit. Diximus vero jam de pacificis, & commendatitiis literis, quartæ Synodi xi. Canone. Has ergo Epiſtolas, pacificas, inquam, & commendatitias, Canonicas literas hoc loco, quod ex decreto Canonis traderentur, nominavit.

Arist. *Clericus ſine literis Canonicis, vel injuſſus, iter non ſuſcipit.*

Non permittuntur à ſacris Canonibus qui in alienâ provinciâ ordinati ſunt, admitti, commendatitias non afferentes literas. Et idcirco neceſſe eſt eos cum literis canonicis iter facere, ut & omnes Clericos in unaquâque Eccleſiâ cum ſui Epiſcopi voluntate & mandato ad aliam civitatem & provinciam proficiſci.

CANON XLIII.

Quòd non oportet miniſtros, vel brevi tempore, fores relinquere, & orationi vacare.

Bals. Diximus in xxii. Can. miniſtros eſſe Subdiaconos, & eos neceſſariò oportere ſanctarum Eccleſiarum foribus adſiſtere tempore ſacra myſteria peragendi, ut introducant & educant Catechumenos, & eos qui ſunt in pœnitentia, & reliquos. Quia ergo nonnulli ex iis relicto ſibi attributo miniſterio, ſacramenta attingebant; ſtatuerunt Patres, ut ii Eccleſiæ foribus aſſideant, & divina myſteria non contrectent, nec pro populo precentur inſtar Sacerdotum. Lege xxi. & xxii. Canonem, & quæ ſunt in ipſis.

Zonar. Miniſtri quos Hypodiaconos eſſe aſſerunt, ſanctarum Eccleſiarum foribus aſſiſtere decreto jubebantur. Eos igitur, inquit Canon, quo tempore ſacra myſteria peraguntur, à ſua ſtatione diſcedere precationique vacare nequaquam oportet. Preces namque tunc temporis fundere, ac ſanctitatem divinis muneribus impertiri ſacerdotio initiati debent. Ut ergo xxi. & xxii. Canone miniſtris Orarium deferre, vaſaque Dominica contrectare, ita & precationis muneris obire ne liceat, interdictum eſt. Vide quæ xxii. Canone allato ſcripſimus.

Arist. *Miniſtrum foribus vel brevi tempore relictis, orare non oportet.*

In ſacris miniſteriis non oportet miniſtrum altaris fores relinquere vel brevi tempore, & precibus vacare. Ne quis inveniretur miniſterium ſibi commiſſum contemptui habere, & Eccleſiaſticæ conſtitutioni propriam anteponere orationem.

CANON XLIIII.

Quòd non oportet mulierem ad altare ingredi.

Bals. Præſens quidem Canon prohibet mulieres ad altare ingredi: ſexageſimus autem nonus Canon Syn. in Trullo prohibet Laicis, ne ad altare ingrediantur. In Latinorum autem regionibus mulieres ſine pudore ad altaria, quando volunt, ingrediuntur.

Zonar. Si Laici viri quoque altaris ſepta ingredi ſextæ Syn. ix. & lx. Can. vetantur, fœminas multo magis, quæ menſtrui ſanguinis fluxu vel invitæ pollui ſolent, ſacri loci aditu prohiberi putandum eſt.

Arist. *Mulieribus altare inacceſſum.*

Non licet mulieribus, ſed nec Laicis hominibus, altare ingredi, ut ſexageſimus nonus Synodi in Trullo Canon jubet.

CANON XLV.

Quòd non oportet poſt duas hebdomadas Quadrageſimæ ad baptiſmum admitti.

Bals. Sanctum baptiſma eſt typus ſepulturæ & reſurrectionis Domini. Et ideo ſtatutum eſt, ut in magno Sabbato peragantur baptiſmata; ut quod ſit medium inter ſepulturam Domini & reſurrectionem. Eos ergo, qui in magno Sabbato ſunt baptizandi, oportet tota Quadrageſima per jejunium & divinam meditationem perpurgari. Si quis autem poſt ſecundam hebdomadem acceſſerit ut catechizetur & baptizetur in Paſchate, non admittetur, ut qui non tota Quadrageſima jejunarit. Et tunc quidem ob ejuſmodi cauſam non admittetur: Poſtea autem ut volunt Canones præparatus, baptizabitur. Illud enim, Non oportet admitti, non eſt indiſtinctè intelligendum, ſed in magno Sabbato.

Zonar. Magno Sabbato baptiſma celebrari, antiqua Eccleſiæ conſuetudine eſt receptũ: eſt namque baptiſma ſepulturæ & reſurrectionis Dominicæ typus. Medium autem inter ſepulturã & reſurrectionem Domini Sabbatum illud intercedit. Quicunque igitur ſe parant, ut magno Sabbato baptizentur, totum Quadrag. tempus jejuniis trãſigere, exercitationibúſque divinis purgatos, ad baptizandum accedere oportet. Si quis autem ii. hebdomada elapſa baptizandus accedat; nequaquam is Paſchali tempore, niſi xl. dierum jejunio expiatus, ad baptiſmũ admitti debet; quo demum exacto, baptizari deinde hominem tunc quidem licebit. Nam illa verba; Non oportet admitti, non indiſtinctè accipienda, ſed propriè de magno Sabbato intelligenda ſunt.

Arist. *Poſt duas quadrageſimæ hebdomadas ad illuminationem quoſvis admitti non oportet, ab ipſo enim principio jejunare debent.*

Hic Canon dupliciter poteſt intelligi, vel quod qui poſt duas Quadrageſimæ hebdomadas præterlapſas ad fidem accedunt, & jejunare incipiunt, in magno Sabbato baptiſmo digni non habebuntur, ut illi qui ab initio iſtius Quadrag. exercitationem oſtenderunt, & ſufficienter jejunarunt, vel quod ſi ante Quadrageſimam ad fidem quilibet acceſſerunt, & jejunare cœperunt, deinde priuſquam baptiſmo cenſeantur digni advenit Quadrageſima, non expectabunt magnum Sabbatum ut illuminentur; Quemadmodum & qui ab initio iſtius Quadrageſimæ jejunare inceperunt, ſed uſque ad duas ſeptimanas ſi ſatis jejunarunt, baptiſmo digni cenſeantur. Si autem poſt elapſas duas Quadrageſimæ ſeptimanas ſufficienter jejunaſſe non videntur, non illuminentur, ſed expectabunt

A

ΚΑΝΩΝ μδ′.

Ὅτι οὐ δεῖ γυναῖκα ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν κωλύει τὰς γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι· ὁ δὲ ξθ′. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἀπαγορεύει τοῖς λαϊκοῖς τὴν ἔνδον τοῦ θυσιαστηρίου εἴσελευσιν. εἰς μέντοι τὰ μέρη τῶν Λατίνων ἀνερυθριάστως αἱ γυναῖκες ἐν τοῖς θυσιαστηρίοις ὅτε βούλονται εἰσέρχονται.

ΖΩΝΑΡ. Εἰ λαϊκοῖς ἀνδράσιν ἀπηγόρευται ἔνδον εἰσιέναι θυσιαστηρίου κατὰ τὸν ξθ′. κανόνα τῆς ἕκτης συνόδου, B πολλῷ μᾶλλον ἂν εἴη γυναιξὶν ἀπηγορευμένον, αἷς καὶ ἡ τῶν ἐμμήνων αἱμάτων ῥύσις ἀπροαιρέτως συμβαίνει.

ΑΡΙΣΤ. Γυναιξὶ τὸ ἱλαστήριον ἄβατον.

Οὐκ ἔξεστι γυναιξὶν, ἀλλ' οὐδὲ λαϊκοῖς ἀνδράσιν, εἰς τὸ θυσιαστήριον εἰσέρχεσθαι. ὡς ὁ ἑξηκοστὸς ἔννατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου προστάττει.

ΚΑΝΩΝ με′.

C Ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα.

ΒΑΛΣ. Τὸ ἅγιον βάπτισμα τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ κυρίου τύπος ἐστί. διὸ καὶ νενομοθέτηται ἐν τῷ μεγάλῳ σαββάτῳ τὰ βαπτίσματα τελεῖσθαι, ὡς μεσιτεύοντι τὴν κυριακὴν ταφὴν καὶ ἀνάστασιν. τοὺς οὖν μέλλοντας φωτισθῆναι κατὰ τὸ μέγα σάββατον, δεῖ τὴν πᾶσαν τεσσαρακοστὴν προκαθαίρεσθαι διὰ νηστείας καὶ ἀσκήσεως. εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ κατηχηθησόμενος, καὶ βαπτισθησόμενος κατὰ τὸ πάσχα, οὐ προσδεχθήσεται, ὡς μὴ ὅλην τὴν τεσσαρακοστὴν νηστεύσας. καὶ τότε μὲν διὰ τὴν D τοιαύτην αἰτίαν οὐ προσδεχθήσεται· μετὰ ταῦτα δὲ κατὰ κανόνας ἑτοιμασθεὶς, βαπτισθήσεται. τὸ γὰρ, οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως νοητέον, ἀλλὰ κατὰ τὸ μέγα σάββατον.

ΖΩΝΑΡ. Ἐν τῷ μεγάλῳ σαββάτῳ ἐξ ἔθους ἡ ἐκκλησία ποιεῖν βαπτίσματα παρέλαβεν, ὅτι τὸ βάπτισμα, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ κυρίου τύπος ἐστί. τὸ δὲ σάββατον ἐκεῖνο μέσον ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως. τοὺς οὖν ἑτοιμαζομένους φωτισθῆναι ἐν τῷ μεγάλῳ σαββάτῳ δεῖ τὴν πᾶσαν τεσσαρακοστὴν νηστεύειν τε καὶ προκαθαίρεσθαι δι' ἀσκήσεως, καὶ E οὕτως προσιέναι τῷ φωτίσματι. εἰ δέ τις μετὰ τὴν δευτέραν ἑβδομάδα προσέλθῃ βαπτισθησόμενος, οὐ δεῖ αὐτὸν προσδέχεσθαι εἰς τὸ βάπτισμα κατὰ τὸ πάσχα, ὡς μὴ ὅλην τὴν τεσσαρακοστὴν νηστεύσαντα, μετὰ ταῦτα δὲ βαπτισθήσεται. τὸ γὰρ, οὐ δεῖ δέχεσθαι, οὐκ ἀδιαστίκτως, ἀλλὰ κατὰ τὸ μέγα σάββατον νοητέον.

ΑΡΙΣΤ. Οὐ δεῖ μετὰ δύο τῆς τεσσαρακοστῆς ἑβδομάδας, εἰς τὸ φώτισμα δέχεσθαι. ὀφείλουσι καὶ γὰρ ἀπ' ἀρχῆς αὐτῆς νηστεύειν.

Ὁ κανὼν οὗτος διττῶς δύναται νοηθῆναι· ἢ ὅτι οἱ μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς τεσσαρακοστῆς προσερχόμενοι τῇ F πίστει, καὶ ἀρξάμενοι νηστεύειν, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ἐν τῷ μεγάλῳ σαββάτῳ, ὡς καὶ οἱ ἐξ ἀρχῆς αὐτῆς τῆς τεσσαρακοστῆς τὴν ἄσκησιν ἐνδειξάμενοι, καὶ ἀρκούντως νηστεύσαντες· ἢ ὅτι, ἐὰν πρὸ τῆς τεσσαρακοστῆς προσῆλθόν τινες τῇ πίστει, καὶ ἤρξαντο νηστεύειν, εἶτα πρὸ τοῦ ἀξιωθῆναι τοῦ βαπτίσματος, ἐπέστη ἡ τεσσαρακοστὴ, οὐκ ἀναμένουσι τὸ μέγα σάββατον ἐπὶ τῷ φωτισθῆναι. καθὼς καὶ οἱ ἀπ' ἀρχῆς αὐτοὺς τῆς τεσσαρακοστῆς νηστεύειν ἀρξάμενοι. ἀλλ' ἄχρι μὲν δύο ἑβδομάδων, εἰ ἱκανῶς ἐνήστευσαν, ἀξιωθήσονται τοῦ βαπτίσματος. εἰ δ' οὐκ ἔδοξαν αὐτάρκως νηστεῦσαι μετὰ παραδρομὴν δύο ἑβδομάδων τῆς τεσσαρακοστῆς, οὐ φωτισθήσονται, ἀλλ' ἀναμένουσι καὶ αὐτοί, μετὰ τῶν μελλόντων τῷ μεγάλῳ βαπτισθῆναι σαββάτῳ· ὡς ἐκείνων μόνων ὄντων δεκτῶν τῶν ἐξ ἀρχῆς αὐτῆς τῆς τεσσαρακοστῆς νηστευόντων· οἷα τῆς αὐτῶν ἀσκήσεως τελείας οὔσης καὶ οὐκ ἀπεσχεδιασμένης.

ΚΑΝΩΝ μϛʹ.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν, ἀπαράλλακτός ἐστι κανὼν οηʹ. τῆς ϛʹ. συνόδου. καὶ ἡρμηνεύθη ἐκεῖ.

ΚΑΝΩΝ μζʹ.

Ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ βάπτισμα εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

ΒΑΛΣ. Τινὲς ἄπιστοι πρὸ τοῦ κατηχηθῆναι ἐβαπτίσθησαν διὰ περιστατικὴν νόσον. ἔλεγον οὖν τινες, ὡς ἐπεὶ οὐκ ἔφθασαν βαπτισθῆναι μετὰ τὸ κατηχηθῆναι κατὰ κανόνας, ὀφείλουσι κατηχηθῆναι, καὶ αὖθις φωτισθῆναι. ἐχρῶντο δὲ καὶ τῷ ιβʹ. κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τῷ μὴ παραχωροῦντι τὸν διὰ νόσον φωτισθέντα, ἀλογοπραγήτως ἱερέα γίνεσθαι. φασὶν οὖν οἱ πατέρες, ὡς ἐκ δευτέρου μὲν οὐ βαπτισθήσεται, ἀναγκασθήσεται δὲ μετὰ τὴν ὑγείαν μαθεῖν τὴν πίστιν, καὶ τὸ μυστήριον τοῦ φωτίσματος, καὶ εἰδέναι ὅτι θείας δωρεᾶς κατηξιώθησεν, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ἧς διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχεν.

ΖΩΝΑΡ. Βούλεται ὁ κανὼν τοὺς βαπτισθῆναι μέλλοντας, ἐν εἰδήσει τῶν καθ' ἡμᾶς μυστηρίων ὄντας, βαπτίζεσθαι, διὸ τοὺς κατηχουμένους ἀπαγγέλλειν κελεύει, ἐν μιᾷ ἡμέρᾳ τῆς ἑβδομάδος, ἃ διὰ τῆς ἑβδομάδος ἔμαθον, τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις. εἰ δέ τις νοσῶν καὶ περὶ τὴν ζωὴν κινδυνεύων βαπτισθῇ πρὸ τοῦ μαθεῖν τὴν πίστιν καὶ ἀπαγγεῖλαι, ὡς εἴρηται, εἶτα τῆς νόσου ἀπαλλαγῇ, καὶ οὕτως ἐκμανθάνειν αὐτὸν δεῖ τὸ μυστήριον, καὶ εἰδέναι, ὅτι θείας δωρεᾶς κατηξιώθη, ἤγουν τῆς ἐπιγνώσεως τοῦ ἀληθῶς καὶ κυρίως θεοῦ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος ἔτυχεν. οὐ γὰρ διὰ σπουδῆς οἰκείας τῶν πταισμάτων λυτρούμεθα, ἀλλὰ δωρεᾷ καὶ χάριτι θεοῦ.

ΑΡΙΣΤ. Εἴποι τὴν πίστιν τῷ ἐπισκόπῳ, ἢ πρεσβυτέρῳ, τῇ πέμπτῃ τῆς ἑβδομάδος, ὁ βαπτιζόμενος. εἴποι καὶ ὁ ἐν νόσῳ μετὰ βραχύ.

Ὁ προσερχόμενος τῇ ἐκκλησίᾳ ἐπὶ τῷ βαπτισθῆναι, τὴν πίστιν ἐκμανθανέτω· καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγελλέτω ταύτην τῷ ἐπισκόπῳ, ἢ πρεσβυτέρῳ. οὐ γὰρ δεῖ προχείρως αὐτοὺς βαπτίζειν, καὶ πρὸ τοῦ μυηθῆναι τὴν πίστιν. ὁ νοσῶν, καὶ ζητῶν βαπτισθῆναι, βαπτιζέσθω. εἶτα τῆς νόσου ἀναστὰς, ἐκμανθανέτω τὴν πίστιν, καὶ γινωσκέτω, ὅτι θείας κατηξιώθη χάριτος.

ΚΑΝΩΝ μηʹ.

Ὅτι δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ θεοῦ.

ΒΑΛΣ. Χρίσμα ἐκάλεσεν ὁ κανὼν τὸ ἅγιον μύρον καὶ οὐχ ἁπλῶς χρίσμα, ἀλλὰ ἐπουράνιον, ὡς διὰ τῶν ἁγίων εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου πνεύματος ἁγιαζόμενον, καὶ ἁγιάζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τῶν οὐρανῶν. φησὶν οὖν τοὺς φωτιζομένους διὰ τούτου χρίεσθαι καὶ ἁγιάζεσθαι. ὅπως μέντοι παρεδόθη τὸ ἅγιον μύρον, καὶ δι' ἣν αἰτίαν, δηλοῦται ἀπὸ τῶν κατηχητικῶν βίβλων. τινὲς δὲ λέγουσι γίνεσθαι τοῦτο κατὰ ἀκολουθίαν ἐκείνου τοῦ μύρου, τοῦ διὰ τῆς πόρνης χυθέντος εἰς τοὺς πόδας τοῦ κυρίου

A & ipſi cum iis qui magno Sabbato baptizati erunt: adeo ut illi ſoli ſint recipiendi, qui ab initio iſtius quadrageſimæ jejunarunt, quippe quod eorum exercitatio perfecta eſt & non ex tempore facta.

CANON XLVI.

Quòd oportet eos qui baptizandi ſunt, fidem ediſcere, & quinta hebdomadis feria Epiſcopo vel Presbyteris renunciare.

BALS. Hic Canon idem eſt omnino cum lxxviii. Can. vi. Syn. & illic eſt expoſitus.

B

CANON XLVII.

Quòd oportet eos, qui in morbo baptiſmum accipiunt, & poſtea convaluerunt, fidem ediſcere, & noſſe quòd divino beneficio digni ſunt habiti.

BALS. Infideles nonnulli baptizati ſunt antequam eſſent catechizati, propter morbum urgentem. Dicebant ergo nonnulli, quòd quoniam non fuerunt baptizati, poſtquam eſſent catechizati, ut vult Canon, debent catechizari, & rurſus baptizari. Utebantur autem & xii. Can. Neocæſar. Syn. qui non permittit ei, qui propter morbum eſt baptizatus, temere Sacerdotem fieri. Dicunt ergo Patres, quòd ſecundò quidem non baptizabitur: C cogetur autem poſt ſanitatem fidem diſcere, & myſterium baptiſmatis, & ſcire quòd divino beneficio dignus eſt habitus, ſcilicet agnitione ejus qui verè & propriè Deus eſt, & remiſſione peccatorum, quam per ſanctum baptiſmum aſſecutus eſt.

ZONAR. in Can. xlvi. & xlvii. Qui baptiſmo initiādi ſunt, non niſi perceptis antea fidei noſtræ myſteriis, Can. admitti; ac proinde certo hebdomadæ die catechumenos, quæ per hebdomadam didicêre, apud Epiſc. vel Presbyt. profiteri jubet. Si quis vero gravi ac periculoſo morbo oppreſſus, atque ob eam cauſam quæ fidei ſunt nondū rite edoctus, nec eo modo quo diximus profeſſus, ſalutari D baptiſmi lavacro perfuſus fuerit; hic, ſi à morbo poſtea convaleſcat, divina myſteria nihilominus edoceri, ſéque divinis muneribus ornatum eſſe, agnitionem ſcilicet veri & ſummi Dei & peccatorū per ſanctū baptiſma remiſſionē obtinuiſſe intelligere debet. Quod enim baptiſmo initiati culparum laqueis eximamur, id non noſtræ diligētiæ, ſed Dei magnificentiæ ac liberalitati acceptum referri debet.

ARIST. in Can. xlvi. & xlvii. *Baptizatus Epiſcopo vel Presbytero quintâ hebdomadis feriâ fidem dicat. Dicat & ægrotus paulo poſt.*

E Qui ad Eccleſiam accedit ut baptizetur, fidem diſcat, & quintâ hebdomadis feriâ eam Epiſcopo profiteatur vel Presbytero. Non enim oportet eos temerè baptizare, & priuſquam in fide initiati fuerunt. Qui morbo laborat, & baptizari quærit, baptizetur. Deinde morbo liberatus, fidem ediſcat, & agnoſcat, quod divina gratiâ dignus habebatur.

CANON XLVIII.

Quòd oportet, eos qui baptizantur, poſt baptiſma inungi ſupercæleſti Chriſmate, & eſſe regni Dei participes.

F **BALS.** Canon vocavit ſanctum unguentum Chriſma, & non ſimpliciter Chriſma, ſed ſupercœleſte; ut quod per ſanctas preces & invocationem S. Spiritus ſanctificetur, & eos qui inunguntur, ſanctificet, & regni cœlorum faciat participes. Dicit itaque eos, qui baptizantur, per hoc inungi & ſanctificari. Quomodo autem & propter quam cauſam traditum ſit ſanctum unguentum, ex libris, qui de catechiſmo tractant, declaratur. Nonnulli autem dicunt hoc fieri ex illius unguenti conſequentia, quod per meretricem ad Domini

&

& Dei & ſervatoris noſtri Jeſu Chriſti pedes fuſum A eſt, qui dixit nihil mali feciſſe meretricem, quæ ad ejus pedes nardi pretioſum unguentum ad ejus ſepulturam effudit. Quia enim baptiſmus, ut ſæpe dictum eſt, typus eſt ſepulturæ & reſurrectionis Chriſti & Dei noſtri; rectè baptiſmi tempore chriſmate inunguntur ii, qui baptizantur, ut unà ſepeliantur & cum Chriſto reſurgant.

Zonar. Qui baptizati ſunt, eos ſacro oleo inungi oportere Canon decernit; quod & ſupercœleſte chriſma alio nomine appellavit; quippe quod & ſacris precationibus & ſancti Spiritus invocatione ſanctificatum ſit, & qui eo inunguntur ſanctos, ac regni cum Chri- B ſto participes, niſi ad ejus regni poſſeſſionem noſtris ipſi celeribus aditum præcluſerimus, efficiat.

Arist. *Illuminatos poſt baptiſmum inungi oportet.* Perſpicuus.

Canon XLIX.

Quòd non oportet in Quadrageſima panem offerre; niſi Sabbato & dominica tantum.

Bals. Præſens Canon, & quinquageſimus primus, quinetiam & lii. vi. Synodi eadem decernunt. Et lege quæ in illis ſcripta ſunt. C

Zonar. Eadem prorſus ſextæ Syn. lii. Can. ſtatuuntur. Vide quæ ibi diximus, nec plura, tum ad hujus, tum ad li. & lii. Can. explicationem deſiderabis.

Arist. *In quadrageſimâ præterquam Sabbato ſolùm, & die Dominicâ offerre non oportet.*

Hic Canon non omnino neglectui habetur, ſed obſervatur. Exceptis enim Sabbato & Dominico & ſancto Annunciationis die, in Quadrageſimâ panis non offertur, ſed præſanctificata peraguntur. At vero in Annunciationis feſto præſanctificatorum miniſterium non celebrari, ſed panem offerre, lii. ſextæ in Trullo D Synodi tradit, eo quod reliqui Quadrageſimæ dies humiliationis ſunt tempus, debetque quiſque propria delicta agnoſcere, & non curâ de illis neglecta ad feſtivitates animum inclinatum habere, & ſic ſimul triſtitiâ affici & ſpirituali lætitiâ intempeſtivè repleri.

Canon L.

Quòd non oportet in Quadrageſimæ poſtrema ſeptimana quintâ feriâ jejunium ſolvere, & totam Quadrageſimam dehoneſtare: ſed oportet totam Quadrageſimam jejunare aridis veſcentes.

Bals. Nota ex præſenti Canone, quòd aridis veſci debemus omni quartâ & ſexta feria. Qui ergo ſine E morbo cum oleo & teſtaceis jejunant, faciunt contra legem: multò autem magis qui in quartis ſextiſque feriis piſces comedunt. Quia autem neceſſe eſt ut aquam bibant etiam qui morbo non laborant; dicimus quòd Canones quidem nihil tale definiunt. Quoniam autem magnus Epiphanius Cypri in panariis dicit; debere fideles, in ſex diebus ante Paſcha, pane, & ſale, & aquâ nutriri; cum aridorum eſu aquam quoque bibere bonum eſt. Lege & viii. interrogationem Canonicarum reſponſionum Timothei Alexandriæ, quæ dicit; Mulier, ſi peperit, Paſcha debet jejunare. Sic etiam x. Ex his colligitur, de- F bere fideles cum aridorum eſu aquam quoque bibere.

Alia Interpretatio.

De iis, quæ in præſenti Canone tractantur, dictum eſt & in xxix. Canone vi. Synodi. Cùm enim quidam, poſtquam tota Quadrageſima jejunaſſent, magna quinta feria jejunium ſolverent, quòd tunc fortè compleretur Quadrageſima ſancta, & fieret cœna Domini; ſtatuerunt Patres, ut totam Quadrageſimam uſque ad diem Dominicum Paſchalem jejunarent: ne jejunio uno die ſoluto tota Quadrageſima dehoneſtaretur.

καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῦ εἰπόντος μηδὲν τι κακὸν ποιῆσαι τὴν πόρνην ἐπιχέασαν εἰς τοὺς πόδας τούτου τὸ ἀπὸ νάρδου πολύτιμον μύρον περὶ τοῦ ἐνταφιασμοῦ αὐτοῦ. ἐπεὶ γὰρ τὸ βάπτισμα, ὡς πολλάκις εἴρηται, τύπος ἐστὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, καλῶς κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος τῷ μύρῳ οἱ φωτιζόμενοι χρίονται, ἵνα συνταφῶσι καὶ συναναστῶσι τῷ Χριστῷ.

ΖΩΝΑΡ. Τοὺς βαπτισθέντας φησὶν ὁ κανὼν δεῖν χρίεσθαι τῷ ἁγίῳ μύρῳ, ὃ καὶ χρῖσμα ἐκάλεσεν ἐπουράνιον, ὡς διὰ τῶν εὐχῶν καὶ τῆς ἐπικλήσεως τοῦ ἁγίου πνεύματος ἁγιαζόμενον, καὶ ἁγιάζον τοὺς χριομένους, καὶ μετόχους αὐτοὺς ποιοῦν τῆς βασιλείας τοῦ Χριστοῦ, εἰ μὴ δι' ἔργων φαυλότητα ἡμεῖς ἑαυτοὺς ταύτης ἀποξενώσωμεν.

ΑΡΙΣΤ. Δεῖ τοὺς φωτιζομένους, μετὰ τὸ βάπτισμα, χρίεσθαι. Σαφής.

ΚΑΝΩΝ μθ'.

Ὅτι οὐ δεῖ τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν καὶ ὁ να'. ἀλλὰ καὶ ὁ νβ'. τῆς ϛ'. συνόδου τὰ αὐτὰ διατάττονται. καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνοις γραφέντα.

ΖΩΝΑΡ. Τὰ αὐτὰ διατάττεται καὶ ὁ νβ'. κανὼν τῆς ϛ'. συνόδου. καὶ ζητητέον τὰ ἐκεῖ εἰρημένα, ἀρκέσοντα καὶ πρὸς τοῦτον τὸν κανόνα, καὶ πρὸς τὸν να'. καὶ τὸν νβ'.

ΑΡΙΣΤ. Τῇ τεσσαρακοστῇ μὴ προσφέρειν, εἰ μὴ σαββάτῳ, καὶ κυριακῇ μόνον.

Ὁ κανὼν οὗτος οὐ παρεβάθη ὅλως, ἀλλὰ φυλάττεται. ἄνευ γὰρ σαββάτου, καὶ κυριακῆς, καὶ τῆς ἁγίας τοῦ εὐαγγελισμοῦ ἡμέρας, ἐν τῇ τεσσαρακοστῇ ἄρτος οὐ προσφέρεται, ἀλλὰ προηγιασμένα τελοῦνται. ὅτι δὲ ἐν τῇ τοῦ εὐαγγελισμοῦ ἑορτῇ μὴ προηγιασμένων γίνεσθαι λειτουργίαν, ἀλλὰ προσφέρειν ἄρτον, ὁ πεντηκοστὸς δεύτερος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παραδίδωσι, διὰ τὸ τὰς ἄλλας ἡμέρας τῆς τεσσαρακοστῆς ταπεινώσεως εἶναι καιρὸν, καὶ ὀφείλειν ἕκαστον τῶν πεπλημμελημένων τὴν ἐπίγνωσιν φέρειν· καὶ μὴ ἀφέντα τὴν περὶ ταῦτα σπουδὴν, πρὸς ἑορτὰς ἀποκλίνειν· καὶ κατὰ ταυτὸ συνάζειν, καὶ πνευματικῆς ἀγαλλιάσεως ἐμπιπλᾶσθαι παρὰ καιρόν.

ΚΑΝΩΝ ν'.

Ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν, ξηροφαγοῦντας.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ξηροφαγεῖν ὀφείλομεν κατὰ πᾶσαν τετράδα καὶ παρασκευήν· οἱ γοῦν ἄνευ νοσήματος μετ' ἐλαίου καὶ ὀστρακοδέρμων νηστεύοντες παρανομοῦσι· πολλῷ δὲ πλέον οἱ ἐν ταῖς τετράσι καὶ παρασκευαῖς ἰχθύας ἐσθίοντες· ἐπεὶ δὲ ἀναγκαῖόν ἐστι καὶ ὑδροποτεῖν τινὰς τοὺς μὴ ἀσθενοῦντας, φαμὲν ὅτι οἱ μὲν κανόνες οὐδὲν τοιοῦτον ὁρίζονται. ἐπεὶ δὲ φησὶν ὁ μέγας Ἐπιφάνιος Κύπρου ἐν τοῖς παναρίοις, ὀφείλειν τοὺς πιστοὺς ἐν τῇ πρὸ τοῦ πάσχα ἓξ ἡμέραις διὰ ἄρτου, ἁλὸς, καὶ ὕδατος ἀποτρέφεσθαι, καλόν ἐστι σὺν τῇ ξηροφαγίᾳ καὶ ὑδροποτεῖν. ἀνάγνωθι καὶ τὴν η'. ἐρώτησιν τῶν κανονικῶν ἀποκρίσεων Τιμοθέου Ἀλεξανδρείας, λέγουσαν, γυνὴ ἐὰν γεννήσῃ, τὸ πάσχα ὀφείλει νηστεῦσαι· ὡσαύτως καὶ τὴν ι'. συνάγεται γὰρ καὶ ἀπὸ τούτων ὀφείλειν τοὺς πιστοὺς σὺν τῇ ξηροφαγίᾳ καὶ ὑδροποτεῖν.

Ἑτέρα Ἑρμηνεία.

Περὶ τῶν ἐν τῷ παρόντι κανόνι εἴρηται καὶ ἐν τῷ κθ'. κανόνι τῆς ϛ'. συνόδου. τινῶν γὰρ, μετὰ τὸ νηστεῦσαι τὴν ὅλην τεσσαρακοστὴν, καταλυόντων τὴν μεγάλην πέμπτην, διὰ τὸ τότε συμπληροῦσθαι τάχα τὴν ἁγίαν τεσσαρακοστὴν, καὶ τὸ κυριακὸν δεῖπνον γίνεσθαι, ὥρισαν οἱ πατέρες κατὰ πᾶσαν τὴν τεσσαρακοστὴν μέχρι τῆς κυριωνύμου πασχαλίου ἡμέρας νηστεύειν, ἵνα μὴ λυομένης τῆς νηστείας ἐν μιᾷ ἡμέρᾳ, ἡ ὅλη τεσσαρακοστὴ ἀτιμάζηται.

ὑπεξελ

ὑπέξελέ μοι τὰ σάββατα καὶ τὰς κυριακὰς τῆς τεσσαρακοστῆς. ἐν ταύταις γὰρ ξηροφαγεῖν οὐκ ἀναγκαζόμεθα, ὡς ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς νηστείας.

ΖΩΝΑΡ. Πᾶσαν τὴν τεσσαρακοστὴν ἐν νηστείᾳ διάγειν ὁ κανὼν διορίζεται, ἄνευ δηλαδὴ σαββάτου καὶ κυριακῆς. νηστείαν δὲ τὴν ξηροφαγίαν ὁρίζεται. τίνες δὲ κατὰ τὴν ε΄. τῆς τελευταίας ἑβδομάδος, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον συνέφαγε τοῖς μαθηταῖς ὁ Χριστὸς, ἔλυον τὴν νηστείαν, καὶ ἤσθιόν τινα πολυτελέστερα καὶ τρυφηλότερα βρώματα, ὡς τάχα τοῦ κυρίου τότε τὸ νομικόν τε φαγόντος δεῖπνον, καὶ τὸ οἰκεῖον τοῖς μαθηταῖς παραδόντος. τοῦτο οὖν μὴ γίνεσθαι ὁ παρὼν κανὼν διατάττεται, ἵνα μὴ ἐν τῇ μιᾷ ταύτῃ ἡμέρᾳ λυομένης τῆς νηστείας, ἡ ὅλη τεσσαρακοστὴ ἀτιμάζηται.

ΑΡΙΣΤ. Οὐ δεῖ ἐν τῇ τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντα.

Δεῖ πάσας τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελεῖν· καὶ μὴ καταλύειν τὴν νηστείαν ἐν τῇ πέμπτῃ τῆς ὑστέρας ἑβδομάδος τῆς τεσσαρακοστῆς, ἀλλὰ δεῖ καὶ ἐν αὐτῇ νηστεύειν τε καὶ ξηροφαγεῖν.

ΚΑΝΩΝ να΄.

Οτι οὐ δεῖ ἐν τεσσαρακοστῇ μαρτύρων γενέθλια ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνήμας ποιεῖν ἐν τοῖς σαββάτοις καὶ κυριακαῖς.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν νβ΄. κανόνα τῆς ϛ΄. συνόδου καὶ τὸν μθ΄. τῆς παρούσης συνόδου διδάσκοντας κατὰ μόνα τὰ σάββατα καὶ τὰς κυριακὰς τελείαν θυσίαν γίνεσθαι ἐν ταῖς ἡμέραις τῆς ὅλης τεσσαρακοστῆς· κατὰ δὲ τὰς λοιπὰς διὰ προηγιασμένων τελεῖσθαι τὴν θείαν ἱεροτελεσίαν. ὡς δέ τινος εἰπόντος, μὴ ὀφείλειν κωλύεσθαι δι' ὅλης τῆς τεσσαρακοστῆς διὰ θυσίας γίνεσθαι τὰς τῶν ἁγίων μαρτύρων μνήμας, ὡς μηδὲ χαροποιοὺς οὔσας, ἀλλὰ μόνα κωλύεσθαι τὰ γενέθλια τούτων ὡς χαροποιὰ καὶ πανηγύρεων πρόξενα· ὥρισαν οἱ πατέρες, μήτε ἐν ταῖς μνήμαις, μήτε ἐν τοῖς γενεθλίοις τῶν μαρτύρων καθ' ὅλην τὴν τεσσαρακοστὴν διὰ θυσίας πανηγυρίζειν, ἀλλὰ κατὰ μόνα τὰ σάββατα καὶ τὰς κυριακὰς, τὰς ἑορτὰς τούτων ποιεῖν. σημείωσαι τοίνυν, ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οὐδὲ μνῆμαι κατοιχομένων δι' ὅλης τῆς τεσσαρακοστῆς, ἄνευ σαββάτου καὶ μόνου. διὰ τὸ εἶναι πένθος ὑπὲρ ἁμαρτιῶν ἡμῶν τὴν ἁγίαν τεσσαρακοστὴν, οὐχ ἁγίων μνῆμαι γίνονται ἄνευ σαββάτου· ἐὰν οὖν ἁγίων μνῆμαι οὐ γίνονται, πόλλῳ πλέον κωλυθήσεται ὁ γάμος.

ΑΡΙΣΤ. Μηδὲ μνείας μαρτύρων τελεῖν· εἰ μὴ κυριακαῖς τε, καὶ σάββασιν.

Ἐν τῇ τεσσαρακοστῇ, ἄνευ σαββάτου, καὶ κυριακῆς, οὐδὲ μαρτύρων μνεῖαι τελοῦνται.

ΚΑΝΩΝ νβ΄.

Οτι οὐ δεῖ ἐν τεσσαρακοστῇ γάμους ἢ γενέθλια ἐπιτελεῖν.

ΒΑΛΣ. Διὰ τοὺς αὐτοὺς λόγους οὓς ἄνωθεν εἴπομεν.

ΑΡΙΣΤ. Οὐ τελεῖται τῇ τεσσαρακοστῇ γάμος, οὐδὲ γενέθλιον. Σαφής.

A Excipe mihi ſabbata & dominicos Quadrageſimæ. In iis enim aridis veſci non cogimur, ut in reliquis jejunii diebus.

ZONAR. Totum Quadrageſimæ tempus, Sabbatis tamen ac Dominicis diebus exceptis, canon jejunio tranſigi jubet. Jejunium autem aridorum eſum conſtituit. At vero quidam quinta poſtremæ hebdomadæ feria, qua Chriſtus cum Apoſtolis cœnavit, violato jejunio, lautioribus epulis veſcebantur; quod eodem die forte Chriſtus Dominus cœna ex præſcripto legis refectus, eundem quoque morem diſcipulis B prodidiſſet. Id ergo fieri, ac totam Quadrageſimam unius diei illius neglecto jejunio dehoneſtari, præſens canon vetat.

ARIST. *Non oportet in ultimâ quadrageſimæ ſeptimanâ quintæ feriæ jejunium ſolvere, & totam quadrageſimam injuriâ afficere: ſed totam quadrageſimam jejunare aridis veſcentem.*

Omnes ſalutaris paſſionis dies cum jejunio & oratione, & cordis compunctione peragere oportet, & non jejunium ſolvere quinta ultimæ hebdomadis quadrageſimæ feriâ, ſed & in eâ jejunare & cibis ſiccioribus uti. C

CANON LI.

Quòd non oportet in Quadrageſima martyrum natalitia celebrare: ſed ſanctorum martyrum facere commemorationes in ſabbatis & dominicis.

BALS. Lege lii. canonem ſextæ Synodi, & xlix. præſentis Synodi, qui docent ſolis ſabbatis & diebus dominicis fieri perfectum ſacrificium tempore totius Quadrageſimæ: in reliquis autem per priùs ſanctificata peragi divinum myſterium. Perinde autem ac ſi dixiſſet D quiſpiam; Non debere prohiberi per totam Quadrageſimam ne fiant per ſacrificia ſanctorum martyrum memoriæ, ut quæ lætitiam non afferant; ſed prohiberi tantùm ne eorum natalitia celebrentur, ut quæ lætitiam afferant, & ut frequentes hominum conventus fiant, incitent: definierunt Patres, ut neque in commemorationibus martyrum, neque in eorum natalitiis, in tota Quadrageſima per ſacrificia feſtum celebrent, ſed in ſolis ſabbatis & dominicis eorum feſta peragant. Nota ergo, ex præſenti canone quòd nec defunctorum quidem fiunt memoriæ tota Quadrageſima, præterquam ſolo ſabbato. Propterea quòd ſancta Quadrageſima luctus eſt ob peccata noſtra, ſanctorum commemoratio- E nes non celebrantur, præterquam Sabbato: ſi ſanctorum ergo commemorationes non fiunt; multo magis nuptiæ prohibebuntur.

ARIST. *Neque Martyrum commemorationes celebrare, præterquam Dominicis & Sabbatis.*

In quadrageſima, exceptis Sabbato & Dominico, nec martyrum commemorationes celebrantur.

CANON LII.

F *Quòd non oportet in Quadrageſima nuptias vel natalitia celebrare.*

BALS. Propter eaſdem rationes quas ſuperiùs diximus.

ARIST. *Quadrageſimâ non celebrantur nuptiæ, neque natalitia.* Perſpicuus.

CANON LIII.

Quod non oportet Christianos ad nuptias venientes tripudiare vel saltare : sed modestè cœnare & prandere, ut decet Christianos.

BALS. Canon clarus est : cum vero & penitus exolevit, nec interpretatione eget. *βαλλίζειν* autem est cum cymbalis vel aliis ejusmodi saltare.

ZONAR. Sive comeditis, inquit divinus Apostolus Paulus, sive bibitis, sive aliud quid facitis, omnia in gloriam Dei facite : fideles vero qui vitam petulanter agunt, nihil minus quam Dei gloriam propositam habent. Ne igitur fideles ad nuptias vocati minus honestè se gerant, saltentque ac tripudient ; sed modestè appositis cibis vescantur, nec quidquam Christiano homine indignum admittant, hic canon decernit. Est porro *βαλλίζειν* concrepantibus cymbalis saltationem ad illorum sonitum accommodare.

ARIST. *Tripudiare in nuptiis vel saltare indignum.*

CANON LIV.

Quod non oportet sacratos, aut Clericos in nuptiis vel conviviis aliqua spectacula videre : sed priusquam ingrediantur Thymelici, surgere & secedere.

BALS. In xxiv. & li. canone sextæ Synodi de iis quoque tractavimus, quæ in præsenti canone tractata sunt. Et lege ea : hujus enim meminerunt.

ZONAR. Eadem sextæ quoque Synodi vigesimoquarto canone præcipiuntur. Quippe sacris initiatos homines ac Monachos in hippodromum convenire is canon vetat. Hic vero magis universè eos nullis omnino spectaculis, nec in nuptiis nec in cœnis, interesse licere decernit. Nec enim in nuptiis tantummodo, sed in festis quoque celebritatibus & natalitiis & aliis hujusmodi, quæ cœnæ vocabulo significavere convivia instituuntur. Ad hujusmodi igitur convivia, inquit, quandocunque sacri ordinis homines & Clerici advocati fuerint, ubi primum thymelicos ingressuros animadverterint, ipsi consurgant, séque illico, priusquam ludicra illa & scurrilia inchoëntur, inde subducant.

ARIST. *Sacratum quidem & Clericum oportet etiam ante scenam exire.*

Christiani ad nuptias venientes modestè in illis cœnare monentur, & non saltare aut ballare, hoc est, manus plaudere & per eos strepitum facere. Hoc enim Christianâ constitutione est indignum. At sacratos neque spectacula ulla in nuptiis videre, sed priusquam ingrediuntur thymelici, illinc recedere oportet.

CANON LV.

Quod non oportet sacratos & Clericos ex collatione convivia peragere, sed neque Laicos.

BALS. Convivari ebrietatis causa est. Eam autem consequuntur petulantia & insolentia : eas verò, lites & Dei contemptus. Statuunt ergo Patres, ut neque sacrati, neque Clerici neque Laici, ex collatione convivia faciant. *συμβολὴ* enim est collatio, à verbo *συμβάλλω*, quod significat confero.

ZONAR. Et eos qui in sacrum ordinem cooptati sunt, & Christianos omnes, honestè graviterque vitam instituere par est. Igitur ex symbolæ collatione, hoc est, à pluribus, ut mensæ exquisitis epulis instruan-

A

ΚΑΝΩΝ νγ'.

Οτι οὐ δεῖ Χριστιανοὺς εἰς γάμους ἀπερχομένους βαλλίζειν ἢ ὀρχεῖσθαι, ἀλλὰ σεμνῶς δειπνεῖν καὶ ἀριστᾶν, ὡς πρέπει Χριστιανοῖς.

ΒΑΛΣ. Ο κανὼν σαφής ἐστιν· ὅτι δὲ ἠπράκτησε παντελῶς, οὐδὲ ἑρμηνείας δεῖται. βαλλίζειν δέ ἐστι τὸ μετὰ κυμβάλων ἢ ἄλλων τοιούτων ὀρκεῖσθαι.

ΖΩΝΑΡ. Ο θεσπέσιος ἀπόστολος Παῦλός φησιν· εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ B ποιεῖτε, τὸ δὲ ἀσέμνως βιοῦν τοὺς πιστοὺς εἰς τοὐναντίον τὸ πρᾶγμα περιΐστησι. διὸ καὶ ὁ παρὼν κανὼν τοὺς ἀπερχομένους πιστοὺς εἰς γάμον κωλύει ἀπρεπῶς διαγίνεσθαι, καὶ ὀρχεῖσθαι ἢ βαλλίζειν, ἐσθίειν δ' ἐπιτρέπει σεμνῶς, μηδὲν ἀνάξιον ποιοῦντας Χριστιανοῖς. βαλλίζειν δ' ἐστὶ, τὸ κύμβαλα κτυπεῖν, καὶ πρὸς τὸν ἐκείνων ἦχον ὀρχεῖσθαι.

ΑΡΙΣΤ. Βαλλίζειν ἐν γάμοις, ἢ ὀρκεῖσθαι, ἀνάξιον.

ΚΑΝΩΝ νδ'.

C Οτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς τινὰς θεωρίας θεωρεῖν ἐν γάμοις, ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι τοὺς θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς καὶ ἀναχωρεῖν.

ΒΑΛΣ. Εν τῷ κδ'. καὶ να'. κανόνι τῆς ς'. συνόδου, διελάβομεν καὶ περὶ τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων. καὶ ἀνάγνωθι ταῦτα· μέμνηται γὰρ καὶ τούτου.

ΖΩΝΑΡ. Καὶ ὁ κδ'. κανὼν τῆς ἕκτης συνόδου τὰ αὐτὰ διατάττεται. κωλύει γὰρ κἀκεῖνος τοὺς ἱερωμένους καὶ τοὺς μοναχοὺς ἐν ἱπποδρομίαις ἀπιέναι. οὗτος δὲ γενικώτερον οὐδέ τινας θεωρίας διακελεύεται θεωρεῖν, οὔτε ἐν γάμοις, D οὔτε ἐν δείπνοις. οὐ γὰρ ἐν γάμοις μόνον γίνονται συμπόσια, ἀλλὰ καὶ ἐν ἑορταῖς, καὶ ἐν γενεθλίοις, καὶ ἄλλοις ὁμοίοις, ἃ δείπνους ὠνόμασεν. ὅταν οὖν, φησι, κληθῶσιν εἰς τοιαῦτα συμπόσια ἱερατικοὶ καὶ κληρικοὶ, καὶ ἴδωσιν ὅτι θυμελικοὶ μέλλουσιν εἰσελθεῖν, ἐγειρέσθωσαν, καὶ ἀναχωρείτωσαν πρὸ τοῦ ἐκείνους τῶν παιγνίων καὶ γελωτοποιιῶν ἀπάρξασθαι.

ΑΡΙΣΤ. Τὸν μέντοι ἱερατικὸν, ἢ κληρικὸν, δεῖ καὶ πρὸ τῆς θυμέλης ἀπέρχεσθαι.

E Απαιτοῦνται οἱ χριστιανοὶ εἰς γάμον ἀπερχόμενοι, σεμνῶς δειπνεῖν ἐν αὐτοῖς, καὶ μὴ ὀρχεῖσθαι, ἢ βαλλίζειν, τοῦτ' ἔστι, τὰς χεῖρας κροτεῖν, καὶ δι' αὐτῶν κτύπον ἀποτελεῖν· τοῦτο γὰρ ἀνάξιον χριστιανικῆς καταστάσεως· τοὺς μέντοι ἱερατικοὺς μηδὲ θεωρίας τινὰς ἐν γάμοις θεωρεῖν, ἀλλὰ, πρὸ τοῦ εἰσελθεῖν τοὺς θυμελικοὺς, ἐκεῖθεν ἀναχωρεῖν.

ΚΑΝΩΝ νε'.

Οτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

F

A που συντελοῦσιν, ὡς μὴ δυναμένων ἑτέρων ἐπισκόπων ἐπαρχιωτῶν ἀνακαλέσασθαι διάγνωσιν κατὰ τὴν ῥηθεῖσαν διάταξιν, προσέθετο μὴ εἶναι ἀπαράδεκτον τὸν ἐκκαλούμενον κατὰ τῆς κρίσεως τῶν ἐπαρχιωτῶν, ἀλλ' ὀφείλειν τοὺς ἐπαρχιώτας διὰ τιμὴν τοῦ ἀποστολικοῦ θρόνου γράφειν τὰ συναχθέντα τῷ Πάππᾳ Ῥώμης. (ἦν δὲ τότε Ἰούλιός τις ἐπίσκοπος ταύτης) καὶ παρὰ τῇ ἐξουσίᾳ ἐκείνου ἀνηρτῆσθαι τὰ τῆς ἐκκλήτου· ἐφ' ᾧ εἰ μὲν διαγνοίη ἄξιον εἶναι τὸ πρᾶγμα δευτέρας κατεξετάσεως, ὁρίσαι παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ σκοπηθῆναι τὴν προγενομένην ἀπόφασιν· εἰ δὲ καταλάβῃ καλῶς τὴν ὑπόθεσιν κριθῆναι, B καὶ μὴ δεῖσθαι ταύτην δευτέρας συζητήσεως, ὁρίσαι μένειν τὰ ἅπαξ προκεκριμένα ἀναλλοίωτά τε καὶ βέβαια. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. ἐρωτήσει δέ τις, ὡς τοῦ ιε'. κανόνος τῆς ἐν Ἀντιοχείᾳ συνόδου διοριζομένου τὰ κεκριμένα ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν ἐπισκόπων ὁμογνωμονησάντων μὴ ἀνακρίνεσθαι παρ' ἑτέρων τινῶν, καὶ τοῦ παρόντος κανόνος ἐκκλήτῳ ὑποκεῖσθαι τὴν τοιαύτην ἀπόφασιν διοριζομένου, τίνι προσέχειν ὀφείλομεν; Λύσις· τινὲς μὲν εἶπον, μὴ ὁμοφωνῆσαι ἐνταῦθα τοὺς ἐπαρχιώτας ἐπισκόπους, ἀλλὰ διαιρεθῆναι εἰς διαφόρους γνώμας, καὶ διὰ τοῦτο ἔχειν χώραν τὰ τῆς ἐκκλήτου· ἄλλοι δὲ εἶπον, ὡς ἐπεὶ C μεταγενέστερός ἐστιν ὁ παρὼν κανών, ὀφείλουσι τὰ τούτῳ περιεχόμενα, μᾶλλον κρατεῖν. ἀρέσκει οὖν τοῦτο κἀμοί, ὡς καὶ νομίμου ἀκριβείας ἐχόμενον. νενομοθέτηται γὰρ, μὴ ἅπαξ, ἀλλὰ δὶς ἐκκαλέσασθαι, τὸν νομίζοντα ἀδικεῖσθαι. τὸ μέντοι ὑπὸ τὴν ἐξουσίαν εἶναι τοῦ Πάππα τηρηθῆναι ἢ μὴ τηρηθῆναι τὴν ἔκκλητον, ἰδικόν ἐστιν εἰς τὰ ἐκκλησιαστικά. οἱ γὰρ νόμοι, ἄνευ ῥητῶν τινῶν θεμάτων, διορίζονται πᾶσαν ἔκκλητον δέχεσθαι, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. τὰ μέντοι ὁρισθέντα περὶ τοῦ Πάππα, ἐκληπτέον καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, διὰ τὸ ἐπὶ πᾶσιν ὁμοίως τῷ Πάππᾳ καὶ τοῦτον τιμηθῆναι ὑπὸ διαφόρων κανόνων. D δίδοσθαι δὲ ὡρίσθη γειτνιάζοντας ἐπισκόπους παρὰ τοῦ Πάππα χάριν κατεξετάσεως τῆς ἐκκλήτου, καὶ μὴ τοῦτον τηρεῖν τὴν ὑπόθεσιν, ἵνα μὴ ὁ καταδικάσας ἀναγκασθῇ διάξιμος εἰς Ῥώμην ἄγεσθαι, ἀπὸ Θεσσαλονίκης τυχόν· καὶ ταῦτα, νικήσας τὸ δικαστήριον. εἰ γὰρ τοῦτο οὐκ ἔστιν, ἀλλὰ πλησίον τοῦ καταδικάσαντος ἡ ἐπισκοπὴ διάκειται, οὐ τηρηθήσεται ἡ ἔκκλητος διὰ γειτνιαζόντων ἐπισκόπων, ὡς ἐμοὶ δοκεῖ, ἀλλὰ παρὰ τοῦ πατριάρχου, κατὰ τοὺς νόμους τοὺς λέγοντας ἐπὶ μείζονας δικαστὰς ἀνατρέχειν τὴν ἔκκλητον, οὐ μὴν ἐπὶ ἴσους ἢ ἥττονας· καὶ τοὺς ἑτέρους νόμους τοὺς διοριζομένους τὸν ἐκκλητάριον μὴ παραπέμπειν πρὸς ἕτερον τὴν τῆς ἐκκλήτου τήρησιν. E εἰ δὲ καὶ τοῦτο ὡς προνόμιον εἴπῃς δοθῆναι τῷ Πάππᾳ, καινὸν οὐδέν.

ΖΩΝΑΡ. Οὐ μόνον μεταμείβειν τὰς πόλεις κωλύονται οἱ ἐπίσκοποι, καὶ ἀπὸ ἐλάττονος εἰς μείζονα μετατίθεσθαι, ἀλλ' οὐδὲ ἀπιέναι ἀπὸ ἐπαρχίας εἰς ἄλλην ἐπαρχίαν, ἐν ᾗ εἰσιν ἐπίσκοποι, συγχωροῦνται, ὡς τι τελέσοντες ἐκκλησιαστικὸν δίκαιον, εἰ μὴ οἱ ἐν τῇ ἐπαρχίᾳ ἐπίσκοποι αὐτοὺς προσκαλέσωνται. καὶ τοῦτο δὲ ἐπιτρέπομεν, φησιν ὁ κανών, τὸ ἀπιέναι καλουμένους διὰ τὸ φιλάδελφον, ἵνα μὴ δόξωμεν κλείειν τὰς τῆς ἀγάπης πύλας. F εἰ δὲ καὶ πρᾶγμα ἤγουν ὑπόθεσιν δίκην σχοίη ἐπίσκοπος μετὰ ἀδελφοῦ αὐτοῦ καὶ συνεπισκόπου, μηδένα ἐκ τούτων τῶν τὴν δίκην ἐχόντων ἐξ ἑτέρας ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι διαγνώμονας, ἀλλὰ παρὰ τῶν τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπων δικάζεσθαι. εἰ δὲ παρ' ἐκείνοις δικασθείς τις, καταδικάζεται, καὶ ὑπολαμβάνει μὴ σαθρὸν ἔχειν τὸ πρᾶγμα, μὴ ἀσθενῆ δηλονότι ὑπόθεσιν, ἀλλὰ καλὴν, ἤγουν δυναμένην αὐτὸν δικαιῶσαι, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, ἤγουν ἐκ νέου ζητηθῇ, τηρηθῇ, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ Πέτρου τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν, τουτέστι, ἐστι, τῷ θρόνῳ τῆς Ῥωμαίων ἐκκλησίας ἀναθώμεθα τὴν ἐξουσίαν, ἵνα οἱ κρίναντες τὴν ὑπόθεσιν γράψωσι τῷ Πάπα Ἰουλίῳ, ὃς ἦν τότε τῆς Ῥώμης ἐπίσκοπος, ἀναδιδάσκοντες τὴν ὑπόθεσιν, καὶ ὅτι ὁ καταδικαζόμενος ὑπ' αὐτῶν ἀπαρέσκεται, ὥστε τὸν Πάπαν ἐκ τῶν πλησιαζόντων τῇ ἐπαρχίᾳ ἐκείνῃ ἐπισκόπων παρασχεῖν διαγνώμονα, εἰ διαγνοίη ἐκεῖνος, ὅτι δεῖ ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ πάλιν ζητηθῆναι τὴν ὑπόθεσιν· εἰ δὲ μὴ διαγνοίη ὁ Πάπας, ὅτι παλινδικίας χρήζει ἡ ὑπόθεσις, τουτέστι, δευτέρου δικαστηρίου, τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσθαι, ἤγουν τὰ ἤδη κεκριμένα καὶ τὴν πρώτην ἀπόφασιν μὴ ἀνατρέπεσθαι, τὰ δὲ ὄντα βέβαια τυγχάνειν, τὰ ἐψηφισμένα δηλαδὴ καὶ γινόμενα βέβαια τυγχάνειν.

norum Eccleſiæ throno auctoritatem deferamus, ut qui in ea cauſa Judices extitêre, ad Julium Papam literas mittant, (erat is tunc temporis Romanorum Epiſcopus) quibus eum de toto illius controverſiæ genere doceant, ac ei, qui damnatus eſt, quod ipſi judicarunt, haud quaquam placere ſignificent; ut Papa, ſi judicium inſtaurandum cauſámque denuo agitandam eſſe ſtatuerit, ex vicinis illi provinciæ Epiſcopis cognitores det: ſin autem nulla amplius diſquiſitione in ea cauſa opus eſſe, hoc eſt, non eſſe aliud judicium inſtituendum exiſtimarit; res judicatæ ne reſcindantur, hoc eſt, ea, quæ ante judicata ac decreta fuerunt, nullo modo reſcindi atque everti; ſed quæ jam ſunt firma haberi, ea videlicet, quæ conſtituta & acta ſunt, rata firmáque haberi placet.

ΑΡΙΣΤ. Μηδεὶς ἐπισκόπων, ἄκλητος, εἰς πόλιν διαβαινέτω. καὶ ὁ ἐπαρχιώτης, εἰ ἐπί τι δικάζοιτο, ἀλλοτρίους ἐπισκόπους οὐκ ἐπικαλέσεται. εἰ δὲ ἐπικρίνοι ὁ Ῥώμης, παρέσονται καὶ ἀλλότριοι.

Ἐν διαφόροις κανόσιν εἴρηται, τὸ μηδένα τολμᾷν ἀπὸ τῆς ἑαυτοῦ παροικίας, εἰς ἑτέραν ἐπαρχίαν ἐπιβαίνειν, εἰ μὴ παρὰ τοῦ μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων κληθῇ. τοῦτο γὰρ καὶ ἡ σύνοδος αὕτη προστάττει. ἀλλὰ καὶ εἴ τις τῶν ἐπισκόπων μετὰ συνεπισκόπου περί τινος πράγματος ἀμφιβολίαν τινὰ σχοίη, καὶ μετ' αὐτοῦ εἰς τὴν σύνοδον τῆς ἐπαρχίας αὐτοῦ δικάζοιτο, οὐκ ὀφείλει καὶ ἀπὸ ἑτέρας ἐπαρχίας διαγνώμονάς τινας τῶν ἐπισκόπων ἐπικαλεῖσθαι, ἀλλὰ παρὰ μόνοις τοῖς ἐπαρχιώταις κριθῆναι. καὶ εἰ ἀπαρέσκει αὐτῷ ἡ κρίσις, καὶ οἴεται ἀδικηθῆναι, ἐκκαλεῖσθαι, καὶ τῷ Ῥώμης, ᾧ ἡ τοιαύτη ὑπόκειται ἐπαρχία, προσέρχεσθαι· καὶ αὐτὸς, ἢ δι' ἑαυτοῦ τηρήσει τὴν ἀπόφασιν, ἢ τοῖς γειτνιῶσιν ἐπισκόποις τῇ ἐπαρχίᾳ τὸ τῆς ἐκκλήτου δικαστήριον ἀναθήσει.

Arist. *Nullus Epiſcoporum, niſi vocatus, in aliam urbem tranſeat. Quinetiam provincialis Epiſcopus, ſi litem aliquam habeat, ad alienos Epiſcopos non provocabit. Si autem Romano ſic viſus fuerit, etiam alieni aderunt.*

In variis canonibus dicitur, neminem audere è ſuâ parœciâ in aliam migrare provinciam; niſi à Metropolitano & Epiſcopis qui cum eo ſunt, vocetur. Hoc enim & hæc Synodus præcipit. Sed & ſi quis Epiſcopus cum Coëpiſcopo in aliqua re habuerit controverſiam, & cum eo in Synodo ejus provinciali litem movet, non debet ex aliâ provinciâ dijudicatores aliquos Epiſcopos advocare; ſed tantummodo provincialium judicium ſubire. Et ſi judicium ipſi non arriſerit, ſeque injuriâ affectum putaverit, appellare, & Romanum, cui talis ſubjicitur provincia adire, & ille vel per ſeipſum ſententiam examinabit, vel Epiſcopis vicinis provinciæ appellantis judicium committet.

ΚΑΝΩΝ δ'.

Ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκῃ πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλλειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ὑποκατασταθῆναι, ἐὰν μὴ ὁ τῆς Ῥώμης ἐπίσκοπος ἐπιγνοὺς περὶ τούτου ὅρον ἐξενέγκῃ.

CANON IV.

Si quis Epiſcopus judicio Epiſcoporum, qui ſunt in vicinia, depoſitus fuerit, & dicat rurſus ſibi reſponſionis negotium competere: non priùs in cathedram ejus alius ſubſtituatur, quàm Romanus Epiſcopus cauſa cognita ſententiam tulerit.

ΒΑΛΣ. Εἰπόντες οἱ πατέρες τὴν τῶν ἐπαρχιωτῶν ἀπόφασιν ἐκκλήτῳ ὑποκεῖσθαι, καὶ παρὰ τῶν γειτνιαζόντων ἐπισκόπων κατ' ἐπιτροπὴν τοῦ Πάππα τηρεῖσθαι, ἄρτι φασὶ, τί ὀφείλει γίνεσθαι, ἐὰν καὶ παρὰ τούτων ὁ ἐκκλητεύσας καταδικασθῇ, καὶ πάλιν λέγῃ βαρύνεσθαι. διορίζονται οὖν μένειν ἐν ἀκεραίῳ τὰ πράγματα, καὶ μὴ ἕτερον ψηφίζεσθαι ἐπίσκοπον εἰς τὴν τοῦ κατακριθέντος ἐκκλησίαν, εἰ μὴ καὶ ἡ δευτέρα ἔκκλητος παρὰ τοῦ Πάππα τηρηθῇ. ὥστε σημείωσαι περὶ τῶν καταδικαζομένων ἐπισκόπων καὶ μετὰ τὴν καθαίρεσιν ζητούντων ἑτέραν κρίσιν, ὅτι οὐ χειροτονεῖται ἕτερος, εἰ μὴ τηρηθῇ ἡ ἔκκλητος τοῦ καταδικασθέντος, οὐ μόνον ἡ πρώτη, ἀλλὰ καὶ δευτέρα· δὶς γὰρ ἐκκαλεῖσθαι ἐκκεχώρηται· ὅτι ὁ ιε'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐσχόλασε, καὶ ὅτι οὐδεὶς καταδικαζόμενος, καὶ λέγων βαρύνεσθαι, ἐκβιβασμὸν ὑφίσταται, μέχρις ἂν καὶ τὰ τῆς ἐκκλήτου τηρηθῶσι· καὶ ὅτι δὶς ἐκκαλεῖσθαι δύναται ὁ κατακρινόμενος. ἀνάγνωθι τὸν οδ'. ἀποστολικὸν κανόνα, τῆς ἐν Χαλκηδόνι θ'. καὶ τῆς ἐν Καρθαγένῃ ιε'. κη'. ρκ'. καὶ ρκα'. καὶ συμβίβασαι πάντας πρὸς τὰ ἐνταῦθα γεγραμμένα. ὅτι καὶ τοῖς νόμοις δοκεῖ πᾶσαν ὑπόθεσιν, χωρὶς τῶν μὴ ἐπιδεχομένων ὑπέρθεσιν, ἐκκλήτῳ ὑποκεῖσθαι, οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς. πλὴν μὴ παραδράμῃς τὰ τοῦ γ'. κανόνος καὶ τὰ τοῦ ε'. τῆς παρούσης συνόδου χάριν τοῦ δέχεσθαι ἢ μὴ δέχεσθαι παρὰ τοῦ Πάππα τὴν ἔκκλητον. ἰδικὸν γάρ ἐστι τοῦτο εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, καὶ κρατεῖν ὀφείλει ἔνθα ἐξεφωνήθη.

Bals. Cùm dixiſſent Patres, provincialium ſententiam appellationi ſubjici, & à propinquis Epiſcopis juſſu Papæ examinari; nunc dicunt, quid fieri debeat, ſi ab iis etiam is, qui appellavit, condemnatus fuerit, & ſe rurſus gravari dicat. Statuunt ergo, ut res in integro maneant, & in ejus, qui condemnatus eſt, Eccleſiam alius non eligatur, niſi ſecunda appellatio à Papa examinata fuerit. Quare nota de Epiſcopis condemnatis & poſt depoſitionem aliud quærentibus judicium; quòd alius non ordinatur, niſi condemnati appellatio examinetur, non prima tantùm, ſed & ſecunda; bis enim appellare conceditur; quòd xv. canon Antiochenæ Synodi exolevit; & quòd nullus qui condemnatur, & dicit ſe gravari ejectionem ſuſtinet, donec de appellatione cognitum fuerit; & quòd condemnatus bis appellare poteſt. Vide lxxiv. canon. Apoſtolicum, Chalced. Syn. ix. & Carthag. xv. xxviii. cxx. & cxxi. & confer eos omnes cum iis, quæ hîc ſcripta ſunt. Nam legibus quoque videtur, omnem cauſam, exceptis iis quæ dilationem non recipiunt, appellationi ſubjici, non ſemel, ſed etiam bis. Sed ne tertius canon te fugiat & quintus præſentis Synodi, de admittenda vel non admittenda à Papa appellatione. Hoc eſt enim ſpeciale in cauſis Eccleſiaſticis, & ſervari debet ubi editum fuit.

Zonar. Si aliquorum criminum accuſatus fuerit A Epiſcopus, ac eorum, qui in vicinia ſunt, vicinorum videlicet, & qui prope degunt, Epiſcoporum judicio depoſitus, ſéque is nihilominus cauſam ſuam æquis rationibus tueri poſſe affirmet; non ante, inquit, in Epiſcopalem ejus ſedem alium ſubſtitui liceat, quam de illius depoſitione Papa certior factus, rem ipſe definiverit, hoc eſt, quid teneri velit oſtenderit, eámque damnationem auctoritate ſua confirmandam aut reſcindendam exiſtimarit. Vide primæ & ſecundæ Conſtantinopolitanæ Synodi canonem decimumſextum.

Arist. *Epiſcopo depoſito, & affirmante apologiam ſe* B *allaturum, niſi Romanus definierit, alius non conſtituitur. Deſpiciet enim depoſitionem vel per nuncios, vel per literas.*

Poſtquam Epiſcopus à provincialibus Epiſcopis deponitur, ſi appellabit, ut ſe injuriam paſſum exiſtimans, in Epiſcopatum ejus alius non eligetur priuſquam Romanus cui ſubjacet Synodus, quæ eum condemnavit, depoſitionem examinaverit. Licet autem Romano quantum ex iſthoc canone colligi poteſt, vel ad Epiſopos provinciæ vicinos ſcribere, & eos Epiſcopi depoſitionem de quâ fit provocatio conſiderare, aut cum Epi- C ſcopis ſuos mittere Presbyteros, & iſtiuſmodi ſententiam examinare.

Canon V.

Si quis Epiſcopus delatus fuerit, & congregati ejuſdem regionis Epiſcopi eum gradu moverint, & veluti appellans confugerit ad beatiſſimum Romanum Epiſcopum, & velit ipſum audire, & juſtum eſſe exiſtimaverit ejus rei examinationem renovari; illis Epiſcopis ſcribere dignabitur, qui ſunt propinqui pro- D *vinciæ, ut ipſi diligenter & accuratè ſingula perſcrutentur, & ex veritatis perſuaſione de re ſententiam ferant. Si quis autem poſtulet ſuum negotium rurſus audiri, & ad ſuam ſupplicationem Romanorum Epiſcopo judicare viſum fuerit, à proprio latere Presbyteros mittat; ut ſit in poteſtate ipſius Epiſcopi (quod rectè habere probaverit & ſtatuerit oportere) eos mitti, qui cum Epiſcopis ſint judicaturi, habentes auctoritatem ejus à quo miſſi ſunt: & hoc ponendum eſt. Si autem ad rei cognitionem Epiſcopi etiam ſententiam ſufficere putaverit: faciet quod prudentiſſimo e-* E *jus conſilio rectè habere videbitur. Reſponderunt Epiſcopi; Quæ dicta ſunt, placuerunt.*

Bals. Ex quarto quoque canone oſtenditur, eſſe in poteſtate Epiſcopi, qui eſt condemnatus, & gravatus, bis appellare. Præſens quoque canon dicit, quòd ſi quis à provincialibus Epiſcopis condemnatus fuerit, & ad Papam appellaverit; is vero vicinis mandaverit Epiſcopis, ut de appellatione cognoſcant, ſi hoc juſtum eſſe putaverit, & ab eis quoque condemnatus fuerit, & ſecundò ad Papam acceſſerit, & illi viſum eſt ea, quæ priùs judicata ſunt, rurſus examinari; ne coga- F tur is, qui judicio vicerit, Romam venire; ſed in provinciam juſſu Papæ veniant Presbyteri ex ejus latere, ſive ab ejus Eccleſia, & familiaritate illi conjuncti, qui auctoritatem ſive poteſtatem ejus habere debent, ut cum regionis illius Epiſcopis de quæſtione judicent, illamque decidant. Si autem Romanus Epiſcopus non eſſe juſtum perſpexerit, ut rurſus examinentur ea quæ priùs judicata fuerint; (ejus enim judicio canon omnia relinquit) faciet quod ſibi juſtum eſſe videbitur. Cùm hæc canon definiat, ne tibi contrarium eſſe videatur caput primi tit. ix. lib. Baſilic. dicens, non poſſe Judi-

A **ΖΩΝΑΡ.** Ἐὰν αἰτιάματί τινα περιτεθῇ κατ᾽ ἐπισκόπου, καὶ κριθεὶς ὁ αἰτιώμενος ἐπίσκοπος παρὰ τῶν ἐν γειτνίᾳ ἐπισκόπων, τουτέστι τῶν γειτνιώντων, τῶν πλησιαζόντων, καταδικασθῇ καὶ καθαιρεθῇ, λέγῃ δὲ δύνασθαι ἔτι δικαιολογήσασθαι, μὴ πρότερον εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς αὐτοῦ ἕτερος καθιστάσθω, εἰ μὴ ὁ Πάπας, μαθὼν τὰ περὶ τῆς καθαιρέσεως τοῦ ἐπισκόπου, ὅρον ἐξενέγκῃ ἤγουν ἀποφήνηται, καὶ ἢ κυρώσῃ τὴν καταδίκην αὐτοῦ, ἢ διαστρέψῃ. ἀνάγνωθι καὶ τὸν ιϛ΄. κανόνα τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου.

B **ΑΡΙΣΤ.** Ἐπισκόπου καθαιρεθέντος, καὶ διαβεβαιουμένου φέρειν ἀπολογίαν, εἰ μὴ ὁ Ῥώμης ὁρίσοι, οὐ καθιδρύεται ἕτερος. διασκοπήσοι γὰρ τὴν καθαίρεσιν ἢ ἀποστόλοις, ἢ γράμμασιν.

Μετὰ τὸ καθαιρεθῆναι ἐπίσκοπον παρὰ τῶν ἐπαρχιωτῶν ἐπισκόπων, ἐὰν ἐκκαλέσηται, ὡς οἰόμενος ἀδικεῖσθαι, εἰς τὴν ἐπισκοπὴν αὐτοῦ οὐ ψηφισθήσεται ἕτερος, μέχρις ἂν ὁ Ῥώμης, ᾧ ὑπόκειται ἡ καταδικάσασα αὐτὸν σύνοδος, τὴν καθαίρεσιν ἐξετάσῃ. ἔξεστι δὲ αὐτῷ τῷ Ῥώμης, ὅσον ἀπὸ τοῦ παρόντος κανόνος, ἢ πρὸς τοὺς γειτνιῶντας τῇ ἐπαρχίᾳ ἐπισκόπους C γράφειν, καὶ τρέψειν αὐτοὺς κατ᾽ ἔκκλητον τὴν τοῦ ἐπισκόπου καθαίρεσιν, ἢ πρεσβυτέρους ἰδίους στέλλειν μετὰ τῶν ἐπισκόπων, καὶ τὴν τοιαύτην δοκιμάζειν ἀπόφασιν.

ΚΑΝΩΝ ε΄.

Εἴ τις ἐπίσκοπος καταγγελθείη, καὶ συναθροισθέντες οἱ ἐπίσκοποι τῆς ἐνορίας τῆς αὐτῆς τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσιν, καὶ ὥσπερ ἐκκαλεσάμενος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς Ῥώμης ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ διακοῦσαι, δίκαιόν τε εἶναι νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος, γράφειν τούτοις τοῖς ἐπισκόποις καταξιώ- D σῃ τοῖς ἀγχιστεύουσι τῇ ἐπαρχίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ ἀκριβείας ἕκαστα διερευνήσωσι, καὶ κατὰ τὴν τῆς ἀληθείας πίστιν ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσιν. εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τῇ δεήσει τῇ αὐτοῦ τὸν Ῥωμαίων ἐπίσκοπον κρίνειν δόξειε, ἀπὸ τοῦ ἰδίου πλευροῦ πρεσβυτέρους ἀποστείλοι, ἵνα ᾖ ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν δοκιμάσῃ, καὶ ὁρίσῃ δεῖν, ἀποσταλῆναι τοὺς μετὰ τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεντίαν τούτου, παρ᾽ οὗ ἀπεστάλησαν· καὶ τοῦτο θετέον. εἰ δὲ ἐξαρκεῖν νομίσοι πρὸς τὴν τοῦ πράγματος ἐπίγνωσιν καὶ ἀπόφασιν τοῦ ἐπισκόπου, E ποιήσει ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ καλῶς ἔχειν δόξῃ, ἀπεκρίναντο οἱ ἐπίσκοποι, τὰ λεγόμενα ἤρεσεν.

ΒΑΛΣ. Καὶ ἐκ τοῦ δ΄. κανόνος παρίσταται, ἔχειν ἐπ᾽ ἀδείας τὸν κατακριθέντα ἐπίσκοπον, καὶ βαρυνόμενον, δὶς ἐκκαλεῖσθαι. καὶ ὁ παρὼν δὲ κανὼν φησιν, ὅτι ἐὰν καταδικασθῇ τις παρὰ τῶν ἐπαρχιωτῶν ἐπισκόπων, καὶ ἐκκαλέσηται πρὸς τὸν Πάππαν, κἀκεῖνος ἐπιτρέψῃ τοῖς γειτνιάζουσιν ἐπισκόποις τηρῆσαι τὴν ἔκκλητον, εἰ τοῦτο νομίσει δίκαιον εἶναι, καὶ καταδικασθῇ πάλιν καὶ παρὰ τούτων ὁ αὐτὸς, καὶ προσέλθῃ ἐκ δευτέρου τῷ Πάππᾳ, καὶ οὗτος εὐδοκήσῃ δοκιμασθῆναι τὰ προ- F κεκριμένα, μὴ ἀναγκαζέσθω ὁ καταδικάσας εἰς Ῥώμην ἀπελθεῖν, ἀλλ᾽ ἀπελθέτωσαν εἰς τὴν ἐπαρχίαν κατὰ κέλευσιν τοῦ Πάππα πρεσβύτεροι ἐκ τοῦ πλευροῦ αὐτοῦ, ἤτοι ἐκ τῆς ἐκκλησίας τούτου, καὶ ᾠκειωμένοι αὐτῷ, ὀφείλοντες ἔχειν τὴν αὐθεντίαν αὐτοῦ, ἤτοι τὴν ἐξουσίαν, ἐφ᾽ ᾧ κρίναι τὴν ὑπόθεσιν μετὰ τῶν ἐγχωρίων ἐπισκόπων, καὶ διαλυτῶσαι αὐτήν. εἰ δὲ ὁ ἐπίσκοπος τῆς Ῥώμης οὐ συνίδῃ δίκαιον εἶναι τηρηθῆναι τὰ προκριθέντα (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ ὁ κανὼν τὸ πᾶν ἀνατίθησιν) ποιήσῃ ὅπερ ἂν δόξῃ αὐτῷ δίκαιον εἶναι. ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ ἐναντιωθῇ σοι τὸ κεφ. τοῦ α΄. τίτλου τοῦ θ΄. βιβλίου τῶν βασιλικῶν, λέγον, μὴ δύνασθαι

τὸν

τὸ ἐκκλητόριον διαπέμπειν πρὸς ἕτερον τὴν τήρησιν τοῦ ἐκκλήτου, ἀλλὰ δι' ἑαυτοῦ ταύτης ἀκροᾶσθαι· ἀλλ' εἰπὲ ἰδικὸν εἶναι τὸν παρόντα κανόνα, καὶ οὕτως ἐκφωνηθῆναι διὰ τὸ μῆκος τῆς ὁδοῦ, καὶ ἵνα μὴ σκύλλωνται οἱ ἐπίσκοποι ἐπὶ μακρὰν, οὕτω καὶ ἀλλοδαπὴν χώραν γινόμενοι διεξίμοι. τὸ δὲ μετὰ τῶν πρεσβυτέρων τοῦ Πάππα δικάζειν τὴν δευτέραν ἔκκλητον τοὺς ἐπαρχιώτας ἐπισκόπους τοὺς καταδικάσαντας τὸν ἐπίσκοπον, μὴ εἴπῃς ἐναντιοῦσθαι τῷ νόμῳ, τῷ λέγοντι, ὁ δικαστὴς ἅπαξ ἀποφηνάμενος πέπαυται, καὶ οὐ δύναται τηρεῖν αὖθις τὴν οἰκείαν ἀπόφασιν· ἐξεφωνήθη γὰρ καὶ τοῦτο ἰδικώτερον, ὡς ἐμοὶ δοκεῖ. διὰ γὰρ τοῦτο καὶ εἰς δοκιμασίαν τοῦ Πάππα ἐνετέθη τὸ εἶδος τῆς κρίσεως. ὅσον γὰρ ἀπὸ τοῦ νόμου, οἱ ἅπαξ ἀποφηνάμενοι οὐκ ἠδύναντο συνδικάζειν μετὰ τῶν πρεσβυτέρων τοῦ Πάππα. εἰ δὲ εἴπῃς ἑτέρους ἐπισκόπους εἶναι τούτους παρὰ τοὺς προαποφηναμένους, οὐδέν τι εὑρήσεις ἀντίξουν. ἐπεὶ δὲ ἐν τοῖς προλαβοῦσι κανόσιν εἴπομεν, μὴ εἶναι τὰ περὶ τοῦ Πάππα ὁρισθέντα ἰδικὰ τούτου καὶ μόνου προνόμια, ὥστε ἔχειν ἐξ ἀνάγκης πάντα ἐπίσκοπον καταδικαζόμενον τῷ θρόνῳ τῆς Ῥώμης προσέρχεσθαι, ἀλλὰ ἐξακούεσθαι καὶ εἰς τὸν Κωνσταντινουπόλεως, τὰ αὐτὰ καὶ πάλιν φαμέν.

A cem appellatum ad alium tranſmittere cognitionem appellationis, ſed eam per ſe audire debere: ſed dic præſentem canonem eſſe ſpecialem, & ita editum eſſe propter viæ longitudinem, & ne vexentur Epiſcopi in adeo longinquam & alienam regionem trahendi. Cum Presbyteris autem Papæ ſecundam appellationem judicare provinciales Epiſcopos, qui condemnarunt Epiſcopum, ne dicas eſſe contrarium legi, quæ dicit, Judex, qui ſemel pronunciavit, officio functus eſt, & non poteſt rurſus propriam ſententiam examinare: nam & hoc etiam ſpecialiùs editum eſt, ut mihi videtur. Propterea B enim & Papæ judicio relictum eſt genus judicii. Quod enim ad leges attinet, non poterant unà cum Papæ Presbyteris judicare ii, qui ſententiam priùs tulerant. Sin autem dixeris alios eſſe Epiſcopos, qui ſententiam tulerint; nihil invenies repugnans. Quia autem in prioribus canonibus diximus, non eſſe quæ de Papa conſtituta ſunt ſpecialia ejus & ſolius privilegia, ut neceſſe habeat quivis condemnatus Epiſcopus ad ſedem Romanam accedere, ſed etiam apud ſedem Conſtantinopolitanam exaudiri; eadem quoque rurſus dicimus.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος, φησὶ, καταγγελθείη ἤτοι κατηγορηθῇ ἐπί τισιν ἐγκλήμασι, καὶ συνελθόντες οἱ ἐπίσκοποι τῆς ἐνορίας ἐκείνης ἀποκινήσωσιν, ἀντὶ τοῦ ἐκβάλωσιν αὐτὸν τοῦ βαθμοῦ, ἤγουν τῆς ἐπισκοπικῆς ἀξίας, ἐκεῖνος δὲ ἔκκλητον ζητήσας κατὰ τῆς καταδικαζούσης αὐτὸν ἀποφάσεως προσέλθῃ τῷ Πάπᾳ, καὶ ὁ Πάπας θελήσῃ ἀκοῦσαι αὐτοῦ, δίκαιον νομίσας ἀνανεώσασθαι τὴν ἐξέτασιν τοῦ πράγματος, τουτέστι, καὶ πάλιν κριθῆναι τὴν ὑπόθεσιν, γραφέτω τοῖς ἐπισκόποις τοῖς ἀγχιστεύουσι, τοῖς ἀγχοῦ που, καὶ πλησίον οὖσι τῆς ἐπαρχίας, ἐν ᾗ ὁ καταδικασθεὶς ἐπίσκοπός ἐστιν, ἵνα αὐτοὶ ἐξετάσωσιν ἐπιμελῶς τὴν ὑπόθεσιν, καὶ ψῆφον ἤγουν ἀπόφασιν ἐξενέγκωσιν. ἐνταῦθα φαίνεται ὁ κανὼν καὶ δευτέραν ἔκκλητον διδοὺς τῷ καταδικασθέντι ἐπισκόπῳ, λέγει γὰρ εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, εἰ γὰρ καὶ παρὰ τῶν ἀγχοῦ τῇ ἐπαρχίᾳ ὄντων ἐπισκόπων κατακριθῇ, φησὶ, καὶ ἀξιοῖ πάλιν ἀκουσθῆναι, καὶ τοῦτο δόξῃ καὶ τῷ Ῥωμαίων ἐπισκόπῳ (τῇ γὰρ δοκιμασίᾳ αὐτοῦ τὸ πᾶν ἀνατίθησιν) ἵνα στέλλοι πρεσβυτέρους ἀπὸ τοῦ ἰδίου πλευροῦ, τουτέστιν, ἐκκρίτους, πλησίον αὐτοῦ κατὰ τὴν τιμὴν καὶ ᾠκειωμένους αὐτῷ, ἔχοντας τὴν αὐθεντίαν αὐτοῦ, τουτέστι τὴν ἐξουσίαν, κρινοῦντας μετὰ τῶν ἐπισκόπων. εἰ δὲ τὰ ἤδη γενόμενα καὶ κριθέντα ἀρκεῖν νομίζοι ὁ Πάπας πρὸς τὴν τῆς ὑποθέσεως τοῦ ἐπισκόπου ἀπόφασιν, ποιήσει ὅπερ ἂν δόξῃ αὐτῷ καλῶς ἔχειν, ἤτοι δίκαιον εἶναι. ἐκ τούτου τοῦ κανόνος οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς αὐχοῦσιν ἐνδεδόσθαι αὐτοῖς τὰς ἐκκλήτους πάσας τῶν ἐπισκόπων πρὸς αὐτοὺς ἀναφέρεσθαι, τῆς πρώτης οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ τοῦτον εἶναι τὸν κανόνα ψευδῶς λέγοντες, ὅπερ ἐν τῇ κατὰ Καρθαγένην ἀθροισθείσῃ συνόδῳ προτεθὲν, ἠλέγχθη μὴ ἀληθεύειν, ὡς ἡ πρὸ τῶν κανόνων αὐτῆς συνόδου γραφὴ παρίστᾳ. οὔτε οὖν τῆς ἐν Νικαίᾳ συνόδου ἐστὶν ὁ κανὼν, οὔτε πάσας τὰς ἐκκλήτους τῶν ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. ὑπέκειντο δὲ τότε τῇ Ῥωμαίων ἐκκλησίᾳ αἱ δυτικαὶ πᾶσαι σχεδὸν ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ἰλλυρικοῦ, αἱ τῆς Ἑλλάδος, αἱ τῆς τοῦ Πέλοπος, καὶ αἱ τῆς λεγομένης Ἠπείρου, αἵ τινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς ἐκκλήτους αὐτῶν ἀνήκειν.

C **Zonar.** Si quis, inquit, Epiſcopus ob aliqua crimina delatus, hoc eſt, accuſatus fuerit, eumque congregati ejus regionis Epiſcopi gradu moverint, hoc eſt, Epiſcopali dignitate ſpoliarint, móxque ab iis Judicibus, à quibus damnatus fuit, ad Papam provocarit, qui illo audito iterum examinari cauſam, novúmque de ea judicium inſtitui, æquum exiſtimaverit; literas ad Epiſcopos ei provinciæ in qua damnatus Epiſcopus degit, proximos mittat, ut ipſi, diligenter explorata controverſia, tota de re poſtea judicent. Videtur porro hic canon hoc loco ſecundam quoque provocationem damnato Epiſcopo dare. Si quis enim, ait, quamvis à D vicinæ provinciæ Epiſcopis condemnatus, iterum audiri velit, nec id Romanus Epiſcopus abnuat, (id namque totum ad illius arbitrium referri placet) Presbyteros à ſuo latere ipſemet mittat, electos nimirum ex iis, quos habet ſibi honore proximos familiaritatéque conjunctos, auctoritatis poteſtatiſque ſuæ vicarios, qui Epiſcopis adhibitis cauſam illam controverſiámque definiant. Si vero iis, quæ in Epiſcopali controverſia definienda jam acta ac judicata ſunt, ſtandum eſſe Papa exiſtimaverit; ea de re ipſe, quod recte habere, id eſt quod æquum eſſe cenſuerit, ſtatuet. Hujus canonis decreto ſummi Sacerdotes antiquæ Romæ in qua- E cunque cauſa ab Epiſcopis provocationem ad ipſos dari jactant; ac eundem in prima Nicæna Oecumenica Synodo conditum fuiſſe falſo affirmant: quod quidem cum in Synodo Carthaginenſi propoſitum fuiſſet, minime cum veritate conſentire probatum eſt, ut ſatis, quæ ante canonum expoſitionem ab ipſa Synodo ſunt ſcripta, teſtantur. Neque igitur hic canon à Nicæna Synodo editus fuit, neque ad ipſum (Romanum Pontificem) provocationes ab omnibus Epiſcopis, ſed ab iis tantummodo qui eidem ſubjecti erant, dari oportere decernit. Romanæ autem Eccleſiæ ditioni eo tempore omnes fere Occidentis Eccleſiæ ſubjiciebantur, Macedo- F niæ nimirum, Theſſaliæ, Illyrici, Græciæ, Peloponeſi, & ejus quæ Epirus dicitur, quæ poſtea in Conſtantinopolitani jura tranſière; ut proinde ad illum provocationes ex his locis referri ſit conſentaneum.

CANON VI.

Si contigerit in una provincia, in qua ſunt plurimi Epiſcopi, unum Epiſcopum remanere, & ille per quandam negligentiam nolit convenire, & Epiſcoporum conſtitutioni aſſentiri; congregata autem populi multitudo ſuadeat & inſtet ut fiat conſtitutio Epiſcopi qui ab eis quæritur: oportet illum priùs, qui remanſit, Epiſcopum admoneri per literas Exarchi provinciæ, (dico quidem Epiſcopi Metropolitani) quòd vult populus ſibi paſtorem dari; & exiſtimo rectè habere hunc quoque admitti, ut adſit. Si autem literis rogatus non adfuerit, ſed neque reſcripſerit, populi voluntati ſatisfiat. Oportet autem ex vicina quoque provincia accerſi Epiſcopos ad Metropolitani Epiſcopi conſtitutionem: at non licere omnino Epiſcopum in aliquo pago vel parva urbe conſtituere, cui vel unus Presbyter ſufficit. Non neceſſe eſt enim illic Epiſcopos conſtitui, ne Epiſcopi nomen & auctoritas vilipendatur. Sed provinciæ, ut priùs dixi, Epiſcopi debent in iis urbibus Epiſcopos conſtituere, ubi etiam priùs Epiſcopi fuerunt. Sin autem inveniatur urbs aliqua populis tam frequens, ut ipſa Epiſcopatu digna judicetur, accipiat. An hoc omnibus placet? Reſponderunt omnes; Placet.

Bals. Cùm xii. canon Laodicenæ Synodi & alii decernant fieri Epiſcoporum electiones, non à multitude civitatum, ſed ab Antiſtitibus; præſens canon ſtatuit, quòd ſi contigerit ex Epiſcopis provinciæ aliquem unum abeſſe, & nolle cum populi multitudine convenire, ut fiat electio vacantis Eccleſiæ; civitatis autem populus quærat Antiſtitem: debet Exarchus provinciæ, ſive Metropolitanus, etiam abſentem Epiſcopum literis accerſere, ut fiat Epiſcopi conſtitutio ab omnibus provincialibus, ut vult iv. canon primæ Syn. Si is autem nolit adeſſe, nec per reſcriptum aſſentiatur, fiat electio, ut populo viſum fuerit, provincialium Epiſcoporum: neque enim, qui abeſt, ignorantiam allegabit vel ſui contemptum, quòd ſcilicet à Synodo vocatus non adfuerit. Cùm hæc canon ſtatuiſſet de electione vacantis Eccleſiæ, quia ante viceſimumoctavum canonem Chalcedonenſis Synodi Metropolitani fiebant ab Epiſcopis, & non à Conſtantinopolitano pro tempore Patriarcha, ut nunc fit; dicit canon, quòd ſi ſit proceſſura electio Metropolitani, non fiat à ſolis provincialibus Epiſcopis; ſed etiam omnino accerſi oportet Epiſcopos vicinarum regionum, propter Metropolitani magnitudinem, quem etiam Exarchum provinciæ nominat. Sic enim ab omni mala ſuſpicione libera erit electio, ut quæ à pluribus Antiſtitibus facta ſit. Quia autem vilibus electis Epiſcopis in parvis vilibúſque parœciis, in quibus ſæpe ne erant quidem Epiſcopi, qui & pedibus incedebant, & erant alioqui contempti, Epiſcopalis dignitas contumelia afficiebatur; ſtatuerunt Patres, ne conſtituantur Epiſcopus in vico, ſive in pago, vel in exiguo oppidulo, in quo vel unus Sacerdos ſufficit; ne Epiſcopalis dignitas vilipendatur: ſed in illis urbibus conſtituantur Epiſcopi, quæ hominibus abundant, & quæ jam olim habent Epiſcopos. Tanquam autem dixiſſet quiſpiam, iniquum eſſe urbem populo frequentem non habere Antiſtitem, eò quòd jam olim Epiſcopus in ea non conſtituatur; adjecerunt Patres, in hujuſmodi civitate etiam de novo conſtitui poſſe Epiſcopum.

ΚΑΝΩΝ ϛ'.

Ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ, ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχάνουσι, ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθέντα παρακαλοῖεν γίνεσθαι τὴν κατάστασιν τοῦ ὑπ' αὐτῶν ζητουμένου ἐπισκόπου· χρὴ πρότερον ἐκεῖνον τὸν ἐναπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας (λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπόλεως) ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς δοθῆναι, ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι, ἵνα παραγένηται. εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους χρὴ γίνεσθαι. χρὴ δὲ καὶ μετακαλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους πρὸς τὴν κατάστασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιστᾶν ἐπίσκοπον ἔν τινι κώμῃ ἢ βραχείᾳ πόλει, ᾗ τινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ. οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίστασθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντεία. ἀλλ' οἱ τῆς ἐπαρχίας, ὡς προεῖπον, ἐπίσκοποι ἐν ταύταις ταῖς πόλεσιν καθιστᾶν ἐπισκόπους ὀφείλουσιν, ἔνθα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι. εἰ δὲ εὑρίσκοιτο οὕτως πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν τῆς ἐπισκοπῆς νομίζεσθαι, λαμβανέτω. εἰ πᾶσιν ἀρέσκει τοῦτο; ἀπεκρίναντο πάντες, ἀρέσκει.

ΒΑΛΣ. Τοῦ ιβ'. κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου καὶ ἑτέρων διοριζομένων τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, μὴ παρὰ τοῦ πλήθους τῶν πόλεων, ἀλλὰ παρὰ ἀρχιερέων, ὁ παρὼν κανὼν διορίζεται, ὅτι ἐὰν συμβῇ ἀπὸ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἕνα τινὰ ἀποδημεῖν, καὶ μὴ θέλειν μετὰ τοῦ πλήθους τῶν πολλῶν συνελθεῖν, ἐφ' ᾧ τὴν ψῆφον γενέσθαι τῆς χηρευούσης ἐκκλησίας, τὰ δὲ πλήθη τῆς πόλεως ζητῶσιν ἀρχιερέα. ὀφείλει ὁ ἔξαρχος τῆς ἐπαρχίας, ἤγουν ὁ μητροπολίτης, μετακαλεῖσθαι καὶ τὸν ἀπόντα ἐπίσκοπον διὰ γραμμάτων, ὡς ἂν γίνηται ἡ κατάστασις τοῦ ἐπισκόπου παρὰ πάντων τῶν ἐπαρχιωτῶν, κατὰ τὸν δ'. κανόνα τῆς α'. συνόδου. εἰ δὲ οὗτος οὐ θελήσει παρουσιάσαι, οὐδὲ συναινεῖ δι' ἀντιγραφῆς, γίνεσθαι τὴν ψῆφον κατὰ τὸ δόξαν τοῖς πλήθεσι τῶν ἐπαρχιωτῶν ἐπισκόπων. οὐδὲ γὰρ προβαλεῖται ὁ ἀποδημῶν ἄγνοιαν ἢ καταφρόνησιν, ὡς μετακληθεὶς παρὰ τῆς συνόδου καὶ μὴ παρουσιάσας. ταῦτα τοῦ κανόνος διοριζομένου περὶ ψήφου χηρευούσης ἐπισκοπῆς, ἐπεὶ πρὸ τοῦ κη'. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου οἱ μητροπολῖται παρὰ ἐπισκόπων ἐγίνοντο, καὶ οὐχὶ παρὰ τοῦ κατὰ καιροὺς πατριάρχου Κωνσταντινουπόλεως, καθὼς γίνεται σήμερον, φησὶν ὁ κανὼν, ὅτι ἐὰν μέλλῃ προβλῆναι ψῆφος μητροπολίτου, οὐ γενήσεται παρὰ μόνων τῶν ἐπαρχιωτῶν ἐπισκόπων, ἀλλὰ χρὴ μετακαλεῖσθαι καὶ ἑτέρους ἐπισκόπους πλησιοχώρους, πάντως διὰ τὸ μεγαλεῖον τοῦ μητροπολίτου, ὃν καὶ ἔξαρχον ἐπαρχίας ὀνομάζει. οὕτω γὰρ πάντῃ ἀνύποπτος ἔσται ἡ τούτου ψῆφος, ὡς παρὰ πλειόνων ἀρχιερέων γενομένη. ὅτι δὲ ψηφιζομένων ἐπισκόπων ταπεινῶν εἴς τινας παροικίας εὐτελεῖς, ἐν αἷς πολλάκις οὐδὲ ἦσαν ἐπίσκοποι, καὶ πεζῇ βαδιζόντων, καὶ ἄλλως ὄντων καταπεφρονημένων, τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα περιυβρίζετο, ὥρισαν οἱ πατέρες μὴ καθίστασθαι ἐπίσκοπον ἐν κώμῃ, ἢ ἐν χωρίῳ ἢ ἐν πόλει βραχείᾳ, ἐν ᾗ καὶ εἷς ἱερεὺς ἐπαρκεῖ· ἵνα μὴ ἐξευτελίζηται ἡ αὐθεντεία τῆς ἀρχιερωσύνης· ἀλλ' εἰς ἐκείνας τὰς πόλεις ἐπισκόπους καθίστασθαι τὰς πολυανθρώπους, τὰς ἀπὸ παλαιοῦ ἐχούσας ἀρχιερεῖς. ὡς δὲ τινος εἰπόντος, ἄδικον εἶναι τὸ μὴ ἔχειν τὴν πολυάνθρωπον πόλιν ἀρχιερέα, διὰ τὸ μὴ ἐκ παλαιοῦ καθίστασθαι ἐπίσκοπον ἐν αὐτῇ, εἶπον οἱ πατέρες, ἐν τοιαύτῃ πόλει καὶ ἐκ νέου καθίστασθαι ἐπίσκοπον.

καὶ ταῦτα μὲν οὕτω. σὺ δὲ σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἄκυρός ἐστιν ἡ ψῆφος τοῦ ἐπισκόπου ἡ γινομένη χωρὶς παρουσίας ἢ συναινέσεως πάντων τῶν ἐπαρχιωτῶν. καὶ ἕνα γὰρ ἐκ τούτων ἀπόδημον ὄντα μετακαλέσασθαι ὁ κανὼν διωρίσατο. καὶ οὐ δύναταί τις λέγειν, ὡς ἐπεὶ ἡ τῶν πλειόνων ψῆφος ἀρκεῖ, ἡ τοῦ ἑνὸς ἀπουσία οὐ προκριματίζει, κἂν καὶ ἐναντία ἡ γνώμη τούτου ἐστί. διὰ γὰρ τοῦτο, ὡς ἔοικε, μετακαλοῦνται πάντες οἱ ἐνδημοῦντες κατὰ ταύτην τὴν τῶν πόλεων βασιλεύουσαν ἀρχιερεῖς, ὅταν ψῆφος ὀφείλῃ γενέσθαι ἐκκλησίας οἱασδήτινος, καὶ ἐμποδίζῃ ταύτην ἡ ἀποδημία τοῦ ἑνός. τοῦ δὲ κανόνος λέγοντος, καθίστασθαι ἐπισκόπους ἔνθα καὶ πρότερον ἐτύγχανον ἐπίσκοποι, εἶπον τινὲς, μὴ ὀφείλειν τοῦτο γίνεσθαι εἰς εὐτελεῖς πάντῃ κώμας ἢ πόλεις, διὰ τὸ προψηφίζεσθαι εἰς ταύτας ἀρχιερεῖς, ὅταν ἦσαν ὑπὸ λαοῦ πληθυνόμεναι, ἀλλὰ τὴν αἰτίαν τῆς προβλήσεως τοῦ ἀρχιερέως εἶναι τὸ πολυάνθρωπον τῆς χώρας, οὐχὶ τὸ παλαιὸν προνόμιον· καὶ προσέθεντο, μὴ χρῆναι ἐπίσκοπον ψηφίζεσθαι εἰς πόλιν καταντήσασαν ἀπὸ πολυανθρώπου εἰς τὸ μηδὲν σχεδὸν, ἐκ τῆς τῶν ἐθνῶν ἐπιδρομῆς, ἢ ἄλλης τινὸς τῶν πραγμάτων φορᾶς, ἀλλ' εἰς τὰς πολυανθρώπους, κἂν οὐκ εἶχον πρώην ἀρχιερεῖς. ὁ μέντοι θεοστεφὴς κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς πολλάκις ὑπομνησθεὶς, εἰ χρὴ τὰς ἐν τῇ ἀνατολῇ οὔσας ἐκκλησίας καὶ παρὰ Ἀγαρηνῶν κατεχομένας ψηφισθῆναι, ψηφίζεσθαι μὲν ταύτας ηὐδόκησε, καὶ σολέμνια τοῖς ψηφίζεσθαι ὀφείλουσι διὰ τὰ ζωαρκῆ ἐπεφιλοτιμήσατο διὰ κοινῆς προστάξεως, ὅταν τέως ἀποδημῶσιν εἰς τὰς ἐκκλησίας αὐτῶν, ἵνα τὸ ἐπὶ ταύταις προσὸν δίκαιον ταῖς ἐκκλησίαις καὶ τῇ βασιλείᾳ αἰωνιζόντως περιφυλάττηται, ὡς μηδὲ ἀπαγορεύων τὴν εἰς ταύτας ἀποκατάστασιν τῶν Χριστιανῶν. ἐπισκόπους δὲ ὁπωσδήποτε εἰς κώμας εὐτελεῖς ψηφισθῆναι οὐ κατένευσεν, ἀλλὰ μᾶλλον καὶ ὠργίσθη κατὰ τῶν οὕτω ψηφιζομένων, ὡς ἐντεῦθεν τοῦ ἀρχιερατικοῦ ἀξιώματος ὑβριζομένου. τοῦ δὲ ἁγιωτάτου ἐκείνου μητροπολίτου Θηβῶν τοῦ Καλοκτένη ψηφισαμένου ἐκ νέου ἐπισκόπους, λόγος ἐγένετο παρὰ τῇ συνόδῳ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, εἰ ὤφειλε τὸ καινισθὲν τοῦτο ἔργον ποιῆσαι ὁ μητροπολίτης μετὰ συνοδικῆς ἐπικρίσεως, καὶ πάντες εἶπον, ὡς ὤφειλε τὸ παρὰ τοῦ Θηβῶν καινισθὲν παρὰ τῆς μεγάλης συνόδου ἐπιτραπῆναι μετὰ διάγνωσιν, κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν διοριζόμενον, μηδέν τι περιττὸν γίνεσθαι παρὰ τοῦ ἐπισκόπου ἄνευ γνώμης συνοδικῆς.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους παρὰ τῶν τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπων καθίστασθαι διάφοροι κανόνες ὁρίζουσιν. ἐὰν οὖν διαφόρων ἐπισκόπων ὄντων ἐν ἐπαρχίᾳ, συμβῇ ἕνα περιλειφθῆναι ἐπίσκοπον τῶν ἄλλων θανόντων, ἢ τινῶν ἴσως καθαιρεθέντων, ἢ καὶ ἑτέρων ἀναγκαίως ἀποδημούντων, καὶ ζητῶσιν οἱ τῶν πόλεων ἐκείνων χειροτονηθῆναι αὐτοῖς ἐπίσκοπον, χρὴ, φησὶν ὁ κανὼν, τὸν ἐναπομείναντα ἐπίσκοπον μετακαλέσασθαι διὰ γραμμάτων τοῦ μητροπολίτου τῆς ἐπαρχίας, ὃν καὶ ἔξαρχον ὀνομάζει, καὶ ὑπομνήσκεσθαι, ὅτι τὰ πλήθη ζητεῖ κατασταθῆναι αὐτοῖς ποιμένα, καὶ ἐκδέχεσθαι τὴν παρουσίαν αὐτοῦ. εἰ δὲ ὑπομνησθεὶς, καθὼς εἴρηται, οὔτε παραγένηται, οὔτε ἀντιγράψῃ, χρὴ τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους γίνεσθαι, τουτέστι, δίδοσθαι αὐτοῖς ἐπίσκοπον παρὰ τοῦ μητροπολίτου τῆς ἐπαρχίας. εἰ δὲ ὁ μητροπολίτης τῆς ἐπαρχίας μέλλει κατασταθῆναι, χρή φησι καὶ τοὺς τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους μετακαλεῖσθαι. τοῦτο δὲ ἐγίνετο, ὅτε καθ' ἑαυτὰς αἱ πόλεις τοὺς ἐπισκόπους τῶν μητροπόλεων ἐψηφίζοντο. νῦν δὲ τοῦτο οὐ γίνεται, ἀλλ' οἷς ἡ χειροτονία τῶν ἐπισκόπων ἀπονενέμηται, ἐκεῖνοι διὰ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ψηφίζονται τοὺς ἀρχιερεῖς. ἑξῆς δὲ ὁ κανὼν διατάττεται, μὴ γίνεσθαι ἐπίσκοπον ἐν κώμῃ τινὶ, ἢ πόλει μικρᾷ, ἢ καὶ εἰς πρεσβύτερος

A Et hæc quidem ſic. Tu autem nota etiam ex hoc præſenti canone, quòd irrita eſt electio Epiſcopi, quæ fit ſine præſentia vel conſenſu omnium provincialium. Nam vel unum ex iis, qui aberat, accerſi jubet canon. Et non poteſt quiſpiam dicere, quòd quoniam plurium valent ſuffragia, unius abſentia non affert præjudicium, etiamſi contraria eſt ejus ſententia. Propterea enim, ut eſt conſentaneum, accerſuntur omnes qui in regione adſunt in hanc urbium reginam Antiſtites, quando debet alicujus Eccleſiæ fieri electio, & eam unius abſentia impedit. Cùm autem canon dicat, conſtitui oportere Epiſcopos ubi priùs fuerunt B Epiſcopi; dicebant quidam, non debere hoc omnino fieri in vilibus pagis aut urbibus, eo quòd in iis Antiſtites antea eligerentur, quando populo frequentes erant; ſed cauſam promotionis Antiſtitis eſſe regionis populi frequentiam, non autem antiquum privilegium: & adjecerunt, non oportere Epiſcopum eligi in urbe, quæ à magna populi frequentia ad nihil redacta eſt ex gentium incurſione, vel aliqua alia rerum perturbatione; ſed in iis quæ populo abundant, etiamſi Antiſtites antea non habuerunt. A Deo autem coronatus ſanctuſque Imperator noſter ſæpe rogatus, an oporteat Orientales Eccleſias & à Sarracenis detentas C Epiſcopos electione ſortiri; eis quidem eligi Epiſcopos annuit, & ſolennia iis qui eligere debent ad victus ſufficientiam conceſſit per communem juſſionem quouſque Eccleſiis ſuis abſunt; ut jus, quod in eis eſt Eccleſiis, imperio quoque perpetuò ſervetur, utpote cùm non deſperet fore ut Chriſtiani ad eas reſtituantur. Epiſcopos autem in pagis vilibus quomodocunque eligi non permiſit: ſed potiùs iis ſuccenſuit, qui ita eligunt; nempe quòd Epiſcopalis dignitas ex ea re contumelia afficiatur. Cùm autem ille ſanctiſſimus Thebarum Metropolitanus Caloctene Epiſcopos de novo elegiſſet, agitatum eſt in Synodo D tempore ſanctiſſimi illius Patriarchæ domini Michaëlis ſummi Philoſophi, utrum Metropolitanus debebat hoc novum opus facere cum ſynodali dijudicatione, & omnes dixerunt, quòd debebat id, quod à Thebarum Epiſcopo innovatum eſt, à magna Synodo mandari; ut vult canon Apoſtolicus, qui ſtatuit, nihil magni momenti debere ab Epiſcopo fieri, ſine ſententia ſynodali.

ZONAR. Multorum canonum decreto ad Epiſcopos cujuſque provinciæ Epiſcoporum renuntiatio ſpectat. E Ergo ſi in qua provincia multi Epiſcopi eſſe ſoleant, in ea nonnullis morte conſumptis, aut quibuſdam forte depoſitione mulctatis, vel aliis præterea extra provinciæ fines neceſſaria de cauſa profectis, unum relictum eſſe contingat, ſibique Epiſcopum urbes illæ dari poſtulent; Epiſcopum eum, qui manſit à Metropolitano provinciæ, quem Exarchum quoque nominat, per literas evocari, deque multitudinis paſtorem ſibi efflagitantis voluntate certiorem fieri, ac eundem in conſilium adhiberi, oportere canon affirmat. Qui ſi de tota re, ut dictum eſt, admonitus, neque adfuerit, neque reſcripſerit; populi voluntati morem gerendum, ac illis Epiſcopum à Metropolitano provinciæ F concedi placet. Verùm ſi de Metropolitano provinciæ conſtituendo agatur, vicinioris quoque provinciæ Epiſcopos advocandos eſſe decernit. Quod quidem eatenus valuiſſe putandum eſt, quamdiu Metropolitanos ipſæ ſibi civitates eligebant: Nam hoc quidem tempore alia ratio eſt, & ab iis, quibus Epiſcopos creandi jus eſt, ſummi quoque Sacerdotes per Epiſcopos provinciæ deliguntur. In iis porro quæ ſequuntur, conſtitui Epiſcopum in oppido quopiam, exilive urbe, cui vel unus Presbyter ſuffecturus ſit, canon vetat.

Quod quidem Laodicenæ quoque Synodi ſeptimo & quinquageſimo canone definitum fuit. Addit vero hic canon præterea, non eſſe neceſſe in iis locis Epiſcopum conſtitui, ne ſcilicet Epiſcopi nomen ac auctoritas facile vileſcat: Verum à primis provinciæ Epiſcopis, videlicet à Metropolitanis, in iis tantum locis, ubi etiam prius, hoc eſt, ab antiquo tempore fuerant, Epiſcopi collocari debent. Si tamen urbem, inquit, non ita celebrem, mox incolarum numero frequentari contingat, ut jam amplificata frequentia Epiſcopo digna ſedes judicetur; in ea quoque Epiſcopum, quamvis antea nullum habuerit, conſtitui licere decernit.

Arist. *Si populo Epiſcopum appetente Epiſcopi præſentes fuerint, unus verò abfuerit, is etiam vocetur. Si vocatus autem neque ſcribere, neque accedere velit, is qui petitur ordinetur.*

Iſtud hodie non eſt in uſu, ut à Clericis & civitatis primoribus Epiſcoporum electiones fierent, ſed iſtæ nunc à Metropolitanis & Epiſcopis procedunt. Ut duodecimus Synodi Laodicenſis canon ſtatuit, & undevigeſimus Antiochenæ, & alii multi. Ad ſententiam itaque ferendam vel omnes Epiſcopos præſentes eſſe, vel & abſentes per literas præſentibus conſentire oportet.

Arist. *Cum Metropolitanus conſtituitur, etiam vicini Epiſcopi ſunt accerſendi.*

Cum Metropolitanus eſt eligendus, non omnes ubicunque ſint, diœceſis Metropolitæ ad electionem ejus vocabuntur, ſed vicini. Illud enim & impoſſibile eſt fieri, ſi ſecundum vigeſimum quintum Synodi Chalcedonenſis canonem vacantium epiſcopatuum ordinationes intra tres menſes fieri debent.

Arist. *In parvâ urbe & vico, cui etiam unus ſufficiat Presbyter, Epiſcopus non conſtituitur. Sin populo frequentiſſima ſit urbs, non indignum.*

Non neceſſe eſt ſi exigua ſit civitas aut pagus, ubi & unus Presbyter ſufficiat, Epiſcopum fieri, ne Epiſcopi nomen parvi fieret. Si exigua autem civitas quamplurimis repleta ſit hominibus, non incongruum eſt & in eâ ordinari Epiſcopum.

CANON VII.

Oſius Epiſcopus dixit; Importunitas noſtra, & multa aſſiduitas, & injuſtæ poſtulationes effecerunt, ut nos non habeamus tantam gratiam & libertatem dicendi, quantam habere debemus. Multi enim Epiſcopi non intermittunt ad caſtra accedere, & maximè Aphri; qui, quemadmodum cognovimus à dilecto fratre noſtro & Coepiſcopo Grato, ſalutaria conſilia non admittunt, ſed ita contemnunt, ut unus homo ad caſtra plurimas & diverſas, & quæ non poſſunt juvare Eccleſias, ſupplicationes afferat, & non, ut debet fieri & convenit, pauperibus & laicis vel viduis opem & auxilium afferat, ſed ſeculares dignitates & functiones aliquibus acquirat. Hæc ergo perverſitas detrimentum non ſine offendiculo & condemnatione nobis conciliat. Convenientius autem eſſe exiſtimavi, ut Epiſcopus illi ſuum auxilium præbeat, cui ab aliquo vis affertur, vel ſi quæ vidua injuria afficiatur, vel ſi quis rurſus Orphanus privetur iis, quæ ad ipſum pertinent: Si quidem hæc nomina juſtam habent cauſam & ſupplicationem. Si itaque, dilecti fratres, hoc omnibus videtur, ſtatuite, nullum oportere Epiſcopum ad caſtra accedere, præter eos, quos pius Imperator noſter ſuis li-

A ἀρκεῖ, ὁ καὶ ὁ νζʹ. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διωρίσατο. προστίθησι δὲ ὁ κανὼν οὗτος, ὅτι οὐκ ἀναγκαῖόν ἐστιν ἐπίσκοπον ἐκεῖ καθίστασθαι, ὡς ἂν μὴ κατευτελίζηται τὸ ὄνομα καὶ ἡ αὐθεντία τοῦ ἐπισκόπου, ἀλλ' οἱ τῆς ἐπαρχίας πρῶτοι ἐπίσκοποι, οἱ μητροπολῖται δηλαδὴ, ἐκεῖνοι ὀφείλουσι ποιεῖν ἐπισκόπους, ὅπου καὶ πρότερον, ἤγουν ἐκ παλαιοῦ, ἦσαν ἐπίσκοποι. εἰ δέ τις, φησὶ, πόλις πρότερον μὴ ἔχουσα πλῆθος πολὺ πολιτῶν, εὑρίσκοιτο μετὰ ταῦτα γενομένη πολυπληθὴς, ὡς ἀξίαν αὐτὴν νομισθῆναι ἐπισκοπῆς, διὰ τὸ πλῆθος τοῦ λαοῦ, λαμβανέτω ἐπίσκοπον, κἂν μὴ ἐκ παλαιοῦ εἶχεν.

B **ΑΡΙΣΤ.** Εἰ τῶν λαῶν ἐπικομιζόντων ἐπίσκοπον, οἱ ἐπίσκοποι παρουσιάζουσιν, εἷς δέ τις λείπῃ, προσκαλείσθω κἀκεῖνος. εἰ δὲ προσκαλούμενος, οὔτε γράφειν, οὔτε ἐνδημεῖν βούλοιτο, ὁ ζητούμενος χειροτονείσθω.

Τοῦτο νῦν οὐκ ἐνεργεῖται, τὸ παρὰ τῶν κληρικῶν καὶ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους τῶν ἐπισκόπων γίνεσθαι, ἀλλὰ παρὰ μητροπολιτῶν καὶ ἐπισκόπων αὗται προβαίνουσιν· ὡς ὁ δωδέκατος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου διατάττεται, καὶ ὁ ἐννεακαιδέκατος τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἄλλοι πολλοί. δεῖ γοῦν ἢ πάντας παρεῖναι τοὺς ἐπισκόπους ἐπὶ τῇ ψήφῳ, ἢ καὶ τοὺς C ἀπόντας διὰ γραμμάτων συμψήφους γίνεσθαι τοῖς παροῦσι.

ΑΡΙΣΤ. Μητροπολίτου καθισταμένου, καὶ οἱ πλησιόχωροι μετάπεμπτοι ἔστωσαν.

Μητροπολίτου μέλλοντος ψηφισθῆναι, οὐ πάντες τῆς ἁπανταχῆ διοικήσεως οἱ μητροπολῖται εἰς τὴν ψῆφον αὐτοῦ κληθήσονται, ἀλλ' οἱ πλησιόχωροι· ἐκεῖνο γὰρ καὶ ἀδύνατον γενέσθαι, εἴπερ, κατὰ τὸν εἰκοστὸν πέμπτον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ἐντὸς τριῶν μηνῶν αἱ χειροτονίαι ὀφείλουσι γίνεσθαι τῶν χηρευουσῶν ἐπισκοπῶν.

D **ΑΡΙΣΤ.** Εἰς ὀλίγην πόλιν καὶ κώμην, ᾗ καὶ εἷς αὐτάρκης πρεσβύτερος, ἐπίσκοπος οὐ καθίσταται· εἰ δὲ πολυανθρωποτάτη γένοιτο πόλις, οὐκ ἀνάξιον.

Οὐκ ἀναγκαῖον, βραχείας οὔσης τῆς πόλεως, ἢ τῆς κώμης, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ, ἐπίσκοπον γίνεσθαι· ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα. εἰ δὲ καὶ βραχεῖα πόλις πολυανθρωποτάτη γένοιτο, οὐκ ἀπεικὸς καὶ ἐν αὐτῇ χειροτονηθῆναι ἐπίσκοπον.

ΚΑΝΩΝ ζʹ.

E Ὅσιος ἐπίσκοπος εἶπεν· ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς τοσαύτην μὴ ἔχειν χάριν καὶ παρρησίαν, ὅσην ὀφείλομεν κεκτῆσθαι. πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγενόμενοι, καὶ μάλιστα οἱ Ἀφροι· οἵτινες, καθὼς ἔγνωμεν παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείστας καὶ διαφόρους, καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, δεήσεις διακομίζειν, καὶ μὴ, ὡς ὀφείλει γίνεσθαι καὶ ὡς προσῆκόν ἐστι, τοῖς πένησι F καὶ τοῖς λαϊκοῖς ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ πράξεις προξενοῦσιν τισιν. αὕτη τοίνυν ἡ σκαιότης τὸν θραυσμὸν οὐκ ἄνευ σκανδάλου τινὸς ἡμῖν καὶ καταγνώσεως προξενεῖ. πρεπωδέστερον δὲ εἶναι ἐνόμισα, ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅστις ἂν ὑπό τινος βιάζηται, ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀποστεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν. εἰ τοίνυν, ἀγαπητοὶ ἀδελφοὶ, πᾶσι τοῦτο δοκεῖ, ἐπικρίνατε μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατόπεδον παραγίνεσθαι παρεκτὸς τούτων, οὓς ἂν ὁ εὐλαβέστατος

A εὐλαβέστατος βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασιν μετακαλοῖτο. ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἴκτου δεομένους καταφυγεῖν ἐπὶ τὴν ἐκκλησίαν διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς περιορισμὸν ἢ νῆσον καταδικασθέντας, ἢ δ' αὖ πάλιν οἱαδηποτοῦν ἀποφάσει ἐκδεδομένους, τοῖς τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελλησμοῦ καὶ ἄνευ τοῦ διστάσαι τούτοις αἰτεῖσθαι συγχώρησιν. εἰ τοίνυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε ἅπαντες. ἀπεκρίναντο ἅπαντες, ὁριζέσθω καὶ τοῦτο.

ΒΑΛΣ. Εν τῷ ια'. κανόνι τῆς ἐν Αντιοχείᾳ συνόδου, ἐκωλύθησαν οἱ ἐπίσκοποι καὶ πάντες οἱ κανονικοὶ ἄνευ ἐκχωρήσεως συνοδικῆς πρὸς βασιλέα ἀπέρχεσθαι. B ἀκολούθως οὖν καὶ ὁ παρὼν κανὼν διορίζεται, μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον ἤγουν ἔνθα ὁ βασιλεὺς διάγει, παραγίνεσθαι χωρὶς μετακλήσεως βασιλικῆς, εἰ μὴ πολλάκις τοῦτο θελήσει τις ποιῆσαι διὰ χειραγωγίαν πτωχῶν τινων ἢ κατακρίτων προσελθόντων τῇ ἐκκλησίᾳ. ὅπερ καὶ ἀνῃρέθη ὑπὸ τοῦ ῥηθησομένου προσεχῶς η'. κανόνος, διοριζομένου καὶ τὰς τοιαύτας ὑποθέσεις, μὴ παρὰ ἐπισκόπων ὑπομιμνήσκεσθαι, ἀλλὰ παρὰ διακόνων ἤγουν διακονητῶν ἤτοι δουλευτῶν. καὶ ἡ μὲν ἔννοια τοῦ κανόνος αὕτη. αἱ αἰτίαι δὲ δι' ἃς ἐθεσπίσθη σαφεῖς εἰσι· καὶ οὐ δέονται ἑρμηνείας. τούτων οὕτως ἐχόντων, ἠρώτησέ τις, C εἰ ἐφεῖται ἐπισκόπῳ μετὰ συνοδικῆς ἐπιτροπῆς πρὸς βασιλέα ἀπέρχεσθαι κατὰ τὸν ια'. κανόνα τῆς ἐν Αντιοχείᾳ συνόδου; Λύσις. ὁ παρὼν κανὼν τὸν ῥηθέντα κανόνα οὐκ ἀναιρεῖ, ἀλλ' ἐκείνῳ μᾶλλον συμφωνεῖ. διὸ καὶ, ὡς ἐμοὶ δοκεῖ, μετὰ συνοδικῆς σκέψεως ἀποκριματίσως ἐπίσκοπος εἰς βασιλέα ἀπελεύσεται, πολλῷ δὲ πλέον κληρικός. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι κἂν κεκωλυμένον ἐστὶ πρὸς βασιλέα σχολάζειν ἐπισκόπους καὶ ἑτέρους ἱερωμένους, ἀλλὰ κατὰ βασιλικὸν ὁρισμὸν ἀκινδύνως τοῦτο ποιήσουσι, καὶ τὸ προσταττόμενον αὐτοῖς ἐνεργήσουσιν, ὧν μήτε τοῦ βασιλέως ἀνακρινομένου περί τινος αὐτοὺς μετακαλεῖται, μήτε τούτων εὐθυνομένων ὡς ὑπεικόντων προστάττοντι βασιλεῖ. D ἀνάγνωθι τὸν ἐν Αντιοχείᾳ συνόδου κανόνα ια'. ιβ'. καὶ τῆς παρούσης συνόδου κανόνα η'. θ'. καὶ κα'.

ΖΩΝΑΡ. Τινὲς τῶν ἐπισκόπων καὶ μάλιστα οἱ Αφροι, οἱ ἐν Αφρικῇ δηλονότι, συνεχῶς προσῄεσαν τοῖς βασιλεῦσιν, αἰτήσεις οἰκείας καὶ ἀξιώσεις ἔχοντες, οὐδὲ δικαίας ἴσως. τοῦτο οὖν διορθουμένη ἡ σύνοδος αὕτη, φησὶν, ὅτι ἡ ἀκαιρία ἡμῶν, ἤτοι τὸ μὴ δικαίως προσιέναι τοῖς βασιλεῦσι, συνεχῶς δὲ, καὶ αἱ ἄδικοι ἀξιώσεις, πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν, ἤγουν μὴ οὕτως εἶναι κεχαριτωμένους καὶ αἰδοῦς ἀξίους νομίζεσθαι, μηδὲ παῤῥησιάζεσθαι δύνασθαι, ὅσον ὀφείλομεν. E πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ Αφροι. στρατοπέδου δὲ ἐμνήσθη, ὅτι ὡς ἐπὶ τὸ πολὺ οἱ βασιλεῖς στρατείᾳ ἐσχόλαζον. οἵτινες ἐπίσκοποι τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσι τῶν συνοδικῶν παραινέσεων οὕτως, ὥστε ἄνθρωπον (ἤτοι ἐπίσκοπον) ἕνα πολλὰς καὶ διαφόρους αἰτήσεις κομίζειν εἰς τὸ στρατόπεδον, καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας, καὶ μὴ γίνεσθαι καθὼς χρεὸς ἐστὶ ποιεῖν τοὺς ἐπισκόπους, καὶ καθὼς ἐνδέχεται. τί δὲ τοῦτό ἐστι; τὸ μὴ συναίρεσθαι καὶ ἀντιλαμβάνεσθαι καὶ βοηθεῖν τοῖς πένησι καὶ ταῖς χήραις ἢ τοῖς λαϊκοῖς, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ ἐνεργείας καὶ τοιαύτας F ἐπινοεῖν, ἀντὶ τοῦ, ἐπὶ νοῦν ἔρχεσθαι αὐτοῖς, καὶ τοιαῦτα αἰτεῖν. αὕτη τοίνυν, φησὶν, ἡ σκαιότης, ἡ κακία, ἡ πονηρία, προξενεῖ ἡμῖν τὸν θραυσμὸν, τουτέστι, θραύει ἡμᾶς, ὥστε μήτε παῤῥησίαν δύνασθαι ἔχειν, σκανδαλιζομένων ἐφ' ἡμῖν τῶν ἀνθρώπων καὶ καταγινωσκόντων ἡμῶν. πρέπειν δὲ μᾶλλον, φησὶ, λογίζομαι, τὸν ἐπίσκοπον βοηθεῖν ἐκείνῳ τῷ βίαν ὑπό τινος πάσχοντι, καὶ ταῖς ἀδικουμέναις χήραις, καὶ τοῖς ὀρφανοῖς, οὓς ἀποστεροῦσί τινες τῶν αὐτοῖς διαφερόντων· καὶ τούτοις δὲ τοῖς ὀρφανοῖς, καὶ ταῖς χήραις, καὶ τοῖς καταδυναστευομένοις τότε βοηθεῖν, ὅτε δίκαια ἀξιοῦσιν. εἰ γὰρ ἄδικόν τι αἰτοῦσιν,

teris accerſit. Sed quia ſæpe contingit aliquos, qui egent miſericordia, ad Eccleſiam confugere, qui propter ſua peccata exilio vel in inſulam deportatione damnati ſunt, vel quamlibet aliam ſententiam accepère; iis non eſſe negandum auxilium, ſed ſine cunctatione & dubitatione; veniam iis eſſe petendam. Si utique hoc quoque placet, omnes unà quoque veſtrum ſuffragium ferte. Reſponderunt omnes; Decernatur & hoc.

Bals. In xi. can. Antioch. Syn. prohibiti ſunt Epiſcopi & omnes Canonici ſine permiſſione ſynodali ad Imp. proficiſci. Ei ergo conſequenter præſens quoque canon decernit, nullum Epiſcopum in caſtra, ſeu ubi imperator agit, accedere ſine evocatione Imperatoris, niſi quis hoc ſæpe facere voluerit ad deducendos pauperes vel condemnatos qui ad Eccleſiam confugere: quod etiam à proximè dicendo canone octavo ſublatum eſt, qui ſtatuit ejuſmodi quoque cauſas; non ab Epiſcopis agendas, ſed à Diaconis ſeu miniſtris, aut ſororis. Et hæc eſt quidem canonis ſententia. Cauſæ autem, propter quas conſtitutus eſt, claræ ſunt; nec interpretatione indigent. His ita ſe habentibus, interrogaverit quiſpiam, An permittitur Epiſcopo cum mandato ſynodali ad Imperat. proficiſci, ſecundùm xi. can. Antioch. Syn. Solutio. Præſens canon dictum canonem non tollit, ſed potiùs illi conſentit. Et ideo, ut mihi quoque videtur, cum ſynodali deliberatione Epiſcopus ſine ullo præjudicio ad regem proficiſcetur: multò autem magis Clericus. Nota autem ex præſenti canone, quòd etiamſi ſit Epiſcopo prohibitum aliiſque Sacratis apud Imperatorem diutiùs moram agere; decreto tamen Imp. hoc ſine periculo facient, & quod eis imperatur exercebunt: ut neque Imper. quidquam poſſit imputari, ſi eos accerſat; nec ii rei futuri ſint, ut qui jubenti Imp. obſequantur. Vide Carthag. Syn. can. xi. xii. & præſentis Syn. viii. ix. & xxi.

Zonar. Epiſcopi quidam, ac Afri præſertim, hoc eſt, qui in Africa degerent, privatis de rebus poſtulata & preces, quæ parum etiam forte æquitatis haberent, ad Imperatorem aſſidue deferebant. Cui quidem malo Synodus hæc mederi cupiens, Noſtra, inquit, importunitas, hoc eſt, noſtra conſuetudo ad Imperatorem aſſiduè tempore minime opportuno adeundi, injuſtæque flagitationes, ne tantum gratiæ habeamus, hoc eſt, ut minus grati ſimus, nec ita veneratione digni exiſtimemur, effecerunt, neque parum de ea, quam obtinere debuimus, loquendi libertate detraxerunt. Multi enim Epiſcopi, ac Afri maxime, ad caſtra commeandi finem nullum faciunt. Caſtrorum vero meminit, quod militiæ ut plurimum Imperatores vacarent. Qui quidem Epiſcopi ſalutaria conſilia nequaquam audiunt, verum ſynodicas admonitiones eouſque contemnunt, ut unus homo (Epiſcopus nempe) multas & diverſas poſtulationes in caſtra deferat, quæ neque Eccleſiæ utilitatis aliquid ferre poſſint, neque tales ſint, quales Epiſcopalis officii ratio, ipſáque rerum natura præſcribit. Quid vero id eſt? Ut neque ſcilicet pauperibus & viduis aut laicis patrocinentur, operamve iis ſublevandis aut juvandis impendant; ſed profanas dignitates ac munerum ejuſmodi functiones cogitent, hoc eſt, animo verſent, déque iis tantummodo obtinendis laborent. Hæc igitur nobis, inquit, perverſitas, improbitas, nequitia detrimentum conciliat, hoc eſt, ita noſtras vires frangit; ut etiam libere loquendi facultatem, ob ea quæ agimus offenſis hominum animis, nóſque ſua exiſtimatione condemnantibus, nobis eripiat. Magis vero decere, inquit, exiſtimo, ut eis, qui potentia cujuſpiam opprimuntur, ac viduis, quæ per injuriam vexantur, tum pupillis, quos nonnulli fortunis evertunt, Epiſcopus opem ferat: atque his quoque pupillis & viduis, ac iis, qui potentiorum dominatu premuntur, ita demum præſto ſit, ſi nihil ab illis iniquum poſtulari cognoverit. Nam ſi aliquid alienum ab æquitate illi quoque flagitent, ne iis quidem Epiſcopos in ea re patrocinari fas eſt. Si ergo omnibus idem videtur, inquit Oſius, hoc approbate, id eſt, hanc ſententiam veſtro decreto confirmate, ne quis ad exercitum, hoc eſt, ad Imperatorem, præter eos qui ejuſdem Imperatoris literis evocati fuerint, Epiſcopus tranſeat. Quoniam vero multi miſericordiam implorantes ad Eccleſiam confugiunt, ob crimina exilio vel in inſulam deportationi, vel alteri cuipiam ſupplicio addicti; eos, inquit, ab Epiſcopis repelli, opemve flagitantibus denegari non oportet; verum abſque procraſtinatione, hoc eſt, cunctatione omni dubitationeque ſublata, pro ipſorum periculis deprecari.

Arist. *Orphano, viduâ, & ab aliis deſerto, vi oppreſſis, ſuppetias iis feret, & Imperatorem adibit Epiſcopus; veruntamen ejuſmodi prætextu, in caſtris non verſetur, ſed potius Diaconum mittat.*

Arist. *Illis qui ad Eccleſiam confugiunt ſuccurrendum eſt.*

Epiſcopum quidem opem ferre orphanis & viduis & oppreſſis qui ab aliis ſunt deſerti, ut & iis qui ad Eccleſiam confugiunt ob peccata eorum, & miſericordiâ indigent, & Regem pro iſtis adire, & petere injuriâ quidem affectis ultionem, ſed ob crimen aliquod condemnatis, indulgentiam, præſens canon jubet. At Epiſcopos ob iſtiuſmodi cauſas ſuas relinquere Eccleſias, & ad caſtra ire, vel alibi ubi Imperator eſt, & de talibus tumultum facere, utpote quod à multis reprehenſionem & convitium affert Epiſcopis, non permittit fieri. Sed per Diaconos ſuos deſideria ad Regem mitti ſtatuit.

Canon VIII.

Quandoquidem viſum eſt, ne aliquis Epiſcopus in condemnationem incidat ad caſtra veniens, ſi qui eorum tales habeant poſtulationes, qualium ſuperiùs meminimus, per proprium miniſtrum peragant. Miniſtri enim perſona non eſt invidioſa, & quæ mandata fuerint citiùs ferre poterit. Reſponderunt omnes; Et hoc quoque conſtituatur.

Bals. Præſens quoque canon eadem cum præcedente ſtatuit, adjiciens, non per Epiſcopos, ſed cum Diaconis eorum apud Imp. petitiones peragi debere. Diaconos autem hîc ne dicas eſſe eos, qui ordinati ſunt, ſed ſimpliciter ſervos & quoſlibet miniſtros.

Zonar. Si quis vero, inquit, ex Epiſcopis cauſas deprecandi habeant ejuſmodi, quales ante commemoravimus; ut iis ſcilicet, qui per injuriam læduntur, quive potentiorum opibus opprimuntur, vel qui ob aliquem peccati lapſum damnati ſunt, opitulentur; neque vero reprehenſionis vitandæ cauſa ipſi in caſtra proficiſci velint; ſuos Miniſtros mittant. Miniſtri namque perſona invidioſa non eſt. Nec enim quiſquam, inquit, Miniſtro vel Diacono in caſtris moranti, quemadmodum Epiſcopo illuc abeunti, ſuccenſebit: tum Imperatoris literæ noxam condonantes, aut aliquid ejuſmodi continentes, deferri per Diaconum quàm celerrimè poterunt.

Canon IX.

Si cujuſcunque provinciæ Epiſcopi ad fratrem & Coëpiſcopum ſuum, qui eſt in majori civitate, hoc eſt, in Metropoli, mittant ſupplicationes, is & miniſtrum ſuum & ſupplicationes mittat, dans ei commendatitias quoque literas, ſcribens ſcilicet per conſequentiam etiam ad fratres & Coëpiſcopos noſtros, qui illo tempore in locis vel urbibus agant, in quibus Imp. in primis pius rempublicam gubernat. Si quis

A οὐδὲ ἐκείνων ἐν ἀδίκοις ἀντιποιεῖσθαι χρὴ τοὺς ἐπισκόπους. εἰ τοίνυν τοῦτο δοκεῖ πᾶσι, φησὶν ὁ Ὅσιος, ἐπικρίνατε, ἀντὶ τοῦ, κυρώσατε τὴν γνώμην ταύτην, ὥστε μηδένα ἐπίσκοπον εἰς τὸ στρατόπεδον, ἤτοι εἰς βασιλέα, παραγίνεσθαι, ἄνευ τῶν γράμμασι βασιλικοῖς μετακαλουμένων. ἐπεὶ δὲ πολλοὶ προσφεύγουσι τῇ ἐκκλησίᾳ ἐλέους δεόμενοι, καὶ διὰ πταίσματα περιορισθῆναι ἢ εἰς νῆσον πεμφθῆναι καταδικασθέντες, ἢ ἔκδοτοι γινόμενοι ἀποφάσει ἑτέρας κολάσεως, τοῖς τοιούτοις, φησὶν, οὐ χρὴ μὴ βοηθεῖν, ἀλλὰ μελλισμοῦ ἤτοι βραδυτῆτος χωρὶς καὶ διασταγμοῦ αἰτεῖσθαι αὐτοῖς συγχώρησιν.

B

ΑΡΙΣΤ. Ὀρφανοῦ, καὶ χήρας, καὶ ἀπροστάτου, βιαζομένων, εἰς βοήθειαν κατατολμήσει καὶ προσελεύσεται τῷ βασιλεῖ ὁ ἐπίσκοπος, ἀλλ' οὐχὶ τῇ τοιαύτῃ προφάσει διατρίψει εἰς τὸ στρατόπεδον, ἀλλὰ μᾶλλον διάκονον στέλλοιτο.

ΑΡΙΣΤ. Τοῖς ἐπὶ τὴν ἐκκλησίαν προσφεύγουσι βοηθητέον.

Τὸ μὲν ἀντιλαμβάνεσθαι τὸν ἐπίσκοπον ὀρφανῶν, καὶ χηρῶν, καὶ ἀπροστάτων βιαζομένων, ὡσαύτως δὲ καὶ τῶν εἰς τὴν ἐκκλησίαν καταφευγόντων διὰ τὰ αὐτῶν ἁμαρτήματα, καὶ δεομένων συμπαθείας· καὶ προσέρχεσθαι περὶ αὐτῶν τῷ βασιλεῖ, C καὶ αἰτεῖν τοῖς μὲν ἀδικουμένοις ἐκδίκησιν, τοῖς δὲ κατακριθεῖσι διά τι πταῖσμα, συγχώρησιν, ὁ παρὼν προστάττει κανών. τὸ δὲ διὰ τὰς τοιαύτας αἰτίας τοὺς ἐπισκόπους τὰς ἑαυτῶν καταλιμπάνειν ἐκκλησίας, καὶ ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, ἢ ἀλλαχοῦ ἔνθα ὁ βασιλεύς ἐστι, καὶ ὀχλεῖν περὶ τῶν τοιούτων, ὡς ἐπάγον παρὰ τῶν πολλῶν τοῖς ἐπισκόποις μέμψιν καὶ λοιδορίαν, οὐ συγχωρεῖ γίνεσθαι. ἀλλὰ διὰ τῶν ἰδίων διακόνων τὰς δεήσεις στέλλεσθαι τῷ βασιλεῖ ἐπιτάττει.

ΚΑΝΩΝ η'.

Ἐπειδὴ ἔδοξε διὰ τὸ μὴ πίπτειν ὑπὸ κατάγνωσίν τινα τῶν ἐπισκόπων D ἀφικνούμενον εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἔμπροσθεν ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου ἐπιστέλλοιεν. τοῦτο γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα θᾶττον διακομισθῆναι δυνήσεται. ἀπεκρίναντο πάντες, καὶ τοῦτο ὁριζέσθω.

ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ θεσπίζει, προστιθέμενος, μὴ διὰ τῶν ἐπισκόπων, ἀλλὰ μετὰ διακόνων τὰς πρὸς τοὺς βασιλεῖς ἐντεύξεις αὐτῶν γίνεσθαι. διακόνους δὲ ἐνταῦθα, μὴ τοὺς κεχειροτονημένους εἴπῃς, ἀλλὰ τοὺς ἁπλῶς δουλευτὰς καὶ οἱουσδήτινας ὑπηρέτας.

E

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, τῶν ἐπισκόπων τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἀνωτέρω ἐμνήσθημεν, ἤγουν ἐπὶ βοηθείᾳ ἀδικουμένων, καὶ καταδυναστευομένων, ἢ διὰ πταίσματα κατακριθέντων, καὶ ἵνα μὴ καταγινώσκωνται οὐ βούλονται ἀπέρχεσθαι εἰς τὸ στρατόπεδον, διακόνους οἰκείους πεμπέτωσαν. τοῦ γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει. οὐδὲ γὰρ μέμψεταί, φησί, τις τῷ ὑπηρέτῃ, ἤτοι τῷ διακόνῳ διατρίβοντι ἐν στρατοπέδῳ, ὡς μέμψεται τῷ ἐπισκόπῳ ἐκεῖσε ἀπελθόντι, καὶ τὰ παρὰ τοῦ βασιλέως δοθησόμενα γράμματα εἰς συγχώρησιν ἴσως τῶν πταισμάτων, ἢ ἕτερα οἱαδήτινα, συντόμως κομισθῆναι διὰ τοῦ διακόνου δυνήσεται.

F

ΚΑΝΩΝ θ'.

Ἐὰν οἱασδηποτοῦν ἐπαρχίας ἐπίσκοποι πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλοιεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τοῦτ' ἔστι τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ τὴν ἀκολουθίαν καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, οἵτινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγοιεν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια πράγματα διακυβερνῷ.

A νᾷ. εἰ δὲ ἔχοι τις τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βούλοιτο περί τινος, ὅπερ πρεπωδέστερον εἴη, ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου καὶ ἀξιῶσαι καὶ ἐντείλασθαι τούτοις, ὥστε τὴν αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν. οἱ δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συνεπισκόπῳ Ἰουλίῳ τὰς δεήσεις, ἃς ἔχοιεν διδόναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερον αὐτὸς δοκιμάζοι· εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυντοῖεν· καὶ οὕτως τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλοι. ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο, ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην. B

ΒΑΛΣ. Ὅτι οὐκ ἀνῃρέθη ὁ ιαʹ. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, δῆλον καὶ ἀπὸ τοῦ παρόντος κανόνος. φησὶ γὰρ ὅτι ἐὰν ἐπίσκοπος θελήσῃ ἀποστεῖλαι δεήσεις εἰς τὸν βασιλέα διὰ συναδέλφου καὶ συνεπισκόπου αὐτοῦ ἀρχιερατεύοντος εἰς ἐπαρχίαν, εἰς ἣν διάγει ὁ βασιλεὺς, ὀφείλει προσέρχεσθαι τῷ προσφόρῳ μητροπολίτῃ, καὶ ἀναδιδάσκειν αὐτὸν τὸ ἐκείνου βούλημα· καὶ ὁ μητροπολίτης μετὰ διακόνου αὐτοῦ, ὀφείλοντος ἐπιφέρεσθαι κανονικὰς ἐπιστολὰς, ἤγουν εἰρηνικὰς καὶ συστατικὰς, ἀναδιδάξαι τὸν ἐνδημοῦντα ἐπίσκοπον, ὡς εἴρηται, εἰς τὸν βασιλέα τὴν τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου παράκλησιν. C τοῦτο δὲ γίνεσθαι οὕτως ὡρίσθη, ἵνα ὁ μητροπολίτης ἐπιγνῷ τὴν ὑπόθεσιν, καὶ διαγνῷ εἰ ἐνδέχεται ἀνενεχθῆναι ταύτην τῷ βασιλεῖ, εἴτε καὶ μή. ὡς δέ τινος εἰπόντος, ἐκ τούτου ἀναιρεῖσθαι τὸν τῆς παρούσης συνόδου ηʹ. κανόνα, τὸν διοριζόμενον μετὰ διακόνων οἰκείων τοὺς ἐπισκόπους ὑπομιμνήσκειν τὸν βασιλέα τὰ περὶ τῶν ψυχωφελῶν αἰτιῶν, προσέθεντο οἱ πατέρες, πρὸς μὲν βασιλέα μὴ ἀποστέλλεσθαι διάκονον παρὰ ἐπισκόπου χωρὶς συνοδικῆς ἐπιτροπῆς· πρὸς δέ τινας οἰκείους τοῦ βασιλέως ποιεῖν μετὰ διακόνου ἀξιώσεις. πλὴν καὶ τοῦτο, ὡς ἐμοὶ δοκεῖ, μετὰ εἰδήσεως τοῦ μητροπολίτου γενήσεται. τοὺς μέντοι παραγινομένους εἰς τὴν Ῥώμην ἐπισκόπους μὴ ἄλλως τῷ βασιλεῖ προσέρχεσθαι, εἰ μὴ ὁ D Πάππας λάβῃ τὴν περὶ τούτου εἴδησιν· καὶ αὐτὸς δοκιμάσας τὰ περὶ τῶν δεήσεων, ἢ ἐπιτρέψει τὴν ἀναφορὰν, καὶ ἀποστείλῃ αὐτοὺς εἰς τὸν βασιλέα, ἢ ἀπείπῃ· ὡς καὶ ὀφείλων ἀντέχεσθαι τῶν ἐπισκόπων, καὶ βοηθεῖν ἐπὶ πᾶσιν αὐτοῖς. ὥστε σημείωσαι ἀπὸ τῶν ἐν τῷ κανόνι τούτῳ περιεχομένων, ὅτι οὔτε μητροπολίτης, οὔτε ἐπίσκοπος χωρὶς συνοδικῆς διαγνώσεως δύναται δεήσεις ἀνενεγκεῖν τῷ βασιλεῖ, ἢ δι' ἑαυτοῦ, ἢ διὰ διακόνου αὐτοῦ. ἀκούων δὲ ταῦτα γίνεσθαι μετὰ εἰδήσεως τοῦ μητροπολίτου καὶ τοῦ Πάππα, πρόστιθει καὶ συνοδικὴν ἐπακολουθεῖν διάγνωσιν κατὰ τὸν ιαʹ. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. τὰ δὲ περὶ τοῦ Πάππα ἐνταῦθα γεγραμμένα ἕλκυσον καὶ εἰς τὸν πατριάρχην E Κωνσταντινουπόλεως, δι' οὓς λόγους πολλάκις εἴπομεν. ἀνάγνωσον καὶ κεφάλ. βʹ. τοῦ ηʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ πάντα. τούτων δὲ οὕτω διορισθέντων, εἶπόν τινες, μὴ ὀφείλειν οἱονδήτινα μητροπολίτην χωρὶς πατριαρχικῆς ἐπιτροπῆς ὁτεδήποτε εἰς βασιλέα ἀπέρχεσθαι. ἐμοὶ δὲ δοκεῖ, ὡς ὅτε πρώτως μέλλει ὁ μητροπολίτης τὸν βασιλέα προσκυνῆσαι ἐκ τῆς λαχούσης αὐτὸν ἀνελθὼν εἰς τὴν βασιλεύουσαν, ἀνάγκην ἔχει τοῦτο ποιῆσαι μετὰ πατριαρχικῆς ἐπιτροπῆς· μετὰ ταῦτα δὲ ἀκωλύτως, ὅτε καὶ βούλεται, ἀπελεύσεται εἰς τὸν βασιλέα χάριν τοῦ προσκυνῆσαι αὐτὸν, καὶ παρακλητεῦσαι περὶ ὧν προανήνεγκε δεήσεων μετὰ πατριαρχικῆς εἰδήσεως. F

ΖΩΝΑΡ. Ἐπὶ τῆς αὐτῆς ὑποθέσεως ἔχονται οἱ κανόνες. ἐπισκόπων γὰρ κατὰ πᾶσαν ἐπαρχίαν ὄντων, ἀνάγκη πάντως, καὶ ἔνθα ὁ βασιλεὺς διέτριβεν, ἐπισκόπους εἶναι. φησὶν οὖν ὁ παρὼν κανὼν, ὅτι ἐὰν ἐπίσκοπος πρὸς ἐπίσκοπον τῆς χώρας, ἐν ᾗ διάγει ὁ βασιλεὺς, γράψῃ περί τινος ὑποθέσεως, χρὴ τὴν ἐπιστολὴν καὶ τὰς δεήσεις τῷ μητροπολίτῃ τῆς χώρας ἐκείνης ἐγχειρίζεσθαι, ἵνα αὐτὸς στέλλῃ ταύτην πρὸς ὃν ἐστάλη, δι' οἰκείου διακόνου, δοὺς αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, συνιστώσας δηλαδὴ τὸν πεμφθέντα, καὶ γνωρίζουσας αὐτὸν τῷ ἐπισκόπῳ, πρὸς ὃν ἐπέμφθη, καὶ γράφων τὴν ἀκολουθίαν,

autem Epiſcopus habet amicos in aula palatii, & velit aliquid quod ſit honeſtum & juſtum impetrare; ne prohibeatur per ſuum miniſtrum & rogare & iis mandare, ut bonum ſuum auxilium ei petenti velint præbere. Qui autem Romam accedunt, quemadmodum ſuperiùs dictum eſt, dilecto fratri noſtro & Coëpiſcopo Julio preces, quas habent dandas, præbere debent, ut ipſe priùs examinet; niſi aliquæ earum ſint impudentes: & ſic ſuam auctoritatem & curam præbens, eos ad caſtra mittat. Omnes Epiſcopi dixerunt; Eis placere & eſſe convenientiſſimum hoc conſilium.

B a l s. Quòd non ſublatus ſit canon undecimus Antiochenæ Synodi, ex præſenti quoque canone clarum eſt. Dicit enim, quòd ſi Epiſcopus voluerit mittere preces ad Imp. per confratrem & Coëpiſcopum ſuum, qui eſt in ea provincia Antiſtes, in qua Imperator agit, debet ad competentem Metropolitanum accedere, & ſuam voluntatem eum docere: Metropolitanus vero cum famulo ſuo, qui debet epiſtolas canonicas afferre, ſcilicet pacificas & commendatitias, docebit Epiſcopum, qui apud Imp. ut dictum eſt, verſatur, fratris & Coëpiſcopi poſtulationem. Hoc autem ſic fieri ſtatutum eſt, ut Metropolitanus cauſam cognoſcat & diſcernat, an eam oporteat ad Imp. referre, an non. Tanquam autem dixiſſet quiſpiam, per hoc tolli præſentis Synodi can. viii. qui ſtatuit, ut Epiſcopi cum propriis miniſtris Imp. admoneant de cauſis animæ conducibilibus; adjecerunt patres, ad Imperatorem quidem non mittendum miniſtrum ab Epiſcopo ſine ſynodali mandato: ſed aliquibus Imp. familiaribus preces cum miniſtro eſſe exhibendas. Sed hoc quoque, ut mihi videtur, fiet cum ſcientia Metropolitani. Epiſcopos verò, qui Romam accedunt, non aliter ad Imperatorem accedere, niſi Papa ejus rei ſcientiam habuerit: & ipſe precibus examinatis, vel relationem permiſerit, & ipſos ad Imp. miſerit, vel denegaverit; ut qui etiam debeat Epiſcopos complecti, & iis in omnibus opem ferre. Quare nota ex iis quæ in hoc canone continentur, quòd neque Metropolitanus neque Epiſcopus ſine ſynodali cognitione poteſt ad Imp. vel per ſe vel per ſuum miniſtrum ſupplicationes referre. Audiens autem hæc fieri cum ſcientia Metropolitani & Papæ, adjice etiam ſynodalem conſequi cognitionem, ſecundùm xi. canonem Antiochenæ Synodi. Quæ autem de Papa hîc ſcripta ſunt, ad Patriarcham etiam Conſtantinopolitanum applicanda, propter rationes quas ſæpe diximus. Lege & caput ii. viii. tit. præſentis operis, & omnia quæ in eo ſunt. His autem ſic definitis, dixerunt aliqui, non debere ullum Metropolitanum ſine Patriarchali mandato vel permiſſu ad Imp. unquam proficiſci. Mihi autem videtur, quòd quando primùm Metropolitanus eſt Imp. ſalutaturus, ex ea, quæ illum ſortitus eſt, ad urbium reginam accedens, neceſſe habet hoc facere cum Patriarchali permiſſione: poſtea autem ſine impedimento, quando vult, ad Imp. accedet, ejus ſalutandi gratia, & eum commonefaciendi precum, quas cum Patriarchali conſenſu priùs ad eum retulit.

Z o n a r. In eodem argumento canones adhuc verſantur. Cum enim in omnibus provinciis Epiſcopi crearentur, ubicunque demum Imperator ageret, ibi Epiſcopos quoque adeſſe neceſſe fuit. Si quis igitur Epiſcopus, inquit canon, ad Epiſcopum regionis, in qua Imperator degit, de re aliqua ſcribat, ejus loci Metropolitano primum eas literas ſupplicationéſque tradi oportet, quas is poſtea, per Miniſtrum ſuum ad eum, cui ſcriptæ ſunt, Epiſcopum perferendas curabit, ipſique commendatitias quoque literas dabit quæ videlicet eum, qui mittitur, illi ad quem legatus eſt Epiſcopo commendent atque concilient. Tum alias quoque literas, cum illius cujus res agitur Epiſcopi literis ac ſupplicationibus congruentes, adjungat. Hujus vero decreti ea ratio fuit, ut cauſam, de qua literæ ab Epiſcopo ad Coëpiſcopum datæ ſunt, Metropolitanus cognoſcat; ac ſiquidem poſtulatio importuna ſit, nec ea de re Imperatoris auribus cenſeat obſtrependum, ſupplicationes eas rejiciat, curétque ad eundem illum qui miſerat referendas. Quod ſi quos etiam Epiſcopus in palatio amicos habeat, cum eis per miniſtrum ſuum precibus agere, auxiliúmque ſibi in cauſa juſta, quæque dignam Antiſtite ſacrorum poſtulationem contineat, depoſcere licebit. Si vero ad Imperatorem Romæ degentem ſupplicationes aliquas Epiſcopi mittant, ab iis quii deferunt Papæ illas tradi, ac ab eo juſtæ necne ſint examinari oportet. Quòd ſi nihil inverecundè ab Imperatore petant, eas ipſemet mittat, auctoritatémque iis ſuam & curam commodet, hoc eſt, illorum patrocinium procurationémque ipſe ſuſcipiat.

Arist. *Si frater ad fratrem mittat, Metropolitanus nuntium literis muniat; & ad Epiſcopos, qui auctoritatem habent, ſcribat, ut nuntium protegant.*

Epiſcopus qui preces quaſdam ad Imperatorem mittit, & de iis ad fratrem ſuum in caſtris cum rege degentem, ut ab ipſo rege ut cum eo degeret evocatum, ſcribit, ſuam Metropolitam adire debet, & preces oſtendere, & Diaconum quem mittere vellet, ut ab ipſo Metropolitano preces primo examinentur, ne forte juſtam petitionem non contineant. Et ſic poſtquam illas examinaverit, literis ſuis & epiſtolis commendatitiis miſſum corroborabit & Epiſcopos qui cum rege degunt Diacono opem ferre poſtulabit.

Canon X.

Ut cum omni cura & diligentia ſemper examinetur, ut ſi quis dives vel ex foro ſcholaſticus Epiſcopus fieri dignus habeatur, non priùs conſtituatur, quàm Lectoris & Hypodiaconi & Diaconi & Presbyteri miniſterium peregerit: ut in unoquoque gradu, ſi dignus exiſtimatus fuerit ad Epiſcopatus faſtigium per progreſſionem poſſit aſcendere. Habebit autem uniuſcujuſque ordinis gradus non minimi ſcilicet temporis longitudinem, per quod & fides & morum probitas, & conſtantia, & moderatio poſſit cognoſci; & ipſe, divino ſacerdotio dignus exiſtimatus, maximum honorem aſſequetur. Neque enim convenit, neque ſcientia & bona converſatio hoc recipit, ut temere & leviter ad id accedatur, ut Epiſcopus, vel Presbyter, vel Diaconus promptè ac facilè conſtituatur. Sic enim meritò Neophytus exiſtimetur, quandoquidem beatiſſimus Apoſtolus, qui fuit etiam doctor gentium, maximè prohibuiſſe videtur, ne celeres fierent conſtitutiones. Longiſſimi enim temporis probatio, & converſationem, & uniuſcujuſque mores non improbabiliter exprimere poterit. Omnes dixerunt; Ipſis placere, & omnino non oportere ea ſubvertere.

Bals. In xvii. canone primæ & ſecundæ Syn. ſatis ſcripſimus de Laïcis, qui ſunt ad Epiſcopatum promovendi. Cæterùm illic quidem generaliter de iis dictum eſt: hîc autem de ſolis divitibus & ſcholaſticis, id eſt, de iis qui rhetoricæ & arti dicendi vacant. Quod ergo illic quæſivimus de præfinito tempore canone declarato, hoc in præſenti quoque canone quærendum eſt. Neophytus autem, apud Apoſtolum quidem, eſt is, qui recens illuminatus eſt: Apud canonem autem, qui ex divite vel ſcholaſtico ad Epiſcopalem dignitatem provehitur. Quære & ii. can. Nicænæ primæ Synodi.

A ἤγουν ἀκολούθως, οἷς ἔγραψεν ὁ τὴν ὑπόθεσιν ἔχων ἐπίσκοπος καὶ τὰς δεήσεις στείλας. τοῦτο δὲ γίνεσθαι ὡρίσθη, ἵνα ὁ μητροπολίτης ἐπιγνῷ τὴν ὑπόθεσιν περὶ ἧς ἔγραψε τῷ συνεπισκόπῳ ὁ ἐπίσκοπος, καὶ εἰ φορτική τις εἴη, καὶ οὐκ ἐνδέχηται ἐνοχληθῆναι τὰς βασιλικὰς ἀκοὰς περὶ αὐτῆς, ἀποπέμψηται τὰς δεήσεις καὶ ἀντιστρέψῃ τῷ πέμψαντι αὐτάς. εἰ δὲ καί τινας τῶν ἐν τῷ παλατίῳ ἔχοι φίλους ἐπίσκοπος, οὐδὲ τούτους ἀξιῶσαι κωλύεται διὰ τοῦ οἰκείου διακόνου βοηθῆσαι αὐτῷ ἐπὶ ὑποθέσει εὐλόγῳ, καὶ πρέπουσαν ἀρχιερεῦσιν αἴτησιν ἐχούσῃ. εἰ δὲ εἰς Ῥώμην ἐνδημοῦντος τοῦ βασιλέως, σταλεῖεν τῶν ἐπισκόπων ἐν αὐτῇ τινες δεήσεις κομίζοντες, τῷ Πάπᾳ ταύτας B ὀφείλουσι παρέχειν, ἵνα αὐτὸς ἐξετάζοι, εἰ εὔλογοι αἱ δεήσεις εἰσί· καὶ εἰ μή τινα ῥήματα ἀναίσχυντα ἔχουσι πρὸς τὸν βασιλέα, ἀποστέλλοι ταύτας αὐτὸς, προστασίας καὶ φροντίδα παρέχων αὐτοῖς, ἤγουν προϊστάμενος καὶ συνεργῶν αὐτοῖς.

ΑΡΙΣΤ. Ἀδελφοῦ πρὸς ἀδελφὸν ἐπιστέλλοντος, ὁ μητροπολίτης τὸν ἀπόστολον ἐνισχυέτω, καὶ γραφέτω πρὸς τοὺς ἐν οἷς ἡ ἀξίωσις ἐπισκόπους, τοῦ ἀποστόλου ἀντιλαμβάνεσθαι.

Στέλλων ὁ ἐπίσκοπος πρὸς βασιλέα δεήσεις τινὰς, καὶ περὶ αὐτῶν πρὸς συναδελφὸν αὐτοῦ γράφων, ἐν τῷ στρατοπέδῳ C μετὰ τοῦ βασιλέως διάγοντα, ὡς παρ' αὐτοῦ τοῦ βασιλέως μετακληθέντα ἐπὶ τῷ μετ' αὐτοῦ συνδιάγειν, ὀφείλει τῷ ἰδίῳ μητροπολίτῃ προσέρχεσθαι, καὶ τὰς δεήσεις ὑποδεικνύειν, καὶ τὸν διάκονον ὃν ἀποστεῖλαι βούλεται, ἵνα παρ' αὐτοῦ τοῦ μητροπολίτου πρότερον αἱ δεήσεις ἐξετασθῶσι, μήποτε οὐ δικαίαν τὴν αἴτησιν ἔχωσι· καὶ οὕτω, μετὰ τὸ δοκιμάσαι ταύτας, γράμμασιν αὐτοῦ, καὶ συστατικαῖς ἐπιστολαῖς τὸν ἀποστελλόμενον ἐνισχύσει· καὶ ἀξιώσει τοὺς μετὰ τοῦ βασιλέως διάγοντας ἐπισκόπους ἀντιλαβέσθαι τοῦ διακόνου.

ΚΑΝΩΝ ι΄.

D Δεῖ μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζεσθαι, ὥστε ἐάν τις πλούσιος ἢ σχολαστικὸς ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ ἀναγνώστου καὶ ὑποδιακόνου, καὶ διακόνου, καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ· ἵνα καθ' ἕκαστον βαθμὸν ἐάνπερ ἄξιος νομισθείη, εἰς τὴν ἀψῖδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη. ἕξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος, δι' οὗ ἡ πίστις αὐτοῦ καὶ ἡ τῶν τρόπων καλοκἀγαθία, καὶ ἡ στερρότης, καὶ ἡ ἐπιείκεια γνώριμος γενέσθαι δυνήσεται· καὶ αὐτὸς, ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς, τῆς μεγίστης ἀπολαύσει τιμῆς. οὔτε γὰρ E προσῆκόν ἐστιν, οὔτε ἡ ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ ἐπιδέχεται τολμηρῶς καὶ κούφως ἐπὶ τοῦτο ἰέναι, ὥστε ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον προχείρως καθίστασθαι. οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη, ἐπεὶ μάλιστα καὶ ὁ μακαριώτατος ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν ἐγένετο διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις. τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία καὶ τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται. ἅπαντες εἶπον ἀρέσκειν αὐτοῖς, καὶ καθάπαξ μὴ δεῖν ἀνατρέπειν ταῦτα.

F ΒΑΛΣ. Ἐν τῷ ιζ΄. κανόνι τῆς πρώτης καὶ δευτέρας συνόδου, ἱκανῶς ἐγράψαμεν περὶ λαϊκῶν μελλόντων ἀρχιερωσύνης ἀξιοῦσθαι. πλὴν, ἐκεῖ μὲν γενικῶς τὰ περὶ τούτων ἐξεφωνήθησαν· ἐνταῦθα δὲ περὶ μόνων πλουσίων καὶ σχολαστικῶν, τουτέστι, περὶ λόγοις σχολαζόντων. ὃ γοῦν ἐκεῖσε ἐζητήσαμεν χάριν τοῦ δηλουμένου τῷ κανόνι νενομισμένου καιροῦ, τοῦτο καὶ εἰς τὸν παρόντα κανόνα ζητητέον. νεόφυτος δὲ, παρὰ μὲν τῷ ἀποστόλῳ ὁ νεοφώτιστος λέγεται· παρὰ δὲ τῷ κανόνι, ὁ ἀπὸ πλουσίου ἢ σχολάζοντος εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβαζόμενος. ζήτει καὶ τὸν β΄. κανόνα τῆς ἐν Νικαίᾳ πρώτης συνόδου.

ΖΩΝΑΡ. Οὐδένα τῶν ἐξ ἀγορᾶς ὄντων ἤτοι τῆς δημώδους συγχύσεως, κἂν πλούσιος, κἂν σχολαστικὸς, τουτέστι, περὶ λόγους σχολάζων, βούλεται ὁ κανὼν, εἰ ἄξιος κρίνοιτο ἐπισκοπῆς, ἀθρόον χειροτονεῖσθαι ἐπίσκοπον, ἀλλὰ διορίζεται τοὺς τοιούτους εἰς ἕκαστον βαθμὸν ἱερατικὸν προβιβάζεσθαι, καὶ ἐφ' ἑκάστῳ ἐπὶ καιρὸν ὑπηρετεῖν οὐκ ἐλάχιστον, ἵνα διὰ τοῦ καιροῦ ἐκείνου γνωσθείη, ἥτε πίστις αὐτοῦ, εἰ ὀρθή ἐστι, καὶ ἡ ἀγαθότης τῶν τρόπων, καὶ ἡ στεῤῥότης τοῦ φρονήματος, καὶ ἡ ἐπιείκεια, καὶ οὕτως εἰς τὴν ἀψῖδα τῆς ἐπισκοπῆς, ἤγουν τὴν ἀκρότητα τοῦ ὕψους τῆς ἀρχιερωσύνης διαβῇ κατὰ προκοπήν. οὐδὲ γὰρ πρέπει, φησὶν, οὔτε ἡ ἐπιστήμη, τουτέστιν, ἡ τῶν θείων λόγων γνῶσις, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ ἤγουν ἡ συνήθεια ἡ δοκιμασθεῖσα τῷ χρόνῳ ἐπιδέχεται τολμηρῶς καὶ κούφως, ἤγουν εὐκόλως πρεσβύτερον ἢ διάκονον ἢ ἐπίσκοπον προχείρως χειροτονεῖσθαι. ὁ οὕτως γὰρ, φησιν, εἰς ἐπισκοπῆς ἀξίαν προβαίνων νεόφυτος ὀνομάσθη τῷ ἀποστόλῳ, κωλύσαντι προχείρους γίνεσθαι τὰς καταστάσεις. οἱ μὲν οὖν τῆς συνόδου ταύτης πατέρες οὕτως ἐξελάβοντο τὸν νεόφυτον· ὁ δὲ κλεινὸς ἀπόστολος Παῦλος νεόφυτον, τὸν ἄρτι ἐξ ἀγριελαίου, τῆς ἀπιστίας φημὶ, πρὸς καλλιέλαιον μετεγκεντρισθέντα, τὴν πίστιν δηλαδὴ τὴν ὀρθόδοξον, λέγει, καὶ ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος οὕτως ἐνόησε τὸν νεόφυτον, ὡς ἔστιν εὑρεῖν ἐν τῷ δευτέρῳ κανόνι αὐτῆς· καὶ ὁ ιζ΄. δὲ κανὼν τῆς ἐν Κωνσταντινουπόλει συστάσης πρώτης καὶ δευτέρας συνόδου διορίζεται.

ΑΡΙΣΤ. Ἀγοραῖος σχολαστικὸς, ἢ πλούσιος, εἰ μὴ τοὺς ἱεροὺς διέλθοι βαθμοὺς, ἐπίσκοπος οὐ καθίσταται. τὸ δὲ τῶν βαθμῶν διάστημα οὐ λίαν ὀλιγοστὸν, δι' οὗ τὸ δόκιμον τῆς πίστεως καὶ καλοκαγαθίας αὐτοῦ δοκιμάζοιτο. ὁ γὰρ ἑτέρως, νεόφυτος.

Οὗτος ὁ κανὼν τοὺς μὲν λαϊκοὺς τοὺς ἐν τῇ ἀγορᾷ διατρίβοντας, καὶ σχολάζοντας ἐν αὐτῇ, ἢ καί τινας πλουσίους καὶ ἀγοραίους πραγματευτὰς, εἰς ἐπισκοπῆς ἀξίωμα βουληθέντας ἀνενεχθῆναι, οὐκ ἄλλως προστάττει καθίστασθαι, εἰ μὴ ἀναγνώστου, καὶ πρεσβυτέρου, καὶ διακόνου ὑπηρεσίαν ἐκτελέσουσι· τὸ δὲ διάστημα ἑκάστου βαθμοῦ χρονιαῖον εἶναι· ἵν' ὁ βίος αὐτῶν, καὶ ἡ πίστις ἐν τοσούτῳ δοκιμασθῇ. ὁ δὲ ἑπτακαιδέκατος κανὼν τῆς πρώτης καὶ δευτέρας συνόδου, τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης, οὐδένα τῶν λαϊκῶν, κἂν μὴ ἐκ φαύλης ἐστὶ διαγωγῆς, ἀλλ' οὐδὲ τῶν μοναχῶν, εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀθρόως ἀνάγεσθαι συγχωρεῖ· ἀλλὰ τοὺς ἱερατικοὺς πρότερον βαθμοὺς προελθεῖν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον πληρώσαντα χρόνον, καὶ τότε τῆς ἐπισκοπῆς τὴν χειροτονίαν δέχεσθαι.

ΚΑΝΩΝ ια΄.

Ἐπίσκοπος, ὅταν ἐξ ἑτέρας πόλεως παραγίνηται εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, κόμπου χάριν ἐγκωμίοις οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώσει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος ᾖ διδασκαλίας, μὴ καταφρονῇ ἐκείνου, καὶ συνεχέστερον ὁμιλῇ, καταισχύνειν καὶ εὐτελίζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου σπουδάζων. αὕτη γὰρ ἡ πρόφασις εἴωθε ταράχους ποιεῖν, καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι καὶ παρασπᾶσθαι σπουδάζει, μὴ διστάζων τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, καὶ εἰς ἑτέραν μεθίστασθαι. ὁριστέον οὖν ἐπὶ τούτῳ χρόνον, ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νενόμισται. μέμνησθε δὲ ἐν τῷ προάγοντι χρόνῳ τοὺς πατέρας ἡμῶν κεκρικέναι, ἵνα εἴ τις λαϊκὸς ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, ἀποκινοῖτο τῆς κοινωνίας.

A **Zonar.** Neminem è foro, hoc eſt, è populi turba, quamvis divitiis affluat, quamvis ſcholaſticus ſit, hoc eſt, dicendi ſtudio operam impendat, Epiſcopum, ſi eo munere dignus judicetur, ſubito creari; ſed eos homines per ſacrorum ordinum gradus ſigillatim promoveri, ac in ſingulis haud minimo temporis ſpatio miniſtrare, hic canon jubet: ut eo ſcilicet temporis intervallo, & ipſius fidem, rectane ſit, & morum bonitatem animique conſtantiam, ac moderationem liceat explorari; itáque demum ad Epiſcopatûs faſtigium, hoc eſt, ſummi Sacerdotii culmen per progreſſiones tranſeat. Neque enim, inquit, rationi conſentaneum eſt, neque id B aut ſcientia, hoc eſt, divinarum literarum cognitio, aut recta vivendi norma, hoc eſt, temporis diuturnitate firmata ac probata conſuetudo patitur, ut temere ac leviter, hoc eſt, nullo delectu Epiſcopus, aut Presbyter, aut Diaconus, ubi primum ſe quiſque oſtenderit, conſtituatur. Quiſquis enim ad Epiſcopatus dignitatem hac ratione progreditur, Neophytus, inquit, ab Apoſtolo, præcipites ejuſmodi creationes improbante, exiſtimatus eſt. Ac Neophyti quidem vocem ita hujus Synodi Patres interpretati ſunt: Apoſtolus vero inclytus Paulus eum, qui nuper ex oleaſtro, infidelitatis videlicet, reciſus, atque in ſpecioſam oleam, fidem ſcilicet C orthodoxam, implantatus ſit, Neophyti appellatione ſignificavit. Et eodem modo Nicæna prima Synodus, ut in illius ſecundo canone videre eſt, Neophytum intellexit; & Conſtantinopolitanæ primæ & ſecundæ Syn. decimoſeptimo canone eadem conſtituta reperias.

Arist. *Forenſis, Scholaſticus aut dives, niſi per ſacros tranſierit gradus Epiſcopus non creatur. Graduum autem interſtitium ne admodum breve ſit, quo major fidei, bonæque converſationis probatio habeatur. Qui aliter enim conſtituitur, Neophytus eſt.*

Hic canon Laicos quidem in foro degentes, & in D eo operam dantes, vel & aliquos divites & forenſes mercatores, ad epiſcopatus dignitatem provehi volentes, non aliter conſtitui jubet, niſi Lectoris & Presbyteri & Diaconi miniſterium peregerunt. Spatium autem cujuſque gradus eſſe diuturnum. Ut vita eorum & fides in eo examinetur. At decimus ſeptimus primæ & ſecundæ Synodi in ſanctorum Apoſtolorum templo coactæ canon, neminem Laicorum licet malæ converſationis non erat, ut nec Monachorum quempiam ad epiſcopatus ſublimitatem confeſtim promoveri permittit. Sed gradus priùs pervadere ſacerdotales, in quoque E ordine legibus ſancitum tempus explentem, & tunc epiſcopatus ordinationem accipere.

CANON XI.

Quando Epiſcopus ex alia civitate in aliam civitatem, vel ex alia provincia in aliam provinciam acceſſerit, jactationis gratia propriis laudibus ſerviens, vel religionis ſanctificationi; & velit longiori tempore illic agere; illius autem civitatis Epiſcopus doctrinæ non fuerit peritus: ne illum deſpiciat, & F frequentiùs concionetur, ſtudens dedecore afficere & vilipendere perſonam Epiſcopi, qui ibi eſt. Hic enim prætextus ſolet turbas excitare, & ejuſmodi calliditate alienam ſedem ſibi conciliare & attrahere ſtudet, cùm non dubitet ſibi traditam Eccleſiam relinquere, & in aliam tranſire. Ad hoc ergo tempus definiendum eſt: nam Epiſcopum non recipi, inhumanum & incivile exiſtimatum eſt. Recordemini autem Patres noſtros in tempore præterito ſtatuiſſe, ut ſi quis Laicus in urbe agens tribus diebus dominicis in tribus hebdomadibus non conveniat, is communione moveatur.

A *Si hoc ergo de Laicis ſtatutum eſt, non oportet, nec convenit, ſed neque eſt utile, Epiſcopum, ſi nullam habet graviorem neceſſitatem vel negotium difficilius, longiùs à ſua abeſſe Eccleſia, & ſibi commiſſum populum dolore afficere. Omnes Epiſcopi dixerunt; Hanc quoque ſententiam eſſe convenientiſſimam.*

Bals. Omnem ſcandali occaſionem auferentes ſancti Patres, ſtatuerunt, ne Epiſcopus à civitate in civitatem, vel à provincia in provinciam, per arrogantiam vel avaritiam tranſeat. Si autem non fiat hoc B propter eam cauſam, ſed propter aliquot dierum quietem, vel aliquam aliam juſtam cauſam; ne ipſe, cùm ſit doctus, inſultet regionis Epiſcopo qui fortè eſt indoctus; nec ipſe laudem deſideret per dogmaticas doctrinas (id enim eſt religio, id eſt, cultus & fides) regionis autem Epiſcopum contemnat, ut qui dogmaticæ doctrinæ experientiam non habeat: ſed quieſcat, & regionis Epiſcopo convenientem honorem habeat. Quod enim, inquiunt, præter hoc fit, multæ eſt perturbationis cauſa, & ſuſpicio, quòd is ſtudeat relinquere Eccleſiam quæ illum ſortita eſt, & eam, quæ ad alterum pertinet, ſibi vendicare. Et propterea non tolerandum eſſe rati, ut Epiſcopus longo tempore verC ſetur in aliena diœceſi, ſubjunxerunt, quòd quia eſſet inhumanum & à fraterna dilectione alienum, ſi regionis Epiſcopi aliarum diœceſeon Antiſtites non admitterent; canone autem cautum eſt, ut ne Laicus quidem tribus dominicis ab Eccleſia abſit, vel ſit excommunicatus: omnino in Antiſtites quoque locum habebit hic canon. Unde etiam ſtatuerunt, ut nullus Epiſcopus ab Eccleſia, quæ illum ſortita eſt, diutius abſit, & ſibi commiſſum populum opprimat, niſi gravem aliquam neceſſitatem habeat, vel negotium arduum. Lege ſanctorum Apoſtolorum can. xiv. & xv. D præſentis Syn. can. xii. xvi. xvii. Carthag. Syn. can. xxiii. & lxxi. Syn. vi. can. xvii. xviii. & xx. & ſcies quomodo puniuntur, qui ultra ſuæ diœceſis fines docent. Lege & xvi. can. primæ & ſecundæ Syn. & quæ in illo à nobis ſcripta ſunt: & ſcies quanto tempore debent Epiſcopi extra ſuos Epiſcopatus verſari. Ideo enim nec fuſiùs hîc de eo tractatum eſt. Interrogaverit autem quiſpiam, cùm lxxx. canon vi. Synodi, videlicet quæ in Trullo dicitur, Laicos ſegregari decreverit, qui tribus dominicis in Eccleſiam non convenerint, qui quidem hac Synodo fuit multo recentior, quomodo præſens canon, qui eſt multo antiquior, ejus E meminit? Solutio. Alius quidem canon ante præſentem Synodum nihil ejuſmodi decrevit. Quæ autem hoc canone continentur, ſine ſcriptis, ut eſt veriſimile, exercebantur ab initio, ut etiam multa alia: poſtea autem Syn. in Trullo ea ſcriptis quoque mandavit.

Zonar. Si quis Epiſcopus in aliam civitatem provinciámve abeat, jactabundus, hoc eſt, ut ibi ſe jactet atque oſtentet, laudémque eloquentiæ aucupetur, vel ut religioni conſecrandæ inſerviat, aut de fide & cultu, qui Deo exhibendus eſt, quærat: nam religio hic eſt ſervitus ſive Dei cultus, ac diutius ibidem commorari velit, neque ſit ejus regionis Epiſcopus admodum dicenF di ac docendi peritus; ne crebriores ipſe conciones habeat, ex quo regionis illius Epiſcopum contemnere ac velut ineruditum notare videatur. Perturbationes namque ea res excitat, aut callide ac verſute factum interpretari licet, ut ſeſe nimirum populo ejus regionis admiratione eloquentiæ commendet, ac ſibi cathedram ejuſdem urbis deſpondeat; Ex quo præterea non dubitet creditam ſibi Eccleſiam relinquere, & in aliam tranſire. Tempus igitur, quo Epiſcopo in alia urbe aut regione ſuum Epiſcopum habente morari liceat, præfinire oportet. Nam ab Epiſcopo Epiſcopum non ad-

εἰ τοίνυν περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρὴ, οὐδὲ πρέπει, ἀλλ' οὐδὲ συμφέρει, ἐπίσκοπον, εἰ μηδεμίαν βαρυτέραν ἀνάγκην ἔχοι, ἢ πρᾶγμα δυσχερὲς ἐπιπλεῖστον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, καὶ θλίβειν τὸν ἐμπεπιστευμένον αὐτῷ λαόν. ἅπαντες οἱ ἐπίσκοποι εἰρήκασι· καὶ ταύτην τὴν γνώμην σφόδρα εἶναι πρεπωδεστάτην.

ΒΑΛΣ. Πᾶσαν σκανδάλου πρόφασιν περιαιροῦντες οἱ πατέρες, διωρίσαντο, μὴ μεταβαίνειν ἐπίσκοπον ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν κατὰ τρόπον ἀλαζονείας ἢ πλεονεξίας. εἰ δὲ τοῦτο οὐ γίνηται διὰ τοιαύτην αἰτίαν, ἀλλὰ διὰ πρόσκαιρον ἀνάπαυσιν, ἢ ἑτέραν εὔλογον ἀφορμὴν, μὴ κατεπαίρεσθαι αὐτὸν, λόγιον τυχὸν ὄντα, τοῦ ἐγχωρίου ἐπισκόπου, ἀμαθοῦς ἴσως τυγχάνοντος· μηδὲ αὐτὸν μὲν ἐφίεσθαι ἐγκωμίων διὰ δογματικῶν διδασκαλιῶν (τοῦτο γάρ ἐστιν ἡ θρησκεία, τουτέστιν, ἡ λατρεία καὶ ἡ πίστις) τοῦ δὲ ἐγχωρίου ἐπισκόπου καταφρονεῖν, ὡς ἐμπειρίαν δογματικῆς διδασκαλίας μὴ ἔχοντος, ἀλλὰ ἡσυχάζειν καὶ ἔχειν τὴν ἀνάλογον τιμὴν πρὸς τὸν ἐγχώριον ἐπίσκοπον. τὸ γὰρ παρὰ ταῦτα γινόμενον, φασὶν παραίτιον ἐστὶ ταραχῆς πολλῆς καὶ ὑποψία τοῦ σπουδάζειν τὸν τοιοῦτον καταλιπεῖν τὴν λαχοῦσαν αὐτὸν, καὶ σφετερίσασθαι τὴν ἑτέρῳ ἀνήκουσαν ἐκκλησίαν· διά τοι τοῦτο μὴ ἀνεκτὸν ἡγησάμενοι ἐπὶ πολὺν χρόνον διάγειν ἐπίσκοπον εἰς ἀλλοτρίαν ἐνορίαν, ἐπήγαγον, ὡς ἐπεὶ τὸ μὴ ὑποδέχεσθαι τοὺς ἐγχωρίους ἐπισκόπους ἀρχιερεῖς ἑτέρων ἐνοριῶν ἀφιλάδελφόν ἐστι καὶ ἀπάνθρωπον, κεκανόνισται δὲ μηδὲ λαϊκὸν ἀπολιμπάνεσθαι ἀπὸ τῆς ἐκκλησίας ἐπὶ τρεῖς κυριακὰς, ἢ μὴν ἀκοινώνητον εἶναι, πάντως κρατήσει καὶ περὶ ἀρχιερέων ὁ αὐτὸς κανών. ὅθεν καὶ διωρίσαντο, μηδένα ἐπίσκοπον ἐπὶ πλέον ἀπολιμπάνεσθαι τῆς λαχούσης τοῦτον, καὶ θλίβειν τὸν ἐμπιστευθέντα αὐτῷ λαὸν, εἰ μή τινα βαρείαν ἀνάγκην ἔχει ἢ πρᾶγμά τι δυσχερές. ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ιδʹ. ιεʹ. τῆς παρούσης συνόδου κανόνα ιβʹ. ιϛʹ. ιζʹ. Καρθαγένης κανόνα κγʹ. καὶ οαʹ. συνόδου ϛʹ. κανόνας ιζʹ. ιηʹ. καὶ κʹ. καὶ μάθης πῶς κολάζονται οἱ παρ' ἐνορίαν διδάσκοντες. ἀνάγνωθι καὶ τὸν ιϛʹ. κανόνα τῆς πρώτης καὶ δευτέρας συνόδου, καὶ τὰ ἐν ἐκείνῳ παρ' ἡμῶν γραφέντα, καὶ μάθης πόσον καιρὸν ὀφείλουσιν οἱ ἐπίσκοποι διατρίβειν ἔξωθεν τῶν ἐπισκοπῶν αὐτῶν. διὰ γὰρ τοῦτο οὐδὲ πλατύτερόν τι περὶ τούτου ἐνταῦθα διελήφθη. ἐρωτήσει δέ τις, ὡς τοῦ πʹ. κανόνος τῆς ἕκτης συνόδου δηλονότι τῆς ἐν τῷ Τρούλλῳ, διορισαμένου ἀφορίζεσθαι τοὺς λαϊκοὺς τοὺς ἐπὶ τρισὶ κυριακαῖς μὴ συνερχομένους καὶ ἐκκλησιάζοντας, τοῦ καὶ κατὰ πολὺ ὄντος μεταγενεστέρου ταύτης τῆς συνόδου, πῶς ὁ παρὼν κανὼν, πρεσβύτερος ὢν, αὐτοῦ μέμνηται; Λύσις. ἕτερος μὲν κανὼν πρὸ τῆς παρούσης συνόδου οὐδέν τι τοιοῦτον διωρίσατο. ἀγράφως δὲ, ὡς ἔοικεν, ἐνηργοῦντο τὰ τοῦ τοιούτου κανόνος ἀρχῆθεν, ὡς καὶ ἄλλα πολλά· ὕστερον δὲ ἡ ἐν τῷ Τρούλλῳ σύνοδος καὶ ἐγγράφως τὰ περὶ τούτου ἐξέθετο.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος εἰς πόλιν ἀπέλθῃ ἑτέραν ἢ εἰς ἐπαρχίαν ἄλλην, κόμπου χάριν, ὥστε δηλονότι ἐπιδείξασθαι καὶ ἐγκωμιασθῆναι ὡς λόγιος, ἢ θρησκείας καθοσιώσει ἢ διὰ ζήτησιν πίστεως καὶ ὅπως χρὴ λατρεύειν· θρησκεία γὰρ ἡ λατρεία ἐστί· καὶ βούλοιτο πλείονα χρόνον διάγειν ἐκεῖ, ὁ δὲ τῆς χώρας ἐκείνης ἐπίσκοπος μὴ ᾖ λόγιος, ὥστε δύνασθαι διδάσκειν, μὴ ὁμιλείτω συνεχῶς, καταφρονῶν τοῦ τῆς χώρας ἐπισκόπου, καὶ καταισχύνων αὐτὸν ὡς ἀμαθῆ. αἴτιον γὰρ τοῦτο ταραχῆς, ἢ καὶ πανούργως γινόμενον, ἵνα ὡς λόγιος παρὰ τοῦ τῆς χώρας ἐκείνης λαοῦ θαυμασθῇ, καὶ προμνηστεύσηται τὴν τῆς πόλεως ἐκείνης καθέδραν, καὶ ἐντεῦθεν οὐ διστάσῃ καταλιπεῖν τὴν αὐτοῦ ἐκκλησίαν, καὶ εἰς ἑτέραν μεθίστασθαι. δεῖ τοίνυν ὁρίσαι χρόνον, ὅσον ὀφείλει ποιεῖν ἐπίσκοπος εἰς χώραν ἢ πόλιν ἀπελθὼν, ἐν ᾗ ἐστιν ἐπίσκοπος· καὶ γὰρ καὶ τὸ μὴ ὑποδέχεσθαι παρὰ ἐπισκόπου τὸν συνεπίσκοπον ἀπάνθρωπόν ἐστι, φαῦλον, πονηρόν. ἐπεὶ οὖν, φησὶν, A ἐπεὶ οὖν, φησιν, οἱ πατέρες ἡμῶν, οἱ τῆς ἐν τῷ Τρούλλῳ τῆς λεγομένης ἕκτης συνόδου δηλαδὴ, ἐκείνων γάρ ἐστιν ὁ κανὼν π'. ἔκριναν, ἵνα εἴ τις λαϊκὸς ἐν πόλει διάγων ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνέρχοιτο ἐν τῇ ἐκκλησίᾳ, ἀποκινοῖτο τῆς κοινωνίας, τουτέστιν ἀφορίζοιτο. εἰ δὲ περὶ λαϊκῶν ταῦτα εἴρηται, οὔτε πρέπον ἐστὶν, οὔτε συμφέρον ἐπίσκοπον ἐπὶ πολὺ ἀπολιμπάνεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, εἰ μή τινα βαρεῖαν ἀνάγκην ἔχει, ἢ πρᾶγμά τι δυσχερές.

B **ΑΡΙΣΤ.** Ὁ προσκαλούμενος ἐπίσκοπος ἐξ ἐπισκόπου, τοῦ προσκαλεσαμένου ἰδιώτου τυγχάνοντος, μὴ συνεχέστερον δημηγορείη· μῶμος γὰρ τοῦτο τοῦ ἰδιώτου, καὶ μνηστεία τῆς ἐπισκοπῆς ἐκείνου· καὶ ἀμφότερα οὐκ ἀμώμητα.

ΑΡΙΣΤ. Ἀνάγκης δίχα βραχείας, δυσχερὲς τὸ, ἐπὶ πλεῖστον τὸν ἐπίσκοπον τῆς οἰκείας ἐκκλησίας ἀπολιμπάνεσθαι.

C Εἴ τις τῶν ἐπισκόπων εἰς ἑτέραν παραγένηται πόλιν, παρὰ τοῦ κατὰ χώραν προσκληθεὶς ἐπισκόπου, καὶ ὁ προσκαλεσάμενος αὐτὸν οὐκ ἔστι διδασκαλίας ἔμπειρος· μὴ διδασκέτω συνεχέστερον τὸν λαὸν, καὶ δημηγορίας ποιείτω. τοῦτο γὰρ ταραχὰς εἴωθε προξενεῖν, καὶ καταφρόνησιν ἐμποιεῖν τῷ προσκαλησαμένῳ αὐτὸν ἐπισκόπῳ. δοκεῖ δὲ καὶ διὰ τῆς ἐπιδείξεως ταύτης, τῆς ἀλλοτρίας προμνηστεύεσθαι ἐκκλησίαν, καὶ τὸν λαὸν εἰς ἑαυτὸν ἕλκειν, καὶ σπουδάζειν τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιπεῖν, καὶ εἰς ταύτην μεταπηδῆσαι. ὥρισε τοίνυν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μὴ πλέον τριῶν ἑβδομάδων τὸν προσδεχθέντα ἐπίσκοπον τῆς ἑαυτοῦ ἐκκλησίας ἀπολιμπάνεσθαι· ἀλλ' εἰς τὸν ἐμπεπιστευμένον αὐτῷ λαὸν ὑποστρέφειν· εἰ μήπου τις αὐτὸν βαρυτάτη ἀνάγκη, ἢ πρᾶγμά τι δυσχερὲς καὶ ἐπὶ πλέον ἀπολιμπάνεσθαι ἐκβιάσοι.

ΚΑΝΩΝ ιβ'.

D Τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πόλεσιν, ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησι· οὕτως αὐτοῖς συγχωρητέον εἶναι κρίνω, ἵνα εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς κυριακὰς ἡμέρας, τοῦτ' ἔστι, τρεῖς ἑβδομάδας ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἔγγιστα οὔσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγει, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν, ἐν ᾗ ἐστιν ἐπίσκοπος, παραγίγνοιτο. τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα, παρὰ τὴν αὐτοῦ ἀπουσίαν, οὐδεμίαν ὑπομένει ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δόξει ἔγκλημα. ἅπαντες οἱ ἐπίσκοποι εἶπον, ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις. E

F **ΒΑΛΣ.** Ὁ μὲν ια'. κανὼν διδάσκει περὶ τῶν ἀποδημησάντων ἐπισκόπων ἀπὸ πόλεως εἰς πόλιν, ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν· ὁ δὲ παρὼν κανὼν διορίζεται τοὺς ἐπισκόπους, τοὺς ἔχοντας ἀκινήτους μεγάλας κτήσεις εἰς ἀλλοτρίας ἐνορίας, ἀπαρεμποδίστως εἰς ταύτας ἀπέρχεσθαι διὰ τὴν συγκομιδὴν τῶν καρπῶν, καὶ οὕτω χειραγωγεῖν τοὺς πένητας. πλὴν, φησι, ἐπὶ μὲν τρισὶ κυριακαῖς ὀφείλει ὁ ἐπίσκοπος διάγειν εἰς τὰ οἰκεῖα κτήματα, καὶ μετὰ τῶν ἐγχωρίων πιστῶν ἐκκλησιάζειν καὶ συλλειτουργεῖν, ἤτοι συνεύχεσθαι μετὰ τοῦ ἐκεῖσε ὄντος πρεσβυτέρου, ἵνα μὴ δοκῇ χωρὶς συνελεύσεως ἐκκλησιαστικῆς εἶναι, καὶ προσκρούειν πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν. μετὰ δὲ τὰς τρεῖς κυριακὰς μὴ παραβάλλειν συχνότερον ἐν τῇ πόλει ἐν ᾗ ὁ κατὰ τόπον ἐστὶν ἐπίσκοπος. τούτου γάρ, φασιν, οὕτω γινομένου, οὔτε αὐτὸς ὑποπέσῃ χρηματικῇ ζημίᾳ, διὰ τὸ κατὰ παρουσίαν αὐτοῦ γίνεσθαι τὴν συγκομιδὴν τῶν καρπῶν, οὔτε ὁ ἐγχώριος ἐπίσκοπος ἀλα-

Cum ergo Patres, inquit, noſtri (Synodi nimirum in Trullo, quæ ſexta dicitur, ibi enim octogeſimo canone ſtatutum id fuit) ſi quis Laicus in urbe agens trium hebdomadarum ſpatio in Eccleſiam non convenerit, eum communione movendum, hoc eſt, ſegregandum eſſe, decreverint: ſi hæc de Laicis conſtituta ſint, Epiſcopum ab Eccleſia ſua diutius abeſſe, niſi ſi quando gravis neceſſitas negotiive difficultas coëgerit, nec deceat, nec expediat.

Arist. *Epiſcopus ab Epiſcopo accerſitus, ſi qui accerſit ſit imperitus, ne nimis aſſiduè concionetur, hoc enim imperito dedecori erat, & alter Epiſcopatum ejus ambire videbitur. Et utrumque reprehendendum.*

Arist. *Sine gravi neceſſitate, Epiſcopum à ſuâ diutiùs abeſſe Eccleſiâ arduum eſt.*

Si quis Epiſcopus ad aliam accedat civitatem, ab ipſo regionis Epiſcopo vocatus, & qui eum vocavit non eſt doctrinâ inſtructus, ne frequenter populum doceat, & conciones faciat. Hoc enim tumultus excitare ſolet, & Epiſcopo qui eum vocavit, contemptum afferre. Videtur autem & per oſtentationem iſtam alienam ambire Eccleſiam & populum ad ſe attrahere, & ſtudere ſibi traditam Eccleſiam relinquere, & in eam transferri. Propterea itaque decrevit ſancta Synodus Epiſcopum admiſſum non pluſquam tres ſeptimanas ſuam relinquere Eccleſiam. Sed ad populum ſibi concreditum redire, niſi fortaſſe graviſſima aliqua neceſſitas, aut negotium aliquod difficile eum longiùs abeſſe cogat.

Canon XII.

Quidam fratres & Coëpiſcopi in civitatibus, in quibus Epiſcopi conſtituuntur, videntur valde pauca, quæ ſibi ſint propria, poſſidere; in aliis autem locis magnas poſſeſſiones, ex quibus etiam poſſunt opem ferre pauperibus: iis ita eſſe concedendum judico, ut ſi in ſuas poſſeſſiones venturi ſint, & fructus ſuos collecturi, tribus diebus dominicis, id eſt, tribus ſeptimanis, in ſuis poſſeſſionibus degant; & in Eccleſia quæ prope eſt, in qua Presbyter populum congregat, ne à communione alienus videatur (Epiſcopus) conveniat, & ſacrificium celebret, & ne frequentiùs in civitate, in qua eſt Epiſcopus, adſit. Eo enim modo, & res ejus propter ipſius abſentiam nihil detrimenti patientur, & arrogantiæ ac ſuperbiæ crimen effugere videbitur. Omnes Epiſcopi dixerunt; Placet hæc quoque conſtitutio.

Bals. Undecimus canon docet de Epiſcopis, qui à civitate in civitatem peregrè proficiſcuntur, vel à provincia in provinciam: præſens autem canon ſtatuit, ut Epiſcopi, qui magnas habent immobiles poſſeſſiones in alienis regionibus, in eas ſine ullo impedimento proficiſcantur ad fructus colligendos, & ſic pauperes ſuſtentent. Cæterùm tribus, inquit, dominicis debet Epiſcopus in ſuis poſſeſſionibus agere, & cum illius regionis fidelibus in Eccleſiam convenire, & unà celebrare, ſeu unà orare cum Presbytero qui illic eſt; ne videatur eſſe ab Eccleſiaſtica communione alienus, & in canonem ſupra poſitum offendere, qui quidem eos ſegregat, qui tribus dominicis in Eccleſiam non conveniunt. Cæterùm poſt tres dominicos non frequentiùs in civitate verſari, in qua eſt Epiſcopus. Si enim, inquiunt, hoc ita fiat, nec ipſe in damnum pecuniarium incidet, eo quòd in ejus præſentia fructus colligantur; nec regionis Epiſcopus eum arrogantiæ inſimulabit. Hæc cùm ita ſe habeant, ne dixeris eſſe neceſſarium Epiſcopo, qui verſatur in poſſeſſionibus quæ ſunt extra ſuam Eccleſiam, illic tribus dominicis ſedere, & non accedere in urbem in qua eſt ejus regionis Epiſcopus; ſed conſilium tantùm dari, ut vitetur ſcandalum. Si enim velit poſtea in civitatem proficiſci, & cum illius regionis Epiſcopo familiariter colloqui, & in ſuas Eccleſiaſticas poſſeſſiones redire, non vetabitur. Eſt enim ſcopus canonis, ne illius regionis Epiſcopus turbetur ab Epiſcopo, qui ultra ſuæ diœceſis fines accedit, & ab ipſo fortaſſe injuria afficiatur. Lege & quæ in xvi. can. primæ & ſecundæ Syn. à nobis ſcripta ſunt. Et nota quòd in immobilibus alienarum Eccleſiarum poſſeſſionibus illius regionis Epiſcopus epiſcopalia jura exercet. Ex longa autem conſuetudine ſæpe ſynodaliter confirmata, thronus Conſtantinopolitanus in omnium Eccleſiarum regionibus dat jus figendi crucem, & non ſolùm in iis relationem habet, ſed & in poſſeſſionibus quas habet ubicunque. Quidam autem dicunt, hanc ſanctam ſedem hoc jus habere, non ſolùm in poſſeſſionibus, quas dominii jure obtinet, ſed etiam in immobilibus Monaſteriorum, quæ ei ſubjecta ſunt, ubicunque ea ſita ſint. Rectè autem accepimus liturgiam ſive ſacrorum celebrationem pro oratione. Sacra enim celebrare, ſeu ſacrificare, ſine Epiſcopi regionis permiſſione, non poteſt.

Zonar. Epiſcopi quidam, inquit canon, in ejus urbis, cui præſunt, regionibus proprias (Eccleſiarum videlicet, non autem quas in privatis ipſorum facultatibus numerent) admodum exiguas; iidem in aliis regionibus amplas ſane poſſeſſiones habent, ex quarum fructibus pauperum inopiam ſublevare, neceſſaria ipſorum uſibus ſuppeditantes, queant. Quos proinde fructus, ut colligant, in eas regiones aliquando ipſis neceſſario ſit commeandum. Epiſcopo igitur, inquit, in ſuos agros profecto degere in aliena ditione ita liceat, ut ne ad urbanum Epiſcopum trium hebdomadarum intervallo ſe conferat; ſed in ſuis ſeſe poſſeſſionibus contineat, ac in propinquam eis Eccleſiam conveniat, in quam populus à Presbytero convocari ſolet, ibique liturgiæ vacet. Liturgiæ porro nomine hoc loco, non ſacrorum celebrationem, incruentíque ſacrificii oblationem; ſed ſtatas preces, ac hymnos, qui ſolenni more Deo concinuntur, intelligi oportet. Nam ſacra facere, aut aliud quidpiam ſummi ſacerdotii munus in aliena regione obire, abſque ejus, qui præeſt, Epiſcopi facultate, quî poſſit? Depoſitione etenim, qui id fecerit, trigeſimi ſexti Apoſtolici canonis decreto mulctari debet. Ut vero in Eccleſiam conveniat, ibique cum fidelibus precationi vacet, idcirco, inquiunt, permittimus, ne à communione alienus eſſe videatur, neve in canonem ſupra propoſitum offendat, per quem ei, qui tribus hebdomadis in Eccleſiam non convenerit, ſegregatio indicta eſt: non tamen in urbem ejus regionis frequentius commeet; ut hoc pacto neque ob facultates neglectas detrimenti aliquid ſubeat, neque arrogantiæ reprehenſionem incurrat, quaſi gloriolæ aucupandæ ſtudio in alienam urbem aut regionem, docendi cauſa, ac ejus, qui in ea degit, Epiſcopi ſugillandi ſit profectus.

Arist. *Epiſcopus qui poſſeſſiones habet extra diæceſis ſuæ limites. Si eas ſit inviſurus, ne pluſquam trium Dominicarum ſpatio ibi maneat. Sic enim ipſius grex eo fruetur, ipſeque faſtûs ſuſpicione carebit.*

Si qui Epiſcoporum poſſeſſiones in alienis epiſcopatibus poſitas habeant. Illuc adire, ut eas obſervent & fructus colligant, non prohibentur. Sed & hi pluſquam tres hebdomades in alienis epiſcopatibus immorari non permittuntur. Ut nec ſuæ Eccleſiæ negotio per abſen-

A ζονείαν τούτῳ ἐπιγράψηται. τούτων οὕτως ἐχόντων, μὴ εἴπῃς ἀναγκαστικὸν εἶναι τῷ ἐπιδημήσαντι ἐπισκόπῳ εἰς τὰ περὶ ἐνορίαν κτήματα τῆς ἐκκλησίας αὐτοῦ, ἐπὶ τρισὶ κυριακαῖς ἐκεῖσε καθῆσθαι, καὶ μὴ παραβάλλειν ἐν τῇ πόλει ἐν ᾗ ὁ ἐγχώριός ἐστιν ἀρχιερεὺς, ἀλλὰ συμβουλευτικὸν, διὰ τὸ ἀσκανδάλιστον. εἰ γὰρ θέλει ἀπεντεῦθεν εἰς τὴν πόλιν ἀπελθεῖν καὶ συνομιλῆσαι εἰρηνικῶς τῷ ἐγχωρίῳ ἀρχιερεῖ, καὶ ὑποχωρῆσαι εἰς τὰ ἐκκλησιαστικὰ αὐτοῦ κτήματα, οὐ κωλυθήσεται. ὁ γὰρ σκοπὸς τοῦ κανόνος οὐδέν τι ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ μὴ ὀχλεῖσθαι τὸν ἐγχώριον ἐπίσκοπον ὑπὸ τοῦ περὶ ἐνορίαν ἐκεῖσε ἀφικνουμένου ἐπισκόπου, καὶ παρ' αὐτοῦ ἴσως περιυβρίζεσθαι. B ἀνάγνωσον καὶ τὰ ἐν ιϛ'. κανόνι τῆς α'. καὶ β'. συνόδου γραφέντα παρ' ἡμῶν. καὶ σημείωσαι, ὅτι εἰς τὰς ἀκινήτους κτήσεις τῶν ἀλλοτρίων ἐκκλησιῶν ὁ ἐγχώριος ἐπίσκοπος ἐνεργεῖ τὰ ἀρχιερατικὰ δίκαια. ἀπὸ μακρᾶς δὲ συνηθείας βεβαιωθείσης πολλάκις συνοδικῶς, ὁ θρόνος τῆς Κωνσταντινουπόλεως σταυροπήγιά τε δίδωσιν εἰς πάσας τὰς τῶν ἐκκλησιῶν ἐνορίας, καὶ ἀναφορὰν ἔχει οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ἐφ' αἷς ἔχει ἀκινήτοις κτήσεσιν ὁπουδήποτε. τινὲς δὲ λέγουσι, τὸ αὐτὸ δίκαιον ἔχειν τὸν αὐτὸν ἅγιον θρόνον, οὐ μόνον εἰς τὰς διαφερούσας τούτῳ κυριαρχικῷ δικαίῳ κτήσεις, ἀλλὰ καὶ εἰς τὰ ἀκίνητα τῶν ὑποκειμένων τούτῳ μοναστηρίων ὁπουδήποτε C διακείμενα. καλῶς δὲ ἐξελάβομεν τὴν λειτουργίαν ἀντὶ εὐχῆς. λειτουργεῖν γὰρ ἤτοι ἱερουργεῖν χωρὶς ἐπιτροπῆς τοῦ κατὰ χώραν ἐπισκόπου ἀδύνατόν ἐστιν.

ΖΩΝΑΡ. Τῶν ἐπισκόπων τινὲς, φησὶν ὁ κανὼν, ἐν ταῖς χώραις τῶν πόλεων, ἐν αἷς ἐπισκοποῦσιν, ὀλίγα κέκτηνται ἴδια τῶν ἐκκλησιῶν αὐτῶν, ἀλλ' οὐχὶ ἴδια τῆς οἰκείας περιουσίας, ἐν δὲ ἑτέραις χώραις ἔχουσι κτήσεις μεγάλας, ἐξ ὧν δύνανται βοηθεῖν τοῖς πένησι, διδόντες αὐτοῖς τὰ πρὸς χρείαν, ὥστε ἀναγκαῖον εἶναι αὐτοῖς ἀπέρχεσθαι ἐκεῖ διὰ τὴν συλλογὴν τῶν καρπῶν. οὕτως οὖν, φησὶ, συγχωρείσθω εἰς ἑτέραν ἐνορίαν διάγειν ἐπίσκοπος, ἵνα ἐπὶ τρεῖς ἑβδομάD δας μὴ συνέρχοιτο τῷ ἐπισκόπῳ τῆς πόλεως, ἀλλ' ἐν τοῖς ἀγροῖς αὐτοῦ διάγῃ, καὶ ἐν τῇ πλησιαζούσῃ ἐκεῖ ἐκκλησίᾳ. ἐν ᾗ πρεσβύτερος τὴν σύναξιν τοῦ λαοῦ ποιεῖται, συνέρχηται, καὶ λειτουργῇ. τὸ δὲ λειτουργεῖν ἐνταῦθα, οὐχὶ τὸ ἱερουργεῖν καὶ προσφέρειν τὴν ἀναίμακτον θυσίαν νοητέον, ἀλλὰ τὸ εὔχεσθαι, καὶ τοὺς συνήθεις ὕμνους τῷ θεῷ ἀναπέμπειν. πῶς γὰρ ἱερουργῆσαι ἠδύνατο, ἢ ἄλλο τι ποιῆσαι ἀρχιερατικὸν δίκαιον εἰς ἀλλοτρίαν ἐνορίαν, μὴ παρὰ τοῦ ἐπισκόπου τῆς χώρας τοῦτο ἐπιτραπείς; κατὰ γὰρ τὸν λϛ'. κανόνα τῶν ἀποστόλων καθαιρεῖται ὁ τοῦτο ποιήσας. καὶ τὸ συνέρχεσθαι δὲ εἰς ἐκκλησίαν, καὶ συνεύχεσθαι τοῖς ἐκεῖσε πιE στοῖς, διὰ τοῦτο, φασὶν, ἐπιτρέπομεν, ἵνα μὴ δοκῇ χωρὶς συνελεύσεως εἶναι, καὶ προσκρούῃ πρὸς τὸν ἀνωτέρω εἰρημένον κανόνα, τὸν ἀφορίζοντα τοὺς ἐπὶ τρεῖς ἑβδομάδας μὴ συνιόντας εἰς ἐκκλησίαν· μὴ μέντοι, φασὶ, συνεχέστερον εἰς τὴν πόλιν τῆς χώρας ἐκείνης παραγίνοιτο, ἵνα οὕτως μήτε ζημίαν τινὰ ὑποστῇ ἐκ τοῦ μὴ ἐπιτηρεῖν τὰ οἰκεῖα, καὶ τὸ τῆς ἀλαζονείας ἐκκλίνῃ αἰτίαμα, μὴ διὰ δόξαν νομιζόμενος ἀπιέναι εἰς ἑτέραν πόλιν ἢ χώραν, ὥστε διδάσκειν, καὶ καταισχύνειν τὸν ἐν ἐκείνῃ ἐπίσκοπον.

F

ΑΡΙΣΤ. Ἐπίσκοπος κτήσεις κεκτημένος ὑπερορίους, εἰ μέλλει ἐν ταύταις ἰέναι· μὴ πλέον ἐκεῖσε μενέτω κυριακῶν τριῶν διαστήματος. οὕτω γὰρ ἡ οἰκεία τοῦτον ποίμνη καταπλουτήσει, καὶ αὐτὸς ἄτυφος διαμένοι.

Κτήματά τινες τῶν ἐπισκόπων εἰ ἔχοιεν ἐν ἀλλοτρίαις ἐπισκοπαῖς κείμενα· οὐ κωλύονται ἀπέρχεσθαι εἰς ἐπιτήρησιν τούτων, καὶ τὴν συλλογὴν τῶν καρπῶν ποιεῖσθαι. πλὴν καὶ οὗτοι πλέον τριῶν ἑβδομάδων ἐν ἀλλοτρίαις ἐγχρονίζειν οὐ συγκεχώρηνται· ἵνα μήτε τὰ τῆς ἐκκλησίας αὐτῶν πράγματα διὰ τὴν ἀπουσίαν αὐτῶν ἀπόλωνται, μήτε ἔγκλημα τύφου καὶ ἀλαζονείας αὐτοῖς προσάψωσιν, ἐπὶ μακρότερον ἐν ἀλλοτρίᾳ πόλει ἐνδιατρίβουσι.

ΚΑΝΩΝ ιγʹ.

Ὅσιος ἐπίσκοπος εἶπε· ἐάν τις διάκονος, ἤτοι πρεσβύτερος, ἢ καί τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδότα αὐτὸν καταφύγῃ, γινώσκοντα ἀποκεκινῆσθαι αὐτὸν τῆς κοινωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ χρῆναι τῷ ἐπισκόπῳ καὶ ἀδελφῷ αὐτοῦ ὕβριν ποιοῦντα παρέχειν αὐτῷ κοινωνίαν. εἰ δὲ τολμήσοι τοῦτο ποιῆσαι, γινωσκέτω συνελθόντων ἐπισκόπων ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον καθεστάναι.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ιβʹ. ιδʹ. λβʹ. καὶ λγʹ. κανόνα τῶν ἁγίων ἀποστόλων, καὶ τὸν ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ϛʹ. τὰ αὐτὰ λέγοντας.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἀποστολικοὶ κανόνες καὶ συνοδικοὶ πολλοὶ διετάξαντο. ὅ τε γὰρ λβʹ. καὶ ὁ λγʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, καὶ ὁ ιγʹ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὰ αὐτὰ τεθεσπίκασιν.

ΑΡΙΣΤ. Ὁ τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα κοινωνίας μετὰ γνῶσιν ἀξιῶν, οὐκ ἀνεύθυνος.

Ὁ ἐν εἰδήσει δεξάμενος τὸν παρὰ τοῦ ἰδίου ἐπισκόπου ἀφορισθέντα πρεσβύτερον, ἢ διάκονον, ἢ καί τινα τῶν κληρικῶν, καὶ συγκοινωνήσας, ἤτοι συλλειτουργήσας αὐτῷ, οὐκ ἀνεύθυνος, ἀλλ' ἀφορισθήσεται καὶ αὐτὸς, κατὰ τὸν δωδέκατον κανόνα τῶν ἁγίων ἀποστόλων.

ΚΑΝΩΝ ιδʹ.

Εἴ τις ἐπίσκοπος ὀξύχολος εὑρίσκοιτο, ὅπερ οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι, καὶ ταχέως ἀντικρὺ πρεσβυτέρου ἢ διακόνου κινηθεὶς, ἐκβαλεῖν ἐκκλησίας τινὰ ἐθελήσοι, προνοητέον ἐστὶ μὴ ἀθρόον τὸν τοιοῦτον κατακρίνεσθαι, καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. πάντες ἐπίσκοποι εἰρήκασιν· ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχίας καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλεως ἄπεστιν, ἐπὶ τὸν πλησιόχωρον κατατρέχειν καὶ ἀξιοῦν, ἵνα μετὰ ἀκριβείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα. οὐ χρὴ γὰρ μὴ ἔχειν τὰς ἀκοὰς τοῖς ἀξιοῦσιν. κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γένηται, καὶ ἢ κυρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχῃ. πρὶν δὲ ἐπιμελῶς καὶ μετὰ πίστεως ἕκαστα ἐξετασθῇ, ὁ μὴ ἔχων τὴν κοινωνίαν, πρὸ τῆς διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει ἐκδικεῖν τὴν κοινωνίαν· ἐὰν δὲ συνεληλυθότες τῶν κληρικῶν τινες κατίδωσι τὴν ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ, ἐπεὶ οὐ πρέπον ἐστὶν ὕβριν ἢ μέμψιν ἄδικον ὑπομένειν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν ἐπιστρέφειν τοῦτον ὀφείλουσιν, ἵνα τῷ τὰ πρέποντα κελεύοντι ὑπηρετῶνται καὶ ὑπακούωσιν. ὥσπερ γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφείλει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, τὸν αὐτὸν τρόπον καὶ οἱ ὑπηρετούμενοι ἄδολα τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν.

ΒΑΛΣ. Ἔμαθες ἀπὸ ἑτέρων κανόνων, ὅτι οὐκ ἔξεστι τοῖς ἐπισκόποις ἀκρίτως ἀφορίζειν τοὺς κληρικοὺς αὐτῶν. ὁ δὲ παρὼν κανὼν φησιν, ὅτι ἐὰν ἐπίσκοπος ὀξύχολος καὶ θυμώδης ὑπάρχων, κἂν οὐκ ἐνδέχηται τοιοῦτον εἶναι τὸν ἐπίσκοπον, ἀλλὰ πρᾶον καὶ μετριόφρονα, ἀφορίσῃ ἀπὸ θυμοῦ πρεσβύτερον αὐτοῦ ἢ διάκονον, προνοητέον, ἤτοι φροντιστέον, μὴ ἀπεντεῦθεν τοῦτον κατακρινόμενον λογίζεσθαι, ὥστε μὴ συγκοινωνεῖν ἤγουν μὴ ἐνεργεῖν τὰ τῆς ἱερατείας μετὰ τῶν ἱερουργούντων· ὁ γὰρ κύριος, λάβετε, εἶπε, πνεῦμα ἅγιον, ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ὧν δ' ἂν κρατῆτε,

A tiam eorum damnum patiantur, nec ſuperbiæ & oſtentationis accuſationem ſibi affigant, eo quod plus temporis in alienâ civitate conſument.

Canon XIII.

Oſius Epiſcopus dixit; Si quis Diaconus, vel Presbyter, vel Clericus ſit excommunicatus, & ad alium Epiſcopum, cui notus ſit, confugerit, qui ſcit eum à proprio Epiſcopo eſſe communione motum; non oportere Epiſcopo & fratri ſuo injuriam facere, & ei commnionem præbere. Sin autem hoc facere auſus B *fuerit, ſciat, cùm convenerint Epiſcopi, ſeipſum cauſam eſſe dicturum.*

Bals. Lege xii. xiv. xxxii. & xxxiii. canonem ſanctorum Apoſtolorum, & Antioch. Syn. can. vi. qui dicunt eadem.

Zonar. Plures hoc idem tum Apoſtolici tum ſynodici canones decrevêre. Eadem namque & xxxii. & xxxiii. ſanctorum Apoſtolorum canone, & Antiochenæ Synodi decimotertio ſtatuta reperias.

Arist. *Qui à proprio Epiſcopo excommunicatum* C *communione ſciens dignatur, non eſt innoxius.*

Qui Presbyterum, vel Diaconum vel & aliquem Clericorum à proprio Epiſcopo excommunicatum ſciens acceperit, & communicaverit, aut cum eo ſacra peregerit, crimine non vacat, ſed & ipſe ſegregabitur, ſecundùm xii. ſanctorum Apoſtolorum canonem.

Canon XIV.

Si inveniatur quis Epiſcopus ad iram propenſus, quod quidem ab ejuſmodi homine abeſſe debet, & adverſus Presbyterum vel Diaconum citò commotus, eum D *ex Eccleſia ejicere voluerit; providendum eſt, ne is repentè condemnetur, & communione privetur. Omnes Epiſcopi dixerunt; Qui ejicitur poteſtatem habeat confugiendi ad Epiſcopum Metropolis ejuſdem provinciæ: ſi autem Metropolitanus abeſt, ad finitimum concurrendi, & rogandi ut ſuum negotium accurratè examinet. Neque enim non ſunt [illegible]res præbendæ iis qui rogant. Ille quoque Epiſcopus, qui jure vel injuria eum expulit, æquo animo ferre debet, ut rei fiat examinatio; & vel ejus confirmetur ſententia, vel corrigatur. Priuſquam autem diligen-* E *ter & ex fide ſingula examinata fuerint, qui communionem non habet, non debet ante rei cognitionem ſibi ſuo jure communionem tribuere: Si vero Clerici aliqui convenerint, & ejus ſuperbiam & arrogantiam viderint; quia non convenit contumeliam vel injuſtam expoſtulationem pati, acerbioribus & gravioribus verbis eum debent corrigere; ut jubenti quæ decet, inſerviant & obediant. Sicut enim debet Epiſcopus miniſtris ſinceram dilectionem & affectionem præbere; eodem modo & ſubjecti debent Epiſcopis non fraudulentum miniſterium & obſequium exhibere.*

F **Bals.** Didiciſti ab aliis canonibus, quòd non licet Epiſcopis indicta cauſa ſuos Clericos ſegregare. Præſens autem canon dicit, quòd ſi Epiſcopus ad iram propenſus ac biliosus exiſtens (etiamſi non debet eſſe talis Epiſcopus, ſed mitis & moderatus) Presbyterum ſuum vel Diaconum ira percitus ſegregaverit, providendum eſt, ſeu cura eſt adhibenda, ne is ex eo condemnatus exiſtimetur, ut non unà communicet, ſeu quæ ſunt Sacerdotalia exerceat cum iis qui ſacra operantur. Dominus enim dixit; Accipite Spiritum ſanctum; &, Quorum remiſeritis peccata, remittuntur eis; quorum autem retinetis, retenta ſunt: non autem eos etiam, qui non peccant, punite. Sed poteſtatem habeat is, qui ſegregatus eſt, accedendi ad Metropolitanum provinciæ, cui ſcilicet ſubjectus eſt Epiſcopus qui ſegregavit: ut ſegregationis cauſa coram eo examinetur. Si autem non adeſt Metropolitanus, vadat is qui eſt ſegregatus ad Metropolitanum proximum, ut negotium ab eo examinetur. Hoc autem facto, qui ſegregavit Epiſcopus non ſuccenſeat, ſed æquo animo ferat examinationem, & ſegregationis confirmationem, vel ejus correctionem forti animo ſuſtineat. Tanquàm autem dixiſſet aliquis, magnum ex eo illi, qui ſegregatus eſt, auxilium afferri, quòd ſacerdotalis functio non impediatur à ſegregatione, propter canones qui dicunt, ante perfectam condemnationem neminem puniri debere: dicit canon, quòd etiamſi ſit communicandi poteſtate præditus qui eſt excommunicatus, & ejus ſegregatio ad examinationem recidit; non tamen ſibi debet eam ſuo jure tribuere, & ſacrificare, antequam jus ſuum probaverit. Qui enim vos ſpernit, inquit, me ſpernit. Debent ergo Clerici, qui eum vident ſacrificantem poſtquam ſegregatus fuerit, ex ſuperbia vel arrogantia, eum ad humilitatem convertere verbis acerbioribus ſeu exprobratoriis, non tamen etiam contumelioſis: ſic enim videbuntur eſſe ſubjecti & miniſtri Epiſcopalium juſſionum. Sicut enim, inquit, debet Epiſcopus ſuos Clericos amare; ſic & ipſi debent citra fraudem Epiſcopis miniſterium exhibere. Ne dixeris autem hunc canonem eſſe multis canonibus contrarium, ſtatuentem eum, qui eſt excommunicatus, debere ad vicinæ regionis Metropolitanum recurrere, ſi abſit Metropolitanus provinciæ, ut ab eo examinetur ſegregatio. Finge enim vel finitimæ regionis Antiſtiti ab abſente Metropolitano fuiſſe mandatum, ut cauſas iſtiuſmodi Eccleſiaſticas ad ſuam provinciam pertinentes audiat, vel eum fuiſſe electum Judicem ab Epiſcopo & Clerico. Neque enim aliter poteſt vicinæ regionis Metropolitanus judicare Epiſcopum vel Clericum alius provinciæ, quemadmodum in præcedentibus canonibus diximus. Ei autem qui te fortè interrogavit; Quomodo non punit canon eum, qui in ſegregatione non acquievit, ſed eam neglexit, & ſacra celebravit? dic, quòd xx. canon præſentis Synodi generali ſermone eos deponendos decernit, qui, quæ hîc decreta ſunt, tranſgrediuntur. Et xxix. canon Carth. Synodi ex hac ſola cauſa eum condemnat, perinde ac ſi juſtè fuiſſet depoſitus. Nota ergo ex præſenti canone, quòd nulla fit Epiſcopo injuria, ſi is, qui eſt ſegregatus, quærat ſegregationis cauſam examinari: & quòd quomodocunque fuerit ſegregatus Clericus, debet ſegregationem admittere, & expectare examinationem. Miror autem, quomodo non definiunt Patres, quid ſit faciendum, ſi Papa, verbi gratia, Clericum ſuum injuſtè ſegregaverit, & ſegregationem quidem incuſet Clericus; non poteſt autem ad majorem Synodum proficiſci, & accuſationem proponere. Quæ autem de Presbyteris & Diaconis hîc ſunt definita, de reliquis etiam Clericis, quin & laicis, accipienda ſunt.

Zonar. Si quis Epiſcopus, inquiunt Patres, ſit ad iracundiam proclivior, (quamvis tales Epiſcopos eſſe haud quaquam deceat) iſque Diaconum quempiam, aut Presbyterum, in eos vehementius commotus, extra Eccleſiam ejiciat, hoc ex, ſegregatione puniat: ne ille repente, hoc eſt, ſubitò & abque cauſa communione privetur, providendum ſcilicet & curandum eſt. Confugiat vero is, qui ejectus eſt, ad Metropolitanum provinciæ, eum videlicet, cui Epiſcopus quoque ille auctor ſegregationis ſubjectus eſt; illumque roget ut negotium, id ſcilicet quod contra ipſum ab Epiſcopo actum eſt, diligenter examinet. Neque vero aut ſupplices negligere fas eſt, aut Epiſcopus, à quo irrogata ſegregatio eſt, ea inquiſitione offendi; quin id potius magno animo ferre debet; ut vel pronuntiata ſententia, ſi juſta fuerit, confirmetur; vel, ſi ab æquitate diſcrepaverit, corrigatur. Qui

A κεκράτηνται· οὐ μὴν καὶ τοὺς μὴ ἁμαρτάνοντας κολάζετε. ἀλλὰ ἐχέτω ἐξουσίαν ἀφορισθεὶς προσέρχεσθαι τῷ μητροπολίτῃ τῆς ἐκκλησίας, ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, ἐφ' ᾧ συστάδην τηρηθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ. εἰ δὲ οὐ πάρεστιν ὁ μητροπολίτης, ἀπελθέτω ὁ ἀφορισθεὶς εἰς τὸν πλησιόχωρον μητροπολίτην, ἐφ' ᾧ τηρηθῆναι παρ' ἐκείνου τὸ πρᾶγμα. τούτου δὲ γινομένου, μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω, ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, καὶ καρτερείτω ἢ τὸν στηριγμὸν τοῦ ἀφορισμοῦ, ἢ τὴν διόρθωσιν. ὡς δὲ τινος εἰπόντος, μεγάλως ἐκ τούτου βοηθεῖσθαι τὸν ἀφορισθέντα, εἰς τὸ μὴ ἐμποδίζεσθαι τὴν ἱερατικὴν αὐτοῦ ἐνέργειαν ἐκ τοῦ ἀφορισμοῦ, διὰ τοὺς κανόνας τοὺς λέγοντας, B πρὸ καταδίκης ἐντελοῦς μηδένα τιμωρεῖσθαι, φησὶν ὁ κανών, ὅτι κἂν κοινωνικός ἐστιν ὁ ἀφορισθεὶς, καὶ τὰ τοῦ ἀφορισμοῦ ὑπὸ ἐξέτασιν ἔπεσον, ἀλλ' οὐκ ὀφείλει αὐτεκδίκητος γίνεσθαι καὶ ἱερουργεῖν πρὸ τοῦ δικαιωθῆναι. ὁ γὰρ ἀθετῶν, φησιν, ὑμᾶς, ἐμὲ ἀθετεῖ. τοίνυν ὀφείλουσιν οἱ λοιποὶ κληρικοὶ, οἱ ἰδόντες τοῦτον ἱερουργοῦντα μετὰ τὸ ἀφορισθῆναι, ἐξ ὑπεροψίας ἤτοι ἀλαζονείας, ἐπιστρέφειν αὐτὸν εἰς ταπείνωσιν πικροτέροις ῥήμασιν, ἤτοι ὀνειδιστικοῖς, οὐ μὴν καὶ ὑβριστικοῖς· οὕτω γὰρ δόξουσι ὑπήκοοι καὶ ὑπηρέται τῶν ἐπισκοπικῶν κελεύσεων. ὥσπερ γὰρ, φησι, χρέος ἔχει ὁ ἐπίσκοπος ἀγαπᾶν τοὺς κληρικοὺς C αὐτοῦ, οὕτω καὶ αὐτοὶ ὀφείλουσιν ἄδολον τὴν ὑπηρεσίαν ἀπονέμειν τοῖς ἐπισκόποις. μὴ εἴποις δὲ πολλοῖς κανόσιν ἐναντιοῦσθαι τὸν παρόντα κανόνα, διοριζόμενον ἀνατρέχειν τὸν ἀφορισθέντα πρὸς τὸν πλησιόχωρον μητροπολίτην, εἴπερ ὁ ἐπαρχιώτης μητροπολίτης ἀποδημεῖ, ἐφ' ᾧ παρὰ τούτου κατεξετασθῆναι τὰ τοῦ ἀφορισμοῦ. θεμάτισον γὰρ ἢ ἐνταλθῆναι τὸν πλησιόχωρον ἀρχιερέα παρὰ τοῦ ἀποδημήσαντος μητροπολίτου τοιούτων ἀκροάσασθαι ἐκκλησιαστικῶν ὑποθέσεων ἀνηκουσῶν τῇ ἐκείνου ἐνορίᾳ, ἢ αἱρετὸν καταστῆναι τοῦτον δικαστὴν παρά τε τοῦ ἐπισκόπου καὶ τοῦ κληρικοῦ. ἄλλως γὰρ οὐ δύναται ὁ πλησιόχωρος μητροπολίτης δικάζειν ἐπίσκοπον D ἢ κληρικὸν ἑτέρας ἐπαρχίας, καθὼς καὶ ἐν τοῖς προλαβοῦσι κανόσιν εἰρήκαμεν. πρὸς δὲ τὸν ἴσως ἐρωτήσαντά σε, πῶς οὐ τιμωρεῖ ὁ κανὼν τὸν μὴ ἐμμείναντα τῷ ἀφορισμῷ, ἀλλὰ καταφρονήσαντα τούτου καὶ ἱερουργήσαντα; εἰπὲ, ὅτι ὁ κ'. κανὼν τῆς παρούσης συνόδου γενικῷ τῷ λόγῳ καθαιρεῖσθαι διορίζεται τοὺς παραβαίνοντας τὰ ἐν ταύτῃ διορισθέντα. καὶ ὁ κθ'. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ἐκ μόνης ταύτης τῆς αἰτίας τὸν τοιοῦτον καταδικάζει, ὥσπερ ἂν εἰ δικαίως ἀφωρίσθη. σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι οὐκ ἔστιν ὑβριστικὸν τῷ ἐπισκόπῳ τὸ, τὸν ἀφορισθέντα ζητεῖν κατεξετασθῆναι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ· καὶ ὅτι E κἂν ὅπως ἂν ἀφορισθῇ ὁ κληρικὸς, ὀφείλει δέχεσθαι τὸν ἀφορισμὸν καὶ ἀναμένειν τὴν ἐξέτασιν. θαυμάζω δὲ, πῶς οὐ διωρίσαντο οἱ πατέρες, τί ὀφείλει γίνεσθαι, ἐὰν ὁ Πάππας λόγου χάριν ἀφορίσῃ κληρικὸν αὐτοῦ ἀνευλόγως, καὶ ἀπαιτεῖ μὲν τὸν ἀφορισμὸν ὁ κληρικός· οὐ δύναται δὲ πρὸς μείζονα σύνοδον ἀπελθεῖν καὶ προθεῖναι τὴν αἰτίασιν. τὰ μέντοι ἐνταῦθα διορισθέντα χάριν πρεσβυτέρων καὶ διακόνων, ἐκληπτέον καὶ εἰς τοὺς λοιποὺς κληρικοὺς, ἀλλὰ μὴν καὶ λαϊκούς.

ΖΩΝΑΡ. Ἐὰν ἐπίσκοπος, φασὶν οἱ πατέρες, ὀξύχολος ᾖ, ἤτοι ὀργίλος, εἰ καὶ οὐκ ἐνδέχεται τοιούτους εἶναι F τοὺς ἐπισκόπους, καὶ κινηθεὶς εἰς θυμὸν κατὰ διακόνου ἢ πρεσβυτέρου ἐκβάλῃ τῆς ἐκκλησίας τινὰ, ἤγουν ἀφορίσῃ, προνοητέον ἤτοι φροντιστέον, μὴ ἀθρόον, ἤγουν αἰφνιδίως καὶ χωρὶς σκοποῦ τὸν τοιοῦτον τῆς κοινωνίας ἀποστερεῖσθαι. καταφευγέτω δὲ ὁ ἐκβληθεὶς πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας, ᾧ δηλονότι ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, καὶ ἀξιούτω, ἵνα παρ' αὐτοῦ ἀκριβῶς ἐξετασθῇ τὸ πρᾶγμα, ἤτοι ἡ ἐπ' αὐτῷ πρᾶξις τοῦ ἐπισκόπου. οὐ χρὴ γὰρ παρορᾶσθαι τοὺς αἰτουμένους, καὶ μηδὲ ὁ ἀφορίσας ἐπίσκοπος ἀγανακτείτω, ἀλλὰ φερέτω γενναίως τὴν ἐξέτασιν, ἵνα ἢ κυρωθῇ ἡ ἀπόφασις αὐτοῦ δικαία οὖσα, ἢ διορθωθῇ.

ὁ δὲ ἀφωρισμένος οὐκ ὀφείλει πρὸ τῆς διαγνώσεως ἀναιδῶς προσιέναι τῇ κοινωνίᾳ. ἐὰν δὲ ἴδωσιν αὐτὸν τινες τῶν κληρικῶν τοῦ ἀφορίσαντος αὐτὸν ἐπισκόπου ἐπαιρόμενόν τε καὶ ἀλαζονευόμενον κατὰ τοῦ ἀφορίσαντος αὐτὸν, ὀφείλουσιν ἐπιστρέφειν αὐτὸν, τουτέστιν, εἰς ταπείνωσιν ἄγειν καὶ ὑποταγὴν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν, ὀνειδιστικοῖς δηλαδὴ καὶ ἐπεξελεγκτικοῖς· τοῦτο δὲ ποιεῖν ὀφείλουσιν, ὡς ὑπηρετοῦντες καὶ ὑπακούοντες τοῦ ἐπισκόπου αὐτῶν. ὥσπερ γάρ, φησι, χρέος ἔχει ὁ ἐπίσκοπος ἐνδείκνυσθαι καθαρὰν διάθεσιν πρὸς τοὺς ὑπηρέτας, ἤτοι τοὺς κληρικοὺς αὐτοῦ, οὕτως ἀείδηλόν ἐστι, κἀκείνους ὀφείλειν τὴν ὑπηρεσίαν τοῖς ἐπισκόποις ἄδολον ἐκτελεῖν. ὃ δὲ λέγει ὁ κανὼν, μὴ ἐνδημοῦντος τοῦ μητροπολίτου τῆς ἐπαρχίας καταφεύγειν τὸν ἀφορισθέντα ἐπὶ τὸν πλησιόχωρον, οἶμαι μηδέποτε ἐνεργῆσαι, τέως δὲ νῦν οὐ γίνεται. πῶς γὰρ παρ' ἑτέρου μητροπολίτου, ᾧ οὐχ ὑπόκειται ὁ ἀφορίσας ἐπίσκοπος, πεισθήσεται δοκιμασθῆναι, εἰ δικαίως ἀφώρισεν ἢ μή; ζήτει καὶ τῆς ἐν Καρθαγένῃ κανόνα κθ'.

ΑΡΙΣΤ. Ὁ παρ' ὀξυχόλου κατάκριτος, ἐπικουρίας δεόμενος, οὐκ ἀνήκοος. ἄχρι δὲ τῆς ἐπικουρίας δηλαδὴ ἀκοινώνητος.

Ὁ παρ' ἐπισκόπου εἰς θυμὸν ὡς ἔτυχε κινουμένου ἀφορισθεὶς κληρικὸς, εἰ προσέλθῃ τῷ μητροπολίτῃ ᾧ ὁ ἐπίσκοπος ὑπόκειται, ἐπὶ τὸ ἐξετάσαι τὴν αἰτίαν τοῦ ἀφορισμοῦ, εἴτε εὔλογός ἐστιν, εἴτε καὶ μὴ, παραδεχθήσεται· πρὸ δὲ τοῦ ἐξετασθῆναι καὶ διαγνωσθῆναι, εἴτε καλῶς ἀφωρίσθη, εἴτε καὶ μὴ, οὐ παραδεχθήσεται εἰς κοινωνίαν, ἀλλ' ἐν τῷ ἐπιτιμίῳ ἔσται.

ΚΑΝΩΝ ιε'.

Εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ ἀλλότριον ὑπηρέτην, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη ἡ κατάστασις νομίζοιτο. εἴ τινες δὲ ἂν τοῦτο ἑαυτοῖς ἐπιτρέψωσι, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων καὶ ὑπομιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν. ἅπαντες εἰρήκασι, καὶ τοῦτο ὁ ὅρος ἔστω ἀσάλευτος.

ΒΑΛΣ. Ὁ ιζ' κανὼν τῆς ἕκτης συνόδου μεταγενέστερος ὢν, καθαιρεῖσθαι διορίζεται καὶ τοὺς δεξαμένους καὶ τοὺς δεχθέντας. ἀνάγνωθι καὶ τῆς ἐν Νικαίᾳ συνόδου κανόνα ιϛ'. τῆς ἐν Καρθαγένῃ νδ'. καὶ ϟ'.

ΖΩΝΑΡ. Περὶ τούτου καὶ ὁ ιϛ'. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ ὁ ιζ'. τῆς ϛ'. συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ νδ'. καὶ ϟ'. διαλέγονται, ἵνα μή τις ἐπίσκοπος ἑτέρου ἐπισκόπου κληρικὸν δέχηται, ἢ χειροτονῇ αὐτὸν εἰς μείζονα προάγων βαθμόν. εἰ δὲ χειροτονήσει, ἄκυρος ἡ χειροτονία εἴη, εἰ μὴ ὁ πρότερος ἐπίσκοπος τοῦ κληρικοῦ ἐκείνου ἐπιτρέψῃ τὴν χειροτονίαν. οἱ δὲ τοῦτο ἑαυτοῖς ἐπιτρέψαντες, τουτέστι τὸ οἰκειώσασθαι ἢ καὶ χειροτονῆσαι ἀλλότριον κληρικὸν, ὀφείλουσιν ὑπομιμνήσκεσθαι περὶ τούτου καὶ διορθοῦσθαι παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων. ὁ δὲ ιζ'. κανὼν τῆς ϛ'. συνόδου, μεταγενεστέρας οὔσης παρὰ ταύτην τὴν σύνοδον, τοὺς ἔκτοτε χωρὶς γνώμης τοῦ οἰκείου ἐπισκόπου εἰς ἑτέραν μεταχωροῦντας ἐκκλησίαν, καθαιρεῖσθαι κελεύει, καὶ τοὺς ὑποδεχομένους αὐτούς.

ΑΡΙΣΤ. Τὸν ἀλλότριον ὑπηρέτην ἀλλότριος, δίχα τῆς ἐκείνου γνώμης, ἔμβαθμον καταστὰς, καθίστησιν, ἀλλ' ἀβέβαιον.

Οὐ δεῖ ἐπίσκοπον ἀλλότριον κληρικὸν παραδέχεσθαι, καὶ εἰς βαθμόν τινα τάττειν αὐτὸν, ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου. εἰ δέ τις τοῦτο ποιήσει, καὶ τὸν ἀλλότριον ἐν τῷ ἰδίῳ κλήρῳ ἐγκαταστήσει· ἄκυρος καὶ ἀβέβαιος ἡ τοιαύτη ἔσται κατάστασις.

A vero ſegregatione damnatus eſt, ante cauſæ cognitionem ne ſe in communionem fidelium impudenter inſinuet. Quòd ſi qui ex Clericis illius Epiſcopi, à quo ſegregatus eſt, adverſus ipſum inſolentius efferri illum animadverterint; verbis eum acerbioribus, gravioribus, vehementiorem ſcilicet objurgationem continentibus, detorquere ac flectere, hoc eſt, ad animi remiſſionem modeſtámque ſubjectionem revocare conentur: Quod quidem eos, tanquam Epiſcopo ſuo ſubſervientes ac morigeros, præſtare decet. Sicut enim, inquit, Epiſcopi erga miniſtros ſuos, Clericos videlicet, ſinceram animi affectionem præ ſe ferre: ſic illi viciſſim Epiſcopis miniſte- B rium nulla contagione doli contaminatum præſtare debent. Quod autem ait canon licere, abſente Metropolitano, ei qui ſegregatus eſt, ad viciniorem Epiſcopum provocare; nunquam uſurpatum fuiſſe exiſtimo, Noſtri certe temporis conſuetudo non admittit. Quomodo enim ab altero Metropolitano, cui ſubjectus non eſt Epiſcopus ſegregationis auctor, de ea ſegregatione, jurene an injuria decreta fuerit, quæſtionem haberi permittat? Vide Synodi Carthaginenſis canonem undetrigeſimum.

Arist. *Ab iracundo condemnatus, ſi auxilio indigeat, audiendus: Donec vero auxilium impetraverit, excommunicatus maneat.*

C Qui ab Epiſcopo ad iram forſitan commoto ſegregatur Clericus, ſi ad Metropolitam, cui ſubjicitur Epiſcopus, accedit, ut ſegregationis cauſam examinaret; ſive ea juſta ſit, ſive non ſit, admittetur. Antequam autem examinetur, & notum ſit an juſtè ſegregatus fuerit, necne, ad communionem non admittetur, ſed in pœnâ manebit.

Canon XV.

Si quis Epiſcopus ex alia paræcia velit alienum miniſtrum, ſine conſenſu proprii Epiſcopi, in aliquo gradu D *conſtituere; irrita & infirma ejuſmodi conſtitutio exiſtimetur. Si qui autem hoc ſibi ipſis permiſerint, à fratribus & Coëpiſcopis & admoneri & corrigi debent.* **Omnes dixerunt; Hoc quoque decretum ſtet firmum & immobile.*

Bals. Septimus decimus canon vi. Syn. qui eſt recentior, jubet eos deponi, & qui ſuſceperunt, & qui ſuſcepti ſunt. Lege & Nicænæ Syn. can. xvi. Carthag. can. liv. & xc.

Zonar. Hac de re Nicænæ quoque primæ Synodi canon decimusſextus, & ſextæ Syn. decimusſeptimus, E & Carthaginenſis quinquageſimusquartus & nonageſimus diſſerunt. Qui quidem à quocunque Epiſcopo alterius Epiſcopi Clericum admitti, atque ab eo ad altiorem ordinis gradum promoveri vetant. Ac ſi quis, niſi primi Epiſcopi, cujus è ditione Clericus eſt, facultate intercedente, promotus fuerit, collationem ejus ordinis irritam eſſe decernunt. Qui vero ſibi hoc permiſerint, ut vel alienum Clericum ſibi vendicent, vel eidem Eccleſiaſticos ordines conferant; ea de re à fratribus & Coëpiſcopis admoneri & corrigi debent. Sextæ vero Synodi, quæ hac poſterior fuit, decimusſeptimus canon, qui ex eo tempore abſque Epiſcopi ſui facultate in F aliam Eccleſiam tranſierint, quique præterea eoſdem receperint, ſegregatione mulctandos eſſe decernit.

Arist. *Alienum miniſtrum, ſi alienus citra illius Epiſcopi conſenſum in aliquo gradu conſtituat, conſtituit quidem, ſed ordinatio eſt invalida.*

Non oportet Epiſcopum alienum Clericum recipere, & in aliquo gradu eum collocare, ſine proprii Epiſcopi voluntate. Si quis autem hoc fecerit, & alienum in ſuâ Eccleſiâ conſtituerit, irrita & infirma erit iſtiusmodi conſtitutio.

A

CANON XVI.

Aëtius Episcopus dixit; Non ignoratis cujusmodi & quanta sit Theſſalonicenſium Metropolis. Sæpe itaque ad eam ex aliis provinciis Presbyteri & Diaconi accedunt; & brevis temporis mora non contenti, permanent, & omne tempus illic agentes tranſigunt; vel vix tandem poſt plurimum tempus in ſuas Eccleſias reverti coguntur. De iis ergo definiendum eſt. Oſius Episcopus dixit; Ea decreta, quæ de Episcopis conſtituta ſunt, ſerventur etiam in hujuſmodi perſonis. B

Bals. Hic quoque canon de Clericis, qui à civitate in aliam civitatem tranſeunt, loquitur. Vide quæ de eo ſcripta ſunt in diverſis canonibus.

Zonar. Hic quoque canon de Clericis ex alia in aliam urbem migrantibus loquitur; quæque jam ante de iis conſtituta ſunt, ſervari jubet.

Arist. *Quæ de longiori Episcoporum morâ definita ſunt, de Presbyteris etiam ac Diaconis vim habent.*

C Decretum eſt Episcopum ſuum gregem non deſerere, & in alienâ civitate pluſquam tres ſeptimanas agere. Idem itaque & de Presbyteris & Diaconis præſens canon decernit; & eos nimirum pluſquam tres ſeptimanas Eccleſias ſuas non derelinquere.

CANON XVII.

Hoc quoque placuit, ut ſi quis Episcopus vim paſſus injuſtè ejectus ſit, vel propter ſcientiam, vel propter catholicæ Eccleſiæ confeſſionem, vel propter veritatis defenſionem, & fugiens periculum, innocens & execrationi ſubjectus in aliam urbem venerit, ne prohibeatur illic tandiu agere, donec revertatur, vel à facta ſibi injuria poſſit liberationem invenire. Durum enim eſt, atque adeò graviſſimum, eum, qui injuſtam ejectionem paſſus eſt, à nobis non ſuſcipi. Is enim debet à nobis plurima benignitate & humanitate excipi. I

Bals. Cùm plurimi canones ſtatuant, non debere Episcopum in aliena regione ultra tempus præfinitum verſari; nunc dicunt Patres, hoc non habere locum E in Episcopis ex Eccleſiis ſuis ejectis, vel propter ſcientiam, id eſt, divinorum dogmatum bonam doctrinam, vel quòd orthodoxam fidem confiteantur, vel quòd eos defendant, qui injuria affecti ſunt; & ideo propter magnam cauſam, & tanquam periculum fugientes, ut qui ab eis, à quibus expulſi ſunt, pro execratis habeantur, ſint autem revera inſontes: ſed ſint in aliis quoque civitatibus ſine impedimento, donec minæ periculi ceſſarint, & potuerit Episcopus in Eccleſiam quæ illum ſortita eſt, reverti, vel ei facta in ejectione injuria vindicata fuerit. Durum eſt enim & inhumanum, eum non cum omni benignitate à fratribus ſuis excipi. Quare nota, quòd ab urbium regina expelli F non debent Orientales Episcopi, qui ſedes non habent, nempe cùm Eccleſiæ à gentibus detineantur: & qui ab iniquis Exactoribus expelluntur, eo quòd pro eis dicant, qui injuria afficiuntur.

Zonar. Cum Episcopis in aliam urbem profectis, in qua alter Episcopus ſit, ultra tres hebdomadas in ea commorari vetitum eſſe hujus Synodi Patres in ſuperioribus definiverint; hoc loco nonnullis diuturniorem in aliena civitate moram trahendi facultatem eſſe decer-

ΚΑΝΩΝ ιϛ′.

Αέτιος ἐπίσκοπος εἶπεν· οὐκ ἀγνοεῖτε ὁποία καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις. πολλάκις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται, καὶ οὐκ ἀρκούμενοι βραχέος διαγωγῇ χρόνου, ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιοῦντες διατελοῦσιν, ἢ μόλις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγκάζονται. περὶ τούτων οὖν ὁριστέον. Οσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι, οἳ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει. καὶ ἀνάγνωθι τὰ περὶ τούτου γραφέντα ἐν διαφόροις κανόσι.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τῶν μετατιθεμένων κληρικῶν ἀπὸ πόλεως εἰς πόλιν ἑτέραν διαγορεύει, καὶ τὰ ἤδη περὶ αὐτῶν ὡρισμένα τηρεῖσθαι διακελεύεται.

ΑΡΙΣΤ. Οἱ ἐπὶ τῆς τῶν ἐπισκόπων βραδυτῆτος ὅροι, καὶ ἐπὶ πρεσβυτέρων, καὶ διακόνων, ἔχουσι δύναμιν.

Ὥρισται τὸν ἐπίσκοπον μὴ τὴν οἰκείαν ποίμνην καταλιμπάνειν, καὶ ἐν ἑτέρᾳ πόλει πλέον τριῶν ἑβδομάδων ἐνδιατρίβειν. τοῦτο γοῦν καὶ ἐπὶ πρεσβυτέρων, καὶ διακόνων, ὁ παρὼν ὁρίζει κανὼν, τὸ μὴ πλέον τριῶν ἑβδομάδων καὶ αὐτοὺς τὰς ἑαυτῶν ἐκκλησίας ἀπολιμπάνεσθαι.

ΚΑΝΩΝ ιζ′.

Καὶ τοῦτο ἤρεσεν, ἵνα εἴ τις ἐπίσκοπος βίαν ὑπομείνας ἀδίκως ἐκβληθῇ, ἢ διὰ τὴν ἐπιστήμην, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν, καὶ φεύγων τὸν κίνδυνον, ἀθῶος καὶ καθωσιωμένος ὢν εἰς ἑτέραν ἔλθῃ πόλιν, μὴ κωλύηται ἐκεῖσε ἐπὶ τοσοῦτον διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς γενομένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ. σκληρὸν γὰρ καὶ βαρύτατον, ἐλασίαν ἄδικον ὑπομεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ᾽ ἡμῶν. πλείστῃ γὰρ καλοκἀγαθίᾳ καὶ φιλοφροσύνῃ ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος.

ΒΑΛΣ. Διαφόρων κανόνων διοριζομένων μὴ διάγειν ἐπίσκοπον εἰς ἑτέραν ἐνορίαν ἐπέκεινα τοῦ νενομισμένου καιροῦ, ἄρτι φασὶν οἱ πατέρες, τοῦτο μὴ κρατεῖν εἰς τοὺς ἐπισκόπους τοὺς ἐκβαλλομένους ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν, ἢ διὰ τὴν ἐπιστήμην, τουτέστι τὴν περὶ τὰ θεῖα δόγματα σπουδαίαν διδασκαλίαν, ἢ διὰ τὸ ὁμολογεῖν τὴν ὀρθόδοξον πίστιν, ἢ διὰ τὸ ἐκδικεῖν τοὺς ἠδικημένους, κἀντεῦθεν διὰ μεγάλην αἰτίαν καὶ ὡς φεύγοντας τὸν κίνδυνον, λογιζομένους μὲν καθωσιωμένους παρὰ τῶν ἐκβαλλόντων αὐτούς· ὄντας δὲ τῇ ἀληθείᾳ ἀθώους. ἀλλ᾽ ἔστωσαν καὶ εἰς ἑτέρας πόλεις ἀκωλύτως, ἔστ᾽ ἂν ἡ ἀπειλὴ τοῦ κινδύνου παυθῇ, καὶ δυνηθῇ ὁ ἐπίσκοπος εἰς τὴν λαχοῦσαν αὐτὸν ἀπελθεῖν, ἢ ἐκδικηθῇ ἡ ἐκ τῆς ἀπελάσεως ἐπιγενομένη τούτῳ ὕβρις. σκληρὸν γὰρ καὶ ἀφιλάνθρωπόν ἐστι, μὴ φιλοφρονεῖσθαι μετὰ πάσης ἀγαθότητος τὸν τοιοῦτον παρὰ τῶν συναδελφῶν αὐτοῦ. ὥστε σημείωσαι, ὅτι οὐκ ὀφείλουσιν ἀπὸ τῆς βασιλευούσης τῶν πόλεων ἐκβάλλεσθαι οἱ ἀνατολικοὶ ἐπίσκοποι, οἱ μὴ ἔχοντες καθίσματα, ὡς τῶν ἐκκλησιῶν αὐτῶν κατεχομένων παρὰ τῶν ἐθνῶν· καὶ οἱ παρὰ τῶν ἀδίκων πρακτόρων διωκόμενοι, διὰ τὸ λέγειν ὑπὲρ τῶν ἀδικουμένων.

ΖΩΝΑΡ. Ἀνωτέρω διαταξάμενοι οἱ τῆς συνόδου ταύτης πατέρες τοὺς ἀπιόντας ἐπισκόπους εἰς ἑτέραν πόλιν ἔχουσαν ἐπίσκοπον μὴ πλέον τῶν τριῶν ἑβδομάδων ἐκεῖ διατρίβειν, ἐνταῦθά τισι καὶ ἐπὶ πολὺ προσμένειν συγχωροῦσιν. οὗτοι δ᾽ εἰσὶν οἱ ἀδίκως ἐκβαλλόμενοι τῶν ἐκκλησιῶν αὐτῶν τῆς, ἢ διὰ τὴν ἐπιστήμην, ἤγουν ὡς ἐπιστάμενοι τὴν τῶν δογμάτων τῆς πίστεως ἀκρίβειαν, καὶ ταύτην διδάσκοντες, καὶ παρὰ αἱρετικῶν ἐλαυνόμενοι, οἷα γεγόνασι παρὰ τῶν Ἀρειανῶν ἐπὶ τῶν Κωνσταντίου καὶ τοῦ Οὐάλεντος, ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ὡς ὁμολογοῦντες, ὅσα ἡ καθολικὴ ἐκκλησία, ἤγουν τὴν ἔνσαρκον οἰκονομίαν, καὶ ὅτι Θεὸς ἀληθινός ἐστιν ὁ Χριστὸς, καὶ διωκόμενοι, πάλαι μὲν παρὰ τῶν παλαιοτέρων βασιλέων, ὕστερον δὲ καὶ παρὰ τοῦ Ἰουλιανοῦ, ἢ ὡς ὑπὲρ τῆς ἀληθείας λέγοντες, καὶ ἀδικουμένων καὶ καταδυναστευομένων ὑπερμαχοῦντες, οἷα τῷ μεγάλῳ Βασιλείῳ γεγόνασι καὶ τῷ Χρυσοστόμῳ, καὶ ἄλλοις πολλοῖς. Τὸν γοῦν οὕτω διωκόμενον ἐκ τῆς ἐκκλησίας αὐτοῦ ἀδίκως, ἀνάγκη εἰς ἑτέραν πόλιν ἀπιέναι φεύγοντα τὸν κίνδυνον, ἀθῷον μὲν ὄντα κατὰ τὸ εὐθές τε καὶ δίκαιον, καθωσιωμένον δὲ διὰ τὴν δυναστείαν τῶν διωκόντων αὐτόν· καθωσιωμένος δ' ἐστὶν, ὁ ἀφωρισμένος εἰς κόλασιν. Τὸν τοιοῦτον, φησὶν ὁ κανών, μὴ κωλύεσθαι διατρίβειν ἐν ἑτέρᾳ πόλει, ἕως εἰς τὴν οἰκείαν ἐπανέλθῃ πόλιν, τὸν φόβον τοῦ κινδύνου ἐκφυγὼν, ἢ τῆς ὕβρεως τῆς γινομένης αὐτῷ ἀπαλλαγείς. ὕβριν δὲ οἶμαι τὴν ἀπέλασιν τὴν ἐκ τοῦ θρόνου αὐτοῦ ὀνομάζει. σκληρὸν γάρ, φησι, καὶ βαρύτατον, τὸν ἀδίκως τῆς πόλεως αὐτοῦ ἀπελαθέντα μὴ ὑποδέχεσθαι παρὰ τῶν συνεπισκόπων μετὰ πολλῆς φιλοφροσύνης καὶ ἀγαθότητος, ἤγουν προθύμως καὶ ἱλαρῶς.

ΑΡΙΣΤ. Ἀδίκως ἐπίσκοπος ἐλαυνόμενος, εἰ ἐπὶ τῆς ἀλλοτρίας διάγοι, δεκτέος, ἕως τὴν ὕβριν ἐπανασώσαιτο.

Τὸν τῦφον καὶ τὴν ἀλαζονείαν οἱ πατέρες κωλύοντες προσέταξαν, μὴ ἐφ' ἱκανὸν καιρὸν ἐπίσκοπον ἐν ἀλλοτρίᾳ ἐπισκοπῇ διατρίβειν· εἰ δέ τις, ἢ διὰ τὴν ὁμολογίαν τῆς ἡμετέρας πίστεως, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδίκησιν, τῆς ἰδίας πόλεως ἐκβληθείη, καὶ εἰς ἑτέραν ἀπέλθῃ πόλιν, οὐ κωλυθήσεται ἐκεῖ διάγειν, μέχρις ἂν ἀπαλλαγὴν εὑρεῖν δυνηθῇ τῆς πρὸς αὐτὸν γινομένης ὕβρεως.

ΚΑΝΩΝ ιη'.

Γαυδέντιος ἐπίσκοπος εἶπεν· οἶδας, ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε κατασταθέντος σου ἐπισκόπου ἡ εἰρήνη λοιπὸν ἐβράβευσεν, ἵνα μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιῶν ἐναπομείνῃ, ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου κατασταθέντας καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία εὑρίσκετο αἰτία, πάντας ὑποδεχθῆναι.

ΚΑΝΩΝ ιθ'.

Ὅσιος ἐπίσκοπος εἶπε· τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη, ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν οἶκτον, ἅπαξ τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, εἰ μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν δὲ μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα. ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐπίσκοπον νομίζεσθαι. εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοῖς ἀρνεῖσθαι. πάντες εἶπον, ἀρέσκει.

ΒΑΛΣ. Ὁ Μουσαῖος καὶ ὁ Εὐτυχιανὸς ἀχειροτόνητοι ὄντες, ὡς ἐπίσκοποι κληρικούς τινας ἐχειροτόνησαν. τοῦ γοῦν Γαυδεντίου ζητήσαντος διὰ τὴν κατὰ Θεὸν εἰρήνην δεχθῆναι τοὺς παρὰ τούτων χειροτονηθέντας, ὡς μηδὲ εἴδησιν ἔχοντας τοῦ κακοῦ, ἕτερος ἐπίσκοπος Ὅσιος ἐπονομαζόμενος ἀπελογήσατο, ὡς εἰ καὶ ὀφείλομεν εἶναι φιλάνθρωποι καὶ μετριόφρονες, ἀλλ' ἐκείνους εἰς κλῆρον δεχόμεθα τοὺς ἱερωθέντας παρά τινων τῇ ἀληθείᾳ μὲν ὄντων ἐπισκόπων, διά τινα δὲ ἴσως πταίσματα ἐκβληθέντων ἀπὸ τῶν λαχουσῶν αὐτούς· ἐὰν πως καὶ αὐτοὶ οἱ κληρικοὶ καλοθελῶς ἀπέρχονται πρὸς ἃς ἐκληρώθησαν ἐκκλησίας. τοῖς δὲ παρὰ τοῦ Εὐτυχιανοῦ καὶ τοῦ Μουσαίου κληρωθεῖσι δῆθεν ὡς λαϊκοῖς συγκοινωνήσομεν·

A nunt. Sunt vero ii, qui per injuriam ab Eccleſiis ſuis depulſi ſunt; ſive caſum hunc illis ſcientia conciliarit, quia nimirum, tanquam fidei dogmata egregie callerent, operámque iiſdem tradendis impenderent, hæreticorum conſpiratione ejecti fuerint; cujus generis multa Imperatoribus Conſtantio & Valente ab Arrianis patrata ſunt; ſive ob Eccleſiæ Catholicæ confeſſionem, quia ſcilicet quæcunque Catholica Eccleſia tradit, de incarnationis videlicet myſterio, déque vera Chriſti divinitate, teneri à ſe univerſa profiterentur; qua ex cauſa primum quædam ab antiquis Imperatoribus, poſtea à Juliano adverſæ tempeſtates extitêre; ſive ob veritatis patrocinium, próque B iis qui potentiorum dominatu injuſtè opprimerentur ſuſceptam dimicationem, quod in magno Baſilio, Chryſoſtomo, aliiſque multis contigit, fuerint exturbati. Quicunque igitur hac ratione ab Eccleſia ſua per injuriam depellitur, in aliam urbem vitandi periculi cauſa ſecedat neceſſe eſt; innoxius is quidem, ſi res æqua lance libretur; ſed ob eorum potentiam, qui hominem inſectantur, execrationi ſubjectus. Execrationi autem ſubjectus eſt quiſquam ſupplicio deſtinatus. Huic igitur homini, dum in ſuam urbem, evitato periculi metu, aut ignominiæ nota liberato, reverti liceat, (notam porro ignominiæ, quod à ſua ſede depulſus eſſet, hoc loco opinor intelligi) in aliena C urbe degendi facultatem eſſe canon decernit. Durum enim, inquit, & grave admodum fuerit, ſi hominem à ſua civitate per injuriam excluſum, multa cum humanitate ac bonitate, hoc eſt, prompto alacríque animo, Coëpiſcopi non excipiant.

Arist. *Epiſcopus injuſtè expulſus, ſi in alienâ provinciâ degat, ſuſcipiendus, donec ab injuriâ liberetur.*

Faſtum & oſtentationem prohibentes Patres, in mandatis dederunt Epiſcopum in alieno epiſcopatu multum temporis non abſumere. Si quis autem vel propter fidei noſtræ confeſſionem, vel propter veritatis vindicationem, ſuâ civitate ejiciatur, & aliam adeat civitatem, ibi D degere non prohibebitur, uſque dum ab injuriâ ſibi factâ liberari poteſt.

Canon XVIII.

Gaudentius Epiſcopus dixit; Scis, frater Aëtie, quòd tunc, cùm Epiſcopus conſtitutus es, pax deinceps viguit; ne aliquæ diſcordiarum reliquiæ de Eccleſiis remancant, viſum eſt, ut qui à Muſæo & Eutychiano conſtituti ſunt, quia nulla eorum culpa inveniebatur, omnes ſuſciperentur.

Canon XIX.

E *Oſius Epiſcopus dixit; Meæ mediocritatis hæc eſt ſententia; Quia quieti & patientes eſſe debemus, & ſufficientem erga omnes habere miſericordiam eos, qui ſemel in Clerum Eccleſiaſticum ab aliquibus fratribus noſtris promoti ſunt, ſi nolint ad Eccleſias, in quas nominati ſunt redire, deinceps non admitti: Eutychianum autem ne Epiſcopi quidem ſibi nomen uſurpare; ſed neque Muſæum ut Epiſcopum exiſtimari. Si autem laicam communionem petiverint, non oportere eis denegari. Omnes dixerunt; Placet.*

Bals· Muſæus & Eutychianus, cùm non eſſent ordinati, F tanquam Epiſcopi Clericos aliquos ordinarunt. Cùm itaque Gaudentius petiviſſet, ut propter pacem, omnibus modis divinorum præceptorum virtute à nobis ſectandam, ii ſuſciperentur, qui ab illis ordinati ſunt, ut qui nullam mali conſcientiam haberent: alius Epiſcopus, qui Oſius appellabatur, reſpondit; Quòd etiamſi debemus eſſe humani & moderati; illos tamen recipimus, in Clerum, qui à veris quidem Epiſcopis conſecrati ſunt, ſed propter quædam fortaſſe delicta ejecti ex iis quæ ipſos ſortitæ ſunt Eccleſiis; ſi modò ipſi quoque Clerici ſua ſponte proficiſcantur ad Eccleſias, quæ eis obtigerunt. Cum iis autem, qui ab Eutychiano & Muſæo in

Clerum ſuſcepti ſunt, tanquam cum Laicis communicabimus: quia nec Epiſcopi quidem poſſunt nomen tueri, qui eos ordinarunt. Nota ergo, quòd ex præſenti canone nihil eis præjudicii allatum eſt, qui ab aliquibus depoſitis vel etiam anathematizatis in Clerum ſuſcepti ſunt. Quæ autem de Muſæo & Eutychiano dicta ſunt, intellige etiam de aliis, qui non ordinati fuerunt, ſed ſe fuiſſe ordinatos ſimularunt. De iis autem, qui à prophanis ſeu ſacris non initiatis hominibus baptizati ſunt, non poſſum tibi aliquid certi & non dubii dicere. In vita enim ſancti Athanaſii legitur, quòd cùm quidam puelli in littore maris, in arena, ludo baptizati eſſent, à Sancto, cum ipſe puer tunc temporis eſſet; eos regionis Epiſcopus ſuſcepit, & tanquam jam baptizatos chriſmate unctos dimiſit. Dicitur etiam in vita ſancti Porphyrii, quòd ab orthodoxo non fuit baptizatus, ſed cum vitam ſcenicam ſeu hiſtrionicam ageret, ab hiſtrione hæretico aqua aſperſus eſt, tanquam utique baptizatus: & adſtantes quidam hæretici hinc ſibi riſus occaſionem cepêre; ipſe verò Martyrii. Vidit enim Angelos ante ſe cum lampadibus ambulantes, &, Quicunque in Chriſtum baptizati eſtis, clamantes: & ita ex hiſtrione martyr factus eſt.

Zonar. Muſæus & Eutychianus, quorum hi canones meminere, & alii quidam, nonnullos Clericos, tanquam ipſi Epiſcopi eſſent, in Eccleſiis conſtituerant. De iis igitur ita Oſius. Qui quidem, inquit, à fratribus quibuſdam noſtris in clerum Eccleſiaſticum cooptati ſunt, earum Eccleſiarum, in quas initio deſcripti ſunt, Clerici eſſe poſſunt. Quamvis enim iis, à quibus creati ſunt, ob aliquas cauſas Epiſcopatus eſſet abrogandus; adhuc tamen cum eos conſtituerent, quippe qui aliquando Epiſcopi creati fuerant, Epiſcoporum jura retinebant: Quam ob cauſam, & eos quos ipſi in clerum adſciviſſent, Synodus quoque cenſuit retinendos. Quòd ſi ad eas Eccleſias, in quibus nominati ſunt Clerici, redire nolint; ne illi in aliis videlicet Eccleſiis amplius recipiantur. Eutychianus autem & Muſæus Epiſcopi jura vel nomen haud quærant: Sin autem ut Laici communicare velint, excludi non placet.

Arist. *Clericus qui non degit in Eccleſiâ quâ in clerum cooptatus eſt, non recipiendus. Eutychianus autem, & Muſæus Epiſcopi appellationem ſibi non vendicabunt. Cõmunionem vero cum Laicis, ſi voluerint, conſequentur.*

Ab omnibus fere Synodis & in plurimis canonibus decernitur, clericos alienos ab aliis epiſcopis non ſuſcipiendos eſſe, & ab iis ad gradum Eccleſiaſticum promovendos. Hoc igitur præſens canon docet. Et ſtatuit, Eutychianum & Muſæum Schiſmaticos factos & depoſitos, ſi pœnitentiam agant, & dignitatem Epiſcopalem vel nomen uſurpent, non audiendos eſſe, verum ut laicos, ſi velint, ad communionem admittendos.

Canon XX.

Gaudentius Epiſcopus dixit; Hæc ſalutariter & conſequenter definita & noſtri ſacerdotum dignitati convenienter, & quæ Deo & hominibus placuerunt, potentiam & vires ſuas obtinere non poterunt; niſi etiam metus editas ſententias conſecutus fuerit. Ipſi enim ſcimus, ſæpe propter paucorum impudentiam, divinum & in primis venerandum ſacerdotii nomen in damnationem incurriſſe. Si quis ergo præter ea, quæ omnibus viſa ſunt, auſus fuerit, (faſtui & arrogantiæ magis quàm Deo placere cupiens) aliquid aliud agere: ſciat jam ſe ipſum criminis defenſioni obnoxium conſtituere, & Epiſcopatus honorem & auctoritatem amittere. Omnes reſponderunt; Decet, & placet nobis hæc ſententia.

Bals. Cùm de diverſis Eccleſiaſticis quæſtionibus Patres in hac Synodo conſtituiſſent, & deſpicatui fortè habenda quæ conſtituta erant, reputaſſent, eò quòd Eccleſiaſticis pœnis propter tranſgreſſionem non

A ὅτι οὐδὲ ὄνομα ἐπισκόπου δύνανται ἐκδικεῖν οἱ αὐτοὺς τάχα χειροτονήσαντες. ὥστε σημείωσαι, ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οὐδένα προκριματισμὸν ὑπέστησαν οἱ παρά τινων καθαιρεθέντων ἢ καὶ ἀναθεματισθέντων κληρωθέντες. τὰ δὲ περὶ τοῦ Μουσαίου καὶ τοῦ Εὐτυχιανοῦ ἕλκυσον καὶ εἰς ἄλλους μὴ χειροτονηθέντας καὶ πλαττομένους χειροτονίαν. περὶ δὲ τῶν βαπτισθέντων παρὰ ἀνιέρων, οὐκ ἔχω τί σοι εἰπεῖν ἀναμφίβολον. εὑρίσκεται γὰρ εἰς τὸν βίον τοῦ ἁγίου Ἀθανασίου, ὅτι παιδία τινὰ παρὰ τῷ χείλει τῆς θαλάσσης ἐν τῇ ἄμμῳ παρὰ τοῦ ἁγίου βαπτισθέντα κατὰ λόγον παιδιᾶς, ὅτι καὶ αὐτὸς παιδίον τῷ τότε ἦν, ἐδέξατο ὁ κατὰ χώραν ἐπίσκοπος, καὶ ὡς ἤδη B βαπτισθέντα διὰ μύρου χρίσας, ἀπέλυσε. φέρεται δὲ καὶ εἰς τὸν βίον τοῦ ἁγίου Πορφυρίου, ὅτι οὐκ ἐβαπτίσθη παρὰ ὀρθοδόξου, ἀλλὰ σκηνικὸν βίον ὑποκρινόμενος παρὰ αἱρετικοῦ σκηνικοῦ δι' ὕδατος κατάβρεχος γέγονεν, ὡς τάχα βαπτισθείς· καὶ οἱ μὲν παρεστῶτες αἱρετικοὶ, τὸ γεγονὸς ἔσχον γέλωτος ἀφορμὴν, αὐτὸς δὲ Μαρτυρίου. εἶδε γὰρ ἀγγέλους μετὰ λαμπάδων προπορευομένους ἔμπροσθεν αὐτοῦ· καὶ τὸ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, βοῶντας· κἀντεῦθεν ἀπὸ σκηνικοῦ μάρτυς γέγονεν.

ΖΩΝΑΡ. Ὁ Μουσαῖος καὶ ὁ Εὐτυχιανὸς, ὧν οἱ κανόνες οὗτοι μέμνηνται, καὶ ἕτεροι, ὡς ἐπίσκοποι, κληρικούς C τινας ἐν ἐκκλησίαις κατέστησαν. περὶ τούτων οὖν ὁ Ὅσιος ἔφη, ὅτι οἱ ὑπό τινων ἀδελφῶν ἡμῶν εἰς κλῆρον ἐκκλησιαστικὸν καταστάντων ἔσονται κληρικοὶ, ἐν αἷς κατέστησαν ἐκκλησίαις. εἰ γὰρ καὶ οἱ καταστήσαντες αὐτοὺς οὐκ ἔμελλον εἶναι ἐπίσκοποι δι' αἰτίας τινὰς, ὅμως ὅτε κατέταξαν αὐτοὺς ἐπισκοπικὰ δίκαια εἶχον, ὡς κεχειροτονημένοι, καὶ διὰ τοῦτο ἐδέξατο καὶ τοὺς παρ' αὐτῶν χειροτονηθέντας ἡ σύνοδος. εἰ δὲ μὴ βούλονται ἐπιμεληθεῖν εἰς τὰς ἐκκλησίας, ὧν ὠνομάσθησαν κληρικοὶ, μηκέτι ὑποδεχέσθωσαν ἐν ἄλλαις δηλαδὴ ἐκκλησίαις. ὁ δὲ Εὐτυχιανὸς καὶ ὁ Μουσαῖος ἐπισκόπου δίκαια ἢ ὄνομα μὴ ζητείτωσαν, εἰ δὲ ὡς λαϊκοὶ βούλονται κοινωνεῖν οὐ χρὴ αὐτοὺς D ἀποπέμπεσθαι.

ΑΡΙΣΤ. Ἄδεκτος ὁ κληρικὸς ὁ μὴ τελῶν εἰς τὴν ἐκκλησίαν ἐν ᾗ καὶ κεκλήρωται. Εὐτυχιανὸς μέντοι, καὶ Μουσαῖος, ἐπισκόπου κλῆσιν οὐκ ἐκδικήσουσι· κοινωνίας μέντοι κατὰ τοὺς λαϊκοὺς, ἐὰν θέλωσιν, ἐπιτεύξονται.

Ὑπὸ τῶν συνόδων σχεδὸν πασῶν, καὶ ἐν πολλοῖς κανόσιν ὥρισται, τὸ, μὴ ὑποδέχεσθαι τοὺς ἀλλοτρίους κληρικοὺς παρ' ἐπισκόπων ἑτέρων, καὶ ὑπὸ ἐκκλησιαστικὸν βαθμὸν προάγειν αὐτούς. τοῦτο γοῦν καὶ ὁ παρὼν διδάσκει κανών. Εὐτυχιανὸν μέντοι, καὶ τὸν Μουσαῖον σχισματικοὺς γενομένους, καὶ καθαι- E ρεθέντας, ὁρίζει, εἰ μεταμεληθῶσι, καὶ τὸ τῆς ἐπισκοπῆς διεκδικοῦσιν ἀξίωμα, ἢ τὸ ὄνομα μὴ εἰσακουσθῆναι, ὡς λαϊκοὺς μέντοι, εἰ βούλονται, εἰς κοινωνίαν παραδεχθῆναι.

ΚΑΝΩΝ κʹ.

Γαυδέντιος ἐπίσκοπος εἶπε· ταῦτα σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα καὶ πρεπόντως τῇ ἐπιτιμίᾳ ἡμῶν τῶν ἱερέων, καὶ θεῷ ἀρέσαντα καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ δυνήσονται· ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθείη. ἴσμεν γὰρ καὶ αὐτοὶ, πλεονάκις διὰ τὴν ὀλίγων ἀναισχυντίαν τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐ- F ληλυθέναι. εἰ τοίνυν τις τὰ παρὰ πᾶσι δόξαντα τολμήσει, σπουδάζων τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ ἢ τῷ θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστασθαι, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν, ἅπαντες ἀπεκρίναντο· πρέπει, καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη.

ΒΑΛΣ. Περὶ διαφόρων ἐκκλησιαστικῶν ζητημάτων ὁροθετήσαντες οἱ πατέρες ἐν τῇ τοιαύτῃ συνόδῳ, καὶ ἀναλογισάμενοι εὐκαταφρόνητα ἴσως γενέσθαι τὰ ὁρισθέντα, διὰ τὸ μὴ κατεπεδωθῆναι αὐτὰ κολάσεσιν ἐκκλησιασταῖς ἐκ παραβάσεως· ὥρισαν, μετὰ διάγνωσιν (τοῦτο γάρ ἐστιν ἡ τοῦ ἐγκλήματος ἀπολογία) τοὺς ἀθετήσοντας τὰ ἐν τούτοις περιεχόμενα, τὴν τιμὴν καὶ τὸ ἀξίωμα ἀπολλύειν τῆς ἐπισκοπῆς. εἰπὲ οὖν, ὡς ἐκ τῶν ῥημάτων τῶν κατακρινάντων τοὺς ἀθετητὰς τῶν διορισθέντων ὑπὸ τῆς συνόδου, οὐ μόνον οἱ ἱερωμένοι, ἀλλὰ καὶ οἱ λαϊκοὶ κολάζονται. ἀπὸ μὲν γὰρ τοῦ εἰπεῖν τὸν κανόνα, τὴν τιμὴν τούτους ἀποβάλλειν, τοὺς λαϊκοὺς ἐδήλωσεν· ἀπὸ δὲ τοῦ θεσπίσαι ἀπολλύειν αὐτοὺς τὸ ἀξίωμα τῆς ἐπισκοπῆς, ἐδήλωσε τοὺς ἱερωμένους. ἢ εἰπὲ περὶ ἱερωμένων μόνων ἐκφωνηθῆναι τὸν κανόνα, καὶ ἐκλαβοῦ τὸ, καὶ, τὸ προστεθὲν ἀντὶ τοῦ, ἤτοι· καὶ λέγε ἀποβάλλειν τοὺς ἀθετητὰς τὴν τιμὴν ἤτοι τὸ ἀξίωμα τῆς ἐπισκοπῆς.

ΖΩΝΑΡ. Ταῦτα, φησὶν ὁ κανὼν, ἐπὶ σωτηρίᾳ ὁρισθέντα, καὶ κατὰ τὸ πρέπον τῇ τάξει καὶ τῇ τιμῇ τῇ ἱερατικῇ, καὶ θεάρεστα ὄντα καὶ ἀνθρώποις ἀποδεκτὰ, οὐκ ἰσχύσουσιν, οὐδὲ κρατήσουσιν, εἰ μὴ καὶ φόβος κολάσεων καὶ ἐπιτιμίων ταῖς ἀποφάσεσιν ἐπακολουθήσῃ, ὥστε φοβεῖσθαι τοὺς παραβαίνοντας, ὅτε ἐπιτιμηθήσονται. γινώσκομεν γὰρ, ὅτι πολλάκις τινῶν ὀλίγων ἐξ ἀναισχυντίας παραβαινόντων τοὺς κανόνας καταγινώσκεται τὸ θεῖον ὄνομα τῆς ἱερωσύνης, οὐ τῶν ἁμαρτανόντων ἱερέων μόνον βλασφημουμένων, ἀλλ᾽ ὁμοῦ πάντων· διὰ γὰρ τῆς ἱερωσύνης πάντας τοὺς ἱερεῖς ἐνέφηνεν. εἰ οὖν τολμήσῃ τις ἄλλο τι διαπράξασθαι παρὰ τὰ δόξαντα πᾶσιν ἀλαζονευόμενος καὶ ἐπαιρόμενος, καὶ μὴ σπεύδων τῷ Θεῷ ἀρέσαι, γινωσκέτω, ὅτι ὑπόδικον ἑαυτὸν καταστήσῃ ἐγκλήματι ἀπολογίας, τουτέστιν οὐ μονομερῶς κατακριθήσεται, ἀλλὰ καὶ ἑλκυσθήσεται εἰς δικαστήριον, καὶ ὡς ἔγκλημα ποιήσας ἀπολογήσασθαι ἀπαιτηθήσεται, καὶ ἀποβαλεῖ ἀξίωμα ἤγουν στερηθήσεται τῆς τιμῆς τοῦ ἀξιώματος τῆς ἐπισκοπῆς, ἤγουν καθαιρεθήσεται.

ΚΑΝΩΝ κα΄.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν, τῶν ἐν ταῖς παρόδοις ἤγουν καναλίῳ καθεστώτων ἐπισκόπων, θεασάμενος ἐπίσκοπον, ἐπιζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται· καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας. κἂν κεκλημένος ἀφικνῆται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίνοιτο· εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς προείρηται τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινων ἀξιώσεις σπουδάζει ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ. ἅπαντες εἶπον· ὁριζέσθω καὶ τοῦτο.

ΒΑΛΣ. Καὶ τοῦτο γνώριμον γενήσεται. τοῦτο, ποῖον; τὸ μὴ καταγινώσκεσθαι τὴν ἱερωσύνην διὰ τὴν τῶν ὀλίγων ἀναισχυντίαν. καὶ πληρωθήσεται. πῶς; ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσι ὄντων δηλαδὴ ταῖς ἐν ταῖς δημοσίαις κειμέναις ὁδοῖς, ἤτοι καναλίῳ, δι᾽ ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς διέξεισιν ἐν ὑδραγωγίῳ τὸ ὕδωρ (κανάλις γὰρ ἀγωγὸς ὕδατος λέγεται· ἡ δὲ λέξις Ῥωμαϊκή.) θεασάμενος ἐπίσκοπον ἀπιόντα που, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται, καὶ διὰ τί· καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται. καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ καὶ ἐννάτῳ κανόνι τῆς συνόδου ταύτης. καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· εἰ δέ που ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι ἐν ἄλλῃ πόλει, καὶ καταισχῦναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πορεύεται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν αἰτήσεις, ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. εἴρηται γὰρ ἐν τῷ δεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι,

A non confirmata ac ſtabilita eſſent; ſtatuerunt, ut poſt rei cognitionem (id enim eſt criminis defenſio) ii qui contemnunt quæ illis contenta ſunt, epiſcopatus honorem & dignitatem amittant. Dic ergo, quòd ex verbis eos, qui contemnunt quæ à Synodo conſtituta ſunt, damnantibus, non ſolùm qui ſunt ſacrati, ſed etiam Laici puniuntur. Ex eo enim, quòd dixit canon, honorem eos amittere, Laicos denotavit: ex eo autem, quòd ipſos ſtatuerit Epiſcopatus dignitatem perdere, ſacratos ſignificavit. Vel dic de ſolis ſacratis editum eſſe canonem, & accipe illud, Et, quod additum eſt, pro, Seu; & dic contemptores amittere honorem ſeu dignitatem B Epiſcopatus.

Zonar. Salutaria hæc decreta, inquit canon, ſacri ordinis decoro dignitatique accommodata, Deóque grata, & hominibus accepta, nunquam robur ſuum ac vires obtinebunt; niſi decretorum promulgationi pœnarum metus accedat, quas ſibi, qui hæc violaverint, paratas intelligant. Illud namque novimus evenire, ut paucis quibuſdam decreta canonum per impudentiam violantibus, divinum ſacerdotii nomen damnetur; nec ii ſolum, qui peccarunt, ſed omnes ſimul Sacerdotes (univerſos ſiquidem ſacerdotii nomine ſignificari voluit) maledicis obtrectatorum criminationibus lacerentur. Si C quis igitur adverſus ea, quæ unanimi omnium conſenſu decreta ſunt, arrogantia ac ſuperbia elatus, neque numinis obſequio demerendi ſtudioſus quidquam admittere audeat: ſemetipſum criminis defenſioni obnoxium conſtituere, hoc eſt, non ſe quacunque ratione condemnandum, ſed in judicium trahendum, eíque velut patrato facinore cauſam eſſe dicendam, dignitatémque abjiciendam, hoc eſt, Epiſcopali ſe honore ac dignitate privandum, ſive depoſitione mulctandum eſſe intelligat.

Canon XXI.

Porrò autem hoc quoque illinc erit maximè notum & comprobatum, ſi unuſquiſque noſtrum qui in tranſitu ſeu ca- D *nali conſtituti ſumus Epiſcopi, cùm viderit Epiſcopum, quærat cauſam adventus, & quò pergit: & ſi eum quidem in caſtra proficiſcentem invenerit, quæret conditiones quæ ſuperiùs propoſitæ ſunt. Et ſi evocatus veniat, ei abeunti nihil impedimenti fiat: ſin autem oſtentationis gratia, quemadmodum veſtræ dilectioni ſuperiùs dictum eſt, vel propter aliquorum preces in caſtra feſtinat; nec literis ejus ſubſcribat, nec cum eo communicet. Omnes dixerunt; Hoc quoque decernatur.*

Bals. Porrò hoc quoque notum erit. Quid hoc? E Non damnari ſacerdotium propter paucorum impudentiam. Et comprobabitur. Quomodo? Si unuſquiſque noſtrum, qui in aditibus conſtituti ſumus Epiſcopi, qui ſumus ſcilicet in urbibus, quæ in viis ſunt publicis, ſive canali, per quæ qui tranſeunt, ſine labore permeant, ut aqua tranſit in aquæductu. (Canalis enim aquæductus dicitur: eſt autem Romanum vocabulum) cùm viderit Epiſcopum aliquo proficiſcentem, quærat cauſam adventus, & quo pergit, & cur; & cauſa condemnationis Epiſcoporum prohibebitur. Et ſi cognoverit quidem eum in caſtra proficiſci, exquirat con- F ditiones ſuperiùs poſitas, ſeu jam dictas diſtinctiones in vii. viii. & ix. can. hujus Syn. Et ſi fuerit quidem ab Imp. accerſitus, ne impediatur abire: ſin autem oſtentationis gratia aliquò proficiſcitur, ut ſe oſtentet & doceat in aliena civitate, & Epiſcopum, qui illic conſtitutus eſt, dedecore afficiat; aut in caſtra ſive ad Imper. proficiſcitur, preces ſeu petitiones oblaturus; nec literis ejus ſubſcribat, pacificis ſcilicet literis, nec cum eo communicet, ut qui jam ſit à canone depoſitus. Dictum eſt enim in decimo canone Antiochenæ Synodi, non poſſe aliquem ad Imperatorem proficiſci, niſi literas Metropolitani provinciæ, & ejus Epiſcoporum, afferat: is autem qui non ita facit, à dignitate excidat. Et in his quidem conſiſtit canon. Exiſtimo autem, quòd illis Epiſcopis conceſſum eſt tranſeuntium Epiſcoporum cauſas curioſè indagare, qui habent jus in illos, Metropolitanis ſcilicet & Patriarchis. Si enim non eſt omnino ſubjectus, qui tranſit Epiſcopus, Antiſtiti qui eſt in tranſitu, non examinabitur de aditu. Ut ſi Epiſcopus Examilii vel Rædeſti, per Heracleam Thraciæ, ad urbium reginam pervadat, rectè à ſuo Metropolitano, ſcilicet Heracleæ Archiepiſcopo, cogetur dicere cauſas, propter quas Conſtantinopolim petit: ſi quis autem Epiſcopus, Theſſalonicenſi Metropoli ſubjectus, per ipſam Heracleam ad urbium reginam vadat; à Theſſalonicenſi quidem examinabitur; Heracleano verò cauſam non dicet. Epiſcopos enim, qui tranſeunt, ſui itineris rationem reddere omni Epiſcopo, qui eſt in itinere, ut mihi quidem videtur, eſt contrarium canonibus, decernentibus incompetentes Antiſtites non debere ſe in cauſas alienorum Epiſcoporum ingerere.

ZONAR. Porrò autem hoc quoque notum erit. Quid hoc? Non damnari ſacerdotium propter paucorum impudentiam. Et comprobabitur. Quomodo? Si unuſquiſque noſtrûm qui in aditibus conſtituti ſumus Epiſcopi, qui ſumus ſcilicet in urbibus, quæ in viis ſunt publicis, ſive canali, per quæ, qui tranſeunt, ſine labore permeant, ut aqua tranſit in aquæductu (Canalis enim aquæductus dicitur: eſt autem Romanum vocabulum) cùm viderit Epiſcopum aliquo proficiſcentem, quærat cauſam adventûs, & quò pergit, & cur; & cauſa condemnationis Epiſcoporum prohibebitur: Et ſi cognoverit quidem eum in caſtra proficiſci, exquirat conditiones ſuperius poſitas, ſeu jam dictas diſtinctiones in ſeptimo, octavo & nono canone hujus Synodi. Et ſi fuerit quidem ab Imper. acceſſitus, ne impediatur abire: Sin autem oſtentationis gratia aliquò proficiſcitur, ut ſe oſtentet & doceat in aliena civitate, & diſſerat, ac Epiſcopum, qui illic conſtitutus eſt, dedecore afficiat; aut in caſtra ſive ad Imperatorem proficiſcitur, preces ſeu petitiones oblaturus; nec literis ejus ſubſcribat, pacificis ſcilicet literis, nec cum eo communicet, ut qui jam ſit à canone depoſitus. Dictum eſt enim in decimo canone Antioch. Synodi, non poſſe aliquem ad Imperatorem proficiſci, niſi literas Metropolitani provinciæ & ejus Epiſcoporum afferat: Is autem, qui non ita facit, à dignitate excidat.

ARIST. *Qui ea quæ pulchrè & Deo gratè edita ſunt, præ faſtu labefactare conatur, epiſcopatu excidit. Epiſcopus qui Epiſcopum viderit ad caſtra proficiſcentem, ſi ſciverit eum propter aliquam ex cauſis prædictis venientem, ne impedimento ei ſit; ſin aliter, excommunicationem ei denunciet.*

Qui ea quæ pulchrè & Deo gratè ſancita ſunt, non obſervat, ſed præ faſtu & arrogantiâ ad aliud præter ea diſcedere auſus fuerit, honorem & dignitatem Epiſcopalem amittet. Quoniam autem ſancitum eſt, Epiſcopum non aliter ad caſtra proficiſci, niſi literis Imperatoriis accerſatur, Epiſcopus, apud quem divertit, ab Epiſcopo tranſeunte cauſam itineris quærere debet; & ſi eum invenerit eo more ad caſtra proficiſcentem, nihil ei impedimenti fiat, ſed cum honore eum tranſmittat, & ad eos qui ſunt in provinciâ omneſque fratres ſuos ſcribat, ut eam ſincerè excipiant, ut qui iter faciat canonicè & ſine ſcandalo. Quod ſi eum invenerit aliter ad caſtra abeuntem, vel oſtentationis gratiâ, vel propter aliquorum preces, quæ ad ipſum ut Sacerdotem non pertinent, ei ne communicet, aut literis ejus ſubſcribat, aut proviſione aliquâ ipſum dignetur.

A εἰ μὴ γράμματα κομίζεται τοῦ μητροπολίτου τῆς ἐπαρχίας, καὶ τῶν ἐπισκόπων αὐτῆς· τὸν δὲ μὴ οὕτω ποιοῦντα ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. νομίζω δὲ, ὅτι ἐκείνοις τοῖς ἐπισκόποις ἐνεδόθη πολυπραγμονεῖν τὰς αἰτίας τῶν παροδευόντων ἐπισκόπων, τοῖς ἔχουσι δίκαιον κατὰ τούτων, μητροπολίταις δηλονότι καὶ πατριάρχαις. εἰ γὰρ οὐχ ὑπόκειται ὅλως ὁ διερχόμενος ἐπίσκοπος τῷ κατὰ πάροδον ὄντι ἀρχιερεῖ, οὐκ ἀνακριθήσεται περὶ τῆς παρόδου. τουτέστιν, ἐὰν ἐπίσκοπος Ἐξαμιλίου ἢ Ῥαιδεστοῦ ἀνατρέχῃ διὰ τῆς Θρακικῆς Ἡρακλείας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, καλῶς παρὰ τοῦ μητροπολίτου αὐτοῦ ἤγουν τοῦ Ἡρακλείας ἀναγκασθήσεται εἰπεῖν τὰς αἰτίας B δι᾽ ἃς εἰς Κωνσταντινούπολιν ἀπέρχεται. εἰ δέ τις ἐπίσκοπος ὑποκείμενος τῷ μητροπολίτῃ Θεσσαλονίκης διὰ τῆς αὐτῆς Ἡρακλείας εἰς τὴν βασιλεύουσαν ἀπέρχεται, παρὰ μὲν τοῦ Θεσσαλονίκης ἀνακριθήσεται, παρὰ δὲ τοῦ Ἡρακλείας οὐ λογοπραγηθήσεται. τὸ γὰρ διδόναι λόγους τοὺς παροδεύοντας ἐπισκόπους τῆς ἑαυτῶν ὁδοιπορείας πρὸς πάντα παρόδιον ἐπίσκοπον, ὡς ἐμοὶ δοκεῖ, ἐναντίον ἐστὶ τοῖς κανόσι, τοῖς διοριζομένοις τοὺς ἀπροσφόρους ἀρχιερεῖς μὴ παρεμβάλλειν ἑαυτοὺς εἰς ὑποθέσεις ἀλλοτρίων ἐπισκόπων.

ΖΩΝΑΡ. Καὶ τοῦτο γνώριμον γενήσεται. τοῦτο, ποῖον; τὸ μὴ καταγινώσκεσθαι τῆς ἱερωσύνης διὰ τὴν ὀλίγων ἀναισχυντίαν, C καὶ πληρωθήσεται, πῶς; ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις καθεστώτων ἐπισκόπων, τῶν ἐν ταῖς πόλεσιν ὄντων δηλαδὴ τῶν ἐν ταῖς δημοσίαις κειμένων ὁδοῖς, ἤτοι καναλίῳ, δι᾽ ὧν διέρχονται οἱ διοδεύοντες ἀδιακόπως, ὡς δίεισιν ἐν ὑδραγωγίῳ τὸ ὕδωρ, κανάλης γὰρ ἀγωγὸς ὕδατος λέγεται, ἡ δὲ λέξις Ῥωμαϊκή. εἰ οὖν ἕκαστος ἡμῶν, φασι, θεασάμενος ἐπίσκοπον ἀπιόντα ποι, ἐκζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται καὶ διὰ τί, καὶ ἡ αἰτία τῆς καταγνώσεως τῶν ἐπισκόπων κωλυθήσεται, καὶ ἐὰν μὲν γνῷ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐκζητείτω τὰς αἱρέσεις τὰς ἐπάνω κειμένας, ἤγουν τὰς ἤδη ῥηθείσας διαστίξεις ἐν τῷ ζ΄. καὶ η΄. καὶ θ΄. κανόνι τῆς συνόδου ταύτης. καὶ εἰ μὲν καλούμενος εἴη παρὰ βασιλέως, μὴ ἐμποδίζοιτο ἀπιέναι· D εἰ δέ που ἀπέρχεται ἐπιδείξεως χάριν, ὥστε ἐπιδείξασθαι καὶ διδάξαι ἐν ἄλλῃ πόλει, διαλέξασθαί τε καὶ καταισχῦναι τὸν ἐκεῖ καθεστῶτα ἐπίσκοπον, ἢ ἐπὶ τὸ στρατόπεδον πεπόρευται, ἤτοι πρὸς βασιλέα ἄπεισιν, ἀξιώσεις, τουτέστιν, αἰτήσεις ποιούμενος, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογραφέτω, ταῖς εἰρηνικαῖς δηλονότι ἐπιστολαῖς, μήτε κοινωνείτω τῷ τοιούτῳ, ὡς ἐκ τοῦ κανόνος καθῃρημένῳ. εἴρηται γὰρ ἐν τῷ δεκάτῳ κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ δύνασθαί τινα πρὸς βασιλέα ἀπιέναι, εἰ μὴ γράμματα κομίζεται τοῦ μητροπολίτου τῆς ἐπαρχίας, καὶ τῶν ἐπισκόπων αὐτῆς· τὸν δὲ μὴ οὕτω ποιοῦντα ἐκπίπτειν τῆς ἀξίας αὐτοῦ.

E ΑΡΙΣΤ. *Ὁ τὰ καλῶς καὶ θεαρέστως ἐνηνεγμένα τύφῳ παρασαλεῦσαι πειρώμενος, οὐκ ἐπίσκοπος. τεθεαμένος ἐπίσκοπος ἐπίσκοπον ἐρχόμενον εἰς στρατόπεδον, ἐμποδὼν μὴ γινέσθω, εἰ γνοίη κατά τι τῶν προειρημένων ἐρχόμενον· εἰ δ᾽ ἄλλως, παραγγελλέτω τὸ ἀκοινώνητον.*

Ὁ μὴ φυλάττων τὰ καλῶς καὶ θεαρέστως κανονισθέντα, ἀλλὰ τύφῳ καὶ ἀλαζονείᾳ εἰς ἕτερόν τι χωρεῖν τολμῶν παρ᾽ αὐτά, τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀφαιρεθήσεται. ἐπεὶ δὲ ἤδη κεκανόνισται, μὴ ἄλλως ἀπέρχεσθαι ἐπίσκοπον εἰς στρατόπεδον, εἰ μὴ βασιλικαῖς γράμμασι μετακαλοῖτο· δεῖ τὸν διερχόμενον ἐπίσκοπον τὴν αἰτίαν ἀπαιτεῖσθαι τῆς παρόδου F παρὰ τοῦ ἐπισκόπου, ἐν ᾧ καταλύσει. καὶ εἰ μὲν εὑρήσει αὐτὸν τοιουτοτρόπως εἰς τὸ στρατόπεδον ἀπερχόμενον, κατὰ μηδὲν αὐτῷ ἐμποδὼν γίνεσθαι, ἀλλὰ καὶ μετὰ τιμῆς ἐκπέμπειν αὐτόν, καὶ γράφειν τοῖς ἐν ἐπαρχίᾳ, καὶ τοῖς συναδελφοῖς αὐτοῦ πᾶσιν, ὑποδέχεσθαι αὐτὸν ἀδιακρίτως, ὡς τὴν πορείαν ποιούμενον κανονικῶς τε καὶ ἀσκανδάλιστον. εἰ δ᾽ ἄλλως εὑρήσει τοῦτον εἰς τὸ στρατόπεδον ἀφικνούμενον, ἢ δι᾽ ἐπίδειξιν, ἢ διά τινων ἀξιώσεις, μὴ ἀνηκούσας αὐτῷ, ὡς ἀρχιερεῖ, μὴ κοινωνεῖν αὐτῷ, ἢ τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, ἢ προνοίας τινὸς ὅλως αὐτὸν ἀξιοῦν.

A

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΚΑΡΘΑΓΕΝΗ συνελθόντων σιζ'. μακαρίων πατέρων.

Ἡ Ἐν Καρθαγένῃ σύνοδος γέγονε βασιλεύοντος, ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, Ὀνωρίου· ἐν δὲ Κωνσταντινουπόλει, Θεοδοσίου τοῦ μικροῦ· συνελθόντων ἐν Καρχηδόνι θείων πατέρων διακοσίων δεκαεπτὰ ἐξ Ἀφρικῆς καὶ τῶν ταύτῃ ὑποκειμένων χωρῶν. ἡ γὰρ Καρθαγένη μέρος τῆς Καρχηδόνος ἐστίν· ἡ δὲ Καρχηδὼν ἐπαρχία τῆς Ἀφρικῆς. ἡ δὲ Ἀφρικὴ εἰς πολλὰς μεμέρισται μοίρας, ὧν μία ἡ Καρχηδών. B συνῆσαν δὲ τοῖς τὴν σύνοδον ταύτην πληροῦσι πατράσι, καὶ τοποτηρηταὶ ἐκ τοῦ Πάπα τῆς Ῥώμης ἀποσταλέντες. ἀποστολικὴν γὰρ καθέδραν τὸν τῆς Ῥώμης θρόνον ὠνόμασαν, ὡς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἐν αὐτῇ διαπρέψαντος, καὶ πρῶτον ἀρχιερέα τὸν Λίνον ἐν αὐτῇ καταστήσαντος. ἐξῆρχε δὲ τῆς συνόδου Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ὃν καὶ Πάπαν ὠνόμαζον, καὶ Βαλεντῖνος, τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς χώρας· καὶ ἄλλοι τῶν ἐπισκόπων, τῶν τε Νουμιδιῶν τῶν δύο, τῆς τε Βυζανῆς καὶ τῆς Μαυριτανίας καὶ Καισαρειανῆς, καὶ Τριπόλεως τῆς Ἀνθυπατιανῆς· μοῖραι δὲ καὶ αὗται τῆς Ἀφρικῆς. C τοποτηρηταὶ δὲ τῆς ἐκκλησίας Ῥώμης ἦσαν Φαυστῖνος Ἐπίσκοπος Πικένου, τῆς Ποντεντίνης ἐκκλησίας τῆς χώρας τῶν Ἰταλῶν, Φίλιππός τε καὶ Ἄσελλος οἱ πρεσβύτεροι καὶ ἄλλοι δὲ τοποτηρηταὶ τῶν ἤδη ῥηθεισῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς παρῆσαν, τοὺς τόπους ἀναπληροῦντες τῶν μὴ δυνηθέντων συνελθεῖν εἰς τὴν σύνοδον. ὅθεν καὶ τὸ τῆς τοποτηρησίας ὄνομα ἐξελήφθη, ἐκ τοῦ τηρεῖν δηλαδὴ, ὅ ἐστι φυλάττειν ἤτοι ἀναπληροῦν τοὺς τόπους τῶν στελλόντων αὐτούς. συνελθούσης δὲ τῆς συνόδου,

Αὐρήλιος Ἐπίσκοπος εἶπε.

D Μετὰ τὴν ὁρισθεῖσαν ἡμέραν τῆς συνόδου, ὡς μέμνησθε ἀδελφοὶ μακαριώτατοι, πολλὰ ἐζητήθη ἐν τῷ ἀναμένειν ἡμᾶς τοὺς ἀδελφοὺς ἡμῶν, τοὺς νῦν εἰς τὴν παροῦσαν σύνοδον τοποτηρητὰς συνελθόντας, ἃ τοῖς πεπραγμένοις ἀνάγκη ἐστὶν ἐντεθῆναι. διὸ τῷ δεσπότῃ ἡμῶν περὶ τῆς συνελεύσεως τοῦ τοιούτου ἀθροίσματος ὑπολέλειπται χάριτας ἀναπέμψαι, ἵνα τοῦτο μὲν, τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, ἃ νῦν ἔχομεν καὶ ἀπὸ τῶν πατέρων κατέστησαν· τοῦτο δὲ, καὶ ἅπερ ἐνταῦθα ἀπὸ τῶν προηγησαμένων ἡμᾶς, τὴν αὐτὴν σύνοδον βεβαιωσάντων, καὶ κατὰ τὸν αὐτὸν τύπον ἀνὰ πάντας τοὺς τῶν κληρικῶν βαθμοὺς ἀπὸ τοῦ ἄκρου ἕως τοῦ ἐσχάτου σωτηριωδῶς ταχθέντα, εἰς μέσον προενεχθῶσιν. E ἀπὸ πάσης τῆς συνόδου ἐλέχθη, προενεχθῶσιν.

Δανιὴλ νοτάριος ἀνέγνω.

Τῆς ἐν Νικαίᾳ συνόδου ἡ ὁμολογία τῆς πίστεως, ἤτοι τὰ ὁρισθέντα, οὕτως ἔχει. καὶ ἐν τῷ λέγειν, Φαυστῖνος Ἐπίσκοπος Πικένου, τοῦ λαοῦ τοῦ Ποτεντίνου, τῆς Ἰταλῶν χώρας, τοποτηρητὴς τῆς Ῥωμαίων ἐκκλησίας, εἶπεν· ἐπετράπη ἡμῖν ἀπὸ τῆς ἀποστολικῆς καθέδρας τινὰ ἐγγράφως πρακτέα, ὡς αὐτῶν μεμνήμεθα ἐν τοῖς ἀνωτέρω πεπραγμένοις, τοῦτ' ἔστι περὶ τῶν ἐν Νικαίᾳ κανόνων, ἵνα φυλαχθῶσι καὶ ὁ ὁρισμὸς αὐτῶν καὶ ἡ συνήθεια· ἐπεὶ τινὰ τάξει καὶ κανόνι κρατοῦνται, τινὰ δὲ συνηθείᾳ ἐτυπώθη. F περὶ τούτων τοίνυν ἐν πρώτοις, ἐὰν ἀρέσκῃ τῇ μακαριότητι ὑμῶν, συζητήσωμεν, καὶ μετὰ ταῦτα τὰ λοιπὰ πεπραγμένα καὶ ἐναρχθέντα ἐνταττόμενα βεβαιωθῶσιν, ἵνα καὶ πρὸς τὴν ἀποστολικὴν καθέδραν ἀντιγράφοις ὑμετέροις ἐμφανίσαι δυνηθῆτε, καὶ τῷ αὐτῷ προσκυνητῷ Πάπᾳ δηλώσητε, ὡς ἐπιμελῶς ἀνεμνήσθημεν, εἰ καὶ ὅτι τὰ κεφάλαια τῶν πράξεων ἤδη τοῖς πεπραγμένοις ἐνεβλήθησαν. περὶ τούτων τοίνυν, ὡς προεῖπον, τί ἀρέσκῃ τῇ ὑμετέρᾳ ἀγάπῃ καὶ μακαριότητι πρᾶξαι ὀφείλομεν. ἐλθέτω τοιγαρ-

CANONES CCXVII. BEATORUM PATRUM qui Carthagine convenerunt.

Carthaginenſis Synodus habita fuit imperante quidem veteri Romæ Honorio, Conſtantinopoli verò Theodoſio juniore; ducentis ſeptemdecim divinis Patribus ex Africa & illi ſubjectis regionibus Carthagine congregatis. Eſt enim Carthago pars Carchedonis; at Carchedon eſt Provincia Africæ. Africa autem in multas provincias dividitur quarum una eſt Carchedon. Porrò in hanc quoque ſynodum cum patribus legati à Papa Romano miſſi convenerunt. Apoſtolicam enim ſedem Romanam cathedram nominârunt; quod Petrus Apoſtolorum princeps ibi claruerit, Linumque primum Pontificem in ea conſtituerit. Huic autem Synodo præfuit Aurelius Carthaginenſis Eccleſiæ Epiſcopus, quem etiam Papam nominabant; & Valentinus, primæ ſedis provinciæ Numidicæ, & alii Epiſcopi duarum Numidiarum & Byzacenæ & Mauritaniæ & Cæſarianæ & Tripolis Anthypatianæ: hæ ſunt enim partes Africæ. Eccleſiæ autem Romanæ legati erant Fauſtinus Epiſcopus Piceni Italorum provinciæ; Potentinæ Eccleſiæ, Philippus & Aſellus Presbyteri. Quinetiam alii è dictis Africæ provinciis Legati aderant, eorum locos, qui in ſynodum convenire non poterant, implentes. Unde & τοποτηρητῶν (i.e. loci ſervatorum) nomen adepti ſunt, à verbo τηρεῖν, quod eſt, ſervare ſive implere locum eorum à quibus mittuntur. Cùm convenisset autem Synodus,

Aurelius Epiſcopus dixit.

Poſt diem Synodi definitum, ut meminiſtis beatiſſimi fratres, multa quæſita ſunt, dum expectaremus fratres noſtros, qui nunc ad præſentem Synodum legati convenerunt; quæ in acta referri neceſſe eſt. Quamobrem Domino noſtro de hujus congregationis conventu reſtat gratias agere; partim quidem, ut Nicænæ Synodi exemplaria, quæ nunc habemus, & à Patribus conſtituta ſunt, partim & quæ hîc ab iis, qui nos præceſſerunt, eandemque Synodum confirmârunt, & quæ ex eadem forma per omnes clericorum gradus à ſummo uſque ad ultimum ſalubriter conſtituta ſunt, in medium proferantur. Ab univerſa Synodo dictum eſt, Proferantur.

Daniel Notarius legit.

Nicænæ Synodi profeſſio fidei ſeu decreta, ſic ſe habent. Et dum diceret, Fauſtinus Piceni, Italiæ Provinciæ Epiſcopus, populi Potentini, Romanæ Eccleſiæ Legatus, dixit: Commiſſa ſunt nobis à ſede Apoſtolica quædam in ſcriptis tractanda, prout in actis ſuperioribus meminimus, id eſt, de canonibus Nicææ factis, ut ſerventur & decretum eorum & conſuetudo: quandoquidem quædam ordinatione & canone obſervantur; quædam autem conſuetudine informata ſunt. De his ergo in primis, ſi veſtræ placeat beatitudini, inquiramus; & poſtea reliqua, quæ acta vel inchoata ſunt, ordinata confirmentur: ut Apoſtolicæ cathedræ veſtris reſcriptis oſtendere poſſitis, & eidem venerando Papæ declaretis, quòd diligenter eorum recordati ſumus; ſiquidem & actionum capitula geſtis jam inſerta ſint. De his ergo, ſicut ſuperiùs dixi, quid veſtræ placeat dilectioni & beatitudini, facere debemus.

Veniat ergo in medium commonitorium, ut poſſitis cognoſcere quid in eo comprehenditur, ut ad ſingula detur reſponſio.

A οὖν εἰς μέσον τὸ κομμονιτώριον, ἵνα δυνηθῆτε γνῶναι, τί ἐν αὐτῷ περιέχεται, ὅπως πρὸς ἕκαστα ἀπόκρισις δοθῇ.

Aurelius dixit: proferatur commonitorium, quod fratres & comminiſtri noſtri in actis nuper allegârunt, & reliqua conſequenter, quæ & acta & agenda ſunt.

Αὐρήλιος εἶπε· Προκομισθήτω κομμονιτώριον, ὅπερ οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν τοῖς πεπραγμένοις ἔναγχος ἐνεφάνισαν, καὶ τὰ λοιπὰ ἀκολούθως, τά γε πεπραγμένα καὶ τὰ πρακτέα.

Bals. Epiſcopus quidem Aurelianus, orationem inchoans, dixit quòd Domino Deo pro patrum conventu gratiæ agendæ ſunt, ut quæ à patribus, qui Nicææ convenerunt, examinata & decreta ſunt, quæ à patribus noſtris habemus, & quæ patres qui præceſſêre confirmârunt, id eſt firma exiſtimârunt, & quæcunque illi expreſſerunt de omnibus qui in clerum relati ſunt, in medium proponantur. Fauſtinus autem dixit; Quædam nobis à Papa commiſſa ſunt tractanda, id eſt, conſideranda, examinanda, diſcutienda: (Latini enim tractatum vocant propoſitum & conſilium) & ut ſerventur Nicænorum canonum decretum & conſuetudo. Cùm autem dixiſſet canonum decretum & conſuetudinem, ſubjunxit, quòd quædam ordinatione & canone corroborantur, quædam verò conſuetudine informata ſunt: utpote quòd conſuetudo tempore probata & confirmata debet obſervari. Deinde petivimus, ut in medium proferretur commonitorium, ſeu ſcriptis mandatus commentarius eorum quæ facta & dicta ſunt. (Mos enim erat ea, quæ in congreſſionibus fiebant & dicebantur, ſcribere;) vel commonitorium dicit Papæ mandatum, per quod in ſcriptis mandaverat quænam quæri deberent, ut ea ſcirent, & nihil eos lateret: quod eſt magis veriſimile. Adjicitur enim: Daniel Notarius legit commonitorium, & quæ ſequuntur, Fratri Fauſtino, & filiis Philippo & Aſello Presbyteris.

ΒΑΛΣ. Ὁ μὲν Ἐπίσκοπος Αὐρήλιος, τοῦ λόγου προκαταρξάμενος, εἶπεν, ὅτι εὐχαριστεῖν δεῖ τῷ δεσπότῃ Θεῷ ὑπὲρ τῆς συνελεύσεως τῶν πατέρων, ἵνα τά τε παρὰ τῶν ἐν
B Νικαίᾳ πατέρων δοκιμασθέντα καὶ ὁρισθέντα, ἃ ἔχομεν ἀπὸ τῶν πρὸ ἡμῶν πατέρων, καὶ ἅπερ οἱ προηγησάμενοι πατέρες ἐβεβαίωσαν, ἀντὶ τοῦ βέβαια ἡγήσαντο, καὶ ὅσα ἐκεῖνοι ἐτύπωσαν περὶ πάντων τῶν ἐν τῷ κλήρῳ καταλεγμένων, προτεθῶσιν εἰς μέσον. ὁ δὲ Φαυστῖνος ἔφη, ὅτι ἐπετράπη ἡμῖν ἀπὸ τοῦ Πάπα τινὰ τρακταϊστέα, τουτέστι σκοπητέα, ἐξεταστέα, δοκιμαστέα. (οἱ γὰρ Λατῖνοι τρακτάτον τὸν σκοπὸν καὶ τὸ βούλευμα λέγουσι·) καὶ ἵνα φυλαχθῶσι τῶν ἐν Νικαίᾳ κανόνων καὶ ὁ ὁρισμὸς καὶ ἡ συνήθεια. εἰπὼν δὲ κανόνων ὁρισμὸν καὶ συνήθειαν, ἐπήγαγεν, ὅτι τινὰ τάξει καὶ κανόνι κρατοῦνται, τινὰ δὲ συνηθείᾳ ἐτυ-
C πώθη· ὡς καὶ τὰ τῆς χρόνῳ δοκιμασθείσης καὶ βεβαιωθείσης κρατεῖν ὀφείλει. εἶτα ἐζητήσαμεν εἰς μέσον προενεχθῆναι τὸ κομμονιτώριον, ἤτοι τὸ ἔγγραφον ὑπόμνημα τῶν πραχθέντων καὶ λαληθέντων. (ἔθος γὰρ ἐν ταῖς συνελεύσεσι τὰ λαλούμενα καὶ τυπούμενα καὶ ὅσα ἐπράχθησαν γράφεσθαι.) ἢ κομμονιτώριον τὴν ἐντολὴν τοῦ Πάπα φησί, δι᾽ ἧς ἐνετείλατο ἐγγράφως τινὰ ὤφειλον ζητηθῆναι, ὡς ἂν γινώσκωσι ταῦτα, καὶ μηδὲν λανθάνῃ αὐτῶν, ὅπερ μᾶλλον ἔοικεν εἶναι. πρόσκειται γάρ· Δανιὴλ νοτάριος ἀνέγνω κομμονιτώριον, καὶ τὰ ἑξῆς, τῷ ἀδελφῷ Φαυστίνῳ καὶ τοῖς τέκνοις Φιλίππῳ καὶ Ἀσέλλῳ τοῖς πρεσβυτέροις.

D

Res quæ veſtræ fidei creditæ ſunt non latent: vos ergo ita, ut veſtra illic, vel potiùs quoniam noſtra in vobis eſt præſentia, omnia peragite; maximè cùm & hoc mandatum noſtrum habeatis, & verba canonum, quæ ad majorem confirmationem præſenti commonitorio inſeruimus. Sic enim dixerunt, fratres, qui in Nicæna Synodo fuêre, quando de Epiſcoporum appellatione ſententiam tulerunt; Placuit autem ut ſi Epiſcopus accuſatus fuerit, & propriæ ejus provinciæ congregati Epiſcopi judicaverint, & ipſum è gradu ſuo moverint, & viſum ſit appellare, & ad beatiſſimum Romæ Epiſcopum confugere, & ipſe eum audiri voluerit, & æquum exiſtimaverit ut renovetur examen, ſcribere dignetur ad Epiſcopos qui ſunt in finitima provincia, ut ipſi diligenter omnia inquirant, & ex vero & æquo peragant. Et ideo ſi quis rogat cauſam ſuam rurſus audiri, & Epiſcopum Romanum ſua ſupplicatione moverit, ut à latere ſuo legatum mittat, in ſua ſit poteſtate, quid velit & quid melius exiſtimet. Et ſi decreverit mittendos eſſe aliquos, qui præſentes cum Epiſcopis judicent, auctoritatem ejus, à quo miſſi ſunt habentes; ejus relinquatur judicio. Sin autem ad terminandam litem Epiſcopos ſufficere putaverit, faciet quod prudentiſſimo ejus conſilio viſum fuerit.

Τὰ καταπιστευθέντα ὑμῖν πράγματα οὐ λανθάνουσιν· ὑμεῖς οὖν οὕτως, ὡς ἵνα ἡ ὑμετέρα ἐκεῖσε, μᾶλλον δὲ ἐπειδὴ ἡ ἡμετέρα ἐκεῖσε ἐν ὑμῖν παρουσία ἐστί, πάντα ἐκτελέσατε· μάλιστα καὶ τοῦτο ἡμῶν ἔχοντες τὸ ἔνταλμα καὶ τὰ ῥήματα τῶν κανόνων, ἅτινα πρὸς πλείονα βεβαίωσιν τῷ παρόντι κομμονιτωρίῳ ἐνετάξαμεν. οὕτως γὰρ εἶπον, ὦ ἀδελφοί, οἱ τῆς ἐν Νικαίᾳ συνόδου, ὅτε περὶ τῆς τῶν Ἐπισκόπων ἐκκλήτου ἐψηφίζοντο· ἤρεσεν δέ, ὥστε ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ κρίνωσιν οἱ συνελθόντες ἐπίσκοποι τῆς ἰδίας αὐτοῦ ἐπαρχίας, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθ-
E έλωσιν αὐτόν, καὶ δόξῃ ἐκκαλεῖσθαι καὶ καταφεύγειν πρὸς τὸν μακαριώτατον Ἐπίσκοπον Ῥώμης, καὶ αὐτὸς θελήσῃ ἀκουσθῆναι τοῦτον, καὶ τὸ τοιοῦτον δίκαιον νομίσῃ, ὥστε ἀνανεωθῆναι τὴν ἐξέτασιν, γράψαι καταξιώσει πρὸς τοὺς ἐν τῇ ὁμορούσῃ ἐπαρχίᾳ ἐπισκόπους, ἵνα αὐτοὶ ἐπιμελῶς πάντα συζητήσωσιν, καὶ κατὰ τὸ ἀληθὲς περαιώσωσι. διὸ ἐάν τις ἀξιοῖτο πρᾶγμα αὐτοῦ πάλιν ἀκουσθῆναι, καὶ οἰκείᾳ δεήσει κινήσοι τὸν ἐπίσκοπον Ῥώμης, ἵνα ἐκ τοῦ πλευροῦ αὐτοῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ αὐτοῦ εἴη, ὅπερ βούλεται, καὶ ὅπερ ὑπολαμβάνει. καὶ ἐὰν ψηφίσηται ὀφείλειν πεμφθῆναί τινας, ὥστε παρόντας αὐτοὺς μετὰ τῶν ἐπισκόπων κρῖναι, ἔχοντες τὴν αὐθεντίαν
F τοῦ ἀποστείλαντος αὐτούς, ἐν τῇ κρίσει αὐτοῦ εἴη. ἐὰν δὲ καὶ νομίσῃ ἀρκεῖν τοὺς ἐπισκόπους, ἵνα πέρας τῷ πράγματι ἐπιθῶσι, ποιήσει τὸ τῇ συνετωτάτῃ αὐτοῦ βουλῇ παριστάμενον.

Arist. *Si Epiſcopum Epiſcopi depoſuerint, ſi ad Epiſcopum Romanum appellaverit, benignè audiendus eſt, reſcribente aut jubente Epiſcopo Romano.*

ΑΡΙΣΤ. Εἰ καθέλωσιν ἐπίσκοπον ἐπίσκοποι, ἐὰν τῷ Ῥώμης ἔκκλητον ἐπάγοιτο, ἤτω διάκουστος, τοῦ Ῥώμης γράφοντος ἢ ἐπιτάττοντος.

Et hic canon, quemadmodum canon quartus, Romano, quem Epiſcopus depoſitus appellat poteſtatem

Δίδωσι καὶ ὁ κανὼν οὗτος, καθὼς καὶ ὁ τέταρτος τῆς ἐν Σαρδικῇ συνόδου κανών, ἐξουσίαν τῷ Ῥώμης προσερχομένῳ παρὰ τοῦ καθαιρεθέντος ἐπισκόπου, ἢ πρεσβυτέρους ἀποστέλλειν ἰδίους, καὶ τηρεῖν μετὰ τῶν ἐπισκόπων κατέκλητον τὴν ἐξενεχθεῖσαν παρ' αὐτῶν κατὰ τοῦ ἐπισκόπου τοῦ ἐκκαλεσαμένου καθαίρεσιν· ἢ γράφειν τοῖς γειτνιάζουσιν ἐπισκόποις τῇ ἐπαρχίᾳ, καὶ παρ' ἐκείνων τὰ τῆς ἐκκλησίας τηρεῖσθαι.

Καὶ ἀναγνωσθέντων, Ἀλύπιος ἐπίσκοπος τῆς Θεαγαστέων ἐκκλησίας, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, εἶπε, περὶ τούτου ἤδη καὶ τοῖς ἀνωτέρω γράμμασι τῆς συνόδου ἡμῶν ἀντεγράψαμεν· καὶ τοῦτο ἡμᾶς φυλάξειν ὁμολογοῦμεν, τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου· ὅμως ἔτι ἐμὲ κινεῖ, ὅτι ἐν τῷ ἐπισκήπτεσθαι ἡμᾶς τοῖς γραικικοῖς ἴσοις ταύτης τῆς ἐν Νικαίᾳ συνόδου, ταῦτα ἐκεῖ οὐκ οἶδα ποίῳ λόγῳ οὐδαμῶς εὕρομεν· ὅθεν αἰτοῦμεν τὴν τιμιότητα τὴν σὴν, ἁγιώτατε Πάπα Αὐρήλιε, ἐπειδὴ τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐν Κωνσταντινουπόλει λέγονται εἶναι, τινὰς μετὰ γραμμάτων τῆς ὑμετέρας ἁγιωσύνης πέμψαι καταξιώσατε· καὶ μὴ μόνον πρὸς αὐτὸν τὸν ἁγιώτατον ἀδελφὸν ἡμῶν τὸν τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον, ἀλλὰ καὶ τοὺς τῆς Ἀλεξανδρείας καὶ Ἀντιοχείας τοὺς προσκυνητοὺς ἱερεῖς, οἵτινες τὴν αὐτὴν σύνοδον ἡμῖν μεθ' ὑποσημειώσεως τῶν οἰκείων γραμμάτων ἀποστείλωσιν, ὥστε πᾶσαν μετὰ ταῦτα ἀμφισβήτησιν ἀφαιρεθῆναι· ἐπειδὴ καὶ ἡμεῖς οὕτως, ὡς ὁ ἀδελφὸς Φαυστῖνος ἤγαγεν, οὐδαμῶς εὕρομεν ταῦτα. ὅμως ἡμᾶς πρὸς ὀλίγον φυλάξαντας, ὡς πρέπον, ἕως οὗ τὰ ἐντελῆ ἴσα ἔλθωσιν, ὁμολογοῦμεν· ὀφείλομεν δὲ αἰτῆσαι γράμμασιν ἡμετέροις καὶ τὸν σεβασμιώτατον τῆς ἐκκλησίας Ῥώμης ἐπίσκοπον Βονηφάτιον, ἵνα καὶ αὐτὸς ὁμοίως καταξιώσῃ πρὸς τὰς μνημονευθείσας ἐκκλησίας στεῖλαί τινας, ὀφείλοντας τὰ αὐτὰ ἴσα κατὰ τὰ παρ' αὐτοῦ γραφέντα ἀγαγεῖν. νῦν δὲ τῆς μνημονευθείσης ἐν Νικαίᾳ συνόδου, ἅπερ ἔχομεν, ἴσα τοῖς πεπραγμένοις τούτοις συζεύξομεν.

Φαυστῖνος τοποτηρητὴς τῆς Ῥώμης εἶπεν· οὐδὲν ἡ ὑμετέρα ἁγιωσύνη πρόκριμα ποιεῖ τῇ ἐκκλησίᾳ Ῥώμης, εἴτε περὶ τούτου τοῦ κεφαλαίου, εἴτε περὶ ἄλλων· ἐπειδὴ ἠξίωσεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀλύπιος ἀμφιβόλους εἶναι τοὺς κανόνας. ἀλλὰ ταῦτα πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον Πάπαν ἡμῶν γράψαι καταξιώσατε, ἵνα καὶ οὕτως ὁλοκλήρους τοὺς κανόνας συζητῶν μετὰ τῆς ὑμετέρας ἁγιωσύνης περὶ πάντων τῶν ὁρισθέντων τρακταΐσῃ. ἀρκεῖ γὰρ, ἵνα καθὼς ἡ ὑμετέρα ἁγιωσύνη παρ' ἑαυτῇ τρακταΐζει, οὕτω καὶ αὐτὸς καθ' ἑαυτὸν συζητήσῃ, μή πως φιλονεικία μεταξὺ τῶν ἐκκλησιῶν τις ἀναφυῇ. ἀλλὰ μᾶλλον ἀδελφικῇ ἀγάπῃ βουλεύσασθαι, ἀντιγράφοντος αὐτοῦ, τί ὀφείλει κρειττόνως φυλαχθῆναι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν·

Ἐκτὸς ὧν προτεθείκαμεν ἐν τοῖς πεπραγμένοις, ἀνάγκη ἐστὶ καὶ γράμμασι τῆς ἡμετέρας βραχύτητος τῷ ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Βονηφατίῳ πάντα, ὅσα ψηλαφῶμεν, εἰς πλῆρες ἐμφανίσαι· ἐὰν τοίνυν πᾶσιν ἀρέσκει ἡ ἡμετέρα ἐπακολούθησις, μάθωμεν στόματι πάντων.

Σύμπασα ἡ σύνοδος εἶπεν· ἀρέσκει.

Ναυᾶτος ἐπίσκοπος, τοποτηρητὴς Μαυριτανίας Σιτιφένσης, εἶπε· μεμνήμεθα τοίνυν τοῦτο τὸ κομμονιτώριον περὶ πρεσβυτέρων, ἔτι μὴν διακόνων ὡς περιέχειν, πῶς ὀφείλουσιν ἀπὸ τῶν ἰδίων ἐπισκόπων ἢ ἐκ τῶν ὁμορούντων ἀκούεσθαι, ὅπερ ἐν τῇ Νικαέων συνόδῳ οὐδαμῶς ἀνέγνωμεν· διὸ τοῦτο αὐτὸ κελεύσει ἡ ὑμετέρα ἁγιοσύνη ἀναγνωσθῆναι.

Αὐρήλιος ἐπίσκοπος εἶπεν. ἀναγνωσθήτω ἐπὶ τόπου καὶ τοῦτο τὸ ζητούμενον.

Δανιὴλ νοτάριος ἀνέγνω.

Περὶ ἐκκλήτων δὲ κληρικῶν, τοῦτ' ἔστι, τῶν ἥττονος τόπου, τῆς συνόδου βεβαία ἐστὶν ἀπόκρισις· περὶ ἧς τί μέλλετε πράττειν ἡγησάμεθα ὀφείλειν ἐνταγῆναι, ἐπειδὴ οὕτως λέλεκται.

A dat, aut ſuos mittere presbyteros, & cum Epiſcopis Epiſcopi appellantis depoſitionem, de qua fit appellatio, ab ipſis illatam examinare, aut ad vicinos provinciæ Epiſcopos ſcribere, & ab illis illa quæ ad Eccleſiam pertinent, obſerventur.

Et his lectis; Alypius Tagaſtenſis Eccleſiæ Epiſcopus, Numidicæ provinciæ Legatus, dixit; De hoc jam & in ſuperioribus Synodi noſtræ literis reſcripſimus; & id nos ſervaturos profitemur, quod à Nicæna Synodo decretum eſt: me tamen adhuc movet, quòd dum vetera hujus B *Synodi Nicænæ exemplaria conſulimus, ea illic, neſcio qua ratione, nequaquam invenimus. Unde reverentiam tuam rogamus, ſanctiſſime Papa Aureli, ut, cùm Nicænæ Synodi authentica Conſtantinopoli eſſe dicantur, aliquos cum ſanctitatis veſtræ literis mittere dignemini: & non ſolùm ad ipſum ſanctiſſimum fratrem noſtrum Conſtantinopolitanum Epiſcopum; ſed etiam ad Alexandriæ & Antiochiæ venerabiles Sacerdotes, qui nobis hanc Synodum cum ſuarum litterarum obſignatione mittant, ut omnis dehinc dubitatio tollatur; quandoquidem hæc ita, ut frater noſter Fauſtinus attulit, non* C *invenimus. Nos tamen, ut ante dixi, tantiſper ſervaturos, donec integra & perfecta exemplaria venerint, profitemur. Petendus eſt autem literis noſtris etiam venerabilis Eccleſiæ Romanæ Epiſcopus Bonifacius, ut ipſe quoque dignetur ad memoratas Eccleſias aliquos mittere, qui eadem exemplaria, juxta illa quæ ab ipſo ſcripta ſunt, afferant. Nunc autem dicta Nicænæ Synodi, quæ habemus, exemplaria actis iſtis conjungemus.*

Fauſtinus Eccleſiæ Romanæ legatus dixit; Veſtra ſan- D *ctitas nullum Romanæ Eccleſiæ facit præjudicium, ſive de hoc capitulo, ſive de aliis: quandoquidem cenſuit frater noſter & comminiſter Alypius dubios eſſe canones. Sed hæc ſanctiſſimo & beatiſſimo Papæ noſtro ſcribere dignemini, ut ſic, cum veſtra ſanctitate integros canones conquirens, de omnibus decretis tractet. Sufficit enim, ut quemadmodum veſtra ſanctitas apud ſe tractat; ſic & ipſe per ſeipſum conquirat, ne inter Eccleſias aliqua contentio exoriatur: ſed potiùs fraterna dilectione conſuletis, eo reſcribente, quid melius obſervari debet.*

E

Aurelius Epiſcopus dixit.

Præter ea, quæ in actis propoſuimus, neceſſe eſt, ut literis quoque noſtræ parvitatis ſanctiſſimo fratri noſtro & ſacrorum comminiſtro Bonifacio omnia, quæ tractamus, pleniſſimè ſignificentur. An ergo noſtra omnibus placeat conſequentia, ex ore omnium diſcamus.

Univerſa Synodus dixit; Placet.

Novatus Epiſcopus, Mauritaniæ Sitifenſis Legatus, dixit; Meminimus equidem hoc commonitorium de Pre- F *ſbyteris, & præterea de Diaconis ferme continere, qualiter debeant à propriis Epiſcopis, vel ab iis qui ſunt finitimi, audiri; quod in Nicænâ Synodo nequaquam legimus. Propterea id jubebit veſtra ſanctitas legi.*

Aurelius Epiſcopus dixit; Coràm legatur hoc quoque quod quæritur.

Daniel Notarius legit.

De appellationibus autem Clericorum, hoc eſt, minoris loci, certa Synodi reſponſio: de qua quid velitis agere inſerendum exiſtimamus, quoniam ſic dictum eſt.

Oſius Epiſcopus dixit; Quod me adhuc movet, tacere non debeo. Si quis fortè iracundus Epiſcopus (quod eſſe non debet) adverſus Presbyterum vel Diaconum ſuum citò vel etiam aſperè motus, eum à propria Eccleſia ſegregare voluerit, providendum eſt, ne ſine cauſa condemnetur, vel perdat communionem: habeat ergo poteſtatem ejectus ad finitimos accedendi, ut cauſa ejus audiatur & diligentiùs tractetur. Ei enim roganti audientia non eſt deneganda: quin & ille Epiſcopus, qui eum, ſive jure ſive injuria, ejecit, rem diſcuti patienter feret, ut vel confirmetur vel corrigatur ejus ſententia, & cætera.

Arist. *Presbyter, & Diaconus ſegregatus, libertatem habet ad vicinos appellandi. Quinetiam qui ſegregavit, æquo animo ferre debet quod confirmatum fuerit.*

Hic Canon confuſioni & ſcandalis occaſionem præbet. Nam Clericum à ſuo Epiſcopo depoſitum ad provinciæ iſtius Metropolitanum confugere & appellare juſtum eſt & canonicum: metropolitano autem abſente, depoſitum vicinos adire Epiſcopos, eoſque Epiſcopi ipſis non ſubjecti examinatores conſtituere, à ratione alienum eſt, & tumultûs cauſa. Idcirco itaque non univerſalis habendus eſt hic Canon & in aliis valens diœceſibus; ſed ut particularis in Carthagine & Africâ.

Et his lectis; Auguſtinus Epiſcopus Eccleſiæ Hipponenſis provinciæ Numidiæ dixit;

Hoc quoque nos ſervaturos profitemur, ſalva diligentiori Nicænæ Synodi inquiſitione.

Aurelius Epiſcopus dixit; Si præterea hoc quoque vobis placet, id reſponſione omnium veſtrûm dilectionis confirmate.

Univerſa Synodus reſpondit; Omnia quæ in Nicæna Synodo conſtituta ſunt, nobis omnibus placent.

Jucundus Epiſcopus Eccleſiæ Offetulæ, Legatus Provinciæ Byſacenæ, dixit; Quod à Nicæna ſynodo conſtitutum eſt, nequaquam poteſt ab ullo ſubverti.

Fauſtinus Epiſcopus Eccleſiæ Romanæ Legatus dixit; Adhuc ex veſtræ ſanctitatis partim quidem ſancti Alypii, partim verò fratris noſtri Jucundi, profeſſione, quædam credo infirmari, quædam vero confirmari: quod non debet eſſe dubium, ſi ipſi canones habeantur. Ergo, ut nobis & vobis placet, ad ſanctiſſimum & colendiſſimum Eccleſiæ Romanæ Epiſcopum veſtra ſanctitas referre dignetur, ut & ipſe, quod ſanctiſſimus Auguſtinus decernere dignatus eſt, utrumque poſſit conſiderare. Nam & hoc concedendum eſt, & ſilendum, de appellationibus ſcilicet inferioris gradûs: Sin autem de hoc quoque capite adhuc dubium eſt, beatæ ſedis Epiſcopum debere ſtatuere, ſi hoc quidem in canonibus inveniri admittere poteſt, eſt æquum.

Bals. Cùm Fauſtinus veteris Romæ legatus quæſiviſſet, ut de quibuſdam Eccleſiaſticis quæſtionibus tractaretur, prout illi à Papa mandatum fuerat, Aurelius Epiſcopus hoc fieri permiſit. Et cùm Daniel notarius commonitorium legere cœpiſſet, Zoſimus Epiſcopus Romæ legatis dixit; Non latent, hoc eſt non ignorantur, quæ vobis à ſede Apoſtolica mandata ſunt, & examinari ea debent, perinde ac ſi Synodus Romæ fieret. Nam per veſtrûm Legatorum præſentiam Synodus illic haberi videtur. Et ſtatim propoſitus eſt quintus canon Sardic. Synodi, ut qui fortè eſſet patrum Nicææ congregatorum: & cùm orta eſſet

A Ὅσιος ἐπίσκοπος εἶπε· Ὃ ἔτι κινοῦν με, σιωπῆσαι οὐκ ὀφείλω. ἐάν τις τυχὸν ἐπίσκοπος ὀργίλος, ὅπερ οὐκ ὀφείλει, ταχέως ἢ καὶ τραχέως κινηθεὶς κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, ἀφορίσαι τοῦτον τῆς ἰδίας θελήσοι ἐκκλησίας, προνοητέον ἐστὶν, ἵνα μὴ ἀναιτίως κατακριθῇ, ἢ ἀπολέσῃ τὴν κοινωνίαν· ἐχέτω οὖν ἐξουσίαν ἐκβληθεὶς προσελθεῖν τοῖς ὁμόροις, ὥστε ἀκουσθῆναι τὴν αἰτίαν αὐτοῦ, καὶ ἐπιμελέστερον ψηλαφηθῆναι. οὐκ ὀφείλει γὰρ αὐτῷ παρακαλοῦντι ὑπακοὴ ἀρνηθῆναι· κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ εἴτε δικαίως εἴτε ἀδίκως ἐκβαλὼν αὐτὸν, ἀνεξικάκως δέξεται, ὅπως τὸ πρᾶγμα σκοπηθῇ, καὶ ἢ κυρωθῇ ἢ διορθωθῇ ἡ ψῆφος
B αὐτοῦ, καὶ τὰ λοιπά.

ΑΡΙΣΤ. Πρεσβύτερος, καὶ διάκονος ἀφωρισμένος, ἄδειαν ἔχει τοῖς ὁμόροις ἐγκαλεῖν. καὶ μέντοι φέρειν ἀνεξικάκως ὁ ἀφορίσας τὸ κυρωθησόμενον ἐποφείλει.

Ὁ κανὼν οὗτος συγχύσεώς ἐστι καὶ σκανδάλων παραίτιος. τὸ μὲν γὰρ τὸν ἀφορισθέντα ὑπὸ τοῦ ἰδίου ἐπισκόπου κληρικὸν ἐπὶ τὸν μητροπολίτην τῆς ἐπαρχίας αὐτοῦ προσφύγειν καὶ ἐγκαλεῖν, ἀκόλουθόν ἐστι καὶ κανονικόν· τὸ δὲ, τοῦ μητροπολίτου ἀπόντος, τοῖς πλησιοχώροις προσέρχεσθαι ἐπισκόποις τὸν ἀφο-
C ρισθέντα, καὶ καθιστᾶν αὐτοὺς ἐξεταστὰς τοὺς ἐπισκόπους τοὺς μὴ ὑποκειμένους αὐτοῖς, παράλογόν ἐστι, καὶ θορύβου παραίτιον. διὰ τοῦτο γοῦν οὐδὲ καθολικός ἐστι, καὶ ἐν ταῖς ἄλλαις κρατῶν διοικήσεσιν· ἀλλ' ὡς τοπικὸς, ἐν Καρθαγένῃ καὶ ἐν Ἀφρικῇ.

Καὶ τούτων ἀναγνωσθέντων, Αὐγουστῖνος ἐπίσκοπος τῆς ἐκκλησίας Ἱππώνης τῆς Νουμιδικῆς χώρας εἶπε.

Καὶ τοῦτο ἡμᾶς φυλάξοντας ὁμολογοῦμεν, σωζομένης τῆς ἐπιμελεστέρας ζητήσεως τῆς ἐν Νικαίᾳ συνόδου.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν ἔτι μὴν καὶ τοῦτο ἀρέσκει, τῇ ἀποκρίσει τῆς πάντων ὑμῶν ἀγάπης βεβαιώσατε.

D Σύμπασα ἡ σύνοδος εἶπε. Πάντα τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα πᾶσιν ἡμῖν ἀρέσκουσιν.

Ἰουκοῦνδος ἐπίσκοπος τῆς Ὀφφετέλης ἐκκλησίας τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας εἶπε· τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου παρατραπῆναι ὑπό τινος οὐδαμῶς δύναται.

Φαυστῖνος ἐπίσκοπος τοποτηρητὴς τῆς ἐκκλησίας Ῥώμης εἶπεν· ἀκμὴν κατὰ τὴν ἐπαγγελίαν τῆς ὑμετέρας ἁγιωσύνης, τοῦτο μὲν, τοῦ ἁγίου Ἀλυπίου, τοῦτο δὲ, καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ἰουκούνδου, τινὰ ἀκυροῦσθαι πιστεύω, τινὰ βεβαιοῦσθαι. ὅπερ οὐκ ὀφείλει ἀμφίβολον εἶναι ἐχομένων τῶν αὐτῶν
E κανόνων. τοιγαροῦν ὡς ἀρέσκει καὶ ἡμῖν καὶ ὑμῖν, πρὸς τὸν ἁγιώτατον καὶ σεβασμιώτατον ἐπίσκοπον τῆς ἐκκλησίας Ῥώμης ἀναγαγεῖν ἡ ὑμετέρα ἁγιωσύνη καταξιώσει· ἵνα καὶ αὐτὸς, ὅπερ καὶ ὁ ἁγιώτατος Αὐγουστῖνος ὁρίσαι κατηξίωσε, σκέψασθαι δυνηθῇ ἑκάτερον· καὶ γὰρ τοῦτο παραχωρητέον ἐστὶ, καὶ σιωπητέον, τοῦτ' ἔστι, περὶ τῶν ἐκκλήτων τοῦ κατωτέρου βαθμοῦ· ἐὰν ἀκμὴν εἰς ἀμφιβολίαν ἐστὶν, καὶ περὶ τούτου τοῦ κεφαλαίου δίκαιόν ἐστι τὸν ἐπίσκοπον τοῦ μακαρίου θρόνου ὀφείλειν τυπῶσαι, εἰ μέντοι ἀποδέχεσθαι τοῦτο ἐν τοῖς κανόσιν εὑρεθῆναι δύναται.

ΒΑΛΣ. Φαυστίνου τοῦ τοποτηρητοῦ τῆς παλαιᾶς Ῥώμης ζη-
F τήσαντος τρακταϊσθῆναι τινὰ ἐκκλησιαστικὰ ζητήματα, κατὰ τὸ ἐντεταλμένον αὐτῷ παρὰ τοῦ Πάπα, ἐπέτρεψεν ὁ ἐπίσκοπος Αὐρήλιος τοῦτο γενέσθαι. καὶ δὴ τοῦ νοταρίου Δανιὴλ ἀρξαμένου τὸ κομμονιτώριον διαγινώσκειν, εἶπεν ὁ ἐπίσκοπος Ζώσιμος πρὸς τοὺς τοποτηρητὰς τῆς Ῥώμης, ὅτι οὐ λανθάνουσι, τουτέστιν οὐκ ἀγνοοῦνται, τὰ ἐνταλθέντα ὑμῖν παρὰ τοῦ Ἀποστολικοῦ θρόνου, καὶ ὀφείλουσι ταῦτα ἐξετασθῆναι, ὥσπερ ἐὰν ἡ σύνοδος κατὰ τὴν Ῥώμην ἐγένετο. ἐπεὶ διὰ τῆς παρουσίας ὑμῶν τῶν τοποτηρητῶν δοκοῦσι τὰ τῆς συνόδου ἐκεῖσε τελεῖσθαι. καὶ αὐτίκα προσετέθη ὁ ε'. καν. τῆς ἐν Σαρδικῇ συνόδου, ὡς ὢν τάχα τῶν ἐν Νικαίᾳ πατέρων. καὶ ἀμφιβολίας

λίας γινομένης περὶ τοῦ, εἰ ἔστιν ὁ κανὼν οὗτος τῆς ἐν Νικαίᾳ συνόδου· εἶπεν ὁ ἐπίσκοπος Ἀλύπιος, ὡς ἀναγκαῖον μέν ἐστι τοῦτον φυλάττεσθαι. ἐπεὶ δὲ οὐχ εὑρίσκεται οὗτος ἐν ταῖς Ἑλληνικαῖς βίβλοις, ταῖς περιεχούσαις τὰ πεπραγμένα εἰς τὴν κατὰ Νίκαιαν σύνοδον. παρακαλῶ, ὦ Αὐρήλιε, γενέσθαι γραφὴν πρὸς τὸν Ἐπίσκοπον Κωνσταντινουπόλεως καὶ τὸν Ἀλεξανδρείας καὶ τὸν Ἀντιοχείας, ἵνα ἐπιλαφήσωσι τὰ ἐκεῖσε ὄντα πρωτότυπα πρακτικὰ τῆς πρώτης συνόδου, ἐφ' ᾧ προενεχθῆναι τὸν αὐτὸν κανόνα, διαλυθῆναι τὸ ἀμφίβολον. τὰ μέντοι ἐν τούτῳ καὶ δηλούμενα φυλάττεσθαι, μέχρις ἂν τὸ ἀμφισβητούμενον λυθῇ. τὸ αὐτὸ δὲ ἤθελε γενέσθαι, καὶ παρὰ τοῦ Πάπα Ῥώμης. οὕτω δὲ τούτων λαληθέντων, ὁ τοποτηρητὴς τῆς Ῥώμης Φαυστῖνος εἶπε, μηδέν τι ἀπεικὸς εἰπεῖν τὸν Ἀλύπιον· καὶ ὁ Πάπας γὰρ ἵνα θελήσῃ τὴν φιλονεικίαν τῶν ἐκκλησιῶν περιαιρεθῆναι καὶ λυθῆναι. ἤρεσεν οὖν καὶ τῷ Ἐπισκόπῳ Αὐρηλίῳ τοῦτο γενέσθαι, καθὰ καὶ τῇ πάσῃ Συνόδῳ. μετὰ δὲ τὸ ταῦτα συντελεσθῆναι, ἐζητήθη παρὰ τοῦ Ναυάτου Ἐπισκόπου καὶ τοποτηρητοῦ Μαυριτανίας, πῶς καὶ παρά τινων ὀφείλουσιν οἱ κληρικοὶ δικάζεσθαι, κατὰ τῶν κεκριμένων ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου ἐκκαλούμενοι. καὶ ἀπεκρίνατο Ἐπίσκοπός τις ἐπονομαζόμενος Ὅσιος, ὃ ἔτι κινοῦν με σιωπῆσαι οὐκ ὀφείλω, καὶ τὰ ἑξῆς τοῦ ιδʹ. κανόνος τῆς ἐν Σαρδικῇ Συνόδου· ἅτινα καὶ ἐζητήθησαν ἐκεῖσε. καὶ τούτων τοίνυν πραγματευθέντων, εἶπεν ὁ Αὐγουστῖνος, ὀφείλειν καὶ τὸν κανόνα τοῦτον φυλάττεσθαι, σωζομένης μέντοι τῆς ἐπιμελεστέρας ζητήσεως ἤτοι ἐξετάσεως τῆς ἐν Νικαίᾳ Συνόδου, ὥστε φυλαχθῆναι εἰ τῆς συνόδου ἐκείνης ἐστί. καὶ οἱ λοιποὶ πατέρες, τὰ ἐν τῇ Νικαέων Συνόδῳ ὁρισθέντα, πᾶσιν ἀρέσκειν εἶπον, καὶ ὀφείλειν εἰς τὸ ἑξῆς τηρεῖσθαι ἀπαρεγχείρητα. ζήτει καὶ τὰ ἐν τῷ εʹ. κανόνι τῆς ἐν Σαρδικῇ Συνόδου παρ' ἡμῶν γραφέντα.

ΑΡΙΣΤ. Ἐπεὶ μὴ εὕρηται τὰ εἰς Νίκαιαν πεπραγμένα γεγραμμένα, ἄξιος ὁ Ῥώμης τῷ Κωνσταντινουπόλεως καὶ τῷ Ἀλεξανδρείας γράψαι, καὶ λαβεῖν ἐκεῖθεν αὐτά, καὶ ἡμῖν ἐμφανίσαι.

Οἱ παρὰ τοῦ πάπα Ῥώμης ἐν τῇ Συνόδῳ ταύτῃ σταλέντες τοποτηρηταί, προβαλλόμενοι τὸν παρὰ τῆς ἐν Σαρδικῇ συνόδου τεθέντα κανόνα, περὶ τοῦ, τὸν καθαιρεθέντα τῷ Ῥώμης προσέρχεσθαι, ὡς παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ὁρισθέντα· καὶ ἀπαιτήσαντες τοὺς συναθροισθέντας ἐν τῇ συνόδῳ ταύτῃ πατέρας βεβαιῶσαι αὐτὸν ὡς τῆς ἐν τῇ Νικαίᾳ ὄντα συνόδου κανόνα· ἐπεὶ οὗτοι μὴ ἐπὶ μνήμης ἔχοντες, εἰ παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐτέθη· ἀλλὰ μηδὲ τὰ κατὰ Νίκαιαν πεπραγμένα ὑπογεγραμμένα τε καὶ βέβαια ἐπιφερόμενοι, ἔφησαν ἀγνοεῖν, ἄξιον ἔκριναν τὸν Ῥώμης γράψαι πρὸς τὸν Κωνσταντινουπόλεως καὶ τὸν Ἀλεξανδρείας, καὶ παρ' ἐκείνων τοὺς ἐν Νικαίᾳ κανόνας λαβεῖν βεβαίους, καὶ ἐμφανίσαι τούτους αὐτοῖς· τέως δὲ τὸν τοιοῦτον κανόνα, μέχρις ἂν ἀληθέστατά τε καὶ βέβαια τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου δέξωνται, κρατεῖν ἠθέλησαν· καὶ ἐτέθη καὶ παρ' αὐτῶν ἐνταῦθα πρῶτος. μετὰ δὲ ταῦτα ἐπέμφθησαν πρὸς αὐτοὺς παρά τε τοῦ ἁγίου Κυρίλλου τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ τοῦ Ἀττικοῦ τοῦ Κωνσταντινουπόλεως Ἀρχιεπισκόπου, καὶ οὐχ εὗρον ἐν αὐτοῖς κεκανονισμένον, τὸ δύνασθαι στέλλειν τὸν Ῥώμης κληρικοὺς ἰδίους, καὶ δι' αὐτῶν ἐξετάζειν κατ' ἔκκλητον τὰς καθαιρέσεις τῶν Ἐπισκόπων, ἔγραψαν πρὸς τὸν τότε ὄντα πάπαν τῆς Ῥωμαίων πόλεως τὸν Κελεστῖνον, μὴ οὕτως ἔκτοτε θέλειν ποιεῖν, καὶ παραχωρεῖν στέλλεσθαι κληρικοὺς αὐτοῦ πρὸς τὸ κατεξετάζειν τὰς ἀποφάσεις καὶ καθαιρέσεις τῶν Ἐπισκόπων· ἵνα μὴ καπνώδης τοῦ κόσμου τῦφος τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἰσάγηται.

Αὐρήλιος Ἐπίσκοπος εἶπε.

Τὰ ἔκπαλαι τῇ ὑμετέρᾳ ἀγάπῃ παρ' ἡμῶν ἐμφανισθέντα ἴσα τῶν ὁρισθέντων τῇ ἐν Νικαίᾳ συνόδῳ, νῦν καταδέξασθε· ἀλλὰ καὶ τὰ ἐκ τῶν ἡμετέρων καθηγητῶν κατὰ τὸν τῆς αὐτῆς συνόδου τύπον σωτηριωδῶς· ἔτι μὴν καὶ τὰ νῦν παρ' ἡμῶν ταχθέντα, ἀναγνωσθῆναι καὶ τοῖς πεπραγμένοις ἐμβληθῆναι;

A dubitatio, an is Nicænæ Synodi Canon eſſet; Alypius Epiſcopus dixit; quòd neceſſarium quidem eſſet eum ſervari. Sed quoniam in libris Græcis, qui acta Nicænæ Synodi continent, non invenitur; ſuadeo, ô Aureli, ad Epiſcopum Conſtantinopolitanum, Alexandrinum & Antiochenum ſcribi, ut quæ illic ſunt primæ Synodi archetypa conſulant, quo proferatur hic Canon, & dubium ſolvatur. Quæ porrò in eo declarantur, ſerventur, donec fuerit ſolutum dubium. Hoc ipſum autem etiam voluit à Romano Papa fieri. His vero ſic dictis, Fauſtinus Romæ Legatus dixit; nihil abſurdi dixiſſe Alypium: nam Papa quoque voluerit B Eccleſiarum contentionem ſolvi & reſecari. Placuit ergo & Epiſcopo Aurelio hoc fieri, ſicut & univerſæ Synodo. Poſtquam autem hæc perfecta ſunt, à Navato Epiſcopo & Mauritaniæ Legato quæſitum eſt, quomodo & à quibus debeant Clerici judicari, & qui ex judicatis à proprio Epiſcopo provocant. Et reſpondit quidam Epiſcopus, cui nomen erat Oſius; Quod me adhuc movet, tacere non debeo, & cætera, quæ ſunt xiiii. Can. Sard. Synodi, quæ etiam illic expoſita ſunt. His itaque tractatis, dixit Auguſtinus; debere hunc Canonem ſervari, ſi, ſalva interim diligentiori Nicænæ Synodi inquiſitione ſeu examinaC tione, ejus Synodi eſſe conſtaret. Reliqui quoque Patres, quæ in Nicæna Synodo conſtituta ſunt, omnibus placere dixerunt, & in poſterum ſervari inviolabilia debere. Quære etiam quæ in quinto Canone Sardic. Syn. à nobis ſcripta ſunt.

Arist. *Quandoquidem non inventa ſunt acta Concilii Nicæni ſcripta, dignetur Epiſcopus Romanus ad Con*D *ſtantinopolitanum & Alexandrinum ſcribere, eaque inde accipiat, nobiſque repræſentet.*

Cùm Legati in hâc Synodo à Papa Romano miſſi, proferentes Canonem à Synodo Sardicenſi editum, de eo quòd depoſitus Romanum adeat Epiſcopum, ut à Nicænâ Synodo decretum, congregatos in iſthâc Synodo Patres eum ut Nicænæ Synodi Canonem confirmare poſtularent: quoniam hi, an à Concilio Nicæno expoſitus fuit, memoria non tenentes, ſed nec quæ Nicææ acta ſuſcriptaque & confirmata ſunt, proferentes, dixerunt ſe ignorare; dignum prædicârunt, ut E Romanus Epiſcopus ad Conſtantinopolitanum & Alexandrinum mitteret, & ab iis confirmatos Nicææ Canones acciperet, eoſque ipſis notos faceret. Saltem autem talem Canonem, uſque dum veriſſima & firma Synodi Nicænæ exemplaria reciperent, obtinere voluerunt. Et ab iis etiam hic ponebatur primus. At poſtquam iſti Canones ad ipſos miſſi fuiſſent, & à ſancto Cyrillo Alexandriæ Archiepiſcopo, & ab Attico Archiepiſcopo Conſtantinopolis, & in iis non inveniſſent, Canone ſancitum, quòd Romanus Epiſcopus ſuos poſſet mittere Clericos, & per eos Epiſcoporum depoſitione, inſtar ejus ad quem provocatur, examinare; ad Celeſti-F num tunc temporis Romanorum civitatis Papam, ne poſtea ita vellet facere, ſcripſerunt; nec amplius Clericos ſuos ad Epiſcoporum ſententias & depoſitiones examinandas mitteret: ne fumoſus mundi faſtus in Chriſti Eccleſiam introduceretur.

Aurelius Epiſcopus dixit;

Quæ veſtræ dilectioni olim à nobis oſtenſa ſunt exemplaria eorum, quæ in Nicæna Synodo conſtituta ſunt: quin & quæ à noſtris præceptoribus ſalutariter ſecundùm ejuſdem Synodi formam, & quæ præterea à nobis jam ordinata ſunt, legi & actis inſeri nunc admittitis.

A *Univerſa Synodus dixit;*

Exemplaria fidei & decreta Nicænæ Synodi, quæ nobis olim per Cæcilianum veſtræ ſanctitatis prædeceſſorem, allata ſunt: præterea & quæ his conſequentia hîc conſtituta ſunt, & nunc etiam communi conſenſu à nobis ſunt decreta, his Eccleſiaſticis actis inſerta maneant; ſi veſtra ſcilicet beatitudo, ut ante dictum eſt, ad venerabiles Eccleſiarum, Antiochenæ, Alexandrinæ & Conſtantinopolitanæ Epiſcopos dignetur ſcribere, ut veriſſima Nicænæ Synodi exemplaria cum propriarum literarum obſignatione mittant: quo veri- B *tate manifeſtata hæc capita, quæ in commonitorio frater & coëpiſcopus noſter Fauſtinus & compresbyteri Philippus & Aſellus ſecum attulerunt, vel illic inventa, à nobis confirmentur; vel ſi non inventa fuerint, coacta adhuc Synodo de iis rurſus inquiramus.*

Zonar. Commemoratus quoque Canon, quaſi in Nicænæ Oecumenica Synodo editus, promulgatus eſt. Quare illum Auguſtinus Epiſcopus, ſi quidem, non omiſſa interim diligentiore in Nicænam Synodum inquiſitione, ejus eſſe conſtaret, ſervandum propoſuit; ac reliqui C quoque Synodi Patres, quæcunque in Nicæna Synodo definita fuerant, omnibus accepta eſſe ſignificârunt. Deinde edita in Nicæna Synodo fidei profeſſio recitata eſt.

Daniel Notarius Synodi Nicænæ confeſſionem fidei & decreta ejus in Synodo Africanâ legit.

CONFESSIO FIDEI
Nicænæ Synodi.

Credimus in unum Deum, patrem omnipotentem, omnium viſibilium & inviſibilium factorem: & D in unum Dominum Jeſum Chriſtum, filium Dei, natum de patre unigenitum, id eſt, ex ſubſtantia patris, Deum ex Deo, lumen de lumine, Deum verum de Deo vero; genitum, non factum; conſubſtantialem patri; per quem omnia facta ſunt, & quæ in cœlo, & quæ in terra; qui propter nos homines & noſtram ſalutem deſcendit, & incarnatus eſt, & homo factus, & paſſus eſt, & reſurrexit tertio die, & aſcendit in cœlos, & ſedet à dextra patris, & venturus eſt judicatum vivos & mortuos: Et in Spiritum ſanctum. Eos autem qui dicunt; Erat quando non erat, & priuſquam naſceretur non erat, & quòd ex non exiſten- E tibus factus eſt, vel ex alia ſubſtantia vel eſſentia eſſe dicentes, vel mutabilem & alterabilem eſſe Dei filium; eos anathematizat Catholica & Apoſtolica Eccleſia.

Similiter & decreta Nicænæ Synodi in xx. capitulis lecta ſunt. Præterea quæ in Synodis Africæ ſancita ſunt, præſentibus actis inſerta decernuntur.

Canon I.

Quare quæ in Nicæna Synodo conſtituta ſunt, omnibus modis obſervabuntur.

Aurelius Epiſcopus dixit:

F *Hæc ita apud nos habentur exemplaria ſtatutorum, quæ tunc Patres noſtri è Nicæna ſynodo ſecum detulerunt: cujus typum ſervantia ea, quæ ſequuntur, & à nobis conſtituta ſunt, confirmata ſerventur.*

Bals. Lecto ſancto ſymbolo, quemadmodum in prima Synodo compoſitum eſt; ſimiliter & xx. Canonibus ejuſdem Synodi; & iis præterea, quæ in Africa conſtituta fuerant; & illæſa ſervari quæ ſynodaliter acta & pronunciata ſunt decernentibus; dixit Aurelius; quòd exemplaria eorum, quæ Nicææ cõſtituta ſunt à Patribus

Σύμπασα ἡ σύνοδος εἶπε.

Τὰ ἴσα τῆς πίστεως καὶ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ συνόδου, τοὺς πάλαι πρὸς ἡμᾶς διὰ Καικιλιανοῦ τοῦ προηγητοῦ τῆς ὑμετέρας ἁγιωσύνης προσενεχθέντας· ἔτι μὴν καὶ ἅπερ τούτοις ἑπόμενα τὰ μέρη ἐνταῦθα κατέστησαν, καὶ νῦν δὲ κοινῇ συζητήσει παρ' ἡμῶν ὡρίσθησαν, τούτοις τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐμβληθέντα μείνωσι, δηλονότι, καθὼς προλέλεκται, πρὸς τοὺς σεβασμίους ἐπισκόπους τῶν ἐκκλησιῶν, Ἀντιοχείας, Ἀλεξανδρείας καὶ Κωνσταντινουπόλεως, γράψαι καταξιώσης τῆς ὑμετέρας μακαριότητος, ἵνα τὰ ἀληθέστατα ἴσα τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ὑποσημειώσεως οἰκείων γραμμάτων ἀποστείλωσιν· ὅπως φανερωθείσης τῆς ἀληθείας, τὰ κεφάλαια ταῦτα, ἅπερ ἐν τῷ κομμονιτωρίῳ ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Φαυστῖνος καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἀσέλλος μεθ' ἑαυτῶν ἤγαγον, ἢ ἐκεῖ εὑρισκόμενα, ἀφ' ἡμῶν κυρωθῶσιν· ἢ ἐὰν μὴ εὑρεθῶσιν, συνηγμένης ἔτι τῆς συνόδου περὶ τούτων ἑξῆς συζητήσωμεν.

ΖΩΝΑΡ. Καὶ ὁ κανὼν ὁ εἰρημένος, ὡς τῆς ἐν Νικαίᾳ οἰκουμενικῆς συνόδου, προετέθη. διὸ καὶ ὁ ἐπίσκοπος Αὐγουστῖνος φυλαχθῆναι τὸν κανόνα κατέθετο, σωζομένης μέντοι τῆς ἐπιμελεστέρας ζητήσεως ἤτοι ἐξετάσεως τῆς ἐν Νικαίᾳ συνόδου, ὥστε φυλαχθῆναι, εἰ τῆς συνόδου ταύτης ἐστί, καὶ οἱ λοιποὶ τῆς συνόδου πατέρες τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα πᾶσιν ἀρέσκειν εἶπον. εἶτα ἀνεγνώσθη ἡ ὁμολογία τῆς πίστεως τῆς ἐν Νικαίᾳ συνόδου.

Δανιὴλ νοτάριος τῆς ἐν Νικαίᾳ συνόδου τὴν ὁμολογίαν τῆς πίστεως καὶ τοὺς ὅρους αὐτῆς ἀνέγνω ἐν τῇ τῶν Ἀφρων συνόδῳ.

Η ΟΜΟΛΟΓΙΑ ΤΗΣ ΠΙΣΤΕΩΣ
τῆς ἐν Νικαίᾳ συνόδου.

Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν τὸν υἱὸν τοῦ θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτ' ἔστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ, καὶ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας, ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ ἀλλοιωτὸν ἢ τρεπτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Ὁμοίως δὲ καὶ οἱ ὅροι τῆς ἐν Νικαίᾳ συνόδου ἐν εἴκοσι κεφαλαίοις ἀνεγνώσθησαν· ἔπειτα τὰ ἐν ταῖς συνόδοις τῆς Ἀφρικῆς νομοθετηθέντα τοῖς παροῦσι πεπραγμένοις ἐντιθέμενα γινώσκονται.

ΚΑΝΩΝ α´.

Ὥστε τὰ ἐν τῇ Νικαέων συνόδῳ ὁρισθέντα, παντὶ τρόπῳ παραφυλαχθήσεται.

Αὐρήλιος Ἐπίσκοπος εἶπε.

Ταῦτα οὕτως παρ' ἡμῖν ἔχονται τὰ ἴσα τῶν ὁρισθέντων, ἅπερ τότε οἱ πατέρες ἡμῶν ἐκ τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ἑαυτῶν κατήγαγον, ἧς τὸν τύπον φυλάττοντα τὰ ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡμῶν, βεβαιωθέντα φυλαχθῶσιν.

ΒΑΛΣ. Ἀναγνωσθέντος τοῦ ἁγίου συμβόλου, καθὼς ἐν τῇ πρώτῃ συνόδῳ συνετέθη, ὡσαύτως καὶ τῶν κ´. κανόνων τῆς αὐτῆς συνόδου, πρὸς δὲ, καὶ τῶν ἐν τῇ Ἀφρικῇ νομοθετηθέντων, καὶ διοριζομένων ἀπαράτρωτα φυλάττεσθαι τὰ κατὰ Νίκαιαν συνοδικῶς πραχθέντα καὶ ἀποφανθέντα, εἶπεν ὁ Αὐρήλιος, ὅτι τὰ παρὰ τῶν πατέρων τῆς Ἀφρικῆς

A Ἀφρικῆς μετακομισθέντα ἀπὸ Νικαίας ἴσα τῶν τότε ὁρισθέντων, οὕτως ἔχουσιν ὡς ἀνεγνώσθησαν· καὶ ὀφείλουσι κατὰ τὴν τούτων ἀκολουθίαν πραχθῆναι καὶ ὁρισθῆναι, τὰ ἑπομένως λαληθῆναι ὀφείλοντα καὶ βεβαιωθῆναι, ἐφ' ᾧ φυλάττεσθαι καὶ εἰς τὸ ἑξῆς.

ΖΩΝΑΡ. Ὃ δὲ λέγει ὁ Αὐρήλιος, τοιοῦτόν ἐστιν. ὅτι ἃ παρ' ἡμῖν εἰσιν ἴσα τῶν νῦν ἀναγνωσθέντων, ἃ οἱ πατέρες ἡμῶν ἤγουν οἱ πρὸ ἡμῶν Ἐπίσκοποι ἤγαγον τότε, ὅτε ἡ ἐν Νικαίᾳ συνήθροιστο σύνοδος. ἦσαν γὰρ ἐν τῇ συνόδῳ ἐκείνῃ, ὡς ἔοικε, καὶ ἐξ Ἀφρικῆς Ἐπίσκοποι. εἰ οὕτως ἔχουσιν, ὡς ἀνεγνώσθησαν δηλαδή. ἔτι γὰρ ἀμφέβαλλον περὶ αὐτῶν, B διὸ καὶ ἠξίουν τοὺς πατριάρχας, ὡς εἴρηται, στεῖλαι αὐτοῖς τὰ ἴσα βεβαιωθέντα παρ' αὐτῶν, ἐὰν καὶ τὰ παρ' ἡμῶν ὁρισθέντα τὸν τύπον ἐκείνων φυλάττωσι, καὶ ἐκείνοις ἕπωνται, φυλαχθήσονται βέβαια.

ΑΡΙΣΤ. Τὰ ἴσα τῶν δεδογμένων τοῖς ἐν Νικαίᾳ, ἃ οἱ πατέρες ἡμῶν ἐκ τῆς συνόδου μεθ' ἑαυτῶν κατήγαγον, φυλαττέσθωσαν.

Τὰ τοῖς ἐν Νικαίᾳ ἱεροῖς πατράσι συνελθοῦσι τὸ πρῶτον δογματισθέντα τε, καὶ κανονισθέντα, καὶ ἡ σύνοδος αὕτη ἐπικυροῖ, καὶ διατάττει φυλάττεσθαι. C

ΚΑΝΩΝ β'.

Θέλοντος τοῦ θεοῦ, ἴσῃ ὁμολογίᾳ ἡ ἐκκλησιαστικὴ πίστις, ἡ δι' ἡμῶν παραδεδομένη ἐν ταύτῃ τῇ ἐνδόξῳ συνελεύσει, πρωτοτύπως ὁμολογητέα ἐστίν· ἔπειτα ἡ ἐκκλησιαστικὴ τάξις μετὰ συναινέσεως ἑκάστου καὶ ὁμοῦ πάντων φυλακτέα ἐστίν. πρὸς βεβαιωτέρας δὲ τὰς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν τῶν ἔναγχος χειροτονηθέντων διανοίας, ταυτα δεῖ προστεθῆναι, ἃ παρὰ τῶν πατέρων βεβαίᾳ διατυπώσει παρελάβομεν· ὥστε τῆς Τριάδος, τοῦτ' ἔστι, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὴν ἑνότητα, τὴν μηδεμίαν ἔχειν D διαφορὰν γινωσκομένην, ἣν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσαν κατέχομεν· καὶ καθὼς ἐμάθομεν, οὕτω τοὺς λαοὺς τοῦ θεοῦ διδάξομεν. ὁμοίως ἀπὸ πάντων τῶν Ἐπισκόπων τῶν ἔναγχος προαχθέντων ἐλέχθη φανερῶς, οὕτως δεχόμεθα, οὕτω κατέχομεν, οὕτως διδάσκομεν, τῇ πίστει τῇ εὐαγγελικῇ ἅμα τῇ ὑμετέρᾳ διδασκαλίᾳ ἑπόμενοι.

ΒΑΛΣ. Φασὶν οἱ τῆς συνόδου, ὅτι ἐν τῇ συνελεύσει ταύτῃ πρῶτον μὲν ὁμολογοῦμεν τὴν ἐκκλησιαστικὴν πίστιν, ἤγουν τὴν παρὰ τῶν πιστῶν ἐκκλησίας δεξαμένην, ἥτις δι' ἡμῶν τῶν Ἐπισκόπων δηλαδὴ παραδέδοται· ἔπειτα φυλάττειν E καταπιθέμεθα τὴν ἐκκλησιαστικὴν τάξιν, εἰς τοῦτο ἑκάστου ἡμῶν συναινοῦντος καὶ ὁμοῦ πάντων. πρὸς δὲ βεβαίωσιν τῆς διανοίας τῶν πρὸ ὀλίγου χειροτονηθέντων ἀδελφῶν ἡμῶν καὶ Ἐπισκόπων, προστεθῆναι δεῖ, ἃ παρὰ τῶν πρὸ ἡμῶν πατέρων, τουτέστι τῶν ἀρχαίων Ἐπισκόπων, βεβαίᾳ διατυπώσει, ἤγουν ὡς κανόνα βέβαιον καὶ ἀσφαλῆ παρελάβομεν. καὶ αὐτίκα ἐπάγουσιν ἃ παρέλαβον, ἤτοι τὰ περὶ τῆς ἁγίας Τριάδος, ὅτι οὐδεμίαν διαφορὰν ἔχει ἡ ἁγία τριάς, ἀντὶ τοῦ κατ' οὐδὲν ἀλλήλων διαφέρουσιν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, ἄνευ δηλονότι τῶν ἑκάστου ἰδιοτήτων, ἀλλ' ἑνότης γινώσκεται ἐν αὐτοῖς, ἤγουν ὅτι ἕν εἰσι τὰ τρία πρόσωπα, κατά τε οὐσίαν καὶ δόξαν καὶ δύναμιν. F καὶ οὕτω τὴν πίστιν ταῖς ἡμετέραις διανοίαις καθιερωθεῖσαν, ἤγουν ἐντυπωθεῖσαν, ἀφορισθεῖσαν γινώσκομεν, φασὶν οἱ τῆς συνόδου, καὶ οὕτω διδάξομεν τοὺς λαούς, καθὼς ἐδιδάχθημεν, τῇ εὐαγγελικῇ διδασκαλίᾳ ἑπόμενοι.

ΑΡΙΣΤ. Οὐδὲν τῆς ἁγίας τριάδος διάφορον γινώσκεται ἢ διδάσκεται κατὰ τὴν τῶν ἐν Νικαίᾳ βεβαίωσιν.

Οὕτως παρελάβομεν, οὕτως φρονοῦμεν, μηδεμίαν διαφορὰν ἐπὶ τῆς ἁγίας γινώσκειν ἢ διδάσκειν τριάδος· ἀλλὰ συμφυῆ ταύτην εἰδέναι, καὶ ὁμοδύναμον, καὶ ὁμότιμον.

Africanis huc delata, ſic ſe habent, ut lecta ſunt; & his conſequenter agi & decerni debent, quæ iis congruenter edi oportet & confirmari, ut deinceps quoque ſerventur.

Zonar. Quod verò ait Aurelius, ejuſmodi eſt. Sunt apud nos, inquit, exemplaria eorum quæ nunc lecta ſunt, quæ Patres noſtri, hoc eſt, Epiſcopi qui ante nos fuerunt, tunc cùm Nicæna Synodus congregata eſt, attulerunt. Erant ſiquidem in illa Synodo, ut probabile eſt, Africani quoque Epiſcopi. Si ſic ſe habent, videlicet, ut lecta ſunt. (Adhuc enim de iis dubitabant, ac propterea à Patriarchis poſtulaverunt, quemadmodum dictum eſt, ut ad eos exemplaria ab ipſis confirmata mitterent,) ſi ea quoque, quæ à nobis conſtituta ſunt, typum illorum ſervent, & cum illis congruant, rata conſervabuntur.

Arist. *Exemplaria eorum quæ Patribus Nicænis viſa ſunt, quæque Patres noſtri ex hâc Synodo cum ipſis detulerunt, obſerventur.*

Quæ à ſanctis Patribus Nicææ coactis primo tradita fuerunt, & ſancita, hæc etiam Synodus confirmat, & ſervari jubet.

CANON II.

Deo volente, pari confeſſione Eccleſiaſtica fides, per nos tradita in hac inclyta congregatione, primùm eſt confitenda: tum ordo Eccleſiaſticus cum unicujuſque & omnium ſimul conſenſu ſervandus eſt. Ad confirmandas autem fratrum & coëpiſcoporum noſtrorum nuper ordinatorum mentes, hæc adjicere oportet, quæ firma conſtitutione à patribus accepimus: quare trinitatis, id eſt, patris & filii & ſpiritûs ſancti unitatem, quæ nullam habere differentiam ſtatuitur, in noſtris mentibus conſecratam detinemus: & ſicut didicimus, ita populos Dei docebimus. Similiter ab omnibus Epiſcopis nuper promotis clare dictum fuit; Sic ſuſcipimus, ſic tenemus, ſic docemus, fidem Evangelicam ſimul cum veſtra doctrina ſequentes.

Bals. Dicunt Patres, in hac congregatione, primùm quidem fidem Eccleſiaſticam confitemur, ſcilicet quæ à fidelium Eccleſia creditur, quæ per nos ſcilicet Epiſcopos tradita fuit: deinde Eccleſiaſticum ordinem ſervare conſtituimus, unoquoque noſtrum ei rei & ſimul omnibus aſſentientibus. Ad fratrum autem noſtrorum & coëpiſcoporum nuper ordinatorum mentem confirmandam, adjici oportet quæ à Patribus noſtris, hoc eſt, ab antiquis Epiſcopis, firma ordinatione, ſeu ut firmum & certum Canonem, accepimus. Et ſtatim ſubjiciunt quæ acceperunt, ſcilicet de Trinitate, quòd Trinitas nullam habeat differentiam, id eſt, nihil inter ſe differunt pater & filius & ſpiritus ſanctus, exceptis ſcilicet uniuſcujuſque proprietatibus: ſed unitas ipſis ſtatuitur, nimirum quòd tres perſonæ unum ſint, & ſubſtantia & gloria & potentia. Et ſic fidem noſtris mentibus conſecratam, id eſt impreſſam, & definitam cognoſcimus, inquiunt patres, & ſic populos docebimus, quemadmodum docti ſumus, Evangelicam doctrinam ſequentes.

Arist. *Nulla in Trinitate differentia cognoſcitur, aut docetur ſecundùm Patrum Nicænorum conſtitutionem.*

Sic accepimus, ſic ſentimus, nullam differentiam in ſanctâ Trinitate ſcire aut docere: ſed eam ejuſdem eſſentiæ, ejuſdem potentiæ, & ejuſdem honoris agnoſcere.

CANON

A

CANON III.

De continentia Aurelius Epiſcopus dixit:

Cùm in priore Synodo de continentiæ & caſtitatis modo quærebatur, placuit, ut hi tres gradus, qui vinculo quodam caſtitatis per conſecrationem implicati ſunt (Epiſcopi, inquam, Presbyteri & Diaconi) ut ſanctos Epiſcopos & Sacerdotes Dei & Levitas & divinis ſacrificiis miniſtrantes decet, in omnibus continentes ſint; quò poſſint quod à Deo ſimpliciter petunt impetrare: ut & quod per Apoſtolos traditum & ab ipſa antiquitate ſervatum eſt, nos quoque ſimiliter ſervemus.

B

BALS. Hic Canon vult omnem exercere virtutem, qui ſancta myſteria contrectant, Epiſcopos ſcilicet Sacerdotes & Diaconos: & eſſe continentes, non per ſolam temperantiam; ſed in omni facto & opere. Sic enim, inquit, à Deo exaudientur pro populo precantes, & revera oſtendent ſe ea ſervarequæ à ſanctis Apoſtolis tradita ſunt, & ab antiqua, literis non tradita, Eccleſiaſtica conſuetudine.

ZONAR. De illorum qui ſacris initiati ſunt temperantia continentiáque hic Canon diſſerit dicens, tres ordines, qui ſeſe ſua ipſi profeſſione caſtitati addixere, Epiſcopos videlicet, Presbyteros, & Levitas, hoc eſt Diaconos C oblationibus Deo dicatis, ſive incruento ſacrificio, quod numini religioſe offertur, miniſtrantes continentiam in omnibus ſervare oportere. Neque in una quidem aliqua re moderatos eſſe, nullum vero viciſſim in reliqua vitæ ratione delectum adhibere, ſed temperantiam in omnibus ſectari, hoc eſt omnes numeros virtutis implere, ut quæ à Deo ſimpliciter, hoc eſt ſine ulla trepidatione, aut hæſitatione poſtulans, conſequantur. Sunt hi namque inter Deum, & homines interceſſores, qui numen cæteris hominibus conciliantes fidelibus ſalutem, univerſóque terrarum orbi pacem depoſcunt. Si ſe igitur in omni virtutum genere, inquit, exerceant, Deúmque proinde fidenter D alloquantur, ita prorſus ab eo quæ poſtulaverint, impetrabunt: at ſi libere loquendi facultate ipſimet deſtituantur, quo pacto deprecatoris munus obire pro aliis queāt? Proinde hac ratione, & quæ ab Apoſtolis tradita, & quæ antiqui tēporis cōſuetudine hucuſque uſurpata ſunt, hoc eſt, tum ea quæ ſcriptis legibus, tum ea quæ ſine ſcriptis longa & antiqua conſuetudine continentur, ſervabimus.

ARIST. *Epiſcopus & Presbyter & Diaconus caſtus ſit & continens.*

CANON IIII.

E *Placet, ut Epiſcopus & Presbyter & Diaconus, & omnes qui ſacra contrectant, temperantiæ cuſtodes, à fœminis abſtineant.*

BALS. & ZONAR. Præcedens quidem Canon de Epiſcoporum, Presbyterorum & Diaconorum continentia diſſeruit, hic verò ſpecialiùs de temperantia & abſtinentia à fœminis. Ex his autem canonibus, & maximè præſenti, Romani, & quotquot ſunt ejuſdem cum illis ſententiæ, opinantur, ne Presbyteros quidem vel Diaconos poſſe legitimè cum uxoribus conjungi: ſed eos conjugii expertes remanere debere. Falluntur autem etiam in hoc, quemadmodum & in aliis. Quintus e- F nim Canon ſanctorum Apoſtolorum, Epiſcopus, inquit, vel Presbyter vel Diaconus ſuam uxorem pietatis prætextu ne ejiciat. Et fortaſſe dicet quiſpiam, quòd etiam apud nos Epiſcopi uxores non habent: ſed hoc conſtitutum eſt à Patribus ſextæ, ut dicitur, Synodi, dicentibus in xii. Canone; Non repugnantes iis, quæ ab Apoſtolis conſtituta ſunt, hoc dicimus: ſed ſalutis & ad meliora progreſſionis populorum curam gerentes, & ne detur occaſio reprehendendi ſacerdotalem conſtitutionem. Eadem autem Synodus

ΚΑΝΩΝ γʹ.

Περὶ ἐγκρατείας Αὐρήλιος Ἐπίσκοπος εἶπεν.

Ἐν τῇ προλαβούσῃ συνόδῳ ὡς περὶ ῥυθμοῦ ἐγκρατείας καὶ ἁγνείας ἐζητεῖτο, ἤρεσεν, ὥστε τοὺς τρεῖς βαθμοὺς τούτους, τοὺς συνδέσμῳ τινὶ ἁγνείας διὰ τῆς καθιερώσεως συμπεπλεγμένους (φημὶ δὴ Ἐπισκόπους, πρεσβυτέρους καὶ διακόνους) ὡς πρέπει ὁσίοις Ἐπισκόποις καὶ ἱερεῦσι Θεοῦ καὶ Λευΐταις καὶ ὑπουργοῦσι θείοις καθιερώμασιν, ἐγκρατεῖς εἶναι ἐν πᾶσιν· ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν ἐπιτυχεῖν· ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθὲν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν.

ΒΑΛΣ. Ὁ κανὼν οὗτος πάσης ἐργάτας ἀρετῆς εἶναι θέλει τοὺς τὰ ἅγια μυστήρια μεταχειριζομένους, ἤγουν Ἐπισκόπους ἱερεῖς καὶ διακόνους, καὶ ἐγκρατεῖς εἶναι, μὴ διὰ μόνης σωφροσύνης, ἀλλὰ καὶ διὰ παντὸς ἔργου καὶ πράγματος. οὕτω γὰρ, φησιν, εἰσακουσθήσονται παρὰ τοῦ Θεοῦ εὐχόμενοι ὑπὲρ τοῦ λαοῦ, καὶ πληροφορήσουσι φυλάττειν τὰ παραδοθέντα ὑπὸ τῶν ἁγίων ἀποστόλων, καὶ ὑπὸ τῆς ἀρχαίας ἀγράφου ἐκκλησιαστικῆς ἀκολουθίας.

ΖΩΝΑΡ. Περὶ σωφροσύνης καὶ ἐγκρατείας τῶν ἱερωμένων ὁ κανὼν οὗτος διαλαμβάνει, λέγων τοὺς τρεῖς βαθμοὺς τοὺς συμπλέξαντας ἑαυτοὺς, καὶ διὰ τῆς ὁμολογίας συνδεθέντας τῇ ἁγνείᾳ, ἤγουν Ἐπισκόπους καὶ πρεσβυτέρους, καὶ Λευΐτας, τουτέστι διακόνους, τοὺς ὑπουργοῦντας τοῖς θείοις καθιερώμασιν, ἤτοι τῇ ἀναιμάκτῳ θυσίᾳ, τῇ καθιερουμένῃ τῷ Θεῷ, δεῖν ἐγκράτειαν ἐν πᾶσιν ἀσκεῖν, καὶ οὐχὶ, ἐν τῷ μὲν ἐγκρατεῖς εἶναι, τῷ ἐν δὲ αὖθις ἀδιαφόρως ζῆν, ἀλλ᾽ ἐν πᾶσιν ἐγκράτειαν μετιέναι, τουτέστι, πᾶσαν ἐργάζεσθαι ἀρετὴν, ὅπως φησὶ δυνηθῶσιν ἐπιτυχεῖν, ἃ ἁπλῶς αἰτοῦσι παρὰ Θεοῦ ἤγουν ἀδιστάκτως καὶ μὴ διακρινόμενοι. οὗτοι γάρ εἰσι μεσῖται Θεοῦ καὶ ἀνθρώπων, ἐξιλεούμενοι τὸ θεῖον τοῖς ἄλλοις, καὶ σωτηρίαν αἰτούμενοι τοῖς πιστοῖς, καὶ εἰρήνην τῷ κόσμῳ. εἰ οὖν πᾶσάν φησι μετέρχονται ἀρετὴν, καὶ οὕτω παῤῥησιάζονται πρὸς Θεὸν, τυγχάνοιεν ἂν καὶ τῶν αἰτήσεων. ὡς εἴγε μὴ παῤῥησίαν ἔχοιεν, πῶς ἂν ὑπὲρ ἄλλων πρεσβεύσωνται; οὕτω γὰρ καὶ ἃ παραδεδώκασιν οἱ ἀπόστολοι, φυλάξομεν, καὶ τὰ διὰ τῆς ἀρχαιότητος κατακρατηθέντα, ἤγουν καὶ τὰ ἐγγράφως νενομοθετημένα καὶ τὰ ἀγράφως διὰ τῆς μακρᾶς καὶ ἀρχαίας συνηθείας κρατήσαντα.

ΑΡΙΣΤ. Ἐπίσκοπος, καὶ πρεσβύτερος, καὶ διάκονος, ἁγνὸς ἔστω καὶ ἐγκρατής.

ΚΑΝΩΝ δʹ.

Ἀρέσκει, ἵνα Ἐπίσκοπος καὶ πρεσβύτερος καὶ διάκονος, καὶ πάντες οἱ τὰ ἱερὰ ψηλαφῶντες τῆς σωφροσύνης φύλακες γυναικῶν ἀπέχωνται.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ὁ μὲν πρὸ τούτου κανὼν περὶ ἐγκρατείας διελέχθη τῶν Ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων, οὗτος δὲ ἰδικώτερον περὶ σωφροσύνης καὶ ἀποχῆς γυναικῶν. ἐκ τούτων δὲ τῶν κανόνων, μάλιστα δὲ τοῦ παρόντος, οἱ ἐν Ῥώμῃ καὶ ὅσοι ἐκείνοις ὁμογνώμονες, δοξάζουσι μηδὲ τοὺς πρεσβυτέρους ἢ διακόνους ἐξεῖναι νομίμως γυναιξὶ συνομιλεῖν, ἀλλ᾽ ἀζύγους εἶναι. σφάλλονται δὲ κἀν τούτῳ, ὥσπερ καὶ ἐν ἑτέροις. ὁ γὰρ πέμπτος κανὼν τῶν ἁγίων ἀποστόλων, Ἐπίσκοπος, φησιν, ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. καὶ ἴσως ἐρεῖ τις, ὅτι καὶ παρ᾽ ἡμῖν οἱ Ἐπίσκοποι γυναῖκας οὐκ ἔχουσιν· ἀλλὰ τοῦτο τοῖς τῆς λεγομένης ἕκτης συνόδου πατράσι νενομοθέτηται, λέγουσιν ἐν τῷ ιβʹ. κανόνι ὡς οὐκ ἐναντιούμενοι τοῖς παρὰ τῶν ἀποστόλων ὁρισθεῖσι τοῦτό φαμεν, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν προμηθούμενοι, καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως. ἡ δὲ αὐτὴ σύνοδος ἐν ιγʹ. κανόνι τόν τε παρόντα κανόνα ἡρμήνευσε, λέγουσα, τοὺς πρεσβυτέρους καὶ διακόνους ἢ ὑποδιακόνους ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν ἀπαιτεῖσθαι κατὰ τοὺς καιροὺς τῶν ἁγίων μυστηρίων μεταχειρίσεως· καὶ ἐπάγουσα, ὡς εἴ τις τολμήσειε πρεσβυτέρους ἢ διακόνους ἢ ὑποδιακόνους ἀποστερεῖν τῆς πρὸς νόμιμον γυναῖκα συναφείας καὶ κοινωνίας, καθαιρείσθω. καὶ ὁ ἑβδομηκοστὸς δὲ κανὼν τῆς παρούσης συνόδου ἐλέγχει τοὺς Λατίνους περὶ τούτου κακῶς φρονοῦντας. λέγει γάρ, ἤρεσεν ὥστε τοὺς Ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν ἰδίων ἔπι μὴν ἀπέχεσθαι γυναικῶν. ὡς ἐντεῦθεν δείκνυσθαι, ὅτι καὶ οἱ Ἐπίσκοποι καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι γυναιξὶ συνεβίουν. καὶ οὐκ ἀπηγόρευσεν αὐτοῖς ἡ σύνοδος τὴν πρὸς αὐτὰς ὁμιλίαν, εἰ μὴ κατὰ τοὺς ἰδίους ὅρους, τουτέστι, κατὰ τὰς ὡρισμένας ἡμέρας τῆς ἑκάστου ἐφημερίας.

Ετέρα ἑρμηνεία.

Τὸ ἀπέχεσθαι γυναικῶν, μὴ μόνον τοὺς ἱερωμένους, ἀλλὰ πάντας τοὺς πιστοὺς κατὰ τὸν καιρὸν τῆς ἁγίας μεταλήψεως, καὶ τῷ ἀποστόλῳ νενομοθέτηται, λέγοντι, δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. καὶ πάλιν, μὴ ἀποστερήτωσαν ἑαυτοὺς οἱ ὁμόζυγοι, εἰ μήτοι ἐκ συμφώνου ὅταν τῇ προσευχῇ τῆς ἁγίας κοινωνίας προσελθεῖν μέλλωσι. καὶ τὸν Δαβὶδ δὲ καὶ τοὺς σὺν αὐτῷ, ζητήσαντας τὸν Ἀβιάθαρ τὸν ἀρχιερέα λαβεῖν ἐκ τῶν ἄρτων τῆς προθέσεως, εἰ καθαροί δέ εἰσιν ἀπὸ γυναικὸς ὁ ἱερεὺς ἠρώτα; καὶ τὸ ἐν τῇ θείᾳ μυσταγωγίᾳ ἐκφωνούμενον, τὰ ἅγια τοῖς ἁγίοις, τοιαύτης ἐννοίας ἐστίν. οἱ γὰρ μεμολυσμένοι ἀπὸ συνουσίας γυναικὸς ἢ ἄλλως, οὐκ εἰσὶν ἅγιοι· διὸ οὐδὲ ὀφείλουσι κοινωνεῖν. ὥστε ἐκ τούτων πάντων συνάγεται, ὅτι οὐδὲ αὐτοὶ οἱ ὁμόζυγοι συνελθόντες σωματικῶς τῆς ἁγίας κοινωνίας μετέχωσι κατ' αὐτὴν τὴν ἡμέραν· ὁ δὲ ἁγιώτατος ἐκεῖνος πατριάρχης κῦρις Λουκᾶς ἐρωτηθεὶς περὶ τούτου, ἀπεφήνατο συνοδικῶς, πρὸ τριῶν ἡμερῶν ὀφείλειν ἀποδιΐστασθαι τῆς σωματικῆς ὁμιλίας τοὺς μέλλοντας μεταλαβεῖν τῶν θείων ἁγιασμάτων. ἀλλὰ καὶ τοὺς νυμφίους, τοὺς κατὰ τὴν αὐτὴν ἡμέραν μετὰ τὴν ἁγίαν μετάληψιν συνερχομένους, ἐπιτιμίοις καθυπέβαλε. καὶ ἀνάγνωθι τὸ κατὰ τὸν σεπτέμβριον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος γεγονὸς σημείωμα. ἀνάγνωθι καὶ ἐκ τῶν κανονικῶν ἐρωταποκρίσεων Τιμοθέου Ἀλεξανδρείας τὴν εʹ. καὶ τὴν ιβʹ. διδασκούσας ἀπέχεσθαι τοὺς πιστοὺς τῆς πρὸς ἀλλήλους ὁμιλίας τὸ σάββατον καὶ τὴν κυριακήν. φησὶ δὲ καὶ ἐν τῇ Μωσαϊκῇ βίβλῳ ἐν ἐξόδῳ ταῦτα, καὶ εἶπε κύριος πρὸς Μωσῆν, καταβὰς διαμάρτυρε τῷ λαῷ τούτῳ, καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται κύριος ἐπὶ τὸ ὄρος Σινᾶ ἐναντίον παντὸς τοῦ λαοῦ. καὶ πάλιν, κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν, καὶ ἡγίασεν αὐτοὺς, καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν, καὶ εἶπε τῷ λαῷ, γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, καὶ μὴ προσέλθητε γυναικί.

ΑΡΙΣΤ. Καὶ γυναικὸς ἤτωσαν ἀπεχόμενοι, ἵνα τῶν αἰτουμένων ἐπιτυγχάνοιεν.

Ὁ μὲν κανὼν οὗτος, καὶ ὁ εἰκοστὸς πέμπτος, συμβιβαζόμενος πρὸς τὸν ἑβδομηκοστὸν κανόνα τῆς παρούσης συνόδου, οὐ φαίνονται ἀπαιτοῦντες τὸν Ἐπίσκοπον, καὶ πρεσβύτερον, καὶ διάκονον διαλύειν τὸν γάμον, καὶ τῶν γυναικῶν αὐτῶν ἀπέχεσθαι τέλεον· ἀλλὰ κατὰ τοὺς ἰδίους καιροὺς ἐγκρατεύεσθαι ἐξ αὐτῶν, ἤγουν ὅτε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ σχολάζουσι, καὶ τὴν τῶν ἁγίων ποιοῦνται μεταχείρισιν. ὁ δὲ δωδέκατος κανὼν τῆς ἐν τῷ τρούλλῳ ἕκτης συνόδου, τοῖς Ἐπισκόποις οὐ συγχωρεῖ ταῖς ἰδίαις γαμεταῖς συνοικεῖν, μετὰ τὴν προελθοῦσαν χειροτονίαν τῆς ἐπισκοπῆς ἐπ' αὐτοῖς, ἀλλὰ διαλύειν τὴν πρὸς αὐτὰς συνάφειαν. τοῦτο δὲ, οὐκ ἐπ' ἀθετήσει τοῦ γάμου, καὶ ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων εἰσάγει. ἀλλ' ἐπὶ προμηθείᾳ τῆς σωτηρίας, καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τοῦ

A in xiii. Canone præſentem Canonem interpretatur, dicens: à Presbyteris & Diaconis vel Subdiaconis, ut à propriis uxoribus abſtineant, exigi tempore contrectationis ſanctorum myſteriorum: & ſubjungens: Quòd ſi quis auſus fuerit Presbyteros vel Diaconos vel Subdiaconos legitimæ uxoris conjunctione & ſocietate privare, deponatur. Canon quoque lxx. præſentis Synodi convincit Latinos de hac re malè ſentientes. Dicit enim; Placuit, ut Presbyteri & Diaconi & Epiſcopi ſecundùm proprios terminos etiam à ſuis uxoribus abſtineant. Ut ex hoc oſtendatur, & Epiſcopos & Presbyteros & Diaconos cum uxoribus vixiſſe. Nec prohibuit B eis Synodus cum ipſis conſuetudinem, niſi ſecundùm proprios terminos, id eſt, in præſtitutis uniuſcujuſque vicis diebus.

ALTERA INTERPRETATIO.

A fœminis abſtinere, non ſolum eos qui ſacris ſunt initiati, ſed etiam omnes fideles ſanctæ participationis tempore, etiam ab Apoſtolo ſtatutum eſt; dicente; Probet quiſque ſeipſum, & ſic de pane edat, & ex calice bibat. Et rurſus; Ne defraudent ſeipſos conjuges, niſi forte ex conſenſu, quando ad ſanctæ C communionis preces accedere voluerint. Porro, & Davidem, & eos qui cum illo erant, cùm Abiatharem Pontificem de panibus propoſitionis commedere petiiſſent, an à cubili mulieris mundi eſſent, prius interrogavit Pontifex. Et quod in divinorum myſteriorum celebratione dicitur; Sancta ſanctis, eandem habet intelligentiam. Qui enim à muliebri concubitu vel aliter polluti ſunt, non ſunt ſancti; nec ideò debent communicare. Quamobrem ex his omnibus colligitur, quòd nec ipſi conjuges quidem, qui corporaliter congreſſi ſunt, eo die ſanctâ communione digni habebuntur. Sanctiſſimus autem ille Patriarcha D dominus Lucas de hoc interrogatus, ſynodaliter pronunciavit, tribus antè diebus à corporali congreſſu abſtinere debere conjuges, qui ſunt divinorum Sacramentorum futuri participes. Quin & ſponſos, qui ipſo nuptiarum die poſt ſanctam participationem congrediuntur, pœnis ſubjecit. Et lege edictum, quod menſe Septembri Indict. ii. factum eſt. Similiter & è canonicis ad quæſtiones reſponſionibus Timothei Alexandrini quintam & duodecimam: quæ fideles à mutuo congreſſu abſtinere Sabbato & Dominica debere decernunt. Quinetiam in libris Moſaicis in Exodo hæc ait; Et dixit Dominus Moſi, deſcende & teſtificare huic populo, & ſanctifica E eum hodie & cras, & lavent veſtimenta, & ſtent parati in diem tertium. Tertio enim die deſcendet Dominus ſuper montem Sina coram toto populo. Et rurſus; Deſcendit autem Moſes de monte ad populum, & ſanctificavit eos, & laverunt veſtimenta ſua; & dixit populo; Eſte parati tribus diebus, & ne accedite ad mulierem.

ARIST. *Et abſtinentes ab uxore poſtulent, ut poſtulata impetrare poſſint.*

Hic & vigeſimus quintus Canon ſeptuageſimo Canoni præſentis Synodi collati non videntur exigere, ut Epiſcopus, Presbyter & Diaconus F conjugium ſolverent, & ab uxoribus omnino abſtinerent; ſed ſecundum propria tempora ſe ab iis continere, nempe quando vel precibus vel jejunio vacant, & ſacra tractant. At duodecimus ſextæ in Trullo Synodi Canon Epiſcopis unà cum ſuis uxoribus habitare non permittit, poſtquam ad Epiſcopatum ordinati fuere; ſed ſolvere cum iis conjunctionem. Hoc autem non in conjugii contemptum, & eorum, quæ Apoſtolicè ſancita fuerunt, everſionem introducit; ſed ob ſalutis & ad meliora populi progreſſionis curam, & ne occaſio reprehendendi Sacerdotalem conſtitutionem daretur. Sed decimus tertius ejuſdem ſextæ Synodi Canon incuſat illud, quod ut in Canonis ordine in Romanorum Eccleſiâ traditur, nempe Diaconos & Presbyteros, qui ordinandi ſunt, profiteri ſe poſtea non amplius uxoribus ſuis conjungi, & mandat legitima hominum ſacratorum conjugia non diſtrahi, ſed firma manere, & non ab invicem diſcedere; ſed tantum propriis terminis ab uxoribus ſuis ſe continere, ut & Apoſtolus tradidit, & iterum convenire.

Canon V.

Avaritiæ cupiditatem, quam omnium malorum matrem eſſe nemo dubitat, reprimere opus eſt; ut nemo alienis terminis abutatur, nec quiſpiam propter lucrum Patrum terminos tranſiliat, neque ut ulli omnino Clerico liceat ex quavis re uſuram accipere: & quæ recens quidem edita, cùm obſcura ſint, & omnino latentia, à nobis conſiderata formam accipient. De quibus autem divina Scriptura apertiſſimè conſtituit, non decernere, ſed illa potiùs ſequi oportet. Conſequenter enim, quod eſt in Laicis reprehendendum, multo magis debet in Clericis condemnari. Univerſa Synodus dixit; Nemo adverſus Prophetas, nemo adverſus Evangelia ſine periculo fecit.

Bals. Quadrageſimus quartus Canon ſanctorum Apoſtolorum, & iiii. Synodi Laodicenæ, Clericos uſuras accipere prohibent. Decimus ſeptimus autem i. Syn. Canon eos depoſitioni ſubjicit. Hos ergo Canones Patres terminos vocantes, avaritiam ac turpe lucrum uſurarum acceptionem nominantes, ſtatuerunt terminos Patrum ſive Canonas, non eſſe tranſgrediendos, nec Clericis ex re qualibet uſuras accipiendas; ſcilicet, non ex pecunia mutuò data, nec ex frumento commodato, nec ex ulla alia ſpecie. Adjecerunt autem, quòd quæ recèns quidem edita ſunt ſeu decreta, ea ſunt obſcura & evanida, ut quæ ignorentur. De quibus autem divina Scriptura conſtituit, ſeu legem tulit, non oportet decernere, ſed ea potiùs, quæ decreta ſunt, ſequi. Divinam autem Scripturam tum ſacros Canones nominant, tum dicta Scripturæ; ut; Non dabis fratri tuo pecuniam ad uſuram; &, Pecuniam ſuam non expoſuit fœnori, & quæ ſunt hujuſmodi. Deinde probant, quomodo turpe eſt & indecorum iis, qui ſacris initiati ſunt, fœnerare; & dicunt, Quòd ſi in Laicis quidem eſt reprehendendum, hoc eſt, vituperandum & vitio vertendum: conſequenter in Clericis debet multo magis condemnari. Ad hæc Synodus dixit, Nemo adverſus Prophetas, nemo adverſus Evangelium ſine periculo fecit: id eſt, quoniam & veteri teſtamento (id enim per Prophetas ſignificabant) & novo (quod per Evangelium oſtendebant) prohibitum eſt fœnerare; nemo quæ in illis prohibita ſunt faciens periculum effugiet. De ſuâ enim dignitate in periculum veniet, hoc eſt, deponetur.

Zonar. Cùm de interdicendo Clericis fœneratitio quæſtu hic Canon acturus ſit, de avaritia primò diſſerit, eamque omnium malorum parentem appellat, continendamque, hoc eſt coërcendam atque amputandam eſſe decernit, ne rès alienas invadat, eiſque abutatur. Abuſum vèro inconceſſum alicujus rei uſum nominavit. Uſus vero rei inconceſſus etiam eſt, aliquid honeſtæ cauſæ prætexentem res alienas auferre. Nam, & qui fœnerant, quaſi qui fœnore accipiunt illud in ſuum commodum convertant, ita ex fœnore lucro ſeſe potiri affirmant. Reſecandam itaque aliter avaritiam autumat, ac, ne lucri cupiditate conſtitutos à Patribus terminos quiſpiam tranſiliat, providendum. Terminos porro Patrum ſacros Can. nominavit. Nam & ſanctorum Apoſtolorum quarto & quadrageſimo Canone, ſacri ordinis hominibus fœnerare ne liceat, conſtitutum. Et primæ Oecumenicæ Synodi decimoſeptimo, qui recenſentur in Canone, ſi fœnus

A λαοῦ, καὶ τῷ μή τινα μῶμον δοῦναι κατὰ τῆς ἱερατικῆς καταστάσεως. ὁ δὲ τρισκαιδέκατος τῆς αὐτῆς ἕκτης Συνόδου κανὼν καὶ ἐπιμέμφεται τὸ, ὡς ἐν τάξει κανόνος ἐν τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ παραδεδομένον, ἤγουν τὸ καθομολογεῖν τοὺς μέλλοντας χειροτονεῖσθαι διακόνους ἢ πρεσβυτέρους οὐκ ἔτι ταῖς αὐτῶν συναφθήσονται γαμεταῖς, καὶ προστάττει τὰ κατὰ νόμους τῶν ἱερατικῶν ἀνδρῶν συνοικέσια μὴ διασπᾶσθαι, ἀλλ' ἐρρῶσθαι, καὶ μὴ χωρίζεσθαι ἀπ' ἀλλήλων, ἀλλ' ἢ μόνον κατὰ τοὺς ἰδίους καιροὺς ἐκ τῶν συμβίων αὐτῶν ἐγκρατεύεσθαι, καθὼς καὶ ὁ ἀπόστολος παραδίδωσι, καὶ πάλιν συνέρχεσθαι.

B ΚΑΝΩΝ ε'.

Τὴν τῆς ἀπληστίας ἐπιθυμίαν, ἣν τῶν κακῶν ἁπάντων μητέρα εἶναι οὐδεὶς ἀμφιβάλλει, δέον ἐπέχειν· ἵνα μήτις τοῖς ἀλλοτρίοις ὅροις κατατρέχηται, μηδὲ ἵνα διὰ κέρδος τοὺς τῶν πατέρων ὅρους τις ὑπερβαίνῃ· μηδὲ ἵνα παντελῶς τινὶ κληρικῷ ἐξὸν εἴη ἀπὸ οἱουδήτινος πράγματος τόκον λαβεῖν. καὶ τὰ μὲν νεωστὶ ἀνενεχθέντα ἀμαυρὰ ὄντα, καὶ καθόλου λανθάνοντα, σκοπούμενα παρ' ἡμῶν τυπωθήσονται. περὶ δὲ ὧν φανερώτατα ἡ θεία γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἕπεσθαι. ἀκολούθως γὰρ τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὀφείλει C καταδικάζεσθαι. σύμπασα ἡ σύνοδος εἶπεν· οὐδεὶς κατὰ τῶν προφητῶν, οὐδεὶς κατὰ τῶν εὐαγγελίων, χωρὶς κινδύνου ἐποίησεν.

ΒΑΛΣ. Ὁ μὲν μδ'. κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ δ'. τῆς ἐν Λαοδικείᾳ, ἀποτρέπουσι τόκους λαμβάνειν τοὺς κληρικούς. ὁ δὲ ιζ'. κανὼν τῆς α'. συνόδου καθαιρέσει καθυποβάλλει αὐτούς. τούτους οὖν τοὺς κανόνας ὅρους καλέσαντες οἱ πατέρες, καὶ ἀπληστίαν καὶ αἰσχροκέρδειαν τὴν τῶν τόκων λῆψιν κατονομάσαντες, διωρίσαντο μὴ ὑπερβαίνειν τοὺς τῶν πατέρων ὅρους, ἤτοι τοὺς κανόνας, καὶ λαμβάνειν τόκους κληρικὸν ἀφ' οἱουδήτινος πράγματος, ἤγουν μήτε ἀπὸ δανείου νομισμάτων, μήτε ἀπὸ δανείου σίτου, ἢ ἑτέρου εἴδους τινός. προσέθεντο δὲ, ὅτι τὰ μὲν D νεωστὶ ἀνενεχθέντα, ἤγουν τυπωθέντα, ἀσαφῆ καὶ σκοτεινά εἰσιν, ὡς ἀγνοούμενα. περὶ ὧν δὲ ἡ θεία γραφὴ ἐθέσπισεν ἤτοι ἐνομοθέτησεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἀκολουθεῖν τοῖς νενομοθετημένοις. θείαν δὲ γραφὴν, τούς τε ἱεροὺς κανόνας ὠνόμασε, καὶ τὰς γραφικὰς ῥήσεις, οἷον τὸ, οὐκ ἐκδώσεις τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου. καὶ, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ ὅσα τοιαῦτα. εἶτα κατασκευάζουσι, πῶς ἄτοπόν ἐστι καὶ αἰσχρὸν τὸ δανείζειν ἐπὶ τόκοις ἱερωμένους· καί φασιν, ὅτι ὅπερ ἐν λαϊκοῖς ἐπιλήψιμόν ἐστι, τουτέστι, ψεκτὸν καὶ διαβαλλόμενον, ἀκολούθως ἐν κληρικοῖς πολλῷ μᾶλλον ὀφείλει καταδικάζεσθαι. πρὸς ταῦτα ἡ Σύνοδος εἶπεν, οὐδεὶς κατὰ τῶν προφη- E τῶν, οὐδεὶς κατὰ τοῦ εὐαγγελίου, χωρὶς κινδύνου ἐποίησεν. ἤγουν, ὅτι ἐπεὶ καὶ τῇ παλαιοτέρᾳ γραφῇ (ταύτην γὰρ διὰ τῶν προφητῶν ᾐνίξαντο) καὶ τῇ νέᾳ, (ἣν διὰ τοῦ εὐαγγελίου ἐνέφηναν,) ἀποτετραμμένον ἐστὶ τὸ τοκίζειν, οὐδεὶς ποιῶν τὰ ἀπηγορευμένα αὐταῖς ἐκφεύξεται τὸν κίνδυνον. κινδυνεύσει γὰρ περὶ τὴν οἰκείαν ἐπιτιμίαν, τουτέστι καθαιρεθήσεται.

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ τοκίζειν κληρικοὺς ὁ κανὼν διατάξασθαι μέλλων, περὶ ἀπληστίας διαλέγεται πρῶτον, καὶ ταύτην εἶναί, φησι, τῶν κακῶν ἁπάντων μητέρα, ἣν καὶ ἐπέχειν ὁρίζει, τουτέστι κωλύειν, ἀνακό- F πτειν, ἵνα μὴ τοῖς ἀλλοτρίοις ἐπεμβαίνῃ, καὶ κατατρέχηται αὐτοῖς. κατάχρησιν δ' ὠνόμασε τὴν παρὰ τὸ δέον χρῆσιν· χρῆσις δὲ παρὰ τὸ δέον ἐστὶ, καὶ τὸ εὐαφόρμως τὰ ἀλλότρια ἀφαιρεῖσθαι. οἱ γὰρ δανείζοντες ἐπὶ τόκοις, ὡς δῆθεν ὠφελούμενοι τῶν δανειζομένων, ἐκ τοῦ δικαίου φασὶ καὶ αὐτοὺς συμμετέχειν τοῦ κέρδους. καὶ ἄλλως δὲ ἀνακόπτειν δεῖ, φησι, τὴν πλεονεξίαν, ἵνα μὴ διὰ κέρδος τοὺς τῶν πατέρων ὅρους τις ὑπερβαίνῃ, ὅρους τῶν πατέρων τοὺς ἱεροὺς κανόνας καλῶν. ὅ τε γὰρ μδ'. κανὼν τῶν ἀποστόλων τὸ δανείζειν τοὺς ἱερωμένους ἐπὶ τόκοις ἀπαγορεύει, καὶ ὁ τῆς πρώτης οἰκουμενικῆς Συνόδου ιζ'. κανὼν, καθαιρέσει καθυποβάλλει καὶ καταδικάζει τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους ἐπὶ τόκοις δανείζοντας, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ Συνόδου δ΄. κανὼν ἀποτρέπει τοῖς ἱερατικοῖς τὸ ἐπὶ τόκοις δανείζειν. τούτους οὖν τοὺς κανόνας ὅρους τῶν πατέρων ἐκάλεσεν. ἀνακοπτέσθω δέ φησιν ἡ ἀπληστία, καὶ ἵνα μὴ ἐξῇ κληρικῷ οἱῳδήτινι τόκον λαμβάνειν ἀπὸ οἱουδήποτε πράγματος. οὐ μόνον γὰρ ἀργύρια δανείζονται, ἀλλὰ καὶ σῖτος καὶ οἶνος καὶ ἔλαιον καὶ μυρία ἕτερα εἴδη. καὶ ὥσπερ ἐπὶ τῶν νομισμάτων συμφωνεῖται δίδοσθαι τόκος, οὕτως καὶ ἐπὶ τῶν εἰδῶν. δανείζων γάρ τις σῖτον τυχὸν μοδίους ἑκατὸν, συμφωνεῖ λαβεῖν μετὰ καιρὸν ὡρισμένον μοδίους ἐπέκεινα τόσους, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἵνα οὖν μὴ περιγράφηται ὁ κανὼν, νομίσματα μὲν μὴ δανειζόντων ἐπὶ τόκῳ τῶν ἱερωμένων, ἐν εἴδεσι δὲ τοῖς τοιούτοις, προσέθεντο οἱ πατέρες, οἱουδήποτε πράγματος. καὶ τὰ μὲν νεωστὶ ἀνενεχθέντα, τουτέστιν ὑπομνησθέντα, φασὶν, ἀμαυρὰ ὄντα, ἤγουν ἀσαφῆ, σκοτεινὰ, ἀγνοούμενα, τυπωθήσονται, ἀντὶ τοῦ ὁρισθήσονται παρ' ἡμῶν σκεπτόμενα, ἃ καὶ ἡ θεία γραφὴ ἐθέσπισεν, ἤτοι ἐνομοθέτησε, διωρίσατο, περὶ ἐκείνων οὐ δεῖ ψηφίζεσθαι, τουτέστιν ἀποφαίνεσθαι, ἀλλὰ καὶ ἕπεσθαι καὶ ἀκολουθεῖν τοῖς νενομοθετημένοις. θείαν δὲ γραφὴν τούς τε ἱεροὺς κανόνας ὠνόμασε τὰς γραφικὰς ῥήσεις, τὸ οὐκ ἐκτοκιεῖς τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου, καὶ τὸ, ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ ὅσα τοιαῦτα. εἶτα καὶ κατασκευάζουσι πῶς ἄτοπόν ἐστι καὶ αἰσχρὸν τὸ δανείζειν ἐπὶ τόκοις τοὺς ἱερωμένους, καί φασιν, ὅτι ὅπερ ἐν λαϊκοῖς ἐπιλήψιμόν ἐστιν, ἤγουν ψεκτὸν καὶ διαβαλλόμενον, ἀκολούθως ἐν κληρικοῖς πολλῷ μᾶλλον ὀφείλει καταδικάζεσθαι. πρὸς ταῦτα ἡ σύνοδος εἶπεν, οὐδεὶς κατὰ τῶν προφητῶν, οὐδεὶς κατὰ τοῦ εὐαγγελίου χωρὶς κινδύνου ἐποίησεν. τοῦτο δ' ἐστὶν ὃ εἶπον· ὅτι ἐπεὶ καὶ τῇ παλαιοτέρᾳ γραφῇ, ταύτην γὰρ διὰ τῶν προφητῶν ᾐνίξατο· καὶ τῇ νέᾳ, ἣν διὰ τοῦ εὐαγγελίου ἐνέφηναν, ἀποτετραμμένον ἐστὶ τὸ τοκίζειν· οὐδεὶς ποιῶν τὰ ἀπηγορευμένα αὐταῖς ἐκφεύξεται τὸν κίνδυνον. κινδυνεύσει γὰρ περὶ τὴν οἰκείαν ἐπιτιμίαν, τουτέστι καθαιρεθήσεται.

ΑΡΙΣΤ. Τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, ὁποῖόν ἐστι τὸ τοκίζειν, πολλῷ μᾶλλον ἐν κληρικοῖς καταδικάζεται.

Καὶ ὁ τεσσαρακοστὸς δεύτερος ἀποστολικὸς κανὼν, καὶ ὁ ἑπτακαιδέκατος τῆς ἐν Νικαίᾳ συνόδου τὸ πρῶτον, καὶ ὁ δέκατος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τὸν ἀπαιτοῦντα τόκους πρεσβύτερον ἢ διάκονον, καὶ μὴ παυόμενον, τῇ καθαιρέσει καθιστῶσιν ὑπόδικον. εἰ γὰρ παρὰ λαϊκῶν τοῦτο γινόμενον ἐπιμεμπτόν ἐστι, καὶ αἰσχροκερδείας καὶ πλεονεξίας μῶμον αὐτοῖς ἐπιτρίβει, καὶ οὐδὲ εἰς ἱερωσύνην παραδέχονται, εἰ μὴ τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλώσουσι, καὶ ὑποσχεθῶσι μηκέτι τῷ τοιούτῳ τῆς φιλοχρηματίας νοσήματι ἐμπεσεῖν, κατὰ τὸν ιδ΄. τοῦ μεγάλου Βασιλείου κανόνα· πολλῷ μᾶλλον ἐν κληρικοῖς ὑπὸ καταδίκην ἔσται.

ΚΑΝΩΝ ϛ΄.

Ἐν ταῖς προλαβούσαις συνόδοις μεμνήμεθα ταῦτα ὁρισθέντα, ὥστε χρίσμα ἢ καταλλαγὴν μετανοούντων ἢ κορῶν καὶ ναῶν καθιέρωσιν ὑπὸ πρεσβυτέρων μὴ γίνεσθαι. ἐὰν δέ τις ἀναφανῇ τοῦτο πράττων, τί δεῖ περὶ τούτου ὁρίσαι; Αὐρήλιος Ἐπίσκοπος εἶπε· τὸ ὑμέτερον ἀξίωμα ἤκουσε τὸ ἀνενεχθὲν παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Φορτουνάτου. τί πρὸς ταῦτα λέγετε; ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη, χρίσματος ποίησιν, καὶ κορῶν καθιέρωσιν, ὑπὸ πρεσβυτέρων μὴ γίνεσθαι· μήτε δὲ καταλλάξαι τινὰ εἰς δημοσίαν λειτουργίαν πρεσβυτέρῳ ἐξεῖναι, τοῦτο πᾶσιν ἀρέσκει.

ΒΑΛΣ. Χρίσματος ποίησίς ἐστιν ἡ τοῦ ἁγίου μύρου τελετή· καταλλαγὴ μετανοούντων, τὸ δέχεσθαι λογισμοὺς ἁμαρτανόντων, καὶ λύειν τοὺς ἴσως ἐπιτιμηθέντας ἐκ τοῦ ἐπιτιμίου. καταλλάσσει γὰρ τούτους ὁ ψυχικὸς ἰατρὸς μετὰ τοῦ Θεοῦ,

A exerceant, depoſitione mulctantur & condemnantur. Et Laodic. Syn. iiii. Canon ſacris initiatos rem aliquam fœnore locare omnino vetat. Hos ergo Can. Patrum terminos nuncupavit. Reſecetur vero, inquit, inexplebilis habendi cupiditas, ut ne Clerico cuiquã uſuras, quacunque demum ex re, percipere ullo modo liceat. Nec enim pecunia ſolummodo, ſed frumentum quoque, vinum & oleum, aliaque rerum genera innumerabilia fœnori locãtur. Et quemadmodum in pecunia, ita ex condicto uſuræ in aliis rerum generibus exiguntur. Datis nempe quiſpiam, exempli cauſa, mutuis centum frumenti modiis, præfinito tempore elapſo centum ſe inſuper modiorum numerum acceptorũ paciſcitur; idque in aliis eodem B modo. Ne quis igitur eſſet in adulterando Can. fraudi locus, ita ut à pecunia quidem fœneranda, non tamen ab uſuris ex aliarum rerum mutuatione colligendis ſacrati homines abſtinerent; idcirco Patres, ne ex quacunque re demũ uſuras percipere liceat, addidere. Ac ea quidem, inquiũt, quæ relata nuper, hoc eſt, nobis ſignificata ſunt, obſcura quippe, id eſt, incerta, involuta tenebris & ignota, efformabuntur, hoc eſt, à nobis accuratè meditata definientur: quæ vero divinæ Scripturæ oraculis præſcripta, ſive conſtituta, decreta ſunt, nihil de iis quidquam decernere, hoc eſt, conſtituere; ſed ea, quæ jam definita ſunt, ſequi ac ſer-C vare oportet. Divinæ porro ſcripturæ appellatione ſacros Can. ac Scripturæ teſtimonia ſignificavit, quale illud eſt; Non dabis fratri tuo pecuniam ad uſuram; Et illud, Pecuniam ſuam non dedit ad uſuram, & quæcunque alia hujuſmodi reperiuntur. Hinc rationem quoque, cur ſacratis hominibus fœnerare indecorum ac turpe ſit, explicant. Quod enim in Laicis, inquiunt, anſam reprehenſionis præbet, hoc eſt, vituperationi criminationique obnoxium eſt; multo magis in Clericis fuerit condemnandum. Ad hæc Syn. neminem adverſus prophetas, neminem adverſus Evangelia ſine periculo feciſſe, pronunciavit. Quod quidem ita accipiendum eſt. Quoniam, inquiunt, & veteri D Teſtamento, id namque per Prophetas indicavere; & novo, quod per Evangelium intelligi volunt, fœnerare ne liceat interdictum eſt; neminem, qui contra ea quidquam admiſerit, à periculo immunem eſſe; verùm de dignitate in periculum venire, hoc eſt, depoſitione mulctari placet.

Ariſt. *Quod in Laicis reprehenditur, cujuſmodi eſt uſuram accipere, in Clericis multo magis condemnatur.*

Et quadrageſimus ſecundus Canon Apoſtolicus, & decimus ſeptimus i. Synodi Nicænæ, & decimus ſextæ in Trullo Synodi, Presbyterum vel Diaconum, qui uſuras exigit, & non ceſſat, depoſitioni reddit obnoxium. Si enim E hoc etiam à Laicis factum culpandum eſt; & lucri turpis ſtudii & avaritiæ infamiam iis infert, & nec ad ſacerdotium admittuntur, niſi injuſtum lucrum pauperibus impendant, & promittant ſe non amplius in iſtum avaritiæ vitium incidere, ſecundum xiiii. magni Baſilii Canonem: multo magis in Clericis condemnandum eſt.

Canon VI.

In prioribus Synodis hæc fuiſſe conſtituta meminimus, ut Chriſma, vel pænitentium reconciliatio, vel puellarum & templorum conſecratio, à Presbyteris non fiat. Si quis F *autem hoc facere compertus fuerit, quid de eo ſtatuere oportet? Aurelius Epiſcopus dixit; Dignitas veſtra audivit quod à fratre & noſtro in ſacris comminiſtro Fortunato prolatũ eſt; quid ad ea dicitis? Ab omnibus Epiſcopis dictum eſt; Chriſmatis confectio, & puellarum conſecratio, à Presbyteris ne fiat: nec aliquẽ publico rei ſacræ myſterio reconciliare Presbytero liceat; hoc omnibus placet.*

Bals. Chriſmatis confectio eſt ſancti unguenti myſtica peractio. Reconciliatio pœnitentium eſt eorum, qui peccant, confeſſiones audire, & eos à pœna ſolvere, quibus pœna forte injuncta eſt. Medicus enim animæ eos Deo conciliat, per pœnitentiam & ad id quod melius eſt converſionem. Puellarum autem conſecratio, non eſt diaconiſſarum per manuum impoſitionem ordinatio; ſed mos erat puellas virginitatem profitentes ad Eccleſiam adduci, & eas Epiſcopi, ut Deo dedicatas, per preces conſecrabant, earumq; cuſtodiæ curam gerebant: ut ex xliiii. Can. præſentis Synodi declaratur. Hæc ergo à Presbyteris fieri prohibuit Synodus; quemadmodum & templorum conſecrationem: & eorum facultatem dedit antiſtitibus. Illud autem, publico rei ſacræ miniſterio reconciliare; eſt ejuſmodi. Ii, quibus pœna injuncta eſt, quique arceantur ab Eccleſia, non permittuntur cum fidelibus conſiſtere: ſed per ſe Deum laudare non prohibentur. Quando autem à pœna abſoluti fuerint, tunc conſiſtunt cum fidelibus, & publicè ſeu palam Deum cum populo laudant. Lege & xliii. Can. præſentis Syn. nec tibi repugnare videatur lii. Can. Apoſtolicus, qui dicit Epiſcopos & Presbyteros ſuſcipere eos qui convertuntur. Sed dic, iſtos Presbyteros Epiſcoporum adhortatione pœnitentes ſuſcipere. Quare nota, quòd, qui ſine Epiſcopali permiſſione hominum cõfeſſiones excipiunt, ſacrati Monachi, malè faciunt: multò autem magis profani. Ii enim nec cum adhortante Epiſcopo poſſunt tale quidquam exercere. Et ideo Synodalis quoque declaratio facta eſt, ex ſupplicatione venerabilis Monaſterii Euergetidis; quòd, quoniã ſtatutum Monaſterii decernit eum, qui ſtatis temporibus ejus præfectus eſt, Monachorum confeſſiones audire, profano autem non permittitur confeſſiones excipere; neceſſariò ſequitur præfectum eſſe Sacerdotem. Præfecti autem, ut ſæpe diximus, homines profani fiunt. Nam & mulieres quoque Monaſteriis præficiuntur; ſed hominum confeſſiones non audiunt. His ita ſe habentibus, dicunt aliqui, quòd, quoniam ab Antiſtitibus fit puellarum conſecratio, non licebit Monaſterii præfecto, qui eſt ſacratus, vel ſimpliciter Sacerdoti Monacho, quemvis Monachum tondere ſine Epiſcopali permiſſione. Idem enim eſt puellarum conſecratio & Monachorum tonſura. Mihi autem videtur, Sacerdotes præfectos poſſe citra ullum impedimentum tondere, etiam ſine Epiſcopali permiſſione. Si enim xiiii. Can. vii. Syn. præfecto permittit etiam Lectoris characterem in proprio Monaſterio facere: multo magis ei tondere permiſit. Et lege quæ in eo ipſo xiiii. Can. ſcripta ſunt. Qui autem ſunt ſimpliciter Sacerdotes Monachi, ob præſentem Can. tonſuras cum ſcientia Epiſcopi facere debent: niſi quis fortè hoc quoque ſola Monachi Sacerdotis voluntate fieri velit, ex longa conſuetudine, quæ pro lege & Canone hucuſque obtinuit.

ZONAR. Chriſmatis confectio eſt ſacri olei ex myſtico ceremoniarum ritu conſecratio. Pœnitentium vero reconciliatio fit, cum quiſpiam crimen confeſſus, poſtquam inter pœnitentes egit, mulctámque perſolvit, à pœna in futurum tempus abſolvitur. Tanquam enim is forte jam ſatis ſupplicii luerit, vel etiam quia definitum tempus impleverit, ac ſatis magnum animi dolorem pro ratione criminis indicarit, à pœna liberatur, eique vel cum fidelibus conſiſtere, vel ſacris etiam myſteriis communicare permittitur. Deo enim quodammodo conciliat eum Antiſtes, intercedente pœnitentia, ac in Eccleſia cum fidelibus conſtituit, atque ad ſanctorum communicationem admittit. Conciliatur præterea quis aliquando, licet pœnitentiæ tempore nondum elapſo, ſi de vita videlicet in periculum veniat; ut de hac re Canon in ſequentibus diſſerit. Virgines porro conſecrare non idem eſt, ac diaconiſſas manuum impoſitione conſtituere; verum antiqui moris fuit, puellas, quæ virginitatem profiterentur & caſtimoniam voverent, in templo ſiſtere, quas Epiſcopi adhibitis precationibus, veluti Deo dicatas, conſecrabant, earumque cuſtodiæ ac inſtitutionis, poſtquam à parentibus ſeceſſiſſent, curam ipſi ſuſcipiebant; ut ex quarto & quadrageſimo hujus Synodi Canone facile apparet.

A διὰ τῆς μετανοίας καὶ τῆς πρὸς τὸ κρεῖττον ἐπιστροφῆς. κορῶν δὲ καθιέρωσις, οὐχὶ διακονισσῶν χειροθεσία ἐστὶν, ἀλλ' ἔθος ἦν, κόρας προσάγεσθαι τῇ ἐκκλησίᾳ παρθενίαν ὁμολογούσας, καὶ ταύτας οἱ ἐπίσκοποι δι' εὐχῶν καθιέρουν, ὡς ἀνατεθείσας τῷ θεῷ, καὶ ἐκεῖνοι ἐφρόντιζον τῆς φυλακῆς αὐτῶν. καθὼς δηλοῦται ἀπὸ τοῦ μδ΄. κανόνος τῆς παρούσης συνόδου. ταῦτα οὖν γίνεσθαι παρὰ πρεσβυτέρων ἡ σύνοδος ἀπηγόρευσεν. ὥσπερ καὶ τὴν τῶν ναῶν καθιέρωσιν· καὶ δέδωκε τὴν ἐξουσίαν αὐτῶν τοῖς ἀρχιερεῦσι. τὸ δὲ καταλλάξαι εἰς δημοσίαν λειτουργίαν, τοιοῦτόν ἐστιν. οἱ ἐπιτιμηθέντες, καὶ τῆς ἐκκλησίας εἰργόμενοι, οὐ παραχωροῦνται συνίστασθαι μετὰ τῶν πιστῶν· καθ' ἑαυτοὺς δὲ ὑμνεῖν τὸν θεὸν οὐ κωλύονται. B ὅτε δὲ τοῦ ἐπιτιμίου λυθῶσι, τότε συνίστανται τοῖς πιστοῖς, καὶ δημοσίᾳ ἤγουν φανερῶς ὑμνοῦσι τὸν θεὸν μετὰ τοῦ δήμου. ἀνάγνωθι καὶ τὸν μγ΄. κανόνα τῆς παρούσης συνόδου· καὶ μὴ ἐναντιωθῇ σοι ὁ νβ΄. ἀποστολικὸς κανὼν, λέγων τοὺς Επισκόπους καὶ τοὺς πρεσβυτέρους δέχεσθαι τοὺς ἐπιστρέφοντας. ἀλλ' εἰπὲ καὶ τούτους τοὺς πρεσβυτέρους κατὰ προτροπὴν τῶν ἐπισκόπων δέχεσθαι τοὺς μετανοοῦντας. ὥστε σημείωσαι, ὅτι οἱ χωρὶς ἐπιτροπῆς Επισκοπικῆς δεχόμενοι λογισμοὺς ἀνθρώπων ἱερώμενοι μοναχοὶ, κακῶς ποιοῦσι· πολλῷ δὲ πλέον οἱ ἀνίεροι. οὗτοι γὰρ οὐδὲ μετὰ προτροπῆς ἐπισκοπικῆς δύνανται τοιοῦτόν τι ἐνεργῆσαι. διὸ καὶ σημείωμα γέγονε Συνοδικὸν ἐκ προσελεύσεως τοῦ μέρους τῆς C Σεβασμίας μονῆς τῆς Εὐεργέτιδος, ὡς ἐπεὶ τὸ τυπικὸν τῆς μονῆς διορίζεται, δέχεσθαι τὸν κατὰ καιροὺς καθηγούμενον αὐτῆς τοὺς λογισμοὺς τῶν μοναχῶν, οὐκ ἔξεστι δὲ ἀνιέρῳ δέχεσθαι λογισμοὺς ἐξ ἀνάγκης ἕπεται τὸν εἶναι τὸν καθηγούμενον ἱερέα. ἡγούμενοι δὲ, ὡς πολλάκις εἴπομεν, ἀνίεροι γίνονται. ὅτι καὶ γυναῖκες ἡγουμενεύουσι μὲν, λογισμοὺς δὲ ἀνθρώπων οὐ δέχονται. τούτων οὕτως ἐχόντων, λέγουσί τινες, ὡς ἐπεὶ παρὰ ἀρχιερέων ἡ τῶν κορῶν καθιέρωσις γίνεται, οὐκ ἔσται ἐπ' ἀδείας ἱερωμένῳ καθηγουμένῳ ἢ ἁπλῶς ἱερεῖ μοναχῷ, ἀποκείρειν οἱονδήτινα μοναχὸν χωρὶς Επισκοπικῆς ἐπιτροπῆς. ταυτὸν γάρ ἐστιν ἡ τῶν κορῶν καθιέρωσις καὶ ἡ τῶν μοναχῶν ἀπόκαρσις. ἐμοὶ δὲ δοκεῖ ἀπαρεμποδίστως τοὺς ἱερεῖς καθηγουμένους ἀποκείρειν καὶ δίχα ἐπιτροπῆς D Επισκοπικῆς. εἰ γὰρ ὁ ιδ΄. κανὼν τῆς ζ΄. Συνόδου ἐκχωρεῖ τῷ καθηγουμένῳ καὶ σφραγῖδα ἀναγνώστου ποιεῖν εἰς τὴν οἰκείαν μονὴν, πολλῷ πλέον ἐξεχώρησεν αὐτῷ ποιεῖν τὴν ἀπόκαρσιν. καὶ ἀνάγνωθι τὰ ἐν τῷ αὐτῷ ιδ΄. κανόνι γραφέντα. οἱ δὲ ἁπλῶς ἱερεῖς μοναχοὶ, ὀφείλουσι τὰς ἀποκάρσεις ποιεῖν μετὰ εἰδήσεως Επισκοπικῆς διὰ τὸν παρόντα κανόνα. εἰ μήπου τις καὶ τοῦτο θελήσει γίνεσθαι κατὰ μόνην τοῦ μοναχοῦ ἱερέως θέλησιν, ἀπὸ τῆς μακρᾶς συνηθείας τῆς ἀντὶ νόμου καὶ κανόνος κρατούσης μέχρι τοῦ νῦν.

ΖΩΝΑΡ. Χρίσματος ποίησις, ἡ ἐπὶ τῷ ἁγίῳ E μύρῳ ἐστὶ τελετή. καταλλαγὴ δὲ μετανοούντων τὸ λῦσαι τὸν ἐξομολογησάμενον τοῦ ἐπιτιμίου, καὶ ἐν μετανοίᾳ γενόμενον, καὶ ἐπιτιμηθέντα. ὡς γὰρ ἤδη ἱκανῶς ἴσως ὁ τοιοῦτος δουλεύσας τῷ ἐπιτιμίῳ, ἢ καὶ τὸν ὡρισμένον πληρώσας χρόνον, καὶ ἀνάλογον ἐπιδειξάμενος τὴν μετάνοιαν, λύεται τοῦ ἐπιτιμίου, καὶ ἢ συνεστάναι τοῖς πιστοῖς παραχωρεῖται, ἢ καὶ τῶν ἁγιασμάτων μεταλαμβάνειν. καταλλάττει γὰρ ὥσπερ αὐτὸν τῷ θεῷ ὁ ἀρχιερεὺς διὰ τῆς μετανοίας, καὶ οὕτω συνίστησιν αὐτὸν τοῖς πιστοῖς ἐν τῇ ἐκκλησίᾳ, καὶ τῶν ἁγιασμάτων καταξιοῖ· ἢ καὶ, ἔτι τοῦ χρόνου τῆς μετανοίας ἐπιδαψιλευο- F μένου καταλλάττεται, ἔστιν ὅτε, ὅτε δηλαδὴ περὶ τὴν ζωὴν κινδυνεύει, ὡς φησι περὶ τούτου ὁ ἐφεξῆς κανών· κορῶν δὲ καθιέρωσις, οὐχὶ διακονισσῶν χειροθεσία ἐστὶν, ἀλλ' ἔθος ἦν προσάγεσθαι κόρας ταῖς ἐκκλησίαις παρθενίαν ὁμολογούσας, καὶ ἁγνεύειν ὑπισχνουμένας, καὶ ταύτας οἱ ἐπίσκοποι δι' εὐχῶν καθιέρουν, ὡς ἀνατεθείσας τῷ θεῷ, καὶ ἐκεῖνοι ἐφρόντιζον τῆς φυλακῆς καὶ ἀναγωγῆς αὐτῶν, μετὰ τὸ χωρισθῆναι αὐτὰς ἐκ τῶν πατέρων αὐτῶν, καθὼς δηλοῖ ὁ μδ΄. κανὼν τῆς παρούσης συνόδου.

ταῦτα οὖν γίνεσθαι παρὰ πρεσβυτέρων ἀπηγόρευσεν ἡ σύνοδος. παρὰ γὰρ ἀρχιερέων καὶ τὸ ἅγιον χρῖσμα τελεῖται καὶ ἁγιάζεται, καὶ καταλλαγὴ μετανοούντων γίνεται. οἷς γὰρ δεσμεῖν δέδοται, τούτοις καὶ τὸ λύειν ἐπιτέτραπται. καὶ ἅμα διακρίσεως ἀκριβοῦς χρεία εἰς τὸ γνῶναι, εἰ ἐκ ψυχῆς μετενόησε καὶ ἀρκούντως ὁ ἁμαρτήσας, πρὸς ἃ ὁ πρεσβύτερος ἴσως οὐχ ἱκανὸς ἔσται. καὶ ἡ κορῶν καθιέρωσις παρὰ ἀρχιερέων γίνεσθαι διατέτακται, ἵνα εἴδησιν ἔχων, ὅτι καθιερώθησαν, φροντίζῃ καὶ τῆς αὐτῶν διαγωγῆς τε καὶ φυλακῆς ἕκαστος τῶν ἐπισκόπων. τὸ δὲ καταλλάξαι εἰς δημοσίαν λειτουργίαν τοιοῦτόν ἐστιν, οἱ ἐπιτιμηθέντες καὶ τῆς ἐκκλησίας εἰργόμενοι, ἐν ταῖς συνάξεσι μὲν μετὰ τῶν πιστῶν οὐ παραχωροῦνται συνίστασθαι, καθ' ἑαυτοὺς δὲ ὑμνεῖν τὸν θεὸν καὶ δέεσθαι αὐτοῦ οὐ κωλύονται· ὅτε δὲ τοῦ ἐπιτιμίου λυθῶσι, τότε συνίστανται τοῖς πιστοῖς, καὶ δημοσίᾳ, ἤγουν μετὰ τοῦ δήμου τῶν πιστῶν, τοῦ πλήθους δηλαδὴ λειτουργοῦσιν, ἀντὶ τοῦ φανερῶς ὑμνοῦσι τὸ θεῖον, καὶ λατρεύουσι τῷ θεῷ. ἐξείληπται γὰρ τὸ λειτουργεῖν καὶ ἐπὶ λατρείας καὶ ὕμνου.

ΑΡΙΣΤ. Καὶ χρίσματος ποίησις, ἤγουν μύρου κατασκευὴ, κορῶν καθιέρωσις, καὶ καταλλαγή τινος εἰς δημοσίαν λειτουργίαν, ἀπὸ πρεσβυτέρων μὴ γινέσθω.

Τὴν τοῦ ἁγίου μύρου κατασκευὴν, καὶ τελείωσιν, καὶ τὴν καθιέρωσιν τῶν παρθένων, καὶ τὴν τελείαν καταλλαγὴν τῶν ἐν μετανοίᾳ, ὥστε αὐτοὺς δημοσίᾳ μετὰ τῶν πιστῶν συνίστασθαι, καὶ τῶν θείων μεταλαμβάνειν ἁγιασμάτων, πρεσβυτέρους οὐ συγκεχώρηται ποιεῖν· ἀλλὰ παρ' ἐπισκόπου ταῦτα ὀφείλουσι γίνεσθαι.

ΚΑΝΩΝ ζ'.

Ἐάν τις ἐν κινδύνῳ καθεστὼς αἰτήσῃ ἑαυτὸν καταλλαγῆναι τοῖς ἱεροῖς θυσιαστηρίοις, τοῦ ἐπισκόπου ἀπόντος, ὀφείλει εἰκότως ὁ πρεσβύτερος ἐρωτῆσαι τὸν ἐπίσκοπον, καὶ οὕτως τὸν ἐν κινδύνῳ καταλλάξαι κατὰ τὴν ἐκείνου παραγγελίαν. τοῦτο δὲ τὸ πρᾶγμα ὀφείλομεν σωτηριώδει βουλῇ κυρῶσαι. ἡ σύνοδος εἶπεν, ἀρκεῖ ὅπερ ἡ ὑμετέρα ἁγιωσύνη ἀναγκαίως ἡμᾶς ὠφελῆσαι κατηξίωσεν.

ΒΑΛΣ. Καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἐναργῶς ἀναφαίνεται, μὴ ἐξεῖναι τοῖς ἱερεῦσιν ἐξομολογήσεις ἀνθρώπων ἀναδέχεσθαι, καὶ συγχωρεῖν ἁμαρτίας, χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς. φησὶ γὰρ, ἐὰν κινδυνεύῃ τις περὶ τὴν ζωὴν, καὶ ζητήσῃ καταλλαγῆναι ἤγουν παραχωρηθῆναι εἰς μετάληψιν τῶν θείων ἁγιασμάτων μετὰ ἐξομολόγησιν (ἄπεστι δὲ ὁ ἐπίσκοπος) οὐ δύναται ἱερεὺς καταλλάξαι τοῦτον· ἀλλ' ὀφείλει ἐρωτᾷν τὸν ἐπίσκοπον τὸν ἐπέχοντα τόπον ἀποστόλου, καὶ λαβόντα ἐξουσίαν ἀπὸ θεοῦ δεσμεῖν τε καὶ λύειν, καὶ μετὰ προτροπῆς αὐτοῦ ποιεῖν τὴν καταλλαγὴν, ἐὰν τέως ἐστὶν εὐχερὲς γενέσθαι τὴν ἐρώτησιν. εἰ γὰρ ἄπεστι μακρὰν ὁ ἐπίσκοπος, καὶ ὁ θάνατος ἐφίσταται, καὶ χωρὶς τοῦ ἐρωτηθῆναι τὸν ἐπίσκοπον δοθήσεται καταλλαγὴ παρὰ τοῦ ἱερέως, κατὰ τὸν μγ'. κανόνα τῆς παρούσης συνόδου. εἰ γοῦν οὐδὲ ἐπιτελεύτιον καταλλαγὴν χωρὶς ἐπισκοπικῆς ἐπιτροπῆς ὁ ἱερεὺς δίδωσι, ὡς μηδὲ ἐξουσίαν ἔχων τοῦ δεσμεῖν καὶ λύειν, πολλῷ πλέον ἐξομολόγησιν οὐ δέξεται ὑγιαίνοντος. τούτων δὲ οὕτως ἐχόντων, καὶ τοῦ ϛ'. κανόνος μὴ παρακελευσαμένου τί ὀφείλει γίνεσθαι εἰς τὸν ἱερέα τὸν δίχα ἐπιτροπῆς ἐπισκόπου δεξάμενον λογισμοὺς, κατὰ τὴν ἐρώτησιν τοῦ Φουρτουνάτου, ἀλλὰ μηδὲ τοῦ παρόντος κανόνος περὶ τούτου τι διοριζομένου· εἶπόν τινες παρὰ τῇ ἐπισκοπικῇ διακρίσει ἀνακεῖσθαι τὴν κόλασιν τοῦ παραβάτου τοῦ κανόνος. ὁ δὲ ἁγιώτατος ἐκεῖνος πατριάρχης κυρὸς Μιχαὴλ, ὁ γεγονὼς ὕπατος τῶν φιλοσόφων, ἔλεγεν ὀφείλειν καθαιρεῖσθαι τὸν τοιοῦτον ἱερέα, κατὰ τοὺς κανόνας τοὺς διοριζομένους καθαιρεῖσθαι τοὺς παρ' ἐνορίαν ἐνεργοῦντας ἱερατικόν τι, καὶ τοὺς παραβάτας τῶν κανόνων.

A Hæc ergo à Presbyteris fieri Synodus vetuit. Per Antiſtites enim & ſanctum chriſma ſolenni ritu conficitur & ſanctificatur, & pœnis obnoxii conciliantur. Quibus enim ligandi, iiſdem & ſolvendi poteſtas permiſſa eſt. Solerti præterea judicio eſt opus, ut, an ex animo doleat, qui peccavit, & ſatis ſupplicii luerit, inveſtiges; ad quæ providenda minus idoneus forte Sacerdos fuerit. Virgines quoque per Antiſtites conſecrari decretum eſt, ut cum eas initiatas eſſe Epiſcopi nôrint, earum inſtitutioni & cuſtodiæ ſinguli deſerviant. Quod autem dicitur, Ad publicum rei ſacræ miniſterium conciliare, id vero eſt ejuſmodi; B Quibus mulctæ indictæ ſunt, quique ab Eccleſia arcentur, iis in conventu fidelium conſiſtere haudquaquam licet; privatim tamen divinis laudibus ac precationi vacare minime prohibentur. Ubi verò pœnæ obnoxii eſſe deſierint, tunc ad fidelium congreſſum admittuntur, & publicè, hoc eſt, cum populo, fidelium videlicet multitudine, rei ſacræ miniſterio vacant, hoc eſt, luce palam divinis laudibus ac venerationi inſerviunt. Hoc loco namque veneratio & laudes per rei ſacræ miniſterium ſignificantur.

Ariſt. *Et chriſmatis confectio, ſive unguenti præparatio, puellarum conſecratio, & reconciliatio cujuſpiam ad ſacra publicè celebranda, à Presbyteris ne fiat.* C

Sancti chriſmatis præparationem, & perfectionem, & conſecrationem virginum, & perfectam eorum, qui pœnitentiam agunt, reconciliationem, ut illi publicè cum fidelibus conſiſtant, & divinorum Sacramentorum fiant participes, Presbytero facere non permittitur: ſed ea ab Epiſcopo fieri debent.

Canon VII.

Si quis in periculo conſtitutus ſeipſum ſacris altaribus, abſente Epiſcopo, reconciliare petiverit, jure debet D *Presbyter Epiſcopum conſulere; & ſic periclitantem ex ejus præcepto reconciliare. Hanc autem rem ſalutari conſilio confirmare debemus. Synodus dixit; Sufficit, quod veſtra ſanctitas nos neceſſariò juvare æquum cenſuit.*

Bals. Confeſſiones hominum audire & peccata remittere, ſine Epiſcopali permiſſione, ſacerdotibus non licere, ex præſenti quoque canone evidenter oſtenditur. Dicit enim; Si quis in periculo mortis fuerit conſtitutus, & petiverit reconciliari, id eſt, ſibi permitti, ut poſt confeſſionem divinorum Sacramentorum ſit particeps (abeſt autem Epiſcopus) non poteſt Sacerdos eum reconciliare: E ſed interrogare debet Epiſcopum, qui obtinet locum Apoſtoli, & ligandi ac ſolvendi poteſtatem à Deo accepit, & ejus hortatu facere reconciliationem; ſi modò expeditum ſit interrogationem fieri. Si enim longè abeſt Epiſcopus, & mors imminet, etiam abſque interrogatione Epiſcopi dabitur reconciliatio à Sacerdote, ſecundùm xliii. can. præſentis Synodi. Si ergo nec extremam quidem reconciliationem dat Sacerdos abſque Epiſcopali permiſſione, ut qui ligandi & ſolvendi poteſtatem non habeat; multò magis nec ſani confeſſionem recipiet. F His autem ita ſe habentibus, & cùm vi. canon non ſtatuat, quid in Sacerdotem, qui ſine permiſſione Epiſcopi confeſſiones audivit, ſecundùm Fortunati interrogationem fieri debeat; ſed nec præſens canon quidquam de eo decernat: dixerunt quidam, Epiſcopali judicio relinqui ſupplicium ejus, qui canonem tranſgreſſus eſt. Sanctiſſimus autem ille Patriarcha dominus Michaël, qui fuit ſupremus Philoſophorum, dicebat eum Sacerdotem deponi debere, ſecundùm canones qui ſtatuunt, deponendos eſſe eos, qui ultra provinciam aliquid ſacerdotale exercent, & canonum tranſgreſſores.

Zonar. Hic quoque judicandi facultatem penes A Epiſcopos canon eſſe decernit. Si quis enim, inquit, vel ex morbo, vel ex alia cauſa de vitâ periclitetur, qui pœnis luendis ſit addictus, atque à ſancto altari procul arceatur, is vero altaribus ſacris conciliari, hoc eſt, ad divinam communicationem Epiſcopo abſente admitti poſtulet; Presbyter, inquit canon, Epiſcopum conſulere, ac eum, qui in periculo verſatur, ex illius præcepto conciliare debet. Merito autem à pœnis liberandi poteſtas Epiſcopis adjudicata fuit, cum ob explicatam rationem, tum quia ſummis Sacerdotibus, quos penes ligandi ac ſolvendi auctoritas eſt, propriè verborum illa prolatio convenit. B Quinimò Monachi quoque, qui hoc tempore confeſſiones excipiunt, niſi Epiſcopo concedente id faciant, neque ligandi neque ſolvendi ullam facultatem habent. Sacris enim Apoſtolis ea poteſtas à Chriſto data. In Apoſtolorum porro locum ſummi ſacerdotes ſubſtituti atque ſuffecti ſunt.

Arist. *Sacerdos quempiam in periculo conſtitutum ſacris altaribus reconciliare cupiens, Epiſcopum conſulat; & quod ei viſum eſt, faciat.*

Canon anteſcriptus ab Epiſcopo fieri reconciliationem mandavit: at præſens etiam à Presbyteris cum Epiſcopi voluntate eam fieri jubet. C

CANON VIII.

De iis qui majores natu criminantur, & ut nulli, cujus vita infamia laborat, liceat Epiſcopum accuſare. Numidius Epiſcopus Mazulitanus dixit; Sunt multi non bonæ converſationis, qui exiſtimant majores natu & Epiſcopos debere paſſim & temere reos agi: eóſne oportet admittere, an non? Aurelius Epiſcopus dixit; Placet ergo dilectioni veſtræ eos, qui aliquibus ſceleribus illaqueati ſunt, accuſationis vocem adverſus patres edere? Ab omnibus Epiſcopis dictum eſt; Si D *quis infamia loboret, ne admittatur.*

Bals. Sextus canon univerſalis ſecundæ Synodi ſtatuit, non eſſe omnes ad Epiſcoporum & Clericorum accuſationes admittendos: ſed eos ſolum qui ſunt à reprehenſione alieni. Lege ergo eum canonem, qui eſt antiquior; & præſentis Synodi can. cxxviii. cxxix. cxxx. & cxxxi.

Zonar. Centeſimus quoque vigeſimus octavus, vigeſimus nonus, & trigeſimus hujus Synodi canones E eadem hac de re diſſerunt, & fuſiùs, quibuſnam Epiſcopi nomen deferri haud liceat, exponunt. Secunda quoque Oecumenica Synodus, quæ hac ſynodo antiquior fuit, idem hoc argumentum ſexto canone pertractans, quinam Epiſcoporum ac Clericorum accuſatores admittendi ſint, definivit. Is ergo canon cum ſua explicatione legendus. Illud vero, converſationis non bonæ, pro vita moribúſque minimè probatis, accipiendum.

Arist. *Viſum eſt, ut iſti qui ſceleribus ſunt illaqueati, accuſationes non edant; nec ad crimen alicui inferendum admittantur.* F

Dicitur & in ſexto ſanctorum Patrum Conſtantinopole congregatorum canone, accuſatores ad Epiſcopos accuſandos ſine examinatione non admitti. Sed primo religionem eorum examinare, ne hæretici ſint; deinde & opiniones eorum inveſtigare, ne forte condemnati ſint, aut ejecti, aut excommunicati, aut ab aliis criminibus accuſati; & qui forte ſe criminum ipſis objectorum innocentes non oſtendant. Hoc itaque & præſenti videtur canoni, ut nemo, qui & ipſe criminum reus eſt, ad Epiſcopi accuſationem admittatur.

A **ΖΩΝΑΡ.** Κἀν τούτῳ τὴν διάκρισιν ὁ κανὼν τοῖς ἐπισκόποις ἀνατίθησιν. ἐὰν γάρ, φησι, κινδυνεύῃ τις περὶ τὴν ζωὴν ἐκ νόσου, ἢ ἐξ ἄλλης αἰτίας, ἐπιτετιμημένος ὤν, καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ προσελθεῖν κωλυόμενος, καὶ αἰτήσῃ καταλλαγῆναι αὐτὸν τοῖς ἱεροῖς θυσιαστηρίοις, ἀντὶ τοῦ δεκτὸν γενέσθαι εἰς τὴν θείαν μετάληψιν, ἄπεστι δὲ ὁ ἐπίσκοπος, ὀφείλει, φησὶν ὁ κανών, ἐρωτῆσαι τὸν ἐπίσκοπον ὁ πρεσβύτερος, καὶ οὕτως τὸν ἐν κινδύνῳ καταλλάξαι, καθὼς ἐκεῖνος ὑποθήσεται. εἰκότως δὲ τοῖς ἐπισκόποις ἡ λύσις ἀνετίθετο τῶν ἐπιτιμίων, διά τε τὴν ἤδη ῥηθεῖσαν αἰτίαν, καὶ ὅτι τοῖς ἀρχιερεῦσιν ἡ ἐξαγόρευσις ἁρμόζει, ὡς δεσμεῖν καὶ λύειν δεδυνημένοις. B καὶ οἱ νῦν γὰρ λογισμοὺς δεχόμενοι μοναχοί, εἰ μὴ ἐξ ἀρχιερέως ἐπιτραπῶσι δέχεσθαι λογισμούς, οὔτε δεσμεῖν οὔτε λύειν ἔχουσιν ἐξουσίαν. τοῖς γὰρ ἱεροῖς ἀποστόλοις τὴν ἐξουσίαν ταύτην ἔδωκεν ὁ Χριστός. τόπον δὲ τῶν ἀποστόλων οἱ ἀρχιερεῖς πληροῦσιν.

ΑΡΙΣΤ. Τὸν ἐν κινδύνῳ καθεστῶτα καταλλάξαι τοῖς ἱεροῖς θυσιαστηρίοις θέλων ἱερεύς, ἐρωτάτω τὸν ἐπίσκοπον, καὶ κατὰ τὸ λεχθὲν ποιείτω.

Ο προγραφεὶς κανὼν παρὰ τοῦ ἐπισκόπου τὴν καταλλαγὴν προσέταξε γίνεσθαι· ὁ δὲ παρὼν διατάττεται, κατὰ γνώμην C τοῦ ἐπισκόπου, καὶ παρὰ πρεσβυτέρων ταύτην τελεῖσθαι.

ΚΑΝΩΝ η'.

Περὶ τῶν τοὺς πατέρας αἰτιωμένων, καὶ ὥστε μηδενὶ διαβεβλημένων ἐξεῖναι ἐπισκόπου κατηγορεῖν. Νουμήδιος ἐπίσκοπος Μαζουλιτᾶνος εἶπεν· εἰσὶ πολλοὶ οὐκ ἀγαθῆς ἀναστροφῆς, οἵτινες ἡγοῦνται τοὺς πατέρας καὶ ἐπισκόπους, ὡς ἔτυχεν, ὀφείλειν ἐνάγεσθαι· τοὺς τοιούτους δεῖ προσδέχεσθαι, ἢ μή; Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀρέσκει τοίνυν τῇ ἀγάπῃ ὑμῶν, τοὺς εἴς τινα μύση ἐμπεπλεγμένους, κατὰ πατέρων φωνὴν κατηγορίας ἀποτίθεσθαι; D ἐκ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ἐὰν διαβέβληται ὁ τοιοῦτος, μὴ προσδέχεσθαι.

ΒΑΛΣ. Ὁ ϛ'. κανὼν τῆς οἰκουμενικῆς δευτέρας συνόδου διορίζεται, μὴ εἶναι παραδέκτους εἰς ἐπισκόπων καὶ κληρικῶν κατηγορίας ἅπαντας· ἀλλὰ μόνους τοὺς ἀνεπιλήπτους. ἀνάγνωθι οὖν τὸν τοιοῦτον κανόνα πρεσβύτερον ὄντα. καὶ τὸν τῆς παρούσης συνόδου κανόνα ρκη'. ρκθ'. ρλ'. καὶ ρλα'.

ΖΩΝΑΡ. Καὶ ὁ ρκη'. κανὼν τῆς παρούσης συνόδου, E καὶ ὁ ρκθ'. καὶ ὁ ρλ'. περὶ ταύτης τῆς ὑποθέσεως διατάττονται, πλατύτερον διαγορεύοντες τίνες εἰσὶν ἄδεκτοι εἰς ἐπισκόπου κατηγορίαν. καὶ ἡ δευτέρα δὲ οἰκουμενικὴ σύνοδος, πρεσβυτέρα οὖσα τῆς συνόδου ταύτης, ἐν ἕκτῳ κανόνι περὶ τούτου τοῦ κεφαλαίου ὡρίσατο, διαταξαμένη τίνες δεχθήσονται κατηγοροῦντες ἐπισκόπων καὶ κληρικῶν. ἀναγνωστέον οὖν τὸν κανόνα ἐκεῖνον καὶ τὴν ἐκείνου ἐξήγησιν. τὸ δέ, οὐκ ἀγαθῆς ἐπιστροφῆς, ἀντὶ τοῦ οὐκ ἀγαθῆς διαγωγῆς, οὐ καλοῦ βίου, εἴρηται.

ΑΡΙΣΤ. Ἔδοξε τοὺς εἰς μύση ἐμπεπλεγμένους κατηγορίας μὴ ἀποτίθεσθαι· ἀλλ᾽ ἀδέκτους εἶναι πρὸς τὸ κατηγορεῖν. F

Εἴρηται καὶ ἐν τῷ ἕκτῳ κανόνι τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων ἁγίων πατέρων, μὴ ἀνεξετάστως τοὺς κατηγόρους εἰς κατηγορίαν ἐπισκόπων παραδέχεσθαι· ἀλλὰ πρῶτον ἐξετάζειν τὴν θρησκείαν αὐτῶν, ἵνα μὴ αἱρετικοὶ ὦσιν· εἶτα καὶ τὰς ὑπολήψεις αὐτῶν ἀνερευνᾶν, μήποτε κατεγνωσμένοι εἰσί, καὶ ἀποβεβλημένοι, καὶ ἀκοινώνητοι, ἢ ὑφ᾽ ἑτέρων ἐπ᾽ ἐγκλήμασι κατηγορούμενοι· καὶ μήπω ἀθώους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἐγκλημάτων ἀπέδειξαν. τοῦτο γοῦν καὶ τῷ παρόντι δοκεῖ κανόνι, τὸ μή τινα ἔνοχον ἐγκλήμασιν ὄντα εἰς κατηγορίαν ἐπισκόπου παραδέχεσθαι.

ΚΑΝΩΝ θ'.

Περὶ τοῦ, κατ᾽ ἀξίαν τῶν οἰκείων ἁμαρτημάτων, τοῦ ἐκκλησιαστικοῦ συλλόγου ἐκβαλλομένων· Αὐγουστῖνος ἐπίσκοπος καὶ τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας εἶπε· τοῦτο ὁρίσαι καταξιώσατε, ὥστε τοὺς ἀξίως τῶν οἰκείων ἐγκλημάτων ἀπὸ τῆς ἐκκλησίας διωχθέντας, ἐάν τις ἐπίσκοπος ἢ πρεσβύτερος δέξηται εἰς κοινωνίαν· καὶ αὐτὸς ἐπὶ μιᾷ τῷ ἴσῳ ἐγκλήματι ὑπεύθυνος φανῇ, ἅμα τοῖς τοῦ οἰκείου ἐπισκόπου τὴν κανονικὴν ψῆφον ἀποφεύγουσι. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη, πᾶσιν ἀρέσκει.

ΒΑΛΣ. Ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ια'. ιβ'. λβ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου καν. ϛ'. καὶ τῆς ἐν Σαρδικῇ καν. ιγ'. διδάσκοντας τί ὀφείλει γίνεσθαι εἰς τοὺς δεχομένους καθῃρημένους ἢ ἀφωρισμένους κληρικούς· ὡσαύτως καὶ εἰς τοὺς δεχομένους ἀφωρισμένους λαϊκούς. ὁ δὲ παρὼν διορίζεται τοὺς διωχθέντας ἀπὸ ἐκκλησίας κληρικοὺς διὰ ἀξίαν ἐκδίκησιν τοῦ παρ᾽ αὐτῶν τολμηθέντος ἐγκλήματος, ἐὰν ἕτερος ἐπίσκοπος ἢ πρεσβύτερος δέξηται εἰς κοινωνίαν, καὶ αὐτὸν ὁμοίως τῷ δεχθέντι κολάζεσθαι. συναγαγὼν οὖν τὰ παρὰ τῶν ἑτέρων κανόνων καὶ τοῦ παρόντος κανόνος διορισθέντα, εἰπὲ ὅτι ἐὰν κληρικὸν καθῃρημένον δέξηται ἕτερος ἐπίσκοπος εἰς κοινωνίαν ἱερατικὴν, καθαιρεθήσεται· ἐὰν δὲ μετὰ ἀφωρισμένου συνεύξηται, ἀφορισθήσεται. διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν κανὼν εἶπεν, ὁμοίως τῷ ἐκβληθέντι τῆς ἐκκλησίας τὸν δεξάμενον αὐτὸν ἐπίσκοπον κολάζεσθαι. σημείωσαι δὲ, ὅτι καὶ ὁ παρὼν κανὼν, οὐκ ἀσυντηρήτως, ἀλλὰ μετὰ καταδίκην ἀξίαν τῷ ἁμαρτήματι θέλει τοὺς κληρικοὺς καθαιρεῖσθαι ἢ ἀφορίζεσθαι.

ΖΩΝΑΡ. Τοῦτο καὶ οἱ τῶν ἁγίων ἀποστόλων ὅ τε ια'. καὶ ιβ'. καὶ λβ'. διετάξαντο. ἃ γοῦν ἐν ἐκείνοις ἐγράφη, κἀνταῦθα ἀρκέσουσι. καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ δὲ συνόδου ἕκτος κανὼν περὶ τούτου διαλαμβάνει, καὶ ὁ ιγ'. τῆς ἐν Σαρδικῇ.

ΑΡΙΣΤ. Ὁ ἀκοινωνήτῳ κοινωνῶν, ἀκοινώνητος.

Ὁ τὸν ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου ἀφορισθέντα δεχόμενος, καὶ συλλειτουργῶν αὐτῷ, ἐν εἰδήσει ὢν τοῦ ἀφορισμοῦ, ἀφωρισμένος καὶ αὐτὸς ἔστω· ὡσαύτως καὶ ὁ αἱρετικοῖς κοινωνῶν, καὶ συνευχόμενος αὐτοῖς, τοῖς πιστοῖς οὐ συγκοινωνήσει· ἀλλὰ τῆς ἐκκλησίας ἐξωθήσεται.

ΚΑΝΩΝ ι'.

ΒΑΛΣ. Καὶ ἀπὸ τῶν νόμων καὶ ἀπὸ τῶν κανόνων δέδοται, μὴ ἔχειν ἐπ' ἀδείας ἕκαστον παρ' οἵῳ βούλεται δικαστηρίῳ ἀπροκριματίστως ἐνάγειν. ἀλλὰ τοῖς μὲν λαϊκοῖς ἀπενεμήθησαν τὰ πολιτικὰ δικαστήρια· τοῖς δὲ ἱερωμένοις καὶ τοῖς μοναχοῖς τὰ ἐκκλησιαστικά. εἴ τις οὖν ἱερωμένος, φησὶν ὁ κανὼν, καταφρονήσας τῆς τοιαύτης θεσμοθεσίας, ἐναγάγῃ παρὰ πολιτικῷ δικαστηρίῳ κατὰ ἱερωμένου ἢ μοναχοῦ περὶ ἐγκληματικῆς ὑποθέσεως, ἢ εἴ τις αὐτῶν παρὰ τῷ προσφόρῳ ἐκκλησιαστικῷ δικαστηρίῳ ἑλκυσθεὶς, παραιτήσεται τοῦτο, καὶ ἐπιλέξεται δικαστήριον δημοτικὸν ἤτοι πολιτικὸν (τοῦτο γάρ ἐστι τὸ ἐθέλειν καθαρθῆναι ἤτοι ἀθωωθῆναι τοῦ αἰτιάματος διὰ δημοσίου δικαστηρίου) κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ τῷ πολιτικῷ, εἴτε ὡς ἐνάγων, εἴτε ὡς ἐναγόμενος, ὅμως τὸν ἴδιον τόπον, ἤτοι βαθμὸν καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει· διὰ τοῦτο αὐτὸ καὶ μόνον καθαιρούμενος, διὰ τὸ παραιτήσασθαι τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ἐπιλέξασθαι τὸ πολιτικόν. καὶ ὅτε μὲν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, γενήσεται τοῦτο· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰ μὴ καταφρονήσει τοῦ πράγματος ἐφ' ᾧ ἐδικαιώθη, καὶ παραχωρήσει εἶναι αὐτὸ παρὰ τῷ ἀντιδίκῳ αὐτοῦ τῷ ἡττηθέντι. πρὸς τούτοις ὥρισαν οἱ πατέρες, ἵνα ἐὰν ἐκκαλέσηταί τις κατὰ ἀποφάσεως ἐπισκόπων ἢ ἑτέρων δικαστῶν ἐκκλησιαστικῶν, καὶ ἡ ἔκκλητος ἐπαναδράμῃ εἰς μείζονα δικαστὴν, πάντως ἐκκλησιαστικὸν, κατὰ τὴν καθόλου νομικὴν διδασκαλίαν, τὴν διοριζομένην τοὺς ἐκκλήτους δικαστὰς ὀφείλειν εἶναι μείζονας τῶν πρώτως δικασάντων, καὶ συμβῇ ἀνατραπῆναι τὴν πρώτην ἀπόφασιν παρὰ τῶν ἐκκληταρείων δικαστῶν, κατὰ μηδὲν βλάπτεσθαι τοὺς πρώτως ἀποφηναμένους, κἂν ἐγκληματικὴ ἐστὶ, κἂν χρηματικὴ ὑπόθεσις· εἰ μήπω ἐλεγχθῶσιν οὗτοι ἀποφηνάμενοι κατὰ ἔχθραν τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν τοῦ δικαιωθέντος, ἢ ὡς δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι. ἤτοι δωροδοκεῖταί τις ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτοῦ πληροῦντος τοῦ αὐτὸν ὑποφθείραντος. σημείωσαι οὖν τὸν παρόντα κανόνα, μεγάλως κολάζοντα τοὺς ἱερατικοὺς δικαζομένους ὁπωσδήποτε εἰς δικαστήρια πολιτικά. καὶ μὴ ἐναντιωθῇ σοι τὸ κεφ. ϟ'. τοῦ α'. τίτλου τοῦ ια'. βιβλίου τῶν βασιλικῶν. καὶ τὸ θ'. κεφ. τοῦ γ'. τίτ. βιβλίου τοῦ γ'. λέγοντος, δύνασθαι τοὺς ἱερωμένους ἀποτάττεσθαι τῇ τῆς ἱερωσύνης παραγραφῇ· ὅσον γὰρ πρὸς τὸν ἀντίδικον ἔρρωται τὸ σύμφωνον τοῦτο. ἕτερον δὲ λόγου ἐστὶ, ὅτι βλάπτεται κατὰ τὸν παρόντα κανόνα ὁ καταφρονήσας τούτου ὁ ἱερωμένος· καὶ ἀνάγνωθι τὸν ρδ'. κανόνα τῆς παρούσης συνόδου καὶ τῆς ἐν χαλκηδόνι κανόνα θ'. τοῦ δὲ κανόνος ἄνωθεν διοριζομένου ὑπὸ δώδεκα ἐπισκόπων κρίνεσθαι

κρίνεσθαι τοὺς Ἐπισκόπους, ὑπὸ ἓξ τοὺς ἱερεῖς, καὶ τοὺς διακόνους ὑπὸ τριῶν. ἐπήγαγον οἱ πατέρες, ὡς τὰ περὶ τῶν ἐκκλήτων καὶ τὰ λοιπὰ χώραν ἔχουσιν, ὅτε τὰ ἐκκλησιαστικὰ δικαστήρια παρὰ τοσούτοις προσφόροις δικασταῖς γίνονται· οὐ μὴν, ὅτε κατὰ θέλησιν τοῦ κατηγόρου καὶ τοῦ κατηγορουμένου παρά τισιν ἐπιλεγεῖσιν, ὡς αἱρετοῖς δικασταῖς πολλάκις καὶ ὀλιγωτέροις οὖσι τῶν ὁρισθέντων παρὰ τῶν κανόνων, δικασθῶσί τινες. τηνικαῦτα γὰρ οὐδὲ ἐκκλήτῳ ὑποπεσεῖται ἡ τούτων ἀπόφασις, ὡς φησιν ὁ νόμος ἐν βιβλίῳ ζ'. τίτλῳ β'. κεφ. κζ'. θέματι γ'. οὕτως ἔχοντι, εἴτε δικαία εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμένειν δεῖ. καὶ τὸ γ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου, μὴ χρείαν ἐχέτω **B** ἐκκλήτου ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις. ἐπὶ τούτοις ὁ κανὼν περὶ τῶν τέκνων τῶν ἱερέων φησὶν, ἵνα μήτε θεωρία ἐκτελῶσι, μήτε ἄλλων τοιούτων παραγίνωνται καὶ θεωρῶσιν· ὅτι καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται μὴ προσιέναι ὅπου βλασφημίαι εἰσί. θεωρία δὲ λέγονται, οὐ μόνον τὰ ἱπποδρόμια, ἀλλὰ καὶ πᾶσα θέα, θηριομαχία δηλαδὴ, παίγνια μίμων, ὄρχησις, καὶ ἄλλα τοιαῦτα δαιμονιώδη ἔργα. ταῦτα τοῦ κανόνος διοριζομένου, εἰπὲ ὅτι τὸ, κἂν ἡ ψῆφος ὑπὲρ αὐτοῦ ἐκφωνηθῇ προσετέθη διὰ τοὺς λέγοντας, ὀφείλειν καθαιρεῖσθαι μόνον τὸν οὕτω δικασάμενον ἱερωμένον χάριν ἐγκληματικῆς ὑποθέσεως καὶ ἡττηθέντα, οὐ **C** μὴν καὶ τὸν νικήσαντα, ὡς δικαίαν ἔχοντα ὑπόθεσιν. καὶ ἄμφω γὰρ καθαιρεθήσονται, ὡς ὑβρισταὶ τῆς ἐκκλησίας, καὶ τοῦ κανόνος ἀθετηταί. ὁ μέντοι τὸν ἐκκλησιαστικὸν ἑλκύσας ἱερωμένος εἰς κοσμικὸν δικαστήριον χάριν χρηματικῆς αἰτιάσεως καὶ νικήσας, καθαιρεῖται, ἐὰν στοιχῇ τῇ ὑπὲρ αὐτοῦ ἀποφάσει, καὶ θέλῃ ἔχειν τὸ πρᾶγμα ὃ ἐνίκησεν, ὥσπερ καὶ ὁ ἐναχθεὶς, ἐὰν παραιτήσηται τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ἐζήτησε τὸ πολιτικὸν, καὶ ἐνίκησεν. εἰ γὰρ ἀφίσταται τοῦ πράγματος, περὶ οὗ ἐδικάσατο, μένει ἔχων τὴν οἰκείαν ἐπιτιμίαν. καὶ ταῦτα μὲν ὁ κανὼν διορίζεται. σήμερον δὲ παρορῶνται ταῦτα, δι' ἣν αἰτίαν οὐ γινώσκω. **D** πολλοὶ γὰρ, οὐ μόνον λαϊκοὶ, ἀλλὰ καὶ ἱερωμένοι, ἕλκουσιν εἰς πολιτικὰ δικαστήρια ἐπισκόπους, κληρικούς τε καὶ μοναχοὺς, μηδὲ πρόσταξιν βασιλικὴν περὶ τούτου πορισάμενοι, καὶ οὔτε ἡ τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφὴ λυσιτελεῖ τοῖς ἐναγομένοις· καταναγκάζουσι γὰρ τούτους καὶ ἄκοντας δικάζεσθαι. οὔτε οἱ ἑλκύσαντες αὐτοὺς ἱερωμένοι ἐβλάβησαν ὁπωσδήποτε, ἀλλ' οὐδὲ οἱ ἐναγόμενοι μοναχοὶ ἢ κληρικοὶ εἰς δικαστήριον ἐκκλησιαστικὸν, καὶ παραιτησάμενοι τοῦτο, πολιτικὴν δὲ ζητήσαντες κατεξέτασιν, κατά τι ἐτιμωρήθησαν· ὥσπερ οὐδὲ οἱ ἑλκυσθέντες κληρικοὶ ἢ μοναχοὶ εἰς κοσμικὸν δικαστήριον, καὶ καταδεξάμενοι εἰς τοῦτο δικάσασθαι. **E** τοῦ δὲ χρηματίσαντος καθηγουμένου τῆς μονῆς τοῦ Παντεπόπτου μοναχοῦ ἐκείνου Μελετίου, ἑλκυσθέντος εἰς τὸ συνοδικὸν δικαστήριον, καὶ παραιτησαμένου αὐτὸ ὡς κατωθύμιον, καὶ μεταγαγόντος τὴν ὑπόθεσιν εἰς κοσμικὸν δικαστήριον διὰ προστάξεως βασιλικῆς, ὁ ἁγιώτατος πατριάρχης ἐκεῖνος κῦρις Λουκᾶς ὑβριοπαθήσας ἐπὶ τῷ γεγονότι, πολλὴν ἔθετο σπουδὴν διορθώσασθαι τὸ γινόμενον. ἤκουσε δὲ ἀπὸ τῶν πολιτικῶν δικαστῶν, ὡς ἡ βασιλικὴ ἐξουσία πάντα δύναται ποιεῖν· καὶ ὥσπερ ἐδύνατο πρωτοτύπως δοῦναι πολιτικὸν δικαστὴν χάριν τοῦ δικάσαι ἐπίσκοπον ἢ ἕτερον ἱερωμένον ἐναγόμενον· οὕτω καὶ κατὰ μετάθεσιν τὸ **F** ἐκκλησιαστικὸν δικαστήριον μεταγάγῃ κατὰ νόμιμον παραίτησιν εἰς πολιτικόν. πλὴν ὁ ἐντὸς δηλούμενος καθηγούμενος, κἂν εἰσηκούσθη τὸ συνοδικὸν παραιτησάμενος δικαστήριον, καὶ διετηρήθη ἀπροκριμάτιστος· ἀλλὰ ἀπὸ τοῦ ρδ'. κανόνος τῆς παρούσης συνόδου, ὃν καὶ ἀνάγνωθι, ὤφειλε καθαιρεθῆναι. τὸ γὰρ ιζ'. κεφ. τοῦ α'. τίτλου τοῦ γ'. βιβλίου κἂν διορίζηται μετὰ βασιλικῆς κελεύσεως διάγεσθαι καὶ παρίστασθαι τοὺς ἐπισκόπους παρὰ πολιτικοῖς ἄρχουσιν, ἀλλὰ τοῦτο οὐ προσίσταται, ὡς ἐμοὶ δοκεῖ, τῇ κανονικῇ διδασκαλίᾳ.

A à xii. Epiſcopis judicentur, à ſex autem Sacerdotes, & Diaconi à tribus: ſubjunxerunt patres, quòd quæ de appellationibus dicta ſunt & reliqua locum habent, quando judicia Eccleſiaſtica apud tot competentes judices fuerint: non autem, quando ex accuſatoris & ejus qui accuſatur voluntate, apud aliquos electos ſeu ex electione ſuſceptos judices, qui ſæpe ſunt pauciores quàm canonibus conſtitutum ſit, aliqui judicio contenderint. Tunc enim in eorum ſententiam ne appellatio quidem cadit, ut dicit lex in lib. vii. titulo ii. capitulo xxvii. themate iii. quod ſic ſe habet, Sive juſta ſive injuſta eſt electi judicis **B** ſententia, ei ſtare oportet. Et caput tertium ejuſdem libri ac tituli; Non indigeat provocatione judicis electi ſententia. Poſt hæc canon de filiis Sacerdotum dicit; Ne ſpectacula peragant, nec aliis peragentibus interſint & ſpectent: quia & omnibus Chriſtianis interdictum eſt, ne accedant ubi ſunt blaſphemiæ & maledicta. Spectacula autem dicuntur, non ſolùm equorum curſus, ſed & omnis generis ſpectatio, belluarum ſcilicet certamina, hiſtrionum ludicra, ſaltationes, & hujuſmodi alia opera diabolica. Hæc autem decernente canone, dic quòd illud, etiamſi pro eo ſententia lata ſit, adjectum eſt propter eos, qui **C** dicunt, eum ſolùm debere deponi ſacratum, qui ſic judicio contendit in cauſa criminali, & victus eſt: non autem eum qui vicit, ut qui juſtam cauſam habeat. Ambo enim deponentur, ut qui Eccleſiam injuria afficiant, & canonem contemnant. Sacratus quidem qui traxit Eccleſiaſticum in ſeculare judicium pro cauſa pecuniaria, & vicit, deponitur, ſi ſententiæ, quæ pro ſe lata eſt, ſteterit, & voluerit rem habere quam vicit: quemadmodum & reus, ſi judicium eccleſiaſticum recuſavit, & civile petivit, & vicit. Si enim cedit re, pro qua litigavit, ſuum honoris gradum retinet. Et hæc quidem canon conſtituit. Hodie autem **D** hæc negliguntur, propter quam cauſam neſcio. Multi enim, non ſolùm Laici, ſed etiam ſacrati, Epiſcopos, Clericos & Monachos ad civilia judicia attrahunt, nec Imper. quidem mandatum de ea re exhibent; & neque incompetentis judicis præſcriptio ſeu exceptio prodeſt iis, qui rei aguntur: eos enim cogunt vel invitos judicio contendere. Nec ſacrati, qui eos traxerunt, aliquid penitus damni ſenſere; ſed nec Monachi vel Clerici, adverſus quos in foro Eccleſiaſtico agitur, ſi id quidem recuſaverint, civilem autem examinationem petiverint, ulla in re puniti ſunt: quemadmodum nec **E** clerici vel monachi, qui in ſeculare judicium tracti ſunt, & in eo litigare non recuſârunt. Cùm autem monachus ille Meletius, qui præpoſitus fuit monaſterii Pantepopti, ad ſynodale judicium tractus, ipſum ut ſibi non gratum recuſaſſet, & cauſam ad ſeculare tribunal traduxiſſet per mandatum Imperiale; ſanctiſſimus Patriarcha dominus Lucas id ægre ferens, plurimum ſtudium adhibuit ut corrigeretur quod factum fuerat. Audivit autem à civilibus judicibus, quòd Imperatoris poteſtas omnia facere poteſt: & quemadmodum primo loco potuit Imperator civilem judicem pro judicando Epiſcopo vel **F** alio ſacrato, adverſus quem agitur conſtituere: ita & per tranſpoſitionem, judicium eccleſiaſticum ex legitima exceptione in civile traduxerit. Sed etiamſi qui hìc dicitur monaſterii præfectus exauditus eſt, ſynodale judicium recuſans, & ſine præjudicio conſervatus eſt: tamen ex civ. canone præſentis Synodi deponi debuit, quem lege: xvii. enim caput primi tituli tertii libri, licèt decernat cum Imperatoris mandato poſſe adverſus Epiſcopos agi, & eos ſiſti coram civilibus judicibus: hoc tamen, ut mihi videtur, non quadrat canonicæ doctrinæ.

Debemus enim dicere, tunc trahi Epiſcopum pro re, quæ privatim ad ipſum pertinet: non autem pro quæſtione Eccleſiaſtica. Re enim ejuſmodi propoſita, non debent civiles judices ullam ejus habere cognitionem. Jam verò magna quoque eſt ejus differentia, qui ſua ſponte Eccleſiaſticum judicium recuſat & ſeculare ex Imperatoris mandato quærit, & ejus qui juſſu Imperatoris invitus tractus eſt ad ſeculare judicium. Lege etiam i. cap. ix. tit. præſentis operis, & quæ in ipſo à nobis ſcripta ſunt. Petere autem conjudicem civilem per mandatum imperiale non eſt, ut mihi videtur, prohibitum, & maximè quando eſt cauſa pecuniaria, quæ eſt ſynodaliter dicenda. Interrogaverit autem quiſpiam, cùm lex dicat, eum ab actione ſua excidere, qui ſuum adverſarium ad judicium incompetens traxerit; qui ſacratum ad civile judicium traxerit, an non ex hoc canone ſuo jure excidet? Solutio. Incompetentis judicis præſcriptio in principio judicii ſolùm proponitur, non autem etiam poſteà. Finge ergo, quòd ea à principio non eſt propoſita à reo: vel propoſita à judice admiſſa non eſt. Et propterea definierunt patres, quòd etiamſi actor vicerit, eo quod incompetentis judicis exceptio quomodocunque inefficax fuerit: ſic quoque tamen propter honorem Eccleſiæ eorum victoria nihil ei proderit; ſed deponetur, ſi eam retineat. Præterea interrogaverit quiſpiam, quam pœnam ſuſtinebunt Eccleſiaſtici judices, ſi convicti fuerint, ex odio, vel affectione, vel propter gratiam ſententiam tuliſſe, cùm canon de eo nihil jubeat? Solutio. Genus pœnæ, etſi ex canone non appareat, ex legibus tamen declaratur. Jam enim de judice muneribus corrupto dicit iii. caput xliii. tit. lx. lib. Magiſtratus, qui pecunias accipit ad jus dicendum, vel decernendum, vel ad plus vel minùs ſuo officio faciendum, & magiſtratuum quoque aſſeſſores, lege tenentur. Et iii. thema viii. cap. Pœna legis eſt extraordinaria: & ut plurimum exilio condemnat; nonnunquam etiam graviùs, & ii. thema ix. cap. Qui hac lege condemnatur, nec poteſt publicè teſtimonium dicere, nec judex eſſe, nec cauſas agere. Lege & ii. thema vi. cap. iv. tit. lx. lib. quod quidem eſt pars cxxiv. Juſtiniani novellæ, quæ ſic dicit; Si quis autem eorum, qui litigant, dixerit ſe aliquid dediſſe, vel eſſe pollicitum, & perſonam nominaverit, & hoc probaverit, ipſe quidem in litis exitu venia dignus habeatur. Qui autem donum vel promiſſum admiſiſſe convictus fuerit, ſi ſit quidem cauſa pecuniaria, quod datum eſt, triplum, quod verò promiſſum, duplum à comite privatarum noſtrarum facultatum exigatur, & dignitatem ſeu magiſtratum, quem habet, in utroque caſu perdat. Sin autem ſit criminalis accuſatio, propriarum facultatum confiſcationem patiatur, & in exilium mittatur, ut qui accipiendo alienum crimen in ſeipſum transferre ſtuduerit. Si autem donationem vel promiſſionem litigator oſtendere non potuerit, juret perſona, quæ donationem vel promiſſionem ſuſcepiſſe dicitur, quòd nec per ſe, nec per aliam perſonam, vel aliquid accepit, vel promiſſum habuit. Et hoc dato jurejurando, ipſe quidem liberabitur: litigator verò, qui probare non potuit, in cauſis quidem pecuniariis, litis æſtimationem à comite privatarum noſtrarum facultatum exigatur, judicio ſcilicet ſuum eventum expectante: in criminalibus autem bonorum ſuorum publicationem ſuſtineat, & à convenientibus judicibus ex legum ordine negotium terminetur. Sin autem perſona à litigatore declarata prædictum jusjurandum recuſaverit, tam in criminalibus, quam in pecuniariis cauſis, prædictis pœnis ſubjiciatur. Si quis autem eorum, qui litigant, juraverit ſe nihil dediſſe, vel pollicitum eſſe, intra quatuor autem menſes, poſtquam

A ὀφείλομεν γὰρ εἰπεῖν, τὸν Ἐπίσκοπον τηνικαῦτα ἕλκεσθαι περὶ πράγματος ἰδικῶς αὐτῷ διαφέροντος, οὐ μὴν περὶ ἐκκλησιαστικοῦ ζητήματος· τοιούτου γὰρ προκειμένου τινὸς ἀμέτοχοι εἶναι ὀφείλουσιν οἱ πολιτικοὶ δικασταί. τέως δὲ καὶ μεγάλη ἐστὶ διαφορὰ τοῦ αὐθαιρέτως παραιτουμένου τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ζητοῦντος τὸ πολιτικὸν δικαστήριον διὰ προστάξεως βασιλικῆς, καὶ τοῦ ἑλκυσθέντος ἀκουσίως κατὰ κέλευσιν βασιλικὴν εἰς κοσμικὸν δικαστήριον. ἀνάγνωθι καὶ κεφ. α΄. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. τὸ μέντοι ζητῆσαι συνδικαστὴν πολιτικὸν διὰ προστάξεως βασιλικῆς, B ὡς ἡμῖν δοκεῖ, οὐκ ἔστι κεκωλυμένον, καὶ μᾶλλον ὅταν χρηματικὴ ἐστὶν ὑπόθεσις, ἡ μέλλουσα λαληθῆναι συνοδικῶς. ἐρωτήσει δέ τις, ὡς τοῦ νόμου λέγοντος ἐκπίπτειν τῆς οἰκείας ἐναγωγῆς τὸν εἰς ἀπρόσφορον δικαστήριον ἑλκύσαντα τὸν ἴδιον ἀντίδικον, οὐκ ἔμελλε καὶ πρὸ τοῦ κανόνος τούτου ὁ τὸν ἱερωμένον ἑλκύσας εἰς πολιτικὸν δικαστήριον ἐκπεσεῖν τῆς δίκης αὐτοῦ; Λύσις. ἡ τοῦ ἀπροσφόρου παραγραφὴ κατὰ τὴν ἀρχὴν τοῦ δικαστηρίου προτίθεται καὶ μόνον, οὐ μὴν καὶ μετὰ ταῦτα. θεμάτιζε οὖν, ὅτι οὐ προετέθη αὕτη παρὰ τοῦ ἐναγομένου, ἢ προτεθεῖσα οὐκ ἐδέχθη παρὰ τοῦ δικαστοῦ. καὶ διὰ τοῦτο ὥρισαν οἱ πατέρες, ὡς κἂν νικήσῃ ὁ C ἐναγαγὼν, διὰ τὸ ἀπρακτῆσαι ὁπωσδήποτε τὴν τοῦ ἀπροσφόρου δικαστοῦ παραγραφήν· ἀλλὰ καὶ οὕτω διὰ τὴν τιμὴν τῆς ἐκκλησίας εἰς οὐδὲν αὐτῷ ἡ νίκη λυσιτελήσει· ἀλλὰ καθαιρεθήσεται, εἴπερ ἀντέχεται ταύτης. ἔτι ἐρωτήσει τις, ποίαν βλάβην ὑποστήσονται οἱ ἐκκλησιαστικοὶ δικασταί, εἴπερ ἐλεγχθῶσιν κατὰ ἔχθραν ἢ κατὰ προσπάθειαν ἢ διὰ χάριν ἀποφηνάμενοι, τοῦ κανόνος μηδὲν περὶ τούτου παρακελευομένου; Λύσις. τὸ εἶδος τῆς βλάβης κἂν ἀπὸ τοῦ κανόνος οὐκ ἀναφαίνεται, ἀλλὰ ἀπὸ τῶν νόμων δηλοῦται. αὐτίκα γὰρ περὶ τοῦ δωροδοκηθέντος δικαστοῦ φησι τὸ γ΄. κεφ. τοῦ μγ΄. τίτλου τοῦ ξ΄. βιβλίου, ὁ ἄρχων λαμβάνων χρήματα ἐπὶ τῷ δικάσαι, ἢ D ψηφίσασθαι, ἐπὶ τῷ ποιῆσαί τι πλέον ἢ ἧττον τοῦ ἰδίου ὀφφικίου, καὶ οἱ σύνεδροι τῶν ἀρχόντων ὑπόκεινται τῷ νόμῳ. καὶ τὸ γ΄. θέμα τοῦ η΄. κεφ. ἡ ποινὴ τοῦ νόμου ἐξτραορδιναρία ἐστὶ, καὶ ἐπίπαν εἰς ἐξορίαν καταδικάζει, ἔσθ' ὅτε δὲ καὶ σφοδρότερον, καὶ τὸ β΄. θέμα τοῦ θ΄. κεφ. ὁ τῷ νόμῳ τούτῳ καταδικαζόμενος, οὔτε μαρτυρεῖν δημοσίᾳ δύναται, οὔτε δικάζειν, οὔτε συνηγορεῖν. ἀνάγνωθι καὶ τὸ β΄. θέμα τοῦ ϛ΄. κεφ. τοῦ δ΄. τίτλου τοῦ ξ΄. βιβλίου, ὅπερ ἐστὶ μέρος τῆς ρκδ΄. Ἰουστινιανείου νεαρᾶς, λέγων οὕτως. εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴποι δεδωκέναι τι ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείπῃ, καὶ τοῦτο ἀποδείξει, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω. ὁ δὲ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ E εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον, τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν, διπλοῦν παρὰ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι ἀρχὴν ἣν ἔχει ἐφ' ἑκατέρου θέματος ἀπολλύτω. εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς οἰκείας ὑπομενέτω περιουσίας, καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν, ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν σπούδακε μετενεγκεῖν. εἰ δὲ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον, τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι' ἑαυτοῦ οὐδὲ δι' ἄλλου προσώπου ἢ ἔλαβέ τι ἢ ὑπόσχεσιν ἔσχε. καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου, αὐτὸς μὲν ἐλεύθερος ἔστω· ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι, ἐπὶ μὲν F ταῖς χρηματικαῖς αἰτίαις, τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς ἡμῶν περιουσίας εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης· ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω. εἰ δὲ τὸ παρὰ τοῦ δικαζομένου φανερωθὲν πρόσωπον τὸν μνημονευθέντα παραιτήσεται ὅρκον, τοῦ μὲν ἐπὶ ταῖς ἐγκληματικαῖς, τοῦ δὲ ἐπὶ ταῖς χρηματικαῖς αἰτίαις, ταῖς μνημονευθείσαις ὑποκείσθω ποιναῖς. εἰ δέ τις τῶν δικαζομένων ὀμόσει μὴ δεδωκέναι ἢ ἐπαγγείλασθαι, ἐντὸς δὲ τεσσάρων μηνῶν, μετὰ

τὸ παρενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων δειχθῇ δοθέν τι ἢ ὑποσχεθέν, αἱ εἰρημέναι ποιναὶ κατά τε τῶν διδόντων κατά τε τῶν λαμβανόντων χώραν ἕξουσι. καὶ ταῦτα μὲν ἐὰν κατὰ χρῆσιν ἤγουν διὰ λῆψιν νομισμάτων ἢ προσπάθειαν ἢ ἔχθραν ἡ ψῆφος ἐξενεχθῇ· τῆς γὰρ αὐτῆς δυνάμεως εἰσὶ τὰ τρία. ἐὰν δὲ μὴ διὰ τοιαύτην αἰτίαν, ἀλλὰ κατὰ ἀπειρίαν ἀποφήνηται ἐπίσκοπος κατά τινος, τί γενήσεται; Λύσις. οἱ ἄρχοντες, ἤτοι οἱ προκαθήμενοι τῶν δικαστῶν, οὐκ ἀναγκάζονται ἀκριβῶς εἰδέναι τοὺς νόμους, ἐφ' ἑτέραις μεγάλαις δουλείαις ἀσχολούμενοι· καὶ διὰ τοῦτο ἐξ ἀπειρίας ἀποφαινόμενοι, συγγινώσκονται. οἱ δὲ σύνεδροι τούτων, παρανόμως ψηφιζόμενοι, κολάζονται. φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ζ'. τίτλῳ γ'. κεφαλαίῳ κδ'. τὸν δόλον ἐπιζητοῦμεν τοῦ ἄρχοντος. ἐὰν γὰρ ἀπειρία τοῦ συνέδρου ἄλλως ψηφισθῇ, ὁ ἄρχων οὐκ ἀδικεῖται, ἀλλ' ὁ συμπονῶν. καὶ ὁ λογισμὸς εὔλογος. οἱ μὲν γὰρ ἄρχοντες, δι' ἣν εἴρηται αἰτίαν, οὐκ αἰτιῶνται· οἱ δὲ κριταὶ, τὸ δικάζειν καὶ μόνον ἔργον ἔχοντες, ἐὰν παρανομήσωσιν, ἐνέχονται ὡς δόλον ποιήσαντες, κατὰ τὸν νόμον τὸν λέγοντα, ἡ ἀπειρία ἔοικε τῇ ἀμελείᾳ· καὶ πάλιν, δόλον τις ποιεῖ, μὴ εἰδὼς ἀκριβῶς ὃ ἐπαγγέλλεται εἰδέναι. καὶ τοῦτο μὲν ἐξεφωνήθη περὶ τῶν πολιτικῶν δικαστῶν. εἰς δὲ τοὺς ἐκκλησιαστικοὺς δικαστὰς ἄλλη τις κρατήσει ἀκολουθία, ὡς ἐμοὶ δοκεῖ· καὶ αὕτη μέντοι κατὰ τὴν παροῦσαν θεσμοθεσίαν. εἰ μὲν γὰρ ἐναντίαν τοῖς κανόσιν ἐπίσκοπος ἐνέγκῃ ψῆφον, τιμωρηθήσεται ἤγουν καθαιρεθήσεται, μὴ δυνάμενος ἀμαθίαν ἢ ἀπειρίαν προβαλέσθαι. οὐ γὰρ συγγνώσεως ἔσται λέγων μὴ εἰδέναι τοὺς κανόνας, οὓς ἀναγκάζεται διὰ γλώττης ἔχειν σχεδὸν ἀεί. εἰ δὲ ἀποφήνηταί τι νόμοις ἀνένδεκτον, ἢ δικαστικῆς ἀκολουθίας ἔξωθεν, συγγνωσθήσεται διὰ τὴν ἀπειρίαν, ὡς μηδὲ ὀφείλων εἰδέναι νόμους ἀκριβῶς. ταῦτα δὲ κρατήσουσιν, ὅταν ἐγκληματικὴν ὑπόθεσιν δικάσῃ ἐπίσκοπος, ἢ ἄλλην ἐκκλησιαστικὴν ζήτησιν ἐπάγουσαν καθαίρεσιν. εἰ γὰρ χρηματικὴν παρανόμως ἐξενέγκῃ ἀπόφασιν ἐξ ἀπειρίας, οὐ προκριματισθήσεται. ἔτι ἐρωτήσει τις, ὡς τοῦ κανόνος ἐνδιδόντος τοῖς ἱερωμένοις ἐπιλέγεσθαι δικαστὰς αἱρετοὺς, ἐξέσται αὐτοῖς ἐπιλέγεσθαι πολιτικούς; Λύσις. ἐπεὶ ὁ κανὼν διορίζεται κρατεῖν τὴν ψῆφον τῶν αἱρετῶν δικαστῶν, καὶ μὴ ὑποκεῖσθαι ἐκκλήτῳ, κἂν ἥττονες ὦσιν οὗτοι τῶν δώδεκα τῶν ἓξ καὶ τῶν τριῶν, φαίνεται ἐναργῶς ἀνένδεκτον εἶναι τοῖς κανόσι τὴν ἐπιλογὴν τῶν πολιτικῶν δικαστῶν. ὅθεν, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται κατὰ τὸν παρόντα κανόνα οἱ παρὰ πολιτικοῖς δικασταῖς αἱρετισάμενοι δικασθῆναι ἱερωμένοι· ἔοικε δὲ ἀπὸ τῶν ῥημάτων τοῦ κανόνος, τῶν λεγόντων καθαιρεῖσθαι τοὺς ἱερωμένους δικασαμένους παρὰ πολιτικῷ δικαστηρίῳ χάριν χρηματικῆς αἰτιάσεως, καὶ νικήσαντας, ἐὰν μὴ ἀποστῶσι τῆς ὑπὲρ αὐτῶν ἀποφάσεως, ὡς ἡ μὲν γινομένη κρίσις παρὰ ἀπροσφόρου δικαστοῦ, κατὰ θέλησιν τοῦ ἱερωμένου, στερκτέα ἔσται καὶ ἀκατάσειστος. ὁ δὲ τὸ ἐκκλησιαστικὸν παραιτησάμενος δικαστήριον καὶ μὴ χρησάμενος τῇ τοῦ φόρου παραγραφῇ ἱερωμένος κολασθήσεται, καθὼς ἄνωθεν εἴρηται. αἱρετοὺς δὲ δικαστὰς ἐνταῦθα μὴ εἴπῃς οἵους ὁ β'. τίτλ. τοῦ ζ'. βιβλίου φησὶ, μετὰ ἐπερωτήσεως δηλονότι ποινῆς δικάζοντας· ἀλλὰ ἐκκλησιαστικοὺς ἐνορδίνους. ἐκεῖνοι γὰρ ἐγκληματικὴν ὑπόθεσιν οὐ δύνανται δικάζειν· οὗτοι δὲ, ὡς ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, πᾶσαν ὑπόθεσιν κρίνουσι. περὶ μέντοι τῶν θεωρίων καὶ τῶν ἱπποδρομιῶν καὶ τῶν κυνηγεσίον καὶ τῶν ἐπὶ σκηναῖς ὀρχήσεων, ἱκανῶς ἐγράψαμεν ἐν τῷ κδ'. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τῷ να'. ὅπου καὶ τοῦ παρόντος κανόνος ἐμνήσθημεν· καὶ ἀνάγνωσον τούτους. ζήτει καὶ τῶν ἁγίων ἀποστόλων κανόνα οδ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιδ'. καὶ ιε'. τῆς ἐν Χαλκηδόνι καν. ι. ιζ'. τῆς ἐν Σαρδικῇ κανόνα γ'. ε'. ιδ'. καὶ ταύτης κανόνα κη'. καὶ ρκ'. καὶ ρκα'. περὶ δὲ τοῦ δύνασθαι τοὺς ἱερωμένους ἀποτάττεσθαι τῇ τοῦ φόρου παραγραφῇ, ζήτει κεφ. θ'. τοῦ γ'. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν.

A ſententia lata eſt numerandos, datum aliquid vel promiſſum oſtenſum fuerit, prædictæ pœnæ tam adverſus dantes quàm adverſus accipientes locum habebunt. Et hæc quidem, ſi propter ſordes ſeu pecuniarum acceptionem vel amorem vel odium ſententia lata ſit: ejuſdem enim virtutis ſunt hæc tria. Si autem non propter ejuſmodi ullam cauſam; ſed per imperitiam adverſus aliquem fert ſententiam Epiſcopus, quid fiet? Solutio. Magiſtratus, ſeu qui præſunt judicibus, non coguntur leges exactè ſcire, ut qui in multis aliis magnis occupationibus verſentur; & propterea ſi per imperitiam ſententiam ferant, eis venia datur. Eorum autem aſſeſſo- B res, ſi contra leges ferant ſententiam, puniuntur. Dicit enim lex in lib. vii. tit. iii. cap. xxiv. Dolum magiſtratus requirimus. Si enim per imperitiam aſſeſſoris aliter judicatum fuerit, non facit injuriam præſes ſeu magiſtratus, ſed qui ei fert auxilium. Et eſt probabilis quidem ratio. Magiſtratus enim, propter eam quæ dicta eſt cauſam, non inſimulantur: Judices autem, quorum eſt proprium munus judicare, ſi contra leges fecerint, tenentur ac ſi dolo feciſſent, ſecundùm legem quæ dicit; Imperitia negligentiæ æquiparatur; & rurſus, Dolum quis facit qui perfectè neſcit quod ſe ſcire profitetur. Et hoc quidem dictum eſt de civilibus judicibus. In judices au- C tem Eccleſiaſticos alia quædam valebit conſequentia, ut mihi videtur: & ea quidem ſecundùm præſentem conſtitutionem. Si enim contrariam canonibus ſententiam Epiſcopus protulerit, punietur ſive deponetur; ut qui non poſſit ignorantiam vel imperitiam allegare. Neque enim erit ei ignoſcendum, ſi dicat ſe neſcire canones, quos cogitur in lingua ſemper habere. Sin autem aliquid pronunciaverit, quod à legibus non admittitur, vel eſt extra judiciariam conſequentiam, venia dabitur propter imperitiam: ut qui nec perfectè leges ſcire debeat. Hæc autem obſervabuntur, quando criminalem cauſam judicaverit Epiſcopus, vel aliam D Eccleſiaſticam quæſtionem, quæ inducit depoſitionem. Si enim pecuniariam contra leges ſententiam protulerit per imperitiam, id ei præjudicium non afferet. Præterea interrogabit quiſpiam, cùm canon permittat ſacris initiatos judices electitios eligere, eiſne licebit civiles eligere? Solutio. Quia ſtatuit canon, ut electorum judicum valeat ſententia, nec appellationi ſit obnoxia, etiamſi ii ſint pauciores quàm duodecim, quàm ſex, & quàm tres, evidenter apparet civilium judicum electionem non admitti à canonibus. Unde, ut mihi videtur, ſecundùm præſentem canonem puniuntur ſacrati, qui à civilibus judicibus judicari ele- E gerint. Videtur autem ex verbis canonis, quæ dicunt deponi ſacratos, qui litigaverint in foro civili pro cauſa pecuniaria, & vicerint, niſi à ſua ſententia deſiſtant, quòd judicium quidem factum ab incompetenti judice, ex voluntate ejus qui eſt ſacratus, tenendum eſt & non labefactandum. Qui autem eccleſiaſticum recuſavit judicium & fori præſcriptione non eſt uſus, ſacratus punietur, ut ſuperiùs dictum eſt. Electitios autem judices hìc ne dixeris cujuſmodi ii. tit. vii. libri dicit, qui ſcilicet cum pœnæ ſtipulatione judicant: ſed eccleſiaſticos ordinarios. Illi enim non poſſunt cauſam criminalem judicare: hi verò, ut ex præſenti canone o- F ſtenditur, omnem cauſam judicant. De ſpectaculis autem, & equorum curriculis, & venationibus, & ſcenicis ſaltationibus, ſatis diximus in xxiv. can. Syn. in Trullo, & in li. ubi etiam præſentis canonis meminimus: & lege eos. Quære etiam ſanctorum Apoſtolorum can. lxxiv. Syn. Antioch. can. xiv. & xv. Syn. Chalcedonenſis can. x. xvii. Syn. Sardic. can. iii. v. xiv. & hujus can. xxviii. cxx. & cxxi. Quòd autem poſſint ſacrati renunciare præſcriptioni fori, quære cap. ix. iii. tit. iii. lib. Baſilic.

ZONAR. In omnium, qui ſacris initiati ſunt, quin A & in Monachorum controverſiis, ejus cui ſubjecti ſunt Epiſcopi propria cauſæ cognitio eſt. Sive igitur aliquis horum deferatur, ſive deferat conclericum, coram ipſius Epiſcopo, ſive rei capitalis, ſeu civilis, aut pecuniariæ quæſtio ſit, rem tranſigi oportet. Quòd ſi ex iis quiſpiam, ſe ab Eccleſiaſtica juriſdictione ſubtrahens publico judicio, apud magiſtratus nimirum populares, hoc eſt, civiles purgari, id eſt, ſe à culpa immunem probare contendat; quamvis in eo judicio ſuperior evaſerit, eúmque ab objecti facinoris culpa omnino procul abſuiſſe judices pronunciârint; locum tamen proprium, gradum videlicet, ac B ſacerdotii dignitatem amittet, atque vel ob id ipſum, quod ab Eccleſiaſtica juriſdictione ſe ſubduxerit, depoſitione punietur. Atque hæc quidem, quocunque demum crimine ſacratus accuſetur, ita ſervari placet: at ſi civilis ſive pecuniariæ rei ſit controverſia, quamvis ſecundum eum, qui ſacris initiatus eſt, lis data fuerit; niſi tamen ipſe rem totam & eam, quæ ſecundum ipſum pronunciata fuit, ſententiam contemnat, gradu ſuo nihilominus excidet. Quod ſi ab Epiſcopis, aliiſve cognitoribus, ad alios Eccleſiaſticos judices, Metropolitanos videlicet, aut Patriarchas, quiſpiam provocet, illique cauſa examinata, judicatum ſolvi, hoc eſt, re- C ſcindi placere decreverint; nihil in eos, inquit, qui prius judicium exercuere, grave conſtituatur.: niſi forte illos, aut odio impulſos, quod videlicet ei, quem condemnârunt, infenſi forent, aut ſtudio, quod quempiam benevolentia erga illum adducti abſolverint, aut mercede emptos id namque eſt, grâtia corruptos, judicâſſe probatum fuerit. Mercede namque emptus is dicitur, qui pecuniam accipit, aut aliud quodcunque beneficium, ab eo, à quo corruptus eſſe dicitur. Nam quicunque aut odio aut amore adducti, aut largitione corrupti, judicium minus fideliter exercuiſſe deprehenſi fuerint, propria illos dignitate mulctari decretum D eſt. Quòd ſi judices illi ipſi, qui inter ſe judicio conflictantur, accuſator nimirum & reus, elegerint, quamvis, inquit, pauciores, quàm præfinitum eſt, deſignentur, nempe in Epiſcoporum cauſa duodenis, Presbyterorum ſex, Diaconorum tribus: tamen ab his judicibus damnato provocandi facultas non erit. Quod civiles quoque leges eodem modo ſanxêre, ut tertio libro, titulo primo capite quadrageſimo quarto & libro nono Baſilic. videre eſt. His abſolutis, de filiis Presbyterorum, ne aut ſpectacula ipſis exhibere aut quæ ab aliis exhibentur ſpectare liceat, canon decernit. Eſt verò hoc quod dicitur de ſpectaculis exhibendis ejuſmodi: fuere ſiquidem E in magnis urbibus theatra, tum equi quoque ad certamina beſtiæque ad pugnam alebantur, eáque, tum equorum ac beſtiarum, tum reliquorum ſpectaculorum, quæ in theatris exhibenda forent, curatio nonnullis ex civium numero committebatur, quibus, & equeſtre certamen, & beſtiarum pugna, & quæcunque alia in theatris præberi ſolita, curæ fuêre. Rerum igitur hujuſmodi curatores eſſe Sacerdotum filios hic canon vetat. Sacerdotes enim filios ſuos in doctrina ac lege domini inſtituere debent, ut eſt apud Divum Paulum, qui etiam epiſtola ad Titum, dum eorum, qui Sacerdotes creandi ſunt, conditiones exequitur, ad alia hoc quoque addidit; Si quis F filios habet fideles, non in accuſatione luxuriæ, aut immorigeros. Et epiſtola ad Timotheum, dum eum, qui Epiſcopatū deſiderat, qualem oporteat eſſe deſcribit, præter cætera id etiam appoſuit, filios habentē ſubditos cum omni caſtitate. Qui vero mimorum equorúmque ſpectaculis, aliiſque hujuſmodi ludicris, occupantur, neque intemperantiæ crimen effugient, neque integritatis & caſtimoniæ teſtimonio commendabuntur. Nec vero mirum ſi hæc vitæ degendæ ratio à filiis ſacerdotum exigatur: nam & Chriſtianis omnibus, ne ad ea loca ubi blaſphemiæ ſunt accedere liceat, interdictum fuit. Blaſphemiæ verò nomine ea, quæ licenter ac inverecundè fiunt, ſignificavit. Ob illa quippe fideles, quaſi temperantiæ integritatiſque contemptores, ab infidelibus blaſphemantur.

ΖΩΝΑΡ. Τοῖς ἱερωμένοις ἅπασιν, ἀλλὰ μὴν καὶ μοναχοῖς πρόσφορα εἰσὶ δικαστήρια, τὰ τῶν ἐπισκόπων, οἷς ὑπόκεινται. εἴτε οὖν ἐνάγεταί τις τούτων, εἴτε ἐνάγει κατὰ συγκληρικοῦ, παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ καὶ ἐνάγεσθαι καὶ ἐνάγειν ὀφείλει, κἂν ἐγκληματικὸν εἴη τὸ δικαστήριον, κἂν πολιτικὸν ἤτοι χρηματικόν. ἐὰν δὲ παραιτήσηταί τις τῶν τοιούτων τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ δημοσίοις δικαστηρίοις, ἤγουν δημοτικῶν ἀρχόντων, τουτέστι πολιτικῶν, θελήσῃ καθαρθῆναι, ἀντὶ τοῦ καθαρὸς φανῆναι τοῦ αἰτιάματος, κἂν νικήσῃ ἐν τῷ δικαστηρίῳ ἐκείνῳ, καὶ ὑπὲρ αὐτοῦ γένηται ἡ ἀπόφασις, ἀθῷον αὐτὸν ἀποφαινομένη τοῦ ἐγκλήματος, ἐφ᾽ ᾧ κατηγορεῖτο, ὅμως τὸν ἴδιον τόπον, τὸν βαθμὸν δηλαδὴ, καὶ τὴν ἱερατικὴν τιμὴν ἀπολέσει, διὰ τοῦτο αὐτὸ καθαιρούμενος, διότι παρῃτήσατο τὸ ἐκκλησιαστικὸν δικαστήριον. ὅτε οὖν φησιν ἔγκλημα εἴη τὸ κινηθὲν κατὰ τοῦ ἱερωμένου, τὰ εἰρημένα γενήσονται· ὅτε δὲ πολιτικόν ἐστι τὸ κινούμενον, ἤτοι χρηματικὸν, κἂν δικαιωθῇ ὁ ἱερωμένος, καὶ οὕτως ἐκπεσεῖται τοῦ οἰκείου βαθμοῦ, εἰ μὴ καταφρονήσει τοῦ πράγματος, ἐφ᾽ ᾧ ἐδικαιώθη, καὶ τῆς δικαιωσάσης αὐτὸν ἀποφάσεως. ἐὰν δὲ ἔκκλητος γένηται, ἢ ἐπισκόπων δικασάντων ἢ δικαστῶν ἑτέρων, ἐπὶ ἄλλους ἐκκλησιαστικοὺς δικαστὰς, ἤγουν ἐπὶ μητροπολίτας ἢ πατριάρχας, καὶ ἐξεταζομένη ἐν τῇ ἐκκλήτῳ ἡ ἀπόφασις λυθῇ, ἀντὶ τοῦ ἀνατραπῇ, μηδὲν, φησι, βλαπτέσθωσαν οἱ πρώην ἀποφηνάμενοι· εἰ μή που ἐλεγχθῶσιν, ἢ κατ᾽ ἔχθραν δικάσαι, ὡς ἐχθρωδῶς ἔχοντες κατὰ τοῦ καταδικασθέντος, ἢ κατὰ προσπάθειαν, ὡς φιλίως διακείμενοι πρὸς τὸν δικαιωθέντα, ἢ δωροδοκηθέντες· τοῦτο γάρ ἐστι τὸ χάριτι ὑποφθαρῆναι. δωροδοκεῖται δέ τις, ἢ χρήματα λαμβάνων, ἢ ἄλλην τινὰ χάριν αὐτῷ πληροῦντος τοῦ αὐτὸν ὑποφθείροντος. εἰ γὰρ δι᾽ ἔχθραν ἢ προσπάθειαν ἢ δωροδοκίαν φανεῖεν μὴ καλῶς ψηφισάμενοι, βλαβήσονται περὶ τὴν οἰκείαν ἐπιτιμίαν. ἐὰν δὲ αἱρετίσωνται οἱ τὴν ὑπόθεσιν ἔχοντες, ὅ τε κατήγορος καὶ ὁ κατηγορούμενος, δικαστὰς, εἰ καὶ ὀλιγώτεροι, φησιν, εἶεν τῶν ὁρισθέντων, τῶν ιβ΄. ἐπὶ ἐπισκόπων, καὶ τῶν ἓξ ἐπὶ πρεσβυτέρων, καὶ τῶν τριῶν ἐπὶ διακόνων, ὁ καταδικασθεὶς ὑπ᾽ ἐκείνων οὐ δυνήσεται ζητεῖν ἔκκλητον. τοῦτο δὲ καὶ νόμοι πολιτικοὶ διατάττονται, καὶ ζήτει βιβλίον τῶν βασιλικῶν γ΄. τιτ. α΄. κεφάλαιον μδ΄. καὶ βιβλίον θ΄. ἐπὶ τούτοις ὁ κανὼν περὶ τέκνων τῶν ἱερέων φησὶν, ἵνα μήτε θεώρια ἐκτελῶσιν αὐτοὶ, μήτε ἄλλων ποιούντων παραγίνωνται καὶ θεωρῶσι. τὸ δὲ θεώρια ἐκτελεῖν τοιοῦτόν ἐστιν· ἐν ταῖς μεγίσταις πόλεσιν θέατρα ἦν, καὶ ἵπποι ἐτρέφοντο ἁμιλλητήριοι καὶ θηρία εἰς θηριομαχίαν, καὶ ἀνετίθετο ἡ ἱπποτροφία, καὶ ἡ τῶν θηρίων ἐπιμέλεια, καὶ ἡ φροντὶς τοῦ τὰς θεωρίας ἐν τοῖς θεάτροις ἐπιτελεῖσθαι, ἐνίοις τῶν πολιτικῶν, κἀκείνοις ἔμελλε περί τε τῆς τῶν ἵππων ἁμίλλης καὶ τῆς θηριομαχίας καὶ τῶν ἄλλων, ὅσα ἐν τοῖς θεάτροις εἴωθε γίνεσθαι. ταῦτα οὖν γίνεσθαι παρὰ παίδων τῶν ἱερέων ἐκώλυσεν ὁ κανών. δεῖ γὰρ τοὺς ἱερεῖς τὰ οἰκεῖα τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου ἀνάγειν, κατὰ τὸν μέγαν Παῦλον, ὃς καὶ πρὸς Τίτον γράφων οἵους δεῖ καθιστᾶν πρεσβυτέρους, πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔγραψεν· εἴ τις ἐστὶ τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. καὶ Τιμοθέῳ ἐπιστέλλων, οἷον δεῖ τὸν ἐπισκοπῆς ὀρεγόμενον εἶναι, τοῖς λοιποῖς καὶ τοῦτο προσέθετο, τὰ τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. τὰ θεωρίαις δὲ μίμων προσέχοντα καὶ ἱπποδρομίαις σχολάζοντα, καὶ τοιούτοις ἄλλοις, οὔτε ἀσοτίας ὑπόληψιν ἐκφεύξονται, οὔτε σεμνότης αὐτοῖς προσμαρτυρηθήσεται. καὶ οὐ θαυμαστὸν εἰ τὰ τῶν ἱερέων τέκνα τοιαύτην διαγωγὴν ἀπαιτοῦνται· ἐπεὶ καὶ πᾶσι Χριστιανοῖς κεκήρυκται, μὴ προσιέναι, ὅπου βλασφημίαι εἰσί. βλασφημίας δὲ, τὰ ἀσέμνως γινόμενα ἐκάλεσεν. ὡς βλασφημεῖσθαι ποιοῦντα τοὺς πιστοὺς παρὰ τῶν ἀπίστων, οἷα μὴ ἐν σωφροσύνῃ ζῶντας ἢ σεμνότητι.

ΑΡΙΣΤ. Ἐπίσκοπος ἢ κληρικὸς, ἐγκληματικοῦ κινουμένου πράγματος, εἰ τὴν ἐκκλησίαν ἀφεὶς, τοῖς δημοσίοις προσδράμοι, καὶ ἀδικούμενος, τὸν ἴδιον ἀπολέσει βαθμόν. εἰ ὑπερέξει δὲ καὶ ἐπὶ πολιτικαῖς κεφαλαῖς, εἰ τούτῳ στοιχοίη, τὸν ἴδιον ἀπολέσει βαθμόν. δικαστὰς γοῦν μὴν ἐκκλησιαστικοὺς, εἰ μὴ ἐλέγχοιντο κατὰ προσπάθειαν ἢ ἀντιπάθειαν προδεδιωκηκότες, ἔκκλητος γενομένη οὐκ ἀμύνεται. ἐὰν δὲ τὰ μέρη ἐπιλέξωνται δικαστὰς, τούτων μὴ ἀφιστάσθωσαν.

Οὐ δεῖ παραιτεῖσθαι ἐπίσκοπον, ἢ κληρικὸν, τὸ ἐκκλησιαστικὸν δικαστήριον. ὅθεν ἐάν τις τούτων κατηγορούμενος ἐγκληματικῶς, τὴν ἐκκλησιαστικὴν παραιτήσηται κρίσιν, καὶ πολιτικοῖς δικασταῖς προσέλθῃ, καὶ παρ' ἐκείνοις γυμνάσῃ τὰ τῆς αἰτιάσεως· κἂν ἀθῶος φανῇ, καὶ ὑπὲρ αὐτοῦ ἡ ἀπόφασις ἐξενεχθῇ, τὸν ἴδιον ἀπολέσει βαθμόν. εἰ δὲ οὐκ ἐγκληματική ἐστιν ἡ κατ' αὐτῶν αἰτίασις, ἀλλὰ χρηματική, καὶ συμβῇ καὶ ἐπὶ ταύτῃ νικῆσαι αὐτοὺς, τὸ προσφόρον αὐτοῖς παραιτησαμένους δικαστήριον, καὶ κοσμικοῖς δικασταῖς προσελθόντας, καὶ παρ' ἐκείνων κριθέντας· εἰ μὲν αἱροῦνται τῇ ὑπὲρ αὐτῶν ψήφῳ στοιχεῖν, καὶ τὸ πρᾶγμα εἰς ὃ ἐνίκησαν ἀπαιτῆσαι, τὸν ἴδιον βαθμὸν ἀπολέσουσιν. εἰ δὲ καταφρονοῦσι τῆς δικαιώσεως, καὶ ἀπολέσαι αἱροῦνται τὸ εἰς ὃ ἐνίκησαν, τὸν οἰκεῖον τόπον καθέξουσιν. εἰ δέ τις παρὰ ἐπισκόπων κριθεὶς, καὶ καταδικασθεὶς, πρὸς μείζονας ἐκκλησιαστικοὺς δικαστὰς ἐκκαλέσηται, καὶ ἀνατρέψαι ἰσχύσει τὴν ψῆφον αὐτῶν· οὐδεμίαν βλάβην τοῦτο ἐπάξει τοῖς ἐκκλησιαστικοῖς δικασταῖς ἐκείνοις, ὧν ἡ ἀπόφασις ἀνατρέπεται. εἰ μήπου κατὰ ἔχθραν, ἢ κατὰ προσπάθειαν, ἢ κατά τινα χάριν ἀπελεγχθῶσιν ἐμπαθῶς τὴν κρίσιν ποιήσασθαι. ὅσοι δὲ τῶν αἰτιωμένων ἐπισκόπων, ἢ κληρικῶν, ἐπιλέξονται ἐκκλησιαστικοὺς δικαστὰς, καὶ παρ' αὐτοῖς κριθῆναι θελήσουσι, κἂν ἥττονες ἐπὶ μὲν ἐπισκόπων κατηγορουμένων, τῶν δώδεκα ἐπισκόπων ὦσιν· ἐπὶ δὲ πρεσβυτέρων, καὶ διακόνων, τῶν ἑπτὰ, ἢ καὶ τεσσάρων, καθὼς ἐν τῷ δωδεκάτῳ κανόνι τῆς παρούσης συνόδου ἐγράψαμεν, οὐκ ὀφείλουσι καταδικασθέντες ἐκκαλεῖσθαι κατὰ τῆς κρίσεως αὐτῶν. ἡ γὰρ ἔκκλητος ἀπειρίαν, ἢ ἀδικίαν ἐπανορθοῦται τοῦ δικαστοῦ. πῶς γοῦν ὁ ἐπιλεξάμενος ἐκκλησιαστικοὺς δικαστὰς, οὓς καὶ κατὰ λόγον, καὶ κατὰ βίον ἀνεπιλήπτους ἔκρινεν εἶναι, παραδεχθήσεται, λέγων, ἀπείρως ἢ ἀδίκως ὑπ' αὐτῶν κριθῆναι, καὶ οἱονεί τινα μέμψιν τοῖς παρ' αὐτοῦ οἱονεὶ κριθεῖσιν ἱερατικοῖς ἐπάγειν ἀνδράσιν.

ΚΑΝΩΝ ιϛ'.

Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι ἐκλήπτορες μὴ γίνωνται ἢ προκουράτορες, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος τροφὴν πορίζωνται· ὀφείλουσι γὰρ ἀποβλέψαι εἰς τὸ γεγραμμένον· οὐδεὶς στρατευόμενος τῷ θεῷ ἐμπλέκεται ἑαυτὸν πράγμασι κοσμικοῖς· καὶ ὥστε τοὺς ἀναγνώστας εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομένους ἀναγκάζεσθαι, ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν. ὁμοίως ἤρεσεν, ἵνα κληρικὸς, ἐὰν χρήματα δῷ ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν εἶδος, ὅσον δέδωκε λάβῃ. καὶ ἵνα πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν μήτε διάκονοι χειροτονῶνται. ἀλλὰ καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνῶσιν.

ΒΑΛΣ. Περὶ μὲν τῶν κληρικῶν τῶν παρεμβαλλόντων ἑαυτοὺς εἰς κοσμικὰς ἐνεργείας ἐγράψαμεν εἰς τὸ ιγ'. κεφ. τοῦ η'. τίτλου τοῦ παρόντος συντάγματος· εἰς τὸν ϛ'. καὶ πγ'. ἀποστολικὸν κανόνα· καὶ εἰς τὸν γ'. κανόνα τῆς δ'. συνόδου. καὶ ἀνάγνωθι τούτους. καταστρωθήσεται δὲ εἰς τὴν παροῦσαν ἑρμηνείαν καὶ ἡ κατὰ τὴν η'. τοῦ Δεκεμβρίου μηνὸς τῆς ϛ'. ἰνδικτιῶνος γενομένη συνοδικὴ σημείωσις, εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ, ἡ καὶ τόμου τάξιν ἐπέχουσα. ὡσαύτως καὶ ἡ σημείωσις τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Ἰωάννου, ἡ γενομένη χάριν

A **Ariſt.** *Epiſcopus vel Clericus, cauſâ criminali ei inſtitutâ, ſi relictâ Eccleſiâ, ad judicia publica recurrat, etiam injuriâ affectus, proprium amittet gradum. Si verò & vicerit in negotiis politicis, ſi hoc ſequatur, proprium gradum amittet. Eccleſiaſticos autem judices, niſi gratiâ aut odio antea judicâſſe convincantur, appellatio inſtituta non propellit. Si partes vero judices elegerint ab iis ne diſcedant.*

Non oportet Epiſcopum aut Clericum judicium Eccleſiaſticum recuſare. Quapropter ſi quis ex iis B criminaliter accuſatus, Eccleſiaſticum recuſaverit judicium, & ad civiles judices acceſſerit, & coram iis, quæ ad accuſationem ſuam ſpectant, denudaverit, quamvis innocens appareat, & pro eo lata ſit ſententia, proprium gradum amittet. Si autem non criminalis ſit contra eos accuſatio, ſed pecuniaria, & accidat de iſtâ evadere eos judicium ipſis conveniens recuſantes, & ad ſeculares judices accedentes, & ab iis judicatos; ſi quidem ſententiæ ab iis latæ acquieſcere vellent, & id pro quo contendebant, exigere, proprium gradum amittent. Si autem deſpectui habuerint cauſæ ſuæ prolationem, illúdque pro quo contendebant amittere mallent, locum ſuum retinebunt. C Si quis autem ab Epiſcopis accuſatus & condemnatus, ad majores Eccleſiaſticos judices appellaverit, eorumque ſententiam evertere potuerit, nullam hoc illis judicibus Eccleſiaſticis, quorum ſententia evertitur, noxam afferret, niſi forſitan propter odium, aut paſſionem, vel gratiam aliquam cum affectu ſententiam tuliſſe convincantur. Quicunque autem ex accuſatis Epiſcopis aut Clericis, Eccleſiaſticos judices elegerint, & ab iis judicari voluerint, quamvis contra Epiſcopos accuſatos duodecim Epiſcopis ſint pauciores, contra Presbyteros autem & Diaconos ſeptem vel etiam quatuor, quemadmodum & in xii. præſentis D Synodi Canone ſcripſimus, condemnati non debent contra judicium eorum appellare: appellatio enim judicis inſcitiam vel injuſtitiam corrigit. Quomodo itaque, qui judices Eccleſiaſticos eligit, quos & ſermone & vitâ inculpatos eſſe judicavit, dicens ſe inſipienter & injuſtè ab iis judicari, & reprehenſionem quandam hominibus Sacerdotalibus ab ipſo judicatis afferre admittatur?

CANON XVI.

Similiter placuit, ut Epiſcopi, Presbyteri & Diaconi E *conductores vel procuratores non fiant; nec ex turpi aliquo vel vili negotio victum ſibi quærant; debent enim ad id quod ſcriptum eſt reſpicere, Nemo Deo militans ſeipſum implicat ſecularibus negotiis, &, ut Lectores ad pubertatis tempus venientes cogantur, vel uxores ducere, vel continentiam profiteri. Similiter placuit, ut ſi Clericus mutuas pecunias dederit, pecunias accipiat: ſin autem ſpeciem, quantum dederit accipiat. Et ut ante xxv. annos Diaconi non ordinentur. Sed & Lectores populum non ſalutent.*

F **Bals.** De Clericis quidem, qui ſe negotiis ſecularibus ingerunt, ſcripſimus in decimo tertio capite octavi tituli præſentis operis; in ſexto & octogeſimo tertio Canone Apoſtolico, & in tertio Canone quarti Synodi, & lege eos. In præſenti autem interpretatione ponetur & quæ octavo menſe Decembris ſexta Indictione facta eſt Synodalis declaratio, tempore ſanctiſſimi Patriarchæ domini Lucæ, quæ etiam deciſionis locum obtinet. Similiter & promulgatio Patriarchæ illius domini Joannis, quæ facta eſt,

UMI

ne cauſas agerent qui ſacris initiati ſunt. Et jus edicti ſanctiſſimi Patriarchæ domini Michaëlis Philoſophorum ſummi, quod prodiit, ut æquè, ac Diaconus & Sacerdos, Lector quoque prohiberetur ab exercendis ſecularibus officiis. Quoniam autem præſens Canon ſtatuit, ne qui ſunt ſacrati victum quærant ex rebus turpibus & vilibus; ſæpe quæſitum eſt, quænam ſint eæ. Et nonnulli quidem dixerunt eas eſſe, lenonem eſſe ac meretrices alere, cauponatoriæ tabernæ præeſſe, & ſimilia. Sanctiſſimus autem Patriarcha dominus Lucas unguentarias quoque officinas & balnea turpis eſſe quæſtûs dicebat, ut quæ mendacii quoque cauſæ eſſent. Sed nec archiatros fieri ſinebat Diaconos vel Sacerdotes, dicens non eſſe ferendum, ut qui cum infulis & caſulis ſancta tractant, ſecularibus veſtibus induantur, & cum Laicis, viris ſcilicet medicis, incedant. Poſtea autem cautum eſt à ſanctis Patribus, ut Lectores in tempore pubertatis poſt annum xiiii. cogantur vel matrimonio conjungi vel cœlibatum profiteri. An hoc autem apud Africanos obſervatum ſit, neſcio: ſed apud alias Eccleſias non ſervatur. Exiſtimo autem, quòd nec in ulla unquam regione hoc ſervatum ſit; ut quod Apoſt. ſexto Canoni adverſetur, qui decernit, ut Lectores & Cantores, etiam poſtquam in Clerum provecti fuerint, uxores ducant, & nec uxorem ducendi tempus definit, nec, ut continentiam profiteantur, exigit. Dare autem pecuniam mutuam ad uſuram multi Canones Clericis prohibent. Præſens quoque Canon, non ſolùm eos qui ſunt è tribunali, ſed & omnes Clericos fœnerari prohibet. Quia autem, cùm uſuræ dabantur ob pecunias mutuò datas, veriſimile erat dicere aliquos hoc quidem eſſe prohibitum; dare autem frumentum vel aliquam aliam ſpeciem, & plus accipere quàm datum ſit, non eſſe prohibitum: Patres hoc quoque expreſsè prohibuerunt. Sed & illud, ante completos xxv. annos non ordinari Diaconum, in diverſis Canonibus decretum eſt. Prohibitum eſt autem Lectoribus, ne expleto miniſterio ad populum converſi eum ſalutent: ut qui ſolos tunc debent Sacerdotes & Antiſtites adorare, & non Laicos qui in Eccleſia congregantur. Ipſi enim ſunt ſacrati: populus verò procul eſt à Sacerdotio & conſecratione. Ac ipſe potiùs Lectores adorare deberet propter miniſterium eorum. Lege ſanctorum Apoſtolorum Can. xvii. xviii. xix. xxv. xxvi. Syn. Ancyr. Can. x. & Chalced. Can. xiv. xv. Sext. Canonem iii. iv. vi. xii. xiii. xlviii. lviii. Et S. Baſilii Canonem iii. vi. lxix. lxx. Et edictum quidem ſanctiſſimi Patriarchæ domini Lucæ ſic ſe habet; Menſe Decembri, viii. die, i. Indict. vi. Sin autem etiam ille Ozan, qui divinam Arcam, quæ evertebatur, attigit, non parvo ſupplicio affectus eſt (atqui ejus erat inſtitutum illam erigere, non diruere) quis eſt adeò audax, & ad extremam uſque impudentiam arrogantiamque elatus, malo omnino ſpiritu ductus, qui non ſolùm divina & ſpiritualia mandata in integrum non vult, ſed etiam in contrarium detorquens, ea labefactare ac deſtruere impudenter molitur, eaque diſſolvere quæ firmè ac ſtabiliter locata ſunt, & ea commovere quæ conquaſſari non poſſunt, ut quæ ſint ædificata, ut aiunt, ſupra fundamentum Apoſtolorum & Prophetarum? Propterea noſtra quoque moderatio non ferendum eſſe rata malam conſuetudinem adhuc ſervari, quæ divina & humana confundit, & Eccleſiæ, quæ eſt ab omni reprehenſione aliena Dei ſponſa, conſtitutioni non vulgares maculas inurit, quæque ſuperbia & vana negotiatione, & in iis, quæ ſunt abjecta ab eaque abhorrentia, ſtudio & labore, & turpibus præterea lucris, ejus honeſtatem ſpendoremque polluit; viſum eſt eam eſſe radicitùs evellendam, ut non amplius enaſcatur radix amaritudinis, ſecundùm divinum Apoſtolum, per præſentem noſtram ſpiritualem &

A τοῦ μὴ συνηγορεῖν τοὺς ἱερωμένους. καὶ ἡ δύναμις τοῦ σημειώματος τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ ὑπάτου τῶν φιλοσόφων, ἡ προβᾶσα χάριν τοῦ ἐπίσης τῷ διακόνῳ καὶ τῷ ἱερεῖ κωλύεσθαι καὶ τὸν ἀναγνώστην ἐκ τῆς ἐνεργείας τῶν κοσμικῶν ὀφφικίων. ἐπεὶ δὲ ὁ παρὼν κανὼν διορίζεται, μὴ πορίζεσθαι τοὺς ἱερωμένους τὰ πρὸς τροφὴν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ ἀτίμων, ἐζητήθη πολλάκις ποῖα ταῦτα εἰσί. καί τινες μὲν εἶπον εἶναι ταῦτα, τὸ πορνοβοσκεῖν, τὸ καπηλικοῦ ἐργαστηρίου περιΐστασθαι, καὶ τὰ ὅμοια. ὁ δὲ ἁγιώτατος πατριάρχης κυρὸς Λουκᾶς καὶ τὰ μυρεψικὰ ἐργαστήρια καὶ τὰ βαλανεῖα αἰσχροκερδῆ εἶναι ἔλεγεν, ὡς καὶ ψεύδους παραίτια. B ἀλλ' οὐδὲ ἀρχιατρούς παρεχώρει γίνεσθαι τοὺς διακόνους ἢ τοὺς ἱερεῖς, λέγων ἀνένδεκτον εἶναι τοὺς μετὰ φαινολίων καὶ στιχαρίων τὰ ἅγια μεταχειριζομένους, κοσμικὰς στολὰς ἐνδιδύσκεσθαι, καὶ μετὰ λαϊκῶν ἀνδρῶν, τῶν ἰατρῶν δηλαδὴ, προπομπεύειν. ἐπὶ τούτοις νενομοθέτηται παρὰ τῶν ἁγίων πατέρων, τοὺς ἀναγνώστας ἐν τῷ καιρῷ τῆς ἥβης μετὰ τὸν ιδʹ. ἐνιαυτὸν ἀναγκάζεσθαι ἢ γάμῳ ὁμιλῆσαι ἢ ἀγαμίαν ὑποσχέσθαι. τοῦτο δὲ εἰ παρὰ τοῖς ἐν τῇ Ἀφρικῇ ἐκράτησεν, οὐκ οἶδα, παρὰ δὲ ταῖς ἄλλαις ἐκκλησίαις οὐ κρατεῖ. νομίζω δὲ, ὅτι οὐδὲ ἔν τινι χώρᾳ τοῦτο ἐκράτησέ ποτε, ὡς ἐναντιούμενον τῷ ἀποστολικῷ ϛʹ. κανόνι, τῷ ὁρίζοντι ἀναγνώστας καὶ ψάλτας, καὶ μετὰ τὸ C εἰς κλῆρον προελθεῖν, γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι ἀπαιτοῦντι. τὸ δὲ δανείζειν τοὺς κληρικοὺς ἐπὶ τόκοις πολλοὶ κανόνες ἀπαγορεύουσι. καὶ ὁ παρὼν δὲ κανὼν οὐ μόνον τοὺς τοῦ βήματος, ἀλλὰ καὶ πάντας τοὺς κληρικοὺς τοκίζειν ἐμποδίζει. ὅτι δὲ τῶν τόκων ἐπὶ δανείῳ νομισμάτων δεδομένων εἰκὸς ἦν εἰπεῖν τινας, τοῦτο μὲν εἶναι κεκωλυμένον, τὸ δὲ διδόναι σῖτον ἢ ἕτερον εἶδος, καὶ λαμβάνειν πλεῖον τοῦ δοθέντος, μὴ ἀπαγορεύεσθαι, ἐκώλυσαν οἱ πατέρες ῥητῶς καὶ τοῦτο. ἀλλὰ καὶ τὸ πρὸ συμπληρώσεως κεʹ. ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον, ἐν διαφόροις κανόσιν ὥρισται. ἀπηγόρευται δὲ τοῖς D ἀναγνώσταις, ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν στρέφεσθαι πρὸς τὸν δῆμον καὶ προσκυνεῖν, ὡς ὀφείλουσι τότε προσκυνεῖν μόνους τοὺς ἱερεῖς καὶ τοὺς ἀρχιερεῖς, καὶ οὐχὶ τοὺς λαϊκοὺς τοὺς ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένους· οἱ μὲν γὰρ ἱέρωνται, οἱ δὲ τοῦ δήμου πόῤῥω τῆς ἱερωσύνης εἰσί. καὶ οὗτοι μᾶλλον τοὺς ἀναγνώστας προσκυνεῖν ὀφείλουσι, διὰ τὴν ὑπουργίαν αὐτῶν. ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα ιζʹ. ιηʹ. ιθʹ. κεʹ. κϛʹ. συνόδου Ἀγκύρας κανόνα ιʹ. τῆς ἐν Χαλκηδόνι κανόνα ιδʹ. ιεʹ. τῆς ϛʹ. κανόνα γʹ. δʹ. ϛʹ. ιβʹ. ιγʹ. μηʹ. νηʹ. καὶ τοῦ ἁγίου Βασιλείου κανόνα γʹ. ϛʹ. ξθʹ. καὶ οʹ. τὸ μέντοι σημείωμα τοῦ ἁγιωτάτου πατριάρ- E χου κυρίου Λουκᾶ ἔχει οὕτως· μηνὶ Δεκεμβρίῳ ηʹ. ἡμέρᾳ αʹ. ἰνδικτιῶνος ϛʹ. εἰ δὲ καὶ Ὀζὰν ἐκεῖνος τῆς θείας κιβωτοῦ παρατραπείσης ἁψάμενος οὐ μικρὸν κατεκρίθη τὸ ἐπιτίμιον, (καίτοι σκοπὸς ἦν αὐτῷ πρὸς ἀνόρθωσιν ταύτης, οὐ πρὸς καθαίρεσιν,) τίς οὕτω τολμηρὸς καὶ εἰς ἐσχάτην ἀναίδειαν καὶ ὑπερηφανίαν ἐξενεχθεὶς, πνεύματι πάντως ἀγόμενος πονηρῷ ὃς μὴ μόνον οὐκ ἐπανορθοῦν αἱρεῖται τὰ θεῖα καὶ πνευματικὰ διατάγματα, ἀλλὰ καὶ τὴν ἐναντίαν τρεπόμενος, παρασαλεύειν ταῦτα καὶ καθαιρεῖν ἀναιδεύεται, καὶ παραλύειν τὰ παγίως ἡδρασμένα, καὶ παρακινεῖν τὰ ἀσάλευτα, ὡς ᾠκοδομημένα, καθώς φησιν, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν; F διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν οὐκ ἀνασχετὸν ἡγησαμένη πονηρὰν συνήθειαν καὶ ἔτι κρατεῖν, μιγνύουσαν θεῖά τε καὶ ἀνθρώπινα, καὶ τῇ τῆς ἐκκλησίας καταστάσει, τῆς ἀμωμήτου νύμφης Χριστοῦ, σπίλους οὐ τοὺς τυχόντας προσεπιτρίβουσαν, καὶ τύφῳ καὶ ἀσχολίᾳ ματαίᾳ, καὶ τῇ περὶ τὰ εἰκαῖα καὶ ταύτῃ ἀπᾴδοντα διαπονήσει τε καὶ σπουδῇ, ἔτι γε μὴν καὶ ἀκερδέσι τὸ σεμνὸν ταύτης καταῤῥυπαίνουσαν, ηὐδόκησε ῥιζόθεν ταύτην ἀποτεμεῖν, ἵνα μὴ ῥίζα πικρίας καὶ ἔτι φυῇ, κατὰ τὸν θεῖον ἀπόστολον, διὰ τῆς παρούσης ἡμετέρας πνευματικῆς καὶ πατρικῆς διαλαλιᾶς, τῆς δηλούσης μὲν τὸν σκοπὸν φανερῶς τῆς προτεθείσης ὑποθέσεως περὶ τῶν ἱερὰν ἀξίαν λαχόντων, καὶ κοσμικαῖς ἑαυτοὺς ἐμπλεκόντων ἀρχαῖς καὶ ἀξίαις καὶ φροντίσι καὶ πράγμασι. οὕτω δὲ κατὰ ῥῆμα ἐχούσης, τοῖς τὴν ἱερατικὴν, φασιν οἱ πατέρες, λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰσὶν, ἃς καὶ ἀσμένως δεχόμενοι, πρὸς τὸν δεσπότην θεὸν μετὰ Δαβὶδ τοῦ θεοφάντορος ᾄδομεν, ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ· καὶ αὖθις, ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα συνέτισόν με, καὶ ζήσομαι. καὶ εἴπερ εἰς τὸν αἰῶνα φυλάττειν ἡμῖν ἐντέλλεται ἡ προφητικὴ φωνὴ τὰ μαρτύρια τοῦ θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ὡς ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν. ὅτι οὕτω φησὶ καὶ ὁ θεόπτης Μωσῆς, ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. τούτων τοίνυν οὕτως ὄντων καὶ διαμαρτυρουμένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕρῃ σκῦλα πολλὰ, τοὺς θείους ἀσπασίως κανόνας ἐνστερνιζόμεθα, καὶ τὴν αὐτῶν διαταγὴν ὁλόκληρον καὶ ἀσάλευτον μένειν ὁλοψύχως αἱρούμεθα. καὶ ἐπειδὴ τῶν ἐν κλήρῳ τεταγμένων τινὰς ἔγνωμεν πράγμασι κοσμικοῖς ἐμπλέκοντας ἀκανονίστως ἑαυτοὺς, οὓς μὲν κουρατωρείας καὶ προνοήσεις οἴκων ἀρχοντικῶν ἢ κτημάτων ἀναλαμβάνοντας, οὓς δὲ καὶ δημοσίων τελῶν εἰσπράξεις ἢ κεφαλαίων ἑτέρων, ἢ ἐξελάσεις πλωΐμων, ἢ δὴ καὶ ἀναγραφὰς ἢ λογοποιΐας, ἢ καὶ ἑτέραν ὁμοίαν ἐνέργειαν, οὐκ ἐπὶ πράγμασιν ἐκκλησιαστικοῖς, ἀλλὰ κοσμικοῖς, ἐνίους δὲ καὶ ἀξίας τε καὶ ἀρχὰς τὰς τῆς πολιτείας ἀπονενεμημένας, τοῖς τοιούτοις παρεγγυώμεθα παύσασθαι τοῦ λοιποῦ τῶν εἰρημένων ἁπάντων· ταῖς ἐκκλησιαστικαῖς δὲ χρείαις προσκαρτερεῖν, εἰ μὴ βούλοιντο τῇ δεδογμένῃ τοῖς θείοις καὶ ἱεροῖς κανόσι καθαιρέσει τοῦ προσόντος αὐτοῖς ἐκκλησιαστικοῦ τοῦ βαθμοῦ ὑπαγαγεῖν ἑαυτούς. εἰ γὰρ καὶ μακρᾷ συνηθείᾳ ἑδράζεσθαι τινὲς οἴονται τὸ τοιαῦτα μετιέναι καὶ πρὸ αὐτῶν οὐκ ὀλίγους, πρὸς δὲ καὶ βασιλικάς φασί τε προβῆναι οἰκονομίας ἀνατιθείσας ἱερωμένοις ἀξίας τε καὶ κοσμικὰς καὶ ὀφφίκια ἢ ἐνεργείας ὁμοίας εἴτε ἀρχάς· ἀλλ' οὐχ ἑλκυσθήσεται πρὸς ὑπόδειγμα. ἐπειδὴ γὰρ οὐθ' ὑπ' ἀμφιβολίαν οἱ περὶ τούτων ἱεροὶ καὶ θεῖοι κανόνες ἔπεσον, οὔτε δοκιμασία τις καὶ διάγνωσις ἔγγραφος προβεβήκει παρά τε τοῦ κατὰ καιρὸν τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, ἔτι δὲ καὶ ἁγιωτάτων πατριαρχῶν καὶ συνόδων τούτους αὐτοὺς παραθραύουσα, οὐ τοὺς γεγραμμένους κανόνας αἱ τοιαῦται οἰκονομίαι καὶ ἡ μὴ δοκιμασθεῖσα συνήθεια ὅλως παρασαλεύουσιν· αὗται δὲ μᾶλλον ὑπὸ τούτων τοὐναντίον τέλεον συντριβήσονται, ὡς χύτρα κατὰ τὸν Σολομῶντα προσκρούσασα λέβητι. πύλαι γάρ, φησιν, ᾅδου τῆς ἐκκλησίας οὐ κατισχύσουσιν, οἰκοδομηθείσης παρὰ Κυρίου ἐπὶ τῷ θεοκήρυκι Πέτρῳ, τῷ σὺν τοῖς λοιποῖς ἁγίοις ἀποστόλοις νομοθετήσαντι οὕτως ἐν ϛ'. κανόνι αὐτῶν, ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μὴ, καθαιρείσθω. ὡσαύτως καὶ ἐν πα'. εἴπομεν, ὅτι μὴ χρὴ ἐπίσκοπον ἢ πρεσβύτερον καθιέναι ἑαυτὸν εἰς δημοσιακὰς διοικήσεις, ἀλλὰ προσκαρτερεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν, κατὰ τὴν Κυριακὴν παρακέλευσιν. ἔτι καὶ ὁ πγ'. φησὶν, ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος στρατείᾳ σχολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, Ῥωμαϊκὴν ἀρχὴν καὶ ἱερατικὴν διοίκησιν, καθαιρείσθω. τὰ γὰρ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. ἀλλὰ μὴν καὶ ὁ τῆς ἐν Καρθαγένῃ ιϛ'. οὕτως ἐν μέρει διαγορεύει· ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι ἐκλήπτορες μὴ γίνωνται ἢ προκουράτορες. καὶ μετ' ὀλίγον· οὐδεὶς γὰρ στρατευόμενος τῷ θεῷ ἐμπλέκεται ἑαυτὸν πράγμασι κοσμικοῖς. σὺν τούτοις καὶ ὁ οζ'. τῆς ἐν Χαλκηδόνι

A paternam doctrinam, quæ ſcopum quidem apertè declarat cauſæ propoſitæ de iis, qui ſacram auctoritatem ſortiti ſunt, & ſecularibus ſeipſos magiſtratibus & dignitatibus curiſque ac negotiis implicant. Ad verbum autem ſic ſe habet; Iis, qui ſacerdotalem, inquiunt Patres, dignitatem ſortiti ſunt, teſtimonia & præclara facta ſunt Canonicarum conſtitutionum informationes, quas etiam lubenter admittentes, ad Dominum Deum cum Davide Dei præcone canimus; In via teſtimoniorum tuorum delectatus ſum, tanquam in omnibus divitiis: Et rurſus; Mandaſti juſtitiam; teſtimonia tua in æternum doce me, & vivam. B Quòd ſi vox prophetica nos jubet in æternum Dei teſtimonia cuſtodire, & in ipſis vivere, manifeſtum eſt ea inconcuſſa & nulla ratione labefactanda permanere. Nam divinus quoque Moſes ſic inquit; Non licet eis addere nec detrahere. Cùm hæc itaque ita ſint, & nobis teſtimonium ferant, in eis exultantes, tanquam ſi quis multa ſpolia invenerit, divinos lubenter Canonas amplectimur, & eorum conſtitutionem integram & inconcuſſam manere toto animo eligimus. Quoniam autem nonnullos eorum qui ſunt in Clero conſtituti novimus ſe ſecularibus negotiis contra Canones implicare; hos quidem domorum magiſtratuum C vel poſſeſſionum curationes adminiſtrationéſque ſuſcipientes; illos verò etiam publicorum vectigalium exactiones, vel aliorum capitum, vel eorum quæ navibus portantur penſionum petitiones, vel colligendarum pecuniarum rationúmque reddendarum munera, vel aliquod ejuſmodi officium; non in Eccleſiaſticis, ſed ſecularibus negotiis; nonnulliſque eorum civiles etiam magiſtratus dignitatéſque eſſe attributas: eis præcipimus ut deinceps à prædictis omnibus ceſſent, in eccleſiaſticis autem negotiis officiiſque verſentur; niſi velint ei, quæ ſacris diviniſque Canonibus placuit, gradûs quem habent Eccleſiaſticis depoſitioni ſubjici. D Etſi enim longa conſuetudine confirmari ſtabilirique quidam exiſtimant, quòd non pauci ante eos illa ſuſceperint; Præterea autem dicunt Imperial. adminiſtrationes, quæ ſeculares dignitates & officia, aut ſimilia munera ſeu magiſtratus, ſacratis hominibus committunt proceſſiſſe: ſed tamen non trahetur ad exemplum. Quia enim eſt citra controverſiam, nec ſacros ac divinos de iis Canones intercidiſſe; nec ulla cognitio aut examinatio literis mandata ab eo, qui illo tempore Imperialia ſceptra tenebat, nec à ſanctiſſimis Patriarchis & Synodis eos ipſos evertens, proceſſit: ſcriptos Canones ejuſmodi E diſpenſationes & non probata conſuetudo omnino non labefactabunt; ſed ipſæ potiùs ab eis penitus conterentur, ſicut olla, ut inquit Solomon, quæ lebeti alliſa eſt. Portæ enim, inquit, inferi adverſus Eccleſiam non prævalebunt, quæ à Domino ſupra Dei præconem Petrum ædificata eſt, qui cum reliquis ſanctis Apoſtolis in ſexto eorum Canone ſic decrevit; Epiſcopus, vel Presbyter, vel Diaconus ſecularia negotia non recipiat: ſin minus deponatur. Similiter & in lxxxi. diximus, quòd non oportet Epiſcopum vel Presbyterum ad publicas adminiſtrationes deſcendere, ſed in Eccleſiaſticis negotiis officiiſque verſari: F vel ergo hoc non facere perſuadeatur, vel deponatur. Nemo enim poteſt duobus dominis ſervire, ut eſt præceptum Domini. Præterea & lxxxiii. Can. inquit; Epiſcopus vel Presbyter vel Diaconus militiæ vacans, & volens utrumque obtinere, Romanum magiſtratum & ſacerdotalem adminiſtrationem, deponatur. Quæ enim ſunt Cæſaris Cæſari, & quæ ſunt Dei Deo. Jam verò & Carth. xvi. ſic præciſè dicit; Similiter placuit, ut Epiſcopi & Presbyteri & Diaconi non ſint adminiſtratores vel procuratores. Et paulò poſt; Nullus enim Deo militans implicat ſe ſecularibus negotiis. Cum his lxxvii. quoq; Can. Chalc.

Synodi. Eos, qui ſemel in Clero conſtituti ſunt, vel Monachos, ſtatuimus neque ad militiam neque ad ſecularem dignitatem accedere: vel ſi hoc audeant, & non pœnitentia ducti ad id revertantur, quod propter Deum elegerunt, anathematizari. Et Conſtantinopolitani primi & ſecundi undecimi, hæc ita ad verbum perſequitur; Presbyteros vel Diaconos ſeculares Magiſtratus vel curas ſuſcipientes, vel quæ in Magiſtratuum ædibus dicuntur curationes, divini & ſacri Canones depoſitione ſubjiciunt. Hoc ergo nos quoque confirmantes, etiam de reliquis, qui in Clerum relati ſunt, ſtatuimus, ut ſi quis eorum ſecularia negotia aggrediatur, vel, quæ in Magiſtratuum ædibus vel ſuburbanis curationes dicuntur, ſuſcipiat, is ex Clero expellatur. Nemo enim poteſt, ſecundùm Chriſti veri Dei noſtri dictum & veriſſimam vocem, duobus dominis ſervire. Et omnino manifeſti ſunt & aperti hi divini Canones: & ideo non ſunt transformandi vel aliter accipiendi. Sin autem etiam cauſæ procuratorem, quæ ad Eccleſiam, cujus eſt Clericus, non pertinet, fieri Clerico prohibitum eſt, ne, inquit, divina miniſteria impediantur, quanto magis prohibitum eſt majoribus ſecularibus negotiis implicari, quæ impediunt, ne poſſit Eccleſiaſticis negotiis vacare. Omnibus ergo religioſiſſimis ſanctiſſimiſque Clericis in ſancto Spiritu præcipimus, ut à dictis abſtineant: vel ſciant, ſe quidem ſegregationis pœnæ ſubjectos fore; quin & quod majorem quoque & Canonicam acerbitatem non effugient, ejuſmodi ſecularibus negotiis ſeipſos implicantes. Ad hoc enim præſens quoque noſtræ mediocritatis decretum ſacratiſſimis antiſtitibus ſcriptis tradi juſſum eſt, ut etiam Clericis, qui ſunt ubicunque, ſit manifeſtum. Edictum Patriarchæ domini Joannis ſic ſe habet; Menſe Februario die decimo ſexto feriâ iii. Indictione viii. Cùm multos Eccleſiaſticos & Monachos videremus alienas cauſas ſubeuntes, & pro iis decertantes, qui in civilibus & Eccleſiaſticis judiciis litigant, ab Eccleſiaſtica conſuetudine & legum gravitate, quod fiebat, indignum judicantes, ſtatuimus, ut nemo deinceps, nec Monachus, nec ullus Eccleſiaſticus, alienas cauſas ſuſcipiens in judicio defendat. Id enim eſt apertè mercenaria opera. Et nemo tale quid agens noſtræ moderationis ſupplicium effugiet: præterquam, ſi fortè cùm ſit cauſa Eccleſiaſtica, à nobis jubeatur alterutrius litigantium partis defenſionem ſuſcipere. Tunc enim præterquam quòd à reprehenſione erit alienus, in pœnam quoque non cadet. Præſens autem edictum omnibus quoque civilibus judicibus legi juſſum eſt: ut cùm noſtri decreti ſcientiam habuerint, eos omnino non admittant ad ullorum cauſas agendas. Vis autem edicti domini Michaël hæc eſt; Menſe Januario die decimo tertio feriâ quartâ Indictionis quartæ, & deinceps, conſtituit, ne Lectores æquè ac Diaconi & Sacerdotes ſecularia officia ſuſcipiant, vel exactorum munera, vel curationes, propter undecimum Canonem primæ & ſecundæ Conſtantinopol. Synodi. De ſacratis autem hominibus cauſas agentibus ſatis ſcripſimus in xiii. cap. viii. tit. præſentis operis: Et lege ea. Ac Canones quidem & Synodalia edicta in his conſiſtunt. Dicunt autem quidam, hæc locum habere, quando ſine juſſu Imperatoris ſacratus quiſpiam ſeculare miniſterium exercuerit: Si enim ex diſpenſatione Imperatoris quis hoc miniſterium ſuſceperit, à dictis Canonibus non prohibebitur, nec læditur. Et adjiciunt, quòd Imperator nec Canonibus nec legibus ſubjicitur: Et ideo eſt in ejus poteſtate Epiſcopatus in Metropoles erigere, & à ſuis Metropolibus alienare, ſimiliter etiam Antiſtitum terminos dividere

A συνόδου, τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους ἢ καὶ μοναστὰς ὡρίσαμεν μήτε ἐπὶ στρατείαν μήτε ἐπὶ ἀξίαν κοσμικὴν ἔρχεσθαι· ἢ τοῦτο τολμῶντας, καὶ μὴ μεταμελομένους, ὥστε ἐπιστρέψαι ἐπὶ τοῦτο ὃ διὰ θεὸν εἵλοντο, ἀναθεματίζεσθαι. καὶ ὁ τῆς ἐν Κωνσταντινουπόλει α'. καὶ β'. συνόδου ια'. τάδε κατὰ ῥῆμα διέξεισι· τοὺς πρεσβυτέρους ἢ διακόνους κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῶν ἀρχόντων λεγομένας κουρατωρείας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καθαιρέσει καθυποβάλλουσι. τοῦτο οὖν καὶ ἡμεῖς ἐπικυροῦντες, καὶ περὶ τῶν λοιπῶν τῶν ἐν κλήρῳ κατειλεγμένων διοριζόμεθα, ὡς εἴ τις αὐτῶν κοσμικὰς B ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῶν ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἀποδιώκεσθαι. οὐδεὶς γὰρ δύναται, κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, δυσὶ κυρίοις δουλεύειν. καὶ σαφεῖς πάντως οἱ θεῖοι κανόνες οὗτοι καὶ πρόδηλοι· καὶ διὰ τοῦτο μεταποιεῖσθαι τούτους οὐ χρή. εἰ δὲ καὶ ἐντολέα δίκης γίνεσθαι, τὸν κεκληρωμένον κεκώλυται μὴ ἀνηκούσης τῇ ἐκκλησίᾳ ἧς ἐστι κληρικὸς, ἵνα, φησὶ, μὴ αἱ θεῖαι ὑπηρεσίαι παρεμποδίζοιντο, πόσῳ πλέον κεκώλυται μείζοσι κοσμικαῖς φροντίσιν ἐμπλέκεσθαι, παρεμποδιζούσαις C αὐτὸν ταῖς ἐκκλησιαστικαῖς χρείαις προσευκαιρεῖν. πᾶσι τοίνυν εὐλαβεστάτοις κληρικοῖς ἐν ἁγίῳ παρεγγυώμεθα πνεύματι τῶν εἰρημένων ἀπέχεσθαι· ἢ μὴν εἰδέναι, ὡς ἔσονται μὲν ἐπιτιμίῳ ἀφορισμοῦ ὑποβεβλημένοι, καὶ τὴν μείζω δὲ κανονικὴν αὐστηρείαν οὐ διαφεύξονται, πράγμασι κοσμικοῖς τοιούτοις ἐμπλέκοντες ἑαυτούς. ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν ἔγγραφος ὁρισμὸς τῆς ἡμῶν μετριότητος καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐπιδοθῆναι τετύπωται, ἵνα καὶ τοῖς ἁπανταχοῦ κληρικοῖς κατάδηλος γένηται. τὸ σημείωμα τοῦ πατριάρχου Κυροῦ Ἰωάννου ἔχει οὕτως. μηνὶ Φεβρουαρίῳ ις'. ἡμέρᾳ γ'. ἰνδικτιῶνος η'. πολλοὺς τῶν ἐκκλησιαστι- D κῶν καὶ μοναχῶν καθορῶντες ὑποθέσεις ἀλλοτρίας ὑποδυομένους, καὶ ὑπεραγωνιζομένους τῶν δικαζομένων ἐν πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς δικαστηρίοις, ἀλλότριον τῆς ἐκκλησιαστικῆς συνηθείας καὶ τῆς τῶν νόμων ἀκριβείας τὸ πραττόμενον κρίνοντες, διοριζόμεθα, μηκέτι τοῦ λοιποῦ μήτε μοναχὸν μήτε τινα ἐκκλησιαστικῶν ἀλλοτρίας ἀγωγὰς ὑπεισερχόμενον ἐν δικαστηρίῳ συναγορεύειν. ἐργολαβία γὰρ ἄντικρυς τοῦτο. καὶ οὐκ ἄν τις τοιοῦτόν τι διαπραττόμενος τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ἐπιτίμησιν διαφεύξηται, πλὴν εἰ μήπω ἐκκλησιαστικῆς ὑποθέσεως οὔσης κελευσθείη παρ' ἡμῶν ὑπεραγωνίζεσθαι θατέρου μέρους τῶν δικαζομένων. τηνικαῦτα E γὰρ ἕξει σὺν τῷ ἀμέμπτῳ καὶ τὸ ἀνεπιτίμητον. τὸ δὲ παρὸν σημείωμα ὑπαναγνωσθῆναι ὡρίσθη καὶ πᾶσι τοῖς πολιτικοῖς δικασταῖς, ἵν' ἐντεῦθεν εἴδησιν λαβόντες τοῦ ἡμετέρου διορισμοῦ, μὴ προσδέχωνται τοὺς τοιούτους εἰς τὸ τισὶν ὅλως συνηγορεῖν. ἡ δὲ δύναμις τοῦ σημειώματος τοῦ κυροῦ Μιχαὴλ ἔστιν αὕτη μηνὶ Ἰανουαρίῳ ιγ'. ἡμέρᾳ δ'. ἰνδικτιῶνος δ'. καὶ ἐφεξῆς, διατάττεται, καὶ τοὺς ἀναγνώστας ἐπίσης τοῖς διακόνοις καὶ τοῖς ἱερεῦσι μὴ ἀναδέχεσθαι κοσμικὰ ὀφφίκια ἢ πρακτορικὰς ἐνεργείας ἢ κουρατωρείας, διὰ τὸν ια'. κανόνα τῆς ἐν Κωνσταντινουπόλει α'. καὶ β'. συνόδου. περὶ δὲ ἱερωμένων συνηγορούντων ἱκανῶς ἐγράψαμεν εἰς F τὸ ιγ'. κεφ. τοῦ η'. τίτλου τοῦ παρόντος συντάγματος· καὶ ἀνάγνωθι ταῦτα. καὶ τὰ μὲν τῶν κανόνων καὶ τῶν συνοδικῶν σημειωμάτων ἐν τούτοις. λέγουσι δέ τινες χώραν ταῦτα ἔχειν, ὅταν δίχα προστάξεως βασιλικῆς ἐνεργῇ τις ἱερωμένος δουλείαν δημοσιακήν· εἰ γὰρ κατ' οἰκονομίαν βασιλικὴν τοιαύτην τινὰ δουλείαν ἀναδέξεταί τις, ὑπὸ τῶν ῥηθέντων κανόνων οὐ κωλυθήσεται, οὐδὲ βλαβήσεται. καὶ προστιθέασιν, ὡς ὁ βασιλεὺς οὔτε νόμοις οὔτε κανόσιν ὑπόκειται· διὸ καὶ ἐπ' ἀδείας ἔχει ἐπισκοπὴν εἰς μητρόπολιν ἄγειν, καὶ ἀποξενοῦν ἐκ τῶν οἰκείων μητροπόλεων, ὡσαύτως καὶ ἐνορίας ἀρχιερέων διαιρεῖν, καὶ ἐκ νέου ἐπισκόπους καὶ μητροπολίτας καθιστᾷν, καὶ διορίζεσθαι ἐπισκόποις ἱερουργεῖν ἀποκριματίστως εἰς ἀλλοτρίας ἐνορίας παρὰ γνώμην τῶν ἐγχωρίων ἐπισκόπων, καὶ ἄλλα τινὰ ἐνεργεῖν ἀρχιερατικὰ δίκαια. χρῶνται δὲ καὶ τῷ ιβʹ. καὶ ιζʹ. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τῷ ληʹ. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, τὰ αὐτὰ παρακελευομένοις. ἐμοὶ δὲ δοκεῖ, ὡς ἀπὸ τοῦ δʹ. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου καὶ μάλιστα ἐνεδόθη τῷ βασιλεῖ ἀνατιθέναι κοσμικῶν δουλειῶν ἐνεργείας ἱερωμένοις καὶ μοναχοῖς, κατὰ λόγον οἰκονομίας δοκούσης αὐτῷ. εἰ γὰρ ὁ κατὰ χώραν ἐπίσκοπος δύναται τοῦτο ποιεῖν, πολλῷ πλέον ὁ βασιλεύς, ὁ μὴ ἀναγκαζόμενος ἀκολουθεῖν τοῖς κανόσι, τοῖς διοριζομένοις τὰς ψήφους τῶν ἐπισκόπων ὑπὸ ἐπαρχιωτῶν ἐπισκόπων γίνεσθαι, καὶ μὴ παρὰ ἀρχόντων· κἀντεῦθεν καὶ ψήφου μὴ γινομένης πατριάρχας καὶ ἐπισκόπους προβαλλόμενος. καὶ ἀνάγνωσον τὰ ἐν αὐτῷ δʹ. κανόνι τῆς ἐν Χαλκηδόνι συνόδου γραφέντα.

ΖΩΝΑΡ. Περὶ τοῦ μὴ γίνεσθαί τινας τῶν ἱερωμένων ἀλλοτρίων κτημάτων ἐκλήπτορας, ἤγουν μισθωτὰς, μηδὲ προκουράτωρας, τουτέστι διοικητὰς, φροντιστὰς, πλατύτερον διέξεισι τρίτος κανὼν τῆς δʹ. συνόδου. καὶ ὁ παʹ. δὲ κανὼν τῶν ἁγίων ἀποστόλων τὸν ἐμβάλλοντα ἑαυτὸν εἰς δημοσίας διοικήσεις καθαιρεῖσθαι προστάττει· μηδὲ ἔκ τινος αἰσχροῦ καὶ ἀτίμου πράγματος τροφὴν πορίζεσθαι παρακελεύεται ὁ κανών. αἰσχρὸν μὲν οὖν ἂν εἴη πρᾶγμα τὸ πορνοβοσκεῖν, ἤγουν τὸ πόρνας τρέφειν, ὥστε κερδαίνειν ἐκ τῶν μισθωμάτων ἐκείνων, καὶ τὰ ὅμοια. ἄτιμον δ' ἐστὶ τὸ προΐστασθαι καπηλείου, καὶ τὰ παραπλήσια. ἐκ τοιούτων οὖν τροφὴν πορίζεσθαι ὁ κανὼν ἀπαγορεύει τοῖς ἱερωμένοις· καὶ οὐκ εἶπε κέρδος, ἀλλὰ τροφήν. κἂν γὰρ εἰς τὴν περιστῶσι πενίας, ὥστε μηδὲ τροφῆς εὐπορεῖν, οὐδ' οὕτω χρὴ αὐτοὺς ἐκ πράγματος αἰσχροῦ ἢ ἀτίμου πορίζεσθαι τροφήν. ὀφείλουσι γάρ, φησι, τὸ ἀποστολικὸν ἐννοῆσαι παράγγελμα, τὸ λέγον, οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. εἰ δὲ τοῖς κοσμικὴν στρατευομένοις στρατείαν τοῦτ' εἴρηται, πολλῷ μᾶλλον ἁρμόσει τοῖς τῷ θεῷ στρατευομένοις διὰ τῆς ἱερωσύνης. τὸ δὲ τοὺς ἀναγνώστας ἐν τῷ καιρῷ τῆς ἥβης, ἤγουν μετὰ τὸν ιδʹ. ἐνιαυτὸν ἀναγκάζεσθαι, ἢ γάμῳ ὁμιλῆσαι, ἢ ἀγαμίαν ὑποσχέσθαι· οὐκ οἶδα εἰ παρὰ τοῖς ἐν Ἀφρικῇ ἐκράτησε. παρὰ δὲ ταῖς ἄλλαις ἐκκλησίαις οὐ κρατεῖ, οἶμαι δὲ, ὅτι οὐδὲ πώποτε ἐκράτησεν· ἐναντιούμενον τῷ κϛʹ. ἀποστολικῷ κανόνι, ὁρίζοντι ἀναγνώστας καὶ ψάλτας, μετὰ τὸ εἰς κλῆρον προελθεῖν, γαμεῖν, καὶ μὴ καιρὸν αὐτοῖς τοῦ γάμου ὁρίζοντι, μήτε ἐγκράτειαν ἐπαγγέλλεσθαι ἀπαιτοῦντι. τὸ δὲ δανείζειν τοὺς κληρικοὺς ἐπὶ τόκοις, πολλοῖς ἀπηγόρευται κανόσι· καὶ οὗτος δὲ τὸ αὐτὸ κελεύει· καί φησιν, ἐὰν χρήματα ἤτοι νομίσματα δῷ κληρικὸς ἐν χρήσει, ἤγουν δανείσῃ τὰ χρήματα, τουτέστι, τοσαῦτα λήψεται· καὶ οὐ πλείονα· ἐὰν δὲ εἶδος δῷ, σῖτον τυχὸν ἢ οἶνον, ἢ ἕτερόν τι τοιοῦτον, ὅσον ἔδωκε, λήψεται, καὶ οὐ πλέον. καὶ τὸ πρὸ συμπληρώσεως κεʹ. ἐνιαυτῶν μὴ χειροτονεῖσθαι διάκονον, διαφόροις κανόσιν ὥρισται. ἀπηγόρευται δὲ τοῖς ἀναγνώσταις ἐν τῷ πληροῦν τὴν διακονίαν αὐτῶν στρέφεσθαι πρὸς τὸν δῆμον, καὶ προσκυνεῖν. μόνοις γὰρ τοῖς ἀρχιερεῦσι τότε καὶ τοῖς ἱερεῦσιν ὀφείλουσι προσκυνεῖν, καὶ οὐχὶ τῷ πλήθει τῶν ἐν τῇ ἐκκλησίᾳ συναθροιζομένων. οἱ μὲν γὰρ ἱερῶνται, οἱ δὲ τοῦ δήμου πόῤῥω τῆς ἱερωσύνης εἰσὶ, καὶ μᾶλλον τιμᾶσθαι δέον, καὶ ταῦτα ἐν καιρῷ τῆς ὑπουργίας αὐτῶν.

ΑΡΙΣΤ. Ἐπίσκοπος, πρεσβύτερος, καὶ διάκονος, ἐκλήπτορες οὐ γίνονται, οὐδὲ προκουράτορες. ὁ ἄνηβος ἀναγνώστης, ἢ γάμον αἱρείσθω, ἢ ἐγκράτειαν ὁμολογείτω.

Τὸ πακτωναρίους, ἢ μισθωτὰς κτημάτων τινῶν, ἢ καὶ

A & de novo Epiſcopos & Metropolitanos conſtituere, & jubere Epiſcopis in alienis diœceſibus abſque ullo præjudicio ſacrificare præter ſententiam Epiſcoporum illius regionis, & alia ejuſmodi Epiſcopalia jura exercere. Utuntur autem etiam xii. & xvii. canone Chalced. Syn. & xxxviii. canone Synodi in Trullo, qui eadem præcipiunt. Mihi autem videtur, quòd ex iv. canone Chalced. Syn. Imper. vel maximè conceſſum eſt ſecularium munerum functiones ſacratis & Monachis, ex ratione diſpenſationis quæ illi videtur, tribuere. Si enim hoc poteſt regionis Epiſcopus, multò magis Imperator, qui non cogitur ſequi canones, B decernentes, Epiſcoporum electiones à provincialibus Epiſcopis fieri, non autem à magiſtratibus: & qui exinde, nulla facta electione, Patriarchas & Epiſcopos provehit. Et lege quæ in eodem iv. can. Chalced. Syn. ſcripta ſunt.

Zonar. Non licere cuiquam ex ſacro ordine alienæ poſſeſſionis conductorem, mercenarium videlicet, neque procuratorem ſive publicanum vel adminiſtratorem fieri, tertio quartæ Synodi canone fuſiùs explicatum eſt. Qui vero ſe publicæ adminiſtrationi immiſcuerit, eum primus & octogeſimus ſanctorum Apoſtolorum canon deponi jubet: eoſdem ex aliquo turpi ac ſordido ne- C gotio victum ſibi parare hic canon vetat. Ac turpe quidem fuerit, exempli cauſa, ſi quis lenoniam exerceat, hoc eſt, alat meretrices, ut ex earum mercede ipſe lucretur, atque hujus generis alia. Sordidum vero, cauponari, & ſimilia. Victum igitur ſibi ejuſmodi artibus quærere hoc canone ſacris initiati homines prohibentur: neque verò lucrum dixit, ſed victum. Quamvis enim eo inopiæ redigantur, ut alimenta quoque deficiant, ne tunc quidem eos turpi aut ſordido artificii genere vitæ ſubſidia comparare oportet. Eos enim, inquit, illius Apoſtolici præcepti memores eſſe decet, quod ait; Nemo militans implicat ſe negotiis ſecularibus, ut ei placet, qui milites D elegit. Quòd ſi de prophana militia verum eſt; certe in eos, qui divinæ militiæ in ſacro ordine mancipati ſunt, longè accommodatiùs quadrabit. De Lectoribus verò quod ſequitur, ut pubertatis tempore, quarto-decimo ſcilicet anno expleto, vel matrimonio jungi vel cœlibatum profiteri cogantur: an ea in Africana Eccleſia conſuetudo inoleverit haud facile dixerim. In aliis certè Eccleſiis haud viget; imò nec ullo unquam tempore viguiſſe ego quidem exiſtimo: adverſatur quippe ſanctorum Apoſtolorum vigeſimo-ſexto canoni, qui Lectoribus & Cantoribus, poſtquam in clerum adſcripti fuerint, uxores ducendas eſſe ſtatuit, neque certum aliquod tempus E nuptiarum præſcribit, aut aliqua eos continentiæ profeſſione obligandos eſſe decernit. De fœnore porro à Clericis non exercendo multi canones extant: idemque hoc quoque canone ne liceat conſtitutum; Ac ſiquidem, inquit, pecuniam aut nummos utendos cuipiam clericus conceſſerit, hoc eſt, mutuos dederit, totidem ſibi viciſſim, nec plures ullo modo, curet reddendos: ſin vero rei ſpeciem, frumentum quippe aut vinum, aut ejuſmodi quidpiam dederit, tantundem, quantum dedit, nec plus aliquid viciſſim accipiat. Illud quoque, ne minores quinque & viginti annis Diaconi eligantur, complures item canones decrevêre. Deinde Lectoribus, ne expleto miniſterio ſe ad F populum ſalutandi gratia convertant, interdictum. Solos namque eo tempore Antiſtites & Sacerdotes, non cogregatam in Eccleſia multitudinem, ab iis ſalutari fas eſt. Ipſi enim ſacrati ſunt, multitudo vero à ſacris ordinibus longo intervallo disjuncta: ut proinde iis potius à populo honorem exhiberi, præſertim dum in ſui miniſterii functionibus verſantur, oporteat.

Arist. *Epiſcopus, Presbyter, & Diaconus non fiunt conductores, neque procuratores. Lector pubes factus vel matrimoniū contrahat vel continentiam profiteatur.*

Epiſcopos, & Presbyteros, & Diaconos fœderatores, aut poſſeſſionum aliquarum conductores; vel etiam proviſores fieri, & præſens canon prohibet & diverſi alii. Lector autem, qui impuberem ætatem tranſilierit, & viginti fere annos attigerit, & Hypodiaconus fieri cupit (nam viginti annis junior Hypodiaconus non ordinatur, ut decimus quintus ſextæ in Trullo Synodi canon ſtatuit) vel uxorem ante ordinationem ducat, vel cœlibem agere profiteatur. Nam poſt ordinationem nec Presbytero, nec Diacono, nec Hypodiacono matrimoniale jugum in ſe ſuſcipere licet: ſed Lectoribus ſolis & cantoribus illud permittitur: quemadmodum ſextus ſextæ in Trullo Synodi canon ſtatuit.

CANON XVII.

Placuit, ut Mauritania Sitiphenſis, ut petivit, Primatem Numidicæ regionis, à qua ex Synodo ſeparata eſt, habeat proprium Primatem. Conſenſu omnium Primatum Africanarum provinciarum, & omnium Epiſcoporum ob magnum intervallum, habere permiſſa eſt.

BALS. Localis eſt canon.

ZONAR. Hic quoque canon eſt localis, ac eam tantummodo regionem, de qua promulgatus eſt, complectitur. Alibi non auditur.

ARIST. *Clericus, qui mutuò dedit, quod dedit accipiat, vel tantundem. Qui ante annos xxv. fit Diaconus, non eſt Diaconus. Et Lectores populum ne ſalutent. Mauritania Sitiphenſis proprium Primatem propter magnam diſtantiam habere permittitur.*

Plus quam clericus cuilibet in mutuum dedit aut uſuram, non debet accipere; ſed illud tantum quod datum fuit, aut ſi illud non ſuperſit, aliud aliquid ejuſdem bonitatis, qualitatis & quantitatis. Sed nec ante viginti quinque annos ordinatur Diaconus. Nec Lectores cum populo permittuntur collocari, & ejus ſubeſſe poteſtati, mandata explentes, & ad eum ſe honoris ergô convertentes. Non erit ſub Numidicæ regionis Primate & Mauritania Sitiphenſis, quia procul ab ea jacet. Sed & huic Provinciæ ſuum Primatem habere Antiſtitem conceditur.

CANON XVIII.

Si quis Clericus ordinetur, debet admoneri, ut ſervet decreta; & ut mortuorum corporibus Euchariſtia non detur, nec baptiſmus. Et ut ſingulis annis in omnibus Provinciis ad Synodum Metropolitani conveniant.

BALS. & ZONAR. Quando ordinatur Epiſcopus aut Clericus (per Clericum autem hîc Presbyter & Diaconus eſt intelligendus: ii enim propriè ordinantur, & ii ſoli Euchariſtiæ communicant) oportet, inquit eos admoneri, ut decreta ſervent. Decreta autem, vel fidei exiſtimare oportet, quæ ſcilicet à ſanctis Apoſtolis vel patribus ſtatuta ſunt, vel canones, vel potiùs utrunque. Et ne mortuis corporibus detur Euchariſtia ſive ſancta dona: hoc enim fiebat. Quod etiam lxxxiii. canon Synodi quæ dicitur vi. in Trullo prohibuit. Sed neque baptizentur mortui. Nam hoc etiam factum eſt; nonnullis quidem ſuos mortuos baptizantibus; quibuſdam verò etiam alios pro mortuis. Iis, qui hæc agebant, verba magni Pauli epiſtolæ ad Corinthios afferentibus, quæ dicunt; Nam quid facient qui baptizantur pro mortuis? Si omnino mortui non reſurgunt,

A προνοηταὶ γίνεσθαι ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὁ παρὼν κωλύει κανὼν, καὶ ἕτεροι διάφοροι. ἀναγνώστης δὲ τὴν ἄνηβον ὑπεραναβὰς ἡλικίαν, καὶ ἐγγύς που τῶν εἴκοσι χρόνων γενόμενος, καὶ βουληθεὶς γενέσθαι ὑποδιάκονος (οὐδὲ γὰρ ἥττων τῶν εἴκοσι χρόνων χειροτονεῖται ὑποδιάκονος, καθὼς ὁ πεντεκαιδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει) ἢ γυναῖκα πρὸ τῆς χειροτονίας λαμβανέτω, ἢ παρθενεύειν ὁμολογείτω. μετὰ γὰρ τὴν χειροτονίαν, οὔτε πρεσβύτερος, οὔτε διάκονος, οὔτε ὑποδιάκονος, γαμικὸν ἑαυτῷ συνιστᾷν συνοικέσιον ἐπ' ἀδείας ἔχει· ἀλλὰ μόνοις τοῖς ἀναγνώσταις καὶ ψάλταις τοῦτο B ἐφεῖται· καθὼς ὁ ἕκτος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου παρίστησι.

ΚΑΝΩΝ ιζ'.

Ἤρεσεν, ἵνα ἡ Μαυριτανία Σιτιφένσης, ὡς ᾔτησε, τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας, ἧς τινος ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ πρωτεύοντα. συναινέσει πάντων τῶν πρωτευόντων τῶν Ἀφρικανῶν ἐπαρχιῶν, καὶ πάντων ἐπισκόπων, διὰ τὸ μακροδαπὲς, ἔχειν ἐπετράπη.

ΒΑΛΣ. Τοπικός ἐστιν ὁ κανών.

C **ΖΩΝΑΡ.** Καὶ οὗτος ὁ κανὼν τοπικός ἐστι, περὶ ἐκείνης μόνης τῆς χώρας διαταττόμενος, περὶ ἧς ἐξεφωνήθη, ἀλλαχοῦ δὲ μὴ ἐξακουόμενος.

ΑΡΙΣΤ. Κληρικὸς χρήσας, τὸ χρησθὲν λήψεται, ἢ τοσοῦτον. πρὸ τῶν εἴκοσι καὶ πέντε χρόνων διάκονος, οὐ διάκονος. καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνείτωσαν. ἡ Μαυριτανία Σιτιφένσης ἴδιον πρωτεύοντα, διὰ τὸ μακροδαπὲς, ἔχειν ἐπετράπη.

Πλεῖον οὗπερ δέδωκέ τινι ὁ κληρικὸς εἰς δάνειον, ἢ εἰς χρῆσιν, λαβεῖν οὐκ ὀφείλει· ἀλλ' ἐκεῖνο μόνον τὸ δοθὲν, ἢ D ἐκείνου μὴ περισωζομένου, ἕτερον τῆς αὐτῆς ὂν καλλονῆς καὶ ποιότητος καὶ ποσότητος. ἀλλ' οὐδὲ πρὸ τῶν εἴκοσι πέντε χρόνων χειροτονεῖται διάκονος. οὔτε οἱ ἀναγνῶσται τῷ δήμῳ συγχωροῦνται συντάττεσθαι καὶ ὑπὸ τὴν ἐκείνου γενέσθαι ἐξουσίαν, τὰ ἐπιτεταγμένα πληροῦντες, καὶ τὴν μετ' αὐτοῦ τιμῶντες ἀναστροφήν. οὐκ ἔσται ὑπὸ τὸν πρωτεύοντα τῆς Νουμιδικῆς χώρας καὶ ἡ Μαυριτανία Σιτιφένσης, διὰ τὸ πόρρω ταύτην κεῖσθαι· ἀλλ' ἀρχιερέα ἴδιον πρωτεύοντα καὶ ἡ ἐπαρχία αὕτη ἔχειν ἐπετράπη.

ΚΑΝΩΝ ιη'.

E Ἐάν τις κληρικὸς χειροτονῆται, ὀφείλει προμιμνήσκεσθαι τοὺς ὅρους φυλάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν ἀποθανόντων εὐχαριστία μὴ δίδωται, μηδὲ βάπτισμα. καὶ ἵνα καθ' ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐπαρχίας πρὸς σύνοδον οἱ μητροπολῖται συνέρχωνται.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ὅτε χειροτονεῖται Ἐπίσκοπος ἢ κληρικὸς (κληρικὸν δὲ ἐνταῦθα πρεσβύτερον καὶ διάκονον νοητέον· οὗτοι γὰρ κυρίως χειροτονοῦνται, καὶ οὗτοι μόνοι μεταδιδόασι τῆς εὐχαριστίας) δέον, φησὶν, ὑπομιμνήσκεσθαι αὐτὸν τοὺς ὅρους φυλάττειν. ὅρους δὲ, ἢ τοὺς τῆς πίστεως ὑποληπτέον, F τοὺς παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν πατέρων ὁρισθέντας, ἢ τοὺς κανόνας, μᾶλλον δὲ καὶ ἀμφότερα. καὶ ἵνα μὴ νεκροῖς σώμασι διδῶται εὐχαριστία, ἤγουν ἅγια δῶρα· ἐπράττετο γὰρ τοῦτο. ὃ καὶ ὁ πγ'. καν. τῆς λεγομένης ϛ'. συνόδου τῆς ἐν τῷ Τρούλλῳ ἐκώλυσεν· ἀλλὰ μηδὲ βαπτίζωνται τελευτήσαντες. καὶ τοῦτο γὰρ ἐγίνετο· τινῶν μὲν αὐτοὺς νεκροὺς βαπτιζόντων, τινῶν δὲ καὶ ἄλλους ὑπὲρ τῶν νεκρῶν· τῶν τοῦτο ποιούντων τὰ ῥήματα προβαλλομένων τῆς πρὸς Κορινθίους ἐπιστολῆς τοῦ μεγάλου Παύλου, τὰ λέγοντα, ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; οἱ δὲ ταῦτα περιβαλλόμενοι, καὶ βαπτίζοντες τοὺς νεκρούς, οὐ καλῶς ἐξελαμβάνοντο τὴν τῶν ἀποστολικῶν ῥημάτων ἔννοιαν. οὐ γὰρ βαπτίζεσθαι τοὺς ἀποθανόντας ὁ ἀπόστολος λέγει, ἢ ἄλλους ἀντ' ἐκείνων· ἀλλ' ἐπεὶ οἱ βαπτιζόμενοι, μανθάνοντες τοῦ καθ' ἡμᾶς μυστηρίου τὴν δύναμιν, μετὰ τῶν ἄλλων καὶ ἀνάστασιν νεκρῶν ἐλπίζειν διδάσκονται, καὶ τὴν ἐν τῇ κολυμβήθρᾳ κατάδυσιν τὸν θάνατον παραδηλοῦν, τὴν δ' ἀνάστασιν αὖθις διὰ τῆς ἀναδύσεως ὑπεμφαίνεσθαι· φησὶν ὁ ἀπόστολος πρὸς τοὺς ἀμφιβάλλοντας περὶ τῆς ἀναστάσεως, ὅτι εἰ μὴ ἀνάστασίς ἐστι, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ἐπ' ἐλπίδι τοῦ ἀναστῆναι τοὺς νεκρούς; καὶ τί βαπτίζονται, ὡς προσδοκῶντες νεκρῶν ἀναζώωσιν; λοιπὸν ματαιοπονοῦσιν οἱ βαπτιζόμενοι, εἴγε περὶ τῆς ἀναστάσεως ἀμφιβάλλουσι, διὰ μὲν τοῦ βαπτίζεσθαι καὶ καταδύεσθαι εἰς τὸ τῆς κολυμβήθρας ὕδωρ καὶ ἀναδύεσθαι, τὸν θάνατον καὶ τὴν ἀνάστασιν καταγγέλλοντες, δι' ὧν δὲ λέγουσιν ἀπιστοῦντες αὐτῇ. τῷ μὲν οὖν ἀποστόλῳ οὕτως εἴρηται ταῦτα. οἱ δὲ μὴ συνιέντες τὴν δύναμιν τῶν ῥημάτων, ἢ τοὺς νεκροὺς ἐβάπτιζον, ἢ ἄλλους ὑπὲρ τῶν νεκρῶν· ὃ μὴ γίνεσθαι ὁ κανὼν διορίζεται. καὶ συνόδους τοὺς ἐπισκόπους κατ' ἐνιαυτὸν κελεύει ποιεῖν· τῶν καὶ ἄλλων συνόδων διαταξαμένων καὶ πρὸ ταύτης τῆς συνόδου καὶ μετὰ ταύτην. Ἀνάγνωθι τῆς ϛ'. συνόδου κανόνα η'. πγ'. τῶν ἁγίων ἀποστόλων, λζ'. τῆς ἐν Νικαίᾳ συνόδου, ε'. τῆς ἐν Ἀντιοχείᾳ κ'. τῆς ἐν Χαλκηδόνι ιθ'. καὶ τῆς ἐν Νικαίᾳ β'. ϛ'.

ΚΑΝΩΝ ιθ'.

Ὁμοίως ἤρεσεν, ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ, πρότερον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς τὰ δεδογμένα ταῖς συνόδοις εἰς τὰς ἀκοὰς αὐτῶν ἐντίθεσθαι· ἵνα μὴ ποιοῦντες κατὰ τὸν ὅρον τῆς συνόδου μεταμεληθῶσιν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν παρομοίως διορίζεται τοὺς χειροτονουμένους διδάσκεσθαι τὰ παρὰ τῶν ἁγίων πατέρων ὁροθετηθέντα, καὶ προστίθησιν, ὅτι μεταμεληθήσονται οἱ οὕτω μὴ ποιοῦντες. ποῖον δέ ἐστι τὸ εἶδος τοῦ μεταμέλου καὶ ἡ ἐντεῦθεν εὐθύνη, ἐκ μὲν τοῦ κανόνος οὐκ ἀναφαίνεται. νομίζω δέ, ὅτι ἐὰν μὴ ἀκριβῆ κατάληψιν ἔχωσιν οὗτοι τῶν δογματικῶν ὅρων καὶ τῶν κανονικῶν παραγγελιῶν, καὶ ἢ διδάσκοντες ἢ ἀποφαινόμενοι, ἐκτραπῶσιν ἐκ τῆς εὐθείας καὶ βασιλικῆς ὁδοῦ πρὸς διδασκαλίας ἀσεβεῖς καὶ ἀκανονίστους ἀποφάσεις, κανονικῶς καθαιρεθήσονται, καὶ εἰς οὐδὲν ἀνύσιμον ἔσται αὐτοῖς ὁ μεταμέλος. ἀνάγνωσον καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιε'. κανόνα περὶ ἀκανονίστων ἀποφάσεων.

Ἑτέρα ἑρμηνεία.

Ὡς ἔοικεν, ἀπὸ τοῦ παρόντος κανόνος ἐτυπώθη, τὸ ἐξ ἀνάγκης τοὺς μέλλοντας χειροτονεῖσθαι ἀρχιερεῖς ἐγγράφεσθαι πρὸ τῆς χειροτονίας εἰς τὸν κώδικα τοῦ χειροτονοῦντος αὐτὸν τὸ τῆς πίστεως ἅγιον σύμβολον, καὶ τὰ λοιπὰ θεῖα δόγματα. εἶδον γὰρ ἀρχιερέα μέγα κινδυνεύσαντα, διὰ τὸ μὴ ἐγγράψασθαι συντετηρημένως καὶ κατὰ τὴν συνήθειαν. τὸ δὲ τοὺς κληρικοὺς διδάσκεσθαι μὲν τὰ ἱερὰ δόγματα κανονικόν ἐστι καὶ δίκαιον· ἐγγράφεσθαι δὲ αὐτοὺς μέχρι τοῦ νῦν οὐκ εἴδομεν.

ΖΩΝΑΡ. Τοὺς χειροτονοῦντας ἐπίσκοπον ἢ κληρικὸν δεῖ, φησὶν ὁ κανών, λέγειν τοῖς χειροτονουμένοις τὰ δόξαντα ταῖς συνόδοις, περί τε πίστεως, καὶ περὶ τοῦ, πῶς χρὴ βιοῦν, καὶ τὰ ἐκκλησιαστικὰ οἰκοδομεῖν, ἵνα εἰδότες τὰς διατάξεις τῶν πατέρων κατ' αὐτὰς ποιῶσι, καὶ μὴ μεταμεληθῶσι παρ' ἐκείνας ποιοῦντες· μεταμεληθήσονται δὲ εὐθυνόμενοι ἢ καὶ ἐν τῇ παρούσῃ ζωῇ, ἢ τέως ἀπαραιτήτως κατὰ τὴν μέλλουσαν.

ΑΡΙΣΤ. Τὰ ταῖς συνόδοις δόξαντα ὁ χειροτονηθησόμενος ἐνωτισθήσεται.

Ὁ χειροτονούμενος ἐπίσκοπος ἢ κληρικὸς ὀφείλει τὰ δεδογμένα ταῖς συνόδοις εἰς ἀκοὰς αὐτοῦ παραδέχεσθαι, παρὰ τοῦ χειροτονοῦντος αὐτόν, καὶ ὑπομιμνήσκεσθαι ταῦτα φυλάττειν.

A quid etiam baptizantur pro mortuis? Qui autem hæc afferebant, & mortuos baptizabant, Apoſtolicorum verborum ſententiam non recte capiebant. Neque enim Apoſtolus dicit baptizari mortuos, vel alios pro illis: ſed quia, qui baptizantur, vim noſtri myſterii diſcentes, cum aliis mortuorum quoque reſurrectionem ſperare docentur, & demerſionem in lavacrum mortem ſignificare, reſurrectionem rurſus per emerſionem oſtendi; dicit Apoſtolus iis qui de reſurrectione dubitabant; Si non eſt reſurrectio, quid facient qui ſub hac ſpe baptizantur, quod mortui reſurgunt? Et quid baptizantur ut expectantes reſurrectionem mortuorum? B Deinceps fruſtra laborant qui baptizantur, ſi de reſurrectione dubitant; cùm eo quòd baptizantur & in aquam lavacri immerguntur & emergunt, mortem & reſurrectionem annunciantes, per ea quæ dicunt ei non credant. Hæc ergo ab Apoſtolo dicta ſunt. Qui autem verborum vim non intelligebant, vel mortuos baptizabant, vel alios pro mortuis: quod non fieri ſtatuit canon. Et Epiſcopos ſingulis annis Synodum facere jubet: cùm aliæ ante hanc Synodum & poſt eam hoc ſtatuerint. Lege vi. Syn. can. viii. lxxxiii. ſanctorum Apoſtolorum, xxxvii. Nicænæ Synodi v. Antiochenæ xx. Chalced. xix. & Nicænæ C ſecundæ vi.

Canon XIX.

Similiter placuit, ut cùm ordinatur Epiſcopus vel Clericus, priùs ab ordinatoribus ſuis Synodorum placita eorum auribus indantur: ut ſi ex Synodi decreto non agant, eos pœniteat.

Bals. Hic quoque Canon ſimiliter decernit, ordinatos doceri quæ à ſanctis patribus decreta ſunt, & adjicit, quòd eos pœnitebit qui non ſic agunt. D Quod ſit autem eorum pœnitentiæ genus, & quænam correctio, ex canone quidem non apparet. Exiſtimo autem, quòd niſi ii dogmaticorum decretorum & canonicorum præceptorum accuratam comprehenſionem habuerint, & vel docentes, vel ſententiam ſuam pronunciantes, à recta & regia via ad impias & non canonicas ſententias deflexerint, canonicè deponentur, & nihil eis pœnitentia proderit. Lege & quæ à nobis ſcripta ſunt in xv. can. de ſententiis non canonicis.

Alia Interpretatio.

E A preſenti, ut veriſimile eſt, canone forma introducta eſt, ut Antiſtes, qui ordinandus eſt, neceſſario ante ordinationem in codice ejus, qui ordinat eum, ſanctum fidei Symbolum, & reliqua divina dogmata inſcribat. Vidi enim Antiſtitem in magnum diſcrimen adductum, eo quod non diligenter & ex conſuetudine ſcripſerit. Clericos autem ſacra dogmata doceri canonicum & juſtum eſt. Inſcribere autem hucuſque non vidimus.

Zonar. Qui ab aliquo, inquit canon, Epiſcopi aut Clerici ordinantur, ab eodem in iis quæ Synodorum decreto de fide, & vitæ inſtituendæ ratione, F déque Eccleſiaſticâ adminiſtratione ſancita ſunt, erudiri debent, ut proinde illi Conſtitutiones Patrum cognitas ſervent, nec eos iiſdem violatis pœnitentia facti poſtmodum conſequatur. Conſequetur ea namque, cum admiſſi criminis, vel in hac quoque vita, vel in futura certe pœnas judicio inexorabili expendent.

Arist. *Synodorum placita auribus ejus, qui ordinandus eſt, inculcabuntur.*

Qui Epiſcopus vel Clericus ordinatur, quæ à Synodis decreta ſunt in aures ejus, ab eo qui ipſum ordinat, tradita debet recipere, & admoneri ea obſervare.

Canon XX.

Similiter placuit, ut morientium corporibus Eucharistia non detur. Scriptum est enim; Accipite, manducate: Mortuorum autem corpora nec accipere possunt, nec comedere. Et ne eos, qui jam sunt mortui, baptizari fecerit presbyterorum ignorantia.

Bals. Rursus hic canon jubet non baptizari mortuos, nec sacramentorum communione dignos haberi. Morientes autem appellat eos, qui jam mortui sunt, non qui moribundi. Hi enim magis debent sanctorum mysteriorum viaticum sumere, & sacrum baptismum accipere, si non sint baptizati.

Zonar. Rursum de Eucharistia mortuis non impertienda hæc Synodus agit. Quamvis enim illa dictio, Morientium, non eos qui vita functi sunt, si propriam ejus significationem spectes, sed qui jam moriuntur, significet; tamen quæ sequuntur, de mortuis sermonem esse satis aperte indicant, quia, inquit, mortuorum corpora nec accipere possunt nec comedere. Qui verò adhuc inter vivos agunt, quamvis conclamata salute exiguus deficientibus spiritus relinquatur, sanctorum mysteriorum communione non sunt privandi. Quin baptismum quoque mortuis ex Sacerdotum imperitia hic canon conferri vetat. Ubi etiam verbum, Morientes, eodem modo, quo diximus intelligi oportet. Dum enim spirat quis, divinus baptismus ei conferri debet.

Arist. *Corpori vitâ defuncti Eucharistia non datur: non enim edit vel bibit. Ignorantia etiam Presbyteri non baptizabit mortuum.*

Domino dicente, Accipite, edite, quomodo quis mortuo de corpore divino tradat? mortuus enim nec accipere potest, nec edere. Sed nec baptizet quispiam vitâ functum. Presbyterorum enim ignorantia mortuis non erit adjumento, ut baptizati reputarentur.

Canon XXI.

Et ideo in hac sancta Synodo confirmandum est, ut secundùm Nicæni Concilii decreta, propter causas Ecclesiasticas, quæ sæpe ad populi perniciem antiquantur, singulis annis fiat Synodus, ad quam omnes, qui Provinciarum primas cathedras obtinent, ex propriis Synodis duos, vel quotcunque elegerint, Episcopos legatos mittant: ut in congregato conventu plena possit esse auctoritas.

Bals. De annuis Synodis in v. canone primæ Synodi Nicænæ & in aliis fusiùs tractatum est. Præsens autem canon dicit Synodos quotannis debere fieri, ne tempore extinguantur quæ à sanctis patribus constituta sunt: sed per eorum comprehensionem solvantur ecclesiasticæ quæstiones quæ emergunt. Cùm autem quidam, ut est verisimile, murmurarent ob annuum ejusmodi conventum, ut qui esset difficilis propter viæ longitudinem, statuerunt Patres, ut à Provinciarum Primatibus seu Metropolitanis mittantur Legati, quando oportebit, scilicet quando ii accersiti fuerint, duo necessario Episcopi, vel etiam plures quotquot elegerint: ut per eos ipsi quoque interesse videantur, & perfecta sint statuta, ut quæ ab omnibus fieri videantur. Hi autem Legati dicuntur τοποτηρηταὶ (i. e. loci conservatores) eo quòd locum conservent, seu obtineant ac impleant eorum qui ipsos miserunt. Cùm hæc Canon decernat, quia verisimile

A

ΚΑΝΩΝ κ'.

Ομοίως ἤρεσεν, ἵνα τοῖς σώμασι τῶν τελευτώντων εὐχαριστία μὴ δοθῇ. γέγραπται γάρ, λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν δύναται, οὐδὲ φαγεῖν. καὶ ἵνα μὴ τοὺς ἤδη τελευτῶντας βαπτισθῆναι ποιήσῃ ἡ τῶν πρεσβυτέρων ἄγνοια.

ΒΑΛΣ. Καὶ αὖθις ὁ κανὼν παρακελεύεται τοὺς νεκροὺς μήτε βαπτίζεσθαι, μήτε τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀξιοῦσθαι. τελευτῶντας δὲ καλεῖ τοὺς ἤδη τελευτήσαντας, B οὐχὶ τοὺς τὰ ἔσχατα πνέοντας. οὗτοι γὰρ μᾶλλον ἐφοδιάζεσθαι ὀφείλουσι διὰ τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως, καὶ διὰ τοῦ θείου βαπτίσματος ἐὰν ὦσιν ἀβάπτιστοι.

ΖΩΝΑΡ. Καὶ πάλιν περὶ τοῦ μὴ τοὺς νεκροὺς τῆς τῶν θείων μυστηρίων μεταλήψεως ἀξιοῦν ἡ σύνοδος διαλέγεται. εἰ γὰρ καὶ ἡ λέξις τῶν τελευτώντων τοὺς μήπω θανόντας ἐμφαίνει κατὰ τὸ ἀκριβὲς, τοὺς δὲ ἔτι θνήσκοντας, ἀλλὰ τὰ ἑξῆς σαφῶς δηλοῦσιν, ὅτι περὶ θανόντων ἤδη ὁ λόγος ἐστὶ, τὸ εἰπεῖν δηλονότι, ὅτι τὰ τῶν νεκρῶν σώματα οὔτε λαβεῖν δύναται οὔτε φαγεῖν. τοὺς δὲ ἔτι ζῶντας, C κἂν ἀπέγνωσται αὐτοὺς ἡ ζωὴ, κἂν μετὰ βραχὺ μέλλωσιν ἐκπνεῖν, τῶν ἁγίων μυστηρίων ἀξιοῦσθαι χρεών. ἀλλὰ μηδὲ βαπτίζεσθαι τοὺς νεκροὺς καὶ οὗτος ὁ κανὼν διατάττεται ἐξ ἀγνοίας τῶν πρεσβυτέρων. κἀνταῦθα δὲ τὴν λέξιν τῶν τελευτώντων οὕτως νοητέον, ὡς ἤδη εἴρηται. ἕως γὰρ ἂν ἐμπνέῃ τις, τοῦ θείου βαπτίσματος ἀξιωθήσεται.

ΑΡΙΣΤ. Τῷ τοῦ τετελευτηκότος σώματι εὐχαριστία οὐ δίδοται· οὐ γὰρ ἐσθίει, ἢ πίνει· καὶ ἄγνοια πρεσβυτέρου οὐ βαπτίσει τὸν τελευτήσαντα.

D Τοῦ κυρίου εἰπόντος, λάβετε, φάγετε, πῶς ἄν τις τῷ τελευτήσαντι τοῦ θείου σώματος μεταδώσει; οὔτε γὰρ λαβεῖν, οὔτε φαγεῖν ὁ νεκρὸς δύναται. ἀλλ' οὐδὲ βαπτίσει τις τὸν τελευτήσαντα. ἡ γὰρ τῶν πρεσβυτέρων ἄγνοια οὐκ ὠφελήσει τοὺς τελευτήσαντας, ὥστε βεβαπτισμένους λογίζεσθαι.

ΚΑΝΩΝ κα'.

Διὸ βεβαιωτέον ἐστὶν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, ὥστε κατὰ τοὺς ἐν Νικαίᾳ ὅρους διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας, αἵτινες πολλάκις πρὸς ὄλεθρον τοῦ λαοῦ παλαιοῦνται, καθ' E ἕκαστον ἐνιαυτὸν σύνοδον γίνεσθαι, πρὸς ἣν πάντες οἱ τῶν ἐπαρχιῶν τὰς πρώτας καθέδρας ἐπέχοντες ἐκ τῶν οἰκείων συνόδων, δύο, ἢ ὅσους ἐπιλέξωνται, ἐπισκόπους τοποτηρητὰς ἀποστείλωσιν· ἵνα ἐν τῇ συναχθείσῃ συνελεύσει πλήρης εἶναι δυνηθείη ἡ αὐθεντεία.

ΒΑΛΣ. Περὶ τῶν ἐτησίων συνόδων ἐν τῷ ε'. κανόνι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, καὶ ἐν ἑτέροις πλατύτερον διελήφθη. ὁ δὲ παρὼν κανών φησι τὰς συνόδους γίνεσθαι ἐτησίως, ἵνα μὴ σβεννύωνται τῷ χρόνῳ τὰ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα· ἀλλὰ κατὰ τὴν τούτων περίληψιν λύωνται τὰ ἀνακύπτοντα ἐκκλησιαστικὰ ζητήματα. γογγυζόντων F δέ τινων, ὡς ἔοικε, διὰ τὴν τοιουτότροπον ἐτησίαν συνέλευσιν, ἴσως οὖσαν δυσχερῆ διὰ τὸ μῆκος τῆς ὁδοῦ, ὥρισαν οἱ πατέρες, παρὰ τῶν πρωτευόντων ἐν ταῖς ἐπαρχίαις, ἤγουν τῶν μητροπολιτῶν, ἀποστέλλεσθαι τοποτηρητὰς, ὅτε δεήσει ἤγουν ὅτε μετάκλησις γένηται, ἐξ ἀνάγκης δύο ἐπισκόπους, ἢ καὶ πλείους ὅσους ἐπιλέξωνται, ἵνα δι' αὐτῶν καὶ αὐτοὶ δόξωσι παρουσιάζειν, καὶ ὦσι τέλεια τὰ ὁρισθησόμενα, ὡς καὶ δοκοῦντα παρὰ πάντων γίνεσθαι. τοποτηρηταὶ δὲ οὗτοι λέγονται, διὰ τὸ τὸν τόπον τηρεῖν ἤγουν ἐπέχειν καὶ ἀναπληροῦν τῶν ἀποστειλάντων αὐτούς. ταῦτα τοῦ κανόνος διοριζομένου, ἐπεὶ εἰκός ἐστιν εἰπεῖν τινας, ὡς ἐὰν οἱ μητροπολῖται, οἵ τινες λέγονται καὶ πρῶτοι τῶν ἐπαρχιῶν, ἀναγκάζωνται παρὰ τοῖς πατριάρχαις ἐτησίως συνέρχεσθαι, καὶ οἱ ἐπίσκοποι πάλιν παρὰ τοῖς μητροπολίταις, συμβαίνει ἓν ἐξ αὐτῶν μὴ γίνεσθαι, διὰ τὸ ἀδύνατον εἶναι τὸν μητροπολίτην, Δυῤῥαχίου τυχὸν, παρὰ τῷ πατριάρχῃ συνελθεῖν, καὶ κατ' αὐτὸν ποιῆσαι τὸν αὐτὸν καὶ εἰς τὴν οἰκείαν ἐπαρχίαν σύνοδον, εἰπὲ, ὅτι εὐχερές ἐστι καὶ ἄμφω γενέσθαι. οἱ μὲν γὰρ ἐπαρχιῶται παρὰ τῷ πρώτῳ αὐτῶν συναχθήσονται· αὐτὸς δὲ παρὰ τῷ πατριάρχῃ συνέλθῃ διὰ ἐντολέων ἤτοι τοποτηρητῶν, καθὼς καὶ ὁ παρὼν κανὼν διορίζεται, θεραπεύων τὴν δυσχέρειαν τῆς εἰς τὰς δύο συνόδους παρουσίας τῶν μητροπολιτῶν. τὸ δὲ τοποτηρητὰς ἀποστέλλεσθαι διὰ ἐπισκόπων, οἴομαι μὴ εἶναι ἀναγκαῖον. καὶ ἱερεῖς γὰρ, ἀλλὰ μὴν καὶ διάκονοι σταλήσονται, ὡς τοποτηρηταί. ἐν ταῖς πλείοσι γὰρ τῶν οἰκουμενικῶν συνόδων καὶ ἐπίσκοποι τοποτηρηταὶ παρέστησαν, καὶ ἱερεῖς, καὶ διάκονοι, ἔκ τε τῶν ἄλλων ἐπαρχιῶν, ἀλλὰ μὲν καὶ ἐξ αὐτῆς τῆς Ῥώμης.

A eſt dixiſſe aliquos, quòd ſi Metropolitani, qui dicuntur eſſe Primi Provinciarum, coguntur à Patriarchis quotannis convenire, & Epiſcopi rurſus à Metropolitanis, evenit ut unum ex iis non fiat; quòd fieri non poſſit, ut Dyrrachii fortè Metropolitanus ad Patriarcham conveniat, & eodem tempore faciat & ipſe Synodum in ſua Provincia: Dic, quòd facile eſt utrumque fieri. Provinciales enim apud ipſorum Primatem congregabuntur: ipſe verò apud Patriarcham conveniet per Procuratores ſeu Legatos, ſicut & præſens Canon decernit, difficultati remedium afferens Metropolitanorum præſentiæ in duabus Synodis. B Legatos autem mitti Epiſcopos, exiſtimo non eſſe neceſſarium. Nam & Sacerdotes quin etiam Diaconi, mittentur ut Legati. In pluribus enim univerſalibus Synodis etiam Epiſcopi Legati adfuerunt, & Sacerdotes, & Diaconi, tum ex aliis Provinciis, tum etiam ex ipſâ Româ.

ΖΩΝΑΡ. Κἀνταῦθα πάλιν περὶ ἐνιαυσιαίας συνόδου φασὶν οἱ πατέρες, ὥστε γίνεσθαι ἀπαραιτήτως. δεῖν οὖν, λέγουσι, βεβαιῶσαι, ἵνα κατὰ τὰ ἐν Νικαίᾳ ὁρισθέντα γίνηται κατ' ἐνιαυτὸν σύνοδος διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας. μετὰ γὰρ τοὺς ἁγίους ἀποστόλους ἡ ἐν Νικαίᾳ σύνοδος ὥρισεν ἐν ε'. κανόνι κατ' ἐνιαυτὸν γίνεσθαι συνόδους. ἐκκλησιαστικαὶ δὲ αἰτίαι εἰσὶ αἱ ἀνακύπτουσαι ὑποθέσεις πρὸς οἰκονομίαν ἐκκλησιαστικὴν, αἵ τινες αἰτίαι μὴ ἀνακοπτόμεναι παλαιοῦνται, ἀντὶ τοῦ τῷ χρόνῳ βεβαιοῦνται πρὸς ὄλεθρον τοῦ λαοῦ. πρὸς τὴν σύνοδον οἱ τοὺς πρώτους θρόνους τῶν ἐπαρχιῶν ἐπέχοντες στελοῦσιν, οὓς ἂν ἐπιλέξωνται, ἐπισκόπους δύο ἢ καὶ πλείους τοποτηρητὰς, ἵνα τελεία εἴη ἡ αὐθεντία ἤγουν ἡ ἐξουσία ἐν τῇ συνελεύσει, τουτέστιν, ἵνα ὁριζόμενα καὶ τυπούμενα ἐν τῇ συνόδῳ μετὰ αὐθεντίας τελείας ὁρίζωνται, ὡς καὶ τῶν πρωτευόντων ἐν ταῖς ἐπαρχίαις ἀρχιερέων συμψήφων γινομένων, διὰ τῶν παρ' αὐτῶν στελλομένων τοποτηρητῶν. τοποτηρηταὶ δὲ λέγονται, διὰ τὸ τὸν τόπον τηρεῖν ἤγουν ἐπέχειν, ἀναπληροῦν, τῶν στειλάντων αὐτούς.

Zonar. De annua Syn. ſublata omni penitùs tergiverſatione, celebranda rurſum hîc quoque Patres decernunt. Quod igitur in Nicæna Synodo conſtitutum eſt, C ut quotannis ob Eccleſiaſticas cauſas Synodi habeantur, id verò, inquiunt, à nobis confirmari oportet. Nam poſt conſtitutionem à ſanctis Apoſtolis editam, decretum de Synodo quotannis habenda, Nicænæ prima Synodus v. Canone promulgavit. Eccleſiaſticæ vero cauſæ ſunt quæ in Eccleſiaſtica adminiſtratione in dies emergunt, quæ quidem, niſi extricentur, inveterant, hoc eſt, ad populi perniciem temporis diuturnitate invaleſcunt. Ad eam porro Synodum, qui primam in Provinciis Sedem obtinent, duos pluresve, quos ipſi elegerint, Epiſcopos Legatos mittant, ut perfecta auctoritas ſeu poteſtas in conventu non deſideretur, hoc eſt, ut ad ea quæ in Synodo D decreta fuerint, quippe Antiſtitum, quorum in ſingulis Provinciis præcipua dignitas eſt, per Legatos accedente conſenſu, perfecta auctoritas adjungatur. Legati porro τοποτηρηταὶ (id eſt, loci conſervatores) dicuntur, quòd eorum à quibus miſſi ſunt, locum ſervent, id eſt, occupent, impleant.

ΑΡΙΣΤ. Κατὰ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ, σύνοδος κατ' ἐνιαυτὸν συγκαλείσθω· καὶ πεμπέσθωσαν ὑπὸ τῶν πρωτευόντων ἐν τῇ ἐπαρχίᾳ δύο, ἢ καὶ ὅσοι ἐπιλεχθεῖεν τοποτηρηταί.

Arist. *Juxta patrum Nicænorum decreta, Synodus quotannis convocetur: & duo, vel quotquot elegerint, legati à Primatibus in unaquaque provinciâ mittantur.*

Οἱ πατέρες οὗτοι, τῇ ἐν Νικαίᾳ κατακολουθοῦντες συνόδῳ, κατ' ἐνιαυτὸν ἐν Καρχηδόνι προστάττουσι σύνοδον γίνεσθαι, καὶ πέμπεσθαι ἀφ' ἑκάστης ἐπαρχίας ὑπὸ τῶν μητροπολιτῶν τῶν ἐπαρχιῶν δύο, ἢ καὶ ὅσους ἐπιλέξονται οὗτοι, τοποτηρητάς.

Hi patres, Nicææ habitam ſequentes Synodum, E quotannis Carthagine celebrari Synodum mandant, & è ſingulis provinciis à provinciarum Metropolitis mitti duos, vel etiam quotcunque elegerint ipſi, legatos.

ΚΑΝΩΝ κβ'.

Ἐάν τις τῶν ἐπισκόπων κατηγορῆται, παρὰ τοῖς τῆς αὐτοῦ χώρας πρωτεύουσιν ὁ κατήγορος ἀναγάγῃ τὸ πρᾶγμα· καὶ μηδὲ ἀπὸ τῆς κοινωνίας κωλυθῇ ὁ κατηγορούμενος, εἰ μήδ' ἂν πρὸς ἀπολογίαν ἐν τῷ δικαστηρίῳ τῶν ἐπιλεγέντων δικάζειν γράμμασιν προσκληθεὶς, τῇ ὡρισμένῃ ἡμέρᾳ οὐδαμῶς ἀπαντήσῃ, τουτ' ἔστιν, ἐντὸς προθεσμίας μηνὸς ἀφ' ἧς ἡμέρας φανείη τὰ γράμματα δεξάμενος. ἐὰν δὲ ἀληθεῖς τινας καὶ ἀναγκαστικὰς αἰτίας ἀποδείξῃ, τὰς αὐτὸν κωλυούσας ἀπαντῆσαι πρὸς ἀπολογίαν τῶν κατ' αὐτοῦ προτεθέντων, ἐντὸς ἑτέρου μηνὸς ἀκεραίαν ἐχέτω εὐχέρειαν· μετὰ δὲ τὸν δεύτερον μῆνα μὴ κοινωνήσῃ, ἕως οὗ καθαρὸς ἀποδειχθείη. εἰ δὲ πρὸς σύμπασαν τὴν ἐτησίαν σύνοδον ἀπαντῆσαι μὴ βουληθείη, ἵνα κἂν ἐκεῖ τὸ πρᾶγμα αὐτοῦ περαιωθῇ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐκπεφωνηκέναι κριθήσεται. ἐν δὲ τῷ καιρῷ ᾧ οὐ κοινωνεῖ

Canon XXII.

Si quis Epiſcopus accuſetur, ad ejus regionis Primates accuſator rem deferat: nec communione arceatur is cui crimen intenditur, niſi ad ſe in judicio defendendum eorum, qui ad judicandum electi ſunt, literis evocatus die præ- F *ſtituto nequaquam ſtiterit, id eſt, intra ſpatium menſis, ex quo eum apparuerit literas accepiſſe. Si autem veras aliquas & neceſſarias cauſas oſtenderit, quæ impedimento fuerint, quominus ſe ſiſterit ad reſpondendum iis quæ adverſum eum propoſita fuere, intra alterum menſem integram habeat facultatem: ſed poſt ſecundum menſem non communicabit, donec purus oſtenſus fuerit. Si autem in univerſali Synodo anniverſaria ſe ſiſtere noluerit, ut vel illic cauſa ejus terminetur, ipſe adverſus ſe condemnationis ſententiam protuliſſe judicabitur. Quo vero tempore non communicat,* A *nec in ſua Eccleſia, nec in Parochia communicabit. Ejus autem accuſator, ſi numquam abſuerit, iis diebus, quibus negotium agitatur, communione nequaquam arceatur: ſi verò aliquando abſuerit ſeipſum ſubducens, reſtituto communicationi Epiſcopo, ipſe accuſator ex communione ejiciatur; ita tamen, ut nec ei accuſationis facultas auferatur, ſi potuerit oſtendere die præſtituto non noluiſſe, ſed non potuiſſe ſiſtere; illo quidem manifeſto exiſtente, quòd ſi, dum res movetur in Epiſcoporum judicio, infametur accuſatoris perſona, ad accuſa-* B *tionem non admittatur, niſi de proprio negotio, non tamen Eccleſiaſtico, velit agi.*

μηδὲ ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, μηδὲ ἐν παροικίᾳ κοινωνήσῃ. ὁ δὲ τούτου κατήγορος, ἐὰν μηδαμοῦ ἀπολειφθείη, ἐν αἷς ἡμέραις γυμνάζεται τὰ τοῦ πράγματος, μηδαμῶς κωλυθῇ ἀπὸ τῆς κοινωνίας· ἐὰν δέ ποτε ἐλλείψῃ ἑαυτὸν ὑποσύρας, ἀποκαταστησαμένου τῇ κοινωνίᾳ τοῦ ἐπισκόπου, αὐτὸς ἀπὸ τῆς κοινωνίας ἐκβληθῇ ὁ κατήγορος· οὕτως μέντοι, ὡς μηδὲ τὴν ἐγχείρησιν αὐτῷ ἀφαιρεῖσθαι τῆς κατηγορίας τοῦ πράγματος, ἐὰν δυνηθῇ ἀποδεῖξαι κατὰ τὴν προθεσμίαν οὐχὶ μὴ τεθεληκέναι, ἀλλὰ μὴ δεδυνῆσθαι ἀπαντῆσαι· ἐκείνου δήλου ὄντος, ὡς ἐν τῷ κινεῖσθαι τὰ πράγματα ἐν τῷ τῶν ἐπισκόπων δικαστηρίῳ, ἐὰν διαβέβληται τὸ πρόσωπον τοῦ κατηγόρου, μὴ δεχθῇ εἰς κατηγορίαν, εἰ μηδ' ἂν ὑπὲρ ἰδίου πράγματος, μὴ μέντοι περὶ ἐκκλησιαστικοῦ, θελήσῃ ἐπιβαλέσθαι.

Bals. Quia Epiſcopis eſt competens Metropolitani judicium, dicit Canon, quod ſi Epiſcopus ab aliquo accuſetur, debet à ſuo Primate ſeu Metropolitano judicari: ante condemnationem autem habeat accuſator proprium honorem inconcuſſum, & ſacra celebret; niſi fortè accerſitus ſe in judicio non ſtiterit intra menſem, qui numerari debet ex quo literas, C quibus in judicium vocatur, acceperit; tunc enim in pœnam inobedientiæ excommunicatur, id eſt, ſegregatur. Sin autem ex aliquibus juſtis, quæ evenerunt, cauſis appareat eum in judicio neceſſariò non ſtitiſſe, nec reſpondiſſe, alius ei rurſus menſis datur dilationis, ut ad judicium accedat: & ſi nec ſic quidem ſtiterit, ſegregatur, donec de accuſatione deciſum fuerit. Si verò neque ad Provinciæ Primatem acceſſerit, neque ad Synodum quæ fit quotannis; ſit, inquit, condemnatus. In tempore porro excommunicationis non licet ei ſacrum quomodocunque celebrare. Accuſator autem, ſi ſit quidem præſens, communicare poterit: ſin vero ſub prætextu abſuerit, ipſe qui- D dem ſegregabitur; Epiſcopus autem à ſegregatione liberabitur. Accuſator tamen poſt ſegregationem non prohibebitur cauſam dicere, & quod non niſi ob cauſam neceſſariam abſuerit. Poſt hæc vult Canon, conſequenter vi. Canoni ſecundæ Synodi ab omni eſſe reprehenſione & infamia liberum accuſatorem. Si enim mala fuerit vel dubia ejus exiſtimatio, non erit admittendus; niſi ſuam adverſus Epiſcopum cauſam proponat, ſcilicet pecuniariam, non tamen eccleſiaſticam; quæ depoſitioni ſubjicit. Ac in iis quidem conſiſtit Canon. Tu autem ſcias, quòd hodie, qui hîc præſtituitur terminus, locum non habet: & per tria E xxx. dierum edicta omnes actores & rei accerſuntur, cujuſcunque ſint ſtatus, & cujuſmodicunque cauſa ſit, ſecundùm Novellam potentis & ſancti Imperatoris menſe Julio editam, Indictione decima quarta anno 6674. Sed hoc quidem ſervatur, quando per libellum & reliquam judicialem conſequentiam pecuniaria vel criminalis cauſa adverſus Epiſcopum illata fuerit. Si autem per ordinem adverſus Epiſcopum vel Clericum aliqua eccleſiaſtica quæſtio denunciata fuerit, quando nec libello opus eſt, vel aliqua alia judiciali conſequentia, & qui accuſatur, ſeu defertur, non adeſt, F punietur ſecundùm lxxiiii. Can. Apoſtolicum; ſicut condemnatur ſeu punitur etiam à legibus contumax ac inobediens. Præterea nota, quòd ſegregatus non impeditur, propter ſegregationem, quominus quam propoſuit accuſationem perſequatur: Et quòd, qui ſunt malæ ſeu dubiæ exiſtimationis, & multò magis infames, criminalem quidem accuſationem non inſtruunt, ſed pecuniarias proprias cauſas agitant.

ΒΑΛΣ. Ἐπεὶ πρόσφορόν ἐστι δικαστήριον τοῖς ἐπισκόποις τὸ τοῦ μητροπολίτου, φησὶν ὁ κανών, ὅτι ἐὰν κατηγορῆται ἐπίσκοπος παρά τινος, ὀφείλει δικάζεσθαι παρὰ τῷ πρώτῳ αὐτοῦ, ἤγουν τῷ μητροπολίτῃ· πρὸ δὲ καταδίκης ἐχέτω ὁ κατηγορούμενος τὴν οἰκείαν τιμὴν ἀπαρασάλευτον, καὶ ἱερουργείτω, εἰ μή πω μετακληθεὶς οὐκ ἀπήντησεν εἰς τὸ δικαστήριον ἐντὸς μηνός, ψηφίζεσθαι ὀφείλοντος ἐξ ὅτου τὰ καλοῦντα αὐτὸν εἰς τὸ δικαστήριον ἐδέξατο γράμματα· τότε γὰρ εἰς ποινὴν τῆς ἀπειθείας ἀκοινώνητος γίνεται, τουτέστιν, ἀφορίζεται. ἐὰν δὲ ἔκ τινων συμβεβηκυιῶν αἰτιῶν ἀληθῶν φανῇ ἐξ ἀνάγκης τινὸς μὴ ἀπαντῆσαι εἰς τὸ δικαστήριον καὶ ἀπολογήσασθαι, ἕτερος αὖθις αὐτῷ δίδοται μὴν εἰς προθεσμίαν, χάριν τοῦ προσελθεῖν τῷ δικαστηρίῳ· καὶ εἰ μηδὲ οὕτως ἀπαντήσει, ἀφορίζεται μέχρις ἂν τὰ τῆς κατηγορίας διαλυτωθῶσιν. ἐὰν δὲ οὔτε πρὸς τὸν πρωτεύοντα τῆς ἐπαρχίας παραγένηται, οὔτε πρὸς τὴν ἐτησίως γινομένην σύνοδον, ἔστω, φασί, καταδεδικασμένος. ἐν δὲ τῷ καιρῷ τῆς ἀκοινωνησίας οὐκ ἔξεστιν αὐτῷ ὁπωσδήποτε ἱερουργῆσαι. ὁ δὲ κατήγορος, εἰ μὲν παρουσιάζει, ἔσται κοινωνικός· εἰ δὲ ἀπολειφθῇ κατὰ σκῆψιν, αὐτὸς μὲν ἀφορισθήσεται, ὁ δὲ ἐπίσκοπος ἀπολυθήσεται τοῦ ἀφορισμοῦ. πλὴν καὶ μετὰ τὸν ἀφορισμὸν ὁ κατήγορος οὐ κωλυθήσεται λέγειν τὴν ὑπόθεσιν, καὶ ὅτι οὐ κατὰ παρεργίαν ἀπελείφθη. ἐπὶ τούτοις θέλει ὁ κανών, ἀκολούθως τῷ ϛʹ. κανόνι τῆς δευτέρας συνόδου, ἀδιάβλητον εἶναι τὸν κατήγορον. εἰ γὰρ διαβεβλημένη εἴη ἢ ἀμφίβολος ἡ ὑπόληψις αὐτοῦ, ἀπρόσδεκτος ἔσται, εἰ μὴ οἰκείαν προτίθησιν ὑπόθεσιν κατὰ τοῦ ἐπισκόπου, χρηματικὴν δηλαδή, οὐ μέντοι ἐκκλησιαστικὴν καθαιρέσει καθυποβάλλουσαν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ γίνωσκε, ὅτι σήμερον αἱ περιεχόμεναι προθεσμίαι ἐν τούτῳ σχολάζουσι· καὶ διὰ τριῶν ἐπιφωνημάτων τριακονθημέρων μετακαλοῦνται πάντες ἐνάγοντές τε καὶ ἐναγόμενοι, κἂν οἵας ὦσι καταστάσεως, καὶ κἂν ἐστὶν ὑποθέσεως τὸ αἰτίαμα, κατὰ τὴν προσκυνητὴν νεαρὰν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τὴν ἀπολυθεῖσαν κατὰ μῆνα Ἰούλιον, ἰνδικτιῶνος ιδʹ. τοῦ ϛχοδʹ. ἔτους. πλὴν τοῦτο κρατεῖ, ὅτε διὰ λιβέλλου καὶ λοιπῆς δικαστικῆς ἀκολουθίας χρηματικὴ ἢ ἐγκληματικὴ κατὰ ἐπισκόπου καταχθῇ ὑπόθεσις· εἰ γὰρ διὰ τῆς τάξεως προσαγγελθῇ τι κατὰ ἐπισκόπου ἢ κληρικοῦ ἐκκλησιαστικὸν ζήτημα, ὅτε οὐδὲ χρεία ἐστὶ λιβέλλου ἢ ἄλλης τινὸς δικαστικῆς ἀκολουθίας, καὶ ὁ διεγκαλούμενος, μηνυόμενος οὐ παρουσιάζει, κατὰ τὸν οδʹ. ἀποστολικὸν κανόνα κολασθήσεται, ὥσπερ κολάζεται ἤγουν καταδικάζεται καὶ ὑπὸ τῶν νόμων ὁ ἀναίσχυντος ἀπειθής. ἔτι σημείωσαι, ὅτι ὁ ἀφορισθεὶς οὐκ ἐμποδίζεται, διὰ τὸν ἀφορισμόν, γυμνάζειν ἣν προέθετο κατηγορίαν· καὶ ὅτι εἰ διαβληθέντες καὶ ἀμφίβολοι περὶ τὴν οἰκείαν ἐπιτιμίαν, πολλῷ δὲ πλέον οἱ ἄτιμοι, ἐγκληματικὴν κατηγορίαν οὐ συνιστῶσι, χρηματικὰς δὲ ἰδίας ὑποθέσεις γυμνάζουσιν.

UMI

ΖΩΝΑΡ. Κατηγορουμένου ἐπισκόπου ὁ κατήγορος παρὰ τοῖς πρωτεύουσι τῶν χωρῶν ὀφείλει τὴν κατηγορίαν ἐνιστᾶν. οὐχ ἅμα δὲ τῇ κατηγορίᾳ παύεται τῶν οἰκείων δικαίων ὁ κατηγορούμενος ἐπίσκοπος, ἀλλ' ἐν τῇ οἰκείᾳ τιμῇ καὶ καταστάσει ἐστί, μέχρις ἀποφάσεως· εἰ μή που κληθεὶς εἰς δικαστήριον οὐκ ἀπαντήσει ἐντὸς μηνός, ψηφίζεσθαι ὀφείλοντος ἐξ ὅτου τὰ καλοῦντα αὐτὸν εἰς τὸ δικαστήριον ἐδέξατο γράμματα. τότε γὰρ εἰς ποινὴν τῆς ἀπειθείας ἀκοινώνητος γίνεται, τουτέστιν, ἀφορίζεται. ἐὰν δὲ ἔκ τινων συμβεβηκυιῶν αἰτιῶν, καὶ οὐ πεπλασμένων, καὶ ἐξ ἀνάγκης αὐτὸν κωλυουσῶν φανῇ κωλυθεὶς μὴ ἀπαντῆσαι εἰς τὸ δικαστήριον, καὶ ἀπολογήσασθαι, ἕτερος αὖθις αὐτῷ δίδοται μὴν εἰς προθεσμίαν τοῦ προσελθεῖν τῷ δικαστηρίῳ. ἐὰν δὲ καὶ ὁ δεύτερος μὴν παρέλθῃ ἐπὶ κενοῖς, ἐκείνου μὴ ἀπαντήσαντος, ἐκ τότε ἀκοινώνητον εἶναι αὐτὸν ὁ κανὼν διατάττεται, ἕως διαγνωσθῇ, ὅτι καθαρός ἐστι τῆς κατ' αὐτοῦ γενομένης κατηγορίας. ἐὰν δὲ οὔτε πρὸς τὸν πρωτεύοντα τῆς ἐπαρχίας παραγένηται, οὔτε πρὸς τὴν τῶν ἐπισκόπων σύνοδον τὴν ἐτησίως γινομένην, ἵνα ἐκεῖ ἐξετασθῇ τὰ κατ' αὐτοῦ λεγόμενα καὶ πέρας δέξηται, αὐτὸς καθ' ἑαυτοῦ ἐψηφίσατο, ἤγουν αὐτὸς ἑαυτὸν κατεδίκασεν. ἐν δὲ τῷ καιρῷ τοῦ ἐπιτιμίου τῆς ἀκοινωνησίας οὔτε ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ ἔξεστιν αὐτῷ κοινωνῆσαι, οὔτε ἀλλαχοῦ, οἷον, παροικίᾳ ὑποκειμένῃ αὐτῷ. ὁ δὲ κατήγορος, ἐὰν προσεδρεύῃ τῷ δικαστηρίῳ, οὐ κωλυθήσεται κοινωνεῖν· ἐὰν δὲ ἀπολειφθῇ ἑαυτὸν ὑποσύρας, ἤγουν ἑκουσίως, οὐκ ἐξ ἀνάγκης τινὸς, ἑαυτὸν ὑποκλέψας, καὶ ἀποκρύψας, ὥστε μὴ εὑρίσκεσθαι, ὁ μὲν ἐπίσκοπος ὁ κατηγορούμενος, λυθήσεται τοῦ ἐπιτιμίου, ἀποκαθιστάμενος εἰς τὴν κοινωνίαν· ὁ δὲ κατήγορος ἐπιτιμηθήσεται, οὐ μέντοι κωλυθήσεται γυμνάζειν τὴν κατηγορίαν, καὶ δικάζεσθαι, ἐὰν φανῇ μὴ ἐξ οἰκείου θελήματος καταφρονῆσαι, ὥστε μὴ ἐμπροθέσμως ἀπαντῆσαι, ἀλλὰ μὴ δυνηθῆναι ἐξ αἰτίας εὐλόγου καὶ ἀπαραιτήτου. ἔστω δέ, φησι, δῆλον, ὅτι τότε δεχθήσεται ὁ κατήγορος τοῦ ἐπισκόπου, ἐὰν μὴ διαβέβληται. εἰ γὰρ διαβεβλημένος εἴη, ἢ ἀμφίβολός ἐστιν ἡ ὑπόληψις αὐτοῦ, ἀπρόσδεκτος ἔσται, εἰ μὴ οἰκείαν προτιθῇ ὑπόθεσιν κατὰ τοῦ ἐπισκόπου, χρηματικὴν δηλαδή, οὐ μέντοι ἐκκλησιαστικὴν, τουτέστιν εἰς ἔκπτωσιν τῆς ἐπισκοπῆς καταδικάζουσαν τὸν κατηγορούμενον. περὶ τούτου δὲ καὶ ὁ ϛ΄. κανὼν τῆς δευτέρας οἰκουμενικῆς συνόδου, διατάττεται, καὶ ζητητέον τὰ ἐκεῖ γεγραμμένα. ὁ δὲ οδ΄. τῶν ἀποστόλων κανὼν τὸν ἐπίσκοπον κατηγορηθέντα τρισσάκις καλεῖσθαι κελεύει, καὶ εἰ μὴ ἀπαντήσει, τότε τοὺς ἐπισκόπους ψηφίζεσθαι κατ' αὐτοῦ.

ΑΡΙΣΤ. Κατηγορούμενος ἐπίσκοπος, καὶ ἀγόμενος ἐχέτω δύο μηνῶν ἔνδοσιν, εἴπερ ἑτέρωθέν ἐστι τῆς βραδυτῆτος βοήθεια· ἑξῆς δὲ τὸ ἀκοινώνητον ἕξει, μὴ ὑπαντήσας. ἐὰν δὲ παρουσιάζοντος τοῦ κατηγορουμένου, ὁ κατήγορος ἀποφύγῃ, ἕξει τὸ ἀκοινώνητον· διαβαλλόμενος δὲ κατήγορος, οὐ κατήγορος.

Ἐπίσκοπος ὑπό τινος κατηγορούμενος, παρὰ τῇ συνόδῳ, ᾗ ὑπόκειται, διὰ γραμμάτων προσκαλείσθω πρὸς ἀπολογίαν ἐλθεῖν· εἰ δὲ, μεθ' ὃ τὰ γράμματα δέξεται, οὐκ ἀπαντήσει εἰς τὸ δικαστήριον, μέχρις ὅλου μηνὸς ἑνός, κωλυθεὶς ἴσως ὑπό τινων ἀναγκαστικῶν αἰτιῶν, ἐχέτω εἰς ὑπέρθεσιν καὶ ἑτέρου μηνὸς ἑνὸς προθεσμίαν· εἰ δὲ καὶ ὁ δεύτερος μὴν παρέλθοι διακενῆς, καὶ εἰς τὸ δικαστήριον οὐ παρουσιάσει, ἀφωρισμένος ἔστω, μέχρις ἂν ἀνεύθυνος φανῇ. ἐὰν δὲ τοὐναντίον ὁ μὲν κατηγορούμενος ἐπίσκοπος πάρεστι, καὶ τὴν ἐπεξέλευσιν τῆς κατ' αὐτοῦ κατηγορίας γενέσθαι ἐπιζητῇ, ὁ δὲ κατήγορος οὐδαμοῦ φαίνηται, ἀλλὰ ἀποφεύγῃ, αὐτὸς ἕξει τὸ ἀκοινώνητον ὁ κατήγορος. διὰ τοῦτο γοῦν ὀφείλουσιν οἱ κατηγοροῦντες ἐξετάζεσθαι, καὶ τὴν θρησκείαν, καὶ τὴν ὑπόληψιν· καὶ ἐὰν διαβεβλημένοι εἰσίν, εἰς κατηγορίαν ἐκκλησιαστικοῦ πράγματος οὐ παραδέχονται.

A Zonar. Si Epiſcopus accuſetur, coram regionis Primate accuſator actionem inſtituere debet. Neque verò delato nomine, Epiſcopus, qui accuſatur, jura ſua ac dignitatem illico amittit; ſed dignitatem ac locum, quoadusque de illo pronuntiatum fuerit, detinebit: niſi forte ad judicium citatus unius menſis intervallo non adfuerit, quem quidem ab eo tempore deſignari oportebit, quo literas quibus ad judicium evocatur acceperit. Nam tunc quidem pertinaciæ culpam communionis privatione, hoc eſt, ſegregatione luet. Quòd ſi aliquarum cauſarum interventu, quas veras, non commentitias eſſe conſtet, neceſſariò hominem impeditum fuiſſe appareat, quominus B in judicio ſtiterit & reſponderit, in alterum menſem rurſum ipſi præfinitam adeundi judicii diem prorogari placet. At ſi, illo nuſquam apparente, irritus alter quoque menſis abierit; ab eo tempore, quoadusque ſe, in quo accuſatur, culpa vacare oſtenderit, communione privatum eſſe Canon decernit. Quòd ſi neque ad Primatem Provinciæ, neque ad Epiſcoporum Syn. quotannis haberi ſolitam, ut in ea de criminibus ipſi objectis quæratur, quæſtióque tota abſolvatur, acceſſerit; jam ipſe contra ſe ſuffragium tuliſſe, hoc eſt, ipſe ſe condemnaſſe exiſtimandus eſt. Porro illo ſegregationis tempore, neque in ipſius Eccleſia, neque alibi, velut in ſubjecta ipſi Parœcia, C cum eo communicandi facultas erit. Accuſator vero, ſi quidem in judicio præſtò fuerit, à communione nequaquam arcebitur: at ſi ſe eo deſerto ſubduxerit, hoc eſt ſponte ſe, neque ulla neceſſaria cauſa coactus, proripuit, ac latebras, ne inveniretur, quæſivit; Epiſcopum quidem, cui dicta dies fuerat, à mulcta communioni reſtitutū abſolvi; accuſatorem vero ipſum viciſſim impoſita pœna puniri jubet. Actori tamen accuſationē perſequi, ac judicio experiri adhuc licebit; ſi modo nō ipſius volūtate rem contempſiſſe, ſed juſtæ ac neceſſariæ cauſæ interventu, quominus ad præfinitam adeſſet, factum fuiſſe oſtēderit. Illud autem, inquit, omnes nôrint, tunc Epiſcopi delatori D locum fore in judicio, ſi nulla ipſe criminis infamia notatus ſit. Cujus namque delatum nomen ad judices, aut de quo etiam dubia exiſtimatio fuerit, niſi de ſua re privata, pecuniaria nimirum, actionem Epiſcopo intendat, Eccleſiaſticæ vero controverſiæ, hoc eſt, ejus ex qua Epiſcopo periculum amittendæ dignitatis creetur, partem nullam attingat, audiri omnino vetat. De eadem re vi. quoque ii. Oecumenicæ Syn. Can. decernit. Quæ in eum ſcripta ſunt vide. IV. vero & lxx. ſanctorum Apoſt. Can. accuſatum Epiſcopum ter citari; ac niſi denique in jus eat, aliorum Epiſcoporum ſuffragio condemnari jubet.

E Ariſt. *Epiſcopus accuſatus & in judicium ductus, duorum menſium ſpatium habeat; ſi quidem ex alterâ parte tardius veniat auxilium: poſtea autem excommunicabitur, ſi non occurrerit. Si autem, præſente accuſato, accuſator aufugiat, communione privabitur. Accuſator autem infamiâ laborans, non eſt accuſator.*

Epiſcopus à quopiam accuſatus, à Synodo, cui ſubjacet, per literas ad ſe defendendum venire evocetur. Si autem, poſtquam literas acceperit, ſe judicio non ſtiterit: uſque ad unum completum menſem, à neceſſariis quibuſdam impeditus cauſis, ad dilationem habeat & alterius unius menſis conſtitutionem. F Si autem & ſecundus fruſtra elapſus fuerit, & judicio ſe non ſtiterit, ſegregatus ſit, uſque dum innocens apparuerit. Si autem è contrario Epiſcopus accuſatus adfuerit, & accuſationis contra ſe latæ exitum quæſiverit, accuſator autem nequaquam appareat, ſed aufugit, ipſe accuſator excommunicationi ſubjicietur. Idcirco itaque accuſatores examinari debent & quoad pietatem & quoad opinionem; & ſi ejecti ſint ad Eccleſiaſtici negotii accuſationem non admittuntur.

A

CANON XXIII.

Si Presbyteri autem vel Diaconi accuſati fuerint, adjuncto legitimo numero electitiorum Epiſcoporum ex propinquis regionibus, quos ii, qui accuſantur, petiverint, id eſt, in delatione nominis Presbyteri ſex, & Diaconi tribus: cum his proprius accuſatorum Epiſcopus eorum cauſas examinabit; eadem dierum & dilationum & examinationum & perſonarum, accuſatores, & eos qui accuſantur, forma ſervata. Reliquorum autem Clericorum cauſas vel ſolus Epiſcopus loci agnoſcat & finiet.

Bals. Hic quoque Canon, ſimiliter ac præcedens, videlicet ſecundùm eaſdem diſtinctiones, ſtatuit ut judicentur & Presbyteri & Diaconi. Cùm autem undecimus Canon definiat, à quot Epiſcopis debeant judicari Epiſcopi, Presbyteri & Diaconi, nunc jubent Patres, ut ultra duodecim ſex & tres, ſit quoque loci Epiſcopus judex competens: qui autem ſunt præter eos, Lectores ſcilicet & reliqui, ab uno ſolo competenti Epiſcopo judicentur. Electitii autem dicuntur Epiſcopi, non qui in ii. tit. vii. lib. Baſil. continentur, qui ſcilicet cum pœnæ datione judicant; ſed quos eliget is qui accuſatur, ex finitimarum regionum Epiſcopis.

Zonar. Superiori quidem de Epiſcopis, qui accuſantur; hoc vero Canone de Presbtyeris & Diaconis definitum. Et, ſi quis, inquit, Presbyter aut Diaconus in judicium vocetur, ab ipſorum Epiſcopo, aliis ex eadem provincia Epiſcopis in conſilium advocatis, ſex in Sacerdotis, tribus in Diaconi judicio, accuſatio examinabitur. Epiſcopi autem ejus qui accuſatur arbitrio eligentur; eos namque propterea αἱρετικοὺς, id eſt, electitios Canon appellat. Reliqua vero, de præfinienda ſcilicet die, de pœnis ſolvendis, & quæcunque de Epiſcoporum quæſtione decreta ſunt, ſerventur, ut ibi conſtitutum eſt. Aliorum vero Clericorum cauſas vel ſolius Epiſcopi proprii cognitione judicióque definiri placet.

Arist. *Presbytero accuſato, ſex è vicinis Epiſcopis unà cum ipſius regionis Epiſcopo, rem dijudicabunt: Diacono autem, tres. Quæ ad reliquos vero ſpectant Clericos, vel unus Epiſcopus examinabit.*

Hoc & in duodecimo Canone dicitur, ut Presbytero accuſato, ſex Epiſcopi eum judicabunt, & inter eos etiam proprius ipſius Epiſcopus conſenſum ſuum præbeat. Diacono autem accuſato, tres & ſuus. At reliqui omnes Clerici, qui ſunt infra Diaconos, & à ſolo ſuo ipſorum Epiſcopo judicabuntur, quibuſcunque criminibus accuſantur.

CANON XXIIII.

Similiter placuit, ut filii Clericorum Gentilibus vel hæreticis matrimonio non conjungantur.

Bals. Gentiles hîc oportet infideles intelligere: ſi quis enim Gentilis eſt fidelis, non prohibebitur cum Clerici filiâ conjungi. Lege Laodicenæ Synodi Can. xxxi. Chalced. Can. xiv. & Synodi in Trullo Canonem lxxii. & quæ in eis ſcripta ſunt.

Zonar. Ethnici, hoc loco, infideles intelliguntur. Ethnicus namque fidelis Clerici filiam ſibi matrimonio jungere haud vetabitur. Vide Laodicenæ Synodi Canonem xxxi. Chalcedonenſis decimum quartum, & Synodi in Trullo ſeptuageſimum ſecundum, & quæ in explicatione eorundem ſcripſimus.

ΚΑΝΩΝ κγ'.

Ἐὰν δὲ πρεσβύτεροι ἢ διάκονοι κατηγορηθῶσιν, προσζευγνυμένου τοῦ νομίμου ἀριθμοῦ τῶν ἐκ τῆς πλησιαζούσης τοποθεσίας αἱρετικῶν ἐπισκόπων, οὓς οἱ κατηγορούμενοι αἰτήσονται, τοῦτ' ἔστιν, ἐπ' ὀνόματι τοῦ πρεσβυτέρου ἕξ, καὶ τοῦ διακόνου τριῶν· σὺν τούτοις αὐτὸς ὁ ἴδιος τῶν κατηγορουμένων ἐπίσκοπος τὰς αἰτίας αὐτῶν ἐξετάσει, τοῦ αὐτοῦ τῶν ἡμερῶν καὶ ὑπερθέσεων καὶ ἐξετάσεων καὶ προσώπων μεταξὺ τῶν κατηγορούντων καὶ κατηγορουμένων τρόπου φυλαττομένου. B τῶν δὲ λοιπῶν κληρικῶν τὰς αἰτίας, καὶ μόνος ὁ ἐντόπιος ἐπίσκοπος διαγνῷ καὶ περατώσει.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν παρομοίως τῷ πρὸ αὐτοῦ, ἤγουν κατὰ τὰς αὐτὰς διατάξεις, διορίζεται δικάζεσθαι καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους. τοῦ δὲ ια'. κανόνος διοριζομένου παρὰ πόσοις ἐπισκόποις ὀφείλουσι δικάζεσθαι οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, ἄρτι παρακελεύονται οἱ πατέρες, ἐπέκεινα τῆς δωδεκάδος τῆς ἑξάδος καὶ τῆς τριάδος, εἶναι τὸν πρόσφορον ἐγχώριον ἐπίσκοπον· τοὺς δὲ παρὰ τούτους, ἤγουν τοὺς ἀναγνώστας καὶ τοὺς λοιπούς, παρὰ ἑνὸς καὶ μόνου τοῦ προσφόρου ἐπισκόπου δικάζεσθαι. αἱρετικοὶ C δὲ λέγονται ἐπίσκοποι, οὐχὶ οἱ περιεχόμενοι ἐν τῷ β'. τίτλῳ τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν, οἱ μετὰ δόσεως προστίμου δικάζοντες, ἀλλὰ οὓς αἱρετίσεται ἤγουν ἐπιλέξεται ὁ κατηγορούμενος ἐκ τῶν πλησιοχώρων ἐπισκόπων.

ΖΩΝΑΡ. Ὁ μὲν ἀνωτέρω κανὼν περὶ ἐπισκόπων διετάξατο κατηγορουμένων· οὗτος δὲ περὶ πρεσβυτέρων καὶ διακόνων ὁρίζει. καί φησιν, ἐὰν πρεσβύτερος ἢ διάκονος κατηγορῶνται, ὁ ἐπίσκοπος αὐτῶν, συνερχομένων αὐτῷ καὶ ἑτέρων ἐπισκόπων ἐκ τῆς αὐτῆς ἐπαρχίας, ἓξ μὲν ἐπὶ πρεσβυτέρων, τριῶν δὲ ἐπὶ διακόνων, ἐξετάσει τὴν κατηγορίαν. οἱ δὲ ἐπίσκοποι εἶεν ἄν, οὓς αἱρετίσσονται οἱ κα- D τηγορούμενοι· τοὺς γὰρ τοιούτους φησὶν ὁ κανὼν αἱρετικούς, τουτέστι τοὺς αἱρετούς. τὰ δ' ἄλλα, τὰς προθεσμίας, φημί, καὶ τὰς ἐπιτιμήσεις, καὶ ὅσα ἐν τῇ κατὰ τοῦ ἐπισκόπου ζητήσει εἴρηται, φυλαχθήσονται, καθὼς ἐκεῖ διατέτακται. τὰ δὲ τῶν λοιπῶν κληρικῶν αἰτιάματα καὶ μόνος ὁ ἐπίσκοπος αὐτῶν ἐξετάσει καὶ περατώσει.

ΑΡΙΣΤ. Πρεσβυτέρου κατηγορουμένου, ἓξ τῶν ἐγγυτέρων ἐπισκόπων τῷ ἐγχωρίῳ συνδιαγνώσονται· διακόνου δέ, τρεῖς. τὰ δέ γε τῶν λοιπῶν κληρικῶν, καὶ μόνος ἐξετάσει ὁ ἐπίσκοπος.

E Τοῦτο εἴρηται καὶ ἐν τῷ δωδεκάτῳ κανόνι, ὡς πρεσβυτέρου μὲν κατηγορουμένου, ἓξ ἐπίσκοποι δικάσουσιν αὐτόν, καὶ ἐπέκεινα τούτων καὶ ὁ ἴδιος αὐτοῦ συνδιαγνώμων ἔσται ἐπίσκοπος· διακόνου δέ, τρεῖς καὶ ὁ ἴδιος. οἱ δὲ λοιποὶ πάντες κληρικοὶ οἱ κάτωθεν ὄντες τῶν διακόνων, καὶ παρὰ μόνου τοῦ ἰδίου αὐτῶν ἐπισκόπου κριθήσονται, ἐφ' οἷς ἂν αἰτιῶνται ἐγκλήμασι.

ΚΑΝΩΝ κδ'.

Ὁμοίως ἤρεσεν, ὥστε τέκνα τῶν κληρικῶν ἐθνικοῖς ἢ αἱρετικοῖς γαμικῶς μὴ συνάπτεσθαι.

F **ΒΑΛΣ.** Ἐθνικοὺς ἐνταῦθα τοὺς ἀπίστους νοεῖν δεῖ. εἰ γάρ τις ἐθνικὸς ἐστὶ πιστός, οὐ κωλυθήσεται συναφθῆναι κληρικοῦ θυγατρί. ἀνάγνωθι τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα λα'. τῆς ἐν Χαλκηδόνι κανόνα ιδ'. καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα οβ'. καὶ τὰ ἐν τούτοις γραφέντα.

ΖΩΝΑΡ. Ἐθνικοὺς ἐνταῦθα, τοὺς ἀπίστους νοεῖν δεῖ. εἰ γὰρ ἐθνικός τις πιστὸς ᾖ, οὐ κωλυθήσεται συναφθῆναι κληρικοῦ θυγατρί. ἀνάγνωθι καὶ τῆς ἐν Λαοδικείᾳ κανόνα λα'. καὶ τῆς ἐν Χαλκηδόνι ιδ'. καὶ τὸν ἐν τῷ Τρούλλῳ οβ'. καὶ ὅσα ἐν αὐτοῖς ἐγράφησαν.

ΑΡΙΣΤ. Αἱρετικοῖς καὶ ἐθνικοῖς τέκνα κληρικῶν οὐ συνάπτονται. A

Ἀλλ' οὐδὲ λαϊκῶν παῖδες αἱρετικοῖς εἰς γάμου κοινωνίαν συνάπτονται.

ΚΑΝΩΝ κε'.

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μηδένα συνεισάγειν τοῖς μὴ ὀρθοδόξοις Χριστιανοῖς· εἰ καὶ συγγενεῖς ἔτι μὴν ὦσιν, μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, ὡς εἴρηται, B τοὺς ἐπισκόπους ἢ κληρικοὺς τούτοις συνεισάγειν.

ΒΑΛΣ. Αἱρετικοὶ μὲν λέγονται, οἱ μὴ δοξάζοντες ὀρθῶς τὰ τῶν Χριστιανῶν· ἄπιστοι δὲ, οἱ μηδὲ ὅλως πιστεύοντες τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ λόγου. φησὶ γοῦν ὁ κανὼν, μηδένα ἐπίσκοπον ἢ κληρικὸν, κατὰ νόμον ληγάτου ἢ κληρονομίας, καταλιμπάνειν τοῖς τοιούτοις τὸ ὁποιοῦν, κἂν συγγενεῖς αὐτοῦ ὦσιν· ἀλλὰ μηδὲ δωρεῖσθαι αὐτοῖς ἐν ζωῇ οἰκεῖον πρᾶγμα. ἀνάγνωθι τὸν πγ'. κανόνα τῆς παρούσης συνόδου, καὶ βιβλίον τῶν βασιλικῶν λε'. τίτλου η'. κεφ. λη'. διδάσκον, μὴ ὀφείλειν κληρονομεῖσθαι τοὺς γονεῖς παρὰ αἱρετι- C κῶν παίδων, ἢ τοὐναντίον. καὶ βιβλίου α'. τίτλου α'. κεφάλαια διάφορα λέγοντα, μὴ μόνον κληρικοὺς, ἀλλὰ καὶ λαϊκοὺς ἐμποδίζεσθαι πρὸς αἱρετικοὺς ἢ ἀπίστους ὁπωσδήποτε παραπέμπειν τὰ τούτοις διαφέροντα. τὸ δὲ ια'. κεφάλαιον τοῦ γ'. τίτλου τοῦ ε'. βιβλίου τῶν βασιλικῶν λέγει, μήτε κατὰ μίσθωσιν μήτε κατὰ ἐμφύτευσιν μήτε κατ' ἐξώνησιν, ἢ ἄλλον τρόπον τινὰ, λαμβάνειν τοὺς αἱρετικοὺς ἀκίνητα οἱαδήτινα ἐξ ἐκκλησίας τινὸς ἢ ἄλλου σεβασμίου οἴκου. καὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου καὶ κεφ. θέμα γ'. ἐὰν ὀρθόδοξος, ἔχων κτῆσιν ἐν ᾗ ἐστιν ἁγία ἐκκλησία, παραπέμψει ταύτην καθ' οἱονδήτινα τρόπον ἀπίστῳ ἢ ἁπλῶς αἱρετικῷ, ἡ ἐκκλησία D τῆς αὐτῆς κώμης τὴν αὐτοῦ ἐκκλησίαν ἐκδικείτω. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μὴ ἔχειν ἐπ' ἀδείας τοὺς ἐπισκόπους ἢ τοὺς κληρικοὺς γράφειν κληρονόμους αἱρετικοὺς ἢ ἀπίστους, λέγε γίνεσθαι παρὰ τῶν ἐπισκόπων τὰ ἐν τῷ μ'. ἀποστολικῷ κανόνι περιεχόμενα, καὶ τὰ δηλούμενα ἐν τῷ κδ'. κανόνι τῆς ἐν Ἀντιοχείᾳ συνόδου. οὕτω γὰρ ἐπ' ἐξουσίας ἔσται αὐτοῖς παραπέμπειν πρὸς ὀρθοδόξους τὰ οἰκεῖα, κατὰ λόγον κληρονομίας, ληγάτου καὶ δωρεᾶς· εἰ δὲ μὴ, οὐδὲ πρὸς ὀρθοδόξους δύνανται παραπέμπειν ταῦτα.

ΖΩΝΑΡ. Μηδὲ κατὰ κληρονομίαν ἢ ληγάτον ἢ ἄλ- E λως πως καταλιμπάνειν τι τοῖς αἱρετικοῖς ἢ ἀπίστοις ὀρθοδόξους Χριστιανοὺς, καὶ τοῖς πολιτικοῖς ἀπηγόρευται νόμοις. τοῦτο οὖν καὶ ὁ παρὼν κελεύει κανὼν, λέγων τοὺς ἐπισκόπους ἢ κληρικοὺς μηδένα αἱρετικὸν ἢ ἄπιστον συνεισάγειν εἰς κληρονομίαν ἢ ληγάτον Χριστιανῷ, κἂν εἶεν ἴσως συγγενεῖς, ἢ τοῦ διατιθεμένου ἢ τοῦ κληρονόμου, οἱ αἱρετικοὶ καὶ οἱ ἄπιστοι, ἀλλὰ μὴν μηδὲ δωρεῖσθαι αὐτοῖς τινα ἐκ τῶν οἰκείων πραγμάτων. τοῦτο δὲ καὶ ὁ πα'. κανὼν τῆς συνόδου ταύτης πλατύτερον διατάττεται. ἐν δὲ τῷ λε'. βιβλίῳ τῶν βασιλικῶν. τίτ. η'. κεφαλαίῳ λη'. εὑρήσεις, ὅτι οὐδὲ παῖδες αἱρετικοὶ δύνανται κληρονομεῖν τοὺς οἰκείους γονεῖς, οὐδὲ γο- F νεῖς αὖθις αἱρετικοὶ δύνανται ἄλλους καταλιμπάνειν κληρονόμους, εἰ μὴ τοὺς οἰκείους παῖδας Χριστιανοὺς ὄντας, κἂν ἄλλους δὲ παῖδας ἔχοιεν αἱρετικοὺς, ἀπόκληροι ἔσονται ἐκεῖνοι, κἂν ἴσως παρὰ τῶν γονέων κληρονόμοι ἐγγράφησαν, εἰ μὴ ἔχουσι παῖδας ὀρθοδόξους, εἰς συγγενεῖς αὐτῶν ὀρθοδόξους περιελεύσεται ἡ περιουσία αὐτῶν. εἰ δὲ μήτε παῖδες ὀρθόδοξοι εἶεν αὐτοῖς μήτε συγγενεῖς τοιοῦτοι, κληρικῶν δὲ σχῆμα εἶχον οἱ τελευτήσαντες, ἵνα ἐντὸς ἐνιαυτοῦ, μετὰ τὸν θάνατον αὐτῶν ψηφιζομένου, ἐκνικῶσιν αὐτὰ οἱ τῆς ἐκκλησίας τῆς πόλεως, ἐν ᾗ κατῴκουν ἐκεῖνοι. καὶ ἐν τῷ α'. βιβλίῳ τῶν βασιλικῶν γέγραπται, μὴ κληρονομεῖν Σαμαρείτας

Ariſt. *Hæreticis & Ethnicis Clericorum liberi matrimonio non conjunguntur.*

Sed nec laicorum liberi hæreticis in matrimonii communionem conjunguntur.

Canon XXV.

Ut Epiſcopi & Clerici in non orthodoxos Chriſtianos nihil conferant: & ſi ſint adhuc cognati, nihil per ſuarum rerum donationem, ut dictum eſt, Epiſcopi vel Clerici in eos conferant.

Bals. Hæretici quidem dicuntur, qui de rebus Chriſtianorum non rectè ſentiunt: Infideles autem, qui incarnatam verbi Dei œconomiam omnino non credunt. Dicit ergo canon, nullum Epiſcopum vel Clericum, ratione legati vel hæreditatis, iis qui ſunt ejuſmodi debere quidquam relinquere, etiamſi ſint ejus cognati: ſed neque in vita rem propriam illis dare. Lege lxxxiii. can. præſentis ſyn. & lib. Baſilic. xxxv. tit. viii. cap. xxxviii. quod docet, non debere filios hæreticos parentibus ſuccedere, vel contrà. Et lib. primi tit. primi, diverſa capita, dicentia, non ſolùm clericos, ſed & laicos impediri, quominus ad hæreticos vel infideles quæ ad ſe pertinent quomodocunque tranſmittant. xi. autem cap. iii. tit. v. lib. Baſilic. dicit; Neque ex locatione, neque ex emphyteuſi, neque ex emptione, vel ulla alia ratione, debere hæreticos ulla immobilia ex quavis eccleſia vel ex alio venerabili loco accipere. Et ejuſdem lib. & tit. & cap. thema iii. Si orthodoxus, habens poſſeſſionem in qua eſt ſancta eccleſia, eam ad infidelem, vel ſimpliciter hæreticum, quavis ratione tranſmiſerit, Eccleſia ejuſdem vici eandem Eccleſiam vendicet. Cùm autem audis canonem dicentem, non licere Epiſcopis vel Clericis ſcribere hæredes hæreticos vel infideles, dic debere fieri ab Epiſcopis quæ in xl. can. Apoſtolico continentur, & quæ in xxiv. can. Antioch. Syn. declarantur. Sic enim in eorum erit poteſtate ad orthodoxos ſua tranſmittere, hæreditate legato, & donatione: ſin minùs, nec ea quidem poterunt ad orthodoxos tranſmittere.

Zonar. Ne quidquam ex rebus ſuis, hæreditatis aut legati nomine, aut alia quacunque ratione, hæreticis infidelibus Chriſtiani orthodoxi relinquant, legibus quoque civilibus cautum eſt. Idem igitur hoc quoque canone conſtituitur, Epiſcopus enim, inquit, aut Clericus, ne quenquam hæreticum aut à fide alienum in partem hæreditatis aut legati cum Chriſtiano homine cohæredem ſcribat; quamvis, aut ei qui teſtamentum ſcripſit, aut ei qui hæres inſtitutus eſt, hæretici illi & infideles conſanguinitate jungantur; imò nec aliquid ex ſuis rebus ejuſmodi hominibus largiatur. Hoc idem hujus quoque Synodi canone primo & octogeſimo fuſiùs explicatur. Quinto vero & trigeſimo Baſilic. libro, tit. octavo. cap. trigeſimooctavo, neque filios hæreticos hæreditatem parentum cernere poſſe, neque hæreticis parentibus, præter filios qui ſint Chriſtiani, alios hæredes inſtituere licere; ſique alii filii ſint hæretici, quamvis teſtamento parentum hæredes ſcripti ſint, extra hæreditatis ſortem eſſe debere; ſi vero nulli orthodoxi ſint liberi, ad propinquos orthodoxos lege pervenire hæreditatem, reperies. Cùm vero neque filii orthodoxi nec hujuſmod propinqui fuerint illis, clericorum vero habitu incedebant qui deceſſere, unius anni intervallo, ab illorum obitu definiendo, Eccleſiæ ejus urbis, in qua illi diverſabantur, Clerici poſſeſſionem adeant. Primo quoque Baſilic. lib.

ne Samaritis aut hæreticis quibuſcunque, vel hæreditatem obire vel donationem accipere liceat, edicitur; & quæcunque deinceps ejuſdem libri capite liii. tum de aliis tum de Samaritarum agricolis, explicantur, (huc ſpectant.) Tertii vero tit. lib. v. cap. xi. neque locatione, neque emphyteuſi, neque emptione, aut alio quocunque modo, quodlibet immobile Eccleſiæ alicujus aut alterius ſacræ domus ab hæretico accipi licere decernitur. Et vero ejuſdem libri, tituli, & capitis thema tertium dicit; Si quis orthodoxus prædium, in quo ſancta Eccleſia condita ſit, infideli, aut etiam hæretico, quacunque ratione tranſmiſerit, vici ejus Eccleſia prædii poſſeſſionem vindicet.

Arist. *Epiſcopi & Clerici nihil è bonis ſuis dabunt hæreticis, vel in eos conferent, nec ſi cognati fuerint.*

Canon XXVI.

Item, Epiſcopi trans mare non proficiſcantur: niſi cum decreto primæ cathedræ proprii uniuſcujuſque regionis Epiſcopi; hoc eſt, niſi ab ipſo Primate præcipuè acceperit eam, quæ dicitur dimiſſoria, formatam, vel commendationem.

Bals. Quomodo Epiſcopi debeant peregrè proficiſci ab eis, quæ illos ſortitæ ſunt, Eccleſiis, dictum eſt in xiv. xv. & xxxiii. canone Apoſtolico; in vii. viii. & xi. Antiochen. Synod. in xli. & xlii. Syn. Laod. in xiii. Chalcedon. in v. xvi. & xvii. Sardic. & ſufficiunt quæ in illis ſcripta ſunt. Cùm autem audis canonem dicentem, cum decreto ſeu cognitione primi, ſcilicet Metropolitani, debere Epiſcopum peregrè proficiſci; ne dixeris ejus ſolius cognitionem ſufficere, ſed & univerſæ ejus ſynodi eſſe adhuc neceſſariam ſententiam; ut vult can. xi. Antioch. Syn. Propterea enim canoni adjicitur illud; Neceſſariam quidem eſſe reliquorum quoque epiſcoporum ſententiam; ſed præcipuè Primatis. Formata autem dicta eſt dimiſſoria epiſtola, utpote quæ, vel neceſſariam exprimat Epiſcopi peregrinationis cauſam, vel obſignationem & ſubſcriptionem Primatis Synodi habere debeat. Eadem autem commendatio dicta eſt, ut quæ iis, ad quos vadit, peregrinantem epiſcopum commendet, ſive ad eum pertinentia declaret & probet.

Zonar. Epiſcopos, & omnes demum qui ratione utenti gregi præfecti ſunt, perpetuam in ſuis Eccleſiis ſtationem habere, populiſque, qui ipſorum curæ commiſſi ſunt, paſcendis inſtituendiſque operam dare, cum ipſa æquitas, tum quæ æquitati maximè innititur canonum auctoritas jubet. Proinde ne trans mare abire, hoc eſt, ne longum iter ſuſcipere Epiſcopo liceat, hic canon edicit: quod ſi ejus rei neceſſitas aliquando inciderit, non aliter, quam cum decreto primæ cathedræ provinciæ illius Epiſcopi, proficiſcendi facultatem ipſi eſſe decernit. Decreti autem propterea meminit, ut niſi regionis illius Patriarcha aut Metropolitanus profectionis Epiſcopi cauſam examinaverit, ac neceſſariam eſſe judicaverit, epiſtolámque, quæ dimiſſoria dicitur, ei dederit, nequaquam ipſi ex canonum præſcripto proficiſci licere demonſtret. Decreti porro nomine cognitionem ſive approbationem intelligit. A Primate vero præcipuè epiſtolam afferri jubet, quoniam alterius canonis conſtitutione, ab Epiſcopis quoque illius provinciæ, is qui peregrè proficiſcitur literas jubetur afferre: idcirco à Primate provinciæ potiſſimùm obtinendas eſſe decernit, quaſi dicere velit, omnium quidem Epiſcoporum regionis epiſtolas habere laudabile eſſe; ſed à Primate præcipuè ſeu propriè dimiſſoriam, formatam, ſive commendationem afferendam; quæ videlicet neceſſariam eſſe profectionis cauſam exprimat; vel formatam, hoc eſt ſigno ſubſcriptionéque munitam. Illud vero, ſive commendationem, hoc eſt, quæ illum iis ad quos proficiſcitur commendet, ſeu notum faciat, pro eodem precibus interpellet, illum eis ſiſtat & exhibeat.

A ἢ ὅλως αἱρετικοὺς, μηδὲ δωρεὰν λαμβάνειν, καὶ ὅσα ἑξῆς τὸ γʹ. κεφάλαιον τοῦ ῥηθέντος βιβλίου διέξεισι, περί τε τῶν ἄλλων καὶ Σαμαρειτῶν γεωργῶν. τὸ δὲ τοῦ γʹ. τίτλου τοῦ εʹ. βιβλίου ιαʹ. κεφάλαιον λέγει, μήτε κατὰ μίσθωσιν, μήτε κατ' ἐμφύτευσιν, μηδὲ κατ' ἐξώνησιν, ἢ ἄλλον τινὰ τρόπον, ἀκίνητον λαμβάνειν αἱρετικὸν οἱονδήτινα ἐξ ἐκκλησίας τινὸς ἢ ἄλλου σεβασμίου οἴκου. καὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου καὶ κεφαλαίου θέμα γʹ. φησίν· ἐὰν ὀρθόδοξος ἔχων κτῆσιν, ἐν ᾗ ἐστιν ἁγία ἐκκλησία, παραπέμψῃ ταύτην καθ' οἱονδήτινα τρόπον ἀπίστῳ ἢ ἁπλῶς αἱρετικῷ, ἡ ἐκκλησία τῆς αὐτῆς κώμης τὴν αὐτοῦ δεσποτείαν ἐκδικείτω.

B

ΑΡΙΣΤ. Ἐπίσκοποι, καὶ κληρικοὶ αἱρετικοῖς, οὐδ' ἂν ὦσι συγγενεῖς, δωρήσονταί τι τῶν οἰκείων, ἢ συνεισάξουσιν.

ΚΑΝΩΝ κϛʹ.

Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης μὴ ἀποδημείτωσαν· εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου· τοῦτ' ἔστιν, εἰ μὴ ἀπ' αὐτοῦ τοῦ πρωτεύοντος κατεξαίρετον λάβῃ τὴν, ἥτις λέγεται ἀπολυτικὴ, τετυπωμένην, ἤτοι παράθεσιν.

ΒΑΛΣ. Περὶ τοῦ πῶς ὀφείλουσιν ἀποδημεῖν οἱ ἐπίσκοποι C ἐκ τῶν λαχουσῶν αὐτοὺς ἐκκλησιῶν, εἴρηται ἐν τῷ ιδʹ. ιεʹ. καὶ λγʹ. ἀποστολικῷ κανόνι. ἐν ζʹ. ηʹ. καὶ ιαʹ. τῆς ἐν Ἀντιοχείᾳ. ἐν μαʹ. καὶ μβʹ. τῆς ἐν Λαοδικείᾳ, καὶ ἐν ιγʹ. τῆς ἐν Χαλκηδόνι· ἐν εʹ. ιϛʹ. καὶ ιζʹ. τῆς ἐν Σαρδικῇ, καὶ ἀρκοῦσι τὰ ἐν ἐκείνοις γραφέντα. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μετὰ ψηφίσματος ἤτοι διαγνώσεως τοῦ πρώτου, δηλονότι τοῦ μητροπολίτου, ὀφείλειν ἀποδημεῖν τὸν ἐπίσκοπον, μὴ εἴπῃς ἀρκεῖν τὴν διάγνωσιν τούτου καὶ μόνου, ἀλλ' ἀναγκαίαν μὲν εἶναι τὴν γνώμην εἰς τοῦτο καὶ πάσης τῆς κατ' αὐτὸν συνόδου, κατὰ τὸν ιαʹ. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου. διὰ γὰρ τοῦτο πρόσκειται τῷ κανόνι, τὸ ἀναγκαίαν μὲν εἶναι καὶ τὴν τῶν λοιπῶν ἐπισκόπων ψῆφον· κατεξαίρετον δὲ τοῦ πρω- D τεύοντος. τετυπωμένη δὲ ἐκλήθη ἡ ἀπολυτικὴ ἐπιστολὴ, ἢ ὡς ὑποτυποῦσα τὴν ἀναγκαίαν αἰτίαν τῆς ἀποδημίας τοῦ ἐπισκόπου, ἢ ὡς ὀφείλουσα ἔχειν σημασίαν καὶ ὑπογραφὴν τοῦ πρωτεύοντος τῆς συνόδου. ἡ αὐτὴ δὲ ὠνομάσθη καὶ παράθεσις, ὡς παρατιθεῖσα τὸν ἀποδημήσοντα ἐπίσκοπον τοῖς πρὸς οὓς ἄπεισιν, ἤγουν γνωρίζουσα τὰ κατὰ τοῦτον καὶ παριστῶσα.

ΖΩΝΑΡ. Τοὺς ἐπισκόπους, καὶ τοὺς προεστῶτας λογικοῦ ποιμνίου πάντας ἁπλῶς, καὶ αὐτὸ τὸ δίκαιον καὶ οἱ κανόνες τῷ δικαίῳ ἑπόμενοι ἀπαιτοῦσι προσμένειν ταῖς ἐκκλησίαις τῶν, καὶ ποιμαίνειν καὶ καταρτίζειν τοὺς ἐμπιστευομένους αὐ- E τοῖς λαούς. διὸ καὶ ὁ κανὼν οὗτος πέραν θαλάσσης ἤγουν μακρὰν ὁδὸν μὴ ἀποδημεῖν ἐπίσκοπον ἐκκελεύεται· εἰ δέ ποτε ἀνάγκη ἐπείγει τοῦτο γενέσθαι, μὴ ἄλλως ἀπιέναι αὐτὸν, εἰ μὴ μετὰ ψηφίσματος τοῦ τῆς πρώτης καθέδρας τῆς ἐπαρχίας ἐκείνης ἐπισκόπου. ψηφίσματος δ' ἐμνήσθη, ἵνα δείξῃ, ὅτι εἰ μὴ ὁ τῆς χώρας ἐκείνης πατριάρχης ἢ μητροπολίτης ἐξετάσει τὴν αἰτίαν, δι' ἣν ἀποδημῆσαι μέλλει ὁ ἐπίσκοπος, καὶ διαγνῷ ἀναγκαίαν εἶναι, καὶ δώσῃ αὐτῷ τὴν λεγομένην ἀπολυτικὴν ἐπιστολὴν, οὐ δύναται κανονικῶς ἀποδημῆσαι. ψήφισμα δὲ ἡ διάγνωσις καὶ ἡ ἀπόφασις λέγεται. κατ' ἐξαίρετον δὲ τοῦ πρωτεύοντος, φησιν, ἐπεὶ ἐν ἑτέρῳ κανόνι εἴ- F ρηται, ὅτι καὶ τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐκείνης δεῖ κομίζεσθαι τὸν ἀποδημοῦντα ἐπιστολάς. διὰ τοῦτο οὖν τὸν λόγον εἶπεν, ἐπὶ τοῦ πρωτεύοντος τῆς ἐπαρχίας τὸ κατ' ἐξαίρετον, τουτέστι, καλὸν μὲν καὶ πάντων τῶν ἐπισκόπων τῆς χώρας ἔχειν ἐπιστολὰς, κατ' ἐξαίρετον δὲ, ἀντὶ τοῦ κυρίως δὲ, τοῦ πρωτεύοντος ἔχειν ἀπολυτικὴν, τετυπωμένην, ἤτοι παράθεσιν, τυποῦσαν δηλονότι ἀναγκαίαν εἶναι τὴν ἀποδημίαν αὐτοῦ, ἢ τετυπωμένην, ἀντὶ τοῦ ἐνσεσημασμένην, ὑπογεγραμμένην. τὸ δὲ, ἤτοι παράθεσιν, ἀντὶ τοῦ παρατιθεῖσαν αὐτὸν τοῖς πρὸς οὓς ἄπεισιν, ἤγουν γνωρίζουσαν, ἀξιοῦσαν περὶ αὐτοῦ, παριστῶσαν αὐτόν.

ΑΡΙΣΤ. Ἐπίσκοπος οὐκ ἀποδημήσει πέραν θαλάσσης, A εἰ μὴ τοῦ πρωτεύοντος τῆς χώρας ἀπολυτικὴν λάβῃ παράθεσιν.

Οὔτε ἐπίσκοπος, οὔτε κληρικὸς μακρὰν ἀποδημεῖν ὀφείλει, ἄνευ γνώμης καὶ γραμμάτων τοῦ πρωτεύοντος ἐν αὐτῇ· καθὼς καὶ τῇ ἐν Σαρδικῇ συνόδῳ καὶ τῇ ἐν Λαοδικείᾳ δοκεῖ.

ΚΑΝΩΝ κζ΄.

Ὁμοίως ἤρεσεν, ἵνα ἐκτὸς τῶν κανονικῶν γραφῶν μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκηται ἐπ᾽ ὀνόματι θείων γραφῶν. B εἰσὶ δὲ αἱ κανονικαὶ γραφαὶ, Γένεσις, Ἔξοδος, Λευιτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον, Ἰησοῦς ὁ τοῦ Ναυῆ, Κριταὶ, Ῥοὺθ, τῶν Βασιλειῶν τέσσαρες, τῶν Παραλειπομένων βίβλοι δύο, Ἰὼβ, Ψαλτήριον, Σολομῶντος βίβλοι πέντε, τῶν προφητῶν βίβλοι δώδεκα, Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ, Δανιὴλ, Τωβίας, Ἰουδὶθ, Ἐσθὴρ, Ἔσδρα βίβλοι δύο. τῆς νέας διαθήκης εὐαγγέλια τέσσαρα, πράξεων τῶν ἀποστόλων βίβλος μία, ἐπιστολαὶ Παύλου δεκατέσσαρες, Πέτρου ἀποστόλου δύο, Ἰωάννου Ἀποστόλου τρεῖς, Ἰακώβου ἀποστόλου μία, Ἰούδα ἀποστόλου μία, ἀποκάλυψις Ἰωάννου βίβλος μία. τοῦτο δὲ ἀδελφῷ καὶ C συλλειτουργῷ ἡμῶν Βονιφατίῳ, καὶ τοῖς ἄλλοις τῶν αὐτῶν μερῶν ἐπισκόποις, πρὸς βεβαίωσιν τοῦ προκειμένου κανόνος γνωρισθῇ, ἐπειδὴ παρὰ τῶν πατέρων ταῦτα ἐν τῇ ἐκκλησίᾳ ἀναγνωστέα παρελάβομεν.

ΒΑΛΣ. Περὶ τοῦ τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία ἐπ᾽ ἐκκλησίας, ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα ξ΄. καὶ πε΄. τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα ξ΄. τὰ ἔμμετρα τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, καὶ τὰ κανονικὰ τοῦ ἁγίου Ἀθανασίου, καὶ τοῦ ἁγίου Ἀμφιλοχίου.

ΖΩΝΑΡ. Περὶ τοῦ, τίνα δεῖ ἀναγινώσκεσθαι βιβλία ἐπ᾽ ἐκκλησίᾳ, D καὶ ὁ τελευταῖος τῶν ἀποστολικῶν κανόνων διαλαμβάνει, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ συνόδου νθ΄. κανὼν, καὶ ὁ μέγας Ἀθανάσιος ἀπαριθμεῖται, ὅσα χρὴ ἀναγινώσκεσθαι βιβλία, καὶ ὁ μέγας Γρηγόριος ὁ θεολόγος, καὶ ὁ ἅγιος Ἀμφιλόχιος.

ΑΡΙΣΤ. Μηδὲν ἔξω τῶν κεκανονισμένων γραφῶν ἐν ἐκκλησίᾳ ἀναγινωσκέσθω.

Παρὰ τὰ κεκανονισμένα βιβλία τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, ἕτερα ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία ἐπ᾽ ἐκκλησίας, ὡς ἅγια, οὐκ ἀναγνωσθήσονται· ἀλλ᾽ ὁ τοῦτο E ποιῶν κληρικὸς καθαιρεθήσεται· ὡς καὶ ὁ ἑξηκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων διαλαμβάνει, καὶ ἕτεροι πολλοί.

ΚΑΝΩΝ κη΄.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· προστίθημι, ἀδελφοὶ τιμιώτατοι, πρὸς τούτοις, ἐν τῷ ἀναφέρεσθαι ἕνεκεν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας γυναῖκας τινων τῶν κληρικῶν, ἐξαιρέτως ἀναγνωστῶν, ὅπερ ἐν διαφόροις συνόδοις βεβαιωθέν· ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους, ἀλλὰ καὶ ἐπισκόπους, κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα ὡς μὴ ἔ- F χοντες ὦσιν· ὅπερ εἰ μὴ ποιήσωσιν, τοῦ ἐκκλησιαστικοῦ ἀποκινηθῶσι καθήκοντος. τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, εἰ μὴ ἐν προβεβηκυίᾳ κείρᾳ. ἀπὸ πάσης ἐλέχθη τῆς συνόδου, ἅπερ ἡ ὑμετέρα ἁγιωσύνη δικαίως ἐρύθμισεν, ἱεροπρεπῆ ὄντα καὶ θεάρεστα, βεβαιοῦμεν.

ΒΑΛΣ. Τὰ εἰς τὸν δ΄. κανόνα τῆς παρούσης συνόδου γραφέντα, τὸν διορίζόμενον ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν τοὺς πρεσβυτέρους, τοὺς διακόνους καὶ τοὺς ὑποδιακόνους πάντως κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, ἤγουν καθ᾽ οὓς καιροὺς

Arist. *Epiſcopus trans mare non peregrinabitur niſi à regionis Primate dimiſſoriam acceperit expoſitionem.*

Nec Epiſcopus nec Clericus peregre proficiſci debet, ſine ſententiâ & literis provinciæ Primatis: quemadmodum & Sardicenſi Synodo & Laodicenæ viſum eſt.

Canon XXVII.

Item placuit, ut præter canonicas ſcripturas nihil in Eccleſia legatur ſub nomine divinarum ſcripturarum. Sunt autem canonicæ ſcripturæ, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium, Jeſus Nave, Judices, Ruth, Regnorum libri iv. Paralipomenon libri duo, Job, Pſalterium, Solomonis libri quinque, Prophetarum libri xii. Eſaias, Hieremias, Ezechiel, Daniel, Tobias, Judith, Heſter, Eſdræ libri ii. Novi teſtamenti evangelia iv. Actorum Apoſtolorum liber unus, Epiſtolæ Pauli xiv. Petri Apoſtoli ii. Apoſtoli Joannis tres, Jacobi Apoſtoli una, Judæ Apoſtoli una, Apocalypſis Joannis liber unus. Hoc autem fratri & noſtro in ſacris comminiſtro Bonifacio, & aliis earundem regionum Epiſcopis, ad propoſiti canonis confirmationem, ſignificetur: quoniam à patribus hæc in Eccleſia legenda accepimus.

Bals. Quoſnam libros legi in Eccleſia oporteat, quære ſanctorum Apoſtolorum can. lx. & lxxxv. Laod. Syn. can. lx. ſancti Gregorii Theologi ea quæ metro ſcripſit, & ſancti Athanaſii canonica, & ſancti Amphilochii.

Zonar. Quos libros legere in Eccleſiis oporteat, & poſtremus Apoſtolorum canon & Laodicenæ Synodi unde-ſexageſimus ſtatuit: & magnus Athanaſius, qui libri legendi ſint, omnes enumerat, & magnus Gregorius Theologus, & ſanctus Amphilochius.

Arist. *Nihil præter ſcripturas Canonicas in Eccleſiâ legatur.*

Præter libros in canonem receptos veteris & novi Teſtamenti, alii falſò ſcripti impiorum libri, in Eccleſiâ, ut ſancti non legentur. Sed Clericus, qui hoc fecerit, deponetur; ut & ſexageſimus ſanctorum Apoſtolorum canon ſtatuit, & multi alii.

Canon XXVIII.

Aurelius Epiſcopus dixit; His adjicio, fratres inprimis venerabiles, dum de continentia quorundam Clericorum, præterquam Lectorum erga ſuas uxores refertur, id quod in diverſis canonibus confirmatum eſt: ut Hypodiaconi, qui ſacra myſteria contrectant, & Diaconi, & Presbyteri, quinetiam & Epiſcopi in propriis terminis à conjugibus abſtineant, ut ſint tanquam non habentes; quod niſi fecerint, ab Eccleſiaſtico officio moveantur. Reliqui autem Clerici ad hoc non cogantur, niſi in provecta ætate. Ab univerſa Synodo dictum eſt; Quæ veſtra ſanctitas juſtè compoſuit, cùm ſancta ſint & Deo grata, confirmamus.

Bals. Quæ in quartum canonem præſentis Synodi ſcripta ſunt, qui ſtatuit ut à propriis uxoribus omnino abſtineant Presbyteri, Diaconi & Subdiaconi tempore ſuæ vicis, ſcilicet quando tractant ſacra, ſufficiunt ad præſentis canonis interpretationem. Lectoribus autem patres conceſſerunt, ut à ſuis uxoribus non contineant omnino tempore ſuæ vicis: niſi utique, inquiunt, provecti ſint ætate. κείρα enim pro ἡλικίᾳ, hoc eſt, ætate, accipitur. Nota ergo quòd etiam Hypodiaconi ſacra tractant. Nec dicas præſentem can. repugnare xxi. can. Syn. Laodic. qui dicit, Subdiaconos non habere locum in miniſtrandi officio, nec debere ſacra tangere: ſed dic, quòd aliud eſt contrectare, & aliud tangere. Contrectare enim, aut à loco in locum mutare, eſt miniſterii; & nec Subdiaconus hoc facere impedietur: tangere autem, ſolis Sacerdotibus conceſſum eſt, & iis qui ſacrificio ſubſerviunt, ſeu Diaconis. Debent autem ex præſenti canone, non ſolùm qui ſacra tangunt, ſed & qui ea contrectant, ſuæ vicis tempore continere. Ut Clerici autem, qui ſunt extra tribunal, à propriis uxoribus abſtineant in provecta ætate, honeſtum quidem eſt. Ut ii autem puniantur à natura compulſi, non eſt, ut exiſtimo, ſanctorum patrum judicii. Et propterea, ut eſt conſentaneum, ne canon quidem eos puniendos eſſe ſtatuit. Lege præſentis Syn. can. iii. & ſextæ xii. & xiii.

A μεταχειρίζονται τὰ ἅγια, ἀρκοῦσι καὶ εἰς τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν. τοῖς μέντοι ἀναγνώσταις ἐνέδωκαν οἱ πατέρες μὴ ἐγκρατεύεσθαι ἐκ τῶν συμβίων αὐτῶν πάντως κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας, εἰ μήπω, φασὶν, ὦσι προβεβηκότες. τοῦτο γάρ ἐστιν ἡ κείρα, τουτέστιν ἡ ἡλικία. σημειῶσαι οὖν, ὅτι καὶ οἱ ὑποδιάκονοι τὰ ἅγια μεταχειρίζονται. καὶ μὴ εἴπῃς ἐναντιοῦσθαι τὸν παρόντα κανόνα τῷ κα΄. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου διοριζομένῳ, τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῷ διακονικῷ, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν· ἀλλ᾽ εἰπὲ, ὅτι ἕτερόν ἐστι τὸ ψηλαφᾷν, καὶ ἕτερον τὸ ἅπτεσθαι. τὸ μὲν γὰρ ψηλαφᾷν ἤγουν τὸ μετακινεῖν ἀπὸ τόπου εἰς τόπον, B ὑπηρεσίας ἐστὶ, καὶ οὐδὲ ὁ ὑποδιάκονος τοῦτο ποιεῖν ἐμποδισθήσεται· τὸ δὲ ἅπτεσθαι, μόνοις ἐνεδόθη τοῖς ἱερεῦσι καὶ τοῖς ὑπουργοῦσιν ἐν τῇ θυσίᾳ, ἤγουν τοῖς διακόνοις. ὀφείλουσι δὲ κατὰ τὸν παρόντα κανόνα, οὐ μόνον οἱ ἁπτόμενοι τῶν ἱερῶν, ἀλλὰ καὶ οἱ ψηλαφῶντες αὐτὰ, ἐγκρατεύεσθαι κατὰ τὸν καιρὸν τῆς τούτων ἐφημερίας. τὸ δὲ ἀπέχεσθαι ἀπὸ τῶν ἰδίων γυναικῶν τοὺς ἔξω τοῦ βήματος κληρικοὺς ἐν προβεβηκυίᾳ ἡλικίᾳ, καλὸν μέν ἐστι. κολάζεσθαι δὲ τούτους ὑπὸ τῆς φύσεως ἀναγκαζομένους, οὐκ ἔστι τῆς τῶν ἁγίων πατέρων, ὡς οἶμαι, διακρίσεως. καὶ διὰ τοῦτο, ὡς ἔοικεν, οὐδὲ ὁ κανὼν διορίζεται τιμωρεῖσθαι τούτους. C ἀνάγνωθι τῆς παρούσης συνόδου κανόνα γ΄. καὶ τῆς ϛ΄. καν. ιβ΄. καὶ ιγ΄.

Zonar. Hic quoque canon eos, qui ſancta contrectant, continentiæ legibus teneri, proindéque Hypodiaconos, Diaconos & Sacerdotes, qui nimirum divina myſteria tractant, à conjugibus abſtinere jubet; & profert in eam ſententiam Apoſtoli verba; ut qui uxores habent, dicens, ſint tanquam non habentes; quo nimirum tempore ſancta illorum manibus adminiſtrantur. Quod ſi, inquit, non ita fecerint, Eccleſiaſtico ordine movebuntur: nam officii nomine hoc loco ordinem & honorem intelligit. Alii vero clerici, niſi provecta admodum ætate ſint (κείρα enim ætatem ſignificat) hoc eſt, niſi jam multùm ſenectute proceſſerint, ad id ne cogantur. Extremæ enim ſenectutis hominem omnino decet eſſe temperantem. Quin potius, ut magno Baſilio viſum eſt, nec erit cur temperantem dicamus, qui à mulieris commercio effœtus abſtineat. Temperantia enim, inquit ille, in ſenili ætate, non temperantia, ſed quædam ſuis viribus deſtituta libido eſt. At vero qui ne in ſenectute quidem temperans ſit, longe illum nequitiæ ſordibus contaminatiſſimum eſſe neceſſe eſt. Talem vero Clericum eſſe haud decet. Atque hunc quidem canonem, ſi ita accipiatur, ut quo tempore ſancta tractanda ſunt ſacris initiati, quos diximus, ab uxorum commercio abſtineant, nos quoque admittimus: ſin verò perpetuum indicit ab uxore divortium, ipſum potius, Apoſtolicis quippe & ſynodicis conſtitutionibus adverſantem, ex ſacrorum canonum numero ejiciemus. Quin & alteri canoni ex alio quodam capite eſt contrarius. Nam Hypodiaconos à ſacro miniſterio arceri, neque ſacra contingere, Laodicenæ Synodi canon xxi. jubet: hic verò inter eos qui ſacra contrectant, Hypodiaconos quoque numerat. Dixerit igitur quiſpiam, fortaſſe in iis regionibus, Africa nimirum & Carthagine, fuiſſe hoc in more poſitum, ut Hypodiaconi quoque ſacra myſteria contingerent.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν περὶ τοῦ ἐγκρατεύεσθαι τοὺς ψηλαφῶντας τὰ ἅγια ἐκ τῶν γυναικῶν αὐτῶν διατάττεται, καί φησι τοὺς ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους ἀπέχεσθαι τῶν ἰδίων γαμετῶν, ψηλαφῶντας τὰ θεῖα μυστήρια, καὶ τὰ ἀποστολικὰ ῥήματα παρήγαγε, λέγων, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, ἤγουν καθ᾽ ὃν καιρὸν μεταχειρίζονται τὰ ἅγια. ἐὰν δὲ μὴ οὕτω ποιῶσι, φησιν, ἀποκινηθήσονται τῆς ἐκκλησιαστικῆς τάξεως. καθῆκον γὰρ ἐνταῦθα τὴν τάξιν καὶ τὴν τιμήν φησι. τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, D εἰ μὴ ἐν προβεβηκυίᾳ κείρᾳ, εἰ μὴ πάνυ εἶεν προβεβηκότες ἐν ἡλικίᾳ, κείρα γὰρ ἡλικία ἐστὶ, τουτέστιν, εἰ μὴ πάνυ εἶεν γεγηρακότες. τοὺς γὰρ ἐν γήρᾳ βαθεῖ καταντήσαντας δεῖ σωφρονεῖν. μᾶλλον δὲ, κατὰ τὸν μέγαν Βασίλειον, οὐδὲ σωφροσύνη ἂν λεχθείη τῶν γερόντων ἡ ἀποχή. φησὶ γὰρ ἐκεῖνος, ἡ ἐν γήρᾳ σωφροσύνη οὐ σωφροσύνη, ἀλλ᾽ ἀκολασίας ἀδυναμία. ὃς δὲ οὐδὲ ἐν γήρᾳ σωφρονεῖ, οὗτος λίαν ἀκόλαστος. κληρικὸν δὲ τοιοῦτον εἶναι οὐ δεῖ. εἰ μὲν οὖν οὕτως νοοῖτο ὁ κανὼν οὗτος, ὥστε κατὰ τὸν καιρὸν τῆς μεταχειρίσεως τῶν ἁγίων ἀπέχεσθαι τῶν ἰδίων γυναικῶν τοὺς ἱερωμένους, ἐνεργήσει καὶ παρ᾽ ἡμῖν· εἰ δὲ τελείως χωρίζεσθαι λέγει τῶν ἰδίων συμβίων αὐτοὺς, E χωρισθήσεται τῶν ἱερῶν κανόνων, ἀποστολικοῖς τε καὶ συνοδικοῖς κανόσιν ἐναντιούμενος. ἐναντιοῦται δὲ καὶ κατ᾽ ἄλλο κανόνι ἑτέρῳ. ὁ γὰρ κα΄. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου τοὺς ὑποδιακόνους μὴ ἔχειν χώραν ἐν τῷ διακονικῷ κελεύει, μηδὲ ἅπτεσθαι τῶν ἱερῶν· οὗτος δὲ καὶ τοὺς ὑποδιακόνους ἐκ τῶν τὰ ἱερὰ ψηλαφώντων εἶναί φησιν. εἴποι οὖν τις, ὅτι ἐν τοῖς τόποις ἐκείνοις, τῇ Ἀφρικῇ δηλονότι καὶ τῇ Καρχηδόνι, ἔθος τοιοῦτον ἦν ἴσως, ὥστε καὶ τοὺς ὑποδιακόνους ἅπτεσθαι τῶν ἱερῶν μυστηρίων.

F

Arist. *Qui res ſacras tractant, etiam à propriis uxoribus ſuis terminis abſtineant.*

Oportet eos, qui altari aſſident, tempore quo ſacra tractant, & à propriis uxoribus ſe continere: ut conſequi omnino poſſint quod à Deo petunt.

ΑΡΙΣΤ. Οἱ τὰ ἱερὰ χειριζόμενοι, καὶ ἀπὸ τῶν συμβίων κατὰ τοὺς ἰδίους ὅρους ἐγκρατευέσθωσαν.

Χρὴ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρίσεως, καὶ ἀπὸ τῶν ἰδίων γυναικῶν ἐγκρατεύεσθαι. ὅπως δυνηθῶσιν ὃ παρὰ τοῦ θεοῦ αἰτοῦσιν ἁπλῶς ἐπιτυχεῖν.

A

ΚΑΝΩΝ κθ'.

Ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησιαστικὸν μηδεὶς πιπράσκῃ· ὅπερ πρᾶγμα ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγῃ ἀνάγκη, τοῦτο ἐμφανίζεσθαι τῷ πρωτεύοντι τῆς αὐτῆς ἐπαρχίας, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. εἰ δὲ τοσαύτη ἀνάγκη ἐπείγει τὴν ἐκκλησίαν, ὡς μὴ δύνασθαι, πρὸ τοῦ πωλεῖν, βουλεύεσθαι, κἂν τοὺς γειτνιῶντας πρὸς μαρτυρίαν καλέσῃ ὁ ἐπίσκοπος, φροντίδα ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις· ὅπερ εἰ μὴ ποιήσῃ, ὑπεύθυνος τῷ Θεῷ καὶ B τῇ συνόδῳ φανῇ ὁ πιπράσκων, καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς.

ΒΑΛΣ. Ὁ δωδέκατος κανὼν τῆς οἰκουμενικῆς ἑβδόμης συνόδου περὶ ἐκποιήσεως αὐτουργίων ἐπισκοπείου ἢ μοναστηρίου διαλαμβάνει, ἀλλὰ μὴν καὶ περὶ ἐκδόσεως· καὶ ἀνάγνωσον τὰ ἐν αὐτῷ παρ' ἡμῶν γεγραμμένα. ὁ δὲ παρὼν κανὼν διορίζεται, μὴ πιπράσκεσθαι πρᾶγμα ἐκκλησιαστικὸν πρόσοδον ἔχον, καὶ ὂν δηλονότι ἀκίνητον. ἐὰν δέ, φησιν, ἀνάγκη κατεπείγῃ πολλὴ τὴν ἐκκλησίαν, καὶ διὰ τοῦτο δεήσῃ ἐκποιηθῆναι ἀκίνητον ἐκκλησιαστικὸν πάντως ἀπρόσοδον (τὸ γὰρ ἔχον πρόσοδον ὁπωσδήποτε οὐκ ἐκποιεῖ- C ται) χρὴ τὰ περὶ τούτου ἀναφέρειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, ἤγουν τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων, ἤγουν τῶν δώδεκα ἀρχιερέων, οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ τοῦ ἐπισκόπου αἰτιαμάτων, καθὼς πολλάκις εἴρηται, βουλεύεσθαι τί δεῖ πρᾶξαι. εἰ δὲ μεγάλη ἀνάγκη βιάζει τὴν ἐκκλησίαν εἰς τὴν ἐκποίησιν, καὶ οὐ δύναται ὁ ἐπίσκοπος τὰ περὶ τούτου διαφέρειν τῷ μητροπολίτῃ καὶ τοῖς προσφόροις ἐπισκόποις, ὀφείλει μετακαλεῖσθαι τοὺς γειτνιάζοντας ἐπισκόπους εἰς μαρτυρίαν τῆς τε ὀξύτητος τῆς ἀνάγκης, καὶ τῆς περιστατικῆς ἐκποιήσεως τοῦ πράγματος. εἰ δὲ μὴ οὕ- D τω ποιήσει, καὶ τῷ Θεῷ ὑπεύθυνος ἔσται, καὶ καθαιρεθήσεται. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. σὺ δὲ ἀνάγνωσον τὸν ὅλον β'. τίτλον τοῦ ε'. βιβλίου τῶν βασιλικῶν, νεαρὰν ὄντα Ἰουστινιανείου ρκ'. καὶ διδάσκοντα περὶ ἐμφυτεύσεως, πράσεως, καὶ ἁπλῶς περὶ πάσης ἐκποιήσεως, οὐ μόνον ἐπισκοπικῶν ἤτοι ἐκκλησιαστικῶν πραγμάτων, ἀλλὰ καὶ μοναστηριακῶν, καὶ τῶν ἀνηκόντων εὐαγέσιν οἴκοις, ὡσαύτως καὶ περὶ ἐκποιήσεως ἱερῶν σκευῶν. καὶ κατὰ τὴν τοιαύτην νεαρὰν μεταγενεστέραν οὖσαν κατὰ πολὺ τοῦ παρόντος κανόνος, ἀλλὰ καὶ μετὰ τὴν σύνθεσιν τοῦ νομοκανόνου δεχθεῖσαν καὶ καταστρωθεῖσαν εἰς τὰ βασιλικά, λέγω, ποτὲ E μὲν μὴ κωλύεσθαι τὰς ἐκποιήσεις τῶν ἐκκλησιαστικῶν καὶ μοναστηριακῶν κινητῶν καὶ ἀκινήτων πραγμάτων, ποτὲ δὲ ἐμποδίζεσθαι. καὶ ἀνάγνωθι καὶ τὸ β'. κεφάλ. τῆς πρὸς Δόμνον ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι τὰ συνοδικῶς γινόμενα σημειώματα χάριν ἐκκλησιαστικῶν τινων ὑποθέσεων, καὶ δεκρέτου τόπον ἐπέχοντα, ἐξ ἀνάγκης ὀφείλουσι γίνεσθαι παρὰ τοῦ κατὰ χώραν πρώτου καὶ ιβ'. ἀρχιερέων, καὶ τὰ ἄλλως πως γινόμενα, ὡς ἀνυπόστατα οὐκ ἕξουσι τὸ ἐνεργόν, ὡς ἐμοὶ δοκεῖ. ἔτι σημείωσαι, ὅτι καθαιρεῖται ὁ ἐπίσκοπος, μὴ κατὰ τὴν ῥηθεῖσαν Ἰουστινιανείου νεαρὰν ἐκποιούμενος ἐκκλησιαστικὸν ἱερὸν ἢ ἀκίνητον, κἂν τοῦτο οὐ πρόσκειται F τῇ ῥηθείσῃ νεαρᾷ. ἱεροσυλία γὰρ ἄντικρυς ἐστὶν ἡ μὴ κατὰ τὴν νεαρὰν γινομένη ἐκποίησις.

ΖΩΝΑΡ. Τὰ ἐκκλησιαστικὰ πράγματα ἀνεκποίητα εἶναι δεῖ. ἐὰν δὲ πολλή τις ἀνάγκη κατεπείγῃ, καὶ τὸ μέλλον δι' ἐκείνην ἐκποιεῖσθαι ἀπρόσοδον ᾖ, χρὴ τοῦτο, τὸ εἶναί τε ἀπρόσοδον τὸ πρᾶγμα, καὶ τὸ κατεπείγεσθαι ὑπὸ ἀνάγκης πολλῆς, ἐμφανίζειν τῷ πρωτεύοντι τῆς ἐπαρχίας, δηλαδὴ τῷ μητροπολίτῃ, καὶ μετὰ τοῦ ὡρισμένου

Canon XXIX.

Similiter placuit, ut rem Eccleſiaſticam nemo vendat: quæ res, ſi reditus non habeat, & magna aliqua neceſſitas urgeat, id ejus Provinciæ Primati oſtendatur, & cum præfinito Epiſcoporum numero deliberetur, quid agere oporteat. Sin autem tanta premat Eccleſiam neceſſitas, ut non poſſit, antequam vendat, conſultare; ſaltem vicinos ad teſtimonium vocet Epiſcopus curam adhibens, ut Synodo demonſtret urgentes omnes incommoditates, quæ ſuæ Eccleſiæ evenerunt: quod niſi fecerit, & Deo & Synodo rationi reddendæ obnoxius videbitur venditor, & à proprio honore alienus.

Bals. Duodecimus Canon univerſalis ſeptimæ Synodi de prædiorum ruſticorum, Epiſcopatûs vel Monaſterii alienatione tractat, & etiam de elocatione: & lege quæ in eum à nobis ſcripta ſunt. Præſens autem Canon ſtatuit, rem Eccleſiaſticam quæ reditum habet, & eſt videlicet immobilis, non alienari. Sin autem, inquit, multa neceſſitas urgeat Eccleſiam, & propterea oporteat alienari rem Eccleſiaſticam immobilem, quæ nullius eſt omnino reditus (quæ enim affert reditum nulla ratione alienatur) oportet hoc ad Primatem Eccleſiæ ſeu Metropolitanum referre, & cum præfinito Epiſcoporum numero, duodecim ſcilicet Antiſtitum, quos convenientes adverſus Epiſcopum criminationes audire, ut ſæpe dictum eſt, conſultare debere ſtatuit quid ſit agendum. Sin autem magna urget Eccleſiam neceſſitas ad alienandum, & non poteſt Epiſcopus ad Metropolitanum & competentes Epiſcopos de ea re referre: debet vicinos Epiſcopos accerſere ad teſtificandam acrem & urgentem neceſſitatem alienandæ rei. Si autem hoc non fecerit, & Deo erit obnoxius, & deponetur. Et in his quidem conſiſtit Canon. Tu autem lege totum ſecundum titulum quinti libri Baſilic. quæ eſt Novella Juſtiniani cxx. quæ quidem docet de emphyteuſi, venditione, & de omni, ut ſemel dicam, alienatione rerum non ſolùm Epiſcopalium, ſive Eccleſiaſticarum, ſed etiam Monaſterialium, & ad ſacroſanctas ædes pertinentium: ſimiliter & de alienatione ſacrorum vaſorum. Et ſecundùm quidem hanc Novellam, quæ eſt præſenti Canone multò recentior; quin & ſecundùm conſtitutionem Nomocanoni, quæ in Baſilic. admiſſa & ibidem ſita eſt, dic; aliquando quidem non prohiberi alienationes Eccleſiaſticorum vel etiam Monaſterialium mobilium & immobilium bonorum, aliquando verò prohiberi. Lege & ſecundum caput Epiſtolæ ſancti Cyrilli ad Domnum. Nota autem ex præſenti Canone, quòd quæ ſynodaliter fiunt de cauſis quibuſdam Eccleſiaſticis ſtatuta, & decreti locum obtinent, debent neceſſariò fieri à Primate Provinciæ & xii. Antiſtibus; & quæ aliquo alio modo fiunt, vim ſuam non obtinebunt, ut mihi videtur, utpote quæ conſiſtere nequeant. Præterea nota, quòd deponitur Epiſcopus, qui non ſecundùm dictam Juſtiniani Novellam Eccleſiaſticum ſacrum vel immobile alienat, etiamſi hoc dictæ Novellæ non ſit adjectum. Eſt enim manifeſtè ſacrilegium, quæ non ſit ſecundùm Novellam, alienatio.

Zonar. Eccleſiaſticas poſſeſſiones alienare omnino haud licet. Quod ſi ejus rei gravis aliqua neceſſitas contingat, ſitque alienanda poſſeſſio ſterilis & infructuoſa; tum vero, & infrugiferam eam rem eſſe, & gravem ejus alienandæ neceſſitatem inſtare, Provinciæ Primati, Metropolitano videlicet indicare, ac de re tota

cum præfinito Epiſcoporum numero deliberare oportet. Præfinitum vero numerum, duodecim, quos in Epiſcoporum criminibus cognitores eſſe vult, intelligi arbitror. Si verò neceſſitatis ejus magna vis Epiſcopo Metropolitanum adeundi, & cum Epiſcopis deliberandi, facultatem adimat; tunc ſaltem vicinos Epiſcopos, & magnæ neceſſitatis, & negotii totius, & rei alienationis ab Epiſcopo teſtes adhiberi oportet. Quod ſi facere neglexerit, & Deo erit obnoxius, hoc eſt, & facti rationem Deo repoſcente reddet, & à Synodo, proprio honore, hoc eſt ſummi Sacerdotii dignitate privabitur. Magnus vero Cyrillus in Epiſtola ad Domnum hæc habet; Vaſa pretioſa, inquit, ac poſſeſſiones immobiles ſalvas atque incolumes Eccleſiis conſervari oportet. Lege præterea Oecumenicæ ſeptimæ Synodi Canonem duodecimum.

Ariſt. *Bona Eccleſiaſtica non ſunt vendenda. Si verò reditus non habeant, ſententiâ Epiſcoporum venduntur. Si verò neceſſitas non feret, ut conſulatur, qui vendit vicinos vocabit. Sin ità non fecerit, Deo & Synodo reus tenetur.*

Epiſcopi non debent Eccleſiaſtica bona alienare, illa enim divini ſunt juris, atque ideo non venalia. Si quis autem poſſeſſionem habeat reditus non proferentem, & Eccleſiam ſuam debitis gravatam & aliis preſſam incommoditatibus & eam divendere vellet, ut pretium illius indebitorum ſolutionem conjiceret, aut ad alias quaſdam urgentes neceſſitates; illam non vendat ſine provinciæ iſtius Metropolitani, & coëpiſcoporum ipſius ſententiâ. Si autem tempus non habeat, propter imminentem ipſi neceſſitatem, cum iis de immobili reditus non habente conſultare, quomodo illud venditurus ſit, ſaltem vicinos in teſtimonium convocet, ut quæ Eccleſiæ illius acciderunt incommoditates, propter quas immobile illud vendit, cognoſcant, & ea Syn. etiam poſtea exhibeant. Si autem hæc non obſervaverit, ſed ſua ſponte venditionem fecerit; & Deo & Synodo reddente rationi obnoxius erit, & ab honore alienus.

Canon XXX.

Similiter confirmatum eſt, ut ſi quando Presbyter vel Diaconus alicujus gravioris criminis convicti fuerint, quod eos ſacro miniſterio neceſſariò movet, non eſſe eis manus imponendas, ut pœnitentiam agentibus, vel ut fidelibus Laicis; neque permitti eis, tanquam rebaptizatis, ad Cleri gradum promoveri.

Bals. Quidam eorum, qui locum habebant in pulpito, depoſiti propter criminales cauſas, volebant, ut eſt veriſimile, Lectores ordinari, vel in alios gradus qui ſunt extra pulpitum: & dicebant; Quoniam pœnitentiam agimus & in Laicorũ locum redacti ſumus, debemus ſaltem ad eos gradus provehi, ad quos Laici provehuntur. Hoc ergo non admittentes Patres ſtatuerunt, ut depoſitis non imponantur manus, ob qualemcunque in Clerum receptionem, etiamſi pœnitentiam agant, & ut fideles Laici recipiantur. Quia autem dicebant nonnulli baptiſmum ſordes omnes abluere, & petebant ſecundò baptizari, ut elueretur forſan criminis macula, propter quam ſunt depoſiti, & ſic in Clerum reciperentur: decreverunt Patres ne hoc quidem fieri quòd unum baptiſmum facere nobis traditum eſt. Quamobrem nota etiam ex hoc, quòd qui poſt depoſitionem legunt in ſuggeſtu, vel precantur & dant benedictionem, malè faciunt.

Zonar. Qui ob admiſſa facinora depoſiti ac de ſuo gradu dejecti ſunt, præterquam in certis quibuſdam peccatis, haud ſegregantur. Aliorum namque omnium ſuppliciorum inſtar illis depoſitio eſt. Quin & magnus Baſilius Can. xxxii. Qui Clerici, inquit, peccatum ad mortem

A ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι. ὡρισμένον δὲ ἀριθμὸν οἶμαι λέγει τοὺς ιβʹ. οὓς ὡρίσατο συνιόντας ἀκροᾶσθαι τῶν κατὰ ἐπισκόπων αἰτιαμάτων. εἰ δὲ σφοδρά τις εἴη ἀνάγκη, ὡς μὴ δυνατὸν εἶναι προσελθεῖν τὸν ἐπίσκοπον τῷ μητροπολίτῃ, καὶ τοῖς ἐπισκόποις βουλεύσασθαι, τότε χρὴ τὸν ἐπίσκοπον, κἂν τοὺς γείτονας ἐπισκόπους εἰς μαρτυρίαν καλέσαι τῆς τε ὀξύτητος τῆς ἀνάγκης, καὶ περιστάσεως, καὶ ἐκποιήσεως τοῦ πράγματος. εἰ δὲ μὴ οὕτω ποιήσει, ὑπεύθυνος ἔσται τῷ Θεῷ, τουτέστι καὶ τῷ Θεῷ ὑφέξει λόγους, καὶ ὑπὸ τῆς συνόδου ἀλλοτριωθήσεται τῆς οἰκείας τιμῆς, ἤτοι τῆς ἀρχιερατικῆς. καὶ ὁ μέγας δὲ Κύριλλος ἐν τῇ πρὸς Δόμνον B ἐπιστολῇ αὐτοῦ φησι, κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποιήτους ταῖς ἐκκλησίαις σώζεσθαι χρή. ἀνάγνωθι καὶ τὸν ιβʹ. κανόνα τῆς οἰκουμενικῆς ζʹ. συνόδου.

ΑΡΙΣΤ. Ἄπρατα τὰ ἐκκλησιαστικὰ πράγματα. εἰ δὲ μὴ πρόσοδον ἔχει, γνώμῃ τῶν ἐπισκόπων πιπράσκεται. εἰ δὲ ἡ ἀνάγκη οὐχ ὑπομένει βουλεύσασθαι, τοὺς γείτονας ὁ πιπράσκων συγκαλέσει· εἰ δ' οὐχ οὕτω, Θεῷ καὶ τῇ συνόδῳ ὑπεύθυνος.

Οὐκ ὀφείλουσιν οἱ ἐπίσκοποι τὰ τῶν ἐκκλησιῶν ἐκποιεῖσθαι πράγματα· θείου γάρ εἰσι ταῦτα δικαίου, καὶ διὰ τοῦτο ἄπρατα. C εἰ δέ τις κτῆμα ἔχων ἀπρόσοδον, καὶ τὴν ἐκκλησίαν αὐτοῦ βαρυνομένην χρέεσιν, ἢ περιστάσεσιν ἄλλαις πιεζομένην, καὶ βουληθῇ τοῦτο διαπράσαι, ὥστε τὴν τιμὴν αὐτοῦ καταβαλεῖν εἰς ἀπόφλησιν τῶν χρεῶν, ἢ εἰς ἄλλας τινὰς κατεπειγούσας ἀνάγκας· μὴ τοῦτο πωλείσθω, ἄνευ γνώμης τοῦ μητροπολίτου τῆς αὐτῆς ἐπαρχίας, καὶ τῶν συνεπισκόπων αὐτοῦ. εἰ δ' οὐκ ἔχει καιρὸν, διὰ τὴν ἐπικειμένην αὐτῷ ἀνάγκην, τούτοις περὶ τοῦ ἀπροσόδου ἀκινήτου βουλεύσασθαι, ὡς μέλλει τοῦτο πωλῆσαι· κἂν τοὺς γείτονας συγκαλείτω εἰς μαρτυρίαν, ἵνα τὰς ἐπισυμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις, δι' ἃς τὸ τοιοῦτον πωλεῖ ἀκίνητον, ἐπιγινώσκωσι, καὶ τῇ συνόδῳ ταῦτα καὶ μετέπειτα παραστήσωσι. εἰ δὲ οὐ ταῦτα φυ- D λάξει, ἀλλ' αὐτοβούλως ποιήσεται τὴν διάπρασιν· καὶ τῷ Θεῷ καὶ τῇ συνόδῳ ἔσται ὑπεύθυνος, καὶ ἀλλότριος τῆς τιμῆς.

ΚΑΝΩΝ λʹ.

Ὁμοίως ἐβεβαιώθη, ἵνα ἐάν ποτε πρεσβύτεροι ἢ διάκονοι ἐπί τινι βαρυτέρῳ ἐγκλήματι ἐλεγχθῶσι τῷ ἀναγκαίως αὐτοὺς τῆς λειτουργίας ἀποκινοῦντι, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετανοοῦσιν, ἢ ὡς πιστοῖς λαϊκοῖς· μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς, ὥστε ἀναβαπτιζομένοις, πρὸς τὸν τοῦ κλήρου βαθμὸν προκόπτειν.

E ΒΑΛΣ. Τινὲς τῶν τοῦ βήματος, καθαιρεθέντες διά τινα ἐγκληματικὰ αἰτιάματα, ἤθελον, ὡς ἔοικεν, ἀναγνώστας ταχθῆναι ἢ εἰς ἑτέρους βαθμοὺς ἔξω τοῦ βήματος ὄντας· καὶ ἔλεγον, ὡς ἐπεὶ μετανοοῦμεν καὶ εἰς τόπον κατηντήσαμεν λαϊκῶν, ὀφείλομεν κἂν εἰς βαθμοὺς τοιούτους προκόπτειν, εἰς οἵους καὶ οἱ λαϊκοὶ προκόπτουσι. τοῦτο οὖν μὴ δεξάμενοι οἱ πατέρες, ὥρισαν τοῖς καθαιρεθεῖσι μὴ ἐπιτίθεσθαι παρὰ τῶν ἀρχιερέων χεῖρας χάριν οἱασδήτινος κληρώσεως· κἂν μετανοῶσι, καὶ ὡς πιστοὶ λαϊκοὶ δέχωνται. ἐπεὶ δὲ ἔλεγόν τινες, ὡς τὸ βάπτισμα ῥύπον πάντα ἐκπλύνει, καὶ ἐζήτουν ἐκ δευτέρου βαπτισθῆναι, ὥστε ἀποπλυθῆναι τάχα τὴν ἐγκληματικὴν ἀκαθαρσίαν, F δι' ἣν καθῃρέθησαν, καὶ οὕτω κληρωθῆναι, ὥρισαν οἱ πατέρες μηδὲ τοῦτο γίνεσθαι, ὅτι ἓν βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται. ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, ὅτι οἱ μετὰ τὴν καθαίρεσιν ἀναγινώσκοντες ἐπ' ἄμβωνος, ἢ εὐχὰς διδόντες καὶ εὐλογοῦντες, κακῶς ποιοῦσιν.

ΖΩΝΑΡ. Οἱ διά τινα ἁμαρτήματα καθαιρούμενοι, καὶ τῶν οἰκείων βαθμῶν ἐκπίπτοντες, οὐκ ἀφορίζονται, εἰ μὴ ἐπί τινων ἰδικῶν ἁμαρτημάτων. ἀρκεῖ γὰρ αὐτοῖς ἡ καθαίρεσις ἀντὶ πάσης ἄλλης τιμωρίας. φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐν λβʹ. κανόνι αὐτοῦ, οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ καταπίπτουσι· τῆς κοινωνίας δὲ τῆς λαϊκῆς οὐκ ἐξείργονται. οὐ γὰρ ἐκδικήσεις δὶς ἐπιταυτό. τοῦτο οὖν καὶ ὁ παρὼν λέγει κανών. ἐὰν γὰρ πρεσβύτερος ἢ διάκονος, φησιν, ἐν βαρυτέρῳ ἁμαρτήματι ἐλεγχθῇ, ἐξ ἀνάγκης καθαιροῦντι αὐτὸν, οὐ χρὴ ἀφορίζεσθαι αὐτὸν, καὶ ὡς μετανοοῦντι αὐτῷ ἐπιτίθεσθαι χεῖρας. τοῖς γὰρ προσερχομένοις τῇ ἐκκλησίᾳ καὶ ἐξαγορεύουσιν ἁμαρτήματα ἐπετίθουν τὰς χεῖρας οἱ ἀρχιερεῖς, ἢ κατὰ γνώμην αὐτῶν οἱ ἱερεῖς, καὶ εὐχόμενοι ἀφώριζον αὐτοὺς, καὶ ἵστων ἕκαστον εἰς τόπον ἐπιτιμίου πρὸς τὸ ἁμάρτημα αὐτοῦ. τοῦτο οὖν οὐ χρή, φησι, γίνεσθαι ἐπὶ πρεσβυτέρων καὶ διακόνων ἐκπιπτόντων τῆς λειτουργίας, μηδὲ εἰς τόπον καθίστασθαι αὐτοὺς πιστῶν λαϊκῶν ἀφορισθέντων, μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς βαπτίζεσθαι, ὡς τοῦ θείου βαπτίσματος ἅπαντα μολυσμὸν καθαίρειν πιστευομένου, ὥστε αὖθις μετὰ τὸ βάπτισμα, ὡς τοῦ ῥύπου τῆς ἁμαρτίας κεκαθαρμένους, προκόπτειν εἰς τὸν τοῦ κλήρου βαθμόν. ἐκπλύνειν μὲν γὰρ τὸ θεῖον λουτρὸν ἅπαντα ῥύπον ἁμαρτιῶν πιστεύομεν, ἓν δὲ βάπτισμα ποιεῖν ἡμῖν παραδέδοται.

ΑΡΙΣΤ. Πρεσβύτερος ἐλεγχόμενος καὶ μεταγινώσκων, οὐκ ἀναβαπτίζεται ὡς προκόψων· οὐδ᾽ ὡς λαϊκὸς αὖθις χειροτονεῖται.

Ἅπαξ πρεσβύτερος καθαιρεθεὶς, ἢ διάκονος, διά τι ἁμάρτημα, καὶ μεταγνοὺς ἐπὶ αὐτῷ, οὐκέτι, ὡς λαϊκὸς, πάλιν χειροτονηθήσεται· ἀλλ᾽ οὐδὲ ἀναβαπτισθήσεται, ἐπὶ τῷ ἀποπλῦναι τὰ ἁμαρτήματα, καὶ τοῦ βαθμοῦ τῶν ἱερέων ἢ τῶν διακόνων αὖθις τυχεῖν. ἓν γὰρ ὁμολογοῦμεν καὶ γινώσκομεν βάπτισμα.

ΚΑΝΩΝ λα΄.

Ὁμοίως ἤρεσεν, ἵνα οἱ πρεσβύτεροι καὶ διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχουσιν αἰτίαις, ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν ἰδίων ἐπισκόπων, οἱ γείτονες ἐπίσκοποι ἀκροάσωνται αὐτῶν, καὶ μετὰ συναινέσεως τῶν ἰδίων ἐπισκόπων τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι παρ᾽ αὐτῶν ἐπίσκοποι. διὸ εἰ καὶ περὶ αὐτῶν ἔκκλητον παρέχειν νομίσωσι, μὴ ἐκκαλέσωνται εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἀλλὰ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων ἐπαρχιῶν, ὡς καὶ περὶ τῶν ἐπισκόπων πολλάκις ὥρισται. οἱ δὲ πρὸς περαματικὰ δικαστήρια διεκκαλούμενοι, παρ᾽ οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν εἰς κοινωνίαν.

ΒΑΛΣ. Εἰς τὸν ιε΄. κανόνα τῆς παρούσης συνόδου ἀρκούντως ἐγράψαμεν περὶ δικαστηρίων ἐκκλησιαστικῶν. καὶ ἀνάγνωθι τὰ ἐν ἐκείνῳ γραφέντα. ὁ δὲ παρὼν κανὼν φησιν, ὡς ἐπεὶ τῶν εἰκότων ἐστί τινὰς κληρικοὺς ἀπαρέσκεσθαι ἐπὶ ταῖς κρίσεσι τῶν ἰδίων ἐπισκόπων, δέον ἐστὶ μετὰ θελήσεως τούτων μετακαλεῖσθαι αὐτοὺς γειτνιάζοντας ἐπισκόπους, πάντως ἀρκοῦντας, καὶ ἀξιοῦν παρὰ τούτων λυθῆναι τὴν κατ᾽ αὐτῶν ἀπόφασιν. εἰ δὲ, φησι, καὶ κατὰ τῆς ἀποφάσεως τούτων τῶν γειτνιαζόντων ἀπαρέσκονται, οὐκ ὀφείλουσιν ἐκκαλεῖσθαι εἰς τὰ πέραν τῆς θαλάσσης δικαστήρια, ἤγουν εἰς μητροπολίτας ἑτέρων ἐπαρχιῶν· ἀλλὰ εἰς τὸν πρῶτον τῆς προσφόρου ἐπαρχίας. τοῦτο γὰρ καὶ εἰς τὰ δικαστήρια τῶν ἐπισκόπων προωρίσθη. οἱ δὲ παρὰ ταῦτα ποιοῦντες ἀφοριζέσθωσαν. σημείωσαι οὖν, ὅτι οὐκ ὀφείλουσιν ὑβριοπαθεῖν οἱ ἐπίσκοποι κατὰ τῶν κληρικῶν αὐτῶν ἀπαρεσκομένων ἐπὶ ταῖς ἐκείνων ἀποφάσεσιν, ἀλλὰ μᾶλλον προσδέχεσθαι αὐτοὺς, καὶ συναινεῖν εἰς τὸ παρὰ γειτνιαζόντων ἐπισκόπων τηρηθῆναι τὴν τούτων ἀπόφασιν. τινὲς δὲ ἀκούοντες τοῦ κανόνος λέγοντος, ὡς οἱ γείτονες ἐπίσκοποι ἀκροάσονται αὐτῶν, καὶ μετὰ συναινέσεως τοῦ ἰδίου ἐπισκόπου τὰ μεταξὺ αὐτῶν διαθῶσιν οἱ προσκαλούμενοι δι᾽ αὐτῶν ἐπίσκοποι, λέγουσιν ἐπ᾽ ἀδείας ἔχειν τὸν πρώτως δικάσαντα ἐπίσκοπον παρουσιάζειν εἰς τὸ τῶν γειτνιαζόντων ἐπισκόπων δικαστήριον. ἐμοὶ δὲ οὐ δοκεῖ. ὁ γὰρ ἅπαξ ἀποφηνάμενος πέπαυται τοῦ εἶναι δικαστής.

peccāt, de gradu quidem dejiciuntur; à Laicorum autem communione non arcentur. Non enim vindicabis bis in idipſum. Idem igitur hic quoque Can. aſſerit. Si quando enim Presbyter, inquit, aut Diaconus gravioris peccati, ac depoſitionem neceſſario inferentis, convictus fuerit; ipſum ſegregare, ac quaſi in pœnitentia degenti manus imponere, nequaquam oportet. Accedentibus enim ad Eccleſiam & peccata confitentibus Epiſcopi, aut eorum conſenſu Sacerdotes, manus imponebant, ac precibus adhibitis ſegregatos, unumquemque in locū pœnæ luendæ conſtitutum pro ratione criminis, deducebant. Id ergo, inquit, in iis, qui miniſterio exciderunt, Sacerdotibus & Diaconis uſurpari, aut eos in Laicorum fidelium, qui ſegregati ſunt, ſtationibus collocari non oportet; neque vero, quia nimirum ſordes omnes ſacra baptiſmi lympha elui credamus, iis ut iterum baptizentur permittere, ut proinde quaſi purgati peccati maculis in Clerum denuò cooptentur. Nam elui quidem divinitùs inſtituto lavacro maculas omnes flagitii credimus; ſed uno quemque baptiſmate initiari licere à majoribus accepimus.

ARIST. *Presbyter convictus & reſipiſcens, non iterum baptizatur tanquam promovendus, neque ut Laicus iterum ordinatur.*

Presbyter vel Diaconus ſemel depoſitus ob aliquod delictum, & de eo pœnitentiam agens, non poſtea, ut Laicus, iterum ordinabitur: ſed neque rebaptizabitur, ad abluenda peccata, & Sacerdotum aut Diaconorum gradum iterum aſſequendum. Unum enim confitemur & agnoſcimus baptiſmum.

CANON XXXI.

Similiter placuit, ut Presbyteri & Diaconi, & reliqui inferiores Clerici, in iis quas habent cauſis, ſi de propriorum Epiſcoporum judiciis quærantur, vicini Epiſcopi eos audiant: & cum propriorum Epiſcoporum conſenſu, quæ inter eos intercedunt, controverſias ab ipſis evocati Epiſcopi componant. Proinde ſi ab ipſis etiam provocandum eſſe putaverint, ad tranſmarina judicia ne appellent, ſed ad Primates ſuarum Provinciarum, quemadmodum & de Epiſcopis ſæpe definitum eſt. Qui autem ad tranſmarina judicia provocant, à nullo in Africa ad communionem recipiantur.

BALS. In decimo quinto Canone præſentis Synodi ſatis ſcripſimus de judiciis Eccleſiaſticis; & lege quæ in ipſo ſcripta ſunt. Præſens autem Canon dicit; quòd quoniam eſt veriſimile fore ut aliqui Clerici ſuorum Epiſcoporum judiciis non acquieſcant, opus eſt, ut cum eorum voluntate ipſi vicinos Epiſcopos omnino ſufficientes appellent, & petant adverſus ſe prolatam ſententiam ab ipſis reſolvi. Si autem, inquit, etiam vicinorum Epiſcoporum ſententiæ non acquieſcant, non debent ad tranſmarina judicia appellare, ſcilicet ad aliarum Provinciarum Metropolitanos; ſed ad Primatem competentis Provinciæ. Hoc enim in Epiſcoporum judiciis antè definitum eſt. Qui autem præter hæc faciunt, ſegregentur. Nota ergo, quòd Epiſcopi non debent ægrè ferre, ſi ſui Clerici eorum ſententiæ non acquieſcant; ſed ipſos potiùs admittere, & conſentiant ut à vicinis Epiſcopis ſua examinetur ſententia. Nonnulli autem Canonem audientes dicentem, quòd vicini Epiſcopi eos audient, & cum conſenſu proprii Epiſcopi controverſias eorum componant ii, qui ab ipſis appellati ſunt, Epiſcopi; dicunt eſſe in poteſtate ejus qui primùm judicavit Epiſcopi, ut finitimorum Epiſcoporum judicio interſit. Mihi autem non videtur. Qui enim ſemel ſententiam tulit, ceſſat eſſe judex.

Illud autem, Cum conſenſu, dictum eſt, ut non per impudentiam & ſine ſcientia Epiſcopi ad appellationem prorumperent Clerici; ſed ejus definitione. Quia autem præſentes Canones Carthagine ſeu in Africa editi ſunt, tranſmarina omnino judicia appellabuntur Romana. Et nota ex eo, quòd fruſtra ſe jactant qui ſunt Romanæ Eccleſiæ, dicentes eam debere de omnium Eccleſiarum quæſtionibus per appellationem decidere. Si enim ei non permittitur appellationes eorum qui ſunt in Africa examinare, multò magis hoc jus non habebit in alias regiones.

Zonar. Clericos controverſiæ aliquid habentes ab Epiſcopis ſuis judicari Canones voluerunt. Igitur, ſi qui Clerici ſententiæ ab Epiſcopo ſuo prolatæ non acquieſcant, advocari vicinos Epiſcopos, ac ab iis cauſam, non ſine illius qui judicavit Epiſcopi approbatione, cognoſci placet. Quòd ſi ab Epiſcoporum quoque, qui advocati ſunt, judicio provocationem ſibi dari poſtulent, ad Metropolitanũ Provinciæ, quod de Epiſcopis quoque definitum eſt, convenire debent. Si vero qui ſibi provocationem concedi poſtulant, ultra mare, hoc eſt, in alias Provincias longe disjunctas, ut in iis judicium exerceant, transmearint; ſegregati, inquit, ſint, nec ad communionem in Africa recipiantur. Hic certe ventoſa illa Romanorum Eccleſiæ ſuperbia, ut ab aliis omnibus Eccleſiis ad illam dentur provocationes, ſibi conceſſum eſſe jactantium, ſubſidat neceſſe eſt. Si enim ab Africanis Eccleſiis non datur, (eſt quidem certe Roma trans mare, ſi ad Africam comparetur) multo minus in alias regiones jus ejuſmodi obtinebit.

Arist. *Clerici condemnati, ſi judicem accuſent, trans mare non appellent; ſed ad Epiſcopos vicicinos, & ad proprium: alioquin in Africâ excommunicentur.*

Patres in omnibus decorum obſervant; adeoque ut Epiſcopi, uti accidit, moleſtiâ non afficerentur, decrevit hæc in Africâ Synodus Clericos, qui ob culpas aliquas à propriis Epiſcopis condemnantur, ſeque injuriâ affectos putant, ultra mare ad Romæ forſan Epiſcopum aut reliquos non provocare; ſed ad vicinos Epiſcopos, & cum proprii Epiſcopi ſententiâ quæ inter eos ſunt examinari & dilui: ſin minus in totâ Africâ ad communionem non admittendos eſſe.

Canon XXXII.

Similiter placuit univerſæ Synodo, ut qui propter ſuam ſocordiam communione motus eſt, ſive Epiſcopus, ſive quilibet Clericus, ſi in tempore ſuæ excommunicationis, antequam auditus fuerit, ad communionem ſe ingerere auſus fuerit, ipſe adverſus ſe condemnationis ſententiam tuliſſe judicetur.

Bals. Ex decimo quarto Canone Synodi Sardicenſis, & ex præſenti Canone dicunt aliqui, debere omnes, qui quomodocunque ab Epiſcopis ſegregantur, ſegregationem obedienter ſuſcipere, & eam ſervare donec decretum fuerit an rectè an malè inflicta ſit. Dicit enim hic Canon, Clericum qui propter ſocordiam ſeu peccata depoſitus eſt, non poſſe ſibi jus dicere, & ſegregationem contemnere ante examinationem: ſi autem hoc fecerit, condemnationi ſubjici. Ac multi quidem hos Canones ſic accipiunt. Alii autem undecimum caput noni tituli præſentis operis reperientes, quod ex quibuſnam cauſis Epiſcopus vel Clericus vel Laicus ſegregatur, expoſuit; & decimum quintum caput ejuſdem tituli, quod dicit ex quibuſnam cauſis ſimul deponitur & ſegregatur; & xvi. cap. ejuſdem tit. quod dicit ex quibuſnam cauſis Clericus

A Τὸ δὲ μετὰ συναινέσεως εἴρηται, ἵνα μὴ κατὰ ἀναισχυντίαν καὶ χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου τὴν ἔκκλητον ζητῶσιν οἱ κληρικοί, ἀλλὰ μετὰ ὁρισμοῦ τούτου. ἐπεὶ δὲ οἱ παρόντες κανόνες ἐτέθησαν ἐν Καρθαγένῃ, ἤγουν ἐν Ἀφρικῇ, περαματικὰ πάντως δικαστήρια κληθήσονται τὰ τῆς Ῥώμης. καὶ σημείωσαι ἀπὸ τούτου, ὅτι μάτην καυχῶνται οἱ περὶ τὴν ἐκκλησίαν τῆς Ῥώμης, λέγοντες πασῶν τῶν ἐκκλησιῶν τὰ ζητήματα ὀφείλειν διαλύεσθαι παρ' αὐτῆς κατὰ λόγον ἐκκλήτου. εἰ γὰρ τοὺς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ οὐ συγχωρεῖται τηρεῖν, πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξει τὸ B τοιοῦτον δίκαιον.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς ὑπόθεσιν ἔχοντας οἱ κανόνες παρὰ τοῖς ἐπισκόποις αὐτῶν δικάζεσθαι διωρίσαντο. εἰ γοῦν κληρικοὶ παρὰ τῷ οἰκείῳ ἐπισκόπῳ δικασάμενοι αἰτιῶνται τὴν ἀπόφασιν αὐτοῦ, τοὺς γείτονας ἐπισκόπους χρὴ συγκαλεῖσθαι, καὶ ἀκροᾶσθαι τῆς ὑποθέσεως ἐκείνους, μετὰ συναινέσεως καὶ τοῦ κρίναντος ἐπισκόπου. εἰ δὲ καὶ κατὰ τῆς ψήφου τῶν προσκληθέντων ἐπισκόπων ἔκκλητον αἰτοῦσι, πρὸς τὸν μητροπολίτην τῆς ἐπαρχίας δεῖ ἀπιέναι, ὅπερ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρίσθη. εἰ δὲ πέραν τῆς θαλάσσης, ἤτοι εἰς ἄλλας ἐπαρχίας πόρρω κειμένας ἀπίοιεν οἱ ζητοῦντες τὴν ἔκκλητον, ἵνα C ἐκεῖ ταύτην γυμνάσωσιν, ἀφωρισμένοι, φησίν, ἔσονται, ἐν Ἀφρικῇ πρὸς κοινωνίαν μὴ δεχόμενοι. ἐντεῦθεν ὁ τῦφος τῆς τῶν Ῥωμαίων ἐκκλησίας καταβάλλεται, αὐχούντων αὐτοῖς δεδόσθαι πάσας τὰς ἐκκλήτους τηρεῖν. εἰ γὰρ τὰς ἐκκλήτους τῶν ἐν Ἀφρικῇ οὐ συγχωροῦνται τηρεῖν· καὶ ἡ Ῥώμη γὰρ πέραν θαλάσσης διάκειται πρὸς τὴν Ἀφρικήν· πολλῷ μᾶλλον καθ' ἑτέρων χωρῶν οὐχ ἕξουσι τοιοῦτον δίκαιον.

ΑΡΙΣΤ. Κληρικοὶ καταγνωσθέντες, ἂν αἰτιῶνται τὸν διαγνόντα, μὴ πέραν θαλάσσης ἐκκαλείσθωσαν, ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους καὶ τὸν ἴδιον· εἰ δὲ μή, ἐν Ἀφρικῇ ἀκοινώνητοι ἔσονται. D

Τὸ εὐπρεπὲς ἐν πᾶσιν οἱ πατέρες συντηροῦντες· καὶ τὸ μὴ σκύλλεσθαι τοὺς ἐπισκόπους, ὡς ἔτυχεν, ὥρισεν ἡ ἐν Ἀφρικῇ αὕτη σύνοδος, τοὺς ἐπί τισιν αἰτίαις παρὰ τῶν ἰδίων ἐπισκόπων καταδικασθέντας κληρικούς, καὶ οἰομένους ἀδικεῖσθαι, μὴ πέραν θαλάσσης, πρὸς τὸν Ῥώμης τυχὸν ἐπίσκοπον ἢ τοὺς λοιποὺς ἐκκαλεῖσθαι· ἀλλὰ πρὸς τοὺς γείτονας ἐπισκόπους, καὶ μετὰ γνώμης τοῦ ἰδίου ἐπισκόπου τὰ μεταξὺ αὐτῶν τηρεῖσθαι καὶ διαλύεσθαι· εἰ δὲ μή, ἀπροσδέκτους εἶναι εἰς κοινωνίαν ἐν πάσῃ τῇ Ἀφρικῇ.

ΚΑΝΩΝ λβ'.

E

Ομοίως ἤρεσε συμπάσῃ τῇ συνόδῳ, ἵνα ὁ διὰ ῥαθυμίαν αὐτοῦ ὑπὸ κοινωνίας γενόμενος, εἴτε ἐπίσκοπος, εἴτε οἱοσδήποτε κληρικός, ἐὰν ἐν τῷ καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ, πρὸ τοῦ ἀκουσθῆναι, εἰς κοινωνίαν τολμήσοι, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐξενηνοχέναι κριθῇ.

ΒΑΛΣ. Ἀπὸ τοῦ ιδ'. κανόνος τῆς ἐν Σαρδικῇ συνόδου, καὶ ἀπὸ τοῦ παρόντος κανόνος λέγουσί τινες, ὀφείλειν πάντας τοὺς ὁπωσδήποτε παρὰ τῶν ἐπισκόπων ἀφοριζομένους, δέχεσθαι εὐπειθῶς τὸν ἀφορισμόν, καὶ φυλάττειν αὐτόν, F μέχρις ἂν διαγνωσθῇ εἰ ἄρα καλῶς εἴτε κακῶς ἐπηνέχθη. φησὶ γὰρ οὗτος ὁ κανών, τὸν ἀφορισθέντα κληρικὸν διὰ ῥαθυμίαν ἤτοι ἁμάρτημα μὴ αὐτεκδίκητον γίνεσθαι, καὶ καταφρονεῖν τοῦ ἀφορισμοῦ πρὸ ἐξετάσεως· εἰ δὲ τοῦτο ποιήσει, καταδίκῃ καθυποβάλλεσθαι· καὶ πολλοὶ μέν, οὕτω τούτους τοὺς κανόνας ἐκλαμβάνονται. ἕτεροι δὲ εὑρίσκοντες τὸ ια'. κεφάλ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, λέγον ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος ἢ κληρικός, ἢ λαϊκός· καὶ τὸ ιε'. κεφάλαιον τοῦ αὐτοῦ τίτλου, λέγον ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ ἀφορίζεται καὶ καθαιρεῖται· καὶ τὸ ις'. κεφάλαιον τοῦ αὐτοῦ τίτλου, λέγον ἐκ ποίων αἰτιῶν κληρικὸς

ἢ

ἢ λαϊκὸς ἀναθεματίζεται, λέγουσιν, ὅτι ἐὰν μὲν ἐξ αἰτιῶν δηλουμένων ἐν τοῖς διαληφθεῖσι κεφαλαίοις ἀφορισθῇ παρὰ ἐπισκόπου κληρικὸς ἢ λαϊκὸς, ὀφείλει φυλάττειν τὸν ἀφορισμὸν, κἂν ὅπως ἂν καὶ ἀπενεχθῇ, καὶ μὴ καταφρονεῖν αὐτοῦ μέχρις ἂν δοκιμασθῇ ἡ τούτου αἰτία. εἰ δὲ διά τι ἕτερον αἴτιον ἀμετόχως οὕτως ἀφορίσῃ ἐπίσκοπος λαϊκὸν ἢ κληρικὸν, τυχὸν ὅτι οὐ στασιάζει κατὰ τοῦ οἰκείου πράκτορος, ὅτι οὐ δίδωσιν αὐτῷ πρᾶγμά τι οἰκεῖον, καὶ ὅτι οὐ συναινεῖ τῷ ἀδίκῳ ἢ τολμηρῷ τούτου θελήματι, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας κολασθήσεται. εἰ γὰρ δοθῇ δικαίως ἀδίκως ἔχειν ἐπ' ἀδείας τὸν ἐπίσκοπον ἀφορίζειν λαϊκούς τε καὶ κληρικοὺς, καὶ ἔχειν πρὸς ἀνάγκης τοὺς ἀφοριζομένους φυλάττειν τὸν ἀφορισμὸν, καταστολμήσουσι τυραννίδος οἱ ἐπίσκοποι, καὶ παντὸς πράγματος κυριεύσουσι, καὶ οὐδεὶς ἔσται ὁ ἀντιπίπτων αὐτοῖς διὰ τὸν φόβον τοῦ ἀφορισμοῦ· ἴσως δὲ καὶ τῆς εὐσεβείας αὐτῆς κατορχήσονται, καὶ πολλῶν κακῶν πρόξενοι οἱ θεῖοι κανόνες γενήσονται, ὅπερ ἄτοπον. ὅρα γάρ μοι καὶ τὸν παρόντα κανόνα λέγοντα, τότε ὀφείλειν τὸν ἀφορισμὸν φυλάττεσθαι, ὅτε διὰ ῥᾳθυμίαν ἐπενεχθῇ, ἤγουν διὰ ἁμάρτημα ἐπεγνωσμένον πάντως τοῖς κανόσι. καὶ αὐτοὶ μὲν ταῦτα· ἐγὼ δὲ οὐκ ἔχω τίνι ἐκ τούτων ἀκολουθήσω. κἂν γὰρ ὑπὸ τοῦ εὐλαβοῦς ἕλκωμαι, ἀλλ' ὑπὸ τοῦ ἀκανονίστου ἀνθέλκομαι. ζητῶ οὖν μαθεῖν τί ποιητέον, ὡς θέλων διὰ βίου παῖς εἶναι καὶ μαθητής. σημείωσαι τὸν παρόντα κανόνα διοριζόμενον καθαιρεῖσθαι τοὺς μετὰ τὸν ἀφορισμὸν ἐνεργοῦντάς τι ἱερατικόν. ἀνάγνωσον καὶ τὰ παρ' ἡμῶν ἐνταῦθα γραφέντα.

ΖΩΝΑΡ. Τοὺς ἐπιτιμωμένους ἤτοι ἀφοριζομένους χρὴ, κἂν μὴ δικαίως λέγωσιν ἐπιτιμηθῆναι, ἐμμένειν τῷ ἐπιτιμίῳ, ἕως ἂν ἀκουσθῶσι παρὰ τοῦ ἔχοντος δίκαιον ἀνακρίνειν τὰ τοιαῦτα. εἰ δὲ ὁ ἐξ ἐπιτιμίου γενόμενος ἀκοινώνητος τολμήσει εἰς κοινωνίαν ἐλθεῖν, πρὸ τοῦ ἐξετασθῆναι, εἰ εὐλόγως γέγονεν ἀκοινώνητος ἢ μὴ, αὐτὸς ἑαυτὸν, φησὶ, κατεδίκασε. καὶ ὁ ιδʹ. δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου περὶ τούτου διαλαμβάνει.

ΑΡΙΣΤ. Ὁ ἀκοινώνητος κοινωνήσας πρὸ συμπαθείας, αὐτοκατάκριτος.

Ὁ ἀφορισθεὶς, καὶ πρὸ τοῦ λυθῆναι τοῦ ἀφορισμοῦ λειτουργήσας, αὐτὸς καθ' ἑαυτοῦ τὴν καταδίκην ἐπήγαγε.

ΚΑΝΩΝ λγʹ.

Ὁμοίως ἤρεσεν, ἵνα ὁ κατηγορούμενος ἢ ὁ κατηγορῶν ἐν τῷ τόπῳ, ἔνθα ἐστὶν ὁ κατηγορούμενος, ἐὰν φοβῆταί τινα βίαν προπετοῦς πολυπληθίας, τόπον ἑαυτῷ ἐπιλέξηται ἔγγιστον, ἐν ᾧ οὐκ ἔστιν αὐτῷ δυσχέρεια μάρτυρας προσκομίσαι, ἔνθα τὸ πρᾶγμα περατοῦται.

ΒΑΛΣ. Ἐπεὶ τῶν εἰκότων ἦν παραδυναστεύειν τινὰ ἐκ τῶν δικαζομένων ἐν τῷ τόπῳ ἐν ᾧ ἡ διαδικασία γίνεται, ὥρισαν οἱ πατέρες, ἵνα ἐάν τις ἐξ αὐτῶν, εἴτε δηλονότι ὁ κατηγορῶν εἴτε ὁ κατηγορούμενος, εἰς τὸν οἰκεῖον φόρον, ἤγουν εἰς τὸν τόπον ἐν ᾧ κατοικεῖ, ὑποπτεύσῃ βίαν παθεῖν ἀπὸ πολυπληθείας δημώδους ἀτάκτου λαοῦ, διὰ φόβον τοῦ ἀντιδίκου, ἢ διὰ τὴν αὐτὴν αἰτίαν δυσχέρεια ἔχειν μάρτυρας παραχθῆναι, ἔχῃ ἐπ' ἀδείας ἕτερον ἐπιλέξασθαι πλησιόχωρον τόπον, ἵνα ἐκεῖ τὸ δικαστήριον προβῇ χωρὶς φόβου παντὸς, καὶ ἡ τῶν μαρτύρων παραγωγὴ εὐχερῶς γένηται, καὶ οὕτω διευλυτωθῇ ῥᾳδίως ἡ ὑπόθεσις. καλῶς δὲ εἶπεν ὁ κανὼν, ἐπιλέγεσθαι ἔγγιστα διακείμενον τόπον. εἰ γὰρ πόρρω διάκειται, οὐκ ἀναγκασθήσεται ὁ δικαστὴς ἢ ὁ ἀντίδικος ἀκολουθῆσαι τῇ ἐπιλογῇ ταύτῃ. οἶμαι δὲ, ὅτι ταῦτα χώραν οὐκ ἔχουσιν εἰς τὰ πατριαρχικὰ δικαστήρια·

A vel Laicus anathematizatur, dicunt; quòd ſi ex cauſis quidem in dictis capitibus declaratis ſegregatus ſit ab Epiſcopo Clericus vel Laicus, debet ſervare ſegregationem, quomodocunque prolata ſit, & eam non contemnere, donec ejus cauſa fuerit examinata. Si autem propter aliquam aliam cauſam Epiſcopus inconſideratè Laicum vel Clericum ſegregaverit, fortè quòd ſeditiones non excitat contra proprium exactorem, quòd non dat ei rem aliquam propriam, vel quòd non iniquæ & temerariæ ejus voluntati aſſentitur, ſecurè ſegregationem contemnet, & is potiùs punietur qui ſegregavit. Si enim datum fuerit Epiſcopo, ſeu rectè ſeu B perperam, Clericos & Laicos ſegregare, & neceſſe habere eos, qui ſegregantur, ſegregationem ſervare; tyrannidem exercebunt Epiſcopi, & in omni re dominium obtinebunt, nec quiſquam eis reſiſtet ob metum ſegregationis; fortè autem & ipſi etiam pietati inſultabunt, & divini canones erunt multorum malorum auctores, quod eſt abſurdum. Vide enim præſentem canonem, qui dicit, tunc debere ſegregationem ſervari, quando propter ſocordiam inflicta fuerit, ſeu propter peccatum, quod eſt omnino canonibus condemnatum. Ac ipſi quidem hæc. Ego autem non habeo quemnam eorum ſequar. Nam etſi à pietate trahor, ab eo ta- C men quod fit contra canones retrahor. Cupio ergo diſcere quid agendum, ut qui tota vita velim eſſe puer & diſcipulus. Nota præſentem canonem eos, qui poſt ſegregationem aliquid ſacerdotale peragunt, deponi ſtatuentem. Lege & quæ ibi à nobis ſcripta ſunt.

Zonar. Quibus pœna aliqua, ſegregatio nempe, indicta eſt, donec ab eo, penes quem in ejuſmodi cauſis judicandi facultas eſt, auditi fuerint, mulctam, quamvis injuſtè irrogatam aſſerant, perſolvere oportet. Quòd ſi quis mulctæ nomine communione motus, priuſquam, D jurène an injuria damnatus ſit, examinatum fuerit, ſe in communionem fidelium inſinuare audeat, ſuo ſe, inquit, calculo condemnavit. Hoc idem Sardicenſis quoque Synodi decimoquarto canone explicatum reperias.

Arist. *Excommunicatus, qui communicaverit ante commiſerationem, contra ſe condemnationis ſententiam tulit.*

Qui ſegregatur, & antequam à ſegregatione ſolvitur, ſacra peragit, ipſe contra ſe condemnationis ſententiam protulit.

Canon XXXIII.

E *Similiter placuit, ut qui accuſatur, vel qui accuſat, ſi in loco, in quo eſt is qui accuſatur, temerariæ multitudinis vim aliquam timeat, locum ſibi proximum eligat, in quo nulla erit teſtes producendi difficultas, ubi negotium terminatur.*

Bals. Quia erat veriſimile, majorem eſſe alicujus eorum qui litigabant potentiam, in loco in quo diſceptabatur, decreverunt Patres, ut ſi quis eorum, ſive ſcilicet qui accuſat ſive qui accuſatur, in foro proprio, ſive eo in loco in quo habitat, ſuſ- F picatur fore, ut ab incondita inſolentis populi & numeroſa multitudine vim patiatur, propter metum adverſarii, vel propter eandem cauſam difficile fuerit teſtes producere; ſit in ejus poteſtate alium locum finitimum eligere, ut illic procedat judicium abſque ullo timore, & facilè fieri poſſit productio teſtium, & ſic cauſa facilè decidatur. Pulchrè autem dixit canon, locum propinquum eligi debere. Si enim procul ſitus ſit, non cogetur judex aut adverſarius hanc electionem ſequi. Exiſtimo autem hæc locum non habere in Patriarchalibus judiciis;

quia nemo poteſt metum cauſari, ubi Patriarchalis magnitudinis poteſtas omnem ſuperat potentiam: ſed de Epiſcopalibus inferioribus judiciis hæc ſunt accipienda, ubi & judicis & litigatorum facilis eſt à loco in locum tranſlatio.

ZONAR. Si quæ, inquit, exiſtat inter duos Clericos controverſia, eorúmque alter, quo in loco tribunal erigitur, vim pertimeſcat, quaſi ſcilicet populus propenſo in adverſarium ejus animo impetum forte in illum facturus ſit, vel teſtibus ab eo producendis impedimento futurus; illi alium perſequendi judicii locum eligendi facultas libera relinquatur: locum verò proxime ſitum, non longo intervallo disjunctum, ne adverſario & judicibus illuc convenire difficile ſit, utque illic facile teſtes exhibere controverſiámque dirimere liceat. Nam ſi longe judicii exercendi ſedes abſit, teſtes quoque producere difficile erit. Neque enim ut longius peregrinentur teſtes adduci poterunt. Nam proprium officium nemini detrimento eſſe debere, lege decernitur. Officium vero Latinum eſt verbum, adminiſtrationem minimèque dubiam fidem ſignificans.

ARIST. *Qui accuſat, vel accuſatur, violentiam timens, locum ſibi tutum ſeligat.*

Qui aliquem accuſat, & ſuſpicatur ſe vim ab accuſati parte paſſurum, vel vice verſâ accuſatus ab accuſatore; quemcunque volunt locum ad ſecuritatem ſuam eligant, ubi facile poſſint & cum ipſis, quos forte habent teſtibus converſari, & judicio ſine periculo ſiſtere: ne propter iſtiuſmodi timorem accuſator ab accuſatione deſiſtat, vel accuſatus à judicio clanculùm recedat, & abſens condemnetur.

CANON XXXIV.

Si qui Clerici à propriis Epiſcopis promotis eos contemnant, ne illic quidem maneant unde ſecedere noluerunt. Similiter placuit, ut cujuſmodicunque Clerici & Diaconi, ſi ſuis Epiſcopis, propter urgentes aliquas ſuarum Eccleſiarum cauſas eos ad majores in Eccleſia ſua honores provehere volentibus, non paruerint; ne in illo quidem gradu miniſtrent, ex quo recedere noluerunt.

BALS. Quidam Clerici, ut eſt veriſimile, à ſuis Epiſcopis ad majores gradus evocati, propter Eccleſiarum utilitatem, non perſuadebantur hoc facere, eo quòd acquieſcerent iis quos jam habebant gradibus, lucro fortaſſe vel corporali quiete adducti. Statuerunt ergo patres, ut ſi qui Clerici, cujuſmodicunque ſacerdotale miniſterium exercentes, (neque enim hîc accipiuntur Diaconi pro iis, qui in ſancto tribunali miniſtrant; ſed pro iis, qui quodcunque Eccleſiaſticum miniſterium exercent) non pareant ſuis Epiſcopis, ad majores gradus propter urgentem aliquam Eccleſiarum neceſſitatem, eos provehere volentibus; ſed hæreant iis gradibus ſeu locis quos tenent: ne in illo quidem gradu ſint & miniſtrent, ex quo diſcedere noluerunt. Cùm canon hæc decernat, quidam dicunt, ex hoc Patriarchis & reliquis Epiſcopis datam eſſe facultatem eos, qui ſibi ſubſunt, magiſtratus, & alios ſacri ordinis, ab officiis ſuis movere: maximè autem eos, qui ad quaſlibet eccleſias eliguntur & electionem non admittunt, deponere. Mihi autem videtur, quòd ex hoc canone non coguntur Eccleſiarum magiſtratus, aut alii Clerici, vel inviti ſuſcipere, quæ per Epiſcopalem electionem eis dantur, Eccleſias: ſed de iis accipi canonem, qui quælibet Eccleſiaſtica miniſteria exercent, & ad majores aliquos honores vel gradus vocantur, & Epiſcopali vocationi non parent; & maximè, quando ea

A ὅτι οὐδεὶς δύναται φόβον προβαλέσθαι ἔνθα ἡ ἐξουσία τῆς πατριαρχικῆς μεγαλειότητος ὑπερβαίνει πᾶσαν δυναστείαν· ἀλλ᾽ εἰς ἐπισκοπικὰ εὐτελῆ δικαστήρια τὰ τοῦ κανόνος ἐκληφθήσεται, ὅπου καὶ ἡ τοῦ δικαστοῦ καὶ ἡ τῶν ἀντιδίκων ἐκ τόπου εἰς τόπον μετάστασις ἐστὶν εὐχερής.

ΖΩΝΑΡ. Κἂν κληρικοί, φησι, δύο κατ᾽ ἀλλήλων ἔχωσι, καὶ ὁ εἷς φοβῆται βίαν ἐν ᾧ συνίσταται τὸ δικαστήριον, ὡς ἴσως ἐπηρεασθησομένου αὐτῷ τοῦ λαοῦ προσκειμένου τῷ ἀντιδίκῳ αὐτοῦ, ἢ οὐκ ἐάσοντος αὐτὸν παραγαγεῖν μάρτυρας, ἐνδιδόσθω αὐτῷ ἕτερον ἐπιλέξασθαι τόπον, ἵνα ἐκεῖ τὸ δικαστήριον B γένηται· ἔγγιστα δὲ διακείμενον τόπον καὶ μὴ πάνυ πόρρω τυγχάνοντα, ὥστε μήτε τῷ ἀντιδίκῳ αὐτοῦ, μήτε τοῖς δικάζουσιν εἶναι δυσχερῆ τὴν εἰς ἐκεῖνον τὸν τόπον ἄπελευσιν, ὡς ἂν εὐχερῶς ἐκεῖ μάρτυρες παραστῶσι, καὶ ἡ ὑπόθεσις περατωθῇ. εἰ γὰρ πόρρω διάκειται ὁ τόπος ἐν ᾧ μέλλει συνίστασθαι τὸ δικαστήριον, καὶ ἡ τῶν μαρτύρων παραγωγὴ δυσχερὴς ἔσται. οὐ γὰρ πεισθήσονται οἱ μάρτυρες ὑπερορίως ἀποδημῆσαι. οὐδενὶ γὰρ ὀφείλει τὸ ἴδιον ὀφφίκιον ἐπιζήμιον γίνεσθαι, ὁ νόμος φησί. τὸ δὲ ὄνομα τοῦ ὀφφικίου Ῥωμαϊκόν ἐστι, σημαῖνον διοίκησιν καὶ ἀξιοπιστίαν.

ΑΡΙΣΤ. Κατηγορῶν, ἢ κατηγορούμενος, βίαν φοβούμενος, C ἐπιλεγέτω τόπον ἄσυλον.

Ὁ κατηγορῶν τινος, ἐὰν βίαν ὑποπτεύῃ παθεῖν παρὰ τοῦ μέρους τοῦ κατηγορουμένου, ἢ τὸ ἀνάπαλιν ὁ κατηγορούμενος παρὰ τοῦ κατηγόρου· οὓς ἐθέλουσι τόπον εἰς ἀσφάλειαν αὐτῶν ἐπιλεγέσθωσαν, ὥστε εὐχερῶς ἔχειν, καὶ τοῖς ἴσως ὑποῦσιν αὐτοῖς μάρτυσιν ὁμιλεῖν καὶ εἰς τὸ δικαστήριον ἀκινδύνως ἀπαντᾷν· ἵνα μὴ διὰ τὸν τοιοῦτον φόβον ἢ ὁ κατήγορος τῆς αἰτιάσεως ἀποστῇ, ἢ ὁ κατηγορούμενος λάθρα τοῦ δικαστηρίου ὑπαναχωρήσῃ, καὶ ἀπὼν καταδικασθῇ.

ΚΑΝΩΝ λδʹ.

D Ἐάν τινες κληρικοὶ ἐκ τῶν ἰδίων ἐπισκόπων προβιβαζόμενοι καταφρονῶσιν, μηδὲ ἐκεῖ μείνωσιν, ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησαν. ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε κληρικοὶ καὶ διάκονοι, ἐὰν μὴ πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν, βουλομένοις διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν τούτους πρὸς μείζονας ἀναβιβάζειν τιμὰς ἐν τῇ ἐκκλησίᾳ αὐτῶν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσιν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

ΒΑΛΣ. Τινὲς, ὡς ἔοικε, κληρικοὶ μετακαλούμενοι παρὰ τῶν ἐπισκόπων αὐτῶν πρὸς μείζονας βαθμοὺς διὰ χρησιμότητα E τῶν ἐκκλησιῶν, οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι, διὰ τὸ ἀναπαύεσθαι ἐπὶ τοῖς κατεχομένοις παρὰ τούτων βαθμοῖς, ἀπὸ κέρδους ἴσως ἢ καὶ σωματικῆς ἀναπαύσεως. ὥρισαν οὖν οἱ πατέρες, ἵνα ἐάν τινες κληρικοὶ οἱανδήτινα διακονίαν ἱερατικὴν ἐνεργοῦντες (οὐδὲ γὰρ ἐκλαμβάνονται ἐνταῦθα οἱ διάκονοι εἰς τοὺς ἐν τῷ ἁγίῳ βήματι διακονοῦντας, ἀλλ᾽ εἰς τοὺς ἐνεργοῦντας οἱανδήτινα διακονίαν ἐκκλησιαστικὴν) οὐ πείθωνται τοῖς ἐπισκόποις τούτων, βουλομένοις προαναβιβάζειν αὐτοὺς εἰς μείζονας βαθμοὺς διὰ ἀναγκαστικὴν αἰτίαν τῶν ἐκκλησιῶν, ἀλλ᾽ ἐξέχωνται ὧν κατέχουσι βαθμῶν ἢ τόπων, μηδὲ ἐπ᾽ ἐκείνῳ τῷ βαθμῷ εἶναι αὐτοὺς καὶ διακονεῖν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν. F ταῦτα τοῦ κανόνος διοριζομένου, λέγουσί τινες, ὡς ἐκ τούτου δίδοται ἄδεια τοῖς πατριάρχαις καὶ τοῖς λοιποῖς ἐπισκόποις μεθιστᾶν τοὺς ὑπ᾽ αὐτοὺς ἄρχοντας καὶ τοὺς ἄλλους ἱερατικοὺς ἀπὸ τῶν ὀφφικίων αὐτῶν, μάλιστα δ᾽ εἰπεῖν καθαιρεῖν τούτους ψηφιζομένους εἰς ἐκκλησίας οἱασδήτινας καὶ μὴ καταδεχομένους τὴν ψῆφον. ἐμοὶ δὲ δοκεῖ, ὡς ἀπὸ τοῦ κανόνος τούτου οὐκ ἀναγκάζονται οἱ τῶν ἐκκλησιῶν ἄρχοντες ἢ ἕτεροι κληρικοὶ καταδέχεσθαι καὶ ἄκοντες τὰς διὰ ψήφου ἐπισκοπικῆς διδομένας τούτοις ἐκκλησίας· ἀλλὰ ἐκλαμβάνεσθαι τὸν κανόνα εἰς τοὺς ἐνεργοῦντας ἐκκλησιαστικὰς οἱασδήτινας διακονίας, καὶ εἰς μείζονας τιμὰς ἢ βαθμοὺς μετακαλουμένους, καὶ μὴ πειθομένους τῇ ἐπισκοπικῇ μετακλήσει.

καὶ μᾶλλον ὅπερ διὰ χρησιμότητα τῆς ἐκκλησίας αὐτῇ γίνηται. ὁ μὲν γὰρ ἄκοντά τινα μὴ δέχεσθαι χειροτονίαν ἐπισκοπικοῦ ἀξιώματος, συγγνωστέον ἐστὶν, ἴσως τὴν χειροτονίαν εὐλαβούμενον διὰ οἱονδήτινα τρόπον ἐπαινετόν. ὁ δὲ μὴ ὑπακούειν τοῦ ἐπισκόπου τοὺς κληρικοὺς ἢ καὶ τοὺς ἄρχοντας μετακαλουμένου τούτους εἰς μείζονα ὀφφίκια, οὐ μόνον οὐκ ἔστι συγγνωστέον, ἀλλὰ καὶ κολάσεως ἄξιον. εἰ γάρ τις, τυχὸν ἐν διακόνοις ὢν, οὐ πείθεται σφραγισθῆναι ῥαιφερενδάριον ἢ διδάσκαλον διὰ τὸν κόπον, καὶ δουλεῦσαι τῇ ἐκκλησίᾳ, κολασθήσεται· καὶ εἴ τις, πρωτέκδικος ὢν, οὐ θέλει προβιβασθῆναι εἰς ἱερομνήμονα διὰ τὸ ἀκερδὲς τοῦ ὀφφικίου, ἐκβληθήσεται καὶ ἀπὸ τοῦ πρωτεκδίκου· καὶ εἴ τις, ἀναγνώστης ὢν, οὐ θέλει προαναβιβασθῆναι εἰς μεῖζον ὀφφίκιον, ὡς κοπηρὸν, καθαιρεθήσεται. καὶ δῆλον τοῦτο ἀπὸ τοῦ μὴ ψηφίζεσθαι παρὰ παντὸς ἐπισκόπου κληρικὸν εἰς ἐπισκοπικὸν ἀξίωμα, ἀλλὰ παρὰ μόνων τῶν ἐχόντων ἐπισκοπάς· οἱ γὰρ μητροπολῖται, οἱ μὴ ἔχοντες ἐπισκοπὰς, ὡσαύτως καὶ οἱ ἐπίσκοποι, οἱ ὑπὸ μητροπολιτῶν ὄντες, οὔτε ψηφίζεσθαι κληρικοὺς αὐτῶν δύνανται, οὔτε κατὰ κανόνας κολάζουσιν αὐτοὺς ἀπειθοῦντας. ἄρ' οὖν τὸν κανόνα ἐκληφθῆναι εἰς τοὺς μὴ πειθομένους προαναβιβασθῆναι εἰς ἐκκλησιαστικὰ ὀφφίκια, καὶ οὕτως ἔχειν χώραν εἰς πάντας τοὺς ἐπισκόπους καὶ εἰς πάντας τοὺς κληρικούς. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μετακινεῖσθαι ἀπὸ τῶν ἰδίων βαθμῶν τοὺς κληρικοὺς, μὴ πειθομένους τοῖς ἐπισκόποις προσκαλουμένοις τούτους εἰς μείζονας τιμὰς διά τινας ἀναγκαστικὰς αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν, μὴ εἴπῃς, ὡς αἰτίας ἀναγκαστικῆς μὴ οὔσης οὐκ ἔχουσιν ἄδειαν οἱ ἐπίσκοποι προαναβιβάζειν τοὺς κληρικοὺς αὐτῶν. καὶ αἰτίας γὰρ τοιαύτης μὴ προκειμένης ἐνδυνάμως ὁ ἐπίσκοπος τοὺς κληρικοὺς αὐτοῦ ἀπὸ τούτου τοῦ βαθμοῦ εἰς μείζονα τόπον προαναβιβάσει καὶ ἄκοντας κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν. καὶ σημείωσαι, ὅτι πρὸς μείζονας τόπους μετακινεῖν τοὺς κληρικοὺς ἐνεδόθη τοῖς ἐπισκόποις, οὐ μὴν καὶ πρὸς ἥττονας· ὥσπερ οὐδὲ ὑβρίζειν καὶ ἀτιμοῦν αὐτοὺς διὰ τοῦ συγχέειν τὰς τάξεις τῶν ἱερῶν βαθμίδων· καὶ τὸν χθὲς γεγονότα ἴσως ἄρχοντα, ἐπάνω τῶν πρεσβυτέρων ἀρχόντων ἱστᾶν, ἢ καὶ τὸν μηδὲ ὅλως ὄντα ἄρχοντα, διὰ προκοπὴν εἰς μείζονα τόπον καθιστᾶν. ὡσαύτως σημείωσαι, ὅτι τὰ ἐκκλησιαστικὰ ὀφφίκια, ἤγουν τὰ ἀρχοντίκια, οὐκ εἰσὶ τῆς ἐξουσίας τῶν ἐπισκόπων, ὥς τινες λέγουσιν, ἀλλὰ τῆς τῶν κανόνων αὐθεντίας καὶ φιλοτιμίας, ὥσπερ οὐδὲ τὰ τῶν λοιπῶν ταγμάτων δίκαια, ἤγουν τῶν διακόνων τῶν ἱερέων καὶ τῶν λοιπῶν. εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν μετὰ διαστίξεως, ἤγουν ἐξ ἀπειθείας, ἐξέπιπτον ἐκ τῶν οἰκείων βαθμῶν οἱ κληρικοὶ, ἀλλ' εὐκαίρως ἀκαίρως καὶ ὅτε θελήσει εἶχον οἱ ἐπίσκοποι τοῦτο γενέσθαι. τοῦτο δὲ οὐκ ἔδοξε τοῖς θείοις πατράσιν. ἔτι σημείωσαι, ὅτι οὐδεμία ἐστὶ διαφορὰ κληρικάτου καὶ ἀρχοντικίου. ἀπὸ γὰρ τῆς αὐτῆς αἰτίας μετακινεῖται καὶ ὁ ἄρχων ἀπὸ τοῦ ἀρχοντικίου αὐτοῦ, ἀφ' ἧς καὶ ὁ ἱερεὺς καὶ ὁ διάκονος. ἔτι σημείωσαι, ὅτι ἐπεὶ τῷ ὀνόματι τῶν κληρικῶν καὶ οἱ μοναχοὶ περιέχονται, καλῶς ἐκληφθήσονται τὰ τοῦ κανόνος καὶ εἰς τοὺς διακονητὰς τῶν μοναστηρίων.

ΖΩΝΑΡ. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, φησὶν ὁ θεῖος ἀπόστολος. ἐὰν οὖν κληρικὸς οἱοσδήποτε καὶ διάκονος, (διάκονος δ' ἐνταῦθα, οὐ τὸν διακόνου ἔχοντα χειροτονίαν φησὶν, ἀλλ' ἅπαντα κληρικὸν, διάκονον ὠνόμασεν, ὡς διακονίαν τινὰ, ἤγουν ὑπηρεσίαν ἐν τῇ ἐκκλησίᾳ πληροῦντα· καὶ τοῦτο δῆλον ἐκ τοῦ εἰπεῖν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσι, καὶ τοὺς ἀναγνώστας γὰρ καὶ λοιποὺς ἐν τῷ οἰκείῳ βαθμῷ διακονεῖν λέγει.) ἐὰν οὖν μὴ πειθαρχῇ κληρικὸς τῷ ἐπισκόπῳ αὐτοῦ, θέλοντι προβιβάσαι αὐτὸν εἰς μείζονα βαθμὸν, οἷον διάκονον εἰς πρεσβύτερον, ἢ ὑποδιάκονον εἰς διάκονον, καὶ καθεξῆς, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ μενέτω, ἐν ᾧ ἦν, καὶ οὗ ἀποστῆναι οὐκ ἠθέλησεν.

A propter eccleſiæ utilitatem fiat. Si enim invitus quiſpiam Epiſcopalis dignitatis ordinationem non ſuſcipiat, eſt venia dignus; dum ob laudabile quamcunque rationem moremque ordinationem fortaſſe modeſtè vitat. Clericos autem vel magiſtratus non obedire Epiſcopis eos ad majora officia vocantibus, non ſolùm non eſt ignoſcendum, ſed etiam animadverſione dignum. Si quis enim, cùm ſit fortè in Diaconatu, non morem gerat, ut referendarii characterem accipiat vel doctoris, propter laborem, & ut Eccleſiæ ſerviat, punietur: & ſi quis, qui primus eſt Defenſor, non vult ad officium Æditui provehi, quòd ni- B hil inde lucri percipiatur, etiam à primi Defenſoris officio ejicietur; & ſi quis, cùm ſit Lector, non vult ad majus, ſed laborioſius, officium promoveri, deponetur. Atque hoc ex eo manifeſtum eſt, quòd non à quovis Epiſcopo ad dignitatem Epiſcopalem eligitur Clericus; ſed ab iis ſolis qui habent Epiſcopatus: Metropolitani enim, qui non habent Epiſcopatus, ſimiliter & Epiſcopi qui ſubſunt Metropolitanis, nec poſſunt ſuos Clericos eligere, nec eos ex canonibus puniunt, qui ſibi non obediunt. Placuit ergo, canonem de iis accipi, qui ad Eccleſiaſtica officia provehi non perſuadentur: & ſic in omnes Epiſcopos Cleri- C coſque valere. Cùm autem audis canonem dicentem, Clericos ſuis gradibus moveri, qui non parent Epiſcopis, eos ad majores honores, propter ſuarum Eccleſiarum urgentes cauſas, vocantibus, ne dicas, quòd niſi adſit cauſa neceſſaria, non poſſunt Epiſcopi ſuos Clericos promovere. Nam, etſi non ſe præbeat ejuſmodi cauſa, ritè poteſt Epiſcopus Clericos ſuos ab hoc gradu in majorem vel invitos provehere ſecundùm ordinem Eccleſiaſticum. Et nota, quòd Epiſcopis datum eſt Clericos ſuos ad majores gradus provehere, non autem ad minores deprimere: quemadmodum nec ipſos injuria & ignominia afficere in ſacro- D rum graduum confundendis ordinibus; & eum qui fuit heri fortaſſe magiſtratus, ſupra omnes antiquiores magiſtratus collocando; vel eum qui ne fuit quidem omnino magiſtratus, per promotionem in majori loco conſtituendo. Similiter nota, quòd Eccleſiaſtica officia ſeu magiſtratus non ſunt epiſcoporum poteſtatis, ut dicunt nonnulli; ſed canonum auctoritatis & dignitatis: ſicut nec reliquorum ordinum jura, ſcilicet Diaconorum, Sacerdotum, & reliquorum. Niſi enim ita eſſet, non cum diſtinctione, ſcilicet propter inobedientiam, Clerici ſuis gradibus exciderent; ſed, ſeu bene, ſeu malè, quando vellent epiſcopi hoc fieri. Hoc autem E ſanctis patribus minimè viſum eſt. Præterea nota, quòd nulla eſt differentia clericatûs & magiſtratûs. Ex eadem enim cauſa movetur etiam Princeps Eccleſiaſticus à ſuo principatu, ex qua ſacerdos & diaconus. Præterea nota, quòd quoniam ſub Clericorum nomine etiam Monachi continentur, rectè accipietur canon etiam ad miniſtros monaſteriorum.

Zonar. Obedite Præpoſitis veſtris, & obſequimini, inquit divinus Apoſtolus. Si ergo quicunque Clericus & miniſter (Diaconi vero nomine hîc, non eum qui diaconatûs ordine inſignitus eſt, ſed Clericum quemlibet, qui aliquod in Eccleſia miniſterium exercet, ca- F non intelligit; idque vel ex iis verbis facile apparet, [ne in illo quidem gradu miniſtrent] in ſuo namque gradu miniſtrantium nomine Lectores quoque & alios deinceps ſignificat.) Si quis igitur Clericus Epiſcopo ſuo ipſum ad altiorem dignitatis gradum, à Diaconatu quippe ad Sacerdotium, vel ad Diaconatum ab Hypodiaconi munere, atque ita deinceps, promovere volenti non obtemperet; ab eo quoque gradu, quem tenebat, quemque is dimittere noluit, amoveri placet.

Arist. *Qui majorem honorem reſpuit, & quem habet amittet.*

Qui majore judicatur honore dignus à ſuo Epiſcopo, & propter neceſſariam Eccleſiæ cauſam ad eum promovetur, & morem non gerit; non propter pietatem ſed per contemptum; etiam gradu, quo miniſtrat, amovebitur, eumque amittet. Fortaſſe enim Hypodiaconus erat, & Diaconus fieri dignus judicabatur; & hoc neceſſarium erat ab Epiſcopo fieri, quia ſufficientes non habuit Diaconos, nec invenit aliquos illius ad inſtar vitâ inculpatos & probatos ſermone.

Canon XXXV.

Si quis Clericus pauper, in aliquem ordinem promotus, quicquam acquiſierit, Epiſcoporum poteſtati ſubjiciatur. Similiter placuit, ut Epiſcopi & Presbyteri & Diaconi, vel quicunque Clerici, qui nihil habent, ſi promoti, tempore Epiſcopatûs vel Clericatûs eorum, agros vel qualiacunque prædia nomine proprio emerint, tanquam qui Dominica bona invaſerint, teneantur: niſi utique admoniti ea Eccleſiæ retulerint. Si autem alicujus liberalitate vel cognationis ſucceſſione aliquid ad ipſos propriè deveniret, eo facient id, quod eorum propoſito congruit. Sin vero, etiam poſtquam propoſuerint, retro convertantur, Eccleſiaſtico honore indigni, ut reprobi, judicentur.

Bals. Quadrageſimus canon apoſtolicus ſtatuit, ut epiſcopus tempore ordinationis res ſuas deſcribat: ſimiliter & xxiv. canon Antioch. Syn. ut eæ ſint manifeſtæ, & itidem eccleſiæ reditus. Præſens ergo canon decernit, ut ſi Epiſcopi vel Presbyteri vel Diaconi, vel quicunque Clerici, ad Eccleſiaſticum miniſterium & honorem pauperes, poſtea promoti fuerint, & tempore Epiſcopatûs vel Clericatûs quodvis immobile nomine proprio emerint: reputentur ut raptores bonorum Dominicorum, ſcilicet eorum quæ Deo ſunt dedicata. Hoc autem ſignificavit canon, dum dixit; ut qui invaſerint, teneantur, niſi hujus admoniti, id eſt, ab hoc temerario incepto deſiſtere juſſi, ea eccleſiæ dominio aſcripſerint. Si autem ex hæreditate vel legato vel donatione aliquid ad eos devenerit; eorum quidem partem aliquam, quæ illis videbitur, Eccleſiæ dominio tribuere debent, reliquorum autem habere certum & indubitatum dominium. Sed ſi poſtquam propoſuerit ex iis aliqua eccleſiæ conſecrare, ſi eum pœnitentia ſubierit, à ſacerdotali honore excidet ut indignus & reprobus. Hæc cùm decernat canon, dicunt aliqui, ea quæ in ipſo ſunt intelligi de omnibus, quæ poſt Epiſcopatûs vel Clericatûs adoptionem undecunque empta ſunt, vel etiam acquiſita ab Epiſcopis vel Clericis, præterquam ea quæ ad ipſos vel ex donatione vel ex legato vel hæreditate devenerint. Mihi autem videtur, quod in Epiſcopis quidem hoc locum habebit: quia nullus eſt eis alius modus per quem res acquirant, præterquam ex juribus epiſcopalibus, & ex externis donationibus & legatis. Ac Epiſcopalia quidem Epiſcopatui tradentur: reliqua autem erunt eorum dominii, quemadmodum hîc quoque canon hoc tractat. Clerici autem, ſi poſtquam in clerum recepti ſunt, aliis modis & non ex Eccleſia res emerint, non cogentur ea Eccleſiæ addicere: ſi quis enim fortè Clericus fiat puerorum ludimagiſter, vel ſcriptor, vel magni alicujus viri amanuenſis aut à ſecretis, & magnas ex eo facultates paraverit; quare cogetur ea, quæ his rationibus acquiſita ſunt, Eccleſiæ addicere? Præſens autem interpretatio à verbis canonis dependet, ſtatuentis quæ ex liberalitate vel hæreditatibus provenerunt, eos habere in poteſtate, præterquam quòd pars quædam Eccleſiæ dari debet.

A **ΑΡΙΣΤ.** Ὁ μείζω τιμὴν ἀπωθούμενος, καὶ ἣν ἔχει προσαπολέσει.

Ὁ τιμῆς μείζονος κρινόμενος ἄξιος παρὰ τοῦ ἰδίου ἐπισκόπου, καὶ δι' ἀναγκαίαν αἰτίαν τῆς ἐκκλησίας εἰς ταύτην προβιβαζόμενος, καὶ μὴ πειθαρχῶν, οὐ δι' εὐλάβειαν, ἀλλὰ διὰ καταφρόνησιν· μετακινηθήσεται καὶ τοῦ βαθμοῦ ἐν ᾧ διακονεῖ, καὶ προσαπολέσει τοῦτον. τυχὸν γὰρ ὑποδιάκονος ἦν, καὶ ἐκρίνετο ἄξιος τοῦ γενέσθαι διάκονος, καὶ ἦν τοῦτο ἀναγκαῖον γενέσθαι τῷ ἐπισκόπῳ, διὰ τὸ μὴ ἔχειν ἀρκοῦντας διακόνους, μήτε εὑρίσκειν τινὰς κατ' αὐτὸν, ὄντας καὶ τὸν B βίον ἀνεπιλήπτους, καὶ τὸν λόγον δοκίμους.

ΚΑΝΩΝ λε΄.

Ἐάν τις τῶν κληρικῶν πενιχρὸς, προκόψας εἴς τινα τάξιν κτήσοιτό τι ποτε, ὑποκεῖσθαι τῇ ἐξουσίᾳ τῶν ἐπισκόπων. ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι, ἢ καὶ οἱοιδήποτε κληρικοὶ, οἱ μηδὲν ἔχοντες, ἐὰν προκόψαντες τῷ καιρῷ τῆς ἐπισκοπῆς ἢ τῆς κληρώσεως αὐτῶν, ἀγροὺς ἢ οἱαδήποτε χωρία ἐπ' ὀνόματι ἰδίῳ ἀγοράσωσιν, ἵνα ὡς κατὰ δεσποτικῶν πραγμάτων ἔφοδον πεποιηκότες, ἐνέχωνται· εἰ μὴ ἄρα λοιπὸν ὑπομνησθέντες, τῇ ἐκκλησίᾳ ταῦτα εἰσκομίσωσιν. ἐὰν δὲ εἰς αὐτοὺς κυρίως φιλοτιμία C τινὸς ἢ διαδοχὴ συγγενείας περιέλθῃ, ἐξ αὐτῆς ποιήσωσιν ὃ ἔχει ἡ πρόθεσις αὐτῶν. εἰ δὲ καὶ μετὰ τὸ προθέσθαι εἰς τοὐπίσω μεταστραπῶσιν, τῆς ἐκκλησιαστικῆς τιμῆς ἀνάξιοι, ὡς ἀδόκιμοι, κριθῶσιν.

ΒΑΛΣ. Ὁ μὲν μ΄. ἀποστολικὸς κανὼν θεσπίζει ἀπογράφεσθαι τὸν ἐπίσκοπον, κατὰ τὸν καιρὸν τῆς χειροτονίας αὐτοῦ, τὰ οἰκεῖα πράγματα· ὡσαύτως καὶ ὁ κδ΄. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ὥστε εἶναι φανερὰ ταῦτά τε καὶ τὰ ἀπὸ τῆς ἐκκλησίας εἰσοδιαζόμενα. ὁ δὲ παρὼν κανὼν διορίζεται, ἵνα ἐὰν οἱ ἐπίσκοποι ἢ πρεσβύτεροι ἢ διάκονοι ἢ οἱοιδήποτε κληρικοὶ πενόμενοι D πρὸ τῆς ἐκκλησιαστικῆς διακονίας καὶ τιμῆς, μετὰ ταῦτα προκόψωσι, καὶ κατὰ τὸν καιρὸν τῆς ἐπισκοπῆς ἢ τῆς κληρώσεως οἱονδήποτε κτῆμα ἀκίνητον ἀγοράσωσιν εἰς ὄνομα οἰκεῖον, λογίζονται ὡς ἅρπαγες τῶν δεσποτικῶν πραγμάτων, ἤγουν τῶν ἀνατεθειμένων τῷ θεῷ. τοῦτο γὰρ ἐνέφηνεν ὁ κανὼν διὰ τοῦ εἰπεῖν, ὡς ἔφοδον πεποιηκότες ἐνέχωνται, εἰ μήπως ὑπομνησθέντες περὶ τούτου, ἤγουν παραγγελθέντες ἀποστῆναι τοῦ τολμηθέντος, προσκυρώσωσι ταῦτα τῇ ἐκκλησίᾳ. εἰ δὲ ἀπὸ κληρονομίας ἢ ληγάτου ἢ δωρεᾶς περιέλθῃ τι εἰς αὐτοὺς, ὀφείλουσι μέρος μὲν ἀπὸ τούτων τὸ δοκοῦν αὐτοῖς, προσκυροῦν τῇ ἐκκλησίᾳ, τῶν λοιπῶν δὲ τὴν κυριότητα ἔχειν ἀναμφίλεκτον. μετὰ μέντοι τὸ προθέσθαι ἀφιερῶσαί τινα ἐκ τούτων τῇ ἐκκλησίᾳ, E ἐὰν μετάμελος γένηται, ἐκπεσεῖται τῆς ἱερατικῆς τιμῆς ὡς ἀνάξιος καὶ ἀδόκιμος. ταῦτα τοῦ κανόνος διοριζομένου, λέγουσί τινες ἐξακούεσθαι τὰ ἐν αὐτῷ εἰς πάντα τὰ μετὰ τὴν κλήρωσιν ἢ τὴν ἐπισκοπὴν ἀγορασθέντα ὁθενδήποτε, ἢ καὶ ἐπικτηθέντα παρὰ ἐπισκόπων ἢ κληρικῶν, ἄνευ τῶν ἀπὸ δωρεᾶς ἢ ληγάτου ἢ κληρονομίας περιελθόντων εἰς αὐτούς. ἐμοὶ δὲ δοκεῖ, ὡς ἐπὶ μὲν τοῖς ἐπισκόποις τοῦτο κρατήσει, ὅτι οὐδὲ ὕπεστι τρόπος ἕτερος αὐτοῖς δι' οὗ κτήσονται πράγματα, ἀλλ' ἢ μόνος ὁ ἀπὸ τῶν ἐπισκοπικῶν δικαίων καὶ ὁ ἀπὸ τῶν ἔξωθεν δωρεῶν καὶ ληγάτων. καὶ τὰ μὲν ἤγουν τὰ ἐπισκοπικὰ τῇ ἐπισκοπῇ προσκυρωθήσεται· τὰ δὲ λοιπὰ τῆς ἐξουσίας αὐτοῦ ἔσονται, καθὼς F τοῦτο καὶ ὁ κανὼν διαλαμβάνει. οἱ δὲ κληρικοὶ, ἐὰν μετὰ τὴν κλήρωσιν ἀπὸ ἑτέρων τρόπων, οὐχὶ ἀπὸ τῶν τῆς ἐκκλησίας, ἀγοράσωσι πράγματα, οὐκ ἀναγκασθήσονται ταῦτα προσκυρῶσαι τῇ ἐκκλησίᾳ. ἐὰν γὰρ τυχὸν παιδοδιδάσκαλος γένηταί τις κληρικὸς ἢ καλλιγράφος ἢ ὑπογραφεὺς μεγιστᾶνος τινὸς, καὶ ἐντεῦθεν πολυκτήμων καταστῇ, ἵνα τί καταναγκασθήσεται τὰ ἀπὸ τοιούτων τρόπων ἐπικτηθέντα αὐτῷ τῇ ἐκκλησίᾳ προσκυρῶσαι; ἡ παροῦσα δὲ ἑρμηνεία ἐξέχεται καὶ τῶν ῥημάτων τοῦ κανόνος, διαλαμβάνοντος τὰ ἀπὸ φιλοτιμιῶν ἢ κληρονομιῶν ἔχειν ἐπ' ἐξουσίας αὐτοὺς, ἄνευ μέρους τινὸς ὀφείλοντος δοθῆναι τῇ ἐκκλησίᾳ.

τοῦ δὲ κανόνος περὶ ἀκινήτων διαλαμβάνοντος, ἐρωτήσει τις ἐὰν τὸ αὐτὸ ὀφείλει κρατεῖν καὶ ἐπὶ τῶν κινητῶν; καὶ οἶμαι ὅτι τὸ αὐτὸ καὶ ἐπὶ τούτοις γενήσεται, διὰ τὸ μηδεμίαν εἶναι διαφορὰν κινητῶν καὶ ἀκινήτων, ὅσον εἰς τὴν ἐπίκτησιν. κυρίως δὲ εἶπεν, ἀντὶ τοῦ εἰ ἐξ ὀρθοῦ αὐτῷ καταλειφθῇ· ἐπεὶ πολλὰ καταλιμπάνονταί τισιν, ὥστε αὐτὰ ἑτέροις ἀποκαταστῆσαι ἢ ἀναλῶσαι ὁπωσδήποτε. ἐκ τῶν τοιούτων οὖν οὐκ ἀπαιτεῖται ἀφιερῶσαί τι τῇ ἐκκλησίᾳ, ἀλλ' ἐκ τῶν κυρίως ἤτοι ἰδικῶς αὐτῷ καταλελειμμένων, καὶ ὧν κύριος ἐστὶν ἐκεῖνος. σημείωσαι οὖν τὸν κανόνα τὸν λέγοντα, ὅτι ἐξ ἀνάγκης ὀφείλουσιν οἱ κληρικοὶ καὶ οἱ ἐπίσκοποι καταλιμπάνειν ταῖς κατ' αὐτοὺς ἐκκλησίαις μέρος τι, ὃ δοκοῦν αὐτοῖς, ἀπὸ τῶν κυρίως διαφερόντων τούτοις, πάντως δὲ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς· καὶ τοῦτο, οἷον ἂν καὶ ὅσον ἐστὶν, οὐκ ἀποπεμφθήσεται.

ΖΩΝΑΡ. Ἐὰν ἄποροι τινὲς γένωνται ἐπίσκοποι ἢ κληρικοὶ, εἶτα εὐπορήσωσι, καὶ κτήσωνται, ἐν ᾧ εἰσιν ἐπίσκοποι ἢ κληρικοὶ, ἀγροὺς ἢ χωρία, ὠνησάμενοι αὐτὰ εἰς ὄνομα οἰκεῖον, δοκοῦσιν ἐκ πραγμάτων τῆς ἐκκλησίας ταῦτα κτήσασθαι, καὶ ἔνοχοί εἰσιν, ὥσπερ εἰ δεσποτικὰ πράγματα ἤγουν κυριακὰ διηρπάκασι, (τοῦτο γὰρ ἐνέφηνε διὰ τοῦ εἰπεῖν, ὡς ἔφοδον πεποιηκότες,) εἰ μὴ τῇ ἐκκλησίᾳ ταῦτα ἀφιερώσουσιν. διὸ καὶ οἱ νόμοι τῆς πολιτείας ἀπαιτοῦσι τοὺς ἐπισκόπους, ὅτε μέλλουσι χειροτονεῖσθαι, φανερὰ ποιεῖν ἃ κέκτηνται, ἵνα ἔχωσιν ἄδειαν, οἷς βούλονται, νομίμως ταῦτα καταλιμπάνειν. καὶ ὁ μ'. δὲ κανὼν τῶν ἁγίων ἀποστόλων, ἔστω φησὶ, φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, εἴγε καὶ ἴδια ἔχει, καὶ φανερὰ τὰ κυριακὰ, καὶ τὰ ἑξῆς. καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ κδ'. κανὼν περὶ τούτου θεσμοθετεῖ. ἐὰν δὲ καὶ ἐπισκόπῳ ὄντι τινὶ ἢ κληρικῷ περιέλθῃ κυρίως φιλοτιμίᾳ τινὸς, ἤγουν ληγάτον ἢ δωρεὰ ἢ κληρονομία συγγενικὴ, δεῖ, φησὶ, καὶ ἐξ αὐτοῦ ἀφιερῶσαι τῇ ἐκκλησίᾳ μέρος κατὰ τὴν οἰκείαν προαίρεσιν. κυρίως δὲ εἶπεν, ἀντὶ τοῦ ἐξ ὀρθοῦ αὐτῷ καταλειφθῇ, ἐπεὶ πολλὰ καταλιμπάνονταί τισιν, ὥστε αὐτὰ ἑτέροις ἀποκαταστῆναι, ἢ ἀναλῶσαι αὐτὰ εἰς αἰχμαλώτων ἀναρρύσεις, ἢ εἰς οἰκοδομὰς οἴκων ἱερῶν, καὶ εἰς ἄλλας αἰτίας ὁμοίας. ἐκ τῶν τοιούτων οὖν οὐκ ἀπαιτεῖται ἀφιεροῦν τι τῇ ἐκκλησίᾳ, ἀλλὰ ἐκ τῶν κυρίως ἤτοι ἰδικῶς αὐτῷ καταλελειμμένων, καὶ ὧν κύριος ἐκεῖνός ἐστιν. εἰ δὲ προέθεντο καὶ ὑπέσχοντο μέρος ἀφιερῶσαι τῇ ἐκκλησίᾳ, εἶτα μετετράπησαν, ἀντὶ τοῦ μετεβλήθησαν, ἀνάξιοι κριθήσονται οὗτοι τῆς ἱερατικῆς τιμῆς.

ARIST. Ὁ μετὰ τὸ προχειρισθῆναι ἀγρὸν ἐξωνούμενος, οὐδὲν ἔχων, ἴστω τῇ ἐκκλησίᾳ τοῦτον προσάγειν, εἰ μὴ ἐκ διαδοχῆς συγγενείας, ἢ καθαρᾶς φιλοτιμίας τούτῳ περιελέλυθε.

Οἱ πρὸ τῆς ἐπισκοπῆς μὴ ἔχοντες ἴδια πράγματα, ἢ καὶ οἱ κληρικοὶ, οἱ πρὸ τοῦ κληρωθῆναι ὄντες πενέστατοι, ἐὰν μετὰ τὸ προχειρισθῆναι ἀκίνητά τινα ἐξωνήσωνται, τῇ ἐκκλησίᾳ ταῦτα προσάξουσιν, ὡς ἐκ τῶν προσόδων αὐτῆς ταῦτα ἐπικτησάμενοι. εἰ μήπου ἀπὸ κληρονομίας, ἢ ἀπὸ τινος δωρεᾶς τῇ ἀληθείᾳ πρὸς αὐτοὺς γενομένης, φαίνονται ταῦτα περιελθεῖν εἰς αὐτούς.

A Cùm autem Canon tractet de immobilibus; rogaverit quiſpiam, an idem ſervari debeat etiam in mobilibus? & exiſtimo quòd idem etiam in his fiet; propterea quòd nulla eſt differentia mobilium & immobilium, quod ad acquiſitionem attinet. Propriè autem dixit, pro, ſi directò ei relicta ſint, quoniam multa quibuſdam reliquuntur, ut ea aliis quomodocunque reddant ac reſtituant. Ex hujuſmodi ergo non poſtulat, ut quidquam Eccleſiæ conſecret; ſed ex eis quæ propriè ſeu privatim ei relicta ſunt, & quorum ille eſt dominus. Nota igitur Canonem, qui dicit, quòd Epiſcopi & Clerici debent neceſſariò ſuis Eccleſiis partem aliquam, B quæ illis videbitur ex iis quæ propriè ad eos pertinent, relinquere; omnino autem extremo ſpiritu: & in hoc, cujuſmodi & quantulumcunque eſt, non repudiabitur.

Zonar. Si qui homines, cum rei familiaris inopia laborarent, ad Epiſcopatum evecti aut in Clerum cooptati ſunt, deinde vero divitiis affluant, agroſque aut prædia, poſtquam Epiſcopi aut Clerici ſunt, proprio nomine emercati poſſideant; illa ex bonis Eccleſiæ quæſiiſſe cenſentur, ac niſi Eccleſiæ conſecraverint, Dominicas, hoc eſt, Deo dicatas poſſeſſiones, diripuiſſe judicabuntur. Id namque illa ſignificant; Tanquam qui Dominica bona invaſerint. Proinde civilibus quoque C Legibus cautum eſt, ut Epiſcopi, cum eligendi ſunt, quid in ipſorum poſſeſſionibus ſit teſtatum faciant; ut illas, quibuſcunque collibitum fuerit, ex legum præſcripto relinquere liceat. Quadrageſimus vero ſanctorum Apoſtolorum Canon; Nota ſint, inquit, propria Epiſcopi bona, ſi quidem propria quoque habet; notaque item Dominica ſint, & quæ ſequuntur. Idem xxiv. quoque Antiochenæ Synodi Canone cautum eſt. Quod ſi Epiſcopo cuiquam aut Clerico aliquid alicujus liberalitate ipſi propriè addictum, legatum quippe aut donatio aut cognata hæreditas, obvenerit, ex eo quoque Eccleſiæ partem pro ſuo arbitrio conſecrabit. Propriè D vero dixit addictum, hoc eſt, quod homini ex directo fuerit relictum; quoniam multa aliquibus relinquuntur, ut aliis tradant, aut in captivorum redemptionem, aut in ſacrarum ædium ædificationem, aut in alios ejuſmodi uſus inſumant. Nihil ergo ex hujuſmodi rebus, ſed ex iis tantum, quæ ipſi propriè ac peculiariter ſunt relictæ, quarumque ipſe dominus eſt, Eccleſiæ conſecrare neceſſariò cogetur. Quod ſi qui, parte aliqua jam Eccleſiæ deſtinata, poſtea retro converſi ſunt, hoc eſt, ſententiam mutarunt, Sacerdotii honore indigni eſſe judicabuntur.

Arist. *Qui poſt promotionem, nihil habens, agrum* E *emerit, in Eccleſiam eum conferat, niſi ſucceſſione cognationis aut purâ liberalitate ei obvenerit.*

Qui ante Epiſcopatum propria non habent bona, vel etiam Clerici, qui antequam in Clerum cooptati fuerint, pauperrimi erant; ſi poſtquam promoti ſunt, immobilia aliqua redimant, ea ad Eccleſiam afferent, ut qui ex illius reditibus eadem acquiſiviſſent: niſi forte ab hæreditate, aut ab alicujus donatione, vere ad ipſos factâ, appareant ea ad ipſos obvenire.

F

CANON XXXVI.

Ut Presbyteri res Eccleſiæ, in qua conſecrantur, non vendant: & ut nulli liceat Epiſcopo re abuti, quæ eſt ex titulo Eccleſiaſticæ matriculæ. Similiter placuit, ut Presbyteri, præter mentem ſuorum Epiſcoporum res Eccleſiæ, in qua conſecrantur, non vendant: quemadmodum Epiſcopis quoque prædia Eccleſiæ, ignorante Synodo, vel ſuis Presbyteris vendere non licet. Non exiſtente ergo neceſſitate, non liceat Epiſcopo re abuti, quæ eſt ex titulo Eccleſiaſticæ matriculæ.

Bals. Ut eſt veriſimile, quidam Sacerdotes res Eccleſiaſticas, præter ſuorum Epiſcoporum ſententiam, vendebant. Quin etiam Epiſcopi ſuarum Eccleſiarum prædia emancipabant, præter Synodi, vel etiam ſuorum Sacerdotum ſententiam. Dicit ergo Canon, ne hoc fiat amplius; ſed quando tale quid faciendi neceſſitas premit Epiſcopum, id cum Synodi ſuæ conſenſu & ſuorum Presbyterorum faciat. Ei autem aliter re uti non liceat, quæ in brevibus Eccleſiaſticis ſeu in matricula ſcripta eſt, hoc eſt, in repertorio Eccleſiaſtici tituli ſeu libri. Titulus enim dicitur aliquando inſcriptio, aliquando verò cauſa, aliquando autem & liber. Cùm autem audis Canonem dicentem, nec Epiſcopum præter Synodi ſententiam & ſuorum Presbyterorum Eccleſiæ prædia vendere; nec Presbyteros præter ſententiam ſuorum Epiſcoporum vendere res Eccleſiaſticas; ne dixeris, quod ad hoc attinet, Presbyteros æquari Epiſcopis: ſed dic, quòd Presbyteri quidem, præter Epiſcoporum ſententiam, quamcunque rem mobilem vel immobilem vel etiam quæ facilè corrumpi poteſt, vinum fortè vel frumentum, vendere non poſſunt; Epiſcopus autem ea quidem, quæ facilè corrumpi poſſunt, mobilia, & quæ per ſe mobilia, etiam præter ſuorum Clericorum ſententiam, poteſt alienare; ſed non itidem immobilia. Propterea enim præſens quoque Canon jubet Pesbyteros non vendere bona Eccleſiaſtica ſine Epiſcopis: Epiſcopis autem prohibuit immobilia, ſine neceſſitate & ſine Synodali & Presbyterorum ſententia, vendere. Quòd autem habet Epiſcopus poteſtatem, etiam præter ſuorum Presbyterorum mentem & Synodi, vendendi per ſe immobilia & mobilia, quæ facilè corrumpi poſſunt, patet ex xxxviii. & xli. Can. Apoſtolicis quos etiam lege: atque etiam ex præſenti Canone, qui prohibet Eccleſiaſticorum prædiorum & fundorum alienationem ſine cognitione & examinatione faciendam. Ne huic autem interpretationi repugnare videantur Canones, qui ſacra Eccleſiaſtica ab Epiſcopis vendi prohibent. Etſi enim ſint mobilia, immobilium tamen locum obtinent, ſicut & hoc ſæpe in legibus invenitur. Porrò quando Eccleſiaſticum immobile ob prementem neceſſitatem vendendum eſt, non debet Epiſcopus rem reditum habentem vendere; ſed qualem xxvi. Canone præſentis Synodi eam eſſe vult, & ſecundùm dictas illic diſtinctiones. Abuſus autem Canon meminit, ne dicas prohiberi ſolùm venditionem immobilium, non autem etiam alias alienationes. Neque enim per emphyteuſin, neque per donationem, neque per permutationem, neque ad multum tempus poteſt Epiſcopus rem Eccleſiaſticam alienare, niſi urgeat neceſſitas.

Zonar. Sanctorum Apoſtolorum Canones, trigeſimus octavus & quadrageſimus primus, jus adminiſtrationémque rerum Eccleſiaſticarum penes Epiſcopos eſſe voluere. Proinde ne Sacerdotibus res Eccleſiæ,

ΚΑΝΩΝ λϛ΄.

Ὥστε πρεσβυτέρους πρᾶγμα τῆς ἐκκλησίας, ἐν ᾗ καθιερῶνται, μὴ πιπράσκειν, καὶ ὥστε μηδενὶ ἐπισκόπῳ ἐξεῖναι πράγματι καταχρήσασθαι ἐκ τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάτρικης. ὁμοίως ἤρεσεν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων αὐτῶν ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιερώθησαν· ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρία τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου, ἢ τῶν ἰδίων πρεσβυτέρων. μὴ οὔσης τοίνυν ἀνάγκης, μηδὲ ἐπισκόπῳ ἐξεῖναι καταχρήσασθαι πράγματι ἐκ τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μάτρικος.

ΒΑΛΣ. Ὡς ἔοικεν ἱερεῖς τινες ἐπώλουν ἐκκλησιαστικὰ πράγματα παρὰ γνώμην τῶν οἰκείων ἐπισκόπων. ἀλλὰ μὴν καὶ ἐπίσκοποι ἐπίπρασκον χωρία τῶν ἐκκλησιῶν αὐτῶν, παρὰ γνώμην τῆς κατ' αὐτοὺς συνόδου, ἢ καὶ τῶν ἰδίων πρεσβυτέρων. φησὶν οὖν ὁ κανὼν μηκέτι τοῦτο γίνεσθαι, ἀλλὰ καὶ ὅτε προσκαλεῖται ἀνάγκη ποιῆσαι τοιοῦτόν τι ἐπίσκοπον, μετὰ συναινέσεως τῆς κατ' αὐτὸν συνόδου καὶ τῶν ἰδίων πρεσβυτέρων τοῦτο ποιεῖν· ἄλλως δέ πως μὴ ἔχειν ἐπ' ἀδείας αὐτὸν καταχρήσασθαι πράγματι καταγεγραμμένῳ ἐν τοῖς ἐκκλησιαστικοῖς βρεβίοις, ἤγουν ἐν τῇ μάτρικι, τουτέστιν ἐν τῇ ἀπογραφῇ τοῦ ἐκκλησιαστικοῦ τίτλου, ἤτοι βιβλίου. τίτλος γὰρ λέγεται ποτὲ μὲν ἡ ἐπιγραφή, ποτὲ δὲ ἡ αἰτία, ποτὲ δὲ καὶ τὸ βιβλίον. ἀκούων δὲ τοῦ κανόνος λέγοντος, μήτε ἐπίσκοπον παρὰ γνώμην τῆς συνόδου καὶ τῶν ἰδίων πρεσβυτέρων πιπράσκειν χωρία τῆς ἐκκλησίας, μήτε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων ἐπισκόπων πωλεῖν πράγματα ἐκκλησιαστικά, μὴ εἴπῃς ἐξισοῦσθαι κατὰ τοῦτο τὸ μέρος τοῖς ἐπισκόποις τοὺς πρεσβυτέρους· ἀλλ' εἰπέ, ὅτι οἱ μὲν πρεσβύτεροι παρὰ γνώμην τῶν ἐπισκόπων οἱονδηποτοῦν πρᾶγμα κινητὸν ἢ ἀκίνητον ἢ καὶ εὔφθαρτον, οἶνον τυχὸν ἢ σῖτον, πωλεῖν οὐ δύνανται· ὁ δὲ ἐπίσκοπος, τὰ μὲν εὔφθαρτα κινητὰ καὶ τὰ αὐτοκίνητα, καὶ παρὰ γνώμην τῶν οἰκείων κληρικῶν ἐκποιεῖν δύναται· οὐ μὴν καὶ τὰ ἀκίνητα. διὰ γὰρ τοῦτο καὶ ὁ κανών, τοὺς μὲν πρεσβυτέρους παρεκελεύσατο μὴ πωλεῖν πράγματα ἐκκλησιαστικὰ δίχα τῶν ἐπισκόπων· τοὺς δὲ ἐπισκόπους ἐκώλυσε πιπράσκειν ἀκίνητα δίχα ἀνάγκης καὶ συνοδικῆς γνώμης καὶ τῶν πρεσβυτέρων. ὅτι δὲ ἐξουσίαν ἔχει ὁ ἐπίσκοπος, καὶ παρὰ γνώμην τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῆς κατ' αὐτὸν συνόδου πιπράσκειν ἐκκλησιαστικὰ ἀκίνητα καὶ εὔφθαρτα κινητά, δῆλόν ἐστιν ἀπὸ τοῦ λή. ἀποστολικοῦ κανόνος καὶ τοῦ μά. οὓς καὶ ἀνάγνωθι· ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ παρόντος κανόνος κωλύοντος τὴν ἀδιάγνωστον ἐκποίησιν τῶν ἐκκλησιαστικῶν χωρίων καὶ μονῶν. μὴ ἐναντιωθῶσι δέ σοι πρὸς τὴν παροῦσαν ἑρμηνείαν οἱ κανόνες, οἱ κωλύοντες παρὰ ἐπισκόπων πιπράσκεσθαι ἱερὰ ἐκκλησιαστικά. κἂν γὰρ κινητὰ ταῦτα ὦσιν, ἀλλὰ ἀκινήτων ἐπέχουσι τόπον· καθὼς καὶ ἐν τοῖς νόμοις τοῦτο πολλαχοῦ εὑρίσκεται. καὶ ὅταν δὲ μέλλῃ διαπραθῆναι ἐκκλησιαστικὸν ἀκίνητον διὰ προκειμένην ἀνάγκην, οὐκ ὀφείλει πωλεῖν ὁ ἐπίσκοπος πρᾶγμα ἔχον πρόσοδον, ἀλλ' οἷον ὁ κϛ΄. κανὼν τῆς παρούσης συνόδου φησί, καὶ κατὰ τὰς ἐκεῖσε εἰρημένας διαστάσεις. καταχρήσεως δὲ ὁ κανὼν ἐμνήσθη, ἵνα μὴ εἴπῃς μόνην κωλύεσθαι τὴν διάπρασιν τῶν ἀκινήτων, οὐ μὴν καὶ τὰς ἄλλας ἐκποιήσεις. οὔτε γὰρ κατ' ἐμφύτευσιν, οὔτε κατὰ δωρεάν, οὔτε κατὰ ἀνταλλαγήν, οὔτε ἐπὶ χρόνοις πολλοῖς ἐκποιεῖσθαι ἐκκλησιαστικὸν ἀκίνητον ἐπίσκοπος δύναται, ἀνάγκης μὴ προκειμένης.

ΖΩΝΑΡ. Οἱ τῶν σεπτῶν ἀποστόλων κανόνες, ὅ τε λή. καὶ ὁ μά. τὴν ἐξουσίαν καὶ φροντίδα τῶν ἐκκλησιαστικῶν πραγμάτων τοῖς ἐπισκόποις ἀνατιθέασιν. ἀκολούθως οὖν ὁ κανὼν οὗτος ἀπαγορεύει πιπράσκειν τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας πρᾶγμα, ἐν ᾗ καθιερώθησαν, εἰ μὴ καὶ ὁ ἐπίσκοπος συνευδοκεῖ. ἵνα δὲ μὴ τῇ δοθείσῃ αὐτοῖς ἐξουσίᾳ ἐκ τῶν ἀποστολικῶν κανόνων καταχρώμενοι οἱ ἐπίσκοποι ἐναυθεντῶσι καὶ ἐκποιῶνται τὰ ἐκκλησιαστικὰ, καὶ ἐπήγαγεν, ὅτι οὐδὲ τῷ ἐπισκόπῳ ἐξέσται χωρία πιπράσκειν τῆς ἐκκλησίας, ἀγνοούσης τῆς συνόδου, ἀφ᾽ ἧς καὶ αὐτός ἐστιν, ἢ τῶν ἰδίων πρεσβυτέρων. δεῖ γὰρ τῶν διοικήσεων τῶν ἐκκλησιαστικῶν πραγμάτων εἴδησιν ἔχειν αὐτούς· ἵνα μὴ ἀμαρτύρου τῆς οἰκονομίας οὔσης, σκάνδαλα κατὰ τοῦ ἐπισκόπου φύωνται. χωρὶς τοίνυν ἀνάγκης μηδὲ τῷ ἐπισκόπῳ ἐξέστω καταχρήσασθαι πράγματι ἀπογεγραμμένῳ ἐν τῇ ἐκκλησιαστικῇ ματρίκι, ἤγουν τῇ ἀπογραφῇ. τίτλος δὲ ἡ ἐπιγραφὴ λέγεται καὶ ἡ αἰτία, ἀλλὰ μὴν καὶ τὸ βιβλίον, ὡς ἐν τοῖς νόμοις που γέγραπται. καὶ ὅτι δὲ ἐκποιήσασθαι ἀκίνητον ὁ ἐπίσκοπος μέλλει, τοιοῦτον ἐκποιήσεται, οἷον ὁ κϛʹ. κανὼν τῆς παρούσης συνόδου φησὶ, καὶ κατὰ εἰρημένας ἐκεῖ διατάξεις.

ΑΡΙΣΤ. Πρεσβύτερος ἐκκλησιαστικὸν πρᾶγμα, τοῦ ἐπισκόπου χωρὶς, οὐ πιπράσκει· οὐδὲ ἐπίσκοπος χωρίον, συνόδου μὴ ἐπιγινωσκούσης.

Τὰ τῶν ἐκκλησιῶν ἀνεκποίητα μένειν ὀφείλουσιν. εἰ δὲ ἀνάγκη γένηται ἐκποιηθῆναί τι ἀκίνητον, οὐκ ἄνευ γνώμης τῆς συνόδου διαπωλήσει τοῦτο ὁ ἐπίσκοπος· εἰ μὴ βούλεται, κατὰ τὸν εἰκοστὸν ἕκτον κανόνα τῆς παρούσης συνόδου, Θεῷ καὶ συνόδῳ ἑαυτὸν καταστῆσαι ὑπεύθυνον, καὶ τῆς τιμῆς ἀλλότριον. ἀλλ᾽ οὐδὲ πρεσβύτερος, οἰκονομίαν τινὰ τῆς ἐπισκοπῆς ἐμπεπιστευμένος, χωρὶς εἰδήσεως τοῦ ἰδίου ἐπισκόπου, πρᾶγμα ἐκκλησιαστικὸν, ἢ ἀκίνητον, ἢ αὐτοκίνητον, διαπωλήσει.

Ανεγνώσθησαν ἔτι μὴν ἐν ταύτῃ τῇ συνόδῳ διάφοροι σύνοδοι πάσης τῆς τῶν Αφρων χώρας, ἐπιτελεσθεῖσαι ἐν τοῖς παρελθοῦσι χρόνοις Αὐρηλίου ἐπισκόπου Καρχηδόνος.

Εκ τῆς συνόδου τῆς ἐν Ιππῶνι Ρεγίῳ γενομένης. ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου Αὐγούστου τὸ τρίτον, καὶ ἐπὶ Αβουνδατίου τοῦ λαμπροτάτου ὑπάτου ὀγδόῳ, εἰδοῖς Οκτωβρίαις, ἐν Ιππῶνι Ρεγίῳ εἰς τὸ σήκρητον τῆς ἐκκλησίας πάκης· καὶ τὰ λοιπὰ πεπραγμένα ταύτης τῆς συνόδου διὰ τοῦτο οὐκ ἐγράφησαν, ἐπειδὴ τὰ ἐν αὐτῇ ὁρισθέντα, ἐν τοῖς ἀνωτέροις δείκνυνται ἐγκείμενα.

ΒΑΛΣ. Οὐκ ἐν μιᾷ συνελεύσει τὰ ἐν τῇ συνόδῳ ταύτῃ γενόμενα ἐπράχθησαν, ἀλλ᾽ ἐν διαφόροις. λυομένου γὰρ τοῦ συνεδρίου, πάλιν ἐν ἑτέρῳ καιρῷ συνήρχοντο, καὶ προτιθεμένων ζητημάτων ἐσκόπουν, καὶ τὰ δόξαντα ὥριζον, καὶ συνῆπτον αὐτὰ τοῖς προλαβοῦσιν.

Πρᾶξις δευτέρα.

Εκ τῆς συνόδου Καρχηδόνος, ἔνθα τοποτηρηταὶ ἐπίσκοποι τῆς ἀνθυπατικῆς πρὸς τὴν σύνοδον ἀπεστέλλοντο Αδρυμέτου, ἐπὶ τῶν ἐνδοξοτάτων Βασιλέων Αρκαδίου τὸ τρίτον καὶ Ονωρίου τὸ δεύτερον, τῶν Αὐγούστων ὑπάτων, πρὸ δεκαὲξ καλανδῶν Ιουλίων εἰς Καρχηδόνα. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρηταὶ ἐπελέγησαν ἐπίσκοποι ἀνθυπατικοὶ πρὸς τὴν Αδρυμετινὴν σύνοδον.

Εκ τῆς συνόδου Καρχηδόνος, ἔνθα πολλὰ ὡρίσθησαν, ἐπὶ Καισαρίου καὶ Αττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ πέντε καλανδῶν Σεπτεμβρίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς ἐκκλησίας Ρεστιτούτης, ἐν τῷ προκαθέζεσθαι Αὐρήλιον ἐπίσκοπον, ἅμα ἐπισκόποις παρεστώτων διακόνων, παραγενομένων ἔτι μὴν Βίκτορος τοῦ γέροντος τοῦ Πουπιανίτου, Τίτου τοῦ Μηγριπιτανοῦ, Ευαγγέλου Ασουριτανοῦ, ὡμίλησε πρὸς τοὺς ἐπισκόπους Αὐρήλιος ἐπίσκοπος Καρχηδόνος, ὃς καὶ εἶπεν οὕτως.

Μετὰ τὴν προορισθεῖσαν ἡμέραν τῆς συνόδου, καθημένων ἡμῶν, ὡς μεμνήμεθα, ἀδελφοὶ μακαριώτατοι, καὶ προσδοκώντων ἐκ πασῶν τῶν ἐπαρχιῶν τῆς Αφρικῆς τοποτηρητὰς παραγενέσθαι πρὸς τὴν ἡμέραν τῆς ὑμετέρας συζητήσεως, ἣν,

A cui adſcripti ſunt, ſine Epiſcopi facultate vendere liceat, hic Canon decernit. Tum ne conceſſa ipſis per Apoſtol. Canones auctoritate Epiſcopi abutentes, dominatum ſibi quodammodo vendicent, itaque Eccleſiaſticas poſſeſſiones abdicatum eant, ne ipſi quidem Epiſcopo, niſi re cum Syn. ſua ſubjectiſve ſibi Preſbyteris communicata, prædia Eccleſiaſtica vendendi facultatem eſſe ſtatuit. Neque enim rerum Eccleſiaſticarum adminiſtrationem ab ipſis ignorari oportet; ne, ſi ſine teſte ſit, offenſiones in Epiſcopos exoriantur. Nulla ergo neceſſitate cogente, re in Eccleſiaſtica matricula vel repertorio deſcripta Epiſcopo quoque abuti ne liceat. Tituli vero nomine & inſcriptio B & cauſa quinimò & liber, ut in legibus ſcriptum alicubi reperias, ſignificatur. Et verò, cum alienare aliquid immobile Epiſcopus volet, ejus generis id eſſe debet, quale hujus Synodi Canone ſexto & vigeſimo explicatur, ac ibidem indicatæ cautiones in eo alienando ſerventur.

ARIST. *Preſbyter rem quampiam Eccleſiaſticam ſine Epiſcopo non vendit: Neque Epiſcopus prædium, Synodo non approbante.*

Bona Eccleſiaſtica non alienata manere debent. Si autem neceſſitas requirat, ut immobile aliquid alienetur, C Epiſcopus ſine Synodi ſententiâ illud non vendet: niſi vellet juxta xxvi. præſentis Synodi Can. & Deo & Syn. ſemetipſum reddendæ rationi obnoxium facere, & honore alienum. Sed nec Preſbyter, cui diſpenſatio aliqua Epiſcopatûs concreditur, ſine ſui Epiſcopi ſcientiâ bonum aliquod Eccleſiaſticum, ſive immobile ſive ſuapte naturâ mobile, divendat.

In hac præterea Synodo recitata ſunt univerſa Afrorum regionis diverſa Concilia tranſactis Aurelii Epiſcopi Carthaginenſis temporibus celebrata.

Ex Synodo quæ in Hippone Rhegio facta eſt. Sub clariſſimo Imperatore Theodoſio Auguſto tertiùm, & D *ſub Abundantio illuſtriſſimo Conſule octavùm, Idibus Octobris, in Hippone Rhegio in ſecretario Eccleſiæ Pacis. Et reliqua hujus Synodi acta propterea ſcripta non ſunt: quia quæ in ea conſtituta ſunt, in ſuperioribus ſita eſſe oſtenduntur.*

BALS. Quæ in hac Synodo acta fuere, non in una conventione, ſed in diverſis acta ſunt. Soluto enim conceſſu, rurſus alio tempore convenerunt, & propoſitas quæſtiones examinarunt, quæque illis viſa ſunt definierunt, eaque præcedentibus conjunxerunt.

E

ACTIO SECUNDA.

Ex Synodo Carthaginenſi, in qua Epiſcopi Proconſularis Provinciæ Legati miſſi ſunt ad Synodum Adrumeti, ſub clariſſimis Imperatoribus Arcadio tertiùm & Honorio ſecundùm Auguſtis Conſulibus, decimo ſexto Calendas Julias Carth. In hac Synodo Legati Proconſulares electi ſunt Epiſcopi ad Adrumetanam Synodum.

Ex Synodo Carthaginenſi, ubi multa decreta ſunt, F *ſub Cæſario & Attico illuſtriſſimis Conſulibus, quinto Calendas Septembris, Carthagine, in ſecretario Eccleſiæ Reſtitutæ, dum præſideret Aurelius Epiſcopus, ſimul Epiſcopus aſſiſtentibus Diaconis, præſentibus præterea Victore ſene Pupiniate, Tito Migripetano, Evangelo Aſſuretano, Orationem ad Epiſcopos habuit Aurelius Epiſcopus Carthaginenſis; qui etiam ſic dixit:*

Poſt præfinitum diem Synodi, ſedentibus nobis, ut meminimus, beatiſſimi fratres, & expectantibus, ut ex omnibus Africæ Provinciis adeſſent Legati ad diem veſtræ diſquiſitionis, quæ, ut dixi, *ut dixi, præfinita est: sed etiam lecta Epistola nostrorum ex Bysacio in sacris comministrorum. Illo etiam præterea lecto vestræ dilectioni, si quid unà mecum conquisierunt, qui tempus & diem Synodi anticiparunt. Præterea autem lecta est, & à fratribus Honorato, & Urbano, qui nobiscum hodie Synodi participes, missa Legatio Sitifensis regionis. Rursus autem quoque Reginus Vegetselitanæ regionis literas meæ mediocritati ostendit à Crescentiano & Aurelio Coëpiscopis nostris primæ Sedis duarum Numidiarum: in quibus quidem literis meminit vestra mecum unà dilectio, eos significasse, quòd vel ipsi ad hanc Synodum venire dignarentur, vel pro more Legatos mitterent. Quoniam autem hoc nullo modo factum est, testificantur, qui à tam remota Mauritania Sitifensis regione venerunt Legati non posse se amplius moram trahere. Propterea ergo, fratres, si vestræ videatur dilectioni, literæ fratrum nostrorum ex Bysacio, & Breviarium, quod ipsi Epistolæ alligarunt, in hac convocata congregatione legantur: ut si quæ fortè ex iis vestræ dilectioni minus placeant, quæcunque cura ac diligentia corrigi potuerint, in melius transformentur. Hoc enim frater & Coëpiscopus Mizonius, vir primæ Sedis clarissimus, pro suæ auctoritatis & prudentiæ dignitate scribens ad meam humilitatem petivit. Si ergo placet, quæ sunt conquisita, legantur, & singula à vestra dilectione considerentur.*

Bals. & Zonar. Dies, quo convenirent, hujus Synodi Patribus præfinita est; qui quidem sperabant ex omnibus Africæ Provinciis Legatos ad Synodum venturos: quorum aliqui quidem venerunt; aliqui verò non stiterunt; aliquorum autem allatæ sunt literæ. Qui ergo peregrè advenerunt se non posse diutius perseverare dicentes, Aurelius Episcopus dixit Synodo; quòd quoniam Legati, qui ad nos venerunt, diutius manere non possunt, legantur literæ fratrum nostrorum ex Bysacio, & breve emissum cum literis. Bysacium autem & Sitifensis & duæ Numidiæ & Sellitana sunt partes Africæ regionis. Legantur autem, inquit, ut si aliqua eorum, vestræ dilectioni repugnent, hoc est, si horum aliqua vobis adversentur, ac, ut non rectè statuta, vos offendant; ea diligentia corrigantur, & in melius tranformentur. Hoc enim, inquit, Mizonius quoque petivit, ut corrigantur quæ correctione indigent. Convocatam autem congregationem dicit vel ut ex sui mutua convocatione congregatam, vel ad correctionem adhortantem, per ea quæ ab ipsa definita sunt, eos qui non rectè vivunt, vel de fide non rectè sentiunt.

Canon XXXVII.

Quòd nihil eorum, quæ in Hipponensi Synodo acta sunt, sit corrigendum. Epigonius Episcopus dixit; In hoc Breviario, quod ex Hipponensi Synodo decerptum est, nihil esse corrigendum vel addendum putamus: nisi ut dies sancti Paschatis in tempore Syn. significetur.

Bals. Hippo urbs est Carthaginensis ditionis, in qua collecta Synodo multa constituta sunt: ex quibus pauca quædam (id enim breve apud Latinos significat) decerpta allata sunt, & rectè habere visa sunt. Hoc autem solum dixerunt Patres esse necessarium, ut sancti Paschatis dies manifestus evadat.

A ὡς εἶπον, προωρίσθη· ἀλλὰ καὶ ἀναγνωσθείσης ἐπιστολῆς τῶν ἀπὸ τοῦ Βυζακίου συλλειτουργῶν ἡμῶν. κἀκείνου δ' ἔτι μὴν παραναγινωσκομένου τῇ ὑμετέρᾳ ἀγάπῃ, εἴτι ἅμα ἐμοὶ συνεζήτησαν οἱ τὸν καιρὸν καὶ τὴν ἡμέραν τῆς συνόδου προλαβόντες. ἔτι μὴν ἀνεγνώσθη καὶ ἀπὸ τῶν ἀδελφῶν Ονωράτου καὶ Ουρβανοῦ, τῶν ἅμα ἡμῖν σήμερον τῆς συνόδου μετεχόντων, τοποτηρησία ἀποσταλεῖσα τῆς Σιτιφένσης χώρας. πάλιν δὲ καὶ ὁ ἀδελφὸς Ρηγῖνος τῆς Βεγετσελιτάνης χώρας γράμματα τῇ ἐμῇ μετριότητι ἐνεφάνισεν, ἀπὸ Κρησκεντιανοῦ καὶ Αυρηλίου τῶν συλλειτουργῶν ἡμῶν τῶν τῆς πρώτης καθέδρας τῶν δύο Νουμιδιῶν, ἐν οἷς γράμμασι τούτους ἐπαγ- B γείλασθαι μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ἀγάπη, ὅτι ἢ αὐτοὶ κατηξίουν ἐλθεῖν πρὸς ταύτην τὴν σύνοδον, ἢ κατὰ τὸ ἔθος ἀποστεῖλαι εἶχον τοποτηρητάς. ἐπειδὴ δὲ τοῦτο οὐδαμῶς γέγονε, διαμαρτύρονται ἀπὸ τοσούτου μήκους τῆς Μαυριτανίας Σιτιφένσης ἐλθόντες τοποτηρηταὶ, ἐπὶ πολὺ μὴ δύνασθαι ἐμβραδύνειν. διὰ οὖν τοῦτο, ἀδελφοὶ, ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, τὰ γράμματα τῶν ἀπὸ τοῦ Βυζακίου ἀδελφῶν ἡμῶν, καὶ τὸ βρεβίον, ὅπερ τῇ αὐτῇ ἐπιστολῇ προσέδησαν, ἐν ταύτῃ τῇ προσκλήτῳ συνελεύσει ἀναγνωσθῶσιν, ἵνα ἐάν τινα τυχὸν ἐξ αὐτῶν ἐνστῶσιν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅσα δι' ἐπιμελείας δυνηθῶσι διορθωθῆναι εἰς κρεῖττον μετατυπωθῶσι. τοῦτο γὰρ ὁ C ἀδελφὸς καὶ συνεπίσκοπος Μιζώνιος, ὁ τῆς πρώτης καθέδρας περιφανέστατος ἀνὴρ, ἀξίως τοῦ ὄγκου καὶ τῆς συνέσεως αὐτοῦ γράφων πρὸς τὴν ἐμὴν εὐτέλειαν ᾔτησεν. ἐὰν οὖν ἀρέσκῃ, τὰ συζητηθέντα ἀναγνωσθῶσι, καὶ ἕκαστα ἐκ τῆς ὑμετέρας κατανοηθῶσιν ἀγάπης.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Ημέρα ὡρίσθη συνελεύσεως τοῖς τῆς συνόδου ταύτης πατράσιν, οἵτινες ἤλπιζον ἐκ τῶν ἐπαρχιῶν ἁπάσης τῆς Αφρικῆς τοποτηρητὰς ἐλθεῖν εἰς τὴν σύνοδον· ὧν τινὲς μὲν ἦλθον, τινὲς δὲ οὐκ ἀπήντησαν, τινῶν δὲ προσεκομίσθησαν γράμματα. τῶν οὖν ἐπιδημησάντων, μὴ D δύνασθαι λεγόντων ἐπιπλέον προσκαρτερεῖν, ὁ ἐπίσκοπος Αὐρήλιος ἔφησε πρὸς τὴν σύνοδον, ὅτι ἐπεὶ οἱ ἐλθόντες πρὸς ἡμᾶς τοποτηρηταὶ προσμένειν καὶ ἔτι οὐ δύνανται, ἀναγνωσθήτωσαν τὰ γράμματα τῶν ἀπὸ Βυζακίου ἀδελφῶν ἡμῶν, καὶ τὸ σὺν τοῖς γράμμασιν ἀποσταλὲν βρέβιον. τὸ δὲ Βυζάκιον καὶ ἡ Σιτιφένση καὶ αἱ δύο Νουμηδίαι, καὶ ἡ Σελλιτανή, τῆς Αφρικῆς χώρας εἰσὶ μοῖραι. ἀναγνωσθήτωσαν δέ, φησιν, ἵνα ἐάν τινα ἐξ αὐτῶν ἐνστῶσι τῇ ὑμετέρᾳ ἀγάπῃ, ἀντὶ τοῦ, ἐάν τινα τούτων ἐναντιωθῶσιν ὑμῖν προσκόψασι τούτοις, ὡς μὴ καλῶς τυπωθεῖσι, διορθωθῶσι ταῦτα δι' ἐπιμελείας, καὶ εἰς κρεῖττον μετατυπωθῶσι. τοῦτο γάρ, φησι, καὶ ὁ Μειζώνιος ᾔτησε τὸ διορθωθῆναι τὰ δεόμενα διορθώσεως. E προσκλητὸν δὲ τὴν συνέλευσιν εἴρηκεν, ἢ ὡς ἐκ προσκλήσεως ἀλλήλων ἀθροιζομένην, ἢ ὡς εἰς διόρθωσιν προσκαλουμένην, διὰ τῶν παρ' αὐτῆς ὁριζομένων, τοὺς μὴ βιοῦντας καλῶς ἢ μὴ φρονοῦντας ὀρθῶς περὶ πίστεως.

ΚΑΝΩΝ λζʹ.

Ὅτι οὐδὲν ἐκ τῆς ἐν Ιππῶνι συνόδου εἴη διορθωτέον. ἐπιγόνιος ἐπίσκοπος εἶπεν· ἐν τούτῳ τῷ βρεβίῳ, τῷ ἀποδρεφθέντι ἐκ τῆς ἐν Ιππῶνι συνόδου, οὐδὲν νομίζομεν εἶναι διορθωτέον ἢ προσθετέον· εἰ μὴ, ἵνα ἡ ἡμέρα F τοῦ ἁγίου πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου γνωρισθείη.

ΒΑΛΣ. Η Ιππὼν πόλις ἐστὶ τῆς Καρχηδόνος, ἐν ᾗ συνόδου ἀθροισθείσης πολλὰ ὡρίσθησαν, ἐξ ὧν τινα ὀλίγα (βρέβεις γὰρ παρὰ τοῖς Λατίνοις τὸ βραχὺ) ἀποδρεφθέντα ἤτοι ἀποτμηθέντα προσεκομίσθησαν, καὶ ἔδοξαν καλῶς ἔχειν. τοῦτο δὲ μόνον ἔφησαν οἱ πατέρες εἶναι ἀναγκαῖον τὸ τὴν ἡμέραν τοῦ ἁγίου πάσχα δήλην γενέσθαι.

A **ΖΩΝΑΡ.** Ἀναγνωσθέντων τῶν γραμμάτων, ἀλλὰ μέντοι καὶ τοῦ βρεβίου, κατὰ τὴν εἰσήγησιν Αὐρηλίου, ὁ Ἐπιγόνιος ἔφη, οὐδὲν δοκεῖ ἡμῖν διορθώσεως ἄξιον ἐν τῷ βρεβίῳ τῷ ἀποτμηθέντι ἐκ τῆς ἐν Ιππῶνι συνόδου. Ιππὼν δὲ πόλις ἐστὶ τῆς Καρχηδόνος, ἐν ᾗ συνόδου ἀθροισθείσης, πολλὰ ὡρίσθησαν, ἐξ ὧν τινὰ ὀλίγα προεκομίσθησαν εἰς τὴν σύνοδον ταύτην. βρέβοις γὰρ Ρωμαϊστὶ τὸ βραχὺ, τὸ ὀλίγον λέγεται. τοῦτο δὲ μόνον, φησὶν, ἀναγκαῖον, τὸ, τὴν ἡμέραν τοῦ ἁγίου πάσχα γνωρισθῆναι ἐν τῷ καιρῷ τῆς συνόδου, ἀντὶ τοῦ δῆλον γενέσθαι, ὅτε σύνοδος γίνεται.

Zonar. Lectis literis & Brevi, quemadmodum ab Aurelio propoſitum fuerat, Epigonius dixit; Nihil videtur nobis in Brevi, quod ex Synodo Hipponenſi decerptum fuit, correctione dignum reperiri. Hippon autem urbs eſt Carthaginienſium ditionis, in qua collecta ſynodo multa conſtituta ſunt, ex quibus pauca quædam ad hanc ſynodum ſunt allata. Breve namque Latinis idem quod parvum, exiguum dicitur. Hoc vero ſolum neceſſarium eſſe ait, ut ſancti Paſchatis dies Synodi tempore ſignificetur, hoc eſt, quo tempore habetur Synodus, denuntietur.

B **ΑΡΙΣΤ.** Οὐδὲν τῆς ἐν Ιππῶνι συνόδου διορθωτέον ἢ προσθετέον· εἰ μὴ ἵνα ἡ ἡμέρα τοῦ πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου γνωρίζηται.

Ariſt. *Nihil in Synodo Hipponenſi corrigendum, vel ei addendum: niſi ut dies Paſchatis celebrandi tempore Synodi ſignificetur.*

Διάφοροι σύνοδοι ἐν πάσῃ τῇ τῶν Αφρων χώρᾳ γεγόνασιν ἐν τοῖς παρελθοῦσι χρόνοις, καὶ ἀνεγνώσθησαν ἐν ταύτῃ τῇ συνόδῳ, καὶ ἔδοξεν ἡ ἐν Ιππῶνι ῥεγίῳ γινομένη σύνοδος καλῶς ἔχειν· καὶ ὥρισαν οἱ πατέρες, μήτε διόρθωσιν, μήτε προσθήκην τὴν τοιαύτην δέξασθαι σύνοδον, ἀλλ᾽ ἢ μόνον τὸ γνωρίζεσθαι τὴν ἡμέραν τοῦ πάσχα ἐν τῷ καιρῷ τῆς συνόδου τῆς ἐν Χαρχηδόνι γινομένης, ἵνα μή τινες ἴσως σφάλλωνται περὶ αὐτήν.

Variæ Synodi in totâ Afrorum regione præterlapſis temporibus habitæ fuere, & in hâc Synodo lectæ; & viſa eſt in Hipponenſi regione celebrata Synodus bene ſe habere: & decreverunt patres iſtam Synodum, nec correctionem aliquam accipere, nec additionem; ſed tantum, ut dies Paſchæ in tempore Synodi Carthagine habitæ ſignificaretur, ne aliqui fortaſſe de eo hallucinentur.

C

ΚΑΝΩΝ λη'.

Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μὴ εὐχερῶς τὰ τέκνα αὐτῶν ποιεῖν ἐμαγκίπατα. ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς τὰ τέκνα αὐτῶν μὴ ἐᾷν αὐτεξουσίως ἀπιέναι διὰ ἐμαγκιπατίωνος, εἰ μηδὲν εἰς τοὺς τρόπους καὶ εἰς τὴν ἡλικίαν αὐτῶν πληροφορηθῶσιν· ὡς λοιπὸν τὰ ἁμαρτήματα αὐτῶν εἰς αὐτοὺς συντείνειν.

Canon XXXVIII.

Ut Epiſcopi & Clerici ſuos liberos non facilè emancipent. Ut Epiſcopi & Clerici ſuos liberos non ſinant per emancipationem ſui juris fieri; niſi de eorum moribus & ætate ſecuri fuerint: ut eorum peccata deinceps in ipſos conferantur.

ΒΑΛΣ. Ἐμαγκιπατίων λέγεται παρὰ Ρωμαίοις ἡ παρὰ τῶν πατέρων διδομένη τοῖς ὑπεξουσίοις παισὶν αὐτεξουσιότης. φησὶν οὖν ὁ κανὼν, μὴ γίνεσθαι αὐτεξουσίους τοὺς παῖδας τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν παρὰ τῶν πατέρων αὐτῶν, εἰ μὴ ἀπὸ τῆς ἡλικίας καὶ τῶν ἀγαθῶν τρόπων πληροφορίαν δώσουσιν, ὅτι δύνανται δεόντως καὶ εὐλαβῶς τὰ κατ᾽ αὐτοὺς οἰκονομεῖν. τούτου δὲ οὕτω μὴ γινομένου, φασὶ τοὺς πατέρας λόγον διδόναι ὑπὲρ τῶν ἁμαρτιῶν τῶν παίδων. καὶ ὁ μὲν κανὼν ἐθέσπισεν ταῦτα χάριν τῶν τέκνων τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν. οἱ δὲ νόμοι παρακελεύονται διὰ νομίμου πράξεως ἤγουν μετὰ δικαστικῆς διαγνώσεως τὴν αὐτεξουσιότητα γίνεσθαι, μὴ διαστείλαντες κληρικῶν καὶ λαϊκῶν παῖδας. καὶ διὰ τοῦτο οὐδὲ κληρικοὶ οὐδὲ ἐπίσκοποι χωρὶς δεκρέτου δικαστικοῦ, ὡς ἐμοὶ δοκεῖ, ἵνα ποιήσωσιν αὐτεξουσίους παῖδας αὐτῶν. ἡ γὰρ δοκιμασία τοῦ βίου τούτων, καὶ τῆς ἡλικίας κατὰ τὸν κανόνα παρὰ δικαστοῦ ὀφείλει γίνεσθαι, οὐ μὴν παρὰ μόνου τοῦ πατρός. καὶ ἀνάγνωθι τὸ γ'. κεφ. τοῦ γ'. τίτλου τοῦ λα'. βιβλ. λέγον, οὐ γυμνὴ συναίνεσις τοῦ πατρὸς ἐλευθεροῖ τῆς ὑπεξουσιότητος τὸν παῖδα, ἀλλὰ νόμιμος πρᾶξις· οὐδὲ μὴν ἡ αἰτία ζητεῖται, ἀλλὰ τῆς πράξεως ἡ ἀκρίβεια. ἴσως δὲ εἴπῃ τις, τὸν παρόντα κανόνα διορθωτικὸν εἶναι τοῦ ε'. κεφ. τοῦ β'. τίτλ. τοῦ λα'. βιβλίου, λέγοντος, ὁ τὸν παῖδα ἐπὶ πολὺ ἐάσας τὰ αὐτεξουσίων πράττειν, καὶ ὑπὸ ἐπιτρόπους τελεῖν, προκριματίζεται περὶ τὴν ὑπεξουσιότητα τοῦ παιδός. τοῦ γὰρ νόμου τούτου λέγοντος ἀπολύεσθαι τῆς ὑπεξουσιότητος τὸν κατὰ ἀνοχὴν τοῦ πατρὸς διοικοῦντα τὰ οἰκεῖα ἐπὶ πολὺν χρόνον, ἤγουν ἐπὶ διετίαν, ἔφησεν ὁ κανὼν, μὴ ὀφείλειν τοῦτο γίνεσθαι καὶ εἰς τοὺς παῖδας τῶν ἐπισκόπων ἢ τῶν κληρικῶν, ἵνα μὴ περιυβρίζωνται οἱ ἐπίσκοποι ἢ οἱ κληρικοὶ ἐκ τοῦ ἴσως ἀσώτως διάγειν τοὺς παῖδας τούτων, κατὰ ἀνεξικακίαν αὐτῶν. ὑπέξελέ μοι τοὺς διὰ ἀρχοντικίων τῆς μεγάλης ἐκκλησίας τιμηθέντας παῖδας ἐπισκόπων καὶ κληρικῶν. οὗτοι γὰρ ἀπεντεῦθεν αὐτεξούσιοι γίνονται ἐκ τῆς αὐθεντίας τοῦ νόμου, καὶ οἱ πατέρες αὐτῶν οὐ δώσουσι λόγους ὑπὲρ ὧν ἴσως αὐτοὶ πλημμελήσουσι. καὶ ἀνάγνωθι τὸν ιη'. κανόνα τῆς πρώτης

Bals. Emancipatio apud Romanos dicitur libertas D quæ à patribus filiis, qui ſunt in eorum poteſtate, datur. Dicit ergo canon, non debere ſui juris fieri epiſcoporum & clericorum filios à patribus ſuis, niſi ex ætate & bonis moribus certam ſcientiam dederint, ſe poſſe ſua prudenter, & ut oportet, adminiſtrare. Hoc autem niſi ita fiat, dicunt patres reddituros rationem pro peccatis filiorum. Et hæc quidem canon de Epiſcoporum & Clericorum filiis decernit. Leges autem jubent, ut per actum legitimum, ſive cum legitima examinatione fiat emancipatio; non diſtinguentes an ſint Clericorum vel Laicorum filii. Et propterea nec Clerici nec E Epiſcopi, ſine judiciali decreto, ut mihi videtur, filios ſuos ſui juris efficient. Eorum enim vitæ & ætatis ſecundùm canonem examinatio debet à judice fieri, non autem à ſolo patre. Et lege iii. caput iii. tituli xxxi. libri, quod dicit; Non nudus conſenſus patris liberat filium à patria poteſtate, ſed actus legitimus: nec quidem cauſa requiritur, ſed actûs accurata ſubtilitas. Fortaſſe autem dixerit quiſpiam, præſentem canonem corrigere quintum caput ii. tituli xxxi. libri, quod dicit; Qui diu filio permiſerit agere, quæ ab iis, qui ſui juris ſunt, fiunt, & eſſe ſub tutoribus; in F poteſtate in filium præjudicium patitur. Cùm enim hæc lex dicat, à poteſtate patris eum liberari, qui permiſſu patris propria adminiſtrat longo tempore, ſcilicet biennio, dixit canon, non debere hoc fieri etiam in Epiſcoporum vel Clericorum filios: ne Epiſcopi vel Clerici injuria afficiantur ex eo, quòd ipſorum filii propter eorum patientiam profuſè ac luxurioſe vivant. Excipe mihi Epiſcoporum & Clericorum filios magnæ eccleſiæ officiis honoratos. Hi enim eo ipſo fiunt ſui juris legum auctoritate: nec reddent patres rationem eorum quæ ipſi fortè peccaverint. Lege & xviii. can. primæ Syn. & ejus interpretationem; & vii. canonem

Synodi in Trullo, & ejus interpretationem; & commentarium xxxvi. cap. primi tit. præſentis operis. In his enim fuſiùs tractatum eſt, quod magnæ Eccleſiæ magiſtratus ſeu officiales, utpote dignitate auctoritatéque præditi, eo ipſo à patria poteſtate liberantur. Reddere autem patres rationem de peccatis filiorum, qui non ſunt ſui juris ſecundùm canonem, quantum ad Deum & ad animæ condemnationem accipe. Ex peccatis enim filiorum, tam eorum qui ſunt, quàm qui non ſunt in poteſtate, patres nullo modo tenentur, nec puniuntur. Peccata enim, inquit lex, caput ſequuntur.

Zonar. Epiſcopi, inquit canon, & Clerici, ne liberos per emancipationem ſui juris faciant. Eſt vero ea Latina vox. Emancipatio porro, libertatem ab eo, qui ſubjectum aliquem habet, ipſi conceſſam ſignificat. Liberos igitur, priuſquam omnino probitatem illorum perſpectam habeant, ac per ætatem eos per ſe ſapere poſſe intelligant, emancipare prohibentur. Si namque ante id tempus filios ſui juris fecerint; peccatorum quæ illi admiſerint participes eſſe judicabuntur.

Arist. *Epiſcopi & Clerici liberos ſuos, ante morum ſtabilitatem, ne emancipent.*

Epiſcopi & Clerici liberos ſuos de curâ propriâ dimittere, & ſui juris facere non debent, priuſquam perfectæ ſint ætatis, & actionibus moribuſque ſtabiles.

Canon XXXIX.

Ne Epiſcopi & Clerici ordinentur, niſi omnes ſuos fecerint Chriſtianos. Ut Epiſcopi & Preſbyteri & Diaconi non ordinentur, priuſquam omnes, qui ſunt in ſuis ædibus, Chriſtianos orthodoxos fecerint.

Bals. Præſens quidem canon prohibet aliquem ordinari, priuſquam infideles & hæretici, qui cum eo habitant, fiant orthodoxi Chriſtiani. Alii autem canones hoc ipſum quoque puniunt; ſi orthodoxus ſcilicet unà cum infidelibus vel hæreticis verſetur. Si ergo laico cum infideli vel hæretico verſari non permittitur, multò magis hoc Epiſcopo vel Clerico non concedetur. Quamobrem non ſolùm in clerum non referetur orthodoxus, qui cum infideli vel hæretico degit; ſed etiam communione ejicietur. Qui enim communicat cum excommunicato, eſt excommunicatus. Et hæc quidem de iis, qui ex orthodoxorum genere deſcendunt. De iis enim qui ex infidelibus in ſanctam veramque noſtram fidem ſcribuntur, lege x. cap. i. tit. præſentis operis, & quæ in eo ſunt, & can. lxxviii. Synodi in Trullo.

Zonar. Epiſcoporum munus eſt infideles erudire atque allicere ad fidem; tum Chriſtianis à fide aberrantibus rectam orthodoxæ doctrinæ ſemitam præmonſtrare: quod idem Sacerdotes quoque & Diaconi præſtare debent. Si quis ergo, ipſe quidem Chriſtianus ſit, domeſticos vero, uxorem nempe filióſque & ſervos, infideles cum ſint vel hæretici erudire negligit, eum neque Epiſcopum, neque Presbyterum, neque Diaconum creari licere canon decernit. Quiſquis enim domeſticos ſuos erudire, atque à pravo ſenſu ad rectam ſententiam traducere non poteſt, aut negligit, quo pacto aliis erudiendis ille ſufficiet? Quinimo dubiæ fidei ſuſpicione ipſemet non carebit. Et vero magnus quoque Paulus ad Timotheum ſcribens, Si quis, inquit, domui ſuæ præeſſe neſcit, quomodo Eccleſiæ Dei diligentiam habebit?

A συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτοῦ. καὶ τὸν ζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ τὸ σχόλαιον τοῦ λϛ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος. ἐν τούτοις γὰρ διελήφθη πλατύτερον, ὅτι οἱ τῆς μεγάλης ἐκκλησίας ἄρχοντες ὡς ἀξιωματικοὶ ἀπεντεῦθεν ἀπαλλάττονται τῆς ὑπεξουσιότητος. τὸ δὲ διδόναι λόγον τοὺς πατέρας ὑπὲρ τῶν ἁμαρτημάτων τῶν παίδων μὴ γεγονότων αὐτεξουσίων κατὰ τὸν κανόνα, ὅσον τὰ εἰς θεὸν καὶ εἰς ψυχικὴν κατάκρισιν ἐκλάβου. ἀπὸ γὰρ τῶν ἁμαρτημάτων τῶν παίδων τῶν ὑπεξουσίων δηλαδὴ ἢ καὶ αὐτεξουσίων, ὁπωσδήποτε οἱ πατέρες οὐκ ἀνέχονται, οὐδὲ κολάζονται. τὰ γὰρ ἁμαρτήματα, φησὶν ὁ B νόμος, τῇ κεφαλῇ ἕπονται.

ΖΩΝΑΡ. Οἱ Ἐπίσκοποι, φησὶν ὁ κανών, καὶ οἱ τοῦ κλήρου μὴ ποιείτωσαν αὐτεξούσια τὰ ἴδια τέκνα διὰ ἐμμαγκιπατίωνος. καὶ αὕτη Ῥωμαϊκὴ ἡ λέξις· ἐμμαγκιπατία δέ ἐστιν ἡ παρὰ τοῦ ἔχοντος ὑπεξούσιον διδομένη αὐτῷ αὐτεξουσιότης. ὁρίζονται τοίνυν μὴ ποιεῖν τὰ τέκνα αὐτῶν αὐτεξούσια, πρὶν ἢ πληροφορίαν λάβωσι περὶ τῶν τρόπων αὐτῶν, ὅτι ἀγαθοί εἰσι, καὶ περὶ τῆς ἡλικίας, ὅτι δύνανται τὸ δέον φρονῆσαι. εἰ γὰρ πρὸ τοιούτου καιροῦ αὐτεξούσια τὰ τέκνα ποιήσουσι, τῶν ἁμαρτημάτων αὐτῶν καὶ αὐτοὶ ἔσονται κοινωνοί.

C **ΑΡΙΣΤ.** Ἐπίσκοποι καὶ κληρικοὶ τὰ ἴδια τέκνα, πρὸ τῆς τῶν τρόπων σταθερότητος, μὴ ἐμμαγκιπευέτωσαν.

Τῆς ἰδίας χειρὸς οὐκ ὀφείλουσιν ἐπίσκοποι ἢ κληρικοὶ τὰ ἴδια τέκνα ἀπολύειν, καὶ ποιεῖν αὐτεξούσια, πρὸ ἀτελοῦς ἡλικίας, καὶ τῆς τῶν τρόπων καὶ τῶν ἠθῶν σταθερότητος.

ΚΑΝΩΝ λθ΄.

Περὶ τοῦ, τοὺς ἐπισκόπους καὶ κληρικοὺς μὴ χειροτονεῖσθαι, D εἰ μὴ πάντας τοὺς ἰδίους Χριστιανοὺς ποιήσωσιν. ὥστε ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους μὴ χειροτονεῖσθαι πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν Χριστιανοὺς ὀρθοδόξους ποιήσωσιν.

ΒΑΛΣ. Ὁ μὲν παρὼν κανὼν κωλύει χειροτονεῖσθαί τινα, πρὸ τοῦ γενέσθαι ὀρθοδόξους Χριστιανοὺς τοὺς σὺν αὐτῷ κατοικοῦντας ἀπίστους ἢ αἱρετικούς. ἕτεροι δὲ κανόνες κολάζουσι καὶ αὐτὸ τοῦτο, τὸ συνδιάγειν ὀρθόδοξον μετὰ ἀπίστων ἢ αἱρετικῶν. εἰ γοῦν λαϊκῷ οὐκ ἐφεῖται κοινωνεῖν μετὰ ἀπίστου ἢ αἱρετικοῦ, πολλῷ πλέον ἐπισκόπῳ ἢ κληρικῷ τοῦτο οὐ παραχωρηθήσεται. διὸ οὐ μόνον οὐ κληρωθήσεται ὀρθόδοξος E διάγων μετὰ ἀπίστου ἢ αἱρετικοῦ, ἀλλὰ καὶ τῆς κοινωνίας ἐκβληθήσεται. ὁ γὰρ κοινωνῶν ἀκοινωνήτῳ, ἀκοινώνητός ἐστι. καὶ ταῦτα μὲν περὶ τῶν ἀπὸ γένους ὀρθοδόξων καταγομένων περὶ γὰρ τῶν ἐξ ἀπίστων εἰς τὴν ἁγίαν καὶ ἀληθῆ ἡμετέραν πίστιν γραφέντων, ἀνάγνωθι τὸ ι. κεφ. α΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ καὶ τὸν οη΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου.

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι χρέος ἔχουσι διδάσκειν καὶ μετάγειν τοὺς ἀπίστους εἰς πίστιν, καὶ τοὺς σφαλλομένους περὶ τὰ δόγματα Χριστιανοὺς ὁδηγεῖν εἰς ὀρθοδοξίαν, ὁμοίως καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι· ἐὰν δέ τις αὐτὸς μὲν εἴη Χρι- F στιανός, τοὺς δ᾽ ἐν τῷ οἴκῳ αὐτοῦ, οἷον γυναῖκα καὶ παῖδας καὶ οὓς πρὸς ὑπηρεσίαν ἔχει, ἢ ἀπίστους ὄντας περιορᾷ, ἢ αἱρετικούς, τοῦτον μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον γίνεσθαι λέγει ὁ κανών· ὃς γὰρ τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ διδάξαι, καὶ μεταστρέψαι ἐκ κακοδοξίας εἰς ὀρθοδοξίαν οὐ δύναται, ἢ οὐ βούλεται, πῶς τοὺς ἑτέρους διδάξει; καὶ αὐτὸς δὲ ἀμφίβολος ἂν περὶ τὴν πίστιν λογίζοιτο. καὶ ὁ μέγας δὲ Παῦλος Τιμοθέῳ γράφων φησίν· εἴ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐ δύναται, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται;

A ΑΡΙΣΤ. Οὐ χειροτονεῖται, ὁ μὴ τοὺς εἰς τὸν οἶκον αὐτοῦ πάντας ὀρθοδόξους ποιήσας.

ΚΑΝΩΝ μʹ.

Περὶ τοῦ, μὴ ἐξεῖναι περαιτέρω ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου τι ποτὲ ἐν τοῖς ἁγίοις προσφέρειν. ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου προσενεχθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παρέδωκεν· τοῦτ᾽ ἔστι, ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου. ἀπαρχὴ δὲ, εἴτε μέλι, εἴτε γάλα, ὡς εἴωθεν, προσφερέσθω ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ εἰς τὸ τῶν νηπίων μυστήριον· B εἰ καὶ τὰ μάλιστα γὰρ ἐν θυσιαστηρίῳ προσφέρεται, ὅμως ἰδίαν ἐχέτω κυρίως εὐλογίαν, ὡς ἐκ τοῦ ἁγιάσματος τοῦ κυριακοῦ σώματος καὶ αἵματος διϊστᾶσθαι. μηδὲν δὲ πλέον ἐν ταῖς ἀπαρχαῖς προσφερέσθω, ἢ ἀπὸ σταφυλῶν καὶ σίτου.

ΒΑΛΣ. Ὁ λβʹ. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου πλατέως θεσπίζει γίνεσθαι τὴν ἀναίμακτον θυσίαν μετὰ ἄρτου καὶ οἴνου μεμιγμένου ὕδατι· ὡς τοῦ μὲν ἄρτου, τύπον ἐπέχοντος τοῦ κυριακοῦ σώματος, τοῦ δὲ οἴνου, τύπον αἵματος. ἐπεὶ δὲ οὐκ αἷμα μόνον ἐκ τῆς πλευρᾶς τοῦ Κυρίου ἐρρύη, ἀλλὰ C καὶ ὕδωρ, διὰ τοῦτο συγκιρνᾶται τῷ προσφερομένῳ οἴνῳ καὶ ὕδωρ. ἀνάγνωθι καὶ τὸν γʹ. κανόνα τῶν ἁγίων ἀποστόλων. τὰ αὐτὰ δὲ τούτοις καὶ ὁ παρὼν κανὼν διακελεύεται, προστιθέμενος, ὡς εἰ καὶ εἴωθε προσφέρεσθαι ἐν τῷ θυσιαστηρίῳ, ὡς ἀπαρχὴ, μέλι ἢ γάλα ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ, εἰς τὸ τῶν νηπίων μυστήριον, ἤγουν ὑπὲρ τῶν νηπίων· ἀλλ᾽ ὅμως οὐκ ὀφείλουσι ταῦτα συνανακεῖσθαι μετὰ τῶν θείων ἁγιασμάτων, ἀλλ᾽ ἰδιαζόντως κεῖσθαι, καὶ εὐλογεῖσθαι μᾶλλον ὑπ᾽ ἐκείνων. ὡς ἀπαρχὴ δὲ μηδὲν πλέον προσφερέσθω, ἢ σῖτος νέος καὶ σταφυλή. τὰ δὲ περὶ τοῦ γάλακτος καὶ τοῦ μέλιτος ἐκωλύθησαν ἐν τῷ νϛʹ. κανόνι τῆς ζʹ. συνόδου.

D ΖΩΝΑΡ. Καὶ ὁ τρίτος κανὼν τῶν ἁγίων ἀποστόλων καὶ ὁ δʹ. περὶ ταύτης ὑποθέσεως διατάττεται. ἐπεὶ δέ τινες καὶ μετὰ ταῦτα παρέβαινον τοὺς κανόνας ἐκείνους, ὡς οἱ Αρμένιοι, οἶνον μόνον προσφέροντες εἰς τὰ ἅγια, ἀλλ᾽ οὐχὶ καὶ ὕδωρ, καθὼς ὁ λβʹ. διελέγχει κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, ἦλθε καὶ ἡ παροῦσα σύνοδος, εἰς τὸ περὶ τούτου διατάξασθαι, καὶ φησὶ πλέον μηδὲν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου προσφέρεσθαι εἰς τὰ ἅγια, τὸν μὲν ἄρτον, εἰς τύπον τοῦ σώματος τοῦ κυρίου, τὸν δὲ οἶνον τοῦ αἵματος. ἐπεὶ δὲ οὐχ αἷμα μόνον ἐκ τῆς πλευρᾶς τοῦ δεσπότου E ἐρρύη, ἀλλὰ καὶ ὕδωρ, διὰ τοῦτο ἀναγκαῖον τῷ προσφερομένῳ οἴνῳ εἰς τὰ θεῖα μυστήρια καὶ ὕδωρ συγκιρνᾶσθαι. ὅτι δέ, φησιν, εἴωθε προσφέρεσθαι, ὡς ἀπαρχὴ, μέλι ἢ γάλα ἐν μιᾷ ἡμέρᾳ ἐθίμῳ εἰς τὸ τῶν νηπίων μυστήριον, καὶ ἐν τῷ θυσιαστηρίῳ προσφέρηται, ὅμως μὴ τῷ θείῳ ἄρτῳ καὶ οἴνῳ μιγνύσθωσαν, ἀλλ᾽ ἰδίαν ἐχέτω εὐλογίαν, κεχωρισμένα ἐξ ἐκείνων εὐλογούμενα. τὸ δὲ, εἰς τὸ τῶν νηπίων μυστήριον, τινές φασιν εἶναι τὸ μεταδίδοσθαι ταῦτα τοῖς νηπίοις, ἀντὶ τῶν μυστηρίων, ὅπερ οὐκ οἶμαι. τινὲς δὲ, ὅτι τὸ γάλα προσήγετο ὡς ἀπαρχὴ διὰ τὰ νήπια, ὡς γάλακτι μόνῳ τρεφομένων αὐτῶν. τοῦτο δὲ ἡ ἕκτη σύνοδος τελείως F ἐκώλυσεν ἐκ νζʹ. κανόνι. ὡς ἀπαρχὴ δέ, φησι, μηδὲν πλέον προσφερέσθω, ἢ σῖτος νέος καὶ σταφυλαὶ ἄρτι γινόμεναι πέπειροι.

ΑΡΙΣΤ. Ἄρτος καὶ οἶνος ὕδατι κεκραμένος προσαγέσθω, καὶ μόνον.

Οὐδὲν γὰρ πλέον τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου προσενεχθήσεται, ἀλλ᾽ ἄρτος μόνον καὶ οἶνος ὕδατι μεμιγμένος· καθὼς καὶ αὐτὸς ὁ κύριος παρέδωκε.

Arist. *Non ordinatur, qui omnes ejus domeſticos orthodoxos non fecit.*

Canon XL.

Non licere ultra panem & vinum aqua mixtum quidquam in ſanctis offerre. Ut in ſanctis nihil amplius quàm corpus & ſanguis Domini offeratur, ut etiam ipſe Dominus tradidit, hoc eſt, panis & vinum aqua mixtum. Primitiæ autem, ſive mel, ſive lac, ex more, offerantur uno die conſueto ad infantium myſterium: etſi enim maximè in altari offerantur; propriam tamen ſuam habeant benedictionem, ut à dominici corporis & ſanguinis ſacramento ſejungantur. Nihil autem in primitiis amplius offeratur, quàm ex uvis & frumentis.

Bals. Xxxii. canon Syn. in Trullo abundè conſtituit, ut incruentum fiat ſacrificium cum pane & vino aqua mixto; utpote pane quidem typum gerente dominici corporis; vino autem typum ſanguinis. Quia autem non ſolum ſanguis ex latere domini effluxit, ſed etiam aqua; propterea vino, quod offertur, aqua quoque commiſcetur. Lege etiam iii. can. ſanctorum Apoſtolorum. Cum iis autem eadem præſens quoque canon præcipit, adjiciens; quòd etiam ſi ſoleat in altari offerri mel vel lac, tanquam primitiæ, in die uno conſueto, ad infantium myſterium, ſcilicet pro infantibus: ea tamen non debent unà cum divinis ſacramentis reponi; ſed ſeorſum locari, & magis ab illis benedici. Ut primitiæ autem nihil amplius offeratur, quàm frumentum novum & uva. Quæ autem de lacte & melle dicta ſunt, prohibita fuerunt etiam in lvi. canone vii. Synodi.

Zonar. Tertio quoque, & quarto ſanctorum Apoſtolorum canone de hac re conſtituitur. Quoniam vero illos adhuc nonnulli negligebant, inter quos Armenii, qui vinum ſolummodo inter ſancta offerebant, neque aliquam aquæ partem admiſcebant, ut ſextæ Synodi in Trullo trigeſimo ſecundo canone ſancitum eſt; fecit hæc Synodus, ut ſuum ipſa quoque decretum hac de re interponeret: quo quidem aliud quidquam, præter panem & vinum aqua mixtum, in ſanctis offerri vetat: Panem quidem, qui dominici corporis, vinum vero, quod ſanguinis typum ac figuram gerat. Cùm vero non ſolus ſanguis ex Dominico latere, ſed aqua etiam effluxerit, idcirco vino, quod in altari offertur, aquam quoque præterea admiſceri neceſſe eſt. Quòd autem ait, primitiarum nomine mel aut lac, certo quodam die, ad infantium myſterium offerri conſuetum eſt, & in altari offeratur, non tamen cum divino pane ſimul vinóque intermiſceri conceſſum ſit, ſed ſeorſum ab illis, propria precationis adhibita formula, benedicantur. Illud vero [ad infantium myſterium] quidam ſic intelligunt, ut ea parvulis ſacrorum myſteriorum loco præbeantur; quod ego quidem haud probaverim. Alii vero, quaſi lac primitiarum nomine, propter infantes, quippe qui ſolo lacte alantur, offerri ſolitum fuerit. Verum id ex lvii. ſextæ Synodi canone omnino vetitum eſt. Primitiarum autem nomine, inquit, nihil præter novum frumentum ac noviſſime maturitatẽ aſſecutos uvarum racemos offerri conceſſum ſit.

Arist. *Panis & vinum aquâ mixtum, idque ſolum, offeratur.*

Nihil enim pluſquam corpus & ſanguis Domini offeretur; ſed panis tantum & vinum aquâ mixtum: ut & ipſe Dominus tradidit.

A

Canon XLI.

Ut Clerici, vel qui ſunt continentes, ad virgines vel viduas non ingrediantur. Clerici, vel qui ſunt continentes, ad viduas vel virgines non ingrediantur, niſi ex permiſſione & conſenſu proprii Epiſcopi, vel Presbyterorum: Et hoc quoque non ſoli faciant, ſed cum conclericis, vel cum eis, cum quibus Epiſcopus vel Presbyteri ſoli habent aditum ad ejuſmodi mulieres, vel ubi adſunt Clerici, vel aliqui bonæ exiſtimationis Chriſtiani.

B **Bals.** Continentes dicuntur Monachi; ut hoc ex xix. can. magni Baſilii oſtenditur. Dicit ergo præſens canon, nec Clerici vel Monachi cum viduis vel virginibus, quæ ſunt omnino conſecratæ, colloquantur: niſi id eis ab Epiſcopis, vel Presbyteris, non præſentibus ſcilicet Epiſcopis, permittatur. Porrò ne tunc quoque ſoli ingrediantur, ſed cum conclericis, vel cum illis, cum quibus etiam Epiſcopus & Presbyteri ad eas ingrediuntur: vel eas illic alloquantur, ubi ſunt Clerici, vel aliqui bonæ exiſtimationis Chriſtiani. Illud autem, ex permiſſione vel conſenſu, dictum eſt, eo quòd vel propter aliquid, quod eſt Epiſcopo ejúſ- C que Eccleſiæ conducibile, cum eis colloquium habetur, idque permittunt Epiſcopi; vel propter ſuam utilitatem & petitionem, & debent conſentire Epiſcopi. Lege præſentis operis tit. xi. cap. v. Syn. vi. can. xlvii. & cxxxiii. Juſtiniani novellæ cap. ii. ſive cap. xv. iv. libri Baſilic. quod ſitum eſt in xlvii. can. vi. Synodi.

Zonar. Non committendum ut incommodius aliquid de fidelium moribus, quamvis falsò evulgetur, Divi quoque Pauli oraculo admonemur; Sine offenſione, inquit, eſtote Judæis, & Græcis, & Eccleſiæ Dei. Quas quidem præceptiones, & verò alias quoque ſecu- D ti hujus ſynodi Patres, ad viduas aut ad virgines, eas videlicet quæ ſacratæ ſunt, clericos aut continentiam profeſſos ingredi haudquaquam licere decernunt. Eorum porro nomine, qui continentiam profeſſi ſunt, monachos deſignarunt, ex magno Baſilio, qui de profeſſione virginitatis præcipiens, undevigeſimo canone; Virorum, inquit, nullam novimus profeſſionem, præterquam ſi qui ſeipſos Monachorum ordini manciparunt, qui quidem ſilentio cœlibatum videntur admittere. Clerici igitur, & qui continentiam profeſſi ſunt, niſi ab Epiſcopo, vel à Presbyteris, illo videlicet abſente, facul- E tatem impetraverint, commemoratas mulieres adire prohibentur: & vero neque tunc quoque ſoli, ſed vel conſociati Clericis, vel eorum, quos ſecum Epiſcopus & Presbyteri ad illas adeuntes adhibere ſolent, comitatu ſepti ingrediantur; aut ubi clerici aliíque honeſti homines Chriſtiani interſint, ut nullius ſuſpicioni relinquatur locus, eas alloquantur. Ex permiſſione autem, inquit canon, proprii Epiſcopi, vel conſenſu. Nam vel is ſua ſponte Clerico ob utilitatem aliquam id permittet, vel ab aliquo eorum quos diximus rogatus, qui enumeratas mulieres, juſta cauſa intercedente, convenire velit, Epiſcopus annuet.

F **Arist.** *Clerici & continentes ad viduas vel virgines nc accedant; niſi juſſu Epiſcopi & Presbyteri: & ſic non ſoli, ſed cum iis, quibus Presbyteri & Diaconi ad eas accedunt.*

Omnem oportet adhiberi curam virginum & viduarum in Eccleſiâ conſtitutarum, & ab eâ altarum. Et neque Clerici neque Monachi, nec alii de religioſis viris ad eas ingrediantur, ſine Epiſcoporum & Presbyterorum impulſu. Sed & juſſi, non ſoli ingredientur; ſed cum iis quibus ſoliti fuerunt Epiſcopi & Presbyteri ad eas accedere.

ΚΑΝΩΝ μαʹ.

Ὥστε κληρικοὺς ἢ ἐγκρατευομένους πρὸς παρθένοις ἢ χήρας μὴ εἰσιέναι. κληρικοὶ ἢ ἐγκρατευόμενοι πρὸς χήρας ἢ παρθένους, εἰ μὴ κατ' ἐπιτροπὴν καὶ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου ἢ τῶν πρεσβυτέρων, μὴ εἰσίτωσαν· καὶ τοῦτο δὲ μὴ μόνοι ποιείτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετὰ τούτων, μεθ' ὧν ὁ ἐπίσκοπος ἢ οἱ πρεσβύτεροι μόνοι ἔχουσι τὴν εἴσοδον πρὸς τὰς τοιουτοτρόπους γυναῖκας, ἢ ὅπου πάρεισι κληρικοὶ ἢ ἔντιμοί τινες Χριστιανοί.

ΒΑΛΣ. Ἐγκρατευόμενοι λέγονται οἱ μοναχοὶ, ὡς παρίσταται τοῦτο ἀπὸ τοῦ ιθʹ. κανόνος τοῦ μεγάλου Βασιλείου. φησὶ γοῦν ὁ παρὼν κανὼν, μὴ ἐντυγχάνειν κληρικοὺς ἢ μοναχοὺς χήραις ἢ παρθένοις καθιερωμέναις πάντως οὔσαις, εἰ μὴ παρὰ τῶν ἐπισκόπων, ἢ τῶν πρεσβυτέρων, δηλαδὴ μὴ παρόντων ἐπισκόπων, ἐπιτραπεῖεν. καὶ τότε δὲ μὴ μόνοι εἰσίτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν, ἢ μετ' ἐκείνων, μεθ' ὧν καὶ ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι εἰσίασι πρὸς αὐτάς· ἢ ἐκεῖ ἐντυγχανέτωσαν αὐταῖς, ὅπου εἰσὶ κληρικοὶ ἢ ἔντιμοί τινες Χριστιανοί. τὸ κατ' ἐπιτροπὴν δὲ ἢ συναίνεσιν εἴρηται, διότι ἢ διά τι χρήσιμον τῷ ἐπισκόπῳ καὶ τῇ ἐκκλησίᾳ γίνεται C παρὰ τούτων ἡ ἐντυχία, καὶ ἐπιτρέπουσι ταύτην οἱ ἐπίσκοποι, ἢ διὰ οἰκείαν χρησιμότητα καὶ αἴτησιν, καὶ ὀφείλουσι συναινεῖν οἱ ἐπίσκοποι. ἀνάγνωθι τοῦ παρόντος συντάγματος τίτλου ιαʹ. κεφ. εʹ. συνόδου ϛʹ. κανόνα μζʹ. καὶ τὸν ρλγʹ. Ἰουστινιανείου νεαρᾶς κεφ. βʹ. ἤγουν κεφ. ιεʹ. τοῦ δʹ. βιβλίου τῶν βασιλικῶν, ὅπερ κατεστρώθη ἐν τῷ μζʹ. κανόνι τῆς ἕκτης συνόδου.

ΖΩΝΑΡ. Φεύγειν τὰς ὑπολήψεις παρηγγέλθημεν οἱ πιστοὶ, κἂν ὦσι ψευδεῖς, καὶ τῷ θεσπεσίῳ εἴρηται Παύλῳ, ἀπρόσκοποι γίνεσθε, καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. ταύταις οὖν ταῖς παραγγελίαις, ἀλλὰ μὴν καὶ D ἑτέραις καὶ οἱ πατέρες οὗτοι ἑπόμενοι, φασὶ πρὸς χήρας ἢ παρθένους, δηλαδὴ καθιερωμένας, μὴ εἰσιέναι κληρικοὺς ἢ ἐγκρατευομένους. τοὺς μοναχοὺς δὲ ὠνόμασαν ἐγκρατευομένους κατὰ τὸν μέγαν Βασίλειον, ὃς περὶ ὁμολογίας τῆς παρθενείας διαταττόμενος ἐν ιθʹ. αὐτοῦ κανόνι φησίν· ἀνδρῶν δὲ ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, οἳ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. τοὺς οὖν κληρικοὺς καὶ τοὺς ἐγκρατευομένους, εἰ μὴ τοῦ ἐπισκόπου ἢ τῶν πρεσβυτέρων, δηλαδὴ μὴ παρόντος ἐπισκόπου, ἐπιτραπεῖεν, E μὴ εἰσιέναι κελεύουσιν εἰς τὰς εἰρημένας γυναῖκας· καὶ τότε δὲ μὴ μόνοι εἰσίτωσαν, ἀλλὰ μετὰ συγκληρικῶν ἢ μετ' ἐκείνων, μεθ' ὧν, καὶ ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι εἰσίασι πρὸς αὐτάς· ἢ ἐκεῖ ἐντυγχανέτωσαν αὐταῖς, ὅπου εἰσὶ κληρικοὶ, ἢ ὅπου εἰσὶν ἔντιμοί τινες Χριστιανοὶ, ὥστε πᾶσαν ὑποψίαν περιαιρεῖσθαι. κατ' ἐπιτροπὴν δὲ, φησιν ὁ κανὼν, ἢ συναίνεσιν τοῦ ἰδίου ἐπισκόπου. ἢ γὰρ ἐκεῖνος ἐπιτρέψει τῷ κληρικῷ ἀφ' ἑαυτοῦ κινηθεὶς διά τινα χρείαν, ἢ τινὸς τῶν εἰρημένων αἰτήσαντος συντυχεῖν ταῖς εἰρημέναις γυναιξὶν αἰτίας ἀπαιτούσης ὁ ἐπίσκοπος συναινεῖ.

F **ΑΡΙΣΤ.** Κληρικοὶ καὶ ἐγκρατευόμενοι χήραις ἢ παρθένοις μὴ προσιέτωσαν, εἰ μὴ ἐπισκόπου καὶ πρεσβυτέρου ἐπιταγῇ· καὶ οὕτω μὴ μόνοι, ἀλλὰ μεθ' ὧν πρεσβύτεροι καὶ διάκονοι πρὸς τὰς τοιαύτας εἰσίασιν.

Δεῖ πᾶσαν εἶναι ἀσφάλειαν τῶν παρθένων καὶ τῶν χηρῶν, τῶν τεταγμένων τῇ ἐκκλησίᾳ, καὶ ὑπ' αὐτῆς τρεφομένων. καὶ μήτε κληρικοὶ, μήτε μονασταὶ, μήτε τινὲς τῶν σεμνοτέρων ἀνθρώπων εἰσερχέσθωσαν ἐν αὐταῖς, ἄνευ προτροπῆς τῶν ἐπισκόπων καὶ πρεσβυτέρων. ἀλλὰ καὶ ἐπιταγέντες, οὐ μόνοι εἰσελεύσονται· ἀλλὰ μεθ' ὧν εἰώθασι καὶ οἱ ἐπίσκοποι, καὶ οἱ πρεσβύτεροι πρὸς αὐτὰς εἰσιέναι.

ΚΑΝΩΝ μβʹ.

Περὶ τοῦ τὸν πρῶτον ἐπίσκοπον μὴ προσαγορεύεσθαι ἔξαρχον τῶν ἱερέων. ὥστε τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον μὴ λέγεσθαι ἔξαρχον τῶν ἱερέων, ἢ ἄκρον ἱερέα, ἢ τοιουτότροπόν τι ποτὲ· ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης καθέδρας.

ΒΑΛΣ. Ὁ θʹ. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὁ ϛʹ. καὶ ὁ ζʹ. τῆς ἐν Σαρδικῇ ἐξάρχους ἐπαρχιῶν τοὺς ἐπισκόπους τῶν μητροπόλεων καλοῦσι. καὶ πρόσχες τοῖς κανόσι τῆς ἐν Χαλκηδόνι συνόδου μεταγενεστέρας οὔσης. τὰ ὀνόματα δὲ ταῦτα ἐκωλύθησαν διὰ περιαίρεσιν ἀλαζονείας· καὶ διὰ τοῦτο οἱ πλείους τῶν πατριαρχῶν καὶ τῶν ἀρχιερέων ταπεινοὺς καὶ εὐτελεῖς ἑαυτοὺς ἐν ταῖς οἰκείαις ὑπογραφαῖς ὀνομάζουσι.

ΖΩΝΑΡ. Ἄλλοι μὲν κανόνες, καὶ ταῦτα συνόδου οἰκουμενικῆς τῆς ἐν Χαλκηδόνι, ἐξάρχους ὀνομάζουσι τῶν ἐπαρχιῶν, ὁ ἔννατος δηλαδὴ ταύτης, καὶ ὁ ιζʹ. καὶ ἡ ἐν Σαρδικῇ δὲ σύνοδος ἐν ϛʹ. κανόνι τῶν ἐπαρχιῶν ἐξάρχους καλεῖ τοὺς ἐπισκόπους τῶν μητροπόλεων· οὗτος δὲ ὁ κανὼν μετὰ τῶν ἄλλων ὀνομάτων ἀποτρέπει καὶ τοῦτο τὸ ὄνομα, δι' οὐδὲν οἶμαι ἄλλο, ἢ δι' ἀλαζονείας καὶ ὄγκου καταβολήν, καὶ τύφου ἀναίρεσιν. ἐπεὶ δὲ ἡ ἐν Χαλκηδόνι σύνοδος, οἰκουμενικὴ δὲ οὖσα καὶ μεταγενεστέρα, ἐξάρχους τῶν ἐπαρχιῶν εὑρίσκεται, ὡς εἴρηται, ὀνομάσασα, ἔοικεν ὡς οὐκ ἠσμένισε τῷ κανόνι τούτῳ, ἀλλὰ μᾶλλον τῷ τῆς ἐν Σαρδικῇ.

ΑΡΙΣΤ. Ο πρωτεύων ἐπίσκοπος, οὐκ ἔξαρχος ἱερέων, οὐκ ἄκρος ἱερεὺς, ἀλλ' ἐπίσκοπος τῆς πρώτης καθέδρας κληθήσεται.

Ο τῆς ἱερωσύνης ἀξία μία ἐστὶ καὶ ἡ αὐτὴ ἐπὶ πᾶσι· καὶ οὐ κληθήσεται οὗτος μὲν ἄκρος ἱερεὺς, ἐκεῖνος δὲ ἀτελὴς ἱερεύς· ἀλλὰ πάντες ἐπίσης ἱερεῖς, πάντες ἐπίσκοποι· ὡς καὶ τὴν χάριν τοῦ παναγίου πνεύματος ἐπίσης δεξάμενοι. ὁ γοῦν τῆς μητροπόλεως ἐπίσκοπος, ὡς τὴν πρώτην ἔχων καθέδραν, μετὰ προσθήκης λεχθήσεται ἐπίσκοπος μητροπόλεως.

ΚΑΝΩΝ μγʹ.

Περὶ τοῦ, μὴ καπηλεύεσθαι τοὺς κληρικοὺς, εἰ μὴ ἐπιξενουμένους. ὥστε τοὺς κληρικοὺς χάριν τοῦ τρώγειν ἢ πίνειν μὴ εἰσιέναι εἰς καπηλεῖα, εἰ μὴ διὰ ξενίας ἀνάγκῃ συνωθουμένους.

ΒΑΛΣ. Ἀνάγνωθι τὸν τῶν ἁγίων ἀποστόλων κανόνα νδʹ. καὶ τῆς ϛʹ. συνόδου καν. θʹ. πλατύτερον διδάσκοντας τὰ περὶ τούτων.

ΖΩΝΑΡ. Τοῦτο καὶ ὁ τῶν ἁγίων ἀποστόλων νδʹ· κανὼν ἐκώλυσε, καὶ ὁ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τῆς λεγομένης ἕκτης ἔνατος κανὼν περὶ τούτου φησί· ζητητέον οὖν τὰ ἐκεῖ γεγραμμένα.

ΑΡΙΣΤ. Κληρικὸς, ἐνόδιος ὢν εἰς καπηλεῖον, καὶ οὐκ ἄλλως εἰσελεύσεται.

Ἐὰν κληρικὸς ἐπιξένης διάγων, καὶ μὴ ἔχων ἔν τινι σεμνῷ καταλῦσαι τόπῳ, καὶ τὰ ζωαρκῆ αὐτῷ ἐφευρεῖν, εἰς καπηλεῖον εἰσέλθῃ ἐπὶ τῷ φαγεῖν καὶ πίνειν· ἀνεπιτίμητος ἔσται.

ΚΑΝΩΝ μδʹ.

Περὶ τοῦ, ἀπὸ νηστικῶν τῷ θεῷ προσάγεσθαι θυσίας. ὥστε ἅγια θυσιαστηρίου, εἰ μὴ ἀπὸ νηστικῶν ἀνθρώπων, μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται. ἐὰν δέ τινων κατὰ τὸ δειλινὸν καιρὸν τελευτησάντων εἴτε ἐπισκόπων εἴτε τῶν λοιπῶν παράθεσις γένηται, μόναις εὐχαῖς ἐκτελεσθείη, ἐὰν οἱ ταύτην ποιοῦντες ἀριστήσαντες εὑρεθῶσιν.

CANON XLII.

Ne primus Epiſcopus appelletur princeps Sacerdotum. Ut primæ Sedis Epiſcopus non dicatur Sacerdotum princeps, vel ſummus Sacerdos, vel aliquid hujuſmodi: ſed tantum primæ Sedis Epiſcopus.

Bals. Nonus Canon Chalcedonenſis Synodus, & vi. & vii. Sardic. Exarchos Provinciarum appellant Metropoleωn Epiſcopos. Attende autem animum ad Canones Chalced. Syn. quæ eſt poſterior. Prohibita ſunt autem hæc nomina ad tollendam arrogantiam: & propterea plures Patriarchæ & Antiſtites ſeipſos viles humiléſque appellant in ſuis inſcriptionibus.

Zonar. Alii quidem Canones, & verò Oecumenicæ Synodi Chalced. Exarchos Provinciarum appellant; Nonus nimirum & xvii. hujus Synodi. Sardicenſis quoque Synodi ſexto Canone Exarchi Provinciarum Metropolitani Epiſcopi nuncupantur. Hic vero Canon cum aliis nominibus hoc quoque repudiat, non aliam, opinor, ob cauſam, quam ut arrogantiam elationémque comprimeret, faſtúmque è communi vita omnino tolleret ac deleret. Cùm verò Chalced. Syn. quæ & Oecumenica & hac poſterior fuit, Provinciarum Exarchos, ut diximus, nominaſſe reperiatur; minime illi Can. hunc placuiſſe, ſed Sardic. magis probatum fuiſſe, facile apparet.

Arist. *Primus Epiſcopus non vocabitur Sacerdotum Princeps, nec ſummus Sacerdos; ſed primæ ſedis Epiſcopus.*

Sacerdotii dignitas una eademque eſt in omnibus: & non vocabitur hic quidem ſummus Sacerdos, ille autem Sacerdos imperfectus; ſed omnes æqualiter Sacerdotes, omnes Epiſcopi; ut qui ſanctiſſimi Spiritus gratiam æqualiter acceperunt. Metropolis itaque Epiſcopus, ut primam habens Cathedram, cum additione dicetur Epiſcopus Metropolis.

CANON XLIII.

Ne in caupona verſentur Clerici, niſi hoſpitio excepti. Ut Clerici comedendi vel bibendi gratia cauponam non ingrediantur, niſi hoſpitii neceſſitate compulſi.

Bals. Lege ſanctorum Apoſtolorum Can. liiii. & vi. Syn. Can. ix. qui de his fuſiùs docent.

Zonar. Hoc ſanctorum quoque Apoſtolorum quinquageſimo quarto Canone vetitum eſt; déque eadem re ſexta in Trullo quæ dicitur Synodus nono Canone decernit. Vide ergo, quæ ibi ſcripſimus.

Arist. *Clericus iter faciens in cauponam ingrediatur, alioqui non.*

Si Clericus peregrè agens, & convenientem aliquem, quo divertat, non habens locum, ubi & ad vitam neceſſaria ſibi inveniat cauponam ingrediatur, ad comedendum & bibendum, reprehenſioni non ſubjicietur.

CANON XLIV.

Ut à jejunis ſacrificia Deo offerantur. Ut Sacramenta altaris non niſi à jejunis hominibus peragantur, excepto uno die anni, in quo dominica Cœna peragitur. Sin autem aliquorum veſpertino tempore mortuorum, ſive Epiſcoporum ſive cæterorum, commendatio fiat, ſolis precibus peragatur; ſi ii, qui illam agunt, pranſi eſſe inventi fuerint.

A **Bals.** Viceſimus nonus Synodi in Trullo Can. hujus Canonis meminit, & permittit in die, in quo cœna Domini peragitur, eos non eſſe jejunos qui ſacra peragunt. Legenda ſunt ergo quæ illic ſcripta ſunt. Quæ autem in hoc Canone deinceps conſequuntur, de iis qui veſpere mortui ſunt, videntur eſſe ejuſmodi in mortuis & eorum commendationibus, ſive quando proferebantur ſeu efferebantur, ut funebria in eis cantica peragerentur, ut conſentaneum eſt, & oblationis ſacrificium peragebatur. Si ergo veſpere, inquit Canon, mortuus fuerit quiſpiam, & non fuerint jejuni qui hæc peragunt, ſolis precibus peragantur. Hoc autem hodie B non ſervatur.

Zonar. Viceſimus nonus Synodi in Trullo Canon meminit hujus Canonis, & permittit in die, in quo Cœna Domini peragitur, eos non eſſe jejunos, qui ſacra peragunt. Legenda ſunt ergo, quæ illic ſcripta ſunt. Quæ autem in hoc Canone deinceps conſequntur, de iis qui veſpere mortui ſunt, videntur eſſe ejuſmodi in mortuis & eorum commendationibus, ſive quando proferebantur ſeu efferebantur, ut funebria in eis cantica peragerentur, ut conſentaneum eſt, & oblationis quoque ſacrificium peragebatur. Si ergo veſpere, inquit Canon, mortuus C fuerit quiſpiam, & non fuerint jejuni qui hæc peragunt, ſolis precibus peragantur. Nonnulli autem παράθεσιν, quæ per preces ad Deum facta eſt, commendationem, conciliationemque mortui eſſe dicunt.

Arist. *Sancta, niſi à jejunis, non offeruntur.*

Licet enim Dominus poſt Cœnam Diſcipulos Paſcha docuit: tamen non oportet nos, juxta divinam vocem, exempla quæ ſunt ſupra nos ſequi; ſed Eccleſiæ conſuetudinem obſervare, & Sacerdotes jejunos altari ſacra offerre, & qui ea participant ſimiliter jejunos eſſe.

D

Canon XLV.

Ne convivia in Eccleſiis ullo modo peragantur. Ut Epiſcopi vel Clerici in Eccleſia non conviventur; niſi forte hoſpitii neceſſitate tranſeuntes illic diverſentur. Quinetiam populi, quoad ejus fieri poteſt, ab ejuſmodi conviviis prohibeantur.

Bals. De iis, qui in præſenti Canone continentur, fuſiùs tractatum eſt in lxxiv. Canone vi. Synodi & lege quæ in illo ſcripta ſunt.

E **Zonar.** Perlegendus eſt Synodi in Trullo Canon quartus & ſeptuageſimus, qui agapas in Eccleſiis fieri prohibet; & quæcunque in illum ſcripſimus. Hic autem Canon in Eccleſiis convivia inſtaurari, imò vero cibo quenquam in Eccleſia refici; niſi forte, inquit, in externa tellure hoſpitio deſtitutus Eccleſiam neceſſitate compulſus ingrediatur, omnino vetat.

Arist. *Clericus in Eccleſiâ ne convivetur, niſi forſitan hoſpitii neceſſitate illic diverſetur. Hoc etiam & Laicis interdicitur.*

F Non oportet ſacras ædes profanare, eaſque contemptui habere, & in iis comedere & accubita ſternere, quemadmodum & in xxviii. Syn. Laodicenæ Can. ſcriptum eſt: niſi quiſpiam fortaſſe iter faciens, illud per neceſſitatem fecerit, non habens alibi quo divertat.

Canon XLVI.

De pœnitentibus. Ut pœnitentibus, pro peccatorum differentia, Epiſcorum judicio pœnitentiæ tempus conſtituatur. Presbyter autem, præter mentem Epiſcopi, pœnitentem non reconciliet: niſi impellente neceſſitate

ΒΑΛΣ. Ὁ κθʹ. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου μέμνηται τοῦ κανόνος τούτου. καὶ ἀνατρέπει δὲ ἐν τῇ ἡμέρᾳ καθ' ἣν τὸ κυριακὸν τελεῖται δεῖπνον, μὴ νήστεις εἶναι τοὺς τελοῦντας τὰ ἅγια. ἀναγνωστέον οὖν τὰ ἐκεῖ γεγραμμένα. τὰ δὲ ἑξῆς τοῦ παρόντος κανόνος, τὰ περὶ τῶν ἐν τῷ δειλινῷ τελευτώντων, ἐοίκασι τοιαῦτα εἶναι ἐπὶ τοῖς τελευτῶσι καὶ ταῖς παραθέσεσιν αὐτῶν, ἤτοι ὅτε προετίθεντο, ἵνα τελεσθῇ ἐπ' αὐτοῖς τὰ ἐπικήδεια ᾄσματα, ὡς ἔοικε, καὶ προσκομιδῆς ἱερουργία ἐγίνετο. εἰ γοῦν κατὰ τὸ δειλινόν, φησιν ὁ κανών, τελευτήσει τις, καὶ μὴ εἴησαν νήστεις οἱ ταῦτα τελοῦντες, μόναις εὐχαῖς ἐκτελείσθωσαν. τοῦτο δὲ σήμερον οὐ πράττεται.

ΖΩΝΑΡ. Ὁ κθʹ. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου μέμνηται τοῦ κανόνος τούτου, καὶ ἀνατρέπει δὲ ἐν τῇ ἡμέρᾳ, καθ' ἣν τὸ κυριακὸν τελεῖται δεῖπνον, μὴ νήστεις εἶναι τοὺς τελοῦντας τὰ ἅγια. ἀναγνωστέον οὖν τὰ ἐκεῖ γεγραμμένα. τὰ δὲ ἑξῆς τοῦ παρόντος κανόνος, τὰ περὶ τῶν ἐν δειλινῷ τελευτώντων, ἔοικε τοιαῦτα εἶναι ἐπὶ τοῖς τελευτῶσι καὶ ταῖς παραθέσεσιν αὐτῶν, ἤτοι ὅτε προετίθεντο, ἵνα τελεσθῇ ἐπ' αὐτοῖς τὰ ἐπικήδεια ᾄσματα, ὡς ἔοικε, καὶ προσκομιδῆς ἱερουργία ἐγίνετο. εἰ γοῦν κατὰ τὸ δειλινόν, φησιν ὁ κανών, τελευτήσει τις, καὶ μὴ εἴησαν νήστεις οἱ ταῦτα τελοῦντες, μόναις εὐχαῖς ἐκτελείσθωσαν. τινὲς δὲ παράθεσιν, τὴν διὰ τῶν εὐχῶν πρὸς τὸν Θεὸν σύστασιν καὶ οἰκείωσιν τοῦ τελευτῶντος φασίν.

ΑΡΙΣΤ. Εἰ μὴ ἀπὸ νηστικῶν, ἅγια οὐ προσάγεται.

Κἂν γὰρ ὁ Κύριος μετὰ δεῖπνον τοὺς μαθητὰς τὸ πάσχα ἐμυσταγώγησεν· ἀλλ' οὐ δεῖ ἡμᾶς, κατὰ τὴν θεολόγον φωνήν, τοῖς ὑπὲρ ἡμᾶς ὑποδείγμασιν ἕπεσθαι· ἀλλὰ δεῖ τοῖς τῆς ἐκκλησίας ἔθεσι κατακολουθεῖν, καὶ νηστικοὺς ὄντας τοὺς ἱερεῖς τῷ θυσιαστηρίῳ προσφέρειν τὰ ἅγια, καὶ τοὺς μεταλαμβάνοντας αὐτῶν ὡσαύτως νηστικοὺς εἶναι.

ΚΑΝΩΝ μεʹ.

Περὶ τοῦ, μηδαμῶς συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι. ὥστε ἐπισκόπους, ἢ κληρικοὺς ἐν τῇ ἐκκλησίᾳ μὴ συμποσιάζεσθαι· εἰ μὴ τυχὸν ἀνάγκῃ ξενίας διαβάντες ἐκεῖ καταλύσωσιν. καὶ οἱ λαοὶ δὲ ἀπὸ τοιουτοτρόπων συμποσίων ὅσον δυνατόν ἐστι κωλυθῶσιν.

ΒΑΛΣ. Περὶ τῶν ἐν παρόντι κανόνι διελήφθη πλατύτερον ἐν τῷ οδʹ. κανόνι τῆς ϛʹ. συνόδου καὶ τὰ ἐν ἐκείνῳ γραφέντα ἀνάγνωθι.

ΖΩΝΑΡ. Ἀναγνωστέον τὸν οδʹ. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ὃς ἀπαγορεύει τὸ ἀγάπας γίνεσθαι ἐν ταῖς ἐκκλησίαις, καὶ ὅσα ἐκεῖ ἐγράφησαν. καὶ οὗτος οὖν ὁ κανὼν τὸ ἐν ἐκκλησίᾳ συμπόσια γίνεσθαι κωλύει, μᾶλλον δὲ καὶ τὸ ἐντὸς ἐκκλησίας ὅλως ἐσθίειν, εἰ μή που, φησίν, ἐπὶ ξένης τις ὤν, καὶ μὴ ἔχων ὅπου καταλύσει, ἐν ἐκκλησίᾳ ἐξ ἀνάγκης εἰσέλθῃ.

ΑΡΙΣΤ. Κληρικὸς ἐπ' ἐκκλησίας ἀσυμποσίαστος, εἰ μή που δι' ἀνάγκην ξενίας ἐκεῖ καταλύσει· καὶ οἱ λαοὶ δὲ τούτου κωλυέσθωσαν.

Οὐ δεῖ τοὺς ἱεροὺς οἴκους κοινοποιεῖν, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχειν, καὶ ἐν αὐτοῖς ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν. καθὼς καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου ἐγράφη· εἰ μή πού τις παροδεύων διὰ ἀνάγκην τοῦτο ποιήσει, μὴ ἔχων ἀλλαχοῦ καταλῦσαι.

ΚΑΝΩΝ μϛʹ.

Περὶ τῶν μετανοούντων. ὥστε τοῖς μετανοοῦσιν κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τῇ τῶν ἐπισκόπων κρίσει τῆς μετανοίας τὸν καιρὸν ψηφίζεσθαι. πρεσβύτερος δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου μὴ καταλλάσσει μετανοοῦντα· εἰ μηδὲν ἀνάγκης συνωθούσης ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου. ὅτινος δήποτε δὲ μετανοοῦντος, εἰ πούβλικον καὶ τεθρυλλημένον ἐστὶν ἔγκλημα, τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, πρὸ τῆς ἀψῖδος τούτῳ ἡ χεὶρ ἐπιτεθῇ.

ΒΑΛΣ. Ὁ τελευταῖος κανὼν τῆς ϛ'. συνόδου δίδωσι τοῖς ἐπισκόποις ἄδειαν τοῦ αὔξειν καὶ μειοῦν τὰ ἐπιτίμια, ἀκολούθως τῷ παρόντι κανόνι προγενεστέρῳ ὄντι. προστίθησι δὲ οὗτος, μὴ δέχεσθαι λογισμοὺς ἀνθρώπων καὶ ἀφιέναι ἁμαρτίας τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἐπισκόπων, εἰ μήπω τελευτᾷ τις κατὰ ἀπουσίαν τοῦ ἐπισκόπου. τηνικαῦτα γὰρ τὸν ἐν μετανοίᾳ ὄντα καταλλάξει ὁ πρεσβύτερος ἤτοι λύσει τοῦ ἐπιτιμίου, διὰ τὸ ἀναγκαῖον τοῦ πράγματος, ἵνα μὴ τελευτήσῃ ἐπιτετιμημένος ὁ ἀποθνήσκων. καὶ ταῦτα μὲν φησὶ γίνεσθαι εἰς τοὺς ἐκ προαιρέσεως οἰκείας ἐξομολογουμένους· τοὺς δὲ μὴ αὐθαιρέτως προσερχομένους τῇ ἐκκλησίᾳ, ἀλλὰ διὰ πούβλικον ἤγουν δημόσιον ἔγκλημα τεθρυλλημένον, ἤτοι φανερὸν, καὶ δυνάμενον συνταράξαι τὴν ἐκκλησίαν διὰ τὸ ὑπερβολικὸν τοῦ ἀτοπήματος, ἔξω τῆς ἀψῖδος ἤτοι τῆς ἐκκλησίας δέχεσθαι ὀφείλομεν, κἀκεῖσε διδόναι αὐτοῖς χεῖρα μετανοίας, καὶ οὐχὶ κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν, ἵνα μὴ σκανδαλίσωμεν τοὺς πολλοὺς, ἐν φανεροῖς οὕτως ἐγκλήμασι τὴν κανονικὴν παραγγελίαν ἀθετοῦντες, καὶ μαλακώτερα διδόντες ἐπιτίμια. σημειῶσαι οὖν τὰ ἐν τῷ παρόντι κανόνι, διὰ τοὺς προσερχομένους ἀνδροφόνους τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ζητοῦντας τὰ κανονικὰ μετριασθῆναι ἐπιτίμια. ἀνάγνωθι καὶ τὸν ζ'. κανόνα τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Τὸ δεσμεῖν καὶ λύειν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς ἀποστόλοις δέδωκε· τύπον δὲ τῶν ἱερῶν ἀποστόλων οἱ ἀρχιερεῖς πληροῦσι. διὸ καὶ ὁ κανὼν οὗτος τῇ τῶν ἐπισκόπων ἀνέθετο κρίσει τὸ ψηφίζεσθαι, τουτέστιν ὁρίζειν, τυποῦν, ἀποφαίνεσθαι κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τὰς μετανοίας, ἐν καιρῷ, ἤγουν, ἐν ὅσῳ χρόνῳ δεῖ τὸν ἁμαρτήσαντα μετανοεῖν ἐν ἐπιτιμίου δεσμῷ· καὶ τότε δεῖ αὐτὸν λύειν. περὶ τούτου δὲ ἀναγνωστέον καὶ τὸν τελευταῖον κανόνα τῆς ϛ'. συνόδου, καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα. πρεσβυτέρῳ δὲ καταλλάσσειν, οὐ δέδοται παρὰ γνώμην τοῦ ἐπισκόπου. ᾧ γὰρ δέδοται τὸ δεσμεῖν, ἐκείνῳ καὶ τὸ καταλλάσσειν ἔξεστι. καταλλάσσειν δ' ἐστὶ, τὸ λῦσαι τὸν ἐπιτετιμημένον, ἢ τελείως, ἢ πρὸς καιρὸν, διὰ κίνδυνον ἴσως. εἰ μή που, φησὶν, ὁ ἐπίσκοπος ἄπεστι, καὶ ὁ ἐν μετανοίᾳ ὢν κινδυνεύει θανεῖν. ἀναγνωστέον καὶ τὸν ζ'. κανόνα τῆς συνόδου ταύτης, καὶ τὰ ἐκεῖ γεγραμμένα. κυρίως μετανοοῦντες λογίζονται οἱ ἐξομολογούμενοι τὰ οἰκεῖα πλημμελήματα ἀγνοούμενα. οἱ δὲ προσιόντες τῇ ἐκκλησίᾳ ἐπὶ φανεροῖς ἁμαρτήμασι· πούβλικον γὰρ τὸ δεδημοσιευμένον καὶ πρόδηλον λέγεται· ἡ γὰρ λέξις τῶν Λατίνων οὖσα, ἐξελληνιζομένη δημόσιον δηλοῖ· καὶ ἐπὶ τεθρυλλημένοις, ἤγουν διαλαλουμένοις, φημιζομένοις, οὐδὲ ἐξομολογεῖσθαι δοκοῦσι. διὸ τοῖς τοιούτοις καὶ ἔξω τῆς ἐκκλησίας τὰς χεῖρας ἐπιτιθέναι, καὶ ποιεῖν αὐτοὺς μετανοοῦντας ὁ κανὼν διατάττεται, ὥσπερ ἔξω τῶν ἱερῶν περιβόλων ἑστάναι, καὶ προσκλαίειν. τὸ γὰρ πρὸ τῆς ἀψῖδος πρὸ τοῦ προπυλαίου ἐστί. τὸ δὲ, τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, δηλοῖ τὴν τῆς πλημμελείας ὑπερβολὴν καὶ τὸ φανερόν. τοιοῦτον γάρ φησιν εἶναι τὸ ἁμάρτημα, ὡς καὶ πᾶσαν τὴν ἐκκλησίαν δι' αὐτὸ κεκινῆσθαι, ἢ ζηλοῦσαν, ἢ διηγουμένην αὐτό.

ΑΡΙΣΤ. Τοῖς μετανοοῦσι πρὸς τὰ ἁμαρτήματα ὁ ἐπίσκοπος ὁρίσει τὰς μετανοίας· πρεσβύτερος δὲ παρὰ γνώμην τούτου, οὐδ' ἀνάγκης συνωθούσης καταλλάξει μετανοοῦντα.

Οἱ παρὰ θεοῦ λαβόντες ἐξουσίαν δεσμεῖν καὶ λύειν πρὸς τὴν ποιότητα τῶν ἁμαρτημάτων καὶ τὴν ἐπιστροφὴν τοῦ ἡμαρτηκότος, τὰ ἐπιτίμια ὁρίσουσι. πρεσβύτερος δὲ, παρὰ γνώμην τοῦ ἐπισκόπου, οὔτε αὔξειν ἢ μειοῦν αὐτὰ δύναται, οὔτε τοὺς μετανοοῦντας καταλλάσσειν, κἂν ἀποδημῇ ὁ ἐπίσκοπος, καὶ τῶν θείων αὐτοὺς ἀξιοῦν ἁγιασμάτων.

A *in abſentia Epiſcopi. Quovis autem pœnitentiam agente, ſi ſit ejus publicum & vulgo jactatum crimen, quod omnem movet Eccleſiam, ante abſidem ei manus imponatur.*

Bals. Poſtremus ſextæ Synodi Canon dat Epiſcopis facultatem augendi & diminuendi pœnas, conſequenter præſenti Canoni, qui eſt antiquior. Adjicit autem hic, Presbyteros non debere hominum confeſſiones audire & peccata remittere præter Epiſcoporum ſententiam: niſi fortè moriatur quiſpiam abſente Epiſcopo. Tunc enim pœnitentem reconciliabit Presbyter, vel pœna ſolvet, propter rei neceſſitatem, B ne pœnis obnoxius moriatur. Et hæc quidem dicit in eos fieri qui ſua ſponte confitentur: eos autem, qui non ſua ſponte ad Eccleſiam accedunt, ſed propter publicum crimen, vulgo jactatum ſeu manifeſtum, & quod poteſt Eccleſiam perturbare propter ſceleris magnitudinem, extra abſidem ſeu Eccleſiam ſuſcipere debemus, & illic dare ipſis manum pœnitentiæ; & non ſecundùm Epiſcopale judicium, ne multos offendamus, in criminibus adeò manifeſtis præceptum canonicum negligentes, & pœnas molliores injungentes. Nota ergo quæ in hoc præſenti Canone continentur, propter homicidas qui ad magnam Eccle- C ſiam accedunt, & petunt, ut pœnæ Canonicæ mitigentur. Lege etiam ſeptimum Canonem præſentis Synodi.

Zonar. Apoſtolis ſuis Dominus noſter Jeſus Chriſtus ligandi ac ſolvendi poteſtatem dedit: ſanctorum autẽ Apoſtolorum typum ſummi Sacerdotes gerunt. Quamobrem hic quoque Canon Epiſcopis arbitrio ſuo decernendi, hoc eſt, præfiniendi, ſtatuẽdi, declarandi pro criminum varietate pœnitentiæ tempora, id eſt, quamdiu eum, qui lapſus eſt, conſtrictum pœnæ vinculis retineri, quando ſolvi oporteat, poteſtatem adjudicavit. Qua de re ul- D timum quoque vi. Syn. Can. & quæ in eum ſcripta ſunt vide. Sacerdoti vero quemquam conciliare, Epiſcopo abnuente, haud licet. (Cui namque ligandi jus, eidem eſt & conciliandi facultas attributa. Eſt vero conciliare, eum qui pœnæ luendæ addictus eſt, aut omnino, aut ad tempus, ob periculum forte aliquod imminens, à pœna abſolvere.) Niſi forte, inquit Epiſcopus abſit, ac is, qui mulctæ obnoxius eſt, in diſcrimen capitis ſit adductus. Quære hujus quoque Syn. Can. vii. & quæ in illum ſcripſimus. Pœnitentes proprie dicuntur, qui peccata ſua, quæ occulta erant, ipſi confitentur. Qui vero ad Eccleſiam ob crimina nota in vulgus accederent, (Publicum enim idem E eſt quod vulgatum atque teſtatum, dictione à Latinis tranſlata) quæque jactata, ſeu ſermone hominum & fama celebrata eſſent; ea ne confiteri quidem quodammodo videntur. Quamobrem & illis extra Eccleſiam manus imponi, & in ordine pœnitentium, ut extra ſacra ſepta in ſtatione flentium conſiſtant, collocari Canon jubet. Illud namque, [ante abſidem] idem ac ante porticum ſignificat. Hoc vero, (quod totam Eccleſiam movet) flagitii gravitatem teſtatámque omnium oculis fœditatem demonſtrat. Tale namque ſcelus eſſe ait, [ut univerſam Eccleſiam, vel zelo corrigendæ pravitatis, vel frequenti ejuſdem commemoratione, commoverit.

Arist. *Pœnitentiam agentibus juxta peccata pœniten-* F *tiæ tempus Epiſcopus determinabit. Presbyter autem præter ejus ſententiam, neceſſitate impellente, pœnitentiam agentem non reconciliabit.*

Qui à Deo ligandi & ſolvendi poteſtatem acceperunt, ſecundum delictorum qualitatem & delinquentibus converſionem, ſupplicia decernent. Presbyter autem, præter Epiſcopi ſententiam ea nec augere poteſt nec minuere, nec pœnitentiam agentes ad gratiam recipere, & divinis eos dignari Sacramentis, quamvis peregrè profectus ſit Epiſcopus.

A

Canon XLVII.

De virginibus. Ut ſacræ virgines, quando à patribus quorum oculis domi obſervabantur, ſeparatæ fuerint, Epiſcopi, vel ipſo abſente, Presbyteri providentia venerabilioribus fœminis commendentur, vel ut ſimul habitantes ſe invicem cuſtodiant; ne paſſim vagando exiſtimationem Eccleſiæ lædant.

Bals. Centeſima vigeſima tertia Juſtiniani Novella, ſeu iiii. cap. primi tit. iiii. lib. hæc dicit apertè, In omnibus autem Monaſteriis, quæ Cœnobia vocantur, jubemus, ut, ſecundùm Canones Monaſticos, in una domo omnes habitent & communiter alantur, & ſimiliter in una domo omnes ſeparatim dormiant; Ut ſibi invicem moderatæ temperantiſque vitæ rationis teſtimonium præbeant: iiſdem omnibus etiam in fœminarum Monaſteriis aſceteriiſque ſervatis. Præſens autem Canon ſtatuit, ut virgines Deo dedicatæ, à propriis patribus ſeparatæ, non per ſe degant: ſed quia à patribus ſervabantur, poſt earum autem in Eccleſia dedicationem, ea patrum cuſtodia & obſervatio ceſſavit; debent Epiſcopi, vel iis abſentibus Presbyteri, eas venerandis mulieribus tradere, ut ab iis per communem vitæ ſocietatem ſerventur. Sin minùs, omnes ſacræ virgines ſimul habitent, ut ſimul viventes ſeipſas invicem ſervent: & non errantes, ſeu hic & illic agentes, Eccleſiaſticam vitæ honeſtatem & moderationem polluant, quoniam non bonam ſui exiſtimationem præbeant. Et hæc quidem leges & Canones. Hodie autem parùm quid eorum vel propemodum nihil fit. Nam neque Monachi Monaſteriorum virorum ſimul habitant, neque aſcetriæ: in ſolis autem mulierum cœnobiis Monaſteriis ſervatur hæc communis ſimul vivendi ratio & habitatio. Apud Latinos autem hucuſque ſervatur ea vitæ ratio. Omnes enim Monachi ſimul comedunt & dormiunt. Lege & vi. Canonem præſentis Synodi & quæ in eo ſunt. (fuſiùs enim illic tractatum eſt, quomodò conſecrantur virgines, etiam ſine Monachali habitu) & xviii. Canonem ſancti Baſilii.

Zonar. Sexto hujus Synodi Canone de puellarum conſecratione eſt actum. Quas igitur ibi ſacratas puellas, hoc loco ſacras virgines nominavit. Nam pro virginibus puellarum nomen uſurpare mos eſt. Quæ ſe ergo virgines Deo dicabant, continentiamque profitebantur, eas Epiſcopus excipiebat. Epiſcopi igitur vel Presbyterorum, ſi is abeſt, cura providentiaque eas regendas eſſe: Et quoniam à parentibus diviſæ ſunt, quorum oculis domi obſervabantur, honeſtis mulieribus, cum quibus una degentes ad virtutem informentur, eas commendari ac tradi, Canon jubet; Vel in uno eodémque contubernio ſimul omnes ejuſmodi ſacras virgines degere, ut mutuo ſeſe aſpectu viciſſim cuſtodiant, neque vero huc illuc errantes ac vagæ exiſtimationem Eccleſiæ lædant; hoc eſt, ſuſpicionibus de Eccleſia parum commodis occaſionem nonnullis præbeant. Eſt vero Eccleſia fidelium multitudo ſive Conventus.

Arist. *Quæ à patre virginitatis gratiâ ſeceſſerit, venerabilioribus fœminis commendetur.*

Oportet Epiſcopum ſacrarum virginum curam habere, & ſi illæ à ſuis patribus, quibus cuſtoditæ fuere, ſeparentur, venerabiliſſimis mulieribus in obſervationem tradantur, ut ſecum invicem cohabitent.

ΚΑΝΩΝ μζ΄.

Περὶ παρθένων. ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίσονται, ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ αὐτοῦ ἀπόντος τῇ τοῦ πρεσβυτέρου προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι, ἢ ἅμα κατοικούσας ἀλλήλας φυλάττειν, ἵνα μὴ πανταχοῦ πλαζόμεναι τὴν ὑπόληψιν βλάψωσι τῆς ἐκκλησίας.

ΒΑΛΣ. Ἡ μὲν ρκγ΄. Ἰουστινιανοῦ νεαρὰ, ἤγουν τὸ δ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ δ΄. βιβλίου φησὶ ταῦτα ῥητῶς. Ἐν ἅπασι
B δὲ τοῖς μοναστηρίοις, ἅπερ κοινόβια καλοῦνται, κελεύομεν, κατὰ τοὺς μοναχικοὺς κανόνας, ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαι, κατὰ τὸν ὅμοιον τρόπον, καὶ ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς· τούτων ἁπάντων καὶ περὶ τὰ μοναστήρια καὶ ἀσκητήρια τῶν γυναικῶν παραφυλαττομένων. ὁ δὲ παρὼν κανὼν διορίζεται τὰς ἀνατεθειμένας τῷ θεῷ παρθένους, χωριζομένας ἀπὸ τῶν οἰκείων πατέρων, μὴ καθ᾽ ἑαυτὰς διάγειν, ἀλλ᾽ ἐπεὶ παρὰ τῶν πατέρων ἐφυλάττοντο, ἡ δὲ τοιαύτη φυλακὴ μετὰ τὴν εἰς τὴν ἐκκλησίαν ἀνάθεσιν αὐτῶν ἀπέλειψεν, ὀφείλουσιν οἱ ἐπίσκοποι ἢ τούτων
C ἀπόντων οἱ πρεσβύτεροι παραδιδόναι ταύτας σεμναῖς γυναιξὶν, ἐφ᾽ ᾧ ὑπὸ τούτων διὰ τῆς ὁμοζωΐας φυλάττεσθαι. ἢ εἰ μὴ τοῦτο, πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ κατοικεῖν, ἵνα συζῶσαι φυλάττωσιν ἀλλήλας, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇ δὲ κἀκεῖσε διατρίβουσαι τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν μολύνωσι διὰ τοῦ διδόναι οὐκ ἀγαθὰς ὑπολήψεις κατ᾽ αὐτῶν. καὶ ὁ μὲν νόμος καὶ οἱ κανόνες ἐν τούτοις. σήμερον δὲ ἀπὸ τούτων τέως εἰς ἡμᾶς μικρὸν ἢ οὐδὲν σχεδὸν γίνεται· οὔτε γὰρ οἱ μοναχοὶ τῶν ἀνδρώων μοναστηρίων ὁμοῦ κατοικοῦσιν, οὔτε αἱ ἀσκήτριαι· εἰς μόνα δὲ τὰ γυναικεῖα κοινόβια μοναστήρια συντηρεῖται ἡ κοινὴ δίαιτα καὶ κατοικία. εἰς δὲ τοὺς Λατίνους
D τέως ἡ τοιουτότροπος διαγωγὴ συντηρεῖται. πάντες γὰρ οἱ μοναχοὶ ὁμοῦ καὶ ἐσθίουσι καὶ ὑπνώττουσιν. ἀνάγνωθι καὶ τὸν ς΄. κανόνα τῆς παρούσης συνόδου, καὶ τὰ ἐν αὐτῷ (πλατύτερον γὰρ ἐκεῖσε διελήφθη πῶς παρθένοι καθιεροῦνται, καὶ δίχα τοῦ μοναστικοῦ σχήματος) καὶ τὸν ιη΄. κανόνα τοῦ ἁγίου Βασιλείου.

ΖΩΝΑΡ. Ἐν ἕκτῳ κανόνι τῆς παρούσης συνόδου εἴρηται περὶ κορῶν καθιερώσεως. ἃς γοῦν ἐκάλεσεν ἐκεῖ κόρας καθιερουμένας, ἐνταῦθα ἱερὰς παρθένους ὠνόμασε. κόρας γὰρ τὰς παρθένους ἔθος καλεῖν. ἀνατιθεμένων οὖν τῷ
E θεῷ παρθένων ἁγνεύειν ὁμολογουσῶν ὁ ἐπίσκοπος αὐτὰς ἀπεδέχετο. λέγει οὖν ὁ κανὼν, ὅτι δεῖ τὸν ἐπίσκοπον προνοεῖν αὐτῶν, ἢ ὅτε ἄπεστι, τοὺς πρεσβυτέρους, καὶ ἐπεὶ διΐστανται τῶν πατέρων αὐτῶν ὑφ᾽ ὧν ἐφυλάττοντο, παραδίδοσθαι αὐτὰς σεμναῖς γυναιξὶν, ὥστε συνοικεῖν αὐταῖς, καὶ καταρτίζεσθαι εἰς ἀρετὴν, ἢ πάσας τὰς ἱερὰς ταύτας παρθένους ὁμοῦ συνοικεῖν, ἵνα συζῶσαι, ὁρῶεν ἀλλήλας, καὶ φυλάττοιεν, καὶ μὴ πλαζόμεναι, ἤγουν τῇδε κἀκεῖσε περιϊοῦσαι, καὶ πλανώμεναι βλάψωσι τὴν ὑπόληψιν τῆς ἐκκλησίας, τουτέστιν ὑπολαμβάνειν οὐκ ἀγαθὰς ὑπολήψεις παρασκευάσωσί τινας περὶ τῆς ἐκκλησίας. ἐκκλησία δέ ἐστιν ὁ τῶν
F πιστῶν ἀθροισμός.

ΑΡΙΣΤ. Ἡ διὰ παρθενίαν τοῦ πατρὸς ἀφισταμένη, ταῖς τιμιωτάταις τῶν γυναικῶν παρατίθεται.

Δεῖ τὸν ἐπίσκοπον τῶν ἱερῶν παρθένων τίθεσθαι πρόνοιαν. καὶ εἰ τῶν οἰκείων πατέρων αὗται χωρισθῶσι, παρ᾽ ὧν ἐφυλάττοντο, ταῖς τιμιωτάταις γυναιξὶν εἰς ἐπιτήρησιν παραδιδόσθωσαν, ὥστε ἅμα ἀλλήλας κατοικεῖν.

A

ΚΑΝΩΝ μη'.

Περὶ τῶν ἀσθενούντων καὶ ὑπὲρ αὐτῶν ἀποκρίνεσθαι μὴ δυναμένων. ὥστε τοὺς ἀσθενοῦντας, οἵ τινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ εἴπωσιν.

ΒΑΛΣ. Τινὲς ἐζήτουν ἀπίστους τινὰς βαπτισθῆναι κατὰ τὰς τελευταίας αὐτῶν ἀναπνοάς· καὶ οὐκ εἰσηκούοντο, διὰ τὸ τοὺς ἀσθενοῦντας μὴ δύνασθαι δι' ἑαυτῶν ὁμολογεῖν τὰς τοῦ ἁγίου βαπτίσματος συνθήκας. φασὶ γοῦν οἱ πατέρες, B ὅτι ἐὰν οἱ ἀσθενοῦντες δείξωσι προαίρεσιν περὶ τοῦ ἐθέλειν αὐτοὺς βαπτισθῆναι, καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ἀπαρεμποδίστως βαπτισθήσονται, δι' ἑτέρων τὰς ὁμολογίας ποιούμενοι. καὶ τοῦτο μὲν, ὅτε τυχὸν ἐν τῷ τελευτᾷν ἡ τοιαύτη τούτων προαίρεσις κατάδηλος γένηται. εἰ δὲ τότε μὲν οὐδέν τι τοιοῦτον εἰπεῖν δύνανται, διὰ τὴν ἀνάγκην τῆς νόσου, μαρτυροῦνται δὲ παρά τινων, ὡς οἱ τοιοῦτοι καὶ πρὸ τῆς μανίας τυχὸν ἢ τῆς ἄλλης κινδυνώδους νόσου ὁλοψύχως προῃροῦντο βαπτισθῆναι, ἐρωτῶ, βαπτισθήσονται ἢ οὔ; Λύσις. ἐμοὶ δοκεῖ, ὡς ἀπαρεμποδίστως βαπτισθήσονται διὰ τὴν ἐν ὑγείᾳ ἀγαθὴν πρόθεσιν αὐτῶν. τούτων δὲ οὕτως C ἐχόντων, μὴ εἴπῃς, ὡς ἐπεὶ ὁ παρὼν κανὼν διορίζεται ἐκείνους βαπτίζεσθαι τοὺς ἐνδειξαμένους προαίρεσιν ἀγαθὴν πρὸ τῆς νόσου, ἢ κατ' αὐτὴν τὴν νόσον, ἐξ ἀνάγκης ἐκεῖνοι καὶ ἀποκάρσεως ἀξιωθήσονται, οἱ κατὰ τὸν καιρὸν τελευτῆς πρὸ τῆς τελευταίας ἀναπνοῆς ἐνδειξάμενοι πρόθεσιν ἀποκάρσεως. οὗτοι γὰρ τοῦ ἐπιτελευτίου ἐφοδίου τοῦ ἀγγελικοῦ σχήματος ἀδιαστίκτως ἀξιωθήσονται, ἐὰν τέως αἴσθησιν τοῦ γινομένου ἔχωσι. τοῖς μὲν γὰρ ὀρθοδόξοις, ὡς ἐλπίζουσι τὴν μέλλουσαν κρίσιν τοῦ Θεοῦ, ἡ μετάνοια συνοικός ἐστι, καὶ πᾶς Χριστιανὸς κατὰ πρόληψιν ἔφεσιν ἔχει τοῦ συγχωρηθῆναι διὰ τῆς ἀποκάρσεως τὰς ἁμαρτίας αὐτοῦ. τοῖς δὲ ἀπίστοις οὐκ ἐξ ἀ- D νάγκης ἑπομένη ἐστὶν ἡ ἔφεσις τοῦ βαπτίσματος· μᾶλλον μὲν οὖν κατὰ πρόληψιν λέγομεν ἔχειν αὐτοὺς ἔφεσιν μετὰ τῆς οἰκείας θρησκείας ἀποθανεῖν, καὶ καταγελᾶν δὲ καὶ τοῦ θείου βαπτίσματος. εἰ γοῦν οὐ δείκνυται τὸ θέλειν τούτους ἐν ὑγείᾳ ὄντας βαπτισθῆναι, ἢ κἂν ἐν τῷ νοσηλεύεσθαι, οὐκ ἀξιωθήσονται τοῦ βαπτίσματος ὅτε τελευτῶσιν.

ΖΩΝΑΡ. Τὰς ἐκ νόσων ἢ τινων συμπτωμάτων κακῶς ἔχοντας, ὥστε μὴ δύνασθαι ὁμιλεῖν, μηδ' ἀποκρίνεσθαι ἐρωτωμένους, εἰ βούλοιντο βαπτισθῆναι, ἢ καὶ τὸν νοῦν ἴσως βεβλαμμένους, ὡς μηδὲ νοεῖν ἃ ἐρωτῶνται, τότε χρὴ βα- E πτίζειν, ὅτε προαίρεσιν δείξοιεν ὅτι βούλονται βαπτισθῆναι· καὶ εἴπωσι κινδύνῳ ἰδίῳ ζητεῖν τὸ βάπτισμα, ὥστε εἰ μὴ τὴν πίστιν φυλάξοιεν, αὐτοὺς κινδυνεύειν. εἰ δὲ μαρτυρεῖται, ὅτι καὶ πρὸ τῆς ἀσθενείας ἐζήτει τὸ βάπτισμα, ὑπερετίθετο δὲ δι' αἰτίας τινὰς, καὶ τότε, κἂν μὴ δύνηται ἀποκρίνεσθαι, βαπτισθήσεται.

ΑΡΙΣΤ. Ὁ δι' ἀσθένειαν μὴ ἀποκρινόμενος ὑπὲρ ἑαυτοῦ, τότε βαπτιζέσθω, ὅταν τῇ αὐτοῦ προαιρέσει δῷ τὴν μαρτυρίαν. F

Δεῖ τὸν βαπτιζόμενον, τῆς χάριτος ἐπαισθάνεσθαι, καὶ τὰ μυστικῶς ἐρωτώμενα συνιέναι, καὶ ἀποκρίνεσθαι πρὸς αὐτά. εἰ δέ τις τὸν μὴ δυνάμενον ἀποκριθῆναι, ὡς ἀσθενοῦντα, ἀπαιτεῖ βαπτισθῆναι, τότε βαπτιζέσθω, ὅταν αὐτὸς, ὁ τοῦτο ἀπαιτῶν, κινδύνῳ ἰδίῳ διαμαρτύρηται τὴν αὐτοῦ γνώμην εἰδέναι ἀκριβῶς τοῦ ἀσθενοῦντος, ὡς ἐπιζητεῖ τὸ βάπτισμα, καὶ ἐπιμένει ποθῶν.

CANON XLVIII.

De iis qui ſunt infirmi & pro ſe reſpondere nequeunt. Ut qui ſunt infirmi, qui quidem pro ſe reſpondere non poſſunt, tunc baptizentur, quando voluntate ſuâ de ſe teſtimonium proprio periculo dixerint.

Bals. Quidam petebant, ut infideles nonnulli ad extremum ſpiritum baptizarentur: nec fuerunt exauditi, eo quòd non poſſint infirmi per ſe ſancti baptiſmatis pacta & conventa profiteri. Dicunt ergo patres, quod ſi ii, qui ſunt infirmi, ſe baptizari velle oſtenderint, ſeque proprio periculo baptiſmum quærere dixerint; ſine impedimento baptizabuntur, per alios pacta promiſſa facientes. Atque hoc quidem quando fortè inter moriendum talis eorum voluntas aperta fuerit. Si autem tunc quidem nihil poſſunt ejuſmodi dicere, propter morbi neceſſitatem; teſtificantur autem aliqui, quòd ante furorem fortaſſe vel aliquem alium periculoſum morbum ii ex toto vellent animo baptizari, rogo, baptizabuntur an non? Solutio. Mihi videtur, quòd ſine periculo baptizabuntur, propter bonam eorum in ſanitate intentionem. Cùm hæc autem ita ſe habeant, ne dixeris, quòd quoniam præſens canon ſtatuit illos baptizandos, qui bonam voluntatem oſtenderint ante morbum, vel in ipſo morbo; Illi quoque neceſſariò tonſuram aſſequentur, qui ante tempus mortis & extremi ſpiritus, ut tonderentur, voluntatem oſtenderint. Hi enim extremum angelici amictûs viaticum indiſtinctè aſſequentur, ſi ejus quod fit ſenſum habeant. Orthodoxis enim, ut qui futurum Dei judicium ſperent, pœnitentia cohabitat, & quilibet propoſito Chriſtianus deſiderat, ut per tonſuram ei ſua peccata remittantur. Infidelibus autem non eſt neceſſariò conſequens baptiſmi deſiderium: magis ergo dicimus eorum eſſe inſtitutum, ut cum propria ſuperſtitione moriantur, & ſanctum etiam baptiſmum irrideant. Niſi ergo oſtendatur eos, dum eſſent ſani, baptizari voluiſſe, vel ſaltem dum ægrotant, inter moriendum baptiſmo digni non habebuntur.

Zonar. Qui ex morbo alióve diſcrimine tam male affecti ſunt, ut neque ſermones conferre, neque, an baptizari cupiant, roganti reſpondere queant; vel etiam ita ſibi animo non conſtent, ut ne ea quidem, quæ rogantur, intelligant; tum demum baptizari oportet, ſi ſe baptizari velle non obſcuris antea indiciis probaverint, ſeque proprio periculo baptiſmum quærere dixerint, ita nimirum, ut niſi fidei depoſitum cuſtodiverint, ipſi in periculum veniant. Quòd ſi ab aliquo, priuſquam morbo premeretur, baptiſmum poſtulatum, aliquibus tamen ex cauſis dilatum fuiſſe, teſtatum ſit; hominem, quamvis reſpondere nequit, nihilominus baptizari placet.

Arist. *Qui propter infirmitatem pro ſe non reſpondet, tunc baptizetur, cùm ſuâ ſponte teſtimonium dederit.*

Oportet eum qui baptizatur gratiam percipere, & myſticè interrogata intelligere, & ad ea reſpondere. Si quis autem eum, qui reſpondere nequit, utpote infirmum, baptizari cupit, tunc baptizetur, quando ille, qui hoc cupit, ſuo periculo teſtatus fuerit, ſe exactè infirmi ſcire voluntatem, quod baptiſmum in deſideriis habeat, & adhuc deſiderans maneat.

Canon XLIX.

De ſcenicis pœnitentiam agentibus & ad Dominum converſis. Ut ſcenicis & mimis & reliquis ejuſmodi perſonis, vel apoſtatis, pœnitentiam agentibus, & ſe ad Deum convertentibus, gratia vel reconciliatio non negetur.

Bals. Scenici & mimi ſunt, non thymelici, qui cantus epithalamios cum muſicis canunt inſtrumentis; ii enim ſunt integræ exiſtimationis; ſed hiſtriones ac ludiones, qui ſervos & milites & mulieres & alias quaſdam perſonas imitantur, & in faciem feriunt. Sicut hoc ex primo & iv. capite, ii. tit. xxi. lib. Baſilic. oſtenditur. Dicunt ergo patres, omnes qui ſic peccant, & temere ac citra delectum vitam inſtituunt; quin & apoſtatas, hoc eſt, eos qui Chriſtianiſmum abnegaverunt, ad Deum ſe convertentes, ſeu pœnitentiam agentes, non eſſe amandandos; ſed eis dandam eſſe gratiam ſeu peccatorum remiſſionem, & reconciliationem ſive pœnarum ſolutionem.

Zonar. Scena imitatio dicitur. Qui ergo nunc duces, nunc ſervos, nunc alia perſonarum genera imitantur, ſcenici nominantur. Ex hoc numero, qui coram Imperatoribus artem factitarent, leges civiles in honore habuere: qui vero in publico cœtu plebeculæque conventibus hiſtrioniam exercerent, riſúmque aſtantium imitata ſimulatione, ac colaphis ſibi viciſſim impactis inconditâque ſtrependi ratione captarent, ignominia notavêre. Hic vero canon omnes hujuſmodi, ſine diſcrimine pœnitentia indigere affirmat; quippe qui & ipſi negligenter vitam agant, & aliis diſſolutè ac effuſè vivendi cauſam præbeant. His igitur ac reliquis ejuſmodi hominibus, quales ſunt præſtigiatores & ſaltatores, quin & Apoſtatis, qui videlicet à Chriſtiana religione defecerunt, ſi pœnitentiam agant, gratiam & conciliationem minime denegandam eſſe pronuntiat. Gratiam quidem appellat, per quam peccatorum veniam conſequimur, quòd ea nobis à Deo per gratiam donetur; quemadmodum beatus quoque Paulus ait; Gratia ſalvi facti eſtis: Conciliationem vero, abſolutionem à pœnis. Tunc enim qui pœnæ obnoxius eſt à vinculo abſolvitur, cum illi Deum ob ſuſceptas pœnas placatum & quodammodo conciliatum eſſe mulctæ exactor intelligit.

Arist. *Et ſcenicus vero ſeſe convertens ad pœnitentiam recipiendus eſt.*

Omnis autem qui peccat & reſipiſcit, ad pœnitentiam recipiendus eſt, licèt ſcenicus ſit, licèt mimus, licèt aliam quamcunque vivendi rationem conſectatus eſt.

Canon L.

De paſſionibus martyrum. Liceat præterea legere paſſiones martyrum, quando anniverſarii eorum dies celebrantur.

Bals. Etiamſi in xxiv. canone præſentis Synodi patres definierint libros, qui legi debeant; nunc tamen adjiciunt eſſe quoque legendas commemorationes paſſionum martyrum, in anniverſariis eorum memoriis.

Zonar. Vigeſimo-quarto canone, quinam ex veteri novóque teſtamento libri in Eccleſia legendi ſint, hæc Synodus recenſuit, aliorum omnium uſu penitus interdicto: nunc vero præterea commentarios, in quibus martyrum certamina deſcribuntur, adjungit, qui per eos dies, quibus ipſorum memoria anno vertente celebratur, perlegi debent.

A

ΚΑΝΩΝ μθ'.

Περὶ σκηνικῶν μετανοούντων καὶ ἐπιστρεφόντων πρὸς τὸν κύριον. ὥστε τοῖς σκηνικοῖς καὶ μίμοις καὶ τοῖς λοιποῖς τοιουτοτρόποις προσώποις, ἢ ἀποστάταις, μετανοοῦσι καὶ ἐπιστρέφουσι πρὸς τὸν θεὸν, χάριν ἢ καταλλαγὴν μὴ ἀρνεῖσθαι.

ΒΑΛΣ. Σκηνικοὶ καὶ μῖμοι εἰσὶν, οὐχὶ οἱ θυμελικοὶ, οἱ τὰς ἐπιθαλαμίους ᾠδὰς μετὰ μουσικῶν ὀργάνων ᾄδοντες· οὗτοι γὰρ ἔντιμοί εἰσιν· ἀλλὰ οἱ παιγνιῶται, οἱ δούλους καὶ στρατιώτας καὶ γυναῖκας καὶ ἕτερα πρόσωπα μιμούμενοι, καὶ B κατὰ κόρρης τυπτόμενοι. καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ α'. καὶ δ'. κεφ. τοῦ β'. τίτλου τοῦ κα'. βιβλίου τῶν βασιλικῶν. φασὶ γοῦν οἱ πατέρες, πάντας τοὺς τὰ τοιαῦτα ἁμαρτάνοντας, καὶ ἀδιαφόρως ζῶντας, ἀλλὰ μὴν καὶ τοὺς ἀποστάτας, τουτέστι τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν, ἐπιστρέφοντας πρὸς θεὸν ἤτοι μετανοοῦντας, μὴ ἀποπέμπεσθαι, ἀλλὰ διδόναι αὐτοῖς χάριν ἤγουν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ καταλλαγὴν ἤτοι λῦσιν τῶν ἐπιτιμίων.

ΖΩΝΑΡ. Σκηνὴ λέγεται ἡ ὑπόκρισις. οἱ γοῦν ὑποκρινόμενοι ποτὲ στρατηγοὺς, ποτὲ δούλους, ποτὲ δ' ἕτερα πρόσωπα, C ὀνομάζονται σκηνικοί. τούτων δὲ τοὺς μὲν ἐνώπιον βασιλέων ταῦτα ὑποκρινομένους ἐντίμους ἔχουσιν οἱ νόμοι τῆς πολιτείας· τοὺς δὲ ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις συνάξεσιν ἐπιδεικνυμένους τοιαῦτα, καὶ γέλωτα τοῖς ὁρῶσι κινοῦντας ταῖς ὑποκρίσεσι, καὶ τοῖς κατὰ κόρρης ῥαπίσμασι καὶ ψοφήμασιν, ἀτίμους ἡγοῦνται. ὁ δὲ κανὼν οὗτος ἀδιαστίκτως πάντας τοὺς τοιούτους μετανοίας δεῖσθαι φησὶν, ὡς αὐτούς γε ἀδιαφόρως ζῶντας, καὶ ἄλλοις γινομένους αἰτίους ἀνειμένης καὶ διακεχυμένης ζωῆς. τούτοις οὖν καὶ τοῖς λοιποῖς τοῖς τοιουτοτρόποις, οἷον τερατοποιοῖς καὶ ὀρχησταῖς, ἀλλὰ μὴν καὶ τοῖς ἀποστάταις, τουτέστι τοῖς ἀρνησαμένοις τὸν Χριστιανισμὸν, μετανο- D οῦσιν οὐ δεῖ, φησιν, ἀρνεῖσθαι χάριν ἢ καταλλαγήν. χάριν μὲν λέγει τὴν ἄφεσιν τῶν σφαλμάτων, ὡς χάριτι διδομένην ἡμῖν παρὰ τοῦ θεοῦ, καθὼς καὶ ὁ μακάριος Παῦλος λέγει, ὅτι χάριτι ἐστὲ σεσωσμένοι· καταλλαγὴν δὲ τὴν λύσιν τῶν ἐπιτιμίων. λύεται γὰρ τοῦ δεσμοῦ ὁ ἐπιτιμηθεὶς, ὅτε συνίδῃ ὁ δεσμήσας αὐτὸν, ὡς καταλλαγέντος αὐτῷ τοῦ θεοῦ διὰ τῶν ἐπιτιμίων.

ΑΡΙΣΤ. Καὶ σκηνικὸς δὲ ἐπιστρέφων, δεκτὸς εἰς μετάνοιαν.

E Πᾶς δὲ ἁμαρτάνων, καὶ μετανοῶν, δεκτὸς εἰς μετάνοιαν, κἂν σκηνικός ἐστι, κἂν μῖμος, κἂν οἱονδήτινα ἕτερον μετερχόμενος βίον.

ΚΑΝΩΝ ν'.

Περὶ τῶν παθῶν τῶν μαρτύρων. ἐξέστω ἔτι μὴν ἀναγινώσκεσθαι τὰ πάθη τῶν μαρτύρων, ἡνίκα αἱ ἐτήσιαι αὐτῶν ἡμέραι ἐπιτελοῦνται.

ΒΑΛΣ. Εἰ καὶ ὥρισαν οἱ πατέρες ἐν τῷ κδ'. κανόνι F τῆς παρούσης συνόδου τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία· ἀλλὰ νῦν προστιθέασιν ἀναγινώσκεσθαι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν.

ΖΩΝΑΡ. Εν κδ'. κανόνι ἡ σύνοδος αὕτη ἀπηριθμήσε τίνα δεῖ ἀναγινώσκεσθαι ἐν ἐκκλησίᾳ βιβλία τῆς παλαιᾶς γραφῆς καὶ τῆς νέας, τὰ δ' ἐκτὸς τῶν ἀπηριθμημένων ἐκώλυσεν ἀναγινώσκεσθαι· νῦν δὲ τοῖς ἀναγνωστέοις προστίθησι καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων, ἐν ταῖς ἐτησίαις μνήμαις αὐτῶν ἀναγινώσκεσθαι ὀφείλοντα.

ΑΡΙΣΤ. Τὰ πάθη τῶν μαρτύρων ἐν ταῖς μνείαις αὐτῶν ἀναγινωσκέσθωσαν. Σαφής.

A **Arist.** *Passiones martyrum in eorum commemorationibus legantur.* Perspicuus.

ΚΑΝΩΝ να΄.

Περὶ Δονατιστῶν καὶ παιδίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων. ἤρεσεν ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν, Σηρίκιον καὶ Σιμπλικιανὸν, περὶ μόνων τῶν νηπίων τῶν παρὰ τοῖς Δονατισταῖς βαπτιζομένων, μήπως τοῦτο, ὅπερ οἰκείᾳ προαιρέσει οὐκ ἐποίησαν, ἡ τῶν γονέων πλάνη ἐμποδίσῃ αὐτοὺς πρὸς τὸ μὴ προκόπτειν εἰς λειτουργίαν τοῦ ἁγίου θυσιαστηρίου, ὅταν πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν σωτηριώδει προθέσει ἐπιστρέψωσιν. τούτων δὲ ἐναρχθέντων, Ὀνωρᾶτος καὶ Οὐρβανὸς, οἱ ἐπίσκοποι τῆς Μαυριτανίας Σιτιφένσης χώρας, εἶπον, ἐκ πολλοῦ ὅτε πρὸς ὑμετέραν ἁγιωσύνην ἀπεστελλόμεθα, τὰ γραφέντα ὑπερεθέμεθα, ταύτῃ τῇ κατανοήσει ὅτι προσεδοκῶμεν ἀδελφοὺς ἡμῶν παραγενέσθαι τοποτηρητὰς Νουμηδείας· ἀλλ' ἐπειδὴ οὐκ ὀλίγαι ἡμέραι εἰσὶν ἀφ' οὗ οἱ προσδοκώμενοι οὐδαμῶς κατέλαβον, περαιτέρω παριδεῖν τὰ ἐνταλέντα ἡμῖν ἀπὸ τῶν συνεπισκόπων οὐ δεῖ· καὶ διὰ τοῦτο, ἀδελφοὶ, τὴν ἀναφορὰν ἡμῶν προθύμως εἰσδέξασθε. περὶ τῆς πίστεως γὰρ τοῦ ἐν Νικαίᾳ τρακτάτου ἠκούσαμεν, ἀληθές ἐστιν περὶ τῶν γινομένων μετὰ τὸ ἄριστον ἁγίων, ἵνα ἀπὸ νηστικῶν, ὡς ἐστὶν ἄξιον, προσφέρωνται, καὶ τότε βεβαιωθῇ.

CANON LI.

De Donatistis & pueris, qui à Donatistis baptizantur. Placuit ut interrogemus fratres, & nostros in sacris comministros, Siricium & Simplicianum, de solis infantibus qui à Donatistis baptizantur, ne hoc, quod propria voluntate non fecerunt; parentum error ipsos impediat, ne promoveantur ad sancti altaris ministerium, quando ad Dei Ecclesiam salutari proposito B *conversi fuerint. His autem inceptis, Honoratus & Urbanus Mauritaniæ Sitifensis Episcopi dixerunt; Jamdudum quando ad vestram sanctitatem missi sumus, quæ scripta erant distulimus, hac consideratione, quòd expectaremus ut fratres nostri adessent de Numidia legati. Sed quia non pauci sunt dies, ex quo ii qui expectantur, nequaquam accesserunt, ulteriùs prætermittere quæ nobis à nostris Coëpiscopis mandata sunt, non decet; & propterea, fratres, nostram relationem alacri animo suscipite. De fide enim Nicæni tractatus audivimus: Verum est de sacrifi-* C *ciis, quæ fiunt post prandium, ut à jejunis, ut par est, offerantur, & tunc confirmatum est.*

ΒΑΛΣ. Οἱ ἐξ αἱρέσεως προσιόντες τῇ ὀρθοδόξῳ πίστει, οἱ μὲν βαπτίζονται, οἱ δὲ μόνῳ χρίονται τῷ ἁγίῳ μύρῳ, μετὰ τὸ ἀναθεματίσαι τὰς αἱρέσεις αὐτῶν. ὡς ἔοικεν οὖν, προσήρχοντο τῇ ἀμωμήτῳ πίστει ἡμῶν τινες ἐν νηπιότητι βαπτισθέντες παρὰ Δονατιστῶν, κατὰ προαίρεσιν τῶν γονέων αὐτῶν, ὄντων καὶ τούτων Δονατιστῶν, καὶ ἤθελον προβιβασθῆναι εἰς βαθμοὺς ἱερατικοὺς μετὰ τὸ δεχθῆναι. ὅτι δὲ ῥᾳδίως εἰς τοῦτο οὐ προσεδέχοντο, γέγονεν ἐρώτησις, τί χρὴ γενέσθαι ἐπὶ τούτοις. καὶ ὁ μὲν κανὼν οὗτος οὐδέν τι περὶ τοῦ ἐρωτηθέντος ἀπολογεῖται. οὔτε γάρ φησιν, εἰ χρὴ τούτους μυρωθῆναι ἢ βαπτισθῆναι, οὔτε ὁρίζει μὴ ἐμποδίζεσθαι τούτους ἀναχθῆναι εἰς ἐκκλησιαστικὸν βαθμὸν, ὥσπερ οὐδὲ τοὐναντίον. σὺ δὲ ἀνάγνωθι τὸν ζ΄. κανόνα τῆς β΄. συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ μάθῃς τί ὀφείλει γίνεσθαι ἐπὶ τούτοις. τούτων δὲ οὕτω λαλουμένων, εἶπον οἱ ἐκ Μαυριτανίας ἐπίσκοποι, ὅτι εἰ καὶ μέχρι τοῦ νῦν ὑπερετίθεντο ἐρωτῆσαι ἃ παρηγγέλθησαν, διὰ τὸ ἐλπίζειν ἐλθεῖν τοποτηρητὰς ἀπὸ Νουμηδίας, ἀλλ' ἐπεὶ πολὺς παρῆλθε καιρὸς καὶ οἱ προσδοκώμενοι οὐ κατέλαβον, οὐ δεῖ καὶ ἔτι ὑπερτίθεσθαι τὴν ἐρώτησιν. διὸ καὶ εἶπον, μὴ χρῆναι προσφέρεσθαι τὰ ἅγια παρὰ ἱερέων, μετὰ τὸ γεύσασθαι τροφῆς, ἀλλ' ὑπὸ νηστικῶν· ὅτι φασὶν ἐβεβαιώθη τοῦτο καὶ παρὰ τῶν ἐν Νικαίᾳ πατέρων ἐν τῷ περὶ τῆς πίστεως τρακτάτῳ, ἤγουν ἐν τῇ κατεξετάσει τῆς πίστεως (τρακτάτον γάρ ἐστι κατὰ Λατίνους, ἡ δοκιμασία.) ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου οὐδὲν περὶ τοιαύτης εὕρηται ὑποθέσεως.

Bals. Qui ex hæresi ad fidem orthodoxam accedunt, hi quidem baptizantur, illi verò sancto solùm chrismate unguntur, postquam eorum hæreses anathematizaverint. Ut est ergo verisimile, ad veram & inculpatam fidem nostram quidam in infantia à Donatistis baptizati, parentum suorum voluntate, qui erant & ipsi Donatistæ, volebant etiam ad sacros gradus promoveri, postquam suscepti fuerant. Quia autem D facilè ad hoc non admissi sunt, facta est interrogatio, quid de iis fieri oporteat. Atque hic quidem canon nihil de eo, quod interrogatum est, respondet. Nihil enim dicit, an Chrismate inungi, an baptizari oporteat, neque definit non impediri eos, quominus ad gradum ecclesiasticum promoveantur; quemadmodum nec contrà. Tu verò lege vii. can. ii. Syn. & quæ in eo sunt: & scies quid in his fieri debeat. His autem sic prolatis, dixerunt Mauritaniæ Episcopi, quòd etiam si huc usque distulerunt sciscitari, quæ jussi fuerant; quòd sperarent venturos à Numidia legati: quia tamen multum temporis effluxit, & qui expectabantur non accesserunt, E non oportet amplius differre interrogationem. Quamobrem dixerunt, non oportere sacrificia à Sacerdotibus offerri, postquam nutrimentum gustaverint, sed à jejunis, quia, inquiunt, hoc quoque à patribus Nicææ confirmatum est, in tractatu de fide, sive in disquisitione fidei (Tractatus enim apud Latinos est Inquisitio.) In canonibus autem primæ Nicænæ Synodi nihil de ea materia inventum est.

ΖΩΝΑΡ. Οἱ ἐξ αἱρέσεων προσιόντες τῇ ὀρθοδόξῳ πίστει, οἱ μὲν λιβέλλους ἀπαιτοῦνται, ἐκδόσεις ἐγγράφους δηλαδὴ στηλιτευούσας τὰς αἱρέσεις αὐτῶν· λίβελλος γὰρ Ῥωμαϊστὶ ἔκδοσίς ἐστι· καὶ ἀναθεματίζοντες αὐτὰς, χρίονται τῷ ἁγίῳ μύρῳ· οἱ δὲ βαπτίζονται, ὡς περὶ τούτων διατάττεται ὁ ζ΄. κανὼν τῆς δευτέρας οἰκουμενικῆς συνόδου. οἱ οὖν τῆς συνόδου ταύτης πατέρες ἀμφιβάλλοντες, ὡς ἔοικε, περὶ τῶν παίδων τῶν Δονατιστῶν προσερχομένων τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, εἴτε βαπτισθῆναι αὐτοὺς χρὴ, εἴτε μόνον ἁγίῳ μύρῳ χρισθῆναι, συνέθεντο ἐρωτῆσαι τοὺς συνεπισκόπους αὐτῶν, ἵνα, φασὶ, μὴ ὅπερ οὐκ ἐξ οἰκείου θελήματος ἐποίησαν, ἀλλ' ἐκ πλάνης τῶν γονέων αὐτῶν γέγονεν, ἤγουν τὸ βαπτισθῆναι ὑπὸ Δονατιστῶν, ἐμπόδιον αὐτοῖς γένηται ἐπιστρέφουσι πρὸς τὴν ὀρθο-

Zonar. Ex iis qui ejurata hæresi rectam fidem amplectebantur, partim libellis datis, hoc est, scriptis publicè editis, damnare suas hæreses jubentur, (libel- F lus enim Latine editio est) easque ubi detestati fuerint, sacro unguento liniuntur; partim sacri baptismatis fonte lustrantur, quemadmodum hac de re septimus secundæ Oecumenicæ Synodi canon statuit. Hujus igitur Synodi Patres, de Donatistarum filiis ad Ecclesiam Dei accedentibus, baptismóne initiandi, an vero sacro chrismate tantummodo inungendi forent, ut credibile est, ambigentes, ea de re Coëpiscoporum suorum sententiam exquirere decreverunt: ne, inquiunt, quod ab ipsis non sponte, sed parentum errore peccatum est, quia nimirum à Donatistis sint baptizati, orthodoxam fidem amplectentibus ad altaris miniſterium progrediendi, hoc eſt, ſacros ordines adipiſcendi, impedimentum afferat. Ex Numidia Vicarios Antiſtitum venturos eſſe Synodi Patres ſperaverant, quæſtionibus idcirco, quarum tractandarum cauſa convenerant, hucuſque dilatis. Cùm vero longo temporis intervallo illi nuſquam apparerent, commemorati Epiſcopi ſatis jam expectatum eſſe pronuntiarunt; ac de ſanctis à prandio non offerendis, hoc eſt, de oblatione non ab iis qui cibum ſumpſiſſent, ſed à jejunis Sacerdotibus peragendâ, propoſuerunt. Quod ſe etiam in Nicæna Synodo confirmatum, in eo qui de fide eſt tractatu, audiſſe commemorant. Tractatus vero Latina vox eſt, ſcopum, conſiliúmve ſignificans. Verùm in canonibus primæ Nicænæ ſyn. nihil de hâc re invenitur.

ARIST. *Iis qui in infantiâ à Donatiſtis ſunt baptizati converſis, iſtud nihilo erit impedimento. Et ſancta, ut par eſt, à jejunis ſolis offerentur.*

Donatiſtæ ſunt, qui à Donato quodam in Africâ originem duxerunt. Hic enim tradidit eis os quoddam in manu ſuâ tenere, quando Sacramenta participaturi ſunt, & illud primum ſalutare, & tunc eorum participes eſſe. Qui itaque in infantiâ ab eis baptizati fuerunt, & convertuntur, & hæreſin eorum anathematizant, non impedientur à parentum errore ad Sacerdotale miniſterium promoveri. Illud autem quod ſancta poſt prandium non ſunt offerenda, ſed à jejunis Sacerdotibus celebranda, & in quadrageſimoprimo canone ſcriptum eſt.

CANON LII.

De rebaptizationibus & reordinationibus vel tranſlationibus Epiſcoporum. Porrò illud quoque nobis mandatum referimus, quòd in Synodo Capuæ decretum eſt, ut non liceat fieri rebaptizationes vel Epiſcoporum reordinationes. Creſconius itaque Recenſis agri Epiſcopus, neglecto proprio populo, Becenes Eccleſiam invaſit: & in hodiernum uſque diem ſæpe, ſicut definitum eſt, eam Eccleſiam, quam invaſit, relinquere admonitus noluit. De eo autem, quæ priùs renunciata ſunt, firma audivimus, & petimus, ſecundùm id quod nobis mandatum eſt, ut dignemini nobis dare facultatem, ut liceat, quia ita urget neceſſitas, ad præſidem regionis adverſus illum accedere, ſecundùm clariſſimorum Imp. conſtitutiones; ut qui benignæ veſtræ ſanctitatis admonitioni parere noluerit, & id quod non eſt concedendum corrigere, ſecularis magiſtratus auctoritate ſtatim prohibeatur. Aurelius Epiſcopus dixit; Servata conſtitutionis forma, non judicetur eſſe ſynodi, ſi à veſtra dilectione valde rogatus ut diſcederet, recuſavit: quoniam ex proprio contemptu & pervicacia ad ſecularis magiſtratus poteſtatem redactus eſt. Honoratus & Urbanus Epiſcopi dixerunt; Hoc itaque placet omnibus? Ab omnibus Epiſcopis dictum eſt; Juſtum eſt, placet.

BALS. Dicunt patres Capuæ factam eſſe Synodum; & in ea ſtatutum eſſe ne rebaptizarentur qui ab orthodoxis baptizati fuerant, vel reordinarentur, qui ab Epiſcopis orthodoxis ordinati fuerant: & conſequenter iis, quæ in ea Synodo conſtituta ſunt, quæ à me quidem ignoratur (neque enim cum topicis Synodis connumeratur) dixerunt ipſi Mauritaniæ Sitifenſis legati, quòd quia hæc ſunt prohibita, debent etiam corrigi quæ ab Epiſcopis ab hac in aliam Eccleſiam fiunt tranſitiones, eo quòd hoc reputetur, veluti rebaptizatio

A δοξον πίστιν, εἰς τὸ προκόψαι εἰς ὑπουργίαν τοῦ θυσιαστηρίου, τουτέστιν εἰς τὸ προβιβασθῆναι εἰς βαθμοὺς ἱερατικούς. ἐκ Νουμηδίας ἤλπιζον οἱ τῆς συνόδου ταύτης ἐλθεῖν τοποτηρητὰς, διὸ καὶ ὑπερετίθεντο τὰς ζητήσεις τὰς περὶ ὧν συνήχθησαν. ὅτι δὲ καιροῦ παραῤῥυέντος οὐδεὶς ἐκεῖθεν ἀπήντησεν, οἱ εἰρημένοι ἐπίσκοποι εἶπον, μὴ δεῖν ἔτι ὑπερτίθεσθαι. προετέθεντο οὖν τὸ περὶ τοῦ μὴ χρῆναι προσφέρεσθαι τὰ ἅγια μετὰ τὸ ἄριστον, ἤγουν μὴ ὑπὸ βεβρωκότων ἱερέων προσκομιδὴν γίνεσθαι, ἀλλ᾽ ὑπὸ νηστικῶν. τοῦτο δέ, φασι, καὶ ἐν τῷ περὶ τῆς πίστεως τρακτάτῳ τῆς ἐν Νικαίᾳ συνόδου, ἠκούσαμεν ὅτι καὶ τότε ἐβεβαιώθη. ἡ λέξις δὲ τοῦ τρακτάτου B Ρωμαϊκή ἐστι, καὶ ἐξελληνιζομένη δηλοῖ σκοπὸν βούλευμα. ἐν δὲ τοῖς κανόσι τῆς ἐν Νικαίᾳ πρώτης συνόδου οὐδὲν περὶ τῆς τοιαύτης εὕρηται ὑποθέσεως.

ΑΡΙΣΤ. Τοῖς ἐν νηπιότητι παρὰ Δονατιστῶν βαπτισθεῖσιν ἐπιστρέφουσι, κατ᾽ οὐδὲν τοῦτο προστήσεται· καὶ τὰ ἅγια, ὡς ἄξιον, ἀπὸ νηστικῶν μόνων προσενεχθήσεται.

Δονατισταί εἰσιν, οἱ ἀπὸ Δονάτου τινὸς ἐν τῇ Ἀφρικῇ ἐναρξάμενοι. οὗτος γὰρ παραδέδωκε αὐτοῖς, ὅσον τι ἐπὶ τῆς χειρὸς αὐτῶν κρατεῖν, ὁπηνίκα μεταχεῖν τῶν ἁγιασμάτων μέλλουσι, καὶ τοῦτο πρότερον ἀσπάζεσθαι, καὶ C τηνικαῦτα μετέχειν αὐτῶν. οἱ γοῦν παρ᾽ αὐτῶν βαπτισθέντες ἐν νηπιότητι, καὶ ἐπιστρέφοντες, καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζοντες, οὐκ ἐμποδισθήσονται ὑπὸ τῆς τῶν γονέων πλάνης εἰς ἱερατικὴν λειτουργίαν προκόπτειν. τὸ δὲ τὰ ἅγια μὴ μετὰ τὸ ἄριστον προσάγεσθαι, ἀλλὰ ἀπὸ νηστικῶν ταῦτα ἱερέων γίνεσθαι, καὶ ἐν τῷ τεσσαρακοστῷ πρώτῳ κανόνι ἐγράφη.

ΚΑΝΩΝ νβʹ.

Περὶ ἀναβαπτισμάτων καὶ ἀναχειροτονιῶν ἢ μεταβάσεων ἐπισκόπων. ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλὲν ἡμῖν, τὸ καὶ D ἐν τῇ συνόδῳ τῇ ἐν Καπούῃ ὁρισθὲν, ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀναβαπτίσεις ἢ ἀναχειροτονήσεις ἐπισκόπων. Κρεσκώνιος οὖν τοῦ Ρεκένσης ἀγροῦ ἐπίσκοπος καταφρονήσας τοῦ ἰδίου λαοῦ, τῇ Βεκένης ἐπέβη ἐκκλησίᾳ, καὶ ἕως τῆς σήμερον πολλάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν τὴν τοιαύτην ἐκκλησίαν, ᾗ τινι ἐπῆλθεν, οὐχ εἵλετο. περὶ τούτου δὲ τὰ παραγγελθέντα βέβαια ἠκούσαμεν· καὶ αἰτοῦμεν κατὰ τὸ ἐνταλὲν ἡμῖν, ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν ἐπ᾽ ἀδείας ἡμῖν γενέσθαι, ὅτι αὕτη ἡ ἀνάγκη παρασκευάζει, τῷ ἄρχοντι τῆς χώρας κατ᾽ ἐκείνου προσελθεῖν, κατὰ τὰς διατάξεις τῶν ἐνδοξοτάτων βα- E σιλέων, ἵνα ὁ τῇ πρᾴῳ ὑπομνήσει τῆς ὑμετέρας ἁγιωσύνης πειθαρχῆσαι μὴ θελήσας καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον, αὐθεντείᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ. Αὐρήλιος ἐπίσκοπος εἶπε· φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγάπης, ἀποστῆναι παρῃτήσατο· ἐπεὶ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μονοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν. Ονωρᾶτος καὶ Ουρβανὸς οἱ ἐπίσκοποι εἶπον· τοῦτο οὖν πᾶσιν ἀρέσκει; ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· δίκαιόν ἐστιν, ἀρέσκει.

F

ΒΑΛΣ. Εν Καπούῃ φασὶν οἱ πατέρες γενέσθαι σύνοδον, καὶ ἐν ἐκείνῃ ὁρισθῆναι τὸ μὴ ἀναβαπτίζεσθαι τοὺς παρὰ ὀρθοδόξων βαπτισθέντας, ἢ ἀναχειροτονεῖσθαι τοὺς παρὰ ἐπισκόπων ὀρθοδόξων χειροτονηθέντας· καὶ ἀκολούθως τοῖς ὁρισθεῖσιν ἐν τῇ τοιαύτῃ συνόδῳ, τῇ τέως ἐμοὶ ἀγνοουμένῃ (οὐδὲ γὰρ συναριθμεῖται ταῖς τοπικαῖς συνόδοις) εἶπον οἱ αὐτοὶ τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφένσης, ὡς ἐπεὶ ταῦτα κεκώλυνται, ὀφείλουσι διορθωθῆναι καὶ αἱ παρὰ ἐπισκόπων γινόμεναι μεταπτώσεις ἀπὸ ταύτης τῆς ἐκκλησίας εἰς ἑτέραν, διὰ τὸ λογίζεσθαι καὶ τοῦτο ὡσανεὶ ἀναβαπτισμὸν ἢ ἀναχειροτόνησιν.

ροτονήσιν. καὶ αὐτίκα προέθεντο φάκτον, ὅτι Κρεσκώνιος ἐπίσκοπος καταφρόνησε τοῦ οἰκείου λαοῦ, καὶ ἐπέβη ἑτέρας ἐκκλησίας. διά τοι τοῦτο παρεγγυηθεὶς καταλιπεῖν τὴν ἀλλοτρίαν ἐκκλησίαν, ἧς ἐπέβη παρὰ κανόνα, καὶ ἀντέχεσθαι τῆς οἰκείας, οὐκ ἐπείσθη τοῦτο ποιῆσαι. ὅτι οὖν τοῦτο βέβαιόν ἐστι καὶ ἀληθές, ζητοῦσι, κατὰ τὴν πρὸς αὐτοὺς ἐντολήν, ἵνα δοθῇ τῇ κατ' αὐτοὺς συνόδῳ ἄδεια προσελθεῖν τῷ κατὰ χώραν ἄρχοντι· καὶ δι' αὐτοῦ καταναγκασθῆναι τὸν Κρεσκώνιον ἀποστῆναι τῆς μὴ ἀνηκούσης αὐτῷ ἐκκλησίας, ὅτι καὶ αἱ διατάξεις τῶν βασιλέων ἤτοι οἱ νόμοι τοῦτο διορίζονται. εἶπε δὲ πρὸς ταῦτα ὁ Αὐρήλιος, ἐὰν ἐφυλάχθῃ ὁ τύπος τῆς ἐκκλησιαστικῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων ὁ Κρεσκώνιος, ἀλλ' ὡς λαϊκὸς παραδοθήτω τῇ ἀρχοντικῇ ἐξουσίᾳ· καὶ μὴ μεμφέσθω τὸ γινόμενον εἰς αὐτόν. αὐτὸς γὰρ ἑαυτὸν παρέδωκεν εἰς τὴν ἀρχοντικὴν ἐξουσίαν, διὰ τὴν οἰκείαν μονοτονίαν καὶ καταφρόνησιν τῶν συνοδικῶν παραγγελιῶν. καὶ τὰ μὲν τοῦ κανόνος ἐν τούτοις. ὁ τύπος δὲ τῆς καταστάσεως, ὃν ὁ Αὐρήλιος εἶπε φυλαχθῆναι, ἔστι τὸ κατὰ κανόνας ἐπιφωνηθῆναι τὸν ἀκανονίστως δραξάμενον τῆς ἀλλοτρίας ἐκκλησίας, καὶ μετὰ τὰς ἐπιφωνήσεις καθαιρεθέντα, ἢ διμερῶς ἢ μονομερῶς, διὰ τὴν ἀπείθειαν. τοὺς ἱερωμένους γὰρ παραδίδοσθαι εἰς κόλασιν ἀρχοντικὴν οὐκ ἔξεστιν, εἰ μὴ πρότερον καθαιρεθῶσι. τὸ δὲ παραδίδοσθαι τοῖς ἄρχουσι τοὺς ἱερωμένους μετὰ καθαίρεσιν, γίνεται, οὐ μόνον ὅτε ἡ σύνοδος οὐκ ἔχῃ εὐχέρειαν ποιῆσαι ἐκβιβασμὸν τῆς οἰκείας ἀποφάσεως, ἀλλὰ καὶ ὅτε μέγα ἐστὶ τὸ ἁμάρτημα, καὶ σὺν τῇ ἐκκλησιαστικῇ κολάσει χρεὼν ἐστὶν ἐπακολουθῆσαι καὶ ἀρχοντικὴν τιμωρίαν. τυχὸν γὰρ εὑρέθη τις ἱερωμένος ἐπίβουλος τοῦ βασιλέως, καὶ καθῃρέθη· ὁ τοιοῦτος μετὰ τὴν καθαίρεσιν παραδοθήσεται τῇ ἀρχοντικῇ ἐξουσίᾳ, ὡς ἂν μετὰ ἐτασμοῦ εἴπῃ τοὺς συνίστορας. ταῦτα δὲ οὕτω γίνονται, κατὰ τὸ λϛ΄. καὶ τὸ λζ΄. κεφάλ. τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν, μέρος ὄντος τῆς ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, καὶ διαλαμβάνοντα πρεσβυτέρους καὶ διακόνους ὑπὲρ ἐγκληματικῆς αἰτίας ψευδομαρτυρήσαντας, μὴ μόνον καθαιρεῖσθαι, ἀλλὰ καὶ ταῖς νομίμοις ποιναῖς ὑποβάλλεσθαι, καὶ τοὺς καταδικαζομένους κληρικοὺς χάριν ἐγκληματικῆς αἰτίας ἀπογυμνοῦσθαι τοῦ βαθμοῦ παρὰ τοῦ ἐπισκόπου, ὑπὸ δὲ τοῦ ἄρχοντος ὑποβάλλεσθαι ταῖς νομίμοις ποιναῖς. τοῦτο δὲ λέγε κρατεῖν, ἔνθα ἐξεφωνήθη. ὁ γὰρ τὸν νόμον τοῦτον μεθέλκων καὶ εἰς ἐπισκόπους καταδικαζομένους ἴσως χάριν ἐγκληματικῆς αἰτιάσεως, καὶ θέλων καὶ τούτους μετὰ καθαίρεσιν τῷ ἄρχοντι παραδίδοσθαι, μάταιος ἂν εἴη καὶ βλάσφημος. διὸ καὶ τὸ παρὰ τοῦ κανόνος διοριζόμενον χάριν τοῦ ἐπισκόπου, ὀφείλεις ἐκλαμβάνεσθαι, εἰς τὸ καταναγκασθῆναι τὸν ἐπίσκοπον ἀκολουθῆσαι τῇ συνοδικῇ διαγνώσει καὶ μόνῃ. περὶ δὲ ἀναβαπτισμοῦ καὶ ἀναχειροτονήσεως ἀνάγνωθι τὸν μζ΄. ἀποστολικὸν κανόνα καὶ τὸν ξή.

ΖΩΝΑΡ. Μὴ ἀναβαπτίζειν, εἰς μὴ τὸν παρὰ ἀσεβῶν βαπτισθέντα, καὶ τοῖς ἱεροῖς ἀποστόλοις, ἐν μζ΄. κανόνι διατέτακται, καὶ ἐν ξή. κανόνι, μὴ δέχεσθαί τινα δευτέραν χειροτονίαν, τοῖς αὐτοῖς ὥρισται. τούτοις οὖν τοῖς κανόσιν ἑπόμενοι καὶ οἱ πατέρες οὗτοι τὰ αὐτὰ διετάξαντο, τουτέστι μηδένα ἀναβαπτίζεσθαι ὀρθῶς ἐξ ἀρχῆς βαπτισθέντα. εἰ δὲ παρὰ αἱρετικῶν ἐβαπτίσθη τις ἀλλόκοτον βάπτισμα, ἐκεῖνον βαπτίζεσθαι δεῖ. οὐ γὰρ ἀναβάπτισις τοῦτο, ὅτι οὐδὲ ὃ ἐβαπτίσθη, βάπτισμα λογίζεται, ἀλλὰ μολυσμός. ἀλλὰ μηδὲ ἀναχειροτονήσεις γίνεσθαι, μηδὲ μετακινήσεις ἐπισκόπων, ὥστε ἐᾶν τινὰ τὴν οἰκείαν ἐπισκοπήν, καὶ μεταπίπτειν εἰς ἄλλην. καὶ αὐτίκα καὶ τοιαύτην ὑπόθεσιν προέθεντο, τινὰ λέγοντες καταφρονῆσαι τοῦ ἰδίου λαοῦ, καὶ ἑτέρας ἐκκλησίας ἐπιβῆναι, πολλάκις τε περὶ τούτου ὑπομνησθῆναι ἐκεῖνον, καὶ μὴ πεισθῆναι ἀποστῆναι τῆς ἐκκλησίας, ἧς οὐ κατὰ κανόνας ἐπέβη, καὶ λοιπόν, φασι, διὰ τὴν ἀπείθειαν ἐκείνου, ἀνάγκη τῷ τῆς χώρας.

πων κατεχομένων, γίνεσθαι ἐπίσκοπον, εἰ μὴ κατὰ γνώμην τοῦ ἐπισκόπου, ᾧ ἐξ ἀρχῆς διέφερεν ἡ παροικία. ἰθυντὰς δὲ καλεῖ τοὺς ἐπισκόπους, ὡς ἰθύνοντας τὸν λαὸν καὶ κατευθύνοντας πρὸς τὴν ὀρθὴν πορείαν τῆς πίστεως καὶ τῆς ἀρετῆς. τοῦτο δὲ λέγουσιν, ἐπεὶ τινὲς τυραννίδος ἐπιτετυχηκότες, ἤγουν δυναστείας τινὸς, τὴν τῶν ἀδελφῶν, τῶν ἐπισκόπων δηλαδὴ, κοινωνίαν ἀποστρέφονται· καὶ ὅταν ἀποφαυλισθῶσιν, ἀντὶ τοῦ ἀποδοκιμασθῶσι καὶ φανεροὶ γένωνται τὴν κακίαν, τότε ἑαυτοῖς ἐκδικοῦσι δεσποτείας, ὡς τάχα δίκαιον ἔχοντες ἐκ παλαιᾶς συνηθείας. τὴν δυναστείαν δὲ ὠνόμασε τυραννίδα, διὰ τὸ βίαιον. πολλοὶ δὲ καὶ τῶν πρεσβυτέρων κενοδοξοῦντες, ἐπαιρόμενοι ἐκ μωρίας, κατεπαίρονται καὶ κατεξανίστανται τῶν οἰκείων ἐπισκόπων, διεγείροντες τὰ πλήθη, ἀντὶ τοῦ ἐρεθίζοντες, συμποσίοις καὶ κακοθελέσι συμβουλίαις, ἰθυντὰς ἤτοι ἐπισκόπους ἑαυτοῖς τούτους καθιστᾶν, ὡς τάχα τοῦτο δι' εὔνοιαν τὴν πρὸς αὐτοὺς ποιοῦντες, ἥτις εὔνοια ἄτακτός ἐστιν. οὐ γὰρ εὐτάκτως οὐδὲ κανονικῶς γίνεται. τοῦτο δέ, φησιν, ἐπισήμως κατέχομεν, ἀντὶ τοῦ γνωρίμως καὶ φανερῶς κατέχομεν ἐν τῇ ἡμῶν διανοίᾳ εὐκταῖον, ἤγουν εὐχῆς ἄξιον, ὥστε οὕτως γίνεσθαι. ποῖον δὴ τοῦτο; ὅτι πολλάκις τοιαύτας ὁρμὰς ἐκώλυσας μὴ προσδεχόμενος ταύτας. διὰ δὲ τινῶν κακοθέλειαν, καὶ τὰς φαύλας συμβουλὰς καὶ συμφωνίας κυρωθήτω, μὴ δέχεσθαι ἴδιον καθηγητὴν ἤγουν ἐπίσκοπον τοὺς ἐν παροικίᾳ ὄντας, ἥτις ἀρχαίῳ ἐπισκόπῳ ὑπόκειται, καὶ οὐδέποτε ἴδιον ἐπίσκοπον ἔσχεν. εἰπόντος δὲ τοῦ Ἐπιγονίου τὰ προειρημένα, ὁ Αὐρήλιος ἀπεκρίθη, τοῦτο τὸ εἰσαχθὲν δηλαδὴ καὶ πεποίηκα καὶ ποιεῖν ὁμολογῶ. εἰσὶ γὰρ πολλοὶ ὁμονοοῦντες τοῖς οἰκείοις πλήθεσιν, ἐξ ὧν ὥρμηνται δηλονότι· ἡ δὲ ὁμόνοια αὐτῶν ἀπάτη ἐστί. κνήθοντες τὰς ἀκοὰς αὐτῶν καὶ κολακεύοντες, ἀντὶ τοῦ λόγοις ἀπατηλοῖς τὰς ἀκοὰς αὐτῶν ἡδύνοντες καὶ γαργαλίζοντες. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ζώων εἴληπται. τὰ γὰρ ζῶα καταψώμενα καὶ κνηθόμενα χερσὶν ἀνθρώπων γαργαλίζονται καὶ ἡμεροῦνται καὶ χειροήθη γίνονται. διὰ τῆς κολακείας πρὸς ἑαυτοὺς ὑποσύροντες ἀνθρώπους κατεγνωσμένου βίου, μᾶλλον δὲ φυσιούμενοι, καὶ ἐκ τῆς συγκληρώσεως ταύτης, ἤγουν τῆς τῶν ἐπισκόπων ὁμηγύρεως, ἑαυτοὺς χωρίζοντες, οἵτινες θαῤῥοῦντες τῷ οἰκείῳ πλήθει, καὶ αὐτῷ ἐπιστηριζόμενοι καὶ δυναμούμενοι ἐν ᾧ κατέστησαν ἐπίσκοποι, παραιτοῦνται ἐλθεῖν εἰς σύνοδον, καίτοι κληθέντες πολλάκις. διὰ τί δὲ παραιτοῦνται ἐλθεῖν; ὅτι φοβοῦνται μὴ ἐλεγχθῶσι τὰ ἀτοπήματα αὐτῶν. ὀφείλομεν οὖν, φησιν, ἐὰν πᾶσι δοκῇ, πάντα τρόπον ἀγωνίσασθαι μὴ μόνον τὰ οὕτω κακῶς διοικηθέντα μὴ φυλάξαι, σπουδάσαι δὲ μηκέτι γίνεσθαι τοῦ λοιποῦ, ἀλλὰ καὶ τὰς ἐκκλησίας, τὰς κακῶς περιελθούσας αὐτοῖς, ἀφελέσθαι ἐξ αὐτῶν, καὶ ἵνα μετ' ἐξουσίας φανερῶς ἐκβάλλωνται, καὶ διὰ τῆς τῶν πρωτευόντων καθέδρας ἤτοι τῶν πατριαρχῶν ἢ τῶν μητροπολιτῶν ἐκδιώκωνται. διὰ δὲ τῆς καθέδρας τῶν πρωτευόντων, τὴν ἀρχιερατικὴν ἐξουσίαν ἐνέφηνεν. ἐνδέχεται γάρ, φησι, τοὺς προσκολλωμένους τοῖς ἀδελφοῖς, τοὺς ὁμόφρονας δηλαδὴ πάσῃ τῇ συνόδῳ, μὴ μόνον τοὺς οἰκείους θρόνους ἔχειν, ἀλλὰ καὶ τὰς τοιαύτας διοικήσεις κεκτῆσθαι· τοὺς δὲ καταφρονοῦντας τῆς ὁμονοίας καὶ τῆς ἀδελφικῆς ἀγάπης, ὡς δοκοῦντας ἀρκεῖσθαι τοῖς ἰδίοις ὄχλοις, παρ' ὧν ἐπελέγησαν εἰς ἐπισκοπὴν, μὴ μόνον τὰς διοικήσεις, ἐν αἷς γεγόνασιν ἐπίσκοποι, ἀπόλλειν, ἀλλὰ καὶ τῶν ἰδίων τόπων στερεῖσθαι, εἴ τινας εἶχον οἰκείους ἐκεῖθεν ὄντες, ἐκδιωκομένους ἐξ αὐτῶν ἀρχοντικῇ δυναστείᾳ ὡς ἀντάρτας, ἤτοι ὡς ἀνταίροντας χεῖρας καὶ ἐναντιουμένους τοῖς κανόσι καὶ τοῖς ἐπισκόποις. πρὸς ταῦτα τινὲς μὲν εἶπον, ὅτι ἡ πρόνοια αὕτη ταῖς πάντων διανοίαις ἐνεκαθέσθη, ἀντὶ τοῦ ἤρεσεν, ἀνεπαύθη. ἀνάπαυσιν γὰρ τὸ καθῆσθαι ποιεῖ. ἡ δὲ σύνοδος εἶπεν, ἀρέσκει.

ΑΡΙΣΤ. Ὁ τὴν παρὰ τῆς συνόδου κλῆσιν παραιτούμενος, A καὶ τῷ θαῤῥεῖν τῷ ἰδίῳ πλήθει τῆς ἀδελφικῆς ἀγάπης καταφρονῶν· καὶ τῶν ἰδίων ἀρχοντικῇ δυναστείᾳ στερηθήσεται.

Ὁ τῶν ἀλλοτρίων ἐφιέμενος, καὶ τῶν ἀνηκόντων αὐτῷ ἐκπτώσει ὑποπεσεῖται. εἴ τινες οὖν τῶν ἐπισκόπων, ἢ καὶ τῶν πρεσβυτέρων, εἰς ἑαυτοὺς ἐφελκόμενοι λαὸν παροικίας τινὸς, καὶ παραπείσαντες αὐτὸν ἀπάτῃ καὶ κολακείᾳ διδάσκαλοι αὐτοῦ καὶ καθηγηταὶ καταστῆναι, τοῦτ' ἔστιν ἐπίσκοποι, καὶ ἀποστῆναι ἐπισκόπου, ᾧ τινι ἡ τοιαύτη παροικία ὑπέκειτο πρότερον. καὶ καλούμενοι εἰς τὴν σύνοδον ἐπὶ τὸ ἀπολογήσασθαι B περὶ ὧν ἐπεγκαλοῦνται ἕνεκεν ταύτης ὑποθέσεως, οὐ θελήσουσι παρουσιάσαι, ὡς τῆς ἀδελφικῆς ἀγάπης καταφρονοῦντες, καὶ τῷ πλήθει θαῤῥοῦντες· καὶ τῶν ἰδίων ἐκκλησιῶν στερηθήσονται διὰ ἀρχοντικῆς ἐξουσίας.

ΚΑΝΩΝ νη'.

Περὶ τοῦ, ἀλλοτρίους κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν. ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, καὶ νῦν ἔτι μὴν ἐκ τῆς ὑμετέρας ἐβεβαιώθη συνέσεως, μακαριώτατοι ἀδελφοὶ, ὥστε μηδένα ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν, παρὰ τὴν κρίσιν τοῦ C προτέρου αὐτοῦ ἐπισκόπου. ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἐνεχθέντα περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν σωρευθείσας τοσαύτας τοῦ θεοῦ εὐεργεσίας, καὶ οὕτως προπετῶς καὶ τολμηρῶς διαγενόμενον, ὥστε τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμοῦ βαπτισθέντα, τὸν καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ παρατεθέντα μοι, καὶ ἐπὶ πολλὰ ἐξ ἐμοῦ τραφέντα καὶ αὐξηθέντα, τὸν, ὡς εἶπον, ἐν τῇ ἐμῇ ἐκκλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μετριότητος βαπτισθέντα, καὶ δεικνύμενον ἐν τῇ τῶν Μαπαλιτῶν παροικίᾳ ἀναγνώστην γενόμενον, καὶ ἐπὶ δύο ἔτη ἐκεῖσε ἀναγινώσκοντα· τοῦτον οὐκ οἶδα ποίᾳ καταφρονήσει τῆς ἐμῆς μετριότητος ἀφαρπάσαι τὸν αὐτὸν D Ἰουλιανὸν, καὶ λέγειν πολίτην τοῦ διαφέροντος αὐτῷ Βαζαριτάνου τόπου, καὶ παρὰ τὴν ἐμὴν γνώμην τούτῳ κεχρῆσθαι. καὶ γὰρ διάκονον τοῦτον ἐχειροτόνησεν. τοῦτο εἰ ἔξεστιν, γνωσθῇ ὑμῖν ἡ τοιαύτη ἄδεια, μακαριώτατοι ἀδελφοί· εἰ δὲ μήγε, τὸ οὕτως ἀναιδὲς κωλυθῇ, ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινωνῇ ἀλλοτρίοις. Νουμίδιος ἐπίσκοπος εἶπεν. ἐὰν μὴ ἐρωτηθείσης μηδὲ αἰτηθείσης τῆς σῆς ἀξίας φανείη τοῦτο πράξας Ἰουλιανὸς, κρίνομεν πάντες ἀδίκως γενόμενον καὶ μὴ ἀξίως. διὸ εἰ μὴ ὁ αὐτὸς Ἰουλιανὸς διορθώσηται τὴν οἰκείαν πλάνην, καὶ μετὰ ἀποθεραπεύσεως τῷ ὑμετέρῳ λαῷ τὸν αὐτὸν ἀποκαταστήσῃ κληρικὸν, ὃν E ἐτόλμησεν χειροτονῆσαι, κατὰ τὸ ὁρισθὲν τῇ συνόδῳ μὴ πράττων, καὶ χωρισθεὶς ἀφ' ἡμῶν, τῆς οἰκείας μονοτονίας ἀπενέγκοι τὴν κρίσιν. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν. ὁ κατὰ τὴν κεῖραν πατὴρ, καὶ αὐτῇ τῇ προκοπῇ ἀρχαιότατος, ἐπαινετὸς ἀνὴρ, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Βίκτωρ τὴν αἴτησιν ταύτην γενικὴν βούλεται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι.

ΒΑΛΣ. Ὁ ἐπίσκοπος Ἐπιγόνιος ἐδέξατο νεανίσκον τινὰ πένητα ἐξ ἀποστολῆς τινὸς ἐπισκόπου Ἰουλιανοῦ καλουμένου, ὄντα ἀπὸ τόπου λεγομένου Βαζαριτανοῦ, καὶ ὑποκειμένου τῇ ἐνορίᾳ F αὐτοῦ τοῦ Ἰουλιανοῦ· καὶ ἐβάπτισεν αὐτὸν, καὶ ἀνέθρεψε, καὶ ἀναγνώστην ἐχειροτόνησεν εἰς τὴν ὑπ' αὐτὸν παροικίαν τῶν Μαπαλιτῶν. ὅτι δὲ μετὰ δύο ἔτη τῆς κληρώσεως τούτου ἥρπασεν αὐτὸν ὁ Ἰουλιανὸς, καὶ παρὰ γνώμην τοῦ Ἐπιγονίου διάκονον ἐχειροτόνησεν, ἀνήνεγκε τοῦτο αὐτὸ ὁ Ἐπιγόνιος τῇ συνόδῳ· καὶ εἶπεν, ὅτι καὶ ἄλλαι σύνοδοι ὡρίσαντο μὴ δέχεσθαι ἐπίσκοπον ἀλλότριον κληρικὸν παρὰ γνώμην τοῦ κληρώσαντος αὐτὸν ἐπισκόπου. ἀλλὰ καὶ νῦν παρ' ὑμῶν ἐβεβαιώθη τοῦτο αὐτό. ἀναφέρω οὖν τὴν γινομένην πρὸς ἐμὲ καταφρόνησιν παρὰ

A ARIST. *Qui vocationem à Synodo factam aversatur, & multitudini suæ confisus fraternam despicit amicitiam: suis etiam per auctoritatem Imperatoriam privabitur.*

Qui aliena appetit, & eorum, quæ ad ipsum pertinent, amissioni subjicietur. Si qui itaque ex Episcopis aut Presbyteris ad se parœciæ alicujus populum attrahentes, eique fraude & adulatione persuadentes se præceptores ejus & directores, hoc est, Episcopos constitui, & recedere ab Episcopo, cui ista parœcia antea subjecta fuit; & ad Synodum vocati, ad rationes reddendas de iis, quibus propter istam causam accusantur, advenire nolunt, ut fraternam contemptui habentes amicitiam, & multitudini confidentes: per auctoritatem Imperialem etiam suis privabuntur Ecclesiis.

CANON LVIII.

Quòd alieni Clerici ab aliis Episcopis nullo modo suscipiantur. Epigonius Episcopus dixit; Hoc in multis Synodis constitutum, nunc etiam adhuc à vestra prudentia confirmatum est, beatissimi fratres, ut nullus Episcopus alienum sibi Clericum vendicet, præter sententiam prioris ejus Episcopi. Refero autem Julianum ingratè in tot per meam parvitatem in eum congesta Dei beneficia se gessisse, & tam temere & confidenter versatum esse; ut qui à tenera ætate à me baptizatus est, propter multam inopiam mihi ab ipso commendatus, & multis annis à me nutritus & auctus, qui, ut dixi, in Ecclesia mea mediocritatis meæ manu baptizatus est, & in Mapalitanorum parœcia publicè Lector factus est, & duobus jam annis illic legit: eum, nescio quonam meæ mediocritatis contemptu, surripuit ipse Julianus, & dicit eum esse civem loci Basaritani ad eum pertinentis, eoque præter meam sententiam usus est. Eum enim Diaconum ordinavit. Hoc si licet, à vobis decernatur ejusmodi facultas, beatissimi fratres: Sin minùs, quod adeò impudens est prohibeatur, ne dictus Julianus aliena participet. Numidius Episcopus dixit; Si non consulta nec rogata tua dignitate hoc fecisse Julianum appareat, judicamus omnes id injustè indignéque factum esse. Quare nisi ipse Julianus proprium errorem correxerit, & cum satisfactione vestro populo eundem Clericum, quem ausus est ordinare, restituerit, convenienter ei quod Synodo constitutum est non faciens, & à nobis separatus, suæ pervicaciæ judicium referret. Epigonius Episcopus dixit; Qui ætate pater est, & ipso profectu antiquissimus, laudabilis vir, frater & noster in sacris comminister Victor generalem hanc petitionem vult in omnibus effici.

BALS. Episcopus Epigonius pauperem quendam adolescentulum, ab Episcopo Juliano missum, suscepit, qui erat ex loco Bazaritano dicto, & regioni ipsius Juliani subjecto: & ipsum baptizavit, & educavit, & Lectorem ordinavit in Parœcia Mapalitarum, quæ ei suberat. Quia autem post duos ejus creationis annos eum rapuit Julianus, & præter Epigonii mentem Diaconum ordinavit, hoc Epigonius ad Synodum retulit: & dixit, quòd aliæ quoque Synodi decreverunt, ut Episcopus alienum Clericum non admittat præter mentem Episcopi, qui eum Clericum effecit, sed etiam hoc ipsum quoque nunc à vobis confirmatum est. Refero ergo contemptum in me factum à Juliano, qui à me beneficio affectus eſt, & quæro ut audax ejus inceptum corrigatur. Dixit ergo Numidius, quòd ſi te non permittente fecit hoc Julianus, injuſtum eſt: & ſi proprium errorem non corrigat, & Clericum reſtituat, à nobis ſeparabitur, & ex ſua obſtinatione ſeu impudentia condemnationem ſuſcipiet. Epigonius autem dixit, quòd, qui ætate pater eſt & temporis progreſſu antiquiſſimus Victor, vult hanc fieri generalem petitionem; ſcilicet ut hoc non adverſus ſolum Julianum dicatur, ſed communiter adverſus omnes, qui alienos ſibi Clericos vendicant. Ac præſens quidem Canon dicit Julianum à fraternitate ſeparandum, & obſtinationis condemnationem relaturum. Tu autem lege vigeſimum ſextum caput primi tituli præſentis operis, & Canones qui in ipſo ſunt: præcipuè autem Canones Synodi in Trullo. Scias autem, quod multum ſæpe agitatum eſt in Conſtantinopolitanorum Eccleſiæ Synodo, an divini Canones, qui ſtatuunt non ſuſcipere debere Epiſcopos aliarum regionum Clericos, exaudiantur etiam in Laicos; & prohibeatur fortaſſe Athyræ Epiſcopus aliquem ordinare Laicum, qui ſit ex regione Sylembriæ Epiſcopi, & ejus Canoni pœniſque ſubjectus ſit, & pro uno ex ejus ovili habeatur. Dicebant enim nonnulli, quòd ex præſenti Canone, qui dixiſſe Epigonium ſe à Juliano miſſum ſuſcepiſſe Laicum, ejus civem, & eum in ſua diœceſi Clericum ordinaſſe diſſerit, & ex eo quòd hoc prætextu uteretur Julianus, eum à ſe jure fuiſſe ordinatum Diaconum, ut qui à ſua Bazaritanorum regione exceſſerit, oſtenditur; quòd nec alterius regionis Laicum poteſt Epiſcopus ordinare præter Epiſcopi, qui eum obtinet, ſententiam. Tanquam enim prohibita eſſet, ab Epigonio facta ordinatio ejus, qui ab illo educatus fuerat, quòd eſſet ipſe alterius regionis, adjecit Epigonius; ſe Juliani voluntate eum accepiſſe, de quo agebatur, & propterea nec exiſtimari debere eum eſſe illius Diœceſis: & diſceptabant eum rectè à Juliano fuiſſe ordinatum Diaconum, ut qui ex ejus Diœceſi eſſet, ejuſque civis reputaretur, & nec ad Epigonium reverſus eſſet, niſi Julianus eum priùs à ſua regione abalienaſſet, externúmque feciſſet, & ad Epigonium miſiſſet. Et hæc quidem hi rectè, ut & mihi videtur, dicebant. Tu autem memoria tene Synodalem declarationem ſanctiſſimi Patriarchæ domini Michaëlis, Philoſophorum ſummi, quæ hæc ad verbum continet; Menſe Novembri, die primo, Indictione quarta, præſidente ſanctiſſimo domino noſtro & univerſali Patriarcha domino Michaële in Alexiacis Catechumeniis, cum magna ejus ſanctitate unà aſſidentibus ſanctiſſimis Antiſtitibus, Stephano Cæſareæ, Nicolao Epheſi, Michaële Heracleæ, Joanne Cyzici, Leone Amaſeæ, Niceta Melitenes, Baſilio Neocæſareæ, Luca Moceſorum, Joanne Cretæ, Leone Adrianopolis, Conſtantino Euchaitorum, Georgio Alaniæ, Theodoro Methymnes, Joanne Bizyes & Romano Aprô, præſentibus etiam Dei amantiſſimis dominicis Magiſtratibus: Patrum terminos non tranſgredi, quos ii pulchrè & cum ea qua par eſt diſquiſitione ab initio poſuerunt; ſed nec foſſas nec vallum tranſilire, qui externa à ſuis juribus dividit, decretum eſt Eccleſiaſticum & lex divina multis antè ſeculis ſtatuta. Oportebat ergo hoc non ignorare eos, qui Eccleſiis, quæ ſitæ ſunt, ubique præſunt, & Synodalia decreta legúmque conſtitutiones ſe ſervaturos profitentur, & debent in eis permanere, & propria quidem jura retinere, ab alienis autem abſtinere. Sed neſcio quanam ratione quidam ſanctiſſ. Antiſtites,

A τοῦ Ιουλιανοῦ τοῦ εὐεργετηθέντος ὑπ' ἐμοῦ, καὶ ζητῶ διορθωθῆναι τὸ παρὰ τούτου τολμηθέν. εἶπεν οὖν ὁ Νουμίδιος, ὅτι ἐὰν σοῦ μὴ παραχωρήσαντος ὁ Ιουλιανὸς ἔπραξε τοῦτο, ἄδικόν ἐστι· καὶ εἰ μὴ διορθώσεται τὴν οἰκείαν πλάνην, καὶ ἀποκαταστήσει τὸν κληρικὸν, χωρισθήσεται ἀφ' ἡμῶν, καὶ ὑποστήσεται τὴν κατάκρισιν ἐκ τῆς οἰκείας μονοτονίας ἤγουν ἀναισχυντίας. ὁ δὲ Επιγόνιος ἔφησεν, ὅτι ὁ κατὰ τὴν ἡλικίαν καὶ τὸ γῆρας πατὴρ καὶ τῇ προκοπῇ τοῦ χρόνου ἀρχαιότατος Βίκτωρ, βούλεται γενικὴν γενέσθαι τὴν αἴτησιν ταύτην, ἤγουν μὴ κατὰ μόνου τοῦ Ιουλιανοῦ τοῦτο ἐκφωνηθῆναι, ἀλλὰ κατὰ πάντων κοινῶς τῶν ἀλλοτρίους κληρικοὺς σφετεριζομένων. καὶ ὁ μὲν παρὼν κανὼν χωρίζεσθαι φησὶ τὸν Ιουλιανὸν ἀπὸ B τῆς ἀδελφότητος, καὶ μονοτονίας ἀποίσεσθαι κατάκρισιν. σὺ δὲ ἀνάγνωθι τὸ κϛ΄. κεφ. τοῦ α΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας. ἐξαιρέτως δὲ τοὺς κανόνας τῆς ἐν Τρούλλῳ συνόδου. γίνωσκε δὲ, ὅτι λόγος ἐγένετο πολλάκις πολὺς παρὰ τῇ συνόδῳ τῆς τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας, εἰ τὰ τῶν θείων κανόνων, τῶν διοριζομένων μὴ δέχεσθαί τινας ἐπισκόπους ἀλλοτρίων ἐνοριῶν κληρικοὺς, ἐξακούονται καὶ εἰς λαϊκούς· καὶ κωλύεται τυχὸν ὁ ἐπίσκοπος Αθύρας χειροτονῆσαι λαϊκόν τινα, ἀπὸ τῆς ἐνορίας ὄντα τοῦ Σηλυμβρίας, καὶ ὑποκείμενον τῷ κανόνι καὶ τοῖς ἐπιτιμίοις αὐ- C τοῦ, καὶ λογιζόμενον ἕνα τῶν τοῦ ποιμνίου αὐτοῦ. εἶπον γάρ τινες, ὡς ἀπὸ τοῦ παρόντος κανόνος, διαλαμβάνοντος εἰπεῖν τὸν Επιγόνιον ἐξ ἀποστολῆς τοῦ Ιουλιανοῦ παραλαβεῖν τὸν λαϊκὸν πολίτην ὄντα τούτου, καὶ χειροτονῆσαι αὐτὸν εἰς οἰκείαν ἐνορίαν κληρικὸν, καὶ ἀπὸ τοῦ προφασίζεσθαι τὸν Ιουλιανὸν εὐλόγως ὑπ' αὐτοῦ τοῦτον χειροτονηθῆναι διάκονον. ὡς ὡρμημένον ἀπὸ τῆς ἐνορίας αὐτοῦ τῆς τῶν Βαζαριτανῶν παρίσταται, ὅτι οὐδὲ λαϊκὸν ἑτέρας ἐνορίας, δύναται ἐπίσκοπος χειροτονῆσαι παρὰ γνώμην τοῦ ἔχοντος τοῦτον ἐπισκόπου. ὡς γὰρ ὥσπερ κεκωλυμένης τῆς παρὰ τοῦ Επιγονίου γενομένης χειροτονίας, εἰς τὸν ὑπ' ἐκείνου ἀνατραφέντα, διὰ τὸ εἶναι αὐτὸν ἀλλοτρίας D ἐνορίας, προσέθετο ὁ Επιγόνιος κατὰ γνώμην τοῦ Ιουλιανοῦ παραλαβεῖν τὸν περὶ οὗ ὁ λόγος, καὶ διὰ τοῦτο μηδὲ λογίζεσθαι τῆς ἐνορίας ἐκείνου εἶναι τοῦτον. καὶ ἐδικαιολογοῦντο, καλῶς παρὰ τοῦ Ιουλιανοῦ χειροτονηθῆναι τὸν τοιοῦτον διάκονον, ὡς ἀπὸ τῆς ἐνορίας ὄντα αὐτοῦ, καὶ πολίτην τούτου λογιζόμενον, καὶ οὐδὲ πρὸς τὸν Επιγόνιον ἀντεστράφη, εἰ μὴ προέφθασεν ἀπὸ τῆς ἐνορίας αὐτοῦ τοῦτον ἀποξενῶσαι, καὶ ἀποστεῖλαι πρὸς τὸν Επιγόνιον. καὶ αὐτοὶ μὲν εἶπον ταῦτα καλῶς, ὡς καὶ ἐμοὶ δοκεῖ. σὺ δὲ ἔχε ἐπὶ μνήμης τὴν συνοδικὴν σημείωσιν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, τάδε πρὸς ἔπος δια- E λαμβάνουσαν· μηνὶ Νοεμβρίῳ ἡμέρᾳ πρώτῃ ἰνδικτιῶνος δ΄. προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Μιχαὴλ ἐν τοῖς Αλεξιακοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, Στεφάνου Καισαρείας, Νικολάου Εφέσου, Μιχαὴλ Ηρακλείας, Ιωάννου Κυζίκου, Λέοντος Αμασείας, Νικήτα Μελιτινῆς, Βασιλείου Νεοκαισαρείας, Λουκᾶ Μουκησῶν, Ιωάννου Κρήτης, Λέοντος Αδριανουπόλεως, Κωνσταντίνου Εὐχαΐτων, Γεωργίου Αλανείας, Θεοδώρου Μεθύμνης, Ιωάννου Βιζύης, καὶ Ρωμανοῦ Απρω, παρισταμένων, καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων. F ὅρια πατέρων μὴ ὑπερβαίνειν, ἃ καλῶς οὗτοι καὶ μετὰ δεούσης δοκιμασίας ἀρχῆθεν ἐξέθεντο· ἀλλὰ μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα καθάλλεσθαι, καὶ θριγγίον ὑπερπηδᾷν, διαιρετικὸν ὀθνείων τε καὶ οἰκείων δικαίων, ἐκκλησιαστικὸν δόγμα καὶ νόμος θεῖος ἀνέκαθεν κείμενος. ἔδει μὲν οὖν τοῦτο μὴ ἀγνοεῖν τοὺς τῶν ἁπανταχοῦ διακειμένων προϊσταμένους ἐκκλησιῶν, καὶ τὸ ἐπάγγελμα ἔχοντας συντήρησιν θεσπισμάτων κανονικῶν καὶ νομικῶν διαταγμάτων· καὶ μέντοι καὶ ἐμμένειν τούτοις ὀφείλοντας, καὶ τῶν οἰκείων μὲν δικαίων ἀντέχεσθαι, τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι. ἀλλ' οὐκ οἶδ' ὅτι παθόντες τινὲς τῶν ἱερωτάτων ἀρχιερέων, οἳ καὶ μάλιστα ἔγγιστα τῆς βασιλίδος ταύτης τῶν πόλεων τοὺς ἀρχιερατικοὺς θρόνους ἔλαχον, ἀσυντηρήτως ποιοῦντες χειροτονίας διακόνων καὶ ἱερέων μὴ ὑποκειμένων ταῖς ὑπ' αὐτοὺς ἐνορίαις πολλάκις ἑαλώκασιν, οἳ καὶ περὶ τούτου περισαλγιθέντες καὶ παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ καὶ παρεγγυηθέντες παύσασθαι τοῦ τοιαῦτα ποιεῖν ἀκανόνιστα, φαμὲν δὴ τὸ χειροτονεῖν ὑπερόρια, καὶ τοὺς ἐξ ἑτέρας ἐνορίας εἰς αὐτοὺς ἀφισταμένους ἀνυποστόλως οὕτω χειροτονεῖν, ἀμνησίαν τῶν αὐτοῖς περὶ τούτου παρηγγελμένων οὐκ ἐπαύσαντο μέχρι δῆτα καὶ τήμερον. ἐπεὶ τοίνυν ἀνηγγέλθη τῇ ἡμῶν μετριότητι παρὰ τοῦ ἡμετέρου θεοφιλεστάτου Χαρτοφύλακος, πολλούς τινας τῶν ἐκ τῆς ἡμετέρας ἐνορίας παρὰ γνώμην αὐτοῦ πρὸς τοὺς πέριξ ταυτησὶ τῆς μεγαλοπόλεως ἀπερχομένους ἐπισκόπους τε καὶ ἀρχιεπισκόπους, ἱερατικοῦ παρ' αὐτῶν ἀξιοῦσθαι χαρίσματος, εἶτ' αὖθις ἐπαναστρέφειν εἰς τήνδε τὴν καθ' ἡμᾶς ἐνορίαν, μετὰ δὴ τάχα καὶ γραμμάτων συστατικῶν· τί ποιητέον αὐτῷ ἐπὶ τούτοις ἐζήτει μαθεῖν παρὰ τῆς ἡμῶν μετριότητος. ἀμφιβάλλειν γὰρ οὐ μικρῶς ἔφασκε, μήποτε κρίμασιν ἀλλοτρίοις αὐτὸς ἐπικοινωνοίη, παραχωρῶν ἱερᾶσθαι οὓς αὐτὸς οὐκ ἐξήτασε, περὶ ὧν οὔτε μαρτύρων ὡς ἔθος αὐτῷ παραστάντων ἐπώθετο, καὶ εἰ χρόνων εἶεν τῶν ὡρισμένων πεπληροφόρηται, οὔτε δοκιμασίαν περὶ τοῦ βίου τούτων πεποίηται, καὶ τὸ πιστὸν τοῦ ἀξίους εἶναι τοῦ ἐπαγγέλματος ἐκ τῆς ἐνυπογράφου μαρτυρίας τῶν κατὰ πνεῦμα τούτους ὠδινησάντων παρείληφε· καὶ ταῦτα πολλάκις ἐπί τινων περιφανῶς ἐναντιουμένης τῆς ὄψεως, περὶ τὴν τῶν χρόνων τέως ἐντέλειαν, καὶ τὸν τριακοντούτην εἶναι ὀφείλοντα, πολλῷ τῆς τοιαύτης λείπεσθαι προθεσμίας, προσμαρτυρούσης περιδήλως, ἔκ τε τῆς κατὰ τὴν ἡλικίαν τοῦ σώματος φαινομένης ἀτελοῦς καταστάσεως, καὶ ἐξ αὐτῆς τῆς τοῦ πώγωνος ἔτι ψιλώσεως· ἐφ' ὧν μὲν, οὐδ' ὅλως φαινομένης ἐπὶ τούτου τριχώσεως, ἐφ' ὧν δὲ βραχείας πάνυ καὶ ἐνδεεστέρας πολλῷ τοῦ προσήκοντος τριακοντούτῃ πωγωνίτῃ τριχώματος. ταῦτα λέγων, καὶ τὴν ὑφέρπουσαν τοῦτον ἀμφιβολίαν καὶ ἀπορίαν ὡς οὐκ ἀνάλογον ἐξ ἔργων αὐτῶν παρεδήλωσε, παραστησάμενος τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ τὸ σήμερον, δύο καὶ τρεῖς οὕτως ἔχοντας ὄψεώς τε καὶ καταστάσεως, ἱερατικὸν προβιβασθέντας βαθμόν· ὃν μὲν παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Δέρκους, οὓς δὲ παρὰ τῶν θεοφιλῶν ἐπισκόπων τοῦ τε Περαγνέτου καὶ Χαλκίδος· καὶ ἄλλους δὲ παρὰ διαφόρων οὕτω κεχειροτονημένους φάμενος εἶναι, καὶ διατρίβειν ἐνταῦθα, καὶ ἱερουργεῖν ἐθέλειν ὡς ἱερεῖς. τὸ γοῦν τοιοῦτον τοῦ θεοφιλεστάτου ἡμῶν Χαρτοφύλακος ἀξιοζήτητον πρόβλημα οὐκ ἡ μετριότης ἡμῶν καταλιπεῖν ἐθέλουσα ἄλυτον, ἐπὶ κοινοῦ συνδιασκεφθῆναι τῇ ἐνδημούσῃ θείᾳ καὶ ἱερᾷ ἐπέτρεψεν ἀδελφότητι. τοίνυν καὶ περὶ τῶν προκειμένων διαγνωμονῆσαι θέλοντες, διευκρινηθῆναι πρότερον ἐζητήσαμεν, τίνα μὲν τὰ τῶν ἁπανταχῆ ἀρχιερέων εἰσὶ κοινότερα ἐνεργήματα, τίνα δὲ ἰδικώτερα, τουτέστι, ποῖα μὲν οἱ ἐγχώριοι τῶν ἀρχιερέων οὐ κωλύονται διαπράττεσθαι ἐπὶ τοῖς ὁθενδήποτε σφίσι προσερχομένοις· τίνα δὲ ἀπείργονται ποιεῖν ὑπερόρια. καὶ ἐπεὶ τὰ περὶ τούτου φιλοκρινοῦντες, ἐφεύρομεν, τὸ μὲν, ἀμυήτους τὸν περὶ πίστεως λόγον διδάσκειν καὶ κατηχεῖν, εἶθ' οὕτω καὶ φωτίσματος ἀξιοῦν, ἀλλὰ καὶ τῆς τῶν θείων καὶ ζωοποιῶν μυστηρίων μεταλήψεως μεταδιδόναι, τοῖς ἐξ οἱασοῦν ἐνορίας πιστοῖς, ἐνέργημα εἶναι, τοῦτο κοινότερον διεγνώκειμεν ἐπί τε τῶν ἐκ τῆς οἰκείας ἐνορίας ὡρμημένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ ἀλλοδαπῆς ἐρχομένων· χειροθεσίας δὲ ἱερατικῆς ἀξιοῦν, οὐ τοὺς ἁπανταχόθεν ἐρχομένους, ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας ἑνὶ ἑκάστῳ ἀρχιερεῖ κεκανόνισται, ἵνα μὴ τὸ ἄτακτον τούτοις καὶ στασιῶδες ἐμπολιτεύοιτο, ἐξ ὧν τὸ εὔτακτον καὶ τὸ τῆς εἰρήνης καλὸν καὶ τοῖς ἄλλοις ὀφείλεται κανονίζεσθαι. ἐπεὶ οὖν οὕτω ταῦτα ζητήσαντες εὕρομεν, τὸ μὲν σχολῇ τῶν προγεγονότων καταψηφίσασθαι, καὶ ἀκυρῶσαι τὰς ἤδη σφίσι προτετελεσμένας ἱερατικὰς ἐνεργείας, καὶ εἴτε ἀφορισμῷ τοὺς

A qui etiam proximè hanc urbem Imperial. ſedes Epiſcopales ſortiti ſunt, Diaconorum & Sacerdotum ſuis Diœceſibus non ſubjectorum ordinationes citra ullam obſervationem facere deprehenſi ſunt: qui etiam de hoc à ſanctiſſimo Patriarcha domino Luca deceſſore noſtro admoniti, & in mandatis habentes, ut hæc contra Canones facere deſinerent, extra, inquam, ſuæ regionis limites ordinare, & iis qui ex aliena regione ad ſe veniunt tam liberè manus imponere, oblivione earum, quæ illis antè factæ erant, declarationum non ceſſaverunt uſque in hodiernum diem. Quia autem noſtræ mediocritati à noſtro pio Chartophylace renunciatum eſt, B multos ex noſtra regione præter ejus voluntatem ad Epiſcopos & Archiepiſcopos, qui ſunt circum circa magnam hanc civitatem, accedentes, ſacerdotali munere ab eis dignos haberi; deinde rurſus reverti ad hanc noſtram regionem, cum literis fortè commendatitiis: quid ſibi agendum ſit in iis, à noſtra intelligere mediocritate poſtulavit. Dixit enim ſe non parum dubitare, ne ipſe alienis fortè judiciis communicet, permittens eos ad ſacra admittti, quos ipſe quoque non examinavit, de quibus nec teſtes, ut ipſe mos eſt, adſtantes interrogavit, nec, an præfinitos annos compleverint, certior factus eſt, nec eorum vitam examinavit, nec fides ſibi facta eſt ex ſcripto C eorum teſtimonio, qui illos ſecundùm ſpiritum pepererunt, eos eſſe ſua profeſſione dignos; idque cùm ſæpe in nonnullis manifeſtè adverſetur aſpectus, quod ad annorum complementum attinet, & qui trigeſimos annos natus eſſe deberet, ab eo tempore longe illum abeſſe, ex imperfecta pro ſtatura, corporis conſtitutione, qua cernitur, apertè teſtando, & ex ipſa adhuc barbæ raritate; cùm in aliis quidem pili nullo modo appareant, in aliis verò brevis & multò minor quàm triginta annos nati pilos eſſe oporteat. Hæc dicens, etiam ei occurrentem dubitationem non eſſe injuſtam factis ipſis oſtendit, noſtræ mediocritati, D ſynodicè hodie præſidenti, duos vel tres, qui hoc erant aſpectu & conſtitutione, & ad ſacros ordines promoti erant, exhibens; hunc quidem à Dei amantiſſimo Derci Epiſcopo; illos verò à Dei amantibus Epiſcopis Præneti & Chalcidis: & dicens: alios à diverſis ſic ordinatos hìc eſſe & verſari, & velle uti Sacerdotes ſacra celebrare. Hanc ergo religioſiſſimi noſtri Chartophylacis quæſitu dignam propoſitionem noſtra mediocritas haud inſolutam relinquere volens, communiter conſiderandam divinæ & ſacræ, quæ hìc agit, fraternitati permiſit. Ergo & de E propoſito diſceptare volentes, priùs ut diſcernatur petivimus, quænam ſunt Antiſtitum qui ubique ſunt, communia munia, & quæ ſpecialia, id eſt, quænam ejuſdem regionis Epiſcopi peragere non prohibentur in iis, qui ad illos undecunque accedunt, & quænam extra ſuæ Diœceſis terminos facere prohibentur. Et quoniam de ea re ſententiam ferre cupientes invenimus, eos quidem qui myſteriis non ſunt initiani, fidei rationem docere & catechizare; deinde & ſic etiam illuminatione dignari; quin & divina & vivifica myſteria fidelibus, ex quacunque tandem regione impertire, officium eſſe; hoc commune eſſe judicavimus, F iis qui ex propria regione accedunt, & iis etiam qui ex aliena regione veniunt: Manus autem imponere & ſacros ordines conferre, non iis qui undequaque veniunt, ſed iis ſolis, qui ſunt ejus Diœceſis, unicuique Antiſtiti Canone cautum eſt; ne inter eos confuſio ſeditioque verſetur, à quibus & ordo & pacis bonum aliis quoque certâ debet regulâ tradi. Quoniam ergo hæc quæſita ſic invenimus, eos quidem, qui ante fuerunt, propemodum condemnare, & ſacerdotalia munera quæ jam obierunt infirmare, & vel eos, qui ordinarunt, ſegregationi ſubjicere, vel eos qui ordinati ſunt, ſacerdotali nudare dignitate, durum animo & inhumanum exiſtimavimus: ſed eos non ampliùs ferre, qui in noſtrum præjudicium tam à ratione aliena fecerunt; & quæ priùs quidem facta ſunt, humanè tranſmittere, id autem quod futurum eſt corrigendo tutum reddere, ut quod nobis ipſiſque conferat, cenſuimus. Et deinceps unanimes omnes pronunciamus, ne quis deinceps ex finitimis audeat Antiſtitibus, nec ex ulterioribus, ſive ex noſtra ſint, ſive ex aliena Synodo, manum ſacros ordines conferentem imponere alicui eorum, qui ſunt hujus Imperatoriæ & magnæ civitatis Diœceſis, nec ullo ſacratorum loco & gradu eos dignos judicare; ſed ſciat unuſquiſque ſua, & iis vel ſolis ſit contentus: Epiſcopalia autem jura, quæ ad alios pertinent, ne impudenter & omnino contemptim invadat. Cum debeant ſcire ii, qui à nobis ſic canonicè conſtituta infirmare & negligere auſi fuerint, & qui ad eos accedunt, & ſacerdotio digni habiti ſunt; quòd ii quidem, qui præter Canones ordinati ſunt, hîc nullum munus ſacerdotale exercebunt, ſed in illis regionibus ſecurè ſacra celebrabunt, in quibus etiam ſacerdotii unctionem acceperunt: qui autem ordinaverunt, ex quacunque ſint Synodo, non celebrandorum ſacrorum pœnæ erunt deinceps obnoxii, ut qui nec poſt primam vel ſecundam admonitionem (primam autem dicimus eam, quæ à ſanctiſſimo Patriarcha noſtro prædeceſſore domino Luca ſynodaliter de eo facta eſt, ſcriptam denunciationem) ab ea actione, Canonibus repugnante ſejungi voluerint. Quocirca etiam cautum eſt hanc emitti & dari declarationem. Segregationis autem pœnam ei imponimus, qui primus has non Canonicas ordinationes facientium, hæc à nobis definita cognoverit: niſi ea etiam finitimis ſuis Antiſtitibus tradiderit, & quæ decreta ſunt, iis qui ignorant, nota fecerit. Quæ quidem in omnibus regionibus quæ ſunt ſub ſanctiſſimis ubique Eccleſiis, vel Metropolibus, Archiepiſcopatibus & Epiſcopatibus, vim ſuam ſortientur, & immutabilia permanebunt. Et nemo eorum, qui deinceps ſunt ſacrandi, ad alium Antiſtitem ultra regionem accedet, & ab illo ſacerdotali unctione dignus judicabitur. Abhinc enim obnoxii erunt utrique, tam qui ordinatur Sacerdos, quàm qui ordinavit eum Antiſtes, iis quæ de his jam priùs ſynodaliter ſtatuimus. Ne autem ſit prætextus, iſque ſatis elegans, iis qui nolunt hîc ordinari, ad religioſum noſtrum Chartophylacem accedentibus, quòd majorem fortè ſubeant innovationem, quàm olim dari fuerit conſuetudo; ei quoque rei noſtra mediocritate hodie proviſum eſt. Cautum eſt enim, ne antiqua in iis conſuetudo tranſiliatur: ſed illa ſola dentur Epiſcopi miniſtris & religioſiſſimo pro tempore Chartophylaci, quæ ab iis, qui ordinantur, jam olim dari conſuevêre.

ZONAR. Cum multæ Synodi ſtatuerunt, ne cuiquam Epiſcopo alienum Clericum, abſque illius, à quo in Clerum lectus eſt, Epiſcopi facultate, admittere liceat; tum vero idem, inquit, decretum à vobis quoque, fratres, in hac Synodo confirmetur: his tamen ſpretis, ac eorum, quibus à me plurimis ornatus eſt, beneficiorum immemor Julianus, temerè per impudentiam videlicet, hominem à me baptizatum, quem ad me ob multã inopiam, hoc eſt, vel rerum neceſſariam copia deſtitutum, vel ad me Clericorũ penuria laborantem, ipſe allegarat, quem ego deniq; ipſe Lectorem feci, arripuit, ac Diaconum conſecravit. An hoc igitur fieri liceat, vos ipſi decernite: Si vero non licet, facinus adeo indignum atque impudens prohibete; ne per vos Juliano huic alienis communicare conceſſum ſit.

A χειροθετήσαντας καθυποβαλεῖν, εἴτε τοὺς χειροτονηθέντας τῆς ἱερατικῆς ἀξίας ἀπογυμνῶσαι, σκληρόν τι καὶ ἀπηνὲς ὅλως ἐλογισάμεθα· τὸ δὲ οὐκ ἔτι ἀνασχέσθαι τῶν ἐπὶ κρίματι σφετέρῳ τὰ τοιαῦτα διαπραξαμένων παράλογα, καὶ τὰ μὲν προτετυγμένα φιλανθρώπως παραδραμεῖν, τὸ δὲ μέλλον ἐπιδιορθωτικῶς ἀσφαλίσασθαι, ἅτε κοινῇ συμφέρον καὶ ἡμῖν καὶ αὐτοῖς, ἐπεκρίναμεν. λοιπὸν καὶ ὁμοφρονοῦντες ἀποφαινόμεθα ἅπαντες, μηκέτι τοῦτο ἀπὸ τοῦδε τολμῆσαί τινα τῶν πλησιοχώρων, εἴτε καὶ πορρωτέρων ἀρχιερέων, τῶν τε ἐκ τῆς ἡμετέρας συνόδου, τῶν τε ἐξ ἑτέρας, χεῖρα τελεστικὴν ἐπιθεῖναι ἐπί τινι τῶν τῆς ὑπὸ τὴν Βασιλίδα ταύ- B την καὶ μεγαλόπολιν ὄντων ἐνορίας, καὶ οἱουδήτινος ἀντῶν ἀξιῶσαι τῶν ἱερωμένων τόπου τε καὶ βαθμοῦ, ἀλλ' ἕκαστον εἰδέναι τὰ ἑαυτοῦ δίκαια, καὶ τούτοις ἀρκεῖσθαι καὶ μόνοις. τῶν δ' ἄλλοις ἀνηκόντων ἀρχιερατικῶν δικαίων μὴ κατεπεμβαίνειν ἀναιδῶς καὶ τὸ ὅλον καταφρονητικῶς, εἰδέναι ὀφειλόντων, τῶν ἀθετῆσαι τολμησόντων τὰ οὕτω κανονικῶς παρ' ἡμῶν διατεταγμένα, ἀλλὰ καὶ τῶν προσερχομένων αὐτοῖς, καὶ ἱερωσύνης ἀξιουμένων, ὡς οὗτοι μὲν, ὡς παρὰ κανόνας χειροθετηθέντες, οὐδὲν ἱερατικὸν λειτούργημα ἐνταῦθα διενεργήσουσιν, ἀλλ' ἐν ἐκείναις ταῖς ἐνορίαις ἀδεῶς ἱεράσονται, ἐν αἷς καὶ τὸ χρίσμα τῆς ἱερωσύνης ἐδέξαντο· οἱ δὲ C χειροτονήσαντες, ἐξ οἵας ἂν εἶεν συνόδου, ἀλειτουργησίας ἐπιτιμίῳ ἀπεντεῦθεν ἔσονται ὑποκείμενοι, ὡς μηδὲ μετὰ πρώτην ἢ δευτέραν παραίνεσιν (πρώτην δέ φαμεν τὴν καὶ παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ συνοδικῶς περὶ τούτου γενομένην ἔγγραφον ἐπιφώνησιν) ἀποσχέσθαι τῆς τοιαύτης ἀκανονίστου θελήσαντες πράξεως. διὸ καὶ τετύπωται παρεκβληθῆναι καὶ δοθῆναι τὴν τοιαύτην σημείωσιν. ἀφορισμοῦ δὲ προσεπιτιθέαμεν ἐπιτίμιον καὶ τῷ ὃς ἂν πρῶτος τῶν τὰς τοιαύτας διενεργούντων ἀκανονίστους χειροτονίας, τὰ παρ' ἡμῶν διωρισμένα ταῦτα ἐπιγνώσεται· εἰ μὴ καὶ τοῖς πλησίον αὐτοῦ ἱερωτάτοις ἀρχιερεῦσι D διαδόσιμα ταῦτα ποιήσῃ, καὶ τοῖς ἀγνοοῦσι τὰ ὁρισθέντα γνωρίσειεν. ἃ δὴ καὶ ἐπὶ πασῶν τῶν ἐνοριῶν, τῶν ὑπὸ τὰς ἁπανταχοῦ ἁγιωτάτας ἐκκλησίας, ἤγουν μητροπόλεις, ἀρχιεπισκοπάς τε καὶ ἐπισκοπὰς, τὸ ἐνεργόν τε καὶ ἀναλλοίωτον ἕξουσι. καὶ οὐδεὶς τῶν ἱερᾶσθαι τὸ ἀπὸ τοῦδε μελλόντων, εἰς ἕτερον ἀρχιερέα παρ' ἐνορίαν ἀφίξεται, καὶ παρ' ἐκείνου τοῦ τῆς ἱερωσύνης ἀξιωθήσεται χαρίσματος. ἀπεντεῦθεν γὰρ ὑπόδικοι ἔσονται καὶ ἀμφότεροι, ὅ τε χειροτονηθεὶς καὶ ὁ χειροτονήσας τοῦτον Ἀρχιερεὺς τοῖς οἷς περὶ τούτων ἤδη συνοδικῶς διωρισάμεθα φθάσαντες. ἵνα δὲ μὴ πρόφασις εἴη, καὶ τοῦτο δῆθεν εὐάφορμον, τοῖς μὴ βουλομένοις ἐνταῦθα χειρο- E τονεῖσθαι, προσερχομένοις τῷ θεοφιλεστάτῳ ἡμῶν Χαρτοφύλακι, τὸ, καινοτομίαν ἴσως ὑφίστασθαι, πλείονα τῆς εἰωθείας συνηθείας ἔκπαλαι δίδοσθαι, καὶ τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος συνοδικῶς διῳκονόμηται σήμερον. διωρισάμεθα γὰρ τὸ ἀρχαῖον ἔθος ἐπὶ τούτοις μὴ παραβαίνεσθαι, ἀλλ' ἐκεῖνα δίδοσθαι μόνα τοῖς τε ἐπισκοπειανοῖς καὶ τῷ κατὰ καιροὺς θεοφιλεστάτῳ Χαρτοφύλακι, τὰ εἰωθότα παρὰ τῶν χειροτονουμένων ἀνέκαθεν καταβάλλεσθαι.

ΖΩΝΑΡ. Συνόδοις διαφόροις, φησὶν, ὥρισται F τοῦτο, τὸ ἀλλότριον κληρικὸν μὴ δέχεσθαι ἄλλον ἐπίσκοπον παρὰ γνώμην τοῦ κληρώσαντος αὐτὸν ἐπισκόπου, ἀλλὰ καὶ νῦν παρ' ὑμῶν βεβαιωθείη ἀδελφοί· ὁ δὲ Ἰουλιανὸς καταφρονήσας τούτων, καὶ ἀχάριστος φανεὶς περὶ ἐμὲ εὐεργετήσαντα αὐτὸν, προπετῶς, ἀναιδῶς δηλαδὴ, τὸν ὑπ' ἐμοῦ βαπτισθέντα, ὃν αὐτός μοι παρέθετο διὰ πολλὴν ἔνδειαν, ἤγουν ἢ ὡς ἐπιδεῆ τῶν ἀναγκαίων, ἢ ὡς ἔνδειαν ἐμοὶ ἔχοντι κληρικῶν, ὃν καὶ αὐτὸς ἀναγνώστην πεποίηκα, ἀφήρπασε, καὶ διάκονον ἐχειροτόνησεν. εἰ γοῦν ἔξεστι τοῦτο γίνεσθαι, γνωσθήτω ὑμῖν· εἰ δ' οὐκ ἔξεστι, κωλυθήτω τὸ οὕτως ἀναιδὲς, ἵνα ὁ ῥηθεὶς Ἰουλιανὸς μὴ ἐπικοινωνῇ ἀλλοτρίοις.

UMI

τοῦτο δὲ διττῶς νοεῖται, ἢ ἵνα μὴ τοὺς ἀλλοτρίους κληρικοὺς οἰκειῶται καὶ σφετερίζηται, ἢ ἵνα μὴ παρά τινων ἄλλων ἐπισκόπων εἰς κοινωνίαν δέχηται. πρὸς ταῦτα δὲ ὁ Νουμίδιος εἶπεν, ὅτι ἐὰν μὴ σοῦ παραχωρήσαντος ὁ Ἰουλιανὸς ἔπραξε τοῦτο, ἄδικός ἐστι, καὶ εἰ μὴ διορθώσεται τὴν οἰκείαν πλάνην, καὶ ἀποκαταστήσει τὸν κληρικὸν, ὡς πράττων κατὰ τῶν ὁρισθέντων τῇ συνόδῳ, ἤγουν ὡς ἀνατρέπων τὰ συνοδικῶς ὁρισθέντα, χωρισθήσεται ἀφ' ἡμῶν, ἀντὶ τοῦ ἀφορισθήσεται ἢ καὶ καθαιρεθήσεται, καὶ ὑποστήσεται τὴν κατάκρισιν ἐκ τῆς οἰκείας μονογνωμίας, ἤγουν ἀναισχυντίας ἢ ἀγνωμοσύνης. ὁ δὲ Ἐπιγόνιος ἔφη, ὅτι ὁ κατὰ τὴν ἡλικίαν καὶ τὸ γῆρας πατὴρ, καὶ τῇ προκοπῇ τοῦ χρόνου δηλαδὴ, ἀρχαιότητος ἀνὴρ, βούλεται γενικὴν γενέσθαι τὴν αἴτησιν ταύτην, ἣν ᾐτήσατο ὁ τὴν ὑπόθεσιν εἰσαγαγὼν, ἤγουν μὴ κατὰ μόνου τοῦ Ἰουλιανοῦ τοῦτο ἐκφωνηθῆναι, ἀλλὰ κατὰ πάντων κοινῶς, τῶν ἀλλοτρίους κληρικοὺς σφετεριζομένων.

A Quod quidem duobus modis intelligi poteſt; vel ne alienos ſibi Clericos arroget ac uſurpet; vel ne ab ullis aliis Epiſcopis ad communionem admittatur. Ad hæc vero ita Numidius reſpondit; Si, te haud permittente, Julianus id fecit, iniquus eſt, ac ſi minus errorem correxerit, Clericúmque reſtituerit, quippe qui contra ea, quæ à ſynodo decreta ſunt, faciat, hoc eſt, Synodicas conſtitutiones violet ac evertat, ſeparabitur à nobis, hoc eſt, ſegregatione aut depoſitione punietur, ſuæque pervicaciæ, hoc eſt, impudentiæ ac pertinaciæ pœnas perſolvet. Epigonius vero ita cenſuit; Hic vir, ait, ſenectute pater ac progreſſione, B ætatis videlicet, antiquiſſimus, quod in hoc genere poſtulatum eſt ad omnes pertinere ſe velle demonſtrat; ut ne ſcilicet in ſolum Julianum, ſed communiter in omnes, qui alienos Clericos ad ſe traxerint, canonem hunc promulgatum eſſe intelligamus.

ΑΡΙΣΤ. Τὸν τοῦ Ἐπιγόνου ἀναγνώστην Ἰουλιανὸς χειροτονήσας διάκονον, εἰ μὴ πρὸς αὐτὸν αὐθεντίᾳ παραστήσοι, τὸ κατάκριμα τῆς ἰδίας μονογνωμίας καταπλουτήσει.

Arist. *Epigoni Lectorem cùm Julianus Diaconum ordinaverit, niſi poteſtatem ab eo acceptam exhibuerit, pœnas ſuæ contumaciæ augebit.*

Ἐν ὅλαις σχεδὸν ταῖς συνόδοις ὥρισται τοῦτο, τὸ μή τινα ἐπίσκοπον ἀλλότριον κληρικὸν προσλαμβάνεσθαι, παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, καὶ ἰδιοποιεῖσθαι αὐτόν. διὰ τοῦτο γοῦν καὶ ὁ ἐπίσκοπος οὗτος Ἰουλιανὸς ὁ τὸν τοῦ ἐπισκόπου Ἐπιγόνου δεξάμενος κληρικὸν, ἀναγνώστην ὄντα, καὶ διάκονον χειροτονήσας αὐτὸν, ὡρίσθη πάλιν ἀποκαταστῆσαι αὐτὸν τῇ ἐκκλησίᾳ, εἰς ἣν τὸ πρότερον ἐκληρώθη εἰ μὴ βούλεται ἀφωρισμένος εἶναι, κατὰ τὸν εἰκοστὸν κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς τοῖς κανόσιν ἐναντιούμενος, καὶ τοῦ ἰδίου θελήματος ἀντεχόμενος. ὁ δὲ ἑπτακαιδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τὸν δεξάμενον ἀλλότριον κληρικὸν, καὶ χειροτονήσαντα αὐτὸν, καθαιρεῖσθαι προστάττει, σὺν τῷ χειροτονηθέντι.

In omnibus fere Synodis hoc decretum eſt, nullum Epiſcopum alienum Clericum recipere, præter proprii Epiſcopi ſententiam, & eum ſibi vendicare, ſuumque C facere. Idcirco itaque & Epiſcopus hic Julianus cùm Epigoni Epiſcopi recepiſſet Clericum, qui Lector fuit, eumque Diaconum ordinaſſet, in mandatis habet eum Eccleſiæ, in quâ antea in Clerum cooptatus fuit, iterum reſtituere; niſi ſegregatus eſſe cupiat, juxta vigeſimum Synodi Chalcedonenſis canonem; utpote qui canonibus adverſetur, & propriæ adhæreat voluntati. At decimus ſeptimus ſextæ in Trullo Synodi canon eum, qui alienum recipit Clericum, illumque ordinat, deponi jubet, unà cum eo qui ordinatus fuit.

ΚΑΝΩΝ νθ'.

D

Περὶ τοῦ, ἐξεῖναι τῷ ἐπισκόπῳ Καρχηδόνος, ὅθεν θέλει, κληρικὸν χειροτονεῖν. Αὐρήλιος ἐπίσκοπος εἶπε· τὸν λόγον μου προσδέξασθε ἀδελφοί. συνέβη πολλάκις αἰτηθῆναί με ἀπὸ ἐκκλησιαστικῶν ἐνδεομένων διακόνους ἢ πρεσβυτέρους ἢ ἐπισκόπους· καὶ ὅμως μεμνημένος τῶν ὁρισθέντων τούτοις ἕπομαι, ὥστε συνελθεῖν με τῷ ἐπισκόπῳ αὐτοῦ τοῦ ζητουμένου κληρικοῦ, καὶ ταῦτα αὐτῷ ἐμφανίσαι, ὅτι κληρικὸν αὐτοῦ αἰτοῦνταί οἱ τῆς οἱασδήποτε ἐκκλησίας. ἰδοὺ οὖν ἐπὶ τοῦ παρόντος οὐκ ἀντιλέγουσιν· διὰ δὲ τὸ μήτε μετὰ ταῦτα συμβῆναι, τοῦτ' ἔστιν ἐναντιωθῆναί μοι τοῦτο ἐν τούτῳ τῷ πράγματι τῶν ἐμοῦ αἰτουμένους (ἐπειδὴ οἴδατε πολλῶν ἐκκλησιῶν καὶ χειροτονιῶν φροντίδα με βαστάζειν) ᾡτινιδήποτε τῶν συνιερέων συνέλθω μετὰ δύο ἢ τριῶν μαρτύρων τῆς ὑμετέρας συγκληρώσεως, ἐὰν ἀκαθοσίωτος εὑρεθείη, δίκαιόν ἐστι κρῖναι τὴν ὑμετέραν ἀγάπην, τί δεῖ ποιῆσαι. ἐγὼ γὰρ, ὡς ἴστε ἀδελφοί, κατὰ συγχώρησιν θεοῦ πολλῶν ἐκκλησιῶν φροντίδος ἀνέχομαι. Νουμίδιος ἐπίσκοπος εἶπεν· ἀεὶ ὑπῆρξεν ἡ αὐθεντεία αὕτη τῷ θρόνῳ τούτῳ, ἵνα ὅθεν θέλει, καὶ περὶ οἱουδήποτε προετράπη ὀνόματος κατὰ τὴν ἐπιθυμίαν ἑκάστης ἐκκλησίας ἐχειροτόνει ἐπίσκοπον. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· ἡ ἀγαθέλεια μεσάζει τὴν ἐξουσίαν· ἧττον γὰρ τολμᾷς, ἢ ὅπερ δύνῃ, ἀδελφὲ, ἐν τῷ, πᾶσιν ἑαυτὸν ἀποδεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον. ἔχεις γὰρ τοῦτο ἐν τῇ κρίσει σου, τὸ, ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου ἐπισκόπου τὸ πρόσωπον· ἐν πρώτῃ δὲ καὶ μόνῃ συνελεύσει, εἰ συνίδῃς τὸ ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον· ἐπειδὴ ἀνάγκην ἔχεις αὐτὸς πάσας τὰς ἐκκλησίας ὑποστηρίζειν. ὅθεν ἐξουσίαν σοι ἡμεῖς οὐ δίδομεν, ἀλλ' ἐπισφραγίζομεν ταύτην τῇ σῇ προαιρέσει, ὥστε ἐξεῖναι ἀεὶ κρατεῖν ὧν ἂν θέλῃς, καὶ προχειρίζεσθαι προεστῶτας ταῖς ἐκκλησίαις, καὶ τοὺς λοιποὺς

Canon LIX.

Ut Carthaginis Epiſcopo liceat, unde velit, Clericum ordinare. Aurelius Epiſcopus dixit; Sermonem meum audite fratres. Sæpe evenit, ut Eccleſiaſtici, qui indigent, Diaconos vel Presbyteros vel Epiſcopos à me petant: ego tamen, memor eorum quæ conſtituta ſunt, illa ſequor, ut conveniam Epiſcopum Clerici, qui petitur, & ea illi oſtendam, quòd qui ſunt cujuſvis Eccleſiæ, ejus Clericum poſtulant. Ecce autem in præſentia non contradicunt: ne autem poſtea contingat, E *hoc eſt, ne mihi adverſentur, qui in hoc negotio à me petuntur Clerici (quia ſcitis me multarum Eccleſiarum & ordinationum curam gerere) quemcunque Conſacerdotum convenero cum duobus vel tribus teſtibus noſtri conclericatus, ſi non impius & indevotus inventus fuerit, æquum eſt veſtram dilectionem judicare quid facere oporteat. Ego enim, ut ſcitis fratres, Dei permiſſu multarum Eccleſiarum curam gero. Numidius Epiſcopus dixit; Hæc ſemper fuit huic throno auctoritas, ut unde vellet, & de quocunque nomine admonita fuerit, convenienter uniuſcujuſque Eccleſiæ deſiderio ordinet Epiſcopum.* F *Epigonius Epiſcopus dixit; Bona tua voluntas moderatur poteſtatem: minus enim audes, quàm potes, in eo quod teipſum omnibus, ô frater, bonum & humanum oſtendas. Nam hoc quoque in tuo judicio ſitum eſt, ut uniuſcujuſque Epiſcopi perſonam corrigas: idque in primo & ſolo congreſſu, ſi intelligas in hujus eſſe cathedræ poteſtate punire; quoniam ipſe neceſſe habeas omnes eccleſias fulcire. Unde nos tibi facultatem non damus, ſed ea tua voluntate obſignamus, ut ſemper liceat ea obtinere quæ velis, & promovere qui præſint Eccleſiis, & reliquos*

qui quæruntur, unde ſatius eſſe perſpexeris. Poſtumetianus Epiſcopus dixit; Deinde ſi quis unum eúmque ſolum Presbyterum habeat, num debet etiam ipſe unus ab eo auferri? Aurelius Epiſcopus dixit; Dei permiſſione poteſt unus Epiſcopus multos Presbyteros ordinare: Presbyter autem aptus Epiſcopatui difficulter invenitur. Quare ſi quis inventus fuerit unum ſolum habens Presbyterum, eúmque aptum Epiſcopatui, ipſum quoque unum debet dare ad ordinationem. Poſtumetianus Epiſcopus dixit; Ergo ſi alius Epiſcopus habeat Clericorum multitudinem, mihi debet alia multitudo convenire. Aurelius Epiſcopus dixit; Scilicet quomodo tu alii Eccleſiæ ſubveniſti, compelletur & qui plures habet Clericos, ex ipſis ad ordinationem tibi ſuppeditare.

A τοὺς ζητουμένους, ὅθεν συνίδῃς. Ποστουμετιανὸς ἐπίσκοπος εἶπεν· εἶτα, ἐάν τις ἕνα καὶ μόνον ἔχῃ πρεσβύτερον, μὴ ὀφείλει καὶ αὐτὸς ὁ εἷς ἐξ αὐτοῦ ἀφαιρεθῆναι; Αὐρήλιος ἐπίσκοπος εἶπεν· κατὰ συγχώρησιν Θεοῦ δύναται ὁ εἷς ἐπίσκοπος πολλοὺς χειροτονεῖν πρεσβυτέρους· πρεσβύτερος δὲ πρὸς ἐπισκοπὴν ἐπιτήδειος δυσχερῶς εὑρίσκεται. διὸ ἐάν τις εὑρεθῇ ἔχων ἕνα μόνον πρεσβύτερον, καὶ αὐτὸν τῇ ἐπισκοπῇ ἐπιτήδειον, καὶ αὐτὸν τὸν ἕνα ὀφείλει δοῦναι εἰς χειροτονίαν. Ποστουμετιανὸς ἐπίσκοπος εἶπεν· οὐκοῦν ἐὰν ἄλλος ἐπίσκοπος ἔχῃ πλῆθος κληρικῶν, ὀφείλει μοι τὸ ἕτερον πλῆθος συνελθεῖν. Αὐρήλιος B ἐπίσκοπος εἶπεν· δηλαδὴ ὃν τρόπον σὺ τῇ ἑτέρᾳ ἐκκλησίᾳ συνῆλθες, συνωθήσεται καὶ ὁ τοὺς πλείονας ἔχων κληρικοὺς ἐξ αὐτῶν εἰς χειροτονίαν σοι δαψιλεύσασθαι.

B A L S. Quia à ſanctis Patribus decretum eſt, & in proximo canone, & in aliis, non licere Epiſcopo Clericum ex alia diœceſi accipere ſine voluntate ipſius Epiſcopi; dixit Aurelius ad fraternitatem Synodi, quòd ſæpe cùm Eccleſiaſtici, qui ſunt ex alia regione mihi ſubjecta, à me Diaconos vel Presbyteros vel Epiſcopos ex aliena regione petiviſſent, cùm eis idoneorum hominum magna eſſet inopia, volui hoc facere: ſed canonicarum conſtitutionum memor, quæ ſtatuunt non eſſe auferendos Clericos præter Epiſcoporum voluntatem, & in aliam regionem tradendos, ſecutus ſum eam, quæ ſic conſtituta ſunt, & cum Clerici qui quærebatur Epiſcopo de ea re communicavi. Et nunc quidem neminem inveni contradicentem: vereor autem ne quis in poſterum mihi reſiſtat Epiſcopus, & canone utatur. Hoc autem facio, non tanquam canonicis decretis repugnans; ſed quia, ut vos quoque ſcitis, multarum mihi Eccleſiarum cura incumbit. Si ergo in idoneorum hominum inopia conſtitutus, ex alia regione Clericum petivero, & non fuero exauditus, & inde ad Epiſcopum, qui habet talem Clericum cum duobus vel tribus teſtibus ex noſtro conclericatu ſeu Coëpiſcopis, accedere coactus fuero, ut qui à me quæritur Clericus recipiatur, ſi non expiandus inveniatur, id eſt dignus, & quovis crimine ſuperior: porrò ille ne ſic quidem ſuum Clericum mihi dare perſuadetur, ſtatuite quid mihi ſit faciendum. Reſpondit itaque Numidius; quòd Carthaginenſium cathedra à multis antè ſeculis habet poteſtatem recipiendi Clericum ex qua velit Eccleſia, & eum ordinandi convenienter populi deſiderio, qui eum in gradum ſeu in nomen elegit, quod ei oblatum eſt. Epigonius vero dixit Aurelio; etiamſi hoc tuo arbitratu facere potes: ſed bona tua voluntas te moderatè quodammodo cogit tua uti poteſtate. Judicas enim ab offendiculo alienum eſſe fratres tuos beneficiis demereri, & non propria auctoritate, ſed cum illorum voluntate Clericos eorum recipere. Si ergo per primum ſolúmque congreſſum, ſeu teſtimonium, Epiſcopi, à quo petitur Clericus, conſcientia ſubjecta fuerit, hoc eſt, Clericum dederit, bene eſt: ſin minùs, tuere thronum tuum per poteſtatem quæ illi jam multis antè ſeculis adeſt, ſcilicet accipe Clericum vel ejus nolente Epiſcopo. Neceſſe enim habes omnes Eccleſias canonicè ſtabilire. Ne qui autem eo offenderentur, utpote hoc de novo permittente, ſubjunxit; Hoc jus non tibi nunc datum eſt à nobis: ſed tibi quidem priùs aderat, verùm à nobis obſignatur, hoc eſt, confirmatur. His autem ſic diſcretis & diſtinctis; dixit Poſthumetianus; Si quis autem Epiſcopus habeat unum Clericum, is quoque ab eo auferetur? Ad hoc autem reſpondit Aurelius; quòd Presbyterorum quidem ordina-

ΒΑΛΣ. Ὅτι ὡρίσθη παρὰ τῶν ἁγίων πατέρων, ἔν τε τῷ προσεχῶς γραφέντι κανόνι καὶ ἐν ἑτέροις, μὴ ἔχειν ἐπ' ἀδείας ἐπίσκοπον ἐξ ἑτέρας ἐνορίας λαβεῖν κληρικὸν ἄνευ θελήσεως τοῦ ἐπισκόπου αὐτοῦ, εἶπεν ὁ Αὐρήλιος πρὸς τὴν ἀδελφότητα τῆς συνόδου, ὅτι πολλάκις αἰτησαμένων τινῶν ἐκκλησιαστικῶν ὄντων ἀπὸ ἑτέρας ἐνορίας ὑποκειμένης ἐμοί, C διακόνους ἢ πρεσβυτέρους ἢ ἐπισκόπους ἀπὸ ἀλλοτρίας ἐνορίας, ὡς ἐχόντων ἐνδεῶς ἐκείνων ἱκανῶν ἀνθρώπων, ἠθέλησα τοῦτο ποιῆσαι· πλὴν μεμνημένος τῶν κανονικῶν διαταγμάτων τῶν διοριζομένων, παρὰ γνώμην τῶν ἐπισκόπων μὴ ἀφαιρεῖσθαι κληρικοὺς αὐτῶν, καὶ εἰς ἑτέραν ἐνορίαν δίδοσθαι, ἠκολούθησα τοῖς οὕτω διορισθεῖσι, καὶ ἀνεκοινωσάμην τὰ περὶ τούτου τῷ ἐπισκόπῳ τοῦ ζητουμένου κληρικοῦ. καὶ νῦν μὲν οὐχ εὗρον τινὰ ἀντιλέγοντα· ὑποπτεύω δὲ μήπως εἰς τὸ ἑξῆς ἀντιπέσῃ μοί τις ἐπίσκοπος, καὶ τῷ κανόνι χρήσηται. τοῦτο δὲ γίνεται παρ' ἐμοῦ, οὐχ ὡς ἐναντιουμένου τοῖς κανονικοῖς θεσπίσμασιν, ἀλλ' ὅτι, ὡς καὶ ὑμεῖς γινώσκετε, D ἐπίκειταί μοι φροντὶς πολλῶν ἐκκλησιῶν. εἰ γοῦν ἔχων ἔνδειαν ἱκανῶν ἀνθρώπων, ζητήσω ἐξ ἑτέρας ἐνορίας κληρικὸν, καὶ οὐκ εἰσακουσθῶ, κἀντεῦθεν ἀναγκασθῶ προσελθεῖν τῷ ἔχοντι τὸν τοιοῦτον κληρικὸν ἐπισκόπῳ μετὰ δύο ἢ τριῶν μαρτύρων ἀπὸ τῆς ἡμετέρας συγκληρώσεως, ἤγουν ἀπὸ τῶν συνεπισκόπων, ἐφ' ᾧ ἀναλαβέσθαι τὸν ζητούμενον παρ' ἐμοῦ κληρικὸν, ἀκαθοσίωτον εὑρισκόμενον, ἤγουν ἄξιον καὶ παντὸς αἰτιάματος ὑπέρτερον, καὶ ἐκεῖνος οὐδὲ οὕτω πείθεται δοῦναί μοι τὸν κληρικὸν αὐτοῦ, κρίνατέ μοι τὸ ποιητέον. ἀπεκρίθη οὖν ὁ Νουμίδιος, ὅτι ἐξουσίαν ἔχει ἀνέκαθεν ἡ καθέδρα τῶν Καρχηδονίων ἀναλαμβάνεσθαι ἀφ' E ἧς ἂν ἐθέλῃ ἐκκλησίας κληρικὸν, καὶ χειροτονεῖν αὐτὸν κατὰ τὴν ἐπιθυμίαν τοῦ ζητήσαντος τοῦτον λαοῦ, εἰς βαθμὸν ἤγουν εἰς ὄνομα οὗ ἂν καὶ προετράπη. ὁ δὲ Ἐπιγόνιος ἔφησε πρὸς τὸν Αὐρήλιον, ὅτι εἰ καὶ δύνασαι τοῦτο ποιεῖν αὐθαιρέτως· ἀλλὰ τὸ ἀγαθοθελές σου μέσως πως ἀναγκάζει σε χρῆσθαι τῇ ἐξουσίᾳ. κρίνεις γὰρ ἀσκανδάλιστον εἶναι τὸ θεραπεύειν τοὺς συναδέλφους, καὶ μὴ αὐθεντικῶς, ἀλλὰ μετὰ γνώμης ἐκείνων ἀναλαμβάνεσθαι τοὺς κληρικοὺς αὐτῶν. εἰ μὲν οὖν διὰ πρώτης καὶ μόνης συνελεύσεως, ἤτοι διὰ μαρτυρίας, συνείδησις τοῦ ἐπισκόπου τοῦ ζητουμένου τὸν κληρικὸν ὑποταγῇ, τουτέστι, δώσει τὸν κληρικὸν, λόγος οὐδείς· F εἰ δὲ μὴ, ἐκδίκησον τὸν θρόνον σου διὰ τῆς ἄνωθεν προσούσης αὐτῷ ἐξουσίας, ἤγουν ἀναλαβοῦ τὸν κληρικὸν καὶ μὴ βουλομένου τοῦ ἐπισκόπου αὐτοῦ. ἔχεις γὰρ ἀνάγκην πάσας τὰς ἐκκλησίας στηρίζειν κανονικῶς. ἵνα δὲ μή τινες σκανδαλισθῶσι κατ' αὐτοῦ, ὡς ἐκ νέου ἐπιτρέποντος τοῦτο, ἐπήγαγεν, ὅτι τοῦτο δὲ τὸ δίκαιον οὐ δίδοταί σοι νῦν παρ' ἡμῶν, ἀλλὰ προῆν σοι, ἐπισφραγίζεται δὲ καὶ παρ' ἡμῶν τουτέστιν ἐπικυροῦται. οὕτω δὲ τούτων διακρινηθέντων, εἶπεν ὁ Ποστουμετιανὸς, ἐὰν δὲ ἔχῃ τις ἐπίσκοπος ἕνα κληρικὸν, ἀφαιρεθήσεται καὶ οὗτος ἀπ' αὐτοῦ; ἀντέφησε δὲ πρὸς τοῦτον ὁ Αὐρήλιος, ὅτι ἡ μὲν χειροτονία τῶν πρεσβυτέρων εὐχερής ἐστι. πολλοὶ γὰρ εὑρεθήσονται πρὸς τοῦτο ἐπιτήδειοι καὶ χειροτονηθήσονται κατὰ συγχώρησιν Θεοῦ ἤγουν κατ' εὐδοκίαν. ἡ δὲ προχείρισις τῶν ἐπισκόπων δυσχερής ἐστι καὶ ἀναγκαία. διδακτικὸν γὰρ καὶ ἀγχίνουν εἶναι δεῖ τὸν ἐπίσκοπον, ὅπερ δυσχερῶς εὑρίσκεται. διὸ ἐὰν παρά τινι ἐπισκόπῳ εὑρεθῇ τις τοιοῦτος ἱερεὺς, κἂν εἷς μόνος ἐστὶ παρ' αὐτῷ, ἀφαιρεθήσεται καὶ αὐτὸς, καὶ εἰς τὸ τῆς ἐπισκοπῆς ἀναχθήσεται ἀξίωμα, ὡς πάντως δυνατοῦ ὄντος καὶ εὐχεροῦς ἑτέρους χειροτονηθῆναι παρ' αὐτοῦ ἱερεῖς, καὶ ἀντὶ τούτου εἶναι καὶ ἱερουργεῖν. εἶτα ἐπήνεγκεν ἕτερος ἐπίσκοπος, ὅτι λοιπὸν ἐὰν ἄλλος ἔχῃ πολλοὺς κληρικοὺς, διδότω τῷ μὴ ἔχοντι· καὶ ὁ αὐτὸς Αὐρήλιος εἶπε πρὸς τοῦτον, ὅτι ὥσπερ σὺ ἀναγκάζῃ ἔχων κληρικὸν δοῦναι αὐτὸν εἰς χειροτονίαν ἐπισκόπου, οὕτω καὶ ὁ τοὺς πλείονας ἔχων συνωθήσεται, ἀντὶ τοῦ καὶ ἄκων ἀναγκασθήσεται, δοῦναί σοι ἕνα ἐξ αὐτῶν. ταῦτα τοῦ κανόνος διοριζομένου, ἐρωτήσει τις, ὡς ἐπεὶ καὶ τῷ Κωνσταντινουπόλεως ἐνεδόθη ἀπὸ τῆς γ'. Ιουστινιανείου νεαρᾶς, ἤγουν ἀπὸ τοῦ β'. κεφ. τοῦ β'. τίτλου τοῦ γ'. βιβλ. τῶν βασιλικῶν, ὅπερ καὶ κατεστρώσαμεν ἔξωθεν τοῦ κϛ'. κεφ. τοῦ α'. τίτλ. τοῦ παρόντος συντάγματος, ἀλλοτρίους κληρικοὺς ἀπροκριματίστως δέχεσθαι· ὡσαύτως καὶ τῷ ἀρχιεπισκόπῳ τῆς πρώτης Ιουστινιανῆς ἤτοι τῷ Βουλγαρίας ἐφιλοτιμήθησαν ἀπὸ τῆς ρλγ'. Ιουστινιανείου νεαρᾶς τῆς κειμένης εἰς τὸ α'. κεφ. τοῦ γ'. τίτλου τοῦ ε'. βιβλ. τῶν βασιλικῶν, καὶ καταστρωθείσης παρ' ἡμῶν εἰς τὸ ϛ'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος, τὰ δίκαια τῆς παλαιᾶς Ῥώμης καὶ τῆς ἐκκλησίας Καρχηδόνος· ἔτι μὴν καὶ τῷ ἀρχιεπισκόπῳ τῆς νέας Ιουστινιανείου πόλεως, ἤτοι τῷ Κύπρου, ἐδόθησαν διὰ τοῦ λθ'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου τὰ προνόμια τῆς τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας· ἀναγκασθήσονται καὶ οὗτοι μετ' εἰδήσεως τῶν ἐχόντων τοὺς κληρικοὺς ἐπισκόπων δέχεσθαι αὐτοὺς, καθὼς τοῦτο ποιεῖν καὶ τὸν ἐπίσκοπον Καρχηδόνος τετύπωται, ἢ οὔ; Λύσις. τινὲς εἶπον, ὡς ἐπεὶ ἀδιακρίτως ἐξεχωρήθησαν οὗτοι δέχεσθαι ἀλλοτρίους ἐπισκόπους, οὐκ ἀναγκασθήσονται πρῶτον ποιεῖν παράγγελμα, καθὼς διὰ τοῦ παρόντος κανόνος ὁ ἐπίσκοπος Καρχηδόνος ὠρίσθη ποιεῖν. ἐμοὶ δὲ δοκεῖ ὀφείλειν καὶ τὰς τοιαύτας πρώτας κεφαλὰς κατὰ τὴν τοῦ παρόντος κανόνος περίληψιν ἀφαιρεῖσθαι τοὺς ἀλλοτρίους κληρικοὺς, παρομοίως τῷ ἐπισκόπῳ Καρχηδόνος· ὅτι τε τοῦτό ἐστι τὸ ἀσκανδάλιστον καὶ φιλάδελφον· καὶ ὅτι ἡ ῥηθεῖσα ρλβ'. Ιουστινιάνειος νεαρὰ μεμνημένη καὶ τῆς ἐν Ἀφρικῇ Ιουστινιανῆς Καρχηδόνος ἐκκλησίας, ἐξισάζει ταύτας ὅσον τέως εἰς τὰ ἐπισκοπικὰ δίκαια. τοῦ δὲ παρόντος κανόνος διοριζομένου, ἀναγκάζεσθαι τὸν ἔχοντα πλῆθος κληρικῶν διδόναι τῷ μὴ ἔχοντι, ἀναγκασθήσεται καὶ ὁ Κωνσταντινουπόλεως τυχὸν διδόναι καὶ ἄκων, μετ' ἐπιφώνησιν, τῷ Ἡρακλείας τυχὸν κληρικὸν αὐτοῦ, ἐφ' ᾧ χειροτονῆσαι τοῦτον ἱερέα, ἢ διάκονον, ἢ ἐπίσκοπον; Λύσις. οὐκ οἴομαι. τούτου γὰρ δοθέντος γενήσεται πάντων τῶν ἐπισκόπων ἐξίσωσις, ὅσον εἰς τοῦτο τὸ κεφ. καὶ εἰς οὐδὲν καταντήσει τὸ δοθὲν προνόμιον τῷ Καρχηδόνος καὶ τοῖς λοιποῖς. ὀφείλομεν οὖν εἰπεῖν, ὅτι οἱ μὲν προνομιάριοι ἐπίσκοποι, οὐ μόνον εἰς ἐπισκόπους, ἀλλὰ καὶ πρεσβυτέρους καὶ διακόνους, ἵνα χειροτονήσωσιν ἀλλοτρίους κληρικοὺς, κατὰ τὴν περίληψιν τοῦ παρόντος κανόνος· οἱ δὲ λοιποὶ ἐπίσκοποι ἐξ αὐτῶν οὐ ζητήσωσιν, οὐδὲ δέξωνται κληρικοὺς ἄλλως, εἰ μὴ ἐν χρείᾳ γένωνται τοῦ χειροτονῆσαι τοῦτον ἐπίσκοπον. τοῦτο γὰρ καὶ ἀπὸ τοῦ παρόντος κανόνος παρίσταται, λέγοντος μὴ τοσοῦτον εἶναι ἀναγκαίαν τὴν τῶν ἱερέων καὶ διακόνων χειροτονίαν, ὡς τὴν τῶν ἐπισκόπων· καὶ διὰ τοῦτο ἀφαιρεῖσθαι καὶ τὸν ἕνα καὶ εἰς ἐπισκοπὴν ἀνάγεσθαι. ἐὰν δὲ ὁ μετακαλούμενος κληρικὸς εἰς ἐπισκοπικὸν ἀξίωμα, ἀπὸ τῆς ἐκκλησίας τυχὸν τῶν Κωνσταντινουπολιτῶν, οὐ καταδέχηται τὴν ψῆφον, ἀναγκασθήσεται παρὰ τοῦ πατριάρχου κατὰ τὸν παρόντα κανόνα καταδέξασθαι; Λύσις. οὐδαμοῦ. οὐ γὰρ ἀναγκάζεταί τις ἀρχιερεὺς γενέσθαι καὶ ἄκων. ἐκληπτέον οὖν τὰ τοῦ κανόνος εἰς τὸν ψηφισθέντα καὶ καταδεχόμενον μὲν τὴν ἐπισκοπὴν, μὴ παραχειρούμενον δέ.

A tio facilis eſt. Multi enim ad hoc apti invenientur & ordinabuntur ex Dei permiſſu ſeu bona voluntate. Epiſcoporum autem promotio difficilis eſt & neceſſaria. Docendi enim facultate præditum ſolertiſque ingenii eſſe oportet Epiſcopum: quod difficilè invenitur. Quare ſi apud aliquem Epiſcopum fuerit inventus talis Sacerdos, etiam ſi unus ſolus eſt apud ipſum, ipſe quoque auferetur, & ad Epiſcopatûs dignitatem provehetur, nempe cùm alios ordinare ſacerdotes ſit ei factu facile, qui ejus loco ſint & ſacra celebrent. Deinde intulit alius Epiſcopus; Deinceps ſi quis alius multos habet Clericos, det non habenti. Aurelius quoque ipſe dixit ad hoc; B Quemadmodum tu, qui habes Clericum, cogeris dare ipſum ad ordinationem Epiſcopi; ita & qui habet plures compelletur, id eſt, cogetur vel invitus, dare tibi unum ex ipſis. Hæc cùm decernat canon, interrogaverit quiſpiam, cùm Conſtantinopoli conceſſum ſit à iii. Juſtiniani novella, ſeu à ii. cap. ii. tit. iii. lib. Baſil. quod extra quoque xxvi. cap. primi tit. præſentis operis poſuimus, alienos Clericos ſine præjudicio ſuſcipi; ſimiliter & Archiepiſcopo primæ Juſtinianæ ſeu Bulgariæ à cxxxiii. Juſtiniani novel. quæ ſita eſt in i. cap. iii. tit. v. lib. Baſil. quæ à nobis poſita eſt in vi. cap. i. C tituli præſentis operis, antiquæ Romæ & Carthaginenſis Eccleſiæ jura conceſſa ſunt; Præterea autem & Archiepiſcopo novæ Juſtinianopolis, ſeu Cypri, data ſunt per xxxix. canonem Synodi in Trullo privilegio Conſtantinop. Eccleſiæ: cogentur & ii cum ſcientia Epiſcoporum Clericos habentium ipſos ſuſcipere, quemadmodum Carthaginenſem quoque Epiſcopum facere cautum eſt, an non? Solutio, Quidam dixerunt, quòd quoniam eis indiſtinctè permiſſum eſt alienos Clericos ſuſcipere non cogentur primum denunciare, ſicut præſenti canone Carthaginenſem Epiſcopum facere oportere conſtitutum eſt. Mihi autem D videtur debere hæc prima capita, quemadmodum præſenti canone continetur, alienos Clericos auferre, ſimiliter ac Carthaginenſis Epiſcopus: tum quia hoc eſt ab omni offenſione alienum & fraternum; tum etiam quòd prædicta cxxxii. Juſtiniani novella mentionem faciens etiam Juſtinianæ Carthaginis Eccleſiæ, quæ eſt in Africa, quod ad Epiſcopale jus attinet, eas exæquat. Cùm autem præſens canon decernat, ut qui habet Clericorum multitudinem, cogatur dare ei qui non habet; cogetur etiam verbi gratia, Conſtantinopolitanus Epiſcopus dare vel invitus, poſt denunciationem, Heracleæ, verbi gratia, E Epiſcopo, ſuum Clericum, ut eum Sacerdotem, vel Diaconum, vel Epiſcopum ordinet? Solutio. Non puto. Hoc enim conceſſo, fiet omnium Epiſcoporum exæquatio, quod ad hoc caput attinet: & ad nihilum redibit privilegium Epiſcopo Carthaginenſi & reliquis datum. Debemus ergo dicere, quòd Epiſcopi quidem privilegiati, non ſolùm in Epiſcopos, ſed etiam in Presbyteros & Diaconos, alienos Clericos ordinaverint, ut præſenti canone continetur: reliqui autem Epiſcopi ab ipſis non petent, nec Clericos aliter ſuſcipient; niſi Epiſcopum ordinare ipſis opus fuerit. Hoc enim vel ex præſenti caF none probatur, qui dicit, non eſſe adeò neceſſariam Sacerdotum & Diaconorum ordinationem, ſicut Epiſcoporum: & propterea vel unum auferri, & in Epiſcopum promoveri. Si autem Clericus, qui ad Epiſcopalem dignitatem evocatur, ab Eccleſia, verbi gratia, Conſtantinopolitana, electionem non admittat, cogetur à Patriarcha ſecundùm præſentem canonem admitti? Solutio. Nequaquam. Neque enim cogetur quiſpiam vel invitus fieri Antiſtes. Hic ergo canon eſt accipiendus de eo, qui electus eſt, & Epiſcopatum quidem ſuſcipit, ſed ei non permittitur.

Zonar. Cum ſuperiori canone, ne cuiquam Epiſcopo liceat alterius Epiſcopi Clericum ſibi vindicare, ordinibúſque inſignire, decretum ſit; in hanc ſententiam mox Aurelius ſermonem habuit, videlicet, Multarum ſibi Eccleſiarum curam eſſe commiſſam. Sæpe vero, inquit, ad me confluunt, Epiſcopum aut Presbyterum aut Diaconum, modo hunc, modo illum, ſibi dari poſtulantes. Cum vero hæc decreta noverim, pareo, Clericíque, qui à me poſcitur, Epiſcopum adeo, eíque Clericum ſuum ab hujus ſcilicet Eccleſiæ conventu efflagitari ſignifico, hoc eſt, indico, ac certiorem tota de re facio. Atque hactenus quidem, inquit, haud repugnant, & Clericos ſuos non inviti tradunt. Ne qui vero in poſterum forte refragentur aut obſtent, quominus expetitus aliquis ad Epiſcopatum aliumve in clero gradum eligatur; ſi Epiſcopum quempiam ego convenero, duobus præterea aut tribus ex noſtro numero, Epiſcoporum videlicet, adhibitis, iſque impius, hoc eſt, morigerus, ac pertinax fuerit inventus, quid mihi tunc faciendum putetis vos ipſi ſtatuite. Quæ quidem quamvis cum verborum ſignificatione minus conveniant; ſententia tamen hujus loci, atque orationis contextus, aliam explicationem non admittit. Ac Numidius quidem, Aurelii throno jam olim id prærogativæ conceſſum fuiſſe teſtatus, ut ex quacunque provincia quos voluiſſet ordinibus inſigniret, id ei conceſſit, ut clericos, undecunque collibitum eſſet, ad ſe vocatos ordinaret. Ad quæ tum Epigonius; Bonitas, inquit, tua temperat poteſtatem. Audes namque minus quam liceat, dum te omnibus probum ac humanum oſtendis. Quod autem dicit, ejuſmodi eſt. Cum tibi quidem, alienis Clericis ad te traductis conferre ordines omnino liceat; quandam tamen in uſu auctoritatis moderationem humanitas requirit, ut non pro poteſtate & imperio, ſed cum Epiſcopi quoque ſui facultate Clerici auferantur. In omnibus namque benignitatem & humanitatem oſtendere minus quiddam eſt, quam pro imperio ac poteſtate Clericos abducere. Id enim in tuo judicio poſitum eſt, ut uniuſcujuſque Epiſcopi perſonæ medicinam facias, hoc eſt, tibi quoque hoc propoſitum eſt, ut Epiſcopos omnes humanitate demulceas. In primo autem & ſolo congreſſu ſi jus huic cathedræ vindicandum eſſe perſpexeris, hoc eſt, ubi primum ſemel convento Epiſcopo conſilium de ejus Clerico abducendo, atque ad ordines promovendo, communicaris, ſi ſe ille minus obſequentem præbuerit, jus huic cathedræ datum, Clericos unde velit ſumendi, iiſque ordines conferendi, ipſe vindicabis. Deinde vero, ne cujuſquam offenſionem ſubiret, quaſi Clericos ab Epiſcopo ſuo vel invito abducendi initiandíque facultatem ipſe concederet; Non hanc, inquit, ipſi tibi largimur facultatem, ſed antea traditam confirmamus, illud videlicet tuo arbitrio relinquentes, ut nequaquam alienos Clericos pro imperio & poteſtate, ſed re prius cum ipſorum Epiſcopis communicata, vindices atque abducas. Cum jam conſtitutum eſſet, licere Aurelio alienos Clericos aſſumere eíſque ordines conferre; rogavit quidam, Quid ſi unum tantum Sacerdotem Epiſcopus habuerit, num eo quoque privabitur? Propoſitæ vero interrogationi Aurelius ita reſpondit, Poſſe ab uno Epiſcopo, Deo dante, multos Sacerdotes creari; hoc nimirum ſignificans; quamvis magna ſit Sacerdotii dignitas, omnemque humanam nobilitatem ac poteſtatem Sacerdotes creandi facultas ſuperet, tamen Deo permittente poſſe ab uno Epiſcopo multos ſacerdotes conſtitui: At vero hominem Epiſcopali muneri gerendo opportunum invenire perquam difficile eſt. Oportet enim Epiſcopum, ex Divi Pauli ſententia, præter cætera, amplecti eum, qui ſecundum doctrinam eſt, fidelem ſermonem, ut poſſit exhortari ſana doctrina, & eos qui contradicunt arguere; tum ejuſmodi eſſe, qui Eccleſiæ præeſſe nôrit, hoc eſt, tum fidelium curæ ſuſci-

A **ΖΩΝΑΡ.** Τοῦ ἀνωτέρω κανόνος ὡρισμένου, μὴ ἐξεῖναι ἐπισκόπῳ ἑτέρου ἐπισκόπου κληρικὸν οἰκειοῦσθαι, καὶ χειροτονεῖν αὐτὸν, ὁ Αὐρήλιος εἰσήγαγε λόγον, ὅτι πολλῶν ἐκκλησιῶν ἀναδέδεγμαι φροντίδα. δέονται δέ μου τινὲς αὐτῶν, χρῄζουσαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου, ζητοῦσαι τόνδε ἢ τόνδε. εἰδὼς δὲ τὰ ὁρισθέντα κατὰ ταῦτα ποιῶ, καὶ ἐρωτῶ τὸν ἐπίσκοπον τοῦ ζητουμένου κληρικοῦ, ἐμφανίζων αὐτῷ, ἀντὶ τοῦ, γνωρίζων αὐτῷ καὶ δηλῶν, ὅτι κληρικὸν αὐτοῦ αἰτοῦσιν οἱ τοῦδε τῆς ἐκκλησίας. καὶ νῦν μὲν, φησιν, οὐκ ἀντιλέγουσιν, ἀλλὰ διδόασι τοὺς κληρικοὺς αὐτῶν. ἵνα δὲ μὴ μετὰ ταῦτα B ἴσως τινὲς ἐναντιωθῶσι, μὴ διδόντες τοὺς ζητουμένους εἰς ἐπισκόπου χειροτονίαν ἢ κληρικοῦ, κρίνατε, εἰ συνέλθω τινὶ τῶν ἐπισκόπων, μετά τινων δύο ἢ τριῶν ἐκ τῆς ἡμετέρας συγκληρώσεως, ἤγουν τῆς ἡμῶν τῶν ἐπισκόπων μοίρας, ἐκεῖνος δὲ ἀκαθοσίωτος εὑρεθῇ ἀντὶ τοῦ ἀπειθὴς, ἀνένδοτος, τί δεῖ ποιῆσαι; καὶ οὐκ οἰκεῖα μὲν ταῦτα τῇ σημασίᾳ τῶν λέξεων. ὁ δὲ νοῦς τῆς ἀκολουθίας τοῦ λόγου τοιαύτην ἔννοιαν ἀπαιτεῖ. ὁ μὲν Νουμήδιος προσμαρτυρήσας τῷ θρόνῳ τοῦ Αὐρηλίου προνόμιον παλαιὸν χειροτονεῖν οὓς βούλεται ἐξ ἑκάστης ἐκκλησίας, δέδωκε τούτῳ τὸ λαμβάνειν ἀφ' οἱουδήποτε κληρικοὺς C καὶ χειροτονεῖν αὐτούς. ὁ δὲ Ἐπιγόνιος πρὸς ταῦτα ἀντέφη, ὅτι ἡ ἀγαθοθέλεια μεσάζει τὴν ἐξουσίαν. ἧττον γὰρ τολμᾷς ἤπερ δύνῃ, ἐν τῷ πᾶσιν ἑαυτὸν δεικνύειν ἀγαθὸν καὶ φιλάνθρωπον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ἐξουσίαν μὲν ἔχεις λαμβάνειν ἀλλοτρίους κληρικοὺς καὶ χειροτονεῖν· ἀλλὰ τὸ καλοθελὲς μέσως πως ἀπαιτεῖ χρᾶσθαι τῇ ἐξουσίᾳ, ὥστε μὴ αὐθεντικῶς ἀφαιρεῖσθαι αὐτοὺς, ἀλλὰ μετὰ γνώμης τῶν ἐπισκόπων αὐτῶν. τὸ γὰρ ἐν πᾶσι δεικνύειν ἑαυτὸν ἀγαθὸν διὰ τοῦ βουλεύεσθαι, ἧττόν ἐστι τοῦ μετ' ἐξουσίας τολμᾶν τὴν ἀφαίρεσιν. ἔχεις γὰρ τοῦτο ἐν τῇ κρίσει σου, τὸ ἀποθεραπεῦσαι ἑνὸς ἑκάστου D ἐπισκόπου τὸ πρόσωπον, τουτέστι, καὶ σὺ τοῦτο κρίνεις, τὸ πάντας τοὺς ἐπισκόπους θεραπεύειν. ἐν πρώτῃ δὲ καὶ μόνῃ συνελεύσει, εἰ συνίδῃς τὸ ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ εἶναι ἐκδικητέον, τουτέστιν, ἅπαξ δὲ συνελθὼν τῷ ἐπισκόπῳ τοῦ κληρικοῦ, ὃν μέλλεις ἀφελέσθαι καὶ χειροτονῆσαι, καὶ κοινωσάμενος αὐτῷ περὶ τοῦ κληρικοῦ αὐτοῦ, εἰ μὴ εὕρῃς ἐκεῖνον αὐτίκα πειθήνιον, ἐκδικητέον τὸ εἶναι ἐπ' ἐξουσίας ταύτῃ τῇ καθέδρᾳ, ὅθεν βούλεται λαμβάνειν κληρικὸν καὶ χειροτονεῖν αὐτόν. εἶτα ἵνα μὴ σκανδαλισθῶσι κατ' αὐτοῦ, ὡς ἐπιτρέποντος καὶ γνώμης ἄνευ τῶν ἐπισκόπων λαμβάνειν τοὺς κληρικοὺς αὐτῶν καὶ χειροτονεῖν, E ἐπήγαγεν, ὅτι οὐχ ἡμεῖς σοι δίδομεν τὴν ἐξουσίαν ταύτην, ἀλλ' ἐπικυροῦμεν αὐτὴν, τῇ σῇ προαιρέσει δηλονότι ἀνατιθέντες, τὸ μὴ μετ' ἐξουσίας λαμβάνειν τοὺς κληρικοὺς τῶν ἄλλων, καὶ προχειρίζεσθαι αὐτοὺς, ἀλλὰ μετὰ βουλῆς τῶν ἐπισκόπων αὐτῶν. κυρωθέντος τοῦ λαμβάνειν τὸν Αὐρήλιον κληρικοὺς ἀλλοτρίους καὶ χειροτονεῖν αὐτοὺς, ἠρώτησέ τις, ὅτι κἂν ἕνα ἔχῃ πρεσβύτερον ἐπίσκοπος, κἀκεῖνος ἀφαιρεθήσεται ἐξ αὐτοῦ; πρὸς δὲ τὸ ἐρώτημα τοῦτο ὁ Αὐρήλιος ἀπεκρίθη, ὅτι δύναται εἷς ἐπίσκοπος πολλοὺς πρεσβυτέρους χειροτονῆσαι κατὰ συγχώρησιν θεοῦ, τοῦτο λέγων, ὅτι εἰ καὶ μέ- F γα ἐστὶ τὸ ἱερατικὸν ἀξίωμα, καὶ ὑπὲρ τὴν ἀνθρωπίνην ἀξίαν καὶ δύναμιν ὑπάρχει τὸ καθιστᾶν ἱερέας, ἀλλὰ κατὰ συγχώρησιν θεοῦ δύναται εἷς ἐπίσκοπος πολλοὺς ἱερεῖς χειροτονῆσαι· εἰς ἐπισκοπὴν δὲ ἐπιτήδειον ἄνδρα εὑρεῖν δυσχερές ἐστι. τὸν γὰρ ἐπίσκοπον δεῖ κατὰ τὸν μέγαν Παῦλον πρὸς τοῖς ἄλλοις καὶ ἀντέχεσθαι τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν, καὶ προεστάναι εἰδότα τῆς ἐκκλησίας, ἤτοι καὶ τῶν πιστῶν ἐπιμελεῖσθαι ἐπιτήδειον, καὶ τὰ πράγματα τῆς ἐκκλησίας οἰκονομεῖν καὶ θεοφιλῶς διοικεῖν. οὐ πάντα δὲ ταῦτα ὁμοίως ἀπαιτεῖται καὶ ἐπὶ πρεσβυτέρου. διὸ ἀναγκαῖον, εἰ εὑρίσκοιτο πρεσβύτερος ἐπιτήδειος εἰς ἐπίσκοπον, λαμβάνεσθαι τὸν τοιοῦτον καὶ χειροτονεῖσθαι, κἂν ἕνα τοῦτον ἔχῃ ὁ ἐπίσκοπος αὐτοῦ. εἶτα ἐπήνεγκεν ἕτερος, ὅτι λοιπὸν ἐὰν ἄλλος ἔχῃ πολλοὺς κληρικούς, διδότω τῷ μὴ ἔχοντι. καὶ ὁ Αὐρήλιος εἶπε πρὸς τοῦτον, ὅτι ὥσπερ σὺ ἀναγκάζῃ, ἔχων κληρικόν, δοῦναι αὐτὸν εἰς χειροτονίαν ἐπισκόπου· οὕτω καὶ ὁ τοὺς πλείονας ἔχων συνωθηθήσεται, ἀντὶ τοῦ καὶ ἄκων ἀναγκασθήσεται, δοῦναί σοι ἕνα ἐξ αὐτῶν.

ΑΡΙΣΤ. Ἐξέστω τῷ Καρχηδόνος προέδρῳ οὓς ἂν ἐθέλῃ, προχειρίζεσθαι προεστῶτας ταῖς ἐκκλησίαις, κἂν μόνον ἕνα τις ἔχῃ πρεσβύτερον προστασίας ἄξιον. εἷς μὲν γὰρ ἐπίσκοπος πολλοὺς πρεσβυτέρους χειροτονεῖν δύναται. δυσεύρετος δὲ ὁ πρὸς ἐπισκοπὴν ἐπιτήδειος.

Η σύνοδος αὕτη, τοπικὴ οὖσα, μὴ οἰκουμενική, ὁρίζει τινὰ ἐν Καρχηδόνι ὀφείλοντα κρατεῖν. ὁ γὰρ Αὐρήλιος Καρχηδόνος ἐπίσκοπος τοῖς κανόσιν ἑπόμενος, καὶ παρὰ γνώμην ἐπισκόπου μὴ θέλων κληρικὸν αὐτοῦ ἀφαιρεῖσθαι, καὶ εἰς ἑτέραν πόλιν κληρῶσαι αὐτόν, ἢ ἐπίσκοπον καταστῆσαι· εὐλαβούμενος δὲ πάλιν μή ποτέ τινες τῶν ὑπ' αὐτὸν ἐπισκόπων οὐ πεισθῶσι δοῦναί τινας τῶν κληρικῶν αὐτῶν ἐπὶ τῷ εἰς ἑτέραν πόλιν ἐνδεῶς πρεσβυτέρων ἢ διακόνων ἔχουσαν κληρωθῆναι, ἢ εἰς ἐπισκοπῆς βαθμὸν προαχθῆναι, ἀξίους εἰς τοῦτο κριθέντας· τὰ περὶ τούτου τῇ συνόδῳ ἀνεκοινώσατο. καὶ ἐπεψηφίσατο αὕτη, ἐπ' ἀδείας ἔχειν τὸν Καρχηδόνος πρόεδρον, διὰ τὸ τὴν πᾶσαν φροντίδα τῶν ἐκεῖσε ἐκκλησιῶν αὐτῷ ἐπικεῖσθαι, οὓς ἂν τῶν ὑπ' αὐτὸν ἐπισκόπων κληρικοὺς εἰς προστασίαν ἐκκλησιῶν εὑρήσει ἀξίους, προχειρίζεσθαι αὐτούς· κἂν δὲ καὶ πολλούς τις μὴ ἔχει πρεσβυτέρους, ἀλλ' ἕνα καὶ μόνον, καὶ ἐπιτήδειον αὐτὸν εἰς ἐπισκοπὴν κρίνει, ἀνενδοιάστως καταστῆσαι αὐτόν· διὰ τὸ δυσχερὲς εἶναι τὸν εἰς ἐπισκοπὴν εὑρίσκεσθαι δόκιμον· καὶ δυνατὸν ἕνα ἐπίσκοπον πολλοὺς πρεσβυτέρους χειροτονῆσαι.

ΚΑΝΩΝ ξ'.

Περὶ τοῦ τοὺς ἐν ταῖς παροικίαις χειροτονουμένους ἐπισκόποις μή τινα ἑαυτοῖς ἐκδικεῖν διοίκησιν. Ονωρᾶτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· ἠκούσαμεν ὁρισθέν, ἵνα αἱ παροικίαι μὴ ἀξιῶνται λαμβάνειν ἐπισκόπους, εἰ μὴ κατὰ συναίνεσιν τούτου, ὑφ' ὃν καθίσταντο. ἐν δὲ τῇ χώρᾳ ἡμῶν, κατὰ συγχώρησιν τοῦ ἐξαρχῆς κατέχοντος τὰς διοικήσεις ἐπισκόπου, τινὲς εἰς ταύτας τὰς παροικίας χειροτονηθέντες ἐπίσκοποι ἑαυτοῖς ἔτι μὴν ἑτέρας διεκδικοῦσιν. τοῦτο καὶ κωλυθῆναι τῇ ἀγάπῃ τῆς ὑμετέρας κρίσεως, καὶ ἀνατραπῆναι τοῦ λοιποῦ ὀφείλει. Επιγόνιος ἐπίσκοπος εἶπεν, ἑκάστῳ ἐπισκόπῳ τὸ πρέπον ἐφυλάχθη, ἵνα ἑκάστης τῆς συγκτησίας τῶν παροικιῶν μηδὲν ἀποδρεφθείη πρὸς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ κατὰ συναίνεσιν τοῦ τὴν ἐξουσίαν ἔχοντος. ἐὰν δὲ αὐτὸς παραχωρήσῃ, ὥστε τὴν αὐτὴν διοίκησιν ἐπιτραπεῖσαν ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰς τὰς λοιπὰς τὸν προχειρισθέντα μὴ ἐπιβάλλεσθαι διοικήσεις· διότι μία ἐκ τοῦ σώματος τῶν πολλῶν ἀφαιρεθεῖσα, αὐτὴ καὶ μόνη ἠξιώθη τιμὴν ἰδίας ἐπισκοπῆς ἀναδέξασθαι. Αὐρήλιος ἐπίσκοπος εἶπεν. οὐκ ἀμφιβάλλω τῇ πάντων ὑμῶν ἀγάπῃ ἀρέσκειν, ὥστε τὸν κατὰ τὴν συγχώρησιν τοῦ προτέρου ἐπισκόπου ἐν τῇ διοικήσει προχειρισθέντα ἐπίσκοπον μόνον αὐτὸν κατέχειν τὸν λαόν, εἰς ὃν ἐχειροτονήθη. ἐπεὶ οὖν πάντα νομίζω εἶναι πεπραγματευμένα, ἐὰν πάντα στοιχῇ τῷ λογισμῷ ὑμῶν, ταῦτα βεβαιώσατε τῇ ὑμετέρᾳ ἐκφωνήσει. πάντες οἱ ἐπίσκοποι εἶπον· πᾶσιν ἡμῖν ταῦτα ἤρεσεν. καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ ταῦτα βεβαιοῦμεν. καὶ ὑπέγραψαν·

A piendæ ac gerendæ, tum Eccleſiæ negotiis prudenter ac pro arbitrio divinæ voluntatis adminiſtrandis ſit idoneus. Hæc vero non omnia pariter etiam à Sacerdotibus exiguntur. Ergo ſi quis Sacerdos ad Epiſcopale munus obeundum idoneus reperiatur, vel ſi alium neminem ipſius Epiſcopus habeat, eum nihilominus eligi conſecrarique neceſſe fuerit. Deinde alius quidam intulit; Si quis alius deinceps multos Clericos habuerit, det non habenti. Ad quem Aurelius, Quemadmodum, ait, tu Clericum, qui apud te eſt, ad Epiſcopale munus neceſſario tranſmittis: ita & cui plures fuerint, unum aliquem tibi ex illis reponere compelletur, hoc eſt, volens nolénſque cogetur.

B

Arist. *Carthaginis præſidi liceat, quoſcunque velit, eligere præficiendos Eccleſiæ: etiamſi unum tantummodo Presbyterum præſidentiâ dignum quiſpiam habeat. Unus enim Epiſcopus poterit multos ordinare Presbyteros. Qui vero Epiſcopatui ſit idoneus difficulter invenitur.*

Hæc Synodus, cùm provincialis fuit, non Oecumenica, quædam debere Carthagine obtinere decernit. Nam Aurelius Epiſcopus Carthaginenſis Canones ſequens, & præter Epiſcopi ſententiam Clericum illius auferre & in aliâ civitate eum in Clerum eligere aut C Epiſcopum creare nolens: ſed metuens iterum, ne aliqui Epiſcoporum ipſi ſubjacentium, non perſuadeantur aliquos è Clericis ſuis dare, ut in aliâ civitate Presbyteris & Diaconis indigente in Clericorum numerum recenſeantur, aut, ſi eo judicentur digni, ad Epiſcopalem gradum promoveantur, hoc Synodo communicavit; & ea ſuffragio ſuo decrevit, Carthaginis præſidi licere, quia omnis Eccleſiarum, quæ ibi ſunt, ei committitur cura, quoſcunque Epiſcoporum ipſi ſubjectorum Clericos ad Eccleſiarum præſidentiam invenerit aptos, eos deligere. Licet vero & multos quiſpiam non habeat Presbyteros, ſed D unum & ſolum, & eum Epiſcopatui idoneum judicet, haud dubiè eum conſtituere: quia difficile eſt quempiam Epiſcopatui invenire aptum; & poſſibile eſt unum Epiſcopum multos Presbyteros ordinare.

CANON LX.

Ut Epiſcopi qui in parœciis ordinantur, nullam ſibi diœceſin vendicent. Honoratus & Urbanus Epiſcopi dixerunt; Audivimus definitum, ne parœciæ dignentur E *Epiſcopos accipere, niſi ex conſenſu ejus, à quo conſtitutæ ſunt. In noſtra autem regione, ex permiſſione ejus qui ab initio diœceſes obtinet Epiſcopi, quidam in eiſdem parœciis ordinati Epiſcopi, adhuc etiam alias ſibi vendicant. Hoc veſtri judicii charitate & prohiberi & deinceps ſubverti debet Epigonius Epiſcopus dixit; Unicuique Epiſcopo, quod decet, ſervatum eſt, ut ex unaquaque parœciarum poſſeſſione nihil decerpatur ad proprium Epiſcopum habendum, niſi ex conſenſu ejus qui habet poteſtatem. Sin autem ille conceſſerit, ut ipſa permiſſa diœceſis proprium habeat Epiſcopum; is qui* F *promotus eſt ad alias diœceſes manum non extendat; quoniam una ex multorum corpore ablata, vel ſola digna habita eſt, quæ proprii Epiſcopatûs honorem acciperet. Aurelius Epiſcopus dixit; Non dubito veſtrûm omnium dilectioni placere, ut Epiſcopus, qui ex prioris Epiſcopi in diœceſi permiſſione promotus eſt, eum ſolum populum obtineat, ad quem fuerat ordinatus. Quoniam ergo omnia eſſe tractata exiſtimo, ſi omnia rationi veſtræ congruant, ea veſtra ſententia confirmate. Omnes Epiſcopi dixerunt; Nobis omnibus hæc placuerunt, & noſtra ſubſcriptione confirmamus. Et ſubſcripſerunt;*

A *Aurelius Eccleſiæ Carthaginenſis Epiſcopus præſenti decreto conſenſi, & lecto ſubſcripſi: Similiter & reliqui Epiſcopi ſubſcripſerunt.*

Bals. In aliquas, ut eſt veriſimile, parœcias, quæ non habebant Antiſtites, electi ſunt Epiſcopi voluntate Epiſcoporum qui eas habebant: utpote quæ eſſent fortaſſe populoſæ, & proprio Epiſcopo opus haberent. Sed cùm ii, qui ad eas ordinati fuerant, his, quæ illis obtigerant, non contenti eſſent, ſed etiam aliena ſibi jura vendicarent, dixerunt Honoratus & B Urbanus Epiſcopi; quòd quoniam cautum eſt, Epiſcopos non aliter in parœciis eligi, niſi voluntate eorum, qui illas habent ab initio, hoc quoque ita factum eſt in regione ipſorum. Quia autem, qui ſunt ordinati, alias quoque parœcias ſua ſponte ſibi vendicant, debent ea quidem, quæ improbè vendicarunt, corrigi: quæ autem non canonice ſunt vendicaturi, prohiberi. Ad hæc ergo Epigonius dixit; quòd à divinis canonibus unicuique Epiſcopo parœciarum regiones limitéſque attributi ſunt: & ex ipſarum parœciarum poſſeſſione nihil poteſt decerpi ſeu auferri ab aliquo. Sed nec ipſi parœciæ habitatores poſſunt ſibi C ſua ſponte Epiſcopum conſtituere, niſi voluntate Epiſcopi qui habet poteſtatem in parœcia. Si autem ille quoque hoc permiſerit, non debet is, qui ordinatus eſt, propter jus hujus parœciæ ſe ad aliarum quoque parœciarum adminiſtrationem extendere. Sola enim quæ honorata eſt parœcia, erit ſub eo qui eſt ordinatus: reliquæ autem erunt ſub capite à quo ablatio facta eſt. Dixit ergo poſt hæc Aurelius; eorum fraternitatis eſſe admittendam ſententiam. Et ipſe eadem quoque ſtatuit: & propterea petivit, ut quæ conſtituta erant, ſubſcriberentur; quod etiam factum eſt. Et hæc quidem ita. Tu autem ſcias, quòd Epiſcoporum quidem D regiones immotas manere, ut Canonicum ſervatur: fieri autem Epiſcopatus de novo in parœciis, quæ ſunt aliis Epiſcopis ſubjectæ, ſine regio mandato non permittitur; etiamſi millies conſenſerit qui eam habet Epiſcopus. Synodicè enim conſtitutum eſt, ut nec ipſa magna Synodus ſine juſſu regio poſſit novum conſtituere Epiſcopatum. Et de eo in alios Canones ſcriptum eſt.

Zonar. Definitum eſt, inquiunt, ne in parœciis, regionibus videlicet parvis Epiſcopo ſubjectis, Epi E ſcopus quiſpiam, niſi eo, qui præeſt, Epiſcopo conſentiente, ſtatuatur. Quod ſi aliquem, cum ea nimirum approbatione creari contingat, ejus parœciæ finibus populóque contentus degat; neque alias ſibi arroget ſeu vindicet, ac velut ad ipſum ſpectantes invadat. Arzua enim, quæ ex Epiſcopi facultate digna Epiſcopatus honore habita eſt, ſola eum obtinere debet; non alia quoque decerpi, ſeu diſtrahi ac divelli, ut proprium habeat Epiſcopum, niſi eo qui illic præſidet Epiſcopo comprobante. Ad hæc Aurelius, ut eorum animos qui in Synodo aderant, ad aſſentiendum idoneè compararet; Non dubito, ait, quin F hæc omnibus probentur; Et quia pertractata ſatis, hoc eſt, meditata, examinata, probata, omnia eſſe arbitror, ea vos quoque veſtra ſententia confirmate. Tum reliqui, Et nobis hæc placent, & noſtra omnium ſubſcriptione firmabimus.

Arist. *Diœceſis ſi ejus qui poteſtatem habet ſententiâ proprium habere Epiſcopum permittatur, reliquas ille Diœceſis ne invadat.*

Decretum eſt, præter Primatis ſententiam in unaquâque Provinciâ, neminem Epiſcoporum fieri. Sed

Αὐρήλιος ἐπίσκοπος τῆς ἐκκλησίας Καρχηδόνος τῷ παρόντι δεκρέτῳ συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΒΑΛΣ. Εἰς τινὰς παροικίας, ὡς ἔοικε, μὴ ἐχούσας ἀρχιερεῖς ἐψηφίσθησαν ἐπίσκοποι κατὰ γνώμην τῶν ἐχόντων αὐτὰς ἐπισκόπων, ὡς γινομένας τυχὸν πολυανθρώπους, καὶ δεομένας ἰδικοῦ ἐπισκόπου. μὴ ἀρκουμένων δὲ τῶν εἰς ταύτας χειροτονηθέντων ἐπὶ τοῖς λαχούσαις αὐτούς, ἀλλὰ σφετεριζομένων καὶ ἀλλότρια δίκαια, εἶπον Ὁνωρᾶτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι, ὡς ἐπεὶ κεκανόνισται μὴ ἄλλως ψηφίζεσθαι ἐπισκόπους εἰς παροικίας, εἰ μὴ κατὰ θέλησιν τῶν ἐχόντων ἀρχῆθεν αὐτὰς ἐπισκόπων, γέγονε τοῦτο οὕτω καὶ εἰς τὴν χώραν αὐτῶν. ὅτι δὲ οἱ χειροτονηθέντες καὶ ἄλλας παροικίας διεκδικοῦσιν αὐθαιρέτως, ὀφείλουσι τὰ μὲν κακῶς ἐκδικηθέντα διορθωθῆναι· τὰ δὲ μέλλοντα ἀκανονίστως ἐκδικεῖσθαι κωλυθῆναι. ἔφησε γοῦν πρὸς ταῦτα ὁ Ἐπιγόνιος, ὅτι ἀπὸ θείων κανόνων ἑκάστῳ ἐπισκόπῳ ἐνορίαι παροικιῶν ἀπενεμήθησαν, καὶ ἀπὸ τῆς συγκτησίας ἤγουν ἀπὸ τῆς παροικίας αὐτῶν, οὐδὲν δύναται ἀποδρεφθῆναι ἤτοι ἐκκοπῆναι παρά τινος. ἀλλ' οὐδὲ αὐτοὶ οἱ οἰκήτορες τῆς παροικίας δύνανται αὐτοθελῶς ἐπίσκοπον ἑαυτοῖς καθιστᾶν, εἰ μὴ κατὰ θέλησιν τοῦ ἐξουσιάζοντος τῆς παροικίας ἐπισκόπου. ἐὰν δὲ καὶ οὗτος παραχωρήσῃ τοῦτο, οὐκ ὀφείλει ὁ χειροτονηθεὶς δικαίῳ ταύτης τῆς παροικίας παρεμβάλλειν ἑαυτὸν καὶ εἰς ἄλλων παροικιῶν διοικήσεις. ἡ γὰρ τιμηθεῖσα μόνη παροικία ἔσεται ὑπὸ τὸν χειροτονηθέντα· αἱ λοιπαὶ δὲ ἔσονται ὑπὸ τὴν κεφαλὴν ἐξ ἧς ἡ ἀφαίρεσις γέγονεν. εἶπεν οὖν ἐπὶ τούτοις ὁ Αὐρήλιος, ἀποδεκτέαν εἶναι καὶ αὐτῷ τὴν γνώμην τῆς ἀδελφότητος. καὶ ὥρισε καὶ αὐτὸς τὰ αὐτά, καὶ διὰ τοῦτο ἐζήτησεν ὑπογραφῆναι τὰ τυπωθέντα, ὃ καὶ γέγονε. καὶ ταῦτα μὲν οὕτω. σὺ δὲ γίνωσκε, ὅτι τὸ μὲν φυλάττεσθαι τὰς ἐνορίας τῶν ἐπισκόπων ἀπαρασαλεύτους, ὡς κανονικὸν συντηρεῖται· τὸ δὲ γίνεσθαι ἐκ νέου ἐπισκοπὰς εἰς παροικίας ὑποκειμένας ἑτέροις ἐπισκόποις, χωρὶς βασιλικῆς προστάξεως οὐ παραχωρεῖται, κἂν μυριάκις συναινέσῃ ὁ ἔχων ταύτην ἐπίσκοπος. διεγνώσθη δὲ συνοδικῶς μηδὲ αὐτὴν τὴν μεγάλην σύνοδον χωρὶς προστάξεως βασιλικῆς δύνασθαι καινίζειν ἐπισκοπήν. καὶ προεγράφη τὰ περὶ τούτου εἰς ἑτέρους κανόνας.

ΖΩΝΑΡ. Ὡρίσθη, φασίν, ἐν ταῖς παροικίαις, ἤγουν ταῖς μικραῖς ἐνορίαις ταῖς ὑποκειμέναις ἐπισκόποις, μὴ γίνεσθαι ἐπισκόπους, εἰ μὴ γνώμῃ τῶν ἐχόντων αὐτὰς ἐπισκόπων. εἰ δέ ποτε γένωνται, κατ' εὐδοκίαν δηλονότι τῶν ἐπισκόπων, ἐκείναις μόναις ἀρκεῖσθαι ταῖς παροικίαις καὶ τοῖς ἐν αὐταῖς λαοῖς, καὶ μὴ ἑτέρας ἐκδικεῖν, ἤγουν οἰκειοῦσθαι, ἢ ζητεῖν, ὡς διηκούσας αὐτοῖς. ἡ γὰρ Ἀρζύα μετὰ παραχώρησιν τοῦ ἐπισκόπου ἀξιωθεῖσα τιμῆς ἐπισκοπικῆς, ἐκείνη μόνη ταύτην ὀφείλει ἔχειν, ἑτέρα δὲ μὴ ἀποδρεφθείη, ἤγουν μὴ ἀποσπασθείη, μὴ ἀποτμηθείη, εἰς τὸ ἴδιον κτήσασθαι ἐπίσκοπον, εἰ μὴ συναινέσει τοῦ ἐξουσιάζοντος αὐτῆς ἐπισκόπου. πρὸς ταῦτα ὁ Αὐρήλιος παρασκευάζων συναινέσαι πάντας τοὺς τῆς συνόδου, ἐπήγαγεν, ὅτι οὐκ ἀμφιβάλλω πᾶσιν ἀρέσκειν ταῦτα. καὶ ἐπειδὴ πάντα νομίζω εἶναι πεπρακταϊσμένα, διότι τοῦ ἐσκοπημένα, δεδοκιμασμένα, ἐξητασμένα, πάντως βεβαιώσατε ταῦτα τῇ ὑμετέρᾳ ἐκφωνήσει. πάντες εἶπον, ἤρεσεν ἡμῖν πᾶσι ταῦτα καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ αὐτὰ βεβαιοῦμεν.

ΑΡΙΣΤ. Διοίκησις, ἐὰν κατὰ γνώμην τοῦ τὴν ἐξουσίαν ἔχοντος ἐπιτραπῇ ἴδιον ἔχειν ἐπίσκοπον, εἰς τὰς λοιπὰς διοικήσεις ὁ τοιοῦτος μὴ ἐπιβαλλέσθω.

Ὥρισται, παρὰ γνώμην τοῦ πρωτεύοντος ἐν ἑκάστῃ ἐπαρχίᾳ, μή τινα τῶν ἐπισκόπων γίνεσθαι· ἀλλὰ μηδὲ ἐν κώμῃ τινί, ἢ καὶ βραχεία πόλει, ἐν ᾗ καὶ εἷς πρεσβύτερος ἐπαρκεῖ ἐπίσκοπον καθίστασθαι, εἰ μὴ πληθυνθεῖσαι ἴσως αὗται, ἄξιαι κριθῶσιν ὀνομασθῆναι ἐπισκοπαί. εἰ γοῦν εἰς παροικίαν τινὰ, ἐν ᾗ τὸ πρὶν οὐκ ἦν ἐπίσκοπος, κατὰ γνώμην τοῦ τὴν ἐξουσίαν ἐν αὐτῇ ἔχοντος ἐπισκόπου ἐπίσκοπον γενέσθαι ἐπιτραπῇ, τὸν λαὸν μόνον, εἰς ὃν ἐχειροτονήθη, κατέχειν ὀφείλει, μὴ μέντοιγε καὶ ἑτέραν διεκδικεῖν παροικίαν.

Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα ἐπίσκοπος χωρὶς ἀπολυτικῆς μὴ πλεύσῃ. ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν Ἰουλίων ἐν Καρχηδόνι ἤρεσεν μηδένα τῶν ἐπισκόπων πλεῖν χωρὶς ἀπολυτικῆς τοῦ πρωτεύοντος. τὰ πεπραγμένα ὁ ζητῶν ἐν τοῖς αὐθεντικοῖς εὑρήσει.

ΖΩΝΑΡ. Ἀπολυτικὴν λέγει τὴν εἰρηνικὴν ἐπιστολήν· πρωτεύοντα δὲ, τὸν πατριάρχην ἢ τὸν μητροπολίτην τῆς διοικήσεως· πλέειν δὲ τὸ διαποντίως ἀποδημεῖν.

Ἐκ τῆς συνόδου ταύτης τοποτηρηταὶ πρὸς βασιλέας ὑπογεγραμμένοι ἐπίσκοποι ἀποστέλλονται. μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων, Ὀνωρίου Αὐγούστου τῷ τετάρτῳ, καὶ Εὐτυχιανοῦ τοῦ λαμπροτάτου, τῇ πρὸ πέντε καλανδῶν Μαΐων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεσιτούτης ἐκκλησίας.

Πρᾶξις τρίτη.

Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Ἐπιγόνιος καὶ Βικεντιανὸς οἱ ἐπίσκοποι· ἵνα νόμου ἀξιωθῶσιν παρὰ τῶν ἐνδοξοτάτων βασιλέων περὶ τῶν καταφευγόντων εἰς ἐκκλησίαν, καὶ οἱαισδήποτε ἐγκεκυλισμένων εὐθύναις, ὥστε μηδένα τολμᾷν αὐτοὺς ἀποσπᾷν. Ἐν ταύτῃ τῇ συνόδῳ πρεσβεία ἀποστέλλεται πρὸς τοὺς Ρώμης καὶ Μεδιολάνου ἐπισκόπους περὶ τῶν νηπίων τῶν παρὰ τοῖς αἱρετικοῖς βαπτισθέντων· καὶ πρὸς τὸν βασιλέα δὲ περὶ τοῦ τὰ ἐγκαταλείμματα τῶν εἰδώλων ἀφαιρεθῆναι, καὶ περὶ ἄλλων δὲ πλείστων πραγμάτων.

Μετὰ τὴν ὑπατείαν Φλαβίου, Στελίχωνος τοῦ λαμπροτάτου, τῇ πρὸ δεκαὲξ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεσιτούτης ἐκκλησίας προκαθίσας ἅμα τοῖς συνεπισκόποις αὐτοῦ, παρεστώτων τῶν διακόνων, Αὐρήλιος ἐπίσκοπος εἶπεν· τῶν ἐκκλησιῶν τοῦ θεοῦ, τῶν ἀνὰ πᾶσαν τὴν τῶν Ἀφρῶν χώραν καθιδρυμένων, τὰς ἀνάγκας ἀκριβῶς, ἅμα ἐμοὶ ἐπίσταται ἡ ὑμετέρα ἀγάπη, ἁγιώτατοι ἀδελφοί· καὶ ἐπειδὴ τοῦ Κυρίου παρέχοντος κἂν ἐν μέρει συνήχθη ἡ παρουσία τῆς ὁσίας ὑμῶν συνελεύσεως, δοκεῖ μοι εἰς μέσον παρακομίσαι τὰς αὐτὰς, ὡς εἴρηται, ἀνάγκας, ἅσπερ οἰκείᾳ φροντίδι ἠδυνήθην ἀνιχνεῦσαι· ἅς τινας ἡνίκα ἐπικυρώσῃ ἡ ὑμετέρα εἰλικρινότης, ἀκόλουθον ἔσται ἀποδείξασθαι, ἕνα ἱερέα ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ, τὸν ὀφείλοντα τῇ τοῦ κυρίου βοηθείᾳ διὰ τῶν εὐχῶν ὑμῶν ταύτας αὐτὰς ἀνάγκας ἀναδέξασθαι, καὶ ἀνδρείως διανυστέας ἀποκομίσαι πρὸς τὰ περαματικὰ τῆς Ἰταλίας μέρη ὅστις δυνηθῇ αὐτήν τε τὴν ἀνάγκην καὶ τὸν πόνον καὶ τὴν ἔνδειαν ἡμῶν παραστῆσαι τοῖς ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν· τοῦτο μὲν, Ἀναστασίῳ τῷ προσκυνητῷ ἁγίῳ τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπῳ· τοῦτο δὲ ἔπι μὴν καὶ τῷ ἁγιωτάτῳ ἀδελφῷ Βενερίῳ τῷ ἱερεῖ τῆς Μεδιολάνων ἐκκλησίας. ἐκ τούτων γὰρ τῶν θρόνων ἐκωλύθη, ὅπερ ἐπιγνοῖεν ἐν κοινῷ κινδύνῳ μεγάλως ὀφείλειν προνοηθῆναι· ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, καὶ πολλαὶ ἐκκλησίαι οὕτως ὑπάρχουσιν ἔρημοι, ὡς μηδένα διάκονον κἂν ἀγράμματον ἔχειν εὑρίσκεσθαι. περὶ δὲ τῶν λοιπῶν ἀνωτέρων βαθμῶν καὶ τάξεων σιωπητέον ὑπολαμβάνω. ἐπεὶ, ὡς εἶπον, ἐὰν ἡ τοῦ διακόνου ὑπουργία οὐκ εὐχερῶς εὑρίσκηται, πολλῷ πλέον περὶ τῶν ἀνωτέρων τιμῶν καταδῆλον ὑπάρχει. καὶ τοὺς καθημερινοὺς θρήνους τῶν διαφόρων καὶ σχεδὸν ἀποθνησκόντων λαῶν τοῦ λοιποῦ οὐχ ὑποφέρομεν· οἷς εἰ μηδέποτε θελήσωμεν βοηθῆσαι,

A nec in vico aliquo aut parvâ civitate, in quâ & unus Preſbyter ſufficiat, conſtitui Epiſcopum; niſi forte illæ populo abundantes dignæ judicentur, quæ nominentur Epiſcopatus. Si itaque in Parœciâ aliquâ, in quâ antea non fuit Epiſcopus, per Epiſcopi in eo poteſtatem habentis ſententiam Epiſcopus fieri permittatur, populum ſolum, in quem ordinatus fuit, retineer debet; non autem & aliam vendicare parœciam.

In hac Synodo conſtitutum eſt, ut Epiſcopus ſine dimiſſoriis literis non naviget. Sub Cæſario & Attico, illuſtriſſimis Conſulibus, ſexto Calendas Julias, Carthagini placuit, ut nullus Epiſcopus ſine Primatis di- B *miſſoriis epiſtolis naviget.*

Qui acta quærit, in Authenticis inveniet.

Zonar. Dimiſſoriæ nomine pacificam Epiſtolam Primatis vero appellatione Patriarcham aut Metropolitanum intelligit. Navigare porro eſt maritimo itinere in alias oras peregrinari.

Ex hac Synodo Legati ad Imperatores, ſubſcripti Epiſcopi mittuntur. Poſt conſulatumglorioſiſſimorum Imperatorum, Honorii Auguſti quarti & Eutychiani V. C. quinto Calendas Maias Carthagine in ſecreto Reſtitutæ Eccleſiæ.

C

Actio tertia.

In hac Synodo Legationem ſuſceperunt Epigonius & Vincentianus Epiſcopi: ut legem ferre dignentur glorioſiſſimi Imperatores de iis, qui ad Eccleſiam confugerunt, & quibuſcunque criminibus involuti tenentur, ut nemo poſſit eos avellere. In hac Synodo legatio mittitur ad Romanum & Mediolanenſem Epiſcopos de infantibus qui ab hæreticis baptizati ſunt· quin etiam ad Imperatorem, ut idolorum reliquiæ auferan- & de plurimis aliis rebus.

D

Poſt Conſulatum Flavii Stilichonis illuſtriſſimi, decimo ſexto Calendas Julias Carthagine in ſecreto Reſtitutæ Eccleſiæ, præſidens ſimul cum ſuis coëpiſcopis, adſiſtentibus Diaconis, Aurelius Epiſcopus dixit; Eccleſiarum Dei, quæ in tota Afrorum regione ſitæ ſunt, neceſſitates unà mecum perfectè ſcit veſtra dilectio, ſanctiſsimi fratres: & quia Dominus præſtitit, ut ſaltem ex parte congregata ſit præſentia ſancti veſtri conventus; mihi eaſdem, ut dictum eſt, neceſſitates in medium afferre, quas propria E *ſollicitudine inveſtigare potui; quas quidem quando veſtra confirmabit ſinceritas, conſequens erit, ut unum Sacerdotum ex noſtro numero declaremus, qui Dei auxilio debet propter veſtras preces eaſdem neceſſitates ſuſcipere, & fortiter peragendo deferre in tranſmarinas Italiæ partes; qui hanc neceſſitatem, laborem & inopiam poſſit ſanctiſſimis & ſacrorum comminiſtris fratribus noſtris oſtendere; partim quidem venerando ſancto Apoſtolicæ Cathedræ Epiſcopo Anaſtaſio; partim autem & ſanctiſſimo fratri Venerio Sacerdoti Eccleſiæ Mediolanenſis. Ab iis enim thronis prohibitum fuerat, quod communi pericu-* F *lo magnopere providendum, quia tanta eſt Clericorum inopia, & multæ Eccleſiæ adeò ſunt deſertæ, ut nullus poſſit Diaconus vel illiteratus inveniri. De reliquis autem ſuperioribus ordinibus & gradibus tacendum eſſe exiſtimo. Nam cùm, ut dixi, Diaconi miniſterium non facilè inveniatur, de ſuperioribus honoribus multo eſt apertius. Et quotidianas diverſorum & ferè emorientium populorum lamentationes deinceps non ſufferimus: quibus niſi auxilium ferre velimus,* *graviſſimum & inexcuſabile propter perditas animas* A *delictum nos apud Deum excipit.*

Bals. Præſenti ſcripto vult Aurelius certiorem fieri Papam & Mediolanenſem Epiſcopum, quòd Afrorum regiones ſunt in magnas anguſtias adductæ, non ſolùm Sacerdotum & Epiſcoporum, ſed etiam ipſorum Diaconorum; & ut curent aliquam fieri diſpenſationem ſeu proviſionem in Chriſtianorum auxilium.

Zonar. Quæ ſuperiore oratiuncula continētur hæc ſunt. Noſtis fratres [inquit Aurelius] quibus malorum aſperitatibus omnes Africanæ Eccleſiæ conflictentur. Et quoniam ſi minus univerſi, plures certe ad Syn. convenimus, B quas ego quidem difficultates ſollicitus inveſtigavi, hoc eſt, multa cura ac diligentia adhibita conquiſivi, eas hoc tempore in medium proferre conſtitui. Reliquum erit deinde, ut aliquem ex noſtro numero delegatis, à quo hæc in Italiam deferantur, ſeu Papæ & Mediolanenſium Epiſc. noſtræ difficultates,, labor inopiáque ſignificētur. Nempe tantam apud nos eſſe Clericorum paucitatem, ut multæ Eccl. ne Diaconū quidem, vel illiteratum, habeāt. Quod ſi Diaconis, inquit, inveniendis uſque adeo laboratur, quid de ſuperioribus ordinibus, Sacerdotibus nimirum & Epiſc. futurum ſit, cogitandum. Neque vero quotidianas populorum querimonias, dolore pene tabeſcentium, quod Epiſc & Sacerdotum miniſteriis deſtituti ſint, C diutius à nobis perferri poſſe. Quos quidem, inquit, niſi adjuvare nitamur, acerbiſſima ſupplicia, ob animarum pereuntium jacturam, nos à Deo manere putandum eſt.

βαρυτάτη καὶ ἀναπολόγητος αἰτία τῶν ἀπολλυμένων ψυχῶν ἐκδέχεται ἡμᾶς παρὰ τοῦ θεοῦ.

ΒΑΛΣ. Διὰ τῆς παρούσης γραφῆς ἀξιοῖ ὁ Αὐρήλιος δηλωθῆναι εἴδησιν τῷ Πάππᾳ καὶ τῷ Μεδιολάνων, ὅτι στενοχωρίαν μεγάλην ἔχουσιν αἱ χῶραι τῶν Ἀφρῶν, μὴ μόνον ἱερέων καὶ ἐπισκόπων, ἀλλὰ καὶ αὐτῶν τῶν διακόνων, καὶ φροντίσαι γενέσθαι οἰκονομίαν εἰς βοήθειαν τῶν Χριστιανῶν.

ΖΩΝΑΡ. Τοῦτο ἡ παροῦσα λέγει γραφή· ὅτι ἐπίστασθε ἀδελφοὶ τὰς ἀνάγκας, ἃς ἔχουσι πᾶσαι αἱ κατὰ τὴν Ἀφρικὴν ἐκκλησίαι. καὶ ἐπεὶ συνήχθη, εἰ καὶ μὴ πᾶσα ἡ σύνοδος, ἀλλά γε κἂν ἐν μέρει, δοκεῖ μοι προθεῖναι εἰς μέσον τὰς τοιαύτας ἀνάγκας, ἃς ἐφρόντισα καὶ ἀνίχνευσα, ἤγουν ἐπιμελῶς ἐζήτησα. ἀκόλουθον δὲ ἔσται, ἐπιλέξασθαι ἕνα ἐξ ἡμῶν, ὅστις ταύτας ἀποκομίσει πρὸς τὰ πέραν μέρη τῆς Ἰταλίας, ἤγουν ἀπαγγελεῖ τῷ Πάπᾳ καὶ τῷ Μεδιολάνων τὴν ἀνάγκην καὶ τὸν πόνον καὶ τὴν ἔνδειαν ἡμῶν, ὅτι τοσαύτη ἐστὶ κληρικῶν ἔνδεια, ὥστε πολλαὶ ἐκκλησίαι οὐδὲ ἕνα διάκονον, κἂν ἀγράμματον, ἔχουσιν. ἐὰν δὲ διάκονοι, φησιν, οὐκ εὐχερῶς εὑρίσκωνται, σκοπητέον, εἰ οἱ ἀνώτεροι βαθμοὶ, ἤγουν πρεσβύτεροι καὶ ἐπίσκοποι, εὑρεθήσονται· ὅτι τοὺς θρήνους τοὺς καθημερινοὺς τῶν λαῶν, τῶν σχεδὸν ἐκ τῆς λύπης θνησκόντων, οὐ φέρομεν. ἡ δὲ λύπη ἐκείνοις ἦν ὅτι ἐπισκόπους καὶ πρεσβυτέρους οὐκ εἶχον, οἷς, φησιν, εἰ μὴ βοηθήσομεν, βαρυτάτη κόλασις ἐκδέχεται ἡμᾶς παρὰ τῷ θεῷ ὑπὲρ τῶν ἀπολλυμένων ψυχῶν.

Canon LXI.

Ut parvuli, qui à Donatiſtis baptizantur, in Catholica Eccleſia Clerici ordinentur. Proinde quoniam in ſuperiore Synodo decretum eſſe unà mecum veſtra meminit concordia, ut parvuli, qui à Donatiſtis baptizantur, erroris ſui perniciem cognoſcere non valentes, D *poſtquam ad ætatem rationis capacem pervenerint, agnita veritate, illorum improbitatem abhorrentes in univerſalem Dei Eccleſiam, quæ per univerſum mundum diffuſa eſt, antiquo ordine, per manuum impoſitionem recipiantur quominus hujuſmodi in Clericatûs ordinem provehantur erroris nomine impediri non debent: quando veram Eccleſiam ſuam propriam exiſtimarunt ad fidem accedentes, & in ipſa Chriſto credentes Trinitatis ſacramenta ſuſceperunt: Quæ quidem omnia vera & ſancta & divina eſſe clarum eſt, & in iis omnem ſpem animæ eſſe ſitam. Et ſi maximè* E *ergo etiam hæreticorum præcedens audacia ad quædam contraria ſub nomine veritatis tradenda prompta ſit; ea quoniam ſunt ſimplicia, ut docet ſanctus Apoſtolus, dicens; Unus Deus, una fides, unum baptiſma; & quod debet ſemel dari, non licet rurſus recipi; anathematizato erroris nomine, per manus impoſitionem in unam illam Eccleſiam ſuſcipiantur, quæ ut dictum, eſt columba & ſola mater Chriſtianorum, in qua omnia ſacramenta ſalutariter æterna & vivifica accipiuntur; quæ quidem iis, qui manent in hæreſi, magnam præbent condemnationis pœnam, ut quod erat ipſis in* F *veritate ad vitam æternam clarius ſequendum, hoc ſit eis in errore tenebricoſius & magis condemnatum. Quæ quidem nonnulli vitarunt, & Eccleſiæ Catholicæ matris agnita veritate, omnia illa ſancta myſteria à veritate illecti crediderunt & ſuſceperunt. Iis quando bonæ vitæ probatio acceſſerit, non dubiè & integrè ad ſacramentorum miniſterium confirmabuntur: & maximè in tanta rerum neceſſitate nemo eſt qui hoc non concedat.*

ΚΑΝΩΝ ξα'.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ ἐκκλησίᾳ κληρικοὺς χειροτονεῖσθαι. διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρᾳ συνόδῳ τὸ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς μικροὺς βαπτιζομένους, μηδέπω δυναμένους γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ κείραν λογισμοῦ δεκτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φαυλότητα ἐκείνων βδελυττομένους πρὸς τὴν καθολικὴν τοῦ θεοῦ ἐκκλησίαν, τὴν ἀνὰ πάντα τὸν κόσμον διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀναδεχθῆναι, τοὺς τοιούτους ἐκ τοῦ τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν κληρώσεως, ὁπότε τὴν ἀληθινὴν ἐκκλησίαν ἰδίαν αὐτῶν ἐλογίσαντο τῇ πίστει προσερχόμενοι, καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιστεύσαντες τῆς τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο. ἅτινα πάντα ἀληθῆ καὶ ἅγια καὶ θεῖα εἶναι δῆλόν ἐστιν, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν. κἂν εἰ τὰ μάλιστα οὕτω καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ ἐστιν, ὡς διδάσκει ὁ ἅγιος ἀπόστολος, λέγων, εἷς θεὸς, μία πίστις, ἓν βάπτισμα· καὶ τὸ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀναδεχθῶσιν εἰς τὴν μίαν ἐκκλησίαν, τὴν ὡς εἴρηται περιστερὰν καὶ μόνην μητέρα τῶν Χριστιανῶν, ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται, ἅτινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν πορίζουσιν, ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰώνιον ζωὴν ἀκολουθητέον φωτεινοτέρως, τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον καὶ πλέον καταδεδικασμένον. ὅπερ τινὲς ἔφυγον, καὶ τῆς ἐκκλησίας τῆς καθολικῆς μητρὸς τὰ ἀληθῆ ταῦτα ἐπεγνωκότες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑπεδέξαντο. τοῖς τοιούτοις ὅταν δοκιμὴ χρηστοῦ βίου προσέλθοι, ἀναμφιβόλως καὶ ὁλοκλήρως πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ οὐδείς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν.

εἰ

A εἰ δέ τινες τοῦ αὐτοῦ δόγματος κληρικοὶ μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς ἐλθεῖν ποθήσουσιν, οἵτινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ τοῦτο καταληπτέον κρίνω τῇ μείζονι κατανοήσει ψηφιζομένων τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσι, καὶ ἡμᾶς βεβαιῶσαι καταξιώσωσιν, εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι. μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους. B πάντα τοίνυν, ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

Si qui autem hujus dogmatis Clerici cum multitudine & eiſdem honoribus ad nos venire deſiderant, qui quidem propter honoris amorem ad vitam ſuadent, & ad ſalutem retinent: hoc utique majore prædictorum fratrum ſententiam ferentium intelligentia comprehendendum eſſe exiſtimo; ut ſapientiore ſuo conſilio noſtræ relationis rationem diſcernant, & nos confirmare dignentur ad id quod à nobis de ea re ſtatuendum eſt. Solùm autem de iis, qui in infantia baptizati ſunt, ſatis habemus, ut, ſi ipſis placet, ſententiæ noſtræ conſentiant de iis ordinandis. Omnia ergo, quæ ſuperiùs apud ſanctiſſimos Epiſcopos collegimus, facienda eſſe æquum cenſet unà mecum veſtra veneranda fraternitas.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Δονᾶτός τις τὸ ὄνομα αἱρέσεως γέγονεν ἀρχηγὸς μὴ ἄλλως τῶν θείων μυστηρίων μεταλαμβάνειν διδάξας, εἰ μὴ ὅσον οὖν κατέχων ἐν τῇ χειρὶ, τοῦτο πρότερον ἀσπάζοιτο, καὶ οὕτως μεταλαμβάνειν. οἱ οὖν ἐκείνου αἱρεσιῶται Δονατισταὶ ὀνομάζονται. περὶ τούτων οὖν, ὡς ἐν τῷ μζʹ. κανόνι τῆς συνόδου ταύτης εἴρηται, ἔδοξε τοῖς πατράσιν ἐρωτῆσαι, εἰ τὰ νήπια αὐτῶν βαπτιζόμενα παρὰ τῶν γονέων αὐτῶν, Δονατιστῶν ὄντων, C εἶτα προσερχόμενα τῇ καθολικῇ ἐκκλησίᾳ, δεῖ προσδέχεσθαι καὶ ἐν κλήρῳ τάττειν ἢ μή; τοῦτο οὖν καὶ πάλιν ἡ σύνοδος εἰσάγει, καὶ δίδωσι γνώμην, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς ἐν νηπιότητι βαπτιζομένους, ὡς μὴ δυνάσθαι τότε γινώσκειν τῆς πλάνης τὸν ὄλεθρον, ὅτε εἰς ἡλικίαν ἔλθωσι δεκτικὴν λογισμοῦ, τουτέστι φρονήσεως. ὥστε δύνασθαι νοῆσαι τὴν ἀλήθειαν, καὶ μισῆσαι τὴν ἐκείνων φαυλότητα, ἐὰν τῇ ἐκκλησίᾳ προσέλθωσιν, ἀναδέχεσθαι τούτους διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν κατά τινα τάξιν καὶ τύπον ἀρχαῖον, καὶ μὴ ἐμποδίζεσθαι εἰς τὸ κληρωθῆναι πιστεύσαντας καθαρῶς τῷ Χριστῷ, D καὶ ὑποδεξαμένους τῆς ἁγίας τριάδος τὰ ἁγιάσματα, ἤτοι τὰ δῶρα τὰ θεῖα, ἅτινα τὸ σῶμα καὶ αἷμα εἰσὶ τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, καὶ ἀληθῆ καὶ ἅγια εἰσὶ παραδοθέντα ἡμῖν παρὰ τοῦ Σωτῆρος, ὃς καὶ παρὰ τοῦ πατρὸς ἀπεστάλη εἰς σωτηρίαν ἡμῶν, ἁγιαζόμενα δὲ τῇ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος. οὕτω γὰρ τῆς τριάδος λογίζονται ἁγιάσματα. ὅταν οὖν, φασὶ, πιστεύσωσι καὶ τὰ ἅγια δέξωνται, ἐὰν καὶ ὁ βίος αὐτῶν δοκιμασθεὶς χρηστὸς εὑρεθῇ, καὶ κληρωθήσονται. περὶ ταύτης οὖν ὑποθέσεως τῶν νηπίων ἐζήτησαν καὶ παρὰ τοῦ Πάππα καὶ παρὰ τοῦ Μεδιολάνων μαθεῖν, εἰ ἀρέσκονται τῇ γνώμῃ αὐτῶν. εἰ δέ τινες, φασὶ, κληρικοὶ τῶν Δονατιστῶν, μετὰ τοῦ παρ' αὐτοῖς λαοῦ καὶ τῶν τιμῶν E αὐτῶν ἤγουν τῶν βαθμῶν αὐτῶν, θελήσουσι μετελθεῖν πρὸς τὴν ὀρθόδοξον πίστιν, οἵτινες κληρικοὶ θέλοντες καὶ παρὰ τοῖς ὀρθοδόξοις διαμένειν ἐν τῇ τιμῇ αὐτῶν, συμβουλεύουσι τῷ ὑπ' αὐτοὺς λαῷ πρὸς ζωὴν καὶ σωτηρίαν, τί ποιητέον ἐπ' αὐτοῖς; ἀλλὰ τοῦτο, φασὶ, λυθήσεται παρὰ τῶν λεχθέντων ἀδελφῶν, ὥστε καὶ ἡμᾶς βεβαιῶσαι, τί ὀφείλομεν περὶ τούτου ποιεῖν.

Bals. & Zonar. Donatus quidam nomine fuit auctor hæreſis, qui non aliàs divinorum eſſe myſteriorum participem docebat, niſi os in manum tenens hoc priùs ſalutaret, & ſic communicaret. Illius ergo hæreſin ſequentes nominabantur Donatiſtæ. De iis ergo, ut in xlvii. canone hujus Synodi dictum eſt, viſum eſt patribus interrogare, an infantes eorum, qui baptizati fuerant à parentibus, qui erant ipſi Donatiſtæ, deinde à catholica Eccleſia ſuſcepti ſunt, ad ordinationem quoque in Clero ſuſcipiendi ſint, an non? Hoc ergo rurſus quoque introducit Synodus, & fert ſententiam, quòd à Donatiſtis in infantia baptizati, ut qui tunc non potuerint erroris perniciem agnoſcere; quando ad ætatem rationis, hoc eſt, prudentiæ, capacem pervenerint, ut poſſint veritatem intelligere, & illorum improbitatem odiſſe: ſi ad eccleſiam acceſſerint, ii per manuum impoſitionem ſuſcipiantur ordine quodam & ex forma antiqua; & non impediantur quominus in clerum admittantur, Chriſto purè credentes, & ſanctæ Trinitatis ſacramenta ſeu dona divina ſuſcipientes, quæ ſunt corpus & ſanguis unius ſanctæ Trinitatis, & vera & ſancta nobis à Servatore tradita, qui etiam à Patre ad noſtram ſalutem miſſus eſt, ſanctificata autem adventu ſancti Spiritus. Sic enim cenſentur Trinitatis Sacramenta. Quando ergo, inquiunt, crediderint, & ſacramenta ſuſceperint, ſi vita quoque ipſorum examinata bona inventa fuerit, Clerici etiam fient. De hac ergo infantium cauſa & à Papa & à Mediolanenſium Epiſcopo petiverunt, an eis ita videatur. Si qui autem, inquiunt, Donatiſtarum Clerici, cum populo qui eſt apud ipſos, & iiſdem honoribus ſeu gradibus, velint ad fidem orthodoxam accedere; qui quidem Clerici volentes etiam apud orthodoxos in ſuo honore permanere, conſulunt populo, qui eis ſubeſt, ea quæ ad vitam & ſalutem pertinent: quid eis faciendum eſt? Sed hoc, inquiunt, à dictis fratribus ſolvetur, ita ut & nos confirment, quod de hac re facere debemus.

ΑΡΙΣΤ. Διὰ τὴν ἔνδειαν οἱ τοῖς Δονατισταῖς νήπιοι βαπτισθέντες, εἰ μεταμεληθέντες, καὶ ἀναθέματι τὴν αἵρεσιν παραπέμψαντες, καὶ ἄλλως ἐπάξιοί εἰσι, χειροτονείσθωσαν. F

Οὗτοι νήπιοι βαπτισθέντες παρὰ τῶν Δονατιστῶν, καὶ τῇ οἰκείᾳ γνώμῃ μηδὲν ἁμαρτήσαντες, ἐὰν τὴν ἰδίαν αἵρεσιν ἀναθεματίσωσι, καὶ τῇ καθολικῇ προσέλθωσιν ἐκκλησίᾳ, ἔχωσι δὲ καὶ βίον ἄμεμπτον εἰς ἱερατικοὺς βαθμοὺς προβιβασθήσονται, διὰ τὸ ἐνδεῶς ἔχειν τῶν Ἀφρικῶν κληρικῶν.

Arist. *Qui propter neceſſitatem parvuli à Donatiſtis ſunt baptizati, ſi reſipuerint, & hæreſim anathemati ſubjecerint, & aliàs digni fuerint, ordinentur.*

Alii infantes à Donatiſtis baptizati, & ſuâ voluntate nihil peccantes, ſi hæreſim ſuam anathematizent, & ad Catholicam accedant Eccleſiam, vitam autem & inculpatam agant; ad Sacerdotales provehentur gradus, quia Africæ opus eſt Clericis.

A

CANON LXII.

De Idolorum reliquiis, & templis quæ debent deleri. Quamobrem à religioſiſſimis Imperatoribus petendum eſt, ut Idolorum reliquias, quæ ſunt in omni Africa, omnino excindi jubeant (in multis enim locis maritimis, & diverſis poſſeſſionibus, adhuc viget hujus erroris iniquitas) ut præcipiantur & ipſa aboleri, & templa ipſorum in agris & in occultis locis ornamentis ſpoliata omnibus modis jubeantur everti. B

Bals. Per præſentem canonem volunt patres, ut reges evertant idola, quæ poſt Evangelii prædicationem remanſerunt.

Zonar. Quamvis promulgato in omnes partes Evangelio, adhuc tamen etiam eliſo capite, caudam draco nefarius agitabat. Adhuc enim quibuſdam in locis idola eorumque templa ſupererant. De his igitur ad eos, qui rerum tunc temporis potiebantur, Synodus referri vult; ut idola omnia de medio tolli, ac C ipſorum templa jam ſpoliata ornamentis omnibus everti jubeant. Hoc autem appoſuit, non veluti diſcrimen aliquod ſtatuens, quaſi eas tantum, quæ ornatu carent deleri, reliquas autem ſervari velit; ſed ut jam initium illorum ruinæ factum, ac ea ſpoliata omnibus ornamentis jam veluti ſemieverſa eſſe declararet.

Arist. *Idolorum reliquiæ penitùs aboleantur.*

Pietate prævalente, è fundamentis ſuis eradicanda ſunt idolorum fana, & nullæ omnino erroris iſtorum reliquiæ conſerventur.

D

CANON LXIII.

Ut Clerici pro proprio ipſorum judicio non cogantur publicè teſtimonium dicere. Præterea petendum eſt, ut ſtatuere dignentur, ut ſi qui in Eccleſia quamvis cauſam, jure Apoſtolico, quod in Eccleſiis ſitum eſt, agitare voluerint, & Clericorum deciſio uni fortè parti diſplicuerit, non licere in judicium ad teſtimonium dicendum vocare Clericum illum, qui priùs rem ipſam examinavit, vel examinationi interfuit: ut nec quis ad perſonam Eccleſiaſticam attinens in jus vocetur, ut ferat teſtimonium. E

Bals. Quidam Clerici, cùm cauſam Eccleſiaſticam jure Apoſtolico egiſſent, hoc eſt, dicto Apoſtolico conſequenter, quod dicit; Audet quis veſtrûm, habens negotium, ſub iniquis judicio contendere, & non ſub Sanctis? vel etiam, cùm in Eccleſiaſticum judicium incidiſſent, à parte cui diſplicebat, ex iis qui judicaverant, ad judicem appellationis teſtimonii ferendi gratia trahebantur. Viſum eſt ergo patribus, de iis ad Imperatores referre, ut ipſi ſtatuerent, nihil eſſe ejuſmodi in poſterum faciendum: ſed nec eum, qui F genere vel aliquo alio modo ad aliquem Eccleſiaſticum attinet, in teſtimonium eſſe trahendum. Ac in his quidem conſiſtit canon. Nos autem aliqua ſcripturi eramus de iis qui litigârunt, & de iis qui ſunt Clericis neceſſitudine conjuncti, quando trahi debent, & quando non. Quia autem hic canon non eſt decretum, ſed conſilium, ut Imperatores ejus admoneantur, non eſt autem prolata definitio, multa prætermiſimus. Hoc autem ſolum ex præſenti canone notavimus; quòd judiciaria officia Eccleſiaſticorum magiſtratuum præſens quoque Synodus agnovit, eo quòd dicat Clericos alicujus eſſe cauſæ judices.

ΚΑΝΩΝ ξβ΄.

Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι. ὧν χάριν αἰτῆσαι δεῖ τοὺς θρησκευτικωτάτους βασιλεῖς, ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων, τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν, κελεῦσαι παντελῶς ἀνακοπῆναι. (καὶ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ διαφόροις κτήσεσιν ἀκμάζει ἔτι τῆς πλάνης ταύτης ἡ ἀδικία) ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν, οἱ ἐν τοῖς ἀγροῖς καὶ ἐν ἀποκεκρυμμένοις τόποις χωρὶς τινὸς εὐκοσμίας καθεστῶτες, παντὶ τρόπῳ κελευσθῶσι καταστραφῆναι.

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ἀξιοῦσιν οἱ πατέρες τοὺς βασιλεῖς καταστραφῆναι τὰ μετὰ τὸ κήρυγμα εὐαγγελίου ἐναπομείναντα εἴδωλα.

ΖΩΝΑΡ. Καὶ πλατυνθέντος τοῦ εὐαγγελικοῦ κηρύγματος ἔτι τὸ οὐραῖον ὁ δράκων ἐκίνει, κἂν ἡ κεφαλὴ συνεθλάσθη αὐτοῦ. ἔτι γὰρ ἔν τισι τόποις περιελέλειπτο εἴδωλα, καὶ ναοὶ αὐτῶν περιῆσαν. καὶ περὶ τούτων οὖν ἡ σύνοδος αὕτη βούλεται ἀναφορὰν γενέσθαι πρὸς τοὺς κρατοῦντας, ἵνα ὁρίσωσι πάντη τὰ εἴδωλα ἀφανισθῆναι, καὶ τοὺς ναοὺς αὐτῶν καταστραφῆναι χωρὶς τινὸς εὐκοσμίας καθεστῶτας· τοῦτο δὲ εἰπεῖν, οὐχὶ διαστέλλουσα, ὥστε τοὺς μὲν χωρὶς εὐκοσμίας ὄντας καθαιρεθῆναι, τοὺς δὲ κόσμον ἔτι ἔχοντας περισώζεσθαι, ἀλλὰ δεικνύουσα, ὅτι ἤδη ἤρξαντο καθαιρεῖσθαι, ἀφαιρεθέντες ὃν περιέκειντο κόσμον, καὶ οἷον ἡμικατάλυτοι γεγονότες.

ΑΡΙΣΤ. Τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τέλεον ἀφανιζέσθωσαν.

Τῆς εὐσεβείας ἐπικρατούσης, ἐκ θεμελίων αὐτῶν ἐκριζωτέον τὰ τῶν εἰδώλων τεμένη· καὶ μηδέν τι τῆς πλάνης αὐτῶν ἐγκατάλειμμα περισωζέσθω.

ΚΑΝΩΝ ξγ΄.

Περὶ τοῦ τοὺς κληρικοὺς, χάριν διαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως, μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν. δεῖ αἰτῆσαι ἔτι μὴν, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε ἐάν τινες ἐν ἐκκλησίᾳ οἱανδήποτε αἰτίαν ἀποστολικῷ δικαίῳ, τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ, γυμνάσαι θελήσωσιν, καὶ ἴσως ἡ τομὴ τῶν κληρικῶν τῷ ἑνὶ μέρει ἀπαρέσοι, μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς μαρτυρίαν προσκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖνον, τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα ἢ καὶ σκοπουμένῳ παρατυχόντα· ἵνα μηδὲ προσώπῳ τις ἐκκλησιαστικῷ προσήκων ἐναχθῇ περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

ΒΑΛΣ. Τινὲς κληρικοὶ δικάσαντες ὑπόθεσιν ἐκκλησιαστικὴν ἀποστολικῷ δικαίῳ, τουτέστιν ἀκολούθῳ τῷ ἀποστολικῷ ῥητῷ, τῷ φάσκοντι, τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; ἢ καὶ παρατυχόντες ἐπὶ κρίσει ἐκκλησιαστικῇ, εἵλκοντο παρὰ τοῦ ἀπαρεσκομένου μέρους ἐκ τῶν δικασαμένων εἰς τὸν ἐκκλητάριον δικαστὴν χάριν μαρτυρίας. ἔδοξεν οὖν τοῖς πατράσιν, ἵνα τὰ περὶ τούτου ἀνενέγκωσι τοῖς βασιλεῦσιν, ἐφ᾽ ᾧ ὁρίσαι αὐτοὺς, μηδέν τι τοιοῦτον γενέσθαι ποτέ· ἀλλὰ μηδὲ τινα προσήκοντα κατὰ γένος ἢ ἄλλως πως ἐκκλησιαστικῷ τινι ἕλκεσθαι εἰς μαρτυρίαν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. ἡμεῖς δὲ ἐμέλλομεν γράψαι τινὰ περὶ τῶν δικασάντων καὶ περὶ τῶν προσῳκειωμένων τοῖς κληρικοῖς, πότε ὀφείλουσιν ἕλκεσθαι, καὶ πότε μή. ὅτι δὲ οὐκ ἔστι θέσπισμα ὁ κανὼν, ἀλλὰ συμβουλὴ χάριν τοῦ ὑπομνησθῆναι περὶ τούτων τοὺς βασιλεῖς, ὁρισμὸς δὲ οὐκ ἐξηνέχθη, παρήκαμεν τὰ πολλά. ἐσημειωσάμεθα δὲ ἀπὸ τοῦ παρόντος κανόνος τοῦτο μόνον, ὅτι τὰ δικαστικὰ ὀφφίκια τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ ἡ παροῦσα σύνοδος ἐπεγίνωσκεν, ἀπὸ τοῦ λέγειν κληρικοὺς διαιτῆσαι ὑποθέσει τινί.

A **ΖΩΝΑΡ.** Ἐπὶ ἀναφορὰν βούλονται ποιῆσαι πρὸς τοὺς βασιλεῖς, ὥστε ἐάν τινες ἐν ἐκκλησίᾳ, ἤγουν ἐν κλήρῳ ἐκκλησιαστικῷ τεταγμένοι, οἱανδήποτε αἰτίαν, ἤτοι δίκην, ὑπόθεσιν γυμνάσωσι ἀποστολικῷ δικαίῳ τῷ ταῖς ἐκκλησίαις ἐπικειμένῳ, ἤτοι ὡρισμένῳ, διατεταγμένῳ, τουτέστι παρὰ τῇ ἐκκλησίᾳ δικάσωνται. ὁ γὰρ θεσπέσιος ἀπόστολος Παῦλος Κορινθίοις γράφων, φησὶ, τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; τοῦτο οὖν ἀποστολικῷ δικαίῳ, φησὶ, προσήκειν ταῖς ἐκκλησίαις, ὡς τοῦ ἀποστόλου τοῦτο διαταξαμένου. ἐὰν οὖν κληρικοὶ, φησι, δικασθῶσι παρὰ τῇ ἐκκλησίᾳ, καὶ ἀπαρέσῃ B ἑνὶ μέρει, ἡ τομὴ τῶν δικαζομένων, ἤτοι ἡ τέμνουσα τὴν δίκην ἀπόφασις, ἵνα μὴ ἐξῇ τινι τῶν μερῶν ἕλκειν εἰς τὸ τοῦ ἐκκλήτου δικαστήριον πρὸς μαρτυρίαν τὸν δοκιμάσαντα πρότερον τὴν ὑπόθεσιν, ἢ καὶ κρινομένης παρατυχόντα, καὶ ἵνα μηδέ τις προσήκων, τουτέστιν, οἰκειωμένος ἐκ συγγενείας ἢ ἄλλως ἐκκλησιαστικῷ τινι, ἕλκηται εἰς μαρτυρίαν. τινὲς γὰρ ἀπηρίθμηνται καὶ τοῖς πολιτικοῖς νόμοις ἐξκουσατευόμενοι, ὥστε μὴ ἄκοντες μαρτυρεῖν, ὡς ἐν βιβλίῳ εὕρηται κα΄. τίτ. α΄. κεφαλαίοις διαφόροις.

ΑΡΙΣΤ. Κληρικὸς πρᾶγμα δικάσας, εἰ ἀπαρέσοι, μὴ καλείσθω C περὶ αὐτοῦ πρὸς μαρτυρίαν εἰς δικαστήριον· καὶ ὅλως ἐκκλησιαστικὸν πρόσωπον μὴ ἐναγέσθω, περὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

Ἐάν τινες παρά τινι τῶν κληρικῶν δικασθῆναι ᾑρετίσαντο, καὶ τὰ τῆς ὑποθέσεως ἀνεκάλυψαν, εἶτα ἐπὶ τῇ διαγνώσει αὐτοῦ ἀπηρέσθησαν, καὶ ἀπῆλθον εἰς τὸ πρόσφορον αὐτοῖς δικαστήριον· οὐ καλέσουσιν εἰς μαρτυρίαν τὸν δικάσαντα κληρικὸν, τὸ μὲν, ὡς ἐξκουσατευόμενον ἀπὸ τοῦ νόμου, καὶ μὴ ἀναγκαζόμενον ἀκουσίως μαρτυρεῖν· οἱ γὰρ εἰς ἱερὰν λειτουργίαν ἀπησχολημένοι, ἄκοντες οὐ μαρτυροῦσι· τὸ δὲ, καὶ ὡς κωλυόμενον, ἐν ᾧ προσελήφθη πράγματι παρὰ τῶν D μερῶν δικαστὴς, μαρτυρεῖν.

ΚΑΝΩΝ ξγ΄.

Περὶ τοῦ, ἀφελέσθαι τὰ τῶν Ἑλλήνων συμπόσια. κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι παρὰ τῶν Χριστιανῶν βασιλέων, ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τόποις συμπόσια οὕτως ἐκτελοῦνται, ἐκ τῆς ἐθνικῆς πλάνης προσενεχθέντα, ὡς καὶ Χριστιανοὺς τοῖς Ἕλλησι λάθρα προσάγεσθαι ἐπὶ τῇ τούτων τελετῇ· ἵνα κελεύσωσι τὰ τοιαῦτα κωλυθῆναι, καὶ ἐκ τῶν πόλεων καὶ ἐκ τῶν κτήσεων· μάλιστα ὅτι καὶ ἐν αὐτοῖς τοῖς γενεσίοις τῶν μακαρίων μαρτύρων ἀνά τι- E νας πόλεις καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς τόπους τὰ τοιαῦτα πλημμελεῖν οὐχ ὑφορῶνται· ἐν αἷς ἡμέραις, ὅπερ καὶ λέγειν αἰσχύνη ἐστὶν, ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς καὶ εἰς τὰς πλατείας ἐκτελοῦσιν, ὥστε τῇ τῶν οἰκοδεσποινῶν τιμῇ, καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ τῶν εὐλαβῶν εἰς τὴν ἁγίαν ἡμέραν παραγινομένων, λάγναις ὕβρεσιν ἐφορμᾷν· ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως σχεδὸν φεύγεσθαι τὴν προσέλευσιν.

ΒΑΛΣ. Ὥσπερ σήμερον ἐν μνήμαις ἁγίων, οὐ μόνον κατὰ τὰς πόλεις, ἀλλὰ δὴ καὶ κατὰ τὰς ἔξω χώρας, γίνονται πανηγύρεις καὶ χοροστασίαι, καὶ ἄλλα τινὰ παίγνια, οὕτως, F ὡς ἔοικεν, ἐτελοῦντο καὶ ἔκπαλαι· πλὴν ἐκεῖνα μυσαρὰ ἦσαν. διὸ φασὶν οἱ πατέρες, ὡς ἐπεὶ ἐν πολλοῖς τόποις συμπόσια ἐπιτελοῦνται, ἀρχὴν ἐσχηκότα ἐκ τῆς Ἑλληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανοὺς, καὶ συντελεῖν ταῦτα τοῖς Ἕλλησι, δέον ἐστὶν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα κωλύσωσι ταῦτα καὶ μᾶλλον ὅτι πλημμελοῦνται καὶ εἰς ἱεροὺς τόπους. συμβαίνει γὰρ, οὐδὲ εἰς ἐκκλησίαν συνάγεσθαι τὰς εὐλαβεστέρας τῶν γυναικῶν, διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως τηνικαῦτα γινόμενα, ὡς τῶν ταῦτα τολμώντων

Zonar. Præterea ad Imperatores referre conſtituunt, ut ſiqui in Eccleſia, hoc eſt, in clerum adſcripti, litem quamlibet, aut controverſiam, jure Apoſtolico Eccleſiis impoſito, hoc eſt, definito atque deſcripto, de judiciis nimirum apud Eccleſiam exercendis, perſequi velint, (Divinus namque Apoſtolus Paulus ad Corinthios ſcribens, Audet, inquit; aliquis veſtrum, negotium habens, ſub injuſtis judicio experiri, & non ſub ſanctis? Proinde hoc Apoſtolico jure Eccleſiæ deberi, tanquam Apoſtoli decreto ita conſtitutum, aſſerunt) Si igitur Clerici, inquiunt, apud Eccleſiam diſceptent, ac deciſio cauſæ, hoc eſt, ſententia, per quam controverſia deciditur, uni ex partibus minime probata fuerit, ne tamen alteri parti liceat eum, per quem cauſa prius examinata eſt, vel qui re judicatâ adfuit, ad provocationis forum teſtimonii dicendi cauſa trahere; neque præterea quiſquam ex cognatis, hoc eſt, Eccleſiaſtico homini propinquitate aut alia ratione conjunctus, ad dandum teſtimonium cogatur. Nam & legum civilium decreto quidam enumerantur, quos invitos ad teſtimonium dicendum compelli non ſinunt, ut in lib. xxi. tit. i. diverſis in capitibus inveniatur.

Arist. *Clericus, qui cauſam judicavit, ſi diſplicet, ad dandum de eâ teſtimonium ad tribunal ne vocetur: & Eccleſiaſtica omnino perſona ad teſtimonium reddendum ne compellatur.*

Si qui à Clericorum aliquo judicari elegerunt, & cauſam ſuam indicarunt, poſtea in judicio ejus non acquieſcunt, ſed ad tribunal iis aptum accedunt: non vocabunt in teſtimonium Clericum iſtum qui judicavit; & ut excuſatum à lege, & non coactum invitè teſtimonium dare; (qui enim ſacro vacant miniſterio, inviti non teſtantur) & ut prohibitum in negotio, in quo à partibus acceptus erat judex, teſtimonium dicere.

Canon LXIII.

Ut auferantur Græcorum convivia. Illud præterea à Chriſtianis Imperatoribus petendum eſt; Quoniam præter divina mandata in multis locis convivia ſic peraguntur, ex gentili errore inducta, ut etiam Chriſtiani ad paganos clanculùm in eorum celebratione accedant: ut hæc jubeant & ex urbibus & ex poſſeſſionibus arceri; maximè, quia & in ipſis beatorum martyrum natalibus, in quibuſdam urbibus etiam in ipſis ſacris locis, ejuſmodi peccata committere non reformidant; in quibus diebus, vel pudor eſt dicere, execrandas ſaltationes in agris & plateis peragunt, ut matrum-familias honorem, & aliarum innumerabilium piarum mulierum, quæ ſancto die adſunt, verecundiam, laſcivis contumeliis aggrediantur; adeo ut etiam ipſius ſanctæ fidei propemodum aufugiant acceſſum.

Bals. Sicut hodie in ſanctorum anniverſariis celebritatibus, non ſolùm in urbibus, ſed etiam in vicis & pagis, fiunt hominum conventus choreæque ducuntur, & alia quædam ludicra: ſic, ut eſt veriſimile, olim quoque peragebantur; ſed ea erant execranda. Et ideo dicunt Patres, quòd quoniam multis in locis convivia peraguntur, quæ à Græco errore habuerunt principium ut in eis etiam convenirent Chriſtiani, & eadem cum Græcis peragerent: admonendi ſunt Imperatores ut ea prohibeant; & eo magis, quòd etiam in ſacra loca peccant. Evenit enim, ut nec religioſiores mulieres in Eccleſiam conveniant, propter ea quæ turpiter & indecorè fiunt: nempe cùm ii, qui hæc audent, impuden-

A ter & laſcivè ejuſmodi mulieres adgrediantur. Atque in his quidem eſt ſcopus canonis. Tu autem ſcias, quòd etiamſi hæc Imperiale decretum non vetuit: tamen Synodus, quæ in Trullo habita eſt, in eos, qui hæc audent, vehementer animadvertit.

Zonar. In multis adhuc locis convivia celebrari, ducta ex Græcorum erroribus conſuetudine Synodi Patres affirmant; adeo ut ad illa Chriſtiani quoque conveniant, ac ſimul cum paganis eadem celebrent. Quinimò, inquiunt, & in anniverſariis ſanctorum martyrum celebritatibus quædam fiunt, quæ vel commemorari B abſque pudore non poſſunt: ſaltationes ſcilicet execrandæ, & alia quædam euſque, ut in mulieres honeſtas ad ſanctorum delubra confluentes, illi ſcelerum artifices laſcive impetum faciant, ut illæ propterea ab acceſſu fidei neceſſariò refugiant, hoc eſt, etiam ab Eccleſia, propter intemperantis nequitiæ facinora, procul abeſſe cogantur. De his igitur Imperatoria auctoritate tollendis cum ipſo Imperatore precibus agendũ eſſe decernunt.

Arist. *Convivia Græcanica, propter propriam inverecundiam, & quòd multos Chriſtianorum ſeducunt, in diebus etiam, quibus Martyrum commemorationes celebrantur, fieri ceſſent.*

C

Saltationes enim abominandas, & alia quæcunque indecora, quæ Græcanici ſunt erroris, nec in ſacris locis ubi martyrum commemorationes celebrantur, nec alibi fieri concedit canon: ſed iſtiuſmodi convivia perfectè ceſſare mandat, ut quæ multos Chriſtianos ſeducunt, & ad perditionem eos redigunt.

Canon LXIV.

Ne in dominico, & in reliquis ſanctorum feſtis, ſpectacula ullo modo peragantur. Illud quoque præterea D *petendum eſt; ut theatralium ludicrorum ſpectacula in dominico & reliquis Chriſtianæ fidei diebus ſolennibus prohibeantur; maximè, quia in ſancti Paſchæ octavæ turbæ magis in hippodromum quàm in Eccleſiam conveniant: debere præfinitos ipſorum dies transferri, quando ita eveniat, nec ullum Chriſtianum debere ad hæc ſpectacula cogi.*

Bals. In dominicis, & in reliquis feſtis diebus, & in magnæ Paſchæ hebdomada, fiebant equorum curricula, & reliqua ſpectacula. Cautum eſt E ergo Imperatoribus ſuaderi, ut hæc prohiberentur: & quæ his diebus fiebant, in alios dies transferrentur. Lege & Syn. in Trullo, can. lxvi.

Zonar. Illud etiam Synodus poſtulavit, ne ſpectacula videlicet Dominicis, aut feſtis diebus, neve equeſtres ludi Paſchatis hebdomada præbeantur; verum in aliud tempus transferantur, ne his occupati ludicris ab Eccleſiis frequentandis homines Chriſtiani deſiſtant: tum ne fidelium aliquis in theatrali conſeſſu adeſſe cogatur. Synodi quoque in Trullo lxvi. canone, univerſam Paſchatis F hebdomadam in Eccleſiis agere, tempúſque pſalmis atque hymnis concinendis traducere, fideles jubentur, equorúmque certamina prohibentur.

Arist. *Theatra Dominicis & feſtis diebus non celebrantur.*

In hilaribus enim diebus iſtis in Eccleſiâ Chriſtianos convenire decet: & non oportet equiria in iis celebrari.

ἀναιδῶς καὶ κατὰ λαγνείαν ἐφορμώντων κατὰ τῶν τοιούτων γυναικῶν. καὶ ὁ μὲν σκοπὸς τοῦ κανόνος ἐν τούτοις. σὺ δὲ γίνωσκε, ὅτι κἂν ταῦτα βασιλικὸς ὁρισμὸς οὐκ ἐκώλυσεν, ἀλλ᾽ ὅμως ἡ ἐν τῷ Τρούλλῳ σύνοδος μεγάλως ἐκόλασε τοὺς τοιαῦτα τολμῶντας.

ΖΩΝΑΡ. Λέγουσιν οἱ τῆς συνόδου, ὅτι ἔτι ἐν πολλοῖς τόποις ἐπιτελοῦνται συμπόσια, τὴν ἀρχὴν ἐσχηκότα ἐκ τῆς Ελληνικῆς πλάνης, ὥστε ἐν αὐτοῖς συνάγεσθαι καὶ Χριστιανούς, καὶ συντελεῖν ταῦτα τοῖς Ελλησι. καὶ ἐν ταῖς μνήμαις δέ, φασι, τῶν ἁγίων μαρτύρων γίνονταί τινα, ἃ καὶ λέγειν αἰσχύνη ἐστίν, ἤγουν ὀρχήσεις μυσαραί, καὶ ἄλλα τινά, ὥστε σεμνῶν γυναικῶν ἀπερχομένων εἰς τὰς τῶν ἁγίων μνήμας, ὁρμᾶν κατ᾽ αὐτῶν λάγνως τοὺς τὰ μυσαρὰ ἐκεῖνα ποιοῦντας, ὡς ἀνάγκην εἶναι διὰ ταῦτα φεύγεσθαι τὴν προσέλευσιν τῆς πίστεως, ἤγουν ἀναγκάζεσθαι μηδὲ εἰς ἐκκλησίαν συνάγεσθαι διὰ τὰ ἀτάκτως καὶ ἀσχημόνως γινόμενα. ταῦτα τοίνυν κωλυθῆναι ἐδέοντο παρὰ τῆς βασιλικῆς ἐξουσίας.

ΑΡΙΣΤ. Τὰ ἑλληνικὰ συμπόσια παυέσθω, διὰ τὴν οἰκείαν ἀσχημοσύνην, καὶ τὸ πολλοὺς ἀφέλκεσθαι Χριστιανῶν, καὶ ἐν ἡμέραις μνήμης μαρτύρων γίνεσθαι.

Ορχήσεις γὰρ μυσαράς, καὶ ἄλλα τινὰ ἀσχήμονα τῆς ἑλληνικῆς ὄντα πλάνης, οὔτε ἐν ἱεροῖς τόποις, ἔνθα μνῆμαι μαρτύρων γίνονται, οὔτε ἀλλαχοῦ γίνεσθαι ὁ κανὼν συγχωρεῖ· ἀλλὰ τέλεον τὰ τοιαῦτα προστάττει συμπόσια παύεσθαι, ὡς πολλοὺς τῶν Χριστιανῶν ἐφελκόμενα, καὶ ἄγοντα αὐτοὺς εἰς ἀπώλειαν.

ΚΑΝΩΝ ξδʹ.

Περὶ θεωριῶν, ἵνα ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται. κἀκεῖνο ἔτι μὴν δεῖ αἰτῆσαι, ἵνα τὰ θεώρια τῶν θεατρικῶν παιγνίων ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς τῶν Χριστιανῶν πίστεως ἡμέραις κωλύωνται· μάλιστα ὅτι ἐν τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα οἱ ὄχλοι μᾶλλον εἰς τὸ ἱπποδρόμιον ἤπερ εἰς τὴν ἐκκλησίαν συνέρχονται· ὀφείλει μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας, ὅτε ἀποσυμπέσῃ, καὶ μὴ ὀφείλειν τινὰ τῶν Χριστιανῶν πρὸς τὰ θεώρια ταῦτα ἀναγκάζεσθαι.

ΒΑΛΣ. Εν ταῖς κυριακαῖς καὶ ἐν ταῖς λοιπαῖς ἑορταῖς καὶ ἐν τῇ μεγάλῃ ἑβδομάδι τοῦ πάσχα, ἐγίνοντο ἱπποδρόμια καὶ λοιπὰ θεώρια. τετύπωται οὖν παράκλησιν γενέσθαι πρὸς τοὺς βασιλεῖς, ἵνα τοῦτο κωλυθῇ, καὶ μετενεχθῶσι τὰ τῶν τοιούτων ἡμερῶν εἰς ἑτέρας ἡμέρας. ἀνάγνωθι καὶ τὸν ἐν τῷ Τρούλλῳ συνόδου κανόνα ξϛʹ.

ΖΩΝΑΡ. Μήτε θεώρια ἐν κυριακαῖς ἢ ἐν ἑορτασίμοις ἡμέραις γίνεσθαι, μήτε ἱπποδρομίας ἐν τῇ ἑβδομάδι τοῦ πάσχα, ἵνα μὴ ἐν αὐτοῖς σχολάζωσιν οἱ Χριστιανοὶ καταλιμπάνοντες τὰς ἐκκλησίας, ἡ σύνοδος ᾔτησε, μετατεθῆναι δὲ τὰς ἡμέρας τῆς τῶν ἵππων ἁμίλλης, καὶ μηδένα τῶν πιστῶν ἀναγκάζεσθαι εἰς τὰ θέατρα ἀπιέναι. καὶ ὁ ξϛʹ. δὲ τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανὼν τὴν ὅλην ἑβδομάδα τοῦ πάσχα ἐν ταῖς ἐκκλησίαις σχολάζειν ἀπαιτεῖ τοὺς πιστούς, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ τὰς ἱπποδρομίας κωλύει.

ΑΡΙΣΤ. Θέατρα κυριακαῖς καὶ ἑορταῖς οὐ συνάγονται.

Εν γὰρ ταῖς φαιδραῖς ταύταις ἡμέραις εἰς τὴν ἐκκλησίαν πρέπον ἐστὶ συνάγεσθαι τοὺς Χριστιανούς· καὶ οὐ δεῖ τελεῖσθαι ἐν αὐταῖς ἱπποδρόμια.

A

ΚΑΝΩΝ ξε΄.

Περὶ τῶν καταδικαζομένων κληρικῶν. Κἀκεῖνο δεῖ αἰτῆσαι, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥστε κληρικὸν οἱασδήποτε τιμῆς τυγχάνοντα, ἐπ᾽ οἱῳδήποτε ἐγκλήματι τῇ τῶν ἐπισκόπων κρίσει καταδικασθέντα, μὴ ἐξεῖναι τὸν αὐτὸν εἴτε παρὰ τῆς ἐκκλησίας, ἧς ὑπῆρχεν, εἴτε ἀπὸ οἱουδήποτε ἀνθρώπου διεκδικεῖσθαι ποινῆς, ἢ ἐπὶ τούτῳ παρεντεθείσης ζημίας χρημάτων καὶ τιμῆς, ὅπως μηδὲ κεῖραν μηδὲ φύσιν ἀπολογητέαν εἶναι κελεύσωσιν.

B

ΒΑΛΣ. Κληρικοί τινες καταδικασθέντες ἐπὶ ἐγκληματικαῖς αἰτίαισι, καὶ μηδὲ βοήθειαν ἔχοντες ἐκκλήτου (οὕτω γὰρ ἐκληπτέον τὰ τοῦ κανόνος) πάλιν ὤχλουν ἀποκαταστῆναι. Ἤρεσε γοῦν τοῖς πατράσιν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα ὁρίσωσιν ὑποκεῖσθαι ποινῇ χρηματικῇ καὶ ἀφαιρέσει τιμῆς τοὺς ἐκδικοῦντας τούτους, ἐκκλησιαστικοὺς ἢ καὶ ἑτέρους, κἂν οἵας ὦσι κείρας ἤγουν ἡλικίας ἢ καὶ φύσεως.

ΖΩΝΑΡ. Ἠτήσαντο οἱ πατέρες ὁρισθῆναι καὶ τὸ μηδένα κληρικὸν καταδικασθέντα παρὰ τοῦ ἐπισκόπου αὐτοῦ ἐπί τινι ἐγκλήματι διεκδικεῖσθαι ἢ παρὰ τῆς ἐκκλησίας, ἧς ὑπῆρχε κληρικός, ἢ παρά τινος ἀνθρώπου δυνάστου τυχὸν, καὶ ζημίαν ἠξίωσαν κατὰ τοῦ ἐκδικοῦντος αὐτὸν ὁρισθῆναι, καὶ εἰς χρήματα, καὶ εἰς τιμήν. ὥστε καὶ χρήματα τὸν τοῦτο ποιεῖν ἐπιχειροῦντα ζημιοῦν, καὶ εἰς τὴν τιμὴν αὐτοῦ κινδυνεύειν ἀτιμούμενον, καὶ μήτε ἡλικίαν τινὰ προβάλλεσθαι εἰς ὠφέλειαν, τυχὸν, ὅτι νέος ἦν ὁ ποιήσας τοῦτο, ἢ γέρων πάνυ, καὶ δέον αὐτὸν συγγνωσθῆναι διὰ τὴν ἡλικίαν (κείρα γὰρ ἡλικία ἐστὶν, ὡς πολλαχοῦ εἴρηται) μήτε διὰ τὴν φύσιν, οἷον ὅτι γυνὴ ἦν ἡ τοῦτο ποιήσασα. τὸ δὲ διεκδικεῖσθαι ἐνταῦθα, οὐχὶ τὸ ἀντιλαμβάνεσθαι τοῦ καταδικασθέντος ἐστὶ, λέγοντος ἀδικεῖσθαι καὶ ζητοῦντος ἔκκλητον ἴσως· εἰ γὰρ τοῦτο εἴποι τις, πολλοῖς κανόσιν ἐναντιωθήσεται, τοῖς διδοῦσι τοῖς κληρικοῖς ἔκκλητον αἰτιωμένοις τὰς ψήφους τῶν ἐπισκόπων αὐτῶν· ἀλλὰ τὸ, δικαίως τοῦ κληρικοῦ καταδικασθέντος, κωλύειν τινὰ ἐκβιβασθῆναι τὴν ψῆφον τοῦ ἐπισκόπου χειρὶ χρώμενον.

ΑΡΙΣΤ. Κληρικὸς ἐπισκόπου κρίσει καταδικασθεὶς, παρὰ μηδενὸς ἐκδικείσθω.

Ὁ καταδικασθεὶς ἐπ᾽ ἐγκλήμασι παρὰ ἐπισκόπου κληρικὸς, εἰ μὲν οἴεται ἀδικεῖσθαι, ἐκκαλείσθω, αὐθεντικῶς δὲ μετ᾽ ἐξουσίας μὴ παρά τινος ἐκδικείσθω.

E

ΚΑΝΩΝ ξϛ΄.

Περὶ τῶν μίμων γινομένων Χριστιανῶν. Περὶ τοιούτων μὴν αἰτῆσαι δεῖ, ἵνα ἐάν τις ἐξ οἱουδήποτε παιγνιώδους ἐπιτηδεύματος, πρὸς τὴν τοῦ Χριστιανισμοῦ χάριν ἐλθεῖν θελήσῃ, καὶ ἐλεύθερος ἀπ᾽ ἐκείνων τῶν σπίλων διαμεῖναι, μὴ ἐξὸν εἴη τινὶ τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ γυμνάσματα πάλιν προτρέπεσθαι ἢ καταναγκάζειν.

ΒΑΛΣ. Τὸ παλαιὸν ἐτελοῦντο θέατρα μετὰ σπουδασίας τῶν δημοτῶν, καὶ διὰ τοῦτο εἶχον τινὰς σκηνικοὺς καὶ μίμους τὰ μέρη πολλάκις καὶ Ἕλληνας. Ζητοῦσιν οὖν οἱ πατέρες ὁρίσαι τοὺς βασιλεῖς, ἵνα ἐάν τις τῶν τοιούτων Ἕλλην ὢν βαπτισθῇ, μὴ ἀναγκάζηται ὑπὸ τοῦ δήμου τὰ αὐτὰ ἐνδείκνυσθαι παίγνια.

ΖΩΝΑΡ. Τοὺς σκηνικοὺς καὶ μίμους, τοὺς τὰ παίγνια πράττοντας, οἱ πάλαι πατέρες ἐν τοῖς ἀποτροπαίοις ἐλογίζοντο. ἐὰν οὖν τις τῶν τοιούτων Ἕλλην ὢν προσέλθῃ τῷ Χριστιανισμῷ, καὶ ἐλεύθερος ἐκ τῶν σπίλων ἤγουν τῶν ῥυπαρῶν ἔργων ἐκείνων γένηται καταλιπὼν ταῦτα, αἰτοῦσι μὴ δύνασθαί τινα ἀναγκάζειν αὐτὸν πάλιν πρὸς τὰ παίγνια ἐκεῖνα ὑποστρέφειν, καὶ διακονεῖσθαι αὐτοῖς.

CANON LXV.

De Clericis, qui condemnantur. Illud quoque petendum eſt, ut ſtatuere dignentur, ne liceat, Clericum quemcunque honorem obtinentem, in quocunque crimine Epiſcoporum judicio condemnatum, vel ab Eccleſia cujus fuit, vel ab ullo homine liberari à pœna; alioqui hunc pecunia & dignitate mulctari, nec ætatem nec naturam excuſandam eſſe jubeant.

BALS. Clerici quidam in cauſis criminalibus condemnati, & nec appellationis auxilium habentes (ita enim eſt intelligendus Canon) reſtitui ſatagebant. Placuit ergo Patribus, Imperatores admoneri, ut ſtatuant pœnæ pecuniariæ & privationi honoris eos ſubjici, qui illos defendunt ac liberant, ſive ſint Eccleſiaſtici, ſive etiam alii, cujuſcunque ſint ætatis vel naturæ.

ZONAR. Præterea ne quem Clericum à ſuo Epiſcopo ob crimen aliquod condemnatum, aut ab Eccleſia, cujus Clericus fuerat, aut ab alio viro, dynaſta C forte, abſolvi liceat, Patres decerni voluerunt. Ac ſi quis hominem abſolverit, eum & pecunia ſimul & dignitate mulctari; ita ut quicunque id aggreſſus fuerit, & pecunia mulctetur, & honore ſpoliatus dignitatem amittat. Neque vero, aut ætatis excuſationem admitti; puta, quòd adoleſcens admodum, qui id fecit, vel affecta ætate ſit, ac propterea crimen ætati condonari oporteat (κείρα namque ætatem ſignificat, ut ſæpe diximus) aut ſexus, veluti quod à muliere id facinus patratum ſit. Illud autem verbum διεκδικεῖσθαι, hoc loco, non pro eo ſumitur, quod eſt alicujus, qui ſe injuſtè damnatum queratur, ſibique provocatio- D nem dari poſtulet, patrocinium ſuſcipere; id enim qui dixerit, multis Canonibus adverſabitur, quibus, ſi minus Epiſcoporum ſententiæ Clerici acquieſcant, eiſdem provocatio conceditur: ſed eſt, juſtè condemnato Clerico, Epiſcopi ſententiæ executionem vi quenquam & armis impedire.

ARIST. *Clericus Epiſcopi judicio condemnatus, à nemine liberetur.*

Clericus, qui ob delicta ab Epiſcopo condemnatur, ſi ſibi videtur injuriâ affectus, appellet, cum auctoritate autem & poteſtate à quopiam ne liberetur.

CANON LXVI.

De mimis, qui fiunt Chriſtiani. De his præterea petendum eſt, ut ſi quis ex quocunque exercitio ludicro ad Chriſtianiſmi gratiam venire voluerit, & purus ab illis maculis permanere; ne ulli liceat eum ad ejuſmodi exercitium prorſus vel incitare vel cogere.

BALS. Spectacula antiquitùs cum populorum ſuppeditatione peragebatur, propterea ſcenicos quoſdam & F mimos, ſæpe & magna ex parte Græcos habebant. Petunt ergo Patres, ut Imperatores decernant, ſi quis eorum, cùm Græcus ſit, baptizetur, eum à populo eadem ludicra exhibere non cogi.

ZONAR. Scenicos & mimos, ludorum artifices, antiqui Patres mirè averſabantur. Si quis horum igitur ex profana Græcorum ſuperſtitione Chriſtiana ſacra amplectatur, exutuſque iis quibus notatus fuerat maculis, ſordidum illud videlicet vitæ genus deſeruerit, petunt ne hominem amplius cujuſquam auctoritate ad ludicra illa iterum exercenda liceat compelli.

Siquidem in magnis urbibus theatra extabant, in quibus ſtatis temporibus populi conventu ludi exhibebantur, ad eámque rem ſcenicorum opera & ſervitium, nulla excuſatione admiſſa, ita flagitabatur, ut ad ea munia vel inviti traherentur.

ARIST. *Qui à ludicro exercitio ad honeſtam ſe convertit vitam, ad idem ne retrahatur.*

Qui ſcenicam relinquit vitam, & aliam vivendi rationem Chriſtianis decentem amplectitur, ne compellatur in ludicro exercitio iterum verſari. Erant enim quidam ludicris iſtiuſmodi exercitiis aſcripti, & graviter tulerunt ea conſectari.

CANON LXVII.

De manumiſſionibus, quæ fiunt in Eccleſiis. De manumiſſionibus ſcilicet in Eccleſia proclamandis, ſi hoc noſtri conſacerdotes in Italia facere reperiantur, noſtra quoque fiducia, manifeſtum eſt, eorum ordinem ſequatur, miſſi Legati poteſtate palam data, ut quæcunque fide digna pro Eccleſiaſtico ſtatu & animarum ſalute peragere potuerit, nos quoque ea omnia coram Domino laudabiliter ſuſcipiamus. Si veſtræ placeat dilectioni, dicite, ut & meam relationem firmam eſſe vobis oſtendam; & noſtrum omnium conſenſum veſtra ſinceritas jucundè accipiat. Ab omnibus Epiſcopis dictum eſt; Omnibus placent quæ ſunt propoſita, &, quæ ſapienter à tua ſanctitate ſunt expoſita, perfici debent.

BALS. Ut eſt veriſimile, dubitabant nonnulli, an ſervi in Eccleſia manumitti debeant, vel aliqui alii, qui ad eam confugerunt, ut qui ſint aliquibus delictis obnoxii, & auxilium quærant Eccleſiaſticum. De his enim etiam hujus actionis principium tractat; atque etiam præſentis Canonis collocutio. Et propterea dixerunt Patres; Interrogentur per Legatos Italiæ Sacerdotes: & ſi illi quoque hoc faciant, ſeu proclament & faciant libertates, cum confidentia ipſi quoque ea, quæ ſic fiunt, ſequantur, ad animæ ſalutem reſpicientia, & ad jurium Eccleſiaſticorum conſervationem. Hoc autem ſic proviſo, fiet firma ad Imperatores quoque relatio, & ab eorum ſinceritate ſuſcipietur, quod communi conſenſu relatum fuerit. Ac quæ ad eos quidem ſpectant, qui ad Eccleſias confugiunt, præſens Canon Imperatori audienda remittit. Tu autem lege primi tituli quinti libri cap. decimum tertium, quod ſic dicit; Statuimus nemini licere eos qui confugiunt, cujuſcunque ſint conditionis, ex ſancta Eccleſia orthodoxæ fidei, extra hanc Imperialem civitatem extrudere. Si qui autem tale quid moliri vel facere auſi fuerint, ſacrilegii crimini ſubjiciantur. Sed neque eos ſic in venerabilibus Eccleſiis detineri vel conſtringi, ut illic à rebus eſculentis, vel veſtimentis, vel quiete, vel ſomno prohibeantur. Et undecimum caput quod dicit; Uſque ad Eccleſiæ terminos, qui ſunt ante forum publicum, tuti ſint qui ad eam confugiunt, interioribus lavacris, vel hortis, vel aulis, vel cubiculis, vel porticibus utentes, & prohibeantur intra templum dormire vel comeſſe. Ne armis autem ſibi ſecuritatem parent, ſed ea apud Epiſcopum deponant, vel perſuaſi primùm, vel poſtea ejecti juſſu Epiſcopi & judicum. Et xii. caput; Servus cum armis confugiens ſtatim ejiciatur: ſi autem reſiſtat, majoribus viribus cogatur; & ſi pugnans ceciderat, dominus occidens non teneatur. Lege etiam iii. decretum decimi tertii capitis ejuſdem tituli, quod dicit; Apud competentes, judices litigare oportet eos qui confugiunt,

A ἐν γὰρ ταῖς μεγάλαις τῶν πόλεων θέατρα ἦσαν, καὶ κατὰ καιροὺς συνήγοντο ἐν αὐτοῖς καὶ ἐτελοῦντο παίγνια, καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέως εἶχον, οἱ σκηνικοὶ τοῦ ἐπιδείκνυσθαι ταῦτα εἵλκοντό τε καὶ μὴ βουλόμενοι.

ΑΡΙΣΤ. Ὁ ἀπὸ παιγνιώδους ἐπιτηδεύματος εἰς σπουδαῖον μετελθὼν βίον, μὴ ἑλκέσθω πρὸς αὐτό.

Ὁ καταλιπὼν τὸν σκηνικὸν βίον, καὶ διαγωγὴν ἑτέραν χριστιανοῖς πρέπουσαν μετερχόμενος, οὐκ ἀναγκασθήσεται αὖθις τὸ παιγνιῶδες ἐπιτήδευμα ἐνεργεῖν. ἦσαν γάρ τινες ἐναπογραφόμενοι εἰς τὰ παιγνιώδη ταῦτα ἐπιτηδεύματα, καὶ βαρέως εἶχον τὸ μετέρχεσθαι ταῦτα. B

ΚΑΝΩΝ ξζʹ.

Περὶ ἐλευθεριῶν τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων. περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλησίᾳ κηρυκτέων, ἐὰν τοῦτο οἱ ἡμέτεροι συνιερεῖς φαίνωνται ποιοῦντες διὰ τὴν Ἰταλίαν· καὶ ἡ ἡμετέρα δῆλον πεποίθησις τῇ τούτων τάξει ἕπηται, δοθείσης φανερῶς ἀδείας πεμπομένου τοποτηρητοῦ, ἵνα οἱαδήποτε ἀξία πίστεως ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι δυνηθείη· καὶ ἡμεῖς ἐπαινετῶς ἐνώπιον τοῦ κυρίου ὑποδεξώμεθα ταῦτα πάντα. C ἐὰν τῇ ὑμετέρᾳ ἀγάπῃ ἀρέσκῃ, διείπατε, ἵνα καὶ τὴν ἐμὴν ἀναφορὰν βεβαίαν οὖσαν ὑμῖν ἐπιδείξω· καὶ τὰ παρὰ τῆς πάντων ἡμῶν συναινέσεως ἡ αὐτῶν εἰλικρινότης ἡδέως προσδέξηται. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πᾶσιν ἀρέσκει τὰ προτεθέντα, καὶ συνετῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης διηγηθέντα ὀφείλει ἐκτελεσθῆναι.

ΒΑΛΣ. Ὡς ἔοικεν, ἀμφέβαλόν τινες, εἰ ὀφείλουσιν ἐλευθεροῦσθαι δοῦλοι ἐπ᾽ ἐκκλησίας, ἢ ἕτεροί τινες καταφεύγοντες ἐν αὐτῇ, ὡς ἐνεχόμενοι εὐθύναις τισὶ, καὶ τὴν ἐκκλησιαστικὴν ζητοῦντες βοήθειαν. D περὶ τούτων γὰρ καὶ ἡ ἀρχὴ τῆς πράξεως ταύτης διαλαμβάνει· ἀλλὰ μὴν καὶ ἡ διαλαλιὰ τοῦ παρόντος κανόνος. καὶ διὰ τοῦτο εἶπον οἱ πατέρες, ὅτι ἐρωτηθήτωσαν διὰ τοποτηρητῶν οἱ ἱερεῖς τῆς Ἰταλίας· καὶ ἐὰν ποιῶσι κἀκεῖνοι τοῦτο, ἤγουν κηρύττωσι καὶ πράττωσι τὰς ἐλευθερίας, μετὰ πεποιθήσεως καὶ αὐτοὶ ἵνα ἀκολουθήσωσι τοῖς οὕτω γινομένοις, εἰς σωτηρίαν ψυχικὴν ἀποβλέπουσι, καὶ εἰς συντήρησιν τῶν ἐκκλησιαστικῶν δικαίων. τούτου δὲ οὕτω πολυπραγμονηθέντος, γενήσεται καὶ ἡ πρὸς βασιλεῖς ἀναφορὰ βεβαία, καὶ προσδεχθῇ παρὰ τῆς εἰλικρινότητος τούτων τὸ κατὰ συναίνεσιν κοινὴν ἀνενεχθέν. καὶ ὁ μὲν παρὼν κανὼν ἀνήρτησε τὰ τῶν προσφευγόντων ταῖς ἐκκλησίαις εἰς ἀκρόασιν βασιλικήν· E σὺ δὲ ἀνάγνωθι τοῦ αʹ. τίτλου τοῦ εʹ. βιβλίου κεφάλαιον ιγʹ. λέγον, θεσπίζομεν, μὴ ἐξέστω τινὶ τοὺς προσφυγας, τοὺς οἱασδήποτε τύχης ὄντας, ἐκ τῆς ἁγίας ἐκκλησίας τῆς ὀρθοδόξου πίστεως ἐκτὸς ταύτης τῆς βασιλίδος πόλεως ἐξωθεῖν. εἰ δέ τινες τοιοῦτόν τι μηχανήσασθαι ἢ ποιῆσαι τολμήσοιεν, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβαλλέσθωσαν. ἀλλὰ μηδὲ τούτους οὕτω κατέχεσθαι ἐν ταῖς σεβασμίαις ἐκκλησίαις ἢ συσφίγγεσθαι, ἵνα αὐτόθεν ἢ τροφίμων πραγμάτων ἢ ἐνδυμάτων ἢ ἡσυχίας ἢ ὕπνου κωλύωνται. καὶ τὸ ιαʹ. κεφάλαιον λέγον, μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασιν ἢ αὐλαῖς ἢ F στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. ὅπλοις δὲ μὴ ἀσφαλιζέτωσαν ἑαυτοὺς, ἀλλὰ ὑποτιθέτωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρότερον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν. καὶ κεφάλαιον ιβʹ. μεθ᾽ ὅπλων ὁ οἰκέτης προσφυγὼν εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ὁ ἐπελθὼν ἔσται δεσπότης. ἀνάγνωθι καὶ τὸ γʹ. θέμα τοῦ ιγʹ. κεφαλαίου τοῦ αὐτοῦ τίτλου, λέγον, παρὰ τοῖς προσφόροις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας,

καὶ

UMI

καὶ οὐχὶ παρὰ τῇ ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι. καὶ τὸ τελευταῖον θέμα τοῦ αὐτοῦ κεφ. λέγον, μεταξὺ δὲ τούτων τοῖς θεοσεβεστάτοις οἰκονόμοις εἴτε τοῖς ἐκδίκοις τῆς ἐκκλησίας φροντίδα καὶ σπουδὴν προσήκει ἔχειν, ὅπως ἑκάστου τῶν ἔνδον τῆς ἐκκλησίας προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀνυπερθέτως ἐκζητῶσιν. ἔπειτα δὲ οἱ ἄρχοντες, ἢ ἐκεῖνοι πρὸς οὓς τὰ πράγματα καὶ τὰ πρόσωπα ἀνήκουσι, ταῦτα μανθάνοντες, τῇ ἐπιτηδείῳ εὐθύτητι ἐπιμελέστερον ἑαυτοῖς τὰ ἁρμόττοντα διατυπώσουσιν. ὥστε σημείωσαι, ὅτι οἱ μὴ ἀπογραφόμενοι οὐκ εἰσὶ πρόσφυγες.

ΖΩΝΑΡ. Ἀμφέβαλλον οἱ τῆς συνόδου, εἰ δεῖ ἐλευθερίας κηρύττεσθαι, ἤγουν ἐκφωνεῖσθαι, καὶ πράττεσθαι ἐν ταῖς ἐκκλησίαις. διὸ εἰσήχθη γνώμη, σταλῆναι τοποτηρητὰς εἰς Ἰταλίαν, καὶ εἰ οἱ ἐκεῖσε ἐπίσκοποι δέχονται τοῦτο γινόμενον, ἕπεσθαι αὐτοὺς τῇ ἐκεῖ συνηθείᾳ, δοθείσης φανερῶς ἀδείας τοῦτο γίνεσθαι, τὸ γὰρ ἡ ἡμετέρα πεποίθησις τῇ τούτων τάξει ἕπεται, τοιοῦτόν ἐστιν, ὅτι καὶ ἡμεῖς θαρρήσομεν, ὡς καλῶς τὸ πρᾶγμα γίνεται, καὶ οὐκ ἔξω τῆς ἐκκλησιαστικῆς καταστάσεως, καὶ ἑψόμεθα αὐτοῖς, καὶ δεξόμεθα ταῦτα, ὡς ἐπαινετῶς γινόμενα.

ΑΡΙΣΤ. Αἰτητέον ἐκ βασιλέως περὶ τῶν ἐν ἐκκλησίαις γινομένων ἐλευθεριῶν.

Νόμου τὸ τότε κρατοῦντος, τοὺς ἐλευθερουμένους δούλους, μὴ ἀλλαχοῦ τὰς ἐλευθερίας λαμβάνειν, ἀλλ' ἢ ἐν ταῖς στήλαις τῶν βασιλέων, δεηθῆναι ἡ σύνοδος αὕτη τοῦ βασιλέως τοῖς παρ' αὐτῆς σταλεῖσι πρεσβυταῖς προετρέψατο, ὡς ἂν μὴ αἱ γινόμεναι ἐν ταῖς ἐκκλησίαις ἐλευθερίαι διὰ τὸν νόμον τοῦτον ἀνατρέπωνται, ἀλλ' ἄδειαν φανερῶς ταύταις δοθῆναι τοῦ πράττειν.

ΚΑΝΩΝ ξη'.

Περὶ Αἰκουτίου ἐπισκόπου τοῦ καταδικασθέντος. Αὐρήλιος ἐπίσκοπος εἶπεν· τοῦ Αἰκουτίου ἔτι μὴν, τοῦ ἔκπαλαι κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα οὐκ οἶμαι παρεατέον τῇ πρεσβείᾳ· ἵνα ἐὰν τυχὸν τοῦτον εὕροι ἐν ἐκείνοις τοῖς μέρεσιν, ἔστω πρὸς φροντίδος τῷ αὐτῷ ἀδελφῷ ἡμῶν, ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ καὶ ὅπου ἐξὸν εἴη, κατ' ἐκείνου διαπράξασθαι. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πολὺ ἀρέσκει καὶ αὕτη ἡ ἐξακολούθησις· μάλιστα, ὅτι ἔκπαλαι καταδεδίκασται ὁ αὐτὸς Αἰκούτιος, καὶ ἡ τούτου ἀναίσχυντος ἀνησυχία, ὑπὲρ τῆς καταστάσεως καὶ σωτηρίας τῆς ἐκκλησίας, μᾶλλον καὶ μᾶλλον πανταχοῦ καταμαχητέα ἐστίν. καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΒΑΛΣ. Ὁ Αἰκούτιος καθῃρέθη καὶ οὐχ ἡσύχαζε. φησὶν οὖν ὁ Αὐρήλιος, ἵνα ἐὰν εὑρήσωσι τοῦτον οἱ τοποτηρηταὶ, φροντίσωσιν, ὡς δύναμις, ποιῆσαι τι εἰς τιμὴν τῆς ἐκκλησιαστικῆς καταστάσεως, διὰ τοῦ παυθῆναι αὐτόν. εἶπον δὲ καὶ πάντες, ὡς ἀρέσκει τοῦτο. ἡ γὰρ πολλὴ ἀναισχυντία καὶ ὄχλησις τοῦ Αἰκουτίου ἀντιμάχεται αὐτῷ, τουτέστι, ποιεῖ καὶ αὐτοὺς ἀσυμπαθεῖς.

ΖΩΝΑΡ. Ὁ Αἰκούτιος κατεδικάσθη παρὰ τῶν ἐπισκόπων καὶ ἐγυμνώθη τῆς ἰδίας ἀξίας, ἤτοι καθῃρέθη· ὁ δὲ οὐχ ἡσύχασεν, ἀλλ' ἐθορύβει. φασὶν οὖν, ὅτι ἔκπαλαι κατεδικάσθη κατὰ τὴν ἰδίαν ἀξίαν, ἤγουν ὡς ἦν ἄξιος, καὶ οὐ χρὴ παριδεῖν τὸ περὶ αὐτοῦ πρᾶγμα, ἤγουν περὶ αὐτοῦ πρᾶξιν καὶ τὴν ὑπόθεσιν, ἀλλ' ἐντείλασθαι τῷ στελλομένῳ ἐκεῖ εἰς πρεσβείαν, ἐὰν εὕρῃ αὐτὸν ἐν ἐκείνοις τοῖς μέρεσι, διὰ φροντίδος ποιῆσαι, ὡς χρὴ καὶ ὡς δύναται, κατ' ἐκείνου χωρῆσαι ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως,

A & non ad Ecclesiam eorum adversarios evocari. Et postremum responsum ejusdem capitis quod dicit; Interea autem pientissimos Oeconomos seu Ecclesiæ Defensores curam & diligentiam adhibere oportet, ut unuscujusque eorum, qui ad Ecclesias confugiunt, nomina & causas sine mora inquirant. Præterea autem magistratus, vel illi ad quos negotia & personæ pertinent, hæc scientes, ea qua par est rectitudine quæ illis conveniunt diligentiùs statuant. Quare nota, quòd qui non describuntur, non sunt ex eorum numero qui confugiunt.

B Z o n a r. Dubitabant Syn. Patres, an in Ecclesia manumissiones proclamari ac peragi oporteret. Propositum est igitur de Legatis in Italiam mittendis; ac si quidem, qui eo loci degunt Episcopi, rem probaverint, nos quoq; inquiunt, eam consuetudinem, data palam ejus rei gerendæ facultate, amplectimur. Illud autem [nostra fiducia eorum ordinem sequitur] ejusmodi est; Nos quoque, aiunt, nihil in ea re peccari, neque constitutionem Ecclesiasticam violari arbitrabimur, eorúmque judicium sequemur, ac institutum, quasi laude & commendatione dignum, probavimus.

C A r i s t. *Ab Imperatore petendum est de manumissionibus, quæ in Ecclesiis fiunt.*

Lege tunc obtinente, ut servi manumissi nullibi libertatem acciperent, nisi in Imperatorum cippis: Syn. hæc legatos à se missos Imperatorem orare hortatur, ut manumissiones in Ecclesiis factæ per istam legem non everterentur; sed ut iis licentia illud faciendi manifestò concederetur.

C a n o n LXVIII.

D *De Equitio Episcopo condemnato. Aurelius Episcopus dixit; Equitii præterea, pro meritis jampridem Episcopali sententia condemnati, negotium non existimo esse legationi prætermittendum: ut si eum fortè in illis partibus invenerit, curæ sit ipsi fratri nostro, pro statu Ecclesiastico, ut oportet, & ubi licuerit, adversus illum peragere. Ab omnibus Episcopis dictum est; Multum placet hæc quoque consequentia: maximè quia jam olim condemnatus est hic Equitius, & impudens ejus inquietudo, pro statu & salute Ecclesiæ, magis & magis ubique est* E *oppugnanda. Et subscripserunt; Aurelius Episcopus Carthaginensis Ecclesiæ præsenti decreto consensi, & lecto subscripsi. Similiter & reliqui Episcopi subscripserunt.*

B a l s. Equitius fuit depositus, & non quievit. Dicit ergo Aurelius, quòd si eum Legati invenerint, curent, ut possunt, aliquid agere in honorem status Ecclesiastici, eum cessare faciendo. Dixerunt autem omnes, hoc eis placere. Multa enim impudentia & turba Equitii ei adversatur, hoc est, facit ut ipsi nulla ejus misericordia moveantur. F

Z o n a r. Equitius ab Episcopis condemnatus, ac dignitate sua spoliatus, hoc est, depositione mulctatus fuit. Ille vero inquietus cuncta tumultu miscebat. Eum igitur jam olim, ut commeritus fuerat, damnatum fuisse asserunt, neque vero ipsius negotia, hoc est, actionem & causam ipsius esse negligendam, sed ei, qui legatus in illas oras profecturus est, præcipiendum, ut si hominem in iis regionibus invenerit, omni studio & conatu contra illum pro Ecclesiastica tranquillitate pugnet, ne quis ab eo in Eccleſia tumultus exiſtat. Cum enim illius, inquiunt, irrequieta fit impudentia, hoc eſt, cum propter impudentiam quietem agere nolit; tanto magis nobis faciendum eſt, ut contra eum pugnemus, hoc eſt illi obſiſtamus, ejuſque conatibus refragemur.

Arist. *Equitius jampridem Epiſcoporum judicio condemnatus, & impudenter ſe gerens contra Eccleſiaſticam conſtitutionem, oppugnandus eſt.*

Epiſcopus condemnatus ob crimina, & depoſitus, ſi ſe injuriâ affectum judicat, ad majorem Synodum appellare debet. Sed impudenter ſe gerere, & Sacerdotium retinere cum auctoritate & vi conari, nihil aliud eſt quam Eccleſiaſticæ conſtitutioni oppugnare. Hoc itaque faciens & Equitius iſte Cathedræ Hipponenſis Epiſcopus, poſt Epiſcoporum ſententiam contra eum latam, ut Eccleſiaſticæ conſtitutioni adverſarius judicatus eſt.

ACTIO QUARTA.

In hoc conventu lectâ Anaſtaſii Papæ Romani Epiſtolâ, de Donatiſtis ad Synodum ſcriptâ, ut ipſi recipiantur, & clementer cum iis agatur, Patres Deo & Papæ gratias agebant. In hoc Concilio leguntur literæ Anaſtaſii Papæ Romani, de Donatiſtis Catholicos Epiſcopos admonentes. Sub Vincentio & Flavio clariſſimis Conſulibus, Idibus Septembris, Carthagine in ſecreto Reſtitutæ Eccleſiæ, ad Synodum congregati & Præſidentes ex omnibus in Africa Provinciis Epiſcopi, hoc eſt, Aurelius ejuſdem Sedis Epiſcopus cum ſuis familiaribus, quos ſua indicat ſubſcriptio, dixit: Lectis literis beatiſſimi fratris & Conſacerdotis noſtri Anaſtaſii, Romanorum Eccleſiæ Epiſcopi, per quas fraternæ, vel potiùs paternæ, dilectionis cura & ſinceritate nos adhortatus eſt, ut de hæreticorum & ſchiſmaticorum & Donatiſtarum inſidiis & impudentia, quæ in univerſa Afrorum regione Catholicam Eccleſiam graviter depopulatur, nullomodo diſſimulemus; gratias agimus Deo Domino noſtro, quòd piam hanc curam inſpirare dignatus ſit, excellentiſſimo & ſanctiſſimo ejus Sacerdoti pro membris Chriſti; quæ etſi in diverſis quidem terræ partibus, in una tamen corporis compage & harmonia conſtituta ſunt.

CANON LXIX.

Ut cum Donatiſtis clementer agatur. Poſtea tractatis & conſideratis omnibus, quæ ad utilitatem Eccleſiaſticam concurrere videntur, annuente & inſpirante divino Spiritu, ſatius eſſe duximus cum memoratis hominibus leniter & pacificè agere, etiamſi maximè à Dominici corporis unione inquieta diſſenſione ſe abſcindant; ut, quantum eſt in nobis, omnibus omnino notum ſit, qui illorum communione & familiaritate ſunt irretiti in omnibus Africæ Provinciis, quam ſunt miſerabili errore illaqueati: fortè, ut dicit Apoſtolus, nobis in manſuetudine congregantibus eos, qui diverſa ſentiunt, dabit eis Deus pœnitentiam ad agnoſcendam veritatem, & ut, qui Diaboli laqueis capti ſunt, ab ipſo ad ejus voluntatem deducantur.

Bals. Præſens Canon nihil aliud dicit, quàm Patres leniter & placidè debere in Donatiſtas agere, etiamſi ii à Dominici corporis unione ſe abſcindãt. Domini autem corpus vel Eccleſiam intelligere oportet, cujus

A ἵνα μήτις ταραχὴ διὰ ἐκεῖνον τῇ ἐκκλησίᾳ γένηται. ἡ γὰρ τούτου ἀναίσχυντος, φασὶν, ἀνησυχία, τουτέστι τὸ μὴ θέλειν αὐτὸν ἡσυχίαν ἄγειν διὰ ἀναισχυντίας, μᾶλλον καὶ μᾶλλον, ἀντὶ τοῦ πλειόνως καταμαχητέα, ἤγουν ἀντιστῆναι αὐτῷ καὶ ἀντιπαράττειν ἄξιον.

ΑΡΙΣΤ. Αἰκούτιος ἔκπαλαι καταδικασθεὶς τῇ τῶν ἐπισκόπων γνώμῃ, καὶ καταναισχυντῶν ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως, μαχητέος ἔστω.

Καταδικασθεὶς ἐπίσκοπος ἐπ' ἐγκλήμασι, καὶ καθαιρεθεὶς, εἰ οἴεται ἀδικεῖσθαι, πρὸς μείζονα σύνοδον ἐκκαλεῖσθαι ὀφείλει. B τὸ δὲ ἀναισχυντεῖν, καὶ τὴν ἱερωσύνην ἀπολύειν κατέχειν αὐθεντικῶς καὶ βιαίως, οὐδέν τι ἄλλο ἐστὶν ἢ τὸ ἀντιμάχεσθαι τῇ ἐκκλησιαστικῇ καταστάσει. τοῦτο γοῦν ποιήσας καὶ ὁ Αἰκούτιος οὗτος, τῆς ἐν Ἱππῶνι καθέδρας ἐπίσκοπος, μετὰ τὴν κατ' αὐτοῦ ἐξενεχθεῖσαν κρίσιν τῶν ἐπισκόπων ὡς ἐναντίος ἐκρίθη τῆς ἐκκλησιαστικῆς καταστάσεως.

Πρᾶξις τετάρτη.

Ἐν ταύτῃ τῇ συνελεύσει ἀναγνωσθείσης ἐπιστολῆς τοῦ πάπα Ῥώμης Ἀναστασίου πρὸς τὴν σύνοδον περὶ τῶν Δονατιστῶν, C ὥστε αὐτοὺς δέχεσθαι καὶ ἠπίως αὐτοῖς προσφέρεσθαι, ηὐχαρίστησαν οἱ πατέρες τῷ θεῷ καὶ τῷ πάπᾳ. ἐν ταύτῃ τῇ συνόδῳ γράμματα ἀναγινώσκονται Ἀναστασίου τοῦ ἱερέως Ῥώμης, περὶ τῶν Δονατιστῶν ὑπομιμνήσκοντα τοὺς καθολικοὺς ἐπισκόπους. ἐπὶ Βικεντίου καὶ Φλαβίου τῶν λαμπροτάτων ὑπάτων, εἰδοῖς Σεπτεμβρίαις, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτούτης ἐκκλησίας πρὸς σύνοδον συναχθέντες καὶ προκαθίσαντες οἱ ἐκ πασῶν τῶν ἐν Ἀφρικῇ ἐπαρχιῶν ἐπίσκοποι, τοῦτ' ἔστιν Αὐρήλιος ὁ τοῦ αὐτοῦ θρόνου ἐπίσκοπος, μετὰ τῶν ἑτέρων αὐτοῦ, οὓς δηλοῖ ἡ οἰκεία ὑπογραφὴ, εἶπεν· ἀναγνωσθέντων γραμμάτων τοῦ μακαριωτάτου ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Ἀναστασίου, τοῦ τῆς D Ῥωμαίων ἐκκλησίας ἐπισκόπου, δι' ὧν ἀδελφικῆς, μᾶλλον δὲ πατρικῆς, ἀγάπης μερίμνῃ καὶ εἰλικρινότητι ἡμᾶς προετρέψατο, ἵνα περὶ τῆς τῶν αἱρετικῶν καὶ σχισματικῶν Δονατιστῶν ἐπιβουλῆς καὶ ἀναισχυντίας, τῆς τὴν καὶ κατὰ πᾶσαν τὴν Ἀφρῶν χώραν καθολικὴν ἐκκλησίαν βαρέως πορθούσης μηδαμῶς προσποιησώμεθα, χάριτας ὁμολογοῦμεν τῷ δεσπότῃ ἡμῶν θεῷ, ὅτι τοιαύτην εὐσεβῆ φροντίδα ἐμπνεῦσαι κατηξίωσεν τῷ οὕτως καλλίστῳ καὶ ἁγιωτάτῳ αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ, τῶν κἂν ἐν διαφόροις τῆς γῆς μέρεσιν, ἀλλ' ἐν μιᾷ σώματος ἁρμονίᾳ καθισταμένων.

E

ΚΑΝΩΝ ξθʹ.

Περὶ τοῦ, μετὰ τῶν Δονατιστῶν πρᾴως διαπράξασθαι. μετὰ ταῦτα ψηλαφηθέντων καὶ κατανοηθέντων πάντων τῶν τῇ ἐκκλησιαστικῇ χρησιμότητι συντρέχειν δοκούντων, ἐπινεύματος καὶ ἐνηχήσαντος τοῦ πνεύματος θεοῦ, ἐπελεξάμεθα ἠπίως καὶ εἰρηνικῶς διαπράξασθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ κυριακοῦ σώματος ἑνώσεως ἀνησυχάστῳ διχονοίᾳ ἀποσχίζωσιν, ἵνα ὅσον τὸ ἐν ἡμῖν πᾶσιν καθόλου γνωσθείη, τοῖς ἐκείνων κοινωνίᾳ καὶ ἑταιρείᾳ σαγηνευθεῖσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, πῶς ἐλεεινῇ πλάνῃ καταδέδενται. ἴσως, F καθὼς λέγει ὁ ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συναγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς ὁ θεὸς μετάνοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν, καὶ ἵνα ἀνασφήλωσιν οἱ ἐκ τῶν τοῦ διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

ΒΑΛΣ. Οὐδέν τι ἕτερον ὁ παρὼν κανὼν λέγει, ἀλλ' ἢ τὸ ἠπίως καὶ εἰρηνικῶς χρήσασθαι τοὺς πατέρας τοῖς Δονατισταῖς, κἂν αὐτοὶ ἀποσχίζωσιν ἐκ τῆς τοῦ κυριακοῦ σώματος ἑνώσεως. κυριακὸν δὲ σῶμα τὴν ἐκκλησίαν νοητέον, ἧς

κεφαλὴ ὁ Χριστός ἐστιν· ἢ τὰ θεῖα μυστήρια, ὡς περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καθὼς προείρηται.

ΖΩΝΑΡ. Ὡς ἀνωτέρω εἴρηται, ἀναφορὰν ἐποιήσατο ἡ σύνοδος αὕτη πρὸς τὸν Ῥώμης ἐπίσκοπον, καὶ δεξαμένη γράμματα ἐκείνου συνέθετο ἠπίως καὶ εἰρηνικῶς χρήσασθαι τοῖς Δονατισταῖς, κἂν τὰ μάλιστα ἀποσχίζωσι, φασὶν, ἐκ τῆς τοῦ κυριακοῦ σώματος ἑνώσεως. κυριακὸν δὲ σῶμα, ἢ τὴν ἐκκλησίαν νοητέον, ἤτοι τὸ τῶν ὀρθοδόξων ἄθροισμα, οὗ κεφαλὴ ἥγηται ὁ Χριστὸς, ἢ κυριακὸν σῶμα τὰ θεῖα μυστήρια, περὶ ταῦτα ἐκείνων διαφερομένων τοῖς πιστοῖς, καὶ μὴ οὕτω μετεχόντων αὐτῶν, ὡς ἡ ἐκκλησία, ἀλλ' ἕτερόν τινα τρόπον, ὡς ἤδη προείρηται· ἵνα ὅσον τὸ ἐν ἡμῖν, ἀντὶ τοῦ, ὅσον πρὸς δύναμιν ἡμετέραν ἐστὶ, δῆλον γένηται πᾶσι τοῖς συναιρεσιώταις ἐκείνων, πῶς ἐλεεινῇ πλάνῃ καταδεσμήθησαν, καὶ γνόντες τὴν ἀλήθειαν ἴσως ἐπιστρέψωσι. κέχρηνται δὲ καὶ ἀποστολικαῖς ἐννοίαις καὶ ῥήμασι.

ΑΡΙΣΤ. Εδοξεν ἠπίως καὶ εἰρηνικῶς προσενεχθῆναι τοῖς Δονατισταῖς, καίπερ ἀποσχίζουσιν ἑαυτοὺς τῆς ἐκκλησίας· εἴ πως αἰδεσθέντες τὴν πολλὴν ἡμῶν ἡμερότητα, τῆς αἰχμαλωσίας διασφήλωσι.

Δεῖ τοὺς τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὰς διὰ φροντίδος τίθεσθαι τοὺς ἀποσχίζοντας ἑαυτοὺς τῆς καθολικῆς ἐκκλησίας, παντοίως σπεύδειν ἐπισυνάγειν μετὰ πραότητός τε καὶ ἡμερότητος, καὶ προσενοῦν αὐτοὺς αὖθις τῇ ἐκκλησίᾳ· μὴ μέν τοι γε δὲ μόνον τὸ οἰκεῖον ἐπιζητεῖν, καὶ τῆς τῶν ἄλλων σωτηρίας καταφρονεῖν. διὰ τοῦτο γοῦν καὶ τοὺς Δονατιστὰς τοῦ κυριακοῦ σώματος ἀποσχίσαντας ἑαυτοὺς, καὶ τῇ πλάνῃ καταδεθέντας, μεθ' ἡμερότητος ἡ σύνοδος ὥρισε προσελθεῖν αὐτοῖς, καὶ παρακαλέσαι καταλιπεῖν τὴν πλάνην, καὶ τὴν ἀλήθειαν ἐπιγνῶναι· ἵν' ἴσως τὴν ἀγάπην τῶν παρακαλούντων καὶ τὴν πραότητα αἰδεσθέντες, ἀνασφήλωσι τῆς αἰχμαλωσίας.

ΚΑΝΩΝ ο'.

Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν Ἀφρικῆς ἀποσταλῆναι, ὥστε κατάδηλα γενέσθαι τὰ μεταξὺ τῶν Δονατιστῶν καὶ Μαξιμιανιστῶν πραχθέντα. ἤρεσεν τοίνυν, ἵνα ἐκ τῆς ἡμετέρας συνόδου γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας δοθῶσιν, ἀφ' ὧν αἰτῆσαι ἁρμόδιον ἔδοξεν, περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντεία ἐν ταῖς πόλεσι καταφρονεῖται· τοῦτ' ἔστιν, ἵνα ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ καὶ Χριστιανικῇ πίστει ἀναζητήσωσι τὰ γενόμενα ἐν ὅλοις τοῖς τόποις, ἐν οἷς οἱ Μαξιμιανισταὶ ἐκκλησίας κατέχον· ἔτι δὲ καὶ τοὺς ἀπ' αὐτῶν ἀποσχισθέντας, καὶ δημοσίοις πεπραγμένοις τὴν περὶ τούτων γνῶσιν βεβαίαν πᾶσιν ἀναγκαίως ποιήσωσιν ἐντεθῆναι.

ΒΑΛΣ. Τετύπωται ἐνταῦθα γράμματα γενέσθαι συνοδικὰ πρὸς τοὺς ἐν Ἀφρικῇ ἄρχοντας, ὡς ἂν βοηθήσωσι τῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία καταφρονεῖται· καὶ διὰ τῆς τούτων δυνάμεως διορθωθῶσι τὰ παρὰ τῶν αἱρετικῶν τολμώμενα, ἢ διὰ ὑπομνημάτων δημοσίᾳ γραφομένων ἢ διὰ φανερᾶς ἐκδικήσεως.

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι ἐδίδασκον τοὺς λαούς. εἰ δέ τινες ἦσαν ἄτακτοι καὶ στασιώδεις, θορυβοῦντες καὶ ταράσσοντες τὴν ἐκκλησίαν, κατὰ τῶν τοιούτων ἀρχοντικὴν ἐξουσίαν ἀπεκαλοῦντο. τοῦτο τοίνυν κἀνταῦθα ποιῆσαι συντίθενται, καὶ γράψαι τοῖς ἄρχουσι βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ. μήτηρ δὲ τῶν πιστῶν λέγεται ἡ ἐκκλησία, ὡς ἐν αὐτῇ ἀναγεννωμένων ἡμῶν διὰ τοῦ ἁγίου βαπτίσματος γένησιν τὴν ἡμερινὴν καὶ ἐλευθέραν καὶ λυτικὴν παθῶν, καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπανάγουσαν. βοηθῆσαι δὲ

A caput eſt Chriſtus: vel divina myſteria, utpote illis à fidelibus in iis diſſentientibus, ut antea dictum eſt.

Zonar. Quemadmodum ſupra diximus, quædam ab hac Synodo ad Romanum Epiſcopum relata ſunt, à quo poſtea literis acceptis, clementer & humane cum Donatiſtis agendum eſſe ſtatuit; quamvis ſe maxime, inquiunt, à Dominici corporis unitate ſejungant. Dominicum vero corpus, aut Eccleſiam intellige ſeu orthodoxorum conventum, cujus caput Chriſtus eſſe cenſetur, aut Dominici corporis ſacrata myſteria, quod in iis videlicet maxime illi à fidelibus diſ- B ſentirent, ac eis longe diverſa ratione ab ea quam Eccleſia præſcribit, ut jam antea diximus, communicarent. Ut, quantum in nobis eſt, omnibus, qui illa hæreſi tenentur, ſit notum, quam miſerabili verſentur in errore, perſpectáque veritate fortaſſe ad ſanitatem redeant. Atque hæc quidem Apoſtolicis & ſententiis & verbis explicavêre.

Arist. *Viſum eſt, ut leniter & pacificè cum Donatiſtis agatur, etiamſi ſe ab Eccleſiâ ſepararunt: ſi fortè eximiam noſtram reverentes lenitatem à captivitate liberentur.*

C Oportet mitis & pacifici Chriſti diſcipulos curam habere eorum qui ſe ab Eccleſiâ Catholicâ ſepararunt, & omnino ſtudere cum lenitate & manſuetudine reducere, eoſque Eccleſiæ iterum unire: non quidem ſuum tantum quærere, & aliorum ſalutem neglectui habere. Idcirco itaque & Donatiſtas, qui à Dominico corpore ſe abſciderunt, & errore detenti fuerunt, Synodus decrevit cum manſuetudine adire, & adhortari errorem deſerere, & agnoſcere veritatem; ut adhortantium charitatem & manſuetudinem forte reverentes, à captivitate liberentur.

D

Canon LXX.

De literis, quæ mitti debent magiſtratibus Africæ, ut clara ſint quæ inter Donatiſtas & Maximianiſtas acta ſunt. Placuit ergo, ut ex noſtra Synodo literæ ad Africæ Magiſtratus dentur, à quibus petere conſentaneum viſum eſt, ut communi matri catholicæ Eccleſiæ opem ferant, eo quòd Epiſcoporum auctoritas in civitatibus contemnitur; id eſt, ut ſua poteſtate & auctoritate ſtudióque & fide Chriſtiana inquirant E *quæ in omnibus locis fiunt, in quibus Maximianiſtæ Eccleſias detinuerunt: præterea autem, ut qui ab ipſis abſciſſi ſunt, omnibus firmam ac ſtabilem de iis cognitionem neceſſariò actis publicis inſeri faciant.*

Bals. Hic ſtatuitur, literas ſynodales ad magiſtratus qui ſunt in Africa dari, ut Eccleſiæ opem ferant, ubi Epiſcoporum auctoritas contemnitur; & per eorum poteſtatem corrigantur audacia Hæreticorum incepta, vel per acta publicè ſcripta, vel per manifeſtam punitionem.

F Zonar. Munus Epiſcoporum fuit populum erudire. Quod ſi qui eſſent ſeditioſi ac importuni, qui tumultus ac perturbationes in Eccleſia concitarent, ad eos coërcendos auxilium à Magiſtratibus implorabant. Idem igitur hoc loco ſtatuitur, ad eoſque Magiſtratus, ut Eccleſiæ Catholicæ communis omnium parentis patrocinium ſuſcipiant, literæ decernuntur. Parens vero fidelium communis Eccleſia dicitur, quòd in ea divino baptiſmatis munere initium vitæ duxerimus, ac ejus quidem vitæ, quam in divina luce ac libertate perturbationum vinculis ſoluti degimus, cujuſque beneficio ad cæleſtis vitæ felicitatem pervenimus. Patrocinari verò

illos in iis rebus maxime volunt, in quibus auctoritas Episcoporum contemnitur; ut Magistratuum opibus adjuti in ea, quæ à Maximianistis patrantur, inquirant. Maximianistæ porro quidam erant ex hæresi Donatistarum, qui à gregalibus suis hæreticis secessione facta Orthodoxorum Ecclesias occupaverant. De his ergo Synodi Patres, ut inquiratur à Magistratibus, rogant, ac in publicis actis, sive, commentariis publicè scriptis, horum cognitionem omnibus necessariam, id est, utilem, ex qua videlicet ad omnes utilitas perventura sit, inscribi atque inseri postulant.

Arist. *Literis Synodicis rogandum est magistratus, ut communi matri Ecclesiæ Catholicæ opem ferant, inter eos quibus Episcoporum auctoritas despectui habetur.*

Qui ratione & canonicis constitutionibus non persuadeantur, Magistratûs iis manu ad correctionem opus est. Idcirco itaque & hæc Synodus ad Africæ Magistratus scribere congruum judicabant, eosque postulare communi matri Ecclesiæ catholicæ opem ferre, in quibus Episcopi potestate Sacerdotali uti non possunt; despectui forsitan habiti ab hæreticis, vel etiam à fidelibus immorigeris.

Canon LXXI.

Ut Clerici Donatistarum in Catholicæ Ecclesiæ clerum recipiantur. Postea placuit, ut mittantur literæ ad fratres & Coëpiscopos nostros, & maximè ad Sedem Apostolicam, cui præsidet memoratus venerandus frater & Coëpiscopus noster Anastasius; quoniam scit Africam magnam habere necessitatem, ut propter Ecclesiæ pacem & utilitatem, & ipsorum quoque Donatistarum, qui quidem Clerici, mutato consilio, ad catholicam unionem transire voluerint, secundum uniuscujusque catholici Episcopi voluntatem & consilium, qui in ipso loco Ecclesiam gubernat; si hoc Christianorum paci conferre visum fuerit, ipsi in propriis honoribus suscipiantur: quemadmodum in prioribus temporibus de eadem dissensione factum esse manifestum est; quod quidem multarum atque adeò ferè omnium in Africa Ecclesiarum, in quibus hic error exortus est, exempla testantur. Non ut Synodus, quæ de ea re facta est in transmarinis partibus, dissolvatur: sed ut illud maneat apud eos, qui sic volunt ad catholicam Ecclesiam transire, ut nullam in eo unionis concisionem efficiat. Per quos autem omnibus modis effici & adjuvari Catholicam unionem, manifesto lucro fraternarum animarum, apparuerit, in iis locis in quibus degunt, ne eos impediat quod adversus eorum honores in transmarina Synodo constitutum est: quandoquidem salus nulli personæ exclusa est. Hoc est, ut qui fuerunt ordinati à parte Donatistarum, si ad Catholicam fidem correcti transire voluerint, non secundùm transmarinam Synodum non suscipiantur in propriis honoribus: sed ii magis suscipiantur, per quos catholicæ unitati providetur.

Bals. Hic quoque canon est specialis. Placuit enim Patribus, ut qui ex Donatistis ad fidem orthodoxam accedunt, ita suscipiantur, ut suos sacros gradus obtineant: etiamsi aliter de eo visum sit in transmarina Synodo, seu in Italia.

Zonar. De Donatistis hic quoque canon statuit. Et quidem, quamobrem in Italia habitæ Synodo adversetur, qua Donatistas, si ad fidem orthodoxam re-

A αἰτοῦσιν ἐν οἷς αὐθεντία τῶν ἐπισκόπων καταφρονεῖται, ἵνα διὰ τῆς ἀρχικῆς δυνάμεως ἐξετάσωσι τὰ γινόμενα παρὰ τῶν Μαξιμιανιστῶν. οἱ Μαξιμιανισταὶ δὲ τῆς τῶν Δονατιστῶν ἦσαν αἱρέσεως, οἱ ἀποσχίσαντες τῆς τῶν αἱρεσιωτῶν αὐτῶν μοίρας, κατέχον ὀρθοδόξων ἐκκλησίας. περὶ τούτων οὖν ζητῆσαι τοὺς ἄρχοντας ἀξιοῦσιν οἱ τῆς συνόδου, καὶ ἐν πράξεσι δημοσίαις, ἤγουν ἐν ὑπομνήμασι δημοσίᾳ γραφομένοις, ἐντεθῆναι καὶ ἐγγραφῆναι τὴν περὶ τούτων γνῶσιν, ἀναγκαίως πᾶσιν, ἀντὶ τοῦ λυσιτελῶς, ὡς ὠφέλειαν δυναμένην προξενῆσαι.

B **ΑΡΙΣΤ.** Γράμμασι συνοδικοῖς ἀξιωτέον τοὺς ἄρχοντας βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς ἡ τῶν ἐπισκόπων αὐθεντία καταφρονεῖται.

Οἱ μὴ πειθόμενοι λόγῳ καὶ τοῖς κανονικοῖς ἐπιτάγμασιν, ἀρχοντικῆς χειρὸς δέονται πρὸς διόρθωσιν. διὰ τοῦτο γοῦν καὶ ἡ σύνοδος αὕτη πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας ἁρμόδιον ἔκρινε γράψαι, καὶ ἀξιῶσαι αὐτοὺς βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν οἷς οἱ ἐπίσκοποι τῇ ἱερατικῇ ἐξουσίᾳ οὐ δύνανται χρήσασθαι, καταφρονούμενοι ἴσως παρὰ αἱρετικῶν, ἢ καὶ πιστῶν ἀνυποτάκτων.

C

ΚΑΝΩΝ οα΄.

Περὶ τοῦ, τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας ἀναδέχεσθαι. εἰς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος· ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἔχειν ἀνάγκην, ὥστε διὰ τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ αὐτῶν τῶν Δονατιστῶν, D οἵτινες δήποτε κληρικοὶ διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσοιεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν καὶ βουλήν, τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν Χριστιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσιν χρόνοις περὶ τῆς αὐτῆς διαστάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτυροῦνται. οὐχ ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περαματικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γενομένη διαλυθῇ, ἀλλ᾽ ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτως E μετελθεῖν πρὸς τὴν καθολικὴν ἐκκλησίαν βουλομένους, ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συντομίαν περιεργάζεσθαι. δι᾽ ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι καὶ προσβοηθηθῆναι ἡ καθολικὴ ἑνότης φανερῷ κέρδει τῶν ἀδελφικῶν ψυχῶν φανείη ἐν τοῖς τόποις, οἷς διάγουσιν, μὴ ἐμποδίσῃ τούτους τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν αὐτῶν ἐν τῇ περαματικῇ συνόδῳ, ὁπότε τὸ σωθῆναι οὐδενὶ προσώπῳ ἀποκέκλεισται, τοῦτ᾽ ἔστιν, ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῶν Δονατιστῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν πίστιν διορθωθέντες μετελθεῖν θελήσοιεν, μὴ κατὰ τὴν περαματικὴν σύνοδον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις τιμαῖς. ἀλλὰ μᾶλλον οὗτοι F προσδεχθῶσιν, δι᾽ ὧν τῇ καθολικῇ ἑνότητι γίνεται πρόνοια.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἰδικός ἐστιν. ἤρεσε γὰρ τοῖς πατράσι δέχεσθαι τοὺς ἀπὸ τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε ἔχειν αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμούς, κἂν ἄλλως ἔδοξε τὰ περὶ τούτου ἐν τῇ περαματικῇ συνόδῳ, ἤγουν τῇ ἐν Ἰταλίᾳ.

ΖΩΝΑΡ. Περὶ Δονατιστῶν καὶ οὗτος ὁ κανὼν διατάττεται, πολλὰ μὲν διεξιὼν καὶ ἀπολογούμενος, ὅτι ἐναντιοῦται τῇ ἐν τοῖς μέρεσι τῆς Ἰταλίας γενομένῃ συνόδῳ, καὶ ὁρισάσῃ μὴ δέ-

χεσθαι

χέσθαι τοὺς ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν προσερχομένους τῇ ὀρθοδόξῳ πίστει, ὥστε ἔχειν αὖθις αὐτοὺς τοὺς οἰκείους ἱερατικοὺς βαθμούς. τυπῶν δὲ καὶ διαταττόμενος τοὺς χειροτονηθέντας ὑπὸ Δονατιστῶν κληρικοὺς, ἐὰν προσέλθωσι τῇ καθολικῇ ἐκκλησίᾳ, δέχεσθαι ἐν ταῖς οἰκείαις τιμαῖς, ὥστε δηλαδὴ ἔχειν ἐκείνους τοὺς οἰκείους βαθμοὺς, καὶ κατ' ἐκείνους τιμᾶσθαι, καὶ μὴ κατὰ τὴν περαματικὴν σύνοδον, μὴ δέχεσθαι τοὺς τοιούτους ἐν ταῖς τιμαῖς αὐτῶν. περαματικὴν δὲ σύνοδον λέγει τὴν ἐν Ἰταλίᾳ γενομένην, ὡς εἴρηται. δεχομένων γάρ, φησι, τῶν Δονατιστῶν ἐν τοῖς οἰκείοις βαθμοῖς, πρόνοια γίνεται τῇ καθολικῇ ἑνότητι. πλειόνων δηλονότι οὕτω μελλόντων προσιέναι τῇ ὀρθοδόξῳ πίστει, καὶ ἑνότητος γενομένης τῶν πιστευόντων.

ΑΡΙΣΤ. Οἱ ὑπὸ τῶν Δονατιστῶν κεχειροτονημένοι, εἰ καὶ τῇ πέραθεν συνόδῳ μεταμελόμενοι ἀποκέκληνται, ἀλλ' ἐπεὶ τὸ, σωθῆναι πάντας καλὸν, διορθούμενοι προσδεχέσθωσαν.

Οὗτοι οἱ Δονατισταὶ μεταμελόμενοι, καὶ τὴν ἰδίαν ἀναθεματίζοντες αἵρεσιν, ἐπὶ τῆς ἰδίας τιμῆς μένειν συνεχωρήθησαν, καὶ τῷ κλήρῳ τῆς καθολικῆς ἐκκλησίας συντάττεσθαι, διὰ τὸ τὴν Ἀφρικὴν πολλὴν ἔνδειαν κληρικῶν ἔχειν.

ΚΑΝΩΝ οβ'.

Περὶ τοῦ, πρεσβείαν πρὸς τοὺς Δονατιστὰς ἀποστεῖλαι χάριν τοῦ εἰς τὴν εἰρήνην συνθεῖναι. ἤρεσεν ἔπειτα, ὥστε τούτων πραχθέντων τοποτηρητὰς περὶ τοῦ κηρύξαι εἰρήνην καὶ ἑνότητα, ἧς τινος χωρὶς ἡ τῶν Χριστιανῶν σωτηρία καθίστασθαι οὐ δύναται, πεμφθῆναι ἐκ τοῦ ἡμετέρου ἀριθμοῦ πρὸς τοὺς τῶν αὐτῶν Δονατιστῶν, εἴτε τινὰς ἔχουσιν ἐπισκόπους, εἴτε λαϊκούς· δι' ὧν τοποτηρητῶν πᾶσιν ἐν γνώσει γένηται, ὡς οὐδὲν ἔχουσιν εὔλογον κατὰ τῆς καθολικῆς ἐκκλησίας· μάλιστα ἵνα φανερὸν πᾶσιν γένηται διὰ τῶν πολιχνιωτικῶν πεπραγμένων πρὸς πίστωσιν τῆς ἀποδείξεως, ὥσπερ αὐτοὶ περὶ τῶν Μαξιμιανιστῶν τῶν ἰδίων σχισματικῶν ἔπραξαν, ἔνθα αὐτοῖς θεόθεν ἀποδείκνυται, ἐὰν ἐπισκῆψαι θελήσοιεν, οὕτως ἀδίκως τότε αὐτοὺς ἀπὸ τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἀποσχισθέντας, ὥσπερ κράζουσιν ἀδίκως ἀπ' αὐτῶν τοὺς Μαξιμιανιστὰς νῦν ἀποσχίσαι. ἐκ δὲ τοῦ ἀριθμοῦ τούτων, οὕς τινας φανερᾷ τῆς οἰκείας βουλῆς αὐθεντείᾳ κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς ἰδίαις τιμαῖς ἀνεδέξαντο, καὶ τὸ βάπτισμα, ὃ οἱ παρ' αὐτοῖς καταδεδικασμένοι καὶ ἐκβεβλημένοι δεδώκασι, προσεδέξαντο, πρὸς τὸ δειχθῆναι, πῶς μωρᾷ καρδίᾳ ἀντιτάσσονται τῇ εἰρήνῃ τῆς ἐκκλησίας, τῆς ἐν παντὶ τῷ κόσμῳ διακεχυμένης. ταῦτα ποιοῦντες ὑπὲρ τοῦ μέρους τοῦ Δονάτου, καὶ μὴ λέγοντες ἑαυτοὺς μολύνεσθαι τῇ κοινωνίᾳ τῶν παρ' αὐτοῖς οὕτως διὰ τὸ ἀκούσιον τῆς εἰρήνης ἀναδεχθέντων· ἡμῖν δὲ φιλονεικοῦντες, τοῦτ' ἔστι τῇ καθολικῇ ἐκκλησίᾳ, ἔτι μὴν καὶ τῇ ἐν τοῖς ἐσχάτοις μέρεσι τῆς γῆς καθεστώσῃ, διὰ τῆς μιασμένης τούτων κοινωνίας, ὧν τινων πρότερον κατητιῶντο πάντες, ἐλέγξαι αὐτοὺς οὐκ ἠδυνήθησαν.

ΒΑΛΣ. Καὶ οὗτος ὁ παρὼν κανὼν περὶ τῶν Δονατιστῶν φησιν. ἔδοξε γὰρ σταλῆναι τινὰς πρὸς αὐτοὺς τοποτηρητὰς χάριν εἰρήνης καὶ ἑνώσεως, καὶ χάριν τοῦ ἀποδεῖξαι, ὅτι οὐ καλῶς ἀντιτάσσονται τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ὅτι καί τινες τῶν Μαξιμιανιστῶν τῶν ἀποσχισθέντων ἀπ' αὐτῶν ἀδίκως, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς, καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο, καὶ ὅτι οὓς αὐτοὶ, οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης, ἐβάπτισαν, παρεδέξαντο, καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

A verterentur, in ſacrorum ordinum gradibus permanere vetitum fuerat, multis exponit & excuſationem contexit. Tum vero ut Clerici, qui à Donatiſtis ordines ſuſcepêre, ſi ad Eccleſiam Catholicam ſe conferant, in ſuis ordinibus maneant, eorúmque prærogativis, pro cujuſque ordinis ratione, fruantur; neque vero iis ſpolientur, quemadmodum in transmarina Synodo conſtitutum fuerat, decernunt. Transmarinam vero Synodum, eam quæ in Italia, ut diximus, coacta eſt, nominat. Cum enim Donatiſtas, inquit, in ſuo quemque ordine ſuſcipimus, Catholicæ ſimul unitati proſpicimus. Ex hoc namque fiet, ut plures B Orthodoxam fidem amplectantur, ac proinde magis ac magis in dies credentium unitas coaleſcat.

Arist. *Qui à Donatiſtis ordinantur, etiamſi à Synodo transmarinâ reſipiſcentes excluſi ſunt, cùm verò bonum ſit ut omnes ſalventur, ſi ſe corrigant, recipiantur.*

Hi Donatiſtæ pœnitentia acti, & propriam anathematizantes hæreſim, in proprio honore manere permittuntur, & in Catholicæ Eccleſiæ clero collocari; quia Africa multâ laborat Clericorum egeſtate.

C

Canon LXXII.

Ut legatio mittatur ad Donatiſtas de componenda pace. Poſtea placuit, ut his actis ex noſtro numero mittantur Legati pro prædicanda pace & unione, ſine qua Chriſtianorum ſalus non poteſt conſiſtere, ad ipſorum Donatiſtarum, ſive quos habent Epiſcopos, ſive Laicos; per quos Legatos omnibus innoteſcat, quod nihil habent juſtum rationíve conſentaneum, quod dicant adverſus Catholicam Eccleſiam: maximè ut manifeſtum ſit omnibus per acta municipalia, D *ad fidem demonſtrationi aſtruendam, ſicut ii de Maximianiſtis propriis ſchiſmaticis fecerunt; ubi ipſis divinitùs oſtenditur, ſi conſiderare voluerint, eos tam injuſtè tunc ab Eccleſiaſtica unione abſciſſos, quàm ipſi clamant injuſtè Maximianiſtas à ſe eſſe divulſos. Ex eorum autem numero, quos aperta proprii conſilii auctoritate condemnaverunt, poſtea in propriis honoribus ſuſceperunt: & baptiſmum, quem dedêre ii, qui apud ipſos condemnati & ejecti ſunt, admiſerunt, ut oſtendatur quomodo ſtulto corde paci* E *Eccleſiæ adverſantur, quæ in univerſo orbe diffuſa eſt. Hæc agentes pro parte Donati, & dicentes ſeipſos non pollui communione eorum, qui à ſe propter pacis neceſſitatem ſuſcepti ſunt: nobiſcum autem contendentes, hoc eſt, cum Catholica Eccleſia, quæ vel in extremis partibus orbis conſiſtit, per pollutam eorum communionem, quos priùs omnes accuſabant, ipſos coarguere non potuerunt.*

F **Bals.** Hic quoque præſens canon de Donatiſtis loquitur. Viſum eſt enim ut aliqui ad eos mitterentur Legati pro pace & unione, & ad oſtendendum, quòd ii non rectè adverſantur Catholicæ Eccleſiæ; & quòd aliqui etiam eos ex Maximianiſtis, qui ab eis injuſtè, ut ipſi dicunt, deſciverunt, ſuſcipiunt, & cum illis communicant; & quos ſuo proprio conſilio condemnarunt, poſtea in propriis honoribus ſuſceperunt; & quòd eos, quos qui ab ipſis ſunt condemnati, & ab eo quod illis eſt ſacerdotio ejecti, baptizaverunt, ſuſcepêre; & quòd hæc agentes non ſe pollui dicunt.

A **Zonar.** Hæc quoque de Donatiſtis. Ad eos namque mitti è ſynodali conventu Legatos placuit, qui ipſos ad pacem, unitatemque cum Eccleſia Catholica firmandam hortarentur. Doceant eos præterea, minime recte facere, quòd Eccleſiaſticæ quieti conſtitutionis adverſentur; neque jure propter diviſam ipſorum communionem cum Eccleſia Catholica contentionem habere. Quòd verò etiam ex Maximianiſtis quoſdam ſuſcipiunt, qui ab iis, ut ipſi aſſerunt, immeritò defecere, & cum iis communicant, quoſque antea ſua ſententia damnarunt, poſtmodum honoribus eorum conſervatis admiſerunt; quod etiam alios ab iis baptizatos, quos ipſimet condemnarunt, ac eo, qui apud ipſos eſt, B ſacro ordine moverunt, non repudiant, nec ullam ſe ex hoc labem contrahere arbitrantur; in his quoque ipſos non mediocriter peccare demonſtrent.

Arist. *Placuit, ut Legati mittantur ad pacem & unionem Donatiſtis ad fidem orthodoxam converſis prædicandam.*

Patres hi non tantum judicarunt Donatiſtas ad Eccleſiam Catholicam accedentes admittendos eſſe, ſed & legatos ad eos mittendos ad pacem Eccleſiarum & unitatem prædicandam, ſi ad orthodoxam fidem convertantur. C

Canon LXXIII.

Quinam ex Clericis debeant ab uxoribus abſtinere. Ad hæc autem dum de aliquorum Clericorum in ſuas uxores continentia mentio fieret, placuit, ut Presbyteri, Epiſcopi & Diaconi propriis terminis etiam à ſuis abſtineant uxoribus; quod niſi fecerint, Eccleſiaſtico ordine moveantur: reliqui autem Clerici ad hoc non cogantur, ſed debent uniuſcujuſque Eccleſiæ conſuetudinem ſervare. D

Bals. Quomodo debent ſe à ſuis uxoribus continere Epiſcopi & Presbyteri & Diaconi tempore vicis ſuæ, in xiii. can. Syn. in Trullo dictum eſt. Præſens quoque canon dicit eos deponendos, niſi tunc ſe continuerint. Hæc autem à reliquis Clericis non exigunt, ut qui ſacramenta non contrectent, ſed eos jubent ſervare Eccleſiæ conſuetudinem. Lege & iii. canonem Archiepiſcopi Alexandriæ Dionyſii. Nota ergo, quòd tempore præſentis Syn. habebant Epiſcopi ſuas uxores ſine præjudicio. Sic itaque hæc canone ſancita ſunt. E Quomodo autem deponentur, qui forſitan non abſtinent, cum res non ſit manifeſta. Quis enim contra ſeſe confitebitur? vel quis eum convincere aggredietur? Quapropter mea eſt ſententia, ut ſacris initiati non perpetuo ſacra celebrent. Propterea enim & in decimo Synodi in Trullo canone Patres de vicibus meminerunt. Et idcirco in magnis & Catholicis Eccleſiis ſacratorum miniſteria diviſa ſunt. Qui enim quotidie ſacra celebrant canoni ſunt obnoxii ex præſumptione, quod cum uxoribus cohabitant; & aperte populos offendunt. Propter hoc enim, ut mihi videtur; ne quis in multis Eccleſiis fiat Clericus prohibitum eſt, F & etiam ne ſacrorum celebratio & baptiſmata in oratoriis fiant, quæ ſunt in domibus. Et hoc exolevit propter aliam rationem ex novellâ Domini Leonis Philoſophi, quam etiam in diverſorum canonum interpretationibus ſitam legas vellem.

Zonar. Hic etiam de continentia eorum, qui ſacris initiati ſunt, ab uxorum ſuorum commercio Patres decernunt. Epiſcopis ergo, Presbyteris & Diaconis, ab eis abſtinendum eſſe præcipiunt; ac ſi qui con-

ΖΩΝΑΡ. Καὶ ταῦτα περὶ Δονατιστῶν. τοποτηρητὰς γὰρ ἔδοξε σταλῆναι πρὸς αὐτοὺς ἐκ τῆς συνόδου, προσκαλουμένους αὐτοὺς εἰς τὸ εἰρηνεῦσαι καὶ ἑνωθῆναι τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ἀποδείξοντας αὐτοῖς, ὅτι οὐ καλῶς ἀντιπράσσονται τῇ εἰρήνῃ τῆς ἐκκλησιαστικῆς καταστάσεως, οὐδὲ δικαίως φιλονεικοῦσι τῇ καθολικῇ ἐκκλησίᾳ διὰ τῆς μεμερισμένης αὐτῶν κοινωνίας. ἐλέγχουσι δὲ αὐτοὺς μὴ καλῶς ποιοῦντας, καὶ ὅτι καί τινας τῶν Μαξιμιανιστῶν, τῶν ἀποχισθέντων ἀπ' αὐτῶν ἀδίκως, ὡς αὐτοὶ λέγουσι, δέχονται καὶ συγκοινωνοῦσιν αὐτοῖς, καὶ οὓς αὐτοὶ ἐξ οἰκείας βουλῆς κατεδίκασαν, μετὰ ταῦτα ἐν ταῖς οἰκείαις τιμαῖς ἐδέξαντο, καὶ ὅτι οὓς αὐτοὶ οἱ παρ' αὐτῶν καταδεδικασμένοι καὶ ἐκβεβλημένοι τῆς παρ' αὐτοῖς ἱερωσύνης, ἐβάπτισαν παρεδέξαντο, καὶ ὅτι οὐδὲ λέγουσι μολύνεσθαι ταῦτα ποιοῦντες.

ΑΡΙΣΤ. Ἤρεσε πρέσβεις ἀποσταλῆναι, κηρύξοντας τοῖς Δονατισταῖς εἰρήνην καὶ ἑνότητα, μετατιθεμένοις πρὸς τὸ ὀρθόδοξον.

Οὐ μόνον προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ τοὺς Δονατιστὰς δέον ἔκριναν οἱ πατέρες οὗτοι παραδέχεσθαι, ἀλλὰ καὶ πρέσβεις πρὸς αὐτοὺς εἰρήνην τῶν ἐκκλησιῶν καὶ ἑνότητα, εἰ μετατεθῶσι πρὸς τὸ ὀρθόδοξον.

ΚΑΝΩΝ ογ΄.

Περὶ τοῦ, ποῖοι ὀφείλουσι τῶν κληρικῶν γαμετῶν ἀπέχεσθαι. πρὸς ἐπὶ τούτοις ἐν τῷ περὶ ἐγκρατείας τῆς περὶ τὰς οἰκείας γαμετὰς τινων μνημονεύεσθαι κληρικῶν, ἤρεσεν, ὥστε τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους κατὰ τοὺς ἰδίους ὅρους καὶ ἐκ τῶν ἰδίων ἔτι μὴν ἀπέχεσθαι γυναικῶν, ὅπερ εἰ μὴ ποιήσαιεν, ἀπὸ τῆς ἐκκλησιαστικῆς ἀποκινηθῶσι τάξεως· τοὺς δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, ἀλλ' ὀφείλειν κατὰ τὴν ἑκάστης ἐκκλησίας συνήθειαν παραφυλάττεσθαι.

ΒΑΛΣ. Πῶς ὀφείλουσιν ἐγκρατεύεσθαι ἀπὸ τῶν ἰδίων γαμετῶν οἱ ἐπίσκοποι οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτῶν, εἴρηται ἐν τῷ ιγ΄. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου. καὶ ὁ παρὼν δὲ κανὼν φησὶ καθαιρεῖσθαι τούτους εἰ μὴ τηνικαῦτα ἐγκρατεύωνται. τοὺς δέ γε λοιποὺς κληρικοὺς ταῦτα οὐκ ἀπαιτοῦσιν, ὡς μὴ ψηλαφῶντας τὰ ἅγια, ἀλλὰ παρεγγυῶνται αὐτοῖς φυλάττειν κατὰ τὸ τῆς ἑκάστης χώρας ἔθιμον. ἀνάγνωθι καὶ τὸν γ΄. κανόνα τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου. σημείωσαι οὖν, ὅτι κατὰ τὸν καιρὸν τῆς παρούσης συνόδου εἶχον ἀποκριματίστως τὰς οἰκείας γαμετὰς οἱ ἐπίσκοποι. οὕτω μὲν οὖν κεκάνισται ταῦτα· πῶς δὲ καθαιρεθήσονται οἱ ἴσως μὴ ἐγκρατευόμενοι ἀδήλου τοῦ πράγματος ὄντος· τίς γὰρ ὁμολογήσει καθ' ἑαυτοῦ; ἢ τίς πρὸς τὸν τούτου ἔλεγχον ἀποδύσεται; διὸ γνώμην δίδωμι μὴ δι' ὅλου ἱερουργεῖν τοὺς ἱερωμένους. διὰ γὰρ τοῦτο καὶ ἐν τῷ ι΄. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου ἐφημερίας ἐμνήσθησαν οἱ πατέρες. διὸ καὶ ἐν ταῖς μεγάλαις καὶ καθολικαῖς ἐκκλησίαις διῄρηνται αἱ τῶν ἱερωμένων δουλείαι. οἱ γὰρ καθ' ἑκάστην λειτουργοῦντες ἔνοχοι γίνονται τῷ κανόνι, ἀπὸ προλήψεως διὰ τὸ συνοικεῖν γαμεταῖς· διόλου καὶ σκανδαλίζουσι τοὺς λαούς· οἶμαι γάρ, ὅτι καὶ τὸ μὴ κληροῦσθαι τὸν αὐτὸν εἰς πολλὰς ἐκκλησίας διὰ τοῦτο ἐκωλύθη· ἔτι τε καὶ τὸ γίνεσθαι λειτουργίαν καὶ βαπτίσματα εἰς τὰ κατ' οἶκον εὐκτήρια. καὶ τοῦτο ἠπράκτησε δι' ἕτερον λόγον ἀπὸ νεαρᾶς τοῦ φιλοσόφου κυροῦ Λέοντος, ἣν καὶ ἀνάγνωθι καταστρωθεῖσαν ἐν ἑρμηνείαις διαφόρων κανόνων.

ΖΩΝΑΡ. Κἀν τούτῳ οἱ πατέρες οὗτοι περὶ ἐγκρατείας τῆς πρὸς τὰς ἑαυτῶν γαμετὰς διατάττονται τοῖς ἱερωμένοις, καὶ φασὶ δεῖν τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους ἀπέχεσθαι καὶ ἐκ τῶν ἰδίων γαμετῶν κατὰ τοὺς ἰδίους ὅρους, ἤγουν κατὰ τὰς ὡρισμένας ἡμέρας τῆς ἑκάστου ἐφημερίας, τοὺς δὲ μὴ τοῦτο ποιοῦντας, καθαιρεῖσθαι. ὅσπερ τοὺς λοιποὺς κληρικοὺς διαφυλάττειν οὐκ ἀπαιτοῦσι, ποιεῖν δ᾽ ἐκείνους ὁρίζουσι κατὰ τὴν τῆς ἐκκλησίας, ἐν ᾗ ἕκαστος ἐχειροτονήθη, συνήθειαν. ὅρα τοίνυν κἀνταῦθα τὸ ἔθος ὡς νόμον κρατοῦν. καὶ ὁ ιγ΄. δὲ κανὼν τῆς ἕκτης συνόδου πλατύτερον διέξεισι περὶ τῆς ἐγκρατείας τῶν ἰδίων γαμετῶν, ὥστε αὐτῶν ἀπέχεσθαι, κατὰ τὸν καιρὸν τὸν προσήκοντα, τοὺς ψηλαφῶντας τὰ ἅγια, ἀλλὰ καὶ ὁ γ΄. κανὼν τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας Διονυσίου.

ΑΡΙΣΤ. Ἐπίσκοποι πρεσβύτεροι καὶ διάκονοι τῶν ἰδίων γαμετῶν ἀπεχέσθωσαν, ἢ τῆς ἐκκλησιαστικῆς ἀποκινείσθωσαν τάξεως. οἱ λοιποὶ δὲ κληρικοὶ πρὸς τοῦτο μὴ ἀναγκαζέσθωσαν· ἀλλ᾽ ἡ συνήθεια φυλαττέσθω.

Οὗτος ὁ κανὼν περὶ πάντων ἀδιαστίκτως διατάττεται, ἐπισκόπων, πρεσβυτέρων καὶ διακόνων, κατὰ τοὺς ἰδίους ὅρους, τῶν ἰδίων ἀπέχεσθαι γαμετῶν· ὁ δὲ δωδέκατος κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου οὐ συγχωρεῖ τοῖς ἐπισκόποις, μετὰ τὴν προελθοῦσαν ἐπ᾽ αὐτοῖς τῆς ἐπισκοπῆς χειροτονίαν, ταῖς ἰδίαις συνοικεῖν γαμεταῖς· ἵνα μὴ πρόσκομμα τοῖς λαοῖς ἐντεῦθεν ὦσι τιθέντες καὶ σκάνδαλον. ὁ δὲ τρισκαιδέκατος τῆς αὐτῆς συνόδου κανὼν προστάττει τοὺς πρεσβυτέρους καὶ διακόνους μὴ καθομολογεῖν, ἐν τῷ ἀξιοῦσθαι τῆς χειροτονίας, τῶν ἰδίων ἀφίστασθαι γαμετῶν, καθὼς ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος τοῦτο ἐκράτησεν· ἀλλὰ συνοικεῖν αὐταῖς, καὶ μὴ ἀποστερεῖσθαι τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. κρατοῦσιν οὖν οἱ κανόνες ἐκεῖνοι, καὶ κατ᾽ αὐτοὺς σήμερον ἡ ἐκκλησία πολιτεύεται.

ΚΑΝΩΝ οδ΄.

Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων. πάλιν ἤρεσεν, ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν ἑαυτὸν ἀποφέρειν· ἢ ἐν οἰκείῳ πράγματι, ὑπὲρ ὃ χρὴ, ἐπιπολὺ ἀπησχολημένῳ ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

ΒΑΛΣ. Τινὲς ἐπίσκοποι καταλιμπάνοντες τὰς πρωτοτύπους καθέδρας αὐτῶν, ἀπήρχοντο καὶ προσεκάθηντο εἴς τινας ἑτέρας ἐκκλησίας παροικιῶν διαφερουσῶν αὐτοῖς, πολυανθρωποτέρας ἴσως οὔσας ἢ καὶ πολυεισοδοτέρας. ὥρισαν οὖν οἱ πατέρες, μηδενὶ ἐπισκόπῳ ἐξεῖναι τοῦτο ποιεῖν, ἀλλὰ μηδὲ χάριν ὑποθέσεως οἰκείας ἀπολιμπάνεσθαι ἐκ τῆς λαχούσης αὐτὸν ἐπὶ πολὺ, καὶ οὕτως ἀμελεῖν τοῦ συνεχῶς διδάσκειν τὸν οἰκεῖον λαόν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. ἐρωτήσει δέ τις, εἰ τὰ τοῦ κανόνος ἔχουσι χώραν καὶ εἰς τοὺς ἀπολέσαντας ἀρχιερεῖς τὰς πρωτοτύπους καθέδρας αὐτῶν, ὡς κατασχεθείσας ὑπὸ ἐθνῶν· καὶ δύνανται οὗτοι ἀπροκριματίστως μεταπίπτειν εἰς ἐκκλησίας παροικιῶν αὐτῶν; λύσις. τινὲς εἶπον, δύνασθαι τοῦτο ποιεῖν τὸν ἐπίσκοπον αὐτοθελῶς. ἕτεροι εἶπον, δέεσθαι τοῦτον καὶ συνοδικῆς διαγνώσεως. ἄλλοι καὶ διὰ προστάξεως βασιλικῆς τοῦτο γίνεσθαι εἶπον. ἐμοὶ δὲ δοκεῖ, ὡς εἰ μὲν ὁ τοιοῦτος μητροπολίτης βούλεται μεταπεσεῖν εἰς θρόνον ἐπισκοπῆς αὐτοῦ, διὰ τὸ κατασχεθῆναι παρὰ ἐθνῶν τὴν πρωτότυπον ἐκκλησίαν τούτου, ὀφείλει μετὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως ἐν ταύτῃ ἀποκατασταθῆναι· ὥσπερ γέγονε τοῦτο εἰς τὸν μητροπολίτην Νεοκαισαρείας, ἀντὶ καθίσματος ἔχοντα τὴν οἰκείαν ἐπισκοπὴν τὸ Οἴναιον· εἰς τὸν μητροπολίτην Πισιδίας, Ἀντιοχείας τὴν Σωζόπολιν λαβόντα εἰς κάθισμα. καὶ εἰς ἑτέρους πολλούς. εἰ δὲ ἡ παροικία οὐ τετίμηται διὰ θρόνου ἐπισκοπικοῦ διὰ μόνης συνοδικῆς διαγνώσεως, ἵνα ἐγκαταστῇ εἰς αὐτὴν, καὶ οὐκ αὐτοθελῶς, ὥς τινες λέγουσιν· ἵνα μὴ ἐναντιωθῇ τῷ ἀποστολικῷ κανόνι, καὶ τοῖς λοιποῖς, τοῖς διοριζομένοις μηδέν τι καινοφανὲς ποιεῖν τὸν ἐπίσκοπον παρὰ γνώμην συνοδικήν.. ἔτι ἐρωτήσει τις, εἰ τοῦ κανόνος ταῦτα διοριζομένου δύναται ἐπίσκοπος,

A tra fecerint depoſitione puniendos. Ab aliis verò Clericis nequaquam id exigunt; ſed ab unoquoque Eccleſiæ ſuæ conſuetudinem in ea re ſervari jubent. Atque hic quoque conſuetudinem vim Legis obtinere animadverte. De continentia porro à propriis uxoribus ſervanda, ne cum iis per tempus aliquod conveniens rem habeant, qui ſacra tractant, tertius decimus ſextæ Synodi, quin & tertius Dionyſii Alexandrini Archiepiſcopi Canon, uberiùs diſſerunt.

ARIST. *Epiſcopi, Presbyteri, & Diaconi à propriis* B *uxoribus abſtineant vel ordine Eccleſiaſtico dimoveantur. Reliqui verò Clerici ad idem ne compellantur: ſed conſuetudo obſervetur.*

Hic Canon de omnibus ſine diſtinctione ſtatuit, Epiſcopis, Presbyteris, & Diaconis ſecundum propria tempora à ſuis abſtinere uxoribus. At duodecimus ſextæ in Trullo Synodi Canon Epiſcopis non permittit, poſtquam ad Epiſcopatum ordinati fuerunt, cum ſuis uxoribus cohabitare: ne offenſionem & ſcandalum exinde populis darent. At xiii. ejuſdem Synodi Canon mandat Presbyteris & Diaconis, cum ordinatione habeantur digni, à ſuis uxoribus ſecedere non profiteri; quem- C admodum in Romanorum Eccleſiâ Canonis ad inſtar illud obtinuerat: ſed cum iis habitare, & mutuâ convenienti tempore converſatione non privari. Prævalent itaque iſti Canones, & ſecundum eos Eccleſia hodie gubernatur.

CANON LXXIIII.

De iis, qui proprios populos relinquunt. Rurſus placuit, ut nulli liceat Epiſcopo, relicta ſua Sede D *principali, ad aliquam Eccleſiam in Diœceſi conſtitutam ſeipſum conferre; vel de re propria pluſquam oportet ſollicito, propriæ ſedis curam & ſollicitudinem negligere.*

BALS. Quidam Epiſcopi ſuas primitivas Cathedras relinquentes, in aliquas alias Eccleſias Parœciarum ad ſe pertinentium, quæ erant fortè magis populoſæ aut majoris redditus, ſe conferebant, & illic ſedebant. Statuerunt ergo Patres, nulli licere hoc facere: ſed neque proprii negotii gratia diſcedere ab ea, quæ illum diu ſortita eſt, & ſic populum aſſiduè docendi curam non E gerere. Et in his quidem verſatur Canon. Interrogaverit autem quiſpiam, an quæ hoc Canone dicuntur locum habeant etiam in Antiſtitibus, qui ſuas primitivas Eccleſias perdiderunt, ut quæ à gentibus occupatæ fuerint: an ii poſſint citra præjudicium migrare in Eccleſias ſuarum parœciarum? Solutio. Quidam dixerunt, Epiſcopum ex propria voluntate hoc facere poſſe. Alii dicebant, eum etiam Synodali cognitione opus habere. Alii etiam per mandatum Imp. hoc fieri dicebant. Mihi autem videtur, quòd ſi quidem Metropolitanus vult in ſui Epiſcopatus Sedem migrare, eo quòd à gentibus ſit occupata primitiva eorum Eccleſia, de- F bet cum mandato Imperiali & Synodali cognitione in ea conſtitui: quemadmodum in Neocæſareæ Metropolitano factum eſt, qui pro Sede accepit proprium Epiſcopatum Oenæum; in Metropolitano Piſidiæ Antiochiæ, qui Sozopolin pro Sede accepit; & in multis aliis. Sin autem Sede Epiſcopali non fuit honorata parœcia per ſolam Synodalem cognitionem, ut in ea conſtituatur: nec ex propria voluntate, quemadmodum quidam dicunt; ne Canoni Apoſtolico adverſetur, & reliquis, qui ſtatuunt Epiſcopum nihil poſſe innovare præter Synodalem ſententiam. Præterea interrogaverit quiſpiam, ſi cùm Canon hæc decernat, poteſt Epiſcopus per mandatum Imperiale & Synodalem cognitionem, à ſua Primitiva Sede migrare, licèt non à gentibus occupata, in Cathedram ſui Epiſcopatus, vel in Eccleſiam ſuæ parœciæ? Solutio. Cum Imperatoris mandato & Synodali cognitione utrumque Epiſcopo concedetur: aliàs autem, nullo modo. Propterea enim & Archiepiſcopus Derci, cùm ſæpe petiviſſet ut à Derco migrare liceret, in emporium quod dicitur Phileas, eò quòd id eſſet populoſius, non eſt exauditus. Porrò & alii diverſi Antiſtites, inopes quidem Eccleſias habentes, divites autem parœcias & populoſas, cùm hoc petiviſſent, non fuerunt exauditi propter præſentem Canonem. Nota hæc & memoria tene propter tranſlationes quæ petuntur ab Antiſtitibus, & fiunt in aliquibus. Quære Chalced. Syn. Can. xii. & xvii. qui dicunt, debere Eccleſiaſticos ſequi ea, quæ decernuntur à poteſtate Imperiali. Quia autem præſens Canon ſtatuit, non debere Epiſcopum peregrinari pluſquam oportet, ab ea quæ illum ſortitus eſt (eſt autem hoc incertum) lege decimum ſextum Canonem Synodi quæ habita eſt in æde ſanctorum Apoſtolorum, & interpretare præſentem Canonem ſecundùm leges quæ in ipſo ſunt poſitæ.

Zonar. Ab Epiſcopis cum ipſa rei natura, tum decreta Canonum ea de re ſæpius edita, poſtulant, ut in ſua Epiſcopali ſtatione perpetuo degant, ac in populis erudiendis, atque ad rectam virtutis ſemitam dirigendis, laborent; non autem primaria ſua Sede relicta, in aliam Eccleſiam ſe conferant. Multi namque Epiſcopi in aliis ſuæ Diœceſis locis Eccleſias habent, quæ & parœciæ à Canonibus vocantur: quibus nulli peculiares Epiſcopi præfici conſuevêre. Igitur hic Canon in aliquam ejuſmodi Eccleſiam Epiſcopum proficiſci, ac in ea populi ſui cura neglecta diutius morari, vetat; ſed vel in ea Chorepiſcopum conſtituere, vel Presbytero procurationem ejus loci rerum mandare, jubet: Epiſcopos vero in ſua quemque Eccleſia continenter obdurare, ac ne proprii quidem negotii tractandi cauſa diutius, quam par eſt abeſſe, curámve ſollicitè in Epiſcopali ſtatione permanendi, populúmque ſalutari doctrina informandi, deſerere. Atque illud quidem [diutius quam par eſt] hoc loco nulla circumſcriptione definitur: decimoſexto autem Canone in templo S. Apoſt. habitæ Synodi, quæ prima & ſecunda nominatur, ne ultra ſemeſtre tempus Epiſcopo à ſua Sede abeſſe liceat, divini Patres, pœna depoſitionis propoſita, conſtituerunt. Undecimus vero Sardic. Synodi Canon, brevius adhuc ſpatium Epiſcopi abſentiæ, niſi neceſſaria cauſa aliqua intercedat, ut ex eo quod ibi affertur exemplo colligere eſt, videtur præfiniſſe. De diſceſſu Epiſcoporum à ſuis Eccleſiis ſtatuunt etiam diverſæ Novellæ, quæ in tertio Baſilic. libro titulo i. diverſis in capitibus reperiuntur.

Arist. *Viſum eſt, ut nullus Epiſcopus principali ſuâ relictâ Sede, in aliam ſe conferat, vel de re propriâ ſollicitus, thronum ſuum negligat.*

Non tantum hoc, à civitate ad civitatem migrare Epiſcopum, diverſis Canonibus prohibetur: ſed & illud, Eam, quæ proprie erat à principio, Cathedram Eccleſiæ ipſius relinquere, & ad aliam Eccleſiam in eâdem parœciâ tranſilire, & in eam transferre honorem, hic Canon non permittit. Sed nec in re propriâ ei pluſquam oportet ſollicito eſſe, & curam & inſtructionem populi negligere licet.

A διὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως, μεταπίπτειν ἀπὸ τῆς πρωτοτύπου καθέδρας αὐτοῦ, καὶ μὴ καταληφθείσης ὑπὸ ἐθνῶν, εἰς καθέδραν ἐπισκοπῆς αὐτοῦ, ἢ εἰς ἐκκλησίαν παροικίας τούτου; Λύσις. Μετὰ βασιλικῆς προστάξεως καὶ συνοδικῆς διαγνώσεως καὶ ἀμφότερα τῷ ἐπισκόπῳ ἐγχωρηθήσεται· ἄλλως δέ πως, οὐδαμοῦ. διὰ τοῦτο γὰρ καὶ ὁ ἀρχιεπίσκοπος Δέρκου ζητήσας πολλάκις μεταστῆναι ἀπὸ Δέρκου εἰς τὸ ἐμπόριον τὸν φίλον, διὰ τὸ πολυάνθρωπον εἶναι τοῦτο, οὐκ εἰσηκούσθη. καὶ ἄλλοι δὲ ἀρχιερεῖς διάφοροι πτωχὰς μὲν ἐκκλησίας ἔχοντες, πλουτοῦντες παροικίας πολυανθρώπους καὶ πλουσίας, καὶ ζητήσαντες τοῦτο, οὐκ εἰσηκούσθησαν, διὰ τὸν παρόντα κανόνα. σημείωσαι ταῦτα, B καὶ ἔχε ἐπὶ μνήμης, διὰ τὰς ζητουμένας μεταθέσεις καὶ γινομένας ἐπὶ ἀρχιερεῦσί τισι. ζήτει τῆς ἐν Χαλκηδόνι συνόδου κανόνας ιβ΄. καὶ ιζ΄. λέγοντας ὀφείλειν τοὺς τῆς ἐκκλησίας ἕπεσθαι τοῖς διοριζομένοις παρὰ τῆς βασιλικῆς ἐξουσίας. ἐπεὶ δὲ ὁ παρὼν κανὼν διορίζεται, μὴ ἀποδημεῖν τὸν ἐπίσκοπον, παρ' ὃ χρὴ, ἀπὸ τῆς λαχούσης αὐτὸν (ἔστι δὲ τοῦτο ἄδηλον) ἀνάγνωθι τὸν ις΄. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου, καὶ ἑρμήνευσον τὸν παρόντα κανόνα κατὰ τὰ καταστρωθέντα νόμιμα ἐν αὐτῷ.

C **ΖΩΝΑΡ.** Τοὺς ἐπισκόπους, καὶ τὸ δίκαιον αὐτὸ, καὶ ἡ τῶν θείων κανόνων ἀκρίβεια, ἀπαιτοῦσι προσμένειν ταῖς ἰδίαις ἐπισκοπαῖς, καὶ διδάσκειν τοὺς λαοὺς, καὶ καταρτίζειν αὐτοὺς, ἀλλὰ μὴ καταλιμπάνειν τὰς αὐθεντικὰς αὐτῶν καθέδρας, ἤγουν τοὺς πρωτοτύπους θρόνους αὐτῶν, καὶ πρὸς ἄλλην ἐκκλησίαν ἀπέρχεσθαι. πολλοὶ γὰρ τῶν ἐπισκόπων ἔχουσιν ἐκκλησίας ἐν ἄλλοις τόποις τῶν ὑπ' αὐτῶν διοικήσεων, ἃς καὶ παροικίας οἱ κανόνες καλοῦσιν, ἐν αἷς οὐκ εἰώθασιν ἐπίσκοποι προχειρίζεσθαι. μὴ οὖν ἐν τοιαύτῃ ἐκκλησίᾳ ἀπιέναι, καὶ χρονίζειν, τὸν ἐπίσκοπον ὁ κανὼν διατάττεται, καὶ ἀμελεῖν τοῦ οἰκείου λαοῦ· ἀλλ' ἐκεῖ μὲν ἢ χωρεπίσκοπον καθιστᾷν, ἢ D διὰ πρεσβυτέρου ποιεῖσθαι τὴν διοίκησιν τῶν ἐκεῖ· τοὺς δ' ἐπισκόπους ταῖς οἰκείαις προσκαρτερεῖν ἐκκλησίαις, καὶ μηδὲ δι' οἰκεῖον πρᾶγμα ἀσχολεῖσθαι ὑπὲρ ὃ χρὴ, καὶ ἀποδημεῖν τῆς τοῦ ἰδίου χρόνου συνεχείας, ἤτοι τοῦ κατὰ συνέχειαν καὶ ἀδιαλείπτως παραμένειν τῇ ἰδίᾳ ἐπισκοπῇ, καὶ διδάσκειν τὸν λαόν. τὸ δὲ, ὑπὲρ ὃ χρὴ, ἐνταῦθα μὲν ἀορίστως κεῖται· ἐν δὲ τῷ ἑκκαιδεκάτῳ κανόνι τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου, τῆς λεγομένης πρώτης καὶ δευτέρας, μὴ πλέον μηνῶν ἓξ ἀποδημεῖν τὸν ἐπίσκοπον τῆς οἰκείας ἐπισκοπῆς οἱ ἐν ἐκείνῃ θεῖοι πατέρες ὡρίσαντο, τὸ δ' ἐπιτίμιον τοῦ μὴ τὸν κανόνα φυλάττοντος καθαίρεσίς ἐστιν. ὁ ια΄. δὲ κανὼν τῆς ἐν Σαρδικῇ συνόδου, E ἐκ τοῦ παραδείγματος, οὗ ἐπάγει, εἰς ἐλάττονα καιρὸν ἔοικε συστέλλειν τὴν τοῦ ἐπισκόπου ἀποδημίαν, εἰ μή τις αὐτῷ ἀνάγκη ἐπίκειται. περὶ ἀποδημίας ἐπισκόπων ἐκ τῶν οἰκείων ἐκκλησιῶν διατάττονται καὶ διάφοροι νεαραὶ, κείμεναι εἰς βιβλίον τῶν βασιλικῶν τρίτον τίτ. α΄. ἐν διαφόροις κεφαλαίοις.

ΑΡΙΣΤ. Ἔδοξε μηδένα ἐπίσκοπον καταλιπόντα τὴν αὐθεντικὴν καθέδραν, πρὸς ἑτέραν μεταχωρεῖν, ἢ ἐν οἰκείῳ πράγματι ἀσχολούμενον, τοῦ ἰδίου θρόνου ἀμελεῖν.

F Οὐ μόνον τὸ, ἀπὸ πόλεως εἰς πόλιν ἐπίσκοπον μεταβαίνειν, ἐκ διαφόρων κανόνων κεκώλυται· ἀλλὰ καὶ τὸ, τὴν κυρίως οὖσαν ἀρχῆθεν καθέδραν τῆς ἐκκλησίας αὐτοῦ καταλιπεῖν, καὶ πρὸς ἑτέραν ἐκκλησίαν ἐν τῇ αὐτῇ παροικίᾳ οὖσαν μεταπεσεῖν, καὶ τὴν τιμὴν ἐν αὐτῇ μεταθεῖναι ὁ κανὼν οὗτος οὐ συγχωρεῖ· ἀλλ' οὐδὲ ἐν οἰκείῳ πράγματι ἀσχολεῖσθαι αὐτὸν ὑπὲρ ὃ χρὴ ἀνέχεται, καὶ τῆς φροντίδος καὶ τῆς διδασκαλίας ἀμελεῖν τοῦ λαοῦ.

A

ΚΑΝΩΝ οε'.

Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν, εἰ ἄρα ἐβαπτίσθησαν. ὁμοίως ἤρεσεν περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες· καὶ οὐδὲ αὐτὰ διὰ τὴν ἡλικίαν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνεσθαι ἐπιτηδείως ἔχωσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι· μήποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως. ἐκ τούτου γὰρ οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβουλεύσαντο, ὅτι πολλοὺς τοιούτους ἀπὸ τῶν βαρβάρων ἐξαγοράζονται. B

ΒΑΛΣ. Ἀνάγνωθι τὸν ἐν τῷ Τρούλλῳ συνόδου κανόνα, καὶ εὑρήσεις τὴν τοῦ παρόντος κανόνος ἑρμηνείαν ἀπαραλλάκτως ἐκεῖ, καθὼς καὶ τὰ ῥήματα τοῦ κανόνος.

ΖΩΝΑΡ. Τοῦτον τὸν κανόνα ἄνευ ὀλίγων τινῶν ῥημάτων καὶ ἡ ἐν τῷ Τρούλλῳ σύνοδος, ἡ λεγομένη ἕκτη, ἔχει ἀπαραλλάκτως, καὶ ἐξηγήθη ἐκεῖ.

ΑΡΙΣΤ. Τοὺς ἀμφιγνοουμένους, εἰ ἐβαπτίσθησαν, ἢ μή, ἤρεσε βαπτίζεσθαι· μήποτε τῷ δισταγμῷ στερηθῶσι τῆς θείας καθάρσεως. C

Τὸ μὲν δεύτερόν τινα βαπτισθῆναι, εἰ μὴ παρὰ ἀσεβῶν ἐβαπτίσθη, διάφοροι κανόνες ἀπαγορεύουσιν. εἰ δέ τις ἀμφιβάλλεται εἰ ἐβαπτίσθη, ὡς μήτε αὐτοῦ τοῦτο εἰδότος διὰ τὴν βρεφικὴν ἡλικίαν, μήτε ἑτέρων διαβεβαιουμένων καὶ μαρτυρούντων ἀναμφιβόλως αὐτὸν βαπτισθῆναι, χωρίς τινος ἀμφιβολίας βαπτισθῆναι ὀφείλει· ἵνα μὴ διὰ τὸ ἀμφίβολον στερηθῇ τῆς θείας καθάρσεως.

ΚΑΝΩΝ ος'.

D

Περὶ τοῦ, τὴν ἡμέραν τοῦ πάσχα ἐν τῇ ἡμέρᾳ συνόδου ἀγγέλλεσθαι. ὁμοίως ἤρεσεν, ὥστε τὴν ἡμέραν τοῦ προσκυνητοῦ πάσχα διὰ τῆς τῶν τετυπωμένων ὑπογραφῆς πᾶσιν ἐμφανίζεσθαι· ἡ δὲ τῆς συνόδου ἡμέρα ἡ αὐτὴ φυλαχθῇ, ἥτις ὡρίσθη ἐν τῇ ἐν Ιππῶνι συνόδῳ, τοῦτ' ἔστιν, ἡ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων. ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς πρωτεύοντας πασῶν τῶν ἐπαρχιῶν, ἵνα ὅτε παρ' ἑαυτοῖς σύνοδον προσκαλοῦνται, ταύτην τὴν ἡμέραν φυλάττωσιν. E

ΒΑΛΣ. Καὶ ἄλλοι διάφοροι κανόνες ὥρισαν, πότε ὀφείλει γίνεσθαι σύνοδον παρὰ τῶν ἐπαρχιωτῶν χάριν τοῦ λύεσθαι τὰ ἐκκλησιαστικὰ ζητήματα. φησὶ δὲ καὶ ὁ παρὼν κανών, κατὰ τὸν καιρὸν τῆς συνόδου (ἔστι δὲ οὗτος, ὁ πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ἤγουν κα'. τοῦ Αὐγούστου μηνός· καλάνδαι γὰρ αἱ πρῶται τοῦ μηνὸς λέγονται) τὴν ἡμέραν τοῦ πάσχα δηλοῦσθαι, ὥστε γινώσκεσθαι πᾶσι τοῖς ἐν τῇ Αφρικῇ· καὶ ὁ μὲν κανὼν ἐν τούτοις. ἐπεὶ δὲ οὔτε ἀπὸ τοῦ παρόντος κανόνος οὔτε ἀφ' ἑτέρου γινώσκεται ἡ ἐπιστασία τῆς ἡμέρας τοῦ πάσχα· (καὶ ὁ ζ'. γὰρ κανὼν τῶν ἁγίων ἀποστόλων F μετὰ τὴν ἐαρινὴν ἰσημερίαν διορίζεται τὸ πάσχα ἑορτάζειν ἡμᾶς, καὶ πλέον οὐδὲν) δέον εἶναι κατενοήσαμεν ἀναδιδάξαι τοὺς θέλοντας, διὰ τῆς τοῦ παρόντος κανόνος ἑρμηνείας, πῶς εὑρίσκεται ἡμέρα τοῦ νομικοῦ ἤτοι Ιουδαϊκοῦ καὶ τοῦ Χριστιανικοῦ πάσχα· ἀλλὰ μὴν καὶ ἡ ἀποκρέα. εἰκὸς γάρ ἐστι περιτυχεῖν ὀρθόδοξόν τινα εἰς τόπους, ἔνθα τὰ τοιαῦτα οὐ πολυπραγμονοῦνται οὐδὲ γινώσκονται, καὶ ἐξ ἀγνοίας ἀποκρεῶσαι ἢ πασχάσαι παρὰ τὸν προσήκοντα καιρόν, ὅπερ ἐστὶν

Canon LXXV.

De infantibus qui debent baptizari, quoties de iis dubitatur, an baptizati fuerint. Similiter placuit de infantibus, quoties non inveniuntur firmi teſtes, qui eos ſine controverſia baptizatos eſſe dicant; & nec ipſi propter ætatem de tradito eis myſterio aptè poſſunt reſpondere; ſine ulla offenſione poſſe eos baptizari. Nec unquam hæc dubitatio eos tali ſanctificationis luſtratione privabit. Hoc enim Maurorum Legati, fratres noſtri, ideo conſuluerunt, quod multos ejuſmodi à barbaris emant.

Bals. Lege Synodi in Trullo Can. & ibi præſentis Canonis interpretationem ſine ulla immutatione, quemadmodum & verba invenies.

Zonar. Hunc Canonem, pauculis quibuſdam exceptis verbis eundem prorſus apud Synodum in Trullo, quæ ſexta dicitur, ac ibidem explicatum, reperias.

Arist. *Illi de quibus ambigitur, utrum baptizati ſunt necne, placuit, ut baptizentur: ne propter ambiguitatem divinâ luſtratione deſtituantur.*

Secundo quidem baptizari quempiam, niſi ab impiis baptizatus fuerit diverſi Canones prohibent. Si quis autem ambigit, an baptizatus fuerit, utpote nec ipſo ob infantilem ætatem illud ſciente, nec aliis affirmantibus & teſtantibus eum haud dubie baptizatum fuiſſe; ſine ullâ dubitatione baptizari debet: ne propter dubitationem divinâ purgatione privetur.

Canon LXXVI.

Ut dies Paſchæ in die Synodi annuncietur. Hoc quoque ſimiliter placuit, ut dies venerandi Paſchæ per formatarum ſubſcriptionem omnibus oſtendatur: Dies autem Synodi idem ſervetur, qui in Hipponenſi Synodo fuit conſtitutus, id eſt, ante decimum Calendas Septembris. Debet enim etiam ſcribi ad Primates omnium Provinciarum, ut quando apud ſe concilium congregant, ab eo die abſtineant.

Bals. Alii quoque diverſi Canones ſtatuerunt, quando debeat fieri Synodus à Provincialibus, ut ſolvantur Eccleſiaſticæ quæſtiones. Dicit autem etiam præſens Canon, ut tempore Synodi (id eſt, ante x. Calend. Septembris, xxi. ſcilicet menſis Auguſti; Calendæ enim ſunt primus dies menſis) dies Paſchæ declaretur, ut cognoſcatur ab omnibus qui ſunt in Africa. Ac in his quidem conſiſtit Canon. Quia autem, nec à præſenti Canone, nec ab alio, cognoſcitur diei Paſchæ inſtitutio: (Nam vii. Canon ſanctorum Apoſtolorum ſtatuit, ut nos poſt vernum æquinoctium Paſcha celebremus, & nihil aliud) exiſtimavimus oportere nos per præſentis Canonis interpretationem docere eos, qui velint, quomodo inveniatur dies Legalis ſeu Judaici & Chriſtiani Paſchæ; quin & Carniſprivium. Fieri enim poteſt, ut orthodoxus quiſpiam in loca, ubi hæc non curantur nec cognoſcuntur, incidat, & per ignorantiam non convenienti tempore vel à carnibus abſtineat vel Paſcha celebret; quod non eſt condonandum. Ante omnia ergo ſciendum eſt, quòd niſi quis Legalis Paſchæ diem

noverit, non poteſt ſcire quando Chriſtianum Paſcha fieri debeat. Præterea ſciendum eſt, quòd Legale Paſcha fit à vigeſimo primo menſis Martii uſque ad decimum octavum Aprilis: Chriſtianum autem à vigeſimo tertio Martii uſque ad vigeſimum quintum menſis Aprilis. His autem ſic primùm conſideratis, ſi velis Judaici Paſchæ diem exactè ſcire, & itidem Chriſtiani, quære primùm & inveni Cyclum Lunæ, qui ſic invenitur. Numera annos à creatione mundi, & per novendecim eos divide, & qui remanſerint, Cyclum Lunæ declarabunt. Deinde etiam Cyclum Solis inveni hoc modo: Numera annos à creatione mundi, & eos divide per viginti octo, & qui reſtant dic eos Cyclum Solarem declarare. Cycli quidem Lunæ, qui ſunt novendecim, incipiunt à menſe Januario: Cycli autem Solis, qui ſunt viginti octo numero, incipiunt à menſe Octobri. Cùm ergo Cycli Lunæ & Solis ſic inveniantur, multiplica undecies tunc currentem Lunæ Cyclum; deinde adde uſque ad decimum ſextum Cyclum, pro ſeculis elapſis, ſex dies, qui Epactæ dicuntur; poſt decimum ſextum Cyclum uſque ad decimum nonum, adde ſimiliter ſeptem dies; Et poſtquam hos omnes dies in unam ſummam collegeris, divide eos per triginta, & cum veneris ad numerum triginta diebus minorem, eum ſume, & tot dies ex menſe Martio vel etiam Aprili illi adde, quot ſufficiant, ut fiat numerus quinquageſimus, & dic ſtatim in fine quinquagenarii debere eſſe Paſcha Legale. Ut autem quod dictum eſt, per exemplum fiat manifeſtius, labentis anni ſexies milleſimi ſexcenteſimi octogeſimi ſexti Paſchales dies quære, & dic ita; Cyclus Lunæ eſt eo anno ſeptendecim qui per undecim multiplicatus efficit dies centum octoginta ſeptem. Undecies enim ſeptemdecim ſunt centum octoginta ſeptem. His pro ſeculis, ut dictum eſt, diebus quoque ſeptem addictis, efficitur numerus dierum centum nonaginta quatuor. Quo quidem numero per triginta diviſo, relinquuntur dies quatuordecim: ſexies enim triginta ſunt centum octoginta. Ut ergo fiat numerus dierum quinquaginta, quò inveniatur dies Paſchæ Legalis, adde dictis quatuordecim diebus unum & triginta dies Martii & Aprilis dies quinque; & ſic cùm quinquaginta dierum numerum effeceris, dic debere fieri Paſcha Legale quinto die menſis Aprilis. Quia autem menſis quidem dies ſic comprehenditur; ſeptimanæ autem dies incertus eſt: opus eſt te quoque eam doceri. Et quoniam hoc anno Cyclus Solis eſt vigeſimus ſecundus, Cyclicum hunc numerum ſume, & pro unoquoque quadrienno propter Biſſextum diem unum ei adde, ſcilicet pro viginti duobus Cyclis dies quinque, qui etiam Epactæ dicuntur. Ita his adde, ſi quidem in menſe Martio Legale Paſcha invenitur, ratione præteritorum menſium, qui numerantur à menſe Octobri, dies undecim; ſcilicet pro Octobri dies tres, eo quòd habeat hic menſis dies triginta & unum; pro Novembri, duos dies, quòd is habeat dies triginta, & pro Decembri & Januario dies ſex, quòd unuſquiſque eorum habeat dies triginta & unum. Pro menſe autem Februario nihil addes, eo quòd ei deſit: Si autem invenitur Paſcha Legale menſe Aprili, ut fit in præſenti tempore: adde etiam tres alios dies pro menſe Martio; ut ſint pro menſibus dies quatuordecim. Legitimo ergo Paſchæ die invento, ut diximus, quinto menſis

A ἀσύγγνωστον. ἰστέον οὖν πρὸ πάντων, ὅτι εἰ μὴ γινώσκει τις τοῦ νομικοῦ πάσχα τὴν ἡμέραν, οὐ δύναται εἰπεῖν πότε ὀφείλει γενέσθαι τὸ Χριστιανικὸν πάσχα. ἔτι ἰστέον, ὅτι τὸ μὲν νομικὸν πάσχα γίνεται ἀπὸ τῆς κα΄. τοῦ Μαρτίου μηνὸς μέχρι καὶ τῆς ὀκτωκαιδεκάτης τοῦ Απριλλίου μηνός. τὸ δὲ Χριστιανικὸν ἀπὸ τῆς κγ΄. τοῦ μαρτίου μηνὸς μέχρι τῆς κε΄. τοῦ Απριλλίου μηνός. τούτων δὲ οὕτω προθεωρηθέντων, εἰ θέλεις ἐξακριβώσασθαι τὴν ἡμέραν τοῦ Ἰουδαϊκοῦ Πάσχα καὶ τοῦ Χριστιανικοῦ, ζήτησον πρῶτον καὶ εὑρὲ τὸν κύκλον τῆς σελήνης, ὃς καὶ εὑρίσκεται οὑτωσί. ἀρίθμησον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη, καὶ ὕφελε αὐτὰ ἐπὶ τῶν ιθ΄. καὶ τὰ ἐναπομείναντα B εἰσὶ δηλωτικὰ τοῦ κύκλου τῆς σελήνης. εἶτα εὑρὲ καὶ τὸν κύκλον τοῦ ἡλίου οὕτως· ἀρίθμησον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη, καὶ ὕφελε αὐτὰ ἐπὶ τῶν εἴκοσι καὶ ὀκτὼ, καὶ τὰ περιλιμπανόμενα εἰπὲ δηλωτικὰ εἶναι τοῦ κύκλου τοῦ ἡλίου. οἱ μέντοι κύκλοι τῆς Σελήνης, δεκαεννέα ὄντες, ἄρχονται ἀπὸ τοῦ Ἰανουαρίου μηνός· οἱ δὲ κύκλοι τοῦ ἡλίου, εἴκοσι καὶ ὀκτὼ ὄντες τὸν ἀριθμὸν, ἄρχονται ἀπὸ τοῦ Οκτωβρίου μηνός. τῶν γοῦν κύκλων τῆς σελήνης καὶ τοῦ ἡλίου οὕτως εὑρισκομένων, ἑνδεκαπλασίασον τὸν τρέχοντα τηνικαῦτα κύκλον τῆς σελήνης· εἶτα πρόσθες μέχρι μὲν τοῦ ϛ΄. κύκλου, χάριν τῶν παρελθόντων αἰώνων, ἡμέρας ἓξ τὰς λεγομένας ἐπακτάς. μετὰ δὲ C τὸν ιϛ΄. κύκλον μέχρι τοῦ ιθ΄. πρόσθες ὑπὲρ ὁμοίου ἡμέρας ἑπτά· καὶ μετὰ τὸ ποιῆσαι τὴν τῶν τοιούτων ὅλων ἡμερῶν ἕνωσιν, ὕφελε αὐτὰς ἐπὶ τῶν λ΄. καὶ ὅταν καταντήσῃς εἰς ποσότητα ἥττονα τῶν λ΄. ἡμερῶν, καὶ κράτησον εἰς τὰς χεῖράς σου ταύτην καὶ ἕνωσον ἐπ' αὐτῇ ἀπὸ τοῦ Μαρτίου μηνὸς ἢ καὶ τοῦ Απριλλίου ἡμέρας ὅσαι ἐξαρκοῦσιν εἰς τὸ συμποσωθῆναι πεντήκοντα. καὶ αὐτίκα εἰπὲ κατὰ τὸ τέλος τῆς πεντηκοντάδος ὀφείλειν γίνεσθαι τὸ νομικὸν πάσχα. ἵνα δὲ καὶ διὰ παραδείγματος σαφέστερον γένηται τὸ λεγόμενον, ζήτησον τὰς τοῦ τρέχοντος ϛχπϛ΄. ἔτους Πασχαλίου ἡμέρας, καὶ εἰπὲ οὕτως, ὁ κύκλος τῆς σελήνης κατὰ τὸ τοιοῦτον ἔτος ἐστὶν ἑπτακαιδέκατος, ὅστις D ἑνδεκαπλασιαζόμενος ἀποτελεῖ ἡμέρας ρπζ΄. ἑνδεκάκις γὰρ δεκαεπτὰ ρπζ΄. προστιθεμένων οὖν τούτοις χάριν τῶν αἰώνων, ὡς εἴρηται, καὶ ἡμερῶν ἑπτὰ, ἀποτελεῖται ποσότης ἡμερῶν ρϟδ΄. ἧς δὴ ποσότητος ὑφελομένης ἐπὶ τῶν λ΄. περιλιμπάνονται ἡμέραι ιδ΄. ἑξάκις γὰρ τριάκοντα, ρπ΄. ἵνα τοίνυν ποσωθῶσι πεντήκοντα ἡμέραι, χάριν τοῦ εὑρεθῆναι τὴν ἡμέραν τοῦ νομικοῦ πάσχα, ἕνωσον ταῖς ῥηθείσαις δέκα πρὸς ταῖς τέσσαρσιν ἡμέραις τὰς τριάκοντα πρὸς τῇ μιᾷ ἡμέρας τοῦ Μαρτίου μηνὸς καὶ ἀπὸ τοῦ Απριλλίου ἡμέρας πέντε καὶ οὕτω συμποσώσας ἡμέρας ν΄. λέγε ὀφείλειν γενέσθαι τὸ νομικὸν πάσχα κατὰ τὴν πέμπτην τοῦ Απριλλίου μηνός. ὅτι δὲ ἡ μὲν τοῦ μηνὸς E ἡμέρα οὕτω καταλαμβάνεται, ἡ δὲ τῆς ἑβδομάδος ἡμέρα ἄδηλός ἐστι· χρεὼν ἐστὶ καὶ ταύτην ἀναδιδαχθῆναί σε. καὶ ἐπεὶ ἐστὶ κατὰ τὸ τοιοῦτον ἔτος ὁ κύκλος τοῦ ἡλίου κβ΄. κράτησον εἰς τὰς χεῖράς σου τὴν τοιαύτην κυκλικὴν ποσότητα, καὶ ἕνωσον ταύτῃ ὑπὲρ ἑκάστης τετραετίας, χάριν τοῦ βισέξτου, ἡμέραν μίαν, ἤγουν ὑπὲρ τῶν κβ΄. κύκλων ἡμέρας ε΄. αἳ καὶ ἐπακταὶ λέγονται. ὡσαύτως ἕνωσον ταύταις, εἰ μὲν τὸ νομικὸν πάσχα εὑρίσκεται εἰς Μάρτιον μῆνα, λόγῳ τῶν παρελθόντων μηνῶν τῶν ψηφιζομένων ἀπὸ τοῦ Οκτωβρίου μηνὸς, ἡμέρας ια΄. ἤγουν ὑπὲρ τοῦ Οκτωβρίου, ἡμέρας γ΄. διὰ τὸ ἔχειν τὸν F αὐτὸν μῆνα λ΄. πρὸς τῇ μιᾷ· ὑπὲρ τοῦ Νοεμβρίου μηνὸς, ἡμέρας β΄. διὰ τὸ ἔχειν τοῦτον ἡμέρας τριάκοντα. καὶ ὑπὲρ τοῦ Δεκεμβρίου καὶ τοῦ Ἰαννουαρίου, ἡμέρας ἓξ, διὰ τὸ ἔχειν τούτους ἀνὰ τριάκοντα πρὸς τῇ μιᾷ· ὑπὲρ δὲ τοῦ Φεβρουαρίου μηνὸς μηδὲν προσθήσεις, διὰ τὸ ἐλλιπὲς τοῦτον εἶναι. εἰ δὲ τὸ νομικὸν πάσχα εὑρίσκεται κατὰ τὸν Απρίλλιον μῆνα, ὥσπερ γίνεται κατὰ τὴν παροῦσαν ἐσχρονίαν, πρόσθες καὶ ἑτέρας ἡμέρας τρεῖς χάριν τοῦ Μαρτίου μηνὸς, ὡς εἶναι τὰς ὑπὲρ τῶν μηνῶν ἡμέρας δέκα πρὸς ταῖς τέσσαρσι. τοῦ γοῦν νομικοῦ πάσχα, ὡς εἴπομεν, εὑρισκομένου εἰς τὰς ε΄.

τοῦ Ἀπριλλίου μηνὸς, ἕνωσον ταύταις τὰς κβʹ. ἡμέρας τοῦ ἡλιακοῦ κύκλου, τὰς ἀπὸ τοῦ βισέξτου πέντε, τὰς καὶ ἐπακτὰς λεγομένας, καὶ τὰς ιδʹ. τῶν μηνῶν, καὶ συμποσώσας ὅλας εἰς ἡμέρας μϛʹ. καὶ αὖθις ἀναλύσας αὐτὰς εἰς ἑβδομάδας ἕξ, διὰ τοῦ εἰπεῖν οὕτως, ἑξάκι ἑπτὰ τεσσαράκοντα δύο, εὑρήσεις περιλιμπανομένας ἡμέρας τέσσαρας, ἤτοι γίνεσθαι τὸ νομικὸν πάσχα κατὰ τὴν εʹ. τοῦ Ἀπριλλίου μηνὸς, τὴν οὖσαν ἡμέραν δʹ. τῆς ἑβδομάδος. ὅτι οὖν παράδοσις ἐστὶν ἐκκλησιαστικὴ μετὰ τὸ νομικὸν πάσχα γίνεσθαι τὸ Χριστιανικὸν κατὰ μίαν καὶ τὴν αὐτὴν ἑβδομάδα εἰς πρώτην ἡμέραν, εἰπὲ ὀφείλειν γίνεσθαι ἐξ ἀνάγκης τὸ Χριστιανικὸν πάσχα κατὰ τὴν θʹ. τοῦ Ἀπριλλίου μηνός. τούτων δὲ οὕτως ἐχόντων, ἐὰν ὑφέλῃς ἀπὸ τῆς πασχαλίας ἡμέρας νϛʹ. εὑρήσεις τὴν ἀποκρέαν. εἰ δὲ μὴ τοῦτο θέλεις, ἤγουν τὸ γνῶσαι τὴν ἀποκρέαν μετὰ ὑφελμοῦ πεντήκοντα ἓξ ἡμερῶν, ἀλλὰ μετὰ πλείονος εὐκολίας, ἐπεὶ ἀρτίως ἐστὶ βίσεξτον, πρόσθες ἡμέρας δʹ. καὶ εἰπὲ θʹ. καὶ δʹ. ιγʹ. ὥστε εἶναι τὴν ἀποκρέαν Φεβρουαρίου ιγʹ. τοῦτο δὲ γίνεται διὰ τὸ βίσεξτον. εἰ γὰρ οὐκ ἔστι βίσεξτον, οὐ προστίθενται ἡμέραι δʹ. ἀλλὰ τρεῖς. ἐπεὶ δὲ ἐμνήσθημεν βισέξτου ἐν διαφόροις τόποις, ὀφείλεις εἰδέναι, ὅτι ἕκαστος χρόνος ἔχει ἡμέρας τξεʹ. ὥρας ϛʹ. οἱ γοῦν τὰ τῶν ἐνιαυτῶν καὶ τῶν μηνῶν συμποσώσαντες, ὥρισαν προστίθεσθαι τῷ Φεβρουαρίῳ μηνὶ τὰς περιττευούσας, ἐπέκεινα τῶν τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν ἓξ ὥρας. διὸ καὶ ἔχει ὁ Φεβρουάριος μὴν μετὰ ἑκάστην τετραέτιαν ψηφιζομένην ἀπὸ τοῦ αʹ. ἡλιακοῦ κύκλου, ἡμέρας κθʹ.

ΖΩΝΑΡ. Τὴν ἡμέραν τοῦ πάσχα δηλοῦσθαι ταῖς ἐν Ἀφρικῇ χώραις ὡρίσθη διὰ τῆς μελλούσης γίνεσθαι ἐτησίας συνόδου· τὴν δὲ ἡμέραν τῆς συνόδου ὥρισαν εἶναι, τὴν πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ὡς εἶναι αὐτὴν τὴν καʹ. τοῦ Αὐγούστου. καλάνδαι γὰρ, ὡς ἄνω που εἴρηται, λέγονται αἱ πρῶται τοῦ μηνὸς ἡμέραι. εἰ γοῦν τὰς πρὸ τούτων δέκα ἀφέλῃς, περιλιμπάνονται εἰς τὸν Αὔγουστον, ἔχοντα λʹ. καὶ μίαν ἡμέραν, εἴκοσι καὶ μία.

ΑΡΙΣΤ. Ἤρεσε τῇ ἡμέρᾳ τῆς ἐτησίου συνόδου, ἤγουν τῇ πρὸ δέκα καλανδῶν σεπτεμβρίου, τὴν ἡμέραν τοῦ ἁγίου πάσχα κηρύττεσθαι.

Διαφόρως καὶ τοῦτο ἡ σύνοδος ὥρισε, τὸ τὴν ἡμέραν τοῦ πάσχα γνωρίζεσθαι ἐν τῇ κατ᾽ ἔτος γινομένῃ συνόδῳ ἐν Ἀφρικῇ.

ΚΑΝΩΝ οζʹ.

Περὶ τοῦ, μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενούμενον καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται. ὁμοίως ὡρίσθη, ὥστε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέδραν κατέχειν, ᾗ τινι μεσίτης δέδοται, διὰ οἱασδήποτε τῶν λαῶν σπουδῆς ἢ διχοστασίας· ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ τοῖς αὐτοῖς προνοῆσαι ἐπίσκοπον. εἰ δὲ περὶ τοῦτο ἀμελήσωσι, μετὰ τὴν περαίωσιν τοῦ ἐνιαυτοῦ ἕτερος ψηφισθῇ μεσίτης.

ΒΑΛΣ. Τὸ παλαιὸν χηρευσάσης ἐπισκοπῆς, ἐστέλλετό τις χάριν τοῦ εἰρηνεύειν τὸν λαὸν, ὃν καὶ ὠνόμαζον μεσίτην. φησὶν οὖν ὁ κανὼν, μὴ ἰδιοῦσθαι τοῦτον τὴν ἐπισκοπήν· ἀλλ᾽ εἰ μὴ σπουδάσει μᾶλλον γενέσθαι ἐπίσκοπον, μετακινεῖσθαι αὐτὸν ἀπὸ τῆς μεσιτείας, καὶ ἕτερον ψηφίζεσθαι. τὰ δὲ περὶ τοῦ τοιούτου μεσίτου ἐπεὶ σήμερον οὐκ ἐνεργοῦσιν, ἀλλ᾽ ἀνάγκη πᾶσα ἐστὶν ἀπεντεῦθεν, εἰ δυνατὸν, ψηφίζεσθαι τὰς ἐκκλησίας· οὐδὲ παρ᾽ ἡμῶν ἐγράφη πλέον τι. ὁ δὲ τοιοῦτος μεσίτης ἐπίσκοπος ἦν, ὡς φαίνεται ἀπὸ τῆς ἐπιτιτλώσεως τοῦ κανόνος.

ΖΩΝΑΡ. Ἔθος ἦν πάλαι, εἴποτε ἐπισκόπου ἐχήρευεν ἐκκλησία, στέλλεσθαί τινα ἐν αὐτῇ, ὃν ὠνόμαζον μεσίτην, καθιστῶντα τὸν λαὸν στασιάζοντα ἴσως, ἢ καὶ

A Aprilis, his adde xxii. dies ſolaris Cycli, & ex Biſſexto quinque, qui etiam Epactæ dicuntur, & xiv. menſium; & eos omnes xlvi. dierum ſummam collige ac rurſus in ſex ſeptimanas reſolve, ſic dicendo, ſexties ſeptem quadraginta duo, invenies reliquos dies iv. fieri ſcilicet Paſcha Legale quinto die menſis Aprilis, qui eſt quartus dies ſeptimanæ. Quia ergo traditio eſt Eccleſiaſtica, poſt Paſcha Legale fieri Chriſtianum in una & eadem ſeptimana in primo die; dic debere neceſſariò fieri Paſcha Chriſtianum, ix. die April. His ergo ita ſe habentibus, ſi à die Paſchali dies lvi. ſubduxeris, invenies Carniſprivium. Si autem B nolis cognoſcere Carniſprivium ſubductione lvi. dierum, ſed cum majori facilitate, quia nunc eſt Biſſextus, adde dies iv. & dic, ix. & iv. tredecim: ut ſit Carniſprivium Februarii xiii. Hoc autem fit propter Biſſextum. Si enim non eſt Biſſextus, non adjiciuntur dies iv. ſed tres. Quia autem in diverſis locis Biſſexti meminimus, debes ſcire, quòd unuſquiſque annus habet ccclxv. dies horas vi. Qui ergo annos & menſes in quantitatem redegerunt, ſtatuerunt ut menſi Februario adjiciantur vi. ſuperabundantes horæ ultra ccclxv. Et ideo habet menſis Februarius poſt unumquodque quadriennium, numeratum à primo C Cyclo ſolari, dies xxix.

Zonar. Paſchæ diem, per eam quæ ſingulis annis futura eſt ſynodum, Africæ regionibus declarari ſtatutum eſt: Tempus autem Synodi habendæ ante decimum diem Cal. Septembr. definivere, qui eſt Auguſti menſis primus & vigeſimus. Calendæ enim, ut antea dictum eſt, primi cujuſque menſis dies appellantur. Si ergo decem dies ante Calendas Septembris abſtuleris, Auguſto menſi, qui uno & triginta diebus ab- D ſolvitur, unus & viginti nimirum reliqui fient.

Ariſt. *Viſum eſt, ut Synodi anniverſariæ die, ſive decimo Kal. Septembrium, dies ſanctæ Paſchæ prædicetur.*

Et illud Synodus variè decrevit, ut Paſchæ dies in Synodo quotannis habitâ in Africâ ſignificaretur.

Canon LXXVII.

Non debere Epiſcopum interventorem ſedere in Cathe- E *dra, cui interventor datus eſt. Similiter placuit, ut nulli liceat interceſſori tenere Cathedram, cui interceſſor datus eſt, propter quodcunque populorum ſtudium vel diſſenſionem: ſed ſtudere eis intra annum Epiſcopum providere. Si autem præter hæc fecerit, poſt anni finem alius interceſſor eligatur.*

Bals. Cùm olim vacaſſet Epiſcopatus, pro pacificando populo mittebatur aliquis, quem etiam mediatorem nominabant. Dicit ergo canon eum non debere Epiſcopatum ſibi vendicare: Sed niſi potiùs ſtudium adhibuerit, ut fiat Epiſcopus, eum debere à me- F diatoris munere removeri, & alium eligi. Quæ autem de eo mediatore dicuntur quoniam hodie non ſunt in uſu; ſed omnino neceſſe eſt, ut, ſi fieri poteſt, mox eligant eccleſiæ: ideo nec nos plura ſcripſimus. Hic autem mediator erat Epiſcopus, ut apparet ex titulo canonis.

Zonar. Antiqui moris fuit, ſiquando orbata Epiſcopo Eccleſia vacaret, mitti ad eam quem interceſſorem appellabant, vel ut ſeditionem forte aliquam populi ſedaret, vel alias etiam ob cauſas. Ergo niſi unius anni ſaltem non intervallo Epiſcopum populo, apud quem agebat, dandum interceſſor curaſſet; ipſe quidem ab interceſſione amovebatur; tum alius, qui apud populum interceſſoris munus ejus loco obiret, ſubſtituebatur.

Ariſt. *Viſum eſt, ut Epiſcopo ad interceſſionem dato, qualicunque populorum ſtudio aut diſſenſione, Cathedram, cujus eſt interceſſor, tenere non liceat: ſed intra annum Epiſcopum provideat, vel anno vertente, alius interceſſor eligatur.*

Si populo inter ſe diſſidente & diviſo, & ad diſſenſiones & pugnas accenſo, mittatur ad intercedendum quiſpiam Epiſcoporum, ut eos reconciliet, non debet illius civitatis cathedram, cui datus fuit Interceſſor, occupare. Sed conari intra annum ſeditionem coercere, & eos pacare, & perſuadere Epiſcopum accipere. Si autem intra annum nihil omnino efficere poſſet, ad populi utilitatem, poſt elapſum annum alius Interceſſor deligatur.

CANON LXXVIII.

De Defenſoribus Eccleſiarum qui ab Imperatoribus peti debent. Omnibus viſum eſt petcre ab Imperatoribus, propter pauperum vexationem, quorum moleſtiis aſſiduè fatigatur Eccleſia: ut iis Defenſores cum Epiſcoporum providentia eligantur adverſus divitum tyrannidem.

Bals. Neceſſe habent omnino Epiſcopi eos, qui injuria afficiuntur, defendere. Quia autem nonnulli, ut eſt veriſimile, Epiſcopi, cùm de pauperibus & afflictis dicerent, non exaudiebantur: ſtatuerunt Patres ut Imp. admonerentur, ut cum Epiſcoporum electione ab eis darentur Defenſores pro reprimenda divitum tyrannide; ut ſic ceſſet aſſidua Eccleſiarum perturbatio, qua ab eis afficiuntur qui ad eas accedunt, quòd à potentioribus injuria affecti ſint. Ac in his quidem conſiſtit canon. Tu autem ſcias, quòd Defenſorum datio, qui ἔκδικοι Græcè dicuntur, ſive à præſenti canone cœpit initium, ſive etiam antea cognoſcebatur, per uniuſcujuſque urbis incolarum electionem fiebat. Eſt autem etiam Juſtiniani Novella xv. quæ eorum electionem ac promotionem deſcribat: & ſtatuit, ut in unaquaque civitate ab Epiſcopis & Clericis & civibus paulo melioris exiſtimationis, eligantur Defenſores ſufficientes ad quantitatem multitudinis civitatis, ut ipſi judicent uſque ad quantitatem triginta numiſmatum, & criminales cauſas leviores; nec permittant potentibus ut imbecilliores & pauperes opprimant; & reprimant publicorum exactores, qui plus quàm par eſt exigunt. Quinetiam hæc quoque Novella, quæ eis alia privilegia largitur, adjicit, ut poſt biennium deſiſtant qui hoc munus tanto tempore obierunt, & alii promoveantur. Hæc autem Novella hìc ſita non eſt, eo quòd non ſit in uſu: nec enim dicuntur eſſe in ulla civitate ejuſmodi Defenſores. A ſolo autem Conſtantinopolis Epiſcopo characterem ſuſcipiunt Defenſores, & qui Primi-defenſores dicuntur. A reliquis autem Antiſtitibus ſoli Primi-defenſores: atque ii quidem nullum habent privilegium ex iis quæ Novella continentur. Solus enim Primus-defenſor ſanctiſſimæ Dei magnæ Eccleſiæ, & qui ei ſubſunt Defenſores, ſolas libertatum cauſas judicant. Ipſe autem exiſtimo, quòd ex dicta Novella Primus-defenſor jus habet judicandi omnes, qui ad eum accedunt, de cauſis pecuniariis & criminalibus levioribus, cujuſcunque ſint ſtatus & conditionis actores & rei: & maximè

A δι᾽ ἄλλας αἰτίας. εἰ οὖν ἐντὸς ἐνιαυτοῦ ὁ τοιοῦτος μεσίτης οὐκ ἐσπούδασεν ἐπίσκοπον γενέσθαι τοῖς αὐτοῦ, ἤγουν τῷ λαῷ, οὗ μεσίτης ἦν, μετεκινεῖτο τῆς μεσιτείας ἐκεῖνος, καὶ ἕτερος ἐδίδοτο τῷ λαῷ ἐκείνῳ μεσίτης.

ΑΡΙΣΤ. Ἔδοξε τῷ δοθέντι εἰς μεσιτείαν ἐπισκόπῳ, δι᾽ οἵας δήποτε τῶν λαῶν σπουδὰς ἢ διχοστασίας, μὴ ἐξεῖναι τὴν καθέδραν κατέχειν, ἧς ἐστι μεσίτης· ἀλλ᾽ ἐντὸς ἐνιαυτοῦ προνοεῖσθαι ἐπίσκοπον, ἢ μετὰ τὸν ἐνιαυτὸν ἕτερον μεσίτην ψηφίζεσθαι.

B Εἰ πλῆθος λαοῦ πρὸς ἑαυτὸν στασιάσαντος καὶ διαιρεθέντος, καὶ εἰς διχοστασίας καὶ μάχας ὑπαναφθέντος, σταλῇ τις τῶν ἐπισκόπων εἰς μεσιτείαν, ἐπὶ τῷ καταλλάξαι αὐτοὺς, οὐκ ὀφείλει κατέχειν καὶ τὴν καθέδραν τῆς πόλεως, ἧς ἐδόθη μεσίτης· ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ καταπαῦσαι τὴν στάσιν, καὶ εἰρηνεῦσαι αὐτοὺς, καὶ πεῖσαι λαβεῖν ἐπίσκοπον. εἰ δὲ οὐδέν τι μέχρις ἐνιαυτοῦ διανύσαι ἴσχυσεν εἰς ὠφέλειαν τοῦ λαοῦ, ἕτερος μετὰ τὸν ἐνιαυτὸν ψηφιζέσθω μεσίτης.

ΚΑΝΩΝ οη΄.

C Περὶ ἐκδίκων τῶν ἐκκλησιῶν τῶν ὀφειλόντων παρὰ τοῦ βασιλέως αἰτηθῆναι. σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ ἐκκλησία παρενοχλεῖται· ὥστε ἐκδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλέγεσθαι κατὰ τῆς τῶν πλουσίων τυραννίδος.

ΒΑΛΣ. Ἀνάγκη πᾶσα ἐπίκειται τοῖς ἐπισκόποις ἀντιλαμβάνεσθαι τῶν ἀδικουμένων. ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἐπίσκοποι, λέγοντες ὑπὲρ πτωχῶν καὶ καταπεπονημένων, οὐκ εἰσηκούοντο· τετυπώκασιν οἱ πατέρες ὑπομνησθῆναι D τοὺς βασιλεῖς, ὥστε δοθῆναι παρὰ τούτων μετὰ τῆς τῶν ἐπισκόπων ἐπιλογῆς ἐκδίκους χάριν τοῦ ἀναστέλλεσθαι τὰς τῶν πλουσίων τυραννίδας, καὶ οὕτω παυθῆναι τὴν ἐπηνεγμένην ἄπαυστον ὄχλησιν ταῖς ἐκκλησίαις ἐκ τῶν προσερχομένων αὐταῖς διὰ τὸ ἀδικεῖσθαι ὑπὸ τῶν παραδυναστευόντων. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ γίνωσκε, ὅτι ἡ δόσις τῶν ἐκδίκων, τῶν καὶ δεφενσόρων λεγομένων, εἴτε ἀπὸ τοῦ παρόντος κανόνος ἔλαβε τὴν ἀρχὴν, εἴτε καὶ πρὸ τούτου ἐπεγινώσκετο, δι᾽ ἐπιλογῆς τῶν κατοίκων ἑκάστης πόλεως ἐγίνετο. ἔστι δὲ καὶ νεαρὰ Ἰουστινιάνειος ιε΄. ὑποτυποῦσα τὴν τούτων ἐπιλογὴν καὶ πρόβλησιν, καὶ διορίζομένη εἰς ἅπασαν πόλιν ἐπιλέγεσθαι E παρὰ τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν καὶ τῶν ἀξιολογωτέρων πολιτῶν ἐκδίκους πρὸς τὴν ποσότητα τοῦ πλήθους τῆς πόλεως ἀρκοῦντας, ὥστε δικάζειν αὐτοὺς μέχρι ποσότητος νομισμάτων τριακοσίων, καὶ ἐγκληματικὰς ὑποθέσεις ἐλαφροτέρας, καὶ μὴ παραχωρεῖν τοῖς δυνάσταις κατατρέχειν τῶν ἀσθενεστέρων καὶ πενήτων, ἀναστέλλειν δὲ καὶ τοὺς ἀπαιτητὰς τῶν δημοσίων παρεισπράττοντας. καὶ ἄλλα δὲ προνόμια ἡ αὐτὴ νεαρὰ ἐπιφιλοτιμουμένη τούτοις, προστίθησι, μετὰ διετίαν παραστέλλεσθαι τοὺς ἐπὶ τοσούτῳ καιρῷ τὸ λειτούργημα τοῦτο ἀνύσαντας, καὶ ἄλλους προβάλλεσθαι. ἡ τοιαύτη δὲ νεαρὰ οὐ κατεστρώθη ἐνταῦθα, διότι οὐδὲ ἐνεργεῖ· οὐ F γὰρ ἐπιλέγονται ἔν τινι πόλει ἔκδικοι τοιοῦτοι. ἀλλὰ μόνου δὲ τοῦ Κωνσταντινουπόλεως σφραγίζονται ἔκδικοι καὶ πρωτέκδικοι. καὶ παρὰ τῶν λοιπῶν ἀρχιερέων πρωτέκδικοι· καὶ οὗτοι μὲν οὐδὲν προνόμιον ἔχουσιν ἐκ τῶν περιεχομένων τῇ νεαρᾷ. μόνος γὰρ πρωτέκδικος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ οἱ ὑπ᾽ αὐτὸν ἔκδικοι δικάζουσι μόνας τὰς περὶ ἐλευθεριῶν ὑποθέσεις. οἴομαι δὲ, ὅτι ἀπὸ τῆς ῥηθείσης νεαρᾶς ὁ πρωτέκδικος δικαιοῦται δικάζειν πάντας τοὺς προσερχομένους αὐτῷ περὶ χρηματικῶν ὑποθέσεων καὶ ἐγκληματικῶν ἐλαφροτέρων, κἂν οἵας ἂν ὦσι τύχης καὶ καταστάσεως οἱ ἐνάγοντες καὶ οἱ ἐναγόμενοι· καὶ μᾶλλον ὅταν οὐχ ὑπερβαίνῃ

τὸ ποσὸν τῆς ὑποθέσεως τὰ τριάκοντα νομίσματα. ὡσαύτως ἐφίεται αὐτῷ ἀναστέλλειν τὰς τῶν παραδυναστευόντων ἀδικίας, καὶ κατὰ τὰ ἐκκλησιαστικὰ δίκαια· ἑλκύσει δὲ καὶ εἰς τὸ κατ' αὐτὸν δικαστήριον πάντας τοὺς λεγομένους ἀδικεῖν τοὺς προσφυγὰς τῆς ἐκκλησίας, καὶ οὐκ ἀναγκασθήσεται αὐτοὺς εἰς πολιτικὸν δικαστήριον πέμπειν, ὡς γίνεται σήμερον. ἀλλὰ καὶ τὸ πρωτεκδικικὸν βιβλίον, πολλὰ προνόμια δίδωσιν αὐτῷ· πλὴν οὐκ οἶδ' ὅπως τὰ πλείω ἀθετοῦνται.

ΖΩΝΑΡ. Οἱ ἐπίσκοποι οὐ μόνον διδάσκειν ὀφείλουσι τοὺς ὑπ' αὐτοὺς λαοὺς, ἀλλὰ καὶ περιΐστασθαι τούτων ἀδικουμένων, καὶ κατὰ τὸ δυνατὸν ἐκδικεῖν. ἐπεὶ δέ τινες διὰ δυναστείαν τῶν ἐπισκόπων οὐκ ἐφρόντιζον, αἰτοῦσιν οἱ τῆς συνόδου ταύτης τοὺς βασιλεῖς, δοθῆναι τινὰς ἐκδίκους, ὥστε μετὰ τῶν ἐπισκόπων ἀναστέλλειν τὰς τῶν πλουσίων τυραννίδας, ἵνα μὴ ταῖς ἐπαχθείαις τῶν πενήτων, τουτέστι ταῖς ἐπενηνεγμέναις αὐτοῖς βαρείαις ἀδικίαις, διηνεκῶς παρενοχλῆται ἡ ἐκκλησία, ἤγουν ὀχλήσεις ἔχῃ τῶν ἀδικουμένων προσιόντων καὶ ζητούντων ἐκδικεῖσθαι.

ΑΡΙΣΤ. Ἵνα μὴ ὁ ἐπίσκοπος παρενοχλῆται, ἔστωσαν ἔνδικοι.

Τῶν πενήτων παρὰ τῶν δυνατωτέρων κακώσει ὑφισταμένων, καὶ ὑπ' αὐτῶν διὰ ταύτας τῶν ἐπισκόπων ἐνοχλουμένων, ἔδοξε τῇ συνόδῳ ἐκ βασιλέως αἰτῆσαι, μετὰ τῆς τῶν ἐπισκόπων προνοίας, ἐπιλεγῆναι ἐκδίκους, ἵνα κατὰ τῆς τῶν πλουσίων τυραννίδος ἀνθιστῶνται, καὶ οἱ ἐπίσκοποι ὅσον ἐπὶ τούτοις ἀνενόχλητοι μένωσιν.

ΚΑΝΩΝ οθʹ.

Περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς συνόδοις ἐπισκόπων. ὁμοίως ἤρεσεν, ἵνα ὁσακισδήποτε σύνοδον δεῖ συναχθῆναι, οἱ ἐπίσκοποι, οἵτινες οὔτε κείρᾳ οὔτε ἀσθενείᾳ οὔτε τινὶ βαρυτέρᾳ ἀνάγκῃ ἐμποδίζονται ἁρμοδίως ἀπαντῶσιν, καὶ τοῖς πρωτεύουσιν ἑκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθείη περὶ πάντων τῶν ἐπισκόπων, εἴτε δύο, εἴτε τρεῖς συναθροίσεις γίνωνται· καὶ ἀπὸ ἑκάστου δὲ ἀριθμοῦ εἰς ἀμοιβὴν ὁσοιδήποτε ἐπιλεγῶσι πρὸς τὴν ἡμέραν τῆς συνόδου ἐνστατικῶς ἀπαντήσωσιν. ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόων τινῶν ἀναγκῶν, ὡς εἰκὸς, ἀναφυομένων, εἰ μὴ τὸν λόγον τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ τῷ οἰκείῳ πρωτεύοντι ἀποδώσωσιν, ὀφείλειν τοὺς τοιούτους τῇ κοινωνίᾳ τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι ἐκκλησίας.

ΒΑΛΣ. Τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας ἀπαιτεῖ ὁ κανὼν συνέρχεσθαι εἰς τὰς τυπουμένας συνόδους, τοὺς μὴ διὰ κείραν ἤγουν ἡλικίαν καὶ γῆρας βαθὺ ἢ ἀσθένειαν ἢ ἄλλην ἀνάγκην ἐμποδιζομένους· καὶ συναχθέντας, εἴδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας ἀφ' ἧς ἐστιν ἕκαστος, καὶ ἀφ' ἑκάστου ἀριθμοῦ, εἴτε δύο εἴτε τρεῖς συναθροίσεις γίνωνται. (ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται, μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ' εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ μητροπόλει.) ἐνστατικῶς δὲ ἀπαντᾷν, ἤγουν ἀνυπερθέτως, εἰς ἀμοιβὴν, τουτέστιν ἀμοιβαδόν. οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι ἐλύοντο, ἀλλ' ἐν πλείοσιν. ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, διὰ τὸ ἐμποδισθῆναι ὑπὸ αἰφνιδίου ἀνάγκης, διδόναι λόγους τοῦ ἐμποδισμοῦ παρὰ τῷ πρωτεύοντι· εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μόνῃ τῇ κοινωνίᾳ τῆς ἐκκλησίας ἰδίας ἀρκεῖσθαι, ἑτέρων αὐτοῖς μὴ συγκοινωνούντων. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ σημείωσαι καινότερον ἀφορισμὸν ἐκ τούτου. ἄλλοι μὲν γὰρ κανόνες τὸν ἀφορισμὸν ἐκλαμβάνονται, ὅσον τέως εἰς τοὺς ἐπισκόπους, εἰς τὸ μηδὲ ὅλως ἱερατικόν τι ἐνεργεῖν· ὁ δὲ παρὼν κανὼν οὐκ ἐμποδίζει τούτους ἐκ τῆς ἱεροτελεστίας, ἀλλ' ἐκ τῆς κοινωνίας χωρίζει τῆς τῶν λοιπῶν ἀδελφῶν.

A quando cauſæ quantitas non excedit xxx. numiſmata. Et licet ei jure Eccleſiaſtico reprimere potentiorum injurias: quin & in ſuum forum trahete omnes, qui dicuntur injuriâ afficere eos qui ad Eccleſiam confugiunt; nec cogentur eos ad civile forum mittere, ut fit hodie. Sed & liber, qui πρωτεκδικικὸς (ſeu de Primo-defenſore) dicitur, dat ei multa privilegia: verum neſcio quomodo pleraque negliguntur.

Zonar. Epiſcopi non tantum populos ipſorum curæ commiſſos docere, ſed eorum quoque patrocinium, ſi injuſtè lædantur, ſuſcipere, ac illos pro viribus tueri de- B bent. Quoniam vero aliqui, pollentes opibus, Epiſcoporum quoque auctoritatem contemnebant, poſtulant ab Imperatore hujus Synodi Patres, ut Defenſores aliqui conſtituantur, qui ſimul cum Epiſcopis potentiorum tyrannidem reprimant, ne pauperum oppreſſionibus, hoc eſt, gravibus injuriis, quæ ipſis inferuntur, aſſiduè Eccleſia perturbetur; hoc eſt, ob pauperes ad ipſam confugientes, atque ab ea ſibi opem implorantes, aſſiduis perturbationibus implicetur.

Arist. *Ut Epiſcopus moleſtiâ non afficiatur, Defenſores conſtituantur.*

C Pauperibus à potentioribus vexatione affectis, & Epiſcopis ab iis propter eas vexationes perturbatis; viſum eſt Synodo ab Imperatore petere, ut cum Epiſcoporum providentiâ eligantur Defenſores, ut divitum tyrannidi reſiſtant, & Epiſcopi, quantum ad eos, ſine moleſtiâ permaneant.

CANON LXXIX.

De Epiſcopis, qui in Synodis ſe non ſiſtunt. Similiter placuit, ut quotieſcunque Synodum convenire opor- D *tuerit, Epiſcopi, qui nec ſenectute nec imbecillitate nec ulla graviſſima neceſſitate impediuntur; ut par eſt, ſe ſiſtant; & ſuæ cujuſque provinciæ Primatibus de omnibus Epiſcopis ſignificetur, ſive duæ ſive tres fiant congregationes: & ex unoquoque numero viciſſim, quicunque electi fuerint, ad diem Synodi inſtantiſſimè ſe ſiſtant. Sin autem ſe ſiſtere non poſſint, cùm multæ ſimul (ut credibile eſt) exoriantur neceſſitates: niſi ſui impedimenti rationem ſuo Primati reddiderint, debeant ii ſuæ eſſe Eccleſiæ communione contenti.*

E **Bals.** Uniuſcujuſque provinciæ Epiſcopos, qui non propter ætatem ſeu provectam ſenectutem vel valetudinem vel aliam neceſſitatem impediuntur, ad indictas Synodos convenire hic Canon jubet: & cùm congregati fuerint, Metropolitano provinciæ, in qua eſt unuſquiſque ſignificare, & ex unoquoque numero, ſive duæ ſive tres fiant congregationes. (Fortè enim, ne vel de habitationibus vel de rebus neceſſariis in anguſtias adducerentur, non omnes in unam urbem convenerunt; ſed in duas vel tres Metropoli propinquas.) Inſtantiſſimè autem ſe ſiſtere, hoc eſt, ſine ulla dilatione viciſſim, id eſt, per vices. Neque enim F in uno die ſolvuntur Synodi; ſed in pluribus. Si autem ſe ſiſtere non poſſint, quòd à repentina neceſſitate impediantur; Primati rationem impedimenti exponant: ſin hoc non fecerint, ſola ſuæ Eccleſiæ communione contenti ſint; aliis unà cum ipſis non communicantibus. Et in his quidem conſiſtit Canon. Tu autem hinc nota novum excommunicationis genus. Alii enim Canones accipiunt excommunicationem; quod quidem attinet ad Epiſcopos; ut nihil ſacerdotale obeant: Præſens autem Canon eos à ſacro miniſterio non impedit; ſed ſeparat à reliquorum fratrum communione.

Zonar. Uniuſcujuſque provinciæ Epiſcopos, quotieſcunque Synodus habenda ſit, niſi ætate jam affecta effœtâque ſenectute vel infirmitate corporis impediantur, vel gravi alia de cauſa detineantur, convenire omnino hic Canon jubet; & ubi primum advenerint, Metropolitano ſingulos, ex qua ſe ferant, provinciæ ſignificare; tum vero ex ſingulis claſſibus ſive duæ ſive tres inſtitutæ fuerint (etenim, ne vel inopia tecti premerentur, vel ad uſus vitæ neceſſaria deficerent, non in una ſorte omnes urbe conſidebant, ſed in duabus tribuſve Metropoli proximis) ad diem Synodo præfinitam inſtanter, hoc eſt, ſine ulla tergiverſatione aut mora properanter accedere viciſſim, hoc eſt, per vices. Neque enim uno die, ſed pluribus Synodi abſolvebantur: quod ex hac quoque colligere facile eſt, ex cujus actionum multiplicitate, pluribus eam diebus celebratam fuiſſe apparet. Per vices autem, hoc eſt, ut modo hic, modo alii, quicunque demum electi fuerint, ſe in Synodo ſiſtant. Si verò id minus poſſint, neceſſariis impedimentis ex improviſo & inexpectato confeſtim obortis; ut quicunque non adfuerint, Metropolitano ſuo ſinguli, rationem reddant, exigit: qui vero id neglexerint, excluſi ab aliorum conſortio, Eccleſiæ ſuæ communione contenti ſint.

Arist. *Qui in Synodo quotannis habitâ non conveniunt, niſi contra voluntatem impediantur, ſuæ ſint Eccleſiæ communione contenti.*

Quicunque ex Epiſcopis ad Synodum in unaquâque ipſorum Provinciâ habitam ſe non conferant, nec à ſenectute, nec ab infirmitate, nec aliâ graviſſimâ neceſſitate impediti; ſed è deſidiâ vel etiam contemptu illud facientes; decernitur, ut fraternis verbis caſtigentur. At præſens canon & ſpeciem reprehenſionis addit, mandans Coepiſcopos & confratres eorum cum iis non communicare, aut ſacra celebrare: ſed in ſolis propriis ſuis Eccleſiis acquieſcere, & in iis munus obire.

Canon LXXX.

De Creſconio. De Creſconio Balarecenſio hoc omnibus viſum eſt, ut hinc quoque Numidiæ Primati ſignificetur, quo ipſe ſciat ſe debere memoratum Creſconium ſuis literis ad conveniendum adhortari; ut non differat ſuam exhibere præſentiam proximæ univerſæ Synodo Africanæ: Sin autem venire neglexerit, ſciat eſſe adverſus ſe ferendam ſententiam.

Bals. Per Creſconium imponit Canon neceſſitatem Epiſcopis, ut in Synodis inexcuſabiliter conveniant: & iis, qui convenire negligunt, condemnationem comminatur. Ejus autem formam non exprimit. Sed vi. canon vii. Synodi, Magiſtratus quidem, qui impediunt quominus fiant annuæ Synodi, ſegregandos decernit: Metropolitanos autem, qui ſine juſta cauſa hæc negligunt, canonicis pœnis ſubjiciendos. Quales autem & quænam ſint eæ pœnæ, expreſsè ſcriptum non eſt. Ut eſt ergo veriſimile, eæ ſunt quæ in ſuperiore canone continentur. Lege & dictum vi. can. Syn. vii. & vi. can. Syn. in Trullo, & quæ in his ſcripta ſunt.

Zonar. Hic quoque canon, quamvis de uno Epiſcopo editus, aliis omnibus ad Synodum ſine ulla prorſus tergiverſatione conveniendi neceſſitatem imponit, ac iis qui venire neglexerint, comminatur.

A **ΖΩΝΑΡ.** Ἀπαραιτήτως ἀπαιτεῖ ὁ κανὼν, συνάγεσθαι τοὺς ἐπισκόπους ἑκάστης ἐπαρχίας, ὁσάκις χρεία ἐστὶ γενέσθαι σύνοδον, εἰ μὴ διὰ κείραν, ἤγουν ἡλικίαν προήκουσαν, καὶ γῆρας βαθὺ, ἢ ἀσθένειαν ἐμποδίζοιντο, ἢ τινὶ ἄλλῃ βαρείᾳ περιστάσει συνέχοιντο, καὶ συναχθέντας εἴδησιν διδόναι τῷ μητροπολίτῃ τῆς ἐπαρχίας, ἀφ᾽ ἧς ἐστιν ἕκαστος, καὶ ἀφ᾽ ἑκάστου ἀθροισμοῦ, εἴτε δύο εἴτε τρεῖς συναθροισθεῖς γένωνται (ἴσως γὰρ, ἵνα μήτε περὶ τὰς καταγωγὰς στενοχωρῶνται, μήτε μὴν περὶ τὰ χρειώδη, οὐκ εἰς μίαν πάντες συνήρχοντο πόλιν, ἀλλ᾽ εἰς δύο ἢ τρεῖς πλησιαζούσας τῇ B μητροπόλει.) ἐνστατικῶς ἀπαντᾶν, ἀντὶ τοῦ ἀνυπερθέτως, ἀπροφασίστως πρὸς τὴν ἡμέραν τῆς συνόδου, εἰς ἀμοιβὴν, τουτέστιν ἀμοιβαδόν. οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ αἱ σύνοδοι διελύοντο, ἀλλ᾽ ἐν πλείοσι, καὶ τοῦτο δῆλον ἐκ ταύτης τῆς συνόδου ἐστί. διαφόρους γὰρ πράξεις δηλοῖ γενέσθαι ἐν ἄλλαις καὶ ἄλλαις ἡμέραις. ἀμοιβαδὸν δὲ, ἤγουν ἄλλοτε ἄλλους ἀπαντᾶν, ὅσοι ἐπιλεγῶσιν. ἐὰν δὲ μὴ δυνηθῶσι ἀπαντῆσαι, ἀθρόον ἀναφυομένων, αἰφνιδίων δηλονότι καὶ ἀνελπίστως, αἰτιῶν ἀναγκαίων, ἀπαιτεῖ τοὺς μὴ ἀπαντήσοντας λόγον ἀποδιδόναι, παρὰ τῷ μητροπολίτῃ αὐτοῦ ἕκαστον, ἢ μὴ ἀποδιδόντα, μόνῃ τῇ κοινωνίᾳ τῆς ἰδίας ἐκκλησίας ἀρκεῖσθαι, ἑτέρων αὐτῷ μὴ συγκοινωνούντων. C

ΑΡΙΣΤ. Οἱ μὴ ἀπαντῶντες ἐν τῇ κατ᾽ ἐνιαυτὸν συνόδῳ, εἰ μὴ ἀβουλήτως κωλύοιντο, τῇ τῆς ἰδίας ἐκκλησίας ἀρκείσθωσαν κοινωνίᾳ.

Ὅσοι τῶν ἐπισκόπων ἐν τῇ συνόδῳ ἑκάστης αὐτῶν ἐπαρχίας οὐκ ἀπαντήσουσι, μήτε ὑπὸ γήρους, ἢ ἀσθενείας, εἴτε τινὸς βαρυτάτης ἀνάγκης ἐμποδιζόμενοι· ἀλλ᾽ ἐκ ῥᾳθυμίας, ἢ καὶ καταφρονήσεως τοῦτο ποιοῦντες, ἀδελφικῶς ὡρίσθησαν ἐπιπλήττεσθαι. ὁ δὲ παρὼν κανὼν καὶ τὸ εἶδος τῆς ἐπιπλήξεως τίθησι, προστάττων τοὺς συνεπισκόπους καὶ συναδελφοὺς αὐτῶν D μὴ συγκοινωνεῖν αὐτοῖς καὶ συλλειτουργεῖν· ἀλλ᾽ ἐν μόναις ταῖς ἰδίαις αὐτῶν ἐκκλησίαις ἀρκεῖσθαι, καὶ λειτουργεῖν ἐν αὐταῖς.

ΚΑΝΩΝ π΄.

Περὶ Κρεσκωνίου. περὶ Κρεσκωνίου τοῦ Βηλαρεκεντίου τοῦτο πᾶσιν ἔδοξεν, ἵνα ἐντεῦθεν ὁμοίως ἐμφανείη τῷ πρωτεύοντι τῆς Νουμιδίας, πρὸς τὸ εἰδέναι αὐτὸν, ὀφείλειν γράμμασιν οἰκείοις πρὸς συνέλευσιν προτρέψασθαι τὸν μνημονευθέντα Κρεσκώνιον· ὥστε μὴ ὑπερτίθεσθαι τὴν παρουσίαν αὐτοῦ τῇ πλησιαζούσῃ συμπάσῃ Ἀφρικάνῃ E συνόδῳ παρασχεῖν· ἐὰν δὲ τοῦ ἐλθεῖν καταφρονήσῃ, ἔσται εἰδὼς κατ᾽ αὐτοῦ ψῆφον νομοθετησομένην.

ΒΑΛΣ. Διὰ τοῦ Κρεσκωνίου ἐπιτίθησιν ὁ κανὼν ἀνάγκην τοῖς ἐπισκόποις ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι· καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ κατάκρισιν. τὸ δὲ εἶδος ταύτης οὐ λέγει. ὁ μέντοι ϛ΄. κανὼν τῆς ἑβδόμης συνόδου, τοὺς μὲν κωλύοντας ἄρχοντας γίνεσθαι τὰς ἐτησίους συνόδους ἀφορίζεσθαι διορίζεται, τοὺς δὲ χωρὶς εὐλόγου προφάσεως ἀμελοῦντας τούτων μητροπολίτας τοῖς κανονικοῖς καθυποβάλλειν ἐπιτιμίοις. ποῖα F δὲ καὶ τίνα εἰσὶ τὰ ἐπιτίμια ῥητῶς οὐ γέγραπται. ὡς ἔοικεν οὖν, τὰ ἐν τῷ ἀνωτέρῳ κανόνι περιεχόμενα εἰσίν. ἀνάγνωθι καὶ τὸν ῥηθέντα ϛ΄. κανόνα τῆς ζ΄. συνόδου, καὶ τὸν ἕκτον τῆς ἐν τῷ Τρούλλῳ, καὶ τὰ ἐν αὐτοῖς.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν διὰ τοῦ ἑνὸς τούτου ἐπισκόπου ἀνάγκην ἐπιτίθησι τοῖς ἐπισκόποις ἐν ταῖς συνόδοις ἀπαραιτήτως συνέρχεσθαι, καὶ τοῖς καταφρονοῦσι τῆς συνελεύσεως ἀπειλεῖ.

ΑΡΙΣΤ. Γράμμασι κληθεὶς εἰς τὴν σύνοδον Κρεσκώνιος, εἰ μὴ παραγένηται, ἴστω ψῆφον κατ' αὐτὸν ἐκφωνηθησομένην. Σαφής.

ΚΑΝΩΝ πα'.

Περὶ τῶν ἐν Ιππῶνι φροντιστῶν τῆς ἐκκλησίας. Πάλιν ἤρεσεν, ἵνα ἐπειδὴ τῆς ἐκκλησίας τῶν ἐν Ιππῶνι φροντιστῶν ἡ ἐγκατάλειψις οὐκ ὀφείλει ἐπιπολὺ ἀμεληθῆναι, καὶ ἐπειδὴ αἱ ἐκεῖ ἐκκλησίαι κατέχονται παρὰ τῶν τὴν ἄτοπον τοῦ Αἰκυτίου κοινωνίαν παραιτησαμένων· πεμφθέντων ἐκ τῆς παρούσης συνόδου ἐπισκόπων, Ρηγίνου, Αλυπίου, Αὐγουστίνου, Ματέρνου, Θεασίου, Εὐοδίου, Πλακιδιανοῦ, Οὐρβανοῦ, Βαλερίου, Αμοιβίου, Φουρτουνάτου, Κουοδβουλτδέου, Ονωράτου, Ιανουαρίου, Απτου, Ονωράτου, Αμπελίου, Βικτωριανοῦ, Εὐαγγέλου καὶ Ρογατιανοῦ· καὶ συναχθέντων καὶ διορθωθέντων τῶν ἐπὶ ψόγῳ μονοτονίᾳ τὴν φυγὴν τοῦ αὐτοῦ Αἰκυτίου προσδοκητέαν λογισαμένων, μετὰ τῆς πάντων εὐχῆς ἐπίσκοπος τούτοις χειροτονηθῇ. ἐὰν δὲ μὴ θελήσωσιν ἐκεῖνοι τὴν εἰρήνην κατανοῆσαι, μὴ ἐμποδίσωσι τῇ ἐπιλογῇ τοῦ προέδρου, πρὸς τὸ χειροτονηθῆναι εἰς χρησιμότητα τῆς ἐπὶ τοσοῦτον χρόνον ἐγκαταλειφθείσης ἐκκλησίας.

ΒΑΛΣ. Δύο πόλεις εἰσὶν εἰς Αφρικὴν Ιππῶνες καλούμεναι. τούτων ἐν μιᾷ Αἰκύτιος ἐπίσκοπος ἦν. καὶ ἐπεί τινες ἐπανέστησαν καὶ παρῃτήσαντο τὴν μετὰ τούτου κοινωνίαν, τὴν καὶ ἄτυπον κληθεῖσαν, ἤτοι ἀτύπωτον καὶ ἄδικον, ἔδοξε διά τινων ἀρχιερέων ἀναστεῖλαι αὐτούς· εἰ δὲ τὴν εἰρήνην μὴ θελήσουσι, χειροτονῆσαι ἐπίσκοπον ἕτερον.

ΖΩΝΑΡ. Ιππὼν τῆς Νουμηδίας πόλις ἐστίν· ἡ δὲ Νουμηδία μοῖρα τῆς Αφρικῆς. δύο δὲ ἦσαν ἐν αὐτῇ πόλεις Ιππῶνες καλούμεναι, τούτων ἐν μιᾷ Αἰκύτιος ἐπίσκοπος ἦν, ᾧ ἐπανέστησάν τινες, οἷς καὶ πολλοὶ τοῦ λαοῦ συνυπήχθησαν, παραιτησάμενοι τὴν αὐτοῦ κοινωνίαν, ἣν ἄτυπον ἡ σύνοδος ὠνόμασεν, ὡς μὴ ὁρισθεῖσαν καὶ τυπωθεῖσαν παρὰ συνόδου. διὰ γοῦν τὴν τοιαύτην στάσιν ἔδοξε στεῖλαί τινας ἐκεῖ τῶν ἐπισκόπων, ἵνα, εἰ δύναιντο, διορθώσωνται τὴν στάσιν, καὶ καταλλάξωσι τοὺς στασιάσαντας· εἰ δὲ μὴ τοῦτο, χειροτονήσωσι τέως ἐπίσκοπον εἰς χρησιμότητα τῆς ἐν Ιππῶνι ἐκκλησίας, ἤγουν εἰς ὠφέλειαν τῆς ἐπὶ πολὺν χρόνον καταλειφθείσης, ἤτοι χωρὶς ἐπισκόπου οὔσης.

ΑΡΙΣΤ. Ἔδοξε μετὰ τὴν Αἰκυτίου κατάκρισιν, μετὰ τῆς πάντων εὐχῆς ἐπίσκοπον τῆς ἐν Ιππῶνι προχειρισθῆναι, καὶ μηδαμῶς αὐτοὺς ἐμποδίσαι εἰς τὸ χειροτονηθῆναι πρόεδρον τῇ ἐκκλησίᾳ.

Ἤρεσε πᾶσιν εἰς τὴν ἐν Ιππῶνι ἐκκλησίαν προχειρισθῆναι ἐπίσκοπον, τοῦ ἐπισκόπου ταύτης τοῦ Αἰκυτίου καθαιρεθέντος, καὶ μή τινας τῶν ἀντιποιουμένων ἐκείνου ἐμποδίζειν εἰς τὸ χειροτονηθῆναι ἐπίσκοπον εἰς ὠφέλειαν τῆς ἐκκλησίας, τῆς ἐπὶ τοσοῦτον χρόνον χωρὶς ἐπισκόπου καταλειφθείσης.

ΚΑΝΩΝ πβ'.

Περὶ τῶν μὴ φροντιζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα. Πάλιν ὡρίσθη, ἵνα ὁσάκις κληρικῶν ἐλεγχθέντων, καὶ καταθεμένων τινὰ ἐγκλήματι, εἴτε διὰ τὸ τῆς ἐκκλησίας ὄνειδος, εἴτε διὰ τὴν αἰδεσιμότητα, (ὧν χάριν τούτοις γίνεται φειδὼ) εἴτε διὰ τὴν ἀλαζόνα τῶν αἱρετικῶν καὶ ἐθνικῶν ἐπαγαυρίασιν, ἐάν, ὡς εἰκός, ἐπαγωνίσασθαι τῷ ἰδίῳ πράγματι, καὶ τῆς ἰδίας εὐλαβείας φροντίσαι θελήσωσιν, ἐντὸς ἀκοινωνησίας ἐνιαυτοῦ τοῦτο ποιήσωσιν· ἐὰν δὲ ἐντὸς ἐνιαυτοῦ τὸ πρᾶγμα αὐτῶν καθᾶραι καταφρονήσωσιν, μηδεμίαν τούτων τοῦ λοιποῦ φωνὴν παντελῶς προσδεχθεῖν.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν διορίζεται τοὺς κληρικούς, τοὺς διά τινα ἐγκλήματα ἐλεγχθέντας, ἤτοι καταμαρτυρηθέντας

Ariſt. *Creſconius literis ad Synodum vocatus, niſi ſe ſtiterit, ſciat ſententiam contra ſe edendam fore.* Perſpicuus.

Canon LXXXI.

De curatoribus Eccleſiæ Hipponenſis. Rurſus placuit, quoniam Eccleſiæ Hipponenſis curatorum deſtitutio non eſt diutius negligenda; & quia Eccleſiæ, quæ illic ſunt, detinentur ab iis qui prodigioſam Æcytii communionem recuſarunt: miſſis ex præſenti Synodo Epiſcopis, Rhegino, Alypio, Auguſtino, Materno, Theaſio, Evodio, Placiano, Urbano, Valerio, Amœbio, Fortunato, Quod-vult-Deo, Honorato, Januario, Apto, Honorato, Ampelio, Victoriano, Evangelo & Rogatiano; & congregatis ac correctis iis, qui vituperabili pertinacia ejuſdem Æcytii fugam expectandam eſſe exiſtimaverunt, cum omnium votis iis Epiſcopus eligatur. Si autem nolint illi de pace cogitare, ne Præſulis electioni impedimentum afferant, quominus ordinetur ad utilitatem Eccleſiæ quæ tamdiu deſtituta eſt.

Bals. Duæ ſunt urbes in Africa, quæ Hippones vocantur. In una earum erat Equitius Epiſcopus. Et quia nonnulli adverſus eum inſurrexerunt, & cum eo communionem recuſarunt, quæ incerta ſeu informis, atque adeò injuſta dicitur; viſum eſt ipſos per quoſdam Antiſtites refrænari: Sin autem pacem nolint, alium eligi Epiſcopum.

Zonar. Hippon Numidiæ civitas eſt: Numidia vero Africæ regio. Cum autem duæ eſſent in Africa urbes, Hipponis nomine; in harum altera Equitius Epiſcopatum gerebat. Eum nonnulli, popularibus quoque ſtudiis ſubnixi, vehementer inſectabantur, illiúſque communionem, quam informem, propterea quod à Synodo minime decreta aut indicta eſſet, Synodus appellavit, rejiciebant. Ad eam ergo ſeditionem opprimendam quoſdam Epiſcopos ex hoc loco mittendos eſſe cenſuerunt, ut, ſi fieri poſſit, tumultu ſedato, diſſidentes concilient; vel ſi id minus obtineant, Hipponenſis Eccleſiæ utilitati conſulentes, quæ jamdiu deſerta, hoc eſt, à ſuo Antiſtite deſtituta eſt, aliquem interim in ea Epiſcopum conſtituant.

Ariſt. *Viſum eſt, ut poſt Equitii condemnationem omnium votis Epiſcopus Hipponi præficiatur; & iſti nequaquam impediant quin in Eccleſia Præſul ordinetur.*

Omnibus placuit, ut in Hipponis Eccleſiam ordinaretur Epiſcopus Epiſcopo illius Equitio depoſito, & nullos eorum qui ei adverſabantur impedire, quo minus ad Eccleſiæ, tamdiu Epiſcopo deſtitutæ, utilitatem Epiſcopus ordinetur.

Canon LXXXII.

De Clericis, qui non curant ſuam intra annum cauſam agere. Rurſum decretum eſt, ut quoties, Clericis accuſatis, & aliquorum criminum in eos dicto teſtimonio, ſive propter probrum Eccleſiæ, ſive propter reverentiam (quibus nominibus eis parcitur) ſive propter inſolentem hæreticorum & gentilium exultationem, ſi, ut par eſt, cauſam ſuam defendere, & ſuæ probandæ innocentiæ curam gerere voluerint, hoc intra annum excommunicationis faciant: Sin autem intra annum cauſam ſuam purgare neglexerint, nulla eorum deinceps vox omnino admittatur.

Bals. Præſens Can. ſtatuit, ut Clerici, qui propter crimina ſunt accuſati, ſive adverſus quos teſtimonium dictum eſt ex præſumptione, curent ut cauſæ adverſus eos intra annum peragantur: Sin minus excludantur. Hæc autem hodie non ſunt in uſu: eo quòd ex diverſis Novellis omnis criminalis cauſa in perpetuum tempus extendatur.

Zonar. Si Clerici ob crimina, propter quæ Clero movendi ſint, accuſentur, ex quibus Eccleſiæ quoque, quaſi flagitioſa ſit Clericorum vita, ignominiæ aliqua labes aſpergatur; exigit ab iis Canon, ut unius anni ſpatio ſe ab ea, quæ in ipſos confertur, culpa liberare contendant; idque vel ob reverentiā ſeu ſacri ordinis dignitatem conſervandam, quo nomine eis interea parcitur, ne qua ſacro ordini infamiæ nota hæreat, vel ne hæretici inſolenti vanitate efferantur, ex eóque ſacerdotii contemnendi anſam accipiant: eoque anno à communione quoque abſtinere jubet. Nam & eos propterea Canon initio convictos appellavit, non quia manifeſtò obnoxii criminibus tenerentur; convictos enim pœna depoſitionis illico ſecuta eſſet: ſed quod extarent indicia facinoris, ex quibus meritò communionis privatione mulctati ſunt. Ergo ſi unius anni intervallo nulli ſe culpæ affines eſſe oſtenderint, à mulcta quoque liberabuntur: ſin minus eo elapſo, ad cauſam agendam, vel ſi maxime velint, non admittentur.

Arist. *Clericus crimine convictus, ſi ſe cauſam ſuam defenſurum dicat, intra annum defendat: poſtea vero non admittatur.*

Criminibus accuſatus & jam condemnatus Clericus, ſi adhuc dicat ſe jura ſua proferre poſſe, & ſeipſum innocentem probare, intra annum litigare debet: Poſt annum autem nulla cauſæ ſuæ defenſio admittetur, ſed quantum ad ipſum judicium condemnatus erit. Et ſi vellet poſtea appellare, illud faciat.

Canon LXXXIII.

Ut eos, qui ex alieno Monaſterio ſuſcepti ſunt, nec Monaſterii Præfectos, nec Clericos ordinare liceat. Similiter placuit, ut ſi quis ex alieno Monaſterio aliquem ſuſceperit, & vel ad Clericatum adducere, vel Monaſterii ſui Præfectum conſtituere voluerit, Epiſcopus, qui hoc facit, à reliquorum communione ſeparatus, ſit ſola ſui populi communione contentus: Ille autem nec Clericus nec Præfectus permaneat.

Bals. Præſens Canon punit Epiſcopum, qui Monachum ex alieno Monaſterio ſuſcipit, & eum in Clerici gradum provehit, vel in ſui Monaſterii præfecturam: & ejuſmodi Monachum, qui in Clerum admiſſus, vel etiam Monaſterii Præfectus creatus eſt, Clero & præfectura expellit. Ne tibi autem his contrarius eſſe videatur quartus Canon Synodi quæ in ſanctorum Apoſtolorum æde conſtituta eſt, ſtatuens eſſe in Epiſcoporum poteſtate, non ſolùm Monachos ex hoc Monaſterio in aliud transferre; ſed etiam eos ſecularibus ædibus præficere. Sed dic, quòd hîc quidem prohibitum eſt Epiſcopo, ex aliena regione Monachum recipere, & eum etiam Præfectum vel Clericum conſtituere: illic autem Epiſcopo permiſſum eſt è propria regione Monachos, & ab hoc Monaſterio in aliud tranferre, & in ſeculari etiam adminiſtratione conſtituere; quod præter mentem propriorum Epiſcoporum fieri nequit. Præſens autem Canon tunc locum habebit, quando ex aliena regione Monachus dimiſſorias literas Epiſcopi ejus non affert. Tunc enim citra impedimentum fiet in aliena regione Monaſterii Præfectus & Clericus. Quod autem fit hodie à Monaſteriorum Præfectis, qui à ſe detonſos cum literis dimittant, ut in alieno Monaſterio Monachi eſſe poſſint, non eſt, ut mihi videtur, firmum & accuratum.

A ἀπὸ προλήψεως, φροντίζειν τοῦ παρατωθῆναι τὰς κατ' αὐτῶν ὑποθέσεις ἐντὸς ἐνιαυτοῦ· εἰ δὲ μή, ἀποκλείεσθαι. ταῦτα δὲ οὐκ ἐνεργοῦσι σήμερον, διὰ τὸ ἀπὸ διαφόρων νεαρῶν πᾶσαν ἐγκληματικὴν ὑπόθεσιν εἰς διηνεκῆ χρόνον ἐπεκτείνεσθαι.

ΖΩΝΑΡ. Ἐὰν κληρικοὶ κατηγορῶνται ἐπ' αἰτίαις ἐκβαλλούσαις αὐτοὺς τοῦ κλήρου, δι' ἃς καὶ ὄνειδος τῆς ἐκκλησίας εἰσίν, ὡς μὴ καλῶς βιοῦντες, ἀπαιτεῖ αὐτοὺς ὁ κανὼν ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίσασθαι καθᾶραι ἑαυτοὺς τῆς κατηγορίας, εἴτε διὰ τὴν αἰδεσιμότητα, ἤγουν τὸ ἔντιμον τοῦ βαθμοῦ τοῦ κλήρου, δι' ὃ καὶ φείδονται, ἵνα μὴ ἀτιμάζηται ἡ ἱερωσύνη, B ἢ διὰ τὸ μὴ κατεπαίρεσθαι τοὺς αἱρετικοὺς ἐξ ἀλαζονείας, καὶ καταφρονεῖν τῆς ἱερωσύνης, καθ' ὃν ἐνιαυτὸν καὶ ἀκοινώνητοί εἰσι. διὰ τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ κανὼν ἐλεγχθέντας αὐτοὺς ὠνόμασεν, οὐχ ὡς τελείως ἀποδεδειγμένων τῶν κατ' αὐτῶν εἰσαχθέντων· ἢ γὰρ ἂν καὶ καθῃρέθησαν, εἰ ἠλέγχθησαν· ἀλλ' ὡς προλήψεων καὶ κατ' αὐτῶν δοθεισῶν, δι' ἃς καὶ ἀκοινωνησίᾳ ἐπετιμήθησαν. εἰ μὲν οὖν διὰ τοῦ ἐνιαυτοῦ σπουδάσουσι καθαροὺς ἑαυτοὺς ἀποδεῖξαι τῶν ἐγκλημάτων, καὶ τοῦ ἐπιτιμίου κωλυθήσονται· εἰ δὲ μή, ἀπρόσδεκτοι ἔσονται μετὰ ταῦτα λόγον εἰσάγοντες.

C **ΑΡΙΣΤ.** Ἐλεγχόμενος κληρικὸς ἐπ' ἐγκλήματι, ἐὰν ἐπαγωνίσασθαι λέγῃ, ἐντὸς ἐνιαυτοῦ ἐπαγωνιζέσθω· μετὰ δὲ τοῦτον ἔστω ἀπρόσδεκτος.

Ἐλεγχόμενος ἐπ' ἐγκλήμασι καὶ ἤδη καταδικαζόμενος κληρικός, ἐὰν ἔτι λέγῃ δύνασθαι δικαιολογήσασθαι καὶ ἑαυτὸν ἀνεύθυνον παραστῆσαι, ἐντὸς ἐνιαυτοῦ ὀφείλει ἐπαγωνίσασθαι. μετὰ δὲ τὸν ἐνιαυτὸν οὐδεμία αὐτοῦ δικαιολογία παραδεχθήσεται, εἰς τὸ δικαστήριον ὅσον αὐτό, ἀλλὰ καταδεδικασμένος ἔσται· καὶ εἰ βούλεται ἔκτοτε ἐκκαλεῖσθαι, ποιείτω τοῦτο.

ΚΑΝΩΝ πγ΄.

D

Ὡς τοὺς ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδεχθέντας, μηδὲ ἡγουμένους τοῦ μοναστηρίου, μηδὲ κληρικοὺς ἐξεῖναι χειροτονεῖν. ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις ἀπὸ ἀλλοτρίου μοναστηρίου ὑποδέξηταί τινα καὶ πρὸς κλήρωσιν, προσαγαγεῖν ἐθελήσῃ, ἢ τοῦ ἰδίου μοναστηρίου ἡγούμενον καταστήσοι, ὁ τοῦτο ποιῶν ἐπίσκοπος, ἀπὸ τῆς τῶν λοιπῶν κοινωνίας χωριζόμενος, τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθῇ μόνῃ· ἐκεῖνος δὲ μηδὲ κληρικὸς μηδὲ ἡγούμενος ἐπιμείνῃ.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κολάζει τὸν ἐπίσκοπον ὑποδεχόμενον ἀπὸ ἀλλοτρίου μοναστηρίου μοναχόν, καὶ προάγοντα E τοῦτον εἰς βαθμὸν κληρικοῦ, ἢ εἰς ἡγουμενείαν ἰδίου μοναστηρίου· καὶ τὸν κληρωθέντα δὲ τοιοῦτον μοναχόν, ἢ καὶ γεγονότα ἡγούμενον ἐξωθεῖ τοῦ κλήρου καὶ ἀπὸ τῆς ἡγουμενείας. μὴ ἐναντιωθῇ δέ σοι πρὸς ταῦτα ὁ δ΄. κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης συνόδου, διοριζόμενος, ἔχειν ἐπ' ἀδείας τοὺς ἐπισκόπους, μὴ μόνον ἀπὸ τῆσδε τῆς μονῆς μετάγειν εἰς ἑτέραν μονὴν μοναχούς, ἀλλὰ καὶ εἰς κοσμικῶν οἰκιῶν προστασίαν αὐτοὺς καθιστᾷν. ἀλλ' εἰπέ, ὅτι ἐνταῦθα μὲν κεκώλυται τὸ ἀπὸ ἀλλοτρίας ἐνορίας ἀναλαμβάνεσθαι τὸν ἐπίσκοπον μοναχόν, καὶ καθιστᾷν τοῦτον ἡγούμενον ἢ καὶ κληρικόν· ἐκεῖσε δὲ ἐξεχωρήθη τῷ ἐπισκόπῳ τὸ ἀπὸ τῆς οἰκείας ἐνορίας μοναχοὺς F μετατιθέναι ἀπὸ τῆσδε τῆς μονῆς εἰς ἑτέραν, καὶ εἰς κοσμικὴν προστασίαν καθιστᾷν· ὅπερ παρὰ γνώμην τῶν ἐγχωρίων ἐπισκόπων γενέσθαι οὐ δύναται. τότε δὲ τὰ τοῦ παρόντος κανόνος ἕξουσι χώραν, ὅταν ὁ ἀπὸ ἀλλοτρίας ἐνορίας μοναχὸς οὐκ ἐπιφέρηται ἀπολυτικὴν γραφὴν τοῦ ἐπισκόπου αὐτοῦ. τηνικαῦτα γὰρ ἀπαρεμποδίστως εἰς ἀλλοτρίαν ἐνορίαν ἡγούμενος γενήσεται καὶ κληρικός. τὸ μέντοι σήμερον γινόμενον παρὰ τῶν ἡγουμενευόντων, καὶ ἀπολυόντων μετὰ γραφῆς τοὺς ὑπ' αὐτῶν ἀποκαρέντας, ὥστε μονάσαι εἰς ἑτέραν μονήν, οὐκ ἔστιν, ὡς ἐμοὶ δοκεῖ, ἀκριβές.

ἐπισκοπικῆς

A ἐπισκοπικῆς γὰρ μᾶλλον ἀπολυτικῆς γραφῆς χρεία τῷ μεταπεσεῖν βουλομένῳ, οὐχὶ τῆς τοῦ ἡγουμενεύοντος, ὅτι καὶ τοῖς ἐπισκόποις μᾶλλον ὑπόκεινται οἱ μοναχοί, ἢ τοῖς ἡγουμένοις. ταῦτα δὲ κρατήσουσιν εἰς τοὺς ἄλλους ἐπισκόπους· οὐ μὴν καὶ εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως. αὐτῷ γὰρ, ὡς πολλάκις εἴρηται, ἐνεδόθη ἀπὸ ἀλλοτρίων ἐνοριῶν ἀπαρεμποδίστως δέχεσθαι μοναχούς τε καὶ κληρικοὺς, οὐχ ὑποκειμένους πάντως τῷ θρόνῳ αὐτοῦ. οὐ μὴν καὶ τῷ θρόνῳ τοῦ Ἀντιοχείας ἢ τοῦ Ἱεροσολύμων ἢ ἄλλου.

ΖΩΝΑΡ. Ἀπὸ μοναστηρίου ὑποχωρήσαντα μοναχὸν δέχεσθαι παρ' ἑτέρου ἀπηγόρευται. ἐὰν οὖν ἐπίσκοπος, φησὶ, B τοιοῦτον δέξηται μοναχὸν, καὶ ἢ κληρικὸν αὐτὸν χειροτονήσῃ, ἢ ἡγούμενον μοναστηρίου ποιήσῃ, ὁ μὲν ἐπίσκοπος ἔσται τῇ τοῦ ἰδίου λαοῦ μόνου κοινωνίᾳ ἀρκούμενος, ἑτέρων αὐτῷ μὴ συγκοινωνούντων· ὁ δὲ μοναχὸς καὶ τοῦ κλήρου καὶ τῆς ἡγουμενείας ἐκπεσεῖται.

ΑΡΙΣΤ. Ὁ ἐξ ἀλλοτρίας τινὰ μονῆς δεχόμενος, ἐὰν ἄγοι τοῦτον εἰς κλήρωσιν, ἢ τῆς οἰκείας μονῆς ἡγούμενον, ἕξει τὸ ἀκοινώνητον.

Οἱ μοναχοὶ τῷ κατὰ χώραν ἐπισκόπῳ ὀφείλουσιν ὑποτάσσεσθαι, καὶ προσκαρτερεῖν ἐν τοῖς μοναστηρίοις, ἐν οἷς ἀπε- C τάξαντο, καὶ μὴ καταλιμπάνειν αὐτὰ, εἰ μή που ἄρα ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου διὰ ἀναγκαίαν χρείαν ἐπιτραπῶσι· καθὼς ὁ τέταρτος κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διαλαμβάνει. εἰ δέ τινα μοναχὸν ἐξ ἀλλοτρίας μονῆς ἐπίσκοπος παραδέξεται, καὶ ἢ κληρικὸν τοῦτον ποιήσει, ἢ τῆς ἰδίας μονῆς ἡγούμενον, ὡς πρὸς τοὺς λοιποὺς συναδελφοὺς καὶ συνεπισκόπους αὐτοῦ, ἕξει τὸ ἀκοινώνητον, καὶ μόνῃ τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθήσεται.

ΚΑΝΩΝ πδʹ.

D Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρονόμους καταλιμπανόντων. ὁμοίως ὡρίσθη, ἵνα ἐάν τις ἐπίσκοπος κληρονόμους συγγενεῖς ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας αἱρετικοὺς ἢ Ἕλληνας προτιμήσῃ τῆς ἐκκλησίας, καὶ μετὰ θάνατον ἀνάθεμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ τοῖς τοῦ θεοῦ ἱερεῦσιν ἀνενεχθῇ. μηδὲ δυνηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδιάθετος ἀπογένηται. ἐπεὶ γενόμενος ἐπίσκοπος, εἰκότως ὀφείλει τῶν πραγμάτων αὐτοῦ τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι.

ΒΑΛΣ. Πᾶς ἐπίσκοπος ὀφείλει, μετὰ τὸ ψηφισθῆναι, E ἀπογράφεσθαι τὰ οἰκεῖα πράγματα· καὶ ἐὰν τοῦτο ποιήσῃ κατὰ τὸν ἀποστολικὸν κανόνα, ἔχει ἐπ' ἀδείας διατίθεσθαι ἐπ' αὐτοῖς κατὰ νόμους. φησὶν οὖν ὁ παρὼν κανὼν, ὅτι ἐὰν ὁ ἀπογραψάμενος τὰ οἰκεῖα ἐπίσκοπος, ποιήσῃ τελευτῶν διαθήκην, καὶ γράψῃ κληρονόμους αἱρετικοὺς, κἂν συγγενεῖς αὐτοῦ ὦσι κἂν ἀλλότριοι, καὶ τὴν ἐκκλησίαν παραγκωνίσηται, ὑποκείσεται τῷ ἀναθέματι καὶ μετὰ θάνατον, καὶ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλειφήσεται. καὶ αὐτὸς μὲν οὕτω κολασθήσεται· ἡ δὲ διαθήκη τούτου ὡς παράνομος πεσεῖται, καὶ οἱ αἱρετικοὶ κληρονόμοι αὐτοῦ οὐδὲν λήψονται, ὡς τοῦ ἐπισκόπου ἀδιαθέτου δοκοῦντος τελευτῆσαι. τοῦτο γάρ ἐστι τὸ, μηδὲ δυνηθείη ἀπολογηθῆναι ἐὰν ἀδιάθετος ἀπο- F γένηται, καὶ τὰ ἑξῆς, τουτέστιν, ἐὰν ἡ διαθήκη αὐτοῦ, ὡς εἴρηται, πέσῃ, οὐ δυνήσεται ἀπολογίαν εὑρεῖν εἰς τὸ μὴ διανεμηθῆναι κατὰ τὸ αὐτοῦ βούλημα τὰ οἰκεῖα. ἤγουν, ἐὰν ἐν τοῖς ζῶσιν ὑπῆρχεν, οὐ μὴ αἰτιάσαιτο τὴν ἀθέτησιν τῆς διαθήκης αὐτοῦ. γενόμενος γὰρ ἐπίσκοπος, ὤφειλε κατὰ νόμους καὶ ἀξίως τῷ ἐπαγγέλματι αὐτοῦ διατίθεσθαι· οὐ μὴν παρανόμως καὶ ἀναξίως ἀρχιερέως. ποία γὰρ κοινωνία ὀρθοδόξῳ καὶ αἱρετικῷ; οὕτως ἑρμηνεύεται ὁ κανὼν, ὡς ἐμοὶ δοκεῖ. καὶ ἀνάγνωθι τὸν κδʹ. κανόνα

Episcopi enim dimissoriis magis opus est ei, qui migrare voluerit; non autem Monasterii Præfecti: quòd Episcopis magis subjecti sunt Monachi, quàm Monasteriorum Præfectis. Hæc autem locum habebunt in cæteris Episcopis: non autem in Patriarcha Constantinopolitano. Ei enim, ut sæpe dictum, permissum est Monachos & Clericos ex regionibus alienis, nec ejus Sedi omnino subjectis, accipere. Sed non itidem Antiocheno throno, vel Hierosolymitano, vel alii.

Zonar. Monachum, qui à Monasterio suo discesserit, ab alio quovis recipi vetitum est. Si igitur Episcopus, inquit, ejusmodi Monachum recipiat, eúmque vel Clericum vel Monasterii Præfectum constituat; Episcopus quidem aliorum consortio exclusus, sola populi sui communione contentus erit: Monachus vero & è Clero ejicietur & Præfecturæ gradu excidet.

Arist. *Qui quempiam ex alieno Monasterio suscipit, si eum ad Clericatum promoveat, aut suo præficiat Monasterio, aliorum communione privetur.*

Monachi regionis Episcopo subjici debent, & in Monasteriis, in quibus collocati sunt, perseverare, & ea non deserere, nisi forsitan à civitatis Episcopo propter negotium aliquod necessarium permittuntur: quemadmodum quartus Synodi Chalcedonensis Canon statuit. Si autem Monachum aliquem ex alieno Monasterio receperit Episcopus, & vel Clericum eum fecerit, aut proprii Monasterii Præfectum: quantum ad reliquos confratres & Coëpiscopos suos excommunicabitur, & solâ populi sui communione contentus erit.

Canon LXXXIV.

De Episcopis hæreticos vel Græcos hæredes relinquentibus. Similiter definitum est, ut si quis Episcopus hæreticos, aut Græcos, sive sint consanguinei, sive à consanguinitate alieni, hæredes Ecclesiæ prætulerit; etiam post mortem ei dicatur anathema, & nomen ejus inter Dei Sacerdotes minimè referatur. Nec possit excusari, si intestatus decesserit: quoniam cùm factus est Episcopus, justam debet facere rerum suarum dispositionem suæ professioni convenientem.

Bals. Omnis Episcopus, postquam electus fuerit, debet res suas describere: & si hoc fecerit secundùm Canonem Apostolicum, potest secundùm leges de rebus suis disponere. Dicit ergo præsens Canon, quòd si Episcopus, qui res suas descripsit, moriens testamentum fecerit, & hæreticos hæredes suos subscripserit, sive sint ejus cognati, sive alieni, & Ecclesiam prætermiserit; anathemati etiam post mortem subjicietur, & nomen ejus è Sacerdotum memoria delebitur. Ac ipse quidem sic punietur: ejus autem testamentum, ut injustum & contra leges factum, infirmabitur, Et hæretici quoque hæredes nihil accipient, tanquam Episcopus videatur mori intestatus, & quæ sequuntur: hoc est, si ejus testamentum infirmetur, ut dictum est, non poterit invenire defensionem, ut non ex ejus voluntate sua administrentur. Videlicet, si in vivis esset, sui testamenti infirmationem non incusaret. Cùm enim factus esset Episcopus, debebat secundùm leges & pro suæ professionis dignitate disponere: non autem contra leges & dignitatem Antistitis. Quæ est enim communio Orthodoxo cum Hæretico? Hæc est Canonis interpretatio, ut mihi quidem videtur. Et lege xxiiii. Canonem Synodi

Antioch. & caput octavum tit. x. præſentis operis; & cap. x. tit. iii. lib. v. Baſilic. quod eſt cxxxi. Novella, quæ docet, ſi Epiſcopi & Clerici inteſtati moriantur, ad Eccleſias hæreditatem pertinere. Nec tibi repugnare videatur Novella Imperatoris domini Conſtantini Porphyrogennetæ, quæ tractat, eis, qui ſine liberis inteſtati moriuntur, non ſuccedere ex linea tranſverſa cognatos: ſed tertiam partem bonorum, eorum qui ſic moriuntur, ad pias animæque ſalutares elargitiones procedere; cum eo etiam collectis preciis ſervorum ejus qui mortuus eſt, utpote iis eo ipſo liberatis. Hæc enim Novella de ſolis Laicis loquitur, & in iis vim ſuam obtinere debet; ſicut prædicta Juſtiniani Novella locum habet in Epiſcopis & Clericis, qui inteſtati moriuntur.

ZONAR. Quadrageſimus Apoſt. Can. Manifeſtæ, inquit, ſint Epiſcopi res propriæ, manifeſtæ & Dominicæ: ut ſit in poteſtate morientis Epiſcopi propria, quibus vult, relinquere. Non diſſimilia xxiv. Antioch. Syn. Can. continentur. Hinc igitur licet Epiſcopo res ſuas quibuſcunque velit relinquere, modo fideles ſint & orthodoxi; non autem infidelibus & hæreticis, etiam cognatione conjunctis. Quòd ſi moriens aliquem ex illis hæredem ſcripſerit, is quidem etiam poſt mortem anathemate percutitur, ejuſque nomen è Sacerdotum faſtis & memoria eximitur. Atque hæc quidem, Epiſcopo hæreditatem hæreticis legante, ſic habebunt. Quæ vero in Can. deinceps ſequuntur, ea nec explicari, nec intelligi facilè poſſunt. Arbitror tamen illorum hanc eſſe ſententiam; nimirum ſi nullo facto teſtamento Epiſc. moriatur, nihil excuſationis ejus ſucceſſori relictum iri, niſi rerum ipſius propriarum procurationem rite ſuſcipiat. Ab eo namque, ut Epiſcopi demortui facultatum procurationem ſuſcipiat, deque illis, pro ea quam edidit voluntatis ſuæ profeſſione, conſtituat, poſtulatur. Quiſquis enim Epiſcopus renuntiatur, Canones ſe ſervaturum eſſe profitetur. Canones vero, paupertatis amantem, hoſpitalem, pecuniarum contemptorem Epiſcopum eſſe jubent. Centeſima porro trigeſima prima Novella lib. v. tit. iii. cap. x. Baſilic. ſitâ, ſi qui Epiſcopi & Clerici nullo facto teſtamento deceſſerint, neque legitimos ſucceſſores habuerint, ad Eccleſias, quas ante obtinuerant, hæreditatem pertinere decernitur.

ARIST. *Epiſcopus, qui hæreticos aut Ethnicos hæredes ſcribit, ſit anathema.*

Hi etiam à legibus prohibentur adminiſtrare, & à teſtamento hæreditatem aut legatum accipere. Relicti itaque ab Epiſcopo hæredes, nihil ipſi lucri accipient; ſed publicum quæ iis relinquuntur recipiet: Qui eos autem ſcribunt hæredes, erunt hæredes anathematis.

CANON LXXXV.

De manumiſſionibus. Similiter placuit, ut de manumiſſionibus, quæ fiunt in Eccleſia, ab Imperatore petatur.

BALS. Servi, propter aliquas cauſas ad Eccleſias accedentes, Epiſcopali cognitione manumittebantur. Sed quia eorum domini ipſos in ſervitutem redigere conabantur, viſum eſt, ut Imperator de iis admoneretur, ut reprimeretur dominorum potentia. Atque in his quidem conſiſtit Canon. Tu autem ſcias, quòd ex libro recondito in Primi-defenſoris ſecreto, qui habet ea quæ à claro ſanctiſſimæ magnæ Eccleſiæ extructore Imperatore Juſtiniano ſtatuta ſunt, multa habent privilegia, qui ex parte Eccleſiæ manumiſſi ſunt ſervi. Lege & vigeſimum ſextum tit. quadrageſimi octavi libri, qui docet de ſervis qui manumittuntur:

A τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ κεφάλαιον ὄγδοον τοῦ ι'. τίτλου τοῦ παρόντος συντάγματος· καὶ κεφάλαιον ι'. τοῦ γ'. τίτλου τοῦ ε'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ ρλα'. νεαρά, διδάσκουσα τοὺς ἀδιαθέτως τελευτῶντας ἐπισκόπους καὶ κληρικοὺς παρὰ τῶν ἐκκλησιῶν κληρονομεῖσθαι. καὶ μὴ ἐναντιωθῇ σοι ἡ νεαρὰ τοῦ βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, διαλαμβάνουσα τοὺς ἀδιαθέτως τελευτῶντας παίδων χωρὶς μὴ κληρονομεῖσθαι παρὰ τῶν ἐκ πλαγίου συγγενῶν αὐτῶν· ἀλλὰ τὸ τρίτον τῆς οὐσίας τῶν οὕτως τελευτώντων προχωρεῖν εἰς ψυχικὰς διαδόσεις· συνεισαγομένων τούτων καὶ τῶν τιμημάτων τοῦ τελευτήσαντος, B ὡς ἀπεντεῦθεν ἐλευθερουμένων. ἡ γὰρ νεαρὰ αὕτη εἰς τοὺς λαϊκοὺς ἐξεφωνήθη καὶ μόνους, καὶ ὀφείλει κρατεῖν εἰς τούτους, ὥσπερ εἰς τοὺς ἀδιαθέτους ἐπισκόπους καὶ κληρικοὺς ἐνεργήσει ἡ ῥηθεῖσα Ἰουστινιάνειος νεαρά.

ΖΩΝΑΡ. Ὁ τεσσαρακοστὸς τῶν ἁγίων ἀποστόλων κανὼν, ἔστω, φησὶ, φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, καὶ φανερὰ τὰ κυριακά· ἵν' ἐξουσίαν ἔχῃ ὁ ἐπίσκοπος τελευτῶν, οἷς βούλεται καταλεῖψαι τὰ ἴδια. τὰ ὅμοια δὲ καὶ ὁ κδ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν διατάττεται. ἔχει γοῦν ἐκ τούτων ἄδειαν ὁ ἐπίσκοπος τὰ ἑαυτοῦ πράγματα κατα- C λιμπάνειν οἷς βούλεται, πιστοῖς μέντοι καὶ ὀρθοδόξοις, οὐ μὴν αἱρετικοῖς ἢ ἀπίστοις, ἀλλ' οὐδὲ συγγενέσιν αὐτοῦ τοιούτοις. εἰ δὲ τοιούτους τινὰς κληρονόμους τελευτῶν γράψει, ἐκεῖνος μὲν καὶ μετὰ θάνατον ἀναθεματίζεται, καὶ τὸ ὄνομα αὐτοῦ ἐκ τῆς μνήμης τῶν ἱερέων ἀπαλείφεται. ταῦτα μὲν, εἰ διαθέμενος αἱρετικοὺς καταλείψει κληρονόμους. τὸ δ' ἑξῆς τοῦ κανόνος δύσφραστόν ἐστι, κἀντεῦθεν δυσνόητον. οἶμαι δὲ λέγειν, ὅτι ἐὰν ἀδιάθετος τελευτήσῃ ὁ ἐπίσκοπος, ἀναπολόγητος ἔσται ὁ μετ' αὐτὸν ἐπίσκοπος ἀναπολογίας στερούμενος, εἰ μὴ οἰκονομήσει τὰ ἰδικὰ αὐτοῦ πράγματα εἰκότως, ἐπεὶ ὀφείλει καὶ χρέος ἔχει τὴν διατύπωσιν ἤγουν D τὴν οἰκονομίαν τῶν πραγμάτων τοῦ τελευτήσαντος ἐπισκόπου ἁρμοδίαν ποιῆσαι, ἤτοι ἀξίαν τοῦ ἐπαγγέλματος αὐτοῦ. ὁ γὰρ γινόμενος ἐπίσκοπος ἐπαγγέλλεται τοὺς κανόνας φυλάττειν· οἱ δὲ κανόνες φιλόπτωχον αὐτὸν εἶναι καὶ φιλόξενον ἀπαιτοῦσι, καὶ ὑπερόπτην χρημάτων. ἡ δὲ ρλα'. νεαρὰ κειμένη εἰς βιβλίον τῶν βασιλικῶν, ε'. τίτ. γ'. κεφ. ι'. τοὺς ἐπισκόπους καὶ κληρικοὺς ἀδιαθέτους τελευτῶντας, καὶ νομίμων διαδόχων χωρὶς παρὰ τῶν ἐκκλησιῶν αὐτῶν κελεύει κληρονομεῖσθαι.

ΑΡΙΣΤ. Ἐπίσκοπος αἱρετικοὺς, ἢ Ἕλληνας κληρονόμους γράφων, ἔστω ἀνάθεμα.

Οὗτοι καὶ ἀπὸ νόμων κωλύονται διατίθεσθαι, καὶ ἀπὸ δια- E θήκης κληρονομίαν ἢ λεγάτον λαμβάνειν. καταλειφθέντες γοῦν κληρονόμοι παρ' ἐπισκόπου, αὐτοὶ μὲν οὐδέν τι κερδήσουσιν· ἀλλ' ὁ δημόσιος λήψεται τὰ καταλειφθέντα αὐτοῖς· οἱ δὲ γράψαντες αὐτοὺς κληρονόμους, κληρονομήσουσι τὸ ἀνάθεμα.

ΚΑΝΩΝ πε'.

Περὶ ἐλευθεριῶν. ὁμοίως ἤρεσεν, ἵνα περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων ἐλευθεριῶν, ἀπὸ τοῦ βασιλέως αἴτησις γίνηται.

F ΒΑΛΣ. Δοῦλοι διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις, ἠλευθεροῦντο κατὰ διάγνωσιν ἐπισκοπικήν. ἐπεὶ δὲ οἱ δεσπόται τούτων ἐπεχείρουν αὐτοὺς δουλαγωγεῖν, ἔδοξε περὶ τούτων ὑπομνησθῆναι τὸν βασιλέα, ὥστε ἀναστεῖλαι τὴν τῶν δεσποτῶν δυναστείαν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ γίνωσκε, ὅτι ἀπὸ τοῦ βιβλίου τοῦ ἀποκειμένου ἐν τῷ σεκρέτῳ τοῦ πρωτεκδίκου, τοῦ ἔχοντος τὰ διατυπωθέντα παρὰ τοῦ ἀοιδίμου κτήτορος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τοῦ βασιλέως Ἰουστινιανοῦ, πολλὰ προνόμια ἔχουσιν οἱ παρὰ τοῦ μέρους τῆς ἐκκλησίας ἐλευθερούμενοι δοῦλοι. ἀνάγνωθι καὶ τὸ κϛ'. τίτ. τοῦ μη'. βιβλίου περὶ ἐλευθερουμένων διδάσκοντα, καὶ τὴν νεαρὰν τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν διοριζομένην μὴ ἔχειν χώραν τοὺς περὶ τῶν ἀντιπαραγωγῶν τῶν μαρτύρων νόμους, ὅταν περὶ ἐλευθερίας δικάζηταί τις· ἀλλὰ μόνην γίνεσθαι παραγωγὴν μαρτύρων παρὰ τοῦ δουλαγωγουμένου ἢ τοῦ ἐλευθεροβοῶντος.

ΖΩΝΑΡ. Δοῦλοι διά τινας αἰτίας προσφεύγοντες ταῖς ἐκκλησίαις ἠλευθεροῦντο, τοῦτο τῶν ἐπισκόπων δίκαιον εἶναι δοκιμαζόντων, οὓς οἱ δεσπόται ἐπειρῶντο αὖθις εἰς δουλείαν ἕλκειν. περὶ τούτων οὖν ἔδοξεν ὑπομνησθῆναι τὸν βασιλέα.

ΑΡΙΣΤ. Περὶ τῶν ἐν ἐκκλησίαις γινομένων ἐλευθεριῶν, ἐκ βασιλέως αἴτησις γινέσθω.

Τὰ αὐτὰ τῷ ἑξηκοστῷ τετάρτῳ κανόνι διαλαμβάνει· καὶ ἡρμηνεύθη ἐκεῖσε.

ΚΑΝΩΝ πϛ΄.

Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων. ὁμοίως ἤρεσεν, ἵνα πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς καὶ τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μαρτύρων καθιστάμενα, ἐν οἷς οὐδὲ ἓν σῶμα ἢ λείψανον μαρτύρων ἀποκείμενον δείκνυνται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων, εἰ ἔστι δυνατὸν, καταστρέφωνται. εἰ δὲ τοῦτο θορύβοις δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νουθετηθῶσι, μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους· καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται, καὶ μηδαμῶς μηδὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μήπου ἢ σῶμα ἤ τινα λείψανα ὦσιν ἢ ἀρχαιογονία τινὸς οἰκήσεως ἢ κτήσεως ἢ πάθους πιστῇ ἀρχαιότητι παραδιδῶνται. ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδήποτε καθίστανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδοκιμασθῶσιν.

ΒΑΛΣ. Κεκανόνισται μὴ ἄλλως εὐκτήριον οἶκον ἀνεγείρεσθαι ὁπουδήποτε, εἰ μὴ κατ' ἐπιτροπὴν ἐπισκοπικὴν ἢ καὶ παρουσίαν εὐχὴ θεμελίου τελεσθῇ κατὰ τόπον, καὶ σταυροπήγιον ἐντεθῇ, καὶ διὰ καταθέσεως ἁγίων λειψάνων μαρτυρικῶν καθιερωθῇ ὁ ναός. ἐπεὶ δέ τινες, ὡς ἔοικεν, ἀπὸ ὀνειράτων ἢ καὶ πεπλασμένων ἀποκαλύψεων ἀνήγειρον εἰς ἀγροὺς καὶ ἀμπελῶνας παρὰ γνώμην τῶν ἐπισκόπων θυσιαστήρια, καὶ διὰ παρασυνάξεων καὶ ψευδῶν ἐνυπνίων τοὺς ἁπλουστέρους πλανῶντες, τὴν ὀρθοδόξων πίστιν διέστρεφον, ἤρεσε τὰ τοιαῦτα θυσιαστήρια, τὰ εἰς μνήμην τάχα μαρτύρων καθιστάμενα, καὶ μὴ ἔχοντα σώματα ἢ λείψανα μαρτύρων, μηδὲ ἀρχῆθεν ἀνεγερθέντα διὰ τὸ οἰκῆσαι ἐν αὐτοῖς ὁσίους ἢ μάρτυρας, ἢ κτησείδια εἶναι τούτων, ἢ ἐν αὐτοῖς πάθη μαρτυρικὰ ὑποστῆναι, καὶ, ὡς εἴρηται, μὴ καθιερωθέντα παρὰ τῶν ἐγχωρίων ἐπισκόπων, καταστρέφεσθαι. εἰ δὲ οἱ δῆμοι, φασὶν, ἀνθίστανται θορυβοῦντες, νουθετεῖσθαι καὶ τούτους μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους, τουτέστι μὴ συνάγεσθαι τοὺς ὄχλους ἐκεῖσε, μηδὲ τοὺς ὀρθοδόξους καταδεσμεῖσθαι τῇ τούτων δεισιδαιμονίᾳ, μηδὲ μνήμας μαρτύρων ἐν αὐτοῖς ἐπιτελεῖν. σημείωσαι τὸν παρόντα κανόνα, πολλὰ χρησιμεύοντα εἰς τὰς ἀγροικικὰς ἐκκλησίας. γίνονται γὰρ πολλὰ τοιαῦτα παρὰ χωριτικῶν ἀνδραρίων περιλαμβανόντων γυναῖκας ἐνθουσιώσας καὶ κατὰ δαιμονικὴν ἐπήρειαν προφοιβαζούσας τάχα τὰ μέλλοντα, καὶ ἄνδρας προσποιουμένους δαιμονᾷν, καὶ ποιοῦντας τινὰ μηδὲ λέγεσθαι ἄξια εἰς τὰς τοιαύτας ἐκκλησίας.

ΖΩΝΑΡ. Τινὲς εὐσεβεῖν δοκοῦντες, ἐν ἀγροῖς καὶ ἐν ἀμπελῶσιν ᾠκοδόμουν εὐκτήρια ἐπὶ μαρτύρων ὀνόμασιν, ὡς δι' ἐνυπνίων ταῦτα καὶ ἀποκαλύψεων ἀνεγείροντες. προστάσσει τοίνυν ὁ κανὼν τὰ τοιαῦτα, εἰ μήτε σώματα μαρτύρων ἔχοιεν αὐτοῖς ἐναποκείμενα, μήτε τινὰ λείψανα μαρ-

A & Novellam clari Imperatoris domini Alexii Comneni, quæ ſtatuit non habere locum leges de contraria teſtium productione, quando quis contendit de libertate: ſed ſolam fieri teſtium productionem ab eo, qui in ſervitutem ducitur, vel in libertatem proclamat.

Zonar. Servi, certis quibuſdam de cauſis ad Eccleſiam confugientes, ſi id Epiſcopus æquum ſtatuiſſet, manumittebantur; quos domini rurſum ad ſervitutem trahere niterentur. Ea de re igitur Imperatorem eſſe monendum viſum eſt.

B Arist. *De manumiſſionibus quæ in Eccleſiis fiunt, Imperatori petitio exhibeatur.*

Hic canon eadem ac ſexageſimus quartus ſtatuit; & ibi interpretatur.

Canon LXXXVI.

De fictis Martyrum monumentis. Similiter placuit, ut omnia per agros & vineta altaria, veluti in memoriam Martyrum conſtituta, in quibus nullum corpus aut reliquiæ Martyrum conditæ oſtenduntur, à loci C *Epiſcopis, ſi poſſit fieri, ſubvertantur. Sin autem propter populares tumultus hoc non permittitur; plebs tamen admoneatur, ne iis in locis conventus agat; & ut qui rectè ſentiunt nulla eorum locorum ſuperſtitione alligentur; & omnino nec Martyrum memoria peragatur, niſi utique vel corpus vel aliquæ ſint reliquiæ, vel alicujus habitationis, aut poſſeſſionis, aut paſſionis origo fideli antiquitati tradita eſt. Quæcunque enim per ſomnia & vanorum hominum revelationes ubilibet conſtituuntur altaria, ea omni modo reprobentur.*

D Bals. Canone cautum eſt, ne aliter uſquam oratorium excitetur, niſi Epiſcopali permiſſione, vel etiam præſentia, eo in loco fundamenti oratio peracta & crucis fixio poſita ſit, & per ſanctorum martyrum reliquiarum depoſitionem templum ſit conſecratum. Quia autem nonnulli, ut eſt veriſimile, per ſomnia & fictas revelationes in agris & vinetis præter Epiſcoporum ſententiam altaria excitabant, & per improbos hominum cœtus, & falſa ſomnia ſimpliciores decipientes, fidem orthodoxam ſubvertebant: placuit, ut ejuſmodi altaria, in memoriam fortè Martyrum conſtituta, E & corpora vel reliquias Martyrum non habentia: neque à principio excitata, quòd ſancti in eis habitarint aut Martyres, vel quòd ſint eis poſſeſſiunculæ, vel quòd Martyrio ibi coronati ſint; nec à regionis Epiſcopis, ut dictum eſt, conſecrata; ſubvertantur. Si autem populi, inquiunt, tumultuantes reſiſtant; admoneantur, ne in locis conventus agant, hoc eſt, ne illic turbas congregent; nec Orthodoxi eorum ſuperſtitione alligentur, neque in eis Martyrum memoriam celebrent. Nota præſentem canonem, qui eſt valde utilis ad ruſticanas Eccleſias. Multa enim ejuſmodi fiunt à vicanis F homunculis, mulieres diabolico inſtructu bacchantes & futura fortè divinantes, hominéſque, qui ſe dæmoniaco ſpiritu afflatos ſimulant, & quæ ne dicere quidem decet, in ejuſmodi Eccleſiis faciunt aſſumentibus.

Zonar. Nonnulli, ſe id piè facere exiſtimantes, in agris & vinetis Martyrum ædiculas, quaſi per ſomnia viſâque admoniti, excitabant. Eas igitur, ſi nec Martyrum corpora ibi repoſita, nec aliquæ illorum reliquiæ, aſſerventur, Epiſcoporum, qui iis locis præſunt, auctoritate everti jubet Canon. Quod ſi multitudo, inquit, ſeditioſè repugnet, neque illas dirui patiatur: ſaltem, ne iis in locis populi conventus agant, hoc eſt, ne illic turbas congregent, nec aliqua eorum ſuperſtitione Orthodoxi alligentur, nec in iis Martyrum memoriam celebrent; ſi quidem nec Martyris corpus nec reliquiæ ibi recondita ſint, neque jam ab antiquis temporibus altare illud ſit exædificatum; publicè populum admonendum eſſe decernit. Quæcunque enim, quaſi per ſomnia & revelationes à nonnullis conſtructa, repente extitêre, omnia, inquit, penitùs improbata damnentur.

Arist. *Altare in agris aut vinetis, quibus nullæ ſunt reliquiæ Martyris repoſitæ, extructum, niſi publicus excitetur tumultus, evertatur: & quæcunque per inſomnia vanaſque revelationes altaria eriguntur.*

Quæcunque ædes oratoriæ per Epiſcoporum preces non conſtituuntur, nec Martyrum reliquiæ in iis reponuntur, profanæ ſunt. Eapropter itaque & altaria, quæ in agris aut vinetis fiunt ſine Epiſcopi precibus, & reliquiarum Martyrum depoſitione, ſi fieri poteſt, ſubvertantur: ſin autem popularis tumultus hoc fieri prohibet, ſaltem admoneantur, popularis turbæ concitationes in iis non facere. Subvertantur autem & altaria per inſomnia & vanas revelationes erecta. Cum diabolus enim ſit tenebræ, lumen ſimulat: & pietatis nimirum prætextu hominum animas ineſcat.

CANON LXXXVII.

De reliquiis Idolorum radicitùs extirpandis. Similiter placuit peti à clariſſimis Imperatoribus, ut reliquiæ idololatriæ, non ſolùm quæ ſunt in ſimulachris, ſed in quibuſvis locis vel lucis vel arboribus, omnimodo deleantur.

Bals. Patres Imperatores rogant, ut quæ adhuc relictæ ſunt Idolorum imagines, & ubicunque eæ ſint, aboleantur.

Zonar. Quamvis Evangelio longe lateque propagato, adhuc tamen quædam ex idololatria reliquiæ ſuperfuerant, & adhuc ſimulacra atque aræ pluribus in locis ac nemoribus ſervabantur. De iis igitur funditùs abolendis, ita ut nihil amplius ex iis reliquum fiat, Patres Imperatores monendos eſſe cenſuerunt.

Arist. *Idololatriæ reliquiæ, ſive in ſtatuis, ſive locis quibuſlibet, vel lucis vel arboribus, deleantur.*

Non tantum Idolorum ſimulacra conteri oportet & deleri, & aras eorum everti: ſed ſi quæ idololatriæ reliquiæ reſtent, vel in locis, vel lucis, aut arboribus (quid enim? quod nonnulla eorum honore proſecuti ſunt Græci & in eis vaticinati, & errore expulſo, vel Tripos vel manteum permanet,) aboleantur & illæ ut nec memoria iis ſuperſit.

A τύρων, παρὰ τῶν κατὰ τόπους ἐπισκόπων καταστρέφεσθαι. εἰ δὲ οἱ δῆμοί, φησιν, ἀνθίστανται θορυβοῦντες, καὶ οὐκ ἐῶσι καθαιρεῖσθαι αὐτὰ, νουθετεῖσθαι τὰ πλήθη κελεύει, μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους, τουτέστι μὴ συνάγεσθαι τοὺς ὄχλους ἐκεῖ, μηδὲ τοὺς ὀρθοδόξους καταδεσμεῖσθαι τῇ τούτων δεισιδαιμονίᾳ, μηδὲ μνήμας μαρτύρων ἐν αὐτοῖς ἐπιτελεῖν, εἰ μὴ σῶμα μάρτυρος μηδὲ λείψανα ἐκεῖ κεῖνται, ἢ ἐξ ἀρχαίων χρόνων ᾖ ᾠκοδομημένον τὸ θυσιαστήριον ἐκεῖνο. ἃ γάρ, φησι, συνέστησαν, ὡς ἐξ ἐνυπνίων καὶ ἀποκαλύψεων οἰκοδομησάντων αὐτά τινων, πάντα ἀποδοκιμαζέσθωσαν.

B **ΑΡΙΣΤ.** Θυσιαστήριον ἐν ἀγροῖς ἢ ἀμπελῶσι γινόμενον, ἐν οἷς οὐ λείψανον ἀπόκειται μάρτυρος, εἰ μὴ δημόσιος γίνεται θόρυβος, καταστρεφέσθω· καὶ ὅσα δι' ἐνυπνίων καὶ ἀποκαλύψεων ματαίων συνίσταται θυσιαστήρια.

Ὅσοι τῶν εὐκτηρίων οἴκων οὐ δι' εὐχῆς ἐπισκόπων συνέστησαν, καὶ λείψανα μαρτύρων τούτοις ἐναπετέθησαν, ἀνίεροί εἰσι. διὰ τοῦτο γοῦν καὶ τὰ ἐν ἀγροῖς ἢ ἀμπελῶσι γινόμενα θυσιαστήρια, χωρὶς εὐχῆς ἐπισκόπου καὶ τοῦ ἐναποτεθῆναι μαρτύρων λείψανα, εἰ δυνατὸν καταστρεφέσθωσαν· εἰ δὲ μὴ δημοτικὸς θόρυβος τοῦτο κωλύει γενέσθαι, κἂν νουθεσίαν δεχέσθωσαν C μὴ ποιεῖν ἐν αὐτοῖς ὀχλαγωγία. καταστρεφέσθωσαν δὲ καὶ τὰ δι' ἐνυπνίων καὶ ἀποκαλύψεων ματαίων συνιστάμενα θυσιαστήρια. σκότος γὰρ ὢν ὁ διάβολος, φῶς ὑποκρίνεται· καὶ προφάσει δῆθεν εὐλαβείας τὰς τῶν ἀνθρώπων δελεάζει ψυχάς.

ΚΑΝΩΝ πζ΄.

Περὶ τοῦ, τὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι. ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα τὰ λείψανα τῆς εἰδωλολατρείας, μὴ μόνον τὰ ἐν ξοάνοις, ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις ἢ ἄλσεσιν ἢ δένδροις, D παντὶ τρόπῳ ἐξαλειφθῶσιν.

ΒΑΛΣ. Παρακαλοῦσιν οἱ πατέρες τοὺς βασιλεῖς, τὰ ἔτι περιλειφθέντα ἀγάλματα τῶν εἰδώλων, καὶ ὁπουδήποτε ὄντα ἐξαλειφθῆναι.

ΖΩΝΑΡ. Καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος πλατυνθέντος, ἔτι λείψανα τῆς εἰδωλολατρείας τινὰ ἤγουν ἐγκαταλείμματα περιελιμπάνοντο, ἐσώζοντο καὶ ἀγάλματα καὶ βωμοὶ ἐν διαφόροις τόποις καὶ ἄλσεσι. περὶ τούτου ἔδοξε τοῖς πατράσιν ὑπομνησθῆναι τοὺς βασιλεῖς, ἵνα ἐξαλειφθῶσιν, ὥστε μήτι περιλειφθῆναι αὐτῶν.

E **ΑΡΙΣΤ.** Τὰ εἴτε ἐν ξοάνοις, ἢ τόποις τισὶν ἢ ἄλσεσιν, ἢ δένδροις λείψανα τῆς εἰδωλολατρείας, ἐξαλειφέσθω.

Οὐ μόνον τὰ τῶν εἰδώλων ξόανα δεῖ συντρίβεσθαί τε καὶ ἐκαλείφεσθαι, καὶ τοὺς βωμοὺς αὐτῶν καταστρέφεσθαι· ἀλλὰ καὶ ἔτι λείψανον τῆς εἰδωλολατρείας ὑπελείφθη, ἢ ἐν τόποις, ἢ ἄλσεσιν, ἢ δένδροις. (τί γάρ, ὅτι τινὰ τούτων ἐτίμων οἱ ἕλληνες, ἢ ἐμαντεύοντο ἐν αὐτοῖς, καὶ τῆς πλάνης ἀπελαθείσης, ἢ ὁ τρίπους, ἢ τὸ μαντεῖον ἐναπέμεινεν;) F ἀφανιζέσθω καὶ τοῦτο, ὡς μηδὲ μνήμην αὐτοῦ ὑπεῖναι.

A

ΚΑΝΩΝ πη'.

Ωστε γράφεσθαι καὶ ὑπογράφεσθαι, ὁσάκις γένηται χρεία, ἐκ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων τῶν ἐπισκόπων, ἐπιστολάς. Ἀπὸ συμπάντων τῶν ἐπισκόπων ἐλέχθη, ἵνα ἐὰν ἀρέσῃ τινὰ γράμματα ὀφείλειν ὑπαγορευθῆναι ἐν τῇ συνόδῳ, ὁ προσκυνητὸς ἐπίσκοπος ὁ ἐν τῷ θρόνῳ τούτῳ προκαθήμενος καταξιοῖ ἐπ' ὀνόματι πάντων ὑπαγορεύειν καὶ ὑπογράφειν ἐν οἷς ἤρεσεν· ἐπὶ μὴν τοῖς τοποτηρηταῖς ἐπισκόποις, τοῖς ὀφείλουσιν ἀποσταλῆναι εἰς τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, ἕνεκεν τῶν Δονατιστῶν, γράμματα δοθῆναι, δύναμιν ἐντολικοῦ περιέχοντα, ἣν δύναμιν μὴ παρεξέλθωσιν, καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΖΩΝΑΡ. Ηρεσε πᾶσι τοῖς ἐν τῇ συνόδῳ, ἵνα εἰ χρεία γένηται ἐπιστολὰς γραφῆναι πρός τινας ἐκ τῆς συνόδου, ὁ προκαθήμενος ἐν τῷ θρόνῳ τῆς Καρχηδονίων ἐκκλησίας, ὃν καὶ Πάπαν ἐν ἀρχῇ τῆς συνόδου ὠνόμασαν, ταύτας ὀνόματι πάντων τῶν ἐπισκόπων ὑπαγορεύῃ. ἤρεσε δὲ καὶ δοθῆναι γράμματα, ἐντολῆς δύναμιν ἔχοντα, καὶ τυποῦντα τί ποιῆσαι ὀφείλουσι, τοῖς μέλλουσιν ἀπελθεῖν εἰς τὴν τῆς Ἀφρικῆς ἐπαρχίαν, ἕνεκεν τῶν Δονατιστῶν, ἵνα μὴ παρεξέλθωσι τὰ ἐνταλθέντα αὐτοῖς.

ΑΡΙΣΤ. Εδοξε, τὰ ὀφείλοντα παρὰ τῇ συνόδῳ γίνεσθαι γράμματα, παρὰ τοῦ ἐν Καρχηδόνι ἐπισκόπου, ἐπ' ὀνόματι πάντων, γράφεσθαι καὶ ὑπογράφεσθαι.

Ως γὰρ πρωτεύων τῶν ἐν Ἀφρικῇ πάντων τῶν ἐπισκόπων, τὰ παρὰ τῆς συνόδου ὀφείλοντα σταλῆναι γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας ἕνεκα τῶν Δονατιστῶν, ἢ πρὸς ἑτέρους, γράφει καὶ ὑπογράφει. ᾠκονομήθη δὲ τοῦτο, διὰ τὸ δυσχερὲς εἶναι, καὶ φόρτον ὁλόκληρον, πάντας τοὺς τῆς συνόδου τοῖς στελλομένοις παρ' αὐτῶν πρὸς βασιλεῖς ἢ πρὸς ἄρχοντας γράμμασιν ὑπογράφειν.

Πρᾶξις πέμπτη.

Εν ταύτῃ τῇ συνόδῳ τὰ προλαβόντα ψηφίσματα κυροῦνται ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου καὶ Ὁνωρίου τῶν αὐγούστων ὑπάτων, τῇ πρὸ ἓξ καλανδῶν Σεπτεμβρίων, ἐν Μελιβετανῇ πόλει εἰς τὸ σήκρητον τῆς ἐκκλησίας. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδονίων ἐκκλησίας προκαθίσας ἐν πάσῃ τῇ συνόδῳ παρεστώτων τῶν διακόνων εἶπεν· ἐπειδὴ τῆς ἁγιωτάτης ἐκκλησίας ἓν σῶμα ὑπάρχει, καὶ πάντων τῶν μελῶν μία ἐστὶ κεφαλή, συνέβη, θέλοντος τοῦ θεοῦ καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐνδυναμοῦντος, ὥστε πρὸς ταύτην τὴν ἐκκλησίαν ἐλθεῖν ἡμᾶς, ἀγάπης καὶ ἀδελφότητος χάριτι προτραπέντας· διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, (ἐπειδὴ οὕτως ἐστὶν πιστευτέον, ὅτι ἡμετέρα παρ' ὑμῖν προσέλευσις, οὔτε περισσὴ οὔτε ἡδυτάτη πᾶσίν ἐστιν) ἵνα ἡ συναίνεσις πάντων ἡμῶν φανερωθῇ ὁμονοοῦν τοῖς συνδόξασι τῶν ψηφισμάτων τῶν πάλαι, εἴτε κατὰ τὴν ἐν Ἱππῶνι σύνοδον βεβαιωθέντων, εἴτε μετὰ ταῦτα τῇ ἐν Καρχηδόνι κρείττονι συνόδῳ ὁρισθέντων, ὁμοίως δὲ καὶ νῦν κατὰ τάξιν ἡμῖν ἀναγινωσκομένων. τότε γὰρ τῆς ὑμετέρας ἀδελφότητος ἡ ὁμόνοια λαμπροτέρα τοῦ φωτὸς ἀναδειχθήσεται, ἐὰν τὰ παρ' ἡμῶν ἐν ταῖς ἀνωτέραις συνόδοις νομίμως ὁρισθέντα, μὴ μόνον ταῖς ἐν τοῖς παροῦσι πεπραγμένοις συναινέσεσιν ὑμῶν, ἀλλὰ καὶ ὑπογραφαῖς ἐπὶ μὴν φανερώσηται. Ξάντιππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς εἶπεν, πιστεύω, ὅτι πάσῃ τῇ ἀδελφότητι ἤρεσεν· ὑπογράφοντές τε ἡμεῖς τῇ ἰδίᾳ ὑποσημειώσει βεβαιούμενοι ἀρέσαι.

Canon LXXXVIII.

Ut ſcribantur & ſubſcribantur, quoties opus fuerit, ab Epiſcopo Carthaginenſi, nomine omnium Epiſcoporum, Epiſtolæ. Ab omnibus Epiſcopis dictum eſt, ut, ſi placuerit, debere in Synodo dictari Epiſtolas, venerandus Epiſcopus in hoc throno præſidens dignetur ſub nomine omnium dictare & ſubſcribere quæ placuerint: Præterea Epiſcopis legatis, qui mitti debent in provincias Africæ, propter Donatiſtas, B *dari literas, quæ mandatum contineant; quam poteſtatem ne tranſgrediantur, & ſubſcripſerunt: Aurelius Epiſcopus Carthaginenſium Eccleſiæ, præſenti decreto conſenſi, & lecto ſubſcripſi. Similiter & reliqui Epiſcopi ſubſcripſerunt.*

Zonar. Omnibus qui in Synodo aderant placuit, ut ſi quas à Synodo Epiſtolas conſcribi opus fuerit, qui in throno Carthaginenſis Eccleſiæ præſidet, quem & Papam initio Synodi vocavêre, nomine Epiſcoporum omnium eas dictet. Illud etiam placuit, ut literæ mandati vim habentes, & quid fieri C oporteat præſcribentes, in Africanam provinciam Donatiſtarum cauſa profecturis darentur, nec iis quidquam, niſi ex illarum præſcripto, tranſigere liceret.

Arist. *Viſum eſt, ut quæ à Synodo mittendæ ſunt literæ, ab Epiſcopo Carthaginenſi ſub omnium nomine ſcribantur & ſubſcribantur.*

Ut primas enim omnium in Africâ Epiſcoporum, literas, quæ à Synodo mitti debent ad Africæ ma- D giſtratus Donatiſtarum gratiâ vel etiam ad alios, ſcribet & ſubſcribet. Illud autem conſtitutum fuit, quia difficile eſt, & onus generale, ut omnes qui ſunt in Synodo literis à ſe ad Imperatores & magiſtratus miſſis ſubſcriberent.

Actio quinta.

In hac Synodo præcedentia decreta confirmantur, ſub glorioſiſſimis Imperatoribus Arcadio & Honorio Auguſtis conſulibus, A. D. vi. Cal. Septembris, in E *civitate Milevitana, in ſecreto Eccleſiæ. Aurelius Epiſcopus Carthaginenſis Eccleſiæ, præſidens in univerſa Synodo, adſiſtentibus Diaconis, dixit; Quoniam ſanctiſſimæ Eccleſiæ corpus unum eſt, & omnium membrorum unum eſt caput, accidit, Deo volente & noſtram infirmitatem corroborante, ut nos ad hanc Eccleſiam accederemus, dilectionis & fraternitatis gratia perſuaſi: Et ideo veſtram dilectionem adhortor (quoniam ita credendum eſt, noſtrum ad vos adventum neque ſupervacaneum eſſe, neque omnibus lætum) ut noſtrûm omnium conſenſus veterum decretorum placitis, quæ ſive* F *in Hipponenſi Synodo confirmata, ſive poſtea in Carthaginenſi Synodo meliore definita, ſimiliter autem & nunc nobis ordine lecta ſunt, concordare manifeſtetur. Tunc enim veſtræ fraternitatis conſenſus luce clarior apparebit, ſi ea, quæ à nobis in ſuperioribus Synodis legitimè definita ſunt, non ſolùm veſtris in præſentibus actis conſenſibus, ſed etiam ſubſcriptionibus declarata fuerint. Xantippus primæ ſedis Numidiæ Epiſcopus dixit; Credo, quod univerſæ fraternitati placuit: nos etiam noſtro ſigno ſubſcribentes placere confirmamus.*

Et quæ decreta fuerant, propria manu confirmarunt. A *Nicetius Epiſcopus primæ cathedræ Mauritaniæ Sitifenſis dixit; Statuta recitata, quoniam non carent ratione, & ab omnibus confirmata ſunt, meæ quoque præterea parvitati placent, quæ propria ſubſcriptione confirmabo.*

Bals. Cùm Aurelius Epiſcopus Carthaginenſis æquum cenſuiſſet, ut omnes Epiſcopi iis, quæ decreta erant, conſentirent, vel ſe conſentire oſtenderent; dixerunt omnes ſe ea recipere, quæ in diverſis Synodis conſtituta ſunt: & propterea propriis ſubſcriptionibus ea confirmaverunt. B

Zonar. Hoc loco Synodi Præſes Aurelius ab Epiſcopis poſtulat, ut iis, quæ ante in Synodis, ſive in Hipponenſi urbe, ſive Carthagine habitis, conſtituta fuerant, aſſenſum ipſi præberent, & oſtenderent, quòd unanimes illis conſentiunt, & decreta ſubſcriptionibus confirmant; quæ & ſuſcribendo confirmârunt.

CANON LXXXIX.

De ordine Epiſcoporum. Ut qui poſteriùs ordinati ſunt prioribus ſe non audeant præponere. Valentinus Epiſcopus dixit; Si veſtræ patientiæ bonum permittat, C *ordine narrabo quæ priori tempore in Carthaginenſium Eccleſia facta, & etiam dum fratrum ſubſcriptionibus apertè confirmata ſunt, & nos ſervaturos profitebor. Illud itaque ſcimus, inviolatam Eccleſiaſticam ſemper ſervari diſciplinam, ita ut nullus ex fratribus audeat unquam ſe iis præponere, qui ante ipſum fuerunt: ſed & quæ charitatis ordinibus ſemper prioribus præbita ſunt, ea conſequentes libenter ſuſceperunt. Hunc ergo ordinem jubebit veſtra ſanctitas meliùs noſtris interlocutionibus roborari.* D *Aurelius Epiſcopus dixit; Non oportebat nos hæc quidem repetere, niſi fortè minus intelligibiles quorundam cogitationes exortæ eſſent, quæ noſtros ſenſus ad hæc decreta excitarent. Sed quia hæc communis cauſa eſt, quam nunc oſtendit frater & coadjutor noſter, ut unuſquiſque noſtrum cognoſcat ordinem ſibi à Deo decretum, & ut poſteriores prioribus deferant, & non audeant præter eorum ſententiam aliquid unquam agere, propterea dico, quemadmodum mihi venit in mentem, qui contemnunt illos qui ante ſe ſunt,* E *& aliqua temere audent, eos convenienter ab omni Synodo coercendos eſſe. Xantippus Epiſcopus primæ cathedræ Numidiæ dixit; Audivit omnium fratrum præſentia proſecutionem fratris & Conſacerdotis noſtri Aurelii: quid ad hæc reſpondetur? Diatimius Epiſcopus dixit; Quæ ab antiquorum ſuffragio definita ſunt, ea veſtro conſenſui tradentur: ut quæ continentur in actis priorum Synodorum in Carthaginenſi Eccleſia, veſtro conſenſu plenè firmata apud omnes ſerventur. Omnes Epiſcopi dixerunt; Ipſe ordo à Patribus & ab antiquis ſervatus eſt: & à nobis Dei permiſſione ſervabitur,* F *ſervato utique jure Primatum Numidiæ & Mauritaniæ ex indice & matricula Numidiæ. Deinde placuit omnibus Epiſcopis, qui in hac Synodo ſubſcripſerunt, ut matricula & archetypum Numidiæ ſit etiam in prima cathedra, & in Metropoli Conſtantinâ.*

Bals. Ut videtur, nondum erant ordinati, nec tunc temporis conſtituti throni Eccleſiarum: & propterea ſtatuerunt Patres eos præponi, qui priùs ordinati fuerant.

καὶ τὰ ὁρισθέντα ἰδιοχειρίως ἐβεβαίωσαν. Νικώτιος ἐπίσκοπος τῆς πρώτης καθέδρας Μαυριτανίας Σιτιφένσης εἶπεν· τὰ ἀναγνωσθέντα ψηφίσματα, ἐπειδὴ λογισμοῦ οὐκ ἐστέρηνται, καὶ ἀπὸ πάντων ἐκυρώθησαν, ἔτι μὴν καὶ τῇ ἐμῇ βραχύτητι ταῦτα ἀρέσκουσι, ἅπερ τῇ οἰκείᾳ ὑπογραφῇ βεβαιώσω.

ΒΑΛΣ. Τοῦ Αὐρηλίου τοῦ ἐπισκόπου Καρχηδόνος ἀξιώσαντος συναινέσαι πάντας τοὺς ἐπισκόπους τοῖς ὁρισθεῖσι, καὶ δεῖξαι ὡς ὁμονοοῦσιν, εἶπον ἅπαντες ἀποδέχεσθαι τὰ θεσπίσματα ἐν διαφόροις συνόδοις· καὶ διὰ τοῦτο βεβαίωσαν αὐτὰ διὰ οἰκείων ὑπογραφῶν.

ΖΩΝΑΡ. Ἐνταῦθα ὁ προέχων τῆς συνόδου Αὐρήλιος ἀξιοῖ τοὺς ἐπισκόπους συναινέσαι ταῖς πάλαι δόξασιν ἐν συνόδοις, εἴτε ἐν Ἱππῶνι τῇ πόλει, εἴτε ἐν Καρχηδόνι γενομέναις, καὶ δεῖξαι ὡς ὁμονοοῦσιν ἐκείνοις συναινοῦντες, καὶ ὑπογραφαῖς βεβαιοῦντες τὰ ψηφισθέντα, ἃ καὶ ὑπογράψαντες ἐβεβαίωσαν.

ΚΑΝΩΝ πθʹ.

Περὶ τάξεως ἐπισκόπων. ὥστε τοὺς μεταγενεστέρως χειροτονηθέντας μὴ τολμᾶν ἑαυτοὺς προτιμᾶν τῶν προτέρων. Βαλεντῖνος ἐπίσκοπος εἶπεν· τὸ ἀγαθὸν τῆς ὑμετέρας ἀνεξικακίας ἐὰν ἐπιτρέπῃ, ἀκολούθως διηγήσομαι τὰ ἐν τῷ προλαβόντι χρόνῳ εἰς τὴν Καρχηδονίων ἐκκλησίαν πραχθέντα, καὶ ταῖς τῶν ἀδελφῶν ὑπογραφαῖς φανερῶς κυρωθέντα, καὶ ἡμᾶς ἔτι νῦν φυλάξοντας ὁμολογήσω. ἐκεῖνο τοίνυν ἐπιστάμεθα, ἀμίαντον ἀεὶ τὴν ἐκκλησιαστικὴν φυλάττεσθαι κατάστασιν οὕτως, ὡς μηδένα τῶν ἀδελφῶν τολμᾶν ἑαυτὸν προτιμᾶν ποτε τῶν πρὸ αὐτοῦ· ἀλλὰ καὶ ἃ ταῖς τῆς ἀγάπης τάξεσιν ἀεὶ παρεσχέθη τοῖς προτέροις· ἅπερ οἱ ἐπακολουθοῦντες χαιρόντως κατεδέξαντο. ταύτην οὖν τὴν τάξιν κελεύσῃ ἡ ὑμετέρα ἁγιωσύνη κρειττόνως ταῖς ἡμετέραις διαλαλιαῖς βεβαιῶσαι. Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἔχρῃν μὲν ταῦτα ἡμᾶς ἐπαναλαμβάνειν, εἰ μὴ τυχὸν ἀκατανόητοι διάνοιαί τινων ἀνεφύησαν, αἳ πρὸς τοὺς ὅρους τούτους τὰς ἡμετέρας αἰσθήσεις ὀξυνοῦσαι. ἀλλ' ἐπειδὴ αὕτη κοινή ἐστιν αἰτία, ἣν νῦν ἐνεφάνισεν ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν, ὥστε ἕκαστον ἡμῶν ἐπιγινώσκειν τὴν παρὰ τοῦ θεοῦ ψηφισθεῖσαν αὐτῷ τάξιν, καὶ ἵνα οἱ μεταγενέστεροι τοῖς προτέροις ἀναφέρωσιν, καὶ μὴ τολμήσωσιν παρὰ γνώμην τούτων τί ποτε πράττειν· διὰ τοῦτο λέγω, καθὼς τὸν ἐμὸν ὑποτρέχει λογισμόν, τοὺς καταφρονοῦντας τῶν πρὸ αὐτῶν, καί τινα ἀποτολμῶντας, κωλυτέους ἁρμοδίως εἶναι ἀπὸ πάσης τῆς συνόδου. Ξανθιππος ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμηδίας εἶπεν· ἤκουσεν ἡ πάντων τῶν ἀδελφῶν παρουσία τὴν διακολούθησιν τοῦ ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Αὐρηλίου, τί πρὸς ταῦτα ἀποκρίνεται; Διατίμιος ἐπίσκοπος εἶπεν, τὰ παρὰ τῆς ψήφου τῶν ἀρχαίων ὁρισθέντα τῇ ὑμετέρᾳ συναινέσει ἐκδοθήσεται· ἵνα τὰ περιεχόμενα τοῖς πεπραγμένοις τῶν προτέρων συνόδων ἐν τῇ ἐν Καρχηδόνι ἐκκλησίᾳ κατὰ τὴν ὑμετέραν συναίνεσιν πεπληρωμένως βέβαια παρὰ πᾶσι φυλαχθῶσιν. σύμπαντες οἱ ἐπίσκοποι εἶπον· ἡ τάξις αὕτη ἀπὸ τῶν πατέρων καὶ ἀπὸ τῶν ἀρχαίων ἐφυλάχθη, καὶ ἀφ' ἡμῶν κατὰ συγχώρησιν θεοῦ φυλαχθήσεται, σωζομένου ἔτι μὴν τοῦ δικαίου τῶν πρωτευόντων τῆς Νουμηδίας καὶ Μαυριτανίας, ἐκ τοῦ χαρτοθεσίου καὶ ματρικίου τῆς Νουμηδίας. ἔπειτα ἤρεσεν πᾶσιν τοῖς ἐπισκόποις τοῖς ἐν ταύτῃ τῇ συνόδῳ ὑπογράψασιν, ἵνα τὸ ματρίκιον καὶ ἀρχέτυπον τῆς Νουμηδίας, καὶ εἰς τὴν πρώτην καθέδραν ᾖ, καὶ εἰς τὴν μητρόπολιν Κωνσταντίναν.

ΒΑΛΣ. Ὡς ἔοικεν, οὐκ ἐτάχθησαν ἔτι, οὐδὲ ὡρίσθησαν κατὰ τὸν τότε καιρὸν οἱ θρόνοι τῶν ἐκκλησιῶν, καὶ διὰ τοῦτο ὥρισαν οἱ πατέρες προτιμᾶσθαι τοὺς προγενεστέρως χειροτονηθέντας.

σήμερον δὲ τοῦτο οὐκ ἐνεργεῖ· ἀλλὰ κατὰ τὴν γενομένην ὑποτύπωσιν παρὰ τοῦ βασιλέως Κυροῦ Λέοντος τοῦ σοφοῦ, τὴν καὶ ἐν τῷ Χαρτοφυλακίῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἀποκειμένην, οἱ θρόνοι τιμῶνται τῶν ἐκκλησιῶν. τὸ δὲ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαινόμενον δίκαιον τῆς προγενεσίας ἐνεργεῖ εἰς τὰ τῶν κληρικῶν τάγματα. τιμᾶται γὰρ ἕκαστος κατὰ τὴν προγενεσίαν τοῦ χρόνου τῆς οἰκείας χειροτονίας. ἐπὶ δὲ τῷ βαθμῷ τῶν ἐκκλησιαστικῶν ἀρχοντικίων πῶς τοῦτο οὐ φυλάττεται, ἀλλὰ κατὰ τὴν προαίρεσιν τῶν σφραγιζόντων ἀρχιερέων ἡ στάσις φιλοτιμεῖται, καὶ ὁ μεταγενέστερος προτιμᾶται τοῦ προγενεστέρου, θαυμάζω.

ΖΩΝΑΡ. Οὔπω τότε πάσαις ταῖς ἐκκλησίαις βαθμὸς καὶ τάξις ἐτέτακτο, μόναις δὲ ταῖς ὑπερεχούσαις, ὡς ἔστιν εὑρεῖν ἐκ τοῦ τέλους τοῦ παρόντος κανόνος· οἱ δὲ τῶν ἄλλων ἐκκλησιῶν ἐπίσκοποι πρὸς τοὺς χρόνους τῶν χειροτονιῶν αὐτῶν προετιμῶντο. τοῦτο οὖν οἱ τῆς συνόδου φυλάττεσθαι διατάττονται, ὥστε τοὺς προχειροτονηθέντας ἐπισκόπους τῶν μεταγενεστέρων προτετιμῆσθαι· ταῖς δὲ πρωτευούσαις ἐκκλησίαις τῆς Νουμηδίας καὶ Μαυριτανίας φυλαχθῆναι τὸ δίκαιον ἐκ τοῦ χαρτοθεσίου καὶ τοῦ ματρικίου τῆς Νουμηδίας. ἦν γὰρ, ὡς ἔοικεν, ἐν τῇ Νουμηδίᾳ ἀπογραφή τις, (αὕτη γάρ ἐστι τὸ ματρίκιον) περιέχουσα τινὰ περὶ τάξεως καὶ βαθμοῦ τῶν εἰρημένων ἐκκλησιῶν. ἀποκεῖσθαι δὲ ἔδοξε τὸ ματρίκιον τὸ ἀρχαιότυπον εἰς τὴν πρώτην καθέδραν, καὶ εἰς μητρόπολιν Κωνσταντίναν.

ἈΡΙΣΤ. Οὐ προτιμήσεις, τοῦ πρό σου σεαυτόν· ἀλλ' ἐπακολουθήσεις. ὁ δὲ περιφρονῶν τοὺς προτέρους, εὐκαταφρόνητος.

Ἐν τῇ Ἀφρικῇ τῷ τότε, οὐδὲ ἀλλαχοῦ, εἶχον αἱ ἐπισκοπαὶ διαφοράν τινα εἰς τὴν τοῦ θρόνου τιμὴν, ἀλλὰ πᾶσαι ἦσαν ἰσότιμοι. ὁ δὲ πρῶτος χειροτονηθεὶς ἐπίσκοπος, τοῦ μετ' αὐτὸν χειροτονηθέντος, ἔν τε τῇ καθέδρᾳ καὶ ἐν ταῖς λοιπαῖς ζητήσεσι ταῖς κανονικαῖς προετιμᾶτο· καὶ οὕτως οἱ ἐφεξῆς κατὰ τοὺς χρόνους τῶν χειροτονιῶν αὐτῶν ἐπηκολούθουν. τὸν γοῦν μὴ κατὰ τὸν τύπον τοῦτον ποιοῦντα ἐπίσκοπον ἐν τῇ τῶν Ἀφρων χώρᾳ, ἀλλ' ἀπαυθαδιαζόμενον, καὶ τοὺς προτέρους περιφρονοῦντα, ὥρισεν ἡ σύνοδος εὐκαταφρόνητον εἶναι καὶ ἀπὸ πάσης συνόδου.

ΚΑΝΩΝ ϟ'.

Περὶ Κουοδβουλτδέου ἔπι μὴν τοῦ Κεντουριάτου, ἐπειδὴ τοῦ ἐναντίου αὐτοῦ αἰτησαμένου παρὰ τῇ ἡμετέρᾳ εἰσενεχθῆναι συνόδῳ, ἐρωτηθεὶς, εἰ ἄρα βούλεται μετ' αὐτοῦ παρὰ τοῖς ἐπισκόποις ἀποπειραθῆναι, πρῶτον μὲν ὑπέσχετο, τῇ δὲ ἄλλῃ ἡμέρᾳ τοῦτο μὴ ἀρέσκειν αὐτῷ ἀπεκρίνατο, καὶ ἀνεχώρησεν· ἤρεσεν πᾶσι τοῖς ἐπισκόποις, ἵνα μηδεὶς τῷ αὐτῷ Κουοδβουλτδέῳ κοινωνήσῃ, ἕως οὗ τὸ κατ' αὐτὸν πρᾶγμα περατωθῇ· τὴν γὰρ ἐπισκοπὴν ἀπ' αὐτοῦ ἀφαιρεθῆναι, πρὸ τῆς ἐκβάσεως τοῦ κατ' αὐτὸν πράγματος, οὐδενὶ Χριστιανῷ δύναται δοκεῖν.

ΒΑΛΣ. καὶ ΖΩΝ. Κατηγόρησέ τις τοῦ ῥηθέντος ἐπισκόπου, καὶ ἠρωτήθη ὁ κατηγορηθεὶς, εἰ βούλεται παρὰ τῇ συνόδῳ μετὰ τοῦ κατηγόρου δικάσασθαι. ὁ δὲ ὑποσχόμενος, μετὰ μικρὸν παρῃτήσατο, καὶ ἀνεχώρησε· καὶ ἡ σύνοδος ἐψηφίσατο μηδένα αὐτῷ κοινωνῆσαι, ἕως οὗ δικασθῇ· τὴν δὲ ἐπισκοπὴν ἀπὸ τοῦ κατηγορηθέντος μὴ ἀφαιρεθῆναι. δείκνυται οὖν κἀκ τούτου, ὅτι κἂν ὑπὸ κατηγορίαν γένηταί τις ἢ καὶ ὑπὸ ἀφορισμὸν, ἕως οὗ λυθῇ τὸ κατ' αὐτοῦ δικαστήριον, ἐπίσκοπός ἐστι, καὶ τῆς ἐπισκοπῆς οὐκ ἐξωθεῖται.

A Hoc autem hodie locum non habet: ſed ſecundùm declarationem factam ab Imperatore domino Leone ſapiente, quæ in ſanctiſſimæ magnæ Dei Eccleſiæ Chartophylacio repoſita eſt, Eccleſiarum throni honorantur. Jus autem prioritatis, in præſenti Canone declaratum, in Clericorum ordinibus locum habet. Honoratur enim unuſquiſque, prout ordinatio ipſius eſt prior tempore. In gradu autem omnium Eccleſiaſticorum officiorum quomodo hoc non ſervatur: ſed ex voluntate Antiſtitum, qui eos ordinant, ſtatus eorum honoratur, & poſterior præferatur antiquiori, miror.

B

Zonar. Nondum omnibus Eccleſiis tunc temporis
dignitatis locus & ordo præfinitus erat, ſed præcipuis
ſolis; ut ex fine hujus Canonis facilè apparet: in aliarum
verò Eccleſiarum Epiſcopis, ut quiſque prius ad Epiſco-
patus honorem electus fuerat, ita dignitate cæteris an-
teponebatur. Idem ergo Synodi Patres ſervari jubent, ut
antiquiores ſcilicet Epiſcopi honore iis, qui poſt creati
ſunt, præferantur: Eccleſiis vero Primatibus Numidiæ
Mauritaniæque ſua jura in indice & matricula Numidiæ
deſcripta ſervari volunt. Extabant enim, ut eſt veriſi-
mile, in Numidia commentarii (eos enim matriculæ no-
C mine intelligimus)quibus aliqua de ordine inter eas Ec-
cleſias retinendo continebantur. Servari porro matricu-
læ archetypum in prima Cathedra, & in Conſtantini
Metropoli decreverunt.

Arist. *Teipſum ei, qui te præceſſit, non antepones: ſed ſequeris. Qui autem priores contemnit, ipſe magis eſt contemnendus.*

In Africâ tunc temporis, nec alibi, habuerunt Epiſco-
patus ullam in throni honore differentiam, ſed omnes
æqualis erant honoris. Qui autem primus ordinatus
D fuit Epiſcopus, ei qui poſt ipſum ordinatus eſt, & in Ca-
thedrâ & in aliis quæſtionibus canonicis prælatus fuit:
Et ſic reliqui deinceps juxta ordinationum ſuarum tem-
pora ordine ſequebantur. Epiſcopum itaque, qui non fe-
cerit ſecundum hanc formam in Afrorum regione, ſed
arroganter ſe geſſerit, & illos qui ante ſe ſunt contem-
ptui habuerit, decrevit Synodus inprimis contemptui
eſſe etiam toti Synodo.

Canon XC.

De Quod-vult-deo etiam Centuriato, quoniam, cùm
adverſarius ejus petiviſſet, ut ad noſtram Syn-
E *odum introduceretur, interrogatus, an velit cum*
ipſo apud Epiſcopos experiri, primum quidem eſt pol-
licitus; alio autem die hoc ei non placere reſpondit,
& receſſit; placuit omnibus Epiſcopis, ut nemo ipſi
Quod-vult-deo communicet, donec ejus negotium fi-
nem acceperit. Ei enim auferri Epiſcopatum, ante ſui
negotii exitum, nulli poteſt Chriſtiano jure videri.

Bals. & Zonar. Accuſavit quiſpiam di-
ctum Epiſcopum, Et accuſatus interrogatus eſt, an
velit cum adverſario apud Synodum litigare. Is au-
tem pollicitus, paulo pòſt recuſavit, & receſſit: &
Synodus decrevit neminem ei communicare, donec
F fuerit judicatus; Epiſcopatum autem ei accuſato non
auferri. Hinc itaque conſtat, quòd & ſi quis ſub ac-
cuſatione ſit, vel etiam ſub ſegregatione, donec fue-
rit ſolutum adverſus eum judicium, Epiſcopus eſt, nec
ex Epiſcopatu detruditur.

Arist. *Quandoquidem Quod-vult-Deus, cum adverſarius ejus, ut ad noſtram Synodum introduceretur, petiiſſet, primò quidem venire pollicitus eſt, poſtea vero illud ſibi diſplicere dicens, receſſit, excommunicetur, uſque dum cauſa determinetur. Ut enim ante ſententiam latam deponatur, non eſt juſtum.*

Non oportet ſacratos facile deponi & ob quamlibet cauſam. Licet enim Quod-vult-Deus hic Epiſcopus, à Synodo illâ judicari promiſit, adverſario ejus illud poſtulante, deinde receſſit, utpote cui à Synodo eâ judicari diſplicuit; excommunicatus quidem erit, uſquedum judicetur, & negotia ejus terminentur: Epiſcopatus tamen ei non auferetur; ſed eam poſſidebit; quia non eſt juſtum, ut ante condemnationem quiſpiam deponeretur.

Canon XCI.

De Maximiano autem Epiſcopo Bagajenſi, placuit literas dari ex Synodo, & ad ipſum, & ad populum, ut & ille cedat Epiſcopatu, & illi alium ſibi quærant.

Bals. Hic Canon eſt perſonalis, & interpretatione non eget.

Zonar. Hic Canon eſt perſonalis.

Arist. *Maximianus Bagenſius Eccleſiâ expellatur, & alius illius loco ſubſtituatur.* Perſpicuus.

Canon XCII.

Ut Epiſcopi qui ordinantur, ab iis qui ipſos ordinant, epiſtolas accipiant, in quibus dies & Conſul proferatur. Deinde placuit, ut qui poſthac ordinantur per Africæ Provincias, ab iis qui illos ordinant literas accipiant, ipſorum manu ſubſcriptas, Conſulem & diem continentes: ut nulla de poſterioribus vel prioribus controverſia exoriatur.

Bals. Hic quoque Canon eſt inutilis, eo quòd prior creatio non adjuvet Epiſcopos: in aliis autem gradibus Eccleſiaſticis eſt utilis. Fiunt enim, ut hoc Canone comprehenditur, iis qui ordinantur, pittacia cum menſium ac dierum ſupputatione ad prioris creationis declarationem.

Zonar. Ut Epiſcopis pro temporis ratione quo creati ſunt, ſuus cuique locus aſſignetur, hoc eſt, ut antiquiores dignitate cæteris præferantur, paulo ante conſtitutũ eſt. Ergo ne qua controverſia de tempore, quo quiſque renuntiatus fuit, exiſteret, Syn. placuit, ut Epiſcopi ſinguli ab iis, à quibus creati ſunt, Epiſcopis literas ſubſignatas acciperent, quibus & Conſulis nomen & dies adſcriberetur. Quippe ex Conſulibus tempora indicabantur, cum publicis monumentis conſignata atque teſtata ſingulorum Conſulum nomina extarent.

Arist. *Qui in Africâ ordinatur, illius qui manum impoſuit literas propriâ manu ſcriptas, diem Conſulemque continentes, proferat.*

Ut nulla oriatur controverſia de Epiſcopis priùs aut poſterius ordinatis in Africâ, eos, qui ordinant illos, literas propriâ manu ſcriptas diem, quo ordinati fuerunt, & magiſtratum, qui ibi tunc præfuit, indicantes, dare illis oportet.

A **ΑΡΙΣΤ.** Ἐπειδὴ Κουοδβουλτδεῦς, τοῦ ἐναντίου αὐτοῦ αἰτησαμένου παρὰ τῇ ἡμετέρᾳ συνόδῳ εἰσενεχθῆναι, πρῶτα μὲν εἰσελθεῖν κατέθετο, ὕστερον δὲ ἀπαρέσκεσθαι εἰπὼν, ὑπεχώρησεν· ἔστω ἀκοινώνητος, ἕως τὸ πρᾶγμα περατωθῇ. καθαιρεθῆναι γὰρ πρὸ δίκης, οὐ δίκαιον.

Οὐκ εὐκόλως δεῖ τοὺς ἱερατικοὺς καθαιρεῖσθαι, οὐδ' ἀπὸ τυχούσης προφάσεως· κἂν γὰρ ὁ Κουοδβουλτδεῦς οὗτος ἐπίσκοπος παρὰ τῇ συνόδῳ ταύτῃ κριθῆναι κατέθετο, τοῦ ἀντιδίκου αὐτοῦ τοῦτο αἰτησαμένου, εἶτα ὑπεχώρησεν, ὡς ἀπαρεσθεὶς παρ' αὐτῇ τῇ συνόδῳ κριθῆναι, ἀκοινώνητος μὲν B ἔσται, ἕως ἂν κριθῇ, καὶ τὰ κατ' αὐτὸν πέρας δέξηται, τὴν δὲ ἐπισκοπὴν αὐτοῦ οὐκ ἀφαιρεθήσεται, ἀλλὰ καθέξει ταύτην, ὅτι μηδὲ δίκαιον πρὸ καταδίκης καθαιρεθῆναί τινα.

ΚΑΝΩΝ ϟα'.

Περὶ Μαξιμιανοῦ δὲ τοῦ Βαγγυσίου, ἤρεσεν ἐκ τῆς συνόδου γράμματα δοθῆναι καὶ πρὸς αὐτὸν καὶ πρὸς τὸν λαὸν, ἵνα κἀκεῖνος ἐκ τῆς ἐπισκοπῆς ἀναχωρήσῃ, κἀκεῖνοι ἑαυτοῖς ἄλλον ἐπιζητήσωσιν.

C **ΒΑΛΣ.** Οὗτος ὁ κανὼν προσωπικός ἐστι, καὶ ἑρμηνείας οὐ δεῖται.

ΖΩΝΑΡ. Οὗτος ὁ κανὼν προσωπικός ἐστιν.

ΑΡΙΣΤ. Μαξιμιανὸς ὁ Βαγένσιος ἐξωθήτω τῆς ἐκκλησίας, καὶ ἄλλος ἀντικαταστήτω. Σαφής.

ΚΑΝΩΝ ϟβ'.

Ὥστε τοὺς τῶν χειροτονουμένους ἐπισκόπους ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥτε ἡμέρα καὶ ὁ ὕπατος D προσφέρεται. ἔπειτα ἤρεσεν, ἵνα οἵτινες δήποτε μετὰ ταῦτα χειροτονῶνται ἀνὰ τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, γράμματα λάβωσι παρὰ τῶν χειροτονούντων αὐτοὺς, τῇ χειρὶ αὐτῶν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν, ὥστε μηδεμίαν ἀμφισβήτησιν περὶ ὑστέρων ἢ προτέρων, ἀναφυῆναι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἀλυσιτελής ἐστι, διὰ τὸ τὴν προγενεσίαν μὴ ὠφελεῖν τοὺς ἐπισκόπους· εἰς δὲ τοὺς ἄλλους ἐκκλησιαστικοὺς βαθμοὺς χρησιμεύει. γίνονται γὰρ κατὰ τὴν τούτου περίληψιν τοῖς χειροτονουμένοις πιττάκια μετὰ μηνολογήματος εἰς δήλωσιν τῆς προγενεσίας.

E **ΖΩΝΑΡ.** Εἶπεν ἀνωτέρω τοὺς ἐπισκόπους κατὰ τοὺς χρόνους, καθ' οὓς ἐχειροτονήθησαν, τετάχθαι, ἤτοι προτετιμῆσθαι τοὺς πρεσβυτέρους. ἵνα οὖν μή τινες ἀμφιβολίαι φύωνται περὶ τοῦ καιροῦ τῆς ἑκάστου χειροτονίας, ὥρισεν ἡ σύνοδος ἕκαστον τῶν χειροτονουμένων παρὰ τῶν χειροτονέντων γράμματα λαμβάνειν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν. καὶ ἐκ τοῦ ὑπάτου γὰρ ὁ καιρὸς ἐδείκνυτο, ἐν δημοσίαις ἀπογραφαῖς ἑκάστου τῶν ὑπάτων δηλουμένου πότε ὑπάτευσεν.

F **ΑΡΙΣΤ.** Ὁ εἰς τὴν Ἀφρικὴν κεχειροτονημένος, ἐπιφερέσθω τοῦ ἐπιτεθεικότος χεῖρα γραφὴν ἰδιόχειρον, τὴν ἡμέραν ἔχουσαν, καὶ τὸν ὕπατον.

Διὰ τὸ μή τινα ὑποφῦναι ἀμφιβολίαν περὶ τῶν πρῶτον ἢ ὕστερον χειροτονηθέντων ἐπισκόπων ἐν Ἀφρικῇ, δεῖ τοὺς χειροτονοῦντας αὐτοὺς γράμματα διδόναι αὐτοῖς οἰκειόχειρα, δηλοῦντα τὴν ἡμέραν καθ' ἣν ἐχειροτονήθησαν, καὶ τὸν ἐκεῖσε τὸν τότε ἄρχοντα.

ΚΑΝΩΝ

A

ΚΑΝΩΝ ϟγʹ.

Περὶ τοῦ, τοὺς κἂν ἅπαξ ἐν τῇ ἐκκλησίᾳ ἀναγνῶντας, μὴ δύνασθαι ὑπὸ ἄλλων προχειρίζεσθαι. ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε ἐν ἐκκλησίᾳ κἂν ἅπαξ ἀναγνῷ, ἀπ' ἄλλης ἐκκλησίας πρὸς κλήρωσιν μὴ κατέχηται. καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΒΑΛΣ. Τινὲς μὲν λέγουσι περὶ τοῦ κανόνος τούτου, ὅτι βούλεται τὸν καταταγέντα κληρικὸν εἰς ἐκκλησίαν μὴ δέχεσθαι μηδὲ χειροτονεῖσθαι παρ' ἑτέρου ἐπισκόπου, κἂν ἅπαξ ἀνέγνω εἰς ἣν κατετάγη ἐκκλησίαν. προεβάλλοντο γάρ τινες, ὡς δικαιολόγημα, τὸ μὴ λογίζεσθαι κληρικὸν ἐκκλησίας τὸν ἅπαξ ἐν αὐτῇ ἀναγνόντα. ἕτεροι δὲ λέγουσιν, ὅτι τὸ τοιοῦτον δικαιολόγημα σαθρόν ἐστιν. ἀπὸ μόνου γὰρ τοῦ καταταγῆναι καὶ σφραγισθῆναι κληρικός τις γίνεται, κἂν ἐπ' ἐκκλησίας οὐκ ἀναγνῷ. καὶ ἑρμηνεύουσι τὸν κανόνα εἰς τοὺς δεξαμένους μόνην ἐπικουρίδα παρὰ ἀρχιερέως, καὶ κατὰ τὴν συνήθειαν εἰπόντας, ὡς ἐν εἴδει ἀναγνώσματος, τὴν πρὸς Τιμόθεον ἀποστολικὴν ἐπιστολήν, ἤγουν τό, τέκνον Τιμόθεε νῆφε ἐν πᾶσι· καὶ λέγουσι μηδὲ τούτους δύνασθαι ἀπὸ τοῦ παρόντος κανόνος ἐκ τῆς χειρὸς τοῦ σφραγισαμένου αὐτοὺς διὰ μόνης ἐπικουρίδος ἐπισκόπου μεταπίπτειν χωρὶς γνώμης ἐκείνου, καὶ εἰς ἑτέραν ἐκκλησίαν μεταβαίνειν. κἂν γὰρ οὐκ ἔφθασαν καταταγῆναι εἰς κλῆρον, ἀλλ' ὅμως σφραγῖδα ἐπισκοπικὴν ἐδέξαντο, καὶ λογίζονται μέρη τῆς ἐκκλησίας τοῦ χειροθετήσαντος αὐτούς. καὶ δοκοῦσί μοι μᾶλλον οὗτοι ἀκριβέστερον τὸν κανόνα ἑρμηνεύειν.

ΖΩΝΑΡ. Μυρίοι κανόνες εἰσὶν, οἱ κωλύοντες τοὺς κληρικοὺς μὴ καταλιμπάνειν τὰς οἰκείας ἐκκλησίας, καὶ προσέρχεσθαι ἄλλαις. τοῦτο οὖν καὶ ὁ παρὼν κανὼν μετὰ προσθήκης ὁρίζει. ἡ δὲ προσθήκη ἐστὶ τό, κἂν ἅπαξ ἀνέγνω ἐν ἐκκλησίᾳ, ὡς ἐκεῖσε καταταγείς, μὴ παραδέχεσθαι παρ' ἑτέρας ἐκκλησίας. ἔοικε γάρ, ὅτι προεβάλλοντο τοῦτό τινες ὡς δικαιολόγημα, ὅτι οἱ κανόνες περὶ τῶν χρόνων τινὰ διαρκῆ ποιησαμένων ἐν κλήρῳ φασίν· εἰ δέ τις ἅπαξ ἐν ἐκκλησίᾳ ἀνέγνω, ἐξέσται αὐτῷ, ὡς μηδενὸς καιροῦ γεγονότος, ἀναχωρεῖν ἐκεῖθεν. τοῦτο οὖν ἡ σύνοδος, ἀνατρέπουσα ἔφη, ὅτι κἂν ἅπαξ ἀνέγνω ἐν ἐκκλησίᾳ, ἀπρόσδεκτος ἔσται ἐκκλησίᾳ ἑτέρᾳ.

ΑΡΙΣΤ. Ὁ κἂν ἅπαξ εἰς ἐκκλησίαν ἀναγνοὺς, ὑπ' ἄλλης μὴ δεχέσθω εἰς κλήρωσιν.

Τὸ ἀλλότριον κληρικὸν ὑφ' ἑτέρου παραδέχεσθαι ἐπισκόπου πᾶσαι αἱ σύνοδοι διεκώλυσαν· κἂν γοῦν ἅπαξ εἰς ἐκκλησίαν ὁ κληρωθεὶς ἐν αὐτῇ τὰς ἱερὰς βίβλους τῷ λαῷ ὑπανέγνω, ὑφ' ἑτέρας εἰς κλῆρον παραδεχθῆναι οὐ συγκεχώρηται.

Ἐν ταύτῃ τῇ συνόδῳ ἐμφανίζονται τὰ πραχθέντα ὑπὸ τῶν πέραν τῆς θαλάσσης ἀποσταλέντων τοποτηρητῶν ἐπισκόπων, ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου τοῦ Αὐγούστου, καὶ Ρουμορίδου τοῦ λαμπροτάτου ὑπάτου, τῇ πρὸ ὀκτὼ καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν Σεκούνδου.

Αὐρήλιος ἐπίσκοπος ἐν πάσῃ τῇ συνόδῳ προκαθίσας παρεστώτων τῶν διακόνων εἶπεν· Λόγου ἀπαιτήσαντος ἡ ὑμετέρα ἀδελφότης παρὰ τῆς ἐμῆς μετριότητος εἰς ταύτην τὴν σύνοδον προετράπη. ἔκπαλαι γάρ, ὡς μέμνηται ἡ ὑμετέρα ἁγιωσύνη, συνόδου λεχθείσης ἀπεστείλαμεν ἀδελφοὺς ἡμῶν πρὸς τὰ πέραν τῆς θαλάσσης τοποτηρητὰς, οὓς ἔδει ἐν τῇ συνελεύσει τῆς ὑμετέρας ἁγιωσύνης τὴν κίνησιν τὴν διηγήσασθαι τῆς ἐξελυθείσης πρεσβείας· καὶ κἂν ἐν τῇ χθεσινῇ ἡμέρᾳ περὶ τοῦ αὐτοῦ πράγματος καθεσθέντες ἐκ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐπιμελῶς ἃ ἔπραξαν

Canon XCIII.

Ut qui vel ſemel in Eccleſia legerunt, non poſſint ab aliis promoveri. Similiter placuit, ut quicunque in Eccleſia vel ſemel legerit, ab alia Eccleſia ad Clericatum non detineatur. Et ſubſcripſerunt, Aurelius Epiſcopus Eccleſiæ Carthaginenſis præſenti decreto conſenſi, & lecto ſubſcripſi. Similiter & reliqui Epiſcopi ſubſcripſerunt.

Bals. Nonnulli dicunt de hoc Canone, quòd B vult Clericum, qui in Eccleſia aliqua conſtitutus eſt, non admitti nec ordinari ab alio Epiſcopo, ſi vel ſemel tantùm in Eccleſia, in quâ conſtitutus eſt, legerit. Ad ſuam enim cauſam defendendam allegabant, quòd non exiſtimaretur Clericus Eccleſiæ, qui in ea ſemel legit. Alii autem dicunt, hanc non eſſe ſatis firmam rationem. Ex eo enim quòd ordinatus fuerit & characterem ſuſceperit, fit quiſpiam Clericus, etiamſi in Eccleſia non legerit. Et interpretantur Can. de iis, qui ſolam tonſuram ab Antiſtite acceperunt, & ex conſuetudine, tanquam pro forma lectionis, dixerunt Apoſtolicam ad Timotheum Epiſtolam, ſeu, C Fili Timothee ſis ſobrius in omnibus: & dicunt, ex præſenti Can. non poſſe eos, à manu ejus qui ipſos ordinavit, propter ſolam Epiſcopi tonſuram, ſine ejus voluntate tranſire, & ad aliam Eccleſiam tranſilire. Etſi enim non ſunt in Clerum ordinati, ſed tamen Epiſcopalem tonſuram ſuſceperunt, & exiſtimantur eſſe pars Eccleſiæ ejus, qui illis manus impoſuit. Et ii videntur mihi Canonem accuratiùs interpretari.

Zonar. Innumerabiles extant Can. quibus Clerici ſuas Eccleſias relinquere,& ad alias ſe conferre prohibentur. D Idem hic quoque Can. non ſine aliquo etiam auctario,decernit. Auctariū vero illud eſt,ut ſi vel ſemel tantū in Eccleſia aliqua quiſpiam, quaſi ejus Clero adſcriptus, legerit,in alia ne admittatur.Videntur enim nonnulli eam excuſationem veluti juſtam prætexuiſſe,Can.videlicet de iis,qui multum temporis in Clero egiſſent,eſſe intelligendos: ſi quis vero ſemel tantum in Eccleſia legiſſet, nihil obſtare quominus illi, utpote nullo tempore ibi ab illo tranſacto, ab ea ſecedere liceret. Quamobrem hoc improbato, Synodus eum, qui vel ſemel tantum in una Eccleſia lectoris munus obierit,in alia recipi omnino vetat.

Arist. *Qui etiam ſemel tantum in Eccleſiâ legit, ab* E *aliâ in Clerum ne admittatur.*

Alienum Clericum ab altero admitti Epiſcopo omnes Synodi vetant. Quamvis itaque ſemel qui in Eccleſiâ Clericus fit, in eâ ſacros libros populo legat, ab aliâ in Clerum recipi non permittitur.

In hac Synodo referuntur geſta Epiſcoporum, qui Legati ultra mare miſſi ſunt, ſub clariſſimo Imperatore Theodoſio Auguſto, & Rumorido illuſtriſſimo Conſule, A. D. octavo Calendas Septembris Carthag. in F *Eccleſia Secundi.*

Aurelius Epiſcopus toti Synodo præſidens, adſtantibus Diaconis dixit; Ratione exigente veſtra fraternitas à mea mediocritate in hanc Synodum deducta eſt. Jam olim enim, ut veſtra meminit ſanctitas, habita Synodo miſimus fratres noſtros ultra mare Legatos, quos oportebat in veſtræ ſanctitatis conventu perfunctæ legationis progreſſum narrare: Nam etſi heſterno die de re eadem ſedentes, ex rebus Eccleſiaſticis diligenter ea, quæ fecerunt, *tractavimus: oportet tamen hodie heſternæ diei tractatum actis Eccleſiaſticis confirmare, propter Epiſcopos Provinciarum Africæ, qui in præſenti Synodo non aderant. Rerum itaque ordo exigit, ut in primis à fratribus & conſacerdotibus noſtris, qui ad hanc Synodum, ſive ex Bizacio, ſive ex Mauritania, acceſſerunt, quæramus, quomodo conferre ſtatuant præſenti Synodo. Et cùm attuliſſent Philologius, Geta, Venuſtianus, Felicianus, Epiſcopi Byzacenæ Provinciæ, literas legationis, quæ & lectæ ſunt; præterea autem cùm attuliſſent Lucianus & Silvanus, Legati Mauritaniæ regionis Sitifenſis, literas legationis, eæque lectæ eſſent: Aurelius Epiſcopus dixit; Horum ſcriptorum contextus actis conjungatur. De Byzacii Epiſcopis Numidius Epiſcopus dixit; Animadvertimus Confratres & Coëpiſcopos noſtros Byzacenorum Provinciæ & Mauritaniæ Sitifenſis ad Synodum Legatos miſiſſe: nunc quæramus an Legati Numidiæ acceſſerunt, vel Tripolitanæ ſcilicet regionis, vel etiam Cæſarianæ Mauritaniæ. De Mauritaniæ Sitifenſis Epiſcopis Lucianus & Sylvanus Epiſcopi Mauritaniæ Sitifenſis regionis Legati dixerunt; Sero ad Fratres noſtros Cæſarianæ Synodica Epiſtola pervenit, poſtquam illi venturi erant; omnino tamen venient: & de eorum animis confidimus, quòd ſi quid unquam in hac Synodo fiet, ipſi quoque ſine dubio aſſentientur. De Numidiæ Epiſcopis Alipius Numidiæ Eccleſiæ Epiſcopus dixit; Nos quidem ex Numidia venimus, ego & ſanctiſſimi fratres, Auguſtinus & Poſidius: Sed & Legati è Numidia mitti non potuere, quòd maximos Tyronum tumultus Epiſcopi, propriis neceſſitatibus in ſuis civitatibus impediti, occupare præſtolantur. Nam & veſtræ ſanctitatis Synodalem ſanctiſſimo ſeni Xantippo poſtquam detuli, ſtatuit pro præſenti quæſtione Synodum indicere, ut plena legatio mitteretur ad hanc Synodum: Sed cùm ego binis ei literis id in memoriam revocaſſem, reſpondit per proprias literas de impedimento Tyronum, ut dixi. Aurelius Epiſcopus dixit; Non eſt dubium, quin prædicti Fratres & Coëpiſcopi noſtri ex Numidia, quando Synodi acta acceperint, ſtatim quoque proprios conſenſus præbebunt, & ad finem reducere ſtudebunt, quæcunque placuerint. Neceſſe eſt ergo hujus Sedis ſollicitudine provideri, ut hoc prædictis fiat manifeſtum. De Fratribus noſtris ex Tripoli cognoſcere potui, quòd Dulcitium fratrem noſtrum miſerunt Legatum. Sed quia ſe ſiſtere non potuit, quidam ex noſtris filiis hoc affirmarunt, qui ex prædicta regione venerant, quòd prædictus Dulcitius navem ingreſſus eſt; & credendum eſt aliquam ei moram ex tempeſtate eveniſſe, quæ cogit eum tardiùs venire: tamen de eo quoque, ſi veſtræ dilectioni placeat, eadem forma ſervetur, ut quæ Synodo viſa fuerint ad eos mittantur. Ab omnibus Epiſcopis dictum eſt; Quæ à tua ſanctitate definita ſunt omnibus placent.*

A ἐψηφισάμεθα· ὅμως πρέπει σήμερον τὴν διαζήτησιν τῆς χθεσινῆς ἡμέρας τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις ἐμβεβαιῶσαι, διὰ τοὺς ἐπισκόπους τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς, τοὺς μὴ παραγενομένους ἐν τῇ παρούσῃ συνόδῳ. ἡ τάξις οὖν ἀπαιτεῖ τῶν πραγμάτων, ἵνα ἐν πρώτοις παρὰ τῶν ἀδελφῶν, καὶ συνιερέων ἡμῶν, τῶν πρὸς ταύτην τὴν σύνοδον, εἴτε ἐκ τοῦ Βυζακίου εἴτε ἀπὸ Μαυριτανίας, παραγενομένων, ζητήσωμεν, πῶς συμφέρειν ψηφίζονται τῇ παρούσῃ συνόδῳ. καὶ προσενεγκόντων Φιλολογίου, Γέτα, Βενουστιανοῦ, Φιλικιανοῦ, τῶν ἐπισκόπων τῆς Βυζακινῆς χώρας, τὰ γράμματα τῆς τοποτηρησίας, τὰ καὶ ἀναγνωσθέντα, ἔτι δὲ προσενεγκόντων Λουκιανοῦ B καὶ Σιλβανοῦ, τῶν τοποτηρητῶν τῆς Μαυριτανίας χώρας τῆς Σιτιφένσης, τὰ γράμματα τῆς τοποτηρησίας, καὶ τούτων ἀναγνωσθέντων, Αὐρήλιος ἐπίσκοπος εἶπεν· τούτων τῶν ἐγγράφων ἡ ὑφὴ τοῖς πεπραγμένοις συζευχθείη. περὶ τῶν τοῦ Βυζακίου ἐπισκόπων Νουμίδιος ἐπίσκοπος εἶπεν· προσέχομεν τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν τοὺς τῆς Βυζακηνῶν χώρας καὶ Μαυριτανίας Σιτιφένσης εἰς τὴν σύνοδον τοποτηρητὰς ἀποστεῖλαι· νῦν ζητήσωμεν, ἐὰν τοποτηρηταὶ τῆς Νουμιδίας παραγένωνται, ἢ δηλαδὴ τῆς Τριπολιτανῆς χώρας, ἢ τῆς Καισαριανῆς Μαυριτανίας. περὶ τῶν τῆς Μαυριτανίας Σιτιφένσης ἐπισκόπων Λουκιανὸς καὶ Σιλβανὸς ἐπίσκοποι τοποτηρηταὶ τῆς C Μαυριτανίας Σιτιφένσης χώρας εἶπον· βραδέως πρὸς τοὺς τῆς Καισαρειανῆς ἀδελφοὺς ἡμῶν ἡ συνοδικὴ ἦλθεν, ἐπεὶ κἀκεῖνοι λοιπὸν εἶχον φθάσαι, ὅμως πάντως ἐλεύσονται· καὶ θαρροῦμεν περὶ τῶν ψυχῶν αὐτῶν, ὅτι εἴ τι δήποτε ἐν ταύτῃ τῇ συνόδῳ πραχθήσεται, καὶ αὐτοὶ ἀναμφιβόλως τὰς ἰδίας συναινέσεις παρέξοιεν. περὶ τῶν τῆς Νουμιδίας ἐπισκόπων Ἀλύπιος ἐπίσκοπος τῆς ἐκκλησίας Νουμιδίας εἶπεν· ἡμεῖς μὲν ἀπὸ τῆς Νουμιδίας ἤλθομεν, ἐγώ τε καὶ οἱ ἁγιώτατοι ἀδελφοὶ Αὐγουστῖνος καὶ Ποσείδιος· ἀλλ' οἱ ἀπὸ τῆς αὐτῆς Νουμιδίας τοποτηρηταὶ πεμφθῆναι οὐκ ἠδύναντο, ὅτι ἀκμὴν τῶν θορύβων τοῦ Τυρωνάτου οἱ ἐπίσκοποι ἰδίαις ἀνάγκαις ἐν D ταῖς πόλεσιν αὐτῶν ἀπασχολοῦνται ἐμποδιζόμενοι. ἐπεὶ καὶ τὴν συνοδικὴν τῆς ὑμετέρας ἁγιωσύνης τῷ ἁγιωτάτῳ γέροντι Ξαντίππῳ ὡς ἀνήγαγον, συνεῖδεν περὶ τῆς παρούσης ζητήσεως σύνοδον καταμηνυθῆναι, ὅπως καταρτισθεῖσα τοποτηρησία πρὸς ταύτην ἀποσταλῇ τὴν σύνοδον· ἀλλὰ δευτέροις γράμμασιν ἐμοῦ τοῦτο αὐτὸν ἀναμνήσαντος, ἀπελογήσατο διὰ οἰκείων γραμμάτων περὶ τοῦ ἀπὸ τῶν Τιρώνων ἐμποδισμοῦ, ὡς ἀνωτέρω εἶπον. Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἔστιν ἀμφίβολον, ὅτι οἱ προλεχθέντες ἀδελφοὶ καὶ συνεπίσκοποι ἡμῶν, οἱ ἐκ τῆς Νουμιδίας, ὅτε τὰ πεπραγμένα τῆς συνόδου λάβωσιν, εὐθέως καὶ τὰς ἰδίας παρέξουσιν συναινέσεις, E καὶ εἰς πέρας ἀγαγεῖν σπουδάσουσιν, ὁσαδήποτε ἀρέσουσιν. ἀνάγκη τοίνυν ἐστὶ τῇ φροντίδι τῆς καθέδρας ταύτης προνοηθῆναι, τοῦ αὐτὸ τοῖς προλεχθεῖσιν ἐμφανὲς καταστῆναι. περὶ τῶν ἀπὸ Τριπόλεως ἀδελφῶν ἡμῶν τοῦτο ἠδυνήθην γνῶναι, ὅτι Δουλκίτιον ἀδελφὸν ἡμῶν ἀπέστειλαν τοποτηρητήν. ἀλλ' ἐπειδὴ ἀπαντῆσαι οὐκ ἠδυνήθη, τοῦτό τινες τῶν τέκνων ἡμῶν διεβεβαιώσαντο ἐλθόντες ἐκ τῆς προλεχθείσης χώρας, ὅτι ὁ μνημονευθεὶς Δουλκίτιος εἰς πλοῖον εἰσῆλθεν· καὶ δεῖ πιστεῦσαι τινα παρολκὴν ἐκ τοῦ χειμῶνος αὐτῷ συμβῆναι, τὴν αὐτὸν ἀναγκάσασαν βραδῦναι· ὅμως καὶ περὶ τούτου, ἐὰν ἀρέσκῃ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ αὐτὸς τύπος φυλαχθείη, F ἵνα τὰ ἀρέσαντα τῇ συνόδῳ πρὸς αὐτοὺς ἀποσταλῶσιν. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· τὰ ὁρισθέντα ὑπὸ τῆς σῆς ἁγιωσύνης πᾶσιν ἀρέσκει.

Bals. Multa quidem hæc ſcriptura perſequitur de iis, qui Legatos ad Synodum non miſerunt. Cùm autem aliqui pro eis reſpondiſſent, viſum eſt eis veniam eſſe dandam, ſi illi quoque ea ſuſceperint, quæ placent Syn.

ΒΑΛΣ. Πολλὰ μὲν ἡ γραφὴ αὕτη διέξεισι περὶ τῶν μὴ στειλάντων εἰς τὴν σύνοδον τοποτηρητάς. ἀπολογησαμένων δὲ ὑπὲρ ἐκείνων τινῶν, ἔδοξε συγγνωμονηθῆναι αὐτοὺς, εἰ κἀκεῖνοι δέξωνται ὅσα τῇ συνόδῳ ἀρέσκει.

A **ΖΩΝΑΡ.** Πολλὰ μὲν ἡ γραφὴ αὕτη διέξεισι περὶ τῶν μὴ στειλάντων εἰς τὴν σύνοδον ταύτην τοποτηρητάς. ἀπολογησαμένων δὲ ὕστερον ὑπὲρ ἐκείνων τινῶν, ἔδοξε συγγνωμονηθῆναι αὐτοὺς*, εἰ κἀκεῖνοι δέξονται ὅσα τῇ συνόδῳ ἀρέσῃ καὶ ψηφισθήσεται.

ΚΑΝΩΝ ϟδʹ.

Περὶ τοῦ, τοῖς Δονατισταῖς συνελθεῖν. Αὐρήλιος ἐπίσκοπος εἶπεν· τὸ εἰς ψηλάφησιν ἐλθὸν τῆς ὑμετέρας ἀγάπης, λογίζομαι ὀφείλειν τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις βεβαιωθῆναι. ἡ γὰρ ὑπόσχεσις πάντων ὑμῶν τοῦτο προεβάλετο, B ὀφείλει ἕνα ἕκαστον ἡμῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν συνελθεῖν τοῖς ἀρχηγοῖς τῶν Δονατιστῶν, ἢ προσζεῦξαι ἑαυτῷ γείτονα ἕτερον, ἵνα ὁμοίως τοῖς τοιούτοις ἐν ἑκάστῃ πόλει καὶ τόπῳ διὰ τῶν ἀρχόντων ἢ τῶν πρῶτα φερόντων ἐν τοῖς αὐτοῖς τόποις συνέλθωσιν. τοῦτο ἐὰν ἀρέσκῃ πᾶσι παραγγελθείη. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· πᾶσιν ἀρέσκει· καὶ πάντες τοῦτο τῇ ἡμετέρᾳ ὑπογραφῇ ἐκυρώσαμεν. αἰτοῦμεν ἔτι μὴν, ἵνα ταῖς ἐπιστολαῖς, ταῖς ὀφειλούσαις ἐκ τῆς συνόδου πρὸς τοὺς ἄρχοντας ἀποπεμφθῆναι, ὑπὲρ πάντων ἡ σὴ ὑπογράψῃ ἁγιωσύνη. Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν δοκῇ τῇ ὑμετέρᾳ C ἀγάπῃ, ὁ τύπος τῆς πρὸς ἐκείνους συνελεύσεως ἀναγνωσθείη, ὅπως τοῦτον τὸν τόνον τῆς ἐπακολουθήσεως πάντες, ἐὰν ἀρέσκῃ, κρατήσωμεν. ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· ἀναγνωσθείη. Λαῖτος νοτάριος ἀνέγνω.

ΒΑΛΣ. Ὁ τύπος τῆς πρὸς τοὺς Δονατιστὰς συνελεύσεως, καὶ τὰ ἐν τῇ παρούσῃ συνελεύσει λαληθέντα, ἰδικά εἰσι περὶ τῶν Δονατιστῶν.

ΖΩΝΑΡ. Ἔδοξε τῇ συνόδῳ, ἕκαστον τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ πόλει τοῖς προέχουσι τῶν Δονατιστῶν ὁμοῦ γενέσθαι, ἢ καὶ ἕτερον ἐπίσκοπον προσλαβέσθαι, καὶ ὁμιλῆσαι αὐτοῖς D καὶ διαλεχθῆναι, ἢ διὰ τῶν ἀρχόντων καὶ τῶν πρωτευόντων ἐν ταῖς χώραις προσκαλέσασθαι αὐτούς· τουτέστιν εἰ μὴ ἑκόντες συνέρχοιντο.

ΑΡΙΣΤ. Ἕκαστος τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ πόλει τοῖς ἀρχηγοῖς τῶν Δονατιστῶν συνελθέτω, ἢ προσλαβέσθω καὶ τὸν γείτονα, ἵνα τοῖς αὐτοῖς συνέλθωσιν.

Σπεύδοντες οἱ θεῖοι πατέρες προσενῶσαι τῇ καθολικῇ ἐκκλησίᾳ τοὺς Δονατιστὰς, οἵτινες ἐξ αὐτῆς κακῶς ἑαυτοὺς ἀπέσχισαν, οὐ διέλειπον παρακαλοῦντες αὐτοὺς ἀποστῆναι τῆς παλαιᾶς πλάνης, καὶ τὴν ἀλήθειαν παραδέξασθαι. διὰ τοῦτο E νῦν ἔδοξεν αὐτοῖς καὶ ἔτι δέον εἶναι ἕκαστον τῶν ἐπισκόπων τῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν τοῖς τῶν Δονατιστῶν ἀρχηγοῖς προσελθεῖν, ἢ καὶ ἕτερον προσλαβέσθαι γείτονα, καὶ μετ' αὐτοῦ συνελθεῖν αὐτοῖς, καὶ πρὸς αὐτοὺς εἰπεῖν τὰ ἐν τῷ ἐφεξῆς κανόνι ῥητῶς γεγραμμένα· καὶ εἰ μὴ πεισθῶσιν οὕτω παρακαλούμενοι, διὰ τῆς βασιλικῆς ἐξουσίας ἀπελαθῆναι τῶν ἐκκλησιῶν, ὧν ἐπέβησαν.

ΚΑΝΩΝ ϟεʹ.

Αὐρήλιος ἐπίσκοπος εἶπε· τὸ παρὰ τῆς αὐθεντείας ἐκείνης τῆς μεγίστης καθέδρας ἡμῖν ἐπιτραπὲν αἰτοῦμεν τὴν ὑμετέραν F τιμιότητα ἀναγνωσθῆναι, καὶ εἰς πέρας ἀχθῆναι κελεῦσαι. ἀναγνωσθείσης δὲ τῆς κελεύσεως καὶ τοῖς πεπραγμένοις συντεθειμένης, ἐπίσκοπος τῆς καθολικῆς ἐκκλησίας εἶπεν· τὸ διὰ τῆς ὑμετέρας τιμιότητος πρὸς τοὺς Δονατιστὰς ὀφεῖλον ἀπενεχθῆναι ἐντολικὸν, ἀκοῦσαι, καὶ πεπραγμένοις ἐμβαλεῖν, καὶ πρὸς αὐτοὺς ἀποκομίσαι καταξιώσατε, καὶ τὴν τούτων ἀπόκρισιν πάλιν διὰ τῶν ὑμετέρων πεπραγμένων ἡμῖν ἐμφανίσαι. συνερχόμεθα ὑμῖν αὐθεντικῶς ἀποσταλέντες ἐκ τῆς ἡμετέρας αὐθεντικῆς συνόδου, ἐπιθυμοῦντες χαρῆναι περὶ τῆς ὑμετέρας διορθώσεως.

ZONAR. Multa quidem ſuperiore ſcripto de iis, qui Legatos ad hanc Synodum non miſerant, diſſeruntur. Sed cum illorum patrocinium quidam ſuſcepiſſent, id ita eis condonari placuit; ſi modo Synodi decreta omnia ipſi quoque admitterent.

CANON XCIV.

De conveniendis Donatiſtis. Aurelius Epiſcopus dixit; Quod venit ad veſtræ dilectionis tractationem, exiſtimo debere Eccleſiaſticis actis confirmari. Veſtrum enim omnium promiſſio hoc propoſuit, debere unumquemque noſtrum in propria civitate per ſe cum Donatiſtarum principibus congredi, vel ſibi alium vicinum adjungere, ut pariter eos in unaquaque civitate & loco per magiſtratus, vel eos qui primas partes ferunt, in iiſdem locis conveniant. Hoc, ſi omnibus placet, edicatur. Ab omnibus Epiſcopis dictum eſt; Omnibus placet: & hoc omnes noſtra ſubſcriptione confirmavimus. Petimus præterea, ut Epiſtolis, quæ debent à Synodo mitti ad magiſtratus, tua pro omnibus ſanctitas ſubſcribat. Aurelius Epiſcopus dixit; Si videatur veſtræ dilectioni, forma congreſſionis cum illis legatur, ut hunc proſecutionis tenorem omnes, ſi placet, teneamus. Ab omnibus Epiſcopis dictum eſt; Legatur. Lætus notarius legit.

BALS. Forma congreſſionis cum Donatiſtis, & quæ in præſenti Synodo dicta ſunt, Donatiſtis ſpecialiter conveniunt.

ZONAR. Synodo item placuit, ut Epiſcopi omnes, in ſua quiſque urbe, adhibito etiam altero, ſi videretur, Epiſcopo, eos, qui ſe Donatiſtarum primos ferebant, convenirent; vel magiſtratuum, aut eorum, qui in regionibus præſidebant, auctoritate advocandos curarent, hoc eſt, niſi ipſi ſponte ſuâ conveniant.

ARIST. *Unuſquiſque Epiſcoporum in ſuâ civitate Donatiſtarum ductores conveniat: vel adſumat etiam vicinum, ut eos conveniant.*

Omnem navantes operam divini Patres Donatiſtas Eccleſiæ Catholicæ adunare, qui ſe ab eâ peſſimè abſciderunt, non ceſſabant eos adhortari, ut ab antiquo errore deſiſterent, & veritatem amplecterentur. Idcirco viſum eſt iis & adhuc neceſſarium eſſe, ut quiſque Epiſcoporum per ſeipſum in propriâ civitate Donatiſtarum ductores adiret, vel etiam alium adjungeret vicinum, & cum eo iſtos conveniret, iiſque indicaret quæ in ſequente canone diſertè ſcribuntur: & ſi ſic admoniti non perſuadeantur, per regiam poteſtatem ab Eccleſiis illis, quas invaſerunt, abigantur.

CANON XCV.

Aurelius Epiſcopus dixit; Quod ab auctoritate ampliſſimæ illius ſedis nobis permiſſum ſit, petimus à veſtra veneratione ut legatur, eáque id ad effectum deduci jubeat. Lecta autem juſſione, & actis conjuncta, dixit Epiſcopus univerſalis Eccleſiæ; Quod per veſtram venerationem debet ad Donatiſtas deferri mandatum, audire, & actis inſerere, & ad ipſos deportari curare velitis, & eorum rurſus reſponſionem per veſtra acta nobis oſtendere. Convenimus eos authenticè, miſſi à noſtra authentica Synodo, cupientes de veſtra correctione lætari. Scimus enim dilectionem Domini, qui dixit; Beati pacifici, quoniam

ipſi

A *ipſi filii Dei vocabuntur. Nos quoque per prophetam admonuit, ut iis etiam, qui nolunt dici fratres noſtri, dicamus; Fratres noſtri eſtis. Hanc ergo noſtram ex pacifica dilectione ad vos proficiſcentem admonitionem pro nihilo ducere non debetis; ut ſi quid nos veritatis habere exiſtimatis, id aſſerere ne dubitetis: id eſt, ut veſtra coacta ſynodo eligatis ex vobis ipſis, quibus veſtræ ejuſmodi cauſæ probandæ negotium committi debeat; ut nos quoque hoc ipſum facere poſſimus, & ex noſtra ſynodo eligantur, qui debent cum iis, qui ex vobis electi fuerint, ſtatuto* B *loco & tempore, quidquid ex controverſiæ, quod noſtram à vobis communionem ſeparat, pacificè examinare; & tandem aliquando auxilio Domini Dei noſtri antiquus error finem accipiat, ne utique propter hominum perſuaſionem imbecillæ animæ, & imperiti populi ſacrilega aliqua ſeparatione pereant. Si hoc enim fraternè admiſeritis, veritas facilè apparebit: Sin id facere nolueritis, infidelitas veſtra ſtatim cognoſcetur. Et cùm recitata eſſet hæc forma, ab omnibus Epiſcopis dictum eſt; Hoc valde placet; fiet. Et ſubſcripſerunt; Aurelius Epiſcopus Carthaginenſis Eccleſiæ, præſenti decreto conſenſi, & lecto* C *ſubſcripſi. Similiter & reliqui Epiſcopi ſubſcripſerunt.*

Hæc Synodus adverſus Donatiſtas legatos ad Imperatores miſit: clariſſimo Imperatori Honorio Auguſto ſextùm conſuli A. D. vi. Cal. Julias Carthagine in Eccleſia Baſilicæ Secundæ. In hac Synodo legationem ſuſceperunt Theaſius & Evodius adverſus Donatiſtas. In qua Synodo compoſitum eſt commonitorium.

Bals. Nec ea, quæ ſunt in præſenti collocutione, D interpretatione indigent. De Donatiſtis enim ſpeciatim ſunt.

Zonar. Poſtulatum eſt, ut ea, quæ per legatos Donatiſtis erant denuntianda, in Synodo legerentur; quæ quidem, prout à legatis propoſita, erant ejuſmodi. Ad vos, inquiunt, authenticè, hoc eſt, auctoritate à Synodo accepta, proficiſcimur, vos convenire cupientes, ut de veſtra emendatione lætamur. Scimus namque beatos, Domini voce, pacis conciliatores nominari. Et quamvis fratres noſtri dici nolitis, à nobis ſeparantes; fratres ipſi nihilominus vos appellamus. Quamobrem noſtram hanc à dilectione profectam admonitionem, qua ſcilicet E ea, in quibus decepti eſtis, memoriæ veſtræ ſubjicimus, ne contemnite; verum ſi à vobis ſtare veritatem intelligitis, ejus vos quoque ſectatores ac propugnatores fieri ne dubitetis. Aliquos porro ex veſtro numero deſignate, qui cum delectis à noſtra Synodo congrediantur, déque iis, quorum cauſa à noſtra communione ſeparati eſtis, colloquantur; ut ſerò quamvis, aliquando tamen finem antiquus error accipiat; ne propter aliquos, ſtulte nimis ac præfracte ſuæ ſententiæ retinentes, imbecillæ animæ populíque innumerabiles exitioſe perdantur (quamvis illud, ἄπειροι λαοὶ, vel ob multitudinem innumerabiles, vel ob ſimplicitatem ac rerum imperitiam F intelligi liceat) ab Eccleſiæ Catholicæ conſortio ſacrilega ſeparatione disjuncti. Animorum namque jacturam, qui ſacroſancti ſunt, divinóque munere homini dati, propter illud ab Eccleſia Catholica diſſidium, ſacrilegii nomine jure appellavere; quod ſacræ animæ ab illis, qui eas decipiunt, quaſi furto ſubtrahantur: vel etiam, quia contra Eccleſiaſticæ traditionis inſtitutum res ſacras invadentes, eáſque pro arbitrio contrectantes & adminiſtrantes, ſacra diripiunt; cum nequaquam ex Domini voluntate ipſis utantur. Quicunque enim præter domini voluntatem alterius re utitur, eum Leges quoque civiles furti reum eſſe decernunt.

ἐπιστάμεθα γὰρ τὴν ἀγάπην τοῦ κυρίου εἰπόντος, μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. ὑπέμνησεν δὲ καὶ διὰ τοῦ προφήτου, ὥστε ἔτι μὴν καὶ τοῖς μὴ βουλομένοις λέγεσθαι ἀδελφοῖς ἡμῶν, λέγειν ἡμᾶς, ἀδελφοὶ ἡμῶν ἐστέ. ταύτην τοίνυν τὴν ἐξ ἀγάπης εἰρηνικῆς ἐρχομένην ἡμετέραν ἀνάμνησιν ἐξουθενῆσαι οὐκ ὀφείλετε, ἵνα ἐάν τι ποτε ἀληθείας ἔχειν ἡμᾶς οἴεσθε, ἀντιλαβέσθαι τούτου μὴ ἀμφιβάλητε· τοῦτ' ἔστιν, ἵνα συναχθείσης συνόδου ὑμῶν ἐπιλέξοισθε ἐξ ὑμῶν αὐτῶν τοὺς ὀφείλοντας τὸ πρᾶγμα ἐμπιστευθῆναι τῆς τοιαύτης ὑμῶν δικαιολογίας· ὅπως καὶ ἡμεῖς δυνηθῶμεν τὸ αὐτὸ ποιῆσαι· τοῦτ' ἔστιν, ἵνα ἐκ τῆς ἡμετέρας συνόδου ἐπιλεγῶσιν οἱ ὀφείλοντες μετὰ τῶν ἐξ ὑμῶν ἐπιλεγομένων, ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ, πᾶν τὸ τῆς ζητήσεως ἐχόμενον, τὸ τὴν ἡμετέραν ἀφ' ὑμῶν κοινωνίαν χωρίζον, εἰρηνικῶς ἐξετάσαι· καὶ κἂν ὀψέ ποτε τῇ βοηθείᾳ τοῦ κυρίου τοῦ Θεοῦ ἡμῶν τέλος ἡ παλαιὰ δέξηται πλάνη, μήποτε διὰ πεῖσμα ἀνθρώπων ἀσθενεῖς ψυχαὶ καὶ ἄπειροι λαοὶ ἱεροσύλῳ τινὶ χωρισμῷ ἀπόλωνται. ἐὰν γὰρ τοῦτο ἀδελφικῶς καταδέξησθε, εὐχερῶς ἡ ἀλήθεια διαφανήσεται· εἰ δὲ τοῦτο ποιῆσαι μὴ θελήσητε, ἡ ἀπιστία ὑμῶν εὐθέως γνωρισθήσεται. καὶ ἀναγνωσθέντος τοῦ τοιούτου τύπου, ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη, πάνυ ἀρέσκει· τοῦτο γενήσεται. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδόνων ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

Αὕτη ἡ σύνοδος κατὰ τῶν Δονατιστῶν πρεσβευτὰς πρὸς τοὺς αὐτοκράτορας ἀπέστειλε· τῷ ἐνδοξοτάτῳ βασιλεῖ Ὀνωρίῳ Αὐγούστῳ τῷ ἕκτῳ ὑπάτῳ, τῇ πρὸ ἓξ καλανδῶν Ἰουλίων ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τῆς βασιλικῆς Σεκουνδῆς. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Θεάσιος καὶ Εὐόδιος κατὰ τῶν Δονατιστῶν. ἐν ᾗ συνόδῳ συνετάχθη κομμονιτόριον.

ΒΑΛΣ. Οὔτε τὰ ἐν τῇ παρούσῃ ὁμιλίᾳ ἑρμηνείας δέονται. ἰδικὰ γάρ εἰσι περὶ Δονατιστῶν.

ΖΩΝΑΡ. Ἐξητήθη ἀναγνωσθῆναι τῇ συνόδῳ, ἃ ἐνετάλθησαν εἰπεῖν οἱ ἀποσταλέντες πρὸς τοὺς Δονατιστάς. τὰ δὲ ἦσαν τοιαῦτα, ὡς ἀπὸ τῶν πρεσβειῶν λεγόμενα, ὅτι συνερχόμεθα ὑμῖν αὐθεντικῶς, ἤγουν ἐξουσίας λαβόντες παρὰ τῆς συνόδου, προσομιλῆσαι ὑμῖν ἐπιθυμοῦντες, χαρῆναι ἐπὶ τῇ διορθώσει ὑμῶν. οἴδαμεν γὰρ τὸν κύριον μακαρίζοντα τοὺς εἰρηνοποιούς, καὶ μὴ θέλοντας ὑμᾶς καλεῖσθαι ἀδελφοὺς ἡμῶν, ἀλλ' ἀποσχίζοντας ἀφ' ἡμῶν, ἡμεῖς λέγομεν, ὅτι ἀδελφοὶ ἡμῶν ἐστέ. δεῖ μὴ ἐξουθενήσητε τὴν ἐξ ἀγάπης εἰρηνικὴν ἀνάμνησιν ἡμῶν, τουτέστιν ὅτι ἀναμιμνήσκομεν ὑμᾶς τῶν σφαλμάτων ὑμῶν. ἀλλ' ἐὰν οἴεσθε ἀληθείας ἔχεσθαι, ἀντιλαμβάνεσθαι ταύτης, ἤγουν ὑπεραγωνίσασθαι τῆς νομιζομένης ὑμῖν ἀληθείας μὴ ἀμφιβάλητε. ἐπιλέξασθε δέ τινας ἐξ ὑμῶν, τοὺς διαλεχθησομένους τοῖς ἐπιλεγησομένοις ἐκ τῆς ἡμετέρας συνόδου, περὶ τῶν χωριζόντων ὑμᾶς ἐκ τῆς ἡμῶν κοινωνίας· ἵνα κἂν βραδέως τέλος ἡ παλαιὰ δέξηται πλάνη, μήποτε διὰ πεῖσμα ἤτοι διὰ ματαίαν ἔνστασιν ἀνθρώπων ἀπόλωνται ἀσθενεῖς ψυχαὶ καὶ ἄπειροι λαοὶ (ἄπειροι ἢ κατὰ πλῆθος, ἢ δι' ἁπλότητα καὶ ἄγνοιαν τοῦ καλοῦ) χωριζόμενοι τῆς καθολικῆς ἐκκλησίας ἱεροσύλῳ χωρισμῷ. τὸ γὰρ ψυχὰς ἀνθρώπων, ἱερὸν οὔσας καὶ θεῖον χρῆμα, ἀπόλλυσθαι ἐκ τοῦ χωρισμοῦ τῆς καθολικῆς ἐκκλησίας ἱεροσυλίαν ἐκάλεσαν, ὡς συλωμένων τῶν ἱερῶν ψυχῶν παρὰ τῶν ἀπατώντων αὐτάς, ἢ ὅτι μὴ κατὰ τὴν παράδοσιν τῆς ἐκκλησίας τὰ ἱερὰ μετιόντες, ὡς δὲ αὐτοῖς δοκοῦν αὐτὰ ψηλαφῶντες καὶ μεταχειριζόμενοι, συλῶσιν αὐτά, μὴ χρώμενοι αὐτοῖς κατὰ τὸ τοῦ δεσπότου θέλημα. ὁ γὰρ παρὰ γνώμην τινὸς ψηλαφῶν πρᾶγμα αὐτοῦ, κλέπτης κρίνεται τοῖς τῆς πολιτείας θεσμοῖς.

ΑΡΙΣΤ. Ἤτω τὰ πρὸς τοὺς Δονατιστὰς λεχθησόμενα, τάδε. ἐπιθυμοῦμεν χαρῆναι ἐπὶ τῇ ὑμῶν διορθώσει· ἐκελεύσθημεν γὰρ καὶ πρὸς τοὺς μὴ ἀνεχομένους εἶναι ἡμῶν ἀδελφοὺς λέγειν, ἀδελφοὶ ἡμῶν ἐστέ. διὸ συνερχόμεθα ὑμῖν, καὶ ὑπομιμνήσκομεν, ὡσὰν εἴ τινα δικαιολογίαν ἔχειν οἴεσθε, ἐπιλέξησθε τοὺς ταύτην πιστευθησομένους, ἀπαντῆσαι ὀφείλοντας ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ· εἰ δὲ μή, ἡ ἀπιστία ὑμῶν ἐντεῦθεν γνωρισθῇ. Σαφής.

ΚΑΝΩΝ ϟϛ'.

Τὸ Κομμονιτώριον, ὅπερ ἔλαβον οἱ κατὰ τῶν Δονατιστῶν πρεσβευταί. Κομμονιτώριον τοῖς ἀδελφοῖς, Θεασίῳ καὶ Εὐοδίῳ, τοῖς πεμφθεῖσι πρεσβευταῖς ἐκ τῆς ἐν Καρχηδόνι συνόδου, πρὸς τοὺς ἐνδοξοτάτους καὶ θρησκευτικωτάτους αὐτοκράτορας. ἡνίκα κατὰ τὴν τοῦ κυρίου βοήθειαν τοῖς εὐσεβεστάτοις προσέλθωσι βασιλεῦσι, τούτοις ἐμφανίσωσιν, ποίῳ τρόπῳ πλεία ἡ παρρησία κατὰ τὴν τοῦ ἀνωτέρου ἐνιαυτοῦ σύνοδον οἱ προεστῶτες τῶν Δονατιστῶν τοῖς πολιτικοῖς πεπραγμένοις συνελθεῖν προετράπησαν, ἵνα εἰ ἐθάρρουν τοῦ οἰκείου δόγματος ἀντιλαβέσθαι, ἐπιλεγομένων τινῶν ἱκανῶν ἐκ τοῦ αὐτοῦ ἀριθμοῦ, μεθ' ἡμῶν εἰρηνικῶς ἀμφέβαλλον, καὶ ἡμερότητι Χριστιανικῇ ἀναμφιβόλως εἶχον ἐπιδεῖξαι, εἴ τι ποτ' ἀληθείας μετεῖχον, ὅπως ἐκ τούτου ἡ καθολικὴ εἰλικρινότης, ἡ ἔκπαλαι τοῖς ἀνωτέροις διαλάμψασα χρόνοις, καὶ νῦν ὁμοίως διὰ τῆς ἀπειρίας καὶ μονοτονίας τῶν ἀντιλεγόντων ἐγνωρίζετο. ἀλλ' ἐπειδὴ τὸ μὴ θαρρεῖν συνείχοντο σχεδόν, οὐδὲν ἐτόλμησαν ἀποκρίνασθαι. διό, ἐπειδὴ ἐπισκοπικὴ καὶ εἰρηνικὴ τάξις περὶ τοὺς τοιούτους πεπλήρωται, κἀκεῖνοι τῇ ἀληθείᾳ μὴ δυνηθέντες ἀποκριθῆναι, εἰς ἀτόπους βίας μετεστράφησαν, ὡς πολλοὺς ἐπισκόπους καὶ πολλοὺς κληρικούς, ἵνα τὸ περὶ τῶν λαϊκῶν σιωπήσωμεν, ἐπιβουλαῖς συσχεῖν, καί τισι δὲ ἔτι μὴν ἐκκλησίαις ἐπέβησαν, καὶ ἄλλαις ἐπελθεῖν ὁμοίως ἐπειράθησαν, τῆς αὐτῶν φιλανθρωπίας λοιπόν ἐστι προνοῆσαι, ἵνα ἡ καθολικὴ ἐκκλησία, ἡ αὐτοὺς θρησκευτικῇ Χριστοῦ γεννήσασα γαστρί, καὶ τῇ βεβαιώσει τῆς πίστεως ἐκθρέψασα, τῇ αὐτῶν ἔτι μὴν προνοίᾳ ὀχυρωθῇ· μήποτε προπετεῖς ἄνθρωποι ἐπὶ τῶν εὐσεβῶν αὐτῶν χρόνων φόβῳ τινὶ τῶν ἀσθενῶν λαῶν καταδυναστεύσωσιν. ἐπειδὴ ὑποπείθοντες τούτους, ἀποφαυλίσαι οὐ δύνανται. ἔγνωσται γὰρ καὶ πολλάκις τοῖς νόμοις ἐκβοᾶται τῶν παρασυναγόντων ἡ βδελυκτὴ πληθύς, ποῖα διαπράττεται, ἅ τινα καὶ πολλάκις τοῖς θεσπίσμασιν αὐτῶν τῶν προλεχθέντων εὐσεβεστάτων αὐτοκρατόρων κατεδικάσθησαν. κατὰ οὖν τῆς ἐκείνων μανίας δυνάμεθα συμμαχίας θείας τυχεῖν, οὐκ ἀήθους δέ, οὐδὲ ἀλλοτρίας, ἀλλ' ἀπὸ τῶν ἁγίων γραφῶν· ὁπόταν Παῦλος ὁ ἀπόστολος, ὡς ταῖς ἀληθιναῖς πράξεσι τῶν ἀποστόλων δεδήλωται, τὴν σύμπνοιαν τῶν ἀτάκτων στρατιωτῶν ἀπεκίνησεν βοηθείᾳ. ἡμεῖς τοίνυν τοῦτ' αἰτοῦμεν, ἵνα ταῖς καθολικαῖς τάξεσι τῶν ἐκκλησιῶν, ἀνὰ ἑκάστην πόλιν ἀνὰ διαφόρους τόπους τῶν γειτνιαζουσῶν ἑκάστων κτήσεων, ἀνυπερθέτως παραφυλακὴ παρασχεθῇ. ἅμα καὶ τοῦτο δεῖ αἰτῆσαι, ὥστε τὸν νόμον τὸν ἐκτεθέντα παρὰ τῆς εὐσεβοῦς μνήμης πατρὸς αὐτῶν Θεοδοσίου, τὸν περὶ τῶν δέκα τοῦ χρυσίου λιτρῶν, τὸν κατὰ τῶν χειροτονούντων καὶ χειροτονουμένων αἱρετικῶν φυλάξωσιν, ἔτι μὴν καὶ κατὰ τῶν κτητόρων παρ' οἷς ἡ ἐκείνων εὑρεθῇ συναγωγή· εἶτ' οὕτως βεβαιωθῆναι τὸν τοιοῦτον νόμον κελεύσωσιν, ὡς ἰσχύειν κατὰ τούτων, ὧν διὰ τὰς ἐπιβουλὰς οἱ τῆς καθολικῆς προτραπέντες διὰ μαρτυρίαν ἀπέθεντο· ἵνα κἂν τούτῳ τῷ φόβῳ ἐκ τοῦ ποιεῖν σχίσματα καὶ ἀπὸ τῆς τῶν αἱρετικῶν φαυλότητος παύσωνται, οἱ τῇ κατανοήσει τῆς αἰωνίας κολάσεως καθαρθῆναι καὶ διορθωθῆναι ὑπερτιθέμενοι. κἀκεῖνο ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα τῇ αὐτῶν εὐσεβείᾳ ὁ καὶ μέχρι τοῦ παρόντος νόμος ἐπαναληφθείη, ὁ τὴν εὐχέρειαν τῶν αἱρετικῶν ἀφαιρούμενος, τοῦ εἴτε ἀπὸ χειροτονιῶν, εἴτε ἀπὸ διαθηκῶν τούτους δύνασθαι λαμβάνειν τί ποτε, ἢ καταλιμπάνειν, καὶ ἁπλῶς εἰπεῖν, τοῦ εἴτε καταλιμπάνειν τι, εἴτε

ARIST. *Quæ ad Donatiſtas legenda, hæc ſunt. Veſtrâ gaudere correctione nobis in votis eſt: in mandatis enim accepimus, ut iis etiam qui noſtri eſſe fratres ægre ferunt, dicamus, fratres noſtri eſtis. Vos itaque convenimus, & admonemus, ut, ſi qua cauſa veſtræ defenſiō vobis ſupereſſe videatur, deligatis aliquos, quibus committatur, qui in condicto loco & tempore prodire debeat: Alioquin infidelitas veſtra exinde pateat.* Perſpicuus.

CANON XCVI.

Commonitorium, quod acceperunt Legati contra Donatiſtas. Commonitorium fratribus, Theaſio & Euodio miſſis Legatis à Synodo Carthag. ad clariſſimos & religioſiſſimos Imperatores. Quando Dei auxilio ad religioſiſſimos Imperatores acceſſerint, eis aperiat, quomodo plena libertate in ſuperioris anni Synodō Donatiſtarum Primates ad acta civilia convenire admoniti fuere; ut ſi ſuum dogma tueri confiderent, aliquibus idoneis ex eodem numero electis, nobiſcum pacificè contenderent, & manſuetudine Chriſtiana nobis citra dubitationem oſtenderent, ſi quid veritatis tenerent: Ut ex eo Catholica ſinceritas, quæ jam olim ſuperioribus illuxit temporibus, nunc quoque ſimiliter per contradicentium ignorantiam & pervicaciam cognoſcatur. Sed quia non ſatis fidebant, ferè nihil auſi ſunt reſpondere. Quare quoniam Epiſcopale & pacificum in eos impletum eſt officium, & illi veritati reſpondere non valentes, ad execrandas violentias converſi ſunt, adeo ut multos Epiſcopos & multos Clericos, ut de Laicis taceam, inſidiis appeterint, & præterea etiam aliquas Eccleſias invaſerint, & alias invadere conati ſint: eorum eſt deinceps humanitatis providere, ut Catholica Eccleſia, quæ eos pio in Chriſto utero genuit, & fide confirmatione aluit, eorum quoque providentia muniatur; ne fortè audaces & temerarii homines, in religioſis eorum temporibus, terrore aliquo in bonos populos dominatum obtineant; quoniam eos perſuadentes corrumpere non poſſunt. Cognitum enim eſt, & legibus ſæpe proclamatur, quænam eorum, qui ſeparatam habent congregationem, execranda faciat multitudo, quæ etiam ſæpe prædictorum religioſiſſimorum Imperatorum decretis condemnata ſunt. Adverſus ergo illorum inſanias poſſumus divina auxilia conſequi, non inſueta, nec aliena, ſed à ſanctis ſcripturis: quando Paulus Apoſtolus, ut veris Apoſtolorum Actibus declaratum eſt, inſolentium & factioſorum hominum conſpirationem militari auxilio depulit. Nos ergo hoc petimus, ut univerſalibus Eccleſiarum ordinibus, in unaquaque civitate & in diverſis locis, vicinarum quarumque poſſeſſionum, ſine mora cuſtodia & præſidium præbeatur. Simul hoc quoque petendum eſt, ut legem latam à piæ memoriæ eorum patre Theodoſio, de decem libris auri adverſus hæreticos qui ordinant & ordinantur, ſervent; præterea autem & adverſus poſſeſſores, apud quos illorum inventa fuerit congregatio: deinde ſic eam legem confirmari jubeant, ut adverſus eos valeat, propter quorum inſidias ii, qui Catholicæ Eccleſiæ curam gerebant, per teſtimonium depoſiti ſunt; ut hoc ſaltem terrore à faciendis ſchiſmatibus, & ab hæreticorum improbitate ceſſent, qui æterni ſupplicii contemplatione purgari, & corrigi differunt. Illud præterea petendum eſt, ut eorum pietate lex quæ etiam hucuſque duravit, renovetur, quæque ſive ex donationibus, ſive ex teſtamentis quidquam capiendi vel relinquendi, &, ut ſemel dicam, propria vel relinquere vel capere tollit poteſtatem Hæreticis, qui in propria perſua-

A *perſuaſionis inſania excæcati ſunt, & in Donatiſtarum errore volunt permanere. Eis autem, qui unionis & pacis contemplatione ſeipſos volunt corrigere, ſuprà poſitæ legis apertus ſit ſenſus, ut accipiant hæreditatem; ſi iis adhuc ipſis in hæreticorum errore conſtitutis aliquid ex donatione vel hæreditate obvenit; exceptis ſcilicet illis, qui poſtquam in jus vocati fuerint, exiſtimarunt ſe debere ad Catholicam Eccleſiam tranſire. De iis enim credendum eſt; eos non metu cæleſtis judicii, ſed terrenæ amplitudinis inſatiabili cupiditate, Catholicam unionem deſideraſſe. Adhæc autem omnia, auxilio opus eſt Dynaſtiarum uniuſcujuſque provinciæ.* B *Porro & ſi quid aliud animadverterint Eccleſiaſticæ utilitati conferre, hoc peragendi & perficiendi liberam decernimus legationem. Illud quoque adhæc placuit, ut literæ ex noſtro conventu ad clariſſimos Imperatores & ſupereminentes Poteſtates mittantur, quibus certiores fiant omnium noſtrûm conſenſu ad beatiſſimum comitatum miſſos eſſe à nobis Legatos. Sed quia iiſdem literis ab omnibus ſubſcribi eſt tardiſſimum, uniuſcujuſque noſtrûm ſubſcriptionibus eædem literæ onerentur, petimus, frater Aureli, ut his tua dilectio nomine omnium ſubſcribere dignetur.* C *Et ſubſcripſerunt; Aurelius Epiſcopus Eccleſiæ Carthaginenſis prædicto decreto conſenſi, & lecto ſubſcripſi. Similiter & reliqui ſubſcripſerunt. Literæ præterea ad Magiſtratus mittendæ ſunt, ut donec dominus voluerit Legatos ad nos redire, præſidium per ordines civitatum & poſſeſſores prædiorum univerſalis Eccleſiæ diſtribuant. Præterea adjungere quoque oportet de Equitio ut ejus impudentia & improbitas à diœceſibus extrudatur, quas à curatoribus Hipponenſis Eccleſiæ ſacerdotali jure ſibi vendicat. Porrò literæ quoque ad Epiſcopum Romanæ Eccleſiæ commendatione* D *Legatorum mittendæ ſunt, & ad alios, ubi eſt Imperator. Et ſimiliter ſubſcripſerunt. Aurelius Epiſcopus Carthaginenſis Eccleſiæ præſenti decreto conſenſi, & lecto ſubſcripſi: ſimiliter & reliqui ſubſcripſerunt.*

Bals. In præſenti quoque ſermone, quæ à Patribus adverſus Donatiſtas ſtatuta ſunt, ſunt ſpecialia, & ad Eccleſiarum conſtitutionem non extenduntur. Et ideo nec interpretatione quidem indigent.

E **Zonar.** Cum Donatiſtæ legationem ad ipſos à Synodo miſſam rejeciſſent, conventu inter ſe habito Patres alteram legationem contra ipſos ad Imperatorem Honorium mittendam eſſe cenſuerunt; (Imperabat enim eo tempore Romæ & Occidenti Honorius) atque ut eorum quæ apud Imperatorem agenda forent facilius meminiſſent, omnia ſcriptis conſignata Legatis tradidere, atque id ſcripti genus Commonitorium appellavere. Erant autem mandata ejuſmodi. A nobis, inquiunt, magna animi fiducia ad congreſſum Donatiſtarum Primates vocati, atque ad ſui dogmatis, ſi tantùm ſperarent, propugnationem invitati fuere; ut hoc quoque tempore F Catholicæ veritatis liquidiſſima puritas adverſariorum tum imperitia tum pertinacia magis magiſque innoteſceret ac illuſtraretur. Nam eum congreſſum niſi recuſaſſent, illos ex ſola veri ignoratione ſtultáque obſtinatione opinionibus ſuis pertinaciter inſiſtere facile perſpectum fuiſſet: Verùm quia ſuæ cauſæ haud ſatis fiderent, reſponſum fere nullum dedere. Quoniam igitur omnes Epiſcopalis officii partes ſedato animo atque amico erga eos implevimus; illi vero ad vim atque inſidias importune converſi ſunt: Imperat. benignitatis eſſe arbitramur curare, ut Catholica Eccleſia, quæ ipſos in orthodoxæ veritatis

λαμβάνειν τὰ ἴδια ἀφέληται, τῶν τῇ μανίᾳ τοῦ ἰδίου πείσματος τυφλωθέντων, καὶ ἐν τῇ τῶν Δονατιστῶν πλάνῃ ἐπιμένειν βουλομένων. τοῖς δὲ τῇ κατανοήσει τῆς ἑνότητος καὶ εἰρήνης ἑαυτοὺς διορθῶσαι θέλουσι βουλομένοις ὑποκειμένου τοῦ τοιούτου νόμου ἀνοίγεσθαι ἡ ἀκρόασις τοῦ λαμβάνειν κληρονομίαν· εἰ καὶ ἔτι τούτοις αὐτοῖς ἐν τῇ τῶν αἱρετικῶν πλάνῃ καθεστῶσι περιεγένετό τι ποτε ἀπὸ δωρεᾶς ἢ κληρονομίας, ἐξῃρημένων ἐκείνων δηλαδή, οἵτινες μετὰ τὸ εἰς δίκην ἐναχθῆναι ἐλογίσαντο ὀφείλειν πρὸς τὴν καθολικὴν μετελθεῖν. περὶ γὰρ τῶν τοιούτων πιστευτέον ἐστίν, μὴ τῷ φόβῳ τῆς οὐρανίου κρίσεως, ἀλλὰ τῇ ἀπληστίᾳ τῆς γηΐνης λυσιτελείας, τὴν καθολικὴν ἑνότητα ἐπιποθῆσαι. πρὸς τούτοις δὲ πᾶσι τῆς βοηθείας χρεία ἐστὶ τῶν δυναστειῶν ἑκάστης ἐπαρχίας ἰδίας. καὶ ἄλλο δέ, εἴτι δήποτε κατανοήσωσι τῇ ἐκκλησιαστικῇ χρησιμότητι λυσιτελοῦν, τοῦτο διαπράττεσθαι καὶ διανύειν αὐτεξούσιον ψηφιζόμεθα τοποτηρησίαν. κἀκεῖνο δὲ πρὸς τούτοις ἤρεσεν, ἵνα γράμματα ἐκ τῆς ἡμετέρας συνελεύσεως πρὸς τοὺς ἐνδοξοτάτους βασιλέας καὶ τὰς ὑπερεχούσας ἐξουσίας ἀποσταλῶσι, δι' ὧν πληροφορῶνται, ὡς τῇ συναινέσει πάντων ἡμῶν ἐπὶ τὸ εὐτυχέστατον κομιτάτον τοὺς τοποτηρητὰς παρ' ἡμῶν εἶναι ἀποσταλέντας. ἀλλ' ἐπειδὴ τοῖς αὐτοῖς γράμμασι πάντας ἡμᾶς ὑπογράψαι βραδύτατόν ἐστι, ἵνα μὴ ταῖς ἑκάστου ἡμῶν ὑπογραφαῖς τὰ αὐτὰ γράμματα φορτωθῶσιν, αἰτούμεθα, ἀδελφὲ Αὐρήλιε, ἵνα ἐν τούτοις ἡ σὴ ἀγάπη ὑπογράψαι ἐπ' ὀνόματι πάντων ἡμῶν καταξιώσῃ. καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ παραγνωσθέντι ὑπέγραψα, ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν. γράμματα ἔτι μὴν πρὸς τοὺς ἄρχοντας πέμψαι δεῖ, ἵνα ἕως οὗ ὁ κύριος τοὺς τοποτηρητὰς ὑποστρέψαι πρὸς ἡμᾶς ἀξιώσῃ, παρὰ φυλακὴν ἀνὰ τὰς τῶν πόλεων τάξεις καὶ κτήτορας τῶν χωρίων τῆς καθολικῆς ἐκκλησίας ἐπιμερίσωσιν. ἔτι μὴν δεῖ προστάξαι καὶ περὶ τοῦ Αἰκουτίου, ἵνα ἡ ἀναίδεια αὐτοῦ διωχθείη ἀπὸ τῶν διοικήσεων, ἃς ἐκ τῶν φροντιστῶν τῆς ἐν Ἱππῶνι ἐκκλησίας ἱερατικῶν δικαίων πρὸς ἑαυτὸν διεκδικεῖ. καὶ γράμματα δὲ πρὸς τὸν ἐπίσκοπον τῆς Ῥωμαϊκῆς ἐκκλησίας, περὶ τοῦ παραθέσθαι τοὺς τοποτηρητάς, πεμφθῆναι ὀφείλουσιν, καὶ πρὸς τοὺς ἄλλους δέ, ὅπου ἐστὶν ὁ βασιλεύς. καὶ ὑπέγραψαν ὁμοίως. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνῄνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν.

ΒΑΛΣ. Καὶ τὰ ἐν τῇ παρούσῃ διαλαλιᾷ τυπωθέντα παρὰ τῶν πατέρων διὰ τοὺς Δονατιστὰς ἰδικά εἰσι, καὶ μὴ διακουόμενα εἰς τὴν τῶν ἐκκλησιῶν κατάστασιν. καὶ διὰ τοῦτο οὐδὲ ἑρμηνείας ἐδέησεν ἡμῖν χάριν τούτων.

ΖΩΝΑΡ. Τῶν Δονατιστῶν μὴ δεξαμένων τὴν πρὸς αὐτοὺς τῆς συνόδου πρεσβείαν, οἱ πατέρες ἀθροισθέντες πάλιν πρεσβείαν στεῖλαι κατ' αὐτῶν πρὸς τὸν βασιλέα Ὀνώριον ἐβουλεύσαντο. ἦρχε γὰρ τότε τῆς Ῥώμης καὶ τῶν ἑσπερίων Ὀνώριος. καὶ τοῖς στελλομένοις ἔγγραφον ἐνταλτήριον δεδώκασιν, εἰς ὑπόμνησιν ὧν ἔμελλον πρὸς τὸν βασιλέα εἰπεῖν, ὃ κομμονιτόριον ὠνόμασαν. ἦσαν δὲ τὰ ἐντεταλμένα τοιαῦτα, ὅτι μετὰ παρρησίας ἡμῶν προσκαλεσαμένων τοὺς πρωτεύοντας τῶν Δονατιστῶν συνελθεῖν, καὶ εἰ θαρροῦσιν ἀντιλαβέσθαι τοῦ οἰκείου δόγματος, ὅπως καὶ νῦν ἐγνωρίζετο, ἀντὶ τοῦ καὶ νῦν ἐφανεροῦτο διὰ τῆς ἀπειρίας καὶ μονοτονίας, ἤγουν τῆς ἀμαθείας καὶ αὐτογνώμου ἐνστάσεως τῶν ἀντιλεγόντων, ἡ καθολικὴ εἰλικρινότης, ἡ καθαρότης δηλαδὴ τοῦ τῆς καθολικῆς ἐκκλησίας δόγματος. εἰ γὰρ συνῆλθον, φησιν, ἐγνώσθησαν ἂν ὅτι ἐξ ἀμαθείας καὶ ματαίας ἐνστάσεως ἐνίστανται περὶ ὧν δοξάζουσιν. ἀλλ' ὅτι οὐκ ἐθάρρουν, οὐδὲν σχεδὸν ἀπεκρίθησαν· ἐπεὶ οὖν, ὅσα ἔδει ἡμᾶς ὡς ἐπισκόπους ποιῆσαι, εἰρηνικῶς ἐποιήσαμεν· ἐκεῖνοι δὲ εἰς ἀτόπους βίας μετεστράφησαν καὶ ἐπιβουλάς, τῆς βασιλικῆς φιλανθρωπίας φασὶν εἶναι φροντίσαι, ἵνα ἡ καθολικὴ ἐκκλησία ὀχυρωθῇ, ἡ τούτους γεννήσασα ὀρθοδοξία, καὶ ἐκθρέψασα ἐν τῇ βεβαιώσει τῆς πίστεως, ἤγουν βεβαίαν αὐτοῖς τὴν πίστιν παραδοῦσα, μήποτε δυσσεβεῖς ἄνθρωποι καταδυναστεύσωσι τῶν λαῶν, φόβον αὐτοῖς ἐπάγοντες. πεισθῆναι γὰρ τούτοις οὐ δυνάμενοι ἀποφαυλίσαι, ἀντὶ τοῦ εἰς τὰ φαῦλα καὶ εἰς τὴν ἑαυτῶν κακίαν ἑλκύσαι. οἷα γὰρ οἱ παρασυνάγοντες διαπράττονται, ἔγνωσαν τοῖς νόμοις. αἰτοῦσιν οὖν τυχεῖν συμμαχίας, οὐκ ἀσυνήθους, οὐδὲ ἀλλοτρίας τῶν γραφῶν, ἀλλ' οἵας καὶ ἡ θεία γραφὴ μέμνηται, καὶ τὴν τῶν πράξεων βίβλον προφέρουσι περὶ τοῦ ἁγίου Παύλου λεγόμενον, ὅτι κἀκεῖνος τὴν σύμπνοιαν τῶν ἀτάκτων στρατιωτικῇ βοηθείᾳ διεκρούσατο. σύμπνοιαν δὲ τῶν ἀτάκτων, ἢ τῶν ἐν τῷ ἱερῷ συσχόντων αὐτὸ λέγουσιν, ὅτε ἡγνίσθη, καὶ οἱ ἐξ Ἀσίας Ἰουδαῖοι ἠρέθισαν κατ' ἐκείνου τὸν λαόν, ὅτε μετὰ στρατιωτῶν καταβὰς ὁ χιλίαρχος ἐξήρπασεν αὐτὸν τῶν ζητούντων αὐτὸν ἀποκτεῖναι, ἢ τὴν συστροφὴν τῶν τεσσαράκοντα Ἰουδαίων, οἳ ἀνεθεμάτισαν ἑαυτούς, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως ἂν ἀποκτείνωσι τὸν Παῦλον· καὶ τότε γὰρ ὁ χιλίαρχος μαθὼν τοῦτο διὰ στρατιωτῶν αὐτὸν Καισάρειαν ἔστειλε πρὸς τὸν ἡγεμόνα Φήλικα, ἢ καὶ ἄμφω ταῦτα λέγουσι. ζητοῦσιν οὖν ὁμοίως καὶ οὗτοι τὰς ἐν ταῖς πόλεσιν ἐκκλησίαις, καὶ ταῖς ἐν διαφόροις τόποις, παρασχεθῆναι φυλακήν· φυλάττεσθαι δὲ καὶ τὸν νόμον, τὸν παρὰ τοῦ μεγάλου Θεοδοσίου τεθέντα, ὥστε δέκα χρυσίου λίτρας ζημιοῦσθαι τοὺς χειροτονοῦντας αἱρετικούς, καὶ τοὺς χειροτονουμένους, καὶ τοὺς ὑποδεχομένους αὐτοὺς ἐν κτήσεσιν οἰκείαις, κρατεῖν δὲ αὐτὸν καὶ κατὰ τῶν Δονατιστῶν, ἵνα κἂν διὰ τὸν φόβον τοῦτον τῆς ζημίας παύσωνται ποιεῖν σχίσματα οἱ αἱρετικοί, οἵτινες τῷ φόβῳ τῆς αἰωνίου κολάσεως οὐ διορθοῦνται. αἰτοῦσι δὲ ἀνανεωθῆναι καὶ τὸν νόμον, τὸν θεσπίζοντα τοὺς αἱρετικοὺς μήτε κληρονομίαν λαμβάνειν, μήτε δωρεάν, καὶ κρατεῖν αὐτὸν καὶ κατὰ τῶν Δονατιστῶν. εἰ δέ τινες ἐξ αὐτῶν διορθώσονται, κατὰ τούτων τὸν νόμον χώραν μὴ ἔχειν. εἰ δὲ περὶ κληρονομίας τινὲς τῶν Δονατιστῶν εἰς δικαστήριον ἤδη ἑλκυσθῶσιν, ἐκνικώμενοι ἐξ αὐτῶν ὡς αἱρετικῶν κληρονομίας, ἢ ληγάτου, ἢ τινὸς κέρδους περιελθόντος αὐτοῖς, καὶ μετὰ τὸ ἐναχθῆναι προσέλθωσι τῇ καθολικῇ ἐκκλησίᾳ, οὗτοι, φασίν, οὐ πιστεύονται, ὅτι καταγνόντες τῆς αἱρέσεως αὐτῶν προσέρχονται, ἀλλὰ διὰ τὸ μὴ ζημιωθῆναι τὰ χρήματα· οὐδὲν οὖν ἐκ τοῦ προσιέναι κερδαίνουσι. χρεία δέ, φασί, βοηθείας καὶ ἐκ τῶν δυναστῶν ἑκάστης ἐπαρχίας, ἤγουν τὸ βοηθεῖν ταῖς ἐκκλησίαις τοὺς ἑκάστης ἐπαρχίας ἄρχοντας. οὗτοι γάρ εἰσιν οἱ δυνάσται τῶν ἐπαρχιῶν. ἐκχωρουμένην δέ, φασί, τοῖς στελλομένοις αὐτεξουσίαν τοποτηρησίαν, ὥστε καὶ ἄλλο εἴ τι νοήσωσιν ἀναγκαῖον ταῖς ἐκκλησίαις, τοῦτο αἰτεῖν. ἔδοξε δὲ τῇ συνόδῳ γράμματα γενέσθαι πρὸς τὸν βασιλέα, καὶ πρὸς τοὺς ἄρχοντας, ὥστε γνῶναι αὐτούς, ὅτι συναινέσει τῶν τῆς συνόδου πατέρων ἐστάλησαν οἱ τοποτηρηταὶ εἰς τὸ κομιτάτον, ἤγουν εἰς τὸ παλάτιον. θρησκευτικωτάτους δὲ τοὺς βασιλεῖς ἐκάλεσεν, ἤτοι πιστοτάτους καὶ Χριστιανικωτάτους, ὡς τῆς θρησκείας τῶν Χριστιανῶν ἀντιποιουμένους. εἰς ἀνακοπὴν τῆς βίας καὶ ἀταξίας τῶν Δονατιστῶν γράψαι δέον τοῖς ἄρχουσι τῶν χωρῶν ἐκείνων ἔκριναν, ἵνα παρ' αὐτῶν φυλάσσωνται αἱ ἐκκλησίαι, καὶ οἱ ἔχοντες τὰ χωρία, ἤγουν ὅσοι τῆς καθολικῆς ἐκκλησίας εἰσί· καὶ περὶ τοῦ Αἰκυτίου, ἵνα ἐκδιωχθῇ, καὶ μή τι ὡς ἱερεὺς ἐκδικῇ. καὶ πρὸς τὸν Ῥώμης γράψαι τετύπωται, περὶ τοῦ παραθέσθαι τοὺς τοποτηρητάς, ἤγουν συστῆσαι καὶ γνωρίσαι τῷ βασιλεῖ, καὶ πρὸς τοὺς ἄλλους ἐπισκόπους τῶν χωρῶν, ἐν αἷς ἐνεδήμει τότε ὁ βασιλεύς.

A gremio genuit, atque in fide bene firmatos educavit, à qua illi videlicet firma ac ſtabili fide imbuti ſunt, per eoſdem munita ſit atque defenſa; ne forte nefarii homines, quos rationum momentis ad prava plenáque improbitatis ipſorum inſtituta ſuadendo traducere non potuerunt, eos terrore ac periculi denuntiatione opprimant. Quæ enim facinora iſti conventiculorum coactores edant, ne ipſæ quidem leges ignoravêre. Auxilio igitur, neque inſueto, neque ab iis, quorum ſacræ literæ meminêre, alieno juvari ſe poſtulant; librúmque actorum Apoſtolicorum producunt, in quo ſe improborum conſpirationem præſidio militum Divus Paulus depuliſſe teſta- B tur. Conſpirationem vero improborum, aut eam intelligunt, cum ei in templo, quod expiatus intraverat, Aſiani Judæi manus injecerunt, multitudinémque in eum concitaverunt; quo quidem tempore cum militibus decurrens tribunus, illum de manibus eorum, qui necem afferre conabantur, eripuit: Aut illam quadraginta Judæorum collectionem, qui ſe diris omnibus devovêre, ſi prius cibi aliquid aut potionis deguſtaſſent, quàm Paulum è medio ſuſtuliſſent; Nam ea re cognita tribunus, tunc quoque militum præſidio ſeptum, Cæſaream ad Fœlicem præfectum miſit: Aut utramque ſimul ſignificare voluerunt. Eadem igitur ratione Synodi Patres Eccleſias, in urbibus aliiſque pluribus locis C conſtitutas, præſidio militum cuſtodiri volunt: Legem præterea à magno quoque Theodoſio conditam, ut qui hæreticis ordines contulerint, quique eos ſuſceperint, & qui illos exceperint hoſpitio, decem auri libris mulctentur, ſervari, & contra Donatiſtas etiam valere poſtulant; ut vel hoc pœnæ metu hæretici à ſchiſmate faciendo deterreantur, qui æterni ſupplicii terrore minime coercentur. Legem quoque renovari, qua nec hæreditatem cernere, nec donationem adire; hæretici permittuntur; utque contra Donatiſtas quoque ſuum robur obtineat, petunt. Si qui tamen ex iis reſipiſcant, ejus legis pœ- D nis minime ſint obnoxii. At ſi Donatiſtarum aliqui de hæreditate in judicium vocati, ea hæreditate aut Legato aut alio ad ipſos ſpectante emolumento hæreſeos nomine privati fuerint, tum vero tranſacta re ſe Eccleſiæ Catholicæ rurſus adjunxerint; ii, inquiunt, non hæreſeos odio, ſed detrimenti vitandi cauſa adducti, id concilii cepiſſe exiſtimabuntur; nec proinde quidquam acceſſio illa homines adjuvabit. Ad hæc in unaquaque provincia auxilio Magiſtratus(hi namque ſunt provinciæ dynaſtæ)Eccleſiis opus eſſe denuntiant. Legatis porro,inquiunt,ſi quid aliud Eccleſiaſticæ utilitati opportunum fore intellexerint,poſtulandi liberam facultatem damus.Placuit præterea Syn. E literas ad Imper. ac regni proceres conſcribi, quibus conſenſu Patrum Legatos ad comitatum,hoc eſt,ad palatium miſſos eſſe docerentur. Religioſiſſimos autem Imper.hoc eſt,Chriſtianæ fidei nominique apprime addictos,ac religionis Chriſtianæ vel maxime retinentes,appellavêre. Ad compeſcendos Donatiſtarum furores & inſanias, Præfectis earum provinciarum mittendas eſſe literas decreverunt,ut Eccleſias,eóſque qui prædia poſſidebant,ſi illi nimirum inter Catholicos cenſerentur,ipſi defenderent: De Equitio quoq; ut extrudatur, nec ullam ſacerdotalis muneris partem omnino attingat. Mittendas etiam literas ad Romanum Epiſc. ut Legatos Imper. ſiſtat, hoc eſt, commendet atque conciliet; Ac in eandem ſententiam ad ea- F tum regionum Epiſcopos, in quibus tunc temporis Imperator diverſaretur, ſcribendum eſſe ſtatuerunt.

ΑΡΙΣΤ. Οἱ γεννηθέντες εὐσεβείᾳ, καὶ πίστει τραφέντες βασιλεῖς, χεῖρα παρέχειν ταῖς ἐκκλησίαις ὀφείλουσιν, ἐπεὶ καὶ Παύλου δεομένου στρατιωτικῆς χειρός, τὴν τῶν ἀτάκτων διέλυσε σύμπνοιαν.

ARIST. *Qui in verâ religione nati, & in fide educati fuerunt Imperatores, manum auxiliatricem Eccleſiis exhibere debent: Quoniam & Paulo militaris manus indigente, hæc inſolentium conſpirationem diſſolvit.*

Τῆς τῶν εὐσεβῶν βασιλέων συμμαχίας καὶ βοηθείας αἱ ἐκκλησίαι ἀεὶ προσδέονται· καὶ ὀφείλουσιν ταύτην παρέχειν αὐταῖς ὡς τῆς πίστεως ὄντες πρόμαχοι· ἵνα μὴ παρὰ τῶν αἱρετικῶν

Piorum Imperatorum auxilio & adjumento ſemper indigent Eccleſiæ: & debent illud iis præbere, utpote qui fidei ſunt propugnatores; Ne ab hæreticis aut immorigeris deſpectui habentur. Etenim ipſe quoque Paulus inſolentium hominum conſpirationem militari auxilio diſcuſſit.

ACTIO SEXTA.

Quæ in hac Synodo definita ſunt brevis adjectio declarat. Sub Stelicone rurſus & Anthemio, clariſſimis Conſulibus ad x. Cal. Septemb. Carthagine, in Eccleſia ſecundi climatis. Acta præſentis Synodi propterea integrè ſcripta non ſunt, quoniam magis quæ erant pro tempore neceſſaria, quàm ulla generalia, conſtituta ſunt; propter quæ brevis compoſitio eorum, quæ in hac Synodo ſtudioſè acta ſunt, expreſſa eſt.

CANON XCVII.

Breviculum capitum. Ut libera legatio ex omnibus provinciis ad Synodum mittatur in Mizonium. Legati quoque literas mittere juſſi ſunt, quòd debeant emittere liberam legationem: ut quia Carthagine ſolùm unio facta eſt, literæ mittantur ad Magiſtratus, ut in aliis quoque provinciis & civitatibus ipſi Magiſtratus jubeant ſtudium adhiberi unioni; ut gratiarum actiones ab Eccleſia Carthaginenſi pro tota Africa de ejectis Donatiſtis cum literis Epiſcoporum in comitatum mittantur. Recitatæ ſunt literæ Innocentii Papæ, ut Epiſcopi ad tranſmarina pergere facilè non debeant; Quod ipſum Epiſcoporum ſententiis confirmatur: ut propter gratiarum actionem ob excluſos Donatiſtas duo Clerici Eccleſiæ Carthaginenſis ad comitatum mittantur.

In hac Synodo quædam ex iis, quæ ſuperiùs decreta ſunt, corriguntur, ſub clariſſimis Imperatoribus, Honorio ſeptimum, & Theodoſio ſecundum, Auguſtis Conſulibus, rurſus Idibus Juliis Carthagine in Eccleſia Secundi climatis, Aurelio Epiſcopo ſimul cum ſuis Coëpiſcopis præſidente, adſiſtentibus Diaconis: Quia olim ſtatutum eſt in Hipponenſi Synodo, ut ſingulis annis plena cogatur Synodus Africæ, non ſolum hîc Carthagine, ſed & in diverſis provinciis, proprio ipſarum ordine, & hoc ſervatum eſt; ut nos quidem aliquando eam in Numidiam indiceremus, aliquando autem in Byzacium, hoc omnibus fratribus laborioſum viſum eſt.

BALS. & ZONAR. Breve ſeu breviculum dicitur compendioſa ſcriptura. Nam brevio Latinis idem eſt, quod ſcindo, & brevitas, idem quod Compendium. Quæ autem in Canone ſequuntur, ut quæ non ſunt utilia, ne interpretatione quidem digna viſa ſunt.

CANON XCVIII.

Concilium commune & integrum, non niſi urgente neceſſitate faciendum eſſe. Placuit non eſſe ultra neceſſe fratres ſingulis annis conteri; ſed quoties communis uſus exegerit, id eſt, totius Africæ, undique datis literis ad hanc Cathedram, debere Synodum fieri in ea provincia, in qua uſus & commoditas impulerit: cauſæ autem, quæ non fuerint communes, in propriis provinciis judicentur.

BALS. Cùm diverſi Canones ſtatuant quotannis fieri oportere Synodos, præſens Canon non eſſe neceſſe ſtatuit iis, qui ſunt ſub Africæ Synodo annuatim

ἢ τῶν ἀτάκτων καταφρονοῦνται. καὶ γὰρ καὶ ὁ Παῦλος τὴν τῶν ἀτάκτων σύμπνοιαν στρατιωτικῇ βοηθείᾳ διέλυσε.

Πρᾶξις ἕκτη.

Εν ταύτῃ τῇ συνόδῳ τὰ ὁρισθέντα ἡ βραχεία σαφηνίζει πρόσθεσις. ἐπὶ Σπελίχωνος πάλιν καὶ Ἀνθεμίου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ δεκάτῃ καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος. τὰ πεπραγμένα τῆς παρούσης συνόδου διὰ τοῦτο ἐξ ὁλοκλήρου οὐκ ἐγράφησαν, ἐπειδὴ μᾶλλον τὰ κατὰ τὸν καιρὸν ἀναγκαῖα ἤπερ τινα γενικὰ ὡρίσθησαν, δι᾽ ὧν βραχεία σύνθεσις τῶν σπουδασμάτων τῆς αὐτῆς συνόδου διετυπώθη.

ΚΑΝΩΝ ϟζʹ.

Τὸ βρέβιον τῶν κεφαλαίων. ἵνα ἐλευθέρα τοποτηρησία ἐκ πασῶν τῶν ἐπαρχιῶν εἰς τὴν σύνοδον ἀποσταλῇ πρὸς Μιζόνιον. τοποτηρηταὶ καὶ γράμματα ἀποστεῖλαι παρηγγέλθησαν, διὰ τὸ ὀφείλειν ἐλευθέραν ἐκπέμψαι τοποτηρησίαν· ἵνα ἐπειδὴ ἐν Καρχηδόνι μόνον ἕνωσις ἐγένετο, πεμφθῶσι γράμματα πρὸς τοὺς ἄρχοντας, ὅπως καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις καὶ πόλεσιν οἱ αὐτοὶ ἄρχοντες σπουδὴν ἐπιχορηγηθῆναι κελεύσωσι τῇ ἑνότητι, ἵνα εὐχαριστίαι ἀπὸ τῆς ἐν Καρχηδόνι ἐκκλησίας ὑπὲρ πάσης τῆς Ἀφρικῆς περὶ τοῦ ἀπελαθῆναι τοὺς Δονατιστὰς μετὰ γραμμάτων τῶν ἐπισκόπων ἐπὶ τὸ κομιτάτον πεμφθῶσιν. γράμματα ἀνεγνώσθησαν Ἰννοκεντίου τοῦ πάπα, ἵνα οἱ ἐπίσκοποι ὡς ἔτυχε πρὸς τὰ περαματικὰ ἀπιέναι μὴ δύνωνται· ὅπερ τοῦτο αὐτὸ ταῖς γνώμαις τῶν ἐπισκόπων βεβαιοῦται· ἵνα διὰ τὴν εὐχαριστίαν περὶ τοῦ διωχθῆναι τοὺς Δονατιστὰς δύο κληρικοὶ τῆς ἐν Καρχηδόνι ἐκκλησίας ἐπὶ τὸ κομιτάτον πεμφθῶσιν.

Εν ταύτῃ τῇ συνόδῳ τινὰ ἐκ τῶν ἀνωτέρω ὁρισθέντων διορθοῦνται. ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ δεύτερον, αὐγούστων ὑπάτων, πάλιν εἴδοις Ἰουλίαις ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ δευτέρου κλίματος, Αὐρηλίου ἐπισκόπου ἅμα τοῖς συνεπισκόποις αὐτοῦ προκαθημένου, παρεστώτων τῶν διακόνων. ἐπειδὴ πάλαι ὡρίσθη εἰς τὴν ἐν Ἱππῶνι σύνοδον, ὥστε καθ᾽ ἕκαστον ἐνιαυτὸν πλήρη συνάγεσθαι σύνοδον τῆς Ἀφρικῆς, μὴ μόνον ἐνταῦθα ἐν Καρχηδόνι, ἀλλὰ καὶ ἀνὰ τὰς διαφόρους ἐπαρχίας τῇ ἰδίᾳ αὐτῶν τάξει καὶ τοῦτο ἐφυλάχθη, ὥστε μηνύειν ἡμᾶς ποτὲ μὲν εἰς τὴν Νουμηδίαν, ποτὲ δὲ εἰς τὸ Βυζάκιον, καὶ τοῦτο ἐπίπονον πᾶσι τοῖς ἀδελφοῖς ἔδοξε.

ΒΑΛΣ. καὶ ΖΩΝ. Βρέβιον λέγεται ἡ κατ᾽ ἐπιτομὴν σύντομος γραφή. βρεβίω γὰρ κατὰ Λατίνους τὸ τέμνω, καὶ βρεβίτα ἡ συντομία. τὰ δὲ ἑξῆς τοῦ κανόνος, ὡς μὴ χρησιμεύοντα, οὐδὲ ἑρμηνείας ἠξιώθησαν.

ΚΑΝΩΝ ϟηʹ.

Σύνοδον μὴ γίνεσθαι κοινήν τε καὶ ὁλοτελῆ, εἰ μὴ ἐξ ἀνάγκης. ἤρεσεν, ὥστε μὴ εἶναι περαιτέρω ἐνιαυσίαν ἀνάγκην τοῦ συντρίβεσθαι τοὺς ἀδελφούς· ἀλλ᾽ ὁσάκις ἂν κοινὴ χρεία καλέσοι, τοῦτ᾽ ἔστι πάσης τῆς Ἀφρικῆς, γραμμάτων διδομένων ὁθενδήποτε πρὸς ταύτην τὴν καθέδραν, σύνοδον ὀφείλειν γίνεσθαι ἐν ταύτῃ τῇ ἐπαρχίᾳ, ἔνθα ἡ χρεία καὶ ἐπιτηδειότης συνωθήσῃ. αἱ δὲ αἰτίαι αἱ μὴ οὖσαι κοιναί, ἐν ταῖς ἰδίαις ἐπαρχίαις κρινέσθωσιν.

ΒΑΛΣ. Διαφόρων κανόνων διοριζομένων ἐτησίως γίνεσθαι συνόδους, ὁ παρὼν κανὼν παρακελεύεται μὴ πρὸς ἀνάγκης εἶναι τοὺς ὑπὸ τὴν σύνοδον τῆς Ἀφρικῆς ἐτησίως συνέρχεσθαι ἐν Καρχηδόνι, ἀλλ' ὅτε χρεία κοινὴ καλέσῃ, γράμμασι καλουμένων τῶν ἐπισκόπων, ἵνα μὴ συντρίβωνται οἱ ἀδελφοί. ὥσπερ δέ τινος εἰπόντος, καὶ παρὰ τίνων λυθήσονται αἱ ἀνακύπτουσαι ἐκκλησιαστικαὶ ζητήσεις; φησὶν, ὡς εἰ μὲν κοιναί εἰσιν αὗται, δογματικαὶ δηλονότι, διὰ γραμμάτων κληθήσονται οἱ ἐπίσκοποι, καὶ συνόδου γινομένης λυθήσεται τὸ ἀμφίβολον· αἱ δὲ μὴ τοιαῦται, ἀλλ' ἰδικαὶ, τυχὸν μέσον κληρικῶν ἢ καὶ ἐπισκόπων ἀναφυεῖσαι, ἐν ἑκάστῃ ἐπαρχίᾳ ζητηθήσονται. ὥστε σημείωσαι, ὅτι ἐπαρχιῶται ὀφείλουσιν οἱ ἐπίσκοποι παρὰ τῷ πρώτῳ αὐτῶν συνέρχεσθαι ὁσάκις κληθῶσιν. ἀνάγνωθι καὶ τὸν ὄγδοον κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Ἔδοξε μὴ κατ' ἐνιαυτὸν γίνεσθαι τὴν τῶν ἐπισκόπων σύνοδον ἐν Καρχηδόνι, ἵνα μὴ συντρίβωνται, φασιν, οἱ ἀδελφοί· ἀλλ' ὅτε χρεία κοινὴ καλέσῃ, γράμμασι καλουμένων τῶν ἐπισκόπων. τὰς δὲ μὴ οὔσας κοινὰς αἰτίας, ἐν ἐπαρχίᾳ ἑκάστῃ ζητεῖσθαι.

ΑΡΙΣΤ. Ἔδοξε γράμματα πεμφθῆναι πρὸς τοὺς ἄρχοντας, ὅπως σπουδὴν ἐπιχορηγήσωσιν, ἀπελαθῆναι τοὺς Δονατιστάς. κοινῆς χρείας καλούσης, γράμματα πρὸς τὴν αὐθεντικὴν πεμπέσθω καθέδραν, καὶ σύνοδος γινέσθω, ἔνθα εὔθετον· αἱ δὲ μὴ κοιναὶ αἰτίαι ἐν ταῖς ἰδίαις ἐπαρχίαις κρινέσθωσαν.

Τὸ μὲν ἐν ἑκάστῃ ἐπαρχίᾳ σύνοδον κατ' ἔτος τῶν ἐπισκόπων αὐτῆς γίνεσθαι, καὶ τὰς παρεμπιπτούσας ἐν αὐταῖς ἰδικῶς ἐκκλησιαστικὰς ἀμφιβολίας κανονικῶς ζητεῖν τε καὶ λύειν, καὶ ἡ σύνοδος αὕτη προστάττει· τὸ δὲ, πασῶν τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς τοὺς ἐπισκόπους συνέρχεσθαι ἔν τινι τόπῳ, καὶ κοινὴν ποιεῖν σύνοδον, εἰ μὴ κοιναί εἰσιν αἱ αἰτίαι δι' ἃς ὀφείλουσι συνελθεῖν, ἄλλως γίνεσθαι οὐ συγχωρεῖ. ὁπηνίκα δέ τις κοινὴ αἰτία κοινὴν ἀπαιτῇ γίνεσθαι σύνοδον, πρὸς τὸν τὴν πρώτην καθέδραν ἔχοντα ἐπίσκοπον ὀφείλουσι παρὰ τῶν ἐπισκόπων πέμπεσθαι γράμματα, καὶ ἔνθα ἂν ἐκεῖνος κρίνῃ ἐπιτήδειον εἶναι συνελθεῖν, ἐκεῖσε καὶ συναχθήσονται.

ΚΑΝΩΝ ϟθʹ.

Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἴη ἐκκαλέσασθαι. ἐὰν δὲ γένηται ἔκκλητος, καὶ ἐπιλέξηται ὁ ἐκκαλεσάμενος δικαστὰς, καὶ μετ' αὐτοῦ κἀκεῖνος καθ' οὗ ἐξεκαλέσατο, τοῦ λοιποῦ ἀπὸ τούτων μηδενὶ ἐξέστω ἐκκαλεῖσθαι. περὶ τοποτηρησιῶν διαφόρων ἐπαρχιῶν. ὑφ' ἓν τοποτηρησίαι διαφόρων ἐπαρχιῶν ἐμφανισθεῖσαι χαριέντως προσεδέχθησαν· τοῦτ' ἔστι τῶν Νουμηδιῶν, τῶν Βυζακηνῶν, τῶν Μαύρων Σιτιφενσιῶν, ὁμοίως δὲ καὶ Καισαρειδινῶν, ἀλλὰ καὶ τῶν ἀπὸ Τριπόλεως. περὶ ἐκβιβαστῶν τῆς ἐκκλησίας. ἤρεσεν πρὸς τούτοις, ὥστε ἐκβιβαστὰς ἐν πᾶσι τοῖς τῆς ἐκκλησίας χρειώδεσι πέντε ἐπιλεγῆναι αἰτηθῆναι, οἵτινες ἐν ταῖς διαφόροις ἐπιμερισθήσονται ἐπαρχίαις.

ΒΑΛΣ. Τὰ μὲν ἄλλα τοῦ παρόντος κανόνος εἰσὶν ἀλυσιτελῆ. ὃ δὲ φησὶ περὶ αἱρετικῶν δικαστῶν, τοιοῦτόν ἐστιν· αἱρετικοί εἰσιν, οἳ καὶ αἱρετοὶ δικασταὶ λέγονται, οἱ κατὰ θέλησιν δικάζοντες τῶν δικαζομένων. φησὶν οὖν ὁ κανὼν, ὅτι ἐὰν κριθῇ τις, καὶ ἐκκαλεσάμενος ἕληται παρὰ τῷ δέ τινι τῷ ἐπισκόπῳ τὰ τῆς ἐκκλήτου γυμνάσαι, καὶ οὐδὲ ὁ ἀντίδικος πρὸς τοῦτο ἀντιπέσῃ, οὐδενὶ τούτων τοῦ λοιποῦ ἐξέσται ἐκκαλεῖσθαι κατὰ τῆς ἀποφάσεως τοῦ δικαστοῦ, ὃν ἄμφω οἱ ἀντίδικοι ἡρετίσαντο. καὶ ὁ μὲν κανὼν ἐν τούτοις, ἀκολούθως τοῖς πολιτικοῖς νόμοις τοῖς κειμένοις ἐν τῷ δευτέρῳ τίτλῳ τοῦ ζʹ. βιβ. τῶν βασιλικῶν, καὶ διοριζομένοις, κατὰ τῆς ψήφου τῶν αἱρετῶν δικαστῶν ἔκκλητον μὴ δίδοσθαι. μὴ εἴπῃς δὲ τοὺς τοιούτους αἱρετοὺς δικαστὰς καθίστασθαι μετὰ δόσεως προστίμου κατὰ τὴν φύσιν τῶν αἱρετῶν δικαστῶν. εἰ δέ τις

A Carthaginem convenire; ſed tum demum, quando uſus communis exegerit, Epiſcopis per literas accerſitis, ne conterantur fratres. Tanquam autem dixiſſet quiſpiam; A quibus autem ſolventur quæ emergunt Eccleſiaſticæ quæſtiones? dicit, Quòd ſi hæ ſint quidem communes, ſcilicet dogmaticæ, Epiſcopi per literas accerſentur & facta Synodo ſolvetur dubium: Sin autem non ſint ejuſmodi, ſed ſpeciales ſeu privatæ, ut quæ ſunt fortaſſis exortæ inter Clericos & Epiſcopos, de iis in unaquaque provincia quæretur. Quare nota, quòd provinciales quidem Epiſcopi neceſſe habent ad ſuum Primatem convenire, quoties accerſiti fuerint. Lege viii. Canon Syn. in Trullo, & quæ in eo ſunt.

B

Zonar. Synodum Epiſcoporum Carthagine quotannis haberi minime placuit, ne fratres, inquiunt, conterantur; ſed cum id communis utilitas poſtulaverit, tum demum per literas Epiſcopi advocentur: quæ autem non ſunt cauſæ communes in unaquaque provincia ſeorſim examinentur.

Arist. *Literas ad Magiſtratus mitti viſum eſt, ut ſtudium adhibeant, ut Donatiſtæ expellantur. Communi urgente neceſſitate, ad principalem Sedem literæ mittantur, & Synodus celebretur in loco convenienti. Cauſæ autem ordinariæ in propriis provinciis dijudicentur.* C

In ſingulâ quidem provinciâ Synodum Epiſcoporum illius quotannis celebrari; & controverſias proprie Eccleſiaſticas in iis incidentes Canonicè quærere pariter ac ſolvere, & hæc etiam Synodus jubet. Omnium autem Africæ provinciarum Epiſcopos in aliquo loco convenire & communem facere Synodum, niſi communes ſint cauſæ propter quas convenire debent, aliter fieri non permittit. Quando autem cauſa aliqua communis communem requirit celebrari Synodum, ad Epiſcopum, qui primam tenet Cathedram, literæ ab Epiſcopis mitti D debent, ut ubi ille idoneum judicaverit convenire, ibi congregabuntur.

Canon XCIX.

Ne ab electitiis Judicibus appellare liceat. Si autem emiſſa ſit appellatio, & qui appellavit Judices elegerit, & cum illo is quoque, adverſus quem appellavit, ab his deinceps nulli appellare liceat. De diverſarum provinciarum Legationibus. Diverſarum provinciarum Legationes ſimul repreſentatæ lubenter admiſſæ ſunt, E *hoc eſt, Numidiarum, Byzacenorum, Maurorum Sitifenſium; Similiter autem & Cæſarianorum, & etiam Tripolitanorum. De Exactoribus Eccleſiæ. Placuit præterea, ut Exactores in omnibus, quæ fuerint Eccleſiæ neceſſaria, quinque eligi petantur, qui in diverſis provinciis dividantur.*

Bals. Alia quidem præſentis Canonis ſunt inutilia: quod autem dicit de electitiis Judicibus, eſt ejuſmodi. Electitii ſunt Judices, qui etiam electi dicuntur, qui ex litigantium voluntate judicant. Dicit ergo Canon, F quòd ſi quis fuerit judicatus, & cùm appellaverit, voluerit ab hoc, quiſquis is ſit, Epiſcopo de ſua appellatione cognoſci, & nec adverſarius ei contradixerit, nulli eorum deinceps licebit appellare adverſus ſententiam Judicis, quem uterque adverſarius elegit. Ac in his quidem conſiſtit Canon, legibus civilibus convenienter, quæ ſitæ ſunt in ii. tit. vii. lib. Baſilic. & quæ ſtatuunt adverſus electitiorum Judicum ſententiam non dari appellationem. Ne dixeris autem hos electitios Judices conſtitui cum datione pœnæ inſtar arbitrorum. Si quis autem dixerit, quòd niſi pœnæ ſtipulatio interceſſerit, condemnatus citra ullum præjudicium ſententiæ non parebit, audiet, quòd ſi quis eum, qui juriſdictionem non habet, elegerit, nec pœnam promiſerit, ſi non ſtet ejus ſententiæ, ſine ullo præjudicio poterit ejus ſententiam pro nihilo ducere: qui autem Judicem elegit, ab ejus ſententia appellare non poteſt; ſicut id ex præſenti Canone oſtenditur. Hæc autem, ut mihi quidem videtur, ſervabuntur in cauſis Eccleſiaſticis, ut vult hic Canon. Lex enim civilis permittit ei, qui Judicem petiverit, vel aliquo alio modo elegerit, habentem juriſdictionem, à ſententia ejus appellare.

A εἴπῃ, ὡς προστίμου μὴ ἐπερωτηθέντος, ἀκινδύνως ὁ καταδικασθεὶς οὐ πειθαρχήσει τῇ ψήφῳ, ἀκούσεται, ὅτι τὸν μὴ ἔχοντα δικαιοδοσίαν ἐὰν αἱρετίσηταί τις, καὶ πρόστιμον οὐκ ἐπερωτηθῇ, μὴ ἐμμένων τῇ ψήφῳ αὐτοῦ, ἀποκριματίστως ἀθετήσει τὴν κατ' αὐτοῦ ἀπόφασιν· ἐπιλεξάμενος δὲ δικαστὴν ἐκκαλέσασθαι κατὰ τῆς ψήφου αὐτοῦ οὐ δύναται, καθὼς τοῦτο παρίσταται καὶ ἀπὸ τοῦ παρόντος κανόνος. ταῦτα δὲ κρατήσουσιν, ὡς ἐμοὶ δοκεῖ, καὶ εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις, κατὰ τὸν παρόντα κανόνα. ὁ γὰρ πολιτικὸς νόμος συγχωρεῖ τῷ ζητήσαντι δικαστὴν, ἢ καὶ ἄλλως πως ἐπιλεξαμένῳ, πλὴν ἔχοντα δικαιοδοσίαν, ἐκκαλεῖσθαι κατὰ τῆς ψήφου αὐτοῦ.

B

Zonar. Ab arbitris civilium quoque legum decreto nulla datur provocatio. Idem ergo hic quoque Canon ſtatuit. Nam ſi quis, inquit, ab uno judice damnatus ad alterum provocaverit, eumque judicem, illo contra quem provocavit, adverſario nimirum ſuo, conſentiente, elegerit; neutri amplius ab ejus ſententia, quem uterque Judicem delegerit, licebit provocare. In illud, de diverſarum provinciarum Legatis. Legatos, quos Synodo affuturos ſperaverant, jam omnes ſimul advenientes, magna lætitiæ ſignificatione Synodi Patres excepêre. [In illud, de Exactoribus Eccleſiæ.] [Hæc quoque ad communem utilitatem mimine pertinent.]

ΖΩΝΑΡ. Κατὰ αἱρετῶν δικαστῶν καὶ τοῖς πολιτικοῖς νόμοις οὐ δίδοται ἔκκλητος. τοῦτο οὖν καὶ ὁ παρὼν κανὼν λέγει. ἐὰν γὰρ κριθῇ τίς, φησι, καὶ ἐκκαλεσάμενος ἕληται δικαστήριον ἐκκλητάριον, καὶ μετ' αὐτοῦ κἀκεῖνος ἕληται τοῦτον, καθ' οὗ ἐξεκαλέσατο, ἤγουν ὁ ἀντίδικος αὐτοῦ, οὐδενὶ τούτων τοῦ λοιποῦ ἔξεστιν ἐκκαλέσασθαι κατὰ τῆς ψήφου τοῦ δικαστοῦ, ὃν ἄμφω οἱ ἀντίδικοι ᾑρετήσαντο. Οὓς ἤλπιζον ἐλθεῖν εἰς τὴν σύνοδον τοποτηρητὰς, ὑφ' ἓν ἤγουν ὁμοῦ ἐλθόντας μετὰ χαρᾶς προσεδέξαντο οἱ τῆς συνόδου. Καὶ ταῦτα οὐκ εἰς κοινὴν οἰκονομίαν ὁρῶσιν.

C

Arist. *Uno litigantium appellante, ſi ambo electitium judicem elegerint, ne amplius appellent.*

Lex quidem civilis ſic ſentit de judicibus electitiis, ut non aliter electitium conſtituatur judicium, niſi prius quiſque litigantium pœnæ ſtipulationem proponat, quòd quicunque ex iis ſententiâ judicis ab ipſis electi non acquieſcit, pœnam illam alteri perſolvat, qui judicium admittit. Non enim coguntur ſententiam illius recipere; ſed illud apud eos ponitur. Propterea nec appellatio contra ejus ſententiam locum habet, quia & ſine appellatione ille, cui diſplicet, pœnam tantum perſolvens ab eâ poteſt recedere. Lex autem & illud dicit, quòd judex, qui in partes juriſdictionem habet, & per propriam auctoritatem eos judicare poteſt, judex Electitius non fiat. Canones autem non ita de judicibus electitiis ſtatuunt; ſed mandant, quod ſi litigantes Epiſcopi vel Clerici aliquos Epiſcoporum elegerint judices electitios, & ab eis judicari voluerint, condemnatus non amplius admittetur contra eorum provocare ſententiam; ſed ei etiam invitus acquieſcet. Cauſa autem, ut nobis quidem videtur propter quam contra judicium eorum appellare non permittitur, in decimo quinto Synodi præſentis Canone à nobis ſcribitur.

ΑΡΙΣΤ. Ἑνὸς τῶν ἀντικρινομένων ἐκκαλεσαμένου, ἂν ἄμφω αἱρετὸν ἐπιλέξονται δικαστὴν, μηκέτι ἐκκαλείσθωσαν.

Ὁ μὲν πολιτικὸς νόμος οὕτω φρονεῖ περὶ τῶν αἱρετῶν δικαστῶν, ὥστε μὴ ἄλλως αἱρετὸν συνίστασθαι δικαστήριον, εἰ μὴ πρότερον ἕκαστος τῶν κρινομένων πρόστιμον ἐπερωτηθῇ, ὡς οἷος ἂν ἐξ αὐτῶν οὐκ ἐμμείνῃ τῇ ἀποφάσει τοῦ D ἐπιλεγομένου παρ' αὐτῶν δικαστοῦ, καταβαλεῖται τοῦτο τὸ πρόστιμον πρὸς τὸν ἕτερον τὸν δεχόμενον τὴν διάγνωσιν. οὐ γὰρ ἀναγκάζονται δέχεσθαι τὴν ψῆφον αὐτοῦ· ἀλλὰ παρ' αὐτοῖς τοῦτο κεῖται. διὰ τοῦτο οὐδὲ ἔκκλητος κατὰ τῆς ἀποφάσεως αὐτοῦ χώραν ἔχει, διὰ τὸ καὶ χωρὶς ἐκκλήτου δύνασθαι τὸν ἀπαρεσκόμενον μόνον τὸ πρόστιμον καταβαλόντα, ὑπαναχωρεῖν αὐτοῦ. λέγει δὲ καὶ τοῦτο ὁ νόμος, ὡς ὁ πρόσφορος ὢν τοῖς μέρεσι δικαστὴς, καὶ δυνάμενος δικάζειν αὐτοῖς ἀπὸ ἐξουσίας ἰδίας αἱρετὸς δικαστὴς οὐ γίνεται. οἱ δὲ κανόνες οὐχ οὕτω περὶ τῶν αἱρετῶν δικαστῶν διατάττονται, ἀλλὰ προστάττουσιν, ὡς ἐὰν οἱ ἀντικρινόμενοι E ἐπίσκοποι, ἢ κληρικοὶ, ἐπιλέξωνταί τινας τῶν ἐπισκόπων αἱρετοὺς δικαστὰς, καὶ παρ' αὐτοῖς κριθῆναι θελήσωσιν, οὐκέτι ὁ καταδικασθεὶς παραδεχθήσεται, κατὰ τῆς ἀποφάσεως αὐτῶν ἐκκαλούμενος, ἀλλὰ στέρξει ταύτην καὶ ἄκων. ἡ δὲ αἰτία, κατὰ τὸ ἡμῖν δοκοῦν, δι' ἣν οὐ συγχωρεῖται κατὰ τῆς διαγνώσεως αὐτῶν ἐκκαλεῖσθαι, ἐγράφη παρ' ἡμῶν ἐν τῷ πεντεκαιδεκάτῳ κανόνι τῆς παρούσης συνόδου.

Canon C.

Ut ab Imperatoribus petatur Patronorum aſſumptio pro capitibus Eccleſiæ. Placuit præterea, ut nomine omnium provinciarum profecturi Legati, Vincentius & Fortunatianus, petant à glorioſiſſimis Imperatoribus, ut detur facultas conſtituendi Defenſores ſcholaſticos, quibus hoc ipſum munus negotiorum defendendorum curæ ſit: & ut tanquam provinciæ Sacerdotes iidem, Eccleſiarum defenſione ſuſcepta, facilè poſſint pro negotiis Eccleſiæ, quoties neceſſitas exegerit, ad reſiſtendum iis quæ urgent, & neceſſaria exponenda, ſecreta judiciorum ingredi.

ΚΑΝΩΝ ρ'.

Ἵνα ἀπὸ τῶν βασιλέων αἰτηθῇ συνηγόρων ἀντίληψις ὑπὲρ τῶν κεφαλαίων τῆς ἐκκλησίας. Ἤρεσεν ἔτι μὴν, ἵνα ἐξ F ὀνόματος πασῶν τῶν ἐπαρχιῶν οἱ πορευθησόμενοι πρεσβευταὶ, Βικέντιος καὶ Φουρτουνατιανὸς, αἰτήσωσιν ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ὥστε δοθῆναι ἄδειαν τοῦ καταστῆσαι ἐνδίκους σχολαστικοὺς, οἵτινες αὐτὸ τοῦτο τὸ λειτούργημα, τοῦ ἐκδικεῖν τὰ πράγματα, ἐπιτήδευμα ἔχοιεν· καὶ ἵνα ὡς ἱερεῖς τοῖς τῆς ἐπαρχίας οἱ αὐτοὶ, οἱ τὴν ἐκδίκησιν τῶν ἐκκλησιῶν ἀναδεξάμενοι, εὐχερῶς δυνηθῶσιν ὑπὲρ τῶν τῆς ἐκκλησίας πραγμάτων, ὁσάκις ἀνάγκη ἀπαιτήσει, πρὸς τὸ ἀντιστῆναι τοῖς ἀνακύπτουσι, καὶ ἀναφέρειν τὰ ἀναγκαῖα, καὶ εἰς τὰ σήκρητα τῶν δικαστηρίων εἰσιέναι.

ΒΑΛΣ.

ΖΩΝΑΡ. Αἰτῆσαι τοῖς πρεσβευταῖς ἐντέλλονται ἀπὸ τῶν κρατούντων ἄδειαν τοῦ καταστῆσαι ἐκδίκους σχολαστικούς, τουτέστι σχολάζειν ὀφείλοντας καὶ ἐπιτήδευμα ἔχειν, ἤγουν ἔργον, καὶ λειτούργημα, ἤτοι δουλείαν, τὸ ἐκδικεῖν τὰ πράγματα. καὶ ὅσα μὲν δύνανται αὐτοὶ ἐκδικοῦσιν, ἀνθιστάμενοι τοῖς ἀνακύπτουσι· τὰ δὲ λοιπὰ ἀναφέρειν ἤτοι ὑπομιμνήσκειν εἰς τὰ σήκρητα τῶν δικαστηρίων. σήκρητα δὲ τὰ κριτήρια τοῖς Λατίνοις ὠνόμασται. σεκέρνω γὰρ παρ' ἐκείνοις τὸ διακρίνω. A

ΑΡΙΣΤ. Ἐκ βασιλέως αἰτηθήτω συνηγόρων ἀντίληψις ὑπὲρ τῶν ἐκκλησιαστικῶν κεφαλαίων· οἵτινες ἐπιτήδευμα B ἕξουσι διεκδικεῖν τὰ πράγματα, καὶ ὡς ἱερεῖς περὶ τῶν ἀνακυπτόντων εὐχερῶς ἀναφέρειν δυνήσονται.

Καὶ αὖθις ἔδοξε τῇ συνόδῳ, ὡς καὶ ἐν τῷ ἑβδομηκοστῷ πέμπτῳ κανόνι ἤρεσεν, ἐκ βασιλέως αἰτήσασθαι, ὥστε δοθῆναι ἄδειαν καταστῆσαι ἐκδίκους τῇ ἐκκλησίᾳ, τοῦτο αὐτὸ λειτούργημα καὶ ἐπιτήδευμα ἔχοντας, τὸ τὴν ἐκκλησίαν ἐκδικεῖν, καὶ ὡς ἱερεῖς ἀνθίστασθαι πρὸς τὰ ἀνακύπτοντα, ὁσάκις ἂν ἀνάγκη ἀπαιτήσῃ, καὶ εὐχερῶς δύνασθαι τῷ βασιλεῖ περὶ αὐτῶν ἀναφέρειν, καὶ ἐκεῖθεν τὴν ἐπισύστασιν δέχεσθαι.

C

ΚΑΝΩΝ ρα΄.

Περὶ τοῦ, εἶναι ἐλευθέραν τὴν τοποτηρησίαν. ἤρεσεν, ὥστε αὐτεξούσιον τὴν τοποτηρησίαν ἔχειν τοὺς ἐπὶ τὸ κομιτᾶτον πεμφθέντας ἐπιλέκτους τοποτηρητάς.

ΖΩΝΑΡ. Τὸ ἔχειν τοὺς τοποτηρητὰς τὸ αὐτεξούσιον, τουτέστι, τὸ μὴ μόνον ἃ ἐνετάλθησαν λέγειν καὶ ποιεῖν, ἀλλὰ καὶ ὅσα συνίδωσιν ἕτερα τῇ ἐκκλησίᾳ συμφέροντα.

Προσμαρτυρία τῶν Μαυριτανῶν ἱερέων περὶ Πριμόσου. D πρὸς τούτοις δῆλόν ἐστι προσμαρτυρομένους εἶναι γράμμασιν ἰδίοις τοὺς Μαυριτανοὺς καὶ Καισαριανούς, Πρίμοσον διὰ τῶν ἐξεχόντων τῆς Θιγαβενσίας πόλεως περὶ τοῦ συνελθεῖν, ἵνα κατὰ τὰς βασιλικὰς διατυπώσεις ἐντελῶς παράσχῃ τὴν ἑαυτοῦ παρουσίαν· καὶ, ὡς ἔγνων, ἀναζητηθεὶς ὁ αὐτὸς Πρίμοσος οὐχ εὑρέθη, ὡς οἱ διάκονοι ἀνήγγειλαν. ἀλλ' ἐπειδὴ ᾐτήσαντο οἱ αὐτοὶ Μαῦροι ἐκ πάσης τῆς συνόδου ὀφείλειν γράμματα ἀποσταλῆναι τῷ προσκυνητῷ ἀδελφῷ γέροντι Ἰννοκεντίῳ, ἤρεσεν πεμφθῆναι, ἵνα γνῷ ζητηθέντα τὸν Πρίμοσον ἐν τῇ συνόδῳ, καὶ μηδαμῶς εὑρεθέντα.

ΒΑΛΣ. Τὰ τοῦ παρόντος κανόνος ἄχρηστά εἰσιν, ὡς ἰδικά, καὶ διὰ τοῦτο οὐχ ἡρμηνεύθησαν. E

ΖΩΝΑΡ. Ὁ Πρίμοσος κατηγορηθῆναι ἔοικε παρὰ τῶν Μαυριτανῶν, καὶ ἐπιφωνηθῆναι παρ' αὐτῶν διὰ τῶν προεχόντων τῆς Θιγαβενσίας πόλεως συνελθεῖν εἰς τὴν σύνοδον, ζητηθῆναι δὲ ἐν τῇ συνόδῳ καὶ μὴ εὑρεθῆναι· διὸ ᾐτήσαντο οἱ Μαῦροι δηλωθῆναι τῷ Πάπᾳ Ἰννοκεντίῳ διὰ γραμμάτων τῆς συνόδου, ὅτι ζητηθεὶς ὁ Πρίμοσος ἐν τῇ συνόδῳ οὐχ εὑρέθη.

F

ΚΑΝΩΝ ρβ΄.

Περὶ τῶν λαῶν τῶν μηδέποτε ἐπισκόπους ἐσχηκότων. ἤρεσεν κἀκεῖνο, ἵνα οἱ ὄχλοι, οἱ μηδέποτε ἰδίους ἐσχηκότες ἐπισκόπους, εἰ μὴ ἐκ πάσης τῆς συνόδου ἑκάστης ἐπαρχίας καὶ τοῦ πρωτεύοντος ψήφισμα γένηται, καὶ κατὰ συναίνεσιν ἐκείνου, οὗ τινος ὑπὸ τὴν διοίκησιν καθίσταται ἡ αὐτὴ ἐκκλησία, μηδαμῶς δέξωνται.

ΒΑΛΣ. Τοῦτο καὶ ἐν ἄλλοις κανόσι διαφόρων συνόδων ὡρίσθη, δηλονότι τὸ μὴ γίνεσθαι ἐπίσκοπον ἐν παροικίᾳ, ἐν ᾗ οὐκ ἔθος

Zonar. Legatis mandant, ut ab Imperatoribus facultatem Defenſores ſcholaſticos conſtituendi petant, qui in eo videlicet occupati eſſe debeant, quorum illud ſit ſtudium, opus, miniſterium, ſervitium, ut negotia defendant. Et quæ quidem ipſi poterunt, emergentia incommoda repellentes, tuebuntur: reliqua ad ſecreta judiciorum referant, ibique exponant. Eſt autem ſecretum Latinis exercendi judicii locus. Nam ſecernere apud illos dijudicare ſignificat.

Arist. *Ab Imperatore petatur Patronorum aſſumptio pro Eccleſiæ capitibus; qui quidem negotia defendere ſtudium adhibebunt, & ut Sacerdotes ea quæ emergunt referre poterunt.*

Et iterum Synodo viſum eſt, ut & in ſeptuageſimo quinto Canone placuit, ab Imperatore petere, ut liceret Defenſores in Eccleſiâ conſtituere, idem illud miniſterium ſtudiumque habentes, Eccleſiam defendere, & ut Sacerdotes emergentibus occurrerent, quotieſcunque neceſſitas exigit, & facile Imperatori ea referre poſſent, & illinc accipere conſpirationem.

Canon CI.

Ut ſit libera legatio. Placuit, ut liberam Legationem habeant, qui ad comitatum miſſi ſunt delecti Legati.

Zonar. Ut Legati liberam facultatem habeant, ita eſt intelligendum, nimirum ut non ea ſolum, quæ in mandatis habent; ſed & quæcunque alia Eccleſiæ prodeſſe poſſe cognoverint, & verbis & reipſa exequi liceat.

Mauritanorum Sacerdotum de Primoſo proteſtatio. Ad hæc manifeſtum eſt, Mauritanos & Cæſarianos ſuis eſſe literis teſtatos, Primoſum per Thigavenſis civitatis principales eſſe conventum, ut ſecundùm Imperiales conſtitutiones ſui præſentiam exhiberet: & , ut oportuit, quæſitus ipſe Primoſus non inventus eſt, ut Diaconi renunciarunt. Sed quoniam iidem Mauri petiverunt, debere ex omni Synodo literas mitti venerabili fratri ſeni Innocentio, placuit mitti, ut ſciat Primoſum in Synodo quæſitum, & non inventum fuiſſe.

Bals. Quæ ſunt in præſenti Canone, ſunt inutilia, utpote ſpecialia; & propterea non ſunt explicata.

Zonar. Accuſatum fuiſſe apparet à Mauritanis Primoſum iſtum, ac ab eis per Thigavenſis urbis Præfectos compellatum, ut ſe in Synodo ſiſteret; quæſitum autem in Synodo, nec inventum eſſe: id ergo non inventum ſcilicet Primoſum in Synodo, cum quæſitus eſſet, ejuſdem Synodi literis Innocentio Papæ ſignificari Mauri voluerunt.

Canon CII.

De populis, qui nunquam habuerunt Epiſcopos. Illud quoque placuit; ut populi, qui nunquam proprios Epiſcopos habuere, niſi ab univerſa Synodo uniuſcujuſque provinciæ & Primate fiat decretum, & conſenſu illius, ſub cujus diœceſi conſtituitur hæc Eccleſia, nequaquam admittantur.

Bals. Hoc in aliis quoque diverſarum Syn. Can. decretum eſt; ne fiat ſcilicet Epiſc. in parœcia, in qua non consuevit olim fieri, nisi Metropolitanus voluerit, (Is enim est Primas provinciæ) & Episcopus consenserit, ad quem forte pertinet parœcia, ut quæ sit in ejus diœcesi; ac provinciæ quidem decernet Synodus.

Zonar. Hoc in aliis quoque diversarum Synodorum Canonibus decretum est; ne fiat scilicet Episcopus in parœcia, in qua non consuevit olim fieri; nisi Metropolitanus voluerit, (is enim est Primas provinciæ) & Episcopus consenserit, ad quem forte pertinet parœcia, ut quæ sit in ejus diœcesi; ac de ea quidem provinciæ Synodus decernet.

Arist. *Qui nunquam antehac proprium habuerant Episcopum, nisi universa provinciæ Synodus ejusque Primas juxta sententiam illius, cui subjecta est provincia in quâ Ecclesia est, subscripserit, aliter non habebunt.*

Si parœcia aliqua Episcopo subjecta fuerit, & multitudo in eâ proprium habere voluerit Episcopum, facile non exaudientur: sed cum approbatione totius provinciæ Synodi, illiusque Metropolitæ; & Episcopi etiam, cui parœcia illa subest, consensu illud fiet.

Canon CIII.

De populis & diœcesibus, quæ à Donatistis convertuntur. Ut scilicet illi populi, qui à Donatistis convertuntur, & præter Synodi sententiam Episcopos habuerunt, eos sine controversia habere digni censeantur: Qui autem populi Episcopum habuerunt, & eo mortuo proprium Episcopum habere noluerunt, sed ad alicujus alius Episcopi diœcesin recurrere; id non debet eis negari. Verumenimvero hoc quoque relatum est, quòd Episcopi, qui ante legem Imperatoriam de unione allatam populos ad Catholicam Ecclesiam convertunt, quos ipsi habebant, eos tenere debent: Post legem autem unionis & ultra, oportet omnes Ecclesias, & earum diœceses, & si ulla sint fortasse instrumenta, quæ ad ipsarum Ecclesiarum jura pertineant, à Catholicis Episcopis vendicari qui sunt in illis locis in quibus ab hæreticis detinebantur; sive ad Catholicam Ecclesiam deinceps convertantur, sive non; Et si aliqua eorum post legem Imperatoriam usurparunt, debent & hæc restitui.

Bals. Eos qui à Donatistarum hæresi convertuntur, statuit Can. esse sub suis Episcopis, si ipsi etiam convertantur. Alia quoque dicit, quæ spectant ad salutem Donatistarum & suarum Ecclesiarum post correctionem.

Zonar. Ut populi, qui se ab hæresi Donatistarum ad fidei veritatem convertunt, iisdem quibus antea, si modo illi quoque rectam fidem amplexi sunt, Episcopis subjiciantur, Syn. Patres constituunt; Utque iidem populi, si post suorum Episc. obitum alium Episcopum non obtinuerunt, sed alterius diœceseos Episcopo, ejus qui decessit finitimo, se adjunxere, quominus illum habeant minime impediantur; tum ut Episcopi Donatistarum, quicunque populos suos Ecclesiæ conciliarunt, eodem quo antea jure, in eosdem populos, Episcopi auctoritatem obtineat. Post legem tamen de concordia latam (fuit enim lex ab Imper. de Ecclesiarum Africæ concordia eo tempore promulgata) Ecclesias omnes & diœceses, sive administrationes, aut regiones, tum jura quoque ad eas Ecclesias spectantia ab Episcopis Catholicis, asseri ac vindicari oportere decernunt. Catholicos vero Episcopos intelligit,

A ἔκπαλαι γίνεσθαι, εἰ μὴ ὁ μητροπολίτης θελήσῃ, (οὗτος γάρ ἐστιν ὁ πρωτεύων τῆς ἐπαρχίας) καὶ ὁ ἐπίσκοπος συναινέσῃ, ᾧ ἴσως ἡ παροικία διαφέρῃ ὡς ἐνορία, καὶ ἡ τῆς ἐπαρχίας ψηφίσηται σύνοδος.

ΖΩΝΑΡ. Τοῦτο καὶ ἐν ἄλλοις κανόσι διαφόρων συνόδων ὡρίσθη, τὸ μὴ γίνεσθαι ἐπίσκοπον ἐν παροικίαις, ἐν αἷς οὐκ ἦν ἔθος ἔκπαλαι γίνεσθαι, εἰ μὴ ὁ μητροπολίτης θελήσῃ. οὗτος γάρ ἐστιν ὁ πρωτεύων τῆς ἐπαρχίας, ἐν ᾗ αἱ παροικίαι ὑπόκεινται, καὶ ὁ ἐπίσκοπος συναινέσῃ, ᾧ ἴσως ἡ παροικία διαφέρῃ, ὡς ὑπὸ τὴν διοίκησιν αὐτοῦ οὖσα, καὶ ἡ τῆς ἐπαρχίας ψηB φίσηται σύνοδος.

ΑΡΙΣΤ. Οἱ μηδέποτε σχόντες ἴδιον ἐπίσκοπον, εἰ μὴ πᾶσα ἡ τῆς ἐπαρχίας σύνοδος καὶ ὁ πρωτεύων αὐτῆς γράψῃ κατὰ γνώμην τοῦ, ὑφ' ὃν ἡ ἐπαρχία ἐν ᾗ ἡ αὐτὴ ἐκκλησία, ἄλλως οὐχ ἕξουσι.

Ἐὰν παροικία τις ἐτέλει ὑπὸ ἐπίσκοπον, καὶ ἠβουλήθη ὁ ἐν αὐτῇ ὄχλος ἴδιον σχεῖν ἐπίσκοπον, ὡς ἔτυχεν, οὐκ εἰσακουσθήσεται· ἀλλὰ μετὰ δοκιμασίας πάσης τῆς συνόδου τῆς ἐπαρχίας, καὶ τοῦ μητροπολίτου αὐτῆς, πρὸς δὲ καὶ συναινέσεως τοῦ ἐπισκόπου, ὑφ' ὃν ἡ τοιαύτη παροικία καθίσταται, τοῦτο γενήσεται.

C

ΚΑΝΩΝ ργʹ.

Περὶ λαῶν καὶ διοικήσεων τῶν ἀπὸ Δονατιστῶν ἐπιστρεφόντων. ἵνα δηλαδὴ ἐκείνων οἱ λαοί, οἱ ἀπὸ τῶν Δονατιστῶν ἐπιστρέφοντες, καὶ ἐπισκόπους ἐσχηκότες παρὰ γνώμην τῆς συνόδου, τούτους διαμφιβόλως ἔχειν ἀξιωθῶσιν· οἵτινες δὲ λαοὶ ἐσχήκασιν ἐπίσκοπον, καὶ τούτου τελευτήσαντος οὐκ ἠθέλησαν ἴδιον ἐπίσκοπον ἔχειν, ἀλλὰ πρὸς ἄλλου τινὸς ἐπισκόπου διοίκησιν ἀναδραμεῖν διήκειν· τοῦτο μὴ ὀφείλειν τούτοις ἀρνηθῆναι. οὐ μὴν ἀλλὰ κἀκεῖνο ἀνηνέχθη, ὅτι οἱ ἐπίσκοποι οἱ D πρὸ τοῦ βασιλικοῦ νόμου, τοῦ περὶ ἑνότητος προκομιζομένου, οἵτινες δήποτε πρὸς τὴν καθολικὴν ἐπιστρέφουσι τοὺς λαούς, οὓς εἶχον αὐτοί, τούτους κατέχειν ὀφείλουσιν· μετὰ δὲ τὸν νόμον τῆς ἑνότητος καὶ ἐπέκεινα χρὴ πάσας τὰς ἐκκλησίας καὶ διοικήσεις αὐτῶν, καὶ ἐάν τινα τυχὸν ὦσι δικαιώματα τοῖς δικαίοις διήκοντα τῶν αὐτῶν ἐκκλησιῶν, διεκδικεῖσθαι ὑπὸ τῶν καθολικῶν ἐπισκόπων τῶν ἐν τοῖς τόποις ἐκείνοις ἐν οἷς κατείχοντο παρὰ τῶν αἱρετικῶν, εἴτε ἐπιστρεφόντων λοιπὸν πρὸς τὴν καθολικήν, εἴτε μὴ ἐπιστρεφόντων. καὶ ἐάν τινα ἀφήρησιν ἐκ τούτων κατεχρήσαντο μετὰ τὸν βασιλικὸν ὁρισμόν, ὀφείλει ταῦτα ἀποκατασταθῆναι.

E

ΒΑΛΣ. Τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν Δονατιστῶν ἐπιστρέφοντας διορίζεται ὁ κανὼν εἶναι ὑπὸ τοὺς ἐπισκόπους αὐτῶν, ἐὰν καὶ αὐτοὶ ἐπιστρέψωσι, καὶ ἄλλα δέ τινά φησιν ἀποβλέποντα πρὸς σωτηρίαν τῶν Δονατιστῶν καὶ τῶν κατ' αὐτοὺς ἐκκλησιῶν, μετὰ διόρθωσιν.

ΖΩΝΑΡ. Οἱ ἐπιστρέφοντες λαοί, φασὶν οἱ τῆς συνόδου, ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν, ἵνα ἔχωσι τοὺς ἐπισκόπους, οὓς εἶχον, εἰ κἀκεῖνοι δηλαδὴ ἐπέστρεφον, εἰ δέ τινες τῶν ἐπιστρεφόντων, τῶν ἐπισκόπων αὐτῶν τελευτησάντων, οὐκ ἔσχον ἄλλον ἐπίσκοπον, ἀλλ' ἑτέρας διοικήσεως ἐπισκόF πῳ τοῦτό που διήκοντες ἐκείνῳ προσετέθησαν, ἔσωσαν ὑπ' ἐκεῖνον, καὶ μὴ τοῦτ' αὐτοῖς ἀρνηθείη, ἀντὶ τοῦ μὴ ἀπαγορευθείη, μὴ κωλυθείη, καὶ ὅσοι δὲ ἐπίσκοποι τῶν Δονατιστῶν τοὺς ὑπ' αὐτοὺς λαοὺς προσαγάγωσι τῇ ἐκκλησίᾳ, αὐτοὶ καὶ μετὰ τὴν προσαγωγὴν ἔσωσαν τούτων ἐπίσκοποι. μετὰ δὲ τὸν νόμον τῆς ἑνότητος (γέγονε γὰρ παρὰ τῶν κρατούντων τότε νόμος ἑνωθῆναι τὰς ἐκκλησίας τῆς Ἀφρικῆς) χρή, φασί, πάσας τὰς ἐκκλησίας καὶ τὰς διοικήσεις, ἤτοι τὰς οἰκονομίας ἢ τὰς ἐνορίας, καὶ τὰ δικαιώματα τῶν αὐτῶν ἐκκλησιῶν, διεκδικεῖσθαι ὑπὸ τῶν καθολικῶν ἐπισκόπων. καθολικοὺς δὲ ἐπισκόπους,

ἢ

ἢ τοὺς τῆς καθολικῆς ἐκκλησίας ἐξάρχους ὄντας λέγει, ἢ τοὺς πρώτους, ἤγουν τοὺς μητροπολίτας, εἴτε ἐπιστρέφοιεν οἱ αἱρετικοὶ, εἴτε μή. εἰ δὲ καί τισιν ἐκ τῶν δικαίων τῶν ἐκκλησιῶν κατεχρήσαντο οἱ αἱρετικοὶ μετὰ τὸν νόμον, ἀντὶ τοῦ ἐξεποιήσαντο, ὀφείλουσι καὶ ταῦτα ἀποκαθίστασθαι. προσφόρως δὲ ἐχρήσαντο τῇ λέξει τοῦ κατεχρήσαντο. κατάχρησις γάρ ἐστιν ἡ παρὰ τὸ δέον χρῆσις. καὶ οἱ ἐκποιούμενοι οὖν τὰ τῶν ἐκκλησιῶν καταχρῶνται αὐτοῖς· οὐ γὰρ ὡς δέον αὐτοῖς χρῶνται. ἀκουέτωσαν ταῦτα οἱ ἀδεῶς τὰ τῶν ἐκκλησιῶν ἐκποιούμενοι, καὶ οἱ συναινοῦντες αὐτοῖς.

ΑΡΙΣΤ. Οἱ ἀπὸ Δονατιστῶν ἐπιστρέψαντες, ἐχέτωσαν τοὺς ἰδίους ἐπισκόπους, εἰ καὶ παρὰ γνώμην τῆς συνόδου τούτους ἔσχον· καὶ τελευτῶντος ἐπισκόπου, εἰ μὴ βούλονται ἄλλον ἀντικαταστῆναι, ἀλλ' ἑτέρῳ προσχωρῆσαι, ἐξέστω· καὶ οἱ ἐπίσκοποι, οἱ πρὸ τῆς ἑνώσεως ἐπιστρέψαντες, τοὺς λαοὺς οὓς εἶχον, ἐχέτωσαν. μετὰ δὲ τὴν περὶ ἑνότητος βασιλικὴν κέλευσιν, ἑκάστη ἐκκλησία τὰ ἴδια δίκαια ἐκδικείτω.

Οἱ Δονατισταὶ ἀποσχίσαντες ἑαυτοὺς τῆς ἐκκλησίας, καὶ ἰδίους ἔχοντες ἐπισκόπους, ὡρίσθησαν ὡς ἐὰν ἐπιστραφῶσιν αὐτοί τε, καὶ οἱ ἐπίσκοποι αὐτῶν πρὸς τὴν καθολικὴν ἐκκλησίαν, ἀναμφιβόλως αὐτοὺς πάλιν ἐπισκόπους ἔχειν, κἂν παρὰ γνώμην τῆς συνόδου γεγόνασιν. εἰ δὲ τελευτησάντων αὐτῶν δὴ τῶν ἐπισκόπων, οὐ θελήσουσιν ἑτέρους ἀντ' ἐκείνων σχεῖν ἐπισκόπους ἰδιάζοντας, ἀλλ' ὑπὸ ἐξουσίαν τε καὶ διοίκησιν καὶ ἄλλων τινῶν ἐπισκόπων γενέσθαι, ὥστε μὴ λογίζεσθαι αὐτοὺς αὖθις σχισματικοὺς καὶ καθ' ἑαυτοὺς ἐθέλειν εἶναι, ἀλλ' ὑπὸ τὴν καθολικὴν τάττεσθαι ἐκκλησίαν. ἐξέσται τοῦτο ποιεῖν αὐτοῖς. ἀλλὰ καὶ οἱ τῶν Δονατιστῶν ἐπίσκοποι, οἱ πρὸ τοῦ βασιλικοῦ νόμου ὑποστρέψαντες, τοῦ κελεύσαντος ἃς κατεῖχον οἱ Δονατισταὶ ἐκκλησίας καὶ διοικήσεις ταῖς ἐκκλησίαις τῶν καθολικῶν ἐπισκόπων προσενωθῆναι, τῶν ἐν ἐκείνοις ὄντων τοῖς τόποις, τοὺς λαοὺς οὓς κατεῖχον πάλιν καθέξουσι, καὶ ἔσονται οἱ ἐπίσκοποι ἐν αὐτοῖς· μετὰ δὲ τὴν τοιαύτην βασιλικὴν κέλευσιν, κἄν τε ἐπιστρέψωσι πρὸς τὴν καθολικὴν ἐκκλησίαν, κἄν τε καὶ μὴ, ἑκάστη ἐκκλησία διεκδικήσει τὰ οἰκεῖα δίκαια.

ΚΑΝΩΝ ρδ'.

Περὶ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ ἐπισκόπου. κατὰ τὴν ἀναφορὰν καὶ αἴτησιν τοῦ ἐπισκόπου Μαυρεντίου, ἀναγνωσθέντος τοῦ χαρτίου, ὅπερ προσήνεγκε Πλακέντινος ὁ ἐπίσκοπος, ὁ τὸ πρόσωπον τοῦ τοποτηρητοῦ τῶν Νουμηδιῶν ἀναπληρῶν, ὅπερ κατὰ τὴν γνώμην τοῦ αὐτοῦ Πλακεντίνου ἀνεγνώσθη ἐνώπιον τῶν ἐπισκόπων· καὶ ζητηθέντων πρὸ τῶν θυρῶν τῶν λεγομένων παρεστάναι διακόνων, τουτ' ἔστι τῶν γερόντων τῶν ἀπὸ τῆς νέας Γερμανίας, καὶ μηδαμῶς εὑρεθέντων, ἔκρινε διὰ τοῦτο ἡ ἁγία σύνοδος, ὥστε γράμματα πρὸς τὸν αὐτὸν γέροντα Ξάνθιππον ἐκπεμφθῆναι, διὰ τὸ γνῶναι, ὅτι οὐ προαιρέσει τοῦ μνημονευθέντος λαοῦ ὕβρει ὑποπέπτωκεν ἐπίσκοπος. Μαυρέντιος ἐπίσκοπος εἶπεν· ἐπειδήπερ ἐζητήθησαν οἱ γέροντες οἱ ἀπὸ νέας Γερμανίας δεύτερον καὶ τρίτον, καὶ οὐχ εὑρέθησαν, οἷς ἦν παραγγελθὲν ἀπὸ τοῦ πρωτεύοντος πρὸς τὴν νῦν ἐν ταῖς εἰδοῖς γινομένην προσκυνητὴν σύνοδον ἀπαντῆσαι, τῆς νηστείας ἑαυτῶν ἅπαντες ἐφρόντισαν· καὶ διὰ τοῦτο κρινεῖ ἡ ὑμετέρα ἁγιωσύνη περὶ τούτου τοῦ πράγματος, ἀναιτίως μὴ συντριβῆναί με τῇ ἐπιμονῇ τῆς ἐκείνων συκοφαντίας. ἡ ἁγία σύνοδος ὥρισεν· ὀφείλειν μὲν κατὰ τὴν ἱερατικὴν κρίσιν ἐκ τῆς συνόδου ταύτης κατὰ τῶν μονοτονούντων ψῆφον ἐκφέρεσθαι· ἀλλ' ἐπειδὴ ἡμερότητα ἐκκλησιαστικὴν δεῖ φυλάττειν ἐν ὅλοις τοῖς πράγμασι, ὑπεσχέθησαν γράμματα

A vel eos qui ab initio in Eccleſiæ Catholicæ partibus ſteterunt, vel Primates, hoc eſt, Metropolitanos, ſive hæretici ad ſanitatem redierint, ſive non. Quòd ſi etiam rebus ad Eccleſiam pertinentibus hæretici poſt legem promulgatam abuſi ſint, hoc eſt, eas alienarint, reſtitui quoque illas oportebit. Appoſitè autem hoc loco abutendi verbum adhibuere. Eſt namque abuti, re aliqua præter id quod decet uti; quod proculdubio faciunt ii, à quibus Eccleſiaſtica res quocunque modo alienatur: non enim, ut oportet, his utuntur. Audiant hæc qui per ſummam licentiam Eccleſiæ bona diſtrahunt, quique ſe ejus conſilii adſcriptores laudatoréſque non dubitant profiteri.

B Arist. *Qui à Donatiſtis converſi ſunt, proprios retineant Epiſcopos, etſi præter Synodi ſententiam eos habuerint; Et Epiſcopo vitâ defuncto, ſi alium ejus loco ſubſtitui noluerint, ſed alteri adhærere, liceat; Et Epiſcopi, qui ante unionem converſi ſunt populos quos habuerunt, habeant. Poſt Imperatorium vero de unione mandatum unaquæque Eccleſia propria ſua iura defendat.*

De Donatiſtis qui ab Eccleſiâ ſe abſciderunt, & proprios habueruut Epiſcopos, decernitur, quod ſi C ipſi & ipſorum Epiſcopi ad Catholicam Eccleſiam convertantur, ſine controverſiâ illi iterum habeant Epiſcopos, quamvis præter Synodi ſententiam facti fuere. Si autem cum Epiſcopi ipſorum mortem obierint, nolunt alios eorum loco Epiſcopos habere proprios, ſed aliorum quorundam Epiſcoporum poteſtati & Diœceſi ſubeſſe, ut non putaretur eos ſchiſmaticos iterum & per ſeipſos eſſe velle, ſed ſub Catholica Eccleſiâ conſtitui; licebit eis illud facere. Sed & Donatiſtarum Epiſcopi, qui ante legem Imperatoriam, quæ mandavit, ut quas tenuerunt Donatiſtæ Eccleſias & Diœceſes Epiſcoporum Catholicorum D Eccleſiis quæ in iſtis ſunt locis ordinarentur, converſi fuerunt, populos quos habuerunt iterum habeant, & iis erunt Epiſcopi: Poſt Regium autem illud mandatum, quamvis ad Catholicam redeant Eccleſiam, vel etiam non, quæque Eccleſia ſua jura defendet.

Canon CIIII.

E *De relatione Maurentii Epiſcopi. Ad relationem & petitionem Epiſcopi Maurentii, lecta ſchedula, quam attulit Placentinus Epiſcopus, qui Numidiarum Legati perſonam ſuſtinebat, quæ ex ipſius Placentini ſententia coram Epiſcopis lecta eſt, & quæſitis pro foribus iis, qui dicebantur Diaconis, ſenibus ſcilicet ex nova Germania, & nequaquam inventis: propterea judicavit ſancta Synodus, ut literæ ad ipſum Xantippum mittantur, quibus ſciat, pro memorati populi voluntate Epiſcopum non fuiſſe contumelia affectum. Maurentius Epiſcopus dixit; Quoniam* F *quæſiti ſunt ſenes ex nova Germania ſemel atque iterum, & non ſunt inventi; quibus erat à Primate denunciatum, ut ad venerandam Synodum, quæ Idibus nunc fieret, ſe ſiſterent, omnes ſuam abſentiam procurarunt: & propterea veſtra ſanctitas de hac re judicabit, me non eſſe conterendum pervicacia illorum calumniæ. Sancta Synodus decrevit, debere quidem ſecundùm Sacerdotale judicium ab hac Synodo adverſus contumaces ferri ſententiam: ſed quia manſuetudo Eccleſiaſtica omnibus in rebus*

ſervanda eſt, promiſſæ ſunt literæ ad ſenem Xantippum, A *ut cognoſcat judices electos à Synodo, qui deberent ſine mora rem examinare in civitate Thuberſicenſe, ut ab eis conveniens rei ferretur ſententia. Maurentius Epiſcopus dixit; Judices peto ſanctiſſimum ſenem Xantippum, Auguſtinum ſanctiſſimum, Florentium, Theaſium, Sampſychium, Secundum & Poſidium: hoc mihi decerni jubete. Sancta Synodus judices petitos conceſſit: reliquos autem neceſſarios judices ad numeri complementum ab ipſis ex nova Germania ſenibus eligi decernit ſenex Xantippus.*

B

Bals. Quæ ſunt etiam in præſenti Canone, ſunt ſpecialia, & ideo non ſunt interpretata.

Zonar. Maurentium Epiſcopum quidam accuſaverant, atque ad Synodum, cum Epiſcopus ipſe, tum accuſatores quoque rejecti fuerant. Cùm vero citati accuſatores non apparerent; in eos judicium datura eſſe Synodus videbatur: quæ tamen, clementia ac lenitate uſa, literas ad Xantippum dandas eſſe decrevit. Illi etenim curæ fuit denuntiare accuſatoribus, eum qui accuſabatur Epiſcopum, ſatis probaſſe, quòd quidem ipſe C contumelia ſit affectus, nulla id omnino populi voluntate factum fuiſſe. Contumeliæ porro nomine accuſationem intelligunt. Cum Maurentii Epiſcopi accuſatores quæſiti nuſquam extitiſſent, Synodus Maurentio diſcedendi poteſtatem fecit, quod accuſatores ipſius, quibus denuntiatum fuerat, ut ad Synodum convenirent, quæ Idibus Maii futura erat, nequaquam adfuiſſent. Sunt autem Idus extremi dies menſis, ut in aliâ Synodo antea explicavimus. Permiſſum porro Maurentio eſt, ut Judices, quibus ipſius cauſæ cognitio delegaretur, ex ea, in qua degebat, regione poſtularet. Cum autem ille Xantippum ac alios ſex poſtulaſſet, ut de ipſius accuſatione cognoſcerent; annuit Synodus, ac ab iis, quorum ille nomina D ediderat, controverſiam examinari juſſit: reliquos Judices neceſſarios, qui numerum expleant, à Xantippo deligendos eſſe pronuntians. Neceſſarios porro Judices duodecim Epiſcopos intelligit, quos in Epiſcopi judicio adeſſe oportere, hujus Synodi xii. Canone conſtitutum eſt. Cùm ergo ſeptem à Maurentio Judices electi eſſent, ex illius Canonis præſcripto, explendo numero, quinque alios adjungi neceſſe fuit.

Arist. *Subdiaconis, qui à novâ Germaniâ adeſſe dicuntur, ter quæſitis, & non inventis, ſententiam* E *ferri oportet. Propter Eccleſiaſticam autem manſuetudinem mittantur nonnulli, qui negotium inſpiciant.*

Hi Subdiaconi, qui Epiſcopum Maurentium accuſarunt, & in mandatis habuerunt ad Synodum iſtam præſto eſſe, & proferre quæcunque introduxerant contra Epiſcopum delicta; deinde ſecundo & tertio quæſiti & non inventi, ut ſycophantæ condemnandi erant; ſed propter manſuetudinem Eccleſiaſticam decretum fuit, à Synodo Judices aliquos mitti, & in loco ipſo crimina examinare, etiam ipſorum accuſatorum præſen- F tiâ, & actioni congruum exhibere judicium.

Canon CIV.

Ut pacificetur Romana Eccleſia & Alexandrina. Placuit præterea, ut de diſſentione Romanæ & Alexandrinæ Eccleſiæ ad ſanctiſſimum Papam Innocentium ſcribatur; ut utraque Eccleſia pacem inter ſe ſervent, quam Dominus præcipit.

πρὸς τὸν γέροντα Ξάντιππον, ὅπως γνῷ κριτὰς ἐπιλεχθέντας ἀπὸ τῆς Συνόδου, τοὺς ὀφείλοντας ἀνυπερθέτως σκοπῆσαι ἐν Θουβερσικένσῃ τῇ πόλει, πρὸς τὸ, ἁρμοδίαν τῷ πράγματι προσαχθῆναι διάγνωσιν. Μαυρέντιος ἐπίσκοπος εἶπε· κριτὰς αἰτῶ τὸν ἁγιώτατον γέροντα Ξάνκτιππον, Αὐγουστῖνον τὸν ἁγιώτατον, Φλωρέντιον, Θεάσιον, Σαμψύχιον, Σεκοῦνδον καὶ Ποσείδιον· τοῦτο ψηφισθῆναί μοι κελεύσατε. ἡ ἁγία σύνοδος ἐπένευσεν τοὺς αἰτηθέντας κριτάς. τοὺς λοιποὺς δὲ ἀναγκαίους δικαστὰς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ αὐτοῖς τοῖς ἀπὸ τῆς νέας Γερμανίου γέρουσιν ἐπιλέξασθαι ψηφίζεται ὁ γέρων Ξάνκτιππος.

ΒΑΛΣ. Καὶ τὰ ἐν τῷ παρόντι κανόνι διειλημμένα, ἰδικά εἰσι, καὶ διὰ τοῦτο οὐδὲ ἡρμηνεύθησαν.

ΖΩΝΑΡ. Κατεῖπόν τινες τοῦ Μαυρεντίου, καὶ ἀπεστάλησαν πρὸς τὴν σύνοδον κἀκεῖνοι καὶ ὁ ἐπίσκοπος. ζητηθέντες οὖν οἱ κατήγοροι, οὐχ εὑρέθησαν. ἔμελλεν οὖν ἡ Σύνοδος διαγνῶναι περὶ αὐτῶν· ἀλλ᾽ ἔτι φιλανθρωπευσαμένη γράμματα πρὸς τὸν Ξάνκτιππον ὥρισε στεῖλαι. ἐκείνῳ γὰρ ἔοικεν ὑποκεῖσθαι τοὺς κατηγόρους, καὶ τὸν κατηγορούμενον δηλοῦντα, ὅτι οὐ προαιρέσει τοῦ λαοῦ ὁ ἐπίσκοπος ὑβρίσθη, ὕβριν τὴν κατηγορίαν λέγοντες. ζητηθέντων τῶν κατηγόρων τοῦ ἐπισκόπου Μαυρεντίου, καὶ μὴ εὑρεθέντων, ἡ σύνοδος ἔκρινε μηκέτι προσκαρτερεῖν τὸν Μαυρέντιον, ὅτι οἱ κατήγοροι αὐτοῦ παραγγελθέντες ἐλθεῖν εἰς τὴν σύνοδον, τὴν ἐν ταῖς εἰδοῖς γινομένην, οὐκ ἀπηντήκασιν. εἰδοὶ δὲ λέγονται, αἱ τελευταῖαι τοῦ μηνὸς ἡμέραι, ὡς καὶ ἐν ἑτέρᾳ συνόδῳ προείρηται. ἐπετράπη δὲ ὁ Μαυρέντιος αἰτῆσαι δικαστὰς, τοὺς κατὰ χώραν διαγνῶναι μέλλοντας περὶ τοῦ πράγματος, ἤτοι τῆς ὑποθέσεως, ὁ δὲ Μαυρέντιος τὸν Ξάντιππον ἤτησε καὶ ἑτέρους ἓξ διαγνωσομένους περὶ τῆς κατηγοριῶν αὐτοῦ, πρὸς οὓς καὶ ἡ σύνοδος ἐπένευσε, καὶ τοὺς αἰτηθέντας ὥρισε δοκιμάσαι τὴν ὑπόθεσιν, προσθεμένη, ὅτι τοὺς λοιποὺς ἀναγκαίους δικαστὰς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ ὁ Ξάντιππος ἐπιλεγῆναι ψηφίσεται. ἀναγκαίους δὲ λέγει δικαστὰς τοὺς τὸν δωδέκατον ἀναπληρῶσαι μέλλοντας, ὡς τοῦ δωδεκάτου κανόνος τῆς παρούσης συνόδου ἐπίσκοπον ὑπὸ ιβ΄. ἐπισκόπων θεσπίσαντος κρίνεσθαι. ἐπεὶ οὖν οἱ παρὰ τοῦ Μαυρεντίου αἰτηθέντες ἑπτὰ ἦσαν, ἔδει ἀναγκαίως διὰ τὸν κανόνα ἐκεῖνον καὶ ἑτέρους πέντε τοῖς ἑπτὰ προστεθῆναι, ἵν᾽ εἴη καὶ ἀριθμὸς πληρέστατος.

ΑΡΙΣΤ. Τῶν ἀπὸ τῆς νέας Γερμανίου παρεῖναι λεγομένων ὑποδιακόνων, τρὶς ζητηθέντων, καὶ μὴ εὑρεθέντων, ψῆφον ἐχρῆν ἐξενεχθῆναι· ἀλλὰ διὰ τὴν ἐκκλησιαστικὴν ἡμερότητα, πεμφθήτωσαν οἱ περὶ τοῦ πράγματος διαγνῶναι ὀφείλοντες.

Οὗτοι οἱ ὑποδιάκονοι τοῦ ἐπισκόπου Μαυρεντίου κατηγορήσαντες, καὶ παραγγελθέντες εἰς τὴν σύνοδον ταύτην ἀπαντῆσαι, καὶ προθεῖναι ἅπερ εἰσῆγον κατὰ τοῦ ἐπισκόπου αἰτιάματα· εἶτα δεύτερον καὶ τρίτον ψηλαφηθέντες, καὶ μὴ εὑρεθέντες, ὡς συκοφάνται κατακριθῆναι ἔμελλον· ἀλλὰ διὰ τὴν ἐκκλησιαστικὴν ἡμερότητα ὡρίσθη σταλῆναί τινας ἀπὸ συνόδου κριτὰς, καὶ κατὰ χώραν σκοπῆσαι τὰ αἰτιάματα, παρουσίᾳ καὶ αὐτῶν κατηγόρων, καὶ ἁρμοδίαν τῷ πράγματι προσαχθῆν τὴν διάγνωσιν.

ΚΑΝΩΝ ρδ΄.

Περὶ τοῦ εἰρηνοποιηθῆναι τὰς ἐκκλησίας Ρώμης καὶ Αλεξανδρείας. ἤρεσεν ἔτι μὴν, ὥστε περὶ τῆς διχονοίας τῆς Ρωμαϊκῆς καὶ Αλεξανδρινῆς ἐκκλησίας πρὸς τὸν ἁγιώτατον Πάπαν Ιννοκέντιον γραφῆναι· ὅπως ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας εἰρήνην φυλάξωσιν, ἣν κύριος παραγγέλλει.

ΒΑΛΣ. Διαφορά τις ἐγένετο μέσον τῶν δύο ἐκκλησιῶν· A καὶ ἐτυπώθη γενέσθαι εἰρήνην.

ΖΩΝΑΡ. Διαφορά τις, ὡς ἔοικεν, ἐγένετο τοῖς ἐν Ῥώμῃ καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ, περὶ ἧς ἔδοξε τῇ συνόδῳ ταύτῃ γράψαι τῷ Ἰννοκεντίῳ τῆς Ῥωμαίων ἐκκλησίας τότε προεστῶτι, ἵνα καταλύσωσι τὴν διαφοράν, καὶ εἰρηνεύσωσι πρὸς ἀλλήλας κατὰ τὴν τοῦ κυρίου παραγγελίαν λέγοντος· εἰρήνην δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, καὶ πάλιν, εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσιν.

ΑΡΙΣΤ. Ἔδοξε πεμφθῆναι γράμματα πρὸς Ἰννοκέντιον, B εἰρηνεύειν πρὸς ἀλλήλας τὴν Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίαν.

Διὰ τὰς παρεμπεσούσας μεταξὺ τῆς Ῥωμαίων ἐκκλησίας καὶ τῶν Ἀλεξανδρινῶν διχονοίας, ἤρεσεν ὡς ἀπὸ τῆς συνόδου γράμματα πρὸς τὸν Πάπαν τὸν Ἰννοκέντιον σταλῆναι, ὥστε πρὸς ἀλλήλας εἰρήνην φυλάττειν ἑκατέρας τὰς ἐκκλησίας.

ΚΑΝΩΝ ρέ.

Περὶ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων, ἵνα οὕτως C μείνωσιν. ἤρεσεν, ὥστε κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν ἐπιστήμην, μήτε ὁ ἀπὸ γυναικὸς ἐαθεὶς, μήτε ἡ ἀπὸ ἀνδρὸς καταλειφθεῖσα, ἑτέρῳ συζευχθῇ, ἀλλ' ἢ οὕτως μείνωσιν, ἢ ἑαυτοῖς καταλλαγῶσιν· ὅπερ ἐὰν καταφρονήσωσιν, πρὸς μετάνοιαν καταναγκασθῶσιν. ἐν ᾧ πράγματι νόμον βασιλικὸν ἐκτεθῆναι χρεὼν αἰτῆσαι.

ΒΑΛΣ. Ἡ μὲν παροῦσα σύνοδος, θεσπίζουσα μὴ ἑτέρῳ συνάπτεσθαι τὴν μεταστᾶσαν ἐκ τοῦ συζύγου αὐτῆς· καὶ τὸ ἐναντίον, μηδὲ τὸν ἄνδρα μετ' ἑτέρας συνοικεῖν, ἀλλ' ἢ ἀζύγας εἶναι, ἢ καταλλάσσεσθαι, παρακαλεῖ διὰ βασιλικοῦ προστάγματος D καταναγκάζεσθαι πάντας οὕτω ποιεῖν. σὺ δὲ γίνωσκε, ὅτι ἡ ριζ΄. Ἰουστινιάνειος νεαρὰ, ἡ κειμένη ἐν τῷ ζ. τίτλῳ τοῦ κή. βιβλίου, ἄλλως τὰ περὶ τῶν λύσεων τῶν γάμων μετετύπωσε. καὶ ἀνάγνωθι τὸν πζ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ· καὶ εὑρήσεις πολλὰ χάριν τῆς τοιαύτης ὑποθέσεως. τὰ γὰρ ἐν τῷ παρόντι κανόνι περιεχόμενα, προγενέστερα ὄντα κατὰ πολὺ, ἠπράκτησαν.

ΖΩΝΑΡ. Ὁ μὲν βασιλεὺς Ἰουστινιανὸς ῥητὰς αἰτίας ἔθετο τῆς τῶν γάμων λύσεως ἐν νεαρᾷ κειμένῃ εἰς βιβλίον τῶν βασιλικῶν κή. τίτ. ζ΄. ὧν ἄνευ μὴ λύεσθαι γάμον ἐθέσπι- E σεν. ἡ δὲ σύνοδος αὕτη προγενεστέρα οὖσα πολλῷ τοῦ Ἰουστινιανοῦ, καὶ κατὰ παλαιὸν ἔθος ὁρῶσα λυομένους τοὺς γάμους, ὅτε ἕκαστος τῶν συνοικούντων ἐβούλετο, ὥρισε τοὺς ἀπ' ἀλλήλων διϊσταμένους, ἢ καταλλάττεσθαι ἀλλήλοις, καὶ μένειν τὸν γάμον, ἢ οὕτω μένειν, ἀγάμους δηλαδὴ μετὰ τὴν διάστασιν. εἰ δὲ τούτου καταφρονήσωσι, πρὸς μετάνοιαν καταναγκασθῶσι, ἀντὶ τοῦ μετανοῆσαι ἀνάγκην ἕξουσιν, ὡς ἡμαρτηκότες μοιχείαν, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν τὴν λέγουσαν, ὅτι ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ χωρὶς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται. ἔδοξε δὲ τῇ συνόδῳ καὶ αἰτῆσαι νόμον, περὶ τοῦ μὴ λύεσθαι τοὺς γάμους ἀναιτίως, γενέσθαι βασιλικόν. F εὐαγγελικὴν δὲ καὶ ἀποστολικὴν ἐπιστήμην τὴν τοῦ κυρίου διαταγὴν φασι, καὶ τὴν τοῦ μεγάλου Παύλου διδασκαλίαν. ὁ μὲν γὰρ κύριος, οὓς ὁ θεὸς συνέζευξε, φησιν, ἄνθρωπος μὴ χωριζέτω. ὁ δὲ μακάριος Παῦλος· δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.

ΑΡΙΣΤ. Τεμνόμεναι συζυγίαι, εἰ μὴ καταλλάττοιντο, μενέτωσαν οὕτως· εἰ δὲ μὴ, πρὸς μετάνοιαν ἀναγκάζονται.

Ἤρεσε τῇ συνόδῳ ταύτῃ, κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν, μή τινα τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλλειν ὡς

Bals. Contentio quædam inter duas Eccleſias orta erat; & conſtitutum eſt ut pax fiat.

Zonar. Inter Romanos atque Alexandrinos controverſia quædam eo tempore videtur exorta. De ea re literas ad Innocentium tunc temporis Romanæ Eccleſiæ Præſulem mittere hæc Syn. ſtatuit; ut controverſiæ ſcilicet tollerentur, páxque inter eas Eccleſias ex præcepto Domini conciliaretur; Cujus illa ſunt in Evangelio: Pacem meam do vobis, Pacem meam relinquo vobis; Et alibi, Pacem habete in vobis & omnibus.

Arist. *Viſum eſt, ut literæ ad Innocentium mittantur, ut Romana & Alexandrina Eccleſia pace inter ſe invicem fruantur.*

Propter incidentes inter Romanorum & Alexandrinorum Eccleſiam diſſentiones, placuit ut à Synodo ad Papam Innocentium mitterentur literæ, ut utraque Eccleſia pacem inter ſe ſervarent.

Canon CV.

De iis, qui uxores aut quæ maritos dimittunt, ut ſic maneant. Placuit, ut ex Evangelica & Apoſtolica diſciplina, neque qui ab uxore relictus eſt, nec quæ à marito dimiſſa eſt, alii conjungantur; ſed vel ſic maneant, vel ſibi reconcilientur: quòd ſi neglexerint, ad pœnitentiam cogantur. Quæ in re Imperialem legem edi petendum eſt.

Bals. Præſens quidem Synodus, quæ ſtatuit alii non eſſe conjungendam, quæ à ſuo conjuge diſceſſerit, & contra, nec maritum cum alia cohabitare, ſed vel conjugii expertes manere, vel reconciliari, ſuadet ut juſſu Imperatorio omnes ſic cogantur facere. Tu autem ſcias, quòd cxvii. Juſtiniani Novella, quæ ſita eſt in ſeptimo titulo xxviii. lib. aliter de matrimonii ſolutionibus ſtatuit: & lege lxxxvii. Canonem Synodi in Trullo, & quæ in eo ſunt; & multa de hoc argumento invenies. Quæ enim in hoc Canone continentur, cùm ſint multo antiquiora, exoleverunt.

Zonar. Juſtinianus Imp. in Novella, quæ lib. xxviii. tit. vii. Baſilic. ſita eſt, certas conjugii diſſolvendi cauſas enumerat; quarum nulla intercedente, divortium nullo modo fieri licere conſtituit. Hæc vero Syn. quæ multo antiquior Juſtiniano fuit, cum ex veteri cõſuetudine paſſim, quotieſcunque alteri conjugi libitum eſſet, divortio fieri animadverteret: eos, qui ſic diviſi eſſent, aut cõciliari rurſum, & manere nuptias; aut ſic manere, hoc eſt, nullo poſtea novo conjugii fœdere alligari licere decernit. Quod ſi neglexerint, ad pœnitentiam cogentur, hoc eſt, pœnitentiæ expiatione neceſſariò indigebunt, quippe qui ſe adulterio illigavêre; quemadmodum ex illis Domini verbis facile oſtenditur, Qui, inquit, uxorem ſuam dimittit, excepta fornicationis cauſa, facit eam mœchari, & qui dimiſſam ducit, mœchatur. Ac de divortiis quidem, ne ſine cauſa fiant, legis decretum ab Imper. poſtulandum eſſe, Syn. cenſuit. Evang. vero & Apoſt. diſciplinam, Chriſti Domini præceptum, magnique Pauli doctrinam intelligit. Nam ille, Quos Deus, inquit, junxit, homo non ſeparet. Beatus verò Paulus; Alligatus es uxori? noli quærere ſolutionem. Solutus es ab uxore? noli quærere uxorem.

Arist. *Conjugia ſoluta, niſi concilientur, ſic maneant: Alioquin ad pœnitentiam redigantur.*

Placuit huic Synodo, juxta Evangelicam & Apoſtolicam doctrinam, ut nemo uxorem ſuam facile dimitteret & ab eâ recederet. Si contigerit autem vel à viro vel à muliere diſcindi conjugium, & non reconcilientur, & rurſus convenire vellent; eos ita ſolutos manere & alterum conjugium non contrahere; propterea quod & qui dimiſſam duxerit adulterium committit: Si autem conjungatur, vel vir alii mulieri, vel mulier alii viro, ad pœnitentiam ducantur, & adulterii pœnis ſubjiciantur. Quære & octogeſimum ſeptimum ſextæ in Trullo Synodi Canonem, & Canonem Magni Baſilii nonum, trigeſimum quintum, quadrageſimum octavum, & ſeptuageſimum ſeptimum.

CANON CVI.

De precibus ad altare dicendis. Hoc quoque placuit, ut precationes quæ in Synodo confirmatæ ſunt, ſive præfationes, ſive commendationes, ſive manus impoſitiones, ab omnibus peragantur, & omnino aliæ adverſus fidem nunquam proferantur: ſed quæ à ſapientioribus collectæ ſunt, dicentur.

Bals. Ut eſt veriſimile, quidam Epiſcopi aggrediebantur dicere preces inuſitatas, vel in præfationibus ſive principiis doxologiarum, vel in commendationibus, ſeu in medio, vel etiam tempore manuum impoſitionis. Hoc ergo vetantes Patres, dicunt eas ſolas debere dici preces, quæ priùs conſtitutæ ſunt, ſeu quæ ſunt conſuetæ. Et hæc quidem præſens Canon. In Synodo autem hujus reginæ urbium diverſa fuerunt edicta, ſignificantia eos ſacrorum celebrandorum ſuſpenſioni eſſe obnoxios Antiſtites, qui in Nobilium & procerum defunctorum memoriis ſacrificant, & dicunt laudatorias preces cum iambis, vel etiam ſoluta oratione. Multi enim hæc facere deprehenſi ſunt. Similiter & Synodali edicto excommunicati ſunt Lectores quoque, qui in iiſdem memoriis muſica & organica cantica cantillant, & pro Epitaphio Epithalamium celebrant. Et iſti quidem rectè excommunicati ſunt. Qui autem cum pietate canunt, naturæ vim non afferentes, ſed artem & fundamentum conſequentes, injuſte excommunicantur. Nec enim lugubriter, ſed feſtivè ac panegyrice nunc dierum defunctorum memorias celebramus, Deo agentes gratias, qui dignatus eſt, ut mortuus in fide orthodoxa decederet, & ut nos eos, qui à nobis decedunt, palam & omni cum libertate ſepeliamus, & non clam, quemadmodum antehac, eos tanquam cadavera dejiceremus. Quemadmodum dicit Gregorius Theologus in invectivis ejus adverſus Julianum orationibus: quod etiamnum fit in iis, qui inter Muſulmanos habitant, Chriſtianis. Quapropter etiam cum lampadibus, & unguentis defunctum ſplendide concomitamur, ut qui per ſacrum baptiſmum ſanctificatus eſt. Idcirco etiam immaculatum plerumque canimus.

Zonar. Variæ à Sacerdotibus, inter quotidiana divinæ laudis officia, precationes adhiberentur. Initio quidem aliquæ, quas idcirco præfationes appellavêre; ſub finem aliæ, perſoluta videlicet hymnodia; quas, eo quod hymnis ſubjicerentur, iiſque perſolutis recitarentur, hypotheſes dixêre; Paratheſes alias, quippe quæ populum coram Domino conſtituerent, eique offerrent. Quæ igitur in Synodo confirmatæ, ac à ſapientioribus collectæ, quæcunque demum illæ forent, & quocunque nomine vocarentur, eas aliis omnibus rejectis adhiberi Synodus ſtatuit. Per impoſitionem vero manuum preces in eos, qui ordinibus initiabantur, uſurpatas intelligi voluit. Nam in ordinum collatione ſummus Sacerdos manibus, ejus, cui conferebat, capiti impoſitis, ſtatas preces exequi ſolitus eſt. His ergo locis omnibus, preces jam à

A ἔτυχε, καὶ χωρίζεσθαι ταύτης· εἰ δὲ συμβῇ, ἢ ἀπὸ τοῦ ἀνδρὸς, ἢ ἀπὸ τῆς γυναικὸς, διατμηθῆναι τὴν συζυγίαν, καὶ οὐ καταλλαγῶσι, καὶ συνελθεῖν αὖθις θελήσουσι, μένειν οὕτως αὐτοὺς ἀπολύτους καὶ γάμον ἕτερον μὴ συναλλάττειν· διότι καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται· εἰ δὲ συζευχθῇ ἢ ὁ ἀνὴρ ἑτέρᾳ γυναικὶ, ἢ ἡ γυνὴ ἑτέρῳ ἀνδρὶ, πρὸς μετάνοιαν ἀναχθήσονται, καὶ τοῖς τῆς μοιχείας ἐπιτιμίοις ὑποπεσοῦνται. καὶ ζήτει κανόνα ὀγδοηκοστὸν ἕβδομον τῆς ἐν τῷ τρούλλῳ ἕκτης συνόδου, καὶ τοῦ μεγάλου Βασιλείου κανόνα ἔννατον, τριακοστὸν πέμπτον, τεσσαρακοστὸν ὄγδοον, καὶ ἑβδομηκοστὸν ἕβδομον.

B ΚΑΝΩΝ ρϛʹ.

Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλουσῶν λέγεσθαι ἱκεσιῶν. Ἤρεσεν καὶ τοῦτο, ὥστε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας, εἴτε προοίμια, εἴτε παραθέσεις, εἴτε τὰς τῆς χειρὸς ἐπιθέσεις, ἀπὸ πάντων ἐπιτελεῖσθαι, καὶ παντελῶς, ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προσενεχθῆναι, ἀλλ' αἵ τινες δήποτε ἀπὸ τῶν συνετωτέρων συνήχθησαν, λεχθήσονται.

ΒΑΛΣ. Ὡς ἔοικε, τινὲς ἐπίσκοποι ἐπεχείρουν λέγειν εὐχὰς ἀσυνήθεις, ἢ κατὰ τὰ προοίμια τῶν θείων δοξολογιῶν, C ἤγουν εἰς τὰς ἀρχὰς, ἢ κατὰ τὰς παραθέσεις, ἤγουν ἐν τῷ μέσῳ, ἢ κατὰ καιρὸν τῶν χειροτονιῶν. κωλύοντες οὖν τοῦτο οἱ πατέρες, φασὶ μόνας ἐκείνας τὰς εὐχὰς λέγεσθαι τὰς προκεκυρωμένας, ἤτοι τὰς συνήθεις. καὶ ὁ μὲν παρὼν κανὼν ταῦτα, ἐν δὲ τῇ συνόδῳ τῆς βασιλευούσης ταύτης τῶν πόλεων διάφορα γεγόνασι σημειώματα, ἀφορισμῷ ἀλειτουργησίας καθυποβάλλοντα τοὺς ἐν τοῖς μνημοσύνοις τῶν ἀποιχομένων εὐγενῶν καὶ μεγιστάνων ἱερουργοῦντας ἀρχιερεῖς, καὶ λέγοντας ἐπαινετηρίους εὐχὰς, μετὰ ἰαμβείων ἢ καὶ λογοειδῶς. πολλοὶ γὰρ ἐφωράθησαν τοιαῦτα ποιοῦντες. ὡσαύτως ἀφωρίσθησαν διὰ συνοδικοῦ σημειώματος καὶ οἱ ἀναγνῶσται, οἱ κατὰ τὰ αὐτὰ D μνημόσυνα μουσικὰ λέγοντες καὶ ὀργανικὰ μινυρίσματα, καὶ ποιοῦντες τὸν ἐπιτάφιον ἐπιγάμιον. καὶ αὐτοὶ μὲν καλῶς ἀφωρίσθησαν. οἱ δὲ μετ' εὐλαβείας ψάλλοντες, μὴ παραβιαζόμενοι τὴν φύσιν, ἀλλ' ἐξακολουθοῦντες τῇ τέχνῃ καὶ τῷ θεμελίῳ, κακῶς ἀφορίζονται. οὐδὲ γὰρ πενθικῶς ἀλλ' ἑορταστικῶς καὶ πανηγυρικῶς τελοῦμεν σήμερον τὰ τῶν ἀποιχομένων μνημόσυνα, εὐχαριστοῦντες τῷ θεῷ, τῷ εὐδοκήσαντι μετὰ τῆς ὀρθοδόξου πίστεως ἐκδημῆσαι τὸν τελευτήσαντα, καὶ ἡμᾶς ἀπαρακαλύπτως θάπτειν καὶ μετὰ πάσης ἀδείας τοὺς ἐξ ἡμῶν ἐκδημοῦντας, καὶ μὴ ῥίπτειν αὐτοὺς λαθραίως, ὡς πτώματα, καθὰ καὶ τὸ πρότερον. καθά φησιν ὁ θεολόγος E Γρηγόριος, ἐν τοῖς κατὰ Ἰουλιανοῦ στηλιτευτικοῖς λόγοις αὐτοῦ· ὃ καὶ νῦν γίνεται ἐν τοῖς μετὰ τῶν μουσουλμάνων οἰκοῦσι Χριστιανοῖς. διὸ καὶ λαμπρῶς προπεμπεύομεν τὸν ἐξοδευόμενον μετὰ λαμπάδων καὶ μύρων, ὡς ἡγιασμένον διὰ τοῦ ἁγίου βαπτίσματος. διὸ καὶ τὸν ἄμωμον ψάλλομεν ὡς ἐπὶ τὸ πλεῖστον.

ΖΩΝΑΡ. Αἱ παρὰ τῶν ἱερέων λεγόμεναι εὐχαὶ ἐν ταῖς πρὸς θεὸν ὑμνῳδίαις διάφοροί εἰσιν. αἱ μὲν γὰρ προλέγονται, ἃς καὶ προοίμια εἶπον· αἱ δὲ ἐπιλέγονται μετὰ F τὴν ὑμνῳδίαν, ἃς ὑποθέσεις ἐκάλεσαν, ὡς ὑποτιθεμένας τοῖς ὕμνοις, καὶ μετ' αὐτοὺς λεγομένας, τὰς δὲ παραθέσεις ὠνόμασαν, ὡς παρατιθεμένας τὸν λαὸν τῷ κυρίῳ. τὰς οὖν κεκυρωμένας ἐν τῇ συνόδῳ λέγεσθαι ὁρίζει ἡ σύνοδος, ὁποῖαι ἂν εἶεν, καὶ ὡς ἂν καλοῖντο, καὶ μὴ ἑτέρας προσφέρεσθαι, ἀλλὰ τὰς παρὰ τῶν συνετωτέρων συναχθείσας λέγεσθαι. διὰ δὲ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἐν χειροτονίᾳ εὐχῶν ἐμνημόνευσεν. ἐν γὰρ ταῖς χειροτονίαις ὁ ἀρχιερεὺς ἐπιτιθεὶς τὴν χεῖρα τῇ τοῦ χειροτονουμένου κεφαλῇ, οὕτω τὰς εὐχὰς ἐπιλέγει. ἐν πᾶσιν οὖν τοῖς εἰρημένοις ἐκείνας ὁρίζει λέγεσθαι, τὰς ἤδη κυρωθείσας εὐχὰς, καὶ μὴ νέας παρά τινων εἰσαγομένας κατὰ τῆς πίστεως. ἃ γὰρ οὐκ ἐδοκίμασαν οἱ πατέρες ἀμφίβολα εἰσι. φόβος δὲ ὑποτρέχειν ἐν τοῖς τοιούτοις, μήποτε καὶ ἀσεβῆ ὦσί τινα καὶ κατὰ τῆς πίστεως. διὸ καὶ ἀποβάλλεται τὰ νέα ἡ σύνοδος.

ΑΡΙΣΤ. Ηρεσε τὰς κεκυρωμένας ἐν τῇ συνόδῳ ἱκεσίας ἀπὸ πάντων ἐπιτελεῖσθαι, εἴτε προοίμια, εἴτε παραθέσεις, εἴτε χειρῶν ἐπιθέσεις· καὶ παντελῶς ἄλλας κατὰ τῆς πίστεως μηδέποτε προσενεχθῆναι.

Τὰς παρὰ τῶν συνόδων κεκυρωμένας γραφὰς, καὶ τὰς εὐχὰς, ἃς ἡ ἐκκλησία παρέλαβε, πάντες ἐπιτελεῖν ὀφείλουσιν, ἤγουν τὰς ἄχρι τοῦ εὐαγγελίου ὑμνῳδίας, καὶ ἀναγνώσεις τῶν ἱερῶν γραφῶν, εἴτε παραθέσεις, τουτέστι τὰς ἐπὶ τοῖς κατηχουμένοις εὐχὰς, δι᾽ ὧν αὐτοὺς τῷ κυρίῳ παρατιθέμεθα· εἴτε ἐπιθέσεις χειρῶν, ἤτοι τὰς γινομένας πρὸς τὸν λαὸν εὐλογίας τῇ τοῦ ἐπισκόπου χειρί.

ΚΑΝΩΝ ρζʹ.

Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων. Ἤρεσεν, ἵνα ὁστισδήποτε ἀπὸ τοῦ βασιλέως διάγνωσιν δημοσίων δικαστηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς στερηθείη· ἐὰν δὲ κρίσιν ἐπισκοπικὴν ἀπὸ τοῦ βασιλέως αἰτήσῃ μηδὲν αὐτῷ ἐμποδίσοι.

ΒΑΛΣ. Σαφής ἐστιν ὁ παρὼν κανών. διορίζεται καθαιρεῖσθαι τοὺς παραιτουμένους τὸ ἐκκλησιαστικὸν δικαστήριον, καὶ ζητοῦντας ἀπὸ τοῦ βασιλέως δικάσαι τὰς αὐτῶν ὑποθέσεις δημοσίους δικαστὰς ἤτοι πολιτικούς· τοὺς δὲ ποριζομένους βασιλικὰς προστάξεις χάριν τοῦ δικάσασθαι παρὰ ἐπισκόποις, οὐ θέλει βλάπτεσθαι. ἀνάγνωθι καὶ τὸν ιεʹ. κανόνα τῆς παρούσης συνόδου, καὶ τὴν αὐτοῦ ἑρμηνείαν. λέγει γὰρ καὶ οὗτος τὰ αὐτὰ πλατύτερον. καὶ σημείωσαι, ὅτι οὐδὲ μετὰ βασιλικῆς προστάξεως δύναται ἱερωμένος παραιτεῖσθαι τὸ ἐκκλησιαστικὸν δικαστήριον, ἀλλὰ τοῦτο ποιῶν καθαιρεῖται. τί δὲ, ἐὰν λαϊκὸς διὰ προστάξεως βασιλικῆς ἑλκύσῃ ἱερωμένον εἰς πολιτικὸν δικαστήριον, προκριματισθήσεται; Λύσις. τινὲς λέγουσι μήτε προκριματίζεσθαι τοῦτον, μήτε χώραν ἔχειν ἐνταῦθα τὴν τοῦ φόρου παραγραφήν. ἐμοὶ δὲ δοκεῖ ὁ οὕτως ἐναγαγὼν λαϊκὸς, ἤγουν διὰ προστάξεως, οὐ προκριματισθήσεται μὲν, ὡς εἰς ἀπρόσφορον δικαστήριον ἑλκύσας τὸν ἱερωμένον· ἀναγκασθήσεται δὲ, εἴπερ ὑπόθεσις ἐστὶν ἐκκλησιαστικὴ, εἰς τὸ ἐκκλησιαστικὸν δικαστήριον ἀπαντῆσαι, ὅτι καὶ βασιλικὰ προστάγματα πρὸς νόμους καὶ κανόνας ἐκλαμβάνονται καὶ ἑρμηνεύονται. οὕτω νόει μοι καὶ τὸ ιζʹ. κεφ. τοῦ αʹ. τίτλου τοῦ τρίτου βιβλίου, λέγον, ἀλλ᾽ οὐδὲ ὑπέρ τινος χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπίσκοπον, πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν, ἄκοντα ἢ διάγεσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν.

ΖΩΝΑΡ. Διάφοροι κανόνες ὥρισαν τοὺς ἐπισκόπους παρὰ ταῖς συνόδοις τῶν ἐπαρχιῶν δικάζεσθαι, καὶ τοὺς κληρικοὺς παρὰ τοῖς ἐπισκόποις αὐτῶν. εἰ δέ τις, φησὶν ὁ κανὼν οὗτος ἱερωμένος ὢν, προσέλθῃ τῷ βασιλεῖ αἰτῶν διάγνωσιν δημοσίων δικαστηρίων, ἤτοι πολιτικῶν καὶ ἀρχοντικῶν, στερηθήσεται τῆς ἰδίας τιμῆς ἀντὶ τοῦ, καθαιρεθήσεται· ἐὰν δὲ βασιλεῖ προσελθὼν, ἐπισκοπικὸν αἰτήσῃ δικαστήριον, ἤγουν συνέλευσιν ἐπισκόπων κατὰ βασιλικὴν πρόσταξιν γινομένην καὶ διαγνωμονήσουσαν, οὐ βλαβήσεται περὶ τὴν ἐπιτιμίαν. ἀνάγνωθι τῆς τετάρτης συνόδου κανόνα θʹ.

ΑΡΙΣΤ. Δημοσίαν κρίσιν ὁ παρὰ βασιλέως αἰτῶν, οὐκ ἐπίσκοπος.

Ἐπίσκοπος, ἢ κληρικὸς, ἐπ᾽ ἐγκλήμασιν αἰτιώμενος, καὶ τὸ ἐκκλησιαστικὸν παραιτούμενος δικαστήριον, καὶ παρὰ βασιλέως αἰτῶν κοσμικοὺς δικαστὰς, τῆς ἰδίας τιμῆς στερηθήσεται.

A Synodo confirmatas adhiberi; novas autem, quæ ab aliquibus contra fidem invehuntur, repudiari omnino jubet. Quæ enim Patrum judicio non sunt probata, dubia sunt; proindéque, ne aliquid à pietate fideque alienum contineant, metuendum. Idcirco nova Synodus abrogavit.

Arist. *Placuit, ut preces in Synodo confirmatæ ab omnibus peragantur, sive præfationes, sive commendationes, sive manuum impositiones: ac aliæ omnino adversus fidem nunquam proferantur.*

Scripturas à Synodis confirmatas, & preces, quas à B majoribus traditas accepit Ecclesia, omnes celebrare debent: nimirum hymnodias usque ad Evangelium, & sacrarum scripturarum lectiones, sive commendationes, hoc est, preces pro Cathecumenis factas per quas eos Domino commendamus, sive manuum impositiones vel benedictiones Episcopi manu ad populum factas.

Canon CVII.

De eis, qui publicorum seu secularium judiciorum cognitionem ab Imper. petunt. Placuit, ut quicunque publi- C *corum seu secularium judiciorum cognitionem ab Imper. petiverit, proprio honore privetur: Sin autem Episcopale judicium ab Imperatore petiverit, nihil ei obstabit.*

Bals. Præsens Canon clarus est. Statuit enim, ut deponantur, qui Ecclesiastico judicio renuntiant, & ab Imperatore petunt, ut publici seu civiles judices causas eorum judicent: eos autem, qui Imperalia mandata obtinent, ut ab Episcopis, judicentur, non vult detrimento affici. Lege etiam decimum quintum Canonem præsentis Synodi & ejus interpretationem: is enim de his fusiùs loquitur. Et nota, quòd nec cum mandato Imperiali potest D sacratus Ecclesiastico juri renunciare: sed si hoc faciat, deponitur. Quid autem si Laicus Imperialia mandata in civile judicium eum, qui est sacratus, traxerit; eíne fiet præjudicium? Solutio. Dicunt nonnulli eum nullo præjudicio affici, nec locum hîc habere fori præscriptionem. Mihi autem videtur, quòd qui sic actionem intentavit Laicus, per mandatum scilicet Imperiale, præjudicio quidem non afficietur, tanquam qui sacratum ad judicium incompetens traxerit: cogetur tamen, si causa est Ecclesiastica, se in Ecclesiastico judicio sistere; quia Imperialia mandata secundùm leges & Canones accipiuntur & exponuntur. Ita mihi intellige E etiam xvii. cap. primi tituli, iii. libri, quod dicit; Sed nec pro ulla pecuniaria vel criminali causa Episcopum, Magistratum civilem vel militarem, invitum vel produci vel sisti permittimus sine Imp. madato.

Zonar. Ut Episcopi à provinciali Synodo, Clerici à suis Episcopis judicentur, multorum Can. decreto constitutum est. Hic vero Can. Si quis, ait, sacro ordine initiatus Imperatorem adeat, ac suæ causæ cognitionem publicis judiciis, hoc est, politicis & secularibus Magistratibus, committi postulet, proprio honore privabitur, hoc est, deponetur: Si vero ad Imper. accedens, Episcopale ab eo judicium postulaverit; hoc est, causam suam in con- F ventu Episcoporum Imperatoris auctoritate habendo cognosci velit, nullam dignitatis suæ jacturam ex ea re faciet. Vide quartæ Synodi Canonem nonum.

Arist. *Qui publicum judicium ab Imperatore postulat, non est Episcopus.*

Episcopus vel Clericus criminibus acccusatus & Ecclesiasticum recusans judicium, & ab Imperatore seculares judices petens honore suo privabitur.

A

Canon CVIII.

De iis qui in Africa non communicant, & volunt trans mare ſe ſubducere. Quicunque in Africa non communicans, in tranſmarinas partes ad communicandum ſe ſurripuerit, jacturam Clericatûs ſuſtinebit.

Bals. Eos, qui ab Eccleſiis in Africa clanculùm defecerunt, & in tranſmarinis Eccleſiis, ſeu Romæ, ſacrificant, deponi jubet Canon. Nota ergo, quòd qui ſine commendatitiis & dimiſſoriis literis B in aliena regione ſacrificant, erunt excommunicati, id eſt, prohibebuntur celebrare.

Zonar. Si quis, inquit, in Africa, Epiſcopi ſui communione repudiata, ſe illinc ſecretò ſubduxerit, atque in tranſmarinas regiones, communionis evitandæ cauſa, tranſmearit, Clericatu mulctabitur, hoc eſt, à Clero excidet, omnémque Clericalis dignitatis honorem amittet.

Arist. *Qui in Africâ communione privatur, ad tranſmarinas partes ſe ſurripiens, ut ibi communicet, Clero excidit.* C

Epiſcopus vel Clericus in Africâ ſegregatus, ſi trans mare ſe conferens ſive diſcedens, Epiſcopos ibi conſtitutos ſubdole alliciat, & ad communionem eum admittant, gradus ſui jacturâ damnabitur.

Canon CIX.

Ut qui in comitatum proficiſcuntur, & Carthaginenſi & Romano Sacerdoti cauſam ſuam curent oſtendere. Placuit, ut quicunque in comitatum proficiſci voluerit, D *in dimiſſoria, quæ ad Eccleſiam Romanam mittitur, intimetur; & ut illinc præterea accipiat literas in comitatum. Quare ſi quis, accepta dimiſſoria ad Romam tantùm, prætermiſſa neceſſitate, propter quam oportet eum in comitatum proficiſci, voluerit rectà ire in comitatum, communione movebitur: Sin autem illic Romæ repentina exorta fuerit neceſſitas eundi in comitatum, ipſam Romano Epiſcopo neceſſitatem oſtendat, & deferat reſcriptum ipſius Romæ Epiſcopi. Dimiſſoriæ autem, quæ à Primatibus vel quibuſcunque Epiſcopis dantur propriis Clericis, diem* E *Paſchæ habeant: Si autem dies Paſchæ ejus anni ſit incertus, ejus quod præceſſit adjungatur; quomodo ſolet ſcribi poſt Conſulatum in iis quæ publicè geſta ſunt. Placuit autem & illud, ut adverſus Donatiſtas & Græcos, & eorum ſuperſtitiones, miſſi Legati ex hac venerabili Synodo quicquid utile animadverterent, ab illuſtriſſimis Imperatoribus petant. Placuit præterea omnium Epiſcoporum rogatu, ut omnibus quæ dari debent ex hac Synodo Epiſtolis tua Sanctitas ſola ſubſcribat. Et ſubſcripſerunt. Aurelius Epiſcopus Carthaginenſis Eccleſiæ præſenti decreto conſenſi, & lecto ſubſcripſi.* F *Similiter & reliqui Epiſcopi ſubſcripſerunt.*

Bals. Præſens Canon decernit, cum literis dimiſſoriis Primatis ſeu Metropolitani proficiſci Epiſcopos in comitatum, ſeu ubi eſt Comes vel Imperator. Quædam alia quoque decernit ſpecialiter, & quæ non ſunt in commune utilia; & propterea nec expoſita quidem ſunt.

ΚΑΝΩΝ ρη'.

Περὶ τῶν ἐν Αφρικῇ μὴ κοινωνούντων, καὶ θελόντων πέραν τῆς θαλάσσης ὑποσυρῆναι. ὁστισδήποτε μὴ κοινωνῶν ἐν τῇ Αφρικῇ, εἰς τὰ περαματικὰ πρὸς τὸ κοινωνεῖν ὑφερπύσει, τὴν ζημίαν τῆς κληρώσεως ἀναδέξεται.

ΒΑΛΣ. Τοὺς ἀποστάντας ἀπὸ τῶν ἐν τῇ Αφρικῇ ἐκκλησιῶν, λάθρα καὶ εἰς τὰς περαματικὰς ἐκκλησιας, ἤγουν ἐν τῇ Ῥώμῃ, ἱερουργοῦντας, καθαιρεῖσθαι ὁ κανὼν φησιν. ὥστε σημείωσαι, ὅτι οἱ δίχα συστατικῆς καὶ ἀπολυτικῆς γραφῆς ἱερουργοῦντες εἰς ἑτέρας ἐνορίας, ἀκοινώνητοι ἔσονται, τουτέστι κωλυθήσονται τῆς ἱερουργίας.

ΖΩΝΑΡ. Εάν τις, φησὶν, ἀποστὰς τῆς κοινωνίας τοῦ ἐπισκόπου αὐτοῦ ἐν τῇ Αφρικῇ μεταστῇ ἐκεῖθεν λάθρα, καὶ εἰς τὰ πέραν τῆς Αφρικῆς ἀπέλθοι, ἵνα μὴ ἀπαιτοῖτο συγκοινωνεῖν, ζημιωθήσεται περὶ τὴν κλήρωσιν αὐτοῦ, τουτέστιν, ἐκπεσεῖται τοῦ κλήρου καὶ τῆς διὰ τὸ κληρικὸς εἶναι τιμῆς.

ΑΡΙΣΤ. Ο ἐν τῇ Αφρικῇ ἀκοινώνητος, τοῖς πέραν ὑφέρπων πρὸς κοινωνίαν, ἀκλήρωτος.

Ο ἐν τῇ Αφρικῇ ἀφωρισμένος, ἐπίσκοπος, ἢ κληρικὸς, ἐὰν πέραν θαλάσσης ὑφέρπων, ἤγουν ἀπερχόμενος, τοὺς ἐκεῖσε ἐπισκόπους ὑποσύρῃ, καὶ εἰς κοινωνίαν αὐτὸν προσδέξωνται, τὸν βαθμὸν αὐτοῦ ζημιωθήσεται.

ΚΑΝΩΝ ρθ'.

Ινα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι, τὴν αἰτίαν ἑαυτῶν καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ Ῥωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι. ἤρεσεν, ἵνα ὁστισδήποτε πρὸς τὸ κομιτάτον πορευθῆναι θελήσοι, ἐν τῇ ἀπολυτικῇ, τῇ ἐπὶ τῇ ἐκκλησίᾳ Ῥώμης πεμπομένῃ, κατάδηλος γένηται, καὶ ἵνα ἐκεῖθεν ἔτι μὴν ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτάτον. διὸ ἐὰν λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ῥώμην μόνον, σιωπήσας τὴν ἀνάγκην, δι᾽ ἣν εἰς τὸ κομιτάτον αὐτὸν χρὴ πορευθῆναι, θελήσῃ εὐθέως εἰς τὸ κομιτάτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας. ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ῥώμῃ αἰφνιδία ἀνάγκη ἀναφυῇ τοῦ ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἐμφανίσῃ αὐτὴν τὴν ἀνάγκην τῷ ἐπισκόπῳ Ῥώμης, καὶ παρακομίσῃ ἀντίγραφον τοῦ αὐτοῦ τῆς Ῥώμης ἐπισκόπου. αἱ ἀπολυτικαὶ δὲ, αἱ ἀπὸ τῶν πρωτευόντων ἢ τῶν οἱωνδήποτε ἐπισκόπων τοῖς ἰδίοις κληρικοῖς διδόμεναι, ἔχωσι τὴν ἡμέραν τοῦ πάσχα· ἐὰν δὲ ἡμέρα τοῦ πάσχα τοῦ αὐτοῦ ἐνιαυτοῦ κατάδηλος οὐκ ἔστιν, ἡ τοῦ προηγησαμένου προστεθῇ· ὃν τρόπον εἴωθε μετὰ τὴν ὑπατείαν γράφεσθαι ἐν τοῖς δημοσίοις πεπραγμένοις. ἤρεσε δὲ κἀκεῖνο, ὥστε κατὰ τῶν Δονατιστῶν καὶ τῶν Ελλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, τοὺς πεμφθέντας τοποτηρητὰς ἐκ τῆς τιμίας ταύτης συνόδου, πᾶν ὁτιοῦν χρήσιμον συνιδῶσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτήσασθαι βασιλέων. ἤρεσεν ἔτι μὴν τῇ αἰτήσει πάντων τῶν ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλέσαις δοθῆναι ἐκ τῆς συνόδου ἐπιστολαῖς ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ. καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΒΑΛΣ. Ο παρὼν κανὼν θεσπίζει μετὰ ἀπολυτικῆς γραφῆς τοῦ πρωτεύοντος ἤτοι τοῦ μητροπολίτου ἀποδημεῖν τοὺς ἐπισκόπους εἰς τὸ κομιτάτον, ἤγουν ἔνθα ἐστὶν ὁ κόμης, ἤτοι ὁ βασιλεύς. καὶ ἄλλα δέ τινα ὁρίζει ἰδικῶς καὶ μὴ κοινῇ χρησιμεύοντα· καὶ διὰ τοῦτο οὐδὲ ἡρμηνεύθησαν.

UMI

ΖΩΝΑΡ. Καὶ ἄλλοι κανόνες διάφοροι, περὶ τοῦ μὴ A ἐξεῖναι τοῖς ἐπισκόποις, χωρὶς ἐπιστολῶν ἀπολυτικῶν τῶν πρωτευόντων αὐτῶν καὶ τῆς συνόδου τῆς ἐπαρχίας ἐκείνης, ἀπιέναι πρὸς βασιλέα, ὁρίζουσιν· αὕτη δὲ καί τι πλέον ὁρίζει, τὸ τὰς ἀπολυτικὰς ἐπιστολὰς καὶ τῷ Πάπᾳ Ρώμης ἐμφανίζεσθαι. καὶ ἔοικε τοῦτο τοῖς ἐν Αφρικῇ ἐπιτάττεσθαι. ἵνα ἐμφανιζομένων τῷ Πάπᾳ τῶν ἀπολυτικῶν καὶ ἐξ ἐκείνου λάβῃ ἀπολυτικὴν ἐπὶ τὸ κομιτάτον. ἐὰν οὖν ὁ λαβών, φησιν, ἀπολυτικὴν ἀπὸ τῆς οἰκείας συνόδου, καὶ ἀπελθὼν εἰς τὴν Ρώμην, οὐκ εἴπῃ κἀκεῖ τὴν αἰτίαν δι' ἣν ἄπεισι πρὸς τὸν βασιλέα, ἀλλὰ σιωπήσας ἀπέλθῃ, ἀφορισθήσεται. ἐὰν δέ τις τῇ Ρώμῃ ἐνδημῶν σχῇ ἀνάγκην ἀναφυείσης αἰφνιδίου αἰτίας ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἵνα τῷ Ρώμης B ἀρχιερεῖ δηλώσῃ τὴν αἰτίαν, καὶ λάβῃ γραφὴν τοῦ Ρώμης ἀπολυτικήν. αἱ δὲ τῶν πρωτευόντων, φησί, γινόμεναι ἀπολυτικαὶ τοῖς ἐπισκόποις, ἢ ἐκ τῶν οἱωνδήποτε ἐπισκόπων τοῖς κληρικοῖς αὐτῶν, ἐχέτωσαν τὴν ἡμέραν τοῦ πάσχα· ἐὰν δὲ ἔτι ἄδηλός ἐστιν ἡ ἡμέρα τοῦ πάσχα τοῦ ἐνιαυτοῦ ἐκείνου, γραφέσθω ἡ τοῦ παρελθόντος πάσχα ἡμέρα. τοῦτο δὲ οἶμαι ἔδοξεν οὕτως γίνεσθαι, ἵνα κηρύττοιτο ἡ ἡμέρα τοῦ πάσχα τοῦ ἐνιαυτοῦ ἐκείνου. (ἤδη γὰρ καὶ ἐν προλαβοῦσι κανόσιν ἀπῄτησεν ἡ σύνοδος αὕτη ἐν ταῖς ἐτησίοις συνόδοις δήλην γίνεσθαι τὴν ἡμέραν τοῦ πάσχα ἑκάστου ἐνιαυτοῦ) ἢ καὶ ἵνα ὁ χρόνος, καθ' ὃν ἄπεισιν ὁ ἀπιὼν πρὸς τὸ βασίλειον, δῆλος ᾖ ὅπερ, φησίν, C εἴωθε γίνεσθαι καὶ ἐπὶ τῶν δημοσίων πράξεων. ἐν γὰρ βιβλίῳ τῶν βασιλικῶν κβʹ. τίτλ. ιʹ. γέγραπται τὰ ἀγοραῖα συμβόλαια πρωτόκολλα ἔχειν, καὶ ἐν αὐτοῖς γεγράφθαι τὰ τῶν κρατούντων ἑκάστοτε βασιλέων ὀνόματα, καὶ τὰς ὑπατείας, καὶ ὅσα ἐκεῖ ἀπαιτεῖται. ἃ ἐφ' ἡμῶν, ἐν μὲν τοῖς ἄλλοις καταπεφρόνητο, ἐν δὲ τοῖς ἐμφυτευτικοῖς ἐγγράφοις ἔτι ἐσώζετο. ἐνεδόθη δὲ τοῖς στελλομένοις πρὸς τὸν βασιλέα, ὃ ἂν νοήσωσι χρήσιμον ἤτοι ὠφέλιμον τοῖς πιστοῖς κατὰ τῶν Δονατιστῶν καὶ τῶν Ελλήνων, αἰτεῖσθαι τοῦτο ἐκ τοῦ κρατοῦντος. ἔδοξε δὲ καὶ τὰ μέλλοντα γίνεσθαι γράμματα ἐκ τῆς συνόδου ὑπογραφῆναι παρὰ τοῦ ἐπισκόπου D Αὐρηλίου.

ΑΡΙΣΤ. Ο δι' ἀνάγκην τινὰ πρὸς τὸ κομιτάτον ἀπελευσόμενος, ἐμφανῆ ταύτην ποιείτω τῷ Καρχηδόνος ἱερεῖ, καὶ τῷ Ρώμης, καὶ ἀπολυτικὴν ἐπιστολὴν λαμβανέτω, ἢ ἀκοινώνητος ἔστω. πᾶν ὁτιοῦν τοῖς τοποτηρηταῖς δόξαν χρήσιμον κατὰ Δονατιστῶν, καὶ Ελλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, αἰτείσθω ἐκ βασιλέως.

Ο ἀπὸ Αφρικῆς διὰ ἀνάγκην τινὰ μέλλων ἀπελθεῖν ἐν τῷ κομιτάτῳ, τουτέστιν, ἔνθα ὁ βασιλεύς ἐστι, κἂν E κληρικὸς ἐστι, κἂν ἐπίσκοπος, κατάδηλον τὴν αἰτίαν ποιείτω τῷ τῆς Καρχηδόνος ἐπισκόπῳ, κἀκεῖθεν γράμματα λαμβάνων, καὶ πρὸς τὸν Ρώμης παραγινόμενος, ἐμφανιζέτω ἑαυτὸν τῷ ἐπισκόπῳ Ρώμης, καὶ τὴν αἰτίαν λεγέτω δι' ἣν εἰς τὸν βασιλέα πορεύεται, καὶ τοῦ Ρώμης δοκιμάζοντος ταύτην, καὶ εὔλογον εἶναι κρίνοντος, λαμβανέτω καὶ ἐξ ἐκείνου γράμματα, προστασίαν αὐτοῦ πρὸς τὸν βασιλέα παρέχοντα. ὅστις δὲ ἢ τῶν ἐπισκόπων, ἢ τῶν κληρικῶν, ἄλλως πρὸς τὸ κομιτάτον ἀπέλθῃ, ἀκοινώνητος ἔσται. καὶ ζήτει κανόνα ἑνδέκατον τῆς ἐν Αντιοχείᾳ συνόδου, καὶ τῆς ἐν Σαρδικῇ συνόδου κανόνα θʹ. πρέσβεις ἐκ τῆς συνόδου F πρὸς τὸν βασιλέα σταλέντες ἐπίσκοποι κατὰ τῶν Ελλήνων, καὶ τῶν αἱρετικῶν, ἄδειαν ἔλαβον, πᾶν ὅτι ἂν συμφέρον τῇ καθολικῇ ἐκκλησίᾳ συνίδωσι, κατὰ τῆς θρησκείας τῶν Ελλήνων, καὶ τῶν Δονατιστῶν, τοῦτο αἰτῆσαι ἐκ βασιλέως, κἂν μὴ ἰδικῶς αὐτὸ εἶχον ἐντεταλμένον.

ZONAR. Plures quoque alii Canones, ne abſque dimiſſoriis Epiſtolis, à Primatibus & à Provinciali Synodo conceſſis, Epiſcopo cuiquam ad Imperatorem proficiſci liceat, decrevêre: Hæc vero Synodus aliquid amplius ſtatuit, nimirum ut Romano Papæ dimiſſoriæ illæ literæ oſtendantur. Quod quidem Africanis idcirco videtur imperatum, ut traditis Papæ literis ab eo dimiſſoriam alteram in Comitatum accipiant. Si quis igitur, inquit, accepta à ſua Synodo dimiſſoria, Romámque profectus, ibi quoque cauſam ſuæ ad Imperatorem itionis non indicaverit, ſed ſilentio diſceſſerit, ſegregatione punietur. Quòd ſi interea dum quis Romæ commoratur, exorta repentè cauſa, in Comitatum proficiſci neceſſe habeat; re cum Antiſtite Romano communicata, dimiſſoriam ab eo epiſtolam accipiat. Quæ vero, inquit, literæ dimiſſoriæ Epiſcopis à ſuo Primate, aut Clericis ab Epiſcopo, conceduntur, in iis dies Paſchæ ſit inſcripta: quæ ſi adhuc incerta ſit: ejus loco ſuperioris anni Paſchæ dies reponatur. Id autem ea de cauſa inſtitutum eſſe arbitror, ut ejus anni Paſchæ dies evulgaretur (eam namque jam ſuperiorum quoque Canonum decreto quotannis Synodico conventu edi hæc ipſa Synodus conſtituerat) vel etiam ut illius, qui ad Imperatorem proficiſcitur, abſentiæ tempus indicaretur; quod in Actis quoque publicis, inquit, eodem modo fieri ſolet. Nam lib. xxii. tit. x. Baſilic. ſancitum eſt, ut in forenſibus tabulis protocolla adjiciantur; in quibus Imperatoris & Conſulum ejus anni nomina, aliáque eo loco explicata, deſcribantur. Quæ quidem noſtris temporibus paſſim neglecta, in emphyteuticis tantummodo conventis adhuc ſervantur. Legatis demum, qui ad Imperatorem mittebantur, quidquid fidelibus contra Donatiſtas aut Græcos prodeſſe poſſe intellexerint, ab eo poſtulandi facta eſt facultas: quæque Synodi nomine literæ mitterentur, ut eæ Aurelii Epiſcopi chirographo munirentur, decretum eſt.

ARIST. *Qui propter aliquam neceſſitatem ad comitatum abiturus eſt, eam Carthaginenſi Sacerdoti ac Romano manifeſtam faciat, & dimiſſoriam accipiat Epiſtolam, aliter excommunicetur. Quodcunque Legatis utile videbitur contra Donatiſtas, aut Græcos, eorumque ſuperſtitiones, illud ab Imperatore petatur.*

Qui ab Africâ propter neceſſitatem aliquam in comitatum eſt abiturus, id eſt, ubi Imperator eſt, quamvis Clericus ſit aut Epiſcopus, cauſam ſuam Epiſcopo Carthaginenſi manifeſtam reddat, & ab eo literas accipiens, & ad Romæ Epiſcopum ſe conferens, Epiſcopo Romano ſe oſtendat, & cauſam dicat quare ad Imperatorem proficiſcitur: Et Epiſcopo Romano eam approbante, & juſtam eſſe judicante, accipiat & ab eo literas, dimiſſionem ejus ad Imperatorem exhibentes. Quicunque autem ſive ex Epiſcopis ſive è Clericis aliter in comitatum proficiſcetur, excommunicatus erit. Quære etiam undecimum Synodi Antiochenæ Canonem, & Canonem Synodi Sardicenſis nonum. Legati è Synodo ad Imperatorem miſſi Epiſcopi adverſus Græcos & hæreticos, licentiam acceperunt quodcunque Eccleſiæ Catholicæ commodum fore cognoverint contra Græcorum & Donatiſtarum religionem, illud ab Imperatore petere, quamvis illud peculiariter mandatum non habuerunt.

ΚΑΝΩΝ

A

CANON CX.

Synodus contra Græcos & Hæreticos. Sub Baſſo & Philippo, clariſſimis Conſulibus, A. D. xvi. Calendas Julias, Carthagin. in ſecreto Reſtitutæ Eccleſiæ. In hac Synodo Legationem ſuſcepêre Reſtitutus & Florentinus Epiſcopi adverſus Græcos & Hæreticos, in illo tempore, quo Severus & Macarius depoſiti ſunt: & propter eorum cauſam Evodius, Theaſius & Victor Epiſcopi cæſi ſunt. B

Synodus de cognitione Epiſcoporum. Sub glorioſiſſimis Imperatoribus, Honorio ſeptimùm, & Theodoſio tertiùm, Auguſtis Conſulibus A. D. xvii. Calendas Julias, Carthagin. in Secundæ Eccleſia. In hac Synodo placuit, ut unus Epiſcopus non vendicet ſibi cognitionem. Acta præſentis Syn. non ſunt ſcripta, propterea quòd ſpecialiter ob illam regionem, & non in commune peracta ſunt.

C **BALS.** Quæ in præſenti Can. ſcripta ſunt, ut ſpecialiter prolata, expoſitione non egent. Quod autem dictum eſt; Unum Epiſcopum ſibi non debere vendicare cognitionem, eſt accipiendum ſecundùm Canonem xi. præſentis Synodi.

ZONAR. Ut de Clericorum Cauſis à ſuo cujuſque Epiſcopo judicetur, nono iv. Syn. Can. conſtitutum eſt: ſi verò, vel Clericus cum Epiſcopo ſuo, vel duo inter ſe Epiſcopi quidpiam habeant controverſiæ, penes Syn. ejus rei judicium eſſe. Idem hoc Can. videtur eſſe ſancitum; ut ſi duo nimirum inter ſe Epiſcopi litigent, vel adverſus Epiſcopum Clericus actionem intendat, ne ſibi Epiſcopus quiſpiam ejus cauſæ cognitionem ſolus aſſumat; D ſed ea ad Synodi provincialis Conventum referatur.

ARIST. *Unus Epiſcopus cognitionem ſibi ne vendicet.*

Non tantum unius Epiſcopi judicium, ſed nec duo ſufficiunt ad Presbyteri vel Diaconi depoſitionem. Sed ſi Epiſcopus ſit accuſatus, ſi multi Epiſcopi convenire non poſſunt, à duodecim minimùm Epiſcopis judicabitur; Si Presbyter autem, à ſex Epiſcopis, & ſuo Epiſcopo; ſin autem Diaconus, à tribus & ſuo Epiſcopo: quemadmodum duodecimus & vigeſimus hujus Synodi Ca- E non ſtatuunt. Non igitur Epiſcopus unus, ſe judicem conſtituet in criminibus Presbyteri aut Diaconi, & ſuum defendet judicium, & ad opus illud perducet; niſi accuſati ſint è numero Clericorum, qui ſunt intra Diaconos. De iis enim & unus ſolus Epiſcopus qui loco præeſt ſtatuet, ut in fine vigeſimi Canonis præſentis Synodi decernitur.

CANON CXI.

F

Synodus adverſus Donatiſtas. Poſt Conſulatum clariſſimorum Impp. Honorii VIII. & Theodoſii III. Auguſtorum, A. D. xviii. Cal. Jul. Carthag. in Eccleſia regionis Secundæ. In hac Synodo legationem ſuſceperunt adverſus Donatiſtas Florentius, Poſidius & Venantius Epiſcopi. In hoc tempore Lex data eſt, ut libera electione unuſquiſque Chriſtianitatis exercitationem ſuſcipiat.

BALS. Duodecimus Can. Neocæſarienſis Syn. eum, qui fuerit in periculo, & ſic baptizatus eſt, non promoveri

ΚΑΝΩΝ ρι'.

Σύνοδος κατὰ τῶν ἑλλήνων καὶ αἱρετικῶν. ἐπὶ Βάσσου καὶ Φιλίππου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καὶ δεκάτῃ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτούτης ἐκκλησίας. ἐν ταύτῃ συνόδῳ πρεσβείαν ἀνεδέξαντο Ρεστιτοῦτος καὶ Φλωρέντιος οἱ ἐπίσκοποι κατὰ τῶν Ἑλλήνων καὶ τῶν αἱρετικῶν, ἐν ἐκείνῳ τῷ καιρῷ καθ' ὃν Σεβῆρος καὶ Μακάριος ἀπῃρέθησαν, καὶ διὰ τὴν τούτων αἰτίαν Εὐόδιος, Θεάσιος καὶ Βίκτωρ, οἱ ἐπίσκοποι, ἐσφάγησαν.

Σύνοδος περὶ διαγνώσεως ἐπισκόπων. ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ τρίτον, τῶν Αὐγούστων ὑπάτων, τῇ πρὸ δεκαεπτὰ καλανδῶν Ἰουλίων, εἰς Καρχηδόνα ἐν τῇ Σεκουνδῆς ἐκκλησίᾳ. εἰς ταύτην τὴν σύνοδον ἤρεσεν, ὥστε ἕνα ἐπίσκοπον μὴ ἐκδικεῖν ἑαυτοῦ διάγνωσιν. τὰ πεπραγμένα τῆς παρούσης συνόδου διὰ τοῦτο οὐκ ἐγράφη, ἐπειδὴ ἐπιχωρίως καὶ οὐ κατὰ κοινοῦ ἐπετελέσθησαν.

ΒΑΛΣ. Τὰ ἐν τῷ παρόντι κανόνι δηλωθέντα, ὡς ἰδικῶς ἐκφωνηθέντα, ἐξηγήσεως οὐ δέονται. τὸ δὲ ῥηθὲν χάριν τοῦ μὴ διεκδικεῖν ἕνα ἐπίσκοπον ἑαυτῷ διάγνωσιν, ἐκληπτέον κατὰ τὸν ἑνδέκατον κανόνα τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Ὁ ἔννατος κανὼν τῆς τετάρτης συνόδου τοὺς κληρικοὺς ὁρίζει παρὰ τοῖς οἰκείοις ἐπισκόποις δικάζεσθαι· εἰ δὲ κληρικὸς πρὸς τὸν ἐπίσκοπον αὐτοῦ ἔχει ὑπόθεσιν, ἢ ἐπίσκοπος πρὸς ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικάζεσθαι. τοῦτο οὖν ἔοικε καὶ ὁ παρὼν κανὼν διατάττειν, ὥστε ἐπισκόπων δύο δίκην ἐχόντων, ἢ κληρικοῦ κατὰ ἐπισκόπου ἐνάγοντος, μὴ ἕνα ἐπίσκοπον ζητεῖν τὴν περὶ αὐτῶν ποιεῖσθαι διάγνωσιν, ἀλλὰ τὴν σύνοδον τῆς ἐπαρχίας δικάζειν.

ΑΡΙΣΤ. Εἷς ἐπίσκοπος μὴ ἐκδικείτω ἑαυτῷ διάγνωσιν.

Οὐ μόνον ἑνὸς ἐπισκόπου διάγνωσις, ἀλλ' οὐδὲ δύο ἀρκέσουσιν εἰς καθαίρεσιν πρεσβυτέρου, ἢ διακόνου. ἀλλ' εἰ μὲν ἐπίσκοπός ἐστιν ὁ κατηγορούμενος, εἰ μὴ δυνατὸν πολλοὺς συνελθεῖν ἐπισκόπους, παρὰ δώδεκα τὸ ἐλάχιστον ἐπισκόπων κριθήσεται· εἰ δὲ πρεσβύτερος, παρὰ ἓξ ἐπισκόπων, καὶ τοῦ ἰδίου ἐπισκόπου· εἰ δὲ διάκονος, παρὰ τριῶν, καὶ τοῦ ἰδίου ἐπισκόπου. ὡς ὁ δωδέκατος κανών, καὶ ὁ εἰκοστὸς τῆς συνόδου ταύτης διαλαμβάνουσιν. οὐκ οὖν ἐπίσκοπος εἷς δικαστὴν ἑαυτὸν ἐπ' ἐγκλήμασι καταστήσει πρεσβυτέρου, ἢ διακόνου, καὶ τὴν οἰκείαν διεκδικήσει διάγνωσιν, καὶ εἰς ἔργον ταύτην ἀγάγῃ, εἰ μήπου τῶν λοιπῶν κληρικῶν εἶσιν οἱ κρινόμενοι τῶν ὑπὸ κάτωθεν διακόνων ὄντων· ἐπ' αὐτοῖς γὰρ καὶ μόνος ἐπίσκοπος εἷς, ὁ ἐντόπιος, διαγνώσεται, ὡς ἐν τῷ τέλει τοῦ εἰκοστοῦ κανόνος τῆς παρούσης συνόδου διείληπται.

ΚΑΝΩΝ ρια'.

Σύνοδος κατὰ τῶν Δονατιστῶν. μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ὄγδοον, καὶ Θεοδοσίου τὸ τρίτον, τῶν Αὐγούστων, πρὸ δεκαοκτὼ καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὴν ἐκκλησίαν τοῦ κλίματος Σεκουνδῆς. ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν ἐδέξαντο κατὰ τῶν Δονατιστῶν, Φλωρέντιος, Ποσείδιος καὶ Βενάντιος, οἱ ἐπίσκοποι. ἐν τούτῳ τῷ καιρῷ νόμος ἐδόθη, ἵνα ἐλευθέρᾳ προαιρέσει ἕκαστος τῆς Χριστιανότητος τὴν ἄσκησιν ἀναδέξηται.

ΒΑΛΣ. Ὁ ιβ'. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τὸν ἐν κινδύνῳ γινόμενον, καὶ οὕτω βαπτισθέντα, μὴ προάγεσθαι εἰς ἱερωσύνην φησί. καὶ οἱ πατέρες δὲ οὗτοι ὁρίζουσιν ἐλευθέρᾳ προαιρέσει τοὺς ἐξ αἱρέσεων τῇ πίστει προσιέναι, ἀλλὰ μὴ βίᾳ, μηδὲ ἐξ ἀνάγκης. τῆς Χριστιανότητος δὲ εἶπε τὴν ἄσκησιν, ἐμφαίνων, ὅτι Χριστιανὸς, ὁ μὴ ἀσκήσας πᾶσαν ἀρετὴν, ὀνόματι μόνῳ Χριστιανὸς λέγεται, ἀλλ' οὐ πράγματι.

ΖΩΝΑΡ. Αἱρετὴν εἶναι χρὴ τὴν ἀρετὴν, ἀλλ' οὐ βεβιασμένην, οὐδ' ἀκούσιον, ἀλλ' ἑκούσιον. διὸ καὶ τοὺς ἀναδεχομένους τὸν Χριστιανισμὸν, ἐλευθέρᾳ προαιρέσει καὶ αὐτεξουσίως ἐνομοθετήθη προσιέναι τῇ πίστει, ἀλλὰ μὴ βίᾳ, μηδ' ἐξ ἀνάγκης. τὰ γὰρ ἀναγκαστικῶς καὶ βιαίως γινόμενα, οὐ βέβαια οὐδὲ μόνιμα. διὸ καὶ ἐν τῷ ιβ'. ἡ ἐν Νεοκαισαρείᾳ σύνοδος κανόνι φησὶ, τὸν ἐν κινδύνῳ γενόμενον, καὶ οὕτω βαπτισθέντα, μὴ προάγεσθαι εἰς ἱερωσύνην. τῆς Χριστιανότητος δὲ εἶπε τὴν ἄσκησιν ὁ κανὼν, ἐμφαίνων, ὅτι τὸν Χριστιανὸν πᾶσαν δεῖ ἀσκεῖν ἀρετὴν, καὶ ἐγκρατῆ εἶναι, καὶ σώφρονα, καὶ ἀληθῆ, καὶ μετριόφρονα, καὶ πρὸ τῶν ἄλλων ἀγάπην πρὸς ἅπαντας ἐνδεικνύμενον, ὡς ὅ γε μὴ ταῦτα ἀσκήσας, ὀνόματι μόνον Χριστιανὸς λέγεται, ἀλλ' οὐ πράγματι.

ΑΡΙΣΤ. Ἐλευθέρᾳ προαιρέσει ἕκαστος τὴν ἄσκησιν ἀναδεχέσθω.

Τὸ ἀγαθὸν ἑκουσίως τις ἐργάζεται, οὐ μὴν ἀναγκαστικῶς. διὰ τοῦτο ἕκαστος καὶ τὴν ἄσκησιν, καὶ τὸν Χριστιανισμὸν, οὐ κατὰ βίαν ἀπαιτηθήσεται ἀναδέξεσθαι, ἀλλ' αὐτοπροαιρέτῳ γνώμῃ καὶ ἐλευθέρᾳ.

ΚΑΝΩΝ ριβ'.

Σύνοδος κατὰ τῆς αἱρέσεως Πελαγίου καὶ Κελεστίου. ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ονωρίου Αὐγούστου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν ὑπάτων, καλάνδαις Μαΐαις, εἰς Καρχηδόνα ἐν τῷ σηκρήτῳ τῆς Φαύστου ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου συμπάσῃ τῇ συνόδῳ προκαθίσαντος, παρεστώτων τῶν διακόνων, ἤρεσεν πᾶσι τοῖς ἐπισκόποις τῆς ἐν Καρχηδόνι ἐκκλησίας, ἁγίᾳ συνόδῳ καθεστῶσιν, ὧν τὰ ὀνόματα καὶ αἱ ὑπογραφαὶ ἐνετέθησαν, ὅτι Αδὰμ θνητὸς ἀπὸ τοῦ θεοῦ οὐκ ἐγένετο· ἵνα ὅστις δήποτε λέγῃ τὸν Αδὰμ τὸν πρωτόπλαστον ἄνθρωπον θνητὸν γενόμενον οὕτως, ὡς εἴτε ἁμαρτήσει, εἴτε μὴ ἁμαρτήσει, τεθνήξεσθαι ἐν τῷ σώματι, τοῦτ' ἔστιν ἐξελθεῖν ἐκ τοῦ σώματος, μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνάθεμα ἔστω.

ΒΑΛΣ. καὶ ΖΩΝ. Τὸν Αδὰμ ὁ θεὸς οὐ θνητὸν ἔπλασεν, οὐδὲ μέντοι ἀθάνατον, μέσον δὲ μεγέθους καὶ ταπεινότητος, καὶ αὐτεξούσιον ποιήσας αὐτὸν, εἴασεν, ὥστε ὁποτέρωσε νεύσει εἴτε πρὸς ἀρετὴν εἴτε πρὸς κακίαν, κληρώσασθαι αὐτὸν ἢ τὴν ἀθανασίαν ἢ τὴν θνητότητα. κἂν γὰρ σάρκα εἶχε καὶ τότε ὁ ἄνθρωπος, ἀλλ' οὐχ οἵαν νῦν. καὶ τοῦτο φησὶν ὁ θεόλογος Γρηγόριος, λέγων· καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον. ὥστε πρὸ τῆς παραβάσεως οὔτε παχεῖα ἦν ἡ σὰρξ τοῦ Αδὰμ, οὔτε φύσει θνητή. ἦσαν δ' οἱ λέγοντες, ὅτι θνητὸς ἐξ ἀρχῆς ἐπλάσθη καὶ θανεῖν ἔμελλε, κἂν μὴ παρέβη τὴν ἐντολὴν, καὶ οὐχὶ διὰ τὴν ἁμαρτίαν ἐπεισῆλθεν ὁ θάνατος, ἀλλὰ διὰ τὴν φύσιν τοιαύτην γεγονυῖαν ἀρχῆθεν. τῶν οὖν ταῦτα φρονούντων οἱ τῆς συνόδου ταύτης πατέρες κατεψηφίσαντο τὸ ἀνάθεμα.

ΑΡΙΣΤ. Ο τὸν πρωτόπλαστον δογματίζων καὶ δίχα τῆς ἁμαρτίας τεθνηξόμενον, διὰ ἀνάγκην τῆς φύσεως, ἤτω ἀνάθεμα.

A ad ſacerdotium dicit. Hi quoque Patres decernunt, ut hæretici ſponte liberâque electione ad fidem accedant; non autem vi, nec neceſſitate. Chriſtianitatis vero dixit exercitationem, indicans, quòd Chriſtianus, qui virtutem omnem non exercuit, nomine ſolo dicitur Chriſtianus; ſed non re.

Zonar. Virtutem libere & ex animo, non vi aut neceſſitate ſuſceptam eſſe decet, ſed voluntariam. Quicunque ergo Chriſtiani religione initiandi forent, niſi ſua ſponte ac voluntate, non vi aut neceſſitate adacti accederent, nequaquam recipi decrevêre. B Quæ enim vi ac neceſſitate ſuſcepta ſunt, nec firma, nec diuturna eſſe poſſunt. Quamobrem Neocæſariana quoque Synodus, duodecimo canone, eum qui periculo demum urgente baptizatus eſt, ſacro ordine inſigniri vetat. Chriſtianæ porro religionis exercitationem dixit, quaſi in omnium virtutum exercitatione, continentiæ, temperantiæ, veritatis, modeſtiæ, ac in primis charitatis erga omnes, Chriſtianum hominem occupatum eſſe oporteat; ut qui hæc neglexerit, nomine tenus Chriſtianus, non re cenſendus ſit.

Arist. *Liberâ quiſque voluntate pietatis exercitationem* C *ſuſcipiat.*

Bonum voluntariè quiſpiam operari debet, non autem coactè. Propterea unuſquiſque & pietatis exercitationem & Chriſtianiſmum per vim amplecti non requiretur; ſed ſpontaneâ ſuâ & liberâ voluntate.

Canon CXII.

Synodus adverſus hæreſin Pelagii & Celeſtii. Sub glorioſiſſimis Impp. Honorio Auguſto xii. & Theodoſio viii. conſulib. Cal. Maiis, Carth. in ſecreto Fauſti Eccleſiæ, Aurelio Epiſcopo univerſæ Syn. præſidente, D *adſtantibus Diaconis: Placuit omnibus Epiſcopis Eccleſiæ Carthaginenſis, in ſanctâ Synodo conſtitutis, quorum nomina & ſubſcriptiones inſertæ ſunt, quòd Adam mortalis à Deo factus non eſt: ut ſi quis dixerit Protoplaſtum Adam ita hominem factum eſſe mortalem, ut ſive peccaſſet, ſive non, eſſet in corpore moriturus, id eſt, è corpore exceſſurus, non propter meritum peccati, ſed per naturæ neceſſitatem, ſit anathema.*

E **Bals. & Zonar.** Deus Adam nec mortalem fecit, nec immortalem, ſed medium inter magnitudinem & humilitatem, & cùm eum ſuæ poteſtatis liberíque arbitrii compotem feciſſet, dimiſit: ut utrolibet, ſive ad virtutem, ſive ad vitium inclinaſſet, vel immortalitatem, vel mortalitatem ſortiretur. Etſi enim carnem tunc quoque habebat homo: non tamen qualem nunc. Et hoc ait Gregorius Theologus, cùm dicit; Pelliceas quoque veſtes induit, forte denſiorem carnem & mortalem & reſiſtentem. Quare ante tranſgreſſionem nec denſa erat caro Adami, nec natura mortalis. Fuerunt autem qui dicerent eum, & mortalem F ab initio factum eſſe, & moriturum fuiſſe, etiamſi mandatum non eſſet tranſgreſſus: & non propter peccatum ingreſſam eſſe mortem, ſed propter naturam, quæ fuit talis ab initio. Eos ergo, qui ita ſentiunt, hujus Syn. Patres anathemate damnarunt.

Arist. *Qui protoplaſtum etiam ſine peccato per naturæ neceſſitatem moriturum fuiſſe aſſerit, Anathema ſit.*

A

Canon CXII.

Quòd infantes in peccatorum remiſſionem baptizantur. Similiter placuit, ut quicunque parvos & recèns natos infantes ab utero matris baptizandos eſſe negat; vel dicit in remiſſionem peccatorum baptizari, non autem ex primi parentis Adam peccato quidquam trahere, quod debeat lavacro regenerationis purgari (unde eſt conſequens, quòd in his forma baptiſmatis in remiſſionem peccatorum non vera, ſed ficta intelligitur) ſit anathema: quoniam non aliter intelligere oportet quod ab Apoſtolo dictum eſt, B *Per unum hominem peccatum introivit in mundum, & per peccatum mors, & ſic in omnes homines pervaſit, in quo omnes peccaverunt; niſi quemadmodum catholica Eccleſia, quæ ubique diffuſa eſt & ſimplex, ſemper intellexit. Propter hanc enim fidei regulam infantes quoque, qui nullum ex ſe peccatum committere potuerunt, verè in peccatorum remiſſionem baptizantur; ut per regenerationem in eis verè mundetur, quod ab antiqua origine contraxerunt.*

C **Bals. & Zonar.** Dicebant quidam, recèns natos infantes in remiſſionem peccatorum non baptizari: eos enim non habere peccatum, cùm per naturam adhuc peccare non poſſint, ut qui bonum & malum diſcernere nequeant. Hoc ergo prohibet Syn. & eos, qui ita ſentiunt, & dicunt illos, qui ab ipſo deſcenderunt, nihil ex primi Parentis Adam peccato trahere, ut infantes ex ſancto baptiſini lavacro mundatione opus habeant, anathemati ſubjicit; dicens, quòd ex hoc conſequens eſt intelligere, quòd forma baptiſmatis in remiſſionem peccatorum non eſt vera, ſed ficta, in his ſcilicet infantibus. Deinde ſuam quoque rationem confirmat, ex magno Paulo ſententiam adducens. D Quomodo enim, inquit, aliter eſt intelligendum, quòd peccatum per unum hominem ingreſſum eſt in mundum, & per peccatum mors, & ſic in omnes homines pervenit, in quo omnes peccaverunt; niſi quemadmodum hoc intellexit catholica Eccleſia, quæ ubique diffuſa eſt & ſimplex, in toto ſcilicet mundo diſperſa fidelium multitudo?

Arist. *Qui infantes recens natos & baptizatos nihil ex Adami peccato trahere, quod baptiſmate mundari debet, aſſerit, execrandus eſt: per unum enim & mors & peccatum univerſum mundum invaſit.* E

Canon CXIII.

Quòd Dei gratia non ſolùm largitur remiſſionem peccatorum, ſed etiam præbet auxilium, ut non ampliùs peccetur. Similiter placuit, ut quicunque dixerit Dei gratiam, qua juſtificatur homo per Jeſum Chriſtum Dominum noſtrum, valere ad ſolam jam commiſſorum peccatorum remiſſionem, & non præbere præterea auxilium, ut non deinceps peccetur, ſit anathema. Quòd Dei gratia non præbet ſolam cognitionem eorum quæ oportet facere; ſed dilectionem F *præterea nobis inſpirat, ut quod cognoſcimus, etiam implere valeamus. Similiter, quicunque dixerit eandem Dei gratiam, quæ eſt per Jeſum Chriſtum Dominum noſtrum, ad hoc ſolum nos adjuvare, ne peccemus, quia per eam revelatur nobis & manifeſtatur cognitio peccati, ut ſciamus quæ quæri & quæ vitari oporteat: non autem per eam præberi, ut quod faciendum cognovimus, etiam facere diligamus & valeamus, ſit anathema. Cùm enim dicit Apoſtolus; Scientia inflat, charitas autem ædi-*

ΚΑΝΩΝ ριβʹ.

Ὅτι τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται. Ὁμοίως ἤρεσεν, ἵνα ὅστισδήποτε τὰ μικρὰ καὶ νεογέννητα ἐκ τῶν γαστέρων τῶν μητέρων βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ ἕλκειν προγονικῆς ἁμαρτίας ὃ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας (ὅθεν ἐστὶν ἀκόλουθον, ὅτι ἐν τούτοις ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθὴς, ἀλλὰ πλαστὸς νοεῖται, ἀνάθεμα εἴη· ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τῷ ἀποστόλῳ, δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος. καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὃν τρόπον ἡ καθολικὴ ἐκκλησία ἡ πανταχοῦ διακεχυμένη τε καὶ ἡπλωμένη ἀεὶ ἐνόησεν. Διὰ γὰρ τὸν κανόνα τοῦτον τῆς πίστεως καὶ οἱ μικροὶ, οἱ μηδὲν ἁμαρτημάτων εἰς ἑαυτοὺς ἔτι μὴν πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθινῶς βαπτίζονται· ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ τῆς παλιγγενεσίας, ὅπερ εἵλκυσαν ἐκ τῆς ἀρχαιογονίας.

ΒΑΛΣ. καὶ ΖΩΝ. Ἔλεγόν τινες τὰ νεογνὰ παιδία μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι· μηδὲ γὰρ ἔχειν αὐτὰ ἁμαρτίας, ἐπεὶ μηδὲ πεφύκασιν ἁμαρτάνειν, ἔτι μὴ ἔχοντα διάκρισιν τοῦ καλοῦ καὶ τοῦ χείρονος. τοῦτο οὖν ἀπαγορεύει ἡ σύνοδος, καὶ τοὺς φρονοῦντας οὕτω, καὶ λέγοντας μή τι ἐκ τῆς τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἐφέλκεσθαι τοὺς ἐξ ἐκείνου, ὥστε καθάρσεως δέεσθαι τῆς ἐκ τοῦ θείου λουτροῦ τοῦ βαπτίσματος τὰ παιδία, ποιεῖται ὑπὸ ἀνάθεμα, λέγουσα, ὅτι ἐκ τούτου ἀκολουθεῖ τὸ νοεῖσθαι, ὡς ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθής ἐστιν, ἀλλὰ πεπλασμένος, ἐν τούτοις τοῖς νεογνοῖς δηλαδή. εἶτα καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον, χρῆσιν ἐκ τοῦ μεγάλου Παύλου παράγουσα. πῶς γάρ, φησιν, ἄλλως νοητέον τὸ, δι' ἑνὸς ἀνθρώπου εἰσῆλθεν ἡ ἁμαρτία εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐν ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὡς ἐνόησε τοῦτο ἡ καθολικὴ ἐκκλησία, ἡ πανταχοῦ διακεχυμένη τε καὶ ἡπλωμένη, ἤγουν ἡ ἐν ὅλῳ τῷ κόσμῳ ἐσκεδασμένη πληθὺς τῶν πιστῶν.

ΑΡΙΣΤ. Ὁ τὰ νεογνὰ καὶ βαπτιζόμενα λέγων μηδὲν ἕλκειν ἐκ τῆς τοῦ Ἀδὰμ ἁμαρτίας ὀφεῖλον καθαρθῆναι τῷ βαπτίσματι, ἐπάρατος· διὰ γὰρ τοῦ ἑνὸς καὶ ὁ θάνατος καὶ ἡ ἁμαρτία παγκόσμιος.

ΚΑΝΩΝ ριγʹ.

Ὅτι ἡ τοῦ θεοῦ χάρις οὐ μόνον ἄφεσιν χαρίζεται ἁμαρτιῶν, ἀλλὰ καὶ βοήθειαν παρέχει τοῦ μηκέτι ἁμαρτάνειν. ὁμοίως ἤρεσεν, ἵνα ὅστισδήποτε εἴποι τὴν χάριν τοῦ θεοῦ ᾗ τινι δικαιοῦται διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, πρὸς μόνην ἄφεσιν ἁμαρτιῶν ἰσχύειν τῶν ἤδη πεπλημμελημένων, καὶ μὴ παρέχειν ἔτι μὴν βοήθειαν πρὸς τὸ μὴ ἕτερα πλημμελεῖσθαι, ἀνάθεμα εἴη. ὅτι ἡ χάρις τοῦ θεοῦ οὐ μόνον γνῶσιν παρέχει, ὧν δεῖ πράττειν, ἀλλὰ καὶ ἀγάπην ἔτι μὴν ἐμπνέει ἡμῖν, ἵνα ὃ ἐὰν ἐπιγινώσκωμεν, καὶ πληρῶσαι ἰσχύσωμεν. ὁμοίως, ὅστισδήποτε εἴποι τὴν αὐτὴν χάριν τοῦ θεοῦ, τὴν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, εἰς τοῦτο μόνον ἡμῖν βοηθεῖν, πρὸς τὸ μὴ ἁμαρτάνειν, ὅτι διὰ ταύτης ἡμῖν ἀποκαλύπτεται καὶ φανεροῦται ἡ γνῶσις τῶν ἁμαρτημάτων, ὥστε γινώσκειν ἃ δεῖ ἐπιζητεῖν καὶ ἃ δεῖ ἐκκλίνειν, οὐ μὴν δι' αὐτῆς ἡμῖν παρέχεσθαι, ἵνα ὅπερ γνῶμεν ποιητέον, καὶ ποιῆσαι ἔτι μὴν ἀγαπήσωμεν καὶ ἰσχύσωμεν, ἀνάθεμα εἴη. τοῦ γὰρ ἀποστόλου λέγοντος, ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ, ἀσεβὲς πάνυ

ἐστὶ

ἐστι πιστεύειν, πρὸς μὲν τὸ φυσιοῦν ἡμᾶς ἔχειν τὴν χάριν τοῦ Θεοῦ, πρὸς δὲ οἰκοδομὴν μὴ ἔχειν· ὁπότε ἑκάτερον δῶρόν ἐστι τοῦ Θεοῦ, καὶ τὸ εἰδέναι τί ποιεῖν δεῖ, καὶ τὸ ἀγαπᾷν τὸ ἀγαθὸν ὃ δεῖ ποιεῖν· ἵνα τῆς ἀγάπης οἰκοδομούσης, ἡ γνῶσις φυσιοῦν μὴ δυνηθῇ. ὥσπερ γὰρ ἐκ τοῦ Θεοῦ γέγραπται, ὁ διδάσκων ἄνθρωπον γνῶσιν· οὕτως ἔτι μὴν γέγραπται, ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν.

ΒΑΛΣ. καὶ ΖΩΝΑΡ. Τὴν ἐν τῷ ἁγίῳ βαπτίσματι χορηγουμένην ἡμῖν χάριν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πιστεύομεν μὴ μόνον ἄφεσιν διδόναι τῶν πεπραγμένων ἡμῖν ἁμαρτημάτων, ἀλλὰ καὶ δύναμιν πρὸς τὸ μὴ πάλιν ἡμᾶς ἁμαρτάνειν, εἰ μὴ ἡμεῖς διὰ ῥᾳθυμίαν ἐκδῶμεν ἑαυτοὺς ἁμαρτίαις· τοὺς δὲ μὴ οὕτω δοξάζοντας, ἀλλὰ μόνων τῶν ἁμαρτημάτων λέγοντας ἄφεσιν διδόναι τὸ θεῖον λουτρὸν, μὴ μέντοι καὶ πρὸς τὸ μέλλον βοήθειαν, ἀναθέματι κατεδίκασαν οἱ πατέρες. καὶ τοῦτο τινὲς ἔλεγον, ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο ἡμῖν βοηθεῖ, εἰς τὸ μὴ ἁμαρτάνειν· (δι' αὐτῆς γὰρ γνῶσιν λαμβάνομεν τίνα δεῖ ποιεῖν καὶ τίνα φεύγειν) οὐ μὴν καὶ εἰς τὸ ἀγάπην τῶν καλῶν καὶ τῆς ἀρετῆς ἐμποιεῖν ἡμῖν, ἵνα ὅπερ γνῶμεν καλὸν, τοῦτο καὶ ἀγαπήσωμεν καὶ ποιῆσαι ἰσχύσωμεν. τοὺς οὖν τοιαῦτα δοξάζοντας ἀναθεματίζει ἡ σύνοδος, λέγουσα, ὅτι καὶ ἄμφω δῶρα εἰσὶ τοῦ Θεοῦ, ἥτε γνῶσις καὶ ἡ ἀγάπη, καθὼς γέγραπται, ὁ διδάσκων ἄνθρωπον γνῶσιν, καὶ πάλιν, ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν. καὶ ἄλλως δὲ ἀσεβές ἐστι τὸ λέγειν, ὅτι γινώσκειν μὲν τὸ καλὸν δίδωσιν ἡμῖν ἡ θεία χάρις, ἀγάπην δὲ αὐτοῦ οὐκ ἐντίθησιν, οὐδὲ ἐνδυναμοῖ ἡμᾶς εἰς τὸ ἐργάζεσθαι τὸ ἀγαθὸν ἐν ἀγάπῃ αὐτοῦ. καὶ προφέρει τὰ ἀποστολικὰ ῥητὰ εἰς τὴν τοῦ λόγου κατασκευὴν, τὰ λέγοντα, ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. πῶς οὖν οὐκ ἀσεβὲς τὸ λέγειν, πρὸς μὲν τὸ φυσιοῦν, ἤγουν τὸ οἴησιν ἐμποιοῦν, συνεργεῖν ἡμῖν τὴν θείαν χάριν· πρὸς δὲ τὸ οἰκοδομεῖν μὴ ἐπικουρεῖν.

ΑΡΙΣΤ. Ὁ δοξάζων τὴν τοῦ Θεοῦ χάριν μόνην ἄφεσιν τῶν ἤδη πεπλημμελημένων ἔχειν, ἀλλὰ μὴ καὶ τῶν μελλόντων βοήθειαν· δισεπάρατος.

ΑΡΙΣΤ. Ὁ λέγων, ὅτι ἡ χάρις τοῦ Θεοῦ εἰς τοῦτο μόνον ἡμῖν βοηθῇ, τὸ εἰδέναι, τί δεῖ ποιεῖν, καὶ τί ἐκκλίνειν· ἀλλ' οὐχὶ καὶ εἰς τὸ ἀγαπᾷν τὸ ἐπιγνωσθὲν, καὶ ποιεῖν δύνασθαι, ἤτω ἀνάθεμα.

ΚΑΝΩΝ ριδʹ.

Ὅτι ἄνευ τῆς τοῦ Θεοῦ χάριτος οὐδὲν ἀγαθὸν δυνάμεθα πληροῦν. ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε εἴποι, διὰ τοῦτο τὴν χάριν ἡμῖν τῆς δικαιοσύνης δεδόσθαι, ἵνα ὅπερ ποιεῖν διὰ τοῦ αὐτεξουσίου δυνάμεθα, εὐχερεστέρως πληρῶμεν διὰ τῆς χάριτος· ὡσανεὶ καὶ εἰ ἡ χάρις μὴ ἐδίδοτο, οὐκ εὐχερῶς μὲν, ἀλλ' ὅμως ἐδυνάμεθα καὶ δίχα ἐκείνης ἔτι μὴν πληρῶσαι τὰς θείας ἐντολάς· ἀνάθεμα εἴη. περὶ γὰρ τῶν καρπῶν τῶν ἐντολῶν ὁ Κύριος οὐκ εἶπεν, χωρὶς ἐμοῦ δυσχερῶς δύνασθε ποιεῖν· ἀλλ' εἶπεν, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν.

ΒΑΛΣ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν μία καὶ αὕτη ἡ λέγουσα, ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολάς· ἡ δὲ θεία χάρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν ποιεῖ. ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ. τοῖς οὖν ταῦτα λέγουσιν ἀνάθεμα ἐπάγει ἡ σύνοδος.

ΖΩΝΑΡ. Μυρίαι δόξαι διεστραμμέναι ἦσαν, ὧν μία καὶ αὕτη ἡ λέγουσα, ὅτι αὐτεξουσίους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἵνα δυνώμεθα καὶ τῆς θείας χάριτος ἄνευ πληροῦν τὰς ἐντολάς. ἡ δὲ θεία χάρις εἰς τὸ εὐχερέστερον αὐτὰς πληροῦσθαι παρ' ἡμῶν συνεργεῖ. ἠδυνάμεθα γὰρ καὶ τῆς θείας χάριτος μὴ

A *ficat; valde impium eſt credere, ad nos quidem inflandos habere nos Dei gratiam, ad ædificationem autem non habere: quando utrumque eſt donum Dei, & ſcire quid facere oporteat, & amare bonum quod facere oportet; ut charitate ædificante, ſcientia inflare non valeat. Quemadmodum enim de Deo ſcriptum eſt, Qui docet hominem ſcientiam: ſic etiam ſcriptum eſt, Charitas ex Deo eſt.*

Bals. & Zonar. Gratiam quæ nobis in baptiſmate per Dominum noſtrum Jeſum Chriſtum ſuppeditatur, credimus non ſolùm dare nobis remiſſionem B peccatorum jam factorum; ſed etiam poteſtatem ne ampliùs peccemus, niſi nos ipſos per ſocordiam peccatis tradiderimus: eos autem, qui non ſic exiſtimant, & dicunt peccatorum tantùm remiſſionem divinum dare lavacrum, non autem etiam auxilium ad futurum, anathemate condemnarunt Patres. Hoc quoque dicebant nonnulli, quòd Dei gratia nobis fert auxilium ad non peccandum, (Per eam enim cognitionem accipimus eorum quæ facere & fugere oportet) non autem etiam ad ingenerandam honeſti virtutíſque dilectionem, ut bonum quod cognoverimus, id & amemus & facere valeamus. Eos ergo, qui hæc opinantur, Synodus anathematizat, C dicens, utrunque eſſe donum Dei, & ſcientiam & charitatem; quemadmodum ſcriptum eſt, Qui docet hominem ſcientiam; & rurſus, Charitas ex Deo eſt. Alioqui impium eſt dicere, quòd bonum quidem noſſe dat nobis Dei gratia, charitatem autem ejus non immittit, nec nobis dat vires nóſque confirmat, ut bonum in ejus dilectione faciamus. Affert autem & in dicti ſui confirmationem quod dicit Apoſtolus; Scientia inflat, charitas verò ædificat. Quomodo ergo non eſt impium dicere, ad inflandum quidem, ſeu ad vanam ingenerandum opinionem, divinam nobis gratiam conferre; ſed ad ædificandum nihil dare auxilii.

D **Arist.** in Can. cxii. *Qui Dei gratiam ſolam eorum, quæ jam commiſimus, peccatorum remiſſionem exhibere opinatur, non vero contra futura auxilium: bis execrandus eſt.*

Arist. in Can. cxiii. *Qui dicit, quòd Dei gratia ad hoc tantum nobis opitulatur, ut ſciamus, quid facere oportet, & quid effugere; ſed non etiam ut cognitum amemus, & perficere valeamus: ſit Anathema.*

Canon CXIV.

Quòd ſine Dei gratia nihil poſſumus perficere. Similiter E *placuit, ut quicunque dixerit, propterea datam eſſe nobis juſtificationis gratiam, ut quod per liberum arbitrium facere poſſumus, faciliùs per gratiam peragamus; perinde ac ſi, quamvis non data eſſet gratia, difficulter quidem, ſed tamen etiam ſine illa, divina præcepta exequi poſſumus: ſit anathema. De fructibus enim mandatorum Dominus non dixit, ſine me difficilius poteſtis facere: ſed, ſine me nihil facere poteſtis.*

Bals. Innumerabiles erant perverſæ opiniones, quarum una erat etiam quæ dicebat, quòd Deus de- F dit nobis liberum arbitrium, ut poſſemus etiam ſine divina gratia Dei mandata complere: divina autem gratia ad ea faciliùs perficienda ſuum nobis præbet auxilium. Poſſemus enim illa etiam ſine divina opem ferente gratiâ, ſed difficiliùs, exequi. Iis ergo, qui hæc dicunt, anathema inducit Synodus.

Zonar. Innumerabiles erant perverſæ opiniones, quarum una erat etiam quæ dicebat, quòd Deus dedit nobis liberum arbitrium, ut poſſemus etiam ſine divina gratia Dei mandata complere: divina autem gratia ad ea facilius perficienda ſuum nobis præbet auxilium;

Poſſemus enim illa etiam ſine divina opem ferente gratia, ſed difficilius, exequi. Iis ergo, qui hæc dicunt, anathema inducit Synodus, aſſerens, totum gratiæ eſſe divinæ, ac ſine illa nihil à nobis recte agi poſſe. Profert autem & teſtimonium Domini, dicentis; Sine me nihil omnino poteſtis facere: neque dixit, inquit, facile facere non poteſtis; ſed, nihil poteſtis facere.

Arist. *Qui prædicat, quod & ſine gratiâ difficilius quidem, ſed tamen explemus mandata; ter execrandus eſt: Dicit enim Dominus, ſine me nihil omnino facere poteſtis.*

Pelagio & Celeſtino & Neſtorio abſurda ſapiente, conſentientibus, & impiorum Manichæorum dogmata & ea quæ Synodus anathematizat ſentientibus & prædicantibus, qui eadem ſentit inter Chriſtianos non collocatur; ſed ex Eccleſiâ relegatur ut alienus, & ab eâ pariter & Deo ſegregabitur. Dicunt autem quidam impios illos, nempe Celeſtinum & Pelagium, nec Epiſcopos nec Presbyteros nec omnino de ordine Sacerdotali fuiſſe; ſed quaſi Monachos exiſtentes, & civitates pertranſeuntes & conſentientes contra veritatem, in Eccleſiam autem inſurgentes ſub Theophilo Alexandriæ Epiſcopo & Innocentio Romæ, & poſt multa certamina ab ipſis etiam Epiſcopis ſcriptis fuiſſe condemnatos. Quicunque ergo Adamum à Deo mortalem factum fuiſſe docet, & per naturæ neceſſitatem moriturum, ſive peccaſſet, ſive non; aut infantes non in peccatorum remiſſionem baptizatos dicit, ut nihil à primitivo Adami peccato attrahentes; cùm Apoſtolus hæc clamet, quod per unum hominem peccatum in mundum venit, & per peccatum mors; vel etiam ſentit baptiſmum peccatorum quidem remiſſionem largiri, non autem & præbere auxilium ne amplius peccetur, ſed noſtro ſolo conatu illud emendari; vel illud etiam admittit, & Dei gratiam nos ad mandata ipſius explenda adjuvare arbitratur; ſed docet, quod & ſine gratiâ ea perficere poſſumus, ſed cum difficultate: ſit anathema. Nec enim dixit Dominus, quod ſine me ea difficulter poteſtis facere; ſed quod ſine me nihil poteſtis facere.

Canon CXV.

Quòd non ſolùm humilis, ſed etiam vera eſt hæc vox ſanctorum; Si dixerimus, quòd peccatum non habemus, nos ipſos ſeducimus. Similiter placuit, ut quod dixit ſanctus Joannes Apoſtolus; Si dixerimus, quòd peccatum non habemus, nos ipſos ſeducimus, & veritas in nobis non eſt; quicunque ſic accipiendum exiſtimaverit, ut dicat per humilitatem non debere dicere nos non habere peccatum, non quòd verè ita eſt, ſit anathema. Proſequitur enim Apoſtolus, & ſic ſubjungit; Sin autem peccata noſtra confeſſi fuerimus, fidelis eſt & juſtus qui peccata nobis remittet, & purgabit nos ab omni injuſtitia. Ubi planè oſtenſum eſt, hoc non ſolùm humiliter, ſed etiam verè dici. Poterat enim Apoſtolus dicere; Si dixerimus, quòd peccatum non habemus, nos ipſos extollimus, & humilitas non eſt in nobis: Sed cùm dixit, Nos ipſos ſeducimus, & non eſt in nobis veritas; apertè oſtendit eum qui dicit, ſe non habere peccatum, non verum dicere, ſed mentiri.

Bals. & Zonar. Quidam id quod dicit Apoſtolus; Si dixerimus, quòd peccatum non habemus, nos ipſos ſeducimus; ſic acceperunt, quòd per humilitatem hoc oportet dicere, non per veritatem. Eos ergo, qui Apoſtoli dictum ſic interpretantur, anathemate con-

A συνεργούσης πληροῦν ταύτας, δυσχερέστερον δέ. τοῖς οὖν ταῦτα λέγουσιν ἀνάθεμα ἐπάγει ἡ σύνοδος, λέγουσα τὸ πᾶν τῆς θείας χάριτος εἶναι, καὶ ἄνευ ἐκείνης μηδὲν ἡμᾶς κατορθοῦν. φέρει δὲ καὶ μαρτυρίαν ἐκ τοῦ κυρίου, λέγοντος, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν, καὶ οὐκ εἶπε, φησιν, οὐ δύνασθε δυσχερῶς ποιεῖν· ἀλλ' οὐδὲν δύνασθε ποιεῖν.

ΑΡΙΣΤ. Ὁ κηρύττων, ὅτι καὶ δίχα τῆς χάριτος δυσχερεστέρως, ἀλλ' οὖν ἐκπληροῦμεν τὰς ἐντολάς, τρισκατάρατος· χωρὶς γὰρ ἐμοῦ, φησὶν ὁ κύριος, οὐ δύνασθε ποιεῖν οὐδέν.

B Τοῦ Πελαγίου, καὶ Κελεστίνου, καὶ Νεστορίου τοῦ ματαιόφρονος, ὁμοφρόνων γεγονότων, ἀλλὰ καὶ τὰ τῶν δυσσεβῶν Μανιχαίων φρονούντων καὶ δογματιζόντων, καὶ ταῦτα ἅπερ ἡ σύνοδος ἀναθεματίζει, οὐ ποτέ τις ταῦτα φρονήσας τοῖς χριστιανοῖς συνταχθήσεται, ἀλλὰ τῆς ἐκκλησίας ἐξοστρακισθήσεται ὡς ἀλλότριος, καὶ χωρισμὸν ἀπὸ ταύτης καὶ τοῦ θεοῦ κληρώσεται. φασὶ δέ τινες τοὺς ἀνοσίους τούτους, τὸν Κελεστῖνον δηλαδή, καὶ Πελάγιον, μήτε ἐπισκόπους, μήτε πρεσβυτέρους, μήτε ὅλως τοῦ ἱερατικοῦ γενέσθαι τάγματος· ἀλλ' ὡσανεὶ μονάζοντας ὄντας, καὶ διερχομένους τὰς πόλεις, καὶ συμφωνοῦντας κατὰ τῆς ἀληθείας, C ἐπαναστάντας δὲ τῇ ἐκκλησίᾳ ἐπὶ Θεοφίλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, καὶ Ἰνοκεντίου τοῦ Ῥώμης, καὶ μετὰ πολλοὺς ἀγῶνας ὑπ' αὐτῶν δὴ τῶν ἐπισκόπων ἐγγράφως καταkριθέντας. ὅστις οὖν τὸν Ἀδὰμ θνητὸν ἐξ ἀρχῆς ἀπὸ θεοῦ γενέσθαι δογματίζει, καὶ διὰ ἀνάγκην τῆς φύσεως τεθνηξόμενον, κἄν τε ἥμαρτε, κἄν τε μή· ἢ τὰ νήπια λέγει μὴ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζεσθαι, ὡς μηδὲν ἐκ τῆς τοῦ Ἀδὰμ προγονικῆς ἁμαρτίας ἕλκοντα· καὶ ταῦτα τοῦ ἀποστόλου βοῶντος, ὡς δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· ἢ πάλιν φρονεῖ τὸ βάπτισμα τῶν μὲν ἤδη ἡμαρτημένων δωρεῖσθαι ἄφεσιν, μὴ παρέχειν δὲ βοήθειαν καὶ εἰς τὸ μηκέτι ἁμαρτῆσαι, ἀλλ' ἐξ ἡμετέρας μόνης σπουδῆς τοῦτο κατορθοῦσθαι· D ἢ καὶ τοῦτο μὲν παραδέχεται, καὶ τὴν τοῦ θεοῦ χάριν δοξάζει ἐνισχύειν ἡμᾶς εἰς τὸ τὰς ἐντολὰς ἐκπληροῦν· διδάσκει δέ, ὡς καὶ δίχα τῆς χάριτος κατορθοῦν αὐτὰς ἠδυνάμεθα, πλὴν μετὰ δυσχερείας, ἤτω ἀνάθεμα. οὐδὲ γὰρ εἶπεν ὁ Κύριος· ὡς χωρὶς ἐμοῦ, δυσχερῶς δύνασθε ποιεῖν αὐτάς· ἀλλ', ὅτι, χωρὶς ἐμοῦ οὐδὲν δύνασθε ποιεῖν.

ΚΑΝΩΝ ριε΄.

Ὅτι οὐ μόνον ταπεινή, ἀλλὰ καὶ ἀληθινὴ ἡ φωνὴ τῶν ἁγίων ἐστὶν αὕτη, ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς E πλανῶμεν. ὁμοίως ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ ἀπόστολος· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν· ὁστισδήποτε οὕτως παραληπτέον νομίσει, ὡς εἰπεῖν διὰ ταπεινοφροσύνην μὴ ὀφείλειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, οὐχ ὅτι ἀληθῶς οὕτως ἐστίν, ἀνάθεμα εἴη. ἐπακολουθεῖ γὰρ ὁ ἀπόστολος καὶ προσζεύγνυσιν οὕτως, ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας. ἔνθα πάνυ δεδήλωται τοῦτο μὴ μόνον ταπεινοφρόνως, ἀλλ' ἔτι μὴν ἀληθινῶς λέγεσθαι. ἠδύνατο γὰρ ὁ F ἀπόστολος εἰπεῖν, ἐὰν εἴπωμεν, οὐκ ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ἐξυψοῦμεν, καὶ ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστιν· ἀλλ' εἰπών, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστι, πάνυ ἀπέδειξεν τὸν λέγοντα ἑαυτὸν μὴ ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν, ἀλλὰ ψεύδεσθαι.

ΒΑΛΣ. καὶ ΖΩΝ. Τινὲς τὸ ἀποστολικὸν ῥητόν, τὸ λέγον ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, οὕτως ἐξελάμβανον, ὅτι διὰ ταπεινοφροσύνην δεῖ τοῦτο λέγειν, καὶ οὐ πρὸς ἀλήθειαν. τοὺς οὖν οὕτως ἑρμηνεύοντας τὰ εἰρημένα τῷ ἀποστόλῳ ἀναθέματι καταδικάζουσιν οἱ πατέρες, λέγοντες·

λέγοντες· ὅτι ἐκ τῶν ἑξῆς ῥημάτων τῆς ἐπιστολῆς δείκνυται προδήλως τοῦ ἀποστόλου ἡ ἔννοια ἐπάγοντος· ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, καὶ ὅσα ἐφεξῆς. καὶ ὁ Δαβὶδ δὲ λέγει, ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. εἰ μὴ γὰρ ὁ νόμος ἐπεκούρει τῷ γάμῳ, ἁμαρτία ἂν ἐλογίζετο ἡ μίξις, φιλοσαρκίαν καὶ ὄρεξιν σαρκικὴν ἔχουσα κινοῦσαν εἰς αὐτήν, κἂν διὰ παιδοποιΐαν γίνηται. διὸ καὶ ἐν ἁμαρτίαις, εἶπεν ὁ Δαβίδ, ἐκίσσησέ με ἡ μήτηρ μου. εἰ γὰρ αἰτίαν ἔχει τὴν τῆς σαρκὸς ἐπιθυμίαν τῶν σωμάτων ἡ γένεσις, τοιαῦτα πάντως καὶ τὰ ἐξ αὐτῶν γεννώμενα.

ΑΡΙΣΤ. Ὁ, τοῦ θεολόγου λέγοντος· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτία ἐν ἡμῖν οὐκ ἔστιν, ἑαυτοὺς ἀπατῶμεν, παρερμηνεύων, ὅτι οὐκ ἀληθῶς, ἀλλὰ ταπεινοφρόνως εἴρηκε τοῦτο· ἀνάθεμα.

Ἐπειδὴ πάντες ἐν ἁμαρτίαις ἐσμέν, καὶ οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου οὐδ᾽ ἂν μία ἡμέρα ὅλος ὁ βίος αὐτοῦ ἐστιν· ἀναθέματι ἔσται ἔνοχος ὁ λέγων, ταπεινοφρόνως, καὶ μὴ ἀληθῶς παρὰ τοῦ ἀποστόλου εἰρῆσθαι τό, ἐὰν γὰρ διὰ ταπεινοφροσύνην τοῦτ᾽ εἴρηκεν, οὐκ ἂν εἶπεν, ὅτι ἑαυτοὺς ἀπατῶμεν, ἀλλὰ ὑψοῦμεν· ἐκεῖνος γὰρ ἀπατᾷ ἑαυτὸν ὁ πλανώμενος καὶ ψευδόμενος, οὐ μὴν ὁ τὴν ἀλήθειαν λέγων.

ΚΑΝΩΝ ρις΄.

Ὅτι ἐν τῇ δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν λέγουσιν· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε εἴποι, ἐν τῇ δεσποτικῇ εὐχῇ διὰ τοῦτο λέγειν τοὺς ἁγίους, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὅτι ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ᾽ ὅτι ὑπὲρ ἄλλων τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρτωλῶν, καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων, ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ᾽ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· ὡς ὑπὲρ ἄλλων τοῦτο μᾶλλον ἢ ὑπὲρ ἑαυτοῦ τὸν δίκαιον αἰτοῦντα νοεῖσθαι· ἀνάθεμα εἴη. ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ ἀπόστολος, ὅτε ἔλεγεν, ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες. ἐπεὶ διὰ τί προστέθειται τὸ πάντες, εἰ μὴ ἵνα ἡ ἔννοια αὕτη ἁρμοσθῇ καὶ τῷ ψαλμῷ, ὅπου ἀναγινώσκεται, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν· καὶ ἐν τῇ εὐχῇ τοῦ σοφωτάτου Σολομῶντος· οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἥμαρτεν· καὶ ἐν τῇ βίβλῳ τοῦ ἁγίου Ἰώβ, τὸ ἐν χειρὶ παντὸς ἀνθρώπου, σημαίνει, ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ. ὅθεν ἔτι μὴν ὁ ἅγιος Δανιήλ, ἐν τῇ προσευχῇ πληθυντικῶς λέγων τὸ ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ λοιπά, ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμολογεῖ· ἵνα μὴ νομισθείη, ὥς τινες νοοῦσι, τοῦτο μὴ περὶ τῶν ἰδίων, ἀλλὰ περὶ τῶν τοῦ λαοῦ αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν, μετὰ ταῦτα εἶπεν, ὅτι εὐχόμην καὶ ἐξομολογούμην τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου κυρίῳ τῷ θεῷ μου. οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπεν καὶ ἑαυτοῦ· ἐπειδὴ μέλλοντας τοῦτο οὕτως κακῶς νοεῖν ὡσανεὶ προεῖδεν ὁ προφήτης.

ΒΑΛΣ. Ἀπόνοιά ἐστι τὸ λέγειν, ὅτι οἱ ἅγιοι εὐχόμενοι, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ᾽ ὑπὲρ τοῦ λαοῦ. διὸ καὶ τοὺς ταῦτα φρονοῦντας ἀναθεματίζουσιν οἱ πατέρες, λέγοντες, οὐχ ὑπὲρ τῶν ἄλλων μόνον τοὺς δικαίους αἰτεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν· καὶ μαρτυρίας ἐπιφέρουσι γραφικάς, μίαν ἐκ τῆς ἐπιστολῆς τοῦ ἀδελφοθέου Ἰακώβου· τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας γραφῆς.

ΖΩΝΑΡ. Καὶ τοῦτο τῆς αὐτῆς ἀπονοίας ἐστί, τὸ λέγειν, ὅτι οἱ ἅγιοι εὐχόμενοι, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλ᾽ ὑπὲρ τοῦ λαοῦ. διὸ καὶ τοὺς ταῦτα φρονοῦντας ποιοῦνται ὑπὸ ἀνάθεμα οἱ τῆς συνόδου ταύτης, λέγοντες, οὐχ ὑπὲρ τῶν ἄλλων μόνον

A demnant Patres, dicentes, quòd ex proximè ſequentibus Epiſtolæ verbis clarè oſtenditur Apoſtoli ſententia, ſubjungentis: Sin autem confiteamur peccata noſtra, & quæ deinceps ſequuntur. Jam verò David quoque dicit; In peccatis concepit me mater mea. Niſi enim lex nuptiis opem ferret, coitus peccatum exiſtimaretur, libidinem carniſque appetitionem habens, quæ ipſum incitaret, etiam ſi liberorum gratia fieret. Et ideo, In peccatis, dixit David, concepit me mater mea. Si enim carnis cupiditatem cauſam habeat corporum generatio, talia ſunt omnino & quæ ex ipſis generantur.

B Arist. *Qui, Theologo dicente, Si dixerimus, quod peccatum in nobis non eſt, nosmetipſos ſeducimus; interpretatur, ut non verè, ſed humiliter hoc dixit: Anathema ſit.*

Quandoquidem omnes ſumus in peccatis, & nemo purus à ſordibus, etiamſi unus dies tota ſit illius vita: anathemati obnoxius eſt, qui dicit, humiliter & non verè, ab Apoſtolo dici; Quòd ſi dicimus, quòd peccatum non eſt in nobis, nosmetipſos ſeducimus. Si enim per humilitatem illud dixerit, non dixiſſet, quod nosmetipſos ſeducimus ſed exaltamus: Ille enim ſeipſum ſeducit, qui hallucinatur & mentitur; non ille qui C veritatem dicit.

Canon CXVI.

Quòd in oratione Dominica ſancti pro ſeipſis dicunt; Dimitte nobis debita noſtra. Similiter placuit, ut quicunque dixerit; In oratione Dominicâ propterea dicere ſanctos, Dimitte nobis debita noſtra, non quòd pro ſeipſis hoc dicant, quandoquidem ipſis deinceps non eſt neceſſaria talis petitio, ſed quòd pro aliis peccatoribus, qui ſunt in ſuo populo; & non dicat unuſquiſque ſanctus, dimitte mihi debita mea, ſed dimitte nobis debita noſtra, tan- D *quam pro aliis hoc magis quàm pro ſe juſtus intelligi poſtulet; ſit anathema. Sanctus enim & juſtus erat Jacobus Apoſtolus, quando dixit; In multis enim offendimus omnes. Cur enim additum eſt illud, Omnes, niſi ut ea ſententia pſalmo quoque conveniat? ubi legitur, Ne introeas in judicium cum ſervo tuo, quia non juſtificabitur in conſpectu tuo omnis vivens; & in oratione ſapientiſſimi Solomonis, Non eſt homo qui non peccaverit; & in libro quoque ſancti Job, illud, In manu omnis hominis ſignificat, ut omnis ſciat homo imbecillitatem ſuam. Unde præterea ſanctus quoque Daniel, cùm in oratione pluraliter diceret illud, Peccavimus, iniquè* E *egimus, & reliqua, quæ illic humiliter & verè confitetur; ne exiſtimaretur, ut quidam ſentiunt, hoc non de propriis, ſed de populi potiùs dicere peccatis, poſtea dixit; Oravi & confeſſus ſum peccata mea, & peccata populi mei, Domino Deo meo. Noluit dicere peccata noſtra, ſed ipſius populi dixit & ſua; quoniam futuros, qui illud ſic malè intelligerent, veluti prævidit propheta.*

Bals. Arrogantia eſt dicere, quòd ſancti precantes, Dimitte nobis debita noſtra, non pro ſeipſis hoc dicunt, ſed pro populo. Et ideo eos, qui ita ſentiunt, Patres anathemate feriunt; dicentes, juſtos non pro F aliis ſolis petere remiſſionem peccatorum, ſed etiam pro ſe ipſis: & adducunt teſtimonia ſacræ Scripturæ; unum quidem ex epiſtola Jacobi fratris Domini; reliqua autem ex veteri teſtamento.

Zonar. Hoc etiam eſt arrogantiæ dicere, quòd ſancti precantes, Dimitte nobis debita noſtra, non pro ſeipſis hoc dicunt, ſed pro populo. Et ideo eos, qui ita ſentiunt, hujus Synodi Patres anathemate feriunt, dicentes, juſtos non pro aliis ſolis petere remiſſionem peccatorum, ſed etiam pro ſeipſis: & adducunt teſtimonia ſacræ ſcripturæ; unum quidem ex Epiſtola Jacobi fratris Domini; reliqua autem ex veteri teſtamento.

ARIST. *Qui illud; Dimitte nobis debita noſtra; quæ multorum ſunt dicere, & non quæ ſingulorum & propria, exponit, Anathema ſit: cum Danielem etiam cum multis dicentem videat; Confeſſus ſum peccata mea, & peccata populi mei.*

Qui perperam interpretatur, quòd ſancti illud, Remitte nobis debita, dicentes, non pro ſeipſis precantes illud dicunt, ut non habentes peccatum, ac ideo precatione iſtâ non indigent; ſed pro peccatoribus orationem iſtam Deo offerunt, anathema ſit. Sanctus enim & juſtus erat Apoſtolus Jacobus, quando dixit, In multis enim peccamus omnes: & Daniel in oratione ejus numero plurali dicens, peccavimus, legem tranſgreſſi ſumus & cætera; deinde & ſingulariter addens, Confeſſus ſum peccata mea, & peccata populi mei Domino Deo meo.

CANON CXVII.

Quòd à ſanctis verè dicitur, Dimitte nobis debita noſtra. Similiter placuit, ut quicunque hæc verba orationis Dominicæ, ubi dicimus, Dimitte nobis debita noſtrâ, ſic volunt dici à ſanctis, ut ea humiliter, non verè dicta ſint; ſint anathema. Quis enim ferat precantem, & non hominibus, ſed Deo mentientem: qui labris dicat, velle ſibi remitti; ſed corde dicat, ſe non habere peccata, quæ ſibi dimittantur?

BALS. Præſens quoque canon eſt ejuſdem ſententiæ, cùm dicit, Quis enim eum feret, qui verbis quidem petit remiſſionem peccatorum, corde autem ſe non habere peccata exiſtimet; & non hominibus, ſed Deo mentitur?

ZONAR. Præſens quoque canon eſt ejuſdem ſententiæ, & anathemati ſubjicit eum, qui ita ſentit, dicens; Quis enim eum ferat hoc eſt, quis ſuſtineat, & patiatur eum, qui verbis quidem petit remiſſionem peccatorum, corde autem ſe non habere peccata exiſtimet; & non hominibus, ſed Deo mentitur?

CANON CXVIII.

De populis, qui à Donatiſtis convertuntur. Similiter placuit, quoniam ante aliquot annos in hac Eccleſia plena Synodo definitum eſt, ut quæcunque Eccleſiæ, in diœceſi ſitæ, ante leges de Donatiſtis editas catholicæ factæ fuerint, ad illas ſedes pertinerent, per quarum Epiſcopos perſuaſæ catholicæ unioni communicarunt; poſt leges autem, quæcunque communicarunt, ad illas pertinerent, ad quas tunc quoque pertinebant, cum ſtabant à parte Donati; Et quoniam multæ contentiones de diœceſibus inter Epiſcopos poſtea exortæ ſunt & exoriuntur, quibus tunc non perfectè proviſum eſſe videtur: nunc huic ſanctæ Synodo placuit, ut ubicunque fuit Catholica, & pars Donati, & ad diverſas ſedes pertinebant, quocunque tempore illic facta eſt vel erit unio, ſive ante ſive poſt leges, ad illam ſedem pertineant, ad quam olim pertinebat, cùm eſſet Catholica.

A τοὺς δικαίους αἰτεῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτῶν. καὶ μαρτυρίας ἐπιφέρουσι γραφικὰς, μίαν ἐκ τῆς ἐπιστολῆς τοῦ ἀδελφοθέου Ἰακώβου, τὰς δὲ λοιπὰς ἐκ τῆς παλαιοτέρας γραφῆς.

ΑΡΙΣΤ. Ὁ παραφράζων τὸ, (ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν) τὰ τῶν πολλῶν λέγειν, καὶ οὐχ ἑκάστου καὶ τὰ οἰκεῖα, ἀνάθεμα· μετὰ πολλῶν καὶ Δανιὴλ βλέπων λέγοντα, ἐξομολογούμενον τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου.

B Ὁ παρερμηνεύων ὡς οἱ ἅγιοι τὸ, (ἄφες ἡμῖν τὰ ὀφειλήματα, λέγοντες, οὐχ ὑπὲρ ἑαυτῶν εὐχόμενοι τοῦτο λέγουσιν, ὡς μὴ ἔχοντες ἁμαρτίας, καὶ διὰ τοῦτο μηδὲ δεόμενοι τῆς αἰτήσεως ταύτης. ἀλλ᾽ ὑπὲρ τῶν ἁμαρτωλῶν τὴν ἱκεσίαν ταύτην προσφέρουσι τῷ θεῷ, ἤτω ἀνάθεμα· ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ ἀπόστολος, ὅτε ἔλεγεν· ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες. καὶ ὁ Δανιὴλ ἐν τῇ προσευχῇ αὐτοῦ πληθυντικῶς λέγων. ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ λοιπά· εἶτα καὶ ἰδικῶς ἐπάγων, ἐξομολογούμην τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου κυρίῳ τῷ θεῷ μου.

ΚΑΝΩΝ ριζʹ.

C Ὅτι ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται, τὸ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. ὁμοίως ἤρεσεν, ἵνα οἵτινες δήποτε αὐτὰ τὰ ῥήματα τῆς δεσποτικῆς εὐχῆς, ὅπου λέγομεν, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὕτως βούλονται ἀπὸ τῶν ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀληθῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. τίς γὰρ ὑπενέγκοι τὸν εὐχόμενον καὶ μὴ ἀνθρώποις, ἀλλ᾽ αὐτῷ τῷ κυρίῳ ψευδόμενον, τὸν τοῖς χείλεσιν αὐτοῦ λέγοντα, θέλειν ἀφεθῆναι· τῇ δὲ καρδίᾳ λέγοντα, τὰς ὀφειλούσας ἀφεθῆναι ἁμαρτίας αὐτῷ, μὴ ἔχειν;

D ΒΑΛΣ. Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ, λέγων, τίς γὰρ ἀνέξεται τὸν τοῖς ῥήμασι μὲν ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ κυρίῳ ψευδόμενον;

ΖΩΝΑΡ. Καὶ ὁ παρὼν κανὼν τῆς αὐτῆς ἐννοίας ἐστὶ, καὶ ἀναθέματι ἔνοχον ποιεῖται τὸν τὰ αὐτὰ δοξάζοντα, λέγων, τίς γὰρ ὑπενέγκοι, ἀντὶ τοῦ, τίς γὰρ ὑπομείνοι καὶ καταδέξηται τὸν τοῖς ῥήμασι μὲν ἄφεσιν σφαλμάτων αἰτοῦντα, τῇ δὲ καρδίᾳ μὴ ἔχειν λογιζόμενον ἁμαρτίας, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ τῷ κυρίῳ ψευδόμενον;

E ΚΑΝΩΝ ριηʹ.

Περὶ τῶν λαῶν τῶν ἀπὸ τῶν Δονατιστῶν ἐπιστρεφόντων. ὁμοίως ἤρεσεν, ἐπειδὴ πρό τινων ἐνιαυτῶν ἐν ταύτῃ τῇ ἐκκλησίᾳ πεπληρωμένῃ τῇ συνόδῳ ὡρίσθη, ἵνα οἱαιδήποτε ἐκκλησίαι, ἐν διοικήσει καθεστῶσαι, πρὸ τῶν νόμων τῶν περὶ τῶν Δονατιστῶν ἐντεθέντων καθολικαὶ γένωνται, ἐκείνοις τοῖς θρόνοις ἀνήκωσιν, ὧν τινῶν διὰ τῶν ἐπισκόπων προτραπεῖσαι τῇ καθολικῇ ἑνότητι ἐκοινώνησαν· μετὰ δὲ τοὺς νόμους οἱαιδήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν, οἷς καὶ ὅτε ἦσαν εἰς τὸ μέρος τοῦ Δονάτου· καὶ ἐπειδὴ πολλαὶ φιλονεικίαι ὕστερον μεταξὺ τῶν ἐπισκόπων F περὶ τῶν διοικήσεων ἀνεφύησαν καὶ ἀναφύονται, οἷς τότε οὐ τελεία δοκεῖ γενέσθαι πρόνοια, νῦν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ ἤρεσεν, ἵνα ὁπουδήποτε καθολικὴ ἐγένετο, καὶ τὸ μέρος τοῦ Δονάτου, καὶ διαφόροις θρόνοις ἀνήκουσαι ἦσαν, ἐν οἱῳδήποτε καιρῷ ἕνωσις ἐκεῖ ἐγένετο ἢ ἔσται, εἴτε πρὸ τῶν νόμων, εἴτε μετὰ τοὺς νόμους, ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν, ᾧ τινι ἡ ἔκπαλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν.

ΚΑΝΩΝ ριθʹ. A

Περὶ τοῦ, πῶς μεταξὺ ἀλλήλων μερίζονται τὰς διοικήσεις οἱ ἐπίσκοποι, τοῦτο μὲν οἱ καθολικοί, τοῦτο δὲ οἱ ἐκ τοῦ Δονάτου ἐπιστρέψαντες· οὕτω δηλαδή, ἵνα εἴπερ ἐπίσκοποι ἀπὸ τῶν Δονατιστῶν πρὸς τὴν καθολικὴν ἑνότητα ἐπέστρεψαν, ἐξ ἴσου πρὸς ἀλλήλους διέλωσι τὰς οὕτως εὑρισκομένας διοικήσεις, ἔνθα ἦσαν ἀμφότερα τὰ μέρη· τοῦτ' ἔστιν, ἵνα ἄλλοι τόποι πρὸς ἐκεῖνον, καὶ ἄλλοι πρὸς ἐκεῖνον ἀνήκωσιν οὕτως, ἵνα ὁ παλαιότερος ἐν τῇ ἐπισκοπῇ μερίζῃ, καὶ ὁ ἥττων ἐπιλέγηται. εἰ δὲ τυχὸν εἷς ἔσται τόπος, ἐκείνῳ προσχωρήσῃ ᾧ τινι μᾶλλον γειτνιάζων B εὑρίσκεται· ἐὰν δὲ ἀμφοτέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται. εἰ δὲ τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσουσι, καὶ οἱ ἐκ τοῦ μέρους τοῦ Δονάτου μεταστρέψαντες τὸν ἴδιον, τῶν πλειόνων ἡ γνώμη προτιμηθῇ τῶν ὀλιγωτέρων· εἰ δὲ τὰ μέρη εἰσὶν ἴσα, τῷ παλαιοτέρῳ ἐπισκόπῳ καταλογισθείη. ἐὰν δὲ οὕτως πλεῖστοι οἱ τόποι εὑρεθῶσιν, ἐν οἷς ἀμφότερα τὰ μέρη εἰσίν, ὡς μὴ δύνασθαι ἐξ ἴσου μερισθῆναι, τοῦ ἀριθμοῦ τοῦ αὐτῶν τόπων ἀνίσου ὑπάρχοντος, πρῶτον μερισθῶσιν οἱ ἴσοι ἀριθμοί, καὶ τῷ ἀπομένοντι τόπῳ τοῦτο φυλαχθῇ, ὅπερ ἀνωτέρω λέλεκται, ὅτε περὶ τοῦ ἑνὸς ἐζη- C τεῖτο τόπου.

ΒΑΛΣ. Ἐξηγηθῆναι τοὺς δύο τούτους κανόνας οὐκ ἔστιν ἀναγκαῖον, ὡς μηδὲ εἰς κοινὴν ἀφορῶντας οἰκονομίαν, ἀλλ' εἰς τοὺς ἐν Ἀφρικῇ ἀπὸ τῶν Δονατιστῶν προσελθόντας ἐπισκόπους τῇ καθολικῇ ἐκκλησίᾳ.

ΖΩΝΑΡ. Οἱ τῆς Δονάτου αἱρέσεως πολλοὶ γενόμενοι, καὶ εἰς πλήθη συστάντες ἐν διαφόροις διοικήσεσιν ἥρπασαν ἐκκλησίας, ἀλλὰ καὶ ἐνορίας, καὶ ταύτας κατεῖχον, καὶ οἰκειώσαντο. ἐπιστρεφόντων δὲ αὐτῶν πρὸς τὴν ὀρθόδοξον πίστιν, ἀμφιβολίαι ἐγίνοντο περὶ τῶν ἐνοριῶν τῶν παρ' ἐκείνων πρώην κατεχομένων, D τῶν ἐπισκόπων στασιαζόντων πρὸς ἀλλήλους, καὶ ἑκάστων εἰς ἑαυτοὺς ταύτας μεθελκόντων. περὶ τούτου οὖν τοῦ κεφαλαίου καὶ ἄμφω οἱ κανόνες οὗτοι ἐξεφωνήθησαν, τυποῦντες, πῶς χρὴ παρὰ τοῖς ἐπισκόποις μερίζεσθαι τοὺς τόπους, οὓς κατεῖχον οἱ Δονατισταί. ἐξηγηθῆναι δὲ τοὺς κανόνας κατὰ μέρος οὐκ ἀναγκαῖον, ὅτι τε οὐκ ἀσάφειαν ἔχουσι, καὶ ὅτι μηδ' εἰς κοινὴν ὁρῶσιν οἰκονομίαν, ἀλλὰ τοῖς ἐν Ἀφρικῇ μόνοις προσήρμοζον, κἀκείνοις κατὰ τὸν τότε καιρόν.

ΑΡΙΣΤ. Αἱ ὁτεδήποτε γενόμεναι τῶν Δονατιστῶν ἐπιστροφαὶ καὶ ἑνώσεις, ἐκείνῳ τῷ θρόνῳ ἀνηκέτωσαν, ᾧ καὶ ἡ ἔκπαλαι ἐκεῖσε καθολική. E

Ἐπειδὴ πολλαὶ γεγόνασιν ἀμφιβολίαι περὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων, τίνι θρόνῳ οὗτοι προσκυρωθήσονται· πρὸ μὲν γὰρ τῶν νόμων τῶν βασιλικῶν, τῶν περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν διαταττομένων, ἐκείνῳ τῷ ἐπισκόπῳ ὑπέκειντο, δι' οὗ τῆς πλάνης ὑπέστρεψαν, καὶ τῇ καθολικῇ ἐκοινώνησαν ἐκκλησίᾳ. μετὰ δὲ τοὺς νόμους, ἐκείνοις τῶν ἐπισκόπων ἦσαν ἀνήκοντες, τοῖς πλησίον οὖσι τῶν τόπων, τῶν παρ' αὐτῶν δὴ τῶν Δονατιστῶν κατεχομένων. ὥρισεν ἡ σύνοδος, τὰς μεταξὺ τῶν ἐπισκόπων ἀναφυομένας ἀμφιβολίας λύουσα, ἐκείνῳ τῷ θρόνῳ τούτους ἀνήκειν, ᾧ τινι καὶ ἡ ἔκπαλαι ἐκεῖσε ὑπάρξασα καθολικὴ ἐκκλησία διαφέρει. F

ΑΡΙΣΤ. Οἱ ἐπιστρέψαντες ἀπὸ Δονάτου, διελέσθωσαν τὰς διοικήσεις, καὶ ὁ μὲν παλαιότερος ἐπιμερίζοι, ὁ δὲ νέος ἐκλέγοιτο.

Ἐὰν οἱ τῶν Δονατιστῶν ἐπίσκοποι πρὸς τὴν καθολικὴν ἐπιστρέψωσιν ἐκκλησίαν, καὶ μεταξὺ αὐτῶν, ἢ καὶ ἑτέρων καθολικῶν ἐπισκόπων, παροικίαι τινὲς ἦσαν, ἐν αἷς καὶ ἀμφότεροι ἐπισκοπικὰ δίκαια εἶχον· γινέσθω ἡ διαίρεσις τῶν οὕτως ἀνακεκοινωμένων παροικιῶν καὶ διοικήσεων μεταξὺ αὐτῶν ἐπίσης, πλὴν οὕτως, ὥστε τὸν μὲν παλαιότερον

CANON CXIX.

Quomodo inter ſe diœceſes divident Epiſcopi, partim quidem catholici, partim verò qui à Donato converſi ſunt; ſic videlicet, ut ſi quidem Epiſcopi à Donatiſtis ad Catholicam unionem converſi fuerint, ex æquo inter ſe invicem dividant, quæ ſic inveniuntur diœceſes, in quibus erant utræque partes; id eſt, ut alii loci ad illum, & illi ad hunc pertineant; ſic ut antiquior in Epiſcopatu dividat, minor autem eligat. Sin autem unus fortaſſe fuerit locus, ad illum pertinebit cui vicinior reperitur: quòd ſi utriſque ſedibus ex æquo ſit vicinus, illi cedat quem populus elegerit. Sed ſi antiqui fortè catholici proprium voluerint, & qui erant ex parte Donati, converſi, proprium; plurium ſententia præferatur ſententiæ pauciorum: Sin autem ſint partes æquales, antiquiori Epiſcopo adſcribatur. Quòd ſi ita plurima loca inventa fuerint, in quibus ſint utræque partes, ut non poſſint ex æquo dividi, cùm numerus ipſorum locorum ſit inæqualis; primùm quidem dividantur æquales numeri; & in loco, qui reſtat, ſervetur id, quod ſuperiùs dictum eſt, quando de uno loco quærebatur.

Bals. Exponere hos duos canones non eſt neceſſarium; ut qui nec ad communem œconomiam conferant, ſed ad Epiſcopos, qui in Africa à Donatiſtis ad catholicam Eccleſiam acceſſerunt.

Zonar. Cum eorum, qui ad Donati errores appulerant, ingens eſſet multitudo, conſpiratione inter ſe facta, in multis diœceſibus Eccleſias, quin & ipſas quoque regiones invaſerant, eáſque quaſi ſuæ ditionis effectas detinebant. Poſtea cum fidem orthodoxam denuò amplecterentur, controverſiæ de iis, quas antea occupaverant, regionibus oriebantur, cum eas ad ſe trahere diſſidentes Epiſcopi pro ſe quiſque niterentur. In hanc ergo ſententiam hi duo canones editi, ac per eos loca, quæ Donatiſtæ invaſerant, dividendi forma Epiſcopis præfinita. Illos porro ſigillatim exponere haud neceſſarium; tum quia nihil obſcuritatis habent; tum quia ad communem œconomiam non conferunt; ſed eorum tantum, qui in Africa per id tempus degerent, proprii ſunt ac peculiares.

Arist. in Can. cxviii. *Quandocunque factæ ſunt Donatiſtarum converſiones & uniones, ad illum pertineant thronum, ad quem & Catholica Eccleſia, quæ olim ibidem fuit.*

Quandoquidem multæ controverſiæ ortæ ſunt de Donatiſtis converſis, cuinam throno illi adjudicarentur. Nam ante leges Imperatorias Eccleſiarum unionem præcipientes, illi Epiſcopo ſubjecti erant, per quem ab errore converſi ſunt, & Catholicæ Eccleſiæ communicabant. At poſt leges, ad eos Epiſcopos pertinebant, qui proximi erant locis ab ipſis Donatiſtis detentis. Decrevit Synodus, controverſias inter Epiſcopos ortas dirimens, ad illum thronum eos pertinere, ad quem & olim ibi conſtituta Eccleſia Catholica pertinebat.

Arist. in Can. cxix. *Qui à Donato converſi ſunt, diœceſes dividant, & antiquior quidem diſtribuat, junior autem eligat.*

Si Donatiſtarum Epiſcopi ad Eccleſiam Catholicam redeant, & inter eos, vel etiam alios Catholicos Epiſcopos, quædam ſint parœciæ, in quibus ambo jura habent Epiſcopalia; fiat diviſio parœciarum ſive diœceſium ita communicatarum, æqualiter inter eos; ſed ita, ut antiquior

Episcopus divisionem faciat, at qui post eum factus fuit electionem habeat. Si autem fortasse sit locus, in quo & Donatistæ habitabant & Orthodoxi, si vicinus sit Episcopo à Donatistis converso, ei integrè concedatur: Sin vero Episcopo Catholico vicinior sit, & pristini, qui in eo sunt, orthodoxi proprium habere vellent Episcopum; qui autem à Donato conversi sunt, etiam suum; plurium sententia prævaleat. Quòd si partes sint æquales, antiquiori Episcopo locus totus adjudicetur.

Canon CXX.

Ut si aliquam diœcesin ab heresi Episcopus liberaverit, & triennio possederit, nemo eam repetat. Similiter placuit, ut si quis post leges locum aliquem ad catholicam unionem converterit, eúmque triennio, nullo repetente, detinuerit, deinceps ab eo ne repetatur; si quidem intra ipsum triennium fuerit Episcopus qui debebat repetere, & quievit: Sin autem non erat in matricula, præjudicium ei non afferatur; sed quando vacans locus Episcopum acceperit, liceat ei ab ipso die intra triennium repetere. Similiter autem & si à partibus Donati ad catholicam Ecclesiam conversus fuerit Episcopus, nullo præjudicio afficiatur in matricula de tempore præfinito; sed à quo die conversus est, facultatem habeat intra triennium repetendi loca, quæ ad suam sedem pertinent.

Bals. Ut est verisimile, leges de regionum finibus priùs latæ fuerant: sed quia postquam editæ sunt, controversiæ emersere, statuerunt Patres; ut si quis Episcopus ad fidem orthodoxam converterit locum aliquem seu parœciam, quæ habet Hæreticos, & eam triennio detinuerit, idque vivo, qui in ea jus habet, Episcopo & tacente; de ea ne ampliùs turbetur. Sin autem in Episcopatu, ad quem dicitur locus pertinere, non erat Episcopus; lapsus triennii non impediet eum, qui postea electus est, quominus parœciam suam revocet. Id ipsum autem servatur & in Donatistis, qui convertuntur. Ac in iis quidem consistit canon. Tu autem scias, quòd jura Ecclesiastica, quæ sunt scilicet de regionum finibus, & aliis, si adversus quidem Ecclesiam competunt, xxx. annis excluduntur: sin autem adversus personas, quadraginta annis. Et lege iii. caput iii. titul. v. lib. Basilic. & ultimum caput ii. tit. ejusdem libri; quod dicit, Omnis actio, quæ ad venerabiles domos pertinet, sive sit personalis, sive hypothecaria, xl. annos non excedit, convenientibus unicuique ejusmodi sanctæ domui temporalibus præscriptionibus sua tempora servantibus. Quamobrem quæ in præsenti canone continentur propter hæc capita, quæ ex Justiniani Novellis sunt, exoleverunt.

Zonar. Ex iis, quæ Synodi Patres retulerant, leges ab Imperatore (Honorio, ni fallor; nam is ea tempestate Occidenti præerat) conditæ fuere. Si quis igitur Episcopus, inquit canon, post leges latas, locum aliquem, regionem videlicet aut parœciam, ejúsque loci populum, Ecclesiæ Catholicæ adjunxerit, eámque regionem triennii spatio nemine repugnante obtinuerit, ex eo tempore ipsius erit, hoc est, nemini, ut eum locum sibi vendicet, judicio experiri licebit. Si tamen ejus Episcopatûs, ad quem locus ille pertinere dicitur, nullus eo tempore Episcopus extabat illum vendicaturus, sed viduata Præfecto Ecclesia vacabat, non præjudicabitur in matriculâ; hoc est, quamvis in ejus Eclesiæ tabulas, quæ eum triennio possedit, is locus relatus sit, non tamen ea res Epi-

A ἐπίσκοπον ποιεῖσθαι τὸν μερισμὸν, τὸν δ᾽ ὕστερον μετ᾽ ἐκεῖνον γενόμενον ἔχειν τὴν ἐπιλογήν. εἰ δὲ εἷς ἐστὶ τόπος, εἰς ὃν ἦσαν καὶ Δονατισταὶ οἰκοῦντες καὶ ὀρθόδοξοι, εἰ μὲν γειτνιάζει τῷ ἐπισκόπῳ τῷ ἀπὸ τῶν Δονατιστῶν ἐπιστρέψαντι, ἐκείνῳ κατὰ τὸ ἀκέραιον παραχωρηθῇ· εἰ δὲ μᾶλλον τῷ καθολικῷ ἐπισκόπῳ πλησιάζει, καὶ οἱ ἐν αὐτῷ ὄντες ἀρχαῖοι ὀρθόδοξοι τὸν ἴδιον θελήσωσιν ἔχειν ἐπίσκοπον, οἱ δὲ ἐκ τοῦ Δονάτου μεταστρέψαντες πάλιν τὸν ἴδιον, τῶν πλειόνων ἡ ψῆφος κρατείτω. εἰ δὲ τὰ μέρη ἴσα εἰσὶ, τῷ ἀρχαιοτέρῳ ἐπισκόπῳ ὁ τόπος ἅπας προσκυρωθήσεται.

ΚΑΝΩΝ ρκ΄.

B

Περὶ τοῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ περὶ τριετίαν κατάσχῃ, μηδένα ταύτην ἀναζητεῖν. ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις μετὰ τοὺς νόμους τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτον ἐπὶ τριετίαν, μηδενὸς ἀναζητοῦντος, κατάσχῃ, τοῦ λοιποῦ παρ᾽ αὐτοῦ μὴ ἀναζητηθῇ· ἐὰν μέντοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι, καὶ ἡσύχασεν. εἰ δὲ μὴ ἦν, μὴ προκριματισθῇ ἐν τῇ μάτρικι, ἀλλ᾽ ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ᾽ αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι. C ὁμοίως δὲ καὶ ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθείη ἐν μάτρικι περὶ τοῦ ὁρισθέντος χρόνου, ἀλλ᾽ ἐξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἐξουσίαν ἀναζητεῖν ἐντὸς τριετίας τοὺς τόπους τῇ αὐτῆς ἀνήκοντας καθέδρᾳ.

ΒΑΛΣ. Ὡς ἔοικεν, νόμοι προεθεσπίσθησαν περὶ τῶν ἐνοριῶν. ἐπεὶ δὲ καὶ μετὰ τὸ τούτους ἐκφωνηθῆναι ἀμφιβολίαι ἀνέκυπτον, ὥρισαν οἱ πατέρες, ἵνα ἐὰν ἐπίσκοπός τις μεταστρέψῃ πρὸς τὴν ὀρθόδοξον πίστιν, τόπον τινὰ ἤγουν D παροικίαν ἔχουσαν αἱρετικοὺς, καὶ κατέχῃ αὐτὴν ἐπὶ τριετίαν, ζῶντος καὶ ταῦτα τοῦ δικαιουμένου ἐπ᾽ αὐτῇ ἐπισκόπου καὶ ἡσυχάζοντος, μηκέτι περὶ ταύτης ὀχληθῇ. ἐὰν δὲ ἐν τῇ ἐπισκοπῇ, ᾗ λέγεται διαφέρειν ὁ τόπος, οὐκ ἦν ἐπίσκοπος, ἡ παραδρομὴ τῆς τριετίας οὐκ ἐμποδίσει τὸν μετὰ ταῦτα ψηφισθέντα ἀνακαλέσασθαι τὴν ἐνορίαν. τὸ αὐτὸ δὲ κρατεῖν καὶ ἐπὶ τῶν Δονατιστῶν ἐπιστρεφόντων. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ γίνωσκε, ὅτι τὰ ἐκκλησιαστικὰ δίκαια, τὰ περὶ τῶν ἐνοριῶν δηλαδὴ καὶ τῶν ἄλλων, εἰ μὲν κατὰ ἐκκλησίας ἁρμόζουσι, διὰ τριακονταετίας ἀποκλείονται· εἰ δὲ κατὰ προσώπων, διὰ τεσσαρακονταετίας. καὶ ἀνάγνωθι τὸ τρίτον κεφάλ. τοῦ τρίτου τίτλου τοῦ ε΄. βιβλίου τῶν E Βασιλικῶν καὶ τὸ τελευταῖον κεφάλαιον τοῦ δευτέρου τίτλου τοῦ αὐτοῦ βιβλίου, λέγον, πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ διαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοι γε τοὺς οἰκείους χρόνους. ὥστε τὰ τοῦ παρόντος κανόνος ἐσχόλασαν ὑπὸ τῶν τοιούτων κεφαλαίων, ἀπὸ νεαρῶν Ἰουστινιανείων ὄντων.

ΖΩΝΑΡ. Ἐξ ἀναφορῶν τῶν τῆς συνόδου ταύτης πατέρων νόμοι ἐτέθησαν, οἶμαι, παρὰ Ὀνωρίου τοῦ Βασιλέως· F ἐκεῖνος γὰρ ἦρχε τότε τῶν ἑσπερίων. φησὶν οὖν ὁ κανὼν, ὡς εἰ μετὰ τοὺς νόμους ἐπιστρέψῃ τόπον τινὰ, ἤγουν ἐνορίαν, ἢ παροικίαν, ἤτοι τὸν ἐν αὐτῇ λαὸν, ἐπίσκοπος πρὸς τὴν ἑνότητα τῆς καθολικῆς ἐκκλησίας, καὶ τὴν ἐνορίαν κατάσχῃ ἐν τριετίᾳ μηδενὸς ἀντιποιουμένου αὐτῆς, ἔκτοτε αὐτοῦ ἔσται, τουτέστιν οὐδενὶ ἐξέσται αὐτὴν ἐκνικᾶν. ἐὰν δὲ ἐν τῇ ἐπισκοπῇ, ᾗ λέγεται διαφέρειν ὁ τόπος, οὐκ ἦν ἐπίσκοπος κατὰ τὴν τριετίαν ἐκείνην, ὅστις ἔμελλεν ἐκνικῆσαι αὐτὸν, ἀλλ᾽ ἐχήρευεν ἡ ἐπισκοπὴ προεστῶτος, οὐ προκριματισθήσεται ἐν τῇ μάτρικι, ἀντὶ

τῆς

τοῦ οὐ βλαβήσεται ἐκ τοῦ καταγραφῆναι ἐν τῇ ἀπογραφῇ τῶν διαφερόντων τῇ ἐκκλησίᾳ, ἢ ἐπὶ τριετίαν ἐνεμήθη αὐτόν, ἀλλ' ἐξέσται τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ ζητῆσαι καὶ ἐκνικῆσαι αὐτὸν, ἐντὸς τριετίας ψηφιζομένης ἀπ' αὐτῆς τῆς ἡμέρας, καθ' ἣν ἐγένετο. τοῦτο δὲ κρατεῖν καὶ ἐπὶ τῶν Δονατιστῶν, ὥστε ἐὰν ἐπίσκοπος αὐτῶν ἐπιστρέψῃ καὶ ἑνωθῇ τῇ καθολικῇ ἐκκλησίᾳ, οὗ τόπον τινὰ ἕτερος κατεῖχεν ἐπίσκοπος, ἔχειν αὐτὸν ἄδειαν ἐντὸς τριετίας, ψηφιζομένης ἐξότου ἐπέστρεψεν, ἀναζητεῖν τοὺς τόπους τοὺς ἀνήκοντας τῇ ἐκκλησίᾳ αὐτοῦ.

ΑΡΙΣΤ. Ὁ μεταστρέφων εἰς ὀρθοδοξίαν, καὶ κατέχων ἐπὶ τριετίαν τὴν ἐπιστραφεῖσαν χώραν, ἔστω ἀνέγκλητος. καὶ ὁ μεταστρέφων ἐπίσκοπος ἀπὸ Δονάτου, εἰ ἐντὸς τριετίας ἀφ' οὗ ἐπέστρεψεν ἐνάγει, ἐναγέτω.

Πρὸ μὲν τῶν βασιλικῶν νόμων, καθὼς καὶ ἐν τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ κανόνι ἐγράφη, εἴ τις ἐπίσκοπος ἀπὸ αἱρέσεώς τινος εἰς ὀρθοδοξίαν μετέστρεψε παροικίαν τινὰ, κατεῖχε ταύτην ἀπεντεῦθεν, καὶ οὐκ ἠδύνατό τις τῶν ἐπισκόπων, ᾧ τινι ἡ τοιαύτη ἀνῆκε διοίκησις, ἀνακαλεῖσθαι αὐτήν. μετὰ δὲ τοὺς περὶ τούτου νόμους, ἤρεσε τῇ συνόδῳ, τὸν μεταστρέψαντα εἰς τὴν ὀρθοδοξίαν χώραν τινὰ, καὶ ἐπὶ τριετίαν κατασχόντα αὐτὴν, μὴ παρά τινος ὀχληθέντα, ὡς ταύτην ἀναζητήσοντος, μένειν ἀνέγκλητον, καὶ μηκέτι ταύτην ἀναζητεῖσθαι ἀπ' αὐτοῦ, εἴπερ ἐντὸς τῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος, ὁ μέλλων ἀναζητῆσαι αὐτὴν, καὶ ἡσύχασεν. εἰ γὰρ ἐχήρευεν Ἐπισκόπου ἡ ἐκκλησία, ἡ δικαιουμένη ἐπὶ τῇ χώρᾳ ἐκείνῃ τῇ ἀπὸ τῆς αἱρέσεως μεταστραφείσης, ἔκτοτε ἡ παραδρομὴ τοῦ τριετοῦς χρόνου αὐτὸν βλάψει, μεθ' ὃ γένηται ἐπ' αὐτῇ ἐπίσκοπος. ἀλλὰ καὶ παροικία τις ἐπισκόπου τῶν Δονωτιστῶν, ἐὰν πρὸς τὴν καθολικὴν μεταστρέψῃ ἐκκλησίαν, καὶ κατασχεθῇ ἐπὶ πολὺν χρόνον παρὰ τοῦ μεταστρέψαντος αὐτὴν εἰς τὴν ὀρθοδοξίαν· εἶτα προσέλθῃ τῇ ἑνότητι τῆς καθολικῆς πίστεως καὶ ὁ Δονατιστὴς ἐπίσκοπος, ἐξέσται αὐτῷ ἐντὸς τριετίας, ἀφ' οὗ ὑπέστρεψεν, ἀνακαλεῖσθαι τὴν ἀνήκουσαν τῷ θρόνῳ αὐτοῦ παροικίαν.

ΚΑΝΩΝ ρκα'.

Περὶ τῶν τοῖς λαοῖς, οὓς νομίζουσιν αὐτοῖς ἀνήκειν, ἐπιβαινόντων παρὰ γνώμην τῶν αὐτοὺς κατεχόντων. ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε ἐπίσκοποι τὰ πλήθη, ἃ νομίζουσιν τῷ θρόνῳ αὐτῶν ἀνήκειν, μὴ οὕτως ἀναζητῶσιν, ὥστε ἄλλων ἐπισκόπων κρινόντων τοῦτο πράττειν, ἀλλ' ὑπὸ ἑτέρου κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς, εἴτε θέλουσιν, εἴτε μὴ θέλουσι, τοῦ ἰδίου πράγματος τὴν ζημίαν ὑπομείνωσιν· καὶ οἵτινες δήποτε τοῦτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν ἐπισκόπων συναίνεσις ἐπερατώθη, ἀλλ' ἀκμὴν περὶ τοῦ αὐτοῦ φιλονεικοῦσιν, ἐκεῖνος ἀποστῇ ἐκεῖθεν, περὶ οὗ δειχθείη, ὅτι παρεάσας τοὺς ἐκκλησιαστικοὺς δικαστὰς ἔφοδον ἐποίησεν. καὶ μὴ ἑαυτόν τις κολακεύσῃ, εἰ ἐκ τοῦ πρωτεύοντος γράμματα περὶ τοῦ κατέχειν ἔλαβεν. ἀλλ' εἴτε γράμματα ἔχει, εἴτε οὐκ ἔχει, συνέλθῃ τῷ κατέχοντι, καὶ παρ' αὐτοῦ γράμματα λάβοι, ὥστε φανῆναι τοῦτον εἰρηνικῶς τὴν αὐτῷ ἀνήκουσαν κατέχειν ἐκκλησίαν· ἐὰν δὲ κἀκεῖνός τινα ζήτησιν ἀντεναγάγῃ, καὶ αὐτὴ περατωθῇ μεταξὺ ἐπισκόπων κρινόντων, εἴτε οὓς ὁ πρωτεύων αὐτοῖς δῷ, εἴτε οὓς γειτνιῶντας κατὰ συναίνεσιν ἐπιλέξωνται.

ΒΑΛΣ. Καὶ ὁ πολιτικὸς νόμος διορίζεται τὸν ἀνάρχως τὸ ἴδιον ἀφελόμενον ἐκπίπτειν αὐτοῦ. καὶ ὁ παρὼν δὲ κανὼν διορίζεται τοὺς ἐπισκόπους, τοὺς νομίζοντας ἔχειν δίκαιον πλήθους ἤγουν ἐνορίας, μὴ αὐθεντικῶς ἐπιδράττεσθαι ταύτης, κἂν θέλωσι τοῦτο οἱ λαοὶ, κἂν μὴ θέλωσιν, ἀλλὰ ἐκνικᾶν τὰς κατεχομένας παρ' ἑτέρων ἐπισκόπων τοιαύτας ἐνορίας μετὰ κρίσεως ἐπισκοπικῆς· εἰ δὲ αὐτεκδίκητοι γένωνται, ζημίαν ὑπομένειν τοῦ ἰδίου πράγματος, ἤγουν ἐκπίπτειν

A ſcopum, qui poſtea creatus fuerit, lædet; ſed eum triennii ſpatio, ab eo die, quo Epiſcopus factus eſt, recenſendo, repetere ac jure ſuo poterit vendicare. Quod quidem etiam in iis, quæ ad Donatiſtas ſpectant, ſervandum eſſe decernitur; ut ſi quis nimirum Epiſcopus ex eo numero ſe rurſum ad Eccleſiæ Catholicæ unitatem aggregarit, cujus aliquam regionem alius Epiſcopus detinebat, loca ad Eccleſiam ſuam pertinentia, trium annorum intervallo, ex quo cum Eccleſia in gratiam rediit, repetendi habeat facultatem.

Arist. *Qui regionem ad orthodoxam fidem convertit,* B *& converſam per triennium detinet, ſit extra culpam: & Epiſcopus à Donato converſus, ſi intra triennium, à quo converſus eſt, repetat, jure agat.*

Ante leges Imperatorias, quemadmodum & in centeſimo decimo ſeptimo canone ſcriptum eſt; Si quis Epiſcopus ab hæreſi aliquâ ad fidem orthodoxam parœciam aliquam convertit, ab eo tempore eam poſſidebat, & non poterat quiſpiam Epiſcoporum, ad quem diœceſis illa pertinebat, eam revocare. At poſt leges de eo latas, Synodo placuit eum, qui regionem aliquam ad fidem orthodoxam convertit, & per trien- C nium eam poſſedit, à nemine ut eam repente moleſtiâ affectum inculpatum manere, & eam ab iſto non amplius repeti; ſi intra triennium extitit Epiſcopus, qui eam repeteret, & quievit. Si enim Eccleſia, quæ in regionem illam ab hæreſi converſam, jus habet, Epiſcopo vacaverit, proinde triennalis curſus ei nocebit, poſtquam in eâ fit Epiſcopus. Sed & parœcia aliqua Donatiſtarum Epiſcopi, ſi ad Catholicam Eccleſiam convertatur, & ab eo qui ipſam ad fidem convertit orthodoxam diu detenta fuit; poſtea autem & ipſe Donatiſta Epiſcopus ad fidei Catholicæ accedit unionem: licebit ei intra triennium, à quo converſus D eſt, parœciam ad thronum ſuum pertinentem revocare.

Canon CXXI.

De iis qui invadunt populos, quos putant ad ſe pertinere, præter voluntatem eorum qui illos poſſident. Similiter placuit, ut quicunque Epiſcopi populos, quos ad ſuam ſedem pertinere exiſtimant, non ita repetant, ut aliis Epiſcopis judicantibus hoc agant; ſed populos, qui ab aliis detinentur, invadant, ſive ve- E *lint ſive nolint, cauſæ ſuæ jactura multentur: & quicunque utique hoc fecerunt, ſi non inter Epiſcopos conſenſu negotium finiatur, ſed adhuc de eo contendant; is ab eo diſcedat, quem oſtenſum fuerit neglectis judicibus Eccleſiaſticis in eum impetum feciſſe. Nec ſibi quiſpiam blandiatur, ſi à Primate de poſſidendo literas acceperit. Sed ſive habeat literas, ſive non, conveniat eum qui poſſidet, & ab eo literas accipiat; ut is videatur pacificè, quæ ad ipſum pertinet, Eccleſiam poſſidere: Sin autem ille contrariam quæſtionem referat; ipſa quoque inter Epiſco-* F *pos judicantes finiatur, ſive quos Primas ei dederit, ſive quos ipſi vicinos conſenſu delegerint.*

Bals. Lex quoque civilis ſtatuit, ut qui ſine Magiſtratus auctoritate rem propriam abſtulerit, is ab ea excidat. Præſens quoque canon decernit, ut qui ſe plebis vel regionis jus habere exiſtimant, ne eam ſua auctoritate apprehendant, ſive hoc velint populi, ſive nolint; ſed quæ ab aliis Epiſcopis detinentur, ejuſmodi regiones, cum epiſcopali judicio evincant: Sin autem ſibiipſis jus dixerint, rei propriæ jacturam ſuſtineant, ſcilicet à ſuo jure excidant.

Hoc quoque eis eveniet, qui poſt cœptum judicium Epiſcopalem ſententiam non expectaverint, ſed ſua auctoritate regionem apprehenderint. Nec quis, inquit, ſibi ipſi blandiatur, hoc eſt, ſeipſum decipiat, quòd à Primate ſeu Metropolitano literas acceperit loci poſſeſſionem ei concedentes. Sive enim habeat literas, ſive non habeat, niſi ejus, qui populum de quo eſt controverſia detinet, literas acceperit, per quas appareat ſe ex illius ſententia eam, quæ ad ipſum pertinet, regionem pacificè obtinuiſſe, à jure ſuo excidet. Sin autem reus contrariam quæſtionem inferat, hoc eſt, eum, qui in ipſum actionem intendit, reconveniat ſeu recriminetur, ut ipſa quoque cauſa finiatur judicantibus Epiſcopis: qui autem judicant, vel à Primate dabuntur, vel ex conſenſu adverſariorum eligentur. Interrogaverit autem quiſpiam, cùm diverſi canones definiant eos deponendos, qui in alienis diœceſibus epiſcopale quid exercent, præter ſententiam eorum ad quos pertinent; quomodo præſens canon ſola juris, quod fortè habet, privatione eum condemnat, qui invaſerit? Solutio. Hîc ſuppone Epiſcopum, qui ſibi jus dixit, jus habere diœceſis: & propterea depoſitioni quidem non ſubjicitur, ſed proprio jure excidit. Si enim reverà apparuerit alienam eſſe diœceſin, ex vexatione Epiſcopi, qui violentam invaſionem paſſus eſt, deponetur qui ſe inſolenter & ſuperbè geſſit. Præterea interrogaverit quiſpiam, cùm is qui invaſit Epiſcopus jure ſuo ita exciderit, qui eam detinet, ritè tanquam in propria diœceſi Epiſcopatum geret, an punietur, ut qui prudens & ſciens alienam diœceſin detinet, & in ea ſacra celebrat? Solutio. Lex eſt quæ dicit, jubente Magiſtratu juſtè poſſidemus: & quia Epiſcopus, qui vim paſſus eſt, à canone jus accepit, utpote cùm is, qui ſe inſolenter & immoderatè geſſit, nullum jus in diœceſi habuiſſe reputatus ſit; abſque ullo præjudicio jura epiſcopalia exercebit in provincia quam detinet, etſi aliquando erat aliena. Quid verò, vis & inſolentia condemnati Epiſcopi Eccleſiæ jura detrimento afficiet? & excludetur qui poſt eum ordinandus eſt Epiſcopus, quominus poſſit revocare jura Eccleſiæ ſuæ, an non? Solutio. Mihi videtur non ex eo lædi Eccleſiam, quòd peccet Epiſcopus; & propterea regionem ritè revocabit ſucceſſor ejus qui invaſit, etiamſi multum tempus præterierit. Tale quid autem dictum eſt tempore ſanctiſſimi Patriarchæ domini Lucæ. Cùm enim quidam Epiſcopus magnæ Bryſis litigaret cum Archiepiſcopo parvæ Bryſis, & protuliſſet ſcriptam tranſactionem antea defuncti Archiepiſcopi, de non revocanda ab ipſo regione, quæ ab Epiſcopo detinebatur; pronunciavit Synodus, non lædi Archiepiſcopatum ex eo quod ejus Præſul præter ſententiam ſuorum Clericorum & magnæ Synodi fecit. Fuerunt & multa hujuſmodi alia ſynodalia judicia.

A τοῦ οἰκείου δικαίου. τοῦτο δὲ ἔσται καὶ εἰς τοὺς μετὰ προκατάρξιν μὴ ἀναμείναντας τὴν ἐπισκοπικὴν δικαίωσιν, ἀλλὰ αὐθεντικῶς ἐπιλαβομένους τῆς ἐνορίας. καὶ μή τις, φησὶν, ἑαυτὸν κολακεύσῃ, ἀντὶ τοῦ ἀπατήσῃ, ὅτι ἐκ τοῦ πρωτεύοντος ἤτοι τοῦ μητροπολίτου γράμματα ἔλαβεν ἐπιτρέποντα αὐτῷ τὴν τοῦ τόπου κατάσχεσιν. εἴτε γὰρ ἔχει γράμματα, εἴτε οὐκ ἔχει, εἰ μὴ τοῦ κατέχοντος τὸν λαὸν τὸν ἐκνικώμενον λάβῃ γράμματα, δι' ὧν φανήσεται κατὰ γνώμην ἐκείνου εἰρηνικῶς κατασχὼν τὴν διαφέρουσαν αὐτῷ ἐνορίαν, ἐκπεσεῖται τοῦ δικαίου αὐτοῦ. ἐὰν δὲ καὶ ἐναγόμενος ἀντενάγῃ, τουτέστιν ἀνταιτιάσηται τὸν ἐνάγοντα, ἵνα καὶ αὕτη ἡ ὑπόθεσις περατωθῇ κρινόντων ἐπισκόπων. B οἱ δὲ κρίνοντες, ἢ παρὰ τοῦ πρωτεύοντος δοθήσονται, ἢ κατὰ συναίνεσιν τῶν ἀντιδίκων ἐπιλεγήσονται. ἐρωτήσει δέ τις, ὡς διαφόρων κανόνων διοριζομένων καθαιρεῖσθαι τοὺς ἐν ἀλλοτρίαις ἐνορίαις ἐπισκοπικόν τι ἐνεργοῦντας παρὰ γνώμην τῶν κατεχόντων αὐτὰς, πῶς ὁ παρὼν κανὼν ἐπὶ μόνῃ ἐκπτώσει τοῦ προσόντος ἴσως δικαίου αὐτῷ κατακρίνει τὸν τὴν ἔφοδον ποιησάμενον; Λύσις. ἐνταῦθα ὑπόθου δίκαια ἔχειν ἐνορίας τὸν αὐτονομήσαντα Ἐπίσκοπον, καὶ διὰ τοῦτο καθαιρέσει μὲν οὐχ ὑπόκειται, ἐκπίπτει δὲ τοῦ οἰκείου δικαίου. εἰ γὰρ φανῇ μετὰ ἀληθείας εἶναι ἀλλοτρίαν τὴν τοιαύτην ἐνορίαν, ἐξ ὀχλήσεως τοῦ παθόντος τὴν ἔφοδον ἐπισκόπου, καὶ καθαιρεθήσεται ὁ ἀτακτήσας. C ἔτι ἐρωτήσει τις, ὡς τοῦ πεποιηκότος τὴν ἔφοδον ἐπισκόπου οὕτως ἐκπεσόντος τοῦ ἐπισκοπικοῦ δικαίου αὐτοῦ, ἐνδυνάμως ὡς ἐπὶ οἰκείᾳ ἐνορίᾳ ἐπισκοπεύσει ὁ κατέχων αὐτὴν, ἢ τιμωρηθήσεται, ὡς ἐν εἰδήσει ἀλλοτρίαν ἐνορίαν κατέχων καὶ ἱερουργῶν ἐν αὐτῇ; Λύσις. νόμος ἐστὶ λέγων, κελεύοντος ἄρχοντος δικαίως νεμόμεθα, καὶ ἐπεὶ ὁ παθὼν τὴν ἔφοδον ἐπίσκοπος ἀπὸ τοῦ κανόνος δεδικαίωται, ὡς τοῦ ἀτακτήσαντος λογισθέντος μηδέποτε ἔχειν δίκαιον εἰς τὴν ἐνορίαν, ἀποκριματίστως ἐνεργήσει ἐπισκοπικὰ δίκαια εἰς ἣν κατέχει ἐνορίαν, κἂν ἦν ποτε ἀλλοτρία. τί δὲ, ἡ ἀταξία καὶ ἔφοδος τοῦ κατακριθέντος ἐπισκόπου λυμανεῖται τὰ δίκαια τῆς ἐκκλησίας, D καὶ ἀποκλεισθήσεται ὁ μετὰ τοῦτον χειροτονηθησόμενος ἐπίσκοπος ἀνακαλέσασθαι τὰ δίκαια τῆς ἐκκλησίας αὐτοῦ, ἢ οὔ; Λύσις. ἐμοὶ δοκεῖ μὴ καταβλάπτεσθαι τὴν ἐκκλησίαν ἐξ ὧν ἁμαρτάνει ὁ ἐπίσκοπος· καὶ διὰ τοῦτο ἐνδυνάμως ἵνα ἀνακαλέσηται τὴν ἐνορίαν ὁ διαδεξάμενος τὸν ποιησάμενον τὴν ἔφοδον, κἂν καὶ πολὺς παρέλθῃ καιρός. ἐλαλήθη δὲ τοιοῦτόν τι καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λουκᾶ. τινὸς γὰρ ἐπισκόπου τῆς μεγάλης Βρύσεως δικαζομένου μετὰ τοῦ ἀρχιεπισκόπου τῆς μικρᾶς Βρύσεως, καὶ προκομίσαντος διαλυτέον ἔγγραφον τοῦ προτελευτήσαντος ἀρχιεπισκόπου, χάριν τοῦ μὴ ἀνακαλέσασθαι τοῦτον ἐνορίαν κατεχομένην ὑπὸ τοῦ ἐπισκόπου, E ἡ σύνοδος ἀπεφήνατο μὴ καταβλάπτεσθαι τὴν ἀρχιεπισκοπὴν ἐξ ὧν ὁ ταύτης πρόεδρος ἔπραξε παρὰ γνώμην τῶν οἰκείων κληρικῶν καὶ τῆς μεγάλης συνόδου. γεγόνασι δὲ καὶ ἄλλαι πολλαὶ τοιαῦται κρίσεις συνοδικαί.

Zonar. Si quis Epiſcopus alicujus populi curam ad ſe pertinere contendat, non illum ſibi pro poteſtate arrogare, ſed ad Epiſcoporum Concilium cauſam deferre, ac per eos, quæ ad Eccleſiam ſuam pertinere arbitretur, recuperare, canon decernit. Quod ſi quis in alicujus loci ab altero Epiſcopo detenti poſſeſſionem, ſive à populo accerſitus, ſive eo repugnante, temere irruat; jus ſuum amittet, ac ejus rei, quam pro imperio occupare conatus eſt, etiamſi jus in eam habuit, poſſeſſione mulctabitur. Quod ſi nonnulli, inquit, hoc fecerunt; Hoc, quid? ut apud Epiſcopos nimirum controverſiam ſuam de jure populi ambiguo diſceptarent, neque tamen controverſiæ aut judicii finem expectavêre; ſed re adhuc inexplorata & incerta litigantium alter ſe ab Eccleſiaſtico judicio ſubtraxit, dubiámque adhuc poſſeſſionem invaſit; jus ſuum is quoque amittet. Ne-

ΖΩΝΑΡ. Ἀπαγορεύει ὁ κανὼν οὗτος τὸ τὸν λέγοντα δίκαιον ἔχειν ἐπίσκοπον ἐπὶ λαῷ τινι, δυναστείᾳ χρᾶσθαι, καὶ ἐπέρχεσθαι αὐτοῖς, βούλεται δὲ εἰς κρίσιν ἐπισκόπων κατάγειν τὴν ὑπόθεσιν, καὶ οὕτως ἐκνικᾶν, ὃ οἴεται διαφέρειν τῇ ἐκκλησίᾳ αὐτοῦ. F εἰ δὲ ἐπέλθῃ τις τοῖς λαοῖς τοῖς ὑπὸ ἑτέρου ἐπισκόπου κατεχομένοις, εἴτε βούλονται αὐτὸν οἱ λαοὶ ἐκεῖνοι ἔχειν ἐπίσκοπον, εἴτε μὴ βούλονται, ἐκπεσεῖται τοῦ οἰκείου δικαίου, ζημιούμενος τὸ δυναστείᾳ ἀφαιρεθὲν, ὥστε κἂν δίκαιον ἐπ' ἐκείνῳ εἶχεν, ἀπολέσαι αὐτό. εἰ δὲ καί τινες, φησὶ, τοῦτο ἐποίησαν. τοῦτο, ποῖον; τὸ παρὰ ἐπισκόπων κριθῆναι περὶ τοῦ ἀναζητουμένου λαοῦ, εἰ μὴ μέχρι πέρατος τῆς ὑποθέσεως ἐνέμειναν τῷ δικαστηρίῳ, ἀλλ' ἔτι φιλονεικουμένου καὶ δικαζομένου τοῦ πράγματος ἐν τῷ δύο μερῶν ἀποστῇ τοῦ ἐκκλησιαστικοῦ δικαστηρίου, καὶ ἔφοδον ποιήσῃ κατὰ τοῦ ἐκνικωμένου λαοῦ, κἀκεῖνο ἐκπεσεῖται τοῦ ἰδίου δικαίου.

καὶ μή τις, φησιν, ἑαυτὸν κολακεύσῃ, ἀντὶ τοῦ ἀπατήσῃ. ἡ A γὰρ κολακεία ἀπάτη ἐστὶν, οὐδὲν ὑγιὲς τοῦ κολακεύοντος λέγοντος, ἀλλὰ πάντα πρὸς χάριν καὶ θεραπείαν τοῦ κολακευομένου. μή τις οὖν, φησιν, ἑαυτὸν ἀπατήσῃ, ὅτι ἐκ τοῦ πρωτεύοντος, ἤγουν τοῦ μητροπολίτου τῆς ἐπαρχίας, γράμματα ἔλαβεν, ἐπιτρέποντα αὐτῷ τὴν τοῦ τόπου κατάσχεσιν. εἴτε γὰρ ἔχει γράμματα, εἴτε οὐκ ἔχει, εἰ μὴ τοῦ κατέχοντος τὸν λαὸν τὸν ἐκνικώμενον λάβοι γράμματα, δι᾽ ὧν φανήσεται κατὰ γνώμην ἐκείνου εἰρηνικῶς κατασχὼν τὴν διαφέρουσαν αὐτῷ ἐκκλησίαν, ἐκπεσεῖται τοῦ δικαίου αὐτοῦ· ἐὰν δὲ καὶ ὁ ἐναγόμενος ἀντεπαγάγῃ, τουτέστιν, ἀνταιτιάσηται τὸν ἐνάγοντα, ἵνα καὶ αὕτη ἡ ὑπόθεσις περατωθῇ κρινόντων ἐπισκόπων. οἱ δὲ B κρίνοντες, ἢ παρὰ τοῦ πρωτεύοντος δοθήσονται, ἢ κατὰ συναίνεσιν τῶν ἀντιδίκων ἐπιλεγήσονται.

ΑΡΙΣΤ. Μηδεὶς ἑαυτῷ ἐκδικείτω τὸ νομιζόμενον διαφέρειν. ἀλλ᾽ ἐπίσκοποι κρινέτωσαν, ἢ οὓς ὁ πρωτεύων δώσει, ἢ οἱ γειτονοῦντες ἐκ συναινέσεως· ὁ δὲ παρὰ τοῦ πρωτεύοντος γράμμα περὶ τοῦ κατασχεῖν λαβὼν, ἑαυτὸν κολακεύει.

Εἴ τις ἐπίσκοπος οἴεται ἔχειν δίκαιον ἐπί τινι παροικίᾳ τῇ ἑτέρου ἐπισκόπου κατεχομένῃ, τοῖς προσφόροις αὐτῷ ἐπισκόποις ὀφείλει προσέρχεσθαι, καὶ περὶ τούτου διεγκαλεῖν· οὐ μὴν αὐτεκδίκητον γίνεσθαι, καὶ αὐθεντικῶς κατασχεῖν πειρᾶσθαι, ὅπερ οἴεται αὐτῷ διαφέρειν. εἰ δὲ καὶ γράμματα λάβῃ περὶ τοῦ κατασχεῖν τὸν λαὸν, τὸν ὑφ᾽ ἑτέρου κατεχόμενον ἐπισκόπου, ἑαυτὸν ἀπατᾷ. οὐδὲ γὰρ ὠφεληθήσεταί τι ἐξ αὐτοῦ, εἰ μὴ ὁ κατέχων αὐτὸν εἰρηνικῶς θελήσει ἀποστῆναι, ἢ δικαστικῶς μετακινηθῆναι.

ΚΑΝΩΝ ρκβʹ.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν. ὁμοίως D ἤρεσεν, ἵνα οἵ τινες δήποτε ἀμελοῦσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ, πρὸς τούτους κερδᾶναι εἰς τὴν καθολικὴν ἑνότητα, ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν ἐπισκόπων, περὶ τοῦ, μὴ ἀναβάλλεσθαι τοῦτο πρᾶξαι. διὸ ἐὰν ἐντὸς προθεσμίας μηνῶν ἓξ ἀπὸ τῆς ἡμέρας τῆς περὶ τούτου συνελεύσεως μηδὲν ἀνύσωσι, τῷ δυναμένῳ λοιπὸν τούτους κερδᾶναι προσκυρωθῶσιν· οὕτως μέντοι, ἵνα ἐὰν ἐκεῖνος, πρὸς ὃν δείκνυται ἀνήκειν, οἱ τοιοῦτοι ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν, τοῦτο τῶν αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτοὺς παραδέξασθαι· καὶ ἐν τοσούτῳ ἡ αὐτοῦ ἐπιμέλεια ὑπὸ ἑτέρου προελήφθη, ᾗ τινι εἰ κατεχρήσατο, E τοὺς αὐτοὺς αἱρετικοὺς πλέον ἐκάκιζεν· τούτου μεταξὺ ἐπισκόπων κρινόντων διαγινωσκομένου, οἱ τόποι τῇ αὐτοῦ καθέδρᾳ ἀποκατασταθῶσιν. τῶν δὲ κρινόντων ἐπισκόπων ἐκ διαφόρων ὄντων ἐπαρχιῶν, ἐκεῖνος ὁ πρωτεύων τοὺς δικαστὰς δώσει, οὗ τινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ οὗ φιλονεικεῖται. ἐὰν δὲ κατὰ κοινὴν συναίνεσιν γείτονας ἐπιλέξωνται κριτὰς, ἢ εἷς ἐπιλεγῇ ἢ τρεῖς· καὶ ἐὰν τρεῖς ἐπιλέξωνται, ἢ τῇ τῶν ὅλων ψήφῳ ἐξακολουθήσωσιν, ἢ τῇ τῶν δύο.

ΒΑΛΣ. Ἄλλοι μὲν ἐξελάβοντο τὸν κανόνα εἰς Ἐπισκόπους ἀμελῶς διατιθεμένους ἐπὶ τῇ ἐκδικήσει τῶν ἀνηκόντων F κατὰ δεσποτείαν ταῖς ἐκκλησίαις αὐτῶν τόπων. ἐγὼ δὲ πρὸς τὴν ἐπιτίτλωσιν τοῦ κανόνος ἑρμηνεύων αὐτὸν, φημὶ, ὅτι ἤρεσε τοῖς πατράσιν, ἵνα ἐὰν ἐπίσκοποί τινες ἀμελῶσι τοῦ διδάσκειν τοὺς ἐν ταῖς ἐνορίαις αὐτῶν, εἴτε κερδαίνειν τὰς ψυχὰς τούτων, ὀφείλωσιν εἰς τὴν καθολικὴν ἑνότητα, ἤγουν εἰς τὴν ἐτησίαν σύνοδον ἐγκαλεῖσθαι, ἤγουν παραγγέλλεσθαι παρὰ τῶν γειτνιαζόντων ἐπιμελῶν ἐπισκόπων περὶ τοῦ μὴ ῥᾳθυμεῖν, ἀλλὰ διδάσκειν τὸν ὑπ᾽ αὐτοὺς λαόν. ἐὰν δὲ μετὰ τὸ γενέσθαι τὴν παραγγελίαν, οὐ διορθωθῶσιν οἱ ἐπιφωνηθέντες καὶ εἰς διδασκαλίαν

que verò ſibi quiſquam, inquit, blandiatur ſeu aſſentetur, id eſt, ſeipſum decipiat, (eſt namque quoddam genus fraudis aſſentatio, cum pro veritate nihil aſſentator loquatur, ſed ad gratiam atque auribus ſerviens omnia proferat) ne quis ergo, inquit, ſeipſum decipiat, quòd à Primate, aut Metropolitano provinciæ, literas, quibus ei loci poſſeſſio permittatur, acceperit. Sive enim eas revera habeat, ſive non habeat; niſi ab eo quoque Epiſcopo, qui in poſſeſſione quamvis incerta verſatur, literas acceperit, quibus Eccleſiam ad illum pertinentem, ſe non ſine illius approbatione pacatè obtinuiſſe demonſtret; omnino cauſa cadet: Si vero is, qui deletus eſt, actori viciſſim litem intendat; ea quoque controverſia Epiſcoporum judicio definiatur. Judices porrò, vel à Metropolitano dabuntur, vel communi partis utriuſque conſenſu deligentur.

Ariſt. *Nemo ſibi vendicet, quod ad ſe pertinere exiſtimatur: Sed Epiſcopi judicent, vel quos Primas dabit, vel vicini ex conſenſu. Qui autem à Primate literas de detinendo accepit, ſibi blanditur.*

Si quis Epiſcopus ſibi videtur jus habere in parœciam aliquam ab alio Epiſcopo detentam, ad Epiſcopos, qui in ipſum juriſdictionem habent, accedere debet, & litem ei intendere: non autem ſuum eſſe ultorem, & cum authoritate conari poſſidere, quod exiſtimat ad ſe pertinere. Quòd ſi & literas de populo, qui ab alio Epiſcopo detinetur, poſſidendo acceperit, ſemetipſum decipit. Nihil enim ex eo emolumenti accipiet, niſi qui eum detinet pacificè mallet deſiſtere, quam judicialiter amoveri.

Canon CXXII.

De iis qui populos ad ſe pertinentes negligunt. Similiter placuit, ut quicunque negligunt loca, quæ ad ſuam cathedram pertinent, quod ad ea ad catholicam unionem lucrifacienda attinet, à vicinis eorum diligentibus Epiſcopis conveniantur, ne hoc facere differant. Quare ſi intra terminum ſex menſium à die hujus conventionis nihil effecerint, ei deinceps, qui illos poſſit lucrifacere, aſſignentur: Sic tamen, ſi ille, ad quem ii pertinere oſtenduntur, de induſtria propter aliquam œconomiam negligere viſus ſit, cùm hoc maluiſſent hæretici, ut ipſos abſque ullo ſtrepitu acciperet; & interea ejus diligentia ab alio præventa ſit; qua quidem ſi uſus eſſet, ipſos hæreticos magis ad improbitatem incitaſſet: eo inter judicantes Epiſcopos cognito, loca ejus ſedi reſtituantur. Cùm autem judicantes Epiſcopi ſint ex diverſis provinciis, Primas ille Judices dabit, in cujus regione eſt locus ille, de quo contenditur. Sin autem communi conſenſu vicinos Judices elegerint, vel unus eligatur, vel tres: & ſi tres elegerint, vel omnium ſententiam ſequentur, vel duorum.

Bals. Alii quidem acceperunt canonem de Epiſcopis, qui negligenter ſe gerunt in iis locis, quæ jure dominii ad Eccleſias ſuas pertinent, vendicandis. Ego verò ſecundum canonis titulum eum interpretans, dico, quod Patribus placuit, ut ſi Epiſcopi aliqui negligant eos docere, qui in ſuis ſunt diœceſibus, ut eorum animas lucrifaciant, debent ad catholicam unionem, ſeu ad annuam Synodum evocari, ſeu denunciari, à vicinis diligentibus Epiſcopis, ne ſint ſocordes, ſed ſuum populum doceant. Sin autem poſtquam facta fuerit denunciatio interpellati non corrigantur, nec doctrinæ invigilent intra ſex menſes; tunc debent ejuſmodi loca alii vicino Epiſcopo aſſignari, qui poſſit eos lucrifacere, ſeu per doctrinam ſibi familiares reddere. Si autem Epiſcopus, qui ante hunc eandem habuit diœceſin, dicat œconomia aliqua & quodam conſilio ſe populum ſuum docere negligere; utpote quòd hæretici, qui in eo fortè ſunt, velint ſine ulla reprehenſione converti, & æquum cenſeant ut veritatis rationem tacitè ſuſcipiant; & propterea docere negligit, ne ea utens hæreticos magis ab improbitatem incitet, ut qui reprehendi ægre ferant; & hoc ipſum ab Epiſcopis verum cognitum fuerit: ad eundem Epiſcopum regio revertetur. Quia autem veriſimile erat dicere aliquos, quinam hanc cauſam judicare debent? ſtatuerunt Patres, eos Epiſcopos dari Judices à Primate provinciæ, ſeu Metropolitano, quos ipſi viſum fuerit, utpote cùm is locus ſitus ſit in ejus provincia. Sin autem qui de regione contendunt, ex vicinis Epiſcopis Judices elegerint, non multos eligant, ſed unum, vel tres. Et ſi unus quidem electus fuerit, illius ſententiam ſequentur; cùm ſit enim electus Judex, in eum non cadit appellatio: Sin autem ſint tres, vel erunt concordes, & eorum ſententia neceſſariò valebit; vel diſſentient, & plurium valebit ſententia. Atque hic quidem canon ſic eos punit, qui non docent ſibi ſubjectos populos. lviii. autem canon ſanctorum Apoſtolorum ſic expreſsè dicit; Epiſcopus vel Presbyter qui clerum vel populum negligit, & eos pietatem non docet, ſegregetur: in ſocordia autem permanens, deponatur. Et mihi magis videtur ſervandus canon Apoſtolicus. Iniquum enim eſt, propter Epiſcopi negligentiam Epiſcopatum ad ſe pertinente regione privari. Sed id, quod in Apoſtolico canone dicitur, fiet, poſtquam Epiſcopo denunciatum fuerit, ut vult hic præſens canon. Quæ autem in præſenti canone continentur pro diſpenſatione in aliis quoque juſtis & rationalibus cauſis accipe. Non enim negligens reputabitur Epiſcopus, qui ægrotat, vel qui in majoribus cauſis Eccleſiaſticis verſatur. Lege & ciii. can. præſentis Synodi, qui hujuſmodi negligentem Epiſcopum communionis privatione, conſequenter dicto canoni Apoſtolico, mulctat.

A ἐπαγρυπνήσωσιν, ἐντὸς μηνῶν ἕξ, ἐκ τούτου ὀφείλουσιν οἱ τοιοῦτοι τόποι προσκυροῦσθαι ἑτέρῳ πλησιοχώρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ τούτους κερδᾶναι, ἤγουν διὰ τῆς διδασκαλίας οἰκειώσασθαι. ἐὰν δὲ ὁ ἐπίσκοπος, ὁ πρὸ τούτου τὴν τοιαύτην ἐνορίαν ἔχων, λέγῃ διά τινα οἰκονομίαν ἀμελῆσαι τοῦ διδάσκειν τὸν ἐν αὐτῇ λαόν, ὡς τυχὸν τῶν ἐν ἐκείνῃ ὄντων αἱρετικῶν θελησάντων χωρίς τινος ἐλέγχου ἐπιστραφῆναι, καὶ ἀξιωσάντων σεσιγημένως τὸν λόγον τῆς ἀληθείας παραδέξασθαι, καὶ διὰ τοῦτο ἀμελῆσαι τῆς διδασκαλίας, ἵνα μὴ κατατρεχόμενος ταύτῃ τοὺς αἱρετικοὺς ἐπιπλέον εἰς κακίαν παροξυνῇ διὰ τοὺς ἐλέγχους ὑβριοπαθοῦντας· καὶ τοῦτο αὐτὸ B διαγνωσθῇ τῶν ἐπισκόπων· ἀντιστραφήσεται ἡ ἐνορία πρὸς τὸν αὐτὸν ἐπίσκοπον. ἐπεὶ δὲ εἰκὸς ἦν εἰπεῖν τινας, τίνες δικάσαι ὀφείλουσι τὴν τοιαύτην ὑπόθεσιν; ὡρίσαντο οἱ πατέρες, ἐκείνους δίδοσθαι δικαστὰς ἐπισκόπους παρὰ τοῦ πρωτεύοντος τῆς ἐπαρχίας ἤτοι τοῦ μητροπολίτου, οὓς ἂν αὐτὸς ὁρίσῃ, ἅτε καὶ τοῦ τόπου ὑπὸ τὴν ἐπαρχίαν τούτου διακειμένου. ἐὰν δὲ οἱ περὶ τῆς ἐνορίας δικαζόμενοι ἐπιλέξωνται δικαστὰς ἐκ γειτόνων ἐπισκόπους, μὴ πολλοὺς ἐπιλεγέσθωσαν, ἀλλ' ἢ ἕνα ἢ τρεῖς. εἰ μὲν γὰρ εἷς ἐπιλεγῇ, τῇ ψήφῳ ἐκείνου ἕψονται. αἱρετὸς γὰρ ὢν δικαστὴς ἐκκλήτῳ οὐχ ὑποπεσεῖται. εἰ δὲ τρεῖς εἰσιν, ἢ σύμψηφοι ἔσονται, καὶ ἐξ ἀνάγκης ἡ ψῆφος αὐτῶν C κρατήσει, ἢ μερισθήσονται, καὶ κρατήσει λοιπὸν ἡ τῶν πλειόνων ψῆφος. καὶ οὗτος μὲν ὁ κανὼν οὕτω κολάζει τοὺς μὴ διδάσκοντας τοὺς ὑπ' αὐτοὺς λαούς. ὁ δὲ νη'. κανὼν τῶν ἁγίων ἀποστόλων φησὶν οὕτω ῥητῶς· ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω· ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ, καθαιρείσθω. καὶ δοκεῖ μοι μᾶλλον ὀφείλειν κρατεῖν τὰ τοῦ ἀποστολικοῦ κανόνος. ἄδικον γάρ ἐστι, διὰ τὴν ἀμέλειαν τοῦ ἐπισκόπου στερηθῆναι τὴν ἐπισκοπὴν τῆς ἀνηκούσης ταύτῃ ἐνορίας. πλὴν καὶ τὰ τοῦ ἀποστολικοῦ κανόνος γενήσεται μετὰ τὸ παραγγελθῆναι τὸν ἐπίσκοπον, κατὰ τὸν παρόντα κανόνα. τὰ δὲ τῷ παρόντι κανόνι περιεχόμενα χάριν οἰκονομίας ἐκλαβοῦ D καὶ εἰς ἑτέρας εὐλόγους αἰτίας. οὐ γὰρ ἀμελὴς λογισθήσεται ὁ ἐπίσκοπος νοσῶν, ἢ ἐκκλησιαστικαῖς μείζοσιν ἐνασχολούμενος ὑποθέσεσιν. ἀνάγνωθι καὶ τὸν ἑκατοστὸν τρίτον κανόνα τῆς παρούσης συνόδου, ἀκοινωνησίᾳ καταδικάζοντα τὸν τοιοῦτον ἀμελῆ ἐπίσκοπον ἀκολούθως τῷ ῥηθέντι ἀποστολικῷ κανόνι.

Zonar. Si qui Epiſcopi, inquit canon, loca ad ſuas Eccleſias ſpectantia negligant, nec de iis recipiendis aut vendicandis laborent; ea de re apud Synodum, quam unitatis Catholicæ nomine, quod fidei vinculo in unum quaſi corpus adſcripta ſit, explicavit, à vicinis Epiſcopis accuſentur. Quòd ſi ſex ab accuſatione menſibus rei agendæ adhuc indormientes, loca Eccleſiis ſuis minime recuperaverint, ea alteri, qui lucrifacere, hoc eſt, ſibi vendicare poſſit, adjudicabuntur. Verum ſi Epiſcopus, ad quem illa pertinent, non negligentia, ſed conſilio potiùs & de induſtria confeſtim repetendi curam ſepoſuit, quia forte ab iis Epiſcopis ea loca detinebantur, qui cum hæretici eſſent, ea conditione, ne quis eos ulla moleſtia afficeret, Eccleſiæ Catholicæ ſe adjunxerant, ac eo propterea remiſſiùs agente ejus partes alter præripuit; tum loca illa, re per Epiſcopos cognita, ei ad quem pertinent Epiſcopo reſtituantur. Nam ſi ea Epiſcopus vendicare, ac ab hæreticis, à quibus detinebantur, eripere feſtinaſſet; pejores eos proculdubio effeciſſet, atque ad pravitatem morúmque perverſitatem amplius concitaſſet. Qui autem hac de re cognoſcant, à Primate provinciæ, cujus in ditione locus eſt, Epiſcopi Judices dabuntur. Quòd ſi ipſimet, qui inter ſe diſceptant, eligere voluerint, aut unum, canon ait, aut tres certe controverſiæ arbitros ſtatuant. Nam ſi unus electus ſit, valebit ejus ſententia; cum in

ΖΩΝΑΡ. Ἐὰν τινὲς ἐπίσκοποι, φησὶν ὁ κανών, ἀμελῶσι τῶν τόπων τῶν ἀνηκόντων ταῖς ἐκκλησίαις αὐτῶν, πρὸς τὸ αὐτοὺς κερδᾶναι, ἀντὶ τοῦ, ὥστε αὐτοὺς ἐκνικῆσαι καὶ ἔχειν, E ἵνα αἰτιαθῶσιν εἰς τὴν καθολικὴν ἑνότητα, εἰς τὴν σύνοδον δηλαδὴ τὴν ἡνωμένην τῇ καθολικῇ πίστει, ἐγκαλούντων αὐτοῖς περὶ τούτου τῶν γειτνιώντων τοῖς τόποις ἐπισκόπων. ἐὰν δὲ αἰτιαθέντες ἐντὸς μηνῶν ἓξ μετὰ τὴν αἰτίασιν ψηφιζομένων οὐδὲν ἀνύσωσιν εἰς ἐκδίκησιν τῶν διαφερόντων ταῖς ἐκκλησίαις αὐτῶν ῥαθυμοῦντες, προσκυρωθήσονται τῷ δυναμένῳ κερδᾶναι αὐτούς, τουτέστιν ἐκνικῆσαι. ἐὰν δὲ ὁ ἐπίσκοπος, ᾧ ἀνῆκον οἱ τόποι, οὐ διὰ ῥαθυμίαν, ἀλλὰ δι' οἰκονομίαν ὑπερετίθετο, ἴσως τῶν κατεχόντων τοὺς τόπους αἱρετικῶν ἐπισκόπων ἑνωθέντων τῇ καθολικῇ ἐκκλησίᾳ ἐπὶ συμφωνίᾳ τοῦ ἀθορύβους αὐτοὺς διατηρηθῆναι, καὶ διὰ τοῦτο ὑπερτιθεμένου τὴν ἐκνίκησιν τοῦ ἐπισκόπου περιέλαβεν ἄλλος, F οἱ τόποι τῷ ἐπισκόπῳ, ᾧ διέφερον, ἀποκαταστήσονται, ἐπισκόπων περὶ τούτου διαγινωσκόντων. εἰ γὰρ ἐσπούδασεν ὁ ἐπίσκοπος ἐκνικῆσαι τοὺς τόπους ἀπὸ τῶν κατεχόντων αὐτοὺς αἱρετικῶν. πλέον ἂν ἐκάκιζεν αὐτούς, ἀντὶ τοῦ χείρονας ἂν ἐποίησεν αὐτούς, καὶ εἰς πλείονα κακίαν ἠρέθισεν ἄν. τοὺς δὲ περὶ τούτου μέλλοντας διαγνωμονεῖν ἐπισκόπους ὁ πρωτεύων τῆς ἐπαρχίας δώσει, ἐν ᾗ ὁ ἐκνικάμενος διάκειται τόπος. ἐὰν δὲ οἱ περὶ τῶν τόπων δικαζόμενοι αὐτοὶ ἐπιλέξωνται δικαστάς, ἢ εἷς ἐπιλεγέσθω, φησὶν ὁ κανών, ἢ τρεῖς. εἰ μὲν γὰρ εἷς ἐπιλεγῇ, τῇ ψήφῳ ἐκείνου ἕψονται· αἱρετὸς γὰρ ὢν δικαστὴς ἐκκλήτῳ οὐχ ὑποπεσεῖται· εἰ δὲ τρεῖς εἰσιν, ἢ σύμψηφοι ἔσονται, καὶ ἐξ ἀνάγκης ἡ ψῆφος αὐτῶν κρατήσει, ἢ μεριασθήσονται αἱ γνῶμαι αὐτῶν, ὡς τοὺς μὲν δύο ὁμογνωμονῆσαι, τὸν δ᾽ ἕτερον ἄλλης γενέσθαι διαγνώσεως, καὶ κρατήσει λοιπὸν τῶν πλειόνων ἡ ψῆφος.

ΑΡΙΣΤ. Οἱ τῶν ἀνηκόντων ἀμελοῦντες ὑπομιμνησκέσθωσαν· καὶ εἰ μηδὲν ἐντὸς μηνῶν ἓξ δράσουσι, τῷ δυναμένῳ κερδᾶναι προσκυρούσθωσαν. εἰ μέντοι οἰκονομικῶς καταμελήσωσιν, ὥστε μὴ παρερεθίσαι τοὺς αἱρετίζοντας· καὶ τοῦτο δειχθῇ, κρινόντων ἐπισκόπων, τῶν ἢ δοθέντων ἢ ἐπιλεγέντων, τῇ καθέδρᾳ τούτων ἀποκαθιστάθωσαν.

Ἐάν τινες τῶν ἐπισκόπων τῶν ἀνηκόντων τόπων τῇ αὐτῶν καθέδρᾳ ἀμελήσωσι, καὶ ὑπομνησθέντες παρὰ τῶν γειτνιώντων αὐτοῖς ἐπισκόπων ἐπιμελῶν, ὥστε διεγερθῆναι εἰς τὸ παντοίως πεῖσαι τοὺς ἐκεῖσε ὄντας αἱρετικοὺς μεταστρέψαι πρὸς τὴν ὀρθοδοξίαν· καὶ ἐντὸς μηνῶν ἓξ μετὰ τὴν αἰτίασιν οὐδέν τι ἀνύσωσιν, ἀλλ᾽ ἐν τῇ αὐτῇ μείνωσι καταφρονήσει καὶ ῥᾳθυμίᾳ· ἑτέρῳ ἐπισκόπῳ, τῷ δυναμένῳ τούτους κερδᾶναι, προσκυρωθήσονται. εἰ μέντοι, κατ᾽ οἰκονομίας λόγον, οὐ διανέστησαν πρὸς ἐπιμέλειαν, ἵνα μὴ τοὺς αἱρετικοὺς ἴσως πρὸς ἀναισχυντίαν μείζονα διεγείρωσιν· ἀλλ᾽, ὡς ἐλπίζοντες αὐτοὺς μεθ᾽ ὑπομονῆς μᾶλλον καὶ μακροθυμίας κερδᾶναι, ἡσύχασαν· καὶ ἐν τῷ μεταξὺ ἕτεροί τινες τῶν ἐπισκόπων τὴν ἐπιμέλειαν αὐτῶν παρέλαβον καὶ προσεκυρώθησαν ἐκείνοις τῶν αἱρετικῶν οἱ τόποι· καὶ τοῦτο δειχθῇ, κρινόντων ἐπισκόπων, τῶν, ἢ παρὰ τοῦ πρωτεύοντος δοθέντων, ἢ τῶν ἀμφοτέρων τῶν ἐπισκόπων ἐπιλεγέντων, ὡς διὰ τοιαύτην οἰκονομίαν, τῆς διδασκαλίας δῆθεν αὐτῶν ἠμέλησαν· ἀποκαταστῶσιν αὖθις τῇ καθέδρᾳ αὐτῶν οἱ τοιοῦτοι τόποι.

Judicem electum non cadit appellatio. Sin autem tres fuerint; vel idem omnes decernent, ac eorum judicio neceſſariò ſtari oportebit; vel ita diſſentient, ut duos tamen inter ſe convenire, uno tantummodo diſcrepante, neceſſe ſit; ac tunc quoque id quod plures probaverint retinebitur.

Arist. *Qui ad ſe pertinentia negligunt, admoneantur: & ſi nihil intra ſex menſes fecerint, ei, qui lucrifacere poteſt, adjudicentur. Si autem œconomicè neglexerint, nc hæreticos irritarent, & hoc appareat, Epiſcopis ſive datis ſive electis judicibus, eorum Cathedræ reſtituantur.*

Si qui Epiſcopi loca ad ſuas cathedras pertinentia neglectui habuerint, & à vicinis ſuis diligentibus admoniti Epiſcopis, ut ſummâ ope niterentur hæreticos, qui ibi ſunt, ad fidem orthodoxam convertere; & intra ſex menſes poſt admonitionem nihil omnino effecerint, ſed in eodem neglectu manſerint & deſidiâ: alii Epiſcopo, qui ea lucrifacere poteſt, adjudicentur. Si autem juxta adminiſtrationis rationem, ſe ad diligentiam non excitarunt ne forte hæreticos ad majorem proritarent impudentiam; ſed ut ipſe ducti eos patientiâ potiùs & longanimitate lucrifacere, quieverunt; & interim alii quidam Epiſcopi diligentiam eorum anticiparunt, & hæreticorum loca iis adjudicata ſunt, & hoc evincatur, judicantibus Epiſcopis, vel à Primate datis, vel ab ambobus Epiſcopis electis, quòd propter talem nimium œconomiam inſtructionem eorum negligebant: iſtiuſmodi loca cathedræ eorum iterum reſtituantur.

ΚΑΝΩΝ ρκγ´.

Ὅτι οὐκ ὀφείλει τῶν ἐπιλεγομένων δικαστῶν ἡ γνώμη ἐξουθενεῖσθαι. ἀπὸ δὲ τῶν δικαστῶν, τῶν κατὰ κοινὴν συναίνεσιν ἐπιλεχθέντων, μὴ ἐξεῖναι ἐκκαλεῖσθαι. ὅστις δὲ δήποτε ἀποδειχθείη διὰ μονοτονίαν μὴ θέλειν τοῖς δικασταῖς πειθαρχῆσαι, τοῦτο γινώσκων ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος δώσει γράμματα, ὥστε μηδένα τῶν ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως οὗ πειθαρχήσῃ.

ΒΑΛΣ. Σαφὴς ὁ κανών. διορίζεται γὰρ, μὴ ἐκκαλεῖσθαί τινα κατὰ τῆς ψήφου τῶν ἐξ ἐπιλογῆς τῶν μερῶν δικαζόντων ἐπισκόπων· τὸν δὲ τοῦτο ποιήσαντα, ἀκοινωνησίᾳ κατακρίνεσθαι παρὰ τοῦ πρωτεύοντος ἤγουν τοῦ μητροπολίτου. Ταῦτα τοῦ κανόνος διοριζομένου, τινὲς μὲν εἶπον τοῦτο γίνεσθαι ἀκολούθως τῷ ιθ´. κεφ. τοῦ β´. τίτλου τοῦ ζ´. βιβλίου, τῷ λέγοντι, ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ. ἐμοὶ δὲ δοκεῖ, μὴ περὶ τοιούτων αἱρετῶν διδάσκειν τὸν κανόνα· τούτους γὰρ δόσις προστίμου καθίστησι δικαστὰς, ἰδιώτας ὄντας· ἀλλὰ περὶ ἐπισκόπων ἐχόντων δικαιοδοσίαν. εἶναι δὲ ἰδικὸν τοῦτο εἰς τὰς ἐκκλησιαστικὰς ὑποθέσεις καὶ μόνας, ὥσπερ καὶ ἄλλα πολλά. οἱ γὰρ πολιτικοὶ νόμοι κατὰ παντὸς δικαστοῦ ἐκκαλεῖσθαι ἐγχωροῦσι, κἂν ἐξ ἐπιλογῆς τῶν μερῶν κατέστη τις δικαστής.

ΖΩΝΑΡ. Ἐὰν κατὰ κοινὴν γνώμην οἱ δίκην ἔχοντες πρὸς ἀλλήλους αἱρετίσωνται δικαστὰς, οὐκ ἔξεστιν αὐτοῖς ἐκκαλεῖσθαι κατὰ τῆς ψήφου αὐτῶν. τοῦτο δὲ καὶ ὁ πολιτικὸς νόμος οὕτω θεσπίζει ἐν βιβλίῳ ζ´. τίτλῳ β´. κεφαλ. ιθ´. λέγων, ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ. εἶτα ἐπάγει ὁ κανών· ὅστις δὲ διὰ μονοτονίαν, ἤγουν ἰσχυρογνωμοσύνην, ἢ ἀναισχυντίαν, οὐ πειθαρχεῖ τοῖς δικασταῖς, ὁ τῆς πρώτης καθέδρας ἐπίσκοπος ἐντέλλεται διὰ γραμμάτων τοῖς ἐπισκόποις μὴ συγκοινωνῆσαι αὐτῷ, ἕως οὗ πειθαρχήσῃ.

Canon CXXIII.

Quòd non debet electorum Judicum ſententia nihili pendi. A judicibus autem, qui communi conſenſu electi ſunt non licet appellare. Quicunque verò oſtenſus fuerit propter pervicaciam nolle Judicibus parere, hoc ſciens primæ ſedis Epiſcopus, dabit literas, ut nullus ei Epiſcopus communicet, donec paruerit.

Bals. Clarus eſt canon. Statuit enim, neminem appellare debere adverſus ſententiam Epiſcoporum, qui ex partium electione judicant: eum autem, qui hoc fecerit, excommunicatione condemnari à Primate ſeu Metropolitano. Hæc cùm à canone decernantur; dixerunt quidem nonnulli hoc fieri conſequenter xix. capiti ii. tit. vii. libri, quod dicit; Electitius Judex, quod ſibi videtur, decernit, nec Prætor ullam de ejus ſententia curam gerit. Mihi autem videtur, non de ejuſmodi electitiis loqui canonem; pœnæ enim datio eos Judices conſtituit, cùm ſint privati; ſed de Epiſcopis, qui habent juriſdictionem: eſſe autem hoc Eccleſiaſticarum cauſarum, earúmque ſolarum, proprium, ſicut & multa alia. Leges enim civiles ab omni Judice appellare permittunt, etiamſi quis ex partium electione conſtitutus fuerit.

Zonar. Si Judices communi conſenſu elegerint, qui litigant; eis ab illorum ſententia ad alios Judices provocandi non dabitur facultas. Quod lex quoque civilis lib. vii. tit. ii. cap. ix. Baſilic. ita decernit, dicens; Electitius Judex ex æquo & bono, quod ſibi videtur, ſtatuit; neque in ejus ſententiam curioſe Prætor inquirit. Quod vero addit canon, ejuſmodi eſt; ut ſi quis nimirum ſui juris ac ſententiæ nimium tenax atque præfractus Judicibus non obediat, primæ ſedis Epiſcopus reliquis Epiſcopis literis denuntiet, ut ab ejus communione, quamdiu ille parere recuſaverit, abſtineant.

Ariſt. *Judex ab ambabus partibus electus recuſari* A *non poteſt.*

Nec Epiſcopi nec Clerici communi conſenſu Epiſcopos judices eligentes, & ab iis judicati, contra eorum ſententiam appellare poſſunt: & hoc non hîc tantum, ſed & in aliis præſentis Synodi canonibus decretum fuit.

Canon CXXIV.

Ut Epiſcopus, qui propriam diœceſin contemnit, privetur communione. Si in matriculis ſeu in cathedris B *Epiſcopus negligens fuerit adverſus hæreticos, admoneatur à vicinis diligentibus Epiſcopis: & ei propria oſtendatur negligentia, ad hoc ne excuſationem habeat. Si autem à quo die commonitus fuerit, intra ſex menſes in eadem provincia degens, non eorum, qui debent ad catholicam unionem converti, curam geſſerit: cum eo non communicetur, donec id impleverit. Si autem Executor in iis locis non adfuerit, Epiſcopo ne adſcribatur.*

Bals. In cxxi. canone ſatis ſcripſimus de Epiſcopis, qui nullam curam gerunt docendorum ſuorum C populorum: de quibus præſens quoque canon dicit, adjiciens conſequenter canoni Apoſtolico, excommunicationi ſubjici eos, qui poſt denunciationem illos docere negligunt, qui in matriculis ſeu inter cathedrarum ſuarum aut Eccleſiarum jura ſunt, hæreticos. Si autem Executor, inquit, ab Epiſcopo admonitus, ut ad locum accederet, & hæreticos vocaret, hoc non fecerit; culpæ non erit affinis Epiſcopus. Eſt enim hoc quoque rationabilis cauſa, ſicut morbi, & cæteræ. Eſt autem Executor, vel regionis Exarchus, qui talia adminiſtrat, vel Magiſtratus regionis, qui in rebus ejuſmodi neceſſe habet Epiſcopo opem ferre; & magis quàm D Defenſor regionis, de quo agitur in nonageſimo ſeptimo canone præſentis Synodi.

Zonar. Suos Epiſcopos Donatiſtæ quoque habebant, ſuáſque matriculas, hoc eſt tabulas, in quibus ea, quæ ad ipſorum Eccleſias ſpectabant, deſcripta continerentur. Si quis igitur orthodoxus Epiſcopus, cathedras ab hæreticis occupatas, locáque in eorum matriculis deſcripta, recuperare neglexerit, nec de iis laboraverit, qui ad Eccleſiam Catholicam converti debent; illum à vicinis Epiſcopis ea de re canon admoneri jubet: quòd ſi admonitus, ſex menſium intervallo, ſi quidem in eis locis E agat, negotium minimè ſuſceperit; ejuſdem communione omnibus interdictum eſſe decernit. Verum ſi ipſe quidem, inquit, præſens adſit; Executor autem ſive Præfectus regionis, qui opus ad exitum perducat, & à quo hæretici cauſam dicere vel inviti cogantur, vel alius ab Imperatore ex canonis xxvii. decreto munere præpoſitus, deſideretur: ne ulli Epiſcopi indiligentiæ adſcribatur, ſi tunc temporis aliquam ex Magiſtratus aut Defenſoris abſentia rebus ipſis moram afferri contigerit.

Ariſt. *Epiſcopus hæreticorum curam gerere contemnens, & admonitus, ſi per ſex menſes in ſuo* F *permanſerit contemptu, eorumque converſio ei non curæ fuerit, excommunicetur.*

Anteſcriptus centeſimus vigeſimus primus canon Epiſcopum, qui in hæreticis corrigendis ſe negligenter gerit, & nec poſt admonitionem intra ſex menſes converſionis eorum cura eum tangit, condemnat, ut loca eorum alii Epiſcopo, qui eos ad fidem Catholicam poteſt convertere, aſſignarentur. At præſens canon excommunicatione eum mulctat & ſegregari

ΑΡΙΣΤ. Ὁ ἐκ τῶν δύο μερῶν αἱρεθεὶς κριτὴς ἀπαράγραπτος.

Οὔτε ἐπίσκοποι, οὔτε κληρικοὶ κατὰ κοινὴν συναίνεσιν δικαστὰς ἐπισκόπους ἐπιλεξάμενοι, καὶ παρ' αὐτοῖς κριθέντες, κατὰ τῆς ἀποφάσεως αὐτῶν δύνανται ἐκκαλεῖσθαι· καὶ τοῦτο οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις κανόσι τῆς παρούσης συνόδου ὡρίσθη.

ΚΑΝΩΝ ρκδ'.

Ὥστε τὸν καταφρονοῦντα τῆς ἰδίας διοικήσεως ἐπίσκοπον στερεῖσθαι τῆς κοινωνίας. ἐὰν ἐν τοῖς ματρικίοις, ἤγουν ἐν ταῖς καθέδραις ἐπίσκοπος ἀμελὴς γένηται κατὰ τῶν αἱρετικῶν, ὑπομνησθείη ἀπὸ τῶν γειτνιώντων ἐπισκόπων ἐπιμελῶν, καὶ ὑποδειχθείη αὐτῷ ἡ ἰδία περιφρόνησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν. ἐὰν δὲ ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ, ἐντὸς μηνῶν ἓξ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἑνότητα ἐπιστραφῆναι τὴν φροντίδα ποιήσηται· τῷ τοιούτῳ μὴ συγκοινωνηθῇ, ἕως οὗ τοῦτο πληρώσῃ. εἰ δὲ ὁ ἐπεξεργαστὴς εἰς τοὺς αὐτοὺς τόπους μὴ παραγένηται, τῷ ἐπισκόπῳ μὴ ἐπιγραφῇ.

ΒΑΛΣ. Ἐν τῷ ρκα'. κανόνι ἀρκούντως ἐγράψαμεν περὶ τῶν ἀμελούντων ἐπισκόπων τῆς διδασκαλίας τῶν ὑπ' αὐτοὺς λαῶν· περὶ ὧν καὶ ὁ παρὼν κανὼν φησι, προστιθέμενος ἀκολούθως τῷ ἀποστολικῷ κανόνι, ἀφορισμῷ ἀκοινωνησίας καθυποβάλλεσθαι τοὺς μετὰ παραγγελίαν ἀμελοῦντας τοῦ διδάσκειν τοὺς ἐν τοῖς ματρικίοις ἤγουν τοῖς δικαίοις τῶν καθεδρῶν ἤτοι τῶν ἐκκλησιῶν αὐτῶν ὄντας αἱρετικούς. εἰ δέ, φησιν, ὁ ἐπεξεργαστὴς ἐπιτραπεὶς παρὰ τοῦ Ἐπισκόπου κατὰ τόπον ἀφικέσθαι καὶ μετακαλέσασθαι τοὺς αἱρετικοὺς, οὐ ποιήσει τοῦτο, ἀκαταίτιατος ἔσται ὁ ἐπίσκοπος. ἔστι γὰρ καὶ τοῦτο αἰτία εὔλογος ὁποία ἡ τῆς νόσου καὶ αἱ λοιπαί. ἐπεξεργαστὴς δέ ἐστιν, ἢ ὁ ἐγχώριος ἔξαρχος ὁ τοιαῦτα οἰκονομῶν, ἢ ὁ ἄρχων τῆς χώρας, ὁ πρὸς ἀνάγκης ἔχων βοηθεῖν τῷ Ἐπισκόπῳ ἐν τοιούτοις, καὶ μᾶλλον ἢ ὁ ἐγχώριος ἔκδικος, ὁ δηλούμενος ἐν τῷ ϟζ'. κανόνι τῆς παρούσης συνόδου.

ΖΩΝΑΡ. Καὶ Ἐπισκόπους ἰδίους εἶχον οἱ Δονατισταί, καὶ ματρίκια, ἤγουν ἀπογραφὰς τῶν διαφερόντων ταῖς ἐκκλησίαις αὐτῶν. λέγει οὖν ὁ κανὼν, ὅτι ἐὰν Ἐπίσκοπος ὀρθόδοξος ἀμελήσῃ ἐκνικῆσαι τὰς καθέδρας τῶν αἱρετικῶν, καὶ τὰ ἐν τοῖς ματρικίοις αὐτῶν, καὶ μὴ φροντίσῃ τῶν ὀφειλόντων πρὸς τὴν καθολικὴν ἐκκλησίαν ἐπιστραφῆναι, ἵνα ὑπομιμνήσκηται περὶ τούτου ἐκ τῶν γειτόνων Ἐπισκόπων, καὶ μετὰ τὴν ὑπόμνησιν, ἐὰν ἐντὸς μηνῶν ἓξ οὐ φροντίσῃ τῆς ὑποθέσεως ἐκεῖ ἐνδημῶν, ἵνα μὴ συγκοινωνῇ αὐτῷ τις. εἰ δὲ ἐνδημεῖ, φησιν, οὐ πάρεστι δὲ ὁ ἐπεξεργαστὴς, ἤγουν ὁ ἄρχων τῆς χώρας, ὅστις ἐπεξεργάσασθαι δύναται τὴν ὑπόθεσιν, καὶ παρασχῆται καὶ ἄκοντας τοὺς αἱρετικοὺς ἀπολογησομένους, ἢ ὁ ἐκ βασιλέως δοθεὶς ἴσως εἰς ἐκδίκησιν κατὰ τὸν κζ'. κανόνα, τῷ Ἐπισκόπῳ μὴ ἐπιγραφῇ εἰς ἀμέλειαν ἡ ὑπέρθεσις διὰ τὴν ἀπουσίαν τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου γινομένη.

ΑΡΙΣΤ. Περιφρονῶν ἐπίσκοπος τὴν ὑπὲρ τῶν αἱρετικῶν ἐπιμέλειαν, καὶ ὑπομιμνησκόμενος, εἰ ἐπὶ τῆς ἰδίας διάγει περιφρονήσεως ἐπὶ ἓξ μῆνας, καὶ μὴ φροντίσει τούτων τῆς ἐπιστροφῆς, ἤτω ἀκοινώνητος.

Ὁ μὲν προγραφεὶς ἑκατοστὸς πρῶτος κανὼν τὸν καταφρονητικῶς διατεθέντα Ἐπίσκοπον, περὶ τὴν τῶν αἱρετικῶν διόρθωσιν, καὶ μηδὲ μετὰ τὴν ὑπόμνησιν τῆς τούτων ἐπιστροφῆς ἐπὶ ἓξ μῆνας φροντίσαντα, καταδικάζει, εἰς τὸ προσκυρωθῆναι τοὺς τόπους αὐτῶν ἑτέρῳ Ἐπισκόπῳ, τῷ δυναμένῳ εἰς τὴν καθολικὴν πίστιν αὐτοὺς μεταστρέψαι. ὁ δὲ παρὼν κανὼν ἀκοινωνησίαν αὐτῷ ἐπάγει, καὶ ἀφωρισμένον εἶναι προςτάττει, ἕως οὗ τὸ ἀνῆκον αὐτῷ ἔργον πληρώσει. καὶ δοκεῖ ὁ κανὼν οὗτος οἱονεὶ ἐναντιοῦσθαι τῷ ρκα΄. κανόνι, ἄλλο παρ' ἐκεῖνον ἐπάγων ἐπιτίμιον τῷ ἐπισκόπῳ, τῷ τῆς ἐπιστροφῆς τῶν αἱρετικῶν ἀμελοῦντι· οὐκ ἔστι δὲ ἐναντίος, ἀλλ' ὅταν μὲν εὑρίσκηται ἐπίσκοπος ἕτερος, τὴν ἐπιμέλειαν αὐτῶν ἀναδεχόμενος, ἀφαιρεθήσεται ὁ καταφρονήσας τῆς σωτηρίας αὐτῶν ἐπίσκοπος, ὅπερ εἶχεν ἐπ' αὐτοῖς ἐπισκοπικὸν δίκαιον, καὶ προσκυρωθήσεται ἐκείνῳ. ὅταν δὲ οὔτε ἄλλος τὴν φροντίδα αὐτῶν ἀναδέχηται, οὔτε αὐτὸς τῆς ἐπιστροφῆς τούτων ἐπιμελῆται, τηνικαῦτα τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ ὑποβληθήσεται. εἰ δὲ μετὰ τὸν ἀφορισμὸν τῇ τοιαύτῃ ῥαθυμίᾳ ἐπιμένει, καὶ καθαιρεθήσεται, κατὰ τὸν πεντηκοστὸν ὄγδοον κανόνα τῶν ἁγίων ἀποστόλων.

ΚΑΝΩΝ ρκε΄.

Περὶ τῶν τοὺς Δονατιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων. ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον περὶ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν, αὐτοὺς κεκοινωνηκέναι, οὓς δείκνυται συνειδήσει αὐτοῦ μὴ κοινωνῆσαι· καὶ τὴν ἐπισκοπὴν ἔτι μὴν ἀπολέσει.

ΒΑΛΣ. Διορισάμενοι οἱ πατέρες, ὅπως ὀφείλουσι κολάζεσθαι οἱ ἀμελοῦντες τοῦ ἐπιστρέφειν διὰ διδασκαλίας τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῶν ὄντας αἱρετικούς, καὶ προσθέμενοι συγγινώσκεσθαι τοὺς εὐλόγως πρὸς τοῦτο ἐμποδισθέντας· νῦν ἐπάγουσι, ὡς ἐὰν τινες ἐξ αὐτῶν εἴπωσιν ὁμιλῆσαι διδασκαλικῶς τοῖς οὖσιν ἐν τῇ τούτων ἐνορίᾳ αἱρετικοῖς, καὶ ἀποδειχθῶσι ψευδόμενοι, οὐ μόνον ἀφορισμῷ, ἀλλὰ καὶ καθαιρέσει καθυποβληθήσονται, διὰ τὴν ἄκραν αὐτῶν ἀμέλειαν καὶ τὸν δόλον.

ΖΩΝΑΡ. Ἐὰν δὲ αἰτιώμενος, ὅτι μὴ ἐξενίκησε τὰ παρὰ τῶν αἱρετικῶν κατεχόμενα, λέγῃ κοινωνῆσαι τοὺς αἱρετικοὺς τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ διὰ τοῦτο ἀμελῆσαι αὐτὸς τῆς ἐκνικήσεως, ἐλεγχθῇ δὲ ψευδόμενος μὴ κοινωνησάντων τῶν αἱρετικῶν, ἢ κοινωνησάντων μὲν ἴσως, μὴ συνειδήσει δὲ αὐτοῦ, ἀντὶ τοῦ μὴ εἰδότος αὐτοῦ μηδὲ σπουδάσαντος, καὶ τῆς ἐπισκοπῆς ἐκπεσεῖται, ἤγουν καθαιρεθήσεται.

ΑΡΙΣΤ. Ο εἰπὼν κοινωνικὸν, ὃν οἶδεν ἀκοινώνητον, ἀποεπισκόπου.

Οστις ἐπίσκοπος τοὺς Δονατιστὰς οἶδε πρὸς τὴν καθολικὴν ἐκκλησίαν μὴ ὑποστρέψαντας, εἰ συγκοινωνήσει αὐτοῖς., λέγων, πρὸς τὴν ὀρθοδοξίαν μεταστρέψαι αὐτοὺς, ὁ τοιοῦτος ὡς ψευδόμενος περὶ τῆς κοινωνίας αὐτῶν, καὶ τὴν ἐκκλησίαν τοῦ θεοῦ ἀπατήσας, ἔσται καθῃρημένος.

ΚΑΝΩΝ ρκϛ΄.

Περὶ πρεσβυτέρων καὶ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους. ὁμοίως ἤρεσεν, ἵνα πρεσβύτεροι, διάκονοι, καὶ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν αἰτίαις, ἐὰν περὶ τῆς ψήφου τοὺς ἰδίους ἐπισκόπους μέμφωνται, οἱ γειτνιῶντες ἐπίσκοποι τούτων ἀκροάσωνται, καὶ τὰ μεταξὺ τούτων περατώσωσιν οἱ παρ' αὐτῶν κατὰ συναίνεσιν τῶν ἰδίων αὐτῶν ἐπισκόπων προςλαμβανόμενοι· ἐὰν δὲ καὶ ἀπ' αὐτῶν ἐκκαλέσασθαι θελήσωσιν, μὴ ἐκκαλέσωνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς πρωτεύοντας τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν. πρὸς δὲ τὰ πέραν τῆς θαλάσσης ὁ βουλόμενος ἐκκαλεῖσθαι, ἀπὸ μηδενὸς ἐν Ἀφρικῇ δεχθείη εἰς κοινωνίαν.

ΒΑΛΣ. Φασὶν οἱ πατέρες, ὅτι ἐὰν οἱοσδήτις κληρικὸς καταδικασθῇ παρὰ τοῦ οἰκείου ἐπισκόπου, καὶ βαρύνηται, οὐκ ὀφείλει πρὸς σύνοδον ἑτέρας ἐπαρχίας πορρωτέρω οὖσαν ἐκκαλεῖσθαι· ἀλλὰ ἀνακαλεῖσθαι τὴν τῶν γειτνιόντων ἐπισκόπων ἀκρόασιν, καὶ μετὰ συναινέσεως τοῦ καταδικάσαντος

A jubet, uſque dum opus ad ſe pertinens expleverit. Et videtur hic canon aliquo modo canoni cxxi. contrarius, diverſum ab eo ſupplicium ſumens de Epiſcopo, qui hæreticorum converſionem negligit. Non eſt autem contrarius; ſed cum quidem alius inveniatur Epiſcopus, curam eorum in ſe ſuſcipiens, auferetur Epiſcopo, qui ſaluti eorum parum conſuluit, quicquid in eos habuit jus Epiſcopale, & illi adjudicabitur. Cum autem nec alius curam eorum ſuſcipiet, nec ipſe converſionem eorum in curâ habebit, tunc excommunicationis pœnæ ſubjicietur: Si vero poſt excommunicationem in iſtiuſmodi deſidiâ perſiſtat, & B deponetur, juxta quinquageſimum octavum ſanctorum Apoſtolorum canonem.

CANON CXXV.

De Epiſcopis, qui mentiuntur Donatiſtas communicaſſe. Sin autem oſtenſum fuerit eum de illorum communione fuiſſe mentitum, dum dicit, eos communicaſſe, quos eo ſciente non communicaſſe conſtiterit: Epiſcopatum quoque perdet.

Bals. Cùm definiiſſent Patres, quomodo ſint pu- C niendi ii, qui negligunt per doctrinam convertere hæreticos, qui ſunt in eorum diœceſi; & adjeciſſent, iis ignoſcendum eſſe, qui juſtâ cauſâ in hoc impediti fuerunt: nunc inferunt, quòd ſi qui ex eis dixerint, ſe cum hæreticis, qui ſunt in ſua regione, docendi gratia communicaſſe, & oſtenſum fuerit eos mentiri; non ſolùm ſegregationi, ſed etiam depoſitioni ſubjicientur, propter ſummam eorum negligentiam & fraudem.

Zonar. Si vero quòd ab hæreticis injuſtè poſſeſſa bona non eripuerit accuſatus, eo ſe tueatur, quòd illos Eccleſiæ Catholicæ communicare aſſerat, proptereà- D que vendicationem bonorum ipſe neglexerit; ac poſtea mendacii convictus fuit, cum illos vel nullo modo, vel certè non ejus ſcientia, id eſt, nec ipſo laborante nec ſciente, communicaſſe ſit compertum: Epiſcopatu quoque privabitur, hoc eſt, deponetur.

Arist. *Qui communicare dicit, quem non communicare novit, Epiſcopatu privatur.*

Quicunque Epiſcopus Donatiſtas ad Catholicam Eccleſiam non converſos novit, ſi iis communicaverit, dicens eos ad orthodoxam fidem converſos eſſe: talis, ut de communione eorum mentiens, & Eccleſiam Dei E decipiens, erit depoſitus.

CANON CXXVI.

De Presbyteris & Clericis, ut non appellent niſi ad Synodos Africæ. Similiter placuit, ut Presbyteri, Diaconi, & reliqui inferiores Clerici, ſi in iis quas habent cauſis, de propriorum Epiſcoporum ſententia querantur, vicini Epiſcopi eos audiant, & quæ inter eos ſunt terminent ii, qui ab ipſis ex propriorum Epiſcoporum conſenſu aſſumuntur: Sin autem etiam F *ab eis appellare voluerint, ne appellent, niſi ad Synodos Africæ, vel ad ſuarum provinciarum Primates. Qui vero ad tranſmarina loca appellare voluerit, à nullo in Africa ad communionem admittatur.*

Bals. Dicunt Patres, quòd ſi quivis Clericus à proprio Epiſcopo condemnatus fuerit, & gravetur, non debet ad alterius provinciæ Synodum, quæ eſt longiùs appellare; ſed vicinorum Epiſcoporum audientiam implorare; etiam cum conſenſu ejus qui

UMI

condemnavit eum, Epiſcopi ſcilicet ſui. Sin autem eorum quoque, ad quos appellavit, ſententia ei diſpliceat, non debet ad transmarinas Synodos appellare, quæ Romæ ſcilicet fiunt; ſed ad propinquiores, nempe ad Synodos Africæ, vel ad provinciarum Metropolitanos eorum qui primùm judicarunt Epiſcoporum. Si quis autem præter hæc fecerit, excommunicationis ſegregatione condemnabitur. Nota ergo ex hoc præſenti canone, quòd conſequenter legi civili Patres quoque conceſſerunt bis appellare eos, qui condemnantur. Nota præterea, quòd tempore præſentis Synodi non habebant Metropolitani tale jus in ſuos Epiſcopos illiſque ſubjectos Clericos, quale nunc habent. Poterant enim Clerici ab Epiſcopis condemnati vicinorum Epiſcoporum audientiam appellare: quod nunc non admittetur; propterea quòd in quarta Synodo provinciarum metropolibus proviſum ſit. Cùm autem lex dicat eos lædi, qui ad incompetentem Judicem provocârint; præſens canon damnum ad excommunicationem extendit.

Zonar. Ut Clerici, qui Eccleſiaſticas in ſe invicem controverſias habent, ab ipſis, quibus ſubjiciuntur Epiſcopis judicentur, plurium canonum decreto conſtitutum eſt. Hoc vero canone de provocationibus ſtatuitur, ut ſi nimirum Epiſcoporum ſuorum judicio litigantes Clerici ſtare nolint, à vicinis Epiſcopis audiantur, ac ab eis ſententiæ æquitas examinetur. Judices porro iſti provocationis à litigantibus, non ſine Epiſcopi tamen adprobatione, deligentur. Quòd ſi ipſa quoque Epiſcoporum ſententia, ad quos provocavere, non ſatisfecerit, ad Synodos in Africa habendas cauſa referetur, atque ad provinciarum Primates, qui ſcilicet aliis cum auctoritate præfecti ſunt. Si quis autem ad transmarina judicia, hoc eſt, ad Italiæ Epiſcopos, vel ad Italiæ Synodum provocare velit, à communione, inquit, in Africæ Synodo excludatur.

Arist. *Presbyter & Diaconus, qui de Epiſcopo ſuo conqueruntur, ad vicinos Epiſcopos appellent: at mare ne trajiciant. In Africâ enim excommunicabuntur.*

Hoc & in vigeſimo octavo Synodi præſentis canone decretum eſt; ut nullus Presbyter, aut Diaconus, à ſuo Epiſcopo condemnatus, & judicium reprehendens, & contra illud appellare volens, Africæ Pelagus tranſeat, & ejus gratiâ Romam adeat: ſed ad vicinos appellabit Epiſcopos, & iis appellationis cauſam indicabit: Sin minus, excommunicatum eſſe in Africâ. Hoc autem vetitum fuit, ut opinor, & propter maris pericula, & ut partes vexationes & innovationes non ſuſtinerent, per longinquam ad regionem exteram peregrinationem.

Canon CXXVII.

De parvis virginibus adhuc velandis. Similiter placuit, ut quiſquis Epiſcopus propter neceſſitatem virginalis pudicitiæ in periculum adductæ, quando vel potens amator vel raptor aliquis ſuſpectus fuerit, vel ipſa etiam propter mortiferum aliquod periculum compuncta fuerit, adhortantibus vel ejus parentibus, vel iis, qui ejus curam gerunt, ut non ſine habitu moriatur, velaverit virginem vel velavit intra viceſimum quintum ætatis annum; nihil eum lædet de eo annorum numero conſtituta Synodus.

Bals. Conſecrari quidem virgines tractat vi. canon præſentis Synodi, & xliv. ut in convenienti ætate ipſæ etiam Diaconiſſæ conſtituantur: habitum

A αὐτὸν οἰκείου ἐπισκόπου. ἐὰν δὲ καὶ ἐπὶ τῇ τῶν τοιούτων ἐκκληταρείων ἀποφάσει ἀπαρέσκηται, οὐκ ὀφείλει πρὸς τὰς πέραν τῆς θαλάσσης συνόδους ἐκκαλεῖσθαι, τὰς ἐν Ρώμῃ δηλαδὴ, ἀλλὰ πρὸς τὰς ἐγγυτέρω οὔσας, ἤγουν ἢ πρὸς τὰς τῆς Ἀφρικῆς συνόδους, ἢ πρὸς τοὺς μητροπολίτας τῶν ἐπαρχιῶν τῶν πρώτως κρινάντων ἐπισκόπων. εἰ δὲ παρὰ ταῦτά τις ποιήσει, ἀφορισμῷ ἀκοινωνησίας κατακριθήσεται. σημείωσαι οὖν ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἀκολούθως τῷ πολιτικῷ νόμῳ καὶ οἱ πατέρες ἐξεχώρησαν δὶς ἐκκαλεῖσθαι τοὺς καταδικαζομένους. ἔτι σημείωσαι, ὅτι κατὰ τὸν καιρὸν τῆς παρούσης συνόδου οὐκ εἶχον οἱ μητροπολῖται τοιαῦτα B δίκαια κατὰ τῶν ἐπισκόπων αὐτῶν καὶ τῶν ὑπ' αὐτοὺς κληρικῶν, οἷα ἔχουσι σήμερον. ἠδύναντο γὰρ οἱ παρὰ ἐπισκόπων καταδικαζόμενοι κληρικοὶ τὴν τῶν γειτνιαζόντων ἐπισκόπων ἀνακαλεῖσθαι ἀκρόασιν· ὅπερ ἀρτίως οὐ παραδεχθήσεται, διὰ τὴν γενομένην οἰκονομίαν εἰς τὰς τῶν ἐπαρχιῶν μητροπόλεις κατὰ τὴν δ'. σύνοδον. τοῦ δὲ νόμου λέγοντος βλάπτεσθαι τοὺς ἐκκαλεσαμένους εἰς ἀπρόσφορον δικαστὴν, ὁ παρὼν κανὼν τὴν βλάβην εἰς ἀκοινωνησίαν ἐξελάβετο.

ΖΩΝΑΡ. Τοὺς κληρικοὺς τῶν ἐκκλησιῶν δίκας ἔχοντας πρὸς ἀλλήλους παρὰ τοῖς ἐπισκόποις, οἷς ὑπόκεινται, δικάζεσθαι διάφοροι κανόνες ὡρίσαντο. ὁ δὲ παρὼν κανὼν C περὶ ἐκκλήτων θεσμοθετεῖ, καί φησιν, ὅτι ἐὰν ἀπαρέσκωνται τῇ ψήφῳ τῶν ἐπισκόπων αὐτῶν οἱ παρ' αὐτοῖς δικασάμενοι κληρικοὶ, οἱ γειτνιῶντες ἐπίσκοποι τούτων ἀκροάσονται, καὶ διαγνωμονήσουσι περὶ τῆς ψήφου, εἰ ἔστιν ἀνεπισφαλής. ἔσονται δὲ ἐκκλητάριοι, οἵτινες ἂν παρὰ τῶν δικαζομένων ἐπιλεγῶσι κατὰ συναίνεσιν τοῦ ἐπισκόπου αὐτῶν. ἐὰν δὲ καὶ ἡ τῶν ἐκκληταρείων ἐπισκόπων ἀπόφασις ἀπαρέσκῃ, παρὰ ταῖς ἐν Ἀφρικῇ συνόδοις δοκιμασθήσεται, καὶ παρὰ τοῖς πρωτεύουσι τῶν ἐπαρχιῶν, ἤγουν τοῖς προκαθημένοις τῶν ἄλλων. εἰ δέ τις, φησι, βουληθείη πέραν τῆς θαλάσσης ἐκκαλέσασθαι, ἤγουν πρὸς τοὺς τῆς Ἰταλίας D ἐπισκόπους καὶ τὴν ἐκεῖ σύνοδον, ἀκοινώνητος, φησιν, ἤτω παρὰ τῇ συνόδῳ τῆς Ἀφρικῆς.

ΑΡΙΣΤ. Πρεσβύτερος καὶ διάκονος, ἐπιμεμφόμενοι ἐπισκόπῳ, γείτοσιν ἐπισκόποις ἐγκαλείτωσαν· ἀλλὰ μὴ τὸ πέλαγος διαπεράτωσαν. ἀκοινώνητοι γὰρ ἔσονται ἐν Ἀφρικῇ.

Τοῦτο καὶ ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι τῆς παρούσης συνόδου ὡρίσθη, τὸ, μή τινα πρεσβύτερον, ἢ διάκονον, παρὰ τοῦ ἰδίου ἐπισκόπου καταδικασθέντα, καὶ τὴν κρίσιν ἐπιμεμ- E φόμενον, καὶ κατὰ ταύτης ἐκκαλεῖσθαι βουλόμενον, τὸ πέλαγος τῆς Ἀφρικῆς διαπερᾶν, καὶ περὶ ταύτης τῆς Ῥώμης προσέρχεσθαι, ἀλλὰ τοῖς γείτοσιν ἐγκαλεῖν ἐπισκόποις, καὶ παρ' αὐτοῖς γυμνάζειν τὴν ἔκκλητον· εἰ δὲ μὴ, ἀκοινώνητον εἶναι ἐν Ἀφρικῇ. τοῦτο δὲ ἐκωλύθη, ὡς οἶμαι, διά τε τοὺς κατὰ θάλασσαν κινδύνους, καὶ τὸ μὴ συντριβὰς ὑφίστασθαι καὶ καινοτομίας τὰ μέρη, διὰ τὴν ἐπὶ ξένης μακρὰν ἀποδημίαν.

ΚΑΝΩΝ ρκζ'.

Περὶ παρθένων μικρῶν, ἔτι μὴν καλυπτέων. ὁμοίως ἤρεσεν, ἵνα ὁστισδήποτε τῶν ἐπισκόπων, δι' ἀνάγκην τῆς F παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε ἢ ἐραστὴς δυνατὸς ἢ ἅρπαξ τὶς ἐστὶν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου κινδύνου αὕτη ἔσηται νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, καλύψῃ παρθένον ἢ ἐκάλυψεν ἐντὸς κείρας ἐνιαυτῶν εἰκοσιπέντε, μηδὲν τὸ τοιοῦτον βλάψῃ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν ἐνιαυτῶν κατασταθεῖσα σύνοδος.

ΒΑΛΣ. Καθιερῶσθαι μὲν παρθένους διαλαμβάνει ὁ ἕκτος κανὼν τῆς παρούσης συνόδου, καὶ ὁ μδ'. ὥστε ἐν τῇ ἁρμοδίῳ ἡλικίᾳ καὶ διακονίσσας καθίστασθαι αὐτάς.

μετασχηματίζεσθαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος μεμαθήκαμεν μετὰ τὸν κε΄. ἐνιαυτόν. φασὶ γὰρ οἱ πατέρες, ἵνα ἐὰν ἐπίσκοπος ἢ ἐκάλυψε, τουτέστι μετεσχημάτισε, παρθένον ἀνατεθεῖσαν θεῷ, ἢ καλύψει, πρὸ τοῦ κείρας, ἤγουν περὶ τῆς ἡλικίας τῶν κε΄. ἐνιαυτῶν· (τυχὸν γὰρ ἐπεβούλευσεν τῇ σωφροσύνῃ ταύτης ἐραστὴς δυνατὸς, ἢ ὑπωπτεύετο ἁρπαγῆναι παρά τινος ἐρωτομανοῦντος, ἢ ὑπὸ θανατηφόρου νόσου καταχεθεῖσα ἠλπίζετο καταλῦσαι τὸν βίον· καὶ ἵνα μὴ ἀτελείωτος μείνῃ, παράκλησις γέγονε παρὰ τῶν γονέων αὐτῆς ἢ τῶν ἄλλως τὰ κατ' αὐτὴν οἰκονομούντων, μὴ στερηθῆναι ταύτην τοῦ ἁγίου σχήματος· καὶ διὰ τὰς τοιαύτας εὐλόγους αἰτίας καὶ πρὸ τοῦ νενομισμένου καιροῦ μετεσχημάτισε ταύτην) κατὰ μηδὲν προκριματισθῇ παρὰ τῇ ὀφειλούσῃ τηρῆσαι συνόδῳ τὰ τῆς τοιαύτης ὑποθέσεως, ὡς τάχα πρὸ τῆς συμπληρώσεως τῶν κε΄. ἐνιαυτῶν μετασχηματίσας τὴν κόρην, καὶ παραβάτης τῶν κανόνων λογιζόμενος. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ ἀνάγνωσον τὸν μ΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου· καὶ κατ' ἐκεῖνον λέγε μετασχηματίζεσθαι τοὺς προσερχομένους τῷ θεῷ, κἂν ἄνδρες ὦσι, κἂν γυναῖκες, ἤγουν μετὰ τὸν δεκαετῆ χρόνον. μεταγενέστερος γάρ ἐστι τῆς τε παρούσης συνόδου καὶ τῶν κανόνων τοῦ ἁγίου Βασιλείου. εἰ δὲ θέλεις κρατεῖν τὸν παρόντα κανόνα, εἰς τὸ μὴ προκριματίζεσθαι τοὺς ἐπισκόπους διὰ εὔλογον αἰτίαν μετασχηματίζοντας τινὰς καὶ πρὸ τοῦ δεκαετοῦς χρόνου, ὁ κωλύων οὐδείς. σημείωσαι δὲ, ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος οὐκ ἔξεστί τινι μετασχηματίζειν ἀνθρώπους χωρὶς προτροπῆς ἐπισκοπικῆς.

ΖΩΝΑΡ. Ἐν ἕκτῳ κανόνι τῆς συνόδου ταύτης ὥρισται καθιερώσεις κορῶν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι, καὶ ἐν μδ΄. ὥστε τὰς ἱερὰς παρθένους, ὅτε τῶν πατέρων χωρίζονται, ἐξ ὧν ἐφυλάττοντο, τῇ τοῦ ἐπισκόπου, ἢ αὐτοῦ ἀπόντος τῇ τοῦ πρεσβυτέρου προνοίᾳ ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι. ἔθος γὰρ ἦν προσάγεσθαι ταῖς ἐκκλησίαις κόρας, καὶ καθιεροῦσθαι, ἀντὶ τοῦ ἀνατίθεσθαι τῷ θεῷ ὑπισχνουμένας παρθενεύειν, ὥστε ἐν τῇ ἁρμοδίῳ ἡλικίᾳ καὶ διακονίσσας χειροτονεῖσθαι αὐτάς. εἰ οὖν τοιαύτης παρθένου ἀνατεθειμένης θεῷ ἠράσθη τις δυνατὸς, ἢ ὑποψία ἦν ἁρπαγῆναι αὐτὴν παρά τινος ἀκολάστου, καὶ κίνδυνος ἐπήρτητο τῇ σωφροσύνῃ αὐτῆς, ἢ θανεῖν ἐκινδύνευε, καὶ ἐδέετο ἐκείνη τε καὶ οἱ προσήκοντες αὐτῇ, μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι αὐτὴν, ἀλλὰ ἐδόθη τοῖς ἐπισκόποις καλύπτειν τὴν παρθένον, ἤγουν τὸ σχῆμα αὐτὴν ἐνδύειν καὶ πρὸ τοῦ κε΄. ἐνιαυτοῦ, ἵνα ἢ τοὺς ἀκολάστους ἐκφύγῃ, ὡς τελεσθεῖσα, ἢ μὴ τῆς παρούσης ἀτέλεστος ἐξέλθῃ ζωῆς, καὶ μὴ βλάπτεσθαι τοὺς ἐπισκόπους ἐκ τοῦ μὴ τηρηθῆναι τὸν καιρὸν, ὃν περὶ τῶν τοιούτων παρθένων ἡ σύνοδος ὥρισεν.

ΑΡΙΣΤ. Ὅστις ἐκάλυψεν, ἢ καλύψει παρθένον πρὸ εἴκοσι πέντε ἐνιαυτῶν, τουτέστι, σχῆμα περιέβαλεν, ἢ περιβάλοι δι' ἀνάγκην, οἷον ἐραστὴν δυνατὸν, ἅρπαγα, ἢ θανατηφόρον νόσον· παρακαλούντων, οἷς αὐτῆς μέλει· οὐδὲν ὑπὸ τῆς περὶ τούτου τοῦ ἐνιαυτοῦ συνόδου βλαβήσεται.

Ὁ μὲν ὀκτωκαιδέκατος κανὼν τοῦ μεγάλου Βασιλείου περὶ τῆς προσαγούσης ἑαυτὴν τῷ κυρίῳ, καὶ ἀποταττομένης τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμώσης βίον, διαλαμβάνει, καὶ προστάττει μὴ παραδέχεσθαι, εἰ μὴ ὑπὲρ τὰ δεκαέξ, ἢ καὶ δεκαεπτὰ ἔτη γένηται· τὰς γὰρ παιδικὰς φωνὰς ἐπὶ τῶν τοιούτων βεβαίας οὐκ ἐπιτρέπει λογίζεσθαι. ὁ δὲ παρὼν κανὼν περὶ τῆς ἤδη προσελθούσης, καὶ τῷ γάμῳ ἀποταξαμένης, καὶ τὴν παρθενίαν ἐπαγγελλομένης διαγορεύει, καὶ διατάττεται, κατὰ μηδέν τι βλάπτεσθαι τὸν ἐπίσκοπον, εἰ τὴν οὕτω προσαγαγοῦσαν ἑαυτὴν τῷ θεῷ περιβάλει τὸ σχῆμα πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν, καὶ συγκαλύψει αὐτὴν τῷ ἱερατικῷ τούτῳ κόσμῳ, διὰ ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης· τυχὸν γὰρ δυνατὸς

A autem ſumere poſt xxv. annum à præſenti canone diſcimus. Dicunt enim Patres, ut ſi Epiſcopus vel velavit, hoc eſt, induit, virginem Deo conſecratam, vel velabit, ante ætatem xxv. annorum: (Fortè enim ejus pudicitiæ inſidiabatur potens aliquis, vel periculum erat, ne raperetur ab aliquo, qui veſano ejus amore captus erat, vel mortifero morbo correpta, ne è vita migraret timebatur, & , ne non perfecta remaneret, adhortati ſunt parentes, vel qui alioqui ejus curam gerebant, ne ea ſancti habitu privaretur: Et propter ejuſmodi juſtas cauſas eam ante juſtum tempus induit) nulla in re præjudicio afficiatur apud Synodum, quæ B hujuſmodi cauſas debet obſervare, tanquam qui forte ante xxv. annos completos virginem induerit, & canonum transgreſſor reputetur. Et in his quidem conſiſtit canon. Tu autem lege xl. canonem Syn. in Trullo; & dic ſecundùm illum eos, qui ad Deum accedunt, transformari habitúmque mutare, ſive ſint viri, ſive mulieres, ſcilicet poſt decennium. Eſt enim ea Synodus præſenti poſterior, & ſancti etiam Baſilii canonibus. Si autem velis præſentem canonem valere, ut non præjudicio afficiantur Epiſcopi, qui propter juſtam cauſam aliquos etiam ante decennium veſtiunt, nemo eſt qui prohibeat. Nota autem, quòd etiam ex C hoc præſenti canone non permittitur alicui homines monaſtico veſtitu induere ſine Epiſcopali permiſſione.

Zonar. Ne à Presbyteris conſecrentur virgines, ſexto hujus Synodi canone conſtitutum eſt: ſacras autem puellas, ubi à Patribus diſcedunt, à quibus cuſtodiebantur, curare Epiſcopum, vel ſi is abſuerit, Presbyterum, ut honeſtis mulieribus commendentur, quadrageſimus quartus canon jubet. Moris enim fuit, templis offerri puellas conſecrandas, hoc eſt, ut Deo di- D catæ virginitatem profiterentur, ac poſtea opportuno tempore in Diaconiſſarum ordinem legerentur. Ergo ſi virginis hujuſmodi Deo dicatæ potens aliquis amore correptus eſt, vel à ſcelerato quopiam per vim abductum iri ſuſpicio eſt, ex quo caſtitati illius periculum imminet, vel conſtitutæ in vitæ diſcrimine religioſum habitum indulgeri cum ipſamet, tum ipſius propinqui rogaverunt, ne ea ſine habitu moriatur; eam licet vigeſimoquinto anno nondum exacto, ut ſceleratorum vim effugiat quippe conſecrata, vel ne ex hac vita non initiata migret, velandi, hoc eſt, ſacro ornatu induendi facultas Epiſcopis conceditur; eóſque canon, quamvis E ætatem à Synodo præfinitam non expectaverint, ab omni tamen culpa immunes eſſe decernit.

Arist. *Quicunque velavit, vel velaverit virginem ante annos xxv. hoc eſt, habitum induit, ſive induerit, propter neceſſitatem, ut amatorem potentem, vel raptorem, vel morbum mortiferum; iis, quibus illa curæ eſt, adhortantibus: nihil damni à Synodo de iſto anno accipiet.*

Decimus octavus magni Baſilii canon de eâ, quæ Domino ſe offert, & matrimonio renuntiat, & vi- F tam in ſanctitate actam præfert, diſſerit, jubetque eam non admitti, niſi ſit pluſquam ſexdecim vel etiam ſeptemdecim annos nata. Pueriles enim voces ad talia firmas reputari non permittit. Præſens autem canon de eâ, quæ jam accedit, & matrimonio renunciat, & virginitatem profitetur, præcipit, & decernit, Epiſcopum nullo affectum fore incommodo, ſi eam, quæ ſe Deo ſic offert, habitu induit, ante annos viginti quinque, & ornamento illo ſacerdotali eam velaverit, propter virginalis pudicitiæ neceſſitatem. Forſitan enim potens aliquis amore erga illam flagravit, & matrimonium

A monium contrahere animo habuit; vel alius aliquis raptor eam rapere voluit; & ut iſti ad concupiſcentiæ ſuæ expletionem non prætenderent, quod adhuc ſine habitu manet, dicerentque non patere, an Deo conſecratur, Epiſcopus ſacerdotali eam velare indumento feſtinavit; ne quis habeat quo ad apologiam confugiat, & denegationem, eam ſponſam Dei non fuiſſe; vel ſæpe & morti occubuit, & cognati illius Epiſcopum hortati ſunt, ut etiam ante viginti quinque annos perficeretur, ne ſine habitu è vitâ hâc emigraret.

B

Canon CXXVIII.

Ut Epiſcopi diu non detineantur in Synodo, ex unaquaque provincia tres judices eligantur. Similiter placuit univerſæ Synodo, ne Epiſcopi ad Synodum collecti univerſi detineantur, ex unaquaque provincia tres eligi Judices. Et electi ſunt, ex Carthaginenſi Eccleſiæ, Vincentius, Fortunatianus, & Clarus; ex Numidica provincia Alypius, Auguſtinus & Reſtitutus. Ex Byzacena provincia, cum ſancto ſene Donatiano Primate, Creſconius, Jucundus & Æmilianus; C *ex Mauritania Sitifenſi, Severianus, Aſiaticus & Donatus; ex Tripolitana provincia, Plautius, qui erat ex more in legationem miſſus: qui omnes cum ſanctiſſimo ſene Aurelio omnia conſiderabunt; à quo petivit univerſa Synodis, ut omnibus, ſive actis, quæ jam perfecta erant, ſive epiſtolis, ipſe ſubſcriberet. Et ſubſcripſit; Aurelius Epiſcopus Carthaginenſis Eccleſiæ præſenti decreto conſenſi, & lecto ſubſcripſi. Similiter & omnes Epiſcopi ſubſcripſerunt.*

D **Zonar.** Cum in hoc Concilio celebrando multum temporis congregati Epiſcopi conſumpſiſſent, neque tamen adhuc quæſtiones omnes explicatæ forent, ne diutiùs abeſſe cogerentur, tres ex unaquaque provincia eligi placuit, qui permanentes facta aliis diſcedendi poteſtate, ipſi quæ reliqua erant cum Aurelio cognoſcerent ac conſtituerent.

Arist. *Quandoquidem Epiſcopi, qui ad Synodum venerunt, diutiùs manere haud poſſunt, tres ex unaquaque Provinciâ eligantur.*

E Multis canonicis quæſtionibus propoſitis, & omnibus non ſolutis; placuit Synodo, omnes Epiſcopos in eâ congregatos diutius non detinendos eſſe; quoniam jam multum temporis præterlapſum fuiſſet: ſed ut tres ex unaquâque provinciâ eligerent, & illi, una cum Aurelio Eccleſiæ Carthaginenſis Epiſcopo, reliqua determinent.

Rurſus in hac Synodo aderat Romanæ Eccleſiæ legatio. Poſt conſulatum clariſſimorum Impp. Honorii xii. & Theodoſii viii. Auguſt. A. D. iii. Kal. Junias Carthagine in ſecreto Reſtitutæ Eccleſiæ, cum Aurelius Epiſcopus F *ſimul cum Fauſtino Piceni Potentinæ Eccleſiæ, Italorum provinciæ, legato Romanæ Eccleſiæ, Vincentio Culuſitano, Fortunatiano Neapolitano, Mariano Uzipantiota, Adeodato Simidicita, Pentadio Carpitano, Rufiano Muzuenſiano, Prætextato Sicilibenſita, Quodvultdeo Ucrenſiano, Candido Abbiritano, Gallonio Uticenſi, legatis proconſularis regionis; Alypio Thagavenſino, Auguſtino Hipponeregiano, Poſidio Calamenſino, legatis Numidicæ provinciæ; Maximiano Acyrogenſi, Jucun-*

τις ἔχεν ἔρωτα εἰς αὐτὴν καὶ συναλλάξαι γαμικὸν ἐβουλεύσατο συνοικέσιον· ἢ ἕτερός τις ἅρπαξ ἠβουλήθη ἁρπάσαι αὐτήν. καὶ διὰ τὸ μὴ προφασίσασθαι αὐτοὺς εἰς ἐκπλήρωσιν τῆς ἰδίας ἐπιθυμίας, τὸ, ἔτι ἀσχημάτιστον μένειν, καὶ ἄδηλον εἶναι λέγειν, εἰ ἀνετέθη τῷ Θεῷ, ἔσπευσεν ὁ ἐπίσκοπος συγκαλύψαι αὐτὴν τῷ ἱερατικῷ ἀμφιάσματι, ἵνα μή τις ἔχῃ πρὸς ἀπολογίαν καταφυγεῖν, καὶ ἄρνησιν, τοῦ μὴ νύμφην αὐτὴν γενέσθαι Θεοῦ. ἢ πολλάκις καὶ ἐπελθόντα, καὶ συγγενεῖς αὐτῆς παρεκάλεσαν τὸν ἐπίσκοπον, καὶ πρὸ τῶν εἰκοσιπέντε ἐνιαυτῶν τελειωθῆναι, ἵνα μὴ ἀπέλθῃ χωρὶς τοῦ σχήματος.

ΚΑΝΩΝ ρκη'.

Διὰ τὸ, μὴ τοὺς ἐπισκόπους ἐπιπολὺ ἐν τῇ συνόδῳ κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας τρεῖς ἐπιλέξωνται δικαστάς. ὁμοίως ἤρεσεν πάσῃ τῇ συνόδῳ, διὰ τὸ μὴ ἐπιπολὺ τοὺς πρὸς τὴν σύνοδον συναχθέντας ἐπισκόπους σύμπαντας κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας, ἀνὰ τρεῖς ἐπιλεγῆναι δικαστάς. καὶ ἐπελέγησαν ἐκ τῆς ἐν Καρχηδόνι ἐκκλησίας Βικέντιος, Φουρτουνατιανὸς καὶ Κλάρος· ἐκ τῆς Νουμηδικῆς ἐπαρχίας, Αλύπιος, Αὐγουστῖνος καὶ Ρεστιτοῦτος· ἐκ τῆς Βυζακηνῆς ἐπαρχίας, μετὰ τοῦ ἁγίου γέροντος Δονατιανοῦ τοῦ πρωτεύοντος, Κρεσκώνιος, Ιουκοῦνδος καὶ Αἰμιλιανός· ἐκ τῆς Μαυριτανίας Σιτιφένσης, Σεβηριανὸς, Ασιατικὸς καὶ Δονάτος· ἐκ τῆς Τριπολιτανῆς ἐπαρχίας, Πλαύτιος, ὁ κατὰ τὸ ἔθος εἰς τοποτηρησίαν πεμφθείς· οἵτινες πάντες μετὰ τοῦ ἁγιωτάτου γέροντος Αὐρηλίου σύμπαντα σκοπήσουσιν· ἀφ' οὗ ᾔτησεν σύμπασα ἡ σύνοδος, ἵνα πᾶσιν, εἴτε πεπραγμένοις τοῖς ἤδη ἐκτελεσθεῖσιν, εἴτε ἐπιστολαῖς αὐτὸς ὑπογράψῃ. καὶ ὑπέγραψεν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ πάντες ἐπίσκοποι ὑπέγραψαν.

ΖΩΝΑΡ. Ἐν τῇ συνελθούσῃ ταύτῃ χρονοτριβησάντων τῶν ἀθροισθέντων ἐπισκόπων, ἔτι δὲ τινῶν λοιπαζομένων ζητημάτων, καὶ ἐξετασθῆναι μελλόντων, ἵνα μὴ καὶ ἔτι κατέχωνται καὶ χρονίσωσιν ἐπὶ πλέον, ἔδοξεν ἐξ ἑκάστης ἐπαρχίας τρεῖς ἐπιλεγῆναι προσμενοῦντας, τοὺς δὲ λοιποὺς ἀπελθεῖν· τοὺς δ' ἐπιλεγέντας μετὰ τοῦ Αὐρηλίου σκοπῆσαι σύμπαντα καὶ οἰκονομῆσαι.

ΑΡΙΣΤ. Ἐπὶ πολὺ μὴ δυναμένων παραμένειν τῶν εἰς τὴν σύνοδον ἐληλυθότων ἐπισκόπων, ἀνὰ τρεῖς ἐξ ἑκάστης ἐπαρχίας ἐπιλεγῶσι.

Πολλῶν προτεθέντων κανονικῶν ζητημάτων, καὶ μήπω πάντων λυθέντων· ἤρεσε τῇ συνόδῳ, μὴ πάντας τοὺς συναθροισθέντας ἐν αὐτῇ ἐπισκόπους καὶ ἔτι προσκαρτερεῖν, διὰ τὸ ἱκανὸν ἤδη παραῤῥυῆναι καιρόν· ἀλλὰ ἀνὰ τρεῖς ἀφ' ἑκάστης ἐπαρχίας ἐπιλεγῶσι, καὶ συνάμα τῷ Αυρηλίῳ τῷ ἐπισκόπῳ τῆς ἐν Χαρχηδόνι ἐκκλησίας τὰ λείποντα περατῶσι.

Πάλιν ἐν ταύτῃ τῇ συνόδῳ παρῆν τῆς Ρωμαϊκῆς ἐκκλησίας ἡ τοποτηρησία. μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ονωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῶν Αὐγούστων, τῇ πρὸ τριῶν καλανδῶν Ιουνίων ἐν Καρχηδόνι εἰς τὸ σήκρητον τῆς Ρεστιτέτης ἐκκλησίας, Αὐρηλίου τοῦ ἐπισκόπου, ἅμα Φαυστίνῳ Πικένου τῆς Ποτεντινῆς ἐκκλησίας τῆς Ιταλῶν χώρας, τοποτηρητῇ τῆς Ρωμαϊκῆς ἐκκλησίας, Βικεντίῳ Κουλουσιτανῷ, Φουρτουνατιανῷ Νεαπολίτῃ, Μαυριανῷ Ουζιπαντιώτῃ, Αδεωδάτῳ Σιμηδικίτῃ, Πενταδίῳ Καρπιτανῷ, Ρουφιανῷ Μουζουενσιανῷ, Πραιτεξτάτῳ Σικιλιβενσιώτῃ, Κουοδβουλτδέῳ Ουκρενσιανῷ, Κανδίδῳ Αββιριτανῷ, Γλαωνίῳ Ουτικενσιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Ανθυπατιανῆς χώρας· Αλυπίῳ Θαγαβενσινῷ, Αὐγουστίνῳ Ιππωνηρεγιανῷ, Ποσιδίῳ Καλαμησινῷ, τοῖς τοποτηρηταῖς

A τηρηταῖς τῆς Νουμηδικῆς χώρας Μαξιμιανῷ Ἀκυρεγγυσιώτῃ, Ἰουκουνδῳ Σουφετουλενσιανῷ, Μαξιμιανῷ ἐκ τοῦ αὐτοῦ, καὶ Ἱλαριανῷ τῷ ἀπὸ Ὀρρεοκελίων, τοῖς τοποτηρηταῖς τῆς Βυζακινῆς χώρας Νοβάτῳ Σιτιφενσιώτῃ, καὶ Λέοντι Ὀπτενσιανῷ, τοῖς τοποτηρηταῖς τῆς Μαυριτανῶν χώρας τῆς Σιτιφένσης· Νινέλλῳ Ρουσουρπενσιανῷ Λαυρεντίῳ Ἰκοσιτανῷ, καὶ Νουμεριανῷ Ρουσουγουνιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Καισαρειανῆς Μαυριτανῶν χώρας, ἐκ πάσης τῆς συνόδου κριταῖς ἐπιλεγεῖσιν, παρεστώτων τῶν διακόνων, προκαθίσαντος· καί τινων διανυσθέντων, πολλῶν δὲ ἐπισκόπων ἐπὶ τοῖς λοιποῖς διανυσθησομένοις παρέλκειν ὀδυρομένων, καὶ ὑποφέρειν μὴ δυναμένων, διὰ τὸ, B πρὸς τὰς ἰδίας ἐπείγεσθαι ἐκκλησίας, ἤρεσεν συμπάσῃ τῇ συνόδῳ, ὥστε ἀπὸ πάντων ἐπιλεγῆναι ἐκ μιᾶς ἑκάστης ἐπαρχίας, τοὺς ὀφείλοντας ἀποκαθίσαι χάριν τοῦ τὰ λοιπὰ περατῶσαι· καὶ ἐγένετο, ὥστε παρεῖναι ὑπογραφαὶ τὴν αὐτῶν παρουσίαν μαρτύρονται.

ΚΑΝΩΝ ρκθ'.

Ὅτι οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν οὐκ ὀφείλουσιν προσδεχθῆναι. ἤρεσεν τοίνυν πᾶσιν, ἐπειδὴ τοῖς ἀνωτέροις τῶν συνόδων ψηφίσμασι περὶ προσώπων κληρικῶν, C τῶν μὴ ὀφειλόντων εἰς κατηγορίαν προσδεχθῆναι, ὡρίσθη, καὶ οὐκ ἐπεξεργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσιν, διὰ τοῦτο ὁρίζομεν τοῦτον ὀρθῶς εἰς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὅστις μετὰ τὸ ἀπὸ κοινωνίας γενέσθαι, ἐν αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς, ὁ κατηγορῆσαι βουλόμενος.

ΒΑΛΣ. Ὁ ἕκτος κανὼν τῆς οἰκουμενικῆς δευτέρας συνόδου πλατύτερον διαλαμβάνει, τίνες εἰσὶ προσδεκτέοι εἰς κατηγορίαν ἐπισκόπου. ὁ γὰρ παρὼν κανὼν περὶ μόνων φησὶ τῶν ἀφωρισμένων ἐνιστώντων κατηγορίαν κατά τινος. D ἀνάγνωθι οὖν τὸν ῥηθέντα κανόνα.

ΖΩΝΑΡ. Οὐ πᾶσιν ἐνδέδοται κατηγορεῖν ἐπισκόπων ἢ κληρικῶν, ἀλλὰ τοῖς ὀρθοδόξοις καὶ ἀνεπιλήπτοις, καὶ μήτε ἀκοινωνήτοις, μήτε ὑπὸ κατηγορίαν ἐγκληματικὴν οὖσι, κατὰ τὸν ϛ'. κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, ὃς πλατύτερον περὶ κατηγοριῶν τοιούτων διαλαμβάνει. ὁ δέ γε παρὼν κανὼν περὶ μόνων ἀφωρισμένων διορίζεται, ὥστε εἰ μὴ τοῦ ἀφορισμοῦ λυθῶσι, μὴ δύνασθαι ἑτέρων κατηγορεῖν, κἂν κληρικοὶ εἶεν οἱ κατηγοροῦντες, κἂν λαϊκοί. εἰ δὲ ἀκοινώνητοι κατηγορεῖν οὐ δύνανται, E πολλῷ μᾶλλον οἱ τέλεον ἐκβεβλημένοι τῆς ἐκκλησίας, καὶ οἱ αἱρετικοὶ καὶ οἱ σχισματικοί. ζητητέον δὲ καὶ τὰ γραφέντα εἰς τὸν εἰρημένον ἕκτον κανόνα τῆς δευτέρας συνόδου.

ΑΡΙΣΤ. Οὐ μαρτυρεῖ ὁ ἀφωρισμένος.

Ἀνεπίληπτον δεῖ εἶναι τὸν μαρτυροῦντα· διὰ τοῦτο οὖν οὔτε κληρικὸς οὔτε λαϊκὸς, ἀφωρισμένος, κατὰ ἐπισκόπου ἢ κληρικοῦ εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν παραδεχθήσεται.

ΚΑΝΩΝ ρλ'. F

Ὅτι δοῦλοι καὶ ἀπελεύθεροι καὶ πάντα τὰ ἠτιμωμένα πρόσωπα κατηγορεῖν οὐκ ὀφείλουσιν. ὁμοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι ἀπελεύθεροι εἰς κατηγορίαν μὴ προσδεχθῶσιν· καὶ πάντες, οὓς πρὸς κατηγορητέα ἐγκλήματα οἱ δημόσιοι νόμοι οὐ προσδέχονται· πάντες ἔτι μὴν οἱ τοῖς τῆς ἀτιμίας σπίλοις ἐρραντισμένοι, τουτέστιν μῖμοι, καὶ ὅσα τοῖς αἰσχρότησιν ὑποβέβληνται πρόσωπα· αἱρετικοὶ ἔτι μὴν, εἴτε Ἕλληνες εἴτε Ἰουδαῖοι· πλὴν ὅμως πᾶσιν, οἷς ἡ τοιαύτη

do Suphetulentiano, Maximiano ex eodem; & Hilariano ex Orreocelis, legatis Byzacenæ provinciæ; Novato Sitifensi & Leone Optensiano legatis Mauritanorum provinciæ Sitifensis; Ninello Rusurpensiano, Laurentio Icositano & Numeriano Rusuguniota, legatis Cæsariensis Mauritanorum provinciæ, ex universa Synodo electis Judicibus, adsistentibus Diaconis, præsideret; & nonnullis peractis, multi Episcopi ad reliqua peragenda rem extrahi ægrè ferrent, & sufferre non possent, eo quòd ad proprias Ecclesias festinarent: placuit universæ Synodo, ut ex omnibus eligerentur ex unaquaque provincia, qui residere deberent reliquorum finiendorum gratia; & factum est, ut ii adessent, quorum subscriptiones eos adfuisse testificantur.

CANON CXXIX.

Quod qui communione moti sunt, admitti non debent ad accusationem. Placuit ergo omnibus; Quoniam superioribus Synodorum decretis de personis Clericorum, quæ non debent ad accusationem admitti, definitum est, & non pertractatum est, quænam personæ non admittantur; propterea hoc rectè statuimus, ut ad accusationem non admittatur, quisquis postquam communione motus fuerit, in eadem est adhuc segregatione, sive sit Clericus, sive Laicus, qui velit accusare.

BALS. Sextus canon universalis secundæ Synodi fusiùs tractat, quinam sint admittendi ad accusationem Episcopi. Præsens enim canon de solis segregatis, accusationem adversus aliquem instituentibus, loquitur. Lege ergo dictum canonem.

ZONAR. Episcopos aut Clericos accusare, non quibusvis concessum est, sed tantum Orthodoxis, qui ab omni prava suspicione alieni, & neque communione moti, neque judicii laqueis obstricti sunt: ut ex sexto canone secundæ œcumenicæ Synodi, in quo de accusationibus hujusmodi disseritur, facile licet animadvertere. Hoc vero canone de iis tantummodo qui sunt segregati statuitur, ut nisi prius à segregatione absoluti fuerint, alios accusandi, sive Clerici illi, sive Laici sint, facultate careant. Quod si segregatis accusationem suscipere haud licet; multo minus ii, qui ab Ecclesia penitus ejecti sunt, hæreticíque ac schismatici, poterunt. Vide quæ in allatum secundæ Synodi canonem hac de re antea scripsimus.

ARIST. *Excommunicatus non dat testimonium.*

Testem inculpatum esse oportet. Idcirco nec Clericus nec Laicus excommunicatus in accusationem aut testimonium contra Episcopum clericumve admittetur.

CANON CXXX.

Quod servi, & liberti, & omnes infames personæ accusare non debent. Similiter placuit, ut omnes servi & liberti proprii ad accusationem non admittantur; & omnes quos ad accusanda crimina leges civiles non admittunt; & omnes præterea infamiæ labe aspersi, hoc est, mimi, & quæcunque personæ turpitudini sunt obnoxiæ; præterea hæretici, sive Judæi, sive Græci: Sed tamen omnibus,

UMI

A *quibus hac negatur accuſatio, in propriis cauſis accuſandi facultas non negetur.*

Bals. Hic quoque canon ab iis, quæ in vi. canone ſecundæ Synodi ſcripta ſunt, declaratur. Tractat enim non poſſe ſervos, & infames, & hæreticos, & omnes omnino quos leges prohibent, criminalia judicia inſtituere, & ſacratos accuſare: Sed hi omnes, inquit, ſi habeant quod privatim eorum interſit, non prohibebuntur criminale judicium movere adverſus Epiſcopos & Clericos. Quamobrem crimina, quæ ad ipſos non pertinent, ſeu publica, à quolibet autem moveri poſſunt, ii intentare prohibentur: & nota hoc. Quia autem etiam B libertorum meminit canon, ſcias quòd liberti de his adverſus alios quidem criminalia judicia poſſunt intendere: adverſus eos autem, qui illos manumiſerunt, Patronos ſcilicet, non poſſunt. Et lege viii. ix. x. xi. cap. xxxiv. tit. lx. libri, & intelliges, quinam ii ſunt, qui criminalia judicia movere prohibentur: & quomodo liberti de his adverſus proprios patronos non agunt. Dicunt enim; Præter prohibitos alii poſſunt publica movere. Prohibentur autem aliqui propter naturam vel ætatem, ut mulier & impubes; & alii, ut qui in armis militant; alii, ut magiſtratus; alii, ut infames, vel turpis lucri captatores, & qui accipiunt, ut vel accuſent, vel non accu- C ſent, & qui duas accuſationes adverſus alios inſcripſerunt; alii propter ſuam conditionem: ut liberti patronorum; alii propter calumniæ ſuſpicionem, ut qui falſum teſtimonium dixerunt; alii propter paupertatem, ut quorum facultates quinquaginta aureos non valebant. Hi autem omnes proprias injurias & cognatorum cædem perſequi non vetantur. Filii autem & liberti à patre vel liberto poſſeſſione vi ejecti non poſſunt de vi judicium movere, ſed agunt de recuperandâ poſſeſſione. Nam & filius adverſus matrem de ſuppoſito partu agit, eo quod non habet cohæredem; non vero eam falſi accuſat. Mimos autem illos dicit, qui perſonas induunt, ſervorum D fortè, vel mulierum: non autem omnes Thymelicos. Illi enim, qui tractant inſtrumenta muſica, bonæ ſunt exiſtimationis. Turpitudini autem ſunt obnoxii, ſecundùm canonem, lenones, qui meretricibus præſunt, & alii ejuſmodi. Infames vero ſunt cum aliis & Beſtiarii qui mercedem accipiunt, ut pugnent cum belluis, & pro lucro vitam ſuam projiciunt; non autem illi, qui virtutis oſtentandæ gratia concertant cum beſtiis. Non enim actio, ſed animi propoſitum hîc punitur: quia & ipſi reges pugnant cum beſtiis.

Zonar. Nec accuſare ſervi, nec teſtimonium dicere, nec alia quædam exercere, legibus permittuntur: li- E berti vero, alios quidem in judicium rei quoque capitalis vocare poſſunt; non tamen eos, à quibus manumiſſi, aut eorum liberos, nec ad quos hæreditate patronatûs jura pervenere. Eſt vero patronatus Latina dictio, à Græcis quoque uſurpata, quæ jus quoddam auctoritatis in alium ac tutelæ indicat. Neque igitur ſervos ad Epiſcopi aut Clerici accuſationem canon admittit, nec accuſatorum libertos, nec aliquos alios, qui legum civilium conſtitutionibus ab accuſatione criminali arcentur, neque infames, quales ſunt mimi, quique cum beſtiis pugnant vel qui gladiatoriam exercent. Per mimos vero ſcenicos omnes intellexit; quorum ex numero, qui quidem ſpe- F ctante Imperatore artis ſuæ ſpecimen edunt, honeſti à legibus exiſtimantur: qui vero in foro coram imperita multitudine ludos exhibent, infames ducuntur. Similiter & ii, qui cum beſtiis pugnant, qui etiam venatores dicuntur, ut & gladiatores; ſi quidem fortitudinis oſtentandæ gloriæque comparandæ ſtudio beſtiarios agunt aut gladiatores, nulla hinc eos honoris jactura conſequitur: ſin mercede conducti, ignominia notantur. Nam quicunque vitæ ſuæ haud parcens, eam pretio venalem habet, mortémque cauſa lucri contemnit; quî fieri poteſt,

κατηγορία ἀρνεῖται, ἐν ταῖς ἰδίαις αἰτίαις τὴν τοῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

ΒΑΛΣ. Καὶ οὗτος ὁ κανὼν ἀπὸ τῶν ἐν τῷ ϛ'. κανόνι τῆς δευτέρας συνόδου γεγραμμένων σαφηνίζεται. Διαλαμβάνει γὰρ μὴ δύνασθαι δούλους καὶ ἀτίμους καὶ αἱρετικοὺς, καὶ πάντας ἁπλῶς οὓς καὶ οἱ νόμοι κωλύουσιν, ἐγκληματικὰ δικαστήρια ἐνιστᾷν, καὶ κατηγορεῖν ἱερωμένων· πλὴν, φησιν, οὗτοι πάντες οἰκεῖον διαφέρον ἔχοντες, οὐ κωλυθήσονται κινεῖν ἐγκληματικὰ δικαστήρια κατὰ ἐπισκόπων καὶ κληρικῶν. ὥστε τὰ μὴ αὐτοῖς διαφέροντα ἐγκλήματα ἤγουν τὰ δημόσια, παρὰ παντὸς δὲ κινεῖσθαι δυνάμενα, οἱ τοιοῦτοι γυμνάζειν κεκώλυνται. καὶ σημειώσαι τοῦτο. ἐπεὶ δὲ καὶ ἀπελευθέρων μέμνηται ὁ κανὼν, γίνωσκε ὅτι οἱ ἀπελεύθεροι, κατὰ ἄλλων μὲν ἐγκληματικὸν δικαστήριον ἐνιστᾷν δύνανται· κατὰ δὲ τῶν ἐλευθερωσάντων αὐτοὺς, τῶν καὶ λεγομένων πατρώνων, ἐνιστᾷν οὐ δύνανται. καὶ ἀνάγνωθι τὸ η'. θ'. ι'. ια'. κεφάλ. τοῦ λδ'. τίτλ. τοῦ ξ'. βιβλ. καὶ μάθε τίνες εἰσὶν οἱ κωλυόμενοι κινεῖν ἐγκληματικὸν δικαστήριον· καὶ πῶς οἱ ἀπελεύθεροι περὶ τούτων κατὰ τῶν οἰκείων πατρώνων οὐκ ἐνάγουσι. φασὶ γὰρ, χωρὶς τῶν κεκωλυμένων οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικίαν, ὡς γυνὴ καὶ ἄνηβος, καὶ ἄλλοι, ὡς ἐνόπλως στρατευόμενοι, ἄλλοι ὡς ἄρχοντες, ἄλλοι, ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς, καὶ λαμβάνοντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, καὶ οἱ δύο κατηγορίας καθ' ἑτέρων ἐγγραψάμενοι· ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν, ὡς ἀπελεύθεροι τῶν πατρώνων· ἄλλοι δι' ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες· ἄλλοι διὰ πενίαν, ὡς μὴ ἔχοντες πεντήκοντα νομισμάτων οὐσίαν. ἔτι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον συγγενῶν ἐκδικεῖν δύνανται. παῖδες δὲ καὶ ἀπελεύθεροι βιαίως νομῆς ἐκβληθέντες παρὰ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος, τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν· εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσι. καὶ ὁ υἱὸς γὰρ κατὰ μητρὸς περὶ ὑποβολιμαίου κινεῖ, διὰ τὸ μὴ ἔχειν αὐτὸν συγκληρονόμον, οὐ μὴν τὸ περὶ πλαστογραφίας. μίμους μέντοι ἐκείνους λέγει, τοὺς προσωπεῖα ὑποδυομένους, δούλων τυχὸν ἢ καὶ γυναικῶν, καὶ μὴ πάντας τοὺς τῆς θυμέλης. ἐκεῖνοι γὰρ οἱ τὰ μουσικὰ ὄργανα μεταχειριζόμενοι ἔντιμοί εἰσιν. αἰσχρότησι δὲ ὑποβέβληνται κατὰ τὸν κανόνα οἱ προαγωγοὶ, οἱ πορνευουσῶν προϊστάμενοι, καὶ ἕτεροι τοιοῦτοι. καὶ ἄτιμοι δὲ εἰσὶ σὺν ἄλλοις καὶ οἱ θηριομάχοι, οἱ μισθὸν λαμβάνοντες χάριν τοῦ πολεμῆσαι θηρίον, καὶ διὰ κέρδος τὴν οἰκείαν προδιδόντες ζωὴν, οὐ μὴν οἱ διὰ ἐπίδειξιν ἀνδρείας θηριομαχοῦντες. οὐ γὰρ ἡ πρᾶξις, ἀλλὰ ἡ προαίρεσις ἐνταῦθα κολάζεται· ὅτι καὶ βασιλεῖς θηριομαχοῦσιν.

ΖΩΝΑΡ. Οἱ δοῦλοι τοῖς νόμοις ἀπρόσδεκτοί εἰσιν εἰς τὸ ἀνάγειν ἢ μαρτυρεῖν καὶ εἰς ἕτερα· οἱ δὲ ἀπελεύθεροι, κατὰ μὲν ἄλλων δύνανται ἐνάγειν καὶ ἐγκληματικῶς, κατὰ δὲ τῶν ἐλευθερωτῶν αὐτῶν, ἢ τῶν παίδων αὐτῶν, ἢ τῶν κληρονόμων τῶν ἐχόντων κατ' αὐτῶν πατρωνικὰ δίκαια οὐ δύνανται. ἡ πατρωνία δὲ Ῥωμαϊκὴ οὖσα λέξις καὶ ἐξελληνιζομένη, προστασία νοεῖται. οὔτε οὖν δούλους δέχεται κατηγορεῖν ἐπισκόπων καὶ κληρικῶν ὁ κανὼν, οὔτε ἀπελευθέρους ἰδίους τῶν κατηγορουμένων, οὔτε τινὰς ἄλλους, οὓς οἱ πολιτικοὶ νόμοι κατηγορεῖν κωλύουσιν ἐπ' ἐγκλήμασιν, οὔτε ἀτίμους, οἷοι μίμους καὶ θηριομάχους ἢ μονομάχους. διὰ δὲ τῶν μίμων τοὺς σκηνικοὺς πάντας ἐδήλωσεν, ὧν οἱ μὲν εἰωθότες ἐνώπιον τοῦ βασιλέως τὰ ἑαυτῶν ἐνδείκνυσθαι ἐπιτηδεύματα, ἔντιμοι τοῖς νόμοις λογίζονται· οἱ δὲ ἐν πανηγύρεσι καὶ δημοτικαῖς συνελεύσεσι παίζοντες ἄτιμοι κρίνονται· ὁμοίως καὶ οἱ θηριομάχοι, οἳ καὶ κυνηγοὶ ὀνομάζονται, καὶ οἱ μονομαχοῦντες, εἰ μὲν δι' ἐπίδειξιν ἀνδρείας καὶ δόξης ἔρωτα θηριομαχοῦσιν, ἢ μονομαχοῦσιν, ἐπίτιμοί εἰσιν· εἰ δὲ διὰ μισθὸν ἄτιμοι. ὁ γὰρ τῆς οἰκείας ζωῆς μὴ φειδόμενος, ἀλλὰ μισθοῦ προδιδοὺς αὐτὴν, καὶ θανάτου διὰ κέρδος καταφρονῶν, πῶς ἂν τῆς οἰκείας φείσεται ὑπολήψεως; ἀλλ' οὐδὲ αἱρετικοῖς ἢ ἀπίστοις δίδωσι κατηγορεῖν. εἰ δὲ ἰδίας οἱ τοιοῦτοι αἰτίας ἔχοιεν, καὶ περὶ τούτων ἐνάγοιεν, προσδεχθήσονται, κἂν κατ' ἐπισκόπων ἢ κληρικῶν ἐνάγωσι. τὰ αὐτὰ δὲ διορίζεται καὶ ὁ ἕκτος κανὼν τῆς δευτέρας συνόδου. ἀναγνωστέον καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα.

ΑΡΙΣΤ. Καὶ ὁ δοῦλος, καὶ ὁ ἀπελεύθερος, καὶ ὁ προκατηγορηθεὶς ἐπί τινι τῶν οὐ προσδεχομένων τῷ δημοσίῳ, καὶ ὁ μῖμος, καὶ ὁ ἕλλην, καὶ ὁ αἱρετικὸς, καὶ ὁ Ἰουδαῖος.

Οὐ δεῖ ἀνεξετάστως τὰς κατὰ ἐπισκόπων ἢ κληρικῶν κατηγορίας ἢ μαρτυρίας προσδέχεσθαι· ἀλλὰ ἀνακρίνειν τοὺς κατηγοροῦντας ἢ μαρτυροῦντας, ὁποῖοί εἰσι κατὰ τὸν ἕκτον κανόνα τῆς ἐν Κωνσταντινουπόλει συνόδου· καὶ εἰ μὲν τὸν βίον ἔχοιεν ἄμεμπτον, καὶ τὴν θρησκείαν ὀρθόδοξον, προσίεσθαι αὐτούς· εἰ δὲ ἢ δοῦλοί εἰσιν (οὗτοι γὰρ καὶ ἀπὸ τῶν πολιτικῶν νόμων οὐδὲ καθ' οἱουδήτινος, ἐγκληματικῶς, ἢ χρηματικῶς, ἐνάγειν ἢ μαρτυρεῖν δύνανται.) ἢ ἀπελεύθεροι ἴδιοι τοῦ κατηγορουμένου· (κωλύονται γὰρ καὶ οὗτοι ἀπὸ νόμων κατὰ τῶν ἐλευθερωσάντων αὐτοὺς ἐπ' ἐγκλήμασι μαρτυρεῖν, διὰ τὸ ἀπαιτεῖσθαι, τιμίους καὶ ἁγίους τοὺς πάτρωνας αὐτῶν, ἤτοι τοὺς ἐλευθερωτὰς, λογίζεσθαι.) ἢ προκατηγορηθέντες καὶ μὴ προφανέντες ἀνεύθυνοι, ἢ ἐν δημοσίῳ κατακριθέντες δικαστηρίῳ, καὶ μήπω ἀπὸ βασιλικῆς εὐεργεσίας εἰς τὴν οἰκείαν ἐπιτιμίαν ἀποκαταστάντες, ἢ τὸν βίον ἐφύβριστον ἔχοντες, ὡς μῖμοι, καὶ σκηνικοί· ἢ τῆς ἡμετέρας θρησκείας ὄντες ἀλλότριοι, ὡς Ἰουδαῖοι, αἱρετικοί τε, καὶ ἕλληνες· οὐ παραδεχθήσονται εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν ἐπισκόπων ἢ κληρικῶν. διὰ τὸ μηδὲν τι αὐτοὺς ἕτερον σπεύδειν, ἢ μῶμον καὶ σπῖλον ταῖς ὑπολήψεσι προσάπτειν τῶν ἱερέων, καὶ ταραχὰς ἐπάγειν τῇ ἐκκλησίᾳ.

ΚΑΝΩΝ ρλα'.

Ἵνα ὁ περὶ ἑνὸς ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, πρὸς ἕτερον μὴ εἰσδεχθῇ. ὁμοίως ἤρεσεν, ἵνα ὁσακισδήποτε κληρικοῖς ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ὑποβάλλωνται, καὶ ἓν ἐξ αὐτῶν, περὶ οὗ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι οὐκ ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ προσδεχθῶσιν.

ΒΑΛΣ. Ἐνεστήσατό τις διάφορα ἐγκλήματα κατά τινος ἱερωμένου, καὶ ἐγύμνασεν ἐκ τῶν πολλῶν ἕν· μὴ δυνηθεὶς δὲ τοῦτο ἀποδεῖξαι, ἠβούλετο γυμνάσαι τὰ λοιπά. φησὶν οὖν ὁ κανὼν, ὅτι ὁ τοιοῦτος ἀπαράδεκτός ἐστι, ζητῶν κατεξετασθῆναί τι ἕτερον ἀφ' ὧν προέθετο. καὶ εἰκότως τοῦτο παρὰ τῶν πατέρων ὡρίσθη. ὁ γὰρ μὴ ἀποδείξας ὃ προέθετο πρῶτον ἔγκλημα, κἀντεῦθεν καταδικασθεὶς, ἢ ἔφθασε δοῦναι ἐγγραφάς· καὶ ὑφίσταται τὰ τῆς ταυτοπαθείας, ἤγουν ἀτιμοῦται, καὶ τὰ λοιπὰ πάσχει ὅσα καὶ ὁ κατηγορηθεὶς ἔμελλε παθεῖν· εἰ δ' ἂν κατεδικάσθη, καὶ διὰ τοῦτο γυμνάζειν ἐγκληματικὸν δικαστήριον οὐ δύναται ἤδη ἀτιμωθείς· ἢ οὐκ ἔφθασε δοῦναι ἐγγραφὰς, καὶ πάλιν ἀτιμοῦται ὡς συκοφάντης. πλὴν τοῦτό τε καὶ ὁ παρὼν κανὼν χώραν ἔχει, ὡς οἶμαι, ὅταν ὁ δικάζων ἀποφήνηται κατὰ συκοφαντίαν προτεθῆναι περὶ τοῦ καταδικασθέντος τὸ πρώτως λαληθὲν ἔγκλημα. εἰ γὰρ διαγνωσθῇ, ὅτι οὐκ ἀπεδείχθη, ἐπεὶ οὐκ ἀτιμοῦται ὁ καταδικασθεὶς, καλῶς ἵνα γυμνάσῃ καὶ ἕτερον ἔγκλημα ἀφ' ὧν προέθετο. καὶ ἀνάγνωθι κεφάλ. ι'. τοῦ α'. τίτλου τοῦ ξ'. βιβλίου, λέγον, κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται, καὶ τριπλῶς ἡ ἐπεξέλευσις. ἢ γὰρ συκοφαντεῖ τις ὡς πλαστῶς κατηγορῶν, ἢ προδότης τῆς ἰδίας ὑποθέσεως γίνεται, τὰ ἀληθῆ ἐγκλήματα κρύπτων, ἢ φυγοδικεῖ τελείως ἀναχωρῶν τῆς κατηγορίας· οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ὅπερ κατηγόρησεν, ἀλλ' ἐν τῇ κρίσει τοῦ δικαστοῦ ἐστὶ, μετὰ τὸ ἐλευθερῶσαι τὸν κατηγορούμενον, ζη-

A ut exiſtimationi ſuæ honoríque parcat? Sed neque hæreticis aut infidelibus accuſare datum eſt. Qui tamen omnes, ſi aliquid habeant privatæ controverſiæ, ac de eâ ſibi judicium dari velint, etiam adverſus Epiſcopos & Clericos audientur. Eadem ſextus quoque ſecundæ Synodi canon edicit. Tu quæ in eum ſcripta ſunt vide.

Arist. *Et ſervus, & libertus, & qui ante accuſatur aliquo eorum criminum, ob quæ ad publicum judicium non admittitur, & mimus, & Græcus, & Hæreticus, & Judæus.*

Non oportet accuſationes & teſtimonia contra Epi- B ſcopos vel Clericos ſine examinatione accipere: ſed accuſatores ſive teſtes examinare, quales ſint, juxta ſextum Synodi Conſtantinopolitanæ canonem. Et ſi quidem vitâ ſint inculpati, & religione orthodoxi, eos admittere: Sin autem vel ſervi ſint; (hi enim & à legibus politicis contra neminem omnino in cauſâ, vel criminali vel pecuniariâ, accuſationem ferre aut teſtimonium dare poſſunt) vel manumiſſi proprii accuſati; (à legibus enim & iſti prohibentur contra eos, qui ipſis manumiſerunt, in criminibus teſtimonium dare; quia requiritur, ut patronos ſuos & liberatores honorandos ſanctoſque exiſtiment) vel antea accuſati & innocentes non viſi; C vel in publico condemnati judicio, & nondum ab Imperatoriâ beneficentiâ ad integrum ſuum ſtatum reſtituti; vel vitam contumelioſam agentes; ut mimi & ſcenici; aut à noſtrâ religione alieni; ut Judæi, Hæretici, & Græci: ad Epiſcoporum aut Clericorum accuſationem ſive teſtimonium non admittentur. Propterea quod iſti nihil aliud in animo habent & conatu, quàm infamiam & maculam Sacerdotum opinionibus affigere, & Eccleſiæ perturbationes afferre.

Canon CXXXI.

D *Ut qui unum crimen probare non poteſt, ad alterum non admittatur. Similiter placuit, ut quotieſcunque Clericis ab accuſatoribus multa crimina objecta fuerint, & unum ex iis, de quo primùm actum eſt, probari non potuerit, ad reliqua non admittantur.*

Bals. Adverſus ſacratum quendam diverſa quis crimina intendit; & ex multis unum tractandum ſuſcepit: cùm hoc autem probare non potuerit, reliqua quoque adgredi voluit. Dicit ergo canon eum non E eſſe admittendum, dum vult de alio è propoſitis quæri, & hoc meritò à Patribus definitum eſt. Qui enim primum propoſitum crimen non probavit, & ex eo ipſo eſt condemnatus; vel dedit priùs inſcriptionem, & lege talionis punitus, ſcilicet fit infamis, & reliqua patitur, quæ etiam ille, qui accuſatus eſt, erat paſſurus: Sin autem eſt condemnatus, criminale propterea judicium movere non poteſt, ut qui ſit infamis; vel prius inſcriptionem non dedit, & rurſus fit infamis, ut calumniator. Sed hoc præſens quidem canon tunc locum habet, ut exiſtimo, quando Judex pronunciarit crimen, de quo priùs actum eſt, fuiſſe condemna- F to ſycophanticè objectum. Si enim prolatum fuerit, non eſſe probatum, quia condemnatus non ſit infamis; rectè alterum quoque crimen eorum, quæ objecit, perſequetur. Lege caput decimum primi tituli ſexageſimi libri, quod dicit; Tribus modis fit calumnia, & tripliciter vindicta ſumitur. Vel enim calumniatur quiſpiam, ut fictè accuſans; vel fit ſuæ cauſæ proditor, vera crimina occultans; vel judicium perfectè deſerit, ab accuſatione deſiſtens. Non eſt autem omnino calumniator, qui non probat quod intendit: ſed eſt in poteſtate Judicis, poſtquam reum abſolverit, de eo quærere. Et ſi dixerit quidem, Non A probaſti, ei pepercit: Si vero dixerit, Calumniatus es; eum condemnavit, etiamſi de pœna nihil dixerit. Sequitur enim; Cauſæ enim inquiſitio, non legis executio, Judici permiſſa eſt. Sin autem dixerit, temere vel leviter feciſti, hoc eſt, non probaſti; non facit ipſum calumniatorem, nec is pœnam ſubit.

Zonar. Si quis plura crimina Clerico vel Epiſcopo objiciat, nec unum aliquod ex iis, de quo primo actum eſt, hoc eſt, quod primo in quæſtionem diſquiſitionémque eſt adductum, demonſtrare potuerit, B ſed non demonſtratum maneat: in aliis quoque deinceps ejus accuſationem recipi canon vetat.

Arist. *Et qui multa objecit, & nihil probavit.*

Optima ratione & hic ad accuſationem aut ad teſtimonium non admittetur; utpote qui calumniator videtur, & idcirco etiam infamis eſt; eo quod multas profert contra quemlibet accuſationes, ſed nihil probat.

Canon CXXXII.

Quos oportet ad teſtimonium admittere. Teſtes autem ad C teſtimonium non admittendos, quos nec ad accuſationem admitti præceptum eſt; vel præterea quos ipſe accuſator è domo propria produxerit. Teſtimonium autem intra quatuordecim annorum ætatem non admittatur.

Bals. Poſtquam Synodi Patres de accuſatoribus dixerunt, nunc etiam de teſtibus ſtatuunt: & dicunt eos, qui adverſus ſacratos ferre volunt teſtimonium in cauſis criminalibus, tales eſſe debere, quales etiam canones ad accuſationem admittunt. Eos autem, qui non admittuntur ad accuſationem, nec ad teſtimonium admitti. Ad hæc domeſticos quoque teſtes canon reprobat. D Similiter & impuberes, qui ſunt ſcilicet xiv. annis minores. Ac canon quidem hos & ſolos non eſſe ad teſtimonium admittendos dicit. Primus autem titulus xxi. lib. Baſil. multos quoque alios à criminalis judicii teſtimonio repellit. Et lege eum titulum. Domeſtici autem teſtes accuſatoris dicuntur, omnes qui cum eo habitant, & quibus ipſe poteſt imperare. Dicit enim vi. caput primi titul. xxi. lib. Non eſt teſtis fide dignus, cui ego poſſum in accuſando imperare; & cap. xxiv. Accuſator teſtes domeſticos non poteſt producere; & cap. xxvii. Domeſtica teſtimonia reprobantur. Et thema ii. xi. cap. li. tit. lx. lib. quod dicit; E Furta domeſtica, ſi ſint vilia, non ſunt in publicam quæſtionem referenda. Sunt autem domeſtica, quæ ſervi faciunt dominis, & liberti patronis, & mercenarii iis qui conduxerunt, apud eos degentes. Cùm autem præſens canon dicat, eos, qui ſunt xiv. annis minores, non dicere teſtimonium, ſed eos qui ſunt ultra illam ætatem; & vigeſimum caput primi tituli xxi. lib. dicat expreſsè; Non poteſt accuſator vocare in teſtimonium eum qui publicè accuſatur, nec eum qui eſt minor viginti annis: rogaverit quiſpiam, quid ſit ſequendum? Et mihi videtur lex eſſe magis ſequenda. F in teſtimonium enim cauſæ criminalis, qui minor eſt xx. annis, licèt ſit major xiv. annis, non erit admittendus; ut qui nec firmum judicium, nec adhuc conſtantem prudentiam habeat. Eſt autem lex canone multò poſterior; eo quòd longo tempore poſt hanc Synodum in Baſilicorum repetitam prælectionem ille receptus ſit. Lege ſanctorum Apoſtolorum ſeptuageſimum quintum canonem.

Zonar. Poſtquam de accuſatoribus Synodi Patres dixerunt, nunc de teſtibus quoque ſtatuunt, ac eos, qui accuſare prohibentur, à teſtimonio quoque dicendo

A τῆσαι περὶ τούτου. καὶ εἰ μὲν εἴπῃ, οὐκ ἀπέδειξας, ἐφείσατο αὐτοῦ. εἰ δὲ εἴπῃ, ἐσυκοφάντησας, κατεδίκασεν αὐτὸν, κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς. ἐπακολουθεῖ γάρ· ἡ μὲν γὰρ τῆς ὑποθέσεως ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις. εἰ δὲ εἴπῃ, προπετῶς ἐκίνησας, τουτέστιν οὐκ ἀπέδειξας, οὐ ποιεῖ αὐτὸν συκοφάντην, οὐδὲ ποινὴν ὑφίσταται.

ΖΩΝΑΡ. Ἐὰν διάφορά τις ἐγκλήματα προθήσει κατὰ κληρικοῦ ἢ ἐπισκόπου, καὶ ἓν ἐξ αὐτῶν εἰς πρᾶξιν, ἤτοι ζήτησιν καὶ ἐξέτασιν, προτεθῇ, καὶ μὴ ἀποδειχθῇ, ἀλλ' ἀναπόδεικτον μείνῃ, B ἐπὶ τοῖς λοιποῖς τὸν κατήγορον ἀπρόσδεκτον εἶναι διορίζεται ὁ κανών.

ΑΡΙΣΤ. Καὶ ὁ κατηγορήσας πολλὰ, καὶ ἐλέγξας οὐδέν.

Εὐλόγως καὶ οὗτος εἰς κατηγορίαν ἢ εἰς μαρτυρίαν οὐ παραδέχεται, ὡς συκοφάντη φανεὶς, καὶ διὰ τοῦτο καὶ ἄτιμος ὢν, ἐκ τοῦ πολλὰ προθεῖναι κατά τινος αἰτιάματα, καὶ μηδέν τι ἐλέγξαι.

ΚΑΝΩΝ ρλβʹ.

Τίνας δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν. μάρτυρας δὲ εἰς μαρ- C τυρίαν μὴ εἰσδέχεσθαι, τοὺς μηδὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν οὓς αὐτὸς ὁ κατήγορος ἐκ τοῦ ἰδίου οἴκου προσκομίσει. μαρτυρία δὲ ἐντὸς κείρας ἐνιαυτῶν δεκατεσσάρων μὴ προσδεχθείη.

ΒΑΛΣ. Εἰπόντες οἱ τῆς συνόδου περὶ τῶν κατηγόρων, νῦν καὶ περὶ μαρτύρων διατάττονται· καί φασι τοὺς θέλοντας καταμαρτυρεῖν ἱερωμένων, χάριν ἐγκληματικῶν ὑποθέσεων, τοιούτους εἶναι, οἵους καὶ πρὸς κατηγορίαν οἱ κανόνες παραδέχονται. τοὺς δὲ μὴ παραδεχομένους εἰς κατηγορίαν, μηδὲ εἰς μαρτυρίαν παραδέχεσθαι. πρὸς τούτοις καὶ τοὺς οἰκειακοὺς D μάρτυρας ἀποδοκιμάζει ὁ κανών. ὡσαύτως καὶ τοὺς ἀνήβους ἥττονας δηλονότι τῶν ιδʹ. ἐνιαυτῶν. καὶ ὁ μὲν κανὼν τούτους καὶ μόνους ἀπαραδέκτους πρὸς μαρτυρίαν εἶναι φησίν. ὁ δὲ αʹ. τίτλος τοῦ καʹ. βιβλίου τῶν βασιλικῶν καὶ ἑτέρους διαφόρους εἰς μαρτυρίαν ἐγκληματικοῦ δικαστηρίου ἀποπέμπεται. καὶ ἀνάγνωθι τὸν τοιοῦτον τίτλον. ἐκ τοῦ οἴκου δὲ τοῦ κατηγόρου λογίζονται μάρτυρες, οἱ συνοικοῦντες αὐτῷ πάντες, καὶ οἱ κελεύεσθαι παρὰ τούτου δυνάμενοι. φησὶ γὰρ τὸ ϛʹ. κεφ. τοῦ αʹ. τίτλου τοῦ καʹ. βιβλίου, οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ' ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι, καὶ κεφάλ. κδʹ. ὁ κατήγορος οἰκειακοὺς μάρτυρας οὐ δύναται παρά- E γειν, καὶ κεφάλ. κζʹ. αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται. καὶ θέμα βʹ. τοῦ ιαʹ. κεφαλ. τοῦ ναʹ. τίτλου τοῦ ξʹ. βιβλίου, λέγον, τὰς οἰκειακὰς κλοπὰς εὐτελεῖς οὔσας οὐ δεῖ φέρειν εἰς δημοσίαν ἐξέτασιν. οἰκειακαὶ δέ εἰσιν, ἃς δοῦλοι ποιοῦσι δεσπότῃ, καὶ ἀπελεύθεροι τοῖς πάτρωσι, καὶ μίσθιοι τοῖς μισθωσαμένοις παρ' αὐτοῖς διάγοντες. τοῦ δὲ παρόντος κανόνος λέγοντος, τοὺς ἥττονας τῶν ιδʹ. ἐνιαυτῶν μὴ μαρτυρεῖν, ἀλλὰ τοὺς ἐπέκεινα τούτου τοῦ χρόνου, καὶ τοῦ κʹ. κεφ. τοῦ αʹ. τίτλ. τοῦ καʹ. βιβλίου λέγοντος οὕτω ῥητῶς, ὁ κατήγορος οὐ δύναται καλεῖν εἰς μαρτυρίαν τὸν δημοσίως κατηγορούμενον, οὔτε τὸν ἥττονα τῶν εἴκοσι ἐτῶν, ἐρωτήσει τις, τίνι F προσέχειν ὀφείλομεν; καὶ δοκεῖ μοι μᾶλλον τῷ νόμῳ. εἰς γὰρ μαρτυρίαν ἐγκληματικῆς ὑποθέσεως ὁ ἥττον τῶν εἴκοσι ἐνιαυτῶν καὶ ἐπέκεινα τῶν ιδʹ. χρόνων ὑπάρχων, οὐκ ἔστι παραδεκτέος· ὡς μηδὲ βεβηκὸς ἔχων φρόνημα. ἔστι δὲ καὶ ὁ νόμος κατὰ πολὺ μεταγενέστερος τοῦ κανόνος, διὰ τὸ μετὰ χρόνους πολλοὺς τῆς παρούσης συνόδου δεχθῆναι τοῦτον εἰς τὴν τῶν Βασιλικῶν ἀνακάθαρσιν. ἀνάγνωθι τῶν ἁγίων ἀποστόλων κανόνα οεʹ.

ΖΩΝΑΡ. Εἰπόντες οἱ τῆς συνόδου περὶ κατηγόρων, νῦν καὶ περὶ μαρτύρων διατάττονται, καὶ φασὶ τοὺς κωλυομένους ἐγκληματικῶς ἐνάγειν, μηδὲ εἰς μαρτυρίαν προσδέχεσθαι. καὶ τοὺς προσδέχεσθαι δὲ ὀφείλοντας μὴ ἀνήβους εἶναι. οἱ γὰρ μήπω τὸν ιδ'. ἐνιαυτὸν τῆς ἡλικίας αὐτῶν προβεβηκότες ἄνηβοί εἰσιν. ἀνήβοις δὲ, οἷς μήπω τὸ φρόνημα σταθηρὸν, μαρτυρεῖν οὐ δίδοται. ἀλλ' οὐδὲ οἰκειακοὺς μάρτυρας τὸν κατήγορον παραγαγεῖν δίδωσιν. οἰκειακοὶ δέ εἰσιν, οἱ ἐκ τοῦ οἴκου αὐτοῦ, οὐ πάντας δὲ τοὺς τοιούτους κωλύουσιν οἱ νόμοι μαρτυρεῖν, ἀλλά τινας, ἤγουν ὑπεξουσίους αὐτοῦ τοῦ παράγοντος αὐτοὺς ἢ ὑποχειρίους εὐτελεῖς, καὶ προστάττεσθαι δυναμένους, καὶ εἰ μὴ πείθοιντο κολαζομένους. εἰ δὲ ἀξιόλογοι εἶεν ὑποχείριοι, οἷον ἱερεῖς, ἢ διάκονοι, ἢ γραμματικοὶ, καὶ ὅσοι ὅμοιοι τούτοις, οὐκ ἀπρόσδεκτοι ἔσονται πρὸς μαρτυρίαν.

A arceri jubent. Ad hæc impuberes quoque rejiciunt, qui quartumdecimum videlicet ætatis annum non exceſsêre; quibus, cum mentis conſtantia deſit, teſtimonii quoque dicendi ratio haud conſtabit. Sed neque domeſticos teſtes producendi poteſtas accuſatori data eſt. Sunt vero domeſtici teſtes, qui ex ipſius accuſatoris domo prodeunt: qui tamen non omnes teſtimonium dicere legibus prohibentur, ſed aliqui tantum; ii nimirum, qui ipſos producentis poteſtati obnoxii, aliiſve ſubjecti, viles ſunt, quibus & imperari, & niſi imperio pareant, pœna infligi poteſt. Nam ſi honeſtiorem in familia locum obtineant, utpotè Sacerdotes, Diaconi, vel Grammatici, & quicunque hujus generis, à teſtimonio dicendo nequaquam excludentur.

B

ΑΡΙΣΤ. Καὶ ὁ μὴ ἐνιαυτῶν δεκατεσσάρων.

Καὶ οὗτος εἰς μαρτυρίαν ἄδεκτος, διὰ τὴν τῆς ἡλικίας ἀτέλειαν· δεῖ γὰρ τὸν μαρτυροῦντα, σὺν τῷ, ἔντιμον καὶ ὀρθόδοξον εἶναι, καὶ σταθηρότητα ἔχειν· ὁ δὲ ἄνηβος, ὀλισθηρός ἐστι τὴν διάνοιαν. τὸ δὲ δεύτερον θέμα τοῦ ἑπτακαιδεκάτου κεφαλαίου τοῦ πρώτου τίτλου τοῦ εἰκοστοῦ α'. βιβλίου, οὐδὲ τὸν ἥττονα τῶν εἴκοσιν ἐτῶν εἰς μαρτυρίαν κατά τινος ἐπ' ἐγκλήμασι παραδέχεται.

Ariſt. *Et qui annos quatuordecim nondum tranſegit.*

Et hic ad teſtimonium non eſt admittendus, propter ætatis imperfectionem. Teſtem enim oportet, non tantum bonæ eſſe famæ & orthodoxum, ſed & ſtabilitatem habere: At qui pubertatem nondum attigit, judicio lubricus eſt. At ſecundum Thema cap. xvii. tit. i. lib. xxi. nec viginti anni minorem ad teſtimonium contra quempiam in cauſâ criminali dandum admittit.

Ο κατήγορος ἐκ τοῦ ἰδίου οἴκου μάρτυρας οὐ καθίστησι.

C *Accuſator è propriâ domo teſtes non producit.*

Αἱ οἰκειακαὶ μαρτυρίαι ἀπόβλητοι καὶ ἀπὸ νόμων εἰσί· φησὶ γὰρ τὸ κα'. κεφάλαιον τοῦ πρώτου τίτλου τοῦ κα'. βιβλίου ῥητῶς οὑτωσί· ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παράγειν. καὶ τὸ κε'. κεφάλαιον τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, ὡς αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται. μάρτυρας δὲ οἰκειακοὺς νοήσεις, τοὺς ὑπὸ ἐξουσίαν τινὸς τελοῦντας, καὶ δυναμένους προστάττεσθαι παρ' αὐτοῦ· οἱ τοιοῦτοι γὰρ οὔτε ὑπὲρ αὐτοῦ, ἢ κατ' ἄλλου, κατηγοροῦντος αὐτοῦ, εἰς μαρτυρίαν παραδεχθήσονται, ἢ ἐπ' ἐγκληματικῇ, ἢ ἐπὶ χρηματικῇ αἰτιάσει. εἰ δὲ ἕτερός τις ἐνάγει, καὶ βούλεται ἄλλου οἰκειακῇ μαρτυρίᾳ χρήσασθαι, οὐ κεκώλυται. ἀπὸ γὰρ ἑνὸς οἴκου δύναται καὶ πατὴρ, καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο συνεπεξούσιοι υἱοὶ ἀδελφοὶ, καὶ κατά τινος, καὶ ὑπέρ τινος μαρτυρεῖν. ὡς τὸ πεντεκαιδέκατον κεφάλαιον τοῦ αὐτοῦ πρώτου τίτλου τοῦ εἰκοστοῦ πρώτου βιβλίου διαλαμβάνει.

Teſtimonia domeſtica etiam à legibus ſunt rejicienda. Nam cap. xxi. tit. i. lib. xxi. ſic expreſſe dicit; Accuſator domeſticos ſuos teſtes non poteſt producere: & cap. xxv. ejuſdem tituli & libri; quòd teſtimonia domeſtica improbantur. Teſtes autem domeſticos intelligas, qui poteſtati cujuſlibet ſubjecti ſunt, & quibus ipſe mandare poteſt: tales enim, nec pro eo, nec contra alium, eo accuſante, in teſtimonium recipientur, in cauſâ vel criminali vel pecuniariâ. Si aD lius autem quiſpiam accuſet, & alius domeſtico teſtimonio uti vellet, non prohibetur. Nam ex unâ domo poteſt & pater & filius qui eſt ſub poteſtate, & duo filii fratres ſimul ſub poteſtate, vel contra aliquem vel pro aliquo teſtimonium dicere. Ut cap. xv. ejuſdem lib. tit. i. lib. xxi. ſtatuit.

ΚΑΝΩΝ ρλγ'.

Περὶ ἐπισκόπου τοῦ ἀπὸ κοινωνίας ποιοῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα. ὁμοίως ἤρεσεν, ἵνα ἐάν ποτε ἐπίσκοπος λέγῃ τινὰ αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογῆσαι, καὶ ἐκεῖνος ἀρνεῖται, μὴ λογίσηται ὁ ἐπίσκοπος εἰς ἰδίαν ὕβριν συντείνειν, ὅτι αὐτὸς μόνος οὐ πιστεύεται· εἰ καὶ τῷ σκινδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγει μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀρνουμένῳ.

Canon CXXXIII.

De Epiſcopo, qui cum à communione removit, qui ſibi ſoli proprium crimen confeſſus eſt. Similiter placuit, E *ut ſi Epiſcopus dicat aliquem ſibi ſoli proprium crimen eſſe confeſſum, & ille negat; ne exiſtimet Epiſcopus id ad ſuam injuriam pertinere, quòd ei ſoli fides non habetur: etiamſi propriæ conſcientiæ ſcrupulo dicat ſe nolle ei, qui negat, communicare.*

ΒΑΛΣ. Ὡς ἔοικε, τὶς λαϊκὸς ἢ καὶ κληρικὸς ἐξομολογήσατο τῷ ἰδίῳ ἐπισκόπῳ περί τινος ὑπ' αὐτοῦ πραχθέντος ἁμαρτήματος. καὶ λαληθείσης τῆς ὑποθέσεως ἐπὶ κοινοῦ, ὁ μὲν τὴν ἐξομολόγησιν ποιησάμενος ἠρνεῖτο τὸ ἔγκλημα· ὁ δὲ ἐπίσκοπος ἤλεγχε τοῦτον. διὸ καὶ ἤθελε τὸν ἐξομολογησάμενον τιμωρηθῆναι ὡς ὑβριστὴν αὐτοῦ, διὰ μὴ καταπεισθῆν εἰς τὰ λεγόμενα παρὰ τούτου. φησὶν οὖν ὁ κανὼν, ὅτι οὐκ ἔστιν ὕβρις τοῦ ἐπισκόπου, τὸ μὴ πιστεύεσθαι αὐτὸν καὶ μόνον λέγοντα καταθέσθαι ἐπ' αὐτῷ τὸ ἔγκλημα τὸν κατηγορούμενον· κἂν λέγῃ ὁ ἐπίσκοπος, ὅτι οὐ θέλω προσδέξασθαι αὐτὸν εἰς κοινωνίαν, σκανδαλιζομένης ἐπ' αὐτῷ τῆς συνειδήσεώς μου, διὰ τὴν ἐξομολόγησιν τοῦ ἁμαρτήματος. ἐρωτήσει δέ τις, ὡς τοῦ κανόνος ἀπαράδεκτον λογιζομένου τὴν τοῦ ἐπισκόπου μαρτυρίαν, ὡς ἀνθρώπου ἑνὸς, κατὰ τὸν νόμον τὸν λέγοντα, ἑνὸς

Bals. Ut eſt veriſimile, quidam Laicus, vel Clericus; proprio Epiſcopo confeſſus eſt de aliquo à ſe commiſſo peccato. Et cùm cauſa publicè acta eſſet, qui confeſſionem quidem fecerat crimen inficiabatur, Epiſcopus autem eum redarguebat. Et ideo volebat F eum, qui confeſſus fuerit, puniri, tanquam qui ipſum injuria affeciſſet; eo quòd non annueret iis, quæ ab ipſo dicebantur. Dicit ergo canon, Epiſcopum injuria non affici, ſi fides illi non adhibeatur ſoli dicenti, eum, qui accuſatur, crimen ſibi depoſuiſſe: etiamſi dicat Epiſcopus, nolo eum ad communionem admittere, cùm mea in eo conſcientia offendatur, propterea quòd crimen confeſſus eſt. Interrogabit autem quiſpiam, cùm canon non eſſe admittendum ducat Epiſcopi teſtimonium, tanquam unius hominis, ſecundùm legem quæ dicit; Non eſt unius admittendum teſtimonium, etiamſi ſit ſenator: audieturne Epiſcopus, tanquam ei, qui accuſatur, rectè non communicans, propter confeſſionem, an non? Solutio. Mihi videtur, quòd etiamſi revera confeſſus eſt, qui accuſatur, ex eo ſolo non poterit Epiſcopus eum à communione ſeparare, ut qui non ſit condemnatus: Si autem hoc fecerit, ut qui ſine ratione hominem à ſpirituali communione ſeparaverit, ſeparabitur & ipſe à majori Antiſtite, eo, qui confeſſus eſt, abſoluto. Nota ergo præſentem canonem propter Epiſcopos & Monachos, qui peccatorum hominum confeſſiones audiunt, & teſtimonium ferunt adverſus eos, qui dicuntur feciſſe apud ipſos confeſſionem criminis. Quòd autem non eſt admittendum unius teſtimonium, lege etiam lxxv. canonem ſanctorum Apoſtolorum. Sanctiſſimus quidem certè Patriarcha dominus Lucas excommunicationis pœnæ ſubjecit monaſterii Gerotrophii præfectum, qui fuerat Archiepiſcopus Heracleæ, quòd tale teſtimonium tuliſſet adverſus ſuum ſpiritualem filium.

Zonar. Quamvis Epiſcopus alicujus ſe crimina, ob quæ is communione movendus eſt, ipſius confeſſione cognoviſſe affirmet, qui tamen ejuſmodi quidpiam confeſſum ſe eſſe neget; ſoli Epiſcopo in ea re fides non habebitur. Neque vero, inquiunt Patres, in eo injuriam ſibi fieri Epiſcopus exiſtimet, quòd ſoli ſibi non credatur, quodque in poſterum illius communionem admittere neceſſe habeat; quamvis ab ea communicatione ſe abſtinere velle profiteatur, ex eaque conſcientiam ſuam offendi cauſetur. Hîc enim per σκινδαλμὸν, aut ſcandalum, aut conſcientiæ confeſſione auditi facinoris concitatæ ac perturbatæ tumultum intellige.

Arist. *Epiſcopo dicenti, quòd crimen mihi ſoli vicinus confeſſus eſt, ſi vicinus negaverit, fides non eſt facile habenda.*

Fides Epiſcopo non eſt habenda dicenti, quòd Clericus quiſpiam mihi ſoli crimen confeſſus eſt, & ob id gradu aut communione eum arceo. Si enim negat ille, quem confeſſum eſſe dicit, non debet eum condemnare; aut ſe injuriâ affectum exiſtimare, quod ipſi ſoli non adhibetur fides.

CANON CXXXIV.

Ne Epiſcopus temere quempiam privet communione. Quamdiu ſegregato non communicat proprius Epiſcopus, eidem Epiſcopo alii non communicabunt Epiſcopi: ut magis caveat Epiſcopus, ne adverſus aliquem dicat id, quod documentis probare apud alios non poteſt.

Bals. Quod ſuperior canon prætermiſerat, hic in apertum protulit. Id autem erat, Si noluit Epiſcopus ei communicare qui à ſe ſegregatus eſt, ut qui ipſi aliquod crimen dixerit: quid ei fiet Epiſcopo, qui injuria ante condemnationem hominem ſegregavit? Dicit ergo, quòd ſi aliquem injuria ſegregavit, quamdiu ei, qui ſegregatus eſt, non communicat, nec illi, qui ſegregavit ſcilicet, alii communicabunt Epiſcopi. Subjungit etiam cauſam, ne præcipites ſint & inconſiderati in accuſatione & infligenda ſegregatione: & ne dicant adverſus aliquos, quæ probare non poſſunt. Et à præſenti quidem canone ſic punitur Epiſcopus, qui injuſtè ſegregavit. Ego autem exiſtimo, quòd is Epiſcopus, non ſolùm ſic punietur; ſed & dicta ſegregatione majori Antiſtiti expoſita, is quidem, qui eſt ſegregatus, à ſegregatione ſolvetur: qui autem ſegregavit, punietur ſecundùm Juſtiniani novellam, ſeu ſecundùm vigeſimum quartum caput

A μαρτυρία οὐκ ἔστι δεκτὴ, κἂν συγκλητικός ἐστιν, ἀκουσθήσεται ὁ ἐπίσκοπος, ὡς εὐλόγως μὴ συγκοινωνῶν τῷ κατηγορουμένῳ, διὰ τὴν ἐξομολόγησιν, ἢ μή; Λύσις. ἐμοὶ δοκεῖ, ὡς κἂν τῇ ἀληθείᾳ ἐξωμολογήσατο ὁ κατηγορούμενος, ἀπὸ μόνου τούτου οὐ δυνήσεται αὐτὸν χωρίσαι τῆς κοινωνίας ὁ ἐπίσκοπος, ὡς μηδὲ καταδικασθέντα· εἰ δὲ τοῦτο ποιήσει, ὡς ἀνευλόγως χωρίσας τὸν ἄνθρωπον ἀπὸ τῆς πνευματικῆς κοινωνίας, χωρισθήσεται καὶ αὐτὸς ὑπὸ τοῦ μείζονος ἀρχιερέως, τοῦ ἐξομολογησαμένου λυομένου. σημείωσαι τὸν παρόντα κανόνα διὰ τοὺς ἐπισκόπους καὶ τοὺς δεχομένους ἀνθρώπων λογισμοὺς μοναχοὺς, καὶ μαρτυροῦντας κατὰ τῶν λεγομένων ποιῆσαι B πρὸς αὐτοὺς ἐξομολόγησιν τοῦ ἁμαρτήματος. ὅτι δὲ ἄδεκτός ἐστιν ἡ τοῦ ἑνὸς μαρτυρία, ἀνάγνωθι καὶ τὸν οε΄. κανόνα τῶν ἁγίων ἀποστόλων. ὁ μέντοι ἁγιώτατος πατριάρχης κυρὸς Λουκᾶς ἐπιτιμίῳ ἀλειτουργησίας καθυπέβαλλε τὸν καθηγούμενον τῆς μονῆς τοῦ γηροτρόφου, τὸν γεγονότα ἀρχιεπίσκοπον Ἡρακλείας, τοιοῦτόν τι μαρτυρήσαντα κατὰ πνευματικοῦ παιδὸς αὐτοῦ.

ΖΩΝΑΡ. Κἂν ἐπίσκοπος λέγῃ ἐξομολογήσασθαι αὐτῷ τινα ἁμάρτημα χωρίζον αὐτὸν τῆς κοινωνίας, ὁ δὲ ἀρνῆται, λέγων μὴ εἰπεῖν αὐτῷ τοιοῦτον ἁμάρτημα, οὐ πιστευθήσεται C μόνος ὁ ἐπίσκοπος. καὶ τοῦτο, φασὶν οἱ πατέρες, μὴ λογιζέσθω τῷ ἐπισκόπῳ εἰς ὕβριν, ὅτι οὐ πιστεύεται μόνος, καὶ λοιπὸν ἀναγκάζεται συγκοινωνεῖν ἐκείνῳ, κἂν λέγῃ ὁ ἐπίσκοπος, ὅτι οὐ θέλω προσδέξασθαι αὐτὸν εἰς κοινωνίαν, σκανδαλιζομένης ἐπ' αὐτῷ τῆς συνειδήσεώς μου. σκινδαλμὸν γὰρ ἢ τὸ σκάνδαλον νοητέον ἢ τὸν θόρυβον τῆς συνειδήσεως θορυβουμένης καὶ ταραττομένης διὰ τὴν ἐξομολόγησιν τοῦ ἁμαρτήματος.

ΑΡΙΣΤ. Λέγων ἐπίσκοπος, ὅτι τὸ ἔγκλημα κατὰ μόνας ὁ πέλας μοι ὡμολόγησεν, εἰ ὁ πέλας ἀρνεῖται, οὐκ εὔπιστος.

D Οὐ χρὴ πιστεύεσθαι τῷ ἐπισκόπῳ λέγοντι, ὡς κατὰ μόνας ὁ δεῖνα κληρικὸς ἔγκλημά μοι ὡμολόγησεν, καὶ διὰ τοῦτο ἢ τοῦ βαθμοῦ ἢ τῆς κοινωνίας αὐτὸν ἀπείργω. εἰ γὰρ ἀρνεῖται ἐκεῖνος, ὃν ὁμολογῆσαι λέγει, οὐκ ὀφείλει καταδικάζειν αὐτὸν ἢ ἰδίαν ὕβριν τοῦτο λογίζεσθαι, ὅτι αὐτὸς οὐ πιστεύεται μόνος.

ΚΑΝΩΝ ρλδ΄.

Ἵνα μὴ, ὡς ἔτυχεν, τινα στερήσῃ τῆς κοινωνίας ἐπίσκοπος. ἐφ' ὅσον τῷ ἀφωρισμένῳ μὴ κοινωνεῖ ὁ ἴδιος ἐπίσκοπος, E τῷ αὐτῷ ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσουσιν ἐπίσκοποι· ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται.

ΒΑΛΣ. Ὃ παρεσιώπησεν ὁ ἀνώτερος κανὼν, τοῦτο προήνεγκεν εἰς φανερόν. τὸ δὲ ἦν τὸ, ἐὰν μὴ θελήσῃ ὁ ἐπίσκοπος κοινωνῆσαι τῷ παρ' αὐτοῦ ἀφορισθέντι, ὡς ἔγκλημά τι αὐτῷ ἐξαγορεύσαντι, τί ἐπὶ τῷ τοιούτῳ ἐπισκόπῳ γενήσεται ἀνευλόγως ἀφορίσαντι καὶ πρὸ καταδίκης τὸν ἄνθρωπον; φησὶ γοῦν, ὅτι ἐὰν ἀφορίσῃ τινὰ ἀνευλόγως, ἐφ' ὅσον καιρὸν F ἐκεῖνος οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ ἐκείνῳ, τῷ ἀφορίσαντι δηλαδὴ, κοινωνοῦσιν οἱ ἄλλοι ἐπίσκοποι. ἐπάγει δὲ καὶ τὴν αἰτίαν, ἵνα μὴ ταχεῖς καὶ ἀπερίσκεπτοι ὦσι πρὸς κατηγορίας καὶ πρὸς ἀφορισμὸν, καὶ μὴ κατά τινων λέγωσιν ἃ ἐλέγξαι οὐ δύνανται. καὶ ἀπὸ μὲν τοῦ παρόντος κανόνος οὕτω κολάζεται ὁ ἀνευλόγως ἀφορίσας ἐπίσκοπος. ἐγὼ δὲ νομίζω, ὅτι οὐ μόνον ταῦτα οὕτω κολασθήσεται ὁ τοιοῦτος ἐπίσκοπος, ἀλλὰ καὶ τοῦ ἀνευλόγου τούτου ἀφορισμοῦ καταληφθέντος παρὰ μείζονι ἀρχιερεῖ, ὁ μὲν ἀφορισθεὶς λυθήσεται τοῦ ἀφορισμοῦ· ὁ δὲ ἀφορίσας τιμωρηθήσεται κατὰ τὴν Ἰουστινιάνειον νεαρὰν, ἤτοι κατὰ τὸ κδ΄. κεφάλ.

τοῦ α΄. τίτλου τοῦ γ΄. βιβλίου, ὃ καὶ ἐν διαφόροις κανόσι κατεστρώθη, καὶ κατὰ τὸν δ΄. κανόνα τῆς ζ΄. συνόδου. καὶ ἀνάγνωθι τὸν τοιοῦτον κανόνα καὶ τὴν νεαρὰν κατατεθεῖσαν εἰς τὴν ἑρμηνείαν αὐτοῦ, καὶ τὸν ιδ΄. κανόνα τῆς ἐν Σαρδικῇ συνόδου.

A primi tituli tertii libri, quod etiam in diverſis Canonibus ſitum eſt; & ſecundùm quartum Canonem ſeptimæ Synodi. Et lege hunc Canonem & Novellam ſitam in ejus interpretatione, & xiiii. Can. Sardic. Syn.

ΖΩΝΑΡ. Ὃ παρεσιώπησεν ὁ ἀνωτέρω κανών, τοῦτο προήνεγκεν εἰς φανερόν. τὸ δὲ ἦν τό, ἐὰν μὴ θέλῃ ὁ ἐπίσκοπος κοινωνῆσαι τῷ παρ' αὐτοῦ ἀφορισθέντι, ὡς ἔγκλημά τι αὐτῷ ἐξαγορεύσαντι, τί περὶ τοῦ τοιούτου οἰκονομηθήσεται; φησὶ γοῦν, ὅτι ἐὰν ἀφορίσῃ τινὰ οὐ δικαίως, ἐφ' ὅσον καιρὸν ἐκεῖνος οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ ἐκείνῳ, τῷ ἀφορίσαντι δηλαδή, κοινωνῶσιν οἱ ἄλλοι ἐπίσκοποι· ἐπάγει δὲ καὶ τὴν B αἰτίαν, ἵνα μὴ ταχεῖς καὶ ἀπερίσκεπτοι ὦσι πρὸς κατηγορίαν καὶ πρὸς ἀφορισμόν, καὶ μὴ κατά τινων λέγωσιν, ἃ ἐλέγξαι οὐ δύνανται.

ZONAR. Quod ſilentio ſuperior Canon texerat, hic in apertum protulit. Id autem erat ejuſmodi; Si nolit Epiſcopus ei communicare, quem quaſi crimina ipſi confeſſum ſegregavit, quid huic ipſi Epiſcopo fiet? Reſpondet igitur, quòd ſi aliquem injuria ſegregavit, quandiu ei, qui ſegregatus eſt, ipſe non communicat; nec illi videlicet qui ſegregavit alii Epiſcopi communicabunt: causámque præterea ſubnectit; ne in accuſatione ſegregationéque infligenda præcipites & inconſiderati ſint, neve cuiquam objiciant ea, quæ poſtea probare non poſſint.

ΑΡΙΣΤ. Τὸν μὴ ἐλεγχθέντα, κοινωνίας στερήσας ἐπίσκοπος, στερεῖται καὶ αὐτὸς τῆς ἑτέρων ὁμοίως.

Εἴ τις ἐπίσκοπος κληρικὸν αὐτοῦ ἀφορίσει, μὴ ἐλεγχθέντα ἐπὶ πταίσματι, ἀλλ' ἐκ μόνης τῆς αὐτοῦ κατακριθέντα συνειδήσεως, ἀφορισθήσεται καὶ αὐτός, καὶ τῆς τῶν ἄλλων ἐπισκόπων κοινωνίας ἀποστερηθήσεται· ὁσὰν παραφυλάττηται τό, μὴ εὐχερῶς κατά τινος λέγειν, ὅπερ ἀπελέγξαι οὐ δύναται. C

ARIST. *Epiſcopus eum, qui non convictus eſt, communione privans, & ipſe aliorum ſimiliter communione privabitur.*

Si quis Epiſcopus Clericum ſuum ſegregaverit, criminum non convictum, ſed ſuâ ſolâ condemnatum conſcientiâ, ſegregabitur & ipſe, & aliorum Epiſcoporum communione privabitur; ut illud obſervetur, ne facile contra quempiam dicat, quod probare non poteſt.

ΚΑΝΩΝ ρλε΄.

Αὐρήλιος ἐπίσκοπος εἶπεν· κατὰ τὰ ὁρισθέντα τῇ γνώμῃ πάσης τῆς συναθροισθείσης Συνόδου, καὶ τῆς ἐμῆς μετριότητος, ἀρέσκει πάντων τῶν πραγμάτων τοῦ προδηλωθέντος ὁλοτελοῦς τίτλου ποιῆσαι τὸ συμπέρασμα, καὶ τὴν συζήτησιν τῆς διατυπώσεως τῆς παρούσης ἡμέρας τὰ ἐκκλησιαστικὰ πεπραγμένα διαδέξωνται· ἅτινα δὲ ἀκμὴν οὐκ ἐπεξεργάσθησαν, τῇ ἑξῆς ἡμέρᾳ διὰ τῶν ἀδελφῶν ἡμῶν, Φαυστίνου τοῦ ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου D τῶν πρεσβυτέρων, τῷ προσκυνητῷ ἀδελφῷ καὶ συνεπισκόπῳ ἡμῶν Βονιφατίῳ ἀντιγραψόμεθα. καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τοῖς παροῦσι τῶν ὅρων πεπραγμένοις τοῖς παρ' ἡμῶν δεχομένοις ὑπέγραψα.

CANON CXXXV.

Aurelius Epiſcopus dixit; Secundùm ea, quæ totius Synodi congregatæ meæque mediocritatis ſententia definita ſunt, placet omnium rerum priùs declarati perfecti tituli facere concluſionem, & præſentis diei conſtitutionis tractatum acta Eccleſiaſtica ſuſcipiant: quæ autem nondum ſunt pertractata, die ſequenti per fratres noſtros, Fauſtinum Epiſcopum, Philippum & Aſellum Presbyteros, venerando fratri & Coëpiſcopo noſtro Bonifacio reſcribemus. Et ſubſcripſerunt; Aurelius Epiſcopus his decretorum actis à nobis ſuſceptis ſubſcripſi.

Βαλεντῖνος τῆς πρώτης καθέδρας ἐπίσκοπος τῆς Νουμιδικῆς χώρας τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Φαυστῖνος ἐπίσκοπος τῆς Ποτεντινῆς ἐκκλησίας, ἐπαρχίας Πικένου, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἀλύπιος ἐπίσκοπος Θυγατένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. E

Αὐγουστῖνος ἐπίσκοπος Ἱππώνης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ποσίδιος ἐπίσκοπος Καλαμανύσης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Φουρτουνατιανὸς Νεαπολίτης τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ρουφιανὸς Μουζουενσιανός, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Πραιτεξτᾶτος Σικηλιβένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. F

Κουοδβουλτδέος Βερέσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κανδίδος Γερμανίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Κολώνιος Οὐτικένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Μαξιμιανὸς Ἀκυρεγγυσιώτης τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἰουκοῦνδος Συφφετουλένσης, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Valentinus Epiſcopus primæ Cathedræ Numidicæ regionis his actis ſubſcripſi.

Fauſtinus Epiſcopus Potentinæ Eccleſiæ, provinciæ Piceni, Legatus Romanæ Eccleſiæ, his actis ſubſcripſi.

Alypius Epiſcopus Thagatenſis, Legatus provinciæ Numidiæ, his actis ſubſcripſi.

Auguſtinus Epiſcopus Hipponenſis, Legatus provinciæ Numidiæ, his actis ſubſcripſi.

Poſſidius Epiſcopus Calamenſis, Legatus provinciæ Numidiæ, his actis ſubſcripſi.

Fortunatianus Neapolitanus, his actis ſubſcripſi.

Rufianus Muzuenſianus, his actis ſubſcripſi.

Prætextatus Sicilibenſis, his actis ſubſcripſi.

Quod-vult-Deus Verenſis, his actis ſubſcripſi.

Candidus Germaniæ, his actis ſubſcripſi.

Colonius Ulicenſis, his actis ſubſcripſi.

Maximianus Aeyrogenſis, his actis ſuſcripſi.

Jucundus Suffetulenſis, Legatus Provinciæ Byzacenæ, his actis ſubſcripſi.

A *Maximianus Legatus provinciæ Byzacenæ, his actis ſubſcripſi.*

Hilarinus Horaiocellenſis, Legatus provinciæ Byzacenæ, his actis ſubſcripſi.

Ninellus Ruſurrianita, Legatus provinciæ Cæſarienſis, his actis ſubſcripſi.

Laurentius Icoſitanus, Legatus provinciæ Cæſarienſis, his actis ſubſcripſi.

Numerianus Ruſugurienſis, Legatus provinciæ Cæſarienſis, his actis ſubſcripſi.

Leo Moctenſis, Legatus provinciæ Cæſarienſis, his actis ſubſcripſi.

B *Alius Leo, Legatus provinciæ Sitifenſis, his actis ſubſcripſi.*

Et cæteri Epiſcopi ducenti & ſeptemdecem ſimiliter ſubſcripſerunt.

Philippus Presbyter, Legatus Eccleſiæ Romanæ, his actis à nobis relictis ſubſcripſi.

Aſellus Presbyter, Legatus Eccleſiæ Romanæ, his actis per nos miſſis ſubſcripſi.

Μαξιμιανὸς τοποτηρητὴς τῆς Βυζακηνῶν ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἱλαρῖνος Ὡραιοκέλλος, τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νινέλλος Ῥυσυῤῥηνιανίτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Λαυρέντιος Ἰκοσιτανὸς, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Νουμεριανὸς Ῥυσουγουριώτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Λέων ἀπὸ Μόκτης, τῆς Καισαρειανῆς χώρας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Ἄλλος Λέων, τῆς Σιτηφένσης ἐπαρχίας τοποτηρητὴς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα.

Καὶ οἱ λοιποὶ ἐπίσκοποι διακοσιοιδεκαεπτὰ ὁμοίως ὑπέγραψαν.

Φιλίππος πρεσβύτερος, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας τοῖς παροῦσι πεπραγμένοις ἀφ' ἡμῶν ἀναγνωσθεῖσιν, ὑπέγραψα.

Ἀσέλλος πρεσβύτερος, τοποτηρητὴς τῆς Ῥωμαϊκῆς ἐκκλησίας τοῖς παροῦσι πεπραγμένοις, τοῖς δι' ἡμᾶς ἀποσταλεῖσιν, ὑπέγραψα.

Incipit ab univerſa Africana Synodo ad Bonifacium C *Eccleſiæ Romanæ Epiſcopum, per Fauſtinum Epiſcopum, Philippum & Aſellum Presbyteros, Romanæ Eccleſiæ Legatos, miſſa Epiſtola. Domino beatiſſimo & venerabiliſſimo fratri Bonifacio, Aurelius, Valentinus primæ Sedis Numidicæ provinciæ, & reliqui qui adfuerunt numero ccxvii. ex univerſa Africana Synodo. Quoniam Domino placuit, ut de iis, quæ nobiſcum peregerunt ſanctiſſimi fratres noſtri, Fauſtinus Epiſcopus, & Compresbyteri Philippus & Aſellus, non, beatæ memoriæ Zoſimo Epiſcopo,* D *à quo ad nos literas & mandata attulerunt, ſed veſtræ venerationi, quæ in illius locum divinitùs conſtituta eſt, humilitas noſtra reſcriberet: quæ utrorumque noſtrûm concordia finita ſunt, debemus ea paucis declarare; ſed non ea, quæ prolixis actorum involucris detinentur, quæ ſervata quidem charitate, ſed non ſine parvo dubitationis labore deduximus; hoc agentes, ut quæ ad rem conferunt, actis inſerantur. Ille enim ſi adhuc eſſet in hoc corpore, gratiùs acciperet quod magis paratè finitum videret, domine frater. Apia*E*rius Presbyter, de cujus ordinatione & excommunicatione & appellatione exortum eſt, non ſolùm Siccenſi, ſed & univerſæ Africanæ Eccleſiæ, non parvum ſcandalum, de omnibus, in quibus erravit, petita venia, communioni reſtitutus eſt. Primus enim Coepiſcopus noſter Urbanus Siccæ, quidquid erat à ſe corrigendum, ſine dubitatione correxit. Et quia Eccleſiaſticæ paci & quieti, non ſolùm in præſens, ſed in futurum etiam tempus, providendum eſt; quoniam multa ejuſmodi præceſſerunt, ut à ſimilibus, vel etiam* F *gravioribus, in poſterum caveamus: placuit, ut Siccenſi Eccleſia moveatur Presbyter Apiarius, ei ſcilicet ſervato gradus ſui honore; & accipiens ſecundum Canones Epiſtolam, ubicunque alibi voluerit & potuerit, Presbyteri officium obeat & ſacra celebret. Quod quidem ipſi Apiario, cùm id propriis literis petiviſſet, abſque ulla difficultate conceſſimus. Antequam autem vel ipſa canſa ita finiretur, inter alia, quæ aſſiduis diſceptationibus verſabamus,*

Ἄρχεται ἡ ἀπὸ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου πρὸς Βονιφάτιον τὸν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, διὰ Φαυστίνου ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου πρεσβυτέρων, τῶν τοποτηρητῶν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἀποσταλεῖσα ἐπιστολή. Δεσπότῃ μακαριωτάτῳ καὶ τιμιωτάτῳ ἀδελφῷ Βονιφατίῳ, Αὐρήλιος, Βαλεντῖνος τῆς πρώτης καθέδρας τῆς Νουμιδικῆς ἐπαρχίας, καὶ οἱ λοιποὶ οἱ παραγενόμενοι τὸν ἀριθμὸν διακόσιοι δεκαεπτὰ, ἐκ πάσης τῆς ἐν Ἀφρικῇ συνόδου. Ἐπειδὴ τῷ κυρίῳ ἤρεσεν, ἵνα περὶ ὧν ἅμα ἡμῖν διεπράξαντο οἱ ἁγιώτατοι ἀδελφοὶ ἡμῶν, Φαυστῖνος ὁ συνεπίσκοπος, καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Ἀσέλλος, μὴ τῷ τῆς μακαρίας μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ, ἀφ' οὗ πρὸς ἡμᾶς γράμματα καὶ ἐντολὰς ἤγαγον, ἀλλὰ τῇ ὑμετέρᾳ τιμιότητι εἰς τὸν ἐκείνου τόπον θεόθεν καταστασθείσῃ ἡμετέρα βραχύτης ἀντιγράψῃ, τὰ τῇ ἑκατέρων ἡμῶν ὁμονοίᾳ περατωθέντα ὀφείλομεν διὰ βραχέων ἐμφανῆ καταστῆσαι, οὐ μὴν τὰ τοῖς ἐκτεταμένοις τῶν πεπραγμένων κυλίσμασι κατεχόμενα ἐν οἷς σωζομένης μὲν τῆς ἀγάπης, οὐ χωρὶς δὲ μικροῦ τῆς ἀμφισβητήσεως καμάτου παρειλκύσαμεν, σκεπτόμενοι τὰ εἰς τὸ πρᾶγμα συντείνοντα τοῖς πεπραγμένοις ἐντεθῆναι. Κἀκεῖνος γὰρ, εἰ ἔτι ἦν ἐν τῷ σώματι τούτῳ, χαριεστέρως ἐδέχετο ὅπερ ἔβλεπεν εἰρηνικωτέρως περατωθὲν, κύριε ἀδελφέ. Ἀπιάριος ὁ πρεσβύτερος, οὗ τινος καὶ περὶ τῆς χειροτονίας καὶ τῆς ἀκοινωνησίας καὶ προκλήσεως διεφύη, οὐ μόνον τῇ ἐν Σίκῃ, ἀλλὰ καὶ τῇ ἐν πάσῃ τῇ Ἀφρικῇ ἐκκλησίᾳ, οὐ μικρὸν σκάνδαλον, περὶ πάντων ὧν ἐπλημμέλησε συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέστη. Πρῶτος γὰρ ὁ συνεπίσκοπος ἡμῶν Οὐρβανὸς ὁ τῆς Σίκης, ὅσον ἦν ἐν αὐτῷ διορθωτέον, ἀναμφιβόλως διωρθώσατο. Ἐπεὶ δὲ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἡσυχίας οὐ μόνον πρὸς τὸ παρὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἔδει πρόνοιαν ποιήσασθαι, ὅτι πολλὰ τοιαῦτα προηγήσαντο, ὅπως ἀπὸ τῶν ὁμοίων ἢ καὶ βαρυτέρων τῶν μετὰ ταῦτα προφυλαξώμεθα· ἤρεσεν ἡμῖν, ἵνα ἐκ τῆς ἐν Σίκῃ ἐκκλησίας ἀποκινηθῇ ὁ πρεσβύτερος Ἀπιάριος, φυλαττομένης αὐτῷ δηλονότι τῆς τιμῆς τοῦ βαθμοῦ αὐτοῦ· καὶ λαμβάνων κατὰ τοὺς κανόνας ἐπιστολὴν, ὁπουδήποτε ἀλλαχοῦ βουληθείη καὶ δυνηθείη, τῷ καθήκοντι τοῦ πρεσβυτερίου λειτουργήσῃ. Ὅπερ τῷ αὐτῷ Ἀπιαρίῳ δι' οἰκείων γραμμάτων αἰτήσαντι χωρίς τινος δυσχερείας συνεχωρήσαμεν. Πρὸ τοῦ γὰρ ἡ αἰτία αὕτη τῷ κυρίῳ πέρατι παραδοθῇ, μεταξὺ τῶν ἄλλων, ἅ τινα διηνεκέσιν διαγνώσεσιν ἀνεστρέφομεν,

αὐτοῦ

A αὐτοῦ τοῦ λόγου ἀπαιτήσαντος, ὥστε τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις, ζητῆσαι ἡμᾶς παρὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ συνεπισκόπου, καὶ Φιλίππου καὶ Ἀσέλλου τῶν συμπρεσβυτέρων, ἵνα προσενέγκωσιν εἴ τι δήποτε ἦν αὐτοῖς ἅμα ἡμῖν πρακτέον ἐπιτραπὲν, τινὰ μὲν ἀγράφως διὰ λόγων ἐπεξειργάσαντο· ἡμῶν δὲ ἀπαιτησάντων ὅπερ ἐπεφέροντο ἔγγραφον κομμονιτώριον, τοῦτο προήγαγον· ὅπερ ἀναγνωσθὲν παρ' ἡμῶν, τοῖς πεπραγμένοις ἔτι μὴν ἐνετάγη, τοῖς καὶ πρὸς ὑμᾶς δι' αὐτῶν ἐπὶ τοῦ παρόντος φερομένοις. ἐν ᾧ τέσσαρα αὐτοῖς τινα ἅμα ἡμῖν πρακτέα ἐνετάγησαν· ἓν, περὶ ἐκκλήτων ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαίων ἐκκλησίας ἱερέα· δεύτερον, ἵνα ἐπὶ τὸ κομιτᾶτον ἐπίσκοποι, ὡς ἔτυχεν, μὴ πλεύσωσιν· τρίτον, περὶ τοῦ, τὰς αἰτίας τῶν πρεσβυτέρων καὶ διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις ἐπισκόποις, ἐὰν ἐκ τῶν ἰδίων ἀπὸ κοινωνίας προπετῶς γένωνται· τέταρτον, περὶ Οὐρβανοῦ τοῦ ἐπισκόπου ἀποκοινωνητέου, ἢ ἔτι μὴν ἐν Ῥώμῃ κλητέου, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι διορθώσηται. ἐξ ὧν πάντων περὶ τοῦ πρώτου καὶ τρίτου, τοῦτ' ἔστιν, ἵνα ἔξεστιν εἰς Ῥώμην τοῖς ἐπισκόποις ἐκκαλεῖσθαι, καὶ ὅτι αἱ τῶν κληρικῶν αἰτίαι παρὰ τοῖς τῶν ἐπαρχιῶν αὐτῶν ἐπισκόποις περατῶνται, ἤδη ἐν τῷ προλαβόντι ἐνιαυτῷ γράμμασιν ἔτι μὴν ἡμετέροις πεμφθεῖσιν τῷ αὐτῷ τῆς προσκυνητῆς μνήμης Ζωσίμῳ τῷ ἐπισκόπῳ ἐσπουδάσαμεν ἐμφανίσαι, ἵνα ταῦτα χωρὶς τινὸς ὕβρεως αὐτοῦ πρὸς ὀλίγον φυλάξωμεν, ἕως οὗ ζήτησις γένηται τῶν ὅρων τῆς ἐν Νικαίᾳ συνόδου. καὶ νῦν δὲ ἀπὸ τῆς σῆς αἰτούμεθα ἁγιωσύνης, ἵνα, ὃν τρόπον ταῦτα τὰ ἐν Νικαίᾳ ἀπὸ τῶν πατέρων ἐπράχθη, οὕτως αὐτὰ παρ' ἡμῶν φυλαχθῆναι ποιήσῃς· καὶ αὐτόθι παρ' ὑμῖν τὰ ἐν τῷ αὐτῷ κείμενα κομμονιτωρίῳ γυμνασθῆναι ποιήσῃς· τοῦτ' ἔστιν, ἐὰν ἐπίσκοπος κατηγορηθῇ, καὶ οἱ συνελθόντες ἐπίσκοποι τῆς αὐτῆς ἐπαρχίας κρίνωσιν, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτὸν, ὅταν δόξῃ ἐκκαλεῖσθαι, καὶ πρὸς τὸν μακαριώτατον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον καταφύγῃ· ἐὰν συνίδῃ αὐτὸν ἀκουσθῆναι, καὶ δίκαιον λογίσηται, ὥστε ἀνανεωθῆναι τὴν κρίσιν, γράψαι καταξιώσῃ τοῖς ἐν τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρχίᾳ καθεστῶσιν ἐπισκόποις, ἵνα αὐτοὶ πάντα ἐπιμελῶς ἀναζητήσωσιν, καὶ κατὰ τὴν πίστιν τῆς ἀληθείας περατώσωσιν. ἐὰν δὲ καὶ ὁ παρακαλῶν τὴν αἰτίαν αὐτοῦ ἄνωθεν ἀκουσθῆναι, ἰδίᾳ ἱκεσίᾳ κινήσῃ τὸν Ῥωμαϊκὸν ἐπίσκοπον, ἵνα ἐκ τοῦ ἰδίου αὐτοῦ πλευροῦ πρεσβύτερον ἀποστείλῃ, ἐν τῇ ἐξουσίᾳ τοῦτ' ἔστι, τοῦ ἐπισκόπου, τί βουληθῇ καὶ τί κρίνῃ. καὶ ἐὰν ψηφίσηται τοὺς ὀφείλοντας μετὰ τῶν ἐπισκόπων παρόντας κρῖναι, ἔχοντας τὴν αὐθεντείαν αὐτοῦ ἐξ οὗ ἀπεστάλησαν, ἔσται ἐν τῇ κρίσει αὐτοῦ· ἐὰν δὲ καὶ πιστεύσῃ ἀρκεῖν τοὺς ἐπισκόπους πρὸς τὸ περατῶσαι τὰ τοῦ πράγματος, ποιήσῃ ὅπερ τῷ σοφωτάτῳ αὐτοῦ συνίδῃ βουλεύματι. ὁμοίως περὶ πρεσβυτέρων καὶ διακόνων, ἐάν τις ἐπίσκοπος ὀργίλος, ὅπερ εἶναι οὐκ ὀφείλει, ταχέως ἢ τραχέως κινηθῇ κατὰ πρεσβυτέρου ἢ διακόνου ἰδίου, καὶ θελήσοι τοῦτον ἐκ τῆς ἰδίας ἐξορίσαι ἐκκλησίας· προνοητέον ἐστὶν, ἵνα μὴ ἀναιτίως καταδικασθῇ ἢ ἀπολέσῃ τὴν κοινωνίαν. καὶ ἐχέτω ὁ ἐκβληθεὶς ἐξουσίαν προσελθεῖν τοῖς ὁμοροῦσιν, καὶ ἡ αἰτία αὐτοῦ ἀκουσθῇ, καὶ ἐπιμελέστερον ζητηθῇ· ὅτι οὐκ ὀφείλει παρακαλοῦντι αὐτῷ ἡ ἀκρόασις ἀρνηθῆναι· κἀκεῖνος δὲ ὁ ἐπίσκοπος, ὁ ἢ δικαίως ἢ ἀδίκως ἐκβαλὼν, ἀνεξικάκως καταδέξηται τὰ τοῦ πράγματος ἐξετασθῆναι, ἵνα ἢ κυρωθῇ ἢ διορθωθῇ ἡ γνώμη αὐτοῦ. ταῦτα δηλονότι, ἕως τῆς παρουσίας τῶν ἀληθεστάτων ἐξέμπλων τῆς ἐν Νικαίᾳ συνόδου, τοῖς πεπραγμένοις ἐνεβλήθησαν· ἅτινα ἐὰν ἐκεῖ, ὃν τρόπον ἐν αὐτῷ τῷ κομμονιτωρίῳ περιέχεται, τῷ ἡμῖν διὰ τῶν ἀποσταλέντων ἀδελφῶν ἐκ τῆς ἀποστολικῆς καθέδρας ἐμφανισθέντι, καὶ παρ' ὑμῖν τῇ αὐτῇ τάξει ἐν Ἰταλίᾳ φυλάττωνται, οὐδαμῶς καὶ ἡμεῖς τῶν τοιούτων μεμνῆσθαι βουλόμεθα, ἢ οὐχ ὑποφέρειν ἐπειγόμεθα,

cùm ipſa ratio poſtularet, ut à fratribus noſtris, Fauſtino Coëpiſcopo noſtro, & Aſello & Philippo Presbyteris, peteremus, ut Eccleſiaſticis actis afferent, ſi quid eis eſſet commiſſum, quod unà nobiſcum eſſet agendum; nonnulla quidem ſine ſcriptis verbis perſecuti ſunt. Cùm autem nos poſtulaſſemus Commonitorium, quod ab eis in ſcriptis proferebatur, id produxerunt; quod à nobis lectum, actis præterea inſertum eſt, quæ etiam ad vos per eos in præſentia feruntur. In quo quatuor ab eis nobiſcùm agenda inſerta erant; Unum de appellationibus Epiſcoporum ad Romanæ Eccleſiæ Sacerdotem; Secundum, ne Epiſcopi ad comitatum temere navigarent; Tertium autem, ut Presbyterorum & Diaconorum cauſæ à finitimis Epiſcopis examinentur, ſi à propriis temere communione moti fuerint; Quartum de Urbano Epiſcopo excommunicando, vel Romam citando; niſi quæ corrigi oportet, corrigat. Ex quibus omnibus de primo & tertio, id eſt, ut liceat Epiſcopis Romam appellare, & ut cauſæ Clericorum ab ipſarum provinciarum Epiſcopis finiantur, anno præcedente noſtris quoque literis eidem venerandæ memoriæ Zoſimo Epiſcopo datis oſtendere ſtuduimus, ut ea ſine ulla illius injuria aliquantiſper ſervaremus, donec Nicænæ Synodi decretorum facta eſſet inquiſitio. Et nunc à tua ſanctitate petimus, ut quomodo ea à Patribus Nicææ facta ſunt, ſic ea à nobis ſervari, & illic apud vos quæ ſunt in ipſo Commonitorio poſita exerceri facias: hoc eſt, ut ſi Epiſcopus accuſatus fuerit, & congregati ejuſdem provinciæ Epiſcopi eum judicaverint, & è ſuo gradu depoſuerint, quando appellare viſum fuerit, & ad beatiſſimum Romanæ Eccleſiæ Epiſcopum confugerit; ſi eum eſſe audiendum cenſuerit, juſtumque eſſe duxerit, ut renovetur judicium, finitimis Epiſcopis, & in propinqua provincia conſtitutis ſcribere dignetur, ut ipſi omnia diligenter inquirant; & ex veritatis fide finiant. Sin autem is, qui cauſam ſuam à principio audiri rogat, ſua ſupplicatione Romanum Epiſcopum moverit, ut ex proprio ſuo latere Presbyterum mittat; erit in poteſtate Epiſcopi quid velit & quid judicet. Et ſi ſtatuerit, quinam debeant cum Epiſcopis præſentes judicare, habentes ejus auctoritatem à quo miſſi ſunt; ejus judicio relinquetur: Sin autem crediderit ſufficere Epiſcopos ad finiendum negotium; faciat quod ſapientiſſimo ſuo concilio viſum fuerit. Similiter de Presbyteris & Diaconis; Si quis Epiſcopus iracundus, quod eſſe non debet, celeriter aut aſperè adverſus Presbyterum vel Diaconum ſuum motus fuerit, & velit eum ex propria Eccleſia ſegregare; providendum eſt, ne ſine cauſa condemnetur, vel perdat communionem. Et is qui ejectus eſt, poteſtatem habeat accedendi ad finitimos, & cauſa ejus audiatur, & diligentiùs examinetur; quia non debet ei roganti auxilium denegari: ille autem Epiſcopus, qui ſive juſtè ſive injuſtè ejecit, toleranter feret rem examinari; ut vel confirmetur vel corrigatur ejus ſententia. Hæc ſcilicet, uſque ad præſentiam veriſſimorum exemplarium Nicænæ Synodi, actis inſerta ſunt: quæ quidem ſi illic, quomodo in ipſo Commonitorio continetur, quod nobis per fratres à Sede Apoſtolica miſſos oſtenſum eſt, apud vos quoque in eodem ordine in Italia ſervantur, nos eorum nequaquam meminiſſe volumus, vel non ſufferre contendimus;

A *ſed credimus, quòd adjuvante Domini Dei noſtri miſericordia, tua ſanctitate Romanæ Eccleſiæ præſidente, hunc deinceps metum non ſuſcipiemus. Servabuntur autem etiam erga nos, quæ nobis quoque tacentibus ſervari debent dilectione fraterna: quæ pro ſapientia & juſtitia, quam tibi dedit Altiſſimus, ipſe quoque ſentis ſervari debere; ſi fortè aliter ſe habeant Canones Nicænæ Synodi. Nos enim, qui in plures libros incidimus; nunquam legimus in libris Romanis, in Synodum Nicænam, quemadmodum in prædicto Commonitorio iſthinc tranſmiſſi ſunt: tamen quia* B *hic in nullo libro Græco hæc invenire potuimus, ex Eccleſiis Orientalibus, ubi ipſa decreta authentica dicuntur adhuc poſſe inveniri, ad nos illa deferri valde deſideramus. Quare tuam etiam venerationem rogamus, ut ipſe præterea ſcribere digneris ad illarum partium Antiſtites, id eſt, Antiochenæ, Alexandrinæ & Conſtantinopolitanæ Eccleſiæ, & ad alios, ſi tuæ ſanctitati videatur, ut illinc ad nos Nicææ à ſanctis Patribus conſtituti Canones mittantur; te præcipuè hoc beneficium Occidentalibus omnibus Eccleſiis Dei auxilio conferente. Quis enim dubitat exemplaria Synodi Nicææ congregatæ veriſſima eſſe in Græcis,* C *quæ à tam diverſis locis & inſignibus Græcis Eccleſiis deportata & collata conſentiunt? Quod quidem donec factum fuerit, quæ in dicto Commonitorio nobis allata ſunt, de appellationibus Epiſcoporum ad Romanæ Eccleſiæ Sacerdotem, & de cauſis Clericorum, quæ debent à ſuarum provinciarum Epiſcopis finiri, nos etiam ſervaturos profitemur uſque ad probationem: & veſtram beatitudinem, Deo volente, nobis ad hoc auxilium laturam confidimus. Reliqua autem, quæ in noſtra Synodo acta & confirmata ſunt, quia prædicti* D *fratres noſtri Fauſtinus Coëpiſcopus, Philippus & Aſellus Presbyteri, ſecum deferunt, ſi vobis viſum fuerit, ea veſtræ ſanctitati nota facient. Et ſubſcripſerunt; Dominus noſter te nobis in multos annos conſervet, beatiſſime frater. Subſcripſerunt quoque Alypius, Auguſtinus, Poſſidius, Marinus, & cæteri Epiſcopi.*

Bals. Cùm Zoſimus Papa Romanus, qui ad præſentem Synodum Legatos miſerat, eſſet mortuus, Bonifacius ejus loco conſtitutus eſt, ad quem Synodus ſcribit, quæ in ipſa geſta ſunt in compendium redigens. E Declarat autem & quæ de Apiario Presbytero acta fuerant; atque etiam eos ſervaturos appellationes quæ petebantur ad Romanam Eccleſiam, donec allati fuerint Canones, qui à Nicæna Synodo editi fuere.

Zonar. Qui Roma miſſi Legati ad hanc Synodum convenêre, quorum nominatim epiſtola meminit, à Zoſimo Papa Romano miſſi fuerant: qui cum interea diem ſuum obiiſſet, in ejus locum Bonifacius ſuffectus eſt: ad quem Synodus literas mittit, quæque acta decretaque fuerant, brevi ſermonis compendio & conciſè, non, F quemadmodum geſta fuerant, longo orationis ambitu ac verborum involucris circuitionéque refert. Nuntiare porro ſe quæ utriuſque partis conſenſu ſtatuta fuerant Synodus aſſerit. Uterque autem de duobus intelligitur. Proinde, & qui Synodo aderant in duas partes diviſos fuiſſe indicant; alteram quidem, quæ Africæ Epiſcopos; alteram vero, quæ Roma miſſos Legatos complecteretur. Quæ igitur, inquiunt, utriuſque partis conſilio decreta ſunt, ea his tibi literis declaramus. Apiarius ob quædam crimina ab Epiſcopis Africæ ſegregatus, Romam profectus eſt. In Africam porro remiſſus à

ἀλλὰ πιστεύομεν, ὅτι βοηθοῦντος τοῦ ἐλέους κυρίου τοῦ θεοῦ ἡμῶν, τῆς σῆς ἁγιωσύνης προεστώσης τῆς Ῥωμαϊκῆς ἐκκλησίας, οὐκέτι λοιπὸν ὑπομείνωμεν τὸν φόβον τοῦτον. φυλαχθήσονται δὲ περὶ ἡμᾶς ἅτινα καὶ μὴ λαλούντων ἡμῶν ὀφείλουσιν φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ, ἅπερ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἣν σοι ὁ ὕψιστος ἐδωρήσατο, καὶ αὐτὸς ἔτι μὴν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ κανόνες τῆς ἐν Νικαίᾳ συνόδου. ἡμεῖς γὰρ πλείστοις ἐντυχόντες βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ σύνοδον ἐν Ῥωμαϊκοῖς βιβλίοις, ὃν τρόπον ἐν τῷ προλεχθέντι κομμονιτορίῳ αὐτόθεν ἀπεστάλησαν· ὅμως, ἐπειδὴ ἐν τούτῳ εἰς οὐδὲν βιβλίον Γραικὸν ταῦτα εὑρεῖν ἠδυνήθημεν, ἐκ τῶν ἀνατολικῶν ἐκκλησιῶν, ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα δύνασθαι τὰ αὐθεντικὰ ἔτι μὴν εὑρεθῆναι, ἡμῖν προσενεχθῆναι ταῦτα μᾶλλον ποθοῦμεν. διὸ καὶ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν, ἵνα γράψαι καὶ αὐτὸς ἔτι μὴν καταξιώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν ἱερεῖς, τοῦτ' ἔστιν, τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρέων, καὶ τῆς ἐν Κωνσταντινουπόλει, καὶ ἄλλοις δὲ, ἐὰν παρασταίη τῇ σῇ ἁγιωσύνῃ, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντες ἔλθωσιν κανόνες, σοῦ κατεξαίρετοι τὴν εὐεργεσίαν ταύτην πάσαις ταῖς δυτικαῖς ἐκκλησίαις τῇ τοῦ κυρίου βοηθείᾳ συνεισάγοντος. τίς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀληθέστατα εἶναι ἐν Γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης συνόδου ἅτινα ἀπὸ οὕτως διαφόρων τόπων καὶ ἐπισήμων Γραικῶν ἐκκλησιῶν προσενεχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν; ὅπερ ἕως οὗ γένηται, τὰ ἐν τῷ προλεχθέντι κομμονιτορίῳ ἡμῖν προσενεχθέντα, περὶ τῶν πρὸς τὸν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἱερέα ἐκκλήτων τῶν ἐπισκόπων, καὶ περὶ τῶν αἰτιῶν τῶν κληρικῶν τῶν ὀφειλουσῶν περατοῦσθαι παρὰ τοῖς τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν ἐπισκόποις, ἡμεῖς ὁμολογοῦμεν καὶ φυλάξοντας ἕως τῆς ἐπικυρώσεως, καὶ τὴν ὑμετέραν μακαριότητα, θέλοντος τοῦ θεοῦ, πρὸς τοῦτο ἡμῖν βοηθήσουσαν θαῤῥοῦμεν. τὰ δὲ λοιπὰ, τὰ ἐν τῇ ἡμετέρᾳ συνόδῳ πραχθέντα καὶ βεβαιωθέντα, ἐπειδὴ οἱ προλεχθέντες ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ συνεπίσκοπος, Φίλιππος καὶ Ἄσελλος οἱ πρεσβύτεροι, μεθ' ἑαυτῶν ἐπιφέρονται, ἐὰν καταξιώσητε, γνωστὰ ποιήσουσιν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. καὶ ὑπέγραψαν· ὁ κύριος ἡμῶν φυλάξει σε ἡμῖν ἐπὶ πλείστους χρόνους μακαριώτατε ἀδελφέ. ὑπέγραψαν ὁμοίως, Ἀλύπιος, Αὐγουστῖνος, Ποσσείδιος, Μαρῖνος, καὶ οἱ λοιποὶ ἐπίσκοποι.

ΒΑΛΣ. Ζωσίμου τοῦ Πάππα Ῥώμης, τοῦ ἀποστείλαντος τοποτηρητὰς εἰς τὴν παροῦσαν σύνοδον, τελευτήσαντος, ὁ Βονιφάτιος πρὸς τὸν ἐκείνου θρόνον κατέστη, πρὸς ὃν ἡ σύνοδος γράφει, ἀναφέρουσα τὰ ἐν αὐτῇ πραχθέντα κατ' ἐπιτομήν. παραδηλοῖ δὲ καὶ τὰ περὶ τοῦ Ἀπιαρίου τοῦ πρεσβυτέρου· ἀλλὰ μὴν καὶ τὸ φυλάξαι τὰς πρὸς ἐκκλησίαν τῆς Ῥώμης ζητουμένας ἐκκλήτους, μέχρις ἂν προσκομισθῶσιν οἱ παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ἐκτεθέντες κανόνες.

ΖΩΝΑΡ. Οἱ σταλέντες ἐκ Ῥώμης πρὸς τὴν σύνοδον ταύτην τοποτηρηταὶ, ὧν πρὸς ὄνομα μέμνηται ἡ ἐπιστολὴ, παρὰ Ζωσίμου τοῦ Πάπα τῆς Ῥώμης ἐστάλησαν· ἐκείνου δὲ ἐν τῷ μέσῳ τελευτήσαντος, ὁ Βονιφάτιος εἰς τὸν ἐκείνου θρόνον ἀντικατέστη, πρὸς ὃν ἡ σύνοδος γράφει, ἀναφέρουσα τὰ ἐν αὐτῇ πραχθέντα καὶ οἰκονομηθέντα, ἀναφέρει δὲ ταῦτα διὰ βραχέων ἀντὶ τοῦ συντόμως, καὶ ἐν ἐπιτομῇ, οὐ μὴν ὡς ἐπράχθησαν διὰ μακρηγορίας καὶ ἐπιτεταμένων κυλισμάτων, ἤγουν μακρῶν περιόδων καὶ στροφῆς λόγων. διαφέρειν δὲ λέγει τὰ τῇ ἑκατέρων ὁμονοίᾳ περατωθέντα. τὸ δὲ ἑκατέρων ἐπὶ δύο νοεῖται. εἰς δύο γὰρ μοίρας καὶ οὗτοι τοὺς τῆς συνόδου διεῖλον· μίαν μὲν τὴν τῶν ἐξ Ἀφρικῆς ἐπισκόπων, ἑτέραν δὲ τὴν τῶν ἐκ Ῥώμης σταλέντων τοποτηρητῶν. ἃ γοῦν, φησι, παρ' ἑκατέρων τῶν μερῶν ᾠκονόμητο, φανερά σοι παριστῶμεν. Ὁ Ἀπιάριος διά τινα αἰτιάματα ἀφορισθεὶς παρὰ τῶν ἐν Ἀφρικῇ ἐπισκόπων, ἀπῆλθεν εἰς Ῥώμην. ἀναπεμφθεὶς δὲ παρὰ τοῦ

Πάπα εἰς Ἀφρικὴν, ὡμολόγησε τὰ περὶ ὧν ἐπλανήθη. ἔοικε γὰρ λέγειν τινὰ παρὰ τοὺς τῆς ἐκκλησίας θεσμούς. ταῦτα οὖν ὁμολογήσας, συγγνώμης ἠξίωτο, καὶ μένειν μὲν ἐπὶ τῆς οἰκείας εἰάθη τιμῆς, οὐ μέντοι καὶ ἐν τῇ ἐκκλησίᾳ εἶναι, ἐν ᾗ καὶ πρότερον ἦν, ἀλλ' εἰς ἑτέραν, ὅποι βούλοιτο, ἀπελθεῖν. καὶ περὶ τούτου τῷ Πάπα ἡ σύνοδος ἔγραψεν· ὁμοίως καὶ περὶ τῶν ἐντεταλθέντων τοῖς ἐν ἐκ Ῥώμης σταλεῖσι τοποτηρηταῖς, ἃς καὶ ἀπαριθμοῦσι καὶ ὑπέσχοντο φυλάξαι, τὸ τὰς ἐκκλήτους πρὸς αὐτὸν διαφέρεσθαι, μέχρις ἂν οἱ παρὰ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου προσκομισθῶσιν αὐτοῖς κανόνες, ἵνα εἰ ἐκείνοις τοῖς πατράσι ταῦτα ἔδοξεν, οὕτως γίνηται. ἠξίωσαν δὲ γράψαι καὶ πρὸς τὸν Ἀντιοχείας, καὶ τὸν Ἀλεξανδρείας καὶ Κωνσταντινουπόλεως, στεῖλαι αὐτοῖς τοὺς κανόνας τῆς ἐν Νικαίᾳ συνόδου, ἵνα πληροφορηθῶσιν, εἰ τοῖς πατράσιν ἐκείνοις κεκανόνισται τὸ ἀναφέρεσθαι τὰς ἐκκλήτους τῶν ἐπισκόπων πρὸς τὸν Ῥώμης ἐπίσκοπον. ἡμεῖς γὰρ, φασὶ, πλείστας ἀναγνόντες βίβλους Ῥωμαϊκὰς, τοιούτους κανόνας οὐχ εὕρομεν· Γραικὸν δὲ βιβλίον, ἤγουν Ἑλληνικῆς διαλέκτου, οὐχ εὕρομεν·

A Papa, ea in quibus aberraverat confitetur. Quædam enim illum contra Eccleſiaſticos ordines locutum fuiſſe apparet; quæ culpam ſuam agnoſcenti, veniamque poſtulanti condonata ſunt, utque dignitatem retineret, indultum: non ita tamen ut Eccl. teneret, in qua antea fuerat; ſed in aliam quamcunque voluiſſet, abiret. Ac de eo Syn. Papæ ſcripſit: Similiter & de iis, quæ Legati Roma miſſi in mandatis habebant; quæ etiã ſingula percenſent, & ſervaturos ſe pollicentur, illud ſcilicet ut appellationes ad eum fiant, donec ad ipſos primæ Nicænæ Synodi Canones afferantur; ut huic conſuetudini, ſi Patres illi ita cenſuerint, acquieſcant. Per literas quoque cum Antiocheno, Alexandrino, Conſtantinopolitanóque Epiſcopo, B de mittendis ad ipſos Nicænæ Synodi Canonibus agi poſtulavêre, ut, an inter illius Concilii decreta hoc quoque de provocationibus ad Romanum Epiſcopum concedendis, extet, certo queant cognoſcere. Nos enim, inquiunt, in Latinis libris, quorum plures legimus, Canonem hunc nequaquam invenire potuimus: Græcum autem exemplar, hoc eſt, Græco idiomate exaratum, nullum habemus.

ΑΡΙΣΤ. Οὐρβανὸς ἐπίσκοπος Σίκκης, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῆναι, διορθώσεται, ἢ ἀποκοινωνητέος ἐστὶ, ἢ ἐν Ῥώμῃ κλητέος.

ARIST. *Urbanus Epiſcopus Siccæ, niſi quæ à ſe corrigenda ſunt, correxerit, vel excommunicandus eſt, vel Romæ citandus.*

Πρὸ τοῦ τὰ ἀντίγραφα τῆς ἐν Νικαίᾳ συνόδου παρά τε τοῦ ἁγίου Κυρίλλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας καὶ τοῦ Ἀττικοῦ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου δέξασθαι βέβαια τὴν ἐν Καρθαγένῃ σύνοδον ταύτην, τὸν τῆς ἐν Σαρδικῇ συνόδου κανόνα, περὶ τῶν ἐκκλήτων τῶν ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπίσκοπον, ὡς κανόνα τῆς ἐν Νικαίᾳ συνόδου ἐδέχοντο. καὶ διὰ τοῦτο καὶ τὸν ἐπίσκοπον Σίκκης τὸν Οὐρβανὸν ὥρισαν, εἰ μὴ διορθώσεται τὰ ὀφείλοντα παρ' αὐτοῦ διορθωθῆναι, ἢ ἀφορισμένον εἶναι· ἢ, εἰ ἀμφιβάλει περὶ τοῦ ἀφορισμοῦ, μετακληθῆναι εἰς Ῥώμην, καὶ τὰ περὶ τούτου παρὰ τοῦ Πάπα ἐξετασθῆναι.

C Antequam hæc Carthaginenſis Synodus firma Synodi Nicænæ exemplaria à ſancto Cyrillo Epiſcopo Alexandrino & Attico Epiſcopo Conſtantinopolitano accepiſſet, Canonem Synodi Sardicenſis, de Epiſcoporum ad Romanæ Eccleſiæ Epiſcopum appellationibus, ut tanquam Synodi Nicænæ Canonem admiſerunt. Et idcirco etiam Urbanum Siccæ Epiſcopum decreverunt, ſi non emendaret quæ ab eo emendari debuerunt, aut ſegregatum eſſe; aut, ſi de ſegregatione dubitet, Romam eſſe evocandum, & negotia ſua à Papa examinari.

D

Ἄρχεται τὰ πρὸς τὴν ἐν Ἀφρικῇ σύνοδον ἀντίγραφα Κυρίλλου τοῦ τῶν Ἀλεξανδρέων ἐπισκόπου· ἐν οἷς τὰ αὐθεντικὰ τῆς ἐν Νικαίᾳ συνόδου ἀπὸ Γραικῶν μεταβληθέντα διὰ Ἰννοκεντίου πρεσβυτέρου ἐπέστειλεν καὶ τοὺς κανόνας. αἵτινες ἐπιστολαὶ μετὰ τῆς ἐν Νικαίᾳ συνόδου, διὰ τοῦ μνημονευθέντος Ἰννοκεντίου πρεσβυτέρου καὶ Μαρκέλλου ὑποδιακόνου τῆς ἐν Καρχηδόνι ἐκκλησίας, τῷ ἁγιωτάτῳ Βονιφατίῳ ἐπισκόπῳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας, τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων ἀπεστάλησαν.

Incipiunt reſcripta Cyrilli Alexandriæ Epiſcopi ad Africanam Synodum: in quibus Authentica Nicænæ Synodi è Græco translata per Innocentium Presbyterum miſit & Canones: Quæ quidem Epiſtolæ cum Nicæna Synodo, per memoratum Innocentium Presbyterum & Marcellum Subdiaconum Eccleſiæ Carthaginenſis, ſanctiſſimo Bonifacio Romanæ Eccleſiæ Epiſcopo A. D. vi. Calend. Decembris miſſæ ſunt.

Κύριλλος κυρίοις τιμιωτάτοις καὶ ἁγιωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ πάσῃ τῇ ἐν Καρχηδόνι συναθροισθείσῃ ἁγιωτάτῃ συνόδῳ. ἀσπαζόμεθα ἐν κυρίῳ τὴν ὑμετέραν ἀγάπην. τὰ γραφέντα παρὰ τῆς ὑμετέρας τιμιότητος, πολλὴν ἔχοντα θρησκείαν, μετὰ πάσης χαρᾶς διὰ τοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου ἐδεξάμην. τούτων δὲ παρ' ἡμῶν ἐλπισθέντων, ὥστε ἐκ τοῦ τῆς ἡμετέρας ἐκκλησίας σκρινίου τὰ ἀληθέστατα ἴσα τῆς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας αὐθεντικῆς συνόδου, τὰ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα ὑποκάτω τῆς ὁμολογίας τῆς ἡμετέρας πίστεως, τῇ ὑμετέρᾳ ἀγάπῃ ἡμᾶς ἀποστεῖλαι· ἀναγκαῖον ἡγησάμην, κύριοι τιμιώτατοι ἀδελφοὶ, ἀσπασμοῦ προηγουμένου, διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ πρεσβυτέρου τὰ πιστότατα ἴσα τὰ τῆς αὐθεντικῆς συνόδου τῆς ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας ἐχόμενα, τῇ ὑμετέρᾳ ἀποστεῖλαι ἀγάπῃ· ὅπερ καὶ ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ζητοῦντες εὑρήσετε. περὶ δὲ τοῦ πάσχα, ὡς ἐγράψατε, διαγγέλλομεν ὑμῖν, τῇ πρὸ δεκαεπτὰ καλανδῶν Μαΐων ἡμᾶς ἐπιτελέσοντας τῇ ὑπεισερχομένῃ ἰνδικτιῶνι. ἡ ὑπογραφή. ὁ θεὸς καὶ ὁ κύριος ἡμῶν τὴν ἁγίαν ὑμῶν σύνοδον φυλάξει· ὅπερ εὐχόμεθα τιμιώτατοι ἀδελφοί.

Cyrillus dominis venerabiliſſimis & ſanctiſſimis fratribus & Coëpiſcopis, Aurelio, Valentino, & univerſæ E *ſanctiſſimæ Synodo Carthagine congregatæ. Salutamus in Domino veſtram dilectionem. Quæ à veſtra reverentia ſcripta ſunt, multam pietatem continentia, cum omni lætitia per filium noſtrum Innocentium Presbyterum ſuſcepi. Cùm hæc autem à nobis ſperata fuerint, nos ex noſtræ Eccleſiæ ſcrinio veriſſima exemplaria authenticæ Synodi, quæ habita fuit Nicææ, Bithynicæ Metropoli, ea quæ à ſanctis Patribus definita & confirmata ſunt, ſub noſtræ fidei profeſſione, veſtræ charitati miſſuros; neceſſarium duxi, domini fratres in primis venerabiles, ſalutatione præcedente, per eundem filium noſtrum Innocentium* F *Presbyterum fideliſſima exemplaria authenticæ Synodi Nicææ, quæ Bithiniæ urbs eſt, habitæ, veſtræ charitati mittere: quod etiam in Eccleſiaſtica hiſtoria quærentes invenietis. De Paſcha autem, ut ſcripſiſtis, renuntiamus vobis, A. D. xvii. Cal. Maias ſequente Indictione nos celebraturos.* Subſcriptio. *Deus & Dominus noſter ſanctam veſtram Synodum cuſtodiat. Quod oramus venerabiliſſimi fratres.*

A

INCIPIT EPISTOLA ATTICI

Epiſcopi Conſtantinopolitani ad eoſdem. Dominis venerabiliſſimis & beatiſſimis fratribus & Coëpiſcopis, Aurelio, Valentino, & reliquis qui in Africanâ Synodo convenerunt, Atticus Epiſcopus.

Per filium noſtrum Marcellum Subdiaconum veſtrum, literas veſtræ dilectionis cum omni lætitia accepi, Deo gratias agens, quòd dignatus ſum frui tantorum fratrum benedictione. Domini B *beatiſſimi fratres, ſcripſiſtis, ut veriſſimos Canones, qui Nicææ, quæ eſt Bithyniæ Metropolis, à Patribus conſtituti ſunt, poſt fidei expoſitionem mittam. Et quis eſt, qui communem fidem, & decreta à Patribus conſtituta, propriis fratribus deneget? Unde per eundem filium noſtrum Marcellum Subdiaconum veſtrum valde feſtinantem, quemadmodum Canones Nicææ à Patribus definiti ſunt, integrè, ut juſſiſtis, miſi; rogans veſtram ſanctam Synodum, ut pro me plurimum orare dignetur.* Subſcriptio. *Dominus noſter cuſtodiat ve-* C *ſtram ſanctitatem, quod oramus ſanctiſſimi fratres.*

Incipiunt exemplaria Nicænæ Synodi A. D. ſexto Calendas Decembris, poſt Conſulatum Clariſſimorum Imperatorum, Honorii XII. & Theodoſii IX. Auguſtorum, Bonifacio Romano Epiſcopo miſſa. Credimus in unum Deum Patrem; Et deinceps ſanctum Symbolum ut in prima Synodo ſcriptum eſt.

Zonar. Huic Symbolo fidei, etiam exemplaria definitionum Nicæni Concilii ex memoratis Sacerdotibus adjuncta ſunt, ut ſuperius in omnibus continen- D tur: quæ nos nunc rurſum eadem ſcribenda eſſe neceſſe non putavimus.

Reſcripta Cyrilli Alexandriæ.

Arist. *Quemadmodum ad nos ſcripſiſtis; nos fidiſſima exemplaria authenticæ Synodi Nicææ, quæ Bythyniæ urbs eſt, habitæ, veſtræ charitati miſimus.*

Attici Conſtantinopolis.

Synodi Nicænæ Canones, quemadmodum à Patribus decreti ſunt, mittuntur, ut ſcripſiſtis. E

Credimus in unum Deum, Patrem omnipotentem, viſibilium pariter & inviſibilium Creatorem: & in unum Dominum Jeſum Chriſtum, filium Dei, natum ex Patre unigenitum, hoc eſt, è ſubſtantia Patris, Deum ex Deo, lumen ex lumine, Deum verum ex Deo vero, genitum non factum, Conſubſtantialem Patri, per quem omnia facta ſunt; qui propter nos, & noſtram ſalutem, deſcendit, incarnatus eſt, & homo factus, paſſus eſt, reſurrexit, & aſcendit in cœlos, & iterum veniet judicare vivos & mortuos; & in Spiritum F *ſanctum. Qui autem dicunt, erat tempus quando non erat, & quod ex non exiſtentibus factus eſt, vel ex aliâ ſubſtantiâ aut eſſentiâ, vel mutabilis eſt aut convertibilis Dei filius: tales Catholica & Apoſtolica Eccleſia anathematizat.*

Ecce & exemplaria Synodi Nicænæ cum archetypis ſive exemplaribus primigeniis in Eccleſiâ Alexandrinâ & Conſtantinopolitanâ repoſitis collata, & ab earum Epiſcopis, Cyrillo & Attico, confirmata, huic Synodo mittebantur.

ΑΡΧΕΤΑΙ Η ΕΠΙΣΤΟΛΗ ΑΤΤΙΚΟΥ

τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, πρὸς τοὺς αὐτούς. τοῖς κυρίοις τιμιωτάτοις καὶ μακαριωτάτοις ἀδελφοῖς καὶ συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ καὶ τοῖς λοιποῖς τοῖς ἐν τῇ Ἀφρικῇ συνελθοῦσιν συνόδῳ, Ἀττικὸς ἐπίσκοπος.

Διὰ τοῦ τέκνου ἡμῶν Μαρκέλλου, τοῦ ὑποδιακόνου ὑμῶν, γράμματα τῆς ὑμετέρας ἀγάπης μετὰ πάσης εὐχαριστίας ἐδεξάμην, τῷ κυρίῳ εὐχαριστῶν, ὅτι ἠξιώθην τοσούτων ἀδελφῶν εὐλογίας ἀπολαῦσαι. κύριοι μακαριώτατοι ἀδελφοὶ ἐγράψατε, ἵνα τοὺς ἀληθεστάτους κανόνας, τοὺς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας παρὰ τῶν πατέρων ὁρισθέντας, μετὰ τὴν πίστεως ἔκθεσιν ἀποστείλω. καὶ τίς ἐστιν ὁ τὴν κοινὴν πίστιν, καὶ τοὺς ὅρους τοὺς ἀπὸ τῶν πατέρων βεβαιωθέντας, τοῖς ἰδίοις ἀδελφοῖς ἀρνούμενος; ὅθεν διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Μαρκέλλου τοῦ ὑποδιακόνου ὑμῶν πάνυ σπεύδοντος, καθὼς οἱ ἐν Νικαίᾳ ἀπὸ τῶν πατέρων ὡρίσθησαν κανόνες, ἐν ὁλοκλήρῳ, ὡς ἐκελεύσατε, ἀπέστειλα, αἰτῶν τὴν ὑμετέραν ἁγίαν σύνοδον ὑπὲρ ἐμοῦ πλείστας εὔξασθαι καταξιῶσαι. ἡ ὑπογραφή. ὁ κύριος ἡμῶν φυλάξει τὴν ὑμετέραν ἁγιωσύνην, ὅπερ εὐχόμεθα ἁγιώτατοι ἀδελφοί.

Ἄρχεται τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου τὰ ἀποσταλέντα τῇ πρὸ ἓξ καλανδῶν Δεκεμβρίων, μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων, Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ἔννατον, τῶν Αὐγούστων, Βονιφατίῳ τῷ ἐπισκόπῳ Ῥώμης. Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα· καὶ ἐφεξῆς τὸ ἅγιον σύμβολον, ὡς ἐν τῇ πρώτῃ συνόδῳ ἐγράφη.

ΖΩΝΑΡ. Τῷ παρόντι συμβόλῳ τῆς πίστεως, καὶ τὰ ἴσα τῶν ὅρων τῆς αὐτῆς ἐν Νικαίᾳ συνόδου ἐκ τῶν μνημονευθέντων ἱερέων προσεζεύχθησαν, ὡς ἀνωτέρω ἐν πᾶσιν περιέχονται· ἅπερ ἡμεῖς ἐνταῦθα πάλιν τὰ αὐτὰ γραφῆναι ἀναγκαῖον οὐχ ἡγησάμεθα.

Ἀντίγραφα Κυρίλλου Ἀλεξανδρείας.

ΑΡΙΣΤ. Καθὼς ἡμῖν ἐγράψατε, τὰ πιστότατα ἴσα τῆς αὐθεντικῆς συνόδου τῆς ἐν Νικαέων πόλει τῆς Βιθυνίας, τῇ ὑμετέρᾳ ἀγάπῃ ἀπεστείλαμεν.

Ἀττικοῦ Κωνσταντινουπόλεως.

Οἱ τῆς ἐν Νικαίᾳ κανόνες, καθὼς παρὰ τῶν πατέρων ὡρίσθησαν, ἀπεστάλησαν, ὡς ἐγράψατε.

Πιστεύομεν εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. τοὺς δὲ λέγοντας, ἦν καιρὸς ὅτε οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ· τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Ἰδοὺ καὶ τὰ ἴσα τῆς ἐν Νικαίᾳ συνόδου, ἀντιβληθέντα μετὰ τῶν ἐναποκειμένων πρωτοτύπων τῇ ἐκκλησίᾳ Ἀλεξανδρέων καὶ τῇ Κωνσταντινουπόλει· καὶ βεβαιωθέντα παρὰ τῶν ἐπισκόπων αὐτῶν, τοῦ τε Κυρίλλου καὶ τοῦ Ἀττικοῦ, τῇ συνόδῳ ταύτῃ ἐστάλησαν.

A

ΑΡΧΕΤΑΙ Η ΕΠΙΣΤΟΛΗ ΤΗΣ ΕΝ Αφρικῇ συνόδου πρὸς Κελεστῖνον τὸν Πάπαν Ῥώμης.

Δεσπότῃ ἀγαπητῷ καὶ τιμιωτάτῳ ἀδελφῷ Κελεστίνῳ Αὐρήλιος, Παλατῖνος, Αντωνῖνος, Τοῦτος, Σερβὺς-Δέϊ, Τερέντιος καὶ οἱ λοιποὶ οἱ ἐν πάσῃ τῇ συνόδῳ τῆς Καρχηδόνος εὑρεθέντες.

Ηὐχόμεθα ἵνα ὃν τρόπον ἡ σὴ ἁγιωσύνη περὶ τῆς παρουσίας τοῦ Απιαρίου χαρέντας ὑμᾶς ἐδήλωσεν, γραμμάτων πεμ- B φθέντων διὰ τοῦ συμπρεσβυτέρου ἡμῶν Λέοντος· οὕτως καὶ ἡμεῖς ὁμοίως περὶ τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ τὰ παρόντα γράμματα μετὰ χαρᾶς ἀπεστείλαμεν. ἦν γὰρ δηλαδὴ καὶ ἡ ἡμετέρα καὶ ἡ ὑμετέρα προθυμία ἀσφαλεστέρα, καὶ οὐδὲ πευστικὴ ἐδόκει ἡ περὶ τοῦ ἀκμὴν ἀκουστέου ἤπερ ὡς περὶ ἀκουσθέντος προηγησαμένη. παραγινομένου τοίνυν πρὸς ἡμᾶς τοῦ ἁγιωτάτου ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Φαυστίνου, συνήξαμεν σύνοδον, καὶ ἐπιστεύσαμεν διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου πεμφθέντα, ἵνα ὥσπερ οὗτος τῇ αὐτοῦ σπουδῇ τῷ πρεσβυτερίῳ ἀπεδόθη, οὕτως καὶ νῦν δυνηθῇ ὑπὸ αὐτοῦ κόπῳ ἐκ τῶν ἀπὸ τῶν ἐν Θαβρακηνοῖς ὑποβληθέντων το- C σούτων ἐγκλημάτων καθαρθῆναι· οὗ τινος τὰ τοσαῦτα καὶ οὕτως παμμεγέθη ἀτοπήματα ἡ πληθὺς καταδραμοῦσα τῆς ἡμετέρας συνόδου εὗρεν, ὅτι καὶ τοῦ μνημονευθέντος τὴν πατρωνίαν μᾶλλον ἤπερ κρίσιν, καὶ τὴν ὡς ἐκδίκου σπουδὴν μᾶλλον ἤπερ διαγνώστου δικαιοσύνην ὑπερενίκησεν. πρῶτον μὲν γὰρ ἀντέστη μεγάλως πάσῃ τῇ συνόδῳ, διαφόρους ὕβρεις ἐπιφέρων, ὡσανεὶ τὰ πριβιλέγια τῆς Ρωμαϊκῆς ἐκκλησίας διεκδικῶν, καὶ θέλων αὐτὸν παρ' ἡμῶν εἰς κοινωνίαν δεχθῆναι, ὃν ἡ σὴ ἁγιωσύνη πιστεύσασα ἐκκαλέσασθαι, ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη, τῇ κοινωνίᾳ ἀποδέδωκεν· ὅμως ἧττον αὐτῷ τοῦτο ἐξεγένετο, ὅπερ ἔτι μὴν τῇ ἀναγνώσει τῶν πεπρα- D γμένων κρειττόνως γνοίης. τριημέρου μέντοι δίκης ἐπὶ μόχθου κινηθείσης, ἐν ὅσῳ τὰ διάφορα τῷ αὐτῷ ὑποβληθέντα συντετριβόμενοι ἐζητοῦμεν, ὁ θεὸς ὁ δίκαιος κριτὴς, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, τάς τε ὑπερολκὰς τοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου, καὶ τὰς τερθρεργίας τοῦ αὐτοῦ Απιαρίου, αἷς τὰς ἀθεμίτους αὐτοῦ αἰσχρότητας συγκαλύψαι ἐπηρείδετο, μεγάλῃ συντομίᾳ ἔτεμεν, τῆς σικχαντῆς δηλαδὴ καὶ δυσωδεστέρας ἐπιμονῆς καταργηθείσης, καὶ τῆς ἀναισχυντίας τῆς ἀρνήσεως, δι' ἧς τῶν τοσούτων ἡδονῶν τὸν βόρβορον ἐβούλετο καταβυθίσαι. τοῦ γὰρ θεοῦ ἡμῶν τὴν συνείδησιν αὐτοῦ στενοχωρήσαντος, καὶ τὰ ἐν τῇ καρδίᾳ κρυπτὰ, ὡς ἐν ἰλύϊ τῶν ἐγκλημάτων ἤδη καταδεδι- E κασμένα, πᾶσιν ἔτι μὴν τοῖς ἀνθρώποις δημοσιεύσαντος, ἀφνιδίως εἰς ὁμολογίαν πάντων τῶν ὑποβληθέντων αὐτῷ ἐγκλημάτων ὁ δόλιος ἀρνητὴς ἐξέρρηξεν, καὶ μόλις ποτὲ περὶ πάντων τῶν ἀπιθάνων ὀνειδῶν ἑκόντι αὐτὸς ἑαυτὸν ἔλεγξεν, καὶ αὐτὴν ὁμοίως τὴν ἡμετέραν ἐλπίδα, ᾗ τινι καὶ ἐπιστεύσαμεν αὐτὸν, καὶ ηὐχόμεθα ἐκ τῶν οὕτως ἐπαισχυντέων σπίλων δύνασθαι καθαρθῆναι, μετέστρεψεν εἰς στεναγμούς· εἰ μὴ ὅτι ταύτην ἡμῶν τὴν λύπην μιᾷ καὶ μόνῃ παραμυθίᾳ κατεπράϋνεν, ὅτι καὶ ἡμᾶς τοῦ ὀδυρμοῦ τοῦ διηνεκοῦς καμάτου ἐλύτρωσεν, καὶ τοῖς ἰδίοις τραύμασιν ὁποιανδήποτε ἴασιν, εἰ καὶ ἀκουσίως καὶ τῆς ἰδίας συνειδήσεως ἀντιμαχομένης ὁμολογήσας προενοήσατο, F κύριε ἀδελφέ. ἐν πρώτῳ τοίνυν τοῦ καθήκοντος τῆς ὀφειλομένης προσκυνήσεως ἐκπληρουμένου, ἱκετεύομεν, ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγινομένους εὐχερῶς μὴ προσδέχησθε· μηδὲ τοὺς παρ' ἡμῶν ἀποκοινωνητέους, εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι. ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. εἰ γὰρ καὶ περὶ κατωτέρων κληρικῶν καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πολλῷ μᾶλλον τοῦτο περὶ ἐπισκόπων βούλεται παραφυλαχθῆναι. μὴ οὖν οἱ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας ἀναρτηθέντες παρὰ τῆς

INCIPIT EPISTOLA SYNODI AFRICANÆ AD CELESTINUM Papam Romæ.

Domino dilecto & in primis venerabili fratri Celestino Aurelius, Palatinus, Antoninus, Tutus, Servus-Dei, Terentius & cæteri, qui in universali Carthaginensi Synodo interfuerunt.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ πατὴρ εἰ ὀφείλουσι τῶν ἁγιασμάτων μετέχειν οἱ ἐν ῥύσει σπέρματος ἀπροαιρέτως γινόμενοι, ἔφησεν ὡς οἱ τοῦτο παθόντες, τὸ οἰκεῖον συνειδὸς κριτὴν ἐχέτωσαν· ὥστε εἰ μὲν μή τινος ἐμπαθείας προϋποκειμένης, συνέβη αὐτοῖς τοῦτο, αὐτομάτως τῆς φύσεως ἐκκρινάσης ὡς περίττωμα τὴν ἐκροήν, οὐκ ἐμποδισθήσονται τῶν ἁγιασμάτων μεταλαβεῖν. εἰ δέ τισι προϋπῆρξεν ἐξ ἐμπαθοῦς λογισμοῦ ἐπιθυμία, καὶ ταύτῃ ἐπηκολούθησεν ἐκροή, ἢ ἐξ ἀκρασίας βρωμάτων καὶ πόσεως συνέβη τοῦτο, οἱ τοιοῦτοι οὐκ εἰσὶ καθαροί· οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος (οὐ γὰρ ἀκάθαρτον τοῦτο, ἐπεὶ μηδὲ ἡ σὰρξ ἐξ ἧς ἐκεῖνο περίττωμα) ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον ὅπερ ἐμόλυνε τὴν διάνοιαν. ὁ γοῦν τοιοῦτος, οὐκ εὐσυνείδητος, κἀντεῦθεν οὐδ' εὐπαρρησίαστος εἰς τὸ προσελθεῖν τῷ θεῷ. ἐπάγει δὲ καὶ τὴν χρῆσιν ἐκ τοῦ μεγάλου Παύλου γράψαντος περὶ τῶν εἰδωλοθύτων, ὅτι ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται. περὶ δὲ τῆς τοῦ σπέρματος ῥύσεως, ζήτει καὶ τοῦ μεγάλου Ἀθανασίου ἐπιστολὴν πρὸς Ἀμμοῦν μονάζοντα.

ΖΩΝΑΡ. Καὶ ταῦτα πρὸς ἐρώτησιν ὁ πατὴρ ἀποκρίνεται. ἐρωτηθεὶς γὰρ εἰ δεῖ τοὺς ἐν ῥύσει σπέρματος γινομένους ἀπροαιρέτως, τῶν ἁγιασμάτων μετέχειν, ἔφη, ὅτι οἱ τοῦτο παθόντες, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν. ἤγουν τὸ συνειδὸς ἐχέτωσαν τοῦ πράγματος δικαστήν, τὴν οἰκείαν δηλονότι διάνοιαν. ὥστε εἰ μή τινος ἐμπαθείας προϋποκειμένης συμβέβηκεν αὐτομάτως ἡ τῆς γονῆς ἐκροή, τῆς φύσεως αὐτὴν ὡς περίττωμα ἐκκρινάσης· ἢ εἰ μὴ ἐκ παροινίας καὶ ἐξ ἀδδηφαγίας ἐγένετο, οὐκ ἐμποδισθήσεται ὁ τοῦτο παθὼν τῷ ἁγίῳ προσελθεῖν θυσιαστηρίῳ. εἰ δέ τις προϋπῆρξεν ἐμπαθὴς λογισμός, καὶ ἐπὶ πολὺ ἐμφιλοχωρήσας τῇ διανοίᾳ αὐτοῦ, φαντασίαν ἐπήνεγκε νυκτερινήν, καὶ ταύτῃ ἐπηκολούθησεν ἡ τῆς γονῆς ἐκροή, καὶ ἐξ ἀκρασίας βρωμάτων καὶ πόσεως συνέβη· ὁ τοιοῦτος οὐ καθαρός ἐστιν, οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος (οὐ γὰρ ἀκάθαρτον τοῦτο, ἐπεὶ μὴν οὐδὲ ἡ σάρξ ἧς ἐκεῖνο περίττωμα) ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον, ὅπερ ἐμόλυνε τὴν διάνοιαν· ὁ γοῦν τοιοῦτος οὐκ εὐσυνείδητος, κἀντεῦθεν οὐδ' εὐπαρρησίαστος διὰ τὸ ἴδιον ἐνθύμιον. πῶς οὖν προσελεύσεται τῷ Θεῷ διακρινόμενος; ἐπάγει δὲ καὶ χρῆσιν ἐκ τοῦ μεγάλου Παύλου γράψαντος περὶ τῶν εἰδωλοθύτων, ὅτι διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται. περὶ δὲ τῆς τοῦ σπέρματος ῥύσεως καὶ ὁ μέγας Ἀθανάσιος πλατέως ἔγραψεν πρὸς Ἀμμοῦν μονάζοντα.

A exercetur, vel cum sacris mysteriis cuipiam est communicandum. Nam & Judæis cum divinas voces in monte audituri essent, ut à conjugibus abstinerent, est imperatum. Et Joël post illa verba, sanctificate jejunium, egrediatur, addidit, sponsus de cubili suo, & sponsa de thalamo suo. A quacunq; siquidem voluptate jejunantes abstinere oportet. Propterea quòd animum dissolvere, rationémque perturbare voluptatum oblectamenta consuevere.

CANON IIII.

Qui autem in non voluntario nocturno fluxu fuerint, ii quoque propriam conscientiam sequantur, & seipsos an B *de eo dubitent annon, considerent. Quemadmodum in cibis, qui discernit, inquit, si comederit, condemnatus est: In his quoque bona sit conscientia, & libere loquatur, secundùm propriam cogitationem, omnis qui ad Deum accedit. Has tu quidem nos honorans (non enim ignoras ô dilecte) nobis quæstiones proposuisti; nos ut ejusdem sententiæ, sicut & sumus, ejusdémq; animi, simul præparans. Ego autem, non ut Doctor, sed ut cum omni simplicitate convenit nos invicem disserere, meam sententiam in commune edidi: quam cùm tu examinaveris, fili mi sapientissime, quod tibi justum meliúsque apparuerit, vel an sic etiam se habere existimas, rescribes. Valere te,* C *dilecte fili mi, in pace Domino ministrantem opto.*

BALS. Interrogatus pater an Sacramentorum debent esse participes, qui involuntarium seminis fluxum passi sunt, dixit, quòd qui hoc passi sunt, judicem habeant propriam conscientiam: ut si nulla præcedente animi perturbatione hoc eis acciderit, natura sua sponte hanc fluxionem tanquam excrementum excernente, non impedientur esse Sacramentorum participes. Si quibus autem ex rationis perturbatione præextitit cupiditas, eámque effluxio consecuta sit, vel ex ciborum potúsque intemperantia hoc evenerit, ii puri non sunt: non pro- D pter fluxum seminis (non est enim hoc immundum, sicut nec caro, cujus est excrementum) sed propter malam cogitationem, quæ mentem polluit. Qui igitur est ejusmodi, non habet bonam Conscientiam, & non habet ideo potestatem ad Deum accedendi. Subjungit autem & ex magno Paulo sententiam, qui scripsit de idolothytis, quòd qui dubitat si comederit, condemnatus est. De fluxu autem seminis, quære magni quoque Athanasii epistolam ad Ammum monachum.

ZONAR. Hic quoque præpositæ interrogationi respondet Pater. Rogatus namque an liceat iis quibus E seminis fluxus non sponte contingit, sacris communicare mysteriis, respondit: Qui hoc patiuntur, propriam sequantur conscientiam, hoc est, facti judicem statuant conscientiam, suum videlicet animum, ac mentem. Ita ut siquidem nulla affectione prægrediente, ultro seminis fluxus evenit, veluti superfluum quid ipsum excernente natura; neque illi causam vinolentia, vel gulositas præbuit, ad sanctum altare accedere qui id passus est haudquaquam vetabitur; si vero mollior aliqua cogitatio præcessit, eaque menti diutius obversata nocturnam speciem induxit, quam postea seminis fluxus est consecutus, atque ex incontinentia ciborum, & potio- F nis evenit, haud est ejusmodi homo purus, non ob defluxum seminis, neque enim hoc impurum (quandoquidem nec impura caro, cujus hoc excrementum) sed ob cogitationem pravam, quæ animum inquinavit. Non est itaque hic nullius sibi conscius labis, proindéque nec plena illi fiducia, ob suam cupiditatem. Quâ ratione igitur Deo appropinquabit dubitans? subjicit quoq; magni Pauli sententiam, de idolothytis scribentis, quod si dubitans comedat, condemnatus est. Porro, de seminis fluxione, magnus quoque Athanasius multis verbis ad Ammum Monachum scripsit.

BEATI PETRI ARCHIEPISCOPI ALEXANDRINI, & MARTYRIS, CANONES qui feruntur in ſermone ejus de pœnitentia.

CANON I.

Quoniam autem quartum Paſcha perſecutionem jam apprehendit, ſatis eſt iis qui delati quidem ſunt in cuſtodiámq; conjecti, tormentáque non ſufferenda, & intolerabilia flagella, & multas alias graves neceſſitates ſuſtinuerunt, poſtea autem ſunt à carnis imbecillitate proditi: etiamſi non ab initio ſuſcepti ſunt propter gravem lapſum conſecutum: tamen, quia multum decertarunt & diu reſtiterunt: non enim ſponte ad ea devenerunt, ſed à carnis imbecillitate proditi: nam & ſtigmata Jeſu in ſuis corporibus oſtentant, & nonnulli anno jam tertio deflent: eis ab adventu per revocationem in memoriam alij quadraginta dies injungantur, quos cùm jejunaſſet Dominus & Servator noſter Jeſus Chriſtus, poſtquam baptizatus fuerat, tentatus eſt à diabolo: In quibus & ipſi cùm valde exercitati fuerint, & conſtantiùs jejunaverint: deinceps in orationibus vigilabunt: meditantes quod dicitur à Domino ad eum qui illum tentat, ut ipſum adoret: Abi pone Satana: Scriptum eſt enim, Dominum tuum adorabis, & illi ſoli ſervies.

BALS. Præſentes Canones tractant de iis qui propriam fidem in perſecutionibus negaverunt, & pœnitentiam egerunt. Et jubet quidem primus Canon, eis qui poſt multa tormenta ſacrificarunt, ut qui propter imbecillitatem perſeverare non potuerint, & in pœnitentia tres annos tranſegerint, aliòs quoque quadraginta dies injungi, & ſic admitti. Nota præſentes Canones, qui varia quædam & utilia definiunt in gratiam eorum qui Deum abnegarunt, & pœnitentiam petunt, & de iis qui ad martyrium ultro advolarunt, & lapſi ſunt, & rurſus fidem ſunt confeſſi, & de aliis quibuſdam ejuſmodi. Quære etiam non abſque fructu plurimos Canones Synodi Ancyranæ.

ZONAR. Inter eos qui turbulentis temporibus propriam fidem abnegârunt, diſcrimen Sanctus hic Pater ſtatuit, aitque, qui ad tyrannos rei acti ſunt, ac in vincula conjecti, tormentáque graviſſima, flagelláque haud tolerabilia, quæque nulla propemodum cura, aut medicina ſanari poſſent, (ἄκος namque curationem ſignificat, éſtque ἀνήκεστον idem quod immedicabile) aliáſque neceſſitates ſuſtinuerunt; ac poſtea ſuccumbentes immolarunt, velut à carnis imbecillitate proditi, quæ ad finem uſque obdurare in doloribus haud potuerit, iis mulctæ nomine decurſum jam tempus ſufficere. Quartum ſiquidem, inquit, Paſcha jam exactum eſt, ex quo in graviſſimum hunc incidêre caſum. Ac etiam ſi forte initio cum pœnitentia ducti acceſſerunt, non ſunt ſuſcepti; tamen quia non ſponte proceſſere ad immolandum diúque repugnarunt, ac ſtigmata Jeſu, vulnerum nempe quæ pro Chriſto ſuſtinuere cicatrices gerunt: tertiúſque jam effluxit annus ex quo lugent lapſum illum, inſuper mulctari, hoc eſt, alios adhuc quadraginta dies ex quo ad communionem admitti poſtulantes acceſſerunt, mulctæ nomine injungendos eſſe decernit. In quibus majorem adhuc oſtendentes pœnitentiæ exercitationem, & intentius, hoc eſt, attentiore cura jejunantes, attendentes ſibimetipſis, vigilent in orationibus, meditantes, hoc eſt animo perpetuo verſantes, vocéque uſurpantes quæ Dominus ad tentatorem dixit; Abi pone me Satana, ſcriptum eſt enim, Dominum Deum tuum adorabis, & illi ſoli ſervies.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΠΕΤΡΟΥ, ΚΑΙ ΜΑΡΤΥΡΟΣ κανόνες ἐμφερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ.

ΚΑΝΩΝ α΄.

ΕΠΕΙ τοίνυν τέταρτον ἤδη πάσχα ἐπικατείληφε τὸν διωγμὸν, αὐτάρκως ἔχει τοῖς μὲν προσενεχθεῖσι, καὶ φυλακισθεῖσι, βασάνους τε ἀνυποίστους ὑπομεμενηκόσι καὶ ἀφορήτους μάστιγας, καὶ πολλὰς ἑτέρας ἀνάγκας δεινὰς, ὕστερον δὲ προδιδομένοις ὑπὸ τῆς ἀσθενείας τῆς σαρκός. εἰ καὶ μὴ ἐξ ἀρχῆς παρεδέχθησαν διὰ τὴν παρακολουθήσασαν μεγίστην πτῶσιν, ὅμως διὰ τὸ πολλὰ αὐτοὺς ἠθληκέναι καὶ ἐπὶ πολὺ ἀντιμάχεσθαι· οὐ γὰρ κατὰ προαίρεσιν ἐν τούτῳ ἐληλύθασιν, ἀλλὰ καταπροδοθέντες ὑπὸ τῆς ἀσθενείας τῆς σαρκός· ἐπειδὴ καὶ στίγματα τοῦ Ἰησοῦ ἐνδείκνυνται ἐν τοῖς σώμασιν αὐτῶν, καὶ ἤδη τινὲς τρίτον ἔτος ἔχουσι καταπενθοῦντες· προσεπιτιμηθῆναι αὐτοῖς ἀπὸ τῆς προσελεύσεως καθ' ὑπόμνησιν, ἄλλας τεσσαράκοντα ἡμέρας, ἃς καὶ νηστεύσας ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, μετὰ τὸ βαπτισθῆναι, ἐπειράσθη ὑπὸ τοῦ διαβόλου· εἰς ἃς καὶ αὐτοὶ κατὰ τὸ πλεῖον διαγυμνασθέντες, ἐντονώτερόν τε νήψαντες, γρηγορήσουσιν εἰς προσευχὰς τοῦ λοιποῦ, καταμελετῶντες τὸ λεγόμενον ὑπὸ τοῦ κυρίου πρὸς τὸν πειράζοντα αὐτὸν ἵνα προσκυνήσῃ αὐτῷ, ὕπαγε ὀπίσω μου σατανᾶ. γέγραπται γὰρ, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

ΒΑΛΣ. Οἱ παρόντες κανόνες περὶ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν οἰκείαν πίστιν, καὶ μετανοησάντων, διαλαμβάνουσι. καὶ αὐτίκα ὁ πρῶτος κανὼν διακελεύεται τοὺς θύσαντας μετὰ βασάνους πολλὰς, ὡς μὴ δυνηθέντας διὰ ἀσθένειαν, ἐγκαρτερῆσαι. καὶ διαβιβάσαντας τρία ἔτη ἐν τῇ μετανοίᾳ, προσεπιτιμηθῆναι καὶ ἑτέρας τεσσαράκοντα ἡμέρας, καὶ οὕτω δεχθῆναι. Σημείωσαι τοὺς παρόντας κανόνας διορίζομένους διάφορά τινα καὶ ἀναγκαῖα χάριν τῶν ἀρνησιθέων ζητούντων μετάνοιαν, καὶ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον καὶ ἐκπεπτωκότων, καὶ πάλιν ὁμολογησάντων τὴν πίστιν, καὶ περὶ ἄλλων τινῶν τοιούτων. ζήτει ἀναγκαίως καὶ τοὺς πλείους κανόνας τῆς ἐν ἀγκύρᾳ συνόδου.

ΖΩΝΑΡ. Διαίρεσιν ποιεῖται ὁ ἅγιος οὗτος πατὴρ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν πίστιν τὴν οἰκείαν, καί φησι, ὅτι τοῖς ἀχθεῖσι πρὸς τοὺς τυράννους, καὶ εἰς φυλακὴν ἐμβληθεῖσι, βασάνους τε ἀνηκέστους ὑπομεμενηκόσι, καὶ ἀφορήτους μάστιγας, καὶ σχεδὸν ἀνιάτους καὶ ἀθεραπεύτους (ἄκος γὰρ ἡ θεραπεία ἐστὶ, καὶ ἀνήκεστον τὸ ἀθεράπευτον) καὶ ἄλλας ἀνάγκας· καὶ μετὰ ταῦτα ὑποκύψασι καὶ θύσασιν ὡς ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς προδοθεῖσι μὴ δυνηθείσης μέχρι τέλους ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς, ἀρκεῖ ὁ παρελθὼν χρόνος εἰς ἐπιτίμησιν. τέταρτον γάρ φησιν ἤδη πάσχα ἐπικατείληφεν, ἐξότου πεπτώκασι τὴν μεγίστην πτῶσιν. καὶ εἰ τάχα καὶ ἐξ ἀρχῆς ὅτε προσῆλθον μεταμελόμενοι οὐκ ἐδέχθησαν· ὅμως ὅτι οὐ κατὰ προαίρεσιν ἦλθον εἰς τὸ θῦσαι καὶ ἀντέστησαν ἐπὶ πολὺ, καὶ στίγματα τοῦ Ἰησοῦ, ἤγουν μώλωπας τῶν τραυμάτων ὧν ὑπέστησαν ὑπὲρ τοῦ Χριστοῦ ἔχουσι. καὶ ἤδη τρίτον ἔτος παρῆλθεν πενθούντων αὐτῶν διὰ τὴν πτῶσιν, προσεπιτιμηθῆναι, ὥρισεν, ἀντὶ τοῦ ἐπὶ πλέον ἐπιτιμηθῆναι, ἄλλας τεσσαράκοντα ἡμέρας ἐξότου προσῆλθον ζητοῦντες δεχθῆναι· ἐν αἷς ἐπὶ πλέον γυμνασίαν ἐπιδείξαντες, καὶ ἐντονώτερον νήψαντες ἤγουν σπουδαιότερον προσέχοντες ἑαυτοῖς, γρηγορήσουσιν εἰς προσευχὰς, καταμελετῶντες, ἤγουν συνεχῶς ἐν φροντίδι ποιούμενοι καὶ λέγοντες, ἃ ὁ κύριος πρὸς τὸν πειράζοντα εἶπεν, ὕπαγε ὀπίσω μου Σατανᾶ. γέγραπται γὰρ κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.

ΚΑΝΩΝ β΄.

Τοῖς δὲ μετὰ τὸ φυλακισθῆναι καὶ ὑπομεμενηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ ὡς ἂν ἐν πολιορκίᾳ, θλίψεις τε καὶ δυσωδίας· ὕστερον δὲ χωρὶς πολέμου βασάνων γενομένων αἰχμαλώτοις κατὰ πολλὴν πτωχείαν δυνάμεως καὶ κατά τινα τυφλότητά τε θραυσμένοις, ἐπαρκέσει ἐνιαυτὸς πρὸς τῷ ἑτέρῳ χρόνῳ· ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπιδεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ θλιβῆναι· εἰ καὶ ἀπήλαυσαν ἐν τῷ δεσμωτηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύσεως· ἅπερ πολλαπλασίονα ἀποδώσουσι, ποθοῦντες λυτρωθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλωσίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγοντος, πνεῦμα τοῦ κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.

ΒΑΛΣ. Οὗτος ὁ κανὼν διαλαμβάνει τοὺς μόνον κακοπαθήσαντας ἐν τῇ φυλακῇ καὶ χωρὶς βασάνων παραπεπτωκότας, ἐπιτιμᾶσθαι μετὰ τὸν τριετῆ χρόνον καὶ ἐπὶ ἕτερον ἐνιαυτόν. εἰ τάχα γάρ φησι καὶ ἀπήλαυσαν παρακλήσεως ὡς τινων πιστῶν χορηγέντων αὐτοῖς τὰ πρὸς διοίκησιν· ἀλλὰ καὶ οὗτοι ὀφείλουσι συγγνώμης ἀξιοῦσθαι ὡς ὑπὲρ τῆς πίστεως κακοπαθήσαντες.

ΖΩΝΑΡ. Ἐν δευτέρᾳ τάξει τίθησι τοὺς μόνον φυλακισθέντας, καὶ κακοπαθήσαντας ἐν τῇ φυλακῇ, καὶ χωρὶς βασάνων παραπεπτωκότας· οἷς ἐνιαυτὸν ἔταξαν εἰς ἐπιτίμιον μετὰ τὸν παρελθόντα χρόνον, ἤγουν τὴν τριετίαν ἣν εἴρηκεν ἄνω· διότι καὶ αὐτοί φησιν, ὑπὲρ τοῦ ὀνόματος ἐθλίβησαν τοῦ Χριστοῦ· εἰ καὶ τάχα ἀπήλαυσαν ἐν τῷ δεσμωτηρίῳ παρακλήσεως ἐκ τῶν ἀδελφῶν. ὡς ἔοικε γὰρ οἱ πιστοὶ ὅσοι οὐ συνεσχέθησαν, τοῖς κατειργμένοις ἐχορήγουν τὰ εἰς διοίκησιν, καὶ ἀνέπαυον αὐτούς. ἅπερ πολλαπλασίονα ἀποδώσουσιν, ἀντὶ τοῦ ἀνθ' ὧν ἀπήλαυσαν ἐν τῇ φυλακῇ μετανοοῦντες, θλίψουσιν ἑαυτοὺς καὶ κακώσουσι πολλαπλασίως· εἰ θέλουσι λυτρωθῆναι ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, αἰχμάλωτοι καὶ δοῦλοι γεγονότες αὐτῷ διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ. εἶτα ἐπάγει τὰ προφητικὰ ῥήματα, ἅπερ ἐκ τοῦ Ἠσαΐου εἰσί, λέγων δεῖν μεμνῆσθαι αὐτούς.

ΚΑΝΩΝ γ΄.

Τοῖς δὲ μηδ' ὅλως μηδὲν τι τοιοῦτον πεπονθόσι μηδὲ ἐνδειξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομολήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ὑπὸ δειλίας καὶ φόβου· νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀναγκαῖόν ἐστι καὶ ἁρμόζον τὴν τῆς ἀκάρπου συκῆς παραβολὴν παραθέσθαι, ὡς ὁ κύριος λέγει· συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν, ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω, ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ, κύριε ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω τὰ περὶ αὐτήν, καὶ βάλω κόπρια· κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. ἣν πρὸ ὀφθαλμῶν λαβόντες, ἐνδειξάμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας ἐν τῷ διαστήματι τοῦ τοσούτου χρόνου μᾶλλον ὠφεληθήσονται.

ΒΑΛΣ. Τοὺς μέντοι διὰ φόβον μόνον καὶ δειλίαν αὐτομολήσαντας, εἶτα εἰς μετάνοιαν ἀπιδόντας, διὰ τριετίας ἐπιτιμᾷ ὁ κανών, κατὰ τὴν ἐν εὐαγγελίοις παραβολὴν τῆς συκῆς· ὁ γὰρ κύριος τρία ἔτη ἔφησεν ἔρχομαι πρὸς αὐτὴν ζητῶν

CANON II.

Iis autem qui poſtquam in cuſtodiam traditi ſunt, & in carcere, tanquam in obſidione, afflictiones graveſque fœtores paſſi ſunt; poſtea autem ſine bello tormentorum captivi facti ſunt, nimia virium inopia & quadam cæcitate confracti, Annus ad aliud tempus injunctus ſufficiet: nam ipſi quoque ſe omnino pro nomine Chriſti affligendos dedere: ſi etiam à fratribus in carcere multam conſolationem aſſecuti ſunt. Quæ B *quidem multiplicata reddent; liberari cupientes ab acerbiſſima captivitate diaboli, ejus maximè recordantes qui dicit, Spiritus Domini ſuper me, quam ob cauſam unxit me: ut pauperibus evangelizarem miſit me, & annunciarem captivis liberationem, & cæcis viſus recuperationem, & mitterem fractos in remiſſionem, prædicarem annum Domini acceptabilem, & diem retributionis.*

Bals. Hic Canon ſtatuit ut qui in cuſtodia ſolùm male affecti ſunt, & ſine tormentis lapſi ſunt, poſt triennium alius quoque anni pœna puniantur. Si forte e- C nim, inquit, conſolationem aſſecuti ſunt, utpote aliquibus fidelibus vitæ ſubſidia ſuppeditantibus, ii quoque debent veniam obtinere, ut qui gravia pro fide paſſi ſunt.

Zonar. In ſecundo ordine eos locat, qui tantummodo in vincula conjecti, atque in carcere male affecti ſunt, tum nullis vexati cruciatibus peccaverunt, quibus præter decurſum tempus, triennium videlicet, de quo ſupra dictum eſt, anni quoque præterea unius mulctam irrogari placet. Quoniam & ipſi, inquit, pro Chriſti nomine divexati ſunt; etiamſi forte ſolatii quidpiam in carcere à fra- D tribus conſecuti ſunt. Probabile enim eſt fideles, quicunque nulla cuſtodia detinebantur, in vincula conjectis vitæ ſubſidia miniſtraſſe, iiſque proinde levationis aliquid attuliſſe. Quæ quidem multiplicata reddent, pro iis nimirum, quibus in cuſtodia oblectati ſunt, pœnitentiam agentes vexabunt ſeipſos, ac multis modis afflictabunt; ſi ex eo quòd Chriſtum abnegârunt, à Diaboli captivitate liberari velint, illius captivi, & ſervi facti. Subjicit mox prophetæ verba, quæ ſunt ex Eſaia deprompta; quorum meminiſſe oportere ipſos affirmat.

CANON III.

E *Iis autem qui nihil ejuſmodi paſſi ſunt, nec fidei fructum oſtenderunt, ſed ad vitium ultro transfugerunt, à metu & timiditate proditi; nunc autem veniunt ad pœnitentiam, neceſſe eſt & conveniens infrugiferæ ficus parabolam proponere, ut Dominus dicit; Habebat quis ficum plantatam in ſuo vineto: & venit quærens in ea fructum, & non invenit. Dixit autem vinitori, ecce tres annos, ex quo ego venio quærens fructum in hac ficu, & non invenio, excinde eam: Cur terram inaniter occupat? Ille vero reſpondens dicit illi; Domine* F *dimitte illam hoc quoque anno, donec circa eam fodero, & latamen injecero, ſi quidem fructum fecerit: ſin minus eam in futurum excindes: qua ante oculos accepta, & oſtenſo digno fructu pœnitentiæ, in tanto temporis intervallo magis juvabuntur.*

Bals. Eos qui propter ſolum metum & timiditatem transfugerunt, ad pœnitentiam autem reſpexerunt, triennio punit Canon ſecundum parabolum ficus quæ eſt in Evangeliis. Dominus enim inquit, Jam tribus annis ad hanc venio quærens fructum, & non invenio. Vinitor autem, Dimitte illam, inquit, & hoc anno.

A καρπὸν καὶ οὐχ εὑρίσκω. ὁ δὲ ἀμπελουργός, ἄφες, εἶπεν, αὐτὴν κύριε καὶ τοῦτο τὸ ἔτος.

Zonar. Quicunque vero, inquit, nihil perpeſſi acerbum, ob metum ſolum, ac timiditatem transfugerunt, pro eo quòd ipſi ſponte pravitatem ſunt conſectati; mox animum ad pœnitentiam adjecere, in eos parabola Evangelica ficus quadrabit, quam præ oculis habentes dignum pœnitentiæ laborem æquali tempore exhibentes, juvabuntur, hoc eſt ad quartum uſque annum. Dominus námque, Tres annos, inquit, venio ad ipſam, quærens fructum, nec invenio. Agricola vero, Dimitte, ait, illam Domine & hoc anno.

ΖΩΝΑΡ. Ὅσοι δέ, φησί, μή τι ὑποστάντες ἀλγεινόν, διὰ φόβον μόνον καὶ δειλίαν ηὐτομόλησαν, ἀντὶ τοῦ αὐτοὶ ἑκόντες προσῆλθον τῇ κακίᾳ· εἶτα εἰς μετάνοιαν ἀπεῖδον, τοῖς τοιούτοις ἡ τῆς συκῆς ἁρμόσει παραβολὴ κατὰ τὸ εὐαγγέλιον, ἣν λαβόντες πρὸ ὀφθαλμῶν, κόπον ἄξιον μετανοίας ἐπὶ τοσοῦτον χρόνον δόντες ὠφεληθήσονται, ἤγουν ἐπὶ τετραετίαν. ὁ γὰρ κύριος τρία ἔτη ἔφησεν ἔρχο-
B μαι πρὸς αὐτὴν ζητῶν καρπόν, καὶ οὐχ εὑρίσκω. ὁ δὲ ἀμπελουργός, ἄφες αὐτήν, εἶπεν, κύριε καὶ τοῦτο τὸ ἔτος.

Canon IV.

Iis enim qui ſunt omnino deſperati, & pœnitentiam non agunt, & pellem Aethiopis immutabilem poſſident, & pardi varietates, dicetur, quod alii ficui dictum eſt. Nequaquam ex te fructus fiat in æternum, & ideo ſtatim quoque exareſcit. In iis enim impletur quod ab Eccleſiaſte dictum eſt, quod perverſum eſt non poterit exornari, & defectus numerari non poterit. Niſi enim quòd perverſum eſt priùs rectum fuerit, fieri non poteſt ut id exornetur, & niſi prior defectus expletus fuerit, fieri non poteſt ut is numeretur: unde & in fine eis eveniet quod à propheta Eſaia dicitur: Et videbuntur, inquit, membra eorum qui tranſgreſſi ſunt in me. Vermis enim ipſorum non morietur, & ignis eorum non extinguetur: & erunt in aſpectum omnis carnis. Quandoquidem ut & ab ipſo prædictum eſt: Injuſti autem ſic fluctuabunt, & requieſcere non poterunt. Non eſt gaudere impiis, dicit Deus.

ΚΑΝΩΝ δʹ.

Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις ἀμετανοήτοις, δέρμα τε Αἰθίοπος ἀμετάβλητον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς ἑτέρας συκῆς· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· διὸ καὶ παραχρῆμα ξηραίνεται. ἀποπληροῦται γοῦν ἐπ' αὐτοῖς καὶ τὸ ὑπὸ τοῦ ἐκκλησιαστοῦ εἰρημένον, διεστραμμένον οὐ δύναται
C ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι. εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἐπικοσμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι. ὅθεν καὶ ἐπὶ τέλους συμβήσεται αὐτοῖς, τὸ λεγόμενον ὑπὸ τοῦ προφήτου Ησαΐου· καὶ ὄψονται γάρ φησι, τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. ἐπεὶ καὶ ὡς προλέλεκται ὑπ' αὐτοῦ· οἱ δὲ ἄδικοι οὕτω κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται. οὐκ ἔστι χαίρειν
D τοῖς ἀσεβέσιν, εἶπεν ὁ θεός.

Bals. Quæ priùs quidem dicta ſunt de lapſis, de reſipiſcentibus etiam dicta ſunt. Adverſus eos autem qui nulla pœnitentia ducuntur, alterius ficus execrationem inducit: ad quam Dominus dicit propter infertilitatem; Fructus amplius ex te non fiat.

ΒΑΛΣ. Ἃ μὲν προείρηται περὶ τῶν πεπτωκότων, εἴρηται καὶ περὶ μεταμελομένων. κατὰ δὲ τῶν ἀμετανοήτων τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει, πρὸς ἣν ὁ κύριος ἔφη διὰ τὸ ἄκαρπον, μηκέτι ἐκ σοῦ καρπὸς γένηται.

Zonar. Quæ prius quidem de lapſis dicta ſunt, dicta ſunt etiam de reſipiſcentibus. Contra illos vero qui ex deſperatione, vel depravata opinione pœnitentiam non agunt, ac perpetuo inhærentem ac indelebilem peccati nigrorem geſtant, ut Æthiopes fuſcam pellem, pardúſque varietates, alterius ficus execrationem inducit. Ad quam Dominus ob ſterilitatem, Ne fructus inquit, amplius ex te naſcatur. Implendúmque ait in ipſis illud Eccleſiaſtici, dicentis, quod perverſum eſt non poterit exornari, & defectus numerari non poterit: quibus mox explicatis, Eſaiæ quoque verba ſubjungit.

ΖΩΝΑΡ. Ἃ μὲν προείρηται περὶ τῶν παραπεπτωκότων, εἴρηται καὶ μεταμελομένων. κατὰ δὲ τῶν ἀμετανοήτων
E ἐξ ἀπογνώσεως, ἢ πονηρᾶς γνώμης, καὶ τὸ ἐξ ἁμαρτίας μελάνωμα ἀμετάβλητον καὶ ἀνέκπλυτον ἐχόντων, ὡς οἱ Αἰθίοπες τὸ ζοφερὸν τοῦ δέρματος, καὶ ἡ πάρδαλις τὰ ποικίλματα, τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει. πρὸς ἣν ὁ κύριος ἔφη, διὰ τὸ ἄκαρπον, μηκέτι ἐκ σοῦ καρπὸς γένηται, καὶ πληροῦσθαί φησιν ἐπ' αὐτοῖς τὰ τοῦ ἐκκλησιαστικοῦ λέγοντος, διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι· εἶτα σαφηνίσας τὰ ῥητὰ ταῦτα, προστίθησι καὶ τὰ τοῦ Ησαΐου.

F

ΚΑΝΩΝ

ΚΑΝΩΝ έ.

Τοῖς δὲ καθυποκριναμένοις κατὰ τὸν ἐπιληπτευσάμενον Δαβὶδ, ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίληπτον· καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς ἄρνησιν, ἀλλὰ διαπαίξασι κατὰ πολλὴν στενοχωρίαν, ὡς ἂν παιδία βουλευτικὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ἤτοι ὡς διελθόντες βωμοὺς, ἤτοι ὡς χειρογραφήσαντες, ἤτοι ὡς ἀνθ' ἑαυτῶν βαλόντες ἐθνικοὺς, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων, ὡς ἤκουσα, ἐπεὶ μάλιστα κατὰ πολλὴν εὐλάβειαν διέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρὸς, καὶ τῆς ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων· ἐπεὶ τοίνυν ἔλαθεν αὐτοὺς ἀνοίᾳ τοῦ πράξαντος, ὅμως ἑξάμηνος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς. οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσονται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν, καὶ λέγοντες, παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος. ὅσπερ, ὡς ἴστε, ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ ἑτέρου παιδίου τοῦ προκηρύξαντος πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν, συνελήφθη καὶ αὐτὸς κηρύξαι μετάνοιαν. καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούομεν ἐν πρώτοις κηρυττόντων οὐ μόνον περὶ μετανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν, ἥτις καθὼς μεμαθήκαμεν, ἐντὸς ἡμῶν ἐστὶ, τῷ ἐγγὺς ἡμῶν εἶναι τὸ ῥῆμα ὃ πιστεύομεν ἐν τῷ στόματι ἑαυτῶν καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι Ἰησοῦς Χριστός· πιστεύοντες ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ἅτε δὲ ἀκούοντες, ὅτι καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

ΒΑΛΣ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ καὶ φανερῶς τοῦτο ἐποίησαν, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτοὺς, ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη, φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ ἔμφρονα διαπαίζουσιν ἄφρονας παῖδας· ἠπάτησαν γὰρ τοὺς ἀσεβεῖς, διὰ τὸ δόξαι μὲν θύειν, μὴ θῦσαι δέ· τυχὸν γὰρ ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς ἢ ἀπίστους, καὶ δι' ἐκείνων ἐνόμισαν τεθυκέναι· τοῖς τοιούτοις, φησὶν, ἑξάμηνος χρόνος ἀρκέσῃ εἰς μετάνοιαν. κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι ἢ ἑτέρους ὑπέβαλον, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν μαρτυρησάντων ὑπὲρ τῆς πίστεως. ἀπεικάζει δὲ τούτους παισὶ μὲν ὡς μὴ ἀνδρικῶς ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἔμφροσι δὲ ὡς διὰ μεθόδου τὴν θυσίαν ἐκκλίναντας.

ΖΩΝΑΡ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ τὰ πρὸς ἄρνησιν ἔγραψαν, ἀντὶ τοῦ οὐκ ἀπαρακαλύπτως, οὐ φανερῶς, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτούς· ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε. διέπαιξαν δὲ, φησὶ, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ, ἔμφρονα, φρόνιμα, καὶ συνετῶς δηλαδὴ βουλευόμενα, διαπαίζουσιν ἐν ἄφροσι παιδίοις· ἔμφροσι δὲ ἀπεικάζει τοὺς ἀπατήσαντας τοὺς ἀσεβεῖς, καὶ δόξαντας μὲν θύειν, μὴ θύσαντας δέ· ἔμφρονας μὲν ὡς τὴν θυσίαν πως ἐκκλίνοντας· παιδίοις δὲ, ὡς μὴ τέλειον καὶ ἀνδρῶδες ἐνδεξαμένους φρόνημα, καὶ γενναίως ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἀλλ' ὅμως συνθεμένους θῦσαι, ἢ καὶ εἴ τινες ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς ἤγουν ἀπίστους καὶ ἐκείνων θυσάντων, ἐνομίσθησαν αὐτοὶ τεθυκέναι. τοῖς τοιού-

A

Canon V.

Iis autem qui ſimularunt ſicut & David, qui ſe epilepticum fingebat, ne moreretur, quamvis revera epilepticus non eſſet, & non nudè negationem inſcripſerunt, ſed in multis anguſtiis, tanquam pueri conſilio & prudentia præditi inter pueros inſipientes, inimicorum inſidias ludificati ſunt, vel ut qui altaria pervaſerint, vel tanquam qui chirographum dederint, vel ut qui pro ſe ethnicos immiſerint, etiamſi nonnulli eorum qui confeſſi ſunt, ut audivi, aliquibus eorum ignoverunt, quoniam maxima B *cautione vitarunt, ne ipſi ſuis manibus ignem facerent, & dæmonas impuros ſuffirent: Licet verò, ex agentis ignorantiâ eos latuit, ſemeſtris tamen pœnitentiæ pœnâ illis imponetur: ſic enim ipſi quoque magis juvabuntur, Prophetæ dictum meditantes, & dicentes: Puellus genitus eſt nobis, filius & datus eſt nobis, cujus principatus eſt in humero ſuo, & vocatur nomen ejus, Magni conſilii Angelus. Qui, ut ſcitis, in ſexto menſe conceptionis, cùm alius infans prædicaſſet, ante adventum ejus, pœnitentiam in remiſſionem peccatorum, conceptus eſt & ipſe ad prædicandam pœnitentiam. Etenim utroſque audimus inprimis prædicantes non ſolum de pœnitentia,* C *ſed & de regno cælorum: quod quidem, ut didicimus, intra nos eſt, quod prope nos ſit verbum quod credimus in ore noſtro, & corde noſtro, quod Jeſus eſt Chriſtus: credentes in corde noſtro, quòd Deus ipſum ſuſcitavit ex mortuis: ut qui audiant quòd corde quidem creditur ad juſtitiam, ore autem confeſſio fit ad ſalutem.*

Bals. Si qui autem ſimularunt ſe ad aras quidem accedere, vel ſcribere quòd fidem negant, non nude autem & apertè hoc fecerunt, ſed arte aliqua eos qui vim af- D ferebant, illuſerunt, ſicut David qui ſe epilepſia correptum ſimulavit cum fugeret Saulem, & eſſet apud alienigenas: & ita mortem evaſit: Illuſerunt autem inimicorum inſidias, ut puelli conſilio prudentiáque præditi pueros inſipientes eludunt: Impios enim fefellerunt, quòd ſacrificare quidem viſi ſunt, non tamen ſacrificarunt: Forte enim pro ſe ethnicos vel infideles ſubmiſerunt, & per illos ſacrificare ipſos exiſtimarunt, Eis, inquit, ſemeſtre tempus ſufficiet ad pœnitentiam. Etſi enim non ſacrificarunt, quia tamen ſacrificare polliciti ſunt, vel alios ſubmiſerunt, etiamſi nonnullis eorum ignoverunt quidam qui pro fide teſtimonium dedere. E Eos autem pueris quidem confert, ut qui non viriliter idololatris reſtiterunt; prudentibus verò, ut qui artificio ſacrificia declinarunt.

Zonar. Si qui vero ad aras quidem ſe accedere ſimularunt, aut ſcribere quod fidem negant, verùm quæ ad abnegationem ſpectant non nude ſcripſerunt, hoc eſt non manifeſte, non aperte; ſed artificio quodam eos qui vim inferebant ludificati ſunt: ut David, qui dum Saulem fugeret, ac ad alienigenas deveniſſet, ſe epilepticum finxit, eoque pacto mortem evitavit. Ludificati porro F ſunt, inquit, inimicorum inſidias, veluti pueri prudentes, conſilio nimirum, ac prudentia præditi, quique ſcilicet ſolerter conſilium capientes inſipientes pueros illudunt. Prudentibus autem comparat eos à quibus decepti ſunt impii, quique cum non ſacrificaverint, ſacrificare nihilominus viſi ſunt; prudentes quidem, ut qui ſacrificium eouſque evitaverint: pueros autem, quod perfectum ac virilem ſenſum minime induerint, nec generoſe idolorum cultoribus repugnarint, verum ſe ſacrificaturos ſunt pacti, etiamſi quoſdam pro ſe ſubmiſerint, ethnicos, hoc eſt, infideles, iiſque ſacrificantibus, ipſi ſacrificaſſe exiſtimati ſunt. Ejuſmodi, inquit, hominibus ſemeſtre tempus ad pœnitentiam ſufficiet. Nam etſi minime immolarunt, tamen quia ſe immolaturos ſunt pacti, vel quod alios ſubmiſere, ipſique immolaſſe ſunt viſi, pœnitentia indigere judicati ſunt: etſi quibuſdam ex ipſis nonnulli confeſſorum ignovere. Eorum nempe quidam qui ſe fidei teſtes exhibuerunt, ac pro fide ſunt paſſi, iis qui artificio quodam, ut dictum eſt, non ſacrificarunt, ignovere, ac illos cum fidelibus ad communionem admiſere, quod ne dæmonibus immolarent ſtudioſe vitaverunt. Porro hujus ſemeſtris termini occaſione, Annunciationis per Gabrielem factæ meminit, ſexto menſe conceptionis præcurſoris, quo conceptus eſt Dominus. Tum Apoſtolica verba ſubjungit.

CANON VI.

Ii autem qui ſervos Chriſtianos pro ſe ſubmiſerunt, ſervi quidem, ut qui ipſi ſub manu eſſent, & quodammodo ipſi quoque in dominorum cuſtodia eſſent, miniſque ab ipſis territi, & propter eorum metum eò compulſi, & lapſi, anno opera pœnitentiæ oſtendent, & deinceps diſcentes, ut ſervi Chriſti, facere Chriſti voluntatem, & eum timere: audientes maximè, quod unuſquiſque, ſi quid boni fecerit, hoc feret à domino, ſive ſervus ſive liber ſit.

BALS. Servos qui dominorum juſſu ac minis ſacrificarunt, anno punit hic Pater: ut qui enim domino paruerint, ignoſcit, & grave ſupplicium non infligit: ut qui autem ſint magis Chriſti ſervi, & eum debent magis metuere, mediocrem pœnam imponit. Unuſquiſq; enim, inquit, ſecundum magnum Paulum, quod fecerit bonum à domino recipiet, ſive ſervus ſive liber.

ZONAR. Nonnulli ſervos ſuos Chriſtianos, pro ſeipſis, etiam invitos ad immolandum ſubmiſere. Hoſce igitur ſervos, quamvis dominorum juſſione coacti, non autem ſua voluntate, ſacrificaverint, annum in pœnitentia degere hic Pater jubet: meminiſſeque ſe cum ſint fideles, eſſe Chriſti ſervos, eumque magis timere oportere: ac unumquemque ut magnus ait Apoſtolus, ſive ſervum, ſive liberum, quæ fecerit reportaturum.

CANON VII.

Liberi autem tribus annis in pœnitentia examinabuntur, tum quòd diſſimulaverint, tum quòd effecerint ut conſervi ſacrificarent, ut qui Apoſtolo non obedierint, qui vult dominos eadem facere quæ ſervi, remittentes minas. Scientes, inquit, quòd noſter quoque & ipſorum dominus eſt in cælis, & non eſt apud eum perſonarum acceptio. Si unum autem omnes habemus dominum, apud quem non eſt perſonarum acceptio, quoniam, & omnia, & in omnibus eſt Chriſtus, in Barbaris, & Scythis, ſervis & liberis, debent conſiderare quod fecerunt, volentes ſuam ipſorum animam ſervare; qui conſervos noſtros traxerunt ad idololatriam, qui poterant & ipſi effugere, ſi jus & æqualitatem ipſis præbuiſſent, ut rurſus dicit Apoſtolus.

BALS. Liberis autem ſeu dominis ſervorum ſacrificare coactorum, triennii pœnam injungit, quod & ſacrificare ſimularunt, & omnino annuere viſi ſunt, & quòd conſervos ſacrificare coëgerunt, & quòd Apoſtolo non paruerunt jubenti ſervis minas remittere, utpote cùm ipſi quoque domini Dei ſervi ſint, & famulorum conſervi: atque ipſi quidem feſtinarunt ſuam ſervare animam, conſervos autem ſuos ad idololatriam compulerunt, qui poterant effugere.

A τοῖς, φησίν, ἑξάμηνος καιρὸς ἐξαρκέσει εἰς μετάνοιαν. κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι, ἢ ὅτι ἑτέρους ὑπέβαλον, καὶ ἔδοξαν αὐτοὶ θῦσαι, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων. τινὲς γὰρ τῶν μαρτυρησάντων καὶ παθόντων ὑπὲρ τῆς πίστεως, συνεχώρησαν τοῖς διὰ μεθόδων ὡς εἴρηται μὴ θύσασι, καὶ ἐδέξαντο αὐτοὺς μετὰ τῶν πιστῶν ὅτι ἐξέφυγον πολυτρόπως τὸ θυσιάσαι τοῖς δαίμοσι. διὰ δὲ τὴν ἑξάμηνον προθεσμίαν, ἐμνήσθη τοῦ διὰ Γαβριὴλ μηνύματος, τοῦ ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ προδρόμου, ἐν ᾧ συνελήφθη ὁ κύριος. ἐπιφέρει δὲ καὶ ῥήματα ἀποστολικά.

B

ΚΑΝΩΝ ϛʹ.

Τοῖς δὲ δούλους Χριστιανοὺς ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι ὡς ἂν ὑποχείριοι ὄντες καὶ τρόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες ὑπ' αὐτῶν, καὶ διὰ τὸν φόβον αὐτῶν εἰς τοῦτο ἐληλυθότες καὶ ὀλισθήσαντες, ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι, μανθάνοντες τοῦ λοιποῦ ὡς δοῦλοι Χριστοῦ, ποιεῖν τὸ θέλημα τοῦ Χριστοῦ καὶ φοβεῖσθαι αὐτόν· ἀκούοντες μάλιστα ὅτι C ἕκαστος ἐάν τι ποιήσῃ ἀγαθόν, τοῦτο κομίσηται παρὰ κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος ἐστί.

ΒΑΛΣ. Τοὺς κατὰ κέλευσιν καὶ ἀπειλὴν τῶν δεσποτῶν θύσαντας δούλους ἐπὶ ἐνιαυτὸν ἐπιτιμᾷ ὁ πατὴρ οὗτος· ὡς μὲν γὰρ πεισθεῖσι τοῖς δεσπόταις, συγγνωμονεῖ, καὶ βαρεῖαν οὐκ ἐπάγει κόλασιν· ὡς δὲ δούλοις Χριστοῦ μᾶλλον οὖσι, κἀκεῖνον πλέον φοβεῖσθαι ὀφείλουσι, μετρίως ἐπιτιμᾷ. ἕκαστος γάρ φησι κατὰ τὸν μέγαν Παῦλον, ὃ ἐὰν ποιήσῃ ἀγαθόν, κομιεῖται τοῦτο παρὰ κυρίου εἴτε δοῦλος εἴτε ἐλεύθερος.

ΖΩΝΑΡ. Τινὲς δούλους οἰκείους Χριστιανοὺς ἀνθ' ἑαυτῶν D καὶ ἀκόντων ὑπέβαλλον θύειν. τοὺς μὲν οὖν δούλους, εἰ καὶ κελεύσει τῶν δεσποτῶν ἔθυσαν βιασθέντες, ἀλλ' οὐκ ἐξ οἰκείου θελήματος, ἐνιαυτὸν ἐν μετανοίᾳ διάγειν ὁ πατὴρ οὗτος διορίζεται· καὶ μαθεῖν ὅτι πιστοὶ ὄντες Χριστοῦ δοῦλοί εἰσι, κἀκεῖνον μᾶλλον φοβεῖσθαι ὀφείλουσι· καὶ ὅτι ἕκαστος κατὰ τὸν μέγαν ἀπόστολον, ὃ ἐὰν ποιήσῃ κομιεῖται, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

ΚΑΝΩΝ ζʹ.

Οἱ δὲ ἐλεύθεροι, ἐν τρισὶν ἔτεσιν ἐξετασθήσονται ἐν μετανοίᾳ, καὶ ὡς ὑποκρινόμενοι, καὶ ὡς καταναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι, ὅτι δὴ παρακούσαντες τοῦ ἀποστόλου τὰ αὐτὰ θέ- E λοντος ποιεῖν τοὺς δεσπότας τοῖς δούλοις ἀνιέντας τὴν ἀπειλήν, εἰδότας, φησίν, ὅτι καὶ ἡμῶν καὶ αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία παρ' αὐτῷ οὐκ ἔστιν. εἰ δὲ ἕνα κύριον ἔχομεν οἱ πάντες ἀπροσωπόληπτον, ἐπεὶ καὶ πάντα καὶ ἐν πᾶσιν ἐστὶν ὁ Χριστός, ἔν τε βαρβάροις καὶ Σκύθαις, δούλοις καὶ ἐλευθέροις, σκοπεῖν ὀφείλουσιν ὃ κατειργάσαντο θελήσαντες τὴν ψυχὴν ἑαυτῶν σῶσαι, οἱ τοὺς συνδούλους ἡμῶν ἑλκύσαντες ἐπὶ εἰδωλολατρείαν, δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ τὴν ἰσότητα ἦσαν αὐτοῖς παρασχόντες, ὡς πάλιν ὁ ἀπόστολος λέγει.

F

ΒΑΛΣ. Τοῖς δὲ ἐλευθέροις ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ, ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν κατανεῦσαι, καὶ ὅτι τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ ἀποστόλου κελεύοντος ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν, ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων τοῦ κυρίου, καὶ τοῖς οἰκέταις συνδούλων· καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατήπειγον, δυναμένους ἐκφυγεῖν.

ΖΩΝΑΡ.

A **ΖΩΝΑΡ.** Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων ἐπὶ τριετίαν ἐπιτιμᾷ· ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν ὑποκύψαι, καὶ ὅτι καὶ τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ ἀποστόλου κελεύοντος, ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν· ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων κυρίου καὶ τοῖς οἰκέταις συνδούλων. καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν· τοὺς δὲ συνδούλους, ἐπὶ εἰδωλολατρείαν κατήπειξαν δυναμένους ἐκφυγεῖν.

ΚΑΝΩΝ η'.

Τοῖς δὲ παραδεδομένοις καὶ ἐκπεπτωκόσι τοῖς τε αὐτοῖς προσεληλυθόσιν εἰς τὸν ἀγῶνα καὶ ὁμολογοῦσιν εἶναι Χριστιανοῖς, B ἐμβεβλημένοις τε ἐν τῇ φυλακῇ μετὰ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει καρδίας συνεπισχύειν καὶ κοινωνεῖν ἐν πᾶσιν, ἔν τε ταῖς προσευχαῖς καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ τοῦ αἵματος, καὶ τῇ παρακλήσει τοῦ λόγου· ἵνα εὐτονώτερον ἀγωνισάμενοι καταξιωθῶσι καὶ αὐτοὶ τοῦ βραβείου τῆς ἄνω κλήσεως. καὶ γὰρ ἑπτάκις, φησί, πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται. ὅπερ εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες πεποιήκασι, τελειοτάτην καὶ ὁλοκάρδιον μετάνοιαν ἐνεδείξαντο.

C **ΒΑΛΣ.** Τινὲς προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυράννοις, ἢ καὶ ἑκουσίως αὐτοῖς ἑαυτοὺς παρέδωκαν, ἡττηθέντες δὲ ὑπὸ τῶν κολάσεων, ἐκπεπτώκασι τῆς μαρτυρίας, εἶτα μεταμεληθέντες καὶ ἐπιγνόντες τὸ ἀγαθὸν ὡμολόγησαν εἶναι Χριστιανοί, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι. τοὺς τοιούτους οὖν εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι καὶ ἐπιρωννύειν πρὸς τὴν ὀρθόδοξον πίστιν, καὶ κοινωνεῖν αὐτοῖς ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ λόγου παρακαλεῖν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ καταξιωθῶσι τῆς ἐπουρανίου βασιλείας. ἵνα δὲ μὴ διότι πεπτώκασι, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἀπὸ τῆς γραφῆς, τό, ἑπτάκις, ἀντὶ τοῦ πολλάκις, πεσεῖται ὁ D δίκαιος, καὶ ἀναστήσεται. τοῦτο δέ, φησίν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τό, ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτούς, ἐνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν. διαφορὰ γοῦν ἐστι τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων, καὶ τῶν ἐν τῷ πρώτῳ κανόνι περιεχομένων, αὕτη, ὅτι ἐκεῖ μέν, οἱ διὰ τὰς βασάνους ἐκπεπτωκότες οὐ μετεστράφησαν ἐνώπιον τῶν τυράννων εἰς τὴν ὁμολογίαν τῆς πίστεως· ἐνταῦθα δέ, οἱ ἐκπεπτωκότες διὰ βασάνους, ἐξ ἀγαθοῦ μεταμέλου ἐπὶ τῶν τυράννων τὸν κύριον ὡμολόγησαν. καὶ διὰ τοῦτο οὐδὲ λογίζονται ἐκπεσεῖν.

E **ΖΩΝΑΡ.** Εἴ τινες δέ, φησί, προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυραννοῦσιν, ἢ αὐτοὶ ἑαυτοὺς παρέδωκαν, καὶ ἐκπεπτώκασι τῆς μαρτυρίας, ἡττηθέντες τῶν κολάσεων, καὶ μὴ φέροντες τὰς ἐν ταῖς φυλακαῖς κακουχίας καὶ τὰς βασάνους· Εἶτα ἀνεπάλαισαν τὴν πτῶσιν, καὶ ὡμολόγησαν εἶναι Χριστιανοί, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι· τοὺς τοιούτους εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι καὶ ἐπισχύειν ἀντὶ τοῦ ἐπιρωννύειν, ἐνδυναμοῦν καὶ παραθαρρύνειν πρὸς τὴν ὁμολογίαν· καὶ κοινωνεῖν αὐτοὺς ἐν πᾶσιν ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ λόγου παρακαλεῖν· ἤτοι διεγείρειν αὐτοὺς εἰς τὴν μαρτυρίαν, ἵνα πρὸς τὸν F ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξιωθῶσιν. ἵνα δὲ μὴ διότι πεπτώκασι θύσαντες νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἐκ τῆς γραφῆς. τό, ἑπτάκις, ἀντὶ τοῦ πολλάκις, πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται. τοῦτο δέ, φησίν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτούς, ἀνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν.

ZONAR. Liberis autem, hoc est Dominis servorum, qui ſacrificare ſunt coacti, triennii pœnam injungit: tum quia ſacrificare ſe ſimularunt, ac ſuccumbere omnino viſi ſunt; tum quia conſervos coëgerunt ut immolarent; nec obtemperarunt Apoſtolo jubenti ſervis minas remittere, cum ipſi quoque Domini ſint Dei ſervi, & famulorum conſervi. Ac ipſi quidem feſtinarunt ſuam ſervare animam, conſervos autem, qui effugere poterant, ad idololatriam compulerunt.

CANON VIII.

Iis autem qui proditi ſunt, & exciderunt, qui & ipſi ad certamen acceſſerunt, ſe eſſe Christianos confitentes, & in cuſtodiam cum tormentis conjecti ſunt: æquum eſt in exultatione cordis vires ſimul addere, & eis in omnibus communicare, & in orationibus, & in participatione corporis, & ſanguinis, & ſermonis adhortatione: ut qui conſtantiùs decertaverint, ipſi quoque ſupernæ vocationis brabio dignentur. Etenim ſepties, inquit, cadet juſtus & reſurget; quod quidem ſi omnes quoque lapſi feciſſent perfectiſſimam, & toto corde ſuſceptam pœnitentiam oſtendiſſent.

BALS. Quidam tyrannis delati & proditi fuerant, vel etiam ipſi ſeipſos illis ſponte tradiderant; victi autem tormentis teſtimonio exciderunt: deinde cùm pœnitentia ducti eſſent, & quod bonum eſt, agnoviſſent, ſe eſſe Christianos confeſſi ſunt; adeo ut in cuſtodiam conjecti, tormenta quoque ſuſtinuerint. Eos ergo æquum cenſet ſanctus lætanti animo ſuſcipere, & ad fidem orthodoxam confirmare, & eis communicare, & in orationibus & ſacramentorum participatione, verbiſque adhortari ut ſint ad certamen conſtantiores, & cæleſti regno digni habeantur. Ne autem eo quòd lapſi ſunt, minimè ſuſcipiendi videantur, teſtimonium quoque ex ſcriptura inducit, quod eſt, Septies, id eſt ſæpe, cadet juſtus & reſurget. Hoc autem, ſi etiam, inquit, omnes, qui à confeſſione exciderunt, feciſſent, ut ſcilicet lapſi reluctarentur, & ſe coram tyrannis Chriſtianos faterentur, perfectiſſimam pœnitentiam oſtendiſſent. Differunt ergo quæ in hoc Canone comprehenſa ſunt, ab iis quæ in primo Canone continentur, quòd illic quidem qui propter tormenta lapſi ſunt, ad confitendam coram tyrannis fidem nequaquam converſi ſunt: hîc autem qui propter tormenta lapſi ſunt, ex bona pœnitentia ſub tyrannis dominum confeſſi ſunt, propterea neque cecidiſſe judicabuntur.

ZONAR. Si qui verò, inquit, ad tyrannos delati, ac proditi ſunt, vel ipſi ſeſe ipſis dediderunt, excideruntque à teſtimonio vi tormentorum ſuperati, nec ærumnas quibus in carcere affligebantur, cruciatúſque perferentes; mox revocato certamine ſe Chriſtianos eſſe confeſſi ſunt, ex quo & in vincula conjecti, & cruciatibus ſunt affecti: ejuſmodi homines cum exultatione excipi Sanctus hic rationi conſentaneum judicat: tum roborare ipſos, hoc eſt, vires, animos, fiduciámque addere quò profiterentur fidem; ac eiſdem in omnibus communicare, tum in precationibus, tum in perceptione ſacramentorum; verbiſque adhortari, hoc eſt, ipſos ad exhibendum fidei teſtimonium excitare, ut conſtantiores ſint in certamine, ac cœleſti regno digni habeantur. Verum ne ex eo quod lapſi ſunt ſacrificantes, nullo modo admittendi ab aliquibus exiſtimentur, teſtimonium quoque illud ex ſacris litteris profert, Septies, hoc eſt ſæpius cadet juſtus, ac reſurget. Hoc vero, inquit, ſi alii omnes qui à confeſſione exciderunt feciſſent, ut poſt lapſum certamen repeterent, ac ſeipſos coram tyrannis Chriſtianos profiterentur, abſolutam pœnitentiam indicaviſſent.

A

CANON IX.

Iis quoque qui tanquam ex ſomno ipſi ad certamen parturiens, & trahere differens, proſiliunt, ſibi autem pugnæ maritimæ, & multæ fluxuum mundationis tentationem attrahunt, vel potiùs fratribus peccatorum carbonem accendunt, ipſis quoque communicandum eſt, ut qui in nomine Chriſti ad id veniant: etſi verba ejus non animadvertant, qui docet orare ne ingrediamur in tentationem, & eum rurſus in oratione patri dicere, Et ne nos inducas in tentationem, ſed libera nos à malo. B *Fortè autem etiam ignorant patremfamilias & dominum noſtrum, ſæpe ab iis qui illi inſidiari volebant, ſeceſſiſſe: & quod quandoque etiam libere apud eos non incedebant, & quòd etiam quando paſſionis tempus appropinquavit, non ſeipſum tradidit, ſed expectavit donec ad eum venirent cum gladiis & fuſtibus. Dicit ergo eis: Tanquam ad latronem exiiſtis cum gladiis & fuſtibus ad me comprehendendum. Qui etiam tradiderunt ipſum, inquit, Pilato. Ad ejus quoque ſimilitudinem iis accidit, qui ejus ſcopum ſibi proponentes incedunt, divinorum ejus verborum recordati, quibus nos confirmans, de perſecutionibus dicit,* C *Attendite vobis ipſis: tradent enim vos in concilia, & in ſuis ſynagogis vos flagellabunt. Tradent autem, dixit, non, vos ipſos tradetis: & ad principes & reges ducemini propter nomen meum, non, vos ipſos ducetis. Nam nos quoque vult à loco in locum tranſilire, dum ſunt qui nos perſequuntur propter nomen ejus. Sicut rurſus eum dicentem audimus, Et quando vos ab hac civitate perſecuti fuerint, fugite in aliam. Non vult enim nos ad diaboli ſtipatores ſatellitéſque confugere, ne ipſis quoque multifariæ mortis cauſa ſimus, ut qui ipſos, & aſperiores eſſe cogamus,* D *& opera mortifera peragere: ſed expectare, & nobis cavere, vigilaréque & orare, ne intremus in tentationem. Ita Stephanus primus, ejus veſtigiis inſiſtens, martyrium paſſus, Hieroſolymis ab iniquis correptus, & in concilium ductus, lapidibus obrutus, in nomine Chriſti glorificatus eſt, rogans, & dicens, Domine, ne ſtatuas illis hoc peccatum. Ita Jacobus ſecundus ab Herode comprehenſus, gladio capite truncatus eſt. Ita Petrus Apoſtolorum primus, ſæpe comprehenſus, & cuſtodiæ traditus, ignominiaque affectus, poſtremò Romæ crucifixus eſt. Similiter &* E *inclytus Paulus, ſæpe traditus, & ad mortem uſque in periculum adductus, multa mala perpeſſus, & in multis perſecutionibus afflictionibúſque gloriatus, in eadem urbe ipſe quoque gladio capite multatus eſt, qui in quibus gloriatus eſt, ipſe in iis vitam finiit; & quòd Damaſci in ſporta noctu per murum demiſſus eſt, & effugit ejus manus qui eum conabatur opprimere. Erat enim eis inprimis propoſitum evangelizare, & verbum Dei docere: in quibus fratres confirmantes ut manerent in fide, hoc quoque dicebant, quòd per multas afflictionis oportet in regnum Dei ingredi.* F *Quærebant enim non quod ſibi erat utile, ſed quod multis, ut ſervarentur. Et multa ipſis liceret ad hac facientia dicere, ut verbo Dei convenienter facerent, Niſi, ut dicit Apoſtolus, nos tempus narrantes deficeret.*

BALS. Qui è ſomno modò exurgunt, & maximè ſi crudo profundóque ſomno premebantur, non habent conſtantem rationem, ſed perturbatam, & inſtabilem: Talibus aſſimilat ſacroſanctus hic martyr eos qui

ΚΑΝΩΝ θʹ.

Καὶ τοῖς δὲ ὡς ἂν ἐξ ὕπνου ἑαυτοῖς παραπηδῶσιν εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκύσαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλαττομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακα ἁμαρτωλῶν, καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὲ ἐν ὀνόματι Χριστοῦ προσερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ προσέχουσιν αὐτοῦ τοῖς λόγοις διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ πάλιν ἐν εὐχῇ λέγειν τῷ πατρὶ, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς πολλάκις γινομένας ἀναχωρήσεις τοῦ οἰκοδεσπότου καὶ διδασκάλου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι ἔσθ' ὅτε οὔτε παῤῥησίᾳ περιεπάτει δι' αὐτοὺς, καὶ ὅτι καὶ ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προσήγγισεν, οὐχ ἑαυτὸν παρέδωκεν ἀλλ' ἐδέξατο ἕως ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων. λέγει οὖν πρὸς αὐτούς· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. οἳ καὶ παρέδωκαν αὐτὸν, φησὶ, Πιλάτῳ. καθ' ὁμοιότητα γοῦν αὐτοῦ καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες, πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει, προσέχετε ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. παραδώσουσι δὲ εἶπεν, ἀλλ' οὐχ ἑαυτοὺς παραδώσετε· καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου, ἀλλ' οὐχ ἑαυτοὺς ἄξετε. ἐπεὶ καὶ μεταπηδᾷν ἡμᾶς βούλεται ἀπὸ τόπου εἰς τόπον διωκομένους διὰ τὸ ὄνομα αὐτοῦ. ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγοντος, καὶ ὅθεν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν· οὐ γὰρ θέλει αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπιστὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανάτων αἴτιοι αὐτοῖς γινώμεθα, ὡς ἂν καταναγκάζοντες αὐτοὺς μᾶλλον κατατραχύνεσθαι καὶ τελεσιουργεῖν τὰ θανατηφόρα ἔργα· ἀλλ' ἐκδέχεσθαι καὶ προσέχειν ἑαυτοῖς, γρηγορεῖν τε καὶ προσεύχεσθαι ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν· οὕτω Στέφανος πρῶτος κατ' ἴχνος αὐτοῦ μαρτύριον ἀναδεξάμενος, ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθοβολούμενος ἐν ὀνόματι Χριστοῦ ἐδοξάσθη παρακαλῶν καὶ λέγων, κύριε μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν. οὕτως Ἰάκωβος δεύτερος συλληφθεὶς ὑπὸ Ἡρώδου, μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη. οὕτως ὁ πρόκριτος τῶν ἀποστόλων Πέτρος πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη. καὶ ὁ περιβόητος Παῦλος πλεονάκις παραδοθεὶς καὶ ἕως θανάτου κινδυνεύσας πολλά τε ἀθλήσας καὶ καυχησάμενος ἐν πολλοῖς διωγμοῖς καὶ θλίψεσιν, ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν ἀπετμήθη, ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε· καὶ ὅτι ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τείχους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος αὐτὸν πιάσαι. τὸ γὰρ προκείμενον ἦν αὐτοῖς ἐν πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν τὸν λόγον τοῦ θεοῦ, ἐν οἷς ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς ἐμμένειν ἐν τῇ πίστει, καὶ τοῦτο ἔλεγον ὅτι διὰ πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμφέρον ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. καὶ ἦν πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον πράσσειν, εἰ μὴ, ὡς λέγει ὁ ἀπόστολος, ἐπιλίποι δ' ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος.

ΒΑΛΣ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμοΰπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον· τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος, τοὺς παραπηδῶντας εἰς τὸν ἀγῶνα, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπεριςκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ μήπω εἰς φανερὸν ἐκραγῆναι, ἀλλὰ μελετώμενον καὶ μέλλοντα ἤτοι βραδύνοντα ἑλκῦσαι τοὺς ἀγωνιζομένους, οἵτινες ἑαυτοῖς πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν. μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτω ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι διὰ τὸν Χριστὸν ὑπεισῆλθον τὸν ἀγῶνα, κἂν ἠγνόησαν τὴν ἐκείνου διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκεν, ἀλλὰ παρεδόθη. καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστὰς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας. ἐπάγει δὲ καὶ διάφορα παραδείγματα γραφικὰ ὁ κανών.

ΖΩΝΑΡ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὁμοῦπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον, καὶ ἀκατάστατον. τούτοις παρείκασιν ὁ ἱερομάρτυς οὗτος, τοὺς παραπηδῶντας εἰς τοὺς ἀγῶνας, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπεριςκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα, καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ μήπω εἰς φανερὸν ἐκραγέντα, ἀλλὰ μελετώμενον καὶ μέλλοντα ἤτοι βραδύνοντα ἑλκῦσαι τοὺς ἀγωνιζομένους, οἵτινες πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν, μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτως ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι ἐν ὀνόματι τοῦ Χριστοῦ προέρχονται εἰς τοῦτο· θαῤῥοῦντες δηλαδὴ τῷ Χριστῷ, ἢ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ αἱρούμενοι τὸν ἀγῶνα. εἰ τάχα καὶ οὐ κατὰ τὴν ἐκείνου ποιοῦσι διδασκαλίαν, διδάσκοντος αἰτεῖν, μὴ πειρασθῆναι, ἢ καὶ ἀγνοοῦσιν ὅτι ὁ κύριος ὑπεχώρει ἀπὸ τῶν ἐπιβουλευόντων αὐτῷ, καὶ ἔστιν ὅτε καὶ οὐ φανερῶς περιεπάτει, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκε παθεῖν, ἀλλὰ παρεδόθη, καὶ ἐν τῷ διώκεσθαι τοὺς μαθητὰς αὐτοῦ, διετάξατο φεύγειν εἰς πόλιν ἐκ πόλεως, καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστὰς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων. ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας, καὶ τοὺς ἀποστόλους παράγει εἰς ὑπόδειγμα, τὸν Στέφανον, τὸν Ἰάκωβον, καὶ τοὺς κορυφαιοτάτους Πέτρον καὶ Παῦλον.

ΚΑΝΩΝ ι΄.

Ὅθεν οὐκ ἔστιν εὔλογον οὐδὲ τοὺς ἀπὸ κλήρου αὐτομολήσαντας ἐκπεπτωκότας τε καὶ ἀναπαλαίσαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅτε δὴ καταλείψαντας τὸ ποίμνιον κυρίου καὶ μωμησαμένους ἑαυτούς· ὅπερ οὐδεὶς τῶν ἀποστόλων πεποίηκε. καὶ γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξανύσας, πολλά τε ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος ὁ μακάριος ἀπόστολος Παῦλος, ἐγνωκώς τε ὅτι κάλλιόν ἐστιν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, ἐπιφέρει καὶ λέγει· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ἡμᾶς. σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν, ἀναγκαιότερον τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ, παραμένειν τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν. ὃς καὶ τὸν διδάσκοντα θέλει εἶναι ἐν τῇ διδασκαλίᾳ τύπον γινόμενον τῶν πιστῶν. ὅθεν οἱ ἐν τῇ εἱρκτῇ ἐπιδικαζόμενοι τῆς λειτουργίας ἐκπεπτωκότες, καὶ ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι. πῶς γὰρ αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει. ὅτε δὲ ἔπταισαν ὡς ἂν περπερευσάμενοι καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι δύνανται λειτουργεῖν. διὸ φροντιζέτωσαν μᾶλλον ἐν ταπεινοφροσύνῃ πῶς ἐκ-

A non ordinatè, ſed temerariè & inconſiderate ſe in certamen intrudunt; parturiens, & trahere differens, pro eo quod nondum in apertum erupit, ſed meditatur & differt, ſeu cunctatur decertantes trahere, qui ſibimet tentationem alliciunt, ſive in ſeipſos tentationem trahunt. Maximè autem, & aliis fidelibus peccatorum carbones accendunt, à tyrannis ſcilicet punitiones. Sed etſi eos, qui ſic faciunt, reprehendit, jubet tamen fideles eis nihilo ſecius communicare, quia propter Chriſtum certamen ſubierunt, quamvis illius doctrinam ignorarunt, qui docet petere ne tentemur, & quòd ne ſeipſum quidem tradidit, ſed traditus eſt, & non eſſe B ad tortores confugiendum, ne pluribus ſe cædibus contaminandi ipſis cauſæ ſint; ut qui eos incitent ad ſumenda de piis ſupplicia. Infert autem & diverſa ſacræ ſcripturæ exempla Canon.

Zonar. Qui à ſomno recentes exurgunt, præſertim ſi graviore ſomno opprimebantur, ratione haudquaquam ſedata, ſed perturbata, inconſtantique utuntur. Ejuſmodi hominibus ſanctus hic martyr ſimiles eos aſſerit, qui in certamen protuunt, non ordinatè ſed audaci ac temerario impetu ſeipſos intrudunt in certamen; parturiens, ac trahere C differens, pro eo quod nondum in apertum erupit, ſed meditatur, & differt, ſive cunctatur decertantes trahere, qui quidem tentationem accerſunt, hoc eſt ad ſeipſos tentationem pelliciunt, quin potius aliis fidelibus accendunt carbones peccatorum, tormenta nimirum quæ à tyrannis inferuntur. Sed quamvis accuſet eos qui hoc modo ſe gerunt, ipſis tamen à fidelibus communicandum eſſe decernit, quod in nomine Chriſti ad hoc prodeunt: fidentes videlicet Chriſto, aut in ejus nomine ſibi certamen depoſcentes, etiamſi forte illius præceptioni minus obtemperent, docentis petere ne tentemur, vel etiam ignorent Dominum ſeceſſiſſe ab inſidiatoribus ſuis, D ſolitúmque aliquando non palam deambulare, nec ſeipſum prodidiſſe ut pateretur, verum ab aliis proditum, præcepiſſéque diſcipulis, ut quo tempore illos inimici inſectarentur, fugerent è civitate in civitatem, nec ſeipſos ultro tortoribus traderent, ne pluribus ſe cædibus contaminandi cauſam ipſis præberent, eos velut irritantes ad ſupplicia piis hominibus irroganda. Affértque Apoſtolorum exemplum, Stephani, Jacobi, ac ſupremorum ordinis ſui procerum Petri, & Pauli.

Canon X.

E *Unde non eſt æquum, ut vel Clerici, qui ſua ſponte aufugerunt, lapſi autem, & reluctati ſunt, ampliùs in ſacro miniſterio maneant, ut qui Domini gregem reliquerint, & ſeipſos vituperaverint: quod nullis fecit ex Apoſtolis. Etenim cùm multas perſecutiones obiiſſet, & multa certaminum præmia oſtendiſſet beatus Apoſtolus Paulus, ſciens eſſe longè melius diſſolvi, & eſſe cum Chriſto, infert, & dicit; In carne autem manere, magis neceſſarium propter vos. Conſiderans enim non ſuam, ſed multorum utilitatem, ut ſerventur, magis quàm ſuam quietem, neceſſarium exiſti-* F *mavit, apud fratres manere, & eorum curam gerere. Qui etiam vult cum qui docet, eſſe in doctrina exemplum fidelibus. Unde qui in carcere contendentes, à miniſterio exciderunt, & reluctati ſunt, ſenſus planè ſunt expertes. Quomodo enim petunt quod reliquerunt, cùm in ea tempeſtate eſſe poſſent fratribus ſuis utiles? Quamdiu itaque firmi ſtabiléſque manſerunt ejus quod præter rationem fecerant, eis venia dabatur. Quando autem lapſi ſunt, ut qui perperam ſe geſſerunt & ſeipſos vituperaverunt, non poſſunt amplius ſacra miniſteria*

A *miniſteria obire. Et ideo magis curam gerant, quomodo in humilitate vitam peragant à vana gloria ceſſantes. Eis enim ſufficit communio, quæ diligenter & accuratè fit duabus de cauſis, tum ne videantur moleſtia affici, hinc diſſolutionem vi arripientes: tum ne lapſi aliqui cauſentur ſe propter pœnæ occaſionem fuiſſe remiſſos: Qui quidem pluſquam omnes probrum & ignominiam habebunt: ſicut ille qui fundamentum poſuit, & non potuit perficere: incipient enim, inquit, omnes qui prætergredientur, eum illudere, dicentes: Hic homo poſuit fundamentum, & non potuit perficere.*

B

Bals. De iis qui ſua ſponte ad martyrii certamen confugiunt, locutus pater, nunc de Clericis quoque, qui ſunt ejuſmodi, loquitur: & dicit quòd ſi Clericus ad certamen ſua ſponte profugit, deinde cùm non poſſet ferre tormenta, excidit, & cùm rurſus ad ſe rediiſſet, lapſum ſuum revocavit, & ſe coram tyrannis Chriſtianum confeſſus eſt, is non ampliùs ſacra miniſteria obibit, eo quòd gregem Domini reliquerit, & eo quòd cum ſua quidem ſponte confugerit, & tormenta ſufferre non potuerit, ſibi ipſi labem attulit. Ut autem populi doctrinam negligerent, & ſuam utilitatem præferrent, nec Apoſtoli fecerunt. C Magnus enim Paulus, poſtquam multa tormenta ſubiiſſet, intelligens multo eſſe melius vitam relinquere, maluit vivere & torqueri propter ſalutem, & doctrinam populi. Senſu ergo omnino carent, qui petunt ſacrum miniſterium, à quo ſua ſponte exciderunt. Quomodo enim petunt quod reliquerunt, cùm poſſint in hac tempeſtate perſecutionis ſcilicet, fratribus eſſe utiles? Si itaque non cecidiſſent, inquit, ejus quod præter rationem feciſſent, eis daretur venia, ſpontaneæ ſcilicet fugæ, vel in fratribus docendis, & confirmandis ſocordiæ. Sin autem propter ſuam inſolentiam & arrogantiam lapſi ſunt (tale enim eſt ſe temere tormentis objicere audere, nec poſſe tolerare, & D propterea de eis triumphus actus eſt) non poſſunt ampliùs ſacra miniſteria obire. Quamobrem magis curent quomodo confeſſionem in humilitate peragant, ceſſantes à vanâ gloriâ ſacrum miniſterium petendi: ſufficit enim eis cum fidelibus communio, quæ fit propter duo, diligenti cautione rectóque conſilio. Si enim dixerimus nos eos non habere pro communicantibus, & eos moleſtia afficiemus tanquam ſententiam ferentes, eos, vi, ſeu multatos, hinc diſſolvi, ſeu mori, & alios quoque qui fortaſſe lapſi ſunt, & volunt ad quod bonum eſt redire, remiſſos ad hoc & negligentes efficiemus, E cauſantes ſe fidelibus non eſſe communicaturos, etiamſi poſt lapſum fidem confeſſi fuerint: qui ſi non convertantur, plus probri & ignominiæ quàm omnes ſuſceperint, quemadmodum & qui fecit fundamentum, domum autem non perfecit. Ei enim ſunt ſimiles, qui ad tormenta quidem propter Chriſtum confugerunt, & veluti pulchro jacto fundamento, id quod honeſtum eſt, perficere propter lapſum non potuerunt. Nota ergo, quòd ne confeſſio quidem propter Chriſtum reſtituit eum qui ſemel à Clero abalienatus eſt propter lapſum.

Zonar. De iis qui ſe ultro martyrii certamini objecerunt locutus Pater, nunc de Clericis qui idem fecerunt F orationem inſtituit: aitque Clericum ſi quis ſe ultro dedidit, mox vim tormentorum minime perferens lapſus eſt, ac rurſum ſeipſum colligens denuo ſe ad certamen erexit, ac ſe Chriſtianum coram tyrannis eſt profeſſus, non eſſe ejuſmodi hominem ad ſacra miniſteria amplius admittendum. Cauſamque ſubjungit, quia nimirum Domini gregem deſeruit, ac ex eo quod ſponte ſe objecit hoſtibus, neque conſtanter tormenta pertulit, ignominiam ſibiipſi conciliavit. Ut autem populi inſtitutionem contemnerent, ſuámq; utilitatem cæteris om-

τελέσουσι παυσάμενοι τῆς κενοδοξίας. ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία μετ' ἐπιστάσεως καὶ ἀκριβείας πρὸς ἀμφότερον γινομένης, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μή τινες ἐκπεσόντες, προφασίζωνται ὡς διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμίας ὑπεκλελυμένοι· οἵ τινες πλέον ἁπάντων αἰσχύνην καὶ ὄνειδος ἕξουσι, κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον, καὶ μὴ ἰσχύσαντα ἐκτελέσαι· ἄρξονται γάρ φησιν πάντες οἱ παραπορευόμενοι ἐμπαίζειν αὐτὸν λέγοντες, οὗτος ὁ ἄνθρωπος θεμέλιον ἔθηκε καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.

ΒΑΛΣ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυρίου ἀγῶνα διαλεχθεὶς ὁ πατὴρ, νῦν καὶ περὶ κληρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν ὡς εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκε, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος, ἀνεπάλαισε τὴν οἰκείαν πτῶσιν, καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται, διότι καταλέλοιπε τὸ ποίμνιον τοῦ κυρίου, καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ καρτερῆσαι τὰς βασάνους, μῶμον προσήνεγκεν ἑαυτῷ. τὸ δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ καὶ προτιμήσασθαι τὸ ἑαυτῷ συμφέρον, οὐδὲ οἱ ἀπόστολοι πεποιήκασιν. ὁ γὰρ μέγας Παῦλος μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ. ἀναίσθητοι γοῦν εἰσὶν οἱ αἰτοῦντες τὴν λειτουργίαν ἧς ἐθελονταὶ ἐκπεπτώκασι. πῶς γὰρ αἰτοῦσιν ὃ κατέλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγμοῦ δηλαδή; εἰ μὲν οὖν οὐ πεπτώκασι, φησὶν, εἶχον ἂν συγγνώμην ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει τῆς αὐτομολήσεως δηλαδὴ, ἢ τῆς περὶ τὸ διδάσκειν καὶ στηρίζειν τοὺς ἀδελφοὺς, ῥαθυμίας· εἰ δὲ πεπτώκασιν ἐκ προπετείας ἤτοι ἀλαζονείας (τοιοῦτον γάρ ἐστι τὸ κατατολμῆσαι προπετῶς τῶν βασάνων καὶ μὴ ἐμμεῖναι, καὶ διὰ τοῦτο ἐθριαμβεύθησαν) οὐκέτι δύνανται λειτουργεῖν. διὸ φροντιζέτωσαν μᾶλλον πῶς ἐκτελέσουσι τὴν ὁμολογίαν ἐν ταπεινοφροσύνῃ παυσάμενοι τῆς ἀπὸ τοῦ ζητεῖν τὴν λειτουργίαν κενοδοξίας. ἀρκεῖ γὰρ αὐτοῖς ἡ μετὰ τῶν πιστῶν κοινωνία διὰ δύο γινομένη τινὰ μετ' ἐπιστασίας ἀκριβοῦς καὶ οἰκονομίας. εἰ γὰρ εἴπωμεν μὴ ἔχειν αὐτοὺς κοινωνικοὺς, τούτους τε λυπήσομεν, ὡς ἀποφαινόμενοι μετὰ βίας ἤγουν ἐπιτετιμημένους, ἐντεῦθεν ἀναλῦσαι αὐτοὺς, ἤγουν ἀποθανεῖν, καὶ τοὺς ἄλλους δὲ ἐκπεσόντας ἴσως καὶ βουλομένους ὑποστρέψαι εἰς τὸ ἀγαθὸν, ἐκλελυμένους πρὸς τοῦτο καὶ ἀμελεῖς ποιήσομεν, προφασιζομένους τὸ μὴ μέλλειν αὐτοὺς εἶναι κοινωνικοὺς τοῖς πιστοῖς, κἂν ὁμολογήσωσι τὴν πίστιν μετὰ τὴν ἔκπτωσιν· οἵ τινες μὴ ἐπιστρέφοντες πλέον ἁπάντων ἵνα ὀνειδισθῶσι καὶ αἰσχυνθῶσι· καθὰ τὸν ποιήσαντα μὲν θεμέλιον, μὴ πληρώσαντα δὲ οἴκημα. τούτῳ γὰρ ἐοίκασι οἱ πρὸς βασάνους αὐτομολήσαντες μὲν διὰ Χριστὸν καὶ οἱονεὶ καλὸν θέμενοι θεμέλιον, μὴ δυνηθέντες δὲ τελειῶσαι τὸ καλὸν διὰ τὴν ἔκπτωσιν. σημείωσαι οὖν ὅτι οὐδὲ ἡ διὰ Χριστὸν ὁμολογία ἀποκαθιστᾷ τὸν ἅπαξ ἐκ τοῦ κλήρου ἀποξενωθέντα διὰ τὴν ἔκπτωσιν.

ΖΩΝΑΡ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυρίου ἀγῶνα, διαλεχθεὶς ὁ πατὴρ, νῦν καὶ περὶ κληρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν ὡς εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκεν, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος ἀνεπάλαισε τὴν οἰκείαν πτῶσιν καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται. καὶ τὴν αἰτίαν ἐπάγει. ἥδε ἐστὶν, ὅτι κατέλιπε τὸ ποίμνιον τοῦ κυρίου, καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ καρτερῆσαι τὰς βασάνους, μῶμον προσήνεγκεν ἑαυτῷ. τὸ δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ, καὶ προτιμήσασθαι τὸ ἑαυτοῖς συμ-

φέρον

φέρειν, οὐδὲ οἱ ἀπόστολοι πεποιήκασιν. ὁ γὰρ μέγας Παῦλος μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ. οὓς καὶ πάνυ ἀναισθήτους ἀποφαίνεται· αἰτοῦντας τὴν λειτουργίαν ἧς ἐθελονταὶ ἐκπεπτώκασι. πῶς γάρ, φησίν, αἰτοῦσιν ὃ κατέλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγμοῦ δηλαδή; ἕως μὲν οὖν ἄπταιστοι ἦσαν συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει, τῇ αὐτομολήσει δηλαδή, ἢ τῇ περὶ τὸ διδάσκειν τοὺς ἀδελφοὺς ῥαθυμίᾳ. ὅτε δὲ ἔπταισαν ὡς ἂν περπερευσάμενοι οὐκέτι δύνανται λειτουργεῖν. εἰ μὲν οὖν οὐ πεπτώκασι, φησίν, εἶχον ἂν συγγνώμην ἐπὶ τῇ παραλόγως αὐτῶν πράξει· παράλογον πρᾶξιν, οὐ τὸ αὐτομολῆσαι μόνον καλῶν, ἀλλὰ μᾶλλον τὸ καταλιπεῖν τὸ ποίμνιον τοῦ κυρίου, καὶ μὴ παραμένειν αὐτῷ καὶ στηρίζειν τοὺς ἀδελφοὺς κλονουμένους ἐν τῷ καιρῷ τοῦ διωγμοῦ. εἰ δὲ πεπτώκασιν ἐκ περπερείας, περπερείαν δ' ἐνταῦθα τὴν οἴησιν, καὶ τὴν ἀλαζονείαν καλεῖ· ὅτι ἐξ ἀλαζονείας, ἐθάῤῥησαν ἑαυτοῖς, καὶ τὸν ἀγῶνα ὑπέλυσαν καὶ ἑαυτοὺς ἐμωμήσαντο, ἀντὶ τοῦ διὰ τὴν πτῶσιν μῶμον ἐπένεγκαν ἑαυτοῖς, οὐκέτι δύνανται λειτουργεῖν. διὸ φροντιζέτωσαν λέγει μᾶλλον ἐν ταπεινοφροσύνῃ, πῶς ἐκτελέσουσι τὴν ὁμολογίαν δηλαδή, παυσάμενοι τῆς κενοδοξίας. τὸ γὰρ λειτουργίαν ζητεῖν, διὰ κενοδοξίαν φησὶ γίνεται. ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία ἤγουν τὸ συγκοινωνεῖν αὐτοῖς τοὺς πιστούς, ἤτοι συνεύχεσθαι, ἢ καὶ τῶν θείων μυστηρίων μετάληψις. καὶ ταῦτα μετ' ἐπιστασίας, καὶ ἀκριβείας γινόμενα, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι, μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μὴ λυπούμενοι, φησίν, ἀπέλθωσιν ἐντεῦθεν ἀναλύοντες ἀπὸ τοῦ σώματος δηλονότι ἐξερχόμενοι μετὰ βίας τῆς ἐκ τῶν κολάσεων καὶ τῆς ἐν ταῖς εἰρκταῖς κακοπαθείας· καὶ ἵνα μή τινες πρόφασιν ἔχωσι τοῦ ἐκλυθῆναι καὶ χαυνωθῆναι πρὸς τὸν ἀγῶνα τῆς ὁμολογίας, καὶ διὰ τοῦτο ἐκπεσεῖν, τὴν ἐπιτίμησιν. οἵτινες μᾶλλον αἰσχυνθήσονται, κατὰ τὸ ἐν εὐαγγελίοις εἰρημένον· ὃς θεμέλιον οὐκ ἴσχυσεν ἐκτελέσαι.

A nibus anteferrent, ne Apoſtoli quidem fecerunt. Magnus námque Paulus, cum multos pertuliſſet cruciatus, ſentirétque utilius eſſe ſibi vitam relinquere, ut populi ſaluti, ac inſtitutioni conſuleret, vitam ſibi, ac tormenta potiora duxit. Proinde & ſenſus omnino expertes eos demonſtrat, qui ſacrum ſibi miniſterium depoſcunt, à quo volentes ipſimet exciderunt. Nam quo modo, inquit, id poſtulant, quod reliquere, cum ejuſmodi tempore, excitatæ videlicet perſecutionis, magno fratribus adjumento eſſe poſſent? Quamdiu igitur à lapſu immunes fuiſſent, veniam obtinuiſſent actionis temere ſuſceptæ, ſe nimirum adverſariis ultro offerendi, B vel in erudiendis fratribus ſocordiæ. Cùm vero ceciderint, quippe qui perperam egerint, ſacra miniſteria obire amplius haud permittuntur. Si ergo, inquit, minime cecidiſſent, veniam impetraſſent ob ipſorum à ratione alienam actionem, actionem à ratione alienam vocans, non ſolum quod ſe hoſtibus dediderint, ſed potius quod deſeruerint gregem domini, nec ipſum cuſtodierint, ac fratres qui perſecutionis tempore vexabantur confirmarint. Si vero ceciderunt ex eo quod ſe perperam geſſerint, ſuperbiam hic, & arrogantiam, τὴν περπερείαν, vocans, quod ex arrogantia fiduciam in ſeipſis poſuêre, diſſolveréque certamen, ac ſeipſos C vituperarunt, hoc eſt ſibiipſis maculam ob lapſum inuſſerunt, in ſacro miniſterio verſari ipſis amplius haud licet. Propterea ſtudeant, inquit, potius in humilitate confeſſionem peragere, ceſſantes videlicet ab inani gloria. Quòd enim ſacro miniſterio adſcribi poſtulent, à ſtudio ambitionis proficiſcitur. Sufficit námque ipſis communio, ut cum ipſis nimirum fideles communicent, ac una precentur, vel ſacrorum myſteriorum perceptio. Atque hæc quidem certo conſilio, ſeduláque adminiſtratione fiunt, tum ne videantur moleſtia affici, hinc diſſolutionem vitæ arripientes, ne ſcilicet moleſtia, inquit, affecti, decedant ſolventes, à corpore videlicet D abſcedentes, ob vim tormentorum, afflictationúmque quas in carcere patiuntur; ac ne qui excuſationem præferant mulctæ hujus, ob quam in confeſſionis certamine diſſolutos, ac ignavos ſe geſſerunt, atque ideo ceciderunt. Qui potius rubore ſuffundentur, juxta illud quod in Evangelio dicitur; Qui fundamentum non potuit perficere.

ΕΠΕΞΗΓΗΣΙΣ ΦΕΡΟΜΕΝΗ ΚΑΤΑ τοῦ Μουζάλωνος ἅπασα.

Ἐπιστησάτωσαν δὲ τὸν νοῦν τοῖς παρὰ τοῦ μεγάλου τοῦδε πατρός, καὶ ἱερομάρτυρος εἰρημένοις ἐνταῦθα, οἱ λέγοντες δύνασθαι τοὺς ἀρχιερεῖς παραιτεῖσθαι τὰς ἐκκλησίας αὐτῶν, καὶ παρακρατεῖν τὴν ἱερωσύνην. εἰ γὰρ οἱ πρὸς ὁμολογίας ἀγῶνα ἑκόντες ὁρμήσαντες κληρικοί, καὶ κολασθέντες καὶ μὴ ἐπιμείναντες, ἀλλὰ ἐνδόντες, εἶτα ἀναπαλαίσαντες μόλις ἀξιοῦνται συγγνώμης, εἰς δὲ τὴν λειτουργίαν ἀναβαίνειν, κατὰ τὸν θεῖον τοῦτον πατέρα οὐδὲν ἕτερον ἐγκαλούμενοι, ἢ τὸ καταλιπεῖν τοὺς ἀδελφούς, δυνάμενοι αὐτοῖς ἐν καιρῷ περιστάσεως εὔχρηστοι εἶναι εἰς τὸ στηρίζειν αὐτούς, καὶ ταῦτα μαρτυρίας ἀξιωθέντες, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ αὐτῶν περιφέροντες, πῶς ἀρχιερεὺς καὶ ποιμήν, ὃς ὀφείλει τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καταλιπὼν τὴν ἐμπιστευθεῖσαν ποίμνην αὐτῷ, καὶ παραιτησάμενος τὴν αὐτῆς φροντίδα καὶ ἐπιμέλειαν, καὶ ὅσον τὸ κατ' αὐτὸν τοῖς λύκοις ταύτην ἐκδεδωκώς, ἀντέχεσθαι τῆς λειτουργίας δίκαιος λογισθήσεται, καὶ οὐ μᾶλλον βαρυτάτων ἐπιτιμίων κριθήσεται ἄξιος, διὰ τὴν τοῦ ἀνατεθέντος αὐτῷ λαοῦ ἐγκατάλειψιν; ἀλλὰ καὶ γέρας ὑπὲρ ταύτης αἰτήσει, ἢ μᾶλλον αὐτὸς ἑαυτῷ παρέξει· τὸ μὲν κόπον προξενοῦν αὐτῷ παραιτούμενος, τὴν διδασκαλίαν φημὶ καὶ τὴν τῶν σφαλλομένων διόρθωσιν, τὸ δὲ δόξαν καὶ τιμὴν περιποιοῦν παρα-

DIGRESSIO QUÆ TOTA ADVERSUS MUZALONEM INTENDITUR.

Adjiciant porro animum iis quæ ab hoc magno Patre, E ac ſancto martyre hoc loco allata ſunt, qui dicunt Epiſcopis licere Eccleſias ſuas dimittere, ac ſacerdotii dignitatem retinere. Etenim ſi clericis qui ſponte ſe certamini confeſſionis objecerant, ac tormentis affecti minus conſtanter obſtiterant, ſed poſtquam ceſſerant, in certamen redeuntibus vix conceditur venia, quod ſacrum miniſterium obire diſtuliſſent, nec ex hujus divini Patris ſententia quidquam aliud ipſis objicitur, quàm quod fratres deſeruiſſent, cum adverſis ac turbulentis temporibus poſſent ipſis in fide confirmandis eſſe utiles, idque cum & digni habiti eſſent qui teſtimonium perhiberent fidei, & ſtigmata Chriſti in ſua carne cirrcumferrent, F quonam modo ſummus ſacerdos, & paſtor, qui pro ovibus debet animam ponere, deſerto grege ſibi commiſſo, ejúſque cura, & adminiſtratione repudiata, & quantum quidem in ipſo eſt eo lupis prodito, dignus putabitur qui ſacri miniſterii dignitatem retineat, ac non graviſſimis potius pœnis quod ſibi commendatum populum deſeruerit, mulctandus eſſe judicabitur? Quin potius ob eam rem præmium depoſcet, imo ſibi ipſemet ſuppeditabit; quod quidem laborem ipſi affert recuſans, docendi videlicet munus, vitiáque corrigendi, quod vero gloriam ac decus conciliat amplectens, ſibique adſciſcens, mordicúſque id retinens, neque vel tantillum remittens. Si enim ubi de Clericis eſt ſermo, actio rationi abſona nominata ſit deſerere populum, atque ad certamen pietatis cauſa tranſmigrare, quanto id magis à ratione alienum in Epiſcopo judicabitur, qui populum ſuum deſerit, non ut ad certamen tendat, ſed ut quieti ſe, ac remiſſioni tradat, curáſque pro ſalute animarum deponat, ac effugiat. Decimus ſextus quoque Canon ſeptimæ œcumenicæ Synodi, ſtultitiæ graviter accuſat eos qui ab Epiſcopo, repudiato Epiſcopatu, ſacri miniſterii dignitatem retineri poſſe decernunt. Si namque ex Canonis allati ſententia, Epiſcopus qui ultra ſemeſtre tempus à ſuo Epiſcopatu abfuerit, niſi una aliqua ex iis quæ ibi numerantur cauſa interceſſerit, & Epiſcopatu, & ſummi ſacerdotii dignitate excidit, ac utroque privatur, quonam modo qui repudiavit Epiſcopatum, creditúmque ſibi gregem adhuc paſcere omnino abnuit, ejúſque curam inertis vitæ ſtudio contemnit, adhuc in Epiſcoporum numero habebitur? Etenim ſi qui minus delinquit, ut ultra ſemeſtre tempus ſubjectum ſibi populum paſtoris cura & adminiſtratione deſtitutum relinquat, Epiſcopatus, & ſacræ dignitatis privationem incurrit, qui in eo quod majus, & multis partibus gravius eſt, peccat, ut multitudinem quam ipſi curandam & cuſtodiendam Sancti Spiritus gratia commiſit, omnino deſerat; merito plane punietur vehementius, graviorémque pœnam perſolvet, perditi, quod in ipſo eſt, gregis, cujus ipſe paſtor à primario illo, ac ſupremo ſacerdote, & Paſtore creatus eſt. Qui vero ipſi præmium inſuper, ac detrectati muneris honorarium, ſacerdotii dignitatem decernunt, & illum, & ſeipſos, mea quidem ſententia Dei judicio obnoxios conſtituent.

A κατέχων, καὶ οἰκειούμενος καὶ τούτου ἀπρὶξ ἐχόμενος, καὶ μηδὲν μεθιστάμενος. εἰ γὰρ ἐπὶ κληρικῶν παράλογος ὠνομάσθη πρᾶξις, τὸ καταλιπεῖν τὸν λαὸν καὶ πρὸς τὸν ὑπὲρ εὐσεβείας αὐτομολῆσαι ἀγῶνα, πόσῳ πλέον παραλογώτερον ἂν κριθείη ἐπὶ Ἐπισκόπου καταλιπόντος τὸν οἰκεῖον λαόν, καὶ οὐ πρὸς ἀγῶνα χωροῦντος, πρὸς ῥαστώνην δὲ καὶ ἀνάπαυσιν καὶ φροντίδων ὑπὲρ ὠφελείας ψυχῶν ἀπόθεσιν καὶ ἀπόδρασιν. καὶ ὁ ις΄. δὲ κανὼν τῆς ἑβδόμης οἰκουμενικῆς συνόδου, πολλὴν ἀβελτηρίαν κατηγορεῖ τῶν ψηφιζομένων δύνασθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπὰς παραιτεῖσθαι, τὴν δὲ ἱερωσύνην περικρατεῖν. εἰ γὰρ κατὰ τὸν εἰρημένον κανόνα ὁ Ἐπίσκο- B πος ὑπὲρ τὸ ἑξάμηνον τῆς οἰκείας ἀποδημήσας Ἐπισκοπῆς [ἂν μὴ] μιᾶς τῶν ἀπηριθμημένων ἐν αὐτῷ αἰτιῶν καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀρχιερωσύνης ἐκπίπτει καὶ ἀμφοῖν ἠλλοτρίωται, πῶς ὁ παραιτησάμενος τὴν ἐπισκοπὴν καὶ ἀπαγορεύσας μηκέτι ποιμαίνειν τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, καὶ τῆς τούτου φροντίδος διὰ βίου καταφρονήσας εἴη ἂν ἀρχιερεύς; εἰ γὰρ ὁ τὸ ἧττον ἁμαρτάνων, τὸ ἐπὶ πλέον ἑξαμηνιαίου καιροῦ καταλιπεῖν τὸν ὑπ' αὐτὸν λαὸν ἀποίμαντόν τε, καὶ ἀτημέλητον ἐκπίπτει καὶ τῆς ἐπισκοπῆς, καὶ τῆς ἱερωσύνης ἀφίσταται, ὁ δὲ μᾶλλον καὶ τὸ πολλαπλάσιον πλημμελῶν, τὸ δι' ὅλου καταλιπεῖν τὰ πλήθη ἅπερ αὐτῷ ἐπισκοπεῖν τε καὶ ὁρᾶν, ἡ τοῦ θείου πνεύμα- C τος χάρις ἀνέθετο· μᾶλλον ἂν εἴη δίκαιος σφοδρότερον κολασθήσεσθαι, καὶ μείζονα τιμωρίαν ὑφέξειν, τῆς ὅσον ἐπ' ἐκείνῳ ἀπωλείας ποιμνίου οὗ προεχειρίσθη ποιμὴν παρὰ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ ἀρχιποιμένος. οἱ δὲ καὶ γέρας αὐτῷ καὶ ἀμοιβὴν τῆς παραιτήσεως ἐπιψηφιζόμενοι τὴν ἱερωσύνην, οἶμαι καὶ ἑαυτοὺς κἀκεῖνον ὑπευθύνους ποιήσουσι τῷ κρίματι τοῦ Θεοῦ.

CANON XI.

Qui enim primùm in perſecutionis fervore proſilierunt judicium circumſtantes, & ſanctos martyres, qui ad brabium ſupernæ vocationis feſtinabant, aſpicientes, honeſta æmulatione incitati, ſe ipſos ad hoc tradiderunt, magna libertate utentes, maximè videntes eos qui ſubtrahebantur, labi, propter quos interiùs excitati, & quodam veluti ſono impulſi ad debellandum ſe efferentem, & adverſarium, ad id contendebant, ne apud ſe prudens eſſe videretur, ob ea in quibus ejus calliditate inferiores eſſe viſi ſunt, etiamſi ſeipſum vinci ab iis, qui ſcuticarum flagellorúmque tormenta, & gladii aciem, & ignis uſtulationem, & aquarum immerſiones conſtanter tulerunt, eum latuit: Iis quoque qui, ut ex fide preces & orationes fiant, perſequuntur, vel pro iis qui in cuſtodia puniti ſunt, & à fame & ſiti traditi ſunt, vel pro iis qui extra cuſtodiam ſcuticis & flagellis in judicio torti ſunt, poſtea autem à carnis imbecillitate victi fuêre, æquum eſt annuere. Cum iis enim qui lugent, & mœrent, pro iis qui in certamine victi ſunt à magnis maligni diaboli viribus, ſive pro parentibus, vel fratribus, vel liberis, unà dolere, & triſtitia affici neminem quicquam penitus lædit. Scimus enim etiam propter aliorum fidem, quoſdam eſſe Dei bonitatem aſſecutos, & in peccatorum remiſſione, & corporis ſanitate, & mortuorum reſurrectione. Memores itaque multorum laborum, & miſeriarum, quas pro Chriſti nomine ſuſtinuerunt, cùm ipſi etiam pœnitentiam egerint, & quod à ſe factum eſt per proditionem in corporis languore & mortificatione defleverint, & ſe præterea teſtentur, in vita ſua fuiſſe à civitate alienos, ſimul oremus, & poſtulemus pro eorum reconciliatione cum aliis quæ decet per eum qui eſt nobis advocatus apud patrem, ſe noſtris peccatis propitium exhibentem. Et ſi quis inquit, peccaverit, habe-

ΚΑΝΩΝ ια΄.

Οἱ γὰρ πρῶτοι παραπηδήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, D προσεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους μάρτυρας σπεύδοντας ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι ἐπεδίδουν ἑαυτοὺς εἰς τοῦτο πολλῇ τῇ παρρησίᾳ χρώμενοι, βλέποντες μάλιστα τοὺς ὑποσυρομένους καὶ ἐκπίπτοντας, δι' οὓς ὑποθερμαινόμενοι ἔσωθεν καὶ ἐνηχέμενοι καταπολεμῆσαι τὸν ὑπεραιρόμενον καὶ ἀντικείμενον, ἔσπευδον εἰς τοῦτο, ἵνα μὴ καὶ δοκῇ παρ' ἑαυτῷ φρόνιμος εἶναι ἐφ' οἷς κατὰ πανουργίαν ἔδοξεν ἡττᾶν, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων ταῖς τῶν ξυστήρων καὶ μαστίγων βασάνους, τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς καταφλόξεις τοῦ πυρὸς, καὶ τὰς τῶν E ὑδάτων καταποντώσεις· καὶ τοῖς κατὰ πίστιν ὑπεξουσιοῦσιν εὐχὰς καὶ δεήσεις γίνεσθαι ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατατιμωρηθέντων καὶ προδιδομένων ὑπὸ λιμοῦ καὶ δίψης, ἤτοι ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἄξιόν ἐστιν ἐπινεῦσαι. συμπάσχειν γὰρ καὶ συναλγεῖν τοῖς ὀδυρομένοις καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων ἢ ἀδελφῶν ἢ τέκνων, οὐδένα οὐδὲν καταβλάπτει. ἴσμεν γὰρ καὶ δι' ἑτέρων πίστιν ἀπολαύσαντάς τινας τῆς τοῦ θεοῦ F ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν καὶ ὑγείᾳ σώματος, καὶ ἀναστάσει νεκρῶν. μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων ὧν προϋπήνεγκαν ἐν ὀνόματι τοῦ Χριστοῦ, καὶ τῶν ταλανισμῶν, οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ προδοσίαν ἐν ἀτονίᾳ καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μαρτυρουμένων ἀπολιτεύτων γινομένων ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων διὰ τοῦ γινομένου ὑπὲρ ἡμῶν παρακλήτου πρὸς τὸν πατέρα ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν· καὶ ἐάν τις γάρ, φησιν, ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

ΒΑΛΣ. Εἰπὼν ἀνωτέρω ὁ ἅγιος ὅτι οἱ αὐτομολήσαντες καὶ ἐκπεσόντες μέν, μὴ μεταμεληθέντες δέ, καὶ τὴν ἔκπτωσιν ἀνακαλεσάμενοι, ἐπὶ πλέον αἰσχύνην ἕξουσιν, ὡς μὴ ἐπὶ τῷ θεμελίῳ καὶ ὄροφον τεκτηνάμενοι, ἤτοι μὴ τελειώσαντες τὸ καλόν· νῦν καὶ κατασκευὴν τούτου τε καὶ τῶν λοιπῶν ἐπάγει, λέγων, οἱ γὰρ ἐν τῷ βράσματι ἤγουν ἐν τῇ ἀκμῇ τοῦ διωγμοῦ ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανῶν στεφάνους λαβεῖν κατὰ ζῆλον θεῖον, ἐπεδίδουν ἑαυτοὺς εἰς τὸ μαρτύριον μετὰ παρρησίας πολλῆς, καὶ μάλιστα ὅτι ἔβλεπον τινὰς ὑποσυρομένους, ἀντὶ τοῦ κλεπτομένους καὶ ἀπατωμένους ὑπὸ τοῦ διαβόλου, καὶ ἐκπίπτοντας ἤτοι ἀρνουμένους τὴν εὐσέβειαν· ὧν χάριν ὑποθερμαινόμενοι ἔσωθεν ἤτοι τὴν καρδίαν πυρούμενοι, ὡς καὶ ἀκούοντες καταπολεμῆσαι ἤτοι νικῆσαι διὰ τούτου τὸν ἀλαζόνα καὶ ἀντικείμενον διάβολον, ἐσπούδασαν ὑποδῦναι τὸ μαρτύριον, ἵνα μὴ καυχήσηται ὁ διάβολος καὶ δόξῃ ἑαυτῷ φρόνιμος εἶναι ὡς νικήσας κατὰ πανουργίαν τοὺς αὐτομολήσαντας. εἰ καὶ ἐλάνθανε μᾶλλον νικᾶσθαι ὑπὸ τῶν ἀθλητῶν τῶν καρτερησάντων τὰς βασάνους. τοῖς γοῦν πιστοῖς ἄξιόν ἐστιν εὐχομένοις ὑπὲρ αὐτῶν τῶν τιμωρηθέντων καὶ ἡττηθέντων, ἐπινεύειν, ἤτοι συντρέχειν, ὅ, τι καὶ δέδοκται, καὶ κατά τι οὐ βλάπτει, συμπάσχειν καὶ λυπεῖσθαι μετὰ τῶν γονέων ἢ τῶν ἄλλως προσῳκειωμένων ὑπὲρ τῶν μαρτυρησάντων καὶ ἐκπεπτωκότων ἀπὸ μηχανῆς τοῦ διαβόλου. γινώσκομεν γὰρ ὡς πολλοὶ ἀπήλαυσαν τοῦ ἐλέους καὶ τῆς ἀγαθότητος τοῦ θεοῦ διὰ εὐχῆς ἑτέρων. διά τοι τοῦτο αὐτοῖς τε δοθῆναι ἄφεσιν παρὰ τοῦ θεοῦ ἐξαιτησόμεθα, καὶ τοῖς ἄλλοις τοῖς ἐκπεπτωκόσι, καὶ μετὰ ταῦτα τὴν πλάνην ἀνακαλεσαμένοις καὶ ὁμολογήσασι τὴν εὐσέβειαν, συγκοινωνήσομεν, μεμνημένοι τῶν περὶ τῆς ἐκπτώσεως ἀγώνων αὐτῶν, ὧν ὑπήνεγκαν διὰ τὸν θεόν, ἀλλὰ μὴν καὶ τῆς μετὰ ταῦτα ἀγαθοῦ μεταμελείας τούτων, καὶ ὅτι μεμαρτύρηται ἀπολιτεύτους λογίζεσθαι ἑαυτοὺς διὰ ἁμάρτημα· καὶ οὐ μόνον συγκοινωνήσομεν αὐτοῖς, ἀλλὰ καὶ συνευξόμεθα ὑπὲρ ἱλασμοῦ αὐτῶν, μετὰ τῶν ἄλλων τῶν καθηκόντων, ἤγουν μετὰ τῶν ὀφειλουσῶν γίνεσθαι εὐποιιῶν παρὰ τούτους, νηστείας δηλονοτί, ἐλεημοσύνης καὶ μετανοίας, δι' ὧν ὁ γινόμενος παράκλητος ὑπὲρ ἡμῶν ἐξευμενίζεται ἡμῖν τὸν πατέρα· εἶτα καὶ χρήσει κέχρηται γραφικῇ. ἡ δέ ἐστιν ἐκ τῆς πρώτης καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.

ΖΩΝΑΡ. Ὁ νοῦς τοῦ παρόντος κανόνος, τοιοῦτός ἐστιν. οἱ ἐν τῷ βράσματι, φησί, τοῦ διωγμοῦ, ἤγουν ἐν τῇ ἀκμῇ, τῇ ζέσει ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανοῦ στεφάνους λαβεῖν, κατὰ ζῆλον θεῖον ἐπεδίδουν ἑαυτοὺς εἰς τὰ μαρτύρια, μετὰ παρρησίας πολλῆς ὁρμήσαντες εἰς τὸν ἀγῶνα, ζηλώσαντες τοὺς ἁγίους πάσχοντας, καὶ ἐπιδόντες ἑαυτοὺς προθύμως τῇ μαρτυρίᾳ, καὶ μάλιστα ὅτι ἔβλεπον τινὰς ὑποσυρομένους ἀντὶ τοῦ κλεπτομένους, ἀπατωμένους καὶ ἀρνουμένους τὴν εὐσέβειαν, ὑποθερμαινόμενοι, ἤτοι πυρούμενοι τὴν καρδίαν, ἔσπευδον καταπολεμῆσαι τὸν αὐτοὺς ὑποσύροντα πονηρόν, ἵνα μὴ καυχᾶται, ὡς ἡττῶν τοὺς εὐσεβεῖς. εἰ καὶ ἐλάνθανεν ἑαυτὸν ἀγνοῶν, ὅτι μᾶλλον ἡττᾶται, πολλῶν μέχρι θανάτου τὴν ὑπὲρ τῆς πίστεως ἔνστασιν ἐνδειξαμένων. ἔσπευδον μὲν οὖν, φησίν, οὕτως ποιῆσαι, ἡττηθέντες δὲ τῶν βασάνων δι' ἀσθένειαν τῆς σαρκός, οἱ μὲν ἐν ταῖς φυλακαῖς κακοπαθοῦντες, οἱ δὲ ἐπὶ δικαστηρίου κολασθέντες, καὶ μὴ ἐνεγκόντες τὰς τιμωρίας. ἄξιον οὖν ἐστὶ τοῖς ὑπὲρ αὐτῶν πενθοῦσι συμπαθεῖν. πενθοῦσι δέ, φησίν, οἱ μὲν ὑπὲρ γονέων, οἱ δὲ ὑπὲρ τῶν ἀδελφῶν, οἱ δὲ ὑπὲρ τέκνων παραπεπτωκότων· τὸ γοῦν συμπενθεῖν τοῖς τοὺς παραπεπτωκότας πενθοῦσιν, οὐδένα καταβλάπτει. καὶ τὸ συνδέεσθαι καὶ συναλγεῖν τοῖς δεομένοις ὑπὲρ αὐτῶν, μετὰ

A *mus advocatum apud patrem Jeſum Chriſtum juſtum: & is eſt propitiatio pro peccatis noſtris.*

Bals. Cùm ſuperiùs dixiſſet ſanctus, quod qui ſuâ ſponte confugerunt, & lapſi ſunt, pœnitentiam autem non egerunt, nec ſuum lapſum revocarunt, plus dedecoris ſubibunt, ut qui non ſupra fundamentum tectum quoq; fabricaverint, ſeu quod bonum eſt non perfecerint: nunc hujus & reliquorum confirmationem inducit, dicens, Qui enim in perſecutionis fervore, ſeu vehementia ſtantes, & videntes ſanctorum martyria, & quomodo B cæleſtes coronas divino zelo accipere contendant, ſeipſos dabant martyrio cum multa libertate; & maximè quia videbant quoſdam ſubtractos, hoc eſt eductos & deceptos à diabolo, & lapſos ſeu negantes pietatem: quamobrem interiùs accenſi ſeu corde inflammati, ut qui audirent ſe per hoc debellaſſe ac viciſſe ſuperbum adverſarium diabolum, ſtuduerunt ſubire martyrium, ne glorietur diabolus, & ſibi prudens eſſe videatur, ut qui calliditate ſua & malitia eos vicerit qui ſua ſponte ad martyrium confugerunt: etiam ſi eum latuit ſe magis vinci ab athletis qui tormenta fortiter perpeſſi ſunt. Fidelibus ergo orantibus æquum eſt pro ipſis ſupplicio affectis, & C punitis, annuere, ſive in hoc concurrere, quod etiam viſum eſt, & aliquo modo nihil lædit, una cum parentibus vel aliis neceſſitudine conjunctis, pro iis qui teſtimonium dederunt martyriúmque ſubierunt, ſed lapſi ſunt diaboli arte, & inſidiis, dolere & triſtitia affici. Scimus enim quod multi bonitatem, & miſericordiam Dei conſecuti ſunt per aliorum orationes. Ideoque & ipſis dari à Deo peccatorum remiſſionem poſtulabimus, & aliis qui lapſi ſunt, & poſtea errorem revocaverunt, & pietatem confeſſi ſunt, communicabimus, memores eorum quæ ante lapſum propter Deum ſuſtinuerunt certaminum, & etiam bonæ eorum poſtea pœnitentiæ, & quòd ſeipſos teſtati ſunt eſſe à civitate alienos propter peccatum: & non D ſolum ipſis communicabimus, ſed & pro eorum reconciliatione orabimus, cum aliis quæ decet, ſeu cum bonis operibus quæ debent ab ipſis fieri, jejunio ſcilicet, eleemoſyna, & pœnitentia, per quæ, qui pro nobis eſt advocatus, patrem nobis propitium benevolúmque efficit. Deinde & ſacræ ſcripturæ ſententia uſus eſt. Ea verò eſt ex prima Catholica epiſtola ſancti Apoſtoli & Evangeliſtæ Johannes.

Zonar. Hujus Canonis ſententia ejuſmodi eſt, E Qui in fervore, inquit, perſecutionis, hoc eſt in ſummo illius diſcrimine, vehementiſſimáque dimicatione conſtituti, ac martyria ſanctorum intuentes, & quam vehementer ad accipiendas cœleſtes coronas feſtinarent, divina æmulatione ſeipſos martyrio tradidere, multa cum libertate in certamen deſilientes, ſanctorum qui patiebantur imitatione, ſeque promptos ad fidem teſtimonio confirmandam obtulere, tum ob id maxime quia multos cernerent qui ſubtrahebantur, hoc eſt, traducebantur, decipiebantur, pietatem negabant, ferventes, hoc eſt, flammato corde, infeſtum ipſis adverſarium debellare ſtuduerunt, ne veluti piorum victor glorietur; quamvis F eum latuerit, vinci ſe potius, cum multi ad mortem uſque pro fide conſtantiam præ ſe tulerint. Feſtinarunt ergo, inquit, ut id agerent, ſuperati autem vi tormentorum, ob imbecillitatem carnis, partim in cuſtodiis male accepti, partim vero in judiciis pœnis affecti, nec ferentes ſupplicia. Operæpretium eſt igitur cum iis, qui ipſorum cauſa lugent, condoleſcere. Lugent porro, inquit, parentum alii, alii fratrum, alii liberorum lapſum. Cum iis igitur qui lapſos lugent, ſimul lugere neminem lædit, nec cum iis una præcari, & dolere qui pro ipſis rogant, cum aliis nempe rationi conſentaneis, cum eo ſcilicet,

licet, ut qui lapſi ſunt, alia quoque præſtent, quæ congruunt pœnitentiæ: ſunt hæc porro jejunia, & lacrymæ, aliæque afflictationes, mulctarum obſervationes: tum ſi facultas ſuppetat, pecuniarum in pauperes erogatio, quas ob res qui pro nobis advocatus eſt factus, Patrem nobis propitium reddet. Adhibet mox petitam quoque ex ſacris litteris ſententiam, quæ eſt ex prima epiſtola ſancti Apoſtoli & Evangeliſtæ Joannis.

CANON XII.

Iis enim qui pecuniam dederunt, ut ipſi omni ex parte ab omni malitiâ imperturbati eſſent, crimen intendi non poteſt. Damnum enim, & jacturam pecuniarum ſuſtinuerunt, ne ipſi animæ detrimento afficerentur, vel ipſam etiam perderent, quod alii propter turpe lucrum non fecerunt: quamvis Dominus dicat; quid enim hominem juvabit, ſi univerſum mundum lucratus fuerit, animæ autem detrimento fuerit affectus, vel eam etiam perdiderit? & rurſus, Non poteſtis Deo ſervire & mammonæ: in illis enim apparuerunt qui Deo ſervirent, exoſis, conculcatis, contemptiſque pecuniis, & in eo compleverunt quod ſcriptum eſt: Pretium redemptionis animæ hominis, propriæ divitiæ. Nam & in Actibus quoque Apoſtolorum legimus, eos qui pro Paulo & Sila Theſſalonicæ ad magiſtratus trahebantur, cum multis pecuniis fuiſſe dimiſſos. Poſtquam enim ipſos propter nomen multùm oneraſſent, & multitudinem magiſtratúſque perturbaſſent, ab Jaſone, inquit, & reliquis ſatisdatione accepta, eos dimiſerunt. Fratres autem noctu protinus Paulum & Silam miſerunt in Berrœam.

BALS. Poſtquam ſanctus de iis qui ſua ſponte ad martyrium confugiunt, perfeciſſet, dicit eos non eſſe reprehendendos, qui ſeipſos datis pecuniis à tormentorum afflictione liberarunt. Maluerunt enim ſuarum pecuniarum quàm ſuæ animæ jacturam facere. Deinde hoc ipſum confirmat & affert diverſa ſcripturæ exempla ex Actibus Apoſtolorum de beato Paulo Apoſtolo, & aliis.

ZONAR. Qui vero, inquit, pecuniam erogarunt, eóque effugio pietatem conſervarunt, non ſunt reprehendendi, nec ob eam rem illos quiſquam accuſet. Maluerunt námque pecunias, quàm ipſorum animas perdere, oſtenderúntque ſe Deo ſervire velle, non mammonæ, hoc eſt divitiis. Profert autem & ſcripturæ verba, tum ex Actis Apoſtolorum, Beati Pauli, & aliorum exempla. Quod vero dicitur, imperturbatos fuiſſe ab omni improbitate, ſic accipiendum eſt, aut imperturbatos fuiſſe, quod ad pietatis abnegationem attinet, quæ univerſam ſuperat improbitatem, vel κακίας vexationes tormentorum nominavit.

CANON XIII.

Unde nec eos qui omnia reliquerunt propter ſalutem animæ & ſeceſſerunt, licet accuſare tanquam aliis propter ipſos detentis. Nam & Epheſi pro Paulo Gaium & Ariſtarchum in theatro comprehenderunt, una cum Paulo peregrinantes, qui volebat ad populum adire: quoniam propter ipſum qui perſuaſerat, & multam turbam ad Dei cultum traduxerat, ſeditio facta fuerat. Non ſiverunt eum, inquit, diſcipuli. Quin etiam nonnulli, ex Aſiaticis magiſtratibus, qui ei erant amici, miſerunt ad eum & ſuaſerunt, ne ſe theatro daret. Si qui autem cum iis contendere perrexerint, qui animum ſyncerum ei adhibent, qui dicit: Diligenter ſerva animam tuam, & ne retro aſpexeris: Petrus quoque Apo-

A τῶν ἄλλων καθηκόντων, μετὰ ἤγουν τοῦ ποιεῖν ἐκείνους τοὺς παραπεπτωκότας, καὶ τὰ ἄλλα τὰ πρέποντα τῇ μετανοίᾳ· ἅπερ εἰσὶ νηστεῖαι καὶ δάκρυα, ἄλλαι τε κακοπάθειαι, ἐπιτιμίων φυλακή. εἰ δ' ἂν εὐποροῖεν, καὶ δόσεις χρημάτων πρὸς πένητας, δι' ὧν ὁ γινόμενος παράκλητος ὑπὲρ ἡμῶν, ἐξευμενίσεται ἡμῖν τὸν πατέρα. εἶτα καὶ χρῆσιν κέχρηται γραφικὴν, ἥ τις ἐστὶν ἐκ τῆς πρώτης ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου, καὶ εὐαγγελιστοῦ Ἰωάννου.

ΚΑΝΩΝ ιβʹ.

Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους αὐτοὺς παντάπασι B γενέσθαι ὑπὸ πάσης κακίας, οὐκ ἔστιν ἔγκλημα προσάγειν. ζημίαν γὰρ καὶ ἀπώλειαν χρημάτων ὑπήνεγκαν ἵνα μὴ τὴν ψυχὴν ἑαυτῶν ζημιωθῶσιν ἢ ἀπολέσωσιν, ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι· καίτοιγε τοῦ κυρίου λέγοντος· τί γὰρ ὠφελήσει ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ ἀπολέσῃ; καὶ, ὅτι οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμμωνᾷ. ἐφάνησαν γὰρ παρ' ἐκείνοις θεῷ δουλεύοντες, τὰ ἀργύρια μισήσαντες καὶ καταπατήσαντες, καὶ καταφρονήσαντες αὐτῶν, ἀνεπλήρωσάν τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον, λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος. ἐπεὶ καὶ ἐν ταῖς πράξεσι τῶν C ἀποστόλων ἀνέγνωμεν τοὺς συρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ τοὺς πολιτάρχας μετὰ καὶ πλησμονῆς ἀπολυθέντας. μετὰ γὰρ τὸ καταβαρῆσαι αὐτοὺς πολλὰ διὰ τὸ ὄνομα καὶ ταράξαι τὸν ὄχλον καὶ τοὺς πολιτάρχας, λαβόντες, φησὶ, τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρροιαν.

ΒΑΛΣ. Πληρώσας ὁ ἅγιος τὰ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον, φησὶν ἀκαταιτιάτους εἶναι τοὺς διὰ D χρημάτων δόσεως ἀνενοχλήτους συντηρήσαντας ἑαυτοὺς ἀπὸ τῆς κακώσεως τῶν κολάσεων. εἵλοντο γὰρ χρήματα ζημιωθῆναι καὶ μὴ τὰς ἑαυτῶν ψυχάς. εἶτα κατασκευάζων τοῦτο αὐτὸ, ἐπιφέρει καὶ διάφορα γραφικὰ καὶ παραδείγματα ἐκ τῶν ἀποστολικῶν πράξεων περὶ τοῦ μακαρίου ἀποστόλου Παύλου καὶ ἑτέρων.

ΖΩΝΑΡ. Οἱ δὲ χρήματα, φησὶ, δεδωκότες καὶ ἐκφυγόντες, καὶ αὐτοῖς τηρήσαντες τὴν εὐσέβειαν, οὐκ αἰτιαθήσονται, οὐδὲ ἔγκλημά τις ἐντεῦθεν προσάψει αὐτοῖς. εἵλοντο γὰρ χρήματα ζημιωθῆναι, καὶ μὴ τὰς ἑαυτῶν ψυχὰς, καὶ ἐφάνησαν τῷ Θεῷ δουλεύειν βουλόμενοι, καὶ οὐ τῷ μαμμωνᾷ, E ἤτοι τοῖς χρήμασι· ἐπιφέρει δὲ καὶ ῥήματα γραφικὰ, καὶ παράδειγμα ἐκ τῶν πράξεων περὶ τοῦ μακαρίου ἀποστόλου Παύλου καὶ ἑτέρων· τὸ δὲ ἀνενοχλήτους γενέσθαι ἀπὸ πάσης κακίας, ἢ τὸ μὴ ὀχληθῆναι εἰς ἄρνησιν τῆς εὐσεβείας ἐστίν· ἥπερ πᾶσαν κακίαν νικᾷ, ἢ κακίας τὰς κακώσεις ὠνόμασε τὰς ἐκ τῶν κολάσεων.

ΚΑΝΩΝ ιγʹ.

Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα διὰ τὴν τῆς ψυχῆς σωτηρίαν καὶ ἀναχωρήσασιν, ἔστιν ἐγκαλεῖν ὡς ἂν ἑτέρων δι' αὐτοὺς κατασχεθέντων. καὶ γὰρ καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου F συνήρπασαν Γάϊον εἰς τὸ θέατρον καὶ Ἀρίσταρχον συνεκδήμους Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον· ἐπεὶ καὶ δι' αὐτὸν πείσαντα καὶ μεταστήσαντα πολὺν ὄχλον ἐπὶ τὴν θεοσέβειαν, ἡ στάσις ἦν γινομένη· οὐκ εἴων αὐτὸν οἱ μαθηταὶ, φησίν· οὐ μὴν ἀλλὰ καί τινες τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον· εἰ δὲ ἐπιμένοιέν τινες ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς προσέχουσι τῷ λέγοντι, σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, καὶ μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω· ὑπομνησθήτωσαν καὶ περὶ τοῦ προκρίτου τῶν

ἀποστόλων Πέτρου, βεβλημένου τε ἤδη εἰς φυλακὴν, καὶ A
παραδοθέντος τέταρσι τετραδίοις στρατιωτῶν φυλάσσειν
αὐτὸν, οὗ ἐν νυκτὶ φυγόντος καὶ ἐκ χειρὸς ῥυσθέντος τῶν
Ἰουδαίων κατ' ἐντολὴν ἀγγέλου, φησὶ, κυρίου, γενομένης
ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα
ὁ Πέτρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν,
ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι,
δι' οὓς οὐδεμία αἰτία τῷ Πέτρῳ προσάπτεται. ἐξῆν γὰρ καὶ
αὐτοὺς ἑωρακότας τὸ γινόμενον, ἐκφυγεῖν, ὡς καὶ πάντα
τὰ παιδία τὰ ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς,
εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ μέλλον ἔσεσθαι, ἅπερ
ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφόνου Ἡρώδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον, B
ἀπολέσαι ἓν παιδίον, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν
ἀγγέλου κυρίου, διέφυγεν, ἤδη ἀρξάμενον ταχέως σκυλεύειν
καὶ ὀξέως προνομεύειν, κατὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος,
καθὼς γέγραπται, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως
σκύλευσον, ὀξέως προνόμευσον, διότι πρὶν ἢ γνῶναι
τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν
Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων.
οἱ γοῦν μάγοι ὡς ἤδη σκυλευθέντες καὶ προνομευθέντες,
ὑποτεταγμένως καὶ τιμητικῶς προσκυνοῦσι
τὸ παιδίον, ἀνοίγοντες τοὺς θησαυροὺς αὐτῶν καὶ προσφέροντες
αὐτῷ καιριώτερα καὶ πρεπωδέστερα δῶρα, χρυσὸν C
καὶ λίβανον καὶ σμύρναν, ὡς βασιλεῖ καὶ θεῷ καὶ
ἀνθρώπῳ. ὅθεν οὐκέτι πρὸς τὸν Ἀσσύριον βασιλέα ἠξιώθησαν
ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς προνοίας. χρηματισθέντες
γάρ φησι κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην,
δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.
ὅθεν ἰδὼν ὁ αἱμοβόρος Ἡρώδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν
μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας, φησὶν, ἀνεῖλε πάντας
τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς
ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε
παρὰ τῶν μάγων· μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννηθὲν ἕτερον
παιδίον ζητήσας ἀποκτεῖναι, καὶ μὴ εὑρὼν, τὸν πατέρα D
αὐτοῦ Ζαχαρίαν ἐφόνευσε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου,
ἐκφυγόντος τοῦ παιδὸς μετὰ τῆς μητρὸς Ἐλιζάβετ·
ἀφ' ὧν οὐδεμίαν μέμψιν ἔχουσιν.

ΒΑΛΣ. Εἰ δέ τινες φησὶ, κατέλιπον τὰς περιουσίας αὐτῶν,
καὶ ἀνεχώρησαν ἵνα μὴ κρατηθέντες κινδυνεύσωσιν, ἴσως μὴ
δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν κολαζόντων
ἀπήνειαν, οὐκ ἐγκληθήσονται, κἂν καὶ ἕτεροι κατεσχέθησαν
δι' αὐτούς. καὶ παράγει χάριν τούτου εἰς παράδειγμα, τὸν Γάϊον
καὶ τὸν Ἀρίσταρχον τοὺς ἀντὶ Παύλου κρατηθέντας· τοὺς στρατιώτας
τοὺς φυλάττοντας τὸν Πέτρον· τὰ νήπια τὰ παρὰ τοῦ Ἡρώδου
ἀναιρεθέντα διὰ τὸν Χριστόν· καὶ τὸν τιμίου καὶ ἁγίου προδρόμου E
πατέρα Ζαχαρίαν.

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, κατέλιπον τὰς περιουσίας
αὐτῶν καὶ ἀνεχώρησαν, ἵνα μὴ κρατηθέντες κινδυνεύσωσιν, ἴσως
μὴ δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν
κολαζόντων ἀπήνειαν, οὐκ ἐγκληθήσονται, οὐδὲ εἰ δι' αὐτοὺς ἕτεροι
κατεσχέθησαν καὶ ἐκολάσθησαν. καὶ πάλιν ἀπὸ τῶν πράξεων
ἐπάγει παράδειγμα λέγων, ὅτι καὶ ἐν ἐφέσῳ ἀντὶ τοῦ Παύλου συνηρπάγησαν,
Γάϊος καὶ Ἀρίσταρχος· ἀλλ' ὁ Παῦλος διὰ τοῦτο
οὐκ ἠτιάθη, οὔτε ὁ Πέτρος ὑπὸ ἀγγέλου τῆς φυλακῆς ἐκβληθεὶς,
ὅτε ἐκεῖνος μὲν διέδρα τὸν κίνδυνον. οἱ δὲ φυλάσσοντες
αὐτὸν στρατιῶται δι' ἐκεῖνον ἐκολάσθησαν. καὶ ἀπὸ τοῦ εὐαγγελίου F
ὑποδείγματι κέχρηται, τοῖς ὑπὸ τοῦ Ἡρώδου ἀναιρεθεῖσι πᾶσι·
δι' ἅ φησιν, οὐκ ἠτιάθη ὁ κύριος· καὶ τῆς Ἐλισάβετ φυγούσης
μετὰ Ἰωάννου, καὶ διαφυλαξάσης αὐτὸν ὁ πατὴρ αὐτοῦ Ζαχαρίας
ἀνῃρέθη τὸν υἱὸν ἀπαιτούμενος, ἀλλ' ὁ Ἰωάννης διὰ τοῦτο οὐκ
ἠτιάθη.

ſtolorum princeps eis in mentem revocetur, qui jam in cuſtodiam erat conjectus, & traditus quatuor quaternionibus militum ad eum ſervandum: qui cùm noctu fugiſſet, & ex Judæorum manu ſervatus eſſet, juſſu Angeli Domini, Facto, inquit, die erat non parvus tumultus inter milites quidnam factum eſſet Petro. Herodes autem cùm eum quæſiviſſet, & non inveniſſet, interrogatos cuſtodes juſſit ſuffocari; propter quos nulla culpa in Petrum confertur: licebat enim eis illo viſo quod factum fuerat effugere, ſicut & omnes infantes qui erant in Bethleem, & in omnibus ejus finibus; ſi ſciviſſent eorum parentes quod erat futurum: qui à crudeli homicida Herode ſublati ſunt, ut unus qui ab eo quærebatur infans periret, qui & ipſe juſſu Angeli Dei effugit; qui celeriter jam cœperat ſpolia accipere, & acriter præpaſcere, ſecundùm appellationem nominis, quemadmodum ſcriptum eſt, Voca nomen ejus, celeriter ſpolia, velociter depopulare, eo quod priuſquam infans ſciat vocare patrem & matrem, capiet poteſtatem Damaſci, & Spolia Samariæ, coram Rege Aſſyriorum. Magi ergò ut jam ſpoliati & prædationibus infeſtati infantem humiliter & ſuppliciter adorant, theſauros ſuos aperientes, & ei offerentes, maximè opportuna, & magnifica dona, aurum, & thus, & myrrham, ut regi, & Deo, & homini: unde ad regem Aſſyrium non ampliùs reverti voluerunt; à providentia vetiti. Divinitus enim admoniti, inquit, in ſomnio ne reverterentur ad Herodem, per aliam viam regreſſi ſunt in regionem ſuam. Unde cùm vidiſſet ſanguinolentus Herodes ſe à magis illuſum, valde fuit commotus: Et mittens, inquit, interfecit omnes infantes qui erant in Bethleem, & in omni ejus confinio, à bimatu, & infra, juxta tempus quod à Magis diligenter didicerat. Cum quibus, & alium priùs natum infantem, cùm interfecturus quæſiviſſet, & non inveniſſet, patrem ejus Zachariam interfecit inter templum & altare, cùm effugiſſet filius cum matre Elizabet. Unde nec ullo modo reprehenduntur.

Bals. Si qui autem, inquit, relictis ſuis facultatibus ſeceſſerunt, ne detenti in periculum vocentur, ut qui fortè non poſſint ad finem uſque in confeſſione perſiſtere, propter tortorum ſævitiam, non culpabuntur, etiamſi alii detenti ſunt propter ipſos. Et adducit in exemplum ejus rei gratia, Gajum & Ariſtarchum, qui pro Paulo detenti fuerunt: milites qui Petrum ſervabant: & infantes qui ab Herode interfecti ſunt propter Chriſtum: & venerabilis ſanctique præcurſoris patrem Zachariam.

Zonar. Si qui autem, inquit, ſuas reliquerunt poſſeſſiones, ac ſeceſſerunt, ne detenti periclitarentur; quia forte ob tortorum ſævitiam in confeſſione ad finem uſque perſiſtere haud poſſint, etiamſi ipſorum cauſa alii detenti, ac pœnis affecti fuerint, minime ſunt accuſandi. Rurſumque exemplum ex Apoſtolicis actis adducit, dicens Epheſi quoque pro Paulo comprehenſos fuiſſe Cajum, & Ariſtarcum: nec tamen ob id accuſatum Paulum; neque Petrum ab Angelo è cuſtodia eductum, cum is quidem effugit periculum, qui vero illum cuſtodiebant milites, ob illum ſupplicio affecti ſunt. Mox aliud quoque exemplum ex Evangelio adhibet, eorum qui ab Herode interfecti ſunt puerorum, quam ob rem, inquit, haud accuſatus eſt Dominus. Cumque fugiſſet Eliſabeth cum Joanne, ipſumque ſervaſſet, interfectus eſt Zacharias, à quo efflagitabatur puer, neque id Joanni crimine eſt datum.

CANON XIV.

Si qui autem vim multam & neceſſitatem paſſi ſunt, quique & in ore ferrum, & vincula acceperunt, & propter bonam fidei affectionem, ſuas quoque manus uri fortiter pertulerunt, ad prophanum ſacrificium eis invitis adductas. Quemadmodum igitur mihi ſcripſerunt ex cuſtodia beatiſſimi martyres de iis qui ſunt in Libya, & alii etiam in ſacris comminiſtri, ii ſimul teſtificantibus reliquis quoque fratribus, poſſunt eſſe in ſacro miniſterio inter confeſſores collocati, ut & qui in multis tormentis mortificati fuerint, non amplius potuerint, vel loqui, vel dicere, vel moveri, ut reſiſterent iis qui vim fruſtrà afferebant. Neque enim eorum improbitati aſſenſi ſunt. Quemadmodum ergo à comminiſtris rurſus audivi, annumerabuntur inter confeſſores: & quicunque ſecundum Timotheum vitam inſtituit, parens ei quoque qui dicit, Perſequere juſtitiam, pietatem, fidem, dilectionem, tolerantiam, lenitatem: Certa pulchrum certamen fidei: Apprehende vitam cæleſtem, in quam vocatus es, & confeſſus coram multis teſtibus confeſſionem.

BALS. Eos qui vi tyrannica viſi ſunt ex idolothytis carnes comedere, vel ex Græcis libationibus vinum bibere (Fortè enim iis in terram dejectis, & in eorum ora hamis ſeu ferramentis injectis, ut ſemper aperta eſſent, tyranni in eorum fauces vinum infundebant, & carnes injiciebant, vel etiam in eorum manibus carbonibus cum thure impoſitis ſacrificare cogebant) ſi eſſent quidem clerici, in ſuo quoque rurſus gradu eſſe decernit Canon, ut qui collocati ſint cum confeſſoribus. Laici autem reputentur ut martyres, quòd ii hæc ſua voluntate non fecerint, nec actioni omnino aſſenſi ſint: quemadmodum inter confeſſores quoque numerabuntur, qui propter tormentorum neceſſitatem diſſoluta corporis firmitate, non valentes iis reſiſtere, qui in ora eorum vinum ex libaminibus effundebant. Deinceps autem de iis qui conſcientiæ martyrium peragunt, dicit, & illos cum confeſſoribus connumerat.

ZONAR. Qui ſanctos martyres ſuppliciis divexabant, poſt tormenta multa nonnullis per vim adhibita, in ora illorum Vinum infundebant ex libationibus, vel etiam ex idolo mactatis carnibus quidpiam illorum ori inſerebant, ac thura ipſorum manibus injicientes, ipſos ad aram trahebant, & per vim comprehenſis illorum manibus, aut thura aræ ſuperfundebant; aut etiam carbones cum thure imponebant ipſorum manibus, ut ardoris cruciatum minime ferentes, thus cum carbonibus in aram effunderent; ab eiſdem nempe detinebantur. Ejuſmodi in ſacro miniſterio cenſeri poſſe affirmat, vel potius in confeſſorum ordine collocari. Neque enim ſua ſponte vel deguſtabant libationes, vel thus imponebant aræ, ſed vi coacti, ratione illorum actioni minime conſentiente: quemadmodum & quibus tormentorum neceſſitate reſolutus fuerat vigor corporis, ut nec moveri, nec loqui poſſent, nec vinum libationum in ora ipſorum per vim injicientibus obſiſtere, ii quoque locum inter confeſſores obtinebunt. Differit autem mox de iis, qui conſcientiæ martyrium peragunt, ac eos quoque in confeſſorum numero locat.

A

ΚΑΝΩΝ ιδ΄.

Εἰ δέ τινες βίαν πολλὴν καὶ ἀνάγκην πεπόνθασι, χάνον λαβόντες ἐν τῷ στόματι καὶ δεσμούς, καὶ ἐπιμείναντες καρτερῶς τῇ διαθέσει τῆς πίστεως, καὶ τὰς χεῖρας αὐτῶν καῆναι περισυρομένας ἄκοντι τῷ ἀνιέρῳ θύματι. ὥσπερ οὖν ἔγραψάν μοι οἱ ἀπὸ τῆς φυλακῆς πανμακάριοι μάρτυρες περὶ τῶν ἐν Λιβύῃ, καὶ ἕτεροι δὲ συλλειτουργοί, οἱ τοιοῦτοι συμμαρτυρούντων μάλιστα καὶ τῶν ἄλλων ἀδελφῶν, δύνανται εἶναι ἐν τῇ λειτουργίᾳ ταχθέντες ἐν τοῖς ὁμολογηταῖς, ὡς καὶ οἱ κατανενεκρωθέντες ἐν ταῖς πολλαῖς βασάνοις, καὶ μηκέτι διισχύσαντες B λαλῆσαι ἢ φθέγξασθαι ἢ κινηθῆναι εἰς τὸ ἀντιστῆναι τοῖς εἰς μάτην βιαζομένοις· οὐδὲ γὰρ συγκατέθεντο τῇ βδελυρίᾳ αὐτῶν. ὥσπερ οὖν παρὰ συλλειτουργῶν ἤκουσα, πάλιν ταχθήσονται ἐν τοῖς ὁμολογηταῖς· καὶ πᾶς ὅστις οὖν κατὰ Τιμόθεον πολιτεύεται, πειθόμενος καὶ αὐτὸς τῷ λέγοντι, δίωκε δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα· ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης, ὡμολογήσας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

C ΒΑΛΣ. Τοὺς ἀπὸ βίας τυραννικῆς δόξαντας φαγεῖν κρέας ἐκ τῶν εἰδωλοθύτων, ἢ πιεῖν οἶνον ἐκ τῶν Ἑλληνικῶν σπονδῶν (τυχὸν γὰρ κατὰ γῆς οἱ τυραννοῦντες θέμενοι τούτους, καὶ χάνους ἤτοι σιδήρια βαλόντες εἰς τὰ στόματα αὐτῶν, ὥστε διόλου εἶναι ἠνεῳγμένα, ἐπέχεον εἰς τὸν φάρυγγα τούτων οἶνον, καὶ κρέα ἐπέρριπτον, ἢ καὶ ταῖς χερσὶν αὐτῶν ἀνθρακιὰς μετὰ λιβανωτοῦ θέμενοι, παρεσκεύαζον δῆθεν θύειν αὐτούς) κληρικοὺς μὲν ὄντας, εἶναι καὶ πάλιν ἐν τῷ οἰκείῳ βαθμῷ ὁ κανὼν διορίζεται, ὡς τεταγμένους μετὰ τῶν ὁμολογητῶν. λαϊκοὺς δὲ λογίζεσθαι ὡς μάρτυρας, διὰ τὸ μὴ κατὰ προαίρεσιν οἰκείαν ποιῆσαι ταῦτα τούτους, μηδὲ συγκαταθέσθαι ὅλως τῇ πράξει· D ὥσπερ τοῖς ὁμολογηταῖς συνταχθήσονται καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ σώματος, καὶ μὴ δυνάμενοι ἀντιστῆναι τοῖς ἐκχέουσιν εἰς τὰ στόματα αὐτῶν οἶνον ἀπὸ τῶν σπονδῶν. ἑξῆς δὲ περὶ τῶν διανυόντων τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κἀκείνους τοῖς ὁμολογηταῖς συναριθμεῖ.

ΖΩΝΑΡ. Οἱ τοὺς ἁγίους κολάζοντες μάρτυρας μετὰ βασάνους πολλὰς ἐπί τινων βίᾳ, τοῖς στόμασιν αὐτῶν ἐνέχεον οἶνον ἐκ τῶν σπονδῶν, ἢ καὶ ἐκ τῶν εἰδωλοθύτων κρεῶν, ἐνέβαλον εἰς τὸ στόμα αὐτῶν, καὶ ταῖς χερσὶν αὐτῶν ἐπιτιθέντες λιβανωτόν, εἷλκον αὐτοὺς ἐπὶ τὸν βωμὸν καὶ τὰς χεῖρας αὐτῶν κρατοῦντες βίᾳ, τὸν λιβανωτὸν ἐπέχεον τῷ βωμῷ, ἢ καὶ ἄνθρακας E μετὰ λιβανωτοῦ ταῖς παλάμαις αὐτῶν ἐπετίθουν, ἵνα μὴ φέροντες τὴν ὀδύνην τὴν ἐκ τῆς καύσεως ἐπιχέωσι τὸν λιβανωτὸν σὺν τοῖς ἄνθραξι τῷ βωμῷ. κατείχοντο γὰρ παρ' αὐτῶν. τοὺς τοιούτους φησί, δύνασθαι εἶναι ἐν τῇ λειτουργίᾳ, ἢ μᾶλλον καὶ ἐν τοῖς ὁμολογηταῖς τετάχθαι. οὐ γὰρ οἰκείᾳ προαιρέσει ἢ τῶν σπονδῶν ἐγεύσαντο, ἢ τὸν λιβανωτὸν ἐπέβαλον τῷ βωμῷ, ἀλλ' ἢ βίᾳ, τοῦ λογισμοῦ αὐτῶν τῇ πράξει μὴ συγκατατιθεμένου· ὥσπερ καὶ οἱ τῇ τῶν βασάνων ἀνάγκῃ παραλυθέντες τὸν τόνον τοῦ σώματος, ὡς μήτε κινηθῆναι δύνασθαι μήτε φθέγξασθαι, καὶ ἀντιστῆναι τοῖς βίᾳ εἰς τὰ στόματα αὐτῶν ἐκχέασι τὸν οἶνον τῶν σπονδῶν, κἀκεῖνοι τοῖς ὁμολογηταῖς συνταχθήσονται. ἑξῆς δὲ F περὶ τῶν διανυόντων τὸ τῆς συνειδήσεως μαρτύριον λέγει, κἀκείνους τοῖς ὁμολογηταῖς συναριθμῶν.

A

ΚΑΝΩΝ ιεʹ.

Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις τετράδα καὶ παρασκευήν, ἐν αἷς καὶ νηστεύειν ἡμῖν κατὰ παράδοσιν εὐλόγως προσετέτακτο. τὴν μὲν γὰρ τετράδα διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ τῶν Ἰουδαίων, ἐπὶ τῇ προδοσίᾳ τοῦ κυρίου, τὴν δὲ παρασκευήν, ὅτι αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθε. κυριακὴν δὲ χαρμοσύνης ἡμέραν ἄγομεν, διὰ τὸν ἀναστάντα ἐν αὐτῇ, ἐν ᾗ οὐδὲ γόνατα κλίνειν παρειλήφαμεν.

ΒΑΛΣ. Ἀκολούθως τῷ ξδʹ. ἀποστολικῷ κανόνι τῷ διοριζομένῳ μὴ νηστεύειν ἡμᾶς κατὰ τὰ σάββατα πλὴν τοῦ ἑνὸς μόνου σαββάτου τοῦ μεγάλου δηλαδή, καὶ τῷ ξθʹ. κανόνι τῷ κολάζοντι μεγάλως τοὺς μὴ νηστεύοντας τὴν ἁγίαν τεσσαρακοστήν, καὶ κατὰ πᾶσαν τετράδα καὶ παρασκευήν, καὶ ὁ παρὼν κανὼν διατάττεται.

ΖΩΝΑΡ. Ἀεί, φησί, τὰς τετράδας καὶ τὰς παρασκευὰς ἑκάστης ἑβδομάδος νηστεύειν· καὶ οὐκ αἰτιάσεταί τις ἡμᾶς νηστεύοντας· καὶ τὰς αἰτίας προστίθησιν. τὴν δὲ κυριακήν, νηστεύειν οὐ δεῖ, χαρμόσυνον οὖσαν, διὰ τὴν τοῦ κυρίου ἀνάστασιν, οὐδὲ γόνυ κλίνειν ἐν αὐτῇ, φησί, παρειλήφαμεν. σημειωτέον οὖν τὸ παρειλήφαμεν, καὶ τὸ κατὰ παράδοσιν ἡμῖν προστέτακται. κἀντεῦθεν γὰρ φαίνεται, ὅτι τὸ ἐπὶ μακρὸν κρατῆσαν ἔθος, ἀντὶ νόμου λελόγισται. ὁ δὲ μέγας Βασίλειος καὶ τὰς αἰτίας προστίθησιν δι' ἃς ἀπηγόρευται κλίνειν ἐν κυριακῇ γόνυ καὶ ἀπὸ τοῦ πάσχα μέχρι τῆς πεντηκοστῆς· ἀνάγνωθι καὶ τὸν ξϛʹ. ἀποστολικὸν κανόνα, καὶ ξθʹ.

CANON XV.

Non reprehendet nos quiſpiam, quartam & ſextam feriam obſervantes, in quibus nobis jejunare ſecundum traditionem cum ratione præceptum eſt. Quartam quidem propter initum à Judæis conſilium de proditione domini: ſextam autem, quòd ipſe pro nobis paſſus ſit. Diem enim dominicum lætitiæ diem agimus, quòd in eo reſurrexerit: in quo nec genua quidem flectere accepimus.

BALS. Conſequenter lxiv. Canoni Apoſtolico, qui B decernit non eſſe nobis jejunandum ſabbatis, præter unum ſabbatum, magnum ſcilicet, & lxix. qui valde punit eos, qui ſacra quadrageſima non jejunant, omnique quarta, & ſexta feria, præſens quoque decernit.

ZONAR. Semper, inquit, quarta & ſexta cujuſlibet hebdomadæ feria jejunandum: nec nos quiſquam jejunantes reprehendet: cauſaſque ſubjungit. Dominica vero die, non eſt jejunandum, quippe quæ ſit gaudii, ob Domini reſurrectionem. Neque vero, inquit, in ea genua flecti oportere accepimus. Obſervandum igitur verbum illud accepimus, & illud, Nobis ex traditione C præceptum eſt. Nam hinc quoque apparet inveteratam conſuetudinem pro lege fuiſſe acceptam. Magnus porro Baſilius, cauſas quoque adnectit, ob quas Dominica die, & à Paſchate ad Pentecoſtem uſque genua flectere vetitum eſt. Lege & lxvi. Apoſtolicum Canonem & lxix.

D

E

F

EPISTOLA CANONICA SANCTI GREGORII Archiepiſcopi Neocæſarienſis, qui Thaumaturgus dictus eſt, de iis qui in barbarorum incurſione idolothyta comederant, & alia quædam peccata commiſerant.

CANON I.

NON cibi nos gravant, ſanctiſſime Papa, ſi captivi ea comederint, quæ qui in eos dominium obtinent, eis appoſuerunt, maximè quando una de omnibus fama eſt, barbaros, qui in noſtras regiones incurſiones fecerunt, idolis non ſacrificaſſe. Dicit autem Apoſtolus, Eſcæ ventri, & venter eſcis, Deus autem & hunc & has deſtruet. Sed ſcrvator quoque omnes cibos mundans, Non quod intrat (inquit) coinquinat hominem, ſed quod egreditur. Et hoc quoque, quòd captivæ mulieres corruptæ fuerunt, barbaris earum corporibus inſolenter abutentibus. Sed ſi priùs quoque damnata vita fuerat, procul ab oculis abeuntibus fornicatoribus, ut ſcriptum eſt, fornicarius ſcilicet habitus eſt etiam tempore captivitatis ſuſpectus. Et non oportet facilè orationibus cum ejuſmodi communicare. Sed ſiquidem aliqua quæ in ſumma continentia vixerit, & puram ab omníque ſuſpicione alienam priorem vitam oſtenderit, nunc vi & neceſſitate ad probrum contumeliámve lapſa ſit, habemus exemplum quod eſt in Deuteronomio, de adoleſcentula, quam homo in agro invenit, & ea vi compreſſa cum ipſa dormiit: Adoleſcentulæ, inquit, nihil facietis: non erit adoleſcentulæ peccatum mortis: quia quemadmodum ſi quis homo, adverſus proximum ſuum inſurrexerit, & ipſius animam morte affecerit, ſic hæc res eſt: adoleſcentula exclamavit, & non erat qui ei opem ferret. Hæc quidem certè ita ſe habent.

BALS. Sanctus interrogatus quid oporteat fieri Chriſtianis, qui à barbaris capti ſunt, & quæ ipſis ab eis apponebantur idolothyta comederunt; reſpondit, Hi cibi non gravant, id eſt, non grave damnum afferunt; & maximè quod unus eſt ſermo apud omnes, ſive quod omnes dicunt, idolis non ſacrificaſſe barbaros, qui in noſtra incurſiones fecère. Adducit autem & ex Apoſtolo & ex Evangelio ſententias, Ex Apoſtolo quidem, Eſcæ ventri, & venter eſcis: Deus autem & eum & has deſtruet. Qui quidem locus Apoſtolicus loquitur de repletione & ingluvie: & eſcas quidem nominat ea quæ ſunt ſupervacanea, ac delicias: ventrem autem, voracitatem dixit, non verò ventriculum. Per hæc autem dicit Apoſtolus, quòd exaturatio, & luxus ad ingluviem pertinet, ſed neque ad Deum deducit: luxui autem ingluviei vitium familiare redditur, & alterum alteri ſervit. Deus autem, ea otioſa & inefficacia efficiet, ut nulli ab eis lædantur. Ex evangelio autem uſus eſt verbis Evangelii quæ dicunt, Quod intrat per os, non coinquinat hominem. Deinde de captivis quoq; mulieribus, quibus barbari ſtuprum intulerunt: & dicit, quòd ſi prima quidem eorum vita eſſet condemnata, ſuſpectas eas facit fornicarius habitus etiam tempore captivitatis. Et propterea non oportet facilè cum eis orare, ſed poſtquam pœnis videlicet impoſitis ſe ſubmiſiſſent. Eſt autem habitus longa conſuetudo, quæ tempore quoque confirmata eſt, quæ ad naturam etiam ſimilitudine quàm proximè accedit. Quare quæ tales non ſunt, violatæ, non peccarunt. Exemplo autem uſus eſt lege quæ in Deuteronomio habetur, de virgine cui in ſolitudine per vim probrum illatum eſt. Et quæ quidem ad Canonem ſpectant in his conſiſtunt. Videtur autem ſanctus ex eo quod dixit, non inferri grave dam-

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ ΤΟΥ ΑΓΙΟΥ Γρηγορίου ἀρχιεπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν βαρβάρων εἰδωλόθυτα φαγόντων ἢ καὶ ἕτερά τινα πλημμελησάντων.

ΚΑΝΩΝ α΄.

ΟΥ τὰ βρώματα ἡμᾶς βαρεῖ, ἱερώτατε Πάππα, εἰ ἔφαγον οἱ αἰχμάλωτοι ταῦτα ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν, μάλιστα ἐπειδὴ εἷς λόγος παρὰ πάντων, τοὺς καταδραμόντας τὰ ἡμέτερα μέρη βαρβάρους εἰδώλοις μὴ τεθυκέναι. ὁ δὲ ἀπόστολός φησι, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. ἀλλὰ καὶ ὁ σωτὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον· καὶ τὸ τὰς αἰχμαλώτους γυναῖκας διαφθαρῆναι ἐξυβριζόντων τῶν βαρβάρων εἰς τὰ σώματα αὐτῶν. ἀλλ᾽ εἰ μὲν καὶ πρότερον κατέγνωστό τινος βίος πορευομένου ὀπίσω ὀφθαλμῶν τῶν ἐκπορνευόντων κατὰ τὸ γεγραμμένον, δηλονότι ἡ πορνικὴ ἕξις ὕποπτος καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας. καὶ οὐ προχείρως δεῖ ταῖς τοιαύταις κοινωνεῖν τῶν εὐχῶν. εἰ μέντοι τις ἐν ἄκρᾳ σωφροσύνῃ ζήσασα, καὶ καθαρὸν καὶ ἔξω πάσης ὑπονοίας ἐπιδεδειγμένη βίον τὸν πρότερον, νῦν περιπέπτωκεν ἐκ βίας καὶ ἀνάγκης ὕβρει, ἔχομεν παράδειγμα τὸ ἐν τῷ Δευτερονομίῳ τὸ ἐπὶ τῇ νεάνιδι, ἣν ἐν τῷ πεδίῳ εὗρεν ἄνθρωπος, καὶ βιασάμενος αὐτὴν, ἐκοιμήθη μετ᾽ αὐτῆς· τῇ νεάνιδι οὐ ποιήσετε, φησὶν, οὐδὲν, οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου· ὅτι ὡς εἴ τις ἀναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσει αὐτοῦ τὴν ψυχὴν, οὕτω τὸ πρᾶγμα τοῦτο· ἐβόησεν ἡ νεανὶς, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ· ταῦτα μέντοι τοιαῦτα.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος περὶ τοῦ τί ὀφείλει γίνεσθαι εἰς τοὺς Χριστιανοὺς τοὺς αἰχμαλωτισθέντας παρὰ βαρβάρων, καὶ φαγόντας τὰ παρὰ τούτων αὐτοῖς παρατιθέμενα εἰδωλόθυτα, ἀπελογήσατο ὡς τὰ βρώματα ταῦτα οὐ βαρεῖ, ἀντὶ τοῦ οὐ βαρεῖαν ἐμποιεῖ βλάβην. καὶ μᾶλλον ὅτι εἷς λόγος παρὰ πάντων, ἤγουν ὅτι πάντες λέγουσι μὴ θῦσαι τοῖς εἰδώλοις τοὺς τὰ ἡμέτερα καταδραμόντας βαρβάρους. παράγει δὲ καὶ ἐκ τοῦ ἀποστόλου χρήσεις, καὶ ἐκ τοῦ εὐαγγελίου, ἐκ μὲν τοῦ ἀποστόλου, τὸ, τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ θεὸς, καὶ ταύτην καὶ ταῦτα καταργήσει. ὃ δὴ ἀποστολικὸν χωρίον περὶ πλησμονῆς λέγει καὶ γαστριμαργίας, καὶ βρώματα μὲν, τὰ περιττὰ ὀνομάζει καὶ τὴν τρυφήν· κοιλίαν δὲ τὴν γαστριμαργίαν, ἀλλ᾽ οὐχὶ τὴν γαστέρα. διὰ δὲ τούτων ὁ ἀπόστολος λέγει ὅτι ἡ ἀδδηφαγία καὶ ἡ τρυφὴ τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ᾽ οὐ πρὸς θεὸν φέρει· καὶ τῇ τρυφῇ τὸ τῆς γαστριμαργίας πάθος ᾠκείωται, καὶ θάτερον θατέρῳ δουλεύει. ὁ δὲ θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει ταῦτα, ὥστε μὴ ἐξ αὐτῶν τινὰς βλάπτεσθαι. ἐκ δὲ τοῦ εὐαγγελίου, ἐχρήσατο τοῖς τοῦ εὐαγγελίου ῥήμασι τοῖς λέγουσιν ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον· εἶτα καὶ περὶ γυναικῶν αἰχμαλώτων ἃς οἱ βάρβαροι συνεφθάρησαν· καί φησιν ὅτι εἰ μὲν ὁ πρώην αὐτῶν βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας. καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ συνεύχεσθαι δεῖ, ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπιτιμίοις. ἕξις δέ ἐστιν ἡ μακρὰ συνήθεια καὶ τῷ χρόνῳ παγιωθεῖσα, ἥ τις καὶ φύσει προσέοικεν· ὥστε αἱ μὴ τοιαῦται, οὐχ ἥμαρτον βιασθεῖσαι. καὶ παραδείγματι κέχρηται τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθεσίᾳ τῇ περὶ τῆς ὑβρισθείσης παρθένου κατὰ βίαν ἐν ἐρημίᾳ. καὶ τὰ μετὰ τοῦ κανόνος ἐν τούτοις. ἔοικε δὲ ὁ ἅγιος ἀπὸ τοῦ εἰπεῖν μὴ ἐπάγεσθαι βαρεῖαν βλάβην τοῖς φαγοῦσι τὰ εἰδωλόθυτα παρατιθέμενα τούτοις παρὰ τῶν βαρβάρων, καὶ ἀπὸ τοῦ λέγειν πληροφορεῖσθαι πάντας μὴ γεύεσθαι τοὺς βαρβάρους εἰδωλοθύτας, καὶ ἀπὸ τοῦ χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασι τοῖς διαλεγομένοις περὶ τρυφῆς καὶ ἀδδηφαγίας, ὡσαύτως καὶ τοῖς εὐαγγελικοῖς τὰ αὐτὰ διαλαμβάνουσι, μὴ ἁπλῆν ποιῆσαι τὴν ἀπόκρισιν, ἀλλὰ διαιρουμένην εἰς φαγόντας εἰδωλόθυτα κατὰ τρυφὴν ἑκοντὶ, εἰς τοὺς κατὰ βίαν τῶν βαρβάρων φαγόντας ταῦτα, εἰς τοὺς δι' ἀνάγκην τῆς φύσεως βρῶμα ποιησαμένους αὐτὰ, καὶ εἰς τοὺς βιασθέντας πρὸς τοῦτο παρὰ βαρβάρων, μὴ τεθυκότων τοῖς εἰδώλοις. ὅθεν καὶ ὡς ἐμοὶ δοκεῖ, οὐδὲ εἷς ἐκ τούτων ἀνεπιτίμητος ἔσται. οἱ γὰρ διὰ τρυφὴν φαγόντες ταῦτα μείζοσιν ἐπιτιμίοις ὑποβληθήσονται. οἱ δὲ ἀνάγκην καὶ ἀποτροφὴν τοῦ σώματος, ὡς μὴ ἔχοντες ἄλλως πῶς ἀποτραφῆναι, ἧττόνως κολασθήσονται. καὶ οἱ λοιποὶ διὰ τὴν μιαροφαγίαν μετριώτερον ἐπιτιμηθήσονται, ὅτι καὶ ὁ ἅγιος, οὐ βαρὺ φησὶν εἶναι τὸ φαγεῖν εἰδωλόθυτα παρὰ τῶν μὴ θυσάντων τοῖς εἰδώλοις παρατιθέμενα, οὐ μὴν καὶ πάντη ἀκατέγκλητον. ἐρωτήσει δέ τις ὡς τοῦ ιδ'. κανόνος τοῦ μακαρίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος διαλαμβάνοντος τοὺς κατὰ βίαν τυραννικὴν φαγόντας εἰδωλόθυτα, καὶ τοιουτοτρόπως θύσαντας, μὴ ἐπιτιμᾶσθαι, ἀλλὰ μᾶλλον καὶ ἐν τῷ κλήρῳ εἶναι, κληρικοὺς ὄντας, πῶς ἡ παροῦσα ἐπιστολὴ διορίζεται τοὺς φαγόντας εἰδωλόθυτα μὴ βαρέως βλάπτεσθαι, ὡς ἐκ τούτου ἐκφαίνεσθαι βλάπτεσθαι αὐτοὺς μετρίως; Λύσις. ὁ ἱερομάρτυς Πέτρος ἐν τῷ ιδ'. κανόνι αὐτοῦ καὶ περὶ αὐτὸ τὸ φαγεῖν τὰ εἰδωλόθυτα μαρτυρῆσαι τοὺς ἀθλητὰς διαλαμβάνει. φησὶ γὰρ ὅτι καὶ χαλινὸς ἐνεβλήθη τῷ στόματι αὐτῶν καὶ αἱ χεῖρες τούτων κατεκάησαν, καὶ ἁπλῶς οὐδ' ὅλως συνέθεντο εἰς τὸ εἰδωλόθυτα φαγεῖν ἢ εἰς τὸ θῦσαι τοῖς εἰδώλοις. ἡ δὲ παροῦσα κανονικὴ ἐπιστολὴ διαλαμβάνει κατὰ τὰς ἀρχὰς, κατὰ βίαν μὲν φαγεῖν τοὺς αἰχμαλώτους τὰ παρατιθέμενα αὐτοῖς εἰδωλόθυτα, οὐ μὴν καὶ κατ' αὐτὸ τὸ φαγεῖν τυραννηθῆναι, καὶ διὰ τοῦτο θέλει ὡς ὅλως ὑποκύψαντας τῷ θελήματι τοῦ τυράννου, μετρίως τιμωρηθῆναι. νομίζω δὲ ἐγὼ ὅτι ὥσπερ οὐκ ἔστι πάντη ἀνεπιτίμητον τὸ φαγεῖν εἰδωλόθυτα κατὰ βίαν βαρβάρων μὴ ἐπιθυσάντων· οὕτως οὐδὲ τὸ ὑποστῆναι φθορὰν βαρβαρικὴν κατὰ βίαν. καὶ τοῦτο γὰρ μετρίως ἐπιτιμηθήσεται. κἂν γὰρ καὶ ὁ πολιτικὸς νόμος, φησὶν, ἐν βιβλίου ξ'. τίτλου λη'. κεφαλ. ιβ'. θέματι ἕκτῳ, καὶ ἡ παρὰ τοῖς πολεμίοις μοιχευθεῖσα καὶ ὑποστρέψασα, κατηγορεῖται παρὰ τοῦ ἀνδρὸς οὐ δικαίῳ ἀνδρὸς, εἰ μὴ βίᾳ τοῦτο πέπονθε, καὶ τοιουτοτρόπως συγγινώσκει τὴν βιασθεῖσαν, καὶ τὸν γάμον οὐ διασπᾷ· ἀλλ' ὁ ἐκκλησιαστικὸς νόμος, τὴν ὅλως ὑπὸ βαρβάρου μολυνθεῖσαν, μὴ καθαριεῦσαν δι' ἐπιτιμίου οὐκ ἀνέξεται. ἀνάγνωθι καὶ τὴν ργ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ, λέγουσαν περὶ τὸ τέλος ταῦτα. οὐδαμῶς οὖν θεσπίζομεν ἔτι πρὸς συνάφειαν ἑτέρου τὸν ἀπείρατον μεμενηκότα τῆς αἰχμαλωσίας, ἔρχεσθαι, καὶ τὰ ἑξῆς. ἀναιρεῖ δὲ ἡ τοιαύτη νεαρὰ τὴν Ἰουστινιάνειον ριζ'. νεαρὰν τὴν κειμένην ἐν βιβλίῳ κη'. τίτλου ζ'. καὶ λέγουσαν, ἔστιν ὅτε λύεσθαι τὸν τοιοῦτον γάμον, πλὴν ἡ τοιαύτη νεαρὰ, χώραν ἔχει ὅταν ἡ αἰχμαλωτισθεῖσα οὐκ ἐμιάνθη παρὰ τῶν βαρβάρων. τοιούτου δὲ τινὸς γεγονότος, χώραν ἔχουσι τὰ ἐν τῷ ῥηθέντι κεφαλαίῳ τοῦ ξ'. βιβλίου.

A num iis qui idolothyta comederunt, eis à barbaris appoſita, & ex eo quod dicit, omnes plenè compertum habere, barbaros idolis non ſacrificaſſe, & ex eo quòd vtitur dictis Apoſtolicis quæ de luxu & ingluvie diſſerunt, ſimiliter & evangelicis, quæ eadem tractant, non feciſſe ſimplicem reſponſionem, ſed quæ dividitur in eos qui idolothyta per delicias ſua ſponte comederunt, in eos qui vi à barbaris coacti comederunt, in eos qui propter naturæ neceſſitatem eas eſcas fecerunt, & in eos qui ad hæc vi compulſi ſunt à barbaris, qui idolis non ſacrificarunt. Vnde, ut mihi videtur, nullus eorum ab omni culpa immunis erit. Qui ea enim propter luxum & B delicias comederunt, majoribus pœnis ſubiicientur: Qui propter neceſſitatem, & corporis nutrimentum, & ut qui non poſſint aliter nutriri, minùs punientur. Reliqui quoque propter eſum execrabilem mitiùs punientur, eo quòd ſanctus quoque dicit non grave eſſe idolothyta comedere, quæ ab iis apponuntur qui idolis non ſacrificarunt: non eſt tamen ab omni penitus reprehenſione alienum. Interrogaverit autem quiſpiam cùm xiiij. Canon beati Petri Archiepiſcopi Alexandrini & martyris contineat, eos qui vi tyrannica compulſi idolothyta comederunt, & itidem ſacrificarunt, non puniri, ſed potiùs eſſe etiam in clero, ſi ſint clerici, quomodo decernit præ- C ſens hæc Epiſtola, eos qui idolothyta comederunt, non graviter lædi: ut ex eo appareat, ipſos mediocriter lædi? Solutio. Sanctus martyr Petrus, in xiiij. ſuo Canone, etiam in ipſo immolatorum eſu athletas martyres fuiſſe & teſtimonium præbuiſſe perhibet. Dicit enim quòd etiam ferramentum in os ipſorum injectum eſt, & manus eorum vſtæ ſunt, &, ut ſemel dicam, ad immolatis veſcendum nullo modo conſenſerunt, nec etiam ad idolis ſacrificandum. Præſens autem canonica Epiſtola tractat in principio, captivos quidem appoſita ſibi idolothyta vi comediſſe, ſed non etiam eo ipſo tempore quo comedebant, tyrannica violentia conpulſos fuiſſe, & ideo D vult eos ut qui omnino tyrannorum voluntati ceſſerint, puniri. Exiſtimo autem ego, quòd quemadmodum idolothyta comedere, à barbaris, qui non ſacrificarunt, compulſum, non eſt ab omni reprehenſione liberum, ita nec barbaricum ſtuprum vi perpeſſum eſſe: nam hoc quoque modicè punietur. Etſi enim lex civilis dicit in lib. lx. tit. xxxviij. cap. xij. themate vj. Etiam ea quæ ab hoſtibus eſt adulterata, ac reverſa, à viro (non rite viro) accuſatur, niſi hoc vi paſſa eſt, & hoc modo ei cui vis allata eſt, ignoſcitur, nec id & matrimonium dirimit: Sed lex Eccleſiaſtica, eam quæ omnino à barbaro E polluta eſt, niſi per pænam pura ſit, non ſinet. Lege & ciij. novellam Imperatoris domini Leonis ſapientis, quæ hæc in fine proſequitur: Nullo ergo modo decernimus, eum qui captivitatem non expertus manſit, ad alterius conjunctionem venire, & cætera. Hæc autem novella tollit Juſtiniani cxvij. novellam, quæ ſita eſt in libro xxviij. tit vij. & dicit, nonnunquam ſolvi matrimonium. Verum hæc novella locum habet quando captiva à barbaris non eſt polluta. Si quid autem ejuſmodi factum ſit, locum habent, quæ ſunt in dicto capite lx. libri.

F

ΖΩΝΑΡ. Βαρβάρων ἐπελθόντων χώραις Ῥωμαϊκαῖς, καὶ ληϊσαμένων αὐτὰς, οἱ παρ' αὐτῶν αἰχμαλωτισθέντες, ἐγεύσαντο εἰδωλοθύτων, ἢ καὶ ἄλλων ἀπηγορευμένων βρωμάτων. ἠρωτήθη οὖν περὶ τούτων ὁ ἅγιος, καί φησιν, ὅτι εἰ ἔφαγον οἱ αἰχμάλωτοι τὰ παρὰ τῶν αἰχμαλωτισάντων αὐτοὺς παρατιθέμενα, τοῦτο οὐ βαρεῖ, ἀντὶ τοῦ, οὐ βαρεῖαν ἐμποιεῖ βλάβην· καὶ μᾶλλον ὅτι εἷς λόγος παρὰ πάντων, ἤγουν ὅτι πάντες τὸ αὐτὸ λέγουσιν, ὅτι οἱ τὰ ἡμέτερα καταδραμόντες βάρβαροι εἰδώλοις οὐκ ἔθυσαν, ὥστε οὐδὲ εἰδωλόθυτα ἔφα-

ZONAR. Cum in Romanas regiones barbari irruiſſent, eáſque fuiſſent depopulati, qui ab ipſis captivi ſunt facti, idolothyta, vel alios quoque cibos vetitos deguſtarunt. De iis itaque rogatus fuit vir ſanctus, aitque ſi quæ à dominis ipſis appoſita fuerant captivi comederunt, id non gravare, hoc eſt grave damnum minimè afferre; præſertim quod una apud omnes eſt fama, ſive quod omnes idem hoc affirmant, barbaros qui noſtras regiones incurſionibus vaſtarunt, nequaquam idolis ſacrificaſſe, ut proinde neque captivi idolothyta comederint.

A Profert vero cum ex Apoſtolo, tum ex Euangelio deprompta oracula. Ex Apoſtolo quidem illud, eſca ventri, & venter eſcis, & quæ ſequuntur. Qui ſane locus, de ingluvie, ac helluatione eſt accipiendus: ac eſcæ quidem nomine, ſupervacaneam cibi copiam, luxumque intelligit: per ventrem autem voracitatem, non ipſum ventriculum. Indicat igitur his verbis Apoſtolus, nimiam cibi copiam, & luxum ad helluationem perducere, non ad Deum ferre, luxúmque plerumque vitium helluationis conſequitur, alterúmque alteri deſervit; Deus autem irrita hæc, & caſſa reddet, ut nihil ex ipſis damni cuiquam contingat. Videtur porro hic ſanctus hoc loco uſus Apoſtolicis verbis, ut demonſtraret quæ ob luxum, ac edaci- B tatem fiunt, damnata eſſe, ac pœnis obnoxia, non item ea quæ vi, ac neceſſitate corporis cogente admittuntur. Proinde etiamſi cibos aliquos vetitos captivi comederint, cum ſervi eſſent, ob alterius alimenti inopiam, cibum neceſſario exigente natura, non eſt hoc eouſque grave, ut & criminis loco ducatur. Ex Euangelio autem uſus eſt illis Domini verbis: Non quod intrat per os coinquinat hominem, & ad eandem hæc quoque ſententiam referuntur. Hinc de mulieribus quoque captivis quæ à barbaris corruptæ ſunt diſſerit: itaque pronuntiat, ſiquidem illarum anteacta vita damnata fuerat, eas etiam captivitatis C tempore fornicarius habitus ſuſpectas facit, proindéque haud facile ipſis in precatione communicare oportet, niſi debita videlicet pœnitentiæ tempora expleverint. Eſt porro habitus diuturna, ac tempore confirmata conſuetudo, quæ naturæ ſimilis eſt, ut propterea ejuſmodi mulieres nequaquam vi coactas peccaſſe putandum ſit. Quod ſi priorem vitam caſte, ac citra offenſionem egerunt, tum abductæ in ſervitutem ob captivitatem, ex violentia barbarorum contumeliam paſſæ ſunt, immunes ſunt à culpa; exemplùmque adhibet, quod in Deuteronomii conſtitutionibus refertur, de virgine vim paſſa, quam in ſolitudine quiſpiam violavit: Non erit, inquit, D adoleſcentulæ peccatum mortis.

γον οἱ αἰχμάλωτοι. παρέχει δὲ καὶ ἐκ τοῦ ἀποστόλου χρήσεις καὶ ἐκ τοῦ εὐαγγελίου. ἐκ μὲν τοῦ ἀποστόλου τὸ τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασι· καὶ τὰ ἑξῆς. ὃ δὲ χωρίον περὶ πλησμονῆς λέγει καὶ γαστριμαργίας· καὶ βρώματι μὲν τὰ περιττὰ ὀνομάζει, καὶ τὴν τρυφήν· κοιλίαν δὲ τὴν γαστριμαργίαν, ἀλλ' οὐχὶ τὴν γαστέρα. διὰ δὲ τούτων ὁ ἀπόστολος λέγει, ὅτι ἡ ἀδδηφαγία καὶ ἡ τρυφὴ τῇ γαστριμαργίᾳ ἀνήκει, ἀλλ' οὐ πρὸς Θεὸν φέρει, καὶ τῇ τρυφῇ τὸ τῆς γαστριμαργίας πάθος ᾠκείωται, καὶ θάτερον θατέρῳ δουλεύει. ὁ δὲ Θεὸς ἄπρακτα καὶ ἀργὰ ποιήσει ταῦτα· ὥστε μὴ ἐξ αὐτῶν τινὰς βλάπτεσθαι. ἔοικε δὲ ὁ ἅγιος οὗτος B χρήσασθαι τοῖς ἀποστολικοῖς ῥήμασιν ἐνταῦθα, δεικνὺς ὅτι τὰ κατὰ τρυφὴν καὶ ἀδδηφαγίαν γινόμενα διαβέβληται, καὶ ἐπιτιμίων εἰσὶν ἄξια, οὐ τὰ δι' ἀνάγκην καὶ βίαν σωματικήν· ὥστε κἂν ἔφαγον οἱ αἰχμάλωτοι τινὰ βρώματα τῶν ἀπηγορευμένων δοῦλοι ὄντες δι' ἀπορίαν ἑτέρας τροφῆς, τῆς φύσεως τραφῆναι βιαζομένης, οὐ βαρὺ τοῦτο, ὡς καὶ ἁμάρτημα λογισθῆναι· ἐκ δὲ τοῦ εὐαγγελίου ἐχρήσατο τοῖς τοῦ κυρίου ῥήμασι τοῖς λέγουσιν, ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον, καὶ ταῦτα δὲ πρὸς τὴν εἰρημένην τείνουσιν ἔννοιαν. εἶτα καὶ περὶ γυναικῶν φησὶν αἰχμαλώτων αἷς οἱ βάρβαροι συνεφθάρησαν· καὶ δίδωσι γνώμην, ὅτι εἰ μὲν ὁ πρώην αὐτῶν C βίος κατεγνωσμένος ἦν, ὑπόπτους αὐτὰς ποιεῖ ἡ πορνικὴ ἕξις, καὶ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας, καὶ διὰ τοῦτο προχείρως αὐταῖς οὐ συνεύχεσθαι δεῖ. ἀλλὰ μετὰ τὸ δουλεῦσαι δηλαδὴ ἐπιτιμίοις. ἕξις δ' ἐστὶν, ἡ χρονίσασα συνήθεια, καὶ τῷ χρόνῳ παγιωθεῖσα, ἥτις καὶ φύσει προσέοικεν, ὥστε αἱ μὴν τοιαῦται, οὐχ ἥμαρτον βιασθεῖσαι. εἰ δὲ ὁ πρότερος αὐτῶν βίος σώφρων καὶ ἀνεπίληπτος· δουλωθεῖσαι δὲ διὰ τῆς αἰχμαλωσίας, ἐκ βίας ὑπέμειναν τὴν τῶν βαρβάρων ὕβριν, ἀνέγκλητοί εἰσι. καὶ παραδείγματι κέχρηται, τῇ ἐν τῷ Δευτερονομίῳ θεσμοθεσίᾳ τῇ περὶ τῆς βιασθείσης παρθένου, ἣν ἐν ἐρημίᾳ ὁ βιασάμενος ἔφθειρε, λέγουσι, οὐκ ἔσται τῇ D νεανίδι ἁμάρτημα θανάτου.

Canon II.

Gravis eſt avaritia, nec poſſunt una epiſtola proponi ſcripturæ, in quibus non ſolùm prædari fugiendum horrendúmque prædicatur, ſed plura etiam concupiſcere, & aliena propter turpe lucrum attingere: & quicunque eſt ejuſmodi, is eſt à Dei Eccleſia abdicatus. In tempore autem incurſionis, in tanto luctu tantíſque fletibus, auſos eſſe aliquos tempus quod omnibus exitium afferebat, exiſtimare eſſe ſibi lucri tempus, eſt hominum impio- E *rum & Deo inviſorum, & quorum improbitati nihil poteſt adjici. Unde omnes iſtiuſmodi abdicare viſum eſt, ne fortè in totum populum ira veniat, & in eos primùm qui præſunt, & non inquirunt. Vereor enim, ut ait ſcriptura, ne impius juſtum unà ſecum perdat. Fornicatio enim, inquit, & avaritia, per quæ venit ira Dei in filios inobedientiæ: ne ſitis ergo eorum participes. Fuiſtis enim aliquando tenebræ: nunc autem lux in Domino. Ut filij lucis ambulate (fructus enim lucis eſt in omni bonitate, & juſtitia, & veritate) probantes quod ſit Deo acceptum: & ne communicate infrugiferis operibus tenebrarum, ſed potiùs etiam redarguite. Quæ enim* F *ab ipſis fiunt clanculùm, turpe eſt vel dicere. Omnia autem à luce convicta manifeſtantur. Hæc quidem Apoſtolus. Si autem qui propter priorem plura habendi cupiditatem, quæ in pace fuit, pœnam dant, in ipſo iræ tempore rurſus ad avaritiam convertuntur, lucrifacientes ex ſanguine, & pernicie euerſorum hominum, captivorum, interfectorum, quid aliud expectandum eſt, quàm ut avaritia decertantes iram ſibi & univerſo populo accumulent?*

ΚΑΝΩΝ β'.

Δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς μιᾶς παραθέσθαι τὰ θεῖα γράμματα, ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον, φρικτὸν καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς τοιοῦτος ἐκκήρυκτος ἐκκλησίας Θεοῦ. τὸ δὲ ἐν καιρῷ τῆς καταδρομῆς ἐν τοσαύτῃ οἰμωγῇ καὶ τοσούτοις θρήνοις τολμῆσαί τινας τὸν καιρὸν τὸν πᾶσιν ὄλεθρον φέροντα, νομίσαι ἑαυτοῖς καιρὸν εἶναι κέρδους, E ἀνθρώπων ἐστὶν ἀσεβῶν καὶ θεοστυγῶν, οὐδὲ ὑπερβολὴν ἀτοπίας ἐχόντων. ὅθεν ἔδοξε τοὺς τοιούτους πάντας ἐκκηρύξαι, μήποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ καὶ ἐπ' αὐτοὺς πρῶτον τοὺς προεστῶτας, τοὺς μὴ ἐπιζητοῦντας. φοβοῦμαι γὰρ ὡς ἡ γραφὴ λέγει μὴ συναπολέσῃ ἀσεβὴς τὸν δίκαιον. πορνεία γάρ φησι καὶ πλεονεξία δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ. ὡς τέκνα φωτὸς περιπατεῖτε (ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ) δοκιμάζοντες τί εὐάρεστον τῷ κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς F ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται. τοιαῦτα μὲν ὁ ἀπόστολος. ἐὰν δὲ διὰ τὴν προτέραν πλεονεξίαν τὴν ἐν τῇ εἰρήνῃ γενομένην δίκην τιννύντες, ἐν αὐτῷ τῷ καιρῷ τῆς ὀργῆς πάλιν πρὸς τὴν πλεονεξίαν ἐκτρέπωσι τινὲς, κερδαίνοντες ἐξ αἵματος καὶ ὀλέθρου ἀνθρώπων ἀναστάτων γενομένων ἢ αἰχμαλώτων, πεφονευμένων, τί ἕτερον προσδοκᾶν χρὴ ἢ ὡς ἐπαγωνιζομένους τῇ πλεονεξίᾳ, ἐπισωρεῦσαι ὀργὴν καὶ ἑαυτοῖς καὶ παντὶ τῷ λαῷ;

ΒΑΛΣ. Ἐν τῷ καιρῷ τῆς τῶν βαρβάρων ἐπιδρομῆς, ἥρπασάν τινες τῶν ὀρθοδόξων, τὰ τῆς λεηλασίαν διαφυγόντα τῶν αἰχμαλωτισθέντων πράγματα. περὶ τούτων οὖν ἐρωτηθεὶς ὁ ἅγιος, φησὶν, ὅτι πᾶς πλεονέκτης ἐκκήρυκτος τῆς ἐκκλησίας ἐστὶν, ἀντὶ τοῦ ἀπόβλητος καὶ ἀλλότριος. ἀποκηρύσσεσθαι γὰρ λέγονται οἱ υἱοὶ ὅταν διά τινα αἰτιάματα ἐκ τῆς γονικῆς κληρονομίας ἀλλοτριῶνται. τὸ δὲ ἐν καιρῷ συμφορᾶς τοιαύτης τολμῆσαί τινα τοιοῦτόν τι κακὸν, καὶ λογίσασθαι κέρδους ἀφορμὴν τὴν τῶν ἀδελφῶν συμφορὰν, ἔργον ἐστὶν ἀνθρώπων ἀσεβῶν καὶ ὑπὸ τοῦ Θεοῦ μισουμένων, καὶ πάσης ἀτοπίας ἐπέκεινα. ὅθεν ἔδοξε τοὺς τοιούτους, ἐκκηρύξαι ἀντὶ τοῦ φανερῶς ἐκδιῶξαι τῆς ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν πιστῶν· ἵνα μὴ δι' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ πάντας, καὶ πρὸ τῶν ἄλλων, ἐπὶ τοὺς προεστῶτας, μὴ ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους· εἶτα ἐπάγει καὶ γραφικὰς μαρτυρίας, καὶ περὶ τὸ τέλος ἐπιφέρει· Εἰ δέ τινες διὰ πλεονεξίαν γενομένην παρ' αὐτῶν κατὰ τὸν τῆς εἰρήνης καιρὸν κολασθέντες, πάλιν καὶ εἰς τὴν τῶν βαρβάρων ἔφοδον τὰ αὐτὰ ἥμαρτον, οἱ τοιοῦτοι, φησὶν, οὐ μόνον καθ' ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ ἐφέλκουσιν, ἀλλὰ καὶ κατὰ παντὸς τοῦ λαοῦ. τούτων οὕτως ἐχόντων, σημείωσαι ὅτι καὶ ἀπὸ τῆς παρούσης ἐπιστολῆς ἐφεῖται τοῖς Ἐπισκόποις τὰς τῶν πλεονεκτῶν δυναστείας ἀναστέλλειν διὰ ἐπιτιμίων, καὶ τοὺς μὲν ἁρπάζοντας τὰ ἀπὸ τῆς αἰχμαλωσίας περιλειφθέντα πράγματα τῶν ὀρθοδόξων, διὰ μεγάλων ἐκκλησιαστικῶν σωφρονίζειν κολάσεων. τοὺς δὲ μὴ τοιούτους ἅρπαγας μετριωτέρως ἐπιτιμᾶν· ὥστε ἀπὸ τοιούτων, περὶ τοιούτων ὑποθέσεων καὶ λαϊκοὺς ἐνδυνάμως ἵνα δικάσωσιν οἱ Ἐπίσκοποι. πῶς γὰρ ἐπιτιμήσουσι τούτους τῆς ἀληθείας μὴ ἀναφανείσης πρότερον; τὸ δὲ διὰ πλεονεξίαν ἀποκηρύσσεσθαί τινα ἐκ τῆς κοινωνίας τῶν πιστῶν, μέγα ἐστὶ, καὶ οὐαὶ τοῖς πλεονεκτοῦσιν. ὁ μέντοι πολιτικὸς νόμος τὸν ἁρπάζοντα ἀπὸ ἐμπρησμοῦ ἢ καταπεσούσης οἰκίας, ἔσω μὲν ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν καταδικάζει· μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν. καὶ ἀνάγνωθι τὸ πρῶτον κεφάλ. τοῦ κ'. τίτλου τοῦ ξ'. βιβλίου. παρομοίως δὲ κολάζονται κατὰ τὴν χρηματικὴν ποινὴν, καὶ οἱ ἀπὸ οἰκίας καταπολεμηθείσης ἁρπάζοντες. φησὶ γὰρ τὸ δεύτερον θέμα τοῦ γ'. κεφάλ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου, ταῦτα ῥητῶς· κἂν ἀπὸ οἰκίας ἢ κώμης καταπολεμουμένης ἁρπαγῇ τι, χώρα τῷ νόμῳ.

ΖΩΝΑΡ. Ἐν τῷ καιρῷ τῆς τῶν μαρτύρων λεηλασίας, τινὲς τῶν διαφυγόντων, ἐπῆλθον ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων, καὶ ἥρπαζον τὰ παρὰ τῶν βαρβάρων καταλειφθέντα. περὶ τούτων οὖν ἐρωτηθεὶς ὁ μέγας οὗτος πατὴρ, φησὶν, ὅτι πᾶσα πλεονεξία τῇ θείᾳ γραφῇ ἀπηγόρευται, καὶ οὐ δυνατὸν ἐν μιᾷ ἐπιστολῇ περιλαβεῖν ὅσα περὶ πλεονεξίας ἡ γραφὴ διέξεισι· συντόμως δέ φησιν, ὅτι πᾶς πλεονέκτης, ἐκκήρυκτος τῆς ἐκκλησίας ἐστίν· ἀντὶ τοῦ ἀπόβλητος καὶ ἀλλότριος. ἀποκηρύσσεσθαι γὰρ λέγονται οἱ υἱοὶ, ὅταν δι' αἰτίαμα τῆς γονικῆς κληρονομίας ἐκβάλλωνται, καὶ ἀλλοτριῶνται τῆς συγγενείας. τὸ δὲ ἐν καιρῷ συμφορᾶς, ὅτε ἐθρήνουν οἱ ἄνθρωποι· οἱ μὲν αἰχμαλωτισθέντες· οἱ δὲ διὰ τοὺς οἰκείους εἰς δουλείαν ἀγομένους· οἱ δὲ διὰ τὴν στέρησιν πραγμάτων, τολμῆσαί τινας τὸν τοιοῦτον καιρὸν λογίσασθαι κέρδους καιρὸν, ἀσεβῶν ἐστὶν ἀνθρώπων καὶ θεοστυγῶν· ἤγουν ὑπὸ Θεοῦ μισουμένων καὶ πάσης ἀτοπίας ἐπέκεινα· ὅθεν ἔδοξε τοὺς τοιούτους ἐκκηρύξαι, ἀντὶ τοῦ φανερῶς ἐκδιῶξαι τῆς ἐκκλησίας, καὶ χωρίσαι τοῦ πληρώματος τῶν πιστῶν, ἵνα μὴ δι' αὐτοὺς ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ ἐπὶ πάντας, καὶ πρὸ τῶν ἄλλων ἐπὶ τοὺς προεστῶτας, μὴ ἐπιζητοῦντας καὶ ἐξετάζοντας τοὺς τοιούτους· καὶ γραφικὰς μαρτυρίας παράγει, εἶτα ἐπάγει, ὅτι ἐάν τινες διὰ πλεονεξίαν προλαβοῦσαν, καὶ πρὸ τῆς τῶν βαρβάρων ἐπιδρομῆς γενομένην, δίκην τιννύντες, οὐ μόνον οὐκ ἐσωφρονίσθησαν (τοῦτο δὲ διττὴν ἔννοιαν ὑποβάλλει. ἢ γὰρ δίκην τιννύντες λέγει ἀντὶ τοῦ, τιμωρούμενοι παρὰ τοῦ Θεοῦ, διὰ ἀδικίας προλαβούσας τοὺς βαρβάρους εἰς τιμωρίαν νικήσαντος, ἢ δίκην τιννύντες, ἀντὶ τοῦ δι' ἐπιτιμημάτων ἐπισκόπων κολαζόμενοι διὰ προλαβούσας πλεονεξίας οὐκ ἐσωφρονίσθησαν.) ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς ὀργῆς τοῦ Θεοῦ, δι' ἣν ἐπῆλθον οἱ βάρβαροι, αὐτῆς εἰς πλεονεξίαν ἐκτραπῶσι κερδαίνοντες ἐξ αἵματος ὀλέθρου ἀνθρώπων ἀναστάτων γενο-

A Bals. In tempore incursionis, quidam ex orthodoxis corripuerunt res quæ captivorum deprædationem effugerunt. De his ergo interrogatus Sanctus dicit, quòd quisquis est avarus, est ab Ecclesia abdicatus, id est, ejectus, & alienus. Dicuntur enim abdicati filij quando propter aliqua crimina ab hæreditate paterna alienantur. In tempore autem talis calamitatis audere aliquem facinus ejusmodi, & existimare aliorum calamitatem esse sui lucri occasionem, est impiorum hominum & Deo invisorum & qui omnem improbitatem superant. Unde visum est eos abdicare, pro eo quod est, apertè Ecclesia expellere, & à fidelium multitudine B separare: ne propter ipsos Dei ira in omnes veniat, & ante alios in eos qui præsunt, qui ejusmodi homines non inquirunt, & examinant. Deinde subjungit etiam testimonia scripturæ, & circa finem infert: Si qui autem propter suam avaritiam, quæ fuit tempore pacis, puniti, in barbarorum iterum incursione eadem peccaverint, ij, inquit, non solùm Dei iram in se attrahent, sed etiam adversus omnem populum. Hæc cùm ita se habeant, nota ex hac præsenti epistola, quòd Episcopis permittitur avarorum pluráque habendi cupidorum potentiam pœnis impositis coërcere: & eos quidem, qui, quæ ex captivitate relicta sunt fidelibus, rapiunt, magnis Ecclesiasticis animadversionibus castigare: qui non sunt autem ejus- C modi rapaces, mediocriter punire. Quamobrem ex his de ejusmodi causis Laicos quoque Episcopi ritè judicent. Quomodo enim eos punient si non prius veritas apparuerit? Propter avaritiam autem à fidelium communione aliquem abdicari, magnum est, & væ avaris. Lex verò civilis, eum qui rapit ex incendio vel ex ruina ædium, intra annum quidem in quadruplum condemnat: post annum autem in simplum: & lege primum cap. xx. tit. lx. lib. Similiter autem puniuntur in pœna pecuniaria, qui ab expugnata domo rapiunt. Dicit enim secundum thema cap. iii. ejusdem tituli & libri hæc expresse: Si à D domo vel vico qui oppugnatur raptum quid fuerit, legi locus est.

Zonar. Qua tempestate in martyres populatio exercebatur, nonnulli ex iis qui effugerant, captivorum invasêre domos, quæque à barbaris relicta fuerant, diripuêre. De his itaque rogatus hic magnus Pater, omnem avaritiam asserit divinis literis interdictam, nec fieri posse, ut quæcunque sacræ paginæ de avaritia disserunt, una epistola comprehendantur. Breviter autem ait avarum quemlibet esse ab Ecclesia abdicatum; hoc est eje- E ctum, & alienum. Abdicari namque dicuntur filii, cum ob aliquod crimen à paterna hereditate ejiciuntur, omnique cognationis jure privati censentur. Porro calamitatis tempore, cum in luctu homines versarentur; alii quidem captivi ipsimet facti; alii verò ob consanguineos in servitutem abductos; alii denique ob rerum suarum jacturam, ausos fuisse quosdam ejusmodi tempus, lucri sibi occasionem ducere, hominum est impiorum, & Deo invisorum, sive Deo exosorum, quodque omnem superat pravitatem. Placuit itaque ejusmodi homines abdicare, hoc est palam extrudere ab Ecclesia, atque à fidelium multitudine segregare, ne propter ipsos ira Dei in F omnes descendat, præcipuéque in eos qui præsunt, nec in ejusmodi homines inquirunt, aut vindicant. Mox scripturæ testimonia profert, additque, si qui ob exacti temporis avaritiam, & quam ante incursionem barbarorum exercuerant, pœnas persolventes, non modo non resipuerunt (Hoc vero duplicem sensum admittit, aut enim pœnas persolventes intelligit ob supplicium à Deo inflictum, qui ad vindicandum superioris temporis injuriam immiserit barbaros, aut solventes pœnas, hoc est, Episcopalibus mulctis ob superiorem avaritiam castigati minime resipuerunt) quin potius ipsomet tempore divinæ iracundiæ, ob quam irruere barbari, ipsi se ad avaritiam converterunt, lucrum sibi comparantes ex sanguine & pernicie hominum quorum eversæ fortunæ sunt, vel captivorum qui sunt interfecti; Ut autem illud explicaret, lucrum sibi comparantes ex sanguine, subjecit quæ mox sequuntur: vel enim, inquit, hominum qui in servitutem abducti sunt, quod est pernicies, vel interfectorum hominum bona diripiunt. Quid aliud sperandum est, nisi propter avaritiam, sibiipsis, ac universo populo iram accumulare? hoc est, sibiipsis & populo Dei iracundiam conciliare: atque exemplum ex antiqua historia adducit, in quo ob unius peccatum plures supplicio affecti sunt.

Canon III.

Annon ecce Achar Zare filius in eo quod Deo dedicatum erat, peccavit, & in omnem Israël synagogam ira pervenit? Atque hic unus solus peccavit, sed non solus in suo peccato est mortuus. Nobis autem quicquid non nostrum, sed alienum est, hoc tempore lucrum, Deo dedicatum esse existimandum est. Nam & ille quidem Achar ex præda accepit, & ipsi nunc ex præda accipiunt. Ac ille quidem, ea quæ erant hostium: qui verò nunc sunt, ea quæ sunt fratrum, pernicioso lucro lucrifacientes.

Bals. Cùm dixisset Sanctus à fidelibus abdicari eos qui rapiunt quæ ad captivos pertinent, & ex barbarica præda relicta fuerunt: & quòd propter eos qui sic sæpe lapsi & minimè correpti sunt, in populum quoque ira Dei accumulata sit, ad eorum confirmationem inducit Achar historiam in libro Jesu Nave descriptam. Narrat enim quòd cùm Jesus pronunciâsset omnia Deo esse dedicata spolia, quæ ex Hierico capta essent, Achar postquam urbs Hierico capta esset, aurea lingua & aliqua veste surrepta, ea infodit in suo tentorio. Cùm autem Deus propterea succensuisset, in eo bello Israëlitæ victi sunt. Quia autem non manifesta erat ira Dei, missa est sors, & cecidit super Achar. Ille autem interrogatus, furtum confessus est, & quæ surrepta sunt, protulit; & lapidibus obrutus est ipse, & omnes sui, & animalia, & tota ejus supellex. Et dicit, Ecce unus peccavit, & ex eo quod Deo dedicatum est, sustulit, & propter illius peccatum, multi perierunt in bello, ex synagoga, seu cœtu Israëlitarum: & rursus ultio facta est, non in illum solùm, sed in omnes suos. Eis autem qui fortasse dixerant, esse differentiam eorum quæ Deo dedicata fuerant, & eorum quæ ad privatos aliquos pertinent, resistit Sanctus; & ostendit hanc rapinam esse illa avaritia deteriorem: & quòd eo tempore quo prædæ ab hostibus aguntur, res fratrum relictæ, tanquam Deo dedicatæ reputantur: & quòd, quamvis æqualitatem habeant, quæ ab Achar direpta fuêre, & quæ ab eis rapta sunt, propterea quod & utraque ex prædatione vel captivitate comparata sunt, eorum tamen culpa major est. Achar enim res hostium abstulit: ii autem quos plura habendi libido nunc invasit, bona fratrum rapuerunt, eorum calamitatem lucrum perniciosum rati. Nota præsentem Canonem propter eos qui res Ecclesiarum & monasteriorum rapiunt, &, ut semel dicam, propter eos qui quæ sunt Deo dedicata, tanquam propria vendicant.

Zonar. Scriptum est in libro Jesu Nave, quòd cum obsideret Jesus Hierico, quæcunque in illa erant, Deo dedicata pronunciavit. Expugnata autem urbe, Achar sublato auro, ac quodam indumento, illa in suo tabernaculo defodit. Quam ob causam irato Deo, victi sunt in bello post hæc Israëlitæ, multique cecidêre. Porro cum divinæ iracundiæ causa quæreretur, missis sortibus Achar est designatus: ac is quæstione habita furtum confessus est, eaque quæ furatus fuerat protulit: ipseque cum uxore & liberis, ejusque tabernaculum, & jumenta

A μένων, ἢ αἰχμαλώτων πεφονευμένων· τὸ δὲ ἐξ αἵματος κερδαίνοντες ἑρμηνεύων, ἐπήγαγε τὰ ἑξῆς· ἢ γὰρ, φησὶν, ἀνθρώπων εἰς αἰχμαλωσίαν ἀπαγομένων, ὅπερ ὄλεθρός ἐστιν, ἢ ἀναιρεθέντων ἀνθρώπων πράγματα διαρπάζουσι. τί ἄλλο χρὴ ἐλπίζειν, ἢ διὰ τὴν πλεονεξίαν ἐπισωρεῦσαι ὀργὴν ἑαυτοῖς, καὶ παντὶ τῷ λαῷ; ἤγουν ἑλκύσαι τὴν τοῦ Θεοῦ ἐφ' ἑαυτοὺς καὶ ἐπὶ τὸν λαόν· καὶ ἐξ ἱστορίας δὲ παλαιᾶς ὑπόδειγμα παρατίθησιν, ὅτι ἑνὸς ἁμαρτήσαντος πολλοὶ ἐκολάσθησαν.

B

ΚΑΝΩΝ γʹ.

Οὐκ ἰδοὺ Ἀχαρ ὁ τοῦ Ζαρᾶ πλημμελείᾳ ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθέματος, καὶ ἐπὶ πᾶσαν συναγωγὴν Ἰσραὴλ ἐγενήθη ἡ ὀργή; καὶ εἷς μόνος οὗτος ἥμαρτε, μὴ μόνος ἀπέθανεν ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ. ἡμῖν δὲ πᾶν τὸ μὴ ἡμέτερον ἀλλὰ ἀλλότριον, τῷ καιρῷ τούτῳ κέρδος, ἀνάθεμα νενομίσθαι προσήκει. κἀκεῖνος μὲν γὰρ ὁ Ἀχαρ, ἐκ τῆς προνομῆς ἔλαβε· καὶ αὐτοὶ νῦν ἐκ προνομῆς· κἀκεῖνος μὲν τὰ τῶν πολεμίων· οἱ δὲ νῦν, τὰ τῶν ἀδελφῶν, κερδαίνοντες ὀλέθριον κέρδος.

C **ΒΑΛΣ.** Εἰπὼν ὁ ἅγιος ἀποκηρύττεσθαι ἐκ τῶν πιστῶν τοὺς ἁρπάσαντας τὰ τοῖς αἰχμαλωτισθεῖσι διαφέροντα, καὶ ἀπὸ τῆς βαρβαρικῆς λεηλασίας περιλειφθέντα, καὶ ὅτι διὰ τοὺς οὕτω πολλάκις πταίσαντας καὶ μὴ διορθωθέντας, καὶ εἰς τὸν λαὸν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπισωρευθῇ, ἐπιφέρει πρὸς κατασκευὴν τούτων τὴν ἐν τῇ βίβλῳ τοῦ Ἰησοῦ τοῦ Ναυῆ γεγραμμένην ἱστορίαν περὶ τοῦ Ἀχαρ. ἱστορεῖται γὰρ ὡς τοῦ Ἰησοῦ ἐπαγγειλαμένου ἀνατεθειμένα εἶναι τῷ Θεῷ πάντα τὰ ἀπὸ τῆς Ἱεριχοῦντος σκυλευθησόμενα, ὁ Ἀχαρ μετὰ τὴν ἅλωσιν τῆς πόλεως Ἱεριχοῦντος, γλῶτταν χρυσῆν καὶ ὕφασμά τι ὑφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ. ὀργισθέντος δὲ τοῦ Θεοῦ διὰ τοῦτο, ἡττήθησαν ἐν D τῷ πολέμῳ οἱ Ἰσραηλῖται. ὅτι δὲ ἄδηλος ἦν ἡ αἰτία τῆς ὀργῆς τοῦ Θεοῦ, γέγονε κλῆρος, καὶ ἔπεσεν ἐπὶ τὸν Ἀχαρ. κἀκεῖνος ἀνακρινόμενος, ὡμολόγησε τὸ κλέμμα καὶ τὰ κλαπέντα προσήνεγκε· καὶ ἐλιθοβολήθη αὐτός τε καὶ πάντες οἱ περὶ αὐτὸν, καὶ τὰ ζῶα, καὶ πᾶσα ἡ ὑποσκευὴ αὐτοῦ. καὶ, φησὶν, ἰδοὺ εἷς ἥμαρτε, καὶ ὑφείλετο ἀπὸ τοῦ ἀναθέματος τοῦ Θεῷ, καὶ διὰ τὴν ἁμαρτίαν ἐκείνου, ἀπώλοντο ἐν τῷ πολέμῳ πολλοὶ ἐκ τῆς συναγωγῆς τῶν Ἰσραηλιτῶν· καὶ αὖθις ἡ ἐκδίκησις γέγονεν οὐκ εἰς ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἐκείνου. πρὸς δὲ τὸν ἴσως εἰπόντα διαφορὰν εἶναι τῶν ἀνατεθειμένων τῷ Θεῷ, καὶ τῶν διαφερόντων ἰδιώταις, ἀντικαθίσταται E ὁ ἅγιος, καὶ κατασκευάζει χείρονα ἐκείνης τῆς πλεονεξίας εἶναι τὴν παροῦσαν ἁρπαγήν· ὅτι τε τὰ ἐν τῷ καιρῷ τῆς λεηλασίας τῶν βαρβάρων περιλειφθέντα πράγματα τῶν ἀδελφῶν, ὡς ἀνατεθειμένα τῷ Θεῷ λογίζονται· καὶ ὅτι κἂν ἰσότητα ἔχωσι τὰ παρὰ τοῦ Ἀχαρ ἀποσυληθέντα καὶ τὰ παρὰ τούτων ἁρπαγέντα, διὰ τὸ ἐκ προνομῆς ἤτοι αἰχμαλωσίας καὶ ἀμφότερα ἀποκερδανθῆναι, ἀλλ' ἡ ἐκ τούτων αἰτία μείζων ἐστίν. ὁ μὲν γὰρ Ἀχαρ τὰ τῶν πολεμίων ὑφείλετο, οἱ δὲ νῦν πλεονεκτήσαντες, τὰ τῶν ἀδελφῶν ἥρπαζον, τὴν συμφορὰν τούτων, κέρδος ὀλέθριον ἡγησάμενοι. σημείωσαι τὰ παρόντα διὰ τοὺς ἁρπάζοντας τὰ τῶν ἐκκλησιῶν καὶ τὰ τῶν μοναστηρίων, F καὶ ἁπλῶς διὰ τοὺς ἰδιουμένους πάντα τὰ ἀνατεθειμένα τῷ Θεῷ.

ΖΩΝΑΡ. Ἐν τῇ βίβλῳ Ἰησοῦ τοῦ Ναυῆ γέγραπται, ὅτε πολυορκῶν ὁ Ἰησοῦς οὗτος τὴν Ἱεριχὼ, πάντα τὰ ἐν αὐτῇ ἀνάθεμα ἐπηγγείλατο εἶναι Θεῷ· ἑαλωκυίας δὲ τῆς πόλεως, ὁ Ἀχαρ χρυσὸν, καί τι ὕφασμα ἀφελόμενος, κατέχωσεν αὐτὰ ἐν τῇ σκηνῇ αὐτοῦ. ὀργισθέντος δὲ τοῦ Θεοῦ, διὰ τοῦτο ἡττήθησαν μετὰ ταῦτα ἐν πολέμῳ οἱ Ἰσραηλῖται, καὶ ἔπεσον πολλοί· ζητουμένου δὲ τοῦ αἰτίου τῆς τοῦ Θεοῦ ὀργῆς, ὁ κλῆρος ἐπὶ τοῦ Ἀχαρ ἔπεσε· κἀκεῖνος ἀνακρινόμενος ὡμολόγησε τὸ κλέμμα, καὶ τὰ κλαπέντα προσήνεγκε· καὶ ἐλιθοβολήθη αὐτὸς καὶ ἡ γυνὴ, καὶ

οἱ παῖδες αὐτοῦ, καὶ ἡ σκηνή, καὶ τὰ ζῶα. ἰδοὺ οὖν, φησίν, εἷς ἥμαρτε, καὶ ἀπώλοντο ἐν τῷ πολέμῳ Ἰσραηλῖται πολλοί· οἱ ἐκεῖνοι πάντες. εἶτα καὶ ἐξαίρει ὁ μέγας οὗτος πατὴρ τὴν τότε πλεονεξίαν. καὶ χείρονα εἶναι κατασκευάζει ἁμαρτίαν παρὰ τὴν τοῦ Αχαρ, συγκρίνων ἄμφω. καὶ γὰρ ὁ Αχαρ, φησίν, ἐκ προνομῆς ἔλαβεν ἃ ὑφείλετο· καὶ οὗτοι ὁμοίως ἐκ προνομῆς, ἀλλ' ἐκεῖνος μὲν τὰ τῶν πολεμίων ἔλαβεν· οὗτοι δὲ τὰ τῶν ἀδελφῶν, ὅπερ μεῖζον ποιεῖ τὸ κακόν· εἶτα ἐπιφέρει ὡς τινῶν λεγόντων ὅτι εὕρομεν ταῦτα ἐρριμμένα τυχόν, μή τινος ἀντιποιουμένου αὐτῶν, καὶ οὐδὲ ᾔδειμεν τίνων ἦσαν, καὶ ἀντιτίθησιν αὐτοῖς τὰ τοῦ Δευτερονομίου καὶ τὰ τῆς Ἐξόδου· καί φησι· πρὸς τοὺς λέγοντας τὰ εἰρημένα φησὶν ὁ πατήρ.

A lapidibus obruta sunt. Ecce igitur, inquit, unus peccavit, perieruntque in bello Israëlitæ multi, ac illi omnes. Amplificat porro hic magnus Pater illius temporis avaritiam, ac utrumque comparans, crimen hoc gravius, quàm quod ab Achar admissum est demonstrat. Ex præda siquidem, inquit, Achar ea sustulit quæ furatus est, ac isti pariter ex præda: Cæterum ille res hostium rapuit, hi vero fratrum, quod gravius malum efficit. Infert deinde quippe dicentibus quibusdam se hæc invenisse, projecta, cùm nemo forte illa sibi assereret, neque quorum essent novisse, ac ipsis quæ in Deuteronomio, & Exodo habentur opponit, ac dicit: eis qui ejusmodi lo-
B quebantur sic ait Pater.

ΚΑΝΩΝ δ'.

Μηδεὶς ἐξαπατάτω ἑαυτόν, μήτε ὡς εὑρών. οὔτε γὰρ εὑρόντα κερδαίνειν ἔξεστι. φησὶ γὰρ τὸ Δευτερονόμιον, μή, ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου καὶ τὸ πρόβατον πλανώμενα ἐν τῇ ὁδῷ, παρίδῃς αὐτά, ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου. ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σέ, μηδὲ ἐπίστασαι αὐτόν, συνάξεις αὐτά, καὶ ἔσται μετὰ σοῦ, ἕως ἂν ἐκζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτά. καὶ οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις μετὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅσα ἂν ἀπόληται παρ' αὐτοῦ, καὶ εὑρήσῃς αὐτά. ταῦτα τὸ Δευτερονόμιον. ἐν δὲ τῇ Ἐξόδῳ, οὐ μόνον ἐὰν τὰ τοῦ ἀδελφοῦ τις εὕρῃ, ἀλλὰ καὶ ἐχθροῦ, ἀποστροφῇ φησιν, ἀποστρέψεις αὐτὰ εἰς τὸν οἶκον τοῦ κυρίου αὐτῶν. εἰ δὲ ἐν εἰρήνῃ ῥᾳθυμοῦντος καὶ τρυφῶντος καὶ τῶν ἰδίων ἀμελοῦντος ἀδελφοῦ ἢ ἐχθροῦ, κερδᾶναι οὐκ ἔξεστιν, πόσῳ μᾶλλον δυστυχοῦντος καὶ πολεμίους φεύγοντος, καὶ κατ' ἀνάγκην τὰ ἴδια ἐγκαταλιπόντος;

CANON IV.

Nemo seipsum seducat, neque tanquam invenerit: neque enim fas est ei qui invenit, lucrifacere. Dicit enim Deuteronomium: Viso fratris tui vitulo, & ove errante in via, ea ne despexeris, sed ea restitutione restitues fratri tuo. Sin autem frater tuus ad te non approximet, neque ipsum noveris, coges ea, & apud te erunt donec ea frater tuus quæsierit, & reddes ea: & sic facies de ejus asino, & sic facies de ejus veste: & sic fa-
C *cies post omnem perditionem fratris, quæcunque ipsi perierint, & tu ea inveneris. Hæc Deuteronomium. In Exodo autem, non solùm si quis res fratris, sed etiam inimici invenerit, restitutione, inquit, restitues ipsa domui domini ipsorum. Si autem ab eo qui in pace, & in ocio delicatè vitam transigit, sive frater sit, sive inimicus, non licet lucrari, quanto magis ab eo qui rebus adversis premitur, & hostes fugit, & necessitate coactus propria relinquit?*

ΒΑΛΣ. Εἰκὸς ἦν εἰπεῖν τινας ὅτι οὐχ ἡρπάσαμεν τὰ τῶν αἰχμαλωτισθέντων ἀδελφῶν, ἀλλ' εὕρομεν αὐτὰ ἐρριμμένα, καὶ οὐκ ᾔδειμεν τίνων ἦσαν, καὶ διὰ τοῦτο ἀκαταιτίατοι νομιζόμεθα. πρὸς γοῦν τούτους ἀντιτίθησιν ὁ ἅγιος τὰ τοῦ Δευτερονομίου καὶ τὰ τῆς Ἐξόδου, καί φησιν, ὡς κἂν ἐρριμμένα καὶ ἀνεπιμέλητα καὶ ἐν καιρῷ τοιούτῳ εὑρήσῃ τις πράγματα, ἀγνοῇ δὲ καὶ τὸν δεσπότην αὐτῶν, οὐδὲ οὕτως ἐκχωρεῖται κερδᾶναι αὐτά. χρεωστεῖ γὰρ φυλάξαι αὐτά, ἕως ἂν ὁ κύριος αὐτῶν γνῷ καὶ ζητήσῃ αὐτά. εἶτα προσεπάγει ὅτι ἐὰν κατὰ τὴν Μωσαϊκὴν νομοθεσίαν, οὐκ ἔξεστι τινὶ ἰδιοῦσθαι τὰ ἑτέροις ἀνήκοντα πράγματα, κἂν φίλοι ὦσιν οὗτοι, κἂν ἐχθροί, κἂν ἀνεπιμέλητα ὦσι, καὶ ταῦτα ἐν καιρῷ εἰρήνης, ἀλλὰ ἀναγκάζεται ἀποκαθιστᾶν αὐτὰ πρὸς τοὺς δεσπότας τούτων καὶ τρυφῶντας, καὶ μηδὲ ἐπιστρεφομένους τῆς τῶν ἰδίων εὑρέσεως· πόσῳ μᾶλλον ὀφείλει ὁ εὑρὼν ἀδελφοῦ δυστυχοῦντος καὶ αἰχμαλωτισθέντος ἢ καὶ φεύγοντος τοὺς βαρβάρους, πράγματα, καὶ κατὰ τοσαύτην ἀνάγκην ἀτημέλητα καταλιπόντος τὰ οἰκεῖα, ἀποκαθιστᾶν αὐτὰ πρὸς τὸ μέρος τοῦ οὕτω δυσπραγήσαντος ἀνθρώπου; καὶ ὁ μὲν ἅγιος ταῦτα ἐθέσπισε· καὶ ἐφεξῆς διδάσκει πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἵ τε ἁρπάσαντες τὰ τοιαῦτα πράγματα, καὶ οἱ μὴ ἁρπάζοντες, ἀλλὰ εὑρόντες· πρὸς δὲ καὶ οἱ μετὰ τὴν εὕρεσιν μὴ ἀποκαθιστῶντες αὐτά. ὁ δὲ πολιτικὸς νόμος, φησίν, ἐν θέματι ε'. τοῦ μγ'. κεφαλαίου τοῦ ιβ'. τίτλου τοῦ ξ'. βιβλίου ταῦτα ῥητῶς, ὁ τὸ ἀλλότριον πρᾶγμα ἐρριμμένον λαμβάνων ἐπὶ τῷ κερδᾶναι κἂν ἀγνοεῖ τίνος ἐστίν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ· εἰ μὴ ἄρα ἀπρονόητον ὁ δεσπότης εἴασεν αὐτό· τότε γὰρ κἂν ὡς κλέπτων αὐτὸ ἔλαβεν, ἐπειδὴ ἐπαύσατο αὐτοῦ εἶναι, οὐχ ὑπόκειται. κλοπὴ γὰρ οὐ γίνεται μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου. εἰ δὲ τὸ μὴ ὂν ἀπρονόητον ἐνόμισεν ἀπρονόητον, οὐκ ἔστι κλέπτης. εἰ δὲ μὴ ἦν ἀπρονόητον, μήτε ἐνόμισεν, ἔλαβε δέ, ἐπὶ τῷ δοῦναι τῷ εὑρισκομένῳ δεσπότῃ, οὐχ ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρετρα λάβῃ. ὡσαύτως καὶ τὸ ξα'. κεφ. τοῦ γ'. τίτλου τοῦ ν'. βιβλίου οὕτω διαλαμ-

BALS. Est verisimile dixisse aliquos se non rapuis-
D se res fratrum suorum captivorum: sed eas, inquiebant, disjectas invenimus, nec sciebamus cujusnam erant, & propterea nulla in nos cadit reprehensio: Adversus eos ergo opponit sanctus Deuteronomium & Exodum: & dicit, quòd etiamsi disjectas neglectuique habitas eo tempore res invenerit, ipsarum autem dominum ignoraverit, ne sic quidem eas lucrari permittitur. Debet enim eas servare: donec earum dominus illas cognoverit, & quæsierit. Deinde infert, Quòd si lege Mosaica nulli licet, ea quæ ad alios pertinent, tanquam sua sibi propria ascribere, sive ii sint amici, sive inimici, etiamsi tempore pacis neglectui habita sint, sed cogetur ea Do-
E minis ipsorum restituere, quamvis luxuriosè & delicatè vivant, nec proprias res invenire curent: quanto magis debet is qui res invenit fratris adversâ fortunâ utentis, & in captivitatem abducti, vel barbaros fugientis, & qui in tanta necessitate sua neglecta reliquit, eas tam infortunato homini restituere? Atque hæc quidem sanctus describit: & docet deinceps quomodo puniri debeant, & qui res eas rapuerunt, & qui non rapuerunt, sed invenerunt, & qui postquam invenerunt eas non restituerunt. Lex autem civilis hæc expressè dicit in themate v. cap. xliij. tit. xij. lib. lx. Qui rem alienam abjectam accipit, ut eam lu-
F cretur, etiamsi ignorat cujus sit, est furti actioni obnoxius: nisi forte dominus eam ita reliquerit, ut cujus nullam curam gerat. Tunc enim etiamsi ut ea furans ceperit, quoniam ipsius esse desiit, furti non tenetur. Non enim fit furtum, nisi sit cui furtum fiat. Si autem quod non est pro derelicto habitum, pro derelicto esse habitum existimavit, non est fur: si autem nec pro derelicto habebatur, nec pro derelicto haberi existimavit, accepit autem ut domino invento redderet, actione furti non tenetur, etiamsi pro inventione pretium acceperit

rit. Similiter & lxj. cap. iij. tit. l. lib. ſic habet: Si quis abſentis rem vacantem detinuiſſet, non tenebatur olim vel interdicto de vi, vel interdicto, quod vi aut clam, niſi utique rei vendicatione, quatenus is qui abſens erat dominus. Nos ergo volumus eum ut qui ſit poſſeſſor, generali de vi interdicto teneri. Eſt enim ridiculum dicere quòd proprium exiſtimabant id quod eſt alienum: quemadmodum & de furti in duplum actione diximus, quòd qui præter domini ſententiam ac voluntatem contrectat, furtum committit. Hæc autem dicimus niſi xxx. annorum ſpatium præterierit, ex quo poſſeſſionem apprehendit. Nota quæ hic de captivorum rebus ſcripta ſunt. Lege etiam lib. xxxiv. tit. 1. cap. xvii. dicens, Receptos ab hoſtibus agros, qui priùs erant domini recipiunt, non enim loco prædæ ſunt, neque publicantur. Qui ex hoſtibus enim rapiuntur, non fiunt publici. Nota ergo quod etiam & canonibus, & legibus, non ſolùm qui captivorum res deprædantur, & diripiunt, puniuntur & tenentur, ſed etiam iis qui rem immobilem vacantem inveniſſe ſe dicunt, & non ſtatim rem aperiunt, & eam nomine domini poſſident, ſecundùm legem quidem Eccleſiaſticam eis pœnitentia injungetur, ſecundùm civilem autem vel ut fures puniuntur, ſi res erit mobilis: vel interdicto de vi, ſi erit immobilis. Quando autem, quod inventum neglectum eſt, quod à legibus pro derelictum nuncupatur, non ſimiliter punitur, qui id detinuit. Sed ſi ſit quidem res mobilis, cogitur eam domino reſtituere, & ſolum niſi ejus dominium aſſequutus ſit, ut bonæ fidei poſſeſſor, intra triennium: Si autem illud immobile, quod pro derelicto detentum eſt, niſi ejus factus ſit dominus, intra decennium. Vacantis autem, & ejus quod pro derelicto habetur magna eſt differentia. Quod enim vacat, animo poſſidemus, etiamſi id naturaliter non poſſidemus. Quod autem pro derelicto, nec civiliter, nec naturaliter poſſidemus, & ideo à bonæ fidei poſſeſſore ejus dominium acquiritur: Hæc autem locum non habent in iis quæ ad captivos pertinent: & ideo qui ea detinent, & non reſtituunt, ut ſuperiùs dictum, citra ullam diſtinctionem, & tenentur, & puniuntur.

ZONAR. Ne quiſpiam ſeipſum ſeducat, quaſi rem fratris projectam fortaſſe, planéque neglectam invenerit. Nam etſi ita inveniat ipſam lucrari haud fas eſt, ſibique rem alienam vindicare, etiamſi forte ignoret Dominum; ſed illam ſumere oportet, ac uſque illam Dominus norit, ac requirat ſervare. Tum Deuteronomii, ac Exodi locos profert, ita diſſerens; ſi pacis tempore frater tuus, aut inimicus tuus ex negligentia rem ſuam perdat, haud fas eſt ſi eam inveneris, tibi propriam vindicare, ſed ei qui perdidit ſervari antiqua lex jubet, quanto magis ſi res inveneris fratris tui qui aufugit, aut in ſervitutem abductus eſt, ab ipſo relictas, ſervare illas ac infortuniis preſſo reddere oportebit?

CANON V.

Alii autem ſcipſos ſeducunt, pro propriis quæ perierunt, aliena quæ invenerunt, detinentes. Ut quoniam Boradi & Gotthi eis hoſtilia fecerunt, ipſi ſint aliis Boradi & Gotthi. Propterea ergo fratrem & conſenem noſtrum Euphroſynum ad vos miſimus: ut ſecundùm formam quæ hic eſt, & ipſe det ſimiliter, & quorum accuſationes admittere oporteat, & quos à precibus abdicare.

BALS. Poſtquam ſanctus, quæ erant conſentanea, reſpondit iis qui dicebant, ſe ut disjectas & neglectui habitas res captivorum inveniſſe, & propterea ea ſibi vendicaſſe: nunc iis reſpondet, qui, quæ ad captivos pertinebant, pro iis quæ ſibi ab hoſtibus priùs ablata fuerant, vendicabant. Dicit enim & hoc eſſe fraudem, &

A βάνῃ· ἐάν τις ἀπόντος πρᾶγμα κατέχῃ σχολάζον, οὐκ ἐνήγετο τὸ παλαιὸν ἢ τῷ περὶ βίας παραγγέλματι, ἢ τῷ, ὅπερ βίᾳ ἢ λάθρᾳ, εἰ μὴ ἄρα τῇ κατ' ἰδίαν ἐκδικήσει ἀγωγῇ, ἐν ᾧ δεσπότης ἦν ὁ ἀπών. ἡμεῖς οὖν ὡς νομέα ὄντα, βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῷ παραγγέλματι· γελοῖον γάρ ἐστι τὸ λέγειν, ὅτι ἐνόμιζον ἴδιον τὸ ἀλλότριον· ὥσπερ οὖν καὶ ἐπὶ τῆς περικλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῆς, εἴπομεν ὅτε ὁ παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν, κλοπὴν ἁμαρτάνει. ταῦτα δέ φαμεν ἐὰν μὴ τριακονταετία παρῆλθεν ἐξ οὗ τῆς νομῆς ἐπελάβετο. σημείωσαι τὰ ἐνταῦθα γεγραμμένα περὶ τῶν πραγμάτων τῶν αἰχμαλώτων. ἀνάγνωθι καὶ B βιβλ. λδ΄. τίτ. α΄. κεφ. ιζ΄. λέγον, τοὺς ἀναληφθέντας παρὰ τῶν πολεμίων ἀγροὺς, οἱ πρώην ἀναλαμβάνουσι δεσπόται· οὐ γὰρ ἐν τάξει πραίδας εἰσὶν οὐδὲ δημόσιοι γίνονται. οὐ γὰρ τῶν πολεμίων λαμβανόμενοι, γίνονται δημόσιοι. σημείωσαι οὖν ὅτι καὶ ἀπὸ τῶν κανόνων καὶ ἀπὸ τῶν νόμων, οὐ μόνοι οἱ τὰ τῶν αἰχμαλωτισθέντων ἀποσυλῶντες ἢ ἁρπάζοντες κολάζονται καὶ ἐνέχονται, ἀλλὰ καὶ οἱ εὕρεμά τι ἢ ἀκίνητον σχολάζον λέγοντες ἐφευρεῖν, καὶ μὴ αὐτίκα τὸ πρᾶγμα κατάδηλον ποιούμενοι, καὶ φυλάττοντες αὐτὸ εἰς ὄνομα τοῦ δεσπότου, κατὰ μὲν τὸν ἐκκλησιαστικὸν νόμον, ἐπιτιμηθήσονται· κατὰ δὲ τὸν πολιτικὸν, ἢ ὡς κλέπται τιμωρηθήσονται, C ἐὰν ἐστὶ τὸ πρᾶγμα κινητὸν, ἢ τῷ περὶ βίας παραγγέλματι, ἐὰν ἐστὶν ἀκίνητον. ὅταν δὲ ἀπρονόητόν ἐστι τὸ εὑρεθὲν, τὸ παρὰ τοῖς νόμοις καλούμενον προδερέλικτον οὐ κολάζεται παρομοίως ὁ τοῦτο κατασχών· ἀλλ' εἰ μὲν κινητόν ἐστιν, ἀναγκάζεται αὐτὸ, ἀποδοῦναι, καὶ μόνον, εἰ μὴ ἐδεσπόσεν αὐτὸ, ὡς καλῇ πίστει νομεὺς, ἐντὸς τριετίας. εἰ δὲ ἀκίνητον, αὐτὸ ἐκεῖνο τὸ κατασχεθὲν ὡς προδερέλικτον, εἰ μὴ γέγονε τούτου δεσπότης, ἐντὸς δεκαετίας. σχολάζοντος δὲ καὶ ἀπρονοήτου μεγάλη διαφορά. τὸ μὲν γὰρ σχολάζον, ψυχῇ νεμόμεθα κἂν φυσικῶς αὐτὸ οὐ κατέχομεν. τὸ δὲ προδερέλικτον οὐδὲ νομίμως οὐδὲ φυσικῶς κατέχομεν, D καὶ διὰ τοῦτο δεσπόζεται παρὰ τοῦ καλῇ πίστει νεμηθέντος αὐτό. ταῦτα δὲ χώραν οὐκ ἔχουσιν ἐπὶ τῶν ἀνηκόντων τοῖς αἰχμαλωτισθεῖσι. καὶ διὰ τοῦτο οἱ κατέχοντες αὐτὰ καὶ μὴ ἀποκαθιστῶντες, ὡς ἄνωθεν εἴρηται, ἀδιακρίτως καὶ ἐνέχονται καὶ κολάζονται.

ΖΩΝΑΡ. Ὅτι μὴ ἐξαπατάτω τις ἑαυτὸν, ὡς εὑρὼν τὸ τοῦ ἀδελφοῦ πρᾶγμα ἐρριμμένον ἴσως καὶ ἀνεπιμέλητον κείμενον. κἂν γὰρ οὕτως εὕρῃ αὐτὸ, οὐκ ἔξεστι κερδῆσαι αὐτὸ καὶ οἰκειώσασθαι τὸ ἀλλότριον· κἂν ἴσως ἀγνοῇ τὸν δεσπότην τοῦ πράγματος. χρεωστεῖ γὰρ λαβεῖν αὐτὸ, καὶ φυλάξαι ἕως ὁ κύριος αὐτοῦ γνῷ καὶ ζητήσῃ αὐτὸ, καὶ τὰ τοῦ Δευτερονομίου καὶ E τὰ τῆς Ἐξόδου ἐπάγει λέγων. ὅτι ἐὰν ἐν καιρῷ εἰρήνης ὁ ἀδελφός σου ἢ ὁ ἐχθρός σου, ἐκ ῥαθυμίας ἀπολέσῃ τὸ ἴδιον, οὐκ ἔξεστί σοι εὑρόντι αὐτὸ κέρδος ἴδιον ποιήσασθαι, ἀλλὰ ἐπανασῶσαι τῷ ἀπολέσαντι αὐτὸ, ἀπαιτῇ κατὰ τὸν νόμον τὸν παλαιόν, πόσῳ μᾶλλον ἐὰν τοῦ φεύγοντος ἀδελφοῦ σου, ἢ τοῦ αἰχμαλωτισθέντος εὑρήσεις πράγματα παρ' αὐτῶν ἐγκαταλειφθέντα, χρή σε φυλάξαι αὐτὰ καὶ ἀποδοῦναι τῷ δυσπραγοῦντι.

ΚΑΝΩΝ ε΄.

Ἄλλοι δὲ ἑαυτοὺς ἐξαπατῶσιν, ἀντὶ τῶν ἰδίων τῶν ἀπολλομένων, ἃ εὗρον ἀλλότρια κατέχοντες, ἵνα ἐπειδὴ αὐτοῖς Βοράδοι καὶ Γότθοι τὰ τοῦ πολέμου εἰργάσαντο, αὐτοὶ ἄλλοις Βοράδοι F καὶ Γότθοι γίνωνται. ἀπεστείλαμεν οὖν τὸν ἀδελφὸν καὶ συγγέροντα Εὐφρόσυνον διὰ ταῦτα πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνθάδε τύπον, καὶ αὐτὸς δώῃ ὁμοίως καὶ ὧν δεῖ τὰς κατηγορίας προσίεσθαι, καὶ οὓς δεῖ ἐκκηρύξαι τῶν εὐχῶν.

ΒΑΛΣ. Ἀπολογησάμενος ὁ ἅγιος τὰ εἰκότα πρὸς τοὺς λέγοντας, ὡς ἐρριμμένα καὶ ἀτημέλητα εὑρεῖν τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ διὰ τοῦτο ἰδιώσασθαι αὐτά· ἄρτι ἀπολογεῖται πρὸς τοὺς ἀντιποιουμένους τῶν διαφερόντων τοῖς αἰχμαλωτισθεῖσιν ἀντὶ τῶν φθασάντων παρὰ τῶν πολεμίων ἀφαιρεθῆναι πραγμάτων αὐτῶν. φησὶ γὰρ ὡς καὶ τοῦτο, ἀπάτη ἐστὶ καὶ ματαία πρόφασις. οὐδὲ γὰρ δίκαιόν ἐστι τοὺς γεγονότας παρανάλωμα πολεμίου βαρβαρικοῦ, μὴ καρτερῆσαι, ἀλλὰ γενέσθαι αὐτοὺς πολεμίους τῶν ἀδελφῶν, καὶ χρηματίσαι εἰς τούτους ἄλλους βαρβάρους. διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, τὸν ἀδελφὸν Εὐφρόσυνον πρὸς ὑμᾶς, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον, ἤγουν, καθὼς ἡμεῖς ἐνταῦθα ἐποιήσαμεν, δώῃ τύπον καὶ αὐτόθι ὥστε οὕτω ποιεῖν ὑμᾶς. Εἶτά φησιν ὡς ὁ αὐτὸς Εὐφρόσυνος ἀναδιδάξει τίνας δεῖ προσδέχεσθαι κατηγοροῦντας κατά τινων, καὶ τίνας χρὴ ἀποκηρύττειν τῆς ἐκκλησίας καὶ τῆς κοινωνίας τῶν πιστῶν.

ΖΩΝΑΡ. Τινὲς, φησὶν, ἀπολέσαντες οἰκεῖα πράγματα, καὶ εὑρόντες ἀλλότρια, λέγουσι κατέχειν αὐτὰ, ἀνθ' ὧν ἀπώλεσαν, ἐξαπατῶντες ἑαυτούς. ὅπερ γὰρ, φησὶν, ἐγένοντο ἐκείνοις οἱ πολέμιοι βάρβαροι τοῦτο γίνονται αὐτοὶ τοῖς ἀδελφοῖς. ἥρπασαν οἱ βάβαροι τὰ ἐκείνων, κἀκεῖνοι τὰ τῶν ἀδελφῶν. διὰ ταῦτα ἀπεστείλαμεν, λέγει, ἵνα κατὰ τὸν ἐνταῦθα τύπον, καὶ αὐτόθι ὥστε οὕτως ὑμᾶς ποιεῖν, καὶ τίνας δεῖ κατηγοροῦντας τινῶν προσδέχεσθαι, καὶ οὓς ἐκκηρύξαι· ἤγουν τίνας τῆς ἐκκλησίας ἐξῶσαι, καὶ τῶν πιστῶν χωρίσαι, ὥστε μὴ συνεύχεσθαι αὐτοῖς· τίνας δὲ δεῖ κατηγοροῦντας προσδέχεσθαι, τὸ ἕκτον κεφάλαιον τῆς δευτέρας οἰκουμενικῆς συνόδου διδάσκει. ἀναγνωστέον καὶ τὰ ἐκεῖ γεγραμμένα.

ΚΑΝΩΝ ϛʹ.

Περὶ τῶν βίᾳ κατεχόντων τοὺς ἐκ τῶν βαρβάρων αἰχμαλώτους.

ἀπηγγέλθη δέ τι ἡμῖν καὶ ἄπιστον ἐν τῇ χώρᾳ ὑμῶν, γενόμενον πάντως που ὑπὸ ἀπίστων καὶ ἀσεβῶν καὶ μὴ εἰδότων μηδὲ ὄνομα κυρίου, ὅτι ἄρα εἰς τοσοῦτόν τινες ὠμότητος καὶ ἀπανθρωπίας προεχώρησαν, ὥστε τινὰς τοὺς διαφυγόντας αἰχμαλώτους βίᾳ κατέχειν· ἀποστείλατε τινὰς εἰς τὴν χώραν μὴ καὶ σκηπτοὶ πέσωσιν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

ΒΑΛΣ. Εμαθεν ὁ ἅγιος ὡς τινὲς ὀρθόδοξοι αἰχμάλωτοι τὰς βαρβαρικὰς χεῖρας διαφυγόντες κατέχονται ὑπό τινων κατὰ βίαν, καὶ οὐ παραχωροῦνται οἴκαδε ὑποστρέψαι. φησὶν οὖν πρὸς οὓς ἀπεστάλη τὸ ἐπιστολιμαῖον τοῦτο γράμμα, ὡς τοῦτο καὶ ἄπιστον ἐλογίσθη αὐτῷ. ἔργον γάρ ἐστιν ἀπίστων καὶ ἀσεβῶν. Εἰ δὲ γέγονεν, ἀνεκδίκητον οὐκ ἔσται. διὸ καὶ ὀφείλουσι τὰ περὶ τούτου πολυπραγμονηθῆναι, καὶ ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι. νομίζει γὰρ ὡς καὶ σκηπτὸς ἤγουν πῦρ ἐκ τοῦ οὐρανοῦ ἔπεσε καὶ κατέφλεξε τοὺς ταῦτα πράσσοντας.

ΖΩΝΑΡ. Τινὲς, φησὶν, ὡς ἐμάθομεν, αἰχμαλώτους διαφυγόντας τοὺς πολεμίους βίᾳ κατέχουσιν. οἵτινες πάντως ἄπιστοί εἰσι καὶ ἀσεβεῖς, καὶ οὐδὲ Θεοῦ ἐπίγνωσιν ἔχουσιν. ἀπαιτεῖ οὖν ὁ ἅγιος τοὺς πρὸς οὓς γράφει, ἀποστεῖλαι εἰς τὴν χώραν καὶ ἐρευνῆσαι περὶ τοῦ πράγματος, ἵνα μὴ πῦρ φησιν ἐξ οὐρανοῦ πέσῃ καὶ καταφλέξῃ τοὺς ταῦτα πράσσοντας. τοῦτο δὲ εἶπε, τὴν ἀτοπίαν δεικνύων τῆς πράξεως.

A

inanem prætextum. Neque enim æquum eſt, ut qui ex bello barbarico detrimentum acceperint, non toleranter ferant, ſed ſint ipſi hoſtes fratrum, & alii in ipſos barbari appellentur. Propterea, inquit, miſimus ad vos fratrem Euphroſynum, ut juxta formam hîc traditam, ſeu quemadmodum hîc fecimus, iſthic quoque det formam ut ſic vos faciatis. Deinde dicit: Euphroſynus vos docebit quoſnam & adverſus quos accuſantes admittere, & quoſnam ab eccleſia & fidelium communione abdicare oporteat.

B

Zonar. Nonnulli, inquit, amiſſis rebus ſuis, ac aliena invenientes, pro iis quæ amiſerunt ea detinere ſe aſſerunt, ſeipſos decipientes. Quod enim, ait, illis fuere hoſtes barbari, hoc ipſi fiunt fratribus. Barbari res illorum rapuerunt, ac illi fratrum. Propterea, inquit, (Euphroſynum) ad vos miſimus, ut ſecundum formam hîc obſervatam vos quoque illic faciatis, & quorum accuſationes & contra quos oporteat admittatis, & quos decet abdicetis, hoc eſt, ejiciatis ab Eccleſiâ, atque à fidelibus ſegregetis, ne cum ipſis una precentur. Porro quorumnam accuſationes admittendæ ſint, ſextum ſecundæ Oecumenicæ Synodi caput docet. Legantur etiam quæ ibi ſcripſimus.

C

CANON VI.

De iis qui captivos ex barbaris fugientes vi detinent. Denunciatum autem eſt nobis quidpiam incredibile in veſtrâ regione factum eſſe, omnino ab infidelibus, & impiis, & qui ne nomen quidem Domini novêre, quòd nonnulli eò inhumanitatis crudelitatiſque proceſſere, ut captivos aliquos qui effugerunt, vi retineant. Mittite aliquos in regione ne vel fulmina in eos cadant qui hæc agunt.

D

Bals. Accepit ſanctus quòd quidam captivi orthodoxi, poſtquam manus barbaricas evaſere, vi à quibuſdam detinentur, nec domum reverti ſinuntur. Dicit ergo iis, ad quos ſcriptum hoc epiſtolare miſſum eſt, quòd hoc ei incredibile viſum eſt: eſt enim infidelium & impiorum opus. Sin autem factum eſt, non remanebit impunitum. Et ideo debent hæc diligenter inquiri, & mitti in regionem quæ hæc perſcrutetur. Exiſtimat enim, quòd etiam fulmen, ſeu ignis ſit caſurus, & eos qui hæc agunt, exuſturus.

E

Zonar. Nonnulli, inquit, ut didicimus, captivos ex hoſtibus diffugientes vi retinent: qui ſunt omnino infideles, & impii, neque vel Deum norunt. Proinde ſanctus vir ab iis ad quos ſcribit poſtulat mitti in regionem homines qui de hac re inquirant, ne, inquit, ignis cadat cœlitus, ac eos qui hæc agunt abſumat. Hoc autem dixit, facinoris gravitatem indicans.

F

CANON VII. A

De iis qui inter barbaros annumerati sunt, & absurda quædam in eos qui sunt sui generis, fecerunt. • *Eos itaque qui inter barbaros enumerati sunt, & cum eis in captivitate invaserunt, obliti se esse Ponticos & Christianos, efferati autem barbarique redditi, ut & eos qui sui sunt generis, vel ligno vel suffocatione interficiant: vias autem vel domos nescientibus barbaris ostendant, etiam ab auditione arcere oportet, donec de iis congregatis sanctis aliquid communiter visum fuerit, & ante eos sancto spiritui.*

BALS. Eos quidem qui postquam captivi facti sunt, B barbaris consenserunt, & cum eis veluti barbari effecti sunt, & sui generis Christianos interfecerunt, vel vias barbaris ignotas, & ad Christianos ducentes ostenderunt, vel eorum ædes hostibus manifestas fecerunt, ne ad divinarum quidem laudum auditionem admittendos esse decernit: sed eos omnino extra ecclesiam statui in loco deflentium, post confessionem scilicet vel condemnationem, donec sancti simul congregati de iis communiter statuerint. Sanctos autem Episcopos appellat. Illud autem (ante ipsos sancto spiritui) subjunxit, ostendens, quòd quæcunque in communi consideratione ab Episcopis dispensantur & statuuntur, spiritus sanctus ea suggerit. Et C lex quidem Ecclesiastica ipsos sic punit. Lex verò civilis eos Majestatis crimini subjicit. Dicit enim primum caput xxxvj. tit. lx. lib. I. Lex Majestatis similis est legi de Sacrilegio. Et tenetur eâ, qui adversus populum Romanum commisit, & qui dolo malo curavit injussu Principis obsides interimi; vel ut armati homines in urbe sint adversus Rempublicam, vel ut loca aut templa occupentur, vel seditiosus fiat conventus, vel ut occidatur Magistratus, & ad hostes nuntium vel literas misit, vel signa eis dedit, aliove modo eis tulit auxilium, & qui sollicitavit vel concitavit milites ad seditionem vel turbam contra Rempublicam. Et cap. iij. ejusdem tit. & lib. Qui hostes D sollicitavit, & eis remp. tradidit, capite punitur. Et deinceps disserit caput de aliis quibusdam similibus. Et hæc quidem de iis qui in captivitatem abducti sunt, & hostibus consenserunt, & de iis itidem qui non in captivitatem abducti sunt, cum hostibus tamen consenserunt, & adversus Romanum imperium conspirarunt. Qui autem cum iis qui terram mareque depopulantur, unà deprædati sunt, magis, ut mihi videtur, punientur: quia major est eorum improbitas. Hostes aperta fronte, & nudo, ut ajunt, capite bellum comparant. Latrones E autem clàm & occultè inopinatam cædem moliuntur. Quanto ergo prævisi periculi pugna levior est inopinato malo, tanto hostium insultus est tolerabilior latronum insidiis.

ZONAR. Quicunque quidem, ait, aliquando in servitutem abducti se barbaris adjunxerunt, & una cum iis grassati sunt morum barbariem induentes: ac velut obliti se ex Ponto Christianos esse, eos qui ejusdem sunt generis interfecere, vel barbaris ignotas monstravere vias, domósve ipsis occultas: hi ne ad auditionem quidem F admittantur, pœnitentiam agentes: hoc est, extra Ecclesiam omnino consistant, in loco videlicet flentium, donec in communi conventu sancti de ipsis deliberent. Sanctos porro aut Episcopos vocat, aut simpliciter fideles, magni Pauli Apostoli exemplo. Illa autem verba, [Ante ipsos Spiritui sancto] ideo adjunxit, ut quæcunque in communi consilio ab Episcopis, vel etiam à quibuscunq; fidelibus decernuntur, Spiritum Sanctum ea deliberantibus suggerere demonstret.

ΚΑΝΩΝ ζ'.

Περὶ τῶν ἐγκαταλεχθέντων τοῖς βαρβάροις, καὶ ἄτοπά τινα κατὰ τῶν ὁμοφύλων τολμησάντων. τοὺς μὲν οὖν ἐγκαταλεχθέντας τοῖς βαρβάροις καὶ μετ' αὐτῶν ἐν αἰχμαλωσίᾳ ἐπελθόντας, ἐπιλαθομένους ὅτι ἦσαν Ποντικοὶ καὶ Χριστιανοί, ἐκβαρβαρωθέντας δὲ ὡς καὶ φονεύειν τοὺς ὁμοφύλους ἢ ξύλῳ ἢ ἀγχόνῃ, ὑποδεικνύναι δὲ ἢ ὁδοὺς ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρβάροις, καὶ τῆς ἀκροάσεως ἀπεῖρξαι δεῖ, μέχρις ἂν κοινῇ περὶ αὐτῶν τι δόξῃ συνελθοῦσι τοῖς ἁγίοις, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ πνεύματι.

ΒΑΛΣ. Τοὺς μέντοι μετὰ τὸ αἰχμαλωτισθῆναι τοῖς βαρβάροις ὁμοφρονήσαντας, καὶ μετ' αὐτῶν ὡς βαρβαρωθέντας, καὶ τοὺς ὁμοφύλους Χριστιανοὺς φονεύσαντας ἢ ὁδοὺς ἀγνοουμένας τοῖς βαρβάροις, καὶ ἀπαγούσας εἰς Χριστιανοὺς, ὑποδείξαντας, ἢ οἰκίας τούτων καταδήλους τοῖς πολεμίοις ποιήσαντας, μηδὲ εἰς ἀκρόασιν τῶν θείων δοξολογιῶν παραδεχθῆναι διορίζεται. ἀλλὰ ἔξω παντελῶς τῆς ἐκκλησίας ἵστασθαι αὐτοὺς ἐν τόπῳ προσκλαιόντων πάντως μετὰ τὴν ἐξομολόγησιν ἢ τὴν καταδίκην, ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι περὶ αὐτῶν κοινῇ συνελθόντες. ἁγίους δὲ, τοὺς Ἐπισκόπους καλεῖ. τὸ δὲ πρὸ αὐτῶν τῷ ἁγίῳ πνεύματι ἐπήγαγε, δεικνὺς ὅτι ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ τῶν Ἐπισκόπων, τὸ ἅγιον πνεῦμα ὑποτίθησιν αὐτά. καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει. ὁ δὲ πολιτικὸς, τῷ περὶ καθοσιώσεως ἐγκλήματι καθυποβάλλει τοὺς τοιούτους. φησὶ γὰρ κεφάλ. α'. τοῦ λϛ'. τίτλου τοῦ ξ'. βιβλίου, ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας. καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ Ρωμαϊκοῦ δήμου πλημμελήσας, καὶ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως, ἀναιρεθῆναι τοὺς ὁμήρους· ἢ ἵνα ἔνοπλοι ἄνθρωποι ἐν πόλει κατὰ τῆς πολιτείας ὦσιν, ἢ ἵνα τόπος ἢ ἱερὰ καταληφθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων· καὶ ὁ πρὸς τοὺς πολεμίους γράμμα ἢ ἄγγελον πέμψας ἢ σημεῖον αὐτοῖς δεδωκὼς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πολιτείας. καὶ κεφάλ. γ'. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου· ὁ τοὺς πολεμίους ἐρεθίσας, ἢ παραδοὺς αὐτοῖς πολίτην, εἰς κεφαλὴν τιμωρεῖται. καὶ ἐφεξῆς διαλέγεται τὸ κεφάλαιον περὶ ἄλλων τινῶν ὁμοίων. καὶ ταῦτα μὲν περὶ τῶν αἰχμαλωτισθέντων καὶ ὁμοφωνησάντων τοῖς πολεμίοις, καὶ περὶ τῶν μὴ αἰχμαλωτισθέντων, ὅμως μέντοι τοῖς πολεμίοις ὁμογνωμονησάντων, καὶ φρονησάντων κατὰ τῆς Ρωμαϊκῆς ἐξουσίας. οἱ δὲ τοῖς κατὰ χέρσον καὶ θάλατταν λῃστεύουσι συλλῃστεύσαντες, πλειόνως, ὡς ἐμοὶ δοκεῖ, κολασθήσονται, ὅτι καὶ μείζων ἐστὶ τούτων ἡ κακία. οἱ μὲν γὰρ πολέμιοι κατὰ πρόσωπον, καὶ γυμνῇ κεφαλῇ, τὸ λεγόμενον, τὸν πόλεμον συνιστῶσιν. οἱ δὲ λῃσταὶ ἀοράτως καὶ ἀφανῶς ἀπροσδόκητον μελετῶσι φόνον. ὅσον οὖν τοῦ προκειμένου κατ' ὄψιν κινδύνου ἡ μάχη κουφοτέρα ἐστὶ τοῦ ἀπροσδοκήτου κακοῦ, τοσοῦτον καὶ ἡ τῶν πολεμίων ἔφοδος ἀνεκτοτέρα ἐστὶ τῆς τῶν λῃστευόντων ἐπιβουλῆς.

ΖΩΝΑΡ. Ὅσοι μὲν οὖν, φησὶν, αἰχμαλωτισθέντες ποτὲ, συγκατετάγησαν τοῖς βαρβάροις, καὶ μετ' αὐτῶν ἐπῆλθον βαρβαρωθέντες τὰ ἤθη· καὶ ὥσπερ ἐπιλαθόμενοι ὅτι ἐκ τοῦ Πόντου ἦσαν Χριστιανοὶ, ὁμοφύλους ἐφόνευσαν, ἢ ὁδοὺς ὑπεδείκνυον τοῖς βαρβάροις ἀγνοουμένας αὐτοῖς, ἢ οἰκίας λανθανούσας αὐτούς· οὗτοι μηδὲ εἰς ἀκρόασιν παραδεχθήτωσαν μετανοοῦντες· τουτέστιν ἔξω παντελῶς τῆς ἐκκλησίας ἑστηκέτωσαν ἐν τόπῳ δηλαδὴ προσκλαιόντων ἕως ἂν σκοπήσωσιν οἱ ἅγιοι περὶ αὐτῶν κοινῇ συνελθόντες· ἁγίους δὲ, ἢ τοὺς Ἐπισκόπους καλεῖ, ἢ τοὺς πιστοὺς ἁπλῶς κατὰ τὸν μέγαν ἀπόστολον Παῦλον. τὸ δὲ, πρὸ αὐτῶν τῷ ἁγίῳ πνεύματι, ἐπήγαγε, δεικνὺς ὅτι ὅσα ἐν κοινῇ διασκέψει οἰκονομοῦνται παρὰ Ἐπισκόπων, ἢ καὶ ἁπλῶς τῶν πιστῶν, τὸ ἅγιον πνεῦμα ὑποτίθησιν αὐτὰ τοῖς περὶ αὐτῶν διασκεπτομένοις.

ΚΑΝΩΝ η'.

Περὶ τῶν οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμησάντων ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ. τοὺς δὲ οἴκοις ἀλλοτρίοις ἐπελθεῖν τολμήσαντας, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσι, μηδὲ τῆς ἀκροάσεως ἀξιῶσαι. ἐὰν δὲ αὐτοὺς ἐξείπωσι καὶ ἀποδῶσιν, ἐν τῇ τῶν ὑποστρεφόντων τάξει ὑποπίπτειν.

ΒΑΛΣ. Παχυμερῶς διαλαβὼν ὁ ἅγιος περὶ τῶν ἁρπασάντων ἢ εὑρηκότων πράγματα τινῶν αἰχμαλωτισθέντων ὅσον τέως εἰς τὸν λόγον τῶν ἐπιτιμίων, ἄρτι καὶ τὰ εἴδη τῆς μετανοίας ἤτοι τῶν ἐκκλησιαστικῶν ἐπιτιμίων, ἄρχεται λέγειν. καὶ αὐτίκα διορίζεται ἵνα μηδὲ μετὰ τῶν ἀκροωμένων ἵστανται, ἀλλὰ μετὰ τῶν προσκλαιόντων ἔξωθεν τῆς ἐκκλησίας, οἱ ἁρπάσαντες τοιοῦτόν τι πρᾶγμα αἰχμαλώτου, καὶ μὴ ἀντιστρέψαντες αὐτὸ ἀλλὰ ἀναμείναντες κατηγορίαν καὶ ἔλεγχον διὰ τὴν ἄρνησιν. τοὺς δὲ ἑαυτοὺς προσαγγείλαντας καὶ δόντας καλοθελῶς πρὸ ἀναγωγῆς ἃ ἀφείλοντο, διορίζεται διὰ τὴν μεταμέλειαν συνεύχεσθαι ἤγουν συνίστασθαι μετὰ τῶν πιστῶν. ὑποπίπτειν δὲ αὐτῶν διὰ τὸ ἀναγκάζεσθαι ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω τούτους κολάζει. ὁ δὲ πολιτικὸς τοὺς ἅρπαγας καὶ πρὸ καταδίκης προσάγοντας τὸ ὑπ' αὐτῶν ἁρπαγὲν, οὐ προσδέχεται, ἀλλ' εἰς τὸ τετραπλάσιον καταδικάζει. φησὶ γὰρ κεφ. ς'. τοῦ ιζ'. τίτλου τοῦ ξ'. βιβλίου. ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα. καὶ θέμα ζ'. τοῦ β'. κεφαλ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου. εἴσω ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται, οὐ μὴν τὸ διαφέρον. ὅπερ δέ φησιν ἐνταῦθα ὁ ἅγιος χάριν τῶν πρὸ καταδίκης καὶ κατηγορίας διδόντων τὸ ἀφαιρεθὲν, τοῦτο ὁ νόμος παρακελεύεται γίνεσθαι εἰς τοὺς κατὰ φόβον λαβόντας τι ἔκ τινος. φησὶ γὰρ τὸ ε'. θέμα τοῦ ιγ'. κεφαλ. τοῦ β'. τίτλου τοῦ δεκάτου βιβλίου, ἡ διὰ φόβον αἰτίασις, αἱρετή ἐστι, καὶ ἔξεστι τῷ ἐναγομένῳ μέχρι ψήφου ἀποκαταστῆσαι τὸ πρᾶγμα, καὶ μὴ δοῦναι τὸ τετραπλοῦν. ἔστι δὲ καὶ ἑτέρα διαφορὰ τῶν βιαίως ἀφαιρουμένων πράγματα, καὶ τῶν κατὰ φόβον λαμβανόντων τι ἀπό τινος. οἱ μὲν γὰρ ἅρπαγες σὺν τῇ ἀποδόσει τοῦ τετραπλοῦ, καὶ ἀτιμοῦνται. οἱ δὲ φόβον ἐπαγαγόντες, σπιλοῦνται μόνον κατὰ τὴν ὑπόληψιν.

ΖΩΝΑΡ. Οἵτινες δὲ ἐπῆλθον οἴκοις ἀλλοτρίοις καὶ ἥρπασαν ἐκεῖθεν χρήματα, οὗτοί φησιν, εἰ μὲν κατηγορηθέντες καὶ ἀρνούμενοι ἐλεγχθῶσιν, ὁμοίως τοῖς προειρημένοις καὶ τῆς ἀκροάσεως κωλυέσθωσαν, καὶ μετὰ τῶν προσκλαιόντων τετάχθωσαν· εἰ δὲ ἑαυτοὺς ἐξείπωσιν, ἢ πρὸ τοῦ κατηγορηθῆναι ὁμολογήσουσιν ἀγνοούμενον τὸ ἁμάρτημα, καὶ ἀποδοῖεν ἃ ἀφείλοντο, ἔστωσαν ἐν τοῖς ὑποστρέφουσιν ἀπὸ ἁμαρτίας, τουτέστι, τῆς τάξεως τῶν ὑποπιπτόντων, οἵτινες ὑποσυνεύχονται μὲν τοῖς πιστοῖς εἰσιόντες εἰς τὸν ναὸν, ἐξέρχονται δὲ ὡς οἱ κατηχούμενοι.

ΚΑΝΩΝ θ'.

Περὶ τῶν ἐν τῷ πεδίῳ ἢ ἐν τοῖς ἰδίοις οἴκοις εὑρόντων τὰ ὑπὸ τῶν βαρβάρων καταλειφθέντα. τοὺς δὲ ἐν πεδίῳ εὑρόντας τι ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις καταλειφθὲν ὑπὸ τῶν βαρβάρων, ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν, ὁμοίως ἐν τοῖς ὑποπίπτουσιν. ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι καὶ ἀποδῶσι, καὶ τῆς εὐχῆς ἀξιοῦσθαι.

ΒΑΛΣ. Εἴρηται ὄπισθεν περὶ τῶν λεγόντων εὑρεῖν ἀνεπιμέλητα τὰ τῶν αἰχμαλωτισθέντων πράγματα, καὶ ἰδιώσασθαι αὐτά. καὶ νῦν δὲ διορίζεται ὁ ἅγιος τοὺς ἐν ταῖς οἰκίαις τῶν αἰχμαλωτισθέντων εὑρόντας πράγματα, ὡς μὴ παρὰ τῶν βαρβάρων ἀφαιρεθέντα, ἢ καὶ κατὰ τὰς ὁδοὺς

A

CANON VIII.

De iis qui alienas domos hoſtiliter ingredi auſi ſunt in barbarorum incurſione. Eos autem qui alienas domos invadere auſi fuerint, ſi accuſati quidem convicti fuerint, nec auditione dignos exiſtimare. Sin autem indicarint ſeipſos ac reddiderint, in eorum, qui convertuntur, ordinem, ſubſterni.

BALS. Poſtquam ſanctus fuſiùs tractaverit de iis qui rapuerunt, vel quorundam captivorum res invenerunt, B quòd ad pœnarum rationem attinet, nunc quoque ſpecies pœnitentiæ, ſive eccleſiaſticarum pœnarum incipit dicere. Et ſtatim decernit ut nec ſtent cum audientibus, ſed cum deflentibus, extra Eccleſiam, qui rem captivi rapuerunt, & eum non reſtituerunt, ſed accuſationem & probationem expectarunt propter inficiationem. Eos autem qui ſeipſos detulerunt, & ſua ſponte quæ abſtulere, ante actionem dederunt, ſtatuit ut propter pænitentiam comprecentur, ſeu conſiſtant cum fidelibus. Subſternantur autem illis, eo quòd coguntur egredi cum catechumenis. Ac lex quidem eccleſiaſtica eos ſic punit. C Lex verò civilis raptores quod ab ipſis raptum eſt etiam ante condemnationem offerentes, non admittit, ſed condemnat in quadruplum. Dicit enim cap. vj. xvij. tit. lx. lib. Raptor pœna non liberatur oblatione rei ante litem. Et thema vij. ii. cap. ejuſdem lib. & tit. Intra annum verum rei pretium quadruplatur, non autem id quod intereſt. Quod autem hîc dicit ſanctus de iis qui ante condemnationem & accuſationem rem reſtituunt, lex jubet id fieri in eos qui aliquid ex aliquo metu acceperunt. Dicit enim v. thema xiij. cap. ii. tit. x. lib. Actio cujus metus cauſa, eſt libera, & licet ei adverſus quem agitur, ad ſententiam uſque rem reſtituere, & non dare quadruplum. D Eſt autem & alia differentia eorum qui vi res auferunt, & eorum qui aliquid ab aliquo metu accipiunt. Raptores enim una cum quadrupli retributione, etiam infamantur. Qui autem metum intulerunt, in exiſtimatione tantum labem aliquam contrahunt.

ZONAR. Qui vero alienas domos invaſerunt, réſque inde ſurripuere, illi, inquit, ſiquidem accuſati, ac pernegantes convicti fuerint, cum iis pariter quos ſupra diximus ab auditione quoque prohibeantur, atque in E flentium ordinem relegentur: Sin autem ſeipſos detexerint, aut ante accuſationem occultum crimen confeſſi fuerint, réſque ablatas reddiderint, conſtituantur in eorum ordine qui à peccato convertuntur, hoc eſt, ordine ſubſtratorum, qui cum fidelibus quidem precantur templum intrantes, cæterum more catechumenorum egrediuntur.

CANON IX.

De iis qui in agro vel in ædibus ſuis ea quæ à barbaris relicta ſunt, invenerunt. Eos autem qui in campo aliquid invenerunt, F vel in ſuis ædibus à barbaris relictum, ſi accuſati quidem convicti fuerint; ſint ſimiliter inter eos qui ſubſternuntur. Sin autem ſeipſos detulerint & reddiderint, etiam precibus digni habeantur.

BALS. Dictum eſt ſuperiùs de iis qui dicunt ſe inveniſſe res captivorum neglectui habitas, & earum ſibi proprietatem vendicaſſe. Nunc autem decernit ſanctus, eos qui res in captivorum domibus invenerunt, utpote non à barbaris ablatas, vel in viis abjectas fortaſſe propter pondus, inventas quidem bonâ fide reſtituentes, in perfecto gradu stare debere cum fidelibus. Sin autem condemnati fuerint, collocari cum iis qui substernuntur, scilicet egredi cum catechumenis. Hæc cum ita se habeant, dixerit quispiam, eos sic puniri, qui pro re inventa restituenda condemnationem expectant, esse justissimum, quoniam furti quoque actione tenentur: secundum legem, quæ dicit, *Fur est qui rem alienam contractat præter domini voluntatem, sciens id illi molestum esse.* Cum fidelibus autem consistere, & tantum sacramentis quidem non dignari eum qui se ipsum detulerit, & probè rem inventam dederit, novum est: est enim potiùs Eucharistia dignus, ut qui rem captivi servaverit, & ipsam restituerit. Et ideo dicunt nonnulli, cum fidelibus consistentiam, sacramentorum quoque participationem tacitè consequi.

Zonar. Barbari cum depopularentur regionem, res quasdam rapuerunt, móxque vel obvii facti melioribus, vel gravati pondere, cùm quæ rapuerant ferre minime possent, partim per campos abjecêre, partim in aliquorum ædibus, in quibus meliora forte repererant, deposuêre. Quicunque igitur, inquit, aut in campis, aut in suis domibus aliqua invenerunt, illi siquidem accusati, & convicti fuerint, inter eos qui substernuntur locum accipiant. Si vero seipsos detulerint, ac ea quæ invenere reddiderint precatione, quoq; digni habeantur, hoc est ad finem usque precationis cum fidelibus consistant, ac à sancta Communione tantum modo arceantur; videlicet usquedum pœnitentiam ostenderint, & hac quoque digni existimentur.

Canon X.

Eos autem, qui servant mandata, absque omni turpi lucro servare oportet, nec indicii, vel custodiæ, vel inventionis pretium, vel quocunque nomine appellant, exigentes.

Bals. Cùm admisisset sanctus bonam eorum voluntatem, qui seipsos detulerunt, & inventum benevole reddiderunt, adjicit, quòd si ii velint mandati dei observatores videri, debent absque quovis turpi lucro rem inventam reddere. Definitum autem est, non exigere oportere eum qui invenit, ab eo qui captivus fuit, vel indicii, vel custodiæ, vel inventionis pretium, vel aliquid aliud, eo quòd non ex negligentia dominorum, vel etiam fortuito res amissa sit, sed magna calamitate, & barbarica incursione. Qui enim res dominorum negligentia vel fortuito perditas invenerunt, & eas restituunt, inventionis pretium rectè exigunt, quemadmodum hoc ex legibus superiùs positis apparet.

Zonar. Cum iis qui rem alienam à se inventam denuntiant, benigniùs agendum esse vir sanctus constituit. Verùm ne denuntiantes pretia ob rem inventam, vel aliud quocunque illud nomine vocitetur, exigant, subjecit, Non esse quidquam exigendum, ab eo qui aliena benigne reddit, sed mandatum absque turpi lucro implendum. Turpe namque lucrum est revera, quidpiam ab eo exigere, qui res suas turbulentis temporibus perdidit, nec illas gratuitò reddere.

A ῥιφέντα διὰ τὸ βάρος τυχὸν, ἀποκαθιστῶντας μὲν εὐγνωμόνως τὰ εὑρεθέντα, εἰς τὸν τόπον ἵστασθαι τὸν τέλειον μετὰ τῶν πιστῶν. εἰ δὲ καταδικασθῶσι, τάττεσθαι σὺν τοῖς ὑποπίπτουσιν, ἤγουν ἐξέρχεσθαι μετὰ τῶν κατηχουμένων. τούτων οὕτως ἐχόντων, εἴπη τις ὡς τὸ οὕτω κολάζεσθαι τοὺς ἀναμένοντας καταδίκην χάριν ἀντιστροφῆς τοῦ εὑρέματος, δικαιότατόν ἐστιν, ὅτι καὶ τῇ περὶ κλοπῆς ἀγωγῇ ἐνέχονται, κατὰ τὸν νόμον τὸν λέγοντα, κλέπτης ἐστὶν ὁ τὸ ἀλλότριον πρᾶγμα ψηλαφῶν παρὰ γνώμην τοῦ δεσπότου, ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν. τὸ δὲ συνίστασθαι τοῖς πιστοῖς, καὶ μόνον μὴ ἀξιοῦσθαι δὲ τῶν ἁγιασμάτων τὸν προσαγγείλαντα ἑαυτὸν καὶ εὐγνωμόνως δόντα τὸ εὕρεμα, καινόν ἐστιν. B ἄξιος γὰρ μᾶλλον εὐχαριστίας ἐστὶν, ὡς τὸ πρᾶγμα τοῦ αἰχμαλωτισθέντος φυλάξας καὶ ἀποκαταστήσας αὐτό. διὸ καὶ λέγουσί τινες συνέπεσθαι τῇ μετὰ τῶν πιστῶν συστάσει, καὶ τὴν τῶν ἁγιασμάτων μέθεξιν σιωπηρῶς.

ΖΩΝΑΡ. Οἱ βάρβαροι ληϊλατοῦντες τὴν χώραν, ἥρπαζον πράγματα καὶ ἢ κρείττοσι μετὰ ταῦτα ἐντυγχάνοντες, ἢ διὰ βάρος μὴ δυνάμενοι φέρειν ὅσα ἥρπασαν, τὰ μὲν ἐν τῷ πεδίῳ ἔρριπτον, τὰ δὲ καὶ ἐν οἰκίαις τινῶν, ἐν αἷς ἴσως καλλίονα εὕρισκον. ὅσοι γοῦν, φησὶν, εὗρόν τινα ἐν τῷ πεδίῳ, ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις, οὗτοι εἰ μὲν C κατηγορηθῶσι καὶ ἐλεγχθῶσι, ταττέσθωσαν ἐν τοῖς ὑποπίπτουσιν· ἐὰν δὲ ἑαυτοὺς προσαγγείλωσι, καὶ ἀποδῶσιν ἃ εὗρον, καὶ τῆς εὐχῆς ἀξιούσθωσαν· ἤγουν μέχρι τέλους τῆς εὐχῆς συνεστηκέτωσαν τοῖς πιστοῖς, μόνης τῆς ἁγίας μεταλήψεως κωλυόμενοι· ἤγουν μέχρις ἂν μετάνοιαν ἐπιδείξωνται, καὶ ταύτης ἀξιωθῶσι.

ΚΑΝΩΝ ι.

Τοὺς δὲ τὴν ἐντολὴν πληροῦντας ἐκτὸς πάσης αἰσχροκερδείας D πληροῦν δεῖ, μήτε μηνύτρα ἢ σῶστρα, ἢ εὕρετρα ἢ ᾧ ὀνόματι καλοῦσιν, ἀπαιτοῦντας.

ΒΑΛΣ. Ἀποδεξάμενος τὴν ἀγαθοθέλειαν τῶν προσαγγειλάντων ἑαυτοὺς καὶ ἀποδόντων εὐγνωμόνως τὸ εὕρεμα, προστίθησιν ὁ ἅγιος, ὡς εἰ θέλουσιν οὗτοι λογισθῆναι πληρωταὶ τῆς ἐντολῆς τοῦ θεοῦ, ὀφείλουσι χωρὶς αἰσχροῦ κέρδους οἱουδήτινος τὴν ἀπόδοσιν τοῦ εὑρέματος ποιεῖν. ὡρίσθη δὲ μὴ ἀπαιτεῖσθαι παρὰ τοῦ εὑρηκότος ἐκ τοῦ μέρους τοῦ αἰχμαλώτου μηνύτρα ἢ σῶστρα ἢ εὕρετρα, ἢ ἄλλο τι, διὰ τὸ μὴ ἐξ ἀμελείας τῶν δεσποτῶν, ἢ καὶ τυχαίως γενέσθαι τὴν ἀπώλειαν, ἀλλὰ ἀπὸ περιστάσεως μεγάλης καὶ ἐπιδρομῆς βαρ- E βαρικῆς. οἱ γὰρ εὑρηκότες πράγματα ἐξ ἀμελείας τῶν δεσποτῶν ἢ τύχης ἀπολεσθέντα, καὶ ἀποκαθιστῶντες ταῦτα, ἀπαιτοῦσιν εὕρετρα, καθὼς τοῦτο ἀναφαίνεται ἀπὸ τῶν ὄπισθεν καταστρωθέντων νόμων.

ΖΩΝΑΡ. Τοῖς ὁμολογοῦσι τὸ εὕρεμα τὸ ἀλλότριον, συγγνωμονέστερον διατίθεσθαι ὁ ἅγιος διετάξατο. ἵνα δὲ μὴ οἱ ὁμολογοῦντες ἀπαιτῶσιν εὕρετρα, ἢ τι τοιοῦτον ὡς ἂν καλοῖτο, ἐπήγαγεν, ὅτι οὐ δεῖ τι ἀπαιτεῖν τὸν ἀποδιδόντα εὐγνωμόνως τὰ ἀλλότρια, ἀλλὰ χωρὶς αἰσχροῦ κέρδους τὴν ἐντολὴν ἐκπληροῦν. F αἰσχρὸν γὰρ ὄντως κέρδος ἐστὶ, τὸ ἀπαιτεῖν τι ἀπὸ τοῦ ἀπολέσαντος τὰ οἰκεῖα ἐν καιρῷ περιστάσεως, καὶ μὴ ἀποδιδόναι αὐτὰ ἀμισθί.

A

ΚΑΝΩΝ ιά.

Η πρόσκλαυσις ἔξω τῆς πύλης τοῦ εὐκτηρίου ἐστίν· ἔνθα ἑστῶτα τὸν ἁμαρτάνοντα, χρὴ τῶν εἰσιόντων δεῖσθαι πιστῶν, ὑπὲρ αὐτοῦ εὔχεσθαι. ἡ ἀκρόασις, ἔνδοθι τῆς πύλης ἐν τῷ νάρθηκι, ἔνθα ἑστάναι χρὴ τὸν ἡμαρτηκότα ἕως τῶν κατηχουμένων καὶ ἐντεῦθεν ἐξέρχεσθαι. ἀκούων γάρ φησι τῶν γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω, καὶ μὴ ἀξιούσθω προσευχῆς. ἡ δὲ ὑπόπτωσις, ἵνα ἔσωθεν τῆς πύλης τοῦ ναοῦ ἱστάμενος, μετὰ τῶν κατηχουμένων ἐξέρχηται· ἡ σύστασις, ἵνα συνίσταται τοῖς πιστοῖς, καὶ μὴ ἐξέρχηται μετὰ τῶν κατηχουμένων· τελευταῖον ἡ μέθεξις τῶν ἁγιασμάτων. B

ΒΑΛΣ. Ὁ μὲν παρὼν ἅγιος, πέντε τόπους μετανοούντων ὑποτυπώσας, οὐ παρεδήλωσε τοὺς καιροὺς τῆς ἐργασίας αὐτῶν, οὔτε μὴν τὰ ἁμαρτήματα δι' ἃ ἡ μετάνοια ὡρίσθη. ὁ δὲ μέγας Βασίλειος ἐν ταῖς κανονικαῖς ἐπιστολαῖς αὐτοῦ ταῦτα πάντα κατ' ἀκριβείας παρέδωκε· πλὴν καὶ οὗτος, εἰς τὴν ἐπισκοπικὴν διάκρισιν τὴν διὰ τῶν ἐπιτιμίων θεραπείαν ἀνήρτησεν.

CANON XI.

Fletus, seu luctus, est extra portam oratorii: ubi peccatorem stantem oportet fideles ingredientes orare, ut pro se precentur. Auditio est intra portam in porticu, ubi oportet eum, qui peccavit, stare, usque ad catechumenos, & illinc egredi. Audiens enim, inquit, scripturas, & doctrinam, ejiciatur, & precatione indignus censeatur. Subjectio autem, seu substratio est, ut intra templi portam stans cum catechumenis egrediatur. Congregatio seu consistentia est, ut cum fidelibus consistat, & cum catechumenis non egrediatur: postremò est participatio sacramentorum.

BALS. Præsens quidem Sanctus, declaratis quinque locis eorum qui agunt pœnitentiam, nec eorum exercitii tempora declaravit, nec peccata propter quæ pœnitentia definita est. Magnus autem Basilius in suis Canonicis Epistolis, hæc omnia exactè tradidit. Verum hic quoque pœnarum medelam episcopali arbitrio reliquit.

C

D

E

F

A

SANCTI ATHANASII EPISTOLA AD AMMUM MONACHUM.

Omnia quidem bona sunt & pura Dei opera: nihil enim inutile vel impurum fecit Dei verbum. Christi enim bonus odor sumus in iis qui servantur, secundùm Apostolum. Quia autem varia & multiplicia sunt diaboli tela, & ut ii etiam qui sunt mente sinceriori turbentur, efficit, fratrésque à consueto exercitio B *prohibet, impuritatis & coinquinationis cogitationes eis suggerens: age paucis & improbi errorem abigamus, Servatoris nostri gratia, & simpliciorum animum confirmemus: Omnia quidem munda mundis: immundorum autem & conscientia, & omnia polluta sunt. Diaboli autem calliditatem admiror, quòd cùm sit exitium ac pernicies, suggerit cogitationes, quæ puritatis quidem esse videntur. Est autem id quod ab eo fit, insidiæ potius vel tentatio. Ut enim, quemadmodum dixi, athletas à consueta & salutari meditatione* C *abducat, & in eo vincere videatur, ejusmodi movet bombicia, quæ vitæ quidem nullam utilitatem afferunt, sed communes quæstiones, & contentiones, quas vitare oportet. Quod enim, ô dilecte & religiosissime, habet peccatum vel immundum naturalis quædam excretio? Ut si quis velit crimen facere etiam eos qui per nares emittuntur mucores, & quæ per os sputa. Præterea autem his etiam possemus plura dicere, ut per ventrem excretiones, quæ sunt animali ad vitam necessaria. Præterea autem si hominem Dei manuum opus esse credimus, secundùm divinas scripturas, quomodo à pura facultate posset aliquod pollutum opus fieri? & si Dei* D *genus sumus, secundùm divinos Actus Apostolorum, in nobis nihil habemus immundum. Tum demum enim polluimur, quando fœtidissimum peccatum operamur. Quando autem naturalis excretio præter voluntatem facta fuerit, tunc naturæ necessitate cum aliis, ut prædiximus, hoc quoque sustinemus. Sed quia ii qui volunt solùm contradicere iis quæ rectè dicuntur, vel potius à Deo facta sunt, dictum quoque Evangelicum detorquent, quòd non quæ ingrediuntur, coinquinant hominem, sed quæ exeunt, necessariò eorum absurditatem, nolo enim dicere quæstionem, confutabimus.* E *Primùm enim divinas scripturas, cùm sint in propria ignorantia instabiles, violant: Ita autem habet divinum eloquium: Cùm enim quidam iis similiter de cibis dubitarent, ipse eorum ignorantiam seu errorem dissolvens, publicè dixit, Non quæ ingrediuntur, coinquinant hominem, sed quæ exeunt. Deinde subjungit, undenam exeuntia? nempe à corde. Illic enim malos profanarum cogitationum Thesauros aliorúmque peccatorum esse scit. Breviùs autem Apostolus hoc ipsum docens dicit, Cibus autem nos Deo non commendat. Dixerit autem quispiam nunc quoque probabiliter, Naturalis* F *excretio nos non adducit ad supplicium. Fortè autem etiam medici, ut ab externis quoque persuadeantur, pro eo respondebunt, quòd unicuique animali dati sunt necessarii meatus in membris, quæ in unoquoque nostrum nutriuntur ad superfluitates amandandas, ut capitis excrementa sunt pili, & aquositates, quæ ex capite emittuntur, & ventris permeatus. Itaque & seminariorum vasorum illud est excrementum. Quodnam est ergo in Deum, ô senex religiosissime, peccatum, cùm ipse Dominus qui animal finxit, voluerit, & fecerit hac*

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ πρὸς Αμοῦν μονάζοντα.

ΠΑΝΤΑ μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ θεοῦ ποιήματα. οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ θεοῦ πεποίηκε λόγος. Χριστοῦ γὰρ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις, κατὰ τὸν ἀπόστολον. ἐπεὶ δὲ ποικίλα καὶ πολύτροπα τὰ τοῦ διαβόλου βέλη, καὶ τοὺς ἀκεραιοτέρους τὴν γνώμην παρασκευάζει ταράττεσθαι, κωλύει τε τῆς συνήθους γυμνασίας τοὺς ἀδελφοὺς, ὑποσπείρων αὐτοῖς λογισμοὺς ἀκαθαρσίας καὶ μολυσμοῦ, φέρε διὰ βραχέων καὶ τὴν τοῦ πονηροῦ πλάνην ἀπελάσωμεν τῇ τοῦ σωτῆρος ἡμῶν χάριτι, καὶ τὴν τῶν ἁπλουστέρων γνώμην στηρίξωμεν. πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις καὶ τὰ πάντα μεμόλυνται. ἄγαμαι δὲ τοῦ διαβόλου τὸ σόφισμα, ὅτιπερ φθορὰ καὶ λύμη ὑπάρχων, λογισμοὺς ὑποβάλλει τῷ δοκεῖν μὲν, καθαρότητος. ἔστι δὲ τὸ γινόμενον ἔνεδρα ἢ δοκιμασία. ἵνα γὰρ ὡς προεῖπον ἀπασχολήσῃ τοὺς ἀσκητὰς τῆς ἐθίμου καὶ σωτηριώδους μελέτης, καὶ δόξῃ κρατεῖν, κατὰ τοῦτο τοιαῦτα κινεῖ βομβίκια, ἅτινα φέρει μὲν οὐδὲν τῷ βίῳ χρήσιμον, κοινὰς δὲ ζητήσεις καὶ φλυαρείας, ἃς δεῖ παραιτεῖσθαι. τί γὰρ εἰπέ μοι ὦ ἀγαπητὲ καὶ εὐλαβέστατε, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον, φυσική τις ἔκκρισις; ὡς εἴ τις ἐθέλει ποιεῖσθαι ἔγκλημα, καὶ τὰς διὰ ῥινῶν ἐκπεμπομένας μύξας, καὶ τὰ διὰ τοῦ στόματος πτύσματα. ἔτι δὲ καὶ τούτων ἔχομεν λέγειν πλείονα τὰς διὰ γαστέρων ἐκκρίσεις, ἅπερ τῷ ζώῳ πρὸς τὸ ζῆν ἀναγκαῖα καθέστηκεν. ἔτι τε εἰ τῶν τοῦ θεοῦ χειρῶν ἔργον πιστεύομεν εἶναι τὸν ἄνθρωπον κατὰ τὰς θείας γραφὰς, πῶς ἠδύνατο ἐκ καθαρᾶς δυνάμεως ἔργον τι γενέσθαι μεμολυσμένον; καὶ εἰ γένος τοῦ θεοῦ ὑπάρχομεν κατὰ τὰς θείας τῶν ἀποστόλων πράξεις, οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. τότε γὰρ μεμολύσμεθα, ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα. ὅτε δὲ φυσική τις ἀβουλήτως ἔκκρισις γένηται, τότε τῇ τῆς φύσεως ἀνάγκῃ μετὰ τῶν ἄλλων ὡς προείπομεν καὶ τοῦτο ὑπομένομεν. ἀλλ' ἐπειδήπερ οἱ θέλοντες ἀντιλέγειν μόνον τοῖς ὀρθῶς λεγομένοις, μᾶλλον δὲ παρὰ θεοῦ πεποιημένοις, παραφέρουσι καὶ ῥητὸν εὐαγγελικὸν, ὡς ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα, ἀναγκαίως αὐτῶν καὶ ταύτην τὴν ἀλογίαν (οὐ γὰρ ἂν εἴπωμεν ζήτησιν) ἐλέγξωμεν. πρῶτον μὲν γὰρ καὶ τὰς γραφὰς κατὰ τὰς ἰδίας ἀμαθίας, ἀστήρικτοι ὄντες, βιάζονται. ἔχει δὲ τὸ θεῖον οὕτω λόγιον. τινῶν γὰρ πάλιν τούτοις ὁμοίως ἐνδοιαστῶς ἐχόντων περὶ βρωμάτων, αὐτὸς λύων αὐτῶν τὴν ἄγνοιαν, ἤγουν ἀπάτην, δημοσιεύων φησὶ, μὴ τὰ εἰσερχόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Εἶτα ἐπάγει πόθεν ἐξερχόμενα; τὰ ἀπὸ καρδίας. ἐκεῖ γὰρ εἶναι τοὺς πονηροὺς θησαυροὺς τῶν βεβήλων λογισμῶν καὶ τῶν ἄλλων ἁμαρτημάτων γινώσκει. συντομώτερον δὲ ὁ ἀπόστολος αὐτὸ δεδιδαγμένος, φησὶ, βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ. φαίη δὲ ἄν τις καὶ νῦν εὐλόγως, φυσική τις ἔκκρισις ἡμᾶς οὐ παραστήσει πρὸς τιμωρίαν. τάχα δὲ καὶ παῖδες ἰατρῶν, ἵνα κἂν ἐκ τῶν ἔξωθεν δυσωπηθῶσιν, ὑπὲρ τούτου ἀπολογήσονται, ὅτι τῷ ζώῳ δέδονταί τινες ἀναγκαῖαι διέξοδοι κατὰ τῶν ἐν ἡμῖν ἑκάστοις μελῶν τρεφομένων τὸ περιττὸν ἀποπέμπειν, οἷον κεφαλῆς περιττώματα τρίχες, καὶ τὰ ἀπὸ κεφαλῆς ὑδατώδη πεμπόμενα, καὶ γαστρὸς διαχωρήματα. καὶ τοίνυν τῶν σπερματικῶν πόρων ἐκεῖνο περίττωμα. ποία τοίνυν ἐστὶ πρὸς θεὸν ὦ πρεσβύτα θεοφιλέστατε ἁμαρτία, αὐτοῦ τοῦ πλάσαντος τὸ ζῶον δεσπότου θελήσαντος ταῦτα τὰ μέλη τοιαύτας ἔχειν διεξόδους

ἐξόδους

A ἐξόδους; ὅπερ δὲ δεῖ περιλαμβάνειν τὰ τῶν πονηρῶν ἐναντιώματα (εἴποιεν γὰρ ἄν, οὐκοῦν οὐκ ἔστιν ἁμαρτία οὔτε ἡ ἀληθὴς χρῆσις, εἰ τὰ ὄργανα παρὰ τοῦ δημιουργοῦ διαπέπλασται) πρὸς τοῦτο ἐρωτηματικῶς αὐτοὺς παύσωμεν· φάσκοντες, ποίαν λέγεις χρῆσιν τὴν ἐν νόμῳ; ἣν ὁ θεὸς ἐπέτρεψε, λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν; ἣν ὁ ἀπόστολος ἀπεδέξατο, εἰπών, τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος; ἢ τὴν δημώδη μέν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένην; ἐπεὶ καὶ τῶν ἄλλων τῶν ἐν βίῳ γινομένων εὑρήσομεν τὰς διαφορὰς κατά τι γινομένας, οἷον φονεύειν οὐκ ἔξεστιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον καὶ ἐπαίνου B ἄξιον. οὕτως γοῦν καὶ τιμῶν μεγάλων οἱ κατὰ πόλεμον ἀριστεύσαντες ἀξιοῦνται, καὶ στῆλαι τούτων ἐγείρονται κηρύττουσαι τὰ κατορθώματα. ὥστε τὸ αὐτὸ κατά τι μὲν καὶ κατὰ καιρόν, οὐκ ἔξεστι· κατά τι δὲ εὐκαίρως ἀφίεταί τε καὶ συγκεχώρηται. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς μίξεως. μακάριος ὃς ἐν νεότητι ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιΐαν κέχρηται. Εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχούς, ἡ παρὰ τῷ ἀποστόλῳ τιμωρία ἐκδέξεται. δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ, περὶ τούτων, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου τῆς παρθενίας, εἰ μέν C τις τὴν κοσμικήν, τουτέστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει. τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται. λήψεται γάρ· ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τὸν τριάκοντα. Εἰ δὲ τὴν ἁγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο, εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδός, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπὸν τὴν ἑκατοντάδα ἐβλάστησεν. ὥστε τὰ ἀκάθαρτα αὐτῶν καὶ πονηρὰ ζητήματα λύσεις ἰδίας ἔχει καὶ παρὰ τῶν θείων γραφῶν πάλαι προλυθείσας. ὑποστήριζε τοίνυν ὦ πάτερ τὰς ὑπὸ σεαυτὸν ἀγέλας ἐκ τῶν ἀποστολικῶν παρακλήσεων, ἐκ τῶν εὐαγγελικῶν ψυχαγωγιῶν, ἐκ τῶν D ψαλμῶν συμβουλεύων. ζῆσόν με λέγων κατὰ τὸ λόγιόν σου. λόγιον δὲ αὐτοῦ τὸ ἐκ καθαρᾶς λατρεύειν αὐτῷ καρδίας. τοῦτο γὰρ εἰδὼς ὁ αὐτὸς προφήτης, ὥσπερ ἑαυτὸν μεταφράζων, λέγει, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, ἵνα μὴ ῥυπώδεις λογισμοί με ταράξωσι. πάλιν Δαβίδ, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με, ἵνα κἂν ποτε λογισμοί με θορυβήσωσιν, ἰσχυρά τις δύναμις παρά σου στηρίζῃ με, ὥσπερ κρηπὶς τυγχάνουσα. αὐτὸς τοίνυν ταῦτα καὶ τὰ τοιαῦτα συμβουλεύων, λέγε πρὸς τοὺς βράδιον τῇ ἀληθείᾳ πειθομένους, διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ θαρρῶν κυρίῳ ὅτι πείσεις ἀπέχεσθαι τῆς τοιαύτης κακίας, E ψάλλε, καὶ οἱ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. γένοιτο δὲ τοὺς μὲν κακοήθως ζητοῦντας, παύσασθαι τῆς τοιαύτης ματαιοπονίας· τοὺς δὲ διὰ εὐήθειαν ἐνδοιαστῶς ἔχοντας, ἡγεμονικῷ πνεύματι κρατυνθῆναι. ὅσοι δὲ βεβαίως τὴν ἀλήθειαν ἐπίστασθε ἀῤῥαγῆ ταύτην κατέχετε καὶ ἀσάλευτον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

membra ejuſmodi habere meatus? Quoniam autem oportet malorum contrarias rationes aſſumere (dixerint enim, nullo modo peccatum eſt verus uſus, ſi organa ab opifice facta ſunt) eis ſilentium imponemus ab hoc, interrogativè dicentes, Quem uſum dicis legitimum? quem Deus permiſit, dicens, Creſcite, & multiplicamini, & replete terram: quem Apoſtolus oſtendit, dicens, Honorabile matrimonium, & cubile immaculatum? an vulgarem qui ſit clanculùm & adulteratoriè? Nam & aliorum quoque quæ fiunt in vita inveniemus eſſe in aliquo differentias. Quemadmodum non licet occidere, ſed occidere in bello adverſarios, eſt & juſtum, & laude dignum. Ita & magnis laudibus digni habentur qui ſe in bello præclarè fortitérque geſſerint, & eorum columnæ excitantur, quæ rectè geſta prædicent. Quare unum & idem, ſecundum aliquid quidem, & aliquando non licet: ſecundum aliquid autem opportunè permittitur, ac conceditur. Eadem ergo eſt de coitu quoque ratio. Beatus qui in juventute liberum habens jugum, natura ad liberorum procreationem uſus eſt. Sin autem ad intemperantiam, fornicatores & adulteros, id quod eſt apud Paulum, ſupplicium excipiet. Cùm enim duæ ſint ejus rei viæ in vita: una quidem moderatior, & vitæ magis conveniens, dico matrimonium: alia autem angelica, & qua excellentior eſſe non poteſt, virginitas: Si quis quidem mundanam, ſcilicet matrimonium, elegerit, reprehenſione quidem vacabit, ſed non tot dona accipiet, accipiet enim: nam & ipſe fert fructum triceſimum. Siquis autem caſtam & ſupramundanam amplexus fuerit, etſi prima illa magis aſpera & ardua via ſit, habet tamen dona admirabiliora: perfectum enim fructum centeſimum produxit. Quare impuræ eorum & improbæ quæſtiones, ſolutiones proprias habuerunt, à divinis etiam ſcripturis olim ante ſolutas. Confirma ergo ô pater greges tuos ex adhortationibus apoſtolicis, ex conſolationibus Evangelicis & Pſalmorum conſiliis, dicens, vivifica me ſecundùm eloquium tuum, eloquium autem ejus eſt, ei ex puro corde ſervire. Hoc enim ſciens ipſe propheta, ſe veluti interpretatur, dicens, Cor mundum crea in me Deus, ne ſordidæ me cogitationes perturbent. Rurſus David, Et ſpiritu principali confirma me, ut ſi fortè me cogitationes perturbaverint, valida aliqua tua poteſtas, quæ ſit veluti baſis, me ſuſtentet ac ſtabiliat. Ipſe ergo hæc & ejuſmodi alia conſulens, dic iis qui veritati parent tardiùs: Docebo iniquos vias tuas, & in Domino confidens quòd eis perſuadebis à tali vitio abſtinere, cane, & ad te impii convertentur. Fieri autem poſſit, ut qui improbè quidem & malitioſè quærunt, à vano ejuſmodi labore deſiſtant: qui autem propter ſimplicitatem dubitant, & in incerto verſantur, principali ſpiritu corroborentur. Quicunque autem veritatem firmè ſcitis, eam infractam inconcuſſámque tenete in Chriſto Jeſu Domino noſtro, cum quo Patri gloria & potentia cum ſancto Spiritu, in ſecula ſeculorum. Amen.

ΒΑΛΣ. Τὴν ἐπιστολὴν ταύτην διαλαμβάνουσαν μὴ εἶναι ἀκάθαρτον τὴν φυσικὴν ἔκκρισιν τοῦ σπέρματος τὴν ἀπὸ νόσου F δηλαδὴ γινομένην ἢ ἀπὸ φαντασίας νυκτερινῆς ἀπροαιρέτου καὶ ἀπαθοῦς, ὑπερφυέστατος ἐκεῖνος Ζωναρᾶς σοφῶς καὶ ὑπερδεξίως, καὶ ὡς οὐκ ἄν τις κρειττόνως, ἡρμήνευσε· καὶ διὰ τοῦτο περιττὸν ἡμῖν ἔδοξεν γράψαι τι περὶ ταύτης. συναγαγόντες δὲ λέγομεν ὡς ἡ φυσικὴ ἐκροὴ τοῦ σπέρματος εἰ μὲν ἐξ ἀπροαιρέτου φαντασίας νυκτερινῆς καὶ ἄνευ προϋποκειμένης ἐμπαθοῦς ἐπιθυμίας γένηται, ἀποκριμάτιστός ἐστι παντάπασι, καθὼς καὶ ἡ πρὸς τὸν Βασιλείδην ἐπιστολὴ τοῦ ἁγίου Διονυσίου διαλαμβάνει, ἥτις κατεστρώθη ὄπισθεν.

Bals. Hanc Epiſtolam quæ tractat non eſſe immundam naturalem excretionem ſeminis, quæ ſcilicet fit vel morbo, vel nocturna viſione non ſpontanea, à nulláque perturbatione orta, excellentiſſimus ille Zonaras, ſapienter & aptè, & ita ut nemo meliùs dicere poſſit, interpretatus eſt: & propterea de eo nos ſcribere ſupervacaneum exiſtimavimus. Breviter autem dicimus, quòd ſi naturalis quidem ſeminis fluxus ex non ſpontanea nocturna viſione, & ſine ullâ præviâ vehementi cupiditate fiat, nihil penitus affert præjudicii. Sicut & ſancti Dionyſii ad Baſilidem tractat Epiſtola, quæ ſuperiùs annexa fuit.

Sin autem aliqua perturbatio ex mala fortaſſe cupiditate aſſenſúque proceſſit, immunda eſt, & qui eam ſuſtinuit à ſacramentis arcebitur, & pro animæ ejus medici arbitratu ei medicina dabitur. Cùm enim tria ſint per quæ à Satana oppugnamur, applicatio, ſeu primus motus, aſſenſus, & effectus; ſi ex ſolo quidem primo motu nocturna fuerit facta viſio, leviùs puniemur: ſin autem cum primo motu diurnus quoque fuit aſſenſus, & ſic nocturna viſio conſecuta eſt, & excretionis effectus, magis puniemur, ſecundùm ſanctam ſcripturam quæ dicit, qui deſideravit mulierem in corde ſuo, eam jam adulteravit. Si autem ſic punitur qui fit ex conſenſu, in nocturna imaginatione, fluxus ſeminis; multò magis quæ per molliciem fit excretio punietur, inter vigilandum non autem in ſomniando facta. Seminis autem fluxio, quæ fit ex morbo nephritico cujuſmodi ſunt gonorrhœa, & calculus, ab omni culpâ immunis eſt. Etſi enim à lege Moſaica, qui ſeminis fluxu laborabant, immundi reputabantur: alio tamen modo, quod ad legem, noſtram attinet, puri exiſtimantur: quoniam qui & lepræ morbo laborârunt, juxta legem antiquam ut immundi dimittebantur,apud nos autem in eccleſia verſantur, & comprecantur, à morbo nihil impediti, ſed eo potiùs accepti. Zonaræ autem interpretatio non hic ſubjuncta eſt, quòd ad verborum ſcripturæ interpretationem magis reſpiciat, & non ad canonicam doctrinam. Nobis autem in hac interpretatione, nec curæ fuit rhetorica compoſitio, nec verborum ornatus & elegantia, nec ſcripturæ verborum interpretatio, ſed canonica legaliſque doctrina, & interpretatio legum & canonum, qui videntur contrarii, reliqua prætermittentibus, ut quæ non ſint præſentis temporis & inſtituti. Qui vult ergo invenire interpretationem & declarationem dictorum Apoſtolorum, aliorumve ad ſcripturam pertinentium, is adeat Zonaram, vel etiam alios interpretes.

Zonar. Rogatus hic magnus Pater de naturali ſeminis excretione, num ſit impura, reſpondit interrogationi, nihil eorum quæ à Deo facta ſunt impurum eſſe. Quia vero ſubſeminantur, hoc eſt, immittuntur cogitationes à malo dæmone, ac ſinceriores animo, ſimpliciores videlicet perturbantur: age brevi ſermone (id eſt, Deo fidentes) disjiciamus in Deo Diaboli fraudes, ac ſimpliciorum animos confirmemus. Sermonem itaque auſpicatur, Divi Pauli ſententiam proferens ex epiſtola ad Titum, aitque omnia munda mundis, impurorum verò conſcientiam quoque eſſe pollutam. Hæc vero Beatus Paulus de Judaica obſervatione in cibis aſſerit, illorum quæ à Deo creata ſunt natura ſua nihil eſſe impurum: neque vero pollutis quidquam eſſe mundum, ſed ipſorum quoque mentem, & conſcientiam pollutam eſſe. Polluti ſunt enim peccato, & ea quæ indecora ſunt, cogitando. Per hæc igitur verba conſtituto ſuæ ſcriptionis proœmio magnus Athanaſius ſubjicit, Miror autem, ſive cum admiratione ſpecto Diaboli calliditatem, fraudès videlicet: qui cùm corruptio ſit & lues, cogitationes tamen, quæ puræ videntur eſſe, in animum inſinuat. Quod vero ab illo fit inſidiæ ſunt, hoc eſt, occultæ machinationes, non probandæ conſtantiæ experimentum. Ut enim eos,qui in rerum divinarum meditatione ſe exercent,à conſueta, hoc eſt, uſitata ipſis,& fructuoſa abducat cogitatione,atque ipſos ſuperare videatur,ſecundum hoc(ſive hanc ob cauſam)ejuſmodi movet bombycia, ſeu terriculamenta quæ ſolummodo bombos cient. Quid eſt enim, ait, in naturali excretione criminis, aut impuritatis? veluti ſiquis homines ob alia quoque excrementa accuſet, ut ob mucorem narium, & ſputa, & quæcunque per ventriculum excernuntur, hoc eſt, ejiciuntur ac exonerantur, quæ quidem per excretionem

A εἰ δὲ ἐμπαθῶς τις προηγήσατο ἐκ πονηρᾶς ἐπιθυμίας ἴσως καὶ συγκαταθέσεως, ἀκάθαρτός ἐστι, καὶ ὁ ταύτην ὑποστὰς τῶν ἁγιασμάτων ἐμποδισθήσεται, καὶ κατὰ τὸ δοκοῦν τῷ ψυχικῷ αὐτοῦ ἰατρῷ, θεραπευθήσεται. τριῶν γὰρ ὄντων τρόπων δι' ὧν παρὰ τοῦ σατανᾶ πολεμούμεθα, προσβολῆς, συγκαταθέσεως, καὶ ἀποτελέσματος, εἰ μὲν ἀπὸ μόνης προσβολῆς φαντασία γένηται νυκτερινὴ, μετριώτερον ἐπιτιμηθῶμεν. εἰ δὲ σὺν τῇ προσβολῇ γέγονε καὶ συγκατάθεσις ἡμερινὴ, καὶ οὕτω παρηκολούθησε καὶ φαντασία νυκτερινὴ, καὶ ἐκκρίσεως ἀποτέλεσμα, ἐπὶ πλέον κολασθησόμεθα, κατὰ τὸ γράμμα τὸ ἱερὸν τὸ λέγον, ὁ ἐπιθυμήσας γυναῖκα ἐν B τῇ καρδίᾳ αὐτοῦ, ἤδη ἐμοίχευσεν αὐτήν. εἰ δὲ οὕτω κολάζεται ἡ ἀπὸ συγκαταθέσεως διὰ νυκτερινῆς φαντασίας ἐκροὴ τοῦ σπέρματος, πολλῷ πλέον ἡ διὰ μαλακίας ἔκκρισις ἐπιτιμηθήσεται ὕπαρ καὶ οὐκ ἐξ ὀνειρώσεως γινομένη. ἡ δὲ ἀπὸ νόσου νεφριτικῆς γινομένη ἐκροὴ τοῦ σπέρματος, οἷά ἐστιν ἡ τῶν γονορροιῶν καὶ τῆς λιθιάσεως, πάντη ἐστὶν ἀκατέγκλητος. κἂν γὰρ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου οἱ γονορροεῖς ἀκάθαρτοι ἐλογίζοντο, ἀλλὰ καθ' ἕτερον τρόπον ὅσον πρὸς τὸν ἡμέτερον νόμον καθαροὶ λογίζονται· ὅτι καὶ οἱ λέπραν νοσήσαντες, παρὰ μὲν τῷ παλαιῷ νόμῳ ὡς ἀκάθαρτοι ἀπεπέμποντο. μεθ' ἡμῶν δὲ καὶ ἐκκλησιάζουσι καὶ συνεύχονται, ἀπὸ τῆς C νόσου μηδὲν ἐμποδιζόμενοι, ἀλλὰ μᾶλλον καὶ οἰκειούμενοι. ἡ μέντοι ἑρμηνεία τοῦ Ζωναρᾶ οὐ κατεστρώθη ὧδε, διὰ τὸ πρὸς ἐξήγησιν γραφικῶν ῥημάτων μάλιστα ἀποβλέπειν καὶ μὴ πρὸς κανονικὴν διδασκαλίαν. ἡμῖν δὲ οὐκ ἐμέλησεν ὅλως ἐν τῇ παρούσῃ ἐξηγήσει συνθήκης ῥητορικῆς ἢ εὐεπείας λέξεων ἢ ῥημάτων γραφικῶν ἑρμηνείας, ἀλλὰ κανονικῆς καὶ νομικῆς διδασκαλίας καὶ ἑρμηνείας τῶν δοκούντων ἐναντιοφανῶν νόμων τε καὶ κανόνων, τὰ λοιπὰ παραδραμοῦσιν, ὡς μὴ τοῦ παρόντος ὄντα καιροῦ. ὁ γοῦν θέλων εὑρεῖν τὴν ἑρμηνείαν καὶ τὴν σαφήνειαν τῶν ἀποστολικῶν ῥημάτων ἢ καὶ τῶν ἄλλων γραφικῶν, ἐντυγχανέτω τῷ Ζωναρᾷ ἢ καὶ τοῖς D ἄλλοις ἐξηγηταῖς αὐτῶν.

ΖΩΝΑΡ. Ἐρωτηθεὶς ὁ μέγας οὗτος πατὴρ περὶ τῆς φυσικῆς ἐκκρίσεως τῆς γονῆς, εἰ ἀκάθαρτός ἐστιν, ἀπεκρίθη πρὸς τὸ ἐρώτημα, ὅτι οὐδὲν τῶν παρὰ Θεοῦ γενομένων ἀκάθαρτον· ὅτι δὲ ὑποσπείρει ἤγουν ὑποβάλλει λογισμοὺς ὁ πονηρὸς, καὶ ταράσσει τοὺς ἀκεραιοτέρους τὴν γνώμην, ἤτοι τοὺς ἁπλουστέρους· φέρε δι' ὀλίγων λόγων ἀπελάσωμεν ἐν Θεῷ τὴν τοῦ πονηροῦ πλάνην, ἀντὶ τοῦ τῷ Θεῷ θαρροῦντες, καὶ τὴν γνώμην τῶν ἁπλουστέρων στηρίξωμεν. ἄρχεται οὖν τοῦ λόγου, χρῆσιν παράγων ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς τοῦ ἁγίου Παύλου, καὶ φησὶν ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς, E τῶν δὲ ἀκαθάρτων καὶ ἡ συνείδησις μεμόλυνται. ταῦτα δὲ ὁ μακάριος Παῦλος περὶ τῆς ἐν βρώμασιν Ἰουδαϊκῆς λέγει παρατηρήσεως, ὅτι τῶν ὑπὸ Θεοῦ κτισθέντων, οὐδὲν ἀκάθαρτον κατὰ τὴν ἑαυτοῦ φύσιν· οὐδὲν δὲ τοῖς μεμιασμένοις καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις· μεμίανται δὲ τῇ ἁμαρτίᾳ καὶ τῷ λογίζεσθαι τὰ μὴ πρέποντα. διὰ τούτων οὖν τῶν λόγων προκατασκευάσας ὁ μέγας Ἀθανάσιος τὴν οἰκείαν γραφὴν ἐπάγει, ἄγαμαι δὲ, ἤτοι θαυμάζω τοῦ διαβόλου τὸ σόφισμα, τὴν ἀπάτην δηλαδὴ, ὅτι φθορὰ ὢν καὶ λύμη ἐνθυμίζει λογισμοὺς δοκοῦντας εἶναι καθαρότητος. τὸ δὲ παρ' ἐκείνου γινόμενον ἐνέδρα ἐστὶν, F ἤγουν κρυφία ἐπιβουλὴ ἀλλ' οὐχὶ δοκιμασία. ἵνα γὰρ ἀπαγάγῃ τοὺς ἀσκητὰς τοῦ ἐθίμου, τουτέστι τῆς συνήθους καὶ ὠφελίμου φροντίδος, καὶ δόξῃ νικᾶν αὐτοὺς· κατὰ τοῦτο (διὰ τοῦτο) τοιαῦτα κινεῖ βομβύκια, ἤτοι φόβητρα, βόμβους μόνον ἐμποιοῦντα. τί γὰρ, φησὶν, ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον ἡ φυσικὴ ἔκκρισις; ὥσπερ ἐάν τις αἰτιᾶται τοὺς ἀνθρώπους καὶ διὰ τὰς ἄλλας ἐκκρίσεις, οἷον διὰ τὰς μύξας καὶ τὰ πτύσματα, καὶ ὅσα διὰ γαστέρων ἐκκρίνονται, ἤγουν ἐκβάλλονται καὶ κενοῦνται, ἅπινα ἐκκρινόμενα ὠφελοῦσι πρὸς τὴν ζωήν· ἐπιχειρεῖ δὲ καὶ ἑτέρωθεν. εἰ γὰρ πιστευόμεθα, φησὶ, τῶν χειρῶν τοῦ Θεοῦ ποίημα

εἶναι τὸν ἄνθρωπον, πῶς ἐστι δυνατὸν ἐκ τοῦ Θεοῦ ἀκάθαρτόν τι γενέσθαι, καὶ μεμολυσμένον· καὶ εἰ γένος Θεοῦ ὑπάρχομεν κατὰ τὰς τῶν θείων ἀποστόλων πράξεις οὐδὲν ἔχομεν ἐν ἑαυτοῖς ἀκάθαρτον. ἐν γὰρ τῇ βίβλῳ τῶν πράξεων ἱστόρηται ὁ μέγας Παῦλος τοῖς Ἀθηναίοις διαλεγόμενος, καὶ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα λέγων περὶ Θεοῦ· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι, τοῦ γὰρ γένος ἐσμέν, τοῦτο δὲ τῷ Ἀράτῳ εἴρηται περὶ τοῦ Διός· ὁ δὲ ἀπόστολος εἰς τὸν ὄντως Θεὸν τὸ νόημα ᾐχμαλώτισε. τούτῳ τοίνυν εἰς κατασκευὴν τοῦ οἰκείου λόγου ὁ μέγας ἐχρήσατο Ἀθανάσιος· ὡς εἰ γένος Θεοῦ ἐσμέν, ὡς ἐν ταῖς πράξεσιν εἴρηται, οὐδὲν ἔχομεν μεμολυσμένον ἢ μιαρόν. τότε γὰρ μεμολύσμεθα, ὅτε ἁμαρτάνομεν· ἡ δὲ φυσικὴ ἔκκρισις, γινομένη ἐξ ἀνάγκης τῆς φύσεως, οὐ μιαίνει. ὡς τινῶν δὲ ἀντιλεγόντων καὶ προφερόντων ῥητὰ εὐαγγελικὰ τὰ λέγοντα, οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. ἵσταται καὶ πρὸς τοῦτο δεικνύς, μὴ καλῶς νοούμενα τὰ ῥητὰ παρὰ τῶν ἀντιλεγόντων· καί φησι, ὅτι περὶ βρωμάτων ἐνδοιασμοὺς ἐχόντων τινῶν ἤτοι δειλιώντων ἀμφιβαλλόντων, ὡς μολυνόντων τοὺς χρωμένους αὐτοῖς, λύων αὐτῶν τὴν ἄγνοιαν ὁ κύριός φησι, μὴ τὰ εἰσερχόμενα κοινοῦν, ἤγουν μιαίνειν, μολύνειν, ἀλλὰ τὰ ἐξερχόμενα, τὰ ἀπὸ καρδίας δηλαδὴ προϊόντα· καὶ ὁ ἀπόστολος δέ φησι, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. τούτοις τὸν οἰκεῖον λόγον κρατύνας ὁ μέγας οὗτος πατήρ, ἐπάγει. εἴποι δ' ἄν τις καὶ νῦν εὐλόγως, φυσική τις ἔκκρισις ἡμᾶς οὐ παρίστησι πρὸς τιμωρίαν· καὶ ἰατροὶ δέ φησι περὶ τούτου ἀπολογήσονται, ὅτι ἡ φύσις ὡς περίττωμα διώκει τὸ σπέρμα. τῷ γὰρ ζώῳ δέδονται πόροι, ἵνα διὰ τούτων ἕκαστον μέλος ἀποπέμπῃ τὸ περιττόν. τῆς μὲν οὖν κεφαλῆς, φησί, περιττώματα εἰσὶν αἱ τρίχες, καὶ τὰ διὰ ῥινῶν καὶ στόματος ὑγρά, καὶ γαστρός, διαχωρήματα, ἢ καὶ ὅλου τοῦ σώματος· τῶν δὲ σπερματικῶν πόρων περίττωμα, τὸ σπέρμα. ποία οὖν ἐστί, φησίν, ἁμαρτία κενουμένου τοῦ σπέρματος τούτου, ὡς ὁ Θεὸς ὁ πλάσας τὸν ἄνθρωπον ἠθέλησε, καὶ ᾠκονόμησεν; ἵνα δὲ μή τις πρὸς ταῦτα ἀντιθῇ, ὅτι ἐπεὶ ὃ λέγεις οὐκ ἔστιν ἁμαρτία ἡ τοῦ σπέρματος ἐκροὴ ὡς φυσικῶς γινομένη, οὐδὲ ἡ ἀληθὴς χρῆσις, ἤγουν ἡ μίξις λογισθήσεται ἁμαρτία· ὅτι τὰ ὄργανα τὰ πρὸς αὐτὴν ἐνεργοῦντα παρὰ τοῦ Θεοῦ ἐπλάσθησαν· ἐρωτᾷ τὸν ἀντιλέγοντα δῆθεν· ποίαν λέγεις χρῆσιν; τὴν ἔννομον, ἢ τὴν κρυφίως καὶ μοιχικῶς γινομένην; τὴν γὰρ ἔννομον ὁ Θεὸς ἐπέτρεψεν εἰπών· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ ὁ μέγας Παῦλος ἐκκεχώρηκε λέγων, τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· ἡ δὲ ἄλλη χρῆσις κεκώλυται. τοῦτο γάρ, φησί, καὶ ἐν ἄλλοις πολλοῖς βιωτικοῖς εὑρήσομεν αὐτίκα. τὸ φονεύειν ἀπηγόρευται, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς πολεμίους ἐπαινετόν, καὶ τιμῶν μεγάλων ἄξιον. ὥστε τὸ αὐτὸ κατά τι μὲν οὐκ ἔξεστι κατά τι δὲ ἔξεστι, καὶ ἐν διαφορᾷ ἐστὶ καὶ καιρῶν καὶ προσώπων καὶ τρόπων ἄλλων. οὕτως οὖν καὶ ἡ μίξις. καὶ χρήσεις γραφικὰς παράγει πρὸς τοῦτο. εἶτα καὶ περὶ γάμου καὶ παρθενίας διαλέγεται· καὶ δύο φησὶν ὁδοὺς εἶναι, τὸν γάμον καὶ τὴν ἁγνείαν. εἰ μὲν οὖν τις τὸν γάμον ἕλοιτο, μέμψιν οὐκ ἔχει, οὐδὲ κατακριθήσεται διὰ τοῦτο. οὐ μὴν τοσαῦτα χαρίσματα λήψεται ὅσα ὁ παρθενίᾳ συζήσας. λήψεται γάρ, φησί, κἀκεῖνος, ἐπείπερ φέρει καρπὸν τὸν τριάκοντα. εἰ γὰρ κατὰ τὸν μέγαν Παῦλον, τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, ὁ σωφρόνως ἐν τῇ συζυγίᾳ βεβιωκώς, καὶ ὑπηρετήσας τῇ τοῦ Θεοῦ προστάξει διὰ τῆς παιδοποιΐας, εἰπόντος, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ ἀνεχόμενος φροντίδων καὶ κόπων διὰ τὰ ἔγγονα, ἵνα θρέψῃ αὐτὰ καὶ παιδεύσῃ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου, καρπὸν κἀκεῖνος τὸν τριάκοντα φέρει. καθὸ καὶ ὁ μακάριος Παῦλος λέγει, Σωθήσεσθαι τὰς γυναῖκας διὰ τῆς τεκνογονίας. εἰ δέ τις τὴν ἁγνείαν φησί, καὶ ὑπερκόσμιον ὁδὸν ἀσπάσοιτο, χαρίσματα θαυμασιώτερα λήψεται, ὅτι τραχεῖα παρὰ τὴν προτέραν καὶ δυσκατόρθωτος ἡ ὁδός. τὸ δὲ παρὰ τὴν προτέραν, ἢ παρὰ τὴν ἤδη ῥηθεῖσαν ὁδὸν τὴν τοῦ γάμου νοητέον, ἢ παρὰ

A emiſſa ad vitam juvant. Aliam vero præterea probationem
aggreditur. Si enim, inquit, opus Dei manuum
eſſe hominem credimus, quî fieri poteſt ut à Deo
impurum quidpiam pollutumque procreetur? Ac ſiquidem
Dei genus ſumus, ut in Actis divinorum Apoſtolorum
legitur, nihil in nobis ipſis immundum
habemus. Commemoratur namque in libro Actorum
magnus Paulus ad Athenienſes diſſerens, ac præter alia
hæc quoque effatur de Deo, In ipſo enim vivimus,
movemur, & ſumus, ut etiam veſtrorum poëtarum
quidam dixerunt, Ipſius namque genus ſumus. Hoc
vero dixit Aratus de Jove: Apoſtolus autem ad verum
B Deum ſententiam accommodavit. Eo igitur ad
ſuæ orationis confirmationem magnus uſus eſt Athanaſius
dicens, ſiquidem Dei genus ſumus, ut in Actis
dicitur, nihil habere nos pollutum, aut immundum.
Tunc namque polluimur cum peccamus. Naturalis
autem excretio, quæ ex naturæ neceſſitate fit, minime
polluit. Cæterum cum nonnulli contradicerent, ac
Evangelica illa verba proferrent, Non quæ intrant
coinquinant hominem, ſed quæ exeunt. Ad hoc
quoque reſpondet, ab iis qui contra arguunt non bene
intelligi verba illa demonſtrans; aitque cum de cibis
quidam dubitarent, ſive timidiuſcule hæſitarent, acſi
C utentes ipſis polluerent, eorum ignorationem Dominus
ſolvens, ait, Non ea quæ intrant inquinare, hoc eſt, polluere,
inficere, ſed quæ exeunt, quæ à corde videlicet progrediuntur.
Ait vero etiam Apoſtolus, Eſca nos non
commendat Deo. Poſtquam hiſce rationibus ſuum ſermonem
magnus hic Pater confirmavit, ſubjicit deinde:
Dixerit autem forte nunc quoque aliquis probabiliter,
Naturalis quædam excretio nos ad ſupplicium haudquaquam
adducit. Et vero medici quoque, ait, hac
de re reſpondebunt, naturam, velut excrementum
quoddam, ſemen expellere. Animanti ſiquidem dati
ſunt meatus, ut per hos unumquodque membrum,
D quod ſuperfluum eſt, ejiciat. Capitis quidem, inquit,
excrementa ſunt pili, quique per nares, atque os emittuntur
humores; & ventris, aut totius etiam corporis,
egeſtiones: Seminariorum autem meatuum excrementum
eſt ſemen. Quodnam ergo, inquit, in eo peccatum
fuerit, cum hoc ſemen egeritur eo modo, quo,
qui efformavit hominem, Deus voluit ac conſtituit?
Verum ne quis ad hæc objiceret; Quoniam, ut ais,
nullum eſt peccatum in ſeminis fluxu, quippe qui naturaliter
contingit: nec verus quidem uſus, coitio nimirum,
ducetur in crimine; quia quæ illi deſerviunt
organa à Deo efformata ſunt: contradicentem ſcilicet
E interrogat; Qualem tu dicis uſum? legitimúmne, an
eum qui occulte, libidinoſéque exercetur? Legitimum
ſiquidem Deus permiſit, dicens, Creſcite, & multiplicamini,
& conceſſit magnus Paulus dicens, Honorabile
connubium, & thorus immaculatus: Alius vero uſus
interdictus eſt. Hoc vero, inquit, in aliis quoque multis
hujus vitæ actionibus facile inveniemus. Occidere
nempe vetitum eſt; at in bello interficere hoſtes laudabile,
ac magnis honoribus dignum habetur. Proinde
eadem res ex aliquo capite haud licet, ex alio vero conceditur,
ac differentiam temporum, perſonarum modorumque
aliorum admittit. Eadem igitur eſt de coitu
F ratio. Tum oracula ex ſacris litteris hac de re profert:
mox de nuptiis quoque, ac virginitate diſſerit, duaſque
ait eſſe vias, matrimonium videlicet, & virginitatem:
ſi quis igitur matrimonium elegerit, reprehenſionem non
habet, neque ex hoc condemnabitur. Cæterum non
tanta dona, quanta is qui virginitatem amplexus fuerit,
accipiet. Accipiet enim, inquit, & ille, fructum ſiquidem
fert triceſimum. Si namque ex magni Pauli ſententia,
Honorabile matrimonium & thorus immaculatus; qui
in conjugio caſte vixit, ac liberis operam dando Dei præcepto
obtemperavit, dicenti, Creſcite & multiplicamini;

tum prolis cauſâ curas laboréſque ſuſcipiens, ut illam nutriat erudiatque in diſciplina & inſtitutione Domini, fructum is quoque fert triceſimum. Quemadmodum Beatus quoque Paulus aſſerit, fore ut ſalventur mulieres liberos gignentes. Siquis verò, ait, puram ac cœleſtem viam fuerit amplexus, admirabiliora dona accipiet; quoniam aſpera primo aditu difficiliſque admodum eſt via. Illud vero (παρὰ τὴν πρώτην) aut de prædictâ viâ conjugali intelligendum eſt, aut de initio. Qui enim virginitatem amplectitur, cùm caro ad voluptates, maximéque venereas ſit proclivis; conflictatur initio difficultatibus, natura ad libidinem inclinante, idque præſertim dum in ætatis flore verſatur, ac viget; quam ob cauſam verba illa (primo aditu) ſunt dicta. Ubi verò ad ſenectutem vergit, etiamſi ne tunc quidem extinguatur cupiditatum flamma, lenior tamen evadit. His dictis ſubjicit, illorum impuras quæſtiones jam ante ex ſacris literis fuiſſe ſolutas, monétque interrogantem, ut ſibi ſubditos confirmet, variiſque ſcripturæ ſententiis utitur; tum ad precationem converſa oratione epiſtolam abſolvit. Hæc ergo magnus loquitur Athanaſius de naturali ſeminis excretione. Dionyſius porro Alexandrinus in epiſtola ad Baſilidem hæc habet: Qui vero in non voluntario nocturno fluxu fuêre, propriam ſequantur conſcientiam, & ſecum, an de eo dubitant, nécne, conſiderent. Quemadmodum in cibis, qui dubitat, inquit, condemnatus eſt, ſi comederit; in his quoque bonæ ſit conſcientiæ, & libere loquatur, juxta conceptam animo cogitationem, omnis qui accedit ad Deum. Quod vero ait ejuſmodi eſt, ut qui ſeminis fluxum eſt paſſus ſeipſum examinet, ac ſiquidem affectio aliqua præceſſit, ex prava forte cogitatione atque conſenſu, & hoc pacto ſeminis fluxus eſt conſecutus, cui is contigit haudquaquam purus exiſtimabitur: Sin nihil tale præceſſit, nec de aliqua ejuſmodi re ambigit, nec ulla rationi adhæſit macula, ad ſacra illi myſteria liceat accedere. Nonnulli vero, magni Baſilii ſententia, qui aliquid ejuſmodi paſſi ſunt, à ſacrorum myſteriorum perceptione arceri aſſerunt. Rogatus namq; hic vir ſanctus, (uti in ipſius aſceticis eſt ſcriptum) an eum, cui ex conſuetudine aut natura quidpiam evenit, audere oporteat ad ſacrorum communicationem admittere? reſpondit, ſuperiorem naturæ & conſuetudini docuit Apoſtolus eſſe eum, qui in baptiſmo conſepultus eſt Chriſto: Nunc quidem dicens, Quòd vetus noſter homo cum eo crucifixus eſt, ut aboleatur corpus peccati, ne nos amplius ſerviamus peccato: Alibi vero præcipiens, Mortificate igitur membra veſtra terreſtria, ſcortationem, impuritatem, mollitiem, cupiditatem malam, et avaritiam, quæ eſt idololatria, ob quæ venit ira Dei ſuper homines contumaces; Alibi autem regulam exponens, dum ait, Qui enim ſunt Chriſti, carnem crucifixerunt cum affectibus & cupiditatibus. Ego vero ſcio emendata hæc fuiſſe per Chriſti gratiam in viris & mulieribus, ſincera in Dominum fide: de eo vero qui impuritate pollutus acceſſit ad ſancta, ex veteri quoq; teſtamento horrendum edocemur judicium, Quòd ſi plus templo hîc eſt, ſane & formidabilius. Idem nos erudiet Apoſtolus dicens, Qui manducat & bibit indigne, judicium ſibi manducat & bibit. Ex hoc igitur reſponſo quidam opinati ſunt magnum Baſilium impuritatis loco ducere ſeminis fluxum: ſed non eſt ita. Non enim de eo fluxu loquitur, qui ſine imaginatione fit, imo nec de eo, quem imaginatio comitatur, ſine ulla tamen animi affectione, quam cupiditas non præceſſerit: aut ſi præceſſit, haud diu tamen ſubſtitit, ſed exturbata eſt potioris imperio rationis; ita ut neq; aſſenſio ſit conſecuta, nec aliqua per illam macula rationi adhæſerit. Idq; ex ipſamet magni Patris illius ſcriptione animadvertenti facile erit cognoſcere. Apoſtoli namq; verba, quibus ille ad ſuæ ſententiæ confirmationem eſt uſus, peccati meminêre impuritatiſque, & concupiſcentiæ malæ, ex quibus ille ſuam ſtabilivit ſententiam, dicens, Aliquem verò impuritate pollutum ad ſancta

A τὴν ἀρχήν. ὁ γὰρ ἑλόμενος παρθενεύειν τῆς σαρκὸς δυσκαταφόρου τυγχανούσης πρὸς ἡδονὰς καὶ μάλιστα περὶ τὰς τῆς μίξεως· παρὰ τὴν ἀρχὴν ἀνάγκην ὑφίσταται, τῆς φύσεως ὀργώσης πρὸς τὸ πάθος· καὶ πλέον ὅτε νεάζει ὁ ἄνθρωπος καὶ σφριγᾷ· διὸ παρὰ τὴν πρώτην εἴρηται. ὅτε δὲ πρὸς γῆρας ἀπονεύσει, εἰ καὶ μηδὲ τότε σβέννυται τὸ πῦρ ἐκ τῶν παθῶν, ἀλλά γε μαλθακώτερον γίνεται. ταῦτα εἰπὼν ἐπάγει, ὅτι τὰ ζητήματα αὐτῶν τὰ ἀκάθαρτα περιλέλυνται παρὰ τῶν θείων γραφῶν, καὶ παραινεῖ τὸν ἐρωτήσαντα ὑποστηρίζειν τοὺς ὑπ᾽ αὐτόν, καὶ χρήσεσι κέχρηται γραφικαῖς διαφόροις· εἶτα καὶ εἰς εὐχὴν τρέψας τὸν λόγον τελειοῖ τὴν B ἐπιστολήν. ταῦτα μὲν οὖν ὁ μέγας φησὶν Ἀθανάσιος περὶ τῆς φυσικῆς ἐκκρίσεως τῆς γονῆς. ὁ δὲ Ἀλεξανδρείας Διονύσιος ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ ταῦτα φησίν· οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, τῷ οἰκείῳ συνειδότι κατακολουθείτωσαν· καὶ ἑαυτοὺς εἴτε διακρίνονται, εἴτε μή, σκοπείτωσαν. ὡς ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενός φησιν, ἐὰν φαγῇ, κατακέκριται· καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ εὐπαρρησίαστος κατὰ τὸ ἴδιον ἐνθύμιον, πᾶς ὁ προσιὼν τῷ Θεῷ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὁ τὴν τοῦ σπέρματος ὑποστὰς ῥύσιν, ἑαυτὸν ἀνακρινέτω· καὶ εἰ μὲν ἐμπάθειά τις προηγήσατο ἐκ τοῦ πονηροῦ ἴσως ἐνθυμίου καὶ συγκαταθέ- C σεως, καὶ οὕτως ἡ τῆς γονῆς ἐπηκολούθησε ῥύσις, οὐκ ἀμίαντος ὁ ταύτην παθών· εἰ δ᾽ οὐδὲν τοιοῦτον προηγήσατο, οὐδὲ διακρίνεται διά τι τοιοῦτον, καὶ οὐ μεμόλυνται αὐτῷ ὁ λογισμός, προσίτω τοῖς ἁγιάσμασι. τινὲς δὲ τὸν μέγαν Βασίλειον φασὶν ἀπείργειν τοὺς τοιοῦτόν τι παθόντας τῆς τῶν ἁγιασμάτων μεταλήψεως. ἐρωτηθεὶς γὰρ ὁ ἅγιος οὗτος ὡς ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ ἀναγέγραπται· εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ χρὴ τολμᾶν εἰς κοινωνίαν τῶν ἁγίων παραδέχεσθαι, ἀπεκρίθη, κρείττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἐδίδαξεν ὁ ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτίσματι συνταφέντα Χριστῷ· ποτὲ μὲν εἰπών· ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, D ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μὴ δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ποτὲ δὲ παραγγείλας, νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ποτὲ δὲ ὅρον ἐκθέμενος ἐν τῷ εἰπεῖν· οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ ἐσταύρωσαν τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ἐγὼ δὲ ἔγνων ὅτι ταῦτα κατωρθώθη Χριστοῦ χάριτι, καὶ ἐν ἀνδράσι καὶ γυναιξί, πίστει τῇ εἰς τὸν κύριον γνησίᾳ· τοῦ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις καὶ ἐκ τῆς παλαιᾶς διαθήκης φοβε- E ρὸν διδασκόμεθα τὸ κρίμα. εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε φοβερώτερον δηλονότι. παιδεύσει δὲ ἡμᾶς ὁ ἀπόστολος εἰπών· ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. ἐκ γοῦν τῆς ἀποκρίσεως ταύτης οἴονταί τινες τὸν μέγαν Βασίλειον ἀκαθαρσίαν ἡγεῖσθαι τὴν τοῦ σπέρματος ἔκκρισιν, ἀλλ᾽ οὐκ ἔστι τοῦτο. οὐ γὰρ περὶ ἀφαντάστου φησὶ ῥύσεως, ἀλλ᾽ οὐδὲ μετὰ φαντασίας γενομένης, ἄνευ μέντοι ἐμπαθείας, ἧς ἐπιθυμία οὐ προηγήσατο· ἢ κἂν προηγήσατο, ἀλλ᾽ οὐκ ἐνέμεινεν, ἀλλ᾽ ἀπεπέμφθη τοῦ κρείττονος ἐπικρατήσαντος λογισμοῦ· ὥστε μηδὲ συγκατάθεσιν γενέσθαι, μηδὲ μολυνθῆναι ταύτῃ τὸν λογισμόν. καὶ τοῦτο ἐξ F αὐτῆς τῆς γραφῆς τοῦ μεγάλου πατρὸς ἐκείνου καταληφθήσεται τῷ προσέχοντι. τὰ γὰρ τοῦ ἀποστόλου ῥήματα οἷς ἐκεῖνος εἰς κατασκευὴν ἐχρήσατο τοῦ οἰκείου λόγου, ἁμαρτίας μέμνηται καὶ ἀκαθαρσίας, καὶ ἐπιθυμίας κακῆς. πρὸς ἅπερ ἐκεῖνος στηρίζει τὴν γνώμην τὴν ἑαυτοῦ, λέγων. τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ τὰ λοιπά. οὐκ ἂν δέ τις εἴποι, ἀκαθαρσίαν ὀνομάσαι τὸν μέγαν Βασίλειον τὴν σπερματικὴν ἔκκρισιν ἀπαθῶς γινομένην. τοῦτο γὰρ διαβολὴ τῆς σαρκός· ὁ δὲ ἐν πλείοσι λόγοις ἐφιλοσόφησεν, ὡς οὐ κακὸν τὸ σῶμα, οὐδὲ κακίας ἀρχὴ καθὼς ἔδοξέ τισιν. οὐδ' ἐναντία λέγειν αὐτὸν τῷ μεγάλῳ Ἀθανασίῳ λογίσαιτό τις, οὗ τοὺς λόγους ἅπαντες οἱ ἱεροὶ πατέρες ἐξόχως σεβάζονται. ἀλλὰ πάντως ἀκαθαρσίαν ὁ μέγας Βασίλειος, οὐ τὴν σπερματικὴν ὠνόμασεν ἔκκρισιν, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν· ἧς ἡγουμένης, καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία τελεῖται διὰ τῆς συγκαταθέσεως. καὶ οὕτως γίνεται φαντασία καθ' ὕπνους καὶ τοῦ σπέρματος ἐκροή. καὶ ἐκ τοῦ φάναι δὲ, ὅτι ἐγὼ ἔγνων ὅτι ταῦτα κατωρθώθη Θεοῦ χάριτι καὶ ἀνδράσι καὶ γυναιξὶ, δείκνυται ἐναργῶς, ὅτι περὶ ἐκκρίσεως σπέρματος μετὰ φαντασίας γινομένης φησὶν, ἧς ἐμπάθεια προηγήσατο καὶ ἡ κατὰ διάνοιαν ἁμαρτία. τοῦτο γάρ ἐστι κατόρθωμα τὸ τὴν συγκατάθεσιν ἐκφυγεῖν, καὶ τὸν δι' αὐτῆς τοῦ λογισμοῦ μολυσμὸν, ἀλλ' οὐχὶ τὸ μὴ ἐπιθυμῆσαι, ὅ ἐστι τὸ μὴ προσβαλεῖν λογισμόν. τοῦτο γὰρ τῆς φύσεως ἢ ἠλιθιότητος· τὸ δὲ μὴ ὑποκλιθῆναι τῇ ἐπιθυμίᾳ, μηδὲ συγκαταθέσθαι τῷ λογισμῷ, μηδὲ τὴν κατὰ διάνοιαν ἁμαρτίαν ἐκπληρῶσαι καὶ ἀρετή ἐστι καὶ κατόρθωμα. οὐδὲ τὸ μὴ γενέσθαι τινὶ τοῦ σπέρματος ἔκκρισιν, κατόρθωσις λογισθήσεται. φυσικὸν γὰρ τοῦτο, διὸ καὶ γινόμενον ἀνέγκλητον. ἀλλ' οὐδέ τις οἶμαι τὴν φυσικὴν ῥύσιν δι' ὅλου φεύξεται, εἰ μή τις εἴη λίαν ἠλίθιος.

A accedere, &c. Neq; vero impuritatis nomine ſeminis excretionem, quæ abſq; animi perturbatione contingit, magnum Baſilium intellexiſſe quiſpiam dixerit: eſt hoc namq; accuſare carnem. Atqui ille in pluribus ſuis orationibus diſſeruit, haud malum eſſe corpus, nec mali principium, ut nonnulli exiſtimarunt. Nec illum contraria magno Athanaſio diſſerere quiſpiam arbitretur, cujus dicta omnes ſancti Patres in primis venerantur: ſed plane nomine impuritatis magnus Baſilius non excretionem ſeminis, ſed pravam cupiditatem ſignificat, quæ ubi dominatur, peccatum quoq; in cogitatione perficitur ex conſenſu, atq; hoc pacto concipiuntur imagines per ſomnum, ſeminiſq; fluxio con-
B tingit. Quin ex illis verbis, ego vero ſcio emendata hæc fuiſſe Dei gratia in viris & mulieribus; aperte oſtenditur, de ſeminis excretione, quam imaginatio comitatur, ipſum loqui, quamque prava affectio & peccatum cogitatione conceptum præceſſit. Eſt enim præclarum facinus aſſenſionem fugere, & quæ per ipſam rationi macula adhæret: non autem excludere cupiditatem, quod eſt animum ad illam nullo pacto adjicere. Hoc namque eſt à naturâ aut ſtoliditate. Verum à cupiditate minime vinci, nec aſſentiri rationi, nec peccatum cogitatione perficere, hoc virtutis opus eſt facinuſq; præclarum. Neq; quod alicui nunquam ſeminis excretio contigerit, egregium facinus exiſtimabi-
C tur. Hoc enim naturale eſt: propterea cum accidit, culpa caret. Imo vero nec naturalem hanc fluxionem quiſquam penitus, niſi admodum ſtupidus fuerit, ut opinor, effugiet.

D

E

G

F

A

EJUSDEM ATHANASII EX XXXIX. Epiſtola De Feſtis.

Sed quoniam hæreticorum, tanquam mortuorum, mentionem fecimus, de nobis autem ut qui divinas ſcripturas ad ſalutem habeamus; vereor etiam, ne, quemadmodum ſcripſit ad Corinthios Paulus, pauci ſynceri à ſimplicitate & caſtitate aberrent ex quorundam hominum aſtutiâ, & deinceps in alia quæ dicuntur apocrypha delabi incipiant, verorum librorum æquivocatione B *decepti. Quare vos adhortor ſuſtinere, ſi eorum quoque quæ ſcitis, ego mentionem faciens, ſcribo propter neceſſitatem & utilitatem eccleſiæ: eorum autem mentionem facturus, utar, ad meæ audaciæ confirmationem, Lucæ quoque evangeliſtæ forma, qui ſic dicit, Quoniam nonnulli aggreſſi ſunt, ea, quæ dicuntur apocrypha, ſibi componere & divinæ ſcripturæ permiſcere, de qua certiores facti ſumus, quemadmodum patribus tradiderunt, qui à principio ſpectatores ipſi & miniſtri fuerunt ſermonis: mihi quoque viſum eſt à germanis fratribus admonito, & edocto, ab alto per ſeriem exponere,* C *qui in Canonem recepti, & traditi, & creduntur eſſe divini libri: Ut unuſquiſque, ſi ſeductus quidem fuerit, condemnet eos qui ſeduxerunt: Sin purus permanſerit, gaudeat rurſus admonitus. Sunt itaque veteris quidem teſtamenti libri omnes numero xxij. Tot enim, ut audivi, etiam literæ apud Hebræos eſſe traduntur. Ordine autem & nomine ſic eſt unuſquiſque, primum Geneſis, deinde Exodus, tum Leviticus, & poſt eum Numeri, & exinde Deuteronomium. Eum conſequitur Joſua filius Naue, & Judices, & poſtea Ruth. Et rurſus deinceps Regnorum libri quatuor, quorum primus quidem & ſecundus* D *pro uno libro numerantur; Tertius autem & quartus ſimiliter pro uno. Poſtea Paralipomenωn ſive derelictorum, primus & ſecundus ſimiliter pro uno libro connumerati. Deinde Eſdræ primus & ſecundus ſimiliter pro uno. Poſtea autem liber Pſalmorum, & deinceps Proverbia. Deinde Eccleſiaſtes, Et Cantica canticorum. His accedunt Job, & tum Prophetæ, duodecim quidem ut unus liber numerati. Deinde Eſaias, Hieremias, & cum ipſo Baruch epiſtola. Threni, ſeu lamentationes, & poſtea Ezechiel, & Daniel: & hucuſque libri v. Teſtamenti recenſiti ſunt.* E *Sed neque Novi fœderis libros recenſere piget. Sunt autem hi, quatuor Evangelia, ſecundum Matthæum, ſecundum Marcum, ſecundum Lucam, & ſecundum Joannem. Deinde, poſtea Actus Apoſtolorum, & epiſtolæ quæ dicuntur catholicæ, ſeptem Apoſtolorum, ſic, Jacobi una, Petri duæ, deinde Johannis tres, & poſt eas Judæ una. Præterea ſunt Pauli Apoſtoli xiiij. epiſtolæ, quæ ſic ordine ſcriptæ ſunt. Prima ad Romanos, deinde ad Corinthios duæ, & poſt eas ad Galatas. Et deinceps ad Epheſios. Deinde ad Philippenſes & ad Coloſſenſes, & ad Theſſalonicenſes duæ, & quæ eſt ad Hebræos, & ſtatim ad Timotheum duæ, ad Titum autem* F *una. Et rurſus Apocalypſis Joannis. Hi ſunt fontes ſalutis, ut qui ſitit impleatur eloquiis quæ ſunt in eis. In his ſolis pietatis doctrina annunciatur. Nemo his addat, nec ab his aliquid detrahat. De his autem dominus Saducæis os obturabat, dicens: Erratis non intelligentes ſcripturas, nec earum poteſtates. Judæos autem hortatur: Scrutamini ſcripturas, quia hæ ſunt quæ de me teſtimonium perhibent. Sed quo res ſit accuratior, hæc quoque adjicio, ſcribens neceſſario; quod*

ΤΟΥ ΑΥΤΟΥ ΑΘΑΝΑΣΙΟΥ ΕΚ ΤΗΣ λθ´. ἑορταστικῆς ἐπιστολῆς.

ΑΛΛ᾽ ἐπειδὴ περὶ μὲν τῶν αἱρετικῶν ἐμνήσθημεν, ὡς νεκρῶν, περὶ δὲ ἡμῶν, ὡς ἐχόντων πρὸς σωτηρίαν τὰς θείας γραφὰς, καὶ φοβοῦμαι μήπως, ὡς ἔγραψε Κορινθίοις Παῦλος, ὀλίγοι τῶν ἀκεραίων ἀπὸ τῆς ἁπλότητος, καὶ τῆς ἁγνότητος ἀποπλανηθῶσιν ἀπὸ τῆς πανουργίας τῶν ἀνθρώπων, καὶ λοιπὸν ἐντυγχάνειν ἑτέροις ἄρξωνται, τοῖς λεγομένοις ἀποκρύφοις, ἀπατώμενοι τῇ ὁμωνυμίᾳ τῶν ἀληθινῶν βιβλίων· παρακαλῶ ἀνέχεσθε εἰ περὶ ὧν ἐπίστασθε, περὶ τούτων κἀγὼ μνημονεύων γράφω διά τε τὴν ἀνάγκην καὶ τὸ χρήσιμον τῆς ἐκκλησίας. μέλλων δὲ τούτων μνημονεύειν, χρήσομαι πρὸς σύστασιν τῆς ἐμαυτοῦ τόλμης, τῷ τύπῳ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, λέγων καὶ αὐτὸς, ἐπειδήπερ τινὲς ἐνεχείρησαν ἀνατάξασθαι ἑαυτοῖς τὰ λεγόμενα ἀπόκρυφα καὶ ἐπιμίξαι ταῦτα τῇ θεοπνεύστῳ γραφῇ, περὶ ἧς ἐπληροφορήθημεν, καθὼς παρέδοσαν τοῖς πατράσιν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ προτραπέντι παρὰ γνησίων ἀδελφῶν, καὶ μαθόντι ἄνωθεν ἑξῆς ἐκθέσθαι τὰ κανονιζόμενα καὶ παραδοθέντα πιστευθέντα τε θεῖα εἶναι βιβλία· ἵνα ἕκαστος, εἰ μὲν ἠπατήθη, καταγνῷ τῶν πλανησάντων· εἰ δὲ καθαρὸς διέμεινας, χαίρῃ πάλιν ὑπομιμνησκόμενος. ἔστι τοίνυν τῆς μὲν παλαιᾶς διαθήκης τῷ ἀριθμῷ τὰ πάντα βιβλία εἰκοσιδύο. τοσαῦτα γὰρ, ὡς ἤκουσα, καὶ τὰ στοιχεῖα τὰ παρ᾽ Εβραίοις εἶναι παραδέδοται. τῇ δὲ τάξει καὶ τῷ ὀνόματι ἐστιν ἕκαστον, οὕτω. πρῶτον Γένεσις. εἶτα Εξοδος. εἶτα Λευιτικόν. καὶ μετὰ τοῦτο, Αριθμοί. καὶ λοιπὸν τὸ Δευτερονόμιον. ἑξῆς δὲ τούτοις ἐστὶν Ιησοῦς ὁ τοῦ Ναυῆ. καὶ Κριταί. καὶ μετὰ τοῦτο ἡ Ρούθ. καὶ αὖθις ἑξῆς βασιλειῶν βιβλία τέσσαρα. καὶ τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς ἓν βιβλίον ἀριθμεῖται. τὸ δὲ τρίτον καὶ τέταρτον, ὁμοίως εἰς ἕν. μετὰ δὲ ταῦτα παραλειπομένων πρῶτον καὶ δεύτερον, ὁμοίως εἰς ἓν βιβλίον ἀριθμούμενα. εἶτα Ἔσδρας πρῶτον καὶ δεύτερον, ὁμοίως εἰς ἕν. μετὰ δὲ ταῦτα βίβλος ψαλμῶν, καὶ ἑξῆς παροιμίαι. εἶτα ἐκκλησιαστὴς, καὶ ᾆσμα ᾀσμάτων· πρὸς τούτοις ἐστὶ καὶ Ἰώβ. καὶ λοιπὸν προφῆται, οἱ μὲν δώδεκα εἰς ἓν βιβλίον ἀριθμούμενοι. εἶτα Ησαΐας, Ιερεμίας, καὶ σὺν αὐτῷ, Βαροὺχ, θρῆνοι καὶ ἐπιστολὴ, καὶ μετ᾽ αὐτῶν, Ιεζεκιὴλ καὶ Δανιὴλ, ἄχρι τούτων τὰ τῆς παλαιᾶς διαθήκης ἵσταται. τὰ δὲ τῆς καινῆς πάλιν οὐκ ὀκνητέον εἰπεῖν. ἔστι δὲ ταῦτα, εὐαγγέλια τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, καὶ κατὰ Ιωάννην. εἶτα καὶ μετὰ ταῦτα πράξεις ἀποστόλων, καὶ ἐπιστολαὶ καθολικαὶ καλούμεναι τῶν ἀποστόλων, ἑπτὰ, οὕτως, Ιακώβου μία, Πέτρου δὲ δύο· εἶτα Ιωάννου τρεῖς. καὶ μετὰ ταύτας Ιούδα μία, πρὸς τούτοις Παύλου ἀποστόλου εἰσὶν ἐπιστολαὶ δεκατέσσαρες, τῇ τάξει γραφόμεναι οὕτως, πρώτη πρὸς Ρωμαίους, εἶτα πρὸς Κορινθίους δύο, εἶτα καὶ μετὰ ταύτας πρὸς Γαλάτας, καὶ ἑξῆς πρὸς Εφεσίους· εἶτα πρὸς Φιλιππησίους, καὶ πρὸς Κολοσσαεῖς, καὶ πρὸς Θεσσαλονικεῖς δύο· καὶ ἡ πρὸς Εβραίους, καὶ ἑξῆς πρὸς μὲν Τιμόθεον δύο, πρὸς δὲ Τίτον, μία· καὶ τελευταία ἡ πρὸς Φιλήμονα μία, καὶ πάλιν Ιωάννου ἀποκάλυψις. ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα, ἐμφορεῖσθαι τῶν ἐν τούτοις λογίων. ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας διδασκαλεῖον εὐαγγελίζεται. μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι. περὶ δὲ τούτων ὁ κύριος Σαδδουκαίους ἐδυσώπει λέγων, πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὰς δυνάμεις αὐτῶν. τοῖς δὲ Ιουδαίοις παρῄνει, ἐρευνᾶτε τὰς γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. ἀλλ᾽ ἕνεκά γε πλείονος ἀκριβείας προστίθημι καὶ τοῦτο, γράφων ἀναγκαίως· ὡς ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν οὐ κανονιζόμενα μὲν, τετυπωμένα δὲ παρὰ τῶν πατέρων

A

πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· σοφία Σολομῶντος, σοφία Σιράχ· καὶ Εσθὴρ, καὶ Ιουδὴθ, καὶ Τωβίας, καὶ διδαχὴ καλουμένη τῶν ἀποστόλων· καὶ ὁ ποιμήν. καὶ ὅμως, ἀγαπητοὶ, κἀκείνων ἀναγινωσκομένων καὶ τούτων κανονιζομένων, οὐδαμοῦ τῶν ἀποκρύφων μνήμη, ἀλλὰ αἱρετικῶν ἐστὶν ἐπίνοια· γραφόντων μὲν ὅτε θέλουσιν αὐτά· χαριζομένων δὲ καὶ προστιθέντων αὐτοῖς χρόνους, ἵνα ὡς παλαιὰ προφέροντες, πρόφασιν ἔχωσιν ἀπατᾷν ἐκ τούτων τοὺς ἀκεραίους.

extra hos ſunt alii quoque libri, non in Canonem quidem redacti, à patribus vero inſtituti, ut ab iis, qui primum accedunt, & in pietatis doctrina volunt initiari, legantur. Sapientia Solomonis: Sapientia Sirach: & Eſter: & Judith: & Tobias: & doctrina quæ dicitur Apoſtolorum, & paſtor. Et tamen, dilecti, dum hi quidem leguntur, illi vero in Canonem referuntur, nuſquam fit apocryphorum mentio, ſed ſunt hæreticorum commentum, ea quando volunt ſcribentium, tempora autem illis largientium & conſtituentium, ut tanquam vetera producentes, ſimplices ſeducendi ex iis occaſionem habeant.

B

ΒΑΛΣ. Ὁ τελευταῖος ἀποστολικὸς κανὼν ἀπαριθμεῖται τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία τῆς παλαιᾶς διαθήκης καὶ τῆς νέας. ἐνταῦθα δὲ ὁ ἅγιος, ὡς ἔοικε, μαθὼν ὅτι τινὲς θέλοντες ἀπατᾷν τοὺς ἀκεραίους κατὰ τὴν εὐσέβειαν, ἤγουν τοὺς μὴ ἔχοντας ἐλλιπές τι ἢ σύνθετον καὶ σκολιὸν, ἀλλὰ ὄντας ἁπλοῦς, λέγουσιν εἶναι καὶ ἕτερά τινα βιβλία, διεστραμμένων μὲν ὄντα δογμάτων, ἀπόκρυφα δὲ λεγόμενα, ἔγραψε δὲ αὐτὸς τὰ ὀφείλοντα ἀναγινώσκεσθαι βιβλία. μὴ θαυμάσῃς δὲ εὑρίσκων τὸν ἀποστολικὸν κανόνα καὶ ἑτέρων βιβλίων ἀπαρίθμησιν ποιούμενον· ἀλλὰ ἀνάγνωθι τὰ ἐν τῷ ῥηθέντι ἀποστολικῷ κανόνι γραφέντα.

Bals. Poſtremus Canon Apoſtolicus enumerat libros qui legi debent, & veteris teſtamenti, & novi: Hic autem ſanctus, cùm reſciviſſet (ut eſt veriſimile) quòd nonnulli, volentes eos, qui ſunt in pietate ac religione integri (quibus ſcilicet nihil deficit, nec quid habent compoſitum, vel contortum, ſed ſunt ſimplices) ſeducere, dicunt eſſe alios quoſdam libros, qui quidem ſunt perverſorum dogmatum, & dicuntur apocrypha; ſcripſit & ipſe, libros quos legi oporteat. Ne mireris autem, ſi inveneris Canonem Apoſtolicum, qui alios quoque libros enumerat: Sed lege quæ in dicto Apoſtolico Canone ſcripta ſunt.

C

D

E

SANCTI ATHANASII AD RUFFINIANUM. A

Domino. filio & in primis deſiderabili ſacrorum comminiſtro Ruffiniano Athanaſius in Domino ſalutem.

Tu quæ dilectum filium decent, ad patrem ſcribis. Te ergo per literas appropinquantem amplexus ſum, omnium mihi dilectiſſime Ruffiniane. Ego autem, cùm ut filio, & in principiis, mediis & ultimis poſſem ſcribere, me continui: ne ex literis commendatio & teſtimonium cognoſcatur. Tu enim mihi es epiſtola, B ſicut ſcriptum eſt, agnita, & lecta in corde. Sic ergo crede affectus, crede, inquam, appello te, & adhortor ut ſcribas. Non enim parum, ſed valde me delectas, dum hoc agis. Quoniam autem ſtudioſè & eccleſiaſticè (hoc enim tuæ pietati valde convenit) interrogaſti de iis qui propter neceſſitatem quidem tracti ſunt, non autem malâ fide corrupti; & voluiſti me ea ſcribere, quæ de ipſis in ſynodis, & ubique viſa ſunt: Scias domine mi longè deſiderabiliſſime, quod in principio quidem vi, quæ facta eſſet, ceſſante, ex partibus exteris congregatis Epiſcopis fuit Synodus: Facta C eſt autem & apud ſacrorum comminiſtros, qui Græciam incolunt: nihilo ſecius autem & apud eos qui habitant in Hiſpania & Gallia: & placuit, quod hîc, & ubique, ut lapſis, & impietatis patronis, venia quidem detur reſipiſcentibus, locus autem in clero eis non detur. Qui vero impietatis auctores non fuerunt, ſed vi & neceſſitate tracti ſunt, viſum eſt iis dari veniam, & locum etiam in clero habere, maximè quia probabilem defenſionem attulerunt, & hoc quodammodo certa ratione factum eſſe videtur: affirmarunt enim ſe non fuiſſe ad impietatem traductos. Ne autem quidam, D à pietate longè alieniſſimi, Eccleſias corrumperent, maluerunt vi cedere, & onus ferre, quàm populos perdere. Hoc autem nobis viſi ſunt dicere probabiliter, quòd ipſi in excuſationem adducerent, Aaron Moyſis fratrem in deſerto prævaricationi populi conſenſiſſe, ſe autem hac ratione defendiſſe; ne populus in Ægyptum reverſus in idololatria permaneret. Probabile enim videbatur, quòd in deſerto manentes poſſent ab impietate deſiſtere: Ægyptum autem ingreſſi, in ſe ipſis impietatem exercerent & augerent. Hâc ergo de cauſâ Clerus illi condonatus eſt. Deceptis autem & vim paſſis datur venia. Hæc tuæ quoque pietati E ſignifico, confidens, quòd quæ decreta fuerint tua admittet pietas: nec eorum qui ſic convenerunt remiſſionem condemnabit. Dignare autem hæc legere ſacerdotio & populo qui tibi ſubeſt, ut ipſi quoque hæc ſcientes, te erga tales ita affectum eſſe non quærantur. Neque enim me ſcribere decet, cum poſſet tua pietas noſtram quoque erga ipſos affectionem annunciare, & quæcunque deſunt explere. Gratia Domino, qui te in omni ratione & cognitione replevit. Qui ergo pœnitentiam agunt, apertè anathematizent, nominatim Eudoxii, & Euzoii F improbam fidem. Ipſi enim Chriſtum creaturam eſſe tandem blaſphemè aſſerentes, ſectæ Arianæ ſe primipilos eſſe profitebantur. Confiteantur autem fidem, quam patres Niceæ profeſſi ſunt, & ſe nullam aliam Synodum huic præferre. Saluta fraternitatem tuam, quæ te nobiſcum in Domino ſalutat.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ

ἀρχιεπισκόπου Ἀλεξανδρείας, ἐπιστολὴ πρὸς Ῥουφιανόν.

Κυρίῳ υἱῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ῥουφιανῷ, Ἀθανάσιος ἐν Κυρίῳ χαίρειν.

Σὺ μὲν τὰ υἱῷ ἠγαπημένῳ πρέποντα πρὸς πατέρα γράφεις. ἐγγίσαντα γοῦν σε διὰ τοῦ γράμματος περιεπτυξάμην, πάντων ἐμοὶ ποθεινότατε Ῥουφιανέ. κἀγὼ δὲ ὡς υἱῷ δυνάμενος γράφειν ἔν τε προοιμίοις καὶ μέσοις καὶ τελευταίοις, ἐπέσχον, ἵνα μὴ ἐκ γραμμάτων ἡ σύστασις καὶ ἡ μαρτυρία γνωρίζηται. σὺ γὰρ ἐμοὶ ἐπιστολὴ κατὰ τὸ γεγραμμένον, ἐπιγινωσκομένη καὶ ἀναγινωσκομένη ἐν καρδίᾳ. οὕτω τοίνυν πίστευε, διακείμενος, καὶ πίστευε, προσαγορεύω σε καὶ προτρέπω γράφειν. οὐ γὰρ ὀλίγως ἀλλὰ μεγάλως εὐφραίνεις τοῦτο ποιῶν. ἐπειδὴ δὲ φιλοκάλως καὶ ἐκκλησιαστικῶς (τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ) ἠρώτησας περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων μὲν, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ, καὶ ἠθέλησας γράψαι με τὰ δόξαντα περὶ αὐτῶν ἐν ταῖς συνόδοις καὶ πανταχοῦ· γίνωσκε κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γενομένης βίας, γέγονε σύνοδος παρόντων ἀπὸ τῶν ἔξω μερῶν Ἐπισκόπων· γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσιν συλλειτουργοῖς. οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλίᾳ. καὶ ἤρεσεν ὅπερ ὧδε καὶ πανταχοῦ, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας, συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς τόπον κλήρου· τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου, μάλιστα ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο, καὶ ἔδοξε τοῦτο πως οἰκονομικῶς γεγενῆσθαι· διεβεβαιώσαντο γὰρ μὴ μεταβεβλῆσθαι εἰς ἀσέβειαν· ἵνα δὲ μὴ κατασταθέντες τινὲς ἀσεβέστατοι, διαφθείρωσι τὰς ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος ἢ λαοὺς ἀπολέσθαι. τοῦτο δὲ λέγοντες ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν Μωσέως ἀδελφὸν, ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ· καὶ γὰρ ἦν φαινόμενον εὔλογον, ὅτι μένοντες μὲν ἐν τῇ ἐρήμῳ, δύνανται παύσασθαι τῆς ἀσεβείας. εἰσελθόντες δὲ εἰς Αἴγυπτον ἐπέτεινον καὶ ηὔξανον ἐν αὐτοῖς τὴν ἀσέβειαν. τούτου τοίνυν ἕνεκα συγγνωστὸν τὸ πρὸς τὸν κλῆρον γέγονε. τοῖς δὴ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμη δίδοται. ταῦτα καὶ τῇ σῇ εὐλαβείᾳ δηλῶ· θαῤῥῶν ὅτι καὶ τὰ δόξαντα ὑποδέξεταί σου ἡ θεοσέβεια. καὶ οὐ καταγνώσεται ἐκεχειρίαν τῶν συνελθόντων οὕτως. καταξίωσον δὲ ταῦτα ἀναγνῶναι τῷ ἱερατείῳ καὶ τῷ λαῷ τῷ ὑπὸ σὲ, ἵνα καὶ αὐτοὶ γινώσκοντες μὴ μέμφωνται οὕτως σε διακείμενον περὶ τοὺς τοιούτους· ἀπρεπὲς γὰρ ἦν ἐμὲ γράφειν δυναμένης τῆς σῆς εὐλαβείας καὶ τὴν ἡμῶν περὶ αὐτοὺς διάθεσιν ἀπαγγεῖλαι, καὶ πάντα τὰ λείποντα ἀποπληρῶσαι. χάρις τῷ Κυρίῳ τῷ πληρώσαντί σε ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. οἱ μὲν οὖν μετανοοῦντες, φανερῶς ἀναθεματιζέτωσαν ὀνομάζοντες Εὐδοξίου καὶ Εὐζωΐου τὴν κακοπιστίαν. αὐτοὶ γὰρ λοιπὸν βλασφημοῦντες αὐτὸν κτίσμα ἀπεγράψαντο τῆς Ἀρειανῆς αἱρέσεως προστάται· ὁμολογείτωσαν δὲ τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν, καὶ μηδεμίαν ἄλλην σύνοδον προκρινέτωσαν ταύτης τῆς συνόδου. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα, ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει σέ.

Bals. De iis, qui idolis immolata comederunt, & qui idolis ſacrificarunt, ſynodus Gangrenſis, & ſancti Petri Archiepiſcopi Alexandrini, & martyris, Canones

ΒΑΛΣ. Περὶ τῶν εἰδωλόθυτα φαγόντων, καὶ περὶ τῶν θυσάντων τοῖς εἰδώλοις, ἡ ἐν Γάγγρᾳ σύνοδος καὶ οἱ κανόνες τοῦ ἁγίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος.

μάρτυρος πλατύτερον διαλαμβάνουσιν. ἡ δὲ παροῦσα ἐπιστολὴ τοῦ ἁγίου Ἀθανασίου διαλαμβάνει περὶ τῶν συγκοινωνησάντων αἱρετικοῖς, καὶ προσερχομένων τῇ ἐκκλησίᾳ. φησὶ γὰρ ὁ ἅγιος ἐπιστέλλων πρὸς τὸν ἐρωτήσαντα Ῥουφιανὸν, ὅτι οἱ μὴ παραπεπτωκότες καὶ κοινωνήσαντες τοῖς αἱρετικοῖς, καὶ προστάται καὶ συνήγοροι τῆς ἀσεβείας γενόμενοι, εἰς μετάνοιαν μὲν δέχονται, κληρικοὶ δὲ ὄντες ἢ ἄλλως ἱερωμένοι τῆς ἱερωσύνης οὐκ ἀξιοῦνται. οἱ δὲ μὴ αὐθεντοῦντες ὑπὲρ τῆς ἀσεβείας, ἤγουν μὴ κατ' αὐθεντίαν καὶ κατ' ἑκούσιον γνώμην κοινωνήσαντες τοῖς αἱρετικοῖς, ἀλλὰ βιαίως ἐξελκυσθέντες ἀπὸ τῆς εὐσεβείας εἰς ἀσέβειαν, κληρικοὶ ὄντες συγγνώμης ἀξιοῦνται, καὶ τοῦ κλήρου οὐκ ἀποξενοῦνται· καὶ μᾶλλον ὅτι διαβεβαιοῦνται μὴ μεταβληθῆναι εἰς ἀσέβειαν, ἤγουν μὴ συνθέσθαι τῇ δόξῃ τῶν αἱρετικῶν, ἀλλὰ κατὰ λόγον οἰκονομίας συγκοινωνῆσαι τούτοις, ἵνα μὴ αὐτῶν ἐκδιωχθέντων ἀπὸ τῶν ἐκκλησιῶν, ἕτεροι ἀσεβεῖς ἀντεισαχθῶσι καὶ διαφθείρωσι τὸν ὀρθόδοξον λαόν. ἔδοξεν οὖν, φησὶ, πιθανῶς ταῦτα λέγειν, χρώμενοι καὶ παραδείγματι Ἀαρών. ἐκεῖνος γὰρ τοῦ Μωυσέως χρονίσαντος ἐν τῷ ὄρει, καὶ τοῦ λαοῦ τῶν Ἑβραίων θεοὺς ζητοῦντος, ἐνέδωκε τῇ τούτων παραβάσει, καὶ γενέσθαι αὐτοῖς παρεχώρησε χωνευτὸν μόσχον. τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ τῇ Αἰγυπτιακῇ, λογισάμενος ὅτι ἐν τῇ ἐρήμῳ ὄντες, δυνήσονται ἀποστῆναι τῆς ἀσεβείας· ἐν δὲ τῇ Αἰγύπτῳ γενόμενοι, μᾶλλον ἀσεβήσουσι τοῖς Αἰγυπτίων ἑπόμενοι ἔθεσι. καὶ περὶ μὲν ἱερωμένων ταῦτα φησί. τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι λαϊκοῖς συγγνώμη δίδοται, δεχομένοις καὶ οἰκονομουμένοις παρὰ τῶν Ἐπισκόπων κανονικῶς, ὡς καὶ ὀφείλουσιν ἀναθεματίζειν μὲν τὰ τῶν αἱρετικῶν φανερῶς, ἤγουν ἐπ' ἐκκλησίας. ὁμολογεῖν δὲ τὴν ἐν Νικαίᾳ ὀρθόδοξον πίστιν. ἐκεχειρία δὲ λέγεται ἡ ἀργία καὶ ἀπραξία, ἥ τις καὶ ἄνετος ἄδεια λέγεται, ἀπὸ τοῦ ἐπέχειν τὰς χεῖρας, ἐκεχειρία τις οὖσα. σημείωσαι οὖν καὶ ἀπὸ τῆς παρούσης ἐπιστολῆς ὅτι ἄλλως κολάζονται οἱ κατὰ βίαν κοινωνήσαντες μόνον τοῖς αἱρετικοῖς, ἄλλως οἱ ὁμοφρονήσαντες τούτοις καὶ ὑπὲρ τῆς ἀσεβείας συνηγορήσαντες, ἄλλως οἱ αὐτομολήσαντες, ἄλλως οἱ κοινωνήσαντες τούτοις καὶ θύσαντες, ἄλλως οἱ κατὰ βίαν φαγόντες εἰδωλόθυτα· καὶ ἄλλως οἱ παθόντες βίαν καὶ περὶ αὐτὸ τὸ φαγεῖν, καὶ ἁπλῶς τὰ τῶν τοιούτων μεγάλης ἐξετάσεως δέονται, ὅτι καὶ δυσχερῶς θεραπεύονται.

ΖΩΝΑΡ. Οὐ περὶ τῶν εἰδώλοις θυσάντων, καὶ οὕτως παραπεπτωκότων ἡ ἐρώτησις αὕτη ἐστὶν, ἀλλὰ περὶ τῶν αἱρετικοῖς συγκοινωνησάντων, ἤγουν Ἀρειανοῖς. οἱ γὰρ τῆς Ἀρείου αἱρέσεως, προστεθέντας αὐτοῖς ἔχοντες βασιλεῖς τὸν Κωνστάντιον, καὶ τὸν Οὐάλεντα κἀντεῦθεν μέγα δυνάμενοι, πολλοὺς ἐβιάσαντο προστεθῆναι τῇ δόξῃ αὐτῶν. ὧν ὕστερον μετανοούντων, καὶ προσερχομένων τῇ καθολικῇ ἐκκλησίᾳ, ἠρώτησεν ὁ Ῥουφινιανὸς Ἐπίσκοπος ὢν, ὅπως χρὴ τοὺς τοιούτους δέχεσθαι· πρὸς ἣν ἐρώτησιν ἀπεκρίθη ὁ μέγας Ἀθανάσιος, ὅτι πολλῶν γενομένων συνόδων τοπικῶν δηλαδὴ περὶ τούτων, ἔδοξεν, ὥστε τοῖς μὲν παραπεσοῦσι κοινωνήσασι τοῖς αἱρετικοῖς, καὶ τὰ αὐτὰ ἐκείνοις φρονεῖν ὁμολογήσασι, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ προϊσταμένοις τῆς ἀσεβείας· ἤγουν ὑπεραγωνιζομένοις αὐτῆς καὶ συνηγοροῦσι, καὶ πείθειν σπεύδουσιν ὡς ἀσφαλὴς ἡ ἐκείνων ἐστὶ δόξα, μετανοοῦσι καὶ προσερχομένοις τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ, δίδοσθαι μὲν μετάνοιαν καὶ συγγνώμην· μὴ μέντοι γε καὶ τόπον κλήρου αὐτοῖς παραδέχεσθαι. κἂν γὰρ Ἐπίσκοποι τυχὸν ἦσαν ἢ κληρικοὶ, οὐκέτι δεχθήσονται εἰς τόπον ἱερωμένων, ἀλλ' ὡς λαϊκοὶ ἔσονται. τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας· ἤγουν μὴ κατ' αὐθεντίαν καὶ γνώμην ἑκούσιον κοινωνήσασι τοῖς αἱρετικοῖς· παρασυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἤτοι βιαίως συνθεμένοις τῇ ἀσεβείᾳ, καὶ ἐξελκυσθεῖσι τῆς εὐσεβείας (ὥσπερ γὰρ ὁ ὑπὸ σφοδρᾶς ὑδάτων φορᾶς παρασυρόμενος οὐ κατὰ προαίρεσιν οἰκείαν φέρεται, ἀλλὰ βιαίως ἕλκεται·

A fuſiùs tractant. Præſens autem Sancti Athanaſii Epiſtola
tractat de iis, qui hæreticis communicarunt, & ad Eccle-
ſiam accedunt. Ad Ruffinianum enim, qui illum inter-
rogaverat, ſcribens Sanctus, ait, quod, qui lapſi ſunt,
& hæreticis communicarunt, & impietatis præſides, &
patroni fuerunt, ad pœnitentiam quidem admittuntur:
Si autem ſint clerici, vel aliàs in ſacris ordinibus, ſacer-
dotio digni non habentur. Qui autem impietatis non
fuerint auctores, ſeu qui ſua auctoritate & voluntate cum
hæreticis non communicaverint, ſed à pietate ad impie-
tatem vi tracti fuerint; ſi ſint quidem clerici, & venia
digni habentur, & à clero non abalienantur: eóque ma-
B gis, quòd aſſerunt ſe ad impietatem non fuiſſe traductos;
ſeu hæreticorum ſententiæ non fuiſſe aſſenſos, ſed quo-
dam conſilio eis communicaſſe. ne iis ab Eccleſiis expul-
ſis, alii impii in eorum locum introducerentur, & popu-
lum orthodoxum corrumperent. Viſi ſunt igitur, inquit,
hæc dicere probabiliter, Aaron quoque exemplo utentes:
Ille enim, cùm Moyſes in monte diutiùs eſſet moratus,
& Hebræorum populus Deos quæreret, ceſſit eorum
prævaricationi, & fuſilem vitulum ei fieri permiſit. Hoc
autem fecit, ne reverſus in Ægyptum populus in Ægy-
ptiaca idololatria permaneret, reputans, quòd, cùm ſint
in deſerto, poterunt ab impietate deſiſtere: ſed ſi in Æ-
C gypto fuerint, erunt magis impii, mores Ægyptiorum ſe-
quentes. Ac de iis quidem, qui ſacros ordines ſum-
pſerunt, hæc dicit. Deceptis autem, & vim paſſis laicis
venia datur, ſuſceptis, & ab Epiſcopis canonicè diſpen-
ſatis, utpote qui hæretica debeant apertè anathematizare,
ſeu in Eccleſia: Nicenam autem orthodoxam fidem con-
fiteri. Εκεχειρία verò dicitur quies, & operis remiſſio,
quæ & vacatio remiſſa dicitur, à manibus continendis,
ut quæ ſit manuum continentia. Nota ergo ex præſen-
ti Epiſtola, quòd aliter puniuntur, qui per vim cum
hæreticis ſolùm communicarunt, aliter qui his con-
ſenſerunt, & impietatem defenderunt, aliter qui ad
D impietatem transfugerunt, aliter qui his commu-
nicarunt, & ſacrificarunt, aliter qui idolothyta vi
comederunt, & aliter quibus ad hoc ipſum, ut come-
derent, vis allata eſt: & ut ſemel dicam, magna
hæc examinatione indigent, quoniam etiam difficulter
curantur.

Zonar. Non de iis, qui idolis immolavere, ac ita
lapſi ſunt, hæc quæſtio eſt, verum de iis qui cum hæ-
reticis communicavêre, Arrianis nimirum. Etenim Arria-
ni, cum ſibi conſentientes haberent Imperatores Con-
E ſtantium & Valentem, ex eóque multùm valerent, com-
plures, ut ipſorum opinionem amplecterentur, per vim
adegêre: Qui, cùm mox pœnitentia ducti ad Eccleſiam
Catholicam ſe conferrent, rogavit Ruffinianus, quippe
Epiſcopus, quænam in ejuſmodi hominibus admitten-
dis ſervanda ratio eſſet. Ad quam interrogationem ma-
gnus Athanaſius reſpondit; cùm multæ Synodi, locales
nimirum, de his celebratæ ſint, decretum fuiſſe, ut la-
pſis, qui cum hæreticis communicarunt, eademque
cum illis ſentire ſe profeſſi ſunt, neque hoc tantùm, ſed
& impietatis primipili, hoc eſt, propugnatores & pa-
troni fuerunt, ac tutam illorum opinionem eſſe perſua-
F dere ſtuduerunt; ſi reſipuerint, ſeque Orthodoxæ Ec-
cleſiæ adjunxerint, pænitentiæ quidem ſit locus & ve-
niæ: cæterum ad locum in clero obtinendum nullatenus
admittantur. Nam etiamſi Epiſcopi fuiſſent forſitan vel
clerici, nequaquam in ſacrorum hominum ordinem reci-
pientur, ſed ut laici erunt. Qui vero impietatis auctores
minime fuerunt, hoc eſt, qui ſponte & voluntariè cum
hæreticis non communicârunt: neceſſitate autem & vi
tracti ſunt, ſive, per vim impietati conſenſerunt, ſuntque
à pietate abſtracti, (Ut enim, qui vehementi aquarum im-
petu rapitur, non ſua voluntate defertur, ſed trahitur vi

adactus: ſic & illi, ob vim ab hæreticis illatam cedentes, tranſverſi acti ſunt, & ſuccubuerunt) placuit, inquit, & veniam ipſis concedi, ſi pœnitentiam agant, & locum præterea cleri aſſignari. Nec tantum, quòd vi adacti ceſſerunt, inquit, ipſis ignoſcitur: ſed quia præterea defenſionem probabilem afferunt, per quam, quòd hæreticis ceſſerint, prudenti id conſilio ab ipſis factum eſſe videtur. Confirmarunt illi ſiquidem, hoc eſt, certò plane probarunt minime ſe ad impietatem traductos, nequaquam videlicet hæreticorum opinionibus adhæſiſſe, ſed rectam tenuiſſe fidem: tantummodo autem communicaſſe cum hæreticis, ne dum ab Eccleſiis ipſi depulſi, alii quidem impii introducerentur, & Eccleſias, hoc eſt, populum orthodoxum corrumperent. Atque hanc ob cauſam maluiſſe vi cedere, ac mulctæ onus ſubire, ex eo quod ſuccubuiſſe viderentur; quàm populum perdere. Hæc ergo, inquit, probabiliter loqui viſi ſunt, exemplum quoq; Aaron proferentes. Ille namque, cum Moſes diutiùs in monte cunctaretur, ac Hebræorum populus Deos requireret, tranſgreſſioni populi ceſſit, fuſilémque ab ipſis vitulum fieri permiſit. Id autem eo conſilio fecit ne populus in Ægyptum reverſus in Ægyptiacâ idololatriâ perſiſteret: ſecum ipſe reputans, quòd in deſerto continere ſe ab impietate poſſent, ubi verò in Ægyptum devenerint magis fore impios, dum Ægytiorum mores ritúſque imitarentur. Ob hanc ergo cauſam, inquit, in clerum quoque admittuntur. Deceptis vero, & vim paſſis, venia conceditur. Hæc de laicis, qui ab hæreticis decepti, aut coacti illorum dogmatibus ſunt aſſenſi accipienda ſunt; quibus, ait, ſi pœnitentiam agant, & Eccleſiæ accedant, veniam dari; & recepti ſunt & diſpoſiti juxta leges à patribus præſcriptas, nempe Canones. Hæc autem ſcripſi, inquit, confidens futurum, ut quæ nobis placuerunt, tu quoque approbes: nec eos, qui ita convenerunt, deſidiæ condemnes. Eſt porro horum verborum hæc ſententia. Non condemnabis nimirum nos quia ita convenimus, ut ſcilicet de iis, qui cum hæreticis communicaverunt, deliberemus, quaſi fruſtra, incaſſúmque, ac irrito labore convenerimus, quippe qui nihil forte de ipſis opportune ſtatuerimus. Eſt ſiquidem ἐκεχειρία inertia quædam ac ſegnities à continendis manibus dicta ut quæ ſit manuum continentia. Subjicit deinde quidnam pœnitentes facere oporteat. Anathematizent, inquit, hæc apertè, hoc eſt, publicè, in eccleſiis, fidémque Nicææ decretam profiteantur. Et quæ deinceps.

A οὕτως κἀκεῖνοι τῇ βίᾳ νικηθέντες τῶν αἱρετικῶν, παρεσύρησαν καὶ ὑπέκυψαν) ἔδοξε, φησὶ, καὶ συγγνώμην δίδοσθαι μεταμελομένοις· ἀπονέμειν δὲ αὐτοῖς καὶ τὸν τόπον τοῦ κλήρου. καὶ οὐ μόνον, ὅτι βιασθέντες ἐνδεδώκασι, συγγνωμονοῦνται φησὶν, ἀλλ' ὅτι καὶ ἀπολογίαν πιθανὴν ποιοῦνται· διὸ ἔδοξε τὸ ὑποκύψαι αὐτοὺς τοῖς αἱρετικοῖς, οἰκονομικῶς γενέσθαι. διεβεβαιώσαντο γὰρ, ἀντὶ τοῦ βεβαίως ἐπληροφόρησαν, μὴ μεταβληθῆναι εἰς ἀσέβειαν· ἤγουν μὴ συνθέσθαι τῇ δόξῃ τῶν αἱρετικῶν, ἀλλὰ τῆς ὀρθῆς ἔχεσθαι πίστεως· μόνον δὲ συγκοινωνῆσαι τοῖς αἱρετικοῖς, ἵνα μὴ αὐτῶν ἐκδιωχθέντων τῶν ἐκκλησιῶν, ἕτεροι ἀσεβεῖς ἀντεισαχθῶσι· καὶ διαφθείρωσι B τὰς ἐκκλησίας ἤτοι τὸν ὀρθόδοξον λαόν. καὶ διὰ τοῦτο ἠρετίσαντο συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος τοῦ ἐπιτιμίου, διὰ τὸ δόξαι ὑποκύψαι, καὶ μὴ μᾶλλον τοὺς λαοὺς ἀπολέσθαι. ἔδοξαν οὖν, φησὶ, πιθανῶς ταῦτα λέγειν, χρώμενοι καὶ παραδείγματι τῷ Ἀαρών. ἐκεῖνος γὰρ, τοῦ Μωσέως χρονίσαντος ἐν τῷ ὄρει, καὶ τοῦ λαοῦ τῶν Ἑβραίων θεοὺς ζητοῦντος, ἐνδέδωκε τῇ τοῦ λαοῦ παραβάσει, καὶ γενέσθαι αὐτοῖς παρεχώρησεν χωνευτὸν μόσχον. τοῦτο δὲ ἐποίησεν, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον, ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ τῇ Αἰγυπτιακῇ, λογισάμενος ὅτι ἐν τῇ ἐρήμῳ ὄντες, δυνήσονται ἀποστῆναι τῆς ἀσεβείας· ἐν δὲ τῇ Αἰγύπτῳ γενόμενοι, C μᾶλλον ἀσεβήσουσι, τοῖς τῶν Αἰγυπτίων ἑπόμενοι ἔθεσι. διὰ ταῦτα φησὶν, καὶ πρὸς τὸν κλῆρον δέχονται. τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι, συγγνώμη δίδοται. ταῦτα περὶ λαϊκῶν ἀπατηθέντων παρὰ τῶν αἱρετικῶν, ἢ βιασθέντων καὶ συνθεμένων τοῖς ἐκείνων δόγμασιν· οἷς φησὶ, μετανοοῦσι καὶ προσερχομένοις τῇ ἐκκλησίᾳ, συγγνώμη δίδοται, δεχομένοις καὶ οἰκονομουμένοις κατὰ τοὺς τῶν ἁγίων πατέρων νόμους, ἤτοι κανόνας. ταῦτα δὲ, φησὶν, ἔγραψα, θαῤῥῶν, ὅτι τὰ δόξαντα ἡμῖν, ἀποδέξῃ καὶ σὺ καὶ οὐ καταγνώσῃ τῶν συνελθόντων οὕτως ἐκεχειρίαν. τοιοῦτος δ' ἐστὶ τούτου ὁ νοῦς. ὅτι οὐ καταγνώσῃ τῶν ἀθροισθέντων ἡμῶν οὕτως, ἤγουν ἐπὶ τῷ σκο- D πῆσαι περὶ τῶν τοῖς αἱρετικοῖς κοινωνησάντων, ὡς μάτην καὶ ἀργῶς, ἀπράκτως τε συνελθόντων, οἷα μηδὲν τάχα περὶ αὐτῶν καίριον ἀποφηναμένων. ἐκεχειρία γάρ ἐστιν, ἡ ἀπραξία καὶ ἡ ἀργία, ἀπὸ τοῦ ἐπέχειν τὰς χεῖρας, ἐκεχειρία τις οὖσα. εἶτα προστίθησι, καὶ τί ὀφείλουσιν ποιεῖν οἱ μετανοοῦντες, λέγων· ἀναθεματιζέτωσαν τάδε φανερῶς. ἀντὶ τοῦ δημοσίᾳ, ἐπ' ἐκκλησίας, καὶ ὁμολογείτωσαν τὴν ἐν Νικαίᾳ ὁρισθεῖσαν πίστιν. καὶ τὰ λοιπά.

E

F

SANCTI

A

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, Καππαδοκίας, πρὸς Ἀμφιλόχιον Ἐπίσκοπον Ἰκονίου, ἐπιστολὴ κανονικὴ α΄.

ΑΝΟΗΤΩ, ἐπερωτήσαντι καὶ σοφίαν, φησὶ, σοφία λογισθήσεται· σοφοῦ δὲ (ὡς ἔοικεν) ἐπερώτημα καὶ τὸν ἀνόητον σοφίζει· ὅπερ τῇ τοῦ Θεοῦ χάριτι συμβαίνει ἡμῖν, ὁσάκις ἂν σου δεξώμεθα τῆς φιλοπόνου ψυχῆς τὰ γράμματα. B ἐπιστατικώτεροι γὰρ ἑαυτῶν καὶ ἐμφρονέστεροι γινόμεθα ἀπ᾽ αὐτῆς τῆς ἐρωτήσεως, πολλὰ, ὧν οὐκ ἐπιστάμεθα, διδασκόμενοι· καὶ γίνεται ἡμῖν διδάσκαλος ἡ περὶ τὸ ἀποκρίνεσθαι μέριμνα. ἀμέλει καὶ νῦν, οὐδέποτε λαβόντες ἐν φροντίδι τὰ ἐπερωτήματά σου, ἠναγκάσθημεν καὶ ἐπισκέψασθαι ἀκριβῶς, καὶ εἴ τι ἠκούσαμεν παρὰ τῶν πρεσβυτέρων, ἀναμνησθῆναι, καὶ τὰ συγγενῆ ὧν ἐδιδάχθημεν, παρ᾽ ἑαυτῶν ἐπιλογίσασθαι.

ΖΩΝΑΡ. Πολλῆς ταπεινοφροσύνης γέμει τὸ προοίμιον τῆς ἐπιστολῆς. εἰ ὁ μέγας Βασίλειος λέγει Ϲοφίζεσθαι διὰ τῶν τοῦ θείου Ἀμφιλοχίου ἐρωτήσεων, C προϊὼν δὲ λέγει ὅπως Ϲοφίζεται. πρὸ γὰρ τῶν ἐρωτημάτων φησὶ, μὴ τούτων ἐν φροντίδι γενόμενος, νῦν μετὰ τὴν ἐρώτησιν ἐπιστατικώτερον, ἤγουν προσεκτικώτερον ἐπισκεψάμενοι ταῦτα, καὶ ὅσα παρὰ τῶν ἀρχαιοτέρων ἠκούσαμεν ἀνεμνήσθημεν· καὶ παρ᾽ ἑαυτῶν προσεθέμεθα τὰ λοιπά· ὅσα συγγενῆ ὧν ἐδιδάχθημεν· ἤγουν ἐκείνοις ἀκόλουθα καὶ σύμφωνα, ἀλλ᾽ οὐκ ἐναντιούμενα.

ΚΑΝΩΝ α΄.

Τὸ μὲν οὖν περὶ τοὺς καθαροὺς ζήτημα, καὶ εἴρηται πρότερον, D καὶ καλῶς ἀπεμνημόνευσας, ὅτι δεῖ τῷ ἔθει τῷ καθ᾽ ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνδιενεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας. τὸ δὲ τῶν Πεπουζηνῶν, οὐδένα μοι λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα, πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον παρῆλθεν. ἐκεῖνο γὰρ ἔκρινον οἱ παλαιοὶ δέχεσθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν, τὰς μὲν, αἱρέσεις ὠνόμασαν· τὰς δὲ, σχίσματα· τὰς δὲ, παρασυναγωγάς. αἱρέσεις μὲν, τοὺς παντελῶς ἀπερρηγμένους, καὶ κατ᾽ αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δὲ, τοὺς δι᾽ αἰτίας τινὰς ἐκκλησιαστικὰς, καὶ ζητήματα ἰάσιμα, E πρὸς ἀλλήλους διενεχθέντας. παρασυναγωγὰς δὲ, τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων, ἢ Ἐπισκόπων, καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας· οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς, ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν· ἀλλ᾽ ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν, καὶ συναπῆλθον τούτῳ τινὲς καταλιπόντες τὴν καθολικὴν ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτον. σχίσμα δὲ, τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας. αἱρέσεις δὲ οἷον ἡ τῶν Μανιχαίων καὶ Οὐαλεντίνων, καὶ Μαρκιονιστῶν, καὶ αὐτῶν τούτων Πεπουζηνῶν. εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεώς ἐστιν ἡ διαφορά. F ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν παντελῶς ἀθετῆσαι. τὸ δὲ τῶν ἀποσχισθέντων, ὡς ἔτι ἐκ τῆς ἐκκλησίας ὄντων, παραδέξασθαι. τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς, μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ, συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν δὲ μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν. οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί. εἰς γὰρ τὸ πνεῦμα τὸ ἅγιον ἐβλασφήμησαν Μοντανῷ καὶ Πρισκίλλῃ

SANCTI PATRIS NOSTRI BASILII ARCHIEPISCOPI CÆSAREÆ Cappadociæ, ad Amphilochium Iconii Episcopum, Epistola Canonica prima.

Stulto, qui sapientiam inquis, interrogaverit, sapientia etiam reputabitur. Sapientis autem, ut videtur, interrogatio etiam stultum sapientem efficit: quod nobis Dei gratia accidit, quoties laboriosæ tuæ animæ literas acceperimus. Nobis enim ipsis scientiores & prudentiores ab ipsa interrogatione reddimur, multa, quæ nesciebamus, edocti: & respondendi studium nobis fit magister. Certè & nunc, cùm tua interrogata nunquam nobis in mentem venissent, coacti sumus, & accuratè considerare, &, si quid à senioribus audivimus, in memoriam revocare, & iis, quæ docti sumus, cognata animo perpendere.

Zonar. Multa humilitate plenum est Epistolæ procœmium. Si magnus Basilius per divini Amphilochii interrogationes se sapientem reddi dicit, quo pacto id fiat, in progressu ostendit. Cum enim, ait, ante has interrogationes nihil de hujusmodi rebus cogitassem, nunc post quæstionem propositam, accuratiùs, hoc est, attentiùs ista perpendentes, & quæ accepimus ab antiquis in memoriam revocavimus, & reliqua per nos ipsos adjunximus, quæcunq; iis affinia sumus edocti, hoc est, quæ illis congruentia & consona, nec ullatenus repugnantia sunt.

Canon I.

Quæ itaque ad Catharos pertinet quæstio & prius dicta est, & rectè admonuisti, quòd oporteat uniuscujusque regionis morem sequi, propterea quòd inter eos, qui tunc de his disseruerunt, variæ fuerint de ipsorum baptismate dissensiones. Pro Pepuzenorum autem baptismo nulla mihi videtur esse ratio; & miratus sum quomodo hoc magnum Dionysium, qui fuit canonicus, præteriit. Antiqui enim illum baptismum suscipiendum putarunt, qui nihil à fide recedit: unde alia quidem hæreses nominaverunt, alia verò schismata, alia rursus illegitimos conventus. Hæreses quidem, eos qui omnino abrupti sunt, & in ipsa fide sunt abalienati: Schismata autem, eos qui propter aliquas ecclesiasticas causas & medicabiles quæstiones inter se dissident: Illegitimos autem conventus, congregationes quæ ab immorigeris Presbyteris, vel Episcopis, & à populo indocto fiunt. Ut si quis in delicto deprehensus, à sacra obeundi ministerio prohibitus sit, & is canonibus se non submisit; sed præsulatum & sacrum ministerium sibi vendicavit: & quidam una cum eo recesserunt, relicta ecclesia Catholica, id est illegitimus conventus. Schisma autem est, de pœnitentia dissentire ab iis qui sunt ex Ecclesia. Hæreses autem, ut Manichæorum, & Valentinorum, & Marcionistarum, & horum ipsorum Pepuzenorum. Statim enim de ipsa in Deum fide est dissentio. Visum est ergo antiquis, hæreticos quidem omnino rejicere; Schismaticos autem, ut qui adhuc sint ex ecclesia, admittere; eos autem, qui in illegitimis sunt conventibus, pœnitentia & conversione correctos, rursus ecclesiæ conjungere, ut sæpe ij, qui in gradu collocati, cum rebellibus abierunt, postquam eos penituerit, in eundem ordinem admittantur. Pepuzeni ergò sunt apertè hæretici. In sanctum enim Spiritum blasphemarunt, Montano & Priscillæ paracleti appellationem

appellationem nefariè & impudenter attribuentes. Sive A *ergo, ut qui homines in deos referant, sunt condemnandi, sive ut qui Spiritum sanctum per comparationem cum hominibus injuria afficiant, sic quoque sunt æternæ condemnationi obnoxii, quòd condonari non possit blasphemia in Spiritum sanctum. Quamnam ergo habet rationem verum eorum baptisma judicari, qui in patrem & filium & Montanum vel Priscillam baptizant? non enim baptizati sunt qui in ea, quæ nobis non traduntur, sunt baptizati. Quare etiamsi hoc magnum Dionysium latuit, nobis tamen non est servanda erroris imitatio. Ipsa enim absurditas aperta est per se, &* B *evidens omnibus quibus vel parum inest rationis. Cathari sunt & ipsi ex iis, qui sunt abscissi. Verumenimvero antiquis visum est, Cypriano dico, & nostro Firmiliano, eos omnes uni calculo subjicere, Catharos, & Encratitas, & Hydroparastatas, & Apotactitas: quoniam separationis quidem principium per schisma factum est: qui autem se ab ecclesia separârunt, non habent ampliùs in se gratiam Spiritus Sancti. Defecit enim ejus communicatio, eò quòd interrupta sit successio: qui enim primi recesserunt, ordinationem à patribus habebant, & per manuum eorum impositionem habebant spiritualem gratiam.* C *Qui autem abrupti sunt, laici effecti, nec baptizandi, nec ordinandi habebant potestatem, ut qui non possint ampliùs S. Spiritus gratiam aliis præbere, à qua ipsi exciderunt. Quare eos qui ab ipsis baptizati erant, ut à laicis baptizatos, jusserunt ad ecclesiam venientes vero ecclesiæ baptismo expurgari. Sed quoniam nonnullis Asiaticis omnino visum est propter multorum œconomiam sive dispensationem, eorum baptisma suscipi, suscipiatur. Encratitarum autem facinus oportet nos intelligere, quòd ut se reddant non suscipiendos ab ecclesia, agressi sint deinceps proprio baptismate præoccupare. Unde* D *suam quoque consuetudinem deleverunt. Existimo ergo, quòd quoniam nihil est de his apertè dictum, oportet nos eorum baptismum rejicere, & si quis ab eis acceperit, eum ad ecclesiam accedentem baptizare. Quòd si hoc universali œconomiæ impedimento erit, rursus consuetudine utendum est, & sequi oportet patres, qui ad nos pertinentia providerunt. Vereor enim ne, ut eos volumus circa baptismum tardos facere, eos qui servantur, impediamus propter severitatem mandati. Sin autem illi nostrum baptismum servant, hoc nos pudore non confundat: neque enim illis gratiam reddere tenemur, sed Canonum exactæ observationi servire.* E *Omni autem ratione statuatur, ut qui ex eorum baptismo accedunt, ungantur scilicet à fidelibus, & sic ad mysteria accedant. Scio autem, quòd fratres Zoin, & Saturninum qui erant ex illorum ordine, in Episcoporum cathedram suscepimus. Quare eos qui illorum ordini conjuncti sunt, non ampliùs possumus ab ecclesia separare, utpote tanquam Canone aliquo communionis cum ipsis edito per Episcoporum susceptionem.*

BALS. Postquam fecit sanctus proœmium, & se quidem ad ultimam humilitatem redegit, sanctum autem Amphilochium, qui interrogationes fecerat, valde laudavit, respondet de iis quæ fuerat interrogatus, & dicit F quòd, an oporteat baptizari Novatianos, qui etiam seipsos Catharos nominant, diversæ sententiæ processerunt, quemadmodum tu, quoque commonuisti: & placuit sequi morem uniuscujusque regionis. Deinde de Pepuzenis respondere incipiens, docet quid sit hæresis, & quid schisma, & quid parasynagoga; & hæreticorum quidem baptisma dicit penitus rejici; schismaticorum autem admitti: eos verò qui parasynagogas seu illicitos conventus instituunt, rursus Ecclesiæ conjungi

τὴν τοῦ παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες. εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες, κατάκριτοι, εἴτε ὡς τὸ πνεῦμα τὸ ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίσαντες· καὶ οὕτω τῇ αἰωνίῳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίαν. τίνα οὖν λόγον ἔχει τὸ τούτων βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς πατέρα, καὶ υἱὸν καὶ Μοντανὸν ἢ Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ παραδεδομένα ἡμῖν βαπτισθέντες. ὥστε, εἰ καὶ τὸν μέγαν Διονύσιον τοῦτο παρέλαθεν, ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος. τὸ γὰρ ἄτοπον, αὐτόθεν πρόδηλον, καὶ πᾶσιν ἐναργὲς, οἷς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν. οἱ καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσί. πλὴν ἀλλ' ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτους πάντας μιᾷ ψήφῳ ὑποβαλεῖν, Καθαροὺς, Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, καὶ Ἀποτακτίτας. διό ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς ἐκκλησίας ἀποστάντες, οὐκέτι ἔσχον τὴν χάριν τοῦ ἁγίου πνεύματος ἐφ' ἑαυτοῖς. ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθίαν. οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν πατέρων εἶχον τὰς χειροτονίας· καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικόν. οἱ δὲ ἀποῤῥαγέντες, λαϊκοὶ γενόμενοι, οὔτε τοῦ βαπτίζειν, οὔτε τοῦ χειροτονεῖν εἶχον τὴν ἐξουσίαν, οὐκέτι δυνάμενοι χάριν πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι. διὸ, ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν, ἐκέλευσαν ἐρχομένους ἐπὶ τὴν ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς ἐκκλησίας ἀνακαθαίρεσθαι. ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα τῶν πολλῶν, δεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν. τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι, ἵνα αὐτοὺς ἀπροσδέκτους ποιήσωσι τῇ ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι. ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν. νομίζω τοίνυν, ὅτι ἐπειδὴ οὐδὲν ἐστὶ περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα. κἂν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ ἐκκλησίᾳ βαπτίζειν. ἐὰν μέντοι μέλλῃ τῇ καθόλου οἰκονομίᾳ ἐμπόδιον ἔσεσθαι τοῦτο, πάλιν τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήσασι τὰ καθ' ἡμᾶς πατράσιν ἀκολουθητέον. ὑφορῶμαι γὰρ μήποτε, ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν ποιῆσαι, ἐμποδίσωμεν τοῖς σωζομένοις διὰ τὸ τῆς προτάσεως αὐστηρόν. εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς μὴ δυσωπείτω. οὐ γὰρ ἀντιδιδόναι αὐτοῖς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων. παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἐπὶ τὸν βαπτισμὸν ἐκεῖνον προσερχομένους χρίεσθαι ὑπὸ τῶν πιστῶν δηλονότι, καὶ οὕτω προσιέναι τοῖς μυστηρίοις. οἶδα δὲ ὅτε τοὺς ἀδελφοὺς περὶ Ζοΐν, καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως, προσεδεξάμεθα εἰς τὴν καθέδραν τῶν Ἐπισκόπων. ὥστε τοὺς τῷ τάγματι ἐκείνῳ συνημμένους, οὐκέτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς ἐκκλησίας, οἷον κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν Ἐπισκόπων παραδοχῆς.

ΒΑΛΣ. Μετὰ τὸ προοιμιάσασθαι τὸν ἅγιον, καὶ ἑαυτὸν μὲν εἰς ἐσχάτην ταπείνωσιν ἀγαγεῖν, τὸν δὲ τὰς ἐρωτήσεις πεποιηκότα ἅγιον Ἀμφιλόχιον ὑπερεγκωμιάσαι, ἀπολογεῖται περὶ ὧν ἠρωτήθη, καί φησιν, ὅτι περὶ τοῦ εἰ χρὴ βαπτίζεσθαι τοὺς Ναυατιανοὺς, τοὺς καὶ Καθαροὺς ἑαυτοὺς ὀνομάζοντας, διάφοροι γνῶμαι προεβλήθησαν, καθὼς καὶ σὺ ἀπεμνημόνευσας· καὶ ἤρεσε τῷ ἔθει ἀκολουθεῖν ἑκάστης χώρας. εἶτα περὶ τῶν Πεπουζηνῶν ἀρξάμενος ἀπολογεῖσθαι, διδάσκει τί ἐστιν αἵρεσις, καὶ τί σχίσμα, καὶ τί παρασυναγωγή. καὶ τὸ μὲν βάπτισμα τῶν αἱρετικῶν, φησὶ παντελῶς ἀθετεῖσθαι. τὸ δὲ τῶν ἀποσχισάντων ἑαυτοὺς, παραδέχεσθαι· τοὺς δὲ παρασυναγαγόντας συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ μετανοοῦντας ἀξίως, ὥστε καὶ εἰς τοὺς προτέρους βαθμοὺς πολλάκις παραδέχεσθαι. τοὺς γοῦν Πεπουζηνοὺς, ὡς βλασφημοῦντας εἰς τὸ πνεῦμα τὸ ἅγιον, καὶ Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ παρακλήτου προσηγορίαν ἐπιφημίζοντας, αἱρετικοὺς εἶναι λέγει. τοὺς Ναυατιανοὺς, τοὺς Εγκρατίτας, καὶ τοὺς Υδροπαραστάτας, καθὼς καὶ ὁ τελευταῖος κανὼν τῆς δευτέρας συνόδου διωρίσατο, μὴ ἀναβαπτίζεσθαι, ἀλλὰ χρίεσθαι τῷ ἁγίῳ μύρῳ, καὶ οὕτω μεταλαμβάνειν τῶν ἁγιασμάτων, καὶ Επισκόπους ὄντας δέχεσθαι εἰς τοὺς θρόνους αὐτῶν. καὶ Εγκρατῖται μέν εἰσιν, οἱ τὸν γάμον ἀποβαλλόμενοι, καὶ λέγοντες εἶναι τοῦτον τοῦ σατανᾶ. καὶ ἀπαγορεύοντες πᾶσαν ἐμψυχοφαγίαν. Ναυατιανοὶ οἱ καὶ καθαροὶ λεγόμενοι, ἐκλήθησαν ἀπὸ Ναυάτου τινὸς Ρωμαίου, ἀποβαλλομένου τοὺς διγάμους, καὶ μετάνοιαν μὴ δεχομένου. Υδροπαραστάται δὲ οἱ ἀντὶ οἴνου, ὕδωρ τῷ θεῷ προσφέροντες, καὶ τὸν γάμον πορνείαν λέγοντες.

A pœnitentiam digne agentes, ut & ad priores gradus ſæpe admitti. Pepuzenos ergo, ut qui in ſanctum ſpiritum blaſphemant, & Montano & Priſcillæ Paracleti appellationem tribuunt, dicit eſſe hæreticos. Novatianos autem Encratitas & Hydroparaſtatas, quemadmodum & ultimus ſecundæ ſynodi Canon definivit, non rebaptizandos pronunciavit, ſed ſancto chriſmate inungendos, & ſic eſſe ſacramentorum participes, & exiſtentes Epiſcopos in ſuos thronos ſuſcipiendos. Et ſunt Encratitæ quidem, qui nuptias rejiciunt, & eas ſatanæ eſſe dicunt, & omnem animatorum eſum prohibent. Novatiani B qui & Cathari dicti ſunt, à Novato quodam Romano nomen ſortiti ſunt, qui Bigamos abhorrebat, & pœnitentiam non admittebat. Hydroparaſtatæ autem, qui aquam pro vino Deo offerebant, & nuptias fornicationem appellabant.

ΖΩΝΑΡ. Περὶ τοῦ, εἰ χρὴ βαπτίζεσθαι τοὺς Ναυατιανοὺς, ἡ ἐρώτησις. οὗτοι γὰρ ὠνόμαζον ἑαυτοὺς καθαρούς· περὶ τούτου, φησὶν, ὁ ἅγιος, ὅτι καὶ πρότερον εἴρηται. τὸ δὲ προειρημένον φαίνεται εἶναι ἐκ τοῦ εἰπεῖν, καλῶς ἀπεμνημόνευσας, τὸ ἕπεσθαι τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν. ἄλλοι γὰρ, φησὶν, ἄλλως εἶπον πῶς δεῖ αὐτοὺς προσερχομένους δέχεσθαι, καὶ διηνέχθησαν τῆς γνώμης. ταῦτα μὲν ὁ μέγας Βασίλειος· ὁ δὲ τελευταῖος κανὼν τῆς δευτέρας συνόδου, μὴ ἀναβαπτίζεσθαι λέγει αὐτοὺς, ἀλλὰ μόνον χρίεσθαι τῷ ἁγίῳ μύρῳ. τοῦτον οὖν πάντως δέον κρατεῖν ὅτι μεταγενέστερός ἐστιν ὁ κανὼν, καὶ ὅτι συνοδικὸς, καὶ συνόδου οἰκουμενικῆς.

Zonar. De Novatianis, an eos baptizari oporteret quæſtio propoſita fuit. Hi namque Catharos ſeipſos nominabant. De hoc igitur, inquit ſanctus, prius quoque dictum fuit. Quod vero ante dictum eſt, videtur colligi ex iis verbis, Recte admonuiſti, ſequendas eſſe cujuſque regionis conſuetudines, eo quod varia de ipſorum baptiſmate fuere ſancita. Alii ſiquidem, inquit, aliter locuti ſunt, de ratione ipſos, ſi ſe obtulerint, admittendi, C ac ſententiis diviſi ſunt. Hæc quidem magnus habet Baſilius. Cæterum poſtremus ſecundæ Synodi Canon non iterum baptizandos, ſed ſancto chriſmate tantummodo inungendos eſſe decernit. Hunc igitur omnino tenere oportet, quod & recentior eſt Canon, & Synodicus, iſque à Synodo Oecumenica editus.

Τὸ δὲ τῶν Πεπουζηνῶν, οὐδένα μοι λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν μέγαν Διονύσιον παρῆλθεν.

Pepuzenorum autem Baptiſmus, nullam mihi habere rationem videtur, & miratus ſum quomodo hoc Dionyſium, qui fuit canonicus, latuit.

Ενταῦθα ὁ μέγας Βασίλειος διδάσκει τί ἐστιν αἵρεσις, καὶ τί σχίσμα, καὶ τί παρασυναγωγὴ, καὶ τὸ μὲν τῶν αἱρετικῶν φησὶ βάπτισμα, παντελῶς ἀθετεῖσθαι· τὸ δὲ τῶν ἀποσχισάντων, παραδέχεσθαι. τοὺς δὲ παρασυνάγοντας, συνάπτεσθαι πάλιν τῇ ἐκκλησίᾳ ἐπιστρέφοντας ἐν μετανοίᾳ ἀξιολόγῳ· καὶ τοσοῦτον συνάπτεσθαι τῇ ἐκκλησίᾳ, ὥστε καὶ εἰς τὸν αὐτὸν πολλάκις, ἀντὶ τοῦ ἔστιν ὅτε, παραδέχεσθαι αὐτοὺς βαθμόν. τοὺς δὲ Πεπουζηνοὺς προδήλως ὄντας αἱρετικοὺς, βαπτίζεσθαι ἀποφαίνεται, προσερχομένους τῇ καθολικῇ ἐκκλησίᾳ. οἱ γὰρ μὴ εἰς τὰ παραδεδομένα ἡμῖν βαπτισθέντες· ἤγουν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὐδὲ δοκοῦσι βαπτισθῆναι. πῶς δὲ κατὰ τὴν τῆς καθολικῆς ἐκκλησίας παράδοσιν ἐβάπτισεν ἂν, ὁ παράκλητον τὸν Μοντανὸν ὀνομάζων, καὶ τὴν Πρίσκιλλαν; τοὺς δὲ Καθαροὺς, φησὶ, καὶ Εγκρατίτας, καὶ Υδροπαραστάτας, ἔδοξε τοῖς περὶ Κυπριανὸν, καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, (οἰκειοῦται δὲ τὸν Φιρμιλιανὸν, ὡς τῆς Καισαρείας γεγονότα Επίσκοπον) πάντας ἀναβαπτίζεσθαι. ἐν γὰρ τῇ Καρχηδόνι, ἧς Επίσκοπος ἦν ὁ Κυπριανὸς, συνόδου συστάσης ἀρχαιοτέρας πασῶν· ἔδοξε πάντας τούς τε αἱρετικοὺς, τούς τε σχισματικοὺς, βαπτίζεσθαι προσιόντας τῇ ἐκκλησίᾳ· κἂν γὰρ μὴ περὶ δόγμα οἱ σχισματικοὶ σφάλλονται, ἀλλ' ἐπεὶ τοῦ σώματος τῆς ἐκκλησίας ἀπερράγησαν, οὐκέτι ἔχουσιν αὐτοῖς παραμένουσαν τὴν χάριν τοῦ ἁγίου πνεύματος. ὃ γοῦν οὐκ ἔχουσι, πῶς ἄλλοις αὐτοῦ μεταδώσουσιν; ἀλλ' ὅμως φησὶν ὁ μέγας οὗτος ὁ πατὴρ, ὅτι ἐπεὶ τισὶν ἔδοξε δι' οἰκονομίαν, τὸ τῶν καθαρῶν βάπτισμα δέχεσθαι, ἔστω δεκτόν. καὶ ἡ δευτέρα οἰκουμενικὴ σύνοδος, ὡς προείρηται, δεκτὸν αὐτὸ ἡγήσατο. περὶ δὲ Εγκρατιτῶν φησὶν, ὡς οὐκ ἔδει τὸ αὐτῶν βάπτισμα δέχεσθαι. χρηστέον δὲ, φησὶ, τῷ ἔθει, καὶ ἀκολουθεῖν δεῖ τοῖς τὰ καθ' ἡμᾶς οἰκονομήσασι πατράσιν, ἵνα μὴ διὰ τὴν ἀκρίβειαν, ὀκνηροτέρους αὐτοὺς ποιήσωμεν εἰς τὸ προσέρχεσθαι τῇ καθολικῇ ἐκκλησίᾳ. οὐχ ὅτι δέ φησι φυλάσσουσιν ἐκεῖνοι τὸ ἡμέτερον βάπτισμα, δεῖ καὶ ἡμᾶς

Hoc loco magnus Baſilius, quid hæreſis, quid ſchiſma, D & quid paraſynagoga ſit, docet, ac hæreticorum quidem baptiſmum plane damnatum fuiſſe, ſchiſmaticorum vero admiſſum. Qui vero paraſynagogas ſeu illicitos conventus agerent, ſi digna pœnitentia converterentur, Eccleſiæ rurſum adjungi, atque ita Eccleſiæ adjungi, ut ad eoſdem quoque gradus ſæpe, id eſt quandoque admitterentur. Pepuzenos porro, quippe qui aperte hæretici eſſent, ſi ſe Catholicæ Eccleſiæ ſiſtant, baptizandos eſſe demonſtrat. Qui enim juxta nobis tradita baptizati non ſunt, videlicet, in nomine Patris, & Filii, & Spiritus ſancti, ne baptizati quidem eſſe videntur. Quo modo vero ex Eccleſiæ Catholicæ traditione baptizatus fuerit qui Montanum, & Priſcillam Paracletum nominabat? E Catharos autem, ait, & Encratitas, & Hydroparaſtatas, viſum eſt Cypriano, & Firmiliano noſtro (Noſtrum ſcilicet Firmilianum appellat, quippe qui Cæſareæ Epiſcopus fuerit) univerſos iterum baptizari. Carthagine ſiquidem, cujus Epiſcopus erat Cyprianus, habita Synodo omnium antiquiſſima, decretum eſt ut omnes tum hæretici, tum ſchiſmatici ad Eccleſiam accedentes baptizarentur: Quamvis enim in nullo dogmate ſchiſmatici decipiantur; tamen quoniam à corpore Eccleſiæ abrupti ſunt, permanentem in ipſis Spiritus ſancti gratiam amplius non habent: Quod igitur non F habent ipſi, quonam modo aliis communicabunt? Sed tamen, quandoquidem, inquit hic magnus Pater, Catharorum baptiſma admitti prudenti conſilio quibuſdam placuit, admittamus. Secunda quoque Oecumenica Synodus, ut antea dictum eſt, admittendum cenſuit. De Encratitis vero, ipſorum baptiſma minime admitti oportere aſſerit. Utendum vero ait conſuetudine, ac ſequi oportere Patres, qui res noſtras adminiſtrarunt, ne ob nimium rigorem ſegniores eos ad Catholicam Eccleſiam accedendam reddamus. Neque vero eo, quod illi noſtrum baptiſma ſervent, nos quoque verecundantes

UMI

illorum ſervare oportet. Nec enim debemus gratias ipſis referre, ſed exactam ſervare diligentiam. Interea vero, qui ex ipſis ad nos adeunt, ſancto, inquit, chriſmate inungantur, ac ita ſacris myſteriis communicent. Encratitarum porro opinio hæc fuit. Ab omni re animata abſtinebant, ac nuptias recuſabant, Satanicas illas nominantes. Præterea Marcionis quoque opiniones tenere dicuntur. Quoniam vero, inquit, admiſimus jam in cathedram Epiſcoporum hunc, & illum, qui ex illorum numero ſunt, Encratitarum videlicet, haud licet nobis amplius ab Eccleſia ſegregare, ac ſecernere, qui illorum ordini ſunt adjuncti, qui eadem nimirum cum ipſis ſentiunt. B Admiſſis namque ipſorum Epiſcopis, veluti Canonem & typum cæteros quoque admittendi per eos edidimus.

δυσωπουμένους τὰ ἐκείνων φυλάσσειν. οὐ γὰρ ὀφείλομεν χάριτας ἀντιδιδόναι αὐτοῖς, ἀλλὰ τηρεῖν τὴν ἀκρίβειαν. τέως δὲ οἱ προσερχόμενοι ἐξ αὐτῶν· χριέσθωσαν, φησὶ, τῷ ἁγίῳ μύρῳ, καὶ οὕτως τῶν ἁγιασμάτων μεταλαμβανέτωσαν. ἡ δὲ τῶν Εγκρατιτῶν δόξα, τοιαύτη ἦν· ἐμψύχου παντὸς ἀπείχοντο, καὶ τὸν γάμον ἠρνοῦντο· τοῦ Σατανᾶ καλοῦντες αὐτόν· λέγονται δὲ φρονεῖν καὶ τὰ τοῦ Μαρκίωνος. ὅτι δὲ, φησὶν, ἐδεξάμεθα ἤδη εἰς τὴν καθέδραν τῶν Επισκόπων τόνδε, καὶ τόνδε, ἐξ ἐκείνων ὄντας, τῶν Εγκρατιτῶν δηλαδὴ, οὐκέτι δυνάμεθα διακρίνειν καὶ διαχωρίζειν ἀπὸ τῆς ἐκκλησίας τοὺς τῷ τάγματι ἐκείνων συνημμένους· ἤγουν τοὺς ὁμοδόξους ἐκείνοις. δεξάμενοι γὰρ τοὺς Επισκόπους αὐτῶν, κανόνα καὶ τύπον ὥσπερ ἐθέμεθα δι' ἐκείνων, καὶ τοὺς λοιποὺς δέχεσθαι.

Arist. *Hæreticus eſt, qui circa fidem errat: qui verò circa medicabilem aliquam quæſtionem, Schiſmaticus: Immorigeri vero, qui congregant hos vel iſtos, ſunt Paraſynagogi. Baptiſma ab Hæretico celebratum, non recipiendum: recipiendum vero quod à Schiſmatico vel Paraſynagogo celebratur. Pepuzeni Montanum nominarunt Paracletum, quapropter qui in eum baptizantur, non ſunt baptizati.* C *Catharorum & Hydroparaſtatarum, atque Encratitarum baptiſma etiamſi non ſit recipiendum, propter Spiritus Sancti apud eos defectum, nihilominus œconomiæ cauſâ ſuſcipiatur.*

ΑΡΙΣΤ. Αιρετικὸς ὁ κατὰ τὴν πίστιν ἀλλότριος. ὁ δὲ κατά τι ἰάσιμον ζήτημα, σχισματικός. Οἱ δὲ συνάγοντες ἀνυπότακτοι τούτους ἢ ἐκείνους, παρασυνάγωγοι. τὸ ἐξ αἱρετικοῦ βάπτισμα ἄδεκτον· δεκτὸν δὲ τὸ ἀπὸ σχιστοῦ, καὶ παρασυναγώγου. παράκλητον οἱ Πεπουζηνοὶ τὸν Μοντανὸν ὀνομάζουσιν· ὅθεν καὶ εἰς αὐτὸν βαπτιζόμενοι, ἀβάπτιστοι. τὸ τῶν Καθαρῶν καὶ Υδροπαραστατῶν καὶ Εγκρατιτῶν βάπτισμα, εἰ καὶ ἄδεκτον, διὰ τὸ ἐπιλεῖψαι τούτοις τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐν οἰκονομίας χάριν ἔστω.

Qui cum Eccleſiâ Catholicâ non communicant in tria genera dividuntur, in hæreticos, in Schiſmaticos, & paraſynagogos. Et Hæretici quidem ſunt ii, qui ſeſe à fide in Deum omnino abalienarunt, ut Pepuzeni, Manichæi, Valentiniani, Marcioniſtæ, & multi alii. Pepuzeni enim Montanum nominant Paracletum, & duas mulieres adulterio ei conjunctas Priſcillam & Maximillam pro Prophetiſſis habent. D Nuptias indifferenter ſolvunt, paſcha pervertunt, tres conſubſtantialis deitatis ſubſiſtentias in unam perſonam confundunt, & alia quædam iſtiuſmodi impia ſentiunt. Manichæi autem duo principia introducunt contraria, & æquali potentiâ prædita, & unum quidem lucis cauſam eſſe opinantur, alterum autem tenebrarum. Solem & lunam Deos faciunt, & diabolum materiæ principem appellant, & nuptias dæmonis præceptum vocant, & ad egenos diſtributionem flagitium judicant, & Dominum incarnatum nihil humanum aſſumpſiſſe arbitrantur, & crucem, & mortem, & reſurrectionem ut non verè facta elevant, E & quamplurima alia impia docent. Valentiniani autem carnis reſurrectionem negant, vetus teſtamentum rejiciunt, prophetas legentes & ad ſuam perceptionem eos interpretantes, mythologias quaſdam effingunt, & Chriſtum à Cœlo carnem attuliſſe, & virginem tanquam per canalem tranſiiſſe dicunt, & alia nonnulla iſtiuſmodi blaſphema delirantes proferunt. Marcioniſtæ vero ſunt qui Maſaliani & Euchitæ interpretantur, quorum hæreſis multiformis eſt & multinominis. Hi itaque omnes ab hæreſi ſuâ converſi, & ad rectam fidem accedentes, baptizantur, quia eorum baptiſma à nobis pro nihilo ducitur. F Schiſmatici autem ſunt, qui ab Eccleſiâ ſeſe abſciderunt, ut Donatiſtæ, & qui Cathari dicuntur, & Hydroparaſtatæ, & Encratitæ. Hi enim ſi ad catholicam redeant Eccleſiam, & hæreſes ſuas anathematizent, ut baptizati admittentur, et ſolo ſancto Chriſmate ungentur. Paraſynagogi autem ſunt Epiſcopi aut Preſbyteri qui ob crimina aliqua condemnati, & miniſterio ſacro moti, & Canonibus non auſcultantes, ſed ſe cum auctoritate defendentes, præſidentiam, & lyturgiam, & al-

Οἱ μὴ κοινωνοῦντες τῇ καθολικῇ ἐκκλησίᾳ, εἰς τρία διαιροῦνται· εἰς αἱρετικοὺς, εἰς σχισματικοὺς, καὶ παρασυναγώγους. καὶ αἱρετικοὶ μέν εἰσιν, οἱ τῆς εἰς θεὸν πίστεως παντελῶς ἀπαλλοτριώσαντες ἑαυτούς· ὡς οἱ Πεπουζηνοὶ, οἱ Μανιχαῖοι, οἱ Οὐαλεντινιανοὶ, οἱ Μαρκιωνισταὶ, καὶ ἄλλοι πολλοί. οἱ μὲν γὰρ Πεπουζηνοὶ τὸν Μοντανὸν παράκλητον ὀνομάζουσι, καὶ τὰς συναφθείσας αὐτῷ πορνικῶς δύο γυναῖκας, Πρίσκιλλαν, καὶ Μαξίμιλλαν, ὡς προφήτιδας ἔχουσι. τοὺς γάμους ἀδιαφόρως λύουσι· τὸ Πάσχα διαστρέφουσι· τὰς τρεῖς ὑποστάσεις τῆς ὁμουσίου θεότητος εἰς ἓν συγχέουσι πρόσωπον, καὶ ἕτερά τινα ἀσεβῆ τοιαῦτα φρονοῦσιν. Οἱ δὲ Μανιχαῖοι δύο ἀρχὰς εἰσάγουσιν ἐναντίας, καὶ ἰσοσθενεῖς· καὶ τὴν μὲν, φωτὸς δοξάζουσιν εἶναι παραίτιον· τὴν δὲ, σκότους. καὶ ἥλιον, καὶ σελήνην θεοποιοῦσι· καὶ τὸν διάβολον, τῆς ὕλης προσαγορεύουσιν ἄρχοντα· καὶ τὸν γάμον, νομοθεσίαν καλοῦσι τοῦ δαίμονος· καὶ τὴν εἰς τοὺς δεομένους μετάδοσιν, ἀνόμημα κρίνουσι· καὶ τὸν κύριον οὐδὲν ἀνθρώπινον εἰληφέναι σαρκωθέντα δοξάζουσι· καὶ τὸν σταυρὸν, καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν, ὡς μὴ τῇ ἀληθείᾳ γενόμενα, διασύρουσι· καὶ μυρία ἄλλα ἀσεβῆ δογματίζουσιν. Οἱ δὲ Οὐαλεντινιανοὶ τῆς σαρκὸς ἀπαγορεύουσι τὴν ἀνάστασιν· τὴν παλαιὰν ἀθετοῦσι διαθήκην, τοὺς προφήτας ἀναγινώσκοντες, καὶ πρὸς τὴν αἴσθησιν αὐτῶν τούτους μεθερμηνεύοντες, μυθολογίας τινὰς ἀναπλάττουσι· καὶ τὸν χριστὸν ἀπ' οὐρανοῦ λέγουσι τὴν σάρκα κατενέγκειν, καὶ ὡς διὰ σωλῆνος, διελθεῖν τῆς παρθένου· καὶ ἄλλα τινὰ τοιαῦτα βλάσφημα ληρῳδοῦσιν. Οἱ δὲ Μαρκιωνισταί εἰσιν, οἱ Μασαλιανοὶ, οἱ καὶ Εὐχῖται ἑρμηνευόμενοι· οἵτινες πολυκέφαλον, καὶ πολυώνυμον τὴν αἵρεσιν ἔχουσιν. οὗτοι γοῦν πάντες τῆς αἱρέσεως αὐτῶν μεταστραφέντες, καὶ τῇ ἀμωμήτῳ πίστει προσελθόντες, βαπτίζονται, διὰ τὸ ἀθετεῖσθαι παρ' ἡμῶν τὸ βάπτισμα αὐτῶν. σχισματικοὶ δέ εἰσιν, οἱ τῆς ἐκκλησίας ἑαυτοὺς ἀποστήσαντες· ὡς οἱ Δονατισταὶ, καὶ οἱ λεγόμενοι Καθαροὶ, καὶ οἱ Υδροπαραστάται, καὶ οἱ Εγκρατῖται. Οὗτοι γὰρ εἰ ἐπιστρέψουσι πρὸς τὴν καθολικὴν ἐκκλησίαν, καὶ τὰς αἱρέσεις αὐτῶν ἀναθεματίσουσιν, ὡς βεβαπτισμένοι παραδεχθήσονται, καὶ μόνῳ τῷ ἁγίῳ μύρῳ χρισθήσονται. παρασυνάγωγοι δέ εἰσιν, οἱ κατακριθέντες ἐπί τισι πταίσμασιν Επίσκοποι, ἢ πρεσβύτεροι, καὶ μετακινηθέντες τῆς λειτουργίας, καὶ μὴ ὑποκύψαντες τοῖς κανόσιν, ἀλλ' ἑαυτοὺς

αὐθεντικῶς ἐκδικήσαντες, τὴν προεδρίαν, καὶ τὴν λειτουργίαν, καὶ θυσιαστήριον πηξάμενοι ἕτερον, καὶ τῆς γνώμης αὐτῶν γενέσθαι τινὰς παραπείσαντες, ὥστε συνακολουθῆναι αὐτοῖς, καὶ τὴν καθολικὴν καταλιπεῖν ἐκκλησίαν. Οἱ τοιοῦτοι γὰρ μεταμεληθέντες, καὶ μετανοίᾳ ἀξιολόγῳ, καὶ ἐπιστροφῇ βελτιωθέντες, συνάπτονται πάλιν, ὡς ἓν σῶμα, τῇ ἐκκλησίᾳ.

ΚΑΝΩΝ β΄.

Φθείρασα κατ᾽ ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει· ἀκριβολογία δὲ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ᾽ ἡμῖν οὐκ ἔστιν. ἐνταῦθα γὰρ ἐκδικεῖται οὐ μόνον τὸ γεννηθησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτῇ ἐπιβουλεύσασα, διότι ὡς ἐπὶ τὸ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες. πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου, ἕτερος φόνος, κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων. δεῖ μέντοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μετὰ τὸ μέτρον τῶν δέκα ἐτῶν· ὁρίζειν δὲ μὴ χρόνῳ ἀλλὰ τρόπῳ τὴν τῆς μετανοίας θεραπείαν.

ΒΑΛΣ. Περὶ τῶν πορνευουσῶν καὶ ἀναιρουσῶν τὰ κατ᾽ αὐτὰς ἔμβρυα, διὰ φαρμάκων ἢ ἄλλως πως, εἴρηται ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἐν τῷ κα΄. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου. ὁ δὲ παρὼν κανὼν διοριζόμενος τὰς τοιοῦτόν τι ποιούσας, τοῖς τῶν φονέων ἐπιτιμίοις καθυποβάλλεσθαι, προστίθησι μὴ εἶναι διαφορὰν τοῦ ἀμβλώματος. κἂν γὰρ ἀμόρφωτον ἐστὶ τὸ ἀμβλωθέν, κἂν μεμορφωμένον καὶ χαρακτῆρα ἔχον ἀνθρώπου, ὁ αὐτὸς λόγος ἐστί. τοῦτο δὲ ἐρρέθη διὰ τοὺς λέγοντας, ὡς ἐπεὶ τὸ σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον, οὐκ ἀπεντεῦθεν εἰδοποιεῖται εἰς ἄνθρωπον, ἀλλὰ πρότερον μὲν ἐξαιματοῦται· εἶτα εἰς σάρκα πήγνυται ἀνθρωπίνην· εἶτα ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μορία· οὐ γίνεται φόνος ὅταν ἀμβλωθῇ τὸ ἔμβρυον, τὸ μήπω εἰδοποιηθέν. ἐπιπροστίθησιν ὁ ἅγιος, ὡς οὐ μόνον διὰ τὴν τοῦ ἐμβρύου φθορὰν ἡ τοῦ φόνου ἐκδίκησις γίνεται, ἀλλὰ διὰ τὴν ἐπιβουλὴν τῆς κυοφορουμένης. ὡς ἐπὶ τὸ πολὺ γάρ, συναπόλλυνται καὶ αἱ μητέρες διὰ τὴν ἀποβολήν. τὸ δὲ ἐπιτίμιον, φησί, μὴ παρεκτείνεσθαι μέχρι τέλους ζωῆς αὐτῆς τῆς τὸν φόνον ἁμαρτούσης, ἀλλὰ ἐν δέκα ἔτεσι. καὶ ὁ τοιοῦτος δὲ χρόνος, κἂν κεκανόνισται, ἀλλὰ χρὴ τὴν θεραπείαν μὴ χρόνῳ ἀλλὰ τρόπῳ περιγράφεσθαι. ἤγουν, εἰ μὲν καταφρονητικῶς διάκειται πρὸς τὴν μετάνοιαν ἡ ἁμαρτοῦσα, οὐ μόνον ἡ δεκαετία περαιωθήσεται, ἀλλὰ καὶ ἐπιτιμηθήσεται. εἰ δὲ σπουδαίως, καὶ ἡ δεκαετία κολοβωθήσεται. καὶ ταῦτα μὲν ὁ παρὼν κανών. σὺ δὲ ἀνάγνωσον καὶ τὸν ϟα΄. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸ τέλος τοῦ η΄. κανόνος τῆς παρούσης ἐπιστολῆς· καὶ μάθῃς ὡς οὐ μόνη ἡ φθείρασα τὸ ἔμβρυον ὑπόκειται τῷ κανονικῷ τοῦ φονέως ἐπιτιμίῳ, ἀλλὰ καὶ ἡ διδοῦσα ἐμβρυοκτόνα δηλητήρια, καὶ ἡ ἔχουσα, καὶ ἡ λαβοῦσα, κἂν μὴ φονεύσῃ τὸ ἔμβρυον. τοῦ δὲ παρόντος κανόνος διὰ ἐπιτιμίου δεκαετίας κολάζοντος τὴν τοιαύτην γυναῖκα, ἀκολούθως τῷ κα΄. κανόνι τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τῷ νζ΄. κανόνος τοῦ ἁγίου Βασιλείου λέγοντος οὕτω ῥητῶς, ὁ ἀκουσίως φονεύσας, ἕνδεκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· λέγουσι τινὲς, ἀκούσιον φόνον ἁμαρτάνειν τὴν φθείρασαν κατ᾽ ἐπιτήδευσιν τὸ παρὰ ταύτης ἐγκυμονούμενον. ἐμοὶ δὲ δοκεῖ, ἑκούσιον μὲν καὶ ταύτην φόνον πλημμελεῖν, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ τέλους τοῦ η΄. κανόνος, καὶ εἰς τόπον μᾶλλον αὐτοφονευτοῦ ἑαυτὴν καθίστασθαι, ἐὰν ἐκ τοῦ τοιούτου τρόπου τελευτήσῃ· μὴ ὑποκεῖσθαι δὲ φόνου ἑκουσίου ἐπιτιμίῳ διὰ τὸ μὴ εἶναι ἐν φύσει τὸ κυοφορούμενον, καὶ διὰ τὸ μὴ ἐκ διαθέσεως κακῆς μελετηθῆναι τὸν φόνον, ἀλλὰ διὰ φόβον οὐκ ἀγεννῆ, γονέως τυχὸν ἢ δεσπότου, ἢ ἄλλου τινὸς κίνδυνον ἀπειλοῦντος. ὅτι δὲ διαφθορά ἐστι τοῦ κυοφορουμένου, καὶ τοῦ εἰς φῶς ἐξελθόντος βρέφους, δῆλόν ἐστιν ἀπὸ τῆς βίβλου τῆς Ἐξόδου. φησὶ γὰρ ἡ τοιαύτη Μωσαϊκὴ βίβλος, ἐὰν μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι

A tare aliud ſtruxerunt, & aliis ſuæ eſſe ſententiæ perſuaſerunt, ut ipſos ſequantur,& catholicam deſerant eccleſiam. Tales enim pœnitentiam agentes & memorabili reſipiſcentiâ & converſione meliores evadentes, eccleſiæ iterum, ut unum corpus, conjunguntur.

CANON II.

Quæ de induſtria fœtum corrupit, cædis pœnas luat. Formiati autem vel informis ſubtilitas à nobis non attenditur: hîc enim, non ſolùm quod naſciturum fuit, vindicatur, ſed etiam ipſa quæ ſibi inſidias paravit, quoniam ut B *plurimùm ejuſmodi incœptis unà quoque mulieres intereunt. Ei autem accedit fœtus quoque interitus, aliâ cædes, eorum quidem, qui hæc audent, exiſtimatione. Oportet autem non uſque ad obitum eorum confeſſionem extendere, ſed poſt decem annorum menſuram admittere. Definire autem non tempore, ſed modo pœnitentiæ medicinam.*

Bals. De iis quæ fornicantur, & ſuos fœtus perimunt medicamentis, vel aliquo alio modo, dictum eſt in x.cap. xiij. tit. præſentis operis: Et in xxi. Canone Synodi Ancyranæ. Præſens autem Canon decernens, eas C quæ tale quid agunt, homicidarum pœnis ſubjici, adjicit non eſſe differentiam ullam abortivi fœtus: ſive enim eſt informe quod abortu ejectum eſt, ſive formatum, & quod habet hominis characterem, eadem eſt ratio. Hoc autem dictum eſt propter eos, qui dicunt, quòd, quoniam ſemen in matricem dejectum, non ſtatim formatur in hominem, ſed prius quidem fit ſanguis; deinde in carnem humanam concreſcit: deinde effingitur, & formatur in membra & partes: non fit cædes, quando abortio facta fuerit fœtus, qui nondum eſt formatus. Præterea adjicit ſanctus, quòd non ſolùm propter fœtus interitum fit cædis vindicatio, ſed etiam propter inſidias, quas ſibi D paravit mulier gravida. Ut plurimum enim matres quoque unà pereunt propter ejectionem. Pœna autem, inquit, ne extendatur uſque ad finem vitæ ejus quæ cædem perpetravit, ſed in decem annos. Porro tale quoque tempus licèt ſit à Canone conſtitutum, oportet tamen medicinam, non tempore, ſed modo circumſcribi: ſcilicet ſi quæ peccavit quidem, pœnitentiam aſpernari videatur, non ſolùm decennium finietur, ſed etiam augebitur. Sed ſi ſeriò agat pœnitentiam, decennium quoque minuetur. Atque hæc quidem præſens Canon. Tu autem lege xcj. Can. Syn. in Trullo, & quæ in eo ſunt, & finem. viii. Canonis præſentis epiſtolæ: & ſcies quòd E non ſolùm quæ fœtum in utero corrupit, ſubjicitur canonico homicidæ ſupplicio, ſed etiam quæ dat venena fœtus perimentia, & quæ habet, & quæ accepit, etiamſi fœtum non peremerint. Cùm autem præſens Canon hanc mulierem decennali ſupplicio puniat conſequenter xxj. Canoni Ancyranæ ſynodi, & lvij. Can. ſancti Baſilii ſic apertè dicentis, Qui non ſponte interfecit, xj. annis non ſit ſacramentorum particeps; dicunt quidam, involuntariam cædem perpetrare eam, quæ data opera fœtum, qui erat in utero, corrupit. Mihi autem videtur, eam voluntariam quoque cædem perpetrare, ut hoc ex fine F octavi Canonis oſtenditur, & potiùs loco ejus, quæ ſibi mortem conſcivit, ſi ea ratione perierit, ſeipſam conſtituere: voluntariæ autem cædis ſupplicio non ſubjici, quòd in rerum natura non ſit fœtus, qui eſt in utero: & quòd non malè affecta mortem molita ſit, ſed propter metum non illiberalem, parentibus fortè, vel domino, vel aliquo alio periculum minitante. Quòd autem detur cædes & fœtûs qui eſt in utero, & infantis in lucem egreſſi, manifeſtum eſt ex libro Exodi: dicit enim hic liber Moſaicus: Si duo viri pugnent, & prægnantem mulierem percutiant, & egreſſus fuerit infans non formatus, ea pœ-

na multabuntur, quam mulieris maritus impoſuerit. Sin autem formatus fuerit, dabit animam pro anima. Et ex xxxiij. can. & lij. Dicit enim, Quæ ſui fœtûs curam non geſſerit, veluti cædis acceſſatur. Atqui quæ per negligentiam fœtum ejicit, tanquam homicida non reputabitur. Ex his ergo pulchrè elicitur, quòd quæ fætum ſuum corrupit, voluntariorum homicidarum pœnis non ſubjicietur.

Zonar. Mulieres quædam occultè cum viris corruptæ concipiunt, metu vero parentum fortè, vel dominorum, aut aliorum quorundam, ſtudent conceptum ejicere, medicamentis quibuſdam epotis, aut aliis modis, ac fœtus necant. Quæ igitur id faciunt, veluti patrata cæde puniendas eſſe decernit. Quoniam vero eorum quæ ejiciuntur, alia quidem informia ſunt adhuc, alia vero formata, & quæ jam humanæ figuræ effigiem ſervant, (Semen nimirum in matricem dejectum, primùm in ſanguinem vertitur: deinde in carnem concreſcit informem: tùm in membra, & partes hominis effingitur, & formatur) haudquaquam, ait, informiſne ejectus fuerit fœtus, an formatus inquirimus. Non enim illius tantummodo interitus vindicatur, verum inſidiæ præterea in eam quæ gravida eſt comparatæ. Plerumque ſiquidem, ait, ipſæ quoque mulieres ſimul cum fœtu pereunt, in ejus ejectione morientes. Proinde tum ob præparatas ſibi inſidias, tum ob fœtum peremptum, homicidarum pœnis ſubjicitur. Cæterum non ad vitæ uſque exitum ſed decem tantum annorum ſpatio pœnâ exercebitur; non tempore autem oportet definire, ſed modo: ita ut ſi quidem ea quæ peccavit pœnitentiam aſpernatur, non expleatur ſolum decennii tempus, ſed prorogetur: verùm ſi ſtudioſe in pœnitentia ritè obeunda elaborat, aliquid ex ipſo quoque decennio amputabitur: idque totum illius moderatoris arbitrio permittit. In extremo porro octavi canonis, eas quoque, quæ pharmaca ad abortum præbent, homicidarum pœnis damnat. Involuntariæ autem cædis hoc loco tempora decernit, dum hanc mulctam adverſus ejuſmodi mulieres ſtatuit. Hæc enim habet, quinquageſimo ſeptimo canone, Qui involuntarie interfecit, decem annis à ſacrorum myſteriorum perceptione abſtinebit. Nos autem, inquit ſanctus, ſi efformatus fœtus, an informis, non curioſe ſcrutamur. Sunt hæc ſiquidem in libro Exodi conſignata, ſi duo viri pugnent, ac prægnantem mulierem percutiant, & egreſſus fuerit infans non formatus, ea pœna mulctabuntur, quam mulieris maritus impoſuerit. Sin autem formatus fuerit, dabit animam pro anima. Quoniam igitur antiqua lex, cum fœtus quidem nondum efformatus erat abortus, pecuniariam mulctam imponebat, cum vero erat formatus vitâ puniebat, mori jubens eum qui mulierem verberaſſet, facta hujus legis mentione, Nos, inquit ſanctus, nullum diſcrimen ſtatuimus, ſive formata ſint quæ ejiciuntur, ſive informia, nec enim pecuniariam mulctam decernimus, ſed cædis eam, quæ id patravit, condemnamus, tum ob fœtum corruptum, tum ob mulierem à qua is ejectus, ſiquidem cum fœtu ipſam quoque interire ſæpe contingit.

Arist. *Quæ de induſtriâ fætum corrupit, quandocunque corruperit, homicidio tenetur.*

Gravida quandocunque venenum acceperit ad fætum auferendum, homicidii rea eſt, & non accurate examinamus an fœtus informis ſit aut formatus, quoniam plerumque unà cum fœtu intereant & mulieres, & quantum ad earum exiſtimationem duplex fiat homicidium, unum quidem gravidæ, aliud autem fœtus. Tales itaque decem annos pœnis ſubjicientur, duos quidem annos deflentes, tres autem annos cum audientibus agentes, quatuor ſubſtrati, & anno cum fidelibus conſtituti, & ſic poſt decennium divinorum ſacramentorum participes erunt.

A γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται καθότι ἂν ἐπιβάλλῃ ἀνὴρ τῆς γυναικός. ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς. καὶ ἀπὸ τοῦ λγʹ. κανόνος, καὶ τοῦ νβʹ. κανόνος. φησὶ γὰρ τὴν ἀμελήσασαν τοῦ κυήματος, ὡς ἐπὶ φόνῳ κρίνεσθαι. ἀλλὰ μὴν ἡ κατὰ ἀμέλειαν ἀποβαλλομένη τὸ ἔμβρυον, ὡς φονεύτρια οὐ λογισθήσεται. λοιπὸν καλῶς ἡ φθείρασα τὸ ἔμβρυον αὐτῆς, οὐχ ὑπόκειται ἐπιτιμίοις φονέων ἑκουσίων.

ΖΩΝΑΡ. Λάθρα γυναῖκές τινες ἀνδράσι συμφθειρόμεναι, συλλαμβάνουσι· φόβῳ δὲ γονέων ἴσως ἢ δεσποτῶν, ἢ ἑτέρων τινῶν, ἐπιτηδεύουσι τὴν ἐμβρύων ἀποβολὴν, φαρμά- B κων τινῶν πόσεσιν, ἢ καὶ τρόποις ἑτέροις, καὶ φθείρουσι τὰ κυόμενα. τὰς οὖν τοῦτο ποιούσας, ὡς φόνον τολμησάσας, ἐπιτιμᾶσθαι ὁρίζει. ἐπεὶ δὲ τὰ ἀποβαλλόμενα· τὰ μὲν, ἔτι ἀμόρφωτα εἰσί· τὰ δὲ μεμορφωμένα, καὶ τοὺς χαρακτῆρας σώζοντα τῆς ἀνθρωπίνης μορφῆς· (τὸ γὰρ σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον, πρότερον μὲν ἐξαιματοῦται· εἶτα εἰς σάρκα πήγνυται ἀμόρφωτον· εἶτα, ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μόρια) οὐκ ἀκριβολογούμεθά φησιν, εἴτε ἀμόρφωτον ἀπεβλήθη τὸ ἔμβρυον, εἴτε διατετυπωμένον. οὐ γὰρ ἡ φθορὰ ἐκείνου μόνου ἐκδικεῖται· ἀλλὰ καὶ ἡ κατὰ τῆς ἐν γαστρὶ ἐχούσης ἐπιβουλή· ὡς ἐπὶ τὸ πολὺ γάρ C φησι, συναπόλλυνται καὶ αἱ γυναῖκες τοῖς ἐμβρύοις, ἐναποθνήσκουσαι τῇ τούτων ἀποβολῇ. διά τε γοῦν τὴν ἐπιβουλὴν ἑαυτῆς, διά τε τὴν τοῦ ἐμβρύου φθορὰν, τῷ τοῦ φονέως ἐπιτιμίῳ καταδικάζεται· οὐ μέχρι δὲ τῆς ἐξόδου ἔσται ὑπὸ τὸ ἐπιτίμιον, ἀλλὰ ἐν ἔτεσι δέκα· οὐ χρὴ δὲ χρόνῳ περιγράφειν τὴν μετάνοιαν, ἀλλὰ τρόπῳ· ὥστε εἰ μὲν καταφρονητικῶς διάκειται πρὸς τὴν μετάνοιαν ἡ ἁμαρτήσασα, οὐ μόνον ἡ δεκαετία πληρωθήσεται· ἀλλὰ καὶ ἐπιταθήσεται· εἰ δὲ σπουδαίως προσφέρεται πρὸς τὴν τῆς ἁμαρτίας διάθεσιν, καὶ ἡ δεκαετία κολοβωθήσεται· τὸ πέρας δὲ τῇ τοῦ οἰκονομοῦντος αὐτὸν ἀνατίθησι κρίσει. ἐν τῷ τέλει δὲ τοῦ ὀγδόου κανόνος, καὶ τὰς δι- D δούσας τὰ ἀμβλωθρίδια φάρμακα, τῷ τοῦ φόνου ἐπιτιμίῳ ὑπάγει. ἀκουσίου δὲ φόνου ἐνταῦθα χρόνους ὁρίζει τῷ κατὰ τῶν τοιούτων γυναικῶν ἐπιτιμίῳ. ἐν γὰρ τῷ νζʹ. κανόνι, οὕτως φησὶν, ὁ ἀκουσίως φονεύσας, ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων. ἀκριβολογία δὲ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν, ἔφη ὁ ἅγιος, διότι εἴρηται ἐν τῇ βίβλῳ τῆς Ἐξόδου ταῦτα· ἐὰν μάχωνται δύο ἄνδρες καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται καθόσον ἂν ἐπιβάλλῃ ὁ ἀνὴρ τῆς γυναικός. ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς. ὅτι γοῦν ὁ παλαιὸς νόμος ὅτε μὲν μὴ ἐξεικονισμέ- E νον ἤμβλωτο ἔμβρυον, εἰς χρήματα ἐζημίου, ὅτε δὲ ἦν ἐξεικονισμένον, εἰς ψυχὴν κατεδίκαζε θνήσκειν τὸν τὴν γυναῖκα πατάξαντα· τούτου τοῦ νόμου μνησθεὶς ὁ ἅγιος ἔφη, ὅτι ἡμεῖς οὐ διαφορὰν ἔχομεν, εἴτε ἐκμεμορφωμένα εἰσὶ τὰ ἀποβαλλόμενα, εἴτε ἀμόρφωτα. οὐ γὰρ χρήματα ζημιοῦμεν, ἀλλὰ φόνου κρίνομεν τὴν τοῦτο ποιήσασαν διά τε τὴν τοῦ ἐμβρύου φθορὰν καὶ διὰ τὴν τοῦτο ἀποβάλλουσαν, ἐπεὶ συμβαίνει πολλάκις τῷ ἐμβρύῳ συνδιαφθείρεσθαι καὶ αὐτήν.

ΑΡΙΣΤ. Κατ' ἐπιτήδευσιν φθείρασα, ὅτε ἂν φθείροι, φονεύτρια.

F Η ἐγκυμονοῦσα, ὁπόταν ἂν δέξηται φάρμακον, ἐπὶ τὸ ἀνελεῖν τὸ ἐγκυμονούμενον, φονεύτριά ἐστι. καὶ οὐκ ἀκριβολογοῦμεν, εἴ γε ἀνεξεικόνιστον ἦν τὸ ἔμβρυον, ἢ καὶ μεμορφωμένον· διότι ὡς ἐπὶ τὸ πολὺ συναποθνήσκουσι τῷ ἐμβρύῳ καὶ αἱ γυναῖκες· καὶ ὅσον κατὰ τὴν ἐπίνοιαν αὐτῶν δύο γίνονται φόνοι, εἷς μὲν, ὁ τῆς τικτούσης, ἕτερος δὲ ὁ τοῦ ἐμβρύου, ἐπὶ δέκα γοῦν ἔτεσιν αἱ τοιαῦται ἐπιτιμῶνται, δύο μὲν ἔτη προσκλαίουσαι, τρία δὲ ἔτη ἀκροωμένοις διατελοῦσαι· ἐν τέσσαρσιν ὑποπίπτουσαι· καὶ ἐν ἐνιαυτῷ συνιστάμεναι τοῖς πιστοῖς· καὶ οὕτω μετὰ τὸν δεκαετῆ χρόνον τῶν θείων ἁγιασμάτων μεθέξουσιν.

ΚΑΝΩΝ

ΚΑΝΩΝ γʹ.

Διάκονος μετὰ τὴν διακονίαν πορνεύσας, ἀπόβλητος μὲν τῆς διακονίας ἔσται· εἰς δὲ τὸν τῶν λαϊκῶν ἀπωσθεὶς τόπον, τῆς κοινωνίας οὐκ εἰρχθήσεται· διότι ἀρχαῖός ἐστι κανὼν, τοὺς ἀπὸ βαθμοῦ πεπτωκότας, τούτῳ μόνῳ τῷ τρόπῳ τῆς κολάσεως ὑποβάλλεσθαι· ἀκολουθησάντων, ὡς οἶμαι, τῶν ἐξ ἀρχῆς τῷ νόμῳ ἐκείνῳ τῷ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. καὶ δι' ἑτέραν δὲ αἰτίαν ὅτι οἱ μὲν ἐν τῷ λαϊκῷ ὄντες τάγματι, ἐκβεβλημένοι τοῦ τόπου τῶν πιστῶν, πάλιν εἰς τὸν ἀφ' οὗ ἐξέπεσον τόπον ἀναλαμβάνονται. ὁ δὲ διάκονος ἅπαξ ἔχει διαρκῆ τὴν δίκην τῆς καθαιρέσεως. ὡς οὖν οὐκ ἀποδιδομένης αὐτῷ τῆς διακονίας, ἐπὶ ταύτης ἔστησαν μόνης τῆς ἐκδικήσεως. ταῦτα μὲν οὖν τὰ ἐκ τῶν τύπων· καθόλου δὲ ἀληθέστερόν ἐστιν ἴαμα ἡ τῆς ἁμαρτίας ἀναχώρησις· ὥστε ὁ διὰ σαρκὸς ἡδονὴν ἀθετήσας τὴν χάριν, διὰ τοῦ συντριμμοῦ τῆς σαρκὸς, καὶ πάσης δουλαγωγίας τῆς κατ' ἐγκράτειαν, ἀποστὰς τῶν ἡδονῶν, ὑφ' ὧν καθεστράφη, τελείαν ἡμῖν παρέξει τῆς ἰατρεύσεως αὐτοῦ τὴν ἀπόδειξιν. ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς δεῖ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας. ἕπεσθαι δὲ ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα τῷ παραδοθέντι τύπῳ.

ΒΑΛΣ. Ὁ μὲν κεʹ. ἀποστολικὸς κανὼν, καὶ ὁ παρὼν κανὼν, περὶ Ἐπισκόπου καὶ διακόνου φασίν· ὁ δὲ λβʹ. κανὼν τοῦ ἁγίου Βασιλείου διορίζεται, πάντα ἱερωμένον, κἂν τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμάρτῃ, καθαιρεῖσθαι μόνον· οὐ μὴν καὶ ἀπὸ τῆς κοινωνίας τῶν πιστῶν, ἤγουν ἀπὸ τοῦ ἐκκλησιάζεσθαι χωρίζεσθαι. ἐνταῦθα δὲ φησὶν ὁ ἅγιος καὶ αἰτίας τούτου δύο· μίαν μὲν, τὸ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τῷ αὐτῷ· ἑτέραν δὲ, τὸ, τοὺς λαϊκοὺς ἐκπίπτοντας διὰ ἁμαρτήματα τῆς τῶν πιστῶν συστάσεως, πάλιν διὰ μετανοίας ἀποκαθίστασθαι εἰς τὸν τόπον ὅθεν ἐξέπεσον· τοὺς ἱερωμένους δὲ μηκέτι ἐπανέρχεσθαι εἰς τὴν ἱερωσύνην, ἧς ἐκπεπτώκασιν. ὡς οὖν ἀρκοῦσαν ἔχοντες τιμωρίαν ὑπὲρ τῆς ἁμαρτίας αὐτῶν, τὴν καθαίρεσιν, τῆς κοινωνίας οὐκ εἴργονται. ἀλλὰ ταῦτα, φησὶ, τῶν τύπων ἢ τῶν κανονικῶν διαταγμάτων. ἡ δὲ ἀληθὴς ἰατρεία τῆς ἁμαρτίας ἐστὶν ἡ ἐξ αὐτῆς ἀναχώρησις. κἂν γὰρ ὁ πορνεύσας καθαιρεθῇ, οὐκ ἐπιτιμᾶσθαι δοκεῖ ἐνδεχομένως, ὥστε καὶ τὴν ἀπὸ τοῦ Θεοῦ λαβεῖν συμπάθειαν, ἐὰν καὶ ἔτι ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, καὶ οὐδὲ δι' ἑτέρας συντριβῆς ἐξιλεοῦται τὸν Θεόν. ὥστε ὀφείλει ὁ ἰατρὸς τοῖς ψυχικοῖς αὐτοῦ τραύμασιν εἰδέναι μὲν καὶ τὴν ἀκρίβειαν· ἤγουν τὴν διὰ τῆς καθαιρέσεως κόλασιν τοῦ πορνεύοντος κληρικοῦ· μὴ ἀκολουθεῖν δὲ ταύτῃ ἐξ ἀνάγκης, καὶ τὸν μετὰ τὴν καθαίρεσιν πορνεύοντα ἀνεπιτίμητον καταλιμπάνειν, ὡς ἤδη κολασθέντα διὰ τῆς καθαιρέσεως, ἀλλὰ καὶ ἀφορίζειν ὡς εἰς τόπον ἐλθόντα λαϊκοῦ, καὶ ἄλλως ἐπιτιμᾶν κατὰ τὴν δύναμιν τοῦ ἰατρευομένου. ἀνάγνωσον καὶ τὸν νθʹ. κανόνα τῆς παρούσης ἐπιστολῆς, ἐν ἑπτὰ ἔτεσι τὸν πορνεύοντα κολάζοντα.

ΖΩΝΑΡ. Τοὺς διακόνους πορνεύσαντας, τῆς μὲν διακονίας, ἐκβάλλεσθαι λέγει· τῆς κοινωνίας δὲ μὴ κωλύεσθαι· καὶ τὰς αἰτίας ἐπάγει. μίαν μὲν, ἣν καὶ ὁ κεʹ. ἀποστολικὸς κανὼν λέγει· τὸ, οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· ἑτέραν δὲ τὸ τοὺς λαϊκοὺς ἐκπίπτοντας διὰ ἁμαρτήματα τῆς τῶν πιστῶν συστάσεως, πάλιν διὰ μετανοίας ἀποκαθίστασθαι εἰς τὸν τόπον ὅθεν ἐξέπεσον. τοὺς δὲ ἱερωμένους, μηκέτι ἐπανέρχεσθαι εἰς τὴν ἱερωσύνην ἧς ἐκπεπτώκασιν. ὡς οὖν ἀρκοῦσαν ἔχοντες τιμωρίαν ὑπὲρ τῆς ἁμαρτίας αὐτῶν τὴν καθαίρεσιν, τῆς κοινωνίας οὐκ εἴργονται. ἀλλὰ ταῦτα, φησὶ, τὰ τῶν τύπων· ἤγουν, ἃ ἐξ ἔθους μακροῦ ἐτυπώθησαν. καθόλου δὲ ἴαμα τοῦ σφάλματος λέγει, τὴν τῆς ἁμαρτίας ἀναχώρησιν· καὶ τὸ δι' ἐγκρατείας καὶ κακοπαθείας, δουλαγωγῆσαι τὴν σάρκα· τουτέστιν, ὑποτάξαι, δουλῶσαι. δεῖ δὲ τοὺς ψυχῶν οἰκονόμους ἀμφότερα εἰδέναι, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· καὶ εἰ μὲν οἱ ἁμαρτήσαντες καταδέχοιντο τὰ τῆς ἀκριβείας, κατ' ἐκείνην οἰκονομεῖσθαι αὐτούς· εἰ δὲ σκληρύνονται πρὸς τὴν ἀκρότητα, ἤτοι πρὸς τὴν ἄκραν ἀκρίβειαν, ἕπεσθαι τότε τῷ παραδοθέντι τύπῳ, τῇ συνηθείᾳ δηλονότι.

CANON III.

Diaconus poſt diaconatum fornicatus, à diaconatu quidem ejicietur; in laicorum autem locum extruſus, à communione non arcebitur: quoniam antiquus eſt canon, ut qui à gradu exciderunt, huic ſoli punitionis generi ſubjiciantur: antiquis, ut exiſtimo, legem illam ſecutis, Non vindicabis bis in idipſum: & etiam propter aliam cauſam; quòd qui ſunt quidem in ordine laico, à loco fidelium ejecti, rurſus in eum, ex quo ceciderunt, locum recipiuntur. Diaconus verò ſemel habet, quod ſufficiat, depoſitionis judicium. Quandoquidem ergo non reddendus ei ſit diaconatus, in ea ſola punitione ſteterunt. Hæc quidem ſunt quæ ex conſtitutionibus habentur. In ſumma autem verior medicina eſt receſſus à peccato. Quare qui propter carnis voluptatem gratiam vilipendit, per carnis afflictionem, & omnigenam ex temperantiæ præſcripto ſervitutem à voluptatibus recedens, à quibus fuit oppugnatus, perfectam ſuæ curationis demonſtrationem nobis exhibebit. Nos ergo utrumq; ſciri oportet, & quæ ſunt ſummi juris, & quæ ſunt conſuetudinis: ſequi autem in iis, quæ ſummum jus non admittunt, formam traditam.

Bals. Viceſimus quidem quintus canon apoſtolicus, & præſens, de Epiſcopo & Diacono dicunt: ſed xxxij. Canon ſancti Baſilii decernit quemvis ſacris ordinibus initiatum ſi peccatum ad mortem peccaverit, deponendum tantum eſſe: non tamen à fidelium etiam communione, ne ſcilicet in eccleſia congregetur, ſeparari. Hîc autem dicit ſanctus duas ejus rei cauſas: unam quidem illud, Non vindicabis bis in idipſum: alteram verò, quòd laici quidem, propter ſua peccata à fidelium congregatione excidentes, per pœnitentiam rurſus in priſtinum locum reſtituantur: ſacris ordinibus autem initiati non ampliùs revertuntur ad ſacerdotium, à quo exciderunt. Tanquam ergo ſufficiens habentes pro peccato ſuo ſupplicium depoſitionem, à communione non arcentur. Sed ſunt hæc inquit, typorum ſive canonicarum conſtitutionum. Eſt autem vera peccati medicina ab ipſo receſſus. Etſi enim, qui fornicatus eſt, depoſitus fuerit, non tantùm punitus eſſe videtur, ut etiam miſericordiam à Deo conſequatur, ſi adhuc in peccato perſeveraverit, nec Deum alia contritione placaverit. Quare debet animalium hujus vulnerum medicus ſcire quidem & ſummum jus, ſcilicet punitionem Clerici, qui fornicatus eſt, per depoſitionem: eam tamen non neceſſariò ſequi, ut eum etiam, qui poſt depoſitionem fornicatur, impunitum relinquat, ut jam per depoſitionem punitum; ſed ut etiam eum ſegreget, qui laici locum ſubiit, & aliter eum puniat, pro ejus facultate cui medicina præbetur. Lege & lix. canonem hujus epiſtolæ, qui fornicatorem ſeptem annis punit.

Zonar. Diaconos, qui fornicati ſunt, diaconatu quidem dejiciendos, non tamen à communione arcendos eſſe aſſerit: cauſaſq; ſubjungit; Alteram quidem, quæ Apoſtolico vigeſimo quinto canone continetur, Non vindicabis bis in idipſum: alteram verò, quòd laici ob crimina à fidelium conſortio ejecti, rurſus in locum, unde exciderunt, per pœnitentiam reſtituantur; ſacris autem initiati in ſacrum ordinem, ex quo dejecti ſunt, non amplius admittantur. Tanquam igitur ob irrogatam depoſitionem ſatis ſupplicii pro ratione admiſſi criminis luant, à communione haud prohibentur. Sed hæc, inquit, in conſtitutionibus reperiuntur, hoc eſt, longi temporis conſuetudine definita ſunt. Uniuerſe vero peccati medicinam ait eſſe à peccato recedere, ac per temperantiam corporiſq; afflictiones carnem redigere in ſervitutem, hoc eſt, coercere ac edomare. Oportet porro animatum curarores utraq; noſſe, & quæ ſummi juris ſunt, & quæ conſuetudinis: ac ſi quidem qui peccaverunt, ea quæ ſunt exacti juris admittant, ex ejus præſcripto cum ipſis agere; ſin autem adverſus perfectam rationem ſummum videlicet jus obluctentur, tunc formam traditam, conſuetudinem ſcilicet, ſequi.

ARIST. *Diaconus qui fornicatus eſt, & ad Laicorum locum detruſus, à communione ne prohibeatur.*

Depoſitio Diaconorum ſufficiens eſt judicium, quoniam non ſperat locum, unde cecidit, iterum recipere, & ideo non inferatur ei ſecunda mulcta. Sed ſine prohibitione, Divinâ communione dignus habebitur.

CANON IV.

De trigamis & polygamis eundem Canonem ſervatâ proportione, quem in digamis, definivimus, Annum enim in digamis, alii verò duos annos. Trigamos autem tribus & ſæpe quatuor annis ſegregant. Id autem non ampliùs conjugium, ſed polygamiam appellant, vel potiùs caſtigatam fornicationem. Et ideo dominus Samaritanæ, quæ quinque maritos jam habuerat: Quem nunc, inquit, habes, non eſt maritus; nempe quòd digni non ſint, qui à digamiæ menſura exciderunt, ut vel mariti vel uxoris nomine appellentur. Conſuetudine autem accepimus in Trigamis quinquennii ſegregationem, non à Canone, ſed ab eorum, qui præceſſerunt, conſequentia. Oportet autem non eos omnino arcere ab Eccleſia, ſed dignari auditione duobus vel tribus annis: & poſtea permitti quidem conſiſtere (ſeu in fidelium eſſe congregatione) à boni tamen communione abſtinere, & ſic poſtquam pœnitentiæ fructum ullum oſtenderint, communionis loco reſtituere.

BALS. Poſtquam dixiſſet hic magnus pater antiquos patres ne conjugium quidem nominaſſe trigamiam, ſed polygamiam, vel potiùs caſtigatam fornicationem, ſeu non effuſam & paſſim ſine ullo diſcrimine pervadentem, ſed contractam, & in una muliere circumſcriptam: & ſcripturæ dictis probaſſet, trigamiam non eſſe matrimonium, ſubjunxit, eam quoque inſtar digamiæ, proportione utriuſque habita, puniri, ut ex hoc loco appareat, trigamiam, ſicut & digamiam, non ſeparari, ſed puniri. Sed digamiam quidem duobus annis: trigamiam verò quinque; ſtare autem in loco audientium tribus annis, & poſtea cum fidelibus conſiſtere ad quinquennium uſque trigamos, & ab eo tempore oſtenſis fructibus pœnitentia dignis in communionis locum reſtituere. Atque hæc quidem ſanctus. Unionis verò tomus, qui factus eſt ſub Conſtantino Porphyrogenneta & Romano, Conſtantino quidem imperante, ſocero autem ejus Romano patris imperatoris auctoritatem ac dignitatem obtinente, anno 6428. indictione viii. & qui ſingulis annis legitur in ſuggeſtu, menſe Julio, hæc dicit circa finem, Deinceps autem communi ſententia ac judicio pronunciamus, ex præſenti anno, qui eſt, 6428. indict. viii. neminem oportere ſe quarto matrimonio jungere ſed eſſe omnino rejiciendum: & ſi quis ad ejuſmodi connubium venire voluerit, eum eſſe omni eccleſiaſtica congregatione privatum, & ab ipſo in ſanctum templum ingreſſu alienum, donec in conjugio permanſerit. Hoc enim etiam ſanctis patribus, qui nos præceſſerunt, viſum eſt. Nos verò etiam ſententiam apertiorem reddentes, ipſum, ut à Chriſtiana republica alienum, abdicamus. Ac ſic quidem de quarto matrimonio. Ut autem, quæ ad alia quoque matrimonia pertinent, decentiùs conſtituantur, & Chriſtiana vita non indignam inſtitutionem habeant, de tertio quoque matrimonio definimus, ut non abſolutè, neque temere perficiatur. Etenim à patribus quidem, ut ſordes, permiſſum eſt, non tunc temporis quidem, ſicut nunc, re citra ullam ruborem impudenter peracta, & indiſcriminatim contracta: ſed quemadmodum ſi quis qui in domo in angulum incidit, multas ſæpè ſordes ſitas viderit, nunc autem quando libertatem accepit, & perinde ac ſi nihil habeat dedecoris

A **ΑΡΙΣΤ.** *Διάκονος πορνεύσας, καὶ εἰς τὸν τῶν λαϊκῶν μεταστὰς τόπον, ἔσται τῆς κοινωνίας ἀκώλυτος.*

Ἀρκοῦσα καταδίκη τῶν διακόνων ἐστὶν ἡ καθαίρεσις· ὅτι περ οὐκ ἐλπίζει τὸν τόπον ἐπαναλαβεῖν πάλιν, ἀφ' οὗ περ ἐξέπεσε. καὶ διὰ τοῦτο οὐκ ἐπενεχθήσεται τούτῳ καὶ καταδίκη δευτέρα· ἀλλ' ἀκωλύτως τῆς θείας ἀξιωθήσεται κοινωνίας.

ΚΑΝΩΝ δʹ.

Περὶ τριγάμων καὶ πολυγάμων τὸν αὐτὸν ὡρισάμεθα κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως. ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων· ἄλλοι δὲ δύο ἔτη. τοὺς δὲ τριγάμους ἐν τρισὶ B καὶ τετράσι πολλάκις ἔτεσιν ἀφορίζουσιν. ὀνομάζουσι δὲ τὸ τοιοῦτον οὐκ ἔτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην. διὸ καὶ ὁ κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειβάσῃ· ὃν νῦν, φησὶν, ἔχεις οὐκ ἔστι σου ἀνήρ. ὡς οὐκέτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας τῇ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικὸς, καλεῖσθαι προσρήματι. συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων πενταετίας ἀφορισμόν· οὐκ ἀπὸ κανόνων, ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκολουθίας. δεῖ δὲ μὴ πάντῃ αὐτοὺς ἀπείργειν τῆς ἐκκλησίας· ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύο που ἔτεσιν ἢ τρισί. καὶ μετὰ ταῦτα C ἐπιτρέπειν συστήκειν μὲν, τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπέχεσθαι, καὶ οὕτως ἐπιδειξαμένους καρπόν τινα μετανοίας ἀποκαθιστᾷν τῷ τόπῳ τῆς κοινωνίας.

ΒΑΛΣ. Ο μὲν μέγας οὗτος πατὴρ εἰπὼν τοὺς ἀρχαίους πατέρας μηδὲ γάμον ὀνομάσαι τὴν τριγαμίαν, ἀλλὰ πολυγαμίαν, ἢ μᾶλλον πορνείαν κεκολασμένην, ἤγουν οὐκ ἐκκεχυμένην καὶ ἀδιάφορον, ἀλλὰ συνεσταλμένην καὶ περιγραφομένην ἐν μιᾷ γυναικί· καὶ ἀπὸ γραφικῶν ῥημάτων κατασκευάσας, μὴ εἶναι γάμον τὴν τριγαμίαν, ἐπήγαγε, καὶ ταύ- D την ἐπιτιμᾶσθαι ἀναλόγως τῇ διγαμίᾳ· ὡς ἐντεῦθεν ἀναφαίνεσθαι καὶ τὴν τριγαμίαν ἐπίσης τῇ διγαμίᾳ μὴ διασπᾶσθαι, ἀλλὰ ἐπιτιμᾶσθαι. πλὴν μὲν τὴν διγαμίαν διὰ δύο ἐτῶν, τὴν δὲ τριγαμίαν, διὰ πέντε. ἵστασθαι δὲ εἰς τὸν τόπον τῶν ἀκροωμένων ἐν ἔτεσι τρισὶ, καὶ μετὰ ταῦτα συνίστασθαι τοῖς πιστοῖς μέχρις ὅλης πενταετίας τοὺς τριγάμους. καὶ ἔκτοτε καρποὺς ἀξίους ἐπιδειξαμένους τῆς μετανοίας, ἀποκαθιστᾷν εἰς τὸν τόπον τῆς κοινωνίας, καὶ ὁ μὲν ἅγιος ταῦτα. ὁ δὲ τόμος τῆς ἑνώσεως, ὁ γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ Ῥωμανοῦ· τοῦ μὲν Κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ Ῥωμανοῦ, τῷ τοῦ βασιλέως πατρὶ ἐμπρέποντος ἀξιώματι ἐν ἔ- E τει ϛυκή. ἰνδικτιῶνι ή. καὶ ἀναγινωσκόμενος ἐτησίως ἐπ' ἄμβωνος κατὰ τὸν Ἰούλιον μῆνα, τάδε περὶ τὸ τέλος φησὶ, καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει ἀπό γε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἔτος ϛυκή. ἰνδικτιῶνι ή. τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς· καὶ τὸν εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθῇ, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμείνῃ τῷ συνοικεσίῳ. τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι. καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς Χριστιανικῆς πολι- F τείας ἀποκηρύττομεν. ἀλλ' οὕτω μὲν ἐπὶ τοῦ τετάρτου γάμου· ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγὴν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μηδὲ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἐπιτελεῖσθαι αὐτό. καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε καθὼς νῦν, γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδὲ εἰς πλάτος ἐξηπλωμένου· ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ περιπεπτωκὼς ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ ὅταν χώραν ἔλαβε παρρησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ

ῥυπαίνων λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτόν· ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ περιῤῥιμμένον, ἀλλ' ἐπὶ τῆς οἰκίας ἐκπεπλωμένον οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν· καὶ τῇ ἀνθρωπίνῃ συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ Χριστιανικῇ ζωῇ, τοῦτο ἐπὶ τῶν τρίτων γάμων παραφυλάττεσθαι διορίζομεν· ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιρρίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως· καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι ἢ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν, ὡς δυνατὸν, ἀνακάθαρσιν. ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα περῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἀγαγέσθαι προῃρημένοις γυναῖκα· ἐπεὶ ἐὰν τέκνα περῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. λίαν γάρ ἐστι ἄδικον, τὸ μὲν χαρίζεσθαι τῇ ἀώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσα τὸ ἀνθρώπινον καταλαμβάνει ἐκ τῆς πολυσπόρου τεκνώσεως. καὶ εἴ τις δὲ τριακονταετὴς ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται. διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλον εἶναι σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνου ἀξιωθήσεται τῆς ἀπολαύσεως, ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, διά τε τὴν ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. εἰ δὲ παῖδες μὴ περίεισιν, ἐπειδὴ τὸ τεκνογονίαν ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα, συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. ταῦτα μὲν καὶ περὶ τρίτου γάμου. οὐ μὴν οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως, καὶ καθαρευόντως τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθῃ, τοῦτον ἡ τοῦ Χριστοῦ ἐκκλησία ἡ καθαρὰ καὶ μηδένα σπίλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν παραδέξεται τῶν θείων μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον μάθοι ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι· εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας, πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου μέχρι συμπληρώσεως τοῦ ἑβδόμου ἔτους. ἀλλὰ ταῦτα μὲν ὡς δεδήλωται ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν· νῦν δὲ τῇ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος εὐδοκίᾳ, καὶ

A nec contaminator ex eo, quòd ad multiplicationem procedit, reputatur, rectè viſum eſt eam repurgare: quemadmodum & turpitudinem non in angulum conjectam, ſed in ædibus diffuſam, nullo modo permittimus, ſed repurgamus, & quod moleſtum eſt & indecorum ab eo rejicimus; & humanæ cedentes infirmitati, honeſtatis autem Chriſtianæ vitæ convenientis curam gerentes, hoc in tertiis nuptiis ſervandum ſtatuimus. Ut ſi quis, qui annum quadrageſimum exceſſerit, & nec naturam reveritus, nec honeſtæ vitæ, quæ à Chriſtianis debetur, ulllam curam gerens, ſed ſola libidinis perturbatione victus, ſe in tertium matrimonium projecerit, is cum omni diligentia & obſervatione ſit uſq; ad quinquennium B ſacramenti communionis minimè particeps, & nec hoc tempus illi contrahatur. Qui enim poſt annum quadrageſimum ſordem in Chriſti Eccleſia eſſe vel dici amavit, quod melioris vitæ argumentum præbebit, propter quod tempus ſacramentorum participationis ei contrahatur? Sed & poſtquam impolluta participatione dignus habitus fuerit, non erit ei permiſſum in alio tempore ad participationem accedere, quàm in ſola ſalutari Chriſti & Domini noſtri reſurrectione, propter repurgationem, ut poſſibile eſt, ex præcedente jejuniorum abſtinentia. Hæc autem dicimus, quando ex prioribus matrimo- C niis non fuerint liberi iis, qui poſt annum quadrageſimum tertiam uxorem ducere voluerint: nam ſi liberos habuerint, eis nullo modo tertium permittitur matrimonium. Eſt enim valde iniquum intempeſtivæ libidini indulgere, priorum autem matrimoniorum liberis non proſpicere, ut ſint ſecuri, & à moleſtia, & perturbatione remoti,& à reliquis, quæ ſolent evenire hominibus ex filiorum multorum ſuſceptione. Quòd ſi quis triginta annos natus,& ex prioribus matrimoniis habens liberos, tertiæ mulieri conjunctus fuerit, is quoq; nulla ei venia data, ad quartum uſque annum communionis ſacramentorum ſit expers, quia manifeſtum eſt eum ſola intemperantia D motum, & quòd ſit carnalis libidinis ſervus, ad hoc ſe matrimonium conferre: & poſtquam etiam ſacramentorum participationem aſſecutus eſt, ter tantum in anno fruitione dignus habebitur; ſemel quidem in ſalutari Chriſti & Domini noſtri reſurrectione; ſecundo autem in dormitione immaculatæ dominæ noſtræ deiparæ: & tertiò in natali Chriſti & Dei noſtri, quod in his præcedat jejunium, & ejus utilitas: ſin autem non ſuperſint liberi, quia liberorum ſuſceptionem deſiderare, non eſt indignum venia; tunc tale matrimonium veniâ dignum judicabitur, & ſola ea pœna, quæ ab initio & hucuſque ſervata eſt, ſanabitur. Hæc etiam de tertio matrimonio. E Atque nec ſecundum, nec primum abſque cautione datâ relinquimus, ſed & illa ſic contrahi ſtatuimus, ut nullam malam cauſam habeant, vel ex raptu, vel ex præcedente clandeſtino concubitu; ſed legitimè, & ab iis, qui ab ejuſmodi inquinamentis & fornicatoria impuritate mundi ſunt. Si quis ergo, prædictis conſtitutionibus neglectis, ad matrimonii conſuetudinem primam vel ſecundam proceſſerit, eum Chriſti Eccleſia, quæ eſt pura, immaculata, & ſine ruga, ſalutaribus examinationibus ſubjicit, nec prius ad divinorum myſteriorum participationem admittet, quàm tempus in fornicatione definitum ipſum diligenter expleviſſe didicerit (niſi forte F neceſſarius è vita exceſſus urgeat) donec ſcilicet ſeptimus annus completus fuerit. Sacerdos autem, qui auſus fuerit, præter id quod ſtatutum eſt, divina participatione aliquem ejuſmodi dignari, de proprio gradu in periculum veniet; eo videlicet, qui præter formam communione dignus eſt habitus, ad excommunicationem iterum redacto, uſque ad ſeptimi anni complementum. Sed hæc quidem ut oſtenſum eſt, ab iis qui olim imperavere, facta ſunt. Nunc autem Patris & Filii & ſancti Spiritus beneplacito & gratia, & puriſſimis Deique ma-

tris, & magni cœlestis militiæ principis intercessionibus, eos qui nonaginta antè annis pro causa & occasione priùs ostensa abrupti erant sacerdotes, & monachos, egregium à Deo coronatorum imperatorum nostrorum, Romani & Constantini imperium, conjunxit & uniit, unámque fecit catholicam & apostolicam ecclesiam: unde meritò sunt prædicandi & laudandi, qui tam pium opus & tam dignum compleverint. Cùm Canon & novella hæc statuerint, ecclesia hucusque nostris temporibus tertium matrimonium fieri non permisit.

A καὶ χάριτι, καὶ ταῖς τῆς ὑπεραγίου καὶ θεομήτορος, καὶ τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείαις, τοὺς ἤδη περὶ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας, ἡ παγκαλὴ βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Ῥωμανοῦ καὶ Κωνσταντίνου συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰργάσατο, ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας. ταῦτα δὲ τοῦ κανόνος καὶ τῆς νεαρᾶς νομοθετησάντων, ἡ ἐκκλησία τέως ἐπὶ τῶν ἡμερῶν τῶν ἡμετέρων τρίτου γάμου ποίησιν οὐκ ἐπέτρεψε.

Zonar. Trigamiam magnus hic Pater ab antiquis Patribus conjugii nomine minimè appellatam fuisse asserit, sed illam dixisse polygamiam, potiùs fornicationem castigatam, hoc est, non effusam, & promiscuam, sed contractam, & in unâ tantummodo circumscriptam muliere. Quem ergo Canonem de digamis promulgavit, hunc in trigamia quoque proportione servari jubet; Proportione autem, id est, quia in digamia annus præscriptus est ad pœnitentiam; aliis vero biennium: porrò in trigamia, quoniam ipsamet culpa sit gravior, proportione quoque respondens statuitur pœna, quinquennalis videlicet segregatio. Qui námque digamiæ terminos supergressi sunt, negat amplius ab iis, cum quibus commiscentur, mulieribus viros dici oportere, nec mulieres ab ejusmodi hominibus uxorem nomine appellari: Atque ex Evangelio testimonium adducit, dicente Christo ad Samaritidem, Quoniam quem habes non es tuus vir; quinque enim habuisti. Nam etsi priùs dixerat sanctus, tribus aut quatuor annis trigamos esse segregandos, non tamen in illo decreto perstitit: verùm mulctæ tempus ad quinquennium ipsemet extendit, statuens nequaquam hujusmodi ab Ecclesiis expellendos, ita ut non in loco flentium consistant; sed in loco audientium duobus aut tribus annis, eòque elapso tempore permittendum ipsis, ut cum fidelibus consistant, à communione autem abstineant. Atque hoc pacto, si fructum pœnitentiæ ostenderint, nempe contritionem cordis, & lacrymas, & siquid hisce adjungi solet, ita demum ad communionem admittantur.

B **ΖΩΝΑΡ.** Τὴν τριγαμίαν ὁ μέγας οὗτος πατὴρ τοὺς ἀρχαίους πατέρας μὴ γάμον ὀνομάσαι φησὶν, ἀλλὰ πολυγαμίαν, ἢ μᾶλλον, πορνείαν κεκολασμένην. ἤγουν οὐκ ἐκκεχυμένην καὶ ἀδιάφορον, ἀλλὰ συνεσταλμένην καὶ περιγεγραμμένην μιᾷ γυναικί. ὃν γοῦν ὥρισεν κανόνα ἐπὶ τῶν διγάμων, τοῦτον λέγει ἀναλόγως ὁρίσαι καὶ ἐπὶ τῆς τριγαμίας· τὸ δὲ ἀναλόγως, τοῦτό ἐστιν· ὅτι ἐπὶ τῆς διγαμίας, ἐνιαυτὸς ὡρίσθη εἰς μετάνοιαν· ἑτέροις δὲ διετία. ἐπὶ δὲ τῆς τριγαμίας, ἐπεὶ μείζων ἐστὶν ἡ αἰτία αὕτη, ἀνάλογον καὶ τὸ ἐπιτίμιον ὡρίσθαι· ἤγουν ἐπὶ πενταετίαν ἀφορισμός. C τοὺς γὰρ ὑπερβάντας τὴν διγαμίαν, μὴ δεῖν ὀνομάζεσθαί φησι, παρὰ τῶν γυναικῶν, αἷς συμφθείρονται, ἄνδρας· μήτε τὰς γυναῖκας λέγεσθαι, παρὰ τῶν τοιούτων ἀνδρῶν, γυναῖκας ἑαυτῶν· καὶ ἐκ τοῦ εὐαγγελίου μαρτυρίαν ἐπάγει, εἰπόντος τοῦ Χριστοῦ πρὸς τὴν Σαμαρείτιδα, ὅτι ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· πέντε γὰρ ἔσχες. εἰ δὲ καὶ ἔφθη εἰπεῖν ὁ ἅγιος, ὅτι ἐν τρισὶ καὶ τέσσαρσιν ἔτεσιν ἀφορίζεσθαι τοὺς τριγάμους, ἀλλ' οὐκ ἐνέμεινε τῷ τύπῳ ἐκείνῳ· ἐπέτεινε δὲ αὐτὸς τὸν χρόνον τοῦ ἐπιτιμίου μέχρι πενταετίας· διαταξάμενος μὴ ἐξωθεῖσθαι τοὺς τοιούτους τῆς ἐκκλησίας· ὥστε οὐκ εἰς τόπον προσκλαίοντος ἵστασθαι, ἀλλ' εἰς τόπον ἀκροωμένων ἐν ἔτεσι δυσὶν ἢ τρισί· D μετὰ δὲ τὸν εἰρημένον χρόνον, ἐπιτρέπειν αὐτοῖς τὴν μετὰ τῶν πιστῶν σύστασιν· τῆς δὲ κοινωνίας ἀπέχεσθαι. καὶ οὕτως καρπὸν ἐπιδειξαμένους μετανοίας· ἤγουν συντριβὴν καρδίας, καὶ δάκρυα, καὶ εἴ τι τούτοις ἑπόμενον, οὕτως δέχεσθαι αὐτοὺς εἰς κοινωνίαν.

Arist. *Bigamus unum vel duos annos excommunicatur, Tres vero & quatuor Trigamus, atque etiam quinque juxta consuetudinem, quæ jam obtinet.*

Non à Canone, sed à consuetudine accipiens Magnus Basilius, trigamos quinquennio segregatos esse, & ipse illud admittit. Sed mandat, eos ab ecclesiâ non omnino extrudere, & cum deflentibus collocare, sed duobus vel etiam tribus annis divinarum scripturarum auditione eos dignari. Deinde eis permittit cum fidelibus consistere, & in precibus solis communicare. A boni autem communione abstinere, & sic fructum aliquem pœnitentiæ stendentes, ad locum eorum, qui corporis & sanguinis Dominici sunt participes, restitui.

Arist. Ενα χρόνον ἢ δύο ἀφορίζεται ὁ δίγαμος· τρεῖς δὲ, καὶ τέσσαρας, ὁ τρίγαμος· καὶ πέντε, κατὰ τὴν ἄρτι συνήθειαν.

Ουκ ἀπὸ κανόνος, ἀλλὰ ἀπὸ συνηθείας καταλαβὼν ὁ μέγας E Βασίλειος, τοὺς τριγάμους ἐπὶ πενταετίαν ἀφοριζομένους, δέχεται τοῦτο καὶ αὐτός· πλὴν προστάττει, μὴ παντελῶς αὐτοὺς ἐξωθεῖν τῆς ἐκκλησίας, καὶ μετὰ τῶν προσκλαιόντων συντάττειν· ἀλλ' ἐν δυσὶν ἔτεσιν, ἢ καὶ τρισὶ, τῆς τῶν θείων γραφῶν ἀκροάσεως ἀξιοῦν. εἶτα ἐπιτρέπει συστήκειν αὐτοὺς μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν μόνων συγκοινωνεῖν αὐτοῖς· τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπέχεσθαι· καὶ οὕτως καρπόν τινα μετανοίας ἐπιδειξαμένους, εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος ἀποκαθίστασθαι.

Canon V.

Hæreticos, qui in excessu è vita pœnitentiam agunt, recipere oportet; recipere autem, non sine judicio, sed examinantes an veram pœnitentiam ostendant, & si fructus habeant, qui salutis studium testificentur.

ΚΑΝΩΝ ε.

F Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή. δέχεσθαι δὲ, δηλονότι οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

Bals. Præsens quidem Canon statuit hæreticos, qui in fine vitæ fuerint, & pœnitentiam petiverint, admitti, priùs examinatos, an verè agant pœnitentiam; scilicet, an à suis dogmatis desciscant, & fructus pœnitentiæ ostendant. Alii autem Canones, etiam hæreticos,

ΒΑΛΣ. Ο μὲν παρὼν κανὼν διορίζεται τοὺς αἱρετικοὺς ἐν τέλει γινομένους τοῦ βίου, καὶ ζητοῦντας μετάνοιαν, δέχεσθαι, ἐξεταζομένους πρότερον, εἰ ἀληθῶς μετανοοῦσιν. ἤγουν, εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας· ἕτεροι δὲ κανόνες, καὶ τοὺς ἐν ὑγείᾳ ὄντας, αἱρετικοὺς προσερχομένους, καὶ ἐξεταζομένους, ὁμοίως δέχεσθαι παρακελεύονται.

ΖΩΝΑΡ. Ἀμφέβαλλόν τινες εἰ χρὴ τοὺς αἱρετικοὺς ἐν τέλει λεγομένους τοῦ βίου καὶ ζητοῦντας μετάνοιαν δέχεσθαι. πρὸς ὅπερ ὁ ἅγιος ἀπεκρίθη δεῖν αὐτοὺς δέχεσθαι, οὐχ ὡς ἔτυχε δέ· ἀλλὰ ἐξετάζοντας, εἰ ἀληθῶς μετανοοῦσιν· ἤγουν, εἰ ἀφίστανται τῶν οἰκείων δογμάτων, καὶ ἐπιδείκνυνται καρποὺς μετανοίας.

ΑΡΙΣΤ. Αἱρετικὸς τῷ τέλει μετανοῶν, δεκτέος, μετ' ἐπικρίσεως.

Τὸν ἐν τῷ τέλει τοῦ βίου ἐλθόντα αἱρετικὸν, καὶ μετανοοῦντα, οὐκ ἀκρίτως καὶ ἀβασανίστως δέχεσθαι χρὴ, ἀλλὰ δοκιμάζειν τὴν μετάνοιαν αὐτοῦ, εἰ ἀληθής ἐστι, καὶ εἰ τοὺς καρποὺς ἔχει μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ· τί γὰρ, ὅτι θριαμβεύει αὐτοῦ τὴν αἵρεσιν, τὰς ἁμαρτίας αὐτοῦ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας ἐξαγορεύει, ἐλεημοσύνας ποιεῖ· καὶ ἄλλα τοιαῦτα σωτηριώδη ἐνδείκνυται.

ΚΑΝΩΝ ϛ'.

Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν. τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελὲς, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτούς.

ΒΑΛΣ. Κανονικοὺς, τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους, φησὶν, ἤγουν κληρικοὺς, μοναχοὺς, μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγελλαμένας. εἰ γοῦν τις ἐκ τούτων πορνεύσει, οὐ παραχωρηθήσεται καὶ ἐφεξῆς ἁμαρτάνειν. εἰκὸς γὰρ ἦν τὸν ἁμαρτηκότα κανονικὸν τῆς ἱερωσύνης ἐκπεσόντα διὰ τὴν πορνείαν, λέγειν ὅτι ἐπεὶ τῆς ἀξίας ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς, καὶ ἔστω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον, εἰς συμβίωσιν γαμικήν. ὅτι καὶ ὁ νόμος φησὶν ἐν βιβλίῳ κη'. τίτλῳ δ'. κεφαλαίῳ ιϛ'. ὁ πρὸς τὴν ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος, ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων· ὅτι τε τὰ τοῦ νόμου εἰς λαϊκοὺς χώραν ἔχουσι, καὶ ὅτι τῇ ἐκκλησίᾳ λυσιτελές ἐστιν. εἰ γὰρ αὐτοὶ τῆς ἐπιθυμίας ἀποξενωθῶσιν, οὐδὲ ἕτεροι τολμήσουσι τοιοῦτόν τι, ὡς μὴ παραχωρούμενοι ἁμαρτάνειν μετὰ τὴν ἀναίρεσιν τῆς ἐκκλησιαστικῆς τιμῆς. ἀλλὰ καὶ τοῖς αἱρετικοῖς οὐ δοθήσεται ἀφορμὴ καθ' ἡμῶν εἰς τὸ λέγειν, ὅτι διὰ τοῦτο μετὰ τὴν πορνείαν παραχωροῦνται οἱ πορνεύοντες ἁμαρτάνειν, ἵνα καὶ οἱ ἐξ ἑτέρων θρησκειῶν διὰ τὴν ἡδονὴν τοῦ σώματος ἐπισπῶνται καὶ ἐπισύρωνται πρὸς τὰ ἡμέτερα. καὶ τοῦτο μὲν θεματίζεται καλῶς, ὅσον εἰς τοὺς κληρικούς. εἰς δὲ τὰς μοναστρίας καὶ τὰς παρθένους, καὶ τοὺς μοναχοὺς τοὺς μὴ ἱερωμένους, ἐπεὶ ἀφαίρεσις τιμῆς οὐκ ἐπάγεται, μᾶλλον εἴποι τις δικαιολογεῖσθαι τούτους, τὰ τοῦ καταστρωθέντος ἄνωθεν νόμου καὶ εἰς ἐκτροπὴν τοῦ λόγου αὐτῶν ὁρισθῆναι τὰ τοῦ παρόντος κανόνος. περὶ δὲ πορνείας μοναχῶν καὶ παρθένων ἀνατεθειμένων τῷ θεῷ, ἀνάγνωθι συνόδου ἕκτης κανόνα τέταρτον, τοῦ ἁγίου Βασιλείου κανόνα ιη'. κ'. ξ'. καὶ βιβλίου δ'. τῶν βασιλικῶν τίτλον α'. κεφ. ε'. ὅπερ κατεστρώθη εἰς λ'. κεφάλαιον τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος· ἀνάγνωθι καὶ κεφ. οη'. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου.

ΖΩΝΑΡ. Κανονικοὺς τοὺς ἐν τῷ κανόνι ἐξεταζομένους, φησὶν, ἤγουν κληρικοὺς, καὶ μοναχοὺς, καὶ μοναστρίας, καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας κόρας, κατὰ τὸν ϛ'. καὶ μδ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου. εἰ γοῦν τοιοῦτός τις πορνεύσει, οὐκ ἐαθήσεται συμφθείρεσθαι τῇ μεθ' ἧς ἥμαρτεν, ὡς τάχα γάμου τῆς ἀθέσμου μίξεως λογισθείσης.

A qui ſani ſunt, accedentes, & examinatos, ſimiliter admitti jubent.

ZONAR. Dubitabant quidam, an hæretici, qui in exitu vitæ eſſe dicuntur, ac pœnitentiam quærunt, eſſent admittendi. Ad quam quæſtionem reſpondit ſanctus, admittendos eſſe, non quacunque ratione, verum examinantes an verè pœniteant; hoc eſt, num à propriis dogmatis abſcedant, ac pœnitentiæ fructus oſtendant.

ARIST. *Hæreticus in vita exitu reſipiſcens, diſcretione* B *adhibitâ ſuſcipiendus.*

Hæreticum in extremo vitæ venientem & reſipiſcentem ſine judicio & examine admittere non oportet, ſed reſipiſcentiam ejus explorare, num vera ſit, & an fructus profert qui ſalutis ſtudium teſtificantur; ut ſi de hæreſi ejus triumphet, peccata ſua cum lacrymis & contrito corde confiteatur, eleemoſynas faciat, & alia ejuſmodi ſalutaria oſtendat.

CANON VI.

C *Canonicorum fornicationes pro matrimonio non reputentur, ſed eorum conjunctio omninò divellatur: hoc enim & eccleſiæ ad ſecuritatem eſt utile, & non dabit hæreticis adverſus nos anſam, quòd propter peccandi libertatem ad nos attrahamus.*

BALS. Canonicos eos dicit, qui in Canone enumerantur, Clericos ſcilicet, Monachos, Monachas, & quæ virginitatem profeſſæ ſunt. Si quis ergo ex his fornicatus fuerit, non permittitur ei deinceps peccare. Eſt enim veriſimile canonicum, qui peccaverat, ſacerdotio motum ob fornicationem dixiſſe, Quoniam à dignitate excidi, D voluptate certè perfruar: & ſit mihi mulier, cum qua peccavi, in conſortio conjugali. Lex enim dicit in lib. xxviii. tit. iiii. cap. xvi. Qui cum libera, quæ non quæſtûs gratia facit ſui corporis poteſtatem, habet conſuetudinem, ipſam non concubinam, ſed uxorem habere videtur. Hoc, inquit, non eſt permittendum, ſed eorum conjunctio eſt omnino ſeparanda, & ipſi à ſe invicem ſejungendi. Quoniam leges in laicis locum habent, & hoc eſt eccleſiæ utile. Si ipſi enim à libidine alienati fuerint, nec alii audebunt tale quid facere, ut quibus non ſit peccare permiſſum poſt eccleſiaſticæ dignitatis ademptionem. Sed hæreticis quoque non dabitur adverſus nos anſa, E ut dicànt, quòd propterea poſt fornicationem permittitur fornicatoribus peccare, ut ab aliis ſectis propter corporis voluptatem ad noſtra attrahantur & alliciantur. Et hæc quidem facti ſpecies rectè ponitur, quod ad clericos attinet. Quod ad monachas autem, & virgines, & monachos ſacris ordinibus non initiatos attinet, quoniam eis honoris ablatio non inducitur, & eos dixerit quiſpiam legem ſuperiùs poſitam magis poſſe pro ſe adducere, & ad evertendam eorum rationem præſentem Canonem conſtitui. De monachorum autem fornicatione, & virginum Deo dedicatarum, lege ſyn. vi. can. iiii. S. Baſilii Can. xviii. xx. lx. & lib. iiii. Baſilic. tit. pr. cap. F v. quod poſitum eſt in xxx. cap. noni tit. præſentis operis. Lege & cap. lxxviii. xxxvii. tit. lx. lib.

ZONAR. Canonicos eos, qui in Canone recenſentur, nominat, Clericos nimirum, Monachos, & Monachas, & virginitatem profeſſas puellas, ut habetur ſexto, & quadrageſimo quarto canone Synodi Carthaginenſis. Si quis igitur ejuſmodi fornicatus fuerit, haud permittetur cum ea cum qua peccavit, corrumpi, quaſi fortè illicita commixtio nuptiarum inſtar exiſtimetur. Probabile námque eſt clericum, qui ſacri ordinis dignitate ob admiſſam culpam exciderat, dixiſſe, Quandoquidem ſacro ordine motus ſum, fruar ſaltem voluptate, & ſit mihi mulier hæc, cum qua peccavi, matrimonii ſocietate conjuncta. Hoc ergo, inquit permittere haud oportet, ſed illorum ſocietatem penitùs dirimere, atque ab invicem ejuſmodi ſegregare. Hoc ſiquidem & Eccleſiæ utile fuerit, dum alii quoque, ne ejuſmodi audeant, reprimentur. Ita námque cogitabant, nihil nobis prodeſſe etiamſi peccemus, ſiquidem cum ea muliere, cum qua corrrupti ſumus, quamvis honore exciderimus, ætatem agere haud liceat: Nec habebunt hæretici anſam contra nos dicendi: Nos ea de cauſa delinquentibus permittere, ut cum iis mulieribus vivant, quibuſcum peccaverunt, eáſque uxorum loco retinendi facultatem ipſis dare, ut hac ratione aliquos ex iis, qui diverſæ religioni addicti ſunt, attrahant, hoc eſt, ſubducant, alliciant; quippe illis in peccato degere permittentes, nec illegitimas nuptias, quas fornicatio præceſſit, ſolventes.

ARIST. *Canonica, ſi matrimonio juncta fuerit, diſjungitur.*

Quæ virginitatem profeſſa eſt, & matrimonio renunciavit, & vitam in ſanctimoniâ actam prætulit, ſi profeſſiones ſuas vilipendens, libidinoſis ſe dederit voluptatibus, & matrimonii nimirum lege viro conjuncta fuerit, iſtud matrimonium non judicabitur, ſed fornicatio: aut potius ſecundum Magni Baſilii Canonem, adulterium. Propterea itaque eorum conjunctio omni modo diſtrahetur.

CANON VII.

Maſculorum & animalium initores, & homicidæ, & venefici, & adulteri, & idololatræ, eadem condemnatione digni habentur. Quare, quam in aliis habes formam, in iis quoque ſerva. Eos autem, qui triginta annos propter immunditiam pœnitentiam egerunt, quam ex ignorantia fecerunt, nos quidem nec eos eſſe recipiendos dubitare oportebat. Nam & ignorantia eos venia dignos facit, & ſpontanea confeſſio, & tanta temporis diuturnitas: fere enim tota hominis ætate ſatanæ traditi ſunt: ut diſcant non ſe turpiter gerere. Quamobrem jube eos abſque dilatione ſuſcipi, maximè ſi lacrymas habeant, quæ tuam clementiam moveant, & vitam miſericordia dignam oſtendant.

BALS. Alii ſancti patris canones ſic definiunt, quomodo & quot annis puniri debeant, qui in præſenti can. comprehenduntur. Preſens autem canon, etiamſi dicit eos eadem condemnatione dignos, non tamen de pœnarum generibus intelligendus eſt: alio enim & alio modo puniuntur: & clarum, quòd ipſorum condemnationem in formam, quæ conſecuta eſt, diſtulit. Eos autem eadem condemnatione dignos eſſe habitos dictum eſt, quòd omnes quatuor pœnarum locis ſubjiciantur, & ea in re ſimiliter puniantur. Quoniam autem nonnulli qui inceſtum per ignorantiam commiſerunt (hæc eſt enim immunditia, quæ in canone comprehenditur, & non reliqua peccata, ut quæ nec ſua natura poſſint per ignorantiam committi) cum xxx. annis pœnitentiam egiſſent, admitti volebant, dicit ſanctus exinde eos eſſe recipiendos, probabiles quoque cauſas afferens. Debes autem idololatras hîc intelligere præſtigiatores; Chriſtiani enim, qui idolis ſua ſponte ſacrificârunt, debent tota vitâ pœnitentiam agere. Illi autem dicuntur traditi eſſe ſatanæ, qui à Chriſtianorum communione ſeparantur. Qui tanto ergo tempore ſeparati fuere, ſatanæ veluti traditi ſunt.

ZONAR. Qui maſculos, mutáſve beſtias ineunt, &

A εἰκὸς γὰρ τὸν κληρικὸν τῆς ἱερωσύνης διὰ τὴν ἁμαρτίαν ἐκπεσόντα, εἰπεῖν· ὅτι ἐπεὶ τῆς ἀξίας ἤδη ἐκπέπτωκα, κἂν ἀπολαύσω τῆς ἡδονῆς καὶ ἔσω μοι ἡ γυνὴ μεθ' ἧς ἥμαρτον, εἰς συμβίωσιν γαμικήν. τοῦτο οὖν, φησὶ, παραχωρεῖσθαι οὐ χρὴ, ἀλλ' ἐκ παντὸς διασπᾶσθαι τὴν συνάφειαν αὐτῶν, καὶ χωρίζεσθαι ἀπ' ἀλλήλων τοὺς τοιούτους. τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ λυσιτελὲς, ἀποκοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾶν. λογίζονται γὰρ ὅτι οὐδὲν ἔσται ἡμῖν ὄφελος κἂν ἁμάρτωμεν, μὴ παραχωρουμένοις κἂν τῆς τιμῆς ἐκπέσωμεν, συμβιοῦν τῇ γυναικὶ ᾗ συνεφθάρημεν· καὶ οἱ αἱρετικοὶ οὐκ ἕξουσι λαβὴν καθ' ἡμῶν λέγειν· ὅτι διὰ τοῦτο παραχωροῦσι τοῖς ἁμαρτάνουσι B συζῆν ταῖς γυναιξὶ μεθ' ὧν ἥμαρτον, καὶ ὡς γαμεταῖς κεχρῆσθαι αὐταῖς διδόασιν ἄδειαν αὐτοῖς· ἵνα οὕτως ἐπισπῶνται τινὰς τῶν ἐξ ἑτέρας θρησκείας, ἤγουν ὑποσύρωσιν, ἐφέλκωνται, ὡς ἐῶντες ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ μὴ λύοντες τοὺς ἀθέσμους γάμους, ὧν προηγήσατο πορνεία.

ΑΡΙΣΤ. Η κανονικὴ, εἴ πως καὶ ζεύγνυται, διαζεύγνυται.

Η παρθενίαν ὁμολογήσασα καὶ ἀποταξαμένη τῷ γάμῳ, C καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασα βίον, εἰ τὰς ὁμολογίας αὐτῆς ἀθετήσασα ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐκδῷ, καὶ νόμῳ δῆθεν γάμου ἀνδρὶ συναφθῇ, οὐ γάμος τοῦτο κριθήσεται, ἀλλὰ πορνεία· ἢ μᾶλλον, κατὰ τὸν ὀκτωκαιδέκατον κανόνα τούτου δὲ τοῦ μεγάλου Βασιλείου, μοιχεία. διὰ τοῦτο γοῦν παντὶ τρόπῳ καὶ διασπασθήσεται αὐτῶν ἡ συνάφεια.

ΚΑΝΩΝ ζʹ.

Ἀῤῥενοφθόροι καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι. ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον. τοὺς δὲ ἐν τριάκοντα ἔτεσι μετανοήσαντας ἐπὶ D τῇ ἀκαθαρσίᾳ, ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐκ ἀμφιβάλλειν ἡμᾶς προσῆκεν εἰς τὸ παραδέξασθαι. ἥτε γὰρ ἄγνοια συγγνώμης ἀξίους αὐτοὺς ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, καὶ ἡ παράτασις ἐν τοσούτῳ χρόνῳ γινομένη· σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ· ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν. ὥστε κέλευσον αὐτοὺς ἀνυπερθέτως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωποῦντα σου τὴν εὐσπλαγχνίαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

ΒΑΛΣ. Ετεροι κανόνες τοῦ ἁγίου πατρὸς διορίζονται, E ὅπως καὶ ἐπὶ πόσοις ἔτεσιν ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ ἐν τῷ παρόντι κανόνι περιεχόμενοι. ὁ δὲ παρὼν κανὼν εἰ καὶ φησὶ τούτους τῆς αὐτῆς καταδίκης ἀξιοῦσθαι, ἀλλ' οὐ πρὸς τὰ εἴδη τῶν ἐπιτιμίων ἐξεφωνήθη, ἄλλως γὰρ καὶ ἄλλως θεραπεύονται· καὶ δῆλον ὅτι καὶ τὴν καταδίκην αὐτῶν εἰς τὸν παρακολουθήσαντα τύπον ἀνήρτησε. τὸ δὲ τῆς αὐτῆς καταδίκης τούτους ἀξιοῦσθαι, ἐῤῥέθη, διὰ τὸ πάντας ὑποκεῖσθαι τοῖς τέταρσι τόποις τῶν ἐπιτιμίων, καὶ κατὰ τοῦτο ὁμοίως κολάζεσθαι. ἐπεὶ δὲ καί τινες ἐν ἀγνοίᾳ τολμήσαντες αἱμομιξίαν, (αὕτη γάρ ἐστιν ἡ ἐν τῷ κανόνι περιεχομένη ἀκαθαρσία, καὶ οὐχὶ τὰ λοιπὰ ἁμαρτήματα, ὡς μηδὲ πεφυκότα κατὰ ἄγνοιαν γίνεσθαι) ἐπὶ τριάκοντα χρόνοις F μετανοήσαντες, ἤθελον παραδεχθῆναι, φησὶν ὁ ἅγιος, ἀπεντεῦθεν αὐτοὺς δέχεσθαι, ἐπάγων καὶ αἰτίας εὐλόγους. εἰδωλολάτρας δὲ ὀφείλεις νοεῖν ἐνταῦθα, τοὺς γόητας. οἱ γὰρ τοῖς εἰδώλοις ἑκόντι θύσαντες Χριστιανοὶ, διὰ βίου μετανοεῖν ὀφείλουσιν· ἐκεῖνοι δὲ λέγονται παραδοθῆναι τῷ Σατανᾷ, οἱ χωριζόμενοι ἀπὸ τῆς κοινωνίας τῶν πιστῶν. οἱ γοῦν ἐπὶ τοσοῦτον χρόνον ἀφορισθέντες, ὡσανεὶ τῷ Σατανᾷ παρεδόθησαν.

ΖΩΝΑΡ. Οἱ μὲν ἀῤῥενοφθόροι καὶ ζωοφθόροι καὶ μοιχοὶ,

ἐπὶ πεντεκαίδεκα χρόνους ἐπιτιμῶνται. οἱ δέ γε ἑκούσιοι φονεῖς καὶ οἱ φαρμακοὶ, ἐπὶ εἰκοσαετίαν, εἰδωλολάτρας δὲ, οὐ τοὺς εἰδώλοις θύοντας λέγει. ἢ γὰρ ἀρχῆθεν ἦσαν τὰ εἴδωλα σέβοντες, καὶ προσελθόντες τῇ πίστει καὶ βαπτισθέντες, εὐθὺς τοῖς πιστοῖς συναριθμοῦνται, καὶ τῶν ἁγιασμάτων μετέχουσιν· ἢ Χριστιανοὶ ὄντες, εἰδώλοις ἔθυσαν, καὶ διὰ βίου μετανοεῖν ὀφείλουσιν. οὐ περὶ τοιούτων οὖν εἰδωλολατρῶν ἔοικε λέγειν ὁ ἅγιος, ἀλλὰ τοὺς γόητας καὶ τοὺς τὰ περίεργα ποιοῦντας, εἰδωλολάτρας ἐκάλεσεν· ὡς ἐπικλήσεις δαιμόνων ποιουμένους ἐν ταῖς γοητείαις, καὶ ἐξ ἐκείνων ζητοῦντας ἐπικουρίαν, κἀντεῦθεν δοκοῦντας τιμᾶν καὶ θεραπεύειν αὐτούς. εἰπὼν δὲ ὅτι τῆς αὐτῆς καταδίκης εἰσὶν ἠξιωμένοι, οὐ τοῦτο λέγει, ὅτι ἰσαρίθμοις ἐπιτιμῶνται ἐνιαυτοῖς, ἀλλ᾽ ὅτι πολυετεῖ ἐπιτιμίῳ ὑπόκεινται, ἕκαστοι δὲ κατὰ τοὺς ἰδίους ὅρους. ὅσοι δὲ ἐπὶ τριάκοντα ἔτεσι μετενόησαν ἐφ᾽ ᾗ ἔπραξαν ἀκαθαρσίᾳ ἐν ἀγνοίᾳ. (ἀγνοῶν γάρ τις τυχὸν, συγγενεῖ ἐμίγη μὴ εἰδὼς τὴν συγγένειαν, ἢ γυναικί τινι, μὴ εἰδὼς ὅτι καὶ ὁ πατὴρ αὐτοῦ ἐχρήσατο ἐκείνῃ,) τοὺς τοιούτους, οὐδὲ ἀμφιβάλλειν ἐχρῆν, φησὶν, εἰς τὸ παραδέξασθαι· πολλὰ ἔχοντας δίκαια εἰς τὸ συγγνωμονηθῆναι, τὴν ἄγνοιαν, τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως (ἀγνοούμενον γὰρ τὸ ἁμάρτημα ἑκόντες ἐξωμολογήσαντο·) καὶ τὴν τοῦ χρόνου παράτασιν. σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν. διὰ ταῦτα τοίνυν δεκτοὺς ἡγεῖται αὐτούς.

Οὐκ ἄκαιρον δὲ καί τι παρενεῖραι τῷ λόγῳ, καὶ λῦσαι ἀμφιβαλλόμενόν τι πᾶσιν· ὁ μέγας ἀπόστολος Κορινθίοις ἐπιστέλλων, καὶ περὶ τοῦ πεπορνευκότος εἰς τὴν ἰδίαν μητρυιὰν γράφων, παράδοτε αὐτὸν, φησὶ, τῷ Σατανᾷ, ἵνα τὸ πνεῦμα σωθῇ. τινὲς μὲν οὖν δαίμονι κάτοχον γενέσθαι τὸν πορνεύσαντα λέγουσι, τινὲς δὲ, νόσου μάστιγι ἐκδοθῆναι. καί τοι ἐξ αὐτῶν τῶν πρὸς Κορινθίους ἐπιστολῶν λυομένου τοῦ ἀμφιβόλου, καὶ δηλουμένου, ὅτι τὸ παραδοθῆναι τῷ Σατανᾷ ἀφορισθῆναι ἐστί· καὶ τῆς τῶν πιστῶν μερίδος ἐκκηρυχθῆναι. ἐν μὲν γὰρ τῇ πρώτῃ, ἔνθα καὶ παραδοθῆναι τῷ Σατανᾷ τὸν ἁμαρτήσαντα κατεδίκασε, φησί· καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐξ ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. τὸ δὲ, ἐξαρθῇ ἐξ ὑμῶν, τί ἄλλο ἐστὶν ἢ ὅτι, ἵνα ἐκκοπῇ καὶ ἀλλοτριωθῇ ἀφ᾽ ὑμῶν, ἐκκόπτεται δὲ ὁ ἀφορισθεὶς καὶ μὴ τῇ τῶν πιστῶν συνενεμημένος μοίρᾳ. ἐν δὲ τῇ δευτέρᾳ ἐπιστολῇ, φησὶ, κυρώσατε εἰς αὐτὸν ἀγάπην. πῶς οὖν πρὸς τὸν δαιμονιζόμενον ἔμελλον κυρῶσαι ἀγάπην· ἢ πρὸς τὸν πάθει λέπρας, ἢ τινὶ τοιούτῳ ταλαιπωρούμενον; ἐλεεῖσθαι γὰρ μᾶλλον ὤφειλεν ὁ οὕτω πάσχων, οὐχὶ μισεῖσθαι. ἀλλὰ τοῦτο ἔλεγε πάντως ὅτι ὃν ἀπεστράφετε διὰ τὸ ἁμάρτημα, καὶ τῆς ἐκκλησίας ἠλλοτριώσατε, δέξασθε πάλιν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ καὶ ἑρμηνεύει, ὡς γοῦν εἴρηται, αὐτὸς ἑαυτὸν ὁ ἀπόστολος, Ϲαφηνίζει. εἰ δέ τις φιλονεικότερον ἀνθίσταται, πεισάτω τοῦτον ὁ Ϲοφὸς οὗτος καὶ μέγας πατὴρ προσέχοντα, ὅπως ἐχρήσατο ἐν τῷ, τῷ παρεδόθη τῷ Σατανᾷ· τὸν ἀφορισμὸν καὶ τὴν ἔκπτωσιν τῆς κατὰ τῶν πιστῶν ξυναυλίας, παράδοσιν πρὸς τὸν Σατανᾶν ὀνομάσας. ὁ γὰρ ἐκκοπεὶς τῆς μοίρας τῶν πιστῶν, οὐκέτι τὴν τοῦ ἁγίου πνεύματος χάριν ἔχει παρ᾽ ἑαυτῷ, ἀλλ᾽ ἀπογυμνοῦται ταύτης· ὁ δὲ τῆς χάριτος ταύτης ἐκπεπτωκὼς, παραδίδοται τῷ Σατανᾷ. γυμνὸν γὰρ τῆς θείας χάριτος αὐτὸν εὑρὼν ὁ ἐχθρὸς, παραλαμβάνειν αὐτὸν, καὶ κυριεύει λοιπὸν αὐτοῦ, καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶτταν Ἰωάννης, ἐξηγορούμενος τὴν πρὸς Τιμόθεον ἐπιστολὴν, οὕτως ἡρμήνευσε τοῦτο.

A adulteri, quindecim annorum mulcta puniuntur. Voluntarii autem homicidæ, & venefici, viginti. Idololatras porrò, non eos dicit, qui idolis ſacrificant: Nam vel inde ab initio idolorum cultui fuêre addicti, atque ad fidem accedentes, & baptiſmo expiati, confeſtim cum fidelibus adnumerantur, ſacriſque myſteriis communicant; Vel, cùm Chriſtiani eſſent, idolis immolavêre, ac per integram vitam pœnitentiam agere debent: Nequaquam igitur de ejuſmodi idololatris ſanctus hic loqui videtur: ſed præſtigiatores, ac ejuſmodi inanitatibus curam impendentes, idololatras nominavit: quippe qui dæmonum invocationes adhibent ad præſtigias, B tum ex iis auxilium petunt, ac proinde venerantium ipſos, & colentium quandam ſpeciem præbent. Cum verò eadem condemnatione dignos habendos eſſe ait, non ita intelligendus eſt, quaſi æquali annorum numero puniantur, ſed quia plurium annorum mulctæ ſint obnoxii, ſinguli tamen juxta proprios terminos. Qui verò triginta annis ob impuritatem, quam ignorantes admiſerunt, in pœnitentia verſati ſunt, (Aliquis enim fortè per ignorationem cum cognata rem habuit, ignorans cognationem, aut cum alia muliere, cùm patrem quoque ſuum illa uſum fuiſſe ignoraret,) de ejuſmodi, inquit, ne dubitandum eſt quidem, quin admittantur, cum mul- C tas habeant excuſationes, ob quas eis venia concedi poſſit: Ignorationem nimirum, ſpontaneam confeſſionem (ignoratum námque crimen ſponte confeſſi ſunt) ac temporis diuturnitatem. Tota námque fere hominis ætate ſatanæ traditi ſunt, ut à turpibus abſtinere diſcant. Ob hæc igitur facile ipſos admittendos eſſe arbitratur.

Non alienum autem erit quiddam etiam hic interſerere orationi, ac certam quorundam queſtionem ſolvere: Magnus Apoſtolus ad Corinthios mittens, & de eo, qui cum noverca fornicatus fuerat diſſerens, tradite, inquit, ipſum Satanæ, ut Spiritus ſalvus fiat. Quidam igitur dæmonis poteſtati obnoxium fornicarium factum fuiſſe dicunt; quidam vero morbi flagello traditum. Cæterum ex ipſiſ- D met ad Corinthios epiſtolis ſolvitur dubitatio, & declaratur: quod tradi Satanæ, eſt ſegregari, & à cœtu fidelium abdicari. In priori námque ubi etiam eum qui deliquerat Satanæ tradendum adjudicavit, & vos, inquit, inflati eſtis, Et non magis luctum habuiſtis, ut tollatur, ex vobis, qui hoc opus fecit. Illud nempe, tollatur, quid aliud ſignificat, quàm ut excidatur, alienúſque habeatur à vobis? Exciditur vero quicunque ſegregatur, nec in numero fidelium recenſetur. In ſecunda vero epiſtola hæc habet, Conſervate erga ipſum charitatem, quî igitur charitatem erga vexatum à dæmone E conſervaturi fuiſſent: vel erga illum qui lepra, vel ejuſmodi alio morbo premeretur? Etenim miſereri potius ſic affecti, quàm illum odiſſe par eſt. Sed hoc plane ſignificavit, ut quem ſcilicet averſati eſtis ob noxam, & extra Eccleſiam ejeciſtis, admittatis iterum, ne à nimio dolore abſorbeatur. Ergo, ut dictum eſt, ipſe ſe Apoſtolus explicat, ac declarat. Quòd ſi quis contenſioſiùs repugnet, flecti ſe patiatur ab hoc ſapienti, & magno Patre, animadvertens quomodo hic verbis illis, Satanæ traditus eſt, uſus fuerit: ſegregationem, ac relegationem à cœtu fidelium Satanæ traditionem nominans. Qui enim à fidelium conſortio excluſus eſt, non amplius ſancti Spiritus gratiam F penes ſeipſum habet, verum illa ſpoliatus eſt. Qui vero ab hac gratia excidit, Satanæ traditur. Ubi námque illum divina gratia nudatum inimicus offenderit, ipſum invadit, eique deinceps dominatur. Quod eodem etiam modo Joannes Chryſoſtomus, in commentariis in Epiſtolum ad Timotheum, interpretatus eſt.

ΑΡΙΣΤ. Ἀῤῥενοφθόρους, καὶ ζωοφθόρους καὶ μοιχοὺς, πεντεκαιδεκαετία· καὶ φονεῖς, καὶ φαρμακοὺς, καὶ εἰδωλολάτρας, εἰκοσαετία, κατὰ τὸν πάλαι τύπον, εἰσδέξεται. Σαφής.

ARIST. *Maſculorum, animaliúmque corruptores, & Mæchos poſt annos quindecim; homicidæ, venefici, ac idololatræ poſt viginti, juxta antiquam formam ſuſcipientur.* Perſpicuus.

A

Canon VIII.

Qui ſecuri in ira adverſus uxorem ſuam uſus eſt, eſt homicida. Rectè autem me admonuiſti, & ut tuam ſapientiam decuit, ut fuſiùs de iis dicerem: quoniam multæ ſunt in voluntariis & involuntariis differentiæ. Eſt enim involuntarium omnino & longè ab eo, qui incæpit, remotum, ut, qui lapidem in canem vel arborem jaceret, hominem aſſequeretur. Ei enim in animo erat beſtiam propulſare, vel fructum excutere; ictum autem caſu ſubiit is, qui in ipſum tranſeundo incidit. Quare hoc quidem eſt involuntarium. Involuntarium autem eſt, & B *ſi quis volens aliquem in melius convertere, loro, vel virga non dura eum percutiat, mortuus autem ſit, qui percuſſus eſt. Propoſitum enim hîc conſideratur, quòd peccantem corrigere volebat, non autem interimere. Eſt & illud quoque ex involuntariis, ut quiſpiam in pugna ſe ligno vel manu acriter defendens in præcipuas partes ictum torqueat, ut eum lædat, non ut omninò interficiat. Sed hoc quidem ad voluntarium magis accedit. Qui enim eo inſtrumento ad ſe defendendum uſus eſt, vel qui minime parcens ictum inflixit, ſatis præ ſe tulit, ſe animi perturbatione victum homini non peperciſſe: ſimiliter* C *& qui ligno gravi, & qui lapide majore, quàm pro viribus humanis uſus eſt, involuntariis annumeratur, ut qui aliud quidem voluerit, aliud verò fecerit. Ira enim commotus eum ictum intulit, ita ut percuſſum interficeret: quamquam is fortè contendebat eum conterere, non autem penitùs morte afficere. Qui autem enſe vel aliquo alio ejuſmodi uſus eſt, nullam habet excuſationem: & maximè, qui ſecurim jaculatus eſt: neque enim manu percuſſiſſe videtur, ut in eo eſſet ictus moderatus; ſed jaculatus eſt, ut & ferri gravitate & acie & vehementi per magnum ſpatium motu neceſſariò* D *fieret pernicioſus ictus. Rurſus autem omnino eſt voluntarium, & quod nullam habet dubitationem, quale eſt quod fit & à latronibus, & à bellicis incurſionibus. Illi enim propter pecunias interimunt, indicium fugientes: & qui bella gerunt, ad cædes faciendas accedunt, non terrere, nec caſtigare, ſed adverſarios palam & ex profeſſo interficere ſtatuentes. Atqui, etſi propter aliquam aliam cauſam curioſum medicamentum quis miſcuerit, & interfecerit, id inter voluntaria ponendum eſt, ut ferè faciunt mulieres, quæ quibuſdam incantationibus, & amuletis, ad ſui amorem aliquos attrahere* E *conantur, & dant eis medicamenta, quæ mentibus tenebras offundunt. Hæ ergo, ſi interfecerint, etiamſi aliud volentes, aliud fecerint; tamen propter curioſum & prohibitum exercitium inter voluntarios homicidas reputabuntur. Itaque, & quæ abortum cientia præbent medicamenta, ſunt & ipſæ homicidæ, ſicut & quæ fœtus necantia venena accipiunt. Hæc quidem hucuſque.*

Bals. Interrogatus ſanctus, an ſit homicida, qui ſecurim jaculatus in propriam uxorem, eam percuſſit, pronunciavit eum eſſe voluntarium homicidam. Deinde facit differentiam voluntariarum & involuntariarum cædium: F & eum qui lapidem in beſtiam vel arborem jaculatus eſt, tranſeuntem autem illàc hominem fortè percuſſit, eúmque qui loro vel levi virga aliquem docendi eum gratia percuſſit, ſi percuſſus mortuus fuerit, homicidam involuntarium appellat: eum autem, qui in contentione aliquem virga duriore percuſſerit, vel in eo percutiendo manui non pepercerit, etiamſi eum, qui percuſſus eſt, interficere noluerit, ſed vel tantùm lædere, vel propulſare, dicit, ad eum, qui cædem fecit voluntariam, proximè accedere, eo qui percuſſus eſt mortuo. Eum

ΚΑΝΩΝ η'.

Ὁ ἀξίνῃ παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεύς ἐστι. καλῶς δέ με ὑπέμνησας καὶ ἀξίως τῆς σεαυτοῦ συνέσεως, εἰπεῖν περὶ τούτων πλατύτερον· διότι πολλαὶ ἐν τοῖς ἑκουσίοις καὶ ἀκουσίοις διαφοραί. ἀκούσιον μὲν γάρ ἐστι παντελῶς καὶ πόῤῥω τοῦ καταρξαντος, τὸ ἀκοντίζοντα λίθον ἐπὶ κύνα, ἢ δένδρον, ἀνθρώπου τυχεῖν. ἡ μὲν γὰρ ὁρμὴ ἦν τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι· ὑπέβη δὲ αὐτομάτως τῇ πληγῇ κατὰ πάροδον ὁ παραπεσών· ὥστε τὸ τοιοῦτον ἀκούσιον. ἀκούσιον μέντοι, καὶ εἴ τις βουλόμενος ἐπιστρέψαι τινὰ, ἱμάντι ἢ ῥάβδῳ μὴ σκληρᾷ τύπτοι, ἀποθάνῃ δὲ ὁ τυπτόμενος. ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἐβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν. ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο ὁμοίως, τὸ ἀμυνόμενόν τινα ἐν μάχῃ, ξύλῳ ἢ χειρὶ ἀφειδῶς, ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνεγκεῖν, ὥστε κακῶσαι αὐτὸν, οὐχ ὥστε παντελῶς ἀνελεῖν. ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ· ὁ γὰρ τοσούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, ἢ ὁ μὴ πεφεισμένος τὴν πληγὴν ἐπαγαγὼν, δῆλός ἐστι διὰ τὸ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους, ἀφειδῶν τοῦ ἀνθρώπου· ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ, ἢ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις ἐναριθμεῖται, ἄλλο μέντοι προελόμενος, ἄλλο δὲ ποιήσας. ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγὴν, ὥστε ἀνελεῖν καὶ τὸν πληγέντα· καίτοι ἡ σπουδὴ ἦν αὐτῷ συντρῖψαι τυχὸν, οὐχὶ δὲ καὶ παντελῶς θανατῶσαι. ὁ μέντοι ξίφει χρησάμενος, ἢ ᾡτινιοῦν τοιούτῳ, οὐδεμίαν ἔχει παραίτησιν· καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας. καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι, ἀλλ' ἠκόντισεν, ὥστε καὶ τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείστου φορᾷ, ὀλεθρίαν ἀναγκαίως τὴν πληγὴν γενέσθαι. ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχον, οἷόν ἐστι τὸ τῶν λῃστῶν καὶ τὸ τῶν πολεμικῶν ἐφόδων. οὗτοι μὲν γὰρ διὰ χρήματα ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἵ τε ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονίσαι, ἀλλ' ἀνελεῖν αὐτοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι. καὶ μέντοι, κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον φαρμακόν τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον. οἷον ποιοῦσιν αἱ γυναῖκες πολλάκις ἐπαοιδαῖς τισὶ καὶ καταδέσμοις, πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαί τινας πειρώμεναι, καὶ προσδιδοῦσαι αὐτοῖς φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς διανοίαις. αἱ τοιαῦται τοίνυν ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν. ὅμως διὰ τὸ περίεργον, καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται. καὶ αἱ τοίνυν τὰ ἀμβλωθρίδια διδοῦσαι φάρμακα, φονεύτριαί εἰσι καὶ αὐταί, καὶ αἱ δεχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια. ταῦτα μὲν εἰς τοσοῦτον.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὁ ἅγιος ἐὰν ἐστι φονεὺς ὁ ἀξίνην ἀκοντήσας κατὰ τῆς οἰκείας γαμετῆς, καὶ πλήξας ταύτην, ἀπεφήνατο ἀκούσιον εἶναι φονέα αὐτόν. εἶτα ποιεῖται διαίρεσιν τῶν ἑκουσίων καὶ ἀκουσίων φόνων. καὶ τὸν μὲν ἐπὶ θηρίον ἢ δένδρον ῥίψαντα λίθον, πλήξαντα δὲ τυχὸν ἄνθρωπον παριόντα ἐκεῖ, καὶ τὸν λώρῳ ἢ ἐλαφρᾷ ῥάβδῳ πλήξαντά τινα διὰ παίδευσιν, ἐὰν ὁ πληγεὶς ἀποθάνῃ, ἀκούσιον φονέα καλεῖ· τὸν δὲ ἐν φιλονεικίᾳ πλήξαντά τινα, μετὰ στιβαρᾶς ῥάβδου ἢ τῇ χειρὶ ἀφειδῶς κατὰ τούτου χρησάμενον, κἂν μὴ ἀνελεῖν ἤθελε τὸν πληγέντα, ἀλλὰ κακῶσαι καὶ ἀμύνασθαι, ἐγγίζειν τῷ ἑκουσίως φονεύοντι λέγει, τοῦ πληγέντος ἀποθανόντος. καὶ τὸν ξύλῳ τῷ βαρεῖ καὶ λίθῳ μεγάλῳ χρησάμενον κατά τινος, καὶ ἀνελόντα, μὴ ἔχοντα τὴν πρόθεσιν φόνου, ἀκούσιον φονέα ὁρίζεται. τὸν δὲ ξίφει χρησάμενον οἱωδήτινι, κατὰ τοὺς πολεμίους, καὶ τοὺς λῃστὰς, ἑκούσιον φονευτὴν ἀποφαίνεται. ὥσπερ καὶ τοὺς φάρμακα περίεργα διδόντας, καὶ ἀμβλωθρίδια ποιοῦντας. καὶ ὁ μὲν κανὼν ταῦτα. σὺ δὲ ἀνάγνωθι τὸ κϛ'. κεφάλαιον τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν ἐκείνῳ γραφέντα χάριν τῶν φονευτῶν. ὡσαύτως ἀνάγνωθι καὶ τὸν δεύτερον κανόνα τοῦ ἁγίου τούτου. ἐπεὶ δὲ περὶ φονευτῶν καὶ φαρμακῶν οὐκ ὀλίγα διαλαμβάνει ὁ λθ'. τίτλος τοῦ ξ'. βιβλίου, ἀνάγνωθι καὶ τοῦτον. τοῦ δὲ δευτέρου θέματος τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου διαλαμβάνοντος ταῦτα ῥητῶς· ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τραυματίσῃ, φονεύς ἐστι· καὶ ὁ μὴ θελήσας φονεῦσαι, ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς. ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου ἐλέγχεται. εἴποι τις, ἐναντιοῦσθαι τῷ τοιούτῳ κεφαλαίῳ τὸν παρόντα κανόνα, διοριζόμενον ἀκουσίου φόνου ἐγκλήματι ὑποκεῖσθαι τὸν ἀκοντίσαντα λίθον ἐπὶ κύνα ἢ δένδρον, καὶ τυχαίως ἀνελόντα ἄνθρωπον. φαμὲν οὖν ὡς ὁ ῥηθεὶς νόμος περὶ ἑκουσίου φονευτοῦ διδάσκων, τὸν μὴ ἐκ προαιρέσεως φονεύσαντα οὐκ ὀνομάζει ἑκούσιον φονέα· ἀκούσιος δὲ ὁ τοιοῦτος φονεύς ἐστι, καθὼς καὶ ὁ παρὼν κανὼν διορίζεται, καὶ τιμωρεῖται κατὰ τὸ προτελευτον θέμα τοῦ ιϛ'. κεφαλ. τοῦ να'. τίτλου τοῦ ξ'. βιβλίου, καὶ κατὰ τὸ ε'. κεφάλ. τοῦ λθ'. τίτλου τοῦ αὐτοῦ βιβλίου, διοριζόμενον, καὶ τὸν ἀπὸ τρυφῆς φονεύσαντα ἐπὶ πενταετίαν ἐξορίζεσθαι. οὕτω συμβίβασον τὸ νομικὸν κεφάλ. καὶ τὸν κανόνα. καὶ σημείωσαι ἀπὸ τοῦ κανόνος καὶ τοῦ νόμου, ὅτι ὁ μὲν ἀκούσιος φονευτὴς ἐκ τοῦ ἀποτελέσματος, ἤτοι τοῦ φόνου, καταδικάζεται. ὁ δὲ ἑκούσιος, ἀπὸ μόνης προθέσεως. κἂν γὰρ μὴ φονεύσῃ, τιμωρεῖται ὡς φονεύς, διὰ μόνην τὴν πρόθεσιν. ὅτι καὶ τὸ ιβ'. κεφάλ. τοῦ ῥηθέντος λϛ'. τίτλου φησὶν, οὐδὲν διαφέρει τὸ φονεῦσαι καὶ τὸ παρασχεῖν αἰτίαν φόνου. ἡ μέντοι ποινὴ τῶν ἑκουσίων φονέων δηλοῦται ἀπὸ τοῦ προτελεύτου θέματος τοῦ γ'. κεφαλ. τοῦ λϛ'. τίτλου λέγοντος, ἡ ποινὴ ἡ κατὰ ἀνδροφόνων, ἐπὶ μὲν τῶν ἐντίμων περιορισμός ἐστι καὶ τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι. περὶ δὲ φονέων ἑκουσίων ἐξεφωνήθη νεαρὰ κατὰ τὸν Απρίλλιον μῆνα τῆς ιδ'. ἰνδικτιῶνος τοῦ θεοστέπτου, κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ ἔχε καὶ ταύτην ἐπὶ μνήμης οὕτω καὶ μετὰ τὸ προοίμιον διαλαμβάνουσαν. παρακελεύεται οὖν ἅπασι τοῖς ἐν θέμασι διαιτηταῖς, καὶ ταῖς ἐν αὐτοῖς οὔσαις στρατιωτικαῖς δυνάμεσι, καὶ τοῖς τούτων στρατηγοῖς, ἔνθαπερ ἂν ἑκούσιος φόνος γένηται, καὶ τολμηθῇ τοιοῦτόν τι παρά τινος, αὐτίκα πάντας διεγείρεσθαι εἰς τὴν τοῦ φονέως κατάσχεσιν, καὶ δέσμιον αὐτὸν ἀποστέλλειν πρὸς τὴν βασίλειον περιωπὴν, ἢ ταύτης ἀποδημούσης, πρὸς τὸν ἔπαρχον τῆς θεοφυλάκτου μεγαλοπόλεως, ὥστε εἰς δημοσίαν φυλακὴν εἰσάγεσθαι, καὶ τὰς σωματικὰς καὶ οὐσιακὰς κατά τε νόμους καὶ τὴν τῶν νεαρῶν θεσπισμάτων δύναμιν, καὶ ἑτέρας ὑποτεθῆναι κολάσεις· εἰδότων τούτων ἁπάντων, ὡς εἴ τις φωραθείη δυνάμενος κατασχεῖν τὸν φονέα, καὶ μὴ τοῦτο ποιήσας, οὕτω μέλλειν κατακριθῆναι ὡς κατὰ βασιλέως βουλευσάμενος. εἰδ' ἴσως διαλάθοι τις καὶ προσφύγῃ τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, μετὰ τὸ προβῆναι τὰ ἐκκλησιαστικὰ ἐπ' αὐτῷ ἐπιτίμια, κατὰ τὴν νομικὴν παρατήρησιν, ἐνδημοῦντος μὲν τοῦ κρατοῦντος τῇ βασιλευούσῃ τῶν πόλεων, παρ' αὐτοῦ ἀποσταλήσεται εἰς τὸ θέμα, ὁποῖον ἂν ἐπικρίνῃ· ὥστε τὸν χρόνον τῆς ὅλης αὐτοῦ ζωῆς ἐκεῖσε διαβιβάζειν, καὶ μὴ ἐκεῖθεν ἀποδιδράσκειν, ὥστε ἐπανατρέχειν, ἔνθα τὸ τοῦ φόνου μῦσος εἰργάσατο. ἀποδημοῦντος δὴ ἴσως τοῦ βασιλέως, παρὰ τοῦ ἐπάρχου, ὡς εἴρηται, εἴς τινα τῶν πορρωτέρω χωρῶν ἐξορισθήσεται, καὶ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκεῖσε διανύσει. ἂν δέ γε, μὴ μόνον ἑκουσίως, ἀλλὰ καὶ ἐκ μελέτης, τὸν φόνον ἐργάσοιτο, οὐκ ἀναγκασθήσεται, κατὰ τὴν προρρηθεῖσαν βασιλικὴν διάταξιν, ἀποκαρῆναι. εἰ γὰρ τὸν ἑκουσίως τῇ ἀποκάρσει προστρέχοντα οὐκ ἀπεντεῦθεν ἡ κανονικὴ ἀκρίβεια εἰς αὐ-

Bals. Quinquageſimus ſeptimus Canon hujus ſancti patris eos, qui involuntariam cædem fecêre, decem annis à divinorum ſacramentorum participatione ſeparat. Præſens autem Canon dicit, eum, qui non ſolum decennio, ſed etiam undecim annis, ſacramentis non communicavit, involuntarium occiſorem ſatis ſupérque feciſſe. Deinde adjicit, eum non ideo ut homicidam condemnari, qui aliquem percuſſit, etiamſi lethalem plagam inflixerit, non tamen cum occidendi propoſito: ſed oportet, inquit, ſecundum legem Moſaicam, ejus, qui percuſſus eſt, rationem habere, &, ſi poſtquam ab ictu decubuit, non convaluit, ſed mortuus eſt, is qui percuſſit involuntariæ cædis crimine, neceſſario, tenebitur: ſin autem ab ictu ſurrexit, & virga ſua innixus ambulavit, hoc eſt, non perfectè à morbo eſt liberatus, deinde mortuus eſt; eum qui percuſſit, non reputari ut homicidam. Quare nota etiam ex hoc quemadmodum diximus & in viii. Can. involuntariam cædem ex effectu oſtendi. Propterea enim nec de ictu laboramus, an ſit parvus, an magnus, ſed de morte quæ ex ictu proceſſit, ut cædes voluntaria à propoſito ſolo judicatur, etiamſi effectus ſive mors minime ſequatur. Nota autem ex præſenti Canone quòd in cæde involuntaria nonnulli

E ΒΑΛΣ. Ὁ νζ'. κανὼν τοῦ ἁγίου τούτου πατρὸς ἐπὶ δέκα χωρίζει τοὺς ἀκούσιον φόνον ποιήσαντας τῆς τῶν θείων ἁγιασμάτων μεταλήψεως. ὁ δὲ παρὼν κανών, φησί, τὸν μὴ μόνον ἐπὶ δέκα ἔτεσι, ἀλλὰ ἕνδεκα, μὴ μετασχόντα τῶν ἁγιασμάτων ἀκούσιον φονευτὴν ἐκ περιουσίας δέχεσθαι. εἶτα προστίθησι μὴ ἀπεντεῦθεν ὡς φονέα κατακρίνεσθαι τὸν πλήξαντά τινα, κἂν καιρίαν ἐπήνεγκε πληγὴν, μὴ ἐπὶ σκοπῷ μέντοι φόνου. ἀλλὰ χρὴ, φησὶ, κατὰ τὸν Μωσαϊκὸν νόμον, προσέχειν ἐπὶ τῷ πληγέντι. καὶ εἰ μὲν μετὰ τὸ κατακλιθῆναι ἐκ τῆς πληγῆς πρὸς ὑγείαν οὐ προέκοψεν, ἀλλὰ ἐτελεύτησεν, ἐξ ἀνάγκης ὑποκεῖσθαι τὸν πλήξαντα τῷ τοῦ ἀκουσίου φόνου ἐγκλήματι. εἰ δὲ ἀνέστη ἐκ τῆς πληγῆς, καὶ περιεπάτησεν ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, ἤγουν

F μὴ τελείως ἀπηλλάγη τῆς ἀσθενείας, εἶτα ἀπέθανε, μὴ λογίζεσθαι τὸν πλήξαντα φονέα. ὥστε σημείωσαι καὶ ἀπὸ τούτου, καθὼς εἴπομεν καὶ ἐν τῷ ή. κανόνι, τὸν ἀκούσιον φόνον ἐκ τοῦ ἀποτελέσματος ἀναφαίνεσθαι. διὰ τοῦτο γὰρ οὐδὲ τὴν πληγὴν περιεργαζόμεθα, εἴτε μικρὰ γέγονεν, εἴτε μεγάλη, ἀλλὰ τὸν ἐκ τῆς πληγῆς θάνατον. ὥσπερ ὁ ἑκούσιος φόνος ἐκ μόνης τῆς προθέσεως κατακρίνεται, κἂν μὴ προβῇ ἀποτέλεσμα, ἤτοι θάνατος. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐπὶ τοῦ ἀκουσίου φόνου καλῶς τινὲς πολυπραγμονοῦσι κατὰ ποίαν ἡμέραν ἡ πληγὴ ἐπηνέχθη, καὶ μετὰ πόσας ἡμέρας ἐπηκολούθησε τῷ πληγέντι ὁ θάνατος. κἂν γὰρ πολὺς παρῆλθε μετὰ τὴν πληγὴν χρόνος, ὅμως δὲ ἐκ τῆς τοιαύτης αἰτίας ἔθανεν ὁ τὴν πληγὴν ὑποστὰς, οὐδὲν ἧττον γενέσθαι λέγομεν τὸν ἀκούσιον φόνον. ἀνάγνωθι καὶ τὸν η'. κανόνα τοῦ ἁγίου τούτου πατρὸς, καὶ τὴν ἑρμηνείαν αὐτοῦ.

ΖΩΝΑΡ. Ἀκούσιόν τις ἐποίησε φόνον, καὶ ἕνδεκα διεβίβασε χρόνους ἀφωρισμένος. ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ χρὴ λυθῆναι αὐτὸν τοῦ δεσμοῦ. καὶ ἀπεκρίνατο, ὅτι ἐν τοῖς ἕνδεκα ἔτεσιν ἀρκούντως ἐξεπλήρωσε τὴν δίκην· ἤγουν τὴν τιμωρίαν. τὰ δὲ ἕνδεκα ἔτη εἶπεν, οὐχ ὡς τοσούτῳ χρόνῳ τοῦ ἀκουσίως φονεύσαντος ἐπιτιμωμένου. δεκαετίαν γὰρ ὁ τοιοῦτος ἐπιτιμᾶται, κατὰ τὸν νζ. κανόνα τοῦ μεγάλου τούτου πατρός· ἀλλ' ὡς οὕτω τοῦ φάκτου ἔχοντος. εἶτα φησὶν, ὅτι ἐν τοῖς πληγεῖσι καὶ ἀποθανοῦσι, παρατηρήσομεν, ἤτοι παραφυλάξομεν τὸν νόμον τὸν Μωσαϊκὸν, ὅστις ὥρισε τὸν πληγέντα παρά τινος καὶ κατακλιθέντα διὰ τὰς πληγάς· ἐὰν μετὰ ταῦτα ἐξαναστῇ, καὶ περιπατήσῃ ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ· ἤτοι κἂν μὴ τελείως ἀπαλλαγῇ τῆς ἀσθενείας, ἀλλὰ τέως βαδίσῃ τῇ ῥάβδῳ αὐτοῦ ἐπιστηριζόμενος, ὡς ἔτι λείψανα φέρων τῆς ἀσθενείας· εἶτα ἀποθάνῃ, μὴ δοκεῖν φονευθῆναι, μηδὲ τὸν πλήξαντα αὐτὸν φονέα λογίζεσθαι. ταῦτα μὲν οὖν τὰ τοῦ Μωσέως. εἶτα ἐπάγει ὁ ἅγιος· ὅτι κἂν οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλὰ κείμενος ἐξ αὐτῶν ἐτελεύτησε, φονεὺς μὲν ὁ πλήξας αὐτὸν κριθήσεται, ἀκούσιος δέ· οὐδὲ γὰρ σκοπὸν ἔχεν ἀνελεῖν αὐτὸν, ἀλλὰ τυπτῆσαι.

ΑΡΙΣΤ. Ὁ ἀκουσίως φονευτὴς, δεκαετίαν ὑποπιπτέτω. Σαφής.

ΚΑΝΩΝ ιβ'.

Τοὺς διγάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.

ΒΑΛΣ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ. κανόνα τῶν ἁγίων ἀποστόλων λέγει, καὶ ὑπηρεσίαν, τὴν ἐκκλησιαστικὴν κλήρωσιν. καὶ ἀνάγνωθι τὸν ῥηθέντα κανόνα.

ΖΩΝΑΡ. Κανόνα ἐνταῦθα ὁ ἅγιος τὸν ιζ'. λέγει τὸν ἀποστολικὸν, οὕτω διαταττόμενον. ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ΑΡΙΣΤ. Ὁ δίγαμος, καὶ ἀκλήρωτος.

Καὶ ἄλλοι πολλοὶ τῶν κανόνων τὸν δίγαμον τῆς ἱερωσύνης ἐκώλυσαν.

ΚΑΝΩΝ ιγ'.

Τοὺς ἐν πολέμοις φόνους οἱ πατέρες ἡμῶν ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖν, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας μόνης ἀπέχεσθαι.

ΒΑΛΣ. Διὰ τοῦ παρόντος κανόνος ὑποτίθησιν ὁ ἅγιος συμβουλευτικῶς, τοὺς ἐν πολέμῳ φονεύσαντας ἀπέχεσθαι τῆς κοινωνίας δι' ὅλης τριετίας, κἂν οἱ πατέρες τοῖς τοιούτοις συγγνώμην δεδώκασι, καὶ μετὰ φονέων αὐτοὺς οὐκ ἐλογίσαντο, ἀγωνισαμένοις ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης τῶν μελλόντων αἰχμαλωτισθῆναι πιστῶν. οὗτος δὲ ὁ κανὼν ἀξίως μὲν τῇ ἁγιοπρεπείᾳ τοῦ θείου πατρὸς ἐξετέθη, οὐκ ἐνεργεῖ δὲ, διὰ τὸ συμπίπτειν εἰ τοῦτο δοθῇ, μηδέποτε τοὺς

A male sunt nimiùm curiosi, quærentes quo die vulneratus est, & post quot dies eum, qui percussus est, mors consecuta est: etsi enim longum tempus post ictum præterierit, ex hac tamen causa mortuus est qui ictum sustinuit, nihilo secius factam esse dicimus cædem involuntariam. Lege & viii. Canonem hujus sancti patris, & ejus interpretationem.

Zonar. Involuntariam quis cædem patravit, ac undecim annos transegit segregatus. Rogatus fuit ergo sanctus vir, an illum eo vinculo solvi oporteat: Responditque undecim annorum spatio satis supplicii B luisse, satis pœnarum. Undecim porro annos dixit, non quod tanto tempore, qui involuntarie occidit, puniatur: decennium namque hisce hominibus, quinquagesimo septimo Canone hujus magni Patris, mulctæ nomine constitutum est: sed quòd ita sese res in hoc homine haberet. Deinde asserit, in iis qui percussi ac mortui sunt, retinendam, hoc est servandam esse Mosaicam legem, quæ decrevit hominem, qui à quopiam percussus est, moxque decubuit, si postea è lectulo surrexerit, ambulaveritque bacillo innixus, hoc est, etiamsi haudquaquam plane fuerit ab imbecillitate liberatus, sed eousque ut bacillo innixus incedat, quasi imbecillitatis reliquias adhuc retinens, ac deinde moriatur, non videri oc- C cisum esse, nec qui illum percussit homicidam existimari. Hæc ergo sunt quæ Moses statuit. Subjicit deinde sanctus; si minus exurrexerit postquam ictus est, sed jacens propter ictus sit extinctus, fore quidem, qui illum percussit, judicandum homicidam, sed involuntarium. Neque enim mens ei fuit ipsum interficere, sed verberare.

Arist. *Involuntarius homicida decennio substerpatur.* Perspicuus.

Canon XII. D

Digamos Canon omnino à ministerio exclusit.

Bals. Sanctus hîc Canonem xvii. Canonem Apostolorum dicit, & ministerium dicit Ecclesiasticum clericatum: & lege dictum Canonem.

Zonar. Canonem hoc loco sanctus vir intelligit Apostolicum decimum septimum, quo sic decernitur: Qui duobus conjugiis post baptismum implicitus fuerit, concubinámve habuerit, non potest esse Episcopus, vel Presbyter, vel Diaconus, vel in sacro ordine quomodocunque censeri. E

Arist. *Bigamus etiam non sit Clericus.*

Et alii multi Canones digamum à sacerdotio arcent.

Canon XIII.

Cædes in bellis factas patres nostri pro cædibus non reputavère, ut mihi videtur, ignoscentes iis, qui pro pudicitia & pietate decertant. Rectè autem fortè habet consulere, ut, tanquam manibus impuris, sola trium annorum communione abstineant. F

Bals. Per præsentem Canonem sanctus consulendo suggerit, ut qui in bello cædem fecerunt toto triennio à communione abstineant: etiamsi patres eis veniam dederunt, & inter homicidas eos non reputaverunt, qui pro pietate & pudicitia decertavere fidelium, qui erant in servitutem redigendi. Hic autem Canon divini patris sanctitati convenienter editus est, sed non est in usu, quòd ex eo eveniret, si admitteretur, ut milites sacramentorum nunquam essent participes, cùm in crebris bellis verſentur, & hoſtes interficiant: quod non eſt ferendum. Scriptum eſt enim, quòd cum Phocas ille Imperator vellet eos martyribus annumerari qui in bellis occiduntur, qui tunc erant Antiſtites hoc uſi Canone imperatoriam inſtantiam ſilentio mandarunt, dicentes: Quomodo eos qui in bellis ceciderunt inter martyres annumerabimus, quos magnus Baſilius, ut qui non eſſent puris manibus, triennio à ſacramentis prohibuit? Cum autem multi ſacerdotes, & unus quidem Epiſcopus, ſe juſſu imperatorio ſynodaliter ſtitiſſet, & cum hoſtibus ſe manus conſeruiſſe multoſque ex iis occidiſſe faſſi eſſent, divina & ſancta ſynodus conſequenter huic Canoni, & xliii. ejuſdem ſancti & aliis divinis conſtitutionibus, volebat ipſos non amplius ſacra celebrare. Complures autem, & qui erant paulo magis militares, eos etiam præmiis dignos eſſe contendebant. Multi autem, qui in tempore ludicri cum virgis certaminis homines interfecerant, homicidis annumerati ſunt, qui involuntariam voluntariè cædem perpetrarunt, utpote cum hoc ludicrum non ſit ex iis quinque, quæ lege agnoſcuntur, quæ etiam certamina agonéſque dicuntur, ſcilicet pugillatus, curſus, ſaltus, diſcus, palæſtra. Quare qui in eis ludicris interficiunt, præjudicio non afficiuntur.

Zonar. Haudquaquam præcipiens ſanctus vir iis, qui in bello interfecerunt triennio à communione abſtinendum eſſe aſſerit, ſed conſilium proponens. Oneroſum nihilominus id conſilium videri poſſit. Ex illo namque contingat, ut divinis muneribus nunquam milites communicent; præſertim qui robur præferunt, ac ſe ſtrenuos præ cæteris exhibent. Nunquam enim iis dabitur facultas ad triennium quieſcendi. Si ergo qui bellis crebris exercentur, & hoſtes interficiunt, à communione arcentur, toto vitæ tempore boni communione privati degent. Quæ quidem pœna eſt Chriſtianis haud tolerabilis. Quam vero ob cauſam nequaquam puras manus gerere judicabuntur, qui pro Republica & fratribus dimicant, ne captivi abducantur ab hoſtibus, aut ut in ſervitutem abductos liberent? Nam ſi ab interficiendis barbaris caveant, quaſi manus ex hoc polluentes, peſſum ibunt omnia, cunctorumque barbari potientur. Quæ antiqui quoque Patres animo reputantes, qui in bello interficerent haudquaquam homicidis adnumerarunt, veniam ipſis dantes, ſiquidem, ut hic ait ſanctus, pro pudicitia ac pietate decertarent. Si namque rerum potiantur barbari, nequa ulla pietas, neque pudicitia ſupererit. Pietatem namque abjicient, ſuam religionem retinentes: Pudicitiam vero retinendi nulli fiet facultas, ſed illorum legibus vivere omnes cogentur. Cæterum ille divinarum rerum apprime peritus Athanaſius, in ſua ad Ammum monachum Epiſtola Canonica, hæc expreſſè dicit; Interficere quenquam plane haud licet: Verùm in bellis adverſarios occidere, & legibus permiſſum & laude dignum eſt. Proinde exiſtimo hoc magni Baſilii conſilium nullatenus unquam ſervatum fuiſſe. Tamen certo quodam tempore iis, qui pro traditionibus Eccleſiaſticis propugnabant, utilis fuit. Cum enim Imperator Nicephorus Phocas, quemadmodum memoriæ proditum eſt, eos, qui in bellis ciciderant, martyribus adnumerari poſtularet, ac eodem quo illi more laudari & coli: contra objecerunt, qui tunc temporis fuêre Summi Sacerdotes, haud æquum eſſe ejuſmodi hominibus venerationem impendi. Quod cum non perſuaderent, poſtremo hoc veluti Canone uſi ſunt, dicentes; Quonam modo nos cum martyribus eos, qui in bellis ceciderunt, adnumerabimus, quos magnus Baſilius, tanquam qui impuras manus gererent, triennio à ſacramentis arcuit?

A στρατιώτας μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων, πολέμοις ἀλλεπαλλήλοις ἐνοχλουμένους, καὶ ἀναιροῦντας τοὺς πολεμίους, ὅπερ ἐστὶν ἀφόρητον. γέγραπται δὲ ὡς τοῦ βασιλέως ἐκείνου Φωκᾶ ἀξιοῦντος μετὰ μαρτύρων συναριθμεῖσθαι τοὺς ἐν πολέμοις ἀναιρουμένους, οἱ τότε ἀρχιερεῖς τῷ κανόνι τούτῳ χρησάμενοι, τὴν βασιλικὴν ἔνστασιν κατεσίγησαν, φάμενοι, πῶς τοῖς μάρτυσι συναριθμήσομεν τοὺς ἐν πολέμοις πεσόντας, οὓς ὁ μέγας Βασίλειος ὡς μὴ καθαροὺς τὰς χεῖρας ἐπὶ τριετίαν ἐκώλυσε τῶν ἁγιασμάτων; διαφόρων δὲ ἱερέων παραστάντων συνοδικῶς κατὰ βασιλικὸν ὁρισμὸν, ἀλλὰ μὴν καὶ Ἐπισκόπου τινὸς, καὶ ἐξομολογησαμένων μετὰ πολεμίων B συμπλακῆναι καὶ ἀνελεῖν πολλοὺς ἐξ αὐτῶν, ἡ μὲν θεία καὶ ἱερὰ σύνοδος, ἀκολούθως τῷ κανόνι τούτῳ καὶ τῷ .μγ΄ τοῦ αὐτοῦ ἁγίου καὶ ἑτέραις θείαις διαταγαῖς, ἤθελε μηκέτι αὐτοὺς ἱερουργῆσαι· οἱ πλείους δὲ, καὶ μᾶλλον οἱ στρατιωτικώτεροι, καὶ βραβείων αὐτοὺς ἀξίους εἶναι διενίσταντο. πολλοὶ δὲ, ἀνελόντες ἀνθρώπους ἐν τῷ καιρῷ τῆς μετὰ ῥάβδων παιγνικῆς συμβολῆς, μετὰ φονέων ἐλογίσθησαν ἑκουσιοακουσίων, διὰ τοῦ τοιούτου παιγνίου μὴ ὄντος ἀπὸ τῶν ἐπιγινωσκομένων πέντε τῷ νόμῳ παιγνίων, τῶν καὶ ἀγώνων λεγομένων, ἤγουν τῆς πυγμῆς, τοῦ δρόμου, τοῦ πηδήματος, τοῦ δίσκου, καὶ τῆς παλαίστρας· ὥστε οἱ ἐν τοῖς τοιούτοις παιγνίοις φονεύοντες, C οὐ προσεγκληματίζονται.

ΖΩΝΑΡ. Οὐ κατ᾽ ἐπιταγὴν ὁ ἅγιος φησὶ, τοὺς ἐν πολέμοις ἀναιροῦντας ἐπὶ τριετίαν ἀπέχεσθαι τῆς κοινωνίας, ἀλλὰ κατὰ συμβουλήν. πλὴν φορτικὴ δοκεῖ συμβουλή. συμβαίη γὰρ ἂν ἐκ ταύτης, μηδέποτε τοὺς στρατιώτας μεταλαβεῖν τῶν θείων δώρων, καὶ μάλιστα τοὺς θάρσος ἐνδεικνυμένους, καὶ ἀριστεῖς. οὐ γὰρ ἄν ποτε σχοῖεν ἄδειαν ἐπὶ τριετίαν ἠρεμῆσαι. εἰ γοῦν οἱ πολέμοις ἀλλεπαλλήλοις σχολάζοντες, καὶ ἀναιροῦντες τοὺς πολεμίους, εἴργονται τῆς κοινωνίας, ἔσονται διὰ βίου στερούμενοι τῆς τοῦ ἀγαθοῦ μεταλήψεως. ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. διατί δὲ τὰς χεῖρας οὐ καθαροὶ D κριθεῖεν οἱ ὑπὲρ τοῦ πολιτεύματος καὶ τῶν ἀδελφῶν ἀγωνιζόμενοι, ἵνα μὴ ληφθεῖεν τοῖς πολεμίοις, ἢ ἵνα αἰχμαλωτισθέντας ἐλευθερώσωσιν; εἰ γὰρ φονεύειν τοὺς βαρβάρους διευλαβηθήσονται, ὡς τὰς χεῖρας ἐντεῦθεν μιαίνοντες, οἰχήσεται ξύμπαντα, καὶ κρατήσουσιν οἱ βάρβαροι πάντων· ἃ καὶ οἱ πάλαι πατέρες λογισάμενοι, οὐ τοῖς φονεῦσι συγκατέλεξαν τοὺς ἐν πολέμοις φονεύοντας, συγγνωμονήσαντες αὐτοῖς, ὡς οὗτος ἔφησεν ὁ ἅγιος, ὡς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. εἰ γὰρ οἱ βάρβαροι κυριεύσουσιν, οὔτε εὐσέβεια ἔσται, οὔτε σωφροσύνη. τὴν μὲν γὰρ εὐσέβειαν ἀθετήσουσι, τὸ οἰκεῖον σέβας κρατύνοντες· τὴν δὲ σωφροσύνην οὐδεὶς E μετιέναι συγχωρηθήσεται, ἀλλὰ ζῆν κατ᾽ ἐκείνους ἅπας ἐκβιασθήσεται. ὁ δὲ τὰ θεῖα πολὺς Ἀθανάσιος ἐν τῇ πρὸς Ἀμμοῦν μονάζοντα κανονικῇ ἐπιστολῇ ταῦτα λέγει ῥητῶς, φονεύειν οὐκ ἔξεστιν· ἀλλ᾽ ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους ἔννομόν τε καὶ ἐπαίνου ἄξιον. οἶμαι γοῦν, ὡς οὔποτε ἡ τοῦ μεγάλου Βασιλείου ὑποθήκη αὕτη ἐκράτησε· πέως δ᾽ ἐν καιρῷ τοῖς ἀντεχομένοις τῶν ἐκκλησιαστικῶν παραδόσεων ἐλυσιτέλησε. τοῦ γὰρ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, ὡς ἱστόρηται, ἀπαιτοῦντος τοὺς ἐν πολέμοις ἀναιρουμένους συντάττεσθαι τοῖς μάρτυσι, καὶ κατ᾽ ἐκείνους τιμᾶσθαι καὶ ὑμνεῖσθαι, οἱ τότε ἀρχιερεῖς ἀντεπέφερον μὴ δίκαιον εἶναι τοὺς τοιούτους τιμᾶσθαι. καὶ μὴ πείθοντες F τελευταῖον, ὡς κανόνι τούτῳ ἐχρήσαντο φάμενοι. πῶς ἡμεῖς τοῖς μαρτυρήσασι τοὺς ἐν πολέμοις πεσόντας συναριθμήσομεν, οὓς ὁ μέγας Βασίλειος, ὡς μὴ καθαροὺς τὰς χεῖρας, ἐπὶ τριετίαν τῶν ἁγιασμάτων ἀπεῖρξεν;

UMI

ΑΡΙΣΤ. Ο πολεμιστὴς τῇ εὐσεβείᾳ, εἰ καὶ ἀμύνοι, τριετίαν ἀπεχέσθω τῆς κοινωνίας.

Τοὺς ἐν πολέμοις φόνους, μὴ φόνους λογισθέντας παρὰ τῶν πατέρων, καθὼς καὶ ὁ μέγας Ἀθανάσιος πρὸς Ἀμοῦν μονάζοντα ἐπιστέλλει, τιμῶν μεγάλων, λέγων, ἀξιοῦσθαι τοὺς ἐν πολέμοις ἀριστεύσαντας χρὴ, καὶ στήλας τούτων ἐγείρεσθαι, κηρυττούσας τὰ κατορθώματα, ὡς ἀναιροῦντας τοὺς ἀντιπάλους, καὶ πρᾶγμα ποιοῦντας ἔννομον, καὶ ἐπαίνου ἄξιον· οὐδὲ ὁ μέγας οὗτος ἀνὴρ τὴν κρίσιν αὐτῶν ἀποδοκιμάζει. διὰ τὸ, ὑπὲρ σωφροσύνης, καὶ εὐλαβείας, ἀμύνεσθαι τὸν πολεμιστήν. πλὴν συμβουλεύει καλὸν εἶναι, τῆς κοινωνίας μόνης τὸν τοιοῦτον ἀπέχεσθαι· διὰ τὸ μὴ καθαρὰς ἔχειν τὰς χεῖρας.

ΚΑΝΩΝ ιδ΄.

Ο τόκους λαμβάνων, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλῶσαι· καὶ τοῦ λοιποῦ, τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.

ΒΑΛΣ. Ο μὲν μδ΄. κανὼν τῶν ἁγίων ἀποστόλων, τοὺς τοκίζοντας Ἐπισκόπους ἢ πρεσβυτέρους, ἢ διακόνους παύεσθαι ἢ καθαιρεῖσθαι διορίζεται. ὁ δὲ ιζ΄. κανὼν τῆς α΄. συνόδου, πάντας τοὺς κανονικοὺς τοκίζοντας, καθαιρεῖσθαι παρακελεύεται· ἀνάγνωθι. οὖν τὰς τῶν τοιούτων κανόνων ἑρμηνείας. ἐπεὶ δὲ ὁ πολιτικὸς νόμος οὐ κολάζει τοὺς λαϊκοὺς τοκίζοντας, ἀλλὰ καὶ μᾶλλον ἐπιτρέπει μετὰ τόκου δανείζειν, τινὲς δὲ ὡς ἔοικε δανείζοντες οὕτως ἤθελον ἀξιωθῆναι βαθμοῦ ἱερατικοῦ, καὶ οὐκ ἐδέχοντο διὰ τὴν τοῦ τόκου αἰσχροκέρδειαν, φησὶν ὁ ἅγιος καὶ τοὺς τοιούτους δέχεσθαι εἰς ἱερωσύνην, ἐὰν τὰ ἀπὸ τόκου συναχθέντα εἰς πτωχοὺς ἀναλώσωσι, καὶ καταθῶνται μηκέτι τοῦτο ποιῆσαι.

ΖΩΝΑΡ. Ο ιζ΄. κανὼν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου τοὺς ἐπὶ τόκοις δανείζοντας ἱερωμένους καθαιρεῖσθαι προστάττει. ὁ δὲ μέγας οὗτος πατὴρ, εἰ τὸ ἐκ τῶν τόκων κέρδος, φησὶν, εἰς πτωχοὺς ἀναλώσει, καὶ τοῦ λοιποῦ ἀπόσχηται τοῦ τοκίζειν, δεκτός ἐστιν εἰς ἱερωσύνην. ἴσως οὖν τισιν ἐναντιοῦσθαι δόξει τῷ τῶν ἐν Νικαίᾳ πατέρων κανόνι ὁ παρὼν κανών· ἀλλ' οὐκ ἔστι τοῦτο. ἐκεῖνος μὲν γὰρ περὶ ἱερωμένων διατάττεται τοκιζόντων, οὗτος δὲ περὶ λαϊκῶν, καὶ τὸν ἀποσχόμενον τοῦ τοκίζειν λαϊκῶν, καὶ τὸ ἐκεῖθεν περιελθὸν αὐτῷ κέρδος διαδιδόντα πτωχοῖς, μὴ ἐμποδίζεσθαι λέγει προαχθῆναι εἰς ἱερωσύνην.

ΑΡΙΣΤ. Ο τόκους λαμβάνων, δεκτὸς εἰς ἱερωσύνην, διορθούμενος.

Διόρθωσις δὲ τούτου αὕτη ἐστὶ, τὸ ἀναλῶσαι εἰς πτωχοὺς τὸ ἐπισυναχθὲν ἐκ τῶν τόκων ἄδικον κέρδος, καὶ ὑποσχέσθαι μηκέτι τῷ τοιούτῳ τῆς φιλοχρηματίας νοσήματι ἐμπεσεῖν.

ΚΑΝΩΝ ιε΄.

Θαυμάζω δέ σου, τὴν γραμματικὴν ἀκρίβειαν ἐπὶ τῆς γραφῆς ἀπαιτοῦντος, καὶ λογιζομένου ὅτι ἠναγκασμένη ἐστὶν ἡ λέξις τῆς ἑρμηνείας τὸ ἑαυτῆς εὔσημον ἐκδιδούσης, οὐ τὸ κυρίως ὑπὸ τῆς Ἑβραϊκῆς φωνῆς σημαινόμενον μεταθείσης. ἐπεὶ δὲ δεῖ μὴ ἀργῶς παρελθεῖν τὸ ὑπ' ἀνδρὸς ζητητικοῦ κινηθὲν πρόβλημα, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης καὶ ἐν τῇ κοσμοποιΐᾳ τὴν αὐτὴν ἔλαχον γένεσιν. ἐκ τῶν ὑδάτων γὰρ ἐξήχθη ἀμφότερα τὰ γένη. τὸ δὲ αἴτιον, ὅτι ταυτόν ἐστιν ἑκατέροις ἰδίωμα. τὰ μὲν γὰρ διανήχεται τὸ ὕδωρ, τὰ δὲ ἐπινήχεται τῷ ἀέρι. διὰ τοῦτο μὲν οὖν κοινῇ αὐτῶν ἐπεμνήσθη. τὸ δὲ σχῆμα τοῦ λόγου, ὡς μὲν πρὸς τοὺς ἰχθύας, ἀκαταλλήλως ἀποδέδοται, ὡς δὲ πρὸς πάντα τὰ ἐν ὕδασι διαιτώμενα, καὶ πάνυ οἰκείως. τὰ γὰρ πετεινὰ τοῦ οὐρανοῦ ὑποτέτακται τῷ ἀνθρώπῳ, καὶ οἱ ἰχθύες τῆς θαλάσ-

A **Arist.** *Qui pro pietate pugnat, etiamſi defendat, triennio à communione abſtineat.*

Homicidia in bellis facta non homicidia à patribus reputata ſunt (quemadmodum & magnus Athanaſius ad Ammum Monachum miſit, dicens, eos qui ſe in bello fortiſſimè geſſerunt magnis honoribus dignari oportet, & cippos illorum erigere geſta indicantes, ut qui reluctantes abſtulerunt, & opus legitimum perfecerunt & laude dignum) neque magnus hic vir judicium eorum improbat, quia pro pudicitiâ & pietate hoſtes propulſant. Sed monet bonum eſſe ut talis à communione ſolâ abſtineret, B quia puras non habet manus.

Canon XIV.

Qui uſuras accipit, ſi injuſtum lucrum in pauperes conſumere voluerit, & ab avaritiæ morbo deinceps liberari, eſt ad ſacerdotium admittendus.

Bals. Sanctorum quidem Apoſtolorum Canon xliv. Epiſcopos vel Presbyteros vel Diaconos fœnerantes ceſſare vel deponi oportere definit. xvii. autem Canon primæ ſynodi omnes Canonicos fœnerantes de- C poni jubet. Lege ergo eorum Canonum interpretationes. Sed quia lex civilis non punit laicos fœnerantes, ſed etiam permittit ad uſuram mutuò dare; nonnulli autem, ut eſt veriſimile, fœnerantes volebant ad ſacrum ordinem promoveri, & propter turpe lucrum eis non permittebatur: dicit ergo ſanctus eos etiam ad ſacerdotium admittendos, ſi quæ ex uſuris collecta ſunt in pauperes conſumpſerint, & ſe id aſſeruerint non amplius facturos.

Zonar. Decimus ſeptimus Nicenæ primæ Synodi Canon eos qui fœnerantur, ſiquidem ſacris initiati ſint, D deponi jubet. Hic vero magnus Pater, ſiquidem, inquit, fœnebre lucrum in pauperes diſtribuant, ac deinceps à fœnerando abſtineant, in ſacrum ordinem admitti poterunt. Forte igitur præſentem Canonem edito à Nicenis Patribus Canoni adverſari quiſpiam exiſtimaverit: ſed non eſt ita. Ille ſiquidem de ſacris ordinibus initiatis, hic autem de laicis fœnerantibus decernit. Et eum qui à fœnerando abſtineat laicum; quodque illi inde ſupereſt lucrum pauperibus largiatur, haudquaquam impediri aſſerit, quominus in ſacrum ordinem promoveri poſſit.

Arist. *Qui uſuras accipit, correctus in ſacerdo- E tium admittitur.*

Hujus autem correctio hæc eſt, ut in pauperes expendat injuſtum lucrum ex uſuris collectum, & profiteatur ſe poſthac in iſtiuſmodi avaritiæ morbum non incidere.

Canon XV.

Admiror autem tuam literalem in ſcriptura ſubtilitatem, qui poſtules, & reputes coactam eſſe dictionem, utpote interpretatione, quòd à ſe bene ſignificatur, exprimente, non quòd à voce Hebræa propriè denotatur transferente. Quia autem oportet quæſtionem, quæ à viro quæ- F rendi ſtudioſo poſita eſt, non ocioſè præterire: Volucres cæli, & piſces maris, etiam in mundi creatione eandem generationem ſortiti ſunt. Ambo enim genera ex aquis producta ſunt. Cauſa autem, quòd utriſque eadem eſt proprietas. Hi autem per mare natant, illi verò ſupernatant aëri. Propterea ergo eorum communiter meminit. Figura autem orationis, ut ad piſces quidem, propriè reddita: ut autem ad omnia quæ degunt in aquis, omnino etiam aptè. Nam & volucres cæli homini ſubjecti ſunt & piſces maris, & non *ipſi ſolum, ſed & omnia quæ maris ſemitas perambulant. Non enim ſi quid eſt aquatile, eſt etiam piſcis, ut ſunt cete, balenæ, & zygenæ, & delphines, & phocæ, & præterea equi, & canes, & ſerræ, & gladii, & boves marini: ſi vis autem etiam urticæ, & pectines, & omnia teſtacea, quorum nullum eſt piſcis. Et omnia quæ vias maris perambulant, ut ſint tria genera, volucres cæli, piſces maris, & quæcunque aquatilia à piſcibus diſtincta ipſa quoque maris ſemitas perambulant.*

CANON XVI.

Naaman autem non magnus apud Dominum, ſed apud dominum ſuum: hoc eſt, unus erat ex iis, qui magnam obtinebant poteſtatem apud Regem Syrorum: ſcripturæ ergo diligenter mentem adhibe, & invenies hinc ſolutionem quæſtionis.

BALS. Præſentes duo Canones xv. & xvi. cum nullam Canonicam & communem faciant traditionem, ſed ſcripturæ tantum dicta explicent, non ſunt à nobis interpretati: ut qui ſcripturæ dicta explicare non ſtatuerimus, ſed Canonica & legalia præcepta.

ZONAR. in Can. xv. Interrogatio quidem aperte non explicatur: Videtur autem, quantum ex magni Baſilii reſponſione colligere licet, ejuſmodi eſſe. Quonam modo volucrum cœli & piſcium maris David ſimul meminerit, rurſúmque ſubjungat, Quæ perambulant ſemitas maris? Supervacanea ſiquidem hæc additio videtur fuiſſe. Ad illud igitur. quòd ſimul avium piſciumque meminerit, reſpondet, utraque ex aquis producta fuiſſe, illincque ortum habuiſſe; faciléque id apparere, propterea quod volucribus pariter & piſcibus eadem proprietas inſit. Piſces nempe aquis innatant, volucres verò ſupernatant aëri; ac illi quidem motu alarum natant, caudâ vero tanquam gubernaculo utuntur: volucres autem eodem modo alis quidem volant, caudam verò ad converſiones ac directos curſus adhibent. Quòd autem non ſupervacaneò porro dixerit Pſalmiſta, piſces & quæ perambulant ſemitas maris, reſpondet, non omnia, quæ ſub aquis degunt, piſcium nomine ſignificari, neque enim cete piſces nominantur, neque teſtacea, & alia quædam, veluti ſepiæ, polypodes, & hiſce affinia. Ut proinde tria ſint genera, volatilia, & piſces, & quæcunque aquatilia quidem cum ſint, non tamen piſcium generi adnumerantur.

ZONAR. in Can. xvi. Interrogatus eſt ſanctus, quomodo dicat ſcriptura Neeman, fuiſſe magnum apud Dominum: & dixit, non fuiſſe Neeman magnum apud Deum, ſed apud dominum ſuum, ſive, fuiſſe unum ex familiaribus ejus, & qui magnam apud eum poteſtatem obtinebant.

ARIST. Can. xv. *Volucres cæli & piſces maris Scriptura ſimul refert: propterea quod utrorumque ortus ex mari ſit. Addidit vero, quæ per ſemitas marium tranſeunt, propter cetacea, & teſtacea, quorum nullum eſt piſcis.*

ARIST. Can. xvi. *Naaman magnus apud dominum: non Deum, ſed dominum ſuum.*

In hiſce duobus capitibus, nempe xv. & xvi. nulla eſt interpretatio, quoniam iſta ſunt potius interpretationes Scripturæ verborum à ſancto Amphilochio Baſilio magno emiſſorum. Ad quæſtiones enim de quibus ille hæſitavit, reſponſum dedit.

A σης. καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλάσσης. οὐ γὰρ εἴ τι ἔνυδρον, καὶ ἰχθύς ἐστιν, ὡς τὰ κητώδη, βάλαιναι, καὶ ζύγαιναι, καὶ δελφῖνες, καὶ φῶκαι, καὶ πρόσετι ἵπποι, καὶ κύνες, καὶ πρίονες, καὶ ξιφίαι, καὶ οἱ θαλάσσιοι βόες· εἰ δὲ βούλει, καὶ ἀκαλῆφαι, καὶ κτένες, καὶ τὰ ὀστρακόδερμα πάντα, ὧν οὐδὲν ἐστὶν ἰχθύς. καὶ πάντα ἃ διαπορεύεται τρίβους θαλάσσης, ὡς εἶναι γ'. τὰ γένη, πετεινὰ οὐρανοῦ, ἰχθύας θαλάσσης, καὶ ὅσα τῶν ἐνύδρων τοῖς ἰχθύσιν ἀντιστελλόμενα διαπορεύονται καὶ αὐτὰ τὰς τρίβους θαλάσσης.

ΚΑΝΩΝ ις'.

B Ὁ δὲ Νααμὰν οὐχὶ μέγας παρὰ κυρίῳ, ἀλλὰ παρ' αὐτῷ κυρίῳ αὐτοῦ· τουτέστι, τῶν παραδυναστευόντων ἦν τῷ βασιλεῖ τῶν Σύρων. πρόσεχε οὖν ἀκριβῶς τῇ γραφῇ καὶ αὐτόθεν εὑρήσεις τὴν λύσιν τοῦ ζητήματος.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὁ ιέ. καὶ ὁ ις'. μὴ ποιούμενοι κανονικὴν κοινὴν οἱανδήτινα παράδοσιν, ἀλλ' ἑρμηνείαν γραφικῶν ῥημάτων οὐκ ἐξηγήθησαν παρ' ἡμῶν, ὡς μηδὲ προθεμένων γραφικὰ ἑρμηνεύειν ῥήματα, ἀλλὰ κανονικὰ καὶ νομικὰ παραγγέλματα. C

ΖΩΝΑΡ. Τὸ μὲν ἐρώτημα σαφῶς οὐ δηλοῦται. ἔοικε δὲ ἀπὸ τῆς ἀποκρίσεως τοῦ μεγάλου Βασιλείου τοιοῦτον εἶναι. ὅτι πῶς τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης Δαβὶδ ὁμοῦ ἐμνήσθη, καὶ αὖθις ἔφη· τὰ διαπορευόμενα τρίβους θαλασσῶν. δοκεῖ γὰρ κατὰ τὸ περιττὸν ἐπαγαγεῖν τὴν προσθήκην ταύτην. πρὸς μὲν οὖν τὸ ὁμοῦ μνησθῆναι τῶν πετεινῶν καὶ τῶν ἰχθύων, φησίν· ὅτι καὶ ἄμφω ἐκ τῶν ὑδάτων παρήχθησαν, καὶ ἐκεῖθεν ἔσχον τὴν γένεσιν· καὶ τοῦτο δῆλον, ἐκ τοῦ τὸ αὐτὸ ἰδίωμα καὶ τοῖς πετεινοῖς καὶ τοῖς ἰχθύσι προσεῖναι. οἱ μὲν γὰρ ἰχθύες ἐννήχονται τοῖς D ὕδασι, τὰ δὲ πετεινὰ ἐπινήχονται τὸν ἀέρα· καὶ οἱ μὲν τῇ κινήσει τῶν πτερῶν νήχονται, τῷ δὲ οὐραίῳ εἰς κυβέρνησιν κέχρηνται· τὰ πετεινὰ δὲ ὁμοίως, τοῖς μὲν πτεροῖς πέτονται· τῇ δὲ οὐρᾷ πρὸς τὰς περιστροφὰς χρῶνται, καὶ τὰς κινήσεις τὰς κατευθύ. πρὸς δὲ τὸ μὴ παρέργως εἰπεῖν τὸν ψαλμῳδὸν· τοὺς ἰχθύας καὶ τὰ διαπορευόμενα τρίβους θαλασσῶν, ἔφη, ὅτι οὐχ ὅσα ἔνυδρα, πάντα ἰχθύες λέγονται, οὔτε γὰρ τὰ κητώδη ἰχθύες ὀνομάζονται, οὔτε τὰ ὀστρακόδερμα, καὶ ἄλλα τινά, οἷον σηπίαι, καὶ πολύποδες, καὶ τὰ τούτοις ὁμογενῆ. ὥστε τρία εἶναι γένη, πετεινά, καὶ ἰχθύας, καὶ ὅσα ἔνυδρα μέν, τῷ γένει δὲ τῶν ἰχθύων οὐ συνηρίθμηνται.

E **ΖΩΝΑΡ.** Ἠρωτήθη ὁ ἅγιος, καὶ πῶς ἡ γραφὴ λέγει τὸν Νεεμὰν μέγαν παρὰ κυρίῳ· καὶ εἶπεν, ὡς οὐ παρὰ τῷ Θεῷ μέγας ἦν ὁ Νεεμάν, ἀλλὰ παρὰ τῷ κυρίῳ αὐτοῦ· ἤγουν τῶν οἰκειωμένων ἐκείνῳ, καὶ πολλὰ παρ' ἐκείνῳ δυναμένων.

ΑΡΙΣΤ. Καν. ιέ. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης ἅμα εἶπεν ἡ γραφή· ὅτι ἐκ θαλάσσης ἀμφοτέρων ἡ γένεσις. ἐπήγαγε δὲ, τὰ διαπορευόμενα τρίβους θαλασσῶν, διὰ τὰ κητώδη, καὶ ὀστρακόδερμα, ὧν οὐδὲν ἐστὶν ἰχθύς.

F **ΑΡΙΣΤ.** Καν. ις'. Νεεμὰν μέγας παρὰ τῷ κυρίῳ· οὐ τῷ Θεῷ, ἀλλὰ τῷ κυρίῳ αὐτοῦ.

Ἐν τούτοις τοῖς δυσὶ κεφαλαίοις, ἤγουν τῷ ιέ. καὶ τῷ ις'. ἑρμηνεία οὐκ ἔστι, διὰ τὸ εἶναι ταῦτα μᾶλλον ἑρμηνείας τῶν ἀποῤῥηθέντων γραφικῶν ῥημάτων παρὰ τοῦ ἁγίου Ἀμφιλοχίου τῷ μεγάλῳ Βασιλείῳ. πρὸς γὰρ τὰ ζητήματα, ἃ παρ' αὐτοῦ διηπορεῖτο, ἐποιεῖτο καὶ τὴν ἀπόκρισιν.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΚΑΝΟΝΩΝ
ἐπιστολὴ β'.

ΚΑΝΩΝ ιζ'.

ΠΑΛΑΙ πρὸς τὰς παρὰ τῆς εὐλαβείας σου προτεθείσας ἡμῖν ἐρωτήσεις ἀποκρινάμενος, οὐκ ἀπέστειλα τὸ γράμμα, τοῦτο μὲν ὑπὸ τῆς ἀῤῥωστίας τῆς μακρᾶς καὶ ἐπικινδύνου ἀσχοληθεὶς, τοῦτο δὲ ὑπὸ τῆς ἀπορίας τῶν διακονουμένων. ὀλίγοι γὰρ παρ' ἡμῖν, καὶ ὁδοῦ ἔμπειροι, καὶ παρεσκευασμένοι πρὸς τὰς τοιαύτας ὑπηρεσίας. ὥστε μαθὼν τὰς αἰτίας τῆς βραδύτητος, δὸς ἡμῖν τὴν συγγνώμην. ἐθαυμάσαμεν δέ σου τὴν φιλομάθειαν ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην· ὅτι καὶ μαθεῖν καταδέχῃ, τὴν τοῦ διδάσκειν τάξιν πεπιστευμένος, καὶ μανθάνειν παρ' ἡμῶν, οἷς οὐδὲν μέγα πρόσεστιν πρὸς γνῶσιν. ἀλλ' ὅμως, ἐπειδὴ καταδέχῃ διὰ τὸν φόβον τοῦ Θεοῦ ποιεῖν πρᾶγμα οὐ ῥᾳδίως παρ' ἑτέρου γινόμενον, χρὴ καὶ ἡμᾶς τῇ προθυμίᾳ σου καὶ τῇ ἀγαθῇ σπουδῇ συναίρεσθαι, καὶ ὑπὲρ δύναμιν. ἠρώτησας ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δεκτός ἐστιν εἰς τὸν κλῆρον διὰ τὸν ὅρκον. ἐγὼ γὰρ ἤδη τινὰ καὶ κοινὸν ὅρον, περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὀμωμοκότων, τοῖς κατ' Αντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς. ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων. τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Αντιοχείᾳ ἐστὶν ἡ ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ· ἣν, ὡς αὐτὸς ἐπέστειλας ἡμῖν, τῆς Αντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο. ἔστιν οὖν δεκτὸς ἐκεῖνος ἀνὴρ ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάξαι τὴν ἐνόχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

ΒΑΛΣ. Ὡς ἔοικε τινὲς ἱερεῖς Αντιοχεῖς, ὧν εἷς ἦν καὶ ὁ Βιάνωρ, ὤμοσαν ἀπὸ ἀπειλῆς ἀπίστου τινὸς ὅρκον ἀθέμιτον, κἀντεῦθεν ἐσκανδάλισαν τοὺς ὀρθοδόξους, ὡς μὴ ὑπενεγκόντες τὴν ὄχλησιν τοῦ ἀπίστου. τοῦ γοῦν Βιάνορος ἐξ Αντιοχείας μετοικήσαντος εἰς τὸ Ἰκόνιον, καὶ τοῦ ἁγίου Αμφιλοχίου τοῦ ἀρχιερατεύοντος ἐν Ἰκονίῳ ἐρωτήσαντος τὸν ἅγιον, εἰ δεκτός ἐστιν εἰς κλῆρον ὁ αὐτὸς Βιάνωρ, ἀπελογήσατο ὁ ἅγιος ὅτι κοινὸν ὅρον ἤτοι κανόνα ἐξεθέμην περὶ τῶν ἐν Αντιοχείᾳ ὀμοσάντων ἱερέων, ἵνα οὗτοι τῶν μὲν δημοσίων ἤγουν κοινῶν συλλόγων ἀπέχωνται, ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων· ὅπερ καὶ ὁ Βιάνωρ ὑπ' ἀδείας ἔχει ποιεῖν. καὶ μᾶλλον ὅτι οὐδὲ ἐν Αντιοχείᾳ μέλλει ἱερουργεῖν, καὶ διὰ τοῦτο σκανδαλίζειν τοὺς ὁρῶντας αὐτὸν μετὰ τὸν ὅρκον ἱερουργοῦντας, ἀλλὰ ἐν Ἰκονίῳ ἔνθα μετῴκησε, καὶ ἴσως οὐδὲ σκανδάλου αἴτιος γενήσεται, ὡς τῶν πολλῶν μηδὲ εἰδότων τὴν τοῦ ὅρκου τελετήν. πλὴν οὖν φησὶ, κἂν δεκτός ἐστιν εἰς τὸ ἱερουργεῖν, ἀλλὰ ἀπαιτηθήτω μετανοεῖν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ἤτοι ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὀμόσαι, ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

ΖΩΝΑΡ. Ἀσαφής ἐστιν ἡ ἀπόκρισις αὕτη, μὴ οὔσης δήλης τῆς ἐρωτήσεως. τέως δὲ λέγεται ἄπιστόν τινα ἐνίους τῶν ἐν Αντιοχείᾳ πρεσβυτέρων βιάσασθαι ἀπειλαῖς ὀμόσαι, μὴ ἐνεργεῖν τὰ τῶν ἱερέων. ὧν εἷς μετῴκησεν εἰς τὸ Ἰκόνιον, περὶ οὗ καὶ τὴν ἐρώτησιν ἐποιήσατο ὁ ἅγιος Αμφιλόχιος. φησὶν οὖν ὁ μέγας Βασίλειος, ὅτι κοινὸν ὅρον, ἤγουν κανόνα καὶ τύπον ἐξεθέμην περὶ πάντων τῶν ἐν Αντιοχείᾳ ὀμοσάντων, ἵνα οἱ τοιοῦτοι ἀπέχωνται μὲν τῶν συλλόγων τῶν κοινῶν· ἰδίᾳ δὲ ἐνεργῶσι τὰ τῶν πρεσβυτέρων. τῶν δὲ συλλόγων αὐτοὺς ἀπέχεσθαι ὥρισεν μὴ πολλοῖς σκανδάλου αἴτιοι γίνωνται, εἰδόσιν αὐτοὺς ὀμόσαντας μὴ ἱερουργεῖν, ὁρῶσι δὲ δημοσίᾳ λειτουργοῦντας αὐτούς. τοῦτο γοῦν καὶ τῷ Βιάνορι λέγει ἄδειαν παρέχειν

EJUSDEM CANONICA
Epiſtola II.

Canon XVII.

Cum pridem ad tuæ ſanctitatis nobis propoſitas quæſtiones reſpondiſſem, non miſi literas, partim quidem à longa & periculoſa infirmitate detentus, partim verò propter miniſtrorum inopiam. Pauci enim ſunt apud nos, & viæ periti, & ad hujuſmodi miniſteria parati. Quare cum noſtræ tarditatis cauſas didiceris, da nobis veniam. Admirati autem ſumus ſimul tuam diſcendi cupiditatem & humilitatem, quòd velis diſcere, cum docendi locus ſit tibi creditus, & à nobis diſcere, in quibus nihil eſt magnum ad cognitionem. Sed tamen, quia propter Dei timorem non recuſas rem facere, haud temerè ab aliis factam, oportet nos tuæ alacritati & bono ſtudio etiam ſupra vires opem ferre. Interrogaſti nos de Bianore Presbytero, an propter jusjurandum ſit in clerum ſuſcipiendus: Ego verò commune jam quoddam decretum, de omnibus ſimul qui cum illo juraverunt, iis qui cum Antiochiæ ſunt clericis me edidiſſe memini: ut ipſi à publicis conventibus abſtineant, privatim autem presbyterorum munera obeant: hoc ipſum autem & ad ſuum miniſterium ei poteſtatem præbet, quia non eſt Antiochiæ ſacerdotium, ſed Iconii, quod, ut ipſe ad nos ſcripſiſti, Antiochia ad habitationem permutavit. Eſt ergo vir ille ſuſcipiendus, à tua pietate priùs admonitus, ut ob facilitatem jusjurandi eum pœniteat, quod ſub infideli viro juravit, cum parvi illius periculi moleſtiam ferre non potuerit.

Bals. Quidam Antiocheni, ut veriſimile eſt, ſacerdotes quorum unus erat etiam Bianor, propter infidelis cujuſpiam minas nefarium jusjurandum jurarunt; & ideo orthodoxos offenderunt, ut qui infidelis moleſtiam non ſuſtinuerint. Cum itaque Bianor ex Antiochia Iconium migraſſet, & ſanctus Amphilochius, qui erat Iconii antiſtes, ſanctum interrogaſſet, an ſit Bianor in clerum ſuſcipiendus; reſpondit ſanctus, Commune decretum ſeu canonem edidi de ſacerdotibus, qui Antiochiæ jurarunt, ut ii à publicis quidem ſeu communibus conventibus abſtineant, privatim autem Presbyterorum munera obeant, quod Bianori quoque licet facere: & eo magis, quòd nec Antiochiæ quidem eſt ſacra celebraturus, & propterea nec videntes eum poſt jusjurandum ſacrificantem offenſurus, ſed Iconii quò migravit & fortè nec offendiculi quidem cauſa fuerit, cum multi illius jusjurandi formam neſciant. Sed inquit etiam, ſi ad ſacra facienda ſit admittendus, exigatur tamen ab eo ut facilitatis jusjurandi eum pœniteat, quòd ſcilicet facilè promptéque juraverit propter metum parvi periculi cedens.

Zonar. Obſcura hæc reſponſio eſt, ſi quidem minime clara eſt interrogatio. Interim tamen narratur infidelem quendam, nonnullos Antiochiæ Presbyteros ſe à ſacerdotum muneribus obeundis ceſſaturos ut jurarent, minis adegiſſe. Ex quorum numero unus Iconium migravit, de quo proinde hanc interrogationem ſanctus Amphilochius propoſuit. Reſpondet ergo magnus Baſilius, communem ſe definitionem, hoc eſt, canonem & formam edidiſſe de omnibus iis qui Antiochiæ juraverant, ut abſtineant nimirum ejuſmodi homines à publicis conventibus, privatim vero ſacerdotum obeant munia. A conventibus porro abſtinere ipſos juſſit, ne multis ſcandali cauſa fiant, qui cum illos nunquam ſacra

facturos juraſſe ſciant, mox publice ſacrificantes animadvertant. Hoc igitur idem de Bianore affirmat: fieri nimirum ipſi miniſtrandi, hoc eſt, ſacra munera exercendi facultatem. Præſertim cum nec Antiochiæ ſacra facturus ſit, ubi juravit, ſed Iconii quo poſtea conceſſit. Exigatur vero, inquit, ut illum pœniteat jurisjurandi facilitatis: hoc eſt, quod tam facile & prompte exigui periculi metu adductus juraverit.

Arist. *Preſbyter Bianor cum juraverit, & pœnitentiâ ductus ob juramenti levitatem ſuſcipiendus.*

Hic Preſbyter à quodam injuriâ affectus & moleſtiam ejus perferre non potens, è contemptu juravit ſe amplius ſacra non facturum. Deinde pœnitentiâ ductus ſacerdotium obire voluit: & magnus Baſilius de eo interrogatus an recipiendus eſſet, mandat quod ſi jurisjurandi levitatis eum pœniteat, ille admittatur, non autem ut in publicis conventibus ſacra celebraret, ob multorum ſcandalum, ſed ut quæ ad preſbyteros pertinent privatim faceret.

Canon XVIII.

De lapſis virginibus, quæ vitam in honeſtate Domino profeſſæ ſunt, deinde quoniam carnis perturbationibus ſubjectæ ſunt, ſua pacta infirmarunt, patres quidem noſtri clementer & leniter in eorum qui labuntur infirmitatem ſe gerentes, eſſe admittendas ſanxerunt poſt annum ad ſimilitudinem digamorum. Mihi autem videtur, quòd quoniam Dei gratia eccleſia jam ſuperſtes ſit fortior, & ordo virginum nunc augetur, eſt adhibendus animus rei quæ per intelligentiam cernitur, & ſententiæ ſcripturæ quæ poteſt ex conſequentia inveniri. Viduitas enim virginitate minor eſt. Ergo & viduarum delictum virginum delicto multo inferius eſt. Videamus ergo quid à Paulo ad Timotheum ſcriptum eſt: Viduas juniores devita. Quando enim contra Chriſtum laſcivierunt, volunt nubere, habentes judicium quod primam fidem irritam fecerunt. Si vidua itaque graviſſimo iudicio ſubjecta eſt, ut quæ fidem in Chriſtum irritam fecerit, quid de virgine putandum eſt, quæ eſt ſponſa Chriſti, & ſacrum vas Domino dedicatum? Magnum quidem eſt peccatum, ancillam quoque quæ clandeſtinis matrimoniis ſe dedit ſtupro domum implere, & poſſeſſorem per malam vitam injuria afficere: ſed multò eſt gravius ſponſam fieri adulteram, & unione cum ſponſo ignominia & dedecore affecta, ſe incompetentibus voluptatibus tradere. Vidua itaque, ut corrupta ancilla, condemnatur. Virgo verò adulteræ judicio ſubjicitur, ſicut eum, qui cum aliena muliere cohabitat, adulterum nominamus, ad communionem prius non admittentes, quàm à peccato ceſſaverit: ita videlicet & in eum qui virginem habet afficiemur. Illud autem nobis nunc confiteri eſt neceſſarium, quòd virgo nominatur, quæ ſe ſua ſponte Domino obtulit, & matrimonio renunciavit, & vitam in ſanctificatione prætulit. Profeſſiones autem ab eo tempore judicamus, quo ætas rationis complementum habuerit. Non enim pueriles voces omnino in his eſſe ratas exiſtimare oportet: ſed eam quæ ſupra ſexdecim vel ſeptemdecim annos nata fuerit, rationiſque compos, & diu examinata probataque perſeveraverit, & ut admittatur precibus contendat, tum oportet in ſacrarum virginum catalogum referri, ejuſque confeſſionem comprobare, & illius rejectionem inexorabiliter punire. Multas enim parentes & fratres offerunt, & quidam eorum qui eas cognatione attingunt, ante ætatem, non ex ſe ipſis ad cælibatum incitatas, ſed ſeculare quippiam ſibimet procurantes, quas non facile admittere

A πρὸς τὴν ὑπηρεσίαν, ἤγουν πρὸς τὴν λειτουργίαν. καὶ μᾶλλον ὅτι οὐδὲ ἐν Ἀντιοχείᾳ μέλλει ἱερουργεῖν, ὅπου ὤμοσεν· ἀλλ᾽ ἐν Ἰκονίῳ ἔνθα μετῴκησεν. ἀπαιτηθήτω δὲ, φησὶ, μεταμέλειαν ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου. ἤγουν ἐπὶ τῷ εὐκόλως καὶ προχείρως ὀμόσαι, ἐνδεδωκὼς διὰ φόβον μικροῦ κινδύνου.

ΑΡΙΣΤ. Ὁ πρεσβύτερος Βιάνωρ ὀμόσας, καὶ μεταμελόμενος, διὰ τὴν εὐκολίαν ἐκείνου τοῦ ὅρκου, δεκτός.

Οὗτος ὁ πρεσβύτερος ὑπό τινος ἐπηρεαζόμενος, καὶ μὴ B δυνάμενος τὴν ἐκείνου ὄχλησιν ὑπενεγκεῖν, ὤμοσεν ἐξ ὀλιγωρίας, μηκέτι λειτουργῆσαι. εἶτα μεταμεληθεὶς, ἱερατεύειν ἐβούλετο. καὶ ἐρωτηθεὶς περὶ τούτου ὁ μέγας Βασίλειος, εἰ δεκτέος ἐστὶ, προστάττει ὡς εἰ μεταμέλεται ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, δεχθῆναι αὐτόν. μὴ ἐν δημοσίαις δὲ συνάξεσι λειτουργεῖν, διὰ τὸ τῶν πολλῶν σκάνδαλον· ἀλλ᾽ ἰδίᾳ τὰ τῶν πρεσβυτέρων ἐνεργεῖν.

ΚΑΝΩΝ ιη΄.

Περὶ τῶν ἐκπεσουσῶν παρθένων τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ εἶτα διὰ τὸ ὑποπεσεῖν τοῖς πάθεσι τῆς σαρκὸς ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, C οἱ μὲν πατέρες ἡμῶν ἁπλῶς καὶ πράως συμπεριφερόμενοι ταῖς ἀσθενείαις τῶν κατολισθαινόντων ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτὸν καθ᾽ ὁμοιότητα τῶν διγάμων διαταξάμενοι. ἐμοὶ δὲ δοκεῖ ἐπειδὴ τῇ τοῦ Χριστοῦ χάριτι προϊοῦσα ἡ ἐκκλησία κραταιοτέρα γίνεται, καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων προσέχειν ἀκριβῶς τῷ κατ᾽ ἔννοιαν φαινομένῳ πράγματι καὶ τῇ τῆς γραφῆς διανοίᾳ, ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου. χηρεία γὰρ παρθενείας ἐλάττων. οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων· ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου, νεωτέρας χήρας παραιτοῦ, D ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ γαμεῖν θέλουσιν ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. εἰ τοίνυν χήρα κρίματι ὑπόκειται βαρυτάτῳ, ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν, τί χρὴ λογίζεσθαι ἡμᾶς περὶ τῆς παρθένου ἥτις νύμφη ἐστὶ τοῦ Χριστοῦ καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ δεσπότῃ. μέγα μὲν ἁμάρτημα καὶ δούλην λαθραίους γάμους ἑαυτὴν ἐπιδοῦσαν φθορᾶς ἀναπλῆσαι τὸν οἶκον, καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον, πολλῷ δὲ δήπου χαλεπώτερον τὴν νύμφην, μοιχαλίδα γίνεσθαι καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι. οὐκοῦν, ἡ μὲν E χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται. ἡ δὲ παρθένος τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται, ὥσπερ τὸν ἀλλοτρίᾳ γυναικὶ συζῶντα μοιχὸν ὀνομάζομεν, οὐ πρότερον καταδεξάμενοι εἰς κοινωνίαν πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας, οὕτω δηλονότι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα. ἐκεῖνο δὲ νῦν προσδιομολογεῖσθαι ἡμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ κυρίῳ, καὶ ἀποταξαμένη τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα, τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ᾽ οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν ἔχῃ. οὐ γὰρ τὰς παιδικὰς φωνὰς πάντως κυρίας F ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι προσήκει· ἀλλὰ τὴν ὑπὲρ τὰ δεκαὲξ ἢ δεκαεπτὰ γενομένην ἔτη κυρίαν οὖσαν τοῦ λογισμοῦ ἀνακριθεῖσαν ἐπὶ πλεῖον, εἶτα παραμείνασαν καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι, τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις, καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυροῦν, καὶ τὴν ἀθέτησιν αὐτῆς ἀπαραιτήτως κολάζειν. πολλὰς γὰρ γονεῖς προσάγουσι, καὶ ἀδελφοὶ, καὶ τῶν προσηκόντων τινὲς πρὸ τῆς ἡλικίας, οὐκ οἴκοθεν ὁρμηθείσας πρὸς ἀγαμίαν, ἀλλά τι βιωτικὸν ἑαυτοῖς διοικουμένας, ἃς οὐ ῥᾳδίως προσδέχεσθαι

δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

ΒΑΛΣ. Διαφόρως εἴπομεν ὅτι παρθένοι, γυναῖκες καὶ χῆραι μετὰ λαϊκοῦ σχήματος ταῖς ἐκκλησίαις προσερχόμεναι, αἱ μὲν παρθενίαν ὡμολόγουν, αἱ δὲ σωφροσύνην. καὶ ὡς ἀνατεθειμέναι τῷ Θεῷ ἠξιοῦντο παρὰ τῶν Ἐπισκόπων πάσης σωματικῆς ἐπιμελείας. ἐρωτηθεὶς οὖν ὁ ἅγιος τί ὀφείλει γίνεσθαι εἰς τὰς πορνευούσας παρθένους, ἔφη ὅτι οἱ μὲν πρεσβύτεροι διορίζονται ἐπιτιμᾶσθαι ταύτας κατὰ τοὺς διγάμους, καὶ ἀξιοῦσθαι αὐτὰς τῆς ἁγίας μεταλήψεως μετὰ ἐνιαυτόν· ἐγὼ δὲ βλέπων τὴν ἐκκλησίαν προκόπτουσαν εἰς τὸ ἀγαθὸν, καὶ τὰς παρθένους πληθυνομένας, λέγω ὀφειλόμενον εἶναι μᾶλλον αὐτὰς ὡς μοιχαλίδας κολάζεσθαι. καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον ἐντεῦθεν, λέγων, ὅτι χηρεία τῆς παρθενίας ἐλάττων. εἰ τοίνυν κατὰ τὸν ἀπόστολον κρίμα ἔχουσιν, ἤγουν καταδίκην αἱ ἀθετήσασαι χῆραι τὴν ὁμολογίαν αὐτῶν, πολλῷ πλέον αἱ παρθένοι κατακριθήσονται. ὡσαύτως παρεικάζει τὴν μὲν χήραν δούλῃ, τὴν δὲ παρθένον νύμφῃ τινὸς οἰκοδεσπότου, καὶ οὕτω συνάγει ἀπὸ πάντων καλῶς ὑποκεῖσθαι τῷ τῆς μοιχείας ἐγκλήματι τὰς ἐκπεσούσας παρθένους. εἶτα ἐπιφέρει, ὅτι περὶ ἐκείνων τῶν παρθένων διαλέγεται τῶν ἑκουσίως ἑαυτὰς προσαγουσῶν τῷ Κυρίῳ, καὶ ἀποταξαμένων τῷ γάμῳ ἐν ἡλικίᾳ ἑξκαιδεκάτου χρόνου ἢ ἑπτακαιδεκάτου. τὰς δὲ ἐπὶ ἥττονι χρόνῳ γινομένας ὁμολογίας, φησὶ μὴ προσδέχεσθαι. πολλὰς γάρ φησι προσάγουσιν οἱ γονεῖς, καὶ μὴ βουλομένας, δι᾽ ἀπορίαν ἢ δι᾽ ἄλλην τινὰ αἰτίαν. ταῦτα τοῦ κανόνος διοριζομένου, μὴ εἴπῃς διασκευέσθαι τοῦτον καὶ εἰς μοναζούσας ἢ ἀσκητρίας. κἂν γὰρ ἐν ἥττονι πάντῃ ἡλικίᾳ τὴν κοσμικὴν ἀποθῶνται τρίχα, βεβαία ἔσται, ὡς ἐμοὶ δοκεῖ, καὶ εἰς τὸ ἑξῆς ἡ ὁμολογία αὐτοῦ.

ΖΩΝΑΡ. Τὰς παρθενίαν ἐπαγγειλαμένας, εἶτα ἐκπεσούσας καὶ ἀθετησάσας τὰς ἑαυτῶν συνθήκας, ἤτοι τὰς ὑποσχέσεις, οἱ μὲν παλαιότεροι πατέρες συγκαταβατικώτερον διατιθέμενοι, ὡς οὗτος ὁ ἅγιος λέγει, ἐπὶ ἐνιαυτὸν ἀφορίζεσθαι διετάξαντο, καὶ μετὰ ταῦτα δέχεσθαι, κατὰ τοὺς διγάμους· οὗτος δὲ, τῷ τῆς μοιχείας αὐτὰς καθυπάγει ἐπιτιμίῳ, καὶ κατασκευάζει τὸν οἰκεῖον λόγον, ἐντεῦθεν λέγων, ὅτι χηρεία τῆς παρθενίας ἐλάττων. χήρας δὲ τὰς σωφρονεῖν ἐπαγγειλαμένας λέγει, καὶ συναριθμηθείσας παρὰ τῇ ἐκκλησίᾳ τῷ τάγματι τῶν χηρῶν. ἐπεὶ οὖν ἐλάττων ἡ χηρεία τῆς παρθενίας, καὶ τὸ ἁμάρτημα τῆς τοιαύτης χήρας, παρὰ τὸ τῆς παρθένου ἔλαττον. ἀλλ᾽ ὅμως φησὶ, τῷ Τιμοθέῳ γράφων ὁ Παῦλος περὶ χηρῶν ἐκπεσουσῶν διὰ τὸ μὴ φυλάξαι τὴν σωφροσύνην, κρίμα ἔχειν αὐτὰς ἀπεφήνατο. τῆς δὲ χήρας κρίματι ἤγουν καταδίκῃ ὑποκειμένης, ὡς ἀθετησάσης τὴν εἰς Χριστὸν πίστιν, μείζονι πάντως ὑποκείσεται ἡ παρθένος, ἥ τις νύμφη λογίζεται τοῦ Χριστοῦ, καὶ ἀνάθημα τῷ Θεῷ ὡς ἱερὸν σκεῦος· τοῦτο μὲν οὖν ὁ ἅγιος τὴν πίστιν τὴν εἰς Χριστὸν ἔφη ἀθετῆσαι τὴν ἐκπεσοῦσαν χήραν· καὶ ἕτεροι δὲ, πρώτην πίστιν, τὴν ἐπαγγελίαν τῆς ἁγνείας ἡρμήνευσαν. δούλη μὲν οὖν, φησὶ, πορνεύσασα, καθυβρίζει τὸν οἶκον τοῦ δεσπότου, κἀκεῖνον. εἰ δὲ νύμφη τοῦ δεσπότου τῆς δούλης ἐκείνης ἁμάρτῃ, μοιχαλὶς ἐστὶ, καὶ χαλεπωτέρα ἡ ὕβρις τῷ νύμφην αὐτὴν ἔχοντι δι᾽ ἐκείνης προστρίβεται. εἰς παράδειγμα δὲ τὴν δούλην παραθεὶς καὶ τὴν νύμφην, δούλῃ μὲν ἀπεικάζει τὴν ἁμαρτήσασαν χήραν· νύμφῃ δὲ τὴν ἐκπεσοῦσαν παρθένον, καὶ τὴν μὲν ὡς διεφθαρμένην καταδικάζει, ἤτοι ὡς πορνευθεῖσαν· τὴν δὲ παρθένον ὡς μοιχευθεῖσαν. καὶ ὥσπερ, φησὶ, τὸν ἀλλοτρίᾳ γυναικὶ συμφθειρόμενον μοιχὸν λογιζόμεθα, καὶ εἰ μὴ ἀποστῇ τῆς μοιχείας οὐκ ἄν ποτε αὐτὸν παραδεξώμεθα εἰς μετάνοιαν, οὕτως οὐδὲ τὸν εἰς τὴν ἀνατεθειμένην τῷ Θεῷ παρθένον ἡμαρτηκότα· οὕτως δὲ βαρεῖαν κατὰ τῶν ἐκπιπτουσῶν παρθένων ἐπαγαγὼν τὴν ἐπιτίμησιν, ὁρίζεται τίνες ἂν λογίζοιντο παρθένοι ἀναθεῖσαι τῷ Θεῷ ἑαυτάς. καί φησιν, ὅτι αἱ ἑαυτὰς ἑκουσίως προσαγαγοῦσαι τῷ Κυρίῳ, καὶ ἀποταξάμεναι τῷ γάμῳ, καὶ ὁμολογήσασαι ἀγαμίαν· ποιήσασαι δὲ τὴν ὁμολογίαν ἐν ιϛʹ. ἔτει, ἢ ιζʹ. τῆς ἡλικίας αὐτῶν. τὰς δὲ πρὸ τῶν χρόνων τούτων ὁμολογίας οὐ χρὴ, φησὶ, ῥᾳδίως προσδέχεσθαι. ἕως ἂν προφανῶς ἐκεῖναι δείξωσι γνώμην

A *oportet, donec apertè propriam ſuam ſententiam perſcrutati fuerimus.*

Bals. Diverſis in locis diximus, quòd mulieres, virgines, & viduæ eccleſias cum laico habitu accedentes, illæ quidem virginitatem, hæ verò continentiam profitebantur; & tanquam Deo dedicatæ ab Epiſcopis omni corporali providentia dignæ habebantur. Interrogatus itaque ſanctus, quid debeat fieri in virgines quæ fornicantur, dixit quòd ſeniores quidem decernunt eas ſicut & bigamos puniri, eáſque poſt annum ſancta communione dignas haberi: Ego verò videns eccleſiam in B bonum proficere, & ſacras virgines multiplicari, dico eas debere potiùs vt adulteras puniri. Et dictum ſuum hinc comprobat, dicens, quòd viduitas eſt minor virginitate. Si ergo, ut dicit Apoſtolus, habent judicium ſeu condemnantur viduæ, quæ ſuam profeſſionem irritam faciunt, multò magis condemnabuntur virgines. Similiter ancillæ quidem viduam aſſimilat; virginem verò ſponſæ alicujus patrisfamilias; & ita ex omnibus colligit adulterii crimine rectè teneri lapſas virgines. Deinde ſubjungit, ſe de illis virginibus dicere, quæ ſe Domino ſua ſponte obtulerunt, & matrimonio renunciarunt in æ- C tate ſedecim vel ſeptemdecim annorum. Quæ autem in minori ætate fiunt profeſſiones, dicit non admitti debere. Multas enim, inquit, offerunt patres etiam invitas, propter paupertatem vel aliquam aliam cauſam. Hæc cùm decernat canon, ne dixeris eum intelligi de monialibus vel aſcetriis (ſeu divinæ meditationi dicatis virginibus): etſi enim in minori ætate crinem ſæcularem depoſuerint, firma erit, ut mihi videtur, ad id quod deinceps ſequitur, ipſius profeſſio.

Zonar. Quæ virginitatem ſunt profeſſæ, poſtea verò exciderunt & ſua pacta, hoc eſt, promiſſiones fecerunt irritas, antiqui Patres lenius ſe ac clementiùs geren- D tes, ut ſanctus hic vir ait, uno anno ſegregandas, & eo exacto more digamorum admittendas eſſe decreverunt. Hic vero, ipſas pœnis adulterii ſubjicit, orationemque ſuam hoc pacto aſtruit, quòd viduitas, inquit, ſit virginitate minor. Viduas autem eas, quæ continentiam ſunt profeſſæ, atque ab Eccleſia viduarum ordini adſcriptæ ſunt, nominat. Quoniam igitur viduitas minor eſt virginitate, erit quoque ejuſmodi viduæ peccatum, ſi cum peccato virginis conferatur, levius. Attamen, inquit, ad Timotheum ſcribens Paulus de viduis quæ ob non ſervatam continentiam exciderunt, judicium ipſas habere declaravit. Porro cum vidua judicio, hoc eſt, conde- E mnationi obnoxia ſit, quippe quæ obligatam Chriſto fidem violaverit, majori procul dubio obnoxia erit virgo, quæ Chriſti ſponſæ locum obtinet, eſtque veluti ſacrum vas dicatum Deo. Affirmat itaque hic ſanctus violatam in Chriſtum fidem ab ea quæ excidit vidua. Alii vero primam fidem, virginitatis profeſſionem interpretati ſunt. Ancilla ergo, inquit, ſi fornicetur, domini domum, ipſumque dominum afficit contumelia. Verum ſi ſponſa domini illius ancillæ delinquat, adultera eſt, graviorque contumelia ei, qui ſponſam illam habet, ob ipſam inuritur. Porro cum exempli loco, ancillam ſponſamque pro- F poſuerit, ancillæ quidem viduam quæ peccavit, ſponſæ vero lapſam virginem comparat: & eam quidem, vt corruptam, hoc eſt, fornicationis irretitam crimine, virginem vero ut adulteram damnat. Et quemadmodum, ait, qui cum aliena vxore corrumpitur pro adultero habemus, ac niſi ab adulterio deſiſtat, nullatenus unquam ad pœnitentiam admittimus; ita neque illum, qui in virginem Deo conſecratam peccaverit. Deinde vero, poſtquam gravem in lapſas virgines mulctam conſtituit, quænam pro virginib. Deo dicatis habendæ ſint, definit, Atque illas nimirum quæ ſeipſas ſponte offerunt Domino, repudiatoque matrimonio virginitatem profitentur, eamque profeſſionem decimo ſexto, aut decimo ſeptimo ætatis

ſuæ anno edunt. Cæterum ante has ætates profeſſiones factas, inquit haud facile admittere oportet: quoadusque ſuam ſententiam aperte declarent, vitam ſe in virginali puritate amplecti velle; examinatæ præterea, poſtquam rationis compotes fuerint. Crebrò namque, ait, parentes aut cognati illas invitas offerunt, ſibiipſis aliquid temporanei lucri quærentes; fortaſſe quidem quia dos ad eas collocandas minime ſuppetat, aut etiam ob alias cauſas, eas nolentes virginitatem ac cælibatum profiteri cogunt. Hæ ergo, inquit, non ſunt facile admittendæ.

ARIST. *Anno elapſo exacto, virgines poſt profeſſionem lapſas, patres recipiebant. At quoniam validior jam facta eſt Eccleſia, adulteram appellamus eam quæ virginitatem profeſſa labitur, & eam qui talem retinet adulterum. Virginitatem vero profitetur quæ ſeptendecem annos nata eſt, & approbata, & in eo rite inſtituto permanere, obnixè flagitat.*

Quandoquidem adulteram illam nominat quæ Domino ſeſe obtulit, & matrimonio renunciavit, & vitam in ſanctimoniâ actam antepoſuit, ſi profeſſiones ſuas tranſilierit, & vnctionem ſuam ad ſponſam neglexerit, voluptatibus laſcivis ſeſe tradens, non aliter in Eccleſiam recipietur, niſi à peccato ceſſet, & illegitimum matrimonium diſſolvat. Iſtud enim diſtrahens, & pœnitentiam agens tempus peccati in fornicatione explebit, adeo vt ipſa quindecim annis ſacramentorum non ſit particeps, quatuor iſtorum quindecem annorum annos deflens, quinque autem inter eos qui divinas ſcripturas audiunt, collocata, quatuor ſubſtrata, & duobus inter fideles conſtituta, & precum particeps, & poſt quindecem annos perfectionis compos fiat & divinâ communione digna habeatur. Quamvis hic canon requirit eam ſupra ſedecim vel ſeptendecim annos eſſe quæ in virginum ordinem admitti cupit, vt quandoquidem tunc ratiocinationum ſit domina, & completam habeat rationem, ſi promiſſiones ſuas violaverit, inexorabiliter pœnas luat. At quadrageſimus ſextæ in Trullo Synodi canon etiam eum qui cum decem ſit annorum jugum monaſticum eſt ſuſcepturus admittit, ut Eccleſia potentior evadat, & fidelium congregatio ad mandatorum obſervationem Dei gratiâ firma ſtabiliſque fiat.⌋

CANON XIX.

Virorum autem profeſſiones non novimus præterquam ſi qui ſe ipſos monachorum ordini annumerarunt: qui tacitè videntur cælibatum admittere. ſed in illis quoque exiſtimo præcedere oportere, ut ipſi interrogentur, & evidens ipſorum accipiatur profeſſio, ut poſtquam ſe ad libidinoſam & voluptariam vitam converterint, eorum qui fornicantur punitioni ſubjiciantur.

BALS. Nota ex præſenti canone dicente, Virorum autem profeſſiones non novimus, præterquam ſi qui ſe ipſos in monachorum numerum retulerunt, quòd in xviij. canone non de monachis, ſed de virginibus Deo cum laïco habitu ſegregatis locutus eſt. Lege Carthagin. ſyn. vj. can. xliiij. & cxxvj. Monachos autem dicit, etiamſi tacitè videantur caſtitatem colere, debere tamen eos etiam interrogari, & cælibatum profiteri: ut ſi mentiti fuerint vt fornicatores puniantur. Etſi autem hæc ita ſe habeant, ne dixeris quòd monachi qui hanc profeſſionem non fecere, inſontes nullique culpæ obnoxii ſervabuntur. Etſi enim non fuerit tonſus quiſpiam, ſed raſa geſtaverit, non poterit mutare habitum & ad nuptias convolare, ſed invitus ad habitum monaſticum reverti cogetur, ſicut hoc ſæpè diximus. Idem erit & de monialibus, & de omnibus clericis tribunalis. Nam & ii omnes tacite profiteri videntur ſe matrimonium non contracturos poſt ordinationem: & canonem tranſgredientes, deponuntur. Quære S. Apoſtolorum can. xxvj.

A ὅτι αἱροῦνται τὸν ἐν ἁγνείᾳ βίον, ἀνακρινόμεναι ἐπιπλέον, ὅτε κύριαι γίνωνται λογισμοῦ. πολλάκις γάρ, φησί, προσάγουσι γονεῖς ἢ συγγενεῖς ἀκούσας, βιωτικόν τι ἑαυτοῖς διοικούμενοι· τυχὸν μὲν ἀποροῦντες δοῦναι προῖκα ὑπὲρ αὐτῶν, ἢ καὶ δι' ἄλλας αἰτίας τινὰς βιάζονται καὶ μὴ θελούσας αὐτὰς ἐπαγγείλασθαι ἁγνείαν, καὶ ἀγαμίαν. τὰς τοιαύτας οὖν, φησίν, οὐ χρὴ ῥαδίως προσδέχεσθαι.

ΑΡΙΣΤ. Μετ' ἐνιαυτόν, τὰς μετὰ τὴν ὁμολογίαν ἐκπεσούσας παρθένους, οἱ πατέρες ἐδέχοντο. διὰ δὲ τὸ κραταιο- B τέραν γενέσθαι τὴν ἐκκλησίαν, μοιχαλίδα τὴν παρθενίαν ὁμολογήσασαν ὀνομάζομεν περιπεσοῦσαν, καὶ μοιχὸν τὸν τοιαύτην κατέχοντα. ὁμολογεῖ δὲ παρθενίαν ἡ περὶ τὰ ἑπτακαίδεκα ἔτη, καὶ ἀνακρινομένη, καὶ παραμένειν ἐκλιπαροῦσα.

Ἐπειδὴ μοιχαλίδα ὀνομάζει τὴν προσαγαγοῦσαν ἑαυτὴν τῷ κυρίῳ, καὶ ἀπαλλαξαμένην τῷ γάμῳ, καὶ τὸν ἐν ἁγιασμῷ προτιμήσασαν βίον· εἰ παραβῇ τὰς ὁμολογίας, καὶ τὴν πρὸς τὸν νυμφίον χριστὸν ἕνωσιν ἀτιμάσῃ, ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦσα, οὐ προσδεχθήσεται ἄλλως τῇ ἐκκλησίᾳ, εἰ μὴ παυθῇ τῆς ἁμαρτίας, καὶ διαλύσει τὸ ἄθεσμον συνοικέ- C σιον. τοῦτο γὰρ διασπάσασα, καὶ μεταμεληθεῖσα, τὸν χρόνον τοῦ ἐπὶ τῇ μοιχείᾳ ἁμαρτήματος ἐκπληρώσει, ὥστε ἐν δέκα καὶ πέντε ἔτεσιν ἀκοινώνητον αὐτὴν εἶναι τῶν ἁγιασμάτων· ἐν τέσσαρσιν ἔτεσιν ἐξ αὐτῶν τῶν πεντεκαίδεκα ἐτῶν προσκλαίουσαν μέν, ἐν πέντε δὲ τοῖς ἀκροωμένοις τῶν θείων γραφῶν συνταττομένην, ἐν τέσσαρσιν ὑποπίπτουσαν, καὶ ἐν δυσὶ τοῖς πιστοῖς συνεστῶσαν, καὶ τῶν εὐχῶν κοινωνοῦσαν. καὶ μετὰ τὸν πεντεκαιδέκατον χρόνον, τοῦ τελείου τυχεῖν, καὶ τῆς θείας κοινωνίας ἀξιωθῆναι. κἂν ὁ κανὼν οὗτος ὑπὲρ τὰ δεκαὲξ ἢ καὶ δεκαεπτὰ ἔτη, ἀπαιτῇ εἶναι τὴν ἐκλιπαροῦσαν παραδεχθῆναι εἰς τὸ τῶν παρθένων τάγμα· ἵν' ὡς τηνικαῦτα κυρία D οὖσα τῶν λογισμῶν, καὶ τὴν τοῦ λόγου συμπλήρωσιν ἔχουσα, εἰ ἀθετήσει τὰς συνθήκας, ἀπαραιτήτως κολασθῇ. ἀλλ' οὖν ὁ τεσσαρακοστὸς ὁ κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, καὶ τὸν δεκα ἐτῶν ὄντα, μέλλοντα τὸν μοναδικὸν ζυγὸν ὑπελθεῖν, παραδέχεται, διὰ τὸ τὴν ἐκκλησίαν κραταιοτέραν γενέσθαι, καὶ τὸ τῶν πιστῶν σύστημα πρὸς τὴν τῶν ἐντολῶν τήρησιν χάριτι θείᾳ, πάγιόν τε, καὶ ἀσφαλὲς εἶναι.

ΚΑΝΩΝ ιθʹ.

Ἀνδρῶν δὲ ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν· οἳ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδέχεσθαι τὴν ἀγαμίαν. πλὴν καὶ ἐπ' ἐκείνων, E ἐκεῖνο ἡγοῦμαι προηγεῖσθαι προσήκειν, ἐρωτᾶσθαι αὐτοὺς καὶ λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ, ὥστε ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, ὑπάγειν αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

ΒΑΛΣ. Σημείωσαι ἀπὸ τοῦ παρόντος κανόνος λέγοντος, ἀνδρὸς δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, ὅτι ἐν τῷ ιηʹ. κανόνι οὐ περὶ μοναζόντων εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων τῷ θεῷ μετὰ λαϊκοῦ σχήματος. ἀνάγνωθι τὸν ἐν Καρθαγένῃ Συν- F όδου κανόνα ϛʹ. μδʹ. καὶ ρκϛʹ. τοὺς μέν τοι μοναχοὺς φησὶ κἂν καὶ δοκῶσι σιωπηρῶς κατατίθεσθαι ἁγνεύειν, ὅμως ὀφείλειν καὶ τούτους ἐρωτᾶσθαι, καὶ ὁμολογεῖν ἀγαμίαν· ἵνα ἐὰν ψεύσωνται ὡς πορνεύσαντες ἐπιτιμηθῶσι. τούτων δὴ οὕτως ἐχόντων, μὴ εἴπῃς ὡς οἱ μὴ ποιησάμενοι μοναχοὶ τοιαύτην ὁμολογίαν, ἀνέγκλητοι διατηρηθήσονται. κἂν γὰρ μὴ ἀποκαρῇ τις, ἀλλὰ ῥασοφορήσῃ, οὐ δυνήσεται μετασχηματισθῆναι καὶ εἰς γάμον ἐλθεῖν, ἀλλὰ ἄκων ἀναγκασθήσεται ὑποστρέψαι εἰς τὸν μοναχικὸν βίον, ὡς πολλάκις τοῦτο εἴπομεν. τὸ αὐτὸ δὲ ἔσται καὶ εἰς μοναχὰς ἀλλὰ καὶ εἰς πάντας τοὺς τοῦ βήματος. καὶ οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ὁμολογεῖν μὴ ἐλθεῖν εἰς γάμον μετὰ τὴν χειροτονίαν, καὶ παραβαίνοντες τὸν κανόνα καθαιροῦνται. ζήτει τῶν ἁγίων ἀποστόλων κανόνα κϛʹ. τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόν. ι. καὶ ἐν τῷ Τρούλλῳ καν. ϛʹ.

ΖΩΝΑΡ. Ἐκ τοῦ κανόνος τούτου φαίνεται ὁ μέγας Βασίλειος ἃ περὶ παρθένων διετάξατο, οὐ περὶ μοναζουσῶν παρθένων εἰπεῖν, ἀλλὰ περὶ τῶν ἑαυτὰς ἀνατιθεμένων τῷ κυρίῳ, καὶ ἐν παρθενίᾳ ζῆν κατατιθεμένων. τοιαῦται γὰρ ἦσαν τὸ παλαιὸν ὡς ἡ ἐν Καρθαγένῃ διέξεισι σύνοδος, ἐν κανόνι ἕκτῳ καὶ μδʹ. καὶ οὐδὲ διακόνισσαι αἱ τοιαῦται ἦσαν· ἀλλ' ἐξ ἐκείνων ἐγίνοντο διακόνισσαι. ἀναγνωστέον οὖν τὸν τῆς ῥηθείσης συνόδου ρκϛʹ. κανόνα, καὶ τὰ ἐν ἐκείνῳ γεγραμμένα. ἐκ γὰρ τοῦ εἰπεῖν τὸ ἀνδρῶν ὁμολογίαν οὐκ ἐγνώμεν, εἰ μή τινες ἑαυτοὺς τοῖς μοναχοῖς κατηρίθμησαν, δείκνυσιν ὅτι ἃ εἶπεν, οὐ περὶ μοναζουσῶν εἶπεν, ἀλλὰ περὶ παρθένων ἀφοριζομένων Θεῷ κατὰ τὸ πάλαι κρατοῦν· πῶς δέ τις ταῦτα καὶ εἰς μοναζούσας ἐκλάβοιτο. τοὺς δὲ μοναχούς φησι καὶ σιωπηρῶς κατατίθεσθαι ἁγνείαν· κἀκείνους δὲ ἐρωτᾶσθαι προσήκειν λέγει, καὶ φανερῶς ὁμολογεῖν ἀγαμίαν, ἵνα ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύσαντες ἐπιτιμηθῶσιν. οὐκ ἐπὶ μοναζόντων δὲ μόνον σιωπηρὰ ὁμολογία γίνεται, ἀλλὰ καὶ ἐπὶ διακόνων ἢ καὶ ὑποδιακόνων. εἰ μὴ γὰρ προμαρτύρονται ὅτι οὐ δύνανται παρθενεύειν οἱ μέλλοντες χειροτονηθῆναι, καὶ πρὸ τῆς χειροτονίας εἰσοικίζονται ἑαυτοῖς γυναῖκας, οὐ δύνανται μετὰ τὴν χειροτονίαν γάμον ἑλέσθαι. δοκοῦσι γὰρ σιωπηρῶς ὁμολογεῖν καὶ ἐπαγγέλλεσθαι ἀγαμίαν. ζήτει τὸν κϛʹ. ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ι. καὶ τῆς λεγομένης ἕκτης συνόδου τῆς ἐν τῷ Τρούλλῳ κανόνα ϛʹ.

ΑΡΙΣΤ. Καὶ ὁ ἀποτασσόμενος, περὶ ἀγαμίας ἐρωτάσθω, καὶ ἐναργῶς ὁμολογείτω· ἵνα μετατιθέμενος ἐπιτιμᾶται.

Ἐπὶ τῶν ἀνδρῶν τῶν ἀποτασσομένων τῷ γάμῳ, καὶ παρθενεύειν αἱρουμένων, προσῆκόν ἐστιν ἐρωτᾶσθαι αὐτοὺς παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου, εἰ ἀληθῶς τὸν τοιοῦτον βίον ἀσπάζονται, καὶ τὴν ὁμολογίαν αὐτῶν φανερὰν λαμβάνειν. ἵνα εἰ μεταπέσωσιν ἔκποτε πρὸς τὸν ἡδονικὸν καὶ φιλόσαρκον βίον, τὸ τῶν πορνευόντων ἐπιτίμιον δέξωνται.

ΚΑΝΩΝ κʹ.

Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. αἱ δὲ μήπω ἐπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ δεσπότου. ὥστε δεκταί εἰσι τῇ ἐκκλησίᾳ μετὰ πάντων καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχοισιν ἐκ τῆς πίστεως τῆς εἰς Χριστόν, καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γινόμενα εἰς εὐθύνας οὐκ ἄγονται. τούτους δὲ δῆλον ὅτι δίχα βαπτίσματος ἡ ἐκκλησία οὐ παραδέχεται, ὥστε ἀναγκαιότατον ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

ΒΑΛΣ. Ὡς ἔοικεν, αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενίαν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν· προσερχόμεναι δὲ τῇ ἐκκλησίᾳ ἐπετιμῶντο ὡς ψευσάμεναι. φησὶ γοῦν ὁ ἅγιος μὴ καταδικάζεσθαι ταύτας χάριν ὧν πρὸ τοῦ πιστεῦσαι ἐψεύσαντο. εἶτα καθόλου δίδωσι κανόνα, μὴ κολάζεσθαι τοὺς πιστεύσαντας καὶ βαπτισθέντας, περὶ ὧν ἥμαρτον πρὸ τοῦ βαπτίσματος. αἱρετικοὺς δὲ νόει τοὺς μὴ ἄλλως δεχομένους εἰ μὴ βαπτισθῶσιν. εἰσὶ γάρ τινες αἱρετικοὶ καὶ χωρὶς βαπτίσματος δεκτοί, ἁγίῳ χρίσματι μόνῳ χριόμενοι. καὶ ἀνάγνωθι τὸν ζʹ. κανόνα τῆς δευτέρας συνόδου, καὶ κανόνα ιζʹ. τῶν ἁγίων ἀποστόλων.

ΖΩΝΑΡ. Αἱρετικαὶ γυναῖκες ὡμολόγουν παρθενεύειν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐξεδίδουν· ταύτας προσερχομένας τῇ καθολικῇ ἐκκλησίᾳ, γνώμην ὁ ἅγιος δίδωσι, μὴ καταδικάζεσθαι ὡς ψευσαμένας τὴν ὁμολογίαν. ὅσα γάρ, φησίν, ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. αἱ δὲ μὴ δεξάμεναι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν ἐντολὴν ἐκείνου ἐπιγινώσκουσι, καὶ λοιπὸν δεκταί εἰσι τῇ ἐκκλησίᾳ, ἄφεσιν ἔχουσαι ἐκ τοῦ πιστεῦσαι Χριστῷ καὶ τοῦ τοιούτου ἁμαρτήματος. εἶτα καθόλου δίδωσι κανόνα, ὅτι ὅσα ἐν κατηχουμένῳ βίῳ γένωνται, οὐκ εὐθύνονται, ἀντὶ τοῦ οὐ κολάζονται. πλὴν φησι τούτους δίχα βαπτίσματος ἡ ἐκκλησία οὐ παραδέχεται· ἐπεὶ οὖν βαπτίζονται, τῶν πρὸ τοῦ βαπτίσματος σφαλμάτων πάντων συγχώρησιν ἔχουσι. τοῦτο γάρ ἐστιν ὃ ἐπάγει, ὅτι ἀναγκαιότατον ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως, ἤγουν ὅτι ἀναγκαίως

A Ancyr. ſynod. can. x. & ſyn. in Trullo can. vj.

Zonar. Ex hoc canone apparet magnum Baſilium, quæ de virginibus decrevit, non de virginibus in monaſterio degentibus ſanxiſſe, ſed de iis quæ ſeipſas offerunt Domino, vitamque ſe virginalem acturas ſpondent. Tales enim olim fuêre de quibus Syn. Carth. can. vj. & xliv. diſſerit. Neque hæ erant Diaconiſſæ, ſed ex iis Diaconiſſæ conſtituebantur. Vide igitur dictæ ſyn. canon. cxxvj. & quæ in eum ſcripſimus. Ex eo namque quod dicat, Virorum profeſſiones non novimus, præterquam ſi qui ſeipſos monachorum ordini annumerarunt; oſtendit ſe ea quæ dixit, nequaquam de mulieribus in monaſterio degentibus intellexiſſe, verùm de virginibus ex antiqua conſuetudine B ſegregatis Deo: quamvis hæc etiam de iis quæ in monaſterio degunt fortè quiſpiam intellexerit. Monachos verò, ait, etiam tacitè caſtimoniam condicere: ſed & illos interrogari oportere autumat, & aperte profiteri cœlibatum; vt ſi promiſſi fidem fallant, fornicatorum pœnis ſubjiciantur. Non ſolum autem in monachis tacita contingit profeſſio, verum in Diaconis quoque & Hypodiaconis. Niſi enim denuntient prius atque teſtentur qni ordinandi ſunt, ſe virginitatem ſervare haud poſſe, & antequam ordinentur uxores ducant, poſtquam ſacro ordini adſcripti ſunt nuptias ipſis inire haud licet. Videntur namque tacitè cœlibatum condicere profiteri. Quære xxvj. Apoſt. can. & Ancyr. ſyn. can. C x. & ſyn. quæ ſexta dicitur in Trullo can. vj.

Arist. *Et qui conjugio renuntiat de cœlibatu interrogetur, & perſpicuè profiteatur: ut ſi ſententiam mutaverit, pœnas luat.*

De viris qui conjugio renunciant, & cœlibes agere eligunt, convenit ut interrogentur à regionis Epiſcopo, vtrum revera iſtiuſmodi vitam amplectuntur. Et ut profeſſionem eorum manifeſtam acciperet. Vt ſi ad voluptuoſam & carnalem vitam deciderint, fornicatorum pœnæ ſubjiciantur.

Canon XX.

D *Quæcunque mulieres, cùm eſſent hæreticæ, virginitatem profeſſæ ſunt, deinde poſtea matrimonium maluerunt, non exiſtimo eas oportere condemnari. Quæcunque enim dicit lex, iis dicit qui ſunt in lege. Quæcunque autem jugum Chriſti nondum ſubierunt, eæ nec Domini leges norunt. Quare ſunt ab Eccleſia cum omnibus ſuſcipiendæ, & propter hæc habet remiſſionem ex fide in Chriſtum, & omnino quæ in catechumenica vita fiunt in judicium non vocantur. Clarum eſt autem quòd tales eccleſia non ſine baptiſmo recipit. Quare generationis privilegia ſunt in ipſis maximè neceſſaria.*

E Bals. Vt eſt veriſimile, hæreticæ mulieres virginitatem profitebantur, deinde ſe viris nuptum dabant: ad eccleſiam autem accedentes reprehendebantur vt mentitæ. Dicit ergo ſanctus, eas non eſſe condemnandas de iis quæ mentitæ ſunt antequam crederent. Deinde in ſumma tradit canonem, non punire eos qui crediderunt & baptizati ſunt, de iis quæ ante baptiſmum commiſerunt. Hæreticos autem eos intellige, qui non ſuſcipiuntur niſi priùs baptizati fuerint. Sunt enim quidam hæretici, qui ſunt etiam ſine baptiſmo ſuſcipiendi ſancto chriſmate ſolo vncti. Lege & vij. can. ij. Syn. & can. xvij. S. Apoſtolorum.

Zonar. Hæreticæ mulieres virginitatem F profitebantur, deinde viris ſeipſas tradebant. Eas, ſi ad Eccleſiam Catholicam procedant, ſanctus hic vir ſua ſententia haudquaquam, quaſi profeſſionem fefellerint, condemnandas eſſe judicat. Quæcunque enim, ait, lex loquitur, iis qui in lege ſunt loquitur. Quæ vero Chriſti jugum non ſuſceperunt, illius quoque mandata non agnoſcunt. ac deinceps ab Eccleſia admitti poſſunt, veniam, ex eo quod Chriſto crediderint, ab hoc quoque crimine obtinentes. Tum in univerſum regulam ſtatuit, quæcunque nimirum in catechumenicâ vitâ committuntur, non vocari in judicium, hoc eſt, haudquaquam puniri. Adhæc, inquit ejuſmodi homines Eccleſia ſine baptiſmo non adtit; Quando porto baptizantur, eorum quæ ante baptiſmum admiſere peccatorum penitus veniam conſequuntur. Hoc enim ſignificat id quod ſubjicit, eſſe nimirum in hujuſmodi hominibus generationis privilegia maxime neceſſaria, hoc eſt, cum ipſi baptizentur neceſſario deinceps conſequi, ut privilegia generationis obtineant: quod nimirum ſingulare ac præcipuum eſt in baptiſmi generatione, ſive regeneratione, abſolutio nempe ab anteactæ vitæ delictis. Hæreticos porro aut eos intelligere oportet, quos non aliter niſi baptizentur admitti fas eſt, aut infideles. Sunt enim aliqui hæretici etiam ſine baptiſmo recipiendi, ſancto ſolum chriſmate inungendi, ut xvij. can. ii. ſyn. decernitur. Dixerit autem quiſpiam adverſari hunc magni Bas. canonem v. can. Syn. Neocæſ. qui ſic habet; Catechumenus, ſi in Templum ingrediens in catechumenorum ordine ſteterit, is quidem peccat: ſin genuflectat, audiat non amplius peccans. Si vero etiam audiens adhuc peccet, extrudatur. Sed non eſt ita. Etenim Synodicus canon de iis qui peccant non accipiendus eſt: magnus vero Baſilius de iis qui peccaverunt, jamque à peccando abſtinent loquitur. Neque vero hoc aſſerit, nullam hiſce mulctam imponendam, ſed non eſſe in judicium vocandos. Vt enim peccata omnia ante ſanctum baptiſma admiſſa baptizato dimittuntur: ita & quæcunque aliquis dum catechumenus eſſet deliquit, pro iis in judicium non vocabitur. Lege etiam xvij can. Apoſt.

Arist. *Virgo quæ in hæreſim lapſa eſt, reſipiſcens poſtea & accipiens, non eſt pœnæ obnoxia. Quæcunque enim dicit lex, iis dicit qui ſunt ſub lege.*

Mulieres fideles virginitatem profeſſæ, & profeſſiones ſuas irritas facientes, fornicationis pœnæ ſubjacent; quæ vero ſub hæreſi fuerunt & virginitatem promiſerunt, ſi poſtea matrimonium malunt, & ad eccleſiam veniunt, non condemnantur, ſed baptizatæ impunes manent. Quæ enim jugum Chriſti nondum portarunt, nec legem illius cognoſcunt.

Canon XXI.

Si vir cum muliere cohabitans, poſtquam matrimonio non delectatus in fornicationem inciderit, eum fornicatorem judicamus, & eum pœnis amplius gravamus: canonem tamen non habemus, qui eum adulterij crimini ſubjiciat, ſi in ſolutam à matrimonio peccatum commiſſum ſit. Nam adultera quidem, inquit, polluta polluetur, & ad virum ſuum non revertetur, & qui adulteram detinet, ſtultus eſt & impius. Qui autem fornicatus eſt, non excludetur à cohabitatione cum vxore ſuâ; quemadmodum mulier maritum ſuum à fornicatione revertentem excipiet, vir autem eam quæ polluta eſt à ſuis ædibus amandabit. Atque iſtorum quidem ratio haud facilis eſt; conſuetudo autem ſic invaluit.

Bals. De fornicatione & adulterio lege v. cap. xiij. tit. præſentis operis, & canones & leges quæ in eo ſitæ ſunt. Hîc autem ſanctus eum, qui habet vxorem, & cum alia muliere fornicatus eſt, fornicatorem dicit, non adulterum: mulierem autem marito conjunctam, quæ cum ullo alio viro quàm cum marito rem habuit, vocat adulteram, adjiciens quòd eam quidem maritus non cogetur invitus in ædes ſuas recipere, ſed eo ipſo ab ea ſeparabitur. Virum autem, qui fornicatus eſt, à legitima vxore fornicatio non ſeparat. Quamnam autem ob cauſam hæc, inquit, ita lege cauta ſunt, non eſt intellectu facile. Nota autem ex præſenti canone, non eſſe vnius tantùm ſpeciei fornicationem, nec illam eiſdem pœnis curari. Eum enim magis debere puniri, qui habet uxorem legitimam, & fornicatus eſt, quàm qui uxorem non habet & fornicatus eſt. Maxima autem pars pœnæ medici animæ judicio relinquitur.

Zonar. Vir, inquit, habens vxorem, ſi in alteram peccaverit non habentem virum, fornicator eſt, at non adulter. Amplius autem illi mulcta extenditur, hoc eſt, gravius punitur, quàm is

A λοιπὸν ἕπεται βαπτιζομένοις αὐτοῖς τὰ πρεσβεῖα τῆς γεννήσεως· τὸ ἐξαίρετον δηλαδὴ τῆς ἐν τῷ βαπτίσματι γεννήσεως, ἤτοι τῆς ἀναγεννήσεως, ὅ ἐστιν ἡ συγχώρησις τῶν προημαρτημένων. αἱρετικοὺς δὲ τοὺς μὴ ἄλλως δεχομένους εἰ μὴ βαπτισθῶσι νοητέον, ἢ τοὺς ἀπίστους. εἰσὶ γάρ τινες αἱρετικοὶ, καὶ χωρὶς βαπτίσματος δεκτοὶ, ἁγίῳ χρίσματι μόνῳ χριόμενοι, ὡς ὁ ιζ΄. κανὼν τῆς δευτέρας συνόδου διατάττεται. εἴποι δέ τις ἐναντιοῦσθαι τὸν μέγαν Βασίλειον διὰ τοῦ παρόντος κανόνος τῷ πέμπτῳ κανόνι τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, λέγοντι ταῦτα· κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς τὸ κυριακὸν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ ἁμαρτάνῃ. εἰ μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· B ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ ἐξωθείσθω. ἀλλ᾽ οὐκ ἔστι τοῦτο. ὁ μὲν γὰρ τῆς συνόδου κανὼν περὶ ἁμαρτανόντων φησίν. ὁ δὲ μέγας Βασίλειος περὶ ἁμαρτησάντων καὶ ἤδη ἀποσχομένων τοῦ ἁμαρτάνειν· καὶ οὐδὲ τοῦτο λέγει, ὅτι οὐδὲ τοῦτο ὅλως ἐπιτιμηθήσονται, ἀλλ᾽ ὅτι οὐκ εὐθυνθήσονται. ὥσπερ γὰρ πάντα τὰ πρὸ τοῦ ἁγίου βαπτίσματος πραχθέντα ἁμαρτήματα ἀφίενται τῷ βαπτιζομένῳ· οὕτως καὶ ὅσα τις κατηχούμενος ὢν ἥμαρτε, καὶ οὐδ᾽ ὑπὲρ τούτων εἰς εὐθύνην ἀχθήσεται. ἀνάγνωθι καὶ τὸν ιζ΄. ἀποστολικὸν κανόνα.

ΑΡΙΣΤ. Εἰς αἵρεσιν οὖσα παρθένος, εἶτα μετανοοῦσα, καὶ C λαμβάνουσα, οὐκ εὐθύνεται· ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν νόμῳ λαλεῖ.

Αἱ πισταὶ γυναῖκες παρθενεύειν ἐπαγγειλάμεναι, καὶ τὰς ὁμολογίας αὐτῶν ἀθετήσασαι, τῷ τῆς μοιχείας ἐπιτιμίῳ ὑπόκεινται· αἱ δὲ ὑπὸ αἵρεσιν οὖσαι, καὶ παρθενεύειν ὑποσχεθεῖσαι, εἰ μετὰ ταῦτα γάμον ἀνθείλοντο, καὶ τῇ ἐκκλησίᾳ προσῆλθον, οὐ καταδικάζονται, ἀλλὰ βαπτιζόμεναι ἀνεύθυνοι μένουσιν. αἱ γὰρ μήπω τὸν ζυγὸν τοῦ Χριστοῦ βαστάσασαι, οὐδὲ τὴν νομοθεσίαν αὐτοῦ ἐπιγινώσκουσι.

ΚΑΝΩΝ κα΄.

Ἐὰν ἀνὴρ γυναικὶ συνοικῶν, ἐπειδὰν μὴ ἀρεσθεὶς τῷ γάμῳ D εἰς πορνείαν ἐμπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον, καὶ πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις· οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται. διότι ἡ μοιχαλὶς μὲν μιαινομένη, φησὶ, μιανθήσεται, καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς· καὶ ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής. ὁ μέντοι πορνεύσας οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως· ὥστε ἡ μὲν γυνὴ ἐπανιόντα ἀπὸ πορνείας τὸν ἄνδρα αὐτῆς παραδέξεται, ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἴκων αὐτοῦ ἀποπέμψει. καὶ τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκε.

ΒΑΛΣ. Περὶ πορνείας καὶ μοιχείας ἀνάγνωθι τὸ E ε΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κανόνας καὶ νόμους. ἐνταῦθα δὲ ὁ ἅγιος τὸν μὲν ἔχοντα γυναῖκα καὶ μεθ᾽ ἑτέρας ἐλευθέρας γυναικὸς ἀσελγήσαντα, πόρνον εἶναι λέγει, οὐ μοιχόν· τὴν δὲ ὕπανδρον γυναῖκα μετ᾽ οἱουδήτινος ἑτέρου ἀνδρὸς μιγεῖσαν μοιχαλίδα ἀποκαλεῖ, προστιθέμενος ὡς ταύτην μὲν ἄκων οὐκ ἀναγκασθήσεται ὁ ἀνὴρ ὑποδέξασθαι εἰς τὸν οἶκον αὐτοῦ, ἀλλὰ ἀπεντεῦθεν διαζευχθήσεται αὐτῆς. τὸν δὲ ἄνδρα τὸν πορνεύσαντα, ἀπὸ τῆς νομίμου γυναικὸς ἡ πορνεία οὐ διαζεύγνυσι. δι᾽ ἣν δὲ αἰτίαν οὕτω ταῦτα νενομοθέτηται, οὐκ εὔκολόν ἐστι, φησὶ, νοηθῆναι. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κα- F νόνος, ὅτι οὐκ ἔστι μονοειδὴς ἡ πορνεία, οὐδὲ τοῖς αὐτοῖς ἐπιτιμίοις θεραπεύεται. πλέον γὰρ, φησὶ, λέγει ὀφείλειν ἐπιτιμᾶσθαι τὸν ἔχοντα νόμιμον γυναῖκα καὶ πορνεύσαντα, παρὰ τὸν μὴ ἔχοντα γυναῖκα καὶ πορνεύσαντα. τὸ δὲ πλέον τοῦ ἐπιτιμίου εἰς τὴν διάκρισιν τοῦ ψυχικοῦ ἰατροῦ ἀνετέθη.

ΖΩΝΑΡ. Ἀνὴρ, φησὶν, ἔχων γυναῖκα, ἐὰν εἰς ἑτέραν ἁμάρτῃ μὴ ἄνδρα ἔχουσαν, πόρνος ἐστὶν, ἀλλ᾽ οὐ μοιχός. ἐπὶ πλέον δὲ αὐτῷ τὸ ἐπιτίμιον παρατείνεται· ἤγουν βαρύτερον ἐπιτιμᾶται, παρὰ τὸν μὴ συζῶντα γυναικὶ καὶ πορνεύσαντα. τῷ

μὲν γὰρ συγγνώμη τὶς δίδοται διὰ τὴν ἀνάγκην τῆς φύσεως, ὁ δὲ γυναῖκα ἔχων, τῆς συγγνώμης ταύτης ἐστέρηται, τῆς φυσικῆς ἀνάγκης παραμυθίαν ἔχων τὴν νόμιμον γαμετήν, ἁμαρτάνων δὲ δι' ἀκολασίαν καὶ ἀσέλγειαν· διὸ καὶ μᾶλλον ἐπιτιμᾶται, καὶ ἐπὶ πλείονα χρόνον. ἀλλ' ὅμως ἡ γυνὴ αὐτοῦ τὸν τοιοῦτον οὐ παραιτήσεται. ἡ δὲ ἄνδρα ἔχουσα γυνὴ καὶ μιγεῖσα ἑτέρῳ, μοιχαλίς ἐστι· καὶ ὁ ἀνὴρ αὐτῆς ἐξωθήσει αὐτήν, καὶ οὐκ ἀναγκασθήσεται προσλαβέσθαι αὐτήν, εἰ μὴ βούλεται. οὕτως γάρ, φησί, κεκράτηκεν ἡ συνήθεια, κρίνεσθαι ταῦτα. ὁ δὲ λόγος καὶ ἡ αἰτία, δι' ἣν οὕτως νενόμισται γίνεσθαι, οὐκ εὔκολός ἐστι, φησί, νοηθῆναι.

A is qui cùm uxorem non habeat fornicatur. Huic enim quædam conceditur venia ob naturæ neceſſitatem. Qui verò uxorem habet, hac excuſatione caret, cum legitimam uxorem habeat naturalis neceſſitatis levamentum, atque ob intemperantiam, ac libidinem peccet: proinde & gravius & diuturniore tempore punitur. Non tamen hujuſmodi hominem uxor ipſius repudiabit. Mulier autem virum habens, ſi alteri commiſceatur, adultera eſt; eamque vir ſuus expellet, nec ſibi rurſum adſciſcere cogetur niſi velit. Ita namque, ait, obtinuit conſuetudo iſta dijudicari. Rationem vero & cauſam, ob quam ita fieri conſuetum eſt, haud facile, ait, fuerit indagare.

ΑΡΙΣΤ. Ἄνδρα πεπορνευκότα ἡ ἰδία παραλήψεται. μιανθεῖσαν δὲ γυναῖκα ὁ ἀνὴρ ἀποπέμπεται. Πόρνος γὰρ οὐ μοιχός ἐστιν, ὁ εἰς ἐλευθέραν ἐκπεσὼν ὑπογύναιος.

B Arist. *Virum qui fornicatus eſt uxor propria recipiet: Inquinatam vero adulterio uxorem vir dimittet. Fornicator enim non adulter eſt, qui uxori junctus cum ſolutâ rem habuerit.*

Οὐκ ὡς μοιχὸς ὁ ἀνὴρ κριθήσεται ὁ συνοικῶν γυναικί, καὶ πρὸς ἑτέραν ἐλευθέραν γάμου ἁμαρτήσας, ἀλλ' ὡς πόρνος· καὶ διὰ τοῦτο οὐδὲ τοῖς μοιχείας ἐπιτιμίοις ὑποβληθήσεται· πλέον δὲ πόρνου ἐπιτιμηθήσεται. τοῦτο δὲ διὰ τὴν κρατήσασαν συνήθειαν. τὴν μὲν γὰρ γυναῖκα ἑτέρῳ ἀνδρὶ μιανθεῖσαν παρὰ τοῦ ἀνδρὸς αὐτῆς προστάττει ἀποδιώκεσθαι. τὸν δὲ ἄνδρα πορνεύοντα ὑπὸ τῆς ἰδίας γυναικὸς κελεύει μὴ ἀπολύεσθαι, ἀλλὰ παραδέχεσθαι αὐτόν.

Vir qui cum muliere cohabitat & in aliam à matrimonio liberam peccatum admiſit, adulter non dijudicabitur, ſed fornicator. Et ideo nec adulterii pœnis ſubjicietur, ſed pluſquam fornicator punietur. Hoc autem fit ob conſuetudinem quæ obtinuit. Mulierem enim ab alio viro pollutam, à viro ſuo expelli mandat. At virum fornicantem ab uxore ſuâ non dimitti, ſed retineri C jubet.

ΚΑΝΩΝ κβʹ.

Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προμεμνηστευμένας εἶεν ἀφηρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρὶν ἢ ἀφελέσθαι αὐτῶν, καὶ ἐπ' ἐξουσίᾳ τῶν ἐξαρχῆς μεμνηστευμένων ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτάς, εἴτε ἀποστῆναι. εἰ δὲ σχολάζουσάν τις λάβῃ, ἀφαιρεῖσθαι μὲν δεῖ, καὶ τοῖς οἰκείοις ἀποκαθιστᾶν, ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοί, εἴτε οἵτινες οὖν προεστῶτες τῆς κόρης· κᾂν μὲν ἕλωνται αὐτῇ παραδοῦναι, ἵστασθαι τὸ συνοικέσιον, ἐὰν δὲ ἀνανεύσωσι, μὴ βιάζεσθαι. τὸν μέντοι ἐκ διαφθορᾶς εἴτε λαθραίας εἴτε βιαιοτέρας γυναῖκα ἔχοντα ἀνάγκη τὰ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμια· ἔστι δὲ ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη τοῖς πορνεύουσιν ἐπιτίμησις. χρὴ δὲ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας. τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ δεχθῆναι εἰς μετάνοιαν. τῷ τετάρτῳ, εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς· εἶτα αὐτοῖς ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἀγαθοῦ.

CANON XXII.

Eos qui ex raptu habent mulieres, ſi aliis quidem deſponſas abripuerint, non priùs oportet admittere, quàm ab eis ablatæ ſint, & ſit in eorum poteſtate quibus deſponſæ fuerant, an eas velint accipere, an deſiſtere. Si quis autem vacantem acceperit, auferre quidem oportet, & ſuis reſtituere, illorum autem ſententiæ permittere, ſive ſint parentes, ſive fratres, ſive quicunque alii virgini præſint: & ſi ei quidem tradere voluerint, matrimonium conſtituere; ſin autem renuerint, D *non cogi. Ei autem qui mulierem vel vi vel clam à ſe vitiatam habet, neceſſe eſt fornicationis pœnas imponere; eſt autem in quatuor annis præfinitum fornicatoribus ſupplicium. Oportet autem eos anno primo à precibus expelli, & ipſos deflere ad fores eccleſiæ. Secundo autem, ad auditionem admitti. Tertio, admitti ad pœnitentiam. Quarto, ad congregationem cum populo, abſtinentes ab oblatione. Deinde eis permitti boni communionem.*

ΒΑΛΣ. Ὁ μὲν κζʹ. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ὅστις καὶ ἀπαράλλακτος ϟβʹ. κανών ἐστι τῆς ϛʹ. συνόδου, διορίζεται, τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου. ὁ δὲ παρὼν κανὼν παρακελεύεται τοὺς μὲν ἁρπάζοντας γυναῖκας ἑτέρῳ μνηστευσαμένας, μὴ ἄλλως εἰς μετάνοιαν δέχεσθαι, εἰ μὴ πρότερον δώσουσι τὰς ἁρπαγείσας, ἐφ' ᾧ τοὺς μνηστῆρας τούτων λαβεῖν αὐτὰς ἐὰν θελήσωσι. εἰ δὲ μή, εἶναι παρὰ τοῖς συγγενέσιν αὐτῶν. τοὺς δὲ ἁρπάσαντας γυναῖκα ἐλευθέραν, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι καὶ παραδίδοσθαι τοῖς γονεῦσιν, ἢ τοῖς ἄλλως προσήκουσιν αὐτῇ· ὥστε, εἰ μὲν βούλονται οὗτοι, συζεῦξαι αὐτὴν τῷ ἅρπαγι μετὰ καὶ συναινέσεως ταύτης, εἰ δὲ ἀπαρέσκοντα, μὴ γίνεσθαι τοῦτο. ὡς ἂν δὲ τὰ τοῦ πράγματος ἔχωσιν, ἤγουν κᾂν συζευχθῇ, τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποπεσεῖται, καὶ οὐ μόνον ὁ ἅρπαξ οὕτω κολασθήσεται, ἀλλὰ καὶ ὁ λάθρα μετὰ κόρης συμφθαρείς. ὁρίζεται δὲ καὶ εἰς τετραετίαν τὰ τῶν πορνευόντων ἐπιτίμια, καὶ ὁ μὲν κανὼν ἐν τούτοις· ὁ δὲ πολιτικὸς νόμος ἀλλοτρόπως κολάζει τοὺς ἅρπαγας, καὶ οὐδὲ παραχωρεῖ ὁπωσδήποτε τὸν ἁρπάσαντα συζευχθῆναι τῇ ἁρπαγείσῃ. καὶ ἀνάγνωθι τὸν ῥηθέντα κζʹ· κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου καὶ τὸν ϟβʹ· τῆς ϛʹ. καὶ κανόνα ξζʹ· τῶν ἁγίων ἀποστόλων καὶ κεφ. λʹ· τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος,

E Bals. Vigeſimus ſeptimus canon Chalcedon. Synod. qui idem eſt omnino canon xcii. ſextæ Synodi, decernit quid debeat fieri iis qui mulieres rapiunt nomine conjugii. Præſens autem canon jubet eos, qui mulierem alteri deſponſam rapuerint, non aliter ad pœnitentiam admitti quàm ſi raptas priùs dederint, ut ſponſi earum ipſas, ſi velint, accipiant: ſin minùs, ſit apud ſuos cognatos. Ab eis verò, qui mulierem liberam ſeu nulli deſponſam rapuerint, eam itidem auferri & tradi parentibus, vel iis qui alioqui ad eam attinent: ut eam, ſi velint, raptori conjungant, cum ejus etiam conſenſu; ſin autem hoc eis non placuerit, ne fiat. F Quomodocunque autem ſe res habeat, etſi videlicet raptæ raptor conjugatur, pœnis erit fornicatorum obnoxius, & non ſolùm ſic punietur raptor, ſed & is qui puellæ clam vitium attulit. Fornicatorum autem pœnas in quatuor annos definit. Et in his quidem præſens canon conſiſtit. Lex autem civilis alio modo raptores punit, nec ullo modo permittit ut raptor raptæ conjungatur. Et tu lege prædictum xxvii. canonem Synodum Chalced. & xcii. vi. & can. lxvii. ſanctorum Apoſtolorum, & caput xxx. ix. tituli præſentis operis, & quæ in eis ſunt.

Cùm autem præſentem Canonem audis dicentem, ex conſenſu parentum vel cognatorum puellæ eam dari nuptum ei qui rapuit, ne dixeris parentum conſenſum eúmque ſolum ſufficere. Quoties enim ſunt legitimæ nuptiæ, neceſſarius quoque eſt eorum qui conjunguntur conſenſus; ſive in poteſtate ſint, ſive ſui juris. Dicit enim ii. cap. iiii. tit. xxviii. lib. hæc expreſsè, Non ſunt legitimæ nuptiæ, niſi ii qui conjunguntur conſenſerint, & qui eos habent in poteſtate: ſi autem ex hac lege ad nuptias iis qui ſunt in poteſtate ſuus eſt neceſſarius conſenſus, multo magis non fiet matrimonium eorum qui ſunt ſui juris, niſi ipſi quoque conſenſerint.

Zonar. Qui rapuerunt mulieres, inquit, eáſque detinent, ſiquidem illæ prius aliis deſponſæ fuerunt, non alia ratione ad pœnitentiam admittentur, niſi antea raptæ ab eis auferantur, moxque integrum ſit iis, quibus fuerant deſponſæ, eas, ſi velint, accipere. Si verò rapta nulli adhuc deſponſa fuerat, tunc quoque ipſam à raptore abduci, tum parentibus, aliiſve familiaribus, ſeu cognatis, ſeu aliis quibus mulieris cura commiſſa eſt, tradi canon jubet. Ita ut ſiquidem illi velint ipſam raptori fœdere nuptiarum jungere, nuptiæ conſiſtant, videlicet, ſi modo ipſa quoque mulier conſenſerit. Hujus porro conſenſus, quod ad alios attinet eſt neceſſarius, non tamen adverſus patrem qui eam in poteſtate habet. Patri namque adverſari minime poteſt, niſi forte contaminatum moribus & indignum ipſi deſpõdeat, ut civilibus conſtitutionibus ſancitum eſt. Quod ſi non aſſentiatur mulier, etiamſi ipſius cognati velint, haud conſiſtent nuptiæ. Cæterum quamvis & ipſa mulier & ipſius cognati conſiſtere matrimonium cum eo velint qui ipſam ſive occultè, ſive per vim corrupit, fornicatorum pœnis erit corruptor obnoxius, quas ad quadriennium produci canon decernit: ac deinceps, quonam modo hoc quadriennio cum eo qui peccavit agendum ſit, explicat. Atque hæc quidem canon ſtatuit. Lex porro civilis raptorem mulieris graviùs puniens, ne jungi quidem ipſi matrimonio raptam mulierem ſinit, etiamſi cognati illius hoc velint. Sic enim habetur l. lx. ccc.lviii. xxv. Nullo modo nubat rapta mulier ei qui ipſam rapuit, ſed irritas eſſe nuptias quantumvis eis parentes aſſenſi fuerint, jubet.

Arist. *Qui deſponſatam rapit, ſponſo reſtituet: Si verò non deſponſatam, ſuis reddet, & ex eorum ſententia matrimonium contrahetur, ſi quidem velint: ipſe vero fornicationis pœnas dabit.*

Præſens quidem canon requirit ut mulier nondum deſponſata, & à quopiam rapta, ſuis illa reſtitueretur, ſive parentes ſint, ſive fratres, ſive aliter propter orbitatem illius curam gerunt. Concedit autem eis licentiam ut ſi velint illa cum raptore matrimonium tunc contrahat. At quinquageſimus octavus titulus ſexageſimi libri Baſilicωn illud fieri non permittit, licet mulier rapta velit, licet & parentes ejus ut raptori matrimonio conjungatur. Sed & mandat parentes iſtiuſmodi conſentientes matrimonio exterminari. At xciii. canon ſexto in Trullo ſynodi laicum mulierem rapientem ſub matrimonii nomine, anathemati ſubjicit; & intelligi iſtum oportet canonem juxta vim præſentis canonis. Mandat enim & hic eum qui ex raptu poſſedit mulierem non prius in eccleſiam admitti, quam illam ſi deſponſa fuit, ſuo ſponſo reſtituit, aut ſi non deſponſa fuit, propriis ipſius parentibus aut fratribus vel aliter ei præfectis. Poſtquam enim illam reſtituit, anathematiſmus locum non habebit. Iſtum autem qui ante matrimonium clam aut vi mulierem corrupit, & poſtea ei legitime conjunctus eſt, fornicationis pœnas luat neceſſe eſt, quatuor

A καὶ τὰ ἐν αὐτοῖς ἀκούων δὲ τοῦ παρόντος κανόνος λέγοντος, κατὰ συναίνεσιν τῶν γονέων ἢ τῶν συγγενῶν τῆς κόρης δίδοσθαι ταύτην πρὸς γάμον τῷ ἁρπάσαντι, μὴ εἴπῃς ἀρκεῖν τὴν τῶν γονέων συναίνεσιν καὶ μόνην. ὁσάκις γὰρ γάμος ἔννομος γίνεται, ἀναγκαία ἐστὶ καὶ ἡ συναίνεσις τῶν μελλόντων συζευχθῆναι, κἂν ὑπεξούσιοι ὦσι, κἂν αὐτεξούσιοι. φησὶ γὰρ τὸ δεύτερον κεφ. τοῦ δ΄. τίτλου τοῦ κη΄. βιβλίου ταῦτα ῥητῶς, οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. ἐὰν δὲ χρεία κατὰ τὸν νόμον τοῦτον ἐν τοῖς γάμοις καὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων, πολλῷ πλέον οὐ γενήσεται γάμος αὐτεξουσίων, εἰ μὴ καὶ αὐτοὶ B συναινέσουσι.

ΖΩΝΑΡ. Οἱ ἁρπάσαντες γυναῖκας, φησὶ, καὶ ἔχοντες ταύτας, ἐὰν ἑτέροις ἐκεῖναι προεμνηστεύθησαν, οὐκ ἄλλως δεχθήσονται εἰς ἐπιτιμίαν, εἰ μὴ πρότερον ἀφαιρεθεῖεν τὰς ἁρπαγείσας, εἶτα εἰς ἐξουσίαν κεῖσθαι τῶν προμνηστευσαμένων αὐτάς, εἰ βούλοιντο λαβεῖν αὐτάς. εἰ δὲ μήπω τινὶ μνηστευθεῖσα ἡ ἁρπαγεῖσα ἐστὶ, καὶ οὕτως αὐτὴν ἀφαιρεῖσθαι διακελεύεται ἀπὸ τοῦ ἅρπαγος ὁ κανὼν, καὶ παραδίδοσθαι τοῖς γονεῦσιν ἢ τοῖς ἄλλοις οἰκείοις, ἤτοι συγγενέσιν, ἢ ἄλλοις οἷς μέλει τῆς γυναικός. ὥστε εἰ μὲν βούλονται ἐκεῖνοι εἰς γυναῖκα συζεῦξαι C αὐτὴν τῷ ἅρπαγι, συστῆναι γάμον, δηλονότι, εἰ καὶ ἡ γυνὴ συναινεῖ. ἡ δὲ συναίνεσις αὐτῆς, ἐπὶ τῶν ἄλλων ἐστὶν ἀναγκαία, οὐ μὴν καὶ ἐπὶ πατρὸς τοῦ ἔχοντος ὑπεξουσίαν αὐτήν. τῷ γὰρ πατρὶ ἀντιλέγειν οὐ δύναται, εἰ μή που τοῖς τρόποις ἢ ἀνάξιον αὐτῇ μνηστεύεται κατὰ τοὺς πολιτικοὺς νόμους. εἰ δὲ οὐ βούλεται ἡ γυνὴ, κἂν βούλωνται οἱ οἰκεῖοι αὐτῆς, οὐ συστήσεται γάμος. εἰ δὲ καὶ ἡ γυνὴ θελήσει καὶ οἱ ταύτῃ προσήκοντες συστῆσαι συνοικέσιον μετὰ τοῦ φθείραντος αὐτὴν, εἴτε λαθραίως, εἴτε βιαίως, τῷ πορνευόντων ἐπιτιμίῳ ὁ φθορεὺς ὑποκείσεται, ὅπερ τετραετίαν εἶναι ὁ κανὼν ὁρίζει· καὶ ἑξῆς καταλέγει ὅπως ἐν τῇ τετραετίᾳ ὁ ἁμαρτήσας οἰκονομηθήσεται. D ταῦτα μὲν οὖν ὁ κανών· ὁ δὲ πολιτικὸς νόμος σφοδρότατα κολάζων τὸν ἁρπάσαντα γυναῖκα, οὐδὲ συζευγνύσθαι αὐτῷ τὴν ἁρπαγεῖσαν παραχωρεῖ, κἂν οἱ αὐτῇ προσήκοντες τοῦτο βούλωνται. λέγει γὰρ βιβλίον ξ΄. τ΄. νή. κέ. μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν, ἀλλὰ καὶ εἰ συναινέσοιεν τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται.

ΑΡΙΣΤ. Ὁ μνηστευθεῖσαν ἁρπάζων, ἀποκαταστήσει τῷ μνηστευσαμένῳ· εἰ δὲ ἀμνήστευτον τοῖς οἰκείοις ἐγκαταστήσει· καὶ κατὰ τὴν ἐκείνων γνώμην προβήσεται τὰ συνοικέσια, εἴγε βούλοιντο. ὁ δὲ τὸ τῆς πορνείας ἐπιτίμιον εἴσεται.

E Ὁ μὲν παρὼν κανὼν ἀπαιτεῖ τὴν μήπω μνηστευθεῖσαν γυναῖκα, καὶ παρά τινος ἁρπαγεῖσαν, τοῖς οἰκείοις ταύτην ἀποκαθιστᾶν· εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοὶ, εἴτε ἄλλως διὰ τὴν ὀρφανίαν αὐτῆς κηδεμόνες. δίδωσι δὲ αὐτοῖς ἄδειαν ἐκτότε, εἰ βούλοιντο, μετὰ τοῦ ἁρπάσαντος αὐτὴν γάμον συναλλάττειν. Ὁ δὲ πεντηκοστὸς ὄγδοος τίτλος τοῦ ἑξηκοστοῦ βιβλίου τῶν βασιλικῶν οὐ συγχωρεῖ τοῦτο γίνεσθαι, κἂν ἡ ἁρπαγεῖσα θέλῃ γυνὴ, κἂν οἱ γονεῖς αὐτῆς, τῷ ἁρπάσαντι συναφθῆναι πρὸς γάμον, ἀλλὰ καὶ προστάττει περιορίζεσθαι τοὺς γονεῖς, τῷ τοιούτῳ συναινοῦντας συνοικεσίῳ. Ὁ δὲ ἐννενηκοστὸς δὲ κανὼν τῆς ἐν τῷ τρούλλῳ ἕκτης F συνόδου, ἀναθέματι τὸν λαϊκὸν ὑποβάλλει γυναῖκα ἁρπάζοντα ἐπὶ ὀνόματι συνοικεσίου. καὶ χρὴ νοεῖσθαι, τὸν κανόνα ἐκεῖνον, κατὰ τὴν δύναμιν τοῦ παρόντος κανόνος· προστάττει γὰρ καὶ οὗτος μὴ πρότερον τῇ ἐκκλησίᾳ παραδέχεσθαι τὸν ἐξ ἁρπαγῆς γυναῖκα κατέχοντα, πρὶν ἢ αὐτὴν μεμνηστευμένην οὖσαν, τῷ οἰκείῳ μνηστῆρι ἀποκαταστήσει· ἀμνήστευτον δὲ, τοῖς οἰκείοις αὐτῆς γονεῦσιν ἢ ἀδελφοῖς, ἢ ἄλλως προϊστῶσι. μετὰ γὰρ τὸ ἀποκαταστῆσαι αὐτὴν ὁ ἀναθεματισμὸς χώραν οὐχ ἕξει. τὸν μέντοι πρὸ τοῦ γάμου λαθραίως, ἢ βίᾳ διαφθείραντα

UMI

ραντα γυναῖκα, εἶτα νομίμως συναφθέντα αὐτῇ, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον, ἐν τέσσαρσιν ἐνιαυτοῖς. ἐν ἑνὶ μὲν τῇ θύρᾳ τῆς ἐκκλησίας προσκλαίοντα· ἐν τῷ δευτέρῳ μετὰ τῶν ἀκροωμένων· ἐν τῷ τρίτῳ μετὰ τῶν ὑποπιπτόντων· καὶ ἐν τῷ τετάρτῳ συνιστάμενον μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν αὐτοῖς κοινωνοῦντα· καὶ οὕτω μετὰ τὴν τετραετίαν, τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιούμενον.

ΚΑΝΩΝ κγ'.

Περὶ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ ἀντίγραφον ἀπεστείλαμεν σου τῇ εὐλαβείᾳ· ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν, οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι.

ΒΑΛΣ. Καὶ τὸ τῆς αἱμομιξίας ἁμάρτημα, μετὰ τὴν ἀπόστασιν τοῦ κακοῦ, ὑπὸ τῆς ἐκκλησιαστικῆς ἰατρείας θεραπεύεται, ὥσπερ καὶ ἄλλα ἁμαρτήματα. ἐρωτηθεὶς οὖν ὁ ἅγιος, τί χρὴ γίνεσθαι εἰς τοὺς συμφθαρέντας δυσὶν ἀδελφαῖς, καὶ τὸ ἀνάπαλιν, εἶπεν ὡς περὶ τῶν τοιούτων ἔγραψα ἐπιστολίδιον· ἔστι δὲ τοῦτο τὸ πρὸς Διόδωρον, καὶ ἐκεῖθεν δηλοῦται τὸ ποιητέον. πῶς δὲ ὀφείλουσιν οἱ τοιοῦτον γάμον ἀθέμιτον συναλλάξαντες ἀποστῆναι τοῦ κακοῦ, καὶ οὕτως ἐρωτᾶν τὸ περὶ τῆς θεραπείας. ἀνάγνωθι οὖν τὴν πρὸς Διόδωρον ἐπιστολὴν, καὶ τὰ ἐν αὐτῇ, καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τὸ ἐπιστολίδιον, οὗ λέγει ὁ ἅγιος, πρὸς Διόδωρον ἀπεστάλη, ἀπαγορεῦον τὸ, τελευτησάσης τῆς γυναικός τινι τὴν ἀδελφὴν αὐτῆς εἰς γάμου κοινωνίαν αὐτὸν ἄγεσθαι· καὶ ἐκ πολλῶν καὶ γενναίων λογισμῶν τοῦτο κατασκευάζων. ὅπερ ἐν τῷ οἰκείῳ τόπῳ ἐξηγηθήσεται. ὃς καὶ τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἔλαβεν, ἐκείνου δηλαδὴ τελευτήσαντος, οὐ δεχθήσεται ὡς μετανοῶν εἰ μὴ αὐτὴν ἀποπέμψεται, καὶ λύσει τὸν ἄθεσμον γάμον.

ΑΡΙΣΤ. Ἀδελφὸν ἀδελφοῦ γυναῖκα ἔχειν ἀδύνατον. Σαφής.

ΚΑΝΩΝ κδ'.

Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι, τὴν διακονουμένην ὑπὸ τῆς ἐκκλησίας, ὁ ἀπόστολος γαμουμένην παρορᾶσθαι. ἀνδρὶ δὲ χηρεύοντι οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν διγάμων ἐπιτίμιον. ἡ μέντοι χήρα ἑξηκονταέτης γεγονυῖα, ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐκ ἀξιωθήσεται τῆς τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται· ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναικός.

ΒΑΛΣ. Ὥσπερ ἐτάττοντο παρθένοι γυναῖκες ἐν τῇ ἐκκλησίᾳ μετὰ λαϊκοῦ σχήματος καὶ διῳκοῦντο ἀπὸ τῶν εἰσόδων τῆς ἐκκλησίας, οὕτω καὶ χήρας μετὰ τοῦ αὐτοῦ σχήματος κατετάττοντο. φησὶ γοῦν ὁ ἅγιος, ὡς ὁ μέγας Παῦλος τὴν τοιαύτην χήραν, ἤγουν τὴν μετὰ τὸ καταταγῆναι εἰς ἐκκλησίαν δευτερογαμήσασαν, ἔκρινεν, ἤγουν ὥρισε παρορᾶσθαι, τουτέστιν ἐξωθεῖσθαι ἀπὸ τῆς ἐκκλησίας, καὶ εἰ μὲν πρὸ τοῦ ἑξηκονταετοῦς χρόνου αὕτη δευτερογαμήσει, ταύτην καὶ μόνην τὴν κόλασιν ὑποστήσεται. συγγνώμης γάρ ἐστιν ἀξία ὑπὸ τῆς νεωτέρας ἡλικίας καταναγκασθεῖσα δευτερογαμῆσαι, καὶ μᾶλλον οἱ καταλέξαντες αὐτὴν πρὸ τοῦ πληρῶσαι τὸν ἑξηκονταετῆ χρόνον ὀφείλουσιν αἰτιᾶσθαι ὡς παραβάντες τὴν τοῦ ἀποστόλου διαταγὴν, τὴν λέγουσαν, χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα. ἡ δὲ μετὰ τὸν ἑξηκονταετῆ χρόνον ἀθετήσασα τὴν σωφροσύνην δευτερογαμήσασα, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν ἀπόσχηται τῆς πρὸς τὸν ἄνδρα ἀκαθαρσίας. ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὸν ἐν τοιούτῳ γήρᾳ γάμον. τὸν μέντοι ἄνδρα φησὶ δευτερογαμοῦντα ὁ νόμος ἄλλως πως οὐ κολάζει, ἀλλὰ δὶ ἐπιτίμιον διγάμων, ὅσπερ ἐστὶν ἀφορισμὸς ἐφ' ἕνα ἐνιαυτόν. ἐπεὶ δὲ ἀποστολικῆς παραγγελίας ὁ ἅγιος ἐμνήσθη,

annis, primo quidem ad Eccleſiæ fores defleat, ſecundò cum audientibus recipiatur, tertio cum ſubſtratis, & quarto, cum fidelibus congregatus, & cum iis precum ſit particeps. Et ſic poſt quadriennium boni communione dignus habeatur.

Canon XXIII.

De his autem qui duas ſorores uxores ducunt, vel eis quæ duobus fratribus nubunt à nobis edita eſt epiſtola, cujus B *exemplum tuæ pietati miſimus. Qui autem ſui fratris uxorem accepit, non prius admittetur quàm ab ea receſſerit.*

Bals. Inceſtûs quoque peccatum, poſt deceſſum à malo, ſicut & alia peccata, ab Eccleſiaſtica medicina curabitur. Interrogatus ergo ſanctus, quid iis fieri oporteat qui cum duabus ſororibus rem habent, & contrà, dixit ſe de iis ſcripſiſſe Epiſtolam: ea eſt autem quam ſcripſit ad Diodorum, & illic oſtenditur quid agendum. Debent autem, qui hoc nefarium matrimonium contraxerunt, à malo recedere, & ita de curatione ſciſcitari. C Lege ergo epiſtolam ad Diodorum, & quæ in ea ſunt, & ii. cap.xiii.titu. præſentis operis.

Zonar. Epiſtolium, de quo hic ſanctus meminit, miſſum eſt ad Diodorum, quo cum uxor cujuſdam diem ſuum obiiſſet, illius ſororem ab ipſo in nuptiarum ſocietatem ſuperinduci vetat: multiſque & gravibus rationibus rem confirmat. Quod quidem nos ſuo loco explicabimus. Qui etiam fratris uxorem duxit, illius nempe qui vita functus eſt, non admittetur ad pœnitentiam, niſi ipſam dimiſerit, illegitimúmq; connubium ſoluerit.

Arist. *Fratrem fratris uxorem ducere impoſſibile eſt.* Perſpicuus.

D

Canon XXIV.

Viduam, quæ in viduarum numerum relata eſt, hoc eſt, quæ ab eccleſia in diaconatum ſuſcepta eſt, cenſuit Apoſtolus nubentem eſſe deſpiciendam. Viro autem viduo nulla eſt lex impoſita, ſed digamorum pœna tali ſufficit. Porrò vidua ſexaginta annos nata, ſi rurſus cum viro habitare voluerit, boni communione non dignabitur, donec ab impuritatis perturbatione ceſſaverit. Sed ſi ante ſexaginta annos eam in numerum retulerimus, noſtra eſt, non mulieris culpa.

E

Bals. Quemadmodum virgines fœminæ cum laico habitu in Eccleſiis collocabantur, & ex Eccleſiæ editibus alebantur, ita & viduæ cum eodem habitu ordinabantur. Dicit ergo ſanctus, quòd magnus Paulus iſtiuſmodi viduam ſive eam, quæ poſtquàm in Eccleſia ordinata eſt, ſecundò nupſit, cenſuit ſeu definit deſpici, hoc eſt ab Eccleſia expelli; & ſi ipſa quidem ante ſexageſimum annum ſecundò nupſerit, eam ſolam pœnam ſuſtinebit. Eſt enim digna venia, ut quæ propter juniorem ætatem ſecundò nubere coacta ſit, & ii potiùs qui eam, antequam ſexageſimum annum compleverit, ordinarunt F ſunt reprehendendi, ut qui Apoſtolicam conſtitutionem transgreſſi ſunt, quæ dicit; Vidua eligatur non minor lx. annis. Quæ autem poſt annum ſexageſimum continentiam infirmans, ſecundò nupſit, à ſancta communione erit ſeparata, donec ab impuritate cum viro abſtinuerit. Sanctus enim impuritatem appellavit in ea ætate matrimonium. Virum autem, inquit, qui ſecundò uxorem ducit, non ullo alio modo lex punit, quàm per digamorum pœnam, quæ eſt ad unum annum ſegregatio. Quia autem ſanctus præcepti Apoſtolici meminit, debes ſcire quod magnus Apoſtolus ad Timotheum ſcribens, dicit:

Honora viduas, quæ verè ſunt viduæ. Et paulò poſt, Quæ eſt autem verè vidua, & ſola relicta ſperavit in Deum, & permanet in precibus & orationibus. Et rurſus poſtea. Si quis vel quæ fidelis habet viduas, eis ſuppeditet, & ne gravetur eccleſia, ut iis quæ verè ſunt viduæ opem ferat. Et rurſus, Juniores autem viduas devita. Et hæc quidem de viduis mulieribus, quæ in eccleſiam cooptatæ ſunt. Quæ enim tales non ſunt, quotieſcunque ſecundo nupſerint, in bigamorum pœnas incident æque ac viri: Lege & ii. caput xiii. tit. præſentis operis. Ne mireris autem, quomodo non definierunt Canones, ut viri etiam vidui cum laico habitu in Eccleſiis ordinentur. Patres enim majorem mulierum quàm virorum rationem habent. Mulieres enim, ut quæ non tenent modum eorum parandorum, quæ ſunt vitæ neceſſaria, ad ſecundas fortè nuptias neceſſariò divertunt, licet velint eſſe continentes: & ideo eis ſuccurrit eccleſia ne ſecundò nubant paupertatis prætextu. Viri autem, qui multis modis quæ ſunt ad victum neceſſaria comparant, non poſſunt paupertatem prætexere ad depellendam ſecundi matrimonii reprehenſionem: & propterea nec ab eccleſiis quidem admittuntur & aluntur. Conſequenter autem huic rationi ne dixeris debere mulieres impunitas remanere, ut nonnulli dicunt, quæ ſecundò nupſerint; ſed & ipſæ ſecundò nubentium pœnæ ſubjiciantur. Intelliges autem ex xiiii. tit. xxviii. lib. quòd mulieres quæ ſecundò nubunt magis puniuntur, quàm viri qui uxores ſecundò duxerunt.

Zonar. Magnus Paulus ad Timotheum ſcribens, ait; Viduas honora, quæ vere viduæ ſunt. Et paulo poſt; Ea autem quæ vere vidua eſt, & deſolata, ſperet in Deum, & inſtet orationibus, & obſecrationibus. Et rurſum nonnullis interjectis; ſi quis vel quæ fidelis habet viduas, ſubminiſtret illis, & non gravetur Eccleſia, ut iis quæ vere viduæ ſunt ſuppeditet. Et rurſum; juniores viduas devita. Igitur ex Apoſtoli præcepto conſtituebantur, quæ vere viduæ eſſent, in Eccleſiis, atque ex earum reditibus alebantur. Propter hæc ergo ait magnus Baſilius, ſi qua vidua adſcripta viduis in diaconatum ſuſceptis, hoc eſt, quas Eccleſia alebat, quibuſque miniſtrabat, ad nuptias propendeat, deſpicietur, nec alimenta illi amplius ab Eccleſia ſuppeditabuntur. Viduis autem hominibus nulla poſita lex eſt: hoc eſt, Nulla ſpiritalis lex homines punit, qui ſecundis ſeſe nuptiis illigaverint. Sufficit ipſis namque digamorum pœna, nempe unius anni ſegregatio. Vidua autem mulier ſexaginta annos nata, ac proinde viduarum ordini in Eccleſiis adſcripta, ſi nuptias eligat, à ſancta communione ſegregata deget, quoadusque ſe à viro disjunxerit. Impuritatis enim nomine nuptialem hanc in ſenectute commixtionem vir ſanctus vocavit. Si vero ante ſexaginta annos ipſam inter Eccleſiæ viduas adnumerabimus, moxque peccet viro ſociata, noſtrum id jam fuerit, non mulierculæ crimen. Nos etenim, ait, accuſari par eſt, quippe violatores ab Apoſtolo promulgatæ legis, cujus illa ſunt; Vidua eligatur non minor ſexaginta annis: Illa porro venia digna, quæ nempe ad ſenectutem adhuc non pervenerit.

Arist. *Si nubat vidua in diaconatum cooptata, deſpicitur. Viduus autem qui uxorem duxit, bigamorum ſolummodo pœnas ſolvet. Vidua autem poſt ſexaginta annos nupta, communione privetur, donec ab impuritate receſſerit. Si quis vero ante ſexaginta annos in catalogum quampiam retulerit, crimine illius obſtringetur.*

Viduæ quæ in viduarum numerum referuntur, & ab Eccleſiâ aluntur, ſi ad matrimonium veniant, non amplius proviſione ab Eccleſiâ dignæ cenſeantur, ſed negli-

A ὀφείλεις εἰδέναι, ὅτι ὁ μέγας Παῦλος ἐπιστέλλων Τιμοθέῳ, φησί· χήρας τίμα τὰς ὄντως χήρας. καὶ μετ' ὀλίγα, ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν· καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, καὶ πάλιν μετά τινα, εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. καὶ αὖθις, νεωτέρας χήρας παραιτοῦ. καὶ ταῦτα μὲν χάριν τῶν χηρῶν γυναικῶν τῶν καταλεγεισῶν εἰς τὴν ἐκκλησίαν. αἱ γὰρ μὴ τοιαῦται χῆραι ὅτε δήποτε δευτερογαμοῦσαι, τῷ τῶν διγάμων ἐπιτιμίῳ ὑποπέσωσιν ἐπίσης τοῖς ἀνδράσιν. ἀνάγνωθι καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος. μὴ θαυμάσῃς δὲ πῶς οὐ διωρίσαντο οἱ κανόνες B καταλέγεσθαι ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος καὶ ἄνδρας χηρεύσαντας. πλείων γὰρ φροντὶς ἐγένετο τοῖς πατράσι τῶν γυναικῶν παρὰ τῶν ἀνδρῶν. αἱ μὲν γὰρ γυναῖκες μὴ ἔχουσαι τρόπους τῶν πρὸς ζωάρκειαν εἰσόδων, ἴσως εἰς δευτέρους ἐξ ἀνάγκης ἀποκλίνουσι γάμους, , θέλουσαι καὶ ταῦτα σωφρονεῖν. καὶ διὰ τοῦτο βοηθεῖ αὐταῖς ἡ ἐκκλησία, εἰς τὸ μὴ δευτερογαμῆσαι προφάσει πενίας. οἱ δὲ ἄνδρες, πολυτρόπως τὰ πρὸς ζωάρκειαν ποριζόμενοι, οὐκ ἔχουσι προβαλέσθαι τὴν πενίαν εἰς ἀποτροπὴν τοῦ αἰτιάματος τῆς δευτερογαμίας. καὶ διὰ τοῦτο οὐδὲ παρὰ τῶν ἐκκλησιῶν δέχονται καὶ ἐπιτρέφονται. ἀκολούθως δὲ τῷ τοιούτῳ λογισμῷ, μὴ εἴπῃς ἀνεπιτιμήτους ὀφείλειν C συντηρεῖσθαι τὰς γυναῖκας δευτερογαμούσας, καθά τινες λέγουσιν, ἀλλὰ καὶ αὗται τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑποπέσουσιν. μαθήσῃ γὰρ ἀπὸ τοῦ ιδ'. τίτλου τοῦ κη'. βιβλίου, ὅτι πλειόνως αἱ γυναῖκες δευτερογαμοῦσαι κολάζονται παρὰ τοὺς δευτερογαμοῦντας ἄνδρας.

ΖΩΝΑΡ. Ὁ μέγας Παῦλος Τιμοθέῳ ἐπιστέλλων, φησὶ, τίμα χήρας τὰς ὄντως χήρας. καὶ μετ' ὀλίγα· ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη, ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς. καὶ πάλιν μετά τινα, εἴ τις πιστὸς, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ D μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ· καὶ αὖθις· νεωτέρας δὲ χήρας παραιτοῦ. κατὰ γοῦν τὴν τοῦ ἀποστόλου διαταγὴν κατετάττοντο αἱ ὄντως χῆραι ἐν ταῖς ἐκκλησίαις, καὶ ἐκεῖθεν ἐτρέφοντο. διὰ ταῦτα γοῦν φησὶν ὁ μέγας Βασίλειος, ὅτι ἐὰν χήρα συνταχθεῖσα ταῖς χήραις ταῖς διακονουμέναις ἤγουν ταῖς τρεφομέναις καὶ διοικουμέναις ὑπὸ τῆς ἐκκλησίας, εἰς γάμον ἀποκλίνῃ, παροραθήσεται, καὶ οὐκέτι ἐκ τῆς ἐκκλησίας ἕξει τὰ πρὸς διοίκησιν· τοῖς δὲ χηρεύσασιν ἀνδράσιν οὐδεὶς ἐπίκειται νόμος· ἀντὶ τοῦ, οὐδεὶς κολάζει νόμος πνευματικὸς τοὺς ἄνδρας δευτέροις ὁμιλοῦντας γάμοις. ἔχουσι γὰρ ἀρκοῦν τὸ τῶν διγάμων ἐπιτίμιον, ὅπερ ἀφορισμός ἐστιν ἐφ' ἕνα χρόνον. E ἡ δὲ χήρα ἑξήκοντα ἐτῶν γενομένη, καὶ οὕτως καταστεῖσα ταῖς χήραις ταῖς ἐν ἐκκλησίαις, ἐὰν γάμον αἱρετίσηται, ἀφωρισμένη ἔσται τῆς ἁγίας μεταλήψεως, ἕως ἂν ἀπόσχηται τοῦ ἀνδρός. ἀκαθαρσίαν γὰρ ἐκάλεσεν ὁ ἅγιος τὴν ἐν γήρᾳ μίξιν. ἐὰν δὲ πρὸ τῶν ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν ταῖς χήραις τῆς ἐκκλησίας, καὶ ἐκπέσῃ ἀνδρὶ μιγεῖσα, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου. ἡμᾶς γὰρ, φησὶν, αἰτιᾶσθαι δίκαιον, ὡς παραβάντας τὴν τοῦ ἀποστόλου διαταγὴν, λέγοντος, χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα· ἡ δὲ συγγνώμης ἀξία ὡς μήπω εἰς γῆρας ἐλθοῦσα.

F

ΑΡΙΣΤ. Εἰ γήμει διακονουμένη χήρα, παρορᾶται. ὁ δὲ χηρεύων γήμας, μόνον τὸ τῶν διγάμων ἐπιτίμιον γνοίη· ἡ δὲ μετὰ ἑξήκοντα ἔτη λαμβάνουσα χήρα, ἀκοινώνητος ἕως ἀποστῇ τῆς ἀκαθαρσίας. Εἰ δέ τις πρὸ τῶν ἑξήκοντα χρόνων ἐγκαταλέξεται, ἐκείνης τὸ ἔγκλημα ἄψεται.

Αἱ ἐγκαταλεγόμεναι χῆραι εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, καὶ ὑπὸ τῆς ἐκκλησίας διατρεφόμεναι, ἐὰν πρὸς γάμον ἔλθωσι, οὐκέτι προνοίας τινὸς ἀξιοῦνται παρὰ τῆς ἐκκλησίας·

ἀλλὰ παρεωρῶνται. διὰ τοῦτο γοῦν τὰς μήπω οὔσας ἑξήκοντα χρόνων οὐ δεῖ εἰς τὸ τάγμα τῶν χηρῶν ἐγκαταλέγειν. ἐὰν δὲ ἑξήκοντα ἐτῶν οὖσα χήρα συνοικῆσαι ἀνδρὶ πάλιν ἕληται, μέχρις ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται, τῆς τοῦ ἀγαθοῦ κοινωνίας οὐκ ἀξιωθήσεται.

ΚΑΝΩΝ κε'.

Τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

ΒΑΛΣ. Κυρίως φθορὰ ἐπὶ τῆς παρθένου λέγεται καὶ ἐπὶ τῆς ἀνήβου. φησὶ γοῦν ὁ ἅγιος, ὅτι ὁ παρθένον φθείρας μήπω κατεγγυηθεῖσαν αὐτῷ εἰς νόμιμον γάμον, κἂν θελήσει μετὰ τὴν φθορὰν εἰς γυναῖκα ἔχειν ταύτην, οὐκ ὠφεληθήσεται εἰς τὸ ἐκφυγεῖν τὸ ἐπιτίμιον τῆς φθορᾶς. ὤφειλε γὰρ πρότερον νομίμως μνηστεύσασθαι ταύτην καὶ οὕτω μιγῆναι αὐτῇ· μὴ ποιήσας δὲ τοῦτο, τῷ μὲν ἐπιτιμίῳ τῆς φθορᾶς ὑποπεσεῖται, παραχωρηθήσεται δὲ ἔχειν ταύτην εἰς γυναῖκα νόμιμον. τοῦτο δὲ γενήσεται, ἐὰν οἱ γονεῖς αὐτῆς συναινῶσι. τὸ μέντοι ἐπιτίμιον τῆς φθορᾶς τρία ἔτη εἰσί, δι' ὧν κολάζονται ὁμοίως καὶ ὁ φθείρων, καὶ ἡ φθαρεῖσα. καὶ ἀνάγνωθι τὸν λη'. κανόνα τοῦ παρόντος ἁγίου. ταῦτα δὲ ἐπὶ ὑπεξουσίων χώραν ἔχουσιν. οἱ γὰρ αὐτεξούσιοι, τῷ μὲν ἐπιτιμίῳ ὑπόκεινται, κατὰ νόμους δὲ συζεύγνυνται συναινοῦντες. εἰ δὲ ὁ ἀνὴρ οὐ θέλει τὴν ἐπ' αὐτοῦ φθαρεῖσαν λαβεῖν εἰς γυναῖκα, γενήσεται κατὰ τὸ γ'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου τὸ λέγον οὕτω, ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος, καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, εἰ τοῦτο παραιτούμενος ἀσέλγειαν πλημμελῇ, οὐ μὴν καὶ μοιχείαν δηλονότι, ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησε. ζήτει καὶ βιβλίου κη'. τίτλου δ'. κεφ. ιβ'. ιγ'. καὶ βιβλίου μζ'. τίτλου ς'. κεφ. λζ'.

ΖΩΝΑΡ. Ἐάν τις παρθένον ἀμνήστευτον φθείρῃ, καὶ μετὰ τὴν φθορὰν ὡς συζύγῳ αὐτῇ χρῆται, τῷ μὲν τῆς φθορᾶς ἐπιτιμίῳ ὑποκείσεται, τὴν δὲ γυναῖκα οὐκ ἀφαιρεθήσεται· δηλονότι ἐὰν οἱ γονεῖς αὐτῆς, οἷς ὑπεξουσία ἐστί, καταδέχωνται τὴν μετ' ἐκείνου συνοίκησιν τῆς γυναικ. εἰ γὰρ ἐκεῖνοι οὐ βούλονται, καὶ κολασθήσεται κατὰ τὸν πολιτικὸν νόμον, εἰ παρθένος ἦν ἡ φθαρεῖσα.

ΑΡΙΣΤ. Ὃς ἔχει τὴν, ἣν ἔφθειρε, συγχωρούμενος ἔχειν, τὸ ἐπιτίμιον γνώσεται.

Ὅστις βούλεται γυναῖκα ἔχειν, ἣν πρὸ τοῦ γάμου διέφθειρε, συγχωρηθήσεται κατέχειν αὐτήν· τὸ δὲ ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον εἴσεται, ἐν τέσσαρσιν ἐνιαυτοῖς· καθὼς ἐν τῷ εἰκοστῷ δευτέρῳ κανόνι ἐγράφη.

ΚΑΝΩΝ κς'.

Ἡ πορνεία γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή. ὥστε ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ ἵνα μὴ χεῖρόν τι γένηται.

ΒΑΛΣ. Εἰπὼν ὁ ἅγιος τί ὀφείλει γίνεσθαι εἰς τὸν φθείραντα παρθένον, ἀρτίως ὑποτυποῖ καὶ τὰ περὶ τῶν συνελθόντων πορνικῶς· καί φησιν, ὅτι ἡ πορνεία οὔτε γάμος λογίζεται, οὔτε γάμου ἀφορμή, ὥστε ἀναγκάζεσθαι θάτερον τῷ ἑτέρῳ συνάπτεσθαι γαμικῶς. ἀλλὰ ἄριστον μὲν ἐστὶ χωρίζεσθαι αὐτούς, ἤγουν μὴ παραχωρεῖσθαι τὴν μέσον αὐτῶν γαμικὴν συνάφειαν, ὅτι ἔκθεσμος καὶ κατάκριτός ἐστι ὁ τοῦ τοιούτου γάμου θεμέλιος. εἰ δὲ στέργουσιν ἀπαραιτήτως καὶ ἄμφω τὴν συμβίωσιν, μὴ ἀνεχόμενοι τοῦ ἀπ' ἀλλήλων χωρισμοῦ, ἐπιτιμάσθωσαν μὲν ὡς πορνεύσαντες· παραχωρείσθωσαν δὲ συνοικεῖν,

A gantur. Idcirco itaque eas quæ nondum ſexageſimum annum attigerunt in viduarum ordinem recenſere non oportet. Si autem vidua cum ſexaginta tranſegit annos cum viro cohabitare iterum eligit, boni communione digna ne habeatur, donec ab impuritatis perturbatione ceſſaverit.

CANON XXV.

Qui à ſe ſtupratam in uxorem detinet, ſtupri quidem pœnam ſubibit: ei autem mulierem habere permittetur.

B

BALS. Stuprum propriè dicitur in virginibus & in impubere. Dicit ergo ſanctus, quòd qui virginem nondum ſibi ſponſatam in legitimum conjugium ſtupraverit, etiamſi velit poſt ſtuprum eam uxorem habere, non juvabitur ad hoc ut ſtupri pœnam effugiat. Debebat enim primùm efficere, ut ea ſibi deſponderetur, & ita cum ea rem habere; quòd ſi hoc non fecerit, in ſtupri quidem pœnam incidet, in legitimam autem uxorem eam habere illi permittetur. Hoc autem fiet, ſi illius etiam parentes conſenſerint. Eſt enim ſtupri pœna triennium, per quod ſimiliter punitur & qui ſtupravit, & C quæ ſtruprata eſt. Lege xxxviii. Can. præſentis Sancti. Hæc autem locum habent in iis qui ſunt in poteſtate. Qui enim ſunt ſui juris, in pœnam quidem incidunt, ſecundum leges autem conſentientes conjunguntur. Sin autem vir nolit eam quæ à ſe ſtuprata eſt uxorem ducere, fiet ſecundum caput iii. xxxvii. tit. lx. libri, quod ſic dicit, Qui venerandam & nobilem mulierem ſtuprat ſeu habet in concubinatu, nec hoc ſuo facit teſtimonio manifeſtum, vel eam ducit uxorem; ſi hoc recuſans, petulantiam committat, non item & adulterium, eo videlicet quod ex ſuo corpore quæſtum non facit. Quære etiam xxviii. lib. tit. iiii. cap. xii. xiii. & lib. xlvii. tit. vi. cap. xxxvii.

D

ZONAR. Si quis virginem ſibi non deſponſatam corruperit, eaque poſt ſtuprum illatum tanquam conjuge utitur; ſtupri quidem pœnis erit obnoxius, non tamen ab eo mulier auferetur: ſi videlicet ipſius parentes, quorum illa eſt in poteſtate, fœminam Cum illo traducere vitam ſinunt. Etenim ſi illi nolint, punietur præterea civilium legum decreto, ſi virgo erat, quæ corrupta fuit.

Qui eam habet quam corrupit, permiſſus habere pœnæ ſubjiciatur.

Quicunque mulierem quam ante matrimonium vi- E tiavit, habere cupit, ei iſtam detinere permittetur. At ſtupri ſupplicium eſt quatuor annis, quemadmodum in vigeſimo ſecundo Canone ſcriptum eſt.

CANON XXVI.

Fornicatio non eſt matrimonium, ſed nec initium matrimonii. Quare ſi fieri poſſit, ut qui per fornicationem conjuncti ſunt ſeparentur, id eſt melius: Sin autem eis omnino placeat conſortium, fornicationis quidem pœnam agnoſcant; ne ſeparentur autem, ne quid deterius accidat.

F BALS. Poſtquam dixit San. quid eis debet fieri, qui virginem ſtuprant, nunc decernit de iis qui in fornicationem coierunt; & dicit, quòd fornicatio nec matrimonium habetur, nec matrimonii occaſio, ut alter alteri neceſſario jungantur: ſed optimum quidem eſt eos ſeparari, permitti ſcilicet inter eos intercedere matrimonialem conjunctionem, quoniam nefarium eſt & damnandum harum nuptiarum fundamentum: ſin autem eis ita placeat vitæ ſocietas, ut à ſe invicem diſcedere ſibi nequeant perſuadere, puniantur quidem ut fornicatores; eis autem ſimul habitare permittatur, ne quid deterius accidat,

ne ſcilicet ſeparati rurſus clanculùm fornicentur, hoc eſt ne aliis perſonis conjuncti in legitimo matrimonio non permaneant, ſed adulterium committant, vel ne prohibiti ſibi violentas manus inferant propter amoris vehementiam. Hæc autem, ut mihi videntur, locum habuerunt, quando ſolo conſenſu contrahebatur matrimonium, non autem etiam hodie quando per ſacrum officium & divinam corporis & ſanguinis Chriſti participationem matrimonium conſtituitur. Quomodo enim ii, quibus fornicationis pœna injuncta eſt, nec ſacramentorum fuere participes, inter ſe matrimonialiter convenerint? Quòd ſi dixeris, poſtquàm iis qui fornicati ſunt pœna injuncta fuerit toto triennio, ne fornicentur, non prohiberis eis concedere, ut poſt triennium legitimo matrimonio conjungantur. Interrogaverit autem quiſpiam, cur virginem quidem poſt ſtuprum decernit ſanctus Stupratori legitimè conjungi, eos autem qui fornicati ſunt matrimonio facile conjungi non ſinit, niſi cum diſtinctione. SOL. Virginem quidem poſt ei allatum ſtuprum nemo fortaſſe volet in matrimonium accipere, & niſi illi permittatur ei qui ſtupravit nubere, dedecore affecta ac miſerabilis relinquetur. Quæ autem fornicata eſt non tanto damno afficitur, ſi ei quo cum ipſa fornicata eſt non nupſerit: eſt enim ab alio devirginata. Si ergo non magnum malum ex eorum qui fornicati ſunt ſeparatione evenit, & nec qui fornicati ſunt toto animo matrimonio inſiſtunt, præferetur ſeparatio, & per ipſam abſtinentia à malo. Præterea interrogabit quiſpiam, cum iii. cap. xxxvii. titu. lx. lib. decernat ut qui cum honeſta muliere in concubinatu rem habet, eam ducere cogatur, quomodo decernit præſens Canon ut qui fornicati ſunt ſeparentur? SOL. Differentia eſt inter concubinam ſeu pellicem, & fornicatricem. Illa enim, concubina ſcilicet, quæ cum uno tantum peccat, etiam à lege agnoſcitur. Quæ autem cum multis fornicata eſt, nec à lege quidem agnoſcitur; ſed etiam à fornicatoris ædibus expellitur, ut, de quo diximus, caput dicit. Præſens itaque Canon loquens de fornicatrice rectè legique conſentaneè decernit, cum hac diſtinctione, ut qui fornicati ſunt legitimè conjungantur.

ZONAR. Si fœminæ quiſpiam occulte commiſceatur, nec matrimonium id exiſtimabitur, nec matrimonii occaſio, ut ex eo dicant quidam oportere, quandoquidem cum ipſa rem habuit, eandem ipſi uxorem habendam concedi. Verum optimum ſane conſilium eſt, ipſos invicem ſejungi; ſiquidem infirmum eſt & illegitimum hujuſce matrimonii fundamentum. Cæterùm ſi mutuam vitæ ſocietatem retinere plane, hoc eſt, obdurato animo, uterque optat, nec inſtitutam conjunctionem dirimi patitur, fornicatorum quidem ſubjiciantur pœnis, cæterum matrimonii contrahendi facultas detur, ne deterius quidpiam contingat, videlicet, ne ſeparati iterum occultè commiſceantur, & fornicationis illigentur crimine; aut ne alteri juncta mulier, amore verò ejus à quo corrupta fuerat impellente, in adulterium prolabatur; vel, ne mutuo amore flagrantes, ereptaque conjugii poteſtate, ſeipſos interficiant, ob vehementem amoris flammam mutuumque divortium.

ARIST. *Si per fornicationem copulatus disjungatur, id melius eſt. Si verò indivulſe conjungatur, id ei concedatur, pœnâ ſuſceptâ.*

Matrimonium tum eſt venerabile & honorandum cùm à fornicatione purum eſt. Et idcirco fornicatio nec matrimonium eſt, nec matrimonii initium, ſed peccatum & divinæ legis tranſgreſſio. Adeo ut ſi quis per fornicationem cum muliere contaminetur, ab eâ recedere ſi fieri poteſt, optimum eſt. Si autem à ſe invicem nullo modo divelli poſſint, & diſpoſitione matrimoniali poſtea cohabitare velint, fornicationis ſupplicium ſubeant. Permittatur autem eis ita ſe habere, ne quid deterius contingat.

A ἵνα μὴ χεῖρόν τι γένηται, ἤγουν ἵνα μὴ διαζυγέντες πάλιν λάθρα πορνεύσωσι, τουτέστιν ἵνα μὴ ἑτέροις συναφθέντες προσώποις οὐκ ἐπιμείνωσι τῷ νομίμῳ γάμῳ, ἀλλὰ μοιχείαν ἐργάσωνται, ἢ ἵνα μὴ κωλυόμενοι διαχειρίσωνται ἑαυτοὺς διὰ τὸ τοῦ ἔρωτος διακαές. ταῦτα δὲ χώραν εἶχον, ὡς ἐμοὶ δοκεῖ, ὅτε μὲν συναινέσει μόνῃ ὁ γάμος συνίστατο, οὐ μὴν καὶ σήμερον, ὅτε διὰ ἱερολογίας καὶ θείας μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ ὁ γάμος συνίσταται. πῶς γὰρ οἱ ἐπιτιμηθέντες διὰ τὴν πορνείαν, καὶ τῶν ἁγιασμάτων μὴ μεταλαμβάνοντες, γαμικῶς ἀλλήλοις συνέλθωσιν; εἰ δὲ εἴπῃς, μετὰ τὸ ἐπιτιμηθῆναι τοὺς πορνεύσαντας ἐπὶ ὅλῃ τριετίᾳ, B μὴ πορνεῦσαι, οὐκ ἐμποδισθήσῃ παραχωρῆσαι τούτους μετὰ τὴν τριετίαν νομίμως συναφθῆναι. ἐρωτήσει δέ τις, διὰ τί τὴν μὲν παρθένον μετὰ τὴν φθορὰν διορίζεται ὁ ἅγιος νομίμως συνάπτεσθαι τῷ φθορεῖ, τοὺς δὲ πορνεύσαντας εὐκόλως μίγνυσθαι γαμικῶς οὐ παραχωρεῖ, ἀλλὰ μετὰ διαστίξεως; Λύσις. τὴν μὲν παρθένον ἴσως μετὰ τὴν φθορὰν οὐδεὶς αἱρετίσεται πρὸς γάμον λαβεῖν. καὶ εἰ μὴ παραχωρηθῇ τῷ φθορεῖ γαμηθῆναι, καταλειφθήσεται ἄτιμος καὶ ἐλέους ἀξία. ἡ δὲ πορνευθεῖσα οὐ ζημιοῦται τοσοῦτον, ἐὰν μὴ γαμηθῇ τῷ πορνεύσαντι μετ' αὐτῆς. παρ' ἑτέρου γὰρ διεκορήθη. εἰ γοῦν μὴ πρόκειται τὶ κακὸν μέγα ἐκ τῆς διαστάσεως τῶν πορ- C νευσάντων, καὶ οὐδὲ ὁλοψύχως οἱ πορνεύσαντες τοῦ γάμου ἐξέχονται, προτιμηθήσεται δὲ ἡ διάστασις καὶ ἡ διὰ ταύτης ἀποχὴ τοῦ κακοῦ. ἔτι ἐρωτήσει τὶς, ὡς τοῦ γ'. κεφ. τοῦ λζ'. τίτλου τοῦ ξ'. βιβλίου διοριζομένου τὸν παλλακευόμενον μετὰ σώφρονος γυναικὸς ἀναγκάζεσθαι ταύτην εἰς γάμον λαβεῖν, πῶς ὁ παρὼν κανὼν διορίζεται τοὺς πορνεύσαντας χωρίζεσθαι; Λύσις. διαφορά ἐστι παλλακῆς καὶ πόρνης. ἡ μὲν γὰρ, ἤγουν ἡ παλλακὴ, εἰς μόνον τὸν παλλακευόμενον ἁμαρτάνουσα, ἐπιγινώσκεται καὶ παρὰ τοῦ νόμου. ἡ δὲ μετὰ διαφόρων πορνεύσασα, οὔτε τῷ νόμῳ ἐπιγινώσκεται, ἀλλὰ καὶ τῆς τοῦ πορνεύοντος κατοικίας ἐξωθεῖται, καθὼς τὸ διαληφθὲν D φησὶ κεφάλαιον. ὁ γοῦν παρὼν κανὼν περὶ πόρνης διαλεγόμενος καλῶς καὶ ἀκολούθως τῷ νόμῳ διορίζεται μετὰ διαστίξεως, τοὺς πορνεύσαντας νομίμως συνάπτεσθαι.

ΖΩΝΑΡ. Τὸ λάθρα τινὰ συμφθαρῆναι γυναικὶ, οὔτε γάμος λογισθήσεται, οὔτε γάμου ἀφορμή· ὥστε λέγειν τινὰς, ὅτι ἐπεὶ συνεφθάρη αὐτῇ, δεῖ ἐκδοθῆναι ταύτην αὐτῷ εἰς γυναῖκα. ἀλλὰ ἄριστον μέν ἐστι χωρίζεσθαι αὐτούς· ὅτι σαθρός ἐστι καὶ ἔκθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος. εἰ δὲ στέργουσι καὶ ἄμφω τὴν μετ' ἀλλήλων συμβίωσιν ἐκ παντὸς, ἀντὶ τοῦ ἀπαραιτήτως, μὴ ἀνεχόμενοι τῆς ἀπ' ἀλλήλων διαζυγῆς, ἐπιτιμάσθωσαν μὲν ὡς πορνεύσαντες, παραχωρεί- E σθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται, ἵνα μὴ καὶ διαζυγέντες πάλιν λάθρα μίγνυνται καὶ πορνεύωσιν, ἢ ἵνα μὴ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, φιλοῦσα δὲ τὸν φθείραντα αὐτὴν, εἰς μοιχείαν ἐκκυλισθῇ, ἢ ἵνα μὴ στέργοντες ἀλλήλους, καὶ κωλυόμενοι συνοικεῖν, διαχειρίσωνται ἑαυτοὺς, διὰ τὸ τοῦ ἔρωτος διακαὲς καὶ τὴν ἀπ' ἀλλήλων διάζευξιν.

ΑΡΙΣΤ. Εἰ ὁ συζυγεὶς κατὰ πορνείαν διαζεύγνυται, κάλλιον· εἰ δὲ ἀδιασπάστως συνέζευκται, συγχωρείσθω, F δεχόμενος τὸ ἐπιτίμιον.

Ὁ γάμος ἐν τούτῳ ἔχει τὸ σεμνὸν, καὶ τὸ τίμιον, ἐν τῷ καθαρεύειν πορνείας. καὶ διὰ τοῦτο, ἡ πορνεία, οὔτε γάμος ἐστὶν οὔτε γάμου ἀρχὴ, ἀλλὰ ἁμαρτία, καὶ θείου νόμου παράβασις. ὥστε ἐὰν κατὰ πορνείαν τὶς συμφθείρηται μετὰ γυναικὸς, ἀποστῆναι αὐτῆς, ἐὰν ἐστὶ δυνατὸν, κράτιστον ἐστίν· ἐὰν δὲ ἐκ παντὸς τρόπου ἀδιασπάστως ἔχωσι πρὸς ἀλλήλους, καὶ βούλονται γαμικῇ συνοικεῖν ἔκτοτε διαθέσει, τὸ μὲν τῆς πορνείας δεχέσθωσαν ἐπιτίμιον· ἀφιέσθωσαν δὲ οὕτως ἔχειν, ἵνα μὴ χεῖρόν τι γένηται.

ΚΑΝΩΝ κζ.

ρεσβυτέρου τοῦ κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος ὥρισα ἃ ἐχρῆν, καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. εὐλογεῖν δὲ ἑτέρους τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα ἀνακόλουθον. εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσις ἐστίν. ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; μήτε τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέρῳ, μήτε τι ἄλλο λειτουργείτω, ἀλλὰ ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω ἑτέροις καὶ τῷ κυρίῳ, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἁμάρτημα.

ΒΑΛΣ. Εἰς τρία διαιροῦνται οἱ κεκωλυμένοι γάμοι, εἰς νεφάριον τὸν λεγόμενον παράνομον, ὡς ὅτε λάβῃ τις εἰς γάμον τὴν ἐπιτροπευθεῖσαν παρὰ τούτου ἢ τοῦ πατέρος αὐτοῦ, ἢ τὴν οὖσαν ὑπὸ τὴν πρακτορικὴν ἐξουσίαν τούτου ἢ τοῦ πατρὸς αὐτοῦ· εἰς δαμνάτον τὸν λεγόμενον κατάκριτον, ὅς ἐστιν ὁ μετὰ μοναχῆς ἢ ἑτέρας ἀνατεθειμένης τῷ θεῷ γάμος· καὶ εἰς τὸν ἴγκεστον τὸν καὶ ἀθέμιτον λεγόμενον, δηλονότι τὸν μετὰ συγγενικοῦ προσώπου κεκωλυμένου προβάντα. τινὸς γοῦν ἱερέως ἐν ἀγνοίᾳ γάμον ἀθέμιτον συναλλάξαντος, καὶ διὰ τοῦτο διαζυγέντος, καὶ καθαιρέσει ὑποπεσόντος, ἐρώτησέ τις τὸν ἅγιον, εἰ ὀφείλει ὁ τοιοῦτος ἱερεὺς μετὰ τὴν καθαίρεσιν ἱερατικόν τι ἐνεργεῖν. ἔλεγον γάρ τινες ὡς ἐπεὶ ἐν ἀγνοίᾳ ὠλίσθησεν ὁ ἱερεύς, οὐχ ὑποπεσεῖται καθαιρέσει· εἰ δὲ καθαιρεθῇ, τῶν μὲν ἐντὸς τοῦ βήματος ἐνεργειῶν κωλυθήσεται, τῶν δὲ ἐκτὸς οὐκ ἐμποδισθήσεται. φησὶ τοίνυν ὁ ἅγιος ὀφείλειν τοῦτον καθαιρεῖσθαι, καὶ μετὰ τὴν καθαίρεσιν τιμῆς μὲν μόνης μετέχειν, ἤτοι συγκαθῆσθαι μετὰ τῶν πρεσβυτέρων, τῶν δὲ λοιπῶν ἱερατικῶν ἐνεργειῶν ἀπέχεσθαι, ἤγουν μήτε εὐχὴν λέγειν δημοσίᾳ, τουτέστιν ἐν ἐκκλησίᾳ, μήτε ἰδίᾳ, τουτέστιν ἐκτὸς τῆς ἐκκλησίας, ἀλλὰ μηδὲ τὰ ἅγια μεταχειρίζεσθαι, καὶ ἑτέροις μεταδιδόναι αὐτῶν, μήτ᾽ ἄλλο τι ἱερατικὸν ἐνεργεῖν. ἀρκεῖσθαι δὲ τῇ τιμῇ τῆς προεδρίας, τῇ φιλοτιμηθείσῃ αὐτῷ διὰ τὴν ἄγνοιαν. εὐλογεῖν μέντοι ἑτέρους τὸν τοιοῦτον οὐ δεῖ· ἡ γὰρ εὐλογία μετάδωσις ἁγιασμοῦ ἐστίν. ὁ δὲ μὴ ἔχων ἁγιασμόν, κἂν δι᾽ ἄγνοιαν καθηρέθη, πῶς τοῦτο μεταδώσει ἑτέρῳ; συγγνώμη δὲ δίδοται αὐτῷ, οὐ μόνον διὰ τοῦ συγκαθῆσθαι μετὰ τῶν ἱερέων, ἀλλὰ καὶ διὰ τοῦ μὴ τιμωρεῖσθαι ἀλλοτρόπως. εἰ γὰρ ἐν εἰδήσει ἔλαβεν εἰς γυναῖκα τὴν ἀφιερωθεῖσαν τῷ θεῷ, ἢ τὴν συγγενῆ αὐτοῦ, καὶ ἀλλοτρόπως, χρηματικῶς δηλονότι καὶ ἐγκληματικῶς, ἵνα ἐκολάσθη, ἅτινα οὐκ ἐπάγονται αὐτῷ διὰ τὴν ἄγνοιαν. καὶ ἀνάγνωθι τὸν ιϛ'. τίτλον τοῦ κη'. βιβλίου· μετὰ μέντοι τὸ ἀπαγορεῦσαι αὐτῷ πᾶσαν ἱερατικὴν ἐνέργειαν, φησὶν ὁ ἅγιος, προσκλαιέτω ἑτέροις καὶ τῷ κυρίῳ· τῷ μὲν κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτήματα, τοῖς δὲ ἑτέροις ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τῷ κυρίῳ συγχωρηθῆναι τούτῳ τὸ ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. ἐρωτήσει δέ τις, ὡς ἐκ τριῶν τρόπων κολαζομένων τῶν ἀθέσμων γάμων, καθαιρεθήσεται καὶ ὁ ποιήσας παράνομον γάμον, ἤγουν καὶ ὁ τὴν ποτὲ παρ᾽ αὐτοῦ ἐπιτροπευθεῖσαν, ἢ τοῦ πατρὸς αὐτοῦ, εἰς γάμον ἀγόμενος; λύσις. ἐπεὶ ὡς παράνομος καὶ ὁ τοιοῦτος γάμος διασπᾶται, ἐξ ἀνάγκης μετὰ τὸ διαζύγιον καὶ οὗτος ὡς πορνεύσας καθαιρεθήσεται. καὶ εἰ μὲν παρ᾽ αὐτοῦ ἔφθασεν ἐπιτροπευθῆναι ἡ παρανόμως συναφθεῖσα αὐτῷ, οὐδὲ καθέδρας ἀξιωθήσεται, ὡς μὴ δυνάμενος προβαλέσθαι ἄγνοιαν. εἰ δὲ παρὰ τοῦ πατρὸς τούτου, καὶ βοηθήσει αὐτῷ ἴσως λόγος ἀγνοίας, συγγνωσθήσεται, καὶ καθέδρας ἀξιωθήσεται κατὰ τὸν παρόντα κανόνα. ἀνάγνωθι καὶ τὸ κζ'. κεφ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸν θ'. κανόνα τῆς ἐν Νεωκαισαρείᾳ συνόδου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸν κα'. καὶ κϛ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου. ἐπεὶ δὲ φαίνεται ἀναπίπτουσα ἐν τούτοις

Canon XXVII.

De Presbytero, qui per ignorantiam nefariis nuptiis implicatus est, definivi quæ oporteat, esse quidem cathedræ participem, à reliquis autem actionibus abstinere; ei enim sufficit, ut veniam consequatur. Ut is autem aliis benedicat, qui sua debet vulnera curare, non est consentaneum. Benedictio enim est sanctificationis communicatio, qui autem eam non habet propter ignorantiæ lapsum, quomodo aliis communicabit? nec ergo publicè nec privatim benedicat, nec Christi corpus aliis impertiat, nec aliquod aliud sacrum ministerium obeat, sed quòd præsideat contentus, aliis & Domino defleat, ut sibi ignorantiæ peccatum condonetur.

Bals. Prohibitæ nuptiæ trifariam dividuntur; in nefarias, quæ præter leges dicuntur, ut si quis eam cujus tutelam gerit, vel ipse vel pater ipsius, uxorem ducat, vel eam quæ est in ejus, vel patris ejus tutelari potestate; in damnatas seu condemnatas, ut si fiat matrimonium cum monacha vel alia Deo dedicata: Et in incestas, quæ hîc etiam nefariæ dicuntur, ut si quis cum consanguinea sua in gradu prohibito contraxerit. Cum ergo quidam sacerdos nefarium per ignorantiam matrimonium contraxisset, & propterea solutum esset, & ipse in depositionem incidisset, interrogavit quispiam sanctum, an is sacerdos debeat post depositionem sacerdotale quidpiam exercere. Dicebant enim nonnulli, quòd quoniam sacerdos per ignorantiam lapsus esset, non subjicietur depositioni: sin autem fuerit depositus, ab actionibus quidem quæ fiunt intra tribunal arcebitur, sed non ab actionibus quæ sunt extra tribunal. Dicit ergo sanctus, eum debere deponi, & post depositionem eum quidem esse solius honoris participem, ut scilicet sedeat cum Presbyteris, à reliquis autem sacerdotalibus actionibus abstineat, ut scilicet neque orationem dicat publicè seu in ecclesia, nec privatim, id est extra ecclesiam: sed neque sancta tractet, nec ipsa aliis communicet, nec aliquid aliud sacerdotale exerceat. Sit autem contentus sessionis honore, qui illi propter ignorantiam concessus est. Talem autem aliis benedicere non oportet. Benedictio enim est sanctificationis impertio. Qui autem non habet sanctificationem, etiamsi per ignorantiam depositus sit, quomodo eam aliis impertiet? Venia autem ei datur, non solum quòd sedeat cum sacerdotibus, sed & quòd non alio modo puniatur. Si enim sciens Deo consecratam fœminam, vel suam cognatam, uxorem accipisset, alio etiam modo, pecuniariè scilicet, & criminaliter punietur, quæ quidem ei propter ignorantiam non infliguntur. Lege xvi. titu. xxviii. lib. Postquam autem sanctus ei omni sacerdotali actione interdixisset, defleat, inquit, aliis & Domino: Domino quidem ut qui potest peccata remittere; aliis, ut illi pro eo rogent Dominum condonare ei delictum nefario matrimonio commissum. Rogabit autem quispiam, cum tribus modis puniantur nefariæ nuptiæ, deponetúrne quispiam, qui contra leges matrimonium contraxerit, utpote is qui eam, cujus ipse vel pater ejus tutor fuit, duxit in matrimonium? **Sol.** Quoniam hoc matrimonium ut legibus contrarium dissolvitur, hic quoque post divortium, ut qui fornicatus sit, necessariò deponetur: & si quæ illi contra leges conjuncta est, fuit antea sub illius tutela, ne cathedra quidem dignus censebitur, ut qui non possit ignorantiam prætexere. Sin patris sub tutela fuit, etiam ignorantiæ prætexus ei opem ferat, & veniâ cathedrâque juxta præsentem Canonem dignus judicabitur. Lege vigesimum septimum caput primi tituli præsentis operis, & nonum Canonem Synodi Neocæsariensis, & ea quæ in eo sunt, & vigesimum primum & vigesimum sextum can. Syn. in Trullo. Sed quia videtur in his emergere repugnantia (alii enim canones dicunt eos, qui sunt depositi,

ſiti, in locum laicorum deturbari; alii verò ea ſolum quæ extra tribunal fiunt exercere; alii ſolius eſſe cathedræ participes) diſtingue &, dic: quòd aliter puniuntur qui ſcientes peccant, & convicti deponuntur; aliter, qui ſcientes quidem peccant, ſponte autem à malo deſiſtunt; aliter, qui per ignorantiam peccarunt, & confeſſi ſunt; & aliter, qui peccatum quidem ignorarunt, ab ipſo autem non deſtiterunt, niſi condemnati. Nota autem & differentiam peccatorum & perſonarum, & dic Epiſcoporum judicio aliquando quidem ignoſci iis qui deponuntur; aliquando verò non ignoſci, & ſic contrarietatem quæ videtur ineſſe canonibus diſſolvi.

Zonar. Sacerdotem, qui per ignorantionem in illegitimas incidit nuptias, cathedræ ſolius participem eſſe, à cæteris porro actionibus abſtinere oportere, ſanctus vir judicavit; hoc eſt una cum presbyteris aſſidere, & cum illis pariter in honore haberi, aliud vero nullum ſacerdotale munus obire. Sufficit enim ſi datur, inquit, ipſi venia propter ignorationem, benedicere vero alteri hujuſmodi hominem non oportet. Benedictio namque ſanctitatis quædam communicatio eſt. Qui verò ſanctitate caret, ob peccatum, quamvis per ignorationem admiſſum, quonam modo eam alteri communicabit? Neq; verò publicè ipſi licet bene dicere, in Eccleſia videlicet, neq; privatim, intra domeſticos forte parietes, neque ſancta munera aliis impertiri, neque demum ſacerdotale quodpiam munus obire. Verum primi ſubſellii, inquit, honore contentus, defleat aliis & Domino. Domino quidem, quippe qui peccata poteſt dimittere: Aliis verò, ut illi quoque pro ipſo dominum rogent, quo ipſi venia detur contractæ in nuptiis illicitis culpæ. Hæc autem, ſi modo ab inconceſſis ejuſmodi nuptiis abſiſtat. Nuptiæ vero illegitimæ accipiendæ ſunt, vel ſi quis cum cognata matrimonium iniit, vel cum religioſa fœmina quæ habitum depoſuerit, neſciente id qui eam in domum ſuum introduxit, & alia ſimilia.

Arist. *Presbyter qui per ignorantiam in illicitum incidit conjugium, ſolâ fruatur præſidentiâ, functione privatus.*

Si quis ante ſuſceptum ſacerdotium mulierem duxit, neſciens quod vidua fuit, aut inſana, aut è ſcenicis, aut alia aliqua ex iis quæ ſacratis prohibentur, deinde ad ſacerdotii gradum provehatur, & agnoſcit illegitimum conjugium. Solius quidem honoris & præſidentiæ ſacerdotum particeps erit, à miniſterio autem obeundo omnimodo prohibebitur. Nam venia ob ignorantiam ei ſufficiens eſt. Sed ut is quem ſuorum vulnerum curam oportet gerere, & aliis benedicat, non eſt conſentaneum. Benedictio enim ſanctificationis eſt communicatio. Qui eam autem non habet ob ignorantiæ lapſum, quomodo aliis communicabit?

Canon XXVIII.

Illud quidem mihi viſum eſt ridiculum, vovere aliquem à carnibus ſuillis abſtinere. Quemobrem dignare eos docere, ut ab ineptis votis & promiſſis abſtineant, uſum quidem eſſe indifferentem permitte. Nulla enim Dei creatura eſt rejicienda, ſi cum gratiarum actione accipiatur. Quare votum eſt ridiculum, non abſtinentia neceſſaria.

Canon XXIX.

Quod principes quidem jurent, ſe ſubjectis malefacturos, magna medicina opus habet. Medela autem eorum eſt duplex: una quidem, ut ipſi doceantur non facile jurare; altera autem, ne in malis judiciis perſiſtant. Quare qui ſe alteri malefacturum jurare anticipavit, quod ad jurandum nimium facilis fuerit, ſe pœnitere oſtendat:

A ἐναντιότης, (οἱ μὲν γὰρ τῶν κανόνων τούτων λέγουσι τοὺς καθαιρουμένους εἰς τύπον ἐξωθεῖσθαι λαϊκῶν, οἱ δὲ ἐνεργεῖν αὐτοὺς τὰ ἐκτὸς τοῦ βήματος καὶ μόνα, οἱ δὲ καθέδρας μόνης μετέχειν) διάστειξον καὶ εἰπὲ, ὅτι ἄλλως κολάζονται οἱ ἐν εἰδήσει ἁμαρτάνοντες καὶ μετὰ ἔλεγχον καθαιρούμενοι, ἄλλως οἱ ἐν εἰδήσει μὲν ἁμαρτάνοντες, ἑκόντες δὲ τοῦ κακοῦ ἀφιστάμενοι, καὶ ἄλλως οἱ ἐν ἀγνοίᾳ ὀλισθήσαντες καὶ ἐξομολογησάμενοι, καὶ ἄλλως οἱ ἀγνοήσαντες μὲν τὸ ἁμάρτημα, μὴ ἀφιστάμενοι δὲ αὐτοῦ, ἀλλὰ καταδικαζόμενοι. ἔχε δὲ καὶ διαφορὰν τῶν ἁμαρτημάτων καὶ τῶν προσώπων, καὶ λέγε κατὰ τὴν ἐπισκοπικὴν διάκρισιν, ποτὲ μὲν συγγνωμονεῖσθαι τοὺς καθαιρουμένους, ποτὲ δὲ μὴ συγγνωμονεῖσθαι, καὶ οὕτω B τὴν δοκοῦσαν ἐν τοῖς κανόσιν ἐναντιότητα διαλυτεῖσθαι.

ΖΩΝΑΡ. Ἱερέα, τὸν ἀθέσμῳ περιπεσόντα γάμῳ ἐν ἀγνοίᾳ, καθέδρας μόνης μετέχειν ὁ ἅγιος ἔκρινε, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἤγουν συγκαθῆσθαι τοῖς πρεσβυτέροις, καὶ οὕτω συντιμᾶσθαι αὐτοῖς, ἄλλο δέ τι ἱερατικὸν μὴ ποιεῖν. ἀρκεῖ γὰρ αὐτῷ, φησὶν, ὅτι συγγνωμονεῖται διὰ τὴν ἄγνοιαν, εὐλογεῖν δὲ ἕτερον τὸν τοιοῦτον οὐ δεῖ. ἡ γὰρ εὐλογία μετάδοσις ἁγιασμοῦ ἐστιν. ὁ δὲ μὴ ἔχων ἁγιασμὸν διὰ τὸ ἁμάρτημα κἂν κατὰ ἄγνοιαν ᾖ, πῶς τούτου μεταδώσει ἑτέρῳ; καὶ οὐδὲ δημοσίᾳ ἔξεστιν αὐτῷ εὐλογεῖν, ἐν ἐκκλησίᾳ δηλαδὴ, οὐδὲ ἰδίᾳ, ἐν οἰκίᾳ τυχὸν, οὔτε τῶν ἁγίων C δώρων ἑτέροις μεταδιδόναι, οὔτε τι ἄλλο ποιεῖν ἱερατικόν. ἀλλὰ ἀρκούμενος, φησὶ, τῇ τιμῇ τῆς προεδρίας, προσκλαιέτω ἑτέροις τε καὶ τῷ κυρίῳ. τῷ μὲν κυρίῳ, ὡς δυναμένῳ ἀφιέναι ἁμαρτίας. ἑτέροις δὲ, ἵνα κἀκεῖνοι ὑπὲρ αὐτοῦ δέωνται τοῦ κυρίου, συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τοῦ ἀθέσμου γάμου ἀνόμημα. ταῦτα δὲ εἰ τοῦ τοιούτου ἀποσταίη γάμου. ἄθεσμον δὲ γάμον νοητέον, ἢ τὴν μετὰ συγγενοῦς κοινωνίαν, ἢ τὴν μετὰ μοναστρίας ἀρνησαμένης τὸ σχῆμα, μὴ εἰδότος τοῦτο τοῦ ταύτην εἰσοικισαμένου, καὶ ἕτερα ὅμοια.

D

ΑΡΙΣΤ. Ἀθέσμῳ περιπαρεὶς γάμῳ ἐν ἀγνοίᾳ πρεσβύτερος, μόνης ἀπολαυέτω τῆς προεδρίας, τῆς ἐνεργείας στερούμενος.

Ἐάν τις πρὸ τῆς ἱερωσύνης γυναῖκα ἔλαβεν, ἀγνοῶν ὅτι χήρα ἐστὶν, ἢ μαινὰς, ἢ τῶν ἐπὶ σκηνῆς, ἢ ἄλλη τις τῶν ἀπηγορευμένων τοῖς ἱερωμένοις· εἶτα εἰς ἱερωσύνης προέβη βαθμὸν, καὶ ἐπιγνωσθῇ τὸ τοῦ γάμου ἄθεσμον· τῆς μὲν τιμῆς μόνης καὶ προεδρίας τῶν ἱερέων μεθέξει, τῆς δὲ λειτουργίας παντάπασι κωλυθήσεται. ἀρκετὸν γὰρ αὐτῷ ἡ συγ- E γνώμη διὰ τὴν ἄγνοιαν. τὸ δὲ καὶ ἑτέρους εὐλογεῖν, τὸν ὀφείλοντα τῶν οἰκείων τραυμάτων τίθεσθαι πρόνοιαν, ἀνακόλουθον· εὐλογία γὰρ μετάδοσίς ἐστιν ἁγιασμοῦ. ὁ δὲ τοῦτον μὴ ἔχων, διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέροις μεταδώσει;

ΚΑΝΩΝ κη΄.

Κἀκεῖνο γε μὴν γελοῖόν μοι κατεφάνη, τὸ εὔξασθαί τινα ὑείων ἀπέχεσθαι κρεῶν. ὥστε καταξίωσον διδάσκειν αὐτοὺς, τῶν ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι, τὴν μέντοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον. οὐδὲν F γὰρ κτίσμα θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

ΚΑΝΩΝ κθ΄.

Ἄρχοντας μέντοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρχομένους καὶ πάνυ θεραπεύεσθαι προσήκει. θεραπεία δὲ τούτων διττή. μία μὲν, μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως, ἑτέρα δὲ, μὴ ἐπιμένειν ἐνὶ ταῖς πονηραῖς κρίσεσιν. ὥστε ὅρκῳ προληφθείς τις εἰς κακοποιΐαν ἑτέρου, τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω, μὴ μέντοι

προσχήματι εὐλαβείας τὴν πονηρίαν ἑαυτοῦ βεβαιούτω· οὐδὲ γὰρ Ἡρώδῃ συνήνεγκεν εὐορκήσαντι, ὅς, ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ προφήτου. ἅπαξ μὲν ὁ ὅρκος ἀπηγόρευται· πολλῷ δέ που εἰκὸς τὸν ἐπὶ κακῷ γινόμενον κατακρίνεσθαι. ὥστε μεταφρονεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν αὐτοῦ τὸ ἀνόσιον· ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν. εἴ τις ὀμόσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τὸ τοιοῦτον εἰς ἔργον αὐτῷ; εἴ τις φονεύσειν, εἴ τις ὅλως διʼ ὅρκου ἐντολήν τινα παραβήσεσθαι; ὤμοσα γὰρ καὶ ἔστησα οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξαι τὰ κρίματα τῆς δικαιοσύνης. ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσήκει βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως καθήκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες παρακελεύονται ἀθετεῖσθαι τοὺς γινομένους ὅρκους παρά τινων χάριν τοῦ γενέσθαι κακόν τι, ἢ καὶ γέλωτος ἄξιον· φασὶ γὰρ τὸν εὐξάμενον ἤτοι ὀμόσαντα μὴ φαγεῖν κρέας χοίρειον, ἢ κακοποιῆσαι τοὺς ἐπ' αὐτόν, διδάσκεσθαι τῶν ἀλογίστων τοιούτων καὶ ἀπαιδεύτων ὅρκων ἀπέχεσθαι, καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπηγορευμένον ἐστίν· ἐπιχωρεῖσθαι δὲ τὸ χοίρειον κρέας ἐσθίειν, καὶ παραβαίνειν τὸν ὅρκον, καὶ μὴ ποιεῖν τὸ κακὸν προφάσει τοῦ μὴ ἐπιορκῆσαι. ἐχρήσατο δὲ καὶ παραδείγματι τῷ Ἡρώδῃ τῷ ὀμόσαντι φονεῦσαι τὸν Βαπτιστὴν, καὶ διὰ τὸ μὴ ἐπιορκῆσαι ποιήσαντι φόνον. ἔδει γάρ, φησίν, αὐτὸν μεταφρονῆσαι, ἤγουν μεταγνῶναι καὶ καταφρονῆσαι τοῦ ἀδίκου ὅρκου, ἀλλ' οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι τὸ ἀνόσιον. ἀνάγνωθι τὸ ιη'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ. τοῦ δὲ ι'. κανόνος τοῦ ἁγίου Βασιλείου, τοῦ ξδ'. καὶ τοῦ πβ'. κολαζόντων τοὺς ἐπιόρκους, ἑτέρων δὲ κανόνων περιεχομένων τῷ διαληφθέντι ιη'. κεφ. διοριζομένων τοὺς ἐπιορκήσαντας μὴ τιμωρεῖσθαι, καθὼς τοῦτο καὶ οἱ προκείμενοι κανόνες παρακελεύονται· εἴπῃ τις ἐναντιοῦσθαι ἀλλήλοις τοὺς κανόνας· ἐμοὶ δὲ οὐ δοκεῖ, ἀλλ' ὅταν μὲν ἀθετήσῃ τις ἔννομον ὅρκον χωρὶς ἀνάγκης τινός, ἢ ψευδῶς ὀμόσῃ τιμωρηθήσεται πλέον. ὅταν δὲ κατὰ βίαν ποιήσῃ τοῦτο, κουφότερον κολασθήσεται κατὰ τὸν πβ'. κανόνα τοῦ παρόντος ἁγίου πατρός. εἰ δὲ οὐκ ἔστιν ἔννομος ὁ ὅρκος, ἀλλὰ διὰ τὸ γενέσθαι τι ἄτοπον προέβη ἢ μὴ γενέσθαι ἀγαθόν τι, ἢ ὤμοσέ τις πρᾶγμα μὴ ὂν ἄξιον εἰς ὅρκον καταλέγεσθαι, τότε ἡ ἀθέτησις τούτου ἀκόλαστος ἐστί. πλὴν ἀκούων τοῦ ἁγίου λέγοντος, ὀφείλειν καὶ τοὺς τοιούτους ἀναδιδάσκεσθαι μὴ εἶναι προχείρους εἰς τὸ ὀμνύειν, καὶ ὅτι καθάπαξ τὸ ὀμνύειν ἀπαγορεύεται, λέγω ὅτι καὶ οἱ τοὺς τοιούτους ὅρκους ποιοῦντες, κἂν ἀκινδύνως ἐπιορκῶσιν, ἀλλὰ παντελῶς οὐκ ἔσονται ἀτιμώρητοι. μετρίως δὲ κατὰ τὸ δοκοῦν τῷ Ἐπισκόπῳ ἐπιτιμήσονται. ἐπεὶ δὲ ἐκ τοῦ διορίζεσθαι τοὺς κανόνας κολάζεσθαι τοὺς ἐπιόρκους, ἀναφαίνεται μὴ τιμωρεῖσθαι τοὺς μὴ παραβαίνοντας αὐτούς, κἀντεῦθεν συναναδείκνυται καὶ τὸ ἐπιτρέπεσθαι τὴν τῶν ἐννόμων ὅρκων τελεσιουργίαν, μὴ εἴπῃς ταῦτα διορισθῆναι ὑπεναντίως τῇ εὐαγγελικῇ ἐντολῇ, τῇ λεγούσῃ· μὴ ὀμνύειν ἡμᾶς μήτε ἐν οὐρανῷ, μήτε ἐν τῇ γῇ, ὅτι ὁ οὐρανὸς θρόνος ἐστὶ τοῦ Θεοῦ, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. εἶναι δὲ ἡμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ. τοῦτο μὲν γάρ ἐστι τῶν ἄγαν τελείων, ἐκεῖνο δὲ δεύτερον καὶ οὐκ ἀπόβλητον, ὡς ἔννομον· οἷόν ἐστι καὶ τό, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἀκολούθει μοι. εἰ γὰρ πάντες ἀναγκάζονται τοῦτο ποιῆσαι, ποῖος ἀγοράσει αὐτά; ἄλλως τε εἰ ἅπας ὅρκος ἐκωλύετο, οὐδὲ ὁ προφήτης εἶπεν ἂν ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰς ἐντολάς σου· οὐδὲ οἱ τοὺς νόμους συνθέμενοι ὀρθόδοξοι βασιλεῖς, ἵνα ἐξέθεντο νόμους ἐπιτρέποντας ὅρκων τελεσιουργίας. ὥστε οὐχὶ πᾶς ὅρκος ἔννομός τε καὶ παράνομος κεκωλυμένος ἐστὶ, ἀλλ' ὁ παράνομος καὶ ἀπαίδευτος. τινὸς δὲ εὐγενοῦς ἐν ἡμέρᾳ τρίτῃ μιᾶς ἑβδομάδος εἰπόντος πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα, μὴ ὀφείλειν κρεωφαγῆσαι, τελουμένης καὶ ταῦτα τῆς ἑορτῆς τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡ-

non autem pietatis prætextu suam improbitatem confirmet. Neque enim Herodi jurare profuit, qui, ne pejeraret, prophetam occidit. Jusjurandum enim omnino est prohibitum: multò autem magis consentaneum est illud esse condemnatum, quod propter malum juratum est. Quare eum qui juravit, pœnitere, non impietatem ejus confirmare studere oportet. Ejus enim absurditatem fusiùs exquire. Si quis se fratris oculos effossurum juraverit, eine honestum est hoc ad effectum deducere? Si quis se interfecturum, si quis omnino juraverit mandatum aliquod transgressurum? Juravi enim & statui non peccatum, sed servare judicia justitiæ tuæ. Quemadmodum autem mandatum est immutabilibus judiciis confirmandum, ita peccatum omninò infirmare & delere oportet.

Bals. Præsentes duo canones jubent infirmari juramenta à quibusdam facta, ut mali aliquid fiat, vel etiam quidpiam ridiculum. Dicit enim eum qui vovit vel juravit se carnem suillam non comesurum, vel sibi subjectis malefacturum, docendum esse à stultis hujusmodi & ineptis sacramentis abstinere, & quod jurare omnino est prohibitum; licet vero carnem suillam comedere, & juramentum transgredi, & malum non facere sub prætextu ne pejeretur. Usus est autem exemplo quoque Herodis, qui juraverit se Baptistam interfecturum, & ne pejeraret cædem commisit. Oportebat enim, inquit, ipsum resipiscere, seu revocare & contemnere injustum jusjurandum, sed non per actionem impietatem confirmare. Lege xviii. cap. xiii. tit. Præsentis operis, & quæ in eo sunt. Cùm autem x. Can. sancti Basilii, lxxiiii. & lxxxii. perjuros puniant, alii autem Canones, qui in dicto xviii. capite continentur, decernunt eos non esse puniendos qui pejerarunt, quemadmodum Canones ante positi jubent: dixerit quis, Canones esse inter se contrarios: sed mihi non videtur, sed quando legitimum jusjurandum quispiam sine ulla necessitate infirmaverit, vel falsò juraverit, magis punietur. Quando autem hoc vi fecerit, leviùs punietur, secundum lxxxii. Canonem præsentis sancti patris. Sin autem non est legitimum, sed ut absurdum quid fieret, vel ne boni quid fieret, processit, vel etiam juravit quispiam se facturum aliquid, quod non debet in jusjurandum deduci, tunc impunè potest irritum haberi. Audiens porro sanctum dicentem debere eos quoque doceri, ne sint ad jusjurandum faciles, & quòd jurare omnino est prohibitum, dico quòd & si ii, qui hujusmodi juramentis sese obstrinxere, sine periculo pejerant, non erunt tamen prorsus impuniti, sed modicè pro Episcopi arbitratu punientur. Quia autem ex eo, quòd decernant Canones puniendos perjuros, apparet eos non puniri, qui juramenta non transgrediuntur, & ex eo etiam ostenditur legitima juramenta permitti, ne dixeris hæc esse aliquantulum definita adversus evangelicum præceptum, quod dicit; non esse omnino jurandum, neque in cœlo, neque in terra, quia cœlum Dei thronus est, terra autem est pedum ejus scabellum; esse autem nobis næ næ, & non non. Hoc enim est eorum qui sunt valde perfecti. Illud autem secundum & non rejiciendum cùm sit, est legitimum: cujusmodi est & illud; Vende omnia quæ habes, & da pauperibus, & sequere me. Si enim omnes hoc coguntur facere, quis ea emet? alioqui si omne jusjurandum prohiberetur, ne propheta quidem dixisset; Juravi, & statui servare mandata tua: nec qui leges composuerunt orthodoxi imperatores leges edidissent, quæ permitterent jusjurandum. Quare non omne jusjurandum est prohibitum, tam legitimum quàm illegitimum, sed solum qd est illegitimum & ineptum. Cùm autem quidam nobilis tertio die hebdomadæ dixisset potenti & sancto nostro imperatori, se non debere carnem comedere, quamvis festum esset nativitatis Christi & Dei nostri,

quod juraſſet tertias ferias omnium anni hebdomadum à carnibus abſtinere in honorem venerabilis præcurſoris; ſtatuit à Deo coronatus noſter imperator ſynodaliter interrogari, an ſit canonicum hoc jusjurandum ſervari, & dominicum feſtum, quod eſt Paſchale, incelebratum dimittere: & facta interrogatione ſanctiſſimus ille Patriarcha Dominus Lucas cum ſynodo quæ aderat, cum dixiſſet bonum eſſe omni tempore jejunare, ſubjunxit non oportere hoc jusjurandum Domino & Deo noſtro præferre. Si enim Apoſtolici canones puniunt eum, qui in quovis ſabbato, vel die dominico genu flectit vel jejunat, multo magis punietur qui in Paſchali Chriſti feſto jejunat, ne jusjurandum à ſe voluntariè ſuſceptum contemnatur. Et nobili domino carnibus veſci permiſit. Idem autem patriarcha Tzitam quo Eunuchum ad ſanctorum Hieroſolymis locorum adorationem ire ſe juramento obſtrictum & non profectum, ut qui pœnitentia ductus eſſet, ſynodaliter à perjurio abſolvit, mediocri pœna impoſita ei medicinam exhibens. Ex verbis autem canonis, quæ ita ſe habent; Nulla enim Dei creatura eſt rejicienda ſi cum gratiarum actione accipiatur, ne dixeris nobis eſſe permiſſum omnibus beſtiis veſci: ſed dic canonem de illis diſſerere, quæ ab orthododoxis eduntur ex conſuetudine & eccleſiaſtica traditione.

Zonar. *in can. xxviii.* Vovit quiſpiam ſe ſuillas carnes non eſurum. Eſt námq; vovere idem quod promittere & polliceri, juxta illud: Vovete & reddite. Rogatus eſt igitur hic ſanctus vir, utrum ei, qui hoc ſe voto obſtrinxit, illud tranſilire fas foret. Reſponditq; ridiculum ſibi negotium videri. Proinde, inquit, uti quidem ſuillis, hoc eſt, comedere ſuillas carnes permittas eum, qui ejuſmodi vovit abſtinentiam. Doceas porro, ut ſe ab ineptis ejuſmodi votis, hoc eſt, imprudentibus promiſſis contineant, neque ad ejuſmodi vota ſint faciles. Nulla enim creatura Dei eſt rejicienda, ſi cum gratiarum actione accipiatur. Quòd cum ſe, ait, ita habeat, eſt propterea ridiculum votum. Cùm vero hujuſmodi ſit votum, non eſt neceſſaria ab ejuſmodi ſuillis carnibus abſtinentia.

Arist. can. xxviii. *Qui à ſuillis carnibus abſtinentiam vovit, ridiculus; neque vero ſuſcipiendus eſt niſi iis utatur.*

Vovebat quidam à carnibus porcinis abſtinere: ridiculus eſt ille ut inepta vovens & promittens. Nulla enim Dei creatura eſt rejicienda, ſed cum gratiarum actione ſumenda. Oportet itaque ut ei permittatur de carnibus participare à quibus abſtinere vovit, edoceatur autem ne ineptas Deo profeſſiones faciat.

Zonar. *in can. xxix.* Si princeps, inquet juret ſe malo affecturum ſubditos, ejuſmodi primùm quidem edoceri oportet, ne ſit facilis ad jurandum. Si vero temerè juret, ne jusjurandum ſervet in aliorum perniciem conceptum, ſed pœnitentiam oſtendat ob præcipitem jurisjurandi licentiam. Cæterùm nequaquam ſe jusjurandum revereri prætexat aut fingat, hoc eſt, perjurium ſeſe metuere ac formidare: nec ſuam confirmet improbitatem per ſævitiam videlicet in aliis puniendis, ne jusjurandum violaſſe exiſtimetur. Tum ad hæc exemplum Herodis Tetrarchæ profert, dicens, utile futurum fuiſſe Herodi ſi non bene juraſſet, hoc eſt, ſi non bene erga jusjurandum fuiſſet affectus, ipſúmque ſervando Baptiſtam interfeciſſet. Ac omni quidem jurisjurandi genus omnino, hoc eſt, ſine ulla tergiverſatione perfectè vetitum eſt, multo vero magis conſequitur illud vetitum eſſe ac damnatum quod ob malum perpetrandum emittitur. Proinde qui ejuſmodi ſe jurejurando obſtrinxit diverſa inire conſilia, hoc eſt, ſententiam mutare & contraria ſentire, ſive pœnitere oportet. Juravit ſiquidem aliquis ſe quempiam interfecturum, diverſa igitur inire conſilia, hoc eſt, aliud ſentire ac pœnitere, ne ſc: interficiat; non autem impietatem rebus ipſis confirmare oportet. Siquis enim inquit

A μῶν, διὰ τὸ ἐπομόσασθαι νηστεύειν τὰς τρίτας ἡμέρας τῶν ὅλων ἑβδομάδων τοῦ χρόνου, εἰς τιμὴν τοῦ τιμίου προδρόμου, ὥρισεν ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ συνοδικῶς ἐρωτηθῆναι, εἰ κανονικόν ἐστι τὸν ὅρκον τοῦτον φυλαχθῆναι, καὶ τὴν ἑορτὴν πασχάλιον οὖσαν δεσποτικὴν ἀπανηγύριστον ἐαθῆναι. καὶ γινομένης τῆς ἐρωτήσεως ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης κύριος Λουκᾶς μετὰ τῆς παρατυχούσης συνόδου εἰπὼν, ἀγαθὸν εἶναι καὶ τὸ νηστεύειν ἐν παντὶ καιρῷ, ἐπήγαγεν, ὡς οὐ χρὴ τὸν τοιοῦτον προτιμηθῆναι τοῦ κυρίου καὶ θεοῦ ἡμῶν. εἰ γὰρ οἱ ἀποστολικοὶ κανόνες κολάζουσι τὸν ἐν τῷ τυχόντι σαββάτῳ, ἢ κυριακῇ γονυκλιτοῦντα ἢ νηστεύοντα, πολλῷ B πλέον κολασθήσεται ὁ νηστεύων κατὰ τὴν πασχάλιον τοῦ Χριστοῦ ἑορτὴν διὰ τὸ μὴ παραιρεθῆναι τὸν αὐθαίρετον ὅρκον αὐτοῦ. καὶ συνεχώρησε τῷ εὐγενεῖ κυρίῳ φαγῆσαι. ὁ αὐτὸς δὲ πατριάρχης καὶ τὸν Τζήταν τὸν εὐνοῦχον ὀμόσαντα, εἰς προσκύνησιν ἀπελθεῖν τῶν ἐν Ἱεροσολύμοις ἁγίων τόπων, καὶ μὴ ἀπελθόντα, ὡς μεταμεληθέντα, συνοδικῶς ἐκ τῆς ἐπιορκίας ἀπέλυσε, διὰ μετρίου ἐπιτιμίου θεραπεύσας αὐτόν. ἀπὸ μέντοι τῶν ῥημάτων τοῦ κανόνος οὕτως ἐχόντων, οὐδὲν γὰρ κτίσμα θεοῦ ἀπόβλητον, μετ᾽ εὐχαριστίας λαμβανόμενον, μὴ εἴπῃς ὡς ἐνεδόθη πάντα τὰ κτήνη ἐσθίειν ἡμᾶς· ἀλλὰ λέγε περὶ ἐκείνων διαλέγεσθαι τὸν κανόνα τῶν ἐσθιομένων παρὰ C ὀρθοδόξων ἀπὸ συνηθείας καὶ παραδόσεως ἐκκλησιαστικῆς.

ΖΩΝΑΡ. Ηὔξατό τις μὴ φαγεῖν χοίρεια κρέα. εὔξασθαι γὰρ τὸ ἐπαγγείλασθαι καὶ ὑποσχέσθαι ἐστίν· ὡς τὸ, εὔξασθε καὶ ἀπόδοτε. ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ ἔξεστι παραβῆναι τὴν τοιαύτην εὐχὴν τὸν ταύτην εὐξάμενον· καὶ ἀπεκρίθη γέλωτος ἄξιον αὐτῷ δοκεῖν τὸ πρᾶγμα. ὥστε, φησὶ, χρᾶσθαι μὲν ἤτοι ἐσθίειν τὰ ὕεια κρέα, ἐπίτρεψον τῷ εὐξαμένῳ τὴν αὐτῶν ἀποχήν. δίδαξον δὲ ἀπέχεσθαι τῶν ἀπαιδεύτων προσευχῶν, ἤτοι τῶν ἀλογίστων ἐπαγγελιῶν, καὶ μὴ προχείρους εἶναι εἰς τοιαύτας εὐχάς. οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ᾽ εὐ- D χαριστίας λαμβανόμενον. καὶ ἐπεὶ, φησὶ, τοῦτο οὕτως ἔχει, ἡ εὐχὴ καταγέλαστος. τοιαύτης δὲ τῆς εὐχῆς οὔσης, οὐκ ἀναγκαία ἡ τῶν ὑείων κρεῶν ἀποχή.

ΑΡΙΣΤ. *καν. κη΄.* Ὁ κρεῶν ἀποχὴν ὑείων ἐπευξάμενος γελοῖος· οὐ δεκτέος δὲ, εἰ μεταλήψοιτο.

Ηὔξατό τις ἀπέχεσθαι χοιρείων κρεῶν. γελοῖος οὗτος, ὡς ἀπαίδευτα προσευχόμενος, καὶ ἐπαγγελλόμενος. οὐδὲν γὰρ κτίσμα θεοῦ ἀπόβλητον, μετ᾽ εὐχαριστίας μεταλαμβανόμενον. δεῖ γοῦν συγχωρηθῆναι αὐτῷ τὴν μετάληψιν τῶν κρεῶν, ὧν E ἀπέχειν ἐπεύξατο, διδαχθῆναι δὲ, μὴ ἀπαιδεύτους πρὸς θεὸν ἐπαγγελίας ποιεῖσθαι.

ΖΩΝΑΡ. Ἐὰν ἄρχων, φησὶν, ὀμόσῃ κακῶσαι τοὺς ὑποχειρίους, δεῖ τὸν τοιοῦτον πρῶτον μὲν διδάσκεσθαι, μὴ ἕτοιμον εἶναι πρὸς ὅρκους. εἰ δὲ ἀπροσέκτως ὀμόσει, μὴ φυλάξαι τὸν ὅρκον ἐπὶ κακοποιΐᾳ ἑτέρων, ἀλλὰ μετάνοιαν ἐπιδείκνυσθαι διὰ τὴν προπέτειαν τοῦ ὅρκου. μὴ σχηματίζεσθαι δὲ καὶ ὑποκρίνεσθαι ὅτι εὐλαβεῖται τὸν ὅρκον, ἀντὶ τοῦ δειλιᾷ καὶ φοβεῖται τὴν ἐπιορκίαν· καὶ βεβαιοῦν τὴν ἑαυτοῦ κακίαν, ἤγουν δι᾽ ἀπήνειαν κολάζειν ἄλλους, ἵνα μὴ δοκῇ παραβῆναι τὸν ὅρκον. καὶ ἐπὶ τούτοις ἄγει πρὸς παράδειγμα τὸν τετράρχην Ἡρώδην F λέγων, ὅτι συνέφερε τῷ Ἡρώδῃ μὴ εὐορκῆσαι, ἀντὶ τοῦ, μὴ εὖ διατεθῆναι πρὸς τὸν ὅρκον καὶ φυλάξαι αὐτὸν, καὶ φονεῦσαι τὸν βαπτιστήν. καὶ πᾶς μέν φησιν ὅρκος καθάπαξ, ἤγουν ἀπαραιτήτως τελείως ἀπηγόρευται· πλέον δὲ ἐνδέχεται ἀπηγορευμένον εἶναι καὶ κατακεκριμένον τὸν ἐπὶ κακῷ ὀμνυόμενον. ὥστε τὸν τοιοῦτον ὅρκον ὀμόσαντα μεταφρονεῖν δεῖ, ἀντὶ τοῦ μεταβουλεύεσθαι καὶ τἀναντία φρονεῖν, ἢ μετανοεῖν. ὤμοσε γάρ τις ἀποκτεῖναι· δεῖ οὖν μεταφρονῆσαι, ἤγουν ἕτερα φρονῆσαι καὶ μεταγνῶναι, δηλαδὴ μὴ φονεῦσαι· ἀλλ᾽ οὐχὶ διὰ τῆς πράξεως βεβαιῶσαι δεῖ τὸ ἀνόσιον. εἰ γάρ τις φησὶν, ὤμοσεν ἐξορύξαι τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, ἐξεταστέον τί ἄρα βέλτιον, παριδεῖν τὸν ὅρκον ἢ εἰς ἔργον τὸ κακὸν ἀγαγεῖν. καὶ εἰ ὤμοσέ τις ἐντολὴν παραβῆναι, τί κρεῖσσον παραβῆναι τὸν ὅρκον, ἢ τὴν ἐντολήν. ὤμοσα γὰρ, φησὶν, Δαβὶδ, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου, οὐχὶ τὴν ἁμαρτίαν.

ΑΡΙΣΤ. καν. κθ΄. Εἰ ἀπηγόρευται τὸ ὀμνύειν, πολλῷ ἐπὶ τῷ κακῶσαι μᾶλλον· ὥστε μὴ μόνον τὸ ἔργον κωλύσῃς, ἀλλὰ καὶ αὐτὸν ὃν ἀπερεύγεται ὅρκον. θεραπεία δὲ τούτου, διττὴ νουθεσία. τοῦ μὴ ὀμνύειν, καὶ κώλυσις τοῦ πρὸς σχήματι ὅρκου. πράττειν τὸ ὀμοθὲν, ἄτοπον.

Μὴ πρόφασιν τοῦ κακοποιεῖν τοὺς ἀρχομένους εὑρισκέτωσαν τὸν ὅρκον οἱ ἄρχοντες. τί γὰρ, ὤμοσέ τις κακῶσαί τινα τῶν ὑπὸ χεῖρα, καὶ πρὸς σχήματι εὐλαβείας τὴν πονηρίαν αὐτοῦ βούλεται βεβαιῶσαι; θεράπευσον γοῦν τὸν τοιοῦτον διττῶς· καθ᾽ ἕνα μὲν τρόπον, δίδαξον αὐτὸν, μὴ ὀμνύειν προχείρως· καθ᾽ ἕτερον δὲ, μὴ ἐπιμένειν ἐν ταῖς πρὸς τὸ κακὸν εὐορκίαις· ὅτι μηδὲ Ἡρώδῃ συνέφερε εὐορκήσαντι· διὰ γὰρ τὸ μὴ ἐπιορκῆσαι, φονεὺς ἐγένετο τοῦ προφήτου. ἐκεῖνον γάρ τις τὸν ὅρκον ὀφείλει ἀμετάτρεπτον φυλάττειν, ὃν ὤμοσεν ἐπὶ τῷ φυλάξαι τὰ κρίματα τῆς τοῦ θεοῦ δικαιοσύνης· τὸν δὲ ἐπὶ τῇ ἁμαρτίᾳ προβάντα, καὶ κακώσει τινὸς παντοίως ἀκυροῦσθαι προσήκει, καὶ ἀφανίζεσθαι.

ΚΑΝΩΝ λ΄.

Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα, τρία ἔτη καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς ἔξω τῶν εὐχῶν γίνεσθαι. τὸ δὲ μὴ βιαίως γινόμενον ἀνεύθυνόν ἐστι, ὅταν μὴ φθορὰ ᾖ, μηδὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος. αὐτεξουσία δὲ ἡ χήρα, καὶ ἐπ᾽ αὐτῇ τὸ ἀκολουθῆσαι. ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

ΒΑΛΣ. Εἰς τὸν ξζ΄. ἀποστολικὸν κανόνα, εἰς τὸν κζ΄. τῆς ἐν Χαλκηδόνι, εἰς τὸν ϟβ΄. τῆς ἐν τῷ Τρούλλῳ, καὶ εἰς τὸν κβ΄. τοῦ παρόντος ἁγίου, διάφορα ἐγράψαμεν περὶ τῶν ἁρπαζόντων γυναῖκας, καὶ περὶ τῶν συναιρομένων αὐτοῖς, καὶ ἀνάγνωθι ταῦτα, καὶ τὸ λ΄. κεφ. τοῦ θ΄. τίτλου τοῦ παρόντος συντάγματος. ὁ δὲ παρὼν κανὼν διορίζεται ἐπὶ τριετίαν τοὺς ἅρπαγας καὶ τοὺς συναιρομένους αὐτοῖς γίνεσθαι ἔξω τῶν εὐχῶν, ἤγουν ἵστασθαι μετὰ τῶν ἀκροωμένων· εἰ δὲ ἑκοῦσα γυνὴ, φησὶ, ἐπιδῷ ἐπιδοῦσα ἑαυτὴν μὴ προηγησαμένης φθορᾶς, μηδὲ κλοπῆς, ἤγουν λαθραίας μίξεως, ἀνεύθυνός ἐστιν ὁ ταύτην λαβών. ὡσαύτως ἀνεύθυνός ἐστι καὶ ὁ χήραν αὐτεξουσίαν τοιουτοτρόπως ἀναλαβόμενος. τὸ δὲ τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον, τοιοῦτόν ἐστιν. ἐὰν γυνὴ, φησὶν, ἴσως αἰδουμένη ἐπιδοῦναι ἑαυτὴν τῷ ἐραστῇ ἢ τῷ ἐρωμένῳ χαμερπεῖ ὄντι ἐσχηματίσατο ἁρπαγῆναι, πρὸς ἀλήθειαν ἑκουσίως αὐτῷ ἠκολούθησεν, οὐ φροντίζομεν τοῦ σχηματισμοῦ, ἤγουν τῆς ὑποκρίσεως, ἀλλὰ τῇ ἀληθείᾳ προσέχομεν. καὶ ἀνάγνωθι τὸν νγ΄. κανόνα, συντρέχοντα τῇ τοιαύτῃ ἑρμηνείᾳ. τὸ μέντοι ἀνεύθυνον εἶναι τὸν ἁρπάσαντα γυναῖκα κατὰ θέλησιν αὐτῆς εἰς τὸ μὴ ἐπιτιμηθῆναι τοῦτον ἐκλαβοῦ. ὁ γὰρ ἁρπαγὴν αὐτεξουσίας ἢ ὑπεξουσίας γυναικὸς ποιησάμενος, εἴτε κατὰ θέλησιν αὐτῆς, ἢ καὶ κατὰ μόνην οἰκείαν βούλησιν, τῷ περὶ ἁρπαγῆς νόμῳ ἐνέχεται εἰς ἐκδίκησιν τῆς ἀταξίας τῶν πολλῶν καὶ ἀναστολὴν τῶν λοιπῶν. καθὼς τοῦτο, φησὶν, τὸ α΄. κεφ. τοῦ νη΄. τίτλου τοῦ ξ΄. βιβλίου περὶ τὸ τέλος οὕτω λέγον. αἱ δὲ τιμωρίαι τῆς διατάξεως πᾶσαι ἔστωσαν κατ᾽ αὐτῶν τῶν ἁρπασάντων καὶ βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ. οἱ μέντοι συνειδότες καὶ ὑπηρετήσαντες, καὶ ὑποδεξάμενοι ἢ οἵαν δήτινα σπουδὴν αὐτοῖς συνενεγκότες, τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν, εἴτε βουλομένων τῶν

A fratri ſe oculos effoſſurum juravit, examinandū eſt, utrum ſit melius, jusjurandum contemnere, an malum perficere. Ac ſi quis ſe mandatum aliquod violaturum juravit, melius fuerit iusjurandum, quàm mandatum violare. Juravi ſiquidem, inquit, David, & ſtatui cuſtodire judicia juſtitiæ tuæ, non autem peccatum.

Arist. *Can. xxix. Si ſimpliciter jurare ſit interdictum, multo magis ad malum perpetrandum, adeo ut non ſolùm opus prohibebis, verùm & ipſum quod eructant, juramentum. Hujus autem medela in duplici conſiſtit admonitione; non jurare, & quod ſpeciem refert juramēti reprimere.* B *Quod autem juratum eſt perpetrare, abſurdum eſt.*

Magiſtratus ſubjectis malefaciendi prætextum ne inveniant juramentum. Quid enim, juravit quiſpiam eos qui ſub ipſius ſint poteſtate morbo afficere, & ſub pietatis habitu impietatem ſuam confirmare vellet? Duplicem itaque medelam tali adhibeas, uno quidem modo eum edoceas non facile jurare, alio autem in malis juramentis non perſiſtere. Neque enim Herodi jurare profuit; nam ne pejuraret, Prophetam occidit. Illiuſmodi enim jusjurandum debet quiſpiam inviolatum ſervare, quod ad juſtitiæ divinæ judicio obſervanda juravit. Iſtud autem, quod in peccatum fer- C tur & alicujus damnum, omni modo infirmare & delere oportet.

Canon XXX.

De his qui rapiunt, canonem quidem antiquum non habemus, ſed propriam ſententiam protulimus, ut ipſi & qui cum eis rapiunt, tribus annis ſint extra orationes. Quod autem violenter non fit, nulli eſt pœnæ obnoxium, quando nec ſtuprum nec furtum rem præceſſerit: eſt autem vidua ſui juris, & in ejus eſt poteſtate ſequi. Quare non eſt nobis figurarum ac prætextuum ulla cura gerenda. D

Bals. In lxvii. can, Apoſtolicum, in xxvii. Chalced. in xcii. ſynodi in Trullo, & in xxii. præſentis ſancti, multa ſcripſimus de iis qui rapiunt mnlieres, & de iis qui illis conſentiunt. Et lege ea, & xxx. cap. ix. tituli præſentis operis: præſens autem canon decernit raptores & qui illis conſentiunt, eſſe triennio extra orationes, ſtare ſcilicet cum iis qui audiunt oportere. Sin autem, inquit, mulier ſe ipſam ſua ſponte tradiderit, cum nec ſtuprum, nec furtum, hoc eſt clandeſtinus concubitus præceſſiſſet, nulli eſt crimini obnoxius qui eam acce- E pit. Similiter nulli quoque pœnæ eſt ſubjectus qui viduam, quæ ſui eſt juris, hoc modo recepit. Illud autem, non eſt nobis figurarum & prætextuum ulla cura gerenda, eſt hujuſmodi. Si mulier, inquit, fortaſſe erubeſcens ſe amatori vel amato, quòd homo abjectus ſit, tradere, finxerit ſe raptam eſſe, eum tamen ſua ſponte ſecuta eſt, figuræ revera ſeu ſimulationis nullam curam gerimus, ſed veritati attendimus. Et lege liii. can. huic interpretationi conſentientem. Eum autem, qui mulierem ſua ſponte rapuit, non eſſe crimini obnoxium, ita accipe ut ei nulla pœna canonica ſit infligenda. Qui enim mulierem, quæ eſt ſui juris, vel F quæ alterius poteſtati ſubjicitur, ſeu voluntate ipſius, ſeu propria ſola voluntate rapuit, raptûs lege tenetur, ad multorum inſolentiam vindicandam, & reliquorum comprimendam: ſicut hoc dicit prim. cap. lviii. tituli lib. lx. quod circa finem ſic dicit. Omnia autem conſtitutionis ſupplicia ſint adverſus eos qui rapuerunt, & qui eis in raptu opem tulerunt. Qui conſilii quidem fuerunt, & opera ſua juverunt & ſuſceperunt, vel quamlibet opem iis tulerunt, dictæ pœnæ ſubjiciantur, ſeu volentibus ſeu nolentibus mulieribus raptus factus ſit. Hoc autem in imperatorio quoque tribunali ſic judicatum eſt in cauſa Seth, qui rapuerat filiam ejus qui recenter fuerat illuminatus. Sin autem velis dicere, in mulierem non revera factum eſſe raptum, ſed per ſimulationem, ut ſuperiùs dictum eſt; nec pœnæ canonicæ locum habebunt, nec leges quæ raptores puniunt: ſed ſolùm actione injuriarum patribus tenebuntur, qui eas ceperunt quæ erant ſub poteſtate, adeò ut & matrimonium quod inter eas interceſſit, præter eorum voluntatem ſub quorum poteſtate ſunt, ſit ſeparandum. lege xxxviii. can. hujus ſancti, xli. & xlii. Sanctus autem rectè meminit ſtupri & furti. Stuprum enim fit propriè in virginem. Furtum autem, ſeu furtivus concubitus in liberam quæ non eſt hujuſmodi. Amborum autem meminit, quod etiam abſque eo quod fiat raptus, & ſtuprator & fornicator puniuntur.

Zonar. Qui mulieres rapiunt, quique ipſos auxilio juvant, triennio hic vir ſanctus extra precationes eſſe decernit: hoc eſt in veſtibulo inter audientes conſiſtere. Quod ſi mulier volens ſeipſam tradat, omnino nullum præceſſerit ſtuprum, neque furtum, hoc eſt occulta commixtio, nulli pœnæ erit obnoxius qui hanc acceperit, quippe cum nulla vis interceſſerit, modo tamen ſui juris foret fœmina. Si namque ſub alterius eſſet poteſtate, ac ſe abſque ejus facultate cui ſubdita eſt viro tradit, cōciliare matrimonium haudquaquam exiſtimatur. Si namque velit ille cujus ſub poteſtate eſt, diſſolvet nuptias, ut xxxviii. xli. & xlii. can. decernitur. Proinde ait, ſi ſui juris vidua fuerit, & in ipſa poſitum eſt, nimirum ab illius arbitrio pendet ſequi virum, qui hanc accepit nulli pœnæ obnoxius eſt. Illud vero, figurarum non eſt nobis habenda ratio, ita accipiendum eſt. Quod nimirum proprium veſtis genus haberent, ut credibile eſt, tunc temporis viduæ, luctuoſum forte, aut alterius generis ab ea, quā mulieres viris ſubjectæ geſtabant, veſte diverſum. Poteſt hoc aliam quoque explicationē admittere, Quòd quemadmodum hoc tempore qui in vitam monaſticam tranſcribuntur non continuo tondentur, ſed priùs habitum mutant, moxque certo quodam elapſo tempore tondentur: idem tunc quoque ſervari ſolenne eſſet in viduis, quæ viduarum ordini forent adſcribendæ, quæ Eccleſiarum ſumptibus alebantur, ac priùs quidem habitum mutabant, deinde vero lapſu temporis in ordinem referebantur. Quare ſi vidua quæ habitum mutavit, viro nubat priuſquam in numerum viduarum Eccleſiæ deſcripta fuerit, de habitu, inquit, non laboramus, neque ob mutationem habitus pœnas luet, quod in monachis quoque hoc tempore ſervatur. Nam etſi quis habitum mutaverit, nondum tamen detonſo capillo, nec promiſſi fidem adhuc Deo obligaverit, ſuccumbat verò poſtea monaſticæ diſciplinæ laboribus, atque abſcedat, nullam ea de cauſa pœnam perſolvet. Hic idem magnus Baſilius in ipſius Aſceticis conſtitutionibus, dum de pueris qui in fraternitatem aſſumebantur ſententiam profert; erudiri quidem illos arteſque edoceri præcipit, omnique virtutis exercitationi aſſueſcere: cæterùm poſtquam ratione aucti fuerint, ac in eis dijudicandi facultas major evaſerit, tum demum virginitatis profeſſionem, ubi rationis perfectionem adepti fuerint, admitti. Si quis porrò, inquit, vitæ cum virginitate degendæ non acquieſcat, quippe qui non poſſit ſollicitus eſſe de iis quæ Domini ſunt, adhibitis teſtibus abſolvatur. Arbitror autem meliùs hoc modo intelligi poſſe illud, non eſt nobis figurarum ac prætextuum cura gerenda: Quòd ſi mulier, verecundiā forte impedita, quo minus ſeipſam amatori vel dilecto tradat, quòd abjectus ſit homo, ſe raptam fuiſſe prætexat, cum revera ipſum ſua ſponte ſit ſecuta; de prætextu, inquit, hoc eſt, ſimulatione minime laboramus, ſed veritati attendimus. Legendus eſt hujus quoque ſancti viri can. liii.

A γυναικῶν εἴτε καὶ μὴ βουλομένων ἡ ἁρπαγὴ γένηται. τοῦτο δὲ ἐκρίθη οὕτω καὶ εἰς τὸ βασιλικὸν βῆμα ἐπὶ τῇ ὑποθέσει τοῦ Σὴθ ἁρπάσαντος τὴν θυγατέρα τοῦ νεοφωτίστου. εἰ δὲ θέλεις εἰπεῖν, μὴ γενέσθαι εἰς τὴν γυναῖκα τῇ ἀληθείᾳ ἁρπαγὴν, ἀλλὰ κατὰ προσποίησιν, καθὼς ἄνωθεν εἴπομεν, οὔτε τὰ ἐπιτίμια ἕξουσι χώραν, οὔτε οἱ νόμοι οἱ κολάζοντες τοὺς ἅρπαγας· μόνῃ δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ ἔνοχοι ἔσονται τοῖς πατράσιν οἱ λαβόντες τὰς ὑπεξουσίας, τοσοῦτον ὅτι καὶ ὁ γινόμενος γάμος μέσον τούτων παρὰ γνώμην τῶν ἐχόντων αὐτὰς ὑπεξουσίας διασπασθήσεται. καὶ ἀνάγνωθι τὸν λή. κανόνα τοῦ ἁγίου τούτου, τὸν μά. καὶ τὸν μβ΄. καλῶς δὲ ἐμνήσθη ὁ ἅγιος φθορᾶς καὶ κλοπῆς. ἡ μὲν B γὰρ φθορὰ κυρίως λέγεται εἰς τὴν παρθένον. ἡ δὲ κλεψιγαμία εἰς μὴ τοιαύτην ἐλευθέραν. ἐμνήσθη δὲ τῶν δύο, ὅτι καὶ δίχα τοῦ γενέσθαι ἁρπαγὴν, καὶ ὁ φθορεὺς καὶ ὁ πόρνος ἐπιτιμῶνται.

Bals. Ancilla quædam cuidam viro libero matrimonialiter conjuncta erat præter mentem ſui domini. Cum autem aliquantum temporis proceſſiſſet, vel libertate donata, quod cum priore viro contraxerat liberum habuit matrimonium, vel etiam ejus dominus priùs facto, quod non conſiſtebat, matrimonio conſenſit. Interrogatus ergo Sanctus, an quod inter eos factum eſt matrimonium caſtigari non debeat, dixit; quòd quoniam eorum qui ſunt in poteſtate conſenſus infirmi ſunt & non poſſunt conſiſtere, ideo non conſtitutum eſt legitimum matrimonium tempore ſervitutis: & ſi domini conſenſus poſtea ſecutus fuerit, vel eadem ancilla manumiſſa ad prius matrimonium ſe contulerit, non videtur quod factum eſt etiam ab ipſo initio legitimum propter ſequentem conſenſum, ſecundum legem quæ dicit; Quæ ab initio ſunt infirma, ex iis quæ poſtea eveniunt non confirmantur. Hoc enim locum non habet in iis quæ non conſiſtunt. Et ideo pro priori quidem malo fornicationis pœnæ eis imponentur: poſterior autem convictus pœna carebit. Et hæc quidem quando ancillæ matrimonium, quod conſiſtere non poteſt, fuerit confirmatum, vel poſt ejus libertatem, vel poſt manifeſtum domini conſenſum, quem etiam tacita libertas neceſſariò conſequitur. Quid autem? ancilla, quæ verè matrimonio conjuncta eſt domino ſciente & non contradicente, ut fornicatrix reputabitur, eo quòd dominus non conſenſerit, an non? Sol. xlvii. cap. iiii. tit. xxviii. lib. hæc dicit expreſſè; Si quis ancillam ſuam nuptum locavit, qui autem liber eſt, & locanti fide datâ, eam accepit, & fortè etiam dotalibus confectis inſtrumentis, vel non confectis quidem ſed ejus tamen voluntate rem tractavit, non juſtum fuerit tales non confirmare nuptias, ſed etiam tacitam libertatem, ſive viro, ſive mulieri convenire; & cum tale quid à domino factum ſit, eum, eámque decernimus ad ingenuitatem arripi, rémque tanquam in liberis & ingenuis judicari. Si autem ipſe quidem alterutrius perſonæ dominus matrimonium non conſtituerit, cum vero ſciret quod fiebat de induſtriâ celavit, ut adverſus conjunctorum alterutrum negotium poſtea conſarcinaret, ejuſmodi quidem maleficium, ſiquidem clarè oſtenſum fuerit, punimus, & eis, qui tam improbum conſilium ceperunt, dominium auferimus, & hoc ſit rurſus quoque matrimonium, proinde ac ſi is conſenſiſſet ab initio qui poſſidebat. At ille quidem à dominio excidat: rurſus autem ſervus ad ingenuitatem rapiatur. Cum hoc itaque evenit, vel ſi conſenſit, vel ſi ſe improbè geſſit dominus, clarum eſt, quòd qui ex his matrimoniis nati ſunt, erunt ex hac noſtrâ lege liberi & ingenui. Et quoniam ex hoc apparet, ad libertatem arripi ancillam, quæ cum domini tolerantia nupſit libero, qui conjuncti ſunt nulla pœna

A τῇ. ἡ οὖν τῷ μοιχῷ ἀκολουθήσασα καὶ συμβιοῦσα αὐτῷ, πάντα τὸν χρόνον τῆς συμβιώσεως μοιχαλίς ἐστι, ἔτι πράττουσα τὸ κακὸν, καὶ εἰς μετάνοιαν οὐ δεχθήσεται.

Arist. Ἡ συζῶσα μοιχῷ, διὰ βίου μοιχεύεται.

Διὰ τοῦτο γοῦν καὶ ἀπρόσδεκτός ἐστιν ἡ τοιαύτη τῇ ἐκκλησίᾳ· μετὰ γὰρ τὸ παυθῆναι τῆς ἁμαρτίας, τότε γίνεται ἐν ἐπιτιμίοις, καὶ διορθοῦται τὸ πταῖσμα αὐτῆς· ἐὰν δὲ ἐπιμένῃ τῇ μοιχείᾳ, ἀδιόρθωτός ἐστι, καὶ ἀπρόσδεκτος.

B

ΚΑΝΩΝ μ′.

Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδοῦσα, ἐπόρνευσεν· ἡ δὲ μετὰ ταῦτα πεπαρρησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο. ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος. αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον.

ΒΑΛΣ. Δούλη συνήφθη γαμικῶς ἀνδρί τινι ἐλευθέρῳ παρὰ γνώμην τοῦ οἰκείου δεσπότου. καιροῦ δέ τινος παρελθόντος, C ἢ ἐλευθερίας ἀξιωθεῖσα τὸν μετὰ τοῦ προτέρου ἀνδρὸς γάμον πεπαρρησιασμένον ἐποιήσατο, ἢ καὶ ὁ κύριος αὐτῆς ἐπὶ τῷ γενομένῳ πρότερον ἀνυποστάτῳ γάμῳ συνήνεσεν. ἐρωτήθη γοῦν ὁ ἅγιος εἰ ἀκόλαστόν ἐστι τὸ γεγονὸς συνοικέσιον, καὶ εἶπεν, ὡς ἐπεὶ αἱ συναινέσεις τῶν ὑπεξουσίων ἀβέβαιοι καὶ ἀνυπόστατοί εἰσι, κἀντεῦθεν οὐ συνέστη γάμος ἔννομος ἐν τῷ καιρῷ τῆς δουλείας· κἂν μετὰ ταῦτα συναίνεσις παρηκολούθησε τοῦ δεσπότου, ἢ αὐτὴ ἡ δούλη ἐλευθερωθεῖσα τῷ προτέρῳ γάμῳ ἐστοίχησεν, οὐ λογίζεται τὸ γεγονὸς καὶ ἐξ ἀρχῆς αὐτῆς ἔννομον διὰ τὴν μετὰ ταῦτα συναίνεσιν, κατὰ τὸν νόμον τὸν λέγοντα, τὰ ἐξ ἀρχῆς ἀβέβαια, ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων οὐ βεβαιοῦνται. D τοῦτο γὰρ ἐπὶ τῶν ἀνυποστάτων χώραν οὐκ ἔχει. διά τοι τοῦτο χάριν μὲν τοῦ προτέρου κακοῦ ἐπιτίμια πορνείας τούτοις ἐπιφορτισθήσονται· ἡ δὲ μετὰ ταῦτα συμβίωσις ἔσται ἀνεπιτίμητος. καὶ ταῦτα μὲν ὅταν ἀνυπόστατος γάμος τῆς δούλης στερχθῇ, ἢ μετὰ ἐλευθερίαν αὐτῆς, ἢ μετὰ φανερὰν συναίνεσιν τοῦ δεσπότου, ἢ καὶ ἐλευθερία σιωπηρὰ ἐξ ἀνάγκης ἐπακολουθεῖ. τί δέ; ἡ γαμικῶς συναφθεῖσα δούλη μετὰ ἀληθείας τοῦ δεσπότου εἰδότος καὶ μὴ ἀντιλέγοντος, ὡς πορνεύουσα λογισθήσεται διὰ τὸ μὴ συναινέσαι τὸν δεσπότην, ἢ μή; Λύσις. τὸ μζ′. κεφ. τοῦ λ′. τίτλου τοῦ κη′. βιβλίου φησὶ ταῦτα ῥητῶς. εἴ τις ἐξέδωκε τὴν ἑαυτοῦ θεράπαιναν, E ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικώων γενομένων συμβολαίων, ἢ μηδὲ γενομένων μὲν, τῆς δὲ ἑαυτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ, εἴτε τῇ γυναικί· καὶ τοιούτου τινὸς παρὰ τοῦ δεσπότου γενομένου, θεσπίζομεν ἁρπάζεσθαί τε καὶ τὸν τοιοῦτον καὶ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπὶ ἐλευθέροις τε καὶ εὐγενέσι κρίνεσθαι. εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόττει τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γενόμενον, καὶ ἐξεπίτηδες ἀποκρύπτει, ἵνα ὕστερον πρᾶγμα ῥάψειε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην, εἴγε σαφῶς F ἀποδειχθείη, κακουργίαν, καὶ ἀφαιρέμεθα τὴν δεσποτείαν τῶν οὕτω πονηρῶς βεβουλευμένων, καὶ ἔστω πάλιν καὶ τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνήνεσεν ὁ κεκτημένος τὴν ἀρχήν. καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἁρπαζέσθω τὸ δοῦλον πρόσωπον. τοιούτου συμβαίνοντος ἀποτελέσματος, ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος, πρόδηλον ὂν, ὡς καὶ οἱ τεχθέντες ἐκ τῶν τοιούτων γάμων, ἐλεύθεροί τε καὶ εὐγενεῖς κατὰ τόνδε ἡμῶν τὸν νόμον ἔσονται. καὶ ἐπεὶ ἐκ τούτου παρίσταται εἰς ἐλευθερίαν ἁρπάζεσθαι τὴν μετὰ ἀνοχῆς τοῦ δεσπότου τῷ ἐλευθέρῳ γαμηθεῖσαν δούλην, ἀνεπιτίμητοι οἱ οὕτω συναφθέντες συντηρηθήσονται. ὅσον γὰρ κατὰ τὸν παλαιὸν νόμον τὸν διοριζόμενον τὸν γάμον συνίστασθαι συναινέσει μόνῃ, καὶ τὸ τοιοῦτον συνοικέσιον πεπέραται διὰ τῆς σιωπηρᾶς συναινέσεως τοῦ δεσπότου. εἰ δέ τις εἴπῃ ὡς ἱερολογίας μὴ γενομένης κατὰ τὸ σήμερον κρατοῦν, οἱ τοιοῦτοι οὐκ ἐκφεύξονται τὰ ἐπιτίμια, κἂν γαμικῶς συνήφθησαν τοῦ δεσπότου ὁρῶντος καὶ ἀνεχομένου. ἀκούσει ὅτι εἰς τὸν λόγον τῶν ἐπιτιμίων ἡ διάθεσις μᾶλλον σκοπεῖται, καὶ οὐχὶ ἡ ἀκρίβεια τῶν νεαρῶν διαταγμάτων.

ΖΩΝΑΡ. Ἐὰν δούλη ἐκδῷ ἑαυτὴν ἀνδρὶ ὑπὸ τὸ θέλημα τοῦ δεσπότου αὐτῆς, πορνεύει. ὑφ' ἑτέρου γὰρ οὖσα ἐξουσίαν οὐ δύναται συνθήκας, ἤγουν συμφωνίας ποιεῖν. ἀβέβαιοι γάρ εἰσι καὶ ἀνίσχυροι. εἰ δὲ μετὰ ταῦτα, μετὰ τὸ πορνεῦσαι δηλαδὴ, ἐλευθερωθεῖσα, ἢ παραχωρηθεῖσα τοῦ κυρίου αὐτῆς, πεπαρρησιασμένῳ, ἀντὶ τοῦ, φανερῷ χρήσεται γάμῳ, ὡς γεγαμημένη λογισθήσεται τότε, καὶ οὐχὶ πόρνη.

ΑΡΙΣΤ. Ἑαυτὴν ἀνδρὶ ἐπιδοῦσα δούλη, πορνεύει· συνάπτεται δὲ, εἰ μετὰ γνώμης δεσπότου· τὰ γὰρ τῶν ὑπεξουσίων, ἀβέβαια.

Ἐὰν οἱ ὑπεξούσιοι παῖδες παρὰ γνώμην τῶν γονέων αὐτῶν συναλλάττειν γάμον οὐ δύνανται, πολλῷ μᾶλλον οἱ οἰκέται. διὰ τοῦτο γοῦν καὶ ἡ δούλη ἡ ἐκδιδοῦσα ἑαυτὴν ἀνδρὶ, παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ὡς πόρνη ἐπιτιμηθήσεται· εἰ δὲ μετὰ ταῦτα κατὰ γνώμην τοῦ δεσπότου συναφθῇ αὐτῷ, νομίμως ἐγήματο.

ΚΑΝΩΝ μα'.

Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἔχουσα ἑαυτῆς, συνοικεῖν ἀνέγκλητος, εἰ μηδεὶς ἐστὶν ὁ διασπῶν τὸ συνοικέσιον, τοῦ ἀποστόλου εἰπόντος, ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.

Γυνή τις χηρεύσασα ἤθελεν ἑτέρῳ συζευχθῆναι ἀνδρὶ, καὶ οὐ παρεχωρεῖτο, ἢ καὶ συζευχθεῖσα ἐπετιμᾶτο. ἠρωτήθη οὖν περὶ τούτου ὁ ἅγιος καὶ ἀπεφήνατο, ὅτι ἐξουσίαν ἔχει ἡ χήρα ἑτέρῳ συναφθῆναι ἀνδρὶ, ἐὰν τέως αὐτεξουσία ἐστί. τοῦτο δὲ κρατήσει εἰς μόνην δευτερογαμίαν· τριγαμίαν γὰρ ὁ ἅγιος οὐ παραχωρεῖ. ὥστε καλῶς ἡ γυνὴ ἡ χηρεύσασα ἵνα δευτερογαμήσῃ, καὶ δευτερογαμήσασα οὐκ ἐπιτιμηθήσεται, εἴπερ οὐκ ἔστιν ὑπεξουσία· ἐὰν γὰρ ἐστὶν ὑπεξουσία, ἐπεὶ ὁ ἔχων ταύτην ὑπεξουσίαν δύναται διασπᾶσαι τὸν γάμον, ἐπιτιμηθήσεται καὶ αὕτη ὡς πορνεύσασα. πλὴν καὶ αἱ γυναῖκες δευτερογαμοῦσαι τῷ ἐπιτιμίῳ τῶν δευτερογαμούντων ὑπόκεινται, καθὼς πολλάκις εἴπομεν. ἀκούων δὲ τοῦ ἁγίου λέγοντος ἔχειν ἐπ' ἀδείας τὴν χήραν ᾧ θέλει γαμεῖσθαι, μὴ εἴπῃς δύνασθαι αὐτὴν ἀσεβεῖ ἢ ἑτέρῳ τινὶ ἀναξίῳ τοῦ γένους αὐτῆς συνάπτεσθαι, ἀλλ' εἰπὲ ὀφείλειν αὐτὴν κατὰ κανόνας καὶ νόμους δευτέρῳ ἀνδρὶ γαμεῖσθαι. φησὶ γὰρ τὸ α'. κεφ. τοῦ δ'. τίτλου τοῦ κη'. βιβλίου, γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου κοινωνία. καὶ ὁ λα'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ οβ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου κωλύουσι τοὺς ὀρθοδόξους μετὰ αἱρετικῶν συνάπτεσθαι, καὶ τὸ β'. θέμα τοῦ ζ'. κεφ. τοῦ ε'. τίτλου τοῦ κη'. βιβλίου φησὶν, οὐκ ἔρρωται ὁ γάμος τῆς θυγατέρος ἢ ἐγγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικὸν, ἢ σκηνικοῦ υἱὸν ἢ σκηνικῆς. ὁ δὲ κράταιος καὶ ἅγιος ἡμῶν βασιλεὺς διαφόρων συνοικέσια εὐγενῶν συναφθεισῶν ἀνδράσιν εὐγενέσι διέσπασε, καὶ τοὺς συναφθέντας μεγάλως ἐκόλασεν. οἷόν τι πεποίηκε καὶ εἰς τὸν βασιλικὸν γραμματικὸν, κῦρον Θεόδωρον τὸν Μεσαρίτην τοῦ σεβαστοῦ τοῦ Βρυεννίου

A affecti conſervabuntur. Quod enim ad veterem legem attinet, quæ matrimonium ſolo conſenſu fieri decernit, ejuſmodi quoque peractum eſt matrimonium per tacitum domini conſenſum. Si quis autem dixerit, quòd cum non facta ſit benedictio, ut hodie obſervatur, ii pœnas non effugient, etiam ſi matrimonio conjuncti ſint, domino vidente & patiente, audiet quòd, quantum attinet ad pœnarum rationem, magis conſideratur affectio, quàm Novellarum conſtitutionum ſummum jus.

Zonar. Si ancilla ſeipſam viro tradiderit præter domini voluntatem, fornicatur. Cùm enim ſub alterius B ſit poteſtate, conventa, id eſt, pactiones ineundi facultatem non habet. Infirmæ ſiquidem ac irritæ ſunt. Quòd ſi poſtea, poſtquam ſcilicet fornicata fuit, donata libertate, aut domino ipſius permittente, matrimonio libero, hoc eſt, manifeſto palam eſt uſa, jam inſtar legitimæ uxoris, non fornicariæ mulieris, exiſtimabitur.

Arist. *Ancilla quæ ſe viro tradit, fornicatur: matrimonio vero jungitur, ſi cum domini conſenſu id facit. Quæ enim ab iis fiunt qui alienæ poteſtati ſubjiciuntur, invalida ſunt.*

C Si pueri ſub poteſtate præter parentum ſuorum ſententiam matrimonium contrahere non poſſunt, multo magis ſervi. Propterea itaque & ancilla quæ præter domini ſui ſententiam ſe viro dedit, ut fornicatrix pœnas luet. Si autem poſtea cum domini voluntate ei conjungatur, legitimè nupſit.

Canon XLI.

Quæ in viduitate habet ſui poteſtatem, & viro cohabitat, ab omni accuſatione eſt libera, ſi nemo eſt qui conjugium D *divellat; cum dicat Apoſtolus, Si mortuus ſit maritus, libera eſt, ut nubat cui velit, tantum in Domino.*

Bals. Mulier quædam vidua volebat alii viro matrimonio conjungi: & non ei permittebatur, vel etiam conjuncta puniebatur. Sanctus ergo de eo interrogatus eſt, & reſpondit, quòd eſt in viduæ poteſtate ut alii viro conjungatur, ſi tunc eſt ſui juris. Hoc autem in ſola digamia ſervabitur: neque enim ſanctus trigamiam permittit. Rectè itaque mulier vidua ſecundò nubet, & cum ſecundò nupſerit non punietur, ſi quidem non eſt E ſub poteſtate: ſed ſi ſit ſub poteſtate parentis conſtituta, quoniam qui eam habet in poteſtate poteſt matrimonium diſſolvere, ipſa quoque, ut quæ ſit fornicata, punietur. Sed & mulieres, quæ ſecundò nubunt, digamorum ſupplicio ſubjiciuntur, ut ſæpe diximus. Cum autem audis ſanctum dicentem eſſe in poteſtate viduæ nubere cui velit, ne dixeris eam poſſe impio, vel alicui alii ſuo genere indigno conjungi. Sed dic eam debere ſecundum leges & Canones ſecundo viro nubere. Dicit enim primum cap. iiii. tit. xxviii. lib. Matrimonium eſt viri & mulieris conjunctio, & totius vitæ conſuetudo, divinarum & humanarum rerum ſocietas. Et xxxi. Syn. Laodicenæ Canon, F & lxxii. Can. Syn. in Trullo, prohibent orthodoxos cum hæreticis conjungi, & ii. thema vii. cap. v. tit. xxviii. lib. dicit, Non eſt validum matrimonium filiæ vel neptis viri ſenatorii cum liberto vel ſcenico, vel ſcenici aut ſcenicæ filio. Potens autem & ſanctus noſter imperator, cum nobilium aliquot mulierum, cum viris ignobilibus contracta eſſent matrimonia, ea ſeparavit, & conjunctos valde puniit. Quemadmodum etiam fecit & in regium Grammaticum dominum Theodorum Meſaritem qui Auguſti Brienni filiam, abſque imperatoris ſcientia in uxorem acceperat. Quod autem adjicitur canoni, & dicit, Solum in Domino, adjectum eſt propter infideles. In Domino enim matrimonium contrahit, quæ cum orthodoxo, non cum hæretico matrimonium contrahit.

Zonar. Mulier quæ vidua eſt, nec parentum poteſtati ſubjecta, ut illorum conſenſu ad nuptias contrahendas indigeat, abſq; ulla noxa ſecundis nuptiis illigari poteſt, ſi nemo ſit qui conjugium diſſolvat, hoc eſt, ſi nulli ſint, qui illam ſuæ obnoxiam poteſtati habeant, pater nimirum, aut avus, quibus etiam dirimere matrimonii ſocietatem datum eſt, niſi in illud conſenſerint. Subjicit deinde vir ſanctus depromptum ex Apoſtolicis verbis teſtimonium.

Arist. *Crimine vacat vidua quæ virum accipit.*

Vidua ſuæ eſt poteſtatis, mortuo ipſius viro; propterea ſi viro nupſerit, accuſationi non eſt obnoxia, modo in Domino, juxta Apoſtolum.

Canon XLII.

Quæ ſine iis, qui habent poteſtatem, fiunt matrimonia, ſunt fornicationes. Vivente ergo patre, vel domino, ij qui conveniunt non ſunt ab accuſatione liberi, donec conjugio domini annuerint: tunc enim accipit firmitatem conjugium.

Bals. Hic canon veluti ſumma quædam eſt duorum proximè præcedentium canonum. Dicit enim, quòd ſi filia familias vel ancilla matrimonium cum aliquo contraxerunt, ſine voluntate eorum qui ipſas habent in poteſtate, hoc exiſtimatur fornicatio, utpote quòd non poſſit conſiſtere. Quare & tanquam fornicatores punientur, & matrimonium, tanquam quod non poſſit conſiſtere, ſolvetur. Sin autem ii, qui in eos habent poteſtatem, annuerint, hoc eſt, admiſerint & voluerint matrimonium, tunc firmum reputabitur. Quæ autem de eorum qui ſunt in poteſtate & dominorum conſenſu dicuntur, interpretare ſecundum canones proximè interpretatos.

Zonar. Hic canon veluti ſumma quædam eſt duorum proxime præcedentium canonum. Ait námque, ſi filia vel ſerva aliorum poteſtati obnoxia cum aliquo matrimonium inierint, abſq; dominorum, hoc eſt eorum, quorum ſub poteſtate ſunt conſenſu, id pro fornicatione haberi, neque iis, qui hoc pacto copulati fuerint, impune eſſe oportere. Punientur ſiquidem ipſi, matrimoniúmque diſſolvetur. Quod ſi ii, quorum ſub poteſtate ſnnt, annuerint, hoc eſt, approbarint ac voluerint nuptias, tunc ratæ fimæque habebuntur.

Arist. *Qui aliis ſubſunt, filius, & ſervus, ſine dominis matrimonium contrahentes, culpæ obnoxii ſunt.*

Canon XLIII.

Qui mortis ictum dedit proximo, eſt homicida, ſive prior percuſſit, ſive ultus eſt.

Bals. Percuſſit quiſpiam aliquem, & interfecit, & cum juberetur reddere rationem cur interfeciſſet, dicebat, Ego non fui cauſa cædis, ſed is qui occiſus eſt, ut qui pugnæ initium fecit, & me prior percuſſit. Sanctus ergo de eo interrogatus, reſpondit, Homicida eſt qui quomodocúnque hominem interfecit: ſive primo loco eum, qui interfectus eſt, percuſſit, ſive eum ulciſcens, ut qui prior percuſſiſſet, vulnus ei intulit. Et canon quidem in his conſiſtit. Interrogaverit autem quiſpiam, cum lex dicat in ſexageſimo libro xxxix. tit. cap. i. themate ultimo: Impunè quis illum interficiet, qui vel ipſum, vel ſuos cogit ad petulantiam, & in titulo xvii. ejuſdem libri;

A τὴν θυγατέρα χωρὶς εἰδήσεως βασιλικῆς εἰς γυναῖκα λαβόντα. τὸ μὲν τοι τῷ κανόνι προσκείμενον, καὶ λέγον μόνον ἐν κυρίῳ, προσετέθη διὰ τοὺς ἀπίστους. ἐν κυρίῳ γὰρ συναλλάττει γάμον ἡ μετὰ ὀρθοδόξου, οὐ μὴν μετὰ αἱρετικοῦ συναφθεῖσα.

ΖΩΝΑΡ. Χηρεύουσα γυνὴ καὶ μὴ οὖσα ὑπεξουσία γονεῦσιν, ὥστε χρῄζειν τῆς ἐκείνων συναινέσεως ἐπὶ τῷ γάμῳ, ἀνέγκλητός ἐστι δεύτερον συναλλάξασα γάμον, εἰ μηδεὶς ἐστὶν ὁ διασπῶν τὸ συνοικέσιον, τουτέστιν, εἰ μή τινες εἰσὶν ὑπεξουσίαν αὐτὴν ἔχοντες, ἤτοι πατὴρ, ἢ πάππος, οἳ καὶ διασπᾷν δύνανται τὴν διὰ τοῦ γάμου συνάφειαν, μὴ συναινέσαντες B ἐπ' αὐτῷ. ἐπιφέρει δὲ ὁ ἅγιος μαρτυρίαν ἐξ ἀποστολικῶν ῥημάτων.

ΑΡΙΣΤ. Ἀνέγκλητος ἡ χήρα λαμβάνουσα.

Αὐτεξουσία ἐστὶν ἡ χήρα, τελευτῶντος τοῦ ἀνδρὸς αὐτῆς· διὰ τοῦτο, εἰ λάβῃ ἄνδρα, ἀνέγκλητός ἐστι, μόνον ἐν κυρίῳ, κατὰ τὸν ἀπόστολον.

ΚΑΝΩΝ μβʹ.

Οἱ ἄνευ τῶν κρατούντων γάμοι πορνεῖαι εἰσίν. οὔτε οὖν πατέρος ζῶντος, οὔτε δεσπότου οἱ συνιόντες ἀνεύθυνοί εἰσιν, C ἕως ἂν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν. τότε γὰρ λαμβάνει τὸ τοῦ γάμου βέβαιον.

ΒΑΛΣ. Ὁ κανὼν οὗτος ἀνακεφαλαίωσίς ἐστι τῶν προσεχῶν κανόνων. φησὶ γὰρ ὡς ἐὰν ὑπεξουσία θυγάτηρ ἢ δούλη γάμον πρός τινα συναλλάξωσιν ἄνευ γνώμης τῶν κρατούντων, ἤγουν τῶν ὑπεξουσιαζόντων αὐτῶν, πορνεία λογίζεται τὸ τοιοῦτον, ὡς ἀνυποστάτως γινόμενον. διὸ καὶ ὡς πορνεύοντες ἐπιτιμηθήσονται, καὶ ὁ γάμος ὡς ἀνυπόστατος λυθήσεται. εἰ δὲ ἐπινεύσουσιν οἱ τὴν ἐξουσίαν αὐτῶν ἔχοντες, ἀντὶ τοῦ, εἰ δέξονται καὶ θελήσουσι τὸν γάμον, τότε λογίζεται βέβαιος. τὰ δὲ περὶ τῆς συναινέσεως τῶν ὑπεξουσίων καὶ τῶν δεσποτῶν D ἑρμήνευσον κατὰ τοὺς προσεχῶς ἑρμηνευθέντας κανόνας.

ΖΩΝΑΡ. Ὁ κανὼν οὗτος ἀνακεφαλαίωσίς ἐστι τῶν προσεχῶν αὐτοῦ δύο κανόνων. φησὶ γὰρ, ὅτι ἐὰν ὑπεξουσία θυγάτηρ ἢ δούλη, γάμον πρός τινα συναλλάξωσιν ἄνευ γνώμης τῶν κρατούντων, ἤγουν τῶν ἐξουσιαζόντων αὐτῶν, πορνεία λογίζεται τὸ τοιοῦτο, καὶ οὐκ εἰσὶν ἀνεύθυνοι οἱ οὕτω συναφθέντες. ἐπιτιμηθήσονται γὰρ, καὶ ὁ γάμος λυθήσεται. εἰ δὲ ἐπινεύσουσιν οἱ τὴν ἐξουσίαν αὐτῶν ἔχοντες, ἀντὶ τοῦ, εἰ δέ- E ξονται καὶ θελήσουσι τὸν γάμον, τότε λογίζεται βέβαιος.

ΑΡΙΣΤ. Οἱ ὑπεξούσιοι, υἱὸς, καὶ δοῦλος, δίχα τῶν κυρίων ζευγνύμενοι, οὐκ ἀνεύθυνοι.

ΚΑΝΩΝ μγʹ.

Ὁ θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

ΒΑΛΣ. Τὶς ἔπληξε καὶ ἐφόνευσέ τινα, καὶ ἀπαιτούμενος λόγους δοῦναι χάριν τοῦ φόνου, ἔλεγεν, ὅτι οὐκ ἐγὼ F αἴτιος γέγονα τῆς πληγῆς, ἀλλ' ὁ φονευθεὶς, ὡς πεποιηκὼς τὴν ἀρχὴν τῆς διαμάχης, καὶ προπλήξας με. ἐρωτηθεὶς οὖν περὶ τούτου ὁ ἅγιος, εἶπεν ὅτι φονεύς ἐστιν ὁ ὁπωσδήποτε φονεύσας ἄνθρωπον, εἴτε πρώτως ἔπληξε τὸν φονευθέντα, εἴτε ἀμυνόμενος τοῦτον ὡς πλήξαντα πρότερον αὐτὸν, ἐπήγαγε τὴν πληγήν. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. ἐρωτήσει δέ τις, ὡς τοῦ νόμου λέγοντος ἐν βιβλίου ξʹ. τίτλου λθʹ. κεφαλ. αʹ. θέματι τελευταίῳ, ἀκινδύνως τις φονεύει τὸν βιαζόμενον αὐτὸν, ἢ τοὺς αὐτοῦ, πρὸς ἀσέλγειαν. καὶ ἐν τίτλῳ ιζʹ. τοῦ αὐτοῦ βιβλίου, ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις, πῶς ὁ κανὼν φησὶ τὸν ἐξ ἀμύνης πλήξαντα καὶ φονεύσαντα κολάζεσθαι ὡς φονέα; Λύσις. τὰ ἐκκλησιαστικὰ ἐπιτίμια οὐκ εἰσὶ κολαστικά, ἀλλὰ ἁγιαστικὰ καὶ ἰατρευτικά. διὸ καὶ διορίζεται ὁ κανὼν τὸν κατὰ παραχώρησιν θεοῦ ἐμπεσόντα ὁπωσδήποτε εἰς φόνον, καὶ αὐτοὺς τοὺς ἐν πολέμῳ φονεύοντας, θεραπεύεσθαι κατὰ ψυχήν· κἂν ὁ μὲν μεγαλωτέρας χρήζῃ θεραπείας, ὡς φονεύων ἑκουσίως, ὁ δὲ μικροτέρας, ὡς φονεύων ἀκουσίως, ἢ ἐξ ἀμύνης, ἢ ἐν πολέμῳ. ὁ δὲ πολιτικὸς νόμος κολάζει, οὐ θεραπεύει. ὅθεν τὸν μὲν ἔχοντα διάθεσιν εἰς τὸ φονεῦσαι, τιμωρεῖ ὡς φονέα, τὸν δὲ ἀκουσίως φονεύοντα οὐ τιμωρεῖ, καὶ τὸν φονεύσαντα τὸν βιαζόμενον ἑαυτὸν ἀτιμώρητον συντηρεῖ, ὡς μὴ οἴκοθεν, ἀλλ' ἐξ αἰτίας τοῦ φονευθέντος εἰς τὸ φονεῦσαι κατεπειχθέντα. οἶμαι δὲ ὅτι καὶ ὁ φονεύσας ἐξ ἀμύνης κατὰ τὸν πολιτικὸν νόμον τότε συντηρηθήσεται ἀκόλαστος, ὅταν ἐφόνευσε τὸν πληγὴν θανατηφόρον ἐπενεγκόντα αὐτῷ, ἢ βίαν ὁμοίαν, οὐ μὴν καὶ τὸν ἐλαφρὰν καὶ ἰάσιμον πληγὴν ἐπενεγκόντα αὐτῷ, ἤγουν μετρίαν βίαν, καὶ ἣν ἐδύνατο χωρὶς φόνου διαφυγεῖν. τηνικαῦτα γὰρ ὡς φονεὺς κολασθήσεται. φησὶ γὰρ τὸ ιδ'. κεφ. τοῦ λθ'. τίτλου τοῦ ξ'. βιβλίου, ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν, ἀνεύθυνός ἐστι φονευθέν. καὶ κατὰ θέμα τοῦ αὐτοῦ τὸν λῃστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν. ἐγὼ δὲ εἶδον ἱερέα καθαιρεθέντα συνοδικῶς, ὅτι ἕτερον ἱερέα ἀναλαβόμενον παρὰ θέλησιν τούτου βιβλίον ἐκ τῆς ἐκκλησίας αὐτοῦ κατέσχε, καὶ ἀνελάβετο ἐριστικῶς ἐκ τούτου τὸ οἰκεῖον βιβλίον, κἀντεῦθεν συνέβη τὸν ἀφαιρεθέντα τὸ βιβλίον ἱερέα λιποθυμῆσαι, καὶ αὐθωρὸν ἀποθανεῖν. ἕτερος δὲ μόναχος καὶ ἱερεὺς ἀπὸ τῆς μονῆς τοῦ Στερίου καθῃρέθη ὁμοίως, ὅτι μοναχόν τινα ὑβρίσαντα αὐτὸν ἀνθύβρισε τραχέως, καὶ συνέβη τὸν οὕτως ὑβρισθέντα, ἅμα τῷ ἀκοῦσαι τὴν ὕβριν, στενάξαι, καὶ τὴν ψυχὴν ἀπορεύξασθαι. καὶ ἀρχιερεὺς Αγαρηνὸν φονεύσας κατ' αὐτοῦ ξίφος ἀνατείναντα ἐν καιρῷ πολέμου, καθῃρέθη ὁμοίως.

ΖΩΝΑΡ. Ο πλήξας τινὰ καιρίως, ὥστε ἐκ τῆς πληγῆς ἐκείνης τὸν πληγέντα θανεῖν, φονεύς ἐστι· καὶ οὐκ ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος, τὸ μὴ κατάρξασθαι, ἀλλὰ πληγῆναι πρότερον παρ' ἐκείνου, καὶ οὕτως πλῆξαι αὐτὸν, ἀμυνόμενον τὸν πλήξαντα.

ARIST. Ο πλήξας πρὸς θάνατον, καὶ ἀρχόμενος, καὶ ἀμυνόμενος, ἀνδροφόνος.

Εάν τις ἐν μάχῃ πληγὴν ἐπάγῃ τινὶ καιρίαν, θάνατον ἀπειλοῦσαν, κἂν πρῶτος ἤρξατο τῆς πληγῆς, κἂν ὑπ' ἐκείνου πληγεὶς, καὶ ἐκδικῶν ἑαυτὸν καιρίως ἀντέπληξε, φονεύς ἐστιν· εἴτε δὲ ἑκούσιοι καὶ ἀμφότεροι, εἴτε ἀκούσιοι, ἀπὸ τοῦ ὀργάνου τοῦ πλήξαντος κριθήσονται, καὶ ἀπὸ τῶν λοιπῶν ὧν παρέδωκε γνωρισμάτων ἐν τῷ ὀγδόῳ κανόνι.

ΚΑΝΩΝ μδ'.

Η διάκονος ἡ τῷ Ελληνι συμπορνεύσασα οὐ δεκτή ἐστιν εἰς κοινωνίαν, εἰς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ ζ'. ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα. ὁ δὲ μετὰ τὴν πίστιν Ελλην πάλιν τῇ ἱεροσυλίᾳ προσιὼν ἐπὶ τὸν ἔμετον ἐπιστρέφει. ἡμεῖς οὖν τῆς διακόνου τὸ σῶμα ὡς καθιερωμένον οὐκ ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

ΒΑΛΣ. Οπως καὶ οἵα γυνὴ γίνεται διάκονος ἔμαθες ἀπὸ διαφόρων κανόνων. διάκονος γοῦν γυνὴ πορνικῶς συμφθαρεῖσα Ελληνί τινι, οὐ μόνον καθῃρέθη, ἀλλὰ καὶ ἀφωρίσθη· καὶ ὁ μετὰ ταύτης δὲ συμφθαρεὶς Ελλην, πιστὸς γενόμενος, ἤθελε ταύτην λαβεῖν εἰς γυναῖκα, ὡς διὰ τοῦ ἁγίου βαπτίσματος ἀπὸ τῆς Ελληνικῆς ἀκαθαρσίας καθαρθεὶς, καὶ δῆθεν μὴ ἐμποδιζόμενος νομίμως αὐτῇ συναφθῆναι, τὴν διακονικὴν ἀξίαν ἀποθεμένῃ διὰ τῆς προγενομέ-

A Vim vi licet repellere & arma armis: quomodo dicit canon eum, qui ſe defenſurus percuſſit & occidit, puniri ut homicidam? Sol. Pœnæ eccleſiaſticæ non puniunt, ſed ſanctificant & medentur; & ideo decernit canon, ut qui quomodocunque Dei permiſſione in cædem inciderit, & ipſi etiam qui in bello occiderunt, in anima medicinam accipiant: etſi hic quidem majore opus habet medicina, ut qui ſponte interfecit, ille verò minore, ut qui non voluntariè, vel in ſui defenſione vel in bello. Lex autem civilis punit, non medetur. Unde etiam eum, qui habet affectum interficiendi, punit ut homicidam: eum verò, qui involuntariè interficit, non punit; & eum, qui vim B illi inferentem perimit, impunitum conſervat, ut qui non ex ſe, ſed ab eo qui fuit interfectus ad occidendum impulſus eſt. Exiſtimo autem, quòd qui etiam in ſui defenſione occîdit, tunc impunè abibit, quando eum interfecit, qui vulnus illi mortale inflixit, vel vim ſimilem: non autem eum, qui levem ac medicabilem illi plagam attulit ſive vim modicam, quam etiam ſine cæde effugere potuit. Tunc enim ut homicida punietur. Dicit enim xiiii. caput xxxix. tit. lx. lib. Qui eum interfecit, qui ita invadebat, ut in vitæ periculum adduceretur, non eſt reus homicidii. Et ſecundùm ejus thema, latronem invadentem impune licet interficere. Ego autem vidi ſacerdotem ſynoda- C liter depoſitum, quòd alterum ſacerdotem, qui præter ejus voluntatem librum ex eccleſia ſua accipiebat, detinuit, & librum proprium è manu ejus contentioſè recepit, & ex eo evenit, ut ſacerdos, cui liber ablatus eſt, deliquium animi pateretur, & ipſa hora moreretur. Alius autem monachus & ſacerdos ex Tyrii monaſterio ſimiliter eſt depoſitus, quòd monachum quendam, qui eum injuria affecerat, gravi viciſſim injuria affecit, & accidit, ut qui ſic injuria affectus eſt, ſimul ac injuriam audivit, gemeret & animam eructaret. Antiſtes quoq; qui Agarenum belli tempore enſem in ipſum vibrantem interfecerat, ſimiliter depoſitus eſt.

D

Zonar. Qui alteri lethale vulnus inflixit, ex quo poſtea vulnere percuſſus expiravit, homicida eſt: nec ex eo liberatur à crimine, quod non ipſe verberandi initium fecerit, ſed prior ab illo fuerit vulneratus, exindeq; ipſum, dum ſibimet illatum vulnus ulciſcitur, vulneraverit.

Arist. *Qui ad mortem percuſſit, tam laceſſens, quam ulciſcens, homicida eſt.*

Si quis in pugna vulnus lethale cuipiam intulit, mortem minitans, licet primus vulnerare cœpit, aut ab eo per- E cuſſus & ſeſe ulciſcens, lethaliter repercuſſit, homicida eſt. Num voluntarii autem ambo erant aut involuntarii, à percutientis inſtrumento judicabuntur, & ab aliis indiciis quæ in octavo canone tradidit.

Canon XLIIII.

Diaconiſſa, quæ unà cum Græco fornicatus eſt, non eſt ad communionem admittenda, ad oblationem autem ſeptimo anno admittetur, ſcilicet ſi in caſtitate vitam agat. Græcus autem, qui poſt fidem rurſus ad ſacrilegium accedit, ad vomitum revertitur. Nos vero diaconiſſæ corpus, ut conſecratum, non ampliùs in uſu carnali eſſe per- F *mittimus.*

Bals. Quomodo, & quænam mulier diaconiſſa fit, ex diverſis canonibus didiciſti. Diaconiſſa ergo mulier alicui Græco fornicatoriè conjuncta, non ſolum eſt depoſita, ſed etiam ſegregata; & qui cum ea rem habuit Græcus, fidelis effectus, voluit eam uxorem accipere, tanquam qui per ſanctum Baptiſmum à Græca immunditia liberatus eſſet, & qui ei legitimè conjungi non impediretur, quæ per priorem fornicationem diaconalem auctoritatem depoſuiſſet, & eſſet veluti libera. Sanctus ergo de utriſque fuit interrogatus, & reſpondit, quòd diaconiſſa, quæ fornicata eſt, & propterea fuit depoſita, non ſegregabitur, ita ut non in eccleſia verſetur, ſed ad orationem & ſtationem cum fidelibus admittetur. Dictum enim eſt in xxxii. ejus can. quòd Clerici, qui peccatum ad mortem peccant, ſolum deponuntur, non etiam ſegregantur. Non enim vindicabis bis in idipſum. Porro & diaconiſſa propter fornicationem depoſita ab eccleſiaſtica ſynaxi non ſegregabitur. Illi enim pro quavis pœna ſufficit depoſitio. Quia autem qui fornicantur triennio non ſunt ſanctorum myſteriorum participes, ſtatuit ſanctus, ut ea magis puniretur, quod cum Græco rem habuerit, eáq; eſſet poſt ſeptennium ſacramentorum particeps à fornicatione ſe prorſus continens. Græcum autem qui crediderit, & eam, quæ aliquando fuit diaconiſſa habere quærit, ſacrilegii condemnationi ſubjicit, ſi diaconiſſæ corpus, quod Deo ſemel eſt dedicatum, per coitum coinquinaverit: & eum adeò canem vocat, qui ad ſuum vomitum revertitur, hoc eſt ad priorem infidelitatem per nefarium coitum. Quamobrem eam, quæ ſemel Deo eſt dedicata, etiamſi fuerit depoſita, nullo modo ſinit alicui conjungi, quòd ſit corpus ejus conſecratum, & ſervari debeat ab omni coitu, & omni uſu carnali juxta univerſalem regulam quæ dicit, quod ſanctum eſt non ſit pollutum. Nota ergo hæc propter clericos & monachos, qui tranſformant & mutant habitum, imo & monachas etiam, & aſcetrias volentes legitimis uxoribus aut viris conjungi. Exiſtimo autem eas ab hoc Canone rectè ſecundo nubere prohibendas, nec ſacerdotum uxores, ſicut nec qui ſunt ſacrati ſacerdotium recuſantes, permittentur vivere ut laici, & ſecundo matrimonium contrahere: ſacerdotum enim uxores, unum corpus & una caro ſacerdotalis, per legitimam ſacerdotii conjunctionem appellatæ, & ea de cauſa veluti conſecratæ, non profanabuntur per ſecundas nuptias. Sacerdotes autem, qui ſemel ſecundas nuptias, eo quòd Deo ſunt conſecrati, rejecerunt, & Deo hoc utique profeſſi ſunt, non ſinentur per carnalem cupiditatem ſacerdotalem dignitatem repudiare, & quam Deo fecerunt profeſſionem infirmare, & carnali libidini ſervire: ſed etiam ſi ſemel ſacerdotio renunciaverint, corpora ſua, quæ ſunt Deo ſemel conſecrata, prohibebuntur ſecundis nuptiis profanare.

Zonar. Si cum Græco Diaconiſſa corrupta fuerit, ad communionem, inquit, admittetur. Communionis autem nomine, hoc loco, una cum fidelibus in ſacra precatione ſtationem intellige. At vero ſanctorum munerum perceptione, ſeptimo demum anno digna habebitur. Quòd enim exciderit à Diaconatu, non propterea à ſacris precationibus arcetur, neque ad pœnitentium ſtationes damnatur. Ex eo verò quòd pro Chriſti ſponſa habetur, ſuúmque honorem prodidiſſe exiſtimatur, in eam gravius animadvertitur. Cùm námque fornicationi quadriennii pœna conſtituta ſit, hæc ad ſeptimum uſque annum protenditur: idque modo à peccato abſiſtat, ac vitam caſte integréque traducat. Cæterum ſi Græcus, qui cum ea rem habuit, ad fidem converſus, ſacrilegio iterum ſe contaminet, (ſacrilegium porro hunc cum Diaconiſſa congreſſum appellat) ad proprium vomitum reverti aſſerit. Corpus námque Diaconiſſæ conſecratum eſt; ac proinde iu uſu carnali eſſe, hoc eſt, carnis voluptate uti amplius haud permittetur. Forte autem propter congreſſionem cum infideli, majore reprehenſione diaconiſſa digna eſt.

Arist. *Diaconiſſa cum gentili fornicata, & reſipiſcens, ſeptennio ſubſternatur.*

Ecce hic duo ſupplicia. Diaconiſſa enim & à gradu ſuo movetur, & ſeptem annos pœnis ſubjicitur, & divinis ſacramentis privatur, quia iſta cum Gentili fornicata eſt.

A νης πορνείας, καὶ ἤδη οὖσα ἐλευθέρα. ἐρωτήθη οὖν περὶ ἀμφοτέρων ὁ ἅγιος, καὶ ἀπεκρίνατο, ὅτι ἡ πορνεύσασα διακόνισσα, καὶ διὰ τοῦτο καθαιρεθεῖσα οὐκ ἀφορισθήσεται, ὥστε μὴ ἐκκλησιάζειν, ἀλλὰ δεχθήσεται εἰς τὴν μετὰ τῶν πιστῶν εὐχὴν καὶ στάσιν. εἴρηται γὰρ εἰς τὸν λβʹ. κανόνα αὐτοῦ, ὅτι οἱ τὴν πρὸς θάνατον ἁμαρτάνοντες ἁμαρτίαν κληρικοὶ, καθαιροῦνται μόνον, οὐ μὴν καὶ ἀφορίζονται. οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. καὶ ἡ διακόνισσα γοῦν διὰ τὴν πορνείαν καθαιρεθεῖσα, οὐκ ἀφορισθήσεται ἐκ τῆς ἐκκλησιαστικῆς συνάξεως. ἀρκεῖ γὰρ αὐτῇ ἀντὶ παντὸς ἐπιτιμίου ἡ καθαίρεσις. ὅτι δὲ οἱ πορνεύοντες ἐπὶ τετραετίαν τῶν ἁγίων μυστηρίων οὐ B μεταλαμβάνουσιν, ὥρισεν ὁ ἅγιος ἐπὶ πλέον ἐπιτιμηθῆναι αὐτὴν διὰ τὸ μετὰ Ἕλληνος συμφθαρῆναι, καὶ μετὰ ἑπταετίαν μεταλαβεῖν αὐτὴν τῶν ἁγιασμάτων, πάντως ἀποστᾶσαν ἐκ τῆς πορνείας. τὸν δὲ πιστεύσαντα Ἕλληνα καὶ ζητοῦντα ἔχειν τὴν ποτὲ διακόνισσαν, ἱεροσυλίας καταδίκῃ καθυποβάλλει, ἐὰν τὸ ἅπαξ ἀφιερωθὲν σῶμα τῆς διακονίσσης διὰ τῆς ἐπιμιξίας κοινώσῃ. μᾶλλον μὲν οὖν καὶ κύνα αὐτὸν ἀποκαλεῖ εἰς τὸν ἴδιον ἔμετον ἐπιστρέφοντα, τουτέστιν εἰς τὴν προτέραν ἀπιστίαν διὰ τῆς ἀθέσμου μίξεως. καὶ τὴν ἅπαξ καθιερωθεῖσαν τῷ θεῷ, κἂν καθαιρεθῇ, οὐ παραχωρεῖ ὁπωσδήποτε τινι συνάπτεσθαι, διὰ τὸ εἶναι τὸ C σῶμα αὐτῆς καθιερωμένον, καὶ ὀφείλειν συντηρεῖσθαι πάσης κοινῆς καὶ σαρκικῆς χρήσεως ἀνώτερον, κατὰ τὸν καθολικὸν λόγον τὸν λέγοντα, τὸ ἱερὸν μιαρὸν οὐ γίνεται. σημείωσαι ταῦτα διὰ τοὺς μετασχηματιζομένους κληρικούς τε καὶ μοναχοὺς, καὶ μέντοι καὶ μοναχὰς, καὶ ἀσκητρίας, καὶ θέλοντας νομίμοις γυναιξὶν ἢ καὶ ἀνδράσιν συνάπτεσθαι. οἴομαι δὲ ἀπὸ τοῦ κανόνος τούτου καλῶς ἵνα κωλυθῶσι δευτερογαμεῖν καὶ αἱ τῶν ἱερέων γυναῖκες, ὥσπερ οὐδὲ οἱ ἱερωμένοι τὴν ἱερωσύνην παραιτούμενοι παραχωρηθήσονται ὡς λαϊκοὶ διάγειν καὶ δευτερογαμεῖν· αἱ μὲν γὰρ γυναῖκες τῶν ἱερέων ἓν σῶμα καὶ μία σὰρξ ἱερατικὴ διὰ τῆς μετὰ ἱερέων νομίμου συναφείας χρη- D ματίσασαι, κἀντεῦθεν ἤδη ἱερωθεῖσαι, οὐ βεβηλωθήσονται διὰ τῆς δευτερογαμίας. οὐδὲ ἱερεῖς ἅπαξ τὴν δευτερογαμίαν ἀποθέμενοι διὰ τὸ ἱερωθῆναι, καὶ τοῦτο αὐτὸ εἰς θεὸν ἐπαγγειλάμενοι, οὐ παραχωρηθήσονται διὰ τὴν σαρκικὴν ἐπιθυμίαν παραιτήσασθαι τὴν ἱερατικὴν ἀξίαν, καὶ τὴν εἰς θεὸν ἐπαγγελίαν ἀθετῆσαι, καὶ τῇ σαρκικῇ ἐπιθυμίᾳ δουλεῦσαι. ἀλλὰ κἂν παραιτήσωνται τὴν ἱερωσύνην, κωλυθήσονται τὰ ἅπαξ ἱερωθέντα σώματα αὐτῶν δευτέροις γάμοις βεβηλῶσαι.

ΖΩΝΑΡ. Ἐὰν διακόνισσα Ἕλληνι συμφθαρῇ, δεχθήσεται, φησὶν, εἰς κοινωνίαν. κοινωνίαν δὲ τὴν μετὰ τῶν πιστῶν σύστασιν ἐν ταῖς εὐχαῖς ἐνταῦθα νοητέον. τῆς δὲ τῶν ἁγίων δώρων με- E ταλήψεως, τῷ ἑβδόμῳ ἔτει ἀξιωθήσεται. διὰ μὲν γὰρ τὴν ἔκπτωσιν τῆς διακονίας, οὐκ εἴργεται τῶν προσευχῶν, οὐδὲ εἰς τοὺς τόπους τῶν ἐπιτιμίων ἑστάναι καταδικάζεται. διὰ δὲ τὸ νύμφη λογίζεσθαι τοῦ Χριστοῦ, καὶ προδοῦναι τὴν τιμὴν ἑαυτῆς, βαρύτερον κολάζεται. τῆς γὰρ πορνείας τετραετίᾳ ἐπιτιμωμένης, αὕτη εἰς ἕβδομον ἐνιαυτὸν παρατείνεται. καὶ τοῦτο, ἐὰν ἀπόσχηται τῆς ἁμαρτίας, καὶ ἐν ἁγνείᾳ ζῇ. ἐὰν δὲ ὁ μιγεὶς αὐτῇ Ἕλλην τῇ πίστει προσελθὼν πάλιν ἱεροσυλῇ· (ἱεροσυλίαν δὲ τὴν μετὰ τῆς διακονίσσης μίξιν καλεῖ.) ἐπὶ τὸν ἴδιον φησὶν ἐπιστρέφει ἔμετον· τὸ γὰρ σῶμα τῆς διακονίσσης καθιερωμένον ἐστί· καὶ διὰ τοῦτο οὐκ ἐπιτρα- F πήσεται ἐν χρήσει εἶναι σαρκικῇ· ἤγουν ἡδονῇ χρᾶσθαι σαρκός. ἴσως δὲ καὶ διὰ τὸ μιγῆναι ἀπίστῳ ἐπιτιμᾶται μᾶλλον ἡ διακόνισσα.

ΑΡΙΣΤ. Διάκονος Ἕλληνι πορνευθεῖσα, καὶ μεταγνοῦσα, ἑπταετίαν ὑποπιπτέτω.

Ἰδοὺ ἐνταῦθα δύο τὰ ἐπιτίμια· μετακινεῖται γὰρ τοῦ βαθμοῦ αὐτῆς ἡ διάκονος, καὶ ἐπὶ ἑπτὰ ἔτεσι τὴν ἐπιτίμησιν δέχεται, καὶ τῶν θείων ἁγιασμάτων ἐστέρηται, διὰ τὸ μετὰ Ἕλληνος συμπορνεῦσαι αὐτήν.

UMI

ΚΑΝΩΝ με'.

Ἐάν τις τὸ ὄνομα λαβὼν τοῦ Χριστιανισμοῦ, ἐνυβρίζῃ τὸν Χριστὸν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.

Τὶς ἄπιστος βαπτισθεὶς καὶ ἀξιωθεὶς τοῦ λέγεσθαι Χριστιανὸς, εἶχε μὲν τὴν εἰς Θεὸν ὀρθόδοξον πίστιν, οὐκ ἔπραττε δὲ καὶ τὰ τῶν Χριστιανῶν ἔργα, ἀλλ' ἐκάκισεν ἴσως παραδόσεις ἐκκλησιαστικὰς καὶ κανονικοὺς διορισμοὺς προτιμώμενος τὰς τῶν ἀπίστων ἐργασίας, καὶ τοιουτοτρόπως ὑβρίσων τὸν Χριστόν. ἠρωτήθη οὖν ὁ ἅγιος, εἰ διὰ ταῦτα ὁ τοιοῦτος, ἀπὸ τῆς τῶν πιστῶν ἐκβάλλεται ὁμηγύρεως, ἢ μᾶλλον ὀφείλειν ἀκαταιτίατος εἶναι, ὡς τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος, καὶ εἶπεν ὅτι τὸ λαβεῖν διὰ τοῦ βαπτίσματός τινα Χριστιανοῦ ὄνομα οὐκ ὀφείλει αὐτὸν, ἐὰν μὴ ἐν πᾶσι κατὰ τοὺς ὀρθοδόξους πολιτεύηται. ἐξανάγκης οὖν ὥς τις σεσηπὼς μέλος, ἐκκοπείη ἀπὸ τῆς ὁλοκλησίας τοῦ ὑγιοῦς σώματος Χριστωνύμου λαοῦ, τουτέστιν οὔτε ἐκκλησιάσει μετὰ τῶν Χριστιανῶν, οὔτε τοῖς τοῦ Χριστιανικοῦ ποιμνίου προβάτοις συναριθμηθήσεται. εἰ δὲ θέλεις ἑρμηνεῦσαι τὸν κανόνα καὶ ἄλλως, ὅτι οὐκ κυρίως Χριστιανὸς ὁ μὴ τὰς ἐντολὰς τοῦ Χριστοῦ ποιῶν, οὐχ ἕξεις τὸ ἐμποδών. φησὶ γὰρ καὶ ὁ ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος ἐν τῇ ἐπιστολῇ αὐτοῦ οὕτω· τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; καὶ ὁ ἀπόστολος, ἡ πίστις χωρὶς ἔργων νεκρά ἐστιν.

ΖΩΝΑΡ. Τὸν τῷ Χριστῷ πιστεύσαντα καὶ ἐπικληθέντα Χριστιανὸν, δεῖ κατὰ τὰς θείας ζῆν ἐντολὰς, καὶ οὕτως δι' αὐτοῦ δοξάζεσθαι τὸν Θεὸν, κατὰ τὸ λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ τὰ ἑξῆς. εἰ δέ τις Χριστιανὸς μὲν καλεῖται, παραβαίνει δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑβρίζει τὸν Χριστὸν, οὗ τὴν κλῆσιν ἐπάγεται, καὶ οὐδὲν ἔσται αὐτῷ ὄφελος ἐκ τῆς προσηγορίας. ταῦτα δὲ ὁ μέγας Βασίλειος τῷ ἁγίῳ Ἰακώβῳ συμφωνῶν τῷ ἀδελφῷ τοῦ κυρίου, φησίν. ἐκεῖνος γὰρ ἐν τῇ ἐπιστολῇ αὐτοῦ λέγει. τί τὸ ὄφελος ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ, μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν;

ΑΡΙΣΤ. Ὑβρίζων χριστιανὸς τὸν χριστὸν, ἀπὸ τῆς κλήσεως ἀνωφέλητος.

Ἡ πίστις χωρὶς τῶν ἔργων, νεκρά ἐστιν· οὐδὲν γὰρ ἀπὸ τῆς προσηγορίας ὄφελος τῷ χριστιανῷ τὰ τοῦ χριστοῦ ἐντάλματα ἀθετοῦντι καὶ τοὺς θείους αὐτοῦ νόμους καταπατοῦντι, καὶ πραγματικῶς αὐτὸν ἐνυβρίζοντι.

ΚΑΝΩΝ μϛ'.

Ἡ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς ἐν ἀγνοίᾳ γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δέ. γάμου οὖν οὐκ εἰρχθήσεται, κάλλιον δὲ ἐὰν μείνῃ οὕτως.

ΒΑΛΣ. Ὁ παρὼν κανὼν κατεστρώθη εἰς τὸ ὕφος τοῦ ϟγ'. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου. καὶ ἐπεὶ ἐκεῖσε τὰ περὶ τούτου πλατύτερον ἡρμηνεύθησαν, ἀνάγνωθι τοῦτον, καὶ τὸν θ'. κανόνα τοῦ παρόντος ἁγίου πατρός.

ΖΩΝΑΡ. Ἐν τῷ ἐννάτῳ κανόνι ὁ ἅγιος οὗτος, περὶ γυναικὸς καταλιπούσης τὸν ἴδιον ἄνδρα διαταττόμενος· ἡ καταλιποῦσα τὸν ἴδιον ἄνδρα, φησὶ, μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλληλον ἦλθεν ἄνδρα. ὁ δὲ καταλειφθεὶς συγγνωστός, καὶ ἡ συνοικοῦσα τῷ τοιούτῳ οὐ κατακρίνεται. ἐνταῦθα δὲ τὴν τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς γημαμένην· ἐπανελθούσης δὲ τῆς προτέρας ἀφεθεῖσαν πορνεῦσαι λέγει, ἐν ἀγνοίᾳ δέ. πῶς οὖν ἐκεῖσε μὲν οὐ κατακρίνει τὴν συνοικήσασαν ἀνδρὶ, καὶ καταλειφθέντι παρὰ τῆς γυναικὸς αὐτοῦ, ἐνταῦθα δὲ πορνεῦσαι, αὐτήν φησιν ἐν ἀγνοίᾳ. εἰ δὲ ἐκείνη πεπόρνευκε, καὶ ὁ γήμας αὐτὴν ἀνὴρ, πορνεῦσαι κατὰ τὸ ἀκόλουθον νομίζοιτ' ἄν. πῶς οὖν συγγνωστὸς ἔσται; οἶμαι τοίνυν ὅτι ἐν τῷ θ'. κανόνι, περὶ τοῦ διόλου καταλειφθέντος παρὰ τῆς γυναικὸς λέγει ὁ μέγας Βασίλειος, καὶ μὴ πειθείσης ἐπανελθεῖν πρὸς αὐτόν. καὶ

A

Canon XLV.

Si quis accepto nomine Chriſtianiſmi Chriſtum contumelia afficit, nulla eſt illi appellationis utilitas.

Bals. Infidelis quiſpiam baptizatus, & dignus habitus qui Chriſtianus diceretur, in Deum quidem fidem habuit orthodoxam, non agebat autem ſecundum opera Chriſtianorum: ſed eccleſiaſticas fortè traditiones, & Canonicas definitiones vituperabat, infidelium operationes præferens, & eo modo Chriſtum injuria afficiens. Interrogatus eſt ergo ſanctus, an is propterea à fidelium communione expellatur, an potius nequaquam ſit accuſandus, ut qui fidem orthodoxam elegerit; & dixit quod B accipere aliquem per baptiſmum nomen Chriſtiani ipſum non juvat, niſi in omnibus, ut par eſt, juxta orthodoxos, vitam inſtituat: neceſſario ergo ut membrum putridum ab integritate exſcindetur ſani corporis Chriſtiani populi: hoc eſt neque cum Chriſtianis in Eccleſiâ verſabitur, neque gregis Chriſtiani ovibus connumerabitur: Si velis autem Canonem aliter quoque interpretari, quòd non eſt propriè Chriſtianus, qui non facit mandata Chriſti, nihil vetabit. Dicit enim ſanctus Jacobus frater Dei in ſua epiſtola hoc modo, Quid juvat, fratres mei, ſi quis ſe fidem habere dicat, opera autem non habeat? an poteſt fides C eum ſervare? Et Apoſtolus, Fides ſine operibus mortua eſt.

Zonar. Qui Chriſto credidit, & Chriſtianus appellatus eſt, eum ex divinis præceptis vitam inſtituere oportet, ut hac ratione per ipſum Deus glorificetur, quemadmodum illis verbis præcipitur, Sic luceat lux veſtra coram hominibus, & quæ deinceps. Si quis autem nominatur quidem Chriſtianus, Dei vero præcepta tranſgreditur, contumeliam irrogat Chriſto, cujus de nomine appellatur, nec quicquam ex ea appellatione utilitatis trahet. Reſpondent porro hæc magni Baſilii, iis quæ ſanctus Jacobus frater Domini aſſerit. Scribit ille nimirum in ſua quadam epiſtola, Quid prodeſt fratres mei ſi quis ſe fi- D dem habere dicat, opera autem non habeat? Num poteſt fides eum ſervare?

Arist. *Chriſtianus qui Chriſtum contumeliâ afficit, nullum è nomine fructum percipiat.*

Fides ſine operibus mortua eſt. nihil enim à nomine emolumenti ſurgit Chriſtiano Chriſti mandata negligenti, & divinas illius leges conculcanti, eumque injuria valde afficienti.

Canon XLVI.

Quæ per ignorantiam nupſit ei qui ab uxore ad tempus de- E relictus eſt, deinde dimiſſa eſt, ut prior ad ipſū redeat, fornicatur quidem ſed ignoranter. nuptiis ergo non prohibebitur, ſed melius eſt, ſi ſic manſerit.

Bals. Hic canon ſitus eſt in contextu xciii. can. Syn. in Trullo, & quia de eo fuſius illic tractatum eſt, lege eum & ix. Canonem præſentis ſancti patris.

Zonar. Sanctus hic in ix. Can. diſſerens de muliere quæ virum ſuum reliquit, Mulier ait quæ virum ſuum reliquit, adultera eſt, ſi ad alium virum ſe contulit. Relictus autem, venia dignus eſt, & quæ cum ejuſmodi habitat, non condemnatur. Hic autem eam quæ viro F nupſit, qui ad tempus ab uxore relictus eſt, priore vero revertente dimiſſa fuit, fornicatam ait ſed ignoranter. Quî igitur illic mulierem non condemnat, quæ cum viro ab uxore relicto vixit: hic vero ipſam per ignorationem fornicatam fuiſſe affirmat? Quod ſi illa fornicata eſt, virum quoque qui illam duxit, fornicarium judicari conſequens fuerit. Qui ergo venia dignus? puto igitur ix Can. de eo loqui M. Baſilium, qui ab uxore plane eſt deſertus, nec ut ad eum redeat ullo modo perſuaderi poteſt. Quare & illi veniam dat, eamq; quæ ei ſecundo nubit non condemnat. Hocvero Can. de eâ loquitur quæ ob aliquam

quam ægritudinem à viro abſceſſit, quam etiam ob cauſam, illud (ad tempus) adjunxit. Si ergo mulier quæ ſecundas cum ipſo contraxit nuptias, temporariam hanc uxoris à viro ſeceſſionem noverat, atq; ita cum relicto viro habitavit, adultera eſt, qd alienum ſibi virum uſurpavit, ut in fine ix. Can. continetur. Sed ſi id ignorabat, forte enim peregrinus erat, nec quæ ad ipſum ſpectabant, nota erant, aliquo porro temporis intervallo ad virum, quæ ipſum deſeruerat revertit, ac proinde nuptiæ cum ſecunda uxore ſunt diſſolutæ; mulierem hanc, S. fornicatam eſſe aſſerit, ſed per ignorationem. Fornicatam porro eam dicit, qd non fuerint priores ſolutæ nuptiæ; Prioribus autem non ſolutis, quomodo inita cum ſecunda muliere ſocietas ſecundum matrimonium videatur? Quod ſi matrimon. non ſit, erit plane fornicatio. Ac vir quidem, fornicarius proprie judicabitur, mulier autem, fornicata quidem eſſe dicitur, verum per ignorationem. Non enim fornicationis peccatum admittere illi mens erat, ſed legitimas contrahere nuptias. Verum eo res recidit, ut nuptiæ minime exiſtimarentur, propterea quod prius adhuc matrimonium conſiſteret. Cum vero hæc cum duabus mulieribus conjunctio, matrimonium cenſeri haud poſſit, quid aliud ea dicatur conjunctio quàm fornicatio, per ignorationem tamen admiſſa? Quam etiam ob cauſam ſubjicit Canon (A matrimonio ergo non prohibebitur.) Non enim, veluti à viro dimiſſa judicabitur. Si namque id eſſet, aliique viro juncta foret, adultera judicaretur, ex noni Canonis conſtitutione. Quoniam vero haudquaquam proprie illa cum ſecunda muliere cohabitatio, matrimonium dici poteſt: propterea à matrimonio mulier haud arcetur. Cum vero uxor citra exceptionem dicta fuerit viri, ſi nulli alteri, eo adhuc vivente copulata fuerit, laudabilius, inquit ſanctus vir, fecerit. Neque enim honeſtum fuerit, viro adhuc ſuperſtite, quæ illius mulier dicta eſt, cum altero vitam agere. In nuptiis ſiquidem, lex quoque civilis teſtatur quòd nos non tam quid permiſſum ſit, quàm quid honeſtati conveniat, conſideramus.

ARIST. *Nupſit quædam ignorans viro dimiſſo: poſtea prior apparuit: dimiſſa autem fornicatrix per ignorantiam reputatur: Et ſi vult nubit, melius autem ſi non nubat.*

Vir ad tempus ab uxore ſuâ de relictus fuit, ille autem acſi ab eâ dimiſſus fuiſſet aliam duxit, quæ neſcivit eum ad tempus derelinqui: rediit ad eum prima, & eam recipiens ſecundam dimiſit, ut fornicatrix judicatur dimiſſa, ſed per ignorantiam; & ideo ſi matrimonii communione alii conjungi velit, non prohibebitur. Non enim dimiſſa reputatur, quoniam qui eam dimiſit proprie non erat ipſius vir. Si autem extra matrimonium manere vellet, & ad alterum conjugium non venire, hoc melius eſſet.

CANON XLVII.

Encratitæ, & Saccophori, & Apotactitæ ſubjiciuntur eidem rationi, cui & Novatiani, quia de illis editus eſt canon, etſi diverſus: quæ autem ſunt adverſus eos, ſilentio prætermiſſa ſunt, nos autem una ratione tales rebaptizamus. Si autem prohibita eſt apud vos hæc rebaptizatio, ſicut & à Romanis, alicujus œconomiæ gratia, noſtra tamen ratio vires obtineat, quandoquidem eſt veluti Marcioniſtarum germen eorum hæreſis, nuptias abhorrentium, & vinum averſantium & Dei creaturam inquinatam eſſe dicentium, eos igitur in Eccleſiam non admittimus niſi in noſtrum baptiſmum baptizati fuerint. Ne dicant enim, In Patrem, & Filium, & Spiritum ſanctum baptizati ſumus, qui quidem Deum eſſe malorum effectorem exiſtimant, inſtar Marcionis & reliquarū hæreſium. Quamobrem ſi hoc placuerit, oportet plures convenire Epiſcopos, & ſic canonē exponere, ut & is qui fecit ſit extra periculū,

A διὰ ταῦτα κἀκείνου συγγινώσκει καὶ τὴν κατὰ δεύτερον γάμον αὐτῷ συνοικήσασαν, οὐ κατακρίνει. ἐν δὲ τῷ παρόντι κανόνι περὶ καταλιπούσης τὸν ἄνδρα διὰ λύπην τινὰ λέγει, διὸ καὶ τὸ πρὸς καιρὸν προσέθετο. εἰ μὲν οὖν ᾔδει ἡ κατὰ δεύτερον γάμον αὐτῷ συνοικήσασα, τὴν πρόσκαιρον ἀπόστασιν ἐκ τοῦ οἰκείου ἀνδρὸς, καὶ οὕτως συνῴκησε τῷ καταλειφθέντι ἀνδρὶ, μοιχαλίς ἐστιν, ὅτι ἀλλότριον ἄνδρα ἐσφετερίσατο, ὡς τὸ τέλος τοῦ ἐννάτου περιέχει κανόνος. εἰ δὲ ἠγνόει τοῦτο· ἴσως γὰρ ἐξ ἀλλοδαπῆς ἦν χώρας, καὶ ἠγνοεῖτο τὸ κατ᾽ αὐτὸν, μετὰ δέ τινα καιρὸν ἐπανῆλθε πρὸς τὸν ἄνδρα ἡ καταλιποῦσα αὐτόν· καὶ διὰ τοῦτο ὁ πρὸς τὴν δευτέραν γυναῖκα ἐλύθη γά- B μος, πορνεῦσαι λέγει τὴν γυναῖκα ταύτην ὁ ἅγιος, πλὴν ἐν ἀγνοίᾳ· πορνεῦσαι δὲ ταύτην λέγει, ὡς μὴ λυθέντος τοῦ προτέρου γάμου· τοῦ πρώτου δὲ μὴ λυθέντος πῶς ἂν ἡ πρὸς τὴν δευτέραν γυναῖκα συνοίκησις δεύτερος δόξῃ γάμος. εἰ δὲ γάμος οὐκ ἔστι, πάντως ἔσται πορνεία. καὶ ὁ μὲν ἀνὴρ πόρνος κυρίως λογισθήσεται, ἡ δὲ γυνὴ πορνεῦσαι μὲν λέγεται πλὴν ἐν ἀγνοίᾳ. οὐ γὰρ πορνείαν ἁμαρτῆσαι σκοπὸν ἔσχεν, ἀλλὰ γάμον συστήσασθαι ἔννομον. τὸ δὲ πρᾶγμα περιέστη εἰς τὸ μὴ λογίζεσθαι γάμον, διὰ τὸ ἔτι μένειν τὸν πρῶτον γάμον· τῆς δὲ πρὸς τὰς δύο συναφείας μὴ λογιζομένης γάμου. τί δ᾽ ἂν λέγοιτο ἡ συνάφεια ἢ πορνεία, πλὴν ἐν ἀγνοίᾳ γι- C νομένη; διὸ καὶ ἐπήγαγεν ὁ κανών· γάμου οὖν οὐκ εἰρχθήσεται. οὐ γὰρ ὡς παρ᾽ ἀνδρὸς ἀφεθεῖσα λογίζεται. ἐπεὶ εἰ τοῦτο ἦν καὶ ἑτέρῳ ἐμίχθη, μοιχαλὶς ἐκρίνετο ἂν, κατὰ τὸν ἔννατον κανόνα. ὅτι οὐδὲ κυρίως γάμος πρὸς τὴν δευτέραν γυναῖκα συμβίωσις δοκεῖ, διὰ τοῦτο γάμου οὐκ εἴργεται ἡ γυνή. ὡς δὲ ἁπλῶς γυνὴ ὀνομασθεῖσα ἀνδρὸς, εἰ μὴ ἑτέρῳ συναφθείη ἔτι ζῶντος ἐκείνου, κρεῖσσον ἂν ποιήσῃ, φησὶν ὁ ἅγιος. οὐ γὰρ εὔσχημον ζῶντος τοῦ ἀνδρὸς τὴν ὀνομασθεῖσαν ἐκείνῳ γυναῖκα ἑτέρῳ συμβιοῦν. λέγει γὰρ καὶ ὁ νόμος τῆς πολιτείας, ὅτι ἐν τοῖς γάμοις οὐ τὸ ἐπιτετραμμένον, ἀλλὰ τὸ εὐπρεπὲς σκοποῦμεν.

D

ΑΡΙΣΤ. Εγήματό τις ἀνδρὶ κατ᾽ ἄγνοιαν ἀφεμένῳ, εἶτα ἡ προτέρα ἀνέφηνεν, ἡ δ᾽ ἀφεθεῖσα πόρνη λογίζεται κατ᾽ ἄγνοιαν, καὶ εἰ θέλει, ζεύγνυται, κάλλιον, εἰ μὴ ζεύγνυται.

Κατελείφθη ἀνὴρ παρὰ τῆς ἰδίας γυναικὸς πρὸς καιρόν· ὁ δὲ, ὡς ἀπολυθεὶς ὑπ᾽ ἐκείνης, ἑτέραν ἔλαβεν, ἀγνοοῦσαν τὸ πρὸς καιρὸν καταλειφθῆναι αὐτόν. ἐπανῆλθε πρὸς αὐτὸν ἡ προτέρα, καὶ παραδεξάμενος ταύτην, τὴν δευτέραν ἀφῆκεν· ὡς πόρνη κρίνεται αὐτὴ ἡ ἀφεθεῖσα, πλὴν κατ᾽ ἄγνοιαν· καὶ διὰ τοῦτο εἰ βουληθῇ γάμου κοινωνίᾳ E συναφθῆναι ἑτέρῳ, οὐ κωλυθήσεται· οὐ γὰρ ἀπολελυμένη λογίζεται· ὅτι μηδὲ ἀνὴρ αὐτῆς κυρίως ἐγένετο ὁ ταύτην ἀφέμενος· ἐὰν δὲ θελήσῃ μεῖναι ἐν ἀγαμίᾳ, καὶ μὴ ἐπ᾽ ἄλλον ἐλθεῖν γάμον, κάλλιον τοῦτο.

ΚΑΝΩΝ μζ'.

ΒΑΛΣ. Εγκρατῖται καὶ Σακκοφόροι, καὶ Αποτακτῖται τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ᾧ καὶ Ναυατιανοὶ, ὅτι περὶ μὲν ἐκείνων κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος, τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται· ἡμεῖς μέντοι ἑνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους. εἰ δὲ παρ᾽ ἡμῖν ἀπηγόρευται τοῦτο, τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ρωμαίοις, οἰκονομίας τινὸς ἕνεκα, ἀλλ᾽ ὁ F ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι ἐπεὶ δὴ ὥσπερ Μαρκιωνιστῶν ἐστὶν αὐτοβλάστημα ἡ κατ᾽ αὐτοὺς αἵρεσις βδελυσσομένων τὸν γάμον καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα οὖν αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. μὴ γὰρ λεγέτωσαν, ὅτι εἰς πατέρα καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα ἐβαπτίσθημεν, οἵ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν θεὸν ἐφαμίλλως τῷ Μαρκίωνι, καὶ ταῖς λοιπαῖς αἱρέσεσιν. ὥστε ἐὰν ἀρέσῃ τοῦτο δεῖ πλείονας Επισκόπους ἐν ταυτῷ γενέσθαι, καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον

ᾖ, καὶ ὁ ἀποκρινόμενος τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τούτων ἀποκρίσει. A

ΒΑΛΣ. Τίνες εἰσὶν οἱ Ἐγκρατῖται, οἱ Σακκοφόροι, οἱ Ἀποτακτῖται, οἱ Ναυατιανοὶ, καὶ οἱ Μαρκιωνισταὶ, καὶ ποῖα τὰ εἴδη τῶν αἱρέσεων αὐτῶν, εἴρηται ἐν διαφόροις κανόσιν. ὁ δὲ παρὼν κανὼν ἑρμηνείας οὐ δέεται, διότι οὐδὲ ὡς ὅρος ἐγράφη παρὰ τοῦ ἁγίου, ἀλλ' ὡς γνωμάτευμα. τὴν γὰρ θεσμοθεσίαν εἰς συνοδικὸν διορισμὸν ἀπέλυσεν. σὺ δὲ ἀνάγνωθι τὸν ζ΄. κανόνα τῆς δευτέρας συνόδου, καὶ μάθῃς τίνες ἀπὸ τῶν αἱρετικῶν μετὰ τὸ δεχθῆναι βαπτίζονται, καὶ τίνες οὐ βαπτίζονται.

B

ΖΩΝΑΡ. Ἐνταῦθα ὁ ἅγιος, τοὺς Ναυατιανοὺς βαπτίζεσθαι διορίζεται, μετὰ τῶν ἄλλων προσερχομένους τῇ ἐκκλησίᾳ, τοὺς ὡς τάχα φρονοῦντας τὰ τοῦ Μαρκίωνος· ὁ δὲ τῆς δευτέρας συνόδου ἕβδομος κανὼν ἀπαριθμῶν τοὺς χρίσματι μόνῳ ὀφείλοντας δέχεσθαι, καὶ τοὺς Ναυατιανοὺς ἐκείνοις συναριθμεῖ. πάντως δ' ἐπικρατέστερος ὁ κανὼν ἔσται ἐκεῖνος, οἷα μεταγενέστερος, καὶ συνοδικός· καὶ ὅτι οὐδὲ ὁ μέγας Βασίλειος, ὡς κανόνα τοῦτον ἐξεφώνησεν, ἀλλὰ τὴν οἰκείαν γνώμην πρὸς ἐρώτησιν ἐδήλωσεν· εἶτα ἐπήγαγεν ὥσπερ καὶ αὐτὸς μὴ βεβαίως πρὸς τὸ ἐρωτηθὲν διακείμενος, τὸ ὥστε ἐὰν ἀρέσῃ τοῦτο δεῖ πλείονας Ἐπισκόπους ἐν ταὐτῷ γενέσθαι, καὶ C οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα διὰ τοῦ κανόνος ὑπὸ πλειόνων Ἐπισκόπων ἐκτεθέντος, καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ· καὶ ταὐτὸν δηλαδὴ καὶ βαπτίσαντι τοὺς εἰρημένους μὴ ᾖ κίνδυνος, ὡς παρὰ κανόνας ποιήσαντι, καὶ ὁ ἀποκρινόμενος τοῖς περὶ τοιούτων ἐρωτῶσι, τὸ ἀξιόπιστον ἔχει ἐκ τοῦ κανόνος. τὰ δὲ περὶ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν καὶ Ἐγκρατιτῶν, προεγράφησαν ἐν τῇ τοῦ κανόνος ἐξηγήσει.

ΑΡΙΣΤ. Ἐγκρατίτας, καὶ Σακκοφόρους, καὶ Ἀποτακτίτας, ἀναβαπτίσεις. εἰ γὰρ καὶ λέγοιεν, ὅτι εἰς πατέρα καὶ υἱὸν D καὶ ἅγιον πνεῦμα ἐβαπτίσθησαν, ἀλλ' ἐπεὶ κακῶν ποιητὴν τὸν θεὸν βλασφημοῦσι κατὰ Μαρκίωνα, μὴ ἀναβαπτιζόμενοι, ἄδεκτοι.

Ἐν μὲν τῷ πρώτῳ αὐτοῦ κανόνι ὁ μέγας οὗτος τῆς ἐκκλησίας φωστὴρ τὸ τῶν Ἐγκρατιτῶν, καὶ Ναυατιανῶν, ἤτοι καθαρῶν βάπτισμα κατὰ λόγον οἰκονομίας ἐδέξατο, καὶ προσέταξε μόνῳ τῷ ἁγίῳ μύρῳ τούτους χρίεσθαι, προσερχομένους τῇ καθολικῇ πίστει, καὶ τὰς αἱρέσεις αὐτῶν ἀναθεματίζοντας. ἐνταῦθα δὲ ἐπιδιορθούμενος τὸ κατ' οἰκονομίαν ἐκεῖσε δεχθὲν, ὁρίζει τοὺς Ἐγκρατίτας, καὶ τοὺς λοιποὺς, ἀναβαπτίζεσθαι, E διὰ τὸ τὴν αἵρεσιν αὐτῶν ἀποβλάστημα εἶναι τῶν Μαρκιωνιστῶν, βδελυσσομένων καὶ αὐτῶν, ὡς ἐκείνων, τὸν γάμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ θεοῦ μεμιασμένην εἶναι λεγόντων. Πλὴν ὁ ἕβδομος κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ὁ ἕβδομος τῆς ἐν Κωνσταντινουπόλει, καὶ ὁ ἐννενηκοστὸς πέμπτος τῆς ἐν τῷ Τρούλλῳ ἕκτης συνόδου, τῶν Ναυατιανῶν, καὶ καθαρῶν, καὶ τεσσαρεσκαιδεκατιτῶν τὸ βάπτισμα δέχεται, προσερχομένων τῇ ἐκκλησίᾳ, καὶ ἀναθεματιζόντων πᾶσαν αἵρεσιν, καὶ τὴν ἑαυτῶν. χρίονται δὲ μόνῳ τῷ ἁγίῳ μύρῳ μέτωπα, ὀφθαλμοὺς, ῥῖνας, στόμα, καὶ ὦτα.

F

ΚΑΝΩΝ μη΄.

Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην, μένειν ὀφείλει. εἰ γὰρ ὁ κύριος εἶπεν, ὅτι ἐάν τις καταλείπῃ γυναῖκα ἐκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι, ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας. πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι, ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀναίτιος εἶναι, ἡ μοιχαλὶς παρὰ κυρίου διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν προσαγορευθεῖσα;

A *& qui reſpondet, in reſponſione de his fide dignus habeatur.*

BALS. Quinam ſint Eneratitæ, Saccophori, Apotactitæ, Novatiani, & Marcioniſtæ, & quænam ſint hæc hæreſium genera, in diverſis canonibus dictum eſt. Præſens autem canon non eget interpretatione, quia nec ut decretum à ſancto ſcriptum eſt, ſed ut ſententiæ ipſius explicatio. Legitimam enim conſtitutionem ad ſynodalem definitionem remiſit. Tu autem lege vij. can. ii. ſyn. & diſce quinam ex hæreticis baptizantur, poſtquam recepti fuerint, & qui non.

B

ZONAR. Hoc loco, vir ſanctus, Novatianos quoque cum aliis, quandocunque ſe Eccleſiæ ſiſtant, baptizandos eſſe decernit, quippe qui forte Marcionis placitis adhæreſcant. Septimus autem canon ſecundæ Synodi, dum eos qui cum ſolo chriſmate admittendi ſunt, numerat, cum iis Novatianos quoque percenſet. Omnino vero canonis illius definitioni ſtare oportet, quippe qui & poſterior eſt, & à ſynodo editus: Et quia ne magnus quidem Baſilius, hunc veluti canonem pronuntiavit, ſed ſuam ſententiam, rogatus, aperuit: deinde ſubdit, quemadmodum & ipſe, in propoſita quæſtione, C haud plane exploratum habeat quid ſentiat, illis verbis, Quamobrem ſi hoc placuerit, oportet plures ſimul eſſe Epiſcopos, & ſic canonem exponere, ut & is qui fecit ſit extra periculum canone à pluribus Epiſcopis explicato; ac eodem modo videlicet, memoratos homines baptizanti nullum adſit periculum, quaſi adverſus canones fecerit, & qui de ejuſmodi interrogantibus reſpondet, fide dignus, ob conſtitutum canonem, exiſtimetur. Quæ porro ad Marcioniſtarum, & Encratitarum hæreſes pertinent, ſupra in canonis explicatione, deſcripta ſunt.

ARIST. *Encratitas, & Saccophoros, & Apotactitas denuò baptiſabis.* D *Quamvis enim aſſerant, quod in Patrem, & Filium, & Spiritum ſanctum baptiſati ſunt, quandoquidem tamen Deum malorum auctorem impiè affirmant, juxta Marcionem, niſi denuò baptizentur, non ſunt recipiendi.*

In primo quidem ipſius canone, magnum hoc Eccleſiæ luminare, Encratitarum & Novatianorum, ſive Catharorum baptiſma juxta œconomiæ rationem admiſit, & juſſit, eos ſolo chriſmate ſancto ungi, cum ad catholicam accedunt fidem & hæreſes ſuas anathematizant. Hic autem corrigens quod ibi propter œ- E conomiam admiſſum fuit, ſtatuit Encratitas, & reliquos iterum baptizari, quia iſtorum hæreſis eſt Marcioniſtarum germen, & his non minus quam iſtis nuptias deteſtantibus, & vinum faſtidio damnantibus, & Dei creaturam contaminatam eſſe dicentibus. Sed ſeptimus ſynodi Laodicenæ canon, & ſeptimus Conſtantinopolitanæ, & nonageſimus quintus ſextæ in Trullo Synodi, & Novatianorum, & Catharorum, & Quartadecimanorum baptiſma recipit, ſi ad Eccleſiam adveniunt, & omnem hæreſin etiam ſuam anathematizant. Solo autem ſancto unguntur chriſmate frontes, oculos, naſos, os, & aures.

F

CANON XLVIII.

Quæ à marito dimiſſa eſt, mea quidem ſententia manere debet. Si enim dominus dixit, Si quis reliquit uxorem præterquam ratione fornicationis, facit eam adulterari, ex eo quod eam adulteram nominet, excluſit eam à ſocietate cum alio. Quomodo enim poteſt vir quidem eſſe reus, ut auctor adulterii, mulier autem nulli eſſe culpæ affinis quæ adultera appellata eſt propter conſuetudinem cum alio viro?

Balſ. Vt eſt veriſimile, ſanctus interrogatus eſt, an debet maritò legitimè conjungi quæ præter rationem á proprio marito ſeparata eſt. Dixit itaque quòd quia dominus eam eſſe adulteram pronunciavit quæ extra fornicationem à ſuo marito dimiſſa eſt, ſi alii omnino conjuncta fuerit, debet ea mulier quieſcere, & alii non conjungi. Suum itaque dictum confirmans adjicit, quòd & ſi ea dimiſſionis cauſam non dederit, ſed maritus, ipſa tamen ſi injuſtum divortium non toleranter tulerit & ad ſuum conjugem redierit, ſed alii conjuncta fuerit, ut adultera condemnabitur: Ejus autem maritum dicit eſſe reum vt qui fuerit auctor adulterii. Et in his quidem conſiſtit canon. Tu autem lege octuageſimum octavum canonem & nonageſimum tertium Synodi in Trullo, & quæ in his à nobis ſcripta ſunt de iis quæ ſuos maritos reliquerunt & contra. Interrogaverit autem quiſpiam, cui pœnæ eſt obnoxius maritus mulieris, quæ injuſtè dimiſſa eſt, & cum alia vitæ ſocietatem init? **Sol.** Quidam dixerunt eum eſſe reum adulterii: ſed mihi non ita videtur. Quoniam enim in mulieris voluntate ſitum eſt ut ipſa alii jungatur, & ſic adulteretur, & toleranter pati, & non fieri adulterium, quomodo maritus, qui non eſt adulteratus, ut adulter punietur? Exiſtimo ergo quòd ut adulter quidem non punietur, agetur autem in eum, ut qui præter rationem divortii libellum emiſerit, ut vult decimum quartum caput triceſimæ quartæ Iuſtiniani novellæ ſeu quartum caput ſeptimi tituli viceſimi octavi libri quod ſic habet. Quia autem nonnulli ſtudent noſtram legem tranſgredi in qua ſpecialiter cauſas enumeravimus, ex quibus ſolis poteſt emitti divortium, vel à viro, vel à muliere, jubemus præter illas cauſas nullo modo fieri divortium, vel factum confirmari, vel ex conſenſu matrimonium diſſolvere, & peccata aliis condonare. Sin autem præter cauſas à nobis definitas auſi fuerint aliqui diſſolvere matrimonium, jubemus, ſi quidem deſcendentes habeant, ſive ex ipſo, ſive ex alio matrimonio, dare illis eorum ſubſtantias, ſecundum legum ordinem, virumque & mulierem intrudi in monaſterium toto vitæ ſuæ tempore, & ex uniuſcujuſque facultatibus circiter quatuor uncias monaſteriis in quæ immittuntur ſeparari: marito ſcilicet ne uſum quidem habente ejus partis, quæ datur liberis. Sin autem deſcendentes non habeant, ſed aſcendentes inveniantur, ipſi tertiam partem facultatum accipiant, præterquam ſi impiæ matrimonii ſolutioni conſenſerint. Duæ autem partes monaſteriis in quæ unuſquiſque injicitur, ſeparentur. Sin autem nec deſcendentes, nec aſcendentes fuerint, vel ſi etiam aſcendentes ei quod factum eſt conſenſerint, jubemus omnes facultates dari monaſteriis in quæ conjecti ſunt, ne propter hanc inventionem, Dei quoque judicium contemnatur, & lex noſtra tranſiliatur. Sed & eos, qui ejuſmodi nefarios contractus componunt, corporalibus pœnis ſubjici jubemus, & mitti in exilium. Si autem ij qui matrimonium ſolvere conati ſunt, rurſus velint ſeipſos matrimonio conjungere, priuſquam in monaſteria injiciantur, damus eis hoc agendi facultatem & prædictas illis pœnas condonamus, & ut facultates ſuas habeant ipſis concedimus, & ut ita inter ſe vivant, perinde ac ſi nihil inter ſe hujuſmodi peccaſſent: ſi una autem perſona velit revocare matrimonium, ſi altera perſona non conſenſerit, adverſus eum qui non vult, pœnæ ſerventur. Hæc autem omnia ſervari jubemus, & in hac urbe regia, & in provinciis, & per comitem privatorum, & ſcholam Palatinorum, & per præſides provinciarum, & eorum ordines, ipſis ſcientibus, quòd ſi peccato hujuſmodi commiſſo ſe ſegniter geſſerint, & non hæc omnia ſervaverint, & exterminationem, & publicationem ſubibunt. Hæc autem ipſa ſervare jubemus loci quoque ſanctiſſimos

ΒΑΛΣ. Ὡς ἔοικεν, ἐρωτηθεὶς ὁ ἅγιος, εἰ ὀφείλει νο-
A μίμῳ ἀνδρὶ συνάπτεσθαι ἡ παραλόγως διαζυγεῖσα παρὰ τοῦ
οἰκείου ἀνδρὸς, εἶπεν ἐπεὶ ὁ κύριος ἀπεφήνατο μοιχαλίδα
εἶναι τὴν καταλειφθεῖσαν παρεκτὸς πορνείας ὑπὸ τοῦ οἰκείου
ἀνδρὸς, πάντως ἐὰν ἑτέρῳ συζευχθῇ, ὀφείλει ἡ τοιαύτη γυνὴ
ἡσυχάζειν καὶ ἑτέρῳ μὴ συναφθῆναι. κατασκευάζων δὲ τὸν οἰ-
κεῖον λόγον προστίθησιν, ὅτι κἂν οὐ δέδωκεν αὐτὸ τὴν αἰτίαν
τῆς ἐγκαταλείψεως, ἀλλ' ὁ ἀνὴρ, ὅμως καὶ αὐτὴ εἰ μὴ καρτε-
ρήσει τὴν παράλογον διάζευξιν, καὶ ἀνακαλέσεται τὸν οἰκεῖον
ὁμόζυγον, ἀλλ' ἑτέρῳ συναφθῇ, ὡς μοιχαλὶς κατακριθήσεται,
τὸν ἄνδρα δὲ ταύτης ὑπόδικον εἶναι φησὶ, ὡς γενόμενον αἴτιον
B τῆς μοιχείας. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ ἀνάγνωθι τὸν
πη'. κανόνα, καὶ τὸν ϟγ'. τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ
τὰ παρ' ἡμῶν ἐν τούτοις γραφέντα περὶ τῶν καταλιπουσῶν
τοὺς οἰκείους ἄνδρας, καὶ τὸ ἐναντίον. ἐρωτήσει δέ τις ποίᾳ εὐ-
θύνῃ ὑπόκειται ὁ ἀνὴρ τῆς καταλειφθείσης γυναικὸς ἀνευλό-
γως, καὶ ἑτέρῳ συμβιωσάσης; Λύσις. τινὲς εἶπον τῷ περὶ μοι-
χείας ἐγκλήματι εἶναι τοῦτον ὑπόδικον· ἐμοὶ δὲ οὐ δοκεῖ.
ἐπεὶ γὰρ παρὰ τῷ θελήματι τῆς γυναικὸς πρόκειται τὸ συζυ-
γῆναι αὐτὴν ἑτέρῳ, καὶ οὕτω μοιχευθῆναι, καὶ τὸ καρτερῆ-
σαι, καὶ μὴ γενέσθαι μοιχείαν, πῶς ὁ ἀνὴρ μὴ μοιχεύ-
σας, ὡς μοιχὸς κολασθήσεται, οἶμαι οὖν ὅτι ὡς μὲν μοι-
C χὸς οὐ κολασθήσεται, γενήσεται δὲ ἐπ' αὐτῷ ὡς ἀνευλόγως
πέμψαντι διαζύγιον, κατὰ τὸ ιγ'. κεφ. τῆς λδ'. Ιουστινια-
νείου νεαρᾶς, ἤτοι τὸ δ'. κεφ. τοῦ ζ'. τίτλου τοῦ κη'. βιβλίου
ἔχον οὕτως· ἐπεὶ δή τινες τὸν ἡμέτερον παραβαίνειν σπουδά-
ζουσι νόμον, ἐν τῷ ἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα ἐξ
ὧν μόνων διαζύγιον δύναται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς, ἢ
ἐκ τῆς γυναικὸς, κελεύομεν παρ' ἐκείνας τὰς αἰτίας μηδενὶ
τρόπῳ διαζύγια γίνεσθαι, ἢ ἐρρῶσθαι τὰ γινόμενα, ἢ κατὰ
συναίνεσιν τοὺς γάμους διαλύειν, καὶ συγχωρεῖν ἀλλήλοις
τὰ ἁμαρτήματα. εἰ δὲ παρὰ τὰς ἀφ' ἡμῶν διωρισμένας αἰτίας
τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν
D κατιόντας ἔχοιεν εἴτε ἐξ αὐτοῦ, εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐ-
σίας αὐτῶν ἐκείνοις δίδοσθαι, κατὰ τὴν τῶν νόμων τάξιν, καὶ
τόν τε ἄνδρα, καὶ τὴν γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι
ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον. καὶ ἐκ τῆς ἑκάστης
περιουσίας ἀνὰ τεσσάρας οὐγγίας τοῖς μοναστηρίοις ἐν οἷς ἐμ-
βάλλονται, ἀφορίζεσθαι· τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν
ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ
ἔχοιεν, ἀλλὰ ἀνιόντες εὑρίσκονται τὸ τρίτον μέρος τῆς οὐσίας
λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου
συνῄνεσαν. τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις, ἐν οἷς ἕκαστος
ἐμβάλλεται, ἀφορίζεσθαι. εἰ δὲ μήτε κατιόντες μήτε ἀνιόν-
τες εἶεν, ἢ καὶ εἰ οἱ ἀνιόντες συνῄνεσαν τῷ γεγονότι, κελεύο-
E μεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις, ἐν οἷς ἐνεβλήθη-
σαν δίδοσθαι, ἵνα μὴ διὰ ταύτης περινοίας, καὶ τὸ τοῦ Θεοῦ
κρίμα καταφρονηθείη, καὶ ὁ ἡμέτερος νόμος παραβαθῇ. ἀλλὰ
καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τῶν γάμων, ἢ
τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας ταῖς εἰς σῶ-
μα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν, καὶ εἰς ἐξορίαν πέμ-
πεσθαι. εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθῶσι
πάλιν ἑαυτοὺς συζευγνῦναι, πρὶν ἐμβληθῶσι μοναστηρίοις,
ἄδειαν αὐτοῖς δίδομεν τοῦτο ποιεῖν, καὶ τὰς προειρημένας ποι-
νὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας περιουσίας ἔχειν.
καὶ οὕτω πρὸς ἀλλήλους ζῆν, ἕως ἂν εἰ μηδὲν τοιοῦτον
F ἡμαρτημένον ἐτύγχανε, τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον
ἀνακαλέσασθαι, εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κα-
τὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. ταῦτα δὲ πάντα
φυλάττεσθαι κελεύομεν, ἔν τε τῇ βασιλίδι ταύτῃ πόλει, καὶ
ἐν ταῖς ἐπαρχίαις, διά τε τοῦ κόμητος τῶν πριβάτων, καὶ τῆς τῶν
Παλατίνων σχολῆς; καὶ τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων, καὶ τῶν
τάξεων αὐτῶν, εἰδότων αὐτῶν, ὡσεὶ ῥαθυμήσουσι τοιού-
του τινὸς ἁμαρτανομένου, καὶ μὴ πάντα ταῦτα παραφυλά-
ξουσι, καὶ ἐξορίαν καὶ δήμευσιν ὑποστήσονται. ταῦτα δὲ αὐτὰ
κελεύομεν παραφυλάττειν, καὶ τοὺς κατὰ τόπον ὁσιωτάτους

Ἐπισκόπους ὥστε προνοίᾳ αὐτῶν τὰ παραδιδόμενα πρόσωπα ἐν μοναστηρίοις ἐμβάλλεσθαι, καὶ ἐκ τῶν πραγμάτων αὐτῶν τὰ παρ' ἡμῶν διορισθέντα τοῖς μοναστηρίοις παρέχεσθαι.

ΖΩΝΑΡ. Τὴν παρὰ τοῦ ἀνδρὸς ἀπολυθεῖσαν γυναῖκα ἀπαιτεῖσθαι λέγει ἄζυγα μένειν, ἢ ἑτέρῳ συνοικοῦσαν, μοιχαλίδα λογίζεσθαι· καὶ τὴν τοῦ κυρίου ἀπόφασιν παράγει, εἰπόντος· ὁ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι· ὥστε, φησὶν, ἐκ τοῦ μοιχαλίδα αὐτὴν παρὰ τοῦ κυρίου ὀνομασθῆναι, κεκώλυται αὐτῇ ἡ πρὸς ἕτερον ἄνδρα συμβίωσις. ἐπεὶ γὰρ ὁ ἀνὴρ ὑπεύθυνός ἐστιν, ὡς ποιῶν αὐτὴν μοιχᾶσθαι, πάντως καὶ ἡ γυνὴ ὡς μοιχευομένη κατακριθήσεται, ὅτι καὶ μοιχαλὶς παρὰ τοῦ κυρίου ὠνόμασται.

ΑΡΙΣΤ. Ἡ παρ' ἀνδρὸς ἀφεθεῖσα, μενέτω οὕτως. εἰ γὰρ μοιχᾶται, κατὰ τὸν τοῦ κυρίου λόγον, τῆς πρὸς ἕτερον κλείεται κοινωνίας.

Εἰ τὴν ἀπολελυμένην γαμήσας μοιχᾶται, μᾶλλόν ἐστι ἡ γυνὴ μοιχαλὶς, ἡ καὶ τὸν ἄνδρα, διὰ τῆς πρὸς αὐτὴν κοινωνίας, μοιχὸν καθιστῶσα. καὶ διὰ τοῦτο μένειν ὀφείλει, ἡ παρὰ τοῦ ἀνδρὸς ἀφεθεῖσα, ἐν ἀγαμίᾳ.

ΚΑΝΩΝ μθʹ.

Αἱ πρὸς ἀνάγκην γινόμεναι φθοραὶ ἀνεύθυνοι ἔστωσαν. ὥστε καὶ ἡ δούλη, εἰ ἐβιάσθη παρὰ τοῦ ἰδίου δεσπότου, ἀνεύθυνός ἐστιν.

ΒΑΛΣ. Ἡ παροῦσα ἀπόκρισις ἐξεφωνήθη χάριν δούλης τινὸς κατὰ βίαν ὑπὸ τοῦ ἰδίου δεσπότου πορνευθείσης. φησὶ γὰρ ὡς ἐπεὶ καὶ ἄλλαι πᾶσαι φθοραὶ αἱ κατὰ ἀνάγκην καὶ βίαν γινόμεναι, παρὰ τῶν πολεμίων δηλαδὴ πρὸς τὰς αἰχμαλωτισθείσας, καὶ παρὰ ἀρχοντικῶν προσώπων πρὸς τὰς ἐπ' αὐτῶν ἀρχομένας, ἐξ ἀνάγκης καὶ ἡ δούλη ἡ κατὰ βίας συμφθαρεῖσα τῷ ἰδίῳ δεσπότῃ, οὐχ ὑποπεσεῖται τοῖς τῶν πορνευόντων ἐπιτιμίοις. ἀνάγνωθι κανόνα πρῶτον τοῦ ἁγίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ λόγου αὐτοῦ τοῦ εἰς τὸ πάσχα. ταῦτα δὲ, ὡς ἐμοὶ δοκεῖ, κρατήσουσιν ὅσον εἰς τὸ μὴ ἐπιτιμηθῆναι διὰ τὴν φθορὰν τῆς πορνείας τὰς φθαρείσας. ἐπεὶ τοίγε ἂν κατὰ βίαν ἢ ἄγνοιαν ἐμπέσῃ τις εἰς πρᾶγμα κωλῦον αὐτὸν ἀπὸ διακονίας ἱερατικῆς, οὐκ ὀφεληθήσεται εἰς τὸ εἶναι καὶ ἐφεξῆς μετὰ τῶν ἱερωμένων, διὰ τὸ μὴ κατὰ γνώμην οἰκείαν ἐμπεσεῖν εἰς τὸ κακὸν, ἀλλὰ καθαιρεθήσεται. καὶ ἀνάγνωθι τὸν πρῶτον κανόνα τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὸν κζʹ. κανόνα τοῦ παρόντος ἁγίου πατέρος. διὰ γὰρ τοῦτο, ὡς οἴομαι, οὐδὲ οἱ κατὰ αὐθεντίαν βασιλικὴν ἀποκειρόμενοι, δύνανται μετασχηματίζεσθαι προβαλλόμενοι τὸν παρόντα κανόνα τοῦ ἁγίου Βασιλείου, ἀλλ' ἔσονται ἐξ ἀνάγκης μοναχοὶ, κἂν κατὰ βίαν ἀπεκάρησαν· ὥσπερ καὶ ἡ κατὰ βίαν φθαρεῖσα, ἐὰν ἦν διακόνισσα, ἐπιτιμίῳ μὲν οὐχ ὑποπεσεῖται, διακονικὸν δέ τι οὐκ ἐνεργήσει, διὰ τὸ παραχωρήσει θεοῦ ἐμπεσεῖν εἰς κακὸν, ἀφαιρούμενον ἐξ αὐτῆς τὴν διακονίσσης ἀξίαν.

ΖΩΝΑΡ. Τὰς βιαίως γινομένας φθορὰς γυναιξὶν, οὐκ εἰς ἁμαρτίαν χρὴ λογίζεσθαι. εἰ γὰρ δούλην τις οἰκείαν βιάσηται, ἡ δὲ ἄκουσα τῷ τοῦ δεσπότου ὑποκύψῃ θελήματι, οὐκ ἐπιτιμηθήσεται ὡς πορνεύουσα. οὔτε εἴ τις ἡρπάγη παρά τινος ἀκουσίως καὶ ἐφθάρη, καὶ ὅσαι ὁμοιοτρόπως ἐφθάρησαν.

ΑΡΙΣΤ. Φθορὰ κατηναγκασμένη, ἀνεύθυνος· καὶ δούλη βιαζομένη παρὰ δεσπότου, ἀνεύθυνος.

Ἡ βιασθεῖσα παρὰ τοῦ ἰδίου δεσπότου, δούλη ἀνεπιτίμητος.

A Epiſcopos, ut eorum providentia, perſonæ quæ traditæ ſunt, in monaſteria conjiciantur, & ex rebus ipſis ea quæ à nobis definita ſunt, monaſteriis præbeantur.

Zonar. Quæ à viro dimiſſa eſt mulier, cœlibem vitam agere oportere affirmat, aut ſi alteri ſe viro adjunxerit, adulteram judicari: profertque Domini ſententiam, dicentis, Qui dimiſit uxorem ſuam, excepta fornicationis cauſa, facit eam adulterari, ut proinde, inquit, ex quo adultera ipſa à Domino nominata eſt, vetita illi ſit, cum alio viro matrimonii ſocietas. Cum enim vir culpæ obno- B xius ſit, quaſi adulterandi cauſam ipſi præbeat, uxor quoque plane velut adultera condemnabitur, quandoquidem adultera Domini quoque voce appellata fuit.

Arist. *Quæ à viro dimittitur, ſic maneat. Si enim mœchatur, juxta Domini dictum, alius communione excluditur.*

Si qui dimiſſam duxit, adulteratur, multo magis mulier eſt adultera, quæ etiam virum per communionem cum ipſa adulterum reddit. Et ideo quæ à viro ſuo dimiſſa eſt extra matrimonium manere debet.

C

Canon XLIX.

Stupra quæ per vim inferuntur, non ſint accuſationi obnoxia. Quare etſi ancillæ vis allata fuerit à proprio domino, ea à culpa eſt libera.

Bals. Præſens edita eſt reſponſio ob ancillam quandam, quæ à domino ſuo vim paſſa eſt. Dicit enim, quòd quoniam & alia omnia ſtupra, quæ neceſſitate & vi perpetrantur, ab hoſtibus ſcilicet in ca- D ptivas, & à perſonis quæ regunt, in eas perſonas quibus præſunt, neceſſariò quoque ancilla, quæ vi cum ſuo domino rem habuit, non incidet in pœnas fornicatorum. Lege canonem primum ſancti Dionyſii Archiepiſcopi Alexandrini ex ejus ſermone in Paſcha. Hæc autem, ut mihi videtur, obtinebunt, quantum ad hoc, ut quæ ſtupratæ fuerunt, propter ſtuprum fornicationis ſupplicio afficiantur. Nam ſi per vim vel ignorantiam aliquis in rem inciderit, quæ eum à ſacerdotali miniſterio arceat, non adjuvabitur ex eo, quòd non propria voluntate in hoc malum inciderit, ut ſit deinceps cum ſacratis; ſed deponetur. Et lege primum canonem ſynodi Ancyranæ, & xxvii. can. præſentis ſancti E patris. Propterea enim, ut exiſtimo, nec qui imperatoria auctoritate tondentur, poſſunt transformari, habitúmve mutare ſancti Baſilii præſentem canonem producentes; ſed erunt neceſſariò monachi, etiamſi vi tonſi fuere: quemadmodum & quæ vi ſtuprata eſt, ſi erat Diaconiſſa, in pœnam quidem non incidet, ſed nihil amplius Diaconicum exercebit, quòd ea Dei permiſſu in malum inciderit, quod ei aufert Diaconicam auctoritatem.

F Zonar. Stupra quæ per vim mulieribus inferuntur, criminis loco duci non oportet. Si etenim quis ancillam ſuam violaverit, ea vero invita, Domino voluntati ſuccubuerit, nequaquam ut fornicaria mulctabitur: Neque ſi quæ ab aliquo præter voluntatem rapta eſt, & corrupta, & quæcunque ſimili modo vitiatæ fuerunt.

Arist. *Corruptio per vim admiſſa, culpa vacat. Et ancilla à domino coacta, inſons eſt.*

Si ancillæ vis à domino ſuo allata ſit, reprehenſioni non eſt obnoxia.

A

Canon L.

Trigamiæ lex non eſt, quare lege tertium matrimonium non approbatur. Veruntamen ea ut eccleſiæ inquinamenta videmus: ſed publicis condemnationibus non ſubjicimus, ut quæ ſoluta fornicatione ſunt magis expetenda.

Bals. Cum audis ſanctum dicentem non eſſe legem in trigamia, ne dixeris etiam à lege civili prohibere trigamiam: à lege enim conceſſa eſt. Sed eccleſiaſticam hîc legem intellige: legem autem civilem dic antiquam, quæ ante ſanctum patrem obſervabatur, non B autem eam quæ multis poſt ſeculis lata eſt, ſcilicet Porphyrogenetæ, & Imperatoris domini Conſtantini deciſionem, quæ ſita eſt in quarto canone hujus ſancti, quam etiam lege, ut dicit Zonaras. Neque enim fieri poteſt ut hoc dicat, quòd in ſancti mentem venire non poterat, utpote quod multis poſt ſeculis factum eſt. Quod autem etiam à lege antiqua tertium matrimonium permiſſum eſt, lege lib. xxviii. tit. viii. cap. lxiii. thema vi. & tit. xiii. cap. iiii. Nota autem, quòd ex hoc præſenti canone apparet non diſſolvi tertium matrimonium ut contra leges factum. Dicit enim, quòd inquinamenta quidem eccleſiæ tertia matrimonia omnino re- C putantur, ut quæ ab eccleſia non permittuntur, ſi rogata fuerint. Publicis autem condemnationibus, ſeu manifeſtis divulſionibus non ſubjiciuntur, quod ſint ejuſmodi conjugia fornicatione meliora. Qui autem matrimonium ita contraxerunt, per polygamiam minus effusè peccant. Qui autem fornicantur, laxis habenis in vitia feruntur, ut qui indiſcriminatim ex alia muliere ad aliam transeant.

Zonar. Quarto etiam canone, hic ſanctus, trigamiam polygamiæ nomine appellari dixit,& non matrimonium, quin potius caſtigatam fornicationem nuncupari: D Et hoc loco inquinamentum Eccleſiæ nominavit. Cæterum publice, inquit, hoc eſt aperte, ac ſine tergiverſatione ipſam minime condemnamus, eouſque ut etiam diſſolvatur ejuſmodi matrimonium. Idcirco vero non diſſolvitur, quod præ ſoluta fornicatione, incaſtigata nimirum, & quæ ab alia ad aliam mulierem paſſim digreditur, eſt præoptandum, tanquam fornicatio quidem, veruntamen caſtigata, quippe cum vir una muliere ſit contentus. Porro cum audis trigamiæ non eſſe legem, Eccleſiaſticam legem ac ſpiritualem intellige. Per Novellam ſiquidem Porphyrogenetæ & Conſtantini, tertiæ nuptiæ, non ſine nota tamen ac mulctis, permittuntur.

E **Arist.** *Qui tertium contrahit matrimonium, leges tranſgreditur. Hæc autem ut Eccleſiæ inquinamenta non ſunt publicè traducenda, tolerabiliora diſſolutâ fornicatione judicata.*

Lex quidem politica tertias nuptias agnoſcit, & filios ex eis ſuſceptos pro legitimis habet,&ad hæreditatem vocat. At à canonibus tertiæ nuptiæ non admittuntur, ſed iſtas ut Eccleſiæ inquinamentum habent. Sed quandoquidem licenter in fornicatione viventi ſive dimiſsâ ſint magis expetendæ, publicis quidem condemnationibus non ſubjicitur: hoc eſt, trigamus cum deflentibus non collocatur, nec publicum triumphum agit ut condemnatus. F Aliter autem in quinquennium pœnas perſolvit, in duobus quidem vel etiam tribus divinarum ſcripturarum dignus auditione habitus, in regiis foribus ſtans. In aliis autem duobus cum fidelibus conſtitutus & cum iis in orationibus communicans. Et ſic in eorum qui divinorum Sacramentorum ſunt participes locum reſtituitur.

ΚΑΝΩΝ ν΄.

Τριγαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ τρίτος γάμος οὐκ ἄγεται. τὰ μέντοι τοιαῦτα ὡς ῥυπάσματα τῆς ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐκ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα.

ΒΑΛΣ. Ἀκούων τοῦ ἁγίου λέγοντος μὴ εἶναι νόμον ἐπὶ τριγαμίας, μὴ εἴπῃς καὶ ἀπὸ τοῦ νόμου τοῦ πολιτικοῦ κωλύεσθαι τὴν τριγαμίαν· ἐκκεχώρηται γὰρ ἀπὸ τοῦ νόμου. ἀλλὰ νόμον ἐνταῦθα τὸν ἐκκλησιαστικὸν νόει· νόμον δὲ πολιτικὸν εἰπὲ τὸν παλαιὸν πρὸ τοῦ ἁγίου πατρὸς κρατοῦντα, οὐ μὴν τὸν μεταγενέστερον κατὰ πολὺ, δηλονότι τὸν τοῦ Πορφυρογεννήτου καὶ βασιλέως κυροῦ Κωνσταντίνου τόμον, τὸν καταστρωθέντα εἰς τὸν δ΄. κανόνα τούτου τοῦ ἁγίου, ὃν καὶ ἀνάγνωθι, καθὼς ὁ Ζωναρᾶς φησί. τοῦτο γὰρ λέγειν ἀνένδεκτον, διὰ τὸ μηδὲ εἰς ἔννοιαν τοῦ ἁγίου ἐλθεῖν, τὸ μετὰ πολλὰς ἑκατονταετηρίδας γεγονός. ὅτι δὲ ἀπὸ τοῦ παλαιοῦ νόμου ἐκκεχώρηται ὁ τρίτος γάμος, ἀνάγνωθι βιβλίον κη΄. τίτλου η΄. κεφ. ξγ΄. θέμα ς΄. τίτλου ιδ΄. κεφ. δ΄. σημείωσαι δὲ ὅτι καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται, ὅτι οὐ διασπᾶται ὁ τρίτος γάμος ὡς παράνομος. φησὶ γὰρ ὅτι ῥύπασμα μὲν τῆς ἐκκλησίας λογίσονται οἱ τρίτοι γάμοι πάντως, ὡς μὴ ἐκχωρούμενοι ὑπὸ τῆς ἐκκλησίας, ἐὰν ἐρωτηθῶσι. δημοσίαις δὲ καταδίκαις, ἤτοι φανεροῖς διασπασμοῖς οὐχ ὑποβέβληνται, διὰ τὸ εἶναι τὰ τοιαῦτα συνοικέσια κρείττονα τῆς πορνείας. οἱ μὲν γὰρ οὕτω γαμήσαντες, συνεσταλμένην ἁμαρτίαν διὰ τὴν πολυγαμίαν ποιοῦσιν. οἱ δὲ πορνεύοντες ἀνειμένην καὶ ἐξηπλωμένην ἁμαρτίαν ἐργάζονται ὡς ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν ἀδιαφόρως μεταβαίνοντες.

ΖΩΝΑΡ. Καὶ ἐν τῷ τετάρτῳ κανόνι ὁ ἅγιος οὗτος τὴν τριγαμίαν πολυγαμίαν ἔφησεν ὀνομάζεσθαι· καὶ μὴ γάμον, μᾶλλον δὲ πορνείαν κεκολασμένην. κἀνταῦθα ῥύπασμα τῆς ἐκκλησίας ἐκάλεσε. πλὴν, φησὶ, δημοσίᾳ, ἀντὶ τοῦ φανερῶς καὶ ἀνυποστόλως οὐ καταδικάζομεν αὐτήν· ὥστε καὶ διασπᾶν τὸ τοιοῦτον συνοικέσιον. οὐ διασπᾶται δὲ ὅτι παρὰ τὴν ἀνειμένην πορνείαν τὴν ἀκόλαστον δηλαδὴ καὶ ἐξ ἑτέρας γυναικὸς εἰς ἑτέραν μεταβαίνουσαν, αἱρετωτέρα ἐστὶν, ὡς πορνεία μὲν, κεκολασμένη δὲ, οἷα μιᾷ ἀρκουμένου τοῦ ἀνδρὸς γυναικί. ἀκούων δὲ ὅτι τριγαμίας νόμος οὐκ ἔστιν, ἐκκλησιαστικὸν καὶ πνευματικὸν νόει νόμον. ἀπὸ γὰρ νεαρᾶς τοῦ Πορφυρογεννήτου καὶ Κωνσταντίνου, ἐφεῖται καὶ ὁ τρίτος γάμος, μετὰ μέντοι διαστίξεων καὶ ἐπιτιμίων.

ΑΡΙΣΤ. Ὁ τρίγαμος, ἄνομος· ὡς δὲ ῥυπάσματα τῆς ἐκκλησίας τὰ τοιαῦτα παραβλεπόμενα, ἀστηλίτευτα· κρείττω τῆς ἀνειμένης πορνείας κρινόμενα.

Ὁ μὲν πολιτικὸς νόμος τὴν τριγαμίαν ἐπιγινώσκει, καὶ τοὺς ἐξ αὐτῆς τεχθέντας παῖδας νομίμους ἔχει, καὶ εἰς κληρονομίαν καλεῖ. τοῖς δὲ κανόσιν ὁ τρίτος γάμος οὐ παραδέχεται, ἀλλ᾽ ὡς ῥύπασμα τοῦτον τῆς ἐκκλησίας ἔχουσιν. ὅτι δὲ τῆς ἀνειμένης πορνείας, ἤτοι τῆς ἐκλελυμένης ἐστὶν αἱρετώτερος, δημοσίαις μὲν καταδίκαις οὐχ ὑποβάλλεται· τοῦτ᾽ ἔστιν, ὁ τρίγαμος μετὰ τῶν προσκλαιόντων οὐ τάττεται, καὶ θριαμβεύεται δημοσίᾳ ὡς κατάκριτος· ἄλλως δὲ ἐπὶ πέντε ἔτεσιν ἐπιτιμᾶται· ἐν δυσὶ μὲν, ἢ καὶ τρισὶ, τῆς τῶν θείων γραφῶν ἀκροάσεως ἀξιούμενος ἐν τοῖς βασιλικοῖς πυλῶσιν ἱστάμενος. ἐν δὲ ἑτέροις δυσὶ μετὰ τῶν πιστῶν συνιστάμενος, καὶ συγκοινωνῶν αὐτοῖς τῶν εὐχῶν, καὶ οὕτως ἀποκαθιστάμενος εἰς τὸν τόπον τῶν μεταλαμβανόντων τῶν θείων ἁγιασμάτων.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ
Ἐπιστολὴ τρίτη.

ΚΑΝΩΝ να΄.

ΤΟ κατὰ κληρικοὺς ἀδιορίστως οἱ κανόνες ἐξέθεντο, κελεύσαντες μίαν ἐπὶ τοῖς παραπεσοῦσιν ὁρίζεσθαι τιμωρίαν, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τυγχάνοιεν, εἴτε καὶ ἀχειροτονήτῳ ὑπηρεσίᾳ προσκαρτεροῖεν.

ΒΑΛΣ. Ἐν τῷ λβ΄. κανόνι διωρίσατο ὁ ἅγιος ὑπὲρ παντὸς ἁμαρτήματος διὰ μόνης καθαιρέσεως κολάζεσθαι τοὺς κληρικούς. ἐπεὶ δὴ ἔλεγόν τινες, ἐκείνους λογίζεσθαι κληρικοὺς τοὺς χειροτονίαν ἔχοντας, οὐ μὴν τοὺς διὰ μόνης σφραγῖδος καταστάντας εἰς βαθμοὺς ἐκκλησιαστικοὺς (τούτους γὰρ ἤθελον πλειόνως κολάζεσθαι) διωρίσατο ὁ ἅγιος διὰ τοῦ παρόντος κανόνος πάντας τοὺς κληρικοὺς ὁμοίως διὰ μόνης καθαιρέσεως ἤτοι διὰ ἐκπτώσεως τῆς προσούσης αὐτοῖς ἱερᾶς διακονίας, κολάζεσθαι, κἄν τε κεχειροτονημένοι ὦσιν, ὡς οἱ πρεσβύτεροι, οἱ διάκονοι, καὶ οἱ ὑποδιάκονοι, κἄν τε διὰ μόνης σφραγῖδος ἐνέργειαν ἔχωσιν ἱερατικὴν, ὡς οἱ ἀναγνῶσται, καὶ ψάλται, οἱ θεωροὶ, καὶ οἱ ὅμοιοι. καὶ ταῦτα μὲν περὶ κληρικῶν διὰ χειροτονίας, ἢ διὰ σφραγῖδος καταταχθέντων εἰς βαθμοὺς ἐκκλησιαστικούς. ἐὰν δέ τις μόνην ἔχων ἐπικουρίδα ἀπὸ Ἐπισκόπου, ἢ ἀπὸ ἡγουμένου, ἐμπέσῃ εἰς ἔγκλημα, ἀλλοτρόπως οὗτος τιμωρηθήσεται; Λύσις. καὶ ὁ τοιοῦτος κληρικός ἐστι, καὶ καταδικασθήσεται ὡς λοιποὶ κληρικοί. κωλυθήσεται γὰρ ἐνεργεῖν οἱονδηποτοῦν ἔργον, οἷον ἐνεργοῦσιν οἱ ἔχοντες ἐπικουρίδας, οἷον οὐκ εἰσέλθῃ εἰς βῆμα, οὐκ ἀναγνῷ ἐπ' ἄμβωνος, οὐ προκόψει εἰς βαθμίδα ἱερατικήν. θαυμάζω δὲ ὅπως τινὲς καθαιρεθέντες ἐνεργοῦσι χαρτουλαράτα ἐκκλησιαστικὰ, ἅτινα ἐνεργοῦσι μόνοι ἱερωμένοι· ὡσαύτως θαυμάζω πῶς οἱ ἔχοντες μόνας ἐπικουρίδας, καὶ ἁμαρτάνοντες ἐτάζονται, καὶ ἁπλῶς ὡς λαϊκοὶ κολάζονται. εἶδον γὰρ τοῦτο ἀδιαφόρως. σημείωσαι δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι ἐπεὶ καὶ τὰ ἀρχοντίκια διὰ σφραγῖδος δίδονται, βαθμοὶ καὶ ταῦτά εἰσι· καὶ ἀδικοῦνται οἱ παρὰ Ἐπισκόπων ἀκρίτως ἐκ τῶν ὀφφικίων αὐτῶν ἐκβαλλόμενοι, ἢ ἐν ταῖς στάσεσιν αὐτῶν περιυβριζόμενοι, οὐδὲ ἔχουσιν ἐξουσίαν οἱ Ἐπίσκοποι ποιεῖν ἐπ' αὐτοῖς μετὰ τὴν σφραγῖδα, ὅπερ οὐ δύνανται ποιεῖν εἰς τὰ διακονικὰ ἀξιώματα.

ΖΩΝΑΡ. Πάντας φησὶ τοὺς κληρικοὺς, εἴτε χειροθεσίαν ἔχουσιν, εἴτε ἀχειροθέτητοι ὑπηρετοῦσι, παραπεσόντας, ἐκπτώσει κολάζουσιν οἱ κανόνες τοῦ βαθμοῦ ἢ τῆς ὑπηρεσίας. οὐ γὰρ τοὺς μείζονος ὄντας βαθμοῦ μᾶλλον κολάζει· οἷον πρεσβυτέρους καὶ διακόνους, καὶ ὑποδιακόνους, τοὺς καὶ χειροθεσίαν ἔχοντας, ἤτοι χειροτονίαν· τοὺς δὲ κατωτέρω, κουφότερον, οὓς καὶ ἀχειροθετήτους ἔφη, ὡς μόνῃ σφραγῖδι γινομένους, καὶ οὐκ ἐπιθέσει χειρῶν, ἀλλὰ πάντες ἐκπτώσει κολάζονται τοῦ βαθμοῦ καὶ τῆς ὑπηρεσίας.

ΑΡΙΣΤ. Καὶ κληρικοὶ παραπίπτοντες, τῶν βαθμῶν ἀποπίπτουσιν, εἴτε ὑπηρετοῦσιν, εἴτε κεχειροτόνηνται.

Οἱ ὑπηρέται τῆς ἐκκλησίας, εἴτε ἐν βαθμῷ τυγχάνουσι πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ψαλτῶν, καὶ ἀναγνωστῶν, εἴτε καὶ ἀχειροτόνητοί εἰσιν, ὡς θεωροὶ, κανδηλάπται, καὶ οἱ τὴν φυλακὴν ἐμπεπιστευμένοι τῶν ἁγίων θυρῶν τοῦ θυσιαστηρίου, εἰ παραπέσωσιν εἰς πορνείαν, μίαν τὴν τιμωρίαν ἔχουσι, τὸ ἐκπεσεῖν τῆς ὑπηρεσίας αὐτῶν.

EJUSDEM AD EUNDEM
Epiſtola tertia.

CANON LI.

QUod ad Clericos attinct canones indefinitè ediderunt, unum in iis qui lapſi ſunt ſupplicium decerni jubentes, à miniſterio ſcilicet amotionem, ſive ſint in gradu, ſive etiam in miniſterio, quod non impoſitis manibus datur, perſeverent.

BALS. In xxxij. can. ſanctus definiit propter omne peccatum Clericos per ſolam depoſitionem puniri. Sed quia nonnulli dixerunt illos reputari Clericos, qui ordinati ſunt, non autem eos qui per ſolum characterem conſtituti ſunt in gradibus eccleſiaſticis (Illos enim magis puniri volebant) definiit ſanctus per præſentem canonem, omnes ſimiliter Clericos per ſolam depoſitionem, ſeu lapſum à ſacro quod ad eos pertinet miniſterio, puniri, ſive ſint ordinati ut Presbyteri, Diaconi, & Hypodiaconi, ſive per ſolum characterem operationem ſacerdotalem habeant, ut lectores, cantores, ſacrorum vaſorum cuſtodes, & ſimiles. Et hæc quidem de Clericis per ordinationem, vel characterem in eccleſiaſticis gradibus collocatis. Si quis autem ab Epiſcopo, vel monaſterii præfecto ſolam tonſuram habens in crimen inciderit, iſne alio modo punietur? SOL. Et talis quoque eſt Clericus, & condemnabitur ut reliqui Clerici. Prohibebitur enim quodvis opus exercere, cujuſmodi exercent qui habent tonſuras; quemadmodum non conſcendet tribunal, non leget in ambone, ad ſacerdotalem gradum non promovebitur. Miror autem, quomodo nonnulli depoſiti chartularata eccleſiaſtica exercent, quæ quidem ſoli ſacrati exercent. Similiter miror, quomodo qui ſolas habent tonſuras, & peccantes examinantur, & omnino ut laïci puniuntur. Vidi enim indiſcriminatim fieri. Nota autem ex præſenti canone, quòd quoniam archonticia dantur per characterem, ſunt & ea gradus, & injuria afficiuntur, qui ab epiſcopis ex officiis ſuis indicta in judicio cauſa expelluntur, vel in ſtationibus ſuis ignominioſè tractantur. Neque enim habent Epiſcopi facultatem hoc in eis faciendi poſt characterem, quod non poſſunt facere in Diaconicis dignitatibus.

ZONAR. Omnes ait clericos, ſive manuum impoſitionem habeant, ſive abſque manuum impoſitione miniſtrent, ubi peccaverint, depoſitione à gradu, vel à miniſterio, canones puniunt. Nec enim in eos qui in ſublimiore gradu conſtituti ſunt, gravius animadvertunt, veluti Presbyteros, Diaconos, & Hypodiaconos, qui etiam impoſitionem manuum, hoc eſt, ordinationem habent; In eos autem qui in inferiore, levius, quos etiam nulla manuum impoſitione creatos dicit, veluti qui ſolo charactere, non autem impoſitione manuum creantur: ſed omnes pariter à gradu & miniſterio depoſitione puniunt.

ARIST. *Etiam Clerici qui in delictum incidunt, gradibus decidunt ſive miniſtrent, ſive ordinentur.*

Eccleſiæ miniſtri ſive ſint in gradu Presbyterorum, Diaconorum, Hypodiaconorum, Cantorum, & Lectorum, ſive manuum impoſitiones non habent, ut qui ſacra vaſa cuſtodiunt, aut candelas accendunt, & quibus concredita eſt ſanctarum altaris forium cuſtodia, ſi in fornicationem inciderint, unum hoc ſupplicium habent, ut à miniſterio ſuo decidant.

A

Canon LII.

Quæ fœtus in via nati curam non geſſit, ſi cum poſſet quidem ſervare neglexerit, vel ſe ideo peccatum celare exiſtimans, vel etiam omnino belluina, & inhumana cogitatione impulſa, tanquam propter homicidium judicetur. Sin autem eum concinnare & componere non potuit, & propter ſolitudinem, rerúmque neceſſariarum inopiam fœtus interiit, matri ignoſcendum eſt.

Bals. In xxxiii. can. ſanctus de ea, quæ in via peperit, & fætum neglexit, anguſtius ſtatuit: nunc autem B fuſius decernit de ſpeciebus negligentiæ, & dicit, quod ſi quæ ex fornicatione quidem, vel adulterio clam vel concepit, vel peperit, & timens ne convinceretur, ſtatuit per nati fœtus interitum celare peccatum, vel etiam belluinè, ſeu inhumanè in fœtum ſe geſſit, hoc eſt inſtar ferarum quæ carnes humanas devorant, & eis non parcunt, ejus non miſerta eſt, debet inſtar homicidæ puniri. Sin autem volebat quidem infantem ſervare, ſed non potuit propter ſolitudinem & rerum neceſſariarum inopiam, & eo factum eſt ut interiret, digna erit cui ignoſcatur. Sed quia in xxxiii. can. diximus, quod quæ in C via peperit, & negligenter, vel etiam fraudulenter in id quod natum eſt, affecta eſt, ut homicida judicatur, non ſolum ſi interiit quod natum eſt, ſed etiam ſi ab alio educatum ſit. Rurſus quoque dicimus, quòd etiam ex iis quæ illic ſcripſimus, hoc probatur. Non minus autem & ex præſenti canone apparet. Illic enim ſanctus mulieris contemptum, vel fraudem inducit: non addit autem fætus interitum. Sed dicit, tanquam ob homicidium matrem condemnari, hoc eſt etiam ſi fœtus non fuerit interfectus, condemnari autem propter malam affectionem. Infante enim illius dolo vel ſocordia interfecto, debebat ſine controverſia ut homicida puniri. Quando D autem nec per negligentiam nec per dolum matris id evenerit, dicit illi quoque ignoſci oportere, & adjicit fœtum interire à ſolitudine, & à rerum neceſſariarum inopia. Si enim vixiſſet, nec matris negligentia proceſſiſſet, quomodo quis eam criminandam eſſe diceret? Illud autem matrem belluinè affici, accipe ſecundum præſentem interpretationem, & non ut dicebant aliqui, ſecundum ferarum maternam educationem. Permultæ enim feræ pullos ſuos diligenter curant, & educant, & pro eis pericula ſubeunt, nec ſunt eis conferendæ doloſæ, & ſocordes matres. Jam enim leæna tantam ſuorum catulorum curam gerit, ut antro egrediens, & pedum ſuorum veſtigia cauda confundens, non ſinat antrum ſuum inveſtigari à venatore, & fœtus ſuos interimi. E

Zonar. De muliere, quæ in via peperit, fœtumque neglexit, trigeſimo tertio quoque canone decretum ſanctus vir promulgavit. Nunc vero apertius definit, dicens, ſiquidem cum poſſet, id quod editum erat ſervare, illud neglexit, ut peccatum celaret, (forte namque ex fornicatione, vel adulterio conceperat) vel etiam partum inhumaniter, & ferino more contempſit; Vſus eſt porro hac formula, [ferino more] ut crudelitatem ſævitiamque ſignificaret. Nec enim ferarum iſte mos eſt, ſed ubi pe- F pererunt ſedulitatem in catulis ſuis nutriendis adhibent, foventque & alunt fœtus, ac pro iis pericula ſubeunt; ſiquidem igitur, ait, hac ratione partum ſuum neglexit, tanquam homicidii rea damnetur. Sin autem voluit illa quidem ſervare infantem, veruntamen haud potuit, quod in deſertis locis deprehenſa, ac rebus neceſſariis deſtituta eſſet, aut ob metum aliquem, forte, impune feret.

ΚΑΝΩΝ νβ'.

Ἡ τοῦ κυήματος κατὰ τὴν ὁδὸν ἀμελήσασα, εἰ μὲν δυναμένη περισώσασθαι καταφρόνησεν, ἢ συγκαλύψειν ἐντεῦθεν τὴν ἁμαρτίαν νομίζουσα, ἢ ὅλως θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη, ὡς ἐπὶ φόνῳ κρινέσθω. εἰ δὲ οὐκ ἠδυνήθη περιστεῖλαι, καὶ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθὲν, συγγνωστὴ ἡ μήτηρ.

ΒΑΛΣ. Ἐν μὲν λγ'. κανόνι στενώτερον διορισμὸν πεποίηκεν ὁ ἅγιος χάριν τῆς ἐν τῇ ὁδῷ κυησάσης, καὶ ἀμελησάσης τοῦ κυήματος, νῦν δὲ πλατύτερον διατάττεται τὰ εἴδη τῆς ἀμελείας. καί φησι, ὅτι εἰ μὲν ἐκ πορνείας ἢ μοιχείας συλλαβοῦσα κρύφα, ἢ κυήσασα καὶ φοβουμένη τὸν ἔλεγχον, ἐσπούδασε διὰ τοῦ φονευθῆναι τὸ γεννηθὲν, συγκαλύψαι τὴν ἁμαρτίαν, ἢ καὶ θηριωδῶς, ἤγουν ἀπανθρωπινῶς, ἐχρήσατο τῷ τεχθέντι, τουτέστι κατὰ θῆρας κατεσθίοντας τὰς ἀνθρωπίνας σάρκας, καὶ μὴ φειδομένους αὐτῶν, οὐκ ἠλέησε τοῦτο, ὀφείλει δοῦναι λόγους φονέως. εἰ δὲ ἤθελε μὲν περισῶσαι τὸ βρέφος, οὐκ ἠδυνήθη δὲ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων, κἀντεῦθεν ἐφθάρη τοῦτο, συγγνώμης ἀξιωθήσεται. ἐπεὶ δὲ ἐν τῷ λγ'. κανόνι εἴπομεν, ὡς ἡ γεννήσασα καθ' ὁδὸν, καὶ ἀμελῶς, ἢ καὶ δολερῶς ἐπὶ τῷ γεννηθέντι διατεθεῖσα, ὡς φονήσασα κρίνεται, οὐ μόνον ἐὰν διεφθάρη τὸ κυηθὲν, ἀλλὰ καὶ ἐὰν ὑφ' ἑτέρου ἐζωογονήθη, λέγομεν πάλιν ὅτι καὶ ἐξ ὧν μὲν ἐκεῖσε ἐγράψαμεν παρίσταται τοῦτο, οὐχ ἧττον δὲ καὶ ἀπὸ τοῦ παρόντος κανόνος ἀναφαίνεται. ἔνθα μὲν γὰρ καταφρόνησιν ἢ δόλον εἰσάγει ὁ ἅγιος τῆς γυναικὸς, οὐ προστίθησι διαφθορὰν τοῦ γεννηθέντος, ἀλλά φησι ὡς ἐπὶ φόνῳ κρίνεσθαι τὴν μητέρα, τουτέστι, κἂν μὴ φονευθῇ τὸ κυηθὲν, κατακρίνεσθαι ταύτην διὰ τὴν κακὴν διάθεσιν· φονευθέντος γὰρ τοῦ παιδίου κατὰ δόλον ἢ ῥαθυμίαν ἐκείνης, ἀμάχως ὤφειλεν ὡς φονεύτρια καταδικάζεσθαι. ὅταν δὲ οὔτε ἀμέλειαν, οὔτε δόλον προβῆναι τῆς μητρὸς φησὶ, κἀντεῦθεν ταύτην συγγινώσκεσθαι, καὶ προστίθεσι διαφθαρῆναι τὸ γεννηθὲν ἀπὸ ἐρημίας, ἢ ἀπορίας τῶν ἀναγκαίων. εἰ γὰρ ἔζη, καὶ οὐδὲ ἀμέλεια προέβη τῆς μητρὸς, πῶς ἄν τις εἴπῃ ταύτην εὐθύνεσθαι; τὸ δὲ θηριωδῶς διατεθῆναι τὴν μητέρα, ἐκλαβοῦ κατὰ τὴν παροῦσαν ἑρμηνείαν, καὶ μὴ ὥς τινες εἶπον, κατὰ τὴν μητροκομίαν τῶν θηρίων. Οἱ γὰρ πλείους τῶν θηρίων τοὺς σκύμνους αὐτῶν ἐπιμελῶς περιέπουσι, καὶ τρέφουσι, καὶ αὐτῶν προκινδυνεύουσι, καὶ οὐ χρὴ τούτοις παραλληλίζεσθαι τὰς δολερὰς καὶ ῥαθύμους μητέρας. αὐτίκα ἡ λέαινα τοσοῦτον κήδεται τῶν σκύμνων αὐτῆς, ὡς τοῦ φωλεοῦ ἐξιοῦσα τὰ ἴχνη τῶν ποδῶν αὐτῆς διὰ τοῦ οὐραίου συγχέουσα, οὐ παραχωρεῖ ἐξιχνιασθῆναι τὸν φωλεὸν αὐτῆς ὑπὸ θηρευτοῦ, καὶ ἀναιρεθῆναι τὰ ἔγγονα.

ΖΩΝΑΡ. Περὶ τῆς ἐν ὁδῷ τεκούσης, καὶ ἀμελησάσης τοῦ κυηθέντος, καὶ ἐν λγ'. κανόνι διετάξατο ὁ ἅγιος. νῦν δὲ σαφέστερον διατάττεται φάσκων, ὅτι εἰ μὲν δυναμένη περισῶσαι τὸ γεννηθὲν ἠμέλησεν αὐτοῦ διὰ συγκαλύψαι τὴν ἁμαρτίαν, ἐκ πορνείας ἴσως, ἢ μοιχείας συλλαβοῦσα, ἢ καὶ ἀπανθρώπως καταφρονήσασα τοῦ τεχθέντος, καὶ θηριωδῶς· ἐχρήσατο δὲ τῇ λέξει, ἀντὶ τοῦ ὠμῶς καὶ ἀπηνῶς. οὐ γὰρ οὕτω τὰ θηρία ποιοῦσιν, ἀλλὰ τίκτοντα περὶ τοὺς σκύμνους ἐπιμελῶς διατίθενται· καὶ περιέπουσι καὶ τρέφουσι τὰ ἔγγονα, καὶ τούτων προκινδυνεύουσιν. εἰ μὲν οὖν οὕτω, φησὶ, κατεφρόνησε τοῦ τεχθέντος, ὡς φονεύσασα κατακρινέσθω. εἰ δὲ ἤθελε μὲν περισῶσαι τὸ βρέφος, οὐκ ἠδυνήθη δὲ δι' ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων, ἢ διὰ φόβον, ἴσως, συγγνωσθήσεται.

ΑΡΙΣΤ. Η ἀμελήσασα τοῦ κυήματος, δι' ἐρημίαν, ἢ ἀπορίαν τῶν ἐπιτηδείων ἀνεύθυνος.

ΚΑΝΩΝ νγʹ.

Η χήρα δούλη τάχα οὐ μέγα ἔπταισεν ἑλομένη δεύτερον γάμον ἐν σχήματι ἁρπαγῆς. ὥστε οὐδὲν τούτου ἕνεκεν ἐγκαλεῖσθαι χρή. οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαίρεσις. δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένει αὐτὴν ἐπιτίμιον.

ΒΑΛΣ. Η δούλη φησὶν ὁ ἅγιος ἡ χηρεύσασα, καὶ θέλουσα μὲν δευτερογαμῆσαι, ἴσως δὲ συστελλομένη τοῦτο ποιῆσαι διὰ τὴν ἀπὸ τῶν οἰκείων παίδων, ἢ καὶ τῶν ἐκ τοῦ πρώτου συνοικεσίου συγγενῶν κατάγνωσιν, καὶ σχηματιζομένη διὰ τοῦτο ἁρπαγῆναι παρὰ τοῦ μελλοσυζύγου, ἀκαταιτίατός ἐστι. διότι οὐκ ἀληθὴς γέγονεν ἁρπαγὴ, ἀλλὰ ἐσχηματισμένη διὰ πρόφασιν δευτερογαμίας. δίκαιον δέ ἐστι μὴ κατακρίνεσθαί τινα ἀπὸ σχήματος καὶ ὑποκρίσεως, ἀλλὰ ἀπὸ διαθέσεως καὶ προαιρέσεως. ὥστε εἰ μὴ ὑπέκειτο ὁ λόγος τῆς δευτερογαμίας, ἀλλὰ διὰ πορνείαν ἁρπαγῆναι ἐσχηματίσατο, ὡς πορνεύσασα ἵνα ἐγκληθῇ. τὴν χήραν δὲ μὴ εἴπῃς εἶναι καὶ δούλην· ἀλλὰ δούλην μὲν εἶναί ποτε, ἀρτίως δὲ ἐλευθέραν. αὕτη γὰρ δύναται πρῶτόν τε καὶ δεύτερον συναλλάττειν γάμον· οὐ μὴν ἡ δούλη ἡ ἀνεπιγνώστως τῷ νόμῳ καὶ τοῖς νομίμοις συναλλάγμασιν. ἐπεὶ δή τινες ἐκλαβόμενοι τὸν κανόνα εἰς δούλην εἶπον, ὅτι μετὰ τὴν ἐσχηματισμένην ἁρπαγὴν ἐπένευσε τῷ δευτέρῳ γάμῳ ὁ δεσπότης, καὶ οὕτω τάχα ἐνόμισαν τὴν πορνείαν διαφυγεῖν, ὡς κυρωθέντος τοῦ γάμου διὰ τῆς συναινέσεως τοῦ δεσπότου, ἀκουσάτωσαν ὅτι ἐπεὶ πρώτως γέγονε γάμος τῆς δούλης μετὰ ἐλευθέρου, ἐξ ἀνάγκης δὲ τηνικαῦτα καὶ συναίνεσις τοῦ δεσπότου παρηκολούθησε, περιττὸν, μᾶλλον δὲ ἀνενδεκτόν ἐστι τὸ θεματισθῆναι κατὰ τὸν καιρὸν τῆς ἐσχηματισμένης ἁρπαγῆς, εἶναι αὐτὴν δούλην. ἀπὸ γὰρ τοῦ πρώτου γάμου κατὰ συναίνεσιν τοῦ δεσπότου γενομένου ἐλευθερώθη σιωπηρῶς ἡ δούλη, καὶ οὐκ ἐδέετο συναινέσεως τοῦ ποτε δεσπότου ἐπὶ δευτερογαμίᾳ. ἐρωτήσει δέ τις ὡς τῶν νόμων, καὶ τῶν κανόνων, καθὼς διαφόρως εἴρηται, μὴ παραχωρούντων τοὺς ἁρπαγὰς νομίμως συνάπτεσθαι ταῖς ἁρπαγείσαις, κἂν κατὰ θέλησιν τῶν ἁρπαγεισῶν ἡ ἁρπαγὴ γέγονε, πῶς ὁ παρὼν κανὼν φησὶν ἀπὸ τῆς ἐσχηματισμένης ἁρπαγῆς μὴ ἐμποδίζεσθαι τὴν δευτερογαμίαν; Λύσις. ἐνταῦθα οὐ γέγονεν ἁρπαγὴ παρὰ τοῦ ἀνδρὸς, οὐδέ τις πρᾶξις τὴν ἁρπαγὴν συγκροτοῦσα, ἀλλὰ ἡ γυνὴ θέλουσα τὴν δευτερογαμίαν, ἐσχηματίσατο τὴν ἁρπαγὴν, διὰ τὰς ἄνωθεν ῥηθείσας αἰτίας. εἰ γὰρ ὅλως γέγονεν ἁρπαγὴ οὔτε γάμος ἵνα συνέστη μέσον αὐτῶν· ἀλλὰ καὶ τοῖς περὶ τῶν ἁρπαζόντων καὶ πορνευόντων ἐπιτιμίοις ἵνα ὑπέπεσον.

ΖΩΝΑΡ. Δούλη χηρεύσασα ἡρπάγη δῆθεν παρά τινος, ἡ δὲ ἑκοῦσα ἑαυτὴν ἐπέδωκε τῷ ἁρπάσαντι, καὶ συνῴκησεν αὐτῷ νομίμως. λέγει οὖν ὁ μέγας οὗτος πατὴρ, ὅτι δεύτερον εἵλετο γάμον ἡ τοιαύτη σχηματισαμένη τὴν ἁρπαγήν· καὶ τὴν ἁρπαγὴν δὲ διὰ τὸν γάμον ἐσχηματίσατο. κρίνομεν δὲ οὐ τὴν ὑπόκρισιν, ἀλλὰ τὴν προαίρεσιν. οὐ γὰρ ἵνα ἁπλῶς μίξεως ἀπολαύσῃ πορνικῆς τῷ ἀνδρὶ συνῆλθεν, ἀλλ' ἐπὶ γάμῳ, καὶ λοιπὸν οὐ χρὴ ἐγκαλεῖσθαι αὐτὴν ὡς πορνεύσασαν. τὸ δὲ τῆς διγαμίας ἐπιτίμιον οὐκ ἐκφεύξεται. ἐπεὶ δὲ τὴν τοιαύτην δούλην ὠνόμασεν ὁ κανὼν, νομιστέον ὅτι ὁ δεσπότης αὐτῆς μετὰ τὴν ἁρπαγὴν τὴν ἐσχηματισμένην, ἐπένευσε τῷ γάμῳ. εἰ γὰρ μὴ τοῦτο, πορνεία ἐστὶ τὸ γινόμενον κατὰ τὸν μʹ. κανόνα τοῦ ἁγίου τούτου πατρός.

A Ariſt. *Quæ propter ſolitudinem aut rerum neceſſariarum inopiam fœtum neglexit, criminis expers eſt.*

Canon LIII.

Vidua ancilla fortè non multum lapſa eſt, quæ ſub raptus ſimulatione, ſecundum matrimonium eligit. Quamobrem eam de illo accuſare non oportet: neque enim ſimulatio judicatur, ſed voluntas. Clarum eſt autem quod illam manet pœna digamiæ.

Bals. Ancilla, inquit ſanctus, vidua & volens B quidem ſecundum matrimonium contrahere, fortè autem ne hoc faciat retardata, propterea quod à ſuis filiis vel à primis conjugii cognatis damnaretur, & propterea ſe raptam fuiſſe præ ſe ferens per futurum conjugem, accuſari non poteſt, quia non eſt verus raptus, ſed velatus ſub ſecundi matrimonii prætextu. Æquum eſt autem neminem à prætextu ſeu ſimulatione damnari, ſed ex affectione & voluntate. Quare ſi non ſubeſſet ſecundi matrimonii ratio, ſed propter fornicationem ſe raptam eſſe ſimulavit, ut quæ fornicata ſit puniatur. Viduam autem ne dixeris eſſe & ancillam, ſed fuiſſe C quidem aliquando ancillam, nunc autem liberam. Ipſa enim poteſt primum & ſecundum contrahere matrimonium, ſed non ancilla, quæ à lege non cognoſcitur, & à legitimis contractibus. Quoniam autem nonnulli canone ad ancillam traducto, dixerunt quòd poſt ſimulatum raptum dominus ſecundo matrimonio annuit, & ſic quoque fortaſſe exiſtimarunt fornicationem effugere, tanquam matrimonio per domini conſenſum confirmato, audiant quòd quoniam primum matrimonium factum eſt ancillæ cum libero, tunc autem neceſſario quoque conſenſus domini conſequutus eſt, eſt ſupervacaneum, vel potius non admittendum, ut ſupponatur eam fuiſſe D ancillam tempore ſimulati raptus. A primo enim matrimonio, quod domini conſenſu factum eſt, ancilla tacitè liberata eſt, nec amplius opus habuit conſenſu ejus qui fuit aliquando dominus, ad ſecundum matrimonium. Interrogaverit autem quiſpiam, cùm leges & canones, quemadmodum ſæpe dictum eſt, non permittant ut raptores raptis legitimè conjungantur, etiam ſi raptarum voluntate fiat raptus, quomodo dicit præſens canon à raptu ſimulato non impediri ſecundum matrimonium? Sol. Hic raptus à viro factus non eſt, nec ulla actio, quæ raptum conſtituat, ſed mulier quæ volebat ſecundo nubere, ſe raptam fuiſſe ſimulavit propter cauſas E dictas ſuperius. Si enim raptus omnino factus eſt, nec matrimonium quidem inter eos intercedet, ſed raptorum, & fornicatorum pœnis omnino ſubjicientur.

Zonar. Ancilla, cum vidua eſſet, à quodam fortè fortuna rapta fuit. Ea vero ſe ſponte raptori tradidit, & cum eo legitime matrimonio eſt copulata. Affirmat igitur hic magnus Pater, ejuſmodi mulierem ſecundas elegiſſe nuptias, per raptus ſimulationem, hunc porro raptum nuptiarum cauſa ſimulaſſe. Iudicamus vero, non ſimulationem, ſed voluntariam electionem. Non F enim ea de cauſa ſolummodo ut fornicario concubitu frueretur, cum viro convenit, ſed ut celebraret nuptias, ac proinde illam veluti fornicariam accuſari minimè oportet. Digamiæ vero mulctam, nequaquam effugiet. Quoniam vero ancillam hanc canon appellavit, exiſtimare debemus ipſius dominum poſt raptum illum ſimulatum, nuptiis annuiſſe. Nam ſi id non fecerit, erit ea videlicet fornicatio, ut quadrageſimo hujus ſancti Patris canone ſancitum eſt.

Arist. *Magnum crimen ancillæ viduæ ad secundas nuptias raptæ non infertur. Bigamiæ vero pœnam solvet.*

Quandoquidem ancillæ sine dominorum suorum sententiâ nuptias contrahere nequeunt, idcirco vidua serva non multum lapsa videtur, simulans se ab aliquo rapi, matrimonio ei conjungi cupiens. Porrò nec quæ ad liberarum mulierum raptum pertinent, in eâ locum habebunt, quia quamvis se rapi simulat, tamen suâ voluntate secuta est. Et canones non judicant simulationes, sed voluntatem. Erit itaque matrimonium cum ea initum, si Dominus ejus assentiatur, firmum, sed digamorum pœnam dabit.

Canon LIV.

De involuntariis cædibus scio me ante hoc tempus tuæ scripsisse sanctitati pro viribus nostris, & nihil ultra illa possum dicere: est autem tuæ prudentiæ pro circumstantiæ proprietate pœnas intendere vel remittere.

Bals. Sanctus rursus etiam interrogatus est, quomodo debent puniri qui cædes involuntariè perpetrant, & respondit, Plus quam dixi in octavo canone, non possum de involuntariis homicidis dicere. Concessit autem ei cujus munus est de eo qui involuntarium homicidium commisit, judicare, pœnam vel augere, vel minuere secundum proprietatem circumstantiæ, seu secundum modum&causam cædis,&secundum qualitatem personæ quæ interfecit ejúsque affectionem. Quod autem variè scilicet aliquando, quidem graviter,aliquando leviter puniuntur cædes involuntariæ, clarum est ex iis quæ quotidie accidunt circa infantes,quæ in matrum ulnis sæpe moriuntur. Si enim ex ebrietate mater gravi somno affecta, relicto incurato infante dedit causam cædis, acerbè punietur. Sin autem ex mala valetudine profundè dormiit,& infantulo mortiferum somnum præbuit, levius punietur. Ego autem vidi quandam mulierem divitem & delicatam, graviter punitam, quòd per se, & non per nutrices infantem mamma aleret, & propter inscitiam importunè eum lactans, pro lacte, mortifero eum veneno potavit. Nota hoc propter matres quæ per incuriam lactentes suos infantes suffocant.

Zonar. Supra octavo canone,de involuntariis cædibus scripsit,nec se quid ultra illa dicat, habere asserit. Permittit autem illi, cujus munus est de eo qui involuntariam cædem patravit,judicare,ut pœnas intendat, vel remittat pro circumstantiæ proprietate,hoc est, pro modo, & causa cædis, & pro ea quam in cædis auctore animadvertit, pœnitentiæ affectione.

Arist. *Homicidarum pœnæ pro circunstantiarum ratione augentur, aut minuuntur.*

Voluntariarum quidem & involuntariarum cædium pœnas magnus hic Ecclesiæ præceptor determinatas dedit: eas autem extendere aut diminuere, ad necessitatem incidententem ejus judicio qui ligandi & solvendi potestatem accepit, committitur.

A **ΑΡΙΣΤ.** Οὐ μέγα πταῖσμα τῇ χήρᾳ δούλῃ, πρὸς δεύτερον γάμον ἁρπαζομένῃ· τὸ δὲ τῆς διγαμίας τὸ ἐπιτίμιον ἕξει.

Ἐπειδὴ αἱ δοῦλαι, ἄνευ γνώμης τῶν δεσποτῶν αὐτῶν, συναλλάσσειν γάμον οὐ δύνανται. κατὰ τοῦτο οὐ δοκεῖ μέγα πταῖσαι ἡ χήρα δούλη σχηματισαμένη, ὑπό τινος ἁρπαγεῖσα, τὸν πρὸς αὐτὴν ἑλομένη γάμον. λοιπὸν οὐδὲ τὰ περὶ τῆς ἁρπαγῆς τῶν ἐλευθέρων γυναικῶν ἐπ' αὐτῆς χώραν ἕξουσι, διότι κἂν ἐσχηματίσατο ἁρπαγῆναι, ἀλλὰ κατὰ θέλησιν αὐτῆς ἠκολούθησε· καὶ οἱ κανόνες οὐ τὰ σχήματα, ἀλλὰ τὴν προαίρεσιν κρίνουσιν. ἔσται οὖν ὁ πρὸς αὐτὴν γάμος, ἐὰν καὶ B ὁ δεσπότης αὐτῆς συναινῇ βέβαιος· τὸ δὲ τῶν διγάμων ἐπιτίμιον ἐπιγνώσεται.

ΚΑΝΩΝ νδʹ.

Τὰς τῶν ἀκουσίων φόνων διαφορὰς πρὸ χρόνων οἶδα, ἐπιστείλας τῇ θεοσεβείᾳ σου, κατὰ τὸ ἡμῖν δυνατὸν, καὶ πλέον ἐκείνων οὐδὲν εἰπεῖν δύναμαι. τῆς δὲ σῆς συνέσεώς ἐστι κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ἐπιτείνειν τὰ ἐπιτίμια, ἢ καὶ ὑφεῖναι.

ΒΑΛΣ. Καὶ πάλιν ἠρωτήθη ὁ ἅγιος πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι C οἱ ἀκουσίους φόνους ἐργασάμενοι. καὶ ἀπελογήσατο ὅτι πλέον ὧν εἶπεν ἐν τῷ ηʹ. κανόνι περὶ ἀκουσίων φόνων, εἰπεῖν οὐ δύναμαι. ἐνέδωκε δὲ τῷ οἰκονομοῦντι τὸν ἁμαρτήσαντα τὸν ἀκούσιον φόνον, ἢ αὔξειν τὸ ἐπιτίμιον, ἢ ἐλαττοῦν κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ἤγουν κατὰ τὸν τρόπον καὶ τὴν αἰτίαν τοῦ φόνου, καὶ κατὰ τὴν ποιότητα τοῦ φονεύσαντος προσώπου, καὶ τὴν διάθεσιν. ὅτι δὲ πολυτρόπως, ἤγουν ποτὲ μὲν βαρέως, ποτὲ δὲ ἐλαφρῶς κολάζονται οἱ ἀκούσιοι φόνοι, δῆλόν ἐστι καὶ ἀπὸ τῶν ὁσημέραι περιπιπτόντων παραπτωμάτων εἰς τὰ βρέφη τὰ ἐν ταῖς ἀγκάλαις πολλάκις τῶν μητέρων ἀποθνήσκοντα. εἰ μὲν γὰρ ἀπὸ μέθης βαρέως ὑπνώσασα ἡ μήτηρ, καὶ τὸ βρέφος ἀτη- D μέλητον καταλείψασα, ἔδωκε τὴν αἰτίαν τοῦ φόνου, πικρῶς ἐπιτιμηθήσεται. εἰ δὲ ἀπὸ κοπηρᾶς ἐνεργείας βιωτικῆς βαθέως ὕπνωσε καὶ τῷ βρεφυλλίῳ ἐπιθανάτιον ὕπνον ἐπώρεξε, κουφότερον ἐπιτιμηθήσεται. ἐγὼ δὲ εἶδον γυναῖκα πλουσίαν καὶ τρυφερὰν βαρέως ἐπιτιμηθεῖσαν ὅτι δι' ἑαυτῆς καὶ οὐ διὰ τιτθῶν ὑπομάσθιον ἔτρεφε, καὶ ἐξ ἀπειρίας ἀπροσέκτως τὸ βρέφος θηλάζουσα ἀντὶ γάλακτος θανάσιμον κόνδυ τούτῳ ἐπότισεν. σημείωσαι διὰ τὰς ἐξ ἀμελείας ἀποπνιγούσας μητέρας τὰ ὑπομάζια αὐτῶν βρέφη.

ΖΩΝΑΡ. Ἐν ὀγδόῳ κανόνι περιέγραψε, περὶ ἀκουσίων φόνων, καὶ πλέον ἐκείνων λέγει μὴ ἔχειν εἰπεῖν. ἐφίησι δὲ E τῷ οἰκονομοῦντι τὸν ἁμαρτήσαντα τὸν ἀκούσιον φόνον, καὶ αὔξειν τὸ ἐπιτίμιον, ἢ ἐλαττοῦν, κατὰ τὸ τῆς περιστάσεως ἰδίωμα· ἤγουν κατὰ τὸν τρόπον καὶ τὴν αἰτίαν τοῦ φόνου, καὶ κατὰ τὴν ποιότητα τῆς μετανοίας τοῦ φονεύσαντος.

ΑΡΙΣΤ. Τῶν φονευόντων τὰ ἐπιτίμια, κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, ἐπιτείνεται, καὶ ὑφίεται.

Ὡρισμένα μὲν ἐπὶ τῶν ἑκουσίων φόνων, καὶ ἐπὶ τῶν ἀκουσίων τὰ ἐπιτίμια ὁ μέγας οὗτος τῆς ἐκκλησίας διδάσκαλος ἔθετο· τὸ δὲ ταῦτα ἐπιτείνειν, ἢ ἐλαττοῦν, πρὸς τὴν παρεμπίπτουσαν ἀνάγκην, εἰς τὴν γνώμην ἀνέθεντο τοῦ δεσμεῖν καὶ F λύειν τὴν ἐξουσίαν λαβόντος.

A

ΚΑΝΩΝ νεʹ.

Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες τῆς ἐκκλησίας εἴργονται τῆς κοινωνίας τοῦ ἀγαθοῦ· κληρικοὶ δὲ ὄντες τοῦ βαθμοῦ καθαιροῦνται, πᾶς γάρ, φησί, ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται.

ΒΑΛΣ. Εν μὲν τῷ ιγʹ. κανόνι συμβουλευτικῶς διωρίσατο ὁ ἅγιος τοὺς ἐν πολέμῳ φονεύσαντας, ἀπέχεσθαι τῆς κοινωνίας τῶν ἁγιασμάτων δι᾽ ὅλων τριῶν ἐτῶν· ἐνταῦθα δὲ τοὺς ἀντιστάντας τοῖς λῃσταῖς, καὶ φονεύσαντας αὐτούς, λαϊκοὺς μὲν ὄντας, ἀπείργει ἐκ τῆς ἁγίας μεταλήψεως· κληρικοὺς δὲ καθαιρέσει καθυποβάλλει. καὶ φησί, τοῦτο ὁροθετῆσαι κατὰ τὸ γραφικόν, τὸ λέγον, πᾶς ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται· μάχαιραν δὲ καὶ θάνατον ἀποκαλεῖ τὴν καθαίρεσιν καὶ τὴν στέρησιν τῶν ἁγιασμάτων. τοῖς γὰρ εὖ φρονοῦσι θανατηφόρος τιμωρία ταῦτα λογίζονται. ὅτι δὲ τὸν ιγʹ. κανόνα κατὰ λόγον συμβουλῆς ἐκτεθέντα, εἶπόν τινες μὴ εἶναι ἀναγκαστικόν, καὶ διὰ τοῦτο μηδὲ φυλάττεσθαι, φαμέν, ὡς ἀπὸ τοῦ παρόντος κανόνος ἀπροσδιορίστως ἐπιτιμῶντος τοὺς ἀμυνομένους καὶ φονεύοντας τοὺς λῃστάς, ἀναφαίνεται καὶ τὸν κανόνα ἐκεῖνον, ἀναγκαστικὸν εἶναι. καὶ ὁ μὲν ἐκκλησιαστικὸς νόμος οὕτω κολάζει τούτους. τὸ δὲ δεύτερον θέμα τοῦ ιδʹ. κεφαλ. τοῦ λθʹ. τίτλου τοῦ ξʹ. βιβλίου φησὶν οὕτω ῥητῶς· τὸν λῃστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν. ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Κωνσταντίνου τοῦ Χλιαρηνοῦ, προσελθόντων τινῶν στρατιωτῶν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ διηγησαμένων ἐντυχεῖν ἐνόπλοις λῃσταῖς εἰς τὴν κλεισούραν τοῦ ἁγίου Βασιλείου, καὶ φονεῦσαι αὐτούς, καὶ ζητησάντων τὸ ποιητέον μαθεῖν, γέγονε λόγος συνοδικός, εἰ ὀφείλουσιν ἀδιαστίκτως πάντες οἱ φονεύοντες λῃστὰς ἐπιτιμᾶσθαι· καὶ εἶπόν τινες, ὡς εἰ μὲν δυνάμενός τις τὴν ἐπιβουλὴν τοῦ λῃστοῦ διαφυγεῖν, οὐκ ἐποίησε τοῦτο, ἀλλ᾽ ἐκ μελέτης αὐτὸν ἐφόνευσεν, οὐχὶ κατὰ τὸν παρόντα κανόνα ἐπιτιμηθήσεται, ἀλλ᾽ ὡς φονεὺς ἐπὶ πλέον τιμωρηθήσεται. τίς γάρ φασιν, οἶδεν, ἐὰν ὁ μὴ κατ᾽ αὐτοῦ ἐπιὼν λῃστὴς προνοίᾳ θεοῦ ἐπιζήσας, ἀπέστη τῆς λῃστείας, καὶ τῷ κυρίῳ προσεκολλήθη; ἐχρῶντο δὲ καὶ τῷ παλαιῷ τοῦ καταστρωθέντος ἄνωθεν νόμου λέγοντι, τουτέστιν εἰ μὴ ἐδύνατο φυγεῖν ἀσφαλῶς, οὐκ ἐγκαλεῖται. εἰ δὲ ὁ λῃστὴς μᾶλλον προέτεινε χεῖρα φονεύτριαν κατὰ τοῦ φονεύσαντος αὐτόν, γενήσεται. ἔτι ὁ παρὼν κανὼν διορίζεται, ἀλλὰ μὴν καὶ ὁ διαληφθεὶς νόμος. εἰ δὲ ὁ φονεύσας οὔτε ἐδίωξε τὸν λῃστήν, οὔτε διωκόμενος ὑπ᾽ ἐκείνου ἀντημύνατο, καὶ ἐφόνευσε τοῦτον, ἀλλὰ διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως ἐμελέτησε καὶ ἐφόνευσεν αὐτόν, οὔτε νομίμως οὔτε ἐκκλησιαστικῶς τιμωρηθήσεται. ὁ τοιοῦτος γάρ, φησι καὶ ἐπάθλων ἄξιός ἐστιν, ὡς πολλῶν ψυχὰς ἐκ θανάτου ῥυσάμενος, καὶ ἐξημερώσας τὸν τόπον τὸν ὥσπερ ἀκάνθαις καὶ τριβόλοις ταῖς τοῦ λῃστοῦ ἐνέδραις συμπνιγόμενον. κατεσκεύαζόν τε τοῦτο καὶ ἀπὸ τοῦ νόμου τοῦ κειμένου εἰς τὸν αʹ. τίτλον τοῦ ηʹ. βιβλίου, καὶ διοριζομένου μὴ ἀτιμοῦσθαι τὸν χάριν ἐπιδείξεως ἀνδρείας θηριομαχήσαντα, καὶ τὸν λαβόντα μισθὸν ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου βλάπτον τὴν ἐπαρχίαν. ἤρεσε δὲ τῇ συνόδῳ ὅσον τέως κατὰ τοὺς νόμους τῆς ἐκκλησίας τοὺς ἀμυνομένους τοῖς λῃσταῖς καὶ τοὺς διὰ τὸ κοινῇ συμφέρον ἐκ παρακλήσεως φονεύσαντας λῃστάς, ἐπιτιμᾶσθαι καθὼς ἐπιτιμῶνται καὶ οἱ ἐν πολέμῳ φονεύσαντες. τὸν δὲ φονεύσαντα λῃστήν, ὁπότε τὴν ἀπὸ τούτου λῃστείαν ἠδύνατο διαφυγεῖν, ἐπὶ πλέον ἐπιτιμᾶσθαι. κατὰ μέντοι τὰ νόμιμα δίκαια ἡ ἀνωτέρα ῥηθεῖσα διαίρεσις οὐκ ἀπεπέμπεται. καὶ ταῦτα μὲν περὶ τῶν λαϊκῶν. οἱ γὰρ κληρικοὶ ὁπωσδήποτε φονεύοντες καθαιροῦνται, μηδεμιᾶς διαφορᾶς οὔσης πολεμίων ἢ λῃστῶν, ἢ ἑτέρων τινῶν. καὶ ἀνάγνωθι τὸ κατὰ τὴν ιεʹ. τοῦ Μαΐου μηνὸς τῆς τρίτης ἰνδικτιῶνος γεγονὸς

CANON LV.

Qui ſe latronibus adverſos objiciunt, ſi ſint quidem extra Eccleſiam, à boni communione arcentur: ſi ſint autem Clerici, à gradu deponuntur. Quicunque enim, inquit, gladium accepit, gladio peribit.

BALS. In xiii. canone ſanctus conſulendo definiit, ut qui in bello interfeciſſent à ſacramentorum communione abſtinerent tribus annis integris. Hic autem eos qui latronibus oppoſuerant, & eos interfecerant, B ſi ſint quidem laici, arcet à ſancta communione. Clericos autem depoſitioni ſubjicit, & dicit ſe hoc definiiſſe, ſecundum ſcripturam quæ dicit, Quicunque gladium acceperit, gladio peribit. Gladium autem, & mortem vocat, depoſitionem, ſacramentorum privationem. Ab iis enim qui ſapiunt hæc mortiferum ſupplicium exiſtimantur. Quia autem xiii. can. inſtar conſilii editum dicebant nonnulli, non afferre neceſſitatem, & propterea deſpici, dicimus quod ex præſenti canone, qui indiſtinctè punit eos qui ſe defendunt, & latrones interficiunt, apparet illum C etiam canonem jam afferre neceſſitatem. Et eccleſiaſtica quidem lex eos ſic punit, ſecundum autem thema xiv. cap. xxxix. tit. lx. lib. ſic dicit expreſsè, Invadentem latronem licet ſine periculo occidere: tempore autem ſanctiſſimi illius patriarchæ domini Conſtantini Chliareni, cum quidam milites acceſſiſſent ad ſanctiſſimam Dei magnam Eccleſiam, & ſe armatos in latrones incidiſſe dicerent in clauſura ſancti Baſilii, & eos interfeciſſe, & vellent ſcire, quid agendum, ſynodaliter diſputatum eſt, an omnes qui latrones interficiunt debeant indiſtinctè puniri: & dixerunt nonnulli, quòd ſi quis potens latronis inſidias effugere hoc non fecit, ſed eum dedita opera interfecit, D non punietur ſecundum præſentem canonem, ſed tanquam in homicidam gravius in eum animadvertetur. Quis enim ſcit, inquiunt, an qui in eum impetum faciebat latro, ſi vixiſſet, Dei providentia à latrocinio, ceſſaſſet, & Deo adhæſiſſet? Utebantur autem & antiqua ſuperius, ſita lege, quæ dicit, Si non poſſet tutò effugere, crimini non datur. Si autem latro violentam manum adverſus eum qui ipſum interfecit intentavit, fiet quod præſens canon decernit. Atqui lex quoque ſuperius dicta ſic habet, Si autem qui occidit nec latronem proſequutus eſt, nec dum latro E eum perſequeretur ſe ulciſcebatur & ipſum occidit: ſed propter communem utilitatem provocatione hoc molitus eſt, & ipſum interfecit, nec legitimè, nec eccleſiaſticè punietur. Is enim, inquit, præmiis quoque dignus eſt, ut qui multorum animas à morte liberaverit, & locum qui latronis inſidiis, tanquam quibuſdam ſpinis & tribulis ſuffocabatur manſuefecerit. Hoc quoque confirmabant ex lege, quæ ſita eſt in primo titulo lib. viii. & decernit eum non eſſe infamem, qui pro oſtentanda virtute cum beſtiis pugnaverit, & pro oppugnanda bellua abſque canum venatione mercedem acceperit, cum ea bellua provinciam magnopere læderet: Synodo autem viſum eſt, ut quod ad leges F eccleſiæ attinet, & qui defendentes, & qui propter publicam utilitatem ex provocatione, latrones interfecerunt, puniantur quemadmodum puniuntur qui in bello occiderunt: is autem qui latronem interfecit, quando poterat iſtius latrocinium effugere, amplius puniatur. Tamen ſecundum jura legitima ſuperius dicta diviſio non repudiabitur. Et hæc quidem de laicis. Clerici enim quomodocunque occidentes deponuntur, nulla habita differentia hoſtium, vel latronum, vel aliquorum aliorum. Lege & Synodicam adnotationem menſis Maij die xv. indict. iii.

Indict. iii. factam, in diebus ſanctiſſimi Patriarchæ domini Conſtantini Cliareni, quæ ſita eſt ad finem præſentis libri, & hæc omnia tractat. Lege & cap. xxiii. tit. xiii. præſentis operis.

Zonar. Hic quoque canon habet aliquid aſperitatis: cum pari ratione, atque illum qui in bello quempiam interfecit, triennio à ſancta communione arceat. Qui namque adverſus latrones egrediuntur, aut illis ingruentibus ſeſe contra objiciunt, ne vita ab iis priventur, quamvis ipſos interficiant, venia digni ſunt, ſi modo laici fuerint: qui etiam pro aliorum ſalute ſuam ipſi vitam profundunt, ut regiones latronibus purgent, ac viatores à periculis liberos reddant. Neque ſolum venia ejuſmodi hominibus tribuenda, ſed præmiis quoque digni ſunt, quippe qui ob aliorum ſalutem, ipſi ſibi minime parcant: Et hæc quidem de laicis ſint dicta.

Arist. *Qui ſe latronibus adverſos objiciunt, ſi ſint quidem extra Eccleſiam, boni communione arcentur. Clerici verò gradu deponuntur.*

Quandoquidem juxta Dominicam vocem omnis qui gladium accepit, gladio peribit. Et qui ſe latronibus adverſos objiciunt, eoſque occidunt, pœnas luent. Si laici quidem ſint, divinorum Sacramentorum participes non erunt, ſi Clerici autem, deponentur.

CANON LVI.

Qui ſua ſponte interfecit, & poſtea pœnitentia ductus eſt, xx. annis Sacramento non communicabit. Viginti autem anni ſic in eo diſpenſabuntur. Debet quatuor annis deflere ſtans extra fores oratorii, & fideles ingredientes rogans ut pro eo precentur, ſuam iniquitatem pronuncians. Poſt quatuor autē annos inter auditores recipietur, & quinque annis cum ipſis egredietur: ſeptem autem annis cum iis qui in ſubſtratione orant, egredietur. In quatuor annis ſolum ſtabit cum fidelibus, ſed non erit oblationis particeps. Iis autem expletis, erit Sacramentorum particeps.

CANON LVII.

Qui non voluntariè interfecit, undecim annis Sacramentis non communicabit. Undecim autem anni ſic in eo diſpenſabuntur. Duos quidem annos deflebit, tres autem annos inter auditores perſeverabit, in quatuor ſubſtratus, & anno ſolum conſiſtet, & deinceps ad ſacra admittetur.

Bals. Præſentes duo canones deſcribunt quomodo debent puniri qui voluntarias & involuntarias cædes fecēre. Pœnarum autem etiam modos definiunt.

Zonar. Ad annos viginti, eum qui voluntarie interfecit, atque ad pœnitentiam ſe confert, hic ſanctus vir ſegregari jubet, ad decem vero eum qui non ſponte occidit. Tum deinceps, utriſque pro ſingulis mulctæ locis, proprium tempus deſignat.

Arist. Can. lvi. *Voluntarius homicida viginti annos ſubſternatur, involuntarius decem; Adulter quindecem: fornicator ſeptem: Virgines poſt profeſſionem lapſæ, annos quindecem.*

Qui voluntariè quempiam occidit, & poſtea pœnitentiam egit, viginti annos à ſanctificatione excommunicabitur. At viginti anni ſic in eum diſpenſantur. Quatuor annis extra ædis oratoriæ foras ſtans, & fideles ingredientes orans preces pro ipſo fundere, peccatum ſuum palam efferens deflere debet. Poſtea autem quatuor annos

A συνοδικὸν σημείωμα ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Κωνσταντίνου τοῦ χλιαρηνοῦ, κατεστρωθὲν εἰς τὸ τέλος τοῦ παρόντος βιβλίου, καὶ ταῦτα πάντα διαλαμβάνον. ἀνάγνωθι καὶ τὸ κγ΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Καὶ οὗτος ὁ κανὼν φορτικός ἐστιν· ἐπίσης τῷ τὸν ἐν πολέμῳ ἀνελόντα εἴργοντι τῆς ἁγίας μεταλήψεως ἐπὶ τριετίαν. οἱ γὰρ λῃσταῖς ἀντεπεξιόντες, ἢ ἐκείνων ἐπιτιθεμένων αὐτοῖς ἀνθιστάμενοι, ἵνα μὴ ἀποθάνωσι· καὶ κἂν ἀνέλωσι τοὺς λῃστὰς, συγγνώμην εἰσὶν ἄξιοι πως οἱ λαϊκοί· οἳ καὶ ὑπὲρ ἄλλων τὰς ἑαυτῶν τιθέασι ψυχὰς, B ἵνα τῶν λῃστῶν τοὺς τόπους καθαίρωσι, καὶ τοὺς παροδεύοντας κινδύνων ἐλευθερώσωσι. καὶ οὐ μόνον συγγνωστέοι εἰσὶν οἱ τοιοῦτοι, ἀλλὰ καὶ ἐπάθλων ἄξιοι, ὡς διὰ σωτηρίαν ἑτέρων ἑαυτῶν μὴ φεισάμενοι. ταῦτα δὲ περὶ λαϊκῶν.

ΑΡΙΣΤ. Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες ἔξω μὲν ὄντες τῆς κοινωνίας εἴργονται τοῦ ἀγαθοῦ· κληρικοὶ δὲ τοῦ βαθμοῦ καθαιροῦνται.

Ἐπειδὴ, κατὰ τὴν κυριακὴν φωνὴν, πᾶς ὁ λαβὼν μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανεῖται· καὶ οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, C καὶ τούτους φονεύοντες, ὑπὸ ἐπιτίμησιν ἔσονται· καὶ λαϊκοὶ μὲν ὄντες, τῶν θείων ἁγιασμάτων οὐ μεθέξουσι· κληρικοὶ δὲ ὄντες καθαιρεθήσονται.

ΚΑΝΩΝ νϛ΄.

Ο ἑκουσίως φονεύσας, καὶ μετὰ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτη ἀκοινώνητος ἔσται τοῦ ἁγιάσματος. τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ᾽ αὐτῷ. ἐν δ΄. ἔτεσιν προσκλαίειν ὀφείλει ἔξω τῆς θύρας ἑστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν, μετὰ δὲ δ΄. ἔτη εἰς τοὺς ἀκροωμένους D δεχθήσεται, ἐν ε΄. ἔτεσιν μετ᾽ αὐτῶν ἐξελεύσεται. ἐν δὲ ζ΄. ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχόμενος ἐξελεύσεται. ἐν δ΄. συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται. πληρωθέντων δὲ τούτων μεθέξει τῶν ἁγιασμάτων.

ΚΑΝΩΝ νζ΄.

Ο ἀκουσίως φονεύσας ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων. οἰκονομηθήσεται δὲ ἐπ᾽ αὐτῷ τὰ δέκα ἔτη οὕτω. δύο μὲν ἔτη προσκλαύσει, τρία δὲ ἔτη ἐν ἀκροωμένοις διατελέσει. ἐν δ΄. ὑποπίπτων, καὶ ἐν ἐνιαυτῷ E συστήσεται μόνον, καὶ τὰ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες ὑποτυποῦσιν ὅπως ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ ποιησάμενοι ἑκουσίους φόνους καὶ ἀκουσίους. ὁρίζουσι δὲ καὶ τοὺς τρόπους τῶν ἐπιτιμίων.

ΖΩΝΑΡ. Ἐν εἴκοσιν ἐνιαυτοῖς τὸν ἑκουσίως φονεύσαντα, καὶ εἰς μετάνοιαν ἐλθόντα ἀφορίζει οὗτος ὁ ἅγιος· ἐν δέκα δὲ τὸν ἀκουσίως ἀνελόντα. καὶ ἑξῆς ἐπ᾽ ἀμφοτέροις ἑκάστῳ τόπῳ ἐπιτιμίου ὁρίζει καιρὸν ἰδιαίτατον.

F **ΑΡΙΣΤ.** καν. νϛ΄. Ὁ ἑκούσιος φονευτὴς, εἰκοσαετίαν ὑποπιπτέτω· ὁ ἀκούσιος, δεκαετίαν· ὁ μοιχὸς, πεντεκαιδεκαετίαν· ὁ πόρνος, ἑπταετίαν· αἱ παραπίπτουσαι μετὰ τὴν ὁμολογίαν παρθένοι, πεντεκαιδεκαετίαν.

Ὁ ἑκουσίως φονεύσας, μετὰ δὲ τοῦτο μεταμεληθεὶς, εἴκοσιν ἔτεσιν ἀκοινώνητός ἐστι τοῦ ἁγιάσματος. τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ᾽ αὐτῷ. ἐν τέσσαρσιν ἔτεσιν ὀφείλει προσκλαίειν ἔξω τῆς θύρας ἑστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν· μετὰ δὲ ταῦτα τὰ τέσσαρα ἔτη, εἰς τοὺς ἀκροωμένους δεχθήσεται, καὶ ἐν πέντε ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται· ἐν ἑπτὰ ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχομένων ἐξελεύσεται· ἐν τέσσαρσι συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται. πληρουμένων δὲ τούτων, μεθέξει τῶν ἁγιασμάτων.

ΑΡΙΣΤ. καν. νζ'. Ὁ ἀκουσίως φονεύσας, δέκα ἔτη ἀκοινώνητος ἔσται· ἤγουν δύο προσκλαίων, τρεῖς ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἑνὶ συνεστὼς, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχόμενος. Σαφής.

ΚΑΝΩΝ νή.

Ὁ μοιχεύσας ἐν ιέ. ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων. οἰκονομηθήσεται δὲ τὰ ιέ. ἔτη ἐπ' αὐτῷ οὕτως· ἐν δ'. μὲν ἔτεσι προσκλαίων ἔσται· ἐν έ. δὲ ἀκροώμενος· ἐν δ'. ὑποπίπτων· ἐν δυσὶ συνεστὼς ἄνευ κοινωνίας.

ΚΑΝΩΝ νθ'.

Ὁ πόρνος ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, δύο προσκλαίων, καὶ δύο ἀκροώμενος, δύο ὑποπίπτων, καὶ ἐν ἑνὶ συνεστὼς μόνον· τῷ ὀγδόῳ δὲ δεχθήσεται εἰς τὴν κοινωνίαν.

ΒΑΛΣ. Εἰ καὶ σαφέστατά εἰσι τὰ ἐν τοῖς παροῦσι δυσὶ κανόσι διορισθέντα, κατὰ τὴν φράσιν, ἀλλὰ κατὰ τὴν πρᾶξιν, πάντῃ δυσχερέστατά εἰσιν· οὐδεὶς γὰρ κατὰ τὴν τούτων περίληψιν θεραπεύεται. καὶ εἰ μὴ τὸ ἄφατον ἔλεος τοῦ φιλανθρώπου θεοῦ, ἀπώλετο ἂν πᾶσα σάρξ. μὴ ἐναντιωθῇ δέ σοι ὁ κβ'. κανὼν τοῦ ἁγίου πατρὸς, λέγων τοὺς ἐξ ἁρπαγῆς φθείροντας γυναῖκας ἐπὶ τετραετίᾳ ἐπιτιμᾶσθαι. ἐκεῖσε μὲν γὰρ ὁ ἅγιος τὴν πρὸ αὐτοῦ πατέρων ἐδήλωσε τὴν διαταγήν· ἀρτίως δὲ τὴν οἰκείαν γνώμην ἐξήνεγκεν.

ΖΩΝΑΡ. Ἐν τῷ κβ'. κανόνι ὁ ἅγιος οὗτος περὶ τῶν ἐξ ἁρπαγῆς φθειράντων γυναῖκας διαταττόμενος, καὶ προϊὼν λέγει· ἔστι δὲ ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη· χρὴ δὲ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτὸν τῇ θύρᾳ τῆς ἐκκλησίας. τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν, τῷ τρίτῳ εἰς μετάνοιαν, τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχόμενον τῆς προσφορᾶς· εἶτα αὐτῷ ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἀγαθοῦ. ἐνταῦθα δὲ ἑπταετίαν ὁρίζει τῆς πορνείας τὸ ἐπιτίμιον. ἔοικεν οὖν ὁ αὐτὸς ἑαυτῷ ἐναντιοῦσθαι, ἀλλ' οὐκ οἶμαι. τὴν μὲν γὰρ τετραετίαν, ὡς διαταγὴν τῶν πρὸ αὐτοῦ εἰσήνεγκε· καὶ τοῦτο δηλοῦται ἐκ τοῦ εἰπεῖν· ἔστιν ἡ τῆς πορνείας ἐπιτίμησις ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη· ἤγουν παρὰ τῶν πρὸ ἡμῶν διατεταγμένη· τὴν δὲ ἑπταετίαν, ὡς οἰκείαν γνώμην εἰσήγαγε, βαρύτερον κολάζων τὴν πορνείαν, ὡς καὶ ἄλλα τῶν ἁμαρτημάτων πολλά.

ΑΡΙΣΤ. καν. νή. Ὁ μοιχεύσας, δεκαπέντε ἔτη οὐ κοινωνήσει. τέσσαρα προσκλαίων, πέντε ἀκροώμενος, τέσσαρα ὑποπίπτων, καὶ δύο συνεστὼς ἄνευ κοινωνίας. Σαφής.

ΑΡΙΣΤ. καν. νθ'. Ὁ πόρνος ἑπτά· δύο προσκλαίων, δύο ἀκροώμενος, δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστὼς, τῷ ὀγδόῳ δεχθήσεται εἰς κοινωνίαν. Σαφής.

A ad audientes recipietur, & quinque annis cum iis egredietur. Septem annis cum iis qui in ſubmiſſione precantur, exibit. Quatuor cum fidelibus tantum conſiſtet, oblationis autem non particeps erit. Hiſce autem expletis de Sacramentis participabit.

ARIST. can. lvii. *Qui involuntariè quempiam occidit, decennio excommunicatus erit: nimirum biennio deflet, triennio audit, quadrienniо ſubſternitur, uno anno conſiſtit: & deinceps ad ſacra admittitur.* Perſpicuus.

B

CANON LVIII.

Qui adulteravit, in quindecim annis Sacramentis non communicabit. In his autem quindecim annis ſic quoque diſpenſabitur. Quatuor annis erit deflens, quinque audiens, quatuor ſubſtratus, in duobus conſiſtens ſine communione.

CANON LIX.

Fornicator ſeptem annis Sacramentis non communicabit, duobus deflens, & duobus audiens, & duobus ſubſtratus, uno ſolo conſiſtens, octavo autem ad communionem admittetur. C

BALS. Etiamſi, quæ præſentibus duobus canonibus decreta, quod ad dictionem attinet, ſunt clariſſima: quantum tamen ad praxin, ſunt omnino difficillima. Nemo enim ea, quæ illic continetur, ratione curatur: & niſi eſſet inenarrabilis homini clementis Dei miſericordia, omnis caro periiſſet. Ne autem contrarius eſſe tibi videatur xxii. canon ſancti patris, qui dicit, eos qui ex raptu mulieribus ſtuprum afferunt quadriennio puniri. Illic enim ſanctus ea, quæ à patribus qui ipſum præceſſere ſtatuta ſunt, oſtendit; nunc autem ſuam ſententiam protulit. D

ZONAR. Vigeſimo ſecundo hic ſanctus vir cum de mulierum à ſe raptarum corruptoribus decretum edidiſſet, continuata mox oratione hæc habet: Eſt autem quatuor annorum præfinita fornicatoribus mulcta. Oportet autem eum primo anno à precibus expelli, & deflere præ foribus Eccleſiæ. Secundo autem ad auditionem admitti. Tertio ad pœnitentiam. Quarto cum congregationem cum populo abſtinentem ab oblatione, deinde ei permitti boni Communionem. Hoc autem loco ſeptennium fornicationi, mulctæ nomine decernit. Videtur ergo eſſe ſibi ipſemet contrarius. Verum ego non ita cenſeo. Quadriennii namque mulctam, veluti conſtitutionem à majoribus editam protulit: idque ſatis declaratur ex illis verbis, Eſt quatuor annorum præfinita fornicationis mulcta, à majoribus nempe noſtris decreta. Septennium vero, tanquam ex ſua ipſe ſententia explicavit: fornicationi ut aliis quoque criminibus graviorem pœnam injungens. E

ARIST. can. lxvii. *Adulter quindecim annis non communicabit. Quatuor deflens, quinque audiens, quatuor ſubſtratus; & duobus conſiſtens ſine communione.* Perſpicuus.

ARIST. can. lix. *Fornicator ſeptem, duobus deflens, duobus audiens, duobus ſubſtratus, & uno conſiſtens: octavo ad communionem admittetur.* Perſpicuus. F

CANON LX.

Quæ virginitatem professa à voto suo ac professione lapsa est, peccati adulterii tempus in suæ vitæ dispensatione complebit. Idem & in iis qui vitam monasticam profitentur & labuntur.

BALS. Sæpe diximus, quod virgines mulieres dedicabantur ecclesiis cum laico amictu, & ab Episcopis nutriebantur, ut quæ & virgines manere, & ecclesiis assidere profiterentur. Hanc ergo virginem, quæ hæc professa est lapsa, seu fornicata est, decernit sanctus ut adulteram tractari seu puniri: & non solum eas, sed & monachas & monachos similiter post conversionem curari. Ne tibi autem videatur adversari xix. can. Synodi Ancyranæ, decernens lapsas virgines pœnis digamorum subjici. Is enim à præsente canone sublatus est, qui est multo recentior: lege & xviii. can. præsentis sancti patris, & nota quòd ex præsenti canone monachi qui fornicantur, & non deponuntur, ut qui non habeant lectoris characterem à suo præfecto, vel Episcopalem ordinationem, post defectionem, instar adulterorum puniuntur. Similiter etiam ascetriæ, & monachæ. Lege & xi. tit. præsentis operis cap. v. viii. & ix.

ZONAR. Ecce hîc quoque vir sanctus gravius multiplici ratione punit eam quæ virginitatem professa, promissionem fefellisset. Cum enim undevigesimus Ancyranæ Synodi canon, his plane verbis constet, Quicunque virginitatem profitentes, professionem suam irritam reddunt, ij bigamorum definitionem impleant: hic, peccati, inquit, adulterii tempus explebit. Est autem digamorum quidem mulcta, communionis annua privatio, adulterii vero ad quindecim annos protenditur. Consule decimum octavum canonem.

ARIST. *Quæ virginitatem professa & lapsa est, adulteri tempus explebit. Idem & in iis qui vitam monasticam professi & lapsi sunt, observandum.* Perspicuus.

CANON LXI.

Qui furatus est, si ex se quidem pœnitentia motus seipsum accusaverit, anno à sola sacramentorum communione arcebitur. Sin autem convictus fuerit, duobus annis; tempus verò illi ad substrationem dividetur & ad consistentiam, & tunc communione dignus habeatur.

BALS. Divini canones lenius puniunt eos qui sua peccata confitentur; & ideo statuit magnus Basilius, ut qui suum furtum confessus est, sola sacramentorum communione anno uno arceatur: is autem qui ut fur condemnatus est, vel in furto fuit deprehensus, biennio puniatur, nec in deflentis, nec in audientis, sed in substrati & consistentis loco ponatur, & post duorum annorum lapsum sacramentorum communione dignus habeatur. Et canon quidem in his consistit. Tu autem opta, ne præsens canon secundum furis definitionem intelligatur, quæ dicit, Fur est, qui præter domini voluntatem aliena contrectat, sciens se eum molestia afficere. Nullus enim ferrè eorum qui in vita versantur sacramentis, ut mihi videtur, communicabit, si hoc datum fuerit. Nam monasteriorum quoque ministri, etiamsi sint religiosissimi, præter suorum præfectorum sententiam, aliquid sibi modicum è ministeriis suis ad vitam substentandam privatim accipiunt, aut ad alios trransferunt, & filii à parentibus subripiunt. Mitto servorum luxuriam,

A

ΚΑΝΩΝ ξ'.

Παρθένος ὁμολογήσασα καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μοναζόντων, ἐπαγγελλομένων καὶ ἐκπιπτόντων.

ΒΑΛΣ. Πολλάκις εἴπομεν ὅτι παρθένοι γυναῖκες ἀνετίθεντο ταῖς ἐκκλησίαις μετὰ λαϊκοῦ σχήματος καὶ ἀνετρέφοντο παρὰ τῶν Ἐπισκόπων ὡς ἐπαγγελλόμενοι παρθενεύειν καὶ προσεδρεύειν ταῖς ἐκκλησίαις. τὴν γοῦν παρθένον ταύτην τὴν ταῦτα ἐπαγγελλομένην, ἐκπεσοῦσαν, ἤτοι πορνεύσασαν ὁρίζει B ὁ ἅγιος κατὰ τὰς μοιχαλίδας οἰκονομεῖσθαι, ἤγουν ἐπιτιμᾶσθαι. καὶ οὐ μόνον ταύτας, ἀλλὰ καὶ τὰς μοναχὰς, καὶ τοὺς μοναχοὺς ὁμοίως μετὰ ἐπιστροφὴν θεραπεύεσθαι. μὴ ἐναντιωθῇ δέ σοι ὁ ιθ'. κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου, διοριζόμενος τὰς ἐκπεσούσας παρθένους τῷ ἐπιτιμίῳ τῶν διγάμων ὑποκεῖσθαι. ἀνῃρέθη γὰρ ὑπὸ τοῦ παρόντος κανόνος μεταγενεστέρου ὄντος κατὰ πολύ. ἀνάγνωθι καὶ τὸν ιη'. κανόνα τοῦ παρόντος ἁγίου πατέρος, καὶ σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος κανόνος οἱ πορνεύοντες μοναχοὶ καὶ μὴ καθαιρέμενοι, ὡς μὴ ἔχοντες σφραγῖδα ἀναγνώστου ἀπὸ τοῦ ἡγουμένου αὐτῶν, ἢ χειροτονίαν ἐπι- C σκοπικὴν μετὰ ἀπόστασιν δεχόμενοι, κατὰ τοὺς μοιχοὺς ἐπιτιμῶνται. ὡσαύτως καὶ αἱ ἀσκήτριαι καὶ αἱ μοναχαί. ἀνάγνωθι καὶ τοῦ ια'. τίτλου τοῦ παρόντος συντάγματος κεφ. ε. η. καὶ θ'.

ΖΩΝΑΡ. Ἰδοὺ κἀνταῦθα ὁ ἅγιος ἐπὶ τὸ βαρύτερον κατὰ τὸ πολλαπλάσιον κολάζει τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ψευσαμένην τὴν ἐπαγγελίαν. τοῦ γὰρ ἐννεακαιδεκάτου κανόνος τῆς ἐν Ἀγκύρᾳ συνόδου, οὕτω ῥητῶς περιέχοντος· ὅσοι παρθενίαν ἐπαγγελλόμενοι ἀθετοῦσι τὴν ἐπαγγελίαν, τὸν τῶν διγάμων ὅρον ἐκπληρούτωσαν· οὗτος τὸν χρόνον, φησὶ, τοῦ τῆς μοιχείας ἁμαρτήματος ἐκπληρώσει· ἔστι δὲ τὸ μὲν τῶν διγάμων ἐπιτίμιον, ἀκοινωνησία ἐπὶ ἐνιαυτόν· τὸ δέ γε τῆς D μοιχείας, ἐπὶ ἐνιαυτοὺς πεντεκαίδεκα. ζήτει κανόνα ιη'.

ΑΡΙΣΤ. Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα, τὸν χρόνον τοῦ μοιχεύσαντος πληρώσει. τὸ αὐτὸ καὶ ἐπὶ τῶν μονάζειν ἐπαγγειλαμένων, καὶ ἐκπεσόντων. Σαφής.

ΚΑΝΩΝ ξα'.

Ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσει ἑαυτοῦ, ἐνιαυτὸν κωλυθήσεται μόνης τῆς κοινωνίας τῶν ἁγιασμάτων. εἰ δὲ ἐλεγχθείη, ἐν δυσὶν ἔτεσιν, μερισθή- E σεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν, εἰς σύστασιν, καὶ τότε ἀξιούσθω τῆς κοινωνίας.

ΒΑΛΣ. Οἱ θεῖοι κανόνες μετριώτερον κολάζουσι τοὺς ἐξομολογουμένους τὰ οἰκεῖα ἁμαρτήματα. διὸ καὶ ὁ μέγας Βασίλειος τὸν μὲν ἐξομολογησάμενον ἣν ἐποιήσατο κλοπὴν διορίζεται μόνης κωλύεσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἐπὶ ἕνα ἐνιαυτὸν, τὸν δὲ κατακριθέντα ὡς κλέπτην ἢ ἁλόντα ἐπὶ κλοπῇ, ἐπὶ διετίαν ἐπιτιμᾶσθαι, μήτε δὲ ἐν προσκλαίοντος τόπῳ τοῦτον ἵστασθαι, μήτε ἐν ἀκροωμένου, ἀλλ' ἐν τῷ τοῦ ὑποπίπτοντος, καὶ ἐν τῷ τοῦ συνιστῶντος, καὶ μετὰ τὴν τῶν δύο χρόνων παραδρομὴν, τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιοῦσθαι. καὶ ὁ μὲν κανὼν ἐν F τούτοις. σὺ δὲ τὸν παρόντα εὔχου κανόνα μὴ ἐξακούεσθαι κατὰ τὸν ὁρισμὸν τοῦ κλέπτου τὸν λέγοντα, κλέπτης ἐστὶν ὁ παρὰ γνώμην τοῦ δεσπότου τὸ ἀλλότριον ψηλαφῶν ἐν εἰδήσει τοῦ λυπῆσαι αὐτόν. οὐδεὶς γὰρ σχεδὸν τῶν ἐν τῷ βίῳ τυρβαζομένων, ὡς ἐμοὶ δοκεῖ, τῶν ἁγιασμάτων ἀξιωθήσεται, εἰ τοῦτο δοθῇ, ὅτι καὶ διακονηταὶ μοναστηρίων, κἂν καὶ εὐλαβέστατοι ὦσι, παρὰ γνώμην τῶν καθηγουμένων αὐτῶν ἀπὸ τῶν διακονιῶν αὐτῶν ἰδιοῦνταί τι μέτριον εἰς ζωάρκειαν, ἢ καὶ πρὸς ἑτέρους μεταπιθέασι, καὶ παῖδες ἀπὸ τῶν γονέων ὑποσυλῶσιν. ἐῶ λέγειν ὑπὸ χεῖρα λειξουρίας λαθραίας

ὑποκλοὑποκρατήσεις τῶν ἀνηκόντων τοῖς κυρίοις αὐτῶν. ἰλιὰς γάρ εἰσι ταῦτα κακῶν, καὶ μεγαλύνουσι τὸ κακόν. ἀλλ᾽ ἐκφωνηθῆναι τὸν κανόνα εἰς τοὺς ἀναιδεῖς κλέπτας. ἀνάγνωθι καὶ τὸ ξς΄. κεφ. τοῦ ιβ΄. τίτλου τοῦ ξ΄. βιβλίου λέγον, ὁ κλέπτης εἰ καὶ μεταμεληθεὶς ἀποδῷ τῷ δεσπότῃ τὸ πρᾶγμα, οὐ παύεται εἶναι κλέπτης.

ΖΩΝΑΡ. Ὁ μὲν ἐξομολογούμενος ἀγνοουμένην κλοπὴν, ἐνιαυτὸν τῆς τῶν ἁγίων δώρων κοινωνίας κωλύεται μόνης· ὁ δὲ ἐλεγχθεὶς, ἢ ἁλοὺς κλέπτων, ἐπὶ διετίαν ἐπιτιμᾶται. οὔτε δὲ ἐν προσκλαίοντος τόπῳ, οὔτε ἐν ἀκροωμένου σταθήσεται, ἀλλ᾽ ἐν τῷ τοῦ ὑποπίπτοντος, καὶ συνεστῶτος· καὶ ἐν τούτοις τοῖς δυσὶ τόποις, ἡ διετία αὐτῷ μερισθήσεται· καὶ οὕτως τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀξιωθήσεται.

ΑΡΙΣΤ. Ὁ κλέψας, καὶ μεταγνοὺς, ἐνιαυτόν· ἐλεγχθεὶς δὲ, καὶ ἕτερον ἕνα.

Τῷ κλέψαντι, καὶ μὴ ἀφ᾽ ἑαυτοῦ μεταμεληθέντι, καὶ ἣν ἐποιήσατο κλοπὴν ἐξομολογησαμένῳ, ἀλλ᾽ ἐλεγχθέντι ὑπό τινων, τὸ τῆς διετίας ἐπιτίμιον οὕτως αὐτῷ ἐπιμερισθήσεται· ὥστε ἕνα χρόνον μετὰ τῶν ὑποπιπτόντων ἵστασθαι· τὸν δὲ δεύτερον μετὰ τῶν πιστῶν, καὶ συγκοινωνεῖν αὐτοῖς τῶν εὐχῶν· καὶ οὕτω μετὰ τῆς διετίας παραδρομὴν, ἀξιοῦσθαι τῆς κοινωνίας.

ΚΑΝΩΝ ξβ΄.

Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄρρεσιν ἐπιδεικνύμενος τῷ χρόνῳ τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

ΚΑΝΩΝ ξγ΄.

Ὁ ἐν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν ἐξαγορεύων τὸν αὐτὸν χρόνον ἐξομολογούμενος παραφυλάττεται.

ΒΑΛΣ. Κατὰ τοὺς μοιχοὺς διορίζεται ὁ ἅγιος κολάζεσθαι τοὺς ἀρρενοκοίτας καὶ τοὺς ἀλογευομένους πάντας μετὰ ἀπόστασιν καὶ ἐξομολόγησιν τοῦ κακοῦ. καὶ ἀνάγνωθι περὶ ἀρρενοκοίτων καὶ τὸ τελευταῖον κεφ. τοῦ λζ΄. τίτλου τοῦ ξ΄. βιβλίου, λέγον, οἱ ἀλογευόμενοι, ἤτοι κτηνοβάται, καυλοκοπείσθωσαν.

ΑΡΙΣΤ. Καν. ξβ΄. Ὁ ἀρσενοκοίτης, ὡς μοιχός. Σαφής.

ΑΡΙΣΤ. Καν. ξγ΄. Ὁ ἐν ἀλόγοις τὴν αὐτοῦ ἀσέβειαν ἐξαγορεύων ὁμοίως. Σαφής.

ΚΑΝΩΝ ξδ΄.

Ἐπίορκος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς μόνον, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος.

ΒΑΛΣ. Περὶ ἐπιόρκων ἀνάγνωθι τὸ ιη΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος καὶ τὰ ἐν ἐκείνῳ παρ᾽ ἡμῶν γραφέντα.

ΖΩΝΑΡ. Οἱ κανόνες οὗτοι σαφεῖς εἰσιν, ἐξηγήσεως μὴ δεόμενοι.

ΑΡΙΣΤ. Ὁ ἐπίορκος, δεκαετίαν· δύο προσκλαίων, τρεῖς ἀκροώμενος, τέσσαρας ὑποπίπτων, ἐνιαυτὸν συνεστώς· καὶ τότε τῆς κοινωνίας ἀξιούμενος. Σαφής.

A clandestinas nempe subreptiones eorum, quæ ad dominos suos pertinent. Hæc sunt malorum Ilias, & malum dilatant. Sed ut intelligatur editus hic canon in fures impudentes. Lege & lxvi. cap. xii. tit. lx. lib. quod dicit, Fur, etiamsi pœnitentia motus rem domino reddiderit, fur esse non desinit.

Zonar. Qui quidem furtum cum esset occultum, sponte confitetur, uno anno à sola Communione arcetur; qui vero convictus, aut deprehensus fuerit, biennio mulctatur. Neque vero in flentis aut in audientis loco consistet, sed in substrati, & consistentis: B ac in duobus hisce locis ei biennii tempus dividetur: & sic sacramentorum communione dignus existimabitur.

Arist. *Qui furatus est, & resipiscit, annum, convictus autem & alterum annum excommunicatus erit.*

Furanti & de eo non resipiscenti, nec furtum quod fecit confitenti, sed ab aliis convicto, duorum annorum pœna ei sic dividetur: ut unum cum succumbentibus stet: secundo autem cum fidelibus, & cum iis in precibus communicet. Et sic post duos elapsos C annos, communione dignus habeatur.

Canon LXII.

Qui suam in maribus turpitudinem ostendit, ei tempus dispensabitur illius qui adulterii scelus admisit.

Canon LXIII.

Qui in brutorum concubitu suam impietatem profitetur, eandem rationem confitens observat.

D Bals. Tanquam adulteros definit sanctus puniri masculorum concubitores, & qui bruta ineunt omnes, postquam scilicet à malo defecerint & confessi fuerint. De masculorum autem concubitoribus, lege etiam ultimum caput xxxvii. tit. lx. lib. quod dicit, Iis, qui bruta ineunt, seu pecora insiliunt, penis abscindatur.

Arist. *Can. lxii. Qui cum maribus concumbit, ut adulter.* Perspicuus.

Arist. *Can. lxiii. Qui in brutorum concubitu suam ostendit turpitudinem, similiter.* Perspicuus.

E

Canon LXIV.

Perjurus undecim annis non erit communionis particeps: duobus annis deflens, tribus audiens, quatuor substratus, anno solùm consistens, & tunc communione dignus habebitur.

Bals. De perjuris lege xviii. cap. xiii. tit. præsentis operis, & quæ à nobis in illo scripta sunt.

F Zonar. *in Can. lxii. lxiii. lxiv.* Perspicui sunt hi canones, neque ulla explanatione indigent.

Arist. *Perjurus annos decem; duos deflens, tres audiens, quatuor substratus, unum consistens; & tunc communione dignus habetur.* Perspicuus.

Canon LXV.

Qui præſtigias vel veneficium fatetur, is homicidæ tempore confitebitur, ita diſpenſatus, ut qui in unoquoque peccato ſeipſum convicit.

Bals. Præſtigiæ quidem ſunt, per ſolas incantationes, ac dæmonum invocationes quamcunque actionem facere. Veneficium autem eſt, per noxia pharmaca eſculentum vel poculentum aliquid componere, & hominem veneno perimere. Lege etiam xx. cap. xiii. tit. præſentis operis, & quæ in eo ſunt, & xxv. cap. ix. tit. operis ejuſdem, & quæ in eo ſunt.

Zonar. Præſtigiæ quidem ſunt, cum per incantationes, atque invocationes dæmonum, aliqua in aliorum damnum efficiuntur: qualis eſt diſſolutio tabéſque membrorum, ac diuturna, aut etiam vitæ æqualis ægrotatio, ac decubitus, aliaque hujuſmodi. Veneficium vero eſt cum vel per noxia pharmaca de poteſtate mentis homines dimoventur, quod etiam hyoſcyamus præſtat: eſt hoc porro herbæ genus, cujus ſemen pernicioſum, aut alia ratione lædens. Cæterum haud immerito pœnis homicidarum ejuſmodi homines ſubjiciuntur, quandoquidem præſtigiæ ſcilicet dæmonum invocationes continent, veneficia vero aut interficiunt, aut de mentis poteſtate deturbant, mortemque illi qui hæc patitur, optabilem faciunt, ſi quando forte reſipiſcat; ac ſi minus illi, certè iis qui hominem aliqua cognatione attingunt. Præfinitum porro homicidæ tempus, qui voluntariam cædem patravit; viginti annorum intellige.

Arist. *Incantator & veneficus ut homicida.*

Hi voluntarii homicidæ pœnas perſolvent.

Canon LXVI.

Qui ſepulchra effodit decem annis carebit communione: duobus deflens, tribus audiens, quatuor ſubſtratus, uno conſiſtens, & tunc admittendus.

Bals. De ſepulchrorum effoſſoribus lege caput xxiii. xiii. tit. præſentis operis, & xxvii. cap. ix. tit. operis ejuſdem.

Zonar. Eſt τυμβωρύχος, qui ſepulchra aperit, ac ſpoliat, quæ mortuorum cadaveribus appoſita ſunt detrahens: Eſt etiam, quicunque lapides à ſepulchris avellit. Quære & Nyſſeni canonem ſeptimum.

Arist. *Qui ſepulchrum effodit, decennium, ut perjurus.*

Canon LXVII.

Cum ſorore coïtus homicidæ tempore punietur.

Canon LXVIII.

Prohibita cognationis in matrimonium conjunctio, ſi deprehenſa fuerit, ut quæ in hominum peccatis facta eſt, ſubibit adulterorum pœnas.

Bals. Lege xxix. cap. ix. tituli præſentis operis, & ii. cap. xiii. tit. & lib. lx. tit. xxxvii. cap. lxxvii. quod dicit, Qui matrimonio conjunguntur, vel aliàs carnaliter copulantur patrueles fratres, & liberi qui ex eis naſcuntur, & ſolùm, vel etiam pater & filius cum matre & filia, vel duo fratres cum duabus ſororibus, vel duo fratres cum matre & filia, vel conſobrinus cum ea quæ fuit uxor avunculi, vel avunculus cum ea quæ fuit uxor conſobrini,

A

ΚΑΝΩΝ ξε'.

Ὁ γοητείαν ἢ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται, οὕτως οἰκονομούμενος, ὡς ἐν ἑκάστῳ τῷ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

ΒΑΛΣ. Γοητεία μέν ἐστι, τὸ δι' ἐπῳδῶν καὶ ἐπικλήσεως δαιμόνων, ποιῆσαι τινα πρᾶξιν οἱανδήτινα· φαρμακεία δὲ τὸ διὰ φαρμάκων δηλητηρίων συσκευάσαι τι βρώσιμον ἢ πόσιμον καὶ φαρμακεῦσαι ἄνθρωπον. καὶ ἀνάγνωθι τὸ κ'. κεφ. B τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ, καὶ τὸ κε'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Γοητεία μέν ἐστι, τὸ δι' ἐπῳδῶν, καὶ ἐπικλήσεως δαιμονίων, ποιῆσαι τινὰ εἰς βλάβην ἑτέρων· οἷον εἰς παρέσιν μελῶν, καὶ εἰς χρονίαν, ἢ καὶ διὰ βίου ὅλου κατάκλισιν, καὶ εἰς ἕτερα ὅμοια. φαρμακεία δὲ, τὸ διὰ φαρμάκων δηλητηρίων, ἢ τῶν φρενῶν ἐξιστᾶν τινὰς, ὅπερ καὶ ὁ ὑοσκύαμος δύναται· βοτάνη δ' ἐστὶν αὕτη, ἧς τὸ σπέρμα ὀλέθριον, ἢ ἄλλως βλαπτόν. εἰκότως δὲ κατὰ τοὺς C φονεῖς οὗτοι ἐπιτιμῶνται· ὅτι αἱ μὲν γοητεῖαι, καὶ ἐπικλήσεις δαιμόνων ἔχουσιν· αἱ δὲ φαρμακεῖαι, ἢ ἀναιροῦσιν, ἢ τῶν φρενῶν ἐξιστῶσι, καὶ εὐκταῖον τὸν θάνατον ποιοῦσι τῷ πάσχοντι· εἴποτε ἀνανήψει, εἰ μὴ ἐκείνῳ, ἀλλὰ τοῖς γε προσήκουσι τῷ ἀνθρώπῳ. φονέως δὲ χρόνον τοῦ ἑκουσίαν τολμήσαντος φόνον φησίν· ἤγουν, εἰκοσαετίαν.

ΑΡΙΣΤ. Ὁ γόης, καὶ ὁ φαρμακὸς, ὡς φονεύων.

Τὸ τοῦ ἑκουσίου φονέως ἐπιτίμιον ἐπιγνώσονται οὗτοι.

D

ΚΑΝΩΝ ξϛ'.

Ὁ τυμβωρύχος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται. ἐν δυσὶ προσκλαίων, ἐν γ'. ἀκροώμενος, ἐν δ'. ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς, καὶ τότε δεχθησόμενος.

ΒΑΛΣ. Περὶ τυμβωρύχων ἀνάγνωθι τὸ κγ'. κεφ. τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ κζ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος.

ΖΩΝΑΡ. Τυμβωρύχος ἐστὶν, ὁ τοὺς τάφους διοίγων καὶ συλῶν τὰ τοῖς νεκροῖς συνθαπτόμενα· εἴη δ' ἂν καὶ ὁ τοὺς λίθους τῶν τάφων ἀφαιρούμενος. ζήτει καὶ τοῦ Νύσσης κανόνα ἕβδομον.

E **ΑΡΙΣΤ.** Ὁ τυμβωρύχος, δεκαετίαν, ὡς ὁ ἐπίορκος.

ΚΑΝΩΝ ξζ'.

Ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

ΚΑΝΩΝ ξη'.

Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον σύστασις, εἰ φωραθείη, ὡς ἐν ἁμαρτήμασιν ἀνθρώπων γινομένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται.

F **ΒΑΛΣ.** Ἀνάγνωθι τὸ κθ'. κεφ. τοῦ θ'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὸ β'. κεφ. τοῦ ιγ'. τίτλου, καὶ βιβλίου ξ'. τίτλου λζ'. κεφ. οζ'. λέγον, οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι, ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες, καὶ μόνον, ἢ καὶ πατὴρ, καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ, εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ, εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς τὴν γεγενημένην τοῦ θείου γυναῖκα, ἢ θεῖος εἰς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα,

πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν· καὶ ταῦτα μὲν οὕτως. ἐπεὶ δὴ εἰς τὴν ἑρμηνείαν τοῦ β΄. κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος παρεδηλώσαμεν μετὰ τῶν ἄλλων, ὅτι γέγονε μὲν πρόσταγμα βασιλικὸν κωλύον τὸν αὐτὸν καὶ ἕνα δυσὶ δευτέραις ἐξαδέλφαις νομίμως συνάπτεσθαι, οὐκ ἔφθασε δὲ καταστρωθῆναι, ἀλλὰ καὶ ἡ ἐκκλησία κωλύει τὸν τοιοῦτον γάμον, ὀφείλεις εἰδέναι ὅτι μετὰ τὸ γράψαι ἡμᾶς ταῦτα, γέγονεν εἰς τὴν ἐφημερίαν τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Θεοδοσίου κατὰ τὴν λ΄. τοῦ Ἰουλίου μηνὸς τῆς ιβ΄. ἰνδικτιῶνος, σημείωμα συνοδικὸν ἔχον κατὰ ῥῆμα οὕτως· ὁ ἱερώτατος μητροπολίτης Ἄπρω ὁ ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος Ῥωμανὸς ὁ Ἀρτάβασδος ἔγγραφον προκομίσας συνοδικῶς τὰ δὲ κατὰ ῥῆμα διαλαμβάνον· κόρη τις Εἰρήνη καλουμένη ἔλαβεν εὐχὴν μνηστείας μετά τινος Ἰωάννου, δεκαετὴς οὖσα τότε τὴν ἡλικίαν· λαληθείσης δὲ τῆς περὶ τούτου ἀθεμίτου μνηστείας γέγονε σημείωμα δικαστικὸν ἐπιτρέπον διαζευχθῆναι τοὺς τάχα μνηστευσαμένους διὰ τὸ εἶναι τὴν μνηστείαν, ὡς εἴρηται, παράνομον. βούλεται οὖν σήμερον ἡ Εἰρήνη νομίμως συναφθῆναι τῷ Θεοδώρῳ δευτέρῳ ὄντι ἐξαδέλφῳ τοῦ Ἰωάννου, καὶ ἐρωτᾷ εἰ ἔχει τινὰ παρεμπόδισμον, ἠξίωσε τὴν ἡμῶν μετριότητα, καὶ τὴν ἱερὰν ἀδελφότητα, μαθεῖν εἴπερ οὐκ ἔχει κώλυμα τινὰ τὸ περὶ οὗ γέγονεν ἡ γραφὴ συνάλλαγμα. ἤκουσεν οὖν ἐξ αὐτῆς καὶ ἐκ τῆς παρουσιαζούσης τῶν ἀδελφῶν ὁμηγύρεως, ὅτι τὸ τοιοῦτο συνάλλαγμα πανταχόθεν ἀκώλυτόν ἐστιν. ἐπεὶ γὰρ ἡ μετὰ τοῦτο τελεσθεῖσα μνηστεία ὡς ἀνυπόστατος λέλυται διὰ τὴν τῆς Εἰρήνης ἀνηβότητα, καλῶς ἡ Εἰρήνη δευτέρῳ ἐξαδέλφῳ αὐτοῦ κατὰ νόμον γάμου συζευχθήσεται. οὔτε γὰρ συγγενικὸν πρόσωπον τὴν Εἰρήνην λογίσεται ὁ Θεόδωρος, οὔτε τοῖς ἐξ ἀγχιστείας δεσμοῖς καὶ ὅροις συσφίγγεται, διὰ τὸ ὑπερβῆναι τὸν ἐξ ἀγχιστείας ἕκτον βαθμόν.

ΖΩΝΑΡ. Ἐὰν γάμον τις συστήσεται ἐπὶ συγγενὲς πρόσωπον, πρὸς ὃ ἀπηγόρευται συνιστᾶν γάμον, τῷ τῆς μοιχείας ἐπιτιμίῳ κολασθήσεται, διασπωμένου καὶ τοῦ γάμου.

ΑΡΙΣΤ. Καν. ξζ΄. Ὁ ἀδελφόμικτος, ὡς ὁ φονεύς.

Εἰ μὲν ἀμφιθαλής ἐστιν ἡ ἀδελφὴ ᾗ συνεμίγη ὁ ἀδελφὸς, ἐκ τοῦ αὐτοῦ πατρὸς, καὶ τῆς αὐτῆς μητρὸς συγγεννηθεῖσα αὐτῷ, ἐπὶ εἰκοσαετίαν, ὡς ὁ ἑκούσιος φονεὺς, ἐπιτιμηθήσεται· μετὰ δὲ τὸ ἀποστῆναι τῆς ἀθεμίτου καὶ παρανόμου πράξεως. εἰ δὲ ἑτεροθαλής ἐστιν ἡ ἀδελφὴ, ἀπὸ μόνου πατρὸς, ἢ ἀπὸ μόνης μητρὸς, ἐπὶ τριετίαν προσκλαύσει, ἐπὶ τριετίαν παραδεχθήσεται εἰς ἀκρόασιν, ἐπὶ τριετίαν ὑποπεσεῖται, καὶ τῷ δεκάτῳ ἔτει δεχθήσεται μετὰ τῶν πιστῶν, καὶ μετ᾽ αὐτῶν ἕτερα δύο ἔτη συστὰς εἰς εὐχὴν, οὕτως ἔκτοτε τῆς τοῦ ἀγαθοῦ κοινωνίας ἀξιωθήσεται. καθὼς ὁ ἑβδομηκοστὸς πέμπτος κανὼν διαλαμβάνει.

ΑΡΙΣΤ. Καν. ξη΄. Ὁ ἀπειρημένος ἐν συγγενείᾳ γάμος, κατὰ μοιχόν.

Ὅστις κεκώλυται λαβεῖν νόμῳ γάμου γυναῖκα διὰ τὴν συγγένειαν, οὗτος εἰ ἁμαρτήσει εἰς αὐτὴν, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται. ἐπεὶ δὲ διάφορά εἰσι τὰ ἐπιτίμια τῶν ὑποπιπτόντων τῷ τῆς μοιχείας κρίματι, πρὸς τὴν ἐγγύτητα τῆς συγγενείας δέχεται ταῦτα. αὐτίκα γὰρ, ὡς ὁ ἑβδομηκοστὸς ἕβδομος κανὼν, καὶ ὁ ἑβδομηκοστὸς ὄγδοος διαλαμβάνουσιν, ὁ τὴν νόμιμον αὐτοῦ γυναῖκα καταλιπὼν, καὶ ἑτέραν ἀγόμενος, καὶ δύο ἀδελφὰς κατὰ διαφόρους καιροὺς λαβὼν εἰς συνοικέσιον, τῷ τῆς μοιχείας ὑπόκεινται κρίματι, ἀλλ᾽ οὐκ ἐπιτιμῶνται, ὡς ὁ μοιχεύσας μετὰ ὑπάνδρου, ἐπὶ πεντεκαίδεκα ἔτεσιν, ἀλλ᾽ ἐπὶ ἑπταετίαν τῆς κοινωνίας εἴργονται, ἐνιαυτὸν προσκλαίοντες, διετίαν ἐπακροώμενοι, τριετίαν ὑποπίπτοντες, καὶ τῷ ἑβδόμῳ συνιστάμενοι τοῖς πιστοῖς.

A præter ſeparationem etiam verberentur. Et hæc quidem hoc modo. Quia autem in interpretatione ij. cap. xiii. tit. Præſentis operis inter alia oſtendimus, quòd regium quidem juſſum factum eſt, prohibens unum & eundem duabus ſecundis ſororibus patruelibus legitimè conjungi, non fuit autem prius poſitum, ſed & eccleſia prohibet ejuſmodi matrimonium; debes ſcire, quòd poſtquam nos hæc ſcripſimus, tempore ſanctiſſimi & univerſalis patriarchæ domini Theodoſii, xxx. Iulii menſis, xii. indictionis facta eſt declaratio ſynodalis, quæ ad verbum ſic habet; Sanctiſſimus metropolitanus A- B pro, frater & comminiſter noſtræ mediocritatis Romanus Artabaſdus, allato ſynodaliter ſcripto quod hæc verbatim continebat: Puella quædam, quæ Irene dicitur, ſponſalia contraxit cum quodam Ioanne, nata decem annos. Cum autem dicta eſſent illicita illius ſponſalia, facta eſt judiciaria declaratio permittens eos utique ſeparari, qui ſponſalia contraxiſſent, quòd eſſent ut dictum eſt, ſponſalia contra leges facta. Vult ergo Irene hodie legitimè conjungi Theodoro, qui eſt Iohannis ſecundus patruelis, & interrogat, an habeat aliquod impedimentum, rogavit noſtram mediocritatem, & ſacram fraternitatem, ut ab ea ediſceret, an C nullum habeat impedimentum contractus, de quo ſcriptura facta eſt. Ab ea ergo & præſente fratrum congregatione audivit, quòd ejuſmodi contractus nullo modo eſt prohibitus. Quia enim quæ cum Ioanne contracta ſunt ſponſalia, ut quæ propter Irenes ætatem conſiſtere non poſſent, ſoluta ſunt, recte Irene ſecundo ejus patrueli lege matrimonij conjungetur. Neque enim Irenem cognatam perſonam reputat Theodorus, nec cognationis vinculis ac finibus conſtringitur, eo quòd ſextum cognationis gradum exceſſerit.

D ZONAR. Si quis cum cognata perſona, quam ſibi matrimonio copulare legibus interdictum eſt, nuptias contraxerit, adulterii mulcta punietur, ipſæque nuptiæ dirimentur.

ARIST. *Qui cum ſorore miſcetur, ut homicida.*

Si quidem eorundem parentum ſit ſoror ex eodem patre & eâdem matre ac ille connata, cui commiſcetur frater, viginti annos nt homicida punietur, ſed poſtquam ab illegitimâ & improbâ actione receſſit. Si autem alterius tantum parentis ſit ſoror, à patre E ſolo aut à matre ſolâ, triennio deflebit, triennio ad auditionem recipietur, triennio ſuccumbet, & in decimo anno cum fidelibus admittetur, & cum iis alios duos annos ad preces congregatus, ex eo tempore boni communione dignus judicabitur; ut ſextuageſimus quintus canon ſtatuit.

ARIST. *Prohibitum in conſanguinitate matrimonium eâdem quâ adulterium pœnâ caſtigatur.*

Quicunque propter cognationem matrimonii lege mulierem ducere prohibetur, hic ſi in eam peccaverit, adulterorum pœnas recipiet. F Sed quoniam diverſa ſunt eorum qui in adulterii judicium cadunt ſupplicia, ad cognationis propinquitatem ea accipit. Illico enim ut ſeptuageſimus ſeptimus canon, & ſeptuageſimus octavus ſtatuunt, qui legitimam ſuam uxorem derelinquit & aliam ducit, & qui duas ſorores diverſis temporibus in matrimonium accipit, adulrerii judicio ſubjiciuntur, ſed non puniuntur ut qui cum muliere viro ſubjectâ adulteratus eſt, ad quindecim annos, ſed ſeptennium à communione arcentur, annum deflentes, biennium audientes, triennium ſuccumbentes, & ſeptimo cum fidelibus conſtituti.

UMI

Canon LXIX.

Lector, ſi cum ſua ſponſa ante matrimonium commercium habuerit, poſtquam anno ceſſaverit, ad legendum recipietur, manens non ulterius promovendus. Quod ſi abſque deſponſatione furtim coierit, ceſſabit à miniſterio. Idem & miniſter.

Bals. Cùm quidam Lector cum ſua ſponſa ante matrimonium ejus voluntate congreſſus eſſet (id enim ſignificat verbum συναλλάξοιεν) Sanctus interrogatus eſt, an is debeat, ut qui furtim congreſſus eſt, caſtigari poſt matrimonium? Dicebant enim nonnulli, quòd quoniam ſponſalia non ſunt perfectum matrimonium (poteſt enim pars, quæ accipit arram, quæ ſponſalia conſtituit, eam reddere duplicatam, & ſolvere ſponſalia) exiſtimatur Lector non cum legitima uxore, ſed cum muliere libera rem habere, & ideo cum iis annumerari qui furtim coëunt. Dicit itaque ſanctus, quòd is Lector, qui cum ſua ſponſa ante matrimonium carnaliter copulatus eſt, quia cum deſponſata ſibi, & non cum omnino aliena muliere coiit, tanquam fornicatus ſit, non reputabitur. Sed quia non expectavit perfecti matrimonii myſterium, ut qui puſillo animo ſit, punietur, id eſt anno uno ſegregabitur: deinde admittetur ad hoc, ut ſit ſolùm Lector. Ad majorem enim promotionem non provehetur, hoc eſt, neque Diaconus erit, nec Sacerdos, multo autem minus Epiſcopus. Sin autem, inquit Lector, cum muliere aliqua coierit, quæ non ſit ſibi deſponſa, etſi cum ea forte locutus erat de ea accipienda in uxorem, etiamſi & poſt coitum eam in uxorem accepit, non ſolum non promovebitur, ſed etiam eo ipſo depoſitioni ſubjicietur, nihil ex eo adjutus, quòd eam poſtea legitimè uxorem acceperit. Idem autem erit etiam in miniſtrum ſeu Hypodiaconum. Nam & is, cum eo modo furtim coierit, deponetur. Ad unum autem factum, quod eſt de furtivo coitu, refer quod de Diacono definitur, non autem etiam ad hoc ut promoveatur, poſtquam cum propria ſponſa coierit, vel non. Non enim permittitur Hypodiacono, ſicut & Lectori, poſt ordinationem deſponſam habere mulierem, & matrimonium contrahere. Quoniam Apoſtolorum xxvi. can. hæc habet; Eorum qui ad clerum non ducta uxore pervenerunt, jubemus volentes ſolùm Lectores & Cantores matrimonium contrahere. Si quis autem furtivo concubitu congreſſus, poſtea Miniſter factus ſit, ſuo gradu exturbetur cognito crimine. Et hæc quidem hoc modo. Scias autem, quòd, quæ hoc canone continentur, in ſynodali judicio variè diſceptata ſunt, & dixerunt nonnulli hæc locum habuiſſe, quando ſponſalia conſenſu contrahebantur & diſſolvebantur. Nunc autem, quando non aliter contrahuntur nec ſolvuntur, niſi iis modis & cauſis; quibus perfectum quoque matrimonium contrahitur & ſolvitur, hæc omnia exoleverunt. Unde nec permittitur alicui eorum, qui ſunt ex tribunali, morte vel aliqua alia cauſa ante nuptias à ſua ſponſa ſeparato, alii mulieri conjungi, & is qui hoc fecerit, ut bigamus deponitur: ſimiliter & Lector qui in tale quid incidit, ad alium gradum non promovetur. Volebant autem eum quoque, qui hodie cum ſua ſponſa rem habuit, impunè feciſſe, quòd non poſſint ſolvi ſponſalia. Cum autem auguſtus ille & magnus Drungarius dominus Stephanus Comnenus eſſet matrimonio jungendus dominæ Eudochiæ auguſti illius & magni domeſtici domini Ioannis filiæ, & prohiberetur, eo quod ſoror ejus domina Irene deſponſa eſſet illi Auguſto dom. Alexio in primis Auguſti dom. Ioannis inclyti Imp. filio, qui erat primus patruelis magni Drungarii, & fieri non poterat, ut duo primi patrueles duabus ſororibus conjungeren-

A

ΚΑΝΩΝ ξθ΄.

Ἀναγνώστης ἐὰν τῇ ἑαυτοῦ μνηστῇ πρὸ τοῦ γάμου συναλλάξοιεν, ἐνιαυτὸν ἀργήσας εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόκοπος. κλεψιγαμήσας δὲ ἄνευ μνηστείας παυθήσεται τῆς ὑπηρεσίας. τὸ αὐτὸ καὶ ὑπηρέτης.

ΒΑΛΣ. Ἀναγνώστου τινὸς συναφθέντος οἰκείᾳ μνηστῇ πρὸ τοῦ γάμου κατὰ θέλησιν καὶ αὐτῆς (τοῦτο γὰρ δηλοῖ τὸ, συναλλάξοιεν) ἠρωτήθη ὁ ἅγιος, εἰ ὀφείλει ὁ τοιοῦτος B ὡς κλεψιγαμήσας εὐθύνεσθαι μετὰ τὸν γάμον; ἔλεγον γάρ τινες ὡς ἐπεὶ ἡ μνηστεία οὐκ ἔστι γάμος τέλειος, (δύναται γὰρ τὸ λαβὸν μέρος τὸν τὴν μνηστείαν συνιστῶντα ἀρραβῶνα τοῦτον εἰς τὸ διπλοῦν, καὶ τὴν μνηστείαν λύειν) λογίζεται ὁ ἀναγνώστης μὴ μετὰ νομίμου γαμετῆς μιγῆναι, ἀλλὰ μετὰ ἐλευθέρας, κἀντεῦθεν συναριθμηθῆναι τοῖς κλεψιγαμήσασι. φησὶν οὖν ὁ ἅγιος, ὡς ἀναγνώστης ἐκεῖνος ὁ μετὰ τῆς οἰκείας μνηστῆς πρὸ τοῦ γάμου σαρκικῶς ἑνωθεὶς, καθὸ μὲν μετὰ τῆς μεμνηστευμένης αὐτοῦ συνεμίγη καὶ οὐχὶ μετὰ ἀλλοτρίας πάντῃ γυναικὸς, ὡς πορνεύσας οὐ λογισθήσεται. καθὸ δὲ οὐκ ἀνέμεινε καὶ τὴν τοῦ τελείου γάμου τελεσιουργίαν, ὡς C μικροψυχήσας κολασθήσεται, τουτέστιν ἀφορισθήσεται ἐπὶ ἕνα ἐνιαυτόν. εἶτα δεχθήσεται εἰς τὸ εἶναι μόνον ἀναγνώστην. εἰς μείζονα γὰρ προκοπὴν οὐκ ἀναβιβασθήσεται, τουτέστιν οὔτε διάκονος γενήσεται, οὔτε ἱερεὺς, πολλῷ δὲ πλέον ἐπίσκοπος. ἐὰν δὲ, φησιν, ἀναγνώστης συνέλθῃ μετά τινος γυναικὸς μὴ μνηστευθείσης ἴσως αὐτῷ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ᾽ αὐτῆς ὥστε λαβεῖν αὐτὴν εἰς γυναῖκα ταύτην ἔχειν, οὐ μόνον οὐ προκόψει, ἀλλὰ καὶ ἀπ᾽ ἐντεῦθεν καθαιρέσει ὑποβληθήσεται μὴ ὠφελούμενος ἐκ τοῦ μετὰ ταῦτα λαβεῖν αὐτὴν νόμιμον γαμετήν. τὸ αὐτὸ δὲ ἔσται καὶ εἰς ὑπηρέτην, ἤτοι καὶ εἰς ὑποδιάκονον. καὶ ἐκεῖνος γὰρ τοιουτοτρόπως κλεψι- D γαμήσας καθαιρεθήσεται. πρὸς δὲ τὸ ἓν φάκτον τὸ περὶ τῆς κλεψιγαμίας ἀπόδος τὸν περὶ τοῦ διακόνου διορισμὸν, μὴ μέντοι γε καὶ εἰς τὸ προκόπτειν τοῦτον μετὰ τὸ μιγῆναι τῇ οἰκείᾳ μνηστῇ εἴτε καὶ μή. οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ, ὡς καὶ τῷ ἀναγνώστῃ μετὰ τὴν χειροτονίαν γυναῖκα μνηστεύεσθαι καὶ γάμον συναλλάττειν. διότι φησὶν ὁ τῶν ἁγίων ἀποστόλων κϛ΄. κανὼν ταῦτα. τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. εἰ δέ τις κλεψιγαμήσας, μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθείσθω τοῦ βαθμοῦ αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος. καὶ ταῦτα μὲν οὕτως. ἰστέον δὲ, ὅτι τὰ περὶ τοῦ τοιούτου κανόνος διαφόρως ἐλαλήθησαν εἰς τὸ συνο- E δικὸν δικαστήριον, καὶ εἶπόν τινες ὡς ταῦτα χώραν εἶχον, ὅτε ἡ μνηστεία συναινέσει συνίστατο καὶ ἐλύετο. ἀρτίως δὲ ὅτε ἄλλως οὐ συνίσταται οὐδὲ λύεται εἰ μὴ κατὰ τοὺς τρόπους καὶ τὰς αἰτίας καθ᾽ ἃς καὶ ὁ τέλειος γάμος συνίσταται καὶ λύεται, ταῦτα πάντα ἀπρακτοῦσιν. ὅθεν οὐδὲ ἐφεῖταί τινι τῶν τοῦ βήματος θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ ἐκ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου ἑτέρᾳ συνάπτεσθαι γυναικὶ, καὶ τὸν τοῦτο ποιήσαντα ὡς δευτερογαμήσαντα καθαιρεῖσθαι· ὡσαύτως καὶ τὸν ἐμπεσόντα εἰς τοιοῦτόν τι ἀναγνώστην μὴ προκόπτειν εἰς ἕτερον βαθμόν. ἤθελον δὲ καὶ τὸν μιγέντα σήμερον μετὰ τῆς οἰκείας μνηστῆς ἀνεπιτί- F μητον πάντη συντηρεῖσθαι, διὰ τὸ ἄλυτον τῆς μνηστείας. τοῦ δὲ σεβαστοῦ ἐκείνου καὶ μεγάλου Δρουγγαρίου κυροῦ Στεφάνου τοῦ Κομνηνοῦ μέλλοντος συζευχθῆναι τῇ κυρίᾳ Εὐδοκίᾳ τῇ θυγατρὶ τοῦ σεβαστοῦ ἐκείνου καὶ μεγάλου δομεστικοῦ κυρίου Ἰωάννου, καὶ κωλυομένου διὰ τὸ τὴν αὐταδέλφην ταύτης κυρίαν Εἰρήνην μνηστευθῆναι τῷ σεβαστῷ ἐκείνῳ κυρίῳ Ἀλεξίῳ τῷ υἱῷ τοῦ πρωτοσεβάστου ἐκείνου κυρίου Ἰωάννου τοῦ ἀοιδίμου σεβαστοκράτορος, τῷ ὅτι πρώτῳ ἐξαδέλφῳ τοῦ μεγάλου Δρουγγαρίου, καὶ ἀδύνατον εἶναι δύο πρώτους ἐξαδέλφους δυσὶν ἀδελφαῖς συναπτέσθαι, ἐλαλήθη συνοδικῶς ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Νικολάου τοῦ Μουζάλωνος, εἰ ἐκ τούτου ἐμποδίζεται τὸ τοῦ μεγάλου Δρουγγαρίου συνάλλαγμα, καὶ διεγνώσθη μὴ ἐμποδίζεσθαι, διὰ τὸ τὴν μνηστείαν τόπον τελείου γάμου μὴ ἐπέχειν. καὶ ὁ ἁγιώτατος δὲ πατριάρχης κύριος Θεοδόσιος ἐξεχώρησε τῷ Μεσοποταμίτου κυρίου Μιχαὴλ μνηστευσαμένῳ Μαρίαν τινὰ τυχὸν, καὶ διὰ τὸ τελευτῆσαι ταύτην πρὸ τοῦ γάμου, ἑτέραν λαβόντι, ἀπροκριματίστως μετὰ τὸν ταύτης θάνατον ἑτέρᾳ συναφθῆναι, ἔχοντι καὶ ταῦτα παῖδας, καὶ τὸν τριακοστὸν ὑπεραναβάντι χρόνον, εἰπὼν μὴ λογίζεσθαι τοῦτο τριγαμίαν, ὡς τῆς μνηστείας μὴ ἀρκούσης ἀντὶ τελείου γάμου. ταῦτα δὲ οὕτω διεγνώσθη διὰ τὸ μὴ λαληθῆναι καὶ γενέσθαι συνάφειαν μέσον τῶν μνηστήρων. εἰ γὰρ γέγονε συνάφεια, οὐκ ἂν διεγνώσθη τοιοῦτόν τι. ἵνα μὴ προφανὴς αἱμομιξία, καὶ ἀθέμιτος γάμος ἐγχωρηθῇ. ὅπου γε καὶ συναφείας μὴ γενομένης ἐπεὶ ἀπὸ τοῦ ἐννενηκοστοῦ ὀγδόου κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου, καὶ ἀπὸ τοῦ δευτέρου κεφαλαίου τοῦ πεντηκοστοῦ ὀγδόου τίτλου τοῦ ἑξηκοστοῦ βιβλίου, καὶ ἀπὸ τοῦ τρίτου θέματος τοῦ δωδεκάτου κεφαλαίου τριακοστοῦ ἑβδόμου τίτλου τοῦ αὐτοῦ ἑξηκοστοῦ βιβλίου, παρίσταται τὸ περὶ μοιχείας ἐγκλήματι καθίστασθαι ἔνοχον τὸν τὴν ἑτέρῳ μνηστευσαμένην γήμαντα, ὅτε καὶ ἡ μνηστεία μετὰ δόσεως προστίμου ἐλύετο, καὶ οὐκ ἦν ἰσοδύναμος τῷ γάμῳ ὡς σήμερον, λέγω μὴ εἶναι ἀκίνδυνα τὰ οὕτως ἐγχωρηθέντα συνεργούμενα τῇ τοῦ παρόντος κανόνος δυνάμει.

ΖΩΝΑΡ. Ἐὰν τῇ οἰκείᾳ μνηστῇ ἀναγνώστης μιχθῇ πρὸ τοῦ γάμου κἀκείνης θελούσης, (τοῦτο γὰρ δηλοῖ τὸ συναλλάξῃ) ἐνιαυτὸν ἀφορίζεται, εἶτα δέχεται μὴ προβιβαζόμενος εἰς μείζονα βαθμόν. ἐὰν δὲ ἄνευ μνηστείας συνέλθῃ γυναικὶ, κἂν λόγους ἴσως ἐποιεῖτο μετ' αὐτῆς, ὥστε λαβεῖν αὐτὴν εἰς γυναῖκα, κἂν συνεζύγῃ αὐτῇ μετὰ ταῦτα, ἐκπίπτει τῆς ὑπηρεσίας. τὸ αὐτὸ δὲ φησι καὶ περὶ ὑπηρέτου, ἤγουν ὑποδιακόνου. πρὸς δὲ τὸ ἓν φάκτον ἀποδοτέον τὸ περὶ τοῦ ὑποδιακόνου ἤγουν τὸ ἐκπίπτειν αὐτὸν τῆς ὑπηρεσίας κλεψιγαμήσαντα. οὐ γὰρ ἐφεῖται ὑποδιακόνῳ μετὰ τὴν χειροθεσίαν γυναῖκας μνηστεύεσθαι καὶ γάμον συναλλάσσειν. φησὶ γὰρ ὁ τῶν ἁγίων ἀποστόλων κανὼν κϛ΄. ταῦτα· τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον. εἰ δέ τις κλεψιγαμήσας μετὰ ταῦτα ὑπηρέτης γέγονεν, ἐξωθήσεται τοῦ βαθμοῦ αὐτοῦ, διαγνωσθέντος τοῦ ἁμαρτήματος.

ΑΡΙΣΤ. Ὁ πρὸ γάμου συναλλάσσων ἀναγνώστης μνηστῇ μετ' ἐνιαυτὸν δεχθεὶς, μενέτω ἀναγνώστης ἀπρόκοπος, κλεψίγαμος δὲ, ἀπωθείσθω. τὸ αὐτὸ καὶ ὑπηρέτης.

Ἀναγνώστης γυναῖκα μνηστευσάμενος, καὶ πρὸ τοῦ γάμου μετ' αὐτῆς συμφθαρεὶς, ἐπὶ ἐνιαυτὸν ἀργήσει, καὶ οὕτω δεχθήσεται εἰς τὸ ἀναγινώσκειν, εἰς μείζονα προκοπὴν μὴ προβιβαζόμενος, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ μένων βαθμοῦ. ὁ δὲ καὶ πρὸ τῆς μνηστείας κλεψιγαμήσας τέλεον τοῦ βαθμοῦ αὐτοῦ μετακινηθήσεται. τὸ αὐτὸ δὲ ἐπιτίμιον καὶ εἰς τοὺς ἀχειροτονήτους ὑπηρέτας τῆς ἐκκλησίας κρατήσει.

A tur ſynodicè agitatum eſt tempore ſanctiſſimi patriarchæ domini Nicolai Muzalonis, an ex eo impediatur magni Drungarii contractus: ſtatutum eſt autem non impediri, eo quòd ſponſalia perfecti matrimonii locum non teneant. Porrò ſanctiſſimus quoque patriarcha dominus Theodoſius conceſſit Meſopotamitano dom. Michaëli, cui Maria quædam deſponſa fortè fuerat, & , quod ea ante matrimonium mortem obierat, aliam acceperat, ut alii ſine præjudicio poſt mortem ejus conjungeretur, maximè cum & liberos haberet, & xxx. annum exceſſiſſet, dicens hoc non reputari trigamiam, utpote quòd ſponſalia pro per- B fecto matrimonio non ſufficerent. Hæc autem idcircò ſtatuta ſunt, quòd non dictum eſt affinitatem etiam inter partes deſponſantes fuiſſe. Si enim affinitas fuiſſet, tale quippiam nunquam conſtitutum eſſet, ne manifeſtus inceſtus, & illegitimum matrimonium permitteretur. Quinetiam tali affinitate non interveniente, quandoquidem à can. xcviii. Synodi in Trullo, & cap. ii. tit. lviii. lib. lx. & them. iii. cap. xii. tit. xxxvii. ejuſdem lib. lx. ſatis conſtat eum, qui alteri deſponſatam duxerit, adulterii crimine teneri, quando & ſponſalia tunc pœnæ ſolutione diſſolvebantur, & non ut hodie matrimonio æquivalebant, dico quæ ita per- C mittuntur non eſſe extra periculum, adſtipulante etiam præſentis Canonis authoritate.

Zonar. Si cum ſua ſponſa Lector rem habuerit ante matrimonium, etiam volente illa, (id enim ſignificat verbum illud *συναλλάξῃ*) uno anno ſegregatus mox admittitur, ad majorem gradum nequaquam promovendus. Quòd ſi abſque deſponſatione cum muliere congrediatur, etſi forte de illa ſibi uxore adjun- D genda cum eâ verba fecerit, etiamſi & poſtea eam duxerit, à miniſterio excidit. Idem vero ait etiam de miniſtro nempe Hypodiacono. Ad unum porro factum referendum eſt, id quod de Hypodiacono dicitur: nimirum, ut à miniſterio excidat, ſi matrimonium furtim iniverit. Nec enim hypodiacono permittitur, poſt impoſitionem manuum mulierem ſponſam aſſumere, cumque illa conciliare nuptias. Hæc namque habet ſanctorum Apoſtolorum canon vigeſimus ſextus; Ex iis, qui non ducta uxore ad clerum promoti ſunt, jubemus, ſi velint, uxorem ducere Lectores & Cantores ſolos. Si quis autem poſtea miniſter fur- E tim matrimonium inierit, ubi crimen agnitum fuerit, de ſuo gradu dejicietur.

Arist. *Lector qui ante nuptias rem cum ſponſa habuit, poſt annum receptus, maneat Lector ulterius non promovendus qui furtivum vero iniit matrimonium, expellatur. Idem & miniſter.*

Lector fœminam deſponſans & ante matrimonium cum eâ corruptus, annum otioſus erit, & ſic ad legendum recipietur, ad majorem promotionem non procedens, ſed in eodem perſiſtens gradu. Qui au- F tem & ante deſponſationem furtim coierit, gradu ſuo perfecte movetur. Idem autem ſupplicium & in eos Eccleſiæ miniſtros qui nullam habuerunt manuum impoſitionem obtinebit.

CANON LXX.

Diaconus, qui pollutus eſt in labris, & ſe eo uſque peccaſſe confeſſus eſt, à miniſterio prohibebitur: ut autem ſit ſacramentorum cum Diaconis particeps dignus habebitur. Idipſum autem presbyter quoque. Si quid autem amplius peccaſſe quis deprehenſus fuerit, in quocunque ſit gradu, deponetur.

BALS. Diaconum vel Sacerdotem, qui in labris pollutus peccatum confeſſus eſt, decernit ſanctus eſſe à ſacro miniſterio arcendum, non tamen eſſe à ſacramentorum quoque participatione prohibendum, ſed intra ſacrum tribunal cum gradu ſibi æqualibus Sacerdotibus vel Diaconis communicare ei permittendum. Eum autem, qui non eo uſque ſolum peccavit, ſed amplius etiam lapſus eſt, vult eſſe deponendum. Hæc cum can. definiat, ſæpe interrogatum eſt; Quid ſit ſacratum hominem in labris pollui? & dicebant aliqui, eſſe aliquem peccaſſe cum muliere ad laſcivum & amatorium oſculum; ſecundum Evangelicum dictum, quod eſt, Qui aſpexit mulierem ad concupiſcendum eam, mœchatus eſt cum eâ. Alii dicebant, quòd quidam Veneris igne ardenter inflammati, muliebri pudendo tanquàm poculo utuntur, & per ipſum (ô execrandi flagitii execrabilem potum) bibunt, & labra ſua polluunt. Alii dicebant, nonnulli inſano amore capti muliebre pudendum exoſculantur: nec erubeſcunt, ſed dicunt; Labra noſtra penes nos ſunt, quis nobis erit dominus? Ego autem legens Iulium Pollucem, inveni eum in ſecundo libro ſcriptorum ſuorum de nominibus nominantem μυρτοχειλίδας, & κρημνώματα, & πτερυγώματα, quæ ſunt hinc & illinc prominentes muliebri pudendi partes & membra. Doctiſſimus quoque Ariſtoteles in ſua phyſiologia de partibus animalium ea labra nominat. Multi quoque, qui ſcripta amatoria conſcripſerunt, ea & hiare, & expuere, & lingulis inſtructus eſſe dicunt. Exiſtimo ergo, quòd qui eſt in ſacris, ſi per iſtiuſmodi labra pollutus fuerit, ut qui rem quidem valde exoſam fecerit, ad tempus ſegregabitur: ut qui autem perfectum peccatum per coitum non commiſit, non deponetur. Quia autem nonnulli dicunt, eum qui in labris pollutus eſt & confeſſus, debere deponi, quòd dicat ſanctus eum non oportere miniſtrare, dicimus ſanctum hoc noluiſſe. Etſi enim videatur eſſe ſupplicium acerbius ejus qui in labris pollutus eſt, ex eo quod non tempus definitum prohibitioni miniſterij, ſed non jam etiam apparet depoſitio. Illum enim deponendum eſſe decernit, qui majus aliquid per coitum perpetrarit.

ZONAR. Habet hic canon ambiguitatem, proinde à nonnullis quidem alio modo, ab aliis rurſum aliter intelligitur. Alii ſiquidem pollutum labiis accipiunt, eum nimirum qui ad oſculum uſque laſcivum & amatorium cum muliere proceſſit. Eſt enim id quoque pollutio. Etenim ſi vel ipſe conſenſus in peccatum ſolus rationem coinquinare exiſtimatur, multo plus ſane habebit impuritatis, ſi quis ad oſculum uſque laſcivum progrediatur. Hunc ergo à miniſterio prohiberi dicunt, hoc eſt, ad tempus ſegregari, atque à diaconatus functionibus arceri, cum Diaconis verò ſacramentorum ſolummodo participem eſſe, quaſi ſatis pœnarum luat ex eo quod ad tempus à miniſterio prohibeatur. Atque ad hujus ſententiæ confirmationem, verba quæ deinceps in eodem canone ſubjiciuntur adducunt, quibus, ſi quiſquam amplius peccaverit, deponi jubet. Ex eo aſſerentes ſancti viri mentem declarari, temporaneam nempe prohibitionem decreviſſe: ejuſque prohibitionis tempus, exiguum videlicet, illius arbitrio, cui peccatis emendandi cura mandata eſt, permiſiſſe. Alii vero perpetuam eſſe prohibitionem

A

ΚΑΝΩΝ ό.

Διάκονος ἐν χείλεσι μιανθεὶς, καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας, τῆς λειτουργίας ἐπισχεθήσεται· τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. τὸ αὐτὸ δὲ καὶ πρεσβύτερος. εἰ δέ τι πλεῖον φωραθείη τις ἡμαρτηκὼς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται.

ΒΑΛΣ. Τὸν ἐν χείλεσι μιανθέντα διάκονον, ἢ ἱερέα, B καὶ ἐξομολογησάμενον τὸ ἁμάρτημα, διορίζεται ὁ ἅγιος κωλύεσθαι τῆς ἱερουργίας, μὴ μέντοι γε δὲ καὶ τῆς τῶν ἁγιασμάτων μεταλήψεως ἀπείργεσθαι, ἀλλὰ μεταλαμβάνειν ἐντὸς τοῦ ἁγίου βήματος, μετὰ τῶν ἰσοβάθμων αὐτοῦ ἱερέων ἢ διακόνων. τὸν δὲ μὴ μέχρι τούτου ἡμαρτηκότα, ἀλλὰ καὶ εἰς πλέον ἐξολισθήσαντα, θέλει καθαιρεῖσθαι. ταῦτα τοῦ κανόνος διοριζομένου, ἠρωτήθη πολλάκις, τί ἐστι τὸ ἐν χείλεσι μιανθῆναι τὸν ἱερωμένον; καὶ τινες εἶπον, εἶναι τὸ μέχρι φιλήματος ἐμπαθοῦς καὶ ἐρωτικοῦ πρὸς γυναῖκα γινομένου ἡμαρτηκέναι τινὰ, κατὰ τὸ εὐαγγελικὸν ῥητὸν τὸ λέγον, ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτήν. ἄλλοι C εἶπον, ὥς τινες τῷ ἀφροδισίῳ πυρὶ διακαῶς ἐκκαιόμενοι, ὡς κύλικι χρῶνται τῷ γυναικείῳ αἰδοίῳ, καὶ δι' αὐτοῦ (ὢ τοῦ μύσους κατάπτυστον πόμα) πίνουσι, καὶ τὰ χείλη καταμιαίνουσιν. ἕτεροι λέγουσιν, ὥς τινες ἐρωτομανοῦντες τὴν γυναικείαν καταφιλοῦσιν αἰσχύνην, καὶ οὐκ αἰσχύνονται, ἀλλὰ λέγουσι, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστὶ, τίς ἡμῶν ἔσται κύριος; ἐγὼ δὲ ἀναγινώσκων τὸν Ἰούλιον Πολυδεύκην, εὗρον ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν ὀνομαστικῶν συγγραμμάτων αὐτοῦ, ὀνομάζοντα μυρτοχειλίδας, καὶ κρημνώματα, καὶ πτερυγώματα τὰ ἔνθεν κἀκεῖθεν μέρη καὶ μέλη τῆς γυναι- D κείας αἰσχύνης. καὶ ὁ σοφώτατος δὲ Ἀριστοτέλης ἐν τῇ περὶ ζώων μορίων φυσιολογίᾳ αὐτοῦ χείλη ταῦτα κατονομάζει. καὶ πολλοὶ δὲ ἐρωτικὰ μουσουργοῦντες συγγράμματα κεχηνέναι ταῦτά φασι, καὶ ἀποπτύειν, καὶ ἐπιγλωττίοις σεμνύνεσθαι. νομίζω οὖν, ὅτι ὁ διὰ τοιούτων χειλέων ὁπωσδήποτε μιανθεὶς ἱερωμένος, ὡς μὲν ἔχθιστον ἐργασίαν πεποιηκὼς πρὸς καιρὸν ἀφορισθήσεται· ὡς δὲ τέλειον ἁμάρτημα διὰ συνουσιασμοῦ μὴ ποιησάμενος, οὐ καθαιρεθήσεται. ἐπεὶ δή τινες λέγουσιν τὸν ἐν χείλεσι μιανθέντα καὶ ἐξομολογησάμενον, ὀφείλειν καθαιρεῖσθαι, διὰ τὸ λέγειν τὸν ἅγιον μὴ λειτουργεῖν τοῦτον, φαμὲν ὅτι ἀ- E βούλητόν ἐστι τοῦτο τῷ ἁγίῳ. κἂν γὰρ ἐμφαίνεται δριμυτέραν εἶναι τὴν τιμωρίαν τοῦ ἐν χείλεσι μιανθέντος ἐκ τοῦ μὴ ὁρισθῆναι καιρὸν τῇ ἐπισχέσει τῆς λειτουργίας, ἀλλ' οὐκ ἤδη καὶ καθαίρεσις ἀναφαίνεται. ἐκεῖνον γὰρ διορίζεται καθαιρεῖσθαι, τὸν καὶ πλέον τι ἔργον διὰ συνουσιασμοῦ πεποιηκότα.

ΖΩΝΑΡ. Ὁ παρὼν κανὼν ἐν ἀμφιβολίᾳ ἐστὶν, ἄλλως μὲν παρ' ἐνίων νοούμενος, ἑτέρως δ' αὖθις παρ' ἄλλων. οἱ μὲν γὰρ, τὸν χείλεσι μιανθέντα, ἤγουν τὸν μέχρι φιλήματος ἐμπαθοῦς, καὶ ἐρωτικῶς φθάσαντα πρὸς γυναῖκα. μίασμα γὰρ καὶ τοῦτο. εἰ γὰρ ἡ συγκατάθεσις εἰς ἁμαρτίαν λο- F γίζεται μόνον ῥυποῦσα τὸν λογισμὸν, πολλῷ πλέον εἴη ἂν ἀκαθαρσία, καὶ τὸ μέχρι φιλήματος ἐλθεῖν τινὰ ἐμπαθῶς γινομένου. ἐπισχεθῆναι τῆς λειτουργίας φασὶν, ἤγουν ἐπὶ καιρὸν ἀφορισθῆναι, καὶ κωλυθῆναι τῆς τοῦ διακονεῖν ἐνεργείας, μετέχειν δὲ μόνον τῶν διακόνων, ὡς ἀρκοῦντος εἰς τιμωρίαν τοῦ καιρικῶς κεκωλῦσθαι τῆς διακονίας. καὶ εἰς σύστασιν τῆς γραφῆς κέχρηνται, τῷ τὸν πλέον τι ἁμαρτήσαντα καθαιροῦντι. ἐκ τούτου λέγοντες δηλοῦσθαι τὸν νοῦν τοῦ ἁγίου, ὅτι καιρικὴν ὥρισε τὴν ἐπίσχεσιν· τὸ τοῦ καιροῦ τῆς ἐπισχέσεως μέτρον καταλιπὼν τῇ κρίσει τοῦ οἰκονομοῦντος αὐτόν. οἱ δὲ τὴν ἐπίσχεσιν διηνεκῆ λέγουσιν εἶναι καὶ καθαίρεσιν ἄντικρυς. διὸ μηδὲ καιρὸν φασὶν ὁρίσασθαι. τὸ δὲ μετὰ τῶν διακόνων κοινωνεῖν ἀξιοῦσθαι αὐτὸν, διὰ τὸ τοῦ ἁμαρτήματος ἐλαφρότερον· τὸν δὲ καὶ εἰς πλέον προχωρήσαντα καθαιρεῖσθαι θεσπίσαι τὸν ἅγιον, διὰ τῆς καθαιρέσεως τὴν τελείαν ἔκπτωσιν τὴν ἐκ τοῦ οἰκείου βαθμοῦ τοῦ ἡμαρτηκότος παραδηλοῦντα. τὸν τοιοῦτον γὰρ μηδὲ μετὰ τῶν διακόνων ἐντὸς τοῦ θυσιαστηρίου μεταλαμβάνειν, ἀλλὰ μετὰ τῶν λαϊκῶν. ἐγὼ δὲ τῇ προτέρᾳ τίθεμαι γνώμῃ, καὶ ὡς φιλανθρωποτέρᾳ, καὶ διὰ τὸν κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὸν λέγοντα, ἐὰν προθῆταί τις ἐπιθυμῆσαι γυναικὸς συγκαθευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνθύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐρρύσθη. εἰ γοῦν ὁ ἐπιθυμήσας συγκαθευδῆσαι γυναικὶ, καὶ μέχρι κοίτης προβὰς, εἰς ἔργον δὲ μὴ ἐξολισθήσας, ἀλλὰ πρὸ τῆς μίξεως εἰς ἑαυτὸν γενόμενος, καὶ ἀποπηδήσας, καὶ τοῦ ἔργου ἀποσχόμενος, ὑπὸ τῆς χάριτος ῥυσθῆναι πιστεύεται, ὁ μόνῳ φιλήματι μιανθεὶς, καὶ εἰς πλέον μὴ ἀποχωρήσας, μᾶλλον ἂν πιστευθήσεται ῥυσθῆναι ὑπὸ τῆς χάριτος. ὃν δὲ ἡ χάρις ἐρρύσατο, πῶς ἄν τις κατακρινεῖ; καὶ ταῦτα βαρεῖαν οὕτω κατάκρισιν ἤγουν ἔκπτωσιν τοῦ οἰκείου βαθμοῦ;

A ac depoſitionem procul dubio aſſerunt. Proinde nec ullum quidem tempus definitum eſſe aiunt; verùm ipſi cum Diaconis communicandi poteſtatem eſſe factam ob levitatem criminis: qui vero gravius peccaverit, huic ſancti viri decreto depoſitionem irrogatam, depoſitionis verbo perpetuam ejus, qui peccavit, è ſuo gradu dejectionem indicando. Ejuſmodi enim homini nec cum Diaconis intra ſepta altaris communicandi facultatem eſſe, ſed una cum laicis. Ego vero priorem amplector ſententiam, tum quia benignior eſt, tum ob ſynodi Neocæſarienſis canonem, qui ſic habet. Si quis propoſuerit concupiſcere mulierem ad dormiendum cum ipſa, ejus B autem deſiderium ad opus non venerit, videtur eſſe à gratia liberatus. Ergo ſi qui cum muliere dormire optavit atque uſque ad concubitum proceſſit, cæterum in opus minime eſt delapſus, verum priuſquam illi commiſceretur ſeipſe collegit, ac ſe proripiens ab opere abſtinuit, creditur à divina gratia eſſe liberatus; qui ſolo pollutus eſt oſculo, nec ultra progreſſus eſt, multo magis à gratia liberatus eſſe exiſtimabitur. Quem porro gratia liberavit, quonam modo quiſpiam condemnet; idque gravi adeo damnatione, quæ nimirum à proprio gradu depoſitionem contineat?

ΑΡΙΣΤ. Ὁμολογήσας πρεσβύτερος, ἢ διάκονος χείλεσι μιανθῆναι, τῆς λειτουργίας εἰρχθέντες, τῶν ἁγιασμάτων μετεχέτωσαν· εἰ δέ τι πλέον τούτου φανείη ἡμαρτηκὼς, καθαιρεθήσεται.

C Ariſt. *Presbyter & Diaconus confeſſi ſe labiis coinquinatos, à miniſterio depulſi, ſacramentorum ſint participes. Si quid autem amplius quiſpiam peccaſſe deprehendatur, deponetur.*

Τὸ ἐν χείλεσι μιανθῆναι, διαφόρως ἑρμηνεύεται. πλὴν ἐγγράφως παραδοθῆναι οὐ χρὴ, διὰ τὸ τοῦ πράγματος αἰσχρόν. εἴ τις δὲ τῶν διακόνων, ἢ πρεσβυτέρων τῷ τοιούτῳ ἁμαρτήματι περιπέσῃ, κατὰ τὸν παρόντα κανόνα τὸ ἐπιτίμιον δέξεται.

Illud in labris pollutum eſſe variè intepretatur. Sed in ſcriptis tradi non oportet propter rei turpitudinem. Si quis autem è Diaconis aut Presbyteris in iſtiuſmodi peccatum inciderit, ſupplicium juxta hunc canonem recipiet.

ΚΑΝΩΝ οα'.

Canon LXXI.

Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων, καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθεὶς, τοῦ τοσούτου χρόνου, εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ.

D *Qui uniuſcujuſque prædictorum peccatorum fuit conſcius, & non confeſſus, ſed convictus eſt, tanto tempore, quanto malorum effector punitus eſt, ipſe quoque punietur.*

ΒΑΛΣ. Τοὺς συνειδότας τισὶν ἁμαρτάνουσιν οἷα δήτινα ἁμαρτήματα, καὶ μὴ ὁμολογοῦντας αὐθαιρέτως ταῦτα τοῖς Ἐπισκόποις, ἀλλὰ συγκαλύπτοντες αὐτὰ, διορίζεται ὁ ἅγιος μετὰ ἔλεγχον πάντως νόμιμον παρομοίως τοῖς ἡμαρτηκόσι τὰ κακὰ ἐπιτιμᾶσθαι. συνεγνωκότα δὲ ἐνταῦθα μὴ εἴπῃς τὸν ἔχοντα εἴδησιν μόνην, καὶ μὴ δυνάμενον κωλῦσαι, μηδὲ τὸν συμβουλευσάμενον χωρὶς κακοθελοῦς διαθέσεως· ἀλλὰ τὸν συμπράξαντα, ἢ συναιρόμενον, ἢ συμβουλευσάμενον μετὰ δόλου, ἢ ἔχοντα εἴδησιν καὶ δυνάμενον κωλῦσαι, καὶ μὴ κωλύσαντα. φησὶ γὰρ τὸ β'. θέμα τοῦ μη'. κεφ. τοῦ ια'. τίτλου τοῦ ξ'. βιβλίου, ὅτι ὁ γινώσκων τὸν κλέπτην, κἂν μὴ καταμηνύσῃ αὐτὸν, οὐκ ἔστι κλέπτης. ὁ δὲ κρύπτων τὸν κλέπτην κλέπτης ἐστί. καὶ τὸ β'. θέμα τοῦ ν'. κεφ. τοῦ αὐτοῦ βιβλίου, καὶ τίτλου, σπουδῇ καὶ συμβουλῇ γίνεται, ὅταν διὰ τὴν ἔχθραν γένηται τοῦ κλεπτομένου. ὥσπερ γὰρ ἡ κλοπὴ, οὕτως καὶ ἡ σπουδὴ χωρὶς δόλου κακοῦ οὐ γίνεται. καὶ συμβουλεύει μὲν ὁ τὴν κλοπὴν ὑποτιθέμενος· σπουδάζει δὲ ὁ ὑπηρεσίαν τινὰ καὶ βοήθειαν ἐπὶ τῇ κλοπῇ παρεχόμενος, καὶ ξγ'. κεφ. ὁ δείξας τῷ φυγόντι τὴν ὁδὸν οὐκ ἔστι κλέπτης. καὶ κεφ. γ'. τοῦ ϛ'. τίτλου τοῦ αὐτοῦ βιβλίου, ὁ ἀδόλως συμβουλεύσας, οὐκ ἐνέχεται, οὔτε ὁ παιγνικῶς. καὶ ὁ παλαιὸς τοῦ ια'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου· ἀπὸ μόνης γὰρ συμβουλῆς οὐ τίκτεται φοῦρτι. καὶ ὁ ἱεροψάλτης δὲ Δαβὶδ οὐ κολάζει τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα, ἤτοι συμπράττοντα τῷ κλέπτῃ, καὶ τὸν συμμεριζόμενον, τουτέστι κοινοποιούμενον μετὰ τοῦ μοιχοῦ τὸ ἁμάρτημα. ὁ γοῦν εἴδησιν μόνην ἔχων τοῦ κακοῦ, καὶ μὴ δυνάμενος κωλῦσαι, καὶ ὁ συμβουλευσάμενος χωρὶς κακοθελοῦς διαθέσεως, οὐκ ἐπι-

Bals. Qui conſcii ſunt nonnullis peccata aliqua committentibus, nec hæc ſua ſponte Epiſcopis confitentur, ſed ea celant, ſtatuit ſanctus, poſt legitimam accuſationem, eos æque puniri, ac qui mala perpetrarunt. Conſcium autem hîc ne dixeris eum qui ſolam habet ſcientiam, & prohibere non poteſt, nec eum qui conſuluit abſque improba affectione: ſed eum qui o- E pem & auxilium tulit, vel doloſè conſuluit; vel eum qui ſcit & poteſt prohibere, nec prohibuit. Dicit enim ii. thema xlviii. cap. xi. tit. lx. lib. quòd qui novit furem, etiamſi eum non revelaverit, fur non eſt. Qui autem furem occultat, fur eſt. Et ii. thema l. cap. ejuſdem libri & tit. ſtudio & conſilio fit, quando fit propter odium ejus cui furto quid aufertur. Sicut furtum enim ita & ſtudium non fit ſine dolo malo. Et conſulit quidem, qui furtum ſuadet: ſtudet autem, qui operam aliquam & auxilium ad furtum præbet. Et lxiii. cap. Qui fugienti viam oſtenderit non eſt fur. Et cap. iii. vi. tit. ejuſdem lib. Qui ſine F dolo conſuluit, non tenetur, nec qui per ludum. Antiqua quoque xi. cap. ejuſdem libri & tit. Ex ſolo enim conſilio furti actio non naſcitur. ſacer quoque pſaltes David non punit eum, qui furem vel adulterum aſpectat, ſed eum qui currit cum fure, vel ei fert auxilium, & eum qui dividit, hoceſt commune facit cum adultero peccatum. Qui ergo mali tantum habet ſcientiam, & non poteſt prohibere, & qui conſuluit abſque improba affectione non punientur.

Qui autem ſcivit, & cum prohibere poſſet non prohibuit, & qui malo animo conſuluit, multo autem magis qui opem tulit, punietur. Nota autem quòd ubique confeſſio levat pœnam, probatio autem eam auget.

Zonar. Cum de criminibus Presbyterorum & Diaconorum & aliorum qui in Eccleſiaſticis ordinibus conſtituti ſunt, hucuſque vir ſanctus ſermonem habuerit: nunc de iis, qui peccatorum illis conſcii ſunt, decernit, dicens; Siquis admiſſorum ab iis, quos enumeravimus, hominibus criminum conſcius fuerit, nec ea fuerit confeſſus, ac Epiſcopo aperuerit, quinimo ea occulte, & cum ſciret, ſilentio texiſſe & celâſſe ea ſit convictus, tanto tempore, quanto is qui crimen admiſit, ipſe quoque punietur.

Arist. *Qui conſcius eſt cuipiam, & celat, eidem pœnæ ſubjicitur.*

Si quis conſcius ſit cuilibet peccatum aliquod è prædictis peccatis admittenti, & illud non confiteatur, ſed peccatum celâſſe couvincatur; idem ſubibit ſupplicium, & tali tempore quale & quantum ipſe malorum operator luet.

Canon LXXII.

Qui ſe vatibus, vel ejuſmodi aliis tradit, ipſe quoque homicidarum tempore punietur.

Bals. In xxv. cap. ix. tit. præſentis operis, & in xx. cap. xiii. tit. multa ſcripſimus de vatibus, magis, & ſimilibus, & lege ea & qui in iis capitibus declarantur canones & leges, & ſcies quomodo hi puniantur civiliter & Eccleſiaſticè. Nunc autem ſanctus decernit eos, qui ſe ejuſmodi hominibus dedunt, homicidarum quoque tempore puniri. Quia autem nonnulli præſentem canonem interpretantes dicebant, eos ſic quoque puniri debere, qui ad mulieres accedunt, quæ cum hordeo ſe quædam incerta, vel etiam futura revelare profitentur; dico eſſe differentiam vatum, & incantatricum vetularum quæ per incantationes ſimpliciores ſeducunt. Illi enim dæmones invocant: hæ verò virtutem potiùs & ſanctificationem ſimulantes, cum divinis canticis futura nonnunquam deſcribunt, & quæ ſunt obſcura per hordeum proferunt; ut faciunt & quæ dicuntur κρίτριαι, & qui ſaccos pannoſque induunt bene barbati & comati monachi. Ii enim & ſeducentes & ſeducti futura vaticinantur, tanquam ab angelica renunciatione edocti. Debent itaque, qui non Deum negarunt, ſed per improbitatem ſanctitatem ſimulant, ut mihi videtur, mitius & non inſtar eorum qui Deum negaverunt, puniri. Sin autem dixeris hordei latrices & incantatrices aniculas dæmones invocare, eæ quoque neceſſariò, ut magi & vates, extremo ſupplicio punientur. Lege & lxxxiii. can. præſentis ſancti, & quæ in eo ſunt.

Zonar. Vaticinia olim erant, quæ falſis Diis edebantur prædictiones, vel quæ ad quæſtiones reſponſa dabantur. Porrò, quamvis oracula poſt aſſumptam à Domino carnem defecerint, tamen his quoque temporibus, per incantationes & dæmonum miniſteria, vaticinia quædam proferuntur; etiamſi mendacii pleraque convincantur: Qualia ſunt quæ à nonnullis mulieribus fiunt, quæ hordeum in manibus habentes, quædam per illud divinant; aliæ vero cineri incumbentes, futura quædam prædicunt. Adjungantur hiſce præterea, qui ſe ex aſtris ventura noſſe profitentur, & qui eos conſulunt; quos quidem omnes, homicidarum pœnis mulctandos eſſe decernit.

A τιμηθήσονται. ὁ δὲ εἰδὼς, καὶ δυνάμενος κωλῦσαι, καὶ μὴ κωλύσας, καὶ ὁ κακοθελῶς συμβουλευσάμενος, πολλῷ δὲ πλέον ὁ συμπράξας, τιμωρηθήσεται. σημείωσαι δὲ ὅτι πανταχοῦ ἡ ἐξομολόγησις κουφίζει τὴν κόλασιν· ὁ δὲ ἔλεγχος μεγαλύνει αὐτήν.

ΖΩΝΑΡ. Εἰπὼν περὶ ἁμαρτημάτων πρεσβυτέρων καὶ διακόνων καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν ταγμάτων ὁ ἅγιος, νῦν καὶ περὶ τῶν συνειδότων αὐτοῖς ἁμαρτήματα διατάττεται λέγων· ὡς ὁ συνειδὼς τισὶ τῶν εἰρημένων ἁμαρτήματα, καὶ μὴ ὁμολογήσας καὶ δῆλα θέμενος τῷ Ἐπισκόπῳ αὐτὰ, ἀλλὰ συγκαλύπτων ταῦτα, B ἐλεγχθεὶς δὲ ὅτι εἰδὼς ἐσιώπα καὶ συνέκρυπτε ταῦτα, ἐπὶ τοσοῦτον χρόνον καὶ αὐτὸς ἐπιτιμηθήσεται, ἐφ᾽ ὅσον ὁ τὴν ἁμαρτίαν πεποιηκώς.

ΑΡΙΣΤ. Ὁ συνεγνωκὼς ἑκάστῳ, καὶ ἀποκρύπτων, τὸ ἴσον ἐπιτετίμηται.

Ἐὰν τις συνοῖδε τινι ἁμαρτάνοντι ἁμάρτημά τι τῶν προειρημένων ἁμαρτημάτων, καὶ οὐχ ὁμολογήσῃ αὐτὸ, ἀλλ᾽ ἐλεγχθῇ τὸ ἁμάρτημα ἀποκρύπτων· τὸ αὐτὸ δέξεται ἐπιτίμιον, καὶ ἐν τοσούτῳ χρόνῳ, οἷον, καὶ ὅσον, ὁ τῶν κακῶν ἐργάτης ἐπιτετίμηται.

C

ΚΑΝΩΝ οβʹ.

Ὁ μάντεσιν ἑαυτὸν ἐκδοὺς, ἢ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται.

ΒΑΛΣ. Ἐν τῷ κεʹ. κεφ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ ἐν τῷ κʹ. κεφ. τοῦ ιγʹ. τίτλου, διάφορα ἐγράψαμεν περὶ μάντεων, μάγων, καὶ τῶν ὁμοίων, καὶ ἀνάγνωθι ταῦτά τε, καὶ τοὺς ἐν τοῖς αὐτοῖς κεφ. δηλουμένους κανόνας τε καὶ νόμους, καὶ μάθῃς ὅπως οὗτοι κολάζονται πολιτικῶς τε καὶ ἐκκλησιαστικῶς. ἀρτίως δὲ ὁ ἅγιος διορίζεται τοὺς ἀνατιθεμένους ἑαυτοὺς τοιούτοις τισὶ κατὰ D τοὺς χρόνους τῶν φονέων ἐπιτιμᾶσθαι. ἐπειδή τινες ἑρμηνεύοντες τὸν παρόντα κανόνα εἶπον, ὀφείλειν οὕτως ἐπιτιμᾶσθαι καὶ τοὺς προσερχομένους γυναιξὶ μετὰ κριθῶν ἐπαγγελλομέναις ἀνακαλύπτειν ἄδηλά τινα, ἢ καὶ μέλλοντα, λέγω ὅτι διαφορά ἐστι μαντέων γοητευτειῶν, καὶ γυτευτειῶν γραῶν διὰ ἐπασμάτων τοὺς ἁπλουστέρους ἀπατουσῶν. οἱ μὲν γὰρ δαίμονας ἐπικαλοῦνται· αἱ δὲ μᾶλλον ἀρετὴν καὶ ἁγιασμὸν ὑποκρινόμεναι, μετὰ θείων ψαλτῳδημάτων ἐνίοτε χειρογραφοῦσι τὰ μέλλοντα, καὶ κριθοφοροῦσι τὰ ἄδηλα, καθὼς ποιοῦσι καὶ αἱ λεγόμεναι κρίτριαι, καὶ οἱ σακκενδυτοῦντες E καὶ οἱ ῥακενδυτοῦντες ἠϋγένειοι, ἠΰκομοι, μοναχοί. καὶ οὗτοι γὰρ πλανῶντές τε καὶ πλανώμενοι, τὰ μέλλοντα προφοιβάζουσιν, ὡς ἐξ ὑποφητείας ἀγγελικῆς. διά τοι τοῦτο ὀφείλουσιν οἱ μὴ ἀρνησάμενοι τὸν θεὸν, ἀλλὰ διὰ λειξουρείαν ἁγιωσύνην ὑποκρινόμενοι, ὡς ἐμοὶ δοκεῖ, μετριωτέρως καὶ μὴ κατὰ τοὺς ἀρνησιθέους κολάζεσθαι. εἰ δὲ εἴπῃς τὰ κριθόφορα, καὶ γυτευτόλοκα γραΐδια δαίμονας ἐπικαλεῖσθαι, ἐξ ἀνάγκης καὶ αὗται κατὰ τοὺς μάντεις καὶ μάγους ἐσχάτως ἐπιτιμηθήσονται. ἀνάγνωθι καὶ τὸν πγʹ. F κανόνα τοῦ παρόντος ἁγίου, καὶ τὰ ἐν αὐτῷ.

ΖΩΝΑΡ. Μαντεῖαι μὲν πάλαι ἦσαν, αἱ περὶ τῶν ψευδωνύμων θεῶν γινόμεναι προῤῥήσεις, ἢ πρὸς ἐρωτήσεις ἀποκρίσεις. εἰ δὲ καὶ τὰ χρηστήρια ἐκλελοίπασι μετὰ τὴν σάρκωσιν τοῦ κυρίου, ἀλλὰ καὶ νῦν γίνονται παρά τινων δι᾽ ἐπῳδῶν καὶ ἐνεργείας δαιμονικῆς προῤῥήσεις, εἰ καὶ ψευδεῖς αἱ πλείους ἐλέγχονται. οἷαι εἰσὶ, καὶ αἱ παρὰ γυναικῶν τινων γινόμεναι, αἳ κριθὰς ἐν χερσὶ τιθεῖσαι δι᾽ ἐκείνων προλέγουσί τινα· ἄλλαι δὲ σποδιᾷ ἐπικύπτουσαι, προμηνύουσι τινὰ μέλλοντα. συναριθμηθήτωσαν τούτοις, καὶ οἱ ἐκ τῶν ἀστέρων προγινώσκειν λέγοντες τὰ ἐσόμενα, καὶ οἱ τούτοις χρώμενοι, οὓς πάντας τῷ ἐπιτιμίῳ τῶν φονέων καθυπάγει.

ΑΡΙΣΤ. Ὁ μάντεσιν, ἢ τοιούτοις τισὶν ἑαυτὸν δοὺς, τὸν χρόνον τῶν φονέων οἰκονομηθήσεται.

Ὁ μὲν ἑαυτὸν ἐπιδοὺς μάντεσιν, ἢ γόησιν, ἢ φαρμακοῖς, ἐπὶ τῷ μαθεῖν τὴν κακοτεχνίαν αὐτῶν· ὡς ὁ ἑκουσίως φονεύων ἐπιτιμηθήσεται. Ὁ δὲ πιστεύων μάντεσιν, εἰσάγων αὐτοὺς εἰς τὸν οἶκον ἑαυτοῦ, ἐπὶ ἀνευρέσει καὶ καθάρσει φαρμακειῶν, ἢ ἀποκαλύψει τινῶν ἀπορρήτων, ἑξαετίαν ἐπιτιμᾶται· ὡς ὁ ἑξηκοστὸς πρῶτος κανὼν τῆς ἐν τῷ τρούλλῳ ἕκτης συνόδου διαλαμβάνει, καὶ ὁ ὀγδοηκοστὸς τρίτος τῆς ἀνὰ χεῖρας ταύτης τρίτης ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου.

ΚΑΝΩΝ ογ΄.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος, καὶ παραβὰς τὸ τῆς σωτηρίας μυστήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει, καὶ ἐξομολογεῖσθαι χρεωστεῖ, ἐν τῷ καιρῷ ᾧ ἐκβαίνει τοῦ βίου τῶν ἁγιασμάτων ἀξιούμενος πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας.

ΒΑΛΣ. Ὁ μὲν κανὼν σαφής ἐστι. Διορίζεται γὰρ τοὺς ἀρνησαμένους τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ μὴ δεξαμένους τὸ μυστήριον τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ, προσκλαίειν καὶ ἐξομολογεῖσθαι παρ' ὅλον τὸν τῆς ζωῆς αὐτῶν χρόνον· κατὰ μόνας δὲ τὰς τελευταίας ἀναπνοὰς ἀξιοῦσθαι τῆς τῶν ἁγιασμάτων μεταλήψεως· τῆς δὲ ἐν Ἀγκύρᾳ συνόδου, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου, μηδένα τοιούτων καθυποβαλλόντων ἐσχάτῳ ἐπιτιμίῳ ἀκοινωνησίας, καὶ οἷον ἐναντιουμένων τῷ παρόντι κανόνι, εἰπὲ ὅτι ἀνάλογα ἔθεντο οἱ πατέρες τὰ ἐπιτίμια πρὸς τοὺς ἰδίους καιρούς. οἱ μὲν ἦσαν ἐν καιροῖς σφοδρῶν διωγμῶν, ὅ, τε καὶ ἡ πίστις ἀστήρικτος ἦν, καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι μετριώτερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωκτῶν. ὁ δὲ μέγας Βασίλειος ἐν καιρῷ τυγχάνων ὅτε ἡ πίστις ἐπλατύνθη καὶ βεβαιοτέρα ἐγένετο, σφοδρότερον προσεφέρετο τοῖς ἀρνουμένοις τὴν πίστιν. ἢ εἰπὲ ὅτι οἱ μὲν πατέρες διετάξαντο περὶ τῶν κατὰ βίαν τυραννικὴν ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο κουφίζουσι τὰ ἐπιτίμια· ὁ δὲ παρὼν κανὼν διατάττεται περὶ τῶν ἑκουσίως καὶ χωρὶς ἀνάγκης τινὸς ἀρνησαμένων τὸν Χριστὸν, καὶ διὰ τοῦτο βαρεῖαν κόλασιν ἐπάγει αὐτοῖς. Τὸ δὲ προσκλαίειν τούτους καὶ ἐξομολογεῖσθαι δι' ὅλης τῆς οἰκείας ζωῆς, λέγουσί τινες μὴ ἐκλαμβάνεσθαι εἰς τὸ ἵστασθαι αὐτοὺς καὶ εἰς τὸν τόπον τῶν προσκλαιόντων. τοῦτο γάρ φασιν ἔξω τῆς συμπαθείας ἐστὶ τοῦ ἁγίου καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς νικώσης πᾶσαν ἁμαρτίαν, διὸ καὶ ἀξιοῦσι προσκλαίειν μὲν τούτους, καὶ ἐξομολογεῖσθαι τὸ ἁμάρτημα δι' ὅλης τῆς οἰκείας ζωῆς, τοὺς τόπους δὲ τῶν ἐπιτιμίων ἀνύειν κατὰ τοὺς κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου· τῆς μέντοι μεταλήψεως τῶν ἁγιασμάτων οὐκ ἀξιωθήσονται, εἰ μὴ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς. Ταύτῃ δὲ τῇ γνώμῃ συντίθεμαι καὶ αὐτὸς, ὡς φιλανθρωποτέρᾳ, καὶ ὅτι οὐδὲ ἀπὸ τῶν ῥημάτων τοῦ ἁγίου ἀναφαίνεται τὸ ἵστασθαι τὸν οὕτως ἁμαρτηκότα εἰς τὸν τόπον τῶν προσκλαιόντων.

ΖΩΝΑΡ. Ὁ μὲν ἅγιος οὗτος, ἀδιαστίκτως πάντας τοὺς ἀρνησαμένους τὸν Χριστιανισμὸν, διὰ βίου ἀκοινωνήτους εἶναι κελεύει καὶ προσκλαίειν. ὁ δὲ Ἀλεξανδρείας ἀρχιεπίσκοπος, καὶ ἱερομάρτυς Πέτρος, πολλὰς διαστίξεις τῶν ἀρνησαμένων τὴν πίστιν ποιεῖται ἐν τοῖς αὐτοῦ κανόσι, καὶ διαφόρους τοὺς τῶν ἐπιτιμίων χρόνους ἐπ' αὐτοῖς ὁρίζει· διὰ βίου δὲ, οὐδένα ποιεῖ ἀκοινώνητον. καὶ ἡ ἐν Ἀγκύρᾳ δὲ σύνοδος ἀρχαιοτέρα οὖσα καὶ τοῦ ἱερομάρτυρος ἁγίου Πέτρου, διαιρέσεις πολλὰς τῶν ἐπιθυσάντων ποιεῖται, καὶ καιροὺς ἐπιτιμίων ἄλλους ἄλλοις ὁρίζει, μέχρι δὲ τελευτῆς, οὐδένα ὥρισεν εἶναι ἀκοινώνητον. εἴποι δέ τις ὅτι ἀνάλογα τὰ ἐπιτίμια ἔθεντο οἱ πατέρες πρὸς τοὺς ἰδίους καιρούς. οἱ μὲν γὰρ ἦσαν ἐν καιροῖς σφοδρῶν διωγμῶν, ὅτε ἔτι καὶ ἡ πίστις ἀστήρικτος ἦν· καὶ διὰ τοῦτο τοῖς παραπίπτουσι

A **Arist.** *Qui vatibus vel ejuſmodi aliis ſe tradit, homicidarum tempus ei conſtituetur.*

Qui ſe vatibus, aut præſtigiatoribus, aut veneficis tradit, ut malas iſtorum artes diſcat; ut voluntariè occidens, punietur. Sed qui talibus fidem habet, eoſque in domum ſuam introducit, ad veneficiorum inventionem aut purgationem, aut ſecretorum quorumdam revelationem, ſexennium punietur. Ut lxi. ſextæ in Trullo Synodi canon decernit, nec non lxxxiii. tertiæ hujus magni Baſilii Epiſtolæ quæ ſub manu eſt.

B

Canon LXXIII.

Qui Chriſtum negavit, & ſalutis myſterium tranſgreſſus eſt, eum toto vitæ ſuæ tempore oportet deflere, & confiteri convenit, in tempore quo è vita excedit, Sacramento dignum habitum, propter fidem divinæ clementiæ.

Bals. Canon quidem clarus eſt: ſtatuit enim ut qui Chriſtum Dominum noſtrum negaverunt, & ejus quæ in carne fuit œconomiæ myſterium non ſuſce- C perunt, defleant & confiteantur toto tempore vitæ ſuæ, in ſola autem extrema reſpiratione digni habeantur Sacramentorum participatione. Cùm autem Ancyrana Synodus, & ſacroſanctus Martyr Petrus extremo excommunicationis ſupplicio neminem ſubjiciant, & præſenti canoni veluti adverſentur, dic quod patres ſtatuerunt poenas ſuis temporibus convenientes. Qui enim erant temporibus vehementium perſecutionum, quando etiam fides non erat valde ſtabilis, & propterea in eos qui labebantur, ſe mitius gerebant, unà condeſcendentes propter perſecutorum neceſſita- D tem. Magnus autem Baſilius qui erat eo tempore quo fides dilatata firmiorque facta eſt, fuit vehementior in eos qui fidem negabant. Vel dic, quòd patres quidem de iis ſtatuerunt qui per vim tyrannicam Chriſtum negarunt, & ideò pœnas mitigant. Præſens autem canon de iis decernit qui ſua ſponte, & ſine aliqua neceſſitate Chriſtum negaverunt, & propterea gravem illis poenam inflixit. Illos autem deflere, & per totam vitam confiteri, dicunt nonnulli non accipi ad hoc ut ponantur in loco deflentium. Hoc enim, inquiunt, eſt à ſancti miſericordia, & Dei clementia, quæ vincit omne peccatum, alienum; ideo volunt eos quidem deflere, & peccatum confiteri toto vitæ tem- E pore, ſed loca poenarum peragrare ſecundum canones Ancyranæ Synodi. Sed Sacramentorum communione digni non habebuntur, niſi in extrema reſpiratione. Ei autem ſententiæ aſſentior & ipſe, ut humaniori, & quòd nec ſancti quidem verbis apparet eum qui ſic peccavit ſtatui in loco peccatorum deflentium.

Zonar. Hic quidem vir ſanctus, indiſcretè omnes qui Chriſtianiſmum negaverunt, toto vitæ tempore, à communione arceri, ac deflere jubet. Alexandrinus vero F Archiepiſcopus, & ſanctus Martyr Petrus, multa diſcrimina, in ſuis canonibus, eorum qui fidem negavere, conſtituit, ac varia tempora luendarum ab ipſis poenarum decernit; toto autem vitæ tempore, neminem à communione arcet. Tum Ancyrana quoque Synodus, quæ ipſo quoque ſancto Martyre Petro antiquior eſt, multas eorum qui immolaverunt diviſiones ſtatuit, aliaque aliis tempora mulctarum præſcribit, cæterum ad uſque vitæ exitum, neminem à communione prohibendum eſſe definivit. Dixerit vero quiſpiam mulctas à Patribus pro temporum ſuorum ratione fuiſſe conſtitutas. Nam alii quidem temporibus vehementium perſecutionum vixerunt, cum adhuc fides minus firmas radices egiſſet, ac proinde cum iis qui lapſi fuerant, mitius agebant, una deſcendentes, ob neceſſitatem perſecutionum. Magnus vero Baſilius, cum per ea tempora viveret, quibus late fuſa erat fides, ac firmior facta, res autem Græcorum in anguſtum valde contractæ, in eos qui fidem negaſſent ſeveriorem ſe præbuit, quod ſponte, & ſine vi lapſi ſunt, ac propterea toto vitæ tempore, communionis expertes ipſos manere juſſit.

Arist. *Qui Chriſtum negavit, totam vitam pœnitentiam aget.*

Qui Chriſtum negavit, totum vitæ ſuæ tempus deflere debet, & in vitæ exitu communione dignus judicetur.

Canon LXXIIII.

Si autem unuſquiſque eorum qui in prædictis peccatis fuêre, confeſſus bonus evaſerit, & is cui à Dei benignitate ligandi & ſolvendi credita eſt poteſtas, ſi fiat clementior, videns ſummam ejus, qui peccavit confeſſionem, ad diminuendum pænarum tempus, non erit dignus damnatione, cùm quæ eſt in ſcripturis, nobis hiſtoria ſignificet, quod qui cum majori labore confitentur, Dei miſericordiam celerius apprehendant.

Bals. Ne quis propter temporalium pœnarum longitudinem triſtitia afficiatur, dicit ſanctus quod regionis Pontifex, qui quemadmodum ſummo inter Apoſtolos Petro regni cœlorum à Deo claves creditæ fuerunt, ligandique & ſolvendi poteſtatem accepit, ſi viderit eum qui propter aliquod peccatum pœna affectus eſt, cum gratiarum actione pœnarum medelam ſuſcepiſſe, & ardentiore ſtudio pœnitentiam oſtendere, tempus pœnæ diminuet, non timens condemnationem tanquam qui utique canonicam temporis pœnarum definitionem tranſgrediatur. Docet enim nos ſcriptura, quòd qui jam majori labore confitentur, eos Dei miſericordia celerius apprehendit. Et in his quidem canon. Tu autem lege xxxix. cap. ix. tit. præſentis operis, & leges quæ in ea ſitæ ſunt, & ex his ſcies qnòd eſt differentia inter judices, qui pronunciant corporales punitiones adverſus eos qui ſunt criminibus obnoxii, & Epiſcopos qui decernunt pœnas eccleſiaſticas adverſus eos qui animæ peccata confitentur. Illi enim pœnas à lege conſtitutas nec poſſunt augere, nec minuere ſine juſſu Imperatoris. Hi vero noſtrorum peccatorum onera ſuſcipientes, tanquam Deo pro nobis rationes reddituri, & pro ſuo arbitratu pœnas & augent, & minuunt, & ideo in eorum eſt poteſtate non ſolum pœnarum tempora minuendi, ſed etiam pœnas commutandi. Etſi enim verbi gratia conſtitutum eſt, ut qui hoc vel illud peccatum commiſit carnem non comedat, nec cum fidelibus conſiſtat, ſimiliter nec ſit divinorum ſacramentorum per triennium particeps: qui tamen confeſſionem ſuſcepit pro perſonæ cui pœna imponitur qualitate, & ejus confeſſionis vehementia, & pœnitentiæ ſtudio, has quidem pœnas moderabitur, illas vero multiplicabit. Quare non eſt accipiendus hic canon ut nonnulli dicebant, ad ſolam temporis pœnarum diminutionem, ſed ad omne pœnæ genus. Cum autem quidam miles in voluntariæ cædis crimen incidiſſet, & à quodam antiſtite, poſt valde modicum tempus, datis ſcriptis, abſolutus eſſet, potens & ſanctus noſter Imperator, & dominus, id factum ægrè ferens, ſtatuit tempore ſanctiſſimi illius patriarchæ domini Lucæ, ut ſynodaliter conſideraretur,

A μετριότερον προσεφέροντο, συγκαταβαίνοντες διὰ τὴν ἀνάγκην τῶν διωγμῶν. ὁ δὲ μέγας Βασίλειος ἐν καιρῷ τυγχάνων, ὅτε ἡ πίστις ἐπλατύνθη, καὶ βεβαιοτέρα ἐγένετο, τὰ δὲ τοῦ Ἑλληνισμοῦ εἰς στενὸν κατηντήσθη κομιδῇ, τοῖς ἀρνουμένοις τὴν πίστιν σφοδρότερον προσεφέρετο, ὡς ἑκουσίως καὶ βίας χωρὶς παραπίπτουσι, καὶ διὰ τοῦτο ἀκοινωνήτους αὐτοὺς διὰ βίου μένειν ὡρίσατο.

ΑΡΙΣΤ. Ὁ ἀρνησίχριστος, διὰ βίου μεταμελέσθω.

Ὁ τὸν Χριστὸν ἀρνησάμενος πάντα τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ὀφείλει προσκλαίειν· ἐν δὲ τῇ ἐξόδῳ τοῦ βίου, ἀξιούσθω τῆς κοινωνίας. B

ΚΑΝΩΝ οδʹ.

Ἐὰν μέντοι ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων, σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν, καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔστι καταγνώσεως ἄξιος, τῆς ἐν ταῖς γραφαῖς ἱστορίας, γνωριζούσης ἡμῖν, τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν. C

ΒΑΛΣ. Ἵνα μή τις ἀκηδιάσῃ διὰ τὸ ἐπιτεταμένον τῶν χρονικῶν ἐπιτιμίων, φησὶν ὁ ἅγιος, ὡς ὁ μετὰ χώραν ἀρχιερεὺς ὁ κατὰ τὸν ἐν ἀποστόλοις κορυφαιότατον Πέτρον τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ἀπὸ τοῦ Θεοῦ ἐμπιστευθεὶς, καὶ ἐξουσίαν λαβὼν δεσμεῖν καὶ λύειν, ἐὰν ἴδῃ τὸν διά τι ἁμάρτημα ἐπιτιμηθέντα μετ' εὐχαριστίας τῶν ἐπιτιμίων τὴν θεραπείαν δεξάμενον, καὶ μετὰ θερμοτέρας σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενον, ἐλαττώσει τοὺς χρόνους τῶν ἐπιτιμίων, μὴ φοβούμενος κατάγνωσιν, D ὡς δῆθεν παραβαίνων τὴν περὶ τῶν χρόνων τῶν ἐπιτιμίων κανονικὴν ἀκρίβειαν. διδάσκει γὰρ ἡμᾶς ἡ γραφὴ, ὅτι εἰς τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως ἡ φιλανθρωπία καταλαμβάνει τοῦ Θεοῦ. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ ἀνάγνωθι τὸ λθʹ. κεφ. τοῦ θʹ. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τοὺς ἐν αὐτῷ κατατεθέντας νόμους, καὶ μάθῃς ὅτι διαφορά ἐστι τῶν ἀποφαινομένων δικαστῶν κολάσεις σωματικὰς κατὰ τὰ τῶν γεγονότων ὑπευθύνων ἐγκλήματα, καὶ τῶν ὁριζόντων Ἐπισκόπων ἐπιτίμια ἐκκλησιαστικὰ κατὰ τῶν ἐξομολογουμένων ἁμαρτήματα ψυχικά. οἱ μὲν γὰρ τὰς ὁρισθείσας ἀπὸ τοῦ νόμου ποινὰς οὔτε αὔξειν οὔτε E μειοῦν δύνανται χωρὶς βασιλικῆς κελεύσεως. οἱ δὲ τὰ φορτία τῶν ἡμετέρων ἁμαρτιῶν ἀναδεχόμενοι, ὡς καὶ λόγους ὑπὲρ ἡμῶν τῷ Θεῷ μέλλοντες δοῦναι, κατὰ τὸ δοκοῦν αὐτοῖς καὶ αὔξουσι καὶ μειοῦσι τὰ ἐπιτίμια, διά τοι τοῦτο καὶ ἐξουσίαν ἔχουσι μὴ μόνους τοὺς χρόνους τῶν ἐπιτιμίων ἐλαττοῦν, ἀλλὰ καὶ τὰ ἐπιτίμια μεταμείβειν. κἂν γὰρ ἐπὶ τριετίαν τυχὸν ὁρισθῇ τὸν ἡμαρτηκότα τὸ δέ τι, μὴ κρεωφαγῆσαι, μηδὲ συνεῖναι τοῖς πιστοῖς, ὡσαύτως μηδὲ μεταλαβεῖν τῶν θείων ἁγιασμάτων, ἀλλ' ὁ τὴν ἐξομολόγησιν δεξάμενος πρὸς τὴν ποιότητα τοῦ ἐπιτιμουμένου προσώπου, καὶ τὴν θερμότητα τῆς ἐξομολο- F γήσεως αὐτοῦ, καὶ τὴν σπουδὴν τῆς μετανοίας, τὰ δὲ μὲν τῶν ἐπιτιμίων μετριάσει, ἕτερα δὲ πολλαπλασιάσει, ὥστε μὴ ἐκληπτέον τὸν κανόνα, καθὼς τινες εἶπον, εἰς μόνην ἐλάττωσιν τοῦ χρόνου τῶν ἐπιτιμίων, ἀλλὰ καὶ εἰς ἅπαν εἶδος ἐπιτιμίων. τινὸς δὲ στρατιώτου περιπεσόντος ἑκουσίου φόνου ἐγκλήματι, παρὰ ἀρχιερέως τινὸς μετὰ μέτριον πάνυ καιρὸν ἐγγράφως ἀθωωθέντος, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς δυσχεράνας ἐπὶ τῷ γενομένῳ, διωρίσατο ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ, σκοπηθῆναι συνοδικῶς, εἰ καλῶς τῷ στρατιώτῃ ἐπεφιλοτιμήθη ἡ τῶν ἐπιτιμίων ἄθωσις, κατεσπουδασμένως οὕτω καὶ οἷον εἰπεῖν, οὐ συμπαθῶς, ἀλλὰ προσπαθῶς. τοῦ δὲ ἀρχιερέως τὸν παρόντα κανόνα προβαλλομένου καὶ ἑτέρους μετεωρίζοντας τάχα τὴν ἐπιφορτιζομένην αὐτῷ βαρεῖαν κουφότητα, ἡ ἁγία σύνοδος τοὺς κανόνας ὀρθοτομήσασα κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἐκ τοῦ παναγίου πνεύματος θειοτάτην ἔλλαμψιν, τὸν μὲν στρατιώτην καὶ αὖθις ἀλυκτοπέδαις ἐπιτιμίων κανονικῶν καθυπέβαλλε. τὸν δὲ ἀρχιερέα μετρίῳ ἀφορισμῷ ἀλειτουργησίας ἐστενοχώρησεν, εἰποῦσα, ὡς τοῖς ἀρχιερεῦσι μὲν ἐφεῖται αὔξειν καὶ μειοῦν τὰ κανονικὰ ἐπιτίμια. ἀραχνιαίοις δὲ μίτοις δεσμεῖν τὰ καλῳδίοις ἐν τρισὶ καταδεσμεῖσθαι ὀφείλοντα, οὐκ ἐνεδόθη. λέγεται δὲ ὅτι καὶ διὰ τὴν τοῦ τοιούτου στρατιώτου ὑπόθεσιν ἐξέθετο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν περὶ τῶν ἑκουσίων φονέων νεαρὰν· ἣν καὶ ἀνάγνωθι ὄπισθεν κατεστρωθεῖσαν, καὶ διαλαμβάνουσαν μετὰ τῶν ἄλλων καὶ ταῦτα, περὶ δὲ τῶν γινομένων ἐπ' αὐτοῖς μετὰ τὸ προσδραμεῖν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἡ μὲν βασιλεία μου ἀκριβῶς οὐκ οἶδεν· ἀκούει δὲ ὅμως οὐκ ἀγαθά.

ΖΩΝΑΡ. Απαριθμησάμενος ὁ μέγας Βασίλειος διαφόρους χρόνους ἐπιτιμίων πρὸς διάφορα ἁμαρτήματα, τελευταῖον τὸ πᾶν τοῖς ἀρχιερεῦσιν ἀνέθετο. οὗτοι γὰρ οἱ τὸ δεσμεῖν καὶ λύειν ἐμπιστευθέντες παρὰ Θεοῦ, καὶ εἰ ὁρῷεν οὗτοι, φησὶ, τοὺς ἐξομολογουμένους σπουδαίους ὄντας, καὶ θερμότητα ἐν τῇ μετανοίᾳ ἐπιδεικνυμένους, καὶ ἐλαττῶσι διὰ τοῦτο τοὺς ὡρισμένους χρόνους, οὐκ ἔσονται καταγνώσεως ἄξιοι. διδάσκει γὰρ, φησὶν, ἡμᾶς ἡ γραφὴ, ὅτι τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως ἡ φιλανθρωπία τοῦ Θεοῦ καταλαμβάνει· ὅπερ ἐπὶ τοῦ Μανάσση γενέσθαι ἱστόρηται, καὶ ἐπὶ Εζεκίου, καὶ ἐπὶ ἄλλων πολλῶν.

ΑΡΙΣΤ. Ὁ δεσμεῖν, καὶ λύειν ἐξουσίαν λαβὼν, οὑτινοσοῦν τῶν ἡμαρτηκότων ἓν τῶν προῤῥηθέντων, μεγάλην ὁρῶν συντριβὴν, ἐλαττώσει τὸν χρόνον.

Τὰ μὲν ἐπιτίμια ἐφ' ἑκάστῳ ἐτέθησαν ἁμαρτήματι. ὁ δὲ παρὰ θεοῦ πιστευθεὶς τὸ δεσμεῖν καὶ λύειν, πρὸς τὴν ἐξομολόγησιν καὶ τὴν συντριβὴν ἀφορῶν ἑκάστου, εἰ ἐλαττώσει τῶν ἐπιτιμίων τὸν χρόνον, οὐ καταγνώσεως ἔσται ἄξιος.

ΚΑΝΩΝ οέ.

Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθεὶς, εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχὴν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς κύριον τὰς δεήσεις. μετὰ δὲ τοῦτο ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῆς γραφῆς καὶ τῆς διδασκαλίας ἐκβαλλέσθω, καὶ μὴ καταξιούσθω προσευχῆς. ἔπειτα εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν, καὶ προσέπεσε τῷ κυρίῳ μετὰ συντετριμμένης καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι. καὶ οὕτως ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω, χωρὶς προσφορᾶς· καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

A an recte illi militi conceſſa eſſet à pœnis abſolutio, tanto in eum ſtudio & per quandam non miſericordiam, ſed potius animi affectionem. Cum autem antiſtes præſentem canonem proponeret, & alios moderantes utique eam quæ illi objiciebatur nimiam pœnæ levitatem, ſancta Syn. canones limitibus circumſcribens, ſecundum diviniſſimam inſpirationem, quæ ex ſancto illis ſpiritu inerat, militem quidem canonicarum pœnarum rurſus compedibus ſubjecit: antiſtitem autem ad aliquantum temporis ab officio ſuſpenſione punivit, dicens quod antiſtibus quidem licet pœnas canonicas augere, & diminuere: aranearum autem filis ligare, B quæ debent tribus rudentibus alligari, non conceſſum eſt. Dicitur autem, quod etiam propter illius militis cauſam edidit potens & ſanctus noſter Imperator de voluntariis homicidiis Novellam, quam etiam lege retro ſitam, & hæc quoque cum aliis tractantem: de iis autem quæ ab illis fiunt, poſtquam ad ſanctiſſimam Dei magnam eccleſiam confugerint, imperialis mea majeſtas non ſcit perfectè, audit tamen quæ non bona ſunt.

Zonar. Poſtquam enumeravit magnus Baſilius varia mulctarum tempora, pro varietate criminum accommodata, poſtremo rem totam Antiſtitum arbitrio permittit. C His namque ligandi, & ſolvendi à Deo credita eſt poteſtas, ac ſiquidem illi, inquit, confitentes ſtudio virtutis incitatos, atque in pœnis obeundis egregie alacres animadverterint, ac propterea definita à canonibus tempora contrexerint, nulla erunt accuſatione digni. Etenim docent uos, inquit, ſacræ litteræ, eos qui majori cum labore confitentur, Dei miſericordiam celerius apprehendere; quod in Manaſſe, & Ezechia, & aliis multis præterea contigiſſe, memoriæ proditum eſt.

Arist. *Is cui concredita eſt ligandi & ſolvendi poteſtas, quorumcunque è prædictis peccatorum* D *magnam videns contritionem, tempus diminuet.*

Supplicia quidem in unumquodque peccatum decreverunt, ſed cui à Deo ligandi & ſolvendi concredita eſt poteſtas, ad confeſſionem cujuſque & contritionem reſpiciens, ſi diminuerit ſuppliciorum tempus, non erit condemnatione dignus.

CANON LXXV.

Qui cum propria ex patre vel ex matre ſorore pollutus eſt, in domum orationis ne permittatur accedere, donec ab iniqua & nefaria actione deſiſtat. Poſtquam autem in E *horrendi peccati ſenſum & animadverſionem venerit, triennio defleat, ſtans ad fores domus oratoriæ, & rogans populum ingredientem ad orationem, ut unuſquiſque pro ipſo miſericorditer ad Dominum intenſas fundat preces. Poſtea autem alio triennio ad ſolam auditionem admittatur, & ſcripturam ac doctrinam audiens ejiciatur, & nec oratione dignus habeatur. Deinde ſi quidem illam cum lacrymis exquiſivit, & Domino cum cordis contritione, & valida humiliatione ſupplex procidit, detur ei ſubſtratio in aliis tribus annis: & ſic poſtquam pœnitentiæ fructus dignos oſtenderit, decimo anno in* F *fidelium orationes ſuſcipiatur, ſine oblatione; & cum duobus annis unà cum fidelibus ad orationem ſubſtiterit, ſic deinceps dignus habeatur boni communione.*

CANON LXXVI.

Idem eſt decretum in eos quoque qui ſuas nurus accipiunt.

Bals. Duo præſentes decernunt canones, quomodo punitur qui cum ſua ſorore rem habet, etiamſi non ex ambobus ei parentibus conjuncta ſit, ſed ex uno quæ etiam ἑτεροθαλὴς dicitur, & quomodo punitur qui cum ſua nuru polluitur, & dicit eos quidem debere extrudi ab eccleſia donec à peccato abſtinuerint: poſtquam autem deſtiterint diſtribui in quatuor loca, eorum qui agunt pœnitentiam: & ſic ſancta communione dignos haberi. Quatuor autem loca xii. annis perficiuntur, lege & ii. caput xiii. tit. præſentis operis, & nota quòd iis qui deſiſtunt, non iis qui perſeverant in peccato, dantur pœnæ. His enim nihil quod ſit fidelium, penitus communicatur.

Zonar. Qui cum ſorore corruptus eſt, quamvis non ex utroque parente, ſed ex alterutro tantum fraternitas ſit, ex Eccleſia prorſus expellitur, donec ab ejuſmodi peccato abſiſtat. Poſtquam vero abſtinuerit, ex præſcripta in hoc canone forma mulctatur, ita ut inter flentes degat, tū inter audientes, inde in ſubſtratione, mox cum fidelibus cōſiſtat: atque ita demū ad boni cōmunionem admittatur.

Arist. *Can. lxxv. Qui cum ſorore ex patre vel matre coinquinatur, domum orationis ne ingrediatur, donec deſiſtat. Poſtea cùm reſipuerit, triennio defleat, triennio audiat, triennio ſubſternatur, & anno decimo recipiatur ſine oblatione, & biennio ad orationem cùm conſiſterit, communione dignus habeatur.*

Hic canon unà cum ſexageſimo ſeptimo canone interpretatus eſt.

Arist. *Can. lxxvi. Eadem & de iis qui nurus ſuas accipiunt, decernuntur.* Perſpicuus.

CANON LXXVII.

Qui mulierem quidem ſibi legitimè copulatam dimittit, & aliam ducit, ſecundum domini ſententiam, adulterii judicio ſubjicitur: & à patribus noſtris canonicè ſtatutum eſt, ut ii anno defleant, biennio audiant, triennio ſubſternantur: ſeptimo cum fidelibus conſiſtat: & ita oblatione digni habeantur, ſi cum lacrymis pœnitentiā egerint.

CANON LXXVIII.

Eadem autem forma obſervetur, & in iis qui duas ſorores in matrimonio accipiunt, etſi diverſis temporibus.

CANON LXXIX.

Ii autem qui in ſuas novercas inſaniunt, ſunt eidem canoni obnoxii, cui & ii qui in ſuas ſorores inſaniunt.

Bals. Eum qui in ſuam ex altero germine ſororem vel ſuam nurum pollutus eſt, xii. annis puniendum ſtatuit ſanctus in lxxv. & lxxvi. canone. Nunc autem ſcilicet in lxxvii. lxxviii. & lxxix. can. jubet, ut qui ſuas conſortes dimittunt, & alias ducunt in matrimonium, quinetiam ii qui duas ſorores in matrimonium accipiunt, ſcilicet poſt unius mortem, & qui cum ſuis novercis polluuntur, ut adulteri puniantur. Addit autem in lxxvi. canone ut qui ſuam uxorem relinquit, & alii conjungitur, à patribus ſeptennio puniatur: & ſic ſi cum lacrymis pœnitentiam egerit, ſancta

ΚΑΝΩΝ ος΄.

Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

ΒΑΛΣ. Οἱ παρόντες δύο κανόνες διατάττονται ὅπως ἐπιτιμᾶται ὁ συμφθειρόμενος ἀδελφῇ ἰδίᾳ, κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων συνάπτηται αὐτῇ, ἀλλὰ ἐξ ἑνὸς (ἥτις λέγεται καὶ ἑτεροθαλὴς) καὶ ὅπως ἐπιτιμᾶται ὁ μιανθεὶς μετὰ τῆς νύμφης αὐτοῦ. καὶ φασὶ τούτους ἐξωθεῖσθαι μὲν ἀπὸ τῆς ἐκκλησίας μέχρις ἂν τῆς ἁμαρτίας ἀπόσχωνται. μετὰ δὲ τὸ ἀποστῆναι οἰκονομεῖσθαι εἰς τοὺς δ΄. τόπους τῶν ἐπιτιμίων, καὶ οὕτως ἀξιοῦσθαι τῆς ἁγίας μεταλήψεως. οἱ δὲ δ΄. τόποι ἀνύονται διὰ χρόνον δώδεκα. ἀνάγνωθι καὶ τὸ δεύτερον κεφ. τοῦ ιγ΄. τίτλου τοῦ παρόντος συντάγματος. καὶ σημείωσαι ὅτι τοῖς ἀφισταμένοις οὐχὶ τοῖς ἔτι ἐμμένουσι τῇ ἁμαρτίᾳ δίδονται τὰ ἐπιτίμια. τούτοις γὰρ ἀκοινώνητα παντελῶς εἰσι τὰ τῶν πιστῶν.

ΖΩΝΑΡ. Ὁ ἀδελφῇ συμφθαρεὶς ἑαυτοῦ, κἂν μὴ ἐξ ἀμφοτέρων τῶν γονέων ἡ ἀδελφότης ἐστὶν, ἀλλ' ἐξ ἑνὸς, πάντη ἐξωθεῖται τῆς ἐκκλησίας, ἕως τῆς τοιαύτης ἁμαρτίας ἀπόσχηται. ἀποσχόμενος δὲ οἰκονομεῖται ὡς ὁ κανὼν διατάττεται, προσκλαίων, ἀκροώμενος, ὑποπίπτων, συνεστώς· καὶ οὕτως ἀξιοῦται τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

ΑΡΙΣΤ. καν. οε΄. Ὁ ἀδελφῇ πατρόθεν, ἢ μητρόθεν συμμιανθεὶς, μὴ εἰσίτω εἰς οἶκον προσευχῆς ἕως ἀποστῇ· εἶτ' ἀνανήψας, τριετίαν προσκλαιέτω, τριετίαν ἀκροάσθω, τριετίαν ὑποπιπτέτω, καὶ τῷ δεκάτῳ δεχέσθω, χωρὶς προσφορᾶς, καὶ δύο ἔτη συστὰς εἰς εὐχὴν, λοιπὸν ἀξιούσθω τῆς κοινωνίας.

Οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ἑξηκοστῷ ἑβδόμῳ κανόνι.

ΑΡΙΣΤ. καν. ος΄. Τὰ αὐτὰ καὶ περὶ τῶν τὰς νύμφας λαμβανόντων. Σαφής.

ΚΑΝΩΝ ζο΄.

Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. κεκανόνισται δὲ παρὰ τῶν πατέρων ἡμῶν τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν:

ΚΑΝΩΝ οη΄.

Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

ΚΑΝΩΝ οθ΄.

Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμαινόμενοι τῷ αὐτῷ ὑπόκεινται κανόνι ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

ΒΑΛΣ. Τὸν εἰς ἑτεροθαλῆ ἀδελφὴν ἢ νύμφην οἰκείαν μιανθέντα ἐπὶ δωδεκετίαν ἐπιτιμᾶσθαι διορίζεται ὁ ἅγιος ἐν τῷ οε΄. καὶ ος΄. κανόνι. ἀρτίως δὲ ἤγουν ἐν τῷ οζ΄. ἐν τῷ οη΄. καὶ ἐν τῷ οθ΄. κανόνι, διακελεύεται τοὺς καταλιμπάνοντας τὰς ἑαυτῶν συμβίους, καὶ ἑτέρας πρὸς γάμον ἀγομένους, ἀλλὰ μὴν καὶ τοὺς λαμβάνοντας εἰς συνοικέσιον δύο ἀδελφὰς πάντως μετὰ θάνατον τῆς μιᾶς, καὶ τοὺς μαινομένους μετὰ τῶν μητρυιῶν αὐτῶν, ὡς μοιχοὺς ἐπιτιμᾶσθαι. προστίθησι δὲ ἐν τῷ ος΄. κανόνι, τὸν καταλιμπάνοντα τὴν οἰκείαν γυναῖκα, καὶ συναπτόμενον μεθ' ἑτέρας, ἐπὶ ἑπταετίαν ἐπιτιμᾶσθαι παρὰ τῶν πατέρων, καὶ οὕτως ἐὰν μετὰ δακρύων μετανοήσωσι τῆς ἁγίας μεταλήψεως ἀξιοῦσθαι. τούτων οὕτως ἐχόντων, ἐρεῖ τις ὡς τοῦ νη΄. κανόνος ἐν ιε΄. ἔτεσι τὸν μοιχὸν ἐπιτιμῶντος, καὶ τοῦ παρόντος κανόνος ἐν ζ΄. ἔτεσι λέγοντος ἐπιτιμᾶσθαι παρὰ τῶν πατέρων τοὺς καταλιμπάνοντας τὰς οἰκείας γυναῖκας, καὶ ἑτέραις συναπτομένους, τίνι προσέχειν ὀφείλομεν; Λύσις. τοῖς ἐν τῷ νη΄. κανόνι περιεχομένοις. ἐνταῦθα γὰρ οὐχ ὡς ὅρον ἔθετο ὁ ἅγιος τὴν τῶν πατέρων διατύπωσιν, ἀλλ' ὡς ἀνάμνησιν, καὶ ἵνα γινώσκωμεν τί τε παρ' ἐκείνων ὥρισται, καὶ τί παρὰ τοῦτο μεθώρισται, καὶ δηλοῦται τοῦτο ἐκ τοῦ εἰπεῖν τὸν ἅγιον ὀφείλειν τούτους ἐπιτιμᾶσθαι κατὰ μοιχούς. εἰ δέ τις ἐρεῖ νόμιμον γενικὸν λέγων, κρατεῖν τὰ ἐκπεφωνημένα παρὰ τὰ σεσιωπημένα, ἀκούσεται ὅτι εἰ μὲν ἑτέρου τινὸς ἁγίου κανὼν ὁ ἐπὶ ιε΄. ἔτη τοὺς μοιχοὺς ἐπιτιμῶν, ἴσως ἂν εἶχε λόγον τὸ λεγόμενον. ἐπειδὴ τοῦ αὐτοῦ ἁγίου καὶ ἀμφότεροι οἱ κανόνες εἰσὶν, ἐξ ἀνάγκης τῷ παρὰ τούτου μεταγενεστέρως ὁρισθέντι προσέχειν ὀφείλομεν, ὡς ἤδη καὶ ἐκφωνηθέντι, διὰ τοῦ νη΄. κανόνος. περὶ δὲ τῶν καταλιμπανόντων τὰς οἰκείας γυναῖκας, ἀνάγνωθι καὶ τὸν μη΄. κανόνα τοῦ παρόντος ἁγίου πατρὸς, καὶ τὸ παρατελεύτον θέμα τοῦ τελευταίου κεφαλαίου τοῦ λζ΄. τίτλου τοῦ ξ΄. βιβλίου λέγον, ὁ δύο γυναῖκας ἔχειν πειρασθεὶς οὐ νόμῳ ἀλλὰ φάκτῳ προαιρέσεως, καλῶς ὑποκείσεται τῷ τῆς μοιχείας ἐγκλήματι. ἡ δὲ εἰς ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται. ἀνάγνωθι καὶ τὸν β΄. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου λέγοντα, τοὺς τοιούτους ἐξωθεῖσθαι τῆς ἐκκλησίας μέχρι θανάτου. καὶ μὴ ἐναντιωθῇ σοι, ἀλλ' εἰπὲ τὸν μὲν τῆς διαληφθείσης συνόδου κανόνα ὁροθετηθῆναι περὶ τῶν ἐχομένων τοῦ κακοῦ· τὸν δὲ παρόντα περὶ τῶν ἀποστάντων καὶ ἐξομολογησαμένων. καὶ διὰ τοῦτο, ἐκεῖνοι μὲν ἀκοινωνησίᾳ παντελεῖ κατακρίνονται· οὗτοι δὲ πεντεκαίδεκα ἔτεσιν ἐπιτιμῶνται. σημείωσαι δὲ ἀπὸ τῶν παρόντων κανόνων ὅτι οὐ μόνον εἰς ταῦτα τὰ ἁμαρτήματα, ἀλλὰ καὶ εἰς τὰ λοιπὰ ἡ ἀπόστασις δίδωσι χώραν τοῖς ἐπιτιμίοις. ὁ γὰρ ἐπιμένων τῷ κακῷ, κἂν μυριάκις ἐπιτιμηθῇ, καὶ τοσαυτάκις ἀγαθοεργήσῃ, ἀνίατον ἔχει τραῦμα, μὴ συσφιγγόμενον καταδέσμοις οὐλωτικοῖς. ἔτι σημείωσαι ὅτι τὰ τοῦ παλαιοῦ νόμου ἄνευ ὧν ῥητῶς ἐδέξατο ἡ ἐκκλησία, ἐσχόλασαν, καὶ ὁ χρώμενος τούτοις, Ἰουδαΐζει. ἰδοὺ γὰρ ἀναφαίνεται ὅτι καὶ παρὰ τοῖς ἁγίοις πατράσιν οἱ νόμοι ἐδέχθησαν, οἱ τοὺς ἐξ ἀγχιστείας γάμους κωλύοντες. καὶ ὁ νόμος ὁ παλαιὸς ὁ ἐπιτρέπων τὸν τοῦ τελευτήσαντος ἀδελφὸν λαμβάνειν τὴν γυναῖκα αὐτοῦ, ὡσὰν ἀναστήσῃ σπέρμα τῷ ἀδελφῷ, ἠπράκτησε· καὶ οἱ Λατῖνοι δὲ, οἱ τὰ ἐξ ἀγχιστείας συνοικέσια ἀδιαφόρως συναλλάττοντες, τῷ κανόνι προσκρούουσιν.

ΖΩΝΑΡ. Τοὺς τὰς ἑαυτῶν συμβίους καταλιμπάνοντας καὶ ἑτέρας πρὸς γάμον ἀγομένους, φησὶν ὁ ἅγιος, ὡς μοιχοὺς παρὰ τοῦ κυρίου κατακεκρίσθαι. λέγει γὰρ ἐν εὐαγγελίοις ὁ κύριος· ὁ ἀπολύσας τὴν γυναῖκα παρεκτὸς λόγου πορνείας, καὶ γαμήσας ἑτέραν μοιχᾶται. οἱ δὲ πατέρες, φησὶν, ἡμῶν ἐκανόνισαν τοὺς τοιούτους ἐν ἑπταετίᾳ ἐπιτιμᾶσθαι· καὶ οὕτω δέχεσθαι εἰς μετάληψιν τῆς προσφορᾶς, ἐὰν μετὰ δακρύων μετανοήσωσιν. εἰπὼν δὲ τὸ παρὰ τῶν πατέρων ἐπενεχθὲν αὐτοῖς ἐπιτίμιον, οὐδὲν προσέθετο· ἀρκεῖν ἡγησάμενος ὅτι μοιχεία τὸ ἁμάρτημα κατὰ τὸν τοῦ κυρίου λόγον ἀπέφηνεν. ἕπεται γὰρ ὡς μοιχείᾳ καὶ ὁ τοῖς μοιχεύουσιν εἰς ἐπιτίμησιν ὁρισθεὶς παρ' αὐτοῦ χρόνος.

ΑΡΙΣΤ. Καν. οζ΄. Ὁ τὴν ἰδίαν ἀφεὶς, καὶ λαμβάνων ἑτέραν, μοιχὸς ὢν, ἑπταετίαν ὑποπιπτέτω.

Καὶ οὗτος ὁ κανὼν συνηρμηνεύθη τῷ ἑξηκοστῷ ὀγδόῳ κανόνι.

A communione dignus habeatur. Hæc cum ita ſe habeant, dicat quiſpiam quod cum lviii. can. in quindecim annis puniat adulterum, & præſens canon dicat ſeptem annis puniri eos qui ſuas uxores dimittunt,& aliis conjunguntur, quid nobis ſit ſequendum? Sol. Ea quæ in lviii. can. continentur. Hic enim ſanctus patrum definitionem, non ut decretum, ſed ut in memoria revocationem adduxit, & ut ſciamus quid ab illis prius ſtatutum eſt, & quid ab ipſo contra ſtatutum: & hoc ſignificatur, ex eo quod dicit ſanctus debere eos puniri, ut adulteros: ſi quis autem generale juris dictum proferet, dicens, Expreſſa plus valere quàm tacita, audiet, quod ſi eſſet quiB dam alius ſancti ſit can. qui xv. annis puniret adulteros, rationem fortaſſe haberet quod dicitur. Quia autem ſunt etiam ejuſdem ſancti utrique canones, neceſſario, quod ab eo poſterius cautum eſt, attendi debet, ut quod jam eſſet editum per lviii. canonem. De iis autem qui ſuas uxores relinquunt, lege etiam xlviii. canonem præſentis ſancti patris: & antepenultimum thema ult. cap. xxxvii. tit. lx. lib. quod dicit, Qui duas uxores habere tentavit, non lege, ſed facto voluntatis, rectè adulterii crimini ſubjicitur. Quæ autem illi nupſit poſterior, ſi neſciret eum habere uxorem legitimam, ei venia dabitur. Lege & ii. canonem Neocæſar. ſynodi, qui dicit eos ab eccleC ſia ad mortem uſque expelli, & ne tibi contrarius eſſe videatur, ſed dic antedictæ quidem ſynodi Canonem ſtatutum eſſe de iis qui in malo perſiſtunt: præſentem vero de iis qui deſtiterunt, & confeſſi ſunt: & propterea illi quidem perfecta excommunicatione damnantur: hi vero quindecim annis puniuntur. Nota autem ex præſentibus canonibus, quod non ſolum in his peccatis, ſed etiam in reliquis ceſſatio dat locum pœnis. Qui enim in malo perſeverat, etiamſi millies punitus fuerit, & toties bonum fecerit, habet vulnus immedicabile, quod vinculis quæ cicatricem inducunt non conſtringitur. Nota præterea, quod quæ in antiquâ lege continentur, præter D ea quæ ab eccleſia apertè ſuſcepta ſunt, exoluere, & qui eis utitur, judaizat. Ecce enim apparet, quod etiam apud ſanctos patres leges ſuſceptæ ſunt quæ ratione cognationis matrimonia prohibent. Porro lex quoque antiqua, quæ permittit ut frater defuncti ejus uxorem accipiat, ut fratri ſemen ſuſcitet, in uſu non eſt. Porro Latini quoque qui matrimonia, quæ ratione cognationis vetita ſunt, indiſcriminatim contrahunt, in canonem impingunt.

E Zonar. *In Can.* LXXVII. Qui uxores ſuas relinquunt, aliáſque ſibi matrimonio jungunt, tanquam adulteros à Domino condemnatos fuiſſe ſanctus vir aſſerit. Ait namque in Evangeliis Dominus, Qui uxorem ſuam dimiſerit, excepta fornicationis cauſa, aliámque duxerit, mœchatur. Noſtri vero, inquit, Patres, ſeptennio ejuſmodi mulctari, ſuis canonibus ſanxerunt, atque ita ad communicationem oblationis admitti, ſi quidem cum lacrymis pœnitentiam egerint. Poſtquam vero mulctam hiſce hominibus Patrum decreto irrogatam expoſuit, nihil ulterius addidit; ſufficere arbitratus, quod adulterium crimen eſſe ex Domini verbis indicavit. Ex eo namque conſequitur, quemadmodum adulterio, ita & F adulteris pœnæ tempora ab ipſo conſtituta eſſe.

Arist. *Can.* LXXVII. *Qui propriâ uxore dimiſſâ aliam accipit, cùm ſit mœchus, ſeptennio ſubſternatur.*

Et hic canon unà cum ſexageſimo octavo canone interpretatus eſt.

A

Zonar. *In Can.* LXXVIII. Secundus autem Neocæsarienſis ſynodi Canon, Niſi, inquit, haſce nuptias ſolverit, ab Eccleſia, ad extremum uſque ſpiritum, ejiciatur.

ΖΩΝΑΡ. Ὁ δὲ δεύτερος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ γενομένης συνόδου· εἰ μὴ λύσῃ, φησὶ, τὸν γάμον, ἐξωθείσθω τῆς ἐκκλησίας μέχρι θανάτου.

Arist. Can. LXXVIII. *Eadem etiam obtinet forma in iis qui duas ſorores ducunt, etſi diverſis temporibus.*

ΑΡΙΣΤ. Καν. οη΄. Ὁ αὐτὸς κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων, εἰ καὶ κατὰ διαφόρους καιρούς.

Arist. Can. LXXIX. *Qui in novercam inſanit, ut qui inſanit in ſororem.*

ΑΡΙΣΤ. Καν. οθ΄. Ὁ τῇ μητρυιᾷ ἐπιμανεὶς, ὡς ὁ ἐπιμανεὶς ἀδελφῇ.

B

Canon LXXX.

Patres polygamiam ſilentio prætermiſere, ut belluinam, & penitus ab hominum genere alienam. Nobis autem probatur eam majus eſſe fornicatione peccatum, & ideo conſentaneum eſt, ut ii canonibus ſubjiciantur, ut ſcilicet poſtquam anno fleverint, & tribus ſubſtrati fuerint, ſic ſuſcipiantur.

ΚΑΝΩΝ π΄.

Τὴν πολυγαμίαν οἱ πατέρες ἀπεσιώπησαν, ὡς κτηνώδη καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων. ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα, διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι. δηλονότι ἐνιαυτὸν προσκλαύσαντας, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

C

Bals. Cum ſanctus in iiii. can. de trigamis, & polygamis ea definiiſſet, quæ ſpiritus ſanctus per ejus manum dextram pulchrè deſcribenda curavit, nunc dicit, quòd patres quidem nihil de polygamia dixerunt, ſed eam de induſtria ſilentio prætermiſerunt, ut belluinam, & ab hominum inſtituto alienam: ſibi autem videtur eam eſſe fornicatione deteriorem. Quare & eum qui polygamiæ impuritate propter rationis inopiam alligatus eſt, canonicis eſſe pœnis ſubjiciendum decrevit: ſcilicet ut ſtet anno cum deflentibus, tribus annis ſit in ſubſtratione, & cùm catechumenis egrediatur, & ſic admittatur. Rogaverit autem quiſpiam, cùm prædictus iiii. Canon contineat trigamiam & polygamiam caſtigatam fornicationem eſſe à patribus nominatam, eáſque in omnibus exæquet: quomodo dicit præſens canon fuiſſe polygamiam à patribus ſilentio prætermiſſam, & ejus peccatum fornicationem ſuperare? Sol. Trigamia quidem à lege agnoſcitur, Tetragamia autem, & deinceps, nec canonibus, nec legibus admiſſa eſt. Omnis ergo matrimonialis contractus, qui trigamiæ limites excedit, nominatur polygamia. Illic itaque ſanctus de trigamia ſtatuens, non polygamiam caſtigatam fornicationem nominavit, ſed trigamiam, quoniam illa quidem à lege agnoſcitur, & non ab eccleſia divellitur, quemadmodum dicit Canon decimus. Hic autem de polygamia decernens, dixit eam eſſe fornicatione deteriorem, & merito: Qui enim fornicatur, ſe ipſum atque adeo ſolum injuria afficit: ut qui ſe in profundiſſimum intemperantiæ antrum ſua ſponte injiciat. Qui autem quartum vel quintum matrimonium contrahit, is Divinis legibus & Canonibus inſultat, qui nefarium hoc opus prohibuerunt. ſuos quoque germanos filios injuria afficit, ut qui germanis ejus ſatis adultera à depravatorum ſeminum zizania adſeminet. Ut ergo fideles ab ejuſmodi illicitis matrimoniis abſtineant, ſtatuit ſanctus, ut ii pluſquam fornicatores puniantur, poſtquam confeſſi fuerint, & à malo deſtiterint. Præterea interrogaverit quiſpiam, cùm fornicatio ſeptennio puniatur, ut hoc ex lix. canone probatur, quomodo præſens canon, qui polygamiam fornicatione deteriorem nominat, punit eam quatuor annis? Sol. Nonnulli quidem dubitationem ſolventes fornicatores quadriennio puniendos eſſe dixerunt, utentes etiam xxii. can. ſancti patris. Tu autem lege ix. can. & ejus interpretationem, & dic quòd fornicator quidem ſeptennio punitur, Polygamus autem etiam pluſquam ſeptennio. Quoniam enim quatuor ſunt loca pœnarum, & ſtatutum eſt ut is quatuor annis defleat, & in tribus ſubſter-

ΒΑΛΣ. Ἐν τῷ δ΄. κανόνι, περὶ τριγάμων καὶ πολυγάμων ὁροθετήσας ὁ ἅγιος, ὅσα τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τούτου ἐκαλλιγράφησε δεξιᾶς, ἄρτι φησὶν ὡς οἱ μὲν πατέρες οὐδὲν περὶ πολυγαμίας εἰρήκασιν, ἀλλὰ τῷ τῆς ἀφασίας σκότει ταύτην ἐκάλυψαν, ὡς κτηνώδη, καὶ τῆς ἀνθρωπίνης ἀπεξενωμένην διαγωγῆς. αὐτῷ δὲ δοκεῖ ταύτην εἶναι χείρονα τῆς πορνείας. διὸ καὶ τὸν τῇ τῆς πολυγαμίας ἀκαθαρσίᾳ ἐξ ἀλόγου κατασχεθέντα κανονικοῖς ἐπιτιμίοις καθυποβάλλεσθαι διωρίσατο. δηλονότι ἐπὶ ἐνιαυτὸν μετὰ τῶν προσκλαιόντων ἵστασθαι, ἐπὶ τρισὶν ἐνιαυτοῖς ἐν ὑποπτώσει εἶναι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι, καὶ οὕτω δέχεσθαι. ἐρωτήσει δέ τις, ὡς τοῦ διαληφθέντος τετάρτου κανόνος διαλαμβάνοντος τὴν τριγαμίαν πορνείαν κεκολασμένην παρὰ τῶν πατέρων ὀνομασθῆναι, καὶ ἐξισοῦντος ἐν πᾶσι ταύτας, πῶς ὁ παρὼν κανών φησιν, ἀποσιωπηθῆναι τὴν πολυγαμίαν παρὰ τῶν πατέρων, ὑπερκεῖσθαι δὲ καὶ τῆς πορνείας τὸ ταύτης ἁμάρτημα; Λύσις. τριγαμία μὲν τῷ νόμῳ ἐπιγινώσκεται, τετραγαμία δὲ καὶ ἐφεξῆς, οὔτε τοῖς κανόσιν, οὔτε τοῖς νόμοις ἐδέχθη. πᾶν οὖν γαμικὸν συνάλλαγμα τοὺς ὅρους ὑπερβαῖνον τῆς τριγαμίας πολυγαμία ὀνομάζεται. ἐκεῖσε τοίνυν περὶ τριγαμίας ὁροθετῶν, ὠνόμασεν οὐ τὴν πολυγαμίαν κεκολασμένην πορνείαν, ἀλλὰ τὴν τριγαμίαν, διὰ τὸ ἐπιγινώσκεσθαι ταύτην καὶ τῷ νόμῳ, καὶ μὴ διασπᾶσθαι παρὰ τῆς ἐκκλησίας, καθὼς τοῦτό φησιν ὁ κανών. ἐνταῦθα δὲ περὶ πολυγαμίας διατατόμενος, εἴρηκε ταύτην καὶ πορνείας εἶναι χείρονα· καὶ εἰκότως. ὁ μὲν γὰρ πορνεύων ἑαυτὸν καὶ μόνον ἀδικεῖ, ὡς εἰς τὸν ἀκολασίας δυσδιεξίτητον βόθυνον ἐπιρρίπτων ἑαυτὸν ἑκόντι· ὁ δὲ τέταρτον ἢ πέμπτον γάμον ποιούμενος κατορχεῖται μὲν τῶν θείων κανόνων, καὶ νόμων τῶν κωλυσάντων τὸ ἀθέμιτον τοῦτο ἔργον· ἀδικεῖ δὲ καὶ τοὺς γνησίους παῖδας τούτου, ὡς τοῖς γνησίοις σπορίμοις αὐτοῦ ὑποσπείρων νόθων παρασπορίων ζιζάνια. ἵνα οὖν ἀπέχωνται οἱ πιστοὶ τῶν τοιούτων ἀθέσμων γάμων, ὥρισεν ὁ ἅγιος ἐπὶ πλέον τῶν πορνευσάντων τοὺς τοιούτους κολάζεσθαι μετὰ τὴν ἐξομολόγησιν καὶ τοῦ κακοῦ τὴν ἀπόστασιν. ἔτι ἐρωτήσει τις, ὡς τῆς πορνείας ἐπὶ ἑπταετίαν ἐπιτιμωμένης, καθὼς τοῦτο παρίσταται ἀπὸ τοῦ νθ΄. κανόνος, πῶς ὁ παρὼν κανὼν ὀνομάζων τὴν πολυγαμίαν χείρονα τῆς πορνείας, ἐπιτιμᾷ αὐτὴν ἐπὶ δ΄. ἐνιαυτοῖς; Λύσις. τινὲς λύοντες τὸ ἀμφίβολον ἐπὶ τετραετίαν εἶπον κολάζεσθαι τοὺς πόρνους, χρώμενοι καὶ τῷ κβ΄. κανόνι τοῦ ἁγίου πατρός. σὺ δὲ ἀνάγνωθι τὸν θ΄. κανόνα, καὶ τὴν ἑρμηνείαν αὐτοῦ, καὶ εἰπὲ ὅτι ὁ μὲν πόρνος ἐπὶ ἑπταετίαν ἐπιτιμᾶται, ὁ δὲ πολυγαμήσας, καὶ ὑπὲρ ἑπταετίαν. ἐπεὶ γὰρ δ΄. εἰσὶ τόποι τῶν ἐπιτιμίων, καὶ ὡρίσθη τοῦτον ἐπὶ ἐνιαυτὸν προσκλαίειν, καὶ ἐν τρισὶν ὑποπίπτειν ἀναλόγως κατὰ τοὺς λοιποὺς τόπους δουλεῦσαι ἀναγκασθήσεται, δῆλον ὅτι τὸν τοῦ ἀκροωμένου, καὶ τὸν τοῦ συνεστῶτος, καὶ εἰ μὴ εἰς πλεῖον καὶ οὗτοι παρεκταθῶσιν, ἀλλά γε πῶς εἰς τετραετίαν συμποσωθήσονται, ὡς εἶναι τοὺς ὅλους χρόνους τοῦ ἐπιτιμίου ὀκτώ. ὅτι δή τινες πολυγαμίαν ἐνταῦθα τὴν ἀδιάφορον πορνείαν ὠνόμασαν, ἀκουσάτωσαν ὅτι γάμος, οὐ τὸ συμφθαρῆναι μόνον ἐστὶ κατὰ τὴν κυδαιοτέραν διάλεκτον, ἀλλὰ ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία· καὶ ὅτι ὁ γάμος, οὐκ ἀπὸ μόνης τῆς συναφείας συνίσταται· ἀλλὰ καὶ ἀπὸ τῆς διαθέσεως τῶν συναλλαξάντων. φησὶ γὰρ τὸ δ'. κεφ. τοῦ δ'. τίτλου τοῦ μα'. βιβλίου προῖκα μὲν ἀποτελεῖ γάμος, γάμον δὲ προῖκες οὐ ποιοῦσιν, ἀλλ' ἡ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. περὶ δὲ τριγαμίας ἀνάγνωθι καὶ τὸν ὄπισθεν κατασκευασθέντα νόμον τῆς ἑνώσεως τὸν γεγονότα ἐπὶ τῶν ἡμερῶν τοῦ βασιλέως κυρίου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου.

ΖΩΝΑΡ. Τὴν πολυγαμίαν, ἤτοι τὸ πολλὰς ἀγαγέσθαι τὸν αὐτὸν γυναῖκας· εἰ καὶ μὴ ὁμοῦ, κτηνῶδες εἶναι φησὶ, καὶ οὐκ ἀνθρώπινον· ἢ καὶ τὸ πολλαῖς μίγνυσθαι καὶ ἀδιαφόρως ἔχειν πρὸς τὴν μίξιν, ὅπερ καὶ πλέον εἶναι τῆς πορνείας παρίσταται, ἀντὶ τοῦ δοκεῖ καὶ κρίνεται ἡμῖν. διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσιν. καὶ ἑξῆς, ἐπάγει τοὺς χρόνους τοῦ ἐπιτιμίου· δοκοῦντας τέσσαρας εἶναι. πῶς δὲ πλέον τῆς πορνείας εἶναι εἰπὼν ὁ ἅγιος τὴν πολυγαμίαν, τὸν αὐτὸν χρόνον καὶ ἐπὶ ταύτης ὥρισε τάχα; τετραετία γὰρ ἡ πορνεία ἐπιτιμᾶται κατὰ τοὺς πατέρας. οἶμαι δὲ πλείονα τὸν χρόνον ἐνταῦθα συνάγεσθαι, καὶ ὑπὲρ τὴν τετραετίαν. ὁ μὲν γὰρ πορνεύσας, ἐνιαυτὸν προσκλαίειν ὥρισται, τῷ δὲ δευτέρῳ ἀκροᾶσθαι, τῷ τρίτῳ μετανοεῖν, ἤγουν ἐν ὑποπτώσει εἶναι, καὶ μετὰ τῶν κατηχουμένων ἐξιέναι· τῷ τετάρτῳ, συνίστασθαι μετὰ τῶν πιστῶν, καὶ μετὰ τοῦτο ἀξιοῦσθαι τῶν θείων δώρων, κατὰ τὸν εἰκοστὸν δεύτερον κανόνα. ὁ δὲ πολυγαμίαν ἁμαρτήσας, ἐνιαυτὸν προσκλαίειν ὡρίσθη, ἐν τρισὶν ὑποπίπτειν· ὅ ἐστι, τὸ μετὰ τῶν κατηχουμένων ἵστασθαι, καὶ συνεξιέναι αὐτοῖς, καὶ οὕτως δεκτὸν εἶναι, εἰς σύστασιν δηλαδὴ μόνην, ὥστε κἀκεῖ διατρίψαντα, ἐφ' ὅσον οἰκονομῶν αὐτὸν κρινεῖ· οὕτως καὶ εἰς τὴν τῶν ἁγιασμάτων μετάληψιν δέχεσθαι. ζήτει καὶ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα τρίτον.

ΑΡΙΣΤ. Οἱ πολύγαμοι κτηνώδεις· ἀλλ' οὖν μετὰ τετραετίαν δεχέσθωσαν.

Οὗτοι τοῦ μύσους ἀφιστάμενοι, καὶ τὸν παράνομον διαλύοντες γάμον, ἐπὶ τέσσαρσιν ἔτεσιν ἐπιτιμηθήσονται, εἰ καὶ πλέον πορνείας ἐστὶ τὸ ἁμάρτημα· ἕνα μὲν γὰρ ἐνιαυτὸν προσκλαύσουσιν, ἐν τρισὶ δὲ ὑποπέσουσι, καὶ οὕτω δεχθήσονται.

ΚΑΝΩΝ πα'.

ΒΑΣ. Επειδὴ πολλοὶ ἐν τῇ βαρβάρων καταδρομῇ παρέβησαν τὴν εἰς θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς, οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν πατέρων ἐξενεχθέντας νόμους, καὶ κανόνας οἰκονομείσθωσαν. οἱ μὲν γὰρ ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες, καὶ μὴ φέροντες τοὺς πόνους, καὶ ἑλκυσθέντες πρὸς τὴν ἄρνησιν, ἐν τρισὶν ἔτεσιν ἄδεκτοι ἔστωσαν, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, καὶ ἐν τρισὶν ὑποπεσόντες, οὕτω δεκτοὶ γενέσθωσαν εἰς τὴν κοινωνίαν. οἱ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν, καὶ ἁψάμενοι τῆς τραπέζης τῶν δαιμονίων, καὶ ὀμόσαντες ὅρκους Ἑλληνικοὺς ἐκβαλλέσθωσαν μὲν ἐν τρισὶν ἔτεσι, καὶ ἐν δυσὶν ἀκροάσθωσαν, ἐν ὑποπτώσει δὲ εὐξάμενοι, ἐν τρι-

A natur, convenienter in reliquis quoque locis ſervire cogetur, audientis ſcilicet, & conſiſtentis, & ſi ii non in majus tempus deducantur, ad quatuor certe annorum quantitatem ſaltem redigentur, ut ſint omnes anni pœnæ, octo. Quia autem nonnulli polygamiam indiſcriminatim pervadentem fornicationem hîc nominarunt, audiant quod matrimonium non eſt ſolum conjungi confuſiore modò loquendi, ſed viri & mulieris conjunctio, & totius vitæ conſortium, divinique & humani juris ſocietas, & quòd matrimonium non ex ſola conjunctione conſiſtit, ſed etiam ex eorum qui contraxerunt affectione. Dicit autem iiii. cap.iiii. tit.xli. lib. B Dotem quidem efficit matrimonium, ſed dotes matrimonium non faciunt: ſed eorum qui ſimul habitant mutua affectio. De trigamia autem lege & ſuperius poſitam unionis deciſionem, quæ facta eſt tempore Conſtantini Porphyrogennetæ Imperatoris.

Zonar. Polygamiam, cum nimirum plures uxores, etiamſi non ſimul omnes, quiſpiam ducit, belluinam rem eſſe aſſerit, non humanam: vel etiam cum quis pluribus jungitur, indiſcretoque, ac vago utitur concubitu, C quod etiam fornicatione gravius eſſe nobis probatur, hoc eſt, à nobis exiſtimatur, ac judicatur. Proinde rationi conſentaneum eſt, ejuſmodi homines canonibus ſubjici; deinde vero tempora mulctæ ſubjungit, quæ videntur quatuor annis definiri. Sed quonam modo, cum graviorem eſſe fornicatione polygamiam vir ſanctus dixerit, idem pœnæ tempus in utraque forſitan conſtituit? Quadriennio namque ex Patrum decretis fornicatio punitur. Ego vero hoc loco tempus quadriennio longius conflari cenſeo. Qui enim fornicatus eſt, uno anno deflere, ſecundo inter audientes eſſe, tertio pœnitentiam agere, hoc eſt in ſubſtratione degere, & cum catechumenis D exire decretum eſt: quarto cum fidelibus conſiſtere, ac deinde divinorum munerum participem fieri, ut in vigeſimo ſecundo canone videre eſt. Qui vero polygamiæ crimine eſt implicitus, uno anno deflere jubetur, deinde tribus ſubſterni, quod eſt, ſtare cum catechumenis, & cum iiſdem exire, atque hoc pacto admitti, eouſq; videlicet tantum, ut cum fidelibus conſiſtat, ibique immoretur quoad ei, cui ipſius cura commiſſa eſt, viſum fuerit: ac tum demum ad ſanctorum quoq; munerum communionem aditus pateat. Vide Neocæſarianæ quoque ſynodi canonem tertium.

Arist. *Polygami ſunt belluini. Veruntamen poſt quadriennium recipiantur.*

E Hi à ſcelere converſi, & impium diſſolventes matrimonium, quatuor annis punientur, etſi peccatum ſit pluſquam fornicatio: uno enim anno deflebunt, tribus autem ſubſternentur, & ſic recipientur.

Canon LXXXI.

Quandoquidem multi in barbarorum incurſione fidem in Chriſtum violarunt, factis ſacramentis gentilibus & quibuſdam nefariis, quæ idolis magicis oblata ſunt ab eis guſtatis, ii ſecundum leges à patribus jam editas, & F *canones diſpenſentur. Qui enim gravem neceſſitatem ex tormentis ſuſtinuerunt, & non ferentes labores ad negationem tracti ſunt, tribus annis ſint non recipiendi, & in duobus audiant, & cum tribus annis ſubſtrati fuerint, ſic ad communionem admittantur. Qui autem ſine magna neceſſitate fidem in Deum prodiderunt, & dæmoniorum menſam attigerunt, & Græca ſacramenta jurarunt, tribus quidem annis ejiciantur, duobus audiant, poſtquam autem in ſubſtratione tribus annis oraverint, & in aliis tribus cum fidelibus ad oratio-*

nem conſtiterint, ſic admittantur ad boni communionem.

Bals. Ancyrana ſynodus ſatis definiit quid debeat iis fieri qui vi tyrannica idolis ſacrificarunt, vel etiam execranda comederunt. His ergo conſequenter dicit magnus Baſilius, quomodo debeant puniri qui hoc fecerunt, vel ut qui ſupra modum tormentis affecti ſint, vel ut qui ſine vi magna fidem in Chriſtum prodiderunt. Quia autem in lxxiii. Canone eum qui Chriſtum negavit, & ſalutis myſterium tranſgreſſus eſt, ſanctus per totam vitam deflere conſtituit, morientem autem ſacramentis dignum haberi, & videntur Canones inter ſe pugnare, dic non eſſe idem negare Chriſt: & Dæmoniis ſacrificare, vel Idolis immolata guſtare, vel Græca ſacramenta jurare. Illud enim eſt omnino fidei abrogatio, hæc vero inquinamentum & abrogationis apparentia, & propterea primum magis punitur. Vel quod in illo quidem Canone, de iis qui abnegationem ſua ſponte transfugerunt, & ſine neceſſitate fidem contemptui habuere, ſanctus decernit: in hoc vero, de iis qui tormentorum vehementia victi ſunt, & de iis qui vim paſſi ſunt, licet non valde vehementem, & ceſſerunt: unde & mitiores hic pœnas deſcripſit. Sin autem dicunt fortaſſe nonnulli ea quæ præſenti canone continentur, locum non habere, quòd fides dei gratia ſupra rectæ opinionis petram apte ſtabiliatur, & tyranni pluribus abhinc annis conjectis à martyribus lapidibus obruti ſunt: ſed tamen multi quoque hodie impiorum Agarenorum manibus capti, & torti, aliquando quidem fidem orthodoxam abjurant, aliquando vero in impiam Mohameti religionem jurant. Alii vero ſua etiam ſponte ſe in infidelitatis ſpeluncam projiciunt. Qui quidem omnes ex hoc præſenti Canone curabuntur, poſt confeſſionem, & convenientem pœnitentiam. De iis autem qui execranda comederunt, lege diverſos Canones Syn. Ancyranæ, & ſcies quomodo ii puniantur.

Zonar. Nonnulli in barbarorum incurſione captivi abducti, vetita quædam guſtavere: hoc eſt, idolothyta, & magica, magicis videlicet ritibus immolata, & juramenta Gentilium uſurpavere, vel idola nominantes vel Græcorum Deos, vel ſolem, aſtraque alia, quæ illi venerabantur pro Diis. In hiſce igitur hominibus puniendis, non eodem modo cum omnibus agendum eſſe Patres decreverunt, ſed aliter quidem cum iis qui tormentis aſpere divexati, & cruciatuum gravitate ſuperati ſunt, aliter vero cum iis, qui modica vi illata, fidem prodiderunt, ac idolothytis appoſuêre manus, juriſque jurandi illegitimos adhibuêre modos; ex ea nimirum, quæ hoc Canone præſcribitur diſtinctione. Septuageſimo tertio vero Canone, qui Chriſtum negavit, ac ſalutis myſterium violavit, toto vitæ tempore deflere, hic ſanctus decrevit, tum in extremo ſpiritu ſanctorum munerum participem fieri. Dici itaque poteſt, non idem eſſe Chriſtum negare, ac immolare dæmoniis, & guſtare idolothyta, & ex Græcorum ritibus jurare; Illud namque everſionem omnimodam fidei continet, hoc vero fidem polluit, ſpeciémque tantummodo everſionis præbet. Proinde graviori pœna prius illud punitur. Vel dixeris illo Canone de iis qui ſua ſponte à fide deſciverant, eamque nulla neceſſitate adacti abjecerant, decreviſſe, hoc vero Canone de iis actum qui tormentorum gravitate ſuperati, quique vim paſſi etiamſi non adeo vehementem ceſſerunt, ac propterea levioribus in eos pœnis animadverſum.

A σὶν ἔτεσι, καὶ ἐν ἄλλοις τρισὶ συστάντες τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὶ ἔστωσαν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ.

Bals. Ἡ ἐν Ἀγκύρᾳ σύνοδος ἱκανῶς διωρίσατο τί ὀφείλει γίνεσθαι εἰς τοὺς ἀπὸ βίας τυραννικῆς θύσαντας τοῖς εἰδώλοις, ἢ καὶ μιαροφαγήσαντας. ἀκολούθως οὖν ἐκείνοις, φησὶ, καὶ ὁ μέγας Βασίλειος, πῶς ὀφείλουσιν ἐπιτιμᾶσθαι οἱ τοιοῦτόν τι ποιήσαντες, ἢ ὡς ἄμετρα βασανισθέντες, ἢ ὡς χωρὶς μεγάλης βίας προδόντες τὴν εἰς Θεὸν πίστιν. ἐπειδὴ ἐν τῷ ογ΄. κανόνι ἀρνησάμενον τὸν Χριστὸν καὶ παραβάντα τὸ τῆς σωτηρίας μυστήριον, διὰ βίου ὅλου B προσκλαίειν ὁ ἅγιος ὥρισε, θνήσκοντα δὲ ἀξιοῦσθαι τῶν ἁγιασμάτων, καὶ δοκοῦσιν οἱ κανόνες ἐναντιοῦσθαι, εἰπὲ ὅτι οὐκ ἔστι ταὐτὸν τὸ ἀρνήσασθαι τὸν Χριστὸν, καὶ τὸ θῦσαι τοῖς δαιμονίοις, ἢ εἰδωλοθύτων γεύσασθαι, ἢ ὅρκους Ἑλληνικοὺς ὀμόσαι. τὸ μὲν γὰρ τῆς πίστεως ἀθέτησίς ἐστι παντελῶς, ταῦτα δὲ μίασμα καὶ δόκησις ἀθετήσεως, καὶ διὰ τοῦτο ἐπὶ πλέον τὸ πρῶτον κολάζεται. ἢ ὅτι ἐν ἐκείνῳ μὲν τῷ κανόνι περὶ τῶν αὐτομολησάντων εἰς τὴν ἄρνησιν, καὶ ἄνευ ἀνάγκης ἀθετησάντων τὴν πίστιν, διετάξατο ὁ ἅγιος· ἐν τούτῳ δὲ περὶ τῶν ἡττηθέντων τῇ τῶν βασάνων σφοδρότητι, καὶ περὶ τῶν βίαν παθόντων, κἂν μὴ πάνυ σφοδρὰν, καὶ ἐνδεδωκότων, ὅθεν καὶ μετριώτερον ἐνταῦ- C θα ὑπετύπωσεν ἐπιτίμια. εἰ τάχα δὲ λέγουσί τινες τὰ τοῦ παρόντος κανόνος σχολάσαι διὰ τὸ τὴν πίστιν τῇ τοῦ Θεοῦ χάριτι ἐπὶ πέτραν ὀρθοδοξίας ἀραρώτως στηρίζεσθαι, καὶ τοὺς τυράννους λιθοβοληθῆναι πετροβόλοις μαρτυρικοῖς πρὸ χρόνων πολλῶν, ἀλλὰ καὶ σήμερον πολλοὶ ταῖς τῶν ἀθέων Ἀγαρηνῶν χερσὶν ἁλώσιμοι γινόμενοι, καὶ βασανιζόμενοι τῇ μὲν τὴν ὀρθόδοξον πίστιν ἐξόμνυνται, τῇ δὲ τὴν ἄθεον θρησκείαν τοῦ Μωαμὲδ διόμνυνται, ἄλλοι δὲ καὶ ἑκοντὶ ἑαυτοὺς ἐπιρρίπτουσιν εἰς τὸν τῆς ἀπιστίας βόθρον. οἱ δὲ πάντες κατὰ τὸν παρόντα κανόνα θεραπευθήσονται μετὰ ἐξομολόγησιν, καὶ προσήκουσαν μετάνοιαν. περὶ δὲ μιαροφαγησάντων ἀνάγνωθι τῆς ἐν Ἀγ- D κύρᾳ συνόδου διαφόρους κανόνας, καὶ μάθης ὅπως καὶ οὗτοι ἐπιτιμῶνται.

ΖΩΝΑΡ. Ἐν καταδρομῇ βαρβάρων συλληφθέντες τινὲς, ἀθεμίτων τινῶν ἐγεύσαντο· ἤγουν εἰδωλοθύτων, καὶ μαγικῶν, μαγικαῖς δηλονότι τελεταῖς θυομένων, καὶ ὅρκους ὤμοσαν ἐθνικοὺς, ἢ εἴδωλα ὀνομάσαντες, ἢ Θεοὺς Ἑλληνικοὺς, ἢ τὸν ἥλιον, ἢ ἀστέρας ἄλλους, οὓς ἐκεῖνοι ἐσέβοντο ὡς Θεούς. τοὺς οὖν τοιούτους, οὐχ ὁμοίως πάντας οἰκονομεῖσθαι οἱ πατέρες διετάξαντο· ἀλλὰ ἄλλως μὲν τοὺς δεινῶς βασανισθέντας, καὶ τῆς βίας ἡττηθέντας τῶν ἀλγεινῶν, ἄλλως δὲ τοὺς ἄνευ μεγάλης E βίας προδόντας τὴν πίστιν, καὶ ἁψαμένους τῶν εἰδωλοθύτων, καὶ ὅρκους ἀποτετραμμένους ὀμόσαντας, κατὰ τὴν διάταξιν δηλαδὴ τοῦ παρόντος κανόνος. ἐν δὲ τῷ ογ΄. κανόνι τὸν ἀρνησάμενον τὸν Χριστὸν, καὶ παραβάντα τὸ τῆς σωτηρίας μυστήριον, διὰ βίου προσκλαίειν ὁ ἅγιος ὥρισε· θνήσκοντα δὲ, ἀξιοῦσθαι τῶν ἁγιασμάτων. ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ ταὐτόν ἐστι, τὸ ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς δαιμονίοις, καὶ τὸ εἰδωλοθύτων γεύσασθαι, καὶ ὅρκους Ἑλληνικοὺς ὀμόσαι. τὸ μὲν γὰρ τῆς πίστεως ἀθέτησις παντελής. τὸ δὲ μίασμα καὶ δόκησις ἀθετήσεως· καὶ διὰ τοῦτο, μᾶλλον τὸ πρῶτον κεκόλασται. ἢ ὅτι ἐν ἐκείνῳ μὲν τῷ κανόνι, περὶ τῶν αὐτομολη- F σάντων εἰς τὴν ἄρνησιν, καὶ ἄνευ ἀνάγκης ἀθετησάντων τὴν πίστιν, διετάξατο· ἐν τούτῳ δὲ περὶ τῶν ἡττηθέντων τῆς τῶν βασάνων σφοδρότητος, καὶ τῶν βίαν παθόντων, κἂν μὴ πάνυ σφοδρὰν καὶ ἐνδεδωκότων, καὶ διὰ τοῦτο μετριώτερα αὐτοῖς τὰ ἐπιτίμια ἔταξεν.

ΑΡΙΣΤ. Οἱ παραβάντες τὴν πίστιν διὰ βασάνων, ὀκταετίαν ὑποπιπτέτωσαν· οἱ δὲ αὐθαιρέτως, δωδεκαετίαν.

Ὅσοι μὲν ἐν τῇ τῶν βαρβάρων καταδρομῇ χαλεπὴν ἀνάγκην ἐκ βασάνων ὑπέμειναν, καὶ τοὺς πόνους μὴ φέροντες, τὴν εἰς θεὸν παρέβησαν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν τῶν ἐν τοῖς εἰδώλοις γευσάμενοι, οὗτοι μεταμεληθέντες, καὶ μετὰ δακρύων καὶ συντριβῆς καρδίας ὑποστρέψαντες, ἐν τρισὶ μὲν ἔτεσι μετὰ τῶν ἀκροωμένων, καὶ ἐν ἑτέροις τρισὶ μετὰ τῶν ὑποπιπτόντων· καὶ οὕτως εἰς τὴν κοινωνίαν ταχθήσονται. ὅσοι δὲ ἄνευ μεγάλης ἀνάγκης προδόται τῆς εἰς θεὸν γεγόνασι πίστεως, τραπέζης τῶν δαιμονίων ἁψάμενοι, καὶ ὅρκους Ἑλληνικοὺς ὀμόσαντες· οὗτοι ἐν τρισὶ μὲν προσκλαύσουσιν ἔτεσιν, ἐν δυσὶ δὲ ἀκροάσονται, ἐν τρισὶν ἐν ὑποπτώσει διατελέσουσι, καὶ ἐν ἄλλοις τρισὶ συστήσονται μετὰ τῶν πιστῶν εἰς τὴν δέησιν, καὶ οὕτω τῷ δεκάτῳ ἔτει τῆς τοῦ ἀγαθοῦ κοινωνίας μεθέξουσι.

ΚΑΝΩΝ πβʹ.

Καὶ περὶ τῶν ἐπιορκησάντων εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παραβέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη πάντως αὐτοὺς δεκτοὺς εἶναι. οἱ δὲ ἄνευ ἀνάγκης προδόντες ἑαυτῶν τὴν πίστιν ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέμπτῳ ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον δηλαδὴ μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ κυρίου.

ΒΑΛΣ. Οἱ καταστρωθέντες νόμοι ἐν τῷ ιθʹ. κεφαλ. τοῦ ιγʹ. τίτλου τοῦ παρόντος συντάγματος ἀρκοῦσιν εἰς τὸ παραστῆσαί σοι ποῖοι ὅρκοι ἀναψηλαφῶνται· καὶ ἐντεῦθεν μαθήσῃ τίνες εἰσὶν οἱ ἐπίορκοι. ὁ δὲ ξδʹ. κανών, καὶ ὁ παρὼν τοῦ μεγάλου τούτου ἁγίου οὐ διδάσκουσι ποῖοι ἀναψηλαφῶνται ὅρκοι, ἀλλὰ πῶς ἐπιτιμῶνται οἱ ἐπιορκήσαντες. καὶ ἐν μὲν τῷ ξδʹ. κανόνι, ἀπροσδιορίστως ὁ ἅγιος ἀκοινωνησίας ἐπιτιμίῳ ἐπὶ δεκαετίᾳ τὸν ἐπίορκον καθυπέβαλεν. ἐνταῦθα δὲ διαίρεσιν ποιεῖται τῶν ἐπιόρκων, καὶ τοὺς μὲν ἐξ ἀνάγκης βιασθέντας ἐπιορκῆσαι, μετὰ ἓξ ἔτη δέχεσθαι διωρίσατο, τοὺς δὲ χωρὶς ἀνάγκης μετὰ δώδεκα, ἐπιδειξαμένους μετάνοιαν ἀξιόλογον. καὶ ὁ μὲν κανὼν ἐν τούτοις. σὺ δὲ ἐκείνους τοὺς ἐπιόρκους εἰπὲ κατὰ τὸν παρόντα κανόνα κολάζεσθαι, τοὺς ἑκοντὶ καὶ διὰ ἐξομολογήσεως τὸ ἁμάρτημα θριαμβεύσαντας, καὶ θεραπείαν σιτήσαντας· οὐ μὴν τοὺς ὡς ἐπιόρκους κατακριθέντας ἀπὸ κατηγορίας ἑτέρων. ἐκεῖνοι γὰρ σὺν τῇ χρηματικῇ ποινῇ, καὶ πλειόνως παρὰ τῆς ἐκκλησίας ἐπιτιμηθήσονται· ὁ γὰρ ἔλεγχος, ὡς πολλάκις εἴρηται, διπλασιάζει τὸ τοῦ ἁμαρτήματος ὄφλημα· καὶ ἡ μετάνοια κουφίζει τῆς τιμωρίας τὴν πλαστίγγα. ἴστω δὲ εἰδὼς ὡς τὸ τῆς ἐπιορκίας ἁμάρτημα πολυειδές ἐστι, καὶ διὰ τοῦτο καὶ δυσθεράπευτον. ἄλλως γὰρ ἐπιτιμᾶται ὁ κατὰ ὀλιγωρίαν ὀμόσας, καὶ ἐπιορκήσας, ἄλλως ὁ κατὰ βίαν, ἄλλως ὁ ἐκ μεταμέλου, ἄλλως ὁ διὰ ἄμυναν, ἄλλως ὁ κατὰ δόλον, ἄλλως ὁ ἀθετήσας ὅρκον γεγονότα διά τι παιγνιῶδες ἢ καὶ ἀπόβλητον, ἄλλως ὁ σωματικὸν ὅρκον παραβάς, ἄλλως ὁ ἔγγραφον καὶ ἁπλῶς εἰς τὴν διάκρισιν τοῦ δεξαμένου τὴν ἐξομολόγησιν ἀνάκειται ἡ θεραπεία τῆς ἐπιορκίας. ἐγὼ δὲ εἶδον πολλοὺς ὀμόσαντας ἀπελθεῖν εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐπιορκήσαντας, καὶ ἀνεπιτιμήτους συντηρηθέντας· καὶ ἄλλους ἀγράφως ὀμόσαντας εἰς τὴν κεφαλὴν τοῦ βασιλέως, καὶ πικρῶς κολασθέντας· ἄλλους κατὰ βίαν ὀμόσαντας, καὶ μηδὲ ὅλως κολασθέντας. ἐρωτομανοῦντας δὲ πόσους εἶδον ἐπομοσαμένους καὶ τοὺς ὅρκους ἀκινδύνως καταπατήσαντας. διὸ χρεών ἐστι τὰ περὶ τούτων ἀκριβῶς ἐξετάζεσθαι, καὶ ἀξίως θεραπεύεσθαι.

A ARIST. *Qui fidem per tormenta violârunt, octo annos substernantur, qui suâ verò sponte duodecim.*

Quotquot in Barbarorum incursionibus difficilem necessitatem è tormentis sustinuerunt, & dolores non ferentes, fidem in Deum transgressi sunt, Ethnica juramenta præstantes, & nefaria quædam in idolis degustantes, hi pœnitentiâ ducti, & cum lachrymis & cordis contritione conversi, tribus quidem annis cum deflentibus collocabuntur, duobus autem cum audientibus, & aliis tribus cum substratis, & sic in communionem recipientur. Quotquot B autem sine magnâ necessitate, fidei in Deum proditores fuerunt, dæmoniorum mensam attingentes, & Græcanica jurantes juramenta, hi tribus quidem annis deflebunt, duos autem audient, tres in substratione agent, & in aliis tribus cum fidelibus ad preces consistent, & sic in decimo anno de boni communione participabunt.

CANON LXXXII.

De iis etiam qui pejerarunt, si vi quidem & necessitate juramenta transgressi sunt, levioribus pœnis subjiciuntur, ut post sex annos possint suscipi. Qui autem sine C *necessitate suam fidem prodiderunt, cum duobus annis defleverint, & duobus annis audiverint, & in quinto in substratione fuerint, & in duobus aliis sine oblatione in orationis communionem suscepti extiterint, ita tandem condigna scilicet pœnitentia ostensa, in corporis Christi communionem recipientur.*

BALS. Leges sitæ in xviii. can. xiii. tit. præsentis operis sufficiunt ad ostendendum quænam juramenta retractantur, & ex eis intelliges quinam sint perjuri. lxiiii. autem Canon, & hic præsens magni hujus sancti, D non docent, quænam retractentur juramenta, sed quomodo puniantur, qui pejerarunt. Et in lxiiii. quidem canone indefinitè sanctus pœnæ excommunicationis perjurum ad decennium subjecit: hic autem facit divisionem perjurorum: & eos quidem qui pejerare necessitate coacti sunt, post sex annos suscipiendos decrevit; eos autem qui sine necessitate, post duodecim condigna ostensa pœnitentia. Atque in his quidem consistit canon. Tu autem dic illos perjuros ex hoc canone castigari, qui sua sponte, & per confessionem de peccato triumpharunt, & medelam petiverunt: non autem illos qui ex aliorum accusatione perjurii condemnati sunt. Illi enim cum pœna pecuniaria E ab ecclesia quoq; magis punientur. Probatio enim, ut superius dictum est, debitum peccati, & pœnitentia pœnæ trutinam elevat. Scias autem, quòd perjurii peccatum est multiplex, & propterea curatu difficile. Aliter enim punitur qui per injuriam juravit, & pejeravit, aliter qui per vim, aliter qui per pœnitentiam, aliter qui propter vindictam, aliter qui per dolum, aliter qui juramentum aspernatur, quod propter ludicrum quippiam vel etiam abjiciendum factum est: aliter qui corporale jusjurandum transgressus est, aliter qui quod scriptis mandatum est. Et ut semel dicam, in illius qui confessionem suscepit prudentia in judicio sita est perjurii medela. Ego e- F nim vidi multos qui Hierosolyma proficisci juraverant ac pejeraverunt, nulla pœna affectos conservatos fuisse, & alios qui sine scriptis in caput Imperatoris juraverant acriter fuisse castigatos, & alios qui vi juraverant, nullo modo punitos. Vidi autem aliquot amoris insania percitos juramentis se obstringentes qui sine periculo sua juramenta conculcarunt, & ideo opus est ex exacte examinare, & ut decet curare.

ZONAR. In ſexageſimo quarto canone indefinitè A Sanctus perjurum excommunicationis pœna ad decem annos punivit: hic autem diſtinguit perjuros, & eos quidem qui ex neceſſitate coacti ſunt pejerare, poſt ſex annos recipi decernit: Eos verò qui abſque neceſſitate, ad undecim annos eſſe ſegregatos, atque ita ad communionem corporis Chriſti admitti, poſtquam ſufficientem pœnitentiam exhibuerint.

ARIST. *Qui vi coactus pejeravit, poſt ſexennium ſuſcipiatur, qui autem citra neceſſitatem poſt duodecim.*

Juravit quiſpiam aliquid ſe non facturum, judex forſitan ſe condemnationi in quendam illatæ non ſubſcripturum, B poſtea à majore coactus poteſtate, juramentum tranſgreditur; hic propter vim levioribus pœnis ſubjicietur, ſexennio enim punietur. Qui autem ſine vi tranſgreditur quod juravit, duobus annis cum deflentibus collocabitur, duobus annis cum audientibus, quinque cum ſubſtratis, & in aliis duobus cum fidelibus recipietur, & cum iis in precibus communicabit, & ſic poſt undecim annos Chriſti corpore dignus habebitur.

CANON LXXXIII.

Qui vaticinantur & gentium conſuetudines ſequuntur, & C aliquos in ædes ſuos introducunt ad veneficiorum inventionem, & eorum expugnationem, cadant in canonem ſexennii, & poſtquam anno defleverint, & anno audierint, in tribus annis ſubſtrati, & anno cum fidelibus conſiſtentes, ſic admittantur.

BALS. Sæpe quidem ſimpliciores, & imprudentiores gravius ægrotantes, & non commode curati, exiſtimant ſe ex magica impoſtura, vel veneficio ita affici, & ideo ad aliquos etiam gentiles accedunt, aſſerentes ſe occulta veneficia in apertum prolaturos, quæ corporalem laborantis ſanitatem evertant, & ita ſe ægrotum ab illo maleficio purgaturos. D Eos ergo qui vaticinantur, & non credunt per invocationem nominis Domini, & Dei & ſervatoris noſtri Jeſu Chriſti, & Dei matris, & omnium ſanctorum omnem morbum, & omnem ægritudinem curari, omnéque veneficium, & impoſturam ſatanicam, virtute & præſentia pretioſæ & vivificæ crucis à fidelibus expelli, ſed potius miraculorum oſtentatores, præſtigiatoréſque, & gentium conſuetudines ſequuntur, & eos in ædes ſuas introducunt ad purgandam forte ægritudinem, quæ ex veneficio oritur, dicit ſanctus eſſe ſexennio puniendos. Dicet autem quiſpiam hunc canonem adverſari lxv. canoni & lxxii. E Illi enim decernunt, ut ii tanquam homicidæ puniantur, ſcilicet ut vel xx. annis pœna eis imponatur inſtar voluntariorum homicidarum, vel decem annos inſtar involuntariorum: hic verò ut ſex. Exiſtimo autem eſſe inter canones differentiam. lxv. enim canon de ipſis opificibus, ſeu de magicis, & veneficis decernit. Similiter & lxxii. de iis qui ſe tradunt vatibus, ſeu de iis qui eadem cum illis ſentiunt. Præſens autem canon differit de hominibus, qui eos per errorem ſecuti ſunt, qui aſſerunt ſe magica vincula ac ægritudines ſolvere & curare, non tamen à fide deſciverunt. Eſt itáque differentia eorum qui per ſe exercent, eorúmque qui ſe tradunt præſtigiatoribus, ut fidem etiam negent, & F eorum, qui ab orthodoxa fide non defecerunt, lapſi autem ſunt quòd ad aliquos hujuſmodi prorſus acceſſerunt. Et ideo illii quidem longiori tempore puniuntur, hi vero breviori. Lege etiam ii. can. ſancti Gregorii Nyſſeni ex epiſtola ad Latoium, qui ea ita dividit. Ex eo autem, quod canon meminit hominum qui vaticinantur, apparet, ut exiſtimo, quod qui malo abuſi ſunt, ſexennio punientur. Qui autem ſemel forte erraverunt, & deſciverunt, mitius curabuntur. Et ipſe enim hoc reverà factum vidi. Cum enim beatæ in Domino vitæ conjux pii & reli-

ΖΩΝΑΡ. Ἐν τῷ ξδʹ. κανόνι ἀπαραδιορίστως, ὁ ἅγιος ἀκοινωνησίας ἐπιτιμίῳ ἐπὶ δεκαετίᾳ, τὸν ἐπίορκον ἐκόλασεν. ἐνταῦθα δὲ διαίρεσιν ποιεῖται τῶν ἐπιόρκων, καὶ τοὺς μὲν ἐξ ἀνάγκης βιασθέντας ἐπιορκῆσαι, μετὰ ἓξ ἔτη δέχεσθαι διωρίσατο· τοὺς δὲ χωρὶς ἀνάγκης, ἐπὶ ιαʹ. ἔτη εἶναι ἀφωρισμένους, καὶ οὕτως δέχεσθαι εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ, ἐπιδειξαμένους μετάνοιαν ἀξιόλογον.

ΑΡΙΣΤ. Ὁ ἐκ βίας ἐπιορκήσας, μετὰ ἑξαετίαν δεκτός· ἄνευ ἀνάγκης, ἐν δυοκαίδεκα.

Ὤμοσέ τις τόδε μὴ ποιῆσαι, τυχὸν δικαστὴς, μὴ ὑπογράψαι εἰς τὴν ἐπενεχθεῖσαν καταδίκην τῷ δεῖ· εἶτα βιασθεὶς ὑπὸ μείζονος ἐξουσίας, παρέβη τὸν ὅρκον· κουφοτέροις τοῖς ἐπιτιμίοις ὑπόκειται διὰ τὴν βίαν, ἐπὶ ἑξαετίαν γὰρ ἐπιτιμηθήσεται. εἰ δὲ ἄνευ τινὸς βίας παρέβη τὰ ὁμοθέντα, ἐν δυσὶν ἔτεσι, μετὰ τῶν ἀκροωμένων, ἐν πέντε μετὰ τῶν ὑποπιπτόντων, καὶ ἐν δυσὶν ἄλλοις παραδεχθήσεται μετὰ τῶν πιστῶν, καὶ τῶν εὐχῶν αὐτοῖς συγκοινωνήσει. καὶ οὕτως μετὰ τὸν ἑνδέκατον χρόνον τοῦ σώματος τοῦ Χριστοῦ ἀξιωθήσεται.

ΚΑΝΩΝ πγʹ.

Οἱ καταμαντευόμενοι, καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἀκολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνερευνήσει φαρμακειῶν καὶ καθάρσει, ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἑξαετίας, ἐνιαυτὸν προσκλαύσαντες, καὶ ἐνιαυτὸν ἀκροασάμενοι, καὶ ἐν τρισὶν ἔτεσιν ὑποπίπτοντες, καὶ ἐνιαυτὸν συστάντες τοῖς πιστοῖς, οὕτω δεχθήτωσαν.

ΒΑΛΣ. Πολλάκις τινὲς τῶν ἁπλουστέρων καὶ ἀσυνετωτέρων χαλεπῶς νοσηλευόμενοι καὶ μὴ εὐκαίρως θεραπευόμενοι, νομίζουσιν ἀπὸ μαγικῆς μαγγανείας ἤτοι φαρμακείας πάσχειν. διὸ καὶ προσέρχονταί τισιν ἐθνικοῖς διϊσχυριζομένοις εἰς τοὐμφανὲς ἀγαγεῖν τὰς φαρμακείας κρυπτομένας καὶ τὴν σωματικὴν ὑγείαν ληστευούσας τοῦ πάσχοντος, καὶ οὕτω καθᾶραι τὸν νοσοῦντα ἐκ τοῦ μιάσματος. τοὺς γοῦν οὕτω καταμαντευομένους, καὶ μὴ πιστεύοντας διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς θεομήτορος καὶ πάντων τῶν ἁγίων, πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν θεραπεύεσθαι, καὶ πᾶσαν φαρμακείαν καὶ μαγγανείαν σατανικὴν τῇ δυνάμει καὶ παρουσίᾳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἐκδιώκεσθαι ἀπὸ τῶν πιστῶν, ἀλλ' ἐξακολουθοῦντας μᾶλλον τοῖς τερατολόγοις, καὶ μαγγανοποιοῖς, καὶ ταῖς τῶν ἐθνῶν συνηθείαις, καὶ εἰσάγοντας τοιούτους τινὰς ἐν τοῖς οἴκοις διὰ καθαρισμὸν τάχα τῆς ἀπὸ τῆς φαρμακείας νοσηλείας, φησὶν ὁ ἅγιος, ἐπὶ ἑξαετίαν ἐπιτιμᾶσθαι. ἐρεῖ δή τις ἐναντιοῦσθαι τὸν παρόντα κανόνα τῷ ξεʹ. κανόνι καὶ τῷ οβʹ. ἐκεῖνοι μὲν γὰρ διορίζονται τοὺς τοιούτους ὡς φονέας ἐπιτιμᾶσθαι, ἤτοι ἐπὶ εἴκοσιν ἐνιαυτοῖς οἰκονομεῖσθαι κατὰ τοὺς ἑκουσίους φονεῖς, ἢ ἐπὶ δέκα ἔτεσι κατὰ τοὺς ἀκουσίους· ὁ δὲ παρὼν, ἐπὶ ἕξ. οἶμαι δὲ ὅτι διαφορά ἐστι τῶν κανόνων. ὁ μὲν γὰρ ξεʹ. κανὼν περὶ αὐτουργῶν ἤτοι μάγων καὶ φαρμακῶν ὁροθετεῖ, ὡσαύτως καὶ ὁ οβʹ. περὶ τῶν ἐπιδιδόντων ἑαυτοὺς μάντεσιν, ἤτοι φρονούντων ὁμοίως αὐτοῖς. ὁ δὲ παρὼν κανὼν περὶ ἀνθρώπων διέξεισι κατὰ πλάνην ἀκολουθησάντων τοῖς διϊσχυριζομένοις θεραπεύειν καὶ λύειν τὰ μαγικὰ δεσμὰ καὶ νοσήματα, μηκέτι δὲ ἀπὸ τῆς πίστεως μεταστάντων. ὥστε διαφορά ἐστι αὐτουργησάντων καὶ καταπροδόντων ἑαυτοὺς τοῖς γόησιν, ὥστε καὶ τὴν πίστιν ἀρνήσασθαι, καὶ τῶν μὴ ἀποστάντων μὲν ἀπὸ τῆς ὀρθοδόξου πίστεως, ὀλισθησάντων δὲ διὰ τὸ ὅλως προσελθεῖν τοιούτοις τισὶν, καὶ διὰ τοῦτο, ἐκεῖνοι μὲν πλείοσι χρόνοις ἐπιτιμῶνται. οὗτοι δὲ, ἐπὶ ἥττοσιν. ἀνάγνωθι καὶ τὸν βʹ. κανόνα τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης ἐκ τῆς πρὸς Λητόϊον ἐπιστολῆς οὕτω ταῦτα διαιροῦντα. ἀπὸ δὲ τοῦ μεμνῆσθαι τὸν κανόνα ἀνθρώπων καταμαντευομένων, ἀναφαίνεται ὡς νομίζω, ὅτι οἱ καταχρησάμενοι τῷ κακῷ ἐπὶ ἑξαετίαν ἐπιτιμηθήσονται. οἱ δὲ ἅπαξ τυχὸν πλανηθέντες καὶ ἀποστάντες μετρίως θεραπευθήσονται. εἶδον γὰρ τοῦτο καὶ πραγματικῶς γεγονός. τῆς γὰρ μακαρίτιδος σεβαστῆς κυρᾶς Ζωῆς, τῆς συμβίου τοῦ πανσεβεστάτου ἐκείνου Ἀλεξίου κυροῦ Κομνηνοῦ τοῦ υἱοῦ τοῦ ἀοιδίμου σεβαστοκράτορος, νόσῳ περιπεσούσης βαρείᾳ, καὶ τῶν ἰατρῶν ἀπαγορευσάντων τὴν θεραπείαν αὐτῆς διὰ τὴν τῶν πολυειδῶν νοσημάτων ἐναντιότητα, ἐθνικοί τινες ἐπαγγελλόμενοι θεραπεῦσαι αὐτήν, ὡς δῆθεν ἀπὸ μαγικῶν μαγγανειῶν νοσηλευομένην, συνωθήθησαν ἀδίκως ἐταθῆναι πολλὰς καὶ θαυμαστὰς γυναῖκας αὐτῆς. ἐπὶ μὴν καὶ ἄνδρας. ἔρριπτον δὲ κρύφα ἐν γωνίαις κηροπλαστὰ εἴδωλα, καὶ σατανικῶς προεμήνυον τὴν τούτων ἀναψηλάφησιν καὶ εὕρεσιν. καὶ ἄλλα δὲ μυρία δεινὰ διεπράξαντο εἰς καταφρόνησιν τοῦ θεοῦ καὶ τιμωρίαν ἀνθρώπων πολλῶν, καὶ αὐτοὶ μὲν οἱ ἄθεοι ἀπρακτήσαντες, ἀφανεῖς ἐγεγόνεισαν. ἡ δὲ πανευγενεστάτη ἐκείνη γυνὴ, οὐ μόνον οὐκ ἀπόνατό τι, ἀλλὰ καὶ τῇ νόσῳ χρονίως προσπατταλευθεῖσα, ἐκ τοῦ βίου μετέστη, κακὸν ἐφόδιον ἐπιφορτισθεῖσα τὴν ἀπὸ τῶν θείων κανόνων κατ' αὐτῆς ἀγανάκτησιν, ἣν ἐπικουφίσαι κύριος ὁ θεὸς ἐπὶ ταῖς ἄλλαις ἀγαθοεργίαις αὐτῆς. μετὰ θάνατον δὲ ταύτης διὰ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Λέοντος τοῦ Στυπῶν, τινὲς μὲν τῶν προσγενῶν καὶ τῶν ὑποχειρίων αὐτῆς βαρέως ἐπετιμήθησαν, ὡς πλειστάκις καταμαντευσάμενοι καὶ ὁλοψύχως τῇ σατανιώδει ἀρητουργίᾳ πιστεύσαντες. ἕτεροι δὲ, διὰ μετρίου ἐπιτιμίου ἐθεραπεύθησαν. ὡς μὴ πλειστάκις μηδὲ ἐκθύμως τῷ κακῷ ἀκολουθήσαντες. προσεκτέον οὖν τῷ κανόνι, καὶ εἰς θεὸν ἀναθετέον τὰς τῶν νοσηλευομένων θεραπείας, τὸν λόγῳ μόνῳ παραλελυμένας σάρκας συσφίγξαντα. καὶ μὴ προδοτέον ἑαυτοὺς εἰς μαγγανείας σατανικὰς, ἀφαιρουμένας μὴ μόνην τὴν τῶν σωμάτων ὑγείαν, ἀλλὰ καὶ τὴν ψυχῶν. ἀνάγνωθι καὶ τὸ κ'. κεφάλαιον τοῦ ιγ'. τίτλου τοῦ παρόντος συντάγματος. καὶ τὸ κε'. κεφ. τοῦ θ'. τίτλου, καὶ τὸν κδ'. κανόνα τῆς ἐν Αγκύρᾳ συνόδου.

Ετέρα ἑρμηνεία.

Περὶ δὲ τῶν προσερχομένων μάγοις ἢ μάντεσι, καὶ ἐπωδεῖσι, κα τοῖς ποιοῦσι περίαπτα, καὶ ἕτερά τινα δαιμονικὰ, ἀνάγνωθι τὴν τῆς πρὸς Κολασσαεῖς ἐπιστολῆς ἑρμηνείαν τοῦ Χρυσοστόμου, καὶ τὸν κατὰ Ἰούδαν ς'. λόγον αὐτοῦ, διδάσκοντα, ὡς κἂν νεκρὸν ἀναστήσῃ τις μὴ ζῶν ἁγιοπρεπὴς, μὴ πιστευτέον, ἀλλὰ καταργητέον.

ΖΩΝΑΡ. Ἐν τῷ ξέ. κανόνι τοὺς γόητας, ἢ φαρμακείαν ἐξαγορεύοντας, τῷ φονέως ὑπάγει ἐπιτιμίῳ· οὓς δὲ λέγει ἐνταῦθα, ἐν ἓξ ἀφορίζει ἐνιαυτοῖς, καὶ οὐκ ἐναντιοῦται ὁ ἅγιος ἑαυτῷ, ἀλλ' ἐκεῖ μὲν περὶ τῶν αὐτουργούντων τὰς γοητείας, καὶ τὰ φάρμακα κεραννύντων εἰς βλάβην ἀνθρώπων διετάξατο, ἢ καὶ τῶν χρωμένων αὐτοῖς, ἐν τοιούτοις· ἐνταῦθα δὲ περὶ τῶν μαντείαις πιστευόντων, χρωμένων τοῖς μάντεσιν, εἰς εὕρεσιν φαρμακειῶν, καὶ εἰς κάθαρσιν τάχα τοῦ ἐκ φαρμακείας μιάσματος, καὶ εἰς ἀποτροπιασμὸν τῆς ἐκ τούτων βλάβης, καὶ θεραπείαν δῆθεν τῶν τοιουτοτρόπως γινομένων παθημάτων. ὁ δὲ κδ'. κανὼν τῆς ἐν Αγκύρᾳ συνόδου, πενταετίας ὁρίζει κατὰ τῶν τοιούτων ἀφορισμόν.

ΑΡΙΣΤ. Οἱ μάντεσι πιστεύοντες ἢ εἰσάγοντές τινας εἰς τὰς οἰκείας αὐτῶν ἐπὶ ἀνευρέσιν τινων φαρμακειῶν ἐνιαυτὸν προσκλαιέτωσαν, ἐνιαυτὸν ἀκροάσθωσαν, τρεῖς ὑποπιπτέτωσαν, καὶ ἐν ἑνὶ συστάντες τοῖς πιστοῖς, δεχθήτωσαν. Σαφής.

A gioſi illius domini Alexii Comneni filii inclyti Imperatoris in gravem morbum incidiſſet, & medici de ejus ſanitate deſperaſſent propter multiplicium morborum contrarietatem, quidam ethnici ſe eam curaturos profeſſi, utpote quæ magicis artificiis laboraret, effecerunt ut multæ & admirandæ ejus fœminæ, & viri etiam injuſtè examinarentur. Clam autem projiciebant imagines ex cera factas, & ſatanicè eorum contrectationem & inventionem ſignificabant, atque etiam multa alia gravia fecerunt in Dei contemptum, multorum hominum ſupplicium. Et ipſi quidem impii cum rem efficere non potuiſſent, evanuerunt. Nobiliſſima autem illa mu-

B lier non modo nihil adjumenti adepta eſt, ſed etiam diuturno morbo vexata vita exceſſit, malo à ſe ſuſcepto viatico, divinorum ſcilicet canonum adverſus ſe indignatione, quam Deus propter alia ejus bona opera allevare dignetur. Poſt ejus autem mortem tempore ſanctiſſimi patriarchæ domini Leonis Stuppæ, nonnulli quidem ejus cognati, & etiam ſubditi, graviter puniti ſunt, ut qui ſæpiſſimè vaticinati eſſent, & ſatanicæ nefariæ operationi toto animo credidiſſent. Alii autem mediocri ſupplicio curati ſunt, ut qui non ſæpe, nec ex animo malum illud ſecuti eſſent. Eſt itaque canon attendendus, & Dei judicio relinquenda ægrotantium cura, qui ſolo verbo diſſolu-

C tas carnes aſtringit, nec ſe tradere oportet ſatanicis impoſturis, quæ non ſolam corporum ſanitatem auferunt, ſed etiam animarum. Lege vigeſimum Caput decimi tertii tituli præſentis operis, & vigeſimum quintum Caput noni tituli, & vigeſimum quartum Canonem Synodi Ancyranæ.

Alia Interpretatio.

D De iis autem qui ad magos, & vates, & incantores, & ad eos accedunt qui amuleta & alia quædam dæmonica faciunt, lege Chryſoſtomi interpretationem Epiſtolæ ad Coloſſenſes, ejuſdémque homiliam ſextam in Judam, quæ docet, quod ſiquis ſanctam non agens vitam mortuum reſuſcitaverit, ei non eſt credendum, ſed rejiciendus eſt.

Zonar. Sexageſimo quinto canone, qui præſtigias, aut veneficium fatentur, homicidarum pœnis ſubjicit: Quos vero hic memorat, ſexennio ſegregatos eſſe jubet. Neque vero ſecum ipſe vir ſanctus pugnat: ſed ibi qui-

E dem, de iis qui præſtigias per ſe ipſi exercent, ac venena ad perniciem hominum miſcent, decrevit, vel etiam de iis qui illorum opera ad ejuſmodi res utuntur: hoc loco vero de iis qui vaticiniis credunt, vatibúſque utuntur ad veneficiorum inventionem, atque ad maculas forte, quæ ex veneficiis inhæſerant, expurgandas, illatáſque inde noxas averruncandas, ac medicinam morbis, per ejuſmodi importatis, adhibendam. Cæterum vigeſimus quartus Ancyranæ ſynodi canon, quinquennii ſegregationem in ejuſmodi homines decernit.

F Arist. *Qui vatibus fidem habent & in ædes ſuas aliquos introducunt ad veneficiorum inventionem, uno anno defleant, altero audiant, tribus ſubſternantur, & cum uno conſtiterint inter fideles, admittantur.* Perſpicuus.

Canon LXXXIIII.

Hæc autem omnia ſcribimus, ut pœnitentiæ fructus probetur. Non enim hæc omnino tempore judicamus: ſed modum pœnitentiæ attendimus. Quòd ſi qui à propriis moribus non facilè avellantur, & carnis voluptatibus potius quam Domino ſervire voluerint, vitámque ex evangelio inſtitutam non admittant, nulla eſt nobis cum illis communis ratio. Nos enim in inobediente & contradicente populo audire docti ſumus, Servans ſerva animam tuam.

Bals. In lxxiiii. can. definiit ſanctus eſſe moderandum pœnitentiæ tempus in iis qui pœnitentiam diligenter agunt. Hic autem dicit à pœna non liberandos qui pœnis negligenter ſerviunt. Statuit enim ut in eos pœnæ aggraventur. Eorum verò qui à malo non deſiſtunt poſt confeſſionem, ſed in eo perſeverant, jubet nullam haberi rationem. Audimus enim, inquit, ex Scriptura, Servans ſerva animam tuam. Vide ſcilicet ne te ipſum perdas cum iis converſans qui corrigi nequeunt. Nota ergo duo pulcherrima ex præſenti canone, quòd quemadmodum pœnæ iis minuuntur qui confeſſioni diligenter ſerviunt, ita etiam in negligentibus intenduntur; & quòd illi puniuntur qui à malo deſiſtunt. Qui enim in ſuis cupiditatibus permanent, abſoluta excommunicatione condemnantur.

Zonar. His omnibus ita conſtitutis, ſubdit magnus Baſilius, Etſi tempora pœnitentiæ expiandis peccatis definiverimus, non tamen pœnitentiam ex temporis diuturnitate dijudicamus, ut exacto in ſingulos eorum qui peccaverunt, præſtituto tempore, omnino illos admitti ſit neceſſe: ſed fructus pœnitentiæ penſamus, modúmq; inſpicimus, hoc eſt, quonam modo pœnitens ſit affectus; ut ex hoc loco ſeptuageſimi quarti quoque canonis ſententia percipi poſſit: nempe ſerio pœnitentibus, tempus mulctæ contrahendum; qui vero negligunt, & contemnunt, prorogandum. Si qui vero, inquit, à propriis moribus abduci nequeunt, nec à peccatis abſiſtunt, cum ejuſmodi nihil nobis commune eſt. Audimus namque in ſacris litteris, ſervans ſerva animam tuam: hoc eſt, Cave ne te ipſemet perdas, ſi cum improbis communicaveris. Exindéque adhortationem ſubnectit ad Antiſtites quibus peccatores ligandi, & ſolvendi facultas eſt data, quæ ſic habet. Ne igitur cum hujuſmodi hominibus perire in animam inducamus, verum expaveſcentes grave judicium, ac formidabilem diem retributionis Domini præ oculis habentes, ne velimus una cum alienis peccatis perire; Etenim ſi non docuerunt nos terribilia Domini, neque nobis tam multæ res adverſæ perſuadere potuerunt, nos ob noſtram vivendi licentiam à Domino deſtitutos, atque in hoſtium manus traditos fuiſſe, abductúmque captivum ab hoſtibus populum, diſſipatúmq; late, ac disjectum, eo qd ejuſmodi patrare ſunt auſi, qui Chriſti nomen circumferebant; ſi verò non cognoverunt, neq; intellexerunt, haſce ob cauſas in nos iram Dei veniſſe, quæ eſt communis nobis cum iis ratio? Verum eos obteſtari, die noctéque, publice, ac privatim debemus: cæterum abduci nos ab eorum pravitate nequaquam ſinamus, habentes quidem in votis, in primis ipſos lucrari, atque ex cacodæmonis caſſibus eripere: verum ſi id minime poſſimus, noſtras certe animas ab æterna damnatione vindicare ſtudeamus.

A

ΚΑΝΩΝ πδʹ.

Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας. οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. ἐὰν δὲ δυσαποσπάστως ἔχωνται τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς Ϲαρκὸς μᾶλλον δουλεύειν θελήσωσιν, ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ παραδέχωνται, οὐδεὶς ἡμῖν πρὸς αὐτοὺς κοινὸς λόγος. ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.

B

ΒΑΛΣ. Ἐν μὲν τῷ οδʹ. κανόνι, ὡροθέτησεν ὁ ἅγιος μετριάζεσθαι τὸν χρόνον τοῦ ἐπιτιμίου εἰς τοὺς ἐπιμελῶς μετανοοῦντας, ἐνταῦθα δέ φησιν ἀπὸ τοῦ ἐπιτιμίου μὴ ἀπολύεσθαι τοὺς ἀμελῶς τοῖς ἐπιτιμίοις δουλεύσαντας. κατὰ τούτων γὰρ διορίζεται τὰ ἐπιτίμια ἐπιτείνεσθαι. τοὺς μέντοι μὴ ἀποστάντας μετὰ ἐξομολόγησιν ἀπὸ τοῦ κακοῦ, ἀλλ᾽ ἐξεχομένους αὐτοῦ, παρακελεύεται μηδὲ λόγου ἀξιοῦσθαι. ἀκούομεν γάρ φησιν ἐκ τῆς γραφῆς, ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν, ἤγουν ὅρα μὴ καὶ σεαυτὸν ἀπολέσῃς ἀδιορθώτοις συγκοινωνῶν. σημείωσαι οὖν δύο κάλλιστα ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι C ὥσπερ ἐλαττοῦνται τὰ ἐπιτίμια εἰς τοὺς ἐπιμελῶς δουλεύσαντας τῇ ἐξομολογήσει, οὕτως ἐπιτείνονται εἰς τοὺς ἀμελεῖς. καὶ ὅτι ἐκεῖνοι ἐπιτιμῶνται οἱ ἀφιστάμενοι ἀπὸ τοῦ κακοῦ. οἱ γὰρ ἐπιμένοντες ταῖς ἐπιθυμίαις αὐτῶν, ἀκοινωνησίᾳ παντελεῖ κατακρίνονται.

ΖΩΝΑΡ. Ἐπὶ πᾶσιν οἷς διετάξατο ὁ μέγας Βασίλειος ἐπάγει, ὅτι εἰ καὶ χρόνους ὡρίσαμεν μετανοίας ἐπὶ τοῖς ἁμαρτήμασιν, ἀλλ᾽ οὐ χρόνῳ κρίνομεν τὴν μετάνοιαν, ὥστε τοῦ τεταγμένου καιροῦ παρελθόντος, ἐφ᾽ ἑκάστῳ τῶν ἁμαρτανόντων, ἐκ παντὸς δέχεσθαι αὐτούς· ἀλλὰ τοὺς καρποὺς τῆς μετανοίας δοκιμάζομεν, καὶ τῷ τρόπῳ προσέχομεν, ἤγουν τῇ διαθέσει D τοῦ μετανοοῦντος· ὡς κἀνταῦθα νοεῖσθαι τὰ τοῦ οδʹ. αὐτοῦ κανόνος· ἤτοι τὸ τοῖς σπουδαίοις μὲν ἐλαττοῦσθαι τὸν χρόνον· τοῖς δ᾽ ἀμελῶς διακειμένοις, καὶ ἐπιτείνεσθαι. εἰ δέ τινες, φησί, δυσαποσπάστως ἔχουσι τῶν ἰδίων ἐθῶν, καὶ οὐκ ἀφίστανται τῶν ἁμαρτημάτων, πρὸς τοὺς τοιούτους οὐδὲν ἡμῖν κοινόν. ἀκούομεν γὰρ ἐκ τῆς γραφῆς, ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν. ἤγουν βλέπε μὴ καὶ σεαυτὸν ἀπολέσῃς ἀδιορθώτοις συγκοινωνῶν. καὶ ἑξῆς ποιεῖται παραίνεσιν πρὸς ἀρχιερεῖς, τοὺς δυναμένους λύειν καὶ δεσμεῖν τοὺς ἁμαρτάνοντας, καὶ φησί. μὴ τοίνυν καταδεξάμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα, καὶ τὴν φοβερὰν ἡμέραν E τῆς ἀνταποδόσεως τοῦ κυρίου πρὸ ὀφθαλμῶν λαβόντες μὴ θελήσωμεν ἀλλοτρίαις ἁμαρτίαις συναπόλλυσθαι. εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ κύριος, καὶ παρέδωκεν ἡμᾶς εἰς χεῖρας ἐχθρῶν, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ δὲ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐφ᾽ ἡμᾶς· τίς ἡμῖν κοινὸς πρὸς τούτοις λόγος; ἀλλὰ διαμαρτύρασθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, F συναπάγεσθαι δὲ αὐτῶν τῇ πονηρίᾳ μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς, ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς, τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

ΑΡΙΣΤ. Μὴ χρόνῳ κρίνῃς, ἀλλὰ τρόπῳ τὰ ἐπιτίμια. εἰ δ' ἐμμένωσι ταῖς ἁμαρτίαις, καὶ ἀντιλέγοιεν, σὺ δὲ σῶζε τὴν οἰκείαν ψυχήν.

Τὰ μὲν ἐπιτίμια ὡρίσθησαν, ὡς ἐγράφησαν. οὐ δεῖ δὲ πρὸς τὸν χρόνον τῶν ἐπιτιμίων ἀφορᾷν, ἀλλὰ πρὸς τὸν τρόπον τῆς μετανοίας. καὶ εἰ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας, καὶ ταπεινώσεως ἰσχυρᾶς τὰς ἐξομολογήσεις ποιοῦνται οἱ ἁμαρτάνοντες, καὶ ἀφίστανται τοῦ κακοῦ, καὶ ἐξ ὅλης ψυχῆς ἐκζητοῦσι τὸν κύριον, παρὰ τῇ ἐξουσίᾳ ἔσται τοῦ δεσμεῖν καὶ λύειν ἰμπεπιστευμένου, τὸν χρόνον αὐτῶν ἐλαττῶσαι. ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν οἱ πταίοντες, καὶ τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς δουλεύειν μᾶλλον αἱροῦνται, ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς πρὸς αὐτοὺς λόγος ἐπιτιμίων. ἐν γὰρ λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων σῶζε τὴν ἑαυτοῦ ψυχήν.

ΚΑΝΩΝ πε΄.

Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρίμα καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ κυρίου πρὸ ὀφθαλμῶν λαβόντες μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι. εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ κύριος, καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων, οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες, εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; ἀλλὰ διαμαρτύρεσθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις, μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ. ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

ΒΑΛΣ. Ταῦτα παραινετικὰ ῥήματά εἰσι πρὸς τοὺς ἀρχιερεῖς καὶ πάντας τοὺς δυναμένους δεσμεῖν καὶ λύειν. παρακαλεῖ γὰρ αὐτοὺς μὴ συναινεῖν τοῖς ἁμαρτάνουσι, μηδὲ ἀνέχεσθαι τὴν κοινωνίαν τῶν ἐπιμενόντων ταῖς ἁμαρτίαις, κἀντεῦθεν τούτοις συναπόλλυσθαι, ἀλλὰ διηνεκῶς νουθετεῖν αὐτοὺς χάριν τοῦ ἀποστῆναι τοῦ κακοῦ, καὶ προσεύχεσθαι ὑπὲρ τῆς σωτηρίας τούτων. εἰ δὲ πολλάκις οὐ δυνηθῆτε φησὶ διορθώσασθαι τούτους, σπουδάσατε ἑαυτοὺς ἐκ τούτων ἀποξενῶσαι· καὶ οὕτω περισωθείητε καὶ ἐκ τῆς αἰωνίου κολάσεως.

A

Arist. *Ne tempore, ſed modo pœnas expendas: ſi autem in peccatis permaneant & contradicant, tu vero ſerva animam tuam.*

Pœnæ quidem definitæ fuerunt, prout ſcriptæ ſunt. Non ad tempus autem pœnarum, ſed ad modum pœnitentiæ reſpicere oportet. Et ſi cum lachrymis & contritione cordis & humiliatione ſeria & impenſa confiteantur peccatores, & à malo deſiſtant, & Dominum ex toto animo quærant, licebit ei, cui ligandi & ſolvendi commiſſa eſt poteſtas, earum tempus contrahere: ſin B vero à propriis moribus haud facile avellantur ii, qui offendunt, & peccato & carnis voluptatibus, quàm Domino, ſervire maluerint, nec vitam ex Evangelio inſtitutam ſuſcipiant, nulla ad illos pœnarum ratio eſt. In immorigero enim & rebelli populo audire docti ſumus; Servans ſerva animam tuam.

CANON LXXXV.

Ne itaque cum eis perire in animum inducamus, ſed grave judicium formidantes, & terribilem retributionis diem C *præ oculis habentes, ne velimus unà cum alienis peccatis perire; ſi enim nos non docuerunt terribilia Domini: nec tot plagæ nos in ſenſum deduxerunt, quòd propter noſtram iniquitatem nos dereliquit Dominus, & tradidit in manus barbarorum, & populus ad hoſtes captivus adductus eſt, & diſperſioni traditus, eo quòd ea audebant qui Chriſti nomen circumferebant, ſi non noverunt, nec intellexerunt, quòd propter hæc venit in nos ira Dei, quæ eſt nobis communis cum his ratio? ſed & noctu & interdiu, & publicè, & priva-* D *tim ipſis teſtificari debemus: cum eorum autem improbitatibus abire nolumus, eos quidem lucrifacere optantes, & à mali laqueo eripere. Sin autem hoc non poſſumus, ſtudeamus noſtras animas ab æterna condemnatione ſervare.*

Bals. Hæc verba ſuaſoria ſunt ad antiſtites, & omnes qui habent poteſtatem ligandi, & ſolvendi. Hortatur enim ipſos ne peccatis conſentiant, nec eorum communionem ſuſtineant qui in peccatis perſeverant, & ideo cum illis pereant. Sed eos perpetuo admoneant, ut à malo deſiſtant & orent pro eorum ſalute. Sin E autem, inquit, eos corrigere non poſſitis, ſtudete vosmet ab eis alienare, & ſic ab æterno etiam ſupplicio ſervemini.

A

EJUSDEM EX ALIO SERMONE AD Beatum Amphilochium Epiſtola de ciborum differentiâ.

Canon LXXXVI.

B

Egregiis autem Encratitis ad præclaram eorum objectionem, Cur nos quoque non omnia comedimus, illud dicatur, quod etiam excrementa noſtra abominamur. Nam dignitate quidem olera nobis carnes ſunt: quod verò ad eorum quæ ſunt utilia attinet diſcretionem, ſicut & in oleribus id quod eſt noxium à convenienti ſeparamus: ita & in carnibus quod noxium eſt ab utili diſcernimus. Nam olus quidem eſt cicuta, quemadmodum & vulturina caro, caro eſt: tamen nec quis hyoſcyamum comederit mentis compos, nec canem C *attigerit, niſi magna urgente neceſſitate. Quamobrem qui comedit non inique fecit.*

Bals. Encratitæ, qui continentiam forte perſequebantur, veſci carnibus abhorrebant, & cum eis diceretur id non rectè à ſe fieri, opponebant orthodoxis, Vos quoque nonnullos cibos abhorretis, & ideo ab eis abſtinetis. Ad hoc dicit ſanctus, Non eſt mirum ſi ab aliquibus abſtinemus, vel eadem abominamur; nam & noſtra excrementa abhorremus, etſi ſint ex noſtræ carnis ſubſtantia: ſunt autem excrementa, urinæ, ſtercora, humores qui per os, & nares emittuntur, & quæcunque ejuſmodi. D Quemadmodum ergo illa averſamur, ita cibos quoque aliquos non admittimus. Omnia enim olera carnes à nobis exiſtimantur, quòd omnia comedamus ut olera. Diſcernentes autem, & ſeparantes id quod eſt noxium, eo quod non lædit utimur, & quemadmodum in oleribus eſt cicuta, & hyoſcyamus, tamen quia ſunt noxia, ea fugimus: ita & in carnibus, caro eſt caro vulturina, & caro canis: ſed tamen nemo guſtaverit, niſi valde eſuriat. Qui autem per vim guſtavit, non egit inique.

ΤΟΥ ΑΥΤΟΥ ΕΞ ΕΤΕΡΟΥ ΛΟΓΟΥ πρὸς τὸν μακάριον Ἀμφιλόχιον ἐπιστολὴ περὶ βρωμάτων διαφορᾶς.

ΚΑΝΩΝ πϛʹ.

ΤΟΙΣ δὲ κομψοῖς ἐγκρατίταις πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνα λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. κατὰ μὲν γὰρ τὴν ἀξίαν λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα, κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν· οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ᾽ ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο μὴ μεγάλης ἀνάγκης κατεπειγούσης. ὥστε φαγὼν οὐκ ἠνόμησεν.

ΒΑΛΣ. Οἱ ἐγκρατῖται, ὡς τάχα μετιόντες ἐγκράτειαν, ἐβδελύσσοντο τὸ σαρκοφαγεῖν, καὶ ἀκούοντες μὴ καλῶς ποιεῖν, ἀντέπηγον τοῖς ὀρθοδόξοις, ὅτι καὶ ὑμεῖς ἔνια τῶν βρωμάτων βδελύττεσθε, διὸ καὶ ἀπέχεσθε αὐτῶν. πρὸς τοῦτο οὖν ὁ ἅγιος λέγει, ὅτι οὐ θαυμαστὸν εἰ τινῶν ἀπεχόμεθα ἢ βδελυσσόμεθα αὐτά· ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα, καίτοι ἐκ τῆς οὐσίας ὄντα τῆς ἡμετέρας σαρκός· περιττώματα δέ εἰσι τὰ οὖρα, τὰ σκύβαλα, οἱ χυμοὶ, τὰ διὰ στόματος καὶ ῥινῶν κενούμενα ὑγρὰ, καὶ ὅσα τοιαῦτα. ὡς οὖν ἐκεῖνα ἐκτρεπόμεθα, οὕτω καί τινα τῶν βρωμάτων οὐ προσιέμεθα. πάντα μὲν γὰρ λάχανα χόρτου τὰ κρέα ἡμῖν λογίζονται, κατὰ τὸ φάγεσθαι πάντα ὡς λάχανα χόρτου. διεκρίνοντες δὲ καὶ χωρίζοντες τὸ βλαβερὸν χρώμεθα τῷ μὴ βλάπτοντι, καὶ ὥσπερ ἐν τοῖς λαχάνοις λάχανόν ἐστι καὶ τὸ κώνειον, καὶ ὁ ὑοσκύαμος, ἀλλὰ βλαβερὰ ὄντα φεύγομεν αὐτά. οὕτω καὶ ἐν τοῖς κρέασι, κρέας ἐστὶ καὶ τὸ γύπειον καὶ, τὸ τοῦ κυνός. ἀλλ᾽ οὐκ ἄν τις γεύσαιτο κυνὸς, εἰ μὴ σφόδρα λιμώττει. ὁ δὲ γευσάμενος ἐκ βίας, οὐκ ἠνόμησεν.

E

F

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ Επίσκοπον Ταρσοῦ· περὶ τοῦ δύο ἀδελφὰς ἀγομένου εἰς γάμον.

ΒΑΛΣ. ΤΗΣ ἐπιστολῆς ταύτης ἐμνήσθη ὁ ἅγιος ἐν τῷ κγʹ. κανόνι αὐτοῦ. ἀπεστάλη δὲ πρὸς Διόδωρον Ταρσοῦ ἐπίσκοπον, ὃς ἐρωτηθεὶς πρός τινος, εἰ δύναιτο τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνετο ἐγγράφως μὴ κωλύεσθαι· B τοῦ δὲ μεγάλου Βασιλείου ἀπαγορεύοντος τὸν τοιοῦτον γάμον, ἡ τοῦ Διοδώρου ἔγγραφος ἀπόκρισις ἐνεφανίσθη αὐτῷ, τὸν εἰρημένον ἐπιτρέπουσα γάμον. ὅθεν ἀπέστειλεν αὐτῷ ταῦτα.

ΚΑΝΩΝ πζ.

Ἀφίκετο πρὸς ἡμᾶς γράμματα τὴν ὑπογραφὴν ἔχοντα Διοδώρου· τὰ δὲ ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι ἢ Διοδώρου. δοκεῖ μοι γάρ τις τῶν τεχνικῶν τὸ σοῦ πρόσωπον ὑποδύς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὅς γε ἐρωτηθεὶς ὑπό τινων, εἰ θεμιτὸν αὐτὴν πρὸς γάμον τῆς τελευτησάσης αὐτῷ γυναικὸς τὴν ἀδελφὴν ἀγαγέσθαι, C οὐκ ἔφριξε τὴν ἐρώτησιν· ἀλλὰ καὶ πρᾴως ἤνεγκε τὴν ἀκοήν, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκες σαυτῷ τε ἀμμύναι καὶ τῇ ἀληθείᾳ. ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε, κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον λέγειν ἔχων τὴν ἐξουσίαν, ἀπέστειλα νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν· ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

D ΒΑΛΣ. Ἀνατρέψαι τὰ παρὰ τοῦ Διοδώρου μέλλων ὁ ἅγιος, τεχνικῶς μέτεισι τὴν ἀνατροπήν, καὶ προκαθιστᾷ τὸν οἰκεῖον λόγον, ἵνα μὴ δοκῇ ἐντρέπειν αὐτόν, καὶ οὕτως ἐνστατικώτερον αὐτὸν ἀπεργάσηται, καί φησι· ὅτι τὸ γράμμα εἰς ὄνομα μὲν σὸν ἐπεγέγραπτο· δοκεῖ δέ μοι, ὅτι ἄλλος τῶν τὰ τοιαῦτα τεχνάζεσθαι καὶ μηχανᾶσθαι ἐπιτηδείων, θέλων ἀξιόπιστον ποιῆσαι τὸν οἰκεῖον λόγον, ἐπέγραψε τῷ γράμματι τὸ σὸν ὄνομα. ὅστις ἐρωτηθείς, εἰ θέμιτον ἤγουν εἰ νόμιμον ἢ δίκαιόν ἐστι τὴν ἀδελφὴν τῆς τελευτησάσης ἰδίας γυναικὸς ἀγαγέσθαι πρὸς γάμον, τὸ ἀσεβὲς ἐρώτημα τῷ ἐρωτήσαντι συγκατέπραξεν, ἀντὶ τοῦ, διὰ τὸ ἐπιτρέψαι τὴν ἀσέλγειαν, κἀκεῖνος E δοκεῖ κοινωνῆσαι τῆς πράξεως. εἰ μὲν οὖν εἶχον, φησι, τὸ γράμμα, ἔπεμψα ἂν σοι αὐτό, καὶ ἤμυνας ἂν ἑαυτῷ καὶ τῇ ἀληθείᾳ, ἤτοι ἐβοήθησας ἄν, ὡς ψευδῶς τάχα κατηγορηθεὶς εἰπεῖν καὶ γράψαι ἀθέμιτα, ὅπερ καὶ σοῦ καθάπτεται καὶ τῆς ἀληθείας· τῆς μὲν ἀληθείας, ὡς τοῦ ψεύδους ἐκείνης προτιμηθέντος, σοῦ δέ, ὡς ἐπιτρέψαντος ἃ μὴ ἐχρῆν. ἐπειδὴ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ δὲ τρόπαιον καθ' ἡμῶν περιέφερε· τρόπαιον δέ ἐστι σημεῖόν τι τῷ νικήσαντι ἐν πολέμῳ διδόμενον, ἵν' εἴη δήλη ἐκ τούτου ἡ τρέψασα μοῖρα τοὺς πολεμίους· ὅθεν ὠνομᾶσται τρόπαιον, ἐκ τοῦ τροπὴν τῶν πολεμίων γενέσθαι, τρεψάντων τὰ νῶτα τοῖς F ἐναντίοις. ἐπεὶ οὖν γράμμα οὐκ ἔχω, ἐπέστειλα νῦν σοι, ἵνα ἐπέλθωμεν, ἵνα ἀνταγωνισώμεθα διπλῇ τῇ χειρί, τῇ ἐμῇ δηλαδή, καὶ τῇ σῇ, κατὰ τοῦ νόθου ἐκείνου λόγου τοῦ ξένου καὶ τοῦ πεπλασμένου, καὶ μὴ ἐάσωμεν αὐτῷ δύναμιν, ἵνα μὴ εὐκόλως βλάπτῃ τοὺς ἐντυγχάνοντας αὐτῷ καὶ ἀναγινώσκοντας.

EJUSDEM AD DIODORUM TARſenſem Epiſcopum, de eo qui duas ſorores in matrimonium duxit.

Bals. Hujus Epiſtolæ meminit ſanctus in xxiii. ſuo canone. Miſſa eſt autem ad Diodorum Tarſenſem Epiſcopum, qui à quodam interrogatus, an uxore ſua mortua ſororē illius in matrimonium ducere poſſet; in ſcriptis reſpondit, eum non prohiberi. Cùm autem magnus Baſilius ejuſmodi matrimonium prohiberet, ſcriptis mandata Diodori reſponſio illi oſtenſa eſt, quæ prædictum matrimonium permittebat. Unde illi hæc miſit.

Canon LXXXVII.

Venerunt ad nos literæ Diodori inſcriptionem habentes: quæ autem deinceps ſequuntur, ea alius potius quam Diodori eſſe convenit. Videtur enim vafer quiſpiam tuam perſonam ſubiiſſe, ut ſe ſic auditoribus fide dignum efficeret; qui ab aliquibus interrogatus, an fas ſit demortuæ ejus uxoris ſororem in matrimonium ducere, interrogationem non abhorruit: ſed auditionem æquo animo tulit, & ad ſalacem ejus cupiditatem valde illi ſtrenuè magnâque contentione auxilium tulit. Si ipſe itaque literas haberem, eas ad te miſiſſem, ipſeque ad te & veritatem defendendam ſuffeciſſes. Quia autem is qui oſtendit rurſus abſtulit, & adverſus nos, qui ab initio prohibueramus, veluti trophæum circuntulit, dicendo ſe ſcriptis mandatam habere poteſtatem: nunc ad te ſcripſi, ut manu duplici ad illam adulterinam orationem veniamus, & nullas ei vires relinquamus; ne poſſit eos facile lædere, in quos incidit.

Bals. Quæ à Diodoro ſcripta ſunt confutaturus ſanctus, confutationem artificioſè adgreditur, & ejus dictum ita proponit, ut non videatur ipſum pudore ſuffundere, & ita eum ad inſiſtendum acriorem efficiat, & dicit; Literæ quidem ſub tuo nomine ſcriptæ fuerant: mihi autem videtur aliquis eorum, qui ad hæc machinanda & excogitanda apti ſunt, volens efficere, ut quod à ſe diceretur fide dignum eſſet, literis tuum nomen ſubſcripſiſſe. Qui interrogatus, an fas eſſet, ſeu legitimum aut juſtum ſororem uxoris ſuæ mortuæ in matrimonium ducere; ei, qui interrogavit, in impia interrogatione auxilium tulit, id eſt, intemperantiam & libidinem permittendo, ipſe quoque videtur fuiſſe actionis particeps. Si itaque, inquit, literas habuiſſem, eas ad te miſiſſem, téque & veritatem defendiſſes, ſeu tibi auxilium tuliſſes, ut falsò accuſatus, nefaria dicere & ſcribere, quod te & veritatem tangit. Veritatem quidem, cum falſum illi prælatum fuerit: te autem, ut qui ea, quæ non decet, permiſeris. Quia autem is, qui oſtendit, rurſus abſtulit, & tanquam aliquod trophæum adverſus nos circuntulit. Eſt autem trophæum ſignum aliquod, quod in bello vincenti datur, ut ex eo ſit manifeſtum, quæ pars adverſario vicerit. Unde à verſis hoſtibus, dum adverſariis terga dant ſeu vertunt, trophæum nominatum eſt (à verbo Græco τρέπω, quod verto ſignificat.) Quia ergo non habeo literas, nunc ad te ſcripſi, ut adgrediamur, ut duplici manu, tua ſcilicet & mea, contendamus adverſus adulterinam illam orationem alienam & confictam, & vires ei non relinquamus; ut non facile eos lædat, qui in illam incidunt & legunt.

A

CANON LXXXVIII.

Primum ergo, quod & in hujuſmodi rebus maximi momenti eſt, conſuetudinem apud nos objicere poſſumus legis vires habentem, eo quòd à ſanctis viris ritus nobis traditi ſunt. Ea autem eſt ejuſmodi; Si quis unquam impuritatis affectu ſuperatus, ad inhoneſtam duarum ſororum ſocietatem lapſus ſit, nec hoc matrimonium exiſtimandum, nec eos ad Eccleſiaſticum cœtum prius admittendos, quam ſe invicem ſeparentur: quare & ſi nihil aliud dici poſſet, ad mali vitationem ſufficeret conſuetudo. B *Sed quia is, qui epiſtolam ſcripſit, adulterino argumento hoc malum in vitam inducere conatus eſt; neceſſe eſt, nec nos quidem à rationum auxiliis abſtinere, etſi in valde evidentibus ratione major eſt uniuſcujuſque præſumptio. Scriptum enim eſt, inquit, in Levitico; Mulierem Zelotypam ſuper ſororem ſuam non accipies, ad revelandam turpitudinem ejus ſuper ipſam, ipſa adhuc vivente. Ex hoc ergo clarum eſſe dicit, quòd ea mortua accipere permittitur. Ad hoc itaq; primum quidem illud dicam, quòd quæcunque lex dicit, iis, qui in lege ſunt, dicit. Nam ſic quidem & circumciſioni & ſabbato* C *& ciborum abſtinentiæ ſubjiciemur. Neque enim ſi aliquid invenerimus, quod noſtris voluptatibus congruat, nos ipſos ſervitutis legis jugo ſubmittemus. Sin autem eorum, quæ ſunt in lege grave aliquid apparuerit; tunc ad libertatem in Chriſto recurremus. Interrogati ſumus, an ſcriptum ſit accipere licere uxorem poſt ſororem, diximus id quod eſt tutum nobis & verum, quòd non ſcriptum eſt: ex conſequenti autem illatione, quod non dictum eſt colligere, eſt ejus qui legem imponit, non ejus qui quæ legis ſunt dicit. Nam ſic quoq; licebit volenti, adhuc vivente uxore, ſororem accipere. Idem enim ſophiſma in illo quoq; convenit.* D *Scriptum enim eſt, inquit; Non accipies Zelotypam; quare eam, quæ eſt à Zelotypia aliena, accipere non prohibuit. Qui itaq; ſuæ perturbationi favet, dicet mores ſororum eſſe à Zelotypia alienos. Sublata ergo cauſa, propter quam ambarum cohabitatio eſt prohibita, quid vetabit quominus ſorores accipiantur? Sed hæc non ſcripta ſunt, inquiemus. Sed nec illud definitum eſt. Conſequentiæ tamen intelligentia dat ſimiliter utriſq; poteſtatem. Oportebat autem ad ea, quæ paulo ante in lege dicta erant, reverti & ea moleſtia liberari. Videtur enim legiſlator non quodvis peccati genus comprehendere: ſed ſeparatim Ægyptiorum peccata prohibere,* E *unde abierat Iſraël, & Chananæorum, ad quos tranſierat. Ita enim habet dictio, Secundum ſtudia Ægypti, in qua habitaſtis, non facietis; & ſecundum ſtudia regionis Chanaan, ad quam ego deducam vos, non facietis, & in legitimis eorum non ambulabitis. Quare veriſimile eſt hoc peccati genus non fuiſſe uſitatum apud gentes: & ideo nec legiſlatorem illius cautione opus habuiſſe, ſed non docta conſuetudine ad abominationis criminationem contentum fuiſſe. Quodammodo ergo, cum id quod majus eſt prohibuiſſet, quod minus eſt ſilentio prætermiſit; quoniam permultis carnaliter affectis, ne cum viventibus ſororibus cohabitarent,* F *patriarchæ exemplum impedimento eſſe videbatur. Nos autem quid facere oportet, quæ ſcripta ſunt dicere; an quæ ſilentio prætermiſſa ſunt curioſè perſcrutari? Jam enim, non licere patrem & filium una amica uti, in his legibus quidem non ſcriptum eſt: ſed apud prophetam maximè accuſatur. Filius enim, inquit, & pater ad eandem puellam ingrediebantur. Quæcunque autem ſunt alia immundarum animi perturbationum genera dæmoniorum ſchola invenit; divina*

ΚΑΝΩΝ πη΄.

Πρῶτον μὲν οὖν, ὃ καὶ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστί, τὸ παρ' ἡμῖν ἔθος, ὃ ἔχομεν, προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑπὸ ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι. τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς ἐκπέσοι πρὸς δυοῖν ἀδελφῶν ἄσεμνον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. ὥστε εἰ καὶ μηδὲν εἰπεῖν ἦν ἕτερον, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λόγων βοηθείας ἀπέχεσθαι, καίτοι ἐπὶ τῶν σφόδρα ἐναργῶν μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις. γέγραπται, φησιν, ἐν τῷ Λευιτικῷ· γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς. δῆλον οὖν ἐκ τούτου εἶναι, φησιν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. πρὸς δὴ τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ. ἐπεὶ οὕτω γε καὶ περιτομῇ καὶ σαββάτῳ καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. οὐ γὰρ δή, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν. ἐὰν δέ τι φανῇ τῶν νομίμων βαρύ τε, πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμέμεθα. ἠρωτήθημεν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ, εἴπομεν ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθές, διότι οὐ γέγραπται, τὸ δὲ ἐκ τῆς ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν λογίζεσθαι, νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος. ἐπειδὴ οὕτω γε ἐξέσται τῷ βουλομένῳ καὶ τολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικός, λαμβάνειν τὴν ἀδελφήν. τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνῳ ἁρμόζει. γέγραπται γάρ, φησιν, οὐ λήψῃ ἀντίζηλον, ὡς τήν γε ἔξω τοῦ ζήλου λαβεῖν οὐκ ἐκώλυσεν. ὁ δὲ συνηγορῶν τῷ πάθει ἀζηλότυπον εἶναι διοριεῖται τὸ ἦθος τῶν ἀδελφῶν, ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλῦον ἔσται λαμβάνειν τὰς ἀδελφάς; ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν· ἀλλ' οὐδὲ ἐκεῖνο ὥρισται. ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν. ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα ἀπηλλάχθαι πραγμάτων. ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης· ἀλλ' ἰδίως μὲν ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραήλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο. ἔχει γὰρ οὕτως ἡ λέξις, κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε, ἐπ' αὐτῆς οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ κατὰ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε· ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει πρὸς τὴν τοῦ μύσους διαβολήν. πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἀπεσιώπησεν· ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. ἡμᾶς δὲ τί χρὴ ποιεῖν, τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα περιεργάζεσθαι; αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱόν, ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται· παρὰ δὲ τῷ προφήτῃ μεγίστης κατηγορίας ἠξίωται. υἱὸς γάρ, φησι, καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο. πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν τὸ μὲν τῶν δαιμονίων διδασκαλεῖον ἐξεῦρεν· ἡ δὲ θεία γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταρυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβεν. ὡς ὁ ἀπόστολος Παῦλός φησι, πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα, μὴ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀρρένων ἀρρητοποιΐας καὶ τὰς θηλειῶν περιλαμβάνων. ὥστε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις. ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτο φημί· ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην. τὸ γὰρ, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν, ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. τί γὰρ ἂν γένοιτο ἀνδρὶ οἰκειότερον τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; οὐ γάρ ἔτι εἰσὶ δύο, ἀλλὰ σάρξ μία· ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ αὐτῆς πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα ταύτης, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα, μηδὲ τὴν ἑαυτοῦ θυγατέρα· οὕτως, οὐδὲ ἀδελφὴν γυναικὸς, διότι μηδ᾽ ἣ ἀδελφὴν αὐτοῦ. καὶ τὸ ἀνάπαλιν, οὐδὲ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν. κοινὰ γὰρ ἐπ᾽ ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι· ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν. ἐὰν δέ μοι παραναγινώσκῃ τὸ, αὐξάνεσθε καὶ πληθύνεσθε, καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. πορνείας γὰρ παραμύθιον ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν, εἰ οὐκ ἐγκρατεύονται γαμησάτωσαν, φησίν. οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν. οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίναντες τὰς τοῦ γένους προσηγορίας, ἐκ ποίας συγγενείας τοὺς γεννηθέντας προσαγορεύουσιν, ἀδελφοὺς αὐτοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσι; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων, μήτε δὲ τὴν ἐν μητρὸς τάξει περιθάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις. μόνον γὰρ τὸ μύσος τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν· μᾶλλον δὲ, οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ θάνατον ἄρχονται. κεφάλαιον δὲ τῶν εἰρημένων. εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς γάμον, ἀνέῳκται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλειέσθω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ, μὴ ἐν πάθει ἐπιθυμίας. πλείονά με λέγειν ὡρμημένον τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς. εὔχομαι δὲ, ἢ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ᾽ ἐν οἷς ἂν ἐτολμήθη τόποις ἐναπομεῖναι.

ΒΑΛΣ. Η πρὸς Διόδωρον ἐπιστολὴ τοῦ μεγάλου πατρὸς, κἂν πάσης σοφίας καὶ ἀληθοῦς ῥητορείας πεπλησμένη ἐστὶ, καὶ τὴν κινύραν τοῦ παναγίου πνεύματος ὑποφθεγγίζηται, ἀλλ᾽ οὐκ ἔστι ζητητέα ἐν ταῖς παρούσαις ἡμέραις. ὁροθετεῖ γὰρ μηδένα λαμβάνειν πρὸς κοινωνίαν γάμου ἀδελφὰς δύο, ὅπερ θεοῦ χάριτι σήμερον οὐδὲ εἰς ἐνθύμησιν ὅλως ἔρχεται ἀνθρώπου χριστιανοῦ, καὶ διὰ τοῦτο οὐδὲ πλείονος ἑρμηνείας ἐδεήθη. ἔχε δὲ ταύτην τὴν θείαν ἐπιστολὴν διηνεκῶς ἐπὶ μνήμης. κἂν γὰρ τὸ ὁροθέτημα ταύτης οὐ πρακταΐζεται, ἀλλὰ τὰ ἐν ταύτῃ περιεχόμενα, ἐπιχειρήματα, ἐνθυμήματά τε καὶ ἐπενθυμήματα, καὶ μᾶλλον ὅσα ἀπό τε τῆς παλαιᾶς καὶ τοῦ μεγάλου ἀποστόλου Παύλου συνετέθησάν τε καὶ ἀνετέθησαν, μεγάλως συντελοῦσιν ἐπὶ ἑτέραις ὑποθέσεσι. σημείωσαι δὴ ἀπὸ ταύτης, ὅτι καὶ τὰ ἄγραφα ἐκκλησιαστικὰ ἔθη, ὡς οἱ ἔγγραφοι κανόνες, τὸ ἀπαρεγχείρητον ἔχουσι· καὶ ὅτι ταῖς Μωσαϊκαῖς νομοθεσίαις προσέχειν οὐκ ὀφείλομεν. καὶ ἕτερα δὲ πολλὰ παρασημείωσαι ἐκ ταύτης τῆς ἐπιστολῆς, ἀναγκαιότατά τε καὶ χρησιμώτατα.

A *autem ſcriptura ſilentio præteriit, majeſtatem ſuam turpium*
rerum nominibus nolens polluere; ſed generalibus nominibus
immunditias complexa eſt; ſicut Apoſtolus Paulus dicit;
Fornicatio autem, & omnis immunditia, ne nominetur
quidem in vobis, ut ſanctos decet: immunditiæ nomine nefanda
maſculorum & fœminarum flagitia comprehendens.
Quare non omnino ſilentium dat libidinoſis poteſtatem. Ego
verò hanc partem ne ſilentio quidem fuiſſe prætermiſſam
exiſtimo; ſed etiam legiſlatorem valdè prohibuiſſe. Illud enim;
Non ingredieris ad quemvis conſanguineum carnis
tuæ, ad revelandam eorum turpitudinem, hoc quoq; conſanguinitatis
B *genus comprehendit. Quid enim eſſe poſſit homini*
ſua uxore magis conſanguineum, vel potius ſua carne?
non ſunt enim amplius duo, ſed una caro; quare per uxorem
ſoror ejus tranſiit ad viri conſanguinitatem. Quemadmodum
enim uxoris matrem non accipiet, nec ejus filiam, quoniam
nec ſuam matrem, nec ſuam filiam: ſic nec ſororem
uxoris, quoniam nec ſuam ſororem; Et vice verſâ, nec
uxori licebit viri affinibus cohabitare; ſunt enim in utriſq;
communia cognationis jura. Ego autem cuilibet de matrimonio
conſultanti teſtificor; quòd præterit figura hujus
mundi, & tempus breve eſt, ut & qui habent uxores ſint
C *tanquam non habentes. Sin autem illud mihi alleget, Creſcite*
& multiplicamini; rideo eum, qui legum tempora non
diſcernit. Fornicationis enim remedium eſt ſecundũ matrimonium,
non ad intemperantiã viaticum; Si non cõtineant,
inquit, uxores ducant: non autem etiam uxores ducentes
contra legem faciant. Qui autem nec ad naturam reſpiciunt,
ignominiæ perturbatione animo cæcutientes, quæ quidem
generis appellationes olim diſcernentes, ex quadam
cognatione eos qui geniti ſunt appellant, ipſorum invicem
fratres vel conſobrinos eos nominabunt? Utraq; enim eis
propter commixtionem adaptabuntur. Ne feceris ergo, ô
D *homo, amitam infantium novercam, nec eam, quæ matris*
loco eos debet fovere ac recreare, implacabilibus æmulationibus
armaveris. Solum enim novercarum ſcelus etiam poſt
mortem inimicitias perſequitur; imò cum alii hoſtiliter
affecti mortuis reconcilientur: novercæ poſt mortem odiſſe
incipiunt. Eorum autem quæ dicta ſunt ſumma eſt; Si quis
lege quidem matrimonium appetit, patet univerſus terrarum
orbis: Sin autem eſt illi ſtudium animi perturbatione
incitatum, propterea magis excludatur, ut diſcat vas ſuum
in ſanctificatione poſſidere, non in cupiditatis perturbatione.
Plura me ſcribere cupientem modus retinet epiſtolæ.
E *Opto etiam, ut vel noſtra ſuaſio animi perturbatione potentior*
evadat, vel ne hoc ſcelus in noſtra regione verſetur,
ſed in quibus cœptum eſt locis remaneat.

BALS. Magni patris ad Diodorum epiſtola, etiamſi
omni ſapientia & vera eloquentia plena ſit, & ſpiritus
ſancti vocem edit; tamen non eſt hoc tempore quærenda.
Decernit enim ne in matrimonii ſocietatem
duæ ſorores à quopiam accipiantur, quod dei gratia hodie
ne in mentem quidem hominis Chriſtiani venit, &
propterea nec ampliore interpretatione opus habuit.
Habe autem hanc divinam epiſtolam aſſiduè in memoria.
Etſi enim id, quod in ea definitum eſt, non tractatur;
F quæ tamen in ea comprehenduntur, epicheremata,
enthymemata, & epenthymemata, vel potiùs quæcunque
ex veteri (teſtamento) & ex magno Apoſtolo Paulo &
compoſita & oppoſita fuerunt, in aliis cauſis multum
conferunt. Nota autem ex ea, quòd eccleſiaſtici etiam
non ſcripti mores, ſicut ſcripti canones, refutari non
poſſunt; & quòd leges Moſaicæ non ſunt attendendæ.
Nota etiam multa alia ex hac epiſtola, quæ ſunt imprimis
neceſſaria & maximè utilia.

EJUSDEM AD GREGORIUM PREſbyterum, ut ſeparetur à muliercula cum qua habitabat.

Canon LXXXIX.

LEGI tuas literas cum omni patientia, & miratus ſum quomodo, cum poſſes per res ipſas nobis breviter & facile reſpondere, in iis quidem quorum accuſaris perſiſtere malueris; prolixa autem oratione, quæ ſunt immedicabilia, curare volueris. Nec primi, nec ſoli, ô Gregori, ſtatuimus, ne mulieres cum viris cohabitarent: ſed lege canonem, qui à ſanctis patribus B *noſtris Nicææ editus eſt, qui apertè prohibet, ne ſint introductitiæ. In hoc autem ſitum eſt cælibatûs decus & honeſtas, quòd ſeparatus ſit à conſuetudine & conſortio mulierum. Si quis enim verbo profitens, revera eadem faciat cum iis, qui cum mulieribus cohabitant, apertè oſtendit ſe, virginitatis quidem laudem nomine tantum proſequi, ſed à turpi voluptate non recedere. Tanto magis ergo oportebat te noſtræ poſtulationi facile acquieſcere; quod dicis te ab omni corporali perturbatione liberum. Neque enim credo eum, qui ſeptuaginta annos natus eſt, cum muliere animi perturbatione commotum habitare;* C *nec tanquam propter turpem aliquam actionem, quæ facta fuerit, ſtatuimus ea quæ ſtatuimus: ſed quia ab Apoſtolo docti ſumus, fratri non eſſe ponendum offendiculum, vel ſcandalum. Scimus autem, quòd id quod rectè & ſane fit ab aliquibus, erit aliis occaſio ad peccatum: ea de cauſa decrevimus, ſanctorum patrum conſtitutionem ſequentes, ut à muliere ſepareris. Quid ergo Chorepiſcopum incuſas, & veteris ſimultatis recordaris? Quid autem nos inſimulas, quod aures ad admittendas calumnias faciles præbeamus; non autem teipſum, qui à conſuetudine* D *cum muliere non potes recedere? Ejice eam igitur à domo tua, & ſtatue ipſam in monaſterio: ſit illa cum virginibus, & viri tibi ſerviant; ne nomen dei per vos blaſphemetur. Quamdiu hæc feceris, multa, quæ per Epiſtolas ſcribis, nihil tibi proderunt: ſed ocioſus morieris, Deóque reddes rationem tui ocii. Sin autem non correctus ſacerdotium apprehendere auſus fueris, toti populo anathema eris, & qui te ſuſceperint, omni eccleſiæ erunt abdicati.*

Bals. Gregorius quidam Presbyter habebat quandam mulierculam ei inſervientem: quod cum ſanctus E intellexiſſet, petivit à Presbytero, ut mulierem domo ſua expelleret. Is verò ad illum de ea re ſeipſum defendens ſcripſit; magnus quoque Baſilius viciſſim ad Presbyterum reſcripſit. Eſt autem veriſimile Presbyterum in ſua epiſtola ſanctum rogâſſe, ut literas cum longanimitate legeret: ad quem reſcripſit pater; Cum omni longanimitate tuas literas legi, & miratus ſum, quòd, cum poſſes per res breviter reſpondere, ſcilicet per mulieris amandationem; in iis, quorum accuſaris, rebus ſcilicet ipſis propter quas accuſatio inſtituta eſt, permaneas; verbis autem te defendis. Deinde dicit; Nos F nec primi nec ſoli ſtatuimus, ne mulieres cum viris, ſcilicet ſacratis, cohabitarent; ſed lege can. ſyn. Nicænæ, qui prohibuit, ne ſint introductitiæ. Eas autem introductitias appellat tertius dictæ ſynodi canon, quæ introducantur in ædes ſacratorum hominum, qui uxores non duxerunt, & cum eis cohabitant. Qui autem cœlibatum profeſſi ſunt, laudem, inquit, ſive ob continentiam gloriam, habebunt, ſi à mulieribus ſeparentur. Si quis autem virginitatem profiteatur, cum mulieribus verò cohabitet, habet ſolum nomen, non autem & rem ipſam.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΓΡΗΓΟΡΙΟΝ ΠΡΕσβύτερον, ὥστε χωρισθῆναι αὐτὸν τῆς συνοίκου γυναικός.

ΚΑΝΩΝ πθʹ.

ΕΝΕΤΥΧΟΝ σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα πῶς, δυνάμενος ἡμῖν συντόμως καὶ εὐκόλως ἀπολογήσασθαι διὰ τῶν πραγμάτων, τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν καταδέχῃ. λόγοις δὲ μακροῖς θεραπεύειν ἐπιχειρεῖς τὰ ἀνίατα. οὔτε πρῶτοι οὔτε μόνοι, ὦ Γρηγόριε, ἐνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν. ἀλλὰ ἀνάγνωθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευται συνεισάκτους μὴ εἶναι. ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικῶν διαγωγῆς. ὡς ἐὰν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι, τὸ μὲν τῆς παρθενείας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. τοσούτῳ οὖν μᾶλλον ἐχρῆν σε εὐκόλως εἶναι ἡμῶν τῇ ἀξιώσει· ὅσον περ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους. οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, οὔτε ὡς ἐπὶ γενομένῃ τινὶ ἀτόπῳ πράξει, ὡρίσαμεν ἃ καὶ ὡρίσαμεν· ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ ἀποστόλου μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. οἴδαμεν δὲ, ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον, ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει· τούτου ἕνεκα προσετάξαμεν, ἑπόμενοι τῇ διαταγῇ τῶν ἁγίων πατέρων, χωρισθῆναί σε τῆς γυναικός. τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ, καὶ παλαιᾶς ἔχθρας μέμνησαι; τί δὲ ἡμᾶς καταμέμφῃ, ὡς εὐκόλους ἀκοὰς ἔχοντας εἰς τὸ τὰς διαβολὰς προσίεσθαι· ἀλλ' οὐχὶ σεαυτὸν, τὸν μὴ ἀνεχόμενον ἀποστῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ. ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημῆται. ἕως ἂν ταῦτα ποιῇς, αἱ μυριάδες, ἅσπερ σὺ γράφεις διὰ τῶν ἐπιστολῶν, οὐδέν ὠφελήσουσί σε· ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ κυρίῳ λόγον τῆς ἑαυτοῦ ἀργίας. ἐὰν δὲ τολμήσῃς μὴ διορθωσάμενος σεαυτὸν ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γενήσονται.

ΒΑΛΣ. Γρηγόριός τις πρεσβύτερος γύναιον εἶχεν ὑπηρετοῦν αὐτῷ· ὃ μαθὼν ὁ ἅγιος ἀπῄτει τὸν πρεσβύτερον ἐκσεῖσαι τῆς κατοικίας αὐτοῦ τὸ γύναιον. ὁ δὲ ἔγραψε περὶ τούτου πρὸς αὐτὸν ἀπολογούμενος, καὶ ὁ μέγας Βασίλειος ἀντέγραψε πρὸς τὸν πρεσβύτερον. ἔοικε δὲ τὸν πρεσβύτερον ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἀξιῶσαι τὸν ἅγιον μακροθύμως ἀναγνῶναι τὰ γράμματα· πρὸς ὃν ἀντέγραψεν ὁ πατὴρ, ὅτι μετὰ πάσης μακροθυμίας ἐνέτυχόν σου τοῖς γράμμασι, καὶ ἐθαύμασα, ὅτι δυνάμενος συντόμως ἀπολογήσασθαι διὰ πραγμάτων, ἤγουν διὰ τοῦ ἀποπέμψασθαι τὴν γυναῖκα, τοῖς μὲν κατηγορουμένοις, ἤτοι τοῖς πράγμασιν αὐτοῖς, δι' ἃ ἡ κατηγορία, ἐπιμένεις· διὰ δὲ λόγου ἀπολογίας ποιεῖς. εἶτά φησι, ὅτι οὔτε πρῶτοι οὔτε μόνοι ἡμεῖς ὡρίσαμεν, μὴ συνοικεῖν ἀνδράσιν, ἱερωμένοις δηλαδὴ, γυναῖκας· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τῆς ἐν Νικαίᾳ συνόδου, ὃς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι. συνεισάκτους δὲ λέγει ὁ κανὼν, ὃς τρίτος ἐστὶ τῆς εἰρημένης συνόδου, τὰς εἰς κατοικίας ἱερωμένων ἀζύγων συνεισαγομένας καὶ κατοικούσας σὺν αὐτοῖς. οἱ δὲ ἐπαγγελλάμενοι ἀγαμίαν, ἔχουσι, φησι, τὸ σεμνὸν, ἤγουν τὸ ἐπὶ σωφροσύνῃ ἔντιμον, ἐν τῷ κεχωρίσθαι ἀπὸ γυναικῶν. ἐὰν δέ τις ἐπαγγέλληται παρθενείαν, συνοικῇ δὲ γυναιξὶν, ὄνομα μόνον ἔχει, οὐ μὴν καὶ αὐτὸ τὸ πρᾶγμα.

ἐπεὶ οὖν, φησι, λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους, ἔδει σε διὰ τοῦτο μᾶλλον ἀκολούθως ὑποταγῆναι τῇ ἀξιώσει ἡμῶν, καὶ ἀποπέμψασθαι τὸ γύναιον. οὐκ εἶπε, τῇ κελεύσει ἢ τῇ προστάξει, ἀλλὰ τῇ ἀξιώσει, διὰ μετριοφροσύνην. οὐ γὰρ ὡς ἐμπαθῶς σου, φησὶ, ἔχοντος πρὸς τὸ γύναιον, καὶ διὰ πρᾶξιν ἄτοπον ὡρισάμεθα ἐκβαλεῖν αὐτό. οὐ γὰρ τὸν ἑβδομήκοντα ζήσαντα χρόνους πιστεύω ἐμπαθῶς συνοικεῖν γυναικί· ἀλλὰ διὰ τὸ εἰρημένον τῷ ἀποστόλῳ, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. τὸ γὰρ παρ' ἄλλων ἀπαθῶς ἢ ἁγίως γινόμενον, ἄλλοις πρόφασις ἔσται πρὸς ἁμαρτίαν. σὺ μὲν γάρ, φησιν, ἴσως ἀπαθῶς συνοικεῖς τῇ γυναικί· ἕτερος δὲ ὑπόδειγμα λαβών σε, συνοικήσει γυναικὶ οὐκ ἀπαθῶς, ἢ καὶ κατὰ σοῦ σχοίη ὑπολήψεις οὐκ ἀγαθάς, καὶ ἔσται τοῦτο εἰς ἀτιμίαν τῆς ἱερωσύνης. τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ; ἔοικεν οὖν παρὰ τοῦ χωρεπισκόπου μηνυθῆναι τῷ ἁγίῳ τὰ περὶ τῆς ἐπισάκτου γυναικός. τί δὲ αἰτιᾷ ἡμᾶς, ὡς εὐκόλως τὰς διαβολὰς προσδεχομένους, καὶ οὐχὶ μᾶλλον ἑαυτόν, μὴ ἀνεχόμενον ἀποστῆναι τῆς γυναικός; κατάστησον οὖν, φησιν, αὐτὴν ἐν μονῇ, σὺ ὑπηρετοῦ παρὰ ἀνδρῶν. ἕως ἂν ταῦτα ποιήσῃς, ἃ γράφεις πολλὰ ὄντα, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, ἀντὶ τοῦ ἕως τέλους τῆς ζωῆς σου οὐκ ἐνεργήσεις ὡς ἱερεύς, ἀφορισμένος ὤν, καὶ δώσεις λόγον τῷ κυρίῳ τῆς ἑαυτοῦ ἀργείας, ὡς ἐξ αἰτίας σου ταύτης σοι ἐπενηνεγμένης. ἐὰν δὲ μὴ διορθωσάμενος τολμήσῃς ἱερουργεῖν, ἀνάθεμα ἔσῃ, καὶ οἱ δεχόμενοί σε ἱερουργοῦντα πάσης ὁμηγύρεως πιστῶν ἐκκηρυχθήσονται. ἀνάγνωθι καὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα δ'. καὶ τῆς ἐν τῷ Τρούλλῳ κανόνα ε'. καὶ τῆς ἐν Νικαίᾳ πρῶτον κανόνα γ'. καὶ ταῦτα μὲν οὕτως. ἐπεὶ δέ τινες χρώμενοι τῷ τρίτῳ κανόνι τῆς α'. συνόδου, καὶ τοῖς ῥήμασι τῆς παρούσης ἐπιστολῆς, θέλουσι μὴ συνοικεῖν τοὺς ἐπισκόπους καὶ τοὺς κληρικοὺς μετὰ τῶν συγγενικῶν αὐτῶν ἀνυπόπτων προσώπων, ἐχόντων γύναια ὑπουργικά, λέγοντες περιγράφεσθαι τοὺς κανόνας, ἐὰν δὲ τῷ ὀνόματι τῆς ἀνυπόπτου προσγενοῦς οἱ ἱερωμένοι τοὺς πιστοὺς σκανδαλίζουσι, διὰ τῆς μετὰ τῶν λοιπῶν γυναίων συνοικήσεως, φαμέν, ὅτι οἱ μὲν ἐπίσκοποι ἀπὸ τῆς Ἰουστινιανείου νεαρᾶς, τῆς παρ' ἡμῶν καταστρωθείσης εἰς τὴν ἑρμηνείαν τοῦ γ'. κανόνος τῆς α'. συνόδου, κωλύονται συνοικεῖν οἱᾳδήτινι γυναικί. τοὺς δὲ κληρικοὺς ἤθελον μὲν καὶ αὐτοὺς ἁγιοπρεπῶς ζῆν, καὶ πάντη ἀπέχεσθαι τῆς μετὰ γυναικῶν οἱωνδήτινων συνοικήσεως. εἰ δὲ τοῦτο οὐ δύνανται, οὗτοι, ὡς ἐμοὶ δοκεῖ, ἀκινδύνως συνοικοῦσι μετὰ μητέρων καὶ ἀδελφῶν καὶ λοιπῶν ἀνυπόπτων προσώπων, κἂν ἔχωσι ταῦτα γυναῖκας πρὸς ὑπηρεσίαν χρησιμευούσας. ὁ γὰρ μέγας οὗτος πατὴρ τὸ ἀσκανδάλιστον τῶν πολλῶν πραγματευόμενος, διωρίσατο μετοικισθῆναι ἀπὸ τοῦ Γρηγορίου τὸ γύναιον, οὐχ ὁροθετῶν τὸ μὴ συνοικεῖν τὸν ἱερωμένον ἀνυπόπτοις προσώποις, ἐὰν μεθ' ἑαυτῶν ἔχωσι καὶ ἕτερα γύναια. καὶ ἐπεὶ τοῦ ἱερωμένου συνοικοῦντος μετὰ ἀνυπόπτου προσώπου ἅπαν σκάνδαλον περιαιρεῖται καχύποπτον (οὐ γὰρ λέγουσιν εἶναι τούτου τὰ ἀλλότρια γύναια, ἀλλὰ τῆς προσγενοῦς αὐτοῦ· μετὰ δὲ ὑπόπτου διάγοντος γυναικείου μέρους, τὸ ἀπὸ τῆς φαύλης ὑποψίας ἀνακύπτον σκάνδαλον προσλαμβάνει τὴν ἐργασίαν) ἀπαρεμποδίστως μετὰ ἀνυπόπτων προσώπων οἰκίζεται ὁ ἱερωμένος, κἂν ἔχωσιν ὑφ' ἑαυτὰ γυναῖκας· μὴ ὄντων δὲ τοιούτων προσώπων μεθ' ὧν συνοικεῖ, οὐκ ἔσται αὐτῷ ἀνεπιτίμητος ἡ συνοίκησις. ἄλλως τε, εἰ δοθῇ τὸν ἱερωμένον μὴ συνοικεῖν οἱῳδήτινι προσώπῳ ἀνυπόπτῳ ἔχοντι ἕτερα γύναια, ἀναγκασθήσεται καὶ πᾶς ἱερωμένος μήτε πατρὶ συνοικεῖν, μήτε τέκνοις ἰδίοις, μήτε τινὶ ἐξυπηρετεῖσθαι βιωτικῷ· οἱ πλείους γὰρ τούτων ἔχουσι δουλίδας, εἴτε καὶ ἐλευθέρας εἰς ὑπουργίαν τῶν ὑπ' αὐτούς. ἢ εἴπωμεν εἶναι πάντα τὰ τοιαῦτα πρόσωπα πτωχικά, καὶ ἑαυτοῖς ἐξαρκοῦντα πρὸς παντοίαν ὑπηρεσίαν, ὅπερ ἄτοπον. τὸ μέντοι δουλεύεσθαι ἱερωμένον παρὰ γυναικός, κἂν συνοικῇ μετὰ ἀνυπόπτου προσώπου, ἐστὶ κακόν, καὶ τοῖς κανόσιν, ἀλλὰ μὴν καὶ τῇ παρούσῃ ἐπιστολῇ ἀνένδεκτον, καὶ διὰ τοῦτο κολάσεως ἄξιον. ἀνάγνωθι καὶ τὸν ε'. κανόνα τῆς ἐν

A Quia ergo, inquit, dicis te eſſe liberum ab omni perturbatione corporali, eo te magis poſtulationi noſtræ ſubmittere conſequenter oportebat, & mulierculam dimittere. Non dixit autem, juſſui vel mandato, ſed poſtulationi, modeſtiæ cauſa. Non enim, tanquam in mulierculam amatoriè affectus ſis, inquit, & propter turpem actionem, decrevimus eam ejiciendam; nec credo ſeptuagenarium amatoriè affectum cum muliere cohabitare: ſed propter id, quod ab Apoſtolo dictum eſt; non eſſe fratri dandum offendiculum vel ſcandalum. Quod enim ab aliis ſanè fit, & abſque ulla animi perturbatione, erit aliis peccati occaſio. Tu enim, inquit, fortaſſe cum B muliere, nequaquam in eam affectus, cohabitas: alius verò tuum exemplum ſecutus cum muliere cohabitabit, non ſine amatoria animi perturbatione; vel non bonam de te exiſtimationem habebit, & erit hoc in ſacerdotii dedecus. Quid ergo Chorepiſcopum accuſas? Eſt ergo veriſimile, Chorepiſcopum de introductitia muliercula ſancto indicâſſe. Quid ergo nos accuſas, tanquam qui calumnias facilè admittamus, & non potius teipſum, qui, ut à muliere ſepareris, non poſſis in animum inducere? Statue ergo, inquit, eam in monaſterio, & tibi viri miniſtrent. Quamdiu hæc facis, multa, quæ ſcribis, nihil te juvabunt; ſed ocioſus morieris, id eſt, uſque ad C finem vitæ non operaberis ut ſacerdos, cum ſis ſegregatus, & domino rationem tui ocii reddes, utpote quòd tibi ex hac tua cauſa injunctum ſit. Sin autem non correctus ſacrificare auſus fueris, eris anathema, & qui te ſacrificantem ſuſcipiunt, ab omni fidelium cœtu abdicabuntur. Lege etiam Syn. Antioch. can.iiii. & Syn. in Trullo Can.v. & Nicænæ primæ Can.iii. Et hæc quidem ſic ſe habent. Sed quia nonnulli tertium primæ ſynodi canonem afferentes, & verba hujus epiſtolæ, volunt Epiſcopos & Clericos, cum ſuis cognatis perſonis à ſuſpicione alienis, quæ habent mulieres ſibi deſervientes, non cohabitare, dicentes circumſcribi Canones, ſi ſub nomine D cognatæ non ſuſpectæ, ii, qui ſunt ſacrati, fideles offendant per cohabitationem cum aliis mulieribus, dicimus, quòd Epiſcopi quidem à Juſtiniani novella, quæ à nobis ſita eſt in interpretatione tertii canonis primæ ſynodi prohibentur cum quavis muliere cohabitare. Clericos autem vellem quidem & ipſos ſanctè vivere, & omnino abſtinere ab habitatione cum ullis mulieribus. Sin autem hoc non poſſunt, ut mihi quidem videtur, cum matribus & ſororibus & aliis non ſuſpectis perſonis abſque periculo verſabuntur; etiamſi eæ habeant mulieres ad miniſterium utiles. Hic enim magnus pater hoc agens, ut multorum offendiculum tollatur, ſtatuit mulierculam à E Gregorio diſcedere; non decernens ſacratum hominem cum minime ſuſpectis mulieribus non cohabitare, ſi alias ſecum habeant mulierculas. Et quia ſacerdote cum non ſuſpecta perſona habitante omne malæ ſuſpicionis ſcandalum tollitur (non enim dicunt ejus eſſe alienas mulierculas, ſed cognatæ ejus: eo autem cum muliere ſuſpecta verſante, ſcandalum, quod ex improba ſuſpicione emergit, miniſterium adſumit) ſine impedimento cum perſonis non ſuſpectis habitabit ſacratus, etiamſi ſub ſe mulieres habeant: quod ſi non ſint tales perſonæ cum quibus habitat, illi non impunis erit hujuſmodi cohabitatio. Alioqui enim, ſi detur ſacerdotem non cohabitare cum F ulla perſonâ non ſuſpectâ, quæ habet alias mulieres, cogetur etiam quivis ſacratus nec cohabitare cum patre, nec cum propriis filiis, nec alicui rei ſervire, quæ ad victum pertineat: plurimi enim eorum habent ancillas, ſeu liberas, quæ ſuis miniſtrent: vel dicemus omnes eas perſonas eſſe pauperes, & ſibi ſufficientes ad omne miniſterium, quod eſt abſurdum. Porro ut ſacerdoti mulier ſerviat, etiamſi cum perſona non ſuſpecta cohabitet, malum eſt, & nec à canonibus, nec à præſenti Epiſtola admittendum, & ideò puniendum. Lege etiam v. can. ſynodi in Trullo, & xii. His ita ſolutis, dixerit quiſpiam

piam, cum epiſtola Gregorio decernat, ut cohabitantem A ſibi mulierem in monaſterium deducat, is ne eam tondere cogitur, an non. Solutio. Nonnulli ex xlviii. can. Syn. in Trullo moti, dicunt ei neceſſitatem incumbere, ut eam quæ ſibi cohabitat tondeat. Non enim, inquiunt, ſancto ſtatutum eſt, ei pro carcere & ſupplicio monaſterium decernere. Mihi autem videtur magnam eſſe differentiam ancillæ & conjugis legitimæ, & propterea illic quidem Epiſcopus coactus eſt curam gerere ſalutis & corporis & animæ ſuæ conjugis: hic autem ſacerdos ſolum habet neceſſe ſcandalum per ſeparationem tollere. Sed non ipſam mulierem jure cogi, dicit quiſpiam, ut vel invita tonſuram ſuſcipiat. Et ideo intelligo eſſe B neceſſariam ſolam ſeparationem, non etiam tonſuram. Sin autem ea fiat mulieris voluntate, duplicatur bonum, & fit melius. Quia autem nonnulli dixerunt, quòd ex hac epiſtola omnis ſacris ordinibus initiatus cum aliena muliere cohabitans ſegregatus eſt, etiam ante denunciationem; dico quòd nec præſenti quidem ſancto hoc placuit. Ecce enim, cum ipſe ſciret Gregorium cum muliere cohabitare, hoc ei edicto denunciavit, ut ex ædibus mulierem transferret: & ſi feciſſet Gregorius, ut ei denunciatum fuerat in ſegregationem non incidiſſet. Quare nec alter ſegregabitur, niſi poſt denunciationem in cohabitatione cum aliena muliere perſeve- C ret.

τῷ Τρούλλῳ συνόδου, καὶ τὸν ιβ΄. τούτων οὕτω διαλυτωθέντων, ἐρωτήσῃ τις, ὡς τῆς ἐπιστολῆς διοριζομένης τῷ Γρηγορίῳ εἰς μοναστήριον ἀπαγαγεῖν τὴν συνοικοῦσαν αὐτῷ γυναῖκα, ἠναγκάζετο οὗτος ἀποκεῖραι ταύτην, ἢ οὔ; Λύσις. τινὲς ἀπὸ τοῦ μη΄. κανόνος τῆς ἐν τῷ Τρούλλῳ συνόδου ὁρμώμενοι, λέγουσιν ἐπικεῖσθαι αὐτῷ ἀνάγκην, ὥστε ἀποκεῖραι τὴν συνοικοῦσαν τούτῳ. οὐ γὰρ ὥρισται, φασι, τῷ ἁγίῳ ἀντὶ εἱρκτῆς καὶ κολάσεως χρηματίσαι τῷ γυναίῳ τὸ μοναστήριον. ἐμοὶ δὲ δοκεῖ διαφορὰν εἶναι μεγάλην δουλείας καὶ νομίμου συμβίου, καὶ διὰ τοῦτο ἐκεῖ μὲν ὁ ἐπίσκοπος ἠναγκάσθη φροντίσαι τῆς σωματικῆς καὶ ψυχικῆς σωτηρίας τῆς συμβίου αὐτοῦ· ἐνταῦθα δὲ ὁ ἱερεὺς μίαν ἀνάγκην εἶχε, τὸ περιαιρῆσαι τὸ σκάνδαλον διὰ τῆς διαστάσεως. ἀλλ' οὐδὲ αὐτὴν τὴν γυναῖκα, εἴπε τις, εὐλόγως ἀναγκασθῆναι χάριν τοῦ ἐλέους καὶ ἄκουσαν ἀπόκαρσιν. διὸ καὶ καταφαίνεταί μοι ἀναγκαῖον εἶναι μόνην τὴν διάστασιν, οὐ μὴν καὶ τὴν ἀπόκαρσιν. εἰ δὲ καὶ αὐτὴ γένηται κατὰ θέλησιν τῆς γυναικὸς, διπλασιάζεται τὸ καλὸν, καὶ γίνεται κάλλιον. ἐπεὶ δέ τινες εἶπον, ὡς ἀπὸ τῆς παρούσης ἐπιστολῆς πᾶς ἱερωμένος συνοικῶν γυναικὶ ἀλλοτρίᾳ ἀφωρισμένος ἐστὶ καὶ πρὸ παραγγελίας, λέγω ὅτι οὐδὲ τῷ παρόντι ἁγίῳ ἤρεσε τοῦτο. ἰδὲ γὰρ καὶ αὐτὸς εἰδὼς τὸν Γρηγόριον συνοικοῦντα μετὰ γυναικὸς, ἐπιφωνηματικῶς παρήγγελλε τούτῳ, ἐκ τῆς συνοικίας μεταστῆσαι τὸ γύναιον· καὶ εἰ ἐποίησεν ὁ Γρηγόριος κατὰ τὴν παραγγελίαν, οὐκ ἂν ὑπέπεσε τῷ ἀφορισμῷ. ὥστε οὐδὲ ἕτερος ἀφορισθήσεται, εἰ μὴ μετὰ παραγγελίαν ἐπιμένοι τῇ μετὰ τῆς ἀλλοτρίας γυναικὸς συνοικίᾳ.

EJUSDEM CHOREPISCOPIS, NE ſine ipſo fiant miniſtri præter Canones.

CANON XC.

D *VALDE me dolet, quod patrum canones de cætero defecerunt, & omnis accurata diſciplina ex eccleſiis ejecta eſt; & timeo ne paulatim incuria hac via procedente in omne confuſionis genus res eccleſiaſticæ redeant. Eos, qui eccleſiæ miniſtrabant, olim conſuetudo, quæ in Dei Eccleſiis obtinuit, accuratiſſimè probatos admittebat, & omnis eorum vitæ agendæ ratio curioſè inquirebatur, an non eſſent maledici, an non ebrioſi, an non prompti ad pugnas, an ſuam juventutem rectè erudirent ac caſtigarent, ut poſſent ſanctificationem rectè gerere, ſine qua nemo Dominum videbit. Et hæc quidem examinabant Prebyteri, & Diaconi qui* E *cum eis verſabantur. Referebant autem ad Chorepiſcopos, qui à verè teſtificantibus ſuſceptis ſuffragiis, & eorum admonitis Epiſcopis, ita miniſtrum in ſacerdotalem numerum cooptabant. Nunc autem nobis primum extruſis nec ad nos referre in animum inducentes, omnem in voſmetipſos auctoritatem tranſtuliſtis. Deinde re per ſummam ſocordiam tractatâ, Presbyteris & Diaconis permiſiſtis, quos voluerint, vitâ eorum non examinatâ, ex affectione vel cognationis vel alicujus alius amicitiæ, indignos in eccleſiam introducere. Et ideo multi quidem numerantur miniſtri in* F *unoquoque pago: ſed nemo eſt dignus miniſterio altaris, ut vos ipſi teſtificamini, qui hominibus indigetis in electionibus. Quia ergo res deinceps eo proceſſit, ut curari non poſſit; maximè cum nunc plurimi metu, ne in milites referantur, ſeipſos miniſterio ingerant; ad renovandos patrum canones neceſſario me contuli, & ad vos ſcribo, ut indicem miniſtrorum uniuſcujuſque pagi, & à quo unuſquiſque introductus ſit, & qualis ſit ejus vita, ad me mittatis. Habete autem & ipſi apud vos in-*

ΤΟΥ ΑΥΤΟΥ ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ, ΩΣΤΕ μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας.

ΚΑΝΩΝ ϟ΄.

ΠΑΝΥ με λυπεῖ, ὅτι ἐπιλελοίπασι λοιπὸν οἱ τῶν πατέρων κανόνες καὶ πᾶσα ἀκρίβεια τῶν ἐκκλησιῶν ἀπελήλαται, καὶ φοβοῦμαι μὴ κατὰ μικρὸν τῆς ἀδιαφορίας ταύτης ὁδῷ προϊούσης εἰς παντελῆ σύγχυσιν ἔλθῃ τὰ τῆς ἐκκλησίας πράγματα. τοὺς ὑπηρετοῦντας τῇ ἐκκλησίᾳ πάλαι ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἐμπολιτευομένη συνήθεια, μετὰ πάσης ἀκριβείας δοκιμάζουσα, παρεδέχετο, καὶ ἐπολυπραγμονεῖτο πᾶσα αὐτῶν ἡ ἀναστροφὴ, εἰ μὴ λοίδοροί εἰσιν, εἰ μὴ μέθυσοι, εἰ μὴ πρόχειροι πρὸς τὰς μάχας, εἰ παιδαγωγοῦσιν ἑαυτῶν τὴν νεότητα, ὥστε κατορθοῦν δύνασθαι τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. καὶ τοῦτο ἐξήταζον μὲν πρεσβύτεροι καὶ διάκονοι οἱ συνοικοῦντες αὐτοῖς. ἐπανέφερον δὲ τοῖς χωρεπισκόποις, οἳ τὰς παρὰ τῶν ἀληθινῶς μαρτυρούντων δεξάμενοι ψήφους, καὶ ὑπομνήσαντες Ἐπίσκοπον, οὕτως ἐνηρίθμουν τὸν ὑπηρέτην τῷ τάγματι τῶν ἱερατικῶν. νῦν δὲ πρῶτον μὲν ἡμᾶς παρωσάμενοι καὶ μηδὲ ἐπαναφέρειν ἡμῖν καταδεχόμενοι, εἰς ἑαυτοὺς τὴν ὅλην περιεστήσατε αὐθεντίαν. ἔπειτα καὶ καταῤῥαθυμοῦντες τοῦ πράγματος πρεσβυτέροις καὶ διακόνοις ἐπετρέψατε, οὓς ἂν ἐθέλωσιν ἀπὸ ἀνεξετάστου βίου κατὰ προσπάθειαν, ἢ τὴν ἀπὸ συγγενείας ἢ τὴν ἐξ ἄλλης τινὸς φιλίας, ἐπεισάγειν τῇ ἐκκλησίᾳ τοὺς ἀναξίους. διὸ πολλοὶ μὲν ὑπηρέται ἀριθμοῦνται καθ' ἑκάστην κώμην· ἄξιος δὲ λειτουργίας θυσιαστηρίου οὐδεὶς, ὡς ὑμεῖς αὐτοὶ μαρτυρεῖτε ἀποροῦντες ἀνδρῶν ἐν ταῖς ψηφοφορίαις. ἐπεὶ οὖν τὸ πρᾶγμα λοιπὸν εἰς ἀνήκεστον προϊὸν, μάλιστα δὲ νῦν τῶν πλείστων φόβῳ τῆς στρατολογίας εἰσποιούντων ἑαυτοὺς τῇ ὑπηρεσίᾳ· ἀναγκαίως ἦλθον εἰς τὸ ἀνανεώσασθαι τοὺς τῶν πατέρων κανόνας, καὶ ἐπιστέλλω ὑμῖν ἀποστεῖλαί μοι τὴν ἀναγραφὴν ἑκάστης κώμης τῶν ὑπηρετούντων, καὶ ὑπό τινος εἰσῆκται ἕκαστος καὶ ἐν ποίῳ βίῳ ἐστίν. ἔχετε δὲ καὶ αὐτοὶ παρ' ἑαυτοῖς τὴν τοιαύτην ἀναγραφὴν, ὥστε συγκρίνεσθαι τοῖς παρ᾽ ἡμῖν ἀποκειμένοις γράμμασι τὰ ὑμέτερα, καὶ μηδενὶ ἐξεῖναι ἑαυτὸν ὅτε βούλεται παρεγγράφειν. οὕτω μέν τοι μετὰ τὴν πρώτην ἐπινέμησιν, εἴτινες ὑπὸ πρεσβυτέρων εἰσήχθησαν ἐπὶ τοὺς λαϊκοὺς ἀπορριφῶσιν. ἄνωθεν δὲ γένηται αὐτῶν παρ᾽ ὑμῶν ἐξέτασις, κἂν μὲν ἄξιοι ὦσι τῇ ὑμετέρᾳ ψήφῳ, παραδεχθήτωσαν· ἐπεὶ καθαρίσατε τὴν ἐκκλησίαν τοὺς ἀναξίους αὐτῆς ἀπελαύνοντες. καὶ τοῦ λοιποῦ ἐξετάζετε μὲν τοὺς ἀξίους καὶ παραδέχεσθε· μὴ ἀριθμεῖτε δὲ, πρὶν εἰς ἡμᾶς ἐπανενεγκεῖν, ἢ γινώσκετε ὅτι λαϊκὸς ἔσται, ὁ ἄνευ ἡμετέρας γνώμης εἰς ὑπηρεσίαν παραδεχθείς.

ΒΑΛΣ. Τίνες ἦσαν οἱ χωρεπίσκοποι, καὶ τίνα εἶχον δίκαια, εἴρηται εἰς τὸν ιδ΄. κανόνα τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ εἰς τὸν ι΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ. καὶ διὰ τοῦτο ἐνταῦθα περιττὸν ἐλογίσθη μοι χάριν τῶν αὐτῶν παλιλλογεῖν, καὶ μᾶλλον ὅτι τὰ ἐν τῇ παρούσῃ ἐπιστολῇ περιεχόμενα χάριν τῶν χωρεπισκόπων, ἐσχόλασαν παντελῶς, καὶ πάντες οἱ κληρικοὶ παρὰ τῶν ἐπισκόπων γίνονται κατὰ μόνην δοκιμασίαν αὐτῶν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΥΣ ΥΦ ΕΑΥτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

ΚΑΝΩΝ ϟα΄.

ΤΟῦ πράγματος ἄτοπον, περὶ οὗ γράφω, διὰ τί μὲν ὅλως ὑποπτεύθη καὶ ἐλαλήθη, ὀδύνης ἐπλήρωσέ μου τὴν ψυχήν· τέως δὲ ἐφάνη μοι ἄπιστον τὸ οὖν περὶ αὐτοῦ γράμμα, ὁ μὲν συνεγνωκὼς ἑαυτῷ δεξάσθω ὡς ἴαμα· ὁ δὲ μὴ συνεγνωκὼς, ὡς προφυλακτήριον· ὁ δὲ ἀδιάφορος, ὅπερ ἀπεύχομαι ἐφ᾽ ὑμῖν εὑρεθῆναι, ὡς διαμαρτυρίαν. τί δέ ἐστιν ὃ λέγω; φασί τινες τινὰς ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα, ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας, τοῦτο δὲ χεῖρόν ἐστιν. ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος· διότι αὐτὸ τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴπῃ τις, τῷ καλῷ συνεργῷ. ταῦτα εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω, ἀλλὰ διορθωθήτω. ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον, ὅπερ ἐρρέθη παρὰ τῶν ἀποστόλων πρὸς τὸν θέλοντα δοῦναι, ἵνα πνεύματος ἁγίου μετουσίαν ὠνήσηται, τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν· κουφότερος γὰρ ὁ δι᾽ ἀπειρίαν ὠνήσασθαι θέλων, ἢ ὁ πιπράσκων τὴν τοῦ θεοῦ δωρεάν· πρᾶσις γὰρ ἐγένετο, καὶ ὃ σὺ δωρεὰν ἔλαβες, ἐὰν πωλῇς, ὥσπερ εἰ πεπραμένος τῷ σατανᾷ ἀφαιρεθήσῃ τοῦ χαρίσματος. καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς καὶ τῇ ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ. ταῦτα οὕτω γενέσθαι οὐ χρή. ὃ δέ ἐστι τὸ τέχνασμα λέγω. νομίζουσι μὴ ἁμαρτάνειν, διὰ τὸ μὴ ἅμα προσλαμβάνειν ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν· λαβεῖν δέ ἐστιν, ὅτε δήποτε λαβεῖν. παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν, ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύνοντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια. σύγγνωτε δέ μοι· πρῶτον μὲν ὡς ἀπιστήσας, εἶτα δὲ ὡς πεισθεὶς ἀπειλῶ. εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει· ζητήσει δὲ, ἔνθα τὴν τοῦ θεοῦ δωρεὰν ἀγοράζων μεταπωλεῖν δύναται· ἡμεῖς γὰρ καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. ἓν δὲ προσθεὶς παύσομαι, διὰ φιλαργυρίαν γίνεται ταῦτα· ἡ δὲ φιλαργυρία καὶ ῥίζα πάντων τῶν κακῶν ἐστι, καὶ ὀνομάζεται εἰδωλολατρεία. μὴ οὖν τοῦ Χριστοῦ προτιμήσητε τὰ εἴδωλα διὰ μικρὸν ἀργύριον, μηδὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι προδιδόντες δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα· ἐπεὶ δὲ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς δεχομένων Ἀκελδαμᾶ κληθήσονται.

ΒΑΛΣ. Πῶς κολάζονται οἱ ἐπὶ χρήμασι χειροτονοῦντες καὶ χειροτονούμενοι, ἐρρέθη πλατύτερον εἰς τὴν ἑρμηνείαν τοῦ κθ΄. κανόνος τῶν ἁγίων ἀποστόλων, εἰς τὸν β΄. κανόνα τῆς δ΄. συνόδου, εἰς τὸν κβ΄. κανόνα τῆς ς΄. συνόδου, καὶ εἰς τὸν ε΄. καὶ ιθ΄. τῆς

A *dicem, ut veſtræ literæ cum iis quæ apud nos repoſitæ ſunt conferantur; & nemini liceat ſeipſum quando velit inſcribere. Sic itaque poſt primam indictionem, ſi qui à Presbyteris introducti ſunt, ad Laicos rejiciantur. De integro autem fiat eorum à vobis examinatio; & ſi ſint quidem veſtro digni ſuffragio, ſuſcipiantur: ſin minus eccleſiam purgate, indignos ab ea expellentes. Et quod reliquum eſt, dignos quidem examinate & ſuſcipite: in numerum autem ne referte, priuſquã ad nos retuleritis; vel ſcitote quod erit Laicus, qui ſine noſtra ſententia in miniſteriũ admiſſus eſt.*

Bals. Quinam erant Chorepiſcopi, & quænam B jura habebant, dictum eſt in xiiii. canone Synodi Neocæſarianæ & in x. can. Antioch. Syn. & ideo hîc mihi ſupervacaneum viſum eſt eadem repetere; & eo magis, quòd, quæ in præſenti epiſtola continentur de Chorepiſcopis, omnino exoleverunt, & omnes Clerici fiunt ab epiſcopis ſola ipſorum probatione.

EJUSDEM AD EPISCOPOS SIBI ſubjectos, ne propter pecunias ordinent.

Canon XCI.

C *REI, de qua ſcribo, abſurditas, quòd quidem in ſuſpicionem venerit & prolata fuerit, animum meum dolore replevit: interim tamen mihi incredibilis viſa eſt. Quod itaque de eo à me ſcriptum eſt, qui eſt ſibi quidem conſcius, id ut medicinam accipiat; qui verò non eſt conſcius, tanquam ad ſe tuendum cautelam; Qui denique indifferens eſt, id quod ego, ut in vobis inveniatur, execror, ut teſtificationem. Quid eſt autem quod dico? Aiunt quidam, nonnullos veſtrûm accipere pecunias ab iis qui ordinantur; pietatis verò nomine id obumbrare, quod deterius eſt. Si quis enim faciat malum boni prætextu, is eſt duplici pœna dignus; & eo quòd id agit, quod non bonum eſt; & ad per-* D *agendum peccatum, eo, quod bonum & honeſtum eſt, coadjutore, ſi dici poſſit, utitur. Hæc ſi ita ſe habent, deinceps non fiant, ſed corrigantur. Quoniam neceſſe eſt dicere ei, qui pecuniam accipit, id quod ab Apoſtolis dictum eſt ei, qui volebat dare, ut ſpiritus ſancti gratiam emeret; Argentum tuum tecum ſit in perditionem: levius enim peccat, qui propter ignorantiam vult emere, quàm qui Dei donum vendit: venditio enim facta eſt, & quod tu gratis accepiſti, ſi vendideris, tanquam à Satana emptus, gratia privaberis. In rebus enim ſpiritualibus cauponationem inducis, & in eccleſia, in qua corpus & ſanguis Chriſti nobis concredita ſunt. Hæc ita fieri non oportet. Quod eſt autem* E *eorum artificium dicam. Exiſtimant enim ſe non peccare, quod non ſimul accipiant, ſed poſt ordinationem. accipere autem eſt, quandocunque accipere. Vos itaque adhortor, ut hunc reditum, vel potius ad gehennam aditum, deponatis, & ne ejuſmodi ſordibus veſtras manus polluentes, vos ſacris myſteriis peragendis indignos reddatis. Ignoſcite vero mihi: primum quidem ut non credens, deinde ut perſuaſus minitor. Si quis poſt hanc meam epiſtolam tale quid fecerit, ab altaribus quidem quæ hic ſunt recedet: quæret autem ubi Dei donum emens poſſit vendere. Nos enim &* F *Dei Eccleſiæ, eam conſuetudinem non habemus. Uno autem addito ceſſabo. Hæc propter avaritiam fiunt: eſt autem avaritia omnium malorum radix, & idololatria nominatur. Ne ergo propter pauxillum argenti Chriſto idola præferte, nec rurſum Judam imitemini, lucro iterum prodentes eum, qui pro nobis ſemel crucifixus eſt: nam & prædia & manus eorum, qui fructus accipiunt, appellabuntur Akeldama.*

Bals. Quomodo puniuntur qui pecuniis ordinant & ordinantur, in xxix. can. Sanctorum Apoſtolorum interpretatione fuſius dictum eſt, in ii. can. iiii. ſyn. in xxii. can. vi. ſyn. & in v. & xix. vii. ſyn. & lege eos eorumque interpretationes. Quoniam autem præſens quoque epiſtola, ut & canones, depoſitioni ſubjicit, tam eos qui ordinant, quàm qui ordinantur, ſive ante ordinationem pecunias acceperint vel dederint; ſive poſt ordinationem: & hæc & illa conjunge, & per gladium ſpiritûs, qui intelligitur, avaritiæ perturbationem, quoad ejus fieri poteſt, radicitùs excinde. Prædia autem, quæ ejuſmodi pecuniis emuntur, appellabuntur, inquit, Akeldama, quod eſt Hebraicum, & Græcè expreſſum, pretium & prædium ſanguinis interpretatur; dictum in libro Actuum. Hoc eſt autem, quod dicit; quòd quemadmodum ager, qui emptus eſt pecunia, qua venditus eſt à Juda Dominus, precium ſanguinis eſt appellatus: ita & pecuniæ, quæ ab iis accipiuntur, qui Domini donum vendunt, & diœceſes, & vici, in quibus illi qui dant ordinantur, pretium ſanguinis erunt & appellabuntur.

A ζ'. συνόδου. καὶ ἀνάγνωθι τούτους καὶ τὰς ἑρμηνείας αὐτῶν. ἐπεὶ δὲ καὶ ἡ παροῦσα ἐπιστολή, ὡς καὶ οἱ κανόνες, καθαιρέσει καθυποβάλλει τοὺς χειροτονοῦντας καὶ τοὺς χειροτονουμένους, κἂν πρὸ τῆς χειροτονίας λάβωσιν ἢ δώσουσι χρήματα, κἂν μετὰ τὴν χειροτονίαν· σύναψον ταῦτά τε κἀκεῖνα, καὶ διὰ τῆς νοητῆς μαχαίρας τοῦ πνεύματος τὸ τῆς φιλαργυρίας πάθος, ὡς ἐνὸν, ῥιζοτόμησον. τὰ μέν τοι ἐξωνούμενα χωρία διὰ τῶν τοιούτων χρημάτων, ἀκέλδαμά, φησι, κληθήσονται, ὅπερ Ἑβραϊκόν ἐστι, καὶ ἐξελληνιζόμενον, τιμὴ καὶ χωρίον αἵματος ἑρμηνεύεται, εἴρηται ἐν τῇ βίβλῳ τῶν πράξεων. τοῦτο δέ ἐστιν ὃ λέγει, ὅτι ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, ὧν ἐπράθη διὰ τοῦ Ἰούδα ὁ κύριος, B ἀγορασθεὶς ἀγρὸς, τιμὴ αἵματος ἐκλήθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

SANCTI BASILII EX XXVII. CAPITE eorum, quæ de ſancto Spiritu ad beatum Amphilochium ſcripta ſunt.

CANON XCII.

Dogmatum & prædicationum, quæ in eccleſia cuſtodita ſunt, hæc quidem ex ſcriptis mandata doctrina habemus: illa verò ex traditione Apoſtolorum nobis data in myſterio ſuſcipimus, quæ utraque habent eaſdem vires ad pietatem. His autem nemo contradicet, qui rituum eccleſiaſticorum vel minimam experientiam habuerit. Si enim non ſcriptas conſuetudines, tanquam magnam poteſtatem non habentes, recuſare voluerimus; in rebus principalibus ipſum evangelium imprudentes damno afficiemus, vel potiùs id quod enunciatum eſt ad nudum nomen redigemus. Nam ut ejus, quod primum eſt & maximè commune, primum mentionem faciam; figura crucis eos, qui in nomine domini noſtri Jeſu Chriſti ſperaverint, ſignari, quis per literas docuit? Ad orientem verti inter orandum, quæ nos ſcriptura docuit? Invocationis verba, quæ in oſtenſione panis Euchariſtiæ & calicis benedictionis dicuntur, quis ex ſanctis nobis ſcripta reliquit? Non enim iis utique contenti ſumus, quorum Apoſtolus vel Evangelium meminit: ſed & præfamur, & alia ſubjungimus, ut quæ magnam vim habeant ad myſterium, ex non ſcripta doctrina id accipientes. Aquæ porro baptiſmatis benedicimus, & oleo unctionis, & etiam qui baptizatur: ex quibuſdam ſcripturis, non ex tacita & myſtica traditione? Quid verò? ipſam olei unctionem quænam ſcriptis mandata oratio docuit? Ut ter autem immergatur homo, unde? Quin & alia quoque, quæ circa baptiſmum fiunt, renunciare ſatanæ & angelis ejus, ex quânam ſunt ſcripturâ? nonne ex hac non publicata & arcana doctrina, quam in minimè curioſo & nequaquam pluſquam oportet inveſtigante ſilentio patres cuſtodierunt; rectè illi edocti quæ ſunt in myſteriis præclara ac veneranda ſilentio ſervare? Quæ enim ne ſuſpicari quidem licet iis, qui non ſunt myſteriis initiati, quomodo conſentaneum eſt eorum doctrinam in ſcriptis triumphare? Et poſt alia. *Hæc eorum quæ non ſcripta ſunt traditionis ratio, ut non ſæpius agitata dogmatum cognitio multis vilis & contemnenda reddatur propter conſuetudinem. Aliud eſt enim dogma & aliud prædicatio. Dogmata enim tacentur; prædicationes verò publicantur: eſt autem etiam ſilentii ſpecies obſcuritas, qua utitur ſcriptura, quæ reddit dogmatum ſententiam contemplatu difficilem, ad eorum utilitatem qui in ea incidunt. Et ideo omnes*

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ ΕΚ ΤΟΥ κζ'. κεφ. τῶν περὶ τοῦ ἁγίου πνεύματος, πρὸς τὸν μακάριον Ἀμφιλόχιον.

ΚΑΝΩΝ ϟβ'.

ΤΩΝ ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν· C τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις γε κἂν κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν, παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστῶντες τὸ κήρυγμα. οἷον ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ, τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματος D διδάξας; τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν, ποῖον ἡμᾶς ἐδίδαξε γράμμα; τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ ἀπόστολος ἢ τὸ εὐαγγέλιον ἐπεμνήσθη· ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. εὐλογοῦμεν δὲ τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον· ἀπὸ ποίων ἐγγράφων, οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ E μυστικῆς παραδόσεως; τί δὲ, αὐτὴν τοῦ ἐλαίου τὴν χρῖσιν τίς λόγος γεγραμμένος ἐδίδαξε; τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν; ἀλλὰ δὲ ὅσα περὶ τὰ βαπτίσματα, ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι; ἃ δὲ οὐδὲ ὑποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασι; καὶ μεθ' ἕτερα· οὗτος ὁ F λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμελετηθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. ἄλλο γὰρ δόγμα καὶ ἄλλο κήρυγμα. τὰ μὲν γὰρ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται· σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. τούτου χάριν πάντες μὲν ὁρῶμεν κατὰ ἀνατολὰς ἐπὶ τῶν προσευχῶν, ὀλίγοι δὲ ἴσμεν ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα τὸν παράδεισον

A δεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς. καὶ ὀρθοὶ μὲν πληροῦσι τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ σαββάτου· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. οὐ γὰρ μόνον, ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος, διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ἐπιμιμνήσκομεν· ἀλλ᾿ ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών. διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωσέως, ἀλλὰ μία ὠνόμασται· ἐγένετο γάρ, φησιν, ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα μία, ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. καὶ μία τοίνυν ἡ αὐτὴ καὶ ὀγδόη τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, B ἧς καὶ ὁ ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ὑπομνήσθη, δι᾿ ἑαυτῆς ἐμφανίζουσα, τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον καὶ ἀγήρω αἰῶνα. ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ ἐκκλησία παιδεύει· ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς, τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα ἑπτάκις ἑπταπλασιασθεῖσα τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. C ἐκ πρώτης γὰρ ἀρχομένη εἰς τὴν αὐτὴν καταλήγει, δι᾿ ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις· διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα· ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾷν οἱ θεσμοὶ τῆς ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τοῦ παρόντος ἐπὶ τὰ μέλλοντα. καὶ καθ᾿ ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι καὶ διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν. D ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα τῆς ἐκκλησίας μυστήρια διηγούμενον. ἐῶ τὰ ἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως, πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐκ ποίων συγγραμμάτων ἔχομεν; εἰ μὲν ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ δὲ τῆς εὐσεβείας ἀκόλουθον ὡς βαπτιζόμεθα, οὕτω καὶ πιστεύειν ὀφείλοντες ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα, συγχωρησάτωσαν ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι. εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας καὶ τῶν λοιπῶν, ὧν ἀπαριθμησάμεθα, E ἐγγράφως τὰς ἀποδείξεις. εἶτα τοσούτων ὄντων ἀγράφων καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας τοῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν, οὐ δὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην.

ΒΑΛΣ. Περὶ τῶν ἀγράφων ἐθῶν τῆς ἐκκλησίας ἀνάγνωθι τὸ γ'. κεφαλ. τοῦ α'. τίτλου τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ παρ᾿ ἡμῶν γραφέντα. ὃ δέ φησιν ἡ παροῦσα ἐπιστολή, τοιοῦτόν ἐστι· F τῶν πνευματομάχων λεγόντων, μὴ ὀφείλειν συνδοξάζεσθαι τῷ πατέρι καὶ τῷ υἱῷ τὸ πανάγιον πνεῦμα, διὰ τὸ μὴ παραδοθῆναι τοῦτο ἡμῖν ἐγγράφως, ὁ ἅγιος, μετὰ τὸ καταλέξαι διάφορα ἄγραφα ἔθη, ἐξ ἀνάγκης πάσης μὴ παραλυόμενα, ἀλλ᾿ αἰωνίζοντα κρατεῖν μέλλοντα, ἐπάγει καὶ αἰτίας, δι᾿ ἃς ἀγράφως τινὰ ἐκ τούτων παραδέδονται, καί φησι διὰ τί κατὰ ἀνατολὰς ὁρῶντες εὐχόμεθα, καὶ διὰ τί ὀρθοὶ τῇ μιᾷ τῶν σαββάτων ποιούμεθα τὰς εὐχάς· καὶ ὁ μὲν περὶ τοῦ μὴ ἐγγράφως παραδεδόσθαι ἡμῖν λόγος ἐστί, τὸ τὰ δόγματα μὴ δημοσιεύεσθαι,

quidem inter orandum orientem aſpicimus; pauci autem ſcimus, quod antiquam patriam inquirimus, paradiſum, quem Deus plantavit in Eden ab oriente. Et preces quidem ſtantes peragunt in una ſabbati; rationem autem non omnes ſcimus. Non ſolum enim, ut qui cum Chriſto conſurrexerimus, & quæ ſupra ſunt quærere debeamus, in die reſurrectionis gratiæ nobis datæ, per ſtatum in oratione nos ipſos commonefacimus: ſed quòd videatur eſſe etiam quodammodo ſeculi quod expectatur imago. Et ideo cum ſit dierum principium, non prima à Moſe, ſed una nominata eſt; Fuit, inquit, veſper, & fuit mane dies unus, tanquam eadem ſæpe circulariter vertentes. Una ergo eadem & octava illa unam illam revera & veram octavam, cujus etiam Pſalmographus in quibuſdam pſalmorum inſcriptionibus meminit, per ſe oſtendens, futurum ſcilicet poſt finitum ſeculum ſtatum, diem quæ nunquam deſinit, ſine veſpere, cui nihil ſuccedit, perpetuum illud & ſenii expers ævum. Neceſſario ergo orationes, quæ in illo fiunt, ſtantes peragere alumnos ſuos docet eccleſia: ut aſſiduâ commonitione vitæ nunquam deſituræ, viaticum ad eam transmigrationem non negligamus. Porro tota quoque Pentecoſte eſt reſurrectionis, quæ in ſeculo expectatur, monimentum. Unus enim ille & primus dies ſepties ſeptuplicatus ſeptem ſacræ Pentecoſtes hebdomadas efficit. A primo enim incipiens in eundem deſinit, per ſimiles, intermedios revoluta quinquageſies; quare & ævum ſimilitudine imitatur, tanquam in motu circulari ab iiſdem ſignis incipiens, & in eadem deſinens: in quo rectam orationis figuram præferre nos Eccleſiæ ritus docuere, ex evidenti admonitione, à præſenti ad futura mentem veluti traducentes. Porro in unaquaque genuflexione & aſſurrectione reipſa oſtendimus, quod etiam propter peccatum in terram delapſi ſumus, & per ejus qui nos creavit clementiam in cœlum revocati ſumus. Deficeret me dies, ſi omnia non ſcripta Eccleſiæ myſteria recenſerem. Mitto alia: ipſam vero fidei confeſſionem, Credere in Patrem & Filium & Spiritum ſanctum, ex quibuſnam literis habemus? Si enim ex baptiſmatis traditione, pro pietatis conſequentia, ut baptizati ſumus, ita & credere debemus, & ſimilem baptiſmati confeſſionem deponimus; nobis ex eadem conſequentia concedant, ſimilem quoque fidei gloriam reddere. Sin autem modum gloriæ redditionis, ut non ſcriptum, repudiant; dent nobis & fidei confeſſionis & reliquorum, quæ enumeravimus, ſcriptas demonſtrationes. Deinde cum tot ſint quæ ſcripta non ſunt, & tantam vim habeant ad pietatis myſterium; unam nobis dictionem, quæ ad nos venit ex patribus, non concedent, quam nos ex minimè affectata conſuetudine in non perverſis eccleſiis manſiſſe invenimus, quæ non exiguam habet rationem, nec parum utilitatis affert ad myſterii potentiam.

Bals. De non ſcriptis eccleſię moribus lege tertium caput primi tituli præſentis operis, & quæ in eo à nobis ſcripta ſunt. Quod autem dicit hæc epiſtola, tale eſt; Cùm Pneumatomachi (hoc eſt ſancti Spiritus adverſarii) dicerent, non debere Spiritum ſanctum ſimul cum patre & filio glorificari, quòd hoc non ſit nobis in ſcriptis traditum; ſanctus, poſtquam diverſas non ſcriptas conſuetudines recenſuit, quę neceſſario omnino non ſolverentur, ſed perpetuò obſervari deberent, ſubjungit etiam cauſas, propter quas quædam ex his abſque ſcriptis traditæ ſunt, & dicit propter quam cauſam ad orientē reſpicientes oramus, & cur una ſabbatorum ſtantes precamur: & quod non omnia quidem ſcriptis man-

dentur, ratio eſt, quòd non oporteat dogmata publicari, & ab omnibus cognoſci. Prædicationes enim, inquit, publicantur : dogmata verò tacentur, ne ſæpius agitata, hoc eſt, frequentiùs meditata & uſurpata, ex conſuetudine contemnantur. Eſt enim ſilentii quoque ſpecies obſcuritas. Quod enim obſcurè dictum, ut non etiam à multis intelligatur, taceri videtur: quemadmodum enim neſcit quiſpiam, quod alius habet in animo; ita etiam quod obſcurè dictum eſt à pluribus ignoratur. Hoc ergo dicit ſanctus eſſe cauſam, ut non omnia nobis in ſcriptis tradita ſint. Quod autem dum oramus orientem aſpicimus, cauſam dicit eſſe, quòd nos antiquam patriam inquiramus, paradiſum ſcilicet, quem Deus plantavit ab oriente. Genu autem non flectere in una ſabbatorum, quæ eſt dominica, traditum eſt, quòd in ea cum Chriſto conſurreximus; illo quidem ex ſepulchro reſurgente, nobis autem ab antiquo lapſu per illum excitatis: & quòd quæ ſunt ſurſum quærere debemus, & non ad terrena & interitui obnoxia inclinari; & quòd futuri ſeculi dominicus imago eſt, qui cùm ſit principium dierum, à Moſe non primus, ſed unus nominatur, ut qui circulariter vertens, unus ſit & octavus, & octavum illum diem deſcribat, futurum ſcilicet ſeculum, quod non deſinit, & eſt infinitum, cujus etiam David in pſalmorum inſcriptionibus meminit, eos pro octava inſcribens. Propterea ergo, inquit, neceſſariò docet eccleſia rectos ſtare, dum orant, ejus alumnos, fideles ſcilicet, quos aluit eccleſia, ut frequenter ſurſum aſpiciendo futuræ gloriæ recordentur, & quo ad eam perveniatur viaticum comparent. Præterea de Pentecoſtes quoque diebus dicit, quòd & ipſi nobis expectatam reſurrectionem ſignificant. Quandoquidem primus dies reſurrectionis domini ſepties ſeptuplicatus per dies intermedios Pentecoſten efficit: incipit enim à dominica Paſchæ, & in novum alium dominicum redit, & ex illo rurſus in ſequentem dominicum; & ita circulariter vertens ac circumactus per ſeptem hebdomadas, in pentecoſten deſinit, & imitatur æternitatem ab iiſdem diebus incipiens & in eoſdem recurrens, ſicut in circulari motu. Linea enim quæ circulum efficit, quæ etiam circumferentia appellatur, unde incipit, illic deſinit. In diebus ergo Pentecoſtes conſuetudines eccleſiæ, ſeu leges vel ſtatuta, docuerunt nos id præferre, ut recti ſtantes oremus, mentem noſtram veluti excitantes à terrenis ad cœleſtia per evidentem ſive manifeſtam admonitionem. Per rectam enim figuram ſurſum aſpicientes futurorum & cœleſtium admonemur. Sed nec genuflectiones ſunt nobis ſine ſymbolo: ſignificat enim in terram quidem inclinatio, quod peccantes in terram lapſi ſumus ſeu decidimus; ex terra autem rurſus aſſurrectio & elevatio, quod à lapſu converſi ſumus per gratiam Dei, qui clementia in nos uſus eſt. Et quid hæc, inquit, enumero? Si enim omnia, quæ ſine ſcriptis accepimus, myſteria dicere vellem, dies me deficeret, hoc eſt, ne ſatis quidem temporis haberem ad expoſitionem. Jam verò aliud quoque non ſcriptum adjicit, dicens; Mitto alia. In Patrem autem & Filium & Spiritum ſanctum confiteri, undénam in ſcriptis habemus? Si enim ex traditione quæ eſt in baptiſmate, ex eo ſcilicet quod Chriſtus dicat Apoſtolis, baptizantes in nomine Patris & Filii & Spiritûs ſancti; ut baptizamur, ita & credere debemus, & ideo baptiſmati ſimilem confeſſionem ponimus: dent nobis, ut quemadmodum confitemur, ita & glorificemus, credamus ſcilicet & gloriam canamus: ſin autem dicunt, ſe non in ſcriptis accepiſſe, ita gloriam canere; dent nobis in ſcripturis demonſtrationes, id eſt, in ſcriptis oſtendant confeſſionem fidei, & alia enumerata. Hæc ſanctus cum Pneumatomachis (hoc eſt Spiritûs ſancti adverſariis) diſſerit, qui non ferebant, ſpiritum ſanctum unà cum Patre & Filio glorificari, ut qui ſervum eum exiſtimarent & non ho-

A καὶ παρὰ πάντων γινώσκεσθαι. τὰ μὲν γὰρ κηρύγματα, φησι, δημοσιεύεται· τὰ δὲ δόγματα σιωπᾶται, ἵνα μὴ καταμελετηθέντα, τουτέστιν, ἐν συνεχεῖ μελέτῃ γινόμενα, ἐκ τῆς συνηθείας καταφρονῶνται. σιωπῆς δὲ εἶδός ἐστι καὶ ἡ ἀσάφεια. τὸ γὰρ ἀσαφῶς εἰρημένον, ὥστε μὴ καὶ παρὰ πολλῶν νοεῖσθαι, ἔοικε σιωπᾶσθαι· ὥσπερ γὰρ οὐκ οἶδέ τις ὃ ἕτερος κατὰ νοῦν ἔχει, οὕτω καὶ τὸ ἀσαφῶς εἰρημένον ἀγνοεῖται τοῖς πλείοσι. τοῦτο μὲν οὖν φησιν ὁ ἅγιος αἴτιον τοῦ μὴ πάντα ἡμῖν ἐγγράφως παραδεδόσθαι. τῷ δὲ κατὰ ἀνατολὰς ὁρᾷν ἐν ταῖς προσευχαῖς, τὸν λόγον φησὶν εἶναι, τὸ ζητεῖν ἡμᾶς τὴν ἀρχαίαν πατρίδα, τὸν παράδεισον δηλαδὴ, ὃν ἐφύτευσεν ὁ θεὸς κατὰ ἀνατολάς. B μὴ γόνυ δὲ κλίνειν τῇ μιᾷ τῶν σαββάτων, ἥτις ἐστὶν ἡ κυριακὴ, παραδέδοται, ὅτι ἐν αὐτῇ συνανέστημεν τῷ Χριστῷ, ἐκείνου μὲν τοῦ τάφου ἐξαναστάντος, ἡμῶν δὲ τοῦ ἀρχαίου πτώματος δι' ἐκείνου ἐξεγερθέντων· καὶ ὅτι τὰ ἄνω ζητεῖν ὀφείλομεν, καὶ μὴ πρὸς τὰ γεηρὰ καὶ φθαρτὰ ῥέπειν, καὶ ὅτι τοῦ μέλλοντος αἰῶνος εἰκών ἐστιν ἡ κυριακὴ, ἥτις ἀρχὴ οὖσα τῶν ἡμερῶν, οὐχὶ πρώτη ἐκλήθη τῷ Μωϋσῇ, ἀλλὰ μία, ἅτε ἀνακυκλουμένη καὶ μία οὖσα καὶ ὀγδόη, καὶ τὴν ὀγδόην ἐκείνην τυποῦσα ἡμέραν, τὸν μέλλοντα δηλονότι αἰῶνα, τὸν ἄληκτον καὶ ἀπέραντον, οὗ καὶ Δαβὶδ ἐν ἐπιγραφαῖς ἐμνήσθη ψαλμῶν, ὑπὲρ τῆς ὀγδόης ἐπιγράψας αὐτούς. C διὰ ταῦτα οὖν ἀναγκαίως, φησὶ, παιδεύει ἡ ἐκκλησία ἵστασθαι εὐχομένους τοὺς τροφίμους αὐτῆς, ἤγουν τοὺς πιστοὺς, οὓς ἡ ἐκκλησία ἐθρέψατο, ἵνα συνεχῶς διὰ τὸ ἄνω ὁρᾷν ὑπομιμνήσκωνται τῆς μελλούσης ζωῆς, καὶ τὰ πρὸς ἐκείνην ἐφόδια ἑτοιμάζωσιν. εἶτα καὶ περὶ τῶν τῆς πεντηκοστῆς φησιν ἡμερῶν, ὅτι καὶ αὗται τὴν προσδοκωμένην ἀνάστασιν ἡμῖν σημαίνουσιν. ἐπεὶ καὶ ἡ πρώτη ἡμέρα τῆς ἀναστάσεως τοῦ κυρίου ἑπτάκις ἑπταπλασιαζομένη διὰ τῶν ἐν μέσῳ ἡμερῶν ἀποτελεῖ τὴν πεντηκοστήν· ἄρχεται γὰρ ἀπὸ τῆς τοῦ Πάσχα κυριακῆς, καὶ καταντᾷ εἰς τὴν ἑτέραν κυριακὴν τὴν καινὴν, καὶ ἐξ ἐκείνης αὖθις εἰς τὴν ἐφεξῆς κυριακὴν, καὶ οὕτως ἀνακυκλουμένη καὶ ἐξελιττομένη διὰ τῶν ἑπτὰ D ἑβδομάδων εἰς τὴν πεντηκοστὴν καταλήγει, καὶ μιμεῖται αἰῶνα ἀπὸ τῶν αὐτῶν ἀρχομένη ἡμερῶν, καὶ εἰς τὰς αὐτὰς καταντῶσα, ὥσπερ ἐν κυκλικῇ κινήσει. ἡ γὰρ τὸν κύκλον ἀποτέλουσα γραμμὴ, ἥτις καὶ περιφέρεια λέγεται, ὅθεν ἄρχεται ἐκεῖ καταλήγει. ἐν γοῦν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, οἱ θεσμοὶ τῆς ἐκκλησίας, ἤγουν οἱ νόμοι ἢ οἱ τύποι, ἐπαίδευσαν ἡμᾶς προτιμᾷν τὸ, ὀρθοὺς ἑστῶτας προσεύχεσθαι, ἀπανιστῶντες ὥσπερ τὸν νοῦν ἡμῶν ἐκ τῶν γηΐνων ὑπὲρ τὰ οὐράνια διὰ τῆς ἐναργοῦς ἤτοι φανερᾶς ὑπομνήσεως. ὑπομιμνησκόμεθα γὰρ διὰ τοῦ ὀρθίου σχήματος ἄνω ὁρῶντες τῶν μελλόντων καὶ οὐρανίων. ἀλλὰ καὶ αἱ γονυκλισίαι οὐκ ἀσύμβολοι ἡμῖν εἰσι· E σημαίνει γὰρ ἡμῖν εἰς γῆν κατάκλισις, ὅτι ἁμαρτάνοντες εἰς γῆν κατερρύημεν ἤγουν πεπτώκαμεν, ἡ δὲ ἐκ τῆς γῆς αὖθις ἀνάνευσις καὶ ἀνάστασις, ὅτι ἐκ τοῦ πτώματος ἀνεκλήθημεν διὰ τῆς χάριτος τοῦ θεοῦ φιλανθρωπευσαμένου περὶ ἡμᾶς. καὶ τί ταῦτά, φησιν, ἀπαριθμῶ; εἰ γὰρ πάντα λέγειν ἐθέλω, ὅσα ἀγράφως μυστήρια παρελάβομεν, ἐπιλείψει με ἡ ἡμέρα, ἀντὶ τοῦ, οὐδὲ καιρὸν ἕξω ἀρκοῦντα πρὸς τὴν διήγησιν. εἶτα καὶ ἕτερόν τι προστίθησιν ἄγραφον, λέγων, ἐῶ τἆλλα. τὸ δὲ ὁμολογεῖν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, πόθεν ἐγγράφως ἔχομεν; εἰ μὲν γὰρ ἐκ τῆς ἐν τῷ βαπτίσματι παραδόσεως, ἤγουν ἐκ τοῦ εἰπεῖν τὸν Χριστὸν F τοῖς ἀποστόλοις, βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ πατέρος καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὡς βαπτιζόμεθα, οὕτω καὶ πιστεύειν ὀφείλομεν, καὶ διὰ τοῦτο ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν τιθέμεθα· δότωσαν ἡμῖν, ἵνα ὡς ὁμολογοῦμεν, οὕτω καὶ δοξάζωμεν, ἤγουν πιστεύωμεν ἢ δοξολογῶμεν· ἐὰν δὲ λέγωσιν, ἀλλ' οὐκ ἐγγράφως παρελάβομεν, οὕτω δοξολογεῖν, δότωσαν ἡμῖν ἐγγράφως τὰς ἀποδείξεις, ἀντὶ τοῦ ἐγγράφως δειξάτωσαν τὴν κατὰ τὴν πίστιν ὁμολογίαν καὶ τὰ ἄλλα τὰ ἀπαριθμηθέντα. πρὸς τοὺς πνευματομάχους ταῦτα ὁ ἅγιος διαλέγεται, μὴ ἀνεχομένους

συνδοξολογεῖσθαι τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ ἅγιον πνεῦμα, A οἷα δοῦλον αὐτὸ δοξάζοντας, καὶ οὐκ ὁμότιμον, καὶ λέγοντας, ὅτι οὐχ εὑρίσκομεν ἐγγράφως παραδοθὲν τῇ ἐκκλησίᾳ τὸ συνδοξολογεῖσθαι αὐτῷ τῷ πατέρι καὶ τῷ υἱῷ, καὶ ἐπάγει καὶ ταῦτα ὁ ἅγιος. εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων τῶν πρὸ ἡμῶν εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσι; καὶ τὰ ἑξῆς. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ἐπεὶ τοσαῦτά εἰσιν ἃ ἀγράφως παρελάβομεν, καὶ οὕτω πρὸς τὴν πίστιν ἰσχυρὰ, οὐ παραχωρήσωσιν ἡμῖν μίαν λέξιν, οὐ παρ' ἡμῶν εἰσαχθεῖσαν, ἀλλὰ τὴν καὶ εὑρομένην ἐκ συνηθείας ἀνεπιτηδεύτου, ἤγουν ἀπεριέργου, καὶ ἁπλῆς ἐναπομεινά- B σης ταῖς ἀδιαστρόφοις τῶν ἐκκλησιῶν, ἤτοι ταῖς ὀρθοδόξαις, ταῖς μὴ διαστραφείσαις παρὰ τῶν αἱρετικῶν, ἔχουσαν οὐ μικρὸν λόγον, οὐδὲ ὀλίγην συντέλειαν ἤγουν ὠφέλειαν εἰσφέρουσαν εἰς τὴν τοῦ μυστηρίου τῆς πίστεως δύναμιν, ἀντὶ τοῦ, μεγάλως ὠφελεῖν δυναμένην εἰς τὸ τῆς πίστεως μυστήριον.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΚΘ΄.

κεφαλ. τῆς αὐτῆς πραγματείας.

C

ΚΑΝΩΝ ϟγ΄.

ΠΡΟΣ γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν σὺν τῷ πνεύματι δοξολογίαν, ἐκεῖνο λέγομεν, ὅτι εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν ἑτέρων καὶ τοῦτο καταδεξώμεθα. ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. ἐπαινῶ γάρ, φησιν, ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε· καὶ τὸ, κρατεῖτε τὰς D παραδόσεις ἃς παρελάβετε, εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς· ὧν μάλιστα μία ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς συνηθείας ταῖς ἐκκλησίαις ἐγκατερρίζωσαν. ἆρ' οὖν εἰ ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῆς τῶν ἐγγράφων ἀποδείξεως ἀποροῦντες μαρτύρων ἡμῖν πλῆθος παρεστησάμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ' ἡμῶν ψήφου τύχοιμεν; ἐγὼ μὲν οὕτως οἶμαι. ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπιδείκνυμεν, E οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα.

ΒΑΛΣ. Ἔτι κατασκευάζει ὁ ἅγιος τὸν οἰκεῖον λόγον, λέγων πρὸς τοὺς αἱρετικοὺς, ὅτι εἰ μὲν μηδὲν ἄλλο ἄγραφον παρεδόθη, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ πολλά εἰσι τὰ ἀγράφως πολιτευόμενα, ἅ τινα καὶ ἀπηρίθμησεν, μετὰ τῶν ἄλλων καὶ τοῦτο παραδεξώμεθα. εἶτα δείκνυσιν, ὅτι καὶ ἀποστολικόν ἐστι τὸ παραδιδόμενον φυλάττειν, τίθησι καὶ F αὐτὰ τοῦ ἀποστόλου τὰ ῥήματα, καί φησιν, ὅτι τῶν παραδόσεων μία καὶ αὕτη ἐστὶν, ἤγουν ἡ περὶ τοῦ ἁγίου πνεύματος, ἣν ἐν ταῖς ἐκκλησίαις ἐγκατερρίζωσαν, ἀντὶ τοῦ βεβαίως κατέθεντο, καὶ παρέδωκαν. ὥσπερ γὰρ τὰ καταρριζωθέντα τῶν φυτῶν οὐ ῥᾷον ἀποσπῶνται τῆς γῆς· οὕτω καὶ τοῦτο οὐ ῥᾳδίως ἀποβαλοῦνται αἱ ἐκκλησίαι, οὐδὲ προδώσουσιν. ἐπιχειρεῖ δὲ ἔτι λέγων, ὅτι εἰ δικαστήρια ἄρα συνεστησάμεθα παρ' ἡμῖν, καὶ οὐκ εὐποροῦμεν ἐπὶ τοῖς εἰσαγομένοις ἐγγράφων ἀποδείξεων, παρεστήσαμεν δὲ ὑμῖν μάρ-

nore æqualem, & dicebant ſe in ſcriptis non inveniſſe traditum eccleſiæ, ut ipſe unà cum Patre & Filio glorificaretur, & infert hæc quoque ſanctus. Deinde cum tot ſint quæ non ſcripta ſunt, & tantam poteſtatem habeant ad pietatis myſterium; unam dictionem, quæ ad nos venit ex patribus, qui ante nos fuerunt, non concedent? & quæ ſequuntur. Quod autem dicit, eſt ejuſmodi; Cum tot ſint quæ ſine ſcriptis accepimus, eáque ad fidem tam valida; non permittant nobis unam dictionem, non à nobis introductam, ſed quam invenimus ex conſuetudine non quæſita nec affectata, ſed ſimplici, quæ permanſit in eccleſiis non perverſis, hoc eſt, orthodoxis, ab hæreticis non depravatis, quæ magnam habet rationem, nec parum affert utilitatis ſeu adjumenti ad fidei myſterii poteſtatem, hoc eſt, quæ multum juvare poteſt ad fidei myſterium.

EJUSDEM EX XXIX. CAPITE

Ejuſdem operis.

CANON XCIII.

Jam verò ad hoc, quòd teſtibus careat nec in ſcripturis extet ea, quæ una cum ſpiritu eſt glorificatio, illud dicimus; quòd ſi nihil quidem aliud eſt, quod non ſit ſcriptum, nec hoc admittatur: ſin autem plurima myſtica ſine ſcriptis in republica Chriſtiana verſantur, cum multis aliis hoc quoque ſuſcipiamus. Apoſtolicum autem eſſe exiſtimo in non ſcriptis quoque traditionibus permanere. Laudo enim, inquit, vos, quòd omnium meorum meminiſtis, & quemadmodum tradidi vobis traditiones tenetis: & illud; Servate traditiones quas accepiſtis, ſive per ſermonem ſive per epiſtolam; quarum quidem maxime una eſt & hæc præſens, quam qui ab initio conſtituerunt, poſteris tradentes, uſu ſemper unà cum tempore procedente, per longam conſuetudinem in eccleſiis actis radicibus firmam ſtabilémque fecerunt. Nunquid ergo, ſi veluti in judicio inopia probationis quæ fit per ſcripta laborantes, teſtium nobis multitudinem adduxerimus, annon à nobis editam ſententiam aſſequemur? Ego quidem ſic exiſtimo. In ore enim duorum vel trium teſtium ſtabit omne verbum. Sin autem & longum tempus pro nobis facere apertè vobis oſtenderimus, annon vobis videbimur dicere probabiliter, non eſſe hanc concedendam adverſus nos actionem? Sunt enim quodammodo veneranda antiqua dogmata, quæ, tanquam in quadam canitie, in antiquitate habent venerationem.

Bals. Sanctus ſuum adhuc dictum confirmat, dicens hæreticis; ſi nihil quidem aliud non ſcriptum traditum eſt, nec hoc admittatur: ſin autem multa ſunt, quæ ſine ſcriptis in republica Chriſtiana verſantur, quæ quidem enumeravit, cum aliis hoc quoque admittamus. Deinde oſtendit, quòd eſt Apoſtolicum ſervare quod traditum eſt, & ponit etiam ipſa verba Apoſtoli, & dicit, quòd hæc quoque una eſt traditionum, ſcilicet de ſancto Spiritu, quam in Eccleſiis actis radicibus firmam ſtabilémque fecerunt & tradiderunt. Quemadmodum enim plantæ, quæ radices egerunt, à terra non facile evelluntur: ita & hoc non facile amittent nec prodent eccleſiæ. Præterea autem argumentatur, dicens; Si in judicium forte à vobis adducti eſſemus, nec adverſus ea, quæ intenderentur, eſſet nobis ſcriptarum probationum copia, ſed teſtes vobis pro-

duceremus: an non per teſtium vocem abſolveremur? Ad ſui autem dicti probationem, verba quoque Evangelica adducit. Sed & ſi longum, inquit, tempus proponeremus, utpote eo vincentes adverſarium, ut qui quod ab eo vindicatur longo tempore poſſederimus, & hoc apertè oſtenderemus, an non efficeremus ut omnino non admitteretur actio in judicium, ſed potius excluderetur? antiqua enim dogmata in veneratione habentur, cum homines ea revereantur propter antiquitatem, & quemadmodum ſenibus canities venerationem acquirit, ita & antiquitas dogmatibus.

A τυχεῖς, οὐκ ἂν διὰ τῆς τῶν μαρτύρων φωνῆς ἐδικαιώθημεν; ἐπάγει δὲ εἰς κατασκευὴν τοῦ οἰκείου λόγου καὶ εὐαγγελικὰ ῥήματα. ἀλλὰ εἰ καὶ προεβαλλόμεθα, φησιν, τὸν πολὺν χρόνον, ὡς διὰ τούτου νικήσαντες τὸν ἀντίδικον, οἷα τὸ ἐκνικώμενον παρ' ἐκείνου νεμηθέντες ἐπὶ μακρὸν, καὶ τοῦτο ἐδείκνυμεν φανερῶς, οὐκ ἂν ἐποιήσαμεν μηδὲ εἰσαχθῆναι ὅλως τὴν δίκην εἰς δικαστήριον, ἀλλὰ μᾶλλον ἀποπεμφθῆναι; τὰ γὰρ παλαιὰ δόγματα δυσωποῦσιν, αἰδουμένων αὐτὰ τῶν ἀνθρώπων διὰ τὴν ἀρχαιότητα, καὶ ὥσπερ τοῖς γεγηρακόσιν ἡ πολιὰ περιποιεῖται τὸ αἰδέσιμον, οὕτω καὶ ἡ ἀρχαιότης τοῖς δόγμασιν.

B

C

D

E

F

EPISTOLA

A

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ ΤΟΥ ΑΓΙΟΥ Γρηγορίου ἐπισκόπου Νύσσης πρὸς τὸν ἐν ἁγίοις Λητόϊον ἐπίσκοπον Μελιτηνῆς.

ΚΑΝΩΝ α'.

ΕΝ καὶ τοῦτο τῶν εἰς τὴν ἁγίαν ἑορτὴν συντελούντων ἐστὶ τὸ κατανοῆσαι ἡμᾶς τὴν ἔννομόν τε καὶ κανονικὴν ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν, ὅπως ἂν θεραπευθείη πᾶν B ἀῤῥώστημα ψυχικὸν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. ἐπειδὴ γὰρ ἡ καθολικὴ καὶ αὕτη τῆς κτίσεως ἑορτὴ κατὰ τὴν τεταγμένην περίοδον τοῦ ἐνιαυσιαίου κύκλου, καθ' ἕκαστον ἔτος ἐν παντὶ πληρουμένη τῷ κόσμῳ ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται (πτῶσις δέ ἐστιν ἡ ἁμαρτία, ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνάστασις) καλῶς ἂν ἔχοι, κατὰ τὴν ἡμέραν ταύτην οὐ μόνον τοὺς ἐκ παλιγγενεσίας μεταστοιχειουμένους διὰ τῆς τοῦ λουτροῦ χάριτος τῷ Θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων εἰς τὴν ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν πρὸς C τὴν σώζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν. ἔστι δὲ οὐ μικρὸν ἔργον τὸ τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ τε καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ προφήτου τὸ κελεῦον, δεῖν οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει, ἵνα, καθὼς ἔχει τὸ λόγιον, μή τε σαλευθῇ εἰς τὸν αἰῶνα, καὶ εἰς μνημόσυνον αἰώνιον γένηται δίκαιος. ὥσπερ γὰρ καὶ ἐπὶ τῆς σωματικῆς θεραπείας ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς τέχνης εἷς ἐστι, τὸ ὑγιᾶναι τὸν κάμνοντα, τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον (κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀῤῥωστημάτων καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται.) D οὕτω πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια πρὸς λόγον τοῦ πάθους ἐνεργοῦσα τὴν ἴασιν. ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τοῦ προκειμένου προβλήματος, οὕτω τὸν λόγον διαληψόμεθα. τρία ἐστὶν τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ τὴν πρώτην διαίρεσιν, τό τε λογικὸν, καὶ τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμοειδές. ἐν τούτοις ἐστὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀποῤῥεόντων.. διὸ προσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νενοσηκότι τῆς ψυχῆς μέρει, πρότερον μὲν ἐπισκέπτεσθαι ἐν τίνι συνέστη τὸ πάθος, εἶθ' οὕτω E πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν· ὥστε μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου ἄλλο μὲν ἢ τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τὴν θεραπείαν δεχόμενον· ὥσπερ ἀμέλει βλέπομεν πολλοὺς τῶν ἰατρῶν ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθοῦντος μέρους προσεπιτείνοντας τὴν νόσον, δι' ὧν θεραπεύουσι. τῆς γὰρ ἀῤῥωστίας οὔσης πολλάκις κατὰ θερμοῦ ἐπικράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις, χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστὶ τὸ τούτοις κατὰ λόγον συνενεγκὸν, ἀπερισκέπτως τὸ αὐτὸ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. ὥσπερ F τοίνυν ἀναγκαιοτάτη τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τῶν στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστου τῶν εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις· οὕτω καὶ ἡμεῖς ἐπὶ ταύτην ἀναδραμόντες τὴν διαίρεσιν, τῶν ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς μεταλλήλου τῶν παθῶν θεραπείας ποιησώμεθα τὴν γενικὴν θεωρίαν. οὐκοῦν τριχῇ, καθὼς ἔφαμεν, διῃρημένης τῆς ἰδιότητος τῶν τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογικόν τε καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς, κατόρθω-

EPISTOLA CANONICA SANCTI GREGORII Nyſſeni Epiſcopi ad ſanctum Letoïum Melitenes Epiſcopum.

CANON I.

Eorum quæ ad ſanctum feſtum conferunt & hoc unum eſt, nempe legitimam & canonicam in iis qui peccarunt œconomiam intelligere, ut curetur omnis morbus animæ, qui per aliquod peccatum accidit. Quoniam enim hoc eſt univerſale feſtum creationis, quod, in præſtituto annui circuli ambitu, ſingulis annis in univerſo inſtitutum mundo propter ejus, qui ceciderat, reſurrectionem peragitur, (caſus autem eſt peccatum; reſurrectio verò ex peccati caſu erectio) rectè habuerit, ſi hodierno die non ſolum eos, qui ex regeneratione per lavacri gratiam tranſmutati ſunt, ad Deum adducamus; ſed eos etiam, qui per pœnitentiam & converſionem à mortuis operibus ad viventem viam aſcendunt, ad ſpem quæ ſalvos eos faciat tanquam manu deducamus, à qua per peccatum alienati ſunt. Neque verò parvum opus eſt ea, quæ de his dicenda ſunt, in recto & probato judicio diſpenſare, juxta præceptum Prophetæ, quod jubet, oportere ſermones diſpenſare in judicio, ut, quemadmodum habet Divinum oraculum, non moveatur in æternum, & in æterna memoria ſit juſtus. Quemadmodum enim etiam in corporali medela, unum eſt quidem inſtitutum artis medicæ, ut ſanus ſit is, qui laborat, varium autem eſt curationis genus (pro morborum enim varietate convenienter quoque medicinæ methodus unicuique morbo applicatur) ita cùm multa ſit etiam in morbo animæ affectionum varietas, multiformis quoque neceſſario fuerit medica curatio ad affectionis rationem medicinam exercens. Ut ſit autem arte aliqua procedens propoſitæ quæſtionis methodus, rem ita tractabimus. Tria ſunt, quæ in anima noſtra conſiderantur, ſecundum primam diviſionem; ratio, concupiſcentia, & ira. In iis ſunt & rectè facta eorum qui ex virtute vivunt, & delicta eorum qui ad vitium dilabuntur. Quamobrem oportet eum, qui ægrotanti animæ parti congruam medelam eſt adhibiturus, prius quidem conſiderare in quónam conſiſtit affectio, deinde ſic laboranti convenientem medelam applicare; ne propter medicæ diſciplinæ ignorantiam, alia quidem ſit pars quæ ægrotat, alia verò cui eſt adhibita medela: ſicut certè multos videmus medicos, qui propter ignorationem partis primò affectæ morbum ſuis medicamentis adaugent. Cum enim ob calidi dominium morbus ſæpe exiſtat: quoniam iis, qui propter nimiam frigidi abundantiam male affecti ſunt, utile eſt quod calefacit, & confovet id quod illis ex ratione adhibitum; idem iis, qui immoderata caliditate ſuccenduntur, inconſideratè applicantes, efficiunt ut ſit morbus curatu difficillimus. Quemadmodum ergo medicis imprimis neceſſaria exiſtimata eſt elementorum proprietatis cognitio, ut uniuſcujuſque eorum, quæ bene vel malè conſtituta ſunt, id quod præter naturam affectum eſt corrigatur: Sic & nos ad hanc recurrentes diviſionem, eorum quæ in anima conſiderantur, principium & fundamentum convenientis affectionum curationis generalem faciamus contemplationem. Trifariam ergo, ut diximus, diviſa proprietate motionum animæ, in rationem, concupiſcentiam & iram; rationis quidem compotis animæ partis rectum officium eſt pia de

de Deo exiſtimatio, boni & mali diſcernens ſcientia, & A *quæ habet perſpicuam & non confuſam de rerum ſubjectarum natura opinionem; quid eſt quidem, in iis quæ ſunt, expetendum, quid vero abhorrendum & abjiciendum: & rurſus ex contrario, quod in ea parte eſt vitium omnino conſiderabitur, quando circa res quidem Divinas fuerit impietas, circa id autem, quod verè honeſtum eſt, inopia judicii; perverſa autem & corrupta de rerum natura exiſtimatio, ut lucem tenebras ponat, & tenebras lucem, ut dicit ſcriptura. Concupiſcentis autem partis motus eſt ex virtute, ſi ad id quod eſt reverà concupiſcendum & verè pulchrum & honeſtum eri-* B *gatur deſiderium, & ſi qua eſt in nobis amatoria facultas & affectio, tota in illo verſetur, ut credamus nihil aliud eſſe ſua natura expetendum præter virtutem, & naturam quæ virtutem effundit: hujus autem partis declinatio eſt & peccatum, quando cupiditatem tranſtulerit quiſpiam ad inanem, quæ non poteſt conſiſtere, gloriam, vel ad florem qui coloratè corporum ſuperficiei eſt illitus. Unde exiſtit avaritia, ambitio & libido, & cætera ejuſmodi quæ ab hoc vitii genere dependent. Rurſus autem iraſcentis partis recta actio eſt mali odium, & bellum cum animi perturbationibus, & ad for-* C *titudinem in eo eſſe confirmatam animam, ut ea non pertimeſcat, quæ multis terribilia videntur, ſed uſque ad ſanguinem peccato reſiſtat; mortis autem minas, & gravia ſupplicia contemnat, & à rebus jucundiſſimis disjunctionem, & omnibus, ut ſemel dicam, quæ propter aliquam conſuetudinem & anticipatam opinionem multos in voluptate detinent, ſit ſuperior pro fide & virtute decertans: hujus autem partis prolepſiones omnes apertæ ſunt, invidia, odium, ira, convicia, certamina, contentioſæ & ultionis appetentes affectiones, quæ acceptæ injuriæ recordationem longè extendunt, & multos ad cædem & ſanguinem incitant.* D *Dum enim non inveniret ſtulta & inerudita ratio, quomodo armis ſuis utiliter uteretur, ferri aciem in ſe convertit; eaque arma defenſiva quæ nobis à Deo data ſunt, ei, qui malè utitur, exitium afferunt.*

μα μὲν τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους ἐστὶν ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη, καὶ ἡ τρανὴν γοῦν καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τῶν ὑποκειμένων τὴν δόξαν, τί μὲν ἐστὶν αἱρετὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν καὶ ἀπόβλητον· καὶ πάλιν ἐκ τοῦ ἐναντίου πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλὸν, ἐνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, καθὼς φησιν ἡ γραφή. τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἡ μὲν ἐνάρετός ἐστι κίνησις, τὸ πρὸς τὸ ὄντως ἐπιθυμητικὸν καὶ ἀληθῶς καλὸν ἀνάγεσθαι τὸν πόθον, καὶ εἴ τις ἐν ἡμῖν ἐρωτικὴ δύναμίς τε καὶ διάθεσις, ἐκεῖ κατασχολεῖσθαι πᾶσαν, ἐν τῷ πεπεῖσθαι μηδὲν ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως· παρατροπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστὶν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος. ὅθεν γίνεται ἡ φιλοχρηματία καὶ ἡ φιλοδοξία καὶ ἡ φιληδονία, καὶ πάντα τὰ τοιαῦτα ὅσα τοῦ τοιούτου ἤρτηται τῆς κακίας γένους. πάλιν δὲ τῆς θυμώδους διαθέσεως κατόρθωμά ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ πρὸς ἀνδρείαν ἐστομῶσθαι τὴν ψυχὴν ἐν τῷ μὴ καταπλήσσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις αἵματος τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς καὶ ἀλγεινῶν κολαστηρίων καὶ τῆς τῶν ἡδίστων διαζεύξεως, καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ἡδονῇ τοὺς πολλοὺς κατεχόντων κρείττονα γενέσθαι τῆς πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον· τὰ δὲ ἀποπτάματα τοῦ τοιούτου μέρους ἐστὶν ἅπασι πρόδηλα, ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, αἱ λοιδορίαι, αἱ συμπλοκαὶ, αἱ φιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν καὶ πολλοὺς εἰς φόνους καὶ αἵματα κατάγουσα. μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμὸς ὅπου χρήσεται λυσιτελῶς τῷ ὅπλῳ, ἐφ' ἑαυτὸν τρέπει τὴν τοῦ σιδήρου ἀκμὴν, καὶ γίνεται τὸ ἐκ τοῦ θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

Bals. In tempore feſti paſchæ hic magnus pater hanc epiſtolam miſiſſe videtur: & dicit ad feſtum conferre, ut qui peccant legitimè & canonicè diſpenſentur. Feſtum enim reſurrectionis Domini, propter reſurrectionem humani generis, quod propter peccatum ceciderat, & factum eſt, & quotannis peragitur. Reſurrectio autem eſt etiam ex lapſu peccati reſurrectio. E Peccatorem enim à peccato abſtinere, eſt reſurgere à caſu quo cecidit qui peccat. Quare oportet, inquit, hodierno die Deo adducere, non ſolum eos qui per ſalutare baptiſmi lavacrum ex regeneratione tranſmutantur, tanquam novum corpus accipientes, utpote quod ſancti Spiritûs gratia à ſordibus ſit emundatum, quæ ei per peccatum inſederant. Non eos ergo, dicit, ſolum adducere oportere Paſchæ tempore, ſed eos etiam qui agunt pœnitentiam, & à mortuis operibus ad viam viventem aſcendunt. Hoc autem in epiſtola ad Hebræos à magno Paulo dictum eſt, qui mortua voca- F vit opera, quæ animam malo odore replent, & nos immundos efficiunt. Quemadmodum enim in lege antiqua, qui mortuum tetigit immundus exiſtimabatur: ita & qui mortua tangit opera immundus à Deo judicatus eſt, per pœnitentiam autem purgatus ad viam viventem revertitur. Quæ autem ad Deum ducit, eſt ea via vivens, quæ futuram nobis vitam conciliat, quæ à mortuis operibus, ſeu quæ nos mortificant, ſeparat, quæ à ſervante ſpe nos abalienant, hoc eſt, à regno Dei, quod, ſi ſperetur, ſervat eos qui ſperant, & ſecundum Dei mandata vivunt, ne ab eo excidamus.

ΒΑΛΣ. Ἐν καιρῷ τῆς τοῦ πάσχα ἑορτῆς φαίνεται ὁ μέγας οὗτος πατὴρ τὴν ἐπιστολὴν ταύτην ἀπεσταλκὼς καί φησιν, ὅτι συντελεῖ εἰς τὴν ἑορτὴν πῶς οἱ ἁμαρτάνοντες οἰκονομηθήσονται, ἐννόμως τε καὶ κανονικῶς. ἡ γὰρ τῆς ἀναστάσεως ἑορτὴ τοῦ κυρίου, διὰ τὴν ἀνάστασιν τοῦ πεπτωκότος διὰ τὴν ἁμαρτίαν ἀνθρωπείου γένους, καὶ γέγονε καὶ ἐτησίως ἐπιτελεῖται. ἀνάστασις δέ ἐστι καὶ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις. τὸ γὰρ ἀπέχεσθαι τῆς ἁμαρτίας τὸν ἁμαρτάνοντα, ἀναστῆναί ἐστι τοῦ πτώματος οὗ πέπτωκεν ἁμαρτάνων. διό φησι κατὰ τὴν ἡμέραν ταύτην, μὴ μόνον προσάγειν θεῷ τοὺς διὰ τοῦ σωτηρίου λουτροῦ τοῦ βαπτίσματος μεταστοιχειουμένους ἐκ παλιγγενεσίας, νέον ὥσπερ τὸ σῶμα λαμβάνοντας, οἷα καθαρθὲν τῇ τοῦ πνεύματος χάριτι τῶν μολυσμάτων, ἃ διὰ τῆς κακίας αὐτῷ προσετρίβησαν. οὐ τούτους οὖν μόνον, φησὶ, προσάγειν χρεὼν κατὰ τὸν τοῦ πάσχα καιρὸν, ἀλλὰ καὶ τοὺς μετανοοῦντας καὶ ἐκ τῶν νεκρῶν ἔργων ἐπανιόντας εἰς τὴν ζῶσαν ὁδόν. τοῦτο δὲ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ τῷ μεγάλῳ εἴρηται Παύλῳ, νεκρὰ καλέσαντι ἔργα, τὰ δυσωδίας τὴν ψυχὴν πληροῦντα καὶ ἡμᾶς ἀκαθάρτους ποιοῦντα. ὡς γὰρ παρὰ τῷ νόμῳ τῷ παλαιῷ ὁ τοῦ νεκροῦ ἁψάμενος ἀκάθαρτος ἐνομίζετο, οὕτω καὶ ὁ τῶν νεκρῶν ἔργων ἁπτόμενος ἀκάθαρτος κρίνεται τῷ θεῷ, καθαιρόμενος δὲ διὰ τῆς μετανοίας ἐπάνεισιν εἰς ὁδὸν ζῶσαν· ἡ πρὸς θεὸν ἄγουσα δέ ἐστιν ἡ ζῶσα ὁδὸς, ἡ τὴν ζωὴν ἡμῖν προξενοῦσα τὴν μέλλουσαν, ἡ τῶν νεκρῶν ἢ καὶ νεκρούντων ἡμᾶς χωρίζουσα ἔργων, τῶν ἀπεξενούντων τῆς σωζούσης ἐλπίδος, τουτέστι τῆς βασιλείας τοῦ θεοῦ,

UMI

θεοῦ, ἥτις ἐλπιζομένη σώζει τοὺς ταῦτα ἐλπίζοντας, βιοῦντας κατὰ τὰς τοῦ θεοῦ ἐντολὰς, ἵνα ταύτης μὴ ἀποτύχωμεν. A ἔστι δέ, φησιν, οὐ μικρὸν ἔργον τὸ οἰκονομῆσαι τοὺς περὶ τούτων λόγους, δηλονότι τῶν μετανοούντων, ἐν ὀρθῇ κρίσει, κατὰ τὸν Δαβὶδ λέγοντα περὶ τοῦ φοβουμένου τὸν κύριον, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, καὶ τὰ ἑξῆς. καί φησιν, ὅτι ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς εἷς μέν ἐστιν ὁ σκοπὸς, ἐκ τῆς ἰατρικῆς τέχνης τὸ ἰάσασθαι τὸν ἀρρωστοῦντα, ἡ δὲ μεταχείρησις οὐχ ὁμοία ἐπὶ πᾶσι τοῖς ἀσθενοῦσιν, ἀλλὰ κατὰ τὰς διαφορὰς τῶν νοσούντων σωμάτων ποιοῦνται τὴν ἐπιμέλειαν, καὶ ἡλικιῶν καὶ σωμάτων ἰδιότητας καὶ ὡρῶν καὶ χωρῶν παρατηρούμενοι διαφορὰς, οὕτω χρὴ καὶ τὸν θεραπεύοντα B νοσήματα ψυχικὰ, ὧν πολλή τις ἡ ποικιλία ἐστὶ, πολυειδῆ καὶ τὴν θεραπείαν προσάγειν, καὶ τὰ αἴτια τῶν παθῶν παρατηρούμενον, καὶ τὴν ἑκάστου τῶν μετανοούντων διάθεσιν. ἐπὶ τούτοις τεχνικὴν ποιεῖται τὴν περὶ τῶν ἁμαρτανόντων διδασκαλίαν, καί φησι τρία εἶναι τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα, τὸ λογικὸν, τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμοειδὲς, ἃ καὶ δυνάμεις ψυχικαὶ καὶ ἰδιότητες ὀνομάζονται· καὶ ἐκ τούτων φύεσθαι λέγει τὰ κατορθώματα ἤγουν τὰς ἀρετὰς, καὶ τὰ πτώματα ἤγουν τὰ ἁμαρτήματα. καὶ δεῖ τὸν θεραπευτὴν τῶν ψυχικῶν παθημάτων σκοπεῖν ἐκ τίνος τῶν ψυχικῶν δυνάμεων συνέστη τὸ ἁμάρτημα, καὶ οὕτω προσάγειν τῷ θεραπευομένῳ τὴν C θεραπείαν κατάλληλον καὶ οἰκείαν τῷ πάθει, ἵνα μὴ ἐξ ἀπειρίας ἄλλο μὲν ᾖ τὸ πάσχον, ἄλλο δὲ τὸ ἰατρευόμενον· ἢ καὶ ἄλλως δέον μεταχειρίσασθαι τὸ ψυχικὸν ἀρρώστημα, ὁ δὲ ἑτέρως αὐτὸ θεραπεύειν ἐπιχειρῇ. ὅπερ, φησὶ, καὶ οἱ ἄτεχνοι ποιοῦσι τῶν ἰατρῶν, καί τινος πάσχοντος κατὰ θερμοῦ πλεονασμὸν, δέον προσενεγκεῖν αὐτῷ ψυχρότερα τινὰ, εἰ προσενήγκοιεν μᾶλλον ἀπερισκέπτως θερμαίνοντα, δυσίατον τὸ πάθος ἐποίησαν. τὰ γὰρ ἐναντία τῶν ἐναντίων εἰσὶν ἰάματα. καὶ τοῖς μὲν κατ' ἐπικράτησιν τοῦ ψυχροῦ πάσχουσι κατάλληλός ἐστι θεραπεία τὸ θερμαῖνον καὶ ἀναθάλπον. οὗ δὲ τὸ θερμὸν ἐπλεόνασε, προσφέρειν δεῖ τὸ ἀντίθετον, ὅπερ ἐστὶ τὸ ψυχρόν. D καὶ ὥσπερ τοῖς τῶν σωμάτων θεραπευταῖς ἀναγκαῖόν ἐστι τὸ κατανοῆσαι ὅθεν ὁ νοσῶν πάσχει, καὶ οὕτω τὴν θεραπείαν αὐτῷ οἰκείαν τῇ νόσῳ προσαγαγεῖν· οὕτω καὶ τοῖς τὰ ψυχικὰ ἰατρεύουσι πάθη ἀπαραίτητος ἡ κατασκόπησις, τοῦ ὅθεν τὸ μέλλον θεραπευθῆναι ἁμάρτημα φύεται. εἰς τρία τοίνυν, ὡς εἴρηται, τῶν τῆς ψυχῆς δυνάμεων διαιρουμένων, τοῦ μὲν λογιστικοῦ, φησιν, ἀρετή ἐστιν ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις, καὶ ἡ τρανὴν καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τὴν ὑπόληψιν καὶ τῶν ὑποκειμένων τὴν δόξαν. καὶ τρανῶς λέγεται βλέπειν, ὁ ὁρῶν καθαρῶς τε καὶ ἀπλανῶς, καὶ E κατανοῶν τὸ ὁρώμενον ὡς ἔχει φύσεως. καὶ ἀσυγχύτως ὁρᾷ, ὁ τὴν ὁρατικὴν συνεχόμενος δύναμιν, καὶ ἄλλο μὴ ὁρῶν, ἄλλο δὲ δοκῶν βλέπειν. ὅταν οὖν τις τὴν τῶν ὑποκειμένων πραγμάτων φύσιν κατανοῇ, καὶ ἀνεπισφαλῶς κρίνῃ, τί μέν ἐστι καλὸν, τί δὲ κακὸν, καὶ τί μὲν προκρίνειν δέον, τί δὲ βδελύττεσθαι, τότε λέγεται τρανὴν καὶ ἀσύγχυτον ἔχειν δόξαν, ἤτοι ὑπόληψιν, ἀντὶ τοῦ καλῶς κρίνειν τὰ πράγματα, καὶ ὑπολαμβάνειν περὶ αὐτῶν ἀσφαλῶς. εἰπὼν δὲ τί ἐστιν ἀρετὴ τοῦ λογιστικοῦ, νῦν καὶ περὶ τῆς κακίας αὐτοῦ λέγει, καὶ ἐκ τῶν ἐναντίων ταύτην θεωρεῖσθαι εἴτουν καταγινώσκεσθαι διδάσκει· καί φησιν, εἶναι κακίαν τοῦ λογιστικοῦ τὴν περὶ F τὸ θεῖον ἀσέβειαν, τουτέστι τὸ λογίζεσθαι τί ἀνάξιον τῆς θείας φύσεως, καὶ τὴν περὶ τῶν πραγμάτων μὴ ὀρθὴν κρίσιν, ἀλλ' ἐσφαλμένην, ὥστε τὸ κακὸν ὑπολαμβάνειν καλὸν, καὶ τὸ καλὸν, κακόν· τοῦτο γὰρ δηλοῖ, τὸ τιθέναι τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος. τοῦτο δὲ τοῦ Ἡσαΐου ἐστὶν οὐαὶ τοῖς τοῦτο ποιοῦσιν ἐπαρωμένου. τοῦ δὲ ἐπιθυμητικοῦ μέρους λέγεται ἀρεστὸν, τὸ τὴν ἔφεσιν ἡμῶν κινεῖσθαι πρὸς τὸ ὄντως καλὸν καὶ ἐπιθυμητὸν, καὶ πείθεσθαι μή τι ἄλλο εἶναι ὀρεκτὸν, ἤγουν ὀρέξεως ἢ ἐπιθυμίας ἄξιον, κατὰ τὴν οἰκείαν φύσιν ἢ τὴν ἀρετὴν πηγάζουσαν φύσιν, ἤτοι τὸν θεόν·

A Eſt autem, inquit, non parvum opus ea, quæ de iis dicenda ſunt, de iis ſcilicet qui pœnitentiam agunt, diſpenſare in recto judicio; ut vult David qui dicit de eo, qui timet Dominum; Diſpenſabit ſermones ſuos in judicio, & cætera. Et dicit, quòd ſicut corporum medicis unum eſt inſtitutum, ut arte medica ei qui laborat medeantur; non eſt autem ſimilis in omnibus qui ægrotant curandi ratio, ſed pro ægrotantium diverſitate eorum curam gerunt, & ætatum & corporum proprietates horarúmque & locorum differentias obſervantes: ita etiam oportet eum, qui animæ morbis medetur, quorum multi- B plex eſt varietas, multiplicem quoque medelam adhibere, & morborum cauſas obſervantem, & uniuſcujuſque pœnitentiam agentium affectionem. Poſtea tradit artificioſam peccatorum doctrinam, & dicit eſſe tria quæ in anima noſtra conſiderantur, rationem, concupiſcentiam & iram, quæ etiam animæ facultates & proprietates appellantur; & ex iis dicit exiſtere rectè facta ſeu virtutes, & caſus ſeu peccata. Et oportet animæ affectionum medicum conſiderare, ex quanam animæ facultatum conſiſtit peccatum, & ita ei qui ſanatur convenientem adhibere medicinam, & affectioni appoſitam, ne ex imperitia aliud quidem C ſit quod laboret, aliud cui medicina applicetur, vel ſit etiam morbus animæ qui aliter curari debeat, ille verò aliter medicari conetur; quod etiam, inquit, imperiti faciunt medici, & cum alicui propter calidi exuperationem laboranti frigida aliqua adhibere oporteat, ſi inconſideratè magis calefacientia applicent, curatu difficillimam affectionem effecerunt; contraria enim contrariis curantur; & iis quidem, qui propter frigidi dominatum laborant, conveniens eſt medicina id quod calefacit & confovet; in quo autem calidum exuperat, oportet contrarium adhibere, quod eſt frigidum. Et quemadmodum corporum medicis D neceſſarium eſt intelligere, undénam is qui laborat affectus eſt, & ita illi morbo convenientem medicinam adhibere: ita & iis, qui morbis animæ medentur, neceſſariò conſiderandum eſt undénam peccatum, cui medicina adhibenda eſt, naſcitur. Cum animæ ergo facultates in tria, ut dictum eſt, dividantur, rationis, inquit, virtus eſt pia de Deo exiſtimatio & boni malique dijudicatio, & quæ habet perſpicuam & non confuſam de natura exiſtimationem & ſubjectorum opinionem. Porro is dicitur perſpicuè videre, qui purè & abſque ullo errore videt, & id quod videtur ita intelligentia comprehendit, prout ejus ha- E bet natura. Et is non confusè videt, qui, cum videntem facultatem habeat, non aliud quidem videt, aliud ſe videre exiſtimat. Quando ergo quis rerum ſubjectarum naturam intelligit, & certò conſtantérque judicat, quid eſt bonum & malum, & quid præferre quidem oporteat, quid verò abhorrere; tunc dicitur apertam, & non confuſam habere opinionem, ſeu exiſtimationem, id eſt, res pulchrè judicare, & tutò de iis exiſtimare. Poſtquam autem dixit, quid ſit virtus rationis, nunc etiam dicit de ejus vitio, & id ex contrariis conſiderari ſeu cognoſci docet; & dicit; F rationis vitium eſſe in Deum impietatem, hoc eſt, aliquid exiſtimare Divina natura indignum, & de rebus non rectum, ſed aberrans judicium, ut quod bonum eſt, malum exiſtimet, & quod malum eſt, bonum: hoc enim ſignificat dicere lucem tenebras, & tenebras lucem. Hoc autem eſt Eſaiæ eos qui illa faciunt execrantis. Concupiſcentiæ autem virtus dicitur, noſtrum deſiderium ad id, quod verè pulchrum & honeſtum jureque concupiſcendum eſt, moveri, & credere nihil eſſe aliud expetendum, ſeu appetitione & deſiderio ſuapte natura dignum, quàm virtutem, & quæ virtutem effundit, naturam, ſive Deum:

virtutis enim fons est & ad ipsam dux Divina natura. Nihil autem esse suapte natura expetendum præter virtutem, dixit sanctus: alia scilicet, quæ nobis expetenda esse videntur ac desideranda, non esse sua natura ejusmodi, sed nostro aberrante judicio ac existimatione. Et protinus infert gloriæ cupiditatem, corporum pulchritudinis desiderium, avaritiam, libidinem, & quæ sunt ejusmodi, quæ etiam concupiscibilis animæ partis declinationem & peccatum ostendunt. Declinat enim & aberrat, hoc est, ab eo quod honestum est & à recto judicio discedit, qui hæc expetenda esse ducit. Dicit autem ex vana gloria & ex flore, qui corporum superficiei est illitus, existere gloriæ cupiditatem, avaritiam & libidinem, & quæ sunt his similia. Si quis enim vanæ gloriæ cupiditate laboret, is ob recte facta laudatus summis vult coli honoribus, & qui corporum florem appetit, in libidinem vel avaritiam labitur. Corporum autem florem intelligere oportet, humanorum corporum pulchritudinem, vel bonum auri colorem, & lapidum splendorem, & margaritarum fulgorem, vestiúmque contextarum varietates, & quæ iis consequuntur: sunt enim & hæc corpus. Vel ergo amat humanam pulchritudinem, & à libidine vincitur, vel auri aliorumque florem expetit, & fit avarus. Ex his autem ad alia omnis generis innumerabilia vitia devolvitur. Qui enim gloriam appetit, in invidiam & eorum, qui ei sunt honore æquales, detractionem incidit, volens se esse omnibus superiorem. Qui autem pulchritudinis amator est, in incontinentiam. Qui autem pecuniam concupiscit, ad injustitiam. Porro alia quoque mala innumerabilia ex iis enasci solent, ad quæ quidem enumeranda ac nominanda longa scriptione opus esset. Quæ quidem omnia reducuntur ad vitium, quod fit ex concupiscibilis animæ facultatis declinatione, tanquam species ad genus. Non consistentem autem vanam gloriam dicit sanctus, quòd honor humanus propterea dicitur Græcè, δόξα, ut quæ sit solum existimatio, & nihil habeat firmum nec stabile, quódve consistat, sed solum sit opinio & visio. Porro ipsum quoque nomen vanæ gloriæ evidentiùs declarat, quod dictum est. Inanem enim existimationem & non veram eam esse docet. Irascibilis autem animæ partis virtutem quidem rectúmque officium esse docet, odium vitii, & pugnare cum animi perturbationibus, nec se eis submittere, nec eis servire, & animam habere ad fortitudinem corroboratam, quod est se intrepidè fidentérque gerere. Sumitur autem vocabulum ἐστομῶσθαι à ferro. Sicut enim ferrum temperatum est inflexibile, & rem quamlibet quæ inciderit secat: ita qui magno excelsóque est animo ad nihil eorum, quæ videntur terribilia, flectitur, sed est ad omnia bono fidentique animo. Non enim mortem timet, nec tormenta, voluptatibus non enervatur, nec à consuetudine in servitutem redigitur; sed hæc omnia contemnit, fidem & virtutem possidens, à quibus ne excidat, & omnem dolorem nihili ducit, & quæ sunt jucundissima repudiat. Prolapsiones autem iræ, seu ab honesto deflexiones, dicit esse invidiam, odium, iram, convicia, & alia quæ enumerata sunt, & adhuc plura. Qui est enim, inquit, ineruditus, id est, qui doctrinam non est assecutus, ut sciat ubi oporteat ira tanquam armis utiliter uti, ea adversus se utitur, ferri aciem sive acumen in se convertens: & ita arma, quæ nobis à Deo data sunt ad nostri defensionem & nobis ferendum auxilium, (ea autem sunt ira) malè illis utentibus exitium seu perniciem animæ afferunt, & etiam corporis.

A πηγὴ γὰρ τῆς ἀρετῆς καὶ ὁδηγὸς πρὸς αὐτὴν ἡ θεία φύσις. οὐδὲν δὲ ὀρεκτὸν κατὰ τὴν οἰκείαν φύσιν, ἢ μόνην τὴν ἀρετὴν, εἶπεν ὁ ἅγιος· δηλονότι τὰ ἄλλα τὰ ἡμῖν δοκοῦντα ἐπιθυμητά τε καὶ ὀρεκτὰ, οὐ κατὰ τὴν οἰκείαν φύσιν εἰσὶ τοιαῦτα, ἀλλὰ κατὰ τὴν ἡμετέραν ἐσφαλμένην κρίσιν τε καὶ ὑπόληψιν. καὶ αὐτίκα ἐπάγει τὴν τῆς δόξης ἐπιθυμίαν, τὴν τοῦ κάλλους τῶν σωμάτων, τὴν φιλοχρηματίαν, τὴν φιληδονίαν, καὶ ὅσα τοιαῦτα, ἃ καὶ παρατροπὴν καὶ ἁμαρτίαν τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς ἀποφαίνεται. παρατρέπεται γὰρ καὶ διαμαρτάνει, τουτέστιν ἀποτυγχάνει τοῦ καλοῦ καὶ τῆς ὀρθῆς κρίσεως, ὁ ταῦτα κρίνων ὀρεκτά. λέγει δὲ ἐκ κενοδοξίας B καὶ τοῦ ἐπικεχρωσμένου τοῖς σώμασιν ἄνθους φύεσθαι τὴν φιλοδοξίαν καὶ τὴν φιλοχρηματίαν καὶ τὴν φιληδονίαν καὶ τὰ ὅμοια τούτοις. εἰ γάρ τις εἴη κενόδοξος, ὁ ἐφ᾽ οἷς ἔχει κατόρθωμα ἐπαινούμενος, ὁ τοιοῦτος θέλει δοξάζεσθαι, καὶ ὁ τοῦ τῶν σωμάτων ὀρεγόμενος ἄνθους, εἰς φιληδονίαν ἢ φιλοχρηματίαν διολισθαίνει. σωμάτων δὲ ἄνθος νοητέον, ἢ τὸ τῶν ἀνθρωπίνων σωμάτων κάλλος ἢ τὴν εὐχροιαν τοῦ χρυσοῦ, καὶ τὰς τῶν λίθων διαυγὰς, καὶ τὴν τῶν μαργαρέων στιλπνότητα, καὶ τὰ τῶν ὑφασμάτων ποικίλματα, καὶ ὅσα τούτοις ἑπόμενα· σῶμα γὰρ καὶ ταῦτα. ἤγουν κάλλους ἀνθρωπίνου ἐρᾷ, καὶ κρατεῖται φιληδονίᾳ, ἢ τοῦ ἄνθους ὀρέγεται τοῦ χρυσοῦ καὶ τῶν ἄλλων, C καὶ γίνεται φιλοχρήματος. ἐκ δὲ τούτων εἰς μυρίας ἄλλας κακίας καὶ παντοδαπὰς ἐκκυλίεται. ὁ γὰρ δόξης ἐφιέμενος εἰς φθόνον ἐμπίπτει καὶ τῶν ὁμοτίμων διαβολὰς, θέλων αὐτὸν ἁπάντων ὑπέρτερον. ὁ δὲ κάλλους ἐραστὴς εἰς ἀσελγείας· ὁ δὲ χρημάτων ἐπιθυμητὴς εἰς ἀδικίας· καὶ ἄλλα δὲ μυρία καὶ ποικίλα κακὰ ἐκ τούτων φύεσθαι πέφυκεν, ἅπερ ἀπαριθμεῖν τε καὶ ὀνομάζειν μακρᾶς ἂν δέοιτο συγγραφῆς. ἅτινα πάντα εἰς τὴν κακίαν ἀνάγονται τὴν ἐκ παρατροπῆς γινομένην τῆς ἐπιθυμητικῆς δυνάμεως τῆς ψυχῆς, ὡς τὰ εἴδη πρὸς γένος. ἀνυπόστατον δὲ τὴν κενοδοξίαν εἶπεν ὁ ἅγιος, ὅτι ἡ ἀνθρωπίνη τιμὴ διὰ τοῦτο λέγεται δόξα, ὡς ὑπόληψις μόνον οὖσα, καὶ οὐδὲν ὑφεστὸς ἔχουσα, οὐ βέβαιον, οὐδὲ μόνιμον, D ἀλλὰ δόκησις τυγχάνουσα μόνον καὶ φαντασία. καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς κενοδοξίας ἐκφαντικωτέρα δήλωσις τοῦ λεγομένου ἐστί. ματαίαν γὰρ ὑπόληψιν καὶ οὐκ ἀληθῆ ταύτην εἶναι διδάσκει. τοῦ δὲ θυμικοῦ τῆς ψυχῆς μέρους ἀρετὴν μὲν καὶ κατόρθωμα λέγει, τὸ πρὸς κακίαν μῖσος, καὶ τὸ τοῖς πάθεσι μάχεσθαι, καὶ μὴ ὑποκύπτειν καὶ δουλοῦσθαι αὐτοῖς, καὶ τὸ τὴν ψυχὴν πρὸς ἀνδρείαν ἐστομῶσθαι, ὅ ἐστι τὸ ἀπτοήτως ἔχειν καὶ εὐθαρσῶς. εἴληπται δὲ ἡ λέξις ἐκ τοῦ σιδήρου. ὡς γὰρ ἐστομωμένος σίδηρος ἄκαμπτός ἐστι καὶ τμητικὸς τοῦ παραπεσόντος παντὸς, οὕτω καὶ ὁ τὴν ψυχὴν ἀνδρεῖος πρὸς οὐδὲν τῶν δοκούντων φοβερῶν κάμπτεται, ἀλλὰ πρὸς πάντα ἐστὶν εὐθαρσής. E οὐ γὰρ θάνατον καταπλήσσεται, οὐ κολαστήρια, οὐ μαλακίζεται τοῖς ἥδεσιν, οὐ συνηθείᾳ δουλοῦται, ἀλλὰ πάντων τῶν τοιούτων καταφρονεῖ, τῆς πίστεως καὶ τῆς ἀρετῆς ἀντεχόμενος, ἵνα μὴ τούτων ἐκπέσῃ παντὸς ὑπερορῶν ἀλγεινοῦ, καὶ τῶν ἡδίστων παραιτούμενος. ἀποπτώματα δέ φησιν εἶναι τοῦ θυμοειδοῦς τῆς ψυχῆς, ἤγουν ἐκπτώσεις ἐκ τοῦ καλοῦ, τὸν φθόνον, τὸ μῖσος, τὴν μῆνιν, τὰς λοιδορίας, καὶ τὰ ἄλλα τὰ ἀπηριθμημένα, καὶ τούτων δὲ πλείω. ὁ γὰρ ἀπαίδευτος, φησὶν, ἤγουν ὁ μὴ παιδείας τυχὼν, ὥστε εἰδέναι ποῦ χρὴ τῷ θυμῷ κεχρῆσθαι ὠφελίμως ὡς ὅπλῳ, καθ᾽ ἑαυτοῦ κέχρηται τούτῳ, τὴν ἀκμὴν τοῦ σιδήρου, τὴν ὀξύτητα δηλαδὴ, τρέπων πρὸς ἑαυτόν· F καὶ γίνεται οὕτω τὸ ὅπλον, ὃ ἡμῖν ἐδόθη παρὰ θεοῦ εἰς ἄμυναν, ἤτοι εἰς βοήθειαν, τοῦτο δέ ἐστιν ὁ θυμὸς, κακῶς αὐτῷ κεχρημένοις εἰς ὄλεθρον, ἤγουν εἰς βλάβην ψυχικὴν, ἀλλὰ μὴν καὶ σωματικήν.

A

ΚΑΝΩΝ β΄.

Τούτων τοίνυν κατὰ τὸν εἰρημένον διακριθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν πατέρων ἐκρίθη, καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια, οἷον εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμὸν, ἢ πρὸς εἰδωλολατρείαν, ἢ πρὸς Μανιχαϊσμὸν, ἢ πρὸς ἄλλο τι τοιοῦτον ἀθείας εἶδος αὐτομολήσας ἐφάνη, ὁ μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακὸν, B εἶτα καταγνοὺς ἑαυτοῦ, χρόνον τῆς μετανοίας ἔχει ὅλον τὸν τῆς ζωῆς αὐτοῦ. οὐδέποτε γὰρ μυστικῆς ἐπιτελουμένης εὐχῆς μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν θεὸν καταξιοῦται, ἀλλὰ κατὰ μόνας μὲν εὔξεται, τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται. ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ τότε τῆς τοῦ ἁγιασμοῦ μερίδος ἀξιωθήσεται. εἰ δὲ συμβαίη παρ᾽ ἐλπίδα ζῆσαι αὐτὸν, πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς ἐξόδου γινόμενος. οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν, οὕτω φιλανθρωπίᾳ ἐπ᾽ αὐτῶν χρησαμένων τῶν ἁγίων πατέρων, C ὡς οὐ ψυχῆς γενομένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης. διὸ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμελησάντων καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

CANON II.

His itaque hoc modo diſtinctis, quæcunque quidem peccata ratione præditam animæ partem attingunt, eſſe graviora à patribus judicata ſunt, & majori ac pleniori laborioſiorique converſione digna: quemadmodum ſi quis fidem in Chriſtum negavit, vel ad Judaiſmum, vel idolorum cultum, vel Manichaiſmum, vel aliquod aliud infidelitatis genus deſciviſſe viſus ſit; qui voluntariè quidem ad id malum ſe contulit, deinde ſe ipſum condemnavit, totum tempus vitæ ſuæ habet pœnitentiæ tempus. Nunquam enim, ſi myſtica peragatur oratio, Deum unà cum populo adorare dignus cenſebitur, ſed ſeorſum precabitur; à ſacramentorum autem communione omninò erit alienus: At hora ſui è vita exceſſus ſacramenti communionis erit particeps. Sin autem contigerit, eum præter ſpem vivere, in eodem rurſus vivet judicio, myſticorum ſacramentorum ad vitæ exitum uſque expers. Qui autem tormentis & gravibus ſuppliciis excruciati, ii præſtituto tempore puniti ſunt; ſanctis patribus ſic in eos clementia uſis, tanquam anima non lapſa ſit, ſed corporalis imbecillitas quæ tormentis non reſtiterit. Quare menſurâ eorum, qui in fornicatione peccarunt, etiam vi doloréque expreſſa tranſgreſſio in converſione dimenſa eſt.

ΒΑΛΣ. Εἰπὼν μετὰ τὸ προοίμιον, ὡς ἐν προθεωρίᾳ, ὁ ἅγιος τίνι τῶν ψυχικῶν δυνάμεων ἁρμόττει ἕκαστον τῶν κατορθωμάτων ἢ τῶν ἐλαττωμάτων, ἄρτι καὶ περὶ τῶν ἐπιτιμίων τῶν ἐξ αὐτῶν τῶν ἁμαρτημάτων διαλαμβάνει· καὶ χείρονα τῶν ἄλλων εἶναι λέγει καὶ παρὰ τῶν πατέρων κριθῆναι τὰ τοῦ λογιστικοῦ τῆς ψυχῆς μέρους ἁπτόμενα, καὶ τῆς θεραπείας ἐπιπονωτέρας ἀξιωθῆναι, D ἐξ ὧν φησιν εἶναι τὴν ἐκ τῆς ὀρθῆς πίστεως ἔκπτωσιν, ὡς ὅταν τις ἀρνησάμενος τὴν εἰς Χριστὸν πίστιν, πρὸς Ἰουδαϊσμὸν ἢ Ἑλληνισμὸν ἀποκλίνῃ, ἢ πρός τινα ἀπηγορευμένων αἱρέσεων, ἢ πρὸς ἄλλο τι ἀθείας εἶδος. ἀθείας δὲ εἶδος ἐκάλεσε καὶ τὸν Ἰουδαϊσμὸν καὶ τὰς αἱρέσεις, διότι κἂν ὁμολογῶσι θεὸν οἱ Ἰουδαῖοι, ἀλλὰ τοῖς ἔργοις αὐτὸν ἀρνοῦνται. καὶ γὰρ μὴ δεξάμενοι τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμᾷν πιστεύονται, κατὰ τὸν μέγαν ἀπόστολον Ἰωάννην λέγοντα, πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει. καὶ αἱ αἱρέσεις δὲ εἰς ἀθεΐαν φέρουσιν. οἱ γὰρ τὸν υἱὸν τῆς πατρικῆς οὐσίας καὶ δόξης χωρίζοντες, καὶ τὸ πανάγιον E πνεῦμα κτίσμα καὶ δοῦλον εἶναι διδάσκοντες, περὶ τὴν θεότητα σφάλλονται, οὔτε περὶ τοῦ υἱοῦ οὔτε περὶ τοῦ πνεύματος ὑγιῶς φρονοῦντες, καὶ δικαίως ἂν καλοῖντο ἄθεοι καὶ αὐτοὶ, ὡς μὴ τὴν προσήκουσαν δόξαν ἔχοντες περὶ τοῦ θεοῦ. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων εὕροι τις πάντως αἱρέσεων. τῶν οὖν περὶ τὴν πίστιν σφαλλομένων διαίρεσιν ποιεῖται ὁ ἅγιος, καὶ τοὺς μὲν αὐτομολήσαντας, ἤγουν ἑκουσίως καὶ χωρὶς ἀνάγκης ἀρνησαμένους τὴν ὀρθὴν εἰς Χριστὸν πίστιν, εἶτα εἰς μετάνοιαν ἐλθόντας, παρ᾽ ὅλην αὐτῶν τὴν ζωὴν λέγει ἀφωρισμένους εἶναι, ὥστε μηδέποτε τῆς μεταλήψεως τῶν ἁγίων δώρων ἀξιωθῆναι, εἰ μὴ ὅτε εἰς τέλος τῆς οἰκείας ἔξουσι ζωῆς. κἂν δὲ ἤδη θνήσκων τις αὐτῶν κοινωνίας ἀξιωθῇ, F εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ζήσῃ, πάλιν ἀκοινώνητος ἔσται μέχρις ἂν αὖθις θνήσκῃ. καὶ οὐ τοῦτον μόνον ἐπάγεσθαι λέγει αὐτοῖς τὸν ἀφορισμὸν, ἀλλὰ μηδὲ συνεστάναι τοῖς ὀρθοδόξοις, καὶ συνεύχεσθαι μυστικῆς ἐπιτελουμένης εὐχῆς, ἤγουν ὅτε ὁ ἱερεὺς τὸν ἄρτον ἁγιασθῆναι καὶ τὸ ποτήριον καθ᾽ ἑαυτὸν εὔχεται. εὔχεσθαι μὲν γὰρ, φησι, κατὰ μόνας ἤγουν καθ᾽ ἑαυτὸν οὐ κωλυθήσεται ὁ ἐν μετανοίᾳ γενόμενος, συνίστασθαι δὲ τοῖς πιστοῖς οὐ συγχωρηθήσεται, ἀλλ᾽ ἔξω στήσεται τοῦ ναοῦ μετὰ τῶν κατηχουμένων. ταῦτα μὲν οὖν περὶ τῶν ἄνευ βίας κατὰ θέλησιν οἰκείαν μόνην ἀρνησαμένων.

BALS. Poſtquam dixit ſanctus, poſt procœmium, inſtar cujuſdam præcedentis contemplationis, cui animæ facultatum unumquodque recte factum vel peccatum convenit, nunc tractat de pœnis iſtorum peccatorum: & aliis deteriora eſſe dicit, & talia à patribus eſſe judicata, quæ ratione præditam animæ partem attingunt, & laborioſiore medicina digna eſſe habita, ex quibus eſſe dicit lapſum à fide; ut quando quis, fide in Chriſtum negatâ ad Judaiſmum vel Helleniſmum declinaverit, vel ad aliquam vetitam hæreſin, aut ad aliud quodcunq; genus infidelitatis. Infidelitatis porro genus vocavit & Judaiſmum & hæreſes, eo quòd etſi Judæi Deum confiteantur, factis tamen eum negant. Cum enim Filium non ſuſceperint, nec Patrem honorare creduntur, ſecundum magnum Apoſtolum Johannem, qui dicit; Quicunque negat Filium, is nec Patrem habet. Porro hæreſes quoque ad infidelitatem ducunt. Qui enim filium à Paterna ſubſtantia & gloria ſeparant, & S. Spiritum creaturam ſervúmque eſſe credunt, errant circa naturam Divinam, nec de Filio nec de Spiritu rectè ſentientes, & merito ipſi quoque infideles vocentur, ut qui non habent convenientem de Deo ſententiam. Hoc in aliis quoque hæreſibus quiſpiam invenerit. Eorum itaque, qui errant in fide, facit ſanctus diviſionem; & eos quidem qui deſciverunt, ſeu voluntariè, & abſque neceſſitate fidem veram in Chriſtum negârunt, deinde ad pœnitentiam venerunt, dicit tota ſua vita eſſe ſegregatos, ut ne ſanctorum quidem donorum participatione digni habeantur; niſi quando ad ſuæ vitæ finem venerint. Quòd ſi quis eorum moribundus communione dignus habitus fuerit, deinde periculum evaſerit & vixerit, rurſus erit excommunicatus uſque ad mortem. Non ſolum autem eis inferri dicit ſegregationem; ſed neque cum orthodoxis conſiſtere, & unà precari, cum myſtica peragitur oratio, ſcilicet quando ſacerdos panem & poculum ſanctificari per ſe precatur. Seorſum tamen, inquit, ſeu per ſe precari non vetabitur is, qui pœnitentiam agit; cum fidelibus autem conſiſtere ei non permittetur, ſed ſtabit extra templum cum catechumenis. Hæc ergo dicit de iis, qui ſine vi propria ſolâ voluntate negaverunt.

Quicunque autem, inquit, per neceſſitatem ſe ſubmiſerunt, tormentis gravibúſque pœnis ac ſuppliciis ad finem uſque reſiſtere non valentes; ii à patribus præſtituto tempore puniti ſunt, quanto etiam is qui fornicatus eſt punitur. Quod quidem tempus, procedens, dicit eſſe novem annos. Patres autem clementia uſos fuiſſe in eos qui vi negaverunt, ait, quia anima ipſorum negationi non conſenſit, ſed lingua ſola à bono exciderunt; mentis autem affectio eis immutabilis conſervata eſt. Has ergo pœnas inferri dicit iis, qui circa rectam fidem lapſi ſunt. De iis autem, qui præſtigiatores vel vates adeunt, hæc dicit.

Canon III.

Qui autem ad præſtigiatores vel vates abierunt, vel eos qui per dæmones ſe piacula quædam & malorum averruncationes operaturos pollicentur, ii exactè interrogantur & examinantur; utrum in fide in Chriſtum permanentes à neceſſitate aliqua ad illud peccatum impulſi ſunt, cùm afflictio aliqua vel intolerabilis jactura hunc illis animum indidiſſet; an omnino neglecto quod à nobis creditum eſt teſtimonio, ad dæmonum ſocietatem ſe contulerunt. Si enim ad fidem infirmandam, & quòd Deum eſſe non crederent, qui à Chriſtianis adoratur, illud fecerint; erunt ſcilicet tranſgreſſorum judicio obnoxii: ſin autem non ferenda quædam neceſſitas, puſillo & abjecto eorum animo ſuperato, falſa aliqua ſpe deceptos eo deduxit; ſimiliter in ipſos erit clementia, ac in eos qui tormentis in tempore confeſſionis reſiſtere non potuerunt.

Bals. Eos autem, qui ad præſtigiatores vel vates abierunt, vel ad eos qui per dæmones ſe piacula quædam & malorum averruncationes operaturos pollicentur, dicit eſſe accuratè examinandos & interrogandos. Dicuntur ergo præſtigiatores, qui & incantatores appellantur, qui per aliquas magicas incantationes vel feras alligant, vel ad hominum detrimentum aut utilitatem quoad ſpeciem aliqua faciunt: ad detrimentum quidem, morbos vel deliria vel paralyſes inducentes; ad apparentem autem utilitatem, amores immittentes vel amicitias, réſque proſperas dæmonum invocatione efficientes. Vates autem ſunt, qui per certas quaſdam illuſiones, nec ſine dæmonum invocatione, futura aliqua prædicunt, vel quæ ignorantur detegunt. Dicuntur vero fieri piacula, ut quando quis exiſtimat ſe à faſcinantibus oculis læſum fuiſſe, vel ab aliqua curioſitate, eóque factum eſſe, ut vel ægrotaret, vel infeliciter res ſuas gereret, vel ei aliquid ejuſmodi malum eveniret. Sunt enim, qui profitentur ſe earum affectionum piacula inventuros per operationem omnino ſatanicam: vel etiam averruncationes ſive averſiones & amolitiones ejuſmodi malorum. Eos ergo, qui ad tales aliquos accedunt, examinari oportere ait, ſive diligenter interrogari, quomodo ad eos qui hæc faciunt acceſſerunt; urgente eos neceſſitate, vel afflictione aliqua, vel morbo, vel ira forte alicujus principis vel domini, vel damno intolerabili; & quomodo ad illos acceſſerunt, fidéne condemnata ad dæmonum auxilium accurrerunt. Si enim tanquam à fide deſciſcentes, & Chriſtum non eſſe Deum credentes, nec ab illo auxilium ſperantes, dæmonum opem implorârunt; ut qui tranſgreſſi ſunt, & ſponte fidem abnegaverunt, tractabuntur: ſin autem propter puſillum & abjectum animum dæmonum auxilium invocaverunt, cum eos gravis aliqua oppreſſiſſet neceſſitas, quam propter animi imbecillitatem ferre non potuerunt, decepti & juvari ſperantes; punientur & ipſi, ut ii qui idolis ſacrificarunt, quòd propter confeſſionem tormenta non ſuſtinuerunt.

A ὅσοι δέ, φησι, ἐξ ἀνάγκης ὑπέκυψαν, μὴ μέχρι τέλους ἀντισχεῖν πρὸς τὰς βασάνους καὶ τὰς χαλεπὰς αἰκίας καὶ τιμωρίας δυνηθέντες, οἱ τοιοῦτοι ῥητῷ χρόνῳ ἐπιτιμήθησαν παρὰ τῶν πατέρων, ὅσῳ καὶ ὁ πορνεύσας ἐπιτιμᾶται. ὃν δὴ χρόνον, προϊὼν, ἐννέα ἔτη εἶναι λέγει. φιλανθρωπεύσασθαι δὲ λέγει τοὺς πατέρας περὶ τοὺς ἐκ βίας ἀρνησαμένους, ὅτι οὐχ ἡ ψυχὴ αὐτῶν συνέθετο τῇ ἀρνήσει· ἀλλὰ γλώσσῃ μόνῃ ἐκπεπτώκασι τοῦ καλοῦ· ἡ δὲ γνωμικὴ διάθεσις ἀμετάτρεπτος αὐτοῖς ἐφυλάχθη. τοιαῦτα μὲν οὖν ἐπάγεσθαι λέγει τὰ ἐπιτίμια τοῖς περὶ τὴν ὀρθὴν πίστιν ἀποσφαλεῖσι· περὶ τῶν ἀπιόντων δὲ εἰς γόητας ἢ μάντεις ταῦτά φησιν.

B

ΚΑΝΩΝ γ'.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι' ἀκριβείας καὶ ἀνακρίνονται, πότερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ' ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. C εἰ μὲν γὰρ ἀθετήσει τῆς πίστεως καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι θεὸν τὸν παρὰ τῶν Χριστιανῶν προσκυνούμενον ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται· εἰ δέ τις ἀβάστακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν εἰς τοῦτο προσήγαγε διά τινος ἠπατημένης ἐλπίδος παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

ΒΑΛΣ. Τοὺς δὲ πρὸς γόητας ἀπιόντας ἢ μάντεις, ἢ τοὺς διὰ D δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, μετὰ ἀκριβείας δεῖν ἀνακρίνεσθαι, καὶ ἐξετάζεσθαι λέγει. γόητες μὲν οὖν εἰσιν οἱ καὶ ἐπαοιδοὶ καλοῦνται, οἱ διά τινων μαγικῶν ἐπῳδῶν ἢ θηρία καταδεσμοῦντες, ἢ πρὸς βλάβην ἀνθρώπων ἢ πρὸς ὠφέλειαν τῷ δοκεῖν ποιοῦντές τινα· πρὸς βλάβην μὲν, νόσους ἢ παραφροσύνας ἢ παρέσεις ἐπάγοντες· πρὸς δὲ δοκοῦσαν ὠφέλειαν, ἔρωτας ἐμποιοῦντες ἢ φιλίας, ἢ εὐπραγίας ἐπικλήσει δαιμόνων. μάντεις δέ εἰσιν, οἱ διά τινων μεθόδων, οὐδ' οὗτοι χωρὶς ἐπικλήσεως δαιμόνων, μέλλοντά τινα προλέγοντες, ἢ ἀγνοούμενα ἐκκαλύπτοντες. καθάρσια δὲ λέγονται γίνεσθαι, ὡς ὅταν τις νομίζῃ ἐκ βασκάνων βλαβῆναι ὀφθαλμῶν, E ἢ ἐκ περιεργίας τινὸς, κἀντεῦθεν ἢ νοσεῖν, ἢ δυσπραγεῖν, ἢ ἄλλο τι κακὸν πάσχειν. εἰσὶ γάρ τινες, οἳ ἐπαγγέλλονται καθάρσια τῶν τοιούτων παθημάτων ποιεῖν δι' ἐνεργείας πάντως σατανικῆς, καὶ ἀποτροπιασμοὺς ἤγουν ἀποτροπὰς καὶ ἀποδιώξεις τῶν τοιούτων κακῶν. τοὺς οὖν τοιούτοις τισὶ προσερχομένους, ἀποκρίνεσθαι χρή φησιν, ἀντὶ τοῦ μετὰ ἀκριβείας ἐρωτᾶσθαι, πῶς τοῖς τὰ τοιαῦτα ποιοῦσι προσῆλθον, ἀνάγκης κατεπειγούσης αὐτοὺς, ἤγουν κακώσεως τινὸς ἢ νόσου ἢ ὀργῆς τυχὸν δυνάστου τινὸς ἢ δεσπότου, ἢ ζημίας ἀφορήτου· καὶ πῶς προσῆλθον ἐκείνοις, ἆρα καταγνόντες τῆς πίστεως προσέδραμον τῇ τῶν δαιμόνων βοηθείᾳ. εἰ μὲν γὰρ ὡς ἀποστάντες τῆς πίστεως, καὶ μὴ πιστεύοντες θεὸν εἶναι τὸν Χριστὸν, μηδὲ ἐλπί- F ζοντες ἐξ ἐκείνου βοηθείας, ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων ἐπικουρίαν, ὡς οἱ παραβάντες καὶ τὴν πίστιν ἑκόντες ἀρνησάμενοι οἰκονομηθήσονται· εἰ δὲ ἐκ μικροψυχίας ἐπεκαλέσαντο τὴν τῶν δαιμόνων βοήθειαν, ἀνάγκης σφοδρᾶς ἐπελθούσης αὐτοῖς, ἣν διὰ μικροψυχίαν βαστάσαι οὐκ ἠδυνήθησαν, ἀπατηθέντες καὶ ἐλπίσαντες ὠφεληθῆναι, ἐπιτιμηθήσονται καὶ οὗτοι, ὡς οἱ θύσαντες εἰδώλοις διὰ τὸ μὴ ὑπομεῖναι τὰς δι' ὁμολογίας βασάνους.

UMI

A

ΚΑΝΩΝ δʹ.

Τῶν δὲ δι᾽ ἐπιθυμίαν καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε, καὶ τὸ κατὰ πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν· διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὸς πρὸς ἄνδρα, καὶ ἀνδρὸς πρὸς γυναῖκα. πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει. τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. οὐκοῦν B εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν. εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται. ἀλλότριον δὲ ἑκάστῳ, πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. οὐκοῦν οὐ πόῤῥω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδέχθη, λεγούσης καὶ τῆς θείας γραφῆς, ὅτι μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίᾳ. πλὴν ἀλλ᾽ ἐπεὶ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς C πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία. εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. ταύτης οὖν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται, διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι, καὶ ἐν τοῖς ἄλλοις D τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ τῇ κατὰ ἄῤῥενος λύσσῃ. διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία· μία μὲν, ἡ κατὰ τὴν ἄθεσμον ἡδονήν· ἑτέρα δὲ, ἡ κατὰ τὴν ἀλλοτρίαν ἀδικίαν συνισταμένη. διαφορὰ δέ τις ἐστὶν ἐν τῷ λόγῳ τῆς μετανοίας καὶ ἐπὶ τῶν καθ᾽ ἡδονὴν πλημμελημάτων. ὁ μὲν γὰρ ἀφ᾽ ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῶν ἁμαρτιῶν ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι᾽ οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις· ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά E τινος ὑποψίας ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθεὶς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ, ὥστε καθαρισθέντα διὰ ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι. ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι· ἐν τρισὶ δὲ τῆς ἀκροάσεως μετέχειν μόνης, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι μετὰ τῶν ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι, καὶ τότε μετέχειν τῶν ἁγιασμάτων. ἐπὶ δὲ τῶν σπουδαιοτέρᾳ κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ F οἰκονομίᾳ συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν· καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τῇ κοινωνίᾳ, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐγκρίνοι τὴν τοῦ θεραπευομένου κατάστασιν. ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείργεται, οὕτως τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς ἀπαθείας τε καὶ καθαρότητος γενόμενον, τῶν ἀτόπων ἐστίν. ἡ δὲ κατὰ τὴν μοιχείαν ἤτοι κατὰ τὰ λοιπὰ εἴδη

CANON IV.

Eorum autem, quæ per cupiditatem & voluptatem fiunt, peccatorum hæc eſt diviſio: hoc enim vocatur adulterium, illud verò fornicatio. Ac nonnullis quidem eorum, qui paulò ſubtiliores ſunt, placuit, etiam fornicationis peccatum adulterium eſſe exiſtimare: quoniam una eſt legitima conjunctio, & mulieris cum viro, & viri cum muliere. Quicquid ergo non eſt legitimum, eſt omnino injuſtum & legi contrarium: & qui non habet proprium, habet omnino alienum. Homini enim una tantum à Deo data eſt auxiliatrix: & mulieri unum appoſitum eſt caput. Ergo ſi quis quidem proprium vas ſuum, ut Divinus Apoſtolus nominat, poſſederit, ei lex naturæ juſtum uſum concedit: ſi quis autem extra proprium converſus fuerit, erit omnino in alieno. Eſt autem unicuique alienum, quicquid non eſt proprium, etiamſi id non confiteatur qui eſt dominus. Non longe ergo diverſa à peccato adulterii fornicatio quoque ab iis, qui rem paulo accuratiùs examinant, intelligitur, cum dicat etiam Divina ſcriptura; Ne multus ſis cum aliena. Sed quia cum imbecillioribus indulgenter agendum cenſuerunt patres, diſtinctum eſt peccatum hac generali diviſione, quòd fornicatio quidem dicatur cupiditatis cujuſpiam expletio, quæ ſine alterius fit injuria: Adulterium verò, inſidiæ & injuria quæ alteri affertur. In eo autem & cum animalibus coitum & pædicatum eſſe exiſtimant: quoniam hæc quoque ſunt naturæ adulterium. In id enim, quod eſt alienum, & quod eſt præter naturam, fit injuſtitia. Cum hæc ergo diviſio in hac etiam peccati ſpecie fiat; univerſale eſt remedium, ut à concitata in ejuſmodi voluptates rabie per pœnitentiam homo purus efficiatur. Sed quia eorum, qui in fornicatione polluti ſunt, injuria aliqua cum hoc peccato non commiſta eſt; propterea duplum converſionis tempus iis præſcriptum eſt, qui in adulterio inquinati ſunt, & in aliis itidem vetitis malis, animalium initu, & rabie in maſculos. In iis enim, ut dixi, duplicatur peccatum: Unum quidem, quod in illicita voluptate: Alterum autem, quod in injuria, quæ fit alteri, conſiſtit. Eſt autem quædam differentia in ratione pœnitentiæ in iis qui in voluptate peccarunt. Qui enim ex ſeipſo ad ſua proferenda peccata impulſus eſt, eo quod ſua ſponte occultorum accuſator eſſe voluerit, ut qui jam affectioni medicinam adhibere cœperit, & ſignum, in id quod eſt melius, mutationis oſtenderit; in mitioribus pœnis verſatur: Qui autem in malo deprehenſus eſt, vel propter aliquam ſuſpicionem vel accuſationem ingratiis convictus eſt, longius illi converſionis tempus datur; ut ipſe perfecte purgatus, ſic ad ſacramentorum communionem admittatur. Eſt ergo canon ejuſmodi, ut qui in fornicatione polluti ſunt, in tribus quidem annis ab oratione omnino expellantur; in tribus vero ſint ſolius auditionis participes; in tribus autem aliis precentur cum iis qui in converſione ſubſternuntur; & tunc ſint ſacramentorum participes. In iis autem, qui diligentiori converſione uſi fuerint, & vitâ, ad id quod bonum eſt, reditum oſtenderint, licet ei, qui diſpenſat, pro eccleſiaſticæ œconomiæ utilitate tempus auditionis contrahere, & celeriùs ad converſionem deducere; & rurſus hoc quoque tempus contrahere, & celeriùs communionem reddere; ut ſua probatione ejus, cui medela adhibetur, conſtitutionem dijudicet. Quemadmodum enim porcis margaritas projicere eſt vetitum; ita & precioſa margarita privare eum, qui jam

A *jam per alienationem à vitio & purgationem homo factus eſt, abſurdum eſt. Quæ autem in adulterio & in reliquis immunditiæ generibus fit iniquitas, ut ante dictum eſt, eodem omnino judicio punietur, quo & fornicationis ſcelus; ſed tempore duplicabitur. In eo autem ejus etiam, cui medela adhibetur, affectio conſiderabitur; quemadmodũ & in iis, qui fornicationis inquinamento illaqueati ſunt; ut vel citius vel tardius eis ſit boni participatio.*

Bals. Nunc de peccatis, quæ in concupiſcibili animæ facultate naſcuntur, diſſerit pater, ex quibus dicit eſſe adulterium & fornicationem, & ſubjungit, quòd B quibuſdam ſubtilioribus fornicatio quoque vocatur adulterium: quia mariti & uxoris coitus legitimus eſt; ſed ſi quid fiat aliud præter eum, id eſt injuſtum & legibus contrarium, & quicunque non utitur proprio, utitur alieno. Quodcunque vero cuivis non eſt proprium, illud alienum eſt, etiamſi dominum non habeat. Et propterea fornicatio non longe abeſſe viſa eſt ab adulterio. Hæc dicit ſanctus ita abſtrui ab iis, qui fornicationem ad adulterii peccatum reducunt: imbecilliorum autem peccatorum fuiſſe aliquam patribus συμπεριφορὰν ſive œconomiæ condeſcenſionem dicit. Sumitur autem dictio ex Proverbiis. Dicit enim in eis Salomon, ὁ μὴ συμπεριφερόμενος C τῷ ἑαυτοῦ οἴκῳ, hoc eſt, qui domus ſuæ curam non gerit, hæreditabit ventos; & peccatum illegitimi coitûs eſſe diſtinctum ſeu diviſum; & fornicationem quidem eſſe nominatam coitum, qui fit abſque injuria alterius viri, ſcilicet cum muliere à viro libera; adulterium autem, viri acceſſum ad mulierem quæ cum altero cohabitat. Qui enim accedit ad mulierem, quæ non habet maritum, peccat quidem, quòd ea non legitimè utitur; ſed nemini facit injuriam: qui vero rem habet cum ea, quæ cum marito cohabitat, maritum illius injuria afficit, alienam ſibi familiarem efficiens; ſæpe autem illius marito inſidiatur; & hoc ex David manifeſtum eſt. Porrò cum animali concubitum & pædicatum adulterio exæquant, D & quòd injuriâ natura afficitur, cum, qui ſic peccant, peccent præter naturam: & quòd, qui ſic peccat, aliena utitur. Eſt enim aliena natura brutorum & maſculorum. Maſculum enim & fœminam fecit Deus. Horum itaque peccatorum univerſale remedium dicit ſanctus, ſeu quod omnibus peccatoribus convenit, nempe à tali rabie per pœnitentiam purum eſſe hominem, peccatum ſcilicet condemnare, & ab eo deficere. Niſi quis enim à peccato deſtiterit, quomodo pœnitentiam agere exiſtimabitur? Quia autem fornicationi non accedit injuria, adulterio autem & aliis prædictis, ut jam dixi, præter illicitum coitum injuria quoque adjungitur; E tempus pœnæ adulterii initúſque animalium & maſculorum concubitus duplicat ad fornicationis tempus. Deinde & aliquam inducit differentiam in iis qui eadem peccata confitentur. Si quis enim, inquit, ſua ſponte peccatum, quod ignorabatur, declaraverit, humanè punietur: qui autem non ſponte ad enunciandum acceſſerit, ſed in peccato deprehenſus fuerit, vel ex ſuſpicione cognitus, accuſatúſve fuerit & convictus, etiam ſi pœnitentiam agere propoſuerit, graviùs punitur; & fit in extenſo ſive longiori tempore pœnitentia, ut ſic purgatus in ſacramentorum communionem recipiatur. Deinde & pœnæ fornicationis tempora F enumerat: & dicit eſſe novem annos, & adjicit quomodo diſpenſentur. Univerſum autem ejus judicio relinquit, qui peccatores diſpenſat: &, ſecundum vel diligentiam vel negligentiam in pœnitentia, pœnitentiæ tempus diminuere vel intendere jubet. Sicut enim non oportere dicit margaritas ante porcos projicere; ut dicit Evangelium, margaritas vocans ſanctum corpus Domini, & precioſum ſanguinem; porcos autem, qui vitioſe vitam agunt, & in perturbationum animi cœno involvuntur: ita abſurdum eſt eos precioſarum margaritarum

τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται ἐν ᾧ καὶ ὁ τῆς πορνείας ἄγος, τῷ δὲ χρόνῳ διπλασιάζεται. παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων, ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

ΒΑΛΣ. Νῦν περὶ τῶν ἐν τῷ ἐπιθυμητικῷ μέρει τῆς ψυχῆς φυομένων ἁμαρτημάτων διαλέγεται ὁ πατήρ, ὅθεν φησὶν εἶναι τὴν πορνείαν καὶ τὴν μοιχείαν, καὶ ἐπάγει, ὅτι τῶν ἀκριβεστέρων τισὶ καὶ ἡ πορνεία μοιχεία καλεῖται· διότι ἡ νόμιμος μίξις ἀνδρὸς καὶ γυναικὸς μία ἐστίν, εἴ τι δὲ ἕτερον παρὰ ταύτην γένηται, παράνομον τὸ τοιοῦτον, καὶ ὅστις μὴ τῷ ἰδίῳ κέχρηται, ἀλλοτρίῳ χρᾶται. πᾶν δὲ ὃ οὐκ ἴδιόν ἐστι τινί, τοῦτο ἀλλότριον, κἂν μὴ ἔχῃ τὸν κυριεύοντα. καὶ διὰ τοῦτο οὐ πόῤῥω ἔδοξε τῆς μοιχείας καὶ ἡ πορνεία. ταῦτά φησιν ὁ ἅγιος οὕτως κατασκευάζεσθαι παρὰ τῶν καὶ τὴν πορνείαν εἰς τὸ τῆς μοιχείας ἀναγαγόντων ἁμάρτημα· τοῖς δὲ ἀσθενεστέροις τῶν ἁμαρτανόντων γενέσθαι τινὰ παρὰ τῶν πατέρων λέγει συμπεριφοράν, ἤγουν οἰκονομίας συγκατάβασιν. εἴληπται δὲ ἡ λέξις ἐκ τῶν παροιμιῶν. φησὶ γὰρ ὁ Σαλομὼν ἐν αὐταῖς, ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἀνέμους· καὶ διακριθῆναι, ἀντὶ τοῦ διαιρεθῆναι, τὸ ἁμάρτημα τῆς ἀθέσμου μίξεως, καὶ πορνείαν μὲν ὀνομασθῆναι τὴν χωρὶς ἀδικίας ἑτέρου μίξιν, ἤγουν τὴν πρὸς ἐλευθέραν ἀνδρὸς γυναῖκα, μοιχείαν δέ, τὴν πρὸς γυναῖκα ἀνδρὶ συνοικοῦσαν εἰσέλευσιν. ὁ μὲν γὰρ γυναικὶ προσιὼν ἄνδρα μὴ ἐχούσῃ, ἁμαρτάνει μέν, ὅτι μὴ νομίμως αὐτῇ κέχρηται· ἀδικεῖ δὲ οὐδένα· ὁ δὲ τῇ συνοικούσῃ ἀνδρὶ πλησιάζων, ἀδικεῖ τὸν ἐκείνης ἄνδρα, τὴν ἀλλοτρίαν οἰκειούμενος· πολλάκις δὴ καὶ ἐπιβουλεύει τῷ ἐκείνης ἀνδρί· καὶ τοῦτο δῆλον ἐκ τοῦ Δαβίδ. καὶ τὴν ζωοφθορίαν δὲ καὶ τὴν παιδεραστίαν ἐπίσης τῇ μοιχείᾳ τεθέασιν, ὅτι τε ἀδικεῖται ἡ φύσις, παρὰ φύσιν ἁμαρτανόντων τῶν οὕτω πλημμελούντων, καὶ ὅτι ἀλλοτρίῳ κέχρηται ὁ οὕτως ἁμαρτάνων, ἀλλότριον γὰρ ἡ φύσις ἡ τῶν ἀλόγων καὶ ἡ τῶν ἀῤῥένων. ἄρσεν γὰρ καὶ θῆλυ ἐποίησεν ὁ θεός. τῶν μὲν οὖν τοιούτων ἁμαρτημάτων καθολικὴν μὲν θεραπείαν λέγει ὁ ἅγιος, ἤγουν πᾶσι τοῖς ἁμαρτάνουσιν ἁρμόττουσαν, τὸ καθαρὸν τῆς τοιαύτης λύσσης ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον, ἤγουν τὸ καταγνῶναι τῆς ἁμαρτίας καὶ ἀποστῆναι αὐτῆς. εἰ μὴ γάρ τις ἀποσταίη τοῦ ἁμαρτάνειν, πῶς ἂν λογισθείη μετανοεῖν; ἐπεὶ δὲ τῇ πορνείᾳ ἀδικία οὐ πρόσεστι, τῇ δὲ μοιχείᾳ, καὶ τοῖς ἄλλοις τοῖς εἰρημένοις, ὡς ἔφθην εἰπεῖν, πρὸς τῷ ἀθέσμῳ τῆς μίξεως καὶ ἀδικία παρέπεται, διπλασιάζει τὸν χρόνον τοῦ ἐπιτιμίου τῆς μοιχείας καὶ τῆς ζωοφθορίας καὶ ἀῤῥενοκοιτίας, πρὸς τὸν τῆς πορνείας. ἔπειτα καὶ διαφοράν τινα εἰσάγει ἐπὶ τῶν ἐξομολογουμένων τὰ αὐτὰ ἁμαρτήματα. εἰ μέν τις, φησίν, ἀφ' ἑαυτοῦ ὁρμηθεὶς ἐξαγορεύσει τὴν ἁμαρτίαν ἀγνοουμένην, φιλανθρώπως ἐπιτιμηθήσεται· ὁ δὲ οὐχ ἑκὼν εἰς ἐξαγόρευσιν ἐλθών, ἀλλ' ἐπὶ τῇ ἁμαρτίᾳ εὑρεθείς, ἢ ἐξ ὑποψίας γνωσθείς, ἢ κατηγορηθεὶς καὶ ἐλεγχθείς, κἂν πρόκειται μετανοῆσαι, βαρύτερον ἐπιτιμᾶται, καὶ ἐν ἐπιτεταμένῃ ἤγουν μακροχρονίῳ γίνεται μετανοίᾳ, ἵνα οὕτω καθαρθεὶς δεχθῇ εἰς τὴν τῶν ἁγίων μετάληψιν. εἶτα καὶ τοὺς χρόνους ἀπαριθμεῖται τοῦ ἐπιτιμίου τῆς πορνείας, καὶ ἐννέα λέγει εἶναι αὐτούς, καὶ ὅπως οἰκονομοῦνται προστίθησι. τὸ δὲ πᾶν τῷ οἰκονομοῦντι τοὺς ἁμαρτάνοντας ἀνατίθησι, καὶ πρὸς τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδὴν ἢ ῥαθυμίαν ἐλαττοῦν τὸν χρόνον τῶν ἐπιτιμίων καὶ ἐπιτείνειν διακελεύεται. ὡς γὰρ οὐ δεῖν, φησι, τοὺς μαργαρίτας ῥίπτειν ἔμπροσθεν τῶν χοίρων· τοῦτο δὲ τὸ εὐαγγελικόν, μαργαρίτας μὲν καλῶν τὸ ἅγιον σῶμα τοῦ κυρίου καὶ τὸ τίμιον αἷμα, χοίρους δέ, τοὺς ἐμπαθῶς ζῶντας καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐκκυλιομένους· οὕτως ἄτοπον ἀποστερεῖν τῆς μεταλήψεως τῶν τιμίων μαργαριτῶν τοὺς διὰ μετανοίας καθάραντας ἑαυτοὺς τῶν παθῶν, καὶ ἐκ χοίρων εἰς ἀνθρώπους μεταβληθέντας διὰ τῆς καθάρσεως. ἐννέα μὲν οὖν ἔτη ἐπὶ τῆς πορνείας εἰπὼν εἶναι τὸ ἐπιτίμιον, ἐπὶ τῆς μοιχείας καὶ ζωοφθορίας καὶ ἀρσενοκοιτίας διπλασιάζεσθαι λέγει τὸν χρόνον τοῦτον· τὴν δὲ οἰκονομίαν ὁμοίαν γίνεσθαι τῇ τῆς πορνείας. τοῦτο γάρ ἐστι τὸ, ἐν τῷ αὐτῷ κρίματι, ἤγουν ἐν τῇ αὐτῇ κρίσει, ἐν τῇ αὐτῇ ἐπιτιμήσει. τῷ δὲ χρόνῳ μόνῳ διπλασιάζεται. ἐν ἑκάστῳ γὰρ τόπῳ τῶν ἐπιτιμίων τριετίας ὁρισθείσης ἐν τῇ πορνείᾳ, ἑξαετία ἐν τῇ μοιχείᾳ καὶ τοῖς λοιποῖς ὥρισται· κἀνταῦθα δὲ τὸ συντεμεῖν τὸν χρόνον τοῦ ἐπιτιμίου, ἢ αὐξῆσαι, τοῦ οἰκονομοῦντος τῇ διακρίσει τοὺς ἐν μετανοίᾳ δίδωσιν.

A communione privare, qui ſe à vitiis per pœnitentiam purgarunt, & ex porcis in homines per purgationem mutati ſunt. Cum novem autem annorum pœnas eſſe dixiſſet in fornicatione, in adulterio animaliúmq; initu ac pædicatu dicit tempus illud duplicari: eſſe verò ejus diſpenſationem fornicationis diſpenſationi ſimilem. Hoc enim ſibi vult illud; in eodem judicio, id eſt, in eâdem ſententiâ, in eâdem pœnâ. Solo autem tempore duplicatur. Cùm enim in unoquoque pœnarum loco ſit triennium definitum in fornicatione; ſexennium in adulterio & reliquis definitum eſt. Porro hic quoque pœnæ tempus contrahere, vel augere, ejus, qui pœnitentiam agentes diſpenſat, judicio relinquit. B

ΚΑΝΩΝ ε'.

Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προτεθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως εἰς ἁμαρτίαν ἐκπέσῃ. πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων καὶ παντοίων κακῶν, ἤρεσέ πως τοῖς πατράσιν ἡμῶν ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα. καίτοι γε τῆς γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγὴν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν, καὶ εἴτι ἄλλο τοιοῦτον ὁ θυμὸς κατεργάζεται. μόνου δὲ τοῦ κατὰ φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων. διῄρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου. ἐν οἷς ἑκούσιος μὲν πρῶτόν ἐστι φόνος, ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισαμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται· ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ τύπτων τε καὶ τυπτόμενος ἐνέγκῃ κατά τινος καιρίαν τὴν διὰ τῆς χολῆς πληγήν. ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων ἐπὶ νοῦν λάβοι, ὥστε κἀκεῖ τὸ ἐκ συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου εἰς ἔργον προαιρέσεως, οὐκ εἰς ἀποτυχίαν, ἀνάγεται. οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ. ἐπὶ τούτων τοίνυν ὁ μὲν φόνος εἰς τριπλασίονα χρόνον παρατείνεται, τῆς δὲ ἐπιστροφῆς θεραπευομένης τὸ ἑκούσιον. τρεῖς ἐννέα γάρ εἰσιν ἐνιαυτοὶ καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ ἐνναετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνον τῶν διδασκάλων, καὶ τῆς τῶν γραφῶν ἀκροάσεως ἀξιούμενον· ἐν δὲ τῇ τρίτῃ ἐννάδι μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν, τοῦ ἁγιάσματος δηλαδὴ, καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν ἐκκλησίαν. καὶ πρὸς τὸν λόγον τῆς ἐπιστροφῆς συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε ἀντὶ ἐννέα ἐτῶν ἐφ' ἑκάστῳ βαθμῷ ἢ ζ'. ἢ ϛ'. ἢ ε'. μόνα γενέσθαι, εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικάῃ τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥαθυμότερον ἑαυτοὺς ἀπὸ τῶν κηλίδων καθαίροντας. τὸ δὲ ἀκούσιον, γνωστὸν μὲν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη. τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι, ὅτι κἂν ἀκουσίως τις γένηται ἐν τῷ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ὑπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο. ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν, δηλαδὴ καὶ ἐν τούτοις τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, ὥστε εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ παραφυλαχθῆναι τὸν ἀριθμὸν

CANON V.

Reſtat adhæc, ut iraſcentem animæ partem examinandam proponamus, quando lapſa à bono iræ uſu in peccatum ceciderit. Cum autem multa ſint, quæ per iram fiunt, peccata & omnis generis mala, placuit quodammodo noſtris patribus, in aliis quidem non nimium ſubtiliter agere, nec nimium in eo ſtudii operæque ponere, ut omnia quæ ex ira naſcerentur delicta curarent. C *Quamvis ſcriptura non ſolum vel leviſſimum vulnus prohibeat, ſed omne etiam convitium vel maledictum, & ſi quid aliud ejuſmodi ira efficit. Solum vero ſceleris, quod per cædem perpetratur, cautionem ſuis pœnis introduxerunt. Dividitur autem hoc malum differentia voluntariæ & involuntariæ. Et eſt cædes quidem voluntaria, quæ præparatò ſuſcepta eſt ab eo, qui ſe ad hoc comparaverat, ut facinus perpetraret. Deinde illud quoque in voluntariis exiſtimatum eſt, quando quis in congreſſu verberans & verberatus plagam per iram lethalem intulerit. Qui enim ira ſemel victus eſt, & animi appetitioni cedit, nihil eorum, quæ malum poſſent amputare, paſſionis tempore ei in mentem venit;* D *quare & illic quoque, qui ex concertatione profectus eſt cædis eventus, in factum voluntarium, non in caſum, refertur. Involuntariæ autem habent manifeſta indicia, quando quis alicui alteri rei ſtudium applicans, caſu graviſſimum aliquod malum patraverit. In his ergo cædes quidem in triplex tempus extenditur, converſione vero voluntario facinori remedium afferente. Ter novem ſunt anni novenario annorum numero in unoquoque gradu præfinito, ut in perfecta quidem ſegregatione novem annorum tempore verſetur ab eccleſia prohibitus;* E *alios autem tot annos in auditione permaneat, ſola doctorum & ſcripturarum auditione dignus habitus; in tertio autem novenario cum ſubſtratis in converſione orans, ita perveniat ad communionem, ſacramenti ſcilicet; & in eodem eadem erit obſervatio ab eo qui Eccleſiam adminiſtrat. Et pro ratione converſionis illi quoque pœnæ extenſio reſcindetur, ut pro novem annis in unoquoque gradu, vel ſeptem, vel ſex, vel etiam quinque anni ſolum fiant; ſi pænitentiæ magnitudo tempus vincat, & ſuperet correctionis ſtudio eos, qui in longo tempore præſtituto ſuſceptas à ſe maculas ſegniter eluunt.* F *Involuntarium autem, venia quidem dignum, ſed non laudabile judicatum eſt. Hoc autem dixi, ut ſit manifeſtum, quòd etiam ſi quis involuntariè fuerit in ſcelere homicidii, eum, tanquam jam prophanum piaculum redditum, à ſacerdotali gratia ejiciendum pronunciavit canon. Quantum autem eſt expiationis tempus ob ſimplicem fornicationem, tantum etiam rectè habere exiſtimatum eſt in iis qui cædem involuntarium feciſſent; ſcilicet in iis quoque pænitentiæ* *tis voluntate examinata, ut ſi ſit fide quidem digna converſio, non ſervetur annorum numerus, ſed temporis prolixitate reſecata ad Eccleſiæ reſtitutionem & boni participationem deducatur. Si quis autem non expleto tempore à canonibus præſtituto vita excedat; jubet Patrum clementia, ut ſacramentorum particeps, non viatico vacuus, ad extremam illam & longam peregrinationem mittatur: Sin autem poſtquam ſacramenti particeps factus fuerit, rurſum ad vitam reverſus ſit; ſtatutum tempus expectet, in illo gradu exiſtens, in quo erat ante communionem illi ex neceſſitate datam.* B

Bals. Poſtquam dixit hic magnus pater de duabus animæ facultatibus, nunc reliquam quoque adjicit, nempe iraſcentem. Et multa quidem peccata eſſe dicit, quæ ex ira naſcuntur, ut ictus, injurias, maledicta, convicia, quæ omnia à S. ſcriptura ſunt prohibita. Beatus enim Paulus ſcribens ad Coloſſenſes, & carnis opera enumerans, cum aliis inimicitias, lites, & contentiones, æmulationes, iras, diſcordias, ac ſeditiones & cædes induxit; Et qui hæc, inquit, agunt, regnum Dei non poſſidebunt. Sed etſi, inquit hic ſanctus, hæc omnia à ſcriptura prohibita ſint; C quodammodo placuit tamen Patribus noſtris in aliis non nimium ſubtiliter nec ſummo jure agere. Illud autem, Quomodo placuit, eſt negantis, & veluti rationem neſcientis, propter quam patres in iis non nimium ſubtiliter & accuratè agere voluerint, nec ut iis remedia afferrent multum ſtudii ponendum eſſe putârunt. Solum autem homicidii facinus eſſe pœnis afficiendum cenſuit, ut caverent homines ne cædes perpetrarent, pœnas impoſitas formidantes. Cædis autem peccatum dividitur in voluntarium, & involuntarium. Et eſt quidem voluntaria cædes, quæ præparatò ac conſultò ſuſcepta eſt, ad quam paratus & inſtructus fuerat quiſpiam. Voluntarium autem dicit, & quod non conſultò quidem, D ſed in certamine, & contentione factum eſt; quando quis eum qui reſiſtit in aliqua parte corporis læthaliter percuſſerit. Nam hoc quoq; cædis genus, non fortuitum, ſed voluntarium ſanctus judicat. Involuntariam autem cædem definit, quando aliquid aliud agere volens, utpote feram percutere, vel fructum arboris decutere, tranſeuntem hominem non viſum percuſſerit, iſque mortuus fuerit. Voluntariæ itaque cædi xxvii. annos definit pœnæ tempus; & ipſum in tres partes dividit, ut unaquæque pars habeat novem annos. Et perfectam quidem ſegregationem nominat, quando is, qui ſegregatus eſt, extra eccleſiam ſtat & deflet; E poſtquam autem illic ad nonum uſque annum defleverit, tanto rurſus tempore ſtet in loco audientis; & illinc procedat ad locum ſubſtrationis: & ita xxvii. annis dimenſis, dignus ſacramentorum communione habeatur. Ubique autem pœnitentiæ diſpenſatori pœnarum tempus contrahendi dat poteſtatem, ſi viderit pœnitentem uberes pœnitentiæ fructus oſtendere. Involuntaria autem, inquit, cædes venia quidem digna judicata eſt, ſed non laudanda, ſeu non ita tolerabilis, ut ſit ab omni ſupplicio immunis; ſiquis enim involuntariè hominem interfecerit, nec ſacerdotium aſſequetur, &, ut qui homicidio ſit pollutus, eo ejicietur. Involuntariæ autem cædis pœnæ tempus eſſe dicit, F quantum in ſimplici fornicatione ſtatutum eſt. Eſt autem illud ſecundum hunc ſanctum, ix. annorum. Simplicem autem fornicationem nominavit, quæ in mulierem virum non habentem committitur. Poſtquam autem dixit pœnæ tempus in unoquoque peccato, nunc adjicit; quòd ſi is, qui pœna affectus eſt, nondum perfecit tempus pœnitentiæ, ſed eſt adhuc ſegregatus, & in magno vitæ periculo verſatur, ſtatuerunt patres clementia utentes, ut is ſit ſacramentorum particeps, ne viatico carens in longam peregrinationem abeat. Dicitur autem viaticum, quod iis qui

τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίαν ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν. εἰ δέ τις μὲν μὴ πληρώσας τὸν χρόνον, τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύει τοῦ βίου, κελεύει ἡ τῶν πατέρων φιλανθρωπία μετασχόντα τῶν ἁγιασμάτων μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι· εἰ δὲ μεταλαβὼν τοῦ ἁγιάσματος πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμενέτω τὸν τεταγμένον χρόνον ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατ᾽ ἀνάγκην αὐτῷ δοθείσης κοινωνίας.

ΒΑΛΣ. Εἰπὼν περὶ τῶν δύο ψυχικῶν δυνάμεων ὁ μέγας οὗτος πατὴρ, προστίθησιν ἄρτι καὶ τὴν λοιπὴν, ἤτοι τὸ θυμοειδές. καὶ πολλὰ μὲν εἶναι φησὶ τὰ ἐκ τοῦ θυμοῦ τικτόμενα ἁμαρτήματα, οἷον πληγὰς, ὕβρεις, λοιδορίας, βλασφημίας, ἅπερ πάντα τῇ θείᾳ γραφῇ ἀπηγόρευται. ὁ γὰρ μακάριος Παῦλος πρὸς Κολασσαεῖς γράφων, καὶ τὰ τῆς σαρκὸς ἔργα ἀπαριθμούμενος, μετὰ τῶν ἄλλων καὶ ἔχθρας καὶ ἔρεις καὶ ζήλους καὶ θυμοὺς, ἐριθείας τε καὶ διχοστασίας καὶ φόνους ἐπήγαγε, καὶ οἱ ταῦτα πράσσοντες, ἔφη, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ἀλλὰ κἂν πάντα, φησὶν ὁ ἅγιος οὗτος, τῇ γραφῇ ἀπηγόρευται, ὅμως ἤρεσέ πως τοῖς πατράσιν ἡμῶν ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι· τὸ δὲ ἤρεσέ πως, ἀπαρνοῦντός ἐστι καὶ ὥσπερ μὴ εἰδότος τὸν λόγον, δι᾽ ὃν ταῦτα οἱ πατέρες ἀκριβολογεῖσθαι οὐκ ἠθέλησαν, οὐδὲ πάνυ σπουδαῖον ἡγήσαντο θεραπεύειν τὰ τοιαῦτα. μόνον δὲ τὸ τοῦ φόνου μίασμα ἐπιτιμίων ἠξίωσεν, ὥστε παραφυλάττεσθαι τοὺς ἀνθρώπους μὴ ποιεῖν φόνους φοβουμένους τὰ ἐπιτίμια. τὸ δὲ ἐκ τοῦ φόνου ἁμάρτημα διαιρεῖται εἰς ἑκούσιον καὶ ἀκούσιον. καὶ ἔστιν ὁ ἑκούσιος φόνος, ὁ ἐκ παρασκευῆς, ἤγουν ὁ ἐκ μελέτης, τετολμημένος, πρὸς ὃν τις παρεσκευάσθη καὶ ἡτοιμάσθη. ἑκούσιον δὲ λέγει, καὶ τὸν μὴ ἐκ μελέτης μὲν, ἐν δὲ συμπλοκῇ καὶ φιλονεικίᾳ γενόμενον, ὅτε τις πλήξει τὸν ἀνθιστάμενον ἐν καιρίῳ μέρει τοῦ σώματος, τῷ θυμῷ στρατευόμενος. καὶ τοῦτο γὰρ τὸ εἶδος τοῦ φόνου, οὐ τυχαῖον ὁ ἅγιος κρίνει, ἀλλὰ προαιρετόν. ἀκούσιον δὲ φόνον ὁρίζεται, ὅτε ἄλλο τι ποιῆσαι βουλόμενος, οἷον θηρίον ἀμύνασθαι ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προϊδὼν πλήξει, καὶ ὁ πληγεὶς θανεῖται. τῷ μὲν οὖν ἑκουσίῳ φόνῳ, κζ΄. ἔτη ὁρίζεται τὸν τοῦ ἐπιτιμίου καιρὸν, καὶ εἰς τρεῖς μοίρας αὐτὸν διαιρεῖ, ὥστε μοῖραν ἑκάστην ἐννέα ἔχειν ἐνιαυτούς. καὶ παντελῆ μὲν ἀφορισμὸν ὀνομάζει τὸ ἔξω τῆς ἐκκλησίας ἵστασθαι τὸν ἀφορισθέντα καὶ προσκλαίειν· ἐκεῖ δὲ προσκλαύσαντα ἐπὶ ἔννατον ἐνιαυτὸν, ἐπὶ τοσοῦτον αὖθις χρόνον ἐν ἀκροωμένοις στῆναι τόπῳ, κἀκεῖθεν προβῆναι εἰς τὸν τῆς ὑποπτώσεως τόπον· καὶ οὕτω τῶν κζ΄. ἐκμετρηθέντων ἐνιαυτῶν, τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀξιωθῆναι. πανταχοῦ δὲ τὴν ἐξουσίαν τοῦ συντεμεῖν τὸν τῶν ἐπιτιμίων καιρὸν τῷ οἰκονομοῦντι τὸν ἐν μετανοίᾳ γενόμενον δίδωσιν, εἰ βλέπει τὸν μετανοοῦντα δαψιλεῖς τοὺς τῆς μετανοίας καρποὺς ἐνδεικνύμενον. ὁ δὲ ἀκούσιος, φησὶ, φόνος συγγνωστὸς μὲν ἐκρίθη, οὐ μὴν ἐπαινετὸς, ἤγουν οὐκ ἀνεκτὸς, ὥστε καὶ πάντη εἶναι ἀνεπιτίμητος. κἂν γὰρ ἀκουσίως τις φονεύσῃ ἄνθρωπον, οὔτε ἱερωσύνης τεύξεται, καὶ ἀπόβλητος ταύτης ὡς τῷ φόνῳ μιανθεὶς ἔσεται. χρόνον δὲ τῷ ἐπιτιμίῳ τοῦ ἀκουσίου φόνου λέγει τετάχθαι, ὅσος ἐν τῇ ψιλῇ πορνείᾳ ἐτάχθη· ἔστι δὲ οὗτος, κατὰ τοῦτον τὸν ἅγιον, ἐννέα ἔτη. ψιλὴν δὲ πορνείαν, τὴν εἰς γυναῖκα μὴ ἔχουσαν ἄνδρα ὠνόμασε, τοὺς χρόνους δὲ τῶν ἐπιτιμίων εἰπὼν ἐφ᾽ ἑκάστῳ πλημμελήματι, νῦν προστίθησιν, ὅτι εἰ οὔπω ὁ ἐπιτιμηθεὶς ἐπλήρωσε τὸν τοῦ ἐπιτιμίου καιρὸν, ἀλλ᾽ ἔτι ἀφωρισμένος ἐστὶ καὶ κινδυνεύει θανεῖν, ὥρισαν οἱ πατέρες φιλανθρωπευσάμενοι, τὸν τοιοῦτον μεταλαβεῖν τῶν ἁγιασμάτων, ἵνα μὴ ἐστερημένος τοῦ ἐφοδίου ἀπέλθῃ πρὸς τὴν μακρὰν ἀποδημίαν. ἐφόδια δὲ λέγονται τὰ ἐπὶ τῇ ὁδῷ τοῖς ὁδεύουσι συμβαλλόμενα. μέγα δὲ συμβάλλε-

ται

UMI

ὡς τοῖς πιστοῖς πιστεύεται τῶν ἁγιασμάτων ἡ μέθεξις. εἰ δὲ περὶ τὴν ζωὴν κινδυνεύων ὁ ἐν ἐπιτιμίῳ ἀξιωθείη τῶν θείων δωρεῶν, εἶτα ἐκφύγῃ τὸν κίνδυνον καὶ ἀναῤῥωσθῇ, αὖθις ἀκοινώνητος ἔσται, καὶ ἐν ἐκείνῳ στήσεται τῷ βαθμῷ, ἐν ᾧ ἦν καὶ πρὸ τοῦ κινδύνου, μέχρις ἂν ὁ χρόνος ὁ τεταγμένος ἐκμετρηθῇ.

ΚΑΝΩΝ ς'.

Τὸ δὲ ἕτερον εἶδος τῆς εἰδωλολατρείας, οὕτω γὰρ ὀνομάζει τὴν πλεονεξίαν ὁ θεῖος ἀπόστολος, οὐκ οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν πατέρων ἡμῶν παρώφθη. καὶ τοίγε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τρίτης ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. καὶ γὰρ ὁ λογισμὸς, τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθῶς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις πολλὰς ἐκ τῆς τοιαύτης αἰτίας τὰς ἀφορμὰς λαμβάνει. καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ. ὁ γὰρ θεῖος ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο. καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου ἀνεπίσκεπτόν τε καὶ ἀπημέλητον· διὸ καὶ πλεονάζει κατὰ τῆς ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα, καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν. ἀλλὰ περὶ μὲν τούτων, διὰ τὸ παρεῖσθαι τοῖς πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, ὥσπερ τινὰ πληθωρικὰ τὰς πλεονεκτικὰς ἀῤῥωστίας διὰ τοῦ λόγου καθαίροντες. μόνην δὲ τὴν κλοπὴν καὶ τὴν τυμβωρυχίαν καὶ τὴν ἱεροσυλίαν πάθος νομίζομεν, διὰ τὸ οὕτως ἐκ τῆς τῶν πατέρων ἀκολουθίας τὴν παράδοσιν ἡμῖν περὶ τούτων γενέσθαι. καίτοι παρὰ τῆς θείας γραφῆς ὁ πλεονασμὸς καὶ ὁ τόκος τῶν ἀπειρημένων ἐστὶ, καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν τὰ ἀλλότρια, κἂν ἐν προσχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον. ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς εἰς ἐξουσίαν κανόνων οὐκ ἀξιόπιστον, τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν. διῄρηται δὲ ἡ κλοπὴ εἴς τε ληστείαν καὶ εἰς τοιχωρυχίαν καὶ εἷς μὲν ἐπ' ἀμφοτέρων σκοπὸς, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά. ὁ μὲν γὰρ ληστὴς καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος καὶ ὅπλοις καὶ πολυχειρίᾳ καὶ τοῖς ἐπικαίροις τῶν τόπων, ὥστε τὸν τοιοῦτον τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεσθαι, εἰ διὰ μεταμέλειαν ἑαυτὸν πρὸς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐπανάγοι· ὁ δὲ δι' ὑφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα ἑαυτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ θεραπεύσει τὴν ἀῤῥωστίαν· λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα τῷ προέσθαι ἃ ἔχει, φανερῶς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου. εἰ δὲ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ ἀπόστολος διὰ τοῦ σωματικοῦ κόπου τὸ τοιοῦτον ἐξιάσασθαι πάθος. ἔχει δὲ ἡ λέξις οὕτως· ὁ κλέπτων μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.

ΒΑΛΣ. Ἀπορεῖ ὁ ἅγιος, πῶς τοῖς πατράσι τὸ τῆς πλεονεξίας πάθος, εἴτουν φιλαργυρία, ἀθεράπευτον παρεωράθη, μὴ ἐπαγαγοῦσιν ἐπιτίμια τοῖς τοῦτο κεκτημένοις, καὶ ταῦτα τοῦ ἀποστόλου εἰδωλολατρείαν αὐτὸ καλέσαντος. καί τοιγε δοκεῖ, φησι, καὶ τὰς τρεῖς ψυχικὰς δυνάμεις ἐν τούτῳ πάσχειν

A via ineunt in via est utile. Fidelibus autem valde conferre creditur sacramentorum participatio. Sin autem is, cui pœna imposita est, in vitæ periculum veniens divinis donis dignus habitus fuerit, deinde periculum effugerit & revaluerit, rursus erit excommunicatus; & in illo gradu stabit, in quo erat etiam ante periculum, donec præstitutum tempus dimensum fuerit.

CANON VI.

Altera autem idololatriæ species (sic enim divinus Apostolus avaritiam appellat) nescio quomodo absque
B *ulla pœnæ medela à patribus prætermissa sit. Atqui hoc malum quidem videtur esse tertiæ animi constitutionis affectio. Nam & ratio, ab ejus quod pulchrum est judicio aberrans, esse in materia quod pulchrum est existimat, non ad pulchritudinem à materia separatam aspiciens; Et desiderium ad ea quæ sunt inferiora inclinatur, ab eo quod verè est expetendum dilabens; & contentiosa etiam animosáque animæ affectio ex hoc peccato multas occasiones accipit. Et ut in universum dicam, ejusmodi morbus cum Apostolica avaritiæ definitione convenit. Divinus enim Apostolus eam, non*
C *solum idololatriam, sed etiam omnium malorum radicem pronunciavit. Et tamen hæc morbi species inconsiderata & absque ulla ejus cura prætermissa est; quo fit ut hic morbus valde in ecclesia redundet, & nemo in iis, qui ad clerum adducuntur, inquirit, num eo idololatriæ genere polluti sint. Sed de iis quidem, quoniam id à patribus prætermissum est, sufficere existimo publica doctrinæ ratione ea, quomodocunque fieri potest, curare, inexplebilis avaritiæ affectiones, veluti quosdam morbos ex nimia repletione ortos, oratione purgantes. Solum autem furtum, & sepulchrorum effossionem & sacrilegium vitia existimamus; quòd sic à patrum consequentia*
D *hæc nobis traditio facta sit. Atqui apud Divinam scripturam & fœnus & usura sunt prohibita, & per alicujus potentiam ad suam possessionem aliena traducere, etiamsi sub contractûs specie hoc fortasse factum sit. Quoniam ergo nos quidem ad canonum potestatem assequendam fide digni non sumus, in iis quæ ex confesso prohibita sunt, canonicam sententiam iis quæ jam dicta sunt adjiciemus. Dividitur autem furtum in latrocinium & in murorum effossionem. Idem autem utriusque est institutum, videlicet aliena auferre: in*
E *animo autem ipsorum magna est inter se differentia. Latro enim etiam homicidium, ad id quod studet assequi, assumit, ad id paratus & armis & copiis & opportunitate loci; adeo ut is homicidarum judicio subjiciatur, si per pœnitentiam ad Dei ecclesiam reversus fuerit: Qui autem latenti ablatione sibi alienum usurpat, deinde per enuntiationem peccatum suum Sacerdoti aperuerit; vitii studio in contrarium mutato ægritudinem curabit; dico autem largiendo quæ habet pauperibus: ut dum quæ habet profundit, se ab avaritiæ morbo liberum aperte ostendat. Sin autem nihil aliud, præterquam*
F *solum corpus, habeat, jubet Apostolus per laborem corporalem ei morbo mederi. Dictionis autem ita habet contextus: Qui furatur, non amplius furetur: sed potius laboret bonum operans, ut possit ei largiri qui indiget.*

BALSAM. Dubitat sanctus, quomodo plura habendi cupiditatis vitium, sive avaritia à patribus absque ulla medicina, prætermittatur, nec ulla iis qui eo tenentur pœna imposita fuerit, maximè cum Apostolus ipsum idololatriam vocaverit. Atqui videntur, inquit, tres animæ facultates in eo affici

& à rectitudine divertere. Neque enim ratiocinatrix animæ affectio rectè judicat; ſed falſò & nequiter. Aberrat enim, inquit, ab ejus quod pulchrum eſt judicio, hoc eſt, id non aſſequitur, nec ad pulchritudinem à materia ſeparatam reſpicit, ad Dei ſcilicet, quoad ejus fieri poteſt, intelligentiam, futurorúmque bonorum fruitionem; ſed id quod pulchrum eſt in materia imaginatur. Falſam autem opinionem & mendacem exiſtimationem ſanctus imaginationem appoſitè vocavit; exiſtimare ſcilicet id quod pulchrum & honeſtum eſt, eſſe in pecuniis divitiis & ejuſmodi. Porrò deſiderativa animi facultas ab eo quod eſt vere expetendum, à divina ſcilicet natura & cœleſtibus, excidens, terrena & fluentia appetit. Iraſcens quoque facultas multas ut ad contentionem accendatur occaſiones accipit. Propter pecuniarum enim cupiditatem lites & inimicitiæ & bella, &, ut dicit Divinus Apoſtolus, radix omnium malorum eſt avaritia. Sed quamvis ita ſe habeat, inquit, hæc affectio, tamen à patribus relicta eſt inconſiderata, nullâque ejus cura ſuſcepta eſt. Unde etiam abundat in eccleſia; cum multi ea laborent, & de iis qui in clerum referuntur, ſeu ordinantur nemo inquirit, nunquid hac idololatria polluti ſunt. Sed quia hoc à patribus prætermiſſum, id eſt, impunitum & minime caſtigatum relictum eſt, remedium ei afferre oportet, quantum fieri poteſt, per publicam doctrinam, hoc eſt, publicè populum docentes ut id perſequamur, avaritiæ ægritudines, tanquam morbos aliquos ex nimia repletione ortos, per orationem purgantes. Cum autem dixiſſet ſanctus, avaritiæ affectionem animæ facultates corrumpere, & multiplices ex ea affectiones oriri, eam plethoricis affectionibus aſſimilavit, quæ à medicis dicuntur exactiſſimè tenens, ut ex ejus ſcriptis licet cognoſcere. Plethora enim (id eſt repletio) à medicis dicitur, quando quatuor humores, ex quibus conſtant corpora, aucti & redundantes effecti ſunt pro uniuſcujuſque humoris proportione, & affectiones quæ fiunt ex plenitudine humorum ſimul coactorum plethorici morbi dicuntur. Meritò ergo hic ſapiens pater affectiones, quæ ex avaritia oriuntur, plethoricas nominavit, ut quæ omnes animæ facultates ſubvertat, eáſque augeat in detrimentum animæ. Alios ergo, inquit, avaritiæ morbos doctrinæ ſermone curabimus: Furtum autem & ſacrilegium, atque etiam ſepulchrorum effoſſionem, quæ canonicis pœnis digna viſa ſunt, iis quæ patribus jam dicta ſunt adjiciemus. Atqui in divina, inquit, ſcriptura, & fœnus & uſura, & per potentiam alicujus aliena ſuæ unire poſſeſſioni, prohibita ſunt. Fœnus ergo eſt, ut quando quis dat alicui frumentum, vel vinum, vel oleum, vel aliquid aliud, ut in eodem genere plus quàm dederit accipiat: ut ſi quis dederit vini quinquaginta metretas, ut ſeptuaginta, vel eo plures, accipiat. Uſura autem dicitur in nummis. Per potentiam autem alicujus dixit, quòd etiam ſi non per propriam potentiam aliena quis uſurpaverit, per aliquem autem alium potentem hoc fecerit, & is eodem judicio tenebitur. Dicit enim ſermo propheticus; væ conjungentibus domum domui, & agrum agro, ut à vicino aliquid auferant. Sed & ſi hæc, inquit, à ſcriptura ſunt prohibita, eis tamen canonicas pœnas non imponemus, quia noſtra ad canonum aſſequendam poteſtatem fide digna non ſunt eo quod ad canonicam poteſtatem fide digni non judicamur, hoc eſt, ad canonicas noſtra poteſtate & pœnas iis qui peccant. De furto autem loquens, dividit ipſum in latrocinium & murorum effoſſionem. Unum autem ſcopum eſſe dicit, tam iis qui latrocinantur, quam iis qui muros effodiunt, alienorum ſcilicet ablationem. Eſt autem multa rurſus eorum ponenda differentia. Latrones enim etiam ad homicidium inſtruuntur, arma ferentes, & apta loca occupantes, & copias, hoc eſt, validam manum ad eis opem ferendam aſſumentes, & ad cædem parati.

A καὶ περιτρέπεσθαι τῆς εὐθύτητος. οὔτε γὰρ τὸ λογιζόμενον τῆς ψυχῆς ὀρθῶς κρίνει, ἀλλ᾽ ἐσφαλμένως καὶ διημαρτημένως. ἁμαρτάνει γάρ, φησι, τῆς κρίσεως τοῦ καλοῦ, ἀντὶ τοῦ ἀποτυγχάνει, καὶ οὐ πρὸς τὸ ἄϋλον κάλλος βλέπον, τὴν τοῦ Θεοῦ δηλαδή, ὡς ἐφικτὸν, κατανόησιν, καὶ τὴν τῶν μελλόντων ἀπόλαυσιν ἀγαθῶν, ἐν τῇ ὕλῃ φαντάζεται τὸ καλόν. τὴν ἠπατημένην δὲ δόξαν καὶ τὴν ψευδομένην ὑπόληψιν φαντασίαν ὁ ἅγιος προσφόρως ὠνόμασεν, ἤγουν τὸ νομίζειν ἐν τοῖς χρήμασι τὸ καλὸν εἶναι καὶ τῷ πλούτῳ καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις αὐτοῖς. καὶ τὸ ἐπιθυμητικὸν ἐκπίπτον τοῦ ὄντως ὀρεκτοῦ, ἤτοι τῆς θείας φύσεως καὶ τῶν οὐρανίων, τῶν γηΐνων καὶ ῥεόντων B ὀρέγεται. καὶ τὸ θυμικὸν δὲ πολλὰς ἀφορμὰς εἰς τὸ ἀνάπτεσθαι πρὸς φιλονεικίαν λαμβάνει. διὰ γὰρ τὴν τῶν χρημάτων ἐπιθυμίαν ἔριδές τε καὶ ἔχθραι καὶ πόλεμοι, καὶ κατὰ τὸν θεῖον ἀπόστολον, ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία. ἀλλὰ καὶ οὕτως ἔχον, φησὶ, τὸ τοιοῦτον πάθος, παρεωράθη τοῖς πατράσιν ἀνεπισκόπητόν τε καὶ ἀθεράπευτον. ὅθεν καὶ πλεονάζει κατὰ τὴν ἐκκλησίαν, πολλῶν τοῦτο νοσούντων, καὶ τοὺς καταταττομένους εἰς κλῆρον, ἤτοι χειροτονουμένους, οὐδεὶς ἐρευνᾷ, μή ποτε μεμίανται τῇ τοιαύτῃ εἰδωλολατρίᾳ. ἀλλ᾽ ἐπεὶ τοῦτο τοῖς πατράσι παρείθη, ἀντὶ τοῦ κατελείφθη ἀνεπιτίμητόν τε καὶ ἀκόλαστον, θεραπευτέον C αὐτὸ διὰ τῆς δημοσίας διδασκαλίας, ὡς δυνατὸν, ἤγουν δημοσίᾳ διδάσκοντες τὸν λαὸν ποιησώμεθα τούτου καταδρομὴν, ὥσπερ τινὰ πάθη πληθωρικὰ τὰς πλεονεκτικὰς ἀρρωστίας διὰ τοῦ λόγου καθαίροντες. εἰπὼν δὲ ὁ ἅγιος, τὸ τῆς φιλαργυρίας πάθος τὰς ψυχικὰς δυνάμεις διαφθείρειν, καὶ πολυειδῆ ἐξ αὐτῆς πάθη φύεσθαι, πληθωρικοῖς πάθεσι ταῦτα ἀπείκασε, τῶν τῆς ἰατρικῆς λόγων μετεσχηκὼς ἀκριβέστατα, ὡς ἔστι γνῶναι ἐκ τῶν αὐτοῦ συγγραμμάτων. πληθώρα ὀνομάζεται τοῖς ἰατροῖς, ὅταν οἱ τέσσαρες χυμοὶ, ἐξ ὧν τὰ σώματα συνίστανται, αὐξηθῶσι καὶ πλεονάσωσιν ἀναλόγως τῷ ὄγκῳ ἑκάστου τῶν χυμῶν γινομένῳ, κατὰ τ᾽ αὐτὸν συμβαίνοντα πάθη πληθωρικὰ καλοῦνται νοσήματα. D ὥστε εἰκότως κἀνταῦθα ὁ σοφὸς οὗτος πατὴρ τὰ ἐκ τῆς πλεονεξίας ἀναφυόμενα πάθη πληθωρικὰ εἶπεν, ὡς πάσας τὰς ψυχικὰς ἡμῶν δυνάμεις περιτρεπούσης, καὶ αὐξανούσης ταύτας ἐπιβλαβῶς τῇ ψυχῇ. τὰς μὲν οὖν ἄλλας, φησὶ, νόσους τῆς πλεονεξίας τῷ τῆς διδασκαλίας θεραπεύσομεν λόγῳ· τὴν δὲ κλοπὴν καὶ τὴν ἱεροσυλίαν, ἀλλὰ μὴν καὶ τὴν τυμβωρυχίαν, κανονικῶν ἐπιτιμίων ἀξιωθείσας παρὰ τῶν πατέρων, τοῖς ἤδη ῥηθεῖσι προσθήσομεν. καί τοι, φησὶ, τῇ θείᾳ γραφῇ καὶ ὁ πλεονασμὸς καὶ ὁ τόκος, καὶ τὸ ἐκ δυναστείας τινὸς τὰ ἀλλότρια προσξενῶσαι τῇ ἰδίᾳ κτήσει, τῶν ἀπηγορευμένων ἐστί. πλεονασμὸς μὲν οὖν ἐστιν, ὡς ὅταν τις δῷ E τινι σῖτον ἢ οἶνον ἢ ἔλαιον ἢ ἄλλο τι, ἐπὶ τῷ λαβεῖν ὁμοιογενὲς πλέον τοῦ δοθέντος· οἷον ἔδωκέ τις οἴνου μετρητὰς πεντήκοντα ἐπὶ τῷ λαβεῖν ἑβδομήκοντα ἢ καὶ πλείονας. τόκος δὲ λέγεται ἐπὶ νομισμάτων. ἐκ δυναστείας δὲ τινος εἶπεν, ὅτι κἂν μὴ ἐξ οἰκείας δυναστείας τις σφετερήσεται τὰ ἀλλότρια, δι᾽ ἑτέρου δὲ δυνάστου τινὸς ποιήσῃ τοῦτο, κἀκεῖνος τῷ αὐτῷ ὑπόκειται κρίματι. λέγει γὰρ ὁ προφητικὸς λόγος, οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν, ἵνα τι τοῦ πλησίον ἀφέλωνται. ἀλλὰ κἂν τῇ γραφῇ, φησιν, ἀπηγόρευται ταῦτα, ἡμεῖς αὐτοῖς κανονικὰ οὐκ ἐπάξομεν ἐπιτίμια, ὅτι τὰ καθ᾽ ἡμᾶς εἰς ἐξουσίαν κανόνων οὐκ ἀξιόπιστα, ὅτι F οὐκ ἀξιόπιστοι κρινόμεθα εἰς κανονικὴν ἐξουσίαν, ἀντὶ τοῦ κατ᾽ ἐξουσίαν ἡμετέραν καὶ κρίσιν τιθέναι κανονικὰ καὶ τοῖς ἁμαρτάνουσιν ἐπιτίμια. εἰπὼν δὲ κλοπὴν, διαιρεῖ ταύτην εἰς λῃστείαν καὶ εἰς τοιχωρυχίαν. καὶ ἕνα μὲν σκοπὸν εἶναι λέγει, καὶ τοῖς λῃστεύουσι καὶ τοῖς τοιχωρυχοῦσι, τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν. πολλὴν δὲ διαφορὰν θετέον αὐτῶν. οἱ μὲν γὰρ λῃσταὶ καὶ πρὸς μιαιφονίαν παρασκευάζονται, ὅπλα φέροντες καὶ τόπους ἐπιτηδείους καταλαμβάνοντες εἰς βοήθειαν, ἀλλὰ μὴν καὶ πολυχειρίαν ἤγουν πολλοὺς εἰς συνεργίαν περιλαμβανόμενοι, καὶ ἕτοιμοι ὄντες πρὸς φόνους.

τοὺς οὖν τοιούτους ἀποδύσαντας εἰς μετάνοιαν τῷ τῶν ἀνδροφόνων ἐπιτιμᾶσθαι κρίματί φησι. τὸν δὲ λαθραίως ἀφαιρούμενον τὰ ἀλλότρια, καὶ τὴν ἁμαρτίαν ἐξαγορεύοντα, θεραπεύεσθαί φησι τὴν ἐναντίαν διάθεσιν, ἤγουν ἐπειδὴ διὰ πλεονεξίαν ἀφείλετο τὰ ἀλλότρια, δεῖ αὐτὸν καὶ τὰ οἰκεῖα πένησι δοῦναι, ἵνα οὕτω φανῇ ἀποσχόμενος τῆς πλεονεξίας. ὁ γὰρ μὴ φειδόμενος τῶν οἰκείων, οὐκ ἐπιθυμήσει τῶν ἀλλοτρίων. εἰ δὲ μὴ ἔχῃ, φησὶ, χρήματα, ὥστε δοῦναι αὐτὰ, δεῖ αὐτὸν κοπιῶντα τὸ πάθος ἰάσασθαι, ἤγουν κοπιᾷν ἐργαζόμενον, καὶ ἐκ τοῦ διὰ τοῦ κόπου αὐτῷ ποριζομένου μεταδιδόναι τοῖς δεομένοις. καὶ τοῦτο ἀποστολικόν ἐστι τὸ διάταγμα. λέγει γὰρ ὁ θεσπέσιος Παῦλος, ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. ταῦτα μὲν οὖν περὶ τοῦ λάθρα ἀφαιρουμένου τὰ ἀλλότρια. εἰ δὲ καὶ οὗτος ξίφει κέχρηται, καὶ ἕτοιμός ἐστι κατὰ τοῦ ἀνθισταμένου αὐτῷ τούτῳ χρήσασθαι, καὶ οὗτος οἶμαι ὁμοίως ἐπιτιμηθήσεται τῷ ληστεύοντι, ὅτι τὴν ὁμοίαν εἶχε προαίρεσιν.

ΚΑΝΩΝ ζ.

Ἡ δὲ τυμβωρυχία καὶ αὕτη διῄρηται εἰς σύγγνωστόν τε καὶ ἀσύγγνωστον. εἰ μὲν γάρ τις τῆς ὁσίας φειδόμενος καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ βεβλημμένων συγχρήσεται εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστι· πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται. τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθεσίας σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς ἐν τῷ προλαβόντι διῄρηται λόγῳ, ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου, τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

ΒΑΛΣ. Ὥσπερ δὲ τὴν κλοπὴν εἰς δύο διεῖλεν, οὕτω καὶ τὴν τυμβωρυχίαν εἰς δύο διαιρεῖ. εἰ μὲν γάρ τις, φησὶ, λίθους μόνους ἐκ τάφου ἀφέληται, ὥστε τὸ καλυπτόμενον σῶμα μὴ ὁραθῆναι, τῆς ὁσίας φειδόμενος, ἤτοι τῆς ἀφωσιωμένης τοῖς τεθνεῶσι τιμῆς, καὶ χρήσεται τούτοις εἰς ἔργου κατασκευὴν προτιμοτέραν καὶ κοινωφελεστέραν, οὐδ' οὗτος ἀνέγκλητος, συγγνωστὸς δ' οὖν. λίθους δὲ τοὺς τῷ τάφῳ προβεβλημένους, οὐχὶ τοὺς αὐτὰ τὰ τεθαμμένα σώματα καλύπτοντας. εἰ γὰρ τοιούτους λίθους ἀφέληταί τις, δίδωσι πάντως ὁρᾶσθαι τὸ κεκρυμμένον σῶμα, καὶ δημοσιεύει τῆς φύσεως τὰ μυστήρια, καὶ οὐκέτι συγγνωστός ἐστιν, ἀλλ' εἰς τὸ ἕτερον εἶδος τῆς τυμβωρυχίας ἐμπίπτειν δοκεῖ, ὅτι περ ἐστὶ, τὸ τοὺς τάφους ἀνοίγειν καὶ τὴν κόνιν τὴν ἐκ τῆς φθαρείσης σαρκὸς ἀνορύττειν, καὶ μετακινεῖν τὰ ὀστᾶ τῶν κειμένων, κόσμον τινὰ λαβεῖν ἐκεῖθεν ζητοῦντα συντεθειμένον τοῖς τελευτήσασι. τοῦτο τοίνυν τὸ εἶδος τῆς τυμβωρυχίας, ὁμοίως τῇ ψιλῇ πορνείᾳ, καταδικάζεσθαι λέγει. ψιλὴν δὲ πορνείαν, τὴν εἰς ἐλευθέραν ἀνδρὸς γυναῖκα μῖξιν ὠνόμασε. κἀνταῦθα δὲ τῷ οἰκονομοῦντι τὸν μετανοοῦντα δίδωσι τὸ συντεμεῖν ἴσως τὸν τοῦ ἐπιτιμίου χρόνον, εἰ ὁρᾷ θερμὴν αὐτοῦ τὴν μετάνοιαν. ἀλλὰ ταῦτα μέν φησι περὶ τυμβωρύχων ὁ ἅγιος. ὁ δὲ πολιτικὸς νόμος ἐν βιβλίῳ ξ΄. τίτλου κγ΄. ταῦτα διατάττεται. οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ πάλιν, τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει. καὶ αὖθις, ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται ἢ λίθους ἢ κίονας ἢ μάρμορα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι νομίσματα χρυσίου τῷ δημοσίῳ καταβάλλει, καὶ τὰ ἑξῆς.

A Eos itaque ad pœnitentiam converſos dicit homicidarum judicio puniri. Eum autem, qui aliena clanculùm ſurripuit, & peccatum aperit, contraria affectione curandum eſſe dicit, ut ſcilicet quoniam propter avaritiam aliena abſtulerat, oporteat eum propria pauperibus erogare, ut ſic videatur ab avaritia abſtinere. Qui enim ſuis non parcit, aliena non appetet. Sin autem non habeat, inquit, pecunias, quas eroget; oportet eum laborantem curare affectionem, ſeu laborare operantem, & ex eo quod per ſuum laborem acquirit pauperibus impertiri. Et hoc eſt præceptum Apoſtolicum. Dicit enim Divinus Paulus; Qui furatur, non amplius furetur; ſed potiùs laboret bonum operans, ut habeat quod indigenti impertiatur. Hæc ergo de eo, qui clanculum aliena ſurripit. Sin autem hic quoque enſe utitur, & adverſus eum qui reſiſtit tractare illum paratus eſt; hic quoque eadem exiſtimo pæna, qua latro, punietur, quia ſimile habebat inſtitutum.

CANON VII.

Sepulchrorum autem effoſſio, ipſa quoque dividitur in id quod veniam meretur, & quod non meretur. Si quis enim mortuorum parcens religioni, & tectum corpus intactum relinquens, ut nec ſoli oſtendatur turpitudo naturæ, lapidibus aliquot ex iis, qui ante ſepulchrum projecti ſunt, ad aliquod opus conſtruendum uſus eſt; ne hoc quidem eſt laudabile: ſed ut eſſet dignum venia effecit conſuetudo; quando ad aliquid melius, & Reipub. utilius, materia traducta ſit. At carnis in terram redactæ pulverem perſcrutari, & oſſa movere, ſpe aliquem ex defoſſis lucrifaciendi ornatum, id eodem judicio condemnatum eſt, quo ſimplex fornicatio; quemadmodum in præcedente oratione diviſio facta eſt; conſiderante ſcilicet Oeconomo ſeu Diſpenſatore, ex ipſa vita ejus, cui medela adhibetur, medicinam, ut ſpacium à canonibus præſtitutum poſſit contrahere.

Bals. Quemadmodum furtum in duo diviſit; ita & ſepulchri foſſionem in duo dividit. Si quis enim, inquit, ſolos lapides ex ſepulchro abſtulerit, ita ut tectum corpus non videatur mortuorum religioni parcens, hoc eſt, juſto honori qui mortuis debetur, & eis uſus fuerit ad meliorum & Reip. utiliorum conſtructionem; ne ſic quidem erit à crimine alienus; erit tamen venia dignus. Lapides autem, qui ante ſepulchrum projecti ſunt, non eos qui ſepulta corpora contegunt. Si quis enim eos lapides abſtulerit, corpus contectum omnino videndum præbet, & naturæ myſteria publicat, & non eſt amplius venia dignus; ſed in alteram ſpeciem ſepulchrorum effoſſionis incidere videtur, quæ eſt ſepulchra aperire, & ex corrupta carne pulverem effodere, & eorum qui illic jacent oſſa movere, illinc ornatum aliquem quo mortui amicti ſunt accipere conantem. Hoc itaque ſepulchrorum effoſſionis genus, eodem judicio quo ſimplex fornicatio, condemnandum eſſe dicit. Simplicem autem fornicationem, cum muliere à viro ſoluta coitum nominavit. Hic quoque pœnitentis œconomo dat facultatem pœnæ tempus contrahendi ſi ejus forte vehementem videat pœnitentiam. Cæterum hæc quidem dicit ſanctus de ſepulchrorum effoſſoribus. Lex autem civilis in lib.lx.tit.xxiii. hæc conſtituit. Qui materias ex ſepulchris auferunt ſacrilegii crimini ſint obnoxii. Et rurſus; Sepulchrorum effoſſionis crimen affert infamiam. Et iterum; Si quis ex ſepulchro abſtulerit, vel lapides, vel columnas, vel marmora, vel aliquam aliam materiam, publico xx. aureos ſolvit; & quæ ſequuntur.

Canon VIII.

Sacrilegium autem, in antiqua quidem ſcriptura, ne cædis quidem condemnatione viſum eſt tolerabilius. Similiter enim, & qui cædis convictus erat, & qui res Deo dedicatas abſtulerat, lapidationis ſupplicium ſubibat. In eccleſiaſtica autem conſuetudine de pœnæ gravitate neſcio quomodo aliquid detractum, & eo lenitatis deſcenſum eſt, ut illius morbi exiſtimaretur tolerabilius piaculum. Minori enim tempore, B *quàm pro adulterio, ii à patrum traditione pœnam ſubière. Ubique autem hoc in ſupplicii genere ante omnia videndum eſt, qualis ſit ejus, cui medela adhibetur, affectio: & non exiſtimare tempus ad medelam ſufficere; (quænam enim fuerit ex tempore medicina?) ſed ejus qui ſibi per converſionem medetur, animum & inſtitutum. Hæc tibi, ô homo Dei, ex iis quæ erant ad manum ſtudioſè compoſita, quòd oporteat fratrum mandatis parere, ſtudioſè miſimus. Tu vero conſuetas pro nobis preces Deo offerre ne intermittas. Debes enim, ut gratus filius, ei, qui te ſecun-* C *dum Deum genuit, in ſenectute per tuas orationes alimentum, convenienter præcepto, quod jubet honorare parentes, ut tibi bene ſit, & ſis longævus ſuper terram. Clarum eſt autem, quòd ut ſymbolum ſacerdotale literas accipies, munúſque hoſpitale non contemnes; etiamſi ſit minus quàm pro ſumma tui ingenii bonitate.*

ΚΑΝΩΝ η΄.

Η δὲ ἱεροσυλία, παρὰ μὲν τῇ ἀρχαίᾳ γραφῇ, οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα. ὁμοίως γάρ, ὅ τε ἐπὶ φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ἀφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέχον ὑπεῖχον. ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδα πῶς συγκατάβασίς τις ἐγένετο καὶ συμπαραφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον. ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν πατέρων παράδοσις. πανταχοῦ δὲ ἐν πλημμελήματος εἴδει καθορᾷν τοῦτο προσήκει πρὸ πάντων, οἵα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις· καὶ μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν (τίς γὰρ ἂν ἴασις ἐκ τοῦ χρόνου γίνοιτο;) ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι' ἐπιστροφῆς θεραπεύοντος. ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς. χρεωστεῖς γὰρ, ὡς εὐγνώμων υἱὸς, τῷ κατὰ Θεόν σε γεννήσαντι τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν, τιμᾷν τοὺς γονέας, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. δῆλον δὲ, ὅτι ὡς ξύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον, κἂν τι μικρότερον τῆς σῆς μεγαλοφυΐας εἴη.

Bals. Poſtquam dixit de furto & ſepulchrorum effoſſione, nunc docet de ſacrilegio; & dicit, quòd antiqua quidem ſcriptura homicidam, & eum qui Deo oblata ſuſtulit, ex æquo puniit, lapidibus eos obrui ju- D bens. Quod in Achaz factum eſt, qui ex ſpoliis Hiericho, quæ omnia Deo erant dedicata, aurum veſtéſque textas abſtulerat: lapidibus enim obrutus omnino peremptus eſt. Eccleſia autem non eodem modo homicidam & ſacrilegum punit: ſed mitius in ſacrilegum affecta eſt. Neſcio quomodo, inquit, pro eo quod eſt, rationem ignoro. A patribus enim, inquit, traditum eſt, ut minori tempore quàm adulterio pœna ſacrilegio decernatur. In omni autem peccato oportet ante omnia conſiderare pœnitentis & ejus, cui medela applicatur, affectionem, & non omnia pœnæ ſpacio adſcribere, tanquam quod ad purgationem ſufficiat. Quan- E tumcunque enim tempus præterierit, nihil juvabit ad curationem. Sed oportet pœnitentis animum & inſtitutum conſiderare, ejuſque in pœnitentia ſtudium; ut ſi peccato quidem convenientem & correſpondentem pœnitentiam oſtenderit, contrahat pœnæ tempus: ſin autem remiſſè & negligentiùs ſe geſſerit, pœnæ quoque tempus augeat. A me autem dubitatum eſt quomodo ſanctus hic avaritiæ vitium dicit à patribus ſine ulla eſſe medela relictum; cum Gregorius Thaumaturgus hoc in tertio ſuo canone dicat; Gravis res eſt avaritia, nec poſſunt una epiſtola exponi, quæ à divina ſcriptura dicta ſunt, in quibus non ſolum latrocinari fu- F giendum & horrendum annunciatur; ſed omnino avarum eſſe & aliena deſiderare propter turpe lucrum: & Quiſquis eſt ejuſmodi, à Dei Eccleſia abdicatur. Quomodo ergo ſine medela relictum eſt, quod à Dei Eccleſia abdicatum facere judicatum eſt? Quod autem obſervatus ſit hic canon Thaumaturgi, clarum eſt ex Theophili Archiepiſcopi Alexandrini epiſtola ad Mænam Epiſcopum, qui ſcripſit eos rem feciſſe legitimam, qui à communione ſeparaverunt mulierem facientem injuriam, nec volentem ab injuria abſtinere.

ΒΑΛΣ. Εἰπὼν περὶ κλοπῆς καὶ τυμβωρυχίας, νῦν καὶ περὶ ἱεροσυλίας διδάσκει, καί φησιν, ὅτι ἡ μὲν παλαιὰ γραφὴ ἐπίσης τὸν φονέα καὶ τὸν κλέψαντα τὰ τῷ Θεῷ ἀνατεθειμένα ἐκόλασε, λίθοις αὐτοὺς ἀναιρεῖσθαι διαταξαμένη. ὅπερ ἐπὶ τοῦ Αχαζ ἐγένετο, ὑφελομένου ἐκ τῶν τῆς Ιεριχοῦς λαφύρων, ἃ πάντα τῷ Θεῷ ἀνετέθησαν, χρυσόν τε καὶ ὕφασμα· λίθοις γὰρ βληθεὶς παγγενῆ ἐξωλοθρεύθη. ἡ δὲ ἐκκλησία οὐχ ὁμοίως ἐπιτιμᾷ τῷ φονεῖ καὶ τῷ ἱεροσύλῳ· ἀλλὰ συγκαταβατικώτερον διετέθη πρὸς τὸν ἱερόσυλον. οὐκ οἶδα πῶς, φησιν, ἀντὶ τοῦ τὸν λόγον ἀγνοῶ. παραδέδοται γάρ, φησι, παρὰ τῶν πατέρων, ἥττονι χρόνῳ παρὰ τὴν μοιχείαν τὸ ἐπιτίμιον τῇ ἱεροσυλίᾳ ὁρίζεσθαι. ἐν πάσῃ δὲ ἁμαρτίᾳ δεῖ πρὸ πάντων σκοπεῖν τὴν τοῦ μετανοοῦντος καὶ θεραπευομένου διάθεσιν, καὶ μὴ τῷ χρόνῳ τοῦ ἐπιτιμίου ἀνατιθέναι τὸ πᾶν, ὡς ἀρκοῦντι πρὸς κάθαρσιν. ὁ γὰρ χρόνος ὅσος ἂν παρέλθῃ, οὐδὲν ὠφελήσει πρὸς ἴασιν. ἀλλὰ τὴν προαίρεσιν δεῖ σκοπεῖν τοῦ μετανοοῦντος, καὶ τὴν ἐπὶ τῇ μετανοίᾳ σπουδὴν, ὥστε εἰ μὲν προσήκουσαν τῷ ἁμαρτήματι καὶ ἀνάλογον ἐνδείκνυται τὴν μετάνοιαν, συντέμνειν τὸν τοῦ ἐπιτιμίου καιρόν. εἰ δὲ ἀνειμένος διάκειται καὶ ἀμελέστερον διατίθεται, καὶ προστιθέναι τὸν καιρὸν τοῦ ἐπιτιμίου. ἠπόρηται δέ μοι, πῶς ὁ ἅγιος οὗτος τὸ τῆς πλεονεξίας πάθος ἀθεράπευτον ἔφη παρὰ τῶν πατέρων καταλειφθῆναι, καὶ ταῦτα τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ ἐν τῷ τρίτῳ τῶν αὐτοῦ κανόνων ταῦτα λέγοντος, δεινὴ ἡ πλεονεξία, καὶ οὐκ ἔστι δι' ἐπιστολῆς παραθέσθαι τὰ θεῖα γράμματα. ἐν οἷς οὐ τὸ λῃστεύειν μόνον φευκτὸν καὶ φρικῶδες καταγγέλλεται, ἀλλὰ καθόλου τὸ πλεονεκτεῖν καὶ τὸ ἀλλοτρίων ἐφάπτεσθαι ἐπὶ αἰσχροκερδείᾳ· καὶ πᾶς ὁ τοιοῦτος ἐκκήρυκτος ἐκκλησίας Θεοῦ. πῶς οὖν ἀθεράπευτον περιώφθη τὸ ἐκκήρυκτον ἐκκλησίας Θεοῦ ποιεῖν κεκριμένον. ὅτι δὲ ἐκράτει ὁ κανὼν οὗτος τοῦ Θαυματουργοῦ δῆλον ἀπὸ τῆς πρὸς Μηνᾶν Ἐπίσκοπον ἐπιστολῆς Θεοφίλου Ἀρχιεπισκόπου Ἀλεξανδρείας, γράψαντος νόμιμον πρᾶγμα πεποιηκέναι τοὺς χωρίσαντας τῆς συνάξεως τὴν ἀδικοῦσαν γυναῖκα, καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν.

ΑΓΟΚΡΙΣΕΙΣ ΚΑΝΟΝΙΚΑΙ ΤΙΜΩθέου τοῦ ἁγιωτάτου Ἐπισκόπου Ἀλεξανδρείας, ἑνὸς τῶν ρν΄. πατέρων τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις περὶ ἐπισκόπων καὶ κληρικῶν.

Ἐρώτησις.

ΕΑΝ παιδίον κατηχούμενον, ὡς ἐτῶν ἑπτὰ, ἢ ἄνθρωπος τέλειος εὐκαιρήσῃ που προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβῃ, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ;

Ἀπόκρισις.

Φωτισθῆναι ὀφείλει· παρὰ Θεοῦ γὰρ κέκληται.

ΒΑΛΣ. Ἠρωτήθη ὁ πατὴρ οὗτος, ὅτι ἐὰν παιδίον ἢ καὶ ἀνὴρ τέλειος ἐν κατηχουμένοις τεταγμένος, καὶ μήπω τοῦ ἁγίου τυχὼν βαπτίσματος, προσφορᾶς γινομένης, ἤτοι θυσίας μυστικῆς προσαγομένης, εὐκαιρήσῃ, ἀντὶ τοῦ καιροῦ τύχῃ ἐπιτηδείου, καὶ μεταλάβῃ τῶν ἁγιασμάτων, ἀγνοῶν ὅτι οὐ δεῖ αὐτὸν μεταλαβεῖν πρὸ τοῦ βαπτίσματος, ἀλλ' οὐχὶ καταφρονητικῶς διατιθέμενος, τί ὀφείλει γενέσθαι; καὶ ἀπεκρίθη, ὅτι βαπτισθῆναι ὀφείλει. ἐπεὶ γὰρ ἀπονήρως προσῆλθε τῇ κοινωνίᾳ τῶν ἁγίων δώρων, καὶ εὐκαιρίας ἔτυχε μὴ κωλυθεὶς ὑπό τινος, ἀγνοησάντων ἴσως τῶν παρόντων πιστῶν, καὶ αὐτοῦ τοῦ μεταδιδόντος, ὅτι κατηχούμενός ἐστι, δοκεῖ παρὰ τοῦ Θεοῦ προσκληθῆναι. καὶ ὥσπερ ὁ ἅγιος ἀπόστολος Πέτρος ἔφη περὶ τοῦ Κορνηλίου καὶ τῶν περὶ αὐτὸν, ὅτε κατηχουμένων ἐκείνων ἔπεσεν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐλάλουν γλώτταις, καὶ ἐμεγάλυνον τὸν Θεὸν, ὡς ἐν τῇ βίβλῳ τῶν πράξεων γέγραπται, μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, οἳ τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς; τοῦτο μονονουχὶ καὶ ὁ Τιμόθεος εἶπεν, ὅτι παρὰ Θεοῦ κληθεὶς, καὶ ἄξιος νομισθεὶς τῶν ἁγιασμάτων, φωτισθῆναι ὀφείλει.

Ἐρώτησις.

Ἐὰν δαιμονιζόμενος κατηχούμενος ᾖ, καὶ θελήσῃ αὐτὸς ἢ οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, ὀφείλει λαβεῖν ἢ οὔ, καὶ μάλιστα ἐὰν περὶ τὸν θάνατον ἐστίν;

Ἀπόκρισις.

Ἐὰν ὁ δαιμονιζόμενος μὴ καθαρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον βάπτισμα· περὶ δὲ τὴν ἔξοδον βαπτίζεται.

ΒΑΛΣ. Ὁ δαιμονιζόμενος εἶναι δοκεῖ οἰκητήριον δαίμονος. κρίνεται τοίνυν, ὡς εἰ μὴ ἄξιον αὐτοῦ τὸν ἄνθρωπον εὗρε τὸ ἀκάθαρτον πνεῦμα κατοικητήριον, οὐκ ἂν ᾤκησεν ἐν αὐτῷ. ὁ δὲ βαπτιζόμενος, διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος δέχεται ἐνοικοῦσαν αὐτῷ. πῶς οὖν ἐν ταὐτῷ δυνατόν ἐστι τὸν αὐτὸν δύο ἐναντίων δεκτικὸν γενέσθαι; διὰ τοῦτο τὸν κατηχούμενον καὶ μὴ ἀπαλλαγέντα τοῦ ἐνοχλοῦντος αὐτὸν δαίμονος οὐκ ἔκρινεν ὁ πατὴρ τοῦ θείου βαπτίσματος ἄξιον. εἰ δὲ καὶ τελευτᾷ, φησι, βαπτισθήσεται, ἵνα μὴ ἀμέτοχος τῆς χάριτος τοῦ βαπτίσματος, τοῦ βίου ἐξελθὼν, στερηθῇ τοιούτου ἐφοδίου, καὶ ἀσήμαντος ἀπέλθῃ.

Ἐρώτησις.

Ἐὰν πιστός τις ὢν δαιμονίζεται, ὀφείλει μεταλαβεῖν τῶν ἁγίων μυστηρίων, ἢ οὔ;

Ἀπόκρισις:

Ἐὰν μὴ ἐξαγορεύῃ τὸ μυστήριον, μήτε ἄλλως πως βλασφημῇ, μεταλαμβανέτω· μὴ μέντοι καθ' ἑκάστην. ἀρκεῖ γὰρ αὐτῷ κατὰ καιροὺς μόνον.

ΒΑΛΣ. Ὁ Ἰούδας ἐξαγορεῦσαι λέγεται τὸ μυστήριον, ὡς ἃ ἐδιδάχθη παρὰ κυρίου ἐκκαλύψας τοῖς Ἰουδαίοις, οἷα

RESPONSA CANONICA TIMOTHEI Sanctiſſimi Alexandrini Epiſcopi, qui fuit unus ex cl. patribus Conſtantinopoli congregatis, ad interrogationes ei propoſitas de Epiſcopis & Clericis.

Interrogatio.

SI puellus catechumenus, utpote annorum ſeptem, vel homo etiam perfectus dum fieret oblatio opportune adfuerit, ejuſque neſcius particeps factus ſit, quid de eo fieri debet?

Reſponſio.

Debet illuminari: à Deo enim vocatus eſt.

BALS. Interrogatus eſt hic pater, an ſi puellus, vel etiam vir perfectus in ordine catechumenorum collocatus, & ſanctum baptiſmum nondum aſſecutus, dum oblatio fieret, ſive myſticum ſacrificium offerretur, opportunè adfuerit, hoc eſt, tempus idoneum aſſecutus fuerit, & ſacramentorum particeps factus fuerit, ignorans ſe non debere participare antequam ſit baptizatus, non tamen ea improbe contemnens, quid debet fieri: & reſpondit eum baptizari debere. Quia enim non malitioſè ad ſanctorum donorum communionem acceſſit, & opportunitate uſus eſt ab aliquo non prohibitus; forte ignorantibus qui aderant fidelibus, & ipſo etiam qui communionem impertiit, eum eſſe catechumenum: videtur à Deo eſſe vocatus. Et quod ſanctus Apoſtolus Petrus dixit de Cornelio, & iis qui circa eum erant: quo tempore cum eſſent catechumeni Spiritus ſanctus in eos cecidit, & loquebantur linguis, & Deum glorificabant, ut in Actorum libro ſcriptum eſt; Nunquid aquam prohibuerit quiſpiam, quo minus ii baptizentur, qui ſanctum Spiritum ſicut nos acceperunt: hoc propemodum etiam dixit Timotheus, quod à Deo vocatus, & ſacramentis dignus exiſtimatus, debet illuminari.

Interrogatio.

Si catechumenus à Dæmone corripiatur, & voluerit ipſe vel ſui, ut ſanctum baptiſmum accipiat, debétne accipere an non, & maximè ſi morti propinquus fuerit?

Reſponſio.

Si is, qui à Dæmone corripitur, non fuerit ab immundo ſpiritu mundatus, non poteſt ſanctum baptiſmum accipere; ſed in exitu à vita baptizatur.

BALS. Qui à Dæmone corripitur, habitaculum Dæmonis eſſe videtur. Judicatur enim, quòd niſi immundus ſpiritus inveniſſet hominem ipſi idoneum habitaculum, in eo non habitaſſet. Qui autem baptizatur, per baptiſmum ſancti Spiritus gratiam in ſe cohabitantem ſuſcipit. Quomodo ergo fieri poterit, ut idem ſimul duo in ſe contraria ſuſcipiat: & ideo catechumenum & à vexante eum dæmone non liberatum judicavit pater, non eſſe dignum ſancto baptiſmate. Sin autem moriatur, inquit, baptizabitur: ne gratiæ baptiſmi expers, à vita excedendo, hoc viatico privetur, & non ſignatus recedat.

Interrogatio.

Si quis, cum ſit fidelis à dæmone corripiatur: debèt ne eſſe ſanctorum myſteriorum particeps an non?

Reſponſio.

Si myſterium non enunciet, nec ullo alio modo blaſphemet, ſit particeps: ſed non ſingulis diebus. Sufficit enim, ſi ſtatis ſolum temporibus.

BALS. Judas dicitur myſterium enunciaſſe, ut qui, quæ à Domino doctus eſt, Judæis revelaverit ceu eis

credens, & non docenti illa tanquam Deo mentem adhibens, ſed ut nudo homini. Qui autem à Dæmone corripitur, ſi perpetuò quidem furit, nec ſacramentis dignus habebitur, nec myſterium enuncians & blaſphemans condemnabitur, ut qui neſciat quid agat. Sin autem habet intervalla, & in tempore, quo eſt ſanæ mentis, in myſterium invehitur & blaſphemat; non ſolum non erit ſacramentorum particeps, ſed nec cum fidelibus ſimul precabitur vel connumerabitur. Quare Divinus hic pater de dæmoniaco, qui habet intervalla, dicit, Si ergo, quando à dæmone non agitatur nihil contra fidem dixerit, erit ſacramentorum particeps.

Interrogatio.

Si quis catechumenus, cum eſſet infirmus, emotæ mentis factus ſit, nec poſſit ipſe fidem confiteri, ſuique ſuadeant, ut donec vivit ſanctum baptiſmum accipiat, debétne accipere, an non?

Reſponſio.

Debet accipere, ſi non ab immundo ſpiritu tentetur.

Bals. Interrogatio erat de catechumeno, qui propter morbum emotæ mentis eſt, ut non poſſet interrogatus quæ in baptiſmo reſpondentur reſpondere, an eum baptizare oporteat? Reſponſio autem eſt, quòd oportet eum qui ita ſe habet baptizari, & merito; quia quod eſt catechumenus videtur eo ſe eſſe animo oſtendiſſe, ut fidem amplectatur, & quamvis in baptiſmate non reſpondeat; prius tamen animi ſui inſtitutum oſtendit. Sin autem ab immundo ſpiritu tentetur, non baptizabitur, inquit; ſed fiet ei, ſicut ſuperius dictum eſt.

Interrogatio.]

Si uxor cum ſuo marito noctu cohabitârit, vel maritus cum uxore, & fiat coitio, debéntne communicare, an non?

Reſponſio.

Non debent, cum clamet Apoſtolus, Ne fraudate vos invicem, niſi ex conſenſu ad tempus, ut vacetis orationi; & rurſus, ad idem conveniatis, ne tentet vos ſatanas propter incontinentiam veſtram.

Bals. De iis qui legitimè cohabitant eſt interrogatio, an debent nocte illa ſimul congreſſi eſſe ſacramentorum participes? Reſponſio verò eſt, quod non debent; & ad dicti ſui confirmationem magni Pauli verbis uſus eſt.

Interrogatio.

Si mulier catechumena dederit nomen ſuum, ut baptizaretur, & die baptiſmatis illi ſit ſecundum conſuetudinem mulierum; debétne eo die baptizari, an differre, & quantum differre?

Reſponſio.

Debet differre donec purgata fuerit.

Interrogatio.

Si mulier conſueta ſibi muliebria accidiſſe viderit, debétne ad ſancta myſteria accedere, an non?

Reſponſio.

Non debet uſque dum purgetur.

Bals. Qui divino baptiſmate digni erant habendi deſcribebantur ab iis, qui munus eccleſiaſticum exercebant. Si ergo, inquit, deſcripta mulier, tanquam baptizanda, in fluxum menſtruorum inciderit, quando debet baptizari? Ad quod Divinus hic pater reſpondit; quòd quando purgata fuerit. Donec enim præſtituti dies præterierint, impura eſſe judicabitur, & nec baptizabitur, nec Divinis myſteriis digna habebitur.

A διαπιστῶν αὐτοῖς, καὶ μηδὲ τῷ ταῦτα διδάσκοντι ὡς Θεῷ προσέχων, ἀλλ' ὡς ἀνθρώπῳ ψιλῷ. ὁ δὲ δαιμονιζόμενος, εἰ μὲν διόλου μαίνεται, οὔτε τῶν ἁγιασμάτων ἀξιωθήσεται, οὔτε τὸ μυστήριον ἐξαγορεύων καὶ βλασφημῶν κατακριθήσεται, ὡς μὴ εἰδὼς ὃ ποιεῖ. εἰ δὲ διαλείμματα ἔχει, καὶ ἐν τῷ καιρῷ, ᾧ σωφρονεῖ, διασύρει τὸ μυστήριον καὶ βλασφημεῖ, οὐ μόνον τῶν ἁγιασμάτων οὐ μεθέξει, ἀλλ' οὐδὲ πιστοῖς συνεύξεται ἢ συναριθμηθήσεται. ὥστε ὁ θεῖος οὗτος πατὴρ περὶ δαιμονιζομένου καὶ διαλείμματα ἔχοντος λέγει· ἐὰν οὖν, ὅτε οὐκ ἐνεργεῖται ὑπὸ τοῦ δαίμονος, οὐδὲν κατὰ τῆς πίστεως λέγῃ, μεταλήψεται τῶν ἁγιασμάτων.

B

Ἐρώτησις.

Ἐάν τις κατηχούμενος, ὢν ἀσθενής, γένηται ἐκ φρενός, καὶ μὴ δύνηται ἑαυτὸς ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλῶσιν οἱ ἴδιοι αὐτοῦ, ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, ἕως ζῇ, ὀφείλει λαβεῖν, ἢ οὔ;

Ἀπόκρισις.

Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται.

ΒΑΛΣ. Ἡ ἐρώτησις ἦν περὶ κατηχουμένου καὶ ἐκ νόσου ἔξω φρενῶν γενομένου, ὥστε μὴ δύνασθαι αὐτὸν ἐρωτώμενον τὰς C ἐν τῷ βαπτίσματι ἀποκρίσεις ἀποκρίνεσθαι, εἰ δεῖ τοῦτον βαπτίζεσθαι; ἡ δὲ ἀπόκρισις, ὅτι δεῖ βαπτίζεσθαι αὐτὸν καὶ οὕτως ἔχοντα, καὶ εἰκότως. ἐπεὶ γὰρ κατηχούμενος ἦν ἔδειξε προαίρεσιν, ὅτι ἀσπάζεται τὴν πίστιν, καὶ κἂν μὴ ἐν τῷ βαπτίσματι ἀποκρίνηται, ἔφθασε δεῖξαι τὴν οἰκείαν προαίρεσιν. εἰ δὲ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζεται, οὐ βαπτισθήσεται, φησίν, ἀλλὰ γενήσεται αὐτῷ, καθὼς ἄνωθεν εἴρηται.

Ἐρώτησις.

Ἐὰν γυνὴ συγγένηται μετὰ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἢ D ἀνὴρ μετὰ γυναικός, καὶ γένηται μίξις, ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ;

Ἀπόκρισις.

Οὐκ ὀφείλουσι, τοῦ ἀποστόλου βοῶντος, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τοι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράσῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

ΒΑΛΣ. Περὶ τῶν ἐννόμως συνοικαζομένων ἡ ἐρώτησις, εἰ ὀφείλουσι μεταλαβεῖν κατὰ τὴν νύκτα ἐκείνην συνελθόντες ἀλλήλοις. ἡ δὲ ἀπόκρισις, ὅτι οὐκ ὀφείλουσι. καὶ εἰς σύστασιν τοῦ οἰκείου λόγου τοῖς ῥήμασιν ἐχρήσατο τοῦ μεγάλου B Παύλου.

Ἐρώτησις.

Ἐὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς, ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὸ κατ' ἔθος τῶν γυναικῶν, ὀφείλει φωτισθῆναι αὐτῇ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι, καὶ πόσον ὑπερθέσθαι;

Ἀπόκρισις.

Ὑπερθέσθαι ὀφείλει ἕως οὗ καθαρισθῇ.

Ἐρώτησις.

Ἐὰν γυνὴ ἴδῃ τὸ κατ' ἔθος τῶν γυναικείων αὐτῆς, ὀφείλει προσέρχεσθαι τοῖς μυστηρίοις αὐτῇ τῇ ἡμέρᾳ, ἢ οὔ;

F Ἀπόκρισις.

Οὐκ ὀφείλει ἕως οὗ καθαρισθῇ.

ΒΑΛΣ. Οἱ μέλλοντες καταξιοῦσθαι τοῦ θείου βαπτίσματος ἀπεγράφοντο παρὰ τῶν ἐν τῇ ἐκκλησίᾳ ἐνεργούντων. ἐὰν οὖν γυνή, φησιν, ἀπογραφεῖσα, ὡς μέλλουσα βαπτισθῆναι, γένηται ἐν ῥύσει τῶν ἐμμηνίων, πότε δεῖ αὐτὴν φωτισθῆναι, καὶ ἀπεκρίθη πρὸς τοῦτο ὁ θεῖος οὗτος πατήρ, ὅτι ὅτε καθαρθῇ. ἕως γὰρ αἱ νενομισμέναι παρέλθωσιν ἡμέραι ἐν ἀκαθαρσίᾳ κρίνεται εἶναι, καὶ οὔτε βαπτισθήσεται, οὔτε τῶν θείων μυστηρίων ἀξιωθήσεται.

A

Ερώτησις.

Γυνὴ ἐὰν γεννήσῃ, τὸ Πάσχα ὀφείλει νηστεῦσαι καὶ μὴ πιεῖν οἶνον, ἢ ἀπολύεται τῆς νηστείας καὶ τοῦ μὴ πιεῖν οἶνον διὰ τὸ γεννῆσαι;

Απόκρισις.

Η νηστεία ἐπενοήθη διὰ τὸ σῶμα ταπεινῶσαι. εἰ οὖν τὸ σῶμα ἐν ταπεινώσει ἐστὶ καὶ ἀσθενείᾳ, ὀφείλει καταλαβεῖν καθὼς βούλεται καὶ δύναται βαστάσαι τροφῆς καὶ ποτοῦ.

B ΒΑΛΣ. Ηρωτήθη, εἰ ὀφείλει γυνὴ τεκοῦσα κατὰ τὴν τεσσαρακοστὴν τοῦ Πάσχα πιεῖν οἶνον, καὶ τῆς νηστείας λυθῆναι. καὶ ἀπεκρίθη, ὅτι ἡ νηστεία διὰ ταπείνωσιν τοῦ σώματος ὡρίσθη. ἐὰν δὲ τὸ σῶμα τεταπεινωμένον καὶ ἀσθενὲς ᾖ, ἄλλοθεν οὐ δεῖται τῆς ἐκ τῆς νηστείας παιδαγωγίας, ἀλλὰ μᾶλλον συστάσεως χρῄζει καὶ ἀνακτήσεως. ὀφείλει οὖν ἡ τεκοῦσα κατὰ τὸ Πάσχα, ἤγουν ἐν τῇ διὰ τὸ Πάσχα γινομένῃ νηστείᾳ, καὶ οἴνῳ χρήσασθαι καὶ βρώματι.

Ερώτησις.

C Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων Ἀῤῥειανῶν, ἢ ἄλλων αἱρετικῶν· εἰ οὐδὲν αὐτὸν βλάπτει, ὅταν αὐτὸς ποιῇ τὴν εὐχὴν ἤγουν τὴν προσφοράν;

Απόκρισις.

Εν τῇ θείᾳ ἀναφορᾷ ὁ διάκονος προσφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ, οἱ ἀκοινώνητοι περιπατήσατε. οὐκ ὀφείλουσιν οὖν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

D ΒΑΛΣ. Η ἐρώτησις περὶ κληρικοῦ, εἰ ὀφείλει εὔχεσθαι παρόντων αἱρετικῶν, ἤγουν προσφέρειν τὴν ἀναίμακτον θυσίαν. καὶ ἀπεκρίθη, ὅτι μέλλουσι προσάγεσθαι τῇ ἱερᾷ τραπέζῃ τὰ ἅγια, λέγεται τοῖς ἀμυήτοις, οἱ ἀκοινώνητοι περιπατήσατε, ἤγουν οἱ κατηχούμενοι προέλθετε. εἰ οὖν οἱ κατηχούμενοι οὐκ ἐῶνται παρεῖναι τελουμένης τῆς θυσίας, πῶς αἱρετικοὶ ἐαθήσονται; εἰ μήπου ἐπαγγέλλωνται, φησὶ, μετανοεῖν καὶ ἀφίστασθαι τῆς αἱρέσεως· καὶ τότε δὲ οἶμαι, οὐκ ἐντὸς τοῦ ναοῦ παραχωρηθήσονται εἶναι, ἀλλ᾽ ἔξω μετὰ τῶν κατηχουμένων· ὡς εἰ μὴ ἐπαγγέλλωνται ἀφίστασθαι τῆς αἱρέσεως, οὐδὲ τοῖς κατηχουμένοις συστήσονται, ἀλλ᾽ ἐκδιωχθήσονται.

Ερώτησις.

E Εάν τις ᾖ ἀσθενῶν καὶ ἐκτακεὶς πάνυ ἀπὸ τῆς πολλῆς ἀσθενείας, καὶ ἔλθῃ τὸ ἅγιον Πάσχα, πάντως ὀφείλει νηστεῦσαι, ἢ ἀπολύει αὐτὸν ὁ κληρικὸς λαμβάνειν οὗ δύναται, ἢ καὶ ἔλαιον καὶ οἶνον, διὰ τὴν πολλὴν αὐτοῦ ἀσθένειαν;

Απόκρισις.

Απολύεσθαι ὀφείλει μεταλαμβάνειν καὶ τῆς τροφῆς καὶ τοῦ ποτοῦ ὁ ἀσθενῶν, πρὸς ὃ δύναται βαστάσαι. τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα δίκαιόν ἐστιν.

F ΒΑΛΣ. Περὶ νοσοῦντος καὶ ἐκτακέντος ὑπὸ τῆς νόσου ἡ ἐρώτησις, εἰ ὀφείλει ἐν τῇ διὰ τὸ Πάσχα νηστείᾳ πάντως νηστεῦσαι, ἀντὶ τοῦ ἀπαραιτήτως, ἀσυμπαθῶς, ἢ μετασχεῖν οἴνου καὶ ἐλαίου διὰ τὴν ἀσθένειαν; ἡ δὲ ἀπόκρισις λέγει, ὅτι τὸν ἐκτακέντα ἐκ νόσου δίκαιον καὶ οἴνου καὶ ἐλαίου μεταλαμβάνειν, ὡς δύναται ὑπομεῖναι, ἤγουν, ἢ διόλου, ἢ ἐν ἡμέραις τισὶ κατὰ τὴν κρίσιν τοῦ οἰκονομοῦντος αὐτόν. σημειωτέον οὖν ἐκ τούτου τοῦ κανόνος καὶ ἐκ τοῦ η΄. ὅτι ἡ νηστεία τῆς τεσσαρακοστῆς τοῦ Πάσχα ξηροφαγία ἐστὶν, ἀλλὰ καὶ οἴνου ἀποχή. τινὲς δὲ καὶ ἐν ἀμφοῖν τοῖς κανόσι τούτοις, τὴν ἐν τῷ Πάσχα νηστείαν, τὴν τῶν ἁγίων παθῶν ἑβδομάδα λέγουσιν εἶναι, καὶ οὐ πᾶσαν τὴν τεσσαρακοστήν.

Interrogatio.

Mulier ſi pepererit, debétne jejunare Paſcha, & vinum non bibere : an à jejunio abſolvitur, & vinum bibere permittitur, eo quod pepererit ?

Reſponſio.

Excogitatum eſt jejunium, ut corpus humile reddatur. Si ergo corpus in humilitate & imbecillitate verſatur, debet cibi & potûs quantum vult et poteſt eſſe particeps.

Bals. Interrogatus eſt ſanctus, an debet mulier, quæ in Paſchæ quadrageſima peperit, bibere vinum, & à jejunio abſolvi. Et reſpondit, quod jejunium ad corpus humiliandum decretum eſt. Quòd ſi corpus humiliatum fuerit, & infirmum, non aliunde jejunii diſciplina indiget; ſed confirmatione potius & recreatione opus habet. Debet ergo, quæ peperit in paſchate, hoc eſt, in jejunio quod fit propter paſcha, uti & vino & cibo.

Interrogatio.

An debet clericus, præſentibus Arrianis, vel aliis hæreticis, orare; & an eum nihil lædit quando ille facit orationem, ſeu oblationem?

Reſponſio.

In Divina oblatione Diaconus ante ſalutationem edicit; Qui non communicatis, ambulate. Non debent ergo intereſſe, niſi profiteantur ſe pœnitentiam acturos, & hæreſin vitaturos.

Bals. Interrogatio de Clerico facta eſt; an debet præſentibus hæreticis orare, aut incruentum ſacrificium offerre : & reſpondit, quòd quando ad ſacram menſam ſancta offerenda ſunt, dicitur prophanis, qui non communicatis ambulate, ſive catechumeni exite. Si ergo catechumeni non ſinuntur adeſſe dum fit ſacrificium, quomodo ſinentur hæretici? Niſi ſe, inquit, pœnitentiam acturos confiteantur, & ab hæreſi ceſſaturos; & tunc quoque, ut exiſtimo, intra templum eſſe non ſinentur, ſed foris cum catechumenis: quòd ſi ſe ab hæreſi abſtenturos non profiteantur, nec cum catechumenis quidem conſiſtent, ſed expellentur.

Interrogatio.

Si quis ſit ægrotus, & ex multa imbecillitate valde attenuatus, & ad ſanctum Paſcha venerit; debétne omnino jejunare, an eum abſolvit Clericus, ut accipiat quod poteſt, vel etiam oleum & vinum, propter multam ejus imbecillitatem?

Reſponſio.

Abſolvi debet ægrotus, ut cibum & potum capiat, quantum ferre poteſt. Eum enim, qui ſemel attenuatus eſt, eſſe olei participem æquum eſt.

Bals. De eo, qui ægrotat, & morbo conſumptus eſt, fit interrogatio; debétne in jejunio propter Paſcha omnino jejunare, hoc eſt, inexcuſabiliter & abſque ulla commiſeratione, an vinum & oleum ſumere propter imbecillitatem? Reſponſio autem dicit, quòd is, qui morbo conſumptus eſt, capere debet vinum & oleum, quantum ferre poteſt; perpetuò ſcilicet, vel in aliquibus diebus, ſecundum judicium ejus qui illum diſpenſat. Nota autem ex hoc canone & viii. quòd jejunium Quadrageſimæ Paſchæ eſt aridorum eſus, & à vino abſtinentia. Nonnulli autem dicunt, in utriſque his canonibus jejunium in Paſchate eſſe ſanctæ paſſionis hebdomadam, & non omnem Quadrageſimam.

Interrogatio.

Si quis Clericum vocaverit, ut matrimonio conjungat, audiat autem eſſe illicitum matrimonium, ut pote vel amitæ conjugium, vel defunctæ uxoris eſſe ſororem eam, quæ eſt matrimonio conjungenda; debétne ſequi Clericus, vel facere oblationem?

Reſponſio.

Uno verbo dicite; Si audiverit Clericus illicitum matrimonium. Si ergo eſt illicitum matrimonium, non debet Clericus alienis peccatis communicare.

Bals. Oportet, inquit, Clericos, qui ad matrimonii myſterium celebrandum vocantur, ut orent & ſponſos conjungant, ſi audiverint eſſe illicitum matrimonium, nec abire, nec orare, nec offerre, & ſic alienis peccatis communicare.

Interrogatio.

Si laicus, qui ſomniavit, Clericum interrogaverit; an debet ei permittere communicare, an non?

Reſponſio.

Si ſubeſt quidem mulieris deſiderium, non debet: Sin autem tentat eum Satanas, ut per hanc occaſionem à divinorum myſteriorum communione alienetur, debet communicare. Neque enim ceſſabit Tentator eo tempore, quando debet communicare, illum invadere.

Bals. De iis, quibus viſa ſe in ſomniis offerunt, quibus etiam fit fortaſſe fluxus ſeminis, dicit hic pater; quod ſi mulieris deſiderium in eo qui ſomniat, cogitatio antea accenderit, & mens in deſiderio perſtiterit, eique aſſenſus eſt, & ex eo illi viſio oblata eſt, & fluxio ſeminis eſt conſecuta, non debet communicare. Et merito; Aſſenſio enim ejus, qui ſomniavit, mentem polluit; & quomodo cum hac cogitatione ad ſancta accedet? Sin autem nihil tale præceſſit, eſt Diaboli, inquit, tentatio; ut ſic eum alienet à divina communione: Et oportet eum communicare. Si enim ſciverit Malus ſe per ſomnium efficere, ne ſit ſacramenti particeps; non ceſſabit homini inſidiari, quoties eum velle communicare cognoverit.

Interrogatio.

Iis, qui matrimonii ſocietate junguntur, in quibúſnam ſeptimanæ diebus proponere oportet, ut à mutuo congreſſu abſtineant, & quibúſnam poteſtatem habeant?

Reſponſio.

Quod ante dixi, nunc quoque dico. Dicit apoſtolus; Ne fraudate vos invicem, niſi forte ex conſenſu ad tempus, ut vacetis orationi; & rurſus ad idem conveniatis, ne vos tentet Satanas propter incontinentiam veſtram. Neceſſario autem ſabbato & die dominico abſtinere oportet, quod ſpirituale ſacrificium in eis Domino offeratur.

Interrogatio.

Si quis, cum ſui compos non eſſet, ſibi manum attulerit, vel etiamſe præcipitaverit, ſitne oblatio, annon?

Reſponſio.

Hoc debet clericus diſcernere, an cum revera mentis compos non eſſet, hoc fecerit. Sæpe enim ii, qui ad eum cui hoc accidit pertinent, volentes aſſequi oblationem & orationem pro ipſo, mentiuntur, & dicunt eum non fuiſſe apud ſe: nonnunquam autem propter inſultationem hominum, vel aliquo alio modo per negligentiam hoc feciſſe. Pro hujuſmodi oblatio non eſt facienda: eſt enim ſui homicida. Oportet ergo Clericum accuratè ſciſcitari, ne in judicium incidat.

Bals. Interrogatus ſanctus, ſi is, qui non eſt ſanæ mentis, ſed emotæ, ſibi mortem conſciverit, vel ſe deorſum præcipitem dederit; an pro eo facienda ſit oratio

Ἐρώτησις.

Εἰς τὸ συζεῦξαι γάμον ἐὰν καλέσῃ τις κληρικὸν, ἀκούσῃ δὲ τὸν γάμον παράνομον, ἢ διγαμίαν, ἤγουν ἀδελφὴν τελευτησάσης γυναικὸς τὴν μέλλουσαν συζεύγνυσθαι, εἰ ὀφείλει ἀκολουθῆσαι ὁ κληρικὸς, ἢ προσφορὰν ποιῆσαι;

Ἀπόκρισις.

Ἅπαξ εἴπατε, ἐὰν ἀκούσῃ ὁ κληρικὸς τὸν γάμον παράνομον. εἰ οὖν ὁ γάμος παράνομός ἐστιν, οὐκ ὀφείλει ὁ κληρικὸς κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις.

ΒΑΛΣ. Τοὺς κληρικοὺς δεῖ, φησι, καλουμένους εἰς τελετὴν γάμων, ὥστε εὔξασθαι καὶ συζεῦξαι τοὺς νυμφευομένους, εἰ ἀκούουσι παράνομον εἶναι τὸν γάμον, μὴ ἀπέρχεσθαι, μήτε εὔχεσθαι, μήτε προσφέρειν, καὶ οὕτω κοινωνεῖν ἁμαρτίαις ἀλλοτρίαις.

Ἐρώτησις.

Ἐὰν ὀνειρωχθεὶς ὁ λαϊκὸς ἐρωτήσῃ κληρικὸν, εἰ ὀφείλει ἐπιτρέψαι αὐτῷ κοινωνῆσαι, ἢ οὔ;

Ἀπόκρισις.

Εἰ μὲν ὑπόκειται ἐπιθυμία γυναικὸς, οὐκ ὀφείλει· εἰ δὲ ὁ σατανᾶς πειράζει αὐτὸν, ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῆς κοινωνίας τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι. ἐπεὶ οὐ παύσεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνεῖν, ἐπιτιθέμενος αὐτῷ.

ΒΑΛΣ. Περὶ τῶν ἐν ὀνείροις φανταζομένων, οἷς καὶ σπέρματος ἴσως γίνεται ἐκροὴ, φησὶν ὁ πατὴρ οὗτος, ὅτι εἰ μὲν πρὸ τούτου προσέβαλλε τῷ ὀνειρωχθέντι ἐπιθυμίας γυναικὸς λογισμὸς, καὶ ἐνέμεινεν ὁ νοῦς ἐπὶ τῇ ἐπιθυμίᾳ, καὶ ἐνεφιλοχώρησε ταύτῃ, κἀντεῦθεν ἡ φαντασία, ἐπῆλθε ἡ ῥύσις τοῦ σπέρματος, οὐκ ὀφείλει μεταλαβεῖν. καὶ εἰκότως· ἡ γὰρ συγκατάθεσις ἐμόλυνε τὸν λογισμὸν τοῦ ὀνειρωχθέντος. καὶ πῶς μετὰ τοιούτου λογισμοῦ προσελεύσεται τοῖς ἁγίοις; εἰ δὲ οὐδὲν τοιοῦτον προηγήσατο, τοῦ διαβόλου, φησὶν, ἐστὶ πεῖρα, ἵνα οὕτως ἀποξενῶται αὐτὸν τῆς θείας κοινωνίας· καὶ δεῖ αὐτὸν κοινωνεῖν. εἰ γὰρ ἴδῃ ὁ πονηρὸς οὕτω κατορθούμενον τὸ μὴ μετέχειν αὐτὸν τῶν ἁγιασμάτων, οὐ παύσεται ἐπιβουλεύων τῷ ἀνθρώπῳ, ὁσάκις ἂν γνῷ αὐτὸν θέλοντα μεταλαβεῖν.

Ἐρώτησις.

Τοῖς συγγινομένοις εἰς γάμου κοινωνίαν, περὶ ποίων ἡμερῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ ἀπέχεσθαι τῆς πρὸς ἀλλήλους κοινωνίας, καὶ ποίας ἔχειν ἐπ' ἐξουσίας;

Ἀπόκρισις.

Προείρηκα καὶ νῦν λέγω, ὁ ἀπόστολος λέγει, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. ἐξ ἀνάγκης δὲ τὸ σάββατον καὶ τὴν κυριακὴν ἀπέχεσθαι δεῖ, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ κυρίῳ.

Ἐρώτησις.

Ἐάν τις μὴ ἔχων ἑαυτὸν χειρίσηται, ἢ κρημνήσῃ ἑαυτὸν, εἰ γίνεται προσφορὰ, ἢ οὔ;

Ἀπόκρισις.

Ὑπὲρ τοῦ αὐτοῦ διακρίναι ὀφείλει ὁ κληρικὸς, τὸ ἀληθὲς ἐκφρενὴς ὢν πεποίηκε τοῦτο. πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες τυχεῖν τῆς προσφορᾶς καὶ τῆς ὑπὲρ αὐτοῦ εὐχῆς, καταψεύδονται, καὶ λέγουσιν ὅτι οὐκ εἶχεν ἑαυτόν· ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποιηκέναι τοῦτο. οὐ χρὴ προσφορὰν ἐπάνω αὐτῷ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστι. δεῖ οὖν πάντως τὸν κληρικὸν μετ' ἀκριβείας ἐρευνῆσαι, ἵνα μὴ ὑπὸ κρῖμα πέσῃ.

ΒΑΛΣ. Ἐρωτηθεὶς ὡς εἰ μὴ ἔχων τις ὑγιᾶ τὸν λογισμὸν, ἀλλὰ παρατραπεὶς τὰς φρένας, αὐτόχειρ γένηται ἑαυτοῦ ἢ κατακρημνοῦ ὠθήσει ἑαυτὸν, ἐὰν χρὴ ὑπὲρ αὐτοῦ εὐχὴν γενέσθαι ἢ προσφορὰν, εἶπεν, ὅτι ἐὰν ἀληθῶς ἔξω φρενῶν γενόμενος ὁ ἄνθρωπος, καὶ μὴ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτὸν ἢ ἐκρήμνισεν ἢ ἄλλως διέφθειρε, γενήσεται ὑπὲρ αὐτοῦ δέησις καὶ προσφορά. δεῖ δὲ τοὺς εἰς εὐχὴν προσκαλουμένους ἀκριβοῦσθαι περὶ τούτου, μήποτε ἢ ἐκ μικροψυχίας ἢ διὰ ἐπηρείας ἀνθρώπων ἢ ἄλλως πως, ἑκὼν καὶ εἰδὼς ὃ ποιεῖ, διεχειρίσατο ἑαυτόν. ὑπὲρ γὰρ τοῦ τοιούτου οὐ δεῖ, οὔτε εὔχεσθαι, οὔτε προσφέρειν, ὅτι αὐτοφονευτής ἐστι.

Ἐρώτησις.

Ἐάν τινος γυνὴ πνευματιᾷ, ὥστε καὶ σίδηρα φορεῖν, ὁ B δὲ ἀνὴρ λέγει, ὅτι οὐ δύναμαι ἐγκρατεύεσθαι, καὶ θέλει λαβεῖν ἄλλην, ὀφείλει λαβεῖν ἑτέραν, ἢ οὔ;

Ἀπόκρισις.

Μοιχεία μεσολαβεῖ τῷ πράγματι, καὶ περὶ τούτου τί ἀποκρίνεσθαι οὐκ ἔχω ἢ ἐφευρίσκω.

ΒΑΛΣ. Περὶ ἀνδρὸς ἡ ἐρώτησις ἔχοντος γυναῖκα πνευματιῶσαν, ἤγουν πνεύματι πονηρῷ συνεχομένην, καὶ οὕτως μαινομένην, ὡς καὶ σιδήροις δεσμεῖσθαι, ἵνα μὴ ἑαυτὴν ἀπολέσῃ ἢ ἑτέρους βλάψῃ, ἢ συνελθεῖν αὐτὸν ἀδύνατον, καὶ C λέγοντος σωφρονεῖν θέλοντός τε λαβεῖν γυναῖκα ἑτέραν νομίμως. ἡ δὲ ἀπόκρισις, ὅτι οὐ δύναταί τι εἰπεῖν. μοιχεία γάρ ἐστι τὸ ἔτι συνισταμένου τοῦ γάμου ἑτέραν ἀγαγέσθαι τὸν ἄνδρα γυναῖκα εἰς συμβίωσιν. ἐκ δὲ τῆς νεαρᾶς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου, δέδοται τῷ ἀνδρὶ, μαινομένης διηνεκῆ μανίαν τῆς γυναικὸς, λύειν τὸν γάμον· τοῦ γάμου δὲ λυθέντος, ἔξεστι τῷ ἀνδρὶ ἑτέραν νομίμως εἰσοικίσασθαι.

Ἐρώτησις.

Ἐὰν νηστεύων τις ἐπὶ τῷ κοινωνῆσαι, νιπτόμενος τὸ στόμα, D ἢ ἐν τῷ βαλανείῳ κατέπιεν ὕδωρ μὴ θέλων, ὀφείλει κοινωνῆσαι;

Ἀπόκρισις.

Ἐπεὶ εὗρεν ὁ Σατανᾶς ἀφορμὴν τοῦ κωλύειν αὐτὸν τῆς κοινωνίας, συχνότερον τοῦτο ποιήσει.

Ἐρώτησις.

Συχνῶς ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ μὴ ποιοῦντες, ἆρα ὑπὸ κατάκρισιν ἐσμέν;

E

Ἀπόκρισις.

Εἰ καὶ μὴ ποιοῦμεν, ἀλλ' οὐκ εὐδέχεται μὴ μέμφεσθαι ἑαυτοὺς, ὅτι ἀκούοντες παρακούομεν· μέρος δὲ σωτηρίας ἐστὶ καὶ τὸ μέμφεσθαι ἑαυτούς.

Ἐρώτησις.

Ἐκ ποίας κείρας κρίνονται παρὰ θεοῦ τὰ ἁμαρτήματα;

Ἀπόκρισις.

Πρὸς τὴν γνῶσιν ἑκάστου καὶ τὴν φρόνησιν. οἱ μὲν ἀπὸ δεκαετοῦς κείρας, οἱ δὲ καὶ μείζονος.

F

ΒΑΛΣ. Πρὸς τὴν γνῶσιν ἑκάστου καὶ τὸ φρόνημα ἔφη κρίνεσθαι τῷ θεῷ τὰ ἁμαρτήματα. οἱ μὲν γὰρ ὀξυτέρας φύσεως ὄντες τῶν παίδων καὶ μᾶλλον ἐγρηγορυίας, συντομώτερον διακρίνουσι τὸ καλὸν καὶ τὸ χεῖρον· οἱ δὲ νωθροτέρας τυχόντες καὶ ἀναπεπτωκυίας ἕξεως, βραδεῖς εἰσι πρὸς τὴν γνῶσιν τοῦ δέοντος. διὸ τοῖς μὲν ἀπὸ δεκάτου ἐνιαυτοῦ τῆς ἡλικίας αὐτῶν λογίζεσθαι εἶπε τὰ ἁμαρτήματα, τοῖς δὲ ἐκ μείζονος καὶ τελεωτέρας.

vel oblatio; dixit, quòd ſi homo quidem revera emotæ mentis, & neſciens quid ageret, ſibi manum attulerit, vel ſe præcipitaverit, vel aliquo alio modo interemerit; fiet pro eo oblatio & oratio. Oportet autem eos, qui ad orationem evocantur, ſubtiliter inveſtigare; nunquid vel propter animi timiditatem, vel hominum inſultationem, vel aliquo alio modo, prudens ac ſciens quid ageret, ſibi manum attulerit. Pro tali enim nec orare nec offerre oportet; quoniam ſui homicida eſt.

Interrogatio.

Si alicujus uxor ſpiritu corripitur, ut ferreos etiam compedes geſtet, vir autem dicat, non poſſum continere, & velit aliam accipere; debét ne aliam accipere an non?

Reſponſio.

In hac re quidem adulterium intercedit, nec habeo, aut invenio quid de ea reſpondeam.

Bals. Interrogatio eſt de marito, qui habet uxorem ſpiritu correptam, ſeu ſpiritu malo agitatam, & ita furentem, ut etiam ferreis compedibus maniciſque ligetur, ne ſeipſam interficiat, vel alios lædat, cum qua ipſe rem habere non poteſt; dicit autem ſe non poſſe continere, & vult aliam uxorem legitimè accipere. Reſponſio autem eſt, ſe nihil poſſe dicere. Eſt enim adulterium, ſi, conſtante matrimonio, vir aliam mulierem ducat in matrimonium. Ex novella autem Imperatoris domini Leonis philoſophi marito conceſſum eſt, mulieris, quæ perpetua inſania laborat, ſolvere matrimonium: ſoluto autem matrimonio, licet marito aliam uxorem introducere.

Interrogatio.

Si quis jejunans, ut communicet, os lavans, vel in balneo aquam bibit nolens; debét ne communicare?

Reſponſio.

Quia etiam invenit Satanas occaſionem prohibendi eum à communione, frequentius hoc faciet.

Interrogatio.

Sermonem Dei ſæpe audientes, & non facientes, an ſumus judicio obnoxii?

Reſponſio.

Si non faciamus, nec nos accuſare contingat, quod audientes non pareamus. Eſt autem pars ſalutis ſe ipſos accuſare.

Interrogatio.

Ex quanam ætate à Deo judicantur peccata?

Reſponſio.

Ex uniuſcujuſque cognitione, & prudentia: illi quidem à decennio; hi vero à majori ætate.

Bals. Ex uniuſcujuſque cognitione & intelligentia dicit à Deo peccata judicari. Pueri enim, qui ſunt acrioris & vigilantioris naturæ, bonum & malum citius diſcernunt: qui autem ſunt hebetioris tardioriſque ingenii, tardi ſunt ad cognitionem ejus quod fieri oportet. Ideo illis quidem dicit ab anno decimo reputari peccatum: his vero à majori & perfectiori ætate.

EDICTUM THEOPHILI ARCHIEPISCOPI ALEXANDRINI, cum Sancta Theophania in die dominico inſtarent.

ET mos & honeſtas à nobis exigit, ut omnem diem dominicum honoremus, eúmque celebremus; quoniam Dominus noſter Jeſus Chriſtus præclarum in ea ſuæ reſurrectionis munus obiit. Et ideo in ſacris ſcripturis ipſe, & primus appellatus eſt, ut qui ſit nobis vitæ principium, & octavus, ut qui Judæorum ſabbatiſmum exuperaverit. Quia ergo accidit, ut ſanctorum Theophaniorum hic eſſet dies jejunio peragendus diſpenſemus, & ad utrumque ſcientes procedamus; ut paucos dactylos ſumentes, ſimul & hæreſes vitemus, quæ Domini noſtri Jeſu Chriſti reſurrectionis diem non honorant, & diei jejunii quod debetur reddamus, veſpertinam congregationem expectantes, quæ hic, Deo dante, peragitur. Congregamur ergo hic ab hora nona.

ΘΕΟΦΙΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Ἀλεξανδρείας προσφώνησις, τῶν ἁγίων θεοφανίων ἐπιστάντων ἐν κυριακῇ.

ΚΑΙ τὸ ἔθος καὶ τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ πᾶσαν κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ἐν ταύτῃ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκ νεκρῶν ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε. διὸ καὶ ἐν ταῖς ἱεραῖς γραφαῖς, καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα, καὶ ὀγδόη, ἅτε ὑπερβεβηκυῖα τὸν τῶν Ἰουδαίων σαββατισμόν. ἐπεὶ οὖν συνέβη τὴν τῶν ἁγίων θεοφανίων νήστιμον ἡμέραν εἶναι ταύτην, οἰκονομήσωμεν, καὶ πρὸς ἑκατέρων ἐπιστημόνως χωρήσωμεν, ἵνα μεταλαμβάνοντες ὀλίγων φοινίκων, ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέραν, καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένοντες τὴν ἑσπερινὴν σύναξιν, ἥτις ἐνταῦθα, θεοῦ θέλοντος, τελεῖται. συναχθῶμεν τοίνυν ἀπὸ ὥρας ἐννάτης ἐνταῦθα.

EJUSDEM COMMONITORIUM,

Quod accepit Ammon propter Lyco.

DE iis qui Arianis communicaverunt, & Eccleſias huc uſque detinent, ut ſe habet conſuetudo, fiat: ita tamen ut alii conſtituantur, qui in Orthodoxia teſtificentur, & illi permaneant. His quoque ita diſpenſatis, ut aliis urbibus Orthodoxi in Thebaide Epiſcopi fecerunt, qui ab Epiſcopo Apolline conſtituti, & qui cum Arianis eccleſiàs habentibus communicantes, puniantur; ſi quidem ipſorum voluntate hoc fecerunt: Sin autem proprio Epiſcopo obedierunt, permaneant, etſi quod juſtum eſt non noverint. Et ſi omnes quidem populi eos cum aliis rejiciant, alii ordinentur: Sin autem eos retinent cum illis quibus communicarunt, ii quoque eam conſuetudinem experiantur, qua uſi ſunt omnes Orthodoxi in Thebaide Epiſcopi. De Biſto, qui in Ereba conſtitutus eſt Presbyter, quærendum eſt; & ſi alicui quidem mulieri ſeparatæ vivente marito vim attulit, non ſinatur eſſe Presbyter: Nam nec ut Laicus quidem debet communicare, cum eos qui tales ſunt ſeparare conſueverit eccleſia. Hoc autem nullum affert Epiſcopo Apollini præjudicium, ſi eum per ignorantiam conſtituit; cum ſancta Synodus juſſerit eos, qui poſt ordinationem propter crimen indigni eſſe convincuntur, expelli.

BALS. Biſtus ab Apolline Epiſcopo Presbyter conſtitutus fuerat in Ereba; eſt autem ea regio Ægypti ſicut & Lyco. Is vero dicebatur ante ordinationem mulieri ſeparatæ vim attuliſſe vivo marito. De eo igitur interrogatus Theophilus, inquit; Quæratur an ſit verum eum mulieri vim attuliſſe, & ſi ita ſit, ne ei eſſe Presbyterum permittatur. Quomodo enim fuerit is Presbyter, cui nec Laico in Eccleſiam quidem permittitur ingredi, cum ſit propter peccatum ſegregatus? Eos enim, qui ſunt ejuſmodi, extrudit Eccleſia & ſeparat à fidelibus. Hoc autem à Theophilo nequaquam canonicè dictum eſt: quandoquidem ſanctorum Apoſtolorum xxv. canon, & magni Baſilii tertius & xxxii. & Carthagin. Syn. xxii. Clericos qui peccarunt, & depoſiti fuerunt, à communione non arcent.

ΤΟΥ ΑΥΤΟΥ ΥΠΟΜΝΗΣΤΙΚΟΝ,

ὅπερ ἔλαβε Ἀμμῶν, διὰ τὴν Λυκώ.

ΠΕΡΙ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς καὶ μέχρι νῦν τὰς ἐκκλησίας κατεχόντων, ὡς ἔθος γινέσθω. οὕτω μέντοι ἑτέρους καταστῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ, κἀκείνους αὐλίζεσθαι. οὕτως οἰκονομουμένων καὶ τούτων ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν τῇ Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι, οἱ καταστάντες παρὰ τοῦ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν, εἴγε γνώμῃ αὐτῶν πεποιήκασι τοῦτο. εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, αὐλιζέσθωσαν καὶ μὴ ἐπεγνωκότες τὸ εὔλογον. καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποποιοῦνται μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μεθ' ἐκείνων οἷς κεκοινωνήκασι ταῦτα, καὶ οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ᾗ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ἐπίσκοποι ὀρθόδοξοι. περὶ Βίστου καταστάντος ἐν Ἐρέβῃ πρεσβυτέρου ζητητέον· καὶ εἰ μὲν ἀποταξαμένην τινὰ ζῶντος τοῦ ἀνδρὸς ἐβιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος, ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν. οὐ φέρει δὲ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ διὰ ἀγνοίας αὐτὸν κατέστησε, τῆς ἁγίας συνόδου κελευσάσης τοὺς ἀναξίους μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἔγκλημα ἐκβαλέσθαι.

ΒΑΛΣ. Ὁ Βίστος παρὰ Ἀπόλλωνος ἐπισκόπου κατέστη πρεσβύτερος ἐν Ἐρέβῃ· χώρα δὲ αὕτη Αἰγυπτίων ἐστίν, ὥσπερ καὶ ἡ Λυκώ. ἐλέγετο δὲ περὶ ἐκείνου, ὅτι πρὸ τῆς χειροτονίας γυναῖκα ἐβιάσατο ἀποταξαμένην ζῶντος τοῦ ἀνδρός. περὶ τούτου οὖν ἐρωτηθεὶς ὁ Θεόφιλος, ἔφη, ὅτι ἐρευνηθήτω, καὶ εἰ ἀληθές ἐστι τὸ βιάσασθαι αὐτὸν τὴν γυναῖκα, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος. πῶς γὰρ εἴη πρεσβύτερος, ὃς οὐδὲ λαϊκὸς συγχωρεῖται εἰσιέναι εἰς ἐκκλησίαν, ἀφοριζόμενος διὰ τὸ ἁμάρτημα; ἐξωθεῖ γὰρ τοὺς τοιούτους ἡ ἐκκλησία καὶ χωρίζει ἀπὸ τῶν πιστῶν. τοῦτο δὲ οὐ κανονικῶς τῷ Θεοφίλῳ εἴρηται. ὅ, τε γὰρ τῶν ἁγίων ἀποστόλων κε΄. κανὼν, καὶ ὁ τοῦ μεγάλου Βασιλείου τρίτος καὶ ὁ λβ΄. καὶ ὁ τῆς ἐν Καρθαγένῃ κβ΄. τοὺς κληρικοὺς ἁμαρτήσαντας, καὶ καθαιρεθέντας, τῆς κοινωνίας οὐκ ἀπείργουσι.

τὸ δὲ χειροτονηθῆναι αὐτὸν οὐ φέρει βλάβην τῷ χειροτονήσαντι αὐτὸν ἐπισκόπῳ ἐξ ἀγνοίας τοῦ ἁμαρτήματος. ἡ γὰρ σύνοδος ὥρισε τοὺς ἐλεγχομένους ἐπὶ ἐγκλήμασι καὶ μετὰ τὴν χειροτονίαν ἐκβάλλεσθαι. τοῦτο δὲ τῆς ἐν Νικαίᾳ συνόδου πρώτης ἐστὶ κανὼν ἔννατος. τὸ δὲ ἀποταξαμένην ζῶντος τοῦ ἀνδρὸς, τοῦ φάκτου ἐστὶ, διὰ τοῦτο καὶ τὸ, τινὰ, πρόσκειται, ὥσπερ καὶ τὸ, ἐβιάσατο. κἂν γὰρ ἁπλῶς ἄλλῃ συνεφθάρη γυναικὶ μὴ ἀποταξαμένῃ, καὶ οὕτως ἡ καθαίρεσις αὐτῷ ἐπήγετο, κἂν μὴ ἐβιάσατο αὐτήν.

Quòd autem ordinatus sit, id non affert damnum Episcopo, qui eum, peccatum ignorans, ordinavit. Statuit enim synodus, ut qui peccatorum convicti fuerunt, etiam post ordinationem ejiciantur. Id autem est primæ Synodi Nicænæ can. ix. Illud autem; Separatæ vivo marito; facti est, & ideo adjectum est, Alicui, sicut & illud, vim attulit. Licet enim simpliciter cum muliere aliqua, non separata, rem habuerit; sic quoque in eum depositio introducta est, etsi ei vim non attulerit.

ΚΑΝΩΝ γ'.

B

Περὶ δὲ Σοὺρ, ἐπειδὴ ὁ ἐπίσκοπος Ἀπόλλων διεβεβαιώσατο καὶ ἀπεσταλκέναι τοῦτον καὶ ἀλλότριον τῆς ἐκκλησίας πεποιηκέναι, ἔστω οὕτως ὡς ἀπεφήνατο ὁ ἐπίσκοπος, χρωμένου ἐκείνου ταῖς ἐκείναις δικαιολογίαις, εἴγε βούλεται, καὶ μέμφεται τὴν ἀπόφασιν τοῦ ἐπισκόπου.

ΒΑΛΣ. Κληρικὸς ἦν ὁ Σοὺρ τοῦ ἐπισκόπου Ἀπόλλωνος· ὃς ἐπίσκοπος αὐτὸν ἀπεσταλκέναι τοῦ κλήρου διεβεβαιώσατο, ἀντὶ τοῦ ἐκβεβληκέναι. ἔστω οὖν, φησὶ, κατὰ τὴν ἐπ' αὐτῷ κρίσιν τοῦ ἐπισκόπου, τοῦ κλήρου ἀλλότριος. εἰ δὲ αἰτιᾶται τὴν τοῦ ἐπισκόπου ἀπόφασιν, χράσθω ταῖς οἰκείαις δικαιολογίαις παρὰ τῇ συνόδῳ, ἐξ ἧς ἦν πάντως καὶ ὁ ἐπίσκοπος. C

Canon III.

De Sur autem, quia Apollo Episcopus affirmavit se & eum amandavisse, & ab Ecclesia alienum fecisse, ita sit ut pronunciavit Episcopus; utente illo suis defensionibus, si vult, & de Episcopi sententia conqueritur.

Bals. Erat quidem Sur Clericus Episcopi Apollinis, qui Episcopus se eum à Clero amandasse, id est, expulisse, affirmavit. Sit ergo, inquit, secundum Episcopi judicium, quod in ipsum prolatum est, à Clero alienus. Sin autem Episcopi sententiam accusat, utatur suis defensionibus, apud Synodum scilicet, ex qua est etiam Episcopus.

ΚΑΝΩΝ δ'.

Περὶ Πανοὺφ τοῦ καταστάντος διακόνου ἐν τῇ Λυκῷ, δεῖ ζητῆσαι. καὶ εἰ μὲν εὑρεθείη οὗτος, κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον ἐχθεὶς, μενέτω ἐν τῷ κλήρῳ· εἴγε κεκοίμηται ἐκείνη καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐκοινώνησεν αὐτῇ. εἰ δὲ πιστὸς τυγχάνων τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν ἐδέξατο, ἔστω τοῦ κλήρου ἀλλότριος. οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν. D

ΒΑΛΣ. Ὁ Πανοὺφ ἐλέγετο πρὸ τοῦ βαπτισθῆναι τὴν οἰκείαν ἀδελφιδῆν εἰς γυναῖκα λαβεῖν. βαπτισθεὶς δὲ κεχειροτόνητο διάκονος. λέγει οὖν ὁ Θεόφιλος, ὅτι ἐὰν ἡ γυνὴ ἐτελεύτησε, καὶ μετὰ τὸ βάπτισμα οὐκ ἐχρήσατο αὐτῇ, μενέτω διάκονος, ὡς τοῦ ἁγίου βαπτίσματος τὰ πρὸ τούτου καθάραντος ἁμαρτήματα. εἰ δὲ πιστὸς ὢν μετὰ τὸ βάπτισμα ἔσχεν αὐτὴν, ἐκβληθήτω τοῦ κλήρου. E τῷ δὲ ἐξ ἀγνοίας αὐτὸν χειροτονήσαντι ἐκ τούτου βλάβη οὐ προσγενήσεται. τὸ δὲ εἰ κεκοίμηται ἡ γυνὴ, εἶπεν, ὡς οὕτω συμβεβηκέναι λεγόμενον. ἐπείτοιγε κἂν ζῶσα ἦν καὶ μετὰ τὸ βάπτισμα οὐκ ἔγνω αὐτὴν ὁ Πανοὺφ, ἀλλὰ καὶ ἀπεπέμψατο αὐτὴν, ἠδύνατο καὶ οὕτως εἶναι διάκονος.

Canon IIII.

De Panuph, qui in Lyco Diaconus constitutus est, quærere oportet: & si is quidem inventus fuerit, cum esset Catechumenus, fratris sui filiam in matrimonii societatem accepisse, post baptismum in Clerum promotus, in Clero maneat, si illa ex vita migrârit, & post baptismum cum ea rem non habuerit. Sin autem cum esset fidelis eandem fratris sui filiam in matrimonii societatem duxit, sit à Clero alienus. Non est enim Episcopo Apollini præjudicium, si eum per ignorantiam constituit.

Bals. Dicebatur Panuph antequam esset baptizatus fratris sui filiam uxorem duxisse. Baptizatus autem Diaconus ordinatus fuerat. Dicit ergo Theophilus, quòd si mulier è vita excesserit, & post baptismum ea non usus sit, maneat Diaconus; nempe cum sanctus baptismus omnia peccata præcedentia deleat: Sin autem, cum esset fidelis, seu post baptismum, eam habuit, Clero ejiciatur. Ei autem, qui eum insciens ordinavit, præjudicium non afferetur. Illud autem, Si mulier è vita migrârit, dicit, utpote quoniam ita evenisse dicitur. Nam etsi etiam post baptismum vixisset, nec eam Panuph cognovisset, sed ipsam etiam amandâsset; potuisset sic quoque esse Diaconus.

ΚΑΝΩΝ ε'.

Περὶ Ἰακὼβ χρὴ ζητῆσαι. εἰ ἀναγνώστης ἦν, καὶ ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα κεχειροτόνηται οὗτος, ἐκβαλλέσθω, F ἀκριβοῦς ἐξετάσεως γενομένης, καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης. εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ. οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

ΒΑΛΣ. Ἰακώβ τις ἀναγνώστης ἐλέγετο εἶναι, καὶ ἐπὶ πορνείας διαβληθῆναι, καὶ ἐκβληθῆναι τοῦ κλήρου, εἶτα εἰς μείζονα χειροτονηθῆναι βαθμόν. γράφει οὖν ὁ Θεόφιλος, ὅτι ἐξετάσεως ἀκριβοῦς γενομένης ἐὰν εὑρεθῇ ἡμαρτηκὼς, ἐκβληθήτω τοῦ κλήρου.

Canon V.

De Jacob quærere oportet. Si enim Lector erat, & criminis fornicationis fuisse eum obnoxium, ostensum sit, & à Presbyteris sit ejectus, deinde is est ordinatus, ejiciatur; accurata examinatione facta; non autem ex susurris vel maledictis orta in eum suspicione: Sin autem non fuerit inventus crimini obnoxius, maneat in Clero. Neque enim vanis calumniis animum adhibere oportet.

Bals. Jacob quidam Lector fuisse dicebatur, & Clero esse ejectus, & deinde ad majorem gradum fuisse ordinatus. Scribit ergo Theoph. quod diligenti examinatione facta, si eum peccâsse compertum fuerit, Clero ejiciatur.

Non enim oportet ex ſuſurris ſeu clandeſtinis ſermonibus, vel maledictis ſeu apertis conviciis orta ſuſpicione, condemnari aliquem. Quòd ſi cauſa examinata inſons compertus fuerit, maneat in Clero.

CANON VI.

De iis qui ordinandi ſunt hæc erit forma; ut quicquid eſt ſacerdotalis ordinis conſentiat & eligat, & tunc Epiſcopus examinet, vel ei etiam aſſentiente ſacerdotali ordine in media Eccleſia ordinet, præſente populo, & Epiſcopo alloquente, an etiam poſſit ei populus ferre teſtimonium. Ordinatio autem non fiat clanculum. Eccleſia enim pacem habente decet præſentibus ſanctis ordinationes fieri in Eccleſiis. In regione autem ſi qui ſint, qui communicantium animis communicaverint; non aliter ordinentur, quàm iis, qui ſunt verè orthodoxi Clerici, examinantibus, præſente rurſus Epiſcopo, & præſentem populum alloquente; ne intercedat aliqua circunventio.

BALS. De iis qui in Clero ordinandi ſunt dat typum; & dicit, quòd oportet eum qui eſt ordinandus à toto ordine ſacerdotali eligi, hoc eſt, unanimi conſenſu approbari & præferri; & cum ejuſmodi delectus de eo factus fuerit, tunc ipſum ab Epiſcopo examinari, & quando illi quoque homo viſus fuerit aptus ut ordinetur, tunc eum ordinari conſenſu ſacerdotalis ordinis, præſente etiam populo. Cur autem dixit, eum ordinandum conſenſu ſacerdotalis ordinis? Nam cum à ſacerdotali ordine electus eſt, ad ordinationem conſenſus non videtur eſſe neceſſarius. Sed eſt veriſimile poſſe poſt electionem aliquid temporis præteriiſſe, & eos interim qui ordinandum præjudicant reſciviſſe aliquid, quod ejus ordinationem prohibeat: Et ideo dicit ipſos conſentire, & dum ordinatur populum quoque ab Epiſcopo interrogari, an dignus ſit, cui teſtimonium ferant ad ordinationem. Diſſuadet autem, ne fiant ordinationes clandeſtinæ. Cum enim, inquit, pax eſt in Eccleſia; ſcilicet cum nunc non eſt diviſus populus ceſſantibus hæreſibus, ſed ſunt omnes orthodoxæ partis; omnes unius erunt ſententiæ, & oportet in præſentia ſanctorum ſeu fidelium ordinationes fieri in eccleſia. Sanctos autem fideles appellavit, ex ſancto hoc Paulo aſſumens. Ille enim ſic fideles in ſuis epiſtolis appellat. Hæc itaque de iis, qui in urbibus habitant, videtur dicere. De iis autem, qui ſunt in regione, ſeu in vicis, dicit, quòd quoniam multi etiam inviti communicabant hæreticis; eorum autem multi fidelium animis communicabant ſive conveniebant & aſſentiebantur: Si quis eorum ſit ordinandus in Clerum, eum non aliàs ordinandum, quàm cum approbatione Clericorum, quos conſtat eſſe orthodoxos, præſente etiam Epiſcopo, & alloquente populum, ut ſuperiùs dictum eſt. Hæc autem dicit fieri, ne intercedat aliqua circumventio, ſeu fraus & abreptio, & ordinetur aliquis qui non rectè ſentit de fide.

CANON VII.

Quæ in ſacrificii rationem offeruntur, poſt ea quæ in myſteriorum uſum conſumuntur, Clerici dividant, & nec Catechumenus ex iis comedat vel bibat; ſed ſolum Clerici & qui cum eis ſunt fideles fratres.

BALS. Si qua eorum, quæ à fidelibus ad ſacrificium offeruntur, ſuperabundant, poſt ea quæ in Divina Myſteria conſumuntur, Clericis, inquit, oportet ea dividere; ut ab ipſis comedantur ac bibantur, & etiam à fidelibus Laicis: Catechumenis autem nihil ab eis de-

A οὐ δεῖ γὰρ ἐκ ψιθυρισμῶν ἤτοι καταλαλίας λαθραίας, ἢ κακολογιῶν ἤτοι λοιδοριῶν φανερῶν ὑποψίας γινομένης κατακρίνεσθαί τινα. εἰ δὲ τῆς ὑποθέσεως ἐξεταζομένης ἀνεύθυνος εὑρεθείη, μενέτω ἐν τῷ κλήρῳ.

ΚΑΝΩΝ ϛʹ.

Περὶ τῶν μελλόντων χειροτονεῖσθαι αὕτη ἔσται τύπος, ὥστε πᾶν τὸ ἱερατεῖον συμφωνεῖν καὶ αἱρεῖσθαι, καὶ τότε τὸν ἐπίσκοπον δοκιμάζειν, ἢ καὶ συναινοῦντος αὐτοῦ τοῦ ἱερατείου χειροτονεῖν ἐν μέσῃ τῇ ἐκκλησίᾳ, παρόντος τοῦ λαοῦ, καὶ προσφωνοῦντος τοῦ ἐπισκόπου, εἰ καὶ ὁ λαὸς δύναται αὐτῷ B μαρτυρεῖν. χειροτονία δὲ λαθραίως μὴ γινέσθω. τῆς γὰρ ἐκκλησίας εἰρήνην ἐχούσης πρέπει παρόντων τῶν ἁγίων τὰς χειροτονίας ἐπὶ ταῖς ἐκκλησίαις γίνεσθαι. ἐν δὲ τῇ ἐνορίᾳ, εἰ μὲν κοινωνήσαντές εἰσί τινες τῶν τῶν κοινωνησάντων γνώμαις, μὴ ἄλλως χειροτονείσθωσαν, ἀλλὰ τῶν ἀληθῶς ὀρθοδόξων κληρικῶν δοκιμαζόντων, παρόντος πάλιν τοῦ ἐπισκόπου καὶ προσφωνοῦντος παρόντι τῷ λαῷ, ἵνα μὴ μέσον παραδρομή τις γένηται.

ΒΑΛΣ. Περὶ τῶν μελλόντων χειροτονεῖσθαι ἐν κλήρῳ δίδωσι τύπον, καί φησιν, ὅτι δεῖ τὸν μέλλοντα χειροτονεῖσθαι C παρὰ παντὸς ἱερατείου αἱρεῖσθαι, ἀντὶ τοῦ προκρίνεσθαι συμφώνως. οὕτω δὲ προκριθέντα, τότε δοκιμάζεσθαι αὐτὸν παρὰ τοῦ ἐπισκόπου, καὶ ὅτι κἀκείνῳ δόξει ὁ ἄνθρωπος ἐπιτήδειος εἰς χειροτονίαν, τότε χειροτονεῖσθαι συναινέσει τοῦ ἱερατείου, παρόντος καὶ τοῦ λαοῦ. διατί δ' εἶπε, χειροτονεῖν αὐτὸν συναινέσει τοῦ ἱερατείου; ἐπεὶ γὰρ ἐξελέγη παρὰ τοῦ ἱερατείου, ἡ ἐπὶ χειροτονίᾳ συναίνεσις δοκεῖ μὴ ἀναγκαία εἶναι. ἀλλ' εἰκὸς καιρόν τινα μετὰ τὴν ἐκλογὴν παρελθεῖν, καὶ ἐν τῷ μέσῳ γνῶναί τι τοὺς προκρίνοντας τὸν μέλλοντα χειροτονηθῆναι κωλῦον αὐτῷ τὴν χειροτονίαν. διὰ τοῦτο οὖν συναινεῖν αὐτοὺς κεχειροτονημένου αὐτοῦ εἶπε, καὶ τὸν ἐπί- D σκοπον καὶ τότε προσφωνεῖν τῷ λαῷ, ἐρωτῶντα εἰ μαρτυρεῖ αὐτὸν πρὸς χειροτονίαν ἄξιον. λαθραίας δὲ χειροτονίας γίνεσθαι ἀποτρέπει. ἐπεὶ γάρ, φησι, εἰρήνη ἐστὶ παρὰ τῇ ἐκκλησίᾳ, ἤγουν ἐπεὶ νῦν οὐ μεμέρισται ὁ λαὸς παυθεὶς τῶν αἱρέσεων, ἀλλὰ πάντες τῆς ὀρθοδόξου μοίρας εἰσί, πάντες μιᾶς ἔσονται γνώμης, καὶ δεῖ παρουσίᾳ τῶν ἁγίων ἤτοι τῶν πιστῶν τὰς χειροτονίας γίνεσθαι ἐπ' ἐκκλησίας. ἁγίους δὲ τοὺς πιστοὺς ἐκάλεσεν, ἐκ τοῦ θεσπεσίου Παύλου τοῦτο παραλαβών. οὕτω γὰρ κἀκεῖνος ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ τοὺς πιστοὺς ὀνομάζει. ταῦτα μὲν οὖν περὶ τῶν ἐν πόλεσιν ὄντων ἔοικε λέγειν. περὶ δὲ τῶν ἐν τῇ ἐνορίᾳ, ἤτοι τῶν ἐν τῇ χώρᾳ, E φησίν, ὅτι ἐπεὶ πολλοὶ τοῖς αἱρετικοῖς ἐκοινώνουν καὶ ἄκοντες, τῶν τοιούτων δὲ πολλοὶ τῶν πιστῶν ἐκοινώνουν ταῖς γνώμαις, ἤγουν συγκατέβαινον καὶ συνῄνουν· εἰ ἐκ τούτων μέλλει τις χειροτονεῖσθαι εἰς τὸν κλῆρον, μὴ ἄλλως χειροτονεῖσθαι, εἰ μὴ μετὰ δοκιμασίας τῶν ὁμολογουμένως ὀρθοδόξων κληρικῶν, παρόντος καὶ τοῦ ἐπισκόπου, καὶ προσφωνοῦντος τῷ λαῷ, ὡς ἄνωθεν εἴρηται. ταῦτα δὲ λέγει γίνεσθαι, ἵνα μὴ μέσον γένηται τις παραδρομή, ἤγουν ἀπάτη καὶ συναρπαγή, καὶ χειροτονηθῇ τις μὴ ὑγιῶς ἔχων περὶ τὴν πίστιν.

ΚΑΝΩΝ ζʹ.

F Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανειμάσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί.

ΒΑΛΣ. Εἴ τινα περιττεύουσι τῶν εἰς θυσίαν προσαγομένων παρὰ τῶν πιστῶν, μετὰ τὰ δαπανώμενα εἰς τὰ θεῖα μυστήρια, τοῖς κληρικοῖς δεῖν ταῦτα, φησι, διανέμεσθαι, ὥστε παρ' αὐτοῖς ἐσθίεσθαι καὶ πίνεσθαι, καὶ παρὰ τῶν πιστῶν λαϊκῶν· τοῖς δὲ κατηχουμένοις μηδὲν ἐξ αὐτῶν δίδοσθαι.

θαι. ἐπεὶ γὰρ προσήχθησαν τῷ θυσιαστηρίῳ, καὶ ἐξ αὐτῶν μερίδες ἐλήφθησαν εἰς τὰ θεῖα δῶρα, κἀκεῖνα ἡγιάσθησαν, πῶς ἐκ τούτων τοῖς ἀτελεστέροις δοθήσονται δαπανηθησόμενα; τὰ δὲ εἰς θυσίαν προσαγόμενα, ἄρτος καὶ οἶνος εἰσίν. ἕτερον γάρ τι προσάγεσθαι εἰς θυσιαστήριον οὐκ ἐφεῖται. ἀνάγνωθι τὸν γ΄. ἀποστολικὸν κανόνα, καὶ τῆς ἐν τῷ Τρούλλῳ συνόδου τῆς λεγομένης ϛ΄. κανόνα κη΄.

ΚΑΝΩΝ η΄.

Ἐπειδὴ Ἱέραξ τόνδε, ὡσανεὶ ἐπὶ πορνείᾳ διαβαλλόμενον, οὐκ ὀφείλειν λέγει ἐν τῷ κλήρῳ εἶναι, ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίσατο τηνικαῦτα, μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξεταζέσθω καὶ οὗτος· καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγκλημα ἀποδείκνυται, φερομένων ἀξιοπίστων μαρτύρων, τῆς ἐκκλησίας ἐκβαλλέσθω· εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

ΒΑΛΣ. Ἐχειροτονήθη τις κληρικὸς, εἶτα διεβλήθη ὡς πορνεύσας. ἔλεγεν οὖν Ἱέραξ τις, μὴ δεῖν αὐτὸν ἐν κλήρῳ εἶναι· ὁ δὲ χειροτονήσας αὐτὸν διϊσχυρίζετο, ἤτοι ἐνίστατο, μὴ κατηγορηθῆναι αὐτὸν παρά τινος. ἔφη οὖν ὁ Θεόφιλος, ὅτι ἐξετασθήτω ὁ ἄνθρωπος, καὶ εἰ μὲν εὑρίσκεταί τις κατήγορος πίστεως ἄξιος ἤγουν δεκτὸς εἰς κατηγορίαν (οὐ γὰρ παντὶ ἐφεῖται κατηγορεῖν ἱερωμένων, κατὰ τὸν ϛ΄. κανόνα τῆς δευτέρας οἰκουμενικῆς συνόδου, καὶ τὸν κανόνα κα΄. τῆς δ΄. οἰκουμενικῆς συνόδου) ἐκβληθήτω τῆς ἐκκλησίας μετὰ ἀπόδειξιν· εἰ δὲ οὐδὲν τοιοῦτον ἀποδείκνυται, μενέτω ἐν τῷ κλήρῳ.

ΚΑΝΩΝ θ΄.

Ὥστε γνώμῃ παντὸς ἱερατείου οἰκονόμον ἀποδειχθῆναι ἕτερον, ἐφ' ᾧ συντέθειται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων πρὸς τὸ τὰ τῆς ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

ΒΑΛΣ. Ὁ αὐτὸς γνώμην ἔδωκε κρίσει παντὸς τοῦ ἱερατείου τὸν οἰκονόμον τῆς ἐπισκοπῆς γίνεσθαι, εἰ καὶ ὁ ἐπίσκοπος συγκατατίθεται τῇ κρίσει τοῦ κλήρου. γίνεσθαι δὲ οἰκονόμον, ἵνα τὰ τῆς ἐκκλησίας εἰς δέον δαπανῶνται φροντίδι ἐκείνου. τὴν δὲ εἰς δέον δαπάνην, τὸ ἑξῆς δηλοῖ κεφάλ. ἥτις ἐστὶ, τὰ εἰς χήρας καὶ ξένους καὶ πένητας ἀναλώματα. ἰδιοποιεῖσθαι γὰρ τὰ τῆς ἐκκλησίας τινὶ οὐκ ἐφεῖται, ὅτι ἀφιλάργυρον δεῖ εἶναι τὸν λειτουργὸν τοῦ θεοῦ, καὶ οὐδὲ εἰς οἰκείαν χρῆσιν τοῖς τῆς ἐπισκοπῆς πράγμασι κεχρῆσθαι τῷ ἐπισκόπῳ συγκεχώρηται, εἰ μὴ εἰς τὰ πάνυ ἀναγκαῖα, καὶ τότε ὅτε οἴκοθεν οὐκ εὐπορεῖ τούτων ὁ ἐπίσκοπος, κατὰ τὸν μα΄. κανόνα τῶν ἁγίων Ἀποστόλων. ζητεῖ τὰ ἐν ἐκείνῳ γεγραμμένα, καὶ τὸν κδ΄. κανόνα τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΚΑΝΩΝ ι΄.

Χῆραι καὶ οἱ πένητες καὶ οἱ παρεπιδημοῦντες ξένοι πάσης ἀναπαύσεως ἀπολαυέτωσαν, καὶ μήτις τὰ τῆς ἐκκλησίας ἰδιοποιείσθω.

tur. Quia enim altari oblata ſunt, & ad Divina dona ex illis partes quædam ſumptæ atque ſanctificatæ fuêre; quomodo iis qui ſunt imperfectiores dabuntur conſumenda? Quæ autem ad ſacrificium offeruntur, ſunt panis & vinum: nihil enim aliud ad altare offerri permittitur. Lege iii. canon. Apoſt. & ſynod. in Trullo, quæ dicitur ſexta, canon. xxviii.

Canon VIII.

Quoniam Hierax dicit quendam non debere eſſe in Clero, ut qui ſit fornicationis delatus; Apollo autem Epiſcopus tunc affirmavit, nullum accuſatorem adverſus eum in medium proceſſiſſe: hic quoque examinetur: & ſi aliquis quidem accuſator fide dignus exoritur, & crimen probatur productis fide dignis teſtibus, Eccleſia ejiciatur: ſin autem dignus eſt Clero, & de ejus continentia teſtimonium feratur, in eo maneat.

Bals. Quidam ordinatus eſt clericus, deinde, tanquam qui fornicatus eſſet, accuſatus eſt. Dicebat ergo quidam Hierax, non oportere eum in Clero eſſe: is autem, qui eum ordinaverat, affirmabat, ſeu inſtabat, eum non eſſe ab aliquo accuſatum. Dicit ergo Theophilus; Homo examinetur, & ſi invenitur quidem aliquis accuſator fide dignus, ſeu qui ſit ad accuſandum admittendus (non enim cuivis permittitur accuſare eos qui ſunt in ſacris, ut vult vi. can. ii. Syn. Oecumenicæ, & xxi. iiii. univerſalis Syn.) Eccleſia ejiciatur poſt probationem: Sin autem nihil tale probetur, maneat in Clero.

Canon IX.

Ut totius ſacerdotalis ordinis ſententia alius renuncietur Oeconomus, in quo Apollo quoque Epiſcopus conſenſit, ut bona Eccleſiæ in ea quæ oportet impendantur.

Bals. Idem tulit ſententiam, totius ſacerdotalis ordinis judicio fieri debere Epiſcopatûs Oeconomum, ſi etiam Epiſcopus aſſentiatur Cleri judicio. Fieri autem Oeconomum, ut bona eccleſiæ illius cura in ea quæ oportet impendantur. Quid ſit autem in ea quæ oportet impendere ſequens docet caput, quod eſt impendere in viduas, hoſpites & pauperes. Nemini enim permittitur bona Eccleſiæ in proprios uſus transferre; quippe quod oportet Dei miniſtrum eſſe ab avaritia alienum: & nec ad uſum proprium uti rebus Epiſcopatûs Epiſcopo conceditur; niſi ad ea quæ ſunt omnino neceſſaria, & tunc demum quando ei domi deſunt facultates; ſecundum xli. can. ſanctorum Apoſtolorum. Quære quæ in eo ſcripta ſunt, & xxiiii. can. Syn. Antiochenæ.

Canon X.

Viduæ & pauperes & peregrinantes hoſpites omni quiete fruantur, & nemo ea, quæ ſunt Eccleſiæ, ut ſua uſurpet.

A

EJUSDEM NARRATIO
De iis qui dicuntur Cathari.

Declaravit mihi tua pietas, quòd quidam eorum qui ſe Catharos nominant, volunt ad Eccleſiam accedere. Quoniam ergo magna Synodus, quæ Nicææ habita eſt à ſanctis Patribus noſtris, ſtatuit, ut ordinentur qui accedunt; velis juxta hanc formam eos qui ad eccleſiam accedere volunt ordinare; ſi quidem vita eorum recta B *eſt, & nihil eis adverſatur.*

Bals. De Novatianis interrogatus eſt, (Hi enim ſunt qui etiam Cathari dicuntur) & reſponſum eſt, quòd ſi ad Dei Eccleſiam accedunt, quia magna & prima Nicæna Synodus ſtatuit, ut ii ordinentur; fac tu quoque ſecundum hanc formam ſive ſecundum iſtum canonem, & ordina eos qui accedunt; niſi aliquod impedimentum ex vita eorum adverſetur. De Novatianis autem canon eſt octavus primæ Synodi.

ΤΟΥ ΑΥΤΟΥ ΑΦΗΓΗΣΙΣ ΠΕΡΙ τῶν λεγομένων Καθαρῶν.

ΔΕΔΗΛΩΚΕ μοι ἡ σὴ εὐλάβεια, ὡς τινὲς τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς, προσελθεῖν βούλονται τῇ ἐκκλησίᾳ. ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων πατέρων ἡμῶν, ὥρισεν, ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ ἐκκλησίᾳ χειροτονεῖν, εἴγε ὁ βίος αὐτῶν ὀρθός ἐστι καὶ μηδὲν τούτοις ἀντίκειται.

ΒΑΛΣ. Περὶ Ναυατιανῶν ἠρωτήθη (οὗτοι γάρ εἰσιν οἱ λεγόμενοι Καθαροί.) καὶ ἀπεκρίθη, ὅτι εἰ προσέρχονται τῇ ἐκκλησίᾳ, ἐπεὶ ἡ μεγάλη σύνοδος ἡ ἐν Νικαίᾳ, ἤγουν ἡ πρώτη, ὥρισε χειροτονεῖσθαι αὐτοὺς, ποίει καὶ σὺ κατὰ τὸν τύπον, ἤτοι κατὰ τὸν κανόνα τοῦτον, καὶ χειροτόνει τοὺς προσερχομένους, εἰ μή τι κώλυμα ἀπὸ τοῦ βίου αὐτῶν αὐτοῖς ἐναντιοῦται. ὁ δὲ περὶ τῶν Ναυατιανῶν κανὼν ὄγδοος ἐστὶ τῆς πρώτης συνόδου.

C

EJUSDEM AGATHONI
Epiſcopo.

Maximus aſſeruit ſe Eccleſiæ leges ignorantem illicito matrimonio conjunctum eſſe, & quia hoc eum male habet quod non recte & ex ordine agat, affirmavit, qui contra leges fecit per ignorantiam, ſe ab illicita vitæ ſocietate ex conſenſu abſtenturum, illa etiam hoc volente. Si ergo probaveris, quod hoc ex conſenſu faciant, & non fallant, quia eſt tempus decennale; ſi conſideres D *eos debere verſari cum Catechumenis, nunc eos ſic diſpenſa. Sin autem vides quod decipere velit, & acerbitate adhuc in eos opus ſit; fac id quod Deus tibi ſuggeſſerit; id ſemper ſequens quod in uſu eſt vimque obtinet. Nam cum iis ſis in locis, eorum mentes melius noſſe potes.*

Bals. Maximus quidam, ut illicito matrimonio mulieri conjunctus ſegregatus fuerat, & à congregatione cum fidelibus prohibebatur. Is verò dicebat ſe per ignorantiam feciſſe contra leges, & paratum eſſe ab hoc E matrimonio recedere, muliere etiam volente: & petebat, ut ab ea abſcedens admitteretur. Ad hæc ergo dicit Theophilus, quòd ſi inquirens inveneris eos ex conſenſu, hoc eſt, communi conſilio, à matrimonio abſiſtere, & non fallere, cùm decem annis ſimul cohabitarint, difficilis forſan iis exiſtimari poſſet à ſe invicem disjunctio, & ne fallant: Si conſideras, hoc eſt, ſi judicas eos ſtare debere cum Catechumenis, nunc, id eſt, in præſentia, ſic eos diſpenſa. Quod ſi intellexeris, inquit, quòd per fraudem hæc dicunt, & quòd adhuc acerbitate indigent, ſeu acerbioribus pœnis; fac quod Deus tibi ſuggeſſerit, hoc eſt, tuæ menti inſpiraverit, quod in F animum immiſerit Deus; ſemper id quod eſt in uſu & quod vires obtinet ſequens, id eſt, quod magis eſt ratum ac validum.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΑΘΩΝΙ
Ἐπισκόπῳ.

ΑΓΝΟΩΝ τοὺς τῆς ἐκκλησίας νόμους Μάξιμος, διϊσχυρίσατο παρανόμως συμβιώσῃ συναφθῆναι· καὶ ἐπειδὴ θορυβεῖ αὐτὸν τὸ ἀσύντακτον εἶναι, διεβεβαιώσατο, ἐπειδὴ ἀγνοίᾳ τὸ παράνομον ἔδρασεν, ἐκ συμφώνου ἀπέχεσθαι τῆς παρανόμου συμβιώσεως, κἀκείνης ἀγαπώσης τοῦτο. ἐὰν δὲ τοίνυν δοκιμάσῃς, ὅτι τοῦτο ποιοῦσιν ἐκ συμφώνου καὶ μὴ ἀπατῶσιν, ἐπειδὴ δεκαετής ἐστιν ὁ χρόνος, εἰ σκοπεῖς μετὰ τῶν κατηχουμένων αὐτοὺς συνάγεσθαι, πῶς οὕτω διοίκησον. εἰ δὲ συνορᾷς, ὅτι ἀπατῆσαι βούλεται, καὶ δεῖται τὰ κατ᾽ αὐτοὺς ἐπιστύψεως, ὅπερ ὁ θεὸς ὑποβάλῃ σοι, τοῦτο ποίησον, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος. ἐπὶ γὰρ τῶν τόπων τυγχάνων τὰς γνώμας αὐτῶν μᾶλλον εἰδέναι δύνασαι.

ΒΑΛΣ. Μάξιμός τις, ὡς παρανόμῳ γάμῳ συναφθεὶς γυναικὶ, ἀφωρίσθη, καὶ τῆς συνάξεως τῆς μετὰ τῶν πιστῶν εἴργετο. ὁ δὲ ἔλεγεν, ὅτι ἐν ἀγνοίᾳ ἐποίησε τὸ παράνομον, καὶ ἕτοιμός ἐστιν ἀποστῆναι τοῦ γάμου, τοῦτο καὶ τῆς γυναικὸς βουλομένης· καὶ ἐζήτει ἀφιστάμενος δεχθῆναι. πρὸς ταῦτα οὖν ἔφη ὁ Θεόφιλος, ὡς ἂν ἐξετάσας εὑρήσῃς, ὅτι ἐκ συμφώνου, ἀντὶ τοῦ ἐκ κοινῆς βουλῆς, ἀφίστανται τοῦ γάμου, καὶ οὐκ ἀπατῶσι, δεκαετίαν συνοικήσαντες ἀλλήλοις, δυσχερὴς ἴσως ἂν λογίζοιτο αὐτοῖς ἡ διάζευξις, καὶ μήποτε ἀπατῶσιν. εἰ σκοπεῖς, ἀντὶ τοῦ εἰ κρίνεις μετὰ τῶν κατηχουμένων αὐτοὺς ἵστασθαι πῶς, ἤγουν πρὸς τὸ παρὸν, οὕτως αὐτὸν οἰκονόμησον. εἰ δὲ νοεῖς, φησιν, ὅτι κατὰ ἀπάτην λέγουσι ταῦτα, καὶ ὅτι ἔτι δέονται στύψεως, ἤτοι αὐστηροτέρων ἐπιτιμίων, ποίησον ὅπερ ἂν ὁ θεὸς ὑποβάλῃ σοι, ἀντὶ τοῦ ἐνηχήσῃ τῷ λογισμῷ σου, ὅπερ ὁ θεὸς ἐνθυμήσει σε, πανταχοῦ πρὸς τὸ ἐπέχον ὁδηγούμενος, ἤτοι πρὸς τὸ ἐπικρατοῦν ἢ τὸ κατεπεῖγον.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΑ ΕΠΙΣΚΟΠΩ.

ΝΟΜΙΜΟΝ πρᾶγμα πεποιήκασιν οἱ πρεσβύτεροι ἐν Γεμίνῳ τῇ κώμῃ, εἰ ἀληθεύει ἡ κομίζουσα τὸ γράμμα Εὐσταθίου. φάσκει γὰρ, ὅτι Κυράδιον ἀδικοῦσαν καὶ μὴ βουλομένην ἀναστεῖλαι τὴν ἀδικίαν, ἐχώρισαν τῆς συνάξεως. ἐπειδὴ τοίνυν εὗρον, ὡς τὸ ἑαυτῆς κακὸν θεραπεύουσα βούλεται συναχθῆναι, θέλησον παρασκευάσαι αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, καὶ πεῖσαι μετανοῆσαι, ἵν᾽ οὕτως εἰ συνίδῃς ὅτι νόμῳ θεοῦ προσέρχεται τῆς συνά- B ξεως ὀρεγομένη, ἐπιτρέψῃς αὐτὴν μετὰ τῶν λαῶν συνάγεσθαι.

ΒΑΛΣ. Γυναῖκά τινα Κυράδιον λεγομένην καὶ ἀδικοῦσαν οἱ ἐν Γεμίνῳ πρεσβύτεροι ἀφώρισαν τῆς ἐκκλησίας, μὴ ἀπεχομένην τῆς ἀδικίας. ἡ δὲ, διὰ τὸν ἀφορισμὸν, ὑπισχνεῖτο θεραπεῦσαι τὴν ἀδικίαν, καὶ ἤθελε δεχθῆναι. γράφει οὖν ὁ Θεόφιλος πρὸς τὸν τῆς χώρας ἐπίσκοπον, ὅτι παρασκεύασον αὐτὴν ἀποθέσθαι πρῶτον τὴν ἀδικίαν, ἤγουν ἀποδοῦναι ἃ ἀδίκως ἐκτήσατο, καὶ μετανοῆσαι, ἀντὶ τοῦ ἐπὶ τῇ ἁμαρτίᾳ τῆς ἀδικίας μεταμεληθῆναι, καὶ δεηθῆναι τοῦ C θεοῦ ἀφεθῆναι αὐτῇ τὸ ἁμάρτημα. καὶ ταῦτα ποιησάσης αὐτῆς, εἰ συνίδῃς, τουτέστι, γνῶς ὅτι νόμῳ θεοῦ προσέρχεται, ἤγουν συνειδήσει ἀγαθῇ μὴ ἀνεχομένη κεχωρίσθαι τῆς τῶν πιστῶν συνάξεως, διὰ τὸν θεὸν καὶ μὴ δι᾽ αἰσχύνην ἀνθρώπων, τότε ἐπίτρεψον αὐτῇ τὴν μετὰ τῶν πιστῶν λαῶν σύναξιν καὶ σύστασιν ἐν τοῖς ὕμνοις.

EJUSDEM MENÆ EPISCOPO.

REM juſtam fecerunt Presbyteri in Gemino pago, ſi verum dicit, quæ defert literas Euſtathii. Dicit enim, quod Cyradium facientem injuriam, nec ab eo deſiſtere volentem, à communione ſeparaverunt. Quia ergo inveni, quod ſuo malo curam adhibens vult communicare; fac ea ita ſe comparet, ut injuriam primum deponat, & pœnitentiam agere in animum inducat, ut ſi ſic intellexeris, quod accedit, communionem deſiderans, permittas ei ut cum populis communicet.

B A L S. Mulierem quandam, quæ Cyradium appellabatur, & injuriam ante faciebat, qui erant in Gemino Presbyteri ab Eccleſia ſeparaverant, cum ab injuria non abſtineret. Illa vero propter ſegregationem pollicebatur ſe injuriæ remedium allaturam, & ad communionem admitti volebat. Scribit ergo Theophilus ad Epiſcopum regionis: Fac ut ea primum deponat injuriam, hoc eſt, reddat ea quæ injuſtè acquiſivit, & pœnitentiam agat, id eſt, ſe injuriam feciſſe ægre ferat, & Deum oret ut ſibi peccata condonentur. Et cum hæc fecerit, ſi intellexeris, hoc eſt, ſi cognoveris, quòd lege Dei accedit, ſeu bona conſcientia, quæ non fert ſe à fidelium communione eſſe ſeparatam, propter Deum, & non propter hominum pudorem; tunc ei permittes cum fidelibus populis communicare & in hymnis conſiſtere.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ κανονικὴ ἐν τοῖς Ὕμνοις. D

ΚΥΡΙΛΛΟΣ ΠΡΟΣ ΔΟΜΝΟΝ.

Ἕκαστα τῶν καθ᾽ ἡμᾶς πραγμάτων, ὅταν εὐθὺ φέρηται κανονικῆς εὐταξίας, οὐδένα μὲν ἡμῖν ἐντίκτει θόρυβον, ἀπαλλάττει δὲ καὶ τῆς παρά τινων δυσφημίας, μᾶλλον δὲ καὶ τὰς παρὰ τῶν εὖ φρονέντων εὐφημίας ἡμῖν προξενεῖ. τίς γὰρ ἂν οὐκ ἂν ἀποδέξαιτο ψῆφον ἀπροσκλινῆ εἴπερ ἂν γίνοιτο παρά τινων; ἢ πῶς τὸ κρίνειν ὀρθῶς καὶ ἐννόμως οὐκ ἀνεπίπληκτον ἔσται, μᾶλλον δὲ παντὸς ἐπαίνου μεστόν; E καὶ ταῦτα γράφω νυνὶ, τῆς σῆς θεοσεβείας ἐν τοῖς ἑαυτῆς γράμμασι, τοῖς σταλεῖσι πρὸς ἐμέ τε καὶ τὸν ὁσιώτατον καὶ θεοσεβέστατον ἀδελφὸν ἡμῶν καὶ συνεπίσκοπον Πρόκλον, ἐπίσκοπον μὲν ὀνομαζούσης τὸν εὐλαβέστατον καὶ θεοφιλέστατον Πέτρον· αὐτοῦ δὲ κλαίοντος, καὶ τῆς ἐκνημηθείσης αὐτοῦ ἐκκλησίας παραλόγως κεκινῆσθαι λέγοντος. ἦν δ᾽ ἀκόλουθον, ἢ τὸ τῆς ἱερωσύνης ὄνομα μετὰ τοῦ πράγματος ἔχειν αὐτὸν, ἤγουν εἴπερ μὴ ἦν ἄξιος τοῦ προεστάναι θείου θυσιαστηρίου, μηδ᾽ αὐτῇ τιμᾶσθαι τῇ κλήσει τῆς ἐπισκοπῆς. ἀλλ᾽ ἴσως δόξειεν ἂν τῇ σῇ θεοφιλίᾳ σκληρός εἶναί τις καὶ ἀφιλάλληλος ὁ παρ᾽ ἐμοῦ λόγος. ἔχει δὲ οὐχ οὕτως κατὰ τὸ ἀληθές. F ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην, μόνην αὐτῷ τὴν κλῆσιν ἀφέντες· μακρῷ δὲ ἦν ἄμεινον ἐννοῆσαι καὶ τὸ ἕτερον. φάσκει γὰρ δύνασθαι μὲν συστῆναι τῇ οἰκείᾳ ὑπολήψει· οὐ λαβεῖν δὲ καιρὸν ἀπολογίας, οὔτε μὴν ἀκρόασιν αὐτῷ προτεθῆναι κανονικήν. εἰ δ᾽ ἐγεγόνει τι τοιοῦτον, αὐτὴ τῶν ὑπομνημάτων ἡ σύστασις διήλεγξεν ἂν αὐτὸν, ἢ ἁλόντα τοῖς αἰτιάμασιν, ἢ ἔνοχον ἀποπεφασμένον καὶ οὐδὲν ἔχοντα λοιπὸν εἰπεῖν ὡς ἠδικημένον, ἢ γοῦν ἐλεύθερον ἀποφήνασα, πάλιν ἐδίδου

BEATI NOSTRI PATRIS CYRILLI Archiepiſcopi Alexandrini Epiſtola Canonica in Hymnis.

CYRILLUS AD DOMNUM.

UNaquæque res noſtra, quando ordine canonico rectà procedit, nullum quidem in nobis tumultum ingenerat; ſed & à nonnullorum maledicentia liberat, vel potius eorum qui ſapiunt bona verba laudéſq; nobis conciliat. Quis enim non admittat ſententiam nec huc nec illuc inclinantem, ſi ab aliquibus proferatur? Vel quomodo non ſit ab omni reprehenſione alienum, vel potius magnopere laudandum, ſi rectè & juſtè judicetur? Et hæc quidem nunc ſcribo, cum tua Pietas in ſuis literis, ad me & ad ſanctiſſimum religioſiſſimumque fratrem noſtrum & Coëpiſcopum Proclum miſſis, Epiſcopum quidem nominet imprimis pium ac religioſum Petrum: ipſe vero defleat, & ſe poſſeſſa ſibi Eccleſia præter rationem ejectum eſſe dicat. Erat autem conſentaneum, ut vel ſacerdotii nomen cum re haberet, vel ſi non erat dignus ut Altari præeſſet, nec ipſa quidem Epiſcopi appellatione dignus haberetur. Sed id fortaſſe, quod dico, durum eſſe, & à mutua commiſeratione diſjunctum tuæ pietati videatur. Res autem revera non ita ſe habet. Nos enim ſenis utique nos miſereri putamus, ſi ſolum ei nomen reliquerimus. Sed multo melius erat aliud quoque conſiderare. Dicit enim ſe ſuam quidem poſſe cauſam probare; ſed defenſionis tempus ſibi non eſſe datum, nec auditionem canonicam ſibi fuiſſe propoſitam. Sin autem tale quid factum eſſet, ipſa actorum productio eum propter ſua crimina condemnatum vel obnoxium, nec eſſe quod ſe injuria affectum eſſe diceret; vel eum abſolutum pronuncians rurſus concederet,

ut præeſſet Eccleſiæ, eáque illius manui poteſtatíque ſubeſſet. Cum autem nihil factum ſit ejuſmodi, de re quidem alta voce queritur, & intolerabilem injuriam ſe dicit accepiſſe & inique ejectum eſſe, adjiciens, omnes quoque quas habebat res eſſe ſibi ſublatas. Tua itaque pietas ſciens, & quod Divinis canonibus videtur, & quod Eccleſiæ convenit, iiſque qui ſunt in ſacro miniſterio initiati, & noſtrarum præterea literarum aliquam rationem ducens; reprimat ſenis lachrymas. Et ſi velit quidem cum iis judicio contendere, qui crimina in eum intendunt, pro tuæ pietatis conſuetudine litiget; una adſiſtentibus ſcilicet qui tibi ſubjecti ſunt Epiſcopis: præterquam ſi non aliquos recuſat ut ſuſpectos. Nullum enim religioſiſſimorum Epiſcoporum in fratrem inimico eſſe animo credimus. Ne autem hic prætextus futurum de eo judicium diſſolvat, ut non jure factum eſſe videatur, non grave eſt à conſeſſu abeſſe eos qui ſuſpecti ſunt.

Bals. Proœmium Epiſtolæ hunc habet ſenſum. Dicit ſanctus; Res noſtræ, ſcilicet Eccleſiaſticæ, vel ſimpliciter humanæ, quando canonica rectitudine procedunt, nec nobis tumultum ingenerant, nec aliquorum maledicta, ſed laudes nobis potius conciliant. Judicium enim, quod nec huc nec illuc inclinat nec propendet, ſed eſt rectiſſimum, eſt ab omnibus ſuſcipiendum; & non ſolum non eſt à vituperatione & accuſatione alienum, reprehenſione indignum, rectè judicare; ſed etiam laudandum. Hoc uſus proœmio dicit; Hæc ſcribo, quia tu ad nos miſiſti, religioſiſſimum Presbyterum Epiſcopum nominans: cum ipſe interim defleat, & dicat ſe à poſſeſſa ſibi Eccleſia ejectum eſſe, ſeu à ſibi dato Epiſcopatu expulſum. Erat autem conſentaneum, ut vel nomen haberet Epiſcopi, & rem, ſeu Epiſcopatum & Epiſcopi munus: vel ſi non erat dignus qui altari præeſſet, nec Epiſcopus quidem diceretur. Sed fortaſſe id, quod dictum eſt, tibi videatur durum, & ego quoque, qui id dico, immiſericors: ſed non ita eſt. Nos enim ſenis utique nos miſereri putamus. Orationem autem pluraliter enunciat, tanquam de ſe ipſo quoque dicens quæ dicit, ut ſic minus eſſet moleſta oratio, & non ad ejus ſolius inſectationem facta eſſe videretur. Et nobis ipſius veluti miſerantibus, inquit, ſola ipſi Epiſcopi appellatio relicta eſt. Multo autem erat melius aliud quoque conſiderare. Quale illud? Non fuiſſe ei datum tempus defenſionis, nec fuiſſe propoſitam defenſionem canonicam, ſeu ſynodale judicium. Dicit enim ſe poſſe cauſam ſuam probare, id eſt, ſe innocentem oſtendere. Sin autem hæc facta eſſent, ipſa acta, quæ in examinatione facta ſunt, ipſum vel eſſe evictum & criminibus obnoxium, nec poſſe ſe injuria affectum eſſe dicere oſtenderent; vel ſi innocens apparuiſſet, ei conceſſum eſſet, ut rurſus præeſſet Eccleſiæ. Quia autem nihil tale factum eſt, ſe injuria affectum eſſe vociferatur, & præter leges ejectum, dicens quaſcunque etiam habebat pecunias ablatas. Tu ergo, ſcribit ſanctus ad Domnum, qui ſcis & divinos canones, & quod convenit Eccleſiæ, & Dei miniſtris, nempe juſtè agere, noſtrarum etiam literarum rationem ducens, reprime ſenis lachrymas; & ſi velit cum ſuis accuſatoribus judicio contendere, apud te & qui tibi ſubſunt Epiſcopos litiget: Sin autem Epiſcoporum aliquos ſuſpectos habeat, ut non bene in ipſum affectos, & eos recuſet; illi in judicio non adſint. Nos enim, inquit, nullum Epiſcopum inimicitias habere adverſus fratrem credimus, nec propterea vetamus ne illi nobiſcum unà judicent: ſed ne hoc ſit occaſio, quominus ipſe in judicio cauſam non agat, illi à conſeſſu recedant.

A τὸ προεστάναι τῆς ἐκκλησίας, ἢ καὶ ὑπὸ χεῖρα γίγνεσθαι αὐτοῦ. οὐδενὸς δὲ πεπραγμένου τοιούτου, καταβοᾷ τοῦ πράγματος, καὶ ἀδικίαν ἀφόρητον ὑποστῆναί φησι, καὶ ἀθέσμως ἐκβεβλῆσθαι, προσεπάγων, ὅτι καὶ ἡρπάγη πάντα τὰ προσόντα αὐτῷ πράγματα. ἡ σὴ τοιγαροῦν ὁσιότης ἐννοοῦσα, καὶ τὸ τοῖς θείοις κανόσι δοκοῦν καὶ τὸ πρέπον τῇ ἐκκλησίᾳ καὶ τοῖς τεταγμένοις εἰς ἱερὰν λειτουργίαν· ἔτι τε πρὸς τούτοις καὶ τὰ παρ' ἡμῶν δυσωπηθεῖσα γράμματα, στησάτω τοῦ πρεσβύτου τὸ δάκρυον. καὶ εἰ μὲν ἕλοιτο δικάσασθαι πρὸς τοὺς ἐπάγοντας αὐτῷ τὰς αἰτίας, δικαζέσθω κατὰ τὸ εἰωθὸς ἐπὶ τῆς σῆς θεοσεβείας· συμπαρόντων δηλονότι τῶν ὑπὸ τὴν αὐτῆς χεῖρα θεοσεβεστάτων B ἐπισκόπων· ἐκτὸς εἰ μὴ παραιτοῖτο τινὰς ὡς ὑπόπτους. οὐδένα μὲν γὰρ τῶν θεοσεβεστάτων ἐπισκόπων ἔχθρα φρονεῖν ἀδελφῷ πιστεύομεν. ἵνα δὲ μὴ πρόφασις αὕτη γένηται τὴν ἐσομένην ἐπ' αὐτῷ κρίσιν παραλύουσα, πρὸς τὸ μὴ ἐν δίκῃ πεποιῆσθαι δοκεῖν, οὐδέν ἐστι τὸ λυποῦν ἀπεῖναι τοῦ συνεδρίου τῶν ἐν ὑποψίᾳ τινάς.

ΒΑΛΣ. Τὸ προοίμιον τῆς ἐπιστολῆς τοιαύτης ἐστὶν ἐννοίας. φησὶν ὁ ἅγιος, ὅτι τὰ καθ' ἡμᾶς πράγματα, τὰ ἐκκλησιαστικὰ δηλονότι, ἢ ἁπλῶς τὰ ἀνθρώπινα, ὅταν C κατ' εὐθύτητα κανονικὴν διεξάγωνται, οὔτε θόρυβον ἡμῖν ἐπάγουσιν, οὔτε δυσφημίαν παρά τινων· ἀλλὰ μᾶλλον ἐπαίνους ἡμῖν προξενεῖ. ἡ γὰρ ἀπροσκλινὴς κρίσις ἢ ἀρρεπὴς, ἡ εὐθυτάτη, πᾶσιν ἐστὶν ἀποδεκτέα. καὶ οὐ μόνον ἀνεπίληκτόν ἐστιν, ἤγουν ἀκαταιτίατον, οὐκ ἐπιπλήξεως ἄξιον, τὸ κρίνειν ὀρθῶς, ἀλλὰ καὶ ἐπαινούμενον. οὕτω δὲ προοιμιασάμενος φησὶν, ὅτι ταῦτα γράφω, ὅτι σὺ ἐπέστειλας ἡμῖν τὸν εὐλαβέστατον πρεσβύτερον ἐπίσκοπον ὀνομάσας· καὶ ταῦτα αὐτοῦ κλαίοντος, καὶ λέγοντος κεκινῆσθαι τῆς νεμηθείσης αὐτῷ ἐκκλησίας, ἤγουν ἐκβεβλῆσθαι τῆς δοθείσης αὐτῷ ἐπισκοπῆς. ἦν δὲ ἀκόλουθον, ἢ καὶ τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐ- D τὸν καὶ τὸ πρᾶγμα, ἤγουν τὴν ἐπισκοπὴν καὶ τὴν ἐνέργειαν τοῦ ἐπισκόπου· ἢ εἰ μὴ ἦν ἄξιος προεστάναι θυσιαστηρίου, μηδὲ ἐπίσκοπον λέγεσθαι. ἀλλ' ἴσως τοῦτο τὸ λεγόμενον ἄν σοι δόξῃ σκληρὸν, κἀγὼ ὁ λέγων αὐτὸ ἀφιλάλληλος. οὐκ ἔστι δὲ τοῦτο. ἐλεῆσαι γὰρ τάχα που νομίζομεν τὸν πρεσβύτην. εἰσάγει δὲ ἐνταῦθα τὸν λόγον πληθυντικῶς, ὥσπερ καὶ περὶ αὐτοῦ λέγων ἃ λέγει, ἵνα ἀνεπαχθέστερος οὕτως εἴη ὁ λόγος, καὶ μὴ εἰς καταδρομὴν μόνον ἐκείνου δοκῇ γίνεσθαι. καὶ ὡς ἐλεούντων ἡμῶν αὐτόν, φησι, μόνη αὐτῷ καταλείφθη ἡ κλῆσις τοῦ ἐπισκόπου. πολλῷ δὲ ἦν κρεῖσσον ἐννοῆσαι καὶ τὸ ἕτερον. ποῖον τοῦτο; οὐ δοθῆναι αὐτῷ καιρὸν ἀπολογίας, καὶ ἀκρόασιν E προστεθῆναι κανονικὴν, ἤγουν δικαστήριον συνοδικόν· λέγει γὰρ δύνασθαι συστῆναι τῇ οἰκείᾳ ὑπολήψει, ἀντὶ τοῦ ἀναίτιον ἑαυτὸν ἀποδεῖξαι. εἰ δὲ ἐγένετο ταῦτα, αὐτὰ τὰ ὑπομνήματα, τὰ ἐπὶ τῇ ἐξετάσει γενόμενα, ἤλεγξαν ἂν αὐτὸν, ἢ κεκρατημένον, καὶ ἔνοχον τοῖς αἰτιάμασι, καὶ μὴ δυνάμενον λέγειν ὅτι ἠδίκηται, ἢ ἐὰν ἀνεύθυνος ἐφάνη, πάλιν ἐδίδοτο αὐτῷ ἡ προστασία τῆς ἐκκλησίας. ὅτι δὲ οὐκ ἐγένετο τοιοῦτόν τι, καταβοᾷ ὡς ἀδικηθεὶς καὶ παρανόμως ἐκβληθεὶς, λέγων ὅτι καὶ ἡρπάγησαν ὅσα εἶχε χρήματα. σὺ τοίνυν, τῷ Δόμνῳ γράφει ὁ ἅγιος, εἰδὼς καὶ τοὺς θείους κανόνας καὶ τὸ πρέπον τῇ ἐκκλησίᾳ καὶ τοῖς λειτουργοῖς F τοῦ θεοῦ, ἤγουν τὸ δικαιοπραγεῖν, δυσωπηθεὶς δὲ καὶ τὴν ἡμετέραν γραφὴν, στῆσον τοῦ πρεσβύτου τὸ δάκρυον, καὶ εἰ θελήσει συνδικασθῆναι τοῖς κατηγόροις αὐτοῦ, δικασθήτω παρά σοι καὶ τοῖς ὑπὸ σὲ ἐπισκόποις· εἰ δέ τινας ὑπόπτους ἔχει τῶν ἐπισκόπων, ὡς μὴ καλῶς διακειμένους πρὸς αὐτὸν, καὶ παραιτεῖται αὐτοὺς, ἐκεῖνοι μὴ παρήτωσαν εἰς τὸ δικαστήριον. ἡμεῖς μὲν γάρ, φησιν, οὐδένα τῶν ἐπισκόπων ἔχθραν ἔχειν πιστεύομεν κατὰ ἀδελφοῦ, οὐδὲ διὰ τοῦτο κωλύομεν αὐτοὺς συνδικάσαι ἡμῖν· ἵνα δὲ μὴ τοῦτο ἀφορμὴ γένηται τοῦ μὴ δικασθῆναι αὐτὸν, ἐκεῖνοι ἀπήτωσαν τοῦ συνεδρίου.

A

Τὰ δὲ ἀδίκως ληφθέντα παρ' αὐτοῦ χρήματα, ἀναδοθῆναι δίκαιον κατὰ δύο τρόπους. πρῶτον μὲν, ὅτι οὐδὲ ἐχρῆν ὅλως γενέσθαι τι τοιοῦτον· καὶ ὅτι λυπεῖ σφόδρα καὶ εἰς ἐσχάτην ἀκηδίαν καταφέρει τοὺς ἁπανταχόσε γῆς ὄντας θεοσεβεστάτους τὸ ἀπαιτεῖσθαι λόγους τῆς οἰκονομίας τῶν παραπιπτόντων αὐτοῖς ἀναλωμάτων, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτ' οὖν καὶ ἀπὸ τῆς τινῶν καρποφορίας. ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ πάντων κριτῇ. κειμήλια μὲν γὰρ καὶ κτήσεις ἀκινήτους ταῖς ἐκκλησίαις σώζεσθαι χρή· θαρσεῖσθαι δὲ τοῖς κατὰ καιρὸν τὴν θείαν διέπουσιν ἱερωσύνην τῶν παραπιπτόντων ἀναλω- B μάτων τὴν οἰκονομίαν.

Pecunias autem quæ injuria ab eo captæ ſunt, duabus de cauſis ei reddi æquum eſt. Primum quidem, quod nec tale quid omnino fieri oportebat: & quod valde male habet magnaque triſtitia afficit ſanctiſſimos Epiſcopos, qui ſunt ubique terrarum, quod ſumptuum, qui illis eveniunt, diſpenſationis ratio ab eis exigatur, ſive ex Eccleſiaſticis redditibus, ſive ex fructu aliunde percepto. Nam unuſquiſque noſtrum ſuorum temporum rationem omnium judici reddet. Vaſa precioſa & poſſeſſiones immobiles oportet ſervari Eccleſiis: Epiſcopis autem, qui tunc temporis divinum ſacerdotium adminiſtrant, incidentium ſumptuum diſpenſationem ſecure credi.

ΒΑΛΣ. Ἃ δὲ, φησὶν, ἀφῃρέθη πράγματα δίκαιόν ἐστιν ἀποδοθῆναι αὐτῷ κατὰ δύο τρόπους. ἕνα μὲν, ὅτι καὶ τὸ ὅλως γενέσθαι τὴν ἀφαίρεσιν αὐτῶν ἄδικόν ἐστιν· ἕτερον δὲ, ὅτι πάντας τοὺς ἐπισκόπους σφόδρα λυπεῖ, καὶ ἀκηδίαν ἐμβάλλει, τὸ λογοπραγεῖσθαι αὐτοὺς ἐπὶ τῇ οἰκονομίᾳ τῶν παραπιπτόντων ἤτοι συμβαινόντων ἀναλωμάτων, ὅθεν ἂν τὰ χρήματα περιέλθωσιν, εἴτε ἐκ προσόδων ἐκκλησιαστικῶν, εἴτε καρποφορίας, ἤτοι προσαγωγῶν τινῶν. ἕκαστος γάρ φησι, τῶν ἐπισκόπων ἡμῶν, τῷ θεῷ δώσει λόγον περὶ τῆς C διοικήσεως τῶν πραγμάτων τῆς ἐκκλησίας αὐτοῦ ὑπὲρ τῶν ἰδίων καιρῶν, τουτέστιν ὑπὲρ τοῦ καιροῦ καθ' ὃν ἦν ἐπίσκοπος. τὰ μὲν γὰρ κειμήλια τῶν ἐκκλησιῶν ἤτοι τὰ ἱερὰ καὶ τὰ λοιπὰ ἀναθήματα καὶ τὰς ἀκινήτους κτήσεις ἀνεκποιήτους ἐνδέχεται εἶναι, καὶ φυλάττεσθαι ταῖς ἐκκλησίαις· τὴν δὲ οἰκονομίαν τῶν ἐξόδων τῶν ἐν ταῖς ἐκκλησίαις θαρσεῖσθαι, ἀντὶ τοῦ μετὰ θάρσους ἐμπιστεύεσθαι, τοῖς κατὰ καιροὺς ἐπισκόποις.

Bals. Res autem, inquit, quæ ablatæ ſunt, duabus ei de cauſis reddendæ ſunt. Una quidem, quòd omnino iniquum eſt ullam earum factam ablationem: Altera verò, quod omnes Epiſcopos male habet, & moleſtia afficit, quòd ab eis ratio adminiſtrationis eorum ſumptuum quæ incidunt ſive obveniunt exigatur, undecunque pecuniæ obveniant, ſive ex Eccleſiaſticis redditibus, ſive ex fructu alicunde percepto, quibuſdam ſcilicet oblationibus. Nam unuſquiſque noſtrorum, inquit, Epiſcoporum, rationem adminiſtrationis rerum ſuæ Eccleſiæ, pro ſuis temporibus hoc eſt, pro tempore quo fuit Epiſcopus, Deo reddet. Vaſa enim precioſa Eccleſiarum, ſeu ſacra, & reliqua Deo conſecrata, & poſſeſſiones immobiles, non ſunt alienabilia, & Eccleſiis ſervantur: Eccleſiaſticorum autem reddituum adminiſtrationem ſecurè credi audacterque committi debere illis, qui ſtatis temporibus ſunt Epiſcopi.

Τὸ δὲ τῆς παραιτήσεως λιβέλλους οὐ κατὰ προαίρεσιν οἰκείαν, ἀλλ' ὡς ἐξ ἀνάγκης καὶ φόβου καὶ τῆς τινῶν ἀπειλῆς ἐπι- D δοῦναι φησί. καὶ ἕτερον δὲ πρᾶγμά ἐστιν, οὔτε τοῖς τῆς ἐκκλησίας ἀρέσκον θεσμοῖς, τὸ λιβέλλους παραιτήσεως προσάγειν τινὰς τῶν ἱερουργῶν. εἰ γάρ εἰσιν ἄξιοι τοῦ λειτουργεῖν, ἔστωσαν ἐν τούτῳ· εἰ δ' ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν· κατεγνωσμένοι δὴ μᾶλλον ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο τὴν καταβοὴν, ὡς ἔξω τε ἐχόντων πάσης ἀκολουθίας. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

Renunciationis autem libellos non ſua voluntate, ſed veluti neceſſitate & metu & aliquorum minis ſe tradidiſſe dicit. Jam verò alia quoque res eſt, quæ Eccleſiaſticæ conſuetudini non placet, offerre ſacerdotes aliquos renunciationis libellos. Si ſint enim digni qui ſacra myſteria obeant, in iis maneant: Sin autem indigni, nec per renunciationem exeant; ſed rebus ipſis potius condemnati; de quibus multam quis exclamationem fecerit, ut quæ currant extra omnem conſequentiam. Saluta fraternitatem, quæ apud te eſt: quæ eſt apud nos, te in Domino ſalutat.

ΒΑΛΣ. Καὶ παραίτησις ἐφέρετο τοῦ ἐπισκόπου, περὶ οὗ ἔγραψεν ὁ μέγας οὗτος πατήρ. λέγει οὖν καὶ περὶ τούτου, ὅτι E φησὶν ὁ ἐπίσκοπος, ὡς οὐχ ἑκουσίως τὸ τῆς παραιτήσεως ἔγγραφον δέδωκεν, ἀλλ' ἐξ ἀνάγκης διὰ φόβον καὶ ἀπειλάς τινων. εἶτα ἐπάγει, ὅτι καὶ ἄλλως δὲ κἂν δοκῶμεν ὡς ἑκὼν παρῃτήσατο, καὶ τοῦτο ἀνίσχυρόν ἐστιν, ὡς μὴ τοῖς θεσμοῖς τῆς ἐκκλησίας ἀρέσκον, τὸ παραιτεῖσθαι τοὺς ἱερουργοὺς τὰς ἐκκλησίας αὐτῶν. ἄξιοι μὲν γάρ, φησιν, ὄντες τοῦ ἱερουργεῖν, ἔστωσαν ἐν τούτῳ, καὶ μὴ παραδεχέσθωσαν ὡς παραιτούμενοι· ἀνάξιοι δὲ ὄντες μὴ ἀπὸ παραιτήσεως ἐξίτωσαν, μηδ' ὑποχωρείτωσαν ὡς παραιτούμενοι, ἀλλ' ὡς κατεγνωσμένοι ἐπὶ πράγμασιν, ὧν ἄν τις πολλὴν ποιήσαιτο καταβοὴν, τουτέστιν ἀξίων καταβοᾶσθαι, ὡς μὴ τηρούντων ἀκρίβειαν καὶ F ἀκολουθίαν ἐκκλησιαστικήν· ἢ τὸ, ὧν πολλήν τις ποιήσαιτο καταβοὴν, περὶ τῶν παραιτουμένων μᾶλλον εἰρῆσθαι νοηθήσεται.

Bals. Allata quoque erat Epiſcopi renunciatio, de quo ſcripſit hic magnus pater. De eo ergo dicit; Epiſcopus ait ſe non ſponte renunciationis ſcriptum dediſſe, ſed neceſſitate propter metum & quorundam minas. Deinde ſubjungit, quòd etiamſi alioqui eum ſua ſponte renunciaſſe putemus, eſt tamen irritum, ut quod Eccleſiaſticis legibus non placeat, ut ſcilicet Sacerdotes ſuis Eccleſiis renuncient. Si ſint enim digni, inquit, qui ſacra myſteria obeant, in iis maneant, & non admittantur ut renunciantes: Sin autem indigni, nec per renunciationem exeant, nec recedant ut renuntinates; ſed ut rebus ipſis condemnati; de quibus multam quis exclamationem fecerit, hoc eſt, quæ dignæ ſunt de quibus exclametur, ut quæ Eccleſiaſticam accurationem & conſequentiam non ſervent: vel illud; De quibus multam quis exclamationem fecerit; de iis qui renunciant potius dici intelligetur.

EJUSDEM EPISCOPIS QUI SUNT in Libya & Pentapoli.

CUJUSLIBET rei, quæ ad populorum ædificationem utilis eſt & neceſſaria, & ad ſanctarum etiam Eccleſiarum exiſtimationem confert, cura gerenda eſt. Scriptum eſt enim; Sanctos facite filios Iſraël. Patres itaque Monaſteriorum, quæ ſunt in Thebanorum provincia, viri pii ac ſatis admirabilem vitæ formam & inſtitutionem habentes, cum Alexandriam veniſſent, à me interrogati de Monaſteriorum, quæ illic ſunt, conſtitutione, docuerunt multos offendi propter hanc cauſam;

Quidam, qui uxores recenter duxerunt, & in ipſis veluti thalamis adhuc conſtituti ſunt, aliquos ſanctiſſimos Epiſcopos arripiunt, & nemine de eis utique renunciante, ordinantur Clerici ſeu Presbyteri.

Aliqui autem alii ex ipſis Monaſteriis, ut inſolentes ejecti, rurſus ordinationes ſubeunt; & facti Clerici, in ea ipſa Monaſteria ingrediuntur, ex quibus ejecti ſunt, & volunt oblationem facere, & ea omnia præſtare, quæ mos eſt clericis: & hæc facere, ut etiam aliqui eorum, qui ipſos norunt, ſynaxes devitent, & communicare in animum non inducant, illis miniſtrantibus. Quoniam ergo ad ædificationem, ut dixi, populorum omnia à nobis facienda ſunt, hæc veſtra obſervet pietas; & ſi eſt quidem ordinandus Clericus, de vita ejus inquirat; & an uxorem habeat, an non; & quonam modo duxit, & quando; & ſi non eſt aliquis ex iis qui ejecti ſunt vel ab alio ſanctiſſimo Epiſcopo vel ex Monaſterio: tunc ſi inculpatus inventus fuerit, ordinet. Ita enim & noſtram conſcientiam puram conſervabimus, & inculpatum ſacrum ac venerabile myſterium. Sin autem ſegregationem aliqui ſuſtinuerint, propter lapſus puniti, deinde morituri ſint Catechumeni exiſtentes baptizentur, & ne ab humanis excedant gratiæ non participes, ſcilicet communione carentes. Videtur enim hoc quoque ritibus Eccleſiæ adhærere. Salutate eam quæ eſt apud vos fraternitatem: quæ nobiſcum eſt vos in Domino ſalutat.

BALS. Communione carere Sanctus hìc non ſolùm dicit de ſancta participatione; neque enim ante baptiſmum Divinis myſteriis digni habebuntur: ſed etiam de ipſo loquitur baptiſmo. Antequam enim baptizatus fuerit, non aſſequetur ut cum fidelibus conſiſtat; quæ & ipſa communio in diverſis canonibus dicta eſt. Et ideo hoc quoque adjecit; Videtur enim hoc etiam Eccleſiæ ritibus adhærere. Hoc enim, inquit, eſt legitimum & Eccleſiaſticum, ut unà cum fidelibus in precibus non conſiſtant omnino Catechumeni, vel ii quibus pœna eſt impoſita.

SANCTI GREGORII THEOLOGI ex metricis ejus Poëmatibus, quinam libri ſint legendi veteris teſtamenti & novi.

NE tibi ſeducant aliena volumina mentem:
Exiſtunt etenim quàm plurima ſcripta maligne,
Selectum hunc à me numerum cape, chare ſodalis.
Hiſtorici libri, nempe omnes ſunt duodeni
Antiquioris Hebrææ ſapientiæ.
Prima Geneſis, dein Exodus, Leviticon.
Poſt Numeri, dein Deuteronomium.
Deinde Jeſus, Judices, octavúſque Ruth.
At nonus decimuſque libri Regum acta fuere,
Et Paralipomenon, Ultimus eſdras erit.

ΤΟΥ ΑΥΤΟΥ ΤΟΙΣ ΚΑΤΑ ΛΙΒΥΗΝ καὶ Πεντάπολιν ἐπισκόποις.

ΠΑΝΤΟΣ τοῦ χρησίμου καὶ ἀναγκαίου πρὸς οἰκοδομὴν τῶν λαῶν, τελοῦντος δὲ καὶ εἰς ὑπόληψιν τῶν ἁγίων ἐκκλησιῶν, φροντίδα ποιεῖσθαι χρή. γέγραπται γάρ, ὅτι εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ. μοναστηρίων τοίνυν πατέρες, τῶν κατὰ τὴν Θηβαίων ἐπαρχίαν, ἄνδρες εὐλαβεῖς καὶ οὐκ ἀθαύμαστον ἔχοντες πολιτείαν, ἐλθόντες ἐν Ἀλεξανδρείᾳ, ἐρωτώμενοι παρ' ἐμοῦ τὴν κατάστασιν τῶν B αὐτόσε μοναστηρίων, ἐδίδασκον, ὅτι σκανδαλίζονται πολλοὶ διὰ τὴν τοιαύτην αἰτίαν· νεωστὶ γεγαμηκότες τινές, καὶ ἔτι ἐξ αὐτῶν καταβάντες τῶν νυμφώνων, συναρπάζουσι τινὰς τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ οὐδενὸς τάχα τοῦ τὰ κατ' αὐτοὺς καταγγέλλοντος, χειροτονοῦνται κληρικοὶ ἤγουν πρεσβύτεροι. ἕτεροι δέ τινες ἐξ αὐτῶν τῶν μοναστηρίων ὡς ἄτακτοι ἐκβαλλόμενοι, πάλιν ὑποτρέχουσι τὰς χειροτονίας, καὶ γενόμενοι κληρικοί, εἰσέρχονται καὶ ἐν αὐτοῖς τοῖς μοναστηρίοις, ὅθεν ἐκβέβληνται, καὶ βούλονται προσφέρειν καὶ ὅσα κληρικοῖς ἔθος πληροῦν· καὶ ταῦτα δρᾶν, ὡς καί τινας τῶν εἰδότων αὐτοὺς παραι- C τεῖσθαι καὶ τὰς συνάξεις, καὶ μὴ ἀνέχεσθαι κοινωνεῖν λειτουργούντων ἐκείνων. ἐπειδὴ τοίνυν πρὸς οἰκοδομήν, ὡς ἔφην, τῶν λαῶν πάντα χρὴ πράττεσθαι παρ' ἡμῶν, ἐπιτηρείτω ταῦτα ἡ θεοσέβεια ὑμῶν· καὶ εἰ μέλλει τις χειροτονεῖσθαι κληρικός, περιεργαζέσθω τὸν βίον αὐτοῦ, καὶ πότερόν ποτε γαμετὴν ἔχει ἢ οὔ, καὶ πῶς καὶ πότε ἠγάγετο, καὶ εἰ μή τις ἐστὶ τῶν ἐκβαλλομένων, ἢ παρ' ἑτέρου θεοσεβεστάτου ἐπισκόπου, ἢ ἐκ μοναστηρίου· καὶ τότε χειροτονείτω ἀδιάβλητον εὑρεθέντα. τηρήσομεν γὰρ οὕτω καὶ τὸ ἑαυτῶν συνειδὸς καθαρόν, καὶ ὡς ἀδιάβλητον τὴν ἱερὰν καὶ σεπτὴν λειτουργίαν. ἐὰν δὲ χωρισμὸν ὑπομείνωσί τινες ἐπιτιμη- D θέντες πταισμάτων ἕνεκα, εἶτα μέλλωσι τελευτᾶν κατηχούμενοι ὄντες, βαπτιζέσθωσαν, καὶ μὴ ἀποδημείτωσαν τῶν ἀνθρωπίνων ἀμέτοχοι τῆς χάριτος, ἤγουν ἀκοινώνητοι. δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς ἐκκλησίας θεσμοῖς. προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα. ὑμᾶς ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει.

ΒΑΛΣ. Τὸ ἀκοινώνητοι ἐνταῦθα ὁ ἅγιος οὐ μόνον περὶ τῆς ἁγίας μεταλήψεως λέγει, οὐ γὰρ ἀξιωθήσονται τῶν θείων μυστηρίων πρὸ τοῦ βαπτίσματος· ἀλλὰ καὶ περὶ αὐτοῦ φησὶ τοῦ βαπτίσματος. ἐπεὶ πρὸ τοῦ βαπτισθῆναι, οὐδὲ τῆς μετὰ τῶν πιστῶν συστάσεως τεύξεται, ἥτις καὶ αὐτὴ κοινωνία E ἐν διαφόροις εἴρηται κανόσι. διὸ καὶ τό, δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς ἐκκλησίας θεσμοῖς, προσέθετο. καὶ τοῦτο γάρ, φησι, νόμιμον καὶ ἐκκλησιαστικόν ἐστι, τὸ μὴ συνίστασθαι τοῖς πιστοῖς ἐν ταῖς εὐχαῖς ὅλως τοὺς κατηχουμένους ἢ τοὺς ἐπιτιμωμένους.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟλόγου, ἐκ τῶν ἐμμέτρων αὐτοῦ ποιημάτων, περὶ τοῦ τίνα χρὴ ἀναγινώσκεσθαι βιβλία τῆς παλαιᾶς καὶ νέας διαθήκης.

F ΟΦΡΑ δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι.
Πολλαὶ γὰρ τελέθουσι παρέγγραπτοι κακότητες,
Δέχνυσο τοῦτον ἐμοῖο τὸν ἔγκριτον ὦ φίλ' ἀριθμόν.
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι
Τῆς ἀρχαιοτέρης Ἑβραϊκῆς σοφίης.
Πρώτη Γένεσις. εἶτ' Ἔξοδος, Λευιτικόν.
Ἔπειτ' Ἀριθμοί. εἶτα Δεύτερος νόμος.
Ἔπειτ' Ἰησοῦς, καὶ Κριταί, Ῥοὺθ ὀγδόη,
Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι πράξεις Βασιλέων,
Καὶ Παραλειπόμεναι. ἔσχατον Ἔσδραν ἔχεις.

Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτος Ἰώβ·
Ἔπειτα Δαβίδ, εἶτα τρεῖς Σολομώντειαι,
Ἐκκλησιαστὴς, Ἆσμα, καὶ Παροιμίαι.
Καὶ πένθ' ὁμοίως πνεύματος προφητικοῦ.
Μίαν μὲν εἰσιν εἰς γραφὴν οἱ δώδεκα
Ὠσηὲ, Ἀμώς τε καὶ Μιχαίας ὁ τρίτος.
Ἔπειτ' Ἰωήλ. εἶτ' Ἰωνᾶς, καὶ Ἀβδίας.
Ναοὺμ τε, Ἀμβακοὺμ τε. καὶ Σοφονίας,
Ἀγγαῖος, εἶτα Ζαχαρίας, καὶ Μαλαχίας.
Μία μὲν, οἵδε· δευτέρα δ' Ἡσαΐας.
Ἔπειθ' ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους.
Ἔπειτ' Ἰεζεκιὴλ, καὶ Δανιήλου χάρις.
Ἀρχαίας μὲν ἔθηκε δύο καὶ εἴκοσι βίβλους
Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἤδη δ' ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν Ἑβραίοις θαύματα Χριστοῦ.
Μάρκος δ' Ἰταλίῃ, Λουκᾶς Ἀχαΐδι.
Πᾶσι δ' Ἰωάννης κῆρυξ μέγας οὐρανοφοίτης.
Ἔπειτα πράξεις τῶν σοφῶν ἀποστόλων.
Δέκα δὲ Παύλου τέσσαρές τε ἐπιστολαί.
Ἑπτὰ δὲ καθολικαί, ὧν Ἰακώβου μία.
Δύο δὲ Πέτρου. τρεῖς δ' Ἰωάννου πάλιν.
Ἰούδα δ' ἐστὶν ἑβδόμη. πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίοις.

A *Sunt quinque metrici, primo Job in loco est;*
Dein David; deinde tres Salomonis,
Ecclesiastes, Canticum, & Proverbia.
Et itidem quinque spiritus prophetici.
Scripturam ad unam rediguntur duodecim;
Oseæ, Amosque & Michæas tertius.
Deinde Joël, dein Jonas, & Abdias,
Naumque & Abbacuc, atque Sophonias,
Aggæus, & Zacharias, dein Malachias.
Una quidem est hæc: secunda autem Esaias.
Dein Hieremias vocatus ab infantia,
B *Dein Ezechiel, Danielisque gratia.*
Sic veteris duos & viginti libros
Posuit, qui Hebræis literis respondeant.
Jam numera libros novi mysterii.
Matthæus Christi Hebræis miracula scripsit.
Marcus Italiæ; Lucas autem Græciæ;
Magnus Joannes præco penetrator Olympi
Cunctis, deinde sunt Actus Apostolici;
Deinde decem Pauli & quatuor Epistolæ,
Septem Catholicæ, est Jacobi una ex eis.
Petri duæ sunt; Joannis vero tres.
C *At septima est Iudæ, & sic omnes habes.*
Si præter hos quid est, ne germanum putes.

ΒΑΛΣ. Ἵνα δὲ μὴ ἀλλοτρίαις τὸν νοῦν ἀπατᾷ βίβλοις. πολλὰ γάρ εἰσι ψευδῶς γεγραμμένα, δέχου τοῦτον ἐμοῦ τὸν δεδοκιμασμένον, ὦ φίλε, ἀριθμόν. ἱστορίας μὲν περιέχουσαι βίβλοι δώδεκα εἰσὶ, τῆς παλαιᾶς δηλονότι γραφῆς, καὶ αἱ βίβλοι τῶν βασιλειῶν, εἰ τέσσαρές εἰσιν, ἀλλ' εἰς δύο παραλαμβάνονται καὶ ἀριθμοῦνται· καὶ αἱ δώδεκα βίβλοι τῶν ἀπηριθμημένων προφητῶν, μία, φησὶ, λογίζονται. τέσσαρες δὲ αἱ τῶν ἄλλων προφητῶν, ἑκάστη μία λογιζομένη. τῆς μέντοι ἀρχαίας ἤτοι τῆς παλαιᾶς γραφῆς ἔγραψε βίβλους κβ΄. τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους, ἤγουν ἰσοθέτους καὶ ἰσαρίθμους. λαμβάνεται γὰρ ἡ ἀντὶ πρόθεσις καὶ ἐπὶ τοῦ ἴσου. ὥσπερ λέγομεν ἀτίτεχνον τὸν ὁμότεχνον. στοιχεῖα δὲ παρὰ τοῖς Ἑβραίοις κβ΄. λέγονται εἶναι. ἀπαριθμήσας μέντοι καὶ τὰ τῆς νέας γραφῆς βιβλία ὁ ἅγιος, ἐπήνεγκεν, ὅτι εἴ τι τούτων τῶν ἀπηριθμημένων ἔξω ἐστὶν, οὐ γνήσιον λογίζεται, ἀλλὰ νόθον.

Bals. Ne autem alienis libris mentem seducas. Multi enim sunt falsò inscripti; cape, ô amice, hunc numerum à me selectum, seu probatum & confirmatum. Sunt duodecim quidem libri, qui historias continent, antiquæ scilicet Scripturæ, & libri Regum, etiamsi sint quatuor, in duos tamen conferuntur & enumerantur; & xii. libri prophetarum qui enumerantur, unus, inquit, reputantur. Quatuor autem libri aliorum prophetarum unusquisque unus reputatur. Porro veteris sive antiqui D testamenti scripsit duos & viginti libros, qui literis Hæbræorum respondent, sive æquivalentes & numero æquales sunt. Accipitur enim præpositio ἀντὶ, etiam pro Æquali: quemadmodum dicimus ἀντίτεχνον ὁμότεχνον, hoc est, eum qui est ejusdem artis. Elementa autem apud Hebræos esse dicuntur viginti duo. Cùm autem novi quoque testamenti libros enumerasset sanctus, subjunxit: Quòd si quis est, præter eos qui sunt enumerati, non existimetur germanus, sed adulterinus.

ΤΟΥ ΑΓΙΟΥ ΑΜΦΙΛΟΧΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ἐκ τῶν πρὸς Σέλευκον Ἰάμβων περὶ τῆς αὐτῆς ὑποθέσεως.

ΠΛΗΝ ἀλλ' ἐκεῖνο προσμαθεῖν μάλιστά σοι
Προσῆκον· οὐχ ἅπασα βίβλος ἀσφαλής.
Ἡ σεμνὸν ὄνομα τῆς γραφῆς κεκτημένη.
Εἰσὶ γὰρ εἰσὶν ἔσθ' ὅτε ψευδώνυμοι
Βίβλοι, τινὲς μὲν ἔμμεσοι καὶ γείτονες,
Ὡς ἄν τις εἴποι, τῶν ἀληθείας λόγων.
Αἱ δ' αὖ νόθαι τε καὶ λίαν ἐπισφαλεῖς,
Ὥσπερ παράσημα καὶ νόθα νομίσματα,
Ἃ βασιλέως μὲν τὴν ἐπιγραφὴν ἔχει,
Κίβδηλα δ' ἐστὶ ταῖς ὕλαις δολούμενα.
Τούτου χάριν σοι τῶν θεοπνεύστων ἐρῶ
Βίβλον ἑκάστην. ὡς δ' ἂν εὐκρινῶς μάθῃς,
Τὰ τῆς παλαιᾶς πρῶτα διαθήκης ἐρῶ.
Ἡ Πεντάτευχος, τὴν Κτίσιν, εἶτ' Ἔξοδον,
Λευϊτικόν τε τὴν μέσην ἔχει βίβλον.
Μεθ' ἣν Ἀριθμούς· εἶτα Δευτερονόμιον.
Τούτοις Ἰησοῦν προστίθει καὶ τοὺς Κριτάς.

E SANCTI AMPHILOCHII EPISCOPI ex Iambis ad Seleucum de eodem argumento.

Sed maxime illud tibi scire convenit,
Quod omnis haud est scilicet tutus liber,
Qui venerandum scripturæ nomen tenet.
Falsum est enim nomen quibusdam impositum.
Quidam libri sunt medii, atque proximi,
Ut dixerit quis, veritatis eloquiis.
Adulterini sunt alii, ac certi parum.
F *Ut sunt malæ notæ & reproba namismata,*
Inscriptionem regiam quæ præferunt,
Adulterina sed materia indicant:
Idcirco libros, quos Dei inspiratio
Dedit, sigillatim aperiam. Ut noti sient,
Vetus quos testamentum habet prius proferam.
Nam Pentateuchus Genesin, dein Exodum,
Leviticumque inter medium librum tenet,
Post Numeros, dein Deuteronomium,
Eis Iesum adjicias, & Iudices.

Deinde Ruth, atque libros Regum quatuor,
Quinetiam Paralipomenon libros duos,
Et poſt eos Eſdræ ſequuntur gemini,
Dein verſibus ſcriptos quinque afferam libros,
Qui multa paſſus eſt coronatus, Job.
Pſalmos, medelam qui ægris animis ferunt.
Tréſque Salomonis Sapientis, Proverbia,
Eccleſiaſtes, Canticorum Cantica.
Iſtis prophetas addito duodecim,
Oſeæ primum, deinceps ſecundum Amos,
Michaam, Joel, Abdiámque, & typum
Jonam ipſius quod triduo Chriſto accidit;
Et poſt eos Naum, Abbacuc, nono loco
Sophoniam, Aggæúmque, & Zachariam,
Atque inclytum valde angelum Malachiam.
Poſt quos prophetas quatuor intelligas;
Eſaiam magnum loquitur qui libere,
Hieremiámque miſericordem, & myſticum
Iezechiel, Daniélque omnium ultimum,
Qui rebus & verbis eſt ſapientiſſimus.
Adjiciunt iſtis deinde Heſter aliqui.
Novæ libros legis opus nunc dicere.
Evangeliſtas quatuor ſolos tene,
Matthæúmque, Marcum, Lucámque tertium,
Adjicias ei Joannem, qui tempore
Quartus, ſed altis ſenſibus primas tenet.
Nam jure dico filium hunc tonitrui,
Sermone qui divino valde inſonuit.
Suſcipias ſecundum quoque Lucæ librum,
Actus Apoſtolorum qui complectitur.
Electionis vas eis adjicias,
Qui gentium eſt prædicator, & Apoſtolus,
Qui ſapienter ſcripſit ad Eccleſias
Epiſtolas bis ſeptem, unam ad Roma incolas,
Queis ad Corinthios adjiciuntur duæ,
Ad Galatas una, & una ad Epheſios,
Poſt quam eſt Philippos quæ tranſmiſſa extitit,
Et quæ ad Coloſſenſes, duæ ad Theſſalonicam,
Duæ ad Timotheum, ad Titum & Philemona,
Ad ſingulos una, & ad Hebræos itidem.
Quæ verò ad Hebræos, notha eſſe dicitur
Pleriſque, ſed male, nam germana gratia eſt.
Quid verò cæteras catholicas epiſtolas?
Septem eſſe quidam dicunt; alii verò tres
Suſcipiendas; nempe Iacobi unicam,
Unámque Petri, Johannis quoque unicam,
Quidam vero tres, & iis adjiciunt
Duas Petri, ſed Iudæ ſeptimam.
Aſt Apocalypſin Ioannis aliqui
Iis inſerunt; rurſus ſed longè plurimi
Adulterinam dicunt. Hic veriſſimus
Divinitus datarum eſt ſcripturarum canon.

A Ἔπειτα τὴν Ῥούθ. Βασιλειῶν τέσσαρας;
Βίβλους. Παραλειπομένων δέ γε δύο βίβλοι.
Ἔσδρας ἐπ' αὐταῖς πρῶτος, εἶθ' ὁ δεύτερος.
Ἑξῆς στιχηρὰς πέντε σοι βίβλους ἐρῶ,
Στεφθέντα τ' ἄθλοις ποικίλων παθῶν, Ἰώβ.
Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῶν ἄκος.
Τρεῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ, Παροιμίαι,
Ἐκκλησιαστής, Ἆσμα δ' αὖ τῶν ᾀσμάτων.
Ταύταις Προφήτας προστίθει τοὺς δώδεκα.
Ὠσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον,
Μιχαίαν, Ἰωήλ, Ἀβδίαν καὶ τὸν τύπον
B Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους.
Ναοὺμ μετ' αὐτούς. Ἀμβακούμ. εἶτ' ἔννατον
Σοφωνίαν, Ἀγγαῖόν τε καὶ Ζαχαρίαν.
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς, προφήτας μάνθανε τέσσαρας.
Παρρησιαστὴν τὸν μέγαν Ἡσαΐαν.
Ἱερεμίαν τε συμπαθῆ καὶ μυστικὸν
Ἰεζεκιήλ, ἔσχατον δὲ Δανιήλ,
Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθήρ τινες.
Καινῆς διαθήκης ὥρα μοι βίβλους λέγειν.
C Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους,
Ματθαῖον, εἶτα Μάρκον, οἷς Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν τοῦτον εἰκότως καλῶ,
Μέγιστον ἠχήσαντα τῷ θεοῦ λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν,
Τὴν τῶν καθολικῶν Πράξεων ἀποστόλων.
Τὸ σκεῦος ἑξῆς προστίθει τῆς ἐκλογῆς
Τὸν τῶν ἐθνῶν κήρυκα τὸν ἀπόστολον
Παῦλον, σοφῶς γράψαντα ταῖς ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτὰ, Ῥωμαίοις μίαν.
D Ἡ χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας, τήν τε πρὸς Ἐφεσίους.
Μεθ' ἣν τὴν ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην
Κολασσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ τε καὶ Φιλήμονι
Μίαν ἑκατέρῳ, καὶ πρὸς Ἑβραίους μίαν.
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,
Οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις.
Εἶεν, τί λοιπὸν, καθολικὰς ἐπιστολάς;
Τινὲς μὲν, ἑπτά φασιν· οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
E Μίαν δὲ Πέτρου, τοῦ τε Ἰωάννου μίαν.
Τινὲς δὲ, τὰς τρεῖς. καὶ πρὸς αὐταῖς τὰς δύο
Πέτρου δέχονται. τὴν Ἰούδα δ' ἑβδόμην.
Τὴν δ' ἀποκάλυψιν Ἰωάννου πάλιν
Τινὲς μὲν ἐγκρίνουσιν. οἱ πλείους δέ γε
Νόθον λέγουσιν. οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων γραφῶν.

F

ΕΓΚΥΚΛΙΟΣ

A

ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ ΓΕΝΝΑΔΙΟΥ πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου, πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας, πρὸς τὸν Πάππαν Ῥώμης.

Τῷ θεοφιλεστάτῳ συλλειτουργῷ τῷ δεῖνι Γεννάδιος καὶ ἡ ἐνδημοῦσα τῇ βασιλικῇ πόλει νέᾳ Ῥώμῃ ἁγία σύνοδος.

Ὁ Δεσπότης ἡμῶν καὶ θεὸς καὶ σωτὴρ Ἰησοῦς Χριστὸς ἐγχειρίσας τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ διδασκάλους τούτους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαῤῥήδην, ἣν εἰλήφασι παρ᾽ αὐτοῦ δωρεάν, ταύτης καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεάν, μὴ κτωμένους ὑπὲρ αὐτῆς χαλκόν, ἢ ἄργυρον, ἢ χρυσόν, ἤ τινα περιουσίαν, ἄλλως ὅλως ὑλικὴν ἢ γεώδη. μὴ γὰρ εἶναι τῶν ἐπουρανίων καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν τὰ γήϊνα καὶ ἐπίκηρα. ταύτην τὴν ἐντολήν, οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι᾽ ἐκείνων ἐνετείλατο, οὓς εἰς τὸν ἐκείνων βαθμόν τε καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε. καὶ δεῖ, καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε καὶ διατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἄσοφα, μηδὲ κύβον ἀναῤῥίπτειν ἐπὶ κίνδυνον. δωρεάν, φησιν, ἐλάβετε, δωρεὰν δότε, μὴ κτησάμενοι χαλκόν, μηδὲ ἄργυρον, μήτε, χρυσὸν εἰς τὰς ζώνας ὑμῶν. ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστίν, οὐδὲν ποικίλον ἔχων, οὐδὲ δυσέφικτον, οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως· παρ᾽ ἐμοῦ, φησιν, ἐδέξασθε τὸ τῆς ἱερωσύνης ἀξίωμα, εἰ μὲν ὑπὲρ αὐτοῦ μοι μικρὸν ἢ μέγα τι κατεβάλλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ᾽ ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό· εἰ δὲ δωρεὰν εἰλήφατε, δότε δωρεὰν καὶ ὑμεῖς. τί τῆς ἐντολῆς ταύτης σαφέστερον; τί δὲ τοῖς πειθαρχοῦσι λυσιτελέστερον; οὐαὶ τῷ ὄντι τοῖς κτήσασθαι τὴν τοῦ θεοῦ δωρεὰν ἢ διδόναι ταύτην διὰ χρημάτων ὑπειληφόσιν. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας οἱ τοιοῦτοι, κατὰ τὴν ἀπόφασιν τοῦ ἁγίου Πέτρου, ὑπάρχουσι συλληφθέντες ὑπὸ τῆς ἑαυτῶν φιλαργυρίας. ὅθεν καὶ τῶν ὁσίων καὶ μακαρίων πατέρων, τῶν τῆς ἁγίας καὶ μεγάλης οἰκουμενικῆς τῆς ἐν Χαλκηδόνι συναχθείσης, τῷ δεσποτικῷ τούτῳ νόμῳ συνᾴδει ὁ περὶ τούτου κανών, ὃς ἡμῖν σαφῶς οὑτωσὶ λέξεσιν αὐταῖς ἐκπεφώνηται· εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν, καὶ χειροτονήσει ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον ἢ ἔκδικον ἢ παραμονάριον, ἢ ἄλλως τινὰ τοῦ κλήρου, δι᾽ αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ᾽ ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ᾽ ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανῇ τοῖς αἰσχροῖς τούτοις, καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ καὶ λαϊκὸς ἢ μονάζων, ἀναθεματιζέσθω.

Κάλλιστα καὶ λίαν εὐσεβῆ τοῦ κανόνος τῶν ἁγίων πατέρων ὑπάρχει τὰ παραγγέλματα, πᾶσαν ἔφοδον σατανικὴν καὶ πᾶν ἐγχείρημα διαβολικόν, κατὰ τῆς πνευματικῆς φερόμενον δωρεᾶς, ἀπωθέμενά τε καὶ ἀνακόπτοντα. οὐ βούλεται γὰρ οὐδαμῶς διὰ χρημάτων γίνεσθαι τῆς χειροτονίας τὴν προβολήν, ἢ ὑποδέχεσθαι οὔτε παρὰ τοῦ ταύτην ἐνεργοῦντος, οὔτε παρὰ τοῦ τῆς χειροτονίας τὴν προβολὴν ἢ ὑποδεχομένου. ἀλλ᾽ οὐδὲ πρὸ καιροῦ τῆς χειροτονίας, οὐδὲ μετὰ τὸν καιρὸν τῆς χειροτο-

GENNADII PATRIARCHÆ CONSTANTINOPOLITANI, & ſanctæ cum eo congregatæ Synodi, ad ſanctiſſimos omnes Metropolitanos, & ad Papam urbis Romæ Epiſtola encyclica.

Religioſiſſimo & ſanctiſſimo in ſacris comminiſtro Gennadius & quæ in regia civitate Nova Româ coacta eſt ſancta Synodus.

CUM dominus noſter & Deus & Salvator Jeſus B *Chriſtus ſuis diſcipulis Evangelii prædicationem crediſſet, eoſque per univerſum terrarum orbem inter homines ad docendum miſiſſet, apertè juſſit, ut quod gratis ab eo accepiſſent, hominibus quoque gratis darent, non æs, vel aurum, vel argentum, vel opes, vel ullas alias omnino materiales & terrenas facultates pro eo acquirentes. Cœleſtia enim & ſpiritualia dona, nulla eſt cum terrenis & temporalibus commutandi ratio. Hoc autem præceptum, non ſolum illis, ſed etiam nobis per illos dedit, quos in illorum gradum, & locum ſubſtituere dignatus eſt. Et oportet, ſicut illi tunc, nos quo-* C *que nunc accuratè & diligenter ſervare: nec in iis quæ technas ſophiſticas non admittunt, uti ſophiſtica calliditate; nec aleam periculoſam jacere. Gratis, inquit, accepiſtis, gratis date, non æs, neque argentum, neque aurum in zonis veſtris poſſidentes. Simplex eſt & aperta hujus mandati ratio, quæ nihil habet varium, nihil quod non ſit facile & explicatum, nihil quod ſophiſtica expoſitione egeat. A me, inquit, accepiſtis dignitatem ſacerdotii: ſi mihi pro ipſo parum quid, vel magnum ſolviſtis, & hoc à me venditum eſt, vos quoque ipſum aliis vendite: Sin au-* D *tem gratis accepiſtis, vos quoque gratis date. Quid hoc eſt mandato apertius? Quid autem iis, qui parent, utilius? Væ illis revera, qui Dei donum acquirere, vel illud pro pecuniis dare, in animum induxerunt. In fel enim amaritudinis & vinculum iniquitatis ii, juxta ſancti Petri ſententiam, à ſua avaritia comprehenſi ſunt. Unde & ſanctorum & beatorum Patrum, ſanctæ & magnæ Synodi œcumenicæ Chalcedone congregatæ, huic legi Dominicæ convenit de eâdem canon, qui ſic nobis apertè iiſdem verbis editus eſt; Si quis Epiſcopus pecuniis ordinationem fecerit, & non venalem gratiam ad venditionem deduxerit, & pecuniis ordinaverit* E *Epiſcopum, vel Chorepiſcopum, vel Presbyterum, vel Diaconum, vel aliquem eorum qui in Clero connumerantur, vel pecuniis provehat Oeconomum, vel Defenſorem, vel Paramonarium, vel omnino aliquem ex Clero, propter ſuum turpe lucrum; qui hoc aggreſſus eſſe convictus fuerit, de proprio gradu veniat in periculum: & qui ordinatur, nihil ex ordinatione ac promotione, quæ fit inſtar mercaturæ, juvetur; ſed ſit alienus à dignitate vel curatione, quam pecuniis aſſecutus eſt. Si quis autem his turpibus ac nefariis lucris ſequeſter interceſſorve apparuerit; is quoque, ſi ſit Clericus, à pro-* F *prio gradu excidat: Sin autem Laicus vel Monachus, anathematizetur.*

BALS. Pulcherrima & valde pia ſunt hujus canonis ſanctorum Patrum præcepta, quæ omnem invaſionem Satanicam, Diabolicúmque conatum, qui in donum ſpirituale intenditur repellunt & reſcindunt. Nullo modo enim vult ordinationis promotionem pecuniis aut fieri, aut ſuſcipi, nec ab eo qui illam exercet, nec ab eo qui ordinationis promotionem accipit. Sed nec ante tempus ordinationis, nec poſt tempus ordinationis, nec in ipso tempore ordinationis, dari pecunias pro ordinatione concedit. Omnino enim in hac quoque re esse munerum corruptionem pronunciat. Quoniam tamen, iis ita apertè prohibitis, quidam sunt in Galatarum Ecclesiâ deprehensi propter turpe lucrum & avaritiam hæc salutaria & humana præcepta negligere & transgredi; ea quoque ipsa nobis renovare visum est, cum sancta Synodo, quæ in hac regnante nova Roma nunc agit; ut sine omni penitus inventione, & omni prætextu callidóque commento, impiam hanc & odiosam, quæ nescio quomodo sanctissimas Ecclesias subiit, consuetudinem omnino excindamus; ut cum pura, & absque ulla cauponatione, eorum qui ordinantur renunciatio ab Antistitibus facta fuerit, gratia sancti Spiritus supernè veniat. Quibus, nescio an, per pecuniam promotionem facientibus, & manu non purè operante, ad eum, qui promovetur, accedit, secundùm vocem Evangelii; & non potius contrahitur gratia sancti Spiritus. Scias ergo, ô vir religiosissime & omni ex parte sanctissime, quòd quicunque hujus convictus fuerit Episcopus, vel Chorepiscopus, vel Visitator, vel Presbyter, vel Diaconus vel quivis alius ex canone, vel ex Laïcis, communi Antistitum decreto communique sententia condemnatus est; sicut de hoc quoque sanctorum Patrum præcedens canon loquitur. Oportet enim gratiam semper esse gratiam, & argentum apud eam nequaquam intercedere. Sit ergo abdicatus, & ab omni sacerdotali dignitate & ministerio alienus, & anathematis execrationi subjectus, qui & se per pecunias eam acquirere existimat, & qui eam pecuniis præbere pollicetur, sive sit Clericus, sive Laïcus, sive hoc facere convincatur, sive non convincatur; quia fieri non potest ut concilientur, quæ convenire nequeunt, nec ut mammona Deo consentiat, vel ut qui ei serviunt, Deo serviant. Domini est sententia cui contradici non potest; Non potestis Deo servire & mammonæ. Nos his pro viribus fisi & eis cedentes, cum illo qui hæc dixit, adversus eos, qui in his peccant sententiam protulimus. Tua verò sanctitas curam gerat, omni adhibita diligentia, ut hæc per transcripta exempla innotescant, & sanctissimis Episcopis, qui tibi subsunt, & Visitatoribus, & aliis omnibus: ut in uno spiritu & una anima omnes simul constipati Christiani adversus communem inimicum, Dei auxilio possimus avaritiæ radicem, quæ ab illo in nobis insita est, cum omnibus eorum malorum germinibus, excindere. Omnem, quæ tecum est in Christo, fraternitatem salutamus. Fortis existens in Domino ora pro nobis, sanctissime frater. Huic Epistolæ cum ipso Gennadio subscripserunt etiam septuaginta tres.

A νίας, οὐδὲ κατὰ τὸν καιρὸν αὐτὸν τῆς χειροτονίας, ὑπὲρ τῆς χειροτονίας δίδοσθαι χρήματα συγχωρεῖ. καθόλου γὰρ τὴν ἐπὶ τῷ πράγματι τούτῳ δωροδοκίαν ἀπέφηνεν. ὅμως ἐπειδὴ νῦν, καίτοι προδήλως τούτων οὕτω κεκωλυμένων, ἐφωράθησάν τινες κατὰ τὴν Γαλατῶν ὀλιγωροῦντες καὶ παραβαίνοντες δι' αἰσχροκέρδειαν καὶ φιλαργυρίαν τὰ σωτήρια ταῦτα καὶ φιλάνθρωπα παραγγέλματα, δεῖν ἔχειν ἔδοξε καὶ ἡμῖν αὐτὰ ταῦτα πάλιν ἀνανεώσασθαι, μετὰ τῆς ἁγίας συνόδου, τῆς ἐνδημούσης ἐν ταύτῃ τῇ βασιλευούσῃ νέᾳ Ῥώμῃ, ὥστε δίχα πάσης ἐπινοίας, καὶ πάσης προφάσεως, καὶ παντὸς σοφισμοῦ, τὴν βδελυρὰν ταύτην καὶ ἀσεβῆ οὐκ οἶδ' ὅπως ἐπεισελθοῦσαν B συνήθειαν ταῖς ἁγιωτάταις ἐκκλησίαις παντελῶς ἐκτεμεῖν, ἵνα ἀληθῶς ἀκαπηλεύτου καὶ καθαρᾶς παρὰ τῶν ἀρχιερέων τῆς ἐπὶ τῶν χειροτονουμένων ἀναρρήσεως γινομένης, ἄνωθεν ἡ τοῦ ἁγίου πνεύματος χάρις ἐπιφοιτᾷ. ὧν νῦν γε, οὐκ οἶδα, διὰ χρημάτων τὴν προβολὴν ποιουμένων, καὶ οὐ τῆς χειρὸς καθαρῶς ἐνεργούσης, ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τοῦ κηρύγματος, καὶ οὐχὶ συστέλλεται μᾶλλον ἡ τοῦ ἁγίου πνεύματος χάρις. ἴσθι τοίνυν τὰ πάντα θεοσεβέστατε, πάντα τὸν ὁντιναοῦν, ἁλισκόμενον ἐπὶ τῷ τοιούτῳ τινὶ, ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον τινὰ δήποτε τοῦ κανόνος, ἢ λαϊκὸν, κοινῷ δόγματι τῶν C ἀρχιερέων κατακρίνεσθαι, καὶ κοινῇ ψήφῳ· καθὼς περὶ τούτου καὶ ὁ τῶν ἁγίων πατέρων κανὼν φθάσας διαλαλεῖ. δεῖ γὰρ εἶναι χάριν τὴν χάριν, καὶ μηδαμοῦ μεσιτεύειν παρ' αὐτῇ ἀργύριον. ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος· καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ, τε ταύτην κτᾶσθαι διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν, ὅτι οὐδὲ οἷόν τε συμβιβασθῆναι ποτὲ τὰ ἀσύμβατα, οὐδὲ θεῷ συμφωνῆσαι τὸν μαμμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας, δουλεῦσαι θεῷ. δεσπο- D τικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος· οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμμωνᾷ. τούτοις ἐπιθαρροῦντες ἡμεῖς κατὰ δύναμιν, καὶ τούτοις ὑπήκοντες, μετὰ τοῦ ταῦτα φήσαντος, κατὰ τῶν ταῦτα παρανομούντων τὴν ἀπόφασιν πεποιήμεθα· φροντισάτω δὲ καὶ ἡ σὴ ὁσιότης, ταῦτα διὰ πάσης παραφυλακῆς ποιουμένη δῆλα, καταστῆσαι διὰ ἀντιγράφων καὶ τοῖς ὑπὸ σὲ θεοφιλεστάτοις ἐπισκόποις καὶ περιοδευταῖς καὶ τοῖς ἄλλοις ἅπασιν· ἵνα ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ πάντες ὁμοῦ Χριστιανοὶ συμφραξάμενοι κατὰ τοῦ κοινοῦ δυσμενοῦς, ἰσχύσωμεν σὺν θεῷ τὴν ὑπ' ἐκείνου φυτευθεῖσαν ἐν ἡμῖν τῆς φιλαργυρίας ῥίζαν, ἅμα πᾶσιν αὐτοῖς τῶν κακῶν τοῖς E βλαστήμασιν, ἐκτεμεῖν. πᾶσαν τὴν σὺν σοὶ ἐν Χριστῷ ἀδελφότητα προσαγορεύομεν. ἐρρωμένος ἐν κυρίῳ ὑπερεύχου ἡμῶν θεοφιλέστατε ἄδελφε. τούτῳ τῷ ἐπιστολιμαίῳ λόγῳ σὺν αὐτῷ δὲ τῷ Γενναδίῳ ὑπέγραψαν καὶ οἱ ἑβδομήκοντα τρεῖς.

F

A

ΕΚ ΤΗΣ ΠΡΟΣ ΝΙΚΟΠΟΛΙΤΑΣ ΕΠΙΣΤΟΛῆς τοῦ μεγάλου Βασιλείου.

Η ἐπιστολὴ διαλέγεται περὶ τοῦ ὑπομένειν καὶ εὐχαρίστως φέρειν τοὺς πειρασμούς. εἶτα ἐπάγει, τί πεπόνθαμεν δεινόν; εἰ μὴ τάχα τοῦτο λυπηρὸν, ὅτι μηδὲν πεπόνθαμεν, μηδὲ ἐνομίσθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων. B εἰ δὲ ὅτι ὁ δεῖνα κατέχει τὸν οἶκον τῆς προσευχῆς, ὑμεῖς δὲ ἐν ὑπαίθρῳ προσκυνεῖτε τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, τοῦτο ὑμᾶς ἀνιᾷ, ἐνθυμήθητε, ὅτι οἱ μὲν ἕνδεκα μαθηταὶ ἐν τῷ ὑπερῴῳ ἦσαν ἀποκεκλεισμένοι· οἱ δὲ σταυρώσαντες τὸν κύριον ἐν τῷ περιβοήτῳ ναῷ τὴν Ἰουδαϊκὴν λατρείαν ἐπλήρουν. Ἰούδας γὰρ, τὸν δι' ἀγχόνης θάνατον τοῦ μετ' αἰσχύνης ζῆν προτιμήσας, ἔδειξε τάχα τῶν νῦν ἀπερυθριασάντων πρὸς πᾶσαν ἀνθρώπων κατάγνωσιν, καὶ διὰ τοῦτο ἀναιδῶς πρὸς τὰ αἰσχρὰ διακειμένων, ἑαυτὸν αἱρετώτερον. μόνον μὴ ἀπατηθῆτε ὑπὸ τῶν ψευδολογιῶν αὐτῶν ἀπαγγελλομένων ὀρθότητα πίστεως. C χριστέμποροι γὰρ οἱ τοιοῦτοι, καὶ οὐχὶ Χριστιανοὶ, τὸ ἀεὶ κατὰ τὸν βίον αὐτοῖς λυσιτελοῦν τοῦ κατὰ ἀλήθειαν ζῆν προτιμῶντες. ὅτι δὲ ἐνόμισαν κτᾶσθαι τὴν κενὴν ταύτην ἀρχὴν, προσέθεντο τοῖς ἐχθροῖς τοῦ θεοῦ, ὅτε εἶδον τοὺς λαοὺς ἀγριαίνοντας, σχηματίζονται πάλιν τὴν ὀρθότητα, οὐκ οἶδα εἰ ἐπίσκοποι εἶεν, μηδὲ ἀριθμησαίμην ἐν ἱερεῦσι Χριστοῦ, τὸν παρὰ τῶν βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. ὑμεῖς δὲ, εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, τὰ αὐτὰ ἡμῖν φρονήσατε δηλονότι, εἰ δὲ ἀφ' ἑαυτῶν βουλεύεσθε, τῆς ἰδίας γνώμης ἐστὶν ἕκαστος κύριος. D ἡμεῖς ἀθῶοι ἀπὸ τοῦ αἵματος τούτου.

EX EPISTOLA MAGNI BASILII ad NICOPOLITANOS.

E*PISTOLA tractat de ſuſtinendis & æquo animo ferendis tentationibus; deinde ſubjungit, quid mali paſſi ſumus? niſi forſan iſtud triſte ſit, quòd nihil paſſi, nec paſſionibus pro Chriſto digni habiti ſumus. Si autem, quòd domum orationis neſcio quis detineat; vos autem ſub dio cœli & terræ conditorem adoratis, hoc vos male habet; conſiderate, quòd undecim quidem diſcipuli erant in cœnaculo incluſi: qui autem Dominum crucifixerunt in celebri templo Judaïcum cultum peragebant. Judas enim, qui ſuſpendio vitam finire maluit, quàm cum dedecore vivere, oſtendit ſe iis eſſe meliorem, qui ad omnem hominum condemnationem frontem perfricuerunt, & ideo impudenter ad omnia affecti ſunt. Eorum tantum falſiloquiis, qui fidei rectitudinem profitentur, ne ſeducamini, Chriſti enim cauponatores ſunt ii, & non Chriſtiani, qui id, quod eis ſemper in vita eſt utile, veræ vitæ præferunt. Quando autem exiſtimarunt ſe poſſe hoc vanum imperium acquirere, Dei inimicis additi ſunt: quando viderunt concitatos populos, rurſus rectitudinem ſimulant. Neſcio an ſint Epiſcopi, nec in Chriſti ſacerdotibus eum enumeraverim, qui à profanis manibus ad hoc ut præſint in diſſolutionem fidei promotus eſt. Hoc eſt meum judicium. Vos autem, ſi quam habetis partem nobiſcum, eadem videlicet nobiſcum ſentite: Sin veſtro ipſorum conſilio utimini, unuſquiſque ſuæ ſententiæ dominus eſt. Nos hujus ſanguinis inſontes ſumus.*

E

F

A

EPISTOLA TARASII SANCTISSIMI PATRIARCHÆ CONSTANTINOPOLIS, Novæ Romæ.

Ad Adrianum Papam Romæ veteris, de non faciendis pecunia ordinationibus.

Sanctiſſimo & beatiſſimo fratri & comminiſtro, domino Adriano, Papæ veteris Romæ, Taraſius miſericordia divina Epiſcopus Conſtantinopolis, novæ Romæ, ſalutem in Domino.

B

Multipliciter multiſque modis Evangelicè, Apoſtolicè & Paternè docemur, ut mores ab avaritia alienos in ſacerdotii conſecratione habeamus, & neque aurum vel argentum accipiamus ob cujuſquam ſacerdotalis viri ordinationem: ut demonſtrabimus in ſententiis hic ſubjectis ex divinis ſcripturis & paternis doctrinis. Qui enim manus imponunt ſunt miniſtri ſpiritus, non ſpiritus venditores: & ſpiritus gratiam gratis accipientes, eam quoque gratis dare debere iis, qui illam ab ipſis participant, pronuntiarunt ii, qui à Domini voce hanc libertatem acceperunt. C Si quis autem eam auro emiſſe convictus fuerit, eum ab ordine ſacro abjectum fore promulgant. Etſi enim nomine ſacerdotium ſortitus eſt, re tamen ipſa falſa eſſe ejus oratio convincitur. Nemo enim poteſt Deo & mammonæ ſervire, ut ex Evangelio didicimus. Et quoniam audivimus Deum propheticè loquentem; Sacerdotes loquimini quæ ſunt cordi Hieruſalem; & rurſus minitantem & dicentem; Speculator ſi gladium ſupervenientem viderit, & id tuba non ſignificaverit, & populus monitum non exceperit, & adveniens gladius animam ex eis abſtulerit, ſanguinem ex ſpeculatoris manu requiram: metuentes, ne ob ſilentium accuſemur aut damnemur, D denuntiamus omnibus noſtrarum Eccleſiarum Præſulibus; ut liberè juxta divinum Apoſtolum loquamur; Mundi ſumus à ſanguine eorum qui tranſgrediuntur canonicas conſtitutiones, & multo magis eorum qui pecuniis ordinaverunt vel ordinati ſunt; cum divinus Petrus Apoſtolus, cujus cathedram ſortita eſt fraterna veſtra ſanctitas, ut Simonem Magum, eos depoſuerit. Eam ob cauſam veritatem annunciare non veremur, ſervantes & retinentes ea quæ à ſanctis Apoſtolis & inclytis Patribus noſtris canonicè tradita ſunt: & ſi quid eorum ab aliquibus eſt præteritum, averſamur. Fraterna ergo veſtra ſacerdotalis ſanctitas, quæ legitimè atque ex E Dei voluntate pontificale munus adminiſtrat, percelebrem habet gloriam. Dixit enim per prophetam magnus & primus pontifex Chriſtus Deus noſter; Vivo ego, utique eos qui me glorificant glorificabo. Scis enim vir deſideriorum Spiritus, quòd Macedonii, & eorum qui circa illum erant ſancti Spiritus hoſtium, tolerabilior erat impia hæreſis. Cùm enim illi ſanctum Spiritum Dei & Patris creaturam & ſervum nugentur: hi ipſum, ut videtur, ſuum ſervum faciunt. Omnis enim dominus id quod habet, ſive ſervum, ſive aliud, quæcunque poſſidet, vendit, ſi velit: ſimiliter & qui emit, volens eſſe dominus ejus quod emptum eſt, argenti pretio id acquirit. F Sic qui rem hanc nefariam faciunt, Spiritum ſanctum deprimunt, æquè peccantes ac ii, qui Chriſtum in Beelzebub dæmonia ejicere impiè blaſphemèque dicebant: Vel, ut verius dicam, ſunt Judæ proditori ſimiles, qui Dei interfectoribus Judæis argenti pretio Chriſtum vendidit. Quemadmodum ergo divinus Spiritus eſt Chriſto Deo noſtro conſubſtantialis: eos ejuſdem futuros partis cuilibet manifeſtum eſt, ut fuit demonſtratum. Sin autem non venditur (manifeſtum eſt enim, quod nequaquam) abſque ulla dubitatione clarum

ΕΠΙΣΤΟΛΗ ΤΑΡΑΣΙΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ Κωνσταντινουπόλεως, νέας Ῥώμης,

Πρὸς Ἀδριανὸν τὸν Πάπαν τῆς πρεσβυτέρας Ῥώμης, περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Ἀδριανῷ, Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος ἐλέῳ θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ἐν κυρίῳ χαίρειν.

ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως εὐαγγελικῶς, ἀποστολικῶς τε καὶ πατρικῶς διδασκόμεθα, ἀφιλάργυρον τὸν τρόπον ἔχειν ἐν τῇ τῆς ἱερωσύνης ἁγιστείᾳ, καὶ μὴ χρυσίζεσθαι ἢ ἀργυρίζεσθαι ἐπὶ χειροτονίᾳ παντὸς ἱερατικοῦ ἀνδρὸς, ὡς ὑποδειξόμεθα ἐν ταῖς καθυποτεταγμέναις χρήσεσιν ἀπό τε γραφικῶν θεηγοριῶν καὶ πατρικῶν διδασκαλιῶν. οἱ γὰρ ἐπιτιθέντες χεῖρας ὑπηρέται τοῦ πνεύματός εἰσιν, οὐχὶ πράται τοῦ πνεύματος. δωρεὰν γὰρ λαμβάνοντας τὴν χάριν τοῦ πνεύματος, δωρεὰν δίδοσθαι τοῖς παρ' αὐτῶν μεταλαμβάνουσιν ἀπεφήναντο, ἐκ τῆς κυριακῆς φωνῆς τὴν ἐλευθερίαν ταύτην εἰληφότες. εἰ δέ τις ἐλεγχθείη χρυσίῳ ταύτην ὠνησάμενος, ἀποκήρυκτον διαγορεύουσι τὸν τοιοῦτον τῆς ἱερατικῆς τάξεως. εἰ γὰρ καὶ ὀνόματι τὴν ἱερωσύνην κεκλήρωται, ἀλλ' οὖν διαψεύδεται ὁ λόγος ἐπὶ τῷ πράγματι. οὐδεὶς γὰρ θεῷ δουλεύειν δύναται καὶ μαμωνᾷ, ὡς εὐαγγελικῶς ἐμάθομεν. καὶ ἐπειδὴ ἠκούσαμεν προφητικῶς τοῦ θεοῦ βοῶντος, ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, αὖθίς τε ἐπαπειλοῦντος καὶ λέγοντος, ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω· φόβῳ τοῦ τῆς σιωπῆς παραγγέλματος ἢ κατακρίματος ἀναγγέλλομεν τοῖς προέδροις πᾶσι τῶν καθ' ἡμᾶς ἐκκλησιῶν· ἵνα μετὰ παῤῥησίας κατὰ τὸν θεῖον ἀπόστολον εἴπωμεν, καθαροί ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, καὶ πάνυ γε μᾶλλον τῶν ἐπὶ χρήμασι χειροτονησάντων ἢ χειροτονηθέντων· Πέτρου τοῦ θείου ἀποστόλου, οὗ τὴν καθέδραν ἐκληρώσατο ἡ ἀδελφικὴ ὑμῶν ἁγιότης, ὡς Σίμωνα τὸν μάγον τούτους καθελόντος. τούτου ἕνεκεν οὐχ ὑποστελλόμεθα τοῦ ἀναγγέλλειν τὴν ἀλήθειαν, φυλάττοντες καὶ κρατοῦντες τὰ παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἀοιδίμων πατέρων ἡμῶν κανονικῶς ἐκδοθέντα· καὶ εἴ τι τούτων παρεβάθη ὑπό τινων, βδελυττόμεθα. ἡ οὖν ἀδελφικὴ ὑμῶν ἱεροπρεπὴς ἀρχιερωσύνη, ἐνθέσμως καὶ κατὰ θεοῦ θέλησιν πρυτανεύουσα τὴν ἱεραρχικὴν ἁγιστείαν, διαβόητον ἔχει τὴν δόξαν. εἴρηκε γὰρ διὰ τοῦ προφήτου ὁ μέγας καὶ πρῶτος ἀρχιερεὺς Χριστὸς ὁ θεὸς ἡμῶν· ζῶ ἐγὼ, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω. οἶδας γὰρ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, ὅτι φορητοτέρα μᾶλλον ἐστὶ Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν πνευματομάχων ἡ δυσσεβὴς αἵρεσις. ἐκείνων γὰρ κτίσμα καὶ δοῦλον τοῦ θεοῦ καὶ πατρὸς τὸ ἅγιον πνεῦμα ληρωδούντων· οὗτοι ἑαυτῶν ὡς δοκοῦσι δοῦλον αὐτὸ ποιοῦσι. πᾶς γὰρ δεσπότης ὅ τι ἂν ἔχοι, εἰ βούλοιτο, πιπράσκει, εἴτε οἰκέτην, εἴτε ἕτερον, ὧν κέκτηται· ὡσαύτως καὶ ὁ ἀγοράζων, δεσπότης βουλόμενος εἶναι τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται. οὕτως οἱ ταύτην τὴν ἄθεσμον πρᾶξιν ἐργαζόμενοι, καταβιβάζουσι τὸ πνεῦμα τὸ ἅγιον, ἶσα ἁμαρτάνοντες τοῖς βλασφημοῦσιν ἐν Βελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστόν· ἢ, τό γε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις Ἰουδαίοις, τιμῆς ἀργυρίου τὸν Χριστόν· ἢ, τό γε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις Ἰουδαίοις τιμῆς ἀργυρίου τὸν Χριστὸν ἀπημπολήσατο. ὡς οὖν τὸ ἅγιον πνεῦμα ὁμο-

ούσιον

σιόν ἐστι Χριστῷ τῷ Θεῷ ἡμῶν, τῆς αὐτῆς παντί που δῆλον ἔσονται μερίδος ὡς ἀποδέδεικται· εἰ δὲ οὐ παρέσχεται, (πρόδηλον γὰρ ὅτι οὐδαμῶς) ἀναμφιλέκτως οὐκ ἔστιν ἐν αὐτοῖς ἡ χάρις τοῦ ἁγίου πνεύματος, ἤτοι ἡ τῆς ἱερωσύνης ἁγιστεία. καὶ οὐκ ἔλαβον, οὐδὲ ἔχουσι. μνησθήτωσαν γὰρ τοῦ ἁγίου Πέτρου πρὸς τὸν τοῦτο ἐπιτηδεύσαντα οὕτω λέγοντος· οὐκ ἔστι σοι μερὶς οὐδὲ κληρονομία ἐν τῷ λόγῳ τούτῳ. εἰ γὰρ ἀπεμπωλεῖται ἡ τῆς ἱερωσύνης ἀξία, ἄρα περιττὴ αὐτοῖς ἡ κατὰ τὸν βίον σεμνὴ πολιτεία, καὶ ἡ ἐν ἁγνείᾳ καὶ ἀρετῇ ἀναστροφή· περιττὸς καὶ αὐτοὺς καὶ Παῦλος ὁ θεῖος ἀπόστολος, διδάσκων δεῖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, σώφρονα, κόσμιον, διδακτικὸν, ἐγκρατῆ, νηφάλιον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. οἴχεται τοίνυν ταῦτα πάντα ἐκ τοῦ πρατοῦ καὶ ἀγοραστοῦ τῆς ἱερωσύνης. αἱ οὖν ἀποκείμεναι ἁγιόλεκτοι χρήσεις ἀλλότριον πάντη τῆς ἱερωσύνης ἀποφαίνονται τὸν ποτὲ διδόντα ἢ λαμβάνοντα, ἐν οἱῳδήποτε χρόνῳ, εἴτε καὶ πρὸ τῆς χειροτονίας, εἴτε καὶ μετὰ τὴν χειροτονίαν. λαβεῖν γάρ ἐστι τὸ λαβεῖν ὁπηδήποτε. ἀλλὰ καὶ πάσας τὰς προβολὰς τὰς ἐκκλησιαστικὰς ἀφαιροῦσιν ἐπὶ τῇ τῶν χρημάτων δόσει.

Κανὼν κθ'. τῶν ἁγίων ἀποστόλων.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω, καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι τῆς κοινωνίας, ὡς Σίμων ὁ Μάγος.

Εκ τῶν πράξεων τῶν ἁγίων ἀποστόλων.

Ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων, δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν, ὅτι δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

Εκ τῆς τρίτης τῶν Βασιλειῶν.

Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν. ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγένετο τοῦτο τὸ ῥῆμα εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοάμ, καὶ εἰς ὄλεθρον καὶ ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

Εκ τῆς τετάρτης τῶν Βασιλειῶν.

Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ελισσαιὲ, αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ ἐγὼ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ἰσραὴλ, καὶ λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν Ελισσαιὲ, ζῇ κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι. καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. Καὶ μετ' ὀλίγον. Καὶ εἶπε Γιεζῆ, τὸ παιδάριον Ελισσαιὲ, ἰδοὺ ἐφείσατο ὁ κύριός μου Νεεμὰν τοῦ Σύρου, τοῦ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ἃ ἐνήνοχε· ζῇ κύριος, εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι παρ' αὐτοῦ τι. καὶ ἐδίωξε Γιεζῆ ὀπίσω Νεεμάν· καὶ μετὰ βραχύ. καὶ εἶπε Νεεμάν· λάβε διτάλαντον ἀργυρίου. καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ φυλάκοις, καὶ δύο ἀλλασσομένας στολάς. καὶ μεθ' ἕτερα, καὶ εἶπε πρὸς αὐτὸν Ελισσαιὲ, πόθεν Γιεζῆ; καὶ εἶπε Γιεζῆ· οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. καὶ εἶπε πρὸς αὐτὸν Ελισσαιὲ,

A est, non esse eis ſancti Spiritus gratiam, ſacerdotii ſcilicet ſacroſanctam dignitatem. Et neque acceperunt, neque habent. Meminerint enim S. Petri, ei qui hoc exercuit ſic dicentis: Non eſt tibi pars neque ſors in ſermone iſto. Si enim venundatur ſacerdotii dignitas, eis utique ſupervacanea eſt honeſtæ vitæ inſtitutio, & in puritate ac virtute converſatio: Supervacanus eſt ipſis & Paulus divinus Apoſtolus, docens oportere Epiſcopum eſſe à reprehenſione alienum, temperantem, moderatum, aptum ad docendum, continentem, ſobrium retinentem fidelem in doctrina ſermonem: ut poſſit in ſana doctrina exhortari, & eos qui contradicunt B refellere. Hæc ergo omnia evaneſcunt, ſi vendatur & ematur ſacerdotium. Subjectæ itaque è ſanctis ſelectæ ſententiæ, à ſacerdotio omnino eſſe alienum eum pronunciant, qui dat vel accipit in quocunque tempore, ſive ante ordinationem, ſive poſt ordinationem. Capere enim eſt quandocunque capere. Sed & omnes etiam Eccleſiaſticas promotiones ob pecuniæ dationem removent.

Canon xxix. ſanctorum Apoſtolorum.

C Si quis Epiſcopus pecuniis hanc dignitatem fuerit aſſecutus, vel Presbyter, vel Diaconus, deponatur, & ipſe, & qui eum ordinavit, & à communione omnino excindatur, ut Simon Magus.

Ex Actibus Sanctorum Apoſtolorum.

Videns autem Simon, quòd per impoſitionem manuum Apoſtolorum datur ſpiritus Sanctus, attulit eis pecunias, dicens; Date & mihi hanc poteſtatem, ut cui manus impoſuero, accipiat Spiritum ſanctum. Petrus autem dixit ei, Argentum tuum tecum pereat: quoniam D exiſtimaſti Dei donum pecuniis acquiri. Non eſt tibi pars nec ſors in hoc negotio. cor enim tuum non eſt rectum coram Deo. Reſipiſce igitur ab iſta malitia tua, & deprecare Deum, ſi forte remittetur tibi machinatio cordis tui: in bile enim amaritudinis & vinculo iniquitatis te eſſe video.

Ex tertio Regum.

Et non converſus eſt Hieroboam ab iniquitate ſua, & E ſe convertit & fecit ex populo Sacerdotes excelſorum: qui volebat, miniſterio illo conſecratus eſt: & fuit hæc res peccato domui Hieroboam, & exitio & deletioni à facie terræ.

Ex quarto Regum.

Et converſus eſt Naaman ad Heliſæum, & ipſe & omnis exercitus ejus, & venit, & ſtetit coram eo, & dixit: Ecce ego cognovi, quòd non eſt Deus in univerſa terra, præterquam in Iſraël: Et nunc accipe benedictionem à ſervo tuo. Et dixit Heliſæus: Vivit Dominus, F cui adſtiti coram ipſo, ſi accepero. Et vim attulit ut acciperet, & non paruit. Et paulo poſt: Et dixit Giezi famulus Heliſæi: Ecce dominus meus pepercit Naaman Syro, è manu ejus accipere quæ attulit: vivit Dominus, niſi ego poſt eum cucurrero, & ab ipſo aliquid accipiam. Et Giezi Naaman à tergo perſecutus eſt. Et paulo poſt: Et dixit Naaman: Accipe duo talenta argenti: & accepit duo talenta argenti in duobus loculis, & duas mutatorias veſtes. Et poſt alia; Et dixit ei Heliſæus; Undenam Giezi? & dixit Giezi; Non eſt profectus ſervus tuus huc aut illuc. Et dixit Heliſæus;

Nunquid cor meum tecum abierat? & ſcio, quòd vir rediit à curru in occurſum tuum, & nunc accepiſti argentum, & ipſo acquires hortos & vineta & oliveta & oves & boves & pueros & puellas: & lepra Naaman adhærebit tibi & ſemini tuo in ſeculum. Et exiit à facie ejus lepra infectus, tanquam nix.

Ex ſancti Baſilii interpretatione in Eſaiam.

Legem dedit in auxilium, ut dicant, non ut hoc verbum, pro quo dari dona nequeunt. Hæc lex non eſt ut hoc verbum ventriloqui. Non enim ad fraudem excogitatum eſt, ut illud, ſed eſt magiſtra veritatis. Ac illi quidem argento vaticinantur. Hoc eſt enim maximè ridiculum, quòd eis etiam mendacii mercedem pendunt, qui decipiuntur. Verbum autem legis non eſt ejuſmodi, ut pro eo dona dentur. Nemo enim vendit gratiam. Gratis, inquit, accepiſtis, gratis date. Vides quomodo Petrus adverſus Simonem indignatus ſit, qui argentum ob Spiritûs gratiam attulerat. Argentum tuum, inquit, tecum pereat, quia Dei donum per pecunias te acquirere putaſti. Non eſt ergo ſermo Evangelii, ventriloquorum verba, quæ venduntur. Quid enim dederit quiſpiam, quod ejus æſtimationi reſpondeat? Audi David dubitantem & dicentem; Quid reddam Domino pro omnibus, quæ mihi dedit? Non poſſunt ergo dona dari, quæ ejus gratiæ æſtimationi reſpondeant. Unum donum dignum eſt, ejus ſcilicet, quod donatum eſt, cuſtodia. Qui dat tibi theſaurum, non petit precium ejus quod donatum eſt; ſed dignam ejus, quod donatum eſt, cuſtodiam.

Ejuſdem ex Epiſtola ad Epiſcopos, qui ſibi ſuberant, ne ob pecunias ordinarent.

Putant ſe non delinquere, quod non ante, ſed poſt manuum impoſitionem pecuniam accipiant. Accipere autem eſt, quandocunque accipere. Adhortor ergo, ut hunc redditum, vel potiùs ad gehennam aditum, deponatis; & ne manus ejuſmodi lucris coinquinantes, vos ad ſancta peragenda myſteria indignos efficiatis.

Ex vita ſancti Joannis Chryſoſtomi.

Acceſſit omnibus Epiſcopis prolixitatis verborum nobis cauſa Euſebius, ſex reliquorum Epiſcoporum accuſator, in communionem recipi petens. Negant quidam Epiſcopi, ipſum debere ſuſcipi, utpote ſycophantam. Ad hæc ſupplicavit, dicens; Quoniam cauſa maxima ex parte duobus annis examinata eſt, ad teſtes autem producendos dilatio data eſt: rogo veſtram pietatem, ut hodie mihi liceat teſtes exhibere. Etſi enim mortuus eſt Antoninus Epiſcopus, qui argento accepto ordinavit; ſuperſunt tamen adhuc qui dederunt, & ſunt ordinati. Æquum cenſuit præſens ſynodus, ut de eâ re quæreretur. Et incipit cauſa à lectione Actorum, quæ nuper ea de re confecta fuerant. Ingreſſi ſunt teſtes, & ingreſſi ſunt ſex eorum, qui dederant & ordinati fuerant. Ii à principio negabant; ſed cum teſtes perſiſterent, hi quidem Laici, illi verò Presbyteri, quibus confidere viſi fuerant, primum quidem negabant; poſtquàm autem teſtes convincebant, & loca & tempora eis in memoriam revocantes, & eorum, quæ ſunt tradita, formas & quantitatem dicentes; non bene affecta eorum conſcientia, ſua ſponte ſine multa quæ-

A οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ; καὶ οἶδα, ὅτι ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συνάντησίν σου, καὶ νῦν ἔλαβες καὶ ἀργύριον, καὶ λήψῃ ἐν αὐτῷ κήπους καὶ ἀμπελῶνας καὶ ἐλαιῶνας καὶ πρόβατα καὶ βόας καὶ παῖδας καὶ παιδίσκας. καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοί, καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς εἰς τὸν Ἡσαΐαν ἑρμηνείας.

Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν, οὐχ ὡς τὸ ῥῆμα B τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. οὗτος δὲ ὁ νόμος οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἐγγαστριμύθου. οὐ γὰρ πρὸς ἀπάτην ἐπινενόηται ὥσπερ ἐκεῖνα, ἀλλὰ ἀληθείας ἐστὶ διδάσκαλος, κἀκεῖνοι μὲν ἐπ' ἀργυρίῳ μαντεύονται. τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι. τὸ δὲ ῥῆμα τοῦ νόμου οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ. οὐδεὶς γὰρ τὴν χάριν ἀποδίδοται. Δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ Σίμωνι, ἀργύριον ἐπὶ τῆς τοῦ πνεύματος χάριτος προσκομίσαντι. τὸ ἀργύριόν σου σὺν σοί, φησὶν, εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ θεοῦ C διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστιν οὖν ὁ τοῦ εὐαγγελίου λόγος, ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. τί γὰρ ἄν τις δῴη ἄξιον αὐτοῦ ἀντάλλαγμα; ἄκουε τοῦ Δαβὶδ διαποροῦντος καὶ λέγοντος, τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς αὐτοῦ χάριτος. ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος. ὁ δούς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

D Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασι.

Νομίζουσι μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. λαβεῖν δὲ ἐστὶν ὁπδήποτε λαβεῖν. παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν, ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύνοντες τοῖς τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν τὰ ἅγια μυστήρια.

E Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος, ὁ κατήγορος τῶν ἓξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι, ὡς συκοφάντην. ἐπὶ τούτοις ἱκέτευε, λέγων, ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοφιλίας σήμερον παραυτὰ δοῦναί με τοὺς μάρτυρας. εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ὁ ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτο-F νήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες. ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα. καὶ ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῶν πρώην πραχθέντων ὑπομνημάτων. εἰσῆλθον οἱ μάρτυρες, καὶ εἰσῆλθον οἱ ἓξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. ἐν ἀρχῇ ἠρνοῦντο, ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ πρεσβυτέρων, οἷς ἔδοξαν πεθαρρηκέναι, πρῶτον μὲν ἠρνοῦντο· ὡς δὲ οἱ μάρτυρες ἤλεγχον τόπων αὐτοὺς ὑπομιμνήσκοντες καὶ καιρῶν, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λέγοντες καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῶν διακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης, ὅτι δεδώκαμεν ὁμολογοῦμεν, καὶ γεγόναμεν τοιαύτην νομίζοντες ἀκολουθίαν εἶναι, ἵνα τῆς λειτουργίας τῆς δημοσίας ἐλευθερωθῶμεν· καὶ νῦν δεόμεθα, εἰ μὴ ἐστὶν ὅπου ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας, ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν, ἵνα λάβωμεν· τῶν γὰρ γυναικῶν ἡμῶν δεδώκαμεν τινὰ σκεύη. ὁ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς ἀπαλλάσσω, ἀξιώσας τὸν βασιλέα· ὑμεῖς δὲ προστάξατε λαβεῖν αὐτούς, ὃ δεδώκασι, παρὰ τῶν Ἀντωνίνου κληρονόμων, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, εἶναι δὲ ἀπὸ ἱερέων· ἵνα μὴ τούτων συγχωρηθέντων ἔθος γένηται Ἰουδαϊκόν, τὸ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων κατ᾽ ἔτος ἀμείβειν ἢ παρ᾽ ἔτος τοὺς ἀρχισυναγώγους, ἐπὶ συλλογῇ τοῦ ἀργυρίου· ὁμοίως καὶ τὸν ζηλωτὴν τούτου, τῶν Αἰγυπτίων πατριάρχην, ἵνα πληρωθῇ τὸ προφητικόν, οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετ᾽ ἀργυρίου ἐμαντεύοντο.

Ἐκ τῶν κανόνων τῶν χλ΄. ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγῃ τὴν ἄπρατον χάριν, καὶ χειροτονήσει ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι᾽ αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας, ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν, καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ᾽ ἐμπορείαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς· ἀλλ᾽ ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανῇ τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικός, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ, εἰ δὲ λαϊκὸς ἢ μονάζων, ἀναθεματιζέσθω.

Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς Γενναδίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς σὺν αὐτῷ συνόδου.

Ἔστω τοίνυν, καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ ἀναθέματος ὑποκείμενος, ὅ, τε κτᾶσθαι ταύτην τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικός, εἴτε λαϊκὸς εἴη, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο ποιεῖν. οὐ γὰρ οἷόν τε συμβιβασθῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ θεῷ συμφωνῆσαι τὸν μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας, δουλεῦσαι θεῷ. δεσποτικὴ καὶ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ϛ΄. συνόδου.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους ἢ οἱουσδήποτε κληρικούς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν· ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

Ἀκούσωμεν ταῦτα πάντες, ἐνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς, ἀλλὰ καὶ οἱ ἐν τῷ κλήρῳ καταριθμούμενοι, καὶ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραρρυῶμεν· ὅτι οὐ φθαρτοῖς, χρυσίῳ ἢ ἀργυρίῳ, ἠγοράσθημεν ἐκ τῆς ματαίας πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ.

A ſtione confeſſi ſunt, hoc modo: quod dedimus confitemur; & hanc eſſe conſequentiam exiſtimavimus, ut à miniſterio publico liberaremur: & nunc rogamus, ſi fas eſt nos non eſſe in miniſterio Eccleſiæ, ſaltem ut recipiamus argentum, quod dedimus: noſtrarum enim uxorum quædam vaſa ſeu nonnullam ſupellectilem dedimus. Joannes ad hæc Synodo pollicitus eſt: Ego, inquit, eos à curia liberabo, Imperatorem precatus. Vos autem jubete eos accipere quod dederunt ab hæredibus Antonini. Præcepit Synodus, aurum quidem eos recipere ab hæredibus Antonini: ſed intra altare communicare: ſacerdotio autem privatos eſſe: ne his conceſſis B ſit Judaica ſacerdotium vendendi & emendi conſuetudo. Dicunt enim exitioſum & falſo nomine appellatum Judæorum Patriarcham quotannis vel annis alternis ſuos Archyſynagogos mutare, ut ex eo pecuniam colligat: Similiter & ejus æmulatorem, Ægyptiorum Patriarcham: ut propheticum illud impleretur: Sacerdotes ejus cum donis reſponderunt, & prophetæ ejus cum argento divinaverunt.

Ex canonibus DCXXX. *ſanctorum patrum, qui Chalcedone convenerunt.*

C Si quis Epiſcopus ob pecunias ordinationem fecerit, & non venalem gratiam ad venditionem deduxerit, & œconomum, vel Defenſorem, vel Paramonarium ob pecunias ordinaverit, vel omnino aliquem ex canone, ſui turpis quæſtûs gratia; qui id aggreſſus eſſe convictus fuerit, de proprio gradu in periculum veniat: & qui ordinatus fuerit, nihil ex ordinatione vel promotione, quæ inſtar mercaturæ facta eſt, juvetur; ſed ſit alienus à dignitate vel curatione, quam pecuniis adeptus eſt. Si quis autem ſequeſter ſeu mediator fuerit tam turpibus & nefariis lucris: hic quoque, ſi ſit quidem Clericus, à D proprio gradu excidat: ſin autem Laicus vel Monachus, anathematizetur.

Ex Gennadii ſanctiſſimi Archiepiſcopi Conſtantinopolitani Encyclica Epiſtola, & Synodi quæ unà cum ipſo fuit.

Sit itaque, & eſt abdicatus, & ab omni ſacerdotali dignitate & miniſterio alienus, & anathemati maledictionis obnoxius, tam qui ſe hoc ſacerdotium pecuniis acquirere poſſe putat, quàm qui ſe ob pecunias id præbere E pollicetur, ſive ſit Clericus, ſive Laicus, ſeu hoc facere convincatur, ſeu non convincatur. Neque enim fieri poteſt, ut ea conjungantur, quæ conjungi non poſſunt: nec ut mammona cum Deo conveniat: vel ut qui ei ſerviunt, Deo ſerviant. Hæc eſt enim Dominica & minimè dubia ſententia: Non poteſtis Deo ſervire & mammonæ.

Ex canonibus ſanctæ ſextæ Synodi.

Eos, qui ordinantur datis pecuniis, ſive Epiſcopos, F ſive Clericos cujuſmodicunque, & non ex vitæ examinatione ſive electione, deponi jubemus: ſed & eos etiam qui ordinaverunt.

Audiamus hæc omnes, & auribus percipiamus, non ſolum Antiſtites, ſed & qui in clero connumerantur, & omnes qui terram habitant. Oportet enim nos iis, quæ audita fuerint, mentem diligentiùs adhibere, ne forte diffluamus: quoniam non corruptibilibus, auro vel argento, empti ſumus ex vana & inani à Patribus tradita converſatione, ſed precioſo ſanguine, tanquam agni puri & immaculati, A *Chriſti. Sic nos quoque doce, vir ſanctiſſime, ſcripturæ & Evangeliorum & Apoſtolorum & Patrum præcepta ſequi. Verbis enim oris veſtri paremus. In alta conſcende; exalta in fortitudine vocem tuam ambula in dilatationibus; prædica cum libertate, ut tollatur, & in interitum deducatur, quæ pecuniis facta eſt per manuum impoſitionem ordinatio, & quicquid eam, propter avaritiam, injuſtitiam & mercaturam, turpis lucri gratia conſequitur. Ea enim, cum iis quæ cum illa conveniunt, ſublata ex peculiari populo, in nomine Chriſti vocato & redemptionem gratis aſſecuto, omnia vitii inquinamenta,* B *quæ conſequuntur, funditus exciſa erunt: & ſacerdotes ut palma florebunt, Chriſti bonum odorem iis qui ſervantur inſpirantes, & Eccleſiæ Epinicion canentes; Abſtulit Deus à te iniquitates tuas; præterea autem & eos, qui decerpuntur, fructus dulces efficientes, & ipſos in ſenecta uberi multiplicantes, beatæ illius, inquam, & immaculatæ vitæ hæredes oſtendentes.*

Bals. Hæc Epiſtola ex ſcriptura & canonicis demonſtrationibus compoſita eſt, tractans eos gravius peccare, quàm Spiritûs ſancti hoſtes, quicunque pecuniis ordinationem faciunt, & ſancti Spiritus gratiam vendunt. C Illi enim ſervum Dei ſanctum Spiritum eſſe dicunt: hi vero ſervum ſuum illum faciunt propter venditionem. Ea enim vendit quis, quæ ſua ſunt. Eos autem Judæ quoque proditori comparat, ut qui ſanctum Spiritum vendere audeant, Chriſto & Deo noſtro conſubſtantialem. Debes autem ſcire, quòd illud; Sacerdotes loquimini quæ cordi ſunt Hieruſalem; eſt ex prophetia Eſaiæ: & illud; Mundi ſumus à ſanguine eorum, qui tranſgrediuntur canonicas conſtitutiones; ex Actibus Apoſtolorum, ſeu ex magni Pauli conſtitutione ad Presbyteros Epheſiorum. Illud, Tanquam Simonem D Magum condemnari eos, qui pecuniis ordinantur; ex xxix. canone Apoſtolico deſumptum eſt. Illud, Nunc dicit Dominus, utique eos, qui me glorificant, glorificabo; ex principio primi Regum. Illud, Quod non acceperunt, nec habent; ex prima ad Corinthios epiſtola. Illud, non eſt tibi portio nec hæreditas in hoc negotio; ex Actis Apoſtolorum. Illud, Oportet Epiſcopum eſſe à reprehenſione alienum; ex prima epiſtola ad Timotheum. Illud, Audiamus hæc omnia, & auribus percipiamus hæc omnia, ex epiſtola ad Hebræos. Illud, Non corruptibilibus, auro & argento, redempti ſumus; ex Petri catholica epiſtola prima. Et illud, In altum montem conſcende; ex Eſaia, & Oſee. E Illud, Sacerdotes ut palma florebunt; ex ii. ad Corinthios epiſtola; & illud, Abſtulit Dominus abs te iniquitates tuas, ex Sophonia.

οὕτω καὶ ἡμᾶς δίδαξον, ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς γραφικοῖς τε εὐαγγελικοῖς καὶ ἀποστολικοῖς τε καὶ πατρικοῖς παραγγέλμασι. πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν. ἐπὶ τῶν ὑψηλῶν ἀνάβηθι, ὕψωσον ἐν ἰσχύι τὴν φωνήν σου, πορεύθητι ἐν πλατισμῷ, κήρυξον μετὰ παῤῥησίας, ὅπως ἐξαρθῇ, καὶ εἰς ἀφανισμὸν οἰχήσηται, ἡ διὰ χρημάτων χειροθεσία, καὶ πᾶν εἴ τι διὰ φιλαργυρίαν ταύτῃ ἀδικίαν τε καὶ ἐμπορίαν αἰσχροκερδῆ παρέπεται. ταύτης γὰρ μετὰ τῶν συστοιχούντων αὐτῇ ἐξαιρουμένης ἐκ τοῦ περιουσίου λαοῦ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ κεκλημένου, καὶ δωρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ συνεπόμενα μιάσματα πρόῤῥιζα συνεκτμηθήσονται, καὶ οἱ ἱερεῖς ὡς φοῖνιξ ἀνθήσουσι, Χριστοῦ εὐωδίαν τοῖς σωζομένοις ἐμπνέοντες καὶ τῇ ἐκκλησίᾳ ἐπινικίως προσᾴδοντες· περιεῖλε κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου, ἔτι δὲ καὶ τοὺς δρεπομένους καρποὺς γλυκάζοντες, πληθύνοντές τε αὐτοὺς ἐν γήρᾳ πίονι, τῆς μακαρίας ἐκείνης, λέγω, καὶ ἀκηράτου ζωῆς κληρονόμους ἀναδεικνύντες.

ΒΑΛΣ. Ἡ ἐπιστολὴ αὕτη κατεσκευάσθη ἀπὸ γραφικῶν καὶ κανονικῶν ἀποδείξεων, διαλαμβάνουσα χείρονα τῶν πνευματομάχων ἁμαρτάνειν, τοὺς ποιοῦντας χειροτονίας διὰ χρημάτων, καὶ πωλοῦντας τὴν χάριν τοῦ ἁγίου πνεύματος. οἱ μὲν, δοῦλον τοῦ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον λέγουσιν, οὗτοι δὲ δοῦλον ἑαυτῶν ποιοῦσι τοῦτο διὰ τὴν πρᾶσιν. ἐκεῖνα γάρ τις πωλεῖ, τὰ οἰκεῖα. παρεικάζει δὲ τούτους καὶ τῷ προδότῃ Ἰούδᾳ, ὡς τολμῶντας πωλεῖν τὸ ἅγιον πνεῦμα, τὸ ὁμοούσιον τῷ Χριστῷ καὶ θεῷ ἡμῶν. ὀφείλεις δὲ εἰδέναι ὅτι τὸ, ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, ἐκ τῆς προφητείας ἐστὶ τοῦ Ἡσαΐου· τὸ, ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν καὶ τὰ ἑξῆς, τοῦ Ἰεζεκιήλ. τὸ, καθαροί ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, ἐκ τῶν πράξεων τῶν Ἀποστόλων, ἤτοι ἐκ τῆς πρὸς τοὺς πρεσβυτέρους τῶν Ἐφεσίων διαταγῆς τοῦ μεγάλου Παύλου. τὸ, ὡς τὸν Σίμωνα τὸν μάγον κατακρίνεσθαι τοὺς διὰ χρημάτων χειροτονουμένους, ἐξελήφθη ἀπὸ τοῦ κθʹ. ἀποστολικοῦ κανόνος. τὸ, νῦν φησι Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, ἀπὸ τῆς ἀρχῆς τῆς πρώτης τῶν βασιλειῶν. τὸ, ὃ οὐκ ἔλαβον οὐδὲ ἔχουσιν, ἀπὸ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς. τὸ, οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ, ἀπὸ τῶν πράξεων τῶν Ἀποστόλων. τὸ, δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, ἀπὸ τῆς πρὸς Τιμόθεον πρώτης ἐπιστολῆς. τὸ, ἀκούσωμεν ταῦτα πάντα καὶ ἐνωτισώμεθα, ἀπὸ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς. τὸ, οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθημεν, ἀπὸ τῆς πρώτης Καθολικῆς ἐπιστολῆς Πέτρου. τὸ, ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι, ἐκ τοῦ Ἡσαΐου καὶ τοῦ Ὠσηέ· τὸ, οἱ ἱερεῖς ὡς φοῖνιξ ἀνθήσουσιν, ἐκ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς· καὶ τὸ, περιεῖλε Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου, ἐκ τοῦ Σοφωνίου.

F

LECTORI.

HÆC quæ ſequuntur, licet ordine non ſuo, Ariſtini Synopſin integrum exhibent. Poſtquam enim omnia illa, quæ in Manuſcripto quem ſecuti ſumus, literis præ vetuſtate fugientibus, paginiſque ſubinde laceris deſiderabamus, in alio Manuſcripto, cujus poſtea copia facta eſt, comparuiſſent, noluimus Lectorem iiſdem fraudari; & proinde ea ab exemplari iſto ſatis etiam antiquo, pro fide, quam ubique profitemur, accuratè deſcripſimus, & latinitate donavimus.

ΕΚ ΤΗΣ ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΤΟΛΗΣ.

EX EPISTOLA

[S. BASILII] AD AMPHILOCHIUM.

A ΩΣΠΕΡ ἐν λαχάνοις οὕτω καὶ ἐν κρέασι, τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. λάχανον τὸ κώνειον, κρέας καὶ τὸ γύπειον· ὅμως ὑοσκύαμον οὐκ ἄν τις φάγοι, οὐδὲ κυνὸς ἅψαιτο μὴ σὺν ἀνάγκῃ. ὡς ὅγε φαγὼν οὐκ ἠνόμησεν.

ΕΚ ΤΗΣ ΠΡΟΣ ΔΙΟΔΩΡΟΝ.

B Εἴ τις πάθει ἀκαθαρσίας ἁλοὺς πρὸς δυοῖν ἀδελφῶν, ἄθεσμον κοινωνίαν ἐμπέσοι, μήτε γάμος ἡγείσθω τοῦτο, μήτε εἰς ἐκκλησίαν εἰσίτωσαν, πρὶν ἢ διαστῆναι ἀπ᾽ ἀλλήλων. μάταιος γὰρ ὁ παρερμηνεύων τὸ, γυναῖκα ἐπ᾽ ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, τὴν δὲ θανοῦσαν πεπαῦσθαι τοῦ ζηλοτυπεῖν, καὶ χώραν εἶναι λοιπὸν τῆς τελευτησάσης λαμβάνειν τὴν ἀδελφήν· ὡς ἡμῖν γε ἐκεῖνο ἀρκέσει, οὐκ εἴσῃ πρὸς πάντα οἰκεῖον τῆς σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν. εἰ γὰρ οἱ συναπτόμενοι σὰρξ εἰσὶ μία, διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ ᾠκείωται τῷ ἀνδρί. ὡς οὖν οὐ λήψῃ γυναικὸς μητέρα ἢ θυγατέρα ὅτι μηδὲ τὴν σαυτοῦ μητέρα ἢ θυγατέρα, οὕτως οὐδὲ ἀδελφὴν ὅτι μηδὲ τὴν σήν.

C Ἐκ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ὥστε χωρισθῆναι τοῦ ἐννοίκου γυναίου.

Ἀγαμία ἐν τούτῳ ἔχει τὸ σεμνὸν, τὸ κεχωρίσθαι τῆς μετὰ γυναικὸς διαγωγῆς. χρὴ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. διὸ τοῖς ἐν Νικαίᾳ πατράσιν ἑπόμενοι συνεισάκτους ἔχειν ἀπαγορεύουσι, χωρισθῆναί σε τοῦ συνοίκου γυναίου προσετάξαμεν. ἐὰν δὲ μὴ διορθωσάμενος τολμήσῃς ἱερᾶσθαι, ἀνάθεμα ἔσῃ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι.

Ἐκ τῆς πρὸς τοὺς χωρεπισκόπους.

Καθαρίσατε τὴν ἐκκλησίαν, τοὺς ἀναξίους αὐτῆς ἀπελάσαντες. καὶ τοῦ λοιποῦ τοὺς μὲν ἀξίους ἐξετάζοντες παραδέχεσθε. ἀριθμεῖτε δὲ μηδένα πρὶν εἰς ἡμᾶς ἀνενεγκεῖν. ἢ γινώσκετε ὅτι λαϊκὸς ἔσται ὁ γνώμης ἄνευ ἡμετέρας εἰς ὑπηρεσίαν παραδῦναι κριθείς.

QUEMADMODUM in oleribus, ita & in carnibus, noxium ab utili diſcernimus. Olus eſt cicuta, & caro vulturina eſt caro: nemo tamen hyoſcyamum comederit nec canem attigerit, ſine magnâ neceſſitate. Quare qui comedit non iniquè fecit.

EX EPISTOLA AD DIODORUM.

Si quis impurâ perturbatione captus, in illicitum ſororum commercium inciderit, illud matrimonium ne reputetur, nec in Eccleſiam introeant, priuſquam ab invicem ſeparentur. Ineptus enim eſt qui illud perperam interpretatur, Mulierem zelotypam ſuper ſororem ſuam non accipies; ſed mortua zelotypa eſſe deſinit, ideoq; mortuæ ſororem accipiendi facultatem eſſe nugatoriè aſſerit. Illud inſtituto noſtro ſat erit, ad omnem proximam ſanguinis tui non accedes, ad revelandam turpitudinem earum. Si enim matrimonio conjuncti una caro ſint, ſoror per uxorem viro conſanguinea evadit. Sicut igitur uxoris matrem vel filiam non accipies, quia nec matrem vel filiam tuam; ita nec ſororem, quia neque tuam.

Ex Epiſtola ad Gregorium Presbyterum, ut à mulierculâ quacum habitabat ſeparetur.

In hoc ſitum eſt cœlibatûs decus & honeſtas, quod à mulieris conſortio ſeparetur. Non oportet fratri offendiculum vel ſcandalum ponere. Quapropter nos Synodi Nicænæ Patres, qui introductitias habere vetant, ſecuti, ut à mulierculâ quâ cum habitas ſepareris, præcipimus. Sin autem non correctus ſacerdotio defungi auſus fueris, anathema eris, & qui te recipiunt, abdicati.

Ex Epiſtola ad Chorepiſcopos.

Purgate Eccleſiam, indignos ab eâ expellentes: & deinceps dignos examinate & ſuſcipite. Neminem autem in numerum referatis, priuſquam ad nos retuleritis; vel ſcitote quod Laicus erit qui ſine noſtrâ ſententiâ in miniſterium ordinatus judicatur.

UMI

A

Ad Epiſcopos ſibi ſubjectos, ne propter pecunias ordinent.

Qui propter pecunias ordinant, rem ſophiſticè interpretantur; quòd ſcilicet non antea accipiant, nec ſimul accipiant, ſed poſt ordinationem accipiant. Capere autem eſt, quandocunque capere. Hoc autem opus eſt avaritiæ, quæ eſt Idololatria. Ne igitur propter pauxillum argenti idola Chriſto præferatis; nec Judam imitemini, eum propter lucrum rurſus prodentes qui pro nobis ſemel crucifixus eſt: Nam & prædia & manus eorũ qui accipiunt, appellabũtur Akeldama. B

Ex Epiſt. ad Amphilochium, de Spiritu ſancto cap. xxvii. de Conſuetudinis non ſcriptis.

Plurima eaque commoda ex traditione non ſcriptâ Eccleſia habet: & primum fideles figura crucis in facie ſignari; ad orientem inter orandum verti; verba quæ dicuntur in oſtenſione panis Euchariſtiæ, & calicis benedictionis. Aquam baptiſmi benedicimus, & oleum unctionis, eumque qui baptizatur; & multa alia, quæ myſteria cum ſint, non decet iis, qui myſteriis non ſunt initiati, in ſcriptis C *oſtentare.*

Et aliter.

Aliud eſt dogma, & aliud prædicatio; Illud enim tacetur, hoc publicatur. Inter orandum igitur verſus Orientem aſpicimus, quoniam antiquam patriam quærimus, paradiſum ſc. in Eden in Oriente plantatum: Et ſtantes preces in Dominicis peragimus, & ut qui cum Chriſto conſurrexerimus, & quæ ſupra ſunt quærere debeamus; & quod ſeculi quod expectatur dies Dominica imago eſſe videatur, Una ea & octava exiſtens; quod & tota Pentecoſte innuit, D *quam una ea ſepties in ſeipſam ducta conſtituit. Genuflexio autem lapſum noſtrum & deinde reſurrectionem oſtendit.*

Ex xxix. capite ejuſdem Operis.

Plurima myſtica ſine ſcriptis in republica Chriſtiana verſantur; Hoc autem Apoſtolicum eſt: Laudo enim, inquit, vos quod ſicut tradidi vobis traditiones tenetis; & rurſus, ſervate traditiones quas accepiſtis, quarum una eſt hæc, cum Spiritu Doxologia.

E

TARASII PATRIARCHÆ CONSTANtinopolitanæ ad Adrianum Papam Romæ Epiſtola.

Qui manus imponunt, ſunt Spiritus miniſtri, non autem venditores. Qui enim gratis acceperunt, juxta Domini vocem, gratis dare debent. Is ergo qui auro ſacroſancti Spiritus gratiam acquirere conatur, exterminandus eſt; quia Deo & mammonæ ſervire impoſſibile eſt: & quoniam hæreſis hæc peregrina magis impia eſt quam Macedonii, & reliquorum pneumatomachorum. Cum enim illi Spiritum ſanctum Dei ſervum eſſe blaſphemè dicant, hi ipſum ſervum ſuum faciunt, eum ſervorum more emere F *auſi, & Iudæ ſimiles fiunt.*

Ex Actibus Apoſtolorum.

Dixit Paulus Simoni pecunias afferenti ut Spiritum ſanctum acciperet, Argentum tuum ſit tecum in perditionem, quoniam Dei donum pecuniis acquirere exiſtimaveris.

Πρὸς τοὺς ὑφ' ἑαυτοῦ ἐπισκόπους, μὴ χειροτονεῖν ἐπὶ χρήμασι.

Οἱ χειροτονοῦντες ἐπὶ χρήμασι σοφίζονται τὸ πρᾶγμα, διὰ τοῦ μὴ προλαμβάνειν, ἢ ἅμα λαμβάνειν, ἀλλὰ μεταλαμβάνειν. λαβεῖν δέ ἐστι τὸ ὁτεδήποτε λαβεῖν. τοῦτο δὲ φιλαργυρίας ἔργον· ἡ δέ ἐστι εἰδωλολατρεία. μὴ οὖν Χριστοῦ τὰ εἴδωλα προτιμήσητε διὰ μικρὸν ἀργύριον, μηδὲ τὸν Ἰούδαν μιμήσεσθε, προδόντες ἐπὶ λήμματι δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα· ἐπεὶ καὶ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοιαῦτα δεχομένων ἀκελδαμᾶ κληθήσεται.

Ἐκ τῆς πρὸς Ἀμφιλόχιον περὶ ἁγίου πνεύματος, κεφ. κζ΄. περὶ ἀγράφων ἐθῶν.

Πολλὰ καὶ καίρια ἡ ἐκκλησία ἔχει τὰ ἐξ ἀγράφου παραδόσεως. καὶ πρῶτον, τοὺς πιστοὺς τῷ σταυροῦ τύπῳ τὰς ὄψεις κατασημαίνεσθαι· ἔπειτα τὸ πρὸς ἀνατολὰς ἐστραμμένους εὔχεσθαι· τὰ ἐπιλεγόμενα τῇ ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας. εὐλογοῦμεν τὸ ὕδωρ τοῦ βαπτίσματος, τὸ τῆς χρίσεως ἔλαιον, αὐτὸν τὸν βαπτιζόμενον, καὶ πολλὰ ἕτερα ἃ μυστήρια ὄντα οὐκ ἔδει θριαμβεύειν τοῖς ἀμυήτοις διὰ τοῦ γράμματος.

Καὶ ἄλλως.

Ἄλλο δόγμα καὶ ἄλλο κήρυγμα· τὸ μὲν γὰρ σιωπᾶται, τὸ δὲ κηρύττεται. ὁρῶμεν οὖν πρὸς ἀνατολὰς εὐχόμενοι, ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα τὸν ἐν Ἐδὲν κατ' ἀνατολὰς φυτευθέντα παράδεισον· ὀρθοὶ δὲ τὰς εὐχὰς πληροῦμεν ἐν τῇ κυριακῇ, καὶ ὡς συναναστάντες Χριστῷ καὶ τὰ ἄνω ζητοῦντες, καὶ ὅτι τοῦ προσδοκωμένου αἰῶνος εἰκών ἐστι, μία ἡ αὐτὴ καὶ ὀγδόη τυγχάνουσα, ὃ καὶ ὅλη ἡ ν. αἰνίττεται· ἣν ἡ αὐτὴ μία ποιεῖ ἑπτάκις ἐφ' ἑαυτὴν πολυπλασιασθεῖσα. ἡ δὲ γονυκλισία τὴν πτῶσιν ἡμῶν ἐμφαίνει καὶ αὖθις ἀνάστασιν.

Ἐκ τοῦ κθ΄. κεφ. τῆς αὐτῆς πραγματείας.

Τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύονται· Ἀποστολικὸν δὲ τοῦτο, ἐπαινῶ γάρ φησιν ὑμᾶς ὅτι καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε· καὶ αὖθις, κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, ὧν μία καὶ αὕτη ἡ σὺν τῷ πνεύματι δοξολογία.

ΤΑΡΑΣΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟλεως Ἀδριανῷ Ῥώμης.

Οἱ χειροθέται ὑπηρέται τοῦ ἁγίου πνεύματός εἰσιν, ἀλλ' οὐχὶ πράται· δωρεὰν γὰρ λαβόντες, κατὰ τὴν κυρίου φωνὴν, δωρεὰν διδόναι ὀφείλουσι. ὁ δὲ χρυσίῳ τὴν χάριν τοῦ ἁγίου πνεύματος πειρώμενος κτήσασθαι, ἐκκήρυκτος, ὅτι μηδὲ δυνατὸν θεῷ δουλεύειν καὶ μαμμωνᾷ· καὶ ὅτι δυσεβεστέρα Μακεδονίου καὶ τῶν λοιπῶν πνευματομάχων ἡ ἔκφυλος αὕτη αἵρεσις. ἐκείνων γὰρ δοῦλον τοῦ θεοῦ βλασφημούντων τὸ πνεῦμα τὸ ἅγιον, οὗτοι δοῦλον ἑαυτῶν ποιοῦσιν, τολμῶντες πιπράσκειν ὡς τὰ ἀνδράποδα, καὶ τοῦ Ἰούδα ἴσοι εἰσίν.

Ἐκ τῶν πράξεων.

Εἶπε Παῦλος πρὸς Σίμωνα προσάγοντα χρήματα ἵνα λάβῃ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν εἴη, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτήσασθαι.

A

Εκ τῆς γ'. τῶν Βασιλειῶν.

Ὁ βουλόμενος ἐπλήρου τὰς χεῖρας Ἱεροβοάμ, καὶ ἐγίνετο ἱερεὺς, καὶ ἐγίνετο εἰς ἁμαρτίαν τοῦτο καὶ ἀφανισμὸν καὶ ὄλεθρον τοῦ οἴκου Ἱεροβοάμ.

Εκ τῆς δ'.

Εἶπεν Ελισσαιὲ πρὸς Γιεζῆ, ναὶ ἔλαβες τὸ ἀργύριον Νεεμὰν καὶ τὰ ἱμάτια, ἀλλὰ καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεταί σοι καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. B

Εκ τῆς εἰς τὸν Ἠσαΐαν ἑρμηνείας τοῦ μεγάλου Βασιλείου.

Οὐδεὶς τὴν χάριν τοῦ θεοῦ χρυσίῳ ἀποδίδοται· δωρεὰν γὰρ ἐλάβετε, δωρεὰν δότε. ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος κατὰ Σίμωνος, τὸ ἀργύριόν φησι σὺν σοὶ εἰς ἀπώλειαν, ὅτι τὴν χάριν τοῦ θεοῦ διὰ χρήματα ἤλπισας κτήσασθαι.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τοὺς ὑπ' αὐτὸν ἐπισκόπους Ἐπιστολῆς.

C

Νομίζουσιν οἱ χειροτονοῦντες ἐπὶ χρήμασι μὴ ἁμαρτάνειν, τῷ μὴ προλαμβάνειν ἢ ἅμα λαμβάνειν, ἀλλὰ μεταλαμβάνειν· ἀλλ' ἴστωσαν ὅτι λαβεῖν ἐστι τὸ λαβεῖν ὁτεδήποτε. παρακαλῶ οὖν ἀποθέσθαι τὴν ἐπὶ τὴν γέενναν ταύτην προσαγωγήν.

Εκ τοῦ βίου τοῦ Χρυσοστόμου.

Προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον τοὺς χειροτονηθέντας ἐπὶ χρήμασι παρὰ τῶν κληρονόμων τοῦ χειροτονήσαντος Αντονίου λαβεῖν· κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, πλὴν εἶναι ἀπὸ ἱερέων· ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος Ιουδαϊκὸν καὶ αἰγύπτιον γένηται, πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. καὶ ζήτει κανόνα β'. τῶν ἐν χαλκηδόνι συνελθόντων ἁγίων πατέρων. D

Γενναδίου Κωνσταντινουπόλεως.

Ἔστω ἐκκήρυκτος καὶ πάσης λειτουργίας ἱερατικῆς ἀλλότριος, καὶ τῷ ἀναθέματι ὑποκείμενος, ὅτε κτᾶσθαι τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ παρέχειν ταύτην ἐπαγγελλόμενος. ζήτει καὶ κανόνα κβ'. τῆς ς'. συνόδου. E

Ex tertio Regum.

Quicunque voluit, manus implevit, & Sacerdos creatus erat, & factum eſt hoc in peccatum & deletionem exitiumque domui Ieroboam.

Ex quarto Regum.

Dixit Helizæus Giezi, certe accepiſti argentum & veſtes Naaman, quare & Lepra Naaman adglutinabitur tibi & ſemini tuo in perpetuum.

Ex Magni Baſilii Interpretatione in Eſaïam.

Nemo gratiam Deì auro emit. Gratis enim accepiſtis, gratis date. Vides quomodo Petrus adverſus Simona indignatus ſit, Argentum, inquit, tecum ſit in perditionem, quia gratiam Dei pecuniis acquirere ſperaſti.

Ejuſdem ex Epiſtola ad Epiſcopos ſibi ſubjectos.

Qui propter pecunias ordinant, ſe non peccare exiſtimant, quod non antea accipiant, nec ſimul accipiant, ſed poſtea accipiant; ſed ſciant, quod accipere, eſt quandocunque accipere. Adhortor igitur ut hunc ad Geennam aditum deponatis.

Ex vitâ Chryſoſtomi.

Præcepit Synodus, eos qui propter pecunias ordinati erant, aurum ab hæredibus Antonini, qui ordinavit, recipere; & intra altare quidem communicare, ſed Sacerdotio privatos eſſe: ne his conceſſis Judaica ſit vel Ægyptiaca Sacerdotium vendendi & emendi conſuetudo. Quære etiam Canonem ii. ſanctorum Patrum qui Chalcedone convenerunt.

[Ex] Gennadii Conſtantinop. [Epiſtola.]

Sit exterminatus & ab omni Sacerdotali miniſterio alienus, & anathemati obnoxius, tam qui Sacerdotium ſe pecuniis acquirere poſſe exiſtimat, quam qui ſe propter pecunias id præbere pollicetur. Quære etiã vi. Syn. Can. xxii.

ΤΟΥ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ

Αλεξανδρείας περὶ τοῦ πότε χρὴ τῷ μεγάλῳ σαββάτῳ ἀπονηστίζεσθαι.

Οἱ ἅγιοι εὐαγγελισταὶ περὶ μὲν τοῦ καιροῦ τῆς τοῦ κυρίου ἀναστάσεως εἶπον οὐδὲν, διαφόρους δὲ τὰς τῶν παραβαλλόντων τῷ τάφῳ ἀφίξεις ἀπήγγειλαν. ὀψὲ σαββάτων, ὅπερ δηλοῖ βαθείας νυκτὸς, ὁ Ματθαῖος· πρωῒ σκοτείας ἔτι οὔσης, ὁ Ἰωάννης· ὄρθρου βαθέος, ὁ Λουκᾶς· καὶ λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, Μάρκος· καὶ πάντες προεγηγέρθαι τὸν κύριον ἔφησαν. τοῖς οὖν ἐρωτῶσι κατὰ ποίαν ὥραν ἄρχεσθαι δεῖ τῆς ἐπὶ τῇ ἐγέρσει τοῦ κυρίου χαρᾶς, ἀποκριθῆς, ὅτι τοὺς μὲν πρὸ νυκτὸς ἀνιέντας ὡς ὀλιγώρους καὶ ἀκρατεῖς αἰτιώμεθα, τοὺς δὲ μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας ἀποδεχόμεθα, τοῖς μεταξὺ δὲ οὐκ ἐνοχλοῦμεν. F

CANONES SANCTI DIONYSII

Alexandrini de tempore quo in magno Sabbato jejunium ſolvere oporteat.

Sancti quidem Evangeliſtæ de tempore reſurrectionis Dominicæ nihil [definitè] dixerunt, diverſos autem ad ſepulchrum proficiſcentium accceſſus renunciarunt. Veſpere Sabbati, quo tempus mediæ noctis indicatur, Matthæus: Mane cum adhuc obſcurum eſſet, Joannes: Valde mane, Lucas: & valde mane exorto jam Sole, Marcus: Omneſ- Dominum prius reſurrexiſſe affirmarunt. Iis igitur qui quærunt, quânam horâ lætitia ob Domini reſurrectionem auſpicanda ſit, reſpondeas, quod eos qui ante mediam noctem ſolvunt, ut contemptores & intemperantes reprehendimus, eos autem qui ad quartam uſque vigiliam fortitèr perdurant amplectimur: qui vero medium inter hæc quiddam tenent, iis moleſti non ſumus.

A

Ejuſdem de iis, qui cum excommunicati fuerint, & præ metu mortis ad communionem admiſſi, poſtea convaleſcunt.

I. *Eos, qui præ expectatione mortis ab excommunicatione ſoluti ſunt, ſi ultra ſuperſtites maneant, & nihil interea mali fecerint, denuò ligare abſurdum erit. Si quis autem poſtquam convaluerit, majori animadverſione indigere adhuc videatur, & monitus ut ſeſe humiliet, affligat, ſubmittatque, non pareat, ſed uſque immorigerum ſe præbeat, hoc ei in crimen cedet ſecundâ excommunicatione dignum.*

B

De Impuritate.

II. *Quæ ſunt in abſceſſu, à divinis templis ſacriſque myſteriis arceantur.*

III. *Matrimonio etiam conjuncti ex conſenſu invicem abſtineant, ut vacent orationi, & rurſus conveniant.*

IV. *Qui involuntariè fluxum nocturnum paſſi ſunt, propriam ſequantur conſcientiam, & ſeipſos utrum dubitent, necne? diligenter explorent: Uti enim in cibis, ita & in hoc caſu, qui dubitat, ſi comederit, condemnatur.*

Τοῦ αὐτοῦ περὶ τῶν ἀκοινωνήτων μὲν ὄντων, φόβῳ δὲ θανάτου κοινωνούντων, εἶτα ἐπιβιούντων.

α'. Τοὺς προσδοκίᾳ θανάτου λυθέντας τῆς ἀκοινωνησίας, ἄλογον ἂν ἐπιβιῶσιν αὖθις δεσμεῖν μηδὲν ἐν τῷ μεταξὺ ἐργασαμένους. εἰ μέντοι μετὰ τὸ ῥᾷσαι φαίνοιτό τις πλείονος δεόμενος ἐπιστροφῆς, καὶ νουθετούμενος ταπεινοῦν καὶ κακοῦν καὶ συστέλλειν ἑαυτὸν, μὴ πείθοιτο, ἀλλ' ἀντιλέγῃ, τοῦτο αὐτῷ ἔγκλημα πρὸς δεύτερον ἀφορισμόν.

Περὶ ἀκαθαρσίας.

β'. Αἱ ἐν ἐφέδρῳ καὶ θείων ναῶν, καὶ ἱερῶν μυστηρίων εἰργέσθωσαν.

γ'. Καὶ οἱ γεγαμηκότες ἐκ συμφωνείας ἀλλήλων ἀπεχέσθωσαν, ἵνα σχολάζωσι τῇ προσευχῇ, καὶ πάλιν συνῶσιν.

δ'. Οἱ ἀπροαιρέτως ῥύσιν νυκτερινὴν ὑφιστάμενοι, τῷ οἰκείῳ συνειδότι ἀκολουθείτωσαν, καὶ ἑαυτοὺς σκοπείτωσαν εἰ διακρίνοιντο, ἢ μή. ὡς γὰρ ἐπὶ τῶν βρωμάτων, οὕτω κἀνταῦθα ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται.

C

SANCTI PETRI ALEXANDRINI
Martyris Canones.

I. *Cum perſecutionis quatuor jam anni præterierint, eos, qui multa paſſi, tandemque tormentis ſuperati Chriſtum negarunt, exinde autem pœnitentia ducti ſunt, & anno tertio deflent, aliis quadraginta diebus pœnæ ſubjectos eſſe debere declaramus.*

D

II. *Iis, qui in carcerem ſolummodò conjecti lapſi ſunt, annus ad prædictum tempus adjectus ſufficiet.*

III. *Iis, qui nihil omnino paſſi ſunt, ſed ad impietatem ultro transfugerunt, nunc autem pœnitentia ducuntur, quatuor annos injungimus; juxta ficum in Evangelio, quæ cum tribus annis ſterilis eſſet, & mox excindenda, uno inſuper anno dimiſſa erat.*

IV. *Quod ſi poſt lapſum in impœnitentia perſtent, ſint ut Barbari.*

E

V. *Iis, qui ſimularunt & tyrannos ludificarunt, eoque pacto dæmoniis non ſacrificarunt, ſemeſtris pœnitentiæ pœna imponetur.*

VI. *Quoniam nonnulli ſervos ſuos pro ſe ſacrificare compulerunt, qui coacti fuerant, uno anno opera pœnitentiæ oſtendant, qui vero coegerunt, tribus.*

VII. *Iis, qui proditi negarunt, poſtea autem revocato certamine fortiter conflictarunt, cum omni gaudio & lætitia in omnibus communicamus; ut exhilerati conſtantiores evadant.*

F

VIII. *Iis etiam qui ad certamen ultrò confugerunt, communicandum eſt: pro Chriſto enim ea fecerunt, licèt non juxta Chriſti mandatum. Jubet enim ille à perſecutoribus aufugere.*

IX. *Clerici, qui ad certamen ultrò confugiunt, & tormentis ſuperati fuerint, miniſterium non amplius habebunt. Quomodo enim? reliquerunt gregem, quod nemo ex Apoſtolis fecit.*

ΠΕΤΡΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
τοῦ ἁγίου καὶ ἱερομάρτυρος.

α'. Τεσσάρων ἤδη χρόνων ἐπιτρωχηκότων τῷ διωγμῷ, ἀποφαινόμεθα τοὺς μὲν πολλὰ παθόντας, εἶτα τῶν βασάνων ἡττηθέντας καὶ Χριστὸν ἀρνησαμένους, ἔπειτα μεταγνῶντας καὶ καταπενθοῦντας τρίτον ἔτος μετὰ τὴν προσέλευσιν, ἄλλας τεσσαράκοντα ἡμέρας ἐπιτιμηθῆναι.

β'. Τοῖς φυλακῇ μόνον ἐμβληθεῖσι καὶ παραπεσοῦσι, πρὸς τῷ παρελθόντι χρόνῳ ἐνιαυτὸς ἀρκέσει.

γ'. Τοῖς μηδὲν ὅλως παθοῦσι, ἀλλ' αὐτομολήσασι πρὸς τὴν ἀσέβειαν, νῦν δὲ μετανοοῦσιν, ὁρίζομεν τετραετίαν· κατὰ τὴν ἐν εὐαγγελίῳ συκῆν ἐπὶ τρία ἔτη μείνασαν ἄκαρπον ἐκτμηθῆναί τε μέλλουσαν, καὶ συγχωρηθεῖσαν ἔτι ἐνιαυτόν.

δ'. Εἰ καὶ μετὰ τὸ ἐκπεσεῖν ἀμετανόητοι, ἔστωσαν ὡς βάρβαροι.

ε'. Τοῖς ὑποκριναμένοις καὶ παίξασι τοὺς βιαστὰς οὕτω τε διαφυγοῦσι τὸ θῦσαι τοῖς δαίμοσι, ἑξάμηνον ἐπιτιμηθήσεται τῆς ἐν μετανοίᾳ ἐπιστροφῆς.

ϛ'. Ἐπειδή τινες ἠνάγκασαν, τοὺς ἑαυτῶν δούλους θῦσαι ἀνθ' ἑαυτῶν, οἱ μὲν ἀναγκασθέντες ἐνιαυτῷ τὰ τῆς μετανοίας ἔργα ἐπιδειξάσθωσαν, οἱ δὲ ἀναγκάσαντες ἐν τρισίν.

ζ'. Τοῖς παραδοθεῖσι καὶ ἀρνησαμένοις, εἶτα τὴν ἧτταν ἀνακαλεσαμένοις, γενναίως τε ἀγωνισαμένοις, μετὰ πάσης χαρᾶς καὶ εὐφροσύνης ἐν ἅπασι κοινωνήσωμεν, ἵνα εὐφρανθέντες εὐτονώτεροι γένωνται.

η'. Καὶ τοῖς εἰς τοὺς ἀγῶνας αὐτομολήσασι κοινωνητέον· ὑπὲρ χριστοῦ γὰρ πεποιήκασιν, εἰ καὶ μὴ κατὰ χριστόν. φεύγειν γὰρ διωκομένους ἐκεῖνος ἐκέλευσεν.

θ'. Οἱ ἀπὸ κλήρου αὐτομολήσαντες, καὶ τῶν βασάνων ἡττηθέντες, τὴν λειτουργίαν οὐχ ἕξουσι· πῶς γάρ; οἵγε κατέλιπον τὸ ποίμνιον, ὃ μηδεὶς τῶν ἀποστόλων ἐποίησε.

ι'. Τοῖς

A ι'. Τοῖς ἀνθαιρέτως ὑπελθοῦσι τὸν ἀγῶνα καὶ μετὰ ταῦτα μεταγνοῦσι, καὶ τὸ παραχθὲν ἀποδυρομένοις, καὶ μάλιστα εἰ ἀπολίτευτοι ἐν τῷ βίῳ αὐτῶν ἐγένοντο, καὶ συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν.

ια'. Τοῖς δοῦσι χρήματα πρὸς τὸ φυγεῖν βασάνους οὐκ ἔστιν ἔγκλημα· εἵλοντο γὰρ χρήματα ζημιωθῆναι ἢ ψυχήν. καὶ λυτρὸν ἀνδρὸς ὁ ἴδιος πλοῦτος.

ιβ'. Οὐδὲ τοῖς φυγῇ τὴν σωτηρίαν πορισαμένοις ἐστὶν ἐγκαλεῖν, κἂν ἀντ' αὐτῶν ἕτεροι κατεσχέθησαν· ἠδύναντο γὰρ κἀκεῖνοι φυγεῖν. B

ιγ'. Οἱ πολλὴν βίαν καὶ ἀνάγκην παθόντες, καὶ τέλεον ἐκβιασθέντες θῦσαι, ἀκουσίως τὰς αὐτῶν χεῖρας προσενεγκόντων τῶν βιαστῶν τῇ ἀνιέρῳ θυσίᾳ, οὐ μόνον ἐν τῇ λειτουργίᾳ μένουσιν, ἀλλὰ καὶ ἐν τοῖς ὁμολογηταῖς τάξονται.

ιδ'. Τετράδα καὶ παρασκευὴν νηστεύομεν· τῇ μὲν, ὅτι τὸ κατὰ χριστοῦ τῆς προδοσίας συμβούλιον, τῇ δὲ τὸ σωτήριον γέγονε πάθος. τῇ δὲ κυριακῇ χαίροντες διὰ τὴν ἀνάστασιν οὐδὲ γονυκλίνομεν. C

X. *Cum iis, qui ſponte certamen obierunt* [*& lapſi ſunt*] *& poſtea pœnitentiam egerunt, & quod factum eſt deplorarunt, potiſſimum ſi vita ſua à negotiis civilibus alieni fuerint, unà precamur, & pro ſalute eorum unà adhortamur.*

XI. *Qui pecunias dant, ut tormenta effugiant, culpa carent: maluerunt enim pecuniarum quam animæ detrimentum pati. Et hominis redemptionis pretium divitiæ ſuæ.*

XII. *Similiter & qui fuga ſaluti ſuæ conſuluerunt, non ſunt reprehendendi, licet pro iis alii prehenſi fuerint: poterant enim & illi aufugere.*

XIII. *Qui poſtquam magnam vim & coactionem paſſi sũt, ſacrificare omnino coacti fuerint, tyrannis manus eorum contra volũtatem profano ſacrificio afferentibus, non ſolũ in miniſterio manebũt, ſed & inter cõfeſſores conſtituti erunt.*

XIV. *Quarta feria & Paraſceve jejunamus: altera quidem quia in ea proditionis adverſus Chriſtum conſilium factum erat, altera autem quia in ea ſalutifera paſſio contigit. Die autem Dominica exultantes propter reſurrectionem genu non flectimus.*

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ

Νεοκαισαρείας τοῦ θαυματουργοῦ περὶ τῶν ἐν τῇ καταδρομῇ τῶν βαρβάρων γενομένων.

α'. Τοὺς αἰχμαλωτισθέντας ὑπὸ τῶν καταδραμόντων τὴν ἡμετέραν βαρβάρων, οὐδὲν βαρεῖ τὸ φαγεῖν τὰ δοθέντα παρ' ἐκείνων βρώματα· μάλιστα ὅτι παρὰ πάντων λέγεται τοὺς βαρβάρους μὴ τεθυκέναι εἰδώλοις.

D β'. Καὶ αἱ διαφθαρεῖσαι δὲ ὑπ' αὐτῶν, εἰ μὲν βίον εἶχον καὶ πρότερον κατεγνωσμένον, ὕποπτος καὶ νῦν ἡ πορνικὴ αὐτῶν ἕξις, καὶ οὐ κοινωνήσουσιν ἡμῖν τῶν εὐχῶν· εἰ δὲ βίον ἔχουσαι σώφρονα καὶ καθαρὸν ὑβρίσθησαν, οὐκ ἔστιν αὐταῖς ἁμάρτημα.

γ'. Οὐ τὸ λῃστεύειν μόνον φευκτὸν καὶ φρικτὸν, ἀλλὰ καὶ τὸ πλεονεκτεῖν, καὶ τῶν ἀλλοτρίων αἰσχροκερδῶς ἐφάπτεσθαι. πᾶς οὖν ὁ τοιοῦτος τῆς τοῦ θεοῦ ἐκκλησίας ἐκκήρυκτος.

E δ'. Οἱ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ τὰ τῶν ὁμοφύλων ἁρπάσαντες, σφόδρα ἀσεβεῖς εἰσι καὶ θεοστυγεῖς, καὶ πολλὴν ὑπερβολὴν ἀτοπίας ἔχοντες. ἔστωσαν οὖν ἐκκήρυκτοι μήποτε συναπολέσῃ ὁ ἀσεβὴς τὸν δίκαιον.

ε'. Εἰ καὶ Αχαρ μόνος ἥψατο τοῦ ἀναθέματος, ἀλλ' ἐπὶ πᾶσαν ἦλθε τὴν συναγωγὴν ἡ ὀργὴ, καὶ ἡμῖν οὖν πᾶν τὸ μὴ ἡμέτερον ἀλλὰ ἀλλότριον ἀνάθεμα νενομίσθαι προσήκει.

ϛ'. Οὐδὲ ὡς εὑρόντα κερδαίνειν ἔξεστι τὰ τῶν ἀδελφῶν· συνάξεις γὰρ, φησι τὸ δευτερονόμιον, καὶ ἔσται μετὰ σοῦ ἕως ἐκζητήσῃ ὁ ἀδελφός σου.

F ζ'. Εἰ τὰ τοῦ ἀμελοῦντος τῶν ἰδίων κερδαίνειν οὐκ ἔξεστι, πόσῳ μᾶλλον τοῦ δυστυχοῦντος καὶ πολεμίους φεύγοντος, καὶ τῶν ἰδίων ἐκδιωκομένου.

η'. Καὶ οἱ ἀνθ' ὧν αὐτοὶ ἀπώλεσαν, ἀλλότρια κατέχοντες, ἑαυτοὺς ἐξαπατῶσι· ὑπὸ Βοράδων γὰρ καὶ Γότθων παθόντες, Βοράδες καὶ Γότθοι τοῖς ἄλλοις γίνονται.

θ'. Οἱ τοὺς διαφυγόντας βίᾳ κατέχοντες αἰχμαλώτους, ἄπιστοι καὶ ἀσεβεῖς· καὶ μηδὲ τὸ ὄνομα τοῦ κυρίου γινώσκοντες. φοβοῦμαι μὴ καὶ σκηπτοὶ ἐπ' αὐτοὺς πέσωσιν.

ι'. Οἱ τὰ τῶν βαρβάρων φρονήσαντες αἰχμάλωτοι, φονεύοντές τε τοὺς ὁμοφύλους, καὶ ὁδοὺς ἢ οἰκίας τοῖς βαρβάροις

CANONES SANCTI GREGORII

Neocæſarienſis Archiepiſcopi Thaumaturgi, de iis
qui in Barbarorum incurſione fuerunt.

I. *EOs, qui à Barbaris, qui in regiones noſtras incurſiones fecerunt, captivi facti ſunt, nihil gravat cibos ab iis appoſitos comedere; maximè quod apud omnes dicatur, Barbaros idolis non ſacrificaſſe.*

II. *Mulieres etiam ab iis ſtupratæ, ſi vitam prius damnatam vixerint, fornicarius habitus tempore etiam captivitatis ſuſpectus eſt, & precibus nobiſcum non communicabunt: quod ſi vitam caſtam puramque agentes contumeliam paſſæ ſint, non erit iis peccatum.*

III. *Non ſolum prædari fugiendum horrendumque eſt, ſed plura etiam concupiſcere, & bona aliena propter turpe lucrum attingere; quicunque igitur eſt ejuſmodi à Dei Eccleſia abdicatur.*

IV. *Qui in Barbarorum incurſione bona eorum qui ſunt ſui generis ſurripiunt, valdè impii ſunt deoque inviſi, iique quorum improbitati nihil ſuperaddi poterit. Sint igitur abdicati, ne fortè impius juſtum unà ſecum perdat.*

V. *Si Achar id quod Deo dedicatum erat, ſolùm tetigit, & ſuper omnem congregationem ira Dei pervenit, nos etiam omne quod noſtrum non eſt, ſed alienum, tamquam Deo dedicatum exiſtimare debemus.*

VI. *Fratrum bona tanquam inventa lucrifacere non oportet; Congregabis enim, inquit Deuteronomium, & tecum erunt, donec frater tuus ea quæſierit.*

VII. *Si hominis bona, quæ ipſe neglexerat, lucrifacere non oporteat, quanto magis infelicis, & inimicos fugientis, & à rebus ſuis expulſi.*

VIII. *Qui pro bonis, quæ ipſi amiſerant, aliena detinent, ſeipſos decipiunt; cum enim ipſi à Boradis & Gotthis paſſi ſint, Boradi & Gotthi aliis evadunt.*

IX. *Qui captivos, qui fuga evaſerunt, vi detinent, infideles ſunt & impii, nec Dei nomen norunt; vereor ne fulmina in eos decidant.*

X. *Captivi, qui cum Barbaris ſentientes, ſuæ nationis homines occidunt, & vias domoſque Barbaris indicant,*

indicant, etiam ab auditione arceantur, donec ſanctis unà congregatis aliter viſum fuerit.

XI. *Qui domos alienas invadere auſi fuerint, ſi accuſati convincantur, ne quidem auditione digni habeantur; ſin ſponte ſua confeſſi fuerint, ſuccumbant.*

XII. *Qui in campo res alienas invenerint, aut in domibus ſuis, à Barbaris forſan allatas, ſi facti convincantur, ſuccumbant; ſin confiteantur & reſtituant, precibus digni habeantur.*

XIII. *Non oportet pretium indicii, vel conſervatæ rei, vel inventæ, vel aliud quodcunque accipere; ſed puro corde mandatum implere.*

A ὑποδεικνύοντες, καὶ τῆς ἀκροάσεως εἰργέσθωσαν· ἕως ἕτερόν τι δόξῃ συνελθοῦσιν ἁγίοις.

ια'. Οἱ ἀλλοτρίοις οἴκοις ἐπελθόντες, κατηγορηθέντες μὲν καὶ ἐλεγχθέντες μηδὲ ἀκροάσεως ἀξιούσθωσαν· ἐθελοντὶ δὲ ἐξειπόντες ὑποπιπτέτωσαν.

ιβ'. Οἱ ἐν πεδίῳ εὑρόντες τὰ ἀλλότρια, ἢ ἐν ταῖς ἰδίαις οἰκίαις, ὑπὸ τῶν βαρβάρων ὡς εἰκὸς κατενεχθέντα, εἰ μὲν ἐλεγχθῶσιν, ὑποπιπτέτωσαν, εἰ δὲ εἴπωσι καὶ ἀποδώσουσι, τῆς εὐχῆς ἀξιούσθωσαν.

B ιγ'. Οὐ δεῖ μήνυτρα, ἢ σῶστρα, ἢ εὕρετρα, ἢ ὁπουοῦν λαμβάνειν, ἀλλὰ καθαρῶς πληροῦν τὴν ἐντολήν.

MAGNI ATHANASII
AD AMMUM MONACHUM
DE SOMNIANTIBUS EPISTOLA.

DIC mihi, religioſiſſime vir, quodnam habet peccatum vel immundum, naturalis quædam & involuntaria excretio? niſi quis velit ea etiam criminare quæ per nares, os, ventremque excernuntur. Tum ſolum contaminamur, quando fœtidiſſimum peccatum operamur; naturalis autem excretio quæ involuntariè fit, naturæ opus eſt; quamvis nonnulli dictum Evangelicum, quod dicit, quæ exeunt hominem coinquinant, abſurdè detorqueant; dicto enim ſubjungitur, undenam exeuntia? nempe à corde, ubi malæ & profanæ cogitationes.

ALIUD.

Fornicatores & adulteros Deus judicabit: qui legitimo matrimonio junctus eſt, non peccavit, non autem tot dona accipiet; accipiet enim, nam & ipſe fert fructum triceſimum. Qui autem caſtam & ſupramundanam vitam elegerit, virginitatis ſc. ſtatum, dona habet admirabiliora, perfectum enim fructum centeſimum producit.

ALIUD SANCTI MAXIMI.

Dicunt nonnulli quod dæmones membra corporis in ſomniis attingentes, fluxus paſſionem commovent, & deinde paſſio mota mulieris imaginem per memoriam ad mentem transfert. Nonnulli autem, quod menti ſub forma mulieris apparent, & partes corporis attingentes deſiderium excitant, & ſic phantaſiæ generantur. Alio rurſus modo, per appropinquationem dæmonis movetur paſſio, & ſic in cogitationes anima inflammatur, per memoriam imagines deferens, & ſimiliter in alias phantaſias violentas. Alii quidem ſic, alii autem aliter evenire dicunt; verum nullo prædictorum modorum dæmones paſſionem movere poſſunt, quamdiu animæ charitas & continentia ineſt, neque in ſomniis neque in vigiliis.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΠΡΟΣ ΑΜΟΥΝ ΜΟΝΑΖΟΝΤΑ
περὶ ἐνυπνιαζομένων.

C ΕΙΠΕ μοι εὐλαβέστατε τί ἔχει ἁμάρτημα ἢ ἀκάθαρτον φυσική τις ἀπροαίρετος ἔκκρισις· εἰ μή τις ἐγκαλεῖν ἐθέλοι καὶ τὰ διὰ ῥινὸς καὶ στόματος καὶ τῆς γαστρὸς ἐκφερόμενα. τότε μόνον μεμολύσμεθα ὅτε τὴν δυσωδεστάτην ἁμαρτίαν ἐργαζόμεθα· ἔκκρισις δὲ φυσικὴ ἀβουλήτως γινομένη τῆς φύσεως ἔργον· κἄν τινες ἀλόγως καὶ ῥητὸν εὐαγγελικὸν βιάζωνται τὸ λέγον, τὰ ἐνερχόμενα κοινοῦ τὸν ἄνθρωπον· ἐπάγεται γὰρ τῷ ῥητῷ, τὰ πόθεν ἐξερχόμενα, ὅτι τὰ ἀπὸ καρδίας, ἔνθα οἱ πονηροὶ καὶ βέβηλοι λογισμοί.

Αλλο.

D. Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ θεός· γήμας κατὰ νόμον οὐχ ἥμαρτεν, οὐ μὴν τοσαῦτα χαρίσματα λήψεται· λήψεται γάρ, φέρων καὶ αὐτὸς καρπὸν τὸν τριάκοντα. ὁ δὲ τὸν ὑπερκόσμιον ἑλόμενος βίον τὴν ἐν παρθενίᾳ θαυμάσια ἔχει χαρίσματα, φέρει γὰρ τέλειον καρπὸν τὸν τῶν ρ'.

ΑΛΛΟ ΤΟΥ ΑΓΙΟΥ ΜΑΞΙΜΟΥ.

Τινὲς μέν φασιν ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους κινοῦσι τὸ τῆς ῥύσεως πάθος· εἶτα τὸ πάθος κινούμενον ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ μνήμης ἐπὶ τὸν νοῦν. E τινὲς δὲ ὅτι τῷ μὲν νῷ ἐν σχήματι γυναικὸς φαίνονται, τῶν δὲ μορίων τοῦ σώματος καθαπτόμενοι κινοῦσι τὴν ὄρεξιν, καὶ οὕτω γίνονται αἱ φαντασίαι. ἑτέρᾳ δὲ πάλιν· ἐν τῷ πλησιάζοντι δαίμονι κινεῖται τὸ πάθος, καὶ οὕτως ἀνάπτεται πρὸς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὰς διὰ τῆς μνήμης, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν ὁμοίως. οἱ μὲν οὕτως, οἱ δὲ οὕτως ἐπισυμβαίνειν φασίν, πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπων ἰσχύουσι πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ ψυχῇ ἀγάπης καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.

F

QUÆ DICUNTUR CANONICÆ, SYNOPSIS.

A

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ.

ΤΑ τῆς παλαιᾶς διαθήκης βιβλία κβ΄. εἰσιν· ὅσα καὶ τὰ παρ' Εβραίοις στοιχεῖα. Γένεσις, Εξοδος, Λευιτικὸν, Αριθμοὶ, Δευτερονόμιον, Ιησοῦς, κριταὶ, Ροὺθ, Βασιλειῶν δ΄. βίβλος β΄. Παραλειπομένων β΄. βίβλος μία, Εσδρα β΄. βιβλία α΄. Ψαλμοὶ, παροιμίαι, Προφῆται ιβ΄. βιβλίον ἕν· εἶτα Ησαίας, Ιερεμίας, σὺν Βαροὺχ, θρηνοῖς καὶ ἐπιστολαῖς, Ιεζεκιὴλ καὶ Δανιήλ. τῆς δὲ καινῆς διαθήκης ταῦτα. Ευαγγέλια δ΄. Ματθαίου, Μάρκου, Λουκᾶ, Ιωάννου, πράξεις Αποστόλων, ἐπιστολαὶ καθολικαὶ τῶν Αποστόλων ζ΄. Ιακώβου μία, Πέτρου β΄. Ιωάννου γ΄. Ιούδα α΄. Παύλου ιδ΄. Ιωάννου ἀποκάλυψις. βιβλία ἀκανόνιστα μὲν, ἀναγινωσκόμενα δὲ, σοφία Σαλομῶντος, Σιρὰχ, Εσθὴρ, Ιουδὴθ, Τωβίας, ἡ καλουμένη διδαχὴ τῶν ἀποστόλων, καὶ ὁ Ποιμήν.

MAGNI ATHANASII EPISTOLA.

Libri veteris teſtamenti ſunt viginti duo, quot nimirum
apud Hæbræos literæ. Geneſis, Exodus, Leviticum,
Numeri, Deuteronomium, Jeſu, Judices, Ruth, Regnorum
quatuor, libri duo, Paralipomenon duorum, liber unus.
Eſdræ i. lib.ii. Pſalmi, Proverbia, Prophetarum XII. liber
unus. Deinde Eſaias, Ieremias, cum Threnis & Epiſtolis
B *Baruch, Iezechiel, Daniel. Novi autem teſtamenti*
ſunt hi. Evangelia quatuor, Matthæi, Marci, Lucæ,
Joannis. Actus Apoſtolorum. Epiſtola Catholicæ Apoſt. vii.
Jacobi una, Petri duæ, Joannis iii. Judæ una, Pauli xiv.
Apocalypſis Joannis. Libri autem non canonici, quæ tamen
leguntur, Sapientia Solomonis, Sapientia Syrack, Eſther,
Judith, Tobias, quæ vocatur doctrina Apoſt. et Paſtor.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΚ ΤΩΝ ΕΠΩΝ

περὶ τῶν αὐτῶν.

ΠΡΩΤΗ Γένησις, εἶτ' Εξοδος, Λευϊτικὸν,
Επειτ' Αριθμοί. εἶτα Δεύτερος νόμος.
Επειτ' Ιησοῦς, καὶ Κριταὶ, Ροὺθ ὀγδόη,
Ηδ' ἐνάτη δεκάτη τε βίβλοι πράξεις Βασιλέων,
Καὶ Παραλειπόμεναι. ἔσχατον Εσδραν ἔχεις.
Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτος Ιώβ.
Επειτα Δαβὶδ, εἶτα τρεῖς Σολομώντειαι,
Εκκλησιαστὴς, Ασμα, καὶ Παροιμίαι.
Καὶ πένθ' ὁμοίως πνεύματος προφητικοῦ.
Μίαν μέν εἰσιν εἰς γραφὴν οἱ δώδεκα
Ωσηὲ, Αμώς τε καὶ Μιχαίας ὁ τρίτος.
Επειτ' Ιωήλ· εἶτ' Ιωνᾶς, καὶ Αβδίας,
Ναούμ τε, Αμβακούμ τε καὶ Σοφονίας,
Αγγαῖος, εἶτα Ζαχαρίας καὶ Μαλαχίας.
Μία μὲν, οἵδε· δευτέρα δ' Ησαίας.
Επειθ' ὁ κληθεὶς Ιερεμίας ἐκ βρέφους.
Επειτ' Ιεζεκιὴλ, καὶ Δανιῆλος χάρις.
Αρχαίας μὲν ἔθηκε δύο καὶ εἴκοσι βίβλους
Τοῖς τῶν Εβραίων γράμμασιν ἀντιθέτους.
Ηδη δ' ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν Εβραίοις θαύματα Χριστοῦ.
Μάρκος δ' Ιταλίῃ, Λουκᾶς Αχαΐδι.
Πᾶσι δ' Ιωάννης κήρυξ μέγας οὐρανοφοίτης.
Επειτα πράξεις τῶν σοφῶν ἀποστόλων.
Δέκα δὲ Παύλου τέσσαρές τε ἐπιστολαί.
Επτὰ δὲ καθολικαὶ, ὧν Ιακώβου μία.
Δύο δὲ Πέτρου. τρεῖς δ' Ιωάννου πάλιν.
Ιούδα δ' ἐστὶν ἑβδόμη. πάσας ἔχεις.
Εἴ τι δὲ τούτων ἐκτὸς, οὐκ ἐν γνησίοις.

C

SANCTI GREGORII THEOLOGI EX VERSIBUS

DE IISDEM.

PRIMA Geneſis, dein Exodus, Leviticon.
Poſt Numeri, dein Deuteronomium.
Deinde Jeſus, Judices, octavúſque Ruth.
At nonus decimuſque libri Regum acta fuere,
Et Paralipomenon, Ultimus Eſdras erit.
Sunt quinque metrici, primo Job in loco eſt;
D *Dein David; deinde tres Salomonis,*
Eccleſiaſtes, Canticum, & Proverbia.
Et itidem quinque ſpiritus Prophetici.
Scripturam ad unam rediguntur duodecim;
Oſeæ, Amoſque & Michæas tertius.
Deinde Ioël, dein Ionas, & Abdias,
Naumque & Abbacuc, atque Sophonias,
Aggæus, & Zacharias, dein Malachias.
Una quidem eſt hæc: ſecunda autem Eſaias.
Dein Hieremias vocatus ab infantia,
Dein Ezechiel, Danieliſque gratia.
E *Sic veteris duos & viginti libros*
Poſuit, qui Hebræis literis reſpondeant.
Jam numera libros novi myſterii.
Matthæus Chriſti Hebræis miracula ſcripſit.
Marcus Italiæ; Lucas autem Græciæ;
Magnus Ioannes præco penetrator Olympi
Cunctis, deinde ſunt Actus Apoſtolici;
Deinde decem Pauli & quatuor Epiſtolæ,
Septem Catholicæ, eſt Iacobi una ex eis,
Petri duæ ſunt; Ioannis verò tres.
At ſeptima eſt Iudæ, ſic omnes habes.
Si præter hos quid eſt, ne germanum putes.

A

SANCTI AMPHILOCHII EPISCOPI ICONII

DE IISDEM.

NAM Pentateuchus Genesin, dein Exodum,
Leviticumque inter medium librum tenet,
Post numeros, dein Deuteronomium,
Eis Jesum adjicias, & Judices.
Deinde Ruth, atque libros Regum quatuor,
Quinetiam Paralipomenon libros duos,
Et post eos Esdræ sequuntur gemini,
Dein versibus scriptos quinque afferam libros,
Qui multa passus est coronatus, Iob.
Psalmos, medelam qui ægris animis ferunt.
Tresque Salomonis, Proverbia,
Ecclesiastes, Canticorum Cantica.
Istis Prophetas addito duodecim,
Oseæ primum, deinceps secundum Amos,
Michæam, Ioel, Abdiamque, & typum
Jonam ipsius quod triduo Christo accidit;
Et post eos Naum, Abbacuc, nono loco
Sophoniam, Aggæumque, & Zachariam,
Atque inclytum valde angelum Malachiam.
Post quos Prophetas quatuor intelligas;
Esaiam magnum loquitur qui libere,
Hieremiamque misericordem, & mysticum
Jezechiel, Danielque omnium ultimum,
Qui rebus & verbis est sapientissimus.
Adjiciunt isti deinde Hester aliqui.
Novæ libros legis opus nunc dicere.
Evangelistas quatuor solos tene,
Matthæumque, Marcum, Lucamque tertium,
Adjicias ei Joannem, qui tempore
Quartus, sed altis sensibus primas tenet.
Nam jure dico filium hunc tonitrui,
Sermone qui divino valde insonuit.
Suscipias secundum quoque Lucæ librum,
Actus Apostolorum qui complectitur.
Electionis vas eis adjicias,
Qui Gentium est prædicator, & Apostolus,
Qui sapienter scripsit ad Ecclesias
Epistolas bis septem, unam ad Roma incolas,
Queis ad Corinthios adjiciuntur duæ,
Ad Galatas una, & una ad Ephesios,
Post quam est Philippos quæ transmissa extitit,
Et quæ ad Colossenses, duæ ad Thessalonicam,
Duæ ad Timothæum, ad Titum & Philemona,
Ad singulos una, & ad Habræos itidem.
Quæ verò ad Hebræos, notha esse dicitur
Plerisque; sed male, nam germana gratia est.
Quid verò cæteras catholicas epistolas?
Septem esse quidam dicunt; alii verò tres
Suscipiendas; namque Iacobi unicam,
Unamque Petri, Johannis quoque unicam,
Quidam vero tres, & iis adjiciunt
Duas Petri, sed Iudæ septimam.
Ast Apocalypsin Ioannis aliqui
Iis inserunt; rursus sed longè plurimi
Adulterinam dicunt. Hic verissimus
Divinitus datarum est scripturarum Canon.

ΤΟΥ ΑΓΙΟΥ ΑΜΦΙΛΟΧΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΙΚΟΝΙΟΥ

περὶ τῶν αὐτῶν.

Η Πεντάτευχος, ἣ Κτίσιν, εἶτ' Ἐξοδον,
Λευϊτικόν τε τὴν μέσην ἔχει βίβλον.
Μεθ' ἣν Ἀριθμοὺς· εἶτα Δευτερονόμιον.
B Τούτοις Ἰησοῦν προστίθει καὶ τοὺς Κριτάς.
Ἔπειτα τὴν Ῥούθ. Βασιλειῶν τέσσαρας
Βίβλους. Παραλειπομένων δὲ γε δύο βίβλοι.
Ἔσδρας ἐπ' αὐταῖς πρῶτος, εἶθ' ὁ δεύτερος.
Ἑξῆς στιχηρὰς πέντε σοι βίβλους ἐρῶ,
Στεφθέντος τ' ἄθλοις ποικίλων παθῶν, Ἰώβ.
Ψαλμῶν τε βίβλον, ἐμμελὲς ψυχῶν ἄκος.
Τρεῖς δ' αὖ Σολομῶντος τοῦ σοφοῦ, Παροιμίας,
Ἐκκλησιαστὴς, Ἆσμα δ' αὖ τῶν ἀσμάτων.
Ταύταις Προφήτας προστίθει τοὺς δώδεκα.
Ὠσηὲ πρῶτον, εἶτ' Ἀμὼς τὸν δεύτερον,
C Μιχαίαν, Ἰωὴλ, Ἀβδίαν καὶ τὸν τύπον
Ἰωνᾶν αὐτοῦ τοῦ τριημέρου πάθους.
Ναοὺμ μετ' αὐτοὺς· Ἀμβακούμ· εἶτ' ἔννατον
Σοφονίαν, Ἀγγαῖόν τε καὶ Ζαχαρίαν.
Διώνυμόν τε ἄγγελον Μαλαχίαν.
Μεθ' οὓς προφήτας μάνθανε τέσσαρας.
Παρρησιαστὴν τὸν μέγαν Ἡσαΐαν,
Ἱερεμίαν τε συμπαθῆ καὶ μυστικὸν,
Ἰεζεκιὴλ, ἔσχατον δὲ Δανιὴλ,
Τὸν αὐτὸν ἔργοις καὶ λόγοις σοφώτατον.
Τούτοις προσεγκρίνουσι τὴν Ἐσθὴρ τινές.
D Καινῆς διαθήκης ὥραμοι βίβλους λέγειν.
Εὐαγγελιστὰς τέσσαρας δέχου μόνους,
Ματθαῖον, εἶτα Μάρκον, οἷς Λουκᾶν τρίτον
Προσθεὶς, ἀρίθμει τὸν Ἰωάννην χρόνῳ
Τέταρτον, ἀλλὰ πρῶτον ὕψει δογμάτων.
Βροντῆς γὰρ υἱὸν τοῦτον εἰκότως καλῶ,
Μέγιστον ἠχήσαντα τῷ θεοῦ λόγῳ.
Δέχου δὲ βίβλον Λουκᾶ καὶ τὴν δευτέραν,
Τὴν τῶν καθολικῶν Πράξεων ἀποστόλων.
Τὸ σκεῦος ἑξῆς προστίθει τῆς ἐκλογῆς
Τὸν τῶν ἐθνῶν κήρυκα τὸν ἀπόστολον
E Παῦλον, σοφῶς γράψαντα ταῖς ἐκκλησίαις
Ἐπιστολὰς δὶς ἑπτὰ, Ῥωμαίοις μίαν.
Ἣ χρὴ συνάπτειν πρὸς Κορινθίους δύο,
Τὴν πρὸς Γαλάτας, τήν τε πρὸς Ἐφεσίους.
Μεθ' ἣν τὴν ἐν Φιλίπποις, εἶτα τὴν γεγραμμένην
Κολασσαεῦσι, Θεσσαλονικεῦσι δύο,
Δύο Τιμοθέῳ, Τίτῳ τε καὶ Φιλήμονι
Μίαν ἑκατέρῳ, καὶ πρὸς Ἑβραίους μίαν.
Τινὲς δέ φασι τὴν πρὸς Ἑβραίους νόθον,
Οὐκ εὖ λέγοντες· γνησία γὰρ ἡ χάρις.
Εἶεν, τί λοιπὸν, καθολικὰς ἐπιστολάς;
F Τινὲς μὲν, ἑπτά φασιν· οἱ δὲ τρεῖς μόνας
Χρῆναι δέχεσθαι, τὴν Ἰακώβου μίαν,
Μίαν δὲ Πέτρου, τήν τε Ἰωάννου μίαν.
Τινὲς δὲ, τὰς τρεῖς. καὶ πρὸς αὐταῖς τὰς δύο
Πέτρου δέχονται. τὴν Ἰούδα δ' ἑβδόμην.
Τὴν δ' ἀποκάλυψιν Ἰωάννου πάλιν
Τινὲς μὲν ἐγκρίνουσιν. οἱ πλείους δέ γε
Νόθον λέγουσιν. οὗτος ἀψευδέστατος
Κανὼν ἂν εἴη τῶν θεοπνεύστων γραφῶν.

ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ

Νύσσης πρὸς Λητόϊον Μελιτινῆς.

α'. ΤΡΙΑ θεωρεῖται περὶ τὴν ψυχὴν ἡμῶν, λογικόν, ἐπιθυμητικόν, καὶ θυμοειδές. κατορθώματα τοῦ λογικοῦ, καὶ τί μὲν αἱρετόν, τί δὲ φευκτόν· κακία, ἀσέβεια, ἀδιακρισία, καὶ ἐσφαλμένη τῶν πραγμάτων ὑπόληψις. κατορθώματα τοῦ ἐπιθυμητικοῦ ἔφεσις τοῦ ἀληθῶς καλοῦ, τουτέστιν ἀρετῆς καὶ τὴν B ἀρετὴν πηγαζούσης φύσεως· ἁμαρτία, ἡ πρὸς ἄλλο τι παρατροπή. τοῦ θυμοειδοῦς κατορθώματα, ἡ πρὸς τὸ κακὸν ἀπέχθεια, καὶ ὁ πρὸς τὰ πάθη πόλεμος, καὶ τὸ μὴ καταπλήσσειν τὰ πολλοῖς φοβερά, ἀλλὰ καὶ θανάτου καταφρονεῖν· ἀποπτώματα δέ, φθόνος, μῖσος, μῆνις, λοιδορία, καὶ αἱ φιλόνεικοι διαθέσεις. ἐν τούτοις οὖν τὰ τοῦ λογιστικοῦ ἁμαρτήματα χαλεπώτερα· καὶ εἴ τις τὴν εἰς Χριστὸν πίστιν ἠρνήσατο Ἰουδαΐσας, εἰδωλολατρήσας, Μανιχαΐσας, ἤ τι τοιοῦτον ἀθεΐας εἶδος ἑλόμενος, εἶτα κατέγνω ἑαυτοῦ, καιρὸν ἔχει μετανοίας τὸν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον· οὐ συνεύξεται τῷ λαῷ, ἀλλὰ κατὰ C μόνας εὔξεται· οὐ μεθέξει τῶν ἁγιασμάτων, εἰ μὴ ἐν ἐξόδου ὥρᾳ· ἀνελπίστως δὲ βιοὺς μένει πάλιν ἀμέτοχος. ἡ μέντοι διὰ βασάνων καὶ τιμωριῶν βεβιασμένη παράβασις τῷ μέτρῳ τῶν πόρνων συνεμετρήθη.

β'. Οἱ πρὸς γόητας καὶ μάντεις ἀπιόντες, εἰ μὲν ἐπὶ ἀθετήσει τῆς πίστεως, ὡς μὴ πιστεύοντες εἶναι θεὸν τὸν παρὰ Χριστιανῶν προσκυνούμενον, τῷ κρίματι τῶν παραβάντων ὑπάγονται. εἰ δ' ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει, διά τινα μικροψυχίαν τοῦτο ἐποίησαν, ἴσοι ἔσονται τοῖς πρὸς τὰς βασάνους μὴ ἀντισχοῦσι.

D

γ'. Τῆς ἐπιθυμίας ἁμαρτήματα, μοιχεία καὶ πορνεία, τοῖς μὲν διάφορα δοκοῦντα, τοῖς δὲ ταυτά. ταυτὰ μέν, ὅτι ἄμφω εἰς ἀλλότρια· διάφορα δέ, ὅτι τὸ μὲν ἔχει ἀδικίαν ἑτέρου, τὸ δὲ οὐχί· καὶ διὰ τοῦτο διπλασίων τῆς πορνείας τοῖς ἐν μοιχείᾳ μιανθεῖσιν ὥρισται χρόνος· ὥσπερ καὶ τῇ ζωοφθορίᾳ καὶ ἀνδρομανίᾳ· διπλασίων γὰρ ἐν τούτοις ἡ ἁμαρτία, ὅτι καὶ κατὰ ἄθεσμον ἡδονήν, καὶ ὅτι ἀδικίαν ἔχει κατὰ τοῦ ἀλλοτρίου. πλὴν ἐστὶ καὶ ἐν τοῖς ταυτὰ ἡμαρτηκόσι διαφορά· συμπαθεστέρας γὰρ ἐπιτιμίας ὁ ἀφ' ἑαυτοῦ ὁρμήσας εἰς ἐξαγόρευσιν τεύξεται, τοῦ φωραθέντος καὶ ἐλεγχθέντος. ὁ τοίνυν πεπορνευκώς, τρία ἔτη τῆς εὐχῆς οὐ μεθέξει, τρία E ἔτη ἀκροάσεται, τρία ἔτη ὑποπεσεῖται, καὶ τότε μεταλήψεται. πλὴν ὑποτέμνεται τὸν χρόνον θερμὴ σπουδὴ καὶ ζέουσα προθυμία πρὸς διόρθωσιν. ὁ δὲ ταῖς ἄλλαις ἀκαθαρσίαις ἃς ἔφημεν χρανθείς, τοὺς ἐν τοῖς βαθμοῖς χρόνους ἕξει διπλασίονας, ἀντὶ ἀνὰ τρεῖς, ἀνὰ ἕξ.

δ'. Τοῦ θυμοειδοῦς πολλαί τινές εἰσιν αἱ παρατροπαί· τὸ δὲ χείριστον ὁ φόνος, διαιρούμενος τῷ ἑκουσίῳ καὶ ἀκουσίῳ. ὁ μὲν ἑκούσιον διορθέμενος φόνον, ἐναετῆ χρόνον τῆς ἐκκλησίας εἰρχθήσεται, ἐναετῆ ἀκροάσεται τῷ λαῷ συνιστάμενος, ἐναετῆ ὑποπεσεῖται, καὶ οὕτω μεταλήψεται. πλὴν F ἔσται κἀνταῦθα τῆς σπουδῆς λόγος, ὥστε γενέσθαι ἕκαστον βαθμὸν η'. ἢ ζ'. ἢ ϛ'. ἢ καὶ ε'. μόνον ἐτῶν· ὁ δὲ ἀκούσιον, ἱερατικῆς μὲν ἀπόβλητος χάριτος· ὁ δὲ χρόνος αὐτοῦ ἴσος τῇ ψιλῇ πορνείᾳ· ὑποτέμνεται δὲ καὶ τοῦτον θερμότητι καὶ σπουδῇ.

ε'. Ὁ πρὸ τοῦ συμπληρῶσαι τὸν τῆς ἐπιτιμίας χρόνον ἐξοδεύων μεταλήψεται· ἐπιβιῶν δέ, τὸν τεταγμένον ἀναμενεῖ χρόνον, ἐν τῷ βαθμῷ γενόμενος ἐν ᾧ ἦν πρὸ τῆς μεταλήψεως.

SANCTI GREGORII NYSSENI

ad Letoïum Melitenes Epiſcopum, Epiſtola.

I. *TRIA in animâ noſtrâ conſiderantur, Ratio, Concupiſcentia & Ira. Recta rationis officia ſunt, tam quid ſit expectandum quam fugiendum ſcire: ejuſque vitium, Impietas, Judicii defectus, & fallax de rebus opinio. Rectæ actiones concupiſcentiæ, ejus quod reverâ pulchrum & honeſtum eſt, deſiderium; id eſt, virtutis, & naturæ à quâ virtus derivatur; ejus autem vitium, declinatio ad aliud. Rectæ actiones Iræ ſunt, mali odium, & bellum cum animæ perturbationibus, eaque non pertimeſcere quæ multis terribilia videntur, etiam & mortem contemptui habere; ejus denique lapſus ſunt, invidia, odium, ira, convitia, & contentioſæ affectiones. Ex his peccata rationis graviora ſunt: & ſi quis fidem in Chriſtum negaverit, ad Iudaïſmum, vel idololatriam, vel Manichæiſmum deflectens, aut aliquod aliud infidelitatis genus amplexus fuerit, poſtea autem ſeipſum condemnaverit, totum vitæ tempus pœnitentiæ tempus habet; Cum populo preces non aget, ſed ſeorſim precabitur: Sacramentorum particeps non erit, præterquam horâ ſui è vita exceſſus. Sin autem præter ſpem convaluerit, rurſus Sacramentorum expers manebit. Tranſgreſſio autem per tormenta & cruciatus vi expreſſa menſurâ fornicatorum dimenſa eſt.*

II. *Qui ad præſtigiatores & vates abierunt, ſi ad fidei contemptum, ut qui Deum eſſe non crederent qui à Chriſtianis adoratur, illud fecerint; apoſtatarum judicio obnoxii erunt. Sin autem in fide in Chriſtum permanentes propter aliquam puſillanimitatem illud fecerunt, æquales erunt iis, qui tormentis reſiſtere non potuerunt.*

III. *Concupiſcentiæ peccata ſunt adulterium & fornicatio; Quæ aliis diverſa, aliis eadem videntur: eadem quidem, quia utrumque attingit alienum; diverſa autem, quod hoc cum alterius injuria conjunctum ſit, illud non item. Et propterea duplex fornicationi præſtitutum tempus, iis qui adulterio contaminantur, definitur, ſicuti etiam cum brutis commercio, & pædicationi. Duplex enim eſt in iis peccatum; quod illicitum habet voluptatem, & alterius injuriam. Quin & inter eos qui ita peccarunt, datur differentia; pœnas enim mitiores ſubibit, qui ex ſeipſo ad peccata ſua proferenda impulſus eſt, quam is qui deprehenſus & convictus fuerit. Qui igitur fornicatur, tribus annis precum particeps non erit, tribus annis audiet, tribus annis ſubſternetur, & tunc particeps erit. Diligens vero ſtudium & fervens emendationis deſiderium tempus contrahet. Qui autem aliis impuritatibus contaminatur, tempus in gradibus duplicatum habebit, pro unoquoq; nempe triẽnio, ſexennium.*

IV. *Facultatis iraſcibilis plurimæ ſunt deflectiones, peccatum autem peſſimum eſt homicidium; quod dividitur in voluntarium & involuntarium. Qui homicidium involuntarium perpetraverit, novem annis ab Eccleſiâ abigetur, novem annis cum populo ſtans audiet, novem annis ſuccumbet, & ſic particeps erit. Quin & hîc ſtudii ratio habetur, ut quilibet gradus octo vel vii. vel vi. vel etiam v. annorum fiat. Qui vero cædem involuntariam admiſerit, à ſacerdotali gratia ejicietur; ejus autem tẽpus ſimplicis fornicationis tempori æquale erit; idque contrahet præ ſtudio & fervore.*

V. *Qui, antequam pœnæ tempus adimpleverit, moribundus eſt, participabit; convaleſcens autem, tempus præſtitutum manebit, in eodem gradu exiſtens in quo erat ante participationem.*

A **VI.** *Altera Idololatriæ ſpecies avaritia, ex tribus animæ partibus oriunda, (Nam & ratio ab ejus quod pulchrum eſt judicio aberrat, & deſiderium ſimul afficitur, & Ira occaſiones capeſſit) à Patribus prætermiſſa eſt. Publica igitur doctrinæ ratio, in quantum fieri poſſit, avaritiæ ægritudinibus medeatur. Furti autem ſpecies ſunt latrocinium, & murorum effoſſio; latronem etiam conſequitur homicidium, ad ea enim inſtruitur, armis, & copiis, & locis; unde & homicidarum judicio obnoxius eſt. Qui autem clam aliena ſurripit, & peccatum declarat, bona ſua pauperibus elargietur.*

B **VII.** *Qui ſepulchra effodit, ut lapidem ad ædificium extruendum accipiat, condonandus eſt propter conſuetudinem; ſin autem ut aliquid ex rebus ſepultis auferat, ſimplicis fornicationis judicio obnoxius eſt; illic etiam ſtudii ratione habita.*

VIII. *Sacrilegium in veteri Teſtamento homicidio æquale reputabatur, & contra utrumque lapidationis ſupplicium decernebatur. Viſum eſt autem Eccleſiæ minori tempore quam adulterium, ſacrilegii crimen expurgandum. Oportet vero ante omnia ad affectionem & non ad tempus attendere.* C

ς'. Τὸ ἕτερον τῆς εἰδωλολατρείας εἶδος ἡ πλεονεξία, ἐκ τῶν τριῶν τῆς ψυχῆς μερῶν γινομένη· (ὁ λογισμός τε γὰρ τῆς καλοῦ κρίσεως ἁμαρτάνει, καὶ ἐπιθυμία προσαπάγει, καὶ ὁ θυμὸς συνεφάπτεται·) ὅμως παρώφθη τοῖς πατράσιν. ὁ δημόσιος οὖν τῆς διδασκαλίας λόγος, ὡς ἂν οἷός τε ἦν, τὰς πλεονεκτικὰς ἀῤῥωστίας θεραπευέτω. τῆς δὲ κλοπῆς εἴδη, λῃστεία καὶ τοιχωρυχία· παρέπεται τῇ λῃστῇ καὶ μιαιφονία. παρεσκεύασται γὰρ πρὸς ταῦτα καὶ ὅπλοις καὶ πολυχειρίᾳ καὶ τόποις· ὅθεν καὶ τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεται. ὁ δὲ λαθραίως ὑφελόμενος καὶ ἐξαγορεύσας, διανεμεῖ καὶ τὰ ἴδια.

ζ'. Ὁ τυμβωρυχήσας, εἰ μὲν ὥστε λίθον εἰς οἰκοδομὴν λαβεῖν, συγγνωστέος διὰ τὴν συνήθειαν· εἰ δὲ πρὸς τὸ λαβεῖν τι τῶν συνταφέντων, τῷ τῆς ψιλῆς πορνείας ὑπόκειται κρίματι, κἀνταῦθα τῆς σπουδῆς σκοπουμένης.

η'. Ἡ ἱεροσυλία, τῇ μὲν παλαιᾷ γραφῇ ταὐτὸν ἐνομίσθη τῷ φόνῳ, καὶ ἐπ' ἀμφοτέρων ὁ διὰ λίθων ὡρίσθη θάνατος. τῇ δὲ ἐκκλησίᾳ ἔδοξεν ἐλάττονι παρὰ τὴν μοιχείαν γίνεσθαι χρόνῳ τὸ τῆς ἱεροσυλίας καθάρσιον. δεῖ δὲ ἐν παντὶ τῇ διαθέσει προσέχειν, ἀλλὰ μὴ τῷ χρόνῳ.

RESPONSA TIMOTHEI ALEXANDRINI
QUI UNUS ERAT EX CL. PATRIBUS
CONSTANTINOPOLI CONTRA
Macedonium congregatis, & Theophilum ſucceſſorem habebat.

D **I.** PUER vel vir Catechumenus exiſtens, *ſi neſcius particeps factus fuerit, illuminetur; à Deo enim vocatus eſt.*

II. *Dæmone obſeſſus, antequam mundatus fuerit, non baptizatur; niſi moribundus ſit.*

III. *Fidelis Dæmone obſeſſus, ſi myſterium non enunciat, vel alio modo blaſphemat, particeps ſit; ſed non ſingulis diebus: ſufficit enim ſi Dominica duntaxat participet.*

E **IV.** *Catechumenus morbo laborans, & emotæ mentis factus, baptizetur; modo non ſit Dæmone obſeſſus.*

V. *Qui noctu cohabitant, non participes erunt.*

VI. *Catechumena, ſi in catameniorum fluxum inciderit, donec purgata fuerit, non baptizatur.*

VII. *Mulier quæ eſt in abſceſſu, non particeps erit, donec purgata fuerit.*

F **VIII.** *Puerpera in ſancto Paſchate, hoc eſt, in magna hebdomada, potus & cibi, quantum ferre poterit, particeps eſſe debet.*

IX. *Dum fit oblatio, Hæretici intereſſe non debent, niſi pœnitentiam agere, & hæreſin ſuam relinquere, polliciti fuerint.*

VI. *Qui morbo valde attenuatus eſt, etiam in Paſchate vini & olei particeps erit.*

ΤΙΜΟΘΕΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
ἑνὸς τῶν ἐν Κωνσταντινουπόλει ρν'. πατέρων,
ΤΩΝ ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΟΥ
ἀθροισθέντων· διάδοχον ἐσχηκότος Θεόφιλον.

α'. ΠΑΙΣ ἢ ἀνὴρ κατηχούμενος, εἰ μεταλάβοι ἀγνοῶν, φωτιζέσθω· παρὰ θεοῦ γὰρ κέκληται.

β'. Ὁ δαιμονῶν εἰ μὴ καθαρθῇ, οὐ βαπτίζεται, εἰ μὴ ἐξοδεύει.

γ'. Ὁ δαιμονῶν πιστὸς, εἰ μὴ ἐξαγορεύει τὸ μυστήριον, ἢ ἄλλως βλασφημεῖ, μεταλαμβανέτω· μὴ μέντοι καθ' ἑκάστην, ἀρκεῖ γὰρ αὐτῷ κατὰ κυριακὴν μόνον.

δ'. Ὁ κατηχούμενος ἀσθενήσας, καὶ γενόμενος ἔκφρων, βαπτιζέσθω, εἰ μὴ δαιμονᾷ.

ε'. Οἱ συγγινόμενοι σύνοικοι, οὐ μεταλήψονται.

ς'. Ἡ κατηχουμένη, ἐὰν ῥύσει γένηται ἕως καθαρθῇ οὐ βαπτίζεται.

ζ'. Ἡ ἐν ἀφέδρῳ οὐ μεταλήψεται, ἕως καθαρθῇ.

η'. Ἡ ἐν τῷ ἁγίῳ πάσχα, τουτέστιν ἐν μεγάλῃ ἑβδομάδι γεννήσασα, ὀφείλει μεταλαβεῖν καθ' ὃ δύναται βαστάσαι καὶ τροφῆς καὶ ποτοῦ.

θ'. Προσφορᾶς γινομένης, οὐκ ὀφείλουσι παρεῖναι αἱρετικοὶ, εἰ μή τι ἂν ἐπαγγέλλωνται μετανοεῖν καὶ φεύγειν τὴν αἵρεσιν.

ι'. Ὁ ἄκρως ὑπ' ἀσθενείας κατατακεὶς, καὶ ἐν τῷ πάσχα μεταλαμβάνει καὶ οἴνου καὶ ἐλαίου.

ια'. Κλη-

A ια'. Κληρικὸς κληθεὶς εἰς τὸ ζεῦξαι γάμον, μαθὼν ὅτι παράνομος, ἀλλοτρίαις ἁμαρτίαις μὴ ἐπικοινωνείτω.

ιβ'. Ὁ ὀνειρασθεὶς, εἰ μὲν ἐξ ἔρωτος, οὐ μεταλήψεται, εἰ δὲ πειρασμῷ, δαιμονικῷ μεταλήψεται· ἵνα μὴ δῶμεν χώραν τῷ σατανᾷ τῶν ἁγιασμάτων εἴργειν ἡμᾶς.

ιγ'. Τοῖς συνοικοῦσιν ὁ Ἀπόστολος λέγει μὴ ἀποστερῆτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου· ἐξ ἀνάγκης δὲ σαββάτου καὶ κυριακῆς ἀφέξονται, διὰ τὸ ἐν ταύταις τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ θεῷ. B

ιδ'. Ὑπὲρ τοῦ ἀνελόντος ἑαυτὸν οὐκ ἔσται προσφορὰ, εἰ μὴ ταῖς ἀληθείαις ἔκφρων ἦν.

ιε'. Ὁ δαιμονιῶσαν ἔχων ἄλλην οὐ λήψεται.

ΘΕΟΦΙΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Κανόνες ιδ'. C

α'. Ἡ κυριακὴ ἡμέρα τιμᾶται καὶ πανηγυρίζεται διὰ τὴν ἐκ νεκρῶν τοῦ σωτῆρος ἀνάστασιν, καὶ πρώτη κέκληται ὡς ἀρχὴ ζωῆς, καὶ ὀγδόη ὡς ὑπεραναβᾶσα τὸν τῶν Ἰουδαίων σαββατισμόν. ἐπεὶ δὲ ταύτῃ συνέδραμεν ἡ τῶν θεοφανίων νήστιμος, οἰκονομήσωμεν ἐπιστημόνως, καὶ μεταλαβόντες ὀλίγων φοινίκων εἰς τιμὴν τῆς ἀναστάσεως περιμείνωμεν τὴν ἑσπερινὴν σύναξιν, καὶ περὶ ὥραν ἐννάτην συναχθῶμεν.

D β'. Οἱ κοινωνήσαντες τοῖς Ἀρειανοῖς καὶ μέχρι νῦν τὰς ἐκκλησίας κατέχοντες, ἐξωθήτωσαν ἄλλων ἀντικαταστάντων, ὀρθοδόξων δηλονότι· ὀρθόδοξοι δὲ ἐπίσκοποι οἱ καταστάντες παρὰ Ἀπόλλωνος ἐπισκόπου, κοινωνήσαντες τοῖς ἔχουσι τὰς ἐκκλησίας Ἀρειανοῖς, ἐπιτιμάσθωσαν εἰ ἀφ' ἑαυτῶν τοῦτο πεποιήκασιν· εἰ δὲ γνώμη τοῦ ἐπισκόπου, αὐλιζέσθωσαν, ὡς μὴ ἐπεγνωκότες τὸ εὔλογον· κἂν μὲν ἀποποιῶνται ὑπὸ τῶν λαῶν, ἄλλοι χειροτονείσθωσαν· ἐὰν δὲ στέργωνται, κρατείτω ἡ ἐν Θεβαΐδι σύνοδος.

E γ'. Βῆστος, εἰ ἐβιάσατο τὴν ἀποταξαμένην ζῶντος τοῦ ἀνδρὸς, μήτε πρεσβύτερον εἶναι συγχωρείσθω, μήτε ὡς λαϊκὸς συναγέσθω.

δ'. Σοὺρ, ἀλλότριος τοῦ κλήρου γεγονὼς ὑπὸ τοῦ ἐπισκόπου Ἀπόλλωνος, οὕτως ἔστω· εἰ δὲ τὴν ἀπόφασιν αἰτιᾶται, δικαιολογείσθω.

ε'. Πανοὺφ, εἰ ἔτι κατηχούμενος τὴν ἀδελφιδοῦν πρὸς γάμον ἔλαβε, μετὰ δὲ τὸ βάπτισμα κεκλήρωται, μενέτω ἐν τῷ κλήρῳ, εἴπερ ἐκείνη κεκοίμηται· καὶ μετὰ τὸ βάπτισμα εἰ οὐκ ἔσχεν αὐτήν· εἰ δὲ πιστὸς τυγχάνων ἔλαβε, τοῦ κλήρου ἀλλότριος ἔσται. F

ϛ'. Ἰακὼβ, εἰ ἀναγνώστης ὢν πεπόρνευκε, καὶ παρὰ τῶν πρεσβυτέρων ἐκβληθεὶς, αὖθις ἐχειροτονήθη, ἐκβαλέσθω ἐλεγχθείς. εἰ δὲ μὴ, μενέτω ἐν τῷ κλήρῳ. ματαίαις γὰρ οὐ δεῖ προσέχειν διαβολαῖς.

ζ'. Περὶ τῶν ὀφειλόντων χειροτονεῖσθαι· πᾶν τὸ ἱερατεῖον συμφωνείτω· καὶ τότε ὁ ἐπίσκοπος δοκιμαζέτω, καὶ παρόντος τοῦ λαοῦ καὶ συμμαρτυροῦντος, χειροτονείτω. χειροτονία δὲ λαθραίως μὴ γινέσθω.

XI. *Clericus vocatus ut matrimonio conjungat, & intelligens illud illicitum esse, alienis peccatis ne communicet.*

XII. *Qui somniavit, si ex concupiscentia, non particeps erit, sin autem per tentationem Satanicam, participabit, ne facultatem demus Satanæ nos à Sacramentis arcendi.*

XIII. *Iis qui matrimonio conjuncti sunt dicit Apost. Ne fraudetis vos invicem nisi forte ex consensu. Necessariò autem sabbato & die Dominico abstinebunt, quòd in iis spirituale sacrificium Deo offeratur.*

XIV. *Pro homicida non fiet oblatio, nisi revera non sanæ mentis fuerit.*

XV. *Qui uxorem habet dæmone obsessam, aliam non ducet.*

THEOPHILI ALEXANDRINI

CANONES XII.

I. DIES *Dominicus honoratur & celebratur propter resurrectionem Servatoris nostri à mortuis. Primus etiam vocatur, ut qui sit vitæ principium; & octavus, ut qui Iudæorum Sabbatismum exuperet. Quia autem in eo accidit Theophaniorum jejunium, scienter dispensabimus, & paucos dactylos sumentes in honorem resurrectionis, vespertinam congregationem expectemus; & circa horam nonam congregemur.*

II. *Qui Arrianis communicârunt, & Ecclesias hucusque detinent, expellantur, aliis eorum loco substitutis, orthodoxis scilicet. Episcopi autem orthodoxi qui ab Apolline Episcopo constituti sunt, & communicarunt cum Arrianis Ecclesias habentibus, si à seipsis hoc fecerint, puniantur, sin autem voluntate Episcopi, permaneant, ut qui quod justum est non noverint; & si ab omni populo rejiciantur, alii ordinentur, sin autem retineantur, Synodus in Thebaide valeat.*

III. *Bistus, si mulierem separatam vivente marito stupraverit, ne sinatur esse Presbyter, nec ut Laicus communicet.*

IV. *Zur ab Apolline Episcopo factus à Clero alienus, ita maneat. Sin autem sententiam accusat, defensione utatur.*

V. *Panuph, si cum Catechumenus esset fratris sui filiam in matrimonium acceperit, & post baptismum in Clerum promotus fuerit, in Clero maneat, si illa dormierit, & eam post baptismum non habuerit; sin autem, cum esset fidelis, eandem duxerit, à Clero erit alienus.*

VI. *Iacob, si, cum Lector esset, fornicatus sit, & à Presbyteris ejectus rursus ordinatus est, convictus ejiciatur; si autem non convictus fuerit, maneat in Clero. Vanis enim calumniis animum adhibere non oportet.*

VII. *De iis qui ordinandi sunt, quicquid est Sacerdotalis ordinis consentiat; & tunc Episcopus examinationem instituat, & populo præsente & testimonium ferente ordinet. Ordinatio autem ne fiat clanculum.*

A **VIII.** *Quæ in ſacrificium offeruntur, & ex conſumptis remanent,, Clerici dividant. Catechumeni autem ne quid ex iis deguſtent, ſed ſoli fideles.*

IX. *Hierax, ut qui propter fornicationem è Clero ejectus ſit, examinetur: & ſi crimen per teſtes fide dignos evictum fuerit, ejiciatur, ſin de ejus continentiâ teſtimonium feratur, maneat.*

X. *Totius ſacerdotalis ordinis conſenſu, alius renuncietur œconomus, ut bona Eccleſiæ debitè inſumantur.*

B **XI.** *Viduarum & pauperum & peregrinantium hoſpitum cura habeatur, & nemo Eccleſiæ bona ſibi vendicet; Dei enim miniſter avarus eſſe non debet.*

XII. *Eos, qui ex iis qui cathari dicuntur ad Eccleſiam accedere volunt, ut Patribus Nicænis viſum eſt, ordinare velis; ſi vita eorum recta fuerit, & nihil adverſetur.*

C **XIII.** *Cum Maximus ſe ab ea, quacum illicitè vixit, ex conſenſu abſtenturum pollicitus fuerit; ſi ſciveris eos non dolosè ſed ex conſenſu id facere, cum Catechumenis congregentur, ſi tibi viſum fuerit; ſin acerbitate adhuc in eos opus ſit, fac ut vides; nam cum in iis locis ſis, mentes eorum magis noſſe poteris.*

XIV. *Presbyteri in Gemino Cyradiam facientem injuriam, & ab ea deſiſtere nolentem, juſtè à communione ſepararunt: ſi igitur injuriam deponat, congregetur.*

η'. Τὰ προσφερόμενα εἰς θυσίαν, μετὰ τὰ ἀναλισκόμενα οἱ κληρικοὶ διανεμέσθωσαν. κατηχούμενοι δὲ τούτων μὴ γευέσθωσαν, ἀλλὰ πιστοί.

θ'. Ἱέραξ, ὡς ἐπὶ πορνείᾳ τοῦ κλήρου ἐκβληθεὶς, ἐξετασθήτω· καὶ εἰ μὲν ἀποδειχθείη τὸ ἔγκλημα διὰ ἀξιολόγων μαρτύρων, ἐκβεβλήσθω· εἰ δὲ σώφρων μαρτυρηθῇ, μενέτω.

ι'. Παντὸς τοῦ ἱερατείου συμφωνοῦντος, ἄλλος οἰκονόμος ἀποδειχθήτω, πρὸς τὸ δεόντως τὰ τῆς ἐκκλησίας ἀναλίσκεσθαι.

ια'. Αἱ χῆραι καὶ οἱ πένητες, καὶ οἱ παρεπιδημοῦντες ξένοι, θεραπευέσθωσαν· καὶ μηδεὶς τὰ τῆς ἐκκλησίας οἰκειούσθω· ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν λειτουργὸν τοῦ θεοῦ.

ιβ'. Τοὺς ὑπὸ τῶν λεγομένων καθαρῶν προσιέναι μέλλοντας τῇ ἐκκλησίᾳ, θέλησον χειροτονῆσαι κατὰ δόξαν τοῖς ἐν Νικαίᾳ· εἰ ὁ βίος τούτων ὀρθὸς εἴη, καὶ μηδὲν ἀντίκειται.

ιγ'. Μάξιμον ἀπαγγελλόμενον ἀποσχέσθαι ἐκ συμφωνίας τῆς παρανόμως βιώσης, εἰ γνῷς μὴ πρὸς ἀπάτην ἀλλ' ἐκ συμφωνίας τοῦτο ποιοῦντας, συναγέσθωσαν μετὰ τῶν κατηχουμένων, εἰ καὶ σοὶ δοκεῖ· εἰ δέ τι δεῖται τὰ κατ' αὐτοὺς στύψεως· ὡς συνορᾷς οὕτω ποίησον. ἐπὶ τῶν τόπων γὰρ ὢν μᾶλλον τὰς γνώμας αὐτῶν εἰδέναι δύνασαι.

ιδ'. Οἱ ἐν Γεμηνῷ πρεσβύτεροι Κυραδίαν ἀδικοῦσαν, καὶ τὴν ἀδικίαν ἀναστεῖλαι μὴ θέλουσαν, νομίμως ἐχώρισαν τῆς συνάξεως· εἰ οὖν ἀπόθηται τὴν ἀδικίαν, συναγέσθω.

D

SANCTI CYRILLI EPISCOPI ALEXANDRINI EPISTOLA

AD DOMNUM.

I. PETRUM, *qui Clerici nomen habet, Clericum eſſe oportuit, vel non Clericum dici; potiſſimum cum dicat ſe cauſam ſuam probare poſſe, ſed tempus ſibi ad defenſionem vel canonicam auditionem datum non eſſe. Quod ſi factum fuerit,* [*ex actis convinceretur,* &] *non eſſet quod ſe injuria affectum eſſe diceret; ſi autem innocens inventus eſſet,* [*Eccleſiæ reſtitueretur:*] *addit* E *autem omnia ſua bona ſibi ſublata eſſe. Siſtas igitur Presbyteri lachrymas, cum iis qui crimina in eum intendunt, coram tua pietate, & Epiſcopis qui tibi ſubſunt, judicio contendentis, niſi aliquos ut ſuſpectos recuſaverit.*

II. *Vaſa precioſa & poſſeſſiones immobiles inalienabiles Eccleſiis ſervari: iis autem qui tunc temporis ſacerdotium adminiſtrant, ſumptuum incidentium diſpenſationem ſecurè credi oportet. Unuſquiſque enim noſtrum temporum ſuorum rationem omnium judici dabit.*

F III. *Contra Eccleſiaſtica decreta eſt, offerre Sacerdotes aliquos renunciationis libellos; ſi enim digni ſunt, miniſterio fungantur; Si non ſunt; ne renuncient, ſed ob res abſurdas condemnati exeant. Quandoquidem Proclus neceſſitate propter metum & quorundam minas renunciaverit.*

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

πρὸς Δόμνον.

α'. ΠΕτρον κληρικὸν καλούμενον ἐχρῆν καὶ εἶναι, ἢ μηδὲ λέγεσθαι· καὶ ταῦτα φάσκοντι δύνασθαι μὲν συστῆναι τῇ ἰδίᾳ ὑπολήψει, μὴ λαβεῖν δὲ καιρὸν εἰς ἀπολογίαν, ἢ κανονικὴν ἀκρόασιν ἦ, γὰρ ἂν, εἰ ἀναίτιον γνωσθέντα, μηδὲν ἔχειν λέγειν ὡς ἠδικημένον· προστίθησι δ' ὅτι, καὶ τὰ ὄντα διήρπασται. στῆσον οὖν τῷ πρεσβυτέρῳ τὰ δάκρυα, δικαζομένῳ πρὸς τοὺς τὰς αἰτίας ἐπάγοντας ἐπὶ τῆς σῆς θεοσεβείας καὶ τῶν ὑπ' αὐτὴν ἐπισκόπων, πλὴν εἰ μή τινας ὡς ὑπόπτους παραιτοῖτο.

β'. Κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποιήτους ταῖς ἐκκλησίαις σώζεσθαι χρή· θαῤῥεῖσθαι δὲ τοὺς κατὰ καιρὸν τὴν ἱερωσύνην διέποντας, τὴν οἰκονομίαν τῶν παραπιπτόντων ἀναλωμάτων. ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ πάντων κριτῇ.

γ'. Παρὰ τοὺς ἐκκλησιαστικούς ἐστι θεσμοὺς, τὸ λιβέλλους παραιτήσεως προσάγειν τινὰς τῶν ἱερουργῶν. εἰ γὰρ ἄξιοι, λειτουργείτωσαν, εἰ δὲ [μὴ,] μὴ παραιτείσθωσαν· ἀλλὰ καταγινωσκόμενοι ἐπ' ἀτόποις ἐξίτωσαν· ὁπότε Πρόκλος καὶ ἐξ ἀνάγκης καὶ φόβου καὶ ἀπειλῆς τινων παραιτήσαιτο.

A

Τοῦ αὐτοῦ τοῖς κατὰ Λιβύην καὶ Πεντάπολιν Ἐπισκόποις.

δ'. Εἴ τις μέλλει χειροτονεῖσθαι κληρικὸς, ἐρευνάσθω ὁ βίος αὐτοῦ· εἰ γαμετὴν ἔχει, ἢ μὴ, καὶ πῶς ἢ πότε ἠγάγετο. καὶ εἰ μὴ ἐκβέβληται, ἢ παρὰ κληρικοῦ ἢ ἐκ μοναστηρίων· ἀδιάβλητος εὑρεθεὶς, χειροτονείσθω.

ε'. Ἐὰν χωρισθῶσί τινες ἐπιτιμηθέντες ἐπὶ πταίσμασιν· εἶτα τελευτᾷν μέλλωσιν ὄντες κατηχούμενοι, βαπτιζέσθωσαν, καὶ μὴ τελευτάτωσαν ἀκοινώνητοι, καὶ τῆς θείας ἀμέτοχοι χάριτος. B

Τοῦ αὐτοῦ πρὸς Μάξιμον διάκονον.

ς'. Τοῖς νῦν συντρέχουσι τῇ ὀρθῇ πίστει ἀμνησικάκησον περὶ τῶν παρελθόντων. κἂν γὰρ συνηρπάγησαν τῇ Νεστορίου κακίᾳ, βουλόμεθα μᾶλλον ἀρνουμένους αὐτοὺς ὁρᾶν, ἤπερ ἀναισχύντῳ γνώμῃ συνηγοροῦντας. οἰκονομίας οὖν δεῖται τὸ πρᾶγμα.

Τοῦ αὐτοῦ πρὸς Γεννάδιον ἀρχιμανδρίτην. C

ζ'. Ὥσπερ οἱ ἐν θαλάσσῃ χειμαζόμενοι ἀποφορτίζουσί τινα εἰς τὸ σῶσαι τὰ λοιπὰ, οὕτω καὶ ἡμεῖς προεώμεθα τινα, ἵνα μὴ τὸ πᾶν ζημιωθῶμεν.

Εὐλογίου Ἀλεξανδρείας.

Εἴ τις τῶν δοκούντων τοῖς θεοφόροις πατράσι σαλεύοι τὶ, οὐκ ἔστι τοῦτο οἰκονομία κλητέον, ἀλλὰ παράβασις καὶ προδοσία δόγματος, καὶ περὶ τὸ θεῖον ἀσέβεια.

D

ΓΕΝΝΑΔΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥπόλεως καὶ τῆς τηνικαῦτα ἐνδημούσης ἱερᾶς συνόδου.

ΤΟΥΣ ἀποστόλους τῷ κόσμῳ διδασκάλους ἀποστείλας ὁ κύριος ἣν ἔλαβον παρ' αὐτοῦ δωρεὰν διδόναι τοῖς ἀνθρώποις προσέταξε· μὴ κτωμένους ὑπὲρ αὐτῆς χρυσὸν, ἢ ἄργυρον, ἢ χαλκὸν, ἢ ἄλλο τι γεῶδες καὶ ὑλικόν· τὴν αὐτὴν ἡμῖν ἐντολὴν δι' ἐκείνων καταστάσει βαθμῶν. εἰ ἠγοράσατε παρ' ἐμοῦ πωλεῖτε· εἰ δωρεὰν ἐλάβετε, δωρεὰν δότε. οὐαὶ τῷ E ὄντι τοῖς, ἢ λαβεῖν ἢ δοῦναι τὴν τοῦ θεοῦ δωρεὰν διὰ χρημάτων ὑπειληφόσι. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὑπὸ τῆς φιλαργυρίας συνελήφθησαν. ὅθεν καὶ κανὼν ὑπὸ τῶν ἐν Χαλκηδόνι θείων πατέρων ἐξεφωνήθη· καὶ ζήτει τὸν β'. καν. τῆς ἐν Χαλκηδόνι θείας Συνόδου. κάλλιστον καὶ εὐσεβὲς τὸ τῶν πατέρων παράγγελμα. οὐκ ἔστι πρὸ χειροτονίας λαβεῖν, οὐκ ἐπ' αὐτῇ, οὐ μετ' αὐτὴν, οὐχ ὅτε δήποτε δι' αὐτήν. ἰστέον τοίνυν πάντα τὸν ἁλισκόμενον ἐπὶ τοιούτῳ τινὶ ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον τινὰ κανονικὸν ἢ λαϊκὸν, κοινῷ δόγματι F καὶ κοινῇ ψήφῳ κατακεκρίσμεθα. δεῖ γὰρ τὴν χάριν εἶναι, καὶ μηδαμοῦ μεσιτεύειν ἀργύριον. ἔστω τοίνυν ἐκκήρυκτος, ὅτε κτᾶσθαι τὴν θείαν χάριν ὅτε παρέχειν διὰ χρημάτων ἐπιχειρῶν, εἴτε κληρικὸς εἴη, εἴτε λαϊκὸς, κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο.

Ejuſdem Epiſcopis qui ſunt in Lybia & Pentapoli.

IV. *Si quis ordinandus ſit Clericus, vita ejus exploretur, utrum uxorem habeat, necne; & quomodo vel quando eam duxerit, & annon ejectus fuerit, vel à Sacerdote, vel è Monaſterio. Si autem inculpatus inventus fuerit, ordinetur.*

V. *Si ſegregentur aliqui propter lapſus puniti, deinde morituri ſint Catechumeni exiſtentes, baptizentur, & ne moriantur excommunicati, & divinæ gratiæ non participes.*

Ejuſdem ad Maximum Diaconum.

VI. *Præteritos eorum lapſus qui ad rectam fidem accurrunt, obliviſcaris. Quamvis enim Neſtorii improbitate detenti fuerint, malumus videre eos negantes, quam impudentem opinionem defendentes. Res igitur moderatione eget.*

Ejuſdem ad Gennadium Cœnobii Præfectum.

VII. *Quemadmodum in mare, qui tempeſtate vexantur, quædam abjiciunt ut reliqua ſervent; ita & nonnulla negligimus, ne omnibus mulctemur.*

Eulogii Alexandrini.

Si quis quicquam, quod divinis Patribus viſum eſt, labefactet, hoc non œconomia dici debet, ſed tranſgreſſio & dogmatis proditio, & circa religionem impietas.

GENNADII PATRIARCHÆ CONSTANTINOPOLITANI, ET SACRÆ SYNODI quæ ibidem verſatur, Epiſtola.

CUM Dominus Apoſtolos ad mundum docendum miſiſſet, gratiam quam ab eo accepiſſent, hominibus gratis dare juſſit, non aurum vel argentum vel æs, vel aliquod materiale & terrenum, pro eâ acquirentes. Idem etiam nobis mandatum per illos dedit, quos in eorum gradum ſubſtituit. Si à me emiſtis, vendite, ſi gratis accepiſtis, gratus date. Væ illis reverà qui Dei donum accipere, vel propter pecunias dare in animum induxerunt. In fel enim amaritudinis, & vinculum iniquitatis à ſuâ avaritiâ comprehenſi ſunt. Unde & Canon à ſanctis Patribus Chalcedone congregatis editus erat. Quære Canonem ii. ſacræ Synodi Chalcedonenſis. Pulcherrimum & valde pium eſt Patrum præceptum. Non licet ante ordinationem accipere, nec intra ordinandum, nec poſt ordinationem, nec ullo tempore propter eam. Notum igitur ſit, quod quicunque hujus convictus fuerit, Epiſcopus, vel Chorepiſcopus, vel viator, vel Presbyter, vel Diaconus, vel quivis ex Canone, vel Laicus, communi ſententia communique decreto eum condemnamus. Oportet enim gratiam ſemper eſſe gratiam, & nequaquam intercedere argentum. Sit igitur abdicatus, tum qui gratiam divinam acquirere, tum qui eam propter pecunias dare aggreditur, ſive Clericus, ſive Laicus fuerit, ſive hoc facere convincatur, ſive non.

A

SCRIPTUM
A CONSTANTINOPOLI AD MARTYRIUM EPISCOPUM ANTIOCHENUM
EXPLICANS QUO PACTO HÆRETICOS ad Ecclesiam accedentes suſcipere oporteat.

B

ARRIANOS, Macedonianos, & Novatianos, qui ſeſe puros & puriores vocant, & Quartadecimanos ſive Quartanos, & Apollinariſtas ſuſcipimus, ſi dent libellos & anathematizent omnem hæreſin quæ non ita ſentit ut Dei Eccleſia ſentit; unctos primum ſacro unguento frontem, nares, aures, pectus, & omnes ſenſus, atque inter ſignandum dicimus, ſignaculum doni Spiritus ſancti; deinde tanquam egregii Laici ad eum gradum ordinantur, in quo prius apud ſuos erant, ſive Presbyteri, ſive Diaconi, vel alicujus alterius gradus.

C

ALIUD.

Eunomianos quidem una demerſione baptizatos, & Sabellianos, & alias hæreſes, ut Græcos recipimus, & primo die eos Chriſtianos facimus, ſecundo Catechumenos, & tertio exorcizamus ter inſufflando in faciem & aures: Et ſic catechizamus, & in Eccleſia diu manere facimus, & ſcripturas audire, & tum eos baptizamus.

ΓΡΑΦΗ
ΑΠΟ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΜΑΡΤΥΡΙΩ ΑΝΤΙΟΧΕΙΑΣ·
ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΔΕΚΤΕΟΝ τοὺς αἱρετικοὺς προσιόντας τῇ ἐκκλησίᾳ.

ΑΡΕΙΑΝΟΥΣ, Μακεδονιανοὺς καὶ Ναυατιανοὺς τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς, καὶ καθαρωτέρους, καὶ τεσσαρεσκαιδεκατίτας, εἴτουν τετραδίτας, καὶ Απολιναριστὰς δεχόμενοι, διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς ἡ καθολικὴ ἐκκλησία· χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ, μέτωπον, ῥίνας, ὦτα, στῆθος, καὶ πάσας τὰς αἰσθήσεις· σφραγίζοντες δὲ λέγομεν, σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. εἶτα ὡς σπουδαῖοι λαϊκοὶ χειροτονοῦνται, ὃ ἦσαν, εἴτε πρεσβύτεροι, εἴτε διάκονοι, εἴτε τι ἄλλο.

Αλλο.

Εὐνομιανοὺς μέντοι τοὺς μιᾷ καταδύσει βαπτιζομένους, καὶ Μοντανιστὰς, καὶ Σαβελλιανοὺς, καὶ τὰς ἄλλας αἱρέσεις, ὡς ἕλληνας δεχόμεθα, καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δευτέραν κατηχουμένους, καὶ τὴν τρίτην ἐξορκίζομεν μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον, καὶ τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν, καὶ ποιοῦμεν χρονίζειν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

D

MAGNI ATHANASII AD RUFFINIANUM
EPISTOLA.

PLACUIT, de iis qui neceſſitate tracti ſunt, lapſis ſc. & impietatis Patronis, ut reſipiſcentibus venia daretur, non autem locus in Clero: Iis autem qui vi & neceſſitate tracti ſunt, & impietatis auctores non fuerunt, venia daretur, & locum in Clero retineant; potiſſimum E *quod probabilem defenſionem attulerunt, dicentes ſe non fuiſſe ad impietatem traductos, ſed maluiſſe vi cedere ne alii à pietate alieniſſimi eorum loco conſtituti Eccleſias corrumperent: ob hanc ergo cauſam condonati ſunt ad Clerum. Deceptis autem & vim paſſis venia datur.*

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ ΠΡΟΣ ΡΟΥΦΙΝΙΑΝΟΝ
Επίσκοπον.

ΗΡΕΣΕ περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων, ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας, συγγνώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ κλήρου τόπον· τοῖς δὲ παρασυρεῖσι μὲν δι' ἀνάγκην καὶ βίαν, μὴ αὐθεντοῦσι δὲ τῆς ἀσεβείας, διδόσθαι καὶ συγγνώμην· ἔχειν τε καὶ τὸν τόπον τοῦ κλήρου. μάλιστα ὅτι πιθανῶς ἀπολογίσαντο, φήσαντες μὴ μεταβεβλῆσθαι πρὸς ἀσέβειαν, ἀλλ' ἑλέσθαι συνδραμεῖν τῇ βίᾳ ἵνα μὴ ἀσεβέστατοί τινες ἀντικαταστάντες, διαφθείρωσι τὴν ἐκκλησίαν· τούτου τοίνυν ἕνεκα συγγνωστέοι πρὸς τὸν κλῆρον γεγόνασι. τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι, συγγνώμη δίδοται.

F

ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΚΑΝΟΝΕΣ

ἐκκλησιαστικοὶ ιζ'.

α'. ΟΙ πρώτως προσιόντες τῇ ἀσεβείᾳ ὑπὸ τῶν διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις· καὶ ἐξεταζέσθω ἡ αἰτία δι' ἣν προσῆλθον· ἀκριβωσάμενοι δὲ τὰ κατ' αὐτοὺς οἱ προσάγοντες, μαρτυρείτωσαν. ἐξεταζέσθω καὶ ὁ βίος καὶ ὁ τρόπος, εἰ δοῦλοι, ἢ ἐλεύθεροι· κἂν δοῦλος ἤ τις καὶ μαρτυρηθῇ παρὰ τοῦ δεσπότου, προσδεχέσθω· εἰ δὲ μή, ἀποβαλλέσθω, ἕως ἄξιος φανεὶς τῷ δεσπότῃ μαρτυρηθῇ.

β'. Οἱ οἰκέται εὐαρεστήτωσαν δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος· οἱ συνημμένοι ἑαυτοῖς ἀρκείσθωσαν· οἱ ἄγαμοι σωφρονείτωσαν, ἢ γαμείτωσαν ἐννόμως.

γ'. Δεσπότης μὴ ζευγνὺς δοῦλον ἢ δούλην, εἰδὼς ὅτι πορνεύει, ἀφοριζέσθω. δαιμονῶν διδασκέσθω τὴν εὐσέβειαν· μὴ κοινωνείτω δέ, ἕως οὗ καθαρθῇ· εἰ δὲ θάνατος ἐπείγει, καὶ κοινωνείτω.

δ'. Πορνοβοσκὸς εἰ μὴ παύσοιτο, ἀποβαλλέσθω.

ε'. Καὶ πόρνη προσιοῦσα, εἰ μὴ παύοιτο, ἀπωθείσθω.

ϛ'. Ἡνίοχος, ἢ μονομάχος, ἢ σταδιοδρόμος, ἢ λουδεμπιστής, ἢ λουδεπάκτης, ἤτοι παιγνίων ἄρχων, ἢ Ὀλυμπικός, ἢ χοραύλης, ἢ κιθαριστής, ἢ ὀρχηστής, ἢ κάπηλος, ἢ παυσάσθωσαν, ἢ ἀποβαλλέσθωσαν.

ζ'. Καὶ εἰδωλοποιὸς προσιών, ἢ παυσάσθω, ἢ ἀποβαλλέσθω.

η'. Στρατιώτης προσιών, διδασκέτω μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι τοῖς διδομένοις ὀψωνίοις, ἀπειθῶν δὲ ἀποβαλλέσθω.

θ'. Ἀρρητοποιός, κίναιδος, βλάξ, ἤγουν προβατώδης, μάγος, ὀχλαγωγός, ἐπαοιδός, λώταξ, ὁ ἐπὶ θυμελικός, περικαθαίρων, οἰωνιστής, συμβολοδείκτης, παλμῶν ἑρμηνεύς, φυλαττόμενοι ἐν συναντήσει λώβας ὄψεως, ἢ ὀρνίθων, ἢ γαλῶν, ἢ ἐπιφωνήσεων, ἢ παρακεραμάτων, χρόνῳ δοκιμαζέσθωσαν, καὶ παυσάμενοι προσδεχέσθωσαν, εἰ δὲ μή, ἀποβαλλέσθωσαν.

ι'. Δούλη ἀπίστου δεσπότου παλλακὴ μόνῳ σχολάζουσα, προσδεχέσθω· ἀσελγαίνουσα δὲ καὶ πρὸς ἄλλους, ἀποβαλλέσθω.

ια'. Πιστός, δούλην παλλακὴν ἔχων, ἢ παυσάσθω, ἢ νόμῳ αὐτὴν ἐχέτω· ἐλευθέραν δέ, ἢ νόμῳ γαμείτω, ἢ ἀποβαλλέσθω.

ιβ'. Ὁ ἑλληνίζων ἢ Ἰουδαΐζων, ἢ μετατιθέσθω, ἢ ἀποβαλλέσθω.

ιγ'. Ὁ θεάτροις ἢ κυνηγίοις ἢ ἱπποδρομίοις προσκείμενος, εἰ μὴ παύσαιτο, ἀποβαλλέσθω.

ιδ'. Κατηχούμενος τριετίᾳ κατηχείσθω· ἂν δὲ σπουδαῖος, προσδεχέσθω, οὐ τοῦ χρόνου, ἀλλὰ τοῦ τρόπου σκοπουμένου.

ιε'. Ὁ δυνάμενος διδάσκειν ἀμέμπτως, εἰ καὶ λαϊκὸς εἴη, διδασκέτω.

ιϛ'. Οἱ πιστοὶ ἐξ ὕπνου νιπτόμενοι, προσευχέσθωσαν. εἰ δὲ κατήχησις εἴη, ταύτην παντὸς ἔργου προτιμάτωσαν.

ὁ ιζ'. ἔλειπεν.

SANCTI PAULI CANONES

ECCLESIASTICI XVII.

I. *QUI primò ad pietatem accedunt, adducantur à Diaconis ad Epiſcopum vel Presbyteros, & inquiratur cauſa ob quam venerunt: et qui eos adduxerunt, examinatis omnibus quæ ad eos pertinent, teſtimonium dent. Inquiratur etiam in eorum vitam & conditionem: et utrum*
B *ſervi ſint, an liberi. Et ſi ſervus quis fuerit, & à Domino teſtimonium ei præbeatur, ſuſcipiatur: Sin minus, ejiciatur, donec dignus ſit cui à Domino detur teſtimonium.*

II. *Servi Domino placeant, ne Evangelium infametur. Conjugio juncti ſeipſis contenti ſint. Cœlibes continentes ſint, vel legitimo matrimonio jungantur.*

III. *Dominus qui non matrimonio dat ſervum vel ancillam, cum ſciat eos ſcortari, ſegregetur. Dæmone obſeſſus doceatur pietatem, ne autem ad communionem admittatur,*
C *donec mundus fuerit. Si tamen mors inſtet, communicet.*

IV. *Leno, ſi non ceſſaverit, repellatur.*

V. *Et meretrix, ſi accedat, & non deſinat eſſe meretrix, repellatur.*

VI. *Auriga, aut gladiator, aut ſtadii curſor, aut ludorum apparator, aut munerarius, ſive ludorum princeps, aut Olympicus, aut tibicen, aut citharœdus, aut ſaltator, aut caupo, vel ceſſent, vel repellantur.*

VII. *Idolorum opifex ſi accedat, vel ceſſet, vel repel-*
D *latur.*

VIII. *Miles ſi accedat, doceatur ne cui injuriam faciat, neve calumnietur, contentus eſſe datis ſtipendiis; ſin non obediat, repellatur.*

IX. *Patrator infandæ libidinis, cinædus, mente captus, ſive ſtultus, magus, circulator, incantator, voluptuarius, qui eſt ſcenicus, qui ſuperſtitioſas expiationes facit, augur, ex ſignis conjector, palpitationum interpres, qui in occurſu & congreſſu offenſiones obſervat, ex aſpectu, vel pedibus, vel*
E *avibus, vel muſtelis, vel vocibus hominum, vel auditionibus, tempore probentur; & ſi ceſſent, admittantur, ſin minus, repellantur.*

X. *Amica infidelis Domini mancipium, quæ cum eo tantùm rem habuerit, admittatur: ſi vero cum aliis quoque impudica fuerit, repellatur.*

XI. *Fidelis qui mancipium amicam habet, vel ceſſet, vel uxorem eam legitimè ducat; ſi liberam autem, accipiat eam in legitimum matrimonium, vel repellatur.*

XII. *Qui Gentilium vel Judæorum mores ſectatur, vitam mutet vel repellatur.*

F XIII. *Qui ſpectaculis, aut venationibus, aut curriculis equeſtribus deditus eſt, ſi non ceſſet, repellatur.*

XIV. *Catechumenus per triennium in fide inſtituatur; Si vero virtutis ſtudioſus ſit, admittatur, non temporis, ſed morum habitâ ratione.*

XV. *Qui ſine reprehenſione docere poterit, quamvis Laicus fuerit, doceat.*

XVI. *Fideles à ſomno lavati, *preces agant. Quod ſi catecheſis fuerit, eam omni operi anteponant.*

Decimus ſeptimus Canon deeſt.

A

SANCTORUM APOSTOLORUM PETRI ET PAULI

CANONES XVII.

I. *POPULI quinque diebus opus faciant, Sabbato autem & die Dominico vacent Eccleſiæ, pietatem edocti. Ille enim creationem reſpicit, hic reſurrectionem.* B

II. *Magna hebdomada & proxima ſequenti vacent, illa enim paſſionis eſt, hac reſurrectionis; & doceantur, quis ſit qui mortuus eſt & reſurrexit.*

III. *Et die aſſumptionis, tum enim finis impoſitus erat œconomiæ Chriſti.*

IV. *Et Pentecoſte, propter adventum Spiritus.*

V. *Et die feſto natalis, propter Domini ex virgine nativitatem.* C

VI. *Et die Epiphaniæ, propter declarationem divinitatis. Pater enim teſtimonium dedit, & Spiritus in forma columbæ apparuit.*

VII. *Et diebus Apoſtolorum, & Magiſtrorum, & Stephani protomartyris, & reliquorum Sanctorum martyrum, qui Chriſtum vitæ ſuæ antepoſuerunt.*

VIII. *Precamini mane hora tertia, ſexta, nona, & veſpere, atque ad Galli cantum.* D *Mane Deo gratias agentes quod nox præterierit, die reddito; tertia hora, quod in ea judicium adverſus Dominum pronunciabatur; ſexta crucifixus erat, nona omnia commovebantur, Judæorum audaciam horrentia & contumeliam Domini non ferentia. Veſpere Deo gratias agentes, quod noctem dederit ad requieſcendum à diurnis laboribus. Ad galli cantum, quod Adventum diei denunciet, ad faciendum opera lucis.*

IX. *Ne ingrediatur pius in Eccleſiam impiorum in domo congregatio habenda eſt; non enim locus hominem, ſed homo locum ſanctificat.* E

X. *Vitandus eſt tibi locus ab impius pollutus; uti enim ſancti ſanctificent, ſic impuri polluunt.*

XI. *Si neque in domo nec in Eccleſia congregatio haberi poterit, unuſquiſque ſibi pſallat, legat, precetur, vel ſaltem duo ſimul aut tres.*

XII. *Fidelis ne in domo quidem precetur cum Catechumeno; quænam enim communio lucis cum tenebris, vel quæ pars fideli cum infideli?* F

XIII. *Fidelis vir aut fœmina ſervis copulati, vel ſeparentur, vel ejiciantur.*

XIV. *Exequiæ mortuorum fiant tertio die, propter eum qui tertio die à mortuis ſuſcitatus eſt; & die nono ad recordationem eorum qui ſunt ſuperſtites, & eorum qui defuncti ſunt; & quadrageſimâ, ſicut & populus Judaicus Moſem flevit, & exacto anno ex bonis eorum ſuppeditetur pauperibus ad recordationem eorum. Impium autem, licet totus mundus pro eo detur, non juvabis.*

ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ

Κανόνες ιζ'.

α'. ΠΕΝΤΕ ἡμέρας οἱ λαοὶ ἐργαζέσθωσαν, σαββάτῳ δὲ καὶ Κυριακῇ τῇ ἐκκλησίᾳ σχολαζέτωσαν, διδασκόμενοι τὴν εὐσέβειαν· τὸ μὲν γὰρ δημιουργίας ἔχει τρόπον, ἡ δὲ ἀναστάσεως.

β'. Τὴν μεγάλην ἑβδομάδα καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν, ἡ μὲν γὰρ πάθους, ἡ δὲ ἀναστάσεως· καὶ διδασκέσθωσαν, τίς ὁ παθὼν καὶ ἀναστάς.

γ'. Καὶ τὴν ἀνάληψιν, πέρας γὰρ τῆς κατὰ Χριστὸν οἰκονομίας.

δ'. Καὶ τὴν πεντηκοστὴν, διὰ τὴν τοῦ ἁγίου πνεύματος ἐπιφοίτησιν.

ε'. Καὶ τὴν τῶν γενεθλίων ἑορτὴν, διὰ τὴν ἐκ παρθένου τοῦ Κυρίου γέννησιν.

ϛ'. Καὶ τὴν τῶν θεοφανίων, διὰ τὴν ἀνάδειξιν τῆς θεότητος· πατὴρ γὰρ ἐμαρτύρησε τῷ υἱῷ· καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἐφάνη.

ζ'. Καὶ τὰς ἡμέρας τῶν ἀποστόλων, καὶ διδασκάλων, καὶ Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων, τοῦ τῆς ζωῆς Χριστὸν προτιμησάντων.

η'. Εὐχέσθωσαν ὄρθρῳ, τρίτῃ ὥρᾳ, ϛ'. θ'. ἑσπέρᾳ, καὶ ἀλεκτοροφωνίᾳ· ὄρθρῳ εὐχαριστοῦντες τῷ θεῷ ὅτι παρῆλθεν ἡ νὺξ, ἐπελθούσης ἡμέρας· τρίτῃ, ὅτι ἐν αὐτῇ γέγονεν ἡ τοῦ Κυρίου ἀπόφασις· ἐν τῇ ϛ'. ἐσταυρώθη· τῇ θ'. τὰ πάντα ἐκινήθη, φρίττοντα τὴν τόλμαν τῶν Ἰουδαίων, καὶ μὴ φέροντα τὴν ὕβριν τοῦ Κυρίου· τῇ ἑσπέρᾳ εὐχαριστοῦντες καὶ τῷ θεῷ, ὅτι δέδωκεν εἰς ἀνάπαυσιν τῶν ἡμερινῶν κόπων τὴν νύκτα· ἀλεκτοροφωνίᾳ, ὅτι εὐαγγελίζεται τὴν ἡμέραν πρὸς ἐργασίαν τῶν ἔργων τοῦ φωτός.

θ'. Ινα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν, κατ' οἶκον συνακτέον· οὐ γὰρ ὁ τόπος τὸν ἄνθρωπον, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον ἁγιάζει.

ι'. Φευκτέος σοι ὁ ὑπ' ἀσεβῶν βεβηλωθεὶς τόπος· ὡς γὰρ ὅσιοι ἁγιάζουσιν, οὕτως ἐναγεῖς μιαίνουσιν.

ια'. Εἰ μήτε ἐν οἴκῳ μήτε ἐν ἐκκλησίᾳ ἀθροισθῆναι δυνατὸν, ἕκαστος ἑαυτῷ ψαλλέτω, ἀναγινωσκέτω, προσευχέσθω, ἢ καὶ ἅμα δύο ἢ τρεῖς.

ιβ'. Πιστὸς κατηχουμένῳ μηδὲ κατ' οἶκον συνευχέσθω· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ἢ ποία μερὶς πιστῷ μετ' ἀπίστου;

ιγ'. Πιστὸς ἢ πιστὴ δούλοις συναφθέντες, ἢ ἀφιστάσθωσαν ἢ ἀποβαλλέσθωσαν.

ιδ'. Επιτελείσθω τοῖς κεκοιμημένοις τρίτα, διὰ τὸν ἀναστάντα τριήμερον, καὶ ἔννατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, καὶ τεσσαράκοντα, καθὼς καὶ ὁ Ἰουδαϊκὸς λαὸς ἐπένθησε Μωσῆν, καὶ ἐνιαύσια ἐκ τῶν ὑπαρχόντων αὐτοῖς διδόσθω, εἰς ἀνάμνησιν αὐτῶν· ἀσεβοῦς δὲ, οὐδ' ὁ κόσμος ὅλος ὀνήσει δοθεὶς ὑπὲρ αὐτοῦ.

ιε'. Εν ταῖς μνείαις αὐτοῦ, οἱ καλούμενοι πρεσβύτεροι καὶ διάκονοι, εὐτάκτως καὶ σὺν φόβῳ θεοῦ ἐσιάσθωσαν, ὡς καὶ δυνάμενοι πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων. A

ις'. Οἱ δυνάσται φησὶ θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρίνειν μὴ δύνωνται· καὶ οἱ πρεσβύτεροι τοίνυν καὶ διάκονοι μετὰ τὸν παντοκράτορα θεὸν, καὶ τὸν ἠγαπημένον υἱὸν αὐτοῦ, δυνάσται τῆς ἐκκλησίας εἰσὶν· οἶνον οὖν οὗτοι μὴ πινέτωσαν, ἵνα μὴ ὑβρίζωσι τὸ παρὰ τοῦ θεοῦ γεγονός· ἀλλὰ μὴ παροινείτωσαν. καὶ πᾶς δὲ Χριστιανὸς φυλαττέσθω παροινεῖν.

B

ιζ. Τοὺς διωκομένους διὰ πίστιν ὑποδέχεσθε, καὶ τὰ πρὸς χρείαν χορηγεῖτε.

ΚΟΙΝΩΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

πάντων κανόνες β'.

α'. ΕΚΑΣΟΣ ἐν τῇ δοθείσῃ αὐτῷ τάξει μενέτω, καὶ μὴ ὑπερβαινέτω τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ θεοῦ, καθὼς φησιν ὁ Κύριος, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαντός με.

C

β'. Καὶ οἱ ἁρπάζοντες τὰ μὴ δεδομένα παροξύνουσι τὸν θεὸν, ὡς υἱοὶ τοῦ Κορὲ, καὶ Ὀζίας· οὔτε οὖν διάκονον θυσίαν προσφέρειν θεμιτὸν, ἢ βαπτίζειν, ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην ποιεῖσθαι, οὔτε πρεσβύτερον χειροτονίαν ἐπιτελεῖν, καὶ ἀναστρέφειν τὴν τάξιν· ὥσπερ οἱ τολμῶντες οὐχ ἡμᾶς πολεμοῦσιν, ἀλλὰ τὸν μέγαν ἀρχιερέα Χριστόν· καὶ Φίλιππος γὰρ τὸν εὐνοῦχον βαπτίσας, καὶ Ἀνανίας ἐμὲ τὸν Παῦλον, οὐχ ἑαυτοῖς ἥρπασαν τὸ ἱερατικὸν ἀξίωμα· ἀλλ' ἐκ θεοῦ ἔλαβον τοῦ ἀσυγκρίτου ἱερέως.

D

ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ἐκκλησίας χρυσοβούλλου, τοῦ Ἰουστινιανοῦ, περὶ τῶν προσφύγων δούλων.

α'. ΕΙ τις ἐλεύθερος δούλωσιν ὑφιστάμενος τῇ ἐκκλησίᾳ προσδράμῃ, μετακαλείσθω δὶς ὁ ἐγκαλούμενος· καὶ εἰ μὴ ἥξει, ἡ τρίτη ἀποστολὴ διὰ τριῶν γινέσθω τῆς ἐκκλησίας πρεσβυτέρων, ἢ διακόνων, εἰς μαρτύριον τῶν γινομένων· καὶ εἰ μὴ ἔλθῃ, ἐλευθερίας ἀξιούσθω ὁ φυγάς.

E

β'. Εἴ τις τῶν οἰκετῶν, λιμῷ καὶ γυμνότητι πιεζόμενος γνώμῃ δεσπότου, τῇ ἐκκλησίᾳ προσδράμῃ, εἰ μὴ κατὰ τὸ δυνατὸν αὐτῷ ἀμφότερα διορθοῦται, πιπρασκέσθω ὁ δοῦλος ἄλλῳ δεσπότῃ· ἵνα μὴ ὑπεροψίᾳ διαφθείροιτο.

γ'. Εἴ τις τῶν πρεσβυτέρων ἢ διακόνων ἔχει δίκην μετά τινος· προσκαλείσθω οὗτος· καὶ μὴ ὑπείκων καταδικαζέσθω.

δ'. Δοῦλος μάτην τῇ ἐκκλησίᾳ προσχωρήσας, ἀξίως παιδευέσθω, καὶ τῷ ἰδίῳ διδόσθω κυρίῳ.

F

ε'. Εἴ ποτε δοῦλος φυγὰς, αὐτὸν ἐλθεῖν τὸν κύριον ἀπονοίᾳ ἐπιζητοίη, ὁ δὲ τῶν αὐτοῦ τὸν πιστότατον ἀποστείλοι, μὴ ἀναγκαζέσθω αὐτὸς σκύλλεσθαι· μάλιστα παραθέμενος τὸν ἀντ' αὐτοῦ ἀπεσταλμένον, ᾧ καὶ παραδίδοσθαι τὸν δοῦλον ἐξόν.

ς'. Διαπαντὸς οἱ πρόσφυγες ἐρευνάσθωσαν· καὶ ὧν ἂν ὦσι, μηνυέσθωσαν οἱ κύριοι αὐτῶν ἐπιμελεῖσθαι αὐτούς. ἐπιμένοντες

XV. *In exequiis ejus, qui vocantur Preſbyteri & Diaconi, ſobrie & cum timore Dei epulentur, ut qui pro adſtantibus officium exequi poſſint.*

XVI. *Qui poteſtatem habent, inquit ſcriptura, iracundi ſunt, ne bibant vinum, ne bibendo ſapientiæ ſuæ obliviſcantur, & incorrupte judicare non poſſint. Preſbyteri ergo & Diaconi poſt deum omnipotentem & filium ejus dilectum Eccleſiæ poteſtates ſunt; Hi igitur vinum ne bibant, ne quod domini opus eſt, contumelia afficiant: neque vero vino indulgeant. Quin & omnis Chriſtianus abſtineat à vino.*

XVII. *Eos, qui pro fide exagitantur, ſuſcipite, & neceſſaria iis adminiſtrate.*

APOSTOLORUM COMMUNITER

omnium Canones duo.

I. *Unuſquiſque in ordine ſibi dato maneat, & ne limites tranſgrediatur, non enim noſtri ſunt, ſed Dei; ſicut dicit Dominus, qui vos audit, me audit, & qui audit me, audit eum, qui miſit me.*

II. *Et qui rapiunt ea quæ non licita ſunt, exacerbant dominum, ſicut filii Core, & Ozias. Diacono igitur ſacrificium offerre non licet, vel baptizare, vel benedictionem parvam vel magnam facere; neque presbytero manus imponere, & ordinem ſubvertere; quondoquidem qui id audent, non nos oppugnant, ſed magnum ſacerdotem Chriſtum. Philippus enim Eunuchum baptizans, & Ananias me Paulum, non ſibi ipſis arripuerunt hanc dignitatem ſacerdotalem, ſed à Deo ſacerdote incorrupto acceperunt.*

CAPITA AUREÆ BULLÆ,

MAGNÆ ECCLESIÆ CONCESSÆ,

Juſtiniani, de ſervis fugitivis.

SI quis ingenuus, qui ſervitutem patitur, ad hanc Eccleſiam confugerit, actor bis citetur; ac ſiquidem non venerit, tertia citatio fiat per Eccleſiæ Preſbyteros, aut Diaconos, ad eorum teſtimonium, quæ geruntur, ac ſiquidem non comparuerit, libertatem fugitivus impetret.

Si quis ſervorum fame nuditateq; preſſus ſciente domino, ad hanc Eccleſiam confugerit, niſi quantum ejus fieri poteſt, utrumque corrigitur, ſervus alteri domino vendatur, ne ob deſpicientiam domini pereat.

Si quis Preſbyterorum vel Diaconorum cum aliquo litem habeat, is arceſſitor, ac ſiquidem non obtemperat, damnetur.

Servus, qui temere ad hanc Eccleſiam confugerit, pro dignitate caſtigator, & domino ſui reſtituitor.

Si quando ſervus fugitivus contumaciter requiſiverit ut ipſe dominus veniet, iſque famulum ſibi fideliſſimum miſerit, ne cogatur ipſe fatigari, præſertim ſi mandatum illi dederit, quem ſuo loco miſit, cui ſervum etiam tradi liceat.

Semper ii, qui ad Eccleſiam confugiunt, examinentur, & dominis, quorum ſunt, indicentur, ut eos repetant. Quippe *tum iſtic manent, & numerus eorum augetur, omnia quæ* A *intra ſeptum Eccleſiæ ſunt conſumunt, & accedentes per inſidias lædunt, atque adverſus dominos inſurgentes contumelias in eos effutiunt, quod ſane graviſſimum eſt, ideoque præſtat eos pro dignitate caſtigari.*

MAGNI BASILII
DE TITULO
ET TEMPORE PECCATORUM.

B

I. *Qui extra terminos ſuos ordinat, deponatur.*

II. *Qui pro pecuniis ordinat, unà cum ordinato deponatur.*

III. *Clericus fidejubens, deponatur.*

IV. *Clericus qui uſuras accipit, vel deſiſtat, vel deponatur.*

C

V. *Sacerdos qui fidelem vel infidelem verberaverit, deponatur.*

VI. *Mulier ad altare ingredi non debet.*

VII. *Quæ Virginitatem profitetur & lapſa eſt, puniatur annis* XV.

VIII. *Qui de rerum quarundam inventione hariolantur, annis ſex.*

IX. *Qui vatibus ſemet tradiderit, annis* XX.

D

X. *Qui Chriſtum abnegat, ſub finem vitæ ſacramenta conſequatur.*

XI. *Qui abſque aliqua neceſſitate fidem violaverit, puniatur annis* XII.

XII. *Qui magiam & veneficium profitetur, ad homicidæ tempus confitebitur.*

XIII. *Qui genitalia ſibi abſcindit, Clericus quidem, deponatur, laicus vero, in triennium ſegregetur, & ne fiat Clericus.* E

XIV. *Quæ de induſtria fœtum corrumpit, puniatur annis* X.

XV. *Qui voluntarie cædem perpetrat, annis* XX.

XVI. *Qui involuntarie, annis* X. *& Clericus ne fiat.*

XVII. *Qui mœchatur, annis* XV.

F

XVIII. *Qui mulierem ſibi conjunctam repudiat, & aliam ducit, annis* XV.

XIX. *Fornicator qui corpus liberum vitiat, annis* VII.

XX. *Qui cum maſculis concumbit, annis* XVIII.

XXI. *Qui cum beſtiis rem habet, ad homicidæ tempus confitebitur.*

XXII. *Fratrum ſororumve coitus puniatur annis* XX.

XXIII. *Qui cum propria ſorore contaminatur, ab actu videlicet deſiſtens, annis.* XII.

γοὶ καὶ πληθυνόμενοι, καὶ τὰ τῆς περιβόλων ἀναλίσκουσι, καὶ τοὺς παρατυγχάνοντας ἐνεδρεύοντες βλάπτουσι· καὶ τοῖς δεσπόταις ἐπανιστάμενοι, ὕβρεις κατ' αὐτῶν ἀφιᾶσι, ὃ χαλεπώτατον, ἐφ' ᾧ καὶ καταξίαν αὐτοὺς παιδεύεσθαι ἄμεινον.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ
περὶ τίτλου
καὶ χρόνου ἁμαρτημάτων.

α'. Ο χειροτονῶν ὑπερόρια, καθαιρείσθω.

β'. Ο ἐπὶ χρήμασι χειροτονῶν, σὺν τῷ χειροτονουμένῳ καθαιρείσθω.

γ'. Κληρικὸς ἐγγύας διδοὺς, καθαιρείσθω.

δ'. Κληρικὸς τόκους λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

ε'. Ιερεὺς πιστὸν ἢ ἄπιστον τύπτων, καθαιρείσθω.

ϛ'. Γυναῖκα οὐ δεῖ ἐν θυσιαστηρίῳ εἰσιέναι.

ζ'. Η παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα, ἔχει ἐπιτίμιον ἔτη ιε'.

η'. Οἱ μαντευόμενοι ἐπὶ ἀνευρέσει τινῶν, ἔτη ἕξ.

θ'. Ο μάντεσιν ἑαυτὸν ἐπιδοὺς, ἔτη κ'.

ι'. Ο τὸν Χριστὸν ἀρνησάμενος, ἐν τῷ τέλει τοῦ βίου ἀξιούσθω τῶν ἁγιασμάτων.

ια'. Ο χωρὶς ἀνάγκης τινὸς τὴν εἰς θεὸν παραβὰς πίστιν, ἔτη ιβ'.

ιβ'. Ο γοητείαν καὶ φαρμακείαν ἐξαγορεύων, τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

ιγ'. Ο ἀκρωτηριάζων ἑαυτὸν, κληρικὸς μὲν, καθαιρείσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω ἔτη τρία, καὶ κληρικὸς μὴ γινέσθω.

ιδ'. Η Κατ' ἐπιτήδευσιν φθαρεῖσα, ἔτη ι'.

ιε'. Ο ἑκουσίως φονεύων, ἔτη κ'.

ιϛ'. Ο ἀκουσίως, ἔτη ι'. καὶ κληρικὸς μὴ γινέσθω.

ιζ'. Ο μοιχεύων, ἔτη ιε'.

ιη'. Ο τὴν συνημμένην ἀποθέμενος, καὶ ἄλλην ἀγόμενος, ἔτη ιε'.

ιθ'. Ο εἰς ἐλεύθερον σῶμα πορνεύων πόρνος, ἔτη ζ'.

κ'. Ο ἀρσενοκοίτης, ἔτη ιε'.

κα'. Ο κτηνοβάτης * * *

κβ'. Η ἀδελφομιξία, ἔτη κ'.

κγ'. Ο ἰδίᾳ ἀδελφῇ συμμιαινόμενος, χωριζόμενος δηλονότι τῆς πράξεως, ἔτη ιβ'.

κδ'. Ο

A κδ'. Ὁ κλέπτης, ἔτη β'.

κε'. Ὁ ἐπίορκος, ἔτη ι'.

κϛ'. Ὁ τυμβωρύχος, ἔτη ι'.

XXIV. *Fur, annis duobus.*

XXV. *Perjurus, annis x.*

XXVI. *Sepulchrorum violator, annis x.*

ΤΟΥ ΑΥΤΟΥ ΠΟΣΟΙ ΤΟΠΟΙ τῶν ἐπιτιμίων.

B

Τέσσαρές εἰσιν οἱ τῶν ἐπιτιμίων τόποι· ὁ τοῦ προσκλαίοντος· ὁ τοῦ ἀκροωμένου, ὁ τοῦ ὑποπίπτοντος· καὶ ὁ τοῦ συνεστῶτος.

α'. ΠΡΟΣΚΛΑΥΣΙΣ ἐστι, ὅ, ἔξω τοῦ περιβόλου τῆς ἐκκλησίας ἱστάμενον τὸν ἡμαρτηκότα, ἕκαστον τῶν εἰσερχομένων αἰτεῖν μετὰ κλαυθμοῦ προσπίπτοντα, εὔχεσθαι ὑπὲρ αὐτοῦ· ὁ γὰρ προσκλαίων, ἔξω τοῦ νάρθηκος τῆς ἐκκλησίας ἐξωθεῖται, ὅσον ἂν ὁρισθῇ χρόνος. C

β'. Ἀκρόασίς ἐστι, τὸ τῶν θείων ἀκροᾶσθαι γραφῶν, παρὰ τοῖς βασιλεῦσι ἑστῶτα πυλῶσιν· ὁ γὰρ ἀκροώμενος, ἔσω μὲν νάρθηκος ἵσταται, περαιτέρω δὲ εἰσελθεῖν οὐ συγχωρεῖται, ἕως πληρώσῃ τοὺς ὁρισθέντας χρόνους.

γ'. Ὑπόπτωσίς ἐστιν, ἡ ἔσω τοῦ περιβολαίου τῆς ἐκκλησίας ἐν τῷ ὀπισθίῳ μέρει τοῦ ἄμβωνος στάσις· ὁ γὰρ ὑποπίπτων συνίσταται μὲν ἐν τῷ ναῷ· ἔξεισι δὲ καὶ αὐτὸς μετὰ τῶν κατηχουμένων.

D δ'. Σύστασίς ἐστιν, ἡ μέχρι συμπληρώσεως τῆς θείας μυσταγωγίας μετὰ τῶν πιστῶν στάσις. συνίσταται μὲν γὰρ, οὐκ ἀξιοῦται δὲ τῆς κοινωνίας, ἕως πληρώσῃ τὸν ὁρισμένον χρόνον.

Καὶ τελευταῖον ἡ μέθεξις τῶν ἁγιασμάτων.

EJUSDEM, DE LOCIS EORUM qui puniuntur.

Quatuor ſunt pœnitentium loci. Plorantis, Audientis, Subſtrati, & Stantis.

I. Πρόσκλαυσις *ſive fletus eſt, quando peccator extra Eccleſiæ ambitum ſtans, omnes qui ingrediuntur precatur, cum fletu ſc. procumbens, ut pro ipſo orarent. Nam qui luget, extra narthecen Eccleſiæ expellitur, quamdiu tempus præfinitum fuerit.*

II. *Auditio eſt quando ſacras ſcripturas audit prope fores baſilicas ſtans. Nam qui audit, intra quidem narthecen ſtat, ulterius vero ingredi non permittitur, donec tempora definita compleverit.*

III. *Subſtratio eſt, ſtatio intra ambitum Eccleſiæ in poſtica ambonis parte. Nam qui ſuccumbit, in templo unà ſtat, & cum Catechumenis egreditur.*

IV. Σύστασις *autem, ſive conſiſtentia, eſt ſtatio cum fidelibus uſque ad ſacri myſterii completionem. Una enim ſtat, communione autem dignus non habetur, donec tempus præfinitum adimpleverit.*

V. *Deinde vero ſequitur ſacramentorum participatio.*

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

περὶ ὀρθοδοξίας κεφάλαια ιβ'. E

κατὰ Νεστορίου.

α'. ΕΙ ΤΙΣ οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν ἐμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν, γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ θεοῦ λόγον, ἀνάθεμα ἔστω.

β'. Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν τοῦ θεοῦ πατρὸς λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω. F

γ'. Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν ἤγουν αὐθεντείαν ἢ δυναστείαν, καὶ οὐχὶ δὲ μᾶλλον τῇ καθ' ἕνωσιν φυσικὴν συνόδῳ, ἀνάθεμα ἔστω.

δ'. Εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τὰς ἐν τοῖς ἀποστολικοῖς καὶ εὐαγγελικοῖς γράμμασι διανέμει φωνὰς, ἢ ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῦ περὶ αὑτοῦ· καὶ τὰς μὲν, ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ θεοῦ λόγον ἰδικῶς νοουμένῳ προσάπτει, τὰς δὲ θεοπρεπεῖς τῷ ἐκ θεοῦ πατρὸς λόγῳ, ἀνάθεμα ἔστω.

SANCTI CYRILLI DE FIDE orthodoxâ, contra Neſtorium,

CAPITA XII.

SI *quis non confitetur Emmanuelem vere deum eſſe, & ob id ſanctam Virginem Deiparam, (genuit enim illa incarnatum Dei patris verbum ſecundum carnem) anathema ſit.*

II. *Si quis non confitetur Dei patris verbum ſecundum hypoſtaſin unitum, unumque tantum unà cum ſua carne eſſe Chriſtum, eundem nimirum Deum ſimul & hominem, anathema ſit.*

III. *Si quis in uno Chriſto poſt unionem dividit hypoſtaſes, ipſaſque eâ tantum conjunctione inter ſe connectit, quæ eſt ſecundum dignitatem ſive authoritatem vel poteſtatem, & non eo potius concurſu, qui eſt ſecundum naturalem unionem, anathema ſit.*

IV. *Si quis duabus perſonis ſive hypoſtaſibus eas voces attribuit, quæ in Evangelicis & Apoſtolicis ſcripturis paſſim occurrunt, quæ à ſanctis de Chriſto, vel ab ipſo quoque Chriſto de ſeipſo dictæ ſunt, & alias quidem homini tanquam ſeorſum à Dei verbo conſiderato adſcribit, alias vero tanquam Deo convenientes ſoli dei Patris verbo adaptat, anathema ſit.*

A V. *Si quis dicere audet Chriſtum hominem Deiferum, ac non potius verum Deum eſſe, utpote unicum ac naturalem filium; quatenus nimirum verbum caro factum, carni & ſanguini perinde ac nos communicavit, anathema ſit.*

VI. *Si quis Dei Patris verbum, Chriſti deum vel dominum eſſe dixerit, & non potius Deum ſimul & hominem ipſum confeſſus fuerit, prout verbum caro factum eſt, ſecundum ſcripturas, anathema ſit.*

B VII. *Si quis Jeſum tanquam hominem à Dei verbo operandi vim habuiſſe, Unigenitique gloriam illi, tanquam alteri cuiptam ab ipſo verbo, adveniſſe dixerit, anathema ſit.*

VIII. *Si quis dicere audeat hominem aſſumptum unà cum Dei verbo adorandum, & conglorificandum, & Deum, tanquam alterum cum altero connominandum eſſe (hunc enim intellectum præpoſitio, cum, adjecta perpetuo ac neceſſario affert) & non potius una adoratione Emmanuelem honorat, unamque illi glorificationem attribuit, quatenus verbum factum eſt caro; anathema ſit.*

C IX. *Si quis unum Dominum Jeſum Chriſtum à ſpiritu glorificatum dixerit, propria virtute ipſius tanquam aliena utentem; ac vim & efficaciam ab eodem accepiſſe, quâ contra immundos ſpiritus operaretur, & divina inter homines miracula patraret, ac non potius ipſum ſpiritum, per quem divina ſigna edidit, illius proprium eſſe confeſſus fuerit; anathema ſit.*

X. *Confeſſionis noſtræ Pontificem & Apoſtolum factum eſſe Chriſtum, ſcriptura divina docet; obtuliſſe quoque ſemetipſum pro nobis Deo & Patri in odorem ſuavitatis. Siquis ergo dixerit,* D *Pontificem & Apoſtolum noſtrum non eſſe ipſum Dei verbum, poſteaquam caro & homo nobis ſimilis factum eſt, ſed hominem illum qui ex muliere natus eſt, quaſi alterum quempiam ab ipſo diverſum: aut ſi quis Chriſtum pro ſeipſo quoque, & non potius pro nobis ſolis ſacrificium obtuliſſe dixerit (neque enim oblatione egebat, qui peccatum non novit) anathema ſit.*

XI. *Si quis Domini Carnem vivificam, ipſiuſque verbi quod ex Deo Patre eſt, propriam eſſe negaverit: ſed veluti alterius cujuſpiam ipſi verbo ſecundum dignitatem conjuncti, & quaſi divinam tantum inhabitationem ſortiti,* E *ac non potius vivificam eſſe dixerit, ut modo meminimus, eo quod verbi quod omnia vivificare poteſt, facta ſit propria, anathema ſit.*

XII. *Si quis non confitetur, Dei verbum carne paſſum & crucifixum eſſe, mortemque carne guſtaſſe, nec non primogenitum ex mortuis factum eſſe; quatenus nimirum ut Deus, vita & vivificans eſt; anathema ſit.*

ε΄. Εἴτις τολμᾷ λέγειν τὸν χριστὸν θεοφόρον ἄνθρωπον, καὶ οὐχὶ δὴ μᾶλλον θεὸν εἶναι κατὰ ἀλήθειαν, ὡς υἱὸν ἕνα καὶ φύσει, καθὸ γέγονε σὰρξ ὁ λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκὸς, ἀνάθεμα ἔστω.

ϛ΄. Εἴτις λέγει θεὸν εἶναι ἢ δεσπότην τοῦ χριστοῦ τὸν ἐκ θεοῦ πατρὸς λόγον, καὶ οὐχὶ δὴ μᾶλλον αὐτὸν ὁμολογεῖ θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ λόγου κατὰ τὰς γραφὰς, ἀνάθεμα ἔστω.

ζ΄. Εἴτις φησὶν ὡς ἄνθρωπον ἐνεργεῖσθαι παρὰ θεοῦ λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι, ὡς ἑτέρου παρ' αὐτοῦ ὑπάρχοντος, ἔστω ἀνάθεμα.

η΄. Εἴτις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ θεῷ λόγῳ, καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν θεὸν ὡς ἕτερον ἑτέρῳ (ἡ γὰρ σὺν πρόσθεσις ἀεὶ προστιθεμένη τοῦτο νοεῖν ἀναγκάσει) καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷ τὸν ἐμμανουὴλ, καὶ μίαν τὴν δοξολογίαν αὐτῷ συνάπτει, καθὸ γέγονε σὰρξ ὁ λόγος, ἀνάθεμα ἔστω.

θ΄. Εἴτις φησὶ τὸν ἕνα κύριον Ἰησοῦν χριστὸν δεδοξάσθαι παρὰ τοῦ πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ ἰδίᾳ αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λαβόντα τὸ ἐνεργεῖν δύνασθαι κατά τε πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημείας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ πνεῦμα φησὶν, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημείας, ἀνάθεμα ἔστω.

ι΄· Ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι χριστὸν, ἡ θεία γραφὴ λέγει, προσενήνοχε δὲ ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ καὶ πατρί· εἴτις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γεγενῆσθαί φησιν οὐκ αὐτὸν τὸν ἐκ θεοῦ θεὸν λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον παρ' αὐτὸν ἰδικῶς ἄνθρωπος ἐκ γυναικός· ἢ εἴτις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενέγκαι ἑαυτὸν τὴν προσφορὰν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν, οὐ γὰρ ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἀνάθεμα ἔστω.

ια΄. Εἴτις οὐκ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν, καὶ ἰδίαν αὐτοῦ τοῦ θεοῦ πατρὸς λόγου εἶναι, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου, τοῦ καὶ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω.

ιβ΄. Εἴτις οὐκ ὁμολογεῖ τὸν τοῦ θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή ἐστι, καὶ ζωοποιὸς, ὡς θεὸς, ἀνάθεμα ἔστω.

F

DEMETRII METROPOLITANI CYZICI,

De Jacobitis, & Chatzizariis.

Jacobitæ iidem ſunt cum Eutychiana hæreſi infectis, qui & Monothelitæ, & Monophyſitæ vocantur. Errant enim circa œconomiam in carne, eoſq; dum naturas confundunt, Theopaſchitas eſſe planum eſt. Dicuntur autem Jacobitæ à Jacobo quodam qui hæreſin hanc diſſeminavit, qui etiam propter valde proſperam fortunam Tzanzalus vocatus eſt.

ΔΗΜΗΤΡΙΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΖΙΚΟΥ,

περὶ Ἰακωβιτῶν καὶ Χατζιτζαρίων.

Ἰακωβῖται οἱ αὐτοί εἰσι τοῖς τὰ Εὐτυχοῦς νοσοῦσι, τοῖς καὶ μονοθελίταις, καὶ μονοφυσίταις. σφάλλονται γὰρ περὶ τὴν ἐν σαρκὶ οἰκονομίαν, καὶ τὰς φύσεις συγχέοντες, θεοπασχῖται δείκνυνται. καλοῦνται δὲ Ἰακωβῖται ἀπὸ τοῦ τὴν αἵρεσιν ταύτην πλατύναντος Ἰακώβου τινὸς, διὰ τὴν ἄγαν εὐπλίαν Τζαντζάλου καλουμένου. οὗτοι τῷ τρισαγίῳ ὕμνῳ, τὸ ὁ σταυρωθεὶς

A θεὶς παρενείρουσιν· ἑνὶ δακτύλῳ σφραγίζονται ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιά· τὴν προσφορὰν αὐτῶν ἐλαίῳ ἀναμάττουσιν· οἶνον οὐκ ἐνοῦσι· μεταλαβεῖν, εἴτε καὶ μὴ, καὶ προσκυνῆσαι, εἴτε καὶ μὴ, παρ' αὐτοῖς ἀδιάφορον· τῇ τυροφάγῳ κρεοφαγοῦσι.

Hi terſancto hymno illud, Qui Crucifixus eſt, inſerunt. Uno digito ſignantur à lævâ ad dextram. Oblationem ſuam oleo ſubigunt. Vinum non miſcent. Participare, vel non participare, adorare vel non adorare, iis indifferens eſt. In Quadrageſima carnes comedunt.

Μελχῖται ἐκλήθησαν οἱ τῷ εὐσεβεῖ βασιλεῖ Μαρκιανῷ ἀκολουθήσαντες, μελχὶ γὰρ ὁ βασιλεὺς ἑρμηνεύεται.

Melchitæ vocabantur, qui Pium Regem Marcianum ſequuti ſunt; melchi enim idem ſonat quod Rex.

Χατζιτζάριοί εἰσιν, οἱ τὸν σταυρὸν μόνον σέβοντες, κατζὶ γὰρ ὁ σταυρὸς παρ' αὐτοῖς. περονοῦσι δὲ τοῦτον ἥλῳ, ὡς παθητὴν τὴν θειότητα δογματίζοντες, καὶ προσκυνοῦσιν ὡς B δυνατώτερον Χριστοῦ, καὶ ἀναιρέτην αὐτοῦ. τὰς εἰκόνας ἀποστρέφονται· εἰσὶν ἐν ταὐτῷ καὶ θεοπασχῖται καὶ Νεστοριανοί· τὸ μὲν, ὡς τὸ ὁ σταυρωθεὶς τῷ τρισαγίῳ παρενείραντες, τὸ δὲ, ὡς ἐπὶ Χριστοῦ δύο πρόσωπα λέγοντες. ἐν τῇ ἁγίῳ μὲν σαββάτῳ καὶ κυριακῇ γάλα καὶ τυρὸν καὶ ὠὰ ἐσθίουσιν. οἶνον οὐκ ἐνοῦσιν· καὶ τοὺς σταυροὺς κατά τινας ῥητῶς βαπτίζουσιν.

Catzizarii ſunt, qui Crucem ſolam venerantur, Catzi enim apud eos crucem ſignificat: quin & eam clavo trajiciunt, divinitatem paſſam eſſe affirmantes, & ut Chriſto potentiorem, ejuſque interfectorem adorant. Imagines averſantur. In nonnullis cum Theopaſchitis & Neſtorianis conſentiunt; cum illis, quatenus ter ſancto hymno, illud, Qui crucifixus eſt, inſerunt; cum his autem, quòd in Chriſto duas perſonas ſtatuant. In ſacro ſabbato & Dominico, lac, & caſeum, & ova comedunt. Vinum non miſcent. Porro Cruces juxta quoſdam certis verbis baptizant.

ΠΕΡΙ ΜΑΣΣΑΛΙΑΝΩΝ ΤΩΝ νῦν Βογομίλων.

C

ΟΙ Μασσαλιανοὶ τὰ τῶν Μανιχαίων νοσοῦντες, ἐξεῦρον καὶ ἄλλα μιαρώτερα. φλυαροῦσι γὰρ τὸν νοῦν τῶν ἀνθρώπων ὑπὸ τῶν δαιμόνων κατέχεσθαι· τὴν ἀνθρωπίνην φύσιν τῶν δαιμόνων εἶναι κοινωνικήν· τὸ βάπτισμα μὴ τελειοῦν τὸν ἄνθρωπον, μηδὲ τὴν θείαν μετάληψιν, ἀλλὰ μόνον τὴν παρ' αὐτοῖς εὐχήν. φύσει εἶναι τὰ κακὰ ἐν ἡμῖν. τῆς κοινωνίας τοῦ νυμφίου αἰσθάνεσθαι τὴν ψυχὴν, ὡς ἡ γυνὴ τῆς συνουσίας τοῦ ἀνδρός. τὸν σταυρὸν βδελύττονται. τὴν θεοτόκον οὐ τιμῶσιν. οἱ βουλόμενοι ἀποτέμνονται. ὀμνύουσιν ἀδεῶς, ἐπιορκοῦσιν, ἀναθεματίζουσι τὴν αἵρεσιν αὐτῶν. ταύτης τῆς λύμης ὑποD πλησθεὶς καὶ Ἐλευθέριος ὁ Παφλαγὼν προσεπεξεῦρεν ἄξια ἑαυτοῦ· τὸν μοναχὸν δυσὶ συνευνάζεσθαι γυναιξὶ, καὶ χρόνον μὲν ἕνα ἐγκρατεύεσθαι, τὸ λοιπὸν ἀδεῶς χρῆσθαι, καὶ ταῖς συγγενέσι μηδὲν διαστέλλοντα.

DE MASSALIANIS, QUI nunc Bogomilæ dicti ſunt.

MAſſaliani Manichæorum morbo laborantes, alia etiam magis dira excogitarunt. Mentem enim humanam à Dæmonibus detineri effutiunt; naturam humanam Dæmones communicare poſſe; Baptiſmum non perficere hominem, nec ſacrorum myſteriorum perceptionem, ſed eorum duntaxat precationem; Mala in nobis eſſe à natura; Communionem cum ſponſo ſic ſentire animam, quemadmodum mulier viri commercium. Crucem abominantur. Deiparam honore non afficiunt. Qui volunt genitalia præcidunt. Intrepidè jurant; pejerant; execrantur hæreſim ſuam per anathema. Hac lue refertus Eleutherius ille è Paphlagone oriundus, reperit præterea alia quædam ſe digna; Monachum ſc. duas mulieres habere poſſe tori conſortes, & uno quidem anno continentiam colere, deinceps etiam cum cognatis impune coire nullo diſcrimine adhibito.

Πέτρου Ἀντιοχείας πρὸς τὸν Βενετίας. γέγονε δὲ γ' οὗτος ἐπὶ τοῦ Πατριάρχου κυροῦ Ἀλεξίου.

E

ΟΥδαμοῦ γέγραπται τὸν πρόεδρον Ἀκυληΐας ἤτοι Βενετίας πατριάρχην ὀνομάζεσθαι. πέντε γὰρ ἐν ὅλῳ τῷ κόσμῳ πατριάρχας ἐγνώκαμεν, τὸν Ῥώμης, τὸν Κωνσταντινουπόλεως, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων. ὡς γὰρ τὸ σῶμα τὸ ἡμέτερον πέντε αἰσθήσεσιν οἰκονομεῖται, οὕτω καὶ τὸ τοῦ Χριστοῦ σῶμα ἡ ἐκκλησία τῶν πιστῶν ὡς ὑπὸ πέντε αἰσθήσεων τῶν ε'. θρόνων οἰκονομεῖται.

Τὸ μετέχειν ἀζύμων τῆς παλαιᾶς θυσίας μετέχειν ἐστὶν, οὐ τῆς καινῆς διαθήκης. οὐ γὰρ ἄζυμον ὁ Χριστὸς ἀλλ' ἄρτον F λαβὼν, εὐλόγησε καὶ εἶπε, λάβετε, φάγετε, ὡς λέγουσι συμφώνως οἱ τέσσαρες εὐαγγελισταί. καὶ μέγας Παῦλος, ἐγὼ παρέλαβον ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι κύριος Ἰησοῦς Χριστὸς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ εἶπε, λάβετε φάγετε. ἡμεῖς δὲ σάρκα Χριστοῦ ζῶσαν καὶ τεθεωμένην ἐσθίοντες, οὐκ ἔτι ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· ὅσα δὲ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. οἱ δὲ τὰ ἄζυμα ἐσθίειν βουλόμενοι, διὰ τὸ λέγειν ὅτι καὶ Χριστὸς καὶ περι-

Petri Antiocheni ad Epiſcopum Venetiæ; hic autem factus eſt tempore Patriarchæ Domini Alexii.

NUſquam ſcriptum eſt Aquileiæ ſive Venetiæ Præfectum, Patriarcham nominari. Quinque enim Patriarchas in toto mundo agnoſcimus, Romanum, Conſtantinopolitanum, Alexandrinum, Antiochenum, & Hieroſolymitanum. Sicut enim corpus noſtrum quinque ſenſibus adminiſtratur, ita& corpus Chriſti, Eccleſia nempe fidelium, quinque thronis tanquam quinque ſenſibus gubernatur.

Azyma participare, eſt vetus ſacrificium participare, non autem novum teſtamentum. Chriſtus enim non azyma ſed panem accipiens, gratias egit & dixit, accipite, comedite; ut unanimiter dicunt quatuor Evangeliſtæ. Utique & magnus Paulus, ego accepi quod & tradidi vobis, quòd Dominus Jeſus Chriſtus in ea nocte quâ traditus eſt, accepit panem, & poſtquam gratias egiſſet, fregit ac dixit, Accipite, comedite. Nos autem carnem Chriſti vivam & Deitati unitam comedentes, non amplius ſumus ſub lege ſed ſub gratia; quæ enim lex dicit, iis qui ſub lege ſunt dicit. Vetera tranſierunt, ecce omnia facta

A *ſunt nova. Qui vero azyma comedere volunt, dicentes quod Chriſtus ita fecit, circumciduntur etiam, quia Chriſtus circumciſus erat: clamat autem Paulus, dico vobis ſi circumciſi eſtis, Chriſtus vobis nihil profuerit. Quin & manifeſtum eſt, quod cœna Chriſti facta erat ante legale paſcha. Dicit enim Joannes Evangeliſta, Ducunt Jeſum à Caipha in Prætorium; erat autem mane, & ipſi non introierunt in Prætorium, ne contaminarentur, ſed ut ederent Paſcha; legale erat igitur azyma comedere.*

B Leonis Archiepiſcopi Bulgariæ ex tribus epiſtolis de azymis.

Ex primâ.

QUi ſabbata cum azymis obſervant, ſeſe Chriſtianos vocantes, neque Judæi ſunt, nec puri Chriſtiani, ſed pelli Pantherinæ ſimiles, ut inquit magnus Baſilius, cujus villi nec nigri ſunt, nec in totum albi.

Ad eos qui dicunt Romam eſſe primum Thronum.

C *SI Roma, quod Principem Epiſcopum ſuſcepit, prima ſit, Antiochia potius primas habebit; Petrus enim Apoſtolus in Antiochiâ epiſcopatum geſſit, antequam in Româ.*

*Porro ſi propter ſummum Apoſtolum Roma * * * * & primum curſum martyricum abſolventem, multo æquius eſt ut Hieruſalem Româ ſuperior ſit.*

Rurſus, ſi à perſonarum qualitate thronis primas tenere datur, quomodo præ omnibus manifeſto Hieruſalem D *principatum non habebit? Ipſe enim Petri omniumque noſtrum communis creator & Dominus, primus & magnus Pontifex, omnis vitæ fons, & ordinis ſacerdotalis, illic natus eſt, & converſabantur, & ſeſe propter mandi ſalutem libens obtulit.*

Porro ſi Roma propter ſummum Apoſtolum principatum quærit, Byzantium propter Andream primum vocatum & fratrem natu primum, primas habebit. Ipſe enim annis non paucis Byzantii Epiſcopatum ſuſceperat, antequam frater ejus Romæ Epiſcopus eſſet. E

Quod ſi afferas mihi, tu es Petrus, & ſuper hanc petram Eccleſiam meam ædificabo, & quæ ſequuntur: ſcies quod non propter Eccleſiam in Româ dictum eſt abſit; Hoc enim Iudaicum eſt & humile, gratiam & Divinitatem ejus regionibus & locis quibuſdam circumſcribere, quaſi non per univerſum orbem ſimiliter operaretur. Quin & illud, ſuper hanc petram, quomodo quiſquam, licet valde impudens ſit, & non erubeſcere in laudem ponat, ita extorqueat, ut de Eccleſia Romana dicatur. Dicitur autem manifeſto de rupe confeſſionis, quæ Chriſtum deum prædicavit, & per eam de F *univerſa Eccleſia, quæ uſque ad finem terræ doctrinâ Apoſtolorum in unitatem redacta & ædificata eſt, ad quam ſanctum ſpiritum per Tubas Apoſtolicas juxta enarrationem ſancti & venerandi decreti loquutum eſſe confitemur, ſanctè etiam profitentes eundem etiam per prophetas loqui ad unam Catholicam & Apoſtolicam Eccleſiam, non ad Petrianam, aut Romanam, ut indoctus Romanorum faſtus vult.*

Porro ſi quis conſideret à quo Roma primas habere viſa eſt (aliunde enim à quibus habuiſſe dicitur non invenire eſt,)

τμηθῶσιν ἐπεὶ καὶ Χριστός· ἀλλὰ βοᾷ Παῦλος, λέγω ὑμῖν, ἐὰν περιτέμνεσθε Χριστὸς ὑμᾶς οὐκ ὀφελήσει. ὅπου γε καὶ πρόδηλον, ὅτι πρὸ τοῦ νομικοῦ Πάσχα τὸ δεῖπνον γέγονε τοῦ Χριστοῦ. φησὶ γὰρ ὁ Εὐαγγελιστὴς Ἰωάννης, ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον, ἦν δὲ πρωΐ, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ᾽ ἵνα φάγωσι τὸ Πάσχα· νόμιμον οὖν ἐσθίειν τὰ ἄζυμα.

Λέοντος Ἀρχιεπισκόπου Βουλγαρείας ἐκ τῶν τριῶν ἐπιστολῶν τῶν περὶ ἀζύμων.

Ἀπὸ τῆς α΄.

ΟΙ τὰ σάββατα μετὰ τῶν ἀζύμων φυλάττοντες Χριστιανοὶ εἶναι λέγοντες, οὔτε Ἰουδαῖοι οὔτε Χριστιανοί εἰσιν, ὅμοιοι ὄντες δορᾷ παρδάλεως, ὡς ὁ μέγας λέγει Βασίλειος, ἧς ἡ θρὶξ οὔτε μέλαινά ἐστιν οὔτε διόλου λευκή.

Πρὸς τοὺς λέγοντας ὡς ἡ Ρώμη πρῶτος θρόνος.

ΕΙ ἡ Ρώμη, ὅτι ἐδέξατο τὸν κορυφαῖον ἐπίσκοπον, πρώτη, ἡ Ἀντιόχεια μᾶλλον ἕξει τὸ πρωτεῖον· καὶ γὰρ ἢ πρὸ τῆς Ρώμης ὁ Ἀπόστολος Πέτρος ἐπεσκόπησεν ἐν Ἀντιοχείᾳ.

Ετι εἰ διὰ τὸν κορυφαῖον τῶν Ἀποστόλων ἡ Ρώμη * * * * καὶ τὸν μαρτυρικὸν πρώτως τελειώσαντα δρόμον, πολλῷ δικαιότερον τὰ Ἱεροσολύμων τῆς Ρώμης πρωτεύειν.

Ετι εἰ ἀπὸ τῆς τῶν προσώπων ποιότητος τὸ πρωτεύειν τοῖς θρόνοις περίεσι, πῶς οὐ λαμπρῶς κατὰ πάντων τὰ Ἱεροσόλυμα τὸ κράτος ἕξει· αὐτὸς γὰρ ὁ τε Πέτρου καὶ ἡμῶν ἁπάντων κοινὸς πλάστης καὶ δεσπότης ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς ἡ πηγὴ πάσης ζωῆς καὶ ἀρχιερατικῆς τάξεως, ἐν αὐτοῖς τε τὴν γέννησιν καὶ τὴν διατριβὴν ἔσχε, καὶ ἑαυτὸν ὑπὲρ τοῦ κόσμου σωτηρίας ἑκὼν ἱεράτευσεν·

Ετι εἰ διὰ τὸν κορυφαῖον ἡ Ρώμη ζητεῖ τὸ πρωτεύειν, δι᾽ Ἀνδρέα τὸν πρωτόκλητον, καὶ γεννήσει πρότερον ἀδελφόν, τὸ Βυζάντιον πρῶτον· οὐκ ὀλίγοις γὰρ ἔτεσι τοῦ Βυζαντίου τὴν ἐπισκοπὴν ἔφθασε προλαβὼν πρὶν ἢ τὸν ἀδελφὸν Ρωμαίων ἐπισκοπῆσαι.

Εἰ δὲ προφέρεις μοι τό, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ τὰ ἑξῆς· ἴσθι ὡς οὐ διὰ τὴν ἐν Ρώμῃ ἐκκλησίαν εἴρηται· ἄπαγε, Ἰουδαϊκὸν γὰρ τοῦτο καὶ ταπεινόν, τὴν χάριν καὶ τὴν θειότητα αὐτῆς μέρεσί τισι καὶ τόποις περιγράφειν, ἀλλὰ μὴ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ὁμοίως ἐνεργεῖν. ἀλλὰ καὶ τό, ἐν ταύτῃ τῇ πέτρᾳ πῶς ἄν τις κἂν λίαν θρασὺς ᾖ, καὶ τὸ μὴ αἰσχύνεσθαι κλέος ἔχων, ἐκβιάσοιτο ἐπὶ τῆς ἐν Ρώμῃ ἐκκλησίας εἰρῆσθαι; εἴρηται δὲ δῆλον ἐπὶ τῇ θεολογησάσῃ τὸν Χριστὸν ὁμολογίᾳ πέτρᾳ, καὶ δι᾽ αὐτῆς ἐφ᾽ ὅλου τῇ εἰς τὰ πέρατα τῆς γῆς ταῖς διδαχαῖς τῶν Ἀποστόλων ἐξαπλωθείσῃ τε καὶ θεμελιωθείσῃ ἐκκλησίᾳ, εἰς ἣν καὶ τὸ πανάγιον πνεῦμα διὰ τῶν προφητικῶν σαλπίγγων κατὰ τὴν ὑφήγησιν τοῦ ἱερωτάτου καὶ σεβασμίου ὅρου ἀνομολογοῦμεν λελαληκέναι· τὸ λαλῆσαν διὰ τῶν προφητῶν ἱερολογοῦντες εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, οὐ Πετριανὴν ἢ Ρωμαϊκήν, ὡς τὸ φιλόνεικον τῆς Ρωμαϊκῆς ἀπαιδευσίας βούλεται.

Ετι εἴτις ἐξ οὗ ἔδοξεν ἡ Ρώμη προὔχειν ἐπισκέψαιτο, (ἄλλοθι γὰρ ἐξ ὧν εἴρηται οὐκ ἔστιν εὑρεῖν,) εἰς τὸν ἔσχατον αὐτὴν

βαθμὸν μόλις αὐτὴν συγχωρήσει, εἴπερ Ἑλλήνων ψῆφος ἐν ἐκκλησίᾳ θεοῦ παντελῶς ἄτοπος. Αὐρηλιανοῦ γὰρ τοῦ τὰ Ἑλλήνων θρησκεύοντος, ἐβασίλευσε δὲ κατ' ἐκεῖνο καιροῦ τῆς Ῥώμης, τούτου κρίσει σεμνύνεσθαι αὕτη λάβοι τοῖς πρωτείοις. ἔτυχε μὲν γὰρ οὗτος ὁ Αὐρηλιανὸς ἐπὶ στρατείαν ἀνιὼν, καὶ τὴν Ἀντιόχειαν παροδεύειν, τὸν δὲ Σαμοσατέα Παῦλον ὃς ἐπισκόπει ταύτης, ψήφῳ τῶν ἀθροισθέντων ἐπισκόπων καὶ τῆς τιμῆς τῶν ἱερέων καὶ τοῦ θρόνου διαπεπτωκέναι, καὶ στασιάζειν καὶ βιάζεσθαι ἐπαναλαβεῖν τὰ ἀφῃρημένα, μὴ συγχωρεῖν δὲ τοὺς ἀφελομένους. πολλῆς δὲ τῆς μεταξὺ ἔριδος τε καὶ φιλονεικίας ἀτόπου ῥαγείσης, ἑκατέρα μοῖρα πρὸς μόνην λοιπὸν ἀπέβλεπε τὴν κοσμικήν τε καὶ βιάσασθαι δυναμένην χεῖρα, οἱ μὲν ὅπως παύσωσι τὴν τυραννίδα Παύλου, ὁ δὲ ὅπως ἐξείη καὶ τὰς ἐκείνων ψήφους ἀθετεῖν, καὶ τυραννεῖν ἀδεῶς θεσμοὺς πατρώους. δέον δὲ οὖν, τῆς χρείας βιαζομένης, εἰ καὶ ἀνὰ μέρος καὶ χωρὶς, ἑκάτεροι τῆς βασιλικῆς συγχερείας. ὁ δὲ τὰ μεταξὺ παρίσως μὴ συνιέναι φάμενος ὅσα ἐν σφίσι διαφιλονεικοῦσι, ὥστε μηδὲ τῶν παρ' αὐτῶν δικαίαν ἔχειν τὴν γνῶσιν, ἐπὶ τὸν Ῥώμης ἄγειν τὴν δίκην ἐκέλευε, καὶ στέργειν μὴ βουλομένους ἃ ἂν ἐκεῖνος δικάσειεν, ἤδη μέχρι τούτου καὶ τούτου πεπεισμένος ἄλλοθεν ὡς τῆς αὐτῆς θρησκείας, καθεστήκει ἐν Ῥώμῃ, οἷς καὶ δόξειε τὰ πρῶτα φέρειν τοῖς ὅλοις, καὶ εἰς τυραννίδα πάντων τὴν ἀρχιερωσύνην περιβάλλεσθαι. Τοῖς δέ γε Χριστοῦ μαθηταῖς καὶ τὸ Χριστιανοὺς εἶναι μὴ καταψευδομένοις, πῶς ἂν εἴη περὶ πρωτείων ἀγὼν, καὶ τότε ἱερεῦσιν οὖσι; τὸ δὲ, ὅστις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος, ποῦ θήσομεν;

Ἐπεὶ ἡ πρώτη σύνοδος ἑκάστῃ ἐπαρχίᾳ ἐκανόνισε τὰ οἰκεῖα δίκαια προσεῖναι, καὶ μηδέτερον ἑτέρου ἐπιπηδᾶν τοῖς ὁρίοις, μηδὲ τὰς ἀλλοτρίας ὑποσπᾶν τε καὶ ἑαυτῶν ποιεῖσθαι διοικήσεις.

Ἡ δὲ δευτέρα σύνοδος διὰ τὸ βασιλείᾳ τὴν Ῥώμην λαμπρυνθῆναι πρέχειν ἀποφηναμένη, οὐ διὰ τοὺς κορυφαίους Πέτρον καὶ Παῦλον· ὁμοίως καὶ τὴν Κωνσταντινούπολιν ὡς βασιλείᾳ τιμηθεῖσαν τὰ ἴσα μετ' ἐκείνης ἔχειν προνόμια ἐψηφίσατο.

Ἡ δὲ τετάρτη προκρίνει πᾶσιν τὴν Κωνσταντινούπολιν, μὴ ἀνασχομένη προκαθίσαι Βιγίλιον, ἐξ οὗ καὶ ἀταξίαι κατὰ Μηνᾶ ἐποιήθησαν, καὶ ποινὴν παιδικὴν ὁ Βιγίλιος ἔτισεν.

Ἔτι καὶ πρὸ Βιγιλίου Ἰωάννης ὁ τῆς Ῥώμης ἀνελθὼν, οὐδὲν περὶ πρωτείων διηνέχθη (ἐβασίλευε δὲ καὶ τότε Ἰουστινιανὸς) ἀλλὰ τὴν ἱερατικὴν στολὴν ὡς ἔθος τοῖς ἐν Κωνσταντινουπόλει περιβαλὼν, πρὸς τοῖς εὐωνύμοις μέρει τοῦ κατ' ἐκεῖνο καιροῦ πατριαρχοῦντος Ἐπιφανίου καθεσθεὶς, οὐδὲν ἐδυσχέρανεν. ἀνῆλθε δὲ καὶ πρὸ Ἰωάννου ἐπὶ τῆς αὐτῆς βασιλείας ὁ περιώνυμος Ἀγαπητὸς, καὶ τὸν βίον ἐν Κωνσταντινουπόλει ἀπέλιπεν.

Εἰ δὲ λέγεις ὅτι ἡ ἐν Σαρδικῇ διατάσσεται, τὸν Ῥώμης ἐξετάζειν τὰς τῶν ἑτέρων ἐνοριῶν ψήφους, πολλαχόθεν ἔχει τὸ εὐκατάλυτον.

Πρῶτον μὲν ὅτι τοπικὴ οὖσα ἀνατρέπεται ὑπὸ τῆς Οἰκουμενικῆς δ΄. συνόδου. αὕτη γὰρ τῷ Κωνσταντινουπόλεως ἀρχιερεῖ μᾶλλον τὰς ἑτέρων κρίσεις ἐξετάζειν ἀπένειμε.

Δεύτερον ὅτι ὁ ταύτης προεδρεύσας Ὅσιος Κουδρούβης τῷ Ἀρειανισμῷ ἐπὶ τέλει τοῦ βίου, καὶ τῇ τοῦ ἁγίου Ἀθανασίου καθαιρέσει ὑπέγραψεν, ἐναντία τῇ τε οἰκείᾳ χειρογραφίᾳ καὶ τῇ γνώμῃ ἣν ἔχειν ἐν Σαρδικῇ ἐγνωρίζετο διαπραξάμενος.

A *ei gradum vix concedet, ſi quidem Paganorum ſententia in Eccleſia Dei omnino abſurda eſt. Aureliani enim Paganam religionem colentis (quippe qui tunc temporis Romæ imperabat) judicio, ea Principatum accepiſſe videtur. Contigit enim Aurelianum hunc ad exercitum tendentem per Antiochiam iter facere, Paulum autem Samoſatenum loci illius epiſcopum, judicio epiſcoporum congregatorum tùm honore ſacerdotali tùm throno depoſitum, ſeditioſe & per vim contendere, ut quæ ſibi ablata erant recuperaret, hoſq; qui eum depoſuerunt, id ei non concedere. Magna interea contentione & rixa abſurda erumpente, utraque pars tandem ad potentiam mundanam, eamq; quæ coercere poterat, reſpexit, hi ut* B *Pauli Tyrannidem ſiſterent, ille vero ut eorum ſuffragia irrita faceret, & patrum ſanctiones impune violaret. Indigent itaque, neceſſitate cogente, utraque pars, ſeorſim licet, auxilio imperatoris. Ille autem, ſeſe ea de quibus contendebant non intelligere affirmans, utpote quod non earum rerum rectam notitiam haberet, ad Epiſcopum Romanum cauſam afferre juſſit; eoſque, recuſantes licet iis ſtare quæ Romanus Epiſcopus judicaret, quippe qui antea, cum ejuſdem religionis eſſet, ejus rei aliunde notitiam habuit, ad Romam adduxit, iiſque idcirco videbatur ei primas* C *dediſſe, & in omnium tyrannidem Pontificatum aſſeruiſſe. Chriſti vero diſcipulis, & qui profeſſionem Chriſtianam non dementirentur, quomodo de principatu contentio eſſe poterit ſacerdotibus exiſtentibus? & illud, quicunque vult inter vos eſſe primus, eſto veſter miniſter, ubi ponemus?*

Porro ſynodus prima præcepit, ut unaquæque provincia propria jura conſervet, & nemo alterius limites invadat, & alienas provincias ſurripiat, ſibique ſubjiciat.

D *Secunda etiam ſynodus, quòd Roma Imperio illuſtretur, eam primas habere declaravit, non propter ſummos Apoſtolos Petrum & Paulum: ſimiliter & Conſtantinopolim, ut quæ Imperio honoraretur, æqualia habere privilegia decrevit.*

Quarta autem ſynodus Conſtantinop. omnibus præfert, non ſinens Vigilium præſidere, unde contra Manam inordinationes factæ ſunt, & pœnam correptivam Vigilius ſubiit.

Quin & ante Vigilium Joh. Papa Romæ illuc adveniens, E *nihil de primatu contendebat, (tunc autem regnavit Juſtinianus) ſed Sacerdotale pallium, ut mos eſt Epiſcopis Conſtant. induens, & cum celebribus viris ex latere Epiphani tunc temporis patriarchatum gerentis ſedens, non moleſte tulit. Pervenit etiam ante Johannem ad idem regnum Inſignis Agapetus, & in Conſtantinopoli vitâ functus eſt.*

Quod ſi dicas ſynodum Sardicenſem præcipere, ut Epiſcopus Romanus aliarum provinciarum ſuffragia examinet, F *id multis modis ſolvi poteſt.*

Primo, quod cum localis ſit, à quartâ æcumenica reſcinditur; ea enim Patriarchæ potiſſimum Conſtantinopolitano aliorum judicia examinare conceſſit.

Secundò quod Oſius Cordubæ Epiſcopus qui ei præſedebat, Arianiſmo in fine vitæ ſuæ, & ſancti Athanaſii depoſitioni ſubſcripſit, contra propriam autographiam & ſententiam quam in ſynodo Sardicenſi habere notus erat.

A *Inſuper quod Epiſcopus hic Cordubæ Præſidentiæ Romanæ locum tenens, & gratiam majorem quam par erat ei potiſſimum deferens, Epiſcopi Conſtantinopol. qui non tantum aberat, ſed & hæreſi laborabat, curam non levem haberet. Quod ſi hæc ſynodus æcumenicas priores, & præcipuè primam, quæ præcepit ut unaquaque provincia jura ſua inviolata omnino conſervaret, Hæc, inquam, cum ſit localis ſynodus, ſi æcumenicam deſpiciat, potiſſimum ſuper hac re, quis eam æſtimaverit?*

B *Tertio, quod Marcellum & alios hæreſiarchas, exacti licet judicii inſcitiâ, innocentes declarans, pudore ſuffuſa eſt. Dei enim eccleſia ſynodi pro iis ſuffragia ut indocta & inexaminata improbans, omni ſacerdotali officio eos perpetuo abdicavit.*

Quarto, quia qui convenire promiſerant, inter ſe diſſidentes, hi Sardicam, illi Philippos occuparunt, & factiones inter ſe excitantes, depoſitiones & anathematiſmos decreverunt.

C *Quintò, quoniam ſynodus Carthag. poſtea circiter annos duodecim, Quæſtiones exactè exhauriens, non ſolum nullam venerationem ſynodo Sardicenſi attribuit, ſed nec ſcire dignata eſt, an talis habita fuerit: ſed ad canones primæ ſynodi reſpiciens, ad Celeſtinum planè ſcribit (ille enim tertius à Zoſimo ſedem Romanam adminiſtrabat) ut pontifex Romanus non audeat aliorum decreta attingere, quippe quod nullus canon illud præcipiat.*

D *Porro quia ſynodus Venethalenſis, canones primæ ſynodi ſequuta, Epiſcopos Romæ ſubjectos ſynodicis ejus decretis obedire jubet, eos autem qui ſub Alexandrino Patriarcha ſunt, ejus decretis, & alios ſimiliter.*

Quia Romani in Dei Pontifices abſque cauſa inſilientes, eos quidem parum aut nihil contriſtarunt, ſeſe autem multo pudore ſuffuderunt. Uti in Flavianum Epiſcopum Antiochenum non multis abhinc annis, ſucceſſionem deinceps abdicantes & anathemate percutientes, quamvis qui eum excepit præ aliis, invitus licet expulſus, abſurdam inimicitiam amicitiâ diſſolvebat.

E *Deinde Romani Euthymium & Macedonium Dei Sacerdotibus non annumerant, at nihilominus memoria & nomen eorum per omnem Eccleſiam celebratur, magnis certaminibus præclarum.*

Quoniam Innocentius Papa Romanus, multum annixus admirandum & divinum Johannem Chryſoſtomum injuſtè depoſitum ad dignitatem ſuam reſtituere, nihil effecit. Atticus autem Conſtantinopolitanus, cum Patriarcha Alexandrinus multa paſſus eſſet, ad honorem ſacerdotalem eum reſtituit, Nomen ejus ſacris diptycis inſcribens. Quiſque enim in ſuo throno aliis potentior eſt.

F *Quia Nectarius Maximum, injuſtè licet ante eum ordinatum, depoſuit: Utique & Menas Anthimum Trapezuntium, & ſi velis Anatolius Dioſcorum, qui illic ordinationem habuit, & Dioſcori curâ ad thronum Conſtantinopolitanum evectus eſt.*

Quod Maximum confeſſorem tanquam orthodoxum Hæretici depoſuerunt, & Hieroſolymis Cyrillum præfece-

A Ἄλλο τι ὅτι οὗτος ὁ Κορδούβης τῆς Ῥωμαϊκῆς προεδρίας ἐπέχων τὸ πρόσωπον, καὶ τοῦ δικαίου μείζονα τὴν χάριν αὐτῇ συνεισενέγκας μάλιστα τηνικαῦτα, οὐ μόνον οὐ παρόντος τοῦ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ αἱρέσει προσανακειμένου, οὐ τὴν τυχοῦσαν σπουδὴν ἐπεποίητο. πλὴν εἰ αὕτη τὰς ἔμπροσθεν οἰκουμενικὰς συνόδους, καὶ μάλιστα τὴν πρώτην, ἣ ἑκάστῃ ἐπαρχίᾳ τὰ οἰκεῖα διασώζεσθαι ἀβίαστα παντελῶς κανονίζει δίκαια, εἰ οὖν αὕτη τοπικὴ οὖσα τὴν οἰκουμενικὴν ὑπερορᾷ, ἐν αὐτῷ μάλιστα τῷ μέρει τούτῳ, τίς ἂν αὐτῇ ἐπιβλέψειεν;

B Τρίτον, ὅτι Μάρκελλον καὶ ἄλλους τινὰς αἱρεσιώτας, εἰ καὶ τῆς ἀκριβείας ἀγνοίᾳ, ὅμως ἀθώους ἀποφηναμένη, αἰσχύνην ὤφλησε. καὶ γὰρ ἡ ἐκκλησία τοῦ θεοῦ τὰς ἐκείνης ἀλογίσασα ὑπὲρ αὐτῶν ὡς ἀμαθεῖς καὶ ἀνεξετάστους ψήφους, πάσης αὐτοὺς ἱερωσύνης εἰς τέλος ἐξεκήρυξεν.

Τέταρτον, ὅτι μερισθέντες οἱ συνελθεῖν ὁμολογήσαντες ἀλλήλοις, οἱ μὲν τὴν Σαρδικήν, οἱ δὲ τοὺς Φιλίππους κατέλαβον, καὶ καταστασιάζοντες ἀλλήλων καθαιρέσεις καὶ ἀναθεματισμοὺς ἐψηφίζοντο.

C Πέμπτον, ὅτι ἡ ἐν Καρθαγένῃ σύνοδος μικροῦ ἔτη δύο καὶ δέκα εἰς ἀκρίβειαν ἐξαναλώσασα τῶν ζητουμένων, οὐ μόνον οὐδὲν αἰδέσιμον ἀπένειμε τῇ ἐν Σαρδικῇ, ἀλλ' οὐδ' ὅτι γέγονεν εἰδέναι ἠξίωσεν· εἰς δὲ τοὺς κανόνας ἐγκύψασα τῆς πρώτης συνόδου, γράφει ἀποτόμως πρὸς Κελεστῖνον, ἤδη γὰρ οὗτος τρίτος ἀπὸ Ζωσίμου τὸν θρόνον ἐχειρίζετο τῆς Ῥώμης, μηκέτι τολμᾶν τὸν ἀρχιερέα Ῥώμης τὰς ἑτέρων ἀναψηλαφᾶν ψήφους, ὡς μηδενὸς κανόνος τοῦτο κελεύοντος.

D Ὅτι καὶ ἐν Βενεθάλοις σύνοδος πάλιν τοῖς τῆς πρώτης ἐξακολουθήσασα κανόσιν, τοὺς μὲν ὑπὸ τὸν Ῥώμης ἐπισκόπους ταῖς ἐκείνου συνοδικαῖς ψήφοις ὑπήκειν ἐκέλευσε, τοὺς δὲ ὑπὸ τὸν Ἀλεξανδρείας, τοῦ σφῶν ἀρχιερέως, καὶ τοὺς ἄλλους ὁμοίως.

Ὅτι πολλάκις οἱ Ῥωμαῖοι κατὰ θεοῦ ἀρχιερέων ἀλόγως ὁρμήσαντες, ἐκείνους μὲν μικρὸν ἢ οὐδὲν παρελύπησαν, ἑαυτοὺς δ' αἰσχύνης μεγάλης ἐνέπλησαν· ὡς κατὰ Φλαβιανοῦ τοῦ Ἀντιοχείας, ἐπὶ ἔτη οὐκ ὀλίγα, ἀλλ' ἑξῆς διαδοχὴν ἐκκηρύττοντες καὶ ἀναθεματίζοντες, εἰ καὶ ὁ τούτου τελευταῖος ἀμείνων τῶν ἄλλων εἰ καὶ ἄκων συνελαθεὶς τὴν ἄλογον ἔχθραν εἰς φιλίαν ἐλύσατο.

E Εἶτα Εὐθύμιον καὶ Μακεδόνιον οἱ Ῥωμαῖοι θεοῦ ἀρχιερεῦσιν οὐδαμῶς συντάττουσιν, ἀλλ' οὐδὲν ἧττον αὐτῶν ἡ μνήμη καὶ τὸ ὄνομα ἀνὰ πᾶσαν ἐκκλησίαν ἀνακηρύττεται, λαμπρὸν ἐπὶ λαμπροῖς ἀγωνίσμασιν.

Ὅτι καθαιρεθέντα παραλογώτατον τὸν θαυμάσιον καὶ θεῖον Ἰωάννην τὸν Χρυσόστομον, ὁ μὲν Ῥωμαίων πρόεδρος Ἰννοκέντιος πολλὰ σπουδάσας εἰς τὴν οἰκείαν ἐπαναγαγεῖν τιμὴν, οὐδὲν ἴσχυσεν· ὁ δὲ Κωνσταντινουπόλεως Ἀττικὸς πολλὰ τοῦ Ἀλεξανδρείας δυσμαχετοῦντος, εἰς τὴν τῶν ἀρχιερέων τιμὴν ἐπανήγαγε, τοῖς ἱεροῖς διπτύχοις ἐντάξας αὐτοῦ τὸ ὄνομα, ἕκαστος γὰρ οἰκείῳ θρόνῳ τῶν ἄλλων ἐστὶν ἐπικρατέστερος.

F Ὅτι Νεκτάριος Μάξιμον εἰ καὶ παραλόγως ὅμως πρὸ αὐτοῦ χειροτονηθέντα καθεῖλε, καὶ Μηνᾶς ὁμοίως Ἄνθιμον τὸν Τραπεζούντιον· εἰ βούλει δὲ καὶ Ἀνατόλιος τὸν Διόσκορον· ὃ ἐκεῖθέν τι τὴν χειροτονίαν εἶχε, καὶ ταῖς Διοσκόρου σπουδαῖς τὸν Κωνσταντινουπόλεως ἐνεχειρίσθη θρόνον.

Ὅτι Μάξιμον τὸν ὁμολογητὴν ὡς ὀρθόδοξον οἱ αἱρετικοὶ καθεῖλον, ἀντεκατέστησαν δὲ Κύριλλον τοῖς Ἱεροσολύμοις

ὑπὸ

ὑπονοούμενον ἀρειανίζειν. ὀρθοδοξῶν δὲ γνωρισθεὶς ὑπὸ ἀκακίας τῆς Καισαρείας, καὶ αὐτοῦ ὀρθοδοξίας μὴ ἀθετοῦντος, συσκευὴν ὑπομένει. ὕστερον μέντοι καὶ ὑπ᾽ Αρειανῶν καθῃρέθη. Μάξιμον δ᾽ οὖν καὶ Κύριλλον ὁμοίως ἡ ἐκκλησία τοῦ Θεοῦ τιμᾶται διαπαντός.

Οτι Μελέτιος ὁ θεῖος, τοῦ θαυμαστοῦ Εὐσταθίου παρὰ πάντα θεσμὸν ὑπὸ Αρειανῶν συσκευασθέντος, καὶ τοῦ θρόνου ἀπελαθέντος, τῇ Αντιοχέων ἐνθρονίζεται· φανερῶς δὲ εὐσέβειαν κηρύξας, ὑπὸ τῶν αἱρετικῶν καὶ αὐτὸς ἐξορίζεται· χρόνῳ δὲ ὕστερον τῇ Αντιοχείων ἀποκαθίσταται· καὶ ἑκάτερος αὐτῶν ὡς ἀρχιερεὺς Αντιοχείας καὶ τιμᾶται καὶ μεγαλύνεται.

Οτι καὶ Ηλία τοῦ Ιεροσολύμων δι᾽ εὐσεβείας τοῦ θρόνου ἐκβληθέντος, Ιωάννης ὑπὸ τῶν αἱρετικῶν ἀντικαθίσταται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνακηρύξας, παρὰ τῆς ὀρθοδοξούσης ἐκκλησίας μετὰ τῶν ἀρχιερέων συντάττεται, μηδὲν τῆς τιμῆς καὶ δίκης ἐλαττουμένης τοῦ ἐν ἁγίοις Ηλία. οὕτω πανταχοῦ ἡ ἐκκλησία τὰ τῆς εἰρήνης μεταδιώκει.

Οτι Εὐθύμιος ὡς ὀρθόδοξος τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ἀπελαύνεται, καὶ Μακεδόνιος ὁ τούτου σκευοφύλαξ ἀντεισάγεται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνομολογήσας, εἴπερ τις ἄλλος, τῇ ἐκκλησίᾳ τετίμηται, θαυμάζουσι καὶ διὰ τιμῆς ἄγουσι καὶ τὸν γενναῖον Εὐθύμιον.

Οτι Εὐτύχιος παραλόγως ἀπηλάθη τοῦ θρόνου, ἀντικατέστη δὲ Ιωάννης, ὁμοίως Εὐτυχίῳ τὰ ὀρθὰ κρατύνων δόγματα, καὶ ἑκάτερον ἡ ἐκκλησία τῶν ἴσων γερῶν ἀξίους ψηφίζεται.

Οτι Αναστάσιος ὁ Θεουπόλεως, παρὰ πάντα θεσμὸν παρὰ Ιουστίνου τῆς Αντιοχέων ἀπελήλαται· ἀνὴρ τά τε ἄλλα δεξιὸς, καὶ ἰσχυρογνώμων τὰ τῆς πίστεως· ἀντ᾽ αὐτοῦ δὲ χειροτονεῖται Γρηγόριος ὁ θαυμάσιος, καὶ ἐπέκεινα τῶν κ΄. ἐτῶν τῇ ἀρχιερωσύνῃ διαπρέπων ἐτελεύτησε· καὶ ἀποκαθίσταται πάλιν Αναστάσιος, Μαυρικίου τὰ Ρωμαίων σκῆπτρα διέποντος καὶ ἰθύνοντος, καὶ ἑκάτερον αὐτῶν ἡ ἐκκλησία ἀποδέχεται.

Οτι τὴν τῶν σαββάτων νηστείαν Αμβρόσιόν φασι τοῖς Ρωμαίοις παραδεδωκέναι, καὶ Γρηγόριον τὸν θεολόγον, καὶ Λέοντα τὸν μέγαν, καὶ Ινοκέντιον. κομίζουσι δὲ εἰς ἀπόδειξιν τοῦ δεῖν νηστεύειν τὰ σάββατα τὸν κορυφαῖον ἀποστόλων Πέτρον νηστεύσαντα ἐν σαββάτῳ, καὶ καθελόντα Σίμωνα.

Οτι τὸ ξυρᾶσθαι ἀπολογεῖσθαί φασι τοὺς Ρωμαίους, ὡς ἐκ τῆς κατὰ μακάριον Ιὼβ μιμήσεως, καὶ γάρ φησιν αὐτὸν ξυρήσασθαι ἐπὶ ταῖς συμφοραῖς, ὡς φασι πένθους ὑπάρχειν ἐνδεικτικὸν, καὶ ἡμεῖς χρώμεθα αὐτὸ καθ᾽ ὁμοιότητα πενθοῦντες τὰς ἡμῶν ἁμαρτίας.

Οτι τὴν τοῦ κρέως ἀπόθεσιν ποιοῦνται, καθ᾽ ἣν ἡμεῖς τὸν τυρὸν, τὸν δὲ τυρὸν, καθ᾽ ἣν ἄγομεν τὴν πρώτην τῶν νηστειῶν.

Τοῦ μεγάλου Βασιλείου περὶ τῆς ἁγίας μεταλήψεως.

Τὸ καθεκάστην ἡμέραν μεταλαμβάνειν τῶν θείων μυστηρίων, καλὸν καὶ ἐπωφελὲς, αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· ἡμεῖς μέντοι τετράκις καθ᾽ ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, τῇ κυριακῇ, τῇ τετράδι, καὶ τῇ ἕκτῃ, καὶ τῷ σαββάτῳ, καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνήμη ἁγίου τινός. τὸ δὲ μὴ παρόντος ἱερέως ἢ λειτουργοῦ, τὴν κοινωνίαν λαμβάνειν τινὰ τῇ ἰδίᾳ χειρὶ, καὶ αὐτὸν ἑαυτῷ μεταδιδόναι, οὐκ ἀκατάγνωστον· καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ ἱερεὺς ἐπιδίδωσι τὴν μερίδα, κατέχει δὲ αὐτὴν ὁ ὑποδεχόμενος μετ᾽ εὐλαβείας ἁπάσης, καὶ οὕτω προσάγει τῷ στόματι.

A *runt ut Arianiſmi ſuſpectum. Cum autem notum eſſet eum orthodoxè ſentire per ſimplicitatem Epiſcopi Cæſareæ, qui & ipſe fidem orthodoxam non rejiciebat, inſidias paſſus eſt; & poſtea ab Arianis depoſitus erat. Maximum autem & Cyrillum Dei Eccleſia omni tempore honorat.*

Quia divinus Meletius, cum admirandus Euſtathius contra omnem legem ab Arianis inſidias paſſus, & à throno ejectus eſſet, in Antiochenum thronum collocatur; is vero, cum pietatem aperte prædicaſſet, ab hæreticis exterminatur. Anno autem elapſo rurſus Antiocheno Patriarchatui reſti- B *tuitur: uterque tamen ut Patriarcha Antiochenus honoratur & magnis laudibus effertur.*

Quia cum Helias Epiſcopus Hieroſolymitanus propter pietatem à throno depulſus eſſet, Johannes ab Hæreticis ejus loco ſubſtituitur; qui cum ſe orthodoxum prædicaſſet, ab Eccleſia orthodoxa Pontificibus annumeratur, honore & jure ſancti Heliæ nihil immutatis. Ita ubique Eccleſia pacem ſectatur.

Quia Euthymius ut orthodoxus ab Eccleſiâ Conſtantin. C *abigitur, & Macedonius ejus vaſorum cuſtos introducitur, & ſeſe orthodoxum confeſſus, ſi quis alius, ab Eccleſia honoratur; quin & pariter omnes generoſum Euthymium admirantur & honore afficiunt.*

Quia Eutychius abſque causâ à throno expulſus erat, & Joannes ſubſtitutus, qui ſicut Eutychius recta dogmata amplexus eſt; utrumque tamen Eccleſia æqualibus honoribus dignos eſſe decrevit.

Quia Anaſtaſius Epiſcopus Theopoleos contra omnem legem à Juſtino Antioch. throno ejectus erat, vir in aliis ſuſcipiendus, & articulos fidei firmiter edoctus: Ejus au- D *tem loco ordinatur Gregorius, qui deinde xx. annis ſacerdotium exornans, mortem obiit. Rurſus autem reſtitutus eſt Anaſtaſius, Mauritio ſceptrum Romanum tenente & adminiſtrante, & tamen utrumque Eccleſia recipit.*

Quia dicunt Sabbatorum jejunium Ambroſium Romanis tradidiſſe, & Gregorium Theologum, & magnum Leonem, & Innocentium. Afferunt autem, ut in Sabbatis jejunandum eſſe probent, Petrum Principem Apoſtolorum in Sabbato jejunantem, & Simonem deponentem.

E *Quod pro tonſurâ apologiam facere aiunt Romanos, tanquam beatum Jobum imitarentur: Ille enim in afflictionibus caput ſuum raſit, ut luctus indicium, & eo ritu nos etiam utimur pro peccatis noſtris lugentes.*

Quia carnes deponunt eodem tempore quo nos caſeum, & caſeum, cum nos primum diem jejunii celebramus.

Magni Baſilii de ſacra Communione.

F *Singulis diebus divina myſteria participare bonum eſt & utile, cum ipſe Chriſtus dicat,* Qui carnem meam comedit, & ſanguinem meum bibit, habet vitam æternam. *Nos quidem quater ſingulis ſeptimanis communicamus, die Dominica, feriâ iv. & vi. & Sabbato, & aliis diebus ſi S. alicujus memoria celebretur. Ut vero quiſquam, non præſente ſacerdote, vel miniſtro, communionem propriâ manu accipiat & ipſe ſibi det, non eſt ferendum. In Eccleſiâ enim ſacerdos portionem dat, quam ſuſcipiens tenet cum omni reverentiâ, & ſic ori ſuo admovet.*

A

Ejuſdem de iis qui pœnas contemnunt.

Quem pœnæ communes ſobrium non reddunt, neceſſe eſt ut Canonibus à Domino datis ſubjiciatur; Corrige, inquit ille, fratrem tuum qui peccat, inter vos invicem ſolos; quod ſi nec paruerit, accipias tibi alium; quod ſi tum contumax perſtiterit, ſit tibi ut Ethnicus, & Publicanus. Si enim ſemel vocatus fuerit, & duobus teſtibus convictus, & in Eccleſiâ teſtimonium datum fuerit, & ille non recepit, ſit abdicatus; & annuncietur eum utique non recipiendum eſſe ad aliquam communionem in vita neceſſariam, ut ex eo quod cum eo nos non miſceamus, Diaboli præda evadat. B

S. APOSTOLI EX EPISTOLA AD CORINTHIOS.

Uxor legi alligata eſt, quamdiu vixerit maritus ejus, quod ſi vir ejus dormierit, libera eſt, ad cui vult nubendum, tantum in Domino.

Interpretatio. C

Hoc eſt, fideli, pio, prudenter, legitime. Ex eo autem quod eam poſt conjugis obitum liberam dixerit, videtur eam antea ſervam fuiſſe. Et non dixit, nubat, ne videatur eam cogere, ſed cui voluerit nubere, in electione ſcilicet ejus rem poſuit.

Alia Interpretatio.

Non dixit Apoſtolus, ſi mortuus fuerit, ſed ſi dormierit, tantum non ad viduitatem exhortans, & ei perſuadens non nubere. Non mortuus eſt, inquit, maritus tuus, ſed peregre D *abiit, ſed dormit, Quis autem conjugem dormientem non expectat? adeo ut ut ſi libellum divortii dederit, & ſi ſuam dimiſerit, & ad aliam abiit, legi alligatur, & adultera eſt ea viro vivente.*

Ex Epiſtolâ Gennadii.

Si quis rapuerit, aut violaverit, aut corrupuerit aſcetriam, vel Diaconiſſam, vel Monaſticam, aut aliam quamvis fæminam vitam piam & habitum habentem, capite puniatur, cum iis qui facti participes ſunt, fæminâ cum bonis E *ſuis in Monaſterium tutius injectâ.*

MAGNI BASILII PRÆCEPTUM

ad Sacerdotem, de divinâ gratiâ.

Operam des ô Sacerdos te exhibere operarium irreprehenſibilem, recte dividentem verbum veritatis. Nequaquam ad ſacram ſynaxim venias, inimicitias habens contra aliquem, ne Paracletum in fugam vertas. In die ſy- F *naxeos ne judicio contende, ne rixam amês, ſed in Eccleſiâ manens preceris & legas, uſque ad horam in quâ te ſacrum myſterium celebrare oportet, & ſic adſtabis cum contritione & puro corde ſacro altari; non huc illuc reſpiciens, ſed cum tremore & timore Regi cœleſti te exhibens. Ne propter ſervitutem humanam feſtine preces agas aut eas decurtes, neque hominis perſonam accipias, ſed reſpice ad ſolum præſentem Regem, & circumſtantes circulo Angelos. Dignum te præbeas ſacris Canonibus: ne unà miniſtres cum iis*

Τοῦ αὐτοῦ περὶ τῶν καταφρονούντων τῶν ἐπιτιμίων.

Ὃν οὐ σωφρονίζει τὰ κοινὰ ἐπιτίμια, ἀνάγκη τοῖς ὑπὸ τοῦ κυρίου ῥηθῶσι κανόσιν ὑποβάλλεσθαι, ἔλεγξόν φησι τὸν ἁμαρτήσαντα ἀδελφόν σου μεταξύ σου καὶ αὐτοῦ μόνου, ἐὰν δὲ μὴ ἀκούσῃ παράλαβε ἄλλον ἕνα, ἐὰν δὲ μηδὲ οὕτως, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. εἰ οὖν ἅπαξ ἐκλήθη, ἐπὶ δύο ἠλέγχθη, ἐπὶ τῆς ἐκκλησίας διεμαρτυρήθη, καὶ ἐπεὶ οὐ κατεδέξατο, ἔστω ἐκκήρυκτος, καὶ διαγγελθήτω πανταχοῦ ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοινωνίαν χρήσεως βιωτικῆς, ὅπως ἐκ τοῦ μὴ συναναμίγνυσθαι ἡμᾶς αὐτῷ, γένηται τοῦ διαβόλου κατάβρωμα.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ ΕΚ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἡ γυνὴ δέδεται νόμῳ ἐφ᾽ ὅσον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.

Ἑρμηνεία.

Τουτέστιν ὁμοπίστῳ, εὐσεβεῖ, σωφρόνως, ἐννόμως. ἐλευθέραν δὲ αὐτὴν εἰπὼν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν, ἔδειξε πρὸ τούτου δούλην αὐτὴν οὖσαν· καὶ οὐκ εἶπε γαμείσθω, ἵνα μὴ δόξῃ βιάζεσθαι, ἀλλ᾽ ᾧ θέλει γαμηθῆναι, ἤγουν ἐν τῇ προαιρέσει τέθεικεν.

Ἄλλη Ἑρμηνεία.

ΟΥΚ εἶπεν ὁ Ἀπόστολος ἐὰν ἀποθάνῃ, ἀλλ᾽ ἐὰν κοιμηθῇ, μονονουχὶ παραμυθούμενος τῇ χηρείᾳ, καὶ πείθων αὐτῇ μὴ γαμεῖσθαι. οὐκ ἐτελεύτησέ σου φησὶν ὁ ἀνὴρ, ἀλλ᾽ ἀπεδήμησεν, ἀλλὰ καθεύδει, τίς οὖν καθεύδοντα ἄνδρα οὐκ ἀναμένει, ὥστε κἂν βιβλίον ἀποστασίου δῷ, κἂν τὴν οἰκείαν ἀφῇ, κἂν πρὸς ἄλλην ἀπέλθῃ, τῷ νόμῳ δέδεται, καὶ μοιχαλίς ἐστιν ἡ τοιαύτη ζῶντος αὐτοῦ.

Ἐκ τῆς Ἐπιστολῆς Γενναδίου.

Εἴ τις ἁρπάσῃ, ἢ ὑπονοθεύσει, ἢ διαφθείρει, ἀσκήτριαν, ἢ διακόνισσαν, ἢ μονάστριαν, ἢ ἄλλην οἱανοῦν γυναῖκα εὐλαβῆ βίον καὶ σχῆμα ἔχουσαν, κεφαλικῶς τιμωρείσθω μετὰ τῶν μετασχόντων τοῦ ἐγκλήματος, τῆς γυναικὸς ἅμα τῆς οἰκείοις πράγμασιν, εἰς ἀσφαλέστερον μοναστήριον ἐμβαλλομένης.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

παράγγελμα πρὸς τὸν ἱερέα περὶ τῆς θείας χάριτος.

Σπούδασον ὦ ἱερεῦ σεαυτὸν παραστῆσαι ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας· μηδήποτε στῇς εἰς σύναξιν ἔχθραν ἔχων κατά τινος, ἵνα μὴ φυγαδεύσῃς τὸν παράκλητον· ἐν ἡμέρᾳ συνάξεως μὴ δικάζου, μὴ φιλονείκει, ἀλλ᾽ ἐν τῇ ἐκκλησίᾳ μένων προσεύχου καὶ ἀναγίνωσκε, μέχρι τῆς ὥρας ἐν ᾗ σε δεῖ τελέσαι τὴν θείαν μυσταγωγίαν, καὶ οὕτω παράστηθι ἐν κατανύξει καὶ καθαρᾷ καρδίᾳ τῷ ἁγίῳ θυσιαστηρίῳ· μὴ παραβλέπων ἔνθεν κἀκεῖθεν, ἀλλὰ φρίκῃ καὶ φόβῳ παριστάμενος τῷ ἐπουρανίῳ βασιλεῖ. μὴ διὰ θεραπείαν ἀνθρωπίνην ἀπασπεύσεις τὰς εὐχὰς, ἢ συντέμεις, μηδὲ λάβῃς πρόσωπον, ἀλλ᾽ ὅρα πρὸς μόνον τὸν προκείμενον βασιλέα καὶ τὰς περιεστώσας κύκλῳ δυνάμεις· ἄξιον σεαυτὸν ποίησον τῶν ἱερῶν κανόνων· μὴ συλλειτούργει οἷς ἀπαγορεύουσι·

βλέπε τίνι παρέστηκας, πῶς ἱερουργεῖς, καὶ τίσι μεταδίδως. μὴ A ἐπιλάθῃ τῆς δεσποτικῆς ἐντολῆς καὶ τῆς τῶν ἁγίων ἀποστόλων, μὴ δότε γάρ φησι τὰ ἅγια κυσὶ, καὶ τοὺς μαργαρίτας μὴ βάλλετε ἔμπροσθεν τῶν χοίρων, βλέπετε τοὺς κύνας, καὶ τὰ ἑξῆς. ὅρα μὴ παραδῷς τὸν υἱὸν τοῦ θεοῦ εἰς χεῖρας ἀναξίων. μὴ ἐντραπῇς τῶν ἐνδόξων τῆς γῆς, μηδ᾽ αὐτὸν τὸν τὸ διάδημα περικείμενον ἐν τῇ ὥρᾳ ἐκείνῃ. τοῖς δὲ τῆς μεταλήψεως ἀξίοις, μεταδίδου δωρεὰν, ὡς καὶ αὐτὸς ἔλαβες, οἷς οἱ θεῖοι κανόνες οὐκ ἐπιτρέπουσι, μὴ μεταδίδου· ὡς ἐθνικοὶ γὰρ ἐλογίσθησαν. καὶ ἐὰν μὴ ἐπιστρέψωσιν, οὐαὶ καὶ αὐτοῖς, καὶ τοῖς μεταδίδουσιν αὐτοῖς. ὅρα, ἐγὼ πρᾶγμα οὐκ ἔχω, σὺ ὄψῃ, μὴ ἐξ ἀμελείας σῆς μῦς, ἢ ἄλλο B τι ἅψηται τῶν θείων μυστηρίων, μηδὲ νοτισθῶσιν, ἢ καπνισθῶσιν, ἢ χειρισθῶσιν ὑπὸ ἀνιέρων καὶ ἀναξίων, ταῦτα καὶ τὰ τοιαῦτα φυλάσσων σαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

quos vetant. Cave cui adstes, quomodo ministerium exequaris, & cui communices. Ne obliviſcaris Dominici mandati, & ſanctorum Apoſtolorum, Ne detis, inquit, ſacra canibus, & margaritas ante porcos ne projiciatis, cavete canes, & quæ ſequuntur. Cave ne tradas filium Dei in manus hominum indignorum. Ne reverearis nobiles terræ, neque eum qui diademate cingitur, in illâ horâ. Iis vero, qui communione digni ſunt des gratis, ut ipſe accepiſti; Quos vero Canones communicare vetant, iis ne præbeas; Ut Ethnici enim reputati ſunt; & ſi non converſi fuerint, væ illis, & qui cum iis communicant. Cave, (mea res non agitur, ſed tua,) ne præ negligentia tua mus, vel aliquid aliud ſacra myſteria tangat; ne madefiant, ne fumo denigrentur, aut manibus contrectentur impiorum & indignorum. Hæc & ſimilia ſervans, teipſum ſervabis & eos qui te audiunt.

A

INTERROGATIONES QUORUNDAM Monachorum, qui extra urbem exercebantur; & reſponſiones, quæ ad eas factæ ſunt à ſancta Conſtantinopolitana Syn. tempore SS. Patriarchæ D. Nicolai, imperante celeberrimo Imp. Alexio Comneno; in quas etiam interpret. editæ ſunt à Theod. Balſ. Patriarcha Antiocheno. B

INTERROGATIO I.

AN Monachum ad ſanctum altare ingredi oporteat? Hoc enim Canon xxxiii. ſanctæ in Trullo Synodi prohibet: qui etiam non permittit in ambone cantare vel legere Monachum aliquem qui characterem non acceperit. Similiter & Syn. Laodic. can. xv. & xxi. & Syn. Nicæna ſecundæ, canon xiv.

RESP. *Sine ordinatione quidem Monachum Lectoris officio fungi perinde ac ſi Lector eſſet, prohibitum eſt:* C *ad altare autem accedere pro accendendis cereis vel candelis, Monachum qui nullo tenetur crimine, non exiſtimo oportere prohiberi, propter Monachalis habitus honeſtatem.*

INTERPRET. Cùm ſancta Synodus recte & divinorum canonum traditioni convenienter ad interrogationem reſponderit, dixerunt quidam, quod Monachos quidem qui Lectoris characterem non acceperint, in ambone non legere, indiſtinctum eſt: Ut autem quilibet habitu monachico indutus ad altare accedat, D non indiſtinctè accipietur. Sed quoniam lxix. canon Syn. in Trullo ſtatuit Laicos non poſſe ad ſanctum altare accedere: ſi is quidem qui monachali habitu dignatus eſt, tonſuram etiam eſt aſſecutus, ad ſanctum altare ſine ullo impedimento accedet: ſin propter probationem juxta canones, monaſticas induerit veſtes, quas etiam inter triennium deponere ei permiſſum eſt, ad ſanctum altare pro ulla cauſa non ingredietur, ut qui nondum in Monachorum ordinem relatus ſit, ſed adhuc Laicus eſt. Mihi autem videtur non poſſe quęmpiam, qui ſanctas veſtes ullo modo indutus eſt, eas abjicere, & ludibrio eas habere. Non enim debet cum veſtibus monaſticis probari, E ſed cum habitu Laico, & ideo omnibus qui ſacra veſte induti ſunt, erit abſque ullo præjudicio aditus ad ſanctum altare, ut qui in Laicorum locum venire non poſſint. Lege etiam quæ à nobis ſcripta ſunt, in xiv. can. vii. Syn.

INTERROGATIO II.

An non oporteat in Sabbato genu flectere, ſicut nec in Dominico, vel Pentecoſte?

RESP. *A canone quidem non prohibitum eſt. Multi autem quia jejunium in Sabbato non ſequatur,* F *nec genu flectunt.*

INTERPRET. Veneranda reſponſio multas breviter contradictiones diſſolvit. Dixit enim quod quoniam à ſanctis Patribus non eſt expreſſe prohibitum in Sabbato genu flectere, ſicut eſt jejunare prohibitum, qui genu flectit non reputabitur adverſari Eccleſiaſticis traditionibus, & multo magis

ΕΡΩΤΗΣΕΙΣ ΜΟΝΑΧΩΝ τινων ἔξω τῆς πόλεως ἀσκουμένων, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς γενόμεναι παρὰ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Νικολάου, βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ· ἐφ' αἷς καὶ ἑρμηνεῖαι ἐξεφωνήθησαν παρὰ τοῦ πατριάρχου Ἀντιοχείας Θεοδώρου τοῦ Βαλσαμών.

ΕΡΩΤΗΣΙΣ Α'.

ΕΙ χρὴ μοναχὸν εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον; κωλύει γὰρ τοῦτο ὁ λγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας συνόδου, ὃς καὶ οὐ παραχωρεῖ ἐπὶ ἄμβωνος ἀναγινώσκειν ἢ ψάλλειν ἀσφράγιστόν τινα ἢ μοναχόν. ὁμοίως, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ιε'. καὶ ὁ κα'. καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, κανὼν ιδ'.

Ἀπόκρισις. Τὸ μὲν δίχα χειροθεσίας ἐπὶ ἄμβωνος ὡς ἀναγνώστην ποιῆσαι τὸν μοναχὸν τὰς τῆς ἀναγνώστου ὑπηρεσίας, κεκώλυται. τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι, χάριν ὑφάψεως κηρῶν ἢ κανδήλας, τὸν μηδενὶ ἐγκλήματι γενόμενον ἔνοχον, οὐκ οἶμαι δεῖν κωλυθῆναι, διὰ τὴν τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

Ἑρμηνεία. Καλῶς καὶ κατὰ τὴν τῶν θείων κανόνων παράδοσιν ἀποκριναμένης τῆς ἁγίας συνόδου πρὸς τὴν ἐρώτησιν, εἶπόν τινες, ὡς τὸ μὲν μὴ ἀναγινώσκειν ἐπ' ἄμβωνος τοὺς μὴ λαβόντας ἀναγνώστου σφραγῖδα μοναχοὺς, ἀδιάστικτόν ἐστι· τὸ δὲ συγχωρηθῆναι πάντα περιβεβλημένον σχῆμα μοναχικὸν εἰσιέναι εἰς τὸ θυσιαστήριον, οὐδὲ ἀδιαστίκτως παραληφθήσεται. ἀλλ' ἐπεὶ ὁ ξθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου, διορίζεται ἄβατον εἶναι τοῖς λαϊκοῖς τὸ ἅγιον θυσιαστήριον, εἰ μὲν ὁ τοῦ μοναχικοῦ σχήματος καταξιωθεὶς, καὶ ἀποκάρσεως ἔτυχεν, ἀκωλύτως εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον. εἰ δὲ διὰ δοκιμασίαν κατὰ τοὺς κανόνας τὰ μοναχικὰ ἐνεδύσατο, ἃ καὶ ἀποτίθεσθαι ἐντὸς τριετίας ἐξεχωρήθη, οὐκ εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον χωρὶς οἱασδήποτε ὑποθέσεως, ὡς μηδὲ μετὰ τῶν μοναχῶν συνταττόμενος, ἀλλ' ἔτι ὢν λαϊκός. ἐμοὶ δὲ δοκεῖ ὅτι οὐ δύναταί τις τὰ μοναχικὰ ὁπωσδήποτε περιβαλλόμενος ἄμφια ῥῖψαι καὶ διαπαῖξαι αὐτά. οὐ γὰρ μετὰ μοναχικῶν ἀμφίων ὀφείλει δοκιμάζεσθαι, ἀλλὰ μετὰ σχήματος λαϊκοῦ. διὸ καὶ πᾶσι τοῖς τὸ ἱερὸν σχῆμα ἠμφιεσμένοις ἀποκριμάτιστος ἔσται ἡ εἰς τὸ ἅγιον θυσιαστήριον εἴσελευσις, ὡς μηδὲ δυναμένοις εἰς τόπον ἐλθεῖν λαϊκοῦ. ἀνάγνωθι καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιδ'. κανόνα τῆς ζ'. συνόδου.

ΕΡΩΤΗΣΙΣ Β'.

Εἰ χρὴ μὴ κλίνειν ἐν σαββάτῳ γόνυ, ὥσπερ οὐδὲ ἐν κυριακῇ ἢ ἐν πεντηκοστῇ.

Ἀπόκρισις. Ἀπὸ τοῦ κανόνος μὲν οὐ κεκώλυται· οἱ πολλοὶ δὲ διὰ τὸ μὴ ἐπακολουθεῖν ἐν σαββάτῳ νηστείαν, οὐδὲ γόνυ κλίνουσιν.

Ἑρμηνεία. Ἡ προσκυνητέα ἀπόκρισις δι' ὀλίγου πολλὰς ἀντιλογίας ἔλυσεν. εἶπε γὰρ ὡς ἐπεὶ παρὰ τῶν ἁγίων πατέρων οὐκ ἐκωλύθη ῥητῶς τὸ γόνυ κάμπτειν κατὰ τὰ σάββατα, ὥσπερ τὸ νηστεύειν κεκώλυται, ὁ γόνυ κάμπτων οὐ λογισθήσεται ταῖς ἐκκλησιαστικαῖς ἐναντιούμενος παραδόσεσι, καὶ μᾶλλον εἴπερ

τοῦτ

τοῦτο ποιῇ διὰ ἄσκησιν. ὅτι δὲ παρὰ τῶν ἁγίων πατέρων ἐξισώθησαν ὅλως σχεδὸν ταῖς κυριακαῖς τὰ σάββατα, καὶ οἱ νηστεύοντες ἐν τούτοις κολάζονται, οὐδὲ ὁ γόνυ μὴ κάμπτων προκριματισθήσεται· ἐρεῖ γὰρ νομικόν τι παράγγελμα, οὕτω διεξιόν, οὐ πᾶν τὸ μὴ κεκωλυμένον ἐπιτέτραπται.

ΕΡΩΤΗΣΙΣ Γʹ.

Εἰ χρὴ ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν.

Ἀπόκρισις. Ἦν ἡ νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ, μετετέθη δὲ διὰ τὸ μὴ περιπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις. πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν.

Ἑρμην. Τὸ περὶ τῆς νηστείας ταύτης ἐζητήθη ποτὲ ἐνώπιον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κατὰ παρουσίαν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυροῦ Λουκᾶ, καὶ τῶν παρευρεθέντων ἀρχιερέων. καὶ τινὲς μὲν εἶπον μὴ ὀφείλειν νηστεύειν ἡμᾶς διὰ τὴν ἐν τῇ ἀποκρίσει δηλουμένην μετάθεσιν. ἕτεροι δὲ ἀντέθεντο, ὡς ἐπεὶ ἡ ἁγία σύνοδος ἀνενδοιάστως φησὶ νηστείαν μὲν γίνεσθαι πρότερον κατὰ ταύτας τὰς ἡμέρας, μετατεθῆναι δὲ ταύτην, οὐ δηλοῦται δὲ ὅπως καὶ ὅπου ἡ μετάθεσις γέγονεν, ὀφείλομεν ἐξ ἀνάγκης νηστεύειν. ὁ δὲ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἀπεφήναντο ἀπαραίτητον εἶναι τὴν νηστείαν τοῦ Αὐγούστου μηνός, καὶ εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν ἐχρῶντο καὶ τῷ τόμῳ τῆς ἑνώσεως, τῷ διαλαμβάνοντι τοὺς τριγάμους τρεῖς τοῦ ἔτους μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων. κατὰ τὸ μέγα πάσχα δηλαδή, κατὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, καὶ κατὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. ἀμφιβαλλόντων δὲ καὶ εἰσέτι τότε τινῶν διὰ τὸ μὴ εὑρίσκεσθαι ὁπουδήποτε τὴν ποσότητα τῶν ἡμερῶν τῆς τοιαύτης νηστείας, εἶπεν ὁ αὐτὸς ἁγιώτατος πατριάρχης, ὡς τῶν ἡμερῶν ταύτης τε καὶ τῆς τελουμένης νηστείας πρὸ τῆς ἑορτῆς γεννήσεως τοῦ Χριστοῦ μὴ δηλουμένων ἔκ τινος ἐγγράφου, ἀναγκαζόμεθα ἕπεσθαι τῇ ἀγράφῳ ἐκκλησιαστικῇ παραδόσει, καὶ ὀφείλομεν νηστεύειν ἀπὸ τῆς πρώτης τοῦ Αὐγούστου μηνὸς καὶ ἀπὸ τῆς ιδʹ. τοῦ Νοεμβρίου μηνός. εἰ δὲ καταλῦσαι διὰ σωματικὴν ἀσθένειαν ἀναγκαζόμεθα, ἐκ παρατροπῆς ἐπισκοπικῆς αἱ δηλωθεῖσαι ἡμέραι τῶν νηστειῶν στενοχωρηθήσονται, ὅτι καὶ τοῦτο δέδοκται ἐξ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως. καὶ τότε μὲν ἐλαλήθησαν ταῦτα. ἐγὼ δὲ μετὰ τοῦτο σκοπήσας ὅθεν καὶ ὅπως παρεδόθησαν αἱ δύο αὗται νηστεῖαι, ἤγουν ἡ τῆς κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ ἡ τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· ἀλλὰ μὴν καὶ ἡ πρὸ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων τελουμένη νηστεία, καὶ ἡ πρὸ τῆς μεταμορφώσεως νηστεία, καὶ εἰ ἐξ ἀνάγκης ὀφείλομεν κατὰ ταύτας νηστεύειν, καὶ ἐπὶ πόσαις ἡμέραις, λέγω, τὴν μὲν νηστείαν τῶν τοιούτων τεσσάρων ἑορτῶν ἀπαραίτητον εἶναι, τὴν δὲ ποσότητα τῶν ἡμερῶν ταύτης μὴ εἶναι εἰς πάντας ἰσάριθμον· ὥσπερ εἰς τὴν μεγάλην ἐστὶ τεσσαρακοστήν· ἀλλὰ πρὸ μὲν ἑπτὰ ἡμερῶν ἑκάστης τῶν τοιούτων ἑορτῶν πάντες οἱ πιστοί, λαϊκοὶ δηλονότι καὶ μοναχοί, ἀναγκάζονται νηστεύειν κατὰ τὸ ἀπαραίτητον, καὶ οἱ μὴ οὕτω ποιοῦντες ἐκ τῆς κοινωνίας τῶν ὀρθοδόξων Χριστιανῶν ἀλλοτριωθήσονται. οἱ δὲ ἀπὸ τῶν κτητορικῶν τυπικῶν συνωθέμενοι μοναχοί, νηστεύειν ἐπὶ πλέον, ἤγουν ἀπὸ τῆς ἑορτῆς τῶν ἁγίων πάντων, καὶ ἀπὸ τῆς ιδʹ. τοῦ Νοεμβρίου μηνός, καὶ ἄκοντες ἀναγκασθήσονται τοῖς κτητορικοῖς αὐτῶν τυπικοῖς ἀκολουθεῖν, ὅτι τοῦτο κανονικὸν καὶ σωτηριῶδές ἐστιν· ὥσπερ καὶ οἱ λαϊκοὶ οὕτως ἑκόντι νηστεύοντες εὐχαριστίας ἀξιωθήσονται. ἐπεὶ δὲ τὰς αἰτίας τούτων πάντων γραφικοῖς θείοις δόγμασι καὶ διδάγμασι συνδοκοῦντος Θεοῦ κατησφαλισάμεθα, καὶ δι' ἐπιστολῆς παρεστησάμεθα γραφείσης πρὸς ἐν τῷ βουνῷ τοῦ ἁγίου Αὐξεντίου

A ſi hoc propter exercitationem fecerit. Quoniam autem à ſanctis Patribus omnino ſunt prope exæquata Sabbata Dominicis, & qui in iis jejunent, puniuntur, nec ei qui genu non flectit, præjudicium afferetur. Dicit enim quoddam juris præceptum hoc modo, Non omne quod non prohibitum, permiſſum eſt.

INTERROGATIO III.

An oporteat jejunium in Auguſto peragere?

RESP. *Erat prius in hoc tempore jejunium, ſed* B *tranſlatum eſt, ne cum gentilium, quæ hoc tempore fiebant, jejuniis incideret. Sed tamen adhuc multi homines hoc jejunium jejunant.*

INTERPRET. De hoc jejunio aliquando quæſitum eſt coram potenti & ſancto noſtro domino & Imperatore, præſente ſanctiſſimo illo Patriarchâ domino Lucâ, & qui cum eo inventi ſunt Antiſtitibus. Et nonnulli quidem dicebant non debere nos jejunare, propter tranſlationem quæ in reſponſione declaratur. Alii autem contra dicebant, quod quoniam ſancta Synodus dicit abſque ullâ dubitatione jejunium fuiſſe prius hoc C tempore, ſed fuiſſe tranſlatum, non declaratur autem ubi & quomodo tranſlatio facta ſit, debemus neceſſario jejunare. Patriarcha autem & Antiſtites pronunciabant inexcuſabile eſſe jejunium Auguſti, & ad dicti ſui comprobationem etiam unionis tomo utebantur, quo dicitur, trigamos ter in anno eſſe ſacramentorum participes, ſcilicet in Paſchate, & in feſto dormitionis ſanctiſſimæ Deiparæ, & in Nativitate Domini noſtri Jeſu Chriſti: eo quod in iis præcederet jejunium, & ejus utilitas. Quidusdam autem tunc quoque dubitantibus, quod nuſquam inveniretur præſcripta ejus jeju- D nii dierum quantitas, dixit ipſe ſanctiſſimus Patriarcha, quod cum dies hujus & illius quod ante Chriſti natalem ſit, jejunii non declarentur ab ullâ ſcripturâ, cogimur ſequi Eccleſiaſticam traditionem non ſcriptam, & debemus jejunare, à primo die Auguſti, & à xiv. die menſis Novembris. Sin autem propter corporalem imbecillitatem id ſolvere cogamur, Epiſcopali permiſſione dies declarati in Auguſtum redigentur; Nam hoc quoque placuit ex non ſcriptâ Eccleſiaſticâ traditione. Et hæc quidem tunc temporis dicebantur. Ego autem cum poſtea conſideràſſem undenam & quomodo hæc duo jejunia tradita ſunt, ſcilicet dormitionis ſanctæ Deiparæ, & nativitatis Jeſu Chriſti, & Dei E noſtri, atque etiam jejunium quod fit ante feſtum ſanctorum Apoſtolorum, & jejunium ante transfigurationem; & an neceſſario debemus hæc jejunare, & quot diebus; dico hoc quidem feſtorum jejunium eſſe inexcuſabile, ejus autem quantitatem non eſſe numero in iu omnibus æqualem, ut eſt in magnâ quadrageſimâ: ſed ante ſeptem quidem dies uniuſcujuſque horum feſtorum, omnes fideles, Laici ſcilicet, & monachi, coguntur jejunare inexcuſabiliter, & qui non ita faciunt, ab orthodoxorum Chriſtianorum communione alienabuntur. Monachi autem qui ſuarum fundationum conſtitutionibus amplius jejunare coguntur, ſcili- F cet à feſto omnium Sanctorum, & à xiv. menſis Novembris, vel inviti cogentur ſequi ſtatuta ſuarum fundationum, quoniam hoc canonicum eſt, & ſalutare: quemadmodum & Laici qui ſuâ ſponte ita jejunant, gratiarum actione digni habebuntur. Quia autem horum omnium cauſas Deo favente divinis ſcripturarum ſententiis & doctrinis confirmavimus, & in Epiſtolâ oſtendimus quam ad imprimis venerabilem Monachum D. Theodoſium Sarpiotem, qui in colle S. Auxentii

A includitur, ſcripſimus, eam lege. Hic autem non ſita eſt, eo quod ſit prolixa. Eadem autem Epiſtola, nihilo penitus mutato, ſcripta eſt etiam ad Clericos, & reliquos qui ſunt in throno magnæ Antiochiæ.

INTERROGATIO IV.

An oporteat dæmoniacum communicare Sacramentis? Sanctus enim Timotheus in quæſtionibus ſibi propoſitis aliter dixit, & ſancti Apoſtoli aliter, & poſteriores aliter. B

Resp. *Si quis atrâ bile agitatur, ut videatur eſſe dæmoniacus, non prohibebitur: Sed ſi eſt revera dæmoniacus, ſacramentis minime dignabitur: nulla eſt enim luci ſocietas cum tenebris.*

Interpr. Mihi videtur ſanctus Timotheus, ei etiam qui eſt per intervalla dæmoniacus, conceſſiſſe divinorum ſacramentorum participationem, eo tempore quo eſt ſanæ mentis, & maximè, ſi eo tempore quo eſt furore percitus, non blaſphemet adverſus ſancta. Quemadmodum C enim qui ab humore melancholico vexatur, ſi non novit ſacramentorum gratiam, imo etiam quod majus eſt, blaſphemat, non concedetur ei ut ſit ſacramentorum particeps, ne divina ex eo injuriâ afficiantur: Ita etiam qui per intervalla furit, ſi ſit dignus, & furoris tempore adverſus divina myſteria non blaſphemet, non impedietur eorum eſſe particeps eo tempore quo eſt ſanæ mentis. In extremâ autem reſpiratione exiſtimo omnes debere dignos haberi divino ſanctoque viatico. Nam ſanctus quoque Timotheus decernit eos tunc baptizari debere, ſi antea non fuerint baptizati.

INTERROGATIO V.

D

An oportet ea quæ in Eccleſiâ offeruntur, ut oblationes, panem ſc. & vinum, ſacerdotem indiſcriminatim comedere, & quemadmodum ſibi placuerit: Et an debet hæc comedere tanquam panem communem; & ſi multa hujuſmodi collecta fuerint, quid oportet his facere?

Resp. *Exaltatæ quidem oblationis fragmenta nequaquam, ſed in ſolâ debent Eccleſiâ comedi, donec univerſa conſumpſerint, quæ autem ex his ſuperſunt, non cum lacte, & caſeo, & ovis, & piſcibus, ſed ſeparatim, & per ſe.*

E

Interpret. Conſequenter vii. can. Theophili Epiſcopi Alexandrini, qui ſitus eſt in compellatoria ejus oratione in ſancta Theophania, & hæc expreſſe definit, Quæ pro ſacro ſacrificio offeruntur, poſt ea quæ conſumuntur in uſum ſacramentorum, Clerici dividant, & neque Catechumenus ex iis comedat, vel bibat; ſed potius Clerici, & fideles fratres qui ſunt cum ipſis, reſpondit ſancta Synodus. Sed canon quidem non definit de fragmentis quæ reſtant ex ſancto pane exaltato, & reliquis, nec præcepit quomodo iis uti oporteat. Reſponſio autem eorum conſumptionem F in duo diviſit. Sed ſancta quidem Synodus de vino oblato reſpondit: Theophilus autem ipſum quoque ſimiliter ac panes, conſumendum decrevit; & recte, ut exiſtimo. Neque enim exaltatur vinum, ſed ſolum ſanctificatur. Lege etiam ſanctorum Apoſtolorum can. lxxii. & Synodi Ancyranæ can. vii. & viii. Obſerves autem quæ in præſenti reſponſione continentur: & lamentis vaces, quod ab omnibus propemodum Sacerdotibus neglectui habeatur exaltatarum

εὐκλειότατον τιμιώτατον μοναχὸν κυρὸν Θεοδόσιον τὸν Σαφπειώτην, ἀνάγνωθι καὶ ταύτην. ἐνταῦθα γὰρ ὡς πολύστιχος οὐ κατεστρώθη· ἡ αὐτὴ δὲ ἐπιστολὴ ἐγράφη ἀπαραλλάκτως καὶ πρὸς τοὺς ἐν τῷ θρόνῳ τῆς μεγάλης Ἀντιοχείας κληρικοὺς καὶ λοιπούς.

ΕΡΩΤΗΣΙΣ Δʹ.

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῶν ἁγιασμάτων· ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως, καὶ οἱ ἅγιοι ἀπόστολοι ἄλλως, καὶ οἱ μεταγενέστεροι ἄλλως.

Ἀπόκρισις. Εἰ ἀπὸ μέλανος ἐνοχλεῖται χυμοῦ τις, ὡς δαιμονᾷν δοκεῖν, οὐ κωλυθήσεται· εἰ δὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστιν, ἥκιστα τῶν ἁγιασμάτων ἀξιωθήσεται· ὅτι οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος.

Ερμην. Ἐμοὶ δοκεῖ καὶ τῷ ἐκ διαλείμματος δαιμονῶντι παρὰ τοῦ ἁγίου Τιμοθέου ἐκχωρηθῆναι τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν, καθ᾽ ὃν νήφει πάντως καιρόν· καὶ μᾶλλον ἐὰν κατὰ τὴν μανίαν οὐ βλασφημεῖ κατὰ τῶν ἁγίων. ὥσπερ γὰρ ὁ ἀπὸ χυμοῦ μελαγχολικωτέρου ὀχλούμενος, ἐὰν οὐκ οἶδε τὴν χάριν τῶν ἁγιασμάτων, ἐπὶ πλέον καὶ βλασφημεῖ, οὐ παραχωρηθήσεται μεταλαβεῖν, ἵνα μὴ ἐντεῦθεν περιυβρίζωνται τὰ θεῖα· οὕτω καὶ ὁ ἐκ διαλείμματος μαινόμενος, ἐὰν ἄξιός ἐστι, καὶ οὐδὲ βλασφημεῖ κατὰ τὸν τῆς μανίας καιρὸν κατὰ τῶν θείων μυστηρίων, οὐκ ἐμποδισθήσεται αὐτῶν μετασχεῖν, καθ᾽ ὃν νήφει καιρόν. κατὰ δὲ τὰς τελευταίας ἀναπνοὰς οἴομαι πάντας ὀφείλειν ἀξιοῦσθαι τοῦ θείου καὶ ἁγίου ἐφοδίου, ὅτι καὶ ὁ ἅγιος Τιμόθεος, βαπτίζεσθαι τούτους τηνικαῦτα διορίζεται, μὴ προβαπτισθέντας.

ΕΡΩΤΗΣΙΣ Εʹ.

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ ἐκκλησίᾳ, οἷον προσφορὰς, καὶ νάματα, ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα, καὶ ὡς βούλεται· καὶ εἰ ὡς ἄρτον κοινὸν ὀφείλει ταῦτα ἐσθίειν· καὶ εἰ πολλὰ τοιαῦτα συναχθείη, τί δεῖ ταῦτα ποιεῖν;

Ἀπόκρισις. Τὰ μὲν τῆς ὑψωθείσης κλάσματα οὐχὶ, ἀλλ᾽ ἐν τῇ ἐκκλησίᾳ μόνῃ ἐσθίειν, ἕως ἂν ἅπαντα δαπανήσωσι· τὰ δὲ περιττὰ τῶν ἄλλων μὴ μετὰ γάλακτος, καὶ τυροῦ, καὶ ὠῶν, καὶ ἰχθύων, ἀλλ᾽ ἀποτεταγμένως, καὶ ἰδιαζόντως.

Ερμην. Ἀκολούθως τῷ ζʹ. κανόνι Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας, τῷ κειμένῳ εἰς τὸν προσφωνηματικὸν λόγον αὐτοῦ τὸν εἰς τὰ ἅγια Θεοφάνια, καὶ διοριζομένῳ ταῦτα ῥητῶς, τὰ προσφερόμενα εἰς λόγον θυσίας μετὰ τὰ ἀναλισκόμενα εἰς τὴν τῶν ἁγίων χρείαν, οἱ κληρικοὶ διανεμέσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθιέτω, ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί, ἀπεκρίνατο ἡ ἁγία σύνοδος· πλὴν ὁ μὲν κανὼν οὐ διεστείλατό τι χάριν τῶν περιττευόντων κλασμάτων ἀπὸ τοῦ ὑψωθέντος ἁγίου ἄρτου, καὶ τῶν λοιπῶν, οὐδ᾽ ὅπως τούτοις δεῖ χρᾶσθαι παρεκελεύσατο. ἡ δὲ ἀπόκρισις διεῖλεν εἰς δύο τὴν τούτων δαπάνην. περὶ μέν τοι τοῦ προσφερομένου οἴνου, ἡ μὲν ἁγία σύνοδος οὐδέν τι ἀπελογίσατο· ὁ δὲ Θεόφιλος καὶ τοῦτον παρομοίως τοῖς ἄρτοις δαπανᾶσθαι διωρίσατο· καὶ ὡς νομίζω, καλῶς· οὐδὲ γὰρ ὑψοῦται ὁ οἶνος, ἀλλὰ μόνον ἁγιάζεται. Ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα οβʹ. καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανόνα ζʹ. καὶ ηʹ. Σημείωσαι δὲ τὰ ἐν τῇ παρούσῃ ἀποκρίσει περιεχόμενα, καὶ θρήνησον, πῶς καταφρονεῖται σχεδὸν ἀπὸ πάντων τῶν ἱερέων ἡ δαπάνη τῶν μὴ ὑψωμένων προσφορῶν· ὅτι πλείους γὰρ καὶ μετὰ κρεάτων ἐσθίουσιν αὐτὰς, καὶ ἀλλοτρόπως κοινοποιοῦσιν.

ΕΡΩΤΗΣΙΣ ϛʹ.

Εἰ ὁπουδήποτε ἀποκαρεὶς μοναχός τις βλάπτεται κατά τι συμβὰν ψυχικῶς, καὶ βουλόμενος ὑποχωρῆσαι δεσμηθῇ παρὰ τοῦ οἰκείου προεστῶτος, τί ποιήσει, τῆς βλάβης καταφρονήσει, ἢ τοῦ δεσμοῦ;

Ἀπόκρισις. Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι δι᾽ ὃ βλάπτεται· καὶ εἰ ἔστι προφανὴς κίνδυνος ἐκ τούτου, ὑποχωρεῖν ἐκεῖθεν, καὶ μὴ τοῦ δεσμοῦ φροντίζειν.

Ἑρμην. Ὁ τρίτος κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συστάσης πρώτης καὶ τῆς δευτέρας συνόδου, ἀφορίζεσθαι διορίζεται τὸν καθηγούμενον, μὴ ἀναζητοῦντα μετ᾽ ἐπιμελείας τὸν ἀποδιδράσκοντα μοναχὸν αὐτοῦ. καὶ ὁ δʹ. κανὼν τῆς αὐτῆς συνόδου ἀφορίζει τὸν χωρὶς εὐλόγου αἰτίας μεταπίπτοντα μοναχὸν, καὶ τὸν δεχόμενον αὐτόν. ὅθεν καὶ ἡ ἁγία σύνοδος ἀπελογήσατο μὴ ἀπεριμερίμνως, καὶ κατὰ τὸ δόξαν σκάνδαλον ἑνὶ ἑκάστῳ τῶν μοναχῶν, ὑποχωρεῖν ἐξ ἧς ἀπεκάρη μονῆς, ἀλλὰ ἀναδιδάσκειν τοῦτο τὸν καθηγούμενον, καὶ εἰ μὴ τύχοι διορθώσεως, ὑποχωρεῖν ἀπὸ τῆς μονῆς, καὶ μὴ ἐπιστρέφεσθαι τοῦ ἡγεμονικοῦ δεσμοῦ. ἐκλαβοῦ δὲ τὸ μὴ ἐπιστρέφεσθαι αὐτὸν τοῦ δεσμοῦ, εἰς τὸ μὴ ὑποπτεύειν κίνδυνον ἐκ τοῦ ὑποχωρῆσαι πρὸ τοῦ λυθῆναι τὸν δεσμόν· μὴ μέντοι γε καὶ εἰς τὸ γενέσθαι αὐτόλυτον· ἀναγκασθήσεται γὰρ προσελθεῖν τῷ κατὰ χώραν ἐπισκόπῳ, καὶ λυθῆναι τοῦ δεσμοῦ, ἢ κατὰ παρουσίαν τοῦ ἐπαγαγόντος αὐτὸν, ἢ καὶ ἐκείνου δίχα, μετὰ τὴν μετάκλησιν μὴ παρουσιάσαντος.

ΕΡΩΤΗΣΙΣ Ζʹ.

Ἡγούμενος τελευτῶν, κατέλιπεν ἕτερον ἀνθ᾽ ἑαυτοῦ, δεσμήσας αὐτὸν μὴ ὑποχωρῆσαι. ἀλλ᾽ ὁ τοιοῦτος καταγνοὺς ἑαυτοῦ ἀσθένειαν ὑπεχώρησε. τί γοῦν χρὴ ποιῆσαι περὶ τοῦ δεσμοῦ;

Ἀπόκρισις. Ἄλογος ὁ δεσμὸς, καὶ διὰ τοῦτο ἀνίσχυρος, καὶ ὁ δεσμηθεὶς ἀπολυθήσεται ἀρχιερεῖ προσελθὼν, καὶ τὰ καθ᾽ ἑαυτὸν ἀπαγγείλας.

Ἑρμην. Ὁ λβʹ. κανὼν τῶν ἁγίων ἀποστόλων φησὶ τὸν ἀφορισθέντα παρ᾽ ἐπισκόπου μὴ δέχεσθαι παρ᾽ ἑτέρου ἀλλ᾽ ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτόν· εἰ μὴ κατὰ συγκυρίαν τελευτήσει ὁ ἀφορίσας τοῦτον. κατὰ γοῦν τὴν τούτου περίληψιν ἀπελογήσατο ἡ ἁγία σύνοδος τὸν ἀνεύλογον δεσμὸν τοῦ τελευτήσαντος καθηγουμένου λύεσθαι παρὰ ἀρχιερέως πάντως τοῦ κατὰ χώραν. οὐ γὰρ ἐνεδόθη ἑτέρας ἐνορίας ἀρχιερεῖ λύειν δεσμὸν καθηγουμένου, μὴ ὑποκειμένου αὐτῷ· καὶ ὁ μὲν παράλογος ἀφορισμὸς οὕτω λυθήσεται· περὶ δὲ τοῦ ἐπιτιμηθέντος διὰ ἀδύνατον, ἢ καὶ προφανῶς παράνομον, καὶ ἀκανόνιστον αἰτίαν, σκοπητέον. καὶ ζήτει θέμα ιʹ. τοῦ εʹ. κεφ. τοῦ πρώτου τίτλου τοῦ ιαʹ. βιβλ. τῶν βασιλικῶν.

ΕΡΩΤΗΣΙΣ Ηʹ.

Εἰ χρὴ τὸν ἐπὶ ἐγκλήματι καθαιρεθέντα ἱερέα, ἢ ἑκουσίως τὴν ἱερωσύνην καταλείψαντα, καταγνόντα ἑαυτοῦ, προλέγειν τὸ, εὐλογητὸς ὁ θεὸς, καὶ τὸ, ὁ θεὸς οἰκτηρῆσαι ἡμᾶς, καὶ τὸ, Χριστὸς ἀληθινὸς θεὸς, ἢ θυμιᾶν μετὰ θυμιατοῦ, ἢ μεταλαμβάνειν ἔνδον τοῦ θυσιαστηρίου.

Ἀπόκ. Οὐχί. εἰς γὰρ τὸν τῶν λαϊκῶν τόπον καταταχθήσεται.

Ὁ κζʹ. κανὼν τοῦ ἁγίου Βασιλείου τὸν ἀθεμιτογαμήσαντα

A oblationum consumptio: plerique enim eos etiam cum carnibus comedunt, & aliis modis profanant.

INTERROGATIO VI.

Si ullus quocunque in loco tonsus Monachus in aliquo, quod ejus animam offendit, læditur, & volens recedere, à suo Præposito ligatus fuerit, quid faciet? damnum contemnet, an vinculum?

RESP. *Oportet eum dicere Præposito quam ob rem læditur; & si est ex eo manifestum periculum, recedere,* B *& vinculum non curare.*

INTERPRET. Tertius Can. primæ & secundæ Syn. in templo SS. Apostolorum habitæ, decernit, ut segregetur Monasterii præpositus, qui diligenter non requirit Monachum suum qui aufugit: & quartus Canon ejusdem Synodi segregat Monachum qui sine justâ causâ recedit, & eum qui illum recipit. Unde etiam S. Syn. respondit non inconsiderate & pro eâ quæ sibi apparuerit offensione, licere unicuique Monacho ex eo quo tonsus est Monasterio recedere: sed hoc præ- C positum docere, & si non correctionem assecutus sit, à Monasterio recedere, & vinculi sui præpositi nullam curam habere. Accipe autem illud vinculi nullam curam habere ad hoc, ut non suspicetur aliquod sibi imminere periculum, eo quod recesserit antequam sit solutum vinculum: non etiam ad hoc, ut ipse per se absolvatur. Cogetur enim accedere ad loci Episcopum, & absolvi à vinculo, vel eo præsente qui imposuit, vel etiam sine illo, postquam vocatus non adfuerit.

INTERROGATIO VII.

D *Moriens Præpositus reliquit pro se alium, ab eo ligatum ne recederet. Is autem suâ imbecillitate cognitâ, recessit. Quid itaque faciendum est de vinculo?*

RESP. *Ratione caret vinculum, atque ideo invalidum est. Et accedens ad Episcopum ligatus absolvetur, cum sua ei exposuerit.*

INTERPRET. Tricesimus secundus Canon sanctorum Apostolorum, dicit eum qui ab Episcopo segregatus est, ab alio non suscipi, præterquam ab eo qui ipsum segregavit, nisi forte mortuus sit qui eum E segregavit. Sicut ergo eo comprehenditur, respondit sancta Synodus injustum vinculum defuncti præpositi solvi omnino ab Episcopo regionis. Neque enim datum est alterius regionis Antistiti solvere vincula Præpositi sibi non subditi. Et injusta quidem segregatio sic solvetur. De eo autem cui pœna est imposita propter rem quæ fieri non potest, vel causam manifestè injustam & non canonicam, considerandum est. Et quære decimum decretum quinti cap. i. tit. xi. lib. Basilic.

INTERROGATIO VIII.

F *An oportet Sacerdotem qui propter crimen est depositus, vel qui Sacerdotium sua sponte deposuit, cum seipsum condemnasset, præfari illud, Benedictus Deus, & hoc, Deus misereatur nostri, vel hoc; Christus verus Deus: vel suffire suffitibus: vel communicare intra altare.*

RESP. *Non. In Laicorum enim locum redactus est.*

INTERPRET. Xxvii. Basilii Sacerdotem qui illicitum matrimonium contraxit inſciens, dicit ſola eſſe cathedra dignandum propter ignorantiam, non ſinit autem eum alios benedicere. Nonus Canon Synodi Neocæſarienſis hæc dicit expreſſe, ſi Presbyter qui corpore ante peccaverit, promotus fuerit, & ſe ante ordinationem peccaſſe confeſſus fuerit, ne offerat, manens in cæteris propter aliud ejus bonæ vitæ ſtudium. Et lxxix. Novella Imperatoris D. Leonis ſapientis, ſtatuit, ut qui poſt ordinationem cum muliere conjungitur, deponatur quidem, ſed ad Clericorum habitus & alius miniſterii in Eccleſiis, quod non eſt attingere illicitum, ailenationem non condemnetur. Mihi itaque videntur hæc conciliari pro differentia operationis Eccleſiaſticæ: Et qui non ſic operantur, iis quæ ad Sacerdotes per acceſſum ad altare pertinent, privabuntur, ſed opeationibus quæ pertinent ad Clericos qui ſunt extra ſacrum tribunal, non privabuntur.

INTERROGATIO IX.

Quod dicit S. Baſilius in parvis pœnis, ſit à benedictione alienus, pro lapſus proportione, quid eſt?

Resp. *Privari aliquem benedictione, quæ datur in Eccleſiâ.*

Interpret. Benedictiones Eccleſiaſticæ ſunt omnia quæ fiunt, vel dantur ab Epiſcopis vel Sacerdotibus in Eccleſiis ad preces & ſtabilimentum fidelis populi. Unuſquiſque ergo pro ſui lapſus proportione Eccleſiaſtica benedictione privetur.

INTERROGATIO X.

An oportet eos qui à ſancto dono ſunt prohibiti, comedere exaltatas oblationes?

Resp. *Invenimus in vita ſancti Theodori eos fuiſſe prohibitos.*

INTERROGATIO XI.

An oportet, ut vult canonicum jejunatoris, canonice ſe gerere?

Resp. *Illud canonicum nimia indulgentia uſum, multos perdidit: Qui itaque in boni cognitione exiſtunt, & ab eo excidunt, corripiantur.*

Interpret. Hæ duæ reſponſiones claræ ſunt. Videmus autem quod permulti qui hominum confeſſiones audiunt, cum eo jure canonico ſe canonice gerant. Ora ergo, ut fiat convenienter huic ſalutari reſponſioni. Quod autem exaltati panis fragmentum non accipiant, qui divinorum ſacramentorum eſſe participes, prohibiti ſunt, actu fieri videmus. Exiſtimo autem quod mulieres, licet prohibitæ fuerint ſanctis communicare, exaltati tamen panis fragmentum accipere non vetabuntur. Nam in diverſis etiam canonibus dicit ſanctus Baſilius, Mulieres quæ lapſæ ſunt, ac propterea Eccleſiaſticæ excommunicationis pœnâ tenentur, à ſancta quidem participatione alienari, ſed ab Eccleſiaſtica communione, ut viros, non arceri, ne non bona de iis ſuſpicio exoriatur, & propterea traducantur. Si itaque non datum iis fuerit, in Eccleſia exiſtentibus, exaltati panis fragmentum, cognoſcetur protinus malum propter quod ſancta communione dignæ non habentur. Quod non vult Sanctus.

A ἱερέα, ἐν ἀγνοίᾳ, μόνης καθέδρας διὰ τὴν ἄγνοιαν ἀξιοῦσθαι φησὶν, εὐλογεῖν δὲ ἑτέρους οὐ παραχωρεῖ. ὁ θʹ. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, φησὶ ταῦτα ῥητῶς, πρεσβύτερος ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς διὰ τὴν ἄλλην σπουδήν. καὶ ἡ οθʹ. νεαρὰ τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου διορίζεται, τὸν μετὰ τὴν χειροτονίαν συναπτόμενον γυναικὶ, καθαιρεῖσθαι μὲν, τοῦ σχήματος δὲ τοῦ κληρικοῦ, καὶ τῆς ἄλλης τῆς ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας, ἧς ἐφάπτεσθαι οὐκ ἀθέμιτον, μὴ παντάπασι τὴν ἀλλοτρίωσιν καταδικάζεσθαι. δοκεῖ οὖν μοι ταῦτα B συμβιβάζεσθαι, κατὰ τὴν διαφορὰν τῆς ἐκκλησιαστικῆς ἐνεργείας. καὶ οἱ οὕτω μὴ ἐνεργοῦντες τῶν μὲν ἀνηκόντων τοῖς ἱερεῦσι διὰ τῆς εἰς τὸ ἅγιον θυσιαστήριον εἰσελεύσεως στερηθήσονται, τῶν δὲ ἀνηκουσῶν ἐνεργειῶν τοῖς ἔξω τοῦ βήματος οὖσι κληρικοῖς οὐ στερηθήσονται.

ΕΡΩΤΗΣΙΣ Θʹ.

Ὅπερ λέγει ὁ ἅγιος Βασίλειος ἐν τοῖς μικροῖς ἐπιτιμίοις, ἔξω ἀπὸ εὐλογίας κατὰ τὴν ἀναλογίαν τοῦ σφάλματος, τί ἐστι;

C Ἀπόκρισις. Τὸ ἀποστερηθῆναι τινὰ τῆς διδομένης εὐλογίας ἐν τῇ ἐκκλησίᾳ.

Ἑρμηνεία. Ἐκκλησιαστικαὶ εὐλογίαι εἰσὶ, πάντα τὰ παρὰ τῶν ἐπισκόπων καὶ τῶν ἱερέων ἐπ᾽ εὐλογίαις γινόμενα, ἢ διδόμενα εἰς εὐχὴν καὶ στηριγμὸν τοῦ πιστοῦ λαοῦ. ἕκαστος γοῦν κατὰ ἀναλογίαν τοῦ οἰκείου σφάλματος στερηθείη τῆς ἐκκλησιαστικῆς εὐλογίας.

ΕΡΩΤΗΣΙΣ Ιʹ.

Τοὺς κεκωλυμένους ἀπὸ τῆς ἁγίας δωρεᾶς εἰ χρὴ ἐσθίειν D ὑψωμένας προσφοράς;

Ἀπόκρισις. Εὑρίσκομεν ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδώρου τοὺς τοιούτους κεκωλυμένους.

ΕΡΩΤΗΣΙΣ ΙΑʹ.

Εἰ χρὴ κατὰ τὸ κανονικὸν τοῦ Νηστευτοῦ κανονίζειν τινάς;

Ἀπόκρισις. Τὸ τοιοῦτον κανονικὸν πολλῇ συγκαταβάσει χρησάμενον πολλοὺς ἀπώλεσε· διὸ οἱ ἐν γνώσει τοῦ καλοῦ ὄντες, καὶ ἐκ τούτου σφαλλόμενοι, ἐπανορθωθήσονται.

E

Ἑρμηνεία. Αἱ δύο ἀποκρίσεις αὗται σαφεῖς εἰσί· βλέπομεν δὲ ὅτι οἱ πλείους τῶν δεχομένων λογισμοὺς ἀνθρώπων, μετὰ τοῦ τοιούτου κανονικοῦ κανονίζουσι· ζήτει οὖν κατὰ τὴν παροῦσαν σωτήριον γενέσθαι ἀπόκρισιν. τὸ μέν τοι μὴ λαμβάνειν κλάσμα ὑψωμένου ἄρτου τοὺς μεταλαμβάνειν κωλυθέντας τῶν θείων ἁγιασμάτων πραγματικῶς γινόμενον βλέπομεν. νομίζω δὲ ὅτι αἱ γυναῖκες, κἂν κωλυθῶσι τῆς μεταλήψεως τῶν ἁγιασμάτων, οὐκ ἐμποδισθήσονται λαμβάνειν κλάσμα ὑψωμένου ἄρτου· διότι ἐν διαφόροις κανόσι φησὶν ὁ ἅγιος Βασίλειος, τὰς ὀλισθησάσας γυναῖκας, καὶ διὰ τοῦτο F ἐπιτιμίῳ ἀκοινωνησίας ἐκκλησιαστικῷ καθυποβληθείσας, τῆς μὲν ἁγίας μεταλήψεως ἀπαλλοτριοῦσθαι, τῆς δὲ ἐκκλησιαστικῆς συνάξεως μὴ ἀπεξενοῦσθαι, ὥσπερ τοὺς ἄνδρας, ἵνα μὴ γίνωνται ἐν ὑπολήψει οὐκ ἀγαθῇ καὶ παρὰ τοῦτο θριαμβευθῶσιν· εἰ γοῦν οὐ δοθείη, αὐταῖς ἐκκλησιαζούσαις κλάσμα ἄρτου ὑψωθέντος, διαγνωσθείη ἑτοίμως τὸ κακὸν, δι᾽ ὃ οὐκ ἀξιοῦνται τῆς ἁγίας μεταλήψεως, ὅπερ οὐ βούλεται ὁ ἅγιος.

MATTHÆI MONACHI
SIVE
BLASTARIS
SYNTAGMA ALPHABETICUM
GRÆC. LAT.

Nunc primum in lucem editum.

TOMI SECUNDI
PARS SECUNDA.

UMI

ΣΥΝΤΑΓΜΑ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

ΤΩΝ ΕΜΠΕΡΙΕΙΛΗΜΜΕΝΩΝ ΑΠΑΣΩΝ ΥΠΟΘΕΣΕΩΝ ΤΟΙΣ ΙΕΡΟΙΣ
ΚΑΙ ΘΕΙΟΙΣ ΚΑΝΟΣΙ, ΠΟΝΗΘΕΝ ΤΕ ΑΜΑ καὶ ΣΥΝΤΕΘΕΝ
τῷ ἐν ἱερομονάχοις ἐλαχίστῳ Ματθαίῳ τῷ Βλαστάρῃ.

SYNTAGMA ALPHABETICUM

RERUM OMNIUM QUÆ IN SACRIS DIVINISQUE CANONIBUS
COMPREHENDUNTUR,
Elaboratum pariter & compoſitum per minimum ex Hieromonachis
MATTHÆUM BLASTAREM.

ΠΡΟΘΕΩΡΙΑ.

A

Τὸ τῶν ἱερῶν καὶ θείων χρῆμα κανόνων, ἤνθησε μὲν ἀπ' αὐτῆς (ὡς ἔπος εἰπεῖν) τῆς θεανδρικῆς ἐν τῷ κόσμῳ πολιτείας τοῦ λόγου, ἀφ' οὗ δὴ καὶ τὸ τῶν Χριστιανῶν σεβάσμιον δόγμα τῇ πολυστόμῳ τῶν ἀποστόλων σάλπιγγι, ἀνὰ τὴν οἰκουμένην σύμπασαν τῷ δώρῳ τῆς χάριτος ἤχησε. ταῖς κατὰ μέρος δὲ προσθήκαις αὐξάνον καὶ πλατυνόμενον διὰ τῶν ἐμπιπτόντων τῇ ἐκκλησίᾳ κατὰ διαφόρους αἰτίας καὶ χρόνους νεωτέρων πραγμάτων, ἄχρι τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, ἔστη σχεδόν· ἀκραιφνῆ μέντοι καὶ εἰς ἡμᾶς τὴν αὐτὴν ἀκμὴν Θεοῦ B χάριτι διατετήρηκε, μηδὲν τῆς τοῦ χρόνου παραπολαύσασα ἐπιβουλῆς. οὗτοι γάρ μοι δοκοῦσιν εἶναι οἱ πολὺ μὲν τὸ ποικίλον καὶ διάφορον ἔχοντες τίμιοι λίθοι, μίαν δὲ τὴν τῆς ἐκκλησίας ὑφαίνοντες οἰκονομίαν, συντιθέμενοι καὶ συναρμολογούμενοι ὧν τὰς τοῦ ᾅδου πύλας μήποτε κατισχύσειν ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο. ἐπεὶ γὰρ μετὰ τὸ ἀναθάλλαι τὸ σωτήριον κήρυγμα, ὁ τῆς εἰδωλομανίας πλάνος ἀπήνθει καὶ ἐμαραίνετο, καὶ εἰς τὸ ἀνύπαρκτον, ὡς εἶχε φύσεως, διελύετο, ὡσπερεὶ σκότος τῇ ἐπεισαγωγῇ τοῦ φωτός, μὴ ἐνεγκὼν τὰ τῆς ἥττης ταύτης ὁ πονηρός, οὐκ ᾤετο δεῖν ἠρεμεῖν, ἀλλὰ τῆς οἰκείας διπλόης ἐπιμνησθείς, C καὶ ἀνθρώπους ὀλεθρίους καὶ δυσσεβεῖς ὑποδὺς ἑτέρῳ τρόπῳ, νόθοις καὶ ἀπατηλοῖς δόγμασι τῆς ἀληθείας αὖθις ἐπειρᾶτο περιγενέσθαι, τοῖς δευτέροις φιλονεικῶν ἀποκρύψαι φθάσαντα· ἀλλὰ λύκος ὤφθη τὸ τοῦ λόγου μάτην χανών. σύνοδοι γὰρ ὡς τάχιστα θεοφόρων πατέρων, οἰκουμενικαί τε ἅμα καὶ τοπικαὶ καιροῖς ἰδίοις ἠθροίζοντο, καὶ τῆς τούτου λύσσης τὴν λώβην ἀπεωθοῦντο. αἱ μὲν γὰρ ταύτην εἰλήφασι τὴν ἐπωνυμίαν, τῇ κελεύσει τῶν κατ' ἐκεῖνο καιροῦ βασιλέων (οἰκειότερον δ' εἰπεῖν τοῦ ἁγίου πνεύματος) συνδεδραμηκέναι εἴς τινα πόλιν τοὺς ἀνὰ πᾶσαν τὴν ὑπὸ Ῥωμαίοις ἀρχὴν ποίμνης προεστηκότας, D οἷς δέ γε μὴ παρὸν τὴν ἐκδημίαν στείλασθαι ταύτην ἀποστόλοις χρησαμένους οἰκείοις, ἐφ' ᾧ δημοτελεῖ τῇ χειροτονίᾳ ἤτοι ψήφισμα περὶ τῆς εὐσεβοῦς πίστεως τροπαίου κρεῖττον ἐξενεγκεῖν, ἢ κοινῆς προσδοκωμένης περὶ τὴν εὐσέβειαν ζημίας, τοῖς ὅπλοις φραξαμένους τῆς ἀληθείας, τὴν ταύτης λύμην ἀπώσασθαι. αἱ δὲ τοπικαὶ προσηγορεύθησαν ἅτε μιᾶς ἐπαρχίας ἐπισκόπων πρὸς τὸν αὐτῶν ἔξαρχον συνεληλυθότων, οὐ τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην μετακληθέντων, οὐδὲ μὴν περὶ κοινοῦ δόγματος τῆς ζη-

PRÆFATIO.

RES ſacrorum divinorumque canonum ab ipſâ (ut ita loquar) divinæ-humanâ verbi in mundo converſatione viguit; ex quo nimirum & veneranda Chriſtianorum ſententia multiſonâ Apoſtolorum buccinâ per totum terrarum orbem, gratiâ adſiſtente, ſonuit. Particularibus autem additamentis propter Eccleſiæ incidentia, prout diverſæ cauſæ ac rerum recentiorum tempora flagitarunt, uſque ad ſanctam & univerſalem ſeptimam Synodum, aucta & dilatata, propemodum conſtitit. Integrum autem ſuum etiam ad noſtra uſque tempora vigorem, Dei gratiâ retinuit, nihil è temporis inſidiis detrimenti paſſa. Hi enim mihi pretioſi eſſe videntur lapides, multâ quidem varietate ac differentiâ præditi, unam autem Eccleſiæ contexentes œconomiam, compoſiti ac aptè inter ſe compacti, in quos nec ipſas inferni portas unquam prævalituras fore ſervator noſter edocuit. Enimvero quandoquidem poſtquam ſalutare præconium pullulâſſet, inſanæ idololatriæ error deſloreſcebat, & marceſcebat, & in nihilum, quâ erat naturâ, reſolvebatur, non ſecus ac tenebræ lucis introductione evaneſcunt; hanc in ſe partam victoriam improbus ægre ferens ſibi minimè quieſcendum eſſe ſecum reputabat: cum ſuam autem verſutiam in memoriam revocâſſet, homineſque fuiſſet pernicioſos improboſque ſubingreſſus, alio modo, ſpuriis videlicet ac fraudulentis dogmatibus, veritatem rurſus ſuperare enitebatur, priora à ſe geſta poſterioribus occultare contendens. Sed lupus viſus eſt hujus verbo fruſtra inhians. Divinorum enim Patrum Synodi univerſales pariter ac locales propriis ſuis temporibus quàm celerrimè congregabantur, & ab iſtius rabie perniciem amandabant. Harum enim ille nomen iſtud propterea ſortitæ ſunt, quòd eorum qui tunc temporis rerum potiebantur Imperatorum (ut magis autem propriè loquar Spiritus ſancti) juſſu omnes per univerſum Romanorum imperium gregis Chriſtiani præſules in civitatem aliquam conveniebant, illi vero quibus tantam in ſe ſuſcipere peregrinationem haud licuit, nunciis ſuis uſi, ut publico ſuffragio vel de fide religioſâ decretum trophæo præſtantius emitterent, vel communi expectatâ pietatis jacturâ, veritatis muniti armis exitium ejus repellerent. Hæ autem locales nuncupatæ ſunt, cùm unius provinciæ Epiſcopi ad ſuum ipſorum præfectum convenirent, omnes autem

tem per universum orbem non convocarentur, nec de communi dogmate quæstio instituetur; sed vel ad eorum quæ in præcedentibus Synodis decreta fuerant confirmationem, vel eorum, qui contrarii iisdem ire ausi sunt, depositionem, vel de canonibus & quæstionibus quæ ad communem Ecclesiæ ordinem conducunt determinandis. Hi autem omnes non tantùm spuria dogmata denuo disseminata ipsis radicibus evellere summam adhibere diligentiam dignati sunt, sed & sanctiones vitæ utiles constituere, quæ sanctam nostram conversationem dirigant, & ad accuratam dogmatum pariter ac vitæ religiosæ rationem nos instituant: duplicem pro simplici, tanquam sacri gregis Christiani propugnatores, ictum tyranno infligentes. Sic novit se contra sese sophistam egisse, &, non secus ac feræ astutæ, suis ipsius artibus illaqueatum esse. Hoc enim modo divinam prædicationem imprudens firmiorem reddidit, Ecclesiâ pluribus sese munimentis defendente, & istius artificia puerulorum esse jacula demonstrante. Tantum enim abfuit, ut sacri gregis præfecti conflictum pugnamque cum eo inire expavescerent, ut improbos istius conatus fortitudinis suæ ac virtutis demonstrandæ, ac præmiorum assequendi occasionem reputarent. Sic etiam ipsos in ludis coronariis cursus reciprocos promptitudine superarunt; tanto admirabiliorem ostendentes magnanimitatem, quanto pro melioribus præmiis ab iis certatum est. Ubi enim marte incruento veritatem propugnare non potuerunt, eò promptitudinis & magnanimitatis pervenerunt, ut de sua propemodum ipsorum natura conquererentur, quod mille mortes pro veritate obire non compararetur, sed post mortem semel susceptam, gloriæ ex tanta præparatione acquirendæ studium reprimeretur. Tanto pietatis propugnatores errorem superarunt, nullum metus aut timoris vestigium vel oculis subostendentes. Hujusmodi igitur optimatum una congregatorum sacros divinosque canones tanquam divina oracula cælitùs dimissa Ecclesia hucusque etiam veneratur, & non minori quàm divina Evangelia honore prosequitur, quippe quòd hæc etiam eorum fontes reverà ac radices fuerunt. Quinetiam quæcunque sacrorum nonnulli hominum, quorum virtutis præstantiam tempus intermedium occultare non potuit, in Epistolis ad quæstionis & responsionis modum compositis piè pronunciarunt canonis præ se ferentia typum, tanquam canones Ecclesia admisit, & prædictis Synodorum canonibus meritò connexuit. Benè etenim magnis, Basilio præstantissimo & Gregorio Theologo placitum est, eos Ecclesiasticos dicendos esse atque censendos canones, non quos suo quispiam arbitrio, sed quos plures sancti Patres eodem in loco congregati communi sententia & sollicita rerum disquisitione constituerunt. Veruntamen idcirco quòd qui hæc scripserunt, tanquam sydera semper effulserunt, & plurimis constitit testimoniis hæc sine diviniori inspiratione haudquaquam constituta esse, Synodorum decretis nihilo dissentanea, sed subjectæ materiæ affinitatem procul ostendentia, hæc etiam sacros inter canones recensentur. Hisce igitur semper incumbere pietatis alumnos decet, & irrequietos animæ motus iis illigare, & nec minimum ei temporis articulum concedere quo genuinis dogmatibus derelictis ad adulterina delabatur: Ita enim verbis operibusque bonis ita perpetuo occupatæ ex ipsis etiam somniorum visionibus divinas habere imaginationes obveniet. Per hosce enim, quantum ad dogmata attinet, rectum ab obliquo, & genuinum à notho accuratiùs quàm per Lydium quemcunque lapidem dijudicatur. Hi dominis leges ferunt; & servis magistratibus & subjectis; parentibus & liberis; viris & mulieribus; matrimonio & cælibatui; abstinentiæ & victui; sapientiæ & ignorantiæ. Præterea hi etiam Imperatores omnium maximè honorare

A πίστεως οὔσης· ἀλλ' ἢ πρὸς βεβαίωσιν τῶν ὁρισθέντων ταῖς προλαβούσαις συνόδοις, ἢ πρὸς καθαίρεσιν τῶν ἀπεναντίας αὐτοῖς τολμησάντων ἰέναι, ἢ περὶ κανόνων καὶ ζητημάτων εἰς τὴν κοινὴν εὐταξίαν συντελούντων τῆς ἐκκλησίας. οὗτοι δὴ πάντες οὐχ ὅπως τὰ ἐπεισπειρόμενα νόθα τῶν δογμάτων, ῥίζαις αὐταῖς ἠξιώσαν ἐξελεῖν σπουδὴν πᾶσαν εἰσενεγκάμενοι· ἀλλά γε καὶ θεσμοὺς συντάξαι βιωφελεῖς, τὴν ἱερὰν ἡμῶν πολιτείαν ἐπανορθοῦντας, καὶ πρὸς ἀκρίβειαν δογμάτων ἅμα καὶ βίου θεοφιλοῦς ἡμᾶς ἐκπαιδεύοντας, διπλῆν ἀνθ' ἁπλῆς τῷ τυράννῳ, ὡς τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολοι, ἐντείνοντες τὴν πληγήν. οὕτως ἔγνω καθ' ἑαυτοῦ σοφισάμενος, καὶ ὡς τὰ πανοῦργα τῶν θηρίων ταῖς ἑαυτοῦ B τέχναις ἁλούς. βεβαιότερον γὰρ ταύτῃ τὸ θεῖον ἔλαθε κήρυγμα καταστάς, ὀχυρώμασι πλείοσι τῆς ἐκκλησίας ἑαυτὴν ἀσφαλισαμένης, καὶ νηπίων τοξεύματα τὰ τούτου μηχανήματα ἐλεγχούσης. τοσοῦτο γὰρ ἀπέχον τοῦ καταπλῆξαι τὴν πρὸς τοῦτον ἀγωνίαν καὶ διαμάχην οἱ τῆς ἱερᾶς ἀγελάρχαι ποίμνης, ὥστε καὶ τῆς σφῶν ἀνδρίας καὶ τῆς ἀρετῆς ἐπίδειξιν καὶ ἀφορμὴν βραβείων τὰ ἐκείνου ἡγήσαντο σκαιωρήματα. οὕτω τῇ προθυμίᾳ τοὺς ἐν τοῖς στεφανίταις διαύλους ἀπέκρυψαν, τοσούτῳ θαυμασιωτέραν τὴν εὐψυχίαν ἐπιδειξάμενοι, ὅσῳ καὶ περὶ καλλιόνων C ἄθλων ἦν αὐτοῖς ὁ ἀγών. οὐ γὰρ ἔδει καὶ μὴ ἀνημωτὶ τῆς ἀληθείας ὑπερμαχῆσαι, εἰς τοῦθ' ἧκον προθυμίας καὶ γενναιότητος, ὡς μικροῦ καὶ τῇ σφῶν ἐπιμέμφεσθαι φύσει, μὴ πεφυκυίᾳ μυρίους ὑπὲρ τῆς ἀληθείας θανάτους ὑπενέγκειν, ἀλλὰ μέχρι τοῦ ἑνὸς στῆσαι τὸ τῆς παρασκευῆς ταύτης φιλότιμον. τοσοῦτο τῆς ἐξαπάτης τῆς εὐσεβείας περιεγένοντο πρόβολοι, μηδὲν ἴχνος δειλίας ἢ δείματος ταῖς ὄψεσιν ὑποφήναντες. τούτων τοίνυν τῶν ἀρίστων τῶν κοινῇ συνεληλυθότων τοὺς ἱεροὺς καὶ θείους κανόνας, ὡς ἄνωθεν κατενεχθέντας θείους χρησμοὺς ἡ ἐκκλησία εἰς τὸ δὲ τοῦ χρόνου σέβει καὶ τιμᾷ D τῶν θείων εὐαγγελίων οὐκ ἔλαττον, ἐπεὶ κἀκεῖνα πηγαὶ τούτων ἀτεχνῶς καὶ ῥίζαι καθέστηκεν. οὐ μὴν ἀλλὰ καὶ ὅσα τῶν ἱερῶν ἀνδρῶν ἔνιοι ὧν ὁ μεταξὺ χρόνος τὸ τέλειον οὐχ ἴσχυσε κρύψαι τῆς ἀρετῆς ἐν ἐπιστολαῖς, ἰδίᾳ κατὰ πεῦσιν καὶ ἀπόκρισιν συντεθείσαις εὐσεβῶς εἰρήκασι, κανόνος φέροντα τύπον, ὡς κανόνας ἡ ἐκκλησία ἐδέξατο, καὶ τοῖς προλαβοῦσι τῶν συνόδων δὴ μάλα συνήρμοσεν. εὖ γὰρ καὶ τοῖς μεγάλοις, Βασιλείῳ τῷ πάνυ καὶ Γρηγορίῳ τῷ θεολόγῳ δοκεῖ χρῆναι κανόνας ἐκκλησιαστικοὺς ἐκείνους λέγειν τε καὶ νομίζειν, οὓς οὐ καθ' ἑαυτόν τις, ἀλλὰ πλείους ἅγιοι E πατέρες εἰς ταυτὸ συνιόντες κοινῇ γνώμῃ καὶ μεμεριμνημένῃ βασάνῳ διετάξαντο. ἀλλὰ τῷ διαπάντων ἐλλάμψαι καὶ τοὺς ταῦτα γράψαντας ὥσπερ ἀστέρας καὶ τῷ πολλοῖς μαρτυρίοις ἐπιγνωσθῆναι μὴ θειοτέρας χωρὶς ἐπιπνοίας ταῦτα συντεταχέναι, ἥκιστα ταῖς τῶν συνόδων ζητήσεσιν ἀπεμφαίνοντα· ἀλλὰ τὸ συγγενὲς τῆς προκειμένης πόρρωθεν ἐμφανίζοντα πραγματείας, τοῖς ἱεροῖς ἐνεγράφησαν καὶ τὰ τούτων κανόσι. τούτοις τοίνυν προσήκει τοὺς τῆς εὐσεβείας τροφίμους ἑκάστοτε προσανέχειν, καὶ τὸ τῆς ψυχῆς ἀεικίνητον προσδέειν, καὶ μὴ διδόναι καιρὸν αὐτῇ τῶν γνησίων ἀφέσει δογμάτων πρὸς τὰ νόθα κατα-F λισθαίνειν· οὕτω γὰρ αὐτῇ λόγοις καὶ πράγμασιν ἀγαθοῖς ἐνδιατριβούσῃ καὶ τὰς ἐξ ὄψεως ὀνείρων φαντασίας ἐνθέους ἔχειν ὑπάρξει. τούτοις γὰρ τὸ περὶ τὰ δόγματα εὐθὺ τοῦ σκολιοῦ καὶ γνήσιον τοῦ νόθου, πάσης λίθου λυδίας ἀκριβέστερον διακρίνεται. οὗτοι δεσπόταις νομοθετοῦσι καὶ δούλοις, ἄρχουσι καὶ ἀρχομένοις, γονεῦσι καὶ τέκνοις, ἀνδράσι καὶ γυναιξὶν, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τροφῇ, σοφίᾳ καὶ ἀμαθίᾳ. ταῦτ' ἄρα καὶ βασιλέας παντὸς μᾶλλον τιμᾶν ἐπιτάττοντες, πλέον αὖθις ἢ πρὶν, ταῖς ἀλογίστοις τούτων οὐκ ἐκφυᾶσιν ὑποπίπτειν

πίπτειν ἐπιταγαῖς, πολλοῦ γε δεῖ ὑπάρχων ἢ στρατηγῶν. ἥγε μὴν πλείων τούτοις σπουδὴ περὶ τὸ βασίλειον τῆς ἐκκλησίας καθέστηκεν ἱεράτευμα, ὅπως μὴ ἀνάξιοι τοῦ ἐγγίζοντος ὀφθεῖεν Θεοῦ, οἱ ἐγγίζειν λαχόντες αὐτῷ, τῷ μὴ κατὰ θέλησιν ἐκείνου βιῶναι· ἀλλ' εἰς τοῦθ' ἥκοντες ἀρετῆς, ὡς ταῖς περὶ θεὸν ἀγγελικαῖς δυνάμεσι τὸ τῆς ψυχῆς ἐκ τῶν ἐνόντων ἀφομοιοῦν ἐγγενὲς καὶ τὰ τούτων μετὰ τῆς ὕλης δεικνῦναι, μὴ τὸ τῇ φύσει περικείμενον ἄνθος προϊστάμενοι. τούτοις οὐκ ἄν τις ἁμάρτοι κοινὸν ἰατρεῖον προσειπὼν, ἑκάστοις τῶν νοσούντων κατάλληλα κεραννῦντας τὰ φάρμακα. οὐ μὴν ἀλλὰ καὶ τῶν νωθέστερον περὶ τὴν θεραπείαν διακειμένων, τοὺς μὲν ἀνατεινόμενοι τὰ δεινότατα διεγείρουσι· τοῖς δὲ τὰς τῶν μελλόντων ἐπαγγελίας προμνάμενοι, οὐ χαλεπῶς προσάγονται. ἔστι δὲ οὓς μὴ προσιεμένους μήτε τὰ φάρμακα μήτε τὰ ἐπιτάγματα τούτων, ἀλλ' ἑαυτοῖς τὸν τῆς μετανοίας λιμένα τῇ ἀπειθείᾳ προχώσαντας, παντὸς βασιλέως αὐθεντικώτερον μετιόντες τῆς αἰωνίου κληρουχίας ὑπερορίζουσιν. ἔνθεν τοι καὶ τὸ πάλαι τινὶ τῶν θύραθεν εἰρημένων, τοῖς θείοις οὐχ ἥκιστα θεσμοῖς, ὥσγε μοι δοκεῖ, ἁρμόσειεν ἄν. πεπείσμεθα γὰρ τούτους εὕρημα μὲν καὶ δῶρον εἶναι θεοῦ, δόγμα δὲ γενναίων καὶ θεοφόρων ἀνδρῶν, συνθήκην τῆς ἐκκλησίας κοινὴν, ἐπανόρθωμα τῶν ἑκουσίων καὶ τῶν παρὰ βούλησιν ἁμαρτημάτων, καὶ πολιτείας εὐσεβοῦς τε καὶ πρὸς ἀτελεύτητον ἀγούσης ζωὴν, ἡγεμόνας καὶ ἀγωγούς. ἐγὼ γοῦν τοὺς ἐπὶ βεβαιώσει τοῦ σωτηρίου δόγματος, καὶ χρηστῇ πάντων ἀνθρώπων (ὡς εἴρηται) διδασκαλίᾳ θεοπρεπεῖς σύμπαντας κανόνας ἀθροίσας, καὶ τούτων τὸν νοῦν, ἅμα δὲ καὶ τῶν αὐτοὺς φιλοθέῳ γνώμῃ ἑρμηνευσάντων, ὡς οἷόν τε περιφράσεως ἐν εἴδει ἐπιτεμὼν, μηδὲν μέν τοι παραλελοιπέναι τῆς αὐτῶν διανοίας, τό γε εἰς ἡμᾶς ἧκον, φροντίσας, οὐ μὴν ἀλλὰ καὶ ὅσα τοῖς τούτων ἐξηγηταῖς ἐσθ' ὅπῃ παρεῖται, ἡμῖν δὲ ἐπὶ νοῦν συνέβη πεσεῖν, ἀναγκαῖα οἶμαι, καὶ φιλοθέων ψυχαῖς περιμάχητα, τοῖς ἐντυγχάνουσι μὴ φθονήσαντες, πρόχειρον κατὰ τὴν ἡμετέραν δύναμιν πεποιήκαμεν σύνταγμα. πάντων δὲ τῶν συνειλεγμένων κανόνων τὴν δύναμιν, εἰς τίτλους εἴκοσι πρὸς τοῖς τέσσαρσι, κατὰ τὸν ἀριθμὸν τῶν παρ' ἡμῖν στοιχείων διελὼν, καὶ τούτων ἑκάστῳ τὴν προϊσταμένην ὑπόθεσιν, τὸ πρῶτον τῆς ἰδίας λέξεως συγγενὲς αὐτῷ γράμμα καλῶς ἐφαρμόσας, τάς τε προσηγορίας τῶν αὐτοὺς εὑρημένων δηλώσας, καὶ τὰ τῶν τίτλων αὖθις κεφάλαια διὰ τῶν ἀριθμητικῶν ἐμφήνας στοιχείων, ῥᾳδίαν, ὡς οἶμαι, καὶ ἐπιτετμημένην πρὸς τὴν αὐτῶν γνῶσιν φέρουσαν, ἔτεμον τρίβον· τὴν πρόφασιν ἐντεῦθεν περιαιρῶν τῶν ἐντυγχάνειν αὐτοῖς ἀποκνούντων. τὸ προσκορὲς τῆς τούτων πολυεπίας προβαλλομένων τὴν αὐτῶν διάνοιαν καταβαπτιζούσης· πρὸς δὲ καὶ τὸ μὴ ἐν ἑνὶ μέρει ἑκάστης τῶν ὑποθέσεων τοὺς κανόνας ἀφωρίσθαι. τῶν χρησίμων δ' ἄρα νενόμικα καὶ τῆς πολιτικῆς νομοθεσίας βραχέα τε καὶ συντετμημένα, τοῖς συγγενέσι τῶν κανόνων κεφαλαίοις συναρμόσας τοῖς ἱεροῖς κανόσι συμμαχοῦντα, καὶ συμφθεγγόμενα, καὶ ἐκ περιουσίας τὸ ἀσφαλὲς αὐτοῖς ἐπιμαρτυροῦντα.

Κανόνας δὲ οἱ πατέρες τὰ σφῶν αὐτῶν ἐπωνόμασαν διατάγματα, τροπικῶς τῇ λέξει χρησάμενοι, ἀπὸ μεταφορᾶς τοῦ ὀρθοῦ ξύλου, ᾧ χρῆσθαι εἰώθασιν οἱ τὰς βαναύσους τῶν τεχνῶν μετιόντες, εἰς ξύλων ἢ λίθων ἢ ὁποιωνοῦν ἑτέρων εὐθύτητα. ἀποξυομένοις γὰρ ἐκείνοις παρατιθέμενον ὀρθοῖ ταῦτα, καὶ ἐξισοῖ, πρὸς τὴν ἀλλήλων ἀκριβῆ σύμπηξιν. ἡ δὲ τοῦ κανόνος αὕτη προσηγορία καὶ πολλοῖς ἑτέροις παρείληπται λογικῶν τεχνῶν ἐπιστήμοσι. καὶ οἱ τὴν γραμματικὴν γὰρ τεχνησάμενοι καὶ φιλόσοφοι, καὶ ἰατροὶ, καὶ οἱ τὰς ἁρμονίας τῶν μελῶν συντεθέντες, οὐ μὴν ἀλλὰ καὶ οἱ τοὺς πολιτικοὺς συντετάχασι νόμους, ὡς οὐκ ἀσύμφωνον τὸ τοῦ κανόνος ὄνομα τοῖς ἑαυτῶν συντάγμασιν ἐπεφή-

A *jubentes, plus rurſus quam par eſt, imprudentibus eorum mandatis ſe ſubmittere natura non comparantur, multò autem minus inferiorum magiſtratuum, vel exercitibus præfectorum. Plurimum enim eorum ſtudium circa regium Eccleſiæ ſacerdotium verſatur: ut non indigni Deo appropinquante videantur qui ei appropinquare ſortiti ſunt, eo quòd non juxta ipſius voluntatem vitam ſuam inſtituant: ſed eo virtutis perveniant, ut Angelicis quæ Deum circumſtant poteſtatibus nobiliorem animæ partem, quantum fieri poteſt, ſimilem reddant, eaſque in materia repræſentent, florem naturæ circumpoſitum nequaquam præferentes.* B *Hos ſi quis commune appellaverit pharmacopolium, à vero non aberraret, ut qui ſingulis ægrotis congrua commiſcent pharmaca. Quinetiam ex iis qui tardiores in curatione admittenda ſe gerunt, nonnullis quidem terribilia intentando excitant, aliis autem futurorum promiſſa in memoriam revocantes, non difficulter alliciunt. Nonnunquam autem eos qui nec medicamenta admittunt, nec mandata eorum, ſed ſibimet pœnitentiæ portum per contumaciam tanquam per aggerem occludunt, majori quam Imperator quilibet autoritate tractantes, æterna hæreditate exterminant. Antiquitas enim ex altera quidem parte nonnihilo eorum quæ* C *foris dicta ſunt, ſed divinis maximè, ut mihi videtur, ſanctionibus ſe applicuerit. Nobis enim perſuaſum eſt eas inventum eſſe ac donum Dei, generoſorum divinorumque hominum decretum, commune Eccleſiæ inſtitutum, peccatorum tam voluntariorum quam involuntariorum correctionem, & converſationis religioſæ ac ad ſempiternam ducentis vitam duces & rectores. Quapropter ego cùm ad ſalutaris ſententiæ confirmationem, & utilem omnium (ut dictum eſt) hominum inſtructionem divinos omnes collegiſſem canones, ipſorumque pariter ac eorum qui ipſos animo religioſo interpretati ſunt, mentem quoad fieri potuit peri-* D *phraſeos ad inſtar in compendium redigiſſem, nihil eorum intelligentiæ, quantum in me fuit, deeſſe arbitratus: quinetiam quæcunque ab eorum interpretibus alicubi prætermiſſa ſunt, nobis autem in mentem venire contigit, neceſſaria nimirum piiſque nimis ſumma contentione expetita, poſtulantibus non invidentes promptum pro viribus noſtris ſyntagma perfecimus. Omnium autem collectorum canonum potentiam cum in viginti quatuor titulos juxta literarum noſtrarum numerum diſtribuerim, & cuilibet eorum materiam ſubjectam juxta primam propriæ ſententiæ literam ei congruam, rectè accommodaverim, & nomina* E *illorum qui eos invenerunt indicaverim, & titulorum etiam capita per arithmetica oſtenderim elementa: facilem, ni fallor, & compendioſam ad ipſorum cognitionem ducentem viam ſecui: Prætextum exinde eorum præſcindens quos operam iis aſſequendis navare piget, faſtidioſum eorum multiloquium mentem ipſorum obruens objicientes, & præterea cujuſque materiæ canones eodem in loco non collocari. Adhæc brevia & conciſa legis etiam civilis capitula ſacris canonibus commilitantia & conſona, & ex abundantia iis atteſtantia congruis canonum capitibus appendere operæ pretium duxi.*

F *Porro patres ſua ipſorum decreta denominarunt canones, vocabulo iſto tropicè uſi, per metaphoram à recto ligno ſumptam, quo, qui artibus mechanicis occupantur, uti ſolent ad ligni aut lapidum, aut aliarum quarumcunque rerum rectitudinem: hoc enim iis expolitis appoſitum, ea dirigit, & ad accuratam inter ſeſe compactionem exæquat. Hæc autem canonis appellatio à multis etiam aliis liberalium artium peritis uſurpatur. Etenim qui arti grammaticæ operam dant, & Philoſophi, & Medici, & qui Muſicas harmonias compoſuerunt, quinetiam qui civiles ordinarunt leges, canonis nomen, ut non incongruum, ſuis* *etiam operibus impoſuere. Non deſunt autem quibus hujuſmodi res terminos etiam nuncupare placet; ut quæ ab aliis dividunt, & diſtinguunt, & diſponunt, ne quid ſuppoſititium & nothum rebus determinatis introducatur: Quemadmodum & Hippocrati bene viſum eſt, ſummaria ſuorum etiam operum commentaria ita nominare. Utrum verò aliorum ſcriptis Canonis appellatio propriè tribuatur, aliis conſiderandum relinquatur. Religioſa autem patrum decreta ſummo præ omnibus aliis jure nomen hoc ſortita ſunt: quippe quæ illos, qui iis morem gerunt, ad rectam fidem dirigunt, & ad vitam Deo acceptam rectè diducunt. Peropportunum autem erit ordine, quantum in nobis eſt, ſigillatim commemorare, quando, & à quibus, & quomodo ſinguli canones in lucem prodierunt, & lucerna pedibus noſtris, & lux ſemitis, quod ad vitam dirigendam attinet, evaſerunt. Ut autem oratio ordine procedat, de ſingulis Synodis, & Patribus qui privatim ſcripſerunt, meminiſſe decet, juxta temporis quidem conſequentiam & quem iſtud iis ordinem impoſuit. Quin & Imperatores quorum temporibus divinorum horum ſub Deo auctores canonum claruerunt commemorandi ſunt. Sic enim oratio perſpicua erit.*

μισθῶν. εἰσὶ δὲ καὶ οἷς ὅρους ἤρεσε τὰ τοιαῦτα ἐπονομάσαι, ὡς διαχωρίζοντα τῶν ἄλλων καὶ ἀποδιϊστάντα, καὶ ἀπευθύνοντα τοῦ μὴ παρέγγραπτόν τι καὶ νόθον τοῖς ὁριζομένοις εἰσφέρεσθαι· ὡς καὶ τῷ Ἱπποκράτει καλῶς ἔδοξεν ἔχειν, οὕτω καὶ τὰ κεφαλαιώδη τῶν πονηθέντων αὐτῷ ἐπονομάσαι συγγράμματα. ἀλλὰ τοῖς μὲν τῶν ἄλλων συγγράμμασιν εἰ κυρίως ἡ τοῦ κανόνος ἐπεφημίσθη ἐπωνυμία, ἑτέροις δεδόσθω σκοπεῖν. τὰ δέ γε τῶν πατέρων εὐσεβῆ διατάγματα πάντως μᾶλλον εἰκότως ταύτην ἔχει τὴν πρόσρησιν, οἷα τοὺς πειθομένους αὐτοῖς πρὸς τὴν ὀρθὴν ἀπευθύνοντα πίστιν, καὶ πρὸς θεοφιλῆ βίον ἀπλανῶς ἐφελκόμενα. ἐπιχαιρέστατον δ᾽ ἂν εἴη καὶ κατὰ μέρος ἑξῆς, ὡς γοῦν ἡμῖν ἐφικτὸν, ἱστορῆσαι, πότε, κἀκ τίνων, καὶ ὅπως εἰς φῶς ἕκαστοι τῶν κανόνων προῆλθον, καὶ λύχνος τοῖς ἡμῶν ποσὶ καὶ φῶς ταῖς κατὰ τὸν βίον ἐγεγόνεισαν τρίβοις. ἵνα δὲ καὶ καθ᾽ εἱρμὸν ὁ λόγος προΐοι, ἑκάστης συνόδου καὶ τῶν ἰδίᾳ γραψάντων πατέρων μνημονευτέον, κατὰ τὴν τοῦ χρόνου μέντοι ἀκολουθίαν καὶ ἣν οὗτος τάξιν τούτοις ἐπέθηκεν. ἐπιμνηστέον δὲ καὶ τῶν βασιλέων καθ᾽ οὓς οἱ ὑποφῆται τῶν θείων τουτωνὶ κανόνων διέλαμψαν. οὕτω γὰρ ἂν ὁ λόγος εὐσύνοπτος εἴη.

C

DE SANCTORUM APOSTOLORUM Canonibus.

SANCTORUM Apoſtolorum nomine nuncupati octoginta quinque Canones primi commodiſſimè collocantur, utpote qui, ut aiunt nonnulli, à magno inter Martyres Clemente conſcripti ſunt. Hic autem magni Petri ſocius fuit, quinetiam & Divi Pauli, ut ipſe nimirum de eo tradit: qui tertius poſt præceptorem Petrum Romæ Epiſcopus nominatus eſt, Lino ſuccedens: & Martyrii coronâ ſub Imperatore Trajano redimitus eſt. Clementem autem eos ſcripſiſſe nonnulli conjecturam fecerunt ex eò quòd in ultimo canone propriam ſuam inducit perſonam; quod etiam Divum Lucam in Actis Apoſtolorum feciſſe conſtat. Nuſquam enim omnes ſacros Apoſtolos unà conveniſſe & eos communi conſenſu conſtituiſſe ſcriptis traditur. Et veriſimile eſt ſummos Apoſtolorum ei qui tamdiu præſentiâ ipſorum fruitus eſt, illos dictâſſe, & juſſiſſe ut ſcriptis mandaret. Huic autem & Epiſtolæ ad Hæbreos in linguam Græcam interpretationem aſcribunt: multum enim eſt affinitatis, & ambo eandem ſpeciem & ipſius loquendi formulæ characterem ferunt. Non autem me latet quoſdam è veteribus hoſce canones dubiæ fidei exiſtimâſſe, donec ſancta & œcumenica ſexta Synodus, omnium ſacrorum canonum numerum determinans, quos tam œcumenicæ quam locales Synodi, quoſque etiam nonnulli pietate & virtute eximii patres privatim compoſuerant, horum imprimis mentionem facit. Dicit enim, A ſanctis Patribus qui nos præceſſerunt ſuſceptos & confirmatos & nobis etiam ſub ſanctorum & glorioſorum Apoſtolorum nomine traditos octoginta quinque canones autoritatem retinere nos etiam jubemus, exceptis Clementis Epiſtolis & Conſtitutionibus; hæ enim multis adulterinis & pernicioſis corruptæ ſunt. Hæc itaque talis tantorum & tantæ autoritatis virorum ſententia omnem animi de canonibus Apoſtolicis dubitationem ſummâ poteſtate fidelium cordibus evulſit.

ΠΕΡΙ ΤΩΝ ΚΑΝΟΝΩΝ

τῶν ἁγίων ἀποστόλων.

ΠΡῶτοι τοίνυν οἱ ἐπ᾽ ὀνόματι τῶν ἁγίων ἀποστόλων πέντε πρὸς τοῖς ὀγδοήκοντα κανόνες ἐν τῇ τοῦ καλοῦ πρώτῃ μοίρᾳ ἐκδέδονται, συγγραφέα ἔχοντες ὥς φασί τινες τὸν μέγαν ἐν μάρτυσι Κλήμεντα. Πέτρου δὲ ἦν ἄρα οὗτος ὁμιλητὴς τοῦ μεγάλου· ἀλλὰ δὴ καὶ Παύλου τοῦ θείου, ὡς αὐτὸς δήπου περὶ αὐτοῦ ἱστορεῖ· ὃς τρίτος μετὰ τὸν διδάσκαλον Πέτρον τῆς Ῥώμης ἐπίσκοπος κεχρημάτικε, τὸν Λῖνον διαδεξάμενος, καὶ τὸν μαρτυρικὸν ἀνεδήσατο στέφανον ἐπὶ Τραϊανοῦ βασιλέως. Κλήμεντα δὲ τούτους γράψαι τινὲς ἐστοχάσαντο ἐκ τοῦ τὸ οἰκεῖον προσάγειν πρόσωπον τῷ τελευταίῳ κανόνι· ὥς γε δὴ καὶ ὁ θεῖος Λουκᾶς ἐν ταῖς πράξεσι ποιῶν δείκνυται. οὐδὲ γὰρ ἱστόρηταί που πάντας εἰς ταυτὸ συνελθεῖν τοὺς ἱεροὺς ἀποστόλους καὶ κοινῇ τούτους συντεταχέναι. καὶ εἰκός γε τοὺς ἄκρους τῶν ἀποστόλων τῷ πολὺν ἤδη χρόνον τῆς συνουσίας αὐτῶν ἀπολελαυκότι, τούτους ὑπαγορεῦσαι, καὶ γραφῇ δοῦναι κελεῦσαι. τούτῳ καὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τὴν πρὸς τὴν ἑλλάδα φωνὴν ἑρμηνείαν ἀνατιθέασι, πολὺ γὰρ τὸ συγγενὲς καὶ ἄμφω φέρουσι ταῦτα τῆς ἰδέας καὶ τοῦ χαρακτῆρος τῶν λόγων ἐκείνου. οὐκ ἀγνοῶ δὲ ὥς τινες τῶν ἀρχαίων ἀμφιβόλους τοὺς κανόνας τούτους ἡγήσαντο, ἕως ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος τὴν ἀπαρίθμησιν ποιουμένη τῶν ἱερῶν ἁπάντων καὶ θείων κανόνων, οὓς αἵτε οἰκουμενικαὶ καὶ τοπικαὶ συνετάξαντο σύνοδοι, καὶ οὓς αὖθις ἰδίᾳ τῶν ἐπ᾽ εὐσεβείᾳ διενεγκόντων καὶ ἀρετῇ πατέρων ἔνιοι, προὔργου τούτων ἀπεμνημόνευσε· φησὶ γὰρ τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων πατέρων καὶ δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ἐπ᾽ ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων ὀγδοήκοντα πέντε κανόνας, τὸ κῦρος ἔχειν καὶ ἡμεῖς κελεύομεν, πλὴν τῶν τοῦ Κλήμεντος ἐπιστολῶν τε καὶ διατάξεων· αὗται γὰρ πρὸς τῶν δυσσεβῶν πολὺ τὸ νόθον καὶ σφαλερὸν εἰσεδέξαντο. ἡ τοιαύτη τοίνυν αὕτη φωνὴ τῶν τοσούτων καὶ τηλικούτων ἀνδρῶν πάντα λογισμὸν περὶ τῶν ἀποστολικῶν κανόνων ἀμφίβολον ἐκ τῆς τῶν πιστῶν καρδίας μετὰ πολλοῦ τοῦ κρείττονος περιεῖλε.

A

Περὶ τῆς ἐν Καρχηδόνι συνόδου.

Τῶν γε μὲν οἰκουμενικῶν τε καὶ τοπικῶν ἁπασῶν ἡ ἐν Καρχηδόνι σύνοδος ἀρχαιοτέρα ἱστόρηται· ἔξαρχον μὲν ἐσχηκυῖα τὸν μέγαν Κυπριανόν. εἰς ἐπισκόπους δὲ ἐπληθύνετο πρὸς τοῖς τέτταρσιν ὀγδοήκοντα. οἳ δὴ καὶ ἓν μόνον ἐξεδώκαν ὡς ἐν εἴδει κανόνος ψήφισμα, τοὺς καθάπαξ ὑπὸ πάντων αἱρετικῶν τε καὶ σχισματικῶν βαπτισθέντας τῇ καθολικῇ προσερχομένους ἐκκλησίᾳ αὖθις βαπτίζεσθαι· σχισματικοὺς δὲ τοὺς περὶ Ναβάτον αἰνιττόμενοι. τηνικαῦτα γὰρ καὶ ἡ τούτου αἵρεσις εἰσεφθάρη τῇ ἐκκλησίᾳ. τοῦ ψηφίσματος τούτου ὁ μέγας μέμνηται Βασίλειος ἐν τῷ πρώτῳ αὐτοῦ κανόνι· δι' ἐπαίνου μὲν αὐτὸ τιθέμενος, οἰκονομίας δὲ χάριν ἀργίαν αὐτοῦ καταψηφιζόμενος. ἀλλὰ καὶ ἡ δευτέρα οἰκουμενικὴ σύνοδος ἐν τῷ ἑβδόμῳ ταύτης κανόνι τἀναντία τούτου διατάττεται. διά τοι τοῦτο ἡ ἕκτη καὶ οἰκουμενικὴ σύνοδος, ὁ ἐκδοθείς φησι τοῖς πατράσι τούτοις κανὼν ἐν τοῖς τόποις αὐτῶν καὶ μόνοις κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος ἐκράτησε. τοῦτο γὰρ ὡς ἔοικε τῷ τότε συνετέλει καιρῷ καὶ τοῖς πράγμασι· διὸ καὶ ἡ τούτων μεταβολὴ εἰς τὸ μηκέτι ἐνεργεῖν καὶ τοῦτον μετέβαλεν. ὁ δὲ μέγας οὗτος Κυπριανὸς ἐπὶ Δεκίου τὸ τῆς μαρτυρίας βραβεῖον ἥρπασε. Δέκιος δὲ μετὰ τὸν ῥηθέντα Τραϊανὸν ἑκκαιδέκατος ἐβασίλευσεν ἐτῶν ἐξ ἐκείνου παρῳχηκότων ἑβδομήκοντα πρὸς τοῖς ἑκατόν.

De Synodo Carthaginensi.

Omnium quidem universalium pariter ac localium Synodus Carthagine habita antiquiſſima fuiſſe traditur: quæ præſidem habuit magnum Cyprianum. Epiſcopis autem octoginta quatuor completa fuit. Hi autem unum tantum ſub canonis formâ decretum ediderunt, eos nimirum qui ab hæreticis quibuſlibet aut ſchiſmaticis ſemel baptizati ſunt, ſi ad Eccleſiam Catholicam accedant, denuo baptizari: Per ſchiſmaticos autem Novati gregales indigitant. B Et tum enim temporis iſtius hæreſis in Eccleſiam pernicioſè irrepſerat. Hujus decreti magnus Baſilius in primo ipſius canone mentionem facit: laudis quidem gratiâ illud citans, propter œconomiam autem abolitionem ejus decernens. Quinetiam ſecunda quoque univerſalis Synodus in ſeptimo ipſius canone huic contraria ſtatuit. Quapropter etiam ſexta & univerſalis Synodus, canon, inquit, ab iſtis Patribus expoſitus in ſuis ipſorum locis, iiſque ſolis juxta conſuetudinem iis traditam obtinuit. Hoc enim, ut veriſimile eſt, iſtis temporibus negotiiſque utile fuit: quocirca horum mutatio illum etiam canonem C commutavit, ne ampliùs in uſu eſſet. Magnus autem hic Cyprianus ſub Decio martyrii præmium accepit. Decius autem decimus ſextus fuit poſt prædictum Trajanum Imperator, annis ab eo clxx. elapſis.

Περὶ τοῦ ἁγίου Διονυσίου Πατριάρχου τῆς Ἀλεξανδρείας.

Κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ ὁ μέγας ἤυγασε Διονύσιος, ὃς πρός τινα Βασιλείδην περὶ διαφόρων ἔγραψε κεφαλαίων· καὶ ὡς κανόνας ταῦτα ἡ ἐκκλησία ἐδέξατο. οὗτος τοιγαροῦν ὁ θεῖος Διονύσιος γέγονε μὲν ἀκροατὴς Ὠριγένους ἐν τῷ τετάρτῳ τῆς βασιλείας ἔτει Φιλίππου, ὃς μετὰ Γορδιανὸν ἐβασίλευσε. τοῦ δὲ βίον μεταλλάξαντος Ἡρακλᾶ τοῦ τρισκαιδεκάτου τῆς Ἀλεξανδρέων ἐπισκόπου τὴν προστασίαν ταύτην ὅδε ἀπολαμβάνει, καὶ προστὰς ἐπὶ δέκα καὶ ἑπτὰ ἔτεσιν, ἤτοι λοιποῖς τρισὶ Φιλίππου, καὶ τῷ ἑνὶ Δεκίου καὶ τῷ ἑνὶ Γάλλου, καὶ Βολουσιανοῦ τοῦ υἱοῦ Δεκίου, ἐν τῷ ιβ΄. Οὐαλεριανοῦ καὶ Γαληΐνου τοῦ παιδὸς αὐτοῦ, (πεντεκαίδεκα γὰρ οὗτοι ἐβασίλευσαν), πρὸς κύριον μαρτυρικῷ ἐξεδήμησε τέλει. ὁ δὲ Βασιλίδης κατὰ τὴν πεντάπολιν τῆς Λιβύης ἦν παροικίας τινὸς ἐπίσκοπος, ὥς φησιν Εὐσέβιος ἔν τε τῷ ς΄. καὶ ζ΄. τῆς ἐκκλησιαστικῆς ἱστορίας λόγῳ.

De ſancto Dionyſio Patriarcha Alexandriæ.

Eodem etiam tempore magnus Dionyſius claruit, qui ad quendam Baſilidem de diverſis ſcripſit capitibus, quæ Eccleſia tanquam canones recepit. Hic porro D divinus Dionyſius Origenis auditor fuit, quarto imperii Philippi anno, qui poſt Gordianum imperavit. Heraclâ autem decimo tertio Eccleſiæ Alexandriæ Epiſcopo vitâ functo, præfecturam iſtam hic excepit; cumque eam adminiſtrâſſet ſeptendecim annos, nimirum tres reliquos Philippi, & unum Decii & unum Galli & Voluſiani Decii filii, in duodecimo Valeriani & Galieni ipſius filii anno (hi enim annos ſexdecim imperarunt) ad Dominum martyrio emigravit. Baſilides autem Pentapoli Libyæ parœciæ cujuſdam Epiſcopus fuit, ut ait Euſebius in ſexto & ſeptimo Eccleſiaſticæ hiſtoriæ libro. E

Περὶ τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας πρώτης συνόδου.

Μετὰ τὸν ῥηθέντα Οὐαλεριανὸν ἔτος ἓν Κλαύδιος ἐβασίλευσε· μεθ' ὃν Αὐρηλιανὸς ἓξ ἔτη τὰ τῆς βασιλείας διῴκησεν. ἐν τοίνυν τοῖς τούτου χρόνοις ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας γέγονε σύνοδος, κατὰ Παύλου τοῦ Σαμοσατέως· ὃς ταύτης ἐπίσκοπος ὢν πονηρᾶς αἱρέσεως ἀρχηγὸς ἐγεγόνει· Χριστὸν γὰρ τὸν ἀληθινὸν θεὸν ἄνθρωπον ἔλεγε ψιλόν, θείας χάριτος καθάπερ οἱ προφῆται ἠξιωμένον· τὸν δὲ υἱὸν τοῦ θεοῦ λόγον προφορικόν. τοῦτο μαθόντες οἱ τὰς πρὸς ἕω ἐκκλησίας ἰθύνοντες, οὐκ ὀλίγοι ἐπὶ τὴν Ἀντιόχειαν προσέδραμον· ὧν ἐξῆρχον Ὑμέναιος Ἱεροσολύμων, Γρηγόριος Νεοκαισαρείας ὁ Θαυματουργός· Ἀθηνόδωρος ὁ ἐκείνου ἀδελφός· Φιρμιλιανὸς Καισαρείας τῶν Καππαδοκῶν, καὶ Ἕλενος τῶν Ταρσέων. καὶ πρῶτον μὲν εἰσηγήσεσι καὶ συμβουλίαις ἐπειράθησαν τῆς κακοδοξίας μεταθεῖναι τὸν Παῦλον, ταῖς ἀπὸ τῶν γραφῶν ἀποδείξεσι κεχρημένοι. ὅτε δὲ εἶδον ἀνίατα νοσοῦντα, τότε σύμφωνον ψῆφον ἐξενεγκόντες, τῆς ἱε-

De prima Synodo Antiochiæ Syriæ celebrata.

Poſt dictum Valerianum Claudius unum annum imperabat, poſt quem Aurelianus imperium ſex annos adminiſtrabat. In iſtius itaque temporibus Synodus Antiochiæ, quæ eſt Syriæ civitas, celebrata eſt, contra Paulum Samoſatenum, qui, cum iſtius civitatis Epiſcopus eſſet, peſſimæ hæreſeos autor fuit: Chriſtum enim verum F Deum nudum eſſe hominem dixit, divinæ gratiæ non ſecus ac prophetæ dignatum, Dei vero filium ſermonem eſſe ore prolatum. De hoc certiores facti illi qui Eccleſias Orientales regebant, non pauci Antiochiæ conveniebant, quibus præſidebant Hymenæus Hieroſolymitanus, Gregorius Thaumaturgus Neocæſarienſis, Athenodorus ejus frater, Firmilianus Cæſareæ Cappadocorum, & Helenus Tarſenſis. Et primo quidem adhortationibus & conſiliis Paulum à pravâ opinione reducere moliti ſunt, demonſtrationibus è ſacris ſcripturis petitis utentes. Cùm eum autem incurabili laborantem morbo viderint, hinc unanimam ferentes ſententiam, A iſtum ſacerdotio privabant, & Eccleſiâ abſcindebant. Cum iſte autem ſe opponeret, & Eccleſiæ præfecturam contra leges detineret, ſancta Synodus Aurelianum Imperatorem conveniebat, eum de Pauli contumaciâ certiorem faciens: Ille autem etiamſi Græcus, eorum qui ejuſdem erant fidei ſententiæ reluctantem, ſocietate illorum abſcindi, & ſic Eccleſiâ expelli ſtatuit: Iſtius autem cauſam ad Romanæ etiam Eccleſiæ Epiſcopum ejuſque Antiſtites retulit, ut cum illi examinâſſent utrum juſtè depoſitus fuiſſet, Eccleſiâ ejiceretur. Hæc autem Euſebius Pamphili ſcriptis mandavit. Canones autem B hujus Synodi non inveniuntur, præterquam ſancti Gregorii & ſolius Thaumaturgi Epiſtola, quæ duodecim canones continet; qui etiam uti dictum eſt huic Synodo interfuit. De illo autem magnus Gregorius Nyſſenus peculiarem tractatum compoſuit.

De ſancti Petri Alexandriæ Archiepiſcopi ſacri Martyris Canonibus.

Poſt Beatum Dionyſium, ut modo dixi decimum C quartum Alexandriæ nominatum Epiſcopum, Theonas præfecturam iſtam ſuſcepit, cui ſucceſſit maximus, & huic magnus inter ſacros martyres Petrus. Hujus in ſermone de pœnitentiâ quatuordecim feruntur canones, de iis qui perſecutionum temporibus lapſi ſunt, & poſtea pœnitentia ducti, quomodo eos admittere oportet, quinetiam & ex alio de ſancto Paſchate ſermone, quos reliquis etiam canonibus Eccleſia connumeravit: Hic ſub Diocletiano martyrii ſtadium magnanimiter perfecit. Diocletianus autem quintus erat poſt Aurelianum Imperator quindecim ex eo annis elapſis.

D

De locali in Ancyra Galatiæ celebrata Synodo.

De eodem argumento, eodemque tempore Synodus [Patrum] etiam in Ancyrâ Galatiæ metropoli piè congregata eſt, in quâ accuratiùs diſquirebant quomodo eos qui poſt abnegationem pœnitentiam agunt, adminiſtrare oportet. Sacro huic conventui præſidebant Vitelius Antiochiæ Syriæ civitatis, Agricolaus Cæſareæ Cappadociæ, & martyr Baſilius Epiſcopus Amaſiæ. E Qui etiam xxv. canones de eodem & aliis etiam argumentis conſcripſerunt. Hic autem Baſilius ſub Licinio martyrii coronam accepit.

De locali Synodo Neocæſariæ habitâ.

Poſt hanc Synodus Neocæſareæ, quæ eſt urbs Pontì, congregata eſt. Sanctus autem Martyr Baſilius Epiſcopus Amaſiæ iis etiam interfuit: [in quâ Patres] qui etiam quatuordecim ad rectam Eccleſiæ conſtitutionem conducentes canones compoſuerunt. F

De prima & Oecumenica Synodo Nicææ habita.

Porro prima & œcumenica ſancta Synodus trecentorum & duodeviginti patrum Nicææ in Bithyniâ congregata eſt, decimo imperii Conſtantini magni anno, poſt annos à Domini incarnatione numero Patribus omnino æquales, videlicet trecentos & duodeviginti, quibus præſidebant Silveſter & Julius celeberrimi veteris

ἐρωσιώης τοῦτον ἐγύμνωσαν καὶ τῆς ἐκκλησίας ἐξέτεμον. ἀντιτείνοντος δὲ αὐτοῦ καὶ τὴν τῆς ἐκκλησίας παρανόμως κατέχοντος ἡγεμονίαν, Αὐρηλιανοῦ τοῦ βασιλέως ἡ ἁγία σύνοδος ἐδεήθη, τὰ περὶ τοῦ Παύλου θρασύτητος αὐτὸν ἀναδιδάξαντες· ὁ δὲ καίπερ Ἕλλην ὑπάρχων, ἀπεφήνατο μὲν τὸν ἀντιλέγοντα τῇ τῶν ὁμοπίστων ψήφῳ, τῆς ἐκείνων ἀποτμηθῆναι συμμορίας, καὶ οὕτω τῆς ἐκκλησίας ἐξελαθῆναι. τὰ κατ' αὐτὸν δ' ὅμως ἀνέθετο τῷ τῆς Ρωμαίων ἐκκλησίας ἐπισκόπῳ, καὶ τοῖς περὶ αὐτὸν ἀρχιερεῦσιν, ὡς ἂν ἐπισκεψαμένων εἰ δικαίως καθῄρητο, τῆς ἐκκλησίας ἐκδιωχθείη. καὶ ταῦτα δὲ ὁ Παμφίλου Εὐσέβιος ἱστορεῖ. κανόνες δὲ τῆς συνόδου ταύτης οὐχ εὕρηνται, ὅτι μὴ τοῦ ἁγίου Γρηγορίου καὶ μόνου τοῦ θαυματουργοῦ ἐπιστολὴ κανόνας ἔχουσα δώδεκα, ὃς καὶ τῆς συνόδου ταύτης ὡς εἴρηται μέρος ἐγένετο. τὰ δὲ κατ' αὐτὸν ἰδίαν ὁ μέγας Γρηγόριος Νύσσης ἐποιήσατο πραγματείαν.

Περὶ τῶν κανόνων τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Αλεξανδρείας.

Μετὰ δὲ τὸν μακάριον Διονύσιον, ὡς ἤδη μοι εἴρηται, τεσσαρεσκαιδέκατον Αλεξανδρείας ἐπίσκοπον χρηματίσαντα Θεωνᾶς τὴν προστασίαν ταύτην ἐδέξατο· μεθ' ὃν Μάξιμος· εἶτα ὁ μέγας ἱερομάρτυς Πέτρος. τούτου ἐν τῷ περὶ μετανοίας λόγῳ κανόνες φέρονται δεκατέσσαρες, περὶ τῶν ἐν τοῖς καιροῖς τῶν διωγμῶν παραπεπτωκότων, εἶτα μετανοησάντων· ὅπως δεῖ τούτους προσδέχεσθαι. ἔτι δὲ καὶ ἐξ ἑτέρου λόγου περὶ τοῦ ἁγίου πάσχα, οὓς καὶ τοῖς λοιποῖς ἐναρίθμους κανόσιν ἡ ἐκκλησία πεποίηκεν. οὗτος ἐπὶ Διοκλητιανοῦ τὸ τῆς μαρτυρίας εὐψύχως διήνυσε στάδιον. πέμπτος δὲ Διοκλητιανὸς μετὰ Αὐρηλιανὸν ἦρξεν, ἐτῶν παρεληλυθότων ἐξ ἐκείνου δεκαπέντε.

Περὶ τῆς ἐν Αγκύρᾳ τῆς Γαλατίας τοπικῆς συνόδου.

Ἐπὶ ταύτῃ τῇ ὑποθέσει καὶ κατ' ἐκεῖνο τοῦ χρόνου καὶ ἡ ἐν Αγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας σύνοδος εὐσεβῶς συνελήλυθεν. ἀκριβέστερον ἐκζητήσαντες ὅπως ἄρα προσήκεν οἰκονομεῖν τοὺς μετὰ τὴν ἄρνησιν μεταμελομένους. ἐξῆρχον δὲ τοῦ ἱεροῦ τοῦ δὲ συλλόγου Οὐϊτέλιος Αντιοχείας, τῆς Συρίας, Αγρικόλαος Καισαρείας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος ἐπίσκοπος Αμασίας· οἱ καὶ κανόνας περὶ τ ταύτης, καὶ δὴ καὶ περὶ ἑτέρων ὑποθέσεων πέντε πρὸς τοῖς εἴκοσι συνεγράψαντο. ὁ δὲ Βασίλειος οὗτος ἐπὶ Λικινίου τὸν τῆς μαρτυρίας στέφανον ἀνεδέξατο.

Περὶ τῆς ἐν Νεοκαισαρείᾳ τοπικῆς συνόδου.

Μετὰ ταύτην ἡ ἐν Νεοκαισαρείᾳ τῇ κατὰ Πόντον συνέστη σύνοδος. συνῆν δὲ καὶ τούτοις ὁ ἅγιος μάρτυς Βασίλειος ἐπίσκοπος Αμασίας. οἳ καὶ κανόνας συντάττουσι τέσσαρας πρὸς τοῖς δέκα εἰς τὴν τῆς ἐκκλησίας εὐταξίαν συντείνοντας.

Περὶ τῆς ἐν Νικαίᾳ πρώτης καὶ οἰκουμενικῆς συνόδου.

Λοιπὸν ἡ πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων ἐν τῇ κατὰ Βιθυνίαν συνεκροτήθη Νικαίᾳ, ἔτει δεκάτῳ τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου, μετὰ χρόνους τῆς τοῦ κυρίου ἐνανθρωπήσεως τοῖς θείοις ἀντικρὺς ἰσαρίθμους πατράσιν, ὀκτωκαίδεκα δηλαδὴ πρὸς τοῖς τριακοσίοις, ὧν ἐξῆρχον Σίλβεστρος καὶ Ἰούλιος τῆς παλαιᾶς Ῥώμης περιφανεῖς πρόεδροι· αὐτῶν μὲν οὐδέτερος παραγεγονώς, Βίτωνα καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸν τῆς οἰκείας ἱερατείας χρόνον τῇ κοινῇ πέμψαντες παρεσομένους συνόδῳ· Ἀλέξανδρός τε Κωνσταντινουπόλεως, καὶ Ἀλέξανδρος Ἀλεξανδρείας, συναγωνιστὴν καὶ τὸν μέγαν ἐπαγόμενος Ἀθανάσιον, ὃς τηνικαῦτα τοῦ τάγματος ἡγεῖτο τῶν διακόνων· Εὐστάθιος Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Μακάριος. συνῆλθον δὲ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, ὃς ἐξ Ἀλεξανδρείας ἕλκων τὸ γένος, καὶ εἰς πρεσβυτέρου τῆς ἐκεῖ ἐκκλησίας βαθμὸν ἀναβεβηκώς, τὸν υἱὸν τοῦ Θεοῦ καὶ λόγον (ὦ θρασείας γλώττης) εἰς κτίσμα κατεβίβαζεν. ἀλλ' οἱ τῆς συνόδου τὸ ὁμοούσιον τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων τοῖς πᾶσι κηρύξαντες, τοὺς περὶ τὸν θεομανῆ Ἄρειον τῷ φρονήματι σφῶν μὴ συμβαίνοντας αὐτοῖς αὐτῶν δόγμασι τῷ ἀναθέματι παραπέμπουσι. ταύτῃ τοίνυν καὶ περὶ ἐκκλησιαστικῆς καταστάσεως κανόνες ἐξεφωνήθησαν εἴκοσιν.

A Romæ præſules; eorum autem neuter aderat, ſed uterque Bitonem & Vincentium ſui ipſius loco juxta Sacerdotii ſui tempus communi affuturos Synodo mittebant; Alexander quoque Conſtantinopolis, & Alexander Alexandriæ Archiepiſcopus, qui commilitonem etiam magnum Athanaſium ſecum adduxit, qui tunc temporis Diaconorum ordini præerat; Euſtathius Antiochenus, & Macarius Hieroſolymitanus. Congregati ſunt autem adverſus impium Arium, qui genus ab Alexandriâ ducens, & in Presbyteri Eccleſiæ ibidem conſtitutæ gradum promotus, filium & verbum Dei (proh impudentem linguam!) ad creaturam & quid factum deduxit. B Verùm Synodi Patres, cum trium in divinâ naturâ perſonarum conſubſtantialitatem omnibus prædicaſſent, Arii in Deum inſanientis gregales hiſce ipſorum decretis aſſenſum ſuum non præbentes, anathemati ſubjiciebant. Ab hâc præterea Synodo ad Eccleſiaſticam conſtitutionem canones viginti editi fuerunt.

Περὶ τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας τοπικῆς δευτέρας συνόδου.

Ἑτέρα σύνοδος ἐν Ἀντιοχείᾳ τῆς Συρίας αὖθις συνεκροτήθη ἐπὶ Κωνσταντίου υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, μετὰ πέντε ἔτη τῆς τοῦ πατρὸς αὐτοῦ πρὸς θεὸν ἀναλύσεως· οἳ καὶ κανόνας πέντε πρὸς τοῖς εἴκοσιν εἰς κοινὴν ὠφέλειαν τῆς ἐκκλησίας ἐκδεδώκασιν.

De lccali in Antiochia Syriæ civitate ſecunda Synodo.

Altera [Patrum] Synodus in Antiochiâ, quæ Syriæ C civitas eſt, ſub Conſtantio Conſtantini magni filio rurſum congregata eſt, poſt quinque annos à patris ipſius ad Deum reditu numeratos. Qui etiam viginti quinque ad communem Eccleſiæ utilitatem canones ediderunt.

Περὶ τῆς ἐν Σαρδικῇ τοπικῆς συνόδου.

Ἀλλὰ καὶ ἡ ἐν Σαρδικῇ σύνοδος ἐπὶ τῆς βασιλείας τοῦ δηλωθέντος ἤθροιστο Κωνσταντίου. ὁ γὰρ βασιλεὺς οὗτος τῇ τῶν Ἀρειανῶν αἱρέσει προσθέμενος, σπουδὴν ἐποιεῖτο τὰ ἐν τῇ προτέρᾳ δογματισθέντα συνόδῳ μεταποιῆσαι· ὅπερ ὁ ἀδελφὸς αὐτοῦ Κώνστας τῆς πρεσβυτέρας Ῥώμης κρατῶν, ἐξ ἀναφορᾶς τοῦ τότε πάπα μαθών, πόλεμον ἠπείλησε διὰ γραμμάτων τῷ ἀδελφῷ, εἰ μὴ παύσαιτο κυμαίνων τὴν ἐκκλησίαν, καὶ τὴν ὀρθὴν πίστιν παρασαλεύων. ὁ δὲ τὸ ἀκριβὲς τῆς πίστεως ζητεῖν ἀντεπέστειλε τῷ ἀδελφῷ καὶ βεβαιωθῆναι διὰ σπουδῆς τυγχάνειν αὐτῷ. ἔδοξε τοίνυν τοῖς αὐτοκράτορσιν ἀμφοτέροις σύνοδον γίνεσθαι ἀρχιερέων, καὶ τὴν παρ' ἐκείνων δογματισθεῖσαν πίστιν κρατεῖν. διὸ κελεύσει τούτων ἠθροίσθησαν ἐπίσκοποι τὸν ἀριθμὸν εἷς καὶ τεσσαράκοντα πρὸς τοῖς τριακοσίοις ἐν Σαρδικῇ τῇ λεγομένῃ τριαδίτζῃ, οἳ δὴ καὶ τὰ τοῖς πατράσι δογματισθέντα ἐν τῇ κατὰ Νικαίαν συνόδῳ βεβαίως ἔχειν ἐθέσπισαν· καὶ πάντων οὐχ ἥκιστα τὸ παρ' αὐτῶν συντεθὲν ἱερὸν τῆς πίστεως σύμβολον· τοὺς δὲ τοῦτο τολμῶντας μεταποιεῖν, κληρονόμους εἶναι τοῦ ἀναθέματος. οὐ μὴν ἀλλὰ καὶ κανόνας συντάττουσιν εἴκοσι τὸ ἀσφαλὲς ὁμοῦ καὶ ὠφέλιμον κοινῇ τῇ ἐκκλησίᾳ πορίζοντας.

De locali Synodo Sardicæ habita.

Quinetiam Synodus Sardicenſis commemorato Conſtantio imperante congregata eſt. Hic enim Imperator Arianorum hæreſi adhærens, ea quæ in primâ decreta D ſunt Synodo commutare ſtuduit: quod cum frater ipſius Conſtans, qui veteris Romæ imperium tenuit, ex illius qui tunc temporis Papa erat relatione didiciſſet, bellum per literas fratri comminabatur, niſi Eccleſiam commovere, & orthodoxam fidem labefactare deſineret. Hic autem ſe accuratam fidem inquirere, quæ etiam ut confirmetur ſummam adhibere diligentiam, fratri per literas reſpondebat. Ambobus igitur Imperatoribus Synodum Antiſtitum celebrari, & fidem ab iis conſtitutam obtinere viſum eſt. Quocirca eorum E juſſu Epiſcopi CCCXLI. Sardicæ quæ Triaditze dicitur, congregati ſunt. Hi autem ea etiam quæ à Patribus in Synodo Nicenâ decreta ſunt, firma manere præcipiebant, & omnium maximè ſacrum fidei Symbolum ab iis compoſitum: eos autem qui illud commutare auſi fuerint, anathematis hæredes eſſe. Quinetiam viginti canones ſecuritatem pariter ac utilitatem toti Eccleſiæ ſubminiſtrantes conſtituebant.

Περὶ τῆς ἐν Λαοδικείᾳ τοπικῆς συνόδου.

Μετὰ τὴν ἐν Σαρδικῇ καὶ ἐν τῇ τῆς Φρυγίας μητροπόλει Λαοδικείᾳ ἑτέρα σύνοδος ἁγίων συνέστη πατέρων, καὶ κανόνας ἐξέθετο ἐννέα καὶ πεντήκοντα, ὅσα γε εἰς τὴν τῆς ἐκκλησίας ὠφέλειαν οὐδὲν ἐλλείποντας τῶν πρὸ αὐτῶν.

De locali Synodo Laodiceæ habita.

F Poſt Sardicenſem etiam in Laodiceâ Phrygiæ metropoli alia ſanctorum Patrum Synodus congregata eſt, & canones lix. edidit, quantum ad Eccleſiæ utilitatem ſpectat, præcedentibus nihilo inferiores.

Περὶ τῶν κανόνων τοῦ ἁγίου Ἀθανασίου.

Εὐρεῖν ἔχεις, ἡ φιλόκαλος ἀκοή, καὶ τοῦ τῆς ἐκκλησίας ἐρείσματος τοῦ μεγάλου πατρὸς Ἀθανασίου φημὶ οὐκ ὀ-

De ſancti Athanaſii Canonibus.

Non pauca, auris honeſti ſtudioſa, etiam ex Eccleſiæ fulcimento, magno nimirum Patre Athanaſio in præſenti opere comprehenſa invenias: Qui cum Synodo Nicænæ, ut dictum eſt, intereſſet, non multo poſt tempore Alexandriæ thronum ſibi commiſſum habuit, divino ſuccedens Alexandro: prædicto itaque ſancto martyri Petro Aquilas ſucceſſit, huic autem divinus hic Alexander. Magni autem Athanaſii trophæis plena quidem eſt terra, cum Poeta loquar, plenum etiam mare. Revera enim in divinis certaminibus pluſquam homo viſus eſt.

De magni Baſilii Canonibus.

Verùm Olympicus hic victor vitæ quidem ſtadio diſceſſit, certaminum præmia abundè recepturus. Ne autem veritatem propugnans phalanx anteſignano deſtitueretur, magno protinus patri Baſilio prælii contra fidei hoſtes ſuſcepti teſſera datur. Et mihi quidem videtur neminem eorum qui ſuavi melle affluentem illius linguam vel primis labris attigerunt ignorare quàm abunde eos ſuperavit. Sole verò ſplendidiùs liberali ſermonum luce Eccleſiam illuſtravit. Iſte enim nocti cedit, hic autem in malitiæ tenebras victoriam reportavit. Quin potius quanto natura rationalis ab inanimatâ diſcrepat, tanta eſt utriuſque in operatione differentia. Ille enim radios ſuos in terram dimittens ſenſitivis tantum animalibus fiduciam cum lætitiâ largitur: hujus autem ſermonum radii ex quo orti ſunt ad hunc uſque diem, non tantum rationalem in terrâ naturam, ſed ipſum ſcindentes aërem & cœlum penetrantes, ipſos etiam Angelorum choros multâ voluptate explerunt. Si ob unum enim peccatorem reſipiſcentem gaudium fit in cœlis, hunc autem & vitâ fruentem, & functum innumerabiles ad pœnitentiam ſermonibus indies attrahere liquet, eum multo magis Angelicam naturam gaudio perpetuo non demulcere nemo aſſerat. Hujus canonicas ad ſanctum Amphilochium Iconii Epiſcopum Epiſtolas tres, in canones octoginta quatuor diſtributas, & alia nonnulla præter eas de diverſis argumentis capita præſens ſyntagma exhibet.

De Canonibus ſancti Gregorii Nyſſeni.

Huic etiam frater ipſius Gregorius ſocius in bello fuit, qui Nyſſæ thronum adornavit, vel potius, univerſum ſub ſole orbem liberali ſermonum fluento irrigavit: hic ut quicquid de eo cognoſci poteſt, breviter exhibeam, virtutis præſtantiâ & pro pietate zelo non minus quam conſanguinitate fratri convenire flagitabat. Hujus canonicam ad Letoium Melitinæ Epiſcopum epiſtolam præſens collatio aliis connumerat.

De locali in Gangra Synodo.

Synodus etiam in Gangrâ, quæ Paphlagonorum eſt metropolis, poſt Nicænam primam congregata eſt, contra quendam Euſtathium & iſtos qui eâdem, quâ ipſe, opinione imbuti ſunt. Qui igitur Euſtathius, ut Hermias Sozomenus ſcribit, Eccleſiam Sebaſtiæ, quæ eſt urbs Armeniæ, adminiſtrâſſe dicitur, monaſticam etiam Philoſophiam, atque auſteram in eâ vivendi rationem primum cœpiſſe, de cibis etiam quibus veſci, & abſtinere oportet, ſtatuiſſe; ut & de veſtimento quo utendum eſt; morum & vitæ accuratè traductæ author factus; adeo ut nonnulli librum Aſceticum, qui magno Baſilio tanquam patri ac conditori aſcribitur, ab

A λίγα τῷ προσέχοντι ἐμπεριειλημμένα συγγράμματι· ὃς τῇ κατὰ Νίκαιαν συνόδῳ παρών, ὡς δεδήλωται, μετ᾽ οὐ πολὺ τὸν τῆς Ἀλεξανδρείας θρόνον ἐνεχειρίζετο, Ἀλέξανδρον τὸν θεῖον διαδεξάμενος· τὸν γοῦν ἀνωτέρω ῥηθέντα ἱερομάρτυρα Πέτρον Ἀχιλλᾶς διεδέξατο, τὸν δὲ ὁ θεῖος Ἀλέξανδρος οὑτοσί. τῶν δὲ τοῦ μεγάλου Ἀθανασίου τροπαίων πλείη μὲν γαῖα, κατὰ τὸ ἔπος, πλείη δὲ θάλασσα. ἀτεχνῶς γὰρ ὑπεράνθρωπος ὤφθη τοῖς κατὰ θεὸν ἀγωνίσμασιν.

Περὶ τῶν κανόνων τοῦ μεγάλου Βασιλείου.

B Ἀλλ᾽ ἀνεχώρει μὲν τοῦ κατὰ τὸν βίον σταδίου ὁ ὀλυμπιονίκης οὑτοσί, τὰ βραβεῖα τῶν ἄθλων φιλοτίμως ἀποληψόμενος. ἵνα δὲ μὴ κενὴ προμάχου ἡ ὑπὲρ τῆς ἀληθείας εἴη παράταξις, εὐθὺς τῷ μεγάλῳ πατρὶ Βασιλείῳ τὸ σύνθημα δέδοται τῆς πρὸς τοὺς ἐχθροὺς τῆς πίστεως πάλης. καὶ οἶμαι μηδένα ἀγνοεῖν τῶν καὶ βραχὺ γευσαμένων τῆς ἡδίω μέλιτος ῥεούσης γλώττης ἐκείνου, ὅπως τοὺς μὲν ἐκ περιουσίας κατηγωνίσατο. ἡλίου δὲ φαιδρότερον, δαψιλεῖ τῷ φωτὶ τῶν λόγων τὴν ἐκκλησίαν κατηύγασεν· ὁ μέν γε παραχωρεῖ C τῇ νυκτί, ὁ δὲ τοῦ τῆς πονηρίας σκότου περιεγένετο. μᾶλλον μὲν οὖν ὁπόσον ἡ λογικὴ φύσις διενήνοχε τῆς ἀψύχου, τοσοῦτον ἑκατέρων τὸ τῆς ἐνεργείας διάφορον. ὁ μὲν γὰρ τὰς ἀκτῖνας τῇ γῇ ἀφιείς, τοῖς ὑπὸ τὴν αἴσθησιν μόνον παρρησίαν μετὰ γάνους χαρίζεται· αἱ δὲ τούτου τῶν λόγων ἀκτῖνες ἐξ ὅτου περ ἐγένοντο ἄχρι καὶ σήμερον, οὐχ ὅπως τὴν ἐν τῇ γῇ λογικὴν φύσιν, ἀλλὰ τέμνουσαι τὸν ἀέρα καὶ τὸν οὐρανὸν ὑπερκύπτουσαι πολλῆς ἡδονῆς καὶ τοὺς τῶν ἀγγέλων ἐμπιπλᾶσι χορούς. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐτὸς δὲ καὶ περιὼν ἔτι τῷ βίῳ καὶ ἀπιὼν τοῖς λόγοις ἀριθμοῦ κρείττους ὁσημέραι πρὸς μετάνοιαν ἕλκων δείκνυται, ἦπου γε οὐδ᾽ ἂν εἷς εἴποι μὴ D τὴν τῶν ἀγγέλων φύσιν ἑκάστοτε τοῦτον εὐφραίνειν. τούτου τὸ παρὸν φέρει σύνταγμα τὰς πρὸς τὸν ἅγιον Ἀμφιλόχιον ἐπίσκοπον Ἰκονίου κανονικὰς ἐπιστολὰς τρεῖς, εἰς κανόνας διηρημένας τέσσαρας καὶ ὀγδοήκοντα. καὶ ἕτερά τινα πρὸς ταύταις κεφάλαια διαφόρων ὑποθέσεων πέρι.

Περὶ τῶν κανόνων τοῦ ἁγίου Γρηγορίου Νύσσης.

Τούτῳ καὶ ὁ ἀδελφὸς Γρηγόριος σύμμαχος ἦν, ὁ τὸν τῆς E Νύσσης θρόνον κατακοσμήσας, μᾶλλον δὲ τὴν ὑφ᾽ ἡλίῳ σύμπασαν πλουσίῳ τῷ ῥείθρῳ τῶν λόγων ἀρδεύσας. ὃς οὐχ ἧττον τῷ περιόντι τῆς ἀρετῆς καὶ τῷ ὑπὲρ εὐσεβείας ζήλῳ ἢ καθ᾽ αἷμα προσήκειν ἠξίου τῷ ἀδελφῷ, ἵνα ὡς ἐν βραχεῖ τὸ πᾶν τοῦ δὲ γνώρισμα παραστήσω. τούτου τὴν πρὸς Λητόϊον ἐπίσκοπον μελιτινῆς κανονικὴν ἐπιστολὴν ὁ παρὼν ἔρανος τοῖς ἄλλοις συναριθμεῖ.

Περὶ τῆς ἐν Γάγγρᾳ τοπικῆς συνόδου.

F Καὶ ἡ ἐν Γάγγρᾳ δὲ τῇ μητροπόλει τῶν παφλαγόνων σύνοδος μετὰ τὴν ἐν Νικαίᾳ πρώτην συνέστη κατά τινος Εὐσταθίου καὶ τῶν ὁμοδόξων ἐκείνου. λέγεται οὖν Εὐστάθιος οὑτοσὶ ὡς Ἑρμείας Σωζόμενος ἱστορεῖ, τὴν ἐν Σεβαστίᾳ τῆς Ἀρμενίας ἐκκλησίαν ἀποτροπεῦσαι· μοναχικῆς. τε φιλοσοφίας ἄρξαι, καὶ τῆς ἐν ταύτῃ σπουδαίας ἀγωγῆς· ἐδεσμάτων τε ὧν χρὴ μετέχειν καὶ ἀπέχεσθαι, διαιτῆσαι, καὶ ἐσθῆτος ἧ δεῖ κεχρῆσθαι· ἠθῶν καὶ πολιτείας ἀκριβοῦς εἰσηγητὴς γενόμενος, ὡς καὶ τὴν ἀσκητικὴν βίβλον, ἥτις πατέρα καὶ δημιουργὸν τὸν μέγαν Βασίλειον ἐπιγράφεται, ἰσχυρίζεσθαί τινας αὐτῷ πονηθῆναι. τοῦτο δὲ ψεῦδος ἄντικρυς. οὐδ᾽ ὁπωσ·

ποιῶ γὰρ ἐκείνῳ τὰ τῆς βίβλου ταύτης προσῆκεν. εἰ γὰρ καὶ ἐν λόγοις ὁ ἀνὴρ ἐθρυλλεῖτο, καὶ τὸ ἦθος θαυμάσιος ἦν, καὶ ἱκανώτατος πείθειν, ὡς καὶ πολλοὺς τῶν ἐκπορνευομένων ἀνδρῶν τε καὶ γυναικῶν μεταπεῖσαι σώφρονα καὶ σπουδαῖον βίον ἑλέσθαι, ἀλλὰ τὸ ἀληθὲς εἰπεῖν, οὐ προσῆν καὶ τὸ δεινῶς γράφειν αὐτῷ, (οὐδὲ γὰρ τὴν περὶ τούτου ἐπιστήμην ἐξησκεῖτο.) τοῦτον τοίνυν φασὶν ὑπὸ πολλῆς ἀκριβείας εἰς παραλόγους ἐπιτηρήσεις παντάπασιν ἐκπεσεῖν ἀπᾳδούσας κομιδῇ τῶν τῆς ἐκκλησίας νόμων τε καὶ ἐθῶν. οἱ δὲ αὐτὸν μὲν τοῦ ἐγκλήματος ἐξαιροῦσιν, ἐπαιτιῶνται δέ τινας τῶν αὐτοῦ μαθητῶν, ὡς τὸν ἔννομον διαβάλλοντας γάμον, πάσης σωτηρίας ἐλπίδα τοῖς τούτῳ συνεζευγμένοις ἀποφαινομένους περιῃρῆσθαι· οἷς δὲ πειθόμενοι ἄνδρες τε καὶ γυναῖκες, οἱ μὲν τὰς ἑαυτῶν ἐξώθουν, αἱ δὲ τοὺς ἄνδρας ἀφίεσαν σωφροσύνης δῆθεν ἐφέσει· εἶτα τὸν ἄζυγα μὴ φέροντες βίον εἰς μοιχείαν ἐξώλισθον. ἀμέλει καὶ ἐν οἴκοις γεγαμηκότων οὔτε εὔχεσθαι οὔτε μὴν τροφῆς μεταλαμβάνειν ἠνείχοντο, ἀλλὰ καὶ τοὺς γεγαμηκότας τῶν πρεσβυτέρων ὑπερεφρόνουν, καὶ τὰς μὲν τῶν ἐκκλησιῶν ᾠκειοῦντο καρποφορίας, τὰς δὲ ἐν αὐταῖς συνάξεις αὐτοί τε καὶ τοῖς ἄλλοις ἐκτρέπεσθαι παρηγγύων, ἐν οἰκείαις δὲ μᾶλλον ἐκκλησιάζειν, κἀκεῖ ποιεῖσθαι τὴν κοινωνίαν. οὐ μὴν ἀλλὰ καὶ δὲ τῶν ἱερῶν οἴκων, ἐν οἷς μαρτύρων ἀπέκειτο λείψανα ὡς κοινῶν κατεφρόνουν· καὶ τὰς μὲν ὡρισμένας νηστείας ἠθέτουν· ἐν ταῖς κυριακαῖς δὲ νηστεύειν μᾶλλον ἀνέπειθον· τὰ κρέα καὶ τοὺς ταῦτα ἐσθίοντας ἐβδελύττοντο: τοὺς συνήθεις χιτῶνας καὶ στολὰς ἀμφιέννυσθαι οὐκ ἠξίουν, ἀλλὰ ξένας παντάπασι καὶ ἀήθεις· γυναῖκες παρ' αὐτοῖς τὴν κόμην ἀποκειρόμεναι, στολαῖς ἀνδράσι πρεπούσαις ἐκέχρηντο· δούλοις προσχήματι θεοσεβείας τῶν δεσποτῶν ἀφίστασθαι συνεβούλευον· τοὺς χρήμασι πλουτοῦντας καὶ μὴ χαίρειν αὐτὰ καθάπαξ ἐῶντας ἀμοιρήσειν τῆς τοῦ Θεοῦ βασιλείας διϊσχυρίζοιντο· καὶ τὰ πλεῖστα ἕτερα παραπλήσια τούτοις νεωτερίζοντες ἐδίδασκόν τε καὶ ἐδογμάτιζον. κατὰ τοίνυν τούτων τοὺς πλησιοχώρους φασὶ συνδραμεῖν ἐπισκόπους, ἣ προειρήκαμεν, καὶ οὓς ἴσμεν κατὰ τῶν ταύτῃ φρονούντων ἐκθέσθαι κανόνας ἐννεακαίδεκα· ἀλλοτρίους δὲ κἀκείνους τῆς καθολικῆς ἐκκλησίας ψηφίσασθαι· ἂν μὴ κατὰ τοὺς ὅρους τῆς συνόδου ἕκαστον τῶν σφίσι νενομισμένων ἀποκηρύξωσι. ἐντεῦθεν λόγος Εὐστάθιον ἐπιδεικνύμενον, ὡς οὐκ αὐθαδείας ἕνεκεν ἀλλὰ τῆς κατὰ θεὸν ἀσκήσεως εἰσηγεῖτο ταῦτα, καὶ ἐπιτήδευεν ἀμεῖψαί τε τὴν στολήν, καὶ παραπλησίως τοῖς ἄλλοις ἱερεῦσι τὰς προόδους ποιεῖσθαι. ἐνόμιζε γὰρ ἔσεσθαι τὰ τελευταῖα τῶν πρόσθεν παραίτησιν· εἰ καὶ μηδὲν τῆς ἐπινοίας ἀπώνατο, οὐδὲ ἀποδρᾶναι ἴσχυσε τὸ μὴ οὐ δίκην ὑπέχειν τῶν τετολμημένων, τὴν τῆς ἱερωσύνης ἀφαίρεσιν. οὐκ οἶδα δὲ τί μαθόντες οἱ θεῖον οὗτοι πατέρες ἐφ' ἑκάστῳ κανόνι οὐκ ἀφορισμὸν ἀλλὰ τὸ ἀνάθεμα προσετίθεσαν, τὴν πολλὴν οἶμαι τῆς κακίας ὁρμὴν ἐκ περιουσίας ἀναστεῖλαι βουλόμενοι.

Περὶ ἀναθέματος.

Τούτῳ δὲ τῷ ἀναθέματι ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος εἰς μόνους ἐχρήσατο τοὺς ἐπὶ χρήμασι χειροτονηθέντας, ἐπιφέρει δὲ τοῦτο καὶ μοναχοῖς τε καὶ κληρικοῖς, στρατιωτικὸν ἐπανῃρημένοις σχῆμα καὶ μὴ μεταμελομένοις. ἀλλὰ ὁ τὴν γλῶτταν χρυσοῦς ἐν τῇ ὁμιλίᾳ τῇ περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν, οὐκ οἴεται δεῖν ὅλως πιστὸν ἄνθρωπον ἀνάθεμα λέγειν. τοῦτο γὰρ παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει φησί, καὶ τῷ διαβόλῳ ἀνατίθησιν, ὡς μηκέτι χώραν ἔχειν τὸν τοιοῦτον σωτηρίας· ἀλλοτριοῦται γὰρ τοῦ Χριστοῦ καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως, ὁ ἀνάθεμα γενόμενος, καὶ προσκληροῦται τῷ Σατανᾷ. καὶ ὥσπερ τὰ τῷ θεῷ ἀνατιθέμενα τῶν κοινῶν καὶ ἀνθρωπίνων πραγμάτων χωρίζεται, οὕτως ἐκ τοῦ ἐναντίου τὰ τῷ πονηρῷ ἀφορισθέντα ἀποδιαιρεῖται τῶν θείων. διὰ γὰρ τοῦτο καὶ ὁ συνοδικὸς ὡς ἔοικε τόμος ἡ-

eo compoſitum fuiſſe contendant. Hoc autem mendacium ſatis eſt manifeſtum. Hic enim liber nullo modo ei convenit. Quamvis enim vir in ſermonibus vulgo celebratus eſt, & moribus admirabilis, & ad perſuadendum aptiſſimus fuit, adeo ut multos eorum qui ſtupro indulſerant, ad temperantem & honeſtam vitam traduxerit, tamen, ut quod verum eſt dicam, diſertè ſcribendi facultas ei non adfuit, (nec enim iſtam artem unquam exercuit.) Hunc igitur ab exquiſitâ diſciplinæ normâ ad abſurdas prorſus obſervationes delapſum referunt à legibus moribuſque eccleſiaſticis penitus diſcrepantes. Non deſunt tamen qui culpâ eum eximant; incuſent autem nonnullos ex iſtius diſcipulis, ut legitimum calumniantes matrimonium, & omnem iis qui illo implicantur ſalutis ſpem præcidi affirmantes. A quibus cum viri pariter ac mulieres perſuaſi fuiſſent, illi quidem uxores ſuas expellebant, hæ autem maritos continentiæ nimirum deſiderio derelinquebant: deinde vitam ſine conjuge traductam ægre ferentes in ſtuprum delabebantur. porro in matrimonio quoque conjunctorum ædibus nec orare, nec alimentum participare volebant: verum etiam Presbyteros conjugatos deſpectui habebant, & Eccleſiarum redditus ſibi vendicabant; conventus autem in iis celebratos iſti etiam & aliis fugiendos, in ædibus verò potiùs res Eccleſiaſticas peragendas, & communionem celebrandam eſſe præcipiebant. Quinetiam ſacras ædes in quibus martyrum reliquiæ reponuntur, tanquam profanas deſpiciebant, & jejunia ſtata negligebant, Dominicis autem potius jejunare perſuadebant: carnes & iis veſcentes abominabantur: Tunicas & ſtolas communiter uſitatas induere non volebant, ſed peregrinas omnino & inſuetas. Mulieres apud eos comam tonſæ veſtimentis virilibus utebantur: ſervis ſub religionis prætextu à dominis ſecedere conſulebant: iis qui divitiis affluunt, & eas omnino non relinquunt, nullam fore in Dei regno portionem affirmabant: & alia quamplurima hiſce ſimilia de novo introducentes docebant pariter ac tanquam dogmata præſcribebant. Adverſus hoſce igitur finitimos loco prædicto conveniſſe Epiſcopos tradunt, quos etiam contra eos qui hujus erant opinionis undeviginti edidiſſe canones nobis conſtat; iſtoſque ab Eccleſia Catholica alienos fore conſtituiſſe, niſi juxta Synodi decreta omnibus ſuis inſtitutis renunciarent: in eo igitur Concilio fama eſt Euſtathium declaraſſe, ſe non pertinaciæ ſed piæ exercitationis gratia hæc introduxiſſe, & habitum mutare, & non aliter atque reliqui Clerici paſſim incedere inſtituiſſe: Quæ enim poſtremò ſic ab eo geſta ſunt, prioribus ut parceretur, impetrari exiſtimabat: tametſi nihil utilitatis ex hoc commento percipiebat, nec pœnam auſis ſuis debitam, à ſacerdotio videlicet depoſitionem, aufugere poterat. Me verò latet quam ob rem divini hi patres ſingulis canonibus non ſegregationem ſed anathema appoſuerint, magnum nimirum malitiæ impetum ex abundantia propulſare cupientes.

De Anathemate.

Hoc autem anathema ſancta & univerſalis quarta Synodus in eos ſolos qui pecunia ordinati fuerunt, adhibuit, iſtud autem & Monachis quoque ac Clericis qui militarem ſuſceperunt habitum, & nondum reſipuerunt, imponit. Chryſoſtomus autem in homilia de eo, quòd non oportet anathematizare hominem fidelem, nec omnino oportere anathema proferre putat; hoc enim, inquit, à Chriſto prorſus abſcindit, & diabolo tradit, ut ſalutis aſſequendæ locum talis ampliùs non habeat. Qui anathema enim factus eſt, à Chriſto, & fidelium ſocietate ſeparatur, & Satanæ adjungitur. Et quemadmodum quæ Deo dedicantur, à communibus & humanis operibus ſegregantur, ſic è contrà quæ improbo ſeparantur, à divinis diſtrahuntur. Idcirco enim & Synodica, ut videtur, deciſio ſub imperio

UMI

A Conſtantini Porphyrogeneti, & Patriarchæ Alexii facta, quæ eos qui ab Imperatoribus deficiunt, & arma contra eos ſuſcipiunt, & tyrannidem exercent, anathemate ferit, abrogatur; adeo ut quæ à magno patre Chryſoſtomo dicta ſunt, potius quam quæ à quarta Synodo, & ab hâc Gangrenâ, obtinere debent. Quinetiam hi patres ſibi, ni fallor, ſe præter modum pœnas extendiſſe conſcii, ad canonum finem hæc aiunt, Hæc autem ſtatuimus, non iis qui ſeſe exercere velint ſuccenſentes, ſed iis qui exercitationem animo ſuperbo ambiunt, & nova quædam præter ſacras ſcripturas introducunt. Nos autem virginitatem cum humilitate admiramur; & continentiam cum pietate approbamus; & ſeceſſum à ſecularibus B negotiis cum debitâ modeſtiâ conjunctum admittimus: & honorabile matrimonium veneramur; & divitias cum juſtitia & beneficentia non vilipendimus; & veſtium tenuitatem non parvi facimus; longis autem veſtibus indutos, & effœminatos, & mollibus ſeſe veſtibus frangentes averſamur; Dei domos veneramur, & conventus in iis celebratos ut perquam utiles amplectimur, pietatem ædibus non includentes, sed omnem ſacram Domini nomine extructam domum venerabilem exiſtimantes; & fratrum in pauperes beneficentiam juxta Eccleſiæ traditiones recipimus: &, ut ſummatim dicamus, C Quæ à divinis ſcripturis, atque etiam quæ à traditionibus Apoſtolicis conſuetudine non ſcripta ſunt, amore proſequimur, & tradita ut nunquam poſthæc deſint qui talia faciunt, optamus.

De ſecunda Oecumenica Synodo.

Poſtea etiam ſecunda ex œcumenicis, Deo annuente, congregata eſt Synodus, ſecundo imperii magni Theodoſii anno, Nicæna prima annis quinquaginta duobus poſterior. Hæc igitur urbem Imperatricem ſacram D eſſe Academiam demonſtravit. Quinquaginta autem & centum ſacri viri congregati ſunt. Præſides habuit hæc Synodus Timotheum Alexandrinum, & admiratione dignum Meletium Antiochenum, & Cyrillum Hieroſolymitanum, verum etiam Nectarium, qui à Catechumenorum grege modo ſeparatus, & divino lavacro à vitæ ſordibus ablutus, jam purus puram ſacræ præfecturæ dignitatem induit, & reginæ urbium Epiſcopus ſimul ac Synodi præfectus nuncupatus eſt: quibus interfuit Gregorius Nyſſæ in Cappadocia Epiſcopus, & qui Theologus etiam ex operibus cognominatus eſt; qui Conſtantinopolitanum quidem thronum adhuc adminiſtrabat, E tumultu verò concitato, animo promptiori quam qui recepturi erant, thronum iis qui eum ſuſcipere volebant reliquit: & cum eleganti oratione Synodum majori quam antea admiratione affeciſſet, ad patriam ſuam Nazianzum rediit, & quam diu exoptaſſet requie gaviſus eſt. Haud multo poſt veteris quoque Romæ Epiſcopus Damaſus eadem quæ Synodus confirmavit. Sacer igitur hic chorus, cum Macedonium Spiritus ſancti inimicum, qui thronum Conſtantinopolitanum olim rapuerat, expuliſſent, & gregales ejus anathemate condemnaſſent, Spiritum ſanctum ejuſdem ac Pater & Filius honoris eſſe, ut Deum verum pronunciabant: quinetiam F cum contra amentem Apolinarium ſuffragium tuliſſent, Dominum mentis compotem, & animatam aſſumpſiſſe carnem ſtatuebant. Horum etiam præſens Syntagma ſeptem, quos ſolos ediderunt, canones exhibet.

θέτηται ὁ γεγονὼς ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ πατριάρχου Ἀλεξίου, ὁ τοὺς ἀποστάτας ἀναθεματίζων τῶν βασιλέων, καὶ κατ' αὐτῶν αἴροντας ὅπλα, καὶ τυραννίδα μελετῶντας. οἷα τὰ τοῦ μεγάλου πατρὸς Χρυσοστόμου ὀφείλοντα μᾶλλον κρατεῖν ἢ τὰ τῆς τετάρτης συνόδου καὶ τὰ τῆς ἐν Γάγγρᾳ ταυτησί. ἀλλά γε καὶ οὗτοι συνειδότες ἑαυτοῖς οἶμαι πέρα τοῦ μετρίου τὰ τῆς ἐπιτιμίας ἐκτείνοντας, τελευτῶντές φασιν, ταῦτα δὲ ὡρισάμεθα, οὐ τῶν ἀσκεῖν προαιρουμένων ἀγανακτοῦντες, ἀλλὰ τῶν ὑπερηφάνως διατίθεσι τὴν ἄσκησιν μετιόντων, καὶ καινά τινα παρὰ τὰς θείας εἰσαγόντων γραφάς. ἡμεῖς δὲ καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν, καὶ ἐγκράτειαν μετὰ θεοσεβείας ἀποδεχόμεθα· καὶ ἀναχώρησιν μετὰ τοῦ προσήκοντος κόσμου τῶν ἐγκοσμίων πραγμάτων ἀγάμεθα· καὶ γάμους τιμῶμεν σεμνούς· καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ εὐποιΐας οὐκ ἐξουδενοῦμεν· καὶ λιτότητα ἐνδυμάτων οὐκ ἀτιμάζομεν· τοὺς δὲ ἑλκεχίτωνας καὶ ἐκνενευρισμένους, καὶ θρύπτοντας ἑαυτοὺς μαλακοῖς ἐσθήμασιν ἀποστρεφόμεθα· τοὺς οἴκους τοῦ Θεοῦ σέβομεν, καὶ τὰς ἐν τούτοις συνάξεις ὡς ἐπωφελεῖς ἀσπαζόμεθα· οὐ τοῖς οἴκοις συγκλείοντες τὴν εὐσέβειαν, ἀλλὰ πάντα τὸν ἐπ' ὀνόματι τοῦ Κυρίου ἀνεγερθέντα ἱερὸν οἶκον σεπτὸν ἡγούμενοι· καὶ τὰς εἰς τοὺς πτωχοὺς εὐποιΐας τῶν ἀδελφῶν κατὰ τὰς παραδόσεις τῆς ἐκκλησίας προσιέμεθα· καὶ συλλήβδην εἰπεῖν, τὰ ὑπὸ τῶν θείων γραφῶν, ἔτι δὲ καὶ τῶν ἀποστολικῶν παραδόσεων ἀγράφῳ ἔθει παραδοθέντα καὶ στεργόμεθα, καὶ μήποτε παύσασθαι τοὺς ταῦτα ποιοῦντας εὐχόμεθα.

Περὶ τῆς δευτέρας οἰκουμενικῆς συνόδου.

Μετὰ τοῦτο καὶ ἡ δευτέρα τῶν οἰκουμενικῶν νεύσει θείᾳ συνελήλυθε σύνοδος, τῷ δευτέρῳ ἔτει τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου, χρόνοις ὑστερίζουσα τῆς ἐν Νικαίᾳ πρώτης δύο καὶ πεντήκοντα. αὕτη τοίνυν τὴν μὲν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυσε φροντιστήριον. εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο· ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας καὶ τὸν ἀξιάγαστον τῆς Ἀντιοχείας Μελίτιον, Κύριλλόν τε τὸν Ἱεροσολύμων, καὶ δὲ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος καθαρὸς ἤδη τὸ καθαρὸν τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται, καὶ ἅμα τῆς τε βασιλευούσης ἐπίσκοπος καὶ τῆς συνόδου ἔξαρχος ἐχρημάτιζε· μεθ' ὧν Γρηγόριος ὁ τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος, τὸν θρόνον μὲν ἔτι διέπων Κωνσταντινουπόλεως, στάσεως δὲ γενομένης, προθυμότερον ἢ οἱ ληψόμενοι τοῦ θρόνου τοῖς βουλομένοις παραχωρήσας· ὃς καὶ τῷ συντακτηρίῳ λόγῳ μᾶλλον ἢ πρότερον καταπλήξας τὴν σύνοδον εἰς τὴν ἑαυτοῦ πατρίδα Ναζιανζὸν ἐπάνεισι, καὶ ἣν ἐκ πολλοῦ ὤδινεν, ἡσυχίαν ἀσπάζεται. οὐ πολὺ δὲ ἐν μέσῳ καὶ ὁ τῆς παλαιᾶς Ῥώμης Δάμασος τὰ αὐτὰ τῇ συνόδῳ κρατύνειν ἐδείκνυτο. ὁ οὖν ἱερὸς οὗτος χορὸς τὸν πνευματομάχον διωσάμενοι Μακεδόνιον, ὃς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ἐποιήσατο, καὶ τοὺς σὺν αὐτῷ τῷ ἀναθέματι καταδικάσαντες, τὸ πνεῦμα τὸ ἅγιον ὁμότιμον τῷ πατρὶ καὶ υἱῷ ὡς θεὸν ἀληθινὸν ἐδογμάτισαν. ἔτι δὲ καὶ τῶν περὶ τὸν ἄνουν Ἀπολινάριον καταψηφισάμενοι, ἔννουν καὶ ἔμψυχον εἰληφέναι σάρκα τὸν Κύριον ἐπεψηφίσαντο. φέρει καὶ τούτων τὸ παρὸν σύνταγμα οὓς καὶ μόνον ἐκδεδώκασι κανόνας ἑπτά.

A

Περὶ τῶν κανόνων τοῦ ἁγίου Τιμοθέου καὶ τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας πατριαρχῶν.

Ἀλλὰ καὶ τοῦ ῥηθέντος τοῦδε Τιμοθέου Ἀλεξανδρείας κανόνες φέρονται κατὰ πεῦσιν καὶ ἀπόκρισιν πεντεκαίδεκα. τοῦ γοῦν μεγάλου πατρὸς Ἀθανασίου τὸν τῆς Ἀλεξανδρείας θρόνον πρὸς τῶν Ἀριανῶν ἀφῃρημένου, Γρηγόριος ὁ Καππαδόκης τῆς Ἀρειανικῆς ὑπάρχων αἱρέσεως, εἰσεφθάρη, καὶ τούτου δίκην δόντος δικαίαν, ὁ μέγας πάλιν ἐπάνεισιν Ἀθανάσιος, ὃν Πέτρος ὁ ὀρθόδοξος διαδέχεται, καὶ τούτου πρὸς τοῦ Οὐάλεντος ὑπερορισθέντος Λούκιος Ἀρειανὸς ἀντεισήχθη, καὶ τούτου ἀποφθαρέντος Πέτρος αὖθις τὸν θρόνον ἐπιλαμβάνεται. εἶτα Τιμόθεος οὗτος ὁ πάνυ, ἀναχθεὶς μὲν ἐπὶ τὸν θρόνον κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, παρὼν δὲ καὶ τῇ ῥηθείσῃ οἰκουμενικῇ δευτέρᾳ συνόδῳ· μετὰ δὲ τὴν ἑπταετίαν πρὸς κύριον ἐξεδήμησε, διάδοχον ἐσχηκὼς Θεόφιλον, οὗ καὶ αὐτοῦ ἐπιστολαὶ φέρονται δύο, καὶ κανόνες δύο. τοῦτον ὁ ἀδελφιδοῦς ὁ μέγας φημὶ Κύριλλος διεδέξατο· εἰσὶ καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ δύο εἰς κανόνας ἑπτὰ μεριζόμεναι.

De Canonibus ſancti Timothei, & ſancti Cyrilli Patriarcharum Alexandriæ.

Quinetiam dicti hujus Timothei Alexandrini quindecim ad quæſtionis & reſponſionis modum compoſiti canones adducuntur. Magno itaque patre Athanaſio throno Alexandrino ab Arrianis privato, Gregorius Cappadoces Epiſcopus Arrianâ hæreſi infectus introductus eſt, qui cum juſtam dediſſet pœnam, ſanctus Athanaſius reverſus eſt, cui Petrus orthodoxus ſuccedit, & eo in exilium per Valentem miſſo, Lucas Arria- B nus ſubſtitutus eſt, & eo defuncto, Petrus thronum rurſus ſuſcepit. Deinde celeberrimus hic Timotheus, ad thronum quidem quarto Imperatoris Theodoſii magni anno promotus: prædictæ autem Synodo ſecundæ Oecumenicæ interfuit. Poſt ſeptennium autem ad Dominum deceſſit, ſucceſſorem habens Theophilum, cujus etiam ipſius Epiſtolæ duæ & totidem canones adducuntur. Huic nepos ipſius, magnus nimirum Cyrillus, ſucceſſit: ſunt etiam ex illius Epiſtolis duæ in ſeptem canones diſtributæ.

C

Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου.

Ἡ γοῦν μὲν ἁγία οἰκουμενικὴ τρίτη σύνοδος ἔτει τῆς ἀρχῆς τρισκαιδεκάτῳ τοῦ νέου Θεοδοσίου, ἐν τῇ κατὰ Ἀσίαν συνεκροτήθη Ἐφέσῳ εἰς διακοσίους πληθυνομένη· ἑνὸς καὶ τεσσαράκοντα ἐτῶν ἀπὸ τῆς δευτέρας μέχρι ταύτης ἐκμετρηθέντων. ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο ὁ τῆς Ἀλεξανδρείας περιώνυμος ἐν πατράσι Κύριλλος, τοῦ τῆς πρεσβυτέρας Ῥώμης Κελεστίνου καὶ τὸ πρόσωπον πληρῶν καὶ τὸν θρόνον· Ἰουβενάλιος Ἱεροσολύμων· καὶ ὁ τῆς Ἐφεσίων πρόεδρος Μέμνων· οἵτινες τὸν ἐναγῆ Νεστόριον ἐκ τῆς Ἀντιοχείας μὲν ὁρμώμενον, τὸν δὲ τῆς Κωνσταντίνου θρόνον οὐκ εὐαγῶς ἐγκεχειρισμένον δίκας τῆς ἀσεβείας ἀπῄτουν· ἀνθ᾽ ὧν τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς δύο υἱοὺς τέμνειν οὐ πεφρικώς, τὸν μὲν ψιλὸν ἄνθρωπον τοῦ προσλαβόντος λόγου χωρίς, τὸν δὲ Θεὸν ἀνὰ μέρος γυμνὸν τοῦ προσλήμματος ὁ ἀνόητος ἔπλαττεν· ἑνωθέντα δὲ κατὰ σχέσιν ἐκείνῳ. καὶ ὥσπερ τὸν σωτῆρα Χριστὸν ἀπεστέρει τῆς ἑνότητος, οὕτω καὶ τὴν κυρίως θεοτόκον τῆς θεοτόκου κλήσεως. ἀλλ᾽ ἡ τῶν θείων πατέρων σύνοδος σαρκὶ καθ᾽ ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ πατρὸς λόγον λαμπρῶς ἐδογμάτισεν, ἕνα τε εἶναι υἱὸν μετὰ τοῦ προσλήμματος ἐν δυσὶ μὲν φύσεσι, μιᾷ δὲ γνωριζόμενον ὑποστάσει· ὡς τὸν αὐτὸν εἶναι θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν ἀμφοτέροις τὸ τέλειον ἔχοντα· ἐκ περιουσίας περιγινόμενον τῆς συγχύσεως. τὴν δὲ αὐτὸν ἀσπόρως καὶ ὑπὲρ φύσιν τεκοῦσαν ἀειπάρθενον κόρην, ἀληθῶς καὶ κυρίως ἀπεφήνατο θεοτόκον, τὸν ληρώδη Νεστόριον αὐτοῖς αὐτοῦ δόγμασι τῷ ἀναθέματι παραπέμψασα. συντάττουσι δὲ καὶ οἵδε κανόνας ὀκτώ.

De ſancta & Oecumenica Synodo tertia.

Sancta quidem & œcumenica tertia Synodus decimo tertio imperii Theodoſii junioris anno Epheſi, quod oppidum eſt Aſiæ, congregata eſt, ducentis Epiſcopis impleta, uno & quadraginta à ſecundâ uſque ad hanc numeratis annis. Jn quibus Præſides declarati ſunt celeberrimus inter patres Cyrillus Alexandrinus, Celeſtini ſenioris Romæ Epiſcopi & perſonam & ſedem implens; Juvenalius Hieroſolymitanus, & Memnon Epheſiorum præſul: qui ab execrabili Neſtorio Antiochiâ quidem D orto, thronum vero Conſtantinopolitanum impiè ſibi commiſſum habenti, pœnas impietatis exigebant, propterea quòd unum Dominum Jeſum Chriſtum in duos filios reſcindere nequaquam veritus, nudum quidem hominem ſine verbo aſſumente, Deum autem viciſſim eſſe etiam ſine naturâ aſſumptâ, ei vero ſecundùm habitudinem unitum imprudens commentus eſt: & ſicuti ſervatorem Chriſtum unitate, ſic & eum qui propriè à Deo genitus eſt, Deiparâ privavit. Divinorum autem patrum Synodus Verbum Deo Patre genitum carni ſecundùm perſonam uniri, unumque eſſe filium cum humanitate aſſumptâ, in duabus quidem naturis, unâ autem di- E ſtinctum perſonâ, ut idem ſit Deus ſimul atque homo, in utraque natura perfectionem habens, à confuſione verò abundè liber, aperte tradidit. Puellam autem perpetuò virginem quæ eum ſine ſemine, & ſupernaturaliter peperit, verè ac propriè Deiparam fuiſſe pronunciavit, delirum Neſtorium ob ſua ipſius dogmata anathemati ſubjiciens. Hi autem octo canones conſtituebant.

Περὶ τῆς ἐν Καρθαγένῃ συνόδου.

Ἀλλὰ καὶ ἡ ἐν Καρθαγένῃ τηνικαῦτα γέγονε σύνοδος, βασιλεύοντος ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ Ὀνωρίου, ἐν δὲ τῇ Κωνσταντινουπόλει τοῦ ῥηθέντος Θεοδοσίου τοῦ νέου· συνελθόντων εἰς Καρχηδόνα θείων πατέρων σιζʹ. ἐξ Ἀφρικῆς καὶ τῶν ὑποκειμένων ταύτῃ χωρῶν. ἡ γὰρ Καρθαγένη μέρος τῆς Καρχηδόνος ἐστίν· ἡ δὲ Καρχηδὼν ἐπαρχία τῆς Ἀφρικῆς· τῆς δὲ Ἀφρικῆς μοῖραι εἰσὶν ὀκτώ· πρώτη μὲν ἣν ἡ Ἀλεξάνδρεια καὶ ἡ πεντάπολις Λιβύης, καὶ ἡ καλουμένη ἔρημος Τρίπολις συμπληροῦσι· δευτέρα ἡ τοῦ Βυζακίου· τρίτη ἡ Καρχηδόνος ἡ καὶ προκωνσουλάρια, ἤτοι ἀνθυπατική. εἶτα

De Synodo Carthaginenſi.

F Quinetiam tunc temporis Synodus Carthagine celebrata fuit imperante in veteri Roma Honorio, Conſtantinopoli autem prædicto Theodoſio juniori; patribus ducentis ſeptemdecim ex Africa & regionibus ei ſubjectis Carchedone congregatis. Carthago enim pars eſt Carchedonis: Carchedon autem eſt provincia Africæ, cujus octo ſunt partes, prima quidem quam Alexandria, & Pentapolis Libyæ, & quæ vocatur, deſerta Tripolis complent: ſecunda Byzacii: tertia Carchedonis quæ etiam proconſularis, ſive Anthypatica: deinde Numidiæ duæ, vetus & nova: poſtea Mauritaniæ tres, ſive Sarinſia quæ & Cæſariana à metropoli ſua Cæſarea dicta: Sitifenſia, cujus metropolis eſt Sitifæna, & Tingiana, quæ metropolim habet Tingen. Præſidebat autem Synodo Aurelius Epiſcopus Carthaginenſis, quem etiam Papam nominabant, & loci conſervatores à Papa Romano miſſi, Fauſtinus Epiſcopus, Philippus & Aſellus Presbyteri; aderant autem & alii prædictarum Africæ provinciarum loci conſervatores, eorum qui ad Synodum venire non poterant loca implentes: unde & loci conſervationis nomen ſumptum eſt, à ſervando, hoc eſt tenendo, ſive implendo eorum qui eos mittunt loca.

De ſancta & Oecumenica Synodo quarta Chalcedone habita.

Priùs autem quam triginta anni à tertia elapſi ſunt, ſancta & Oecumenica quarta Synodus, primo Imperatoris Marciani benigni anno in celeberrima Bithyniæ urbe Chalcedone congregata eſt. Numerus autem Epiſcoporum erat ſexcenti triginta: cujus præſides declarati ſunt Anatolius Conſtantinopolitanus, Maximus Antiochenus, Juvenalius Hieroſolymitanus, quinetiam Paſcaſinus & Lucenſius Epiſcopi unà cum Bonifacio Presbytero, locum tenentes Leonis ſanctiſſimi veteris Romæ Papæ, cujus magna fuit fama, & multus pro pietate zelus: qui non ſuis tantum nunciis ſed etiam admirabili Epiſtola Synodi decreta confirmavit; quam etiam Patres fidei orthodoxæ columnam nuncuparunt: qui Eutychem Conſtantinopolis archimandritam, ejuſque defenſorem Dioſcorum Alexandriæ, qui fugientes nimirum Neſtorii diviſionem, unum Chriſtum noſtrum & Deum in duabus naturis manifeſtatum, in unicam naturam commiſcebant & confundebant, ob impietatem anathemate condemnabant. Hi etiam triginta canones Eccleſiæ largiti ſunt. Reliqua hic ſpectantia quære in primo capite literæ E.

De ſanctiſſimo Gennadio Conſtantinopolitano.

Secundo Leonis magni, qui poſt Marcianum imperavit, anno, divinus Gennadius ad thronum Conſtantinopolitanum promotus eſt Anatolio ſuccedens, & poſt annos quatuordecim ad Dominum receſſit. Hujus autem effertur Epiſtola ad Synodum Romæ habitam conſcripta, quæ oſtendit, quod nulla datur abſurditas quanta, quanta ſit, quam ordinatio pro pecuniis collata in ſe non continet.

De ſancta & Oecumenica quinta Synodo.

Quintæ vero & œcumenicæ Synodo canon nullo prorſus modo curæ fuit, niſi ut Origeniſtas, Didymos quoque & Evagrios qui Ethnicam mythologiam in Dei Eccleſiam introducere contendebant, anathemati ſubjiceret. Enimvero hi animarum præexiſtentiam deliri aſſerebant; & eandem quoque animam multa corpora induere, & æterni ſupplicii finem fore prædicabant. Congregata eſt autem duodeviceſimo imperii Juſtiniani magni anno, annis centum duobus quartâ ipſam præcedente poſterior: & urbium reginam ſacrum tanquam fanum ſibi conſtituebat. Centum autem ſexaginta quinque divinorum Patrum concurſu corroborata fuit: quibus præſidebat, primò Mœnas, deinde Eutychius ſummi ſacerdotis in reginâ urbium gubernacula ſucceſſivè dirigentes: Apolinarius Alexandrinus, Domnus Antiochenus: præterea autem & Didymus & Evagrius

A Νουμηδίαι δύο, παλαιά τε καὶ νέα, ἔπειτα Μαυριτανίαι τρεῖς, ἤγουν ἡ Σαρινσία, ἡ ϗ Καισαριανὴ καλουμένη ἀπὸ τῆς μητροπόλεως αὐτῆς Καισαρείας, Σιτιφενσία ἧς ἡ μητρόπολις Σιτίφαινα, καὶ Τιγγιανὴ ἡ μητρόπολιν ἔχουσα Τίγγιν. ἐξῆρχε δὲ τῆς συνόδου Αὐρήλιος ἐπίσκοπος Καρχηδόνος, ὃν ϗ Πάπαν ὠνόμαζον· ϗ οἱ σταλέντες ἐκ τοῦ Πάπα Ῥώμης τοποτηρηταί, Φαυστῖνος ἐπίσκοπος, Φίλιππός τε ϗ Ἄσελλος πρεσβύτεροι. παρῆσαν δὲ καὶ ἕτεροι τοποτηρηταὶ τῶν ἤδη εἰρημένων ἐπαρχιῶν τῆς Ἀφρικῆς, τοὺς τόπους ἀναπληροῦντες τῶν μὴ δυνηθέντων ἐλθεῖν εἰς τὴν σύνοδον. ὅθεν ϗ τὸ τῆς τοποτηρησίας ὄνομα ἐλήφθη, ἀπὸ τοῦ τηρεῖν ὅ ἐστι φυ- B λάσσειν ἤτοι τὸ ἀναπληροῦν τοὺς τόπους τῶν στελλόντων αὐτούς.

Περὶ τῆς ἁγίας ϗ οἰκουμενικῆς ἐν Χαλκηδόνι δ'. συνόδου.

Ἀλλὰ γὰρ πρὶν χρόνους ἀπὸ τῆς τρίτης ἐξήκειν τριάκοντα, ἡ ἁγία ϗ οἰκουμενικὴ τετάρτη σύνοδος τῷ πρώτῳ ἔτει τῆς βασιλείας Μαρκιανοῦ τοῦ χρηστοῦ ἐν τῇ περιωνύμῳ πόλει τῆς Βιθυνίας ἠθροίζετο Χαλκηδόνι, εἰς τριάκοντα δὲ ϗ ἑξακοσίους τὸν ἀριθμὸν ἐξετείνετο· ἧς λογάδες ἐγνωρίζοντο Ἀνατόλιος Κωνσταντινουπόλεως· Μάξιμος Ἀντιοχείας· Ἰουβενάλιος Ἱεροσολύμων· ϗ δὲ Πασκασῖνός τε ϗ C Λουκίνσιος ἐπίσκοποι σὺν Βονιφατίῳ πρεσβυτέρῳ τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου Πάπα τῆς πρεσβυτέρας Ῥώμης, οὗ μέγα τὸ κλέος, ϗ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος· ὃς οὐ μόνον ἀποστόλοις οἰκείοις, ἀλλὰ ϗ τῇ θαυμασίᾳ ἐπιστολῇ ἐπεκύρου τὰ τῆς συνόδου, ἣν ϗ στήλην ὀρθοδοξίας οἱ πατέρες προσηγορεύκασιν. οἵτινες τὸν Ἀρχιμανδρίτην Κωνσταντινουπόλεως Εὐτυχῆ ϗ τὸν ὑπερασπιστὴν αὐτοῦ Διόσκορον Ἀλεξανδρείας εἰς μίαν φύσιν ἀνακιρνῶντάς τε ϗ συγχέοντας τὸν ἐν δυσὶ φύσεσι γνωριζόμενον ἕνα Χριστὸν ἡμῶν ϗ Θεόν, φεύγοντες δῆθεν τὴν τοῦ Νεστορίου διαίρεσιν, ἀσεβείας ἕνεκα τῷ ἀναθέματι κατεδίκασαν. κανόνας ϗ οὗτοι δω- D ροῦνται τῇ ἐκκλησίᾳ τριάκοντα. ζήτει τὰ περὶ ταύτης ϗ ἐν τῷ α'. κεφαλαίῳ τοῦ Ε. στοιχείου.

Περὶ τοῦ ἁγιωτάτου Γενναδίου Κωνσταντινουπόλεως.

Τῷ δευτέρῳ ἔτει Λέοντος τοῦ μεγάλου, ὃς μετὰ Μαρκιανὸν ἐβασίλευσεν, ὁ θεῖος Γεννάδιος εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνάγεται, τὸν Ἀνατόλιον διαδεξάμενος, ϗ μετὰ τεσσαρεσκαιδέκατον ἔτος πρὸς κύριον ἐκδημεῖ. ἐπιστολὴ δὲ ἐκφέρεται τούτου πρὸς τὴν ἐν Ῥώμῃ σύνοδον δει- E κνῦσα, ὡς οὐδεμιᾶς ἀτοπίας ὑπερβολὴν καταλείπει τὸ χειροτονεῖν ἐπὶ χρήμασιν.

Περὶ τῆς ἁγίας ϗ οἰκουμενικῆς ε'. συνόδου.

Τῇ δέ γε ε'. οἰκουμενικῇ συνόδῳ κανὼν οὐδ' ὁπωσοῦν ἐμέλησεν ὅτι μὴ τῷ ἀναθέματι καθυποβαλεῖν τοὺς περὶ Ὠριγένην, Διδύμους τε ϗ Εὐαγρίους, τοὺς τὴν ἑλληνικὴν μυθολογίαν τῇ Θεοῦ ἐκκλησίᾳ φιλονεικήσαντας παρεισενεγκεῖν. προϋπάρξιν γὰρ ἐληρῴδουν ψυχῶν, καὶ πολλὰ F σώματα τὴν αὐτὴν ψυχὴν μετενδύεσθαι· καὶ τέλος εἶναι τῆς ἀτελευτήτου κολάσεως. ἠθροίστο δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου, ὑστερίζουσα τῆς πρὸ αὐτῆς τετάρτης χρόνοις δύο πρὸς τοῖς ἑκατὸν ϗ τέμενος μὲν ὥσπερ ἱερὸν ἑαυτῇ τὴν βασιλίδα τῶν πόλεων ἵδρυτο. πέντε δὲ ϗ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων συνδρομῇ ἐκρατύνετο· ὧν ἡγοῦντο τὰ πρῶτα Μηνᾶς, εἶτα Εὐτύχιος ἐκ διαδοχῆς τοὺς ἀρχιερατικοὺς τῆς βασιλευούσης ἰθύνοντα οἴακας· Ἀπολινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, πρὸς δὲ ϗ Δίδυμος ϗ Εὐάγριος.

γειος, Εὐτυχίου τοῦ τῶν Ἱεροσολύμων τόπον ἀναπληροῦντες· ὁ δέ γε Ῥώμης Βιγίλιος παρὼν μὲν τηνικαῦτα τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ· τὴν κοινὴν τῶν πατέρων πίστιν οὐχ ἥκιστα ἐπεκύρου λιβέλλῳ.

A Eutychii Hieroſolymitani locum adimplentes. Vigilius autem Romanus urbi etiam tunc temporis adfuit, Synodo vero non interfuit: communem nihilominus Patrum fidem libello confirmavit.

Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς ϛʹ. συνόδου.

Οὐ μὴν οὐδὲ τῇ κυρίως ἕκτῃ προὔργου εἶναι νενόμισται κανόνας συγγράφειν, ἑτέροις ἐχούσῃ τὸν νοῦν· ἥτις χρόνοις ἑνὸς δέοντος πεντήκοντα, καὶ ἑκατὸν κατόπιν τῆς προηγουμένης ἐλθοῦσα, τὴν βασιλίδα καὶ αὐτὴ πόλιν ἱερὸν ἐπήξατο θέατρον. ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόρους ἄνδρας ἀποδυσαμένους ἔχουσα πρὸς τὸν ἀγῶνα, λαμπρῶς νικῶσαν τὴν εὐσέβειαν ἐπεδείκνυ· ἔτει τρισκαιδεκάτῳ τῆς βασιλείας Κωνσταντίνου τοῦ λεγομένου Πωγωνάτου. ταύτης ἀρχηγοὶ ἐγνωρίζοντο Γεώργιός τε Κωνσταντινουπόλεως, καὶ Θεόδωρος καὶ Γεώργιος πρεσβύτεροι ἅμα Ἰωάννῃ Διακόνῳ τὸν τόπον ἀναπληροῦντες Ἀγάθωνος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης· τοῦ δὲ Ἀλεξανδρείας Πέτρος μόναχος, καὶ πρεσβύτερος τοῦ Ἱεροσολύμων. οὗτοι δὲ τοὺς περὶ Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς δυσσεβῶς τῆς Κωνσταντινουπόλεως προεδρεύσαντας· ἔτι δὲ καὶ Ὀνώριον Ῥώμης, Κῦρον Ἀλεξανδρείας, Μακάριον Ἀντιοχείας· Θεόδωρον τὸν Φαράν, Στέφανον καὶ Πολυχρόνιον, τῇ τοῦ ἀναθέματος καθυπέβαλεν δίκῃ· ἀνθ᾽ ὧν ἓν θέλημα καὶ μίαν ἐνέργειαν καὶ μετὰ τὴν σάρκωσιν τὸν κύριον ἡμῶν ἐδογμάτιζον ἔχειν. οἱ δὲ τῆς συνόδου δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως ἔχειν μετὰ τὴν σάρκωσιν τὸν κύριον ἡμῶν ἀπεφήναντο καὶ ἐκύρωσαν, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ᾽ ὅτι οὐδεμία φύσις τῶν δύο ἐπὶ Χριστοῦ φύσεων ἀθέλητος ἦν ἢ ἀνενέργητος· ἵνα μὴ τῶν ἰδιωμάτων τούτῳ ἑκατέρας φύσεως ἀναιρουμένων τῆς ἐνεργείας λέγω καὶ τῆς θελήσεως, καὶ αἱ φύσεις ὧν αὐταί εἰσιν ἰδιώματα συναιρεῖσθαι δοκῶσιν.

De ſancta & Oecumenica ſexta Synodo.

VII. *Quòd juxta pœnitentium diſpoſitionem, Epiſcopo ſupplicium illis vel remittere vel extendere liceat.*	*ib.*		ζ΄. Ὅτι κατὰ τὴν τῶν μετανοούντων διάθεσιν ἔξεστι τῷ ἐπισκόπῳ ἢ ἀνιέναι ἢ ἐπιτεῖναι τούτοις τὸ ἐπιτίμια.
VIII. *Quòd oportet pœnitentiam adhuc agentes, inſtante morte, ſanctam communionem participare: ſi recuperaverint, illa rurſum abſtinere.*	*p.* 180.		η΄. Ὅτι δεῖ τοὺς ἔτι μετανοοῦντας, τῆς τελευτῆς ἐφισταμένης, τῆς θείας ἀξιοῦσθαι κοινωνίας· εἰ δὲ ἀνακληθεῖεν, ταύτης πάλιν ἀπέχεσθαι.
IX. *Quòd pœnitentium confeſſiones accipere, & ſolvere, & ligare peccatores Epiſcopis conceditur; illorum verò conſenſu etiam Presbyteris.*	*pag.* 181.	C	θ΄. Ὅτι τῶν μετανοούντων τοὺς λογισμοὺς δέχεσθαι καὶ λύειν καὶ δεσμεῖν τὰ ἁμαρτήματα τοῖς ἐπισκόποις ἐδόθη, κατ᾽ ἐπιτροπὴν δὲ τούτων καὶ τοῖς πρεσβυτέροις.
X. *De iis, qui impuris cibis veſcuntur.*	*p.* 182.		ι΄. Περὶ μιαροφαγησάντων.
XI. *De Mimis & Scenicis.*	*ibid.*		ια΄. Περὶ Μίμων καὶ Σκηνικῶν.
XII. *De Elocatione.*	*ibid.*		ιβ΄. Περὶ μισθώσεως.
XIII. *De Sponſalibus.*	*p.* 183.		ιγ΄. Περὶ μνηστείας.
XIV. *De Adulterio.*	*ibid.*		ιδ΄. Περὶ μοιχείας.
XV. *De Monaſteriis & Monachis.*	*p.* 186.		ιε΄. Περὶ μοναστηρίων καὶ μοναχῶν.
XVI. *De ſancto Unguento.*	*p.* 195.		ις΄. Περὶ τοῦ ἁγίου μύρου.
Initium literæ N.			Ἀρχὴ τοῦ Ν στοιχείου.
CAP. I. *De Templorum ædificatione, & Conſecratione.*	*pag.* 196.	D	Κεφ. α΄. Περὶ νεῶν οἰκοδομῆς καὶ καθιερώσεως.
II. *Quòd non oportet intra Templi ambitus convivia fieri, vel cauponas eſſe, vel aliquid venum exponi, vel jumentum abſque neceſſitate introducere, vel aliquem cum muliere permanere.*	*ibidem.*		β΄. Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ νεὼ περιβόλων συμπόσια γίνεσθαι, ἢ καπηλεῖα εἶναι, ἢ τι κατ᾽ ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἢ τινὰ μετὰ γυναικὸς καταμένειν.
III. *De Infantibus expoſitis, vel de quibus dubitatur, an baptizati fuerint.*	*ibid.*		γ΄. Περὶ νηπίων ἐκτιθεμένων, ἢ ἀμφιβαλλομένων εἰ ἐβαπτίσθησαν.
IV. *De Jejunio.*	*ibid.*		δ΄. Περὶ νηστείας.
V. *Quod non deceat in Sabbatis aut Dominicis jejunare.*	*p.* 197.		ε΄. Ὅτι οὐ δεῖ νηστεύειν ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς.
VI. *Quòd jejunantes à cibis abſtinere debent, haud tamen quaſi in ſe execrabilibus.*	*ibid.*	E	ς΄. Ὅτι τοὺς νηστεύοντας οὐχ ὡς βδελυκτῶν τῶν βρωμάτων ἀπέχεσθαι δεῖ.
VII. *De Jure.*	*p.* 198.		ζ΄. Περὶ νόμου.
VIII. *De Poſſeſſione.*	*ibid.*		η΄. Περὶ νομῆς.
Initium literæ Ξ.			Ἀρχὴ τοῦ Ξ στοιχείου.
CAP. I. *De tollendis ſimulachris.*	*p.* 199.		Κεφ. α΄. Περὶ ξοάνων καθαιρέσεως.
II. *Quòd Clericos deceat hoſpites meritorio ſuſcipere.*	*ib.*		β΄. Ὅτι δεῖ τοὺς ξένους τῶν κληρικῶν ὑποδέχεσθαι.
Initium literæ O.			Ἀρχὴ τοῦ Ο στοιχείου.
CAP. I. *Quòd Epiſcopum apud ſe Oeconomum ac Præfectum habere oporteat.*	*ibid.*		Κεφ. α΄. Ὅτι οἰκονόμον ἔχειν δεῖ τὸν ἐπίσκοπον, καὶ τὸν ἡγούμενον.
II. *De Auguriis.*	*ibid.*		β΄. Περὶ οἰωνισμῶν.
III. *De iis qui ſe noctu polluunt.*	*ibid.*	F	γ΄. Περὶ ὀνειρωχθέντων.
IV. *De Juramentis.*	*ibid.*		δ΄. Περὶ ὅρκων.
Initium literæ Π.			Ἀρχὴ τοῦ Π στοιχείου.
CAP. I. *De geſticulationibus Thymelicis.*	*ibid.*		Κεφ. α΄. Περὶ παιγνίων θυμελικῶν.
II. *De Clericis in Tabernâ comedentibus.*	*p.* 200.		β΄. Περὶ τῶν ἐν πανδοχείῳ ἐσθιόντων κληρικῶν.
III. *De Epiſcopali Audientiâ.*	*ibidem.*		γ΄. Περὶ παραιτήσεως ἐπισκόπων.
IV. *De fœminis quæ votum caſtitatis ſuſcipiunt.*	*ib.*		δ΄. Περὶ τῶν παρθενίαν ἑλομένων γυναικῶν.
V. *De Jejunio in Paraſceve.*	*ibid.*		ε΄. Περὶ τῆς ἐν τῇ παρασκευῇ νηστείας.
VI. *De Depoſito ſive Fideicommiſſo.*	*ibid.*		ς΄. Περὶ καταθήκης ἢ παρακαταθήκης.
VII. *De ſacro Paſchate.*	*ibid.*		ζ΄. Περὶ τοῦ ἁγίου Πάσχα.

INDEX CAPITUM.

η'. Περὶ Πατριάρχου.
A θ'. Περὶ περιοδευτῶν, ἤτοι ἐξάρχων.
ι'. Περὶ πίστεως ὀρθοδόξου.
ια'. Περὶ πλεονεξίας καὶ ἁρπαγῆς.
ιβ'. Πῶς δεῖ τοὺς πνευματικοὺς πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους.
ιγ'. Οτι οὐ δεῖ πνικτὰ ζῶα ἐσθίειν.
ιδ'. Περὶ ποινῶν. [ιε'. Περὶ πορνείας.
ις'. Περὶ τοῦ πορνεῦσαι ἐπιθυμήσαντος καὶ μὴ πράξαντος.
ιζ'. Περὶ πορνοβοσκῶν.
B ιη'. Περὶ πρεσβείων καὶ προνομίων ὧν ἔχουσιν οἱ ἀρχιερεῖς καὶ αἱ ἐκκλησίαι, καὶ περὶ τῶν παροικιῶν αὐτῶν.
ιθ'. Περὶ ὧν ἔχουσιν οἱ πρεσβύτεροι δικαίων.
κ'. Περὶ προικώων πραγμάτων. [κα'. Περὶ προδοτῶν.

Αρχὴ τοῦ Ρ στοιχείου.

Κεφ. α. Περὶ τῶν ἐν ῥύσει ἀπροαιρέτῳ ἀνδρῶν τε καὶ γυναικῶν.

Αρχὴ τοῦ Σ στοιχείου.

Κεφ. α'. Οτι τοῖς σάββασιν οὐ δεῖ νηστεύειν.
β'. Περὶ σκηνικῶν.
C γ'. Οτι σταυρὸν ἐν ἐδάφει γράφειν οὐ δεῖ, ἀλλὰ καὶ τοὺς ὄντας ἀπαλείφειν.
δ'. Περὶ συμβολαίων καὶ συμφώνων.
ε'. Περὶ συμποσίων.
ς'. Περὶ τῶν τὰς ἱερὰς συνάξεις ἀποστρεφομένων.
ζ'. Περὶ τῶν συνεισάκτους γυναῖκας ἐχόντων κληρικῶν.
η'. Περὶ τῶν συνεπισταμένων κληρικοῖς ἁμαρτήματα καὶ μὴ ὁμολογούντων.
θ'. Περὶ τῶν συνόδων τῶν ἐτησίως γινομένων.
ι'. Περὶ συστατικῶν γραμμάτων.
ια'. Περὶ τῶν συνωμοσίας, ἢ φρατρίας, ἢ στάσεις ποιούντων. [ιβ'. Περὶ σχισματικῶν.

Αρχὴ τοῦ Τ στοιχείου. D

Κεφ. α'. Περὶ τῆς τάξεως τῶν κληρικῶν.
β'. Περὶ ταφῆς.
γ'. Οτι τοὺς τελευτήσαντας οὔτε βαπτίζειν θεμιτὸν, οὔτε τοῖς σώμασιν αὐτῶν κοινωνίας μεταδιδόναι.
δ'. Περὶ τῶν τέκνων τῶν κληρικῶν.
ε'. Περὶ τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῶν ἐν αὐτῇ τελουμένων ἐθῶν.
ς'. Περὶ τῆς ἐν τῇ τετράδι νηστείας.
ζ. Οτι τόκους λαμβάνειν ἀπείρηται παντὶ κληρικῷ.
η'. Περὶ τοῦ τρισαγίου ὕμνου.
θ'. Οτι τὰς τρίχας τῆς κεφαλῆς οὐ δεῖ καλλωπίζειν. E
ι'. Περὶ τυμβωρύχων.
ια'. Οτι τύπτειν κληρικοῖς οὐκ ἐφεῖται.

Αρχὴ τοῦ Υ στοιχείου.

Κεφ. α'. Περὶ ὕβρεων.
β'. Περὶ ὑδροπαραστατῶν αἱρετικῶν.
γ'. Περὶ υἱοθεσίας.
δ'. Περὶ ὑπηρετῶν ἤτοι ὑποδιακόνων.
ε'. Περὶ ὑποβόλου.

Αρχὴ τοῦ Φ στοιχείου.

F Κεφ. α'. Περὶ φαλκιδίου.
β'. Περὶ φαρμακῶν καὶ μάγων. [γ'. Περὶ φθορᾶς παρθένων.
δ'. Περὶ φιλαργυρίας.
ε'. Περὶ φόνων ἑκουσίων, καὶ ἀκουσίων.
ς'. Περὶ τῶν φονευόντων ἑαυτούς.
ζ'. Περὶ τῶν φόνων τῶν ἐν πολέμοις, καὶ τῶν φονευόντων λῃστάς.
η'. Περὶ τῶν φονευουσῶν γυναικῶν διὰ φαρμάκων τὰ ἔμβρυα.
θ'. Οτι οὐ δεῖ φυλακτήριον ποιεῖν.
ι'. Περὶ τῶν ἐν φυλακῇ κατακρίτων.

A VIII. *De Patriarchâ.* pag. 219.
IX. *De Viſitatoribus, ſive Exarchis.* p. 220.
X. *De Fide orthodoxa.* ibid.
XI. *De Avaritiâ & Rapinâ.* ibid.
XII. *Quonam modo oporteat Patres ſpirituales ſe gerere erga confitentes.* ibid.
XIII. *Quod animalibus ſuffocatis veſci haud liceat.* ib.
XIV. *De Pœnis.* p. 221. [XV. *De Fornicatione.* p. 222.
XVI. *De illo qui fornicari cupit, nec tamen actu fornicatur.* p. 224.
XVII. *De iis qui meretrices alunt.* p. 225.
B XVIII. *De Privilegiis & immunitatibus Prælatorum ac Eccleſiarū, atque etiam de Provinciis iſtorū.* p. 226.
XIX. *De jure Presbyterorum.* ibid.
XX. *De re dotali.* ib. [XXI. De *Proditoribus.* p. 227.

Initium literæ P.

CAP. I. *De viris ac mulieribus, qui involuntario profluvio laborant.* p. 228.

Initium literæ Σ.

CAP. I. *Quod in Sabbatis minimè jejunare oporteat.* ib.
II. *De Ludis Scenicis.* ibidem.
III. *Quod non oporteat in pavimento Crucem ſcribere,*
C *ſed & ita expreſſas delere.* ibid.
IV. *De pactis & contractibus.* ibid.
V. *De Conviviis.* p. 229.
VI. *De iis qui ſacras Synaxes vitant.* ibid.
VII. De *Clericis qui extraneas mulieres alunt.* ibid.
VIII. *De iis, qui aliis conſcii ſunt, nec tamen delicta illorum Clericis confitentur.* ibidem.
IX. *De Synodis quotannis habendis.* p. 230.
X. De *Literis commendatitiis.* p. 231.
XI. *De his qui conjurationes & fraternitates, aut ſeditiones ſtruunt.* ib. [XII. De *Schiſmaticis.* p. 132.

D Initium literæ T.

CAP. I. *De Ordine Clericorum.* pag. 235.
II. *De Sepulturâ.* ibid.
III. *Quòd mortuos baptizare minimè liceat, neque horum cadaveribus ſacra myſteria præbere.* ibid.
IV. *De Clericorum filiis.* ibid.
V. *De ſacrâ Quadrageſimâ, & ritibus qui in ea obſervantur.* p. 236.
VI. *De jejunio feriæ quartæ.* pag. 245.
VII. *Quòd interdictum ſit Clericis uſuras accipere.* ib.
VIII. *De Hymno triſagio.* p. 247.
E IX. *Quod capillos capitis delicatiùs ornare haud liceat.* ib.
X. *De Sepulchorum Violatoribus.* ibidem.
XI. *Quod Clericis verberare quempiam non permittitur.* p. 248.

Initium literæ Y.

CAP. I. *De Injuriis.* p. 250.
II. *De Hydroparaſtatis hæreticis.* ibid.
III. *De Adoptione.* ibid.
IV. *De Miniſtris ſive Hypodiaconis.* p. 251.
V. *De donatione ante Nuptias.* ibid.

Initium literæ Φ.

F CAP. I. *De Lege Falcidiâ.* p. 252.
II. *De Veneficis & Magis.* ib. [III. *De Stupro.* ibid.
IV. *De* φιλαργυρίας. ibid.
V. *De homicidio voluntario & involuntario.* p. 252.
VI. *De Suicidis.* p. 254.
VII. *De cædibus bellicis, & latronum interfectoribus.* p. 255.
VIII. *De mulieribus quæ medicamentis fetus ſuos enecant.* p. 257.
IX. *Quod Phylacteria facere minime oportet.* p. 258.
X. *De Damnatis qui in carcere ſervantur.* ibid.

Initium

Initium literæ X. A

CAP. I *Quanam ratione ordinandorum Episcoporum fiant electiones, & de litibus quæ circa illas oboriuntur.* pag. 259.
II. *Quod minimè oporteat ordinandorum electiones vel à Magistratu, vel à populo fieri.* p. 260.
III. *De tempore, intra quod Episcopos ordinari oportet.* ibidem.
IV. *Quales esse eos oportet qui Episcopi ordinandi sunt, & quænam præ ceteris scire.* p. 261.
V. *Quot Episcopi ad ordinationem Episcopi & reliquorum Clericorum requiruntur.* ibidem. B
VI. *Quod eum qui in Episcopum ordinandus est, oporteat ab uxore suâ separari.* p. 262.
VII. *De ætate ordinandorum.* ibid.
VIII. *Quòd non oporteat Episcopum morientem alium in locum suum sufficere ac ordinare.* ibid.
IX. *Quòd Episcopum aut Presbyterum aut Diaconum ordinari non oporteat, priusquam omnes suos domesticos Christianos fecerit.* ibid.
X. *Quòd non oporteat Laicum statim Episcopum creari, neque illum qui nuperrimè baptizatus fuit: & quibus de causis Clericus Sacerdotio excidit.* ibid. C
XI. *Quando ordinetur Eunuchus Episcopus aut Clericus, aut aliter corpore mancus.* p. 263.
XII. *Quod Episcopum in Ecclesiâ, cujus Episcopus adhuc in vivis est, non ordinari oporteat.* ibid.
XIII. *Quòd non oporteat Episcopum in civitate parva aut vico ordinari.* ibid.
XIV. *De ordinatione Chorepiscoporum.* ibid.
XV. *De Episcopo ordinato qui ad Ecclesiam suam abire recusat.* ibid.
XVI. *Quòd non licet Episcopo ordinationes facere in districtu ipsi non subjecto.* p. 264. D
XVII. *Quod non permittitur Episcopo Clericum alius Provinciæ ordinare.* ibid.
XVIII. *Quòd quibusdam Episcopis concessum est alienos Clericos recipere, & ordinare in suis Ecclesiis.* ib.
XIX. *Quod ordinatur Clericus, etiam ille qui non est ex genere Sacerdotali.* ibid.
XX. *Quando ordinantur & servi.* p. 265.
XXI. *De Ordinatione Lectorum.* ibid.
XXII. *Quod Clerici non ordinabantur simpliciter.* ib.
XXIII. *Quando ordinatur Catechumenus qui ante baptismum immolavit.* ibid.
XXIV. *Quod reordinationes fieri minimè oporteat.* ib. E
XXV. *De illo qui crimini alicui obnoxius, ordinatur tamen.* p. 266.
XXVI. *Quod is non debet ordinari, qui ægrotus baptizabatur.* ibid.
XXVII. *De iis qui jurant se sacros ordines nondum suscepisse.* ibid.
XXVIII. *De his qui propter pecuniam ordinantur.* ib.
XXIX. *De Viduis.* p. 169.
XXX. *De his qui infirmitate aliquâ corporali laborantes derident.* ibidem.
XXXI. *De sacro Chrismate: & quinam ex hæreticis, qui ad Ecclesiam revertuntur, per solam Unctionem recipiuntur.* p. 270. F
XXXII. *De Christianismo.* ib. [XXXIII. *De Chorepiscopis.* ibid.

Initium literæ Ψ.

CAP. I. *Quomodo psallere & orare oportet.* p. 271.
II. *De Cantoribus & Lectoribus.* ibid.
III. *Quòd hæreticorum Pseudomartyres adire non licet.* ibid.
IV. *Quomodo in ordinationibus fiant suffragia.* ibid.

Initium literæ Ω.

CAP. I. *Quibusnam licet orarium gestare.* p. 272.

Ἀρχὴ τοῦ Χ στοιχείου.

Κεφ. α'. Οπως τῶν χειροτονουμένων ἐπισκόπων αἱ ψῆφοι γίνονται, καὶ περὶ τῆς γινομένης ἐν ταύταις ἀντιλογίας.
β'. Οτι τὰς τῶν χειροτονουμένων ψήφους, οὔτε παρὰ ἀρχόντων, οὔτε παρὰ τοῦ δήμου γίνεσθαι χρή.
γ'. Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.
δ'. Οποίους εἶναι δεῖ τοὺς χειροτονουμένους ἐπισκόπους, καὶ τίνα πρὸ πάντων γινώσκειν χρή.
ε'. Υπὸ πόσων ἐπισκόπων χειροτονοῦνται οἱ ἐπίσκοποι, καὶ οἱ λοιποὶ κληρικοί.
ϛ'. Οτι τὸν χειροτονηθήσεσθαι μέλλοντα ἐπίσκοπον δεῖ πρότερον τῆς ἰδίας χωρίζεσθαι γυναικός.
ζ'. Περὶ τῆς τῶν χειροτονουμένων ἡλικίας.
η'. Οτι οὐ δεῖ χειροτονεῖν ἕτερον ἀντ' αὐτοῦ τὸν τελευτῶντα ἐπίσκοπον.
θ'. Οτι οὐ δεῖ χειροτονεῖσθαί τινα ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἂν μὴ πρότερον τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας ποιήσῃ Χριστιανούς.
ι'. Οτι οὐ δεῖ χειροτονεῖσθαι ἀθρόον τὸν λαϊκὸν ἐπίσκοπον, οὐδὲ τὸν ἄρτι φωτισθέντα. καὶ διὰ ποίας αἰτίας ὁ κληρικὸς τῆς ἱερωσύνης ἀφαιρεῖται.
ια'. Πότε χειροτονεῖται εὐνοῦχος ἐπίσκοπος ἢ κληρικός, ἢ ἄλλως τὸ σῶμα λελωβημένος.
ιβ'. Οτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν ἐκκλησίᾳ ἧς ὁ προϊστάμενος ἔτι περίεστι.
ιγ'. Οτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν πόλει μικρᾷ ἢ κώμῃ.
ιδ'. Περὶ χειροτονίας χωρεπισκόπων.
ιε'. Περὶ τοῦ χειροτονηθέντος ἐπισκόπου καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν.
ιϛ'. Οτι οὐ δεῖ χειροτονίας ποιεῖν τὸν ἐπίσκοπον ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ ἐνορίαις.
ιζ'. Οτι χειροτονεῖν ἐπισκόπῳ οὐκ ἔξεστι κληρικὸν ἑτέρας ἐπαρχίας.
ιη'. Οτι τισὶ τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς, καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις.
ιθ'. Οτι χειροτονεῖται κληρικὸς, καὶ ὁ μὴ ἐκ γένους ἱερατικοῦ καταγόμενος.
κ'. Πότε χειροτονοῦνται καὶ οἱ δοῦλοι.
κα'. Περὶ χειροτονίας ἀναγνωστῶν.
κβ'. Οτι οὐκ ἐχειροτονοῦντο ἀπολελυμένως οἱ κληρικοί.
κγ'. Οτε χειροτονεῖται ὁ πρὸ τοῦ βαπτίσματος θύσας κατηχούμενος.
κδ'. Οτι ἀναχειροτονήσεις οὐ δεῖ γίνεσθαι.
κε'. Περὶ τοῦ ὑποκειμένου ἁμαρτήμασι, καὶ χειροτονηθέντος.
κϛ'. Οτι οὐ δεῖ χειροτονεῖσθαι τὸν ἐν νόσῳ φωτισθέντα.
κζ'. Περὶ τῶν τὴν χειροτονίαν ὀμνυόντων μὴ καταδέξασθαι.
κη'. Περὶ τῶν χειροτονουμένων ἐπὶ χρήμασιν.
κθ'. Περὶ χηρῶν γυναικῶν.
λ'. Περὶ τῶν χλευαζόντων τοὺς ἀσθενῶς τοῦ σώματος ἔχοντας.
λα'. Περὶ τοῦ ἁγίου χρίσματος, καὶ τίνες χρίονται μόνον τῶν προσερχομένων τῇ ἐκκλησίᾳ αἱρετικῶν.
λβ'. Περὶ Χριστιανισμοῦ. [λγ'. Περὶ Χωρεπισκόπων.

Ἀρχὴ τοῦ Ψ στοιχείου.

Κεφ. α'. Πῶς δεῖ ψάλλειν καὶ εὔχεσθαι.
β'. Περὶ ψαλτῶν καὶ ἀναγνωστῶν.
γ'. Οτι πρὸς τοὺς ψευδομάρτυρας τῶν αἱρετικῶν οὐ δεῖ ἀπιέναι.
δ'. Οπως αἱ ψῆφοι γίνονται τῶν μελλόντων χειροτονεῖσθαι.

Ἀρχὴ τοῦ Ω στοιχείου.

Κεφ. α'. Τίνα δεῖ ὠράριον φέρειν.

ΣΥΝΤΑΓΜΑ

MATTHAEI MONACHI
SIVE BLASTARIS,
SYNTAGMA ALPHABETICUM, LITERA A.

ΠΡΟΛΟΓΟΣ
ΠΕΡΙ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ.

ΤΑΣ τῶν ἱερῶν τοίνυν ὑποθέσεις κανόνων κατὰ στοιχεῖον διελεῖν δοκιμάσαντες, οὐ μὴν ἀλλὰ καὶ ὡς οἷόν τε τό γε εἰς ἡμᾶς ἧκον, ταύτας ἐπιτεμεῖν. ὡς ἂν ῥᾳδίως ἐντεῦθεν οἱανδηποτοῦν ὑπόθεσιν τοῖς ζητοῦσιν ἐξευρίσκειν ὑπάρξῃ, δεῖν ᾠήθημεν καὶ οὕτως ἄρα προθέμενοι, τοὺς τὴν ὀρθὴν πίστιν ὀρθοῦντας θεοπνεύστους κανόνας τετάχθαι προτέρους. τοῖς γὰρ ἐπὶ τῷ θεμελίῳ ταύτης ἀσφαλῶς ἱδρυμένοις ἐν καλῷ κείσεται, μὴ ἐν παρέργῳ καὶ τὰ τῶν λοιπῶν τιθέναι κανόνων. οἱ δὲ τῆς ἀληθοῦς ἠλλοτριωμένοι πίστεως, καὶ τὸν θησαυρὸν τῶν ὀρθῶν σεσυλημένοι δογμάτων, ποίαν τῶν ἱερῶν κανόνων ἐπιστροφὴν ἔχοιεν ἄν. ταύτῃ τοι καὶ τὰ φύσει πρότερα οὐκ ἐχρῆν τῷ ἀριθμῷ καὶ τάξει τοῦτο κληρωσαμένων στοιχείων δεύτερα θεῖναι. οἷον ἄρα καὶ τῆς ζωῆς μεταλαχοῦσι τροφὴν προσίεσθαι, ὁ τῆς φύσεως δίδωσι νόμος. καὶ ταύτῃ δήπου μὴ προσιεμένους ἐπὶ πλεῖστον ἴσμεν ἔστιν οὓς τῶν θείων ἀνδρῶν διαρκέσαντας· τοῖς δέ γε τὸ ζῆν ἀφῃρημένοις πάρελκον οἶμαι καὶ περιττόν τί γε πρὸς ὄνησιν ἡ τροφὴ, τῆς ὀρεκτικῆς καὶ μεταληπτικῆς οἰχομένης δυνάμεως· ἄλλως τε καὶ πίστει μὲν σωθέντας ἐνίους ἔστιν ὅπου λόγος αἱρεῖ, καὶ αἱ τῶν πραγμάτων ἱστορίαι διδάσκουσιν· ἔργων γε μὴν πίστεως μὴ προηγησαμένης, τοσοῦτον οἱ μετιόντες ἀπώναντο, ὁπόσον καὶ οἱ τὰς ὄψεις ἐκκεκομμένοι τοῦ ἡλιακοῦ τοῦδε φωτός.

Τῆς μὲν οὖν ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου εὐθὺς ὁ πρῶτος κανὼν μόνην εἶναι κυρίαν πίστιν ἐνόμισεν, ἣν οἱ ἐν Νικαίᾳ τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες ἐκπεφωνήκασιν, ὡς ἐξ ὑγιῶν συνισταμένην δογμάτων. ἁπάσας μέν τοι τὰς ἄλλως ἢ ὡς αὕτη φρονούσας αἱρέσεις ἐάσας ἐρρῶσθαι τῷ ἀναθέματι παραπέμπει.

Ο δέ γε ε΄. αὐτῆς καὶ τοὺς εἰς Σαρδικὴν συνεληλυθότας δι᾽ ἐπαίνου τίθεται, ἀνθ᾽ ὧν τὸν περὶ τῆς πίστεως τόμον τῶν ἐν Νικαίᾳ προσεπικύρωσαν.

Η ἁγία δὲ καὶ οἰκουμενικὴ γ΄. σύνοδος ἐν ϛ΄. καὶ ζ΄. κανόνι τοὺς εἰς τοῦτο τόλμης ἰόντας ὡς ἕτερον παρὰ τὸ ἐν Νικαίᾳ συντεθὲν ἱερὸν σύμβολον συγγράφειν· ἔτι δὲ καὶ τοὺς τὰ δυσσεβῆ Νεστορίου δόγματα προσιεμένους, καὶ οὕτω τοὺς τῇ ἐκκλησίᾳ προσιόντας πειρωμένους μυσταγωγεῖν, τοῦ κλήρου μὲν ἐξωθεῖ, εἰ κληρικοὶ εἶεν· λαϊκοὺς δὲ ἀφίησι τῷ ἀναθέματι.

Η γε μὴν ἁγία καὶ οἰκουμενικὴ ϛ΄. σύνοδος ἐν τῷ πρώτῳ κανόνι τὴν πρὸς τῶν ἱερῶν ἀποστόλων παραδοθεῖσαν ἡμῖν πίστιν παρεγγυᾷ μὴ καινοτομεῖν· πρὸς δὲ καὶ τὰ ἐν τῇ πρώτῃ δογματισθέντα μὴ παρεξιέναι συνόδῳ. οἱ δὲ τὸ ὁμοούσιον τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων τοῖς πᾶσι κηρύξαντες, τοὺς περὶ τὸν θεομανῆ Ἄρειον τῷ φρονήματι σφῶν μὴ συμβαίνοντας τελέως ἀποκηρύττουσιν· ἔτι δὲ καὶ τὰ ἐν τῇ δευτέρᾳ θεσπισθέντα συνόδῳ προσκυνητὰ

PROLOGUS
DE ORTHODOXA
FIDE.

CUM nobis igitur ſacrorum argumenta canonum juxta literarum ordinem diſtribuere propoſitum fuerit, eademque præterea, quantum in nobis eſt, in compendium redigere, quo quodcunque argumentum quærentibus invenire facilius ſit, neceſſarium duximus, & ſic igitur apud nosmet conſtituimus, divinitùs inſpiratos, qui rectam fidem confirmant, priori in loco collocare canones: Iis enim qui ſuper illius fundamento ſecurè ſtabiliti ſunt, commodum videbitur non ſupervacaneum, ut reliqui quoque canones apponantur. Iſti vero qui à rectâ fide alienati ſunt, & rectorum dogmatum theſauros ſpoliati, qualem ſacrorum canonum curam habeant? Quocirca quæ natura ſint priora, poſt ea quæ numero ac ordine literarum iſtud ſortita ſunt collocentur, nequaquam neceſſe erat. Quemadmodum nimirum iis etiam, qui vitâ fruuntur nutrimentum deſiderare lex naturalis dedit: Et iſtud quidem non deſiderantes nonnullos novimus è divinis viris qui diu perdurarunt: vitâ vero functis ſuperfluum, ut opinor, & ſupervacaneum eſt nutrimentum quatenus ad aliquam exinde percipiendam utilitatem, appetitivâ & participativâ ceſſante facultate. Præcipuè cùm fide quidem ſervatos nonnullos eſſe fama alicubi referat, & rerum Hiſtoriæ tradant: fide verò operibus non præmiſſâ, tantum qui in hiſce exercentur, percipiunt fructum, quantum oculis capti è lumine hoc ſolari.

Sanctæ igitur & œcumenicæ ſecundæ Synodi primus ſtatim canon eam ſolam authenticam eſſe fidem conſtituit, quam trecenti duodeviginti divini Patres Nicææ congregati ediderunt, tanquam ex ſanis dogmatibus compoſitam: Univerſas autem, quæ aliàs atque ipſa ſentiunt, hæreſes valere jubens, anathemati ſubmittit.

Quintus autem ejuſdem Synodi canon eos qui Sardicæ convenerunt, laudibus effert, propterea quòd Patrum Nicænorum de fide volumen confirmaſſent.

Sancta autem & Oecumenica tertia Synodus in ſexto & ſeptimo canone, iſtos qui eò audaciæ perveniunt, ut aliud præter ſacrum illud, quod Nicææ compoſitum eſt, ſymbolum conſcribere; & iſtos præterea, qui impia Neſtorii dogmata admittunt, atque ita eos, qui ad Eccleſiam accedunt, initiare moliuntur, Clero quidem expellit, ſi Clerici ſint, Laicos autem anathemati ſubjicit.

Sancta verò & Oecumenica ſexta Synodus in primo canone traditam nobis à ſanctis Apoſtolis fidem non immutare, & præterea quæ in primâ Synodo decreta ſunt, non tranſilire jubet. Hi autem Patres cùm trium divinæ naturæ Perſonarum conſubſtantialitatem omnibus prædicaſſent, impios Arrianos ſententiæ ipſorum aſſenſum non præbentes, perfectè abdicabant. Inſuper autem & quæ in ſecundâ conſtituta ſunt Synodo veneranda eſſe præcipiebant. Hæc enim Synodus cùm Spiritus ſancti inimicum Macedonium expuliſſet, & ſocios ejus anathemate condemnaſſet, Spiritum ſanctum Patri & Filio honore æqualem, utpote verum Deum eſſe tradidit. Quinetiam cùm dementem Apolinarium condemnaſſet, Dominum mentis compotem & animatam aſſumpſiſſe carnem docuit: & præterea quæcunque tertia decreviſſet Synodus, confirmare ſtuduit. Unum enim illa Chriſtum Dei filium poſt Incarnationem prædicavit; & puellam perpetuò Virginem quæ ſine ſemine, & ſupra naturam illum peperit, verè & propriè Deiparam fuiſſe declaravit. Et delirantem Neſtorium qui unum Chriſtum in duos diviſit filios ſuis ipſius dogmatis, perpetuo anathemati ſubjecit, quemadmodum & ſacra Patrum quartæ Synodi dogmata rata fore conſtituit: hi autem cum impiam Eutychis & Dioſcori confuſionem Eccleſiæ liminibus expuliſſent, unum Chriſtum ex duabus compoſitum naturis etiam poſt unionem ſpectatum verè tradidit. Iſtos enim ex diametro contrariam Neſtorianæ impietatem amplexos, & in imaginatione magnum œconomiæ perfici myſterium arbitratos, eum quidem impiæ diviſionis, hos autem magis impiæ confuſionem inferentis unionis aſſertores, odio merito proſecuti, procul Deo abjiciunt. Adhæc autem & quæcunque quinta divino inſpirata Spiritu Synodus docuit, amplecti hæc Synodus præcipit: & à pernicioſis eorum qui ante eam condemnati fuerant, Originis nimirum & iſtius aſſeclarum, deliramentis ſeparari. Cæterùm & ſacrarum Synodorum, quæ ipſam præceſſerant, decreta hæc cùm confirmaſſet & ſtabiliviſſet, ſexta videlicet hæc Synodus in ipſo prædicto canone, duas voluntates, & duas naturales in uno Domino noſtro operationes cùm ſtatuiſſet, Pyrrhi & Sergii gregales, unam in Domino temerè prædicantes voluntatem exterminabat. Omnium autem pietate inſignium fidem firmam in omne ævum manere, piè decreverunt; eoſque qui quippiam vel addunt vel detrahunt à rectâ ſanâque fide nobis traditâ, anathemate dignos pronunciarunt.

Hiſce concinens Synodus Carthagine celebrata, in primo ipſius & ſecundo canone, divinorum in prima Synodo congregatorum Patrum decreta, & de venerandæ ſanctæque Trinitatis conſubſtantialitate, & de fide noſtra in eam habenda ſummo proſequi honore mandat, quorum & ſacrum fidei ſymbolum verbatim exponit.

Leges autem civiles totidem verbis ſic definiunt. Chriſtianus eſt qui credit, unam eſſe Deitatem in æquali Patris & Filii & Spiritus ſancti poteſtate: Qui vero præter dicta ſentit, hæreticus eſt.

A εἶναι προστάττει. αὕτη γὰρ τὸν πνευματομάχον διωξαμένη Μακεδόνιον, καὶ τοὺς σὺν αὐτῷ τῷ ἀναθέματι καταδικάσασα, τὸ πνεῦμα τὸ ἅγιον ὁμότιμον πατρὶ καὶ υἱῷ εἰς Θεὸν ἀληθινὸν παραδέδωκεν. ἀλλὰ δὲ καὶ τὸν ἄνουν Ἀπολινάριον κατακρίνασα, ἔννουν καὶ ἔμψυχον ἀνειληφέναι σάρκα τὸν κύριον ἐδογμάτισεν· οὐ μὴν ἀλλὰ καὶ ὅσα γε ἡ τρίτη σύνοδος ἐψηφίσατο, κρατύνειν ἐσπούδακεν. ἕνα γὰρ ἐκείνη Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ μετὰ τὴν σάρκωσιν ἐδογμάτισε· καὶ τὴν αὐτὸν ἀσπόρως καὶ ὑπὲρ φύσιν τεκοῦσαν ἀειπάρθενον κόρην, ἀληθῶς καὶ κυρίως ἀπεφήνατο θεοτόκον. καὶ τὸν ληρώδη Νεστόριον, τὸν ἕνα Χριστὸν εἰς δύο διαιροῦντα υἱούς, B αὐτοῖς αὐτοῦ δόγμασι τῷ αἰωνίῳ ἀφίησιν ἀναθέματι, ὡς δὲ καὶ τῶν ἐν τῇ δ΄. πατέρων τὰ ἱερὰ δόγματα ἐμπεδοῖ· οἳ τὴν ἐξάγιστον σύγχυσιν Εὐτυχοῦς τε καὶ Διοσκόρου, τῶν ὁδῶν τῆς ἐκκλησίας ἐξοστρακίσαντες, τὸν ἕνα Χριστὸν ἐκ δυοῖν φύσεων συντεθέντα, καὶ ἐν δυσὶ φύσεσι καὶ μετὰ τὴν ἕνωσιν θεωρούμενον, ἀτεχνῶς ἐδογμάτισε. τούτους γὰρ τὴν ἐκ διαμέτρου τῆς Νεστορίου ἀσπασαμένους δυσσέβειαν, καὶ δοκήσει τὸ μέγα τῆς οἰκονομίας τελεσθῆναι μυστήριον οἰομένους, τὸν μὲν τῆς δυσσεβοῦς διαιρέσεως, τοὺς δὲ τῆς δυσσεβεστέρας συγχυτικῆς ἑνώσεως, ἐνδίκως μισήσαντες Θεοῦ πόῤῥω βάλλουσιν. ἀλλὰ δὲ καὶ ὅσα ἡ C πέμπτη θείῳ ἐμπνευσθεῖσα πνεύματι ἐδογμάτισεν, ἐπισκήπτει ἀσπάζεσθαι· καὶ τῶν περὶ αὐτῆς καταψηφισθέντων ἀποδιΐστασθαι τῶν ὀλεθρίων, φημὶ Ὠριγένους καὶ τῶν περὶ αὐτὸν, ληρημάτων. ἀλλὰ καὶ ἡ τὰ τῶν πρὸ αὐτῆς ἱερῶν συνόδων ταύτη βεβαιωσαμένη καὶ στηρίξασα, ἡ ἕκτη φημὶ σύνοδος, ἥδε ἐν αὐτῷ τῷ ῥηθέντι κανόνι, δύο θελήσεις, ὡς καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τοῦ κυρίου ἡμῶν δογματίσαντες, τοὺς περὶ Πύῤῥον καὶ Σέργιον, μίαν θέλησιν ἐπὶ τοῦ κυρίου ἀλογίστως κηρύξαντας, ἐκκηρύκτους τεθέασι· πάντων δὲ τῶν ἐπ' εὐσεβείᾳ γνωρίμων κρατεῖν τὴν πίστιν βεβαίαν μέχρι συντελείας αἰῶνος εὐσεβῶς τεθεσπίD κασι· καὶ τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας τῆς ἡμῖν παραδεδομένης ὀρθῆς καὶ ὑγιοῦς πίστεως, τοῦ ἀναθέματος ἀξίους ψηφίζονται.

Τούτοις συνᾴδουσα καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος, ἔν τε τῷ πρώτῳ καὶ δευτέρῳ ταύτης κανόνι, τὰ τῶν ἐν τῇ πρώτῃ συνόδῳ θείων πατέρων δογματισθέντα, περί τε τοῦ ὁμοουσίου τῆς προσκυνητῆς καὶ ἁγίας τριάδος, καὶ τῆς εἰς αὐτὴν ἡμῶν πίστεως διαφερόντως ἐπισκήπτει πρεσβεύειν, ὧν καὶ τὸ ἱερὸν τῆς πίστεως σύμβολον πρὸς λέξιν ἐκτίθεται.

E Οἱ δὲ πολιτικοὶ οὕτω κατὰ ῥῆμα θεσπίζουσι νόμοι. Χριστιανός ἐστιν ὁ πιστεύων μίαν εἶναι θεότητα ἐν ἴσῃ ἐξουσίᾳ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ὁ δὲ παρὰ τὰ εἰρημένα δοξάζων αἱρετικός ἐστι.

ΑΡΧΗ ΤΟΥ Α ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Περὶ τῶν ἀρνησαμένων τὴν ἀμώμητον ταυτηνὶ τῶν Χριστιανῶν πίστιν, καὶ ὅπως τοὺς μεταμελομένους τούτων προσίεσθαι δεῖ.

Ἐπιχειρότατον δ' ἂν εἴη μετὰ τούτων διεξιέναι, ὅπως τοὺς ἅπαξ φωτισθέντας, Παῦλος ἂν δή που ὁ μέγας ἔφησε, B γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας (ὢ τῆς ζημίας) καὶ ἀρνησαμένους τὴν εἰς τὸν κύριον πίστιν, οἱ θεῖοι πατέρες σπλάγχνοις ἀφάτων οἰκτιρμῶν αὖθις ὠδίνουσι (Παῦλος, καὶ τοῦτο ἀναπληρούτω μοι) μέχρις ἂν ὁ Χριστὸς μορφωθῇ ἐν αὐτοῖς· οἷς μέντοι πολὺς μεταμέλος τῆς δεινῆς ἀβουλίας εἰσῄει. πλείους γὰρ οἱ πατέρες κἀν τούτοις ἐπιτετηρήκασι τὰς διαφοράς, ταῦτ' ἄρα καὶ διαφόρους προσεννενοήκασι τὰς ἐκ τῶν ἐπιτιμίων θεραπείας.

Ὁ τοίνυν μέγας τῆς Νύσσης Γρηγόριος, τῷ τῆς σοφίας περιόντι C καὶ πνευματικῆς ἐπιστήμης, συμπάντων τῶν ἡμῖν ἁμαρτανομένων τὴν γένεσιν ἀκριβούμενος, εὐθὺς ἐν τῷ α'. κανόνι τρία φησὶ τὰ κατὰ τὴν ψυχὴν ἡμῶν θεωρούμενα· τὸ λογικόν, τὸ θυμικόν, καὶ τὸ ἐπιθυμητικόν. ἐν τούτοις καὶ τὰ κατορθώματα τῶν ἀρετὴν μετιόντων, καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀποῤῥεόντων. καὶ τοῦ μὲν λογικοῦ ἀρετὴν εἶναι τὴν εὐσεβῆ περὶ τὸ θεῖον ὑπόληψιν, καὶ τὴν τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴν ἐπιστήμην, καὶ τί μὲν ὀρεκτὸν ἐν τοῖς οὖσι, τί δὲ βδελυκτὸν ἐπίστασθαι καὶ ἀπόβλητον· κακίαν δὲ τούτου τὴν ἐκ τοὐναντίου περὶ τὸ θεῖον ἀσέβειαν, οἷον εἴ τις τὴν εἰς Χριστὸν ἀρνησάμενος D πίστιν πρὸς Ἰουδαϊσμὸν ἢ εἰδωλολατρείαν ἢ Μανιχαϊσμὸν ἐξετράπη, ἢ πρὸς γόητας καὶ μάγους ἀπιὼν ἑάλω, καὶ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους· καὶ ἁπλῶς εἰπεῖν, τὸ περὶ τὴν κρίσιν τῶν πραγμάτων ἐσφάλθαι, ὡς τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, κατὰ τὴν γραφήν. τοῦ δ' αὖ ἐπιθυμητικοῦ ἀρετὴν ἀτεχνῶς εἶναι τὴν τῆς ἀρετῆς ἔφεσιν· τό, ἐρωτικῇ τε πάσῃ δυνάμει καὶ ψυχῆς ὁλοκληρεῖ διαθέσει θεῷ κολλᾶσθαι, καὶ μηδενὸς τὴν εἰς αὐτὸν ἀγάπην προΐεσθαι, παρ' οὗ πηγάζεται τοῖς ἀνθρώποις ἡ ἀρετὴ καὶ πᾶν δώρημα τέλειον· ἥ που φησὶν ὁ θεῖος Ἰάκωβος. τούτου E δέ γε σκαιότητα τὴν φιληδονίαν, τὴν φιλοχρηματίαν, τὴν τῆς κενῆς δόξης ἔφεσιν καὶ τοῦ ἐπικεχρωσμένου τοῖς σώμασιν ἄνθους, ἥ γε δὴ καὶ εἰς πορνείαν ἐν καρδίᾳ μελετωμένη τελευτᾷ, ἢ καὶ μοιχείαν. ταύτας οὖν τὴν μὲν ἐπιβουλὴν ὡρίσατο καὶ ἀδικίαν τοῦ ἀλλοτρίου, τὴν δέ γε πορνείαν, ἐπιθυμίας μόνης ἐκπλήρωσιν τῆς τοῦ πέλας γάμου μὴ διορύττουσαν. τῆς δὲ ἀτόπου μοιχείας καὶ τὴν παιδεραστίαν ἠρτῆσθαι, καὶ τὴν ζωοφθορίαν· φύσεως γὰρ καὶ ταῦτα κρίνει μοιχείαν, ὡς ἂν εἰς ἀλλότριον δή που καὶ παρὰ τὴν φύσιν γινομένης τῆς ἀδικίας. τῆς γε μὴν θυμώδους διαθέσεως ἐπαινουμένην καὶ κατὰ φύσιν ἐνέργειαν, τὴν πρὸς τὸ κακὸν ἀπέχθειαν, τὸ F τοῖς πάθεσι πολεμεῖν, πρὸς ἀνδρίαν τε ἐστομῶσθαι, καὶ μὴ τὰς τοῦ θανάτου ἀπειλὰς δεδιέναι, πεῖράν τε ἀλγεινῶν μὴ καταπτήσσειν βασάνων, καὶ πρὸς τὴν τῶν ἡδίστων ἢ συνήθων διάζευξιν μὴ μαλακίζεσθαι τῆς πίστεως καὶ ἀρετῆς ἀντεχόμενον. ἐκτροπὴν δὲ ταύτης καὶ ἀπόπτωμα, τὸ φθονεῖν τε καὶ μνησικακεῖν τὰς ἐμφιλονείκους ἐρεσχελίας, αἳ δὴ καὶ εἰς πληγὰς ἔσθ' ὅτι τελευτῶσι καὶ φόνους.

Περὶ μὲν οὖν τῶν δύο τῆς ψυχῆς δυνάμεων, θυμοῦ τε φημὶ καὶ ἐπιθυμίας, καὶ τῶν ἐν τούτοις συνισταμένων ἁμαρτημάτων τῷ προσήκοντι τόπῳ καὶ ὡς ἡ τάξις ἀπαιτεῖ τῶν

INITIUM LITERÆ A.

CAPUT PRIMUM.

De iis qui immaculatam hanc Chriſtianorum fidem negarunt; & quomodo qui ex iis pœnitentiam agunt, admittendi ſunt.

PEropportunum erit deinceps enarrare, quomodo qui ſemel illuminati fuerint, (uti alicubi dicit Magnus Paulus) & guſtaverint donum cæleſte, & participes facti fuerint Spiritus ſancti, & bonum Dei verbum guſtaverint, & virtutes futuri ſæculi, & lapſi ſint (oh ingens damnum!) & fidem in dominum negaverint, Sancti Patres viſceribus ineffabilis miſericordiæ iterum parturiunt, (Paulus, & hoc mihi compleatur, inquit) donec Chriſtus formetur in iis; quos nimirum ob graviſſimum ſuum errorem magna pœnitentia inceſſit. Etenim Patres in iis plurimas differentias obſervârunt, & propterea per pœnas diverſa remedia porrexerunt.

Magnus itaque Gregorius Nyſſenus *in Epiſtolâ ad Letoium* ſapientiâ & cognitione ſpirituali excellentem, omnium peccatorum noſtrorum originem inveſtigaturus, in primo ſtatim Canone, tria in animâ noſtrâ conſideranda dicit; Rationem, Iram, & Concupiſcentiam; inque iis tùm rectè facta eorum qui virtutem proſequuntur, tùm delicta eorum qui ad vitium prolabuntur, conſiſtere. Et Rationis quidem virtutem eſſe, piam de Deo opinionem, inter bonum & malum diſcernendi ſcientiam; & quid in rebus expetendum ſit, quidque averſandum & rejiciendum, cognoſcere: ejus autem vitium eſſe oppoſitam circa res divinas impietatem; prout, ſi quis fidem in Chriſtum negans, ad Judaiſmum, vel Idololatriam, vel Manichæiſmum converſus fuerit, vel ad præſtigiatores & magos, eoſque qui ſe per dæmonas piacula quædam & averruncationes operaturos pollicentur, abiiſſe deprehenſus ſit; &, ut uno verbo dicam, fallacitèr de rebus judicare, ut lucem tenebras ponere, & tenebras lucem; uti ait Scriptura. Rurſus Concupiſcentiæ virtutem planè eſſe, boni appetitionem, omni facultate amatoriâ, & totâ animæ affectione Deo adhærere, & amorem ejus, à quo virtus & omne perfectum donum hominibus derivatur, (uti alicubi dicit ſanctus Jacobus) pro nulla re pro derelicto habere: ejus autem declinationem eſſe, libidinem, avaritiam, inanis gloriæ, & floris, qui corporis ſuperficiei eſt illitus, deſiderum; quod in anima exercitum in fornicatione aut adulterio terminatur: quorum quidem, adulterium definit, inſidias & injuriam alteri allatam; Fornicationem vero, libidinis duntaxat expletionem, quæ vicini conjugium non attingit. Quinimo & pædicatum, & cum brutis animalibus commercium, adulterio irrationali appendi dicit; ea enim, utpote in id quod alienum eſt, & præter naturam factam injuſtitiam, naturæ adulterium exiſtimat. Facultatis denique iraſcibilis laudabilem & ſecundum naturam actionem eſſe, mali odium, perturbationibus animæ bellum indicere, ad fortitudinem corroborari, & mortis minas non expaveſcere, graviſſima tormenta ſine metu experiri, propter disjunctionem à rebus jucundis conſuetiſque non langueſcere, fidei & virtuti adhæreſcentem. Hujus autem declinationem & lapſum eſſe, invidere, rixarum & ſcommatum recordari, quæ in plagis aliquando & cædibus terminantur.

De duabus animæ potentiis, ira nempe & concupiſcentia, & peccatis quæ in iis conſiſtunt, ſuo loco, & ut ordo literarum poſtulat, inferius dicetur; peccata autem quæ à Rationis motu præternaturali procedunt, in præſenti conſiderabimus: ea enim graviora à Patribus judicata ſunt, & multò laborioſiori converſione digna; quorum non minimum eſt, rectæ fidei abnegatio; de quâ verba facere mihi in animo eſt. Ea igitur non ſolum ex modorum differentiâ, verum & ex temporum diverſitate, judicatur. Vel enim minis ſolis perterriti erant, aut adulatione irretiti, qui lapſi ſunt, vel qui tormenta experti cruciatuum acerbitatem ferre nequibant. Porro alii quidem voluntariè impietatem amplexi ſunt, ſe bona ſua aliter amiſſuros exiſtimantes; alii vero poſt fidei abdicationem, perſequutores (oh hominum impietatem!) evaſerunt. Ex iis rurſus alii errorem pro veritate commutarunt, cum religio adhuc in primordiis eſſet, & nondum bene ſtabilita; cumque perſequutio valdè ferveret, & Tyranni furore perciti veritatis præcones graviſſimis tormentis ſubjicerent: alii autem cum religio omnes ſub ſole terras illuſtraret, & reges, non minus quam diademata, quibus cincti ſunt, adornaret.

De Clericis qui propter metum fidem negârunt.

De Clericis metu periculi lapſis lxii. ſanct. Apoſtol. canon, Si quis, inquit, Clericus propter metum humanum, vel Judæi vel Græci, vel Hæretici, negaverit, ſiquidem nomen Chriſti, omnino ejiciatur, ſi vero Clerici deponatur; pœnitentiam autem agens, Laici locum capiat.

Primus autem & ſecundus Syn. Ancyranæ canon, Preſbyteros & Diaconos qui metu tormentorum ſacrificârunt, deinde contra reluctati ſunt, ſeu pœnitentiam egerunt, & coram Tyrannis Chriſtum confeſſi ſunt, honoris quidem & cathedræ participes eſſe jubet, munus vero ſacerdotale aliquod obire non permittit.

Porro ſanctus Petrus Alexandrinus in decimo canone, qui, inquit, clerum ſuum deſeruerunt, & ſe periculis ultro obtulerunt, Coronæ Martyrii deſiderio accenſi, tormentis vero ſuperati ſacrificârunt; ſi contingat eos rurſus pœnitentiam agere, & coram tyrannis ſe Chriſtianos eſſe confiteri; æquum eſt ut Laicorum communione eâque ſolâ digni habeantur. Planum autem eſt eos ſenſus expertes eſſe, ſi miniſterium à quo ſponte exciderunt, iterum ambiant; neque enim qui clerum ſemel deſeruit, per confeſſionem Chriſti, pro caſu ſuo gratiam demereri poteſt.

Decimus autem Synodi primæ Canon, quamvis, inquit, qui lapſi ſunt & fidem negârunt, ordinati fuerint, ſive inſciis ſive conſciis iis qui eos ordinârunt, poſtea cogniti deponuntur, ab eâ ordinatione nequicquam adjuti.

De Laicis qui fidem negârunt.

Laicos qui metu ſolo ſupplicii, vel publicationis, vel exilii, impietati ceſſerunt, vi. Syn. Ancyranæ canon in ſexennium à ſacrorum myſteriorum perceptione arcet.

Idem ſtatuit tertius canon ſancti Petri Alexandrini martyris.

Primus autem ejuſdem canon, eos qui poſt tormentorum graviſſimorum perpeſſionem ſacrificarunt, ad tres annos pœnitentiæ condemnat.

A στοιχείων ῥηθήσεται· αἰτία δὲ ἡ τοῦ λογιστικοῦ παρὰ φύσιν δημιουργὸς κίνησις, ὃ νῦν ἤδη σκοπήσομεν· ταῦτα γὰρ καὶ χαλεπώτερα τοῖς πατράσιν ἐκρίθη, καὶ μείζονος καὶ ἐπιπονωτέρας δεόμενα τῆς ἐπιστροφῆς, καὶ τούτων οὐχ ἥκιστα ἡ τῆς ὀρθῆς πίστεως ἄρνησιν, περὶ ἧς καὶ εἰπεῖν προεθέμεθα. αὕτη τοίνυν μὴ ὅτι γε τῇ τῶν τρόπων διαφορᾷ, ἀλλὰ καὶ τῷ διαλλάττοντι κρίνεται τῶν καιρῶν. ἤτοι γὰρ μόνην καταπλαγέντες ἀπειλὴν, ἢ κολακείᾳ ὑποπλακέντες εἰσὶν οἱ κατηνέχθησαν, ἢ καὶ βασάνων πειραθέντες, καὶ πρὸς τὴν δριμύτητα μὴ ἀντισχόντες τῶν αἰκισμῶν. καὶ οἱ μὲν ἐθελοντὶ τὴν τῆς ἀσεβείας ἠσπάσαντο πραγμάτων ἀπηλλάχθαι B νομίζοντες, οἱ δὲ καὶ μετὰ τὴν τῆς πίστεως ἀθέτησιν διῶκται (φεῦ τῶν ἀσεβῶν) γεγόνασι. καὶ τούτων αὖθις οἱ μὲν τὸ πλάνον τῆς ἀληθείας ἠλλάξαντο, ἐν προοιμίοις οὔσης τῆς εὐσεβείας, καὶ μηδέπω καλῶς ἱδρυμένης, ἡνίκα καὶ ὁ διωγμὸς σφοδρὸν ἔπνει, καὶ μανικῶς τῶν τυράννων ἀνηκέστοις καθυποβαλλόντων βασάνοις τοὺς πρεσβεύοντας τὴν ἀλήθειαν· οἱ δὲ ὅτι τὸ τῆς εὐσεβείας τὴν ὑφ' ἡλίῳ περιέσχε, καὶ βασιλέας οὐχ ἧττον ἐκόσμει ἢ οὗ περίκεινται διαδήματος.

Περὶ τῶν διὰ φόβον ἀρνησαμένων κληρικῶν τὴν πίστιν.

C Περὶ μὲν οὖν τῶν φόβῳ κινδύνου κατενεχθέντων κληρικῶν ὁ ξβ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, εἴ τις φησὶ κληρικὸς διὰ φόβον ἀνθρώπινον ἢ Ἰουδαίου ἢ Ἕλληνος ἢ αἱρετικοῦ, εἰ μὲν τὸ τοῦ Χριστοῦ ἀρνήσεται ὄνομα, παντελῶς ἀποβαλλέσθω, εἰ δὲ τὸ τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ, χώραν λαϊκοῦ λαμβανέτω.

Ο μέντοι α΄. καὶ β΄. τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν, τοὺς φόβῳ βασάνων θύσαντας πρεσβυτέρους καὶ διακόνους, εἶτα ἀναπαλαίσαντας ἤτοι μετανοήσαντας, καὶ τῶν τυράννων ἐνώπιον τὸν Χριστὸν ὁμολογήσαντας, τῆς μὲν τιμῆς μετέχειν D καὶ τῆς καθέδρας κελεύει, ἱερατικὸν δέ τι ἐνεργεῖν οὐκ ἐφίησιν.

Ο δὲ ἅγιος Πέτρος Ἀλεξανδρείας ἐν τῷ ι΄. κανόνι, οἱ τὸν ἴδιον καταλιπόντες φησὶ κλῆρον καὶ τοῖς κινδύνοις σφᾶς αὐτοὺς ἐπιδεδωκότες στεφάνων ἐφέσει μαρτυρικῶν· ἡττηθέντες δὲ τῶν βασάνων καὶ τεθυκότες, εἰ καὶ εἰσαῦθις ἀναπαλαῖσαι τούτοις ὑπῆρξε, καὶ Χριστιανοὺς ἑαυτοὺς τῶν τυράννων ἐνώπιον ὁμολογῆσαι, δίκαιοι ἂν εἶεν τῆς τῶν λαϊκῶν ἀξιοῦσθαι κοινωνίας, καὶ μόνης. ἀναισθήτως δ' ἔχειν αὐτοὺς ἀποφαίνεται, εἰ τῆς λειτουργίας αὖθις μεταποιοῖντο ἧς ἐκπεπτώκασιν E ἑκόντι· τῷ γὰρ τοῦ κλήρου ἅπαξ ἀποφοιτήσαντι οὐδὲ ἡ ὑπὲρ Χριστὸν ὁμολογία τοῦτον αὖθις χαρίζεσθαί οἱ διὰ τὴν ἔκπτωσιν δύναται.

Ο δὲ τῆς α΄. συνόδου ι΄. κανὼν, εἰ καὶ προεχειρίσθησαν φησὶν οἱ παραπεπτωκότες καὶ ἀρνησάμενοι, ἀγνοούντων ἢ εἰδότων τῶν χειροτονησάντων, γνωσθέντες ὕστερον καθαιροῦνται, μηδὲν ἐκ τῆς χειροτονίας ὠφεληθέντες.

Περὶ τῶν ἀρνησαμένων λαϊκῶν.

F Λαϊκοὺς δέ γε τοὺς ἀπειλῇ καὶ μόνῃ κολάσεως ἢ δημεύσεως ἢ ἐξορίας τῇ ἀσεβείᾳ ὑπείξαντας, ὁ ϛ΄. τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν ἐπὶ ἑξαετίαν τῶν ἱερῶν μυστηρίων ἀπείργει.

Ταύτης οὐκ ἀποδεῖ τῆς ψήφου καὶ ὁ τρίτος τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας.

Ο δέ γε α΄. αὐτοῦ, τοὺς μετὰ πεῖραν ἀνηκέστων τεθυκότας βασάνων ἐπὶ τριετίαν καταδικάζει.

Ο δὲ

A Ὁ δὲ β΄. τοὺς μετὰ τὴν ἐν φυλακῇ μόνῃ ταλαιπωρίαν, καὶ μέχρι τετραετίαν.

Οὕτω καὶ ὁ τῆς ἐν Ἀγκύρᾳ δ΄. τῶν τοιούτων καθάπτεται, πρὸς δὲ καὶ ὁ ε΄. πλὴν τοὺς μετὰ τὸ θῦσαι ἐν ἐσθῆτι δειπνήσαντας φαιδροτέρᾳ μᾶλλον ἐπιπλήττει ἢ τοὺς ἐν τῷ δείπνῳ δεδακρυμένους καὶ πενθικὸν ἔσθημα περικειμένους.

Ὁ δὲ αὖ η΄. ταύτης τοὺς δὶς καὶ τρὶς θύσαντας μετὰ βίας εἰς ζ΄. ἔτος τῆς κοινωνίας ἐξοστρακίζει.

B Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ α΄. κανόνι, οἱ βασάνοις χαλεποῖς αἰκισθέντες φησὶ καὶ θύσαντες ἐν ῥητῷ χρόνῳ ἐτῶν θ΄. ἐπιτιμηθήσονται.

Ὁ δὲ ζ΄. τῆς ἐν Ἀγκύρᾳ, τοὺς ἐν εἰδωλείῳ ἐθνικοῖς συνεστιαθέντας, εἰ καὶ ἴδια βρώματα ἐπικομιζόμενοι βεβρώκασι, διὰ δέ γε τὸ δόξαι τοῖς ἀπίστοις συνεορτάζειν, μετὰ διετίαν εἰς κοινωνίαν κελεύει δέχεσθαι. ὅθεν φασί τινες, καὶ τοὺς πρέσβεις ἢ αἰχμαλώτους ἐθνικοῖς συνεστιαθέντας χρὴ μετρίως ἐπιτιμᾶν, τοὺς δὲ καταφρονήσει καὶ ἀδιαφορίᾳ τοῦτο ποιοῦντας σφοδρότερον.

C Ὁ δὲ μέγας Βασίλειος ἐν πα΄. κανόνι, τοὺς μετὰ πεῖραν βασάνων περιγενέσθαι τῶν πόνων μὴ ἐξαρκέσαντας, καὶ εἰδωλοθύτων γευσαμένους, καὶ ὅρκους ὀμομοκότας ἑλληνικούς, μετὰ χρόνους ἓξ τῇ ἱερᾷ προσιέναι ἀξιοῖ κοινωνίᾳ. τοὺς μέντοι μεγάλης ἄνευ ἀνάγκης τὴν πίστιν προδεδωκότας, καὶ τραπέζης δαιμονίων ἡμμένους ὡς ἔτος η΄. παρατείνει.

Περὶ τῶν ἀρνησαμένων ἑκουσίως.

D Ἡ πρώτη γε μὴν τῶν οἰκουμενικῶν σύνοδος, ἔν τε τῷ ια΄. καὶ ιβ΄. κανόνι, τοῖς χωρὶς οἱασοῦν ἀνάγκης τὰ τῶν Χριστιανῶν ἐξωσαμένοις ἐπὶ τῆς τυραννίδος τοῦ δυσσεβοῦς Λικινίου, καὶ γνήσιον αὖθις τὸ μεταμέλον ἐπιδειξαμένοις, εἰς δωδέκατον ἔτος τὴν μέθεξιν τῶν ἁγιασμάτων ἀπείρηκεν. εἰ καὶ ἀνάξιοι πάντες ἦσαν φιλανθρωπίας φησί, οὕτω δόξαν τοῖς ἁγίοις πατράσι ψηφίσασθαι· τοῦ καιροῦ καταστοχασαμένοις οἶμαι καὶ τῶν πραγμάτων, τῷ τηνικάδε γὰρ σφοδρὸν κατὰ Χριστιανῶν ὁ διωγμὸς ἔπνει.

E Ἀλλὰ γὰρ οὐχ οὕτω κρίσιν ὁ μέγας ἔχει Βασίλειος, οὐδὲ ὁ ἀδελφὰ τούτου φρονῶν ἀδελφὸς Γρηγόριος Νύσσης. ὁ μὲν γὰρ ἐν ογ΄. κανόνι τοὺς τὸν Χριστὸν ἠρνημένους διὰ βίου τῆς ἱερᾶς κοινωνίας ἐκβάλλει, προσκλαίοντας εἰσέτι καὶ ἐξομολογουμένους, ἀπαίροντας δὲ τοῦ βίου τῶν ἁγιασμάτων ἀξιοῦσθαι κελεύει, τῇ τοῦ θεοῦ τεθαρρηκότας καὶ πεπιστευκότας φιλανθρωπίᾳ.

F Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ α΄. κανόνι, ὁ ἑκούσιός φησι τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνησάμενος πίστιν, καὶ Ἰουδαϊσμῷ ἢ εἰδωλολατρείᾳ, ἢ Μανιχαϊσμῷ ἢ ἄλλῳ τινὶ τῶν τῆς ἀσεβείας εἰδῶν ὄντων πλειόνων προστεθέμενος, εἶτα καταγνοὺς ἑαυτοῦ, μετάνοιαν εἰσπράττεται τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ συμπαρατεινομένην· οὐδέποτε γὰρ τῆς μυστικῆς εὐχῆς τελουμένης σὺν ἅμα τοῖς πιστοῖς τὸν θεὸν προσκυνεῖν τούτῳ ἐφεῖται, ἀλλὰ καὶ κατὰ μόνας προσεύξεται, καὶ τῆς κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· τοῦ δὲ θανάτου ἐφισταμένου τῆς μερίδος τῶν θείων μεταλήψεται δώρων. εἴ γε μὲν συμβαίη παρ᾽ ἐλπίδος τοῦτον ἐπιβιῶναι, τῷ αὐτῷ-εἰσαῦθις ἐπιτιμίῳ ὑπόδικος ἔσται διὰ βίου, τῶν ἁγιασμάτων μέχρις αὐτῆς εἰργόμενος τῆς ἐξόδου.

Secundus vero, eos qui in carcere duntaxat afflicti ſacrificarunt, uſque ad quatuor.

Utique & quartus quintuſque Syn. Ancyr. canon, eoſdem ſimili pœnæ ſubjicit. Eos autem qui poſtquam ſacrificaverint, in veſte ſumptuoſiori pranſi ſunt, magis punit quam eos qui inter prandendum lachrymas fundunt, & lugubri veſte induuntur.

Porrò viii. ejuſdem Syn. canon, eos qui bis vel ter per vim ſacrificarunt, uſque ad ſeptimum annum communione interdicit.

Magnus autem Gregorius Nyſſenus in primo canone, qui gravibus, inquit, tormentis excruciati ſacrificarunt, præſtituto tempore novem annorum puniuntur.

Septimus vero Ancyranæ canon, eos qui in Idoli templo cum paganis convivati ſunt, licet proprios cibos afferant, comedantque, ex eo tamen quod cum infidelibus feſtum celebrare viſi ſunt, non niſi poſt biennium ad communionem admittere jubet. Unde dicunt nonnulli, quod legati vel captivi qui cum paganis convivantur, mediocritèr; qui vero per contemptum & indiſcriminatim ita faciunt, graviùs puniendi ſunt.

Porrò magnus Baſilius in canone lxxxi. eos qui tormenta experti & cruciatus non ferentes idolis mactata guſtaverunt, & juramenta Paganorum jurarunt, poſt ſex annos ad ſanctam communionem accedere permittit. Pœnas autem eorum qui ſine magna neceſſitate fidem prodiderunt, & menſæ Dæmonum accubuerunt, ad viii. annum extendit.

De iis qui voluntariè fidem negârunt.

Prima Syn. œcumenica in Can. xi. & xii. iis qui ſine aliqua neceſſitate ſub impii Licinii tyrannide fidem Chriſtianam abjurarunt, & genuinam poſtea pœnitentiam oſtenderunt, duodecim annis Sacramentorum participatione interdicit. Etſi enim, inquit, omnes humanitate indigni fuerant, ita ſanctis Patribus decernere viſum eſt; ad id nimirum tempus rerumque ſtatum collimantibus: tunc enim perſequutio inter Chriſtianos valdè fervebat.

Verum neque magnus Baſilius, nec frater ejus Gregorius Nyſſenus, ſententiis pariter conjuncti, in eadem opinione verſantur. Ille enim in lxxiii. eos qui Chriſtum negarunt, toto vitæ tempore à ſancta communione ejicit, ut lugeant & confiteantur, in ſuo autem è vita exitu, Sacramentis dignos haberi jubet, Dei miſericordiæ confiſos & innitentes.

Magnus autem Gregorius Nyſſenus in primo canone, qui voluntariè, inquit, fidem in Dominum noſtrum Jeſum Chriſtum negaverit, & Judaiſmo vel Idololatriæ vel Manichæiſmo, vel alicui alii impietatis generi, quarum magnus eſt numerus, ſeſe adjunxerit, deinde ſeipſum condemnaverit, toto vitæ ſuæ tempore pœnitentiam agit; nunquam enim ei concedetur, quando myſtica peragitur oratio, Deum unà cum fidelibus adorare; ſed & ſeorſim precabitur, & à Sacramentorum communione omnino erit alienus: morte autem inſtante ſacrorum munerum particeps erit. At ſi contigerit eum præter ſpem convaleſcere, iiſdem pœnis per integram vitam rurſus erit obnoxius, Sacramentorum ad ejus exitum uſque expers.

A

De iis qui poſtquam fidem negaverint, alios etiam perſequuntur.

Quod ſi aliqui, inquit ix. Ancyranæ canon, cruciatuum gravitate adeo perculſi fuerint, ut non ſolum à fide deciſcant, ſed & in eos quibus fides curæ eſt, inſurgant, eoſque ad dæmonibus ſacrificandum incitent, & Chriſtianos, qui ignoti erant vel abſconditi, in medium trahant, perfectus decem annorum numerus, iis pœnitentiam agentibus perfectam remiſſionem emetietur. Non enim canon hic de fidem prorſus negantibus, & religionis hoſtibus diſſerit, qui Eccleſiæ perſequutores B ſeſe apertè exhibuerunt: hi enim licet pœnitentiam agant, gravioribus pœnis quam iis quas duo prædicti canones decernunt, ſi poſſibile eſt, ſubjicientur: non itaque hos intelligit, ſed eos qui adhuc orthodoxè ſentiunt, metu autem tormentorum, ſe impiorum dogmatis aſſentiri ſimulant.

Magnus autem Athanaſius in Epiſtolâ ad Ruffinianum, ex Sacerdotibus, inquit, qui cum Arrianis communicarunt, ii quidem qui vi ſubducti ſunt, canonice corriguntur, è loco autem ordinis quem ſortiti ſunt, non ejiciuntur; præcipue ſi rationem, uti dixerunt, cum iis C minimè conſentientem habuerint, & ſe prudenti conſilio cum iis communicaſſe ſimulaverint, metuentes ne ipſis unà cum religione expulſis, Eccleſiæ per impiorum introductionem corrumperentur. Qui autem non ſolum communicarunt, ſed & pro viribus ſuis impietatis propugnatores & patroni fuerunt, ſi pœnitentiam agant, non pœnis prædictis ſubjiciuntur, ſed Sacerdatio exuti in Laicorum loco conſtituuntur. Laicis vero ſeductis aut vim paſſis venia indulta eſt, poſtquam canonicè correcti fuerint, & hæreticorum opiniones apertè anathematizaverint, & fidem orthodoxam Nicææ confirmatam, ſe in honore habituros polliciti D fuerint. Hanc, inquit, ſententiam non ipſe ſolummodo, ſed & ſancti Patres in Syn. topicis congregati profeſſi ſunt.

De iis qui, dum Catechumeni eſſent, fidem negarunt.

Porrò ſancti Patres neutiquam in animo habebant, ut ii qui dum fidei initiis imbuuntur, impingunt, impunè evaderent. Can. enim xiv. i. Syn. eos tribus annis audientium pœnam ſubire, deinde ad ordinem priorem revertere, & unà cum Catechumenis precari jubet. E

Canon autem xii. Syn. Ancyranæ, eos qui ante baptiſmum ſacrificarunt, poſtquam baptizati, adeoque à peccati ſorde mundati fuerint, ad ſacerdotium promoveri mandat.

De iis qui negare coacti, ſeſe non ſubmiſerunt.

Tertius Syn. Ancyr. canon, qui à perſequutoribus fugiunt, juxta mandatum quod perſequentes nos effugere F jubet, prorſus autem evadere nequeunt, ſed capti ſunt, & per vim coacti vel thus in manus accipere, vel ore cibos profanos deguſtare; non autem ſilentium agunt, ſed clamant ſe eſſe Chriſtianos, firmâ nimirum ratione præditi; eos, ut qui minimè peccarunt, communione non eſſe arcendos judicat, immo vero & ad ſacerdotium abſque omni dubitatione promovendos, ſi modo anteacta eorum vita ab omni reprehenſione aliena fuerit: neque enim confeſſionis coronæ exciderunt.

Idem de iiſdem ſtatuit ſanctus Petrus Martyr in xxiv. canone.

Περὶ τῶν μετὰ τὴν ἄρνησιν καὶ ἑτέρους διωξάντων.

Εἰ δέ τινες, ὁ θ΄. τῆς ἐν Ἀγκύρᾳ φησὶ κανὼν τοσοῦτον κατεπλάγησαν τὸ βάρυ τῶν κολάσεων, ὡς μὴ ὅτι τῆς πίστεως ἀποστῆναι, ἀλλὰ καὶ μετεξαναστῆναι οἷς ἐμέλησεν τῶν τῆς πίστεως, ὥστε καὶ θύειν προτρέπειν δαίμοσιν, ἢ ἀγνοουμένους ἔστιν οὓς καταμηνύειν οἷα Χριστιανούς, ἢ καὶ κρυπτομένους εἰς μέσον ἕλκειν, ὁ τῆς δεκαετίας τέλειος ἀριθμὸς τὸ τέλειον τῆς ἀφέσεως τούτοις μεταμελομένοις ἐπιμετρήσει. οὐ γὰρ δήπου περὶ τῶν ἐξάρνων πάντη γεγενημένων, καὶ ἀπεναντίας ἱσταμένων τῇ ἀσεβείᾳ ὁ κανὼν ταῦτα διέξεισιν, οἵπερ ἄρα καὶ διῶκται τῆς ἐκκλησίας πεφήνασιν ἀπηνῶς. ἐκεῖνοι γὰρ εἴ γε καὶ ἀληθῶς μετανοοῖεν, καὶ βαρυτέρων ἢ οἷόν τε πειραθήσονται ἐπιτιμίων, ἢ οἱ πρὸ τούτου ῥηθέντες ἄμφω δικαιοῦσι κανόνες· οὐ δὴ τούτους φησίν, ἀλλὰ τοὺς ἔτι μὲν τὰ τῶν ὀρθοδόξων φρονοῦντας, δέει γε μὴν τῶν βασάνων τὰ τῶν ἀσεβῶν ὑπέρχεσθαι σκηπτομένους.

Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Ῥουφινιανὸν ἐπιστολῇ τῶν κεκοινωνηκότων τοῖς τὰ Ἀρείου φρονοῦσιν ἱερωμένων φησί· οἱ μὲν βίᾳ καθυπαχθέντες κανονικῶς μὲν εὐθύνονται, τοῦ τόπου δὲ ἧς μετέλαχον τάξεως οὐκ ἐκβάλλονται· καὶ μάλιστα εἰ τὸν λογισμὸν ἥκιστα εἶχον ἐκείνοις συμβαίνοντα ὥς φασιν, δι' οἰκονομίαν δὲ κεκοινωνηκέναι προσεποιήσαντο, δέει τοῦ μὴ φθαρῆναι τὰς ἐκκλησίας τῇ τῶν δυσσεβῶν ἀντεισαγωγῇ, αὐτῶν ὑπερορίων μετὰ τῆς εὐσεβείας γεγενημένων· οἱ δὲ πρὸς τὸ κεκοινηκέναι καὶ τῆς ἀσεβείας ἀγωνιζόμενοι, καὶ συνηγοροῦντες εἰς δύναμιν, οὐ τοῖς αὐτοῖς ἐπιτιμίοις μεταμελόμενοι καθυποβάλλονται, ἀλλὰ γυμνούμενοι τῆς ἱερωσύνης ἐν τῇ τῶν λαϊκῶν τάττονται χώρᾳ. τοῖς δὲ ἀπατηθεῖσιν ἢ βίᾳ παθοῦσι λαϊκοῖς συγγνώμη δίδοται, κανονικῶς πρότερον ἐπιτιμωμένοις καὶ φανερῶς ἀναθεματίζουσι τὰ τῶν αἱρετικῶν· καὶ τὴν ἐν Νικαίᾳ ὀρθόδοξον πίστιν πρεσβεύειν ὑπισχνουμένοις. ταύτην οὐ κἀγώ φησι μόνος τὴν ψῆφον, ἀλλ' οἱ καὶ εἰς συνόδους τοπικὰς ἀθροισθέντες θεῖοι πατέρες ἐξήνεγκαν.

Περὶ τῶν ἀρνησαμένων κατηχουμένων ὄντων.

Οὐδὲ τοὺς παραπεπτωκότας τῶν κατηχουμένων ἀνευθύνους περιιδεῖν οἱ θεῖοι πατέρες ἐνόμισαν. ὁ γὰρ ιδ΄. τῆς α΄. συνόδου κανὼν εἰς γ΄. ἔτος ἐν τῷ τῶν ἀκροωμένων ἐπιτιμίῳ κελεύει γίνεσθαι τοὺς τοιούτους, εἶθ' οὕτω πρὸς τὴν προτέραν τάξιν ἐπανιέναι καὶ τοῖς κατηχουμένοις συνεύχεσθαι.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιβ΄. κανών, τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, μετὰ τὸ βάπτισμα δὲ μάλα τοῦ ῥύπου ἀποπλυναμένους καὶ εἰς ἱερωσύνην ἐπισκήπτει προάγεσθαι.

Περὶ τῶν ἀναγκασθέντων ἀρνήσασθαι καὶ μὴ ὑποκυψάντων.

Ὁ γε μὲν γ΄. τῆς ἐν Ἀγκύρᾳ κανών, τοὺς ἐκποδὼν τοῖς διώκουσι γενομένους κατὰ τὴν φεύγειν ὅταν διώκωσιν ὑμᾶς κελεύουσαν ἐντολήν, διαδρᾶναι τε τελέως μὴ δυνηθέντας, ἀλλὰ καὶ συλληφθέντας, ἢ λιβανωτὸν εἰς χεῖρας δέξασθαι, ἢ τῷ στόματι τῶν ἀνιέρων σπονδῶν γεύσασθαι, οὐ μὴν ἀνεχομένους ἔχειν σιγῇ, ἀλλὰ βοῶντας εἶναι Χριστιανούς, οἷα τὸν λογισμὸν κεκτημένους ἀήττητον, τούτους ὡς ἥκιστα ἁμαρτόντας τῆς κοινωνίας δεῖν ἔκρινε μὴ ἐξείργεσθαι. οὐ μόνον δὲ ἀλλὰ καὶ εἰς ἱερωσύνην μηδὲν ἐπιδοιάζοντας προβιβάζειν· εἴγε καὶ ὁ πρὸ τοῦ βίος τούτοις εἶχε τὸ ἀνεπίληπτον· οὐ γὰρ τοῦ τῆς ὁμολογίας στεφάνου διήμαρτον.

Οὕτω περὶ τῶν τοιούτων καὶ ὁ Ἱερομάρτυς Πέτρος ψηφίζεται ἐν τῷ κδ΄. κανόνι.

A

Νόμοι πολιτικοί.

Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, καὶ πάλιν Ἑλληνίζοντες, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται.

Οἱ ἀποστάντες τῆς τῶν ὀρθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι, ἢ θύσαντες, ἢ θῦσαι τινὶ ἐπαγγειλάμενοι, οὐ δύνανται διατίθεσθαι, ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης, οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τι δύνανται.

B.

ΚΕΦ. β'.

Περὶ Αἱρετικῶν, καὶ ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας.

ΑΛΛΑ γὰρ ὅπως, καὶ τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας, καὶ τῇ καθολικῇ προσιόντας ἐκκλησίᾳ, οἱ θεῖοι πατέρες προσδέχεσθαι τεθεσπίκασιν, ἤδη σκεπτέον. ὡς ἐν εἴδει δὲ διαιρέσεως τῶν ἀποδιϊσταμένων τοῦ ὀρθοῦ φρονήματος, τὰς γενικωτάτας πρῶτον ῥητέον προσηγορίας, ἃς δὴ τὸ ἀπατηλὸν καὶ πολυσχεδὲς τῶν νόθων δογμάτων ἑκάστοις αὐτῶν ἐπεκλήρωσε. C τὰς μὲν γὰρ αἱρέσεις προσηγορεύκασιν ἐν τῷ α'. κανόνι φησὶν ὁ μέγας Βασίλειος, τὰ δὲ σχίσματα, τὰς δὲ παρασυναγωγάς. αἱρέσεις μὲν οὖν τοὺς παντὴ ἀπερρηγμένους καὶ κατ' αὐτὴν ἀπηλλοτριωμένους τὴν πίστιν, οἷον Μανιχαίους, Οὐαλεντίνους, Μαρκιωνιστὰς, Πεπουζηνοὺς, καὶ τοὺς ἐκείνοις παραπλησίους· σχίσματα δὲ τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντας, καὶ μάλιστα τὸ διαφέρεσθαι περὶ τοῦ τρόπου τῆς μετανοίας πρὸς τὴν καθολικὴν ἐκκλησίαν· παρασυναγωγὰς δὲ τὰς παρασυνάξεις, οἷον εἴ τις τῶν ἐπισκόπων ἢ πρεσβυτέρων πταίσματι ἁλοὺς, ὑπεξέλθῃ τῆς λειτουργίας, καὶ τοῖς D κανόσιν ὑποκύψαι μὴ ἀνασχόμενος, ἑαυτῷ τὴν προεδρίαν ἐξεδίκασε καὶ λειτουργίαν, καὶ τούτῳ συναπῆλθον οἱ ἀπαιδευσίαν νοσοῦντες ἐκ τοῦ λαοῦ τὴν καθολικὴν καταλελοιπότες ἐκκλησίαν. δέδοκτο τοίνυν, φησὶν, τοῖς ἐξ ἀρχῆς τὸ μὲν τῶν αἱρετικῶν βάπτισμα παντελῶς ἠθετηκέναι, περὶ γὰρ αὐτὴν τὴν εἰς θεὸν πίστιν πέφυκε τούτοις ἡ διαφορά· παραδέχεσθαι δὲ τῶν ἀποσχισμένων· τοὺς μέντοι παρασυνάγοντας ἀξιολόγῳ μετανοίᾳ τὴν ἐπιστροφὴν ἐπιδειξαμένους, ἑνοῦσθαι πάλιν τῇ ἐκκλησίᾳ· ἔστι δ' ὅτε καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, εἶτα μεταμελομένους εἰς τὴν προτέραν τάξιν ἐπανιέναι. τούς γε μὴν καθαροὺς τῶν E ἀποσχισμένων καὶ αὐτοὺς ὄντας καὶ Ἐγκρατίτας, καὶ Ὑδροπαραστάτας, ἔδοξέ φησι τοῖς περὶ Κυπριανὸν, καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον πάντας ἀναβαπτίζεσθαι· εἰς γὰρ τὴν Καρχηδόνα, ἧς ἐπίσκοπος ὁ μέγας Κυπριανὸς ἦν, σύνοδος πατέρων ἀρχαιοτέρα πασῶν ἤθροιστο, οἷς ἤρεσεν ἐκ κοινῆς ψήφου πάντας αἱρετικούς τε καὶ σχισματικοὺς προσιόντας τῇ ἐκκλησίᾳ βαπτίζεσθαι. καὶ συνελογίζοντο γὰρ οὑτωσί, εἰ μὴ περὶ δόγματα οἱ σχισματικοὶ σφάλλοιντο, ἀλλ' ἐπείτοιγε κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας ὁ Χριστός ἐστι κατὰ τὸν θεῖον ἀπόστολον, ἐξ οὗ τὰ μέλη πάντα ζωοῦται, καὶ τὴν πνευματικὴν αὔξησιν δέχεται· οὗτοι δὲ τῆς ἁρμονίας τῶν μελῶν F τοῦ σώματος ἀπερράγησαν, οὐκέτι παραμένουσαν αὐτοῖς ἔχουσι τὴν χάριν τοῦ ἁγίου πνεύματος· ὃ τοίνυν οὐκ ἔχουσι, πῶς ἂν τοῖς ἄλλοις μεταδοῖεν; ἀλλ' ὅμως φησὶ ὁ μέγας οὗτος πατὴρ, ἐπεί τισι τῶν κατὰ τὴν Ἀσίαν ἔδοξε δι' οἰκονομίαν τὸ τῶν καθαρῶν βάπτισμα δέχεσθαι, ἔστω δεκτόν.

Περὶ Ἐγκρατιτῶν.

Τὸ τῶν Ἐγκρατιτῶν μέντοι οὐκ ἐξόν. Μαρκιωνιστῶν γάρ ἐστιν ἄντικρυς ἡ κατ' αὐτοὺς αἵρεσις, βλάστημα· κατ' ἐκείνους γὰρ καὶ οὗτοι τὸν γάμον βδελύσσονται, τοῦ Σατανᾶ εἶναι

Leges Civiles.

Qui ſacroſancto baptiſmo digni habiti fuerint, & rurſus ad gentilitatem redeunt, pœnis graviſſimis obnoxii ſunto.

Qui ab orthodoxâ fide recedunt, & hæretici facti, vel ſacrificant, vel alicui ſe ſacrificaturos pollicentur, teſtamento quicquam præſcribere aut donare nequeunt, nec ex teſtamento, aut ab inteſtato quicquam accipere poſſunt.

CAPUT II.

De Hæreticis, & quomodo, qui ex hæreſibus convertuntur, admittendi ſunt.

JAm vero quamnam rationem in admittendis iis, qui ex hæreſibus convertuntur, & ad Eccleſiam Catholicam accedunt, ſancti Patres ſervari jubent, in præſenti inquirendum eſt. Quin & hic quaſi factâ diviſione eorum, qui à rectâ opinione diſcedunt, generaliſſimæ appellationes, quas ſinguli ex iis à multifariis, fallacibus ſpuriiſque dogmatis ſortiti ſunt, inprimis dicendæ veniunt. Alia enim hæreſes, inquit magnus Baſilius in primo canone, Patres nuncupârunt, alia vero ſchiſmata, alia rurſus paraſynagogas. Hæreſes quidem, eos qui omnino abrupti ſunt, & quoad ipſam fidem abalienati, ut Manichæi, Valentini, Marcioniſtæ, Pepuzeni, & iis conſimiles: Schiſmata autem, eos qui propter cauſas aliquas eccleſiaſticas & quæſtiones medicabiles inter ſe diſſident; præcipuè ab iis qui ſunt ex Eccleſiâ Catholicâ de modo pœnitentiæ diſſentire: Paraſynagogas autem illegitimos conventus, ut ſi quis Epiſcopus vel Preſbyter in delicto deprehenſus, & à miniſterio obeundo prohibitus, ſeſe canonibus ſubmittere recuſet, & præſulatum ſacrumque miniſterium ſibi vendicet, unàque qui è populo inſcitiâ laborant, relictâ Eccleſiâ Catholicâ cum illo diſcedant. Patribus ergo antiquis viſum eſt, inquit, Hæreticorum baptiſmum omnino rejicere, utpote qui de ipſa in Deum fide diſſentiant; ſchiſmaticorum vero baptiſmum admittere; & ut ii, qui conventicula celebrant, per genuinam pœnitentiam converſionem ſuam indicantes, rurſus Eccleſiæ uniantur: & quandoque ut qui in gradu collocati cum rebellibus abierunt, poſtea autem pœnitentia ducti ſunt, ad priorem ordinem revertantur. Catharos autem, qui ſunt ex abſciſſis, & Encratitas, & Hydroparaſtatas, viſum eſt, inquit, Cypriano & Firmiliano noſtro omnes de integro baptizandos eſſe: Carthagine enim, cujus Epiſcopus erat magnus Cyprianus, Synodus Patrum omnium antiquiſſima congregabatur, iiſque omnes hæreticos & ſchiſmaticos, qui ad Eccleſiam accedunt, iterum baptizandos eſſe ex communi conſenſu placuit. Ita enim ratiocinati ſunt, licet ſchiſmatici circa dogmata non errent, quia tamen Chriſtus caput eſt corporis Eccleſiæ ſecundum divinum Apoſtolum, per quod membra omnia animantur, & incrementum ſpirituale recipiunt: hi autem membra ſunt à corporis compage abrupta, Spiritus ſancti gratiam non amplius in iis permanentem habent; quod igitur ipſi non habent, quomodo aliis impertiri poſſunt? ſed tamen, quandoquidem, inquit hic magnus Pater, viſum eſt nonnullis Aſiaticis prudenti conſilio Catharorum baptiſmum ſuſcipiendum eſſe, ſuſcipiatur.

De Encratitis.

Encratitarum autem [Baptiſmum admittere] neutiquâ liceat. Eorum autem hæreſis eadem plane eſt cum hæreſi Marcioniſtarum, ex eadem utique germinaſcens. Etenim

& hi nuptias abominantur, easque Satanicas appellant; A vinum rejiciunt, animatorum esum prohibent, & Dei creaturam pollutam esse delirantes asserunt. Neque dicant quod in nomine Patris & Filii & Spiritus sancti baptizantur, qui cum Marcione Deum malorum causam esse affirmant. Ne autem ob nimium rigorem segniores eos ad accedendum ad Ecclesiam Catholicam reddamus, consuetudine, inquit, utendum est, & sequi oportet Patres, qui res nostras administrârunt. Quare, uti iis visum est, sacro oleo inuncti Sacramentorum participes sint.

De Hydroparastatis.

B

Sunt autem Hydroparastatæ qui in sacri calicis administratione, aquam duntaxat offerunt; vinum cum eâ miscere in animum non inducentes. Quin & legitimas nuptias à fornicatione nihil differre existimant. Eadem etiam xlvii. ejusdem Canon decernit. Quære de Hydroparastatis & Armeniis in viii. cap. lit. K.

Porrò vii. can. Syn. ii. œcumen. clare decernit, quomodo eos, qui ex hæresi revertuntur, admittere oporteat. Etenim hæreticos omnes in duo genera distinguens, alios oleo inungi, alios autem rebaptizari definivit. C Arrianos itaque & Macedonianos, & Sabbatianos, & Novatianos qui sese, hi catharos, illi sinistros nominant, & Quartadecumanos sive Quartanos, & Apollinaristas, quoniam ex æquo nobiscum sacro baptismate perficiuntur, denuò baptizare neutiquam necesse existimat, verum eos, postquam scripto omnem suam hæresim anathematizaverint, sacro oleo inungere jubet, frontem & oculos & nares & os & aures; & signantes dicere, Signaculum doni Spiritus sancti.

De Eunomianis.

Eunomianos vero, qui unâ demersione baptizantur, D & Montanistas, qui & Phryges dicuntur, & Sabellianos qui Patrem idem esse cum Filio docent, iisque consimiles, ut qui nihilo melius quam pagani non baptizati, veritate judice, affecti sint, ad Ecclesiam Catholicam accedentes statim baptizari jubet. Vel enim non omnino baptizati erant; vel si baptizati fuerant, secundum Ecclesiæ orthodoxæ constitutiones non signabantur; & ob eam rationem à S. Patribus pro non illuminatis habiti sunt.

De Arrianis.

Sunt autem Arriani qui cum Arrio sentiunt, Ecclesiæ E Alexandrinæ Presbytero, qui Dei Filium & Spiritum sanctum diversam à Patre essentiam habere, & creaturas esse profanè docuit.

De Macedonianis.

Macedoniani vero, qui de Filio quidem rectè senserunt, Spiritum autem sanctum creaturam esse & à divinitate alienum blasphemè asserebant: unde & Semiarriani dicti sunt. Quin & eandem appellationem alia etiam ex impiis hæresibus sortita est. Eorum nempe qui Filium F & Spiritum sanctum, non creaturas cum Arrio, nec ejusdem cum Patre substantiæ, sed peregrino quodam more similis cum Patre substantiæ sentiebant. Metuebant enim, uti dicebant, ne affectionem aliquam Patri per generationem ab iis attribui quis putaret.

De Novato.

Novatus autem veteris Romæ Presbyter, hæresin eorum, qui Cathari dicuntur, exorsus est; schismaticus

---

A αὐτὸν ἀποφαινόμενοι, τὸν οἶνον ἀποστρέφονται, τὴν τῶν ἐμψύχων ἀπαγορεύουσιν ἐδωδήν, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι ληροῦσι· μὴ γὰρ λεγέτωσαν ὅτι εἰς πατέρα, καὶ υἱόν, καὶ ἅγιον πνεῦμα βαπτίζονται· οἵ γε κακῶν ποιητὴν τὸν θεὸν λέγουσιν, ἐφαμίλλως τῷ Μαρκίωνι. Ἀλλ' ἵνα μὴ τῆς ἀκριβείας ἐχόμενοι ὀκνηροτέρους αὐτοὺς ποιήσωμεν εἰς τὸ προσιέναι τῇ καθολικῇ ἐκκλησίᾳ, χρηστέον φησὶ τῷ ἤθει, καὶ τοῖς τὰ καθ' ἡμᾶς οἰκονομήσασι πατράσιν ἀκολουθητέον, καὶ ὡς ἐκείνοις δοκεῖ, χριόμενοι τῷ ἁγίῳ μύρῳ οὕτω τῶν ἁγιασμάτων μεταλαμβανέτωσαν.

Περὶ Ὑδροπαραστατῶν.

B

Ὑδροπαραστάται δέ εἰσιν οἱ μόνον ὕδωρ ἐν τῇ ἱερουργίᾳ τοῦ ἁγίου προσφέροντες ποτηρίου, οἶνον δὲ τούτῳ μιγνύναι μὴ ἀνεχόμενοι· καὶ τὸν ἔννομον γάμον μηδὲν διενενοχέναι πορνείας οἰόμενοι. τὰ αὐτὰ καὶ ὁ μζ'. κανὼν τοῦ αὐτοῦ διορίζεται. ζήτει περὶ Ὑδροπαραστατῶν καὶ Ἀρμενίων ἐν τῷ η'. κεφ. τοῦ Κ. στοιχείου.

Ἀλλὰ γὰρ καὶ ὁ ζ'. κανὼν τῆς οἰκουμενικῆς καὶ β'. συνόδου, ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας ἀριδήλως νομοθετεῖ. εἰς δύο γὰρ μοίρας ἅπαντας διελών, τοὺς μὲν C μύρῳ χρίεσθαι, τοὺς δὲ ἀναβαπτίζεσθαι διωρίσατο. Ἀρειανοὺς μὲν οὖν, καὶ Μακεδονιανούς, καὶ Σαββατιανούς, καὶ Ναβατιανούς, τοὺς λέγοντας ἑαυτοὺς Καθαρούς, καὶ Ἀριστερούς, καὶ Τεσσαρεσκαιδεκατίτας ἤτοι Τετραδίτας, καὶ Ἀπολιναριαστάς, ἐπείπερ ἐξ ἴσης ἡμῖν τῷ θείῳ τελοῦνται βαπτίσματι, οὐκ οἴεται δεῖν τούτους ἀναβαπτίζειν, ἀλλὰ μετὰ τὸν τῆς σφετέρας αἱρέσεως ἔγγραφον ἀναθεματισμόν, τῷ ἁγίῳ χρίειν μύρῳ κελεύει τό τε μέτωπον αὐτῶν, καὶ τοὺς ὀφθαλμούς, καὶ τὰς ῥῖνας, τὸ στόμα τε, καὶ τὰ ὦτα, καὶ σφραγίζοντας λέγειν, σφραγὶς δωρεᾶς πνεύματος ἁγίου.

Περὶ Εὐνομιανῶν.

D Εὐνομιανούς γε μὴν τοὺς εἰς κατάδυσιν βαπτιζομένους μίαν, καὶ Μοντανιστὰς τοὺς καλουμένους φρύγας, καὶ Σαβελλιανοὺς τοὺς διδάσκοντας τὴν υἱοπατερίαν, καὶ τοὺς παραπλησίους τούτοις, ὡς οὐδὲν ἄμεινον τῶν ἀβαπτίστων Ἑλλήνων ἀληθείας δικαζούσης διακειμένους, τῇ καθολικῇ προσιόντας ἐκκλησίᾳ εὐθὺς κελεύει βαπτίζεσθαι. ἢ γὰρ ὅλως οὐκ ἐβαπτίσαντο, ἢ καὶ βαπτισάμενοι οὐ κατὰ τοὺς θεσμοὺς τῆς τῶν ὀρθοδόξων ἐκκλησίας ἐνεσημάνθησαν. ταύτῃ τοι καὶ ὡς ἀφώτιστοι τοῖς θείοις πατράσι λογίζονται.

Περὶ Ἀρειανῶν.

E Ἀρειανοὶ μὲν οὖν εἰσιν οἱ τὰ Ἀρείου φρονοῦντες, ὃς Πρεσβύτερος ὢν τῆς κατ' Ἀλεξάνδρειαν ἐκκλησίας, τὸν υἱὸν τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἑτερούσια τῷ πατρὶ καὶ κτίσματα ὁ βέβηλος ἐδογμάτιζεν.

Περὶ Μακεδονιανῶν.

Μακεδονιανοὶ δὲ οἱ περὶ μὲν τοῦ υἱοῦ ὑγιῶς φρονοῦντες, τὸ δὲ ἅγιον πνεῦμα κτιστὸν βλασφημοῦντες καὶ ἀλλότριον τῆς θεότητος· παρὸ καὶ ἡμιάρειοι ἐκαλοῦντο. ταυτησὶ δὲ τῆς κλήσεως καὶ ἑτέρα τῶν ἐξαγίστων αἱρέσεων ἔτυχεν· οἱ δὴ τὸν υἱὸν καὶ F τὸ πνεῦμα τὸ ἅγιον οὔτε κτίσματα ὡς ὁ Ἄρειος, οὔτε μὴν ὁμοούσια τῷ πατρὶ δοξάζειν ἠνείχοντο, ξένῳ δέ τινι τρόπῳ ὁμοιούσια τῷ πατρί. ἐδεδίεσαν γὰρ ὡς ἔφασκον μὴ πάθος περὶ τὸν πατέρα διὰ τῆς γεννήσεως νομισθῇ.

Περὶ Ναβάτου.

Ναβάτος δὲ πρεσβύτερος ὢν τῆς παλαιᾶς Ῥώμης τῆς τῶν λεγομένων Καθαρῶν αἱρέσεως ἦρξε, σχισματικὸς ὢν κυρίως

ὤν

οὐκ αἱρετικός· οὐ γὰρ περὶ τι τῶν ὀρθῶν δογμάτων τοῖς πιστοῖς διεφέρετο, ἀλλὰ τοῖς ἐν τῷ διωγμῷ ὑποκύψασι καὶ θύσασιν ἀπηγόρευε τὴν μετάνοιαν· τοῖς τε διγάμοις οὐκ ἐκοινώνει. ἀνθ' ὧν εἰ καὶ μὴ περὶ πίστιν ἔσφαλτο, διὰ μέντοι τὸ ἀσυμπαθὲς αὐτοῦ καὶ μισάδελφον, συνόδου γενομένης ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου τοῦ Πάπα, Δεκίου βασιλεύοντος, ἀπεβλήθη καὶ ἀνεθεματίσθη, ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος ἱστορεῖ.

Περὶ Σαββατιανῶν.

Σαββατιανοὶ δὲ ὧν ἡγήσατο Σαββάτιός τις πρεσβύτερος, τῆς αἱρέσεως μὲν κἀκεῖνος ὢν τοῦ Ναβάτου, τῇ δὲ περὶ τὰ χείρω φιλοτιμίᾳ καὶ Ἰουδαϊκῶς σαββατίζειν ᾑρεῖτο, νηστείαν ἐν τούτῳ μετιὼν, καὶ τἄλλα παραπλησίως ἐκείνοις· καθὰ δὲ καὶ οἱ Λατῖνοι τανῦν.

Περὶ Ἀριστερῶν.

Οἱ αὐτοὶ καλοῦνται καὶ ἀριστεροὶ, ὅτι τὴν ἀριστερὰν εἶσι βδελυττόμενοι χεῖρα, δι' αὐτῆς προσίεσθαι τοιονοῦν μὴ τολμῶντες.

Περὶ Τεσσαρεσκαιδεκατιτῶν.

Τεσσαρεσκαιδεκατῖται δὲ, οἱ τὸ πάσχα τελοῦντες οὐκ ἐν ἡμέρᾳ κυριακῇ κατὰ τοὺς ἱεροὺς τῆς ἐκκλησίας θεσμοὺς, ἀλλ' ἐν ᾗ ἂν ἡμέρᾳ τεσσαρεσκαιδεκαταίαν ἂν τύχῃ τὴν σελήνην γενέσθαι, ὃ τῆς τῶν Ἰουδαίων θρησκείας ἐστὶν ἰδιαίτατον.

Περὶ Τετραδιτῶν.

Οἱ δ' αὐτοὶ καὶ Τετραδῖται, ὅτι τὸ πάσχα ἑορτάζοντες οὐ καταλύειν ἀλλὰ νηστεύειν αἱροῦνται, ὡς ἐν ταῖς τετράσιν ἡμεῖς, Ἰουδαίους κἂν τούτῳ μιμούμενοι τοὺς μετὰ τὸ πάσχα ἄζυμα καὶ πικρίδας ἐσθίοντας.

Περὶ Ἀπολιναριαστῶν.

Ἀπολιναριασταὶ δὲ ὧν ἦρχεν ὁ πολὺς τὴν κακίαν Ἀπολινάριος, τῷ τῆς ἐν Συρίᾳ Λαοδικείας θρόνῳ ἀνοχῇ θεοῦ εἰσφθαρεὶς, ὃς περὶ τὴν οἰκονομίαν φανερῶς ἐβλασφήμει, λέγων τὸν υἱὸν τοῦ θεοῦ σῶμα μὲν ἔμψυχον, νοῦ δὲ παντάπασιν ἄμοιρον, ἐκ τῆς ἁγίας ἀνειληφέναι παρθένου, ἅτε τῆς θεότητος ἀποχρώσης ἀντὶ τοῦ νοῦ, ἄλογον ὥσπερ τὴν ψυχὴν τοῦ κυρίου φρονῶν, ἀλλὰ καὶ μίαν φύσιν ἐπὶ τοῦ κυρίου ἐδίδασκεν. οὗτοι πάντες ἐρρῶσθαι πολλὰ ταῖς οἰκείαις αἱρέσεσι φράσαντες μύρῳ μόνῳ χριόμενοι τοῖς τῆς ἐκκλησίας ἐναριθμοῦνται τροφίμοις.

Ἄθρει δή μοι ὅσοι τε καὶ οἷοι οὓς οἱ θεῖοι πατέρες ἀξιοῦσιν ἀναβαπτίζεσθαι.

Περὶ Εὐνομιανῶν.

Εὐνομιανοὶ ὧν ἡγεῖτο Εὐνόμιος· Γαλάτης δὲ ὢν Κυζίκου γέγονεν ἐπίσκοπος, χείρονα μακρῷ τοῦ Ἀρείου φρονῶν· τρεπτὸν γὰρ καὶ δοῦλον καὶ κατὰ πάντα ἀνόμοιον τῷ πατρὶ τὸν υἱὸν ἐδογμάτιζε. τούς γε μὴν τῇ ἀπάτῃ τούτου προστιθεμένους εἰς μίαν κατάδυσιν ἐβάπτιζεν ὁ ἐξάγιστος, κατὰ κεφαλῆς αὐτοὺς καταδύων ἄνω τῶν ποδῶν αὐτῆς τετραμμένων· ἀλλὰ καὶ τὰς μελλούσας κολάσεις μὴ ἀληθεῖς εἶναι ἀπεφλυάρει δι' ἐκφόβησιν μόνην ἀπειληθείσας.

A propriè non hæreticus: non enim circa dogma aliquod à fidelibus diſſentiebat, ſed iis qui in perſequutione lapſi ſunt, & ſacrificarunt, pœnitentiam negabat; & digamis non communicabat. Quare licet circa fidem non erraverit, tamen propter immiſericordiam & fratrum odium, Synodo Romæ habitâ ſub Cornelio Papa, Decio imperante, ejectus erat & anathemate percuſſus; ut Euſebius Pamphili in hiſtoriâ ſua narrat.

De Sabbatianis.

B Sunt autem Sabbatiani, quibus præfuit Sabbatius quidam Presbyter, eandem hæreſin cum Novato profeſſus, niſi quod pejorum ſtudio teneretur, & more Judaico Sabbatum coleret, in eo jejunium peragens; & alia eorum æmulus faceret: ſicut & nunc temporis Latini.

De Siniſtris.

Iidem etiam Siniſtri vocantur, quod manum ſiniſtram abominentur, non omnino auſi per eam quicquam præhendere.

C

De Quartodecumanis.

Sunt porrò Quartodecumani qui Paſcha celebrant, non die Dominicâ, ſecundum ſacras Eccleſiæ Conſtitutiones, ſed ea die qua Luna Quartadecima contigerit; quod eſt Judaicæ ſuperſtitionis maximè proprium.

De Quartanis.

Iidem etiam Quartani nominantur, quod cum Paſchatis D feſtum celebrant, nuſquam in diverſorium ſe conferant, ſed jejunare malint, quemadmodum nos qualibet feria quarta; in hoc etiam Judæorum æmuli, qui poſt Paſcha panes non fermentatos & herbas amaras comedebant.

De Apollinariſtis.

Sunt autem Apollinariſtæ, quibus præfuit ſceleratiſſimus Apollinarius, in thronum Laodicææ, quæ eſt in Syria, Deo permittente, pernicioſè introductus, qui circa œconomiam apertè blaſphemus erat, dicens Filium Dei corpus quidem vivum, ſed mentis omnino E expers, à ſancta Virgine accepiſſe, Divinitate ſc. mentis locum ſupplente; & ſicut animam Dei irrationalem ſentiebat, ita & unicam eſſe in eo naturam tradidit. Hi omnes poſtquam hæreſibus ſuis omnino valedixerint, oleo duntaxat inuncti Eccleſiæ filiis annumerantur.

Vide ſis autem, quinam & quales ſint, quos ſancti Patres rebaptizari volunt.

De Eunomianis.

F Eunomiani ſunt quibus præfuit Eunomius; qui ex Galatia oriundus Cyzici erat Epiſcopus, pejora multo quam Arrius ſentiens. Etenim Filium mutabilem, & ſervum, & in omnibus Patri diſſimilem eſſe docuit. Eos etiam qui errori ejus aſſentiebantur, nequam iſte unica immerſione baptizabat, prono capite & pedibus ſurſum verſis eos immergens. Quin & futura ſupplicia non vera eſſe, ſed eorum minas ad terrorem duntaxat intentatas, nugatoriè aſſeruit.

De Montaniſtis.

Montaniſtæ autem ſunt, qui à Montano quodam nomen ſortiti ſunt. Iidem Phryges nominabantur, vel quod Hæreſiarcha, vel quod ipſa hæreſis, ex Phrygia eſſet oriunda. Hic vero Montanus ſe Paracletum appellabat, & mulierculas duas ſecum ducens, Priſcillam & Maximillam, eaſdem Prophetiſſas vocabat.

De Pepuzenis.

Iidem etiam, quod Pepuzam Phrygiæ oppidum divinis honoribus celebrantes Hyeroſolymam nuncuparent, Pepuzenorum quoque nomen aſſequuti ſunt. Ab illis divortia conjugum permiſſa, & à certis quibuſdam ciborum generibus abſtinentia imperata, Paſchatis dies in alienum tempus rejecta, & in unam perſonam ſacro-ſancta Trinitas contracta & confuſa. Illi etiam ſanguinem pueri aculeolis compuncti cum farina miſcentes, ac panem inde conficientes, tum offerebant, tum ex eo participabant.

De Sabellianis.

Sabelliani autem à Sabellio ex Lybia oriundo denominati ſunt, qui Ptolemaidis, quæ urbs eſt Pentapolis, Epiſcopus, commixtionem quandam & confuſionem in ſacroſancta Trinitate aſſeruit, tres illas hypoſtaſes unius ſubſtantiæ & divinitatis in unam perſonam contrahens & confundens, quam trium eſſe nominum dixit, & aliquando ut Patrem apparuiſſe, aliquando ut Filium, aliquando autem ut Spiritum ſanctum, & alias aliter transformatum transfiguratumque; per ineptam hanc reſolutionem ſive compoſitionem, ſecundum Gregorium Theologum, omnes perſonas non tam unam eſſe quam ſingulas nihil definiens. Deſinunt enim eſſe quæ in ſeinvicem cedunt & permutantur, nudis duntaxat nominibus relictis.

De Paulianiſtis.

Canon autem xix. primæ Synodi, Paulianiſtas qui poſtea ad Eccleſiam Catholicam confugerunt, rebaptizari jubet. Verum hic inquirendum eſt, quoſnam Canon denuo baptizari præcipit, an eos qui ex orthodoxis ad Paulianiſtas defecerunt, vel qui ab initio hæreſe eorum aſſueti ſunt. Si qui vero, inquit, ex iis in Clericorum numero erant, ignorantibus forſan iis, à quibus ordinati ſunt, quam impii eſſent, etiam re cognitâ rebaptizari debent, ab ordinatione ſuâ nihil adjuti. Quinimo ſi poſt Baptiſmum ab omni reprehenſione immunes quoad vivendi rationem inventi fuerint, ab Epiſcopo illius Eccleſiæ, in quam nomen dederunt, ordinentur, ſin minus, à Clero ejiciantur.

De Paulicianis.

Porrò & Manichæi Pauliciani dicti ſunt, à duobus fratribus Paulo & Johanne ex Samoſatis oriundis, filiis mulieris cujuſdam Manicææ, cui nomen erat Callinice, quæ non tam lacte quam impietate filios ſuos enutriit. Hi unum eſſe Deum prædicârunt, qui & Pater & Filius & Spiritus ſanctus idem dicitur. Unus enim inquiunt, eſt Deus, & Filius ejus in ipſo eſt, quemadmodum in homine ſermo. Iſte autem ſermo in terras veniens in homine habitavit, qui dictus erat Jeſus, & œconomia completa aſcendit ad Patrem. Hic autem Jeſus ab infra erat, à Maria originem ducens. A duobus igitur iſtis Paulo & Johanne, diſcipulis eorum Paulicianorum nomen barbarè compoſitum

A

Περὶ Μοντανιστῶν.

Μοντανισταὶ οἱ ἀπὸ Μοντανοῦ τινος ἔχοντες τὴν κλῆσιν· οἳ δὴ καὶ Φρύγες ὠνομάζοντο, ἢ τοῦ αἱρεσιάρχου τούτων Φρυγὸς ὄντος, ἢ τὴν ἀρχὴν ἐκ Φρυγίας τῆς τοιαύτης φυείσης αἱρέσεως. ὁ τοίνυν Μοντανὸς οὑτοσὶ παράκλητον ἑαυτὸν προσηγόρευε, καὶ δύο γυναῖκας ἐπαγόμενος Πρίσκιλλαν καὶ Μαξιμίλλαν προφήτιδας αὐτὰς ἐκάλει.

Περὶ Πεπουζηνῶν.

B Καὶ Πεπουζηνοὶ δὲ οἱ τοιοῦτοι προσηγορεύοντο· Πέπουζαν γὰρ τῆς Φρυγίας κώμην ἐκθειάζοντες, Ἱερουσαλὴμ αὐτὴν ὠνόμαζον. οὗτοι καὶ τοὺς γάμους λύειν ἐπέτρεπον, καὶ βρωμάτων ἔστιν ὧν ἀπέχεσθαι ἐδίδασκον· τὸ πάσχα διέστρεφον· εἰς ἓν πρόσωπον τὴν ἁγίαν τριάδα συνῄρουν τε καὶ συνέχεον· καὶ αἷμα παιδὸς κεντουμένου ἀλεύρῳ συμφύροντες καὶ ἀρτοποιοῦντες προσέφερον, καὶ αὐτοῦ μετελάμβανον.

Περὶ Σαβελλιανῶν.

C Σαβελλιανοὶ οἵτινες ἀπὸ Σαβελλίου τοῦ Λύβιος ὠνομάσθησαν, ὃς Πτολεμαΐδος τῆς Πενταπόλεως Ἐπίσκοπος γεγονὼς, συναλοιφὴν ἐπὶ τῆς ἁγίας τριάδος καὶ σύγχυσιν ἐδογμάτιζε· τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς οὐσίας καὶ θεότητος εἰς ἓν πρόσωπον συναιρῶν καὶ συγχέων, τριώνυμον τοῦτον αὐτὸν λέγων, νῦν μὲν ὡς πατέρα φαίνεσθαι, νῦν δὲ ὡς υἱὸν, ἔστι δ' ὅτε ὡς ἅγιον πνεῦμα, ἄλλοτε ἄλλως μεταμορφούμενον καὶ μετασχηματιζόμενον· ὡς ἐκ τῆς κενῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως, κατὰ τὸν θεολόγον Γρηγόριον, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζόμενος. φθάνει D γὰρ εἶναι ἅπερ ἐστὶν εἰς ἄλληλα χωροῦντα καὶ μεταβαίνοντα, ψιλῶν καταλειπομένων τῶν ὀνομάτων.

Περὶ Παυλιανισάντων.

Ὁ δὲ τῆς α΄. συνόδου ιθ΄. κανὼν, καὶ τοὺς Παυλιανίσαντας, εἶτα τῇ καθολικῇ προσπεφευγότας ἐκκλησίᾳ προστάττει ἀναβαπτίζεσθαι. σκοπῆσαι δὲ δεῖ τίνας ὁ κανὼν ἀναβαπτίζειν ἐπιτρέπει, τοὺς ἀπὸ ὀρθοδόξων Παυλιανίσαντας, ἢ τοὺς ἐξ ἀρχῆς τῆς ἐκείνων ἐθάδας αἱρέσεως. εἰ δέ τινες αὐτῶν φησὶν ἐν τῷ κλήρῳ ἐξητάσθησαν, ἀγνοη-E σάντων ἴσως ὅπως εἶχον ἀσεβείας τῶν αὐτοὺς χειροτονησάντων, καὶ τούτους μετὰ τὸ γνωσθῆναι δέον ἀναβαπτίζεσθαι, μηδὲν ἐκ τῆς χειροτονίας ἀπωναμένους· καὶ εἰ μὲν εὑρεθεῖεν μετὰ τὸ βάπτισμα καὶ κατὰ τὸν βίον ἄμεμπτοι, χειροτονεῖσθαι ὑπὸ τοῦ ἐπισκόπου τῆς ἐκκλησίας ᾗ προσῆλθον, εἰ δ' οὖν, τοῦ κλήρου εἶναι ἀπωσμένους.

Περὶ Παυλικιανῶν.

Παυλικιανοὶ δὲ οἱ Μανιχαῖοι μετωνομάσθησαν, ἀπό τινων ἀδελφῶν δύο, Παύλου καὶ Ἰωάννου ὁρμωμένων ἐκ Σα-F μοσάτων, υἱῶν γυναικός τινος Μανιχαίας Καλλινίκης τοὔνομα, δυσσεβείᾳ μᾶλλον ἢ γάλακτι τοὺς υἱοὺς θρεψαμένης. οὗτοι ἕνα εἶναι θεὸν ἐκήρυσσον, πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὸν αὐτὸν προσαγορευόμενον. εἷς γάρ φασι θεὸς, καὶ ὁ υἱὸς αὐτοῦ ἐν αὐτῷ ὡς ὁ λόγος ἐν ἀνθρώπῳ, ὁ δὲ λόγος οὗτος ἐπὶ γῆς ἐλθὼν ἐν ἀνθρώπῳ ᾤκισεν Ἰησοῦ καλουμένῳ, καὶ τὴν οἰκονομίαν πληρώσας ἀνῆλθε πρὸς τὸν πατέρα. ὁ δὲ Ἰησοῦς οὗτος κάτωθεν ἦν ἀπὸ τῆς Μαρίας ἀρξάμενος. ἀπὸ τοίνυν τῶν δύο τουτωνὶ Παύλου καὶ Ἰωάννου, τοῖς σφῶν μαθηταῖς ἡ τῶν Παυλικιανῶν ἐπετέθη προσωνυ-

μία, βραχυγραφικώτερον συντεθεῖσα· ἀντὶ γὰρ Παυλοϊάννοι Παυλικιάνοι κατωνομάζονται. τὰ δὲ τῆς τούτων αἱρέσεως Φώτιος ὁ Πατριάρχης Κωνσταντινουπόλεως χρηματίσας ἐν ἱκανῷ στηλιτεύει λόγῳ.

Τοὺς δὲ ἄρτι καὶ προσεχῶς ῥηθέντας ἄμφω κανόνας, τόν τε ζ΄. τῆς β΄. συνόδου, καὶ τῆς α΄. τὸν ιθ΄. ὁ ϟε΄. τῆς ϛ΄. συνόδου κανὼν ἑνώσας, καὶ τοῖς αὐτῶν σχεδὸν χρησάμενος ῥήμασι, προσεπάγει, χρῆναι ἀναβαπτίζεσθαι, τούς τε Μανιχαίους, καὶ Οὐαλεντίνους, καὶ Μαρκιωνιστάς· Νεστοριανοὺς δὲ λιβέλλους διδόναι, γράμματα δὲ τὴν σφῶν αἵρεσιν στηλιτεύοντα, ὀνομαστί τε τὸν Νεστόριον τῷ ἀναθέματι καθυποβάλλειν· οὐ μὴν ἀλλὰ καὶ Εὐτυχέα καὶ Διόσκορον καὶ Σεβῆρον.

Τὰ μὲν οὖν κατὰ τὸν Νεστόριον ὅσον οὔπω ῥηθήσεται, περὶ μέντοι τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου ἤδη ῥητέον.

Περὶ Διοσκόρου καὶ Εὐτυχοῦς.

Ὁ τοίνυν Διόσκορος τῆς περιωνύμου πόλεως Ἀλεξανδρείας τοὺς ἱεροὺς ἀνιέρως διεχείριζεν οἴακας· Εὐτυχὴς δὲ τῶν ἐν τῇ βασιλίδι τῶν πόλεων ἱερῶν σεμνείων ἀρχιμανδρίτης ἐτύγχανεν ὤν. οὗτοι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμοούσιον μὲν ἐπίστευον τῷ πατρί, περὶ δέ γε τὴν ἐνανθρώπησιν βλάσφημον γλῶτταν ἐκίνουν, καὶ φεύγοντες δῆθεν τὴν τοῦ Νεστορίου διαίρεσιν δύο υἱοὺς εἰσάγοντος, εἰς ἕτερον κρημνὸν ἀπεναντίας ὠθοῦντο· τὰς γὰρ δύο ἐπὶ τοῦ κυρίου φύσεις, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, μετὰ τὴν ἕνωσιν συγκραθῆναι, καὶ εἰς μίαν ἀποτελεσθῆναι φύσιν δυσσεβῶς ἐδογμάτιζον, ὡς ἐντεῦθεν καὶ τῇ θεότητι προσαρμόζεσθαι ἅπερ ἡ ἀνθρωπότης ὑπέστη θεῖα παθήματα. ἀλλὰ καὶ τὴν σάρκα οὐχ ὁμοούσιον ἡμῖν ἀνειληφέναι τὸν κύριον ἔλεγον, οὐδ' ἐκ τῶν παρθενικῶν συμπαγῆναι αἱμάτων, ἀλλ' ἀῤῥήτως πως καὶ θειοτέρως σεσαρκῶσθαι αὐτὸν ἀνέπλαττον· οὓς καθεῖλεν ἡ ἐν Χαλκηδόνι οἰκουμενικὴ δ΄. σύνοδος τῶν χλ΄. πατέρων.

Περὶ Σεβήρου.

Ὁ γε μὲν Σεβῆρος Ἀντιοχείας ἐπίσκοπος ἦν, κατ' οὐδὲν ἐνδέων τι, γε εἰς ἀσέβειαν Διοσκόρου καὶ Εὐτυχοῦς· ταύτῃ τοι καὶ παρὰ τῶν ὀρθοδόξων τοῦ θρόνου ἅμα καὶ τῆς πόλεως ἐξοστρακισθεὶς τὴν Ἀλεξάνδρειαν κατειλήφει, ἔνθα καὶ βίβλον συντάττει πάσης γέμουσαν δυσσεβείας, ἐν ᾗ κατατρέχει μὲν τῆς ἐν Χαλκηδόνι δ΄. συνόδου, κρατύνειν δ' ἐπειρᾶτο τὴν δογματίζουσαν αἵρεσιν μίαν φύσιν ἐπὶ τοῦ κυρίου μετὰ τὴν ἕνωσιν. ταυτηνὶ δὲ τὴν βίβλον ἐπέγραψε φιλαλήθη, τὴν οὐχ ἥκιστα τῷ τοῦ ψεύδους πεφιλημένην πατρί, ἣν οἱ ἀπ' ἐκείνου λεγόμενοι Σεβηριανοὶ τιμῶσιν ὑπὲρ τὰ εὐαγγέλια. οἱ αὐτοὶ δὲ λέγονται καὶ ἀκέφαλοι· τῷ μὴ μόνον πολλοὺς ἐσχηκέναι γεννήτορας καὶ ἀρχηγοὺς τῆς αἱρέσεως, ἀλλὰ καὶ διαφόραις δόξαις μεριζομένους, καὶ ἀλλήλοις ὅλως μὴ συμβαίνοντας.

Περὶ Μανιχαίων.

Μανιχαῖοι δὲ λέγονται οἱ πρεσβεύοντες τὰ τοῦ Μάνεντος. ὁ δὲ Μάνης οὗτος παράκλητον ἑαυτὸν ἐκάλει, δοκήσει δὲ καὶ φαντασίᾳ τὸν Χριστὸν ἡγεῖτο πεφηνέναι. δύο ἀρχὰς ἐδογμάτιζε, πονηράν τε καὶ ἀγαθήν, ἤτοι θεόν τε καὶ ὕλην. τὴν παλαιὰν ἐβλασφήμει διαθήκην· σελήνην καὶ ἀστέρας προσκυνεῖν οἷα θεοὺς ἐπέτρεπε· σαρκὸς ἀνάστασιν ἠρνεῖτο· μετεμψύχωσιν ἐδίδασκε, βοτάνας καὶ δένδρα καὶ ὕδωρ ἔμψυχα εἶναι φάσκων.

A imponebatur, Pauliciani enim pro Paulo-ioanni dicti ſunt. Eorum autem hæreſim Photius Patriarcha Conſtantinopolitanus juſta oratione perſtringit.

Porrò Canones ambos ſubſequentes, nimirum vii. Synod. ii. & xix. Syn. i. xcv. vi. Syn. conjungens, & eorum fere verbis uſus, addit, oportere etiam rebaptizari Manichæos, & Valentinos, & Marcioniſtas. Neſtorianos autem libellos dare, ſchedulas ſcilicet hæreſin ſuam infamiâ notantes, & nominatim Neſtorium execrare, nec non Eutycheten, & Dioſcorum, & Se- B verum.

De Neſtorio nondum dicetur; de Eutychete & Dioſcoro in præſenti dicendum eſt.

De Dioſcoro & Eutychete.

Dioſcorus ſacrum inclytæ urbis Alexandrinæ clavum profanè tenuit; & Eutyches in regina urbium C Archimandrita ſeu cœnobii præfectus erat. Hi Dominum noſtrum Jeſum Chriſtum Patri quidem conſubſtantialem credebant, circa autem incarnationem blaſphemè loquuti ſunt, & hæreſin Neſtorii, qui duos filios introduxit, evitantes, in præcipitium contrarium impulſi ſunt. Duas enim Domini naturas, divinitatem ſcilicet & humanitatem, poſt unionem confundi, & in unam naturam contrahi impiè tradiderunt; adeoque divinas paſſiones, quibus humanitas obnoxia erat, divinitati attribuerunt. Quin & Dominum non carnem noſtræ ſimillimam aſſumpſiſſe, nec eam ex Virginis ſanguine compingi, ſed ineffabiliter & diviniori modo D eum incarnatum fuiſſe commenti ſunt. Quos idcirco iv. Synodus œcumenica Chalcedone celebrata, ex ſexcentis & triginta Patribus conſtans, depoſuit.

De Severo.

Erat autem Severus Antiochiæ Epiſcopus, Dioſcoro & Eutychete impietate non inferior; quapropter ab Orthodoxis throno ſimul ac urbe expulſus, ad Alexandriam pervenit, ubi librum conſcripſit omni impietate refertum, in quo contra Synodum quartam E Chalcedonenſem invehitur, & hæreſin illam quæ unam in Domino naturam poſt unionem ſtatuit, confirmare aggreſſus eſt. Librum hunc, philalethen, ſeu veritatis amantem, inſcripſit, Patri mendaciorum nihilo minus charum: quem qui ab eo dicuntur Severiani Evangeliis præferunt. Iidem etiam Acephali vocantur, non ſolum quod plures fuerint hujus hæreſis patroni, fautoreſque, ſed quod diverſis ſententiis ab invicem differant, & inter ſe non omnino conveniant.

De Manichæis.

F Dicuntur Manichæi qui Manis deliria in honore habent. Manes autem ſeſe Paracletum vocabat, & Chriſtum per opinionem & imaginationem appariuſſe docuit. Duo ſtatuebat principia, bonum & malum, ſive Deum & materiam. Vetus teſtamentum maledictis inceſſit. Lunam & Sydera tanquam Deos adorari permiſit. Carnis reſurrectionem negabat. Animarum à corporibus in alia corpora migrationem tradidit, Herbas, arbores, & aquam res eſſe animatas affirmans.

A

De Valentinianis ſive Euchytis.

Valentiniani vocantur, quod temporibus Valentini & Valentis pullulaverit ſecta Bogomilorum ſive Maſſalianorum, quorum nomen, ſi in linguam Græcam transferatur, Euchytas ſignificat. Quippe magnum apud eos eſt precationis nomen, quam in vulgus efferri vetant. Vocantur etiam ab ipſâ re Enthuſiaſtæ: nam agitatione dæmonis occupati, putant eam eſſe Spiritus ſancti. Quod ſi quos iſte morbus prorſus invaſerit, manuum quidem omnem laborem veluti malum averſantur; B ſomno autem plerumque ſe dedentes, ea ſomniorum viſa vocant Enthuſiaſmos. Mala perhibent exiſtere naturâ, & in quolibet homine ſimul habitare ſpiritum divinum ac dæmonem. Pueros qui eduntur in lucem, ex primo Patre Adamo, ut naturam, ita etiam ſervitutem erga dæmonas trahere; adeoque conſubſtantiatum geſtare dæmonem, qui cum quolibet habitet, ac imperium in eum exerceat. Et baptiſmi quidem eas non eſſe vires, ut illum expellere poſſit, aut peccatorum radices evellere; ſed ſolam ipſis injunctam precationem, tum illum expellere, tum radices haſce purgare. Poſtquam autem perfectiores inter ipſos ſtatum expertem affectuum attigerint, Spiritum ſanctum C adſpectabiliter ſuper eos venire tradunt, & ab affectuum incitatione corpus ita liberare, ut deinceps non amplius egeat jejunio quo prematur, nec doctrinâ quæ frænum injiciat, & erudiat ne ambulet inordinate. Quinetiam ſe communionem cum cœleſti ſponſo ſentire dicunt, quemadmodum mulier mariti ſui commercium; & ſanctam Trinitatem ſenſibilibus oculis videre, (iis enim ſolis illa ſub viſum cadit) ac inde futura proſpicere. Vetant quaſi edicto, ne quis aliquid mendicantibus largiatur, niſi ſuis duntaxat, cum ſeſe dicant eſſe illos ſpiritu pauperes quos dominus beatos prædicavit. Matrimonium ſolvunt, intrepide jurant & pejerant: & D infinita alia portenta comminiſcuntur, admittuntque facinora, quæ Dei amantium auribus offerre nefas eſſet.

De Bogomilis.

Secta autem Bogomilorum non multo ante noſtram ætatem eſſe cepit, ac pars quædam eſt Sectæ Maſſalianorum, & in pleriſque cum illorum dogmatis conſentit: cum præterea quædam etiam invenerit, ac peſtem adauxerit. Dicitur autem linguâ Myſorum Bogomilus, E qui Dei miſericordiam ſibi conciliat. Bog enim apud eos, Deus vocatur, & miouli, miſericordia. Hi teſtamenti veteris & novi libros, una cum præſcripto in iis Deo, abrogant, velut afflatu Satanæ exaratos, exceptis duntaxat ſeptem, inter quos eſt & ipſum Evangelium: verum hos ipſos quoque falſâ interpretatione corrumpunt, & blaſphemis ac ſceleſtis intellectibus ad id, quod ipſis videtur, pervertunt. Ignominiâ crucem ſacram afficiunt, veluti quæ Dominum peremerit, itemque formidabile ſacrum Dominici Corporis & Sanguinis, quod inhabitantium templa dæmonum hoſtiam appellant: aiunt enim in omnibus ſacris templis habitare dæmonas. Baptiſmum noſtrum F Johannis baptiſmum vocant, ſuum autem, baptiſmum ſervatoris; unicam precationem illam agnoſcunt, Pater noſter: cæteras abrogant, & inutilem garrulitatem appellant. Deiparos vocant eos qui exiſtentem apud ipſos incolam conſequuti ſunt Spiritum Sanctum, veluti qui ſermonem in docendo gignant. Non modo per quietem, verum etiam vigilantes videre ſe Patrem perhibent, ut ſenem cujus admodum prolixa barba ſit, Filium ſimilem ei qui lanuginem primam recens mutaverit, Spiritum ſanctum ut Juvenem nudas admodum

Περὶ Ουαλεντινιανῶν ἤτοι Εὐχιτῶν.

Ουαλεντινιανοὶ δὲ ἡ κατὰ τοὺς χρόνους Ουαλεντίνου καὶ Θυάλεντος βλαστήσασα αἵρεσις τῶν Βογομίλων ἤτοι Μασσαλιανῶν, τοῦτο δὲ ἐξελληνιζόμενον Εὐχίτας δηλοῖ· πολὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, ἣν καὶ τοῖς πολλοῖς ποιοῦσιν ἀνέκφορον. καλοῦνται δὲ ἐκ τοῦ πράγματος καὶ ἐνθουσιασταί· δαίμονος γὰρ ἐνέργειαν λαμβάνοντες, πνεύματος ἁγίου εἶναι ταύτην ὑπολαμβάνουσιν. οἱ γὰρ τέλεον τὴν νόσον ταύτην εἰσδεδεγμένοι, ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν ὡς πονηράν· ὕπνῳ δὴ τὰ πολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας ἀποκαλοῦσι. φύσει λέγουσιν εἶναι τὰ κακά, καὶ ἐν ἑκάστῳ ἀνθρώπῳ πνεῦμά τε θεῖον συνοικεῖν, καὶ δαίμονα· τοὺς τικτομένους παῖδας ἐκ τοῦ προπάτορος ἕλκειν Ἀδάμ, ὥσπερ τὴν φύσιν οὕτω δὲ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα ἑκάστῳ τούτων συνοικοῦντα καὶ κατεξουσιάζοντα· καὶ τὸ μὲν βάπτισμα ἀδυνάτως ἔχειν ἐξελαύνειν αὐτόν, ἢ τὰς ῥίζας ἀνασπᾷν τῶν ἁμαρτημάτων, μόνην δὲ τὴν ἐπιτεταμένην εὐχὴν ἐκεῖνόν τε ἐξωθεῖν καὶ ταύτας καθαίρειν. καὶ μετὰ τὴν γινομένην τοῖς αὐτῶν τελεωτέροις ἀπάθειαν, ἐπιφοιτᾷν αὐτοῖς ὁρατῶς τὸ ἅγιον πνεῦμα, καὶ τῆς τῶν παθῶν κινήσεως τὸ σῶμα ἐλευθεροῦν, ὡς μηκέτι λοιπὸν δεῖσθαι, μήτε νηστείας πιεζούσης αὐτό, μήτε διδασκαλίας χαλινούσης καὶ μὴ βαίνειν ἀτακτα παιδευούσης· οὐ μὴν ἀλλὰ καὶ αἰσθάνεσθαι τούτους τῆς τοῦ ἐπουρανίου νυμφίου κοινωνίας, ὥσπερ ἡ γυνὴ τῆς τοῦ ἀνδρὸς συνουσίας· καὶ τὴν ἁγίαν τριάδα τοῖς αἰσθητοῖς ὁρᾷν ὀφθαλμοῖς, μόνοις γὰρ τοῖς τοιούτοις ὑπ' ὄψιν ἐμφανίζεσθαι ταύτην, κἀντεῦθεν τὰ μέλλοντα τούτους προβλέπειν. νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἀλλ' ἑαυτοῖς μόνοις· ἑαυτοὺς εἶναι λέγοντες πτωχοὺς τῷ πνεύματι, οὓς ὁ κύριος ἐμακάρισε. λύουσι τοὺς γάμους, ὀμνύουσιν ἀδεῶς καὶ ἐπιορκοῦσι· καὶ ἕτερα μυρία τερατεύονται καὶ παρανομοῦσιν, ἃ καὶ φιλοθέων ἀκοαῖς παραδιδόναι οὐκ εὐαγές.

Περὶ Βογομίλων.

Η δὲ τῶν Βογομίλων αἵρεσις οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασσαλιανῶν, καὶ συμφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν, ἔστι δὲ καὶ ἃ προσεξευροῦσα καὶ τὴν λύμην αὐξήσασα. εἴη δ' ἂν Βογόμιλος κατὰ τὴν τῶν Μυσῶν γλῶτταν, ὁ τοῦ θεοῦ τὸν ἔλεον ἐπισπώμενος· Βὸγ γὰρ καλεῖται παρ' αὐτοῖς ὁ θεός, μίουλε δὲ ὁ ἔλεος. οὗτοι τὰς τῆς παλαιᾶς καὶ καινῆς ἀθετοῦσι βίβλους, μετὰ τοῦ ἐν αὐταῖς γεγραμμένου θεοῦ, ὡς κατ' ἐπίπνοιαν γραφείσας τοῦ Σατανᾶ· πλὴν μόνων ἑπτά, ὧν ἐστὶ καὶ τὸ εὐαγγέλιον· παρερμηνεύουσι δὲ καὶ ταύτας βλασφήμοις ἐννοίαις καὶ μιαραῖς, καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέρουσιν. ἀτιμάζουσι τὸν θεῖον σταυρὸν ὡς ἀναιρετὴν τοῦ κυρίου· ἔτι δὲ καὶ τὴν φρικτὴν ἱερουργίαν τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος, τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων θυσίαν ταύτην ἀποκαλοῦντες· λέγουσι γὰρ ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς τοὺς δαίμονας κατοικεῖν. καὶ τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγοντες, τὸ δὲ παρ' αὐτοῖς τοῦ σωτῆρος. μόνην ὀνομάζουσι προσευχὴν τό, πάτερ ἡμῶν, τὰς δ' ἄλλας ἀθετοῦσι βαττολογίαν καλοῦντες. θεοτόκους λέγουσι τοὺς παρ' αὐτοῖς ἔνοικον κτησαμένους τὸ ἅγιον πνεῦμα, ὡς τὸν λόγον ἐν τῷ διδάσκειν γεννῶντας. λέγουσιν οὐ μόνον ὄναρ ἀλλὰ καὶ ὕπαρ βλέπειν, τὸν μὲν πατέρα ὡς γέροντα καθειμένον ἱκανῶς τὴν ὑπήνην, τὸν δὲ υἱὸν ἄρτι τὸν ἴουλον παραμείβοντι ἐοικότα· τὸ δὲ ἅγιον πνεῦμα ὡς νεανίαν δεινῶς ἐψιλωμένον τὰς παρειάς, τῶν δαιμόνων οὕτως ἐξαπατώντων αὐτούς, καὶ διδασκόντων ἄνισον εἶναι τὴν ἁγίαν τριάδα κατὰ τὴν τῶν σχημάτων τούτων διαφοράν. καὶ τὰ πλείω παρείσθω μοι τῆς τούτων καὶ τῶν Μασσαλιανῶν δυσσεβείας, ἵνα μὴ ἐπὶ πλεῖστον τὰς τῶν ἐντυγχανόντων ἀκοὰς ἀποκναίω· ὅστις δὲ μὴ ἐν παρέργῳ τούτους αὐτῶν γνῶναι βούλεται λήρους, τὴν περὶ τούτων διεξιοῦσαν βίβλον ἀνελιττέτω, καὶ σαφέστερον εἴσεται. A

Ἀλλὰ καὶ ὁ ζ΄. κανὼν ἔτι δὲ καὶ ὁ η΄. τῆς ἐν Λαοδικείᾳ συνόδου, τοὺς ἐπιστρέφοντας τῶν προρρηθέντων Φρυγῶν, εἰ καὶ κληρικοὶ νομίζονται εἶναι, καὶ μέγιστοι παρ' αὐτῶν ὀνομάζονται, ὡς τῶν ἄλλων προέχοντες, καὶ διδασκάλων παρ' ἐκείνοις πληροῦντες τάξιν, ἀναβαπτίζεσθαι ἀξιοῦσιν. B

Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, ἅπαντας τοὺς εἰς μίαν κατάδυσιν παρὰ τῶν ἑτεροδόξων βαπτιζομένους καὶ τῇ καθολικῇ προσιόντας ἐκκλησίᾳ αὖθις βαπτίζεσθαι οἱ θεῖοι κανόνες θεσπίζουσιν.

Καὶ ὁ προδιαληφθεὶς δὲ τῆς β΄. συνόδου α΄. κανὼν, ἐν τῷ περὶ τῆς ὀρθοδόξου πίστεως κεφαλαίῳ, ὑπὸ ἀνάθεμα τίθησι τὴν τῶν Εὐνομιανῶν αἵρεσιν ἤτοι Εὐδοξιανῶν, καὶ τὴν τῶν Ἡμιαρείων ἤτοι πνευματομάχων, καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ Μαρκελλιανῶν, καὶ Φωτεινιανῶν τε, καὶ Ἀπολλιναριαστῶν. C

Περὶ Εὐδοξίου.

Περὶ μὲν τῶν Εὐνομιανῶν εἴρηται. οἱ αὐτοὶ δὲ καὶ Εὐδοξιανοὶ ἐκαλοῦντο ἀπό τινος Εὐδοξίου συναιρεσιώτου τῷ Εὐνομίῳ· ὃς Κωνσταντινουπόλεως γεγονὼς ἐπίσκοπος, τὸν Εὐνόμιον Κυζίκου ἀρχιερέα κατέστησεν.

Περὶ Ἀνομοίων.

Οἱ δ' αὐτοὶ καὶ Ἀνόμοιοι ὠνομάζοντο, διὰ τὸ λέγειν τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα μηδεμίαν ὁμοιότητα κατ' οὐσίαν ἔχειν πρὸς τὸν πατέρα. D

Περὶ Μαρκελλιανῶν.

Ἡ δὲ τῶν Μαρκελλιανῶν Μάρκελλόν τινα ἔσχεν αἱρεσιάρχην· ὃς ἐξ Ἀγκύρας μὲν ὥρμητο τῆς Γαλατίας, καὶ αὐτῆς ἐπίσκοπος ἐγεγόνει, ἐπίσης δὲ τῷ προρρηθέντι ἐδογμάτιζε Σαβελλίῳ.

Περὶ Φωτεινοῦ.

E

Οἱ δὲ Φωτεινιανοὶ ἀπὸ Φωτεινοῦ εἷλκον τὴν κλῆσιν, ἐκ Συρμίου μὲν ὁρμωμένου, κἀνταῦθα ἐπισκοπήσαντος· τὰ αὐτὰ δὲ τῷ προλεχθέντι Παύλῳ φρονήσαντος τῷ Σαμοσατεῖ.

Ὅπως δεῖ δέχεσθαι τοὺς ἀπὸ Ναυάτου.

Ὁ δὲ η΄. τῆς α΄. συνόδου κανὼν, τοὺς φθάσαντες εἰρημένους καθαροὺς ἤτοι Ναυατιανοὺς, τῇ καθολικῇ προσιόντας ἐκκλησίᾳ ἐγγράφως κελεύει ὁμολογεῖν ὡς ἀσφαλῶς τὰ δόγματα πάντα τηρήσουσι ταύτης, τοὺς τὸν Χριστὸν τε ἀρνησαμένους ἐπιστρέφοντας δέξονται· καὶ κατὰ τοὺς ὡρισμένους τῇ μετανοίᾳ τῶν παραπεπτωκότων καιροὺς ἐκείνους οἰκονομήσουσι, F τοῖς τε διγάμοις κοινωνήσουσι· καὶ εἰ τούτοις συγκατέθεντο, τοὺς οἰκείους αὖθις ἐκκλησιαστικοὺς ἀπολαμβάνειν βαθμοὺς οὓς πρώην καταλελοίπασι, πρεσβύτεροι δήπου τυγχάνοντες ἢ διάκονοι· εἰ δὲ καὶ ἐπίσκοποι, καὶ τούτους ταῖς ἰδίαις ἐπισκοπαῖς ἀποκαθίστασθαι· εἴπερ μὴ ταύτας ἐν τῷ μεταξὺ μετειλήφεισαν ἕτεροι.

genas habentem, dæmonibus ita eos circumvenientibus, & inæqualem eſſe ſanctam Trinitatem docentibus, juxta diſcrimen harum figurarum. Omitta plura horum & Maſſalianorum impia dogmata, ne lectorum aures amplius obtundam: qui vero eorundem deliria non in tranſitu ſed penitus cognoſcere velit, librum de iis tractantem revolvat, & clarius eadem perſpiciet.

Inſuper vii. nec non viii. Canon Synodi Laodicenæ, eos, qui ex hæreſi Phrygum, de quibus antea dictum eſt, convertuntur, quamvis in clero eſſe exiſtimantur, & maximi apud illos dicuntur, ut qui alios antecellant, & inter eos doctorum ordinem teneant, rebaptizari volunt.

Ut uno verbo dicam, omnes qui ab heterodoxis una immerſione baptizantur, & ad Eccleſiam Catholicam accedunt, ſacri Canones iterum baptizandos eſſe decernunt.

Quin & prædictus Syn. ii. Can. i. in capite de orthodoxâ fide, anathemati ſubjicit, ſectam Eunomianorum ſive Eudoxianorum, nec non Semiarrianorum ſive Spiritus ſancti adverſariorum, & Sabellianorum, & Marcellianorum, & Photinianorum, & Apollinariſtarum.

De Eudoxio.

De Eunomianis dictum eſt. Iidem autem Eudoxiani vocabantur, ab Eudoxio quodam, eâdem quâ Eunomius hæreſi infectus; qui cum eſſet Conſtantinopolitanus Epiſcopus, Eunomium Cyzici Pontificem conſtituit.

De Anomœis.

Hi etiam Anomœi nominabantur, quod dicerent filium & Spiritum ſanctum nullam cum Patre, quoad ſubſtantiam, ſimilitudinem habere.

De Marcellianis.

Secta autem Marcellianorum, quendam Marcellum hæreſeos autorem habuit, qui ex Ancyrâ Galatiæ urbe oriundus, ejuſdem Epiſcopus erat: idemque quod prædictus Sabellius ſentiebat.

De Photino.

Photiniani autem à Photino denominationem habuerunt, qui ex Sirmio quidem oriundus, illic Epiſcopatum geſſit, & in eadem opinione fuit quâ prædictus Paulus Samoſatenus.

Quomodo Novatianos admittere oporteat.

Viii. primæ Synodi canon Catharos ſive Novatianos, de quibus ſuperius dictum eſt, ad Eccleſiam Catholicam accedentes, in ſcriptis profiteri jubet, quod omnia ejuſdem decreta pro certo obſervabunt, eoſque qui Chriſtum negarunt, & converſi ſunt, ſuſcipient; utique quod juxta tempora pœnitentiæ lapſis præfinita, res eorum adminiſtrabunt, & cum digamis communicabunt. Si itaque his aſſentiant, gradus ſuos Eccleſiaſticos quos antea reliquerunt, iterum reſumere jubet, ſi Presbyteri ſc. vel Diaconi fuerint: ſin autem Epiſcopi, etiam & eos ſuis Epiſcopatibus reſtituendos eſſe, niſi alii interea eaſdem occupaverint.

A

Quomodo Donatiſtas admittere oporteat.

Canon autem lvii. & lxviii. Synodi Carthag. præcipiunt, ut qui ex ſectâ Donatiſtarum fidem orthodoxam amplectuntur, ſi Laici ſint, non rebaptizentur; & ut Clerici ſacros gradus iterum obtineant, nimirum ut hac ratione plures ad fidem Catholicam accederent.

De Donato.

B Horum ſectam exorſus eſt quidam, cui nomen erat Donatus, qui non aliter ſacris myſteriis communicandum eſſe docuit, niſi quis os humanum manu tenens, id ipſum prius exoſcularetur, atque hoc modo ſacramenta perciperet.

Canon autem xxxv. Synodi Laodicenæ, qui, inquit, Eccleſiam Dei relinquit, & Angelos nominat, invocatque, & congregationes iis peragit, & occultæ Idololatriæ vacat, ſit Anathema. Non quod honor in Angelos ſit Idololatria, ſed quod Mali artificium ſit, qui ſolis Angelis confidere, & Chriſtum non invocare perſuadet, ut eos, qui ei parent, paulatim ad Idololatriæ barathrum clàm devolvat. Malus enim utpluri- C mum nos à dextris adoriri amat. Dicebant enim hujus erroris diſcipuli, quod non oportet Chriſtum ſed Angelos ad auxilium invocare, & ut aditum ad Patrem habeamus. Chriſtum enim eorum cauſâ interpellare majus quiddam eſt, quam ut nos homunculi id attentemus. Hujus hæreſeos (antiqua enim erat) divinus etiam Apoſtolus in Epiſtolâ ad Coloſſenſes meminit, dicens, nemo vos ſeducat volens in humilitate & cultu Angelorum, in ea quæ non vidit pedem inferens, ſive nemo vobis inſidietur in fide & diſpenſatione inculpata vincentibus, nec præmio privet, in peregrinas traditiones vos adducens, à vera ſcilicet fide ad cultum An- D gelorum propter humilitatem, quaſi ſupra nos eſſet Dominum invocare, eoque apud patrem conciliatore uti. Eſt autem καταβραβεύειν, præmium non victori, ſed illi per injuriam ereptum alteri cuiquam elargiri. Tradit autem S. Epiphanius in libro, qui Panarion dicitur, aliam eſſe Angelicorum dictam hæreſin, qui ſe ita nominabant, vel quod ſe Angelorum more vivere, vel ab Angelis in rebus divinis inſtructos crederent.

De Maximo Aſcetico.

Porrò iv. Synodi ſecundæ canon, Maximum quen- E dam abdicat; eum nec factum fuiſſe, vel eſſe Epiſcopum, quod contra leges ordinatus fuerit, nec eos quibus ordines contuliſſet, in Clericorum numero habendos eſſe affirmans. Ac hujuſce hominis apud Gregorium Theologum in quadam ex orationibus ſuis quæ in Eccleſiis non leguntur, mentionem alicubi factam reperias. Erat autem Maximus hic Ægyptius, Philoſophus Cynicus; (Cynici vero dicebantur propter eorum arrogantiam & audaciam:) Qui, cum ad magnum Patrem Gregorium Theologum acceſſiſſet, & fidei myſterii imbueretur, baptizatus eſt, & demum clero adſcriptus, nec non ad menſam magni iſtius Patris admiſſus. Cum F autem Patriarchalem Conſtantinopolitanæ ſedis dignitatem concupiſſet, pecunias Alexandriam mittit, ſibique inde Epiſcopos illum electuros ſubornat, quodam etiam ex intimis Theologi in auxilium adſcito: qui quidem cum in Eccleſia jam conſtitiſſent, nondum perfectâ re deprehenſi, à fidelibus ejecti ſunt; non autem propterea quieverunt, ſed Choraulæ cujuſdam domum ingreſſi, Maximum Patriarcham ordinant, quamvis nihil ei profuerit iſtiuſmodi improbitas, neque enim quicquam proficere potuit. Poſtea autem, cum cognitum eſſet eum cum Apollinario ſentire, anathemate ictus eſt.

Οπως χρὴ δέχεσθαι τοὺς Δονατιστάς.

Ο δὲ νζʹ. καὶ ὁ ξηʹ. τῆς ἐν Καρθαγένῃ, τοὺς ἐκ τῆς αἱρέσεως τῶν Δονατιστῶν τῇ ὀρθοδόξῳ πίστει προσερχομένους μήτε, εἰ τοῦ λαοῦ εἶεν, ἀναβαπτίζεσθαι διατάττονται, καὶ τοὺς κληρικοὺς ἔχειν αὖθις τοὺς ἱερατικοὺς βαθμοὺς, προνοίᾳ τοῦ πλείονας οὕτω τῇ καθολικῇ προσιέναι πίστει.

Περὶ Δονάτου.

Τούτων αἱρεσιάρχης ἦν Δονάτος τις ὄνομα, ὃς μὴ ἄλλως τῶν θείων μεταλαμβάνειν μυστηρίων ἐδίδασκε, εἰ μή τις ὀστοῦν ἀνθρώπινον κατέχων ἐν τῇ χειρὶ, τοῦτο πρότερον ἀσπάζοιτο καὶ οὕτω μεταλαμβάνοι.

Ο δὲ λεʹ. τῆς ἐν Λαοδικείᾳ κανὼν, ὁ τὴν τοῦ θεοῦ φησι καταλιμπάνων ἐκκλησίαν, καὶ ἀγγέλους ἐπονομάζων καὶ ἐπικαλούμενος, συνάξεις τε τούτοις ἐπιτελῶν, καὶ τῇ κεκρυμμένῃ ταύτῃ σχολάζων εἰδωλολατρείᾳ, ἔστω ἀνάθεμα· οὐχ ὡς τῆς πρὸς ἀγγέλους τιμῆς εἰδωλολατρείας οὔσης, ἀλλὰ τέχνη τις ἦν τοῦτο τηνικαῦτα τοῦ πονηροῦ ἀγγέλοις μόνοις πείθοντος προσανέχειν, καὶ μὴ τὸν Χριστὸν ἐπικαλεῖσθαι, ἵνα τοὺς πειθομένους κατὰ μικρὸν εἰς τὸ τῆς εἰδωλολατρείας λαθὼν ἐκκυλίσῃ βάραθρον· φιλεῖ γὰρ ὡς ἐπίπαν ἐκ τῶν δεξιῶν ὑποκλέπτειν ὁ δόλιος. ἔφασκον γὰρ οἱ μύσται τοῦ πλάνου, μὴ δεῖν τὸν Χριστὸν, τοὺς δὲ ἀγγέλους εἰς βοήθειαν ἐπικαλεῖσθαι, καὶ εἰς τὴν προσαγωγὴν πρὸς τὸν πατέρα. τὸ γὰρ τὸν ἐπικαλεῖσθαι τὸν Χριστὸν ἐν τούτοις, μεῖζον ἢ καθ' ἡμᾶς. ταύτης τῆς αἱρέσεως, παλαιὰ γὰρ ἦν, καὶ ὁ θεῖος ἀπόστολος ἐν τῇ πρὸς Κολοσσαεῖς ἐπιστολῇ μέμνηται, λέγων, μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, ἤτοι μηδεὶς ὑμῖν ἐπηρεαζέτω νικῶσιν ἐν τῇ ἀμωμήτῳ πίστει καὶ πολιτείᾳ, μὴ δὲ τοῦ βραβείου ἀποστερείτω ἐπὶ ξένας παραδόσεις μεταφέρων ὑμᾶς, ἐκ τῆς ὀρθῆς δηλαδὴ πίστεως εἰς τὴν τῶν ἀγγέλων θρησκείαν διὰ ταπεινοφροσύνης, ὡς ὑπὲρ ἡμᾶς ὄντος τοῦ ἐπικαλεῖσθαι τὸν κύριον, καὶ αὐτοῦ κεχρῆσθαι πρὸς τὸν αὐτοῦ πατέρα προσαγαγεῖν. καταβραβεύειν δέ ἐστι τὸ, μὴ τῷ νικήσαντι τὸ βραβεῖον, ἀλλ' ἑτέρῳ διδόναι ἀδικουμένου τοῦ ἀριστέος. ὡς δὲ ὁ ἅγιος Επιφάνιος ἱστορεῖ ἐν τῷ βιβλίῳ τῶν Παναρίων αἵρεσιν εἶναι ἑτέραν τῶν ἀγγελικῶν λεγομένην, ἢ ὡς ἀγγελικῶς οἰόμενοι βιοῦν οὕτως ἑαυτοὺς ὀνομάζοντες, ἢ ὡς παρ' ἀγγέλων τὰ θεῖα μυεῖσθαι νομίζοντες.

Περὶ Μαξίμου τοῦ ἀσκητοῦ.

Αλλὰ καὶ ὁ δʹ. τῆς βʹ. συνόδου Μάξιμον ἀποκηρύττει τινὰ, μήτε ἐπίσκοπον αὐτὸν γενέσθαι ἢ εἶναι ἀποφαινόμενος διὰ τὸ ἐκθέσμως κεχειροτονῆσθαι, μήτε τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας κληρικοὺς ὑπάρχειν. τούτου καὶ ὁ θεολόγος Γρηγόριος ἔν τινι τῶν μὴ ἐπ' ἐκκλησίας ἀναγινωσκομένων αὐτοῦ μέμνηται λόγων. οὗτος δὲ ὁ Μάξιμος Αἰγύπτιος ἦν φιλόσοφος κυνικός· κυνικοὶ δὲ ἐλέγοντο παρὰ τὸ αὐθαδὲς καὶ θρασύ· καὶ προσελθὼν τῷ μεγάλῳ πατρὶ Γρηγορίῳ τῷ θεολόγῳ, καὶ κατηχηθεὶς ἐβαπτίσατο, εἶτα καὶ τῷ κλήρῳ συγκατελέγη, καὶ τῷ μεγάλῳ ἐκείνῳ πατρὶ ὁμοδίαιτος ἦν. ἐν Εφέσει δὲ τοῦ ἀρχιερατικοῦ θρόνου τῆς βασιλευούσης γενόμενος, χρήματα εἰς Αλεξάνδρειαν πέμπει, κἀκεῖθεν ἐπισκόπους ἄγει τοῦτον χειροτονήσοντας· ἔχων καί τινα συνεργὸν τῶν οἰκείων τοῦ θεολόγου. ἤδη δὲ τῆς ἐκκλησίας ἔνδον γενόμενοι, καὶ φωραθέντες, πρὶν ἢ τελετὴν τελέσασθαι, πρὸς τῶν πιστῶν ἀπηλάθησαν. ἀλλ' οὐδὲ οὕτως ἡσύχασαν, εἰς οἰκίαν δὲ εἰσδύντες Χοραύλου τινὸς ἐκεῖ χειροτονοῦσι τὸν Μάξιμον, εἰ καὶ μηδὲν τῆς περὶ ταῦτα μοχθηρίας ἀπώνατο, οὐ γὰρ ἀνύσαι τι ὅλως ἐδεδύνητο. ὕστερον δὲ γνωσθεὶς καὶ τὰ Απολιναρίου φρονεῖν, καὶ ἀνεθεματίσθη.

A Τῆς δέ γε τρίτης συνόδου ὁ α΄. καὶ β΄. κανών, ἔτι δὲ καὶ ὁ γ΄. καὶ ὁ δ΄. καὶ ὁ ε΄. τοὺς τὰ Νεστορίου καὶ τοῦ ὁμοδόξου τούτῳ Κελεστίου φρονοῦντας ἐπισκόπους ἢ κληρικοὺς τῆς ἱερωσύνης ἐξοστρακίζουσιν· ὅσους δὲ ὁ Νεστόριος τῆς ἱερωσύνης ἐξέωσε μὴ συντεθειμένους τῇ ἐκείνου κακοδοξίᾳ αὖθις ἀπολαύειν κελεύουσι τοὺς οἰκείους βαθμούς· ὅσους γε μὴν ὑπὸ τῆς συνόδου ἢ τῶν ἰδίων ἐπισκόπων ἐπὶ ἀτόποις πράξεσι ἐλεγχθέντας τε καὶ καθαιρέσει ὑποβληθέντας, ἀκανονίστως εἰς κοινωνίαν δεξάμενος ὁ Νεστόριος τοῖς οἰκείοις βαθμοῖς ἐγκατέστησε, τούτους μηδὲν ἧττον εἶναι καθῃρημένους.

Περὶ Νεστορίου.

B Ὁ μὲν οὖν Νεστόριος οὗτος πατριάρχης ὢν Κωνσταντινουπόλεως, ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστόν, ἑνωθῆναι δὲ αὐτῷ κατὰ σχέσιν τὸν Θεοῦ υἱόν, παρὸ οὐδὲ θεοτόκον ἀλλὰ Χριστοτόκον τὴν ἁγίαν παρθένα ὠνόμαζεν. ὃς ψήφῳ τῶν εἰς Ἔφεσον ἀθροισθέντων ἁγίων πατέρων καθῄρητο, προεξάρχοντος τούτων τοῦ ἐν ἁγίοις Κυρίλλου Πάπα Ἀλεξανδρείας, ἐπέχοντος δὲ καὶ τὸν τόπον Κελεστίνου τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης, συναιρομένου καὶ Μέμνονος ἐπισκόπου Ἐφέσου. μετὰ δὲ τρίτην ἡμέραν Ἰωάννης παρῆν ὁ Πατριάρχης Ἀντιοχείας σὺν πλείοσιν ἐπισκόποις, μεθ᾽ ὧν ἦν καὶ C Θεοδώρητος ἐπίσκοπος Κύρου, καὶ Ἴβας Ἐδέσσης· οἳ καὶ τῆς ἀπολείψεως ὑβριοπαθήσαντες, τῇ καθαιρέσει Νεστορίου ἐμέμψαντο, καὶ τὸν ἅγιον Κύριλλον τόν τε Ἐφέσου Μέμνονα παραλόγως καθεῖλον. ὁ μέν τοι Θεοδώρητος καὶ εἰς ἀνασκευὴν τῶν ιβ΄. κεφαλαίων ὁ μέγας ἐξέθετο Κύριλλος εἰς ἔλεγχον μὲν τῆς Νεστορίου κακοδοξίας, στηριγμὸν δὲ τῆς ὀρθοδόξου πίστεως, κεφάλαια ἕτερα τοσαῦτα ἐκδέδωκε, καὶ ὁ Ἴβας ὁμοίως ἐπιστολήν· καὶ μεγίστη γέγονε μεταξὺ τούτων ἡ διαφορά, ὡς καὶ καθαίρεσιν αὖθις τὴν σύνοδον τῶν ἀρχιερέων ἐκείνων καταψηφίσασθαι, οἷα δὴ τοῖς τοῦ Νεστορίου ὑποπτευθέντων στοιχεῖν. ἐπεὶ οὖν οὕτω δι᾽ ἀλλήλων οἱ ἀρχιερεῖς D κεχειρήκασι, καὶ σχίσμα ἦν παρ᾽ αὐτοῖς, ὁ βασιλεὺς πάντας εἰς τὴν βασιλεύουσαν μετακαλεσάμενος, τὰ τῆς ὁμοφροσύνης καὶ ἄμφω τὰ μέρη ἀσπάσασθαι παρεσκεύασεν. ὁ μέν τοι Θεοδώρητος πρὸς ἔριν καὶ τὰ ιβ΄. κεφάλαια συντεταχέναι μὴ ἀρνησάμενος, τῇ ἀποβολῇ τούτων καὶ ἀθετήσει ἑαυτὸν τῆς αἰτίας παρῃτήσατο, καὶ τῆς προτέρας ἔτυχε τιμῆς τε καὶ τάξεως, ἀγαπήσας τε τοῖς πεπραγμένοις τῇ ἁγίᾳ συνόδῳ, τῇ καθαιρέσει Νεστορίου καὶ οὗτος ἐψηφίσατο.

Περὶ Κελεστίου.

E Ὁ δὲ Κελέστιος μαθητὴς ἦν Πελαγίου τινὸς μοναχοῦ· ὡρμῶντο δὲ καὶ ἄμφω τῆς Καρθαγένης, ὡς ὁ Κωνσταντινουπόλεως Φώτιος ἱστορεῖ, καὶ καινότερα ἐπεισήγαγον τῇ ἐκκλησίᾳ δόγματα. θνητὸν γὰρ πλασθῆναι τὸν Ἀδὰμ τὴν ἀρχὴν διετείνοντο, ἀλλὰ μὴ ἐκ παραβάσεως τούτῳ καταδικασθῆναι· τά τε ἀρτίτοκα βρέφη μὴ χρείαν ἔχειν βαπτίσματος, οὐ γὰρ ἐφέλκονται τὴν προγονικὴν ἐξ Ἀδὰμ ἁμαρτίαν· τόπον τε εἶναι μεταξὺ τοῦ Παραδείσου καὶ τῆς κολάσεως, εἰς ὃν τὰ μὴ φωτισθῆναι φθάσαντα βρέφη μετατιθέμενα μακαρίως ζῆν· ταῦτα καὶ ἕτερα ἓξ παραπλήσιον τούτοις κεφάλαια τοῖς περὶ Πελάγιον καὶ Κελέστιον ἐπρεσβεύετο, ἃ F δὴ καὶ ἡ παροῦσα οἰκουμενικὴ γ΄. σύνοδος τῷ ἀναθέματι καθυπέβαλεν, ἀλλά γε καὶ ἡ ἐν Καρθαγένῃ σύνοδος. καὶ ζήτει τοὺς περὶ τούτων διεξιόντας ταύτης κανόνας ἐν τῷ α΄. κεφαλαίῳ τοῦ Β. στοιχείου, τὸν ρι΄. φημι, καὶ τοὺς καθεξῆς τρεῖς ἑτέρους. ἀλλὰ δὲ καὶ ἐν τῷ λε΄. κεφ. τοῦ Ε. στοιχείου κανόνας τῆς αὐτῆς συνόδου ριδ΄. καὶ ριε΄. ἅπερ γὰρ οὗτοι τοῦ ἀναθέματος ἀξιοῦσι παρ᾽ ἐκείνοις ἀφρόνως ἐδογματίζετο. καὶ ὁ μέγας δὲ Λέων ὁ Πάπας τοὺς περὶ Πελάγιον καὶ Κελέστιον ἐπιστρέφοντας ἐγγράφως ἀναθεματίζειν τὸ σφῶν ἐθέσπισε φρόνημα.

Primus inſuper tertiæ Synodi canon, nec non ii. & iii. & iv. & v. Epiſcopos vel Clericos qui Neſtorio, idemque cum eo ſentientis Cæleſtii, opinionibus favent, ex ſacerdotio ejiciunt: eos autem quos Neſtorius à Sacerdotio expulit, quod malæ ejus opinioni aſſenſum non præberent, ad proprios gradus rurſus reſtitui jubent: inſuper & eos, quos, cum à Synodo vel propriis Epiſcopis, propter indigna ſua facta condemnati eſſent & depoſitione mulctati, Neſtorius non canonicè ſuſcipiens propriis gradibus reſtituerat, nihilo ſecius depoſitos manere.

De Neſtorio.

Ο δὲ τῆς ἐν Σαρδικῇ γ΄. εἰ καὶ συνεληλύθασί φησιν εἰς ἥν τιναοῦν ἐπαρχίαν πλείους τῶν ἐπισκόπων ὥς τι τελέσοντες ἐκκλησιαστικὸν, μὴ ἀκλήτους πρὸς αὐτοὺς ἀπιέναι τοὺς ἀφ' ἑτέρας ἐπαρχίας· καλουμένους γε μὴν μὴ ἀναδύεσθαι τὴν ἄφιξιν διὰ τὸ φιλάδελφον.

Ο δὲ ια΄. ἐάν τις τῶν ἐπισκόπων φησὶ λόγων παιδείαν B ἱκανῶς ἠσκημένος πρὸς ἑτέραν ἀπίῃ πόλιν ἢ ἐπαρχίαν, ζητήσεως ἐκεῖ γινομένης περὶ τῆς ἐν ἡμῖν θρησκείας, ἤτοι λατρευομένης εὐσεβείας, μὴ κατ' ἐπίδειξιν καὶ κόμπον ἀλόγιστον συνεχῶς τοῖς λαοῖς ὁμιλείτω, ἐν περιφρονήσει τὸν τῆς χώρας ποιμένα τιθέμενος, καταισχύνων αὐτὸν, καὶ προφέρων τὸ περὶ λόγους ἀνάσκητον· αἴτιον γὰρ τοῦτο ταραχῆς καὶ ὑπονοίας οὐκ ἐλεύθερον, οἷα ταῦτα ποιῶν ἐξ ἐπιτήδες τῷ ἐποφθαλμιᾷν τῇ τῆς πόλεως ἐκείνης καθέδρᾳ. δεῖ τοίνυν φησὶ καὶ τὸν ἀτάκτως ἄττοντα καταστεῖλαι, καὶ νομοθετῆσαι τὸ φιλάδελφον. μήτ' οὖν ὁ ἐπίσκοπος παντάπασιν ἀπωθείτω τὸν συνεπίσκοπον, ἀπάνθρωπον γὰρ τοῦτο γε καὶ σκαιὸν καὶ φαῦλον καὶ πονηρόν· C μήτε μὴν ἐκεῖσε ἐνδιατρίβων πλέον τῶν τριῶν ἑβδομάδων τῆς οἰκείας ἐκκλησίας ἀπολιμπανέσθω. εἰ γὰρ ὁ ἀγράφως φερόμενος κανὼν τῆς κοινωνίας ἀπείργει τὸν ἐν πόλει διάγοντα λαϊκὸν, καὶ ἐπὶ τρεῖς ἑβδομάδας τῇ κοινῇ συνάξει τῆς ἐκκλησίας μὴ συνιόντα, πολλῷ γε δήπου τὸν ἐπίσκοπον οὐ δέον τῆς κατ' αὐτὸν ἐκκλησίας ἀποδημεῖν ἐπὶ τοσοῦτον χρόνον, βαρυτάτης ἄνευ ἀνάγκης, καὶ παραλιπεῖν τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον. ἀλλὰ γὰρ ὕστερον ὁ ἀγράφως φερόμενος οὑτοσὶ κανὼν π΄. ἐχρημάτισε τῆς ϛ΄. συνόδου.

Ο δὲ ιζ΄. αὖθις τῆς ἐν Σαρδικῇ, τὸν ἀδίκως φησὶ τῆς ἰδίας D ἐκβεβλημένον ἐπισκοπῆς, ἢ ὑπὸ αἱρετικῆς δυναστείας περὶ πλείονος τὰ τῆς ὀρθῆς πίστεως ποιούμενον δόγματα, ἢ τῷ τὴν ἔνσαρκον οἰκονομίαν ὁμολογεῖν, παρὰ εἰδωλολατρῶν ἐξωθέντα, ἢ τῆς ἀληθείας καὶ δικαιοσύνης μεταποιούμενον δόγματα, ὑπὸ τῶν κακῶς τὸν πλησίον ποιεῖν εἰωθότων ὡς καθωσιωμένον καὶ εἰς κόλασιν ἀφωρισμένον ἀπελαυνόμενον, ἀθῶον γε μὴν αὐτὸν ἀληθείας δικαζούσης ὑπάρχοντα, τὸν δὲ τοιοῦτον ἐν ἑτέρᾳ διατρίβειν πόλει μὴ κωλύεσθαι, μέχρις ἂν εἰς τὴν οἰκείαν ἐπανήκει τὸν φόβον διαδρὰς τοῦ κινδύνου, καὶ τὴν δοκοῦσαν ἐκ τῆς ἐξορίας ἀποτρίψηται ὕβριν. σκληρὸν γὰρ καὶ ἀπάνθρωπον τὸν ἀδίκως τῆς αὐτοῦ E πόλεως ἀπεληλαμένον μὴ πρὸς τῶν συνεπισκόπων ἱλαρῶς καὶ φιλοφρόνως ξενίζεσθαι.

Ο δὲ τῆς ϛ΄. συνόδου κανὼν ιη΄. τοὺς προφάσει βαρβαρικῆς ἐφόδου, ἢ φορολογίων σπανίας, ἢ λιμοῦ ἀνάγκης, ἢ ἧσδηποτοῦν ἄλλης αἰτίας πρὸς ἀλλοδαπὴν ἀπάραντας ἐπισκόπους, ἢ κληρικοὺς, καὶ τῆς αἰτίας διαλυθείσης, μὴ ἐπανήκειν προθυμουμένους, ἀφορίζεσθαι κελεύει μέχρις ἂν εἰς τὴν ἐκκλησίαν ἐπανέλθωσιν ἧς μετανάσται γεγόνασιν. οὐ μὴν ἀλλὰ καὶ τὸν ὑποδεξάμενον τούτους ἐπίσκοπον καὶ εἰσέτι κατέχειν πειρώμενον, ἀφορισμῷ ὑποτίθησιν.

F

Ο δὲ κγ΄. τῆς δ΄. συνόδου, τοὺς ἀποδημεῖν ἐθελομένους ὧν κεκλήρωνται ἐκκλησιῶν κληρικούς τε καὶ μοναχοὺς παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, ὡς μὴ παρ' αὐτοῦ διοίκησιν ἐγκεχειρισμένους τινὰ, ἴσως μὴ ἐπιτηδείως ἔχειν αὐτοὺς περὶ τὰ τοιαῦτα κρίναντος, ἔστι δ' ὅτε καὶ ἀκοινωνήτους πρὸς αὐτοῦ γινομένους, καὶ εἰς τὴν βασιλεύουσαν ἢ εἰς ἑτέραν ἀπιόντας πόλιν, καὶ ἐπὶ πλεῖστον αὐτόθι διατρίβοντας, καὶ τὴν τῆς ἐκκλησίας ταράσσοντας καὶ θορυβοῦντας κατάστασιν, ἀνατρέποντάς τε τινῶν οἴκους, τῷ ἠμελημένως βιῶναι, καὶ ἄκοντας ἐξωθεῖσθαι διορίζεται παρὰ τῆς ἐν τῇ πόλει συνόδου, ὥστε τοὺς οἰκείους τόπους καταλαβεῖν.

Ὁ δὲ τῆς ζ΄. συνόδου ι΄. καθαιρεῖ οὐ μόνον τὸν ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνοντα ἱερέα, ἀλλὰ καὶ τὸν εἰς τὴν βασιλεύουσαν εἰσιόντα, καὶ ἐν τοῖς εὐκτηρίοις οἴκοις τῶν ἀρχόντων λειτουργοῦντα ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως.

Ὁ δὲ κ΄. τῆς δ΄. συνόδου, κληρικοὺς φησὶ τῆς οἱασοῦν ἐκκλησίας μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν, ἐκτὸς τῶν κατ' ἀνάγκην τῆς ἰδίας πατρίδος ἐκπεπτωκότων. ἐπίσκοπος δὲ τὸν ἕτερον δεξάμενος κληρικὸν, ἀκοινώνητος ἔστω, ἕως ἂν ὁ κληρικὸς εἰς ἣν καταλέλοιπεν ἐκκλησίαν ἐπιστρέψῃ.

Ὁ δὲ ιγ΄. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τοὺς ἐκτὸς ἡστινοσοῦν πόλεως πρεσβυτέρους εἰς ταύτας εἰσέρχεσθαι καὶ προσφέρειν, ἢ τῆς θείας μεταδιδόναι τινὶ κοινωνίας οὐκ ἐπιτρέπει, παρόντος τοῦ τῆς πόλεως ἐπισκόπου ἢ πρεσβυτέρου. ἐὰν δὲ ἀπῶσιν οὗτοι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, εἰσελθεῖν αὐτὸν οὐ κωλύει, καὶ τῶν ἁγιασμάτων τισὶ μεταδοῦναι, εἰ τῆς ὑποκειμένης εἴη τῇ πόλει καὶ οὗτος δηλαδὴ ἐπαρχίας· ἑτέρας γὰρ πρεσβυτέρῳ οὐκ ἔξεστι λειτουργεῖν παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου· ὥσπερ οὐδὲ ἐπίσκοπος παροικίας ἑτέρας τοῦ γνησίου μὴ ἐπιτρέποντος ἐπισκόπου, εἰ καὶ ὑπὸ τοῦ τῆς πόλεως ἐκείνης μετακληθείη λαοῦ.

Περὶ τῶν διδομένων τοῖς ἀποδημοῦσι κληρικοῖς παρὰ τῶν ἐπισκόπων, ἐπιστολῶν συστατικῶν, ἀπολυτικῶν, καὶ εἰρηνικῶν.

Καὶ ὁ μὲν λγ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, τοὺς ἐξ ἀλλοδαπῆς ἐρχομένους ἐπισκόπους καὶ λοιποὺς κληρικοὺς συστατικῶν ἄνευ γραμμάτων παρεγγυᾶται μηδόλως εἰς κοινωνίαν προσίεσθαι. εἰ δὲ καὶ ταῦτα ἐπιφέροιντο, μηδ' οὕτως ἀνεξετάστως αὐτοῖς κοινωνεῖν. συμβαίνει γὰρ ἔσθ' ὅτε κατὰ πίστιν τινὰς σφαλλομένους πρὸς τὴν τῶν πολλῶν ἐξαπάτην συστατικὰς ἐπιστολὰς τινῶν ἐπισκόπων λαβεῖν· ἀγνοησάντων ἴσως τὴν ἐγκεκρυμμένην αὐτοῖς περὶ τὰ δόγματα λύμην· πολλὰ γὰρ τὰ κατὰ συναρπαγὴν ἴσμεν γινόμενα. πολλοῖς γοῦν πιστεύσασι μὲν μεγάλη ἀπήντησε συμφορὰ, ἀπιστίᾳ δὲ φραξαμένοις λαμπρὰ περιγέγονε σωτηρία. εἰ οὖν ἀναμφιβόλως δειχθεῖεν ὀρθόδοξοι, τῆς κοινωνίας τούτοις μεταδιδόναι, εἰ δ' οὖν, τὰ πρὸς τὴν χρείαν ἐπιχορηγοῦντες ἐκπέμπειν, ἵνα μὴ φειδωλίας γραφὴν ἑαυτοῖς προστριψώμεθα.

Περὶ Συστατικῶν.

Ὡς ἐν βραχεῖ δὲ ῥητέον περὶ τῶν διδομένων ἐπιστολῶν πρὸς τῶν ἐπισκόπων τοῖς τῶν οἰκείων ἀποδημοῦσι πόλεων ἢ χωρῶν, ὧν αἱ μὲν λέγονται συστατικαὶ, αἱ δὲ ἀπολυτικαὶ, αἱ δὲ εἰρηνικαί. καὶ συστατικαὶ μέν εἰσιν αἱ κληρικοῖς διδόμεναι παρὰ τῶν αὐτοὺς χειροτονησάντων ἐπισκόπων πρὸς ἑτέραν μεθισταμένοις, καὶ συνιστᾶσαι ἢ δηλοποιοῦσαι, ἢ τὸν περὶ τὴν ἱερωσύνην βαθμὸν τουτονὶ, ἢ ὡς καὶ τὰ τῆς ὑγιοῦς πρεσβεύουσι πίστεως, ἢ κατηγορίας κατ' αὐτῶν κινηθείσης ἢ καὶ συκοφαντίας, καὶ τελείως ἀπελεγχθείσης εἰρῆσθαι, ὃ ἀνεπίληπτον τοῖς ἐπιφερομένοις προσμαρτυροῦσαι, ὡς ἀθῷοι πεφήνασι. δίδονται δὲ καὶ τοῖς λαϊκοῖς ὑποβληθεῖσιν ἀφορισμῷ, καὶ πρὸς ἀλλοδαπὴν ἀπᾶραι τούτους δεῆσαν συνιστᾶσαι τῷ ταύτης ἐπισκόπῳ ὡς τοῦ δεσμοῦ τῶν ἐπιτιμίων ἤδη λέλυνται.

A Canon autem x. vii. Synodi, non ſolùm ſacerdotem deponit, qui ab urbe in urbem tranſierit, ſed & eum etiam qui ad Imperialem urbem proficiſcitur, & in principum oratoriis ſacra peragit, abſque veniâ Epiſcopi proprii & Conſtantinopolitani.

Canon vero xx. Syn. iv. ne liceat, inquit, Clericis cujuſcunque Eccleſiæ fuerint, in alterius urbis Eccleſiam ordinari, ſed ea contenti ſint in quâ ab initio ſacra peragere digni habebantur, exceptis iis qui præ neceſſitate patriam ſuam amiſerunt. Epiſcopus B autem qui alienum Clericum ſuſceperit, excommunicetur, donec Clericus ad Eccleſiam relictam reverſus fuerit.

Canon autem xiii. Syn. Neocæſar. Presbyteris extra quamlibet civitatem ordinatis, in eas ingredi, ibidemque offerre, vel ſacram comunionem alicui impertire non permittit, præſente urbis Epiſcopo vel Presbytero. Quod ſi iidem abſuerint, & ſolus ad precationem vocatus fuerit, eum ingredi, & ſacramenta alicui impertire non prohibet, ſi modo ex provinciâ ſit quæ urbi ſubjicitur: Presbytero enim alterius provin- C ciæ ſacra celebrare neutiquam permiſſum eſt, præter ſententiam iſtius regionis Epiſcopi: ſimiliter nec Epiſcopo alterius parochiæ, ſine legitimi Epiſcopi permiſſu, etiamſi ab urbis iſtius populo accerſatur.

De literis commendatitiis, dimiſſoriis, & pacificis, quæ clericis peregrinantibus ab Epiſcopis dantur.

Triceſimus tertius ſanct. Apoſt. canon, Epiſcopos & reliquos Clericos ab exterâ regione venientes, ſine D literis commendatitiis nequaquam ad communionem admittere jubet. Quod ſi eaſdem attulerint, ne tum quidem ſine examinatione iiſdem communicare: contingit enim aliquando, ut nonnulli qui circa fidem errant quorundam Epiſcoporum, quos pernicioſa eorum dogmata latebant, literas commendatitias ad multorum ſeductionem ſortiantur: multa enim per ſurreptionem fieri novimus. Multis enim credentibus magnum contigit infortunium, & infidelitate munitis ſalus conſpicua obvenit. Si igitur indubiè eos orthodoxos eſſe oſtenſum ſit, ad communionem admittere jubet; ſin minus, datis ad viam neceſſariis dimittere, ne nobiſ- E metipſis ignominiæ notas inuramus.

De literis commendatitiis.

Paucis autem dicendum eſt de literis quæ ab Epiſcopis dantur iis qui ab urbibus vel regionibus ſuis peregre abeunt: è quibus aliæ dicuntur commendatitiæ, aliæ dimiſſoriæ, aliæ autem pacificæ. Et commendatitiæ ſunt quæ dantur Clericis ad aliam regionem profecturis, ab Epiſcopis qui eos ordinârunt, commendantes, ſive notum facientes, vel quod gradum ſa- F cerdotalem conſequuti ſunt, vel quod rectam fidem prædicant, vel accuſatione aut calumnia adverſus eos motâ, & perperam objectâ, vitam ferentibus inculpatam eſſe atteſtantes, eoſque innocentes fuiſſe. Dantur præterea Laicis qui excommunicationi ſubjecti erant, & ad aliam regionem proficiſci opus habent, eos ejuſdem Epiſcopo commendantes, ut qui pœnarum vinculis ſoluti ſint.

A

De Literis dimiſſoriis.

Sunt autem dimiſſoriæ, quæ oſtendunt, permiſſum eſſe Epiſcopo vel Clerico, ex ſententia Antiſtitis, ſedem mutare, & Sacerdotale illic officium ſine omni impedimento obire.

De Literis pacificis.

Pacificæ autem dicuntur & iſtæ de quibus modo diſſeruimus; quia dum Clericus ejuſmodi literas ei ad B quem proficiſcitur tradit, divinæ charitatis vincula, quibus ambo Epiſcopi ad pacem ligantur, neutiquam diſrumpentur: neque enim qui alienum Clericum ſuſcipit Coepiſcopum ſuum contriſtando ſcandali author evadet, neque qui eum ab initio ordinavit, ut indignè tractatus id ægrè feret. Dicuntur etiam pacificæ quæ ad Coepiſcopos privatim miſſæ ſunt, eo, qui eaſdem portat, nihil negotii habente. Clericus igitur, cui peregrè proficiſci in animo eſt, duas epiſtolas, commendatitiam, & dimiſſoriam, ferre debet; ut alterâ quidem ad commendationem ſuam utatur, quod circa fidem rectè ſentiat, & quoad vivendi rationem in- C culpatus ſit; alterâ autem, ut ſine omni impedimento in aliâ Eccleſiâ ei ſacra peragere liceat, vel in ejus clerum adſcribi.

Canones autem ſanctorum Apoſtolorum xii. & xiii. Clericum quem proprius Epiſcopus ordinare non vult, differens fortè ordinationem propter cauſas aliquas, donec eædem ſolutæ fuerint, nequaquam propterea ad alium Epiſcopum accedere jubent. Quinimo neque illi alienum Clericum ſuſcipere permittunt, ſine literis dimiſſoriis Epiſcopi à quo examinabatur. Qui autem D præter hæc facere auſi fuerint, utrique eidem ſegregationis pœnæ ſubjiciantur, Clericus nimirum & Epiſcopus qui eum ſuſcepit. Quod ſi Clericus quem ſuſceperat Epiſcopus, ordinatus fuerit, & ob crimen aliquod excommunicatus; ei quidem intendatur excommunicatio, & Epiſcopus qui eum ſuſcepit ſegregetur.

Quin & xv. necnon xvi. canon, Clericum qui præter ſententiam Epiſcopi qui eum ordinavit ab unâ parochiâ ad aliam tranſit, à miniſterio arcet; & præcipuè ſi ab eo vocatus non redierit: communicare autem cum iis qui ibidem ſunt more laici non prohibent. E Epiſcopus vero qui eum recipit, ſi non ignoratis iis quæ contra illum decreta ſunt, eundem Clero ſuo connumeraverit, & impunè ſacra peragere permiſerit, abſque literis proprii Epiſcopi, ſegregationi, inquit, ſubjiciatur, ut confuſionis & ſeditionis magiſter. Sin autem eum ad majorem gradum ordinaverit, ejuſmodi ordinatio irrita habeatur. Adeo ut, niſi Clericus literas dimiſſorias afferat, ei in alienâ regione ſacra peragere minimè licebit.

Eadem etiam can. xvi. i. Syn. diſſerit; utique & F can. iii. Synodi Antiochenæ. Verum qui diutius in inſolentiâ perſtiterit, omninò deponi jubet, nullâ ampliùs ſpe reſtitutionis relictâ.

Quin & xiii. iv. Syn. can. & Antiochenæ vii. præcipiunt, ut Clerici peregrini & ignoti ſine Epiſcopi ſui commendatitiis neutiquam ſacra peragant.

Canon autem xvii. vi. Synodi, unâ depoſitionis pœnâ afficit, tum eum qui ad Epiſcopum ſine commendatitiis & dimiſſoriis literis acceſſerit, tùm qui eum

Περὶ ἀπολυτικῶν.

Ἀπολυτικαὶ δὲ αἱ δηλοῦσαι κατὰ γνώμην τοῦ ἀρχιερέως ἐφεῖσθαι τῷ ἐπισκόπῳ ἢ τῷ κληρικῷ τὴν μετοίκησιν, καὶ συγχωροῦντος ἐκεῖ τὰ τῆς ἱερωσύνης ἀνεμποδίστως αὐτοὺς μετιέναι.

Περὶ εἰρηνικῶν.

Εἰρηνικαὶ δὲ ῥηθεῖεν μὲν καὶ αὗται περὶ ὧν ἄρτι διέξειμεν. ὅτι τοιάσδε γραφὰς τοῦ κληρικοῦ διακομίζοντος πρὸς ὃν ἄπεισιν, οὐκ ἂν εἴη ῥαγῆναι τὰ συνδέοντα πρὸς εἰρήνην τῆς θείας ἀγάπης δέσμα καὶ ἄμφω τοὺς ἐπισκόπους. οὔτε γὰρ ὁ τὸν ἀλλότριον ταύτῃ δεχόμενος κληρικὸν τὸν συνεπίσκοπον λυπήσας σκανδάλου γενήσεται πρόξενος· οὔτε ὁ τὴν ἀρχὴν τοῦτον χειροτονήσας ὡς ἀναξιοπαθήσας δυσχερανεῖ. λέγοιντο δ' ἂν εἰρηνικαὶ καὶ αἱ πρὸς τοὺς συνεπισκόπους ἰδίᾳ πεμπόμεναι, μηδὲν ἔχοντος τοῦ διακομίζοντος αἴτιον. δεῖ οὖν τὸν ἀποδημεῖν ἑλόμενον κληρικὸν διττὰς ἐπιφέρειν ἐπιστολάς, συστατικήν τε καὶ ἀπολυτικήν, ὡς ἂν τῇ μὲν εἰς σύστασιν χρήσεται, τοῦ τε περὶ τὴν ὀρθὴν πίστιν ὑγιοῦς αὐτοῦ φρονήματος, καὶ τοῦ περὶ τὸν βίον ἀνεπιλήπτου, ἔτι δὲ τοῦ προσόντος αὐτῷ ἱερατικοῦ βαθμοῦ· τῇ δὲ εἰς τὸ ἀνεμποδίστως καὶ ἐφ' ἑτέρας ἐκκλησίας ἐξεῖναι ἱερουργεῖν, ἢ καὶ τῷ κλήρῳ ταύτης συγκαταλεγῆναι.

Ὁ δέ γε ιβʹ. ἔτι δὲ καὶ ὁ ιγʹ. τῶν αὐτῶν ἁγίων ἀποστόλων, ὃν ὁ ἴδιος ἐπίσκοπος χειροτονῆσαι οὐκ ἀξιοῖ κληρικόν, τοῦτο ἴσως δι' αἰτίας τινὰς ὑπερτιθέμενος, μέχρις ἂν διαλυθῶσι, μηδαμῶς ἑτέρῳ προσιέναι διὰ ταῦτα τὸν κληρικὸν τῷ ἐπισκόπῳ κελεύουσιν· οὐ μὴν οὐδ' ἐκείνῳ τὸν ἀλλότριον ἐφιᾶσι κληρικὸν ὑποδέχεσθαι συστατικῶν ἄνευ γραμμάτων τοῦ παρ' ᾧ ἐξετάζετο ἐπισκόπῳ. τοὺς δὲ παρὰ ταῦτα πρᾶξαι τολμήσαντας τῇ μιᾷ τοῦ ἀφορισμοῦ καταδίκῃ καὶ ἀμφοτέρους ὑπάγεσθαι, τόν τε κληρικόν φημι καὶ τὸν προσδεξάμενον ἐπίσκοπον. εἰ δὲ κεχειροτονημένος μὲν εἴη ὃν προσεδέξατο κληρικὸν ὁ ἐπίσκοπος, ἀφωρισμένος δὲ ἐπί τινι πταίσματι, αὐτῷ μὲν ἐπιτείνεσθαι τὸν ἀφορισμόν, τόν γε μὴν προσδεξάμενον ἐπίσκοπον ἀφορίζεσθαι.

Ὁ δὲ ιεʹ. πρὸς δὲ καὶ ὁ ιϛʹ. τῆς λειτουργίας ἀπείργουσι τὸν ἀπὸ παροικίας εἰς ἑτέραν παροικίαν μεταβαίνοντα κληρικὸν γνώμης ἄνευ τοῦ κεχειροτονηκότος αὐτὸν ἐπισκόπου, καὶ μάλιστα εἰ καλούμενος πρὸς αὐτοῦ οὐκ ἐπάνεισι· κοινωνεῖν μέντοι τοῖς ἐκεῖ ὥς γε δὴ λαϊκὸν οὐ κωλύουσιν. ὁ δὲ προσδεξάμενος αὐτὸν ἐπίσκοπος εἰ τὰ κατ' αὐτὸν μὴ ἀγνοήσας τῷ οἰκείῳ κλήρῳ συναριθμήσειε, καὶ ἀδεῶς ἐνεργεῖν ἐπιτρέψειεν ἀπολυτικῆς ἄνευ γραφῆς τοῦ ἰδίου ἐπισκόπου, ἀφορισμῷ ὑποβαλλέσθω, φησίν, ὡς ἀταξίας καὶ ἀκαταστασίας διδάσκαλος. εἰ δὲ καὶ ἐπὶ μείζονα βαθμὸν τοῦτον κεχειροτόνηκεν, ἄκυρον εἶναι τὴν τοιαύτην χειροτονίαν. ὥστε εἰ μὴ ἀπολυτικὴν ἐπιφέροιτο γραφὴν ὁ κληρικός, ἱερουργεῖν τούτῳ ἐν ἀλλοδαπῇ οὐκ ἐφεῖται.

Τὰ αὐτὰ καὶ ὁ ιϛʹ. τῆς αʹ. συνόδου διέξεισιν, ὡς δὲ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ γʹ. πλὴν ἐπιπολὺ ἐπιμένοντα τῇ ἀπειθείᾳ τὸν κληρικὸν τελέως καθαιρεῖσθαι προστάττει, καὶ ἐλπίδα μηκέτι ἔχειν ἀποκαταστάσεως.

Ἀλλὰ καὶ ὁ ιγʹ. τῆς δʹ. συνόδου, καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ζʹ. ξένους κληρικοὺς καὶ ἀγνώστους κελεύουσι μὴ λειτουργεῖν συστατικῶν ἄνευ τοῦ οἰκείου ἐπισκόπου.

Ὁ δὲ τῆς ϛʹ. ιζʹ. μιᾷ ὑπάγει τῇ καταδίκῃ τῆς καθαιρέσεως τὸν ἐπισκόπῳ τε προσελθόντα, καὶ αὐτὸν τὸν προσδεξάμενον συστατικῶν ἄνευ καὶ ἀπολυτικῶν γραμμάτων· ὡς καταἰσχύνοντας ὅσον τὸ ἐπ' αὐτοῖς τὸν παρ' οὗ τὴν χειροτονίαν ἐδέξαντο.

Ἀλλ' οὐδὲ ὁ μα΄. τῆς ἐν Λαοδικείᾳ, εἴτε δὲ καὶ ὁ μζ΄. κληρικὸν ἢ ἱερατικὸν ὅλως ὁδεύειν οἴεται δεῖν δίχα κελεύσεως τοῦ ἰδίου ἐπισκόπου, ἢ κανονικῶν τούτου ἐπιστολῶν.

Ὁ δὲ ρθ΄. τῆς ἐν Καρθαγένῃ, μετὰ ἀπολυτικῆς γραφῆς τοῦ μητροπολίτου ἀπιέναι θεσπίζει τοὺς ἐπισκόπους εἰς τὸ κομιτᾶτον, ἤγουν ἔνθα ἐστὶν ὁ κόμης ἤτοι ὁ βασιλεύς.

Ὁ δὲ ξ΄. οὐδὲ πλεῖν κελεύει ἄνευ ταύτης τῶν ἐπισκόπων τινά.

Ὁ δὲ τῆς ἐν Ἀντιοχείᾳ η΄. κανονικὰς ἐπιστολὰς ἤτοι συστατικὰς καὶ ἀπολυτικὰς ἐπισκόποις μόνοις ἐφεῖται διδόναι, οἷς καὶ τὸ τῶν χειροτονιῶν ἀφόρισται τελετή· οὐ μὴν καὶ τοῖς πρώτοις τῶν ἱερέων, διὰ τὸ μὴ ἐξεῖναι καὶ τούτοις χειροτονεῖν. τοῖς δέ γε χωρεπισκόποις, ἵν' ἀνεπίληπτοι ὦσιν, εἰρηνικὰς πέμπειν ἐφεῖται τοῖς ὁμόροις τῶν ἐπισκόπων· ἐπεὶ καὶ ἄλλοις προνομίοις τούτους οἱ κανόνες ἐδωρήσαντο.

Ὁ δὲ τῆς δ΄. συνόδου ια΄. τοῖς προσερχομένοις τῇ ἐκκλησίᾳ φησὶ πένησι, καὶ βοηθείας προσδεομένοις, εἰρηνικὰς ἐπιστολὰς δίδοσθαι δεῖ, ἀλλὰ μὴ συστατικάς· ταύτας γὰρ τοῖς οὖσιν ἐν ὑπολήψει μόνῃ προσώποις προσήκει δίδοσθαι, ὡς τὴν αὐτῶν συνιστώσας ὑπόληψιν. τοὺς δὲ ἱερουργεῖν βουλομένους κἂν τῇ ἀλλοδαπῇ, σὺν ταύταις καὶ συστατικὰς δεῖ κομίζεσθαι.

Ὁ δὲ ε΄. τῆς αὐτῆς δ΄. συνόδου, καὶ ὁ τῆς ἐν Σαρδικῇ ις΄. περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων ἢ κληρικῶν, ὁ μὲν τοὺς περὶ τούτων τεθέντας τῶν ἁγίων ἀποστόλων κανόνας θεσπίζει κρατεῖν, ὁ δὲ περὶ τῶν εἰς Θεσσαλονίκην ἀπιόντων, κἀκεῖ διατριβόντων ἐπιπολύ, τὰ περὶ αὐτῶν ὡρισμένα τηρεῖσθαι προστάττει.

Ὁ δὲ τῆς α΄. ιε΄. ἀπὸ πόλεως εἰς πόλιν μεταβαίνειν κωλύει τὸν ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, τῆς αὐτῆς οὔσης καὶ ταύτην δηλαδὴ ἐπαρχίας. τοῦ μὲν γὰρ τὴν τῆς καθέδρας αἰτιᾶται μετάθεσιν, ὡς καὶ ἀνωτέρω μοι εἴρηται, τῶν δὲ, τὸ μεταπίπτειν ἀπὸ τῆς ἐκκλησίας ἢ τῆς μονῆς ἐν αἷς ὑπηρετεῖν ἐχειροτονήθησαν. καὶ γὰρ οὐδὲ οὗτοι ἀπολελυμένως τῷ τότε τὰς χειροτονίας ἐδέχοντο, κατὰ τὸν ς΄. κανόνα τῆς δ΄. συνόδου, ἀλλ' ἐν τῇ δε τῇ ἐκκλησίᾳ ἢ τῷ δεῖνι μοναστηρίῳ. διὸ καὶ ἀκυροῖ τὴν τοιάνδε μετάβασιν.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ιε΄. εἴ τις φησὶν ἐξ ἑτέρας παροικίας ὑπηρέτην δεξάμενος χωρὶς τῆς τοῦ ἰδίου ἐπισκόπου συγκαταθέσεως ἔν τινι βαθμῷ τοῦ οἰκείου κλήρου ἐγκαταστήσειεν, ἄκυρος ἔστω καὶ ἀβέβαιος ἡ τοιαύτη κατάστασις.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ϟγ΄. ὅστις δή ποτε ἐν ἐκκλησίᾳ εἰ καὶ ἅπαξ ἀνέγνω φησὶ χειροθεσίαν εἰς τοῦτο δεξάμενος, εἰς ἑτέραν πρὸς κλήρωσιν μὴ μεταβαινέτω. μόνῳ δὲ τῷ ἐπισκόπῳ Καρθαγένης δέδοται τῷ οἰκείῳ κλήρῳ συγκαταλέγειν κληρικοὺς ἑτέρων ἐνοριῶν, καὶ χωρὶς ἀπολυτικῆς γραφῆς τῶν χειροτονησάντων αὐτούς. καὶ τοῦτο εἴσῃ σαφῶς ἐκ τοῦ νε΄. ταύτης κανόνος, ὃς ἐπικυρῶν δείκνυται τὴν ἄνωθεν διδομένην ἄδειαν τῷ Καρχηδόνος ἐπισκόπῳ, ὥστε μετ' ἐξουσίας λαμβάνειν ἀφ' ἑκάστης ἐκκλησίας οὓς βούλεται κληρικοὺς, καὶ ἐν τῇ ἰδίᾳ χειροτονεῖν ἐκκλησίᾳ· διὰ δὲ τὸ φιλάδελφον ὑποτίθεται μετ' εἰδήσεως τοῦτο ποιεῖν τῶν ἐχόντων αὐτοὺς ἐπισκόπων. τοῖς δὲ λοιποῖς μητροπολίταις κληρικὸν ἀλλότριον οὐκ ἐφίησι δέχεσθαι, καὶ χειροτονεῖν αὐτὸν πρεσβύτερον ἢ διάκονον, εἰ μήπου τις χρήσιμος εἰς προσ-

A ſuſceperit Epiſcopum; utpotè eum à quo ordinatio data erat, quantum in ipſis eſt, dedecore afficientes.

Verum nec Laodicenæ Syn. xli. neque xlvii. can. Clerico vel ſacrato, ſine Epiſcopi ſui juſſu, vel canonicis ejuſdem epiſtolis, iter omnino facere licere exiſtimat.

Porro Canon cix. Syn. Carthagin. ſtatuit, Ut Epiſcopi cum literis dimiſſoriis Metropolitani in comitatum, ubi ſcilicet Comes eſt ſive Imperator, proficiſcantur.

B Ejuſdem etiam Syn. can. lx. præcipit, ut nullus Epiſcopus ſine dimiſſoriis naviget.

Canon autem viii. Syn. Antioch. Epiſtolas canonicas, ſive commendatitias, & dimiſſorias, ſolis Epiſcopis dare permittit, quibus etiam ordinationum peractio aſſignatur: non autem primis Sacerdotibus, quod iis ordinare non ſit permiſſum. Chorepiſcopis vero, ut ab omni reprehenſione alieni ſint, pacificas ad finitimos Epiſcopos mittere indultum eſt; quia eos aliis quoque privilegiis canones donârunt.

C Canon inſuper xi. Syn. iv. pauperibus, inquit, qui ad Eccleſiam veniunt, & auxilio indigent, dari debent epiſtolæ pacificæ; non autem commendatitiæ: eas enim ſolis perſonis quæ ſuſpectæ ſunt, dari oportet, utpote quæ ſuſpicionem notam faciant. Eos autem qui in alienâ regione ſacra peragere voluerint, unà cum iis commendatitias afferre oportet.

D Can. autem v. ejuſdem iv. Syn. & xvi. Syn. Sard. de Epiſcopis vel Clericis qui ab unâ civitate in aliam tranſeunt, alter Canones ſanctorum Apoſtolorum hac de re editorum obtinere decernit, alter autem de iis qui ad Theſſalonicam abeunt, & ibidem diutius commorantur, ea quæ de iis decreta ſunt, ſervari jubet.

E Canon autem xv. i. Syn. Epiſcopum vel Presbyterum vel Diaconum ab unâ civitate in aliam, licet in eadem provinciâ fuerit, tranſire prohibet. In Epiſcopo enim ſedis mutationem reprehendit, uti ſuperius dictum, in aliis autem tranſitionem ab Eccleſiâ vel Monaſterio in quibus, ut miniſtrarent, ordinati erant: etenim neque iſti eo tempore ordinationes abſolutè acceperunt, juxta vi. Can. iv. Synodi, ſed in hâc Eccleſiâ, vel in illo monaſterio. Quare hujuſmodi tranſitionem irritam reddit.

Canon autem xv. Syn. Sardic. Si quis, inquit, ex aliâ parochiâ miniſtrum ſuſcipiens ſine proprii Epiſcopi conſenſu in aliquo Cleri ſui gradu eum conſtituat, conſtitutio ejuſmodi irrita & infirma habeatur.

F Canon autem xciii. Syn. Carthag. quicunque, inquit, in Eccleſiâ, ſi vel ſemel legerit, manuum impoſitionem ad id munus acceperit, ad aliam Eccleſiam, ut Clericus in eâ fiat, ne tranſeat. Soli autem Epiſcopo Carthaginenſi conceſſum eſt, aliarum provinciarum Clericos clero ſuo adnumerare, idque ſine literis dimiſſoriis eorum qui eos ordinarunt. Et hoc clarius ſcies ex canone lix. hujus Synodi, qui licentiam Epiſcopo Carthag. ſuperiùs datam ratam facit, ita ut cum potentia accipiat ex unâquaque Eccleſiâ Clericos quos velit, & in ſuam Eccleſiam ordinet; verum propter fratrum amorem ſupponit eum hoc facere cum cognitione Epiſcopi quibus ſubſunt. Reliquis autem Metropolitis Clericum alienum ſuſcipere, eumque Presbyterum vel Diaconum ordinare non concedit, niſi quis ad populi præfecturam utilis inveniatur; hunc enim ad alienum Metropolitam mittere, ſi utrique conſenſerint, & Epiſcopali dignitate ornare licet. Id autem inquit, conceſſum eſt, quod Sacerdotum & Diaconorum ordinatio non adeo neceſſaria ſit, ac Epiſcoporum; & quod rarius inveniantur, qui poſſint verbo & ſermone per ſe populum ad optima perducere. Clericum autem qui Epiſcopalem dignitatem accipere recuſat, cogere non licet. Nunquam enim cognitum eſt, quenquam invitum & vi ad talem præfecturam evectum eſſe. Quin & conceſſum erat throno Conſtantinopolitano Clericos Eccleſiarum ſibi ſubjectarum, quos vellet, accipere, & ſuis adnumerare: utique & Antiſtiti Bulgariæ, & Cypri, per Novellam Juſtiniani cxxx. quam etiam quære in cap. xi. literæ E. Regi inſuper datum erat Clericorum ſimiliter permutationes facere.

Leges civiles.

Amantiſſimos Dei Epiſcopos proprias Eccleſias relinquere, & in alias provincias abire vetamus: ſi vero neceſſitas aliqua id exegerit, non alitèr quam cum literis beatiſſimi ipſorum Patriarchæ aut Metropolitani, aut Principis mandato id faciant.

Porrò nec ad urbem regiam aliter quam eâ conditione accedant; quin & ſi hoc modo Epiſcopus qualiſcunque exceſſerit, ne ampliùs uno anno Eccleſiam ſuam relinquat. Epiſcopos vero qui in Regiam urbem (ita ut dictum eſt) venerint, ex quacunque fuerint Diœceſi, ante omnia abire jubemus ad beatiſſimum Conſtantinopoleos Archiepiſcopum & Patriarcham, atque ita ad noſtram venire ſerenitatem. Quicunque autem contra conſtitutionem hanc noſtram exceſſerint, aut ſupra definitum anni ſpatium, tempus aliquod extra propriam Eccleſiam fecerint, primum quidem ipſis ab œconomis ejus Eccleſiæ ſumptus non adminiſtrari jubemus, deinde ſignificari ipſis per literas Antiſtitum quibus ſubſunt, ut ad proprias Eccleſias redeant. Quod ſi reditum differant, juxta divinos canones iterum vocentur, & ſi intra definitum tempus ad Eccleſias ſuas non reverſi fuerint, ipſi quidem ſententiâ, judicio, & probatione proprii Archiepiſcopi ab Epiſcopatu expellantur, aliique meliores in ipſorum locum vi legis præſentis ordinentur. Hæc in Clericos, cujuſcunque miniſterii fuerint, necnon Monachos obtinere jubemus: eoſque qui tranſgreſſi fuerint, ſuâ dignitate excidere.

Verum ambo hæc decreta hodie neglecta videmus. Non enim Antiſtites per literas Patriarchæ ad reginam urbium proficiſcuntur, ſed impetuoſè ad portas ejus pervenientes, indicio adventum ſuum Patriarchæ notum faciunt, & ſic ſine periculo ad magnam urbem aſcendunt. Quin & ibidem diutius commorantes, non pauca mala concinnant. Idque licet præclarus Imperator Manuel paulo ante ſtatuerit, Antiſtites in magnâ civitate non majori tempore verſari debere, quam quod leges pietatem amantes & divini canones definierunt, &, ſi nullum fuerit legitimum impedimentum, vel invitos ex urbe expelli; eorumque ad civitatem peregrinationem, juxta conſuetudinem olim canonicè & legitimè obtinentem, fieri.

Porro decernimus, ut Clerici qui alii Provinciæ ſubjiciuntur, & præter Epiſcopi ſui ſententiam ad aliam provinciam tranſeunt, neutiquam vel in Eccleſiam

A σίαν εὑρεθείη λαοῦ· τοῦτον γὰρ δέδονται καὶ τῷ ἀλλοτρίῳ μητροπολίτῃ μεταπέμψασθαι, εἴ γε βουληθεῖεν ἀμφότεροι, καὶ ἐπισκοπικῷ τιμῆσαι ἀξιώματι. τοῦτο δέ φησι συγκεχώρηται τῷ μὴ τοσοῦτον ἀναγκαίαν εἶναι τὴν τῶν ἱερέων καὶ διακόνων χειροτονίαν, ὅσον τὴν τῶν ἐπισκόπων· καὶ τῷ σπανίως εὑρίσκεσθαι τοὺς δυναμένους ἔργῳ καὶ λόγῳ δι' ἑαυτῶν πρὸς τὰ κράτιστα τοὺς λαοὺς ὁδηγεῖν. τὸν δὲ μὴ δεχόμενον κληρικὸν τὸ τῆς ἐπισκοπῆς ἀξίωμα ἀναγκάζειν οὐ θέμις· οὐδαμοῦ γὰρ εὕρηται ἄκοντά τινα καὶ βίᾳ εἰς τὴν τοιάνδε προεδρίαν ἀνάγειν. ἐφιλοτιμήθη δὲ καὶ τῷ Κωνσταντινουπόλεως θρόνῳ λαμβάνειν ὅθεν δήποτε τῶν ὑπο- B κειμένων αὐτῇ ἐκκλησιῶν οὓς βούλεται κληρικούς, καὶ τοῖς οἰκείοις συναριθμεῖν· οὐ μὴν ἀλλὰ καὶ τῷ Βουλγαρίας, καὶ τῷ Κύπρου, διὰ τὴν ρλ'. Ἰουστινιάνειαν νεαράν, ἣν καὶ ζήτει ἐν τῷ ια'. κεφ. τοῦ Ε. στοιχείου. ἐδόθη δὲ καὶ τῷ βασιλεῖ τὰς τῶν κληρικῶν ὡσαύτως μεταθέσεις ποιεῖν.

Νόμοι πολιτικοί.

Τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας, καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι ἀπαγορεύομεν· εἰ δὲ ἀνάγκη τις ἀπαιτεῖ τοῦτο ποιῆσαι, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν Πα- C τριάρχου ἢ μητροπολίτου, ἢ κατὰ βασιλικὴν δήπου κέλευσιν τοῦτο ποιείτωσαν.

Ἀλλὰ μηδὲ εἰς τὴν βασιλίδα τῶν πόλεων ἄλλως ἢ οὕτως ἐπιδημείτωσαν· ἀλλ' εἰ καὶ κατὰ τὸν τρόπον τοῦτον ἐπίσκοπος οἱοσδήποτε ἀποδημήσειε, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμπανέτω ἐκκλησίαν. τοὺς δὲ ἐπισκόπους τοὺς κατὰ τὴν βασιλίδα πόλιν ὡς εἴρηται παραγινομένους, κἂν οἱασδήποτε διοικήσεως ὦσι, πρὸ πάντων ἀπιέναι δεῖ πρὸς τὸν μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ Πατριάρχην· καὶ οὕτω δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. τοῖς δὲ παρὰ ταύτην ἡμῶν D τὴν διατύπωσιν ἀποδημοῦσιν, ἢ ὑπὲρ τὸν ὡρισμένον τοῦ ἐνιαυτοῦ χρόνον ἔξω τῆς ἰδίας ἐκκλησίας ποιοῦσι, κελεύομεν πρῶτον μὲν μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων τῆς ἰδίας ἐκκλησίας δαπάνας, ἔπειτα ὑπομιμνήσκεσθαι αὐτοὺς διὰ γραμμάτων τῶν ἀρχιερέων ὑφ' οὓς τελοῦσιν, ὥστε ἐπανελθεῖν εἰς τὰς ἰδίας ἐκκλησίας· ὑπερτιθεμένους δὲ τὴν ὑποστροφήν, κατὰ τοὺς ἱεροὺς καλεῖσθαι καὶ αὖθις κανόνας· καὶ εἰ μὴ ἐντὸς τοῦ ὡρισμένου χρόνου ὑποστρέψοισιν εἰς τὰς ἰδίας ἐκκλησίας, αὐτοὺς μὲν τῆς ἐπισκοπῆς ἐξωθεῖσθαι, γνώμῃ καὶ κρίσει καὶ δοκιμασίᾳ τοῦ οἰκείου ἀρχιερέως· ἑτέρους δὲ ἀντ' αὐτῶν καλλίονας χειροτονεῖσθαι κατὰ τὴν τοῦ παρόντος E νόμου δύναμιν. ταῦτα δὲ καὶ ἐπὶ κληρικῶν οἱασδηποτοῦν ὑπηρεσίας, ἔτι δὲ καὶ μοναχῶν κελεύομεν κρατεῖν· τοὺς δὲ παραβαίνοντας ἐκπίπτειν τοῦ ἰδίου σχήματος.

Ἀλλὰ καὶ ἄμφω ταῦτα ὁρῶμεν πάντῃ ἀθετούμενα. οὔτε γὰρ οἱ ἀρχιερεῖς διὰ γραμμάτων τοῦ Πατριάρχου εἰς τὴν βασιλεύουσαν ἐπιδημοῦσιν, ἀλλ' αὐθόρμητοι παρερχόμενοι καὶ ταῖς πύλαις ταύτης προσιόντες, μηνύματι τὴν σφετέραν ἔλευσιν τῷ πατριάρχῃ δηλοῦσι, καὶ οὕτως ἀκινδύνως τῆς μεγάλης ἐπιβαίνουσι πόλεως· καὶ ἐπὶ πολὺ δὲ χρόνον ἐν αὐτῇ διατρίβοντες, οὐδὲ μίαν ὑφίστανται κάκωσιν. καὶ τοί γε καὶ τοῦ ἀοιδίμου βασιλέως Μανουὴλ πρὸ ὀλίγου θεσπίσαντος F μὴ πλείονα παρὰ τῶν φιλευσεβῶν νόμων καὶ τῶν θείων κανόνων ὁρισθέντος καιροῦ διατρίβειν τοὺς ἀρχιερεῖς ἐν τῇ μεγίστῃ τῶν πόλεων· μή τινος ὄντος ἀπαραιτήτου ἐμποδισμοῦ, ἢ καὶ ἄκοντας τῆς πόλεως ἐκβάλλεσθαι· ἀλλὰ καὶ τὴν εἰς ταύτην τούτων ἐπιδημίαν κατὰ τὴν ἐκ παλαιοῦ κανονικῶς καὶ νομίμως κρατήσασαν συνήθειαν γίνεσθαι.

Θεσπίζομεν καὶ τοὺς κληρικοὺς τοὺς ὑφ' ἑτέρας ἐνορίας τεταγμένους μηδαμῶς παρὰ γνώμην τοῦ οἰκείου ἐπισκόπου εἰς ἑτέραν ἐνορίαν μεταπίπτοντας ἢ ἐν ἐκκλησίᾳ καταλέγεσθαι

λέγεσθαι ἢ χειροτονίαν δέχεσθαι· ἐκ γὰρ τοῦ μὴ τὰ τοιαῦτα διατηρεῖσθαι, πολλῆς ἀταξίας καὶ πλάνης πολλαὶ τῶν ἐκκλησιῶν ἐπληρώθησαν. εἰ δέ τις φωραθείη τὴν παροῦσαν διάταξιν ἀθετῶν, εἰ μὲν τὴν οἰκείαν ἐνορίαν ἀπολιπὼν ἐν ἑτέρᾳ καταλεγῇ ἐκκλησίᾳ, μηδένα βαθμὸν χειροτονίας προσλαβὼν, τῆς ὑπερορίου ἐκκλησίας ἐλαυνόμενος ἐπαναστρεφέσθω καὶ ἄκων πρὸς τὸν οἰκεῖον ἐπίσκοπον. εἰ δὲ καὶ χειροτονίαν προσείληφεν, τέως μὲν ἐπὶ τριετίαν τῆς λειτουργίας ἀργείτω· ἐπὶ δὲ τῇ κρίσει τοῦ οἰκείου ἐπισκόπου ἀπ' αὐτοῦ συγγνώμην καταλιμπανέσθω. A

conſcribi, vel ordinationem accipere ex eo enim quod hæc non obſervata fuerit, plurimæ Eccleſiæ magnâ confuſione & errore impletæ ſunt. Si quis autem deprehenſus fuerit hanc conſtitutionem improbans, ſi provinciâ ſuâ relictâ in aliam Eccleſiam aſcriptus fuerit, nullum ordinationis gradum adeptus, ab Eccleſiâ exterâ abactus ad proprium Epiſcopum vel invitus redeat. Quod ſi ordinationem acceperit, in triennium à miniſterio arceatur, & ſecundum judicium Epiſcopi ſui veniam conſequatur.

B

ΚΕΦ. ι΄.

Περὶ ἀπολυτικῶν γραμμάτων.

ΠΕρὶ τῶν διδομένων παρὰ τῶν ἀρχιερέων ἀπολυτικῶν γραμμάτων τοῖς ἀποδημοῦσι τῶν κληρικῶν, ἱκανῶς ἐν τῷ προσεχῶς ἐκτεθέντι περὶ ἀποδημίας διείληπται κεφαλαίῳ.

CAPUT X.

De Literis Dimiſſoriis.

DE Literis dimiſſoriis, quæ dantur Clericis peregrè proficiſcentibus ab Antiſtibus, ſatis in capite immediate præcedenti, de Peregrinatione, dictum eſt.

ΚΕΦ. ια΄.

Περὶ τῶν ἁρπαζόντων ἐπισκόπων τὰς μὴ ἀνηκούσας αὐτοῖς ἐκκλησίας.

C

ΟΥ μὴν ἀλλὰ καὶ περὶ τῶν πεποιημένων ἐπισκόπων ἅρπαγμα τὰς μηδοπωσοῦν διαφερούσας αὐτοῖς ἐκκλησίας, ἐν τῷ αὐτῷ τῷ περὶ ἀποδημίας φημὶ ἐγκατέσπαρται κεφαλαίῳ· καὶ παλιλλογεῖν ἔξω λόγου καθέστηκε.

Λέγει δὲ καὶ ὁ νζ΄. κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, εἶναί τινες τοῖς οἰκείοις συμπνέοντες πλήθεσι, κνήθοντες τὰς D αὐτῶν ἀκοὰς, ἤτοι κολακεύοντες, καὶ ἑτέρων ἐκκλησίας ἁρπάζοντες· ἀλλὰ ταύτας χρὴ μετ' ἐξουσίας τῶν τὰ πρῶτα φερόντων ἀρχιερέων πατριαρχῶν ἢ μητροπολιτῶν ἐξ αὐτῶν ἀφελέσθαι τοὺς ἔχοντας. τὸ δὲ κνήθειν τὰς ἀκοὰς ἐκ τοῦ ἀποστόλου εἴληπται· δηλοῖ δὲ τὸ λόγοις ἀπατηλοῖς τὰς ἀκοάς τινων ἡδύνειν, ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων, ταῦτα γὰρ καταψώμενα καὶ κνηθόμενα καὶ γαργαλιζόμενα χερσὶν ἀνθρώπων ἡμεροῦνται καὶ χειροήθη γίνονται.

Ζήτει καὶ ἐν τῷ κδ΄. κεφ. τοῦ Χ. στοιχείου καν. ταύτης ν΄.

CAPUT XI.

De Epiſcopis qui Eccleſias ad ſe minime pertinentes rapiunt.

QUIN & de Epiſcopis qui Eccleſias ad ſe non pertinentes rapiunt, in eodem capite de Epiſcoporum peregrinatione, nonnulla interſperſa invenies; & repetere ſtat extra præſens negotium.

Dicit autem can. lvii. Syn. Carthag. ſunt nonnulli qui cum propriis populis conſpirant, aureſque eorum titillant, ſive adulantur, & aliorum Eccleſias ſurripiunt. Eas autem per poteſtatem Antiſtitum, qui primas obtinent, Patriarcharum ſc. vel Metropolitarum ab iis à quibus detinentur auferre oportet. Aures autem titillare, ab Apoſtolo deſumptum eſt, & denotat, verbis fallacibus aures aliquorum demulcere, per metaphoram ab animalibus ſumptam, ea enim hominum manibus confricta, titillata, & contrectata, manſueſcunt & tractabilia fiunt.

Quære etiam ejuſdem can. l. in cap. xxiv. literæ X'.

E

ΚΕΦ. ιβ΄.

Περὶ τῶν ἁρπαζόντων λῃστρικῶς τὰ ἀλλότρια.

Ο ἅγιος Γρηγόριος ὁ θαυματουργὸς ἐν τῷ β΄. κανόνι, τὸν λῃστεύοντα καὶ πλεονεκτοῦντα καὶ τῶν ἀλλοτρίων αἰσχροκερδείας χάριν ἐφαπτόμενον, ἐκκήρυκτον καὶ ἀπόβλητον τῆς τοῦ θεοῦ ἐκκλησίας καθίστησιν· οἷα καὶ τοὺς δι' αἰτίας ἀτόπους τῆς πατρικῆς οὐσίας ἐκβαλλομένους καὶ ἀποκηρυσσομένους υἱούς. F τὸ δὲ τολμῆσαί τινάς φησιν ἐν οἰμωγῇ τοσαύτῃ καὶ θρήνοις τοσούτοις, τῶν βαρβάρων τὰ πάντα ληϊζομένων τὸν ἐπ' ὀλέθρῳ πάντων ἐπιόντα καιρὸν, κέρδους εἶναι νομίσαι καιρὸν, ἀνθρώπων ἐστὶν ἀσεβῶν καὶ θεοστυγῶν, καὶ μηδεμίαν ἀτοπίας καταλελοιπότων ὑπερβολήν. ὅθεν ἔδοξε τοὺς τοιούτους ἅπαντας ἐκκηρύξαι, μήποτε ἐφ' ὅλον ἔλθῃ τὸν λαὸν ἡ ὀργὴ, καὶ ἐπ' αὐτοὺς πρώτους τοὺς προεστῶτας, τῷ μὴ σπουδῇ τούτους ἐπιζητῆσαι καὶ διορθώσασθαι. οἱ γὰρ ἐφιέμενοι τὰ τῶν αἰχμαλώτων κερδαίνειν, ὀργὴν καὶ ἑαυτοῖς καὶ παντὶ ἐπισωρεύουσι τῷ λαῷ. ἐξαίρετον δὲ ταυτηνὶ τὴν

CAPUT XII.

De iis qui bona aliena furtim ſurripiunt.

SANCTUS Gregorius Thaumaturgus, in ii. canone, eum qui prædatur, & plura concupiſcit, nec non qui aliena propter turpe lucrum attingit, ab Eccleſiâ Dei abdicandum eſſe ejiciendumque ſtatuit; eo nimirum more quo filii ob crimen aliquod inuſitatum à paternâ hæreditate ejiciuntur, abdicanturque. In tanto autem luctu tantiſque fletibus, dum barbari omnia deprædantur, auſos eſſe aliquos tempus, in quo omnibus exitium imminet, ſibi lucri eſſe tempus exiſtimare, hominum eſt impiorum, & Deo inviſorum, & quorum improbitati nihil ſuperaddi poterit. Unde omnes ejuſmodi homines abdicare viſum eſt, ne fortè in totum populum ira veniat, & in eos primum qui præſunt, quod in ejuſmodi homines diligentèr non inquirant eoſque emendent. Etenim qui captivorum bona lucrari cupiunt, ſibi ipſis & univerſo populo iram accumulant. Porrò hujuſmodi avaritiam amplificans, A eam avaritiâ Achar multo deteriorem eſſe oſtendit. Ille enim ſolus, inquit, & privatìm id quod Deo dedicatum erat ſurripiens, in omnem Iſraël iram Dei adduxit: & propterea non ſolum ipſe, ſed & omnes ſui perierunt. Si enim ex prædâ tam hi quam ille rapuerunt, iſte autem bona inimicorum, & hi bona amicorum, eo gravius eſt horum crimen quam quod ab eo admiſſum eſt. Quinimo ſeipſum impudentèr decipit, qui ſe in res diſjectas incidiſſe dicat, & cum nemo illas ſibi aſſereret, abſtuliſſe, poſſeſſore utique ignoto. Neque enim fas eſt ei qui ita rem alienam invenerit, eam lucrari, ſibique vindicare, ſed pro poſſeſſore B ſervare debet. Etenim ſi lex antiqua jubet, ſi frater tuus vel inimicus tuus præ negligentiâ rem ſuam amiſerit, idque in tempore pacis, non retinebis, ſed ei, qui eandem perdiderit, reſtitues, multo magis fratris fugientis vel captivi facti bona ab eo relicta ſervare, & ipſi rebus adverſis utenti reſtituere oportet? Porro & hoc magnam amentiam indicat, ſi quis pro bonis propriis amiſſis aliena vindicaverit, nihil in eâ re mali exiſtimans. Nam & id prædictorum malitiam exæquat, ſiquidem quod hoſtes ipſis fuerunt, id ipſi fratribus ſuis eſſe operam dant. Nobis autem renunciatum eſt, quod nonnulli quoſdam ex hoſtium manibus C elapſos vi detinuerint, infideles omnino impiique exiſtentes, quique Deum prorſus non nôrunt: mittatis aliquos in regionem, qui ſuper hâc re inquirant, ne fulmina in eos decidant, qui hæc faciunt.

In decimo autem canone ſanctus ille Gregorius, eos qui alienas domus ingredi auſi fuerint, ſi accuſati convincantur, ne quidem ad auditionem admittit: qui autem ſuâ ſponte confeſſi fuerint, &, quæ ſurripuerunt, reddiderint, ſubſterni, & unà cum Catechumenis exire jubet.

D

Leges.

Lex autem eum qui ex incendio, vel naufragio, vel domo collapſa rapit, intra quidem annum ad quadruplum, poſt annum autem ad ſimplum punit; ſimiliter & eum qui dolo rapta recipit; Raptores autem, etiamſi ante ſententiam quod ab iis raptum erat obtulerint, non admittit, ſed in quadruplum punit.

E Si quis res mobiles per vim rapuerit, intra quidem annum in quadruplum tenetur, ſi per teſtes probata fuerit quantitas & ſpecies bonorum, poſt annum autem in ſimplum. Si vero rapta quidem vi facta probetur, teſtes autem res raptas non nôrint, juramentum præſtat is à quo res vi raptæ ſunt, & à raptore, quæcunque à ſe rapta fuiſſe jurabit, in ſimplum recipit.

Si quis abſque ſententiâ judiciali rem auferat, ſi rei dominus ſit, dominio ſuo excidit, ſi vero aliena ſit, rem & pretium ejus dat. Itaque hic etiam, ſiquidem intra annum agatur, pœna præſtatur; F poſt annum vero, res duntaxat cum fructibus.

Qui terram rapit, vel terminos mutat, rapinæ duplum reſtituit.

Qui cum armis domos & agros alienos invadunt, devaſtantque, capite plectuntur.

πλεονεξίαν πολλῷ χείρονα καὶ τῆς τοῦ Ἀχὰρ εἶναι κατασκευάζει. καὶ γὰρ οὗτός φησιν ἀπὸ τοῦ ἀναθέματος μόνος καὶ ἰδίᾳ λαβὼν ἐπὶ πάντα τὸν Ἰσραὴλ τὴν ὀργὴν ἤγαγε τοῦ θεοῦ· ταύτῃ τοι, καὶ οὐκ ἐκεῖνος μόνος, ἀλλὰ καὶ οἱ αὐτοῦ πάντες καταλευσθέντες ἀπέθανον. εἰ γὰρ ἐκ προνομῆς καὶ οὗτοι κἀκεῖνος ὑφείλοντο, ἀλλ' ἐκεῖνος μὲν τὰ τῶν πολεμίων, οὗτοι δὲ τὰ τῶν ἀδελφῶν, οὕτω χαλεπωτέρα ἡ τούτων παρανομία ἤπερ ἡ ἐκείνου. λανθάνει δέ τις ἑαυτὸν ἀπατῶν ὡς ἄρα ἐρριμμένοις λέγων περιέτυχοι, καὶ μή τινος ἀντιποιουμένου ἀνέλοιτο, τὸν κεκτημένον ἴσως ἠγνοηκώς· οὐ γὰρ ἔξεστι καὶ οὕτως εὑρόντι κερδαίνειν καὶ οἰκειώσασθαι τὸ ἀλλότριον, ἀλλὰ περιφυλάξαι τῷ κεκτημένῳ. εἰ γὰρ ὁ παλαιὸς κελεύει νόμος, ὅτι ἂν ὁ ἀδελφός σου ἢ ἐχθρός σου ἐκ ῥᾳθυμίας ἀπολέσῃ τὸ ἴδιον, καὶ ταῦτα ἐν καιρῷ εἰρήνης, οὐ καθέξεις ἀλλὰ ἐπιμασώσεις τῷ ἀπολέσαντι, πόσῳ μᾶλλον τοῦ φεύγοντος ἀδελφοῦ, ἢ τοῦ γενομένου αἰχμαλώτου δέον περιφυλάξαι τὰ ἐγκαταλειφθέντα πράγματα καὶ ἀποδοῦναι οἱ δυσπραγοῦντι; πολλῆς μὲν τ' ἂν εἴη καὶ τοῦτο ἀνοίας τὸ μεταποιεῖσθαι τῶν ἀλλοτρίων ἀντὶ τῶν ἰδίων ἀπολλυμένων, καὶ οἴεσθαι μηδὲν εἶναι δεινόν. καί τοι μηδὲν εἰς κακίας λόγον τῶν εἰρημένων ἀπολειπόμενον, ὅπερ γὰρ αὐτοῖς γεγόνασιν οἱ πολέμιοι, τοῦτο τοῖς ἀδελφοῖς οὗτοι γενέσθαι σπουδάζουσι. ἀπήγγειλε δέ τις ἡμῖν, ὡς καί τινας τῶν πολεμίων τὰς χεῖρας διαφυγόντας βίᾳ τινὲς κατέχουσιν, ἄπιστοι πάντως ὄντες καὶ ἀσεβεῖς, καὶ θεὸν ὅλως μὴ ἐπεγνωκότες. πέμψατε τινὰς εἰς τὴν χώραν ἐρευνῆσαι τὰ περὶ τούτου, μὴ σκηπτοὶ κατενεχθῶσιν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας.

Ἐν τῷ ι'. δὲ κανόνι ὁ αὐτὸς ἅγιος Γρηγόριος, τοὺς ἀλλοτρίοις οἴκοις ἐπιέναι τολμήσαντας, εἰ μὲν κατηγορηθέντες ἐλεγχθεῖεν, οὐδὲ τῆς ἀκροάσεως ἀξιοῖ· ἑαυτοὺς δὲ ὁμολογήσαντας ἑκόντι, καὶ ἅπερ ἀφείλοντο ἀποτίσαντας, ὑποπίπτειν κελεύει καὶ τοῖς κατηχουμένοις συνεξέρχεσθαι.

Νόμοι.

Ὁ δὲ νόμος, τὸν ἀπὸ ἐμπρησμοῦ ἁρπάζοντα ἢ ναυαγίου, ἢ καταπεσούσης οἰκίας, εἴσω μὲν ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν· ὡσαύτως καὶ τὸν κατὰ δόλον ταῦτα ὑποδεχόμενον· τοὺς δὲ ἅρπαγας καὶ πρὸ καταδίκης προσάγοντας τὸ ὑπ' αὐτῶν ἁρπαγὲν, οὐ προσίεται, ἀλλ' εἰς τὸ τετραπλάσιον καταδικάζει.

Ἐάν τις βιαίως ἁρπάσῃ κινητὰ πράγματα, ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἐνέχεται, ἐὰν μαρτυρηθῇ ἡ ποσότης καὶ τὸ εἶδος τῶν πραγμάτων, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. ἐὰν δὲ ἡ βιαία ἁρπαγὴ δείκνυται, τὰ δὲ ἁρπαγέντα ἀγνοοῦσιν οἱ μάρτυρες, ἐπόμνυται ὁ τὴν βιαίαν ἀφαίρεσιν ὑποστὰς, καὶ ἀπολαμβάνει ἀπὸ τοῦ ἅρπαγος ὅσα ἐπομόσεται διαρπαγῆναι εἰς τὸ ἁπλοῦν.

Ἐάν τις χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί τι πρᾶγμα, εἰ μὲν δεσπότης ἐστὶ τοῦ πράγματος, ἐκπίπτει τῆς δεσποτείας αὐτοῦ· εἰ δὲ ἀλλότριόν ἐστι τὸ πρᾶγμα, καὶ τὴν τιμὴν αὐτοῦ δίδωσι. κἀνταῦθα τοίνυν ἔσωθεν τοῦ ἐνιαυτοῦ κινουμένης τῆς ἀγωγῆς δίδοται ἡ ποινὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν τὸ πρᾶγμα μόνον καὶ οἱ καρποί.

Ὁ ἁρπάζων γῆν ἢ μετατιθεὶς ὅρια, διπλῆν τὴν ἁρπαγὴν ἀποδίδωσιν.

Οἱ μεθ' ὅπλων ἐπιόντες καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγροὺς, εἰς κεφαλὴν τιμωροῦνται.

Κεφ. ιγ'.

Περὶ τῶν ἁρπαζόντων ἐπὶ γάμῳ γυναῖκας.

Ὁ ια'. κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου, τὰς μνηστευθείσας κόρας τισὶν, εἶθ' ὑπ' ἄλλων ἁρπαγείσας, εἰ καὶ παρανόμως αὐτὰς ἐβιάσαντο, κελεύει τοῖς μνηστευσαμένοις αὖθις ἀποκαταστῆσαι· εἴ γε αἱροῖντο δηλονότι ταύτας λαβεῖν, ἄκοντες γὰρ οὐκ ἀναγκασθήσονται.

Ὁ δὲ τοῦ μεγάλου Βασιλείου κβ'. κανὼν οὐ χρή φησιν εἰς μετάνοιαν προσίεσθαι τὸν ἐξ ἁρπαγῆς εἰληφότα γυναῖκα, πρὶν ἂν ταύτης ἀφαιρεθῇ. καὶ εἰ μὲν ἦν προμνηστευθεῖσά τινι, ἐκείνῳ εἰς ἐξουσίαν ἀποκαταστῆσαι· εἴ γε βουληθείη ταύτην λαβεῖν. εἰ δὲ μήπω τινὶ προμεμνήστευτο, πρὸς τοὺς γονέας ἐπανιέναι, ἢ καὶ ἄλλως καθ' αἷμα ταύτῃ προσήκοντας· κἂν μὲν ἕλωνται οὗτοι συναινούσης κἀκείνης τὴν κηδείαν τοῦ ἅρπαγος, τὸ συνοικέσιον ἵστασθαι, εἰ δ' οὖν, μὴ βιάζεσθαι. ὁ μέντοι συμφθαρεὶς γυναικὶ, εἴτ' οὖν λαθραίως ἑκούσῃ, εἴτ' οὖν βιασάμενος, τῷ τῶν πορνευόντων ἐπιτιμίῳ ὑποβαλλέσθω· καὶ ἐν τέσσαρσι χρόνοις τοὺς τέσσαρας χρόνους διερχέσθω τῆς μετανοίας· ἑνὶ μὲν ἔξω τῆς θύρας τοῦ νεὼ προσκλαίων, ἑνὶ δ' ἀκροώμενος, ἑτέρῳ δ' εἰς μετάνοιαν ὑποπίπτων, τῷ δὲ τετάρτῳ τοῖς μὲν πιστοῖς συνιστάμενος, τῶν δὲ θείων ἀπεχόμενος μυστηρίων· ἐξήκοντος δὲ καὶ τούτου τηνικαῦτα τοῦ τελείου τυγχανέτω.

Ὁ δὲ λ'. τοὺς ἁρπάζοντας γυναῖκας, καὶ τοὺς συνεργοῦντας αὐτοῖς ἐπὶ τριετίαν πόρρω μὲν τῶν εὐχῶν, μετὰ δὲ τῶν ἀκροωμένων ἵστασθαι κατεδίκασεν. εἰ μέντοι ἑκοῦσά φησιν ἐπιδέδωκεν ἑαυτὴν ἡ γυνὴ, μήτε φθορᾶς προηγησαμένης, ἥτις ἐπὶ τῶν παρθένων κυρίως λέγεται, μήτε μὴν κλοπῆς, λαθραίας οἱονεὶ μίξεως, ἀνεύθυνος ὁ ταύτην λαβὼν τῶν ἐκ τοῦ κανόνος ἐπιτιμίων, οἷα μὴ βίας μεσολαβούσης· καὶ μάλιστα εἰ αὐτεξούσια ἐτύγχανεν οὖσα, χήρα δηλαδὴ, καὶ ἐπ' αὐτῇ ἦν τὸ ἀκολουθῆσαι ἢ μή. τῶν γὰρ σχημάτων ἡμῖν φησὶν οὐ φροντιστέον, τοῦ πλάσματος δηλαδὴ καὶ τῆς ὑποκρίσεως. αἰδουμένη γὰρ ἔσθ' ὅτε ἡ γυνὴ ἑαυτὴν ἐπιδοῦναι τῷ ἐραστῇ ἢ τῷ ἐρωμένῳ, ἐσχηματίσατο μὲν ἁρπαγῆναι, πρὸς δὲ ἀλήθειαν ἑκοῦσα ἐπηκολούθησεν. εἰ τοίνυν κατὰ προσποίησιν ἡ ἁρπαγὴ γέγονεν, οὔτε τὰ ἐπιτίμια χώραν ἕξουσιν, οὔτε οἱ κατὰ ἁρπακτῶν κείμενοι νόμοι· μόνον δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ ἔνοχοι τοῖς πατράσιν οἱ λαβόντες τὰς ὑπ' ἐξουσίας ἔσονται, οὗτοι γὰρ καὶ τὸν παρὰ γνώμην αὐτῶν γινόμενον γάμον διασπῶσιν.

Ὁ δὲ κζ'. τῆς δ'. συνόδου κανὼν, καὶ ὁ τῆς ϛ'. ϟβ'. οὑτωσὶ διορίζονται· τοὺς ἐπ' ὀνόματι συνοικεσίου γυναῖκας ἁρπάζοντας, ἢ συμπράττοντας, ἢ συναιρουμένους, κληρικοὺς μὲν ὄντας καθαιρεῖσθαι, λαϊκοὺς δὲ ἀναθεματίζεσθαι· ὑπὸ ταῖς αὐταῖς γὰρ εὐθύναις ποιοῦνται καὶ τοὺς ἀρήγειν αὐτοῖς ἑλομένους, καὶ μάλα εἰκότως· ὁ μέν γε τὸν ἔρωτα τῆς ἁρπαγῆς εἰ πάνυ σαθρὰν ἀπολογίαν προΐσχεται πρὸς τὴν ἀθέμιτον ὑποκνίζοντα πρᾶξιν, καὶ τοῦ λογισμοῦ γινόμενον βιαιότερον· τῷ δέ γε συντρέχοντι τίς ἂν τῶν νοῦν ἐχόντων συγγνοίη, μηδὲν ἕτερον ἢ τὴν οἴκοθεν μοχθηρίαν πρὸς τὴν ἐξάγιστον πρᾶξιν συνελαύνουσαν ἔχοντι, ἣ δὴ πρὸς τοῖς ἄλλοις ἀτόποις καὶ τὴν τῆς πολιτείας ἀνάστατον τίθησι κοσμιότητα. συμπράττων δ' ἂν εἴη ὁ πράξει τῇ ἁρπαγῇ συνεργῶν, συναιρούμενος δὲ ὁ μηχανὰς ὑποτιθέμενος καὶ βουλάς.

CAPUT XIII.

De iis qui mulieres matrimonii cauſâ rapiunt.

UNDECIMUS Synodi Ancyr. Canon, deſponſas aliis puellas, & poſtea ab aliis raptas, etiamſi raptores eas iniquè ſtupraverint, iis quibus deſponſæ B erant iterum reddi jubet : nimirum ſi eas recipere velint; inviti enim non cogentur.

Canon autem Magni Baſilii xxii. eum qui mulierem, inquit, ex raptu habet, non oportet ad pœnitentiam admittere, priuſquam ab eâ ſeparetur. Quod ſi alteri prius deſponſa fuerit, ejus in poteſtatem reddi debet, ſi modo eam accipere velit; ſin autem nulli adhuc deſponſa fuerat, ad parentes redeat, vel alios qui eidem ſanguine conjuncti ſunt. Et ſiquidem illi raptoris affinitatem expetant, conſtituatur matrimonium, ſi modo illa conſenſerit; alitèr enim ne cogatur. C Ille autem qui mulierem, vel per vim, vel clam conſentientem corruperit, fornicatorum pœnæ obnoxius ſit; & in quatuor annis quatuor pœnitentiæ tempora pertranſeat : uno quidem anno præ foribus Eccleſiæ lugens, uno inter auditores ſtans, altero ad pœnitentiam proſtratus, & quarto ſtans cum fidelibus, ſed à ſacris myſteriis abſtinens; eoque demùm exacto, ejus quod perfectum eſt particeps eſto.

Canon autem xxx. eos qui mulieres rapiunt, quique ipſos auxilio juvant, triennio extra precationes D eſſe, & inter auditores conſiſtere ſtatuit. Quod ſi mulier, inquit, volens ſeipſam tradiderit, cum nec ſtuprum præceſſerit, quod propriè de virginibus dicitur, nec furtum, hoc eſt clandeſtinus concubitus, qui hanc acceperit, pœnis à canone inflictis non erit obnoxius, quippe quod nulla vis interceſſerit: & præcipuè ſi ſui juris, vidua fortaſſe, fuerit; & in ipſius poteſtate eſſet, an ſequeretur, vel non. Figurarum enim, inquit, nobis nulla cura habenda eſt, prætextus nempe & ſimulationis. Fortè enim mulier ſeſe amatori vel amato tradere erubeſcens, finxit ſe raptam eſſe, cum reverà ſponte ſequuta eſſet. Si igitur raptus per ſimulationem E factus fuerit, neque pœnæ locum habebunt, nec leges quibus raptores obnoxii ſunt : ſolum autem actione injuriarum Patribus tenebuntur qui eas ceperunt quæ erant ſub poteſtate; Illi enim matrimonium præter eorum voluntatem factum divellunt.

Canon autem xxvii. Syn. iv. nec non Syn. vi. can. xcii. ita decernunt. Eos qui nomine matrimonii mulieres rapiunt, vel raptores operâ, vel conſenſu adjuvant, Clericos quidem deponi, Laicos vero anathematizari: iiſdem enim pœnis ſubjiciuntur qui iis opem F ferre in animum inducunt; nec immeritò. Hic enim amorem pro raptu, frivolum quamvis prætextum, ad actionem illicitam eum ſtimulantem, & ratione fortiorem factum, prætendit; ei autem qui conſentit, quis ſanus veniam daret, qui nihil habet præter propriam pravitatem ad nequiſſimam actionem impellentem: quæ quidem, præter alia abſurda, civitatis honeſtatem & decus evertit. Adjutor autem ille eſt, qui facto ad raptum opem fert, conſentiens autem, qui artificio & conſilio raptum molitur.

A

Leges.

Raptores fœminæ, ſive deſponſa fuerit, ſive non, aut viduæ, ſive ingenua fuerit, ſive ſerva aut libertina, & maximè ſi Deo dedicata fuerit, legitimè puniantur. Et ſi quis ſponſam ſuam rapuerit, ſi quidem cum armis ſive gladiis vel fuſtibus rapinam fecerit, is gladio puniatur. Miniſtri autem, & conſcii, & voluntarii ſuſceptores, & qui qualecunque auxilium præbuerint, multùm verberati & tonſi, naribus mutilentur: quoniam qui rapere in animum inducunt, etiam parati ſunt reſiſtentes occidere. Sin autem ſine armis quibuſcunque rapinam fecerint, raptori quidem manus abſcindatur, ii vero qui aliquo modo opem tulerint, verberati & tonſi in exilium mittantur: ſive volentibus fœminis ſive nolentibus rapina facta fuerit; potiſſimum ſi mulieres cum viris laicis unà habitantes rapere aggreſſi fuerint. Quin & parentes mulieris, ſi debitam ab iis pœnam exigere non conati ſunt, deportentur. Quod ſi ſervus actui miniſtraſſe deprehendatur, comburatur. B

Qui rapiunt, aut ſollicitant, aut vitiant aſcetriam, vel monaſticam, vel diaconiſſam, vel quæ alium religioſum habitum habet, & eorum conſcii, periculo ſupradicto à lege imminenti obnoxii ſunt, & eorum bona ab Epiſcopis & Magiſtratibus Eccleſiæ vel Monaſterio in quo degebat ea quæ vim paſſa eſt, imponuntur. Illa autem cum bonis ſuis in monaſterium immititur, ibidem ſecurè ſervanda. Quod ſi Diaconiſſa fuerit, filios legitimos habens, ii ſecundum leges facultates ejus accipiunt. C

Qui virginem aut viduam rapuit, hanc, neque Patre ipſius conſentiente, & delictum condonante, uxorem ducere poteſt.

Rapta ne nubat raptori. Sed & ſi huic conjugio parentes conſentiant, deportentur. D

Aliter verò punitur qui puellam rapit, & aliter qui per vim virginem ſtuprat. Raptus enim propter raptoris impudentiam, non condonatur; ſtuprum autem per vim illatum, ſi ea quæ vim paſſa eſt factum probaverit, condonatur, & iis unà habitare permiſſum eſt.

Rapta raptoris bona lucratur, ſi ei legitimè conjungi nolit: quod ſi id velit, ipſius & raptoris facultates, eorumque qui ad malum opem tulerint, ſive parentes eorum fuerint, ſive alieni, publicantur. E

Raptus major eſt adulterio: & qui nuptam rapit, vel virginem, extremo ſupplicio afficitur; etſi peregrinus ſit accuſator, & puellæ pater rogatus factum condonaverit.

Si ſervus virginis raptum detulerit, libertate donatur, vel ſi raptum jamjam condonatum criminetur.

Servus qui alienam ancillam meretricem rapuit, aut celavit, neque tanquam fur neque tanquam plagiarius tenetur. Non enim furti ſed libidinis cauſa id fecit. Verum à magiſtratu bonis mulctatur, & caſtigantur. F

Juſtiniani autem Novella xvii. Raptoribus virginum immunitatis fines ſervari vetat. Quam quære in cap. xiii. litere E.

Quin & in paſchatis diebus, virginum raptores includuntur, & ligantur. Quære etiam leges in vii. cap. lit. Π.

Νόμοι.

Οἱ ἁρπάζοντες γυναῖκα, ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενὴς ἐστὶν, εἴτε δούλη ἢ ἀπελευθέρα, καὶ μάλιστα εἰ τῷ Θεῷ εἴη καθιερωμένη· καὶ εἰ τὴν ἰδίαν τις μνηστὴν ἥρπασεν, εἰ μὲν μετ' ὅπλων ἤτοι ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσατο, ὁ τοιοῦτος ξίφει τιμωρείσθω. οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ συνειδότες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι σφοδρῶς καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· ἐπεὶ οἱ ἁρπάσαι προθέμενοι ἕτοιμοι καὶ φονεύειν τοὺς ἀνθισταμένους εἰσί. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν ἁρπάσας χειροκοπείσθω, οἱ δὲ καθ' οἱονδήτινα τρόπον συνεργήσαντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν· εἴτε βουλομένων τῶν γυναικῶν, εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονεν· καὶ μάλιστα εἰ συνοικούσας τισὶν ἀνδράσιν ἐπειράθησαν ἁρπάσαι. ἀλλὰ καὶ οἱ γονεῖς τῆς γυναικὸς ἂν μὴ τὴν ἀξίαν παρ' αὐτῶν δίκην πειραθῶσι λαβεῖν, περιοριζέσθωσαν. εἰ δὴ καὶ δοῦλος ἁλοίη συνεργήσας τῇ πράξει, καιέσθω.

Οἱ ἁρπάζοντες ἢ ὑπονοθεύοντες ἢ διαφθείροντες ἀσκήτριαν ἢ μονάστριαν ἢ διακόνισσαν ἢ ἄλλο εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, τὸν ἄνωθεν εἰρημένον ἐκ τοῦ νόμου κίνδυνον ὑπομένουσι, καὶ τὰ πράγματα αὐτῶν τῇ ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης προστίθενται, διὰ τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων· αὕτη δὲ μετὰ τῶν ἰδίων πραγμάτων τῷ μοναστηρίῳ ἐμβάλλεται ἀσφαλῶς φυλαχθησομένη. εἰ μέν τοι γε διάκονος εἴη, νομίμους ἔχουσα παῖδας, οἱ κατὰ νόμους τῆς περιουσίας αὐτῆς λαμβάνουσιν.

Ὁ παρθένον ἢ χήραν ἁρπάσας, οὐ δύναται ταύτην γαμεῖν· οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς, καὶ συγχωροῦντος τὸ ἔγκλημα.

Μὴ γαμείσθω ἡ ἁρπαγεῖσα τῷ ἁρπάσαντι αὐτήν, ἀλλ' εἰ καὶ συναινέσουσι τῷ τοιούτῳ συνοικεσίῳ οἱ γονεῖς αὐτῆς, περιορίζονται.

Ἄλλως δὲ κολάζεται ὁ ἁρπάσας κόρην, καὶ ἄλλως ὁ κατὰ βίαν φθείρων παρθένον, ἡ μὲν γὰρ ἁρπαγὴ διὰ τὴν ἀναίδειαν τοῦ ἁρπάσαντος, οὐ συγγινώσκεται, ἡ δὲ κατὰ βίαν γινομένη φθορὰ, ἐὰν παρὰ τῆς βιασθείσης καταδέχηται, συγγινώσκεται, καὶ συνοικῆσαι τούτοις δέδοται.

Ἡ ἁρπαγεῖσα κερδαίνει τὰ τοῦ ἅρπαγος πράγματα μὴ θελήσασα συζευχθῆναι νομίμως αὐτῷ· ἐπεί τοι γε εἰ θελήσει τοῦτο, δημεύεται, ἥτε αὐτῆς περιουσία καὶ ἡ τοῦ ἅρπαγος, καὶ τῶν συναιρομένων ἐπὶ τῷ κακῷ, κἄν τε γονεῖς τούτων ὦσι, κἄν τε ἀλλότριοι.

Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ παρθένον ἐσχάτως τιμωρεῖται· καὶ ξένου κατηγοροῦντος, καὶ εἰ ὁ πατὴρ τῆς κόρης παρακληθεὶς συνεχώρησεν.

Ἐὰν δοῦλος ἁρπαγὴν παρθένου καταμηνύσῃ, ἐλεύθερος γίνεται· ἢ ἐὰν τὴν ἤδη συγχωρηθεῖσαν ἁρπαγὴν ἀπελέγξῃ.

Ὁ δοῦλος ἀλλοτρίαν πόρνην οὖσαν ἁρπάζων ἢ κρύπτων, οὔτε ὡς κλέπτης οὔτε ὡς ἀνδραποδιστὴς ἀνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν τοῦτο πεποίηκε· πλὴν εἰς χρήματα ζημιοῦται παρὰ τοῦ ἄρχοντος, καὶ σωφρονίζεται.

Ἡ δὲ ιζ'. Ἰουστινιανείου νεαρὰ ἀπαγορεύει ὅρους ἀσυλίας φυλάττεσθαι τοῖς ἅρπαξι τῶν παρθένων. ἣν καὶ ζήτει ἐν τῷ ιγ'. κεφ. τοῦ Ε. στοιχείου.

Ἀλλὰ καὶ ἐν ταῖς ἡμέραις τοῦ πάσχα, οἱ τῶν παρθένων ἅρπαγες ἐγκλείονται καὶ δεσμοῦνται. καὶ ζήτει ἐν τῷ ζ'. κεφ. τοῦ Π. στοιχ. νόμους.

A

ΚΕΦ. ιδ'.

Περὶ ἀρρενομανίας.

Ὁ μέγας Βασίλειος ἐν τῷ ζ'. κανόνι, ἔτι δὲ καὶ τῷ ξβ'. ὁ τὴν ἀσχημοσύνην φησὶν ἐν τοῖς ἄρρεσι διαπραξάμενος, καὶ μετανοήσας, εἰς ιε'. ἔτη τοῖς προσήκουσι τῆς μετανοίας ἐπιτιμίοις ὑποβαλλέσθω, καὶ μετὰ ταῦτα τῆς κοινωνίας ἀξιούσθω.

B

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ γ'. κανόνι εἰς ιη'. ἔτη τὴν τούτων ἐπεκτείνει μετάνοιαν.

Ὁ δὲ Νηστευτὴς Ἰωάννης, εἰ παιδίον φησὶν ὑπό τινος ἀνδρὸς μολυνθείη, εἰ μὲν εἰς τοὺς μηροὺς τὴν ῥοὴν δέξαιτο, προσφόρως ἐπιτιμώμενον εἰς ἱερωσύνην ἐρχέσθω· εἰ δὲ εἰς ἀφεδρῶνα, μηδόλως ἱερατικοῦ ἀξιούσθω βαθμοῦ. εἰ γὰρ κἀκεῖνο οὐχ ἥμαρτε διὰ τὸ ἀφήλικον, ἀλλ' ὅμως τὸ σκεῦος αὐτοῦ ἐῤῥάγη, καὶ ἱερουργῆσαι αὐτὸν οὐκ ἐνδέχεται· μεμόλυνται γάρ.

C

Νόμος.

Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ πάσχων, ξίφει τιμωρείσθωσαν· εἰ μὴ ἄρα ὁ πεπονθὼς ἐλάττων εἴη τῶν ιβ'. ἐτῶν· τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας τῆς τοιαύτης αὐτὸν ἀπαλλάττει ποινῆς.

ΚΕΦ. ιε'.

Περὶ ἀρχόντων, ὁποίους δεῖ εἶναι τούτους.

D

Νόμοι.

ΔΕΙ τὸν ἄρχοντα τὴν θείαν, ὡς οἷόν τε, φύσιν μιμεῖσθαι, καὶ εἶναι πρὸς ἅπαντας συμπαθῆ, ἀμνησίκακον, ἀνεξίκακον, ἀόργητον, ἀπροσωπόληπτον, ἀδωροδόκητον, καὶ μὴ εὐχερῶς μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι· ἐκ γὰρ τοῦ δουλεύειν τὸν ἄρχοντα τοῖς ἐναντίοις τῶν ἀπηριθμημένων ἀρετῶν πάθεσι, πολλοὶ πολλάκις ἀδίκως κινδυνεύουσι.

E

Τρία χαρακτηρίζει τὸν ἀληθῆ ἄρχοντα· τὸ ταπεινὸν πρὸς τοὺς ἀφιερωμένους θεῷ, τὸ ἁπλοῦν ἐν ταῖς τραπέζαις, τὸ ἀπροσωπόληπτον ἐν ταῖς κρίσεσι καὶ ἀδωροδόκητον καὶ εὐμετάβλητον.

Ὁ ἄρχων εὐέντευκτος ἔστω τοῖς προσιοῦσιν, ἀλλὰ μὴ εὐκαταφρόνητος, καὶ μὴ ἐξ ἴσου ἀναστρεφέσθω τοῖς ἀρχομένοις, καὶ μὴ δηλούτω τῇ ὄψει ἐλεῶν ἢ ὀργιζόμενος· μετὰ φρονήσεως ἔστω περὶ τοὺς συνηγόρους, καὶ μὴ δεχέσθω τοὺς κεκωλυμένους.

F

Ὕπαρχοι δὲ λέγονται, οἱ τῶν ἐπαρχιῶν ἐξάρχοντες· ἔπαρχος δὲ ὁ τῆς Κωνσταντινουπόλεως.

ΚΕΦ. ιϛ'.

Περὶ τῶν ἐν ἀφέδρῳ γυναικῶν.

Ὁ ἅγιος ἱερομάρτυς Διονύσιος Ἀλεξανδρείας ἐν τῷ β'. κανόνι, τὰς ἐν ἀφέδρῳ οὔσας τῶν γυναικῶν, κελεύει μὴ προσιέναι τῇ θείᾳ τραπέζῃ μηδὲ τῶν ἀχράντων

CAPUT XIV.

De Pædicatione.

MAGNUS Baſilius in vii. Canone, nec non in lxii. qui turpitèr, inquit, cum maribus agit, & pœnitentia ducitur, quindecem annos debitis pœnitentiæ pœnis ſubjiciatur, & poſtea communione dignus habeatur.

Magnus autem Gregorius Nyſſenus in iii. Canone, ad xviii. annos eorum pœnitentiam extendit.

Joannes autem Neſteutes, ſi puellus, inquit, à viro aliquo corrumpatur, ſi in femora ſeminis profluvium exceperit, convenienter correptus ad Sacerdotium veniat; ſin autem in podicem, nequaquam Sacerdotali gradu dignus habeatur. Licet enim ipſe propter ætatem non peccaverit, vas tamen ejus ruptum eſt, & res ſacras peragere non debet; polluitur enim.

Lex.

Impuri, tam qui agit quam qui patitur, gladio puniantur, niſi qui patitur minor ſit annis vii. tunc enim ætatis defectus ipſum ab ea pœna liberat.

CAPUT XV.

De Magiſtratibus; Quales eos eſſe oporteat.

Leges.

DEBET Magiſtratus divinam naturam, quantum poſſibile eſt, imitari, & erga omnes miſericors eſſe, injuriarum obliviſcens, injuriarum patiens, non propenſus ad iram, perſonarum non acceptor, muneribus ſe corrumpi non ſinens, & accuſationibus convitiiſque non facile & ſine examinatione fidem dans. Ex eo enim quod Magiſtratus paſſionibus, quæ virtutibus enumeratis contrariæ ſunt, obnoxius ſit, multi injuſte ſæpenumero in periculum adducti ſunt.

Tres ſunt boni magiſtratus characteres; humilitas erga Deo conſecratos, ſimplicitas in conviviis, in judiciis non reſpicere perſonas, & muneribus non corrumpi, facileque mutabilem eſſe.

Magiſtratus iis, qui ad eum adveniunt, affabilis ſit, ſed nec ita ut ſe contemni patiatur; & ne æquali converſatione cum provincialibus utatur; neque vultu miſericordiam aut excandeſcentiam prodat: cum prudentia verſetur circa advocatos, & prohibitos ne admittat.

Præfecti autem dicuntur, qui provinciis præſunt; Præfectus vero, qui Conſtantinopoli.

CAPUT XVI.

De mulieribus quæ ſunt in abſceſſu.

SANCTUS Dionyſius Alexandrinus martyr, in ii. Canone, mulieres quæ ſunt in abſceſſu, ad ſanctam menſam accedere, & divinis myſteriis

A communicare prohibet. Neque enim quæ ſanguinis fluxu laborabat, dominum attingere auſa eſt, ſed ſolam veſtimentorum fimbriam. Domini autem meminiſſe, & auxilium pro ſe eo modo affectis implorare, reprehenſioni non eſt obnoxium. Ei autem, qui non omnimodo purus eſt, ad ſancta ſanctorum accedere, lubricum eſt & periculoſum. Eas autem dicit eſſe in abſceſſu, quæ menſtruorum fluxu divexantur, quod à reliquorum ſede ut immundæ ſeparentur. Etenim Hebraicæ mulieres hoc paſſæ, in loco privato ſedentes, quietem agunt, donec ſeptem dies præterierint, & menſtruorum fluctus ſtiterit. Ejuſmodi autem mulieres nunc ſeorſim agunt, & non ſolum ab altari (ad quod rurſus accedere iis permiſſum eſt) B ſed & è templo, & templi porticu, ejiciuntur.

κοινωνεῖν μυστηρίων· οὐδὲ γὰρ ἡ αἱμοῤῥοοῦσα ἅψασθαι τοῦ κυρίου τετόλμηκε πλὴν τοῦ κρασπέδου τῶν αὐτοῦ ἱματίων· μεμνῆσθαι δὲ τοῦ δεσπότου καὶ βοηθείας δεῖσθαι τυχεῖν καθ' ἑαυτὰς οὕτω διακειμένας ἀνεπίφθονον. τοῖς δὲ τῶν ἁγίων ἁγίοις τὸν μὴ πάντη καθαρὸν ἐπισφαλὲς προσιέναι καὶ ἐπικίνδυνον. ἐν ἀφέδρῳ δέ φησιν εἶναι τὰς ὑπὸ τῆς ῥύσεως τῶν ἐμμηνίων ἐνοχλουμένας παρὰ τὸ κεχωρεῖσθαι αὐτὰς τῆς τῶν λοιπῶν ἕδρας ὡς ἀκαθάρτους. αἱ γὰρ τῶν ἑβραίων γυναῖκες τοῦτο πάσχουσαι ἐν ἰδίῳ τόπῳ καθήμεναι ἡσυχάζουσιν, ἕως ἂν ἡμέραι παρέλθωσιν ἑπτὰ, καὶ ἡ τῶν ἐμμηνίων παύσεται ῥύσις. ἀλλὰ γὰρ αἱ τοιαῦται τανῦν εἶναι, οὐχ ὅπως τοῦ θυσιαστηρίου, εἰς ὅπερ πάλιν ταύταις ἐφεῖτο εἰσέρχεσθαι, ἀλλὰ καὶ τοῦ νεὼ καὶ τοῦ περὶ τὸν νεὼ τόπου ἐκβάλλονται.

Lex.

Novella autem xvii. Regis Leonis ſapientis, ſtatuimus, inquit, de mulieribus quæ pepererunt, ut quæ naturali profluvio expurgari ſolent, ſiquidem periculoſa alia infirmitate non laborent, uſque ad xl. dies differant, non initiatæ illuminationem, initiatæ vero divinorum myſteriorum perceptionem. Quod ſi eaſdem C morbus aliquis invaſerit, & vitæ abruptionem minetur, illæ illuminatione, hæ autem Sacramentis dignæ ſtatim habeantur. Quin & ſextus Timothei *Canon*, mulieribus, inquit, quæ ita affectæ ſunt, divinis myſteriis communicare, antequam expurgatæ fuerint, non licet.

Νόμος.

Η δὲ ιζʹ. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, ὁρίζομεν φησὶ περὶ τῶν τεκουσῶν γυναικῶν αἳ τῇ φυσικῇ καθαίρεσθαι εἰώθασι ῥύσει, ἑτέρας μὴ ἐπικειμένης αὐταῖς ἐπικινδύνου ἀσθενείας μέχρι μʹ. ἡμερῶν ὑπερτίθεσθαι, τὰς μὲν ἀτελέστους τὸ φώτισμα, τὰς δὲ μεμυσταγωγημένας τὴν τῶν θείων μυστηρίων μετάληψιν. νοσήματος δὲ τινὸς αὐταῖς κατασκήψαντος, καὶ τὴν καταστροφὴν ἀπειλοῦντος τοῦ βίου, τὰς μὲν τοῦ φωτίσματος, τὰς δὲ τῶν ἁγιασμάτων εὐθὺς ἀξιοῦσθαι. καὶ ὁ ϛʹ. Τιμοθέου τὰς οὕτως ἐχούσας τῶν γυναικῶν πρὶν καθαρθῆναι, ἀθέμιτόν φησι τῶν θείων κοινωνεῖν μυστηρίων.

CAPUT XVII.

De Impuberibus.

D IMPUBER in delictis non adjuvatur: veluti ſi furtum fecerit, vel damnum intulerit; etiamſi nihil ad eum exinde adveniat. Quære etiam iv. cap. præſentis literæ, & xxxiii. cap. literæ E. Quære etiam in viii. cap. literæ B. & in iv. cap. literæ A.

ΚΕΦ. ιζʹ.

Περὶ ἀφηλίκων.

Ὁ Αφῆλιξ ἐν τοῖς ἁμαρτήμασιν οὐ βοηθεῖται, οἷον κλοπὴν ἢ ζημίαν ποιήσας, κἂν μηδὲν εἰς αὐτὸν ἐντεῦθεν περιέλθῃ. ζήτει καὶ τὸ δʹ. κεφ. τοῦ παρόντος στοιχείου, καὶ τὸ λγʹ. κεφ. τοῦ Ε. στοιχείου. ζήτει καὶ ἐν τῷ ηʹ. κεφ. τοῦ Β. στοιχείου, καὶ ἐν τῷ δʹ. κεφ. τοῦ Α. στοιχείου.

CAPUT XVIII.

De Excommunicatione.

E QUIN & ſequentia præcedentibus non apponenda eſſe quis dixerit, qui ad ea quæ dicta ſunt attendit; de iis, nempe, qui per gratiam veritatis Deo ſeparati fuerunt, ſua autem improba voluntate ad malas actiones tracti, fructum exinde adepti ſunt, à Deo ſegregari.

F Decimus itaque ſanctorum Apoſtolorum Can. qui cum excommunicato, inquit, in quocunque loco precibus communicaverit, is ſegregetur. Vel enim ex eo calumniatur, vel contemptum patitur, qui ei pœnas inflixit, ut qui *eundem* malè & injuſte ſegregaverit. Simplicitèr autem cum excommunicatis colloqui non prohibet.

Undecimus autem eorum Canon, cum Clerico qui depoſitus fuerit, & poſtea ſacra rurſus peregerit, unà comprecantem deponit.

ΚΕΦ. ιηʹ.

Περὶ ἀφορισμοῦ.

ΑΛΛΑ γὰρ καὶ ταῦτα συντεταχέναι τοῖς φθάσασι, τίς ἂν φήσαιτο μὴ δεῖν, ὁ τὸν νοῦν προσέχων τοῖς γιγνομένοις, φημὶ δὴ περὶ τῶν ὅσοις μὲν ὑπῆρξε τῇ χάριτι τῆς ἀληθείας ἀφωρίσθαι θεῷ, τῇ δέ γε πονηρᾷ σφῶν προαιρέσει πρὸς τὰς φαύλας ἀπεῤῥυηκότας τῶν πράξεων, καρπὸν ἐντεῦθεν ἐσχηκέναι, τὸ ἀφορισθῆναι θεοῦ.

Ὁ γοῦν ιʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, ὁ τῷ ἀφωρισμένῳ τῆς κοινωνίας φησὶν εὐχῆς κοινωνήσας ἐν οἱῳδήποτε τόπῳ, καὶ οὗτος ἀφοριζέσθω· ἢ γὰρ διαβέβληται τούτῳ, ἢ καταπεφρόνηται ὁ ἐκεῖνον ἐπιτιμήσας, οἷα μὴ καλῶς ἀφορίσας μηδὲ δικαίως· ἁπλῶς μέντοι τοῖς ἐπιτιμηθεῖσιν ὁμιλεῖν οὐκ ἀπείργει.

Καθαιρεθέντι δὲ κληρικῷ, καὶ μετὰ τοῦτο αὖθις ἱερουργήσαντι, τὸν συνευξάμενον κληρικὸν ὁ ιαʹ. τῶν αὐτῶν κανὼν καθαιρεῖ.

Ὁ δὲ λβʹ. ὃν ὁ ἴδιος ἐπίσκοπος τῆς κοινωνίας ἀφώρισεν, A ἑτέρῳ δέχεσθαι μὴ ἐξέστω φησίν· εἰ δὲ ὁ ἀφορίσας οἴχεται θανὼν, ὁ τὴν ἐκείνου προστασίαν διαδεξάμενος τὰ κατ' αὐτὸν δοκιμάσας, ἢ λῦσαι ἢ ἐπιτεῖναι τὸ ἐπιτίμιον ἐχέτω τὴν ἄδειαν. ἑτέρῳ δὲ οὐκ ἐφίησι τοῦτο δρᾷν εἰ μὴ τῇ συνοδικῇ ἐξετάσει, καὶ ζῶντος καὶ τετελευτηκότος τοῦ ἀφορίσαντος.

Τὰ αὐτὰ καὶ ὁ θʹ. τῆς ἐν Καρθαγένῃ ψηφίζεται, ὅτι τὸν μὴ ἀσυντηρήτως ἀλλ' ἀξίως τῶν ἁμαρτημάτων καθαιρεθέντα κληρικὸν δεξάμενος εἰς ἱερατικὴν κοινωνίαν, καθαιρεθήσεται· καὶ ὁ τῷ ἀφορισθέντι συνευξάμενος τὰ ὅμοια B τούτῳ πείσεται.

Τούτοις συνᾴδει καὶ ὁ ϛʹ. τῆς ἐν Ἀντιοχείᾳ, κληρικοὺς τε καὶ λαϊκοὺς ἀφορισμοῦ καθυπαχθέντας δεσμοῖς παρὰ τῶν ἐπισκόπων μὴ παρ' ἑτέρων λύεσθαι, πρὶν ἂν ἢ ὁ δεδεκὼς ἀνῇ, ἢ σύνοδος κοινὴ τὰ κατ' αὐτοὺς σκέψηται.

Ὁ δὲ τῆς ἐν Σαρδικῇ ιγʹ. τὸν ἀκοινώνητον γενόμενον παρὰ τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερον ἢ διάκονον ἢ ὅλως τοῦ κλήρου, ἑτέρῳ ἐπισκόπῳ τὰ κατ' αὐτοὺς εἰδότι, εἰς κοινωνίαν μὴ ἐξεῖναι δέχεσθαι· ὕβριν γὰρ τοῦτο φέρει τῷ C ἀφορίσαντι.

Ὁ δὲ ιδʹ. εἴ τινα τῶν τοῦ κλήρου θυμοῦ ἡττηθεὶς ὁ ἴδιος ἐπίσκοπος πρὸς ὀργὴν ἀφορίσῃ, ὅπερ οὐκ ἔδει, οὐ χρή φησιν ἀθρόον τὸν τοιοῦτον τῆς κοινωνίας χωρίζεσθαι, ἀλλ' ἀφικνεῖσθαι πρὸς τὸν τῆς ἐπαρχίας μητροπολίτην, ὑφ' ὃν ὁ ἀφορίσας τελεῖ· καὶ τὴν αἰτίαν τοῦ ἀφορισμοῦ πρὸς αὐτοῦ ἐξετάζεσθαι, μὴ δυσχεραίνοντος παρὰ τούτου τοῦ ἐπισκόπου. οὕτω γὰρ ἢ βεβαιωθήσεται αὐτοῦ ἡ ἀπόφασις, ἡ μὴ καλῶς ἔχουσα διορθωθήσεται. πρὸ μέντοιγε τῆς τελείας διαγνώσεως οὐ δέον ἀναιδῶς προσιέναι τὸν ἀφορισθέντα κοινωνίᾳ· ἀλλὰ D καὶ τοὺς λοιποὺς τῶν κληρικῶν τὸ προσῆκον νέμοντας σέβας τῷ ἐπισκόπῳ, (ὥς γε δὲ καὶ ἐκεῖνος αὐτοῖς τὰ τῆς ἀγάπης δίκαια) ἐπιπλήττειν τῷ ἐπιτιμηθέντι πρὸς τὴν ἐπιτιμίαν ἀφηνιάζοντι, μέχρις ἂν ἡ ἐξέτασις τὸ δέον ἐπ' αὐτῷ ψηφίσεται. ὃ δὲ προστίθησιν ὁ κανὼν, τὸ μὴ ἐνδημοῦντος τοῦ οἰκείου μητροπολίτου ἀνατιθέναι τὰ τῆς ὑποθέσεως τῷ πλησιοχώρῳ, τὸ πολιτευόμενον τανῦν ἔθος οὐ προσίεται.

Τούτῳ συνᾴδει καὶ ὁ τῆς ἐν Καρθαγένῃ ρλθʹ. εἴ τις γάρ φησι τῶν ἐπισκόπων ὀργίλος ὢν, ὅπερ οὐκ ἔδει, ταχέως κινηθεὶς, ἐξέωσέ τινα τῶν ὑπ' αὐτὸν κληρικῶν καὶ τῆς ἐκ- E κλησίας καὶ τῆς κοινωνίας, προνοητέον μήπως ἀδίκως ὁ ἐπιτιμηθεὶς ἐκβέβληται. ἄδειαν τοιγαροῦν ἐχέτω τοῖς ὁμόροις προσιέναι τῶν ἐπισκόπων, παρ' ὧν καὶ τὰ τῆς αἰτίας ἀκριβεῖ δοθήτω βασάνῳ· ἀλλὰ καὶ τὸν ἐπίσκοπον πρᾴως φέρειν καὶ ἱλαρῶς τὴν ἐξέτασιν, καὶ ταῖς τῶν πλειόνων προσηνῶς πίθεσθαι ψήφοις ὑφ' ὧν ἢ κυρία ἢ ἄκυρος ἡ αὐτοῦ γνώμη γενήσεται.

Ὁ δὲ εʹ. τῆς αʹ. Συνόδου, χρὴ μέν φησι κατὰ τῶν γενομένων ἀκοινωνήτων, παρὰ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, εἴτε τοῦ κλήρου εἶεν εἴτε τοῦ λαοῦ, τὸν διαγορεύοντα F κρατεῖν κανόνα τοὺς παρ' ἑνίων ἀποβληθέντας ἑτέροις προσιτοὺς μὴ εἶναι. προνενοηκέναι μέντοι γε δεῖ, μὴ ἄρα μικροψυχίᾳ ἢ φιλονεικίᾳ ἢ ἀηδίᾳ ἢ ἑτέρᾳ οἱαδήτινι ἐμπαθείᾳ τοῦ ἐπισκόπου, ἀποσυναγώγους συμβέβηκε τοὺς ἀνθρώπους γενέσθαι· ταῦτα τοι καὶ παρὰ ταῖς ἐτησίως γινομέναις συνόδοις ἐξετάζεσθαι τὰ κατ' αὐτοὺς δίδωσι, ἵν' ἢ τὸν ἀφορίσαντα παραλόγως εὐλόγως εὐθύνεσθαι, ἢ τὸν παραλόγως δυσχεραίνοντα τῷ ἀφωρίσθαι συγγνωμόνως τὴν ἐπιτιμίαν δέχεσθαι.

Porro Can. xxxii. quem proprius, inquit, Epiſcopus à communione ſegregavit, ne liceat alteri eundem ſuſcipere. Quod ſi mortuus fuerit qui eum ſegregavit, qui ejuſdem dignitati ſuccedit, examinatione factâ, vel pœnas remittendi vel intendendi poteſtatem habeat. Alteri autem non permiſſum eſt hoc facere, niſi ex Synodica inquiſitione, ſive vivente aut mortuo excommunicante.

Eadem quoque decernit ix. Can. Syn. Carthaginenſis; *nimirum* quod qui Clericum, non citra examinationem, ſed pro criminum ſuorum meritis, depoſitum in ſacerdotalem communionem ſuſceperit, deponetur. Quodque qui unà cum ſegregato oraverit, eandem cum eo pœnam ſubibit.

His etiam concinit *Can.* vi. *Syn.* Antiochenæ, *ſtatuens* Clericos & Laicos excommunicationis vinculis aſtrictos, ab Epiſcopis *ſuis*, *&* non ab aliis ſolvi debere, priuſquam vel qui eum ligavit mortuus fuerit, vel communis Synodus circa ipſos inquiſiverit.

Porro xiii. Can. Syn. Sardicenſis, Presbyterum, *inquit*, vel Diaconum, vel aliquem omnino Clericum ab Epiſcopo ſuo excommunicatum, ne liceat alteri Epiſcopo ad communionem admittere; id enim *Epiſcopo*, qui eum excommunicavit, injuriam facit.

Canon autem xiv. Si quem Clericum proprius Epiſcopus ad iram propenſus, per iram ſegregaverit (quod fieri non debet) non oportet, inquit, talem illicò à communione ſeparari, ſed ad Provinciæ Metropolitanum, cui ſubjectus eſt Epiſcopus qui ſegregavit, proficiſci, ut ſegregationis cauſa coram eo examinetur, Epiſcopo *qui ſegregavit* id æquo animo ferente; ſic enim ſententia ejus confirmabitur, vel ſi injuſta ſit, corrigetur. Priuſquam autem perfecta rei cognitio habeatur, non oportet is qui ſegregatur, ad communionem impudentèr accedere. Utique & reliqui Clerici Epiſcopo debitam reverentiam exhibentes, ſicut & ipſe iis charitatis jura, eum qui punitur & excuſſis habenis contumacitèr erga pœnam ſe gerit, corripiant, donec examinatio de eo ſtatuat quod oportet. Quod autem addit Canon, licere, abſente Metropolitano, viciniori Epiſcopo rem de qua agitur committere, noſtri temporis conſuetudo non admittit.

Huic concinit etiam cxxxix. Can. Syn. Carthagin. Si quis enim, inquit, Epiſcopus ad iracundiam propenſus, quod fieri non oportet, ſubito commotus, aliquem ex Clericis ſibi ſubjectis ab Eccleſia & communione expulerit, cavendum eſt, ne qui punitur, injuſte ejiciatur; veniam igitur habeat Epiſcopos vicinos adeundi, à quibus accuſatio ſtrictæ examinationi ſubjiciatur; Quin & Epiſcopus examinationem æquo animo & humaniter ferre debet, & plurium ſuffragiis rem placide ſubmittere, quibus ejuſdem ſententia vel rata vel irrita fiet.

Quintus autem primæ Synodi Canon, contra eos, inquit, qui ſive Clerici ſint, ſive Laici, ab Epiſcopis qui ſunt in unaquaque provincia, ſegregantur, valere oportet Canon, qui pronunciat, eos qui ab aliis ejecti ſunt, non eſſe ab aliis admittendos. Proſpicere autem oportet annon vel ſimultate, vel contentione, excommunicatos fieri contigerit. Quare à Synodis annuis quæ iis objecta ſunt examinentur, & vel is qui injuſte ſegregavit, juſte reprehendatur, vel qui indignatur quod ſegregatus fuerit, pœnam æquo animo ferat.

UMI

A Porro Can. iv. Syn. vii. Epiſcopus, inquit, qui turpis lucri gratia, aurum, vel argentum, vel aliquid aliud ab Epiſcopis, vel Clericis, vel Monachis, qui ſibi ſubſunt, exigit, excuſationes in peccatis excogitans (quæ nempe divinis canonibus non continentur) eoſque, qui id quod exigitur non facile dant, ſegregatione ulciſcens; vel ob aliquam aliam animi perturbationem quenquam Clericorum ſuorum à miniſterio arcet, vel venerandum templum claudit, ne in eo divinum miniſterium pro more perficiatur, in id quod non eſt ſenſu præditum ſuam inſaniam immittens; eſt revera, inquit, ſine ſenſu, iiſdemque pœnis ſubjicietur: Epiſcopus nimirum à Metropolitano ſegregabitur; B ille autem à Patriarcha juſte ſubibit quod in alios injuſte inflixit.

Paulus igitur divinus Apoſtolus, quaſi Canonem imponens Epheſiorum Presbyteris, dixit, Argentum, vel aurum, vel veſtem nullius concupivi; & quæ ſequuntur. Et rurſus; non debent liberi Parentibus theſauros recondere, ſed parentes liberis. Quin & Petrus Apoſtolorum ſummus, Paſcite, inquit, gregem Dei qui penes vos eſt, non per vim, ſed voluntarie ſecundum Deum; non turpis lucri gratia, ſed alacriter; non ut dominatum in Clerum exercentes, ſed gregis C exemplaria facti: non enim Clericis ut ſervis & miniſtris uti jubet, ſed abſque animi perturbatione & vi aliqua eos paſcere & emendare.

Canon autem xxxii. Syn. Carthag. qui propter ſocordiam ſive peccatum aliquod à communione ſegregatus fuerit, ſive Epiſcopus, ſive cujuſmodicunque Clericus, quamvis ſeſe injuria affectum exiſtimet, non debet reprehenſionem contemnere, donec ea quæ ipſi objiciuntur pleniori judicio confirmata fuerint. Quod ſi ante examinationem aliquibus communicaſſe deprehenſus fuerit, ipſe plenam depoſitionis ſententiam D jamjam adverſus ſeipſum tulit.

Theodorus Balſamon. *Quod non oporteat abſque causâ rationabili aliquem excommunicare.*

Hinc dicunt nonnulli, quod qui non ob cauſam Canonibus vetitam excommunicatus fuerit, ſed propter abſurdam ipſius excommunicantis voluntatem, ſecurè ſegregationem contemnet, & is potius qui ſegregavit E pœnæ obnoxius erit. Si enim Epiſcopo indultum fuerit, ſeu rectè ſeu perperam Clericos & Laicos ſegregare, & neceſſe habeant ii qui puniuntur ſegregationem injuſtam pertimeſcere & ſervare, tyrannidem exercebunt Epiſcopi, & pietati inſultabunt, & divini Canones malorum multorum auctores erunt; quod eſt maximè abſurdum. Quare cum modificatione dicit Canon, ſi quis propter ſocordiam ſegregetur, forſan propter peccatum, quod ſancti Patres & Canones vetant.

Canon autem cviii. ejuſdem Syn. Clericum in Africa excommunicatum, ſi ad Romam trans mare vectus, ſacra celebrare auſus fuerit, antequam plenum de eo F judicium habeatur, depoſitioni ſubjicit.

Canon autem cxxxiii. nec non cxxxiv. Epiſcopus, inquit, qui dicit quenquam ſibi crimen aliquod confeſſum eſſe, ob quod à communione ejici meretur, alter autem affirmat ſe nihil ejuſmodi ei communicaſſe, Epiſcopus ſolus, contra eum qui confeſſus eſt teſtimonium ferens, non credetur; immo & ei communicare cogetur. Quòd ſi in conſcientia

Ἀλλὰ καὶ ὁ δ΄. τῆς ζ΄. συνόδου, ὁ αἰσχροκερδῶς φησιν εἰσπράττων ἐπίσκοπος τοὺς ὑπ᾽ αὐτὸν ἐπισκόπους ἢ κληρικοὺς ἢ μοναχοὺς, ἢ χρυσὸν, ἢ ἄργυρον, ἢ οἱονδήποτε εἶδος, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, μὴ τοῖς θείοις δηλαδὴ ἐμπεριειλημμένας κανόσι, καὶ τοὺς μὴ ῥαδίως παρέχοντας τὸ ἐπιταχθὲν ἀφορισμῷ ἀμυνόμενος, ἢ δι᾽ ἑτέραν ἐμπάθειαν τῆς λειτουργίας ἀπείργων τινὰ τῶν ὑπ᾽ αὐτὸν κληρικῶν, ἢ σεπτὸν κλείων ναὸν, ὥστε τὰς ἐν ἔθει τοῦ θεοῦ λειτουργίας ἐν αὐτῷ μὴ τελεῖσθαι, εἰς ἀναίσθητον τὴν ἑαυτοῦ μανίαν ἐκπέμπων, ἀναίσθητος ὄντως ἐστί φησι, καὶ ταῖς αὐταῖς ὑποπεσεῖται ποιναῖς· ὁ μὲν ἐπίσκοπος παρὰ τοῦ μητροπολίτου ἀφοριζόμενος, ὁ δὲ παρὰ τοῦ Πατριάρχου εὐλόγως ὑφιστάμενος ὃ παραλόγως ἑτέροις ἐπήνεγκε.

Παῦλος γοῦν ὁ θεῖος ἀπόστολος οἱονεὶ κανόνα τιθεὶς τοῖς Ἐφεσίων εἴρηκε πρεσβυτέροις, ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, καὶ τὰ ἑξῆς. καὶ αὖθις, οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις. ἀλλὰ καὶ Πέτρος ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, ποιμαίνετε, φησι, τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, μὴ ἀναγκαστῶς, ἀλλ᾽ ἑκουσίως κατὰ θεόν· μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μὴ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου. οὐ γὰρ ὡς δούλοις καὶ ὑπηρέταις χρῆσθαι τοῖς κληρικοῖς, ἀλλὰ χωρὶς ἐμπαθείας καὶ ἀνάγκης κελεύει ποιμαίνειν τούτους καὶ διορθοῦσθαι.

Ὁ δὲ λβ΄. τῆς ἐν Καρθαγένῃ, ὁ διὰ ῥαθυμίαν φησὶν ἤτοι πλημμέλειαν τῆς κοινωνίας ἀφορισθεὶς, εἴτ᾽ οὖν ἐπίσκοπος, εἴτε οἱοσδήποτε κληρικὸς, εἰ καὶ ἀναξιοπαθεῖν οἴοιτο, οὐ χρὴ καταλιγωρεῖν αὐτὸν τῆς ἐπιτιμίας, μέχρις ἂν κρίσει τὰ κατ᾽ αὐτὸν δοθῇ τελειοτέρᾳ· πρὸ δέ γε τῆς ἐξετάσεως εἰ κοινωνῆσαί τισι φωραθείη, οὐκ ἂν φθάνοι κατ᾽ αὐτοῦ αὐτὸς τὴν ψῆφον ἐπενεγκὼν τῆς τελείας καθαιρέσεως.

Θεοδῶρος Βαλσαμών. ὅτι οὐ δεῖ δίχα εὐλόγου αἰτίας ἀφορίζειν τινά.

Ἐκ τούτου φασί τινες ὡς ὁ μὴ δι᾽ αἰτίαν ἀφοριζόμενος, τοῖς θείοις ἀπειρημένην κανόσι, δι᾽ ἀλόγιστον μέντοι τοῦ ἀφορίζοντος θέλημα, ἀκινδύνως καταφρονήσει τοῦ ἀφορισμοῦ, καὶ μᾶλλον ὁ ἀφορίσας ὑπόδικος ἔσται κολάσει. εἰ γὰρ εὐκαίρως ἢ ἀκαίρως ἄδεια δοθείη τῷ ἐπισκόπῳ κληρικούς τε καὶ λαϊκοὺς ἀφορίζειν, καὶ πρὸς ἀνάγκην ἔχειν τοὺς ἐπιτιμωμένους τὸν ἄκαιρον ἀφορισμὸν δεδιέναι καὶ φυλάττειν, καὶ τυραννίδος κατατολμήσουσιν οἱ ἐπίσκοποι, καὶ τῆς εὐσεβείας κατορχήσονται, καὶ πολλῶν κακῶν γενήσονται οἱ θεῖοι κανόνες πρόξενοι, ὅπερ ἀτοπίας οὐδεμίαν ὑπερβολὴν καταλείπει. διά τοι τοῦτο καὶ μετὰ προσδιορισμοῦ, εἰ διὰ ῥαθυμίαν ἀφώρισταί τις, φησὶν ὁ κανὼν, δι᾽ ἁμάρτημα τυχὸν ὅπερ οἱ θεῖοι πατέρες καὶ κανόνες ἀπαγορεύουσι.

Ὁ δὲ ρη΄. αὐτῆς, τὸν ἐν Ἀφρικῇ τῆς κοινωνίας ἀφορισθέντα κληρικὸν, εἰ εἰς τὴν Ῥώμην περαιωθεὶς ἱερουργῆσαι τολμήσειε πρὸ τελείας τῆς ἐπ᾽ αὐτῷ κρίσεως, καθυποβάλλει τῇ καθαιρέσει.

Ὁ δὲ ρλγ΄. ἔτι δὲ καὶ ὁ ρλδ΄. ὁ λέγων φησὶν ἐπίσκοπος ὡς ἐξομολογηθείη τις αὐτῷ πταῖσμα, οἷον τῆς κοινωνίας αὐτὸν ἐκβαλεῖν, ὁ δὲ διατείνεται μηδέποτε τοιοῦτό τι τούτῳ προσαναθεῖναι, οὐ πιστευθήσεται μόνος κατὰ τοῦ δῆθεν ἐξομολογησαμένου μαρτυρῶν ὁ ἐπίσκοπος, οὐ μὴν ἀλλὰ καὶ συγκοινωνεῖν ἐκείνῳ ἀναγκασθήσεται. εἰ δὲ δυνοπαθῶν

τῆ

τὴν συνείδησιν καὶ σκανδαλιζόμενος ἐπ' αὐτῷ, οὐκ οἴεται δεῖν εἰς κοινωνίαν προσίεσθαι, ἐφ' ὅσον χρόνον οὐ κοινωνεῖ τῷ ἀφορισθέντι, μηδὲ καὶ οἱ ἄλλοι τούτῳ ἐπίσκοποι κοινωνείτωσαν· ὥστε μᾶλλον παραφυλάττεσθαι τὸν ἐπίσκοπον, μὴ λέγειν κατά τινος ὅπερ ἀποδείξεσιν μὴ ἐλέγξαι παρ' ἑτέροις δύναται. ζήτει καὶ ἐν τῷ θ'. κεφ. τοῦ παρόντος στοιχείου κανόνας ἀποστολικοὺς ιβ'. ιγ'. ιϛ'. καὶ ἐν τῷ ιϛ'. κεφ. τοῦ Π. στοιχ. κανόνας τῆς ἐν Νεοκαισαρείᾳ συνόδου θ'. καὶ ι'. καὶ Θεοφίλου ε'.

A ſua ægrè ferens, & de eo ſcandalizatus; eum ad communionem non eſſe admittendum judicet; quamdiu ipſe ſegregato non communicat, neque illi, *qui ſegregavit ſcilicet*, alii communicabunt Epiſcopi; ut magis caveat Epiſcopus, ne adverſus aliquem dicat id quod demonſtrationibus apud alios probare non poteſt. Quære etiam in cap. ix. præſentis literæ Canones Apoſtolicos xii. xiii. xvi. Et in xvi. cap. lit. Π. Neocæſar. Syn. Can. ix. & x. & Theophili Canonem v.

Νόμοι.

Leges.

B

Η δὲ Ιουστινιάνειος νεαρὰ πᾶσι φησὶ τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν χωρίζειν τινὰ τῆς ἁγίας κοινωνίας πρὶν ἂν ἡ αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γίνεσθαι κελεύουσιν. εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινὰ, ἐκεῖνος μὲν ὃς ἀδίκως τῆς κοινωνίας ἐχωρίσθη, λυόμενος τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς ἁγίας ἀξιούσθω κοινωνίας· ὁ δὲ ἀδίκως τινὰ ταύτης χωρίσαι τολμήσας, ὑπὸ τοῦ ἱερέως ὑφ' ὃν τέτακται, χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον ἂν χρόνον ἐκεῖνος συνίδῃ, ἵνα ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείνῃ.

Dicit autem Juſtiniani Novella, Omnibus Epiſcopis & Presbyteris interdicimus, quempiam à ſancta communione ſeparare, priuſquam oſtenſa fuerit cauſa propter quam Eccleſiaſtici Canones hoc fieri præcipiunt. Si quis autem præter hæc à ſancta communione quempiam ſeparaverit, ille quidem qui injuſte à communione ſeparatus eſt, à majori Sacerdote ſeparatione ſolutus, ſancta communione dignus habeatur: qui autem injuſtè aliquem ab ea ſeparare auſus fuerit, à Sacerdote cui ſubeſt, communione movebitur, quandiu ei viſum fuerit, ut quod injuſtè fecit, juſtè ſuſtineat. C

Οὐ δεῖ τοὺς ἐπισκόπους ἢ κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν ἢ ἀγγαρείας διδόναι, ἢ τοὺς μὴ οὕτω ποιοῦντας ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν, ἀθέμιτον γάρ.

Non oportet Epiſcopos vel Clericos cogere aliquos fructus offerre, vel angarias dare, vel eos qui non ita faciunt ſegregare, vel anathematizare, vel communione movere, vel non baptizare; nefas enim eſt.

INITIUM LITERÆ B.

CAPUT I.

De Sacro Baptiſmo.

JAM vero cum ad proximam Literam perventum ſit, operæpretium erit de Sacro Baptiſmo diſſerere.

Canon S. Apoſtolorum xlvi. eum qui juxta Domini præceptum & Apoſtolicam traditionem vero baptiſmo dignus habitus fuerit, non denuò baptizare jubet; eum autem qui ab impiis nefarie pollutus potius quàm baptizatus fuerit, ſine aliqua difficultate rebaptizare. Quod ſi quiſquam verum baptiſmum aſſequutus, ab impiis poſtea pollutus fuerit, unguento duntaxat inungatur: id enim ſacri baptiſmi pars eſſe creditur. Eum autem qui ſecus fecerit, ſive Epiſcopus ſit, ſive Presbyter, omnino depoſitione mulctandum ſtatuit; ut qui crucem Domini irrideat, & ſalutiferam ejus mortem pro ludibrio habeat. Dicit enim divinus Apoſtolus, *Nam ſi ultro peccaverimus poſt acceptam cognitionem veritatis, non adhuc pro peccatis reliqua eſt hoſtia*, ſive per baptiſmum luſtratio; una enim eſt Chriſti mors, & unus, qui purgat, baptiſmus. Eadem etiam ſtatuit Canon l. Syn. Carthag.

Canon autem ſanct. Apoſt. xlviii. in nomine Patris & Filii & Spiritus ſancti, juxta divinum Domini ſermonem, baptizare jubet, non autem in nomine trium principii expertium, vel trium Filiorum, vel trium Paracletorum; unus enim eſt ſine principio Pater, propter incauſalitatem, & unus Filius propter ineffabilem generationem, & unus Paracletus Spiritus ſanctus propter ſuam ab ingenito proceſſionem. Epiſcopi autem & Presbyteri qui ſecus fecerint, pœnæ depoſitionis obnoxii ſunt.

Canon autem xlix. tria unius myſterii baptiſmata perficere *jubet*, (tres nempe immerſiones in uno baptiſmo, & ad unamquamque immerſionem, unum S. Trinitatis nomen pronunciare) non autem unum baptiſmum qui datur in mortem Domini; hoc eſt, eum qui baptizatur, ſemel immergere, & uni immerſioni mortem Domini aſcribere, uti veſana Eunomianorum hæreſis decernit: cujus rei meminit vii. Can. ii. Syn. non enim dixit Dominus in mortem meam baptizate, ſed, *Profecti docete omnes gentes, baptizantes ipſos in nomine Patris & Filii & Spiritus ſancti*. Epiſcopum autem vel Presbyterum qui ſecus fecerit, à Sacerdotio deponit. Quære etiam in ii. cap. literæ A. cap. viii. Syn. ii. ex quo clarius diſces, quos rebaptizare, & quos ſacro duntaxat unguento inungere oporteat.

Canon autem xlviii. Syn. Laodic. illuminatos ſupercœleſti Chriſmate inungere jubet; id enim per preces & Spiritus ſancti invocationem ſanctificatum, eos qui inunguntur ſanctificat, & regni cœleſtis Chriſti participes facit; niſi vitæ impœnitentia, & operum malitia nos ab eo alienos reddat.

Dicunt autem nonnulli ſacrum chriſma unguentum referre à meretrice ad pedes Jeſu effuſum: quippe quod utrumque ſepulturam & reſurrectionem denotet.

Canon autem xxxi. & lix. Syn. vi. nec non xii. Syn. quæ dicitur prima & ſecunda, Sacerdotem qui in

A

ΑΡΧΗ ΤΟΥ Β. ΣΤΟΙΧΕΙΟΥ

ΚΕΦ. α'.

Περὶ τοῦ ἁγίου Βαπτίσματος.

ΑΛΛΑ γὰρ ἐπὶ τὸ ἑξῆς ἤδη μετιόντες στοιχεῖον, τὰ περὶ τοῦ θείου βαπτίσματος, πάρεργον οἶμαι διεξιέναι.

Ὁ μζ'. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν μὲν τοῦ ἀληθινοῦ B ἠξιωμένον βαπτίσματος, ὡς τὸ τοῦ κυρίου ἐπίταγμα, καὶ ἡ τῶν ἀποστόλων ἔχει παράδοσις, μὴ ἀναβαπτίζειν κελεύει. τὸν δέ γε δυσσεβῶς πρὸς τῶν ἀσεβῶν μολυνθέντα μᾶλλον ἢ βαπτισθέντα, μηδὲν ἐνδοιάζοντας ἀναβαπτίζειν. εἰ δὲ τὸ μὲν ἀληθινὸν ἤδη βαπτισάμενος ἔτυχεν, πρὸς δὲ τῶν ἀσεβῶν μεμόλυνται ὕστερον, μύρῳ χρίεσθαι μόνῳ· καὶ τοῦτο γὰρ μέρος εἶναι πιστεύεται τοῦ θείου βαπτίσματος. τοῦ δὲ μὴ οὕτω ποιοῦντος, εἴτ' οὖν ἐπισκόπου, εἴτε πρεσβυτέρου, τελείαν καταψηφίζεται τὴν καθαίρεσιν, ὡς ἐγγελῶντος τῷ σταυρῷ τοῦ κυρίου, καὶ τὸν σωτήριον αὐτοῦ διακωμῳδοῦντος θάνατον. φησὶ γὰρ ὁ θεῖος ἀπόστολος, ἑκουσίως ἁμαρτανόντων ἡμῶν μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται C θυσία, ἤτοι διὰ βαπτίσματος κάθαρσις· εἷς γὰρ ὁ τοῦ Χριστοῦ θάνατος, καὶ ἓν τὸ καθαρτήριον βάπτισμα. τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ συνόδου ν'. διατάττεται.

Ὁ δὲ μθ'. αὖθις τῶν ἁγίων ἀποστόλων, εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα βαπτίζειν, κατὰ τὸ τοῦ Κυρίου παρεγγυᾶται λόγιον, ἀλλὰ μὴ εἰς τρεῖς ἀνάρχους ἢ τρεῖς υἱοὺς ἢ τρεῖς παρακλήτους. εἷς γὰρ ὁ ἄναρχος πατὴρ διὰ τὸ ἀναίτιον, καὶ εἷς υἱὸς διὰ τὴν ἄρρητον γέννησιν, καὶ εἷς ὁ παράκλητος πνεῦμα τὸ ἅγιον, διὰ τὴν ἐκ τοῦ ἀγεννήτου ἐκπόρευσιν· οἱ δὲ μὴ οὕτω ποιοῦντες ἐπίσκοποι ἢ πρεσβύτεροι ἐπιτιμίαν ὑφίστανται τὴν D καθαίρεσιν.

Ὁ δὲ γοῦν ν'. τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελεῖν, τρεῖς δηλαδὴ καταδύσεις ἐν ἑνὶ βαπτίσματι, καὶ ἑκάστῃ τῶν καταδύσεων, ἓν ὄνομα τῆς ἁγίας ἐπιλέγειν τριάδος· ἀλλὰ μὴ ἓν βάπτισμα εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον, τουτέστιν ἅπαξ καταδύειν τὸν βαπτιζόμενον, καὶ εἰς μίαν κατάδυσιν τὸν τοῦ κυρίου ἐπιφημίζειν θάνατον, ὡς ἡ παραπληξίας γέμουσα τῶν Εὐνομιανῶν αἵρεσις ὑποτίθεται· οὗ καὶ ὁ ζ'. τῆς β'. συνόδου κανὼν μέμνηται. οὐ γὰρ εἶπεν ὁ κύριος, εἰς τὸν θάνατόν μου βαπτίσατε, ἀλλὰ πορευθέντες E μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. τὸν δὲ μὴ οὕτω δρῶντα ἐπίσκοπον ἢ πρεσβύτερον, τῇ ἀφαιρέσει ζημιοῖ τῆς ἱερωσύνης. Ζήτει καὶ ἐν τῷ β'. κεφ. τοῦ Α'. στοιχείου. τὸν ζ'. κανόνα τῆς β'. συνόδου. ἀφ' οὗ δὴ καὶ εἴσῃ σαφῶς τίνας δεῖ ἀναβαπτίζειν, καὶ τίνας μόνον χρίειν τῷ θείῳ μύρῳ.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ μη'. καὶ τῷ ἐπουρανίῳ χρίεσθαι μύρῳ τοὺς φωτιζομένους θεσπίζει· τοῦτο γὰρ ταῖς εὐχαῖς καὶ τῇ ἐπικλήσει τοῦ ἁγίου πνεύματος ἁγιαζόμενον τοὺς χριομένους F ἁγιάζει, καὶ μετόχους τῆς ἐπουρανίου τοῦ Χριστοῦ βασιλείας καθίστησιν, εἰ μὴ τὸ τοῦ βίου ἠμελημένον, καὶ ἡ τῶν ἔργων φαυλότης ἡμᾶς ταύτης ἀλλοτριώσειεν.

Τύπον δέ τινες φέρειν φασὶ τὸ ἅγιον μύρον, τοῦ παρὰ τῆς πόρνης ἐπιχεθέντος τῷ Ἰησοῦ μύρου, δήλωσις γὰρ ἦν κἀκεῖνο καὶ τοῦτο, ταφῆς καὶ ἀναστάσεως.

Ὁ δὲ λα'. τῆς ς'. συνόδου, ἔτι δὲ καὶ ὁ νθ'. ἀλλὰ καὶ ὁ τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου ιβ'. μία καθαιροῦσι

ψήφῳ

A ψήφῳ τῆς παρὰ γνώμην τοῦ ἐγχωρίου ἐπισκόπου βαπτίζοντα ἱερέα ἐν εὐκτηρίῳ ἔνδον οἰκίας τυγχάνοντι.

Ο δὲ οη΄. αὖθις τῆς ϛ΄. συνόδου, καὶ ὁ τῆς ἐν Λαοδικείᾳ μϛ΄. τὸν πρὸς τὸ σωτήριον ἑτοιμαζόμενον βάπτισμα, τὸ τῆς πίστεως πρότερον ἐκμανθάνειν μυστήριον ἐπισκήπτουσι, καὶ τῇ ε΄. ἡμέρᾳ τῆς ἑβδομάδος ἑκάστης, τῷ ἐπισκόπῳ, ἢ τῷ πρὸς αὐτοῦ ἐπιτετραμμένῳ κατηχεῖν αὐτὸν πρεσβυτέρῳ, ἐπαγγέλλειν ἃ μεμαθήκοι τῆς ἑβδομάδος· ἵνα μὴ βαπτισάμενος, καὶ τῇ μυήσει τοῦ καθ' ἡμᾶς μυστηρίου ἀσφαλῶς ἱδρυμένος μὴ εὑρεθεὶς, αἱρετικοῖς λόγοις καὶ νόθοις ὑποσυρῇ.

B

Ο δὲ τῆς αὐτῆς ἐν Λαοδικείᾳ με΄. τὸν μὴ κατὰ πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν διὰ νηστείας καὶ λοιπῆς ἀσκήσεως περικαθαρθέντα, οὐκ ἐφίησι κατὰ τὸ μέγα βαπτίζεσθαι σάββατον· νόμος γὰρ ἦν τῇ ἐκκλησίᾳ ἐν τούτῳ πλείους τῶν κατηχουμένων βαπτίζειν· διότι τὸ βάπτισμα τὴν ταφὴν ζωγραφεῖ καὶ τὴν ἀνάστασιν τοῦ κυρίου· κἀκεῖνο τὸ σάββατον, μεθόριόν ἐστι τῆς ταφῆς καὶ τῆς ἀναστάσεως. ὅσοι γάρ φησιν ὁ ἀπόστολος ἐβαπτίσθημεν, εἰς τὸν θάνατον τοῦ κυρίου ἐβαπτίσθημεν· καὶ αἱ τρεῖς γὰρ καταδύσεις τὴν τριήμερον αὐτοῦ ταφὴν καὶ ἀνάστασιν ὑπεμφαίνουσιν.

C

Εἰ δέ τις νοσήσας, ὁ μζ΄. φησὶ, καὶ ἐν ἐσχάτῳ κινδύνου γενόμενος, τοῦ θείου ἀξιωθείη βαπτίσματος, πρὶν διὰ τῆς εὐσεβείας κατηχηθῆναι, ῥαΐσας τῆς νόσου μανθανέτω τῆς πίστεως τὸ μυστήριον, καὶ ὅπως χάριτι καὶ δωρεᾷ μηδὲν προσενεγκάμενος, τῆς τῶν ἁμαρτημάτων ἐνοχῆς ἀφεθείη, ἐπιγνώσεώς τε ἀξιωθείη τοῦ ἀληθινοῦ θεοῦ διὰ τοῦ βαπτίσματος.

Ο δὲ τῆς ἐν Νεοκαισαρείᾳ ιβ΄. τὸν διὰ νόσον βαπτισάμενον καὶ ἐξάντη ταύτης γενόμενον ἱερᾶσθαι οὐκ ἐπιτρέπει, οἷα μὴ προαιρέσει τὸ ἀγαθὸν ἀλλ' ὑπ' ἀνάγκης ἴσως ἑλόμενον, τὸν
D φιλήδονον βίον μεταδιώκοντα πρότερον καὶ φιλόσαρκον. εἰ μήπου διὰ τὴν εἰσέπειτα περὶ τὴν πίστιν σπουδὴν, καὶ τὴν τῶν ἀνθρώπων σπάνιν συγκατάβασις γένοιτο.

Ο δὲ τῆς ἐν Καρθαγένῃ μη΄. βαπτίζειν ἀπείρηκε τὸν νόσοις, ἢ ἑτέροις συμπτώμασι, τὸ ὑγιὲς ἀφῃρημένον τοῦ νοῦ· εἰ μὴ ῥαΐσας μικρὸν, τὴν ὑπὲρ τῆς πίστεως προαίρεσιν, καὶ τὸν προσήκοντα πόθον σημήνειε τῇ φωνῇ. εἰ δὲ πρὸ τῆς ἀσθενείας μαρτυρηθείη τὸ βάπτισμα ἐπιζητῶν, καὶ δι' αἰτίας τινὰς ὑπερτιθέμενος, ἀναμφιβόλως βαπτισθήσεται. ζήτει καὶ ἐν τῷ α΄. κεφ. τοῦ Α. στοιχείου, καν. ιβ΄. τῆς ἐν Ἀγκύ-
E ρᾳ συνόδου.

Ο δὲ ϛ΄. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τῶν γυναικῶν τὰς ἐγκύμονας οὐκ ἀπείργει βουλομένας βαπτισθῆναι. οὐ γὰρ κοινωνεῖ ταύταις τοῦ φωτίσματος τὸ ἔμβρυον, μήπω παρὰ τῆς φύσεως δεξάμενον τὴν τοῦ ἀγαθοῦ προαίρεσιν καὶ τοῦ χείρονος, οὐδὲ οἷόν τε ταῦτα περιεργάσασθαι, ὅπως ἔχουσι διαθέσεως. τὰ δέ γε νήπια διὰ τῶν ἀναδόχων κατατιθέμενα, καὶ ἔργοις αὐτοῖς φωτιζόμενα, τῆς θείας κοινωνοῦσιν ἐλλάμψεως.

F Ο δὲ ϛ΄. τοῦ Τιμοθέου Ἀλεξανδρείας ἡ κατηχουμένη γυνή φησιν, εἰ κατὰ τὴν ἡμέραν ἐν ᾗ βαπτισθῆναι προέθετο, τὰ κατ' ἔθος αὐτῇ συμβαίη, εἰς τὴν ἐπιοῦσαν ὑπερτιθέσθω τὸ φώτισμα.

Ο δὲ α΄. αὐτοῦ, εἰ παιδίον φησὶ, κατηχούμενον, ἢ καὶ ἀνὴρ τῆς ἱερᾶς τελουμένης θυσίας προσελθὼν, ἀπονήρως τῶν θείων μεταλήψεται δώρων, ἀγνοοῦντος τοῦ ἱερέως εἶναι τοῦτον κατηχούμενον, εὐθὺς βαπτιζέσθω, ὑπὸ γὰρ τοῦ κυρίου προσκέκληται.

Oratorio quod est intra domum, præter ſententiam iſtius regionis Epiſcopi, baptizaverit, communi ſuffragio deponunt.

Canon autem lxxviii. vi. Syn. & xlvi. Laodic. eum qui ad ſalutarem baptiſmum ſe comparat, fidei prius myſterium ediſcere jubet, & quinto uniuſcujuſque ſeptimanæ die, quæ ſingulis ſeptimanis didicerit, Epiſcopo, vel Presbytero, cui ejuſdem examinandi provincia ab Epiſcopo delegatur, recitare: ne poſtquam baptizatus, & in myſterii noſtri initiatione non firmitèr ſtabilitus inventus fuerit, ſpuriis hæreticorum verbis ſeducatur.

Canon autem xlv. ejuſdem Syn. Laodic. eum qui tota ſancta Quadrag. per jejunium cæteraque exercitia non luſtratur, in magno Sabbato baptizari non ſinit; (Lex enim erat in Eccleſia ut in eodem omnes ferè Catechumeni baptizarentur:) Baptiſmus enim ſepulturam & reſurrectionem Domini exactè refert; Sabbatumque illud medium eſt inter ſepulturam & reſurrectionem. *Quotquot enim*, inquit Apoſt. *baptizati fuimus, in mortem Chriſti baptizati fuimus*; Tres autem immerſiones, triduam ejus ſepulturam & reſurrectionem denotant.

Quod ſi quiſquam, inquit ejuſdem Syn. Can. xlvii. morbo laborans, & in extremo periculo conſtitutus, priuſquam in articulis religionis inſtructus fuerit, baptizetur, à morbo convaleſcens, fidei myſterium ediſcat, & quomodo nihil afferens, per meram gratiam à peccatorum reatu liberatus, & cognitione veri Dei dignus habitus fuerit.

Canon autem xii. Syn. Neocæſar. eum qui propter morbum baptizatus fuerit, & poſtea convaluerit, ad ordines provehi non ſinit; utpote qui bonum forſan non ex inſtituto ſed neceſſitate elegerit, cum prius vitam carnalem & voluptuariam tranſegiſſit; niſi propter ſequens in fide ſtudium, & hominum inopiam, id ei indultum fuerit.

Canon vero xlviii. Syn. Carthag. eum qui præ morbo aliove caſu ſanitate mentis privatus fuerit, baptizare prohibet, niſi parùm convaleſcens voluntatem ſuam circa fidem & debitum deſiderium voce ſignificet. Quod ſi eum, antequam ægrotaret, baptiſmum quæſiviſſe, eumque aliquas ob cauſas diſtuliſſe, teſtimonio probatum fuerit, abſque omni difficultate baptizabitur. Quære etiam in primo cap. literæ A. Canonem xii. Syn. Ancyranæ.

Canon autem xii. Syn. Neocæſar. mulieres prægnantes, quando voluerint, baptizari non prohibet. Embryon enim in baptiſmo cum iis nihil habet commune; quippe quod à natura boni & mali electionem non habeat, & impoſſibile ſit ut præſtet ea quæ in baptiſmo polliceri debet. Infantes autem per ſuſceptores ſuos deponentes, eorumque operibus illuminati, ſacroſancti baptiſmi participes fiunt.

Canon autem vi. Timothei Alexandrini, mulier inquit, catechumena, ſi eo die, in quo baptizari deſtinaverat, quod mulieribus ſolet ei accidat, baptiſmum in diem ſequentem differat.

Ejuſdem i. Canon, ſi puellus, inquit, catechumenus, vel vir, dum ſacra fit oblatio, adveniens, ſacrorum donorum particeps factus fuerit, Sacerdote neſciente, an baptizatus ſit, necne, ſtatim baptizetur; à Deo enim vocatur.

Viceſimus autem Magni Baſilii Canon, hæreticæ, inquit, mulieres, quæ nondum baptiſmo dignæ habitæ ſunt, ſed in ordine adhuc catechumenorum manent, ſi virginitatem profeſſæ ſeſe poſtea viris tradant, ut fidem fallentes non ſunt puniendæ; quæcunq; enim dicit lex, iis dicit qui ſub lege ſunt, baptizatæ autem delictorum omnium ante baptiſmum admiſſorum veniam conſequuntur, ſiquidem omnes qui credunt & baptizantur, pro peccatis baptiſmum præcedentibus nulli omnino pœnæ obnoxii ſunt. Hæc enim ſunt præcipua ſpiritualis regenerationis privilegia.

Quartus autem Theophili Alexandrini de quodam cum ſorore ſuâ polluto, Si, inquit, ante baptiſmum cum illâ coïit, & poſtea ab eâ abſtinuit, maneat Diaconus; ſacroſanctus enim baptiſmus priora ejus peccata expurgavit. Sin autem eam poſt baptiſmum etiam habuerit, è Clero ejiciatur: ei autem qui eundem ex ignorantiâ ordinavit, nihil exinde damni inferetur.

Quartus autem S. Cyrilli Canon, Si qui, inquit, Catechumeni exiſtentes ſegregationi ſubjiciantur, propter delicta pœnam ſubeuntes, & moribundi ſint, baptizentur, & gratiæ non participes è vivis ne excedant.

Secundus autem Timothei Alexandrini Canon, catechumenum Dæmone obſeſſum baptizari vetat, antequam ab impuro dæmone purgetur. Nefas enim eſt, ut qui ſe impuro dæmoni pro domicilio dat ſuâ ad malum propenſione, lucem etiam divini Spiritûs ſuſcipiat, à tenebroſo & malo ſpiritu non penitus liberatus. Eum autem moribundum baptizare jubet, ne vacuus è vita excedat, divinæ gratiæ viaticum ſecum non exportans.

Ejuſdem autem iv. Canon, Si vero Catechumenus, inquit, non à dæmone obſeſſus ſit, ſed præ morbo mente excidat, ita ut voce ſublata reſpondere non poſſit, quoniam prius voluntatem amplectendi fidem oſtenderat, ex inſtituto ſuo Catechumenis adnumeratus, abſque omni difficultate baptizabitur.

Canones autem Synodi Carthaginenſis cxii. & cxiii. eos anathemate feriunt, qui dicunt, quod Adam ab initio factus fuit mortalis, & moriturus eſſet, licet mandatum non tranſgreſſus foret; quodque mors per peccatum non ingrediebatur. Eccleſia enim eum nec mortalem nec immortalem à Deo factum eſſe credit, ſed medium inter magnitudinem & humilitatem, utriuſque ſcilicet capacem, uti præclarus Theologus dicit, vel naturæ rationalis magnitudinem, & ſenſitivæ humilitatem habentem; anima enim hominis à divina inſpiratione ſuum eſſe ſortita, corpore luteo excellentior evaſit. Donum autem liberi arbitrii accipiens, & malum pro bono amplectens, vitam pro morte commutavit. Quoniam ergo *per unum tranſgreſſorem peccatum* (ut inquit Apoſtolus) *in mundum intravit, & per peccatum mors, & ſic per omnes homines mors pervaſit:* nimirum ut hæreditas paterna ad poſteros deſcendit; *in quo* enim *omnes*, inquit, *peccaverunt*, neque Infantes à peccato Adami immunes ſunt, in quantum eorum conceptio in tranſgreſſione facta ſit: ex voluptate enim erat coitus & ſequens conceptio: & niſi lex matrimonio ſuppetias ferret, id etiam peccatum reputaretur, cum amor voluptatis & carnalis appetitus ad illud incitet, quantumvis liberorum procreationi inſerviat. Si igitur hominum procreatio cauſam habeat carnis concupiſcentiam, infantes recens nati à primi Parentis peccato non

A Ὁ δὲ κ'. τοῦ μεγάλου Βασιλείου, τὰς αἱρετικὰς γυναῖκας, καὶ μήπω τοῦ θείου ἠξιωμένας βαπτίσματος, ἀλλ' ἐν τῇ τῶν κατηχουμένων τάξει περιμενούσας εἰσέτι, εἰ παρθενίαν ὁμολογήσαιεν, εἶτα ἀνδράσιν ἑαυτὰς ἐκδοῖεν, μὴ καταδικάζεσθαι ὡς ψευσαμένας τὴν ὁμολογίαν· ὅσα γὰρ ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, βαπτισάμεναι γὰρ τῶν πρὸ τοῦ βαπτίσματος σφαλμάτων ἁπάντων συγχώρησιν ἔχουσιν, ἐπεὶ καὶ σύμπαντες οἱ πιστεύσαντες καὶ βαπτισάμενοι, οὐδ' ἡντιναοῦν ὑπέχουσι δίκην ἀνθ' ὧν πρὸ τοῦ βαπτίσματος ἥμαρτον. ταῦτα γὰρ τὰ πρεσβεῖα ἐξαίρετα τῆς πνευματικῆς ἀναγεννήσεως.

B Ὁ δὲ δ'. τοῦ Θεοφίλου Ἀλεξανδρείας περί τινος τῇ ἰδίᾳ συμφθαρέντος ἀδελφιδῇ, εἰ μὲν πρὸ τοῦ βαπτίσματος, φησι, ταύτῃ ἐμίγνυτο, καὶ μετὰ τοῦτο ταύτης ἀπέχετο, μενέτω διάκονος, τὸ γὰρ ἅγιον βάπτισμα τὰ πρῶτα αὐτοῦ ἐκάθηρεν ἁμαρτήματα· εἰ δὲ μετὰ τὸ βάπτισμα ἔχει ταύτην, ἐκβληθήτω τοῦ κλήρου· τῷ δὲ ἐξ ἀγνοίας αὐτὸν χειροτονήσαντι οὐδὲν βλάβος ἐκ τούτου γενήσεται.

Ὁ δὲ δ'. τοῦ ἁγίου Κυρίλλου κανών, ἐὰν χωρισμόν φησιν ὑπομείνωσί τινες τῶν κατηχουμένων, πταισμάτων ἕνεκεν C ἐπιτιμηθέντες, καὶ μέλλωσι τελευτᾶν, βαπτιζέσθωσαν, καὶ μὴ ἀμέτοχοι τῆς χάριτος τῶν ἀνθρωπίνων ἀποδημείτωσαν.

Ὁ δὲ β'. τοῦ Τιμοθέου Ἀλεξανδρείας κατηχούμενον δαιμονῶντα, πρὶν ἢ τοῦ ἀκαθάρτου δαίμονος καθαρθῆναι, κωλύει βαπτίζεσθαι. ἀθέμιτον γὰρ τὸν παρέχοντα ἑαυτὸν τῷ πονηρῷ δαίμονι εἰς ἐνοίκησιν τῇ πρὸς τὰ φαῦλα ῥοπῇ, καὶ τὸ φῶς τοῦ ἁγίου πνεύματος ὑποδέχεσθαι, μὴ τελέως ἀπαλλαγέντα τοῦ σκοτεινοῦ καὶ πονηροῦ πνεύματος. εἰ δὲ ἡ τελευτὴ τούτῳ ἐπισταίη, κελεύει βαπτίζεσθαι, ἵνα μὴ κενὸς ἐξέλθοι τοῦ βίου, ὃ ἐφόδιον μὴ τῆς θείας φέρων χάριτος.

D Ὁ δὲ δ'. εἰ δὲ μὴ ὑπὸ δαίμονος, φησίν, ὁ κατηχούμενος ἐνοχλεῖται, ἀλλ' ὑπὸ νόσου τῶν φρενῶν ἐξεκρούσθη, ὡς μηδὲ ἀποκρίνεσθαι οἷός τε εἶναι, ἀφῃρημένος καὶ τὴν φθογγήν· ἀλλ' ἐπεὶ φθάσας ἔδειξεν ἐκ προαιρέσεως τὴν πίστιν ἀσπάζεσθαι, ἑκὼν εἰς τοὺς κατηχουμένους καταλεγείς, ἀναμφιβόλως βαπτισθήσεται.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ριβ'. καὶ ριγ'. ἀνάθεμα καταψηφίσαντο τῶν λεγόντων ὅτι θνητὸς ἐξ ἀρχῆς ὁ Ἀδὰμ ἐπλάσθη, καὶ τεθνήξεσθαι ἤμελλε, κἂν εἰ μὴ παρέβη τὴν ἐντολήν, E καὶ οὐχὶ διὰ τὴν ἁμαρτίαν ὑπεισῆλθεν ὁ θάνατος. ἡ γὰρ ἐκκλησία, οὔτε θνητὸν αὐτὸν δοξάζει πλασθῆναι παρὰ θεοῦ, οὔτε ἀθάνατον, ἀλλὰ μέσον μεγέθους καὶ ταπεινότητος, δεκτικὸν δηλαδὴ τῶν αὐτῶν ἀμφοτέρων, ὡς ὁ τῆς θεολογίας ἐπώνυμος ἔφη, ἢ ὡς μετέχοντα καὶ τοῦ μεγέθους τῆς νοερᾶς φύσεως, καὶ τῆς ταπεινότητος τῆς αἰσθητῆς φύσεως, ψυχὴ γὰρ ἀνθρώπου διὰ τοῦ θείου ἐμφυσήματος ὃ εἶναι λαβοῦσα μεῖζον τοῦ πηλίνου τοῦδε καθέστηκε σώματος. δῶρον δὲ εἰληφὼς καὶ τὸ αὐτεξούσιον, καὶ τὰ τῆς κακίας ἀντὶ τῆς ἀρετῆς ἑλόμενος, τὸν θάνατον ἠλλάξατο τῆς ζωῆς. ἐπειδὴ τοίνυν δι' ἑνὸς τοῦ παραβεβηκότος ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, ὡς εἴρηκεν F ὁ ἀπόστολος, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ὥσπερ τις κλῆρος δηλαδὴ πατρῷος διαβὰς ἐπὶ τοὺς ἐγγόνους, ἐφ' ᾧ γὰρ πάντες φησὶν ἥμαρτον, οὐδὲ τὰ νήπια τῆς τοῦ Ἀδὰμ ἄρα ἁμαρτίας ἐλεύθερα, ὡς τῆς συλλήψεως αὐτῶν ἐν ἀνομίαις γινομένης· ἐξ ἡδονῆς γὰρ ἡ συνάφεια, καὶ ἡ ἑπομένη σύλληψις· καὶ εἰ μὴ ὁ νόμος ἐπεκούρει τῷ γάμῳ, ἁμαρτία ἂν ἐλογίζετο, φιληδονίας σαφῶς καὶ ὀρέξεως σαρκικῆς κινούσης εἰς αὐτόν, κἂν διὰ παιδοποιΐαν γίνηται. εἰ οὖν αἰτίαν ἔχει τῆς σαρκὸς τὴν ἐπιθυμίαν τῶν ἀνθρώπων ἡ γένεσις, οὐκ ἐλεύθερα καὶ τὰ

τὰ νεογνὰ τῆς προγονικῆς ἁμαρτίας, ἣν καθαρθῆναι δέον A τῷ θείῳ τῆς παλιγγενεσίας λουτρῷ. εἰ γὰρ καὶ ἀναισθήτως τῷ ἀτελεῖ τῆς φύσεως ἔχει τὰ νήπια, ἀλλὰ διὰ τὴν πίστιν τῶν προσαγόντων τὸν φωτισμὸν τοῦ πνεύματος δέχεται. καὶ τούτου τὰς πίστεις φθάσας ἐναργῶς παρέσχεν ὁ κύριος, ἡνίκα διὰ τὴν ἑτέρων πίστιν, ἑτέρους φρονεῖν ὑπὸ νοσημάτων ἀφῃρημένους, οὐ μόνον σωματικῆς, ἀλλ' ἤδη καὶ ψυχικῆς ἀῤῥωστίας μετὰ πολλοῦ τοῦ περιόντος ἀπήλλαττε. χρὴ τοίνυν καὶ ταῦτα εἰς ἄφεσιν βαπτίζειν ἁμαρτιῶν· τὸν δὲ μὴ οὕτω καὶ φρονοῦντα καὶ δρῶντα, ἀλλὰ πλαστὸν οἰόμενον καὶ οὐκ ἀληθῆ, τὸν εἰς ἄφεσιν ἁμαρτιῶν ἐπὶ τῶν νηπίων τοῦ βαπτίσματος τύπον, τοῦ ἀναθέματος ἀξιοῦσιν. B

Ο δὲ ριγʹ. ἡ διὰ τοῦ βαπτίσματός φησι, χορηγουμένη χάρις ἡμῖν, οὐ μόνον τῶν ἡμαρτημένων ἄφεσιν, ἀλλὰ καὶ δύναμιν ἐνίησιν εἰς τὸ μηκέτι ἁμαρτάνειν ἡμᾶς, εἰ μὴ διὰ ῥᾳθυμίαν ἑκόντες ὄντες, τὰ τῆς ἁμαρτίας ἀσπαζοίμεθα. τοὺς δὲ μὴ οὕτω ποιοῦντας, μᾶλλον δὲ φρονοῦντας, τῷ ἀναθέματι παραπέμπει.

Ο αὐτὸς, ἡ διὰ τοῦ βαπτίσματος χάρις, φησὶ, τὴν γνῶσιν ἡμῖν τῶν ἁμαρτημάτων ἀποκαλύπτουσα, βοήθειαν εἰς τὸ μὴ ἁμαρτάνειν παρέχει, τῷ γνῶναι τίνα δεῖ ἐπιζητεῖν, C καὶ τίνα παντὶ σθένει φεύγειν. οὐ μὴν ἀλλὰ καὶ δύναμιν παρέχει κρυπτῶς, ὥστε ἀγαπᾶν καὶ προθυμεῖσθαι πράττειν τὸ ποιητέον. ἑκάτερον γὰρ, ἥτε γνῶσις καὶ ἡ ἀγάπη, δῶρον θεοῦ. τὸν δὲ μὴ οὕτω δόξης ἔχοντα, ἀλλὰ τὸ εἰδέναι τί δεῖ ποιεῖν μόνον τὴν χάριν ἡμῖν διδόναι οἰόμενον, οὐ μὴν καὶ τὸ ἀγαπᾶν ὃ δεῖ ποιεῖν, τοῖς κληρονόμοις συντάττει τοῦ ἀναθέματος. διότι ἡ γνῶσις μόνη φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

Ο δὲ ριδʹ. τοῖς λέγουσι δύνασθαι ἡμᾶς καὶ δίχα τῆς διὰ τοῦ βαπτίσματος χάριτος, τὰς ἐντολὰς πράττειν μὲν, δυσχερέστερον δὲ, αὕτη γὰρ εὐχέρειαν μόνην εἰς τὸ ταύτας D ἀνύττειν δίδωσι, τοῦ ἀναθέματος τιμᾶται σαφῶς. τὸ πᾶν γάρ ἐστι τῆς θείας χάριτος, κἀκείνης ἄνευ, οὐδὲν τῶν δεόντων κατορθῶσαι δυνάμεθα. οὐ γὰρ εἶπεν κύριος, φησὶ, χωρὶς ἐμοῦ εὐχερῶς οὐ δύνασθε ποιεῖν· ἀλλὰ χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

Ο δὲ ταύτης ιηʹ. κανὼν, τοὺς ἤδη τελευτηκότας, οὔτε βαπτίζειν, οὔτε τῶν θείων κελεύει μεταδιδόναι μυστηρίων. μὴ συνιέντες γάρ τινες τῶν ἀποστολικῶν ῥημάτων τὴν δύναμιν, ἐν τῇ πρὸς Κορινθίους γράφοντος πρώτῃ, ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ οἱ νεκροὶ οὐκ ἐγείρονται, E τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; οἱ μὲν, τοὺς νεκροὺς αὐτῶν ἐβάπτιζον, οἱ δὲ, ἄλλους ὑπὲρ τῶν νεκρῶν ζῶντας· ἀλλ' ὁ κανὼν τοῦτο κωλύει γίνεσθαι. οὐ γὰρ τοὺς ἤδη τεθνηκότας ὁ ἀπόστολος κελεύει βαπτίζειν, ἢ ἀντ' ἐκείνων ἄλλους· ἀλλ' ἐπεὶ οἱ βαπτιζόμενοι μανθάνοντες τοῦ καθ' ἡμᾶς μυστηρίου τὴν δύναμιν, μετὰ τῶν ἄλλων καὶ ἀνάστασιν νεκρῶν ἤτοι σωμάτων ἐλπίζειν διδάσκονται, καὶ τὴν ἐν τῇ κολυμβήθρᾳ κατάδυσιν καὶ ἀνάδυσιν τὸν θάνατον ὑπεμφαίνειν καὶ τὴν ἀνάστασιν, πρὸς τοὺς περὶ ταύτην ἀναμφιβόλως ἔχοντας, φησὶν ὁ ἀπόστολος, ὅτι εἰ μὴ ἀνάστασίς ἐστι, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ἐπ' ἐλπίδι τοῦ ἀναστῆναι τοὺς F νεκρούς; ματαιοποιοῦντες λοιπὸν, εἴτε περὶ τῆς ἀναστάσεως ἀμφιβάλλουσιν· οἷς μὲν γὰρ πράττουσιν ὁμολογοῦσι προσδοκᾶν τὴν ἀνάστασιν, οἷς νῦν λέγουσιν ἀρνοῦνται αὐτήν, βαπτίζονται γὰρ ὑπὲρ τῶν νεκρῶν τῇ φύσει σωμάτων, εἰς ἀφθαρσίαν καὶ αὐτὰ μεταστοιχειωθῆναι πιστεύοντες. ἐπείτοι γε ἡ ψυχὴ ἀθάνατος φύσει πέφυκε καὶ ἀτελεύτητος, ταῦτα δὲ φθορᾷ καὶ ἀλλοιώσει ὑπόκειται. διὰ γὰρ τοῦτο, ἅπερ τις διὰ ῥημάτων ὁμολογεῖ πιστεύειν, διὰ τῶν πραγμάτων δείκνυσιν ὁ ἱερεὺς, εἰκονίζων ἐν τῷ ὕδατι τὴν ἀλήθειαν.

ſunt immunes, utique quod divino regenerationis lavacro purgari debet. Quamvis enim, infantes propter naturæ imperfectionem ſenſum non habent, per fidem tamen ſuſceptorum illuminationem ſpiritus accipiunt. Hujus etiam rei Chriſtus apertè argumenta præbuit, quando per aliorum fidem, alios, qui præ morbo mentis expotes facti erant, non ſolum ab infirmitate corporali verum etiam à ſpirituali ex abundanti liberavit. Infantes igitur ad remiſſionem peccatorū baptizare oportet. Eum autem qui ſecus crediderit & fecerit, formamque baptiſmi in remiſſionem peccatorum fictam & non veram in infantibus exiſtimaverit, *Canones* anathemate feriunt.

Canon autem cxiii. gratia, inquit, quæ nobis per baptiſmum ſuppeditatur, non ſolum peccatorum remiſſionem largitur, ſed & poteſtatem ne ampliùs peccemus, niſi propter ſocordiam voluntariè peccata amplectamur. Eos autem qui non ita faciunt, & potiſſimum qui ſecus ſentiunt, anathemate ferit.

Idem Canon, Gratia, inquit, per baptiſmum, peccatorum cognitionem manifeſtans, auxilium præbet, ut non amplius peccetur, & ut cognoſcatur quænam quærere & quænam omnibus viribus fugere oporteat; quin & potentiam ſecretò largitur, ut amemus, & id quod faciendum eſt præſtare in animo habeamus. Eum autem qui non ita credit, ſed ſentit, gratiam ſolùm dare ut ſciamus quid faciendum ſit, non autem amare id quod facere oportet, inter anathematis hæredes conſtituit: quoniam ſcientia ſola inflat, charitas autem ædificat.

Canon autem cxiv. eos qui dicunt, poſſe nos abſque gratiâ per baptiſmum datâ mandata perficere, difficiliùs vero; quippe quod ea duntaxat mandatorum executionem facilitet, anathemate puniunt, omnia enim à divina gratia derivantur, & ſine illa, nihil ex iis quæ agere oportet, præſtare poſſumus. Non enim dixit Dominus, ſine me nihil facilè perficere poteſtis, ſed ſine me nihil omnino poteſtis facere.

Ejuſdem autem Syn. Canon xviii. eos qui jam mortui ſunt, nec baptizare, nec divina iis myſteria communicare jubet. Quidam enim verborum Apoſtolicorum vim, in prima ad Corinthios Epiſtola, *Nam quid facient qui baptizantur pro mortuis, ſi omnino mortui non reſurgunt, quid etiam baptizantur pro mortuis?* non intelligentes, mortuos ſuos, alii autem alios vivos pro mortuis baptizabant. Verum non jubet Apoſtolus eos, qui mortui ſunt, baptizare, vel alios pro iis; ſed quia qui baptizantur vim myſterii noſtri addiſcentes, inter alia mortuorum quoque ſeu corporum reſurrectionem ſperare docentur, quodque in lavacro demerſio & emerſio mortem & reſurrectionem denotent, iis qui de reſurrectione dubitant, dicit Apoſtolus, ſi non eſt reſurrectio, quid facient qui ſub hac ſpe, quod mortui reſurgent, baptizantur? deinceps fruſtra laborant, ſi de reſurrectione dubitant; per ea enim quæ faciunt, ſe reſurrectionem expectare fatentur, & per ea quæ jam dicunt eandem denegant. Baptizantur enim pro corporibus natura mortuis, eadem in incorruptibilitatem tranſmutari credentes; quoniam anima natura immortalis eſt & ſine fine, corpora autem corruptioni & mutationi obnoxia ſunt. Et propterea quæ quiſquam ſe credere voce confitetur, Sacerdos re oſtendit; in Aqua veritatem repræſentans.

A

CAPUT II.

De Infantibus de quibus dubitatur, utrum baptizati fuerint, necne.

CANON lxxxiv. Syn. vi. nec non lxxv. Synodi Carthaginensis, Infantes de quibus dubitatur, utrum sacrosanctum baptismum assequuti fuerint, necne; B utpote nec ipsis propter ætatem illud scientibus, nec aliis de eâ re firmum testimonium ferentibus, absque omni controversiâ rebaptizare jubet. Licet enim unum baptismum confiteri divino Symbolo edocti sumus, tamen quia dixit Dominus, nisi quis ex aqua & Spiritu renatus fuerit, non potest intrare in regnum cœlorum, cavendum ne infantes divinâ illuminatione privati, vestique nuptiis cœlestibus apta non induti, à thalamo simul & à regno excludantur. Oportet enim ut in dubiis dubium per certa vincatur.

ΚΕΦ. β΄.

Περὶ τῶν ἀμφιβαλλομένων νηπίων εἰ ἐβαπτίσθησαν.

Ὁ πδ΄. τῆς ἕκτης συνόδου, ἔτι δὲ καὶ ὁ οε΄. τῆς ἐν Καρθαγένῃ, τὰ ἀμφιβαλλόμενα νήπια, εἰ τοῦ θείου τετυχήκει βαπτίσματος, μήτ' αὐτὰ εἰδότα, τῆς ἡλικίας προσισταμένης, μήτ' ἄλλων ἀσφαλῶς ἐπιμαρτυρούντων, χωρὶς ἐπιδιασμοῦ βαπτίζειν προστάττουσιν. εἰ γὰρ καὶ ἓν ὁμολογοῦν βάπτισμα ὑπὸ τοῦ θείου συμβόλου δεδιδάγμεθα, ἀλλ' ἐπειδὴ ὁ κύριος ἔφη, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εὐλαβητέον μὴ τῇ στερήσει τοῦ θείου φωτίσματος, τὸ πρέπον τῷ πνευματικῷ γάμῳ μὴ περικείμενα ἔνδυμα, τοῦ νυμφῶνος ἅμα, καὶ τῆς βασιλείας ἀποῤῥιφῇ. δέον γὰρ ἐν τοῖς ἀμφιβόλοις νικᾷν δι' ἀμφιβόλοις τὸ ἀμφίβολον.

C

CAPUT III.

De infantibus Agarenorum baptizatis; & de baptizatis ab iis qui non ordinantur.

VIDERE est in profundissimis impietatis Agarenorum tenebris lucem gratiæ pollentem, & ab ea non absconditam, aut extinctam; quoniam nec infidelibus signa, eos ad divinam cognitionem perducentia, invidit. Moris igitur est, apud plerosque Agarenorum, D ut infantes suos non priùs circuncidant, quàm Christiani Sacerdotes, qui iis tributarii sunt, etiam inviti eos baptizare cogantur. De hac igitur re controversum erat in Synodo Trullana, sancto Luca thronum Patriarchalem tenente, utrum nimirum eos ad veram Christianorum fidem accedentes rebaptizare, vel unguento duntaxat inungere oporteat; & decretum erat eos sine controversia rebaptizandos esse; baptismo enim quo loti erant, non ex pio instituto, sed ut veneficio & incantamento usi sunt, ne circumcisis temperamentum corporis morbosum & malè E olens evaderet.

ΚΕΦ. γ΄.

Περὶ τῶν βαπτιζομένων νηπίων τῶν Αγαρηνῶν καὶ περὶ τῶν βαπτισαμένων παρὰ ἀνιέρων.

ΙΔΕΙΝ ἐστι κἂν τῷ βαθεῖ σκότῳ τῆς τῶν Αγαρηνῶν δυσσεβείας, τὸ φῶς ἐνδυναστεῦον τῆς χάριτος, καὶ ὑπὸ ταύτης μὴ καταλαμβανόμενον ἢ σβεννύμενον, ἐπεὶ τῶν σημείων οὐδὲ τοῖς ἀπίστοις ἐφθόνησεν, ἐνάγουσα τούτους πρὸς τὴν θείαν ἐπίγνωσιν. ἔθος γοῦν ἐστι τῶν Αγαρηνῶν τοῖς πλείστοις, μὴ πρότερον τὰ σφέτερα περιτέμνειν βρέφη, πρὶν ἂν οἱ ὑποτελεῖς ὄντες αὐτοῖς τῶν χριστιανῶν ἱερεῖς, καὶ ἄκοντες ἀναγκασθῶσι ταῦτα βαπτίσαι. ἐζητήθη τοίνυν τὰ περὶ τούτου ἐν τῇ κατὰ τὴν βασιλεύουσαν συνόδῳ, Λουκᾶ τοῦ ἱεροῦ τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, εἰ δεῖ τοὺς τοιούτους τῇ ἀληθινῇ τῶν χριστιανῶν πίστει προσερχομένους, ἀναβαπτίζειν ἢ μόνον χρίειν τῷ μύρῳ. καὶ ἐψηφίσθη, τούτους ἀναντιῤῥήτως αὖθις βαπτίζειν, ὥσπερ γὰρ ἐλούσαντο βάπτισμα, οὐ κατὰ σκοπὸν εὐσεβῆ, ἀλλ' ὡς φαρμακείᾳ ἢ ἐπαοιδίᾳ τινὶ τούτῳ ἐχρήσαντο· ἐφ' ᾧ μὴ νοσώδης ἢ δυσώδης ἡ κρᾶσις τῶν σωμάτων τοῖς περιτμηθησομένοις γενήσεται.

Id etiam quæsitum erat à Manuele Heracleæ Sacerdote, an eum qui à non ordinato sed ordinari simulante baptizatus erat, ut fidelem suscipere oporteat: (hoc etiam tunc temporis in ejus provincia accidebat,) & decrevit Synodus, eos etiam rebaptizandos esse. Quoniam, inquit, secundùm Canones Apost. xlvi. & & xlvii. solis Episcopis & Sacerdotibus sacrosancti baptismi administratio concessa erat. Quin & hoc clarum est ex Canonibus xxvi. & xlvi. Synodi Laodicenæ, altero quidem jubente eos non adjurare qui ab F Episcopi promoti non sunt, altero autem illuminandos fidem Episcopis & Presbyteris recitare. Porro prædicti Canones vi. Synodi, & Synodi Carthaginensis, eos de quibus dubitatur an baptizati fuerint, necne, absque aliqua difficultate baptizare jubet. Non enim fas nec tutum erat, ut baptizatus ab aliquo qui baptizandi, & per baptismum peccatorum remissionem elargiendi potentiam non acceperit, (etenim baptismus peccatorum sordes eluit) divino fidelium choro contradiceret. Periculũ enim non parvũ est, ne propter hujusmodi dubitationem

Εζητήθη καὶ τοῦτο, τοῦ Ηρακλείας ἱερωμένου Μανουὴλ, εἰ χρὴ δέχεσθαι ὡς πιστὸν, ὃν ἀνίερος ἐβάπτισε, τὸ ἱερᾶσθαι πλασάμενος· τοῦτο γὰρ ἐπὶ τῆς ἐνορίας αὐτοῦ τηνικαῦτα συνέβη. καὶ ἐψηφίσατο ἡ σύνοδος, καὶ τούτους ἀναβαπτίζεσθαι· ἐπεὶ γάρ φησι κατὰ τοὺς τῶν ἀποστόλων κανόνας, τὸν μϛ΄. καὶ μζ΄. μόνοις ἐπισκόποις ἐδόθη καὶ ἱερεῦσιν ἡ τοῦ ἁγίου βαπτίσματος τελετή. δείκνυται δὲ τοῦτο καὶ ἐκ τοῦ κϛ΄. καὶ μϛ΄. τῆς ἐν Λαοδικείᾳ συνόδου, τοῦ μὲν μὴ ἐφορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων κελεύοντος, τοῦ δὲ, τοὺς φωτιζομένους τὴν πίστιν ἀπαγγέλλειν τοῖς ἐπισκόποις ἢ πρεσβυτέροις· οὐ μὴν ἀλλὰ καὶ οἱ ῥηθέντες τῆς ϛ΄. συνόδου καὶ τῆς ἐν Καρθαγένῃ, τοὺς ἀμφιβόλως ἔχοντας εἰ ἐβαπτίσαντο, ἀμελητὶ βαπτίζειν προστάττουσιν. οὐ μὴν ἦν ὅσιον οὐδὲ ἀσφαλὲς τὸν βαπτισθέντα παρὰ τοῦ μὴ λαβόντος ἐξουσίαν βαπτίζειν καὶ διὰ τοῦ βαπτίσματος ἄφεσιν διδόναι ἁμαρτημάτων, (ῥυπτικὸν γὰρ τούτων τὸ βάπτισμα) τῷ θείῳ τῶν πιστῶν ἀντιλέγειν χορῷ. οὐ μικρὸς γὰρ ὁ κίνδυνος, μήποτε παρὰ τὸν τοιοῦτον δισταγμὸν, αὐτὸς μὲν τῆς τοῦ ἁγίου βαπτί-

βαπτίσματος καθάρσεως στερηθῇ, ἡμεῖς δὲ ἀβαπτίστῳ λανθανόμενοι κοινωνοῦντες. εἰ δέ τις ἐνίστατο λέγων διὰ τὰς γινομένας παρὰ τοῦ λαϊκοῦ εὐχὰς, καὶ τὴν χρῖσιν τοῦ ἁγίου μύρου, ἀληθῶς χρῆναι τὸ παρὰ τοῦ ἀνιέρου διδόμενον λογίζεσθαι βάπτισμα· οὗτος ἂν φήσαι καὶ τοὺς χειροτονηθέντας παρά τινος ἀνιέρου καὶ τὸν ἐπίσκοπον ὑποκρινομένου, δεῖν εἶναι κληρικοὺς, καὶ μετὰ τὸ φωραθῆναι· ὅπερ ἄτοπον, ἀλλὰ καὶ ὑπεναντίον τῷ δ'. κανόνι τῆς β'. συνόδου, τῷ περὶ Μαξίμου τοῦ κυνικοῦ διατατομένῳ, μήτε αὐτὸν γενέσθαι ἢ εἶναι ἐπίσκοπον, καὶ τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας μηδὲν πλέον ἐντεῦθεν ἀπόνασθαι, πάντων ἀκυρωθέντων ὧν ἀθέσμως ἐκεῖνος ἔδρασεν· ἔτι μὴν καὶ τῷ ιη'. τῆς ἐν Σαρδικῇ, τοὺς παρὰ Μουσαίου καὶ Εὐτυχιανοῦ ἀνιέρων ὄντων χειροτονηθέντας, τοῦ κλήρου τελέως ἐκβάλλοντι, καὶ εἰς τὴν τῶν λαϊκῶν κατάγοντι χώραν. ὥσπερ οὖν ἐκεῖνοι ἀχειροτόνητοι, οὕτως καὶ οὗτοι ἀβάπτιστοι λογισθήσονται. καὶ ὥσπερ οἱ τῶν Ἀγαρηνῶν βαπτιζόμενοι παῖδες τῷ μὴ δυσωδίας ἀπόζειν, χριστιανοὶ οὐ λογίζονται, οὕτως οὐδὲ οἱ μύρῳ χριόμενοι παρὰ τῶν ἀνιέρων· ὅτι μὴ δέδοται τοῖς τοιούτοις ἁγιασμοῦ τινος ὅλως μεταδιδόναι. εἰ δέ τις ἀνθυποφέρει τὸ παρὰ τοῦ μεγάλου Ἀθανασίου ἔτι παιδὸς ὄντος γεγονὸς, ἐνθυμηθήτω τὸν θεσπίζοντα πολιτικὸν νόμον, ὅτι τὸ παρὰ κανόνας οὐχ ἕλκεται εἰς ὑπόδειγμα. καὶ οὐ νόμος ἐκκλησίας τὸ σπάνιον.

A luſtratione divini baptiſmi privaretur, & nos cum non baptizato tacite communicemus. Si quis autem ulterius dicat, quod propter preces à Laico habitas, & propter ſancti unguenti Chriſma, baptiſmus à non ordinato datus verus baptiſmus reputari debeat, pari-ratione dicere poteſt, quod ii qui à non ordinato, ſeipſum autem Epiſcopum eſſe ſimulante, ordinantur, Clerici eſſe debent, poſtquam res detecta fuerit: quod eſt abſurdum, & Canoni iv. Syn. ii. contrarium; qui quidem de Maximo Cynico decernit, eum nec fieri nec eſſe Epiſcopum; eoſque qui ab eo ordinabantur, nihil inde juvari, omnibus quæ ipſe fecerat, irritis factis. Utique & xviii. B Canoni Syn. Sardic. *contrariatur*, omnes à Muſæo & Eutychiano non ordinatis ordinatos à Clero prorſus expellenti, & in locum Laicorum deducenti; ſicut enim illi non ordinati, ita & hi non baptizati habebuntur. Et quemadmodum Agarenorum infantes baptizati ut non malè olerent, Chriſtiani non judicantur, ita neque ii, qui à non ordinatis Chriſmate inunguntur; quia talibus non eſt indultum aliquam omnino ſanctificationem participare. Quod ſi quiſquam in contrarium adducat, quod à magno Athanaſio, cum puer adhuc eſſet, factum erat, attendat ad Legem civilem ſtatuentem, quod aliquid præter Canones factum non trahitur in exemplum. Et lex Eccleſiæ non eſt quod C rarò fit.

ΚΕΦ. δ'.

Περὶ τῶν βαπτιζομένων ἐξ Ἰουδαίων.

ΠΕΡΙ δέ γε τῶν σκληροτραχήλων καὶ ἀπεριτμήτων τῇ καρδίᾳ γένους τῶν Ἰουδαίων, οὕτως ὁ τῆς ζ'. συνόδου ὄγδοος γινώσκει κανών. εἰ γάρ τις αὐτῶν, φησιν, ἐξ εἰλικρινοῦς καρδίας τὰ χριστιανῶν ἕλοιτο, καὶ ἡμῖν ἐξ ὅλης καρδίας ὁμολογήσειε, θριαμβεύων ὅσα πράττειν τὸ τῶν ἑβραίων εἰώθασι γένος, ἐφ' ᾧ καὶ ἑτέρους ἐλεγχθῆναι καὶ διορθωθῆναι, οὗτος καὶ προσδεχθήτω, καὶ τοῦ θείου ἀξιωθήτω βαπτίσματος· πρὸς δὲ καὶ οἱ αὐτοῦ παῖδες· καὶ ἀσφαλιζέσθω τῶν Ἰουδαϊκῶν ἐπιτηδευμάτων ἀποδιΐστασθαι. εἰ δὲ μὴ οὕτω φρονοίη, μηδὲ δι' αὐτὸ τὸ καλὸν τὸν χριστιανισμὸν αἱροῖτο, ἀλλ' ἢ τινὰς βουλόμενος ἐκφυγεῖν ἐπηρείας, ἢ δόξης ἐπικήρου καὶ ἀνθρωπίνης εὐδαιμονίας ἁλοὺς ἔρωτι τῇ πίστει σκήπτοιτο προσιέναι, τόν γε δὴ τοιοῦτον βαπτίζειν οὐκ ἐπιτρέπει. εἰ δὲ καὶ οὕτω γνώμης ἔχοντες ἔλαθόν τινες βαπτισάμενοι, καὶ ὑποκρίνονται μὲν τὰ χριστιανῶν, κρύφα δὲ τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ παρατηρήσεως φωραθεῖεν ἐχόμενοι, μήτε εἰς ἐκκλησίαν εἰσίτωσαν φησὶ, μήτε οἱασδήτινος ἀξιούσθωσαν κοινωνίας· μὴ δὲ οἱ παῖδες αὐτῶν τῷ θείῳ βαπτίσματι σημειούσθωσαν, μήτε δοῦλον παραχωρείσθωσαν κτᾶσθαι χριστιανόν· ἀλλὰ φανερῶς κατὰ τὴν τῶν Ἑβραίων θρησκείαν ἐπιτρεπέσθωσαν πολιτεύεσθαι.

CAPUT IV.

De iis qui ex Judæis baptizantur.

DE genere Iſraelitico collo præfracto & incircumciſo corde Can. viii. Syn. vii. ita decernit. Si quis, inquit, eorum ex puro corde religionem Chriſtianam amplexus ſit, & nobis ex toto corde confi- D teatur, iis quæ ab Hebræorum genere fieri ſolent inſultans, ut & alii convincantur, & corrigantur, talis ſuſcipiatur, & divino baptiſmo dignus habeatur, cum liberis ſuis; caveatque ſe ab Hebræorum ſtudiis deſciturum. Quod ſi ita non ſentiat, nec Chriſtianitatem ex bono inſtituto amplexus ſit, ſed ut damna aliqua effugiat, vel caducæ gloriæ & humanæ felicitatis amore captus ad fidem accedere ſimulet, talem *Canon* baptizari non permittit. Quod ſi aliqui ita ſentientes baptizati fuerint, & Chriſtianitatem ſimulantes, privatim ritus Judaicos & obſervationes colere deprehenſi fuerint, neque in Eccleſiam, inquit, ingredian- E tur, nec aliqua communione digni habeantur; nec liberi eorum ſacro baptiſmo ſignentur, neque ſervum Chriſtianum emere permittantur; ſed aperte juxta Hebræorum cultum ſint Judæi.

Νόμοι.

Ὁ δὲ νόμος φησὶν, Ἰουδαῖος τὸ θέλειν εἶναι χριστιανὸς προσποιούμενος, ὡς ἂν τὴν κατ' αὐτοῦ κατηγορίαν ἢ τὴν ἀπὸ χρέους ἀγωγὴν περιμένων, τῇ ἐκκλησίᾳ φύγῃ, εἰ μὴ ἀποδοίη τὰ χρέα, ἢ ἐλευθερωθείη τοῦ ἐγκλήματος, μὴ δεχέσθω.

Ἰουδαῖος χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, μήτε κατηχούμενον περιτεμνέτω.

Leges.

Lex autem dicit, Judæus qui ſe Chriſtianum eſſe velle præ ſe ferens, ut qui adverſus ſe accuſationem vel mutui actionem expectet, ad Eccleſiam confugiat, niſi debitum reddat, vel ſe à crimine abſolvat, ne ad- F mittatur.

Judæus Chriſtianum mancipium ne habeat, neque Catechumenum circumcidat.

ΚΕΦ. ε'.

Περὶ Βασιλέως.

ΒΑσιλεύς ἐστιν, ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις· μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, μήτε κατὰ ἀντιπάθειαν τιμωρῶν, ἀλλ' ἀναλόγως, ταῖς τῶν

CAPUT V.

De Rege.

REx eſt, legitima præfectura; omnium ſubditorum commune bonum; neque ex affectione benefaciens, nec ex odio puniens, ſed ex æquo, magiſtratuum virtute, ut certaminis arbiter ſua cuique præmia tribuens, nec nova beneficia in aliquorum damnum conferens.

Scopus Regi propoſitus eſt, vires quas habet clementiâ tueri & conſervare, perditas indefeſsâ curâ reparare, eaſque quas non habet prudentiâ juſtiſque victoriis & expeditionibus quærere.

Finis Regi proponitur, omnibus benefacere, quare & benefactoris nomine ornatur, ita ut ſi quando de beneficentiâ quicquam remiſerit, ex antiquorum ſententia adulterari videatur Regis nota & character.

Regem convenit rectam de Deo opinionem & pietatem defendere, & propter zelum pro religione præclarum eſſe.

CAPUT VI.

Quando Rex intra ſeptum altaris intrare debet.

CANON lxix. Syn. vi. Solis, inquit, Sacerdotibus conſtitutio Eccleſiaſtica ſanctum altare conceſſit; antiqua autem Patrum conſuetudo Reges pios honorans, aditum iis non præcludit (utpote qui domini uncti ſint, & per invocationem S. Trinitatis Patriarchas promovere ſoleant;) quando legitima dona ad ſanctam menſam afferre volunt, & tunc ſolum; Laicos autem intra ſeptum altaris ingredi omnino prohibet. Latini autem quibus omni conſtitutioni Eccleſiaſticæ reſiſtere propoſitum eſt, non ſolum Laicorum virorum ſed & mulierum ingreſſu ſanctum altare profanant; & adeo audaces evaſerunt, ut viri in eo ſtare non metuant, præſentibus iis qui ſacra peragunt; & mulieres inverecundo fronte circa ſacram menſam ſtent, dum Sacerdos ſacra celebrat.

CAPUT VII.

Quod non oporteat Regem contumelia afficere.

CANON lxxxiv. S. Apoſt. Quiſquis, inquit, Regem vel Principem præter jus contumelia affecerit, ſi Clericus ſit, deponatur, Laicus autem ſegregetur. Lex enim Moſaica, inquit, Principem populi tui non maledices; & Petrus Apoſtolorum Princeps, Regem honorate; & M. Paulus pro Regibus, & omnibus qui ſunt in authoritate, iiſque infidelibus precari jubet. Ex eo autem quod præter jus addidit, (divinum enim Canonem ſine aliqua alteratione propoſui) injuriam apparentem tollit, non autem juſtam reprehenſionem, quia eos reprehendere poteſt quiſquam, ea quæ non decet, facientes, etiamſi acerbiora verba iis injurioſa videantur.

Leges.

Qui Regem contumelia afficit, non ſtatim punitur, aut durum aliquod ſubit; vel enim præ levitate loquutus eſt, & contemnitur; vel ex ignorantia, & miſeratione dignus eſt; vel ut injuria affectus, & condonatur. Hæc autem ad Regem referuntur, & ipſe ſecundum qualitatem perſonæ judicat an remitti vel puniri debeat.

Qui læſæ Majeſtatis vel conjurationis reus eſt, gladio puniatur.

A ἀρχομένων ἀρεταῖς, ὥσπερ τις ἀγωνοθέτης τὰ βραβεῖα ἐξ ἴσου παρεχόμενος, μηδὲ καινὰς εὐεργεσίας εἰς βλάβην τισὶ χαριζόμενος.

Σκοπὸς τοῦ βασιλέως, τῶν τε μὲν ὄντων καὶ ὑπαρχόντων δυνάμεων διὰ ἀγαθότητος ἡ φυλακὴ καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι᾽ ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις· καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τρόπων καὶ ἐπιτηδεύσεων ἡ ἐπίκτησις.

Τέλος τοῦ βασιλέως, τὸ εὐεργετεῖν· διὸ καὶ εὐεργέτης λέγεται, καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ, δοκεῖ κιβδηλεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα.
B

Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεύς, καὶ ἐν ζήλῳ θείῳ περιβόητος.

ΚΕΦ. ϛʹ.

Πότε ὁ βασιλεὺς εἰς τὸ ἅγιον εἰσίῃ θυσιαστήριον.

C Ο ξθʹ. τῆς ἕκτης συνόδου κανών, μόνοις μὲν τοῖς ἱερεῦσι φησὶ, ὁ τῆς ἐκκλησίας θεσμὸς τὸ ἅγιον ἀνῆκε θυσιαστήριον. ἡ δὲ ἀρχαία τῶν θείων πατέρων παράδοσις, καὶ τοὺς βασιλέας τῆς εὐσεβείας ἀμειβομένη τε καὶ τιμῶσα, οὐκ ἀποκλείει τῆς εἰς τοῦτο παρόδου (ἅτε χριστοὺς ὄντας τοῦ κυρίου, καὶ πατριάρχας προβάλλεσθαι εἰωθότας τῇ τῆς θείας ἐπικλήσει τριάδος) ἡνίκα μὲν τὰ νενομισμένα καὶ μόνον δῶρα τῇ θείᾳ τραπέζῃ προσοίσειν μέλλουσιν· λαϊκοῖς δὲ τὰ ἔνδον τοῦ θυσιαστηρίου εἰσιτητὰ εἶναι παντάπασί γε ἀπείρηκεν. οἵ γε μὴν Λατῖνοι, κατὰ πάσης ἐκκλησιαστικῆς θεσμοθεσίας ὁμόσε χωρεῖν προθέμενοι, οὐκ ὅπως τῇ τῶν λαϊκῶν ἀνδρῶν εἰσόδῳ, ἀλλὰ καὶ τῇ τῶν γυναικῶν τὸ θεῖον βεβηλοῦσι
D θυσιαστήριον. εἰς τοσοῦτον δ᾽ ἥκουσι παραπληξίας, ὡς θ᾽ οἱ μὲν ἄνδρες, καὶ ἐν αὐτῷ καθῆσθαι οὐ φρίττουσιν ἱσταμένων αὐτοῖς τῶν ἱερουργούντων· αἱ γυναῖκες δὲ καὶ τὴν ἱερὰν περιΐστανται τράπεζαν ἀνερυθριάστῳ προσώπῳ, ἱερουργοῦντος τοῦ ἱερέως.

ΚΕΦ. ζʹ.

Ὅτι βασιλέα ὑβρίζειν οὐ δεῖ.

Ο πδʹ. τῶν ἁγίων ἀποστόλων κανών, ὅστις ὑβρίζει βασιλέα φησὶ,
E ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, λαϊκὸς δὲ ἀφοριζέσθω. καὶ ὁ Μωσαϊκὸς γὰρ νόμος, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς ὑποτίθεται. καὶ Πέτρος ἡ κορυφὴ τῶν ἀποστόλων, τὸν βασιλέα τιμᾶτε. καὶ Παῦλος ὁ μέγας, ὑπερεύχεσθαι κελεύει τῶν βασιλέων, καὶ τῶν ἐν ὑπεροχῇ πάντων, καὶ ταῦτα ἀπίστων. παρὰ τὸ δίκαιον δὲ προσθεὶς, καὶ γὰρ αὐτὸν ἀμεταβλήτως τὸν ἱερὸν ἐξεθέμην κανόνα, τὴν μὲν ἀπεοικυῖαν ὕβριν ἀνεῖλεν, οὐ μέν τοι καὶ τὸν ὑπὲρ τοῦ δικαίου ἔλεγχον, ὅτι τούτων καθάπτοιτό τις, ἔστιν ἃ παρὰ τὸ προσῆκον δρώντων, κἂν εἰς ὕβριν αὐτοῖς οἱ ἐλεγκτικοὶ λόγοι λογίζονται.

F

Νόμοι.

Ὁ τὸν βασιλέα ὑβρίζων, οὐκ εὐθὺς τιμωρεῖται, οὔτε τι ἄλλο σκληρὸν ἢ τραχὺ ὑπομένει· ἢ γὰρ ἀπὸ κουφότητος εἶπε, καὶ περιφρονεῖται, ἢ ἐξ ἀνοίας, καὶ ἐλεεῖται, ἢ ὡς ἀδικούμενος, καὶ συγχωρεῖται. ἀναφέρεται δὲ τὰ περὶ τούτου τῷ βασιλεῖ, καὶ αὐτὸς ἐκ τῆς ποιότητος τοῦ προσώπου κρίνει, εἰ ὀφείλει συγχωρηθῆναι ἢ τιμωρηθῆναι.

Ὁ καθοσιώσιν πλημμελῶν, ἤτοι φατριάζων κατὰ βασιλέως, ξίφει τιμωρείσθω.

Πᾶς ὁ εὑρίσκων φλυαρίαν κατὰ βασιλέως ἐν χάρτῃ, ἐσφραγισμένην ἢ ἀσφράγιστον, καὶ μὴ παραχρῆμα καίων, ἀλλὰ ἀναγινώσκων, ὑποκείσθω τιμωρίᾳ ἥτινι ὑπόκειται καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν.

ΚΕΦ. η΄.

Περὶ τῶν βαθμῶν τοῦ γάμου.

ΑΛΛΑ γὰρ οὐκ ἄν τις οἶμαι τῶν εὖ φρονούντων, ἀωρίας ἡμᾶς γράψαιτο, κατὰ γὰρ τὸ νῦν διεξιόντας, καὶ τὰ τῶν λεγομένων τοῦ γάμου βαθμῶν, καὶ τῆς αὐτῶν συγγενείας, τήν τε ἐγγύτητα καὶ ἀπόστασιν· ὅθεν δὴ τῶν συγκεχωρημένων οἱ τὴν κώλυσιν ἔχοντες σαφῶς διακρίνονται καὶ ἐλέγχονται. τοὺς μὲν οὖν βαθμοὺς ἀπὸ μεταφορᾶς εἰρῆσθαι φασί τινες τῶν τῆς κλίμακος ἀναβαθμῶν. ὡς γὰρ δι' ἐκείνων ἡ ἄνοδος, καὶ ἡ κάθοδος γίνεται, οὕτω διὰ τῶν τῆς συγγενείας βαθμῶν, οἵ τε ἀνιόντες καὶ οἱ κατιόντες εὑρίσκονται. οἱ δὲ μὴ οὕτως ἔχοντες, ἐκ πλαγίου γνωρίζονται. προβαίνειν μέντοι πεφύκασι κατὰ τὴν τῶν γεννήσεων τάξιν. ἑκάστην γὰρ γέννησιν βαθμὸν ἀποτελεῖν ἕνα νενόμισται. τούτων, οἱ μὲν εἰς πλάτος, οἱ δὲ εἰς βάθος ἐκτείνονται. καὶ οἱ μὲν τοῦ πλάτους, τὴν αὐτὴν πρὸς ἀλλήλους ἀποσώζουσι τάξιν. υἱοὶ μὲν γὰρ ὄντες, τὸν πρῶτον ἅπαντες πληροῦσι βαθμόν· ἀδελφοὶ δὲ, πρὸς ἀλλήλους τὸν δεύτερον, κἂν ἐπέκεινα ὦσι τῶν δέκα. διότι τοὺς γαμικῶς συναπτομένους ἐκ τοῦ αὐτοῦ αἵματος, ἀνάγκη πᾶσα μὴ πλείους εἶναι τῶν δύο. ταύτῃ τοι καὶ τούσδε μόνους ἐκ τῶν ἀδελφῶν θεωροῦντες, δευτέρου φαμὲν εἶναι βαθμοῦ, κατὰ τὴν διπλῆν αὐτῶν πάντως γέννησιν. ὡσαύτως οἱ ἀνεψιοὶ τὸν τρίτον ἐπέχουσι, καὶ οἱ πρωτεξάδελφοι τὸν τέταρτον, καὶ τὸν ϛ΄. οἱ δισεξάδελφοι, καὶ ἑφεξῆς ἀναλόγως. οἱ δὲ κατὰ βάθος, οὐ πάντες τὸν αὐτὸν βαθμὸν ἔχουσιν, ἀλλ' οἱ μὲν υἱοὶ τὸν πρῶτον, οἱ ἔγγονοι δεύτερον, καὶ οἱ δισέγγονοι τὸν τρίτον, καὶ ἑφεξῆς ὁμοίως. παρὸ καὶ οὐ κατὰ τὰς γεννήσεις, ὡς γε ἔδοξε τοῖς ἀρχαιοτέροις, ἀλλὰ κατὰ τὴν οἰκειότητα, καὶ τὴν τοῦ γένους ἐγγύτητα, καὶ τὴν ἀπόστασιν αὖθις πρὸς τὴν πρώτην τοῦ γένους ἀρχὴν, κάλλιον τοὺς βαθμοὺς ὀνομάζεσθαι. μεταξὺ γὰρ πατρὸς καὶ υἱοῦ, μικρά τις διάστασις. πάππου δὲ καὶ ἐγγόνου, μείζων. δισεγγόνου δὲ πρὸς τὸν αὐτὸν ἔτι μείζων. οὕτω σχέσεως ἔχουσι καὶ οἱ ἐκ πλαγίου.

Διαίρεσις τῆς συγγενείας.

Γενικὸν δὲ ὄνομα οὖσα ἡ συγγένεια, εἰς δύο κατὰ πρώτην διαίρεσιν τέμνεται, εἴς τε τὸ φύσει καὶ τὸ θέσει. καὶ φύσει μὲν συγγενής ἐστι, πατὴρ τυχὸν, υἱὸς, μήτηρ, θυγάτηρ, ἀδελφὸς, ἀνεψιὸς, ἐξανεψιὸς, ὁ ἐκ τοῦ ἀνεψιοῦ γεννηθεὶς, καὶ ὅσα τοιαῦτα. θέσει δὲ, πενθερὸς, γαμβρὸς, γυναικάδελφος, θετὸς υἱός. τὸ φύσει δὲ πάλιν ὑποδιαιρεῖται εἰς δύο· εἴς τε τὸ μετὰ γάμου νομίμου, καὶ τὸ ἐκ πορνείας γεγονός. τὸ δὲ θέσει ὑποδιαιρεῖται καὶ αὐτὸ εἴς τε ἀγχιστείαν, καὶ θέσιν. καὶ ἔστιν ἀγχιστεία μὲν, ἡ ἐξ ἐπιγαμβρείας συγγένεια· θέσις δὲ, ἡ χωρὶς σαρκικῆς συναφείας υἱοθεσία.

Περὶ ἀδελφοποιΐας.

Η μέν τοι ἀδελφοποιΐα οὐ νόμιμόν ἐστιν· ἄπαιδες μὲν γὰρ ὄντες, ἐσοφισάμεθα τὴν υἱοθεσίαν εἰς διαδοχὴν τῶν πραγμάτων· τὴν δὲ ἀδελφοποιΐαν, οὐδεμία εἰσάγει εὔλογος πρόφασις. τὰ μὲν οὖν τὸ εὔλογον ἔχοντα, καὶ ὁ νόμος ἐδέξατο· τὰ δὲ μὴ τοιαῦτα, οὐ παρεδέξατο.

A Quiſquis invenerit famoſum libellum contra Regem, in charta obſignatum vel non obſignatum, & non ſtatim combuſſerit, ſed legerit, pœnæ obnoxius ſit cui is qui libellum infamem conſcripſit.

CAPUT VIII.

De gradibus in matrimonio.

NEMO nos accuſaverit, opinor, qui quidem ſapiat, B veluti rem alienam agentes, ſi hoc loco graduum matrimonii, quos vocant, & cognationis eorundem tam propinquitatem quàm remotionem exponamus: unde fiet ut qui aliquid habent impedimenti, à permiſſis clarè diſcerni poſſint, & deprehendi. Enimverò gradus aliqui dictos perhibent à tranſlatione graduum ſcalæ. Quippe ſicuti per eos aſcenditur & deſcenditur, ita per gradus cognationis tàm aſcendentes quam deſcendentes inveniuntur. Qui verò ſic affecti non ſunt, ex tranſverſo cognoſcuntur. Cæterum gradus ita comparati ſunt, ut ſecundum ordinem generationum C procedant. Quippe receptum eſt, ut quælibet generatio gradum unum abſolvat. Deinde quidam in latitudinem, quidam deorſim extenduntur. Qui in latitudinem, eundem inter ſe locum ſervant. Nam qui liberi ſunt, primum omnes gradum implent: qui fratres, ſecundo inter ſe gradu junguntur, licet plures numero ſint quàm decem. Quippe qui matrimonii lege inter ſe copulantur ex eodem ſanguine, omninò neceſſarium eſt ut plures duobus non ſint. Qua etiam de cauſa hos ſolos ex fratribus conſiderantes, ſecundi gradus eſſe dicimus, omninò ratione duplicis eorum generationis. Conſimiliter fratrum ſororumve liberi gradum *erga patruos & avunculos* tertium obtinent, conſobrini quartum inter ſe, ſobrini D ſextum; eadem in cæteris ratione obſervata. Qui verò ſe porrigunt deorſum non omnes eundem gradum habent; ſed filii primum, nepotes alterum, pronepotes tertium; & cæteri conſimiliter. Ideoque non ſecundum generationes, uti priſcis placuit, ſed ſecundum neceſſitudinem, & generis Propinquitatem, gradus hoſcè numerari præſtat. Nam inter Patrem & filium exiguum quoddam intervallum eſt. Majus inter avum & nepotem. Inter avum & pronepotem adhuc majus. Eadem in illis etiam obtinet ratio, qui ſunt ex tranſverſo.

E

Diviſio cognationis.

Quùm autem generale nomen ſit cognatio, prima diviſione in duo ſcinditur; in cognationem naturæ, & adrogationem. Natura cognatus eſt, pater, verbi cauſa, filius, mater, filia, frater, conſobrinus, ſobrinus, ſobrini filius, atque alii tales. Adrogatione verò, ſocer, gener, frater conjugis, filius adoptivus. Rurſùm cognatio naturalis bifariam dividitur, videlicet in procreatos ex nuptiis legitimis, & vulgo quæſitos. Adrogatio quoque ſubdividitur in adfinitatem & adoptionem. Adfinitas eſt neceſſitudo quæ provenit ex matrimoniali copulatione. Adoptio, alicujus in filium F cooptatio citra conjunctionem.

De fraternitate per Adoptionem factâ.

Fraternitas autem facta per adoptionem legibus repugnat. Quippe liberis deſtituti adoptionem commenti ſumus, bonorum tranſmittendorum cauſa. Fraternitatem verò per adoptionem factam nulla ratio probabilis introducit. Jam ſi qua rationem probabilem habent, ea lex etiam admittit; quæ talia non ſunt, rejicit.

A Rurſum per ſubdiviſionem adfinitas vel ex duobus generibus conſiſtit, uti cum patruus & fratris filius cum amita ejuſque fratris ſororiſve filia copulati ſunt; vel conſobrini duo, cum duabus conſobrinis; quæ propriè dicitur adfinitas: vel alia quoque perſona duobus hiſce generibus intervenit, & vocatur hæc trium generum per adfinitatem copulatio. Et ſunt hæc partim prohibita, partim non prohibita, ſicut in ſequentibus oſtendetur.

Adoptio autem vel fit per cooptationem in filium, ſucceſſionis cauſa; vel ſuſceptionem ex baptiſmate ſacro, B confirmationis & doctrinæ, atque etiam teſtimonii cauſa. Sed adoptio ſe porrigit ad hæreditatem adeundam. Hunc enim ad finem facta eſt. Ex baptiſmate ſuſceptio, duntaxat in gradibus matrimoniorum ſpectatur. Et hæc quidem generalior cognationis eſt diviſio. Deinceps etiam de particularibus dicemus: & primum de conſanguinitate.

De neceſſitudine per ſanguinem.

Gentilitas igitur ſive conſanguinitas dividitur in adſcendentes & deſcendentes, & eos, qui ſunt ex tranſverſo. Adſcendentes ſunt, qui nos genuerunt, verbi gratia, C pater & mater, avus & avia, & qui ſunt his ſuperiores. Deſcendentes, qui ex nobis ſunt procreati, verbi gratia, filius, filia, nepos, neptis, pronepos, proneptis, & qui hos ordine ſequuntur. Ex tranſverſo ſunt, qui neque nos genuerunt, neque procreati ſunt ex nobis, ſed ad eandem originem ac progeniem nobiſcum referuntur, verbi gratia, frater, ſoror, patruus, amita, fratris filius & filia, conſobrinus, conſobrina, & qui hos ordine ſequuntur, nimirum ex obliquo cognati.

De adſcendentibus & deſcendentibus.

D Enimvero adſcendentes à deſcendentibus, licet ex legitimis non nati ſint nuptiis, in infinitum arcentur. Non enim fieri poteſt, ut avus cum nepte ſua matrimonii lege copuletur. Infinitum verò dicimus ejus ratione, quod fieri poteſt, non infinitum natura. Quippe genera non ſunt immortalia.

De gradu ſeptimo conſanguinitatis.

Iis qui ſunt ex tranſverſo gradus octavus matrimonium permittit, cum ſeptimus ab eo prorſus arceat. E Quippe non poteſt aliquis ſobrini filiam uxorem ducere. Cæterum antea gradus conſanguinitatis ſeptimus, ſi de eo conſuleretur, prohibebatur ille quidem; ſed ſi quo modo res eſſet acta, non prohibebatur, pœna tamen irrogabatur; idque propterea quod ſilentio lex id præterierit, quæ duntaxat ad ſextum uſque gradum prohibet.

Lex.

Legis hæc verba ſunt. Fratris mei, vel ſororis meæ filiam uxorem ducere, fas non eſt; Nec horum neptem, quæ gradu quarto eſt. Nec item patrui filiam, quæ conſobrina eſt: neque filius meus eorum neptem ducit, qui ſobrini dicuntur. F

Sed quia nonnulli propter gravitatem pœnarum clam hujuſmodi nuptias contrahebant, relata res eſt ad Syn. quo tempore divinus ille Lucas Patriarchalem thronum regebat, ac deinceps definivit & ſtatuit ſancta Synodus, nequaquam ejuſmodi nuptias debere procedere vel conſiſtere, ſed ſi de iis conſulatur, prohibendas eſſe, ſin procedant, dirimendas; & ſegregandos qui contraxerint; ac ſacerdotem, qui precibus ſacris initiarit, niſi forte per ignorantiam ſurreptus fuerit, deponendum. Atque hanc rem actam in Syn. confirmavit

Πάλιν καθ' ὑποδιαίρεσιν, τὰ ἐξ ἀγχιστείας ἢ ἐκ δύο γενῶν συνίσταται, ὡς ὁ θεῖος καὶ ἀνεψιὸς συναφθέντες θείᾳ καὶ ἀνεψιᾷ, ἢ δύο πρωτεξάδελφοι, δυσὶ πρωτεξαδέλφαις, καὶ καλεῖται ἀγχιστεία· ἢ παρεμβέβληται καὶ ἕτερον πρόσωπον μεταξὺ τῶν δύο τούτων γενῶν, καὶ καλεῖται ἐξ ἀγχιστείας τριγένεια. εἰσὶ δὲ ταῦτα καὶ κωλυτὰ καὶ ἀκώλυτα, ὡς ἐν τοῖς ἑπομένοις δειχθήσεται.

Η δὲ θέσις ἢ κατὰ υἱοθεσίαν γίνεται διαδοχῆς χάριν, ἢ κατὰ ἀναδοχὴν τὴν ὑπὸ τοῦ ἁγίου βαπτίσματος στηριγμοῦ καὶ διδασκαλίας, ἔτι δὲ καὶ μαρτυρίας ἕνεκα. ἀλλ' ἡ μὲν υἱοθεσία καὶ εἰς κληρονομίαν εἰσέρχεται· διὰ τοῦτο καὶ γὰρ ἐγεγόνει. ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος, εἰς τοὺς γαμικοὺς μόνους ζητεῖται βαθμούς. καὶ αὕτη μὲν ἡ καθολικωτέρα τῆς συγγενείας διαίρεσις. ἐφεξῆς δὲ περὶ τῶν κατὰ μέρους ἐροῦμεν· καὶ πρῶτόν γε τῶν ἐξ αἵματος.

Περὶ τῆς ἐξ αἵματος συγγενείας.

Διαιρεῖται τοίνυν τὸ ὁμογενὲς καὶ ἐξ αἵματος, εἴς τε ἀνιόντας καὶ κατιόντας, καὶ τοῖς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν, οἱ ἡμᾶς γεγεννηκότες, οἷον, πατὴρ, καὶ μήτηρ· πάππος, καὶ μάμμη, καὶ οἱ τούτων ἀνωτέρω· κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννηθέντες, οἷον, υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, δισέγγονος, δισεγγόνη, καὶ οἱ τούτων ἐφεξῆς. ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννηθέντες, ὑπὸ δὲ τὴν αὐτὴν καὶ μίαν ἀρχὴν καὶ γονὴν ἡμῖν ἀναγόμενοι, οἷον, ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ τούτων ἐπέκεινα, οἱ ἀπὸ λοξότητος δηλαδὴ συγγενεῖς.

Περὶ ἀνιόντων καὶ κατιόντων.

Ἀλλ' οἱ μὲν ἀνιόντες πρὸς τοὺς κατιόντας κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων, ἐπ' ἄπειρον κωλύονται· οὐ γὰρ οἷόν τε τὸν πάππον τῇ αὐτοῦ ἐγγόνῃ γαμικῶς συναφθῆναι· ἄπειρον δέ φαμεν κατὰ τὸ δυνατὸν, οὐ τὸ φύσει ἄπειρον. οὐ γὰρ ἀθάνατα τὰ γένη.

Περὶ τοῦ ἐξ αἵματος ἑβδόμου βαθμοῦ.

Τοῖς δὲ ἐκ πλαγίου, ὁ ὄγδοος ἐφίησι τὸν γάμον βαθμὸς, τοῦ ζ΄. τοῦτον παντάπασιν εἴργοντος· οὐ γὰρ δύναταί τις τὴν τοῦ δισεξαδέλφου θυγατέρα γυναῖκα λαβεῖν· ἀλλὰ πρότερον μὲν τὸ τοῦ ζ΄. βαθμοῦ ἐξ αἵματος ἐρωτώμενον μὲν ἐκωλύετο, ὁπωσδήποτε δὲ προβαῖνον, οὐκ ἐκωλύετο μὲν, ἐπετιμᾶτο δὲ, διὰ τὸ σιωπηθῆναι τῷ νόμῳ, μέχρι τοῦ ϛ΄. κωλύοντι μόνον.

Νόμος.

Φησὶ γάρ· τὴν τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς “
μου θυγατέρα λαμβάνειν εἰς γάμον, οὐ θέμις, οὐδὲ “
τὴν τούτων ἐγγόνην, τετάρτου ὄντος βαθμοῦ· οὐδὲ τὴν θυ- “
γατέρα τοῦ θείου, ἤγουν ἐξαδέλφην, οὐδὲ ὁ υἱός μου τὴν “
ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. “

Ἐπεὶ δέ τινες τῷ βάρει τῶν ἐπιτιμίων κρύφα τοὺς τοιούτους ἐπιτελοῦν γάμους, ἀνηνέχθη τὰ περὶ τούτου συνόδῳ, Λουκᾶ τοῦ θείου τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, καὶ ἐξ ἐκείνου ὥρισεν καὶ ἔστησεν ἡ ἁγία σύνοδος, μηδόλως τὸν τοιοῦτον προβαίνειν ἢ ἵστασθαι γάμον, ἀλλ' ἐρωτώμενον μὲν κωλύεσθαι, προβαίνοντα δὲ, διασπᾶσθαι, καὶ τοὺς πράξαντας ἀφορίζεσθαι, καὶ τὸν ἱερολογήσοντα ἱερέα, εἰ μὴ ἀγνοίᾳ ἐκλάπη, καθαιρεῖσθαι. ἐπεκύρωσε δὲ τὴν συνοδικὴν ταύτην πρᾶξιν καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουὴλ τοῦ πορφυρογεννήτου. ταύτη τοι καὶ οὐκ ἐφεῖταί τινι τὴν τοῦ δισεξαδέλφου αὐτοῦ θυγατέρα λαβεῖν, ἀνεψιὰν τούτου τυγχάνουσαν. τὸ γὰρ φύσει δίκαιον, καὶ εὐπρεπὲς, καὶ σεμνὸν, ὥσπερ τινὰ χαλινὸν, ὁ νόμος τοῖς γάμοις ἐπέθηκεν.

Περὶ τοῦ η΄. βαθμοῦ ἐξ αἵματος.

Εἴς γε μὴν τὸν η΄. βαθμὸν προβαίνων ὁ ἐξ αἵματος γάμος συγκεχώρηται. τὴν γὰρ τρισεξαδέλφην, ἢ τὴν ἐγγόνην τοῦ δισεξαδέλφου λαμβάνειν, οὐδ᾽ ἡντιναοῦν ἔχει κώλυσιν. πλατῦναι γὰρ οἱ πολιτικοὶ νόμοι τὴν τῶν ὑπηκόων βουλόμενοι γνησιότητα, καὶ μὴ περὶ μόνην περικλείεσθαι τὴν συγγένειαν, τοὺς μεταξὺ τῶν ἐκ πλαγίου διεκώλυσαν γάμους, ὡς ἂν τοῖς ἔξωθεν τῆς ἑαυτῶν συγγενείας ἐξ ἀνάγκης συναπτόμενοι, τὴν πρὸς αὐτοὺς σώζοιεν γνησιότητα καὶ εὔνοιαν.

Περὶ τῶν ἐκ πορνείας γεννωμένων.

Τὸ δὲ ἐκ πορνείας οὐκ ἔχει ἅπαν ὄνομα ἕν, ἀλλ᾽ ὑποδιαιρεῖται καὶ τοῦτο. εἰ μὲν γὰρ ἐκ γυναικὸς συνοικούσης τινὶ φανερῶς καὶ δήλου γέγονε παῖς, φυσικὸς οὗτος ὀνομάζεται, καὶ ἔχει δευτέραν τάξιν, ὡς πρὸς τὸν φύσει νόμιμον, καὶ προτιμᾶται εἰς κληρονομίαν καὶ τῶν ἀνιόντων, οὐχ ὅπως τῶν ἐκ πλαγίου. εἰ δὲ φανερὸς μὲν ἐστὶν, οὐ μέντοι ἐκ συνοικούσης τῷ ἀνδρὶ γυναικὸς, ὀνομάζεται νόθος. εἰ δὲ παντελῶς ἀφανὴς, λέγεται σκότιος, ὥς φησιν Ὅμηρος

Σκότιον δ᾽ ἐγείνατο μήτηρ.

περὶ οὗ λόγος ἡμῖν οὐδείς. οὔτε γὰρ εἰς γαμικὰ συναλλάγματα, οὔτε μὴν εἰς κληρονομίαν ἐν τοῖς τοιούτοις ἐστὶν ἀμφισβήτησις.

Νόμος.

Φησὶ δὲ καὶ ὁ νόμος, τὴν ἐκ πορνείας ἀδελφὴν, οὐδεὶς λαμβάνει. καὶ ὁ πορνεύσας μετά τινος γυναικὸς, εἴπερ ἐστὶ φανερὰ ἡ πορνεία, τὴν μὲν μητρυιὰν αὐτῆς κωλύεται λαβεῖν, λαμβάνει δὲ τὴν δισεξαδέλφην αὐτῆς.

Περὶ τῶν ἐξ ἀγχιστείας.

Καὶ αὕτη μὲν ἡ τῶν ἐξ αἵματος. τῶν δὲ ἐξ ἀγχιστείας, ποικιλωτέρα ἡ εὕρεσις. ἐν τούτοις γὰρ βαθμῶν ποσότητα ζητεῖν οὐδ᾽ ὅλως τοῖς παλαιοῖς ἔδοξεν, ἀλλὰ τὰ συγκεχυμένα κατὰ τὴν τοῦ γένους κλῆσιν καὶ ἀπρεπῆ ῥητῶς κωλύσαντες, τὰ λοιπὰ ἀνέγκλητα εἴασαν. οἱ δὲ νεώτεροι, καὶ βαθμοὺς αὐτοῖς ἐπενόησαν, καὶ τὰ ὑπὲρ τὸν ἕκτον βαθμὸν προβαίνειν δεδώκασι. καίτοι ῥητῶς εὑρίσκομεν, καὶ ἕκτον συγκεχωρημένον, καὶ ἕβδομον κεκωλυμένον· τὸν μὲν, ὡς ἀσύγχυτον, τὸν δὲ ὡς συγκεχυμένον. ὥστε οὐ χρὴ βαθμοὺς παρεισάγειν εἰς ταῦτα· ἀλλ᾽ ὃ μὲν ὁ νόμος ῥητῶς ἐκώλυσε, φεύγειν, ὃ δὲ μὴ ἐκώλυσε, παραδέχεσθαι. ἐκώλυσε δὲ ὁ μὲν παλαιότερος νόμος τὰ προσεχέστερα καὶ ἐγγύτερα.

Νόμος.

Φησὶ γὰρ, πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη, καὶ ἡ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. καὶ νύμφη λέγεται, ἡ τοῦ υἱοῦ, καὶ τοῦ ἐγγόνου, καὶ ἡ τοῦ προεγγόνου γαμετή· καὶ προγόνη λέγεται, ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐγγόνη καὶ προεγγόνη τῆς γαμετῆς μου, καὶ οὐδὲ μίαν αὐτῶν λαμβάνω. οὐδὲ τὴν μητρυιάν μου, εἰ καὶ πολλὰς ἔσχεν ὁ πατήρ μου· ἐπειδὴ μητέρων ἔχουσι τάξιν. οὔτε μητρυιὰ τὸν γενόμενον ἄνδρα τῆς προγονῆς μου. οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν

A etiam conſtitutio clari inter Imperatores Manuëlis illius in Porphyra nati. Hanc ob cauſam non permittitur, ut quis conſobrini ſui filiam ducat uxorem, quæ ipſi loco ſobrinæ eſt. Quippe naturale jus, & honeſtatem, & pudorem, quaſi frænum quoddam, nuptiis lex impoſuit.

De gradu conſanguinitatis octavo.

Nuptiæ, quæ inter conſanguineos contrahuntur, ſi ad octavum uſque gradum procedant, permiſſæ ſunt. Quippe nati ex ſobrino filiam vel neptem ſobrini ducere nullo modo quis prohibetur. B Leges vero civiles legitimæ prolis procreationem ſubjectis dilatare volentes, eamque ſolâ cognatione non circumſcribere, nuptias inter eos qui ſunt ex tranſverſo prohibuerunt, ut iis qui extra eorum cognationem ſint, neceſſariò conjuncti, inter ſe invicem germanam benevolentiam colerent.

De vulgo quæſitis.

Vulgo quæſiti non idem omnes nomen habent, ſed ſubdividuntur. Nam ſi cui mulierem in contubernio habenti, palam natus ſit filius, naturalis vocatur, & C ſecundum locum obtinet ab eo qui natura legitimus eſt, & in ſucceſſione præfertur etiam adſcendentibus, nedum ex tranſverſo conſtitutis. Sin manifeſtus quidem eſt, non tamen ex muliere natus quæ in contubernio viri ſit, nothus ſive ſpurius appellatur. Sin omninò incertus & obſcurus, tenebroſus dicitur, uti cum Homerus ait:

Mater peperit tenebroſum.

Ac de hoc quidem nullus nobis eſt ſermo. Nec enim vel ratione contractuum matrimonialium, vel ſucceſſionis, ullum in talibus eſt dubium.

Lex.

D Etiam lex ait: Vulgo quæſitam ſororem nemo ducit uxorem. Item, Qui ſcortatus eſt aliqua cum muliere, ſiquidem ſcortatio manifeſta eſt; ut novercam ejus ducere prohibetur, ita ſobrinam ejuſdem ducere poteſt.

De Adfinitate.

Hactenus dictum de conſanguinitate. Adfinitatis autem rationes magis ſunt ad inveniendum variæ. Nam in his graduum quantitatem omnino non quærandam eſſe, E viſum eſt priſcis; ſed nuptias, quæ confuſionem introducerent in appellationem generis, quæve inhoneſtæ eſſent, diſertè vetantes; reliquas minimè repræhenſas reliquerunt. Recentiores vero etiam gradus in his excogitarunt, & quæ gradum ſextum excederent, locum habere voluerunt. Atqui diſertè invenimus gradum ſextum permiſſum, & ſeptimum prohibitum: illum, velut expertem confuſionis, hunc tanquam confuſioni obnoxium. Quo fit, ut in his gradus minimè introducendi ſint; ſed quod diſertè lex vetuit, fugiendum, quod non vetuit admittendum. Vetuit autem priſca lex propinquiora.

F

Lex.

Sunt enim ejus hæc verba: Socrus eſt uxoris meæ mater, & avia, & proavia, quarum nullam duco. Nurus etiam dicitur uxor filii, & nepotis & pronepotis. Privigna quoque dicitur, ex alio nata marito uxoris meæ filia, & neptis, & proneptis, quarum nullam duco. Nec item novercam meam, licet plures pater meus habuerit, quoniam matrum loco ſunt. Nec noverca nubit ei, qui privignæ meæ maritus fuit. Nec filiam mulieris duco, quæ à me divertit, ex alio marito poſt divortium procreatam. Tomus autem Siſinnii prohibet, ne duo fratres amitam & ejuſdem fratris filiam ducant uxores, ac vice verſa. Præterea vetuit, ne duo fratres ducant duas conſobrinas, in quorum primo quintus, in ſecundo ſextus gradus ſpectatur. Igitur ad quintum uſque gradum prohibitæ ſunt ob affinitatem nuptiæ, ſiquidem in his etiam numerandi ſunt gradus. Quæ verò ſexti gradus ſunt, ſi nulla interveniat confuſio circa generis appellationes, non prohibentur. Sin emergat aliqua confuſio, vetantur.

Gradus ſextus non prohibitus.

Eas etiam nuptias, quæ contrahuntur ex uno & quinque gradibus, omnes alii prohibent. At verò Theſſalonicenſis antiſtes ille Chumnus, ſua ſententia pronunciavit minimè vetitas. Exempli gratia, ſi pater & filius, qui primo ſunt gradu, copulati fuerint amitæ parvæ, ac fratris ejus filiæ, quæ gradu quinto ſe contingunt.

Gradus ſextus prohibitus.

Sin gradus ex adfinitate ſextus, de quo quæritur, ex duobus & quatuor conſtat; ſiquidem fit confuſio, nuptiæ poſteriores prohibentur. Nam fieri nequit, ut duo germani fratres duabus conſobrinis copulentur, aut vice verſa. Fiunt enim loco fratrum congeneri vel coadfines; & hoc modo nomina cognationis confunduntur. Ait autem ſanctus & magnus ille Baſilius. In quibus generis appellationes confunduntur, in his illicitæ ſunt nuptiæ.

Sextus non prohibitus:

Sin confuſio nulla fit, etiam ſextus non prohibetur. Quippe non vetatur, quo minus avus & nepos copulentur cum amita magna, & ejuſdem ex fratre nepte. Nam hoc quoque ſexti gradus eſt, at confuſionis expers. Rurſus enim peractis nuptiis avi & nepotis loca ſervant. Quippe magnam amitam & patruum magnum, hoc eſt, avi ſororem & fratrem, plerique aviam & avum nominare ſolent. Idcirco nec legibus hic caſus eſt prohibitus, & à tomo Siſinnii permittitur ſeu minime vetitus; cum illud alterum ſit prohibitum, velut obnoxium confuſioni.

Sextus non prohibitus.

Sin ex tribus & tribus conſtat, ſiquidem confuſionis expers eſt, non vetatur. Verbi gratia, cum patruus & fratris ejus filius, amitam ducunt, & ejuſdem fratris filiam, nulla fit confuſio. Rurſus enim patrui & fratris filii locum ſervant. Propterea hoc planè non prohiberi, non modo legis indicatæ ſilentium, ſed etiam principum ſanctiones, & acta ſynodalia cunctis ſignificarunt.

Sextus prohibitus.

At vero cum patruus jam antea fratris habet filiam, fratriſque filius cum amita coire vult in matrimonium; poſteriores hæ nuptiæ confuſionis cauſa prohibentur. Quippe velut ipſo jure patruus fit fratris filius, & fratris filius fit patruus: adeoque manifeſta generis appellationum hæc confuſio eſt.

A ἐξ ἑτέρου ἀνδρός. ὁ δὲ τοῦ Σισιννίου τόμος, δύο ἀδελφοὺς ἐκώλυσε λαμβάνειν θείαν καὶ ἀνεψιὰν, καὶ ἀνάπαλιν. ἔτι δὲ δύο ἀδελφοὺς λαμβάνειν δύο πρωτεξαδέλφας. ἐνθεωρεῖται δὲ τῷ μὲν πρώτῳ, ὁ πέμπτος βαθμὸς, τῷ δὲ δευτέρῳ, ὁ ἕκτος. μέχρι μὲν οὖν τοῦ πέμπτου βαθμοῦ, πάντη τὸ ἐξ ἀγχιστείας κεκώλυται· εἰ δεῖ κἀν τούτοις βαθμοὺς ἀριθμεῖν. τὰ δὲ τοῦ ϛʹ. βαθμοῦ, εἰ μὲν οὐκ ἔχει σύγχυσιν περὶ τὰ τοῦ γένους ὀνόματα, οὐ κωλύεται· εἰ δέ τις ὁρᾶται σύγχυσις, εἴργεται.

Βαθμὸς ϛʹ. ἀκώλυτος.

B Καὶ δὴ τὸν μὲν ἐξ ἑνὸς καὶ εʹ. βαθμῶν γινόμενον γάμον, οἱ μὲν ἄλλοι πάντες κωλύουσιν· ὁ δέ γε Θεσσαλονίκης Μιχαὴλ ὁ Χοῦμνος, ἐν ἰδίῳ ψηφίσματι, ἀκώλυτον ἀποφαίνεται, εἰ πατὴρ καὶ υἱὸς πρώτου ὄντες βαθμοῦ, συναφθεῖεν μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, πέμπτου οὔσαις βαθμοῦ.

ϛʹ. κεκωλυμένος.

C Εἰ δὲ ὁ ζητούμενος ἕκτος ἐξ ἀγχιστείας βαθμὸς ἐκ δύο σύγκειται καὶ τεσσάρων, εἰ μὲν γίνεται σύγχυσις, ὁ δεύτερος κεκώλυται. οὐ γὰρ δυνατὸν δύο αὐταδέλφους, δυσὶ συναφθῆναι πρωτεξαδέλφαις, ἢ τὸ ἀνάπαλιν. γίνονται γὰρ ἀντὶ αὐταδέλφων σύγγαμβροι, καὶ συγχέονται ἐντεῦθεν τὰ τῆς συγγενείας ὀνόματα. φησὶ δὲ ὁ ἱερὸς καὶ μέγας Βασίλειος. ἐν οἷς τὰ τοῦ γένους ὀνόματα συγχέονται, ἐν τούτοις ὁ γάμος ἀθέμιτος.

ϛʹ. ἀκώλυτος.

D Εἰ δὲ οὐ γίνεται σύγχυσις, καὶ ὁ ϛʹ. ἀκώλυτός ἐστι. πάππον γὰρ καὶ ἔγγονον ἀκώλυτον συναφθῆναι μεγάλῃ θείᾳ καὶ ἀνεψιᾷ· ἕκτου γὰρ καὶ τοῦτο βαθμοῦ, ἀλλ' ἔστιν ἀσύγχυτον. πάλιν γὰρ μετὰ τοὺς γάμους πάππου καὶ ἐγγόνου ἀποσώζουσι τόπους. τὴν γὰρ μεγάλην θείαν, καὶ τὸν μέγαν θεῖον, ἤτοι τὴν τοῦ πάππου ἀδελφὴν, καὶ τὸν ἀδελφὸν, οὓς μάμμην καὶ πάππον οἱ πολλοὶ ὀνομάζουσι. διὰ τοῦτο οὔτε ἀπὸ τοῦ νόμου τὸ παρὸν κεκώλυται ζήτημα, καὶ τῷ τόμῳ παρεῖται τοῦ Σισιννίου, ὡς ἀκώλυτον. ἐκεῖνο δὲ ὡς σύγχυσιν ἔχον κεκώλυται.

ϛʹ. ἀκώλυτος.

E Εἰ δὲ ἐκ τριῶν ἐστι καὶ τριῶν, εἰ μὲν οὐκ ἔχει σύγχυσιν ἀκώλυτόν ἐστιν, οἷον ὅταν μὲν θεῖος καὶ ἀνεψιὸς θείαν λάβῃ καὶ ἀνεψιὰν, οὐδεμία γίνεται σύγχυσις. πάλιν γὰρ θείου καὶ ἀνεψιοῦ σώζουσι τόπον. διὰ τοῦτο καὶ ἀκώλυτον εἶναι παντάπασιν, ἥτε τοῦ ῥηθέντος νόμου σιωπὴ, οὐ μὴν ἀλλὰ καὶ θεσπίσματα βασιλικὰ, καὶ πράξεις συνοδικαὶ πᾶσιν ἐγνώρισαν.

ϛʹ. κεκωλυμένος.

F Ὅταν δὲ ὁ μὲν θεῖος προλαβὼν ἔχει τὴν ἀνεψιὰν, ὁ δὲ ἀνεψιὸς βούλεται συνοικῆσαι τῇ θείᾳ, τὸ ἐπιγινόμενον διὰ τὴν σύγχυσιν κεκώλυται. γίνονται γὰρ ὡς ἀπὸ τῶν γάμων, ὁ μὲν θεῖος ἀνεψιὸς, ὁ δὲ ἀνεψιὸς θεῖος. καὶ ἔστι τοῦτο σαφὴς τῶν ὀνομάτων τοῦ γένους σύγχυσις.

A

ζ'. κεκωλυμένος.

Ἀλλὰ καὶ ὁ μέχρις ἑβδόμου βαθμοῦ θεωρούμενος ἐξ ἀγχιστείας γάμος, εἰ μὲν ἐξ ἑνὸς εἴη καὶ ἕξ, κεκώλυται. οὐ γὰρ οἷόν τε πατέρα καὶ υἱὸν δισεξαδέλφαις συναφθῆναι δυσί· γίνονται γὰρ ἀντὶ πατρὸς καὶ υἱοῦ σύγγαμβροι.

ζ'. ἀκώλυτος.

Εἰ δὲ ἐκ δύο καὶ ε'. οὐδαμῶς· εἴτε γὰρ πάππος καὶ ἔγγονος, εἴτε δύο αὐτάδελφοι συναφθεῖεν, μικρᾷ θείᾳ καὶ ἀνεψιᾷ, ὁ δεύτερος γάμος ἀνέγκλητός ἐστι. B

ζ'. ἀκώλυτος.

Εἰ δὲ ἐκ τριῶν καὶ τεσσάρων, πάλιν εἰ μὲν ἐστὶν ἀσύγχυτον, συγκεχώρηται. θεῖος γὰρ καὶ ἀνεψιὸς δύο πρωτεξαδέλφας ἀκωλύτως λαμβάνουσιν.

ζ'. κεκωλυμένος.

C Εἰ δὲ σύγχυσιν ἔχων ὁρᾶται, οὐ δῆτα. πάππος γὰρ καὶ δισέγγονος δύο πρωτεξαδέλφας λαβεῖν εἴργονται, ἵνα μὴ καὶ οὗτοι σύγγαμβροι λογισθεῖεν. ἀλλ' ὁ μὲν προλαβὼν μένει ἀκίνητος· κωλύεται δὲ ὁ ἐπιγενόμενος, ἢ προβὰς διασπᾶται. τὰ δὲ ὑπὲρ τὸν ἕβδομον ἐξ ἀγχιστείας, ἀπολυπραγμόνητά εἰσι καὶ ἀκώλυτα, ὥσπερ ἐν τοῖς ἐξ αἵματος τὰ ὑπὲρ τὸν ὄγδοον. οὐ καλῶς δέ τισιν εἴρηται, ὅτι τὰ διερχόμενα ἐξ ἀγχιστείας ἕκτου βαθμοῦ, ὅτε μὲν ἐξ ἴσης εἰσίν, ὡς ἐξ ἑκατέρου μέρους τρεῖς εἶναι βαθμούς, ἀκώλυτά εἰσι· κεκωλυμένα δέ, ὅτε εἰσὶν ἄνισα. ἐκ γὰρ τῶν εἰρημένων ἀνωτέρω δέδεικται, μὴ τὸ ἴσον καὶ τὸ ἄνισον, ἀλλὰ τὸ συγκεχυμένον καὶ ἀσύγχυτον, ἢ ἀφιέναι, ἢ ἀπείργειν τὸ συνάλλαγμα. D

Ὅτι οὐ δεῖ τὸν αὐτὸν δύο δευτέρας ἐξαδέλφας λαβεῖν.

Κεκώλυκεν ἡ ἐκκλησία καὶ τὸν αὐτὸν καὶ ἕνα δύο δευτέρας ἐξαδέλφας λαμβάνειν. οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας, ὡς οἴονταί τινες, συνάγεται βαθμός, ἀλλὰ ϛ'. διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικός. τοῦτο γὰρ ζητηθὲν ἐπὶ τῶν ἡμερῶν τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς ἐκκλησίας. E προέβη δὲ καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Μανουήλ, μὴ γίνεσθαί ποτε τοῦτο διεργαζόμενον. διατί δὲ τὰ ἐξ ἀγχιστείας εἴτουν διγενείας, εἰς τὸν ζ'. λύεται βαθμόν; τὸ ἓν ἢ φύσει ἐστὶν ἢ θέσει· καὶ φύσει μέν, ὡς εἷς ἄνθρωπος· θέσει δέ, ὡς ὁ ἀνὴρ μετὰ τῆς νομίμου γυναικός, οὓς σχέσις ἥνωσε καὶ συνάφεια σαρκική, ὡς εἴρηται, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὅταν μὲν οὖν ἐξ αἵματος ᾖ ἡ οἰκείωσις καὶ γένους ἑνός, τὸ οἰκεῖόν τε καὶ τὸ ἕν, φύσει ἐστίν. ὅταν δὲ ἐξ ἀγχιστείας καὶ δύο γενῶν, θέσει τὸ ἕν, καὶ ἡ οἰκειότης αὐτοῖς, οὐ κατὰ τὴν ἐξ αἵματος οἰκειότητα. διὸ καὶ τῷ ὑποβεβηκότι βαθμῷ, καὶ πρὸ τοῦ ὀγδόου, εὐθὺς ἡ τοιαύτη οἰκειότης τε καὶ ἕνωσις λύεται. F τὰ γὰρ μᾶλλον τὴν ἕνωσιν ἔχοντα, πλείονος καὶ τῆς ἀποστάσεως πρὸς τὴν διάλυσιν δέονται, ὥσπερ τὰ ἡνωμένα ἐλάττονος.

Περὶ τῶν ἐκ τριγενείας.

Τὰ δ' ἐκ τριγενείας γαμικὰ ζητήματα, εἰσὶ μὲν καὶ

Septimus prohibitus.

Quin etiam matrimonium inter adfines, ad ſeptimum uſque gradum ſeſe porrigens, ſi conſtet ex uno & ſex, prohibetur. Nam fieri nequit ut pater & filius duabus ſobrinis copulentur. Patris enim & filii loco, fiunt congeneri vel coadfines.

Septimus non prohibitus.

Nequaquam hoc uſu venit, ſi ex duobus & quinque conſtet. Nam ſive avus & nepos, ſive duo germani fratres copulati fuerint cum amita parva, & fratris ejus filia, ſecundæ nuptiæ vitio carent.

Septimus non prohibitus.

Sin ex tribus & quatuor, rurſus, ſiquidem confuſio nulla intervenit, permittitur. Patruus, enim & fratris ejus filius, duas conſobrinas citra prohibitionem ducunt.

Septimus prohibitus.

Non item ſi confuſio quædam emergat. Avus enim & pronepos, à matrimonio duarum conſobrinarum arceantur: ne congeneri vel coadfines habeantur. Nimirum prius contractum matrimonium manet immotum: poſterius prohibetur, vel ſi jam proceſſerit, dirimitur. Quæ verò matrimonia gradum adfinitatis ſeptimum excedunt, in ea curioſè non inquirendum eſt, nec faciundæ prohibitiones, ſicuti fieri videmus & in iis, qui ratione conſanguinitatis octavum excedunt. Cæterum non rectè traditum à nonnullis eſt, matrimonia ſexti ex adfinitate gradus; quum pares utrinque gradus habent, non prohiberi, quum inpares, prohiberi. Oſtenſum eſt enim ex indicatis ſuperius, non æqualitatem & inæqualitatem; ſed confuſionem & confuſionis abſentiam vel permittere, vel impedire contractum.

Eundem non debere duas ſobrinas ducere.

Prohibuit etiam Eccleſia, ne unus & idem duas ſobrinas ducat uxores. Non enim hic ſeptimus ex affinitate, ceu plerique putant, gradus colligitur, ſed ſextus: propterea quod maritus & uxor uno gradu contineri ducantur. Hoc enim cum in conſultationem veniſſet tempore Nicolai Patriarchæ, prohibitum ab Eccleſia fuit: ſimulque promulgata fuit ſanctio clari principis Manuelis, quæ ſtatuit, ne tale quid unquam fiat. Sed qua de cauſa fit, ut inter adfines vel duo diverſa genera contractæ nuptiæ, gradu ſeptimo liberæ ſint? Quod unum eſt, vel eſt natura, vel adrogatione. Natura unum eſt, v. g. unus homo. Unum adrogatione, ut vir & uxor legitima, quos univit affectio & conjunctio carnalis, ſicuti perſcriptum legimus: Et erunt hi duo in carnem unam. Itaque cum neceſſitudo exiſtit ex ſanguine, & ex eodem genere; naturalis eſt neceſſitudo, & unitas: quum ex adfinitate, ac duobus generibus; adrogatione fit unitas inter eos, & neceſſitudo à conſanguinitatis neceſſitudine diverſa. Propterea mox inferiore gradu, & ante octavum, hujuſmodi neceſſitudo & conjunctio ſolvitur. Quorum enim ſtrictior eſt conjunctio, ea majoris etiam indigent intervalli ad hoc, ut expiret: ſicuti minoris, quæ minus unita ſunt.

De Matrimoniis ex tribus diverſis generibus.

Matrimonia ex tribus diverſis generibus pertinent &

ipſa quoque ad rationes adfinitatis: ſed tertii generis interventu facilius libera fiunt, quam ex duobus connexa; quippe ſicut hæc gradibus duobus inferiora ſunt contractis ex conſanguinitate (quæ gradu octavo libera fiunt, quum per affinitatem ex duobus contracta generibus nonnunquam gradu ſexto libere permittantur:) ita rurſus ex tribus conſtituta generibus, etiam duobus gradibus inferiora, quam quæ duobus ex generibus conſtant, principium permiſſionis in quarto ſtatim gradu conſequuntur: licet in his multo magis graduum vitanda computatio, ſed quærendum, an diſertis verbis lege prohibita ſint. Maxime vero prohibitionis expertia ſequitur quartus gradus.

Quartus gradus non prohibitus.

Hujuſmodi quiddam eſt, quod ſub Patriarcha Stupa vocatum in dubium fuit, & per ſententiam declaratum. Quidam enim Conſtantinus uxorem duxit Annam, Theodori cujuſdam ſororem germanam. Ea mortua, matrimonio ſecundo duxit Serenam, conjugis Theodori ſororem, quo fiebat, ut Conſtantinus & adfinis eſſet Theodori, & coadfinis. Sunt autem in hoc gradus quatuor. Theodorus enim & Anna gradu ſecundo ſe contingunt. Item uxor Theodori & Serena, gradu ſecundo. Qui gradus ſimul ſunt quatuor. Quippe lex duo duntaxat ex trium generum matrimoniis prohibuit, quæ unius duntaxat gradus ſint, non plurium.

Lex.

Videlicet quod ducere non poſſum eam, quæ quondam privigni mei fuit uxor, nec ei noverca nubere, qui provignæ ipſius maritus fuit. Nam in his quoque trium fit generum conjunctio. Sed quia privignus & privigna filii vel filiæ loco ſunt erga vitricum vel novercam; atque horum vel uxor, vel maritus, vicem nurûs aut generi obtinent, illicita ſunt hujuſmodi matrimonia. Nam ſumma illa duo genera, vir & uxor, gradum nullum habent, nec inter ſe, nec erga genus intermedium. Quippe viri cum muliere conjunctionem ad gradum non referimus; ſed unum quid eſſe ducimus hanc, quando ſecundum ſeipſam conſideratur. (Fratris enim mei conjux, propter unionem cum eo ſummam, ſecundo à me gradu eſt, quocum ſubtilibus ſanè rationibus divini mandati reſpectu conjungitur) quum autem ad aliam ipſi cognatam perſonam gradus inquiritur, non ita res habet. Nam fratriæ ſoror, erga ipſam quidem gradus ſecundi eſt; erga me quarti. Ejuſdem amita gradu erga ipſam eſt tertii, erga me quinti. Conſimiliter & in aliis. Quippe fieri nequit, ut quemadmodum maritus, ſic etiam frater ejus pro una carne habeatur cum fratria, & per cogitationem præter mentem legis alia ratio conjungatur. Qui enim ex tranſverſo ſunt, primum gradum non habent, ſed à ſecundo incipiunt. Lex igitur, uti diximus, matrimonia trium generum duntaxat ea prohibuit, quæ primi gradus ſunt. Recepta vero conſuetudo pro non vetitis habet, quæcunque præter hæc ſunt, & primum gradum excedunt.

Tertius non prohibitus.

Verbi gratia, quidam uxorem habuit. Deinceps illa defuncta, conjugem patrui mulieris ſecundo matrimonio duxit uxorem. Alius privignam fratris uxoris ſuæ duxit. In his enim tres quidem gradus emergunt; ſed nihilominus liberè permittuntur ratione conſuetudinis. Si tamen accurate rem conſideremus, gradus in his, ceu diximus, iv. requiritur.

A ταῦτα ἐξ ἀγχιστείας, ἀλλὰ τῇ τοῦ τρίτου γένους ἐπιπλοκῇ ῥᾷον ἢ τὰ ἐκ δύο συμπεπλεγμένα γενῶν λύονται. ὥσπερ γὰρ ταῦτα δυσὶ βαθμοῖς ὑποβέβηκε τῶν ἐξ αἵματος, (τὰ μὲν γὰρ εἰς τὸν ὄγδοον, τὰ δὲ ἐξ ἀγχιστείας ἐκ δυοῖν γενοῖν ἔσθ' ὅτε καὶ εἰς τὸν ἕκτον λύονται,) οὕτω πάλιν τὰ ἐκ τριγενείας δυσὶν ὑποβιβασθέντα βαθμοῖς τῶν ἐκ δύο γενῶν, τὴν ἀρχὴν τῆς λύσεως κατὰ τὸν δ'. εὐθὺς λαμβάνει βαθμὸν, εἰ καὶ πολλῷ μᾶλλον εἰς ταῦτα βαθμοὺς λαμβάνειν οὐ δεῖ, ἀλλὰ ζητεῖν, εἰ καὶ οὐκ ἐκωλύθη παρὰ τοῦ νόμου ῥητῶς. τοῖς δὲ μάλιστα ἀκωλύτοις ὁ δ'. ἐπακολουθεῖ βαθμός.

B

Ο δ'. βαθμὸς ἀκώλυτος.

Οἷον τὸ ἐπὶ τοῦ πατριάρχου Στυππῆ ἀπορηθέν τι ὁμοῦ καὶ λυθέν. Κωνσταντῖνος γάρ τις ἔλαβεν εἰς γυναῖκα Θεοδώρου τινὸς αὐταδέλφην Ανναν· θανούσης ἐκείνης, ἔλαβεν εἰς δεύτερον συνοικέσιον τὴν τοῦ Θεοδώρου γυναικαδέλφην Εἰρήνην, ὡς γενέσθαι τὸν Κωνσταντῖνον καὶ γαμβρὸν τοῦ Θεοδώρου, καὶ σύγγαμβρον. εἰσὶ δὲ ἐν τούτῳ βαθμοὶ τέσσαρες. C ὁ Θεόδωρος γὰρ καὶ ἡ Αννα, βαθμοῦ δευτέρου. ἡ γυνὴ τοῦ Θεοδώρου καὶ ἡ Εἰρήνη βαθμοῦ δευτέρου. ὁμοῦ τέσσαρες. ὁ μὲν γὰρ νόμος δύο μόνα ἐκ τριγενείας ἐκώλυσεν, ἃ καὶ ἑνὸς μόνου βαθμοῦ τυγχάνουσι καὶ οὐ πλείονος.

Νόμος.

Οἷον, ὅτι οὐ δύναμαι λαβεῖν τὴν ποτὲ γυναῖκα τοῦ προγόνου μου, οὐδ' ἡ μητρυιὰ λαβεῖν τὸν ποτὲ ἄνδρα τῆς προγόνης αὐτῆς. κἂν τούτοις γὰρ τριγένειά ἐστιν. ἀλλ' ἐπεὶ ὁ πρόγονος καὶ ἡ προγόνη D υἱοῦ ἢ θυγατρὸς λόγον ἐπέχουσι πρὸς τὸν πατρῳὸν, ἢ τὴν μητρυιὰν, καὶ ἡ γυνὴ ἢ ὁ ἀνὴρ αὐτῆς νύμφης ἢ γαμβροῦ, ἀθέμιτα τὰ τοιαῦτα τυγχάνουσι συνοικέσια. τὰ γὰρ ἄκρα δύο γένη ὁ ἀνὴρ καὶ ἡ γυνὴ, βαθμὸν οὐκ ἔχουσιν οὔτε πρὸς ἄλληλα, οὔτε πρὸς τὸ μέσον γένος. τὴν γὰρ ἀνδρὸς μετὰ γυναικὸς συνάφειαν εἰς βαθμὸν οὐκ εἰσάγομεν, ἀλλ' ἓν μὲν εἶναι ταύτην λογιζόμεθα, ὅτε καθ' ἑαυτὴν ὁρᾶται. (καὶ γὰρ ἡ τοῦ ἀδελφοῦ μου γυνὴ, διὰ τὴν πρὸς αὐτὸν ἄκραν ἕνωσιν, δευτέρου μου ἐστὶ βαθμοῦ, ἰσχναῖς ἐπινοίαις διὰ τὴν ἐντολὴν συνημμένη,) ὅτε δὲ πρὸς ἕτερον συγγενικὸν αὐτῆς πρόσωπον ὁ βαθμὸς ζητεῖται, E οὐχ οὕτως. ἡ γὰρ ἀδελφὴ τῆς νύμφης, πρὸς μὲν αὐτὴν, δευτέρου ἐστὶ βαθμοῦ· πρὸς ἐμὲ δὲ τετάρτου. καὶ ἡ αὐτῆς θεία, πρὸς ἐκείνην μὲν τρίτου, πρὸς ἐμὲ δὲ, πέμπτου. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τῶν οὐκ ἐνδεχομένων γάρ ἐστιν, ὥσπερ τὸν ἄνδρα, οὕτω δὴ καὶ τὸν τούτου ἀδελφὸν, σάρκα λογίσασθαι μίαν μετὰ τῆς νύμφης, καὶ δι' ἐπινοίας ἐπίνοιαν συνάψαι παρὰ τὴν τοῦ νόμου δύναμιν. οἱ γὰρ ἐκ πλαγίου, πρῶτον βαθμὸν οὐκ ἔχουσιν, ἀλλ' ἐκ τοῦ δευτέρου ἄρχονται. ὁ μὲν οὖν νόμος, τὰ ἐκ τριγενείας πρώτου βαθμοῦ μόνα κεκώλυκεν, ὥσπερ εἴρηται. ἡ δὲ κρατοῦσα συνήθεια, καὶ τὰ παρὰ ταῦτα καὶ ὑπὲρ τὸν πρῶτον βαθμὸν ἐκ τριγε- F νείας ὄντα, ἀκώλυτα ἔχει.

Ο γ'. ἀκώλυτος.

Οἷον, ἔσχε τις γυναῖκα. χρόνῳ δὲ ὕστερον ἐκείνης θανούσης, τὴν γυναῖκα τοῦ θείου αὐτῆς εἰς δεύτερον ἔλαβε συνοικέσιον. ἄλλος τὴν προγόνην τοῦ γυναικαδέλφου αὐτοῦ ἔλαβεν. ἐν τούτοις γὰρ βαθμοὶ μὲν ἀναφαίνονται τρεῖς· λύονται δὲ ὅμως κατὰ τὴν συνήθειαν. ἡ μέντοι ἀκρίβεια ὥσπερ εἴπομεν τὸν τέταρτον ἐν τούτοις βαθμὸν ἀπαιτεῖ.

δεῖ γὰρ τὴν οἰκειότητα τῆς ἀγχιστείας πλαγιασθῆναι μικρὸν, καὶ τηνικαῦτα ἔσται θεμιτὸς ὁ γάμος. οἷον, ὅτι τοῦ γυναικαδέλφου μου ἡ γυνὴ προσεχῶς ᾠκείωται πρὸς τὸ μέσον γένος, ὥσπερ κἀγὼ πρὸς αὐτόν. ὁ οὖν ἡμέτερος ἀδελφὸς δύναται ταύτην ἀμέμπτως λαβεῖν θανόντος τοῦ γυναικαδέλφου μου, ἢ ἐγὼ τὴν ἐκείνης ἀδελφὴν, αὐτὴν δὲ οὐ θέμις λαβεῖν. πάλιν ἔλαβον εἰς τὴν ἀδελφήν μου γαμβρὸν οὗ τὴν ἐπ' ἀδελφῷ ποτε νύμφην αὐτὸς ἔλαβον εἰς γυναῖκα, καὶ ἔστιν ἀκώλυτον. ἐπεὶ καὶ τετάρτου βαθμοῦ εὑρίσκεται, καὶ μακρύνεται μικρὸν καὶ τῆς οἰκειότητος τοῦ μέσου γένους. τὸ γὰρ πρὸς αὐτὸ προσεχῶς συναπτόμενον πρόσωπον, ἡ ἀδελφή μου ἐστίν· ἐγὼ δὲ ἐκ πλαγίου, καὶ μικρὸν ἀποτέρω τοῦ μέσου.

Πάλιν ἐπὶ τῇ θυγατρὶ ἐγένετό μοι γαμβρός· τούτου τὴν ποτὲ νύμφην ἐπ' ἀδελφῷ λαβεῖν με εἰς γυναῖκα οὐ θέμις, ὡς προσεχῶς συναπτομένην πρὸς τὸ μέσον γένος· τὴν δὲ αὐτῆς ἀδελφὴν οὐκ ἀθέμιτον.

Ἀλλὰ καὶ γαμβρὸς καὶ γυναικάδελφος χηρεύσαντες τὴν θείαν καὶ ἀνεψιὰν οὐδαμῶς λαμβάνουσιν. οὗ δὲ τετελεύτηκεν ἡ γυνὴ, λαμβάνειν τούτῳ ἐφεῖται τὴν τοῦ συγγαμβροῦ αὐτοῦ ἀδελφήν.

Ἀλλὰ δὴ καὶ τὴν θυγατέρα τῆς διεξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικὸς, ἔτι δὲ καὶ τὴν μικρὰν θείαν τῆς προτέρας αὐτοῦ γυναικὸς, ἤτοι τὴν πρωτεξαδέλφην τῆς πενθερᾶς αὐτοῦ.

Κεκώλυται δὲ λαβεῖν τὴν θυγατέρα τῆς πρώτης ἐξαδέλφης τῆς προτέρας αὐτοῦ γυναικός.

Δύο δὲ ἀδελφῶν γυναικάδελφον καὶ γυναικαδέλφην συνάπτεσθαι θεμιτόν.

Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Λέοντος τοῦ Στυπῆ, ἐφίησι λαβεῖν γαμβρὸν καὶ γυναικάδελφον δύο ἀδελφὰς, οἷα πέμπτου γινομένου βαθμοῦ.

Τὸ δὲ αὐτὸ ψήφισμα, ἔτι δὲ καὶ τὸ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσιν.

Ὁ θεῖος καὶ γαμβρὸς ἐπ' ἀνεψιᾷ πρώτῃ δύο λαβεῖν ἀδελφὰς οὐ κωλύονται, εἰ καὶ ϛʹ. γίνεται βαθμός.

Ἀλλὰ καὶ γαμβρὸς καὶ γυναικάδελφος, δύο πρώτας ἐξαδέλφας λαβεῖν οὐ κωλύονται, εἰ καὶ ζʹ. γίνεται βαθμός.

Τὸ δὲ ψήφισμα τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι.

Ἀθέμιτα μέντοι τῶν εἰρημένων ἔνια τινὲς ἐψηφίσαντο. τὸ, τε λαβεῖν τὸν συγγαμβρὸν τὴν ἀδελφὴν ὕστερον τοῦ συγγαμβροῦ αὐτοῦ.

Ἔτι δὲ καὶ τὸν γυναικάδελφον τὴν ἐπ' ἀδελφῷ νύμφην τοῦ ἰδίου αὐτοῦ γαμβροῦ. ὥσπερ δὴ καὶ ἐκεῖνο, ὅπερ τὸν Χοῦμνον Θεσσαλονίκης ἰδίῳ ἔφημεν λῦσαι ψηφίσματι, τὸ πατέρα καὶ υἱὸν λαβεῖν μικρὰν θείαν καὶ ἀνεψιάν.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.

A Quippe neceſſitudinem affinitatis in tranſverſum non nihil oportet extendi, atque ita licitum erit matrimonium. V. g. conjux fratris uxoris meæ propinqua neceſſitudine jungitur intermedio generi, ſicut & ego ipſi. Hanc frater meus, defuncto conjugis meæ fratre, ducere citra reprehenſionem poteſt, vel ipſius ego ſororem; ſed non fas eſt ut ipſa mihi nubat. Rurſus affinem nactus ſum, ſororis meæ virum; cujus fratriam, fratri ſcilicet ipſius quondam nuptam, uxorem ipſe duco citra prohibitionem. Quoniam & quarti gradus eſſe deprehenditur, & longius aliquanto removetur à neceſſitudine generis intermedii. Quæ enim perſona pro-
B pe cum ipſo conjungitur, ſoror mea eſt: ipſe vero ſum ex tranſverſo, & paulo remotior ab intermedia perſona.

Rurſus nactus ſum generum, maritum filiæ: cujus fratriam, nuptam ſcilicet quondam ejus fratri, mihi quidem omne nefas eſt uxorem ducere, veluti prope conjunctam intermedio generi, ſororem tamen ejus licitè duco.

Quin etiam gener & uxoris frater, ſi vidui facti ſint, amitam & fratris ejus filiam nequaquam ducunt. Cujus autem defuncta eſt uxor, ei permittitur, ut uxorem ducat congeneri vel coadfinis ſui ſororem.

C

Atque etiam filiam ſobrinæ prioris uxorem, nec non prioris uxoris amitam parvam, hoc eſt, conſobrinam ſocrus ſuæ.

Verum filiam conſobrinæ prioris conjugis ducere prohibetur.

Fratrem & ſororem duarum mulierum, quæ duobus fratribus nuptæ ſunt, inter ſe copulari fas eſt.

D Sententia vero Patriarchæ Leonis Stypæ concedit, ut gener & uxoris frater ſorores duas ducant, quum gradus quintus conſtituatur.

Idem decretum, ac præterea decretum Arſenii Patriarchæ, ſtatuunt minimè prohibitum eſſe, quo minus duo fratres ducant nurum ac ſororem mariti ejus.

Patruus & maritus filiæ fratris ejus, ſorores duas ducere non prohibentur, licet gradus ſextus conſtituatur.

Quinetiam gener & frater uxoris, duas conſobrinas
E ducere non prohibentur; licet gradus ſeptimus emergat.

Michaelis autem Patriarchæ ſententia permittit, ut Joannis filia, & ejuſdem uxoris ex fratre neptis, fratribus duobus copulentur.

Nonnulli tamen quædam ex indicatis hiſce matrimoniis illicita pronunciarunt: videlicet ut congener deinceps ſororem ejus ducat, qui congener ipſius fuerit.

Ac præterea frater uxoris, ut eam ducat, quæ generi ſuo fratrem in matrimonio habeat: ſicut illud etiam, quod Epiſcopum Theſſalonicæ Chumnum ſententia
F ſua ſolviſſe diximus; videlicet ut pater & filius ducant amitam minorem, & fratris ejus filiam.

Lex.

Quippe legis verba ſunt. In nuptiis non ſolum quid permiſſum ſit, conſideramus: ſed & quid ſit honeſtum.

De Adoptione.

Et hæc quidem eſt ratio matrimoniorum ex tribus diverſis familiis. Cæterum adoptionis etiam, quæ ſucceſſionis cauſa fit, perinde rationem habendam ac conſanguinitatis, per ſacros Canones, & religioſas leges edocti ſumus: idque tum reſpectu graduum matrimonialium, tum adeundæ parentum hæreditatis.

Lex.

Legis enim hæc verba ſunt. Non poſſum vel amitam vel materteram, uxorem ducere, licet per adoptionem mihi conjunctæ ſint; quippe matrum vicem obtinent: quum ab avo ſc. adoptatæ ſint, & patri meo ſororum loco fuerint, mihi amitarum & materterarum. Nec pater, qui filium adoptavit, filii adoptivi filiam, vel neptem ducere poteſt: nec filius adoptivus, adoptivi patris uxorem, vel matrem, vel ſororem matris, vel neptem ex filio.

Quod ſi tutor, vel qui curator fuerit, adoptare voluerit maritum ejus, cujus tutelam vel curam gerit, irrita quidem eſt adoptio, non tamen nuptiæ ſolvuntur. Solvuntur autem cum quis generum ſuum adoptaverit.

Cæterum Novella xxiv. Principis Leonis, cognomine ſapientis, quum prohibet, ne qui adoptantur, cum liberis ejus, qui adoptavit, matrimonio copulentur; hæc ſubjicit. Sed olim quidem non ſecundum rationem, nunc vero quum decenti & juſta lege fiat adoptio, ſacroque ritu illi parentum, hi filiorum in locum conſtituantur, non amplius ulla reliqua ratio eſt, qua filii adoptivi cum naturalibus liberis ejus, qui adoptat, matrimonio copulentur: nec ut fratrum nomen, cum nomine conjugii ſic commutetur, ut fratrum loco generi vocentur.

Etiam Eunuchos adoptare.

Quum autem lex dicat adoptionem imitari naturam; ideoque prohibeat, ne quem eunuchi adoptent; ut eorum in poteſtate ſit: ejuſdem Principis Novella xxvi. ſtatuit, ut hoc quoque citra prohibitionem ullam fiat.

Virgines etiam adoptare.

Ejuſdem xxvii. Conſtitutio Virginibus quoque poteſtatem adoptandi concedit, & ut adoptati, tam filii familias, quam emancipati virginibus ſuccedendi jus habeant; nec ad hoc indigeant Principis reſcripto, vel actu judicum.

De ſuſceptione ex ſacro Baptiſmate.

Adoptio quæ fit per ſuſceptionem ex ſacro baptiſmate, non ad hæreditatem adeundam ſe porrigit; ſed duntaxat in gradibus matrimoniorum, ut dictum eſt, ſpectatur. Quippe Canon liii. Syn. ſextæ ait; Quoniam ſpiritualis neceſſitudo major eſt conjunctione corporum, ſtatuimus ut qui ex ſacro & ſalutari baptiſmate pueros ſuſcipiunt, & poſtea cum matribus eorum viduis in matrimonium coeunt, primum à tali contubernio abſtineant, deinde ſcortatorum quoque pœnis ſubjiciantur. Quippe qui ab hoc malo prompte non ſemet abſtinet, & confitetur, tanquam inceſtis nuptiis pollutus damnatur.

Lex.

Legis autem hæc verba ſunt. Qui è ſacro baptiſmate aliquam ſuſcepit, eam poſtea matrimonio ſibi jungere non poteſt, utpote quæ ipſius filia facta ſit. Nec item ducere poteſt matrem ejus, aut filiam: immo ne ipſius quidem filius id facere poteſt. Quippe nulla res alia

A

Περὶ υἱοθεσίας.

Καὶ οὕτω μὲν τὰ ἐκ τριγενείας. τὴν γε μὴν διαδοχῆς ἕνεκα γινομένην υἱοθεσίαν παραφυλάττειν, καθὰ δὴ καὶ τὴν ἐξ αἵματος, πρὸς τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν δεδιδάγμεθα νόμων· κατά τε τοὺς γαμικοὺς δηλαδὴ βαθμοὺς, καὶ τὴν τῶν γονέων κληρονομίαν.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, οὐ δύναμαι τὴν πρὸς πατρὸς ἢ μητρὸς θείαν λαβεῖν εἰς γυναῖκα, εἰ καὶ εἰσὶ θεταὶ, ἐπειδὴ μητέρων B τάξιν ἔχουσιν· ἥτις τυχὸν, τῷ πάππῳ μὲν υἱοθετήθη, ἀδελφῆς τε τόπον ἐπεῖχε πρὸς τὸν πατέρα, πρὸς ἐμὲ δὲ θείας. οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ τὴν ἐγγόνην, οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς γαμετὴν, ἢ τὴν μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην.

Ἐὰν δὲ ὁ ἐπίτροπος, ἢ ὁ γενόμενος κουράτωρ υἱοθετῆσαι βουληθῇ τὸν ἄνδρα τῆς ἐπιτροπευομένης ἢ κουρατορευομένης, ἢ τὸν πατέρα αὐτῆς, ἡ θέσις ἄκυρός ἐστιν, οὐ μὴν ὁ γάμος λύεται. λύεται δὲ, ἡνίκα τις τὸν ἴδιον γαμβρὸν εἰσποιήσαιτο.

C Ἡ δὲ κδʹ. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ κωλύουσα τοὺς εἰσποιουμένους πρὸς γαμικὴν ὁμιλίαν συνάπτεσθαι τοῖς τῶν εἰσποιησαμένων παισὶν, ἐπάγει· ἀλλὰ πάλαι μὲν μὴ κατὰ λόγον, νῦν δὲ κατὰ τὸν πρέποντα θεσμὸν καὶ δίκαιον τῆς υἱοθεσίας γινομένης, καὶ διὰ τελετῆς ἱερᾶς, τῶν μὲν εἰς γονέων τάξιν καθισαμένων. τῶν δὲ εἰς τὴν τῶν παίδων, οὐκέτι παραλείπεται λόγος εἰς γάμον συνάπτεσθαι τοῖς κατὰ φύσιν τοῦ εἰσποιησαμένου παισὶ τοὺς εἰσποιητοὺς παῖδας, μηδὲ τὸ τῶν ἀδελφῶν ὄνομα πρὸς τὸ τῆς συζυγίας μεθαρμόζεσθαι, ὥστε γαμβροὺς ἀντὶ ἀδελφῶν καλεῖσθαι.

Ὅτι υἱοθετοῦσι καὶ εὐνοῦχοι.

D Τοῦ δὲ νόμου λέγοντος, ὅτι ἡ θέσις μιμεῖται τὴν φύσιν, καὶ διὰ τοῦτο κωλύοντος τοὺς εὐνούχους εἰσποιεῖν τινὰ, καὶ ἔχειν αὐτὸν ὑπεξούσιον, ἡ κϛʹ. νεαρὰ τοῦ αὐτοῦ Βασιλέως ἐθέσπισε καὶ τοῦτο γίνεσθαι ἀκωλύτως.

Ὅτι υἱοθετοῦσι καὶ παρθένοι.

Ὁ δὲ κζʹ. καὶ ταῖς παρθένοις εἰσποιεῖν δίδωσι, καὶ τοὺς εἰσποιηθέντας ὑπεξουσίους ἢ αὐτεξουσίους, δίκαια κληρονομίας ἔχειν ἐπ' αὐταῖς· καὶ μὴ δεῖσθαι βασιλικοῦ ἐπιτάγματος, ἢ πράξεως δικαστῶν.

E

Περὶ τῆς ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδοχῆς.

Ἡ δὲ ἀπὸ τοῦ ἁγίου βαπτίσματος κατὰ ἀναδοχὴν γινομένη υἱοθεσία, οὐκ εἰς κληρονομίαν εἰσέρχεται, ἀλλ' εἰς τοὺς γαμικοὺς μόνους, ὡς εἴρηται, ζητεῖται βαθμούς. φησὶ γὰρ ὁ νγʹ. κανὼν τῆς ἕκτης συνόδου, ἐπειδὴ μείζων ἐστὶν ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, τοὺς τοῦ ἐκ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους· καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικῶς συναπτομένους, ὁρίζομεν ἀφίστασθαι μὲν τοῦ τοιούτου συνοικεσίου· ἔπειτα καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβάλλεσθαι. ὁ γὰρ μὴ ἑτοίμως τοῦ κακοῦ F ἀφιστάμενος, καὶ ἐξομολογούμενος, ὡς αἱμομίκτης κρίνεται.

Νόμος.

Ὁ δὲ νόμος φησὶν, ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματος τινὰ δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς ἤδη γενομένην αὐτοῦ θυγατέρα. οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ. ἐπεὶ οὐδὲν ἄλλο δύναται οὕτως εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ Θεοῦ μεσιτεύοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται. A

Ισχυρίζονται τοίνυν τινὲς, ὡς ἐπεὶ ἀπὸ τοῦ κανόνος, καὶ ἀπὸ τοῦ νόμου, μείζων ἡ πνευματικὴ τῆς κατὰ σάρκα συγγενείας ὁρίζεται, χρῆναι τοὺς ταύτῃ συνδεδεμένους παρατηρεῖν τοὺς κεκωλυμένους βαθμοὺς ἄχρι τοῦ ἑβδόμου, ὅσους δηλαδὴ καὶ εἰς τὴν καθ' αἷμα συγγένειαν. τοῖς δὲ πλείοσι τοῦτο οὐκ ἔδοξεν, ἀλλὰ μόνα τὰ τῷ ῥηθέντι νόμῳ περιεχόμενα κωλύεσθαι πρόσωπα.

B Οἱ μέν τοι βαθμοὶ τῆς ἐξ υἱοθεσίας ἀμφοτέρας, ἐνηλλαγμένως ἀριθμοῦνται πρὸς τοὺς βαθμοὺς τῶν ἐξ αἵματος. ἐκεῖ μὲν γὰρ ὁ πατὴρ πρὸς πάντας τοὺς ἀδελφοὺς, πρώτου πάντως ὑπάρχει βαθμοῦ· ἐνταῦθα δὲ ὁ πνευματικὸς οὗτος πατὴρ πρὸς μὲν τὸν παῖδα ὃν εἰσεποιήσατο πρώτου ἐστὶ βαθμοῦ· πρὸς δὲ τὸν σαρκικὸν τοῦ παιδὸς πατέρα δευτέρου. ἀδελφὸς γὰρ αὐτοῦ λογίζεται. πρὸς δὲ τοὺς αὐταδέλφους τοῦ πνευματικοῦ υἱοῦ αὐτοῦ, τρίτου. οὐ γὰρ κἀκείνους ἔσχεν υἱούς· ὁ υἱὸς δὲ πρὸς τοὺς σαρκικοὺς ἀδελφοὺς αὐτοῦ, δευτέρου, καὶ πρὸς τὸν σαρκικὸν αὐτοῦ πατέρα, πρώτου· ὥσπερ καὶ πρὸς τὸν πνευματικόν.

C

Διὰ τοῦτο ἔξεστι τῷ βουλομένῳ λαβεῖν εἰς γυναῖκα τὴν τοῦ συντέκνου αὐτοῦ ἀδελφήν.

Ο δὲ τὸν υἱὸν αὐτοῦ ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδεχόμενος, τῆς γυναικὸς αὐτοῦ διαζεύγνυται.

Περὶ τῶν κεκωλυμένων γάμων καὶ χωρὶς συγγενείας.

Ἐστι δ' ὅτε καὶ χωρὶς συγγενείας ὁποιασοῦν τῶν εἰρημένων πάντων συγγενειῶν, κωλύεται τὸ συνάλλαγμα. οἷον ὁ κατηγορηθεὶς μοιχὸς, εἰ καὶ μὴ περιφανῶς ἀπηλέγχθη, οὐ δύναται ταύτην εἰς γυναῖκα λαβεῖν. οὐδὲ ὁ ἀπελεύθερος, τὴν D γυναῖκα τοῦ πάτρωνος αὐτοῦ μετὰ τὸν ἐκείνου θάνατον. δίδωσι γὰρ ὑποψίαν ὅτι καὶ ζῶντος ἐκείνου ταύτην μοιχεύων ἦν.

Περὶ ἐπιτρόπου καὶ ἀφηλίκων.

Οὐδὲ ὁ ἐπίτροπος τὴν ὀρφανὴν ἢ ὁ υἱὸς αὐτοῦ πρὸ τοῦ λυθῆναι τὴν ἐπιτροπήν. λύεται δὲ ἡ ἐπιτροπὴ τὸν τριακοστὸν χρόνον. πέντε γὰρ καὶ εἴκοσι χρόνοι εἰσὶ τῆς ἐνηλικιώσεως, καὶ τέσσαρες τῆς ἀποκαταστάσεως, καὶ τῇ ἀρχῇ τοῦ τριακοστοῦ χρόνου αὐτίκα ἡ ἐνοχὴ τοῦ ἐπιτρόπου λύεται· καὶ ἔχει ἄδειαν ἐξ ἐκείνου συζυγῆναι τῇ ἐπιτροπευομένῃ, πρὸ E τούτου δὲ οὐδαμῶς.

Η δὲ μήτηρ τῆς ἐπιτροπευθείσης δύναται καὶ πρὸ τούτου τῷ ἐπιτρόπῳ τῆς θυγατρὸς αὐτῆς γαμηθῆναι.

Ἐπεὶ δὲ ἁπλῶς καὶ οἱ οἰκειακοὶ ὑποχείριοι, εἰ καὶ μὴ εἰσὶ δοῦλοι ἢ ἐγένοντό ποτε, τάξιν ἀπελευθέρου ἔχουσιν, οὐδὲ οὗτοι μετὰ θάνατον τῶν ἰδίων δεσποτῶν, καὶ τὰς ἐκείνων λαμβάνειν δύνανται γαμετάς· ἵνα μὴ δοῖεν προλαβούσης μοιχείας ὑπόνοιαν.

Οὐδὲ ὁ σκηνικὸς, ἤτοι ὁ δημόσιος παιγνιώτης, ἢ ὁ τούτου υἱὸς συγκλητικοῦ θυγατέρα δύναται λαβεῖν. F

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, ὅτι ἐν τοῖς γάμοις, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ ζητεῖν.

Ἐπὶ μὲν γὰρ τῶν ἐξ αἵματος, καὶ τῶν τοῦ ἁγίου βαπτίσματος, καὶ τῶν ἐξ υἱοθεσίας βαθμοὺς δέον ζητεῖν, καὶ τὰ ὑπὲρ τὸν ζ. τούτοις ἀκώλυτα. ἐπὶ δὲ τῶν ἐξ ἀγχιστείας καὶ τῆς ἐκ τριγενείας τὰ ῥητῶς κωλυθέντα ἢ σύγχυσιν ἔχοντα φυλάττεσθαι χρή· ἐπὶ δὲ τῶν ἔξω συγγενείας τὸ εὐπρεπές.

ſic paternam affectionem inducere poteſt, & juſtam nuptiarum prohibitionem, ut hujuſmodi nexus, per quem Deo mediante animæ eorum copulantur.

Affirmant igitur aliqui, quod cum tam ex Canone, quam lege, major eſſe illa ſpiritualis, quam carnalis cognatio ſtatuatur; obſervare debeant hac colligati prohibitos gradus, uſque ad ſeptimum: tot ſcilicet numero, quot etiam in conſanguinitate ſoleant obſervari. Verum pluribus hoc minimè viſum eſt, ſed ad eas duntaxat perſonas prohibitionem pertinere, quæ dicta lege continentur.

Cæterum gradus utriuſque adoptionis diverſo cum illis modo numerantur, qui ſunt in conſanguinitate. Nam ubi pater erga fratres univerſos, omnino gradu primo eſt: hic vero pater iſte ſpiritualis erga filium, quem adoptavit, gradu eſt primo: ſed erga carnalem ejus filii patrem, ſecundo, quippe frater ejus eſſe dicitur. Erga fratres autem germanos filii ſui ſpiritualis gradu tertio cenſetur. Non enim illos quoque filios habuit. Filius autem erga fratres ſuos carnales gradu ſecundo eſt: & erga patrem ſuum carnalem, primo; ſicut etiam erga patrem ſpiritualem.

Idcirco licet ei, qui vult, uxorem ducere compatris ſui ſororem.

Qui vero filium ſuum ex ſacro baptiſmate ſuſcipit, ab uxore ſua ſeparatur.

De Nuptiis quæ prohibentur etiam citra cognationem.

Nonnunquam etiam citra neceſſitudinem ullam indicatarum omnium cognationum, matrimonium prohibetur. V. g. qui accuſatus eſt adulterii, licet manifeſto non ſit convictus, nequit eam mulierem uxorem ducere. Nec libertus uxorem patroni ſui ducit, poſt ejus mortem. Præbet enim ſuſpicionem, quod etiam illo vivo commiſerit in eam adulterium.

De Tutore & Minoribus.

Nec tutor pupillam prius ducit uxorem, vel filius ejus, quam tutela ſive curatio perimatur. Perimitur autem trigeſimo anno. Quippe XXV. anni ſunt ætatis adultæ, quatuor in integrum reſtitutionis, & principio trigeſimi ſtatim obligatio curatoris perimitur, ut poteſtatem ex eo tempore habeat cum ea ſe copulandi, cujus eſt curator; antea vero nequaquam.

Mater autem ejus, cujus negotia geruntur, poteſt ante hoc etiam tempus curatori filiæ ſuæ nubere.

Quia vero ſimpliciter domeſtici, qui ſunt in poteſtate, licet ſervi non ſint, nec aliquando fuerint, loco libertorum ſunt: ne hi quidem poſt mortem dominorum ſuorum uxores eorum ducere poſſunt, ne ſuſpicionem adulterii præbeant, quod præceſſerit.

Nec Scenicus, hoc eſt, qui artem ludicram publicè facit, aut filius ejus, Senatoris filiam ducere poteſt.

Lex.

Legis enim verba ſunt. In nuptiis non ſolum quid permiſſum ſit, ſed & quid honeſtum conſiderandum eſt.

Nam in conſanguinitate, & ſuſceptione ex ſacro baptiſmate, & adoptione, gradus conſiderandi ſunt, & matrimonia gradum in his excedentia ſeptimum prohibitione carent. In affinitate, triumque generum copulatione, quæ diſertè prohibita ſunt, vel confuſionem continent, caveri debent. In iis, quæ extra cognationem poſita ſunt, decori & honeſti habenda ratio.

A

Leges.

Cæterum quæ nefarias contraxit nuptias, ſolvere matrimonium poteſt, & alii deinceps nubere.

Qui autem ex prohibitis nuptiis procreantur liberi, nec ſpuriorum appellationem conſequuntur, nec ullis in bonis patri ſuo ſuccedunt.

Qui cum muliere libera, quæ corpore quæſtum non fecerit, conſuetudinem habet; non concubinam, ſed uxorem habere videtur.

Poteſt curator matrimonio copulare filiam ſuam ei cujus curator eſt: at filium ſuum cum ea copulare, cujus negotia gerit, abſque juſſu Principis nequit. Nam infamia notatur.

Nec pater tutoris, nec frater ejus, qui adhuc eſt in poteſtate, pupillam ducere poteſt.

Uxores eorum qui elugentur, intra tempus luctus nubere vetantur; niſi juſſu Principis. At eorum conjuges, qui lugeri non ſolent, hoc eſt, qui majeſtatis damnati ſunt, non prohibentur.

Quæ luctus tempore uterum gerit, adhuc prohibetur ad alias tranſire nuptias. Quæ verò intra tempus luctus partum edidit, non prohibetur. Nam duas ob cauſas legitimum luctus tempus eſt conſtitutum, ne videlicet ſeminis fiat confuſio, ac propter honorem, qui marito debetur: quarum hæc ſolvitur per partum, altera non adhuc, propter reverentiam & honorem qui marito debetur. Igitur eorum uxores, qui non digni ſunt, ut lugeantur, propterea quod in publica forte crimina lapſi ſint, poſt partum etiam intra tempus luctus nubere non prohibentur.

Quæ ante finitum luctus tempus ad ſecundas nuptias convolat mulier, infamia notatur, & nullum ex priori matrimonio lucrum capit, nec ultra tertiam partem patrimonii ſui dare ſecundo marito poteſt, quum videlicet liberos nullos habet.

Si poſt obitum mariti mulier undecimo menſe partum ediderit, factum hoc mera ſcortatio eſt, & ipſa pœnis eiſdem obnoxia eſt, quibus ea, quæ circa tempus luctus nuptias ſecundas contrahit: quod nimirum tam dotalibus, quam omnibus aliis mariti bonis excidat.

Νόμοι.

Ἡ οὖν παρανόμως γαμηθεῖσα, δύναται διαλύειν τὸν γάμον, καὶ γαμεῖσθαι ἄλλῳ ὕστερον.

Οἱ δὲ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι παῖδες, οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας, οὐδὲ διαδέχονται κατά τινα τὸν ἴδιον πατέρα.

Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ.

B

Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατορευομένῳ ὑπ' αὐτοῦ· τὸν δὲ υἱὸν αὐτοῦ τῇ κουρατορευομένῃ οὐ δύναται χωρὶς βασιλικῆς κελεύσεως· ἐπεὶ ἀτιμοῦται.

Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς, δύναται γαμεῖν τὴν ὀρφανήν.

Αἱ τῶν πενθουμένων γαμεταὶ, κωλύονται ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖσθαι, εἰ μὴ κατὰ κέλευσιν βασιλέως. αἱ δὲ τῶν μὴ πενθουμένων, ἤγουν τῶν ἐπὶ καθοσιώσει καταδικασθέντων, οὐ κωλύονται.

C

Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα κυήσασα, ἔτι κωλύεται γάμῳ προσελθεῖν. ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα, οὐ κωλύεται. κατὰ δύο γὰρ αἰτίας ὁ πένθιμος ἐτυπώθη καιρὸς, διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην τοῖς ἀνδράσι τιμήν· ὧν ἡ μὲν μία λύεται διὰ τοῦ τόκου· ἡ δὲ ἑτέρα, οὐκ ἔτι, διὰ τὴν ὀφειλομένην αἰδῶ καὶ τιμὴν τῷ ἀνδρί. αἱ οὖν γυναῖκες τῶν μὴ ἀξίων πενθεῖσθαι, διὰ τὸ εἰς δημόσια τυχὸν περιπεσεῖν ἐγκλήματα, μετὰ τὸν τόκον οὐ κωλύονται καὶ ἐν τῷ πενθίμῳ γαμεῖσθαι.

D

Ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμοῦσα γυνὴ ἀτιμοῦται, μηδὲν ἐκ τοῦ πρώτου γάμου κερδαίνουσα, καὶ μηδὲν πλέον τοῦ τρίτου μέρους τῆς ἰδίας οὐσίας δοῦναι δυναμένη τῷ δευτέρῳ ἀνδρὶ, ὅτι παῖδας δηλαδὴ οὐκ ἔχει.

Ἐὰν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν, περὶ τὸν ἑνδέκατον μῆνα τέκῃ ἡ γυνὴ, πορνεία ἐστὶ τὸ γεγονὸς, καὶ τοῖς αὐτοῖς ἐπιτιμίοις ἐνέχεται, οἷς ἡ περὶ τὸν πένθιμον χρόνον δευτερογαμοῦσα· ἐκπίπτουσα δηλονότι τῆς τε προικῴας καὶ πάσης ἀνδρῴας ὑποστάσεως.

E

CAPUT IX.

De his, qui abominantur legitimas nuptias, vinum, carnem, & alia.

Canon li. ſanctorum Apoſt. Epiſcopus, inquit, aut Presbyter, aut alius quiſpiam ex Clero, qui non exercitationis & continentiæ cauſa, ſed abominationis abſtinet à matrimonio, & carnibus, & vino, Deum oblitus hominem feciſſe maſculum & fœminam, atque omnia facta eſſe valde bona, quique maledicendo criminatur opificium Dei, vel corrigatur, vel abdicetur, & ab Eccleſia longiſſimè removeatur, velut qui rectis ejus decretis adverſetur. Quod ſi Laicus in eadem ſententia ſit, ab Eccleſia ſegregetur. Quippe nulla res divinitus facta, mala eſt; ſed abuſus rerum nocet. Quod ſi hæc mali cauſa forent, non eſſent à Deo condita. Quare qui Dei criminatur opera, maledicentiam ſuam ad ipſum creatorem extendit.

ΚΕΦ. θ'.

Περὶ τῶν βδελυττομένων τοὺς ἐννόμους γάμους, τὸν οἶνον, τὰ κρέα, καὶ ἕτερα.

Ὁ τῶν ἁγίων ἀποστόλων να'. κανὼν, ἐπίσκοπός φησιν, ἢ πρεσβύτερος, ἢ ἄλλος τοῦ κλήρου, ὁ μὴ δι' ἄσκησιν καὶ ἐγκράτειαν, ἀλλ' ὡς βδελυκτῶν ἀπεχόμενος, γάμου τε καὶ κρεῶν καὶ οἴνου, ἐπιλελησμένος ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, καὶ ὅτι πάντα καλὰ λίαν, καὶ βλασφημῶν διαβάλλει τοῦ Θεοῦ τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς ἐκκλησίας ὡς πορρωτάτω γινέσθω, ὡς ἀπεναντίας τοῖς ὀρθοῖς ταύτης ἱστάμενος δόγμασιν· εἰ δὲ καὶ λαϊκὸς ταῦτα φρονῶν εἴη, τῆς ἐκκλησίας ἀφοριζέσθω. οὐδὲν γὰρ τῶν παρὰ θεοῦ γινομένων κακὸν, ἀλλ' ἡ τούτων παράχρησις βλαβερόν. εἰ δὲ κακίας ταῦτα αἴτια ἦν, οὐκ ἂν παρήχθησαν παρὰ τοῦ θεοῦ. ὥστε ὁ τὰ τοῦ θεοῦ διαβάλλων ποιήματα, εἰς τὸν ποιήσαντα τὴν βλασφημίαν ἐκτείνει.

F

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ πρῶτος, τῷ ἀναθέματι παραπέμπει, ὃς ἀκάθαρτον εἶναι τὸν νόμιμον γάμον ἡγεῖται, καὶ τὴν ἀνδρὶ συνεζευγμένην κοσμίαν γυναῖκα καὶ σώφρονα βδελυσσόμενος, διὰ τὴν πρὸς τὸν σύνευνον ὁμιλίαν, ἅτε μὴ δυναμένην ἐντεῦθεν τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν. φησὶ γὰρ ὁ ἀπόστολος, τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. καὶ αὖθις, ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, ἐν ὑποκρίσει ψευδολόγων καὶ κεκαυτηριασμένων τὴν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι καὶ βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν.

Ταύτην καὶ ὁ τέταρτος τὴν δίκην ἐπανατείνεται τῷ διακρινομένῳ καὶ μὴ μεταλαβεῖν ἀνεχομένῳ παρὰ πρεσβυτέρου γεγαμηκότος, τὴν ἱερὰν τελέσαντος λειτουργίαν, οἷα τὸν τίμιον γάμον βδελυσσομένῳ.

Τούτῳ καὶ ὁ ιβʹ. ὑπάγεσθαι κελεύει τῷ ἀναθέματι τὴν τοῦ ἰδίου ἀνδρὸς ἀναχωροῦσαν γυναῖκα, οἷα βδελυκτὸν τὸν γάμον νομίζουσαν. ὁ γάρ τοι ἀπόστολος, μὴ ἀποστερεῖτε, φησὶν, ἀλλήλους, εἰ μή τι ἐκ συμφώνου ἂν γένηται. καὶ αὖθις, ἡ γυνὴ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. εἰ δέ που δι' ἔφεσιν τοῦ μονήρους βίου τὴν ἀναχώρησιν ἕλοιτο, ἀνεπίκλητος.

Ταύτῃ καὶ ὁ θʹ. τῇ δίκῃ δίδωσι τὸν παρθενίαν μετιόντα, καὶ τοῦ βίου ἀναχωρήσαντα, ἅτε τὸν γάμον βδελυσσόμενον, καὶ μὴ δι' αὐτὸ τὸ τῆς παρθενίας καλὸν καὶ σεβάσμιον.

Ὁ δὲ νγʹ. τῶν ἁγίων ἀποστόλων, οὐ δεῖ, φησιν, ἐν ταῖς τῶν ἑορτῶν ἡμέραις, σαββάτου τυχὸν, καὶ κυριακῆς, ἢ οἱασδηποτοῦν ἑτέρας, οἴνου καὶ κρεῶν, ὡς βδελυγμένων, ἀπέχεσθαι. ὁ δὲ οὕτω καὶ φρονῶν καὶ ποιῶν, ὡς τὴν ἰδίαν κεκαυτηριασμένος συνείδησιν, καὶ σκανδάλου τοῖς πολλοῖς γινόμενος αἴτιος, εἰ μὲν τοῦ κλήρου εἴη, καθαιρείσθω, εἰ δὲ τοῦ λαοῦ, ἀφοριζέσθω. εἰ μή πού τις ἐν ἀφωρισμέναις ἡμερῶν περιόδοις ἀσκῶν, ἐξ ἴσης ταῖς ἄλλαις, κἂν τῷ σαββάτῳ καὶ τῇ κυριακῇ τηρήσειε τὴν ἐγκράτειαν.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιδʹ. τοῖς τῶν κρεῶν ἀπεχομένοις δι' ἄσκησιν, γεύεσθαι μόνον ἐπὶ τῶν συνάξεων παρεγγυᾶται. καὶ οὕτως εἰ βούλοιντο τὴν τούτων ἐδωδὴν μὴ προσίεσθαι, ἀλλά γε τῶν συνεψομένων τούτοις λαχάνων, μὴ ἀπαναίνεσθαι τὴν μετάληψιν. ὡς ἂν ἐντεῦθεν πᾶσαν πρόφασιν σκανδάλου περιέλωσιν τῶν οἰομένων τούτους διὰ βδελυρίαν τῶν τοιούτων ἀπέχεσθαι. καὶ οὐχ ἥκιστα τούτοις ἑστιᾶσθαι προσῆκε κατ' ἐκείνας τῶν ἡμερῶν, ἡνίκα τῶν αἱρετικῶν ἔνιοι νηστεύειν ἀπὸ τούτων εἰώθασιν, ὥστ' ἂν μὴ συμβαίνειν δόξαιεν τῷ ἐκείνων φρονήματι. καὶ μάλιστα εἰ τύχοιεν ἐπιχωριάζοντες πόλει, τῷ πλείστῳ γε μέρει τοιαῦτα νοσούσῃ. εἰ δὲ μὴ ὑπείκοιεν τῷ κανόνι, κληρικοὺς μὲν ὄντας, τῆς ἱερωσύνης ἀπογυμνοῖ, λαϊκοὺς δὲ, ἀφορίζει.

Τῶν δὲ Λατίνων οἱ μοναχοὶ, τῶν μὲν κρεῶν ἀπεχόμενοι, τὸ δὲ στέαρ τούτων μετὰ λαχάνων ἀδιαφόρως ἐσθίοντες, οὔ μοι δοκοῦσι τοῦ παρόντος μέλλειν αὐτοὺς κανόνος· οὐ γὰρ ἵνα σκανδάλων περιέλωσιν, ἀλλ' ἵνα τὴν γαστέρα ἐμπλήσωσι τοῦτο δρῶσι σαφῶς.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ κηʹ. κανόνι, γελοῖον ἡγεῖται τὸ εὔξασθαι τινὰ ὑείων κρεῶν ἀπέχεσθαι· ὅθεν καὶ τὴν ἐπαγγελίαν ἀθετεῖσθαι κελεύει, καὶ τὴν χρῆσιν τῶν κρεῶν ἀδιάφορον ἔχειν. (οὐδὲν γὰρ κτίσμα θεοῦ ἀπόβλητον μετ' εὐχαριστείας λαμβανόμενον) καὶ τοῦ λοιποῦ τῶν ἀπαιδεύτων ἀπαγγελιῶν ὡς καταγελάστων ἀπέχεσθαι.

Ἐν δὲ μιᾷ τῶν παρὰ τὸν ἅγιον Ἀμφιλόχιον ἐπιστολῶν, φησι, τοῖς δὲ κομψοῖς ἐγκρατευταῖς, πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διατί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνα λεγέσθω.

A Primus autem Canon Concilii Gangrenſis anathemati addicit eum, qui legitimas nuptias impuras eſſe putat, & cum marito copulatam honeſtam & caſtam uxorem abominatur propter conſuetudinem cum tori conſorte, quaſi quæ propterea regnum cœleſte conſequi nequeat. Dicit enim Apoſtolus; Honorabile conjugium in omnibus, & lectus impollutus. Ac rurſum, Poſterioribus temporibus deſciſcent quidam à fide per hypocriſin falſiloquorum, quorum conſcientia cauterio reciſa eſt, prohibentium contrahere matrimonium, & abſtinere (jubentium) cibis, quos Deus creavit ad participandum.

B Eandem pœnam iv. etiam Canon irrogat ei, qui examinans ambigit, nec participare ſuſtinet à Presbytero cum uxore copulato, qui miniſterium ſacrum obierit, quaſi nuptias honorabiles abominetur.

Eidem anathemati Canon etiam xii. ſubjici præcipit eam mulierem, quæ à marito ſuo ſecedit, quaſi quæ matrimonium putet eſſe rem abominabilem. Enimvero Apoſtolus: Ne fraudate, inquit, alius alium: niſi ſi quid ex conſenſu factum fuerit. Et rurſum: Uxor proprium corpus non habet in poteſtate, ſed vir. Quod ſi deſiderio vitæ ſolitariæ ſeceſſionem amplectatur, reprehendi non debet. C

Eidem pœnæ ix. etiam Canon tradit eum, qui virginitatem colit, & à vitæ conſortio ſeceſſit, matrimonii abominandi cauſa, non propter ipſum virginitatis bonum & venerationem.

Tertius autem & quinquageſimus ſanct. Apoſt. Can. Diebus, inquit, feſtis, ſabbato putà, & Dominica, vel alia quacunque, non abſtinendum à vino & carnibus, tanquam rebus abominandis. Quod ſi quis ita ſentit & facit, quaſi cui cauterio reciſa ſit conſcientia, & qui ſcandali compluribus cauſam præbeat, ſi quidem D ex Clero fuerit, deponatur, ſin ex populo, ſegregetur: niſi forte quiſpiam determinato dierum ambitu ſemet exercens, itidem ut aliis diebus, etiam in ſabbato & Dominica ſervavit abſtinentiam.

Canon verò xiiii. Ancyranæ Syn. præcepit iis, qui abſtinent à carnibus exercitationis cauſa, duntaxat ut eas in conventibus publicis deguſtent, atque ita ſi manducationem eorum admittere nolunt, ſaltem olerum cum eis coctorum perceptionem non recuſent: ut hac ratione omnem ſcandali occaſionem adimant iis, qui putant ipſos abominationis cauſa carnibus abſtinere. Et quidem imprimis eos veſci carnibus convenit iis diebus, E quibus hæretici quidem per jejunium ab eis abſtinere ſolent: ne cum eis conſentire videantur. Præſertim ſi forte degant in urbe, cujus maxima pars hoc morbo laboret. Quod ſi Canoni non obtemperent, & Clerici ſint, eos Sacerdotio ſpoliat; Laicos autem ſegregat.

Verum Monachi inter Latinos, à carnibus quidem abſtinentes, eorum autem pinguedinem cum oleribus indiſcriminatim comedentes, mihi non videntur præſentis Canonis curam gerere; id enim planè faciunt, non ut ſcandalum auferant, ſed ut ventrem impleant.

F Magnus autem Baſilius in xxviii. Canone, ridiculum ducit vovere aliquem à porcinis carnibus abſtinere: unde & promiſſum irritum facere jubet, & carnium uſum indifferentem habere (nulla enim Dei creatura rejicienda eſt, ſi cum gratiarum actione accipiatur,) & in poſterum ab ineptis promiſſis ut ridiculoſis abſtinere.

In una autem ex Epiſt. ad S. Amphiloch. inquit, Egregiis autem Encratitis ad præclaram eorum objectionem, cur nos quoque non omnia comedimus, illud dicatur, quod mirum non eſt, ſi ab aliquibus abſtinemus, quoniam noſtra etiam excrementa abominamur. Dignitate enim olera à carnibus nihil differunt; quod autem attinet ad eorum quæ ſunt utilia diſcretionem, ſicut & in oleribus id quod eſt noxium ab utili ſeparamus, ita in carnibus quod noxium eſt ab utili diſcernimus. Nam olus quidem eſt cicuta, quemadmodum & vulturina caro eſt caro, tamen nec hyoſcyamum comederit quis mentis compos, nec vulturem attigerit, niſi magnâ urgente neceſſitate. Quamobrem qui comedit non iniquè egit.

Canon autem ii. Syn. Gangr. eum, qui carnem, præter ſanguinem, ſuffocatum, & idolothytum, cum pietate & fide comedentem condemnat, tanquam quod eâ veſcatur ſpem non habeat, anathemate ferit.

Quin & xii. eum qui craſſa veſtimenta induit, & eos qui veſte conſueta utuntur, aut ex ſerico contextas cum pietate induunt, non propter mollitiem vel arrogantiam, abominatur, anathemati tradit.

Eandem etiam pœnam, v. Canon contra eum decernit, qui domum Dei contemptui habet, & à conventibus in eâ habitis abhorret. Beatus quidem Paulus in omni loco precari jubet, ſed non conventus contemnere, & templa non adire.

Canon autem xx. eos qui arroganti mente conventus, & à ſacris illic, ubi martyrum reliquiæ reponuntur, celebratis abhorret, anathemate ferit. Quære etiam Can. xvi. hujus Syn. in iii. cap. lit. A.

CAPUT X.

De vi & potentia.

Quære duodecimum caput literæ A.

CAPUT XI.

De genuinis & ſpuriis ſacræ Scripturæ libris.

CANON lxxxv. Sanct. Apoſt. hi, inquit, libri ab omnibus Clericis & Laicis ſummo in honore haberi debent. Veteris quidem Teſtamenti, quinque Moſaici qui inſcripti ſunt, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium. Jeſu filii Nave unus, Judicum unus, Ruth unus, Regnorum quatuor, Paralipomenon ſive derelictorum libri dierum duo, Eſdræ duo, Eſther unus, Maccabæorum tres, Job unus, Pſalterii unus, Solomonis tres, Proverbia, Eccleſiaſtices, Canticum canticorum. Prophetarum xii. Eſaiæ unus, Jeremiæ unus, Iezechielis unus, Danielis unus. Extrinſecus autem intelligatur ab Adoleſcentibus ſapientia eruditiſſimi Sirach. Novi autem Teſtamenti, Evangelia quatuor, Matthæi, Marci, Lucæ, Joannis. Pauli Epiſtolæ xiv. ſcilicet ad Romanos una, ad Corinthios duæ, ad Galatas una, ad Epheſios una, ad Philippenſes una, ad Coloſſenſes una, ad Theſſalonicenſes duæ, ad Hebræos una, ad Timotheum duæ, ad Titum una, Epiſtolæ Catholicæ vii. ſc. Petri duæ, Jacobi una, Joannis tres, Judæ una; duas autem quas addit Epiſtolas Clementis, & Conſtitutiones Apoſtolicas ab eo elaboratas, ſecundus poſtea vi. Syn. Canon ut adulterinas, & ab hæreticis falſo inſcriptas abrogavit.

Eandem librorum enumerationem Canon etiam lx. Syn. Laodic. abſque aliqua mutatione facit; niſi quod nulla facta ſit mentio Epiſt. & conſtitutionum Clementis.

A ὅτι οὐδὲν θαυμαστὸν, εἰ τινῶν ἀπεχόμεθα, ἐπειδὴ καὶ τὰ περιττώματα ἡμῶν βδελυττόμεθα. κατὰ μὲν γὰρ τὴν ἀξίαν οὐδὲν διενήνοχε λαχάνων χόρτου τὰ κρέα, κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν τοῖς λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι, τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. ἐπεὶ λάχανόν ἐστι τὸ κώνειον, ὥσπερ κρέας τὸ γύπειον· ἀλλ᾽ ὅμως, οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε γυπὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης. ὥστε ὁ φαγὼν οὐκ ἠνόμησεν.

B Ὁ δὲ τῆς ἐν Γάγγρᾳ συνόδου δεύτερος, ἀνάθεμα καταψηφίζεται, τοῦ κατακρίνοντος τὸν μεταλαμβάνοντα κρεῶν μετ᾽ εὐλαβείας καὶ πίστεως, χωρὶς αἵματος, καὶ πνικτοῦ, καὶ εἰδωλοθύτου, ὡς ἂν διὰ τὴν τούτων μετάληψιν ἐλπίδα σωτηρίας μὴ ἔχοντα.

Ἀλλὰ καὶ ὁ ιβ΄. τὸν ἁδρὰ περιβεβλημένον ἱμάτια, καὶ βδελυττόμενον τοὺς τῇ ἐν συνηθείᾳ κεχρημένους ἐσθῆτι, ἢ σηρικὰ ἐννημένους μετ᾽ εὐλαβείας, καὶ μὴ διὰ βλακείαν ἢ ἔπαρσιν, τῷ ἀναθέματι δίδωσιν.

Ταύτην καὶ ὁ ε΄. ἐπάγει κρίνων τὴν δίκην, τῷ ἐν καταφρονήσει τὸν οἶκον τοῦ θεοῦ τιθεμένῳ, καὶ τὰς ἐν αὐτῷ C βδελυττομένῳ συνάξεις. ἐν παντὶ μὲν γὰρ τόπῳ ὁ μακάριος εὔχεσθαι κελεύει Παῦλος, ἀλλ᾽ οὐχ ὥστε καταφρονεῖν τῶν συνάξεων, καὶ τοῖς ἱεροῖς μὴ προσιέναι.

Ὁ δὲ κ΄. καὶ τοὺς ὑπερηφάνῳ φρονήματι βδελυσσομένους τὰς τελουμένας συνάξεις καὶ λειτουργίας ἔνθα μαρτύρων τεθησαύρισται λείψανα τῷ ἀναθέματι καταδικάζει. Ζήτει καὶ τὸν ιϛ΄. ταύτης ἐν γ΄. κεφαλαίῳ τοῦ Α. στοιχείου.

ΚΕΦ. ι΄.

Περὶ βίας καὶ δυναστείας.

D Ζήτει ιβ΄. κεφάλαιον τοῦ Α. στοιχείου.

ΚΕΦ. ια΄.

Περὶ βιβλίων τῆς θείας γραφῆς γνησίων καὶ νόθων.

Ὁ πε΄. τῶν ἁγίων ἀποστόλων κανὼν, ταῦτά φησι τὰ βιβλία διαφερόντως πρεσβεύειν χρὴ σύμπαντας κληρικούς τε καὶ λαϊκούς. τῆς μὲν παλαιᾶς διαθήκης, τὰ πέντε Μωσαϊκὰ, ὧν αἱ κλήσεις τῶν ἐπιγραφῶν. Γένεσις. Ἔξοδος. Λευϊτικόν. Ἀριθμοί. Δευτερονόμιον. Ἰησοῦ υἱοῦ Ναυῆ, ἕν. E Κριτῶν, ἕν. Ῥοὺθ, ἕν. Βασιλειῶν, δ΄. Παραλειπομένων τοῦ βιβλίου τῶν ἡμερῶν, δύο. Ἔσδρα, δύο. Ἐσθὴρ, ἕν. Μακκαβαίων, τρία. Ἰὼβ, ἕν. Ψαλτήριον, ἕν. Σολομῶντος, τρία. Παροιμίαι. Ἐκκλησιαστικήν. ᾎσμα ᾀσμάτων. Προφητῶν, ιβ΄. Ἠσαΐου, ἕν. Ἱερεμίου, ἕν. Ἰεζεκιὴλ, ἕν. Δανιὴλ, ἕν. Ἔξωθεν δὲ προσιστορείσθω καὶ τοῖς νέοις καὶ ἡ τοῦ πολυμαθοῦς σοφία Σιράχ. τῆς καινῆς δὲ Διαθήκης, Εὐαγγέλια, δ΄. Ματθαίου. Μάρκου. Λουκᾶ. Ἰωάννου. Παύλου ἐπιστολαὶ, ιδ΄. ἤτοι, πρὸς Ῥωμαίους, α΄. πρὸς Κορινθίους, β΄. πρὸς Γαλάτας, α΄. πρὸς Ἐφεσίους, α΄. πρὸς Φιλιππησίους, α΄. πρὸς Κολοσσαεῖς α΄. πρὸς Θεσσαλονικεῖς, β΄. πρὸς F Ἑβραίους, α΄. πρὸς Τιμόθεον, β΄. πρὸς Τίτον, α΄. Ἐπιστολαὶ, ζ΄. ἤγουν, Πέτρου, β΄. Ἰακώβου, α΄. Ἰωάννου, γ΄. Ἰούδα, α΄. ἃς δὲ προστίθησι διὰ τοῦ Κλήμεντος δύο ἐπιστολὰς, καὶ τὰς πονηθείσας τούτῳ διατάξεις τῶν ἀποστόλων ὕστερον ὁ τῆς ϛ΄. συνόδου δεύτερος κανὼν διέγραψεν, ὡς πολὺ τὸ νόθον πρὸς τῶν αἱρετικῶν καὶ παρέγγραπτον δεξαμένας.

Τοιαύτην ἀπαραλλάκτως τῶν βιβλίων ποιεῖται τὴν ἀπαρίθμησιν καὶ ὁ ξ΄. τῆς ἐν Λαοδικείᾳ κανὼν ἄνευ τῶν διὰ τοῦ Κλήμεντος ἐπιστολῶν τε καὶ διατάξεων.

Ἀριθμεῖ δὲ ταῦτα, καὶ ὁ κζʹ. τῆς ἐν Καρθαγένῃ, καὶ A τῶν κανονικῶν, φησιν, ἐκτὸς τούτων γραφῶν, μηδὲν ἐπ᾽ ἐκκλησίας ἀναγινωσκέσθω. προστίθησι δὲ οὗτος, καὶ τὴν Ιουδὴθ, καὶ τὸν Τωβίαν, καὶ τὴν Αποκάλυψιν Ιωάννου.

Ο δὲ νʹ. καὶ τὰ ὑπομνήματα τῶν μαρτυρικῶν παθημάτων, ἐν ταῖς ἐτησίοις αὐτῶν ἀναγινώσκεσθαι μνήμαις διορίζεται. ταύτῃ τοι καὶ τὰ παρὰ τῶν ἁγίων πατέρων καὶ ὁμολογητῶν συγγραφέντα καὶ ἀναγινώσκειν δέον, καὶ κατασπάζεσθαι· ἅτε πρὸς τὴν ἀληθινὴν καὶ ὀρθόδοξον πίστιν ἡμᾶς ἐνάγοντα.

Ο δὲ μέγας Αθανάσιος, τῶν μὲν τοῖς αἱρετικοῖς ποιηθέντων B καὶ ὀνομαζομένων παρ᾽ αὐτῶν ἀποκρύφων, ἀπείρηκε τὴν ἀνάγνωσιν, τῶν δὲ τέως ῥηθέντων ἱερῶν βιβλίων ὁμοίαν καὶ οὗτος ποιεῖται τὴν ἀπαρίθμησιν. ταῦτα γὰρ ἐπιπνοίᾳ φησὶ, θειοτέρᾳ γεγράφθαι πιστεύομεν. καὶ τῆς μὲν παλαιᾶς διαθήκης κβʹ. εἶναι βίβλους τῶν παρ᾽ Ἑβραίοις ἰσαρίθμους γραμμάτων· τὰς γὰρ τέσσαρας τῶν βασιλειῶν, δύο βίβλους εἶναι λέγει, καὶ τὰς δύο τῶν Παραλειπομένων, μίαν, καὶ τὰς τῶν ιβʹ. Προφητῶν, μίαν, καὶ τῶν τεσσάρων, τέσσαρας. τῷ δὲ Ιερεμίᾳ προστίθησι τοὺς τοῦ Βαροὺχ θρήνους, καὶ τὴν ἐπιστολήν. ἀριθμήσας δὲ καὶ τὰς τῆς καινῆς, προστίθησι C ταῖς ῥηθείσαις καὶ τὴν Αποκάλυψιν Ιωάννου. ταύταις προστιθέναι ἢ ἀφαιρεῖν ἀνόσιον εἶναι κρίνει. ἔξωθεν δὲ τῶν κανονιζομένων εἶναι φησὶ, τὴν σοφίαν Σολομῶντος, τὴν Σιρὰχ, τὴν Εσθὴρ, τὴν Ιουδὴθ, καὶ τὸν Τωβὶτ, τὸν ποιμένα, καὶ τὴν διδαχὴν τῶν ἁγίων Αποστόλων, ταύτην δὲ καὶ ἡ ἕκτη σύνοδος ἠθέτησεν, ὡς δεδήλωται.

Τοιαύτην τῶν ἱερῶν βίβλων ποιεῖται τὴν ἀπαρίθμησιν δι᾽ ἐμμέτρων ἡρωϊκῶν στίχων, καὶ ὁ θεολόγος μέγας Γρηγόριος, ἰσαρίθμους τὰς τῆς παλαιᾶς εἶναι λέγων τῶν παρ᾽ Εβραίοις εἴκοσι δύο γραμμάτων. στιχηρὰ δὲ λέγει τὰς εʹ. Ιὼβ, Δαβὶδ τοὺς ρνʹ. Ψαλμοὺς, καὶ τὰς τρεῖς Σολομώντειας. D καὶ τῶν δώδεκα προφητῶν μίαν, ὧν αἱ κλήσεις Αμώς. Μιχαίας. Ιωήλ. Ιωνᾶς. Αβδίας. Ναούμ. Αββακούμ. Σοφονίας. Αγγαῖος. Ζαχαρίας. Μαλαχίας. τῶν δὲ τῷ μεγάλῳ ῥηθέντων Αθανασίῳ ἀκανονίστων οὗτος οὐ μέμνηται. τούτοις καὶ ὁ ἅγιος ἕπεται Αμφιλόχιος, δι᾽ ἰάμβων τὴν ἐκμέτρησιν ἐκποιησάμενος.

Ο δὲ ξʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία, τὸν ἀναγινώσκοντα δημοσίᾳ, πνευματικόν φημι ἢ κληρικόν, ἐπὶ λύμῃ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρέσεως ἀξιοῖ. οὐ μόνον γὰρ οἱ περὶ πλείστου τὸ ψεῦδος ποιούμενοι λόγοις οἰκείοις τὸ δυσσεβὲς αὐτῶν φρόνημα κρατύνειν E πειρῶνται, ἀλλὰ καὶ τοῖς τῶν εὐσεβῶν συγγράμμασι τὰ σφέτερα παρενείρουσιν, ὡς ἐν ταῖς ῥηθείσαις ἐπιστολαῖς τοῦ ἱεροῦ Κλήμεντος, καὶ ταῖς διατάξεσιν ἐσκαιώρηται· εἰσὶ δ᾽ οἳ καὶ τὰς ἑαυτῶν ἐπιγραφὰς ἁγίων τεθείκασι, πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων ἢ συνηθεστέρων, οἱονεὶ μέλιτι τοῦ δηλητηρίου τὴν κύλικα περιχρίσαντες.

Ο δὲ ξγʹ. τῆς ϛʹ. συνόδου, καὶ τὰ ψευδῶς συντεθέντα μαρτυρολόγια πρὸς τῶν μηδὲν ὑγιὲς φρονούντων, ὕβριν μὲν τοῖς ἁγίοις μάρτυσιν οἰομένων προστρίψασθαι, τοὺς δ᾽ ἐντυγχάνοντας τῆς πρὸς αὐτοὺς ἀφιστάναι τιμῆς, πυρὶ κελεύει δίδοσθαι· τοὺς δὲ τούτους ὡς ἀληθέσι προσέχοντας ἀνα- F θεματίζεσθαι. τοῖς γὰρ ἁγίοις μάρτυσι τῶν ἄθλων καὶ τῆς εὐδοξίας βασκήναντες, ψευδῆ καὶ ἀλλόκοτα συντεταχέναι βιβλία προήχθησαν, τῶν δῆθεν ὑπὸ τῶν ἁγίων μαρτύρων πραχθέντων ἢ λαληθέντων, ἐφ᾽ ᾧ τοὺς ἐντυγχάνοντας εἰς ἀπιστίαν ἢ γέλωτα ἐνάγεσθαι.

Πόσου τοίνυν ἄξιος ἂν εἴη μακαρισμοῦ ὁ θαυμάσιος Συμεὼν ὁ τὸ καλεῖσθαι μεταφραστὴς διαφερόντως τῶν ἄλλων ἀπενεγκάμενος, ὁ τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου πνεύματος, τὰ τῶν ἁγίων μαρτύρων ὑπὲρ ἀληθείας σκάμματα πολλοῖς ἱδρῶσι καὶ πόνοις συγγραψάμενος, καὶ δυνάμει λόγου καὶ σοφίᾳ

Eoſdem libros enumerat Can. xxvii. Syn. Carthag. & præter has, inquit, Canonicas ſcripturas nihil in Eccleſiâ legatur. Addit autem ille Judith, Tobiam, & Apocalypſin Joannis.

Canon autem l. commemorationes paſſionum martyricarum in anniverſariis eorum memoriis legi decernit. Quare & quæ à ſanctis Patribus & Confeſſoribus conſcripta ſunt, legere & amplecti oportet, ut quæ nos ad veram & orthodoxam fidem perducant.

Magnus autem Athanaſius librorum, qui ab hæreticis conſcripti & apocryphi nominati erant, lectionem prohibet, & deinde prædictos ſacros libros ipſe ſimiliter enumerat. Hos enim per divinam, inquit, inſpirationem conſcriptos credimus. Dicit etiam libros eſſe Veteris Teſtamenti viginti duos, Hebræorum literis numero æquales: quatuor enim Regnorum libros duos facit, & duos Paralipomenon, unum, & libros xii. Prophetarum unum, & quatuor, quatuor. Ieremiæ autem lamentationes & Epiſtolam Baruch adjungit. Libros vero Novi Teſtamenti enumerans, reliquis ſuperaddit Apocalypſin Joannis. His addere, vel ab iis quicquam detrahere nefas eſſe judicat. Extra autem Canonicos dicit eſſe, Sapientiam Solomonis, Sirach, Eſther, Judith, Tobiam, Paſtorem, & Sanctorum Apoſtolorum doctrinam, hanc autem ſextus Synodus rejecit, ut oſtenſum eſt.

Similem ſacrorum librorum enumerationem facit magnus Theologus Gregorius, in verſibus heroicis, libros Veteris Teſtamenti viginti duobus Hebræorum literis æquales eſſe dicens. Quinque ex iis metricos appellat, Job, cl. Pſalmos David, tres Solomonis, & libros Prophetarum xii. unum, qui vocantur Oſeas, Amos, Michæas, Joel, Jonas, Abdias, Nahum, Abbacuk, Sophonias, Aggæus, Zacharias, Malachias. Eorum autem quos magnus Athanaſius non Canonicos vocat, mentionem nullam facit: hos ſanctus Amphilochius ſequitur, Iambis metricum poema contexens.

Canon autem lx. Sanct. Apoſt. eum qui falſo inſcriptos impiorum libros ad populi & Cleri perniciem publicè legit, Sacerdotem ſcilicet ſive Clericum, depoſitione dignum cenſet. Nonnulli enim qui mendacium pluris æſtimant, non ſolum propriis verbis impiam ſuam opinionem confirmare nituntur, ſed & piorum ſcriptis ſua etiam inſerunt; ut in dictis S. Clementis Epiſtolis & Conſtitutionibus fraudulentèr factum. Alii autem ſunt, qui ſcriptis ſuis ſanctorum inſcriptiones appoſuerunt, in deceptionem ſimpliciorum, veneni calicem quaſi melle circumlinentes.

Canon inſuper lxiii. Syn. vi. Martyrologia ab iis qui nihil rectè ſentiunt falſò conficta, qui ignominiæ notam S. Martyribus inurant, eoſque, qui in ea incidunt, ab iiſdem honore afficiendis abducant, igni tradi jubet; eos autem qui illis ut veris aſſentiunt anathematizari. Sanctis enim martyribus certamina & nominis claritatem invidentes, libros falſos & alienos conficere impulſi ſunt, de iis ſcilicet quæ à martyribus dicta vel facta eſſent, ut qui in eos inciderent vel ad infidelitatem vel riſum deducerentur.

Quantæ igitur beatitatis prædicatione dignus eſt admirandus ille Simeon, qui Metaphraſtes dici egregiè præ aliis meruit, qui S. Spiritus inſpiratione ſanct. Martyrum pro veritate certamina non ſine multis ſudoribus & laboribus conſcripſit, & nervosè, eloquentèr, ſapienterque exor-

A exornavit, ad laudem Domini noſtri Jeſu Chriſti, & ſanctorum Martyrum, qui pro eo certamina obierunt, perennem gloriam; quique omne os impium obturavit, & piis nullum omnino dubitandi prætextum reliquit.

Canon autem ix. Syn. vii. Qui libros, inquit, ſacras imagines inſectantium, in quibus abſurdæ eorum opiniones comprehenduntur, retinet abſconditque, ſi Clericus ſit, Sacerdotio exuatur; ſin autem Laicus, ſegregetur. Ejuſmodi vero libri, nihil, inquit, à ludibriis puerilibus differunt, utpote quæ inſaniæ & laſciviæ bacchationes ſint; in quibus venerandæ imagines (proh B hominum veſaniam!) Idola nominantur. Qui autem eos invenerit, ad magnæ Eccleſiæ Palatium mittat, ut perpetuæ obſcuritati tradantur, vel, ut lex civilis jubet, ſtatim comburat.

Canones autem Syn. Laodic. xv. & lix. Non ſinunt ut in Eccleſia aliqui præter libros Canonicos veteris ſc. & novi Teſtamenti legantur, nimirum qui in lxxxv. Can. Apoſtolico continentur: nec præter cl. Pſalmos Davidicos alios privatos pſallere permittunt, cujuſmodi ſunt, qui Salomonis & multorum aliorum dicuntur.

C Porro Canon xix. Syn. vi. In diebus Dominicis quibus populus ab operibus ceſſans Eccleſiis intereſſe ſolet, Epiſcopos doctrinæ flumine eos irrigare jubet, ex prædictis Scripturæ libris verba tempori & rebus convenientia colligentes, eademque juxta ſanctorum Patrum expoſitionem, & non ſecundum privatos ſenſus & judicium interpretari; & potius in eis celebres eſſe, quam in iis quæ domi inventa ſunt, ne aliquando forſan hæſitantes Scripturæ ſcopo non inniti videantur. Ex S. autem Patrum doctrinâ cognoſcent populus quænam eligere & quænam fugere oporteat; & vitam ſuam ad virtutis normam imminentium ſuppliciorum metu component, D & ignorantiæ vitii non convincentur. Epiſcopum vero qui ſecus fecerit præſens Canon non punit.

Canon autem Apoſt. lviii. Epiſcopum vel Clericum qui Clerum ſuum negligit, & pietatem non docet, ſegregat; & in ſocordiâ perſeverantem deponit.

Quod ſacros libros conſcindere non oporteat.

E Canon autem lxviii. vi. Syn. Scripturæ divinitùs inſpiratæ, tùm veteris, tùm novæ, necnon Patrum & Doctorum comprobatorum præceptorumque libros conſervare jubet, & non conſcindere aut corrumpere; neque librorum cauponatoribus aut unguentariis perituros tradere; niſi utique omninò, à tineis, vel aquâ, vel alio modo inutiles redditi fuerint: eum autem qui ita facere deprehenſus ſit, in annum ſegregari.

Leges.

F Porphyrii, aliorumque hæreticorum adverſus Chriſtianos libri comburantur; Neſtorii etiam, & quicunque Nicæno Epheſinoque Conciliis, & Cyrillo Alexandrino, quorum fidem excedere non licet, non conſonant. Qui autem dictos libros habent & legunt, ultimo ſupplicio afficiantur.

Mathematici qui coram Epiſcopis libros ſuos non concremant, neque ad *orthodoxam* fidem accedunt, omni civitate pellantur; Inventi autem in civitatibus, deportantur ſive exterminentur.

καλλιφώνως εἰς ὕμνον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ δόξαν διαιωνίζουσαν τῶν ὑπὲρ αὐτοῦ ἠγωνισμένων ἁγίων μαρτύρων· καὶ πᾶν δυσσεβὲς ἀποῤῥάψας στόμα, καὶ μηδ᾽ ἡντιναοῦν πρόφασιν ἀμφιβολίας τοῖς εὐσεβέσι καταλιπών.

Ὁ δὲ θʹ. τῆς ζʹ. συνόδου κανὼν, τὰ συγγεγραμμένα φησὶ τοῖς κατὰ τῶν ἁγίων εἰκόνων λυττήσασι, τὰς ἀσυλλογίστους αὐτῶν ὑπολήψεις συλλογιζόμενα, ὁ κατέχων καὶ κρύπτων, κληρικὸς ὢν, τῆς ἱερωσύνης ἀποδυέσθω, λαϊκὸς δὲ, ἀφοριζέσθω. ἀθυρμάτων δὲ, φησι, παιδικῶν, οὐδὲν ταυτὶ διενήνοχε, μανίας ὄντας καὶ ἀκολασίας βακχεύματα· εἴδωλα, φεῦ τῆς παραπληξίας, τὰς σεπτὰς εἰκόνας ἀποκαλοῦντα. ἀλλ᾽ ἢ πρὸς τὸ τῆς μεγάλης ἐκκλησίας ὁ εὑρὼν ἐπισκοπεῖον παραπεμπέτω, ἐφ᾽ ᾧ παντελῶς τῇ ἀφανείᾳ δοθῆναι, ἢ ὡς ὁ πολιτικὸς κελεύει νόμος, εὐθὺς κατακαιέτω.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ιεʹ. καὶ ὁ νθʹ. οὐκ ἐπιτρέπουσι πλέον τῶν κεκανονισμένων βιβλίων, τῆς τε παλαιᾶς καὶ καινῆς, ἐπ᾽ ἐκκλησίας ἀναγινώσκεσθαι, ἅπερ τῷ πεʹ. ἀποστολικῷ δηλαδὴ κανόνι διείληπται, οὐδέ γε πλὴν τῶν ρνʹ. ψαλμῶν τοῦ Δαβὶδ, ἰδιωτικοὺς ἑτέρους ᾄδειν ἐφιᾶσιν, ὡς οἱ τοῦ Σολομῶντος λεγόμενοι, καὶ πολλῶν ἑτέρων.

Ὁ δὲ τῆς ϛʹ. συνόδου ιθʹ. ἐν ταῖς κυριωνύμοις τῶν ἡμερῶν, ἐν αἷς εἰώθασιν ὁ λαὸς τῶν ἔργων ἀφέμενοι προσεδρεύειν ταῖς ἐκκλησίαις, τοὺς ἐπισκόπους κελεύει τοῖς τῆς διδασκαλίας νάμασι τούτους καταρδεῖν, ἐρανιζομένους ἐκ τῶν ἄνω ῥηθέντων τῆς θείας γραφῆς βιβλίων, τὰ τῷ καιρῷ προσήκοντα ῥητὰ, καὶ τοῖς πράγμασι, καὶ ταῦτα ἑρμηνεύειν, κατὰ τὴν τῶν θείων πατέρων ἐξήγησιν, ἀλλὰ μὴ ἐξ οἰκείων νοημάτων καὶ λογισμῶν· καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμεῖν, ἢ τοῖς οἴκοθεν ἐξευρημένοις, ἵνα μὴ ἀπορίᾳ ἔσθ᾽ ὅπου συνεχόμενοι, δόξωσι τοῦ σκοποῦ τῆς γραφῆς μὴ ἐπιβατεύειν. ἐκ δὲ τῆς τῶν θείων πατέρων διδασκαλίας εἴσονται οἱ λαοὶ τίνα δεῖ αἱρεῖσθαι, καὶ τίνων ἀποδιΐστασθαι· καὶ τὴν οἰκείαν ζωὴν πρὸς ἀρετὴν ῥυθμίσουσι, δέει τῶν ἐπηρτημένων κολάσεων, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλώσονται πάθει. τὸν δὲ μὴ οὕτω δρῶντα ἐπίσκοπον, ὁ μὲν παρὼν οὐκ ἐπιπλήττει κανών.

Ὁ δέ γε ἀποστολικὸς νηʹ. τὸν ἀμελοῦντα τοῦ οἰκείου κλήρου, καὶ μὴ ἐκπαιδεύοντα τὴν ἀσέβειαν, ἐπίσκοπον ἢ κληρικὸν, ἀφορίζει· ἐπιμένοντα δὲ τῇ ῥαθυμίᾳ καθαιρεῖ.

Ὅτι οὐ δεῖ τὰς ἱερὰς κατατέμνειν βίβλους.

Ὁ δὲ ξηʹ. τὰ βιβλία τῆς θεοπνεύστου γραφῆς, τῆς παλαιᾶς τε καὶ καινῆς, καὶ τῶν ἐγκριθέντων καὶ δεδοκιμασμένων πατέρων καὶ διδασκάλων, ἐπισκήπτει φυλάττειν, καὶ μὴ κατατέμνειν ἢ διαφθείρειν, μηδὲ τοῖς βιβλιοκαπήλοις ἢ μυρεψοῖς ἀποδιδόναι πρὸς ἀφανισμόν. εἰ μή τι ἄρα πλέον ἀπὸ σητῶν ἢ ὕδατος, ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθείη· τὸν δὲ τοιοῦτόν τι ποιεῖν ἁλισκόμενον, ἐπ᾽ ἐνιαυτὸν ἀφορίζεσθαι.

Νόμοι.

Τὰ κατὰ χριστιανῶν συγγράμματα Πορφυρίου, καὶ ἄλλων αἱρετικῶν, καιέσθωσαν· καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ συμφωνεῖ τοῖς ἐν Νικαίᾳ καὶ Ἐφέσῳ συνόδοις, καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρείας, ὧν οὐκ ἔξεστι παρεξιέναι τὴν πίστιν. οἱ δὲ τὰ λεχθέντα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες, ἐσχάτως τιμωρείσθωσαν.

Οἱ Μαθηματικοὶ μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, καὶ τῇ εὐσεβείᾳ προσιόντες, πάσης ἀπωθοῦνται πόλεως· εὑρισκόμενοι δὲ ἐν ταῖς πόλεσι, δεπορτατεύονται, ἤτοι ἐξορίζονται.

Ὁ ἔχων βιβλία Μανιχαϊκὰ, καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ A τὸ καυθῆναι, τιμωρεῖται.

Οἱ ἔχοντες τὰ Σεβήρου συγγράμματα, καὶ μὴ καίοντες αὐτὰ, χειροκοποῦνται.

Qui Manichæorum libros habet, & non in propatulum profert ut concrementur, punitur.

Qui Severi libros habent,& eosdem non comburunt, manibus mutilantur.

ΚΕΦ. ιβʹ.

Περὶ τῶν βιοθανῶν, ἤτοι τῶν ἑαυτοὺς ἀναιρούντων.

Τοὺς βιοθανεῖς ὁ Ἀλεξανδρείας Τιμόθεος ἐν ιδʹ. κανόνι, τῆς εἰωθείας ὑπὲρ τῶν εὐσεβῶν προσφορᾶς, καὶ εὐχῆς B καὶ ψαλμῳδίας, καὶ τῆς νομιζομένης ὁσίας, στέρεσθαι ἀξιοῖ. ὅσοι δηλαδὴ τὸν λογισμὸν ὑγιᾶ κεκτημένοι, καὶ μὴ τὰς φρένας ὑπὸ νόσου παρατραπέντες, διὰ λύπην ἢ μικροψυχίαν, ἐκ φόβου ἢ ἐπηρείας ἧστινοσοῦν, ἑαυτοὺς διεχειρίσαντο.

Νόμος.

Ὁ ἑαυτὸν ἀνελὼν ἢ ἀνελεῖν ἐπιχειρήσας, διὰ φόβον ἐγκλήματος, καὶ μὴ διὰ νόσον, τιμωρεῖται ὡς ἀνελὼν ἕτερον, καὶ ἡ οὐσία αὐτοῦ δημοσιεύεται.

CAPUT XII.

De iis qui vim sibi inferunt, sive Suicidis.

Eos qui vim sibi inferunt, Timotheus Alexandrinus in xiv. Can. usitatâ pro piis oblatione, & oratione, & psalmodia, & solita piatione privari jubet. Quotquot viz. sanâ ratione præditi, & non præ morbo mentis expotes facti, propter mærorem, vel timiditatem, præ metu, vel insultatione quacunque, sibi manus violentas intulerint.

Lex.

Qui sibi mortem conscivit, aut consciscere conatus est, propter criminis metum, & non propter morbum, punitur, ut qui alium interfecit, & substantia ejus publicatur. C

ΚΕΦ. ιγʹ.

Περὶ βισέκστου.

Τὸ τοῦ βισέκστου ὄνομα, ῥωμαϊκόν ἐστι, δηλοῦν τὸ δὶς ἕξ, αἱ γὰρ ῥωμαϊκαὶ λέξεις, ἀντὶ τοῦ δʹ. τὸ βʹ. προσλαμβάνουσι. λέγεται δὲ οὕτω, διὰ τὸ δὶς ἓξ εἶναι τὰς ὥρας τῆς προστιθεμένης ἡμέρας τῷ Φεβρουαρίῳ, καὶ δὶς ἓξ τῆς νυκτὸς, ἥτις κατὰ τετραετίαν εἴωθεν ἀπαρτίζεσθαι, τοῦ περιττεύοντος τεταρτημορίου τῆς ἡμέρας καθ' ἕκαστον ἐνιαυτὸν, D εἰς μίαν ἡμέραν τηνικαῦτα συντιθεμένου· ἥτις καὶ προστίθεται τῷ Φεβρουαρίῳ, ὡς εἶναι τὰς τούτου ἡμέρας κθʹ. τὰς δὲ τοῦ ἐνιαυτοῦ ἡμέρας τξϛʹ.

Συνέβη δὲ τούτῳ καὶ ἀλλαχόθεν τὴν προσηγορίαν ταύτην λαβεῖν. εἰς τρία διῄρουν οἱ Ρωμαῖοι τῶν μηνῶν τὰς ἡμέρας, καὶ τὰς μὲν, ὠνόμαζον καλάνδας· τὰς δὲ, νόννας, τὰς δὲ, εἰδοὺς, ἀπό τινων τριῶν Ρωμαίων εὐπατριδῶν οὕτω κληθείσας, ἐν καιροῖς λιμοῦ θρεψάντων τοὺς ἐν τῇ Ρώμῃ. καὶ καλάνδαι μὲν ἐλέγοντο παρ' αὐτοῖς, αἱ παρ' Ἕλλησι νεομηνίαι· ἐπὶ μὲν Μαρτίου, καὶ Μαΐου, Ἰουλίου τε, καὶ Ὀκτωβρίου, ἀπὸ E τῆς αʹ. μέχρι τῆς ζʹ. αἱ δὲ μετ' αὐτὰς εὐθὺς λέγονται νόνναι, μέχρι τῆς ιεʹ. αἱ δὲ λοιπαὶ, εἰδοί. ἐπὶ δὲ τῶν ἄλλων πάντων μηνῶν, τὰς μὲν νόννας ἀπὸ τῆς εʹ. ἔλεγον τοῦ μηνός· τὰς δὲ εἰδοὺς, ἀπὸ τῆς ιγʹ. διὰ δὴ τὴν τοιαύτην ἀνισότητα, καθ' ἑκάστην νεομηνίαν ὁ ἱερεὺς ἐκάλει τὸν λαὸν, καὶ ὑπεδείκνυ τούτοις τὴν τῶν νοννῶν ἡμέραν καὶ τῶν εἰδῶν. παρὸ καὶ μᾶλλον Καλάνδας οἴονταί τινες τὴν πρώτην λέγεσθαι τοῦ μηνὸς διὰ τὸ καὶ καλεῖσθαι παρὰ τοῦ ἱερέως τὸν λαόν. ὠνόμαζον τοίνυν ὡς καὶ ἐπὶ τῶν ἄλλων μηνῶν, αʹ. Φεβρουαρίου Καλάνδας Φεβρουαρίων. τὴν βʹ. πρὸ τεσσάρων νοννῶν Φεβρουαρίων, τὴν δὲ γʹ. πρὸ τριῶν· τὴν δὲ τετάρτην πρὸ μιᾶς νοννῶν. τὴν δυάδα γὰρ ὡς ἀποφράδα, οὐκ ἠξίουν ὅλως καλεῖν· καὶ διὰ τοῦτο τῇ μονάδι F μείζονα ἢ ἐλάττονα προκατελάμβανον ἀεὶ ἀριθμόν. τὴν δὲ πέμπτην, νόννας Φεβρουαρίας· τὴν δὲ ιγʹ. εἰδούς· τὴν δὲ ιδʹ. πρὸ δεκαὲξ καλανδῶν Μαρτίων. ἡνίκα τοίνυν εἶχεν ὁ Φεβρουάριος κθʹ. ἔλεγον καὶ τὴν κεʹ. πάλιν πρὸ ἓξ καλανδῶν Μαρτίων, ὥσπερ καὶ τὴν κδʹ. τὴν δὲ κϛʹ. πρὸ πέντε· τὴν δὲ κζʹ. πρὸ δʹ. τὴν δὲ κηʹ. πρὸ τριῶν, τὴν δὲ κθʹ. πρὸ μιᾶς, εἶτα καλάνδαι Μαρτίου. ἐκαλεῖτο οὖν καὶ διὰ τοῦτο Βίσεκστος, ἡνίκα εἶχεν ὁ Φεβρουάριος κθʹ. διὰ τὸ λέγεσθαι δίς, τὸ πρὸ ἓξ καλανδῶν Μαρτίων.

CAPUT XIII.

De Anno bissextili, sive intercalari.

Βίσεκστον Latina vox est, significans bis sex: voces enim Latinæ accipiunt B. pro D. Ita autem dicitur, quod dies & nox Februario additæ, singulæ bis sex horas contineant, qui quidem dies quarto quolibet anno perfici solebat, quarta diei parte, quæ singulis annis excedebat, tunc temporis in unum diem compositâ; iste autem Februario adjicitur, & exinde fit quod dies habeat xxix. & annus clxvi.

Contigit præterea appellationem hanc aliunde desumi. Romani mensium dies in tria diviserunt, alios, Calendas, alios, Nonas, alios vero Idus nominantes, à tribus Proceribus Romanis sic dictos, qui in famis temporibus Romanos nutriebant. Calendæ ab iis dictæ sunt, quas Græci Novilunia vocant, mense Martio, Maio, Julio, & Octobri, à primo die usque ad septimum, dies autem proximè sequentes ad xv. Nonæ dicebantur, reliqui vero Idus. In omnibus vero reliquis mensibus, Nonas à quinto mensis die numerabant, Idus vero à xiii. Propter hanc inæqualitatem, Sacerdos singulis noviluniis populum convocabat, iisque Nonarum & Iduum diem notum fecit. Quare potius censent nonnulli primum diem mensis Calendas vocari; quod populus à Sacerdote simul vocarentur. Porro ut in aliis mensibus, ita & primum Februarii diem Calendas Februarias nominarunt, secundum, Nonas quartas, tertium, Nonas tertias, quartum pridie Nonarum (numeri enim binarii ut inauspicati nullam mentionem fecerunt, & ob hanc causam numerum eo unitate majorem vel minorem semper præoccupabant) Quintum autem, Nonas Februarias, decimum vero tertium, Idus, decimum quartum, xvi. Calendas Martii. Quando itaque Februarius dies habuit xxix. diem xxv. iterum sextas Calendas, quemadmodum & xxiv. vocabant; vicesimum autem sextum quintas, xxvii. quartas, xxviii. tertias, xxix. pridie Calendarum, deinde sunt Calendæ Martii. Bisextus itaque dicebatur, quando Februarius dies habebat xxix. quod bis dicantur sextæ Calendæ Martii.

A

INITIUM LITERÆ Γ.

CAPUT I.

De gradibus qui ſunt in matrimonio.

Quære caput viii. Literæ B.

CAPUT II.

De Nuptiis conceſſis & prohibitis.

Canon xxvi. ſanctorum Apoſt. & ſextus Synodi ſextæ, & xvi. B Concilii Carthaginenſis permittunt iis, qui Clero continentur, & adhuc Lectores & Cantores ſunt, ut legitimas nuptias contrahant. Verum non amplius, poſtquam provecti fuerint ad gradum Subdiaconi, vel Diaconi, vel Presbyteri. Nam initiatos Sacerdotio, qui ad matrimonium deflectunt, ſtatim abdicant.

Etiam primus Canon Concilii Neocæſarienſis Presbyterum, qui legitime copulatus uxori fuerit, Sacerdotio exuit.

Verum ſexti Concilii divini Patres eam conſuetudinem abolentes, quæ in Eccleſia Latinorum invaluit, videlicet ut Sacerdotes & Diaconi, qui ordinantur, C prius fidem dent, quod omnino poſt ordinationem abſtinere velint ab uxoribus, quæ ante ordinationem cum eis copulatæ fuerint: Nos, inquiunt, etiam poſt ordinationem manere firma volumus eorum matrimonia, qui digne Sacerdotio conſequuti ſunt, ne benedictas Domini præſentiâ nuptias contumelia clanculum adficiamus: qui præterea pronunciavit, hominem ſeparare non debere, quæ Deus conjunxerit. Quin etiam Apoſtolus honorabile dicit eſſe matrimonium, & lectum impollutum. Ac rurſum, alligatus es mulieri? ſolutionem ne quærito.

D Quamobrem qui Diaconum, vel Subdiaconum, vel Presbyterum conjunctione cum uxore legitima privat, deponatur. Excepto tamen definito quodam tempore, quum ſacra ſunt tractaturi: ut puri purum adeuntes, preces ſuas obtineant.

Etiam nonnullis eorum, qui apud Nicæam primum celebrabant Concilium, videbatur invehendam rem vituperabilem, ut Epiſcopi, & Presbyteri, & Diaconi, & ſubdiaconi, cum uxoribus ſuis omnino non cubarent, quas prius duxiſſent, quam ſacerdotiis initiarentur. Verum Paphnutius, unius ad Thebas ſitæ civitatis Epiſcopus, qui vir à puero educatus erat in loco piis exercitiis dicato, & omnem virtutem perfecte coluerat, ac E imprimis nomine caſtitatis celebrabatur; immò qui confeſſionis etiam corona fuerat ornatus, quod alter oculus ei propter pietatem effoſſus eſſet; hanc ſententiam probantibus contradixit, quum honorabiles eſſe diceret nuptias, & conſuetudinem cum uxoribus appellaret caſtitatem. Adeoque Syn. auctor erat, ne legem hanc promulgarent: quod hanc rem in mundo degentibus toleratu difficilem diceret. Nam fortaſſis hoc tam ipſis, quam ipſorum uxoribus cauſam minùs caſtè vivendi præbiturum. Ex priſca quidem Eccleſiæ traditione quotquot expertes matrimonii Sacerdotalem in ordinem cooptati fuiſſent, non amplius uxores ducere: F qui vero poſt contractum matrimonium evecti eſſent ad Sacerdotium, eos ab uxoribus, quas habebant, non ſeparari. Et hæc quidem Paphnutius, quanquam ipſe matrimonii expers eſſet. Collaudavit orationem hominis divini Syn. neque de hoc quicquam promulgavit, ſed rem arbitrio cujuſvis committendam, non coactioni ſtatuit. Adeo vero religioſus erat ipſe Paphnutius, ut etiam admiranda quædam prodigia per eum fierent. Et Conſtantinus Imperator hominem magno habebat in pretio, & frequenter ad aulam arceſſebat, erutumque oculum exoſculabatur.

ΑΡΧΗ ΤΟΥ Γ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Περὶ τῶν τοῦ γάμου βαθμῶν.

Ζήτει τὸ ὄγδοον κεφάλαιον τοῦ Β. στοιχείου.

ΚΕΦ. β'.

Περὶ γάμων ἐπιτετραμμένων καὶ κεκωλυμένων.

Ὁ τῶν ἁγίων ἀποστόλων κϛ'. κανών, καὶ ὁ ϛ'. τῆς ϛ'. συνόδου, καὶ ὁ τῆς ἐν Καρθαγένῃ ιϛ'. τοῖς τῷ κλήρῳ κατειλεγμένοις, καὶ ἀναγνώσταις ἔτι καὶ ψάλταις τελοῦσι, νομίμως συγχωροῦσι γαμεῖν. μετὰ δέ γε τὸ εἰς βαθμὸν προαχθῆναι ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου, οὐκέτι. τῶν γὰρ ἱερωμένων τοὺς πρὸς γάμον ἐκκλίνοντας, καθαιροῦσιν εὐθύς.

Καὶ ὁ πρῶτος γὰρ τῆς ἐν Νεοκαισαρείᾳ, τὸν δῆθεν νομίμως γυναικὶ συναφθέντα πρεσβύτερον, τῆς ἱερωσύνης ἀπογυμνοῖ.

Οἱ δὲ τῆς ϛ'. συνόδου θεῖοι πατέρες ἐν ιγ'. κανόνι ἀνατρέποντες τὸ ἐν τῇ τῶν Λατίνων ἐκκλησίᾳ κρατῆσαν ἔθος, τὸ τοὺς χειροτονουμένους ἱερέας τε καὶ διακόνους πίστεις πρότερον διδόναι, ἢ μὴν τελέως μετὰ τὴν χειροτονίαν ἀφέξεσθαι τῶν πρὸ ταύτης νομίμως συζευχθεισῶν αὐτοῖς γυναικῶν· ἡμεῖς φασι καὶ μετὰ τὴν χειροτονίαν, ἐρρῶσθαι τὰ συνοικέσια βουλόμεθα, τῶν ἀξίως τῆς ἱερωσύνης ἠξιωμένων, ἵνα μὴ τὸν εὐλογηθέντα τῇ τοῦ κυρίου παρουσίᾳ γάμον λάθωμεν ὑβρίζοντες, καὶ προσέτι ἀποφηναμένου, ἃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ μὴν καὶ ἀπόστολος τίμιον εἶναι λέγει τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον. καὶ πάλιν, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν.

Ὁ τοίνυν ἀποστερῶν διάκονον, ἢ ὑποδιάκονον, ἢ πρεσβύτερον τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας, καθαιρείσθω. ἐκτὸς ὡρισμένου δή τινος καιροῦ, ὅτε μεταχειρίζειν τὰ ἅγια μέλλοιεν· ἵνα καθαροὶ τῷ καθαρῷ προσιόντες, τῶν αἰτημάτων μὴ διαμάρτοιεν.

Ἀλλὰ καί τισι τῶν περὶ τὴν Νίκαιαν τὴν πρώτην συνηθροισμένων σύνοδον, ἐδόκει μῶμον ἐπεισάγειν, ἐπισκόπους καὶ πρεσβυτέρους διακόνους τε καὶ ὑποδιακόνους, μὴ συγκαθεύδειν ὅλως ταῖς γαμεταῖς ἃς πρὶν ἢ ἱερᾶσθαι νομίμως ἠγάγοντο. ὁ μέντοι Παφνούτιος, μιᾶς τῶν κατὰ τὰς Θήβας πόλεων ἐπίσκοπος ὤν, ἀνὴρ ἐκ παιδὸς ἐν ἀσκητηρίῳ τεθραμμένος, καὶ πᾶσαν κατορθωκὼς ἀρετήν, ἐπὶ σωφροσύνῃ δὲ καὶ μάλιστα γεγονὼς περιβόητος, οὐ μὴν ἀλλὰ καὶ τῷ τῆς ὁμολογίας στεφάνῳ κεκοσμημένος (ἅτερος γὰρ αὐτῷ τῶν ὀφθαλμῶν δι' εὐσέβειαν ἐξωρώρυκτο,) ἀντεῖπε τοῖς οὕτως ἔχουσι γνώμης, τίμιόν τε τὸν γάμον ἀποκαλῶν, καὶ σωφροσύνην τὴν πρὸς τὰς ἰδίας γαμετὰς ὁμιλίαν. συνεβούλευσέ τε τῇ συνόδῳ, μὴ τοιοῦτον θέσθαι νόμον, δυσχερὲς εἶναι τοῖς ἐν κόσμῳ διάγουσι τὸ πρᾶγμα φέρειν ἀποφαινόμενος· ἴσως γὰρ τοῦτό γε καὶ αὐτοῖς καὶ τῶν τούτων γαμεταῖς, τοῦ μὴ σωφρονεῖν αἰτία γενήσεσθαι. κατὰ δὲ τὴν ἀρχαίαν τῆς ἐκκλησίας παράδοσιν, τοὺς μὲν ἀγάμους τῷ ἱερατικῷ τάγματι κοινωνήσαντας, μηκέτι γαμεῖν· τοὺς δὲ μετὰ τὸν γάμον εἰς ἱερωσύνην προβιβασθέντας, ὧν ἔχουσι γαμετῶν, μὴ χωρίζεσθαι. ταῦτα μὲν ὁ Παφνούτιος, καὶ περὶ γάμου ἄπειρος ὤν. ἐπῄνεσε δὲ τὴν τοῦ θεσπεσίου ἀνδρὸς εἰσήγησιν καὶ ἡ σύνοδος, καὶ οὐδὲν περὶ τούτου νενομοθέτηκεν, ἀλλὰ τῇ ἑκάστου γνώμῃ τὸ πρᾶγμα καὶ οὐκ ἀνάγκῃ θεῖναι νενόμικεν. οὕτω θεοφιλὴς ὁ Παφνούτιος ἦν, ὡς καὶ σημεῖα θαυμαστὰ ὑπ' αὐτοῦ γίνεσθαι· σφόδρα δὲ ὁ βασιλεὺς Κωνσταντῖνος ἐτίμα τὸν ἄνδρα, καὶ συνεχῶς ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει.

Τῷ δὲ δωδεκάτῳ τῆς ἐν Ἀγκύρᾳ μηδόλως προσέχης τῷ νῦν, A δύνασθαι λέγοντι γαμεῖν τὸν διάκονον, καὶ μετὰ τὴν χειροτονίαν, τῇ τοῦ οἰκείου ἐπισκόπου ἐπιτροπῇ.

Νόμοι.

Φησὶ γὰρ ἡ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, ὡς εἰ καὶ ἀπὸ συνηθείας ἀγράφου ἐξῆν τοῖς ἱερωμένοις ἐντὸς δεκαετίας μετὰ τὴν χειροτονίαν ψηφιζομένης, λαμβάνειν νομίμους γυναῖκας, ἀλλὰ τοῦτο ὡς ὑπὸ τῶν κανόνων κεκωλυμένον, οὐκ ὀφείλει κρατεῖν.

Ὁ χειροτονῶν ἄγαμον, ἐρωτάτω αὐτὸν, εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν· καὶ εἰ κατάθοιτο, τοῦτον χειροτονείτω. B ὁ δὲ ἐπιτρέπων διακόνῳ γυναῖκα μετὰ τὴν χειροτονίαν λαβεῖν, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. πρεσβύτερος δὲ ἢ διάκονος ἢ ὑποδιάκονος μετὰ τὴν χειροτονίαν γαμῶν ἐκβάλλεται τοῦ κλήρου.

Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους ἔχειν γαμετάς.

Οἱ ψάλται καὶ οἱ ἀναγνῶσται δύνανται νομίμως γαμεῖν· οἱ δὲ ὑποδιάκονοι, καὶ διάκονοι, καὶ πρεσβύτεροι, καθάπαξ κεκώλυνται· ὅθεν τούτων οἱ γάμῳ κοινωνήσαντες, ἐκπίπτουσι τῆς ἱερωσύνης.

C

Ὅρος γάμου.

Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις πάσης ζωῆς θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, εἴτε δι' εὐλογίας, εἴτε διὰ στεφανώματος, ἢ διὰ συμβολαίου· τὰ δὲ παρὰ ταῦτα γενόμενα ὡς μὴ γεγονότα λογίζονται.

Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι Ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωσι. δεῖ δὲ τοὺς μὲν ἄῤῥενας, ἐφήβους εἶναι, τὰς δὲ θηλείας, ἀνδρὸς δεκτικὰς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸν τεσσαρεσκαιδέκατον χρόνον, τὰς δὲ μείζονας εἶναι τῶν δώδεκα ἐνιαυτῶν. D ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι, εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες.

Οὐ γίνεται γάμος εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους.

Τὸν γάμον, οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν, ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις.

Ὁ αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ.

Τὰ πένθη τῶν ἀνιόντων, οὐκ ἐμποδίζει τοὺς γάμους τῶν E πενθούντων προσώπων.

Ὁ ἐν σωφροσύνῃ διάγων, μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιος ᾖ.

Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων. ὁ δὲ τοῦτο κατατολμήσας, τιμωρίᾳ σωφρονείσθω, δηλονότι καὶ τοῦ ἱερέως, ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν.

Κωφὸς, καὶ ἄλαλος, καὶ τυφλὸς, γαμεῖν δύνανται, καὶ F περὶ προικὸς ἐνέχονται.

ΚΕΦ. γ'.

Περὶ τῶν τοὺς ἐννόμους γάμους βδελυττομένων.

Ζήτει τὸ θ'. κεφάλαιον τοῦ Β. στοιχείου.

Cæterum Syn. Ancyr. Can. xii. non attendendum, qui poſſe dicit Diaconum uxorem ducere etiam poſt ordinationem, Epiſcopi ſui permiſſu.

Leges.

Quippe Leonis, cognomine Sapientis, Novella dicit; tametſi ex conſuetudine non ſcripta licuerit Sacerdotibus intra decennium, poſt ordinationem computandum, legitimas uxores ducere: tamen hoc tanquam prohibitum à Canonibus, valere non debere.

Qui expertem matrimonii ordinat, interroget eum, an abſque legitima uxore vitam caſtam agere poſſit. Si hoc facturum ſe teſtetur, hominem ordinet. Qui vero Diacono permittit, ut poſt ordinationem ducat uxorem: Epiſcopatu expellitur. Presbyter aut Subdiaconus, qui poſt ordinationem cōtrahit nuptias è cœtu Cleri ejicitur.

Clericis eſt permiſſum, ut legitimas habeant uxores.

Cantores & Lectores nuptias legitimas contrahere poſſunt, at Subdiaconi, & Presbyteri, omnino (id facere) prohibentur: quo fit ut quotquot eorum matrimonii participes fiunt, excidant Sacerdotio.

Matrimonii definitio.

Matrimonium eſt cōjunctio maris & feminæ, & omnis vitæ conſortium, divini & humani juris communicatio: ſive per benedictionem, ſive per coronationem, ſive per inſtrumentum contrahatur. Quæ autem præter hoſce modos facta ſunt, pro non contractis habentur.

Legitimas autem nuptias inter ſe Romani contrahunt, quum ea ſervant, quæ legibus de nuptiis præcepta ſunt. Oportet autem mares quidem eſſe puberes; feminas vero viri potentes: hoc eſt, illos excedere decimum quartum annum, has majores eſſe duodecim annis. Hæc autem dicimus ſive patresfamilias ſint, ſive filiifamilias ii, qui coeunt in matrimonium.

Nuptiæ non fiunt niſi conſentiant tam ii qui copulantur, quam qui eos habent in poteſtate.

Nuptias non viri cum muliere concubitus, ſed matrimonialis eorum conſenſus facit.

Filius emancipatus plenam agens ætatem, etiam ſine conſenſu patris uxorem ducit.

Luctus aſcendentium non impedit nuptias earum perſonarum quæ lugent.

Qui vivit in caſtitate, ne cogatur à patre ſuo conrrahere nuptias, tametſi filiusfamilias ſit.

Nemo ſecreto coronetur, ſed pluribus præſentibus. Qui autem fuerit auſus id facere, pœna caſtigetur: ita ſcilicet ut etiam à Sacerdote, qui rebus inhoneſtis ſemet interpoſuerit, digna ſupplicia exigantur, juxta Canonum Eccleſiaſticorum conſtitutionem.

Surdus, & mutus, & cæcus nuptias contrahere poſſunt, & dotis nomine tenentur.

CAPUT III.

De iis qui nuptias legitimas abominantur.

Quære cap. ix. literæ B.

A

CAPUT IV.

De contrahentibus ſecundas, tertias, plures nuptias, tam viris, quam mulieribus.

CANONIS xvii. ſanctorum Apoſt. verba ſunt. Qui geminas poſt baptiſmum contraxit nuptias, vel in ſcortationem lapſus eſt, non poteſt Epiſcopus eſſe, vel Presbyter, vel Diaconus, vel omnino ſacri conſortii. Nam poſtquam Spiritus ſancti gratia per ſacri baptiſmatis myſterium, quod nec verbis exprimi, nec concipi mente poteſt, ab omnibus ſordibus eluit eum, qui baptizatur, B & lucis capacem fecit: nihil amplius impedimento eſt, quo minus idem etiam pura Sacerdotii luce exhilaretur. Verum poſt ſacrum illud lavacrum, nulla pro peccatis reliqua eſt hoſtia, quæ Sacerdotium largiri poſſit.

De Lectoribus.

Quamobrem præter Can. faciunt Lectores qui ſecundas nuptias contrahunt, & ſuum ordinem conſervant.

Hujus Canonis etiam magnus ille Baſilius meminit in xii. Canone ſuo, cum ait: Eos, qui ſecundas contraxêre nuptias, omnino Canon à miniſterio vocationis excluſit, C quibus verbis hunc innuit Canonem.

Cæterum xviii. Apoſt. Canon ait, Nec qui viduam duxit, vel ejectam à marito ſuo, vel meretricem, vel ſervam, vel aliquam ex iis, quæ artem ludicram exercent, ac propterea, quod parum honeſtè vivant, non creduntur eſſe caſtæ, poteſt Epiſcopus eſſe, vel Presbyter, vel omnino Clericorum in conſortio.

Cum duobus hiſce Canonibus Apoſt. etiam tertius ſextæ Synodi Canon conſentit.

Leges.

Nemo qui ſecundas adierit nuptias, ordinetur Presbyter, aut Diaconus; D nec ſi mulierem habeat in contubernio, quæ virum ſuum reliquerit, nec ſi concubinam habeat: ſed duntaxat is, qui vir eſt unius caſtæ mulieris, & quam virginem duxerit. Sin quiſpiam duxerit matrimonio prius copulatam, vel concubinam, ſive manifeſtò, ſive clam, confeſtim ordine ſacro excidat, & privatam vitam agat.

Septuageſima vero & nona Novella Principis Leonis, cognomine Sapientis, Clericos ſecundas nuptias contrahentes nec habitum amittere debere, nec functionem ſacerdotalem, præcipit. Sunt enim hæc illius verba. Non probamus legiſlatoris veteris inſtitutum, qui vult, ut Presbyter, aut Diaconus, aut Subdiaconus, qui poſt E factam manus impoſitionem cum muliere copulatus fuerit, prorſus ab hoc habitu recedat, & ad vitam plebeam revertatur: ſed decretum hoc abrogamus, atque ſancimus, uti duntaxat eis pro pœna ſufficiat ejus ordinis ceſſio, quo in ordine ante contractas nuptias conſpiciebantur. Habitum autem Clericalem, & reliquam in Eccleſiis functionem attingere nefas non eſt.

De Laicis ad ſecundas nuptias tranſeuntibus.

Enimvero divinus ille Apoſt. viduis junioribus, ut alteras ad nuptias tranſeant, ſiquidem ita velint, permiſit: F earum naturæ lubricitatem intelligens. Divini vero Patres etiam viros, qui ſecundas nuptias eligerent, minime putabant inhibendos; quandoquidem libidinis carnalis impetum non ignorabant; eos tamen non impune dimiſerunt.

Quippe i. Can. Syn. Laodic. hæc verba ſunt. Qui legitimè ſecundas ad nuptias tranſierunt, ubi perexiguum temporis ſpatium interceſſerit, ac precibus & jejuniis vacaverint, communione per indulgentiam fruantur. Sin prius, quam legitimas contraherent nuptias, clandeſtino concubitu coierint: etiam puniantur ceu ſcortationis rei.

ΚΕΦ. δ'.

Περὶ διγάμων, τριγάμων, καὶ πολυγάμων, ἀνδρῶν τε καὶ γυναικῶν.

Ὁ ιζ'. τῶν ἁγίων ἀποστόλων κανὼν, ὁ δυσὶ γάμοις, φησὶ, μετὰ τὸ βάπτισμα ὁμιλήσας, ἢ πορνείᾳ περιπεσὼν, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱεροῦ καταλόγου. ἡ γὰρ χάρις τοῦ παναγίου πνεύματος, τῷ τοῦ θείου βαπτίσματος μυστηρίῳ, τῷ μήτε λόγῳ ῥητῷ, μήτε νῷ καταληπτῷ, παντὸς ῥύπου τὸν βαπτισάμενον ἀποπλύνασα, καὶ φωτὸς δεκτικὸν ἀποφήνασα, οὐ κωλύει λοιπὸν καὶ τῷ καθαρῷ φωτὶ τῆς ἱερωσύνης τοῦτον καταφαιδρύνεσθαι. μετὰ δέ γε τὸ θεῖον λουτρὸν, οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, οἵα καὶ ἱερωσύνην χαρίσασθαι.

Περὶ ἀναγνωστῶν.

Ὥστε παρὰ κανόνας δρῶσι τῶν ἀναγνωστῶν οἱ διγαμήσαντες, καὶ τὴν οἰκείαν τάξιν ἔτι διατηροῦντες.

Τοῦ κανόνος τούτου καὶ ὁ μέγας μέμνηται Βασίλειος ἐν τῷ δωδεκάτῳ αὐτοῦ κανόνι, τοὺς διγάμους, λέγων, παντελῶς ὁ κανὼν τῆς κατὰ τὴν κλῆσιν ὑπηρεσίας ἀπέκλεισε, τοῦτον δὴ λέγων.

Ὁ δὲ ἀποστολικὸς ιη'. οὐδὲ ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην πρὸς τοῦ οἰκείου ἀνδρὸς, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, αἳ διὰ τὸ ἀσέμνως βιῶναι οὐ πιστεύονται σωφρονεῖν, δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κλήρου.

Τοῖς δυσὶ τούτοις ἀποστολικοῖς κανόσι καὶ ὁ γ'. τῆς ϛ'. συνόδου συνᾴδει κανών.

Νόμοι.

Μηδεὶς δευτερογαμήσας χειροτονείσθω πρεσβύτερος ἢ διάκονος, μήτε μὴν εἰ γυναικὶ συνοικεῖ τὸν οἰκεῖον ἄνδρα καταλιπούσῃ, μήτε εἰ παλλακὴν ἔχει· ἀλλ' ἢ μιᾶς ἀνὴρ γενόμενος σώφρονος, καὶ ἐκ παρθενίας. εἰ δέ τις τούτων γαμετὴν ἢ παλλακὴν εἰσαγάγοιτο φανερῶς ἢ λαθραίως, εὐθέως τῆς ἱερᾶς ἐκπιπτέτω τάξεως, καὶ ἰδιώτης ἔστω.

Ἡ δὲ οθ'. νεαρὰ τοῦ Βασιλέως Λέοντος τοῦ σοφοῦ, τοὺς διγαμοῦντας τῶν κληρικῶν μήτε τοῦ σχήματος ἀλλοτριοῦσθαι κελεύει, μήτε τῆς ἐκτὸς τοῦ βήματος ὑπηρεσίας. φησὶ γὰρ, οὐκ ἀποδεχόμεθα τῆς προαιρέσεως τὸν παλαιὸν νομοθέτην, ὃς βούλεται πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον μετὰ τὴν ἐπ' αὐτῷ χειροθεσίαν συναφθέντα γυναικὶ, παντελῶς τοῦ τοιαύτου ὑπεξίστασθαι σχήματος, καὶ πρὸς τὸν λαϊκὸν βίον ἐπαναστρέφεσθαι, ἀλλὰ ἀκυροῦμεν τὸ δόγμα. θεσπίζομεν δὲ, μόνῃ τῇ ὑποχωρήσει τῆς τάξεως, ἐφ' ἧ πρὸ τοῦ γάμου ἐγνωρίζοντο ἀρκεῖσθαι, τὴν δίκην αὐτοῖς. τοῦ δὲ κληρικοῦ σχήματος, καὶ τῆς ἄλλης ἐν ταῖς ἐκκλησίαις ὑπηρεσίας ἐφάπτεσθαι οὐκ ἀθέμιτον.

Περὶ διγάμων λαϊκῶν.

Ἀλλ' ὁ μὲν θεῖος ἀπόστολος Παῦλος, τὰς νεωτέρας χήρας γάμοις αὖθις προσομιλεῖν, εἰ βούλοιντο, συνεχώρησε, τὸ εὐόλισθον τῆς φύσεως ὑπειδόμενος. οἱ δὲ θεῖοι πατέρες, καὶ τῶν ἀνδρῶν τοὺς διγαμεῖν αἱρουμένους ᾤοντο δεῖν μὴ κωλύειν, τοῦ σαρκικοῦ φρονήματος μὴ ἀγνοοῦντος τὴν ἐπανάστασιν· οὐ μὲν ἀνεπιτιμήτως εἴασαν ἔχειν.

Φησὶ γὰρ ὁ πρῶτος τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, οἱ νομίμως δευτέροις ὁμιλήσαντες γάμοις, ὀλίγου διϊππεύσαντος χρόνου, καὶ ταῖς εὐχαῖς καὶ ταῖς νηστείαις σχολάσαντες, τῆς κοινωνίας κατὰ συγγνώμην ἀπολαυέσθωσαν. εἰ δὲ πρὶν τὰ τοῦ νομίμου γάμου τελέσασθαι, λαθραίᾳ μίξει συνῆλθον, καὶ ὡς πεπορνευκότες ἐπιτιμάσθωσαν.

Ο δὲ μέγας Βασίλειος ἐν δ΄. κανόνι, οἱ μὲν φησὶ, A ἐπ' ἐνιαυτὸν, ἕνα. οἱ δὲ, ἐπὶ δύο, τῆς ἱερᾶς εἴργουσι κοινωνίας τὸν διγαμοῦντα.

Περὶ γυναικῶν εἰς δεύτερον ἐρχομένων γάμον.

Εν δὲ τῷ μα΄. κανόνι αὐτοῦ, ἡ χήρα γυνή, φησιν, εἰ καὶ τῶν προσεχῶν γονέων ἀφῄρηται, καὶ εἰς δεύτερον ἐλθεῖν αὐθαιρέτως οὐ κεκώλυται συνοικέσιον. φησὶ γὰρ ὁ ἀπόστολος, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ, τουτέστιν ἀνδρὶ πιστῷ συναφθῆναι. ζῶντες δὲ οἱ γονεῖς, ὧν ὑπεξούσιος οὖσα τυγχάνει, καὶ μὴ συναινέσαντες, διασπᾶσαι δύνανται τὴν τοῦ γάμου συνάφειαν.

B

Νόμοι.

Φησὶ γὰρ ὁ νόμος, ἡ ἐλάττων τῶν κε΄. ἐνιαυτῶν αὐτεξούσια μέλλουσα δευτερογαμεῖν, γνώμῃ τοῦ πατρὸς γαμείσθω.

Η χήρα γυνὴ ἀναγκάζεται μεῖναι τὸν πένθιμον χρόνον διὰ τὴν σύγχυσιν τῆς γονῆς, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστι. γαμηθεῖσα δὲ, πρὶν ἢ πληρωθῆναι τὸν μετὰ θάνατον τοῦ ἀνδρὸς ἐνιαυτὸν, ἀτιμοῦται, καὶ οὐ δύναται πλέον τοῦ τρίτου τῆς οὐσίας αὐτῆς διδόναι τῷ δευτέρῳ ἀνδρὶ, ἢ ἐν διαθήκῃ καταλιπεῖν, ὅτε παῖδας δηλαδὴ οὐκ ἔχει· καὶ αὐτὴ οὐδὲν ἕξει ἀπὸ κληρονομίας, ἢ λεγάτου, ἢ μόρτις καύσα, ἤγουν ἐπιτελευτίου δωρεᾶς· ἀλλὰ ταῦτα λαμβάνουσιν οἱ κληρο- C νόμοι τοῦ καταλιπόντος. καὶ εἴ τι κατέλιπεν αὐτῇ ὁ ἀνὴρ ὁ πρῶτος, λαμβάνουσι κατὰ βαθμὸν τὰ δέκα πρόσωπα, τουτέστι ἀνιόντες καὶ κατιόντες, καὶ ἐκ πλαγίου, μέχρι δευτέρου βαθμοῦ. ἐξ ἀδιαθέτου δὲ κληρονόμοι τῶν συγγενῶν αὐτῶν, μέχρι τρίτου μόνου βαθμοῦ. ἀλλὰ καὶ πάσης ἀξίας στερεῖται, καὶ τῶν ἀπὸ τοῦ πρώτου ἀνδρὸς εἰς αὐτὴν ἐλθόντων προφάσει μνήστρων ἢ κατὰ βούλησιν τοῦ τελευτήσαντος.

Κατὰ κέλευσιν δὲ βασιλέως δύναται γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ δεύτερον νυμφίον ἑαυτῇ ἐπεισάγειν. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ χρόνῳ παραχρῆμα δύναται γαμηθῆναι. ζήτει τὰ περὶ τούτου, καὶ ἐν τῷ η΄. κεφ. τοῦ Β. στοιχείου. D

Οὐδεὶς δύναται ὑπὸ τὴν πολιτείαν ὢν τῶν Ρωμαίων, δύο γαμετὰς ἐν ταυτῷ ἔχειν.

Ο δύο γαμετὰς ἐν ταυτῷ ἔχων, τυπτέσθω· ἐκδιωκομένης τῆς ἐπεισάκτου γυναικὸς μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς παίδων.

Περὶ τριγάμων.

Ο μέγας Βασίλειος ἐν τῷ δ΄. κανόνι ἐπὶ τὴν τριγάμων συνήθειαν, φησὶ, καταλαβόμενοι, πενταετίας ἀφορισμὸν, τοῦ γάμου δηλαδὴ μὴ διασπωμένου. καλοῦσι δὲ τὸ τοιοῦτον οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν· μᾶλλον δὲ πορνείαν κεκολασμένην, E τουτέστι μὴ διακεχυμένην, ἀλλὰ συνεσταλμένην, καὶ ἐν μιᾷ περιγραφομένην γυναικί. διὸ καὶ ὁ κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ, ὃν νῦν, φησιν, ἔχεις, οὐκ ἔστι σου ἀνήρ. ὡς οὐκ ἔστιν ἄξιον ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι. δεῖ δέ φησι, μὴ πάντη τούτους ἀπείργειν τῆς ἐκκλησίας, ἀλλ' ἐν τοῖς τόποις μόνοις τῶν ἀκροωμένων καὶ συνισταμένων μετρεῖσθαι τούτοις τὴν καταδίκην, οὐ μὴν καὶ τῶν προσκλαιόντων.

Αλλὰ καὶ αὖθις ἐν τῷ ν΄. τριγαμίας νόμος, φησὶν, οὐκ ἔστιν ἐκκλησιαστικὸς δηλαδή. τὰ μέντοι τοιαῦτα, οἷα ῥύπη τῆς ἐκκλησίας ὁρῶμεν. F δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα. οὐ γὰρ καταδικάζομεν τὴν πρᾶξιν ὥστε καὶ διασπᾷν, κατὰ δὲ τὸν αὐτίκα ῥηθησόμενον τῆς ἑνώσεως τόμον, καὶ τὴν διαστολὴν καὶ ψῆφον αὐτοῦ τούτους δεχόμεθα.

Ο δὲ τῆς θεολογίας ἐπώνυμος καὶ μέγας Γρηγόριος, τὸ πρῶτον φησὶ συνοικέσιον, νόμος, τὸ δεύτερον, Συγχώρησις, τὸ τρίτον, παρανομία. τὸ δ' ὑπὲρ τοῦτο, χοιρώδης βίος, οὐ δὲ πολλὰ ἔχων τῆς κακίας τὰ παραδείγματα.

Magnus autem ille Baſilius in iv. Can. ſuo, Quidam, inquit, ad annum unum; quidam ad duos arcent eum à communione ſacra, qui ſecundas nuptias contrahit.

De mulieribus quæ ſecundas nuptias contrahunt.

Ejuſdem Can. xli. Vidua, inquit, ſi proximis parentibus careat, etiam ad ſecundas arbitratu ſuo nuptias convolare non prohibetur. Nam Apoſtoli verba ſunt: Si vir mortuus fuerit, libera eſt ut ei nubat, cui vult, ſolum in Domino, hoc eſt, ut cum viro fideli jungatur. Parentes autem vivi, quorum eſt in poteſtate, ſi non conſenſerint, nuptiarum conjunctionem dirimere poſſunt.

Leges.

Quippe lex ait, Emancipata minor annis xxv. ad nuptias tranſitura, de patris ſententia nubat.

Mulier vidua tempus luctus expectare cogitur, propter confuſionem ſeminis, quod in viro locum non habet. Quæ vero nupſerit antequam completus fuerit annus à morte mariti, & infamia notatur, nec ultra tertiam facultatum ſuarum partem alteri marito donare poteſt, vel in teſtamento relinquere, quum liberos ſcilicet nullos habet: nec ipſa quicquam habebit ex hæreditate, vel legato, vel mortis cauſa donatione: ſed accipiunt hæc illius hæredes, qui ea reliquit. Si quid etiam reliquit ei prior maritus, ſecundum gradus decem perſonæ capiunt, hoc eſt, adſcendentes & deſcendentes, & qui ſunt ex tranſverſo, uſque ad ſecundum gradum. Ab inteſtato autem, hæredes cognatorum ipſorum uſque ad iii. duntaxat gradum. Quin etiam omni dignitate privatur, & iis, qui à marito priori ad eam pervenerunt ex cauſa ſponſalium, vel ſecundum voluntatem defuncti.

Principis autem juſſu poteſt mulier intra tempus luctus alterum ſibi ſponſum inducere. Quæ partum edidit intra tempus luctus, ſtatim nuptum ſe collocare poteſt. Quære plura ſuper hâc re in cap. viii. lit. B.

Nemo, qui ſub Romanorum ditione ſit, binas uxores eodem tempore poteſt habere.

Qui duas uxores eodem habet tempore, verberetur: & ſuperinducta mulier ejiciatur una cum natis ex ea liberis.

De Trigamis.

Magnus ille Baſilius in iv. Can. Conſuetudinem, inquit, in contrahentibus tertias nuptias accepimus, ut quinquennio ſegregentur; ita tamen, ut ipſum matrimonium non dirimatur. Vocant autem has non amplius nuptias, ſed nuptiarum pluralitatem: immo ſcortationem coercitam, hoc eſt, non late diffuſam, ſed contractam, & quæ in una muliere circumſcribitur. Idcirco Dominus etiam ad mulierem illam Samaritanam, quæ viros v. unum poſt alium habuerat: Quem nunc habes, inquit, non tibi maritus eſt. Adeo non æquum eſt, ut qui ultra mediocritatē ſecundarum nuptiarum prolapſi ſunt, nomine mariti vel uxoris appellentur. Oportet autem, inquit, non prorſus hos arcere ab Eccleſia, ſed ita mitigari pœnam eorum, ut in locis audientium duntaxat, & unà tantum conſiſtat; non etiam eorum, qui plorant.

Rurſus, inquit, in Can. l. De tertiis nuptiis nulla lex, videlicet Eccleſiaſtica. Nimirum ejuſmodi tanquam Eccleſiæ ſordes intuemur. Publicis autem pœnis non ſubjicimus, veluti quæ libera ſcortatione magis ſint optabilia. Non enim rem ita damnamus, ut matrimonium ipſum dirimamus, ſed juxta tomum unionis, quem mox ſumus expoſituri, & diſtinctionem atque ſententiam ejus, haſce nuptias admittimus.

Magnus autem ille Gregorius, cognomine Theologus, Primum conjugium lex, inquit, alterum permiſſio, tertium legis violatio. Quod ultra hoc, porcina vita eſt, nec multa vitii habet exempla.

De Tomo Unionis.

Enimvero priſcis legibus trinæ agnoſcebantur nuptiæ. Sed Imperator Leo, cognomine Sapiens, quum ad quartum quoque matrimonium progreſſus eſſet, ſegregationi ſubjectus fuit à Nicolao Patriarcha: quem deinde rogabat Princeps, ut eo vinculo ſe liberaret. Quum ille prorſus eſſet inexorabilis, hominem ejicit extra Eccleſiam, & Euthymium Syncellum, virum ſanctum, Patriarcham facit: qui quum Imperator ſancire vellet, ut etiam ad quartas uſque nuptias extenderentur ab iis matrimonia, quibus ita luberet, eum omni ſtudio inhibuit, affirmans cum pluribus Pontificibus, etiam tertias nuptias, nedum quartas, illicitas eſſe. Quamobrem diſſidium exſtitit in Eccleſia, eaque ſeditio duravit uſque ad imperium filii ejus Conſtantini nati in Porphyra, & Romani, hujus ſoceri. Quo tempore publicatus eſt tomus, qui unionis dicitur, anno vcIↃ. cccc. xxviii. & qui tradit, quando & quibus tertiæ nuptiæ permittendæ ſint, liberioribus amantium libidinibus egregium frænum imponens. Is tomus menſe Julio quotannis in ambone legitur, & ad finem hæc verba continet. Eos, qui annum quadrageſimum attigerunt, & tertias ad nuptias ſeſe projiciunt, veluti qui Eccleſiæ ſint inquinamenta, quinquennio communionis exſortes eſſe debere ſancimus; eoque tempore exſpirante, ſemel in anno ad communionem accedere venerabili ſalutaris Paſchatis die, jejunio diem illum præcedente, quantum ejus fieri poteſt, ſemet expurgantes. Sacerdos autem, qui præter id, quod à nobis eſt ſtatutum, ad ſacram aliquam perceptionem eos audet admittere, de gradu ſuo periclitabitur. Hæc autem dicimus, cum nulli ſint ejus liberi prioribus ex nuptiis. Sin autem, tertium matrimonium iis non permittetur. Quod ſi quis annos triginta natus, & hæredes ex prioribus conjugiis habens, nihilominus ob carnalis libidinis intemperantiam tertiæ copulatus uxori fuerit: triennio communionis exſors eſto. Atque ita deinceps ter in anno percipiat, die videlicet Paſchali reſurrectionis, & in obdormitione immaculatæ Deiparæ, & in feſto natatalitiorum Domini: quum jejunia dies hoſce præcedentia majorem partem extinctæ in ipſo labis abſtergere credantur. Sin liberis caret, veniam impetrat, quod liberorum procreandorum deſiderio tertias optavit nuptias; conſuetaque pœna remedium ei adhibetur, ut tribus annis à communione arceatur.

De Polygamis.

Canon iii. Syn. Neocæſar. de iis, inquit, qui in plures nuptias incidunt, ut ultra tres progrediantur, tempus quidem præſtitutum manifeſtum eſt. At reverà manifeſtum non eſt, cum nemo ex antiquis Patribus illud manifeſtum fecerit. Sed reſipiſcentium, inquit, fides & converſio tempus contrahit.

Cæterum eruditus ille in omnibus Baſilius, octuageſimo Canone ſuo: Nuptiarum pluralitatem, inquit, ſilentii caligine Patres obvelarunt, veluti beſtialem, & alienam ab honeſta conſuetudine. Nobis autem ad animum accidit, hoc eſt, videtur & placet judicio noſtro, magis hanc caſtigandam, quam ipſam ſcortationem. Et nuptiarum pluralitas eſt, non cum multis promiſcuè rem habere, ſed eundem plures uxores ducere, licet non una & eadem vice. Nam nuptiæ non tantum ſunt concubitus cum muliere, ſicut vulgus hominum loqui ſolet, ſed conjunctio maris & fœminæ & omnis vitæ conſortium, divini & humani juris communicatio, quemadmodum leges tradunt. Non enim ex conjunctione duntaxat agnoſcuntur, verum etiam ex illorum affectione,

A

Περὶ τοῦ τόμου τῆς ἑνώσεως.

Ἤδη μὲν οὖν τοῖς παλαιοῖς νόμοις τρεῖς ἐπεγινώσκοντο γάμοι. ὁ δὲ βασιλεὺς Λέων ὁ Σοφὸς, καὶ εἰς τέταρτον ἐλθὼν συνοικέσιον, ἀφορισμῷ παρὰ τοῦ πατριάρχου Νικολάου καθυπεβλήθη· οὗ καὶ ἐδεῖτο ὁ βασιλεὺς λυθῆναι τοῦ δεσμοῦ. ὡς δ᾽ ἐκεῖνος ἦν παντάπασιν ἀδυσώπητος, αὐτὸν τῆς ἐκκλησίας τοῦτον ἐκβάλλει, καὶ τὸν Εὐθύμιον σύγκελλον ἄνδρα ἱερὸν προχειρίζεται πατριάρχην, ὃς καὶ τὸν βασιλέα θεσπίσαι βουλόμενον, καὶ μέχρι τοῦ τετάρτου γάμου B παρατείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια, πάσῃ σπουδῇ διεκώλυσεν, οὐχ ὅπως τὴν τετραγαμίαν, ἀλλὰ καὶ τὴν τριγαμίαν ἀθέμιτον εἶναι μετὰ τῶν πλειόνων ἀρχιερέων διατεινόμενος. διὰ δὲ τοῦτο καὶ σχίσμα περὶ τὴν ἐκκλησίαν ἐγεγόνει, καὶ τὰ τῆς στάσεως μέχρι τῆς βασιλείας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Ρωμανοῦ τοῦ πενθεροῦ τούτου διήρκεσε. καὶ τηνικαῦτα ἐξετέθη τόμος, ὁ λεγόμενος τῆς ἑνώσεως, τῷ ϛ΄. υ΄. κη΄. ἔτει, διαλαμβάνων πότε καὶ τίσι τὸν τρίτον δεῖ γάμον παραχωρεῖν, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐκ πολλοῦ τοῦ περιόντος ἐπιθεὶς χαλινὸν, ὃς καὶ κατὰ τὸν Ἰούλιον μῆνα ἐτησίως ἐπ᾽ C ἄμβωνος ἀναγινώσκεται. πρὸς γοῦν τῷ τέλει ταῦτά φησι· τοὺς εἰς ἔτος ἀναβεβηκότας τεσσαρακοστὸν, καὶ πρὸς τρίτον ἑαυτοὺς ἐπιρρίπτοντας γάμον, οἷα ῥύπη τῆς ἐκκλησίας τυγχάνοντας, μέχρι πενταετίας ἀκοινωνήτους εἶναι θεσπίζομεν, καὶ τοῦ τοσούτου χρόνου ἐξήκοντος, ἅπαξ τοῦ ἔτους τῇ κοινωνίᾳ προσιέναι, κατὰ τὴν σεβάσμιον τοῦ σωτηρίου πάσχα ἡμέραν, ἐν τῇ πρὸ ταύτης νηστείᾳ, καθ᾽ ὅσον οἷόν τε ἀποκαθαίροντας ἑαυτούς. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸ διατεταγμένον ὅρον μεταλήψεως θείας τινὸς τούτους ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν. ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα τούτοις ἐκ τῶν προτέρων γάμων παρῇ· εἰ δὲ οὖν, D ἀσυγχώρητος αὐτοῖς ἔσται ἡ τριγαμία. εἰ δέ τις τριακοντούτης ὢν, καὶ τοὺς υἱοὺς ἔχων ἐκ τῶν φθασάντων γάμων διαδοχὴν, ὅμως γε μὴν διὰ τὸ τῆς σαρκικῆς ἐπιθυμίας ἀκόλαστον, τρίτῃ συναφθείη γυναικὶ, ἀκοινώνητος ἔσω. εἶθ᾽ οὕτω τρὶς τοῦ ἐνιαυτοῦ μεταλαμβανέτω, ἐν τῇ ἀναστασίμῳ τοῦ πάσχα ἡμέρᾳ, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Θεοτόκου, καὶ ἐν τῇ γενεθλίων τοῦ κυρίου ἑορτῇ· τῶν πρὸ τούτων νηστειῶν τὸ πλεῖστον τῆς ἐκτακείσης αὐτῷ κηλῖδος ἀποσμήχειν πιστευομένων. εἰ δὲ ἄπαις ὢν τυγχάνει, συγγνώμης ἀξιοῦται, δι᾽ ἔφεσιν παιδοποιΐας τὸν τρίτον γάμον αἱρούμενος, καὶ τῷ συνήθει ἐπιτιμίῳ θεραπευθήσεται, E ἐπὶ τρισὶ χρόνοις τῆς κοινωνίας εἰργόμενος.

Περὶ πολυγάμων.

Ὁ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου γ΄. κανὼν, περὶ τῶν πλείστοις φησὶ γάμοις περιπεσόντων, ὡς καὶ τῆς τριγαμίας προελθεῖν περαιτέρω, ὁ μὲν ὡρισμένος χρόνος σαφής. εἰ καὶ ἀτεχνῶς ἀσαφὴς, μή τινος τῶν παλαιοτέρων δηλώσαντος. ἡ δὲ πίστις καὶ ἡ ἀναστροφὴ τῶν μετανοούντων συντέμνει τὸν χρόνον φησί.

Ὁ δὲ πάντα σοφὸς Βασίλειος, ἐν τῷ π΄. κανόνι, τὴν πολυγαμίαν οἱ πατέρες, φησὶ, τῷ τῆς ἀφασίας F συνεκάλυψαν σκότει, οἷα κτηνώδη καὶ τῆς ἀνθρωπίνης ἀπεοικυῖαν διαγωγῆς· ἡμῖν δὲ παρίσταται, ἤτοι δοκεῖ καὶ κρίνεται, πλέον ἢ τὴν πορνείαν ταύτην κολάζεσθαι. πολυγαμία δέ ἐστι, οὐ τὸ πολλαῖς ἀδιαφόρως μίγνυσθαι, ἀλλὰ τὸ πολλὰς ἀνάγεσθαι τὸν αὐτὸν, εἰ καὶ μὴ ἀθρόον. γάμος γὰρ οὐ τὸ γυναικὶ συμφθαρῆναι μόνον ἐπὶ καταχυδαιοτέραν διάλεκτον, ἀλλ᾽ ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις τοῦ βίου παντὸς θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, ὡς οἱ νόμοι διαγορεύουσιν. οὐ γὰρ ἀπὸ μόνης τῆς συναφείας γινώσκεται, ἀλλὰ καὶ ἀπὸ τῆς διαθέσεως τῶν

συναλ-

A συναλλαξάντων. ἀποσεσιωπῆσθαι δέ φασι τοῖς πατράσιν, ὅτι ἡ μὲν τριγαμία τῷ νόμῳ ἐπιγινώσκεται, ἡ δὲ πολυγαμία καὶ τοῖς νόμοις καὶ τοῖς κανόσιν ἀπείρηται. πᾶν γὰρ συνάλλαγμα ὅρους ὑπερβαῖνον τῆς τριγαμίας, πολυγαμία σαφῶς ὀνομάζεται. καὶ τῆς πορνείας δὲ εἴρηκε χείρονα μάλα εἰκότως. ὁ μὲν γὰρ πορνεύων, εἰς ἑαυτὸν μόνον τὴν ἀδικίαν περιΐστησιν ἑκόντι τῷ βαράθρῳ τῆς ἀκολασίας ἑαυτὸν ἐπιρρίπτων· ὁ δὲ δʹ. ἢ εʹ. γάμον δῆθεν ἑαυτῷ συναλλάξας, κατορχεῖται μὲν τῶν κωλυόντων τοῦτον θείων κανόνων, ἀδικεῖ δὲ τοὺς γνησίους αὐτοῦ παῖδας, παρασπείρων τούτοις καὶ νόθους. διὸ καὶ μετὰ τὴν παρανομίας ἀπαλλαγὴν, καὶ τὴν γνησίαν ἐξομολόγησιν, B καὶ πλέον τῶν πορνευσάντων εὐθύνεσθαι ἀξιοῖ. τοὺς μὲν γὰρ εἰς ἑπταετίαν, τοὺς δὲ παρατείνει εἰς χρόνους ὀκτὼ, εἰ ἀκριβῶς τὸν νοῦν ἐπιστήσαις τοῖς τοῦ ἁγίου θεσπίσμασιν. εἰ γὰρ τῶν δύο τόπων τῆς μετανοίας μόνον μνησθεὶς, τέσσαρας ἐν αὐτοῖς διελθεῖν ὥρισε χρόνους, ἤπου καὶ ἐν τοῖς δυσὶν ἑτέροις οὓς παρῆκε διὰ συντομίαν ὡς δήλους, ἑτέρους δεῖ τέσσαρας διαγαγεῖν, πρὸ τῆς τῶν ἁγιασμάτων μεθέξεως.

Νόμος.

Ὁ δὲ νόμος φησὶν, ἔστω οὖν τοῦτο πᾶσιν κατάδηλον, ὡς C εἴ τις τολμήσειε πρὸς γάμον τέταρτον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, ἀλλ' οὐδὲ οἱ ἐξ αὐτοῦ τεχθέντες γνήσιοι λογισθήσονται παῖδες, καὶ ταῖς ποιναῖς δὲ τῶν μεμολυσμένων τῇ πορνείᾳ ὑποβληθήσονται οἱ τοιοῦτοι, ἀπ' ἀλλήλων πρότερον διαιρεθέντες.

ΚΕΦ. εʹ.

Περὶ τῆς εἰς δεύτερον γάμον ἐλθεῖν βουλομένης γυναικὸς, ἐν ἀποδημίᾳ ἢ στρατείᾳ τοῦ ἀνδρὸς αὐτῆς ἀφανισθέντος.

D

Ὁ λαʹ. τοῦ μεγάλου Βασιλείου κανὼν, ἡ ἀναχωρήσαντός, φησι, τοῦ ἀνδρὸς, καὶ ἀφανοῦς ὄντος, μὴ ἀναμείνασα τὴν ἐπάνοδον, μήτ' αὖ πρὸς τῶν ἀκριβῶς τὰ κατ' αὐτὸν ἐγνωκότων μαθοῦσα, εἰ ἀληθῶς ἐτεθνήκει, καὶ γαμουμένη ἑτέρῳ, τῷ τῆς μοιχείας ἐνέχεται κρίματι.

Ὁ δὲ λϛʹ. καὶ αἱ τῶν ἐπὶ μακρὸν ἀποδημούντων στρατιωτῶν σύζυγοι, τῷ αὐτῷ, φησι, τῆς μοιχείας ἐγκλήματι περιπίπτουσιν. E ἔχουσι δέ τινα συγγνώμην τῷ ἐν χρόνῳ θανάτου ἀεὶ τοὺς στρατιώτας ὑποπτεύεσθαι, ἅτε περὶ πολέμους, καὶ κινδύνους, καὶ σφαγὰς ἀναστρεφομένους.

Τοῖς δυσὶ τούτοις τοῦ Βασιλείου κανόσι, καὶ ἡ ϛʹ. σύνοδος ἀρεσθεῖσα, ἐνενηκοστὸν τρίτον κανόνα ἑαυτῆς ἐποιήσατο, αὐτοῖς τοῖς αὐτοῦ ῥήμασι χρησαμένη, καὶ προστίθησιν, ὡς ἐπανήκων ὁ στρατιώτης ἐκ τῆς χρονίας ἀποδημίας εἰ βουληθείη, λήψεται τὴν ἰδίαν γυναῖκα· συγγνώμη δὲ καὶ ταύτῃ, καὶ τῷ νομίμως συναφθέντι δίδοται ἀνδρί. οὐ γὰρ ἐπιτιμῶνται διὰ τὴν ἄγνοιαν. ἡ δὲ τοῦ μὴ ὄντος στρατιώτου ἀσύγγνωστος, F μὴ ἀναμείνασα τὴν ἐπάνοδον. εἰ δὲ οὐχ αἱρεῖται ἡ γυνὴ μετὰ τοῦ ἐπανελθόντος στρατιώτου συμβίωσιν, οὐ δὲ μετὰ τοῦ δευτέρου ἀνδρὸς, καὶ βουλομένη συνοικεῖν ἐασθήσεται. εἰ γὰρ βουληθείη ὅλως, μετὰ τὴν ἐκείνου ἐπάνοδον, εἰ καὶ μὴ προσίεται ταύτην, ἔτι συνοικεῖν τῷ δευτέρῳ, ὡς μοιχαλὶς τιμωρηθήσεται, καὶ ὁ γάμος αὐτίκα διασπασθήσεται. ἐκείνας γὰρ συγγνώμης ἀξιοῦσθαί φασιν οἱ πατέρες, τὰς ἑτοίμως ἀφισταμένας τοῦ δευτέρου συνοικεσίου, καὶ τῷ ἐξ ἀγνοίας μὴ συντιθεμένας ἁμαρτήματι, οὐ μὴν τὰς ἀνθισταμένας, καὶ τὴν μοιχείαν προαιρουμένας.

qui contraxerunt. Dicit autem nuptiarum pluralitatem à Patribus ſilentio præteritam, quia tertias quidem nuptias lex agnoſcit: at eorum pluralitas tum legibus, tum Canonibus eſt prohibita. Omnis enim contractus matrimonialis, qui tertiarum nuptiarum fines tranſit, nuptiarum pluralitas haud dubio dicitur. Eandem ſcortatione pejorem non abs re pronunciavit. Nam qui ſcortatur in ſe ſolum facinus hoc admittit, dum ſponte ſua ſemet in voraginem intemperantiæ præcipitat: qui vero quartas aut quintas contraxerit nuptias, & ſacros Canones, qui eas prohibent, proculcat, & germanos ſuos liberos afficit injuria, dum præter eos etiam ſpurios procreat. Propterea poſt ipſius facinoris omiſſionem, & veram confeſſionem, vult etiam gravius ipſos puniri, quã qui ſcortati fuerint. His enim ſeptenium, illis annos octo conſtituit; ſi accuratè mentem in ea, quæ vir ſanctus ſtatuit, defixeris. Nam ſi duorum duntaxat locorum pœnitentiæ mentione facta, quatuor in eis annos præterire debere definiit: omnino in duobus etiam aliis, quos compendii cauſa veluti manifeſtos omiſit, alii quatuor anni erunt exigendi ante Sacramentorum perceptionem.

Lex.

Legis autem hæc verba ſunt. Univerſis manifeſtum eſto, quod ſi quis auſus fuerit ad quartas convolare nuptias, quæ nuptiæ non ſunt, non modo futurum, ut eæ nuptiæ pro nullis habeantur: ſed ne liberi quidem ex iis procreati, pro legitimis ducantur; adeoque pœnis etiam pollutorum ſcortatione tales ſubjicientur, ubi primum à ſe invicem dirempti fuerint.

CAPUT V.

De muliere ſecundas ad nuptias tranſire volente, cujus maritus in peregrinatione, vel expeditione interierit.

Canon xxxi. Baſilii magni: Mulier, ait, quæ marito peregre profecto, nec adhuc comparente, reditum ejus non expectaverit: nec ab iis, qui ejus negotia norunt accurate, verene mortuus ſit, intellexerit, atque ita nupſerit alteri, adulterii judicio tenetur.

Item Can. xxxvi. Uxores militum procul aliquo proficiſcentium, in idem adulterii crimen incidunt: ſed veniam tamen aliquam propterea merentur, quod ſemper exiſtimentur in articulo mortis eſſe milites, veluti qui in prœliis, & periculis, & cædibus verſentur.

Duobus hiſce Baſilii Canonibus aſſentiens etiam ſexta Synodus, xciii. Canonem ſuum fecit, ipſis ejus verbis uſa, & deinde adjiciens: Miles qui ex diuturna profectione revertitur, ſi voluerit, uxorem ſuam recipiet. Venia vero tam ipſi mulieri, quam viro legitimè cum ea copulato datur. Non enim puniuntur, propter ignorantiam. Ejus autem uxor, qui non eſt miles, ſi reditum non expectaverit, veniam non impetrat. Quod ſi mulier reverſi militis contubernium repudiet, nec alteri marito, licet id expetat, cohabitare permittetur. Nam ſi voluerit omnino poſt reditum militis, licèt eam non admittat, adhuc tamen cohabitare ſecundo marito; tanquam adultera punietur, & matrimonium ſtatim dirimetur. Nam illas impetrare veniam tradunt Patres, quæ prompte à ſecundo matrimonio diſcedunt, & peccatum ex ignorantia profectum non approbant: non quæ repugnant, & adulterii propoſito inhærent.

A

Leges.

Si miles in expeditione degat, hoc eſt, in utili publice apparatu, quotcunque tandem anni fuerint, uxor ejus hominem expectet, tametſi nullas ab eo literas acceperit. Quod ſi etiam defunctum audiat, ne ita quidem ſtatim nubat, niſi prius tabellarios rogaverit an reverà mortuus ſit, ipſique propoſitis ſacroſanctis Evangeliis, juramento mortem ejus confirment: quin & ſic uno amplius anno expectet, & tum legitimè nubat. Sin præter ſtatutum hoc nupſerit, tam ipſa, quam qui eam duxit, tanquam adulteri puniuntur. Quod ſi probatum fuerit eos, qui de morte depoſuerint, mentitos, exauctorentur; & qui reverſus eſt miles licentiam habet uxorem, ſi velit, ſuam recipiendi.

De captivis autem Novella Leonis, cognomine Sapientis, ſancit; matrimonium ex cauſa captivitatis non ſolvi: nec ei parti, quæ libera manſerit, licere, ut alterum ad matrimonium reſpiciat. Quod ſi etiam alii ſe conjunxerit, licentiam habere partem eam, quæ reverſa ſit ex captivitate, membrum ſuum revocandi, & ſecundum matrimonium dirimendi.

Νόμοι.

Ἐὰν στρατιώτης ἐν ἐξπεδίτῳ διάγῃ ἤγουν ἐνδημοφελεῖ κατασκευάσματι, ὅσους δήποτε ἐνιαυτοὺς, περιμενέτω τοῦτον ἡ αὐτοῦ γαμετὴ, κἂν εἰ μὴ γράμματα ἐδέξατο παρ' αὐτοῦ. εἰ δὲ καὶ τελευτήσαντα πύθοιτο, μηδ' οὕτως εὐθέως γαμείσθω, ἂν μὴ πρότερον τοὺς χαρτουλαρίους ἔρηται, εἰ τῇ ἀληθείᾳ ἐτελεύτησε, κἀκεῖνοι τῶν ἁγίων εὐαγγελίων προκειμένων, ὅρκῳ πιστώσωνται τὴν αὐτοῦ τελευτήν. ἀλλὰ καὶ οὕτω μενέτω αὖθις ἐνιαυτὸν, καὶ τότε νομίμως γαμείσθω. εἰ δὲ παρὰ τὸν προσδιορισμὸν γαμηθείη τοῦτον, καὶ αὐτὴ, καὶ B ὁ λαβὼν αὐτὴν, ὡς μοιχοὶ τιμωροῦνται. εἰ δὲ οἱ καταθέμενοι ἀποδειχθεῖεν ψευσάμενοι, ἀποστρατεύονται· καὶ ἔχει ἄδειαν ὁ ἐπανελθὼν στρατιώτης τὴν ἰδίαν λαβεῖν εἰ βούλοιτο γαμετήν.

Περὶ δὲ αἰχμαλώτων, ἡ νεαρὰ Λέοντος τοῦ σοφοῦ, μὴ λύεσθαι διορίζεται προφάσει τῆς αἰχμαλωσίας γάμον, μηδὲ τῷ ἐλευθέρῳ συντηρηθέντι μέρει ἐξεῖναι πρὸς ἕτερον ἀποδεῖν συνοικέσιον. εἰ δὲ καὶ συναφθείη ἑτέρῳ, ἄδειαν ἔχει τὸ ὑποστρέψαν μέρος ἐκ τῆς αἰχμαλωσίας, τὸ οἰκεῖον ἀνακαλεῖσθαι μέλος, καὶ τὸν δεύτερον γάμον διασπᾶν.

C

CAPUT VI.

Quod Presbyter qui nuptiis benedixit alterum contrahentis matrimonium, cum eo convivari non debeat.

CANON Concilii Neocæſar. ſeptimus, non putat debere Presbyterum nuptiali ſecundum contrahentis matrimonium convivio intereſſe. Quem enim objurgaturus eſt, & ad anni ſpatium ſacra excluſurus perceptione, cum eo quinam fieri poteſt, ejuſdem ut tunc menſæ ſit conſors, & opinionem de ſe præbeat, quaſi particeps ſit ejus quod agitur? Poſt nuptias tamen veſci cum eo non prohibebitur.

ΚΕΦ. ϛ΄.

Ὅτι τῷ διγαμοῦντι οὐ δεῖ συνεστιᾶσθαι τὸν ἱερολογήσαντα πρεσβύτερον.

Ὁ ζ΄. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, πρεσβύτερον ἐν τῷ γάμῳ τοῦ διγαμοῦντος ἑστιᾶσθαι οὐκ οἴεται δεῖν. ὃν γὰρ ἐπιτιμᾶν μέλλει καὶ ἐπ' ἐνιαυτὸν τῆς θείας εἴργειν μεταλήψεως, πῶς οἷόν τε κοινωνεῖν τούτῳ τραπέζης τηνικαῦτα, καὶ κατὰ τὸ δοκεῖν τῷ γινομένῳ συμ- D πράττειν; μετὰ μέντοι τὸν γάμον, αὐτῷ συνεσθίειν οὐ κωλυθήσεται.

CAPUT VII.

Quod Chriſtiani, qui ad nuptias eunt, non debent ludicris intenti eſſe.

CANON Laodicenæ Synodi liii. præcipit, ut Chriſtiani, qui eunt ad nuptias, gravitatem ſibi convenientem ſervent; & ſaltantibus aut ludicras res agentibus, animum non advertant. Quod præceptum Canonis hujus modo neglectum jacet. Quæras in i. cap. lit. Θ. Can. hujus Syn. liv. Et Syn. vi. Can. xxiiii.

ΚΕΦ. ζ΄.

Ὅτι τοὺς εἰς γάμον ἀπιόντας χριστιανοὺς οὐ δεῖ παιγνίοις προσέχειν.

Ὁ νγ΄. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου κελεύει, τοὺς εἰς γάμους ἀπιόντας χριστιανοὺς, τῆς προσηκούσης αὐτοῖς ἀντι- E ποιεῖσθαι σεμνότητος, καὶ μὴ τοῖς ὀρχουμένοις ἢ παίζουσι προσέχειν τὸν νοῦν. ἠμέληται δὲ τανῦν τὰ τοῦ κανόνος τούτου. Ζήτει ἐν τῷ πρώτῳ κεφ. τοῦ θ΄. στοιχείου κανόνα ταύτης νδ΄. καὶ τῆς ϛ΄. συνόδου κδ΄.

CAPUT VIII.

De Virginibus præter parentum ſuorum voluntatem nubentibus.

CANON Baſilii magni xxxviii. Puellas filiasfamiliarum, quæ præter voluntatem patrum ſuorum amaſiis ſemet in matrimonii conſortium tradiderint, tanquam meretrices punit. Si tamen, inquit, reconciliati cum eis parentes fuerint, & filiarum cum amaſio & ſtupratore ſuo commercium probaverint: quod ab initio contra leges fiebat, deinceps parentum conſenſu corrigi & ſanari videtur. Nihilominus etiam hoc modo propter admiſſum prius facinus, ſaltem poſt triennium, precibus intervenientibus, communionem impetrabunt. Enimvero tunc temporibus nuptiæ ſolo conſenſu coibant. Ac noſtro tempore non contrahuntur abſque ſacris precibus.

ΚΕΦ. η΄.

Περὶ τῶν γαμουμένων παρθένων γυναικῶν παρὰ γνώμην τῶν οἰκείων γονέων.

Ὁ λη΄. τοῦ μεγάλου Βασιλείου κανὼν, τὰς ὑπεξουσίας κόρας, αἳ παρὰ γνώμην τῶν ἰδίων πατέρων, τοῖς ἐρα- F σταῖς εἰς γάμου κοινωνίαν ἐκδεδώκασιν ἑαυτὰς, ὡς πόρνας καταδικάζει. εἰ μέν τι φησὶ, διαλλαγεῖεν αὐταῖς οἱ γονεῖς, καὶ τὴν μετὰ τοῦ ἐραστοῦ, καὶ φθορέως, αὐτῶν συνοίκησιν καταδέξαιντο, τὸ ἐξ ἀρχῆς παράνομον, τῇ τῶν γονέων ὕστερον συναινέσει δοκεῖ θεραπεύεσθαι. πλὴν καὶ οὕτω δὲ διὰ τὴν προτέραν παρανομίαν, μετὰ τρία ἔτη, τῆς κοινωνίας αἰτοῦντες ἀξιωθήσονται. ἀλλὰ τότε μὲν συναινέσει μόνῃ ὁ γάμος ἵστατο. ἐφ' ἡμῶν δὲ, οὐκ ἂν σταίη χωρὶς ἱερολογίας.

Ἀλλὰ καὶ

A Ἀλλὰ καὶ ὁ μ΄. ἔτι καὶ ὁ μβ΄. τὴν ἄνευ γνώμης τοῦ οἰκείου δεσπότου γαμουμένην δούλην, οὐδὲν ἄμεινον πόρνης ἔχειν ψηφίζονται. αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον. Ταύτῃ τοι καὶ οἱ παρὰ γνώμην τῶν κρατούντων γάμοι, πορνεία λογίζονται. εἰ δέ γε μετέπειτα τὰ τοῦ τοιούτου παρρησιασθείη γάμου, τοῦ κυρίου αὐτῆς ἢ τῷ γάμῳ μόνῳ συγκατανεύσαντος, ἢ καὶ τὴν ἐλευθερίαν χαρισαμένου, ὁ γάμος μὲν ἐστὶν ἀνεύθυνος, ἡ δὲ προτέρα ἁμαρτία, οἷα πορνεία, δικαίως ἐπιτιμηθήσεται. δούλη δὲ γαμικῶς ὁτῳδήποτε συναφθεῖσα ἐλευθέρῳ, τοῦ δεσπότου εἰδότος καὶ μὴ ἀντιλέγοντος, οὐχ ὡς πόρνη λογισθήσεται. ἡ γὰρ ἐκείνου σιγὴ τὴν ἐλευθερίαν ἐξ ἀνάγκης καὶ τὸ ἀναμάρτητον ταύτῃ χαρίζεται. B

Νόμος.

Η ὑπεξουσία ἢ ὑπεξούσιος, οὐ δύνανται νομίμως γαμεῖν, μὴ συναινοῦντος τοῦ ἔχοντος αὐτοὺς ὑπ᾽ ἐξουσίᾳ, εἰ μή που ὁ πατὴρ γεγονυῖαν αὐτοῦ τὴν θυγατέρα χρόνων κε΄. ἀνδρὶ συζεῦξαι ὑπερέθετο. τότε γὰρ ἐλευθέρῳ συζευχθῆναι μόνῃ οὐ κεκώλυται. Ζήτει καὶ τὸ λ΄. κεφάλαιον τοῦ παρόντος στοιχείου.

ΚΕΦ. θ΄.

C

Περὶ γάμων παρανόμων καὶ ἀθεμίτων τῶν Συγγενῶν.

ΤΩν μὴ ἐννόμως γινομένων γάμων, οἱ μὲν λέγονται ἀθέμιτοι, ὡς οἱ μετὰ συγγενῶν, ἢ αἱρετικῶν· οἱ δὲ παράνομοι, ὡς οἱ μετὰ ἐπιτροπευομένης· οἱ δὲ κατάκριτοι, ὡς οἱ μετὰ τῆς ἀναθεμένης τῷ θεῷ· οὓς οἱ μὲν θεῖοι κανόνες διασπᾶσθαι μόνον θεσπίζουσιν, οἱ δὲ νόμοι, καὶ δημοσιεύεσθαι τοὺς συναλλάξαντας, καὶ ἐξορίζεσθαι· εὐτελεῖς δὲ ὄντας καὶ μαστίζεσθαι. λατινικῶς δὲ, ὁ μὲν παράνομος γάμος λέγεται νεφάριος, ὁ δὲ κατάκριτος, δαμνᾶτος, ἴγκεστος δὲ, ὁ ἀθέμιτος. D

Περὶ κληρικῶν ἀθεμιτογαμούντων.

Ο τοίνυν ιθ΄. τῶν ἁγίων ἀποστόλων κανών, ὁ δύο φησὶν ἀδελφὰς ἀγόμενος, ἢ ἀδελφιδῆν, κληρικὸς εἶναι οὐ δύναται. πᾶς γὰρ ὁ ἀθέμιτος γάμος, εἴτε ἐξ αἵματος, εἴτε ἐξ ἀγχιστείας, διασπᾶται· καὶ ὁ τούτῳ ἁλοὺς, οὐχ ὅπως τοῦ κλήρου ἐξωθεῖται, ἀλλὰ καὶ ἐπιτιμίοις ὑποβάλλεται.

Ο γὰρ κζ΄. τοῦ μεγάλου Βασιλείου, ἱερέα τὸν ἀθέσμῳ γάμῳ ἐν ἀγνοίᾳ περιπαρέντα, τὴν καθ᾽ αἷμα τυχὸν προσήκουσαν εἰσοικισάμενον, ἢ μονάστριαν τὸ ἱερὸν ἀρνησαμένην E σχῆμα, ἢ τὴν τῷ πατρὶ αὐτοῦ ἐπιτροπευθεῖσαν, τοῦτον τῆς μετὰ τῶν πρεσβυτέρων καθέδρας μόνης μετέχειν ἀξιοῖ, τῶν δὲ λοιπῶν ἐνεργειῶν τῆς ἱερωσύνης ἀπέχεσθαι, μετανοοῦντα διαπαντὸς θεῷ καὶ ἀνθρώποις μετὰ δακρύων· τῷ μὲν, ὡς μόνῳ δυναμένῳ τὰς ἁμαρτίας ἀφιέναι· τοῖς δὲ, ἵνα τὴν συγχώρησιν αὐτῷ παρὰ κυρίου αἰτήσωνται. εὐλογεῖν δὲ τὸν τὰ οἰκεῖα θεραπεύειν ὀφείλοντα τραύματα, οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ προσήκει φησίν· ἡ γὰρ εὐλογία χάριτος πνευματικῆς καὶ ἁγιασμοῦ μεταδίδωσιν, ᾧ δὲ τούτων οὐ μέτεστι διὰ τὸ ἀνόμημα, εἰ καὶ κατὰ ἄγνοιαν γέγονε, πῶς οὗτος ἑτέρῳ δυνηθείη μεταδοῦναι; εἰ δὲ τοῦτο, F πολλῇ γ᾽ ἂν τὸ σῶμα τοῦ κυρίου διανεμεῖ. ἀποχρῶσα γὰρ αὐτῷ συγγνώμη διὰ τὴν ἄγνοιαν, τὸ μὴ ἐπιτιμηθῆναι, ἀλλὰ καὶ τῆς καθέδρας εἰσέτι μετέχειν.

Τὸν δὲ κανόνα τοῦτον, ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ λεχθῆναι νομίσαντες οἱ τῆς ϛ΄. συνόδου θεῖοι πατέρες κϛ΄. κανόνα ἑαυτοῖς πεποιήκασιν, αὐταῖς τοῦ αὐτοῦ χρησάμενοι λέξεσι· προσθέντες μόνον, ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος, προδήλως διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν, δι᾽ ἧς τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται. εἰ γὰρ μὴ διασπασθείη

Præterea Canon xl. & xlii. ancillam, quæ citra domini ſui voluntatem nubit, nihil habere ſtatuunt, quod in meretricem non quadret. Nam illorum pacta, qui ſunt in aliorum poteſtate, nihil ratum habent. Quo fit, ut nuptiæ, quæ citra Dominorum voluntatem contrahuntur, pro ſcortationibus habeantur. Quod ſi qua fuerit auſa tales contrahere nuptias, cujus dominus poſtea vel ipſas duntaxat nuptias approbet, vel etiam libertatem largiatur: ipſæ quidem nuptiæ culpa carent, at prius tamen peccatum, puta ſcortatio, merito punietur. Quæ vero ancilla per matrimonium cuicunque copulata fuerit ingenuo, domino ſciente, nec contradicente, non pro meretrice habebitur. Quippe ſilentium ejus tum libertatem neceſſario tribuit, tum eam à peccato liberat.

Lex.

Filiafamilias, vel filiusfamilias, legitime nuptias contrahere non poſſunt, eo non conſentiente, cujus in poteſtate ſunt: niſi pater filiam ſuam quæ xxv. annos impleverit, viro copulare diſtulerit. Tunc enim ut ingenuo duntaxat copuletur, non eſt prohibitum. Quæras etiam cap. xxx. præſentis Lit.

CAPUT IX.

De Nuptiis nefariis & illicitis cognatorum.

NUPTIÆ, quæ legitimè non contrahuntur, partim dicuntur illicitæ, quales ſunt, quæ cum cognatis intercedunt, aut cum hæreticis: partim nefariæ, veluti tutoris cum ea, cujus tutelam gerit: partim damnatæ, uti quæ contrahuntur cum muliere Deo conſecrata: quas ſacri Canones duntaxat dirimendas ſtatuunt, quum leges velint eorum bona, qui eas contraxerint, publicari, atque ipſos relegari: quod ſi perſonæ ſint humiles, etiam flagellis cædi. Hæ nuptiæ lingua Latina dicuntur nefariæ, damnatæ, inceſtæ.

De Clericis inceſtas contrahentibus Nuptias.

Igitur Canon ſanctorum Apoſt. xix. Qui duas, inquit, ſorores ducit, aut eam, quæ uxori ſuæ ſororis eſt filia, Clericus eſſe nequit. Nam omnes inceſtæ nuptiæ, ſive per conſanguinitatem, ſive per affinitatem, dirimuntur: & qui eis ſe polluit, non Clero duntaxat expellitur, ſed pœnis etiam ſubjicitur.

Quippe xxvii. Baſilii magni Canon Sacerdotem, qui per ignorantiam in nuptias inceſtas inciderit, uti qui forte ſanguine ſibi conjunctam in domum deduxerit; vel ſolitariam, quæ habitum ſacrum repudiarit; vel eam, cujus tutelam pater ipſius geſſerit; hunc ergo ſolius inter Sacerdotes ſeſſionis participem eſſe vult, & à reliquis Sacerdotii muneribus abſtinere; perpetuo pœnitentiam Deo & hominibus cum lacrymis agentem; Deo quidem, uti qui peccata ſolus remittere poſſit: hominibus autem, ut ipſi condonationem & veniam à Domino petant. Verum ut benedictionem impertiatur is, qui propria ſanare vulnera debet; neque privatim, neque publice convenire dicit. Benedictio enim gratiam ſpiritalem & ſanctitatem largitur; at qui propter admiſſum facinus horum particeps eſſe nequit, licèt per ignorantiam factum ſit, quonam modo communicare cum alio poſſit? Quod ſane ſi verum eſt, multo minùs corpus Domini diſtribuet. Satis enim magna hęc ipſi venia eſt propter ignorantiam, quod non punitus ſit, immo etiam cathedræ ſit adhuc particeps.

Hunc autem Can. optime pronuntiatum arbitrati ſancti Patres Syn. vi. xxvi. ſibi fecerunt, ipſiſmet ejus verbis uſi, hoc duntaxat adjecto, quod inceſtum ejuſmodi matrimonium haud dubie dirimendum ſit, nec permittendum, ut ullo modo vir ea fruatur, propter quam functione ſacra privatus ſit. Quippe ſi matrimonium inceſtum

non fuerit diremtum, neque Cathedram habebit, atque etiam expelletur ex Ecclesia cum ea quacum nefarie concubuit; & auctoritate Magistratuum nuptiæ ſolventur. Nam qui poſt agnitionem in peccato perſeverat, haud dubie tanquam proprio ſanguini ſe miſcens punietur.

De Laicis inceſtas contrahentibus Nuptias.

Epiſtola Baſilii magni ad Diodorum Tarſenſem Epiſcopum, omni ſapientia plena eſt, & vi oratoriæ facultatis ornata. Tractat autem ea, quæ per Dei gratiam hodierno die nulli homini Chriſtiano in mentem veniunt. Quippe Diodorus à quopiam interrogatus, poſſetne defuncta uxore ſua, ſororem ejus in matrimonium accipere, per literas reſponderat, id minimè prohiberi. Quum autem magnus ille Pater Baſilius ejuſmodi nuptias vetaret, oblata eſt ei ſcripta hæc Diodori ſententia. Quam quum ſe graviter moleſteque ferre vir ſanctus oſtendiſſet, Epiſtolam hanc magna refertam utilitate compoſuit; qua non has tantum, ſed etiam omnes illicitas nuptias evertit. Quippe generali appellatione impuritatis uſus, omnes hujuſmodi nuptias breviter eſt complexus.

Cæterum in Canone xxiii. De iis, ait, qui duas ſorores ducunt, quale ſit noſtrum judicium, ex Epiſtola perbrevi à nobis dicata, cujus exemplar reverentiæ tuæ miſimus, recte intelliges, quibus in verbis hanc ad Diodorum Epiſtolam ſignificat, quam ipſam quoque ad ſanctum Amphilochium miſit. Ei verò, inquit, ſui qui fratris uxorem duxerit, non prius pœnitentiæ locus dabitur, quam ab ea diverterit.

Hujus Epiſtolæ quinquageſimus etiam quartus Syn. ſextæ Canon meminit, quum ait: Tametſi paucas ex prohibitis nuptiis vir ſanctus enumeraverit, & ſilentio complures earum præterierit, ne ſuam orationem profanis vocabulis ſordidaret, per generalem duntaxat impuritatis appellationem nefariis omnibus nuptiis indicatis: nos tamen definimus eum, qui cum conſobrina ſua nuptias contrahit, vel patrem & filium cum matre ac filia, vel patrem & filium cum duabus ſororibus, vel duos fratres cum duabus ſororibus, ſub Canonem ſeptennii cadere; ſic tamen, ut à nefario conjugio prius diſcedant.

Canon autem lxvii. Baſilii magni, hominem, qui cum ſorore ſua rem habuerit, in annos viginti, ſicut & homicidam, à communione rejicit.

Item lxviii. Canon, Si deprehenſum fuerit, inquit, matrimonium contrahi ex cognatione prohibita, pœnæ adulterorum irrogabuntur. Quæ quidem ſunt, à communione ad xv. annos excluſio, matrimonio prius diremto.

Canon verò lxxv. ait: Qui cum ſorore ſua, eodem nata patre vel matre, ſeſe polluit, etiam extrà precationis ædem expellatur, inquit, donec ab inceſto & nefario concubitu diſceſſerit. Quum autem abſtinuerit, & recte pœnitentiam egerit; duodecim annis exactis, communionem ſacram impetret.

Canon lxxvi. Eadem, inquit, ratio ſit etiam in iis qui nurus ſuas ducunt uxores.

Canon lxxviii. Qui duas ſorores in matrimonium accipiunt, licèt diverſis temporibus, poſtquam diremptæ fuerint inceſtæ nuptiæ, adulterii judicio tenentur.

Canon lxxix. Etiam ii, qui cum novercis ſuis ſeſe polluunt, Canone tenentur eodem, quo & illi, qui cum ſuis ſeſe ſororibus inquinant.

A τὸ ἄθεσμον συνοικέσιον, οὔτε τὴν καθέδραν ἕξει, ἀλλὰ καὶ τῆς ἐκκλησίας ἐξωσθήσεται μετὰ τῆς παρανόμως αὐτῷ μιγνυμένης, καὶ διὰ τῆς τῶν ἀρχόντων ἐξουσίας ὁ γάμος διαλυθήσεται. ὁ γὰρ μετὰ τὴν ἐπίγνωσιν ἐπιμένων τῇ ἁμαρτίᾳ, ὡς αἱμομίκτης ἀτεχνῶς τιμωρηθήσεται.

Περὶ λαϊκῶν ἀθεμιτογαμούντων.

Η δὲ πρὸς Διόδωρον τὸν Ἐπίσκοπον Ταρσοῦ τοῦ μεγάλου Βασιλείου ἐπιστολὴ, πάσης μὲν σοφίας πεπλήρωται, καὶ ῥητορικῇ περιήνθισται πιθανότητι. ἀνασκευάζει δὲ, ἅτινα οὐδεὶς εἰς διάνοιαν ἀνθρώπῳ χριστιανῷ τῇ τοῦ θεοῦ χάριτι τὴν σήμερον B ἔρχεται. ἐρωτηθεὶς γὰρ πρός τινος ὁ Διόδωρος, εἰ δύναιτο τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν ἐκείνης ἀδελφὴν ἀγαγέσθαι πρὸς γάμον, ἀπεκρίνατο ἐγγράφως τοῦτο μὴ κωλύεσθαι. τῷ δὲ μεγάλῳ πατρὶ Βασιλείῳ τὸν τοιοῦτον ἀπαγορεύοντι γάμον, ἡ τοῦ Διοδώρου ἔγγραφος ἀπόφασις ἐμφανίζεται. ὑπὲρ ἧς καὶ δυσπαθήσας ὁ ἅγιος, τὴν πολλῆς ὠφελείας γέμουσαν συνέταξε ταύτην ἐπιστολήν· μὴ μόνον τὸν τοιοῦτον, ἀλλὰ καὶ πάντα ἄθεσμον ἀνατρέπουσαν γάμον. τῷ γὰρ γενικῷ χρησάμενος τῆς ἀκαθαρσίας ὀνόματι, τούτους ἅπαντας περιείληφεν ἐν βραχεῖ.

C Εν δὲ τῷ κγ΄. κανόνι, περὶ τῶν δύο φησὶν ἀδελφὰς γαμούντων ὅπως ἔχωμεν κρίσεως, ἀπὸ τοῦ ἐκπεφωνημένου ἡμῖν ἐπιστολιδίου, οὗ τὸ ἀντίγραφον ἀπεστάλκαμέν σου τῇ εὐλαβείᾳ, εὖ μάλα εἴσῃ. ταύτην δὴ λέγων τὴν πρὸς Διόδωρον ἐπιστολὴν, ἣν καὶ πρὸς τὸν ἅγιον πέπομφεν Ἀμφιλόχιον. τῷ δὲ λαβόντι φησὶ τοῦ ἰδίου ἀδελφοῦ τὴν γυναῖκα, οὐ πρότερον τρόπος μετανοίας δοθήσεται, πρὶν ἂν ταύτης ἀποστῇ.

Ταύτης τῆς ἐπιστολῆς καὶ ὁ νδ΄. τῆς ϛ΄. συνόδου κανὼν μέμνηται. καί φησιν, εἰ καὶ ὀλίγους τῶν ἀπειρημένων γάμων ὁ ἅγιος ἠριθμήσατο, σιωπῇ δὲ τοὺς πλείους τούτων παρέδραμεν, D ἵνα μὴ τὸν λόγον καταρρυπώσῃ τοῖς βεβήλοις ὀνόμασι, τῇ τῆς ἀκαθαρσίας μόνον γενικῇ προσηγορίᾳ τοὺς παρανόμους σύμπαντας ὑποδείξας γάμους. ἀλλ' ἡμεῖς ὁρίζομεν, τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ γαμικῶς συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρὶ, ἢ δύο ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένους πρότερον τοῦ παρανόμου συνοικεσίου.

Ο δὲ τοῦ μεγάλου Βασιλείου αὖθις ξζ΄. τὴν ἀδελφομιξίαν εἰς κ΄. χρόνους, ὡς καὶ τὸν φόνον, τῆς κοινωνίας ἐκ- E βάλλει.

Ο δὲ ξη΄. τῆς ἀπειρημένης φησὶ συγγενείας πρὸς γάμον σύστασις εἰ φωραθείη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται. ἅπερ εἰσὶν, ἡ εἰς ιε΄. χρόνους τῆς κοινωνίας στέρησις, πρότερον τοῦ γάμου διασπωμένου.

Ο δὲ οε΄. ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ μητρὸς συμμιανθεὶς, καὶ τοῦ οἴκου τῆς προσευχῆς ἐξωθείσθω, φησὶν, ἕως ἂν ἀποστῇ τῆς ἀθεμίτου καὶ παρανόμου μίξεως· ἀποσχόμενος μὲν καὶ ἀξίως μετανοήσας, μετὰ ιβ΄. ἔτη τῆς θείας ἀξιούσθω κοινωνίας.

F

Ο δὲ οϛ΄. ὁ αὐτὸς ἔστω, φησὶ, τύπος καὶ περὶ τῶν τὰς νύμφας αὐτῶν λαμβανόντων.

Ο δὲ οη΄. οἱ δύο ἀδελφὰς εἰς συνοικέσιον λαμβάνοντες, εἰ καὶ κατὰ διαφόρους χρόνους, μετὰ τὸ διασπασθῆναι τὸν ἀθέμιτον γάμον, τῷ τῆς μοιχείας ὑπόκεινται κρίματι.

Ο δὲ οθ΄. καὶ οἱ ταῖς μητρυιαῖς αὐτῶν ἐπιμαινόμενοι, τῷ κανόνι ὑπόκεινται, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς συμμιαινόμενοι.

Ο δὲ

A Ο δὲ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου δεύτερος, τὴν δυσὶν ἀδελφοῖς γεγαμημένην ἐξωθεῖσθαι τῆς ἐκκλησίας ἕως θανάτου κελεύει, μὴ πειθομένην λῦσαι δηλαδὴ τὸν γάμον. νόσῳ δὲ περιπεσοῦσαν, τὸν θάνατον ἀπειλέσῃ, εἰ ἐπαγγέλλεται, ὡς ῥαΐσασα λύσει τὸν γάμον, προσδέχεσθαι εἰς μετάνοιαν. εἰ δὲ καὶ τὴν γυναῖκα τελευτῆσαι συμβαίη, ἢ καὶ τὸν ἄνδρα, ἔτι τῇ τοιαύτῃ παρανομίᾳ ἐνεχομένους, δυσχερὴς ἡ μετάνοια τῷ περιλειφθέντι. ἐλέγχεται γὰρ, ὡς οὐκ ἂν ἀπέστη τῆς ἁμαρτίας, εἰ ἔτι περιῆν τὸ ἀποιχόμενον πρόσωπον.

Ο δὲ τῆς ἐν Ἀγκύρᾳ κε΄. ἰδικῶς περί τινος ἐκπεφώνηται, ὃς κόρην μέν τινα ἐμνηστεύσατο, τῇ δὲ ταύτης ἀδελφῇ συμφθαρεὶς, B ἔγκυμονα πεποίηκε. μετὰ δὲ τοῦτο γήμαντος αὐτοῦ τὴν μνηστὴν, ἡ φθαρεῖσα ὑπὸ τῆς λύπης ἀπήγξατο. τοὺς οὖν συνειδότας ἐψηφίσαντο οἱ πατέρες, ἐπὶ δέκα ἔτη μὴ κοινωνῆσαι. συνειδότες δέ εἰσιν, οἱ συμπράξαντες, οὐ μὴν οἱ ἔχοντες ἁπλῶς εἴδησιν, καὶ κωλῦσαι μὴ δυνάμενοι. ἐπὶ γὰρ τῶν ἀθεμίτων πράξεων οὐχ ἧττον οἱ συνεργοῦντες τῶν αὐτουργῶν τιμωροῦνται.

Ο δὲ ια΄. τοῦ Τιμοθέου Ἀλεξανδρείας, τοὺς κληρικοὺς κελεύει μὴ ἀπιέναι καλουμένους εἰς γάμον, εἰ πύθοιντο εἶναι C παράνομον, δι᾽ εὐχῆς χάριν καὶ προσφορᾶς. πολλοῦ γε δεῖ μεθ᾽ ἱερολογίας συζευγνύναι τοὺς οὕτω γῆμαι προελομένους, ἵνα μὴ ἀλλοτρίαις κοινωνήσωσιν ἁμαρτίαις. ζήτει καὶ ἐν τῷ ε΄. κεφ. τοῦ παρόντος στοιχείου, περὶ τοῦ συμφθαρέντος τῇ ἰδίᾳ πενθερᾷ.

Νόμοι.

Ο ἀθέμιτος οὐ βεβαιοῦται γάμος. διὰ τοῦτο ἐὰν πρὸ κατηγορίας λυθῇ, συγχωρεῖται ἡ ποινή.

Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἀθεμίτου γάμου, δίδωσι συγ- D γνώμην καὶ ἡ ἐκκλησία, καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος, καὶ μάλιστα εἰ μήπω τις αὐτοῦ κατηγόρησεν.

Οἱ αἱμομίκται εἴτε γονεῖς πρὸς τέκνα, ἢ τέκνα πρὸς γονεῖς, ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. οἱ δὲ κατ᾽ ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι, πατὴρ εἰς γυναῖκα υἱοῦ, ἢ υἱὸς εἰς γυναῖκα πατρὸς, ἤγουν μητρυιὰν, ἢ πατρωὸς εἰς προγόνην, ἢ ἀδελφὸς εἰς ἀδελφοῦ γυναῖκα, ἢ θεῖος εἰς ἀνεψιὰν, ἢ ἀνεψιὸς εἰς θείαν, ἢ εἰς δύο ἀδελφὰς, ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα, καὶ ἐν εἰδήσει οὗτοι μιγνύμενοι, τυπτόμενοι ῥινοκοπείσθωσαν, αὐτοί τε E καὶ, αἷς συνεφθάρησαν.

Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συμφθειρόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες, καὶ μόνον, ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα εἰσιόντες καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ πρὸς μητέρα καὶ θυγατέρα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν.

Ο τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου μιγνύμενος, ἢ ἄλλως λαθραίως συμπλεκόμενος, ἅμα τῇ αὐτῇ ῥινοκοπείσθω, εἰ δὲ ὕπανδρος εἴη, πρὸς τούτων καὶ τυπτέσθωσαν. F

ΚΕΦ. ι΄.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων.

Ζήτει δὲ ιγ΄. κεφάλαιον τοῦ Α. στοιχείου.

Concilii vero Neocæſarienſis Canon ſecundus, mulierem cum duobus nuptam fratribus uſque ad mortem expelli Eccleſia jubet, ſi parere ſcilicet nolit in dirimendo matrimonio. Si tamen in morbum inciderit, qui mortem minitetur, ac polliceatur ſe, poſtquam convaluerit, nuptias diremturam: admittendam eſſe ad pœnitentiam. Quod ſi vel mulierem, vel virum, obire mortem contingat, dum adhuc tali facinore ſunt implicati: difficilis pœnitentia ſuperſtiti perſonæ relinquitur. Arguitur enim, quod à peccato diſceſſura non fuerit, ſi adhuc ſuperſtes eſſet perſona defuncta.

Canon autem xxv. Ancyr. Syn. de quodam peculiariter eſt pronunciatus, qui puellam ſibi quandam deſponderat, & re poſtea cum ejus ſorore habita, prægnantem hanc fecerat. Deinde celebratis cum ſponſa nuptiis, ſtuprata ſoror animi dolore mota laqueo vitam finierat. Itaque conſcios in annos decem arcendos à communione, Patres ſtatuerunt. Conſcii verò ſunt, facinoris participes, non qui ſimpliciter rei notitiam habebant, & prohibere non poterant. Nam in nefariis actionibus non minus illi qui factum adjuvant, quam qui ejus auctores ſunt, puniuntur.

Canon vero xi. Timothei Alexandrini Epiſcopi præcipit, ut Clerici, quum invitantur, minimè nuptias adeant, ſi nefarias eſſe cognoſcant, precum & oblationis cauſa. Tantum abeſt, ut votis ſacris intervenientibus eos conjungere debeant, qui nuptias hujuſmodi contrahere volunt; ne participes aliorum peccatorum fiant. Quæras etiam in xv. cap. Lit. præſentis de eo qui cum propriâ ſocru commercium habuit.

Leges.

Inceſtum matrimonium non confirmatur. Ideoque ſi ante accuſationem ſolutum ſit, pœna remittitur.

In nuptiis inceſtis per ignorantiam contractis, veniam dat tam Eccleſia, quam peccati correctio. Præſertim, ſi necdum quis eas accuſavit.

Qui ſe proprio ſanguine miſcent, ſive parentes cum liberis, ſive liberi cum parentibus, vel fratres cum ſororibus, gladio puniantur. Qui autem ex alio cognationis gradu invicem ſibi ſtuprum intulerint, veluti pater nurui, vel filius uxori patris, hoc eſt, novercæ, vel vitricus privignæ, vel frater uxori fratris, vel patruus aut avunculus filiæ fratris vel ſororis, vel filius fratris aut ſororis amitæ vel materteræ, vel qui duabus ſororibus, aut matri externæ ac illius filiæ ſciens ita ſe miſcet; his ſimul, & mulieribus, quas ſtuprarunt, verberatis nares abſcindantur.

Qui matrimonio conjunguntur, vel aliter complexu carnis ſeſe ſtuprant patrueles, & ex eis prognati liberi duntaxat, vel pater & filius cum matre ac filia, vel duo fratres cum duabus ſororibus, vel duo fratres cum matre ac filia, præter ſeparationem etiam verberentur.

Qui cum ſua commatre vel nomine conjugii, vel etiam aliter clam rem habet, unà cum ea nares amittat. Quod ſi commater alteri viro nupta ſit, hoc etiam amplius verberentur.

CAPUT X.

De iis qui mulieres in matrimonium rapiunt.

Quæras caput xiii. literæ A.

CAPUT XI.

De his, qui matrimonio ſibi copulant Deo conſecratas.

CANON quartæ Syn. xvi. ait, Virginem quæ Domino Deo ſe dedicaverit, itidemque ſolitarium, non habere licentiam contrahendi nuptias. Quod ſi promiſſa violarint, à communione ſacra ſegregandos. Tempus autem pœnitentiæ ipſorum, loci Epiſcopus pro cujuſque diſpoſitione conſtituet. Nam & Gregorius ille B Theologus ait: Si ſponſiones erga homines factas firmat Deus interveniens, quantum periculum fuerit, ſi pactorum, quæ cum ipſo Deo fecimus, violatores inveniamur?

Canon autem iv. Synodi ſextæ, Eum, qui cum muliere Deo conſecrata coit, ſive ſcilicet illa ſit virgo, ſive vidua, abdicat officio, ſi ſit Clericus; ſin Laicus, ſegregat. Lex autem aliam pœnam iis infligit.

Cæterum quæ nunc dicturi ſumus ex ſequentibus hic Canonibus, ita quidem damnavit rerum viciſſitudo, non amplius ut in uſu ſint: ſed exponantur tamen.

C Canon xv. Synodi quartæ: Ne ordinetur, inquit, mulier Diaconiſſa prius, quam ad annum xl. pervenerit. Quæ vero poſt ordinationem contumelia gratiam divinam affecerit, & nuptiis ſeſe tradiderit: tam ipſa percutitur anathemate, quam qui ſtupri cum ea conſuetudinem habuit.

Baſilius magnus in Can. xxiv. Licet, inquit, viro facto viduo nulla lex incumbit, quæ ſecundas ei nuptias prohibeat, excepta duntaxat pœna digamorum: tamen eam mulierem, quæ viduarum in ordinem cooptata, deinceps nupſerit; vitandam Apoſt. ſtatuit, nec alendam ab Eccleſia. Sexaginta vero annorum mulier, ſi ſecun- D das ad nuptias reſpiciat, excludetur à communione, donec ab hoc vitio ſemet abſtinuerit, piaculum & impuritatem ejus exſecrata. Quod ſi noſmet ipſi ante annum ſexageſimum inter viduas eam retulerimus; crimen noſtrum eſt, non mulierculæ.

Leges.

Qui ſolitariam vitam agentibus, aut Diaconiſſis, aut pietatis exercitia tractantibus ſtuprum intulerint, velut in Eccleſiam Dei, quæ Chriſti ſponſa eſt, injurii, tam naribus ipſi priventur, quam quæ ſtupri conſuetudinem cum eis habuerint.

Diaconiſſæ, quæ ordinantur, ſi auſæ fuerint ordina- E tionem dehoneſtare, vel matrimonium, vel aliud iter vitæ ſectando, mortis reæ fient, & Monaſteriis earum, vel earum Eccleſiis, facultates addicentur. Qui autem ipſas uxores ducere, vel ſtuprare fuerint auſi; gladii pœnam merentur, & facultates eorum fiſcus accipiet.

De Diaconiſſis & Viduis.

Erat autem olim alius ordo Diaconiſſarum, atque alius Viduarum; illas enim Virginitatis decus eligentes, & vitæ caſtæ ſpecimina ad annum xl. exhibentes, Patres Diaconiſſas ordinârunt; etenim earum ſimplicitatem, & ad malum proclivitatem ſuſpicantes, non ante tempus illud ordinandas cenſebant: quæ vero in Vidua- F rum ordinem admittendæ ſunt, eas non minores eſſe debere lx. annis Apoſtolus decernit. Et meritò quidem; Illæ enim, cum voluptatem mundanam nunquam guſtaverint, poſt tantum temporis elapſum, libidine non facilè abducentur; Viduæ autem viri commercium expertæ, majorem ad libidinem propenſionem habebunt, conſuetudine ſcil. carnalem earum appetitum irritante; ideoque Viduam ſeexagenariam eſſe debere definierunt, utpote ad ſenectutem jam inclinantem, quo tempore concupiſcentiæ flamma marceſcere ſolet. Erant etiam aliæ

ΚΕΦ. ιαʹ.

Περὶ τῶν ἐπὶ γάμῳ λαμβανόντων τὰς τῷ θεῷ ἀφιερωμένας.

Ο ιϛʹ. τῆς τετάρτης συνόδου κανὼν, παρθένον φησὶν ἀναθεῖσαν ἑαυτὴν τῷ δεσπότῃ θεῷ, ὡσαύτως καὶ μονάζοντα, μὴ ἐξεῖναι γάμῳ προσομιλεῖν. εἰ δὲ παραβαῖεν τὰ ὡμολογημένα, τῆς θείας ἀφορίζεσθαι κοινωνίας. τὸν δὲ χρόνον τῆς αὐτῶν μετανοίας, ὁ κατὰ τόπον ἐπίσκοπος πρὸς τὴν διάθεσιν ἑκάστου οἰκονομήσει. φησὶ γὰρ καὶ ἡ θεολόγος Γρηγορίου φωνὴ, εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ θεὸς μέσος παραληφθεὶς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι;

Ο δὲ δʹ. τῆς ϛʹ. συνόδου κανὼν, τὸν γυναικὶ μιγνύμενον ἀφιερωμένῃ θεῷ, εἴτε παρθένος εἴη δηλαδὴ, εἴτε χήρα, κληρικὸν μὲν ὄντα, καθαιρεῖ· λαϊκὸν δὲ ἀφορίζει. ἄλλως δὲ ὁ νόμος τούτους κολάζει.

Τῶν μέντοι τοῖς ἑξῆς ῥηθησομένων κανόσιν, ἀπραξίαν μὲν ἡ τῶν πραγμάτων κατεψηφίσατο μεταβολὴ, λεγέσθω γε μήν.

Ο δέκατος πέμπτος τῆς δʹ. συνόδου κανὼν, μὴ χειροτονείσθω φησὶ γυνὴ διάκονος, πρὶν εἰς μʹ. αὐτὴν ἥκειν χρόνον. τὴν δὲ μετὰ τὴν χειροτονίαν εἰς τὴν θείαν ἐνυβρίσασαν χάριν, καὶ γάμῳ ἑαυτὴν ἐπιδοῦσαν, ταύτην τε ἀναθεματίζεσθαι, καὶ τὸν αὐτῇ συμφθαρέντα.

Ο δὲ μέγας Βασίλειος ἐν κδʹ. κανόνι, εἰ καὶ ἀνδρί φησι χηρεύσαντι, οὐδεὶς ἐπίκειται νόμος ὁ κωλύων δευτερογαμεῖν, εἰ μὴ τὸ τῶν διγάμων ἐπιτίμιον μόνον· ἀλλά γε τὴν τῷ τάγματι χηρῶν καταλεγεῖσαν γυναῖκα, ὕστερον γαμουμένην, ἔκρινεν ὁ ἀπόστολος παρορᾶσθαι, καὶ μὴ τρέφεσθαι παρὰ τῆς ἐκκλησίας. ἡ μέντοι ἑξηκοντοῦτης, εἰ πρὸς δεύτερον ἀποκλίνειε γάμον, τῆς κοινωνίας ἀποκλεισθήσεται, μέχρις ἂν τοῦ πάθους ἀποστῇ, τὸ ἐναγὲς τούτου μισήσασα καὶ ἀκάθαρτον. εἰ μέντοι πρὸ ἑξήκοντα, φησὶν, ἐτῶν ταῖς χήραις αὐτὴν ἀριθμήσωμεν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τῆς γυναικός.

Νόμος.

Οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακόνοις ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην Χριστοῦ τὴν ἐκκλησίαν ὑβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς οὗτοι συνεφθάρησαν.

Αἱ χειροτονούμεναι διάκονοι, εἰ τολμήσαιεν καταισχῦναι τὴν χειροτονίαν, προσομιλοῦσαι γάμῳ ἢ ἄλλῃ βίου πορείᾳ, θανάτου γενήσονται ἔνοχοι· καὶ τοῖς αὐτῶν μοναστηρίοις ἢ ταῖς αὐτῶν ἐκκλησίαις αἱ αὐτῶν περιουσίαι προσκυρωθήσονται. οἱ δὲ γῆμαι καὶ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται.

Περὶ γυναικῶν Διακόνων καὶ χηρῶν.

Ἕτερον δ' ἦν ποτε τὸ τῶν διακόνων γυναικῶν τάγμα, καὶ ἕτερον τὸ τῶν χηρῶν. τὰς μὲν γὰρ τὸ τῆς παρθενίας ἑλομένας σεμνὸν, καὶ πεῖραν τῆς ἐν ἁγνείᾳ ζωῆς ἐν τῷ τεσσαρακοστῷ χρόνῳ παρεχομένας, διακόνους οἱ πατέρες ἐχειροτόνουν. τὸ γὰρ εὐεξαπάτητον αὐτῶν καὶ πρὸς κακίαν εὐόλισθον ὑφορώμενοι, εἰς τοῦτο τοῦ χρόνου χειροτονεῖν αὐτὰς ᾤοντο δεῖν· τὰς δέ γε καταλεγομένας τῷ τάγματι τῶν χηρῶν, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα εἶναι ὁ ἀπόστολος διορίζεται· καὶ εἰκότως γε. ἐκεῖναι μὲν γὰρ ἄγευσται τῆς τοῦ κόσμου τυγχάνουσαι ἡδονῆς, οὐ ῥᾳδίως τῷ πάθει μετὰ τοσοῦτον ἀλώσονται χρόνον· αἱ δὲ χῆραι ἀνδρὸς εὐνῆς πειραθεῖσαι, μᾶλλον ἂν σχοῖεν πρὸς τὸ πάθος ἐπιρρεπέστερον, τὸ σαρκικὸν αὐτῶν φρόνημα τῆς συνηθείας ἐρεθιζούσης. διὸ καὶ ἑξηκοντοῦτιν τὴν χήραν εἶναι ὥρισαν, ὡς πρὸς γῆρας κλινάσαν ἤδη· ἡνίκα καὶ ἡ τῆς ἐπιθυμίας ἀπομαραίνεσθαι φλὸξ εἴωθεν. ἦσαν μέντοι καὶ μήπω πρὸς ἑξηκοστὸν ἀναβεβηκυῖαι χρόνον αἱρούμεναι μετὰ λαϊκοῦ σχήματος σωφρονεῖν· ὧν καὶ πλειόνως οἱ πατέρες ἐφρόντιζον, ἢ τῶν χηρευσάντων ἀνδρῶν· καὶ τὰ πρὸς τροφὴν αὐταῖς ἀπὸ τῆς ἐκκλησίας ἐχορήγουν, ἵνα μὴ προφάσει τοῦ ἐνδεῶς ἔχειν, πρὸς δεύτερον ἀναγκασθεῖεν γάμον ἰδεῖν· ὃ οἱ χηρεύσαντες οὐκ ἔχουσι προβάλλεσθαι, πολυτρόπως τὰ πρὸς ζωὴν ποριζόμενοι. ἐκ δὲ τῆς πρὸς Τιμόθεον πρώτης τοῦ μεγάλου Παύλου ἐπιστολῆς εἴσῃ σαφῶς, ὅσης παρὰ τῆς ἐκκλησίας αἱ χῆραι φροντίδος ἠξίωντο.

Αἱ μέντοι διάκονοι γυναῖκες, τίνα τὴν ὑπηρεσίαν ἐν τῷ κλήρῳ τηνικαῦτα ἐπλήρουν τοῖς πᾶσι σχεδὸν ἠγνόηται νῦν. B πλὴν εἰσὶν οἱ λέγουσιν, ὅτι ταῖς βαπτιζομέναις τῶν γυναικῶν ὑπηρέτουν, ἀνδρῶν ὀφθαλμοῖς οὐ θεμιτὸν ὂν γυμνουμένας ταύτας ὁρᾶσθαι, ὑπερακμοὺς ἤδη βαπτιζομένας. ἄλλοι δέ φασιν, ὅτι καὶ εἰς τὸ ἅγιον θυσιαστήριον ἐφεῖτο ταύταις εἰσέρχεσθαι, καὶ τὰ τῶν διακόνων ἀνδρῶν παραπλησίως αὐτοῖς μετιέναι. κεκώλυται δὲ παρὰ τῶν ὕστερον πατέρων τοῦτο ἐπιβαίνειν, καὶ τὰ τῆς ὑπηρεσίας ταύτης μετέρχεσθαι, διὰ τὴν τῶν ἐμμηνίων ἀπροαίρετον ῥύσιν. ἀλλὰ βατὸν μὲν εἶναι καὶ γυναιξὶ τὸ ἅγιον θυσιαστήριον, ἐκ πολλῶν μέν ἐστι καὶ ἄλλων καταστοχάσασθαι, καὶ μάλιστα ἐκ τοῦ ἐπιταφίου λόγου, ὃν ἐπὶ τῇ ἀδελφῇ ὁ μέγας Γρηγόριος ὁ θεολόγος πεποίηκε. γυναῖκα δὲ τῆς ἱερᾶς καὶ ἀναιμάκτου γίνεσθαι θυσίας διάκονον, οὔ μοι δοκεῖ τὸ πιθανὸν ἔχειν· C ὡς ἔστιν οὐ λόγον σῶζον, τὰς μὴ συγχωρουμένας δημοσίᾳ διδάσκειν, εἰς διακόνου βαθμὸν ἀνιέναι, οἷς ἔργον τὸ διὰ λόγου καθαίρειν τοὺς προσιόντας τῶν ἀπίστων ἐπὶ τὸ βάπτισμα.

Τὰ γὰρ μὴν παλαιὰ βιβλίων, οἷς ἡ τῶν χειροτονιῶν ἁπασῶν ἀκριβῶς ἐγγέγραπται τελετή, καὶ τὸν καθ' ἡλικίαν ὁποῖον εἶναι δεῖ χρόνον ὑφηγεῖται τῆς διακόνου, ὅτι τεσσαρακοστόν· καὶ τὸ σχῆμα, ὅτι μοναχικόν, καὶ τοῦτο τέλειον· καὶ τὸν βίον, ὅτι τῶν ἀνδρῶν ἁμιλλᾶσθαι χρὴ ταύτην τοῖς ἄκροις τῆς ἀρετῆς, τελεῖσθαι δὲ καὶ ἐπ' αὐτῇ, πλὴν ὀλίγων, ὅσα καὶ ἐπὶ τοῖς διακόνοις. τὴν γὰρ ἱερᾷ τραπέζῃ προσαγομένην μαφορίῳ καλύπτεσθαι, τῶν ἄκρων τούτου ἔμπροσθεν ἀπῃωρημένων· καὶ μετὰ D τὸ ῥηθῆναι τό, ἡ θεία χάρις ἡ τὰ ἀσθενῆ θεραπεύουσα, οὐδ' ἕτερον τῶν ποδῶν εἰς γόνυ κλίνειν, ἀλλὰ μόνην τὴν κεφαλήν· καὶ ἐπιτεθέντα ταύτῃ τὸν ἀρχιερέα τὴν χεῖρα, ἐπεύχεσθαι ἀμέμπτως αὐτὴν τὸ τῆς διακονίας ἔργον ἐπιτελέσαι, σωφροσύνην καὶ σεμνὴν πολιτείαν μετερχομένην, καὶ τοῖς ἁγίοις οὕτω ναοῖς προσκαρτερεῖν· οὐ μὴν καὶ τοῖς ἀχράντοις μυστηρίοις ὑπηρετεῖν ἐπιτρέπει, ἢ ῥιπίδιον ἐγχειρίζεσθαι, ὡς ἐπὶ τοῦ διακόνου. εἶτα τῷ τραχήλῳ ταύτης ὑπὸ τὸ μαφόριον ἐπιτεθῆναι τὸν ἀρχιερέα τὸ διακονικὸν ὠράριον, φέροντα ἔμπροσθεν τὰς δύο τούτου ἀρχάς, ἐν δὲ τῷ καιρῷ τῆς μεταλήψεως μετὰ τοὺς διακόνους τῶν θείων κοινωνεῖν αὐτὴν μυστηρίων· εἶτα E λαμβάνουσαν τὸ ποτήριον ἐκ τῶν χειρῶν τοῦ ἀρχιερέως μηδενὶ μεταδιδόναι, ἀλλ' εὐθὺς ἐπιτιθέναι τοῦτο τῇ ἁγίᾳ τραπέζῃ.

ΚΕΦ. ιβʹ.

Ὅτι οὐ δεῖ γάμους συναλλάττειν μετὰ αἱρετικῶν.

Περὶ κληρικῶν.

Ὁ μὲν ιδʹ. τῆς δʹ. συνόδου κανών, ὀρθοδόξους κληρικοὺς αἱρετικαῖς συνάπτεσθαι γυναιξὶ πάντῃ ἀπείρηκε. τῶν δὲ ἤδη συνῳκηκότων τοὺς παῖδας τῇ καθολικῇ ἐκκλησίᾳ F κελεύει προσάγεσθαι. καὶ εἰ μὲν ὑπὸ αἱρετικῶν ἔτυχον βαπτιζόμενοι, ὧν τὸ βάπτισμα τοῖς ὑγιῶς φρονοῦσιν ἀποβλητέον, ἄνωθεν βαπτίζεσθαι. εἰ δ' οὖν, μόνῳ χρίεσθαι μύρῳ· εἰ δὲ μὴ βαπτίσματος σφραγῖδι ἐνεσημάνθησαν, μηκέτι ὑπὸ αἱρετικῶν βαπτίζεσθαι. ἀλλὰ μὴν μηδὲ γαμικῶς συνάπτειν τούτους αἱρετικοῖς, μήτε μὴν Ἰουδαίοις, μήθ' ἕλλησιν. αἱρετικοὺς μὲν τοὺς καθ' ἡμᾶς δεχομένους μυστήριον, λέγω, ἔν τισι δὲ σφαλλομένους, καὶ διαφερομένους τοῖς ὀρθοδόξοις, Ἰουδαίους δὲ τοὺς χριστοκτόνους· καὶ ἕλληνας τοὺς περιφανῶς ἀπίστους καὶ εἰδωλομανίαν νοσοῦντας. εἰ δ' ἴσως ὁ αἱρετικὸς ἢ ὁ ἄπιστος συνθέσθαι τῇ ὀρθοδόξῳ

A quæ annum ſexageſimum nondum aſſequutæ, cum habitu Laico vitam continentem eligebant; quarum majorem curam habebant Patres, quam virorum conjugio liberatorum: Iis enim victum ab Eccleſiâ ſuppeditabant, ne paupertatis prætextu ad ſecundas nuptias reſpicere neceſſe haberent, quem viri conjugio liberati prætendere nequeunt, pluribus modis victum ſibi comparantes. Ex primâ autem Magni Pauli Epiſtola ad Timotheum clarius diſces, quantâ curâ viduæ ab Eccleſiâ dignæ habebantur.

Quale autem miniſterium Diaconiſſæ tunc temporis in Clero implebāt, omnibus fere hodie ignotum eſt. Sunt B qui dicunt, quod mulieribus baptizandis miniſtrabant; quippe quod eas virorum oculis nudas conſpici, baptizatas utique cum ætate provectæ eſſent, nefas videbatur. Dicunt autem alii, quod ad ſanctum altare ingredi iis permiſſum erat, & Diaconorū officia prope illos exequi. Verum prohibuerunt poſtea Patres, eas illuc aſcendere, & illo miniſterio defungi, propter involuntarium catemeniorum fluxum. Quod autem mulieribus ad ſanctum altare accedere licitum erat, ex multis aliis conjicere licet, & potiſſimum ex funebri oratione quam in ſororem magnus Gregorius Theologus habuit: mulierem vero ſacri & incruēti ſacrificii miniſtram fieri, mihi haud C veriſimile videtur; utpote quod rationi diſſonum ſit, eas, quæ publice docere non permittuntur, ad Diaconi gradum aſcendere, quibus incumbit, doctrinâ infideles accedentes ad baptiſmum purgare.

Porro veteres libri, in quibus ordinationum omnium peractio accuratè inſcripta eſt, quot annos agere debeat Diaconiſſa declarant, nimirum xl. & habitum, ſcilicet monachalem, eumq; perfectum; & vitam, quod virorum virtutem in rebus excellentiſſimis æmulari debeat, & ea peragere, paucis duntaxat exceptis, quæ viri exequuntur. Ea enim ad ſacram menſam adducta velo tegitur, extremitatibus ejus propendentibus; & poſtquam D dictum fuerit, *Gratia divina quæ infirmis medetur*, nec pedes movet, nec genu, ſed tantum caput inclinat; & tum Antiſtes manum in eam imponens, precatur ut Diaconiſſæ officium inculpatè exequatur, caſtitatem & honeſtam vitæ rationem colens; & ſic in ſacris templis aſſidua ſit: Myſteriis vero incontaminatis eam miniſtrare, aut flabellum tractare, more Diaconi, non permittit. Deinde collo ejus ſub velo Antiſtes Orarium Diaconi imponit, præferens duas ejus extremitates in tempore autem participationis poſt Diaconos ſacra myſteria participat, deinde poculum ex Antiſtitis manu accipiens, nemini tradit, ſed in ſacram E menſam reponit.

CAPUT XII.

Quod Nuptias cum hæreticis contrahere non oporteat. De Clericis.

CANON xiv. Synodi quartæ vetat, ne Clerici orthodoxi cum mulieribus hæreticis ullo modo matrimonia contrahant. Eorum vero liberos, qui jam eodem in contubernio vixerint, ad Eccleſiam F Catholicam adduci jubet. Ac ſi quidem ab hæreticis baptizati fuerint, quorum baptiſma ſanam ſententiam ſequentibus rejiciendum eſt, denuo baptizari: Sin minus, unguento ſacro duntaxat ungi. Quod ſi necdum ſigillo baptiſmatis ſignati ſint, non amplius ab hæreticis eos baptizandos eſſe. Quinetiam ne conjugia quidem hos contrahere debere cum hæreticis, nec cum Judæis, nec cum Paganis. Hæreticos appello, qui fidei noſtra myſterium quidem amplectuntur, ſed in quibuſdam ab orthodoxis aberrant: Judæos, Chriſti parricidas: Paganos, qui manifeſto ſunt increduli, & inſano cultu idolorum infecti. Quod ſi forte vel hæreticus, vel incredulus quiſpiam, ad fidem orthodoxam acceſſurum ſe polliceatur; ipſe quidem, inquit, contractus procedat: ſed copulatio matrimonialis tantiſper extrahatur, donec promiſſio factis confirmata fuerit. A Latinis etiam, ut eadem hæc faciant, exigitur; ſi qui eorum orthodoxas uxores ducere velint. Qui autem his non obtemperant, pœnis canonicis obnoxii ſunt. Nam præter ſolutionem matrimonii, violatores etiam puniuntur.

Laodicenæ vero Synodi decimus Canon: Eccleſiæ conſortes, inquit, indifferenter liberos ſuos ad matrimonii ſocietatem cum hæreticis copulare non oportet.

Canon xxi. Concilii Carthag. ne liberi Clericorum cum paganis, hoc eſt, infidelibus, aut hæreticis matrimonii lege conjungantur, prohibet.

Can. autem lxxii. ſextæ Syn. ſic ad verbum ſancit. Non fas ſit, ut cum hæretica muliere vir orthodoxus matrimonium coeat: nec ut hæretico viro mulier orthodoxa nubat. Immo ſi viſum fuerit aliquid hujuſmodi à quocunque factum, irritæ ducantur nuptiæ, & nefarium matrimonium diſtrahatur. Quippe non miſcenda miſceri non debent, nec lupus cum ovicula copulandus, nec cum portione Chriſti ſors peccatorum. Si quis autem à nobis definita tranſgreſſus fuerit, ſegregetur. Quippe ſi ſecundum legem civilem, matrimonium definitur eſſe, ſocietas & conſortium divini ac humani juris, quomodo conſentire queant inter ſe, qui de maximis animi diſſident affectu? qui contraria circa fidem ſentiunt? Quapropter etiam poſt nefarii matrimonii diſſolutionem, tranſgreſſores vult pœna ſegregationis affici.

Et hæc quidem de iis, qui jam matrimonio copulati ſunt, una parte decretis hæreticis addicta, altera rectam fidem colente. Quod ſi utraque pars, inquit, quum ab initio coirent in matrimonium, ab orthodoxorum aliena cœtu erat; deinde una veritatem agnovit, altera tenebris impietatis adhuc ſerviente: non propterea matrimonium diſſolvetur, quemadmodũ in Epiſt. i. ad Cor. magnus ille Paulus ſtatuit. Quippe ſi fidelis uxor cũ infideli marito cohabitare velit, vel è contrario, vir fidelis cum infideli muliere, ne diſtrahantur. Quippe ſanctificatus eſt maritus infidelis in muliere, ac vice verſa. Vide tamen, quo pacto divinus hic Apoſt. quaſi condeſcenſione quadam utens; ſi pars fidelis, inquit, infideli cohabitare velit. Quo fit, ut ſi cohabitare nolit, matrimonium ſine dubio ſolvendum ſit.

Perſuaſus autem ipſe ſum, hæc fuiſſe principii, & quaſi primordiorum prædicationis. Hodiernam verò faciem rerum quod attinet, quî fieri poteſt, ut Judæus, vel Agarenus baptizatus, cum non baptizata uxore amplius habitet, vel baptizata cum eo, qui fidem noſtram non eſt amplexus? Quale quiddam Patriarchæ Theodoti tempore contigit. Nam buccinator quidam imperatorius baptizatus, ſcripto Patriarchali ſeparatus fuit ab uxore, quæ non volebat obtemperare marito, multum eam obſecranti, pietatis ut profeſſionem amplecteretur.

Canon vero xxxi. Laodicenæ Syn. Non oportet, inquit, omni cum hæretico matrimonium contrahere, nec filios vel filias nuptum collocare; metuentes, ne pravam ipſorum ſententiam addiſcamus: ſed ita potius rem agemus, ſi futurum polliceantur ut Chriſtiani fiant. Quod hic dicitur non oportet omni cum hæretico, tantummodo eſt, ac ſi dicas, Nullo cum hæretico. Peculiaris enim hæc Scripturæ ſacræ loquendi ratio eſt, velut in hoc: Abſit à te metus,, quum homo dives fit, quia quum moritur, non auferet omnia. Quippe fieri non poteſt, ut auferet aliqua. Item alibi. Non enim fruſtra condidiſti omnes filios hominum. Quippe non etiam aliqui ſunt, qui fruſtra ſint conditi. Nam impium fuerit, hoc exiſtimare.

Lex.

Judæus Chriſtianam ne ducat uxorem, nec Chriſtianus Judæam; nec hæreticus & alienus à fide cũ Chriſtianis ex ulla occaſione matrimonium contrahat.

A ἐπαγγέλλεται πίστει. τὸ μὲν συνάλλαγμα προβαινέτω, φησί· ἡ δέ γε συνάφεια ὑπερτιθέσθω, μέχρις ἂν καὶ τὰ τῆς ἐπαγγελίας ἔργοις βεβαιωθῇ. ταῦτα καὶ τῶν Λατίνων ποιεῖν εἰσπράττονται, οἱ ὀρθοδόξους ἀγαγέσθαι γυναῖκας αἱρούμενοι. οἱ δὲ μὴ πειθόμενοι τούτοις, κανονικοῖς ἐπιτιμίοις ὑπόκεινται. σὺν τῇ διαλύσει γὰρ τοῦ γάμου, καὶ ἐπιτιμῶνται οἱ παραβαίνοντες.

Ο δὲ τῆς ἐν Λαοδικείᾳ δέκατος, οὐ δεῖ, φησι, τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς κοινωνίαν γάμου τὰ ἑαυτῶν τέκνα συνάπτειν αἱρετικοῖς.

Ο δὲ τῆς ἐν Καρθαγένῃ κα΄. τὰ τέκνα τῶν κληρικῶν, B ἐθνικοῖς ἤγουν ἀπίστοις ἢ αἱρετικοῖς, γαμικῶς ἀπαγορεύει συνάπτεσθαι.

Ο δὲ οβ΄. κανὼν τῆς ϛ΄. Συνόδου οὕτω κατὰ ῥῆμα θεσπίζει, μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί· μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον συζεύγνυσθαι. ἀλλ' εἰ καὶ φανείη τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον ἡγεῖσθαι τὸν γάμον, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον. οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον· ἂν δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα ἀφοριζέσθω. εἰ γὰρ κατὰ τὸν πολιτικὸν νόμον, γά- C μος ὁρίζεται κοινωνία καὶ συγκλήρωσις θείου τε καὶ ἀνθρωπίνου δικαίου, πῶς ἂν συμβαῖεν ἀλλήλοις οἱ περὶ τὰ μείζω διαφερόμενοι τῇ τῆς ψυχῆς διαθέσει; τἀναντία φρονοῦντες περὶ τὴν πίστιν; διὸ καὶ μετὰ τὴν λύσιν τοῦ ἀθεμίτου γάμου, καὶ ἀφορίζεσθαι τοὺς παραβαίνοντας ἀξιοῖ.

Αλλὰ ταῦτα μὲν περὶ τῶν γαμικῶς τανῦν εἶναι συναπτομένων, καὶ τοῦ μὲν ἑνὸς μέρους αἱρετικοῖς προσανέχοντος δόγμασι, θατέρου δὲ τὰ τῆς ὀρθῆς πρεσβεύοντος πίστεως. εἰ δὲ καὶ ἄμφω τὰ μέρη φησί, ὅτε γαμικῶς συνῆλθον τὸ ἐξ ἀρχῆς, τῆς τῶν ὀρθοδόξων ἠλλοτριοῦντο μοίρας, εἶτα τὸ μὲν ἐπέγνω τὴν ἀλήθειαν, θάτερον δὲ τῷ σκότῳ τῆς ἀσεβείας εἰσ- D έτι δουλεύει, οὐ παρὰ τοῦτο τὸ συνοικέσιον διαλυθήσεται· ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ὁ μέγας διορίζεται Παῦλος. εἰ γὰρ αἱρεῖται, φησὶ τῷ ἀπίστῳ συνοικεῖν ἡ πιστή, ἢ τοὐναντίον, ὁ πιστὸς τῇ ἀπίστῳ, μὴ χωριζέσθω· ἡγίασται γὰρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ τὸ ἔμπαλιν. πλὴν ὅρα ὅπως καὶ ὁ θεῖος ἀπόστολος συγκαταβάσει χρώμενος, εἰ αἱρεῖταί φησι τὸ πιστὸν μέρος συνοικεῖν τῷ ἀπίστῳ. ὥστε εἰ μὴ αἱρεῖται ἀναμφιβόλως ὁ γάμος λυθήσεται.

Πέπεισμαι δ' ὅτι τῆς ἀρχῆς ἦν ταῦτα καὶ τῶν προοιμίων τοῦ κηρύγματος. τὸ δὲ σήμερον ἔχον, πῶς οἷόν τε Ιουδαῖον ἢ Αγαρηνὸν βαπτισθέντα συνοικεῖν ἔτι τῇ ἀβαπτί- E στῳ, ἢ τὴν βαπτισαμένην τῷ μὴ πιστεύσαντι; καθὰ δὴ καὶ ἐπὶ τοῦ πατριάρχου γέγονε Θεοδότου. Βυκινάτωρ γὰρ βασιλικὸς βαπτισθεὶς, πατριαρχικῷ γράμματι διεζύγη τῆς γυναικὸς μὴ πειθομένης τῷ ἀνδρί, πολλὰ παρακαλοῦντι τὰ τῆς εὐσεβείας ἑλέσθαι.

Ο δὲ τῆς ἐν Λαοδικείᾳ λα΄. οὐ δεῖ φησι, πρὸς πάντα αἱρετικὸν ἐπιγαμίαν ποιεῖν, οὐδὲ υἱοὺς διδόναι ἢ θυγατέρας, δέει τοῦ μὴ τὴν ἐκείνων κακοδοξίαν μεταμαθεῖν, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γενέσθαι. τὸ δὲ οὐ δεῖ πρὸς πάντα αἱρετικόν, ἀντὶ τοῦ πρὸς οὐδένα· ἰδίωμα γάρ ἐστι γραφικόν, ὡς τὸ μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. οὐ γὰρ οἷόν τε F καὶ τινὰ λαβεῖν. καὶ ἀλλαχοῦ, μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὐ γάρ εἰσι καὶ οἱ ματαίως κτισθέντες, ἀσεβὲς γὰρ τοῦτο νομίζειν.

Νόμος.

Μὴ λαμβανέτω Ἰουδαῖος χριστιανήν, μήτε χριστιανὸς Ἰουδαίαν, μήτε αἱρετικὸς καὶ ἀλλότριος τῆς πίστεως κατά τινα πρόφασιν χριστιανοῖς πρὸς γάμον συναπτέσθω.

ΚΕΦ. ιγ΄.

Ὁ γάμος ἐκ ποίων αἰτιῶν λύεται.

Νόμος.

ΠΕρὶ δὲ τῆς τῶν γάμων διαλύσεως ἐν πολλοῖς τόποις ὁ πολιτικὸς διέξεισι νόμος. πλεώτερον δὲ ἡ Ἰουστινιάνειος νεαρὰ, ῥητῶς τὰς αἰτίας ἐκτιθεμένη, δι᾽ ἃς ὁ ἀνὴρ ἢ ἡ γυνὴ δύναται ῥεπούδιον πέμπειν, ἤτοι ἀποστάσιον τῷ ὁμοζύγῳ, B καὶ τὴν προῖκα ἀποκερδαίνειν, φυλαττομένης τῆς ἐπ᾽ αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαύειν καὶ τῆς δεσποτείας τὸ ἀναίτιον πρόσωπον. εἰ γὰρ καὶ πάλαι τοῖς ἀνθρώποις ἐξῆν καὶ ἐκ τῶν παλαιῶν νόμων καὶ ἐξ ἔθους μακροῦ ἀναιτίως λύειν τὰ συνοικέσια, ὥστε λέγειν τὸν ἄνδρα τῇ ὁμοζύγῳ· γύναι πράττε τὰ σά· καὶ ταύτην ἐκείνῳ, ἄνερ πράττε τὰ σά· καθὰ δὲ καὶ τοῖς τῶν Ἑβραίων ἀνδράσι πάλαι νενομοθέτητο, βιβλίον πέμπειν ἀποστασίου τῇ γυναικί· ἀλλὰ τὸ νῦν εἶναι τοῦτο παρὰ Χριστιανοῖς ἀνῄρηται. αἰτίαι δὲ πρὸς τῶν εὐσεβῶν ἠρίθμηνται βασιλέων ὀνομαστὶ, δι᾽ ἃς καὶ μόνας τὸν γάμον ἔξεστι διαλύειν, C καὶ μιᾶς ἄνευ ἐκείνων ἀθέμιτον διασπᾶν.

Αἱ αἰτίαι τῆς γυναικός.

Καὶ ὁ μὲν ἀνὴρ πέμπει ῥεπούδιον τῇ γυναικὶ, καὶ τὴν προῖκα ταύτης ἀποκερδαίνει, ὡς εἴρηται, διὰ τὰς αἰτίας ταύτας.

α΄. Εἰ συνοιδε τινὰς ἡ γυνὴ τῇ βασιλείᾳ ἐπιβουλεύοντας, καὶ τῷ ἰδίῳ μὴ ἐφανέρωσεν ἀνδρί.

β΄. Εἰ κατηγορίᾳ μοιχείας κατὰ τῆς γυναικὸς γένοιτο, καὶ D κατὰ τοὺς νόμους ἀπελεγχθείη μοιχευθῆναι αὐτήν.

γ΄. Ἐὰν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τοῦτο μὴ φανερώσῃ.

δ΄. Ἐὰν ἀνδράσι ξένοις παρὰ γνώμην τοῦ ἀνδρὸς συμποσιάζει, ἢ συλλουέται.

ε΄. Ἐὰν ἔξω τοῦ οἴκου μείνῃ παρὰ γνώμην τοῦ ἀνδρὸς, εἰ μήπου τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν· ἢ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν ἐξωθήσῃ, καὶ γονέων αὐτῇ μὴ ὑπαρχόντων, ἔξω τὴν νύκτα διαβιβάσῃ. E

ϛ΄. Ἐὰν ἱππικοῖς, ἢ θεάτροις, ἢ κυνηγίοις παραγένηται ἐπὶ τῷ θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός.

Τὸ μέντοι γραφικὸν τὸ λέγον, μὴ ἐπιστρέφειν τὴν μοιχευθεῖσαν πρὸς τὸν ἑαυτῆς ἄνδρα, περὶ ἀνδρὸς νόει μὴ θέλοντος ἀναλαβέσθαι ταύτην. εἰ γὰρ συγχωρεῖ τὸ ἔγκλημα ὁ ἀνὴρ, ἀκωλύτως αὐτὴν ἐντὸς διετίας ἀναλαμβάνει, κατὰ τὴν τοῦ Ἰουστινιανοῦ νεαρὰν, καὶ Λέοντος τοῦ σοφοῦ.

Αἱ αἰτίαι τοῦ ἀνδρός. F

Ἡ δὲ γυνὴ πέμπει ῥεπούδιον τῷ ἀνδρὶ, διὰ τὰς αἰτίας ταύτας, δυναμένη ἀναλαβεῖν, τήν τε ἑαυτῆς προῖκα, καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν τοῦ ἀνδρὸς, ὁμοίως τοῖς παισὶ φυλαττομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων οὐκ ὄντων ἔχειν καὶ τὴν αὐτῆς δεσποτείαν.

α΄. Ἐάν τι κατὰ τῆς βασιλείας, ἢ αὐτὸς βουλεύσηται, ἢ τοῦτο τισὶ βουλευομένοις συνειδὼς, μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι᾽ ἑαυτοῦ, ἢ δι᾽ οἱουδήποτε προσώπου.

CAPUT XIII.

Quibus ex cauſis matrimonium ſolvatur.

Lex.

DE Matrimonii ſolutione multis in locis multæ leges tractant. Sed perfectius Novella Juſtiniani, quæ diſerte cauſas exponit, ob quas maritus aut uxor repudium conjugi mittere poteſt, ac dotem lucrari, proprietate tamen ejus ſuſceptis ex eodem matrimonio liberis ſalva, vel liberis nullis exiſtentibus, expers culpæ perſona proprietate quoque frui poteſt. Nam licèt olim mortalibus permiſſum erat, tam ex priſcis legibus, quam longa conſuetudine, matrimonia impune ſolvere, ut ſcilicet vir conjugi diceret: *Uxor tuas ipſa res tibi agito*: ac viciſſim hæc illi: *Tuas marite res tibi agito*: quemadmodum apud Hebræos etiam olim lege receptum erat; ut uxori libellum repudii maritus mitteret: tamen uti nunc comparatæ res ſunt, apud Chriſtianos hoc abrogatum eſt. Cauſæ verò nominatim enumeratæ ſunt à religioſis Imperatoribus, ob quas ſolas matrimonium ſolvere licet; quum abſque harum una, nefas ſit dirimi.

Cauſæ Uxoris.

Ac maritus quidem uxori repudium mittit, & dotem ejus lucratur, uti dictum eſt, propter has cauſas.

1. Si quibus adverſus Majeſtatem Principis ineuntibus conſilia mulier conſcia ſit, idque Marito ſuo non patefecerit.

2. Si adulterii mulier accuſata, & ſecundum leges adulterii convicta fuerit.

3. Si quocunque modo vitæ mariti fuerit inſidiata, vel quum aliis id molientibus eſſet conſcia, Marito non patefecerit.

4. Si contra Mariti voluntatem cum viris extraneis compotet aut lavet.

5. Si contra Mariti voluntatem extra Domum maneat, niſi forte apud ſuos parentes; vel ab ipſomet abſque cauſis indicatis expulſa, parentibus ei nullis exiſtentibus, foris noctem tranſegerit.

6. Si ad Circenſes, vel ſpectacula, vel arenam accedat ſpectandi cauſa, ignorante vel prohibente marito.

Cæterum ſcripturæ dictum illud, quo traditur, adulterio pollutam ad maritum ſuum non redire; de marito intellige, qui eam non vult recipere. Quippe ſi maritus crimen condonat, citra prohibitionem intra biennium eam recipit, ſecundum Novellam Juſtiniani, & Leonis illius ſapientis.

Cauſæ Mariti.

Uxor autem marito repudium mittit propter has cauſas, quum & dotem ſuam, & donationem viri propter nuptias, recipere poſſit; liberis conſimiliter in donatione conſervando dominio ſive proprietate: vel liberis non exſtantibus, etiam dominium ejus habere.

1. Si adverſus majeſtatem Principis vel ipſe quid molitus fuerit, vel aliquibus molientibus ipſe conſcius, id principi non patefecerit, vel per ſe, vel per quamcunque perſonam.

A 2. Si quocunque modo vitæ conjugis inſidiatus fuerit.

3. Si pudicitiæ conjugis inſidias ſtruens, aliis eam ſtuprandam tradere conatus fuerit.

4. Si maritus, uxore adulterii accuſata, rem non probaverit.

5. Si alia cum muliere coeat in eadem Domo, vel eadem Civitate, ac monitus ab uxore, vel parentibus ejus, vel quovis alio, non velit abſtinere.

B In his non ſolum donationem ante nuptias maritus loco pœnæ amittit, verumetiam trientem reliquarum ipſius facultatum; præterquam quod eas quoque pœnas ſuſtinet, quas ipſa mulier erat latura, ſi condemnata fuiſſet.

Non tamen aut mulier arbitratu ſuo divertere poteſt à marito, aut maritus ab ipſa, ſine judicio & ſententia judicum: quemadmodum diverſæ Juſtiniani Novellæ ſtatuunt. Ac propterea qui ducit uxorem non ita diremptam, adulterium committit.

C

Solutio Matrimonii citra pœnam: deque Matrimonio quod exercitationis piæ cauſa ſolvitur.

Abſque pœna matrimonium ſolvitur, quum elapſo triennio maritus cum uxore coire nequit, licèt ipſe divortium fieri nolit: manente penes virum donatione ante nuptias, nec quidquam ſuarum rerum pœnæ loco amittente.

D Solvitur etiam Matrimonium, quum altera pars exercitio ſacro ſe dedit, ad viam meliorem tranſiens, & vitam in puritate degendam eligens. Tunc enim tam virum, quam mulierem, ad præclariora ſe conferentem, divortendi recedendique poteſtatem habere jubemus; exiguo quodam deſertæ parti ſolatio relicto. Quidquid enim contrahentes pacti ſunt, ut à morte lucro alterius cederet; id habere oportet ab altero deſertum, ſive vir, ſive mulier ſit: quando & ipſe, quantum quidem ad conjugem attinet, mori videtur, alterum vitæ iter cum altero commutans.

E Etenim tonſura rectè fit etiam alterutro conjugum invito. Dicimus etiam, bona gratia fieri divortium. Perſona quoque derelicta poteſt aliud ad matrimonium accedere. Sed hoc uxori Epiſcopi ordinati non eſt datum. Ideoque cum ejus conſenſu fieri ordinationem oportet, atque ita ſequi tonſuram ejus citra recuſationem.

Solvitur etiam matrimonium, cum maritus aut uxor in captivitatem venerit; ac per quinquennium non conſtat, an vivat necne.

F Si verò præter ſtatutas, inquit, à nobis cauſas auſi quidam fuerint matrimonium ſolvere: jubemus, ſiquidem habeant deſcendentes vel ex hoc ipſo, vel ex alio matrimonio, ut iis ipſorum facultates dentur, & in monaſterium ipſi injiciantur omni vitæ ſuæ tempore, & monaſterio pars ex ipſorum bonis tribuatur. Sin deſcendentes nullos habeant, ſed aſcendentes, ut ii tertiam bonorum partem conſequantur, ſi ſolutioni matrimonii non conſenſerint. Quod ſi nec adſcendentes, nec deſcendentes exſtent: jubemus omnia bona monaſteriis, in quæ concluſi fuerint, attribui. Quinetiam hæc inſtrumenta

β'. Ἐὰν οἱῳδήποτε τρόπῳ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός.

γ'. Ἐὰν τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρίσῃ παραδοῦναι.

δ'. Ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ ἐπὶ μοιχείᾳ, μὴ ἀποδείξῃ.

ε'. Ἐὰν ἑτέρᾳ συνέρχηται γυναικὶ, ἐν τῷ αὐτῷ οἴκῳ, ἢ τῇ αὐτῇ πόλει, καὶ ὑπομνησθεὶς παρ' αὐτῆς ἢ τῶν γονέων αὐτῆς, ἢ οἱουδήτινος ἑτέρου, ἀποσχέσθαι μὴ βούληται.

Ἐπὶ τούτοις μὴ μόνον τὴν πρὸ γάμου δωρεὰν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, καὶ τὰς τιμωρίας ὑφίσταται ἃς ἔμελλεν ἡ γυνὴ καταδικαζομένη.

Πλὴν οὔτε ἡ γυνὴ αὐτονόμως ἀναχωρεῖν δύναται τοῦ ἀνδρὸς, οὔτε οὗτος ἐκείνης, χωρὶς κρίσεως καὶ ψήφου τῶν δικαστῶν, ὡς διάφοροι τοῦτο θεσπίζουσιν Ἰουστινιάνειοι νεαραί. Διὰ τοῦτο ὁ γαμήσας τὴν μὴ οὕτω ἀπολυθεῖσαν, μοιχᾶται.

Λύσις γάμου ἀζήμιος. καὶ περὶ τοῦ δι' ἄσκησιν λυομένου γάμου.

Ἀζημίως δὲ λύεται γάμος, ὅτε τριετίας παρελθούσης, ὁ ἀνὴρ οὐχ οἷός τε εἴη συνιέναι τῇ γαμετῇ, εἰ καὶ αὐτὸς τὴν διάζευξιν οὐχ αἱρεῖται, μενούσης παρὰ τῷ ἀνδρὶ τῆς πρὸ τοῦ γάμου δωρεᾶς, μηδὲν οἴκοθεν ζημιουμένῳ.

Λύεται γάμος καὶ ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαῖνον ὁδὸν, καὶ τὸν ἀμείνω βίον αἱρούμενον. τηνικαῦτα γὰρ κελεύομεν, παρρησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὰ βελτίω μεθισταμένοις, διαλύειν τὸ συνοικέσιον καὶ ἀναχωρεῖν, μετά τινος βραχείας ὑπολιμπανομένης τῷ καταλελειμμένῳ παραμυθίας. ὅσαπερ γὰρ ἂν συμφωνήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ, εἴτε γυνὴ καθεστήκοι· διότι καὶ οὗτος τό γε ἐπὶ τῷ συνοικήσαντι δοκεῖ τελευτᾶν, ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος.

Ἡ γὰρ ἀπόκαρσις καὶ ἄκοντος θατέρου τῶν ὁμοζύγων γίνεται ἀσφαλῶς. καὶ λέγομεν ἀγαθῇ χάριτι τὴν διάζευξιν γίνεσθαι. καὶ τὸ περιλειφθὲν πρόσωπον δύναται πρὸς ἑτέραν συζυγίαν ἐλθεῖν. ἀλλὰ τῇ τοῦ χειροτονηθέντος ἐπισκόπου γυναικὶ τοῦτο οὐ δέδοται. καὶ διὰ τοῦτο μετὰ συναινέσεως αὐτῆς δεῖ γενέσθαι τὴν χειροτονίαν, καὶ οὕτως ἐπακολουθεῖν ἀπαραιτήτως τὴν ταύτης ἀπόκαρσιν.

Λύεται γάμος, καὶ ὅταν αἰχμάλωτος γένηται ὁ ἀνὴρ, ἢ ἡ γυνὴ, ἄδηλον ὂν ἐπὶ πενταετίαν εἰ ζῇ.

Εἰ δὲ παρὰ τὰς ὑφ' ἡμῶν φησι διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν, εἴτε ἐξ αὐτοῦ, εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι, καὶ αὐτοὺς εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ μέρος τῷ μοναστηρίῳ δίδοσθαι ἐκ τῆς οὐσίας αὐτῶν. εἰ δὲ μὴ ἔχοιεν κατιόντας, ἀλλὰ ἀνιόντας, τούτοις τὸ γ'. μέρος τῆς οὐσίας αὐτῶν λαμβάνειν, εἰ μὴ τῇ λύσει τοῦ γάμου συνῄνεσαν. εἰ δὲ μήτε ἀνιόντες μήτε κατιόντες εἶεν, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις οἷς ἐνεβλήθησαν δίδοσθαι. ἀλλὰ καὶ

τοὺς

νοὺς τὰ τοιαῦτα συντεθέντας ἀθέμιτα συμβόλαια, κελεύομεν ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι, καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες, βουληθεῖεν πάλιν ἑαυτοῖς συνελθεῖν, πρὶν ἂν ἐμβληθῶσι μοναστηρίοις, ἄδεια τούτοις δίδοται παρ' ἡμῶν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς, καὶ τὰς ἰδίας ἔχειν περιουσίας. τοῦ δὲ ἑνὸς προσώπου βουλομένου τὸν γάμον ἀνακαλέσασθαι, εἰ μὴ συναινήσειε καὶ τὸ ἕτερον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. ταῦτα δὲ κελεύομεν γίνεσθαι, καὶ κατὰ πρόνοιαν τῶν θεοφιλεστάτων ἐπισκόπων.

Εἰ δὲ κατὰ συναίνεσιν ἀμφοτέρων τῶν μερῶν, ἢ κατ' ἔρωτα σωφροσύνης λυθείη ὁ γάμος, κελεύομεν εὐθὺς ἑκάτερα τὰ μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν. εἰ δέ τις τούτων, ἢ γάμῳ προσέλθοι, ἢ πορνείᾳ περιπέσοι, τὴν πᾶσαν αὐτοῦ περιουσίαν οἱ παῖδες λήψονται. εἰ δὲ παῖδας οὐκ ἔχει, τὸ δημόσιον αὐτὴν διαδέξεται.

ΚΕΦ. ιδ'.

Περὶ γυναικῶν διακόνων καὶ χηρῶν.

Ζήτει τὸ ια'. κεφ. τοῦ παρόντος στοιχείου.

ΚΕΦ. ιε'.

Περὶ γυναικῶν μεμνηστευμένων· ἐν ᾧ καὶ περὶ μνηστείας.

Ο ξθ'. τοῦ μεγάλου Βασιλείου κανών, εἰ ἀναγνώστης, φησί, τῇ αὐτοῦ μεμνηστευμένῃ πρὸ τοῦ γάμου μιχθείη, κἀκείνης τοῦτο ἑλομένης, ἐπ' ἐνιαυτοῦ ἀφοριζόμενος, εἰς τὸ ἀναγινώσκειν πάλιν ἐπάνεισιν, εἰς μείζονα μὴ προκόπτων βαθμόν. εἰ δὲ μνηστείας χωρὶς συνέλθοι γυναικί, καὶ εἰ λαβεῖν αὐτὴν εἰς γυναῖκα λόγοις ἴσως μετ' αὐτῆς ἐποιεῖτο· καὶ τῆς τοῦ ἀναγνώστου ὑπηρεσίας ἐκπίπτει. εἰ δὲ ὑπηρέτης εἴη ἢ ὑποδιάκονος τῷ δευτέρῳ πάθει ἁλοίη, τῆς ὑπηρεσίας τελέως ἐκβάλλεται.

Ο δὲ ϟ'. τῆς ς'. συνόδου κανών, τὸν εἰς γάμου κοινωνίαν ἀγόμενον τὴν ἑτέρῳ μεμνηστευμένην, ἔτι τοῦ μνηστευσαμένου περιόντος, τοῖς τῆς μοιχείας ὑποβάλλει ἐγκλήμασιν. εἰ δὲ μὴ γαμικῶς, ἀλλὰ πορνικῶς μετὰ τοιαύτης τις συμφθαρείη, καὶ οὗτος ὡς μοιχὸς τιμωρεῖται, καὶ ἡ γυνὴ ὡς μοιχαλίς. ὁ δὲ τὴν μοιχείαν ἀγνοῶν, ὡς πόρνος.

Περὶ μνηστείας.

Τὴν γὰρ μνηστείαν οἱ νομοθέται ὁρίζονται, μνήμην καὶ ἐπαγγελίαν τῶν μελλόντων γάμων. καὶ ὁ μὲν Μωσαϊκὸς νόμος ὡς γάμον τὴν μνηστείαν ἐλογίζετο. καὶ τὴν ἄλλῳ μεμνηστευμένην φθείρων, ὡς μοιχὸς ἐκολάζετο. καὶ ἐπειδὰν τὰ τῆς μνηστείας αὐτοὺς συνήρμοττε σύμβολα, καὶ γυναῖκα τὴν μνηστὴν προσηγόρευεν. ἐταπείνωσε γάρ φησι τὴν γυναῖκα τοῦ πλησίον, ἤγουν διεπαρθένευσεν τὴν τούτου μνηστήν. οὕτω καὶ ἡ ἁγία παρθένος γυνὴ τοῦ Ἰωσὴφ ἐχρημάτισε· μὴ φοβηθῇς γάρ, φησί, λαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. παρ' ἡμῖν δὲ πρώην μὲν φιλήματι τῶν συναπτομένων, καὶ ἀῤῥαβῶνι προὔβαινεν ἡ μνηστεία. καὶ ἐξῆν ταύτην λύειν τῆς ποινῆς τοῦ προστίμου παρεχομένης. μήπω δὲ τῆς μνηστείας λυθείσης, εἰκότως ὡς μοιχὸς ὁ τὴν γυναῖκα λαμβάνων ἐκρίνετο, ὡς ὁ ῥηθεὶς κανὼν διορίζεται. ὅπου δὲ οὔτε μνηστεία προὔβη οὔτε φίλημα, οὔτε δόσις ἀῤῥαβῶνος ἐπηκολούθη-

A nefaria conficientes, ſubjici pœnis corporalibus, & in exilium mitti præcipimus. Sin autem ii, qui divortium facere conati fuerunt, rurſus in matrimonium coire voluerint antequam in monaſteria miſſi ſunt, id agendi licentiam ipſis concedimus, & prædictas pœnas eis remittimus, adeoque facultates ſuas retinere poterunt. At una perſona matrimonium revocare volente, ſi altera quoque perſona non conſenſerit, adverſus eam pœnæ ratæ ſint, quæ renuit. Hæc autem fieri jubemus interveniente providentia religioſiſſimorum Epiſcoporum.

B Quod ſi per conſenſum utriuſque partis, vel amore pudicitiæ matrimonium ſolutum fuerit: jubemus, ut ſtatim utraque pars ad vitam ſolitariam accedat, ita quidem, ut à pœnis immunes maneant. Quod ſi quis eorum vel ad alias nuptias convolaverit, vel in fornicationem inciderit: omnia ipſius bona liberi accipient. Sin liberi nulli exſtent, fiſcus ſuccedet.

CAPUT XIV.

C De Diaconiſſis & Viduis.

Quæras cap. xi. præſentis literæ.

CAPUT XV.

De mulieribus deſponſatis: in quo etiam de Sponſalibus tractatur.

CANON lxix. Baſilii magni: Si Lector, inquit, cum deſponſa ſibi muliere ante celebratas nuptias D coierit, etiam ipſa conſentiente, ad anni ſpatium ſegregatus ad Lectoris quidem munus redit, ſed majorem ad gradum non provehitur. Sin abſque ſponſalibus cum muliere conſuetudinem habeat, tametſi forte verbis ei ſignificarit, ſe illam ducturum uxorem: etiam miniſterio Lectoris excidit. Quod ſi Miniſter ſive Diaconus hoc altero vitio deliquerit, miniſterio ſuo prorſus ejicitur.

Nonageſimus autem ſextæ Synodi Canon eum, qui alteri deſponſam in matrimonii conſortium adſciſcit, adhuc illo ſuperſtite qui ſponſalia contraxit, crimini adul- E terii ſubjicit. Quod ſi non matrimonii lege, ſed ſcortando cum tali quiſpiam rem habuerit; tum ipſe tamquam adulter, tum mulier ut adultera, punitur: qui vero ſponſalia celebrata ignorabat, tanquam ſcortator.

De ſponſalibus.

Sponſalia namque juris auctores definiunt, mentionem & promiſſionem futurarum nuptiarum. At lex quidem Moſaica matrimonii loco ſponſalia habebat. Et qui deſponſam alteri vitiabat, tanquam adulter puniebatur. Sponſalium quoque ſymbolis datis, ſponſa no- F men uxoris accipiebat. Humiliavit, inquit, uxorem proximi: hoc eſt, ſponſam ipſius devirginavit. Sic & illa ſancta Virgo Joſephi dicta fuit uxor. Ne verearis, inquit, accipere Mariam uxorem tuam. Cæterum apud nos olim eorum, qui coibant in matrimonium, ſponſalia per oſculum & arram procedebant. Ac licebat ea ſolvere, ſi adjecta pœna præſtaretur. Nondum autem ſolutis ſponſalibus, haud abs re tanquam adulter condemnabatur, qui ſponſam alterius matrimonio ſibi copulabat, quemadmodum canon indicatus ſtatuit. Verum ubi nec ſponſalia proceſſerunt, nec oſculum arræve datio ſequuta eſt, ſed nudorum duntaxat, ut appellari ſolent, verborum vincula: licèt alius eam uxorem ducat, adulterii crimine non tenetur. Cæterum ex publicata poſterius Novella religioſi Principis Alexii Comneni, anno VCIƆ. IƆ. XCII. propemodum par vis eſt ſponſalium, & plenarum nuptiarum, quum & ipſa precibus ſacris intervenientibus perficiantur, nec aliis modis ſolvantur, quam quibus perfectum quoque matrimonium dirimitur. Sunt enim hæc ejus verba.

Novella Imperatoris Alexii Comneni de Sponſalibus, facta anno VCIƆ. IƆ. XCII.

Sponſalia vera ſancita ſunt à nobis, quæcunque cum benedictione ſacra, & ſtatuto à nobis tempore peracta noſcuntur. Aptum vero tam ſponſalibus quam nuptiis tempus fuerit, femella quidem duodecimum transgreſſa, maſculo autem decimum & quartum annum excedente. Poſt ſacrum vero precum carmen, & conſuetam arræ atque oſculi obſervationem, exiguo vel etiam longiuſculo ſpatio temporis interjecto, prout ipſis contrahentibus viſum fuerit, citra recuſationem legitimas quoque nuptias ſuccedere jubemus, nec ſimul incidere in unum ſæpe diem & horam. Quod ſi prius, quam ſtatutum à nobis tempus appetierit, & indicatis obſervationibus non adhibitis, ſponſalia facta fuerint, & inſtrumenta; nequaquam hæc vera ſponſalia vel eſſe, vel appellari debere, tametſi pœnæ luitio ſit adjecta. Nam quæ propriè ſunt ſponſalia, pœnarum præſtationibus non ſolventur, quando ne quidem inſtrumentis in poſterum adſcribentur: quum per eas nullum ſponſalibus robur accedat, ſed per invocationem Dei: cujuſmodi ſponſalia indiſſolubilia manent, ex illis duntaxat cauſis dirimenda, quibus & nuptiæ ſolvuntur. Quia vero ſecundum priſcam legum conſuetudinem poſt annum puellæ ſeptimum non rectè ſponſalia procedebant, (nam libere ſinguli ad deſponſatas accedentes, per intuitum continuum, & libertatem converſationis, ipſam amoris flammam magis accendebant) hoc quoque ſtatuimus.

Ut quæ anno contrahentium vii. uſque ad xiv. vel xii. ætatis eorum annum, quaſi ſub forma ſponſalium fiunt inſtrumenta; prorſus legitimorum firmorumque ſponſalium locum non obtineant: ſed tamen veluti confirmatæ ſtipulationes habeantur, & ſecundum aliorum contractum conſuetudinem obligent: veteri lege, quæ de ſponſalibus eſt publicata, robur in iis habente perſonis, quibus cum repudiata ſponſa in matrimonium coire prohibitum eſt, idque propter ejus ſtatus, qui apud Chriſtianos viget, incrementum. Licèt enim ſubtili ratione non ſint hæc perfecta ſponſalia, tamen quia ſponſalium finem habere videntur, & nuptiarum hinc fundamentum ponitur, non abs re prohibitæ per legem perſonæ rurſus impedimentum habebunt, nec quiſquam eam uxorem ducet, quam priſca lex ſponſam alicujus factam, ſolutis ſponſalibus in matrimonium cum altero coire non permiſit.

De Clericorum Sponſalibus.

Balſamon. Sanè non permittitur alicui dignitatem Eccleſiaſticam gerenti, qui mortis alteriuſve cauſæ interventu ſeparatus ſit à ſponſa ſua ante nuptias, ut alia cum muliere copuletur. Nam qui hoc feciſſe deprehenſus fuerit, tanquam ſecundo illigatus matrimonio, deponitur. Lector etiam, qui tale quiddam incurrit, ad alium gradum non provehitur.

Quod ſi conſtare ſponſalia non poſſunt, ſiquidem ei deſponſa perſona, qui Sacerdos fieri vult, annum

A σε, μόνοι δὲ οἱ λεγόμενοι διὰ ψιλῶν ῥημάτων δεσμοί, κἂν ἕτερος λάβῃ τὴν γυναῖκα, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται. ἀπὸ δὲ τῆς ἐξενεχθείσης ὕστερον νεαρᾶς τοῦ εὐσεβοῦς βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸ ϛφϟβʹ. ἔτος, τὰ ἴσα δύναται τῷ τελείῳ γάμῳ σχεδὸν ἡ μνηστεία, ἅτε μετὰ ἱερᾶς καὶ αὐτὴ τελουμένη εὐχῆς, καὶ ἄλλως οὐ λύεται, εἰ μὴ καθ' οὓς τρόπους καὶ τὸ τέλειον διασπᾶται συνοικέσιον. φησὶ γάρ·

B Νεαρὰ περὶ μνηστείας τοῦ Βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, γεγονυῖα κατὰ τὸ ϛφϟβʹ. ἔτος.

Μνηστεῖαι παρ' ἡμῶν ἐτυπώθησαν ἀληθεῖς, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας, καὶ κατὰ τὸν ὡρισμένον ἡμῖν καιρὸν τελεσθεῖσαι γνωρίζονται. ἁρμόδιος δ' ἂν εἴη μνηστείας καὶ γάμου καιρὸς, τῆς μὲν θηλείας τὸν δωδεκαετῆ χρόνον διατρεχούσης, τοῦ δὲ ἄῤῥενος τὸν τεσσαρεσκαιδέκατον διαμείβοντος. μετὰ δὲ τὴν ἱερὰν τῶν εὐχῶν ἐπῳδὴν, καὶ τὴν συνήθη τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλήματος παρατήρησιν, βραχέος ἢ καὶ πλείονος καιροῦ διαλείποντος, ὡς ἂν δόξειε τοῖς συναλλάττουσιν, C ἀπαραιτήτως καὶ τὸν ἔννομον γάμον προβαίνειν κελεύομεν, καὶ μὴ κατὰ ταυτὸ συμβαίνειν ἐν ἡμέρᾳ μιᾷ πολλάκις καὶ ὥρᾳ. εἰ δὲ πρὶν τὸν παρ' ἡμῶν ὁρισθέντα ἐπιστῆναι καιρὸν, καὶ τῶν εἰρημένων μὴ γινομένων παρατηρήσεων, μνηστεῖαι προβήσονται καὶ συμβόλαια, ταύτας μνηστείας ἀληθεῖς μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, εἰ καὶ προστίμου ποινὴ πρόσκειται. αἱ γὰρ κυρίως μνηστεῖαι οὐ προστίμων λυθήσονται δόσεσιν, ἅπερ οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν ἐγγραφήσονται. ὅτι μηδὲ παρ' αὐτῶν αἱ μνηστεῖαι κρατύνονται, ἀλλὰ διὰ τῆς τοῦ θεοῦ ἐπικλήσεως, ἅπερ καὶ ἄλυτοι τὸ παράπαν μένουσι, μόναις λυόμεναι ταῖς αἰτίαις, αἷς καὶ οἱ γάμοι. ἐπεὶ δὲ κατὰ τὴν παλαιὰν τῶν νόμων συνήθειαν, μετὰ τὸν D ἑπταετῆ χρόνον τῆς κόρης οὐ καλῶς αἱ μνηστεῖαι προὔβαινον, (ἀδεῶς γὰρ ἐπὶ τὰς μνηστευομένας εἰσερχόμενοι ἕκαστος τῇ συνεχεῖ θέᾳ καὶ τῷ ἐλευθερίῳ τῆς ὁμιλίας, τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσανέκαιον) ἡμεῖς καὶ τοῦτο θεσπίζομεν.

Τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον, ἄχρι τοῦ ιδʹ. ἢ δωδεκάτου τῆς ἡλικίας χρόνου γινόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια, μὴ τάξιν ὅλως ἐννόμου μνηστείας, καὶ ἀσφαλοῦς ἀποφέρεσθαι· ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὸ ἔθος τῶν ἄλλων συναλλαγμάτων· ἐνεργεῖν δὲ τὸν παλαιὸν νόμον τὸν ἐπὶ τῇ μνηστείᾳ E ἐκφωνηθέντα, ἐν τοῖς κεκωλυμένοις προσώποις μόνον ἐπὶ τῇ ἀποζευχθείσῃ μνηστῇ, διὰ τὸ προϊὸν τῆς παρὰ χριστιανοῖς ἐμπολιτευομένης καταστάσεως. εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν ἔχειν μνηστείας δοκεῖ, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεται, καλῶς ἂν ἔχοι τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα καὶ αὖθις κωλύεσθαι, καὶ μηδένα εἰς γυναῖκα λαμβάνειν ἣν ὁ παλαιὸς νόμος μνηστὴν τινὸς γινομένην, καὶ τῆς μνηστείας κωλυομένης, οὐκ ἀφῆκεν ἑτέρῳ κατὰ γάμον συνέρχεσθαι.

Περὶ μνηστείας κληρικῶν.

F

Βαλσαμών. Ἀμέλει καὶ οὐκ ἐφεῖταί τινι τῶν τοῦ βήματος, θανάτῳ ἢ ἄλλῃ αἰτίᾳ τῆς οἰκείας διαζευχθέντι μνηστῆς πρὸ τοῦ γάμου, ἑτέρᾳ συνάπτεσθαι γυναικί. ὁ γὰρ πεποιηκέναι τοῦτο φωραθεὶς, ὡς δευτερογαμήσας καθαιρεῖται. καὶ ὁ ἐμπεσὼν εἴς τι τοιοῦτον ἀναγνώστης, εἰς ἕτερον οὐ προκόπτει βαθμόν.

Εἰ δὲ ἀσύστατός ἐστιν ἡ μνηστεία, εἰ μὲν τὸ κατεγγυηθὲν πρόσωπον τῷ θέλοντι ἱερωθῆναι, τὸν ἕκτον ὑπερέβη χρόνον,

νον, οὐ παραχωρηθήσεται ὁ μνηστευσάμενος, ἑτέρᾳ συναφθῆναι γυναικὶ, καὶ οὕτως ἱερωθῆναι. δίγαμος γὰρ λογίζεται διὰ τὴν ἐπιθυμίαν, τοῦ δεκτικὴν ἔρωτος εἶναι τηνικαῦτα τὴν γυναῖκα.

Εἰ δὲ ἥττων τῶν ἐξ χρόνων ἦν τὸ κατεγγυηθὲν αὐτῷ πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν νυμφῶν ἐγένετο, δύναται ὁ τοιοῦτος καὶ ἑτέρᾳ γυναικὶ συζευχθεὶς, ἀκωλύτως εἰς ἱερωσύνην ἐλθεῖν. τοῦτο δὲ ἐπὶ λαϊκῶν οὐ κρατεῖ. μόνους γὰρ τοὺς τοῦ βήματος μιᾶς γυναικὸς καὶ ταύτης παρθένου, ἄνδρας εἶναι δεῖ, οἷα καὶ αὐτοὺς πάντως τῇ παρθενίᾳ πρὸ τούτου σεμνυνομένους.

Τελείας δὲ τῆς μνηστείας οὔσης, καὶ εἰ πρὸ τοῦ συμμιγῆναι τῇ μεμνηστευμένῃ τὸν ἄνδρα, θανάτῳ ταύτης διεζεύχθη, οὐδὲ ὁ λαϊκὸς λαβεῖν δύναται ἢ ἐξαδέλφην ταύτης, ἢ ἕτερον πρόσωπον ἐκ τοῦ νόμου κεκωλυμένον. οὐ γὰρ ἡ συνάφεια, ἀλλ᾽ ἡ τῆς εὐχῆς τελετὴ ποιεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι.

Περὶ τοῦ συμφθαρέντος τῇ ἰδίᾳ πενθερᾷ.

Βαλσαμ. Εἰ μέν τοι πρὸ τελείας ἱεροτελεστίας, μόνης δὲ μνηστείας συνισταμένης, τὸν νυμφίον τῇ πενθερᾷ συμφθαρῆναι συνέβη, ἢ ἑτέρῳ συγγενικῷ προσώπῳ τῆς μνηστῆς αὐτοῦ, κωλυθήσεται ὁ γάμος. οὐ γὰρ θεμιτὸν αἱμομιξίαν ἐν εἰδήσει προβῆναι. εἰ δὲ μετὰ τὸν καλῶς συστάντα γάμον τὸ παράνομον τοῦτο συμβαίη, ὁ γάμος οὐ λύεται, ἀλλ᾽ ἐπιτιμῶνται οἱ τὴν αἱμομιξίαν ποιήσαντες.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, τὰ ἐξ ἀρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦνται.

Ἐκ ποίων αἰτιῶν αἱ μνηστεῖαι λύονται.

Νόμοι.

Λύεται δὲ ἡ μνηστεία ὥσπερ καὶ οἱ γάμοι, δι᾽ εὐπροσώπους ταύτας αἰτίας.

α'. Εἰ ἀνυπόστατός ἐστιν ἡ μνηστεία καὶ ἀθέμιτος διὰ τὸ ἀνήλικον τῶν παίδων.

β'. Εἰ ἐγγάστριος ἐξ ἀλλοτρίων σπερμάτων ἡ γυνὴ πεφώραται.

γ'. Λύεται καὶ διὰ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν, καὶ δογμάτων διαφοράν.

δ'. Η διὰ τρόπων αἰσχρότητα.

ε'. Η τύχης ἐναλλαγήν.

ς'. Η διὰ γάμων ὑπέρθεσιν ὑπὲρ τετραετίαν μὴ ἐξ εὐλόγου ἐκτεθεῖσαν αἰτίας, διὰ νόσον ἴσως χρονίαν, ἢ θάνατον γονέων, ἢ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰν ἀποδημίαν ἐξ ἀνάγκης γινομένην.

ζ'. Ετι δὲ διὰ βίαν ἄρχοντος ἐπαρχίας τῆς μνηστείας γινομένης, τῆς τε κόρης καὶ τῶν γονέων αὐτῆς μὴ συναινέντων.

η'. Η δι᾽ ἀπόκαρσιν ἀληθῆ, καὶ τὴν πρὸς τὸν μονήρη βίον μετάβασιν.

θ'. Η τὸ εἶναι βουλευτήν.

ι'. Η διὰ τὸ ὑποκεῖσθαι τῷ δημοσίῳ τὴν οὐσίαν αὐτοῦ· ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι.

A num ſextum ætatis exceſſit: non permittetur ei, qui eam ſibi deſpondit, ut alia cum muliere copuletur, atque ita Sacerdos fiat. Nam digamus eſſe dicitur, ratione concupiſcentiæ: quum hac ætate mulier amoris capax ſit.

At vero ſi minor ſex annis ſit perſona deſponſa, quo tempore pacta ſponſalia reddebantur irrita: poteſt talis etiam cum alia muliere copulatus, nemine prohibente Sacerdotio fungi. Sed hoc in Laicis locum non habet. Duntaxat enim Eccleſiaſtica in dignitate conſtitutos unius mulieris, & virginis quidem, maritos eſſe oportet: quin & ipſi omnino ante matrimonium con- B tractum virginitatis laude gloriari debent.

Cæterum ubi perfecta ſunt ſponſalia, licèt ante quam cum deſponſata ſibi vir coeat, per mortem ab ea diremptus fuerit; ne Laicus quidem ducere poteſt vel conſobrinam ejus, vel aliam perſonam lege prohibitam. Non enim ipſa conjunctio, ſed quæ precum interventu fit conſecratio, ſponſalia pro nuptiis habere facit.

De eo qui cum ſocru ſuâ ſtupri conſuetudinem habuit.

C *Balſamon.* Enimvero ſi ante perfectam nuptiarum conſecrationem, ſponſalibus duntaxat contractis, ſponſum cum ſocru ſtupri conſuetudinem habere contigerit, vel cum alia ſponſæ ſuæ cognata perſona, matrimonium vetabitur. Non enim fas eſt, ut inceſtus cognitus progrediatur. Quod ſi poſt nuptias perfectas ejuſmodi quid contigerit, nuptiæ non diſſolvuntur, ſed qui inceſtus rei ſunt, puniuntur.

Lex.

Legis enim verba ſunt. Quæ ab initio valent ex poſt factis non infirmantur. D

Cauſæ propter quas ſponſalia ſolvuntur.

Leges.

Sponſalia nuptiarum more ſolvuntur, propter honeſtas haſce cauſas.

1. Si conſtare ſponſalia, tamquam illicita, nequeant, propter ætatem puerorum impuberem.

E 2. Si mulier uterum ex alieno ſemine gerere ſit depræhenſa.

3. Item propter novam quandam & incognitam religionem, ac dogmatum diverſitatem.

4. Vel propter morum turpitudinem.

5. Vel propter mutationem ſtatus.

6. Vel propter dilationem nuptiarum ultra quadriennium, quæ probabili ex cauſa facta eſt, propter morbum puta diuturnum, vel mortem parentum, vel capitalia crimina, vel longinquam peregrinationem, ex F neceſſitate ſuſceptam.

7. Præterea ſi ſponſalia facta ſint per vim præſidis provinciæ, tam puella, quam parentibus ejus non conſentientibus.

8. Vel propter veram tonſuram, & tranſitum ad vitam ſolitariam.

9. Vel quod aliquis fiat decurio.

10. Vel quod alicujus bona fiſco ſint obnoxia, vel quod ipſe alii cuipiam functioni obligatus inveniatur.

Quum igitur aliquid ex hiſce unà connumeratis copulationem factam non dirimit, qui deſponſatam alteri ducit, adhuc eo ſuperſtite qui deſponſavit, adulterio ſe polluit.

Leges.

Sponſalia ſunt mentio & promiſſio nuptiarum futurarum.

Tam per ſcripturam, quam ſine ſcriptura ſponſalia contrahuntur; & conſtituuntur nudo conſenſu, etiam inter abſentes.

Sponſam Patris mei vel Fratris mei uxorem ducere nequeo, quamvis uxores eorum non fuerint; illa enim novercæ, hæc nurus locum habet; utique nec matrem nurus meæ, mihi enim ſocrus evaſit.

Contra voluntatem pupillæ tutor ſponſalia non conſtituit, nec facta diſſolvit.

Furor impedit ſponſalia, ſed ſi poſtea ſupervenerit, conſtituta non ſolvit.

Qui conſenſum præbent in nuptiis, eorum conſenſus in ſponſalibus quoque requiritur. Conſentire verò debent ipſi contrahentes, & parentes eorum. Et conſentire videntur, qui evidenter ſive diſerte non contradicunt. Tunc autem filii & filiæfamilias contradicere duntaxat poſſunt, quum moribus indignos & turpes eis ſponſos parentes eligunt. Si tales autem non ſint, qui eis deſpondentur; licèt exhæredari ſe liberi malint, duntaxat ut non parentum, ſed ſuæ voluntati ſatisfaciant, omnino non valere ſancimus eorum inſtitutum. Nam cupiditates juvenum, ad excidium & interitum proprium tendentes, omni modo coercendas eſſe, leges ipſæ ſtatuunt.

Diſſentientibus autem parentibus in electione, manifeſtum eſt Patris valere judicium. Filio-familias diſſentiente, Sponſalia nomine ejus non fiunt.

Pater filiæfamilias ſponſalia diſſolvere poteſt, non etiam emancipatæ.

Quæ quod agitur, intelligere videtur, rectè ſponſalia contrahit, hoc eſt, quæ non minor eſt ſeptem annis. Enimvero ſi ſponſalibus factis intra decimum tertium annum, auſi quidam fuerint deſponſatis vel benedictionem, quam vocant, vel coronam impertiri: quum ſacrarum legum transgreſſores facti ſint, ſtatim contracta ſponſalia, cum ea conjunctione, quæ ſpeciem duntaxat aliquam habet, diſſolventur; & ab utraque parte collatas in ſponſalibus pœnas, facinoris admiſſi cauſæ jacturam hanc ſuſtinentes fiſco inferent: ne Sacerdote quidem, qui tali auſus fuerit intereſſe actui, extra culpam conſtituto; ſed legum ſacrarum ſeveritati ſubjiciendo.

Luctus mariti mulierem ſponſalia contrahere non prohibet.

Qui puellam adultam ſibi deſpondit, nec tempus in ſponſalibus conſtituit: nuptias exſequi, ſi eadem in provincia degit, intra biennium debet: ſin abſens eſt, intra triennium. Quod ſi facere ſuperſederit abſque probabili cauſa, alteri puella conjungi poteſt.

Præſides in ea provincia, quam adminiſtrant, ſponſalia contrahere non debent. Si vero id fecerint, licet puellæ, ac parentibus ejus, aut tutoribus, aut curatoribus detrectare matrimonium, & arras lucrari: eodem locum habituro & in filiis, & nepotibus, & propinquis, & domeſticis, & aſſeſſoribus, & omnibus, qui ſunt ejus apparitores, & participes: ſiquidem opera Præſi-

Τούτων οὖν τῶν ἀπηριθμημένων τινὸς τὴν ἕνωσιν μὴ διασπάσαντος, ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἀγόμενος, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, μοιχᾶται.

Νόμοι.

Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων.

Καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία γίνεται, καὶ ψιλῇ συναινέσει συνίσταται, καὶ μεταξὺ ἀπόντων.

Τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαβεῖν εἰς γυναῖκα, εἰ καὶ γαμεταὶ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει, οὐδὲ τὴν μητέρα τῆς ποτε μου μνηστῆς, γέγονε γάρ μου πενθερά.

Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν, οὔτε διαλύει τὴν γενομένην.

Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν, ἐπιγινομένη δέ, οὐ λύει τὴν σύστασιν.

Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσι· συναινοῦσι δὲ οἱ συναπτόμενοι, καὶ οἱ τούτων γονεῖς. συναινεῖν δὲ δοκοῦσιν οἱ μὴ ῥητῶς ἀντιλέγοντες. τότε δὲ μόνον ἀντιλέγειν δύνανται οἱ ὑπεξούσιοι, ὅτε τοῖς τρόποις ἀναξίους καὶ αἰσχροὺς αὐτοῖς μνηστεύονται οἱ γονεῖς. τοιούτων δὲ μὴ ὄντων τῶν μνηστευομένων, κἂν εἰ ἀποκλήρους ἑαυτοὺς αἱρῶνται τὰ τέκνα ποιεῖν, μόνον ἵνα μὴ τὴν τῶν γονέων, ἀλλὰ τὴν οἰκείαν ἐκπληρώσωσι θέλησιν, ἀνίσχυρον εἶναι αὐτῶν θεσπίζομεν διαπαντὸς τὸ βούλημα. τὰ γὰρ ἐπὶ ἰδίᾳ καταστροφῇ καὶ ἀπωλείᾳ τῶν νέων ὁρμήματα, παντὶ τρόπῳ κωλύειν οἱ νόμοι ἐγνώκασιν.

Διχονοούντων δὲ τῶν γονέων περὶ τῆς ἐκλογῆς δηλονότι, ἡ τοῦ πατρὸς γνώμη κρατεῖ. διχονοοῦντος τοῦ ὑπεξουσίου, οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ.

Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν· οὐ μὴν καὶ τῆς αὐτεξουσίας.

Ἡ τὸ γινόμενον δοκοῦσα νοεῖν, καλῶς μνηστεύεται, τουτέστιν ἡ μὴ οὖσα ἥττων τῶν ἑπτὰ ἐτῶν. εἰ μέντοι γε τῆς μνηστείας γεγενημένης, ἔσωθεν τοῦ τρισκαιδεκαετοῦς χρόνου, τολμήσαιεν τινὲς τοῖς μνηστευσαμένοις, ἢ τὴν λεγομένην εὐλόγησιν, ἢ τὸ στεφάνωμα περιθεῖναι, ὡς τῶν θείων νόμων παραβάται γεγενημένοι, αὐτίκα τὴν μὲν προελθοῦσαν μνηστείαν, ἅμα τῇ δοκούσῃ συναφείᾳ διαλύεσθαι, καὶ τὰ παρ' ἑκατέρου τοῦ μέρους ἐν τῇ μνηστείᾳ συμβληθέντα προστίματα, τοῦ τολμήματος ζημίαν ὑπέχοντας, τῷ τοῦ δημοσίου εἰσκομίζεσθαι μέρει· μηδὲ τοῦ τολμῶντος ἱερέως ἐπὶ τῇ τοιαύτῃ παρεῖναι πράξει, ἀνευθύνου καθεστηκότος, ἀλλὰ τῇ αὐστηρείᾳ τῶν ἱερῶν ὑποκειμένου κανόνων.

Τὸ πένθος τοῦ ἀνδρὸς, οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι.

Ὁ μνηστευσάμενος κόρην ἔφηβον, καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπερθῆται χωρὶς εὐλόγου αἰτίας, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι.

Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας, ἧς ἄρχουσι, μνηστεύεσθαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ, καὶ τοῖς γονεῦσιν αὐτῆς, ἢ ἐπιτρόποις, ἢ κουράτορσι, παραιτεῖσθαι τὸν γάμον, καὶ κερδαίνειν τοὺς ἀρραβῶνας. τοῦ αὐτοῦ κρατοῦντος, καὶ ἐπὶ τῶν υἱῶν, καὶ ἐκγόνων, καὶ συγγενῶν καὶ συγκαθέδρων, καὶ ἐπὶ πάντων τῶν ἐν τῇ τάξει καὶ τῶν οἰκείων αὐτῶν, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο

εἰ μὲν

A εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔρρωται ὁ γάμος.

Σημείωσαι οὖν ὅτι τότε κωλύει τὸ συνάλλαγμα ὁ νόμος, ὅτε τὸ ὀφφίκιον ὁ ἄρχων διαχειρίζει, καὶ δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης. ὥστε εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς ἐκφοβῆσαι τοὺς γονεῖς τῆς κόρης, οὐ κεκώλυται ἡ μνηστεία.

ΚΕΦ. ιϛ΄.

B

Περὶ τῶν τὰς ἰδίας γυναῖκας προφάσει εὐλαβείας ἐκβαλλόντων κληρικῶν.

Ὁ ε΄ τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλοντα, ἀφορίζει, μέχρις ἂν αὖθις προσλάβηται, ἐπιμένοντα δὲ καθαιρεῖ. τοῦτο γὰρ καὶ ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις ἐθέσπιζε, μὴ ἐξεῖναι τινὶ τῷ παλαιῷ προσέχοντι νόμῳ, ὅτε βούλοιτο, τὴν ἰδίαν ἐκβάλλειν γυναῖκα, χωρὶς ἀπειρημένης αἰτίας. ἔοικε γὰρ τὸν γάμον διαβάλλειν, ὡς ἀκάθαρτον ὂν τὸ νομίμως μίγνυσθαι. C τίμιον δὲ ἡ γραφὴ τὸν γάμον ἀπεφήνατο, καὶ τὴν κοίτην ἀμίαντον.

Τούτου καὶ ὁ ιγ΄. τῆς ϛ΄. συνόδου κανὼν αὐτοῖς ῥήμασι μέμνηται, ἄνευ τῆς τοῦ ἐπισκόπου προσθήκης. αὕτη γὰρ ἡ σύνοδος πρώτη ταῖς γαμεταῖς ἀποτάττεσθαι τοὺς ἐπισκόπους ἐθέσπισεν.

Περὶ τῶν τὰς ἰδίας γυναῖκας ἐκβαλλόντων λαϊκῶν.

Ὁ δὲ ἀποστολικὸς μη΄. τὸν ἐκβάλλοντα λαϊκὸν παραλόγως τὴν ἑαυτοῦ γυναῖκα, καὶ ἑτέραν λαμβάνοντα, καὶ τὸν D ὑποποιούμενον τὴν παρ᾽ ἄλλου ἀπολελυμένην, μὴ κατὰ νόμους δηλαδὴ, ἀφορισμῷ ὑποβάλλει.

Ὅσα γε μὴν περὶ τούτου τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς τοῦ μεγάλου πατρὸς Βασιλείου γλώττης ἐχρησμοδότησεν ἐν τῷ θ΄. αὐτοῦ κανόνι, ἄγνωμον κομιδῆ μὴ κατὰ μέρος διεξιέναι. ἦν μὲν γάρ φησιν ἀκόλουθον, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, ἐξίσης καὶ ἀνδράσι καὶ γυναιξὶ, τὴν τῆς πορνείας αἰτίαν λύσιν εἶναι τοῦ γάμου. ἡ δέ γε τῆς ἐκκλησίας συνήθεια οὐχ οὕτως ἔχουσα δείκνυται. ἐπὶ μὲν γὰρ τῶν γυναικῶν πολλὴν εὑρίσκομεν τὴν ἀκρίβειαν, τοῦ μὲν ἀποστόλου λέγοντος, ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι. E τοῦ δὲ Ἱερεμίου, ὅτι ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται, εἰ μὴ βουληθείη δηλαδὴ ὁ ἀνὴρ αὐτὴν προσλαβέσθαι. καὶ ὁ Σολομὼν ἐν ταῖς παροιμίαις. ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής· τουτέστιν, ὁ μιγνύμενος ὑπάνδρῳ γυναικὶ, ἥτις δείκνυται μοιχαλίς. τοὺς δὲ μοιχεύοντας τῶν ἀνδρῶν ἢ πορνεύοντας, κατέχεσθαι ὑπὸ τῶν ἰδίων γυναικῶν ὑποτίθεται. εἴτε γὰρ καὶ ἐμπικραίνοιτό τις τῇ γυναικὶ, καὶ πληγὰς ἐντείνοι, καρτερεῖν ταύτην δεῖ· εἴτε εἰς χρήματα ζημιοῖ, κἀκείνη τὴν προῖκα δαπανωμένην ὁρῴη, ἢ καὶ ζηλοτύπως ἔχοι, τῷ ἑτέραις τὸν ἄνδρα συμφθείρεσθαι, οὐκ ἔφεσται ταύτῃ διαζεύγνυσθαι τοῦ F ἀνδρὸς παρὰ ταῦτα. εἰ γὰρ ἀπίστου θατέρου τῶν συνοικούντων τυγχάνοντος θατέρῳ χωρισθῆναι οὐ δέδοται, κατὰ τὸν μακάριον Παῦλον, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως (τί γὰρ οἶδας γύναι, φησὶν, εἰ τὸν ἄνδρα σώσεις;) πῶς ἀνεύθυνος ἔσται, ἡ δι᾽ ἑτέραν αἰτίαν λύουσα τὴν συζυγίαν; ὥστε ἡ τὸν ἄνδρα παραλόγως ἀπολιποῦσα, εἰ ἄλλῳ συνοικήσει, μοιχαλὶς λογίζεται. ἡ δὲ τῷ καταλειφθέντι ἀνδρὶ συναφθεῖσα νομίμως, οὔτε ὡς μοιχαλὶς οὔτε ὡς πόρνη κατακρίνεται. εἰ μέντοι ὁ ἀνὴρ ἀποστὰς τῆς γυναικὸς, ἐπ᾽ ἄλλην ἦλθε, καὶ αὐτὸς μοιχὸς, ὡς ποιῶν αὐτὴν μοιχευθῆναι, καὶ ἡ συνοικοῦσα τε-

---

dis ſponſalia contraxerunt. Si tamen ei puella, poſtquam Magiſtratu abierit, nubere vult; matrimonium ratum eſt.

Itaque notabis, quod tunc contractum hunc lex prohibeat, quum adhuc Præſes officium adminiſtrat, & parentibus puellæ formidabilis eſſe poteſt. Quo fit, ut ſi præſes quidem erat, ſed ſatis virium non habebat ad territandos puellæ parentes; ſponſalia non fuerint prohibita.

CAPUT XVI.

De Clericis Vxores ſuas prætextu religionis ejicientibus.

CANON ſanctorum Apoſtolorum quintus, Epiſcopum, vel Presbyterum, vel Diaconum, qui uxorem ſuam prætextu religionis ejicit, tantiſper ſegregat, donec eam ad ſe receperit: perſeverantem vero, deponit. Hoc enim Dominus etiam in Evangeliis ſancivit, non licere alicui priſcæ legi obtemperanti, ut pro lubitu ſuo Uxorem ſuam ejiciat, abſque cauſa legis interdicto comprehenſa. Quippe matrimonium criminari videtur, quaſi coitus legitimus quædam ſit impuritas. Honorabiles autem nuptias eſſe ſcriptura pronuntiat, & lectum impollutum.

Hujus etiam decimus tertius ſextæ Synodi Canon ipſiſſimet verbis meminit, abſque tamen vocis Epiſcopi adjectione. Hæc enim Synodus prima fuit, quæ ſancivit, ut uxoribus ſuis Epiſcopi renuntiarent.

De Laicis Vxores ſuas ejicientibus.

Canon autem Apoſtolorum xlviii. Laicum, qui præter rationem ejicit uxorem ſuam, & aliam ducit, quive pertrahit ad ſe divortio ſeparatam ab alio, non ſecundum leges ſcilicet, ſegregationi ſubjicit.

Cæterum quæ hac de re Spiritus ſanctus per magnum illum Patrem Baſilium velut oraculo prodidit, in nono ipſius canone, periniquum fuerit non particulatim exponere. Conſentaneum erat, inquit, ut ſecundum ſententiam Domini, æquabiliter tam viris, quam mulieribus, ſcortationis cauſa matrimonium diſſolveret. Verum Eccleſiæ conſuetudinem ita comparatam non eſſe conſtat. Nam quod ad mulieres attinet, magnam accurationem invenimus, Apoſtolo dicente; Qui Meretrici adglutinatur, unum cum ea corpus eſt: & Hieremia, ſi alterius viri facta fuerit, ad maritum ſuum non revertetur, ſed polluendo polluetur: niſi videlicet, maritus eam recipere voluerit. Et Solomon in Proverbiis: Qui adulteram habet, ſtultus eſt & impius: hoc eſt, qui rem habet cum muliere maritata, & quam eſſe conſtat adulteram. Verum maritos adulterium committentes, vel ſcortantes, retineri ſuis ab uxoribus monet. Nam ſive quis acerbum ſemet erga uxorem exhibeat, eique verbera infligat, tolerantem ſe gerat oportet: ſive pecuniarum jacturam faciat, dotemque ſuam abſumi videat, vel etiam Zelotypa ſit propterea quod cum aliis maritus ſtupri conſuetudinem habeat, non tamen ei permittitur, ut propter has cauſas à marito divertat. Quippe ſi alterutro conjugum exiſtente infideli, alteri divortium ab eo facere non licet, juxta Beati Pauli ſententiam; propterea quod obſcurum ſit, quid evenire queat: (ecquid enim noſti mulier, ait, an maritum ſis ſervatura?) quonam modo culpa carebit, quæ propter aliam cauſam conjugium diſſolvit? Unde concluditur eam, quæ maritum abſque juſta cauſa deſeruerit, ſi alterius in conſortium ſeſe dederit, pro adultera habendam. Quæ vero legitimè cum viro deſerto in manum coit, nec ut adultera, nec ut meretrix condemnatur. Sanè ſi maritus

ritus ab uxore diverterit, & ad aliam ſeſe contulerit: tum ipſe adulter eſt, veluti qui auctor ſit, ut ea per adulterium polluatur; tum quæ in ipſius eſt contubernio adultera eſt, propterea quod maritum alienum ad ſeſe traduxerit. Hæc Baſilius. Ex publicata vero deinceps Novella Juſtiniani, quam de ſolutione matrimonii ſupra poſitum caput continet, etiam hæc inter alias cauſas eſt connumerata, propter quas uxoribus conjugia diſſolvere permiſſum eſt: Si videlicet eadem [in domo vel civitate, cum alia muliere ſtupri conſuetudinem maritus habeat; & propinquis uxoris ſuæ increpantibus eum, ac monentibus, ut ab illius conſuetudine abſtineat, non obtemperet. Tunc enim mulieri permittit, ut propter Zelotypiam matrimoniam ſolvat.

In Can. autem xxi. eum, qui cum muliere cohabitat, & propter libidinem cum aliâ polluitur, fornicationis reum eſſe judicat; utique & pœnis majoribus afficit, quam eum qui cum muliere non cohabitans in eodem crimine deprehenſus fuerit: huic enim venia aliqua datur propter naturæ neceſſitatem, ille autem eam non aſſequitur, utpote qui legitimam conjugem habeat quæ naturæ tyrannidem demulceat, quique propter ſolam incontinentiam in cæno libidinis volutatur. Quin etiam canonem, inquit, non habemus, eum, ſi in matrimonio ſolutam peccatum fiat, adulterii crimini obnoxium reddentem, vel à propriæ uxoris commercio abigentem. Porrò quidem mulier maritum à fornicatione reverſum ſuſcipiet, ille autem mulierem quæ cum alio commercium habuit, ex ædibus ejiciet; & invitus eam recipere non cogetur. Harum rerum, inquit, ratio non facilis eſt, verum conſuetudo ita obtinuit.

In canone vero xxxv. in iis qui matrimonium diſſolvunt, cauſam, inquit, conſiderare oportet. Et ſiquidem mulier ſine cauſâ à viro ſeceſſerit, illa quidem pœnâ, hic autem veniâ dignus judicatur; nimirum ut cum Eccleſiâ communicet, non autem ut aliâ utatur.

Quin & in can. lxxvii. qui mulierem ſibi legitimè conjunctam relinquit, & aliam ducit, adulterii crimini obnoxius eſt. Patres autem noſtri, inquit, eos ſeptennii pœnam inflixerunt, & ſic communione dignos cenſent, ſi cum lachrymis pœnitentiam egerint.

Hæc vi. Syn. Patres in can. lxxxvii. ipſiſſimis ſancti verbis uſi confirmant; eamque quæ præter rationem virum ſuum relinquit ut adulteram condemnant, viro autem veniam dant, & cum Eccleſiâ communicare præcipiunt. Eum vero qui legitimè ſibi junctam relinquit, & cum aliâ exinde matrimoniale contractum facit, tanquam adulterii, ex Domini ſententiâ, reum in ſeptennium à Sacramentis arcet.

Rurſus ſanctus Baſilius in can. xlvi. quæ viro ab uxore ſuâ pro tempore derelicto propter mœrorem forſan vel animi demiſſionem, per ignorantiam nubit, poſtea vero uxore priori, ex aliâ forſan regione, reverſâ ab eo dimiſſa fuerit, ex ignorantiâ quidem fornicata eſt, ſed à matrimonio non arcebitur; non enim à legitimo marito dimiſſa erat, cum priores nuptiæ non ſolutæ eſſent, ſed à fornicatione liberata eſt. Melius autem erit ſi ita, inquit, maneat. Non enim decorum eſt ut quæ alicujus uxor vocata erat, cum altero cohabitet.

Lex.

Dicit enim lex, in nuptiis non ſolum id quod permiſſum eſt, ſed quod honeſtum eſt conſideramus.

In can. autem xlviii. quæ à marito ſuo præter ra-

A τῳ, μοιχαλίς· διότι πρὸς ἑαυτὴν ἀλλότριον μετέστησεν ἄνδρα. ἀλλὰ ταῦτα μὲν οὕτως. ἀπὸ δὲ τῆς ὕστερον ἐξενεχθείσης Ἰουστινιανοῦ νεαρᾶς, ἣν τὸ ιγ΄. τοῦ παρόντος στοιχείου περιέχει κεφάλαιον, καὶ αὕτη ταῖς ἄλλαις αἰτίαις ἠρίθμηται, δι' ἃς λύειν ταῖς γυναιξὶ τὰ συνοικέσια δίδοται. εἰ ἐν τῇ αὐτῇ δηλαδὴ οἰκίᾳ ἢ πόλει, ἑτέρᾳ ὁ ἀνὴρ συμφθείροιτο γυναικὶ, καὶ τοῦ μέρους τῆς ἰδίας γυναικὸς ἐπιτιμώντων αὐτῷ καὶ ὑποτιθεμένων, ἀποστῆναι τῆς πρὸς ἐκείνην ὁμιλίας μὴ πείθοιτο. τηνικαῦτα γὰρ λύειν τοὺς γάμους διὰ τὴν ζηλοτυπίαν ἐφίησιν.

B

Ἐν δὲ τῷ κα΄. τὸν συνοικοῦντα γυναικὶ, δι' ἀσέλγειαν δὲ καὶ ἑτέρᾳ συμφθειρόμενον, πορνείας μὲν ὑπόδικον εἶναι κρίνει· ἐπιπλέον δὲ τοῖς ἐπιτιμίοις καθικνεῖται τοῦ μὴ συζῶντος γυναικὶ, καὶ τῷ πάθει τούτῳ ἁλόντος. τῷ μὲν γὰρ συγγνώμη τις, διὰ τὴν ἀνάγκην τῆς φύσεως· ὁ δὲ ταύτης ἐστέρηται, ἅτε τῆς φυσικῆς τυραννίδος τὴν νόμιμον ἔχων παραμυθίαν, διὰ δὲ μόνην ἀκρασίαν τῷ τῆς ἀκολασίας βορβόρῳ ἐγκυλινδούμενος. οὐ μέντοι καὶ κανόνα φησὶν ἔχομεν, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται, τῷ C τῆς μοιχείας αὐτὸν ὑπάγοντα ἐγκλήματι, ἢ τῆς πρὸς τὴν οἰκείαν γυναῖκα συνοικέσεως ἀποκλείοντα. ὥστε μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα δέξεται, οὐκέτι δὲ τὴν γυναῖκα μιγεῖσαν ἑτέρῳ, τῶν οἴκων ἀποπέμψει, καὶ ἄκων ταύτην προσλαβέσθαι οὐκ ἀναγκασθήσεται. τούτων δὲ ὁ λόγος, φησὶν, οὐ ῥᾴδιος, ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν.

Ἐν δὲ τῷ λε΄. ἐπὶ τῶν διαλυόντων τὸν γάμον, τὴν αἰτίαν χρή φησι σκοπεῖν. καὶ εἰ μὲν παραλόγως τοῦ ἀνδρὸς ἀνεχώρησεν ἡ γυνὴ, ἡ μὲν ἐπιτιμίων, ὁ δὲ συγγνώμης ἄξιος D κρίνεται· πρὸς τὸ κοινωνεῖν μέντοι τῇ ἐκκλησίᾳ, οὐ μὴν καὶ ἑτέρᾳ δηλαδὴ κεχρῆσθαι.

Ἐν δὲ τῷ οζ΄. ὁ μέντοι καταλιμπάνων τὴν νομίμως αὐτῷ συναφθεῖσαν, καὶ ἑτέραν ἀγόμενος, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. οἱ δὲ πατέρες ἡμῶν φησιν, εἰς ἑπταετίαν τοῖς τοιούτοις ἐπιτετιμήκασι, καὶ οὕτω τῆς προσφορᾶς ἀξιοῦσιν, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

Ταῦτα καὶ οἱ τῆς ϛ΄. συνόδου, ἐν τῷ πζ΄. κανόνι ἐπικυροῦσιν αὐτοῖς τοῦ ἁγίου χρησάμενοι ῥήμασι· καὶ τὴν μὲν παραλόγως ἀπολιποῦσαν τὸν ἄνδρα, ὡς μοιχαλίδα κατακρίνουσι, τὸν δὲ τῆς συγγνώμης ἀξιοῦσι, καὶ τῇ ἐκκλησίᾳ κοινω- E νεῖν παρεγγυῶσιν. τὸν γε μὴν καταλιμπάνοντα τὴν νομίμως συναφθεῖσαν, καὶ μεθ' ἑτέρας γαμικὸν δῆθεν ποιοῦντα συνάλλαγμα, ὡς τῷ κρίματι τοῦ μοιχοῦ ὑποκείμενον, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, μέχρις ἑπταετίας τῶν ἁγιασμάτων ἀπείργουσιν.

Καὶ αὖθις ὁ Βασίλειος ἐν τῷ μϛ΄. τῷ πρὸς ὀλίγον παρὰ τῆς ἰδίας καταλειφθέντι γυναικὸς, διά τινα λύπην ἴσως ἢ μικροψυχίαν, τούτῳ ἡ κατ' ἄγνοιαν γημαμένη, εἶτα τῆς πρώτης ἐπανελθούσης ἐξ ἀλλοδαπῆς ἴσως χώρας, παρ' αὐτοῦ ἀφεθεῖσα, ἐπόρνευσε μὲν ἐν ἀγνοίᾳ· γάμων δὲ οὐκ F εἰρχθήσεται. οὐ γὰρ ἀνδρὸς ἀφείθη νομίμου, μήπω τοῦ προτέρου γάμου λυθέντος, ἀλλὰ πορνείας ἀπήλλακτο. κάλλιον δέ φησιν εἰ οὕτω μένοιεν. οὐ γὰρ εὔσχημον τὴν ὀνομασθεῖσαν τινὸς ἑτέρῳ συμβιοῦν.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, ὅτι ἐν τοῖς γάμοις, οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς σκοποῦμεν.

Ἐν δὲ τῷ μη΄. κανόνι, ἡ καταλειφθεῖσα πρὸς τοῦ οἰκείου ἀνδρὸς παραλόγως, κατ᾽ ἐμὴν γνώμην φησὶν, οὕτω μένειν ὀφείλει. εἰπὼν γὰρ ὁ κύριος, ἐάν τις τὴν ἰδίαν καταλείπῃ γυναῖκα, ποιεῖ αὐτὴν μοιχᾶσθαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας. οὐ γὰρ εἰκὸς ἐστὶ μὲν ἄνδρα ὑπεύθυνον εἶναι, ὡς μοιχείας αἴτιον, τὴν δὲ ἀνεπίκλητον, ἥτις μοιχαλὶς παρὰ τοῦ κυρίου προσαγορεύεται, διὰ τῆς πρὸς ἕτερον κοινωνίαν. ἀλλὰ γὰρ ὅπως ταῦτα θεραπεύεται, ἀκριβέστερον ἐκ τῶν πολιτικῶν μεμάθηκας νόμων.

Ἀλλὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ ρϛ΄. τοὺς διαλυθέντας τῆς τοῦ γάμου συναφείας, ἢ ἀλλήλοις καταλλάττεσθαι, ἢ οὕτω μένειν διακελεύεται, κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν, οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ τὴν τοῦ ἀποστόλου, δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. ζήτει καὶ τὸ θ΄. κεφάλαιον τοῦ Β΄. στοιχείου, περὶ τῶν τοὺς ἐννόμους γάμους βδελυττομένων.

ΚΕΦ. ιζ΄.

Ὅτι τῶν ἰδίων γυναικῶν χωρίζεσθαι δεῖ τοὺς ἐπισκόπους.

Οἱ τῆς ϛ΄. συνόδου θεῖοι πατέρες ἐν τῷ ιβ΄. κεφαλαίῳ ἤτοι κανόνι ἀπείργουσι τοὺς ἀρχιερεῖς μετὰ τὴν χειροτονίαν, συνοικεῖν ὅλως ταῖς πρὸ τῆς χειροτονίας θεσμοῖς γάμου συναφθείσαις αὐτοῖς γυναιξί· καί φασιν, οὐκ ἐπ᾽ ἀθετήσει τῶν τοῖς ἱεροῖς ἀποστόλοις ἐν τῷ πέμπτῳ νενομοθετημένων κανόνι, τοῦτο θεσπίζομεν, ἀλλὰ τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν τῆς ἐκκλησίας πραγματευόμενοι. οἱ μὲν γὰρ θεῖοι ἀπόστολοι ἄρτι τῆς ἐκκλησίας τῇ τῶν Ιουδαίων παχύτητι, καὶ τῇ Ἑλληνικῇ δεισιδαιμονίᾳ, πολλὰ χαίρειν εἰπούσης, ἔστιν οἷς τῶν πατρῴων ἐθῶν, ἐνεδίδοσαν χρῆσθαι. οἵ τε γὰρ τῶν Ιουδαίων, καὶ οἱ τῶν Ἑλλήνων ἀρχιερεῖς τῶν συνευνῶν οὐκ ἐχωρίζοντο. τὸ δὲ σήμερον εἶναι χρεὼν φασι, τοὺς ἀρχιερεῖς τὸν βίον πρὸς ἀκριβῆ σωφροσύνην ἀπευθύνοντας, οὐχ ὅπως τῆς τῶν ἀλλοτρίων, ἀλλὰ καὶ τῆς τῶν ἰδίων γυναικῶν ὁμιλίας ἀποδύσασθαι. τοῦτο γὰρ σκανδάλου πρόφασιν οὐδ᾽ ἡντιναοῦν τοῖς ὑπὸ χεῖρα καταλείπει, καὶ ἀποφέρουσι τὸ ἀποστολικόν. ἀπρόσκοποι γίνεσθε καὶ Ιουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καὶ τὰ ἑξῆς. εἶτα τοῖς μὴ τὰ κανόνος πρεσβεύουσιν ἐπιτίμιον ἐπάγουσι τὴν καθαίρεσιν.

Ὅτι δεῖ καὶ ἀποκαρῆναι τὴν χωρισθεῖσαν τοῦ ἐπισκόπου γυναῖκα.

Ἐν δὲ τῷ μη΄. κανόνι οἱ αὐτοὶ πατέρες τὴν κατὰ κοινὴν συμφωνίαν διαζευχθεῖσαν τοῦ μέλλοντος ἐπὶ τῶν τῆς ἐπισκοπῆς καθεδεῖσθαι οἰάκων, συνοικεῖν ὅλως αὐτῷ οὐ μεθιᾶσιν, ἀλλ᾽ εἰς μοναστήριον κελεύουσιν εἰσιέναι, μὴ ἐν γειτόνων τῆς τοῦ ἐπισκόπου καταγωγῆς κείμενον. οὐ γὰρ οἷόν τε συνεχῶς εἰς ἀλλήλους ὁρῶσι, μὴ ἀνάπτεσθαί σφισι τὸν ἔρωτα τῇ μνήμῃ τῆς προτέρας διαγωγῆς. κἀκεῖ δὲ τῆς τοῦ ἐπισκόπου προνοίας ἀπολαύειν αὐτὴν ἀξιοῦσιν, εἰ ἐνδεῶς ἔχουσα εἴη. εἰ γὰρ αὐτῷ δὴ τῷ ἐπισκόπῳ, παραιτέρω τῶν ἀναγκαίων, εἰς ἑαυτὸν δαπανᾶν ἐκ τῶν τῆς ἐπισκοπῆς οὐκ ἐφεῖται, σχολῇ γ᾽ ἂν ταύτῃ τῶν τῆς ἐκκλησίας δοθήσεται, οἴκοθεν ἐχηκυίᾳ τὰς πρὸς τὸ ζῆν ἀφορμάς. εἰ δὲ καὶ ὁ βίος αὐτῆς σεμνὸς εἴη, καὶ εἰς τὸν τῆς διακονίας βαθμὸν προβιβάζεται. εἰς μοναστήριον δὲ εἰσιέναι κελεύουσιν, ὡς ἀπαραίτητον ὂν ἀποκείρεσθαι ταύτην. ἐξὸν μὲν γὰρ αὐτῇ πρὸ τῆς χειροτονίας τοῦ ἀνδρὸς μὴ διαζυγῆναι· κἀντεῦθεν καὶ τὴν χειροτονίαν κωλυθῆναι, καὶ τὴν ἀπόκαρσιν. ὅτι δέ γε τὰ τῆς χειροτονίας συνήνεσε, δέον καὶ τῇ ἀποκάρσει τὴν διάζευξιν βεβαιώσασθαι. ἐζήτηται δὲ τὰ περὶ τούτου, καὶ ἐπὶ τῆς βασιλείας Ισαακίου τοῦ Αγγέλου τῶν τριῶν πατριαρχῶν συνεδριαζόντων, τοῦ οἰκουμενικοῦ, τοῦ Αντιοχείας, καὶ τοῦ Ιεροσολύμων, καὶ μητροπολιτῶν ὡσεὶ τεσσαράκοντα,

A tionem derelicta eſt, meâ quidem ſententiâ, inquit, ita manere debet. Dominus enim dicens, ſi quis uxorem ſuam relinquat, eam mœchari facit, hanc ab alterius viri conſortio arcet; non enim fas eſt maritum crimini obnoxium eſſe, ut qui adulterii cauſa ſit, eam vero irreprehenſam, quæ adultera à Domino vocatur, propter alterius viri commercium. Quænam autem his medicina adhibetur, ex legibus civilibus clarius diſces.

Quinetiam Synodi Carthaginenſis canon centeſimus ſextus præcipit, ut qui à conjunctione matrimoniali diverterint, vel inter ſe reconcilientur, vel ita cælibes B maneant, juxta pronuntiatam hanc à Domino ſententiam: quos Deus conjunxit, homo non ſeparet: & illam Apoſtoli: Alligatus es uxori? ne quæras divortium. Quære etiam cap. ix. lit. B. de iis qui nuptias legitimas abominantur.

CAPUT XVII.

Quod Epiſcopi ab uxoribus ſuis ſeparari debent.

C DIVINI vi. Syn. Patres in cap. ſive can. xii. Pontifices poſt ordinationem arcent ab earum mulierum contubernio, quæ ante ordinationem matrimonii lege cum eis erant copulatæ, dicentes: Non ut abrogemus ea, quæ S. Apoſt. can. v. ſtatuerunt, hoc ſancimus: ſed ut incrementum Eccleſiæ ad ſtatum meliorem procuremus. Etenim illi divini Apoſtoli, quum recens Eccleſia Judæorum craſſitiei, & ſuperſtitioni paganorum, longum vale dixiſſet; nonnullis ut conſuetudinibus patrum uteretur, permiſerunt. Quippe tam Judæorum, quam paganorum Pontifices, à tori conſortibus non ſeparabantur. Verum ut hodie comparatæ res ſunt, neceſſarium ſtatuunt, ut vitam ſuam Pontifices ad caſtitatem D accuratam dirigentes, non alienarum modo, ſed ſuarum etiam uxorum conſuetudine abſtineant. Hoc enim occaſionem ſcandali nullam omnino ſubditis relinquit, & ipſimet Epiſcopi laudem illam Apoſtolicam auferunt: abſque offendiculo ſitis & Judæis, & Paganis, & Eccleſiæ Dei, &c. Deinde iis, qui hoc canone comprehenſa non obſervant, pœnæ loco abdicationem ſtatuunt.

Quod tonderi etiam debeat mulier ab Epiſcopo ſeparata.

At in Canone xlviii. iidem Patres ſeparatam communi conſenſu ab eo, qui ad Epiſcopatus gubernacula E ſeſſurus eſt, ut cum ipſo in contubernio ſit, omnino non permittunt; ſed monaſterium ingredi jubent, quod ejus in loci vicinia, quo loco degit Epiſcopus, non ſitum ſit. Quippe fieri non poteſt, quum ſeſe frequenter intueantur, quin amor in eis per conſortii priſtini memoriam accendatur. Eo tamen in loco volunt, ut Epiſcopi providentiæ fructum percipiat, ſi prematur inopia. Quippe ſi ultra res neceſſarias nihil ipſimet Epiſcopo ſuam in perſonam de bonis Epiſcopatus expendere permittitur; multo minus aliquid huic de bonis Eccleſiæ dabitur, ſi ex ſemetipſa victui neceſſaria habuerit. Quod ſi vita ejus honeſta & gravis ſit, etiam ad F Diaconatus gradum evehitur. Cæterum ut monaſterium ingrediatur, idcirco præcipiunt: quod excuſatione nulla impetrare poſſit, quin tondeatur. Nam poteſtatem habebat ante viri ordinationem recuſandi divortium; quo facto, tum impediri ordinatio, tum etiam tonſura poterat. Verum poſtquam ipſamet in ordinationem conſenſit, neceſſe eſt per tonſuram divortium confirmetur. Hac de re tractatum fuit tempore imperii Iſaaci Angeli, tribus Patriarchis in Concilio præſentibus, nimirum Univerſali, & Antiocheno, & Hieroſolymitano, præter Metropolitanos fere xl.

qui decreto ſanciverunt, citra recuſationem tonderi debere mulierem Epiſcopi ordinati, ſynodalibus id literis complectentes & confirmantes. Hinc probatur, nec Sacerdotum uxoribus fas eſſe, ſecundas ut contrahant nuptias.

Hujus autem Syn. can. xxx. expreſsè, inquit, pronunciatur à ſanctis Patribus, de Sacerdotibus & Diaconis barbararum Eccleſiarum, qui pietatis prætextu cum uxoribus ſuis conſenſum inierunt à mutuâ conſuetudine abſtinere. Statuimus, inquiunt, eos non amplius cum illis cohabitare debere; ut ex eo nobis perfectam ſui promiſſi demonſtrationem præbeant. Hoc autem illis conceſſimus propter externum & barbarum eorum morem; & propter eorum in fide imbecillitatem, & non ſatis ſolidam conſtantiam; utque in ſuſcepto continentiæ conſilio corroborentur, longè ab uxoribus ſuis viventes. Cum iis enim cohabitare, ad venereum congreſſionem forſitan incitamento erit.

CAPUT XVIII.

Quod Sacerdotes ab uxoribus ſuis abſtinere debent, cum ſacra tractaturi ſunt.

CANON Synodi Carthaginenſis tertius, debere dicit eos, qui munus Sacerdotale ſortiti ſint, & ſemper, & in omnibus continentiam, caſtitatem, omnemque aliam virtutem colere;. ut puri ad purum accedentes, votorum ſuorum compotes fiant, ipſi mediatores inter Deum & homines ſic conſtituti, ut dum internuntiorum erga Deum munere funguntur, mortalibus eum (quantum ejus fieri poteſt) propitium reddant, & mundo pacem expoſcant. In primis vero invitante ipſos ratione temporis ad ſacrorum tractationem & perceptionem myſteriorum, quum reapſe caſtitatem præſtare debeant, etiam ab uxorum ſuarum conſuetudine ſemet abſtineant.

Hujus autem Syn. can. iv. & xxviii. nec non lxxiii. obſcurè dicti, & ſacratos, qui divina myſteria contrectant, ab uxoribus ſuis abſtinere jubentes, prætextum Latinis dederunt exigendi ab iis qui ordinandi erant, ut à propriis uxoribus recedant. Quod ſi canones iſti ita ſentiant, ipſi potiùs digni ſunt à ſacris canonibus, tum Apoſtolicis tum Synodicis removeri, quòd iis omnino contraria doceant.

Illud enim clarè admodum evertens canon decimus tertius ſextæ Synodi in capite undecimo præſentis literæ expoſitus, iis qui ita ſentiunt & faciunt ſegregationem intentat. In tempore quidem quo ſacra myſteria contrectantur, ut qui in clerum aſcripti ſunt, ab uxorum ſuarum commercio abſtineant, conveniens & ſanctum eſſe judicat, D. Paulo morem gerens dicenti, Ne fraudetis vos invicem, niſi ex conſenſu fiat, ut orationi & jejunio vacetis, in ſtatis ſcilicet temporibus jejunium intelligens, quando quis Sacramenta participaturus eſt, & intenſam cum ferventibus lachrymis precationem, non autem eam cui indeſinenter incumbere juſſi ſumus, orate enim, inquit, ſine intermiſſione. Quin & Judæis olim mandatum erat, ſacras voces in monte audituris tribus diebus ad uxores ſuas non accedere.

Tertius autem canon ſancti Martyris Dionyſii Epiſcopi Alexandrini, Sacerdotes ſibimetipſis idoneos dat judices, quum ad reverenda ſunt acceſſuri myſteria, ſuis ut ab uxoribus abſtineant, ex communi tamen conſenſu, ſecundum verbum hoc illius magni Pauli: maritus proprium corpus non habet in poteſtate, & quæ ſequuntur.

A οἳ καὶ ἐψηφίσαντο, ἀπαραιτήτως ὀφείλειν ἀποκείρεσθαι τὴν τοῦ χειροτονηθέντος ἐπισκόπου γυναῖκα, συνοδικοῖς γράμμασι τοῦτο σημειωσάμενοι καὶ κυρώσαντες. ἐντεῦθεν δείκνυται, μηδὲ τὰς τῶν ἱερέων γυναῖκας θεμιτὸν εἶναι δευτερογαμεῖν.

Ὁ δέ γε ταύτης λ΄. ἰδικῶς ἐκπεφώνηται τοῖς θείοις πατράσι, περὶ τῶν ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέων καὶ διακόνων, τῶν προφάσει εὐλαβείας μετὰ τῶν οἰκείων δῆθεν γαμετῶν συμφωνούντων τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχεσθαι. τούτους γὰρ μηκέτι ταύταις συνοικεῖν διακελευόμεθα, φασὶν, ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παράσχωσι B τὴν ἀπόδειξιν. καὶ τοῦτο αὐτοῖς ἐνδεδώκαμεν, διὰ τὸ ἀπεξενωμένον αὐτῶν καὶ βάρβαρον ἦθος, καὶ διὰ τὸ περὶ τὴν πίστιν ἀπαγὲς, καὶ μὴ πάνυ ἑδραῖον· καὶ ἵνα πρὸς σωφροσύνην μᾶλλον ἐπιῤῥωννύοιντο, πόῤῥω τῶν πρώην διάγοντες γαμετῶν. τὸ γὰρ αὐταῖς συνοικεῖν εἰς παροξυσμὸν πέφυκε φέρειν τῆς πρὸς αὐτὰς ὁμιλίας.

ΚΕΦ. ιη΄.

Ὅτι τῶν ἰδίων γυναικῶν δεῖ τοὺς ἱερωμένους ἐγκρατεύεσθαι, ὅτε τὰ ἅγια μεταχειρίζεσθαι μέλλουσιν.

C Ὁ τρίτος τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τοὺς ἱερᾶσθαι λαχόντας φησὶν, ἀεὶ μὲν καὶ ἐν πᾶσιν ἐγκράτειαν καὶ σωφροσύνην, καὶ πᾶσαν ἄλλην ἀρετὴν μετιέναι δεῖ, ὅπως καθαροὶ τῷ καθαρῷ προσιόντες, τῶν αἰτημάτων ἐπιτυγχάνοιεν, μεσῖται τοῦ θεοῦ χρηματίζοντες καὶ ἀνθρώπων· ὥστε διαπρεσβευόμενοι πρὸς τὸν θεὸν, τούτοις ἐκεῖνον ὡς ἐφικτὸν ἐξιλάσκεσθαι, καὶ εἰρήνην τῷ κόσμῳ αἰτεῖσθαι. οὐχ ἥκιστα δὲ τοῦ καιροῦ καλοῦντος αὐτοὺς, πρὸς τὴν τῶν θείων μεταχείρησίν τε καὶ μετάληψιν μυστηρίων, ἔργῳ τὰ τῆς σωφροσύνης δεικνύναι ὀφείλοντας, καὶ τῆς τῶν ἰδίων γυναικῶν ὁμιλίας D ἀπέχεσθαι χρή.

Ὁ γε μὴν δ΄. ταύτης, καὶ ὁ κη΄. πρὸς ἔτι καὶ ὁ ογ΄. ἀσαφῶς εἰρημένοι, καὶ τοὺς τὰ θεῖα μυστήρια ψηλαφῶντας ἱερωμένους ἐκ τῶν ἰδίων ἐγκρατεύεσθαι συμβίων κελεύοντες, πρόφασιν τοῖς Λατίνοις ἐνῆκαν τοὺς ἱερωθήσεσθαι μέλλοντας εἰσπράττειν τῶν ἰδίων χωρίζεσθαι γυναικῶν. εἰ τοίνυν οὕτω δόξης ἔχουσιν οἱ τοιοῦτοι κανόνες, αὐτοὶ ἂν εἶεν μᾶλλον δίκαιοι τῶν ἱερῶν κανόνων χωρίζεσθαι, τῶν τε ἀποστολικῶν καὶ συνοδικῶν, ὡς τἀναντία τούτοις ἄντικρυς δογματίζοντες.

E Τοῦτο γὰρ ἐκ πολλοῦ τοῦ κρείττονος ἀνατρέπων, ὁ ἐν τῷ δευτέρῳ κεφ. ῥηθεὶς τοῦ παρόντος στοιχείου ιγ΄. τῆς ϛ΄. συνόδου κανὼν, ἀφορισμὸν ἐπισείει τοῖς οὕτω καὶ φρονοῦσι καὶ πράττουσιν. ἐν μέντοι τῷ καιρῷ τῆς τῶν θείων μεταχειρήσεως μυστηρίων, τοὺς τῷ κλήρῳ κατειλεγμένους τῆς ὁμιλίας τῶν ἰδίων ἀπέχεσθαι γυναικῶν, καὶ πρέπον καὶ καθῆκον εἶναι κρίνει, καὶ ὅσιον, τῷ θείῳ Παύλῳ πειθόμενος, μὴ ἀποστερεῖτε λέγοντι ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου γένηται, ἵνα σχολάσητε τῇ προσευχῇ καὶ τῇ νηστείᾳ, τὴν ἐν ὡρισμένοις δηλαδὴ καιροῖς νηστείαν δηλῶν, ὅτε τις μέλλῃ τῶν ἁγιασμάτων μεθέξειν, καὶ τὴν ἐπιτεταμένην μετὰ θερμῶν δακρύων F προσευχὴν, οὐ μὴν ἣν προσανέχειν ἀδιαλείπτως ἐπιτετάγμεθα, ἀδιαλείπτως γάρ φησι προσεύχεσθε. καὶ τοῖς Ἰουδαίοις γὰρ πάλαι ἐπετέτακτο τῶν ἐν ὄρει μέλλουσι θείων ἐπαΐειν φωνῶν, ἐπὶ τρισὶν ἡμέραις γυναικὶ μὴ προσιέναι.

Ὁ δὲ γ΄. τοῦ ἱερομάρτυρος Διονυσίου Ἀλεξανδρείας, ἀρκοῦντας ἐφίστησι σφίσιν αὐτοῖς τοὺς ἱερωμένους δικαστὰς, ἡνίκα τοῖς φρικτοῖς προσιέναι μέλλουσι μυστηρίοις ἀπέχεσθαι μὲν τῶν ἰδίων γυναικῶν, ἀλλ' ἐκ κοινῆς συμφωνίας κατὰ τὴν τοῦ μεγάλου Παύλου φωνὴν, ὅτι ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, καὶ τὰ ἑξῆς.

A Ο δὲ ε΄. καὶ ὁ ιγ΄. τοῦ Τιμοθέου Ἀλεξανδρείας, τοὺς σαρκικῶς τῆς νυκτὸς συναφθέντας ἄνδρας τε καὶ γυναῖκας, μεθ᾽ ἡμέραν ἀπείργει τῆς ἱερᾶς τελουμένης συνάξεως τῶν θείων κοινωνῆσαι μυστηρίων· μαρτύριον ἀσφαλὲς τὴν προῤῥηθεῖσαν τοῦ ἀποστόλου ῥῆσιν καὶ τοῦτο παρεισαγόμενος· μάλιστά γέ τοι τοῦ σαββάτου καὶ κυριακῆς φυλάττεσθαι χρή φησι τῆς πρὸς ἀλλήλους κοινωνίας, οἷα τηνικαῦτα τῆς ἱερᾶς θυσίας τῷ κυρίῳ ἀναφερομένης.

ΚΕΦ. ιθ΄.

B

Περὶ τῶν γυναῖκας συνεισάκτους ἐχόντων Ἐπισκόπων, ἢ κληρικῶν.

Ο γ΄. τῆς πρώτης συνόδου κανὼν, ἐπίσκοπον ἤ τινα τῶν τοῦ κλήρου, συνείσακτον ἔχειν γυναῖκα οὐκ οἴεται δεῖν, εἰ μὴ ἄρα μητέρα ἢ ἀδελφὴν ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν διαπέφευγεν ὑποψίαν. συνεισάκτους δέ φησι τὰς ἑλομένας συνοικεῖν ἱερεῦσιν ἀζύγοις, τὰς πρὸς τὰς ἀναγκαίας χρείας αὐτοῖς διακονουμένας.

C Τούτου καὶ ὁ ε΄. τῆς ς΄. συνόδου μεμνημένος κανὼν τοὺς τοιούτους γυναῖκα κεκτῆσθαι ἢ θεραπαινίδα, παντάπασιν ἀπείρηκε, πρόφασιν σκανδάλου τούτους μὴ διδόναι προνοούμενος· τῷ δὲ παραβαίνοντι ἐπανατείνεται τὴν καθαίρεσιν. προσεπάγει δὲ καὶ τοὺς εὐνούχους πᾶσαν εἶναι ἀνάγκην τοῦτο παραφυλάττεσθαι, τὴν ἐντεῦθεν μέμψιν ὑφορωμένους, εἰ μὴ βούλοιντο, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Ο δὲ ιη΄. τῆς ζ΄. συνόδου κανὼν, ἀπροσκόπους εἶναι κατὰ τὸν ἀπόστολον τοὺς τοῦ κλήρου ἀξιοῖ, μὴ ὅτι τοῖς πιστοῖς, ἀλλά γε καὶ οἷς οὐδὲν τῶν τῆς εὐσεβείας ἐμέλησε· διά τοι τοῦτο, καὶ τὸν D ἡντιναοῦν διακονίαν ἐπιτρέποντα γυναικὶ δούλῃ ἢ ἐλευθέρᾳ, ἐν ἐπισκοπείῳ ἢ μοναστηρίῳ, ἐπιτιμᾶσθαι παρεγγυᾶται, ἐπιμένοντα δὲ, καθαιρεῖσθαι. εἰς ἴδιον δὲ ἀπιόντα προάστειον, τὸν ἐπίσκοπον ἢ τὸν ἡγούμενον, ἔνθα γυναῖκες τὰ τῆς ὑπηρεσίας μετίασιν, οὐχ ὑπὸ τούτων καὶ αὐτοὺς, ἀλλ᾽ ὑπὸ ἀνδρῶν ὑπηρετεῖσθαι βούλεται, ἐκείνας δὲ ἐν ἑτέρῳ διάγειν τόπῳ, ἕως ἂν ὁ ἐπίσκοπος ἢ ὁ ἡγούμενος ἐκεῖθεν ὑποχωρήσῃ. εἰ γὰρ εἰς ἀλλότριον προάστειον ἢ ξενοδοχεῖον οὗτοι καταλύσοιεν, δυσχερὲς οἶμαι τὰ τοῦ κανόνος τηρηθῆναι.

E Ο δὲ τῆς ἐν Ἀγκύρᾳ ιθ΄. παρθένους γυναῖκας κωλύει συνέρχεσθαί τισιν ὡς ἀδελφοῖς. ἐπὶ τούτοις ἡ μεγάλη τῆς ἀληθείας σάλπιγξ, ὁ μέγας Βασίλειος, ἐπιστολὴν πρός τινα Γρηγόριον πρεσβύτερον πέμψας ἐπιπληκτικώτερον τούτου καθάπτεται, τῷ τοιούτῳ προσανέχοντος πάθει. οὔτε πρῶτοι γάρ φησιν, οὔτε μόνοι νενομοθετήκαμεν, γυναῖκας ἀνδράσι μὴ συνοικεῖν. ἀλλ᾽ ἀνάγνωθι τὸν ἐξενεχθέντα κανόνα παρὰ τῶν ἁγίων πατέρων ἡμῶν, ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε, συνεισάκτους μὴ εἶναι. ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν ἐν τῷ κεχωρίσθαι τῆς μετὰ τῶν γυναικῶν διαγωγῆς. ὡς ἐὰν ἐπαγγελλόμενός τις αὐτὴν τῷ ὀνόματι, ἔργῳ τὰ τῶν γυναιξὶν συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ μὲν F τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ᾽ ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. οὔτε γὰρ τὸν ἑβδομήκοντα ἔτη γεγονότα πείθομαι ἐμπαθῶς γυναικὶ συνοικεῖν, οὔτε ὡς ἐπιγινομένῃ τινὶ ἀτόπῳ πράξει, ὡρισάμεθα ἃ καὶ ὡρισάμεθα.

Ἀλλ᾽ ἐπεὶ ἐδιδάχθημεν παρὰ τοῦ ἀποστόλου, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον· οἴδαμεν δὲ ὅτι παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει, τούτου ἕνεκα προσετάξαμεν ἑπόμενοι τῇ διαταγῇ

Canon autem v. & xiii. Timothei Alexandrini, viros & mulieres qui nocte carnaliter conjuncti ſunt, interdiu, dum ſacra ſynaxis celebratur, à ſacris myſteriis arcet, firmi teſtimonii loco prædictum Apoſtoli ſermonem allegans; præcipuè autem Sabbato, inquit, & die Dominico, à mutuo commercio abſtinendum eſt, utpote quod tum ſacra oblatio Domino offeratur.

CAPUT XIX.

De habentibus in contubernio mulieres extraneas Epiſcopis, aut Clericis.

CANON primi Concilii tertius, Epiſcopum, vel aliquem ex clero, non debere putat in contubernio mulierem extraneam habere: niſi forte matrem, vel ſororem, vel amitam, vel eas duntaxat perſonas, quæ ab omni ſuſpicione liberæ ſunt: vocat autem extraneas vel introductitias, quæ cohabitare cum expertibus conjugii Sacerdotibus eligunt, dum in illis operam ſuam eis exhibent quæ neceſſarios ad uſus ſpectant.

Hujus rei can. v. Syn. vi. meminit, ubi ejuſmodi homines mulierem vel ancillam poſſidere omninò prohibet; providens nimirum ne ſcandali occaſionem darent: eique qui transgreditur, depoſitionem intentat. Addit etiam maximè neceſſarium eſſe ut hoc ipſum eunuchi ſervent, reprehenſionem exinde reformidantes, ſi ſecus voluerint; ſi enim Clerici fuerint, deponentur, ſin Laici ſegregabuntur.

Canon autem xviii. Syn. vii. omnes qui ex Clero ſunt, juxta Apoſtolum, ſine offenſione eſſe jubet, non ſolum fidelibus, ſed & iis quibus religio curæ non eſt; quare qui miniſterium quodcunque mulieri ſervæ vel liberæ in Epiſcopio vel monaſterio commiſerit, puniri jubet, & perſeverantem deponi. Utique & Epiſcopo vel Præfecto in privato ſuburbano diverteuti, ubi mulieres miniſteria obeunt, non eas ſed viros miniſtrare vult; & mulieres in alio loco verſari donec Epiſcopus vel Præfectus exinde receſſerit. Si enim in alieno ſuburbano vel publico hoſpitio divertant, difficile eſt, ut opinor, ea quæ in Canone continentur obſervari.

Canon vero xix. Ancyranæ Synodi, mulieres virgines ad quoſdam accedere, tanquam fratres, vetat. Secundum hos, magna iſthæc tuba veritatis, magnus ille Baſilius, ad Gregorium Presbyterum epiſtola miſſa, majori cum increpationis vehementia tangit eum, qui huic ſe vitio dedit. Neque primi nos, inquit, neque ſoli ſtatuimus, non debere mulieres in virorum eſſe contubernio: ſed promulgatum à ſanctis Patribus noſtris in Concilio Nicæno canonem legito, qui manifeſto prohibuit, ne ſint mulieres introductitiæ vel extraneæ. Cælibatus autem dignitas ac veneratio in hoc conſiſtit, ut quis à conſortio muliebri ſeparetur. Quippe ſi quis eum verbo tenus promittens, reapſe faciat ea, quæ ſolent qui mulierum in conſortio degunt: manifeſtum de ſe præbet indicium, quod virginitatis decus nomine tenus ſectetur, verum fæditate voluptatis non abſtineat. Non enim equidem ſeptuaginta natum annos laſcive mulieri cohabitare crediderim, nec velut alicujus abſurdi facinoris admiſſi cauſa ſtatuimus id, quod ſtatuimus.

Sed propterea, quod edocti ſimus ab Apoſtolo, non eſſe fratri offendiculum ponendum, quod ei ſcandalo ſit, & non ignoramus id, quod ab aliquibus recte fiat, aliis occaſionem peccandi præbiturum: idcirco præcepimus,

pimus, converſationem ſanctorum Patrum ſectantes, à A muliercula debere te ſeparari. Quamobrem ex ædibus tuis eam ejicito, & in monaſterium abdito. Sit ipſa cum virginibus, & tu virorum utere miniſterio: ne nomen Dei propter nos blaſphemetur. Quamdiu vero hæc facies, nihil tibi proderunt illæ myriades, quarum in Epiſtolis mentionem facis; ſed ut homo ſecors morieris, & ſecordiæ tuæ rationem Deo reddes. Quod ſi te minime corrigens, retinere tamen Sacerdotium attentaveris: eris omni populo anathema, quique te recipient, in omni Eccleſia velut abſtenti publicabuntur.

Ex hac autem Epiſtolâ colligere licet non oportere B ſtatim ſegregari Preſbyterum qui cum alienâ muliere cohabitat; ſed ſi poſt promiſſum ab hac ſecedere recuſaverit.

Leges.

Epiſcopum nullam omnino mulierem habere, aut cum eâ cohabitare permittimus; quod ſi id demonſtratum fuerit, ex Epiſcopatu ejiciatur.

Nullus Clericus uxorem non habens, introductitiam in domo ſuâ habeat, præter matrem, filiam, ſororem, & alias quæ ſuſpectæ non ſunt. Quod ſi hæc non obſervaverit, & bis monitus ab Epiſcopo vel Clericis, eam C non ejecerit, aut accuſatus cum eâ inhoneſtè verſari convictus fuerit, deponatur.

Epiſcopus ullam mulierem in contubernio ne habeat; nec mulier, quæ Diaconatus munere fungitur, in viri contubernio ſit.

CAPUT XX.

De iis qui in balneis unà cum fœminis ſe lavant. D

CANON lxxxvii. vi. Synodi, viros in balneis unà cum fœminis ſe lavare, ut quod & apud gentes condemnatum ſit, omnino prohibet: & Clericis quidem ita facientibus pœnam depoſitionis, Monachis autem vel Laicis ſegregationis decernit.

Hic autem canon eſt xxx. Syn. Laodic. ſine pœnis. Si enim qui in tranſitu in mulierem inciderit, magnâ curâ opus habet, ne ratio ejuſdem deſiderio inficiatur, E qui eas nudas in balneo viderit, carnalis appetitus inſidias difficulter evitare poterit. Inimicus enim membris noſtris tanquam jaculis adverſos nos ipſos utitur. Deinde annon turpiſſima res eſſet, viros & fœminas ſeſe nudos mutuo conſpicere, & amorem ſibi incendere, & carnis flammas exuſcitare? corpori enim ſufficit ſua malitia, & naturalis motus, & quid opus eſt igni plus materiæ, aut facultati brutali copioſius alimentum ex oculorum pabulo ſuppeditare, ut magis difficulter cohibenda, & ratione potentior evadat? Præterea plurimis occaſionem ſcandali præberemus, qui juſſi ſumus fratri offendiculum non ponere, & ſine offenſione eſſe Judæis F & Græcis, & Eccleſiæ Dei. Quin & conjugibus hoc facere non eſt permiſſum. Quamvis enim unum corpus ſint, & ſibi invicem membra, propriis tamen membris abuti non oportet.

τῶν ἁγίων πατέρων, χωρισθῆναί σε τοῦ γυναίου. ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ. ἔστω ἐκείνη μετὰ παρθένων, καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ δι' ἡμᾶς βλασφημῆται. ἕως δ' ἂν ταῦτα ποιῇς, αἱ μυριάδες ἅσπερ σὺ γράφεις διὰ τῶν ἐπιστολῶν, οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας. ἐὰν δὲ τολμήσῃς, μὴ διορθωσάμενος σεαυτὸν, ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γενήσονται.

Ἐκ δὲ τῆς ἐπιστολῆς ταύτης πάρεστι γνῶναι, μὴ δεῖν εὐθὺς ἀφορίζεσθαι τὸν ἀλλοτρίᾳ γυναικὶ συνοικοῦντα πρεσβύτερον, ἀλλ' εἰ μετὰ παραγγελίαν ταύτης ἀποστῆναι μὴ βουληθείη.

Νόμοι.

Ἐπίσκοπον μηδεμίαν παντελῶς γυναῖκα ἔχειν ἢ μετ' αὐτῆς συνοικεῖν συγχωροῦμεν· εἰ δ' ἀποδειχθείη τοῦτο, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω.

Μηδεὶς κληρικὸς γυναῖκα μὴ ἔχων, ἐπείσακτον ἐχέτω ἐν τῷ οἴκῳ αὐτοῦ, πλὴν μητρὸς, καὶ θυγατρὸς, καὶ ἀδελφῆς, καὶ τῶν ἄλλων ἀνυπόπτων. εἰ δὲ μὴ ταῦτα διαφυλάξειε, καὶ δὶς ὑπομνησθεὶς ὑπὸ τοῦ ἐπισκόπου ἢ τῶν κληρικῶν, μὴ ἐκβάλοι αὐτήν· ἢ κατηγορηθεὶς ἀποδειχθείη συναναστρεφόμενος ἀσέμνως αὐτῇ, καθαιρείσθω.

Ἐπίσκοπος μὴ συνοικείτω οἱαδήποτε γυναικί· μηδὲ γυνὴ διάκονος συνοικείτω ἀνδρί.

ΚΕΦ. κ'.

Περὶ τῶν γυναιξὶ συλλουομένων.

Ὁ ἑβδομηκοστὸς ἕβδομος κανὼν τῆς ϛ'. συνόδου, τὸ ἐν βαλανείοις τοὺς ἄνδρας μετὰ γυναικῶν λούεσθαι, ὡς καὶ παρὰ τοῖς ἔθνεσιν ὑπὸ κατάγνωσιν γινόμενον, πάντη ἀπείρηκε. καὶ κληρικοῖς μὲν τοῦτο ποιοῦσι, καθαίρεσιν ὁρίζει τὸ ἐπιτίμιον, ἀφορισμὸν δὲ μονάζουσιν ἢ λαϊκοῖς.

Οὗτος δὲ τριακοστός ἐστι τῆς ἐν Λαοδικείᾳ συνόδου, χωρὶς τῶν ἐπιτιμίων. εἰ γὰρ ὁ ἐντυχὼν κατὰ τὸ πάρεργον γυναικὶ, πολλῆς δεῖται σπουδῆς, μὴ προσαναχρωσθῆναι τὸν λογισμὸν τῇ πρὸς ταύτην ἐπιθυμίᾳ, σχολῇ γ' ἂν ὁ γυμνουμένας ταύτας ὁρῶν ἐν βαλανείῳ, δυνηθείη φυλάξασθαι τῆς ἡδονῆς τὴν ἐπιβουλήν. τοῖς γὰρ ἀλλήλων μέλεσιν ὡς βέλεσιν ὁ ἐχθρὸς καθ' ἡμῶν χρῆται. εἶτ' οὐκ αἰσχρῶν ἐστιν αἴσχιστον, τὸ γυμνοὺς ἄνδρας τε καὶ γυναῖκας ὑπ' ἀλλήλων ὁρᾶσθαι, καὶ ἀναφλέγειν σφίσι τὸν ἔρωτα, καὶ τῆς σαρκὸς ἀνάπτειν τὴν πύρωσιν; ἀρκετὸν γὰρ τῷ σώματι ἡ κακία αὐτοῦ, καὶ ἡ φυσικὴ τούτου κίνησις, τί δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης, ἢ τῷ θηρείῳ δαψιλεστέρας τροφῆς ἐκ τῆς τῶν ὀφθαλμῶν ἑστιάσεως, ἵνα μᾶλλον δυσκάθεκτον γένηται, καὶ τοῦ λογισμοῦ βεβαιότερον; ἄλλως τε καὶ σκανδάλου τοῖς πολλοῖς ἀφορμὴν ἂν παρέχοιμεν, οἵτινες ἐπετάχθημεν, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, καὶ ἀπρόσκοποι γίνεσθαι καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. ἀλλ' οὐδὲ τοῖς ὁμοζύγοις ἐφεῖται τοῦτο ποιεῖν. εἰ γὰρ ἓν πεφύκασι σῶμα, καὶ ἀλλήλων μέλη τυγχάνουσιν, ἀλλ' οὖν χρῆσθαι κακῶς οὐ χρὴ τοῖς οἰκείοις μέλεσιν.

A

ΚΕΦ. καʹ.

Ὅτι γυναῖκας οὐ δεῖ πρεσβύτιδας γίνεσθαι.

Ὁ ιαʹ. τῶν ἐν Λαοδικείᾳ κανὼν, οὐκ ᾠήθη δεῖν, κατά γε τὸ παλαιὸν ἔθος, πρεσβύτιδας γίνεσθαι, καὶ τῶν ἄλλων ἐν ἐκκλησίᾳ προκαθίζεσθαι γυναικῶν, ὡς διδασκάλου τάξιν πρὸς αὐτὰς ἐπεχούσας. σιωπᾶν γὰρ ὁ λόγος καὶ διδάσκεσθαι, οὐχὶ διδάσκειν, κοινῇ συμπάσαις ἐπέταξε γυναιξίν. ἐξαίρω τοῦ λόγου, τὰς ἐν τοῖς τῶν γυναικῶν μοναστηρίοις τῶν λοιπῶν προϊσταμένας· ἡ γὰρ, ἑνὸς σώματος τρόπον, ἐκ διαφόρων μελῶν ἁρμογὴ διὰ τὴν σύμπνοιαν, καὶ κατὰ θεὸν τῶν λοιπῶν ὑποταγὴν, κεφαλὴν ταύταις δίδωσι χώραν.

CAPUT XXI.

Quod mulieres ſeniores ſeu Præſidentes fieri non oporteat.

CANON xi. Syn. Laodic. non oportere cenſet mulieres ſeniores fieri, & aliis mulieribus in Eccleſiâ præſidere, quaſi Doctoris locum obtinentes. Verbum enim ſacrum, omnibus ex æquo mulieres ſilentium agere, & diſcere, non autem docere juſſit. Excipio hic eas quæ in mulierum monaſteriis reliquis præſunt; diverſorum enim membrorum, velut unius corporis, compages, propter conſpirationem mutuam, & reliquarum ſub Deo ſubjectionem, ipſis capitis locum dat.

B

ΚΕΦ. κβʹ.

Ὅτι γυναῖκας οὐ δεῖ εἰσέρχεσθαι εἰς τὸ ἅγιον θυσιαστήριον.

Ὁ μδʹ. τῶν ἐν Λαοδικείᾳ συνόδου κανὼν, εἰσιτητὸν εἶναι γυναιξὶ τὸ ἅγιον θυσιαστήριον, τῶν ἀτόπων ἡγεῖται· εἰ καὶ πρώην ἦν ἀνειμένον καὶ ταύταις. εἰ γοῦν λαϊκοῖς ἀνδράσι τοῦτο ἀπείρηται, πολλοῦ γε δεῖ γυναιξίν. ἐκβέβληνται δὲ ὥς φασί τινες παρὰ τὴν τῶν ἐμμηνίων ἀπροαίρετον ῥύσιν. ζήτει καὶ τὸ ιαʹ. κεφάλαιον τοῦ παρόντος στοιχείου, καὶ τὸ ϛʹ. κεφ. τοῦ Β. στοιχείου.

CAPUT XXII.

Quod mulieres ad ſacrum altare introire non oporteat.

CANON xliv. Syn. Laodic. abſurdum ducit ut mulier ad ſacrum altare introeat; quamvis id olim iis permiſſum erat. Si enim viris Laicis hoc vetitum ſit, multò magis mulieribus. Ejiciuntur autem, ut nonnulli dicunt, propter involuntarium menſtruorum fluxum. Quære etiam xi. cap. præſentis literæ, & vi. cap. lit. B.

C

ΚΕΦ. κγʹ.

Ὅτι γυναῖκας δεῖ ἐν ἐκκλησίᾳ σιγᾶν.

Ὁ οʹ. τῆς ϛʹ. συνόδου κανὼν, σιγὴν ἀσκεῖν ταῖς γυναιξὶν ἐπιτάττει, κατὰ τὴν τοῦ μεγάλου Παύλου φωνὴν, οὐκ ἐν τῷ τῆς λειτουργίας μόνον καιρῷ, ἀλλά γε καὶ ἐπὶ πάσης τῆς πιστῶν συνελεύσεως. εἰ δέ τι μαθεῖν ἐθέλουσι, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. τοῦτο δὲ καὶ τοῖς θύραθεν ἁρμόδιον ἔδοξε, φησὶ γάρ τις

Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

CAPUT XXIII.

Quod mulieres in Eccleſiâ ſilere oporteat.

CANON lxx. Syn. vi. mulieres ſilentium agere jubet, juxta magni Pauli vocem, non ſolum in miniſterii tempore, ſed in omni fidelium conventu. Quod ſi quicquam diſcere voluerint, maritos ſuos domi interrogent. Hoc etiam iis qui ſunt extra Eccleſiam conveniens viſum eſt. Dicit enim Poeta neſcio quis,

Mulieres ornat ſilentium.

D

ΚΕΦ. κδʹ.

Ὅτι οὐ δεῖ γυναῖκας ἀνδράσι συνομιλεῖν, οὐδὲ ἀνδρικὴν στολὴν ἐνδύεσθαι.

Ὁ ιγʹ. τῆς ἐν Γάγγρᾳ συνόδου κανὼν, οὐδὲ τὰς γυναῖκας ἀνεπιτιμήτους εἴασεν, ὅσαι διὰ νομιζομένην ἄσκησιν, ἀντὶ τῆς εἰωθείας γυναιξὶ στολῆς, ἀνδρῷον ἔσθημα περιβέβληνται, ἀλλὰ καὶ ταύτας τῷ ἀναθέματι παραπέμπει. ἕκαστος γάρ φησι, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. ἴσμεν δὲ τὰς δι᾽ ἄσκησιν ἀληθῆ, καὶ οὐ καθ᾽ ὑπόκρισιν τοῦτο ὑπελθούσας τὸ σχῆμα, ὅσοις ἀσκητικοὺς ἀγῶνας διήνυσαν, καὶ τοῦ ἄκρου τῆς ἀρετῆς ἐπελάβοντο. ζήτει καὶ ἐν τῷ γʹ. κεφ. τοῦ Ε. στοιχείου καν. ξβʹ. τῆς ϛʹ. συνόδου.

CAPUT XXIV.

Quod mulieres cum viris commercium habere, & veſtes viriles induere non oportet.

CANON xiii. Syn. Gangr. mulieres non impunitas præteriit, quæ propter eam, quæ exiſtimatur, exercitationem, pro conſueto muliebri indumento, veſtem virilem induerunt, ſed eas anathemate ferit. Unusquiſque enim, inquit, in eo ordine quo vocatus eſt, permaneat. Scimus autem mulieres propter veram & non ſimulatam exercitationem veſtem hujuſmodi induentes, quot curſus aſceticos peregerunt, virtutis faſtigium aſſequutæ. Quære etiam in iii. cap. literæ E. can. lxii. Syn. vi.

E

ΚΕΦ. κεʹ.

Ὅτι γυναῖκα τὴν λεχὼ, οὐκ ἀναγκαῖον τὰς νενομισμένας νηστείας τηρεῖν.

Ὁ ηʹ. κανὼν τοῦ Τιμοθέου Ἀλεξανδρείας, τὴν τεκοῦσαν γυναῖκα κατὰ τὴν τεσσαρακοστὴν τοῦ πάσχα μὴ φυλάττειν τὴν νενομισμένην νηστείαν κελεύει, ἀλλὰ καὶ οἴνου μεταλαμβάνειν, καὶ μετρίοις βρώμασιν ὁπόση δύναμις ἑαυτὴν ἀνακτᾶσθαι· ἡ γὰρ νηστεία διὰ κατάλυσιν τοῦ σώματος ἐπινενόηται· τοῦτο δὲ ἀσθενῶς ἔχον, οὐ δεῖται παιδαγωγίας, ἀλλὰ βοηθείας, εἰς τὸ ῥωσθῆναί τε, καὶ τὴν προτέραν συναγαγεῖν δύναμιν.

F

CAPUT XXV.

Quod puerpera ad ſtata jejunia obſervanda non tenetur.

CANON viii. Timothei Alexandrini puerperam in Paſchæ Quadrageſima, ſtatum jejunium non obſervare jubet; ſed vini participem eſſe, & modicis cibis, quantum ferre poterit, ſeſe reficere. Jejunium enim ad humiliationem corporis excogitatum eſt; quod cum infirmum eſt, non diſciplinâ indiget, ſed auxilio, ut convaleſcat & priores vires recuperet.

A

CAPUT XXVI.

De eo qui uxorem dæmone obſeſſam habet.

Timotheus Alexandrin. in can. xiv. qui inquit, uxore ſuâ dæmone obſeſſâ ita ut ferreos compedes geſtet, cum continenter vivere nequeat, ab eâ ſolvi & aliam ducere voluerit, iſte, puto, adulterii notam non effugiet. Verum circa ea, quorum certam B ſcientiam non habeo, tacere ſatius duxi.

Lex.

Ex Novellâ autem Imperatoris Leonis Philoſophi marito conceſſum eſt, cum muliere, quæ perpetuâ inſaniâ laborat, matrimonium ſolvere, & alteri conjungi: eadem vero Novella maritum per triennium expectare jubet, & intra illud cum muliere furioſâ conjugium non ſolvere; mulierem autem à marito ſuo furioſo non ſeparari, antequam quinquennium exactum ſit. Idem etiam Novella Imperatoris Nicephori Botaniati ſtatuit: quamvis inſania, inquit lex, matrimonium C impedit, non tamen rectè contractum diſſolvit.

ΚΕΦ. κϛʹ.

Περὶ τοῦ γυναῖκα ἔχοντος δαιμονῶσαν.

Ὁ μὲν Τιμόθεος Ἀλεξανδρείας, ἐν τῷ ιδʹ. κανόνι, ὅς τις φησὶ, δαιμονώσης τῆς γυναικὸς ὡς καὶ δεσμὰ περικεῖσθαι ταύτην σιδήρου πεποιημένα, σωφρόνως μὴ δυνάμενος ἔχειν, ταύτης μὲν διαζυγῆναι, ἑτέραν δ' ἀγάγεσθαι βουληθείη, τοῦτον ὡς οἶμαι γραφὴν μοιχείας οὐ διαπέφευγε. πλὴν ἐν οἷς οὐκ οἶδα βεβαίως εἰπεῖν, ἄμεινον ἥγημαι σιωπᾶν.

Νόμος.

Ἐκ δὲ τῆς νεαρᾶς τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, δέδοται τῷ ἀνδρὶ, διηνεκῆ μανίαν νοσούσης τῆς γυναικὸς, λύειν τὸν γάμον, καὶ ἑτέρᾳ συνάπτεσθαι· πλὴν τὸν μὲν ἄνδρα ἐπὶ τριετίαν διακαρτερεῖν αὕτη κελεύει, καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ τῆς μανείσης γυναικὸς αὐτοῦ συζυγίαν· τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς, εἰ μὴ παρέλθοι πενταετία. τοῦτο καὶ ἡ τοῦ βασιλέως Νικηφόρου τοῦ Βοτανειάτου νομοθετεῖ νεαρά. εἰ καὶ ὁ νόμος φησὶ, μανία ἐμποδίζει τὸν γάμον, οὐ μὴν διαλύει τὸν καλῶς συστάντα.

CAPUT XXVII.

De mulieribus menſtruatis, ſive, quæ fluxum patiuntur.

Quære cap. xvi. literæ A.

ΚΕΦ. κζʹ.

Περὶ τῶν γυναικῶν τῶν ἐν ἀφέδρῳ, ἤτοι τῶν οὐσῶν ἐν ῥύσει.

Ζήτει τὸ ιϛʹ. κεφάλαιον τοῦ Α. στοιχείου.

D

CAPUT XXVIII.

De mulieribus pharmaca ad abortionem ciendam ſumentibus.

Canon xci. Syn. vi. homicidii pœnas luere jubet mulieres quæ vel accipiunt vel aliis præbent pharmaca ad abortionem ciendam. Aliquæ enim clam cum viris coeuntes, & concipientes, metu ne fornicatio detegatur, à parentibus fortè vel Dominis, medicamenti deleterii potu fœtus corrumpere ſtudent, vel E ventres ſuos pondere premunt, ut mortui ex matrice excidant. Et non ſolum illos, ſed & ſeipſos aliquando interimunt.

Canon autem xxi. Syn. Ancyranæ, quamvis inquit, antiqua definitio, eas quæ medicamenta fœtum necantia, uſque ad obitum à communione abigit, nos tamen humanitate uſi decennii tempus ad pœnitentiam iis ſufficere decernimus.

Quin & ii. magni Baſilii can. eandem decennii menſuram ejuſmodi mulieribus decernit, & medicinam non F ex tempore ſed modo pœnitentiæ fidam judicat. Quoniam autem Lex Moſaica, cum fœtus nondum efformatus abortivus erat, mulctam pecuniariam impoſuit, cum vero formatus excideret, vitâ mulctavit, mori jubens eum qui mulierem verberaſſet; factâ hujus legis mentione, nos, inquit ſanctus, nullum diſcrimen ſtatuimus, ſive formata ſint ſive informia quæ ejiciuntur; non enim mulctam pecuniariam imponimus, ſed homicidii eam quæ id patravit condemnamus, tùm ob fœtum corruptum, tùm ob mulierem è quâ is ejectus eſt; ſiquidem cum fœtu ipſam quoque interire aliquando

ΚΕΦ. κηʹ.

Περὶ τῶν γυναικῶν πρὸς τὸ ἀμβλῶσαι φάρμακα δεχομένων.

Ὁ ϟαʹ. τῆς ϛʹ. συνόδου κανὼν, φόνου δίκας ὑπέχειν κελεύει, ὅσαι τῶν γυναικῶν ἢ δέχονται ἢ ἄλλαις ὀρέγουσι πρὸς τὸ ἀμβλῶσαι φάρμακα. λάθρα γοῦν τινὲς ἀνδράσι μιγνύμεναι, καὶ συλλαμβάνουσαι, δέει τοῦ μὴ ἁλῶναι πορνείας, γονεῦσιν ἴσως ἢ δεσπόταις, τῇ τοῦ δηλητηρίου πόσει τὰ ἔμβρυα φθείρειν ἐπιτηδεύουσιν, ἢ καὶ βάρει τὰς κοιλίας πιέζουσιν, ὥστε νεκρὰ τῆς γαστρὸς ἐκπεσεῖν. καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἑαυτὰς ἐνίοτε προσαπολλύουσιν.

Ὁ δὲ καʹ. τῆς ἐν Ἀγκύρᾳ, εἰ καὶ ὁ πρότερος, φησὶν, ὅρος μέχρις ἐξόδου τῆς κοινωνίας ἐξέωσε τὰς δεχομένας τὰ φθόρια, ἀλλ' ἡμεῖς φιλανθρωπότερόν τι ποιοῦντες, δεκαετῆ χρόνον ὡρίσαμεν ἀρκεῖν αὐταῖς εἰς μετάνοιαν.

Ἀλλὰ καὶ ὁ βʹ. τοῦ μεγάλου Βασιλείου, τὸ μέτρον τοῦτο τῆς δεκαετίας, ταῖς τοιαύταις ὁρίζεται· καὶ τὴν θεραπείαν οὐ τῷ χρόνῳ μᾶλλον ἢ τῷ τρόπῳ πιστεύει τῆς μετανοίας. ἐπεὶ δ' ὁ Μωσαϊκὸς νόμος, ὅτε μὲν οὐκ ἐξεικονισμένον τὸ ἔμβρυον ἤμβλωτο, εἰς χρήματα ἐζημίου, ἐξεικονισμένου δ' ἐκπίπτοντος, εἰς ψυχὴν κατεδίκαζε, θνήσκειν κελεύων τὸν τὴν γυναῖκα πατάξαντα· τούτου μνησθεὶς ὁ ἅγιος, διαφορὰν φησὶν ἡμεῖς οὐκ ἔχομεν, εἴτε μεμορφωμένα, εἴτ' οὖν ἀμόρφωτά εἰσι τὰ ἀποβαλλόμενα· οὐ γὰρ εἰς χρήματα ζημιοῦμεν, ἀλλὰ φόνου κρίνομεν τὴν τοῦτο ποιήσασαν, διά τε τὴν τοῦ ἐμβρύου φθορὰν, καὶ αὐτῆς δὲ τῆς ἀποβεβληκυίας· ἐπεὶ συμβαίνει γὰρ ἔσθ' ὅτε τῷ ἐμβρύῳ καὶ ταύτην συμφθείρεσθαι.

ρεσθαι. τὸ γοῦν σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον πρότερον μὲν ἐξαιματοῦται, εἶτα εἰς ἀμόρφωτον πήγνυται σάρκα, εἶθ' οὕτως ἐξεικονίζεται καὶ διατυποῦται εἰς μέλη καὶ μόρια.

Ἀλλ' ἐν μὲν τῷ τέλει τοῦ ὀγδόου κανόνος, καὶ αἱ διδοῦσαι, φησὶ, καὶ αἱ δεχόμεναι τὰ ἐμβρυοκτόνα δηλητήρια, ἐν τοῖς ἑκουσίως φονεῦσι καταλογίζονται. ἐνταῦθα δὲ τὸ τοῦ ἀκουσίου φόνου ἐπιτίμιον τὴν δεκαετίαν ἐπιτίθησι ταύταις· οἶμαι διὰ τὸ μήπω γεγονέναι τὸ κυοφορούμενον ἐν φύσει, καὶ τὸ μὴ ἐκ διαθέσεως ἀπανθρώπου μελετηθῆναι τὸν φόνον, ἀλλὰ δι' αἰσχύνην ἢ φόβον ἀγεννῆ, γονέων τυχὸν, ἢ δεσπότου, ἢ ἄλλου τινὸς κίνδυνον ἀπειλοῦντος.

Νόμοι.

Ἡ ἐπίτηδες ἐκτρώσασα προσκαίρως ἐξορίζεται.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, ἄδειαν δίδωσι τῷ ἀνδρὶ διασπᾶν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐξεπίτηδες ἀμβλωσκούσης τὴν ἐκείνου σποράν.

Ὁ πόμα δεδωκὼς ἀμβλωθρίδιον, εὐτελὴς μὲν ὢν, μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως. ἐσχάτη δὲ τιμωρία ἐπάγεται, ἐάν τις ἀπέθανεν ἐκ τούτου, καὶ εἰ χωρὶς δόλου τὸ ἀμβλωθρίδιον δέδωκεν.

ΚΕΦ. κθ'.

Περὶ γυναικὸς τῆς ἀμελῶς ἐχούσης περὶ τὸ κύημα, ἢ ἐκτιθεμένης.

Ὁ λγ'. τοῦ μεγάλου Βασιλείου κανὼν, ἔτι δὲ καὶ ὁ νβ'. τὴν κατὰ τὴν ὁδὸν κυήσασαν, εἴ γε δυνατὸν σῶσαι καταπεφρόνηκε τοῦ κυήματος, φόνου δίκας ὑπέχειν οἴεται δεῖν, κἂν εἰ ἕτερος ἀνελόμενος, καὶ φιλανθρώπως χρησάμενος τῷ ζῆν αὐτὸ κεχάρισται, αὐτῆς θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένης, ἐκ πορνείας ἴσως ἢ μοιχείας τοῦτο συνειληφυίας, καὶ τὴν ἁμαρτίαν ταύτῃ πειραθείσης συγκρύψαι. εἰ δὲ διὰ τὴν ἀπορίαν τῶν προσησομένων, ἢ τὴν ἔνδειαν τῶν ἀναγκαίων, ἢ αἰχμάλωτος ἀγομένη, ἢ τῷ φεύγειν πολεμίους κρυπτομένη, καὶ τοῦ βρέφους κλαυθμηριζομένου κινδυνεύουσα μηνυθῆναι, ἑαυτὴν ἅμα καὶ τὸ τεχθὲν οὐκ ἤρκεσε περισώσασθαι, συγγνωστὴ μᾶλλον ἡ μήτηρ τῆς ἐπηρείας.

Ἐκ δὲ τούτου καὶ περὶ τῶν ἐκτιθεμένων τὰ οἰκεῖα βρέφη πρὸς ταῖς εἰσόδοις τῶν ἱερῶν λόγος πολλάκις ἐπὶ τῆς ἱερᾶς συνόδου γέγονε· καὶ ἤρεσεν ὡς φονευτρίας ταύτας κολάζεσθαι, κἂν ἕτερος ἀνέληται, καὶ ἐπιμελησάμενος ζωογονήσῃ.

Νόμος.

Φονεύει τὸ τικτόμενον, οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔχει.

ΚΕΦ. λ'.

Περὶ τῶν γυναῖκας παρθένους βιαζομένων.

Ὁ τῶν ἁγίων ἀποστόλων ξζ'. κανὼν, τὸν βιασάμενον παρθένον ἀμνήστευτον, ἀφορίζεσθαι ἀξιοῖ. (τὸν γάρ τοι μεμνηστευμένην τις ἀντερεῖ μὴ οὐχὶ καὶ ὡς μοιχὸν τιμωρεῖσθαι δεῖν;) ἔχειν δὲ ταύτην καὶ μὴ ἐκβάλλειν, εἰ καὶ τῶν πενεστάτων οὖσα τυγχάνει, καὶ τῷ ἐκείνου μὴ προσήκουσα γένει.

A contingat. Semen igitur in matricem injectum primùm in ſanguinem vertitur, deinde in carnem informem concreſcit, tùm in membra & partes hominis effigiatur & formatur.

In fine autem viii. can. & quæ dant, & quæ accipiunt medicamenta fœtum perimentia voluntariis homicidis adnumerantur. Hic vero pœnitentiæ decennium, pœnam nimirum cædis involuntariæ, ejuſmodi mulieribus imponit. Puto, quod fœtus in utero in rerum naturâ non ſit, & quod non inhumanitèr affecta mortem molita ſit, ſed propter pudorem vel metum
B non illiberalem, parentum forte, vel domini, vel alicujus alterius periculum minitantis.

Leges.

Quæ datâ operâ abortierit, in temporale exilium datur.

Novella autem Imperatoris Leonis ſapientis viro facultatem dat matrimonium cum muliere divellendi, quæ datâ opera ſemen ſuum abortivum facit.

Qui abortionis poculum dederit, ſi vilis ſit, in metallum damnatur, ſi honeſtus, amiſſâ parte bonorum relegatur. Siquis vero inde enectus fuerit, ſummum ſup-
C plicium infligitur, idque licet citra dolum abortionis medicamentum datum ſit.

CAPUT XXIX.

De muliere quæ fœtum negligit, aut exponit.

Canon xxxiii. mag. Baſilii necnon lii. eam quæ in viâ parit, ſi fœtum, cum eundem ſervare poſſet, neglexerit, homicidii pœnas luere oportere cenſet, quam-
D vis alius eum ſuſtulerit, & humaniter affectus vivum conſervaverit, dum mater brutaliter [& inhumaniter affecta eſt, ex fornicatione forſan concipiens, & peccatum ſuum hoc pacto celare ſtudens. Quod ſi, propter inimicorum periculum, vel neceſſariorum defectum, vel quod captiva ducta ſit, vel, ut hoſtes fugiat, latuerit, & periculum ſit ne infantis ejulatu prodatur, ſeſe ſimul & infantem ſervare non potuerit, mater damni veniam conſequetur.

Hinc etiam de iis qui infantes ſuos in templorum a-
E ditibus exponunt, in ſacrâ Synodo ſæpius diſceptatum fuit; & placuit, eas ut homicidas puniri, etſi alius infantes ſuſcipiat, & cum curâ educat.

Lex.

Occidit fœtum, non ſolum qui ſuffocat, ſed etiam qui abjicit, & non nutrit; & qui in locis publicis exponit ad miſericordiam quam ipſe non habet.

CAPUT XXX.

F

De iis qui Virgines ſtuprant.

Canon lxvii. S. Apoſt. Eum qui virginem non deſponſam ſtuprat, ſegregari jubet (deſponſam enim qui ſtuprat, quis dicet eum non ut adulterum puniendum eſſe?) eamque habere, & non abjicere, quamvis pauperrima ſit & illius genere indigna.

Lex

A

Lex.

Dicit enim Lex, eum qui cum continente muliere rem habet, cogi oportet eam in matrimonii ſocietatem accipere.

Canon igitur, ut videtur, propter vim quidem ſegregari eum qui peccavit, propter Virginis autem ſalutem cogi ipſum ei legitimè conjungi, decernit.

B Verum in actione de vi, legem ita ſtatuere non oſtenſum eſt.

Leges.

Dicit enim, qui puellæ vim affert, eamque conſtuprat, nares ei abſcindantur, & tertiam partem ſuarum facultatum puellæ det.

Qui cum Virgine puellâ coiit, ipſâ quidem volente, parentibus autem ignorantibus, poſtquam res cognita fuerit, ſi eam quidem in uxorem accipere voluerit, & parentes conſentiant, fiat contractus. Quod ſi C alterius perſonæ parentes id non probent, ſi dives ſit ſtuprator, violatæ puellæ det unam auri libram, ſin autem egentior, ſuarum facultatum dimidium; verum ſi in extremâ paupertate ſit, verberatus & tonſus exterminetur.

Quinquennii tempus fornicationis crimini præfinitum, locum non habet in ſtupro per vim facto; indefinitè enim movetur, quando vel publicè vel per vim peccatur.

Νόμος.

Φησὶ γὰρ ὁ νόμος, τὸν μετὰ σώφρονος παλλακευόμενον γυναικὸς, ἀναγκάζεσθαι δεῖ καὶ εἰς γάμου κοινωνίαν λαμβάνειν αὐτήν.

Ὡς ἔοικε τοίνυν καὶ ὁ κανὼν ὑπὲρ μὲν τῆς βίας, ἀφορίζεσθαι τὸν πλημμελήσαντα ἐπιτάττει, διὰ δέ γε τὴν τῆς παρθένου σωτηρίαν, ἀναγκάζεσθαι καὶ νομίμως αὐτῇ συναφθῆναι.

Οὐ μὴν ἐν τῇ περὶ βίας ἀγωγῇ, οὕτω θεσπίζων ὁ νόμος δείκνυται.

Νόμοι.

Φησὶ γὰρ ὁ βιασάμενος κόρην, καὶ φθείρας αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ.

Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα. εἰ δὲ τοῦ ἑνὸς προσώπου οἱ γονεῖς τοῦτο οὐ καταδέχονται, εἰ μὲν εὔπορος ἐστὶν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω λίτραν μίαν χρυσίου· εἰ δὲ ἐνδεὴς, τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

Ὁ ὡρισμένος εἰς κατηγορίαν τῆς μοιχείας χρόνος τῆς πενταετίας, οὐκ ἔχει χώραν ἐπὶ τῆς κατὰ βίαν γινομένης φθορᾶς, ἀπεριορίστως γὰρ κινεῖται, ὅταν καὶ δημοσίᾳ ἢ βίᾳ πλημμελεῖται.

D

CAPUT XXXI.

De Maleficiis.

Quære caput i. literæ M.

ΚΕΦ. λα'.

Περὶ γοητείας.

Ζήτει τὸ α'. κεφ. τοῦ Μ. στοιχείου.

E

A

ΑΡΧΗ ΤΟΥ Δ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Περὶ δαιμονώντων ἢ δαιμονᾶν ὑποκρινομένων.

Ο οθ'. τῶν ἁγίων ἀποστόλων κανών, τὸν δαιμονῶντα μὴ τε κληρικὸν ἐπιτάττει γίνεσθαι, μήτ' εὐχῆς τοῖς πιστοῖς κοινωνεῖν· ἀπαλλάξαντα δὲ τελέως τοῦ δαίμονος, καὶ εἰς κλῆρον προβαίνειν, εἴ γε καὶ τὰ τοῦ βίου συμβαίνει τῷ ἀξιώματι· ἐπεί τοι γε τὸν ἐκ διαλειμμάτων νοσοῦντα συγκαταλεγῆναι τῷ κλήρῳ οὐχ ὅσιον, ἵνα μὴ τῷ καιρῷ τῆς μανίας αὐτοῦ, καὶ τὰ τῆς ἱερωσύνης ὑβρίζηται, καὶ τὸ θεῖον ἀτεχνῶς βλασφημῆται. πῶς γὰρ οἷόν τε τὸ καθαρὸν τῆς ἱερωσύνης φῶς ψυχῇ πιστευθῆναι ἐξάγιστον εἰσοικισαμένῃ τῆς πονηρᾶς δυνάμεως σκότος, διὰ τὴν πρὸς τὰ φαῦλα ῥοπήν; καὶ σαπρῷ γὰρ δήπου δοχείῳ μύρον οὐδ' ἂν εἷς νοῦν ἔχων πιστεύσειεν. ἡ γὰρ ἐλευθέρα τῶν ἀκαθάρτων παθῶν ψυχή, καὶ τῇ ἀστειοσύνῃ τῶν ἀγαθῶν χαίρουσα πράξεων, φοβερὰ τῇ πονηρᾷ τῶν δαιμόνων εἶναι πιστεύεται φάλαγγι. ἄλλως τε, καὶ λογισμοῦ καὶ φρονήσεως ἔρημος ὢν ὁ δαιμονῶν, καὶ φαῦλα τινὰ καὶ ἄσεμνα διαπραττόμενος, καὶ δαιμονιώδεις φωνὰς προϊέμενος, τὸν λαὸν συνταράττειν, καὶ τὴν ἐν τῷ νεῷ ψαλμῳδίαν ἀχρειοῦν ἔμελλεν.

Ο δὲ γ'. τοῦ Τιμοθέου Ἀλεξανδρείας, τὸν μὴ διόλου, ἀλλ' ἐκ διαλείμματος, τὴν μανίαν νοσοῦντα, μεταλαμβάνειν ἐφίησι τῶν ἁγιασμάτων, εἴπερ ἐν ᾧ σωφρονῶν ὁρᾶται καιρῷ, μὴ διασύρῃ τὰ θεῖα, καὶ βλασφημῇ τὸ μυστήριον, μὴ δὲ κατὰ τῆς πίστεως φθέγγηται· οἷα καὶ ὁ Ἰούδας ἔδρασεν, ἐκκαλύψας ἃ ἐδιδάχθη τοῖς Ἰουδαίοις, ὡς τοῖς γινομένοις διαπιστῶν, καὶ τῷ διδασκάλῳ ὡς ἀνθρώπῳ ψιλῷ προσέχων, καὶ οὐ θεῷ.

Ο δὲ ιδ'. εἴ τις φησί, μὴ ὑγιᾶ τὸν λογισμὸν ὡς ἀληθῶς κεκτημένος, ἑαυτὸν διεχειρίσατο, καὶ τῆς ὑπὲρ αὐτοῦ προσφορᾶς, καὶ τῆς εἰωθυίας εὐχῆς ἀξιούσθω· στέρεσθαι γὰρ καὶ τῆς νενομισμένης ὁσίας τόν γε τοιοῦτον οὐ χρή.

Ο δὲ ξ'. τῆς ϛ'. συνόδου, τοὺς δαιμονᾶν ὑποκρινομένους, καὶ τρόπων φαυλότητι, διὰ τὸ πρὸς κέρδος ὁρᾶν, τὰ ἐκείνων σχηματιζομένους, ἐπιτιμᾶσθαι παντάπασι δικαιοῖ, καὶ πόνοις ὑποβάλλεσθαι, οἵοις ἂν ἀληθῶς δαιμονῶντες ὑποβληθεῖεν πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐνεργείας. τὸν γὰρ ὑπὸ θεῷ ζῆν ἑλόμενον, καὶ τῶν ἀνθρωπίνων ἠμεληκότα πραγμάτων, τὴν ἀπλανῆ καὶ τοῖς θείοις πατράσι βάσιμον ἔδει, μὴ μέν τοι τὴν ἐπικίνδυνον καὶ πολλοῖς αἰτίαν αἱρεῖσθαι σκανδάλου. πολλῆς γὰρ νήψεως τοῖς τοιούτοις χρεία καθέστηκεν, ὥς τις φησὶ τῶν ἁγίων, μήπως ἐμπαίζειν ἐπιχειρήσαντες εἰς ἐμπαιγμὸν ἑαυτῶν καταλήξωσιν, εἴ γε καὶ ὀρθῷ λογισμῷ τὴν ὁδὸν ταύτην εἵλοντο.

Ζήτει καὶ ἐν τῷ α'. κεφαλαίῳ τοῦ Β. στοιχείου, κανόνα με'. τῆς ἐν Καρθαγένῃ συνόδου. τοῦ Τιμοθέου Ἀλεξανδρείας β'. καὶ δ'. καὶ ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Α. στοιχείου. καὶ ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Ε. στοιχείου, κανόνα πγ'. τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὸ κϛ'. κεφάλαιον τοῦ Γ. στοιχείου.

INITIUM LITERÆ Δ.

CAPUT I.

De iis qui à Dæmone corripiuntur, & qui ſe à Dæmone correptos eſſe ſimulant.

CANON ſanctorum Apoſtolorum lxxix. Eum qui dæmonem habet, neque Clericum fieri, B neque cum Fidelibus unà precari jubet; (à Dæmone autem omnino liberatum etiam ad Clerum provehi, ſi modo vita ejus dignitati conveniat:) quippe nefas eſt, ut qui per dilucida intervalla inſanit, clero adnumeretur, ne furoris tempore ſacerdotium contumeliâ afficiatur, & numen planè blaſphemetur. Quomodo enim pura ſacerdotii lux homini credetur, in quo malæ poteſtatis tenebræ impuræ habitant, propter ejus ad malum inclinationem? Neque enim quiſquam, qui ſapit, putri vaſi unguentum committet. Etenim anima, quæ ab impuris perturbationibus liberatur, & in honeſtate C bonorum operum exultat, improbo Dæmonum phalangi metuenda eſſe creditur. Quin & Dæmoniacus, ſiquidem ratione & intellectu privatur, mala aliqua & inhoneſta perpetrans, & voces Dæmoniacas emittens, populum conturbabit, & divinum in templo officium impediet.

Tertius autem Theophili Alexandrini canon, eum qui non perpetuò ſed per intervalla inſaniâ laborat, Sacramentorum participem eſſe ſinit, ſi eo tempore, quo ſanæ mentis eſſe videtur, in ſacra non invehitur, nec myſterium blaſphemat, nec contra fidem loquitur; D quemadmodum fecit Judas, qui, quæ à Domino doctus eſt, Judæis revelavit, iis, quæ facta erant, fidem non dans, & magiſtro ſuo ut homini vulgari & non tanquam Deo, mentem adhibens.

Ejuſdem vero canon xiv. Si quis, inquit, reverà non ſanæ mentis, ſibi mortem ſuâ manu conſciverit, oblatione pro ſe & ſolitâ oratione dignus habeatur; talem enim facultate legitimâ privari non oportet.

Porro lx. canon Syn. vi. Eos qui ſe à Dæmone correptos E eſſe ſimulant, & morum improbitate, lucro ſc. inhiantes, eorum figuram & habitum ſimulatè præ ſe ferunt, omnimodo puniendos eſſe decernit, & ejuſmodi laboribus & aſperitatibus exercendos, quibus ſubjiciuntur ii, qui verè à Dæmone correpti ſunt, ut à Dæmonis operatione liberentur. Eum enim, qui cum Deo vivere voluerit res mundanas contemptui habens, viam errori non obnoxiam, & in quâ Divini Patres inſtiterunt, eligere oportuit, non autem eam, quæ ſcandali occaſio evadat. Etenim multâ iis curâ opus eſt, uti inquit ſanctus quidam, ne dum ſimulari aggrediuntur, in ſui illuſionem deſinant, quamvis rectâ F cum ratione hanc viam elegerint.

Quæras etiam in cap. i. lit. B. can. xlv. Synodi Carthaginenſis; & Timothei Alexandrini can. ii. & iv. & in xii. cap. lit. A. & in xii. cap. lit. E. can. lxxxiii. Syn. Carthaginenſis; & xxv. cap. lit. Γ.

CAPUT II.

De Creditoribus, & Mutuo, & Pignoribus.

Leges.

Uxor circa dotem prioribus mariti Creditoribus præferatur; non autem iis præfertur circa donationem ante nuptias.

B Uxor circa dotem debito fiſcali præfertur, niſi antiquius fuerit.

Vetat conſtitutio maritum rerum dotalium alienationem, vel hypothecam facere; immo quamvis uxor iis quæ facta ſunt conſentiat; ne naturæ fœmineæ debilitas rerum ſuarum deperditionem cauſet. Quod ſi uxor maritum res ſuas oppignorantem videns, ſtatim ſilentium agat, tanquam eum qui cum marito contractum facit, fallere voluerit, tunc non adjuvatur. Edictum enim uxoribus deceptis opitulatur, non autem fraudulentis. C

Si propter mariti obligationem uxor ſe alieni contractûs vinculo injecerit, eumque per propriam ſubſtantiam obligatione liberare voluerit, & rei curam geſſerit, ſi pollicita non ſolverit, depoſitum vindicare nequit, perfectæ ſcilicet ætatis exiſtens.

Si qua uxor in cautione mutui marito ſuo conſenſum det facultates ſuas ſubſcribere, vel ſeipſam obliget, nihil ejuſmodi valet, obtinetve; ſive ſemel, ſive ſæpius idem in eâ re fiat; ſive privatum, ſive publicum fuerit debitum; ſed eodem modo ſe habet, acſi nullatenus ſcriptum fuerit: niſi apertè probetur, quod pecuniæ in privatos uxoris uſus commodatæ fuerint. D

Creditor qui prolationes ſuas inficiatus eſt, ſummam quæ iis continetur, poſtquam convictus fuerit, debitori duplam rationibus initis refundat.

Fructus ex pignore percepti in ſortem imputantur, & ſi ſufficiant ad totum debitum, ſolvitur actio, & pignus redditur. Quod ſi fructus debitum ſuperent, ſuperflui redduntur. E

Fructus fundi computantur in ſortem, non ſolum quos creditor percepit, verum etiam quos percipere potuit. Quod ſi agrum deteriorem effecerit, etiam hoc nomine convenitur.

Si Creditor non culpâ ſuâ pignus perdiderit, non tenetur. Sed ei incumbit neceſſitas probandi id ſe perdidiſſe; quippe caſus fortuiti non periculo ſunt creditoris, ſed poteſt is re fortuito amiſſâ ſummam ſibi debitam repoſcere. Quod ſi contrahentibus placuerit, ut pignorum jactura debitorem liberaret, illud valet. F

ΚΕΦ. β'.

Περὶ δανειστῶν, καὶ δανείου, καὶ ἐνεχύρων.

Νόμοι.

Η γυνὴ προτιμάσθω περὶ τὴν προῖκα τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός. οὐ προτιμᾶται δὲ τούτων περὶ τὴν πρὸ γάμου δωρεάν.

Η γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μή που πρεσβύτερον ὑπῆρξεν.

Απαγορεύει ἡ διάταξις τῷ ἀνδρὶ ἐκποίησιν ποιεῖσθαι καὶ ὑποθήκην τῶν προικιμαίων πραγμάτων· εἰ καὶ τοῖς γινομένοις ἡ γυνὴ συναινέσει, ἵνα μὴ τῆς γυναικείας φύσεως τὸ σαθρὸν, ἀπώλειαν τοῖς αὐτῆς πράγμασιν ἐμποιήσῃ. εἰ δὲ ἡ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον, ἐσιώπησεν ἐπίτηδες, ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρὶ, τότε οὐ βοηθεῖται· ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις.

Εὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν περιενέβαλλεν ἑαυτὴν ἡ γυνὴ τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος, καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι βούλεται τῆς ἐνοχῆς, καὶ ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη οὐ κατέβαλεν, διεκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα.

Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματίῳ συναινέσῃ τῷ ἰδίῳ ἀνδρὶ ὑπογράψαι καὶ τὴν οἰκείαν περιουσίαν, ἢ καὶ ἑαυτὴν ἐνοχοποιήσει, οὐδὲν τοιοῦτον ἰσχύει ἢ κρατεῖ, κἂν τε πολλάκις τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος, ἀλλ' οὕτως ἐστὶν ὡς ἂν εἰ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθείη, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθη.

Ο δανειστὴς τὰς οἰκείας ἀρνησάμενος ἀποδείξεις, διπλάσιον τὸ περιεχόμενον αὐταῖς ποσὸν ἐλεγχόμενος καταλογιζέσθω τῷ χρεώστῃ.

Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος· καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ, καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλείονές εἰσι τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες.

Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου.

Εὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσε· τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα, ἀπαιτεῖν τὸ αὐτῷ χρεωστούμενον. εἰ δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην, τοῦτο ἰσχύει.

A

ΚΕΦ. γ'.

Περὶ διαθήκης.

Ὁ μ'. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν ἴδια κεκτημένον πρὸ τῆς χειροτονίας ἐπίσκοπον, κελεύει δῆλα ταῦτα ποιεῖν, καὶ μὴ τοῖς τῆς ἐκκλησίας μιγνύναι, ἵν' ἐξουσίαν ἔχοι τελευτῶν, οἷς βούλεται καὶ ὡς βούλεται ταῦτα καταλιπεῖν, ὀρθοδόξοις μέντοι Χριστιανοῖς· καὶ μὴ προφάσει τῶν τῆς ἐκκλησίας πραγμάτων ἀπόλλυσθαι τὰ τοῦ ἐπισκόπου, γυναῖκα καὶ παῖδας ἔσθ' ὅτε κεκτημένου ἢ συγγενεῖς ἢ οἰκέτας. δίκαιον γὰρ παρὰ Θεῷ καὶ ἀνθρώποις, μήτε τὴν ἐκκλησίαν ζημιοῦσθαι ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῶν τῆς ἐκκλησίας, ζημίαν ὑπομένειν, βάρει χρεῶν ἴσως ὑποκειμένης, καὶ εἰς πράγματα τούτους ἐμπίπτοντας, τῷ αὐτοῦ διαλοιδορεῖσθαι θανάτῳ. εἰ μὴ γὰρ δῆλα ποιήσαιντο, τά τε πρὸ τῆς χειροτονίας, καὶ τὰ μετὰ ταύτην αὐτῷ περιελθόντα ἐξ αἰτίας εὐπροσώπου, ὁ μετ' αὐτὸν χειροτονηθεὶς τῶν αὐτοῦ πάντων ἀνθέξεται, ἀναδεδεγμένος πάντως καὶ τὴν τῶν χρεῶν ἔκτισιν.

Ὁ δὲ λε'. τῆς ἐν Καρθαγένῃ συνόδου, οἱ εἰς ἐπισκοπὴν φησὶ, προελθόντες ἢ κλῆρον, καὶ πρὸ τούτου μὲν ἀπορίᾳ καὶ πενίᾳ συζῶντες, εὐπορήσαντες δὲ μετὰ τοῦτο, ὥστε καὶ ἀγροὺς ἑαυτοῖς πρίασθαι, καὶ χωρία· ἐπεὶ δοκοῦσιν ἐκ τῶν πραγμάτων ταῦτα τῆς ἐκκλησίας κτήσασθαι, ὀφείλουσι μὴ ἑτέροις, ἀλλὰ τῇ ἐκκλησίᾳ ταῦτα καταλιπεῖν, τὴν τῆς ἱεροσυλίας γραφὴν φυλαττόμενοι. εἰ δὲ κατὰ δωρεὰν, ἢ συγγενῶν κληρονομίαν, καὶ μὴ καθ' ὁντιναοῦν ἕτερον τρόπον, εἰς ἀναῤῥύσεις τυχὸν αἰχμαλώτων, ἢ νεῶν οἰκοδομὰς, ἔστιν ἃ προσεκτήσαντο, δεῖ καὶ τούτων τὴν ἐκκλησίαν μερίτην ποιήσασθαι· εἰ δ' οὖν, οὐκ ἄξιοι τῆς ἱερατικῆς τιμῆς κριθήσονται. κατὰ τῶν ἐπισκόπων δὲ τοῦτο κρατήσει μάλιστα, ἐπεὶ οὐδὲ ὕπεστι τρόπος αὐτοῖς ἴσως ἕτερος δι' ὃν κτήσονται πράγματα, ὅτι μὴ μόνος ὁ ἀπὸ τῶν τῆς ἐπισκοπῆς δικαίων. ζήτει καὶ ἐν τῷ β'. κεφαλαίῳ τοῦ Α. στοιχείου τῆς συνόδου ταύτης κανόνας κβ'. καὶ πα'.

Νόμος.

Ἡ δὲ ρλα'. Ἰουστινιάνειος νεαρὰ, Ἀπαγορεύομεν φησὶ τοῖς ὁσιωτάτοις ἐπισκόποις, τὰ μετὰ τὴν ἐπισκοπὴν αὐτοῖς οἱῳδήποτε τρόπῳ περιελθόντα πράγματα, κινητὰ, ἢ ἀκίνητα, ἢ αὐτοκίνητα, εἰς ἰδίους συγγενεῖς, ἢ εἰς ἄλλους οἱῳδήποτε τρόπῳ μεταφέρειν, ἀλλὰ δαπανᾷν αὐτὰ εἰς λύσιν αἰχμαλώτων, καὶ πτωχῶν ἀποτροφὴν, καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας, ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας· τὰ γὰρ μετὰ τὴν αὐτῶν τελευτὴν ἐκ τούτων περιττεύοντα, ἡ κατ' αὐτοὺς ἐκκλησία οἰκειοῦται. ἄδειαν δὲ ἔχουσιν ἐκποιεῖν, ἃ πρὸ τῆς ἐπισκοπῆς ἐσχηκότες ἀποδειχθῶσι, καὶ ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς ἀπὸ συγγενῶν περιέλθῃ, οὓς ἐξ ἀδιαθέτου μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι δύνανται. ταῦτα δὲ κρατεῖ καὶ ἐπὶ τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων μονῶν. ἐὰν δὲ ἐπίσκοπος ἢ κληρικὸς οἱουδήποτε βαθμοῦ ἄνευ διαθήκης, ἢ νομίμων διαδόχων τελευτήσῃ, ἡ τούτων διαδοχὴ προσκυροῦται τῇ ἐκκλησίᾳ ἐν ᾗ κεχειροτόνηνται.

Νόμοι περὶ διαθήκης.

Διαθήκη ἐστὶ δικαία βούλησις ὧν ἄν τις θέλῃ μετὰ θάνατον αὐτοῦ τὴν διοίκησιν γενέσθαι.

Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν καὶ τὸ σῶμα ἐρρῶσθαι.

CAPUT III.

De Teſtamento.

SANCTORUM Apoſtolorum xl. Canon, Epiſcopum, qui ante ordinationem bona privata poſſidet, ea palam facere jubet, & non cum bonis Eccleſiaſticis commiſcere; ut ſit in poteſtate ejus morientis quibus vult, & ut vult, relinquere, orthodoxis tamen Chriſtianis; ne rerum Eccleſiaſticarum occaſione res Epiſcopi deperdantur, qui nonnunquam uxorem habet & B liberos, vel cognatos, vel famulos. Eſt enim juſtum apud Deum & homines, ut nec Eccleſia damnum patiatur, propter rerum Epiſcopi ignorationem, nec Epiſcopus, vel ejus cognati bonorum Eccleſiæ prætextu, quæ forſan debitorum ponderi ſubjicitur, damnum ſuſtineant, & in negotia & lites incidentes mortem ejus contumeliâ afficiant. Niſi enim manifeſtas faciet res, ſuas quæ ante ordinationem, & quæ poſt ordinationem ei legitimè devenerunt, Epiſcopus qui proximè ordinatur, res ejus omnes apprehendet, debitorum ejus ſolutionem omnino ſuſcipiens.

C

Canon autem xxxv. Synodi Carthaginenſis, Qui ad Epiſcopatum, inquit, vel clerum promoti ſunt, & cum antea inopes & indigentes vixerint, poſtea divites evadunt, ut agros & prædia ſibi emant; quoniam ex bonis Eccleſiæ ea acquiſiviſſe videntur, non aliis ſed Eccleſiæ hæc relinquere debent ſacrilegii crimen evitantes. Quod ſi ex donatione, vel cognatorum hæreditate, & non alio aliquo modo, ad captivorum ſcilicet redemptionem, vel templorum ædificationem, bona aliqua acquiſiverint, horum etiam partem Eccleſiæ conſecrare oportet; ſi ſecus fecerint, honore D Eccleſiaſtico indigni judicabuntur. Hoc autem contra Epiſcopos potiſſimum valebit, quia nullus eſt iis alius forſan modus quo res acquirant, præterquam ex Juribus Epiſcopatûs. Quæras etiam in ii. cap. lit. A. hujus Synodi canones xxii. & lxxxi.

Lex.

Juſtiniani autem Novella cxxxi. Interdicimus, inquit, ſanctiſſimis Epiſcopis ne res, quæ ad eos poſt Epiſcopatum quomodocunque pervenerint, mobiles, vel immobiles, vel ſeſe moventes, in cognatos ſuos E vel alios quoquo modo transferant; ſed eaſdem in captivorum redemptionem, vel egentium pabulum, vel in alios pios uſus pro Eccleſiæ ſuæ commodo expendant; quæ enim ex iis poſt ipſorum mortem ſuperſunt, Eccleſia, quam tenebant, vendicat. Ea autem alienandi poteſtatem habent quæ ante Epiſcopatum probantur habuiſſe, & quæ poſt Epiſcopatum ad eos à cognatis devoluta ſunt, quibus ab inteſtato uſque ad quartum gradum ſuccedere poſſunt. Hæc etiam valent & in aliis monaſteriorum venerabilium rectoribus. Quod ſi Epiſcopus vel Clericus cujuſcun- F que gradus ſine teſtamento vel legitimis ſucceſſoribus moriatur, eorum ſucceſſio Eccleſiæ, in quâ conſtituti fuerint, addicitur.

Leges de Teſtamento.

Teſtamentum eſt juſta voluntatis ſententia de iis quæ quis poſt mortem ſuam fieri velit.

In eo qui teſtatur, integritas mentis, non corporis ſanitas exigitur.

A Maſculus qui annum decimum quartum complevit teſtamentum facere poteſt, fœmina vero quæ duodecimum.

Si pater vel mater in matrimonium dent filiam vel filium, & eum mori contingat, teſtamentum faciendi poteſtatem non habet, ſive dos ſit, ſive donatio ante nuptias, dum parentes adhuc ſuperſunt; quod ſi altera eorum pars moriatur, in mortui bona teſtatur.

Neque filius-familias teſtatur, nec impubes, nec furioſus, nec prodigus; mutus autem & ſurdus aliquando teſtari poſſunt. B

Prius teſtamentum à poſteriori perfecto reſcinditur.

Teſtamentum elapſo decennio ne abrogetur, niſi alia perfecta facta ſit, vel in ſcriptis vel citra ſcripturam, contrariam teſtantis voluntatem indicans, in præſentia ſeptem vel quinque teſtium.

Si Teſtator moriens ſe nihil aliud poſſidere juraverit præter ea quæ in teſtamento diſpoſuit, non licet hæredi qualicunque inquiſitionem facere, & ſervum C per tormenta examinare, vel à teſtibus, qui in teſtamento reperiuntur, juramentum exigere; ſed invitus Teſtatoris juramento fidem habeat, ſi modo non deprehenſus ſit circa eandem rem aliter atque aliter jurare.

Teſtamentum citra ſcripturam conditur, cum coram ſeptem teſtibus unà conſtitutis Teſtator ſuam voluntatem declarat: quod ſi eo in loco, in quo quiſquam citra ſcripturam teſtatur, ſeptem teſtes non inveniantur, voluntatem ſuam coram quinque teſtibus & non paucioribus notam facere poteſt. D

Qui Teſtamentum ſcribit rectè in eo teſtis fit.

Teſtamentum ſeptem teſtes habere debet, Codicillus autem quinque. Qui vero in pugnâ vulneratus eſt, & dum in viâ iter facit à morte non procul abeſt, non ſolum coram tribus perſonis teſtari poteſt, ſed etiam coram duobus propter incidentem circumſtantiam.

Novella autem Imperatoris Leonis ſapientis, Sancimus, inquit, ut in omni regione & civitate etiam ab imperitis teſtamenta confirmentur, dummodo mores teſtium fidem mereantur. E Quin & numerum non ſolum ad quinque contrahimus, ſed iis in locis in quibus raros fide dignos prodire conſtat, tres quoque admitti, & teſtimonium illorum non reprobari volumus. Quære etiam xxxviii. cap. lit. K. & leges in xvi. cap. lit. M.

CAPUT IV.

De Diaconis.

F CANON xiv. Syn. vi. nec non xv. Ætates ordinandorum definientes, Presbyterum annorum triginta eſſe decernunt, etiamſi vita ejus dignitati abundè conveniat; ad exemplar enim originale & Servatoris noſtri œconomiam reſpicere oportet, qui triceſimo anno baptizatus, ſtatim docere cœpit: Diaconum autem viginti quinque annorum eſſe, Diaconiſſam xl. Subdiaconum non pauciores agere quam xx. eum vero qui ante prædictos annos ordinatur, omnimode deponi jubent.

Eoſdem etiam pro Diaconi ætate annos can. xvi.

Ὁ ἄῤῥην πληρώσας τὰ ιδʹ. ἔτη διατίθεται· ἡ δὲ θήλεια τὰ ιβʹ.

Ἐὰν πατὴρ ἢ μήτηρ, εἰς γάμον ἐκδῶσι παῖδα θήλειαν ἢ ἄῤῥενα, καὶ συμβῇ τελευτᾶν τὸν παῖδα, οὐκ ἔχει ἐξουσίαν διατίθεσθαι, εἴτε προῖξ ἐστὶν, εἴτε ὑπόβολον, ἔτι τῶν γονέων περιόντων. εἰ δὲ ἓν μέρος ἐξ αὐτῶν ἐτελεύτησεν, εἰς τὸ τοῦ θανόντος διατίθεται.

Οὔτε ὑπεξούσιος διατίθεται, οὔτε ἄνηβος, οὔτε μαινόμενος, οὔτε ἄσωτος· ἄλαλος δὲ καὶ κωφὸς ἔστιν ὅτε διατίθενται.

Ἡ πρεσβυτέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης.

Μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραδρομῇ ἡ διαθήκη· εἰ μὴ ἄρα τελείας γενομένης ἑτέρας ἐγγράφου, ἢ ἀγράφου, ἐναντίαν γνώμην τοῦ διατιθεμένου δηλούσης, ἐπὶ ἑπτὰ ἢ πέντε μαρτύρων.

Τελευτῶντος τοῦ διατιθεμένου, καὶ ἐπομνυμένου μηδὲν ἄλλο κεκτῆσθαι, εἰ μὴ ἅπερ ἐν τῇ διαθήκῃ ἐνέταξεν, οὐκ ἔχει ἄδειαν οἱοσδήποτε κληρονόμος ἐρευνᾶν καὶ βάσανον δούλων ποιεῖσθαι, ἢ ὅρκους ἀπαιτεῖσθαι τοὺς συνευρεθέντας ἐν τῇ αὐτῇ καταγραφῇ μάρτυρας. ἀλλὰ καὶ μὴ βουλόμενος πειθούσθω τῇ τοῦ τελευτήσαντος ἐξομοσίᾳ, δηλονότι μὴ φωραθέντος τοῦ διατιθεμένου ἄλλως καὶ ἄλλως ὀμνύειν ἐπὶ τῷ αὐτῷ πράγματι.

Ἄγραφος συνίσταται διαθήκη, ὅταν ἑπτὰ μαρτύρων ἅμα εὑρισκομένων, τὴν αὐτοῦ ὁ διατιθέμενος φανερώσῃ βούλησιν. εἰ δὲ ἐν ᾧ τις ἀγράφως διατίθεται τόπῳ, ἑπτὰ οὐκ εὑρίσκονται, δύναται καὶ ἐπὶ πέντε μαρτύρων οὐκ ἔλαττον, τὴν οἰκείαν φανερὰν ποιεῖν βούλησιν.

Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ.

Ἡ διαθήκη ἑπτὰ μάρτυρας ἔχειν ὀφείλει· ὁ δὲ κωδίκελλος εʹ. ὁ μέντοι ἐν πολέμῳ πληγεὶς, καὶ ἐν ὁδῷ περιπατῶν, καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, οὐ μόνον ἐπὶ τριῶν διαθήκην δύναται ποιεῖν, ἀλλὰ καὶ ἐπὶ δύο προσώπων διὰ τὴν συμβᾶσαν περίστασιν.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, θεσπίζομεν φησιν, ἐν πάσῃ χώρᾳ καὶ πόλει, καὶ ὑπ' ἀμαθῶν κυροῦσθαι τὰς διαθήκας, εἰ μόνον ἐκ τοῦ τρόπου τὸ ἀξιόπιστον οἱ μάρτυρες ἀποφέρονται· καὶ τὸν ἀριθμὸν δὲ, οὐ μόνον ἄχρι τῶν πέντε περιορίζομεν, ἀλλ' ἐν τόποις ἐν οἷς ὡς εἰκὸς συμβαίνειν σπάνιν ἀνδρῶν εἰς μαρτυρίαν ἀξίων εἰσιέναι, καὶ μέχρι τριῶν φθάνοντα τὸ εὐαπόδεκτον ἔχειν, καὶ εἶναι ἀθετήσεως κρείττω τὴν μαρτυρίαν. ζήτει καὶ τὸ ληʹ. κεφ. τοῦ Κ. στοιχείου, καὶ ἐν τῷ ιϛʹ. κεφ. τοῦ Μ. στοιχείου νόμους.

ΚΕΦ. δʹ.

Περὶ διακόνων.

Ὁ ιδʹ. τῆς ϛʹ. συνόδου κανὼν προσέτι καὶ ὁ ιεʹ. τὰς ἡλικίας ὁρίζοντες τῶν χειροτονουμένων, τὸν μὲν πρεσβύτερον ἐτῶν θεσπίζουσιν εἶναι λʹ. εἰ καὶ ὁ βίος ἐκ περιουσίας συμβαίνει τῷ ἀξιώματι· πρὸς γὰρ ἀρχέτυπον παράδειγμα τὴν τοῦ σωτῆρος χρὴ βλέπειν οἰκονομίαν, ὃς τριακοντούτης βαπτισάμενος, εὐθὺς τοῦ διδάσκειν ἀπήρξατο. τὸν δέ γε διάκονον εʹ. εἶναι καὶ κʹ. μʹ. δὲ τὴν διάκονον. τὸν δὲ ὑποδιάκονον μὴ ἐλαττόνως ἔχειν τῶν κʹ. τόν γε μὴν πρὸ τῶν ῥηθέντων χειροτονηθέντα χρόνων, ἀφειδῶς καθαιρεῖσθαι κελεύουσιν.

Τοὺς αὐτοὺς τῆς ἡλικίας τοῦ διακόνου χρόνους, καὶ ὁ ιϛʹ.

κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου ὁρίζεται· τῆς δὲ διακόνου, ὁ ιε΄. τῆς δ΄. συνόδου. ζήτει τὰ περὶ τῶν διακόνων γυναικῶν ἀκριβέστερον ἐν τῷ ια΄. κεφαλαίῳ τοῦ Γ. στοιχείου.

Καὶ ὁ μὲν τῆς ἐν Νεοκαισαρείᾳ ιε΄. τῇ ὁμωνυμίᾳ τῶν ἐν ταῖς πράξεσιν ἑπτὰ διακόνων καθυπαχθεὶς, μὴ πλείονας εἶναι τῶν ζ΄. διακόνων ἐτύπωσεν· εἰ καὶ ταῖς μείζοσι τῶν πόλεων τὴν ἐκκλησίαν ἔχον ἄστυ συναμιλλᾶται.

Ὁ δὲ τῆς ϛ΄. συνόδου ιϛ΄. τὸν παρόντα διαγράφων κανόνα, καὶ τὰ ῥητὰ τῆς βίβλου τῶν πράξεων ἐξηγούμενος, καὶ τὸν τὴν γλῶτταν παράγων χρυσοῦν, τῶν ῥητῶν τὴν διάνοιαν παντὸς μᾶλλον ἀκριβέστερον ἀναπτύσσοντα, δείκνυσι, μὴ διακόνους λέγειν ἐνταῦθα τὴν θείαν γραφὴν, τοὺς ἐν τοῖς θείοις διακονουμένους μυστηρίοις, οὐδέπω γὰρ ἦσαν, οὔτε ἐπίσκοποι, οὔτε πρεσβύτεροι, οὔτε μὴν διάκονοι, πλὴν μόνων τῶν ἀποστόλων· ἀλλ᾽ οἷς ἔμελλεν, ὅπως τρέφοιντο οἱ περὶ τοὺς ἀποστόλους ἀθροιζόμενοι καὶ πιστεύοντες· οὓς καὶ εἰς τύπον ἡμῖν γεγονέναι τῆς περὶ τοὺς δεομένους σπουδῆς τε καὶ μεταδόσεως.

Ὁ τοίνυν τῆς ἐν Νεοκαισαρείᾳ κανὼν μὴ εὐστόχως ῥηθεὶς, οὐδὲ πρὸ τῆς ϛ΄. ἐτηρεῖτο συνόδου. ὁ μὲν γὰρ Ἰουστινιανὸς πρὸ ταύτης γεγονὼς, ἑξήκοντα πρεσβυτέρους, καὶ διακόνους ἑκατὸν ἄρρενας, καὶ θηλείας μ΄. ἐν τῇ μεγάλῃ κατέστησεν ἐκκλησίᾳ. Ἡράκλειος δὲ πρὸ τῆς ϛ΄. ὢν καὶ αὐτὸς συνόδου, καὶ ἐπηύξησε τούτων τὸν ἀριθμόν. τοῦτο καὶ περὶ τὰς ἄλλας τῶν ἐκκλησιῶν ἐγίνετο, τοῦ ἐν Νεοκαισαρείᾳ κανόνος μέχρι τοῦ γραφῆναι μόνον προκόψαντος.

Ὁ δὲ τῆς πρώτης συνόδου ιη΄. κανὼν, τοὺς διακόνους ἀπείργει τῆς εὐχαριστίας μεταδιδόναι τοῖς πρεσβυτέροις, ὅτι μηδὲ προσφέρειν τοῖς διακόνοις τὴν ἀναίμακτον ἔξεστι θυσίαν, μήτε μὴν πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας αὐτοὺς ἅπτεσθαι. ὑπηρετῶν γὰρ τάξιν πληροῦσι πρὸς τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους· διὸ καὶ μετὰ τούτους τοῖς θείοις δώροις δεῖ προσιέναι, ἐκείνων αὐτοῖς μεταδιδόντων. οὐ μὴν οὐδὲ τοῦ ἱεροῦ βήματος ἔνδον, μέσον τῶν ἱερέων τοὺς διακόνους ἐπιτρέπει καθίζειν· τὸν δὲ μὴ ὑπείκοντα, παύεσθαι τῆς διακονίας κελεύει. ἀλλ᾽ ἐπὶ τῶν ἔξω τοῦ βήματος συνόδων ὁρῶμεν πολὺ πρὸ τῶν ἱερέων καθημένους τοὺς ἔχοντας ὀφφίκια διακόνους, μηδὲν ὅλως οἶμαι προσῆκον αὐτοῖς.

Περὶ τῆς τοῦ χαρτοφύλακος τιμῆς.

Μόνῳ γὰρ τῷ χαρτοφύλακι δέδοται τῆς μεγάλης ἐκκλησίας, καὶ ἐξ ἔθους μακροῦ καὶ ἐξ ἐπιτάγματος ἐγγράφου τοῦ ἀοιδίμου Βασιλέως Μανουὴλ, καὶ τῶν ἀρχιερέων, ἐν ταῖς ἔξω προκαθῆσθαι συνόδοις.

Ὁ δὲ ζ΄. τῆς ϛ΄. συνόδου ὅστις τῶν διακόνων ἐκτὸς τοῦ βήματος μετὰ πρεσβυτέρων καθήμενος, οὐ στέργει τὴν ὑφεδρίαν, ἀλλὰ τῆς προεδρίας μεταποιεῖται, τῆς θείας φωνῆς καταλιγωρῶν, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, οὐ καθαιρεῖσθαι, ἀλλ᾽ ὑποβιβάζεσθαι τοῦτον τοῦ ἰδίου ὀφφικίου κελεύει τιμῆς· ἀποσταλεὶς δὲ πρὸς τοῦ οἰκείου ἀρχιερέως εἴς τινα πόλιν, τὸν ἐκείνου τόπον ἀναπληρώσων, καὶ τὴν ἐκείνου δήπου καθέξει καθέδραν. τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἱερῶν ταγμάτων γίνεσθαι δέον, ὥστε μή τινα κοσμικῷ θαῤῥοῦντα ἀξιώματι ἢ ἐκκλησιαστικῷ ὀφφικίῳ τοῦ μείζονος καταπαίρεσθαι· τὸν ὑποδιάκονον τοῦ διακόνου τυχὸν, ἢ ἐκείνου τὸν ἀναγνώστην. ὡς ἔστι δεινὸν ἐν μὲν τοῖς κοσμικοῖς ἀξιώμασι, μὴ ἐξεῖναι τῷ ἥττονα λαχόντι τιμὴν τῶν ἐν τέλει προτιμᾶσθαι, ἡμᾶς δὲ χείρους ἐκείνων ὡς ἀτάκτους ἐν τοῖς πνευματικοῖς ἀξιώμασι φαίνεσθαι τοῖς κρείττοσιν ἢ ἐκεῖναι;

Τὰ αὐτὰ καὶ ὁ κ΄. τῆς ἐν Λαοδικείᾳ διορίζεται, ἐπίπροσθεν πρεσβυτέρου διάκονον μὴ καθέζεσθαι, εἰ μὴ πρὸς αὐτοῦ κελευσθείη. τὴν δὲ αὐτὴν ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν καὶ λοιπῶν κληρικῶν. ζήτει καὶ ἐν τῷ θ΄. κεφ. τοῦ Ε. στοιχείου κανόνα κβ΄. τῆς ἐν Λαοδικείᾳ συνόδου.

A Syn. Carthag. definit. Diaconiſſæ vero can. xv. Syn. quartæ. Quæras plenius de Diaconiſſis in cap. undec. literæ Γ.

Porro can. xv. Syn. Neocæſarienſis homonymiâ ſeptem in Actibus Diaconorum perſuaſus, non plures eſſe ſeptem Diaconis decrevit, quamvis civitas quæ Eccleſiam habet maximorum urbium æmula fuerit.

Canon autem xvi. Syn. vi. canonem præſentem corrigens, & quæ in libro Actuum dicta ſunt interpretans, & Chryſoſtomum, qui verborum ſenſum exactiſſimè ex- B plicat, adducens, oſtendit ſacram Scripturam illic Diaconos dicere, non eos qui divinis myſteriis miniſtrant, nondum enim erant Epiſcopi, vel Presbyteri, vel Diaconi, ſed ſoli Apoſtoli, verum eos qui hominibus amplectendæ fidei ſtudio ad Apoſtolos aſſiduè commeantibus alimenta proſpicerent, à quibus exemplum quoque inegenos charitatis piæque liberalitatis ad noſtra uſque tempora ductum.

Canon igitur Synodi Neocæſarienſis non apte dictus ante canonem Syn. vi. non obſervabatur. Juſtinianus enim, qui ante hanc Synodum vixit, ſexaginta Pres- C byteros, centum Diaconos, & xl. Diaconiſſas in magnâ Eccleſiâ conſtituit. Heraclius etiam, qui ante vi. Synodum vixit, eorum numerum adauxit. Idem etiam in aliis Eccleſiis factum eſt, cum canon Neocæſarienſis tantùm ut ſcriberetur profecerit.

Porro canon xviii.i. Syn. Diaconos Euchariſtiam Presbyteris tradere vetat, quia Diaconis incruentum ſacrificium omnino offerre non eſt permiſſum, nec ante Epiſcopos Euchariſtiam attingere. Miniſtrorum enim ordinem implent verſus Epiſcopos & Presbyteros, ideoque poſt eos ad divina dona accedere oportet, ipſis utique præbentibus. Quin & intra ſacrum tribunal inter Sa- D cerdotes Diaconos ſedere non permittit; eum vero qui obedire non vult à Diaconatu deſiſtere jubet. Verum in Synodis extra ſacrum tribunal plures Diaconos qui officia habent, ante Sacerdotes ſedere videmus, quod ut exiſtimo, iis non omnino convenit;

De Chartophylacis honore.

Soli enim Chartophylaci datur ex longâ magnæ Eccleſiæ conſuetudine, & ex ſcriptâ conſtitutione inclyti Imperatoris Manuelis, in congregationibus quæ fiunt E extra Synodum etiam ante Antiſtites ſedere.

Canon verò vii. Syn. vi. Quiſquis Diaconorum extra Tribunal cum Presbyteris ſedens, ſede inferiori contentus non eſt, ſed præſidentiam ſibi aſſerit, vocem divinam contemptui habens, nimirum quod *Omnis qui ſeſe extollit, humiliabitur*, eum non deponi, ſed ab officii Eccleſiaſtici honore deturbari jubet. Miſſus autem ab Antiſtite ſuo in urbem aliquam ut ejus locum impleat, ejuſdem etiam cathedram habebit. Hoc etiam in aliis Ordinibus ſacris fieri debet, ut nemo dignitati ſeculari vel officio Eccleſiaſtico fiſus ſupra majorem efferatur, Hypo- F diaconus fortè ſupra Diaconum, vel Lector ſupra iſtum. Quam indignum enim eſt; ut dum in dignitatibus ſecularibus, qui honorem minorem ſortitus eſt, præ iis qui principem locum obtinent, neutiquam honoratur, nos iis pejores in ſpiritualibus dignitatibus, quæ alios longè excedunt, moribus incompoſiti videamur?

Eadem Syn. Laodicen. can. xx. decernit, Diaconum ſc. ante Presbyterum non ſedere, niſi ab eo jubeatur. Utique & eundem honorem Diaconos à miniſtris & reliquis Clericis habere. Quæras etiam in ix. cap. lit. E. can. xxii. Syn. Laodicenæ.

A

CAPUT V.

De Digamis.

Quæras cap. iv. literæ Γ.

CAPUT VI.

Quomodo Episcopos & Presbyteros populum docere oportet. B

CANON sanct. Apost. lviii. Episcopos & Presbyteros populum sibi subditum dogmata ad rectam fidem & honestam vitam dirigentia docere jubet. Iis clamat Deus per Prophetam Ezechiel, *Si non denunciaveris neque loquutus fueris, morietur injustus in injustitiâ suâ, ejus autem sanguis de manu tuâ requiretur.* Magnus autem Paulus non solùm Episcopum sed & Presbyterum sobrium esse jubet, vigilantem sc. & non pigrum, sermonem fidelem, prout didicit, amplectentem, & populum in salutari doctrinâ adhortare, & contradicentes refellere potentem. C Episcopus enim dicitur quod ea qui sui sunt populi tanquam ex alto & excelso loco sedulò prospiciat; & ob hanc causam in templi adytis cathedra Antistitis symbolicè in sublimi loco constituitur, & Presbyteris illic ei adsistere, unàque sedere concessum est; communitur enim utrisque curæ est populi in melioribus profectus. Eos igitur, qui circa populi eruditionem negligenter affecti sunt, segregari, in negligentiâ verò perseverantes depositione puniri jubet.

Eadem etiam can. xix. Syn. vi. jubet, quem quæras in cap. xi. lit. B. D

Canon autem cxxii. Syn. Carthag. Episcopi, inquit, qui greges suos contemnunt, & salutaria non docent, moneri debent à vicinis Episcopis ut socordiam pro curâ convenienti commutent; Tempore autem sex mensium elapso, iisque in socordiâ adhuc viventibus, vicinus Episcopus regionem & populum alteri committat, qui possit & studeat doctrinâ suâ eum ad melius dirigere. Quod si propter œconomiam se silentium egisse dicat, ut hâc ratione Hæreticos aliquos ad se pertraheret, & non ad inobedientiam irritaret, tres Episcopi ad harum rerum examinationem à Provinciæ Primate eligantur, E & si hæc ita se habere ostensum sit, ab eo rursus in regionem restituatur.

Quin & can. cxxiii. Eum qui negligenter se gerit à reliquorum communione exterminat, postquam sex menses præterierint, si non fideles immo & infideles sana dogmata edoceat, nisi morbo detineatur, vel majoribus Ecclesiæ quæstionibus vacaverit, vel Magistratus horum defensor abfuerit.

Canon autem lxiv. Syn. vi. Laico, qui fidei dogmata publicè docet, F & non potiùs aures iis præbet, qui divinâ ordinatione scholam in Ecclesiâ aperiunt, quamvis omnem sapientiam in summo gradu sortitus sit, segregationem xl. dierum infligit. Privatim verò interrogantibus respondere nemo prohibebitur.

Lex.

Nullus Clericus, vel Monachus, vel miles, vel qualiscunque turbam congregans publicè circa fidem disserat, Synodum enim Chalcedonensem contumelia afficere videtur, quæ reverâ statuit, quod si Clericus sit

ΚΕΦ. έ.

Περὶ διγάμων.

Ζήτει τὸ δ΄. κεφ. τοῦ Γ. στοιχείου.

ΚΕΦ. ϛ΄.

Πῶς δεῖ διδάσκειν τὸν λαὸν, τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους.

Ο νή. τῶν ἁγίων ἀποστόλων κανὼν ἐπισκόποις καὶ πρεσβυτέροις διδάσκειν ἐπισκήπτει τοὺς ὑπὸ χεῖρα, τὰ πρὸς ὀρθοδοξίαν καὶ σεμνὸν βίον ῥυθμίζοντα δόγματα. τούτοις ὁ Θεὸς δι᾽ Ἐζεκιὴλ βοᾷ τοῦ προφήτου, εἰ μὴ διαστείλῃ μηδὲ λαλήσῃς, ἀποθανεῖται μὲν ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητηθήσεται. Παῦλος δὲ ὁ μέγας, μὴ ὅτι τὸν ἐπίσκοπον, ἀλλὰ καὶ τὸν πρεσβύτερον νηφάλιον εἶναι κελεύει, ἐγρηγορότα δηλαδὴ καὶ μὴ ἀνειμένον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, καὶ δυνατὸν παρακαλεῖν τὸν λαὸν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. ἐπίσκοπος γὰρ ὠνόμασται, παρὰ τὸ σκοπεῖν ἀκριβῶς ὡς ἐξ ἀπόπτου καὶ μετεώρου τὰ τοῦ λαοῦ· ταύτῃ τοι κἀν τοῖς ἀδύτοις τοῦ ἱεροῦ ἡ καθέδρα συμβολικῶς ἐφ᾽ ὕψους ἵδρυται τοῦ ἀρχιερέως, καὶ τοῖς πρεσβυτέροις ἐνταῦθα συνεστάναι τούτῳ καὶ συγκαθέζεσθαι δέδοται· κοινὸν γὰρ ἔργον ἀμφοῖν ἡ τοῦ δήμου πρὸς τὸ κρεῖττον ἐπίδοσις. τοὺς δὲ περὶ τὴν τοῦ λαοῦ διδασκαλίαν ὀλιγώρως διακειμένους ἀφορίζεσθαι· ἐπιμένοντας δὲ τῇ ἀμελείᾳ, καὶ καθαιρέσεως κελεύει τιμᾶν.

Ταῦτα καὶ ὁ ιθ΄. τῆς ἕκτης συνόδου κανὼν παρεγγυᾶται· ὃν καὶ ζήτει ἐν τῷ ια΄. κεφ. τοῦ Β. στοιχείου.

Ο δὲ τῆς ἐν Καρθαγένῃ ρκβ΄. τοῖς καταλιγωροῦσί φησι τῶν οἰκείων ποιμνίων ἐπισκόποις, καὶ μὴ διδάσκουσι τὰ σωτήρια, παρεγγυᾶσθαι δεῖ πρὸς τῶν πλησιοχώρων, μετατιθεμένοις τὰ τῆς ῥᾳστώνης τῆς προσηκούσης γενέσθαι σπουδῆς. ἐξήκοντος δὲ καιροῦ μηνῶν ἕξ, καὶ μετὰ ῥᾳστώνης ἔτι βιούντων, τῷ ἔγγιστα ἐπισκόπῳ, τὴν χώραν καὶ τὸν λαὸν προσανατεθῆναι, τῷ δυναμένῳ τε καὶ προθυμουμένῳ τῇ διδαχῇ τούτους πρὸς τὸ κρεῖττον ῥυθμίζειν. εἰ δὲ δι᾽ οἰκονομίαν τινὰ τὴν σιγὴν αἱρεῖσθαί φησιν, ὡς ἂν οὕτω μᾶλλον ἐνίους τῶν αἱρετικῶν ἐφελκύσηται, καὶ μὴ πρὸς ἀπείθειαν αἱρεθίσῃ, τρεῖς τῶν ἐπισκόπων ἐκλέγεσθαι παρὰ τοῦ τῆς ἐπαρχίας πρωτεύοντος, εἰς τὴν περὶ τούτων ἐπίκρισιν· καὶ εἰ ταῦθ᾽ οὕτως ἔχειν δειχθείη, πρὸς αὐτὸν αὖθις τὴν χώραν ἐπιστρέφεσθαι.

Ο δὲ ρκγ΄. καὶ τῆς τῶν λοιπῶν κοινωνίας τὸν ἀμελῶς διακείμενον ἐξοστρακίζει, μετὰ τὴν τῶν ἕξ μηνῶν παραδρομὴν, εἰ μὴ πιστοῖς, ἀλλὰ δὴ καὶ ἀπίστοις, τὰ ὑγιᾶ τῶν δογμάτων ἐνηχοίη· εἰ μήπου ἢ νόσῳ κατείληπτο, ἢ μείζοσι τῆς ἐκκλησίας ὑποθέσεσιν ἐνησχόλητο, ἢ ὁ ταῦτα διεκδικῶν ἄρχων ἀπῆν.

Ο δὲ ξδ΄. τῆς ϛ΄. συνόδου, τῷ δημοσίᾳ διδάσκοντι λαϊκῷ τὰ περὶ τῆς πίστεως δόγματα, καὶ μὴ τὸ οὖς ἐπέχοντι μᾶλλον τοῖς τῇ θείᾳ ψήφῳ διδασκαλεῖον ἐπ᾽ ἐκκλησίας ἀνοιξαμένοις, εἰ καὶ ἐπ᾽ ἄκρον ἁπάσης ἐληλάκει σοφίας, ἀφορισμοῦ εἰς μ΄. ἡμέρας τιμᾶται. ἰδίᾳ δέ τις ἀποκρίνασθαι τοῖς πυνθανομένοις οὐ κωλυθήσεται.

Νόμος.

Μηδεὶς κληρικὸς, ἢ μοναχὸς, ἢ στρατευόμενος, ἢ οἱοσδήποτε πλῆθος συνάγων, δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω· ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δὲ ὄντως διατυπώσασαν, ὥστε εἰ μὲν κληρικὸς εἴη ὁ ταῦτα

A ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπεσεῖται, εἰ δὲ στρατευόμενος τῆς στρατείας· οἱ δὲ λοιποὶ, κατὰ τὴν οἰκείαν τύχην τιμωρηθήσονται.

qui hoc fecerit, Clericorum numero excidet, ſi vero miles, exercitu, reliqui autem ſecundum ſuam fortunam punientur.

ΚΕΦ. ϛʹ.

Περὶ δικαιοσύνης.

Νόμοι.

B Δικαιοσύνη ἐστὶ, σταθερὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον.

Ἴδια δικαιοσύνης, τὸ κοσμίως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν.

Σοφία δικαιοσύνης, τὸ εἰδέναι τὰ θεῖα, καὶ τὰ ἀνθρώπινα πράγματα, καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον.

CAPUT VI.

De Juſtitiâ.

Leges.

JUSTITIA eſt conſtans & perpetua voluntas, jus ſuum cuique tribuens.

Juſtitiæ propria ſunt, honeſtè vivere, neminem lædere, jus ſuum cuique tribuere.

Juriſprudentia eſt divinarum atque humanarum rerum, juſti atque injuſti ſcientia.

ΚΕΦ. ζʹ.

Περὶ δικαστηρίων, καὶ τῶν δίκας ἐχόντων κληρικῶν τε καὶ λαϊκῶν. C

ἈΛΛ' ὁ μὲν θεῖος ἀπόστολος Κορινθίοις ἐπιστέλλων φησὶ, ὅλως ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. ὅμως γε μὴν ὁ τῆς ἐν Σαρδικῇ συνόδου τρίτος κανὼν, εἰ δίκην ἔχοιεν πρὸς ἀλλήλους ἐπίσκοποι δύο φησὶν, οἱ τῆς ἐπαρχίας ἐκείνης ἐπίσκοποι καλῶς αὐτοῖς δικαζέτωσαν· καὶ μὴ ἐξ ἑτέρας τολμάτω τις αὐτῶν ἐπίσκοπον μεταπέμπεσθαι· δόξει γὰρ ὡς ἀμαθῶν ἢ ἀδίκων τῶν ἰδίων δήπου καταγινώσκειν. τοῦ δὲ πρὸς τούτων καταδικασθέντος, καὶ αὖθις ἀδικεῖσθαι διατεινομένου, τῷ Πάπᾳ καὶ ἀμφοτέρους οἱ τῆς ἐπαρχίας πεμπέτωσαν, γράψαντες καὶ τὰ D κατ' αὐτούς· καὶ ἐπ' αὐτῷ κείσεται, ἢ τὰ τῆς ὑποθέσεως αὖθις κρίσει δοθῆναι, ἢ τὰ ἐψηφισμένα βέβαια μένειν.

Ὁ δὲ ρι. τῆς ἐν Καρθαγένῃ, ἕνα ἐπίσκοπον δυσὶ δικάζειν ἐπισκόποις δίκην ἔχουσι πρὸς ἀλλήλους οὐκ ἐπιτρέπει· ἀλλ' οὐδὲ κληρικῷ δίκην ἔχοντι μετὰ ἐπισκόπου.

Ὁ δὲ ιζʹ. τῆς δʹ. συνόδου τὰς παροικίας ἀναφαιρέτους διαμένειν κελεύει παρὰ τοῖς ἔχουσιν αὐτὰς ἐπισκόποις· εἴτε ἀγροικικαὶ εἶεν, ἐν ἐσχατιαῖς δηλαδὴ κείμεναι, καὶ ὑπὸ ὀλίγων οἰκούμεναι, εἴτε ἐγχώριοι, ἢ ὡς ἀγροῖς καὶ κώμαις E πλησιάζουσαι, καὶ πολυανθρωπίᾳ βρίθουσαι. καὶ μάλιστα εἰ τριακονταετεῖ χρόνῳ ταύτας κατέχον καὶ ᾠκονόμησαν, μή τινας βιασάμενοι, ἢ τινων παρασπάσαντες. εἰ δή που τοῦ χρόνου τούτου ἐντὸς, ἕτερος ἐπίσκοπος περί τινος παροικίας ἀμφισβητήσειε, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας τὴν ἀμφισβήτησιν λύεσθαι. εἰ δέ τις τῶν ἐπισκόπων ἀδικεῖσθαι νομίζει πρὸς τοῦ ἰδίου μητροπολίτου, ἐξεῖναι τούτῳ δικάζεσθαι ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ παρὰ τῷ θρόνῳ Κωνσταντινουπόλεως· εἴπερ δηλαδὴ τούτῳ ὑπόκεινται. οὐ γὰρ πάντων οὗτος καθίσταται δικαστής. ἐπείπερ F τοὺς τῆς Συρίας, τῷ τῆς Ἀντιοχείας ὑποκεῖσθαι νενόμισται, τοὺς δὲ τῆς Παλαιστίνης, τῷ Ἱεροσολύμων, τοὺς δὲ τῆς Αἰγύπτου, τῷ Ἀλεξανδρείας.

Τὰ αὐτὰ καὶ ὁ κεʹ. τῆς ϛʹ. συνόδου διέξεισιν.

Sanctiſſimis Presbyteris & Diaconis, ſi pro cauſâ pecuniariâ falſum teſtimonium dixiſſe deprehenſi ſint, non autem juramento mendacium confirmaverint, iis pro pœnâ ſufficiet, tribus annis à miniſterio ſeparari, & monaſteriis tradi: ſi vero mendacio juramentum adjecerint, canon eos à Sacerdotio præſcindit. Quod ſi in cauſâ criminali falſum teſtimonium dixerint, mulctati, prout à ſacris Canonibus definitur, Clero denudantur, & pœnis præterea legitimis ſubjiciuntur.

Sufficiunt ad probationem quinque teſtes, ſi ſcripta non ſint, ſi vero ſcripta ſint, ſive inſtrumenta, tres tantum ſufficiunt.

Teſtes ex auditu teſtimonium ne dicant, dicentes, ab aliquo audivimus, hunc debere, vel illum ſolviſſe; quamvis tabellarii ſint qui hæc teſtantur; in rebus enim criminalibus neceſſe eſt ipſos teſtes produci, & non eorum voces.

Teſtibus & non teſtimoniis credendum eſt: nam de criminibus ipſimet interrogantur à Judicibus, & qui non probat quod intenderat, relegatur.

Pauperes teſtes non ſunt; Pauper vero eſt, qui non habet ſubſtantiam l. ſolidorum.

Teſtimonium non dicit libertus in Patronum, ejuſve filium.

Minor viginti annis teſtis eſſe non poteſt; neque qui in publico judicio damnatus eſt, & non in integrum reſtituitur, nec qui in vinculis cuſtodiâve publicâ eſt. Nec qui ob teſtimonium dicendum aut non dicendum pecunias accepiſſe convictus fuerit, neque qui in adulterii judicio damnatur.

Filius Patri, aut Pater filio teſtis non eſt.

Nec quiſquam in re ſuâ.

Servus teſtis non eſt; ſervis enim contra Dominos dicentibus non temerè fidem adhibere oportet, quippe quod ſervus à naturâ domino inimicus ſit.

Qui in aliquem teſtimonium dixit, rurſus in eum produci non poteſt.

Teſtimonium dare prohibentur, impubes, ſurdus, mutus, inſanus, prodigus; & Filius-familias, cum Pater ejus ab alio hæres in teſtamento ſcriptus fuerit.

Exceptio ſecundùm leges multiplex eſt, ſecundum vero Rhetoras quadruplex: ab abſente, velut prodigi pater non apparet, & filius homicidii accuſatur; ab exceſſu, ut decem juvenes jurarunt ſe non uxorem ducturos, & malæ vitæ accuſantur; vel ab eo, quod quis de iis quæ alii fecerunt non teneatur, ut fortiſſimus, cujus imaginem inimici erexerunt, proditionis accuſatur; vel juxta tempus, ut timidi filius dux fortiſſimus evaſit, & uxorem ſuam adulterii accuſat.

A δίκασεν αὐτὸν εἰς συκοφαντίαν, κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς. ἂν δὲ εἴπῃ προπετῶς ἐκίνησας, ἤγουν οὐκ ἀπέδειξας, οὐ ποιεῖ αὐτὸν συκοφάντην· οὐδὲ ποινὴν ὁ τοιοῦτος ἐφίσταται.

Η γυνὴ οὐ μετέρχεται ἀνδρῷον ὀφφίκιον· οὐδὲ ἐν διαθήκῃ μαρτυρεῖ, εἰ μὴ ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. ἀλλ' οὐδὲ συνηγορεῖν ταύταις ἐφεῖται δημοσίᾳ, ἑαυταῖς δὲ μόνον συνηγοροῦσι καὶ γυνὴ καὶ τυφλός, οὗτος δὲ καὶ δικάζειν δύναται.

Η δὲ τεσσαρακοστὴ ὀγδόη νεαρὰ τοῦ Βασιλέως Λέοντος, κωλύει τὰς γυναῖκας ἐπὶ συμφώνοις καὶ συναλλάγμασι μαρτυρεῖν. ἐπὶ δὲ τοκετῶν, καὶ ἐφ' ὧν μόνη θηλειῶν ὄψις ὁρᾶν συγκεχώρηται, B ἐπιτρέπονται μαρτυρεῖν.

Εκ τῆς ρκγ'. Ιουστινιανείου νεαρᾶς.

Τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις, εἰ εὑρεθεῖεν ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, μὴ μέντοι ὅρκῳ τὸ ψεῦδος βεβαιωσάμενοι, τούτοις ἀρκέσει ἀντὶ βασάνων, ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας, καὶ μοναστηρίοις παραδίδοσθαι. εἰ δὲ καὶ τῷ ψεύδει τὸν ὅρκον προσέθηκαν, ὁ κανὼν αὐτοὺς προέκοψε τῆς ἱερωσύνης. ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν, ἐγγραψάμενοι δηλονότι ὡς τοῖς θείοις ὥρισται κανόσι, C τοῦ κλήρου ἀπογυμνοῦνται, καὶ ταῖς νομίμοις ποιναῖς ὑποβάλλονται.

Αρκοῦσι πρὸς ἀπόδειξιν ε'. μάρτυρες, ἐγγράφων μὴ ὄντων· εἰ δὲ εἰσὶν ἔγγραφα ἤτοι συμβόλαια, τρεῖς μόνον ἀρκοῦσιν.

Οἱ μάρτυρες ἀκοῇ μὴ μαρτυρείτωσαν, λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν, ἢ τόνδε καταβάλλεσθαι· κἂν εἰ ταβουλάριοι εἶεν οἱ ταῦτα μαρτυροῦντες. ἐπὶ γὰρ τῶν ἐγκληματικῶν ἀνάγκη πᾶσα παραχθῆναι τοὺς μάρτυρας, καὶ μὴ τὰς φωνὰς αὐτῶν.

Τοῖς μάρτυσι καὶ οὐ τοῖς μαρτυρίοις πιστευτέον. αὐτοπροσώπως D γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται.

Οἱ πένητες οὐ μαρτυροῦσι. πένης δέ ἐστιν ὁ μὴ ἔχων ν'. νομισμάτων περιουσίαν.

Οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ.

Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κ'. ἐτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς, καὶ μὴ ἀποκαταστάς· ἢ ἐν δεσμοῖς, ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθείς· οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι, ἢ μὴ μαρτυρῆσαι· οὔτε ὁ καταδικασθεὶς ἐπὶ μοιχείᾳ. E

Υἱὸς πατρὶ, ἢ πατὴρ υἱῷ, οὐ μαρτυρεῖ.

Οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι.

Ο δοῦλος οὐ μαρτυρεῖ, οὐ γὰρ χρὴ πιστεύειν προπετῶς τοῖς οἰκέταις λέγουσι κατὰ τῶν δεσποτῶν. φύσει γὰρ ὁ δοῦλος τῷ δεσπότῃ πολέμιος.

Ο κατά τινος ἤδη μαρτυρήσας, οὐ μαρτυρεῖ πάλιν κατ' αὐτοῦ.

Κωλύεται μαρτυρεῖν ἄνηβος, κωφὸς, ἄλαλος, μαινόμενος, F ἄσωτος, ὁ υἱὸς ὑπεξούσιος, ὅταν ὁ πατὴρ αὐτοῦ τῇ ἄλλου γραφῇ κληρονόμος ἐν διαθήκῃ.

Η παραγραφὴ, κατὰ μὲν τοὺς νόμους πολλαχῶς, κατὰ δὲ τοὺς ῥήτορας τετραχῶς γίνεται. ἀπὸ τοῦ λείποντος, οἷον ἀσώτου πατὴρ ἀφανὴς ἐγένετο, καὶ φόνου ὁ υἱὸς φεύγει. ἀπὸ τοῦ ὑπερβάλλοντος, οἷον δέκα νέοι ἐπωμόσαντο μὴ γῆμαι, καὶ φεύγουσι κακοῦ βίου. ἢ ἀφ' ὧν ἕτεροι πεποιήκασιν οὐ δεῖ κρίνεσθαι, ὡς ὁ πρωταριστεὺς, οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγων. ἢ κατὰ χρόνον, οἷον δειλοῦ παῖς ἠρίστευσε, καὶ μοιχείας κρίνει τὴν γυναῖκα.

A

Ετι περὶ τῶν ἐνδίκως καθαιρεθέντων.

Ο τέταρτος κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ὁ ὑπὸ συνόδου καθαιρεθεὶς φησιν, ἐπίσκοπος, ἔτι δὲ πρεσβύτερος, ἢ διάκονος, ὑπὸ τοῦ ἰδίου τοῦτο παθὼν ἐπισκόπου, εἰ μετελθεῖν ὁπουοῦν βουληθείη, ἃ τοῖς ἱερεῦσιν ἔθος, μὴ ἐξεῖναι τούτῳ, ἀδίκως ἔτι διατεινομένῳ παθεῖν, ἑτέρᾳ προσιέναι συνόδῳ, καὶ ζητεῖν ἐξετάσει τὰ κατ' αὐτὸν δοθῆναι, μηδὲ χώραν ἀπολογίας αὐτῷ μετεῖναι. τοὺς δέ γε συνειδότας τὴν κατ' αὐτοῦ ἀπόφασιν, καὶ κοινωνεῖν αὐτῷ τολμήσαντας, καὶ τούτους τῆς ἐκκλησίας ἐκκόπτεσθαι.

B

Ο δὲ ιβ΄. τὸν ὑπὸ τοῦ ἰδίου αὖθις ἐπισκόπου καθαιρεθέντα πρεσβύτερον, ἢ διάκονον, ἢ ὑπὸ συνόδου ἐπίσκοπον, ἀπαγορεύει προσιέναι τῷ βασιλεῖ, καὶ παρ' αὐτοῦ ζητεῖν τὴν ἐξέτασιν, ἀλλὰ μείζονι ἐπισκόπων συνόδῳ, καὶ ἃ νομίζει δίκαια ἔχειν, τούτοις προσαναφέρειν, καὶ τὴν παρ' αὐτῶν ἐξέτασιν ἐκδέχεσθαι καὶ ἐπίκρισιν. εἰ δέ τις τούτων ὀλιγωρήσας ἐνοχλῆσαι τολμήσει τῷ βασιλεῖ, μηκέτι χώραν ἔχειν ἀπολογίας, μηδὲ ἐλπίδα μελλούσης ἀποκαταστάσεως. εἰ γὰρ καὶ παντὶ καταδικαζομένῳ καὶ ἀδικεῖσθαι οἰομένῳ ἡ τῆς ἐκκλησίας βοήθεια δέδοται, ἀλλ' ἐπεί τοι γε τῶν πατριαρχῶν αἱ ψῆφοι ἐφέσει οὐχ ὑπόκεινται, ὁ πειρώμενος ἔκκλητον ὡς βασιλέα ποιήσασθαι, μετὰ τὴν τοῦ πατριάρχου ἐξενεχθεῖσαν ἀπόφασιν, τιμωρεῖται κατὰ τὸν παρόντα κανόνα.

C

Ο δὲ κη΄. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν καθαιρεθέντα δικαίως ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐπὶ ἐγκλήμασι φανεροῖς, καὶ ἅψασθαι τολμήσαντα τῆς ἀφαιρεθείσης αὐτῷ λειτουργίας, ἐκκόπτεσθαι παντάπασι κελεύει τῆς ἐκκλησίας, διά τε τυχὸν τῆς αὐθαδείας τὸ περιττὸν, καὶ ὅτι ἄλλως κολασθῆναι κανονικῶς οὐκ ἔνι τὸν ἤδη καθαιρεθέντα.

Ο δὲ ξε΄. τῆς ἐν Καρθαγένῃ δικαίως κληρικοῦ καταδικασθέντος φησὶ πρὸς τοῦ ἰδίου ἐπισκόπου, μηκέτι ἐκκλήτῳ βοηθουμένου, τοῦ κληρικοῦ δηλαδὴ, τοὺς χειρὶ χρωμένους, καὶ κωλύοντας τὴν ὁρισθεῖσαν κατ' αὐτοῦ ψῆφον τὸν ἐπίσκοπον ἐπενεγκεῖν, αἰτεῖσθαι χρὴ τὴν σύνοδον πρὸς τοῦ βασιλέως ποινῇ τούτους χρηματικῇ, καὶ ἀφαιρέσει τῆς τιμῆς ὑποβάλλεσθαι, εἴ τε τῆς ἐκκλησίας εἶεν οἱ τοιοῦτοι δήπου, εἴ τε τοῦ λαοῦ, κἂν ὁποίας ὦσι καὶ ἡλικίας καὶ φύσεως.

D

Ο δὲ πεντηκοστὸς, καὶ τῶν ἐπισκόπων τοὺς μὴ ταῖς ψήφοις ὑποκύπτοντας τῆς συνόδου, τῇ τῶν ἀρχόντων ἐξουσίᾳ κελεύει δίδοσθαι· πλὴν οὐκ ἔννομον τοὺς ἱερωμένους εἰς κόλασιν κοσμικοῖς ἄρχουσι παραδίδοσθαι, εἰ μὴ πρότερον καθαιρεθεῖεν. τοῦτο δὲ γίνεται, ἢ ὅταν μὴ δύναιτο ἡ σύνοδος ἢ τὴν οἰκείαν ἀπόφασιν εἰς ἔργον ἐξενεγκεῖν, ἢ ὅταν μέγα ᾖ τὸ ἁμάρτημα, καὶ δεῖ τῇ παρὰ τῆς ἐκκλησίας, καὶ τὴν παρὰ τῶν ἀρχόντων ἐπακολουθῆσαι κόλασιν· εἰ γὰρ εὑρεθείη τυχὸν ἱερωμένος ἐπιβουλεύων τῷ βασιλεῖ, πρὸς τῇ καθαιρέσει, καὶ τοῖς ἄρχουσι πρὸς ἐξέτασιν ἐκδοθήσεται, ὥστε καὶ κατειπεῖν τοὺς συνίστορας, ὥσπερ δὴ καὶ ἡ ῥηθεῖσα ργ΄. Ιουστινιάνειος νεαρὰ περὶ τῶν τοιούτων διακελεύεται.

E

Νόμοι.

F

Ἐπίσκοπος κανονικῶς τῆς ἱερωσύνης ἐκπεσὼν, καὶ ἐπιβαίνων τῇ πόλει ἀφ' ἧς ἐξεβλήθη, ἢ καταλιμπάνων τὸν τόπον ἐν ᾧ διάγειν ἐκελεύσθη, μοναστηρίῳ ἄλλης ἐπαρχίας ἐμβάλλεται.

Ἐπίσκοπος ἀπὸ συνόδου καθαιρεθεὶς, καὶ ποιήσας τι στασιῶδες, πρὸς τὸ αὖθις ἀναλαβεῖν τὴν ἐπισκοπὴν, ἀπὸ ἑκατὸν μιλίων ἧς ἐξεβλήθη πόλεως οἰκείτω, μηδὲ βασιλεῖ προσιτὸς ἔστω· εἰ δὲ καὶ προσιὼν ἀντίγραφα λήψοιτο, ἄχρηστα ἔστω· καὶ ὁ ἐκδικῶν αὐτὸν, ἀγανακτείσθω.

Adhuc de iis qui juſtè depoſiti fuerint.

Canon iv. Syn. Antioch. Epiſcopus, inquit, qui à Synodo depoſitus fuerit, nec non Presbyter, vel Diaconus idem à proprio Epiſcopo paſſus, ſi aliquid eorum operari voluerit, quæ Sacerdotibus facere mos eſt, ne liceat ei, quamvis ſe injuſtè pati prætendat, alteram Synodum adire, & petere, ut quæ ei objecta ſunt examinentur, aut defenſionis locum habere. Ii autem, qui ſententiam adverſus eum latam ſcientes, cum ipſo communicare auſi fuerit, ex Eccleſiâ abdicentur.

Inſuper can. xii. Presbyterum vel Diaconum à proprio Epiſcopo depoſitum, vel Epiſcopum à Synodo, Regem adire vetat, & examinationem ab eo petere, ſed ad majorem Epiſcoporum Synodum ire, & jus, quod ſe habere putat, ad eos referre, eorumque examinationem & judicium ſuſcipere. Si itaque quiſquam his contemptis, Imperatori moleſtus eſſe auſus fuerit, is defenſionis locum nullum habeat, aut ſpem futuræ reſtitutionis. Quamvis enim omni damnato, & ſe injuriâ affici credenti, Eccleſiæ auxilium conceditur, quoniam vero Patriarcharum ſententiæ appellationi non ſubjiciuntur, qui poſt latam Patriarchi ſententiam ad Regem appellationem facere conatur, juxta præſentem canonem punitur.

Porro ſanct. Apoſtol. can. xxviii. Epiſcopum, vel Presbyterum, vel Diaconum, qui juſtè ob manifeſta crimina depoſitus, miniſterium ſibi ablatum attingere audeat, ab Eccleſiâ omninò abſcindi jubet; tum ob ſummam fortè impudentiam, tum quod jam depoſitus aliter canonicè puniri nequeat.

Canon etiam lxv. Syn. Carth. Si Clericus, inquit, à proprio Epiſcopo juſtè depoſitus fuerit, nec appellationis auxilium habeat iſte Clericus, Synodum à Rege petere oportet, ut qui potentiâ utuntur, & Epiſcopum prolatam contra eum ſententiam infligere non ſinunt, pœnæ pecuniariæ, & honoris privationi ſubjiciantur, ſive ſint Eccleſiaſtici, ſive Laici, & cujuſcumque ætatis vel conditionis fuerint.

Inſuper can. l. Epiſcopos, qui Synodi ſententiis non ſubmittunt, in Magiſtratuum poteſtatem tradere jubet; verum juſtum non eſt, ut ſacrati ſecularibus magiſtratibus puniendi tradantur, niſi prius depoſiti fuerint. Hoc autem fit, vel cum Synodus ſententiam ſuam in actum redigere non poſſit, vel cum magnum fuerit peccatum, & cenſuram Eccleſiaſticam Magiſtratuum etiam pœnam ſequi oporteat. Etenim ſi ſacratus fortè inventus ſit Imperatori inſidias ſtruere; præter depoſitionem, Magiſtratui tradetur, ut examinationem ſubeat, & conſcios detegat: Quemadmodum & prædicta Juſtiniani Novella cxxiii. de iis qui ſunt ejuſmodi ſtatuit.

Leges.

Epiſcopus Sacerdotio canonicè excidens, ſi ad urbem ex qua ejectus erat proficiſcatur, vel locum, in quo morari juſſus erat, relinquat, aliùs Provinciæ monaſterio injicitur.

Epiſcopus à Synodo depoſitus, & tumultum excitans, ut Epiſcopatum recuperet, centum milliaribus longè à civitate ex quâ ejectus eſt habitet, nec ad Imperatorem adeat. Sin autem profectus literas reſcriptas habeat, eæ ſint inutiles, & qui eum defenderit, indignationem incurrat.

CAPUT IX.

Quod ob id ipſum bis vindicare non oporteat.

Canon Apoſt. xxv. Epiſcopus, inquit, vel Presbyter, vel Diaconus, fornicationis vel perjurii, vel furti convictus, deponatur, & non ſegregetur; non enim vindicabis bis in id ipſum : quare qui Sacerdotium aſſequuti ſunt, quamvis deponuntur, à fidelium tamen communione non ſegregantur cujuſcunque criminis rei fuerint. Soli autem utrâque pœnâ afficiuntur, propter ſceleris magnitudinem, qui pecuniis vel magiſtratuum potentiâ Sacerdotium, vel aliter populi præſidentiam aſſequuti ſunt: hos enim xxix. can. Apoſt. nec non xxx. eoſque qui iis communicant, non ſolum depoſitioni, ſed etiam ſegregationi ſubjiciunt.

Porro magnus Baſilius in can. xxxii. dictum in prima Epiſtolâ Catholicâ Evangeliſtæ & Theologi Joannis exponens, quod ita ſe habet, *eſt peccatum ad mortem, & eſt peccatum non ad mortem*, ait Clericos, qui peccatum ad mortem admittunt, quod ſcilicet ad actum progreditur, Sacerdotii gradu excidere, verum à Laicorum communione, quo minus cum iis precentur, non arceri, in nullo enim ex tribus pœnitentiæ locis ſtabunt, nam non vindicabis bis in idipſum. Quemadmodum enim peccatum actu admiſſum ad mortem animæ ferre dicit, fornicationem ſcilicet, vel invidiam, vel ſimilia, ſic quod ad conſultationem tantum & conſenſum progreditur, non quidem irreprehenſibile eſſe, ſed tamen mortem omnino animæ non conciliare, adeo ut depoſitionem inducat, juxta iv. can. Syn. Neocæſar. quem quæras in cap. xv. lit. Π. Neque enim fornicator judicabitur, qui fornicari propoſuit, opus vero non perfecit. Similiter de cæde cenſendum eſt, ut dicit magnus Theologus Gregorius, ſi cædis damnas homicidam ex eo ſolo quod cogitavit, & quæ ſequuntur. Dicunt autem nonnulli peccatum ad mortem eſſe, quod capitis ablationem & mortem peccatori inducit, & Sanctum exiſtimare Sacerdotem nihil præter depoſitionem ſubire debere, licet maxima peccata perpetraverit, quæ mortem ſecundum leges, & pœnam quæ capitalis dicitur inferunt.

Inſuper in can. li. Unum, inquit ſupplicium in eos qui lapſi ſunt Patres decreverunt, à miniſterio ſcilicet amotionem; ſive in gradu fuerint, & ordinationem Presbyteri vel Diaconi acceperunt, ſive in Lectoris charactere, vel Cantoris, vel Oſtiarii: non enim eos qui in majori gradu ſunt, gravius puniunt, levius vero eos qui in minori ſunt, ſed ſicut ii à Sacerdotio arcentur, ſic & Lectores ad altare ingredi, vel in ambone legere, vel ad majorem gradum promoveri prohibentur.

His conſona ſtatuens can. xxx. Syn. Carthag. Clerici, inquit, graviſſimorum criminum convicti, & propterea gradibus ſuis excidentes, à fidelium cœtu non ſegregantur; ſola enim depoſitio iis in pœnam ſufficit; Manuum vero impoſitionem aliquam, ut extra tribunal miniſterio fungantur, ſuſcipere nequeunt; neque rebaptizantur, ut exinde à crimine purgati, ſicut nonnulli putant, ad cleri gradum rurſus promoveantur: unus enim eſt ſalutaris Baptiſmus: Ideoque qui poſt depoſitionem in ambone legunt, vel preces, vel benedictionem dicunt, non ſacra faciunt. Quæras etiam in ix. cap. præſentis literæ, can. l. Syn. Carthag. Quæras etiam in xv. cap. lit. Π. can. xii. mag. Baſilii.

ΚΕΦ. θ'.

Ὅτι δὶς ἐπὶ τὸ αὐτὸ ἐκδικεῖν οὐ χρή.

Ο κε'. τῶν ἁγίων ἀποστόλων κανὼν ἐπίσκοπος φησὶ, ἢ πρεσβύτερος, ἢ διάκονος ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω· οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτὸ, οἱ γὰρ ἱερᾶσθαι λαχόντες, εἰ καθαιρεθεῖεν, ἀλλά γε τῆς τῶν πιστῶν κοινωνίας οὐκ ἀφορίζονται, κἂν οἱῳδήποτε πάθει περιπέσωσι. μόνοι γε μὴν τῶν ἐνθιωδῶν ἀμφοτέρων τιμωροῦνται διὰ περιὸν τῆς κακίας, οἱ διὰ χρημάτων ἢ δυναστείας ἀρχόντων, ἱερωσύνην ἢ προστασίαν ἄλλως λαοῦ δεξάμενοι· τούτους γὰρ ὁ κθ'. ἀποστολικὸς κανὼν, ἔτι καὶ ὁ λ'. καὶ τοὺς αὐτοῖς κοινωνοῦντας, οὐ μόνον καθαιρέσει, ἀλλὰ καὶ ἀφορισμῷ ὑποτίθησιν.

Ο δὲ μέγας Βασίλειος ἐν τῷ λβ'. κανόνι, τὴν ἐν τῇ πρώτῃ τῆς καθολικῆς τοῦ Εὐαγγελιστοῦ Ἰωάννου καὶ θεολόγου ἐκλέξας φωνὴν τὴν οὑτωσί πως διεξιοῦσαν, ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον, τοὺς τὴν πρὸς θάνατον ἁμαρτίαν φησὶν ἁμαρτάνοντας κληρικοὺς, τὴν μέχρι πράξεως δηλαδὴ προχωρήσασαν, ἐκπίπτειν μὲν τοῦ βαθμοῦ τῆς ἱερωσύνης, τῆς ἐν τῇ εὐχῇ δὲ κοινωνίας τῆς λαϊκῆς μὴ ἐξείργεσθαι· ἐν οὐδενὶ γὰρ τῶν παραδιαιρουμένων τῆς μετανοίας σταθήσονται τόπων, οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό. ὥσπερ δὲ τὴν ἔμπρακτον ἁμαρτίαν, πρὸς θάνατον λέγει φέρειν τὸν τῆς ψυχῆς, πορνείαν τυχὸν ἢ φόνον ἤ τι τῶν τοιούτων, οὕτω τὴν ἄχρι βουλῆς καὶ συγκαταθέσεως προϊοῦσαν, οὐκ ἀνεπιτίμητον μὲν εἶναι, οὐ μὴν καὶ τὸν παντελῆ τῆς ψυχῆς μεμνηστεύεσθαι θάνατον, ὥστε καὶ καθαίρεσιν ἐπάγειν, κατὰ τὸν δ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανόνα, ὃν ζήτει ἐν τῷ ιε'. κεφαλαίῳ τοῦ Π. στοιχείου. οὐ γὰρ ἂν πόρνος κριθείη, ὁ πορνεῦσαι μὲν προθέμενος, τὴν πρᾶξιν δὲ μὴ τελέσας. ὡς δὲ ἐπὶ τοῦ φονέως λογιστέον, ὥς φησιν ὁ μέγας θεολόγος Γρηγόριος, εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνου τοῦ βούλεσθαι, καὶ τὰ ἑξῆς. τινὲς δέ φασι πρὸς θάνατον εἶναι ἁμάρτημα τὸ κεφαλῆς ἀφαίρεσιν, καὶ θάνατον ἐπάγον τῷ ἁμαρτάνοντι, καὶ κρίνειν τὸν ἅγιον μηδὲν πλέον τῆς καθαιρέσεως τὸν ἱερέα ὑφίστασθαι, κἂν μεγάλων αὐτουργὸς γέγονεν ἐγκλημάτων, ἃ δὴ καὶ θάνατον κατὰ τοὺς νόμους, καὶ κεφαλικὴν τὸ δὴ λεγόμενον ἐφέλκονται κόλασιν.

Ἐν δὲ τῷ να'. μίαν ἐπὶ τοῖς παραπεσοῦσι τῶν κληρικῶν πάντων τὴν τιμωρίαν ὡρίσαντο, φησὶν, οἱ πατέρες, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τύχοιεν ὄντες, καὶ χειροτονίαν πρεσβυτέρου ἢ διακόνου ἢ ὑποδιακόνου δεξάμενοι, εἴτε ἐν ἀναγνώστου σφραγῖδι, ἢ ψάλτου, ἢ θυρωροῦ· οὐ γὰρ τοὺς μείζονος ὄντας βαθμοῦ, μᾶλλον κολάζουσι, κουφότερον δὲ τοὺς ἐλάττονι· ἀλλ' ὥσπερ ἐκεῖνοι τῆς ἱερωσύνης εἴργονται, οὕτως οἱ ἀναγνῶσται τοῦ εἰσελθεῖν εἰς τὸ βῆμα, ἢ ἐπὶ ἄμβωνος ἀναγνῶναι, ἢ εἰς μείζονα προκόψαι βαθμόν.

Τούτοις συνᾴδων καὶ ὁ λ'. τῆς ἐν Καρθαγένῃ· οἱ ἐπὶ ἀνηκέστοις φησὶν ἁμαρτήμασιν ἐληλεγμένοι κληρικοὶ, καὶ παρὰ τοῦτο τῶν οἰκείων βαθμῶν ἐκπίπτοντες, οὐκ ἀφορίζονται μὲν τῆς τῶν πιστῶν ὁμηγύρεως· ἀρκεῖν γὰρ αὐτοῖς εἰς κόλασιν τὴν καθαίρεσιν μόνην. ἀλλ' οὐδ' ἡντινοῦν χειροτονίαν, τῆς ἐκτὸς τοῦ βήματος ὑπηρεσίας οἷοί τε δέξασθαι· οὐδὲ ἀναβαπτίζονται, ὡς δῆθεν τοῦ ἐγκλήματος ἐκπλυθῆναι, ὥς τινες κακῶς οἴονται, καὶ εἰς βαθμὸν αὖθις κλήρου προκόψαι. ἓν γὰρ τὸ σωτήριον βάπτισμα. διὰ δὲ τοῦτο καὶ οἱ μετὰ τὴν καθαίρεσιν ἐπ' ἄμβωνος ἀναγινώσκοντες, ἢ εὐχὰς, ἢ εὐλογητὸν λέγοντες, οὐχ ὅσια δρῶσι. ζήτει καὶ ἐν τῷ θ'. κεφ. τοῦ παρόντος στοιχείου, κανόνα ν'. τῆς ἐν Καρθαγένῃ συνόδου. ζήτει καὶ ἐν τῷ ιε'. κεφ. τοῦ Π στοιχείου, κανόνα γ'. τοῦ μεγάλου Βασιλείου.

A

ΚΕΦ. ι'.

Περὶ τῶν διωκόντων τινὰς δι' εὐσέβειαν.

Ζήτει ἐν τῷ α'. κεφ. τοῦ Α. στοιχείου, κανόνα θ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου, καὶ τὴν πρὸς Ῥουφινιανὸν τοῦ μεγάλου Ἀθανασίου ἐπιστολήν.

ΚΕΦ. ια'.

B

Περὶ δούλων ἐλευθερίας, καὶ κληρώσεως.

Ο πε'. τῆς ϛ'. συνόδου κανὼν, ἐπὶ τῆς τῶν δούλων ἐλευθερίας μὴ πλείους τῶν τριῶν μαρτύρων παραλαμβάνεσθαι ἀξιοῖ. ἐπὶ δύο γὰρ ὥς φησιν ἡ γραφὴ ἢ τριῶν μαρτύρων πᾶν ῥῆμα βεβαιούμενον ἴσμεν.

C Ο δὲ γ'. τῆς ἐν Γάγγρᾳ συνόδου ἀγνώμονα οἴεται κομιδῆ, δοῦλον ἀναπείθειν προφάσει θεοσεβείας, καὶ ἀσκήσεως, δεσπότου καταφρονεῖν, καὶ μὴ μετ' εὐνοίας καὶ τιμῆς ὑπείκειν τούτῳ καὶ διακονεῖσθαι. ταύτητοι καὶ τὴν δικαίαν ἐνδεικνύμενος ἀγανάκτησιν, τῷ ἀναθέματι τὸν τῆς ἀγνωμοσύνης περιπέμπει διδάσκαλον. ὁ γάρ τοι θεῖος ἀπόστολος, τοῖς τὸν ζυγὸν ἕλκουσι τῆς δουλείας, διὰ Τιμοθέου παρεγγυᾶται τοὺς πάνυ· πάσης τιμῆς ἀξίους τοὺς δεσπότας ἡγεῖσθαι. εἰ δὲ καὶ πιστοὶ εἶεν οἱ δεσπόται φησὶ, μὴ καταφρονείτωσαν αὐτοὺς, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. καὶ πρὸς τὸν θεῖον αὖθις Τίτον δίδασκε δούλους οἰκείοις δεσπόταις ὑποτάσσεσθαι, καὶ ἐν πᾶσιν εὐαρέστους εἶναι· μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν.

D

Ο δὲ πβ'. τῶν ἁγίων ἀποστόλων, πᾶσαν πρόφασιν σκανδάλου περιαιρῶν, οὐκ ἐπιτρέπει δοῦλον ἀλλότριον, παρὰ γνώμην τοῦ δεσπότου κληροῦσθαι· ὅλου γὰρ οἴκου ἀνατροπή ἐσθ' ὅτε γίνεται τοῦτο, καὶ λύπης καὶ ἀθυμίας αἴτιον τῷ δεσπότῃ· ἢ γὰρ τοῦ οἴκου τοῦτον εἶχε διοικητὴν, ἢ ἐργαστηρίου προεστάμενον, ἢ χρήματα εἰς ἐμπορίαν πεπίστευτο. εἰ δὲ ἄξιος ὁ οἰκέτης ἱερατικοῦ κριθείη βαθμοῦ, κοινοῦσθαι χρὴ τὸν ἐπίσκοπον τὰ περὶ αὐτοῦ τῷ δεσπότῃ· καὶ εἰ κἀκεῖνον ἔχοι πειθόμενον, χειροτονεῖν ἀδεῶς τὸν οἰκέτην. καὶ ὁ μέγας γὰρ Παῦλος τὸν Ὀνήσιμον δοῦλον ὄντα Φιλήμονος, καί τοι εὔχρηστον αὐτῷ κριθέντα εἰς διακονίαν, ὅμως ἄνευ γνώμης τοῦ δεσπότου κατέχειν οὐκ ᾤετο δεῖν, ἀλλ' ἔπεμψεν αὐτὸν πρὸς Φιλήμονα. E

Ο δὲ δ'. τῆς δ'. συνόδου, καὶ ἀκοινώνητον εἶναι κελεύει, τὸν δεχόμενον εἰς μοναστήριον δοῦλον ἐπὶ τῷ μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου.

Νόμοι.

Ο δὲ νόμος ἀρκεῖν εἰς ἐλευθερίαν φησὶ τοῦ δούλου· τὸ, εἰδότος τοῦ δεσπότου καὶ μὴ ἀντιλέγοντος τῷ κλήρῳ αὐτὸν καταλεγῆναι.

F

Η δὲ νεαρὰ τοῦ σοφοῦ Λέοντος, τὸν κληρωθέντα δοῦλον, φησὶν, ἀγνοοῦντος τοῦ δεσπότου, ἀλλὰ μὴν καὶ τὸν μονάσαντα, καὶ τὸν γεγονότα ἐπίσκοπον, τῷ προτέρῳ δεσπότῃ καὶ ἄκοντα ἀποκαθίστασθαι, μηδὲν τῆς χειροτονίας ἀπονάμενον. οὐ μὴν ἀπεριορίστως δύναται ὁ δεσπότης ἀνακαλεῖσθαι τοῦτον, ἀλλ' ἐντὸς τριετίας μετὰ τὸ λαβεῖν αὐτὸν εἴδησιν τοῦ γεγονότος ἀριθμουμένης.

Η τῶν προσώπων ἄκρα διαίρησις αὕτη ἐστίν· ὅτι τῶν ἀνθρώπων, οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι· καὶ ἐλευθερία

CAPUT X.

De iis qui aliquos propter religionem perſequuntur.

Quæras in i. cap. lit. A. can. ix. Syn. Ancyr. & Epiſt. magni Athanaſii ad Ruffinianum.

CAPUT XI.

De ſervorum manumiſſione, & ad Clerum admiſſione.

CAN. lxxxv. Syn. vi. ad ſervorum manumiſſionem non plures tribus teſtibus ſumere jubet; in duobus enim vel tribus teſtibus, ut inquit ſcriptura, omne verbum ſtabiliri novimus.

Tertius autem Syn. Gangrenæ, Nullâ veniâ dignum exiſtimat, ut ſervus pietatis vel exercitationis prætextu dominum contemnat, & non cum benevolentiâ & honore ipſi cedat, & ſerviat; quapropter juſtam indignationem exprimens, improbitatis magiſtrum anathemate ferit. Divinus enim Apoſtolus, eos qui ſervitutis jugum trahunt per magnum Timotheum dominos ſuos omni honore dignos exiſtimare jubet: quod ſi Domini, inquit, fideles ſint, ne contemnant eos, quòd fratres ſint, ſed magis ſerviant, quoniam ſunt fideles qui bono eorum opere fruuntur. Et rurſus ad Titum ſcribens, doceas ſervos ſuis Dominis ſubjici, & in omnibus bene placentes eſſe, non contradicentes, non arrogantes, ſed fidem omnem bonam oſtendentes.

Canon vero lxxxii. ſanct. Apoſt. omnem ſcandali occaſionem tollens, non permittit ſervum ſine Domini veniâ in Clerum provehi; hoc enim totius aliquando domus everſio fit, & moleſtiam & triſtitiam domino dat: vel enim ſervus iſte domus procurator erat; vel tabernæ præpoſitus, & cujus fidei creditæ erant pecuniæ ad negotiationem. Quod ſi ſervus gradu ſacro dignus exiſtimetur, Epiſcopum de eo negotio cum Domino communicare oportet, & ſi is conſenſerit, ſervum ſecurè ordinare. Magnus etenim Paulus, Oneſimum Philemonis ſervum, cujus miniſterium ſibi utile judicabat, ſine domini voluntate detinere noluit, ſed ipſum ad Philemonem remiſit.

Inſuper iv. can. iv. Syn. excommunicari jubet eum, qui ſervum in monaſterium recipit, ut monachus fiat, ſine proprii domini veniâ.

Leges.

Lex ad ſervi libertatem ſufficere dicit, quod ſciat Dominus eum in Clerum cooptari, & non contradicat.

Novella autem Leonis ſapientis, ſervus, inquit, qui in clerum promotus eſt, neſciente Domino, & qui Monachus, vel Epiſcopus fit, ad priorem dominum invitus revertatur, nihil ab ordinatione adjutus. Dominus autem indefinitè eum revocare nequit, ſed intra triennium, à tempore quo factum reſciverit, numerandum.

Perſonarum prima diviſio hæc eſt, Homines alii ſunt liberi, alii autem ſervi; & libertas quidem eſt, facilitas facultas naturalis culibet conceſſa agendi quæ velit, niſi lex vel vis impediat. Servitus autem eſt Juris gentium conſtitutio, & hoſtile commentum, per quod aliquis alterius poteſtati ſubjicitur; quod legi naturali contrarium eſt. Natura enim omnes liberos produxit.

Rurſus liberi dividuntur dupliciter, in ingenuos, & libertos. Et ingenuus quidem eſt, qui ſtatim ac natus eſt, liber exiſtit, & ſervitutis jugum nunquam guſtavit: libertus vero, qui ex ſervo manumiſſo natus eſt.

Poteſt aliquis ſervum ſuum manumittere, vel in ſanctiſſimis Eccleſiis, vel coram Præſide, vel coram amicis quinque ad hoc vocatis, vel tribus ſubſcribentibus, vel per literas, vel in teſtamento, vel quâcunque extremâ voluntate. Et ſi ſervum ſuum perſonæ liberæ junxit, vel eum præter voluntatem ſuam junctum audiens, id patiatur.

Servus qui ſciente domino in militiam abit, manumittitur.

Qui cædem domini ſui indicat, manumiſſionem habeat pro præmio.

Pœnas dat libertus qui patroni ſui filios non honorat. Qui vero eos contumeliæ afficit, ut ingratus in ſervitutem ab eo reducitur.

Libertus Patronum pauperem enutrire cogitur.

A μέν ἐστιν, εὐχέρεια φυσική, ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύει. δουλεία δέ ἐστιν, ἐθνικοῦ νόμου διατύπωσις, καὶ πολεμία ἐπίνοια, δι᾽ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίως τοῦ φυσικοῦ νόμου. ἡ γὰρ φύσις πάντας ἐλευθέρους παρήγαγεν.

• Πάλιν οἱ ἐλεύθεροι διαιροῦνται εἰς δύο, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενὴς μέν ἐστιν, ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὤν, καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος· ἀπελεύθερος δὲ, ὁ ἐκ δούλου ἐλευθερωθέντος γεννηθείς.

Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον, ἢ ἐν ταῖς
B ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων πέντε ἐπὶ τοῦτο προσκληθέντων, ἢ καὶ μέχρι τριῶν ἀπογραφομένων, ἢ δι᾽ ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱῳδήποτε τελευταίᾳ βουλήσει. καὶ ἐὰν τὸν ἴδιον δοῦλον ἐλευθέρῳ προσώπῳ ζεύξῃ, ἢ παρὰ γνώμην αὐτοῦ ζευγνύμενον ἀκούσας, ἀνάσχηται.

Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται.

Ο μηνύων τὸν φόνον τοῦ οἰκείου δεσπότου, τὴν ἐλευθερίαν ἐχέτω ὡς ἔπαθλον.

Ποινὰς ὑφίσταται ὁ ἀπελεύθερος μὴ τιμῶν τοὺς παῖδας
C τοῦ ἰδίου πάτρωνος. ὁ δὲ ὑβρίζων, καταδουλοῦται ὑπ᾽ αὐτοῦ ὡς ἀχάριστος.

Τὸν πενόμενον πάτρωνα ἀναγκάζεται τρέφειν ὁ ἀπελεύθερος.

CAPUT XII.

De Donationibus.

Leges.

OMnis donatio, ſi perfecta fuerit, non revocatur, niſi ingratitudinis causâ.

Si qui donum acceperit, erga donantem ingratus videatur, atroces in eum injurias effundens, vel manus injuſtas ei intulerit, aut damnum maximum inflixerit, vel vitæ inſidiatus fuerit, vel omnia, quæ in donatione in ſcriptis vel ſine ſcriptis pacta ſunt, non fecerit, ſi una ex his cauſis in judicio per aſſertionem apertè probetur, factæ donationes revocentur.

Neque Impubes, nec inſanus donare poſſunt, in neutro enim eorum voluntas eſt.

Si minor aliquid ex rebus ſuis alicui donaverit, poſt lapſos XXV. annos, intra quadriennium actionem movere, & rem ſuam recuperare poteſt.

Si quis donationem ſine menſurâ alicui vel aliquibus ex filiis fecerit, neceſſe habet in ſortis diſtributione, tantam partem pro quolibet filio ex diſtributione conſervare, quanta erat, antequam pater donationem filiis eâ donatis fecerat.

ΚΕΦ. ιγ'.

Περὶ δωρεῶν.

Νόμοι.

D

ΠΑσα δωρεὰ τελεία γενομένη οὐκ ἀνατρέπεται, εἰ μὴ διὰ ἀχαριστίας.

Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς, ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον, σκαιαῖς κατ᾽ αὐτοῦ χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ, ἢ ζημίαν μεγίστην ἐπενέγκῃ, ἢ εἰς τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάντα, εἴ τι ἐγγράφως ἢ ἀγράφως γεγονότα μὴ πληρώσῃ, μία γὰρ ἐκ τούτων τῶν αἰτιῶν, ἐὰν ἐν δικαστηρίῳ κατὰ σύστασιν φανερῶς ἀποδειχθῇ, ἀνατρεπέσθωσαν αἱ γενόμεναι δωρεαί.

E Οὔτε ἄνηβος, οὔτε ἄνους δύναται δωρεῖσθαι, ἐν οὐδενὶ γὰρ πάντων ἐστὶ βούλησις.

Ἐὰν χαρίσηταί τι ἀφῆλιξ τινὶ πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν τὰ κε'. ἔτη, ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι, καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα.

Εἴ τις δωρεὰν ἄμετρον εἰς τινα, ἢ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου, τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν ἂν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο.

F

ΑΡΧΗ

ΑΡΧΗ ΤΟΥ Ε ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Περὶ ἐγγύης.

Ὁ μὲν κ'. τῶν ἁγίων ἀποστόλων κανὼν, μηδὲν περὶ διαφορᾶς ἐγγύης διαστειλάμενος, ἀπροσδιορίστως κελεύει τὸν ἐγγύας διδόντα κληρικὸν, καὶ καθαιρεῖσθαι. δίδωσι δέ τις ἐγγύας ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἄλλου. καὶ εἰ μὲν εἰς δικαστήριον ἀχθεὶς ὁ κληρικὸς, καὶ ἐγγύας εἰσπραττόμενος δοίη, τοῦ μὴ ἀποδρᾶναι τυχὸν, οὐδὲν περὶ τὸ οἰκεῖον ἀξίωμα ζημιωθήσεται.

Ἐπεὶ καὶ οἱ ἐν τῇ οἰκουμενικῇ τετάρτῃ συνόδῳ θεῖοι πατέρες, ὡς ὁ λ'. αὐτῆς διέξεισι κανὼν, καὶ οἱ συνιόντες τούτοις ἐκ τῆς συγκλήτου, ἐγγύας ἀπῄτησαν τοὺς ἀπ' Αἰγύπτου ἐπισκόπους προεδρίας χάριν, ἢ τούτων ἀποροῦντας ἐξωμοσίαν ποιήσασθαι, ὑπέρθεσιν ζητοῦντας καιροῦ· καὶ οὐδὲν οὐδενὶ βλάβος ἐκ τούτου γεγένηται. τρισκαίδεκα γὰρ ὄντες οἱ ἐξ Αἰγύπτου ἀρχιερεῖς, γράμμασιν οὐκ ἐπείθοντο τὰ τῇ ἁγίᾳ δογματισθέντα συνόδῳ ὑποσημείνασθαι, εἰ καὶ τοὺς περὶ Διόσκορον καὶ Εὐτυχέα, σὺν ἅμα τοῖς ἄλλοις, τῷ ἀναθέματι καθυπέβαλον. παρῃτοῦντο γὰρ, οὐχ ὡς ἀπαρεσκόμενοι τοῖς δρωμένοις, ἀλλὰ τὸ ἔθος ἔχειν ὡς ἔλεγον μηδὲν πράττειν ἐκκλησιαστικὸν δίχα γνώμης τοῦ σφῶν αὐτῶν Πατριάρχου, τοῦ τῆς Ἀλεξανδρείας δηλαδὴ, οὗ τηνικαῦτα ὁ θρόνος ἐκεῖνος χηρεύων ἦν. καὶ ἀμέλει καιρὸν ᾐτοῦντο σφίσι δοθῆναι, μέχρις ἂν Ἀλεξανδρείας ἐπίσκοπος γένηται. καὶ οἱ μὲν τῆς συνόδου θεῖοι πατέρες τὴν ἀναβολὴν ὑποπτεύοντες, οἷοί τε καθαίρεσιν ἐκείνων καταψηφίζεσθαι· οἱ δὲ τῆς συγκλήτου, μένειν αὐτοὺς ἐπὶ τοῦ οἰκείου σχήματος ᾤοντο δεῖν, εἰ δοῖεν ἐγγύας μὴ ἀποδρᾶναι· ἢ τούτων ἀποροῦντας, ἐξωμοσίαν ποιήσαιντο· ὅπερ ἤρεσε καὶ τῇ τῶν πατέρων συνόδῳ. ἐξωμοσία δέ ἐστι, τὸ ἔξω τῶν ε'. ὅρκων ὀμόσαι, τῶν ἐμπεριειλημμένων τῷ νόμῳ, ἢ εἰς τὴν κεφαλὴν τοῦ βασιλέως τυχὸν, ἢ εἰς τὴν οἰκείαν σωτηρίαν. ἀλλὰ ταῦτα μὲν ταύτῃ συμβέβηκεν. εἰ μέν τοι τὰς ἐγγύας ὑπὲρ ἑτέρου τις δοίη· εἰ μὲν αἰσχροῦ κέρδους χάριν, τοῦτο καὶ τοῖς θείοις κανόσι καὶ τοῖς νόμοις ἀπείρηται. καὶ δείκνυται ἐκ τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς οὕτω θεσπιζούσης.

Νόμος.

Ἀλλ' οὐδὲ ἀπαιτητὴν δημοσίων συντελειῶν, ἢ ἐκλήπτορα, ἢ μισθωτὴν τελῶν, ἢ ἀλλοτρίων κτήσεων, ἢ κουράτορα οἴκου, ἢ ἐντολέα δίκης, ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν, ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ, ἢ μοναχὸν ἰδίῳ ὀνόματι, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου ὑπεισιέναι συγχωροῦμεν· ἵνα μὴ διὰ τῆς προφάσεως ταύτης, καὶ ἁγίοις οἴκοις ζημία γένηται, καὶ αἱ θεῖαι ὑπηρεσίαι ἐμποδίζωνται. καὶ ταῦτα μὲν ἡ νεαρά.

Εἰ δὲ ἀγάπη τὸ κινοῦν εἴη, δι' ἣν καὶ τὰς ψυχὰς ἡμῶν τιθέναι ὑπὲρ τῶν ἀδελφῶν ἐντετάλμεθα, οἷον εἰ ἑλκόμενόν τινα, καὶ ἐγγύας ἀπαιτούμενον ὑπέρ τινος παραστάσεως, καὶ τῷ μὴ δύνασθαι δοῦναι εἰς εἱρκτὴν ἀπαγόμενον, τόν τις κληρικῶν ἐλεήσας, ἐγγύας ὑπὲρ αὐτοῦ δοίη, μὴ ὅτι καθαιρέσεως, ἀλλὰ καὶ λαμπρῶν ἀξιωθήσεται τῶν γερῶν, οἶμαι, παρὰ τῷ δικαίῳ κριτῇ, ὡς εὐαγγελικὴν πεπληρωκὼς ἐντολήν.

Νόμος.

Ὁ δὲ νόμος τοὺς κληρικοὺς δικαζομένους, ἐγγύας κελεύει διδόναι.

INITIUM LITERÆ E.

CAPUT I.

De Fidejuſſione.

CANON xx. ſanct. Apoſtolorum inter diverſas fidejuſſiones nihil diſtinguens, indefinitè jubet, Clericum fidejubentem deponi. Fidejubet autem aliquis vel pro ſe, vel pro alio; & Clericus ſi ad judicium tractus, ſatisdationem coactus, præſtet, forte quod non aufugiet, de dignitate ſuâ in periculum non veniet.

Quandoquidem in œcumenicâ quartâ Synodo divini Patres, & qui unà ex Senatu convenerant, ab Ægyptiis Epiſcopis fidejuſſiones judicio ſiſtendi causâ exigebant, vel ab iis, qui ſatisdationibus deſtituebantur, juramenti ſuſceptionem, dum tempus dilationis quærunt, nullus exinde damnum aliquod ſuſtinuit. Cum enim tredecem eſſent ex Ægypto Antiſtites, noluerunt quæ à ſanctâ Synodo definiebantur, ſcriptis confirmare, quamvis Dioſcorum & Eutychetem cum aliis anathemati ſubjicerent. Id enim recuſarunt, non quod ea quæ facta erant minus probarent, ſed quod conſuetudinem ut aiebant, haberent, nihil de rebus Eccleſiaſticis conſtituere inconſulto Patriarchâ ſuo, Alexandrino ſcilicet, cujus tunc temporis thronus vacuus erat. Tempus itaque ſibi dari poſtulabant, donec Epiſcopus Alexandrinus factus eſſet. Verum Synodi divini Patres cunctationem ſuſpicantes, depoſitionem eorum ſtatuerunt; ſed Senatores, eos in proprio habitu manere oportere cenſebant, ſi ſatisdationes darent ſe non aufugituros, vel ſi iis deſtituerentur, juramentum ſuſciperent; quod Patrum Synodo placuit. Ἐξομοσία autem dicitur, cum quis extra quinque jurisjurandi ſpecies lege ſtatutas, juramentum ſuſcipit, per caput forte Imperatoris, vel per ſuam ſalutem. Atque hæc quidem ita contigerunt. Si vero quiſquam pro alio fidejubeat, turpis ſcilicet lucri gratiâ, id à ſanctis canonibus & legibus vetatur. Oſtenditur autem ex Novella Juſtiniani cxiii. quæ ſic ſtatuit.

Lex.

Sed nec publicorum tributorum exactorem, vel receptorem, vel vectigalium aut poſſeſſionum alienarum receptorem, vel curatorem domus, vel cauſæ procuratorem, vel pro his cauſis fidejuſſorem, Epiſcopum, vel Oeconomum, vel alium Clericum cujuſcunque gradus, vel Monachum proprio nomine, vel Eccleſiæ, aut Monaſterii eſſe permittimus; ne hoc prætextu ſanctis quoque domibus detrimentum afferatur, & divina miniſteria impediantur. Et hæc quidem Novella.

Quod ſi ex charitate moveatur, propter quam animas noſtras pro fratribus noſtris deponere jubemur, ut ſi quis trahatur, & ab eo de cauſâ aliquâ fidejuſſiones exigantur, & quod non dederit, in carcerem abiturus ſit, ejus autem Clericus miſertus fidejuſſiones pro eo det, non tantum non deponetur, ſed pulcherrima præmia accipiet, à judice ſcil. juſto, ut qui mandatum Evangelicum impleverit.

Lex.

Jus autem civile Clericos in jus vocatos ſatisdare jubet.

A Prædicta autem Juſtiniani Novella Clericos in jus vocatos fidejuſſiones non dare jubet, ſed promiſſionem pignoratitiam facere ſine juramento, Epiſcopos vero in jus vocatos, nec fidejuſſiones dare, nec promiſſionem facere.

CAPUT II.

De conſuetudinibus Eccleſiæ non ſcriptis.

Magnus Baſilius in Epiſtola ad Diodorum, B conſuetudinem non ſcriptam legis vim habere ait, quod à ſanctis viris ritus nobis traditi fuerint.

In capite autem xxvii. eorum quæ ad beatum Amphilochium de ſancto Spiritu ſcripta ſunt, dogmatum, inquit, & prædicationum quæ in Eccleſiâ ſervantur, alia quidem ex doctrinâ ſcriptâ habemus, alia vero ex traditione Apoſtolorum nobis data in myſterio ſuſcipimus; quæ utraque eaſdem ad pietatem vires habent. His autem nemo contradicet, qui rituum Eccleſiaſticorum vel minimam experientiam habuerit, ſi enim non ſcriptas conſuetudines, tanquam magnam C poteſtatem non habentes, recuſare voluerimus, in rebus principalibus ipſum Evangelium imprudentes damno afficiemus, vel potius id quod enunciatum eſt ad nudum nomen redigemus. Velut figurâ crucis ſignari, aut ad orientem verti inter orandum, quis per literas docuit? pauci enim ſcimus, quod antiquam patriam quærimus, Paradiſum quem Deus plantavit in Eden ab Oriente. Et preces quidem ſtantes peragimus in primâ Sabbatorum, rationem autem non omnes ſcimus: non ſolum enim, ut qui cum Chriſto conſurreximus, quæ ſupra ſunt quærere debemus, ſed quod videatur eſſe quodammodo ſeculi quod expectatur imago, D cum ipſa circulariter vertens prima ſit & octava. Neceſſariò igitur orationes in eâ ſtantes peragimus, ut aſſiduâ commonitione vitæ nunquam deſituræ, viaticum ad eam transmigrationem non negligemus.

De Pentecoſte.

Porro tota quoque Pentecoſte eſt reſurrectionis, quæ in ſeculo expectatur, monumentum. Unus enim ille & primus dies ſepties ſeptuplicatus, ſeptem ſacræ Pentecoſtes hebdomadas efficit. Et propterea magnus iſte Baſilius preces propitiatorias de Spiritus ſancti adventu E optimè omnium, prout Theologum decet, componens, & dum iſtæ pronunciantur, populum geſtu ſervili genuflectere jubens, divinæque naturæ poteſtatem ſpiritui competentem exinde atteſtans, non cenſebat eas legendas eſſe horâ tertiâ diei Dominicæ à Paſchate Quinquageſimæ, quâ horâ & die Spiritus ſanctus in Apoſtolos deſcendit. Abſurdum enim eſt exiſtimare, quod qui Spiritus myſteria interpretatus eſt, & in Eccleſiâ leges dat, prædictæ Dominicæ & Pentecoſtes privilegia magnis myſteriis annexa deſtrueret. Idcirco ad veſperam ejuſdem diei harum precum lectionem reſervabat, quo tempore præcipua dierum, ſcilicet Pentecoſte finitur, F & ſecunda dies initium ſumit; etenim à ſeptimâ horâ initium uniuſcunque diei ſequentis numerari ſolet; ita enim non ſolum Eccleſiæ, & legibus civilibus, ſed & Aſtronomiæ quoque peritis viſum eſt: quamvis lectio iſtarum precum in veſperâ plurimos in errorem induxit, ut diei ſecundo Spiritus deſcenſum aſcriberent, qui eſt dies poſt feſtum, ſicut & reliqui iſtius ſeptimanæ. Inſuper in quo die vetus lex tradebatur (erat autem iſte Pentecoſte) in eo Parakleti deſcenſus contigit, unde unum & eundem fuiſſe legis veteris & novæ

Ἡ δὲ ῥηθεῖσα Ἰουστινιάνειος νεαρὰ, τοὺς κληρικοὺς δικαζομένους κελεύει μὴ διδόναι ἐγγύας, ἀλλ' ὁμολογίαν ποιεῖν ἐνυπόθηκον ἄνευ ὅρκου· τοὺς δὲ ἐπισκόπους δικαζομένους, μήτε ἐγγύας διδόναι, μήτε ὁμολογίαν ποιεῖν.

ΚΕΦ. β'.

Περὶ ἐθῶν τῆς ἐκκλησίας ἀγράφων.

Ὁ μέγας Βασίλειος, ἐν μὲν τῇ πρὸς Διόδωρον ἐπιστολῇ, τὸ ἄγραφον ἔθος, νόμου δύναμιν ἔχειν φησὶ, διὰ τὸ ὑπὸ ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι.

Ἐν δὲ τῷ κζ'. τῶν πρὸς τὸν μακάριον Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος γεγραμμένων κεφαλαίων, τῶν ἐν τῇ ἐκκλησίᾳ φησὶ φυλαττομένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἀγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα, ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς θεοσέβειαν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιϊστάντες τὸ κήρυγμα. οἷον τῷ τύπῳ τοῦ σταυροῦ κατασημαίνεσθαι, τίς ὁ διὰ γράμματα διδάξας, ἢ τὸ πρὸς ἀνατολὰς ἐπεστράφθαι κατὰ τὴν προσευχήν; ὀλίγοι γὰρ ἴσμεν, ὅτι τὴν ἀρχαίαν ζητοῦμεν πατρίδα, τὸν παράδεισον ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲν κατὰ ἀνατολάς. καὶ ὀρθοὶ πληροῦμεν τὰς εὐχὰς τῇ μιᾷ τῶν σαββάτων, τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλομεν, ἀλλ' ὅτι καὶ δοκεῖ πως αὕτη προσδοκωμένου αἰῶνος εἶναι εἰκὼν, μία οὖσα ἡ αὐτὴ ἀνακυκλουμένη καὶ ὀγδόη. ἀναγκαίως τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτες ἀποπληροῦμεν, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς, τῶν πρὸς τὴν ἀνάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν.

Περὶ τῆς Πεντηκοστῆς.

Καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ, τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα· ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. διὰ δὲ τοῦτο, καὶ ὁ μέγας οὑτοσὶ Βασίλειος, τὰς ἱλαστηρίους εὐχὰς, ἐπὶ τῇ τοῦ ἁγίου πνεύματος ἐπιδημίᾳ, ἄριστα πάντων θεολογήσας τε καὶ συνθέμενος, καὶ δουλικῷ τῷ σχήματι κλίνειν γόνυ παρεγγυήσας τῷ λαῷ, τούτων ἔσω ἐκκλησίας ἐκφωνουμένων, τὴν αὐθεντίαν τῆς φυσικῆς θεότητος προσμαρτυρῶν κἀντεῦθεν τῷ πνεύματι, οὐκ ᾤετο δεῖν ταύτας ὑπαναγινώσκεσθαι τῇ τρίτῃ ὥρᾳ τῆς κυριωνύμου καὶ Πεντηκοστῆς τοῦ Πάσχα ἡμέρας, καθ' ἣν ὥραν τε καὶ ἡμέραν τὸ πανάγιον πνεῦμα τοῖς ἀποστόλοις ἐπεδήμησεν. οὐ γὰρ ἦν σῶζον λόγον, τὸν ὑποφήτην τῶν ὀργίων τοῦ πνεύματος, καὶ τῆς ἐκκλησίας τὸν νομοθέτην, τῆς κυριακῆς ὁμοῦ καὶ Πεντηκοστῆς τὰ ῥηθέντα λύειν πρεσβεῖα, μεγάλων μυστηρίων ἐξηρτημένα. ταύτῃ τοι καὶ τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας, τούτων ἐταμιεύσατο τὴν ἀνάγνωσιν, καθ' ἣν ἥ τε κυρία τῶν ἡμερῶν, καὶ ἡ Πεντηκοστὴ, τέλος ἤδη λαμβάνει, αἱ δὲ τῆς δευτέρας ἡμέρας ἀρχαὶ καταβάλλονται· ἀπὸ ἑβδόμης ὥρας τὰς ἀρχὰς τῆς ὑστεραίας ἑκάστης εἰωθὸς δήπου λογίζεσθαι. τοῦτο γὰρ οὐχ ὅπως τῇ ἐκκλησίᾳ, ἀλλ' ἤδη καὶ τοῖς πολιτικοῖς δοκεῖ νόμοις, καὶ τοῖς τῇ ἀστρολογίᾳ ἐσχολακόσιν. εἰ καὶ πλάνον τοῖς πολλοῖς ἐνῆκεν ἡ τῶν εὐχῶν ἀνάγνωσις ἐπὶ τῆς ἑσπέρας, τῇ δευτέρᾳ τὴν τοῦ ἁγίου πνεύματος ἐπιφοίτησιν ἐπιγράφεσθαι, ἡ δὲ ἐστι μεθέορτος, ὡς γε δὴ καὶ αἱ καθεξῆς ἡμέραι τῆς αὐτῆς ἑβδομάδος. καθ' ἥν τε ἡμέραν ὁ παλαιὸς ἐδίδοτο νόμος, πεντηκοστὴ δὲ ἦν αὐτὴ, κατ' ἐκείνην καὶ ἡ τοῦ Παρακλήτου ἐπιφοίτησις, καὶ ἕνα καὶ τὸν αὐτὸν ἐντεῦθεν τῆς παλαιᾶς καὶ τῆς νέας νομοθέτην γνωρίζεσθαι. καὶ αὖθις φησὶ, καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν, ἔργῳ δεικνύμενον, ὅτι διὰ τῆς ἁμαρτίας εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας αὖθις τοῦ κτίσαντος ἡμᾶς, εἰς οὐρανὸν ἀνεκλήθημεν. τὰ δὲ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου τῆς εὐλογίας, τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; οὐ γὰρ τούτοις ἀρκούμεθα ὧν ὁ ἀπόστολος, καὶ τὸ εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ προλέγομεν, καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. τὸ, εὐλογεῖν τὸ ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον, ἀλλὰ αὐτὴν τὴν τοῦ ἐλαίου χρῖσιν, καὶ τὰ ὅσα περὶ τὸ βάπτισμα, τὸ ἀποτάσσεσθαι τῷ σατανᾷ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριέργῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς ἐκεῖνοι δεδιδαγμένοι τῶν μυστηρίων τὰ σεμνὰ σιωπῇ διασώζεσθαι; ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἦν εἰκὸς τὴν διδασκαλίαν θριαμβεύειν ἐν γράμμασι; οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων ἐθῶν παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν τῶν δογμάτων τὴν γνῶσιν, εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. ἄλλο μὲν γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα· τὰ μὲν γὰρ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται. σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν, πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. καὶ ἀποστολικὸν δὲ οἶμαι, τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν· ἐν γοῦν τῇ πρὸς Θεσσαλονικεῖς α'. ἄρα οὖν ἀδελφοὶ στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγων, εἴτε δι' ἐπιστολῶν. τοῦτο πάλιν ὁ θεῖος ἐξηγούμενος Χρυσόστομος, ἐντεῦθεν, φησι, δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως. ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτα ἐστὶν ἀξιόπιστα, ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα· παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει.

A legislatorem indicatur. Et rursus dicit, In unaquaque genuflexione & aſſurrectione reipſâ oſtendimus, quod propter peccatum in terram delapſi ſumus, & per ejus qui nos creavit clementiam in cœlum revocati ſumus. Porro invocationis verba quæ in oſtenſione panis Euchariſtiæ, & calicis benedictionis dicuntur, quis ex Sanctis nobis ſcripta reliquit? Non enim iis utique contenti ſumus, quorum Apoſtolus vel Evangelium meminit, ſed & præfamur, & alia ſubjungimus, ut quæ magnam vim habeant ad myſterium, ex non ſcriptâ doctrinâ id accipientes. Aquam Baptiſmi benedicere, & unctionis oleum, ipſum etiam qui baptizatur, B ipſamque inſuper olei unctionem, & alia quoque quæ circa Baptiſmum fiunt, renunciare Satanæ & Angelis ejus, ex quânam ſunt ſcripturâ? Nonne ex hâc non publicatâ & arcanâ doctrinâ, quam in minimè curioſo & nequaquam plus quam oportet inveſtigante ſilentio Patres cuſtodierunt, rectè illi edocti quæ ſunt in myſteriis præclara & veneranda ſilentio ſervare? Quæ enim ne ſuſpicari quidem licet iis, qui non ſunt myſteriis initiati, quomodo conſentaneum eſt eorum doctrinam in ſcriptis triumphare? Hæc eſt eorum quæ non ſcripta ſunt traditionis ratio, ut ne ſæpius agitata dogmata cognitio multis vilis & contemnenda C reddatur propter conſuetudinem. Aliud eſt enim dogma, & aliud prædicatio; dogmata enim tacentur, prædicationes vero publicantur. Eſt autem etiam ſilentii ſpecies obſcuritas, quâ utitur ſcripturâ, quæ reddit dogmatum ſententiam contemplatu difficilem, ad eorum utilitatem qui in ea incidunt. Quin & Apoſtolicum eſſe exiſtimo, in traditionibus non ſcriptis permanere; In primâ enim Epiſt. ad Theſſalonicenſes, State igitur fratres, & traditiones ſervate, quas didiciſtis, ſive per ſermones, ſive per Epiſtolas. Hoc inſuper D. Chryſoſtomus explicans, Exinde, inquit, manifeſtum eſt, quod non omnia per Epiſtolas tradiderunt, D ſed multa ſine ſcriptis. Similiter tam hæc quam illa fide digna ſunt, ut traditionem Eccleſiaſticam fide dignam cenſeamus; Traditio eſt, nihil amplius quæras.

ΚΕΦ. γ'.

Περὶ ἐθῶν Ἑλληνικῶν.

Ο ξβ'. τῆς ϛ'. συνόδου κανὼν, τὸ ἑλληνικοῖς ἔθεσι τοὺς πιστοὺς προσανέχειν, τῶν ὀλεθρίων ἡγεῖται. καλάνδας γοῦν, καὶ βοτὰ, καὶ βρουμάλια, καὶ τὰ τοιαῦτα μέμνηται, ἅτινα ἐν οἷς τελετὰς ἄγειν τοῖς Ἕλλησιν εἴθιστο. καὶ ἡ μὲν τῶν καλανδῶν ἑορτὴ ἐτησίως ἐν τῇ α'. τοῦ Ἰαννουαρίου ἐτελεῖτο μηνὸς, τῷ τηνικαῦτα τὴν σελήνην ἀνακαινίζεσθαι, καὶ τὸν θεμέλιον ταύτης αὐτόθεν ψηφίζεσθαι, οἰόμενοι μετ' εὐθυμίας τὸν ὅλον διάγειν χρόνον. εἰς τρία δὲ διῄρουν οἱ Ῥωμαῖοι τῶν μηνῶν τὰς ἡμέρας· καὶ τὰς μὲν ὠνόμαζον καλάνδας· τὰς δὲ, νόννας· τὰς δὲ, εἰδούς. τὰ δέ γε βοτὰ τῷ Πανὶ, ὡς ὁ λῆρος ἔχει, ἀνεῖντο, οἷα τῶν βοτῶν, ἤτοι τῶν προβάτων ἐφόρῳ. τὰ μέν τοι βρουμάλια, ἢ ῥουσάλια, καὶ τὸ σήμερον εἶναι μετὰ τὸ ἅγιον Πάσχα ἐν ταῖς ἀγροίκαις γινόμενα ἴδοι τις ἂν, ἅπερ ἐτελοῦντό ποτε τῷ Διονύσῳ παρὰ τοῖς Ἕλλησι. βρόμιος γὰρ παρ' αὐτοῖς τούτῳ ἐπίθετον. περιαιρεθῆναι δὲ βούλεται ὁ κανὼν, καὶ τὴν ἐν τῇ α'. τοῦ Μαρτίου τελουμένην ἑορτὴν, ἑλληνικὴ δὲ ἦν καὶ αὕτη, ὑπὲρ τῆς τῶν ὡρῶν τάχα καὶ τοῦ ἀέρος εὐκρασίας. κωλύει καὶ τὰς τῶν γυναικῶν δημοσίας ὀρχήσεις, ὡς πρὸς ἀκολασίαν ἐρεθιζούσας· καὶ τὸ γυναικείαν στολὴν τοὺς ἄνδρας ἐνδύεσθαι, ἢ γυναῖκας τὴν ἀνδράσιν ἁρμόζουσαν, ὥς γε δὴ ἔδρων οἱ τῷ Διονύσῳ βακχεύοντες. ἔτι τε προσ-

CAPUT III.

De Moribus Græcanicis.

SEXAGESIMUS ſecundus vi. Syn. can. Fideles E Græcanicis moribus inniti, pernicioſum ducit. Calendas itaque, & Bota, & Brumalia, & hujuſmodi alia meminit, in quibus Græci myſteria celebrare ſolebant. Et feſtum quidem Calendarum in prima Januarii menſis die quotannis celebrabatur, eò quòd tunc temporis Luna renovetur, & ejus fundamentum abhinc ſtatuitur, quod totum tempus ſe jucundè transacturos exiſtimabant. In tria verò menſium dies diviſerunt Romani: alias quidem Calendas nominarunt; alias verò Nonas; alias autem Idus. Bota equidem Pani, ut habet fabula, dedicarunt, tanquam pecoribus & ovibus proſpicienti. Brumalia autem vel Ruſalia, etiam hodie à Ruſticis poſt ſanctum Paſcha celebrari F videantur, quæ Baccho à Græcis celebrata fuerunt. Bromius enim apud illos eſt illi epithetum. Tolli etiam vult can. & feſtum in prima Martis die celebratum, pro anni forſan tempeſtatum & aeris temperie, nam Græcum erat & hoc. Et publicas mulierum ſaltationes, tanquam ad libidinem excitantes, prohibet; & muliebrem veſtem viros, vel veſtem viro convenientem mulierem induere, ut quidem fecerunt, qui Baccho feſtum agebant. Porro & perſonas comicas induere, quæ ad quoſdam ſcommate perſtringendos

A dos exercentur : vel tragicas, quæ movent affectus & inferunt luctus : vel ſatyricas, quæ in Bacchi honorem à Satyris & Bacchis celebrantur. Bacchi verò nomen in torcularibus invocare, & vino doliis infuſo cachinnari, quomodo non eſt vehementer impium ? Canon quidem eos, qui ſcienter hoc faciunt, ſi ſint quidem Clerici, deponi; ſi vero Laïci, ſegregari jubet.

Sexageſimus vero quintus can. illud, quod fit circa novilunia, hoc eſt, rogos in plateis accendere, & ſupra illos ſaltare, ut Græcam impietatem exhiben- B tes, omnino tolli jubet. Qui verò hoc facere deprehenditur, ſi Clericus quidem ſit, deponatur: ſin vero Laicus, ſegregetur. Et hoc veteri lege eſſe vetitum ex quarto Regum oſtenditur; illic dicitur. Et ædificavit Manaſſes altare univerſæ cœli militiæ, & filios ſuos per ignem traduxit, & auguriis auſpiciiſque uſus eſt, & fecit ventriloquos, & divinatores multiplicavit, & fecit malum coram Domino, ut illum ad iram provocaret. In noviluniis igitur, mos erat & Judæis & Græcis feſtum celebrare & genuflectere, ut totum menſis reſiduum feliciter tranſigerent; de quibus & Deus aliquando locutus eſt per Prophetam, Novilunia ve- C ſtra & Sabbata odio habet anima mea : ut igitur & in eorum loco per Dei gratiam, preces propitiatoriæ & ſanctificationes à fideli populo Deo peraguntur, & aquâ benedictionis inungimur. Qui verò rogos accendebant, ſuper illos ſaltabant, exiſtimantes forſan, quòd, quæ prius illis accidiſſent mala, quaſi combuſta evanida fieri, poſtea verò in meliora inciderent. Per militiam quidem cœli intelligenda ſunt aſtra : & divini quoque illi Patres, illud, traduxit per ignem, pro hoc, juſſit filiis tranſilire, acceperunt. Sanctus verò Cyrillus Alexandriæ Epiſcop. Prophetam Eſaiam explicans, interpretatus eſt illud, pro hoc, Dæmoni- D bus ſuis holocauſtum obtulit. Sors autem eſt per ſigna quædam divinatio, quando quis vult propriam addiſcere fortunam. Auſpicium verò eſt, cum volatus avium & clangor obſerventur : quæ obſervatio à Græcis *οἰωνοσκοπία* dicebatur. Ventriloqui autem, Aruſpiceſque dicuntur, qui Satanicè afflati, prædicunt ea, quæ cognoſci non poſſunt, quales ſunt Athingarum mulieres, & quæ per hordea auſpicantur. Si igitur ab iis, qui minùs perfectam vivendi legem acceperunt, hæc iniqua eſſe, & iram Domini provocare, exiſtimantur: quanto magis nobis, qui magis perfectam magiſque ſpiritualem accepimus legem, ut iniqua & E impia omnino averti debent ?

Lxxi. canon eis, qui docentur Leges civiles, ſegregationem intendit, ſi amplius Græcis moribus uſi, ſtolas induent (peculiari quidem utuntur qui ſtudiorum curriculum ingrederentur, & peculiari etiam cum eorum metam attigiſſent) cum in Theatrum ingrederentur : ſed quidem Cyliſtras dictas peragebant, quæcunque fuerunt. Hæc enim omnia votis divinorum illorum legiſlatorum hodie eſſe ſilentur.

F

σωπεῖα κωμικὰ ὑποδύεσθαι, εἰς σκώμματα τά ἐστιν ὧν ἐπιτηδευόμενα· ἢ τραγικὰ, τὰ περιπαθῆ καὶ θρήνους ἐμποιοῦντα· ἢ σατυρικὰ, τὰ εἰς τιμὴν τοῦ Διονύσου τελούμενα παρὰ Σατύρων καὶ Βακχῶν. τὸ δὲ ἐν ταῖς ληνοῖς τὸ τοῦ Διονύσου ἐπιλέγειν ὄνομα, καὶ τοῖς πίθοις ἐκχεομένου τοῦ οἴνου ἐπικαγχάζειν, πῶς οὐκ ἀτεχνῶς δυσσεβές; ὁ τοίνυν κανὼν τοὺς ἐν γνώσει τοιοῦτό τι ποιοῦντας, ἱερωμένους μὲν ὄντας, καθαιρεῖσθαι προστάττει· λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Ο δὲ ξε΄. καὶ τὸ κατὰ τὰς νουμηνίας, πυρκαϊὰς ἐν ταῖς πλατείαις ἀνάπτειν, καὶ ὑπεράλλεσθαι τούτων, ὡς ἀσεβείας ἠρτημένον ἑλληνικῆς, ἐξαιρεθῆναι τελέως κελεύει. ὃς δὲ τοῦτο ποιῶν φωραθείη, τοῦτον μὲν κληρικὸν ὄντα, καθαιρεῖσθαι· λαϊκὸν δὲ, ἀφορίζεσθαι. ἐκ δὲ τετάρτης τῶν Βασιλειῶν ἀπειρημένον εἶναι τοῦτο καὶ τῷ παλαιῷ δείκνυσι νόμῳ, ἔνθα φησὶ, καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον τοῦ Κυρίου τοῦ παροργίσαι αὐτόν. ἐν μὲν οὖν ταῖς νουμηνίαις, εἴθιστο καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἑορτάζειν καὶ γονυκλίνειν, ὡς τὸ μηνιαῖον διάστημα διέλθοιεν ἡσυχῶς, περὶ ὧν καὶ ὁ Θεὸς εἴρηκέ που διὰ τοῦ Προφήτου, τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου· ὥσπερ οὖν καὶ ἐν τῇ τοῦ Θεοῦ χάριτι, εὐχαὶ πρὸς Θεὸν ἱλαστήριοι πρὸς τοῦ πιστοῦ λαοῦ γίνονται, καὶ ἁγιασμοὶ, καὶ τῷ ὕδατι τῆς εὐλογίας χριόμεθα. πυρκαϊὰς δὲ ἀνάπτοντες ὑπεράλλοντο, ἴσως οἰόμενοι, τὰ μὲν φθάσαντα δήπουθεν δυσχερῆ, ὡσπερεὶ κατακαιόμενα φροῦδα γίνεσθαι, αἴσια δὲ ἀνακύπτειν εἰσέπειτα. στρατιὰν μέντοι τοῦ οὐρανοῦ τοὺς ἀστέρας νοητέον. καὶ οἱ μὲν θεῖοι οὗτοι πατέρες, τὸ, διήγαγεν ἐν πυρὶ, ἀντὶ τοῦ ὑπερπηδᾷν τοῖς τέκνοις ὑπέταξεν, ἐξελάβοντο· ὁ δὲ ἅγιος Κύριλλος Ἀλεξανδρείας τὸν προφήτην ἐξηγούμενος Ἡσαΐαν, ἀντὶ τοῦ, ὡλοκαύτωσεν αὐτοῦ τοῖς δαίμοσιν, ἡρμήνευσε. κληδὼν δέ ἐστιν ἡ διά τινων σημείων μαντεία, οὗτινοσοῦν ἐθέλοντος τὴν ἰδίαν τύχην καταμαθεῖν. οἰωνισμὸς δέ ἐστι τὸ, ἐπιτηρεῖν τὰς τῶν ὀρνίθων πτήσεις τε καὶ κλαγγάς· ὃ καὶ οἰωνοσκοπία παρὰ τοῖς Ἕλλησιν ὠνομάζετο. ἐγγαστρίμυθοι δὲ, καὶ γνῶσται λέγονται, οἱ σατανικῶς ἐνθουσιῶντες, καὶ προλέγοντες δῆθεν τὰ ἄγνωστα, οἷαί εἰσιν αἱ τῶν Ἀθιγγάνων γυναῖκες, καὶ αἱ διὰ τῶν κριθῶν μαντευόμεναι. εἰ τοίνυν παρὰ τοῖς δεξαμένοις τὸν ἀτελέστερον νόμον, πονηρὰ ταῦτα ἐδόκει, καὶ τὴν ὀργὴν Κυρίου ἠρέθιζε· πόσῳ μᾶλλον τοῖς τὸν τελεώτερον καὶ πνευματικώτερον νόμον παραλαβοῦσιν ἡμῖν, ὡς ἄθεσμα καὶ ἀσεβῆ παντάπασιν ἀπεστράφθαι προσήκει;

Ο δὲ οα΄. καὶ τοῖς διδασκομένοις τοὺς πολιτικοὺς νόμους, ἀφορισμὸν ἐπανατείνεται, εἰ ἔτι τοῖς ἑλληνικοῖς ἔθεσι κεχρημένοι, στολὰς ἐνδύσονται· ἰδίας μὲν οἱ τῶν μαθημάτων ἀρχόμενοι, ἰδίας δὲ οἱ τῶν τελεωτέρων ἀφικόμενοι· τοῖς δὲ ἐπὶ θεάτρων ἀνιοῦσιν· ἀλλὰ δὲ καὶ τὰς λεγομένας κυλίστρας παίζουσιν ὁποῖαί ποτ' ἦσαν. ταῦτα γὰρ ἅπαντα εὐχαῖς τῶν θεσπεσίων τούτων νομοθετῶν τὸ τήμερον εἶναι σεσίγηται.

UMI

A

ΚΕΦ. δ'.

Περὶ ἐθῶν πολιτικῶν.

Νόμος.

Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς μᾶλλον πλησιάζουσι, καὶ ἐοικόσι τοῦ ζητουμένου· ἂν δὲ μηδὲ τοῦτο ᾖ, τῶν συνετωτέρων ἅμα καὶ πλειόνων ἡ γνώμη κρατείτω. B τότε κεχρήμεθα τῇ συνηθείᾳ τῆς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἡ τοιαύτη ἐβεβαιώθη. διὸ καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα, καὶ ἐπὶ πολλοὺς ἐνιαυτοὺς φυλαχθέντα, οὐχ ἧττον τῶν ἐγγράφων κρατεῖν εἴωθεν.

CAPUT IV.

De Moribus Politicis.

Lex.

DE iis, quorum non extat lex ſcripta, morem & conſuetudinem obſervare oportet: ſin autem & hoc deficiat, ea quæ magis accedunt, & ei quod quæritur ſunt ſimilia ſequi oportet: ſi vero illud non fiat, prudentiorum ſimul & plurium valeat ſententia. Tunc civitatis alicujus aut Provinciæ utimur conſuetudine, quando controverſia de ea re mota, confirmata fuerit. Quæ igitur longa conſuetudine approbata, & multis annis obſervata ſunt, non minùs, quàm quæ ſcripta ſunt, ſolent valere.

ΚΕΦ. ε'.

Περὶ εἰρηνικῶν γραμμάτων.

Ζήτει τὸ θ'. κεφ. τοῦ Α. στοιχείου.

CAPUT V.

De pacificis literis.

Quære cap. ix. literæ A.

C

ΚΕΦ. ς'.

Περὶ εἰκόνων ἁγίων.

Ὁ πβ'. τῆς ς'. συνόδου κανὼν, τοὺς τύπους φησὶ τοῖς χρώμασι γράφειν, πεφοιτηκότων ἤδη τῶν πρωτοτύπων, ἀπειρόκαλον ἂν εἴη καὶ περιττόν· ἔνθεν τοι καὶ τὸν ἐν τῷ τύπῳ ἀμνὸν, θεσπίζει μὴ ζωγραφεῖσθαι, οὗ τῷ αἵματι ὁ μέγας πάλαι Μωσῆς, τὰς φλιὰς χρίων, οὐκ εἰσιτητὰ ἐτίθει τὰ ἔνδον τῷ ὀλεθρίῳ δαίμονι· μηδὲ τὸν Βαπτιστὴν δακτύλῳ D τοῦτον ὑποδεικνύοντα, καὶ φωνοῦντα τοῖς λαοῖς, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ· ἀλλὰ τὰς μὲν γραφὰς γράφειν τῶν τύπων. τὸν δὲ ἀνθρώπειον χαρακτῆρα τοῦ Θεοῦ λόγου, ἀναστηλοῦν ἐν εἰκόσι· τοῦτον γὰρ ὁρῶντες καὶ προσκυνοῦντες, τῆς αὐτοῦ συγκαταβάσεως τὸ ἀπόρρητον ἐκ τῶν δυνατῶν λογιζόμεθα, καὶ τὸ ὑπὲρ ἔννοιαν τῆς ταπεινότητος, τά τε ἐν τῇ σαρκὶ αὐτοῦ πολιτεύματα, τὰ πάθη, τὸν τῆς ζωῆς πρόξενον θάνατον, καὶ ὅσοις σεσώσμεθα. σεπτοὶ μὲν γὰρ καὶ οἱ τύποι, τιμητέον δὲ μάλιστα τὴν ἀλήθειαν, καὶ ταῦτα ἡμῖν ἐπιχωριάζουσιν. ἐντεῦθεν δείκνυται μὴ εἶναι πρέπον, περιστερὰς ἐπ' ἐκκλησίας ἀντὶ τοῦ ἁγίου πνεύματος ἀπολύειν· ἢ ἀντὶ τοῦ ἀστέρος κηρὸν ἀνάπτειν, καὶ ἀντὶ τῆς ἀπορρήτου γεννήσεως, παῖδα καὶ στρωμνὴν ὑποτιθέναι. E

CAPUT VI.

De ſacris imaginibus.

OCTOGESIMUS ſecundus vi. Syn. canon, Picturas, ait, coloribus deſcribere, manentibus adhuc prototypis, ineptum eſſet ac ſuperfluum: exinde igitur agnum in pictura non depingi decernit; cujus ſanguine magnus olim Moſes limina conſignans, deſtruenti Angelo inacceſſas fecit domos: nec Baptiſtam digito illum monſtrantem, & populo clamantem, *Ecce Agnus Dei*; ſed picturas quidem typorum delineare. Et humanum Dei Verbi habitum in imaginibus pingebant: illum enim videntes & adorantes, in quantum poſſibile eſt, ineffabilem ejus abjectionem & ſupra mentis cogitationem humilitatem intelligamus, atque ejus in carne converſationes, paſſiones, mortem vitæ authorem, & quibuſcunque ſervamur. Venerandi enim ſunt typi, honoranda verò maxime eſt veritas, quæ hæc nobis facit aſſueta. Exinde oſtenditur non eſſe conveniens, columbas in Eccleſia pro Spiritu ſancto emittere, vel pro ſtella cereos accendere; & pro ineffabili generatione, puerum & ſtratum thorum exprimere.

Φωτίου πατριάρχου καὶ Θεοδώρου τοῦ Στουδίτου.

Εἰκὼν λέγεται παρὰ τὸ ἐοικέναι. ἄλλο, φυσικὴ εἰκὼν, καὶ ἄλλο, μιμητική· ἡ μὲν οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικὴν, ὡς υἱὸς πρὸς τὸν πατέρα· μία μὲν γὰρ τούτων φύσις, δύο δὲ ὑποστάσεις· ἡ δὲ, τοὐναντίον οὐχ ὑποστατικὴν διαφορὰν ἔχουσα πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ φυσικὴν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν· μία μὲν γὰρ ἡ ὑπόστασις τούτων, δύο δὲ φύσεις. F ἄλλη γὰρ φύσις ὑλογραφίας, καὶ ἄλλη Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, καθὸ καὶ περιγράφεται, καὶ ἀρχέτυπον εἰκόνος καθίσταται. προσκυνουμένης τῆς εἰκόνος ὁ Χριστὸς προσκυνεῖται, οὗ ἐστιν ὁμοίωσις, καὶ οὐχὶ ἡ ὑποδεξαμένη τὴν ὁμοίωσιν ὕλη· ὡς ἐπὶ τῆς φαινομένης ἐν τῷ κατόπτρῳ εἰκόνος· ταύτῃ γὰρ προσφυόμενοι, οὐ τὴν ὕλην, τὴν δὲ εἰκόνα περιπτυσσόμεθα· καὶ ἀφανισθέντος τοῦ ἐκτυπώματος, ἐφ' ᾧ ἡ προσκύνησις, ἡ ὕλη μεμένηκεν ἀπροσκύνητος, μηδέν τι κεκοινωνηκυῖα τῷ ὁμοιώματι. ἀλλὰ καὶ ἡ ἐν τῷ δακτυλίῳ σφραγὶς τῇ ἐπινοίᾳ οὖσα τῆς ὕλης κεχωρισμένη, οὐδὲν πρὸς

Photii Patriarchæ & Theodori Studiti.

Dicitur imago, eò quòd imitetur. Aliud eſt naturalis imago, & aliud imitatoria; illa enim ab origine naturâ non differt, ſed perſonâ, ut filius à patre: una etenim eſt utriuſque natura, duæ autem perſonæ: hæc verò, è contrario, ab archetypo perſonâ non differt, ſed naturâ, ut imago Chriſti à Chriſto; una etenim eſt horum perſona, duæ verò naturæ: nam alia eſt materiæ pictæ natura, alia Chriſti, quatenus eſt homo, & ut circumſcribitur, & imaginis archetypum exiſtit. Cum adoratur imago, Chriſtus adoratur, cujus ſimilitudinem refert, non autem materia quæ ſimilitudinem accepit: ut cum in ſpeculo apparet imago: huic enim admoti, non materiam, at imaginem oſculantur. Et deletâ figurâ, cujus gratiâ erat adoratio, manet materia à nemine adorata, utpote quæ cum ſimulachro nihil habeat commune. Porro & ſi in annulo ſit ſignum, quod cogitatione à materiâ ſeparatur, nihil omnino cum materiâ habet

A commune, licèt per materiam imaginis ſignum extitit.

Quicquid imitatione figuratur, non ejus natura, ſed perſona figuratur: & ob id, idem quod archetypus ejus eſt imago, non naturâ, ſed perſonâ, ſive imitatione perſonæ.

Sacras imagines pingimus, ut eas videntes, per eas videre illarum archetypos videamur, & in nobis memoriam, & deſiderium archetyporum excitent: nam quamdiu imagines crebrò videntur, tamdiu qui eas vident, ad archetyporum recordationem & deſiderium excitantur. B

Cultus quidem in ſpiritu & veritate, quæ latria dicitur, beatæ Trinitati ab orthodoxis tribuitur: ſanctis autem imaginibus non omnino latria, ſed adoratio, ſalutatio & honor. Licèt enim imaginis honor ad prototypum tranſit, latria tamen eſt ſolius beatæ Trinitatis, non etiam venerandarum imaginum, ne creaturarum & materiarum cultores eſſe videamur.

C Soli quidem Chriſto per latriam & naturalis adoratio convenit: nam qui eum adorat, ſimul adorat & Filium & Patrem & Spiritum Sanctum, unam in Trinitate naturam, & hæc eſt Trinitatis adoratio & latria. Imagini verò Chriſti fit adoratio relativa & æquivoca: qui enim eam adorat, non ſimul adorat Patrem & filium, ſed ſolum in eâ Chriſtum, eo quòd carnem aſſumpſerit, expreſſum ſecundùm corporalem ejus aſpectum, quæ eſt adoratio relativa & hypoſtatica.

Chriſtus quidem in ſuâ imagine cernitur, quæ & in ipſo ſubſiſtit ut umbra in corpore, à quo & illam ſeparari D impoſſibile eſt, licèt illa ſemper non apparet. Sed quemadmodum umbra ſplendore ſolis apparet, ad eundem modum & Chriſti imago materiæ figuratione.

Non ut Deos imagines adoramus, neque in iis ſpem ſalutis habemus, neque cultum divinum illis præbemus, ut Gentilium filii: ſed ſolum animi noſtri affectum & charitatem, quâ prototypos proſequimur, hujuſmodi adoratione oſtendimus. Unde charactere ſoluto, ut lignum otioſum, talem, ſi quando fuerit, comburimus imaginem.

E

De Cruce.

Crucis figuram ex duobus lignis componentes, ſi quando infidelium aliquis nos reprehendat, quod lignum adoremus; poſſumus, duobus lignis ſeparatis, & crucis figurâ diſſolutâ, ea inutilia ligna cenſere, & infidelis os obſtruere, quod non lignum, ſed crucis figuram veneremur.

In timore & veritate ſacras imagines accedere & adorare oportet, & credere divinam gratiam illis ineſſe, F quæ ſanctificationem impertitur.

Veneranda imago ab abominabili idolo hanc habet differentiam, quod quidem Idolorum prototypa ſunt falſa, Deorum enim effigies dicta ſunt: at non Deorum ſunt, ſed dæmonum, ut dicit Propheta, Quod omnes gentium Dei ſunt dæmonia: honorandarum autem imaginum vera ſunt omnia archetypa. Unius enim eſt Chriſtus; alterius Dei mater; alterius Præcurſor; & uniuſcujuſque Sanctorum aliorum aliquis. Quorum vero prototypa ſunt falſa, eorum neque imagines neque idola

A τὴν ὕλην ταῖς ἀληθείαις ἔχει κοινὸν, εἰ καὶ περὶ τὴν ὕλην ἡ σφραγὶς τῆς εἰκόνος ὑφέστηκεν.

Παντὸς μιμητικῶς εἰκονιζομένου, οὐχ ἡ φύσις, ἀλλ' ἡ ὑπόστασις εἰκονίζεται· καὶ διὰ τοῦτο, ταὐτὸν τῷ ἀρχετύπῳ ἡ εἰκὼν αὐτοῦ, οὐ τῇ φύσει, ἀλλὰ τῇ ὑποστάσει, ἤγουν τῇ μιμήσει τῆς ὑποστάσεως.

Τὰς ἱερὰς εἰκόνας ἀναστηλοῦμεν, ἵνα ταύτας ὁρῶντες, δι' αὐτῶν δοκῶμεν ὁρᾷν τὰ τούτων ἀρχέτυπα· καὶ γίνωνται ἡμῖν ὑπομνήματα καὶ παρηγορία τοῦ πόθου, τοῦ πρὸς τὰ τούτων πρωτότυπα· ὅσον γὰρ συνεχῶς αἱ εἰκόνες ὁρῶνται, B τοσοῦτον οἱ ταύτας ὁρῶντες διανίστανται πρὸς τὴν τῶν ἀρχετύπων μνήμην καὶ ἐπιπόθησιν.

Η μὲν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρεία, τῇ μακαρίᾳ τριάδι παρὰ τῶν ὀρθοδόξων ἀπονενέμηται, ταῖς δὲ ἁγίαις εἰκόσιν, οὐ λατρεία πάντως, ἀλλὰ προσκύνησις, καὶ ἀσπασμὸς, καὶ τιμή. εἰ γὰρ καὶ ἡ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἀλλ' ἡ λατρεία τῆς μακαρίας ἐστὶ μόνης τριάδος, καὶ οὐ τῶν σεπτῶν εἰκόνων, ἵνα μὴ κτισμολάτραι, καὶ ὑλολάτραι δόξωμεν.

C Επ' αὐτοῦ μὲν τοῦ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις καὶ φυσική· ὁ προσκυνῶν γὰρ αὐτὸν, συμπροσκυνεῖ καὶ τὸν υἱὸν καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὴν ἐν τριάδι μίαν φύσιν, ὅπερ ἐστὶν ἡ τριαδικὴ προσκύνησις, καὶ λατρεία. ἐπὶ δὲ τῆς εἰκόνος τοῦ Χριστοῦ σχετικὴ ἡ προσκύνησις καὶ ὁμώνυμος· ὁ προσκυνῶν γὰρ αὐτὴν, οὐ συμπροσκυνεῖ τὸν πατέρα καὶ τὸν υἱὸν, ἀλλὰ μόνον τὸν ἐν αὐτῇ Χριστὸν, τὸν διὰ τὸ σαρκωθῆναι εἰκονιζόμενον, κατὰ τὴν σωματικὴν θέαν αὐτοῦ, ὅπερ ἐστὶ σχετικὴ προσκύνησις καὶ ὑποστατική.

Ο μὲν Χριστὸς ὁρᾶται ἐν τῇ εἰκόνι αὐτοῦ, αὕτη δὲ ὑφίσταται ἐν αὐτῷ ὥσπερ ἡ σκιὰ τῷ σώματι, οὗ καὶ μερισθῆναι D ταύτην ἀμήχανον, κἂν μὴ διὰ παντὸς αὕτη φαίνηται. ἀλλ' ὥσπερ ἡ σκιὰ τῇ ἐπιλάμψει δείκνυται τοῦ ἡλίου, οὕτω καὶ ἡ Χριστοῦ εἰκὼν τῇ διατυπώσει τῆς ὕλης.

Οὐχ ὡς Θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν, οὐδὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν αὐταῖς ἔχομεν, οὐδὲ τὸ θεῖον σέβας αὐταῖς ἀπονέμομεν, ὡς οἱ Ελλήνων παῖδες· ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ἡμῶν ψυχῆς, ἣν ἔχομεν πρὸς τὰ πρωτότυπα, διὰ τῆς τοιαύτης προσκυνήσεως ἐμφανίζομεν. ὅθεν τοῦ χαρακτῆρος λυθέντος, ὡς ξύλον ἀργὸν, τὴν τοιαύτην κατακαίομεν εἰκόνα ποτὲ οὖσαν.

E

Περὶ σταυροῦ.

Τὸν τύπον τοῦ σταυροῦ ἅπαν ἐκ δύο ξύλων συνάπτοντες, ἡνίκα τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσειεν, ὡς ξύλον προσκυνοῦσι, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον τοῦ σταυροῦ διαλύσαντες, ταῦτα νομίζειν ἀργὰ ξύλα, καὶ τὸν ἄπιστον ἐπιστομίζειν, ὅτι οὐ τὸ ξύλον, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον σεβόμεθα.

Σὺν φόβῳ καὶ ἀληθείᾳ προσιτέον, καὶ προσκυνητέον τὰς ἁγίας εἰκόνας, καὶ πιστευτέον χάριν θείαν ἐπιφοιτᾷν ἐν αὐταῖς, F ἁγιασμοῦ μεταδοτικήν.

Η σεβασμία εἰκὼν πρὸς τὸ βδελυκτὸν εἴδωλον ταύτην ἔχει τὴν διαφορὰν, ὅτι τῶν μὲν εἰδώλων τὰ πρωτότυπα ψευδῆ τυγχάνει, Θεῶν γὰρ ἐκτυπώματα εἶναι λεγόμενα· οὐ θεῶν, ἀλλὰ δαιμόνων εἰσὶν, ὡς φησιν ὁ προφήτης, ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια· τῶν δὲ τιμίων εἰκόνων ἀληθῆ τὰ ἀρχέτυπα πάντα. τοῦ μὲν γὰρ, ὁ Χριστός· τῆς δὲ, ἡ θεομήτωρ· τοῦ δὲ, ὁ πρόδρομος· καὶ ἑκάστης, ἕκαστος τῶν ἄλλων ἁγίων. ὧν δὲ τὰ πρωτότυπα ψευδῆ, τούτων οὐδὲ

εἰκόνε

εἰκόνες οὐδὲ εἴδωλα λέγοιντ' ἂν δικαίως, ἀλλ' ἁπλῶς ἔργα χειρῶν ἀνθρώπων μάταια καὶ ἄχρηστα, καὶ γῆς ὕλη κωφή. καὶ ταῖς μὲν εἰκόσιν, αἱ μορφαὶ τῶν πρωτοτύπων ἐμφαίνονται· τοῖς εἰδώλοις δὲ, οὐδαμῶς. τοῦ μὲν γὰρ εἰδώλου τοῦ Διὸς πρωτότυπον ο αἰθήρ· τῆς δὲ Ηρας ὁ ἀήρ· τοῦ Ποσειδῶνος, τὸ ὕδωρ· τῆς Δήμητρος, ἡ γῆ· τοῦ Απόλλωνος, ὁ ἥλιος· τῆς Αρτέμιδος, ἡ σελήνη· τοῦ Αρεος, ὁ θυμός· τοῦ Διονύσου, ἡ μέθη· τῆς Αφροδίτης, ἡ λαγνεία· καὶ τῶν ἄλλων ὁμοίως· καὶ μᾶλλον τῶν δώδεκα τῶν παλαιτέρων. τὰ μὲν οὖν εἴδωλα τούτων πάντων ἀνθρωπόμορφα. τὰ δὲ λεγόμενα πρωτότυπα τῶν τοιούτων εἰδώλων, τὰ μὲν ἑτερόμορφα, λέγω δὴ τὰ στοιχεῖα· τὰ δὲ παντελῶς ἄμορφα, φημὶ δὲ πάθη. πάντα δὲ ἄζωα καὶ ἀναίσθητα.

ΚΕΦ. ζ'.

Περὶ ἐμπρησμοῦ.

Νόμοι.

Εἴ τις καλάμην τοῦ ἰδίου χωραφίου βουλόμενος καῦσαι, ἐνέβαλε κατ' αὐτοῦ πῦρ· τὸ δὲ πῦρ καὶ περαιτέρω προελθὸν τὰ ἀλλότρια κατέκαυσε χωράφια, ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν· καὶ εἰ μὲν κατὰ ῥαθυμίαν ἢ ἀπειρίαν τοῦ ἀνάψαντος τὸ πῦρ τοῦτο γέγονεν· ἢ εἰ μὴ παρεφυλάξατο πάσῃ δυνάμει τοῦ μὴ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας ὁ τοιοῦτος καὶ ῥαθυμήσας καταδικάζεται. εἰ δὲ πάντα μὲν ἐκεῖνος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προελθὸν, τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαφθέντα μετήνεγκεν, ἀνεύθυνος ὁ τὸ πῦρ ἀνάψας διατελεῖ.

Εὰν ἀπό τινος τύχης, οἶκός τινος ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν, τὰ συμπαρακείμενα ἐμπρήσῃ, οὐδενὶ ὑπόκειται ὁ κατ' ἀρχὰς ἐμπρησθείς. ὁ κατὰ τύχην γινόμενος ἐμπρησμὸς συγγινώσκεται.

Ο οἰκίαν ἢ σωρὸν σίτου καύσας ἐν εἰδήσει, τυφθεὶς πρότερον, περίκαυστος γίνεται.

Ο κατὰ δόλον καύσας οἶκόν τινος, κεφαλικῶς τιμωρεῖται.

Εἴ τις ἐμπρησμοῦ γινομένου, διὰ τὸ σῶσαι τὸν ἴδιον οἶκον, καταστρέψει τὸν τοῦ γείτονος, ἀργεῖ ὁ ἀκουΐλιος ἤτοι ἡ ζημία, εἴτε τὸ πῦρ ἔφθασεν, εἴτε προεσβέσθη.

ΚΕΦ. η'.

Περὶ ἐμφυτεύσεως.

Ζήτει ἐν τῷ ις'. κεφ. τοῦ παρόντος στοιχείου, κανόνα ιβ'. τῆς ζ'. συνόδου.

Νόμος.

Η δὲ ρκ'. Ιουστινιάνειος νεαρὰ, ἀπαγορεύομεν, φησι, τοῖς οἰκονόμοις, καὶ διοικηταῖς, καὶ χαρτουλαρίοις τῶν ἐναγῶν οἴκων καὶ τοῖς αὐτῶν γονεῦσί τε καὶ παισὶν, ἢ κατὰ γένος ἄλλως προσήκουσιν, ἐμφυτεύσεις τε καὶ μισθώσεις, ἤγουν ὑποθήκας ἀκινήτων πραγμάτων, τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ὑπεισιέναι, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτων προσώπων, ἐπεὶ ἀνίσχυρον εἶναι κελεύομεν τὸ συνάλλαγμα· καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ ἐκμισθωσάμενον τοῦ ἐμφυτευθέντος πράγματος, ζημιοῦσθαι καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν· τοὺς δὲ τὴν τοιαύτην ἐμφύτευσιν διαπραξαμένους οἰκονόμους, τοσοῦτον ζημιοῦσθαι καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσον καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τιμῆς ὑπέστη ζημίαν. εἰ δὲ ἐμφύτευσις κατὰ λόγον πραχθείη, τὸν ἐμφυτευτὴν τὸ πάκτον τελεῖν κατὰ

A juſtè dicantur eſſe, ſed ſimpliciter manuum hominum opera vana & inutilia, & terræ ſurda materia. Et in imaginibus quidem prototyporum formæ oſtenduntur: in Idolis verò nequaquam. Nam idoli Jovis prototypum eſt æther; Junonis verò, aër; Neptuni, aqua; Cereris, Terra; Apollinis, Sol; Dianæ, Luna; Martis, Animus; Bacchi, Ebrietas; Veneris, Laſcivia; & ſimiliter de aliis: & maxime de duodecim antiquioribus. Idola igitur horum omnium humanam referunt ſpeciem. Quæ vero dicuntur prototypa talium imaginum, partim quidem habent diverſas formas, ut elementa; partim ſunt omnino abſque forma, ut paſſiones; B omnia verò vitâ carentia & inſenſibilia.

CAPUT VII.

De Incendio.

Leges.

SIQUIS, ſtipulæ ſui prædii comburendæ cauſa, illi ignem immiſerit; at ignis ulterius progreſſus aliena C exuſſerit prædia, vel alienum vinetum, oportet audientem examinare; & ſi per negligentiam vel imperitiam accendentis iſte ignis contigerit; vel ſi non totis viribus cavebat, ne flamma ulterius progrederetur, ut negligens & ignavus talis condemnatur. Si vero omnia ille obſervabat, repentè autem ventus proveniens & ignis flammam in combuſtibile immiſerit, ſine culpâ qui ignem extruxit judicatur.

Si caſu aliquo domus alicujus incendatur, & exinde ignis excurrens, adjacentia incendat, nemini ſubjicitur qui primo incendium paſſus eſt. Quod fit ex caſu D incendium, condonatur.

Qui domum vel theſaurum tritici ſcienter incendit, primo verberatus, deinde comburatur.

Qui domum alicujus per dolum incendit, capite puniatur.

Si quis, incendio facto, ut propriam conſervet, vicini domum ſubverterit, ceſſat lex Aquilia aut damnum, ſive ignem prævenerunt, ſive prius extingueretur.

E CAPUT VIII.

De Emphyteuſi.

Quære in xvi. cap. præſentis literæ, Can. xii. vii. Synodi.

Lex.

CENTESIMA verò & viceſima Juſtiniani novella ait, Prohibemus Oeconomis, & Adminiſtratoribus, & Chartulariis venerabilium domorum, & eorum parentibus & liberis, vel aliis affinitatis jure F aliter conjunctis, emphyteuſes & locationes vel hypothecas rerum immobilium, quæ ad illas venerabiles domos pertinent, ſubire, vel per ſe, vel per interpoſitas perſonas, quia irritam eſſe permutationem jubemus: & quidem Emphyteutam & conductorem rem in emphyteuſin datam amittere, & pretio in eam impoſito mulctari: illos autem qui talem faciunt Emphyteuſim Oeconomos, tantum pati damnum quod domo adjudicetur, quantum etiam qui ad Emphyteuſin conceſſit impoſiti pretii damnum ſubivit. Si vero juxta rationem fit emphyteuſis, emphyteuta pactum præſtet, A Poſſeſſiones venerabilium domorum elocari & in Emphyteuſin concedi poſſunt, ſi omnes Monachi vel Clerici ad confirmandam actionem conſentiant, & oſtendant illud, quod factum eſt, convenire.

Si Emphyteuta & Conductor per biennium vel triennium ſit contumax in annui pacti præſtatione, vel deteriorem rem ipſam reddat, ab Emphyteuſi ejiciatur, nec poteſtatem habeat in agro operandi: at non ejicitur quando ſolvit ſtatutum pactum, etiamſi rei publicæ ſit Emphyteuſis.

B Invitum ejicere conducentem non poteſt conductor, licèt alius illo majorem daret mercedem, nempe ante ſtatutum tempus, etſi contumax ſit de ea, quam dare promiſit, mercede.

Αἱ κτήσεις τῶν εὐαγῶν οἴκων δύνανται μισθοῦσθαι καὶ ἐμφυτεύεσθαι, πάντων τῶν μοναχῶν ἢ τῶν κληρικῶν ἐν τῷ συμβολαίῳ τῆς πράξεως συναινούντων, καὶ φανερούντων συμφέρειν τὸ γινόμενον.

Ὁ ἐμφυτευτὴς καὶ ἐκμισθωτὴς ἐπὶ διετίαν ἢ τριετίαν ἀγνωμονῶν περὶ τὸ ἐτήσιον πάκτον, ἢ χεῖρον ποιῶν τὸ πρᾶγμα, ἐκβαλλέσθω τῆς ἐμφυτεύσεως, μὴ δυνάμενος περὶ τῆς ἐργασίας κινεῖν τοῦ ἀγροῦ· οὐκ ἐκβάλλεται δὲ ἐφ' ὅσον δίδωσι τὸ ὁρισθὲν πάκτον, εἰ καὶ περὶ δημοσίου ἐνεφυτεύσατο.

Οὐ δύναται ἐκβαλεῖν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, κἂν ἄλλος πλείονα τούτου εἰσαγάγῃ μίσθωμα, δηλονότι πρὸ τοῦ ὡρισμένου χρόνου, καὶ ἐὰν ἀγνωμονῇ ἐκεῖνος περὶ ὃ ὡμολόγησε δοῦναι μίσθωμα.

CAPUT IX.

De Veſtibus ad ſacratos pertinentibus.

Vicesimus ſeptimus ſextæ Synodi Canon inquit, Nullus eorum, qui in Cleri catalogum C relati ſunt, veſtem ſibi non convenientem induat, neque in civitate degens, neque quidem iter ingrediens: ſed veſte utatur, quam tempus & conſuetudo Clericorum ordini convenire docuit. Qui verò hujus convenientis habitus conſuetudinem contemnit, per unam ſeptimanam ſegregetur.

Septimæ Synodi decimus ſextus Canon, non exiſtimat oportere Sacerdotem ſumptuoſis veſtibus uti. Omnis enim, inquit, luxus & ornatus corporeus à ſacerdotali ordine ſit alienus. Epiſcopos igitur vel Clericos, qui ſe floridis exornant veſtibus, ſe corrigere oportet; puniri verò, ſi in malo perſiſtant, ſimiliter D & qui ſunt unguento delibuti. Porro & qui illis irrident qui vilem & modeſtum amictum induti ſunt, convenientibus ſuppliciis punientur. A ſuperioribus enim uſque temporibus, omnis Sacerdos cum moderatis & modeſtis indumentis adminiſtrabat. Quicquid enim non propter uſum, ſed oſtentatorium ornatum aſſumitur, in luxus incurrit reprehenſionem, inquit magnus Baſilius. Quapropter neque ex ſericis texturis veſtimenta induebant, textorum curioſitate variegata: neque in veſtimentorum fimbriis adjecta erant illa alieni coloris additamenta. Audiverunt enim divinum ſermonem, quòd qui mollibus veſtiuntur in ædibus regum E ſunt. Quære xxiv. cap. literæ Γ.

Laodicenæ Synodi Canon viceſimus ſecundus & viceſimus tertius aiunt; Non decet Miniſtrum, vel Hypodiaconum orarium induere, ſed Eccleſiæ oſtia obſervare, ut Catechumenos & Pœnitentes introducant & educant: quapropter & ad hunc diem hoc canunt, Siſtite nempe, quotquot fideles, ſanctorum myſteriorum ſacrificium viſuri; egredimini vero, qui iſtis non ſitis initiati: ſed neque Lectores vel Cantores hoc induere, & ſic legere vel cantare. His enim ſolum canere conti- F git: Lectoribus autem non idem, ſed ſacras Scripturas in communi auditione legere; licet nunc ab illis hoc raró admodum fiat. Nam multi antiqui mores in alienam ordinationem mutantur. Diaconis enim & illis ſolis erat conceſſum illud publicè humeris geſtare. Vocatur vero orarium ab ὠρῶ, quod eſt cuſtodio & obſervo. Diaconi ſiquidem, qui illud geſtabant, iis qui celebrant aſſiſtentes, & ſacri officii orationem obſervantes, per orarium Diaconis, qui ſunt in ambone, ſignificant, quando oporteat fieri prolatio catechumenorum & fidelium petitionum.

ΚΕΦ. θ'.

Περὶ ἐνδυμάτων ἁρμοδίων τοῖς ἱερωμένοις.

Ὁ κζ'. τῆς ϛ'. συνόδου κανὼν, μηδεὶς τῶν ἐν κλήρῳ κατειλεγμένων, φησὶν, ἀνοίκειον ἀμφιέννυσθαι χιτῶνα, μήτ' ἐν πόλει διάγων, μήτε μὴν ἐν ὁδῷ βαδίζων· ἀλλὰ στολῇ κεχρήσθω, ἣν ὁ χρόνος καὶ ἡ συνήθεια συμβαίνειν τῷ τῶν κληρικῶν ἐδίδαξε τάγματι. ὁ δὲ περὶ ἐλαχίστου τιθέμενος τοῦ προσήκοντος τούτου σχήματος τὴν συνήθειαν, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω.

Ὁ δὲ τῆς ἑβδόμης ιϛ'. οὐκ οἴεται δεῖν ἱερατικὸν ἄνδρα πολυτελέσιν ἱματίοις κεχρῆσθαι. πᾶσα γάρ, φησι, βλακεία καὶ κόσμησις σωματικὴ ἀλλοτρίως τῆς ἱερᾶς τάξεως. τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ κληρικοὺς ἀνθηραῖς ἐσθήσεσι, δέον ἑαυτοὺς διορθοῦσθαι· ἐπιτιμᾶσθαι δὲ, τῷ κακῷ ἐπιμένοντας, ὡσαύτως καὶ τοὺς διὰ μύρα χριομένους. πρὸς δὲ καὶ τοὺς ἐγγελῶντας τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν περικειμένοις ἀμφίεσιν, τοῖς προσήκουσιν ἐπιτιμίοις διορθοῦσθαι. ἐκ γὰρ τῶν ἄνωθεν χρόνων, πᾶς ἱερατικὸς ἀνὴρ μετὰ μετρίων καὶ σεμνῶν ἀμφίων ἐπολιτεύετο· πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν, ὁ μέγας ἔφη Βασίλειος. ταύτητοι οὐδ' ἐκ σηρικῶν ὑφασμάτων ἐσθῆτας ἐνεδέδυντο, ὑφαντῶν περιεργίᾳ πεποικιλμένας· οὐδέ τινα προσετίθεσαν ἑτερόχροα ἐπιβλήματα τοῖς ἄκροις τῶν ἱματίων. ἤκουσαν γὰρ τῆς θεοφθόγγου γλώττης, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ζήτει τὸ κδ'. κεφάλαιον τοῦ Γ. στοιχείου.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ συνόδου ὁ κβ'. καὶ ὁ κγ'. οὐ δεῖ, φησι, τὸν ὑπηρέτην, ἤτοι ὑποδιάκονον, ὠράριον περιβεβλῆσθαι, ἀλλὰ τὰς τῆς ἐκκλησίας θύρας ἔχεσθαι, ὥστε τοὺς κατηχουμένους καὶ τοὺς ἐν μετανοίᾳ εἰσάγειν τε καὶ ἐξάγειν· διά τοι τοῦτο καὶ τὴν σήμερον παρ' αὐτοῖς ᾄδεται, τὸ, ὅσοι πιστοὶ, ἵστασθε δηλονότι, τὴν τῶν ἁγίων μυστηρίων θυσίαν ὀψόμενοι, ἔξιτε δὲ οἱ τούτων ἀμύητοι· ἀλλὰ μηδὲ ἀναγνώστας ἢ ψάλτας τοῦτο περικεῖσθαι, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν. τοῖς μὲν γὰρ τοῦ ψάλλειν ἔμελλε μόνον. τοῖς γε μὴν ἀναγνώσταις, οὐ τούτου, τοῦ δέ γε τὰς θείας γραφὰς εἰς κοινὴν ἀναγινώσκειν ἀκρόασιν, εἰ καὶ νῦν ἐπ' ἐλάχιστον αὐτοῖς τοῦτο γίνεται. πολλὰ γὰρ τῶν παλαιῶν ἐθῶν εἰς ἑτέραν τάξιν μετέβαλε. τοῖς διακόνοις γὰρ δέδοται καὶ μόνοις τῷ λαῷ τῶν ὤμων τοῦτο περιτιθέναι. ἐκλήθη δὲ ὠράριον ἐκ τοῦ ὠρῶ, τὸ φυλάσσω καὶ ἐπιτηρῶ. οἱ γὰρ ἐξαρτῶντες τοῦτο διάκονοι, τοῖς ἱερουργοῦσι παριστάμενοι, καὶ τὰς τῆς ἱερᾶς τελετῆς ἐπιτηροῦντες εὐχὰς, τῷ ὠραρίῳ τοῖς ἐν τῷ ἄμβωνι σημαίνουσι διακόνοις τὸν καιρὸν τῆς ὀφειλούσης γίνεσθαι ἐκφωνήσεως ἐν τῇ ἐκτενῇ τῶν αἰτήσεων τῶν τε κατηχουμένων καὶ τῶν πιστῶν.

ΚΕΦ. ι'.

Περὶ ἐνεχύρων.

Ζήτει τὸ β'. κεφάλαιον τοῦ Δ. στοιχείου.

ΚΕΦ. ια'.

Περὶ ὧν ἔχουσιν αἱ ἐκκλησίαι καὶ ἐπίσκοποι πρεσβείων καὶ προνομίων.

Ο λδ'. τῶν ἁγίων ἀποστόλων κανών, τοὺς ἐπισκόπους ἑκάστου ἔθνους πράττειν μὲν ἴδια κελεύει, τὰς τῶν ὑποκειμένων αὐτοῖς ἐκκλησιῶν, καὶ λοιπῶν χωρῶν διοικήσεις· περιττῆς δὲ ζητήσεως ἀναφυούσης, τῆς σπανίως μὲν κινεῖσθαι συμβαινούσης δηλαδή, εἰς κοινὴν δὲ τῆς ἐκκλησίας ἀφορώσης κατάστασιν, εἴτε περὶ δογμάτων δέησιν ἐξητακέναι τυχόν, εἴτε ἀρχιερέα χειροτονῆσαι, ἔνθα οὔπω πρότερον ἦν, εἴτε κοινὸν διορθώσασθαι σφάλμα, εἴτε τέ τι τοιόνδε, εἰδέναι χρὴ τοὺς ἐπισκόπους τὸν παρ' αὐτοῖς τὰ πρῶτα φέροντα μητροπολίτην, καὶ ὡς κεφαλὴν τοῦ τῆς ἐκκλησίας σώματος τοῦτον ἡγεῖσθαι, καὶ συνιόντας περὶ τῶν ἐμπιπτουσῶν ὑποθέσεων συνδιασκέπτεσθαι, καὶ τὸ πᾶσιν ἄριστον δόξαν ψηφίζεσθαι. οὐ μὴν οὐδὲ τὸν μητροπολίτην δέον τῇ τιμῇ καταχρώμενον, εἰς δυναστείαν ταύτην ἀμείβειν, καὶ γνώμης ἄνευ κοινῆς τῶν οἰκείων συλλειτουργῶν, ἔνια πράττειν τῶν εἰρημένων, ἀλλὰ τῇ ὁμονοίᾳ καὶ ἀγάπῃ συνδεδεμένους περὶ τῶν κοινῶν πραγμάτων σκοπεῖν· οὕτω γὰρ κοινὸν παράδειγμα τοῖς ὑπ' αὐτοὺς ἔσονται πλήθεσι, καὶ δοξασθήσεται ὁ θεὸς διὰ τοῦ υἱοῦ ἐν ἁγίῳ πνεύματι· ὡς τοῦ υἱοῦ τὸ ὄνομα τοῦ πατρὸς φανερώσαντος, καὶ τοῖς ἀνθρώποις τὴν ἀγάπην νομοθετήσαντος, τοῦ δὲ πνεύματος διὰ τῶν ἀποστόλων τὰ ἔθνη φωτίσαντος.

Τούτῳ συμφωνεῖ ἐν ἅπασιν, εἰ καὶ μὴ τοῖς ῥήμασιν, ἀλλά γε τῇ διανοίᾳ, καὶ ὁ θ'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου. ζήτει καὶ ἐν τῷ ε'. κεφαλαίῳ τοῦ Δ. στοιχείου, κανόνα ιη'. τῆς α'. συνόδου.

Ἐντεῦθεν ποῖαι τῶν ἐκκλησιῶν ἰδίοις πρεσβείοις ἠξίωνται.

Καὶ ὁ μὲν ς'. τῆς πρώτης συνόδου κανών, τοὺς ἀρχαίους θεσμοὺς τῶν πατέρων στέργειν οἴεται δεῖν, οἳ τῷ μὲν Ἀλεξανδρείας, τὰ ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει ἐνείμαντο· τῷ δέ γε Ἀντιοχείας, τά τε τῆς Συρίας, καὶ τῆς κοίλης Συρίας, καὶ τῆς Κιλικίας ἑκατέρας, καὶ Μεσοποταμίας· τῷ δὲ Ῥώμης, νόμος ἀρχαῖος τῶν ἑσπερίων κρατεῖν· καὶ γνώμης ἄνευ τῶν εἰρημένων, μηδένα τῶν τῆς ἐκκλησίας θεσμῶν καθέστηκεν ἐκλογή. τοῖς πατριάρχαις καὶ γὰρ τοὺς ὑπ' αὐτοὺς μητροπολίτας· ὁ κανὼν ὑπείκειν νομοθετεῖ. καὶ τούτοις αὖθις τοὺς ἐπισκόπους. εἰ τοίνυν γνώμης ἄνευ τοῦ μητροπολίτου κατασταίη ἐπίσκοπος, τοῦτον μὴ εἶναι ἐπίσκοπον διατάττεται. εἰ γὰρ καὶ ἦν ὅτε ἦν, τὰ πλήθη τῶν πόλεων τὰς τῶν ἐπισκόπων ποιεῖσθαι ψήφους· ἀλλά γε καὶ τότε ὃν ὁ μητροπολίτης ἐδοκίμασε τῶν ἄλλων ἀπολεξάμενον, τῆς χειροτονίας ἐκεῖνος ἠξιοῦτο. ψήφου δέ, φησι, γινομένης, ὡς οἱ θεσμοὶ τῆς ἐκκλησίας διαγορεύουσι, καὶ τῶν μὲν πλειόνων συμφωνούντων, δύο δὲ ἢ τριῶν φιλονείκως ἀντιλεγόντων, ἡ τῶν πλειόνων ψῆφος κρατείτω.

Ο δὲ ζ'. τὸν Αἰλίας θεσπίζει ἐπίσκοπον τῶν ἐν Παλαιστίνῃ, Ἀρραβίᾳ τε, καὶ Φοινίκῃ κατάρχειν πόλεων, μὴ δι'

CAPUT X.

De Pignoribus.

Quære ii. cap. literæ Δ.

CAPUT XI.

B *De Privilegiis & præeminentiis quas habent Eccleſiæ & Epiſcopi.*

TRIGESIMUS quartus ſanctorum Apoſtolorum Canon, Epiſcopos uniuſcujuſque gentis, quæ ad ſe pertinent, nempe Eccleſiarum ſibi ſubjectarum & reliquorum locorum adminiſtrationem, gerere jubet: magni autem momenti quæſtione exortâ, quæ raro quidem moveri ſolet, & quæ ad communem Eccleſiæ ſtatum ſpectat, ſive quid de dogmatis forſan inquirere oporteat, ſive Antiſtitem ordinare, ubi non prius C erat, vel communem errorem corrigere, vel aliquid ſimile, Epiſcopos oportet Metropolitanum agnoſcere, qui primum apud illos occupat locum, & tanquam Eccleſiæ corporis caput exiſtimare, & qui ad eum conveniunt de incidentibus quæſtionibus conſultare, & quod omnibus optimum videtur determinare. Non autem convenit, ut Metropolitanus honore abutens, hunc in ditionem mutet, & ſine ſuorum Conſacerdotum communi ſententia ulla dictorum agat; ſed concordiâ & charitate vincti de publicis negotiis proſpiciant: ſic enim erunt populo ſibi ſubjecto commune exemplum, & glorificabitur Deus per Filium in Spi- D ritu ſancto; cum Filius manifeſtat Patris nomen, & hominibus lege latâ charitatem præcipit, & Spiritus per Apoſtolos gentes illuminat.

Huic in omnibus convenit, licèt non verbis, ſententia tamen, nonus Antiochenæ Synodi canon. Quære & in quinto capite literæ Δ. canonem decimum octavum primæ Synodi.

Hinc, quænam Eccleſiæ propriis Privilegiis gaudent, intelligas.

Sextus quidem primæ Synodi canon antiquis Patrum E decretis acquieſcere oportere exiſtimat; quibus Ægyptus, & Libya, & Pentapolis Alexandrino Epiſcopo ſunt aſcriptæ; Antiocheno verò & Syria, & Cœleſyria, & Ciliciæ utræque, & Meſopotamia; Romanus etiam ſecundum antiquam legem occidentalibus præerat, & ſine dictorum ſententia nullam Eccleſiaſticam conſtitutionem ab his, qui illis ſubjecti ſunt exerceri, quarum præcipua eſt Epiſcopi electio. Patriarchis enim, qui eis ſubjiciuntur, Metropolitanos obedire canon præcipit; & his itidem Epiſcopos. Siquis proinde abſque Metropolitani ſententia creatus ſit Epiſcopus, eum non eſſe Epiſcopum decernit. Nam etſi olim populi F ſuffragiis Epiſcopi in urbibus eligerentur: adhuc tamen quem approbaſſet Metropolitanus inter alios eligendum, is manuum impoſitione dignus habebatur. Si vero, inquit, cum facta ſit electio, ut leges Eccleſiaſticæ edicunt, conſentiant inter ſe plurium ſuffragia, & duobus tribuſve contentionis ſtudio contradicentibus, vincant plurium ſuffragia.

Septimus verò Æliæ Epiſcopum Palæſtinæ, Arabiæ, & Phœnicæ urbibus præeſſe decernit, non quod ſuis privilegiis & prærogativis Metropolin Palæstinæ Cæsaream celebritate vincat, quæ & Stratonis nomine dicta, cui Ælia aliquando fuit ſubjecta, at antiquis temporibus abſtracta. Honoratur propter ſalutiferas Chriſti paſſiones in ea peractas. Olim equidem & nunc etiam, Ælia, & univerſa circa illam regio, Palæſtinæ nomen obtinuit: urbs vero ipſa ab antiquo tempore Solyma & Jebus appellata fuit. Ex quo autem per Salomonem celeberrimum illud templum fuit extructum, & ſacra veteris Teſtamenti in eo fuerunt repoſita, Hieroſolymorum nomine fuit celebrata. A Romanis autem poſtquam fuit everſa, Adrianus Imp. qui & Ælius appellatus, rurſus inſtauravit, & Æliam eam nuncupavit.

Secundus Syn. ii. Can. ab Alexandrino Epiſcopo quæ ſunt in Ægypto adminiſtrari decernit; aliarum autem Provinciarum Epiſcopos à propriis Synodis ſecundùm legem antiquam ordinari; hoc vero poſterioribus divinorum Canonum conſtitutionibus fuit omnino ſublatum.

De Eccleſiæ Conſtantinopolitanæ prærogativis.

Tertius verò inquit, ut habeat Conſtantinopolitanus Epiſcopus honoris privilegia poſt Romanum Epiſcopum, eo quòd ipſa ſit nova Roma, decernimus. Antiqua ſiquidem urbs fuit Byzantium, quæ propriis regebatur legibus. Sub Severo autem Romanorum Imp. per triennium à Romanis obſeſſa, tandem, civibus in eâ rerum neceſſariarum inopiâ laborantibus capta fuit, & everſa ſunt ejus mænia, ac ablata jura civilia, & ipſa fuit Perinthiis ſubjecta; Perinthus autem eſt Heraclea.

Quare ab Heracienſi Epiſcopo Patriarcha ordinatur?

Et hinc quidem Heracienſi Antiſtiti Patriarchæ ordinatio tribuitur; quippe obtinuit antiqua conſuetudo, ut per illum Byzantii Epiſcopus ordinaretur. Magnus verò Conſtantinus hanc in amœniſſimo mundi loco ſitam urbem, magnitudini & pulchritudini ad quam pervenit adaugens, ſuiipſius donavit nomine, & novæ Romæ titulo inſignivit.

Vigeſimus octavus iv. Syn. ait, eadem, quæ iii. canon ſecundæ Synodi, nos quoque decernimus, & ſtatuimus, ut ſanctiſſimæ Conſtantinopolitanæ Eccleſiæ thronus æqualibus cum antiquiori Roma privilegiis fruatur; quippe quæ Imperio & Senatu honorata. Unde etiam non ſecus ac illam Eccleſiaſticis privilegiis honeſtari oportet, ac primum quidem inter alias Eccleſias, ſecundum verò poſt illam locum obtinere, nam omnibus modis æqualem intelligere non poſſumus: licèt quidam præpoſitionem, poſt, omnino affirmativè, maximè vero indoctè & imperitè, interpretantes, non inferiorem loci & dignitatis gradum, ſed temporis ordinem ſignificare exiſtimavêre: nam in nominibus recitandis, neceſſe eſt ut unum prius, alterum verò poſterius proferatur; ut & in conceſſu, & etiam in ſubſcriptionibus accidere ſolet.

Inſignis hoc dicit Zonaras, ne forte dixerit quiſpiam, quoniam divini Patres, futurum tanquam præſens prævidentes, Romanam nempe Eccleſiam propter errores ſuos ab orthodoxorum cœtu ſegregandam, atque ab omni fidelium conſortio elimandam fore, primas huic detulerunt, atque ita iiſdem privilegiis eam decorârunt, quæ ut illa aliquando, principatũ in omnibus olim obtinebit. De Conſtantinopol. porro Eccleſiæ privilegiis abundè diſſerens canon, de diœceſibus etiam illi ſubjectis conſtituit:

A ὁποιοῦ προδεδοκιμασμένης περὶ τὰ οἰκεῖα πρεσβεῖά τε καὶ προνόμια τῆς κατὰ τὴν Παλαιστίνην μητροπόλεως Καισαρείας, ἥπερ καὶ τοῦ Στράτωνος ὀνομάζεται, ταύτῃ γάρ ποτε ἡ Αἰλία ὑπέκειτο, χρόνοις δὲ ὕστερον ἀποσπασθεῖσα. τετίμηται αἰδοῖ τῶν ἐν αὐτῇ τελεσθέντων σωτηρίων τοῦ Χριστοῦ παθημάτων. καὶ ἐκ παλαιοῦ μὲν ἄχρι τοῦ δεῦρο, ἥτε Αἰλία, καὶ σύμπασα ἡ περὶ αὐτὴν χώρα Παλαιστίνη ἐπεφημίζετο· ἡ δέ γε πόλις τὸ μὲν ἀρχαῖον Σόλυμα καὶ Ἰεβοὺς ἐκαλεῖτο. ἀφ' οὗ δὲ πρὸς τοῦ Σολομῶντος ὁ περιφανὴς ἐκεῖνος ἠγέρθη νεὼς, καὶ τὰ ἱερὰ τῆς παλαιᾶς ἐν αὐτῷ εἰσῳκίσθη, τὴν τῶν Ἱεροσολύμων ἀπειλήφει προσωνυμίαν. ἀναστάτου δὲ γενομένης ὑπὸ B Ῥωμαίων, ὁ Βασιλεὺς Ἀδριανὸς ὁ καὶ Αἴλιος, αὖθις ἀναγείρας, Αἰλίαν αὐτὴν ἐπωνόμασεν.

Ὁ δὲ δεύτερος κανὼν τῆς δευτέρας συνόδου, τὸν Ἀλεξανδρείας ἐπίσκοπον, τὰ ἐν Αἰγύπτῳ διέπειν θεσπίζει· τοὺς δὲ ἐπισκόπους τῶν ἄλλων ἐπαρχιῶν, πρὸς τῶν ἰδίων συνόδων κατά γε τὸ παλαιὸν ἔθος χειροτονεῖσθαι· τοῦτο δὲ τοῖς ἔπειτα τῶν θείων κανόνων θεσμοῖς τελέως ἀνῄρηται.

Περὶ τῶν πρεσβείων τῆς Κωνσταντινουπόλεως ἐκκλησίας.

C Ὁ δὲ γ'. τὸν μέντοι, φησὶ, Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν θεσπίζομεν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην. ἀρχαῖα μὲν γὰρ πόλις ἦν τὸ Βυζάντιον, καθ' ἑαυτὸ διοικούμενον. ἐπὶ δὲ Σεβήρου Βασιλέως Ῥωμαίων, εἰς τρεῖς ἐνιαυτοὺς ὑπὸ Ῥωμαίων πολιορκηθὲν, ὕστερον ἑάλω, τῶν ἀναγκαίων ἐπιλιπόντων τοῖς ἐν αὐτῷ, καὶ καθῄρητο μὲν αὐτοῦ τὰ τείχη, ἀφῃρέθη δὲ τὰ πολιτικὰ δίκαια, καὶ ὑπετέθη Περινθίοις· Πέρινθος δὲ ἐστὶν ἡ Ἡράκλεια.

Διὰ τί ὑπὸ τοῦ Ἡρακλείας ὁ πατριάρχης χειροτονεῖται.

D

Παρὸ δὲ καὶ τῷ Ἡρακλείας ἡ χειροτονία τοῦ πατριάρχου ἀπονενέμηται· ἅτε πρότερον ἔθος ὂν πρὸς αὐτοῦ χειροτονεῖσθαι τὸν ἐπίσκοπον Βυζαντίου. ὁ μέγας δὲ Κωνσταντῖνος, τὴν ἐν καλλίστῳ τοῦ κόσμου κειμένην ταυτηνὶ πόλιν, καὶ μεγέθους καὶ κάλλους οὗ ἥκουσαν ἀνεγείρας, τὴν ἰδίαν αὐτῇ κλῆσιν ἀπεχαρίσατο, καὶ νέαν προσεπωνόμασε Ῥώμην.

Ὁ δὲ κη'. τῆς τετάρτης συνόδου, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομεν, φησι, τῷ γ'. τῆς β'. συνόδου κανόνι, καὶ ψηφιζόμεθα τὸν E θρόνον τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως, τὰ ἴσα φέρειν τῆς πρεσβυτέρας Ῥώμης πρεσβεῖα, ἅτε βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν· ταύτητοι καὶ οἷάπερ ἐκείνην ἐν τοῖς ἐκκλησιαστικοῖς δεῖ μεγαλύνεσθαι προνομίοις, πασῶν μὲν ἄλλων προτιμωμένην, δευτέραν δὲ μετ' ἐκείνην ὑπάρχουσαν, τὴν ἴσων καὶ ἐν ἅπασιν ἀξιοῦσθαι ταύτην ἀμήχανον, εἰ καί τινες τὴν, μετὰ, πρόθεσιν πάνυ βεβαιωμένως, μᾶλλον δὲ ἀπαιδεύτως καὶ ἀμαθῶς, ἑρμηνεύοντες, οὐχ ὑφεδρίας καὶ ὑποβιβασμοῦ, χρόνου δὲ εἶναι δηλωτικὴν ἀξιοῦσιν· ἐν γὰρ ταῖς τῶν ὀνομάτων ἀναφοραῖς, ἀνάγκη, τὸν μὲν, πρότερον, τὸν δὲ, ὕστερον ἐκφωνεῖσθαι· ὡς δὲ κἀν ταῖς καθέδραις, κἀν ταῖς ὑπογραφαῖς συμβήσεται. F

Εἰ μήπου τις εἴποι, ὁ ὑπερφυὴς δὲ τοῦτό φησι Ζωναρᾶς, ὅτι τὸ μέλλον ὡς παρὸν οἱ θεῖοι πατέρες ἐνοπτριζόμενοι, ὡς ἀποτμηθήσεται τῆς τῶν ὀρθοδόξων ὁλοκληρίας ἡ τῶν Ῥωμαίων ἐκκλησία, καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως ἐξοστρακισθήσεται, δόγμασιν ἑτεροδόξοις καθυπαχθεῖσα, πρώτην ἐλογίσαντο ταύτην, καὶ οὕτω τῶν αὐτῶν ἐκείνῃ πρεσβείων ἠξίωσαν, πρεσβεύειν ἐν ἅπασι μέλλουσαν, οἷα περὶ ἐκείνην ποτέ. περὶ μὲν δὴ τῶν πρεσβείων τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, ἅλις διαταξάμενος ὁ κανὼν καὶ περὶ τῶν ὑποκειμένων αὐτῇ διέξεισι διοικήσεων.

ταύτας δὲ εἶναί φησι, τὰς τῆς Ασίας, τοῦ Πόντου, καὶ Θρᾴκης. καὶ Ασιαναὶ μὲν εἰσι διοικήσεις, αἱ μέχρι τῶν Ταυρικῶν ὀρῶν διήκουσαι· Ποντικαὶ δὲ, αἱ τῷ Εὐξείνῳ πόντῳ παρακείμεναι, Τραπεζοῦντος ἄχρι καὶ ἐνδοτέρῳ· Θρᾳκικαὶ δὲ, αἱ μέχρις αὐτοῦ Διῤῥαχίου.

Διὰ τί ἦν ὁ Θεσσαλονίκης λεγάτος τοῦ Πάπα.

Εἰ γὰρ καὶ πάλαι τόν τε Θεσσαλονίκης, καὶ ἑτέρους δυτικοὺς ἐπισκόπους, τὸν Ἀθηνῶν, φημὶ, τὸν Κορίνθου, τὸν Πατρῶν, τὸν Ραβέννης, λεγάτους εἶχεν ὁ πάπας, οἱονεὶ ἐκ προσώπου αὐτοῦ, τοῦτο γὰρ καθ' Ἕλληνας ἡ λέξις δηλοῖ, ἵν' ὅτε δεήσει παρεῖναί τινας τῶν τοῦ πάπα ταῖς κοιναῖς συνελεύσεσιν, ἀναπληρῶσιν οὗτοι τὸν ἐκείνου τόπον, ἀλλὰ τῆς ἡμετέρας ἐτύγχανον ὄντες ἀγέλης. οὐ γὰρ τοσούτους εἶχεν ὑπερορίους ἐπισκόπους ὑφ' ἑαυτὸν, ὥστε καὶ χειροτονεῖν αὐτοὺς, ὥς τινες οἴονται. ἐπινενόηται δὲ τοῦτο, διὰ τὸ τῆς ὁδοῦ μῆκος, ἵνα μὴ ἀποκναίωσιν οἱ πρὸς ἡμᾶς ἐκεῖθεν στελλόμενοι διαπόντιοι. καὶ δῆλον ἐκ τοῦ, μὴ τούτους ἀεὶ ἐκ προσώπου τοῦ πάπα καθίζεσθαι, ἀλλ' ἐνίοτε καὶ ἑτέρους, οὓς ὁ κατὰ καιροὺς τῆς Ρώμης εἵλετο πάπας.

Περὶ ψήφου καὶ χειροτονίας ἐπισκόπων.

Τούτων τοιγαροῦν τῶν διοικήσεων τοὺς μητροπολίτας μόνους χειροτονεῖν δίδωσι τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως· καὶ τούτων οὐχ οὕσπερ αὐτὸς κατ' ἐξουσίαν βεβούληται, ἀλλ' οὓς ἂν ἡ ὑπ' αὐτὸν συμφωνήσασα ψηφίσηται σύνοδος· εἶθ' οὕτω τῶν ψήφων ἐμφανιζομένων αὐτῷ, ὃν ἂν τῶν ψηφισθέντων τριῶν ὄντων ἐκλέξηται χειροτονεῖν· οὐ γὰρ ἐφεῖται τῷ πατριάρχῃ ταῖς τῶν μητροπολιτῶν παρεῖναι ψήφοις, οὔτε μὴν τῷ μητροπολίτῃ ταῖς τῶν ἐπισκόπων. πρὸ δὲ τοῦ κανόνος τούτου, οὐχ οἱ πατριάρχαι τοὺς μητροπολίτας ἐχειροτόνουν, ἀλλ' οἱ ἑκάστης ἐπαρχίας ἐπίσκοποι. χειροτονεῖν δὲ ἐφίησι τῷ Κωνσταντινουπόλεως, καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν ἐπισκόπους, τοῖς ὁμόροις τῶν ἀφωρισμένων αὐτῷ διοικήσεων, ὥσπερ εἰσὶν, οἱ Αλανοὶ, καὶ οἱ Ρώς. οἱ μὲν γὰρ, τῇ Ποντικῇ, οἱ δὲ τῇ Θρᾳκικῇ παράκεινται διοικήσει. ἑκάστῳ δὲ μητροπολίτῃ χειροτονεῖν ἐπισκήπτει τοὺς ὑπ' αὐτὸν ἐπισκόπους, τῶν τῆς ἐπαρχίας ἐπισκόπων παραπλησίως ποιουμένων τὰς ψήφους, ὡς καὶ τοῖς θείοις κανόσι τῶν πρὸ ἡμῶν ἁγίων, φησὶ, διηγόρευται.

Τὰ αὐτὰ καὶ λϛ'. τῆς ϛ'. συνόδου διέξεισι περὶ τῶν πρεσβείων τῆς ἐκκλησίας Κωνσταντινουπόλεως τῷ τῆς δευτέρας συνόδου β'. κανόνι. πρὸς δὲ, καὶ τὸ, τῷ τῆς δ'. ἐπιψηφιζόμενος, καὶ τοῖς σφῶν ῥήμασι χρώμενος, ὥστε τὸν θρόνον Κωνσταντινουπόλεως τῶν ἴσων ἀπολαύειν πρεσβείων τῷ τῆς πρεσβυτέρας Ρώμης, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα. μεθ' ὃν ἀριθμεῖται ὁ τῆς Αλεξανδρείας, εἶτα ὁ τῆς Αντιοχείας, καὶ μετὰ ταῦτα ὁ τῶν Ιεροσολύμων.

Διὰ τί ὁ πατριάρχης εἰς τὰς τῶν μητροπόλεων ἐνορίας πέμπει σταυροπήγια.

Βαλσαμῶν. Επειδὴ τοίνυν τοῖς πέντε πατριάρχαις ἀπενεμήθησαν αἱ ἐνορίαι τῶν τεσσάρων τῆς οἰκουμένης κλιμάτων, πλὴν ὀλίγων ἐκκλησιῶν, καὶ μητροπολίτας ἐφεῖται τούτοις χειροτονεῖν, εἰς τὰς ἀφορισθείσας αὐτοῖς διοικήσεις ἀνακρίνειν τε αὐτοὺς, καὶ κατὰ τοὺς θείους εὐθύνειν κανόνας, καὶ τὴν ἐκφώνησιν καὶ μνήμην ἔχειν τῶν οἰκείων ὀνομάτων, πρὸς πάντων τῶν ἐν ταῖς διοικήσεσι μητροπολιτῶν· ταύτητοι καὶ σταυροπήγια πέμπουσιν εἰς τὰς αὐτῶν ἐνορίας, καὶ κληρικοὺς ἐξ αὐτῶν λαμβάνουσιν, οὓς αἱροῦνται· οὐ μὴν ἐφεῖταί τινι τούτων καὶ εἰς χώραν πέμπειν σταυροπήγιον, ἥτις ἑτέρῳ ὑπόκειται πατριάρχῃ, οὔτε κληρικὸν λαβεῖν ἐξ αὐτῆς, ἵνα μὴ συγχέωνται τὰ δίκαια τῶν ἐκκλησιῶν.

A illas vero dicit eſſe Diœceſis Aſiæ, Ponti, & Thraciæ. Et Aſianæ quidem diœceſes ſunt, quæ ad Taurum uſque montem extenduntur; Ponticæ vero, quæ Ponto Euxino adjacent, Trapezuntem uſque & interius; Thracicæ autem, quæ ſunt uſque ad ipſum Dirrhachium.

Quare Theſſalonicenſis Epiſcopus fuit Papæ legatus.

Quanquam olim Epiſc. Theſſalonicenſem & alios Occidentales Epiſcopos, Athenarum, dico, Corinthi, B Patrarum, & Ravennæ, legatos habuit Papa, tanquam ab ejus facie (illud enim apud Græcos ſignificat vocabulum) ut, quando publicis adeſſe quoſdam è partibus Papæ opus eſſet conventibus, illius locum ſupplerent; è noſtro tamen grege fuere. Non enim tot extra ſuos fines Epiſcopos ſibi ſubjectos habuit, ut illos ordinaret; ut quidam exiſtimarunt. Excogitatum eſt autem hoc propter viæ longitudinem, ne tædio afficerentur ii, qui illinc nobis per Maria miſſi fuerint. Quod & hinc manifeſtum eſt, quod non ſemper illi à facie Papæ conſtituti ſunt, ſed aliquando & alii, quos pro tempore Papa Romæ elegit.

C

De electione & ordinatione Epiſcoporum.

Harum ſiquidem diœceſium Metropolitanos ſolos Conſtantinopolis Patriarchæ ordinare conceditur; & ex illis non quos ipſe pro poteſtate voluit, ſed quos ſub eo conſentiens Synodus elegerit; deinde delatis illi ſuffragiis, quem ex tribus nominatis elegerit, hunc ordinari: Non enim Patriarchæ Metropolitanorum electionibus intereſſe conceditur, neque quidem Metropolitano Epiſcoporum. Ante hunc autem Canonem, Metropolitanos Patriarchæ non ordinabant, ſed cujuslibet Provinciæ Epiſcopi. Conſtantinopolitano vero D fuit conceſſum in barbaricis gentibus, quæ diœceſibus ſibi propinquis ſunt conterminæ, Epiſcopos ordinare; ut ſunt Alani, & Ruſſi. Hi quidem Ponticæ, illi vero Thracicæ adjacent diœceſi. Unicuique vero Metropolitano Epiſcopos ſibi ſubjectos ordinare incumbit; Provinciæ Epiſcopis electiones ſimiliter facientibus; ut & antiquorum Patrum divinis Canonibus, ait, cautum eſt.

Eadem cum ſecundo canone ſecundæ Synodi trigeſimus ſextus ſextæ Synodi, de Eccleſiæ Conſtantinopolitanæ E privilegiis ediſſerit; adhæc & idem cum quarto decernens, & illorum verbis utens; ut thronus Conſtantinopolitanus æqualibus cum veteri Roma privilegiis fruatur, cum ſit poſt illum ſecundus: poſt quem numeretur Alexandrinus, deinde Antiochenus, & poſt hos Hieroſolymitanus.

Quare in Metropolitani Provincias Stauropegia mittit Patriarcha.

Balſam. Quoniam equidem quinque Patriarchis regiones totius Orbis diſtributæ ſunt, præter paucas Eccleſias, & illis etiam Metropolitanos ordinare conce- F ditur, & in aſſignatas ipſis Diœceſes illos conſtituere, & ſecundum divinos Canones corrigere, & pronunciationem & memoriam ſuorum nominum habere, ab omnibus qui in Diœceſibus ſunt Metropolitanis: porro & ſtauropegia in illorum Provincias mittunt, & Clericos quos volunt ab eis ſubducunt: nulli equidem illorum licet in Provinciam, quæ alteri ſubjecta eſt Patriarchæ, ſtauropegium mittere, nec Clericum exinde ſubducere, ne Eccleſiarum jura confundantur.

De Bulgaria, Cypro & Iberia.

Quæ nulli ſubjiciuntur Patriarchæ, ſunt Bulgariæ Eccleſia, quam honoravit Imp. Juſtinianus, ut ex citandâ ejus Novella notum erit; Cypri, quam honorarunt tertia & ſexta Synodus, ut ſtatim quidem dicetur; Iberiæ, quam honoravit Antiochenæ Synodi dijudicatio, cum illi anteà fuit ſubjecta: horum enim Antiſtites à propriis Epiſcopis ordinari ſolebant.

Octavus quidem tertiæ Synodi canon, ut non ſibi Cypri Epiſcopos creandi jus Antiochenus vendicet, jubet, eò quòd olim à Duce Antiocheno Præfectus illic mittebatur; ſed ſecundùm antiquam conſuetudinem ab inſulæ Epiſcopis in ea ordinationes fiunt; & nullus alius religioſiſſimorum Epiſcoporum provinciam, quæ non erat multis retro annis & ab initio ſuæ ditionis, invadat. Sed ſi ſibi per vim ſubmiſerit, eam reſtituat, ne Patrum Canones tranſgrediantur; nec ſub Sacerdotalis muneris prætextu ſecularis poteſtatis faſtus ſubeat, nec libertatem paulatim imprudentes amittamus, quam nobis proprio ſanguine dedit Chriſtus. Siquis verò typum aliquem his, quæ nunc decernuntur, repugnantem attulerit, nempe conſtitutionem regiam, invalidam omnino illam eſſe jubet.

Xxxix. ſextæ Syn. canon novam Juſtinianopolin Cypriorum Eccleſiam nominat, & jura Conſtantinopolis habere ſtatuit, & Helleſponti & Cyzici Epiſcopum ab eo ordinari: utrum autem executioni unquam demandatus ſit canon, difficile admodum eſt invenire.

Quadrageſimus vero ſecundus Carthag. Syn. ut primæ ſedis Epiſcopus Sacerdotum Exarchus, vel ſummus, vel aliquid ejuſmodi appelletur, vetat, ſed tantum Epiſcopus; eum, qui in honore & imperio eſſe ſolet, faſtum in poteſtatem redigens, & humilem & mediocrem eſſe ſtatuens: ideoque & plures Patriarchæ & Antiſtites alii ſeipſos viles humileſque in ſuis ſubſcriptionibus appellant. Hoc autem, ut videtur, quarta œcumenica Synodus non admittens, quæ hac multo poſterior fuit, Provinciarum Exarchos Metropolitanos nominat, in nono ſuo canone, quem etiam quære in nono capite literæ Δ. Eodem modo etiam & aliæ Synodi eos appellant. Quære & in nono capite literæ Δ. canonem Synodi Sardicenſis duodecimum: & in nono capite literæ A. canonem Synodi Carthaginenſis quinquageſimum quintum.

Leges.

Cxxxi. Juſtiniani novella, decernimus, ait, ſecundum ſanctarum Synodorum definitiones ſanctiſſimum veteris Romæ Papam, primum omnium Sacerdotum eſſe; Beatiſſimum vero Conſtantinopolis novæ Romæ Epiſcopum, ſecundum poſt Apoſtolicum thronum veteris Romæ locum obtinere, omnibus autem aliis præponi; Beatiſſimum vero primæ Juſtinianæ, patriæ noſtræ, Archiepiſcopum ſemper ſub ſua juriſdictione habere Epiſcopos provinciarum, Daciæ Mediterraneæ, & Daciæ Ripenſis, Prævalenſis, & Dardaniæ, & Myſiæ ſuperioris, & ab eo illos ordinari; ipſum autem à Syn. ordinari, & in ſubjectis ſibi provinciis Apoſtolicæ ſedis locum obtinere, juxta ea, quæ ſanctus Papa Vigilius conſtituit. Simile etiam jus Epiſcopo Carthaginenſi in Africa conceſſimus, ex quo nobis hanc Deus reſtituit.

Exorientes in omni Illyrico canonicas dubitationes abſque Archiepiſcopi Conſtantinopolitani ſententia ab-

A

Περὶ τῆς Βουλγαρίας, τῆς Κύπρου, καὶ τῶν Ιβήρων.

Αἱ δὲ μὴ ὑποκείμεναι πατριάρχῃ τινὶ, ἡ τῆς Βουλγαρίας ἐστὶν ἐκκλησία, ἣν ἐτίμησεν ὁ βασιλεὺς Ιουστινιανὸς, ὡς ἐκ τῆς ῥηθησομένης νεαρᾶς αὐτοῦ γνώριμον ἔσται· ἡ τῆς Κύπρου, ταύτην δὲ ἡ τρίτη σύνοδος καὶ ἡ ς΄. τετιμήκασιν, ὡς αὐτίκα δὴ μάλα ῥηθήσεται· ἡ τῶν Ιβήρων, ἣν ἐτίμησε διάγνωσις τῆς ἐν Αντιοχείᾳ συνόδου, ὑποκειμένην πρώην αὐτῇ· τούτων γὰρ οἱ ἀρχιερεῖς ὑπὸ τῶν ἰδίων ἐπισκόπων χειροτονεῖσθαι εἰώθασιν.

Ο μέντοι ὄγδοος τῆς τρίτης συνόδου κανὼν, μὴ ἐφ' ἑαυτὸν B ἕλκειν τὸν τῆς Αντιοχείας ἐπίσκοπον τὰς τῶν Κυπρίων ἐπισκόπων χειροτονίας διακελεύεται, διὰ τὸ πάλαι στρατηγὸν δῆθεν ἐκεῖσε παρὰ τοῦ Δουκὸς Αντιοχείας πέμπεσθαι· ἀλλὰ κατὰ τὸ ἀρχαῖον ἔθος διὰ τῶν ἐν τῇ νήσῳ ἐπισκόπων τὰς ἐν ταύτῃ χειροτονίας γίνεσθαι· μηδὲ τινα ἕτερον τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίας καταλαμβάνειν τὴν μὴ αὐτῷ ἀνήκουσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς. ἀλλ' εἰ καὶ ὑφ' ἑαυτὸν πεποίηκε βιασάμενος, ταύτην ἀποδιδόναι, ἵνα μὴ τῶν πατέρων οἱ κανόνες παραβαίνωνται· μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ὁ Χριστὸς τῷ οἰκείῳ ἐδω- C ρήσατο αἵματι. εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις κομίσει, πρόσταγμα Βασιλικὸν δηλαδὴ, ἄκυρον εἶναι τοῦτον κελεύει παντάπασιν.

Ο δὲ λθ΄. τῆς ς΄. συνόδου, νέαν Ιουστινιανούπολιν τὴν Κυπρίων ἐκκλησίαν ἐπονομάζει, καὶ τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως δίδωσι, καὶ τὸν τοῦ ἑλλησπόντου, καὶ Κυζίκου ἐπίσκοπον ὑπ' αὐτοῦ χειροτονεῖσθαι· εἰ δὲ καὶ εἰς ἔργον ὁ κανὼν ποτε προελήλυθεν, ἔργον εὑρεῖν ἀτεχνῶς.

Ο δὲ μβ΄. τῆς ἐν Καρθαγένῃ κωλύει τὸν τῆς πρώτης καθέδρας ἐπίσκοπον, ἔξαρχον λέγεσθαι τῶν ἱερέων, ἢ ἄκρον, ἢ ἄλ- D λο τι τῶν τοιούτων, ἢ μόνον ἐπίσκοπον, τὸν ἐπιφυόμενον εἶναι τῇ τιμῇ, καὶ τῇ ἀρχῇ τῦφον, εἰς δύναμιν καθαιρῶν, καὶ νομοθετῶν τὸ ταπεινόν τε καὶ μέτριον· ταύτῃτοι καὶ οἱ πλείους τῶν πατριαρχῶν καὶ λοιπῶν ἀρχιερέων, ταπεινοὺς ἑαυτοὺς καὶ εὐτελεῖς ἐν ταῖς οἰκείαις ὑπογραφαῖς ὀνομάζουσι. τοῦτο δὲ ἡ οἰκουμενικὴ δ΄. σύνοδος, ὡς ἔοικεν, οὐκ ἀποδεξαμένη, οὐκ ὀλίγον ἐκείνης ὑστερίζουσα, ἐξάρχους τῶν ἐπαρχιῶν τοὺς μητροπολίτας καλεῖ, ἐν τῷ θ΄. ταύτης κανόνι, ὃν καὶ ζήτει ἐν τῷ θ΄. κεφ. τοῦ Δ. στοιχείου. οὕτω δὲ καὶ ἕτεραι σύνοδοι τούτους ἐπονομάζουσι. ζήτει καὶ ἐν τῷ θ΄. κεφ. τοῦ Δ. στοιχείου κανόνα τῆς ἐν Σαρδικῇ ιβ΄. καὶ ἐν τῷ θ΄. κεφ. τοῦ Α. στοιχείου κανόνα E τῆς ἐν Καρθαγένῃ συνόδου νε΄.

Νόμοι.

Η δὲ ρλα΄. Ιουστινιάνειος νεαρὰ, θεσπίζομεν, φησι, κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ρώμης Πάπαν πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως νέας Ρώμης δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ρώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι· τὸν δὲ μακαριώτατον ἀρχιεπίσκοπον τῆς πρώτης Ιουστινιανῆς τῆς ἡμετέρας πατρίδας ἔχειν ἀεὶ ὑφ' ἑαυτὸν τοὺς ἐπισκόπους τῶν ἐπαρχιῶν F Δακίας μεδιτερρανίας, καὶ Δακίας Ριπινσίας, Πραιβαλίας, καὶ Δαρδανίας, καὶ Μυσίας τῆς ἀνωτέρω, καὶ παρ' αὐτοῦ τούτους χειροτονεῖσθαι, αὐτὸν δὲ ὑπὸ συνόδου χειροτονεῖσθαι, καὶ ἐν αὐταῖς ταῖς ὑποκειμέναις αὐτῷ ἐπαρχίαις τὸν τόπον ἐπέχειν αὐτὸν τοῦ ἀποστολικοῦ θρόνου, κατὰ ὁρισθέντα ὑπὸ τοῦ Πάπα Βιγιλλίου. τὸ αὐτὸ δίκαιον καὶ τῷ ἐπισκόπῳ Καρχηδόνος τῆς Αφρικῆς δεδώκαμεν, ἐξ οὗπερ ὁ θεὸς ταύτην ἡμῖν ὑποκατέστησε.

Τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις, ἐν ὅλῳ τῷ Ιλλυρικῷ οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως,

UMI

A

Θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου.

Ἀλλ᾽ ὧδε τοῦ λόγου γενόμενος, τὸ τοῦ μεγάλου θέσπισμα σιωπήσομαι Κωνσταντίνου; καὶ πῶς οὐκ ἂν ἀπειροκαλίας μέμψιν ὀφλήσαιμι, ὡς ἔγωγε τῆς ἴσης τίθεμαι ἀτοπίας, τό, τε φθέγγεσθαι τὰ μὴ δέοντα, καὶ τό, τὰ καλὰ διδόναι σιγῇ; τούτου γὰρ οὔτε θεσπεσιώτερον ἴδοι τις ἄν, οὔτε δημοσίᾳ, ὥς γε οἶμαι, κηρύττεσθαι ἀξιώτερον. συμπάντων γὰρ τῶν ὑπερφυῶς κατορθωθέντων τῷ βασιλεῖ, προσήγορον ἀτεχνῶς πεφυκὸς καὶ ὁμόλογον, ἐκ πολλοῦ τοῦ περιόντος, τόν τε θερμὸν περὶ τὴν εὐσέβειαν ἔρωτα δείκνυσι τοῦ ἀνδρός, καὶ B πάσης ἄμεινον στήλης βοᾷ, οἵοις πρεσβείοις δίκαιοι ἂν εἶεν, εἰ μὴ ἐν παρέργῳ τὰ τῆς εὐσεβείας τιθέμενοι βασιλεῖς, τὴν τοῦ Χριστοῦ ἐκκλησίαν δωρεῖσθαι. ὁ γὰρ βασιλεὺς οὑτοσὶ μηδεμιᾶς λειπόμενος ἀρετῆς, εὐσεβὴς μὲν, τὰ πρὸς θεόν, δίκαιος δέ, τὰ πρὸς ἀνθρώπους ὑπῆρχεν· ὡς καὶ τῷ ἐκτὸς εἴδει, τὴν ἔνδον τῆς ψυχῆς ὑπογράφεσθαι ὡραιότητα. καὶ γὰρ ἀξιέπαινον εἶχε τὸ τοῦ σώματος μέγεθος, ὡς ἡ περὶ αὐτὸν ἱστορία διέξεισιν, ἀξιάγαστον δὲ τὴν ὥραν, θαυμασιωτέραν δὲ τὴν τοῖς μετώποις ἐπικαθημένην αἰδῶ. πέφυκε γάρ, ὡς ἐπίπαν τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασι τὸ τοῦ σώματος ἦθος ἐξεικονίζεσθαι· οὐχ ἥκιστα δὲ τὸ ὑπὲρ εὐσεβείας ζήλῳ πυρούμενος, ἔργῳ C πᾶσιν ἐδείκνυ, οἵοις ἱμέροις κατάκρας ἡλίσκετο τοῦ Χριστοῦ, ἀμέλει καὶ μὴ οἷός τε ὤν, ἀξίως τὸν ἐρώμενον δεξιοῦσθαι· εἰ γὰρ καὶ πᾶσαν τὴν ἐν ἀνθρώποις εὐπορίαν, εἰς ἕν τι συνενεγκών, τιμῆσαι θελήσειε, τῆς ἀξίας ἀνάγκη διαμαρτεῖν. ὃ δεύτερον ἦν, τὴν νύμφην αὐτοῦ ἐκκλησίαν, ἣν τῷ ἰδίῳ ἐπρίατο αἵματι, ἐκ τῶν ἐνόντων κοσμεῖν ἔσπευδε, καλὸν ἑαυτὸν εὐσεβείας παράδειγμα τοῖς πᾶσι δημοσίᾳ προθείς·

Φησὶ γοῦν,

Θεσπίζομεν σὺν πᾶσι τοῖς σατράπαις καὶ τῇ συγκλήτῳ τῆς ἡμῶν βασιλείας, τὸν Ῥώμης ἐπίσκοπον, καὶ διάδοχον τοῦ πρώ- D του τῶν ἀποστόλων καὶ κορυφαίου Πέτρου, πλείονα τῆς βασιλείας ἔχειν ἐξουσίαν κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ παρὰ πάντων πολλῷ πλέον ἢ τὸν βασιλέα τιμᾶσθαι καὶ σέβεσθαι, κεφαλήν τε εἶναι τῶν τεσσάρων πατριαρχικῶν θρόνων, κρίνεσθαί τε πρὸς αὐτοῦ καὶ ψηφίζεσθαι τὰ τῇ ὀρθοδόξῳ συμβαίνοντα πίστει. δωρούμεθα γὰρ τῷ πατρὶ ἡμῶν τῷ μακαρίῳ Σιλβέστρῳ, καὶ τοῖς αὐτοῦ διαδόχοις τὸ ἡμέτερον παλάτιον, τὸ ἐπὶ τῆς κεφαλῆς διάδημα ἐκ λίθων τιμίων καὶ μαργάρων συγκείμενον, τὸ κυκλοῦν τὸν τράχηλον ὠμοφόριον, τὴν πορφύραν χλαμύδα, τὸν κόκκινον χιτῶνα, καὶ πάντα τὰ βασιλικὰ ἐνδύματα, τὰ τῶν βασιλικῶν ἵππων ἀξιώματα, E τὰ σκῆπτρα, καὶ τὰ λοιπὰ τῆς βασιλείας κοσμήματα, καὶ τὴν δόξαν ἅπασαν τῆς ἡμῶν ἐξουσίας. τοὺς δὲ τῷ κλήρῳ τῆς ἁγιωτάτης Ῥώμης κατειλεγμένους κοσμεῖσθαι κελεύομεν παραπλησίοις τῷ συγκλήτῳ ἡμῶν ἐνδύμασιν· ἵπποις ἐποχουμένους ὀθόνας περικειμένοις λευκάς, ὡς δὲ καὶ τὰ ὑποδήματα τούτων ὀθονίων εἶναι πεποιημένα λευκῶν· καὶ ὃς ἂν αἱροῖτο κληρικὸς ἐκ τῆς ἡμῶν συγκλήτου, τοῦτον πρός τινος μηδαμῶς εἴργεσθαι. ὅτι γε μὴν τὴν ἐκ χρυσίου στεφάνην φρονήματος μετριότητι, ὁ πατὴρ ἡμῶν ὁ ἁγιώτατος Σίλβεστρος παραιτεῖται, ταῦτά τοι τὸν ὑπέρλαμπρον λῶρον σημαίνοντα τὴν ἁγίαν ἀνάστασιν, τῇ ἁγίᾳ κεφαλῇ αὐτοῦ F ἰδίαις χερσὶν ἐπεθήκαμεν. ἡμεῖς δὲ στράτορος ὀφφίκιον ὑπελθόντες, καὶ τὰ χαλινὰ τοῦ ἵππου αὐτοῦ κατέχοντες, τῆς αὐλῆς τῶν ἱερῶν αὐτοῦ ἐξίμεν ἀνακτόρων, εἰδοῖ καὶ φόβῳ τοῦ κυρίου ἡμῶν τοῦ ἁγίου συνεχόμενοι Πέτρου· τῶν χρησίμων δὲ κομιδῇ καὶ θεοφιλῶν νενομήκαμεν, ἐκστῆναι μὲν τῆς πόλεως Ῥώμης καὶ τῶν δυτικῶν ἁπάντων χωρῶν τε καὶ πόλεων, τῷ ἁγιωτάτῳ πάπᾳ. τὸ δὲ τῆς βασιλείας κράτος πρὸς τὰ τῆς ἑῴας μέρη μετενεγκεῖν, καὶ τὴν ἐν καλλίστῳ κειμένην τῆς ὑφ᾽ ἡλίῳ τοῦ Βυζαντίου πόλιν καταλαβεῖν, καὶ ἐν αὐ-

Conſtantini magni Edictum.

Sed dum in hac parte ſermonis ſim, num Conſtantini magni Edictum ſilentio præteribo? & quomodo inſcitiæ reprehenſionem non incurram, cum æque abſurdum exiſtimo, quæ non decet enarrare, & pulchra ſilentio dare? illo enim nec religioſius quidquam videat aliquis, nec quod publice, ut credo, prædicari dignius ſit. Omnium enim mirificè felici ſucceſſu ab Imperatore geſtorum cum præco ſit & teſtis luculentus, ex valde abundanti, tum fervidum viri erga pietatem amorem oſtendit, tum omni monumento meliùs declarat, quantis privilegiis æquum eſſet Imperatores, non perfunctoriè ea quæ ad religionem ſpectant agentes, Chriſti Eccleſiam donare. Hic etenim Imperator, nulla deſtitutus virtute in iis, quæ ad Deum ſpectant, religioſus fuit, in iis, quæ ad homines, juſtus; ut externa ſpecie internus animæ ſplendor pulchrè deſcribatur. Laudabilem enim habuit corporis magnitudinem, quemadmodum de eo narrat Hiſtoria, admirandam etiam venuſtatem, & valde mirificam in vultu poſitam verecundiam. Corporis mores animæ ſtudiis maxima ex parte ſimilare ſolebat; maximè vero propter religionem zelo exardens, ipſo opere omnibus oſtendit, quantis Chriſti deſideriis prorſus captus fuit, nimirum cum non poſſet dilectum dignè amplecti: etſi enim totis viribus humanis ſimul collectis honorare vellet, dignitatem ejus aſſequi nullo modo potuit. Secundum erat, quod ſponſam ejus Eccleſiam, quam proprio redemit ſanguine, totis viribus adornare ſtuduerit, ſe pulchrum pietatis exemplum omnibus exhibens;

Dixit igitur,

Decernimus cum omnibus regni noſtri Satrapis & Senatu, Epiſcopum Romanum & ſucceſſorem primi & Principis Apoſtolorum Petri regiâ majorem in univerſam terram habere poteſtatem, & ab omnibus, multò magis quam ſi Rex eſſet, honorari, & extolli, & eſſe quatuor Patriarchicarum ſedium caput, & judicari & decerni ab eo quæ ad fidem orthodoxam pertinent. Tradimus enim patri noſtro beato Silveſtro & ejus ſucceſſoribus noſtrum Palatium, diadema ſuper caput ex pretioſis lapidibus & margaritis factum, & ſuperhumerale quod collum circundat, & purpuream chlamydem, tunicam coccineam, & omnia indumenta regia, & imperialium equorum authoritatem, & ſceptra, & reliqua imperii ornamenta, & omnem noſtræ poteſtatis gloriam. Et illos etiam, qui in ſanctiſſimæ Romanæ Eccleſiæ clerum ſunt relati, ſimilibus Senatui noſtro indumentis exornari decernimus, & equos albis linteis circumdatos equitare, ut & eorum calceos ex albis linteis eſſe elaboratos, & ſi quis ex Senatu noſtro Clericus fieri velit, à nullo impediri. Quoniam autem coronam auream propter animi humilitatem ſanctiſſimus pater noſter Silveſter recuſabat, idcirco ſplendidiſſimum lorum, quod ſanctam reſurrectionem ſignificat ſancto capiti ejus propriis manibus impoſuimus. Stratoris vero officium ſubeuntes, & frœnum equi ejus tenentes, à ſancti ejus Palatii areâ, Domini noſtri Petri reverentia & veneratione pleni, exivimus. Æquum vero & omnino Deo gratum judicavimus, ut ſanctiſſimus Papa ab urbe Roma & Occidentalibus omnibus provinciis & urbibus exiret, & imperii potentiam in Orientales partes transferret, & in amœniſſimo loco ſub ſole ſitam Byzantii urbem occuparet, & in illa imperialia exerceret; iniquum exiſtimantes terrenum Imperatorem illic poteſtatem habere, ubi Chriſtianæ religionis initium è cœlo nobis datum eſt. Hæc propriis manibus ſcribentes, & Domini noſtri Petri tumulo imponentes, ſacra facimus juramenta, hæc omnia non omnino tranſgredi; ſed etiam illis, qui noſtrum imperium acceperint, illabefactata ſervanda mandamus, erga Patrem noſtrum Papam & ſucceſſores ejus.

A τῇ ἱδρύσασθαι τὰ βασίλεια, ἄδικον οἰηθέντες ἐξουσίαν ἔχειν τὸν ἐπὶ γῆς βασιλέα, ἔνθα ἡ ἀρχὴ τῆς τῶν Χριστιανῶν θρησκείας ἐκ τῶν οὐρανῶν ὑπῆρξεν ἡμῖν. Ταῦτα ταῖς ἰδίαις χερσὶ γράψαντες, καὶ τῷ νεκρῷ τοῦ κυρίου μου ἐπιθέμενοι Πέτρου, πίστεις ἐνόρκους ποιούμεθα, ἢ μὴν ὅλως πάντα ταῦτα μὴ παραβῆναι· ἀλλὰ καὶ τοῖς τὸ ἡμέτερον διαδεξαμένοις κράτος, φυλάττειν ἀπαράθραυστα παρεγγυώμεθα, πρὸς τὸν πατέρα ἡμῶν πάπαν, καὶ τοὺς αὐτοῦ διαδόχους.

CAPUT XII.

De Eccleſiarum ædificatione & conſecratione.

SEPTIMUS vii. Synodi Canon, illum, qui abſque ſanctis reliquiis Eccleſiam conſecrat, à Sacerdotio alienat, & hoc aliquando, inquit, aliis impiis, Iconomachis, & Chriſtianorum accuſatoribus, contigit, qui Chriſtianis venerandarum imaginum cultum, tanquam idololatriam, vitio vertebant. Templi autem conſecratio hoc modo fieri ſolebat. Primo quidem per Provinciæ Epiſcopum ejus fundamentum cum prece & crucis fixione poſitum fuit; & quando ſtructura erat abſoluta, conſecratio & dedicatio & inthronizatio ſequebantur, & antiminſii ſuper ſacram menſam impoſitio.

ΚΕΦ. ιβ΄.

B Περὶ ἐκκλησιῶν οἰκοδομῆς καὶ καθιερώσεως.

Ο ζ΄. τῆς ζ΄. συνόδου κανών, τὸν χωρὶς ἁγίων λειψάνων ἐκκλησίαν καθιεροῦντα, τῆς ἱερωσύνης ἀλλοτριοῖ· καὶ τοῦτο γάρ, φησί, ποτὲ πρὸς τοῖς ἄλλοις κακοῖς, τοῖς εἰκονομάχοις ἐπράττετο καὶ Χριστιανοκατηγόροις, οἷα τοῖς Χριστιανοῖς τὴν τῶν σεπτῶν εἰκόνων, ὡς εἰδωλολατρείαν ἐπικαλοῦντας προσκύνησιν. ἀλλὰ ἡ τοῦ ναοῦ καθιέρωσις οὕτως εἰώθει γίνεσθαι. C πρῶτον μὲν δι᾽ εὐχῆς καὶ σταυροπηγίου τοῦ κατὰ χώραν ἐπισκόπου, ὁ τούτου θεμέλιος πήγνυται· τελεσθείσης δὲ τῆς οἰκοδομίας, ἥτε καθιέρωσις γίνεται καὶ τὰ ἐγκαίνια, καὶ ὁ ἐνθρονισμός, καὶ ἡ τοῦ ἀντιμινσίου ἐπὶ τῆς ἁγίας τραπέζης ἐπίθεσις.

De Antiminſiis.

Appellantur ἀντιμίνσια, quod exprimant & referant multas ejuſmodi menſas, quæ ſanctam Dominicam menſam perficiunt; deinde ſacro unguento, & templum, & hæc omnia inuncta ſunt, & ita ſanctorum Martyrum reliquiæ ſub ſancta menſa reconduntur.

Περὶ Ἀντιμινσίων.

Λέγονται δὲ ἀντιμίνσια, ὡς ἀντιπρόσωπα καὶ ἀντίτυπα τῶν πολλῶν τοιούτων μίνσων, τῶν καταρτιζόντων ἁγίαν δεσποτικὴν τράπεζαν, εἶτα τῷ ἁγίῳ μύρῳ, ὅτε ναὸς καὶ ταῦτα χρίεται πάντα, καὶ οὕτω τὰ λείψανα τῶν ἁγίων D μαρτύρων ὑπὸ τὴν ἁγίαν θησαυρίζεται τράπεζαν.

Decimus ſeptimus vero, Monachos, qui imperandi ſtudio moti obedientiæ jugum excuſſerunt, & oratoria ædificare aggreſſi, quæ ad eorum perfectionem ſufficiant non habent, ab illius loci Epiſcopo prohiberi vult. Hoc ipſum autem & in Clericis vel in Laicis fieri. Si vero, quæ ad perfectionem ſufficiant, habeant, quæ ab ipſis deliberata ſunt, aggrediantur, & ad finem deducant.

Ο δὲ ιζ΄. τῶν μοναχῶν τοὺς φιλαρχίας πάθει τὸν τῆς ὑπακοῆς ἀποσεισαμένους ζυγόν, καὶ εὐκτηρίους οἴκους κτίζειν ἐπιχειροῦντας, καὶ ταῦτα πρὸς ἀπαρτισμὸν ἐνδεῶς ἔχοντας, εἴργεσθαι πρὸς τοῦ κατὰ χώραν ἀξιοῖ ἐπισκόπου. τοῦτο δὲ καὶ ἐπὶ κληρικῶν ἢ λαϊκῶν γίνεσθαι. εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν εὐποροῖεν, τὰ αὐτοῖς βεβουλευμένα εἰς ἔργον καὶ πέρας ἄγεσθαι.

Carthaginenſis Synodi lxxxiii. quæ per ſomnia & inanes revelationes in agris conſtituta oratoria, à loci Epiſcopis everti jubet; niſi illic repoſita habentur Martyrum corpora, vel quædam eorum reliquiæ, vel ab antiquo tempore ibi extructum fuit altare: nec ibi congregari populos, nec Martyrum memorias celebrare. Et propter hæc mulieres, per dæmonis fraudem & dolum inflatas, & exinde futura prædicentes, vel viros, qui ſe à dæmone poſſeſſos ſimulant, & talia nugantur, omni modo abigere & os obſtruere oportet. Quære & in viii. cap. literæ A. canonem xxxiv. Laodicenæ Synodi.

Ο δὲ πγ΄. τῆς ἐν Καρθαγένῃ συνόδου, τὰ δι᾽ ἐνυπνίων E καὶ ματαίων ἀποκαλύψεων γινόμενα ἐν τοῖς ἀγροῖς εὐκτήρια, καταστρέφεσθαι πρὸς τῶν ἐγχωρίων ἐπισκόπων προστάττει, εἰ μήπου σώματα μαρτύρων ἐν αὐτοῖς ἔχοιεν ἀποκείμενα, ἢ τινα τούτων λείψανα, ἢ ἐξ ἀρχαίων χρόνων ᾠκοδομημένον ἦν τὸ ἐνταῦθα θυσιαστήριον, μηδὲ τοὺς ὄχλους ἐκεῖσε συνέρχεσθαι, καὶ μνήμας μαρτύρων ἐπιτελεῖν. διά τοι τοῦτο καὶ τὰς ἐνθουσιαζούσας τῶν γυναικῶν κατὰ δαιμονικὴν ἐπήρειαν καὶ ἀπάτην, καὶ προφοιβαζούσας δῆθεν τὰ μέλλοντα, ἢ τῶν ἀνδρῶν τοὺς προσποιουμένους δαιμονᾶν, καὶ τοιαῦτα ληροῦντας, ἀπελαύνειν παντὶ τρόπῳ καὶ ἐπιστομίζειν χρή. ζήτει καὶ ἐν τῷ η΄. κεφ. τοῦ α΄. στοιχείου καν. λδ΄. F τῆς ἐν Λαοδικείᾳ συνόδου.

Leges.

Qui domum oratoriam vel Eccleſiam ædificare voluerit, de illo cum civitatis Epiſcopo diſſerere oportet, &, quod ad luminum accenſionem & ſacram adminiſtrationem ſufficiat, donare, & commodam loci conſervationem, & Præfectorum alimentum; & tunc Epiſcopum rem omnibus notam facientem publicè il-

Νόμοι.

Τὸν θέλοντα εὐκτήριον ἢ ἐκκλησίαν κτίσαι διαλέγεσθαι δεῖ περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς λυχνοκαΐαν καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ τόπου τήρησιν, καὶ τὴν ἀποτροφὴν τῶν προεδρευόντων· καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανεροῦντα δημοσίᾳ ἐκεῖσε περιιέναι· καὶ σὺν εὐχῇ πηγνῦναι σταυρόν, σταυρὸν, καὶ τότε τοῦ ἔργου ἄρχεσθαι, τοῦ οἰκοδομεῖν εἰρημένων. Καὶ ὅτι ὁ ἀρξάμενος νέον κτίζειν, ἢ παλαιὸν ἀνανεοῦν ἀναγκάζεται μετὰ τῶν αὐτοῦ κληρονόμων παρὰ τῶν οἰκονόμων, καὶ τοῦ ἐπισκόπου, καὶ τοῦ ἄρχοντος, ὃ ἤρξατο πληρῶσαι· εἶτα καὶ τὰς ὑπεσχημένας ἀποδοῦναι τῷ ναῷ δωρεάς.

Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπική, εἴτε καθ' ὑποθήκην ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ'. ἔτη.

ΚΕΦ. ιγ'.

Περὶ τῶν ἐν ἐκκλησίᾳ προσφύγων.

Νόμοι.

Θεσπίζομεν μὴ ἐξεῖναί τινι τοὺς ἀφ' οἱασδήποτε τύχης πρόσφυγας ἐκ τῆς ἁγίας ἐξωθεῖν ἐκκλησίας· τοὺς δὲ τοῦτο τολμήσοντας τῷ τῆς ἱεροσυλίας ἐγκλήματι ὑποβάλλεσθαι.

Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφεύγοντες, τοῖς ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ στοαῖς, ἢ αὐλαῖς χρώμενοι· καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. ὅπλοις δὲ μὴ ἀσφαλιζέσθωσαν ἑαυτοὺς, ἀλλὰ ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ.

Μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν, εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει· κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ἔστω ὁ ἐπελθὼν αὐτῷ καὶ κτείνας, δεσπότης.

Οὔτε ἀνδροφόνοις δὲ, οὔτε μοιχοῖς, οὔτε παρθένων ἅρπαξι, τὴν ἐκ τῶν ἱερῶν φυλάξεις ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις, καὶ τιμωρίαν ἐπάξεις· οὐ γὰρ τῶν τοιαῦτα ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν περιόντων, ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν. ἄλλως τε καὶ ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου· καὶ οὐκ ἂν εἴη δυνατὸν, ἑκάτερον ἰσχυρίζεσθαι τῇ περὶ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα, καὶ τὸν ἀδικούμενον.

Μηδεὶς τὸν ἐπ' ἐκκλησίας προσφεύγοντα βίᾳ ἀφαιρείσθω· ἀλλὰ τὴν αἰτίαν τοῦ προσφύγου δήλην ποιείτω τῷ ἱερεῖ, καὶ παρ' αὐτοῦ ἀσφαλῶς λαμβανέτω τὸν προσφεύγοντα, τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ' αὐτὸν κεφάλαιον.

Εἰ δέ τις δοκιμάσει χειρὶ ὑπὸ τῆς ἐκκλησίας ἀποσπᾶσαι τὸν πρόσφυγον, ὁ τοιοῦτος δώδεκα ἀλλακτὰ λαμβανέτω· καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ πρόσφυγος ζητείσθω κεφάλαιον.

Δεῖ δὲ παρὰ τοῖς προσφόροις δικάζεσθαι δικασταῖς τοὺς πρόσφυγας, καὶ οὐχὶ παρὰ τῇ ἐκκλησίᾳ τοὺς ἀντιδίκους αὐτῶν μετακαλεῖσθαι.

Τοῖς θεοφιλεστάτοις ἐπισκόποις ἢ ἐκδίκοις ἐπιμελὲς ἔστω τῶν προσφευγόντων τὰ ὀνόματα καὶ τὰς αἰτίας ἀπογράφεσθαι, καὶ τοῖς ἄρχουσιν ἐμφανίζειν, κἀκεῖνοι τὴν ἐπιτήδειον δίκην αὐτοῖς διατυπούτωσαν· ὥστε οἱ μὴ ἀπογραφόμενοι, οὐκ εἰσὶ πρόσφυγες. ζήτει καὶ ἐν τῷ ζ'. κεφ. τοῦ Π. στοιχείου.

A luc procedente, & cum precibus crucem figere: & tum demum opus adgrediatur, & destinata ædificet. Et quòd, qui novam ædificare incepit, vel veterem renovare, ipse cum suis hæredibus ab œconomis, & Episcopo, & Magistratu, opus inchoatum consummare compellitur; tum & promissas donationes templo dare.

Omnis actio, quæ ad venerabilem domum pertinet, sive sit personalis, sive sub pacto, quadraginta annos non excedit.

B

CAPUT XIII.

De iis qui in Ecclesiam confugiunt.

Leges.

DECERNIMUS nulli propter quemcunque prætextum confugas ex sancta Ecclesia amovere licere; qui vero illud audent, sacrilegii pœnæ subjici.

Qui in sanctam Dei Ecclesiam confugientem propria authoritate abstrahit, verberatus & tonsus exilio mulctetur.

C Usque ad Ecclesiæ terminos ad forum publicum, tutò se habeant confugientes, interioribus balneis, vel hortulis, vel cubiculis, vel porticibus, vel areis utentes: & intra Templum comedere vel dormire prohibeantur. Non autem armis seipsos securent, sed illa ante Episcopos exuant.

Si servus armatus confugerit, statim ejiciatur; si verò resistit, majori potestate cogatur: & si pugnando interemptus fuerit, pœnæ non obnoxius sit dominus, qui illum aggressus est, & occidit.

D Neque homicidis, neque adulteris, neque virginum raptoribus, in Ecclesia securitatem concedes, sed exinde abstrahes, & supplicium exiges: non enim iis, qui talia peccant, remitti convenit, sed qui antecellunt, ne talia à temerariis patiantur. Aliter in sacris etiam securitas, non illis, qui injuriâ afficiunt, sed qui afficiuntur, à lege conceditur: impossibile enim esset, utrumque ex sacrosanctis locis securitate firmari, & injuria afficientem & affectum.

E In Ecclesiam confugientem nemo vi abstrahat; sed confugæ causam manifestam faciat Sacerdoti, & ab eo confugientem tutò accipiat, ut secundum leges inquiratur & administretur contra eum caput.

Siquis confugientem ab Ecclesia vi abstrahi existimabit, duodecim flagella accipiat, & tunc juxta quod decet, confugientis caput requiratur.

F Oportet verò confugientes à Judicibus competentibus judicari, & non ab Ecclesia adversarios suos accersi.

Sanctissimis Episcopis vel vindicibus curæ sit confugientium nomina & accusationes describere, & Magistratibus ostendere, & illi aptum eis judicium statuant: quamobrem, qui non describuntur, non sunt profugæ. Quære etiam in cap. vii. lit. Π.

A

CAPUT XIV.

Quod non oportet in duarum civitatum Eccleſiis unum eſſe Clericum.

DECIMUS iv. Synodi Canon, ut & xx. in duarum civitatum Eccleſiis unum Clericum conſcribi oportere non exiſtimat; nempe in eâ, in quâ à principio ordinatus fuit, & in eâ, ad quam tanquam ad majorem poſtea confugit propter inanis gloriæ cupiditatem, ex Epiſcopatu forſan in Metropolin, vel ex illa in Patriarchatum: ſed eum illic reſtitui in quâ priùs ordinationem acceperit. Siquis autem, inquit, ante hunc canonem tranſlatus fuit, illum non oportet Eccleſiæ negotia ex quâ tranſlatus fuit ſibi vendicare. Quicunque enim hoc faciunt, ſuo gradu deponentur. Hoc autem non impedit Clericos, qui in parva civitate in duas Eccleſias ſunt ordinati.

Quamvis vii. Syn. xv. Can. in illuſtribus civitatibus unum Clericum duabus Eccleſiis collocari turpis lucri gratiâ prohibet; hoc autem ſolum permittit in regionibus externis fieri, eo quod hominum inopia laborant. Si enim, inquit, unius Eccleſiæ reditus ad vitæ neceſſitatem alicui non ſufficit, alia ergo aliqua ſtudia quærat, ex quibus quæ ſibi & aliis ſunt neceſſaria comparet. Nam dicit Apoſtolus, uſibus meis & eis qui mecum ſunt, manus iſtæ ſubminiſtrârunt. Omnia autem hæc commutavit temporis & rerum viciſſitudo.

CAPUT XV.

Quod intra Eccleſias non oportet Agapas, ut vocant, vel convivia facere, vel intra ſanctos ejus ambitus camponam habere, vel aliquid ad mercaturam exponere, vel jumentum abſque neceſſitate introducere, vel aliquem cum muliere manere.

Quære iii. cap. literæ A.

Septuageſimus ſextus ſextæ Synodi Canon, intra ſanctos Eccleſiæ ambitus cauponatoriam officinam eſſe, vel eſculenta venalia proponere, vel alia quæcunque ad mercaturam, omnino illicitum eſſe judicans, ſegregationi illum, qui ita facit, ſubjicit. Non dixit verò intra Eccleſiam, nam illud nemini, qui pietate eſt imbutus, vel modica mente præditus, in mentem venit; ſed ſacros ambitus, omne Eccleſiæ ſeptum & areas & veſtibula ſignificans. Hoc enim ægre ferens Dominus, flagello ſacrilegos nundinatores à templo expulit, & nummulariorum æs vel numiſma effudit, eorum nempe, qui exigua numiſmata vendebant.

Illos vero, qui, nulla neceſſitate urgente, intra ſacras Ædes jumentum quodvis introducunt, ſi ſint quidem Clerici, deponit; ſin autem Laici, ſegregat octogeſimus octavus canon. Si quis autem, inquit, tempeſtate forte iter faciens, & domo ad hoſpitandum indigens, in templum diverterit, & jumentum ſecum introduxerit, non omnino reprehenſionem incurrit; ut qui non ex ſententia, ſed neceſſitate hoc fecit in periculo conſtitutus. Nonne enim, pereunte propter fri-

ΚΕΦ. ιδ'.

Ὅτι οὐ δεῖ ἐν ἐκκλησίαις δύο πόλεων ἕνα εἶναι κληρικόν.

Ὁ δέκατος τῆς δ'. συνόδου κανὼν, ἔτι δὲ καὶ ὁ κ'. εἰς δύο πόλεων ἐκκλησίας ἕνα κληρικὸν καταλέγεσθαι οὐκ οἴεται δεῖν· εἰς ἣν δηλαδὴ τὴν ἀρχὴν κεχειροτόνητο, καὶ πρὸς ἣν ἔπειτα καταπέφευγεν οἷα μείζονα δόξης ἐφέσει B κενῆς, ἐξ ἐπισκοπῆς τυχὸν εἰς μητρόπολιν, ἢ ἐκ ταύτης εἰς πατριαρχεῖον· ἀλλ' ἀποκαθίστασθαι τοῦτον ἔνθα πρῶτον τὴν χειροτονίαν ἐδέξατο. εἰ δέ τις, φησὶ, μετατεθῆναι πρὸ τοῦ κανόνος ἔφθασε τούτου, οὐ δεῖ καὶ τῶν πραγμάτων μεταποιεῖσθαι τῆς ἐκκλησίας, ἐξ ἧς μετεκινήθη. τοῖς δὲ τοῦτο ποιοῦσιν ἐκπτώσεως τοῦ οἰκείου τιμᾶσθαι βαθμοῦ. τοῦτο δὲ οὐκ ἐμποδίζει τοὺς ἐν μιᾷ πόλει εἰς δύο ἐκκλησίας τεταγμένους κληρικούς.

Εἰ καὶ ὁ ιε'. τῆς ζ'. συνόδου ἐν μὲν ταῖς περιφανέσι τῶν πόλεων τὸν ἕνα κληρικὸν κατατάττεσθαι δυσὶν ἐκκλησίαις C αἰσχροῦ κέρδους χάριν ἀπαγορεύει· συγχωρεῖ δὲ τοῦτο μόνον ἐν ταῖς ἔξω γίνεσθαι χώραις, παρὰ τὸ σπανίζειν ταύτας ἀνθρώπων. εἰ γὰρ τὸ ἀποχρῶν, φησιν, ἐκείνῳ τοῦ βίου ἡ τῆς μιᾶς ἐκκλησίας μὴ πορίζει καρποφορία, ἀλλ' ἔνια καὶ τῶν ἑτέρων μετιὼν ἐπιτηδευμάτων καὶ ἑαυτῷ καὶ ἄλλοις ἐκποριζέτω. ταῖς χρείαις μου γάρ, φησιν ὁ ἀπόστολος, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. ταῦτα δὲ πάντα μετεποίησεν ἡ τοῦ καιροῦ καὶ τῶν πραγμάτων μεταβολή.

ΚΕΦ. ιε'.

D Ὅτι οὐ δεῖ τῆς ἐκκλησίας ἔνδον τὰς λεγομένας ἀγάπας, ἢ συμπόσια γίνεσθαι, ἢ τῶν ἱερῶν ταύτης ἔνδον περιβόλων καπηλεῖον εἶναι, ἢ τι κατ' ἐμπορείαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἢ τινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ γ'. κεφ. τοῦ Α. στοιχείου.

Ὁ δὲ ος'. τῆς ς'. συνόδου κανὼν, ἔνδον τῶν τῆς ἐκκλη- E σίας ἱερῶν περιβόλων καπηλεῖον εἶναι, ἢ ἐδώδιμα προτεθῆναι εἰς πρᾶσιν, ἢ ἕτερα ἄττα κατ' ἐμπορείαν, τῶν κομιδῆ ἀθέσμων ἡγούμενος, ἀφορισμῷ τὸν οὕτω ποιοῦντα καθυποβάλλει. οὐκ εἴρηκε δὲ τῆς ἐκκλησίας ἔνδον, τοῦτο γὰρ οὐδ' ἂν εἷς τῶν εὐσεβεῖν αἱρουμένων, καὶ φρενὸς μετρίας μετειληφὼς ἐννοήσειεν· ἀλλὰ τῶν ἱερῶν περιβόλων, ἅπασαν τὴν τῆς ἐκκλησίας δηλῶν περιοχὴν, τά τε προτεμενίσματα καὶ τὰ προαύλια. ἐπὶ τοῦτο γὰρ καὶ ὁ Κύριος ἀγανακτήσας, φραγελλίῳ τοὺς θεοκαπήλους τοῦ ἱεροῦ ἀπήλασε, καὶ τὸ κέρμα ἤτοι τὸ νόμισμα ἐξέχεε τῶν κολυβιστῶν, τῶν τὰ λεπτὰ νομίσματα δηλαδὴ πωλούντων.

F

Ὁ δὲ πη'. τοὺς χωρὶς ἀνάγκης κτῆνος οἱονδηποτοῦν ἐντὸς ἐκκλησίας εἰσάγοντας, κληρικοὺς μὲν ὄντας, καθαιρεῖ, λαϊκοὺς δὲ, ἀφορίζει. εἰ δέ τις φησὶ, χειμῶνος τυχὸν ὁδοιπορῶν, καὶ ἀπορῶν εἰς καταμονὴν οἰκίσκου, εἰς ναόν τι εἰσέλθῃ, καὶ τὸ κτῆνος ἑαυτῷ συνεισήγαγεν, οὐκ ἂν ὀφλήσειε μέμψιν, οἷα μὴ γνώμῃ, ἀλλ' ἀνάγκῃ τοῦτο πεποιηκὼς, ἀγωνιῶν. μὴ ἄρα τοῦ κτήνους διαφθαρέντος τῷ κρύει, καὶ αὐτὸς κινδυνεύσειε, μὴ οἷός τε ὢν χωρὶς ἐκείνου βαίνειν ἐπὶ τὰ πρόσω, εἰ καὶ τὸν ἐκ τοῦ ψύχους θάνατον κατά γε τὸ παρὸν ἔδοξε διαπεφυγέναι; τὸ σάββατον γάρ, φησι, διὰ τὸν ἄνθρωπον γεγένηται, ἵνα ἀναπαύσεται ὁ δοῦλός σου, καὶ τὸ ὑποζύγιον· ὥστε ἡ τοῦ ὑποζυγίου ἀνάπαυσις οὐ δι᾽ αὐτό, ἀλλὰ διὰ τὸν ἄνθρωπον νενομοθέτηται, ἵνα ἀναπαυσάμενον ἔχῃ τοῦτο εἰσέπειτα ἀκμαιότατον. ὡς καὶ ὁ μέγας φησὶ Παῦλος, μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἀλλ᾽ οὐδὲ τῶν πετεινῶν ἔνια προσήκον εἰσάγεσθαι, ἵνα μὴ τῇ ἐκκρίσει τούτων τὰ θεῖα καθυβρίζεται ἀχρειούμενα.

Ὁ δὲ ϟζ΄. τοὺς γυναιξὶ συνοικοῦντας, καὶ περὶ ἐλάττονος τὴν εἰς τὰ θεῖα τιθεμένους αἰδῶ, ἐν τοῖς περὶ τὴν ἐκκλησίαν ἱεροῖς τόποις ἐσκηνῶσθαι τολμῶντας, καὶ μὴ διαστέλλοντας ἀνὰ μέσον ἁγίου καὶ βεβήλου κατὰ τὸ λόγιον, τούτων ἁπάντων καὶ τῶν λεγομένων κατηχουμένων ἐξωθεῖσθαι προστάττει· τοὺς δὲ μὴ πειθομένους, κληρικοὺς μὲν ὄντας, καθαιρέσει, λαϊκοὺς δὲ ἀφορισμῷ ὑποτίθησι.

Νόμος.

Καὶ γὰρ καὶ ὁ ἀνωτέρω ῥηθεὶς νόμος, οὐδὲ τοὺς προσφύγας ἐπιτρέπει ἔνδον τοῦ ναοῦ ὑπνοῦν ἢ ἐσθίειν. ἀλλὰ καὶ ἡ ογ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, τιμωρεῖσθαι κελεύει τοὺς ἐπιτρέποντας ἄλλοις ἐν τοῖς κατηχουμένοις σκηνοῦν.

A gus jumento, ipſe etiam periclitatur, ut qui abſque illo non poteſt ulteriùs progredi, licèt mortem ex frigore provenientem hoc tempore fugiſſe videtur? Sabbatum enim, ait, propter hominem factum eſt, ut quieſcat ſervus tuus, & jumentum tuum. Quare jumenti quies, non ipſius jumenti, ſed hominis gratia præcepta eſt; ut illo poſt quietem vegetiore mox utatur. Quod magnus quoque Paulus aſſerit, nunquid de bobus cura eſt Deo? Sed neque volucres ullas introducere convenit, ne illarum excrementis inutilia reddantur & injuria afficiantur divina.

Qui cum mulieribus cohabitant, & indecorè & irreverenter erga ſacra loca ſe gerentes, in locis circa Ecclesiam B ſacratis habitare audent, nullum omnino inter ſacratum & prophanum diſcrimen facientes juxta oraculum, ab omnibus his, & ab eis quæ dicuntur catechumeniis, ejiciendos eſſe decernit xcvii. canon: quique non paruerint, ſi ſint quidem Clerici, depoſitioni; ſi vero Laici, ſegregationi ſubjicit.

Lex.

Etenim ſuperius etiam citata Lex, ut profugæ intra templum obdormiant vel comedant, non permittit. Sed & lxxiii. Imperatoris Leonis ſapientis Novella, puniri jubet illos, qui in catechumeniis habitare C aliis permittunt.

ΚΕΦ. ιϛ΄.

Ὅτι τὰ τῶν ἐκκλησιῶν πράγματα ἀνεκποίητα εἶναι δεῖ, καὶ ὅπως δεῖ τοὺς ἐπισκόπους ταῦτα διοικεῖν.

Ὁ λη΄. τῶν ἁγίων ἀποστόλων κανών, πάντων μὲν τῶν τῆς ἐκκλησίας πραγμάτων, τὸν ἐπίσκοπον ἔχειν τὴν φροντίδα κελεύει, καὶ ὡς ὑπὸ Θεῷ μάρτυρι διοικεῖν ταῦτα. μὴ ἐξεῖναι δὲ αὐτῷ, ὁποιοῦν ἐξ αὐτῶν σφετερίζεσθαι, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι. εἰ δὲ πένητες εἶεν, ἐπιχορηγεῖν καὶ τούτοις ἐξίσης τοῖς λοιποῖς πένησι· μὴ μέντοι προφάσει τῶν ἐνδεῶν, τὰ τῆς ἐκκλησίας ἀπεμπολεῖν· ἐκ δέ γε τῶν προσόδων, ἑαυτῷ τε κἀκείνοις ἐπαρκεῖν. τὰ γὰρ τῷ Θεῷ καθιερωθέντα, οὐχ ὅσιον ἐκποιεῖν.

Τοῦτον κατὰ ῥῆμα ἐπεξιὼν ὁ τῆς ζ΄. συνόδου ιβ΄. προσεπάγει, ἐπίσκοπος ἢ ἡγούμενός ἐστιν ἃ τῶν τοῦ ἐπισκοπείου ἢ μοναστηρίου κτημάτων ἐκποιούμενος, καὶ ἄρχοντι ἢ ἑτέρῳ τινὶ ἐκδιδοὺς, ἄκυρον εἶναι τὴν ἔκδοσιν. εἰ δὲ προφασίζοιτο πρὸς ζημιοῦν μᾶλλον ἢ ὀνῆναι τὸν ἀγρόν, μηδ᾽ οὕτως ἄρχουσι, κληρικοῖς δὲ ἢ γεωργοῖς αὐτὸν ἐκδιδότω. εἰ δὲ πανουργίᾳ χρήσαιτο, καὶ ἐκ τοῦ κληρικοῦ ἢ τοῦ γεωργοῦ ὁ ἄρχων αὖθις ὠνήσαιτο τὸν ἀγρόν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶξιν, εἴτε πρᾶσις, εἴτε συνάλλαγμα εἴη, καὶ τὸν ἀγρὸν τῷ ἐπισκοπείῳ ἢ τῷ μοναστηρίῳ ἀποκαθίστασθαι. καὶ ὁ τοῦτο σκαιωρήσας ἐπίσκοπος ἢ ἡγούμενος, ὁ μὲν, τοῦ ἐπισκοπείου, ὁ δὲ, τοῦ μοναστηρίου, ἐκβεβλήσθω, ὡς διασκορπίζοντες κακῶς ἃ οὐ συνήγαγον. τῇ ἐκβολῇ δὲ πάντως συνεξακούεται καὶ ἡ καθαίρεσις.

Τούτοις καὶ ὁ κθ΄. τῆς ἐν Καρθαγένῃ ἐπιψηφίζεται, καὶ τῆς ἐκκλησίας ἀνεκποίητα εἶναι τὰ κτήματα βούλεται, εἰ καὶ μηδόλως τινὰ φέρει πρόσοδον. εἰ δὲ πολλή τις ἀνάγκη ἐπίκειται, τοῖς ὡρισμένοις δώδεκα ἐπισκόποις, καὶ πρὸ τούτων τῷ τῶν ἄλλων πρωτεύοντι ἀναθεῖναι τὰ περὶ τούτου. εἰ δὲ τοῦτο οὐχ οἷόν τε διὰ τὸ ἀπαραίτητον τῆς ἀνάγκης, τοὺς ὁμόρους γοῦν τῶν ἐπισκόπων διαμαρτύρασθαι, προνοίᾳ τοῦ, μὴ ἀγνοῆσαι τὴν σύνοδον, τὰς ἐπισυμβάσας τῇ ἐκκλησίᾳ τούτου περιστάσεις· ὅπερ εἰ μὴ δρᾶσαι προθυμηθείη, οἷα ὑπεύθυνος τῷ Θεῷ καὶ τῇ συνόδῳ τῆς ἰδίας τιμῆς ἀλλοτριωθήσεται.

CAPUT XVI.

Quod Eccleſiæ bona inalienabilia eſſe oportet, & quomodo debent Epiſcopi illa adminiſtrare.

SANCTORUM Apoſtolorum Canon xxxviii. omnium rerum Eccleſiaſticarum Epiſcopum curam gerere, & tanquam Deo D intuente illa adminiſtrare jubet: Non licet autem illi ex eis ſibi aliquid vendicare, vel propriis cognatis, quæ Dei ſunt, largiri. Si vero ſint pauperes, illis eodem modo ac aliis pauperibus, ſuppeditet: At non pauperum prætextu, quæ ſunt Eccleſiæ, vendat: ſed ex reditibus ſibiipſi & illis ſuppeditet. Quæcunque enim Deo ſunt conſecrata, ne faciat profana.

Hunc verbatim commemorans vii. Synodi xii. Can. adducit; Si Epiſcopus vel Monaſterii Præfectus Epiſcopii vel Monaſterii quaſcunque poſſeſſiones alienat, & Principi vel alteri tradat, irrita ſit traditio. Quod ſi detrimentum potiùs, quam utilitatem afferre agrum E cauſetur; ne ſic etiam eum Magiſtratibus, ſed Clericis vel agricolis addicat. Sin autem calliditate aliqua utatur, & ex Clerico vel agricola agrum Magiſtratus rurſum emerit, ſic quoque irrita ſit actio; ſive ſit venditio ſive permutatio; & Epiſcopio vel Monaſterio ager reſtituatur. Qui autem hoc fecerit Epiſcopus vel Præfectus, ille quidem ab Epiſcopio, hic vero à Monaſterio amoveatur; ut qui male diſſipent quæ non congregavère. Amotione autem depoſitio omnino intelligitur.

F His etiam conſentit Carthaginenſis Syn. Can. xxix. qui Eccleſiaſticas poſſeſſiones alienari noluit, licèt nullum omnino afferant reditum. Sin magna urgeat neceſſitas, ad præfinitos duodecim Epiſcopos, & imprimis ad aliorum Antiſtitem, rem deferatur. Si hoc autem propter inevitabilem neceſſitatem fieri nequeat, vicinos quoque Epiſcopos teſtes adhiberi oportet, ut cura habeatur, ne urgentes neceſſitates, quæ Eccleſiæ illius contigerunt, ignoret Synodus: quod niſi efficere promptus ſit, tanquam Deo & Synodo rationi reddendæ obnoxius, à proprio honore alienabitur.

A

Trigeſimus ſextus autem Presbyteris & aliis Clericis res ullas Eccleſiæ, ſive mobiles ſive immobiles, vendere prohibet; niſi ſua ſententia illud approbet Epiſcopus. Imo nec ipſi quidem hoc facere conceſſum eſt, Synodo, cui ſubeſt, id ignorante, ut & Presbyteris ſibi ſubjectis. Ipſos enim ad rerum Eccleſiaſticarum adminiſtrationem oportet ſufficientes teſtes habere, ne offenſiones in eum exoriantur. Mobilia autem vendere, vaſa forſan ſacra, omnino interdictum eſt: Epiſcopo autem, qui abſque Cleri ſententia, quæ ad victum ſunt idonea, frumentum nempe, vel varia fructuum genera, vendit, ſuccenſere non oportet.

B

De eiſdem mentionem faciens xv. Ancyranæ Syn. dicit, Quod ſi, tempore quo Eccleſia ſuo Epiſcopo deſtituta fuit, contigit, ut ab aliquo Clerico ex ejus bonis quidquam fuerit venditum, ille, qui poſtea ordinandus erit, quod fuit venditum revocet: illius vero judicio relinquitur, an oporteat pretium emptori reddere, an non: fieri enim poteſt, ut ager admodum fertilis majorem pretio ab emptore dato fructum fecerit.

C

Magnus vero Cyrillus in ſecundo ad Domnum Epiſtolæ capite; vaſa pretioſa & poſſeſſiones immobiles inalienabilia Eccleſiis ſervari jubet: incidentium verò ſumptuum diſpenſationem, illos, qui divinum Sacerdotium adminiſtrant, ſubire. Quòd enim ſumptuum, qui illis eveniunt, diſpenſationis ratio ab Epiſcopo exigatur, ſive ex Eccleſiaſticis reditibus fuit, ſive ex fructu aliunde percepto, magna triſtitia afficiet ſanctiſſimos Epiſcopos, qui ſunt ubique terrarum, quod nihil ultimæ injuſtitiæ deeſt. Unuſquiſque enim noſtrûm juſto judici temporum noſtrorum rationem reddet.

Leges.

D

Poſſeſſionum, quæ ad ſacroſanctas domos pertinent, alienationes, experientiâ didicimus ad extremum damnum & Dei Eccleſiæ ſubverſionem fieri: exinde enim propriâ facultate privantur, ut non amplius exiſtere poſſunt; quapropter optimum abhinc erit, ut illæ procedant, niſi gravis urgeat neceſſitas, non conſentire.

Qui à ſacroſanctis Monaſteriis vel ſimpliciter Eccleſiis Emphyteuſin faciunt vel conducunt, vel emunt, vel aliquo modo immobilem poſſeſſionem excipiunt, debent multam curam adhibere, ut quæ ab illis ſolvuntur, ad dictarum Eccleſiarum uſus neceſſarios, vel

E

aliarum poſſeſſionum, quibus opus habent, introductiones, impendantur. Sin autem, quæ ab illis ſoluta ſunt, dicto modo non adminiſtrentur; ſed fortaſſe in alias quaſdam privatas neceſſitates vel ſimpliciter extra ſacroſanctarum domorum emolumenta, qui hæc tractant vel aliter quocunque modo elocant, etiam ſoluta impenderint: Sacroſanctæ quidem domi & Eccleſiæ antedictæ, ſi intra quadraginta annos actionem inſtituant, ſua ſine pretio omnino recipient; qui autem convenientem non habent curam, de eis quæ ab illis excipiuntur, à ſacroſancta quidem domo non amplius, ut ante dictum eſt, excipient: ſufficit enim illis nullam

F

aliam ſubire pœnam, quòd ſuâ negligentiâ id egerunt, ut Eccleſiæ Dei in corruptionem venirent. Adverſus eos vero, qui in proprium uſum illa converterunt, vel ſimpliciter extra ſacroſanctarum domorum utilitatem, actionem habere poſſunt.

Si præter ea quæ à nobis ſancita ſunt, de diverſis rebus, mobilibus & immobilibus, fit alicui ſanctarum domorum aliquis contractus, reddatur quidem ipſi Eccleſiæ

Ὁ δὲ λϛʹ. πρεσβυτέροις καὶ λοιποῖς κληρικοῖς ἀπείρηκεν ἔστιν ἃ τῶν τῆς ἐκκλησίας πιπράσκειν κινητῶν τε καὶ ἀκινήτων, εἰ μὴ ἄρα καὶ ὁ ἐπίσκοπος συναινέσειεν· οὐ μὴν οὐδ' αὐτῷ τοῦτο ποιεῖν ἐφεῖται, τῆς ἐφ' ἧ τελεῖ ἀγνοούσης συνόδου, ὥσπερ ἔτι καὶ τῶν ὑπ' αὐτὸν πρεσβυτέρων. δεῖ γὰρ ἐπὶ τῆς διοικήσεως τῶν τῆς ἐκκλησίας πραγμάτων μάρτυρας αὐτοὺς ἀξιοχρέως ἔχειν, ὡς μὴ σκάνδαλα κατ' αὐτοῦ φύοιντο. κινητὰ μέντοι πωλεῖν, σκεύη τυχὸν ἱερὰ, πάντη ἀπείρηται· τὰ δέ γε πρὸς τροφὴν ἐπιτήδεια, σῖτον δήπου, ἢ ἀλλοῖα σπερμάτων εἴδη νεμεσᾶν οὐ δεῖ τῷ ἐπισκόπῳ, καὶ δίχα γνώμης τῶν τοῦ κλήρου πιπράσκοντι.

Ταῦτα καὶ ὁ ιεʹ. τῆς ἐν Ἀγκύρᾳ διεξιὼν ἐπάγει, ὡς εἴγε μὴν συμβαίη πρὸς τῶν κληρικῶν πραθῆναί τι τῶν τῆς ἐκκλησίας ἐπισκόπου χηρευούσης, τῷ τηνικαῦτα ἀνακαλέσαι τὸν εἰσέπειτα χειροτονηθησόμενον τὸ πραθέν· τῇ δὲ τούτου κρίσει ἀνεῖται, εἴτε χρὴ ἀναστραφῆναι τὸ τίμημα τῷ πριαμένῳ, εἴτε καὶ μή· ἐμπροσόδου γὰρ ἴσως τοῦ χωρίου τυγχάνοντος, πλείω τῆς καταβληθείσης τιμῆς ἐκαρπώσατο.

Ὁ δὲ μέγας Κύριλλος, ἐν κεφαλαίῳ δευτέρῳ τῆς πρὸς Δόμνον ἐπιστολῆς, κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς ἐκκλησίαις σώζεσθαι κελεύει· τῶν δὲ παρεμπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν, τοὺς τὴν θείαν διέποντας ἱερωσύνην ἔχειν. τὸ γὰρ ἀπαιτεῖσθαι λόγον τὸν ἐπίσκοπον τῆς διοικήσεως τῶν ἐπισυμβαινόντων ἀναλωμάτων, εἴτε ἐκ προσόδων εἶεν τῆς ἐκκλησίας, εἴτ' οὖν καὶ ἀπό τινων καρποφορίας, λυπήσει σφόδρα, ὡς μηδὲν ἐσχάτης ἀδικίας ἐλλεῖπον, τοὺς ἁπανταχῇ γῆς ὄντας θεοσεβεστάτους ἐπισκόπους. ἕκαστος γὰρ ἡμῶν τῶν ἰδίων καιρῶν δώσει λόγον τῷ δικαίῳ κριτῇ.

Νόμοι.

Τὰς ἐκποιήσεις τῶν κτημάτων, ἃ τοῖς εὐαγέσιν οἴκοις ἀνήκει, ἴσμεν τῇ πείρᾳ, εἰς ἐσχάτην βλάβην καὶ παντελῆ καταστροφὴν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ γινομένας· ψιλούμεναι γὰρ ἐκ τούτου τῆς οἰκείας περιουσίας, εἰς τὸ μηκέτι εἶναι περιΐστανται· διὸ ἄμεινον ἀπὸ τοῦ νῦν μὴ συγχωρεῖν προέρχεσθαι ταύτας, εἰ μήπου ἀπαραίτητος κατεπείγει χρεία.

Οἱ ἀπὸ τῶν εὐαγῶν μοναστηρίων ἢ ἁπλῶς ἐκκλησιῶν ἐμφυτευόμενοι, ἢ μισθούμενοι, ἢ ἀγοράζοντες, ἢ κατά τινα τρόπον ἐκλαμβανόμενοι κτῆσιν ἀκίνητον, πολλὴν ὀφείλουσι καταβάλλεσθαι φροντίδα, ἵνα τὰ παρ' αὐτῶν καταβαλλόμενα, εἰς ἀναγκαίας χρείας τῶν εἰρημένων ἐκκλησιῶν, ἢ ἀντεισαγωγὰς ἑτέρων κτημάτων χρησιμευόντων αὐταῖς, ἐκδαπανηθῶσιν. ἐὰν δὲ τὰ παρ' αὐτῶν καταβληθέντα μὴ κατὰ τὸν εἰρημένον τρόπον διοικηθῶσιν, ἀλλὰ κατὰ τὸ τυχὸν εἰς ἄλλας τινὰς ἰδίας χρείας ἢ ἁπλῶς ἔξωθεν τῆς ὠφελείας τῶν εὐαγῶν οἴκων, οἱ ταῦτα πεπρακότες ἢ ἄλλως ὁπωσδήποτε ἐκδεδωκότες, καὶ καταβληθέντα καταναλώσωσιν. οἱ μὲν προειρημένοι εὐαγεῖς οἶκοι καὶ ἐκκλησίαι, εἴσω τῆς τεσσαρακονταετίας ἀγωγὴν ποιούμενοι, ἀναργύρως τὰ οἰκεῖα παντὶ τρόπῳ ἀπολήψονται· οἱ δὲ τὴν δέουσαν φροντίδα, περὶ τῶν παρ' αὐτῶν ἐκληφθέντων, μὴ ποιησάμενοι, ἀπὸ μὲν τοῦ εὐαγοῦς οἴκου οὐδ' ὅλως, ὡς προείρηται, λήψονται· ἀρκεῖ γὰρ αὐτοῖς, τὸ, καὶ μήτινα ἑτέρων ὑποσχεῖν τιμωριῶν, ὅτι τὰς τοῦ Θεοῦ ἐκκλησίας, ὅσον τῇ αὐτῶν ἀμελείᾳ, εἰς διαφθορὰν ἐλθεῖν συγκατειργάσαντο. κατὰ μέν τοι γε τῶν καταναλωσάντων αὐτὰ εἰς οἰκείαν δαπάνην, ἢ ἁπλῶς ἔξωθεν τῆς τῶν εὐαγῶν οἴκων ὠφελείας, ἀγωγὴν ἔχειν δύνανται.

Ἂν δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι, κινητοῖς τε καὶ ἀκινήτοις, ἑνὶ τῶν εὐαγῶν οἴκων, ἀναδίδοσθαι μὲν τῇ αὐτῇ ἐκκλησίᾳ

τὸ

A τὸ πρᾶγμα, ἐφ᾽ ᾧ τοιοῦτόν τι παρηκολούθησε, μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν· μενέτω δὲ παρ᾽ αὐτῇ τὸ τίμημα, ἢ τὸ ἀντίδωρον, ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ δεδομένον. εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικὸν, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν· εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ οἴκῳ ἀποδιδότω. οἱ δὲ τὰ συμβόλαια γράψοντες ἐπὶ τοιούτοις ταβουλλάριοι, παρὰ τόνδε ἡμῶν τὸν νόμον, διηνεκεῖ ἐξορίᾳ καταδικαζέσθωσαν.

B Ἡ μέντοι ταῦτα νομοθετοῦσα ρκ΄. Ἰουστινιάνειος νεαρὰ θεσπίζει, μὴ μόνον ἀπρόσοδα ἀλλὰ καὶ ἐμπρόσοδα πολλάκις ἀκίνητα ἐκκλησιῶν, ἢ μοναστηρίων, καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας ἐμποιεῖσθαι καὶ ἐκδίδοσθαι, δι᾽ αἰτίας τὰς ἐν αὐτῇ δηλουμένας. πρὸς δὲ καὶ ἱερὰ σκεύη ἐν τῷ καλοῦντι τοῦ καιροῦ ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι, εἰς ἀνάῤῥυσιν τυχὸν αἰχμαλώτων· εἰ δὲ πλείονα εἶεν σκεύη, μηδεμίαν ἐμποιοῦντα χρῆσιν ἀναγκαίαν, συμβαίνει δέ τινα τῶν εὐαγῶν οἴκων βαρύνεσθαι πλήθει χρεῶν, καὶ μὴ ὕπεστιν ἕτερα κινητὰ πράγματα, ἐξ ὧν ἐκδοθῶσι τὰ χρέα, ἄδεια ἔσται συνισταμένης πράσεως ἀζημίας, ἐπισκόπου μὲν ἐκποιοῦντος παρὰ τῷ μητροπολίτῃ, τοῦ δὲ παρὰ τῷ ἰδίῳ πατριάρχῃ, C τὰ περιττὰ σκεύη ἄλλοις εὐαγέσιν οἴκοις χρείαν ἔχουσι πωλεῖν, ἢ χωνεύειν καὶ πιπράσκειν, καὶ τὴν τιμὴν αὐτῶν εἰς τὸ χρέος παρέχειν, ὥστε μὴ τὰ ἀκίνητα αὐτῶν ἐκποιεῖσθαι.

Οἱ εὐαγεῖς οἶκοι, μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις ὑπ᾽ ὄψιν τοῦ μητροπολίτου, συναινούντων αὐτῷ τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν· τότε δὲ καὶ τὰ ἀκίνητα ἐκκλησιαστικὰ ἐκποιεῖται, ὅταν μὴ ᾖ παντελῶς κινητά.

D Παρὰ δὲ τοῖς νόμοις, ἐκποίησις μὲν λέγεται κυρίως ἡ μετάθεσις τῆς δεσποτείας, ἤγουν ἡ δωρεὰ, ἡ πρᾶσις, ἡ ἐμφύτευσις, ἡ ἀνταλλαγὴ, καὶ τὰ ὅμοια· ἔκδοσις δὲ, ἡ ἐπὶ χρόνοις ὡρισμένοις πρός τινας παραπομπή. καταχρηστικῶς δὲ καὶ ἡ ἔκδοσις, ἐκποίησις λέγεται, καὶ ἡ ἐκποίησις, ἔκδοσις.

Ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς, ἀγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν.

ΚΕΦ. ιζ΄.

E

Περὶ Ἐπισκόπων.

Ζήτει ἐν τῷ ζ΄. κεφ. τοῦ Δ. στοιχείου κανόνα νη΄. τῶν ἁγίων ἀποστόλων.

Νόμοι.

Ἐπίσκοπός ἐστι θεατὴς, καὶ κηδεμὼν πασῶν τῶν ἐκκλησιαζομένων ψυχῶν, τῶν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ, δύναμιν ἔχων τελεικὴν, πρεσβυτέρου καὶ διακόνου, ἀναγνώστου, ψάλτου, καὶ μοναχοῦ.

F Ἴδιον ἐπισκόπῳ, τοῖς μὲν ταπεινοῖς συγκατέρχεσθαι, καταφρονεῖν δὲ τῶν ἐπαιρομένων, καὶ πρὸς ταπείνωσιν ἔργῳ καὶ λόγῳ τῶν ὑπερηφάνων τὸ φρόνημα καθέλκειν, καὶ προκινδυνεύειν τοῦ ποιμνίου, καὶ τὴν ἐκείνου στενοχωρίαν οἰκείαν ὀδύνην ποιεῖσθαι.

Ὅτι τοῖς ἐπισκόποις ἐντέταλται, καταμηνύειν τοῖς ἐν τῇ χώρᾳ πρωτεύουσι, τὰς ἀδικίας τῶν ἀδικούντων.

res, ſuper qua tale quid conſecutum eſt, cum intermedii temporis fructibus: maneat autem apud illum pretium vel antidorum, aut quod pro permutatione vel quacunque aliâ causâ datum eſt. Si verò donetur res Eccleſiaſtica, ea quoque cum intermedii temporis fructibus ſanctiſſimæ Eccleſiæ reddatur: Si vero, præter hæc, pignori data fuerit, debitum perdat fœnerator, & eandem rem ſacroſanctæ Domui reddat. Qui autem, præter hanc noſtram legem, hujuſmodi contractus ſcriptis conſignant tabelliones, perpetuo exilio damnentur.

Hæc equidem ſanciens cxx. Juſtiniani Novella ſtatuit, non ſolum infructuoſa & nihil reditus afferentia immobilia Eccleſiarum aut Monaſteriorum, & ipſius etiam magnæ Eccleſiæ, verum etiam ea ex quibus fructus & reditus percipitur, vendi & alienari, ob rationes quæ in ea declarantur. Porro & ſacra vaſa tempore ſuadente alienari & exponi ad redemptionem fortaſſe captivorum: ſi verò plura ſint vaſa, quæ nulli neceſſario uſui inſerviunt, & accidit aliquam ſacroſanctarum domorum debitorum multitudine gravari, & non ſuppetunt aliæ res mobiles, unde debita retribuere poſſit; liberum erit, venditione ſine damno conſtituta (Epiſcopo quidem apud Metropolitanum alienante, illo vero apud ſuum Patriarcham) ſupervacanea vaſa aliis ſanctis domibus vendere, quibus opus eſt illis, vel conflare & vendere, & pretium eorum pro debito dare, ut eorum immobilia non elocentur.

Sacroſanctæ domus non habentes aliunde, quo publica impleant, commodè ſub conſpectu Metropolitani poſſeſſiones vendunt, conſentientibus illi Epiſcopis & Clericis: tunc vero immobilia Eccleſiaſtica alienantur, cum omnino mobilia non habent.

A legibus vero ἐκποίησις (id eſt, alienatio) propriè dicitur dominii translatio, viz. donatio, venditio, emphyteuſis, permutatio, & ſimilia: ἔκδοσις autem (id eſt, elocatio) eſt pro tempore definito ad quaſdam tranſmiſſio. Abuſivè vero & ἔκδοσις dicitur ἐκποίησις, & ἐκποίησις, ἔκδοσις.

Qui aliquid per illegitimam mutationem dedit, actionem non habet, qua illud quod datum eſt recuperet.

CAPUT XVII.

De Epiſcopis.

Quære in vii. capite literæ Δ. canonem lviii. ſanctorum Apoſtolorum.

Leges.

Epiſcopus eſt omnium animarum, quæ illi concreditæ ſunt, curator & conſervator, in ſuo Epiſcopatu abſolutam habens potentiam, in Presbyteros & Diaconos, Hypodiaconos, Lectores, Pſaltas & Monachos.

Proprium eſt Epiſcopi cum humilibus quidem converſari, deſpicere autem eos qui animo ſunt elato; tum etiam verbis factiſque arrogantium ſuperbiam ad humilitatem trahere, & pericula pro grege ſuo ſubire, & illius anguſtias propriis doloribus deputare.

Quod Epiſcopis injungitur regionis Primatibus eorum injuſtitiam, qui injuria afficiunt, indicare.

A

Eos, qui in carcerem conjiciuntur, Episcopi quarta feria & in Parasceve visitent, sive sint liberi, sive servi, & efficiant ut legibus consentanea illis agant Præsides: sin autem non obtemperant Præsides, de illis Imperatori indicent.

Episcopi debent efficere, ut intra viginti dies servos, qui in carcerem conjiciuntur, liberent Præsides, licèt intra xx. dies eorum Domini non appareant, ut illos liberent. Quære & viii. cap. lit. Π.

B

CAPUT XVIII.

Quòd Episcopos à propriis uxoribus separari decet.

Quære xvii. cap. literæ Γ.

CAPUT XIX.

C

De Episcopis qui Ecclesias per Principum potentiam consequuti sunt.

SANCTORUM Apostolorum xxx. canon, sic verbatim dicit; Siquis Episcopus secularibus principibus usus, per eos Ecclesiam adeptus sit, deponatur, & segregetur, & omnes qui illi communicant. Episcopi vero nominis mentionem faciens, ex circumstantia & omnes qui illi subjiciuntur Clericos comprehendit. Licet etiam in xxv. canone dicitur; Non oportet in idipsum bis vindicare; quem quære in x. capite literæ Δ. Propter sceleris autem magnitudinem, D & peccati manifestam immanitatem, duplicem inducit pœnam, segregationem & depositionem, & his, & illis, qui pecuniis ordinare non timuerunt.

Hujus etiam & iii. canon vii. Synodi ad verbum meminit, & subjungit, omnem electionem quorundam Episcoporum vel Presbyterorum vel Diaconorum à Principibus factam, irritam manere. Et de Episcopis quidem, electionem dicit, quæ Principum fit authoritate: de Presbyteris autem & Diaconis abusive electio pro ordinatione accipitur. Episcopi verò ordinationem secundum quartum canonem primæ Synodi fieri jubet; quem etiam quære in primo capite literæ X. E

CAP. XX.

De Episcopo, qui ordinatus est, & non statuit ad Ecclesiam, quæ illum sortita est, adire, vel profectus & non susceptus est, vel qui non potest accedere, eo quod ab Ethnicis Ecclesia detinetur.

F

SANCTORUM Apostolorum canon xxxvi. Episcopum, qui ordinatus est, & non statuit Ecclesiam sibi concreditam adire, & populi curam suscipere, segregari jubet, donec eam susceperit. Sin autem profectus, non susceptus fuerit, non sua voluntate, sed propter populi improbitatem, ipse quidem ita maneat Episcopus; Clerus autem illius civitatis segregetur, quòd populum non bene corrigebat.

Οἱ ἐπίσκοποι ἐπισκεπτέσθωσαν τοὺς ἐν φυλακῇ, κατὰ τετράδα καὶ παρασκευήν, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι εἶεν, καὶ παρασκευαζέτωσαν τοὺς ἄρχοντας ποιεῖν ἐν αὐτοῖς ὅσα οἱ νόμοι κελεύουσι· μὴ πειθομένων δὲ τῶν ἀρχόντων, μηνυέτωσαν τῷ βασιλεῖ περὶ αὐτῶν.

Οἱ ἐπίσκοποι ὀφείλουσι παρασκευάζειν τοὺς ἄρχοντας ἐντὸς ἡμερῶν εἴκοσιν ἐκβάλλειν τοὺς ἐμβεβλημένους ἐν τῇ φυλακῇ οἰκέτας, κἂν μὴ φαίνονται οἱ δεσπόται εἴσω τῶν εἴκοσιν ἡμερῶν, ἀπολύειν αὐτούς. ζήτει καὶ τὸ η΄. κεφ. τοῦ Π. στοιχείου.

ΚΕΦ. ιη΄.

Ὅτι τοὺς ἐπισκόπους χωρίζεσθαι δεῖ τῶν ἰδίων γυναικῶν.

Ζήτει τὸ ιζ΄. κεφ. τοῦ Γ. στοιχείου.

ΚΕΦ. ιθ΄.

Περὶ ἐπισκόπων ἐκκλησίας λαμβανόντων διὰ προστασίας ἀρχόντων.

Ὁ λ΄. τῶν ἁγίων ἀποστόλων κανών, οὕτω φησὶ κατὰ ῥῆμα· εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω, καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. ὁ δέ, τοῦ ἐπισκόπου μνημονεύσας ὄνομα, ἐκ τοῦ περιέχοντος, καὶ τοὺς ὑπ' αὐτὸν συμπεριέλαβε κληρικούς. εἰ δὲ καὶ ἐν τῷ κε΄. κανόνι λέλεκται, μὴ δεῖν δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό, ὃν καὶ ζήτει ἐν τῷ ι΄. κεφαλαίῳ τοῦ δ΄. στοιχείου· ἀλλὰ διὰ τὸ περιὸν τῆς κακίας, καὶ τὸ τοῦ ἁμαρτήματος περιφανῶς ἐξάγιστον, διπλῆν ἐπάγει τὴν τιμωρίαν, ἀφορισμὸν πρὸς τῇ καθαιρέσει, καὶ τούτοις, καὶ τοῖς ἐπὶ χρήμασι μὴ δεδιόσι χειροτονεῖν.

Τούτου καὶ ὁ γ΄. κανὼν τῆς ζ΄. συνόδου, ὡς ἔχει λέξεως μέμνηται καὶ ἐπιφέρει, πᾶσαν ψῆφον παρὰ ἀρχόντων γενομένην, ἐπ' ἐνίων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων ἄκυρον μένειν. καὶ ἐπὶ μὲν ἐπισκόπων, ψῆφόν φησι, τὴν κατ' ἐξουσίαν τῶν ἀρχόντων εἰς ἔργον προβαίνουσαν· ἐπὶ δὲ πρεσβυτέρων καὶ διακόνων, καταχρηστικῶς ἡ ψῆφος ἀντὶ χειροτονίας εἰλήφθη. γίνεσθαι δὲ τοῦ ἐπισκόπου κελεύει χειροτονίαν κατὰ τὸν δ΄. κανόνα τῆς πρώτης συνόδου, ὃν καὶ ζήτει ἐν τῷ α΄. κεφαλαίῳ τοῦ Χ. στοιχείου.

ΚΕΦ. κ΄.

Περὶ ἐπισκόπου χειροτονηθέντος, καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν, ἢ ἀπελθόντος καὶ μὴ δεχθέντος, ἢ μὴ δυνηθέντος ἀπελθεῖν, διὰ τό, ὑπὸ ἐθνῶν τὴν ἐκκλησίαν κατέχεσθαι.

Ὁ λϛ΄. τῶν ἁγίων ἀποστόλων κανών, τὸν χειροτονηθέντα ἐπίσκοπον, καὶ ἀφίκεσθαι μὴ καταδεχόμενον εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ, καὶ τὴν φροντίδα τοῦ λαοῦ ἀναδέξασθαι, ἀφορίζεσθαι κελεύει, μέχρις ἂν καταδέξηται. εἰ δ' ἀπελθὼν ἀποπεμφθείη, οὐ παρὰ αὐτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸν μὲν ἐπίσκοπον καὶ οὕτω μένειν· τὸν δὲ κλῆρον ἐκείνης τῆς πόλεως ἀφορίζεσθαι, οἷα καλῶς τὸν λαὸν μὴ παιδεύοντα.

Ταῦτα καὶ ὁ ιζʹ. τῆς ἐν Ἀντιοχείᾳ διέξεισιν, ἔτι δὲ καὶ ιηʹ. ἀλλὰ τὸν μὲν ἀπειθοῦντα τὴν ἐπίκρισιν, ἐκδέχεσθαι κελεύουσι τῆς τελείας συνόδου, δι᾽ εὐπρόσωπον αἰτίαν τυχὸν προβαλλόμενον. τὸν δὲ πρὸς τοῦ λαοῦ ἀποπεμφθέντα, μετέχειν μὲν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μηδὲν δὲ παρενοχλεῖν τοῖς πράγμασι τῆς ἐκκλησίας ἐν ᾗ διάγων τυγχάνει. ὥσπερ γὰρ οὐκ ἐφεῖται τούτῳ διδάσκειν ἢ λειτουργεῖν ἢ χειροτονεῖν, ἢ ἐν τῇ ἀλλοδαπῇ, εἰ μὴ πρὸς τοῦ ἐγχωρίου ἐπιτραπείη, οὕτως οὐδέ τινα τῶν τῆς ἐκκλησίας πραγμάτων ἔξεστι σφετερίζεσθαι· ἐκδέχεσθαι δὲ τοῦτον τὴν γνώμην τῆς τελείας συνόδου.

Ὁ δὲ τῆς ϛʹ. συνόδου κανὼν λζʹ. τὸν εἰς ἐκκλησίαν χειροτονηθέντα βαρβάροις ὑπόφορον, καὶ τὴν ἐκεῖσε ἄφιξιν ἀπεγνωκότα, τὸν προὖπτον φυλαττόμενον κίνδυνον, μηδενὸς τῶν τοῖς ἀρχιερεῦσι πρεσβείων παρὰ τοῦτο στερεῖσθαι ἀξιοῖ· μηδὲ γὰρ τὴν ἐθνικὴν εἰς τοσοῦτον ἐνδυναστεύειν ἐπήρειαν, ὡς καὶ τὰ τῆς ἱερωσύνης λυμαίνεσθαι δίκαια· μηδὲ τῇ βαρβαρικῇ περιστάσει τὴν τοῦ ἀπεριγράπτου γράφεσθαι ἁγιστείαν. καὶ χειροτονεῖν γὰρ ἐφεῖται τούτῳ κληρικοὺς οἱουσδήποτε, καὶ τοῦ τῆς προεδρίας βαθμοῦ κατὰ τὸν ἴδιον ὅρον ἔχεσθαι, καὶ πάντα δὲ βέβαιον ἕξει, ὅσα δήπου κανονικῶς διαπράξεται, ὥσπερ ἂν εἰ καὶ κατὰ τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν ἐτύγχανεν ὤν.

Νόμος.

Ὁ δὲ ἀοίδιμος βασιλεὺς Ἀλέξιος ὁ Κομνηνός, ἐγγράφῳ ἐπιτάγματι, μεγάλαις εἰσφορῶν δόσεσιν δεξιοῦσθαι κελεύει τοὺς χειροτονίαν ἐπισκοπῆς τινος δεξαμένους, τῶν κατὰ τὴν ἀνατολὴν ἐκκλησιῶν, τῶν ὑπὸ βαρβάροις ἔτι κατεχομένων· μοναστηρίων τε γὰρ προστασίας, ἐπετείους ἐπισιτήσεις, καὶ ἕτερα ἄττα τοιαῦτα, τούτοις ἐπιβραβεύει.

ΚΕΦ. καʹ.

Περὶ ἐπισκοπῶν Μητροπόλεων γινομένων, καὶ ὅτι οὐ δεῖ ἐν μιᾷ ἐπαρχίᾳ δύο εἶναι Μητροπολίτας.

Ὁ ιβʹ. τῆς δʹ. συνόδου κανών, τὰ δεινότατα ἐπανατείνεται τῶν ἐπισκόπων τοῖς διὰ γραμμάτων ἐπιχειροῦσι βασιλικῶν εἰς δύο τὴν μίαν διαιρεῖν ἐπαρχίαν, καὶ τὴν οἰκείαν ἐπισκοπὴν νέαν πραγματευομένοις καλεῖσθαι Μητρόπολιν. τοῦτο δὲ ἄρα πράγματά ποτε παρέσχε καὶ τῷ μεγάλῳ πατρὶ Βασιλείῳ, τῆς Καππαδοκίας διαιρεθείσης, διὰ τὴν νέαν τῶν Τυάνων Μητρόπολιν. τοὺς δὲ τοιοῦτό τι τοῦ λοιποῦ τολμήσαντας τῆς ἱερωσύνης ἐξοστρακίζει. ὅσαι γε μὴν ἐπισκοπαὶ γράμμασι βασιλικοῖς ὀνόμασι πρὸ τούτου τετίμηνται Μητροπόλεων, ταύτης μόνης τῆς τιμῆς ἀπολαύειν παρεγγυᾷ, καὶ τοὺς τούτων προέδρους μητροπολίτας καὶ μόνον καλεῖσθαι· τῇ δὲ ἀληθῶς Μητροπόλει οὐδὲν ἧττον ἀναλλοίωτα τὰ περὶ τοῦ δίκαια περισώζεσθαι. ἀλλὰ τανῦν οὐ πάντα τὰ τοῦ κανόνος φυλάττεσθαι τούτου. ὁρῶμεν γὰρ τῶν ἐπισκοπῶν καὶ ἐφ᾽ ἡμῶν οὐκ ὀλίγας βασιλικοῖς ἐπιτάγμασιν εἰς τὴν τῆς Μητροπόλεως προεδρίαν ἀναγομένας.

Ὁ δὲ ιζʹ. εἴ τις ἐκ βασιλικῆς, φησί, ἐξουσίας κεκαίνισται πόλις, καὶ ἐκ βάθρων ἐνεγήγερται, ἢ καὶ αὖθις καινισθείη καὶ ἀνεγερθείη, καὶ βασιλικοῖς καὶ δημοσίοις τύποις τιμηθείη, ἐγγράφοις δηλαδὴ προστάγμασι, πρεσβεῖα πολιτικά, ἢ τιμὴν ἐπισκοπῆς, ἢ Μητροπόλεως ταύτῃ χαριζομένοις· δέον καὶ τὴν τῶν ἐκκλησιαστικῶν παροικιῶν τε καὶ πραγμάτων τάξιν τοῖς βασιλικοῖς τύποις ἀκολουθεῖν, καὶ ἐπισκοπὴν τὴν αὐτὴν ἢ Μητρόπολιν καταλογίζεσθαι· μονονουχὶ τῶν πατέρων λεγόντων, ἐπεὶ τοῖς βασιλεῦσιν ἀντιπίπτειν οὐ δεδυνήμεθα, τοῖς παρ᾽ αὐτῶν ψηφιζομένοις καὶ ἡ ἐκκλησιαστικὴ τάξις ἀκολουθείτω.

Περὶ προνομιῶν Βασιλικῶν.

Ἔξεστι γὰρ τῷ βασιλεῖ ἐνορίων ἐκκλησιαστικῶν διατάττεσθαι, καὶ προνόμια τινῶν ἀφαιρεῖσθαι, καὶ ἐπισκοπὰς αὖθις εἰς Μητροπόλεις τιμᾶν, καὶ ἡγουμένους προχειρίζεσθαι, καὶ ἕτερά τινα τοιαῦτα ποιεῖν.

A Eadem & Antioch. Syn. xvii. ſtatuit,ut & xviii. præterea eum, qui non obtemperat, à perfecta Syn. deponi jubent, licèt forte probabilem afferat rationem. Qui autem à populo ejicitur, is ſit & honoris & muneris particeps, dummodo nullam rebus Eccleſiæ, in qua vivere contingit, moleſtiam afferat. Ut enim docendi, vel ſacra faciendi, vel ordinis conferendi in aliena regione illi non eſt poteſtas, niſi ejus rei à loci Epiſcopo conceſſa facultate, ita neque aliquid ex Eccleſiæ bonis in proprios uſus transferendi: illum autem perfectæ Synodi ſententiam ſuſcipere.

Sextæ Syn. Canon xxxvii. Eum, qui in Eccleſia Barbaris B ſubjecta ordinatur, & illuc ire abnuit, manifeſtum vitans periculum, nullis Antiſtitum privilegiis ab hoc privari judicat: Neque enim gentilem injuriam adeo valere, ut Sacerdotii juribus perniciem afferat: neque à circumſtanti Barbarorum violentiâ illius, qui circumſcriptus non eſt, deſcribi cultum. Et illi quoque quoſlibet Clericos ordinare permittitur, & præſulatûs authoritatem ſecundum proprios fines habere; & omnia rata erunt, quæcunque ſcilicet Canonicè faciet, perinde ac ſi eſſet in Eccleſia, quæ illum ſortita eſt.

Lex.

C Illuſtris etiam Imp. Alexius Comnenus ſcriptâ conſtitutione jubet, magnis tributorum donis illos excipi, qui Epiſcopatûs cujuſdam adminiſtrationem, Orientalium ſcilicet Eccleſiarum, quæ à Barbaris adhuc detineantur, ſuſceperint: nam Monaſteriorum præfecturas,& quæ ad annuum victum ſunt neceſſaria, & alia quæcunque hujuſmodi ſunt, illis confirmat.

CAPUT XXI.

De Epiſcopatibus quæ fiunt Metropoles, & quod non oportet in una Provincia duos eſſe Metropolitanos.

D QUARTÆ Synodi xii. Canon graviſſima intendit Epiſcopis, qui imperialibus mandatis unam Provinciam in duas dividere aggreſſi ſunt, & proprium Epiſcopatum typis pragmaticis novam Metropolim vocari ſatagunt. Hoc vero magno Patri Baſilio, Cappadociâ diviſâ, moleſtiam aliquando creavit, propter novam Tyanæ Metropolim. Illos autem, qui poſthac tale quid audent, Sacerdotio privat. Quicunque autem Epiſcopatus ante hanc conſtitutionem Imperiali juſſu Metropolium titulo inſigniti fuerant, ut ſolo iſto honore fruantur, decernit, & eorum Antiſtites Metropolitani etiam E ſolùm nominentur: Metropoli autem veræ non minùs, quàm ante hanc conſtitutionem, immutabilia ſerventur jura. Sed nunc temporis omnia iſtius Canonis non obſervantur decreta. Nam imperialibus mandatis non paucas apud nos Epiſcopales Eccleſias in Metropolitani faſtigii culmen evectas eſſe videmus.

Decimus ſeptimus verò, Siqua, inquit, ab Imper. authoritate innovata ſit civitas, & ex fundamento ædificata, vel deinceps innovata fuerit, & extructa, & imperialibus ac publicis typis honorata, ſcriptis nempe mandatis, quæ privilegia civilia vel Epiſcopatûs aut Metropolis honorem illi concedunt; eam oportet per imperialia F decreta parœciarum & rerum Eccleſiaſticarum adminiſtrationem conſequi, & in Epiſcopalium urbium, vel Metropolium catalogum referri. Dicentibus fermè Patribus,quoniam Imper. contradicere non potuimus, eos, qui ab illis ſunt electi, Eccleſiaſticus ordo conſequatur.

De Privilegiis Imperialibus.

Licitum eſt Imper. de Eccleſiaſticarum Provinciarum finibus definire, & aliquarum privilegia auferre, & Epiſcopales urbes iterum Metropolium honore donare, & Antiſtites deſignare, & alia ejuſmodi facere.

A Hæc etiam & vi. Synodi xxxviii. narrat, eiſdem ac ille verbis & ſententia uſus.

Imperator Alexius Comnenus, ſimul qui à Canonibus intentatur, metum obſervans, ut & Eccleſias quaſdam honorare volens, Aurea-Bulla ſtatuit, Epiſcopatum non aliter in ſublimiorem thronum erigendum, quam ſi qui tunc eſt Imper. proprio motu impulſus, nulla humana indecora gratia intercedente, voluerit illam, quæ ſuperior eſt ac eminentior, dignitatem ei præbere, vel propter civitatis magnitudinem ad id perſuaſus, vel propter ejus in ſanctam Eccleſiam fidem
B motus, vel ejus, qui illi præeſt virtutem, honorans. Si enim ex hujuſmodi aliquo ſpecioſo prætextu Imper. Eccleſiæ alicui Præfecturam largiatur; eſt etiam veriſimile, quòd Patriarcha illius Antiſtiti convenientem gradum in Synodo ab eo congregata tribuet, in Metropolitani forſitan vel Archiepiſcopi locum relato.

Ταῦτα καὶ ὁ τῆς ϛ΄. συνόδου λη΄. δίεισι, ταῖς αὐταῖς αὐτῷ χρησάμενος καὶ λέξεσι καὶ ἐννοίαις.

Ὁ γὰρ βασιλεὺς Ἀλέξιος ὁ Κομνηνός, ἅμα μὲν τὸ ἐκ τῶν κανόνων φυλαττόμενος δέος, ἅμα δὲ καὶ τινὰς τῶν ἐκκλησιῶν τιμᾶσθαι βουλόμενος, χρυσοβούλλῳ γράμματι διορίζεται, μὴ ἄλλως ἐπισκοπὴν εἰς ὑψηλότερον θρόνον ἀνάγεσθαι, εἰ μὴ ὁ κατὰ καιροὺς βασιλεὺς οἴκοθεν ὁρμηθεὶς, χάριτος ἀνθρωπίνης οὐκ εὐπρεποῦς μὴ μεσολαβούσης, βουληθείη ταύτῃ τὸ ἐπαναβεβηκὸς ἀξίωμα παρασχεῖν, ἢ τὸ τῆς πόλεως δυσωπηθεὶς μέγεθος, ἢ πίστει τῇ πρὸς τὴν εὐαγῆ κινηθεὶς ἐκκλησίαν, ἢ τοῦ προεστῶτος αὐτῆς τὴν ἀρετὴν αἰδεσθείς. εἰ γὰρ ἐξ εὐπροσώπου τοιαύτης αἰτίας ὁ βασιλεὺς προεδρίαν ἐκκλησίᾳ τινὶ χαρίσαιτο, καὶ τὸν πατριάρχην εἰκὸς τῷ ταύτης ἀρχιερεῖ τὸν προσήκοντα βαθμὸν ἐν τῇ ὑπ᾽ αὐτὸν ἀπονέμειν συνόδῳ, εἰς μητροπολίτου τυχὸν, ἢ ἀρχιεπισκόπου τόπον ἀνηνεγμένῳ.

CAPUT XXII.

Quod Epiſcopatus & Monaſteria revocare, ſi C *communia facta ſint diverſoria, Epiſcopos oportet.*

SEPTIMÆ Synodi xiii. Canon, illos, qui Eccleſias aliquas vel Epiſcopatus vel Monaſteria fecerunt communia diverſoria, jubet ea immutare, ut iterum in priſtinum ſtatum reſtituantur: ſi verò ea reddere nolint, ſi ſint quidem Clerici, deponantur; ſin Laici verò, ſegregentur; & vermi, qui non moritur, & igni, qui non extinguitur, deputentur, ut qui domum Dei, domum negotiationis fecerunt. Neque quidem multi temporis lapſum proferent, qui Epiſcopa-
D tus in ſecularia converterunt diverſoria. Non enim intermedium tempus illos, qui hæc revocare volunt, prohibet. Monaſteria verò poſt quadraginta annorum ſpatium non facile ad poſſeſſores revertuntur, licèt per priorum poſſeſſorum ſocordiam ad illos venerunt.

Quod Monaſteria accipere ſeculares non prohibentur.

Hic Canon equidem ſecularibus Monaſteria accipere non prohibet, ſi ad meliorem Monaſterii bonorum conſtitutionem & majorem acceſſionem ab eis hæc
E facienda ſint. Hoc etiam Patriarchæ Sergii deciſio permiſit: at eos, qui illa ſecularia faciunt diverſoria, ab eorum poſſeſſione expellit.

ΚΕΦ. κβ΄.

Ὅτι δεῖ τοὺς ἐπισκόπους τὰς ἐπισκοπὰς καὶ τὰ μοναστήρια ἀνακαλεῖσθαι, εἰ κοινὰ γένοιντο καταγώγια.

Ὁ τῆς ζ΄. συνόδου ιγ΄. κανὼν, τοὺς κοινὰ καταγώγια πεποιηκότας ἐκκλησίας τινὰς ἢ ἐπισκοπὰς ἢ μοναστήρια, ἐξίστασθαι τούτων κελεύει, ὡς ἂν αὖθις τὸ ἀρχαῖον λάβωσι σχῆμα· εἰ δὲ μὴ βούλοιντο, κληρικοὺς μὲν ὄντας, καθαιρεῖσθαι, λαϊκοὺς δὲ, ἀφορίζεσθαι· καὶ τῷ ἀτελευτήτῳ σκώληκι καὶ τῷ μὴ σβεννυμένῳ πυρὶ παραπέμπεσθαι, ὡς τὸν τοῦ θεοῦ οἶκον ἐμπορίου ποιοῦντας οἶκον. οὐ μὴν τὸ τοῦ χρόνου προβαλοῦνται μῆκος, οἱ τὰς ἐπισκοπὰς εἰς κοσμικὰ μεταθέντες καταγώγια. οὐ γὰρ ἀποκλείει τοὺς ἀνακαλουμένους ταῦτα ὁ μεταξὺ χρόνος. τὰ δέ γε μοναστήρια μετὰ τεσσαράκοντα ἔτη οὐκ εὐχερῶς ἀποκαθίστανται τοῖς ἀναζητοῦσιν, εἰ καὶ διὰ ῥᾳθυμίαν τῶν προκατεχόντων εἰς αὐτοὺς περιῆλθον.

Ὅτι οὐ κωλύονται οἱ κοσμικοὶ μοναστήρια λαμβάνειν.

Τὰ τοῦ κανόνος μέντοι οὐκ ἐμποδὼν ἔσται τοῖς ἐκλαμβάνουσι κοσμικοῖς μοναστήρια, εἴγε πρὸς βελτίω κατάστασιν, καὶ πρὸς ἐπίδοσιν κρείττω τὰ τῆς μονῆς γενέσθαι τούτοις μελήσειε. τοῦτο γὰρ καὶ ὁ τόμος τοῦ πατριάρχου Σεργίου ἐφίησιν· ἀλλὰ τοὺς ποιοῦντας αὐτὰ κοσμικὰ καταγώγια τῆς κατοχῆς αὐτῶν ἐξωθεῖ.

CAPUT XXIII.

De privatis Epiſcopi bonis, & quomodo Eccleſiæ negotia illum adminiſtrare oportet.

F QUADRAGESIMUS ſanctorum Apoſtolorum Canon, Epiſcopum, qui res proprias antequam ordinatus fuit, poſſidebat, illas manifeſtas facere jubet, & non Eccleſiæ rebus immiſcere, ut ſit in ejus poteſtate cum moritur, quibus vult, & ut vult, illa relinquere, modò ſint orthodoxi Chriſtiani; & non rerum Eccleſiaſticarum occaſione res Epiſcopi intercidant, qui nonnunquam uxorem & liberos habet, vel cognatos, aut famulos. Juſtum enim eſt apud Deum & homines, ut nec Eccleſia damnum percipiat propter Epiſcopi bonorum ignorationem; nec Epiſcopus, vel ejus

ΚΕΦ. κγ΄.

Περὶ τῶν τοῦ ἐπισκόπου ἰδικῶν πραγμάτων, καὶ ὅπως δεῖ τὰ τῆς ἐκκλησίας διοικεῖν αὐτόν.

Ὁ μ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν ἴδια κεκτημένον πρὸ τῆς χειροτονίας ἐπίσκοπον κελεύει δῆλα ταῦτα ποιεῖν, καὶ μὴ τοῖς τῆς ἐκκλησίας μιγνύειν, ἵν᾽ ἐξουσίαν ἔχῃ τελευτῶν οἷς βούλεται καὶ ὡς βούλεται ταῦτα καταλιπεῖν, ὀρθοδόξοις μέντοι χριστιανοῖς, καὶ μὴ προφάσει τῶν τῆς ἐκκλησίας πραγμάτων ἀπόλλυσθαι τὰ τοῦ ἐπισκόπου, γυναῖκα καὶ παῖδας ἔσθ᾽ ὅτε κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας. δίκαιον γὰρ παρὰ θεῷ καὶ ἀνθρώποις, μήτε τὴν ἐκκλησίαν ζημιοῦσθαι ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον, ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῶν τῆς ἐκκλησίας ζημίαν A ὑπομένειν, βάρει χρεῶν ἴσως ὑποκειμένης, καὶ εἰς πράγματα ταύτης ἐμπίπτοντας τῷ αὐτοῦ διαλοιδορεῖσθαι θανάτῳ. εἰ μὴ γὰρ δῆλα, τά τε πρὸ τῆς χειροτονίας, καὶ τὰ μετὰ ταύτην αὐτῷ περιελθόντα, ἐξ αἰτίας εὐπροσώπου ποιήσαιτο, τῶν αὐτοῦ πάντων ὁ μετ' αὐτὸν χειροτονηθεὶς ἀνθέξεται, ἀναδεδεγμένος πάντως καὶ τὴν τῶν χρεῶν ἔκτισιν.

Ὁ δὲ μα'. τὸν ἐπίσκοπον τὴν ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας ἐπιτάττειν πραγμάτων, καὶ κατὰ τὴν αὐτοῦ ταῦτα διοικεῖσθαι γνώμην, διακόνοις χρώμενον τῶν κληρικῶν τοῖς διειλεγμένοις ἐπ' ἀρετῇ καὶ ὑπολήψει χρηστῇ. εἰ γὰρ B τῶν τιμίων καὶ ἀθανάτων ψυχῶν ἐπιτέτραπται τὴν διοίκησιν, πολλῷ γε δὴ πιστευτέον αὐτῷ τὴν τῶν ὑλικῶν τε καὶ φθειρομένων, ὥστε χορηγεῖν ταῦτα τοῖς δεομένοις, καὶ τοῖς ἐπιξενουμένοις τῶν ἀδελφῶν, καὶ μηδενὸς ἐνδεῶς ἔχοντας καθιστᾶν. ἐπεί τοι γε καὶ φιλόξενον εἶναι δεῖ τὸν ἐπίσκοπον πρὸς τοῖς ἄλλοις· χρῆσθαι δέ τισι τούτων, καὶ εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, διατροφάς τε φημὶ καὶ σκεπάσματα, κατὰ τὸν θεῖον ἀπόστολον· οὐ μὴν εἰς τρυφὰς καὶ βλακείας καὶ περιττὰς ὀρέξεις καὶ ἀνονήτους. καὶ γὰρ ὁ νόμος διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι· ἐπείπερ οὐδὲ στρατιώτης δήπουθεν ἰδίοις C ὀψονίοις ὅπλα κατὰ τῶν πολεμίων ἄρασθαι προθυμηθήσεται.

Τοῖς δυσὶ τούτοις ἀποστολικοῖς κανόσιν ἑπόμενοι, ὅ, τε κδ'. καὶ ὁ κε'. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐκείνοις ἐπιψηφίζουσι, καὶ ἐπάγουσιν, ἂν δὲ τοῖς ἀποχρῶσιν ὁ ἐπίσκοπος μὴ αἱρεῖται βιῶναι, μήτε μὴν εἰδήσει τῶν ἐν τῷ κλήρῳ τὰς προσόδους τῆς ἐκκλησίας πραγμάτων εἰσδέχεσθαι, καὶ τὴν χορηγίαν αὖθις ᾗ δέον ποιεῖσθαι· οὐ μὴν ἀλλὰ καὶ τοῖς γένει προσήκουσι διαιτηταῖς τούτων χρώμενος, εἰς οἰκείας ἐκφέρει τὰς πλείω χρείας, ὡς λεληθότως βλάπτεσθαι τοὺς λογισμοὺς D τῶν πραγμάτων τῆς ἐκκλησίας, εὐθύνας ἂν εἴη δίκαιος ὑπέχειν, οἷα λογισταῖς ἀπαραλογίστοις, τῇ συνόδῳ τῆς ἐπαρχίας. εἰ δ' αὖθις ἂν ὁ ἐπίσκοπος διαβάλλοιτο, καὶ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς ἂν τὰ τῆς ἐκκλησίας εἰς ἑαυτοὺς καὶ οὐκ εἰς τὸ δέον δαπανῶντες, ὡς θλίβεσθαι μὲν τοὺς πένητας μὴ τὰ πρὸς χρείαν ποριζομένους, βλασφημίαν δὲ τῷ, τε λογισμῷ τῶν πραγμάτων, καὶ τοῖς ταῦτα διοικοῦσι προστρίβεσθαι, καὶ ταῦτα διορθώσεως τυγχανέτω, τὸ πρέπον τῆς ἁγίας δοκιμαζούσης συνόδου. ζήτει καὶ τὸ δ'. κεφ. τοῦ Δ. στοιχείου.

cognati rerum Eccleſiæ occaſione damno afficiantur, quæ forſan debitorum gravitati ſubjecta eſt, & in negotia & lites incidant, & ejus mortem maledictis proſequantur. Niſi enim, & quæ ante ordinationem, & quæ poſt eam ad illum legitime pertinebant, ratione probabili manifeſta faciat; qui poſt eum ordinatus eſt Epiſcopus omnia ejus bona apprehendat, debitorum ſolutionem omnino in ſe ſuſcipiens.

Quadrageſimus primus ait, Epiſcopum bona Eccleſiaſtica adminiſtrandi poteſtatem habere, & ejus arbitratu illa diſpenſari, Diaconis Eccleſiarum in virtute & exiſtimatione bona electis utentem. Si enim pretioſarum & immortalium animarum adminiſtrationem conſequatur, multò magis rerum materialium & corruptibilium diſpenſatio illi concredenda eſt; ut illis, qui egent, & fratribus, qui peregrinantur, in omnibus ſuis neceſſitatibus ſubminiſtret. Porro & erga alios hoſpitalem oportet eſſe Epiſcopum; & eorum quibuſdam uti ad neceſſarios ejus uſus, alimenta ſcilicet & tegumenta ſecundum divinum Apoſtolum; non equidem ad delicias, vitæ & mollitiem & ſupervacaneos & inutiles appetitus. Statuit etenim lex, ut qui altari aſſident, ex altari alantur; quandoquidem nec miles unquam ſuo viatico adverſus hoſtes arma tollere promptus ſit.

Hos duos Apoſtolicos Canones Antiochenæ Synodi vigeſimus quartus & quintus, eadem cum his decernunt, & adjiciunt, Si eis quidem, quæ ſufficiunt, Epiſcopus vivere non perſuadeatur, neque ex eorum ſententia, qui in Clero conſtituti ſunt, rerum Eccleſiaſticarum reditus adminiſtrare, & ſumptus denique qua ratione oportet facere; ſed quidem cognatis ſuis illorum adminiſtrationem relinquens in proprios uſus majorem partem convertit; adeo ut clam detrimentum capiant rerum Eccleſiaſticarum rationes: juſtum eſſet, ut ille Provinciæ Synodo, tanquam calculatori, qui decipi nequit, adminiſtrationis rationem reddat. Si verò rurſus Epiſcopus inſimuletur, & qui cum illo ſunt Preſbyteri, quòd bona Eccleſiaſtica ſibiipſis, & non ubi decet, erogant; ex quo pauperes neceſſariis deſtituti ſubſidiis deficiant, infamia vero male geſtæ rerum adminiſtrationi, & illis, qui eas adminiſtrant, adhæreat: hæc etiam corrigantur Synodo quod æquum eſt explorante. Quære & iv. caput literæ Δ.

E

ΚΕΦ. κδ'.

Ὅτι τὸν ἐπίσκοπον καὶ οἰκονόμον ἔχειν δεῖ τῶν τῆς ἐκκλησίας πραγμάτων.

Ὁ κϛ'. τῆς δ'. συνόδου κανὼν, δεῖ, φησι, τὸν ἐκκλησίαν λαχόντα εὐθύνειν ἐπίσκοπον, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ κλήρου, τοὺς τρόπους ἐπιεικῆ, καὶ παντὸς κέρδους καὶ λήμματος ὑπάρχοντα ὑψηλότερον· οὐ μὴν ἐκ τοῦ λαοῦ, F οὐδέτινα τῶν αὐτῷ προσηκόντων, ὥστε μετὰ τῆς αὐτοῦ γνώμης τὰς προσόδους τῶν ταύτης πραγμάτων εὖ μάλα διέπειν, καὶ μὴ καπηλεύειν τὸν ἔρανον τῆς χρηστότητος. εἰ γὰρ καὶ ἀνεῖται τῷ ἐπισκόπῳ πάντων ἡ ἐξουσία, ἀλλ' οὑτινοσοῦν τοῦ ἐπιμαρτυροῦντος χωρὶς, ἥκιστα τὴν τούτων οἰκονομίαν γίνεσθαι δεῖ, ἵνα μὴ μάτην καὶ εἰκῆ τὰ τῶν πενήτων σκεδαννύμενα ὑποπτεύηται, ὥστε καὶ λοιδορίαν ἐντεῦθεν τῇ ἱερωσύνῃ προστρίβεσθαι, ὡς δῆθεν ἀθέσμως τούτοις τοῦ ἐπισκόπου χρωμένου· τὸν δὲ μὴ οὕτω ποιοῦντα ταῖς εὐθύναις ὑποτίθησι τῶν θείων κανόνων.

CAPUT XXIV.

Quod Epiſcopum bonorum Eccleſiæ œconomum habere oportet.

QUARTÆ Synodi viceſimus ſextus Canon, Oportet, inquit, Epiſcopum, qui Eccleſiam ſortitus eſt, dirigere, & ex Clero œconomum habere, qui honeſto animo eſt imbutus, & omni lucro & emolumento ſuperior; non autem ex populo, nec ullum ſibi affinem; ut adhibita ejus ſententia reditus Eccleſiæ bene adminiſtret, & non cauponetur benignitatis collectam. Licet enim omnium poteſtas Epiſcopo conceditur, non tamen ſine aliquo teſte illorum adminiſtratio fieri oportet, ne temerè & inconſultò pauperum res eſſe diſſipatas in ſuſpicionem veniat; ut probrum exinde Sacerdotio inuratur, quòd ſcilicet Epiſcopus illegitimè effundat: illum autem, qui hoc fecerit, divinorum Canonum correctionibus ſubjicit.

A

Eadem etiam decernit undecimus ſeptimæ Synodi, & addit, quòd ſi Metropolitanus, qui ſui juris eſt, œconomum è Clero rebus præficere nolit, tum Conſtantinopolitanus Patriarcha, ſub illo exiſtente Metropoli, ex abundante, qua pollet, poteſtate, œconomum in ea conſtituat. Hoc etiam Metropolitano in Epiſcopos, qui ſibi ſubjiciuntur, conceditur, idem & in Monaſteriis obſervabitur.

B

Theophilus verò Alexandriæ Epiſcopus in nono & decimo ejus Canone, Epiſcopatûs œconomum omnis Sacerdotalis ordinis judicio deſignare decernit, ſi etiam Epiſcopi ſententiam conſentientem habeat, ut ejus cura bona Eccleſiaſtica, prout decet, inſumantur, viduis & pauperibus & peregrinis indigentibus diſtribuat; nec ulla eorum ipſe ſibi arripiat: nam avaritiæ alienum eſſe oportet Dei miniſtrum, & eorum, quæ ſibi committuntur, œconomum. Quære leges in viii. capite Literæ E.

Lex.

C

Juſtiniani verò liii. Novella, Convenit, inquit, ut ſanctiſſimus pro tempore Patriarcha, & reverendiſſimi œconomi, ſumptus, qui ex Eccleſiaſticis reditibus fiunt, in pias & Deo placitas cauſas inſumant, & in illos conferant, qui & revera egent, nec aliunde habent, unde vivant; (Hæc enim Dominum Deum conciliare ſolent) non verò in homines locupletes, ut exinde egentes vitæ neceſſariis defraudentur. Noverint enim reverendiſſimi œconomi, quod, ſi quid præter hæc fecerint, pœnis cœleſtibus erunt obnoxii, & de ſubſtantia ſua ſacroſanctæ Eccleſiæ damnum retribuent. Quæ itaque fraternitatum & reliquarum frumentariarum penſionum nomine ad divites & potentes mittuntur, à legibus non ſunt confirmata: quæ autem ad egenos mittuntur, omnino rata ſunt.

D

CAPUT XXV.

Quod Monaſterium ædificare in Eccleſiæ ſuæ bonorum damnum Epiſcopum non oportet.

E

SEPTIMUS primæ & ſecundæ Synodi Canon, Nulli licere Epiſcopo privatum Monaſterium ad proprii Epiſcopatûs perniciem de novo extruere, decernit. Si quis autem hoc audere deprehenſus fuerit, ipſum quidem convenienti pœnæ ſubjici: quod verò ab ipſo recens extructum eſt, Epiſcopatui adſcribi, & privatam ejus cenſeri poſſeſſionem, ac ſi ab initio non fuiſſet Monaſterium. Quæ enim præter leges facta ſunt, ea, quæ Canonicè conſtituuntur, evertere non eſt fas. Atque ſi, quod recèns extructum eſt, intra limites quidem ejuſdem Epiſcopatûs conſiſtat, nulla eſt dubitatio: Sin autem in alia diœceſi ſit, Monaſterium, & quæ ad illud pertinent, ad Epiſcopatum redibunt; regionis vero Epiſcopus jura ſolùm Epiſcopalia in eo habebit. Si porro Epiſcopatui nullum afferat detrimentum, vel qui ex fundamentis extruit Monaſterium, vel qui illud, quod tempore corruerat, renovat; non minus laudis quàm vituperii eſt dignus.

F

Ταῦτα παρεγγυᾶται καὶ ὁ ια΄. κανὼν τῆς ζ΄. συνόδου, καὶ προστίθησιν, ὡς εἰ μὴ βούλοιτό τις τῶν Μητροπολιτῶν, αὐθέκαστος ὤν, οἰκονόμον ἐκ κλήρου τοῖς πράγμασιν ἐπιστῆσαι, ἀλλ᾽ ὁ τῆς Κωνσταντινουπόλεως πατριάρχης, ὑπ᾽ αὐτὸν τελούσης τῆς Μητροπόλεως, τῷ περιόντι τῆς ἐξουσίας, καὶ οἰκονόμον ἐπ᾽ αὐτῇ προχειρήσεται. Ταῦτα δὲ καὶ τῷ Μητροπολίτῃ πράττειν ἐφεῖται, κατὰ τῶν ὑποκειμένων αὐτῷ ἐπισκόπων, τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναστηρίων φυλαχθήσεται.

Ὁ δὲ Θεόφιλος Ἀλεξανδρείας ἐν γε τῷ θ΄. καὶ ι΄. κανόνι αὐτοῦ, κρίσει πάντων τοῦ ἱερατείου τὸν τῆς ἐπισκοπῆς οἰκονόμον ἐπισκήπτει προβάλλεσθαι, εἰ καὶ τὴν γνώμην ἔχουσι τοῦ ἐπισκόπου σύμψηφον, ἵνα τὰ τῆς ἐκκλησίας εἰς δέον δαπανῶνται τῇ ἐκείνου φροντίδι, χήραις καὶ πένησι καὶ τοῖς ἐπιδημοῦσι ξένοις διανεμόμενα· καὶ μηδὲν τούτων αὐτὸν ἐξιδιοῦσθαι· ἀφιλάργυρον γὰρ εἶναι δεῖ τὸν τοῦ θεοῦ λειτουργόν, καὶ οἰκονόμον τῶν αὐτῷ ἀνατεθειμένων. ζήτει νόμους ἐν τῷ η΄. κεφαλαίῳ τοῦ Ε. στοιχείου.

Νόμος.

Ἡ δὲ νγ΄. Ἰουστινιανείου νεαρά, προσήκει, φησί, τὸν κατὰ καιροὺς ἁγιώτατον πατριάρχην, καὶ τοὺς εὐλαβεστάτους οἰκονόμους, τὰς γινομένας δαπάνας ἐκ τῶν ἐκκλησιαστικῶν πόρων, περὶ εὐσεβεῖς δαπανᾶν πράξεις, καὶ θεῷ ἀρεσκούσας, καὶ εἰς ἐκείνους ταῦτα χορηγεῖν, τοὺς τῇ ἀληθείᾳ δεομένους, καὶ οὐκ ἔχοντας ἑτέρωθεν τροφῆς ἀφορμήν· ταῦτα γὰρ τὸν δεσπότην θεὸν θεραπεύειν πέφυκεν· ἀλλὰ μὴ εἰς ἀνθρώπους εὐποροῦντας, ὡς ἐντεῦθεν τοὺς ἀπορουμένους μὴ τυγχάνειν τῶν ἀναγκαίων. ἴστωσαν γὰρ οἱ θεοφιλέστατοι οἰκονόμοι, ὡς εἰ παρὰ ταῦτα πράξαιεν, ταῖς ἐκ θεοῦ ποιναῖς ὑποκείσονται, καὶ ἐκ τῆς αὐτῶν οὐσίας τὸ ἀζήμιον τῇ ἁγιωτάτῃ περιποιήσουσιν ἐκκλησίᾳ· ὥστε καὶ τὰ διδόμενα ἀδελφάτα καὶ τὰ λοιπὰ σιτηρέσια πρὸς εὐποροῦντας καὶ παραδυναστεύοντας, οὐκ ἔχουσι τὴν ἐκ τῶν νόμων ἰσχύν, τὰ πρὸς ἐνδεεῖς δὲ πάντως βέβαια.

ΚΕΦ. κε΄.

Ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον μοναστήριον κτίζειν ἐπὶ λύμῃ τῶν τῆς ἐκκλησίας αὐτοῦ πραγμάτων.

Ὁ ζ΄. τῆς πρώτης καὶ δευτέρας συνόδου κανών, μηδενὶ τῶν ἐπισκόπων ἐξεῖναι διορίζεται, μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς οἰκείας ἐπισκοπῆς νεουργεῖν. εἰ δέ τις τοῦτο τολμῶν φωραθείη, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι· τὸ δὲ νεουργηθὲν ὑπ᾽ αὐτοῦ τῇ ἐπισκοπῇ προσκυρωθῆναι, ἴδιον ἐσόμενον αὐτῆς κτῆμα, ὥσπερ εἰ μὴ δὲ τὴν ἀρχὴν ὑπῆρξε μοναστήριον. τὰ γὰρ παρανόμως πραττόμενα, οὐκ εἰς ἀνατροπὴν τῶν κανονικῶς πραττομένων εἶναι δεῖ. καὶ εἰ μὲν τῶν ὁρίων ἐντὸς τῆς αὐτῆς ἐπισκοπῆς τὸ νεουργηθὲν καθεστήκει, λόγος οὐδείς· εἰ δ᾽ ὑπερόριον εἴη, τοῦ μὲν μοναστηρίου καὶ τῶν αὐτῷ προσόντων ἡ ἐπισκοπὴ ἐκείνη ἔσται κυρία· ὁ δὲ ἐγχώριος ἐπίσκοπος τὰ ἀρχιερατικὰ καὶ μόνα δίκαια ἕξει. εἰ μέντοι τὰ τῆς ἐπισκοπῆς οὐ λυμαίνεται, εἴτε ὁ ἐκ βάθρων μοναστήριον ἀνεγείρων, εἴτε ὁ τῷ χρόνῳ παλαιωθὲν ἀνακαινίζων, ἐπαίνων οὐχ ἧττον ἢ μέμψεως ἄξιος.

UMI

A

ΚΕΦ. κϛʹ.

Ὅτι δεῖ τὸν ἐπίσκοπον χορηγεῖν τοῖς ἐνδεῶς ἔχουσι τῶν κληρικῶν ἐκ τῶν τῆς ἐκκλησίας πραγμάτων.

Ὁ νθʹ. τῶν ἁγίων ἀποστόλων ἡμῶν, τὸν μὴ ἐπιχορηγοῦντα ἐπίσκοπον ἢ πρεσβύτερον ἐκ τῶν τῆς ἐκκλησίας πραγμάτων κληρικῷ ἐνδεεῖ, ἀλλ' ὑπερορῶντα πενίᾳ πιεζόμενον, ἀφορίζεσθαι κελεύει· ἐπιμένοντα δὲ, καθαιρεῖσθαι, οἷα τὸν ἀδελφὸν φονεύσαντα, ὅσον τὸ ἐπ' αὐτῷ, B εἰ καὶ ἄλλοθεν ἐκεῖνος προνοίᾳ θειοτέρᾳ τὰ πρὸς τροφὴν ἐπορίσατο.

ΚΕΦ. κζʹ.

Ὅτι τοῦ ἐπισκόπου τελευτήσαντος, οὐ χρὴ τὰ τούτου πράγματα ὑπὸ τῶν κληρικῶν αὐτοῦ ἢ τοῦ Μητροπολίτου ἁρπάζεσθαι, ἀλλὰ φυλάττεσθαι τῷ χειροτονηθήσεσθαι μέλλοντι.

C

Ὁ λεʹ. τῆς ϛʹ. συνόδου ἡμῶν, μὴ ἐξεῖναι, φησὶ, τινὶ τῶν ἁπάντων Μητροπολιτῶν, τελευτήσαντος τοῦ ὑπ' αὐτὸν ἐπισκόπου, τὰ ἐκείνου πράγματα, ἢ τῆς αὐτοῦ ἐκκλησίας, ἀφαιρεῖσθαι καὶ σφετερίζεσθαι· ἀλλ' ἢ παρὰ τῷ κλήρῳ τῆς ἐκκλησίας ἐκείνου ταῦτα φυλάττεσθαι, ἤ, κληρικὸν ἐνδεῶς ταύτης ἐχούσης, τὸν Μητροπολίτην ταῦτα τηρεῖν, τῷ χειροτονηθήσεσθαι μέλλοντι ἐπισκόπῳ ἀμείωτα παντάπασιν ἀποδώσοντα.

Τοῦτο καὶ ὁ κβʹ. τῆς δʹ. ἐπιτάττει συνόδου, μὴ ἐξεῖναι, μήτε D κληρικοῖς μετὰ θάνατον τοῦ ἰδίου ἐπισκόπου ἁρπάζειν τὰ ἐκείνῳ διαφέροντα πράγματα, μήτε τοῖς ταῦτα παραλαβοῦσι, ἀλλὰ τῷ χειροτονηθησομένῳ ταῦτα τηρεῖν, ἐλλείποντος μηδενὸς, ἢ τοὺς ἐκ τούτων νοσφισαμένους, περὶ τοὺς ἰδίους κινδυνεύειν βαθμούς.

Νόμος.

Τούτους καὶ ὁ εὐσεβέστατος βασιλεὺς Μανουὴλ τοὺς κανόνας ἐπικυρῶν, νόμον βασιλικοῖς ἐξέθετο γράμμασι, μὴ ἁρπάζεσθαι πρὸς τῶν δημόσια διοικούντων τὰ τοῖς ἐπισκόποις προσόντα θανάτῳ τὸν βίον μεταλλάττουσι. ζήτει καὶ τὸ γʹ. E κεφ. τοῦ Χ. στοιχείου.

ΚΕΦ. κηʹ.

Ὅτι οὐ δεῖ ἐπίσκοπον εἰς πρεσβυτέρου κατιέναι βαθμόν.

Ὁ κθʹ. τῆς τετάρτης συνόδου ἡμῶν, ἐπίσκοπον εἰς πρεσβυτέρου κατάγειν βαθμὸν οὐκ οἴεται δεῖν, ἱεροσυλία γὰρ ἄντικρυς φησὶ τοῦτό γε, οἷα τὴν ἱερωσύνην, ὁ ταύτης F οὐκ ἐνδίκως στερούμενος, ὡσανεὶ συληθείς. τῷ μέντοι προφανῶς ἐγκλήμασι περιπεπτωκότι, τῆς ἱερωσύνης αὐτὸν ἀφαιροῦσιν, οὐ δὲ ἱερέως δοθήσεται τόπος· ἐγκλημάτων δὲ ὢν ἀθῷος, οὔτε τῆς ἐπισκοπῆς, οὔτε τῆς ἱερωσύνης δίκαιος ἂν εἴη στέρεσθαι· ἑκατέρου γὰρ ἑκάτερον ἔχεται.

Περὶ παραιτήσεως ἐπισκόπου.

Τούτοις καὶ ὁ ἅγιος ψηφίζεται Κύριλλος ἐν τῷ γʹ. κεφ. τῆς πρὸς Δόμνον ἐπιστολῆς, τὸ, παραιτεῖσθαι, γάρ, φησι,

CAPUT XXVI.

Quod Episcopus ex bonis Ecclesiasticis indigentibus Clericis suppeditare debet.

QUINQUAGESIMUS nonus sanctorum Apost. Canon, Episcopum vel Presbyterum, qui ex Ecclesiasticis bonis indigenti Clerico non suppeditat, sed inopia laborantem contemnit, segregari jubet: si verò perseverat, deponi; ut qui, quantum in se est, fratris sui occisor sit; licèt ipsi res ad vitam sustentandam divinâ providentiâ aliunde suppetant.

CAPUT XXVII.

Quod, moriente Episcopo, à Clericis suis & Metropolitanis illius bona diripi non oportet; sed ei, qui pòst ordinandus est, reservari.

SEXTÆ Synodi xxxv. Canon, Nulli omnium Metropolitanorum, inquit, licet, mortuo, qui illi subest, Episcopo, bona ejus vel ipsius Ecclesiæ auferre & sibi vendicare; sed, vel apud Clerum ejusdem Ecclesiæ reservari, vel, si non habeat Clericum, apud Metropolitanum custodiri, qui futuro Episcopo omnia imminuta reddet.

Idem & xxii. quartæ Synodi decernit, Non licere, neque Clericis post proprii Episcopi mortem, bona, quæ ad ipsum pertinent, rapere, neque eis qui illa adsumerent, sed ordinando Episcopo illa servari, nullo deficiente; vel qui aliquid eorum alienant, de suis gradibus in periculum venire.

Lex.

Hos etiam Canones religiosissimus Imperator Emanuel confirmans, imperialibus decretis legem edidit; ut ab eis qui fiscos publicos administrant, non rapiantur ea, quæ ad Episcopos vitâ functos pertinebant. Quære & tertium caput literæ X.

CAPUT XXVIII.

Quod non oportet Episcopum ad Presbyteri gradum deducere.

QUARTÆ Synodi xxix. Canon, Episcopum in Presbyteri gradum reducere oportere non existimat; illud enim sacrilegium esse palam dicit; quippe, tanquam raptus, ipse per injuriam Sacerdotio privatur. Illi quidem, qui apertè in crimina incidit, Sacerdotio illum exuentia, neque Sacerdotis dabitur locus: sin autem sit criminum insons, neque Episcopatu neque Sacerdotio justum esset illum privari; nam unum alterum sequitur.

De Episcopi renunciatione.

His etiam consentit sanctus Cyrillus in tertio ad Domnum Epistolæ capite, Sacerdotes enim, inquit, ſuis Eccleſiis renunciare, Eccleſiaſticis conſuetudinibus non placet. Si enim digni ſunt, qui ſacra myſteria obeant, non debent renunciationem facere: ſi autem indigni, nec per renunciationem exeant, ſed per criminationes adverſus eos allatas.

Si autem contingat, ut Epiſcopatui renunciet, & gregem ſibi commiſſum derelinquat aliquis, adminiſtrationem rurſus aſſumere injuſtum erit. Iniquum eſt enim Epiſcopum quod moleſtum & laborioſum eſt in præſulatu detrectare, inſtitutionem dico, & populi ad melius profectum, ejuſque in pejora impetum pro viribus cohibere: quæ autem honorem adferunt venerationemque complecti & ſibi vendicare, otium ipsâ animarum curâ pluris facientem.

Oſtenditur etiam ex xvi. Canone Synodi primæ & ſecundæ dictæ, quòd egregia eſt eorum dementia, qui ſentiunt, poſſe quidem Antiſtites Epiſcopatibus renunciare, Sacerdotium autem iterum aſſumere. Hic enim Canon, eum, qui pluſquam ſex menſibus ab Epiſcopatu, nullo neceſſario prætextu detentus, abfuerit, & Epiſcopatu & Sacerdotio excidere jubet. Si verò, qui paululum offendit, hoc modo condemnatur: quomodo, qui prorſus Epiſcopatui renunciavit, & gregis curam per totam vitam neglexit, non multo magis punietur? qui, quantum in ſe erat, gregem ſibi à ſummo paſtore Jesu Christo commiſſum lupis reliquit; ut non amplius Sacerdotii privilegia tanquam præmia illi attribuantur? De quo & decimus ſancti Dionyſii Canon diſſerit, ſi equidem eos, qui ab initio ad populi præfecturam vocantur, & non obtemperant, Canones ſegregari cenſent; quis mentis compos, eorum, qui conſtituuntur, renunciationem facilè acciperet, & non potiùs pro viribus illos ſummopere prohiberet? aliter enim Epiſcopatûs nomen negotium quoddam & muneris functionem ſignificat. Qui verò ſponte ſua muneris functionem depoſuit, etiam vocatione excidit. Qui autem non poteſt Epiſcopus vocari, quomodo Sacerdotium retinebit? quomodo etiam Antiſtes vocabitur, qui non habet Clerum ſibi ſubjectum, nec etiam præeſt Sacerdotibus? Cui vero non competit hierarchiæ nomen, ab illo longè abeſt muneris ejus functio; qui enim de nomine non participat, nequaquam etiam de re. Renunciatio igitur non eſt ſimpliciter accipienda, niſi aliquis ſe indignum Sacerdotio profiteatur: hoc vero oſtenſo, ſimul cum renunciatione, ab omni Sacerdotali dignitate renuncians excidet.

Tertiæ Synodi ad eos qui ſunt in Pamphylia Epiſtola.

Verùm etiam ex ſanctæ & œcumenicæ tertiæ Synodi Epiſtola, ad eos qui ſunt in Pamphylia de quodam Euſtathio, oſtenditur illis, qui rectè adjiciunt, Eccleſiis renunciantes utroque ſimul & Epiſcopatu & Sacerdotio excidere; præterea & Epiſcopatibus omnino renunciare Antiſtites, reprehenſione non vacare. Hic enim Euſtathius fuit Pamphyliæ Epiſcopus, & cum in difficiliora tempora incidiſſet, & præ puſillanimitate & negotiorum fuga animum deſpondiſſet, Epiſcopatui ſcriptis renunciavit, & in ejus locum alius quidem ordinatus eſt. Ille autem multis cum lachrymis in Synodum hanc ſanctam poſtea venit, non Eccleſiam ſibi rurſum vendicans, nec cum eo qui illam poſſidebat contendens; ſed Epiſcopi nomen & honorem ſolummodo petens. Illi reverentia quadam Euſtathii lachrymarum & penè jam confectæ ſenectutis adducti,

A τοὺς ἱερουργοῦντας ταῖς ἑαυτῶν ἐκκλησίαις τοῖς τῆς ἐκκλησίας οὐκ ἀρέσκει θεσμοῖς. ἄξιοι μὲν γὰρ ὄντες λειτουργεῖν, οὐ δεῖ ποιεῖσθαι παραίτησιν· εἰ δὲ ἀνάξιοι, μὴ ἀπὸ παραιτήσεως ἐξιέτωσαν, ἀλλ' ἐκ τῶν ἀποδειχθέντων κατ' αὐτῶν ἐγκλημάτων.

Εἰ δὲ καὶ παραιτεῖσθαί τινα τὴν ἐπισκοπὴν συμβαίη, καὶ τὴν ἐπιστευθεῖσαν ποίμνην καταλιπεῖν, ἀντέχεσθαι τῆς λειτουργίας εἰσαῦθις, οὐκ ἂν εἴη δίκαιον. ἄγνωμον γὰρ τὸ μὲν μοχθηρὸν καὶ ἐπίπονον ἐπίσκοπον παραιτεῖσθαι τῆς προεδρίας, τὴν διδασκαλίαν φημὶ, καὶ τὴν τοῦ λαοῦ πρὸς τὸ κρεῖττον ἐπίδοσιν,

B καὶ τὸ εἰς δύναμιν εἴργειν τὴν πρὸς τὰ χείρω τούτου φοράν. ὅσα δὲ τιμὴν φέρει καὶ σέβας περικατέχειν καὶ οἰκειοῦσθαι, τὴν ῥᾳστώνην παρὰ πλείονος τῆς τῶν ψυχῶν ἐπιμελείας πεποιημένον.

Δείκνυται δὲ καὶ ἐκ τοῦ ιϛ'. κανόνος τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, ἡ περιττὴ τῶν οὕτω ψηφιζομένων ἄνοια, τὸ δύνασθαι δηλαδὴ τοὺς ἀρχιερεῖς, ταῖς μὲν ἐπισκοπαῖς παραιτεῖσθαι, τὴν ἱερωσύνην δὲ καὶ αὖθις περικατέχειν. οὗτος γὰρ ὁ κανὼν, τὸν πλέον τῶν ἓξ μηνῶν ἀποδεδημηκότα ἐπισκοπῆς, ἀναγκαίᾳ οἱᾳδήτινι προφάσει μὴ

C κωλυόμενον, ἐκπίπτειν κελεύει καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης. εἰ δὲ ὁ τὸ ἔλαττον ἁμαρτὼν, οὕτω καταδεδίκασται, πῶς ὁ καθάπαξ παραιτησάμενος τὴν ἐπισκοπὴν, καὶ τῆς τοῦ ποιμνίου φροντίδος διὰ βίου καταφρονήσας, οὐκ ἐπὶ πλέον τιμωρηθήσεται, ὅσον τὸ ἐπ' αὐτὸν ἧκον τοῖς λύκοις ἀνεὶς τὸ ἐμπιστευθὲν αὐτῷ παρὰ τοῦ πρώτου ποιμένος Ἰησοῦ Χριστοῦ ἱερὸν ποίμνιον, μὴ ὅτι γε καὶ ὥσπερ γέρας αὐτῷ νέμειν τὰ τῆς ἱερωσύνης πρεσβεῖα; περὶ οὗ καὶ ὁ ι'. κανὼν τοῦ ἁγίου Διονυσίου διέξεισιν, εἰ γοῦν τοὺς τὴν ἀρχὴν εἰς προστασίαν λαοῦ καλουμένους, οἱ κανόνες ἀφορίζεσθαι, εἰ μὴ πείθοιντο, ἀξιοῦσι· τίς ἂν τῶν νοῦν ἐχόντων,

D ἀπραγμόνως τὴν τῶν καθεστώτων δέξαιτο τὴν παραίτησιν, ἀλλ' οὐκ ἐσχάτως, ὡς ἂν οἷός τε ᾖ, τούτους κωλύσειεν; ἄλλως τε τὸ ἐπισκοπῆς ὄνομα, πράγματός ἐστι καὶ ἐνεργείας δηλωτικόν· ὁ δ' ἀποσεισάμενος ἑκόντι τὴν ἐνέργειαν, ἐκπέπτωκε δηλαδὴ καὶ τῆς κλήσεως. ἐπίσκοπος δὲ καλεῖσθαι μὴ πεφυκὼς, πῶς τῆς ἱερωσύνης ἀνθέξεται; πῶς δὲ καὶ ἱεράρχης κληθήσεται, ὁ κλῆρον μὴ κεκτημένος ὑφ' ἑαυτὸν, μήτε μὴν ἄρχων ἱερωμένων; ᾧ δὲ μὴ πρόσεστιν ἱεραρχίας ὄνομα, πολλοῦ γε δεῖ ταύτης ἡ ἐνέργεια· ὁ γὰρ τοῦ ὀνόματος μὴ μετέχων, σχολῇ γε τοῦ πράγματος. οὐ δεκτέον τοίνυν ἁπλῶς τὴν παραίτησιν, εἰ μὴ ἀνάξιόν τις ἑαυτὸν τῆς ἱερωσύνης ὁμολο-

E γήσει· τούτου δὲ ἀποδεδειγμένου, ἅμα τῇ παραιτήσει, καὶ πάσης ἱερατικῆς ἀξίας ὁ παραιτούμενος ἐκπεσεῖται.

Ἐπιστολὴ πρὸς τοὺς ἐν Παμφυλίᾳ τῆς γ'. συνόδου.

Ἀλλὰ καὶ ἐκ τῆς πρὸς τοὺς ἐν Παμφυλίᾳ ἐπιστολῆς τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου περί τινος Εὐσταθίου δείκνυται τοῖς ὀρθῶς ἐπιβάλλουσι, τοὺς παραιτουμένους ταῖς ἐκκλησίαις ἀμφοτέρων ἅμα ἐκπίπτειν, καὶ τῆς

F ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης· προσέτι γε μὴν, καὶ τὸ ὅλως παραιτεῖσθαι τοὺς ἀρχιερεῖς ταῖς ἐπισκοπαῖς, καὶ εἶναι ἀνεπίκλητον. οὗτος γὰρ ὁ Εὐστάθιος ἐπίσκοπος ὢν Παμφυλίας, καὶ περιστάσεσιν ἐμπεπτωκὼς, καὶ ἀπειρηκὼς ἀπὸ μικροψυχίας καὶ ἀπραγμοσύνης, ἐγγράφως παρῃτήσατο τὴν ἐπισκοπὴν, κἀκεῖ μὲν, ἄλλος κεχειροτόνητο· ὁ δὲ κλαίων τῇ ἱερᾷ προσῆλθε μετὰ ταῦτα συνόδῳ, οὐ τὴν ἐκκλησίαν ἀνακαλούμενος, οὐδὲ τῷ κεκτημένῳ ταύτην ἀμφισβητῶν· ὄνομα δὲ καὶ τιμὴν ἔχειν ἐπισκόπου μόνον ἐπιζητῶν. οἱ καὶ τὰ δάκρυα καὶ τὸ βαθὺ γῆρας δυσωπηθέντες τοῦ Εὐσταθίου

καὶ

A καὶ μή τι αὐτῷ συμβαίη ἐκ τῆς ἀμέτρου λύπης εὐλαβηθέντες, τὸ ὄνομα τοῦ ἐπισκόπου ἔχειν αὐτὸν ἐδικαίωσαν, καὶ τὴν τιμὴν, καὶ τὴν κοινωνίαν· ὥστε ἐντὸς τοῦ ἁγίου θυσιαστηρίου εἰσιόντα μεταλαμβάνειν, μήτε δὲ ἱερουργεῖν αὐτὸν μήτε χειροτονεῖν, εἰ μὴ ἐπιτραπείη παρὰ τοῦ οἰκείου τοῦ τόπου ἤγουν τοῦ ἐγχωρίου ἐπισκόπου. ταῦτα δὲ οὐ κανονικῶς εἴρηται τοῖς ἁγίοις, ἀλλ' οἰκονομίᾳ χρησαμένοις καὶ ἀσυνήθει συγκαταβάσει, ὡς ὁ τὴν ἐπιστολὴν ἀκριβῶς μετιὼν, σαφῶς οἴσεται.

ac ne quid illi ex nimio dolore gravius accideret veriti, Epiſcopi nomen, & dignitatem, & communionem ab illo retineri æquum cenſebant: ita ſcilicet, ut intra ſacrum altare communicare liceret; non tamen ſacra celebrare, aut ordinibus quempiam inſignire, niſi à proprio illius loci vel regionis Epiſcopo ei permiſſum ſit. Hæc verò non canonicè à ſanctis dicuntur, ſed œconomiâ & inaſſuetâ demiſſione uſis; ut, qui epiſtolam diligenter examinabit, manifeſtè inveniet.

B

ΚΕΦ. κθʹ.

Ὅτι ὁ ἐπίσκοπος κατὰ μοναχοὺς ἀποκαρεὶς τῆς ἱερωσύνης ἐκπίπτει.

Ὁ βʹ. κανὼν, ἧς ὁ πατριάρχης Φώτιος ἦρχε, συνόδου, οὐκ ἐφίησι τοῖς ἀρχιερεῦσι, μοναδικὴν περιθεμένοις στολὴν, τῆς ἀρχιερωσύνης αὖθις μεταποιεῖσθαι· μετανοίας γὰρ ὁ τῶν μοναχῶν βίος ἐπαγγελία, καὶ κατανύξεως διηνεκὴς ὑπόθεσις. οἱ τοίνυν περὶ ἐλαχίστου τὴν τῶν ἀρχιερέων περιωπὴν C τῆς τῶν μοναχῶν θέμενοι ταπεινότητος, καὶ τοῦ διδασκαλικοῦ ἀξιώματος τὴν τῶν μετανοούντων καὶ μαθητευομένων τάξιν προκρίναντες, πῶς ἂν εἶεν δίκαιοι, πρὸς ἐκεῖνο αὖθις ἐπαναστρέφειν, ὅπερ ἔργοις ἠθέτησαν; ἀλλ' οὐδὲ ὁ μοναχικὸν ἔσθημα ἐνδεδυμένος ἀρχιερεὺς, εἶτα τὸ μέγα καὶ ἀγγελικὸν ἀποδὺς σχῆμα, ἔτι τῆς ἱερωσύνης μεταποιηθήσεται· εἰ γὰρ τὸ μικρὸν σχῆμα, ὅπερ ἀρραβὼν τοῦ τελείου τυγχάνει, ἀρχιερωσύνην δύναται παύειν, πολλῷ μᾶλλον ἡ τελεία ἀπόκαρσις. τοῦτο δὲ ἱερεῦσιν οὐκ ἐμποδὼν ἔσται, οὐ γὰρ διδασκάλου τόπον ἐπέχουσι· διά τοι τοῦτο καὶ μετὰ τὴν ἀπόκαρσιν ἱερουργεῖν οὐ κωλύονται, οἷα τοῦ κανόνος χώραν ἐπὶ τούτοις μὴ ἔχοντος. D

CAPUT XXIX.

Quòd Epiſcopus Monachorum more detonſus Sacerdotio excidit.

Synodi, cui præfuit Photius Patriarcha, ſecundus Canon, Antiſtitibus, qui Monaſticum induerunt habitum ſummum, Sacerdotium rurſus ſibi vendicare non permittit: Monachorum enim vita eſt pœnitentiæ promiſſio, & continuum compunctionis argumentum. Qui proinde parvi æſtimant Antiſtitum curam præ Monachorum humilitate, & magiſtrali dignitati eorum qui pœnitentiam agunt & diſcunt ordinem anteponunt; quomodo jure fiat, ut ad illud, quod palam rejiciebant, iterum revertantur? Sed neque Antiſtes, qui Monachicum induit habitum, deinde magnum & Angelicum exuit ornamentum, ampliùs ſibi Sacerdotium vindicabit: namque ſi parvus habitus, qui perfecti eſt arrhabo, ſummo Sacerdotio poteſt privare; multo magis perfecta tonſura. Hoc verò Sacerdotibus non erit impedimento, nam magiſtratûs locum non habent; quapropter etiam poſt tonſuram ſacra celebrare non prohibentur; quia Canon in his locum non habet.

ΚΕΦ. λʹ.

Ὅτι οὐ δεῖ γίνεσθαι ἐπίσκοπον ἐν κώμῃ ἢ πόλει μικρᾷ.

Ὁ ϛʹ. τῆς ἐν Σαρδικῇ συνόδου κανὼν, οὐκ οἴεται δεῖν ἐπίσκοπον ἐν κώμῃ προχειρίζεσθαι, ἢ ἐλαχίστῃ πόλει, ᾗ δὴ καὶ ἀρκέσει εἷς πρεσβύτερος, ἵνα μὴ τὸ τοῦ ἐπισκό- E που ἀξίωμα εὐτελές τι χρῆμα, καὶ εὐκαταφρόνητον λογίζηται τοῖς πολλοῖς· ἀλλὰ χειροτονεῖσθαι ἔνθα καὶ μόνον παλαιὸν ἔθος ἦν. εἰ δέ τις τῶν πόλεων λαοῖς μὴ πληθύουσα πρότερον, πολλοὺς ἔπειτα τοὺς οἰκήτορας σχοίη, καὶ ἀξία ἐπισκόπου κριθείη, λαμβανέτω ἐπίσκοπον, μετὰ γνώμης ὅμως συνοδικῆς, κατὰ τὸν λέγοντα ἀποστολικὸν κανόνα, μηδέν τι πλέον ἤγουν περιττὸν γίνεσθαι παρὰ τοῦ ἐπισκόπου ἄνευ γνώμης συνοδικῆς, ὃν καὶ κατὰ τὸ ιαʹ. ζήτει κεφ. τοῦ παρόντος στοιχείου. τό γε μὴν ψηφίζεσθαι τοὺς ἐπισκόπους παρὰ τοῦ πλήθους τῶν πόλεων, καὶ παρὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονεῖσθαι, εἴρηται μὲν καὶ ἐν ἑτέροις διαφόροις F κανόσιν· ἀλλὰ τὸ σήμερον ἔχον οὐ γίνεται. οἱ γὰρ τούτους χειροτονοῦντες καὶ τὰς ἐκείνων ψήφους διὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων ποιοῦνται.

Ταῦτα καὶ ὁ νζʹ. τῆς ἐν Λαοδικείᾳ συνόδου διορίζεται, ἐν ταῖς κώμαις καὶ ταῖς χώραις ἐπισκόπους μὴ καθίστασθαι, ἀλλὰ περιοδευτὰς, οὓς ἡμεῖς ἐξάρχους φαμὲν, ὡς περιιόντας, καὶ τοὺς πιστοὺς καταρτίζοντας, καθέδραν δὲ οἰκείαν μὴ κεκτημένους. εἰ δέ τινες, φησι, πρό γε τουτὶ

CAPUT XXX.

Quòd non oportet in pago vel parva aliqua civitate Epiſcopum conſtitui.

Sextus Sardicenſis Synodi Canon, in pago aliquo Epiſcopum conſtitui oportere non exiſtimat, vel in parva civitate, cui vel unus Presbyter ſufficiet; ne Epiſcopi dignitas vilipendatur, vel multis neglectui habeatur: ſed in eis locis ſolum eſſe conſtituendos, ubi ex antiqua conſuetudine fuerant. Si qua autem civitas, incolarum numero antea non celebris, multos poſtea conſequatur, & Epiſcopo digna judicetur, Epiſcopum accipiat, at cum Synodali ſententia, juxta Canonem Apoſtolicum, qui dicit, Nihil magnum vel momenti alicujus ab Epiſcopo abſque Synodali ſententia fieri, quem etiam quære in capite undecimo hujus literæ. Epiſcopos etiam à civitatum populo eligi, & à Provinciæ Epiſcopis ordinari, in diverſis aliis Canonibus dictum eſt: ſed hodie non obſervatur. Nam qui eos ordinant, per regionis etiam Epiſcopos illos eligunt.

Eadem & lvii. Laodicenæ Synodi decernit, quòd in vicis & pagis Epiſcopi non conſtituantur; ſed Periodeutæ ſeu Circitores, quos nos Exarchos vocamus, qui fidelibus in officio continendis componendiſque huc & illuc vagantur, propriam ſedem nullam habentes. Quod ſi qui, inquit, ante hunc Canonem in ejuſmodi locis Epiſcopi conſtituti fuerant, nihil abſque ejus civitatis Epiſcopi ſententia exequantur, à quo ejuſmodi gradu honorati fuerant; neque etiam vel Presbyteri.

His etiam conſentanea lviii. porro & xcviii. Synodi Carthaginenſis decernunt; in vilibus nempe & parvis parœciis Epiſcopos non fieri: ſin autem fieri contigerit, non tamen abſque Epiſcoporum, qui illas tenent, ſententia; & illum, qui in ea ordinandus eſt, illâ ſolâ contentum eſſe, nec ultra illam progredi, & alias velle ſibi vendicare, illis ſcilicet invitis. Sed Epiſcoporum terminos immutabiliter habere, adhuc obſervatur, juxta Canonum rigorem. Epiſcopatus autem de novo in parœciis aliis Epiſcopis ſubjectis fieri non ſolent, niſi Imperator illud literis conceſſerit: ſed nec magnæ Synodo ſine Imperiali decreto Epiſcopatum renovare permittitur.

A τοῦ ἡγεμόνος ἐνταῦθα κατέστησαν ἐπίσκοποι, μηδὲν δίχα γνώμης τοῦ τῆς πόλεως ἐνεργείτωσαν ἐπισκόπου, δι' οὗ καὶ τοῦ τοιούτου βαθμοῦ ἠξίωνται, μήτε μὲν οἱ πρεσβύτεροι.

Τούτοις ἀκόλουθα καὶ ὁ νη'. πρὸς δὲ καὶ ὁ ϟη'. τῆς ἐν Καρθαγένῃ συνόδου θεσπίζουσιν, ἐν ταῖς φαύλαις καὶ μικραῖς παροικίαις ἐπισκόπους μὴ γίνεσθαι· εἰ δὲ καὶ γενέσθαι συμβαίη, ἀλλὰ μὴ ἄνευ γνώμης τῶν ἐχόντων αὐτὰς ἐπισκόπων· καὶ τὸν γεγονότα ἐν αὐτῇ καὶ μόνῃ ἀρκεῖσθαι, καὶ μὴ περαιτέρω ταύτης προβαίνειν, καὶ ἑτέρων ἐθέλειν ἀντιποιεῖσθαι, ὡς ἀνηκόντων δῆθεν αὐτῷ. ἀλλὰ τὸ ἀμεταθέτως μὲν ἔχειν τὰ τῶν B ἐπισκόπων ὅρια, εἰσέτι διατηρεῖται, κατὰ τὴν τῶν κανόνων ἀκρίβειαν· ἐπισκοπὰς δὲ ἐκ νέου ἐν παροικίαις ἑτέροις ἐπισκόποις ὑποκειμέναις οὐκ εἴωθε γίνεσθαι, ἢν μὴ βασιλεὺς γράμμασι τοῦτο ἐφῇ· ἀλλ' οὐδὲ τῇ μεγάλῃ συνόδῳ καινίζειν ἐπισκοπὴν ἐφεῖται, χωρὶς ἐπισκοπικοῦ ἐπιτάγματος.

CAPUT XXXI.

De Chorepiſcopis.

QUONIAM itaque in vili & parvo vico Epiſcopum conſtitui divini Patres non dignum eſſe cenſebant, Chorepiſcopos in illis ordinari debere judicarunt. Non inopportunum autem fore exiſtimo, pauca quædam huc pertinentia hoc in loco de eis diſſerere; etſi gradui iſti omnino ſilentium impoſuit temporis lapſus.

Decimus quartus igitur Synodi Neocæſarianæ Canon, Chorepiſcopi, inquit, ſeptuaginta Apoſtolorum imitatione ſunt, ut etiam Epiſcopi duodecim Apoſtolorum: quibus cùm ſufflâſſet Dominus, Accipite, inquit, Spiritum ſanctum, quorum remiſeritis peccata, eis remittuntur, & cætera; qui quidem & aliis Spiritus ſancti gratiam impertiendi facultatem ſuppeditabant. Hæc autem ſeptuaginta non erant conceſſa, ut vel ex hoc manifeſtum eſt, quòd Actorum liber commemorat, Philippum unum ex ſeptem Diaconis in Samariam deſcendiſſe, & quamplurimos ibi baptizaſſe; non autem illis Spiritum ſanctum communicaſſe: quapropter miſerunt Apoſtoli Petrum & Joannem, qui baptizatis manus imponentes, Spiritum donarent, qui in nullum eorum adhuc deſcenderat. Cum ergo in ſeptuaginta locum Chorepiſcopi ſucceſſerint, neque Presbyteros, neque Diaconos ordinarunt, quippe qui Spiritûs ſancti gratiam largiri non poſſent. Hunc autem ſolum, inquit, honorem conſequuti ſunt, ſcilicet divinas oblationes offerre, ob eam curam quam in pauperibus juvandis impendebant, illis quæ in templum congregata ſunt diſtribuendo.

De Sacerdotibus ſpiritualibus.

Si igitur Chorepiſcopi, neque peccatorum remiſſionem, neque Spiritum ſanctum largiri potuerunt, qui majora, quam Presbyteri, obtinuerunt privilegia, nequaquam hi rationes accipere potuerint, & peccata vel ſolvere ac ligare, niſi ab Epiſcopo hanc poteſtatem accipiant.

Decimus vero Antiochenæ Synodi, ab urbis quidem Epiſcopo in regione illi ſubjectâ, Chorepiſcopos ordinari jubet; ab illis autem neque Presbyterum, neque Diaconum, ſed ſolos Lectores & Subdiaconos & Exorciſtas: qui vero hæc tranſgrediuntur, illos Sacerdotio ſegregat.

ΚΕΦ. λα'.

Περὶ Χωρεπισκόπων.

C Ἐπειδὴ τοίνυν οὐκ ἠξίουν οἱ θεῖοι πατέρες ἐπίσκοπον ἐν εὐτελεῖ καὶ σμικρᾷ κώμῃ καθίστασθαι, δεῖν ἔκριναν χωρεπισκόπους ἐν ταύταις χειροτονεῖσθαι. οὐκ ἄκαιρον δὲ οἶμαι βραχέα ἄττα περὶ τούτων κατὰ τὸ πρέπον ἐνταῦθα διεξελθεῖν, καὶ εἰ τῷ βαθμῷ τούτῳ σιγὴν ὁ χρόνος ἀρτίως ἐπέταξε.

Ὁ οὖν ιδ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, οἱ χωρεπίσκοποι, φησι, τύπον τῶν ἑβδομήκοντα φέρουσιν ἀποστόλων, ὥσπερ ἄρα οἱ ἐπίσκοποι τῶν δώδεκα· οἷς ἐμ- D φυσήσας ὁ Κύριος ἔφησε, λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ τὰ ἑξῆς· οἳ δὴ καὶ ἄλλοις διανέμειν τὴν τοῦ ἁγίου πνεύματος ἐπορίσαντο χάριν. ταῦτα δὲ καὶ τοῖς ἑβδομήκοντα οὐκ ἦν δεδομένα, καὶ δῆλον ἐκ τοῦ, τὴν βίβλον ἱστορῆσαι τῶν πράξεων, τὸν Φίλιππον τῶν ἑπτὰ τυγχάνοντα διακόνων, εἰς Σαμάρειάν τε κατελθεῖν, καὶ πολλοὺς τῶν ἐκεῖ βαπτίσαι, πνεύματος δὲ ἁγίου τούτοις μὴ κοινωνῆσαι· τούτου τοι ἀπεστάλησαν οἱ ἀπόστολοι Πέτρον καὶ Ἰωάννην, οἳ καὶ τὰς χεῖρας ἐπιθέντες τοῖς βαπτιζομένοις, τὸ πνεῦμα ἐχώρησαν, μήπω αὐτοῖς ἐπιπεπτωκός. τὸν τύπον οὖν οἱ E χωρεπίσκοποι πληροῦντες τῶν ἑβδομήκοντα, οὐ δὲ πρεσβυτέρους ἢ διακόνους ἐχειροτόνουν, οἷα μηδὲ τὴν χάριν τοῦ πνεύματος παρέχειν δυνάμενοι. τούτῳ δὲ μόνον, φησὶ, τετίμηνται, τὸ τὰ θεῖα δῶρα προσφέρειν, διὰ τὸ σπουδαίως τοῖς πένησι διανέμειν τὰ εἰς τὸ κυριακὸν συναγόμενα.

Περὶ ἱερέων πνευματικῶν.

Εἰ οὖν χωρεπίσκοποι, οὔτε ἁμαρτιῶν ἄφεσιν, οὔτε F πνεῦμα ἅγιον ἐδύναντο χορηγεῖν, οἱ πλείω τῶν πρεσβυτέρων τὰ προνόμια κεκτημένοι, σχολῇ γ' ἂν οὗτοι λογισμοὺς δέξασθαι δυνηθεῖεν, καὶ ἁμαρτήματα λύειν τε καὶ δεσμεῖν, ἂν μὴ παρὰ ἐπισκόπου τὴν ἐξουσίαν λάβωσι ταύτην.

Ὁ δὲ ι'. τῆς ἐν Ἀντιοχείᾳ, ὑπὸ μὲν τοῦ τῆς πόλεως ἐπισκόπου, ἐν τῇ ὑποκειμένῃ τούτῳ χώρᾳ, τοὺς χωρεπισκόπους χειροτονεῖσθαι κελεύει, ὑπὸ δὲ τούτων μήτε πρεσβύτερον μήτε διάκονον, εἰ μὴ μόνον ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ἐφορκιστάς· τοὺς δὲ ταῦτα παραβαίνοντας ἀφαιρεῖται τῆς ἱερωσύνης.

Τὰ αὐτὰ καὶ ὁ ιγʹ. τῆς ἐν Ἀγκύρᾳ διέξεισι, πρεσβυτέρους ἢ διακόνους τὸν χωρεπίσκοπον μὴ χειροτονεῖν· εἰ δὲ διὰ γραμμάτων τοῦ ἐπισκόπου ἐπιτραπείη, πρεσβύτερον καὶ ἐν ἑτέρᾳ χειροτονήσει κώμῃ.

Ὁ δὲ μέγας Βασίλειος τοῖς ὑπ' αὐτὸν ἐπιστέλλει χωρεπισκόποις, γνώμης αὐτοῦ χωρὶς μὴ χειροτονεῖν ὑπηρέτας, ἤτοι ὑποδιακόνους, ὅτι πολλοῖς καὶ τῶν ἀναξίων ἀνεξετάστως ἐπιτίθεσθαι τὰς χεῖρας· ἢ γινωσκέτω, φησίν, ὅτι λαϊκὸς ἔσται ὁ ἄνευ γνώμης ἡμετέρας εἰς ὑπηρεσίαν καταλεγείς. τῶν δὲ ἄλλων τῆς τοῦ ἁγίου ἐπιστολῆς, τίς ἂν ἀξίως ἀγάσαιτο;

A Eadem & decimus tertius Ancyranæ Synodi recitat, Chorepiſcopo non licere Presbyteros vel Diaconos ordinare: ſin autem per Epiſcopi literas illi permiſſum fuerit, Presbyterum vel in alieno vico ordinabit.

Magnus item Baſilius Chorepiſcopis ſibi ſubjectis mittit, ut nec miniſtros nec Subdiaconos ſine illius ſententia ordinarent; quia quamplurimis etiam indignis ſine examinatione manus impoſuerunt: vel cognoſcite, inquit, quòd, qui ſine ſententia noſtra in miniſterium electus eſt, Laicus erit. Alia vero, quæ in iſtius ſancti Epiſtola habentur, quis ſatis admira- B re poteſt.

ΚΕΦ. λβʹ.

Περὶ ἐπιορκίας.

Ὁ κεʹ. τῶν ἁγίων ἀποστόλων κανών, τὸν ὑπὸ ἐπιορκίας ἁλόντα, ἢ πορνείας, ἢ κλοπῆς, ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον καθαιρεῖσθαι, καὶ μὴ ἀφορίζεσθαι ἀξιοῖ· οὐ γὰρ πρὸς ἡμῶν ἐστι δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό.

Ὁ δὲ ιʹ. τοῦ μεγάλου Βασιλείου κανών, οἱ ἐξομνυόμενοι, φησί, τὴν χειροτονίαν μὴ καταδέχεσθαι, μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν. εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν ἐξεῖναι λύειν αὖθις ἑαυτοὺς τοῦ δεσμοῦ, ὃν σφίσιν αὐτοῖς ἀνοήτως ἐπέβαλον· ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ἥκιστα τοὺς ἐπιορκήσαντας εὐδοκεῖσθαι, καὶ ἀρεστοὺς εἶναι θεῷ. σκοπεῖν γε μὴν δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν, ἀφ' ἧς ὀμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας, μὴ ἄρα ἐκ μικροψυχίας τυχὸν, καὶ οὐκ ἐξ ἀμεταθέτου γνώμης, ὀμόσαι προήχθησαν· μηδεμιᾶς δὲ παραμυθίας φαινομένης, ἐατέον αὐτούς. τὰ δὲ ἑξῆς, Λογγίνῳ τινὶ ἀγρὸς ἦν, καλούμενος Μίνδαλα, τῇ ἐπισκοπῇ Μισθείας ὑποκείμενος. Σεβῆρος δέ τις Μασάδων ἐπίσκοπος Κυριακόν τινα εἰς τὸν ἐν ἀγρῷ ναὸν πρεσβύτερον κεχειροτόνηκεν, ὀμόσαντα παραμένειν τε τῷ ναῷ καὶ τῇ ἐπισκοπῇ αὐτοῦ ὑποκεῖσθαι. ἀλλ' ὁ τῆς χώρας ἐκείνης ἐπίσκοπος ἱερουργεῖν ἐκώλυε τὸν Κυριακόν, οἷα παρ' ἑτέρου χειροτονηθέντα ἐν ἐκκλησίᾳ διαφερούσῃ αὐτῷ. τοιγαρτοι καὶ καταλιπὼν αὐτὴν ὁ Κυριακὸς ᾤχετο· ὁ δὲ Λογγῖνος λυπούμενος, ἠπείλει τὸν ναὸν ἐρημώσειν, καὶ εἰς ἔδαφος καθαιρήσειν. ἐρωτηθεὶς οὖν ὁ ἅγιος, ἀξιοῖ τὸν ἀγρὸν, ἐν ᾧ ἐπεκηρύχθη ὁ Κυριακός, τῇ ἐπισκοπῇ Μασάδων ὑποτεθῆναι, εἰ καὶ ἑτέρας ἦν ἐνορίας, καὶ τὸν Κυριακὸν ἐκεῖσε αὖθις ἐπαναστρέψαι. οὕτω γάρ, φησι, καὶ ἡμεῖς οὐ δόξομεν παρὰ κανόνας ποιεῖν τῷ Κυριακῷ συμπεριφερόμενοι, καὶ ἐκεῖνος τὸν ὅρκον οὐ παραβήσεται· οὐδὲ πρόκειται τῷ ὅρκῳ, ὡς οὐδὲ βραχὺ τοῦ ἀγροῦ ἀναχωρήσει, καὶ ὁ Λογγῖνος τὴν ἐκκλησίαν οὐκ ἐρημώσει, καὶ τὴν ἑαυτοῦ οὐ βλάψει ψυχήν. ὅρα πῶς ἐκ τῆς τῶν ῥημάτων ἐξετάσεως τὸν νοῦν ἐθήρευσεν ὁ ἅγιος, ὥστε μὴ δοκεῖν ἐπιορκεῖν τὸν ὀμόσαντα. τοῦ δὲ Σεβήρου ἐγκαλουμένου τὸ, παρ' ἐνορίαν χειροτονῆσαι, καὶ λήθην προβαλλομένου, τῷ θεῷ μὲν φησὶν ὁ ἅγιος τὴν ἐκδίκησιν ἀνατίθεμεν, τῷ τῶν κρυπτῶν γνώστῃ καὶ ἐξεταστῇ, ἡμεῖς δὲ ἀδιακρίτως τοῦτον δεχόμεθα, συγγνώμην διδόντες ἀνθρωπίνῳ πάθει τῇ λήθῃ· οὐ γὰρ ἐσμὲν τῶν καρδιῶν κριταί, ἀλλ' ἐξ ὧν ἀκούομεν, κρίνομεν. εἰ καὶ τὴν ἐκκλησίαν πολυτρόπως ἐλυμήνατο, χειροτονήσας μὲν παρ' ἐνορίαν ἀκανονίστως, ὅρκῳ δὲ καταδεσμήσας παρὰ τὰ εὐαγγέλια· ἐπιορκεῖν δὲ διδάξας δι' ὧν μετετέθη ὁ πρεσβύτερος, ψευδόμενος δὲ νῦν δι' ὧν τὴν λήθην σχηματίζεται·

Ἐν δὲ τῷ ιζʹ. κανόνι ταῦτα διείληπται, ἄπιστός τις λαχὼν

CAPUT XXXII.

De Perjurio.

SANCTORUM Apoſtolorum xxv. Canon, Epiſcopum perjurii, vel fornicationis, vel furti convictum, vel Presbyterum vel Diaconum, deponi, non autem ſegregari vult: noſtrum enim non eſt bis in idipſum C vindicare.

Decimus verò Magni Baſilii Canon, Qui jurant, inquit, ſe ordinationem non admittere, ne cogantur pejerare. Etſi enim cenſeat aliquis eſſe Canonem, qui eis, ut rurſum à vinculo ſe ſolvant, concedit, quem ſibiipſis inconſultò injecerunt: experientia tamen comperimus, quòd, qui pejerarunt, minimè accepti ſunt, nec Deo amici judicantur. Oportet quidem juramenti ſpeciem, & verba, animique affectum, quo jurarunt, proſpicere, ac minutas quaſque in verbis additiones; ne fortè ex puſillanimitate, & non ex mutabili propoſito, jurare coacti ſint: cum nulla verò appareat D excuſatio, eos eſſe admittendos. Quæ vero deinceps, Longinus quidam agrum habuit, cui Mindana nomen erat, Miſthiæ Epiſcopatui ſubjectum. Severus quidam Maſadarum Epiſcopus Cyriacum quendam templi, quod in agro poſitum erat, Presbyterum conſtituit, qui juravit ſe in templo permanſurum, & illius Epiſcopatui fore ſubjectum. Verùm illius regionis Epiſcopus Cyriacum miniſtrare prohibuit, quippe qui, in Eccleſia, quæ ſui juris erat, ab alio ordinatus eſt. Quapropter, eâ derelictâ, Cyriacus diſcedebat: tum Longinus mœrens, deſertum ſe templum redditurum minabatur, & ad ſolum everſurum. Interrogatus igitur E ſanctus, æquum eſſe cenſebat, agrum, cui ſubſtitutus erat Cyriacus, Maſadarum Epiſcopatui ſubjici, etiamſi alterius eſſet regionis, ac rurſum illuc redire Cyriacum. Ita namque, ait, & nos non videbimur adverſus Canones agere, morigeros nos erga Cyriacum præbentes, neque ille jusjurandum violabit; quoniam nec juramento additum eſt, quòd non ad breve tempus ſecedet agro; & Longinus Eccleſiam non deſertam relinquet, neque ſuammet animam damnabit. Videas quomodo ex verborum diſquiſitione ſententiam ſanctus indagavit, ut qui jurejurando ſe obſtrinxerat pejerare non videatur. Severo autem accuſato, quòd ultro ordi- F nabat in ſuam diœceſin, & oblivionem prætexente, Deo inquit ſanctus ultionem relinquimus, qui occulta cognoſcit & ſcrutatur; nos verò indiſcriminatim illum recipimus, quæ humanus eſt lapſus, oblivioni ignoſcentes; quandoquidem non ſimus cordium cognitores, ſed, prout audimus, judicamus. Licet Eccleſiam multifariàm damno affecit, qui ultra ſuam diœceſin contra Canones ordinavit, & juramento præter Evangelia adſtrinxit: pejerare verò docuit eo quod tranſlatus eſt Presbyter; nunc autem mentitus eſt quoniã oblivionem præ ſe fert.

In Can. decimo ſeptimo hæc diſceptantur; Infidelis quidam Antiochiæ Imperium ſortitus, nonnullos ibi Presbyteros nimis percellens tanta vi & neceſſitate conſtringebat, ut ſe à Sacerdotio ceſſaturos jurârint. Horum unus, Bianor nomine, in Iconium migravit, de quo Magnus Baſilius, à ſancto Amphilochio interrogatus, dixit, commune decretum & Canonem de Presbyteris, qui Antiochiæ jurarunt, edidimus, ut ii à publicis conventibus abſtineant, privatim tamen Presbyterorum munera obeant; ne illis, qui eos ſacra ejuraſſe ſciunt, ſcandali cauſam præbeant. Eo magis autem Bianor miniſterium obire licentiam obtinet, quòd non Antiochiæ, ſed Iconii ſacra celebraturus ſit. Suſcipiendus eſt ergo, à tuâ pietate admonitus, ut ob juramenti facilitatem, quod ſub infideli viro juravit, eum pœniteat, cum parvi illius periculi moleſtiam ferre non potuerit. Verum in lxiv. indeterminatè Laicos, qui pejerarunt, per decennium à ſacris percipiendis arcet. Veruntamen in lxxxii. diſtinctione uſus, eos, qui ex neceſſitate & vi pejerarunt, poſt ſexennii ſpatium ſuſcipi ſtatuit: qui autem ſine neceſſitate fidem ſuam prodiderunt (nam perjurium eſt Dei negatio) poſt undecim annos ſacrâ communione digni cenſentur, poſtquam ſufficientem adhibuerunt pœnitentiam. His verò pœnis ſubjiciuntur, qui ſuâ ſponte per confeſſionem de peccato triumpharunt, & medelam petiverunt; non autem ii qui ex aliorum accuſationibus perjurii rei inveniuntur. Illi enim ſimul & pœnâ pecuniariâ & magis ab Eccleſia puniuntur: quia, ut ſæpiùs dictum eſt, criminatio duplicat peccati delictum; quemadmodum & pœnitentia trutinam elevat. Multiplex eſt perjurii peccatum, & propterea difficile eſt curatu. Nam aliter pœnas dat, qui per injuriam juravit & pejeravit; aliter qui per vim; & qui pœnitentiam agit, aliter quàm iſti; alias qui ob alicujus defenſionem & vindictam; at eum, qui dolo malo hoc fecerit, ubi pones? Qui autem rei alicujus ludicræ & contemnendæ gratia juramentum aſpernatus fuerit, ubi collocabitur? præterea qui corporale jusjurandum transgreſſus eſt, quique ſcriptis mandatum, de his quid ſtatuendum eſt? Hujuſmodi igitur diligenter examinanda ſunt, & pro viribus corrigenda.

In vigeſimo nono verò, Principes, qui jurant ſe è ſubjectis ſuis quoſdam plecturos, dupliciter ſanari jubet, uno modo quidem, ut ipſi doceantur, non facilè jurare; altero autem, ne malum & inhumanum judicium ad effectum producant; ſed pœnitentiam propter jurisjurandi facilitatem oſtendant: non autem pietatis prætextu, circa jusjurandum nempe, improbitatem ſuam confirment. Neque enim Herodi bene juraſſe profuit, qui, ut perjurii ſcilicet laqueum evitaret, alio homicidii captus eſt, maximi faciendum Prophetam gladio occidendum tradens. Omnis enim jusjurandum prorſus prohibitum eſt & condemnatum: multò quidem magis conſentaneum eſt illud, quod propter quoſdam malefaciendos ſuſcipitur; quare eum, qui juravit, pœnitere, non autem ſuam impietatem confirmare ſtudere, oportet. Et ſi quis ſe cujuſdam oculos effoſſurum juraverit, vel interfecturum, vel mandatum aliquod violaturum; inquirendum eſt, quid ſit melius, jusjurandum nihili facere, aut malum perficere & præceptum violare. Juravi ſiquidem, inquit David, & juſtitiæ tuæ judicia cuſtodire ſtatui, non autem peccatum. Quemadmodum enim præceptum immutabilibus judiciis firmandum eſt; ita peccatum omnino infirmare & delere oportet. Sed, qui legitimum jusjurandum ſine ulla neceſſitate violaverit, magis punietur, quàm qui vim paſſus eſt: ſin autem non erat legitimum juramentum,

ἄρχειν Ἀντιοχέων, ἀπειλαῖς καταπλήξας τῶν ἐνταῦθα ἱερέων ἐνίους, εἰς τοῦτο βίας ἤγαγε καὶ ἀνάγκης, ὥστε ὀμόσαι τῆς ἱερωσύνης πεπαῦσθαι. τούτων εἷς τις, Βιάνωρ ὄνομα, εἰς τὸ Ἰκόνιον μετῳκίσθη, περὶ οὗ τὸν μέγαν Βασίλειον, τοῦ θείου ἐρομένου Ἀμφιλοχίου, φάναι, ὅτι κοινὸν ἐξεθέμην ὅρον καὶ κανόνα περὶ τῶν ἐν Ἀντιοχείᾳ ἀπομωμοκότων πρεσβυτέρων, ἵνα τῶν μὲν κοινῶν συλλόγων ἀπέχωνται, ἰδίᾳ δὲ τὰ τῶν πρεσβυτέρων ἐνεργῶσιν, ὅπως μὴ τοῖς εἰδόσιν αὐτοὺς τὰ τῆς ἱερουργίας ἐξομοσαμένους αἴτιοι σκανδάλου γίνοιντο. τοῦτο δὲ τῷ Βιάνορι μᾶλλον ἄδειαν παρέχει πρὸς τὴν ὑπηρεσίαν, ὅτι οὐκ ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐν Ἰκονίῳ τὰ τῆς ἱερουργίας μέλλει πράττειν. δεκτὸς οὖν ἐστιν ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου μεταμελέσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάσαι τὴν ὄχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς. ἀλλ' ἐν μὲν τῷ ξδ΄. τοὺς ἐπιόρκους τῶν λαϊκῶν ἀπροσδιορίστως ἐπὶ δεκαετίαν τῶν ἁγιασμάτων ἀπείργει. ἐν δέ γε τῷ πβ΄. διαιρέσει χρησάμενος, τοὺς μὲν ἐξ ἀνάγκης καὶ βίας ἐπιορκήσαντας, μετὰ ἑξαετῆ χρόνον δέχεσθαι διωρίσατο· τοὺς δὲ χωρὶς ἀνάγκης τὴν ἑαυτῶν πίστιν προδόντας, ἐπιορκία γάρ ἐστι θεοῦ ἄρνησις, μετὰ ἑνδέκατον ἔτος τῆς θείας ἀξιοῖ κοινωνίας, μετάνοιαν ἀξιόλογον ἐπιδειξαμένους. τούτοις δὲ τοῖς ἐπιτιμίοις ὑπόκεινται οἱ ἑκόντι τὸ ἁμάρτημα τῇ ἐξομολογήσει θριαμβεύσαντες, καὶ τὴν θεραπείαν ἐπιζητήσαντες· οὐ μὴν οἱ τοῖς ἑτέρων ἐλέγχοις φωραθέντες ἐπίορκοι. ἐκεῖνοι γὰρ ἅμα τῇ εἰς χρήματα ποινῇ, καὶ πλειόνως ὑπὸ τῆς ἐκκλησίας ἐπιτιμῶνται· ὁ γὰρ ἔλεγχος, ὡς πολλάκις εἴρηται, διπλασιάζει τὸ τοῦ ἁμαρτήματος ὄφλημα, ὥσπερ οὖν ἡ μετάνοια κουφίζει τῆς τιμωρίας τὴν πλάστιγγα. πολυειδὲς δέ ἐστι τὸ τῆς ἐπιορκίας ἁμάρτημα, διὸ καὶ δυσχερῶς θεραπεύεται. ἄλλως γὰρ ἐπιτιμᾶται ὁ κατὰ ὀλιγωρίαν ὀμόσας καὶ ἐπιορκήσας· ἄλλο τρόπον ὁ κατὰ βίαν· ὁ μεταμέλῳ χρησάμενος, ἄλλως ἢ οὗτοι· ἑτέρως ὁ τινὶ ἀμυνόμενος· τὸν δὲ κατὰ δόλον τοῦτο πεποιηκότα, ποῦ θήσεις; ὁ δὲ κατά τι παιγνιῶδες καὶ ἀπόβλητον τὸν ὅρκον ἠθετηκώς, ποῦ τάξεται; ὁ δὲ σωματικὸν ὅρκον παραβεβηκώς, ὁ δὲ ἔγγραφον, περὶ τούτων τί χρὴ προσδοκᾶν; ἐξεταστέον τοίνυν ἀκριβῶς τὰ τοιαῦτα, καὶ εἰς δύναμιν θεραπευτέον.

Ἐν δὲ τῷ κθ΄. τοὺς ὀμνύοντας τῶν ἀρχόντων, ἐνίους τῶν ὑπὸ χεῖρα τιμωρίας ὑποβαλεῖν, διττῶς ἰᾶσθαι κελεύει· τῇ μὲν, μὴ προχείρως ὀμνύναι διδάσκεσθαι· τῇ δὲ, μὴ εἰς ἔργον τὴν πονηρὰν καὶ ἀπανθρώπινον κρίσιν ἐκφέρειν, ἀλλὰ τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδείκνυσθαι· μὴ μέντοι προσχήματι εὐλαβείας, τῆς περὶ τὸν ὅρκον δηλαδὴ, τὴν πονηρίαν ἑαυτῶν βεβαιοῦν. οὐδὲ γὰρ τῷ Ἡρώδῃ συνήνεγκεν εὐορκῆσαι, ὅς, τὴν πάγην δῆθεν τῆς ἐπιορκίας φυλαττόμενος, τῇ τοῦ φόνου ἑάλω, ἔργον μαχαίρας τὸν τοῦ παντὸς ἄξιον προφήτην θέμενος. καθάπαξ μὲν γὰρ, ἅπας ὅρκος ἀπείρηται καὶ κατακέκριται· πολλῷ δὲ δήπου πλέον εἰκὸς, ὁ ἐπὶ κακώσει τινῶν προαχθείς, ὥστε μεταγινώσκειν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν τὸ ἀνόσιον. καὶ γὰρ εἴ τις ὀφθαλμοὺς τινος ἐξορύξειν ὀμόσει, ἢ φονεύσειν, ἢ τῶν ἐντολῶν ἡντιναοῦν ἀθετήσειν, ἐξεταστέον, τί ἄρα βέλτιον, παρ' οὐδὲν θέσθαι τὸν ὅρκον, ἢ εἰς ἔργον τὸ κακὸν ἀγαγεῖν, καὶ τὴν ἐντολὴν παραβῆναι. ὤμοσα γάρ, φησιν ὁ Δαυΐδ, καὶ ἔστησα τοῦ φυλάξαι τὰ κρίματα τῆς δικαιοσύνης σου, οὐχὶ τὴν ἁμαρτίαν. ὥσπερ γὰρ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσήκει βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως ἀκυροῦσθαι καθήκει καὶ ἀφανίζεσθαι. ἀλλὰ καὶ χωρὶς ἀνάγκης ἔννομον ἀθετήσας ὅρκον, πλέον εὐθύνεται, ἢ ὁ βίαν παθών· εἰ δὲ μὴ ἔννομος εἴη ὁ ὅρκος, ἀλλ' ἐφ' ᾧ τινα δράσειν κακῶς, ἢ στερήσειν τινὸς ἀγαθοῦ, ἢ πάλιν, εἴ τις ὀμόσειε πρᾶγμα μὴ ὂν ἄξιον εἰς ὅρκον ἄγεσθαι, τότε ἡ ἀθέτησις κολάσει μὲν οὐχ ὑπόκειται· μετρίαν δὲ πρὸς τοῦ ἐπισκόπου τὴν ἐπιτίμησιν δέχεται.

Ἀντίθεσις.

Ἀλλ' ἐπείπερ εὐθύνονται μὲν οἱ ἐπίορκοι, οἱ δὲ εὐορκοῦντες ἀφίενται, καὶ τὸ ὀμνύναι ἄρα δέδοται, εἴποι τις ἄν, καὶ ποῦ τὴν Εὐαγγελικὴν θήσομεν ἐντολὴν, τὴν μὴ ὀμνύναι ὅλως διακελευομένην; ἀλλ' οἶμαι τὸ Εὐαγγέλιον, ὥσπερ τῶν ἁμαρτημάτων τὴν πρώτην, ὡς εἰπεῖν, βλάστην ἐσπούδακεν ἐκριζοῦν, οὕτω δὴ καὶ τὸν ὅρκον, ὡς τῆς ἐπιορκίας ὄντα θύραν, ἀπείρηκεν. ἄλλως τε, ἐκεῖνο μὲν τῶν εἰς τὸ τέλειον ἐφθακότων ἂν εἴη, ὥσπερ τὸ πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς· εἰ γὰρ πάντες πωλεῖν ἀνάγκην ἔχουσι, τίνες ἂν εἶεν οἱ ὠνούμενοι; πρὸς δὲ καὶ τὸ, τὴν παρειὰν παιομένους, τῆς ἑτέρας μὴ φείδεσθαι· καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαποδύεσθαι, καὶ ὅσα τῆς Εὐαγγελικῆς νομοθεσίας ἕτερα, ἅπερ οὐκ ἀνάγκην ἔχει τοῖς ἐπιταττομένοις, αἵρεσιν δέ. καὶ φυλάττουσι μὲν τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάττουσι δὲ οὐδ' ὁντιναοῦν κίνδυνον. ὁ δὲ ἔννομος ὅρκος, δεύτερον ἐκείνου, καὶ οὐκ ἀπόβλητον. ἔνθεν τοι καὶ τῶν βασιλέων οἱ τὴν τῆς εὐσεβείας πορφύραν ἠμφιεσμένοι, τοῦτο μὲν ἕως οὗ προβαίνειν ἐπέτρεψαν· τὸν δὲ παράνομον καὶ ἀπαίδευτον παντάπασι κεκωλύκασι. τῶν εὐπατριδῶν δέ τινος ὀμωμοκότος τὴν τρίτην τῆς ἑβδομάδος καθάπαξ τοῦ κρέως ἀπέχεσθαι, τιμᾶν ἐντεῦθεν ἐγνωκότος τὸν τίμιον πρόδρομον, καὶ τῇ συνόδῳ προσαναθεμένου, εἰ ἀνάγκην ἕξει κατὰ τὴν ἑορτὴν τῆς τοῦ Χριστοῦ γεννήσεως τρίτην τοιαύτην τελουμένην ἡμέραν τὸν ὅρκον τῆς νηστείας τηρῆσαι· ὁ ἁγιώτατος πατριάρχης ἐκεῖνος Λουκᾶς, μετὰ τῆς ὑπ' αὐτὸν συνόδου ἀπεκρίνατο, ὅτε εἰ καὶ εἰς πάντα καιρὸν ἡ νηστεία ἀγαθὸν, ἀλλ' οὐ χρὴ τὸν τοιοῦτον ὅρκον προκεκρίνεσθαι τῆς δεσποτικῆς ἑορτῆς. εἰ γὰρ οἱ ἀπόστολοι κολάζουσι τὸν ἐν σαββάτῳ ἢ κυριακῇ νηστεύοντα ἢ γόνυ κλίνοντα, τίς ἀνάσχοιτο ἂν τοῦ προτιμῶντος τὸν ἰδίᾳ γεγονότα καὶ αὐθαίρετον τῆς νηστείας ὅρκον τῆς δεσποτικῆς ἑορτῆς καὶ πνευματικῆς εὐφροσύνης; ζήτει καὶ ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Β. στοιχείου κανόνα τοῦ ἁγίου τούτου κη'. καὶ ἐν τῷ α'. κεφαλαίῳ τοῦ Α. στοιχείου κανόνα πα'.

Οὗ δὴ καὶ μεμνημένος ὁ ϟδ'. τῆς ϛ'. συνόδου κανὼν, ἐπειδή, φησι, τοὺς ὀμνύοντας ὅρκους ἑλληνικοὺς, οἷον μὰ τὸν ἥλιον, καὶ τοὺς τοιούτους, ὁ τοῦ μεγάλου Βασιλείου πα'. κανὼν ἐπιτιμίοις καθυποβάλλει, καὶ ἡμεῖς τούτοις ἀφορισμὸν ὁρίζομεν.

Νόμοι.

Ἐπὶ ἐπισκόπων καὶ κληρικῶν μέχρι καὶ ἀναγνωστῶν, τὸ ὀμνύναι ὅλως κεκώλυται· διὰ δὲ τῆς ἐγγράφου ὁμολογίας τὰ τοῦ ὅρκου τούτοις πληροῦται.

Ἐν ταῖς ψήφοις δὲ τῶν ἀρχιερέων καὶ μόνον, ὁ ἐπίσκοπος καθαιρεῖται ἀρνούμενος τὴν ἰδίαν ὑπογραφήν· ἐν ἑτέραις δὲ ὑποθέσεσιν οὐ καθαιρεῖται, ἀλλὰ ζημιοῦται κατὰ τοὺς νόμους.

Λέγει ἔτι δὲ καὶ ἡ οβ'. νεαρὰ τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ, πᾶν ἔγγραφον, ᾧ ἐπιγέγραπται ὁ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ τύπος διὰ χειρὸς τῶν συνθεμένων αὐτὸ, ἔχειν ὀφείλει τὸ ἰσχυρὸν καὶ ἀμετάπτωτον, εἰ καὶ κατησφαλισμένον οὐκ ἔστι διὰ προστίμου.

Οὐδεὶς κατὰ θεοῦ ὀμόσας κινδυνεύει, ἱκανὸν γὰρ ὁ ὅρκος τιμωρὸν ἔχει τὸ θεῖον· ὁ δὲ κατὰ βασιλέως ὀμόσας κατά τινα θερμότητα, συγχωρεῖται· πλὴν, ὁ ἐν διαλύσει ἐπιορκῶν κατὰ τοῦ βασιλέως, τὸ πρόστιμον δίδωσι, καὶ ἐκπίπτει τῆς ἰδίας ἀγωγῆς, καὶ ἀτιμοῦται.

Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ἐπιφέρειν ὅρκον, καὶ οὕτω ψηφίζεσθαι.

A ſed ad aliquem malefaciendum, vel aliquo bono privandum, ſuſcipitur; vel ſi rurſum juravit aliquis, ſe aliquid facturum, quod non debet in jusjurandum deduci, tum violatio illum pœnæ non ſubjicit; ſed Epiſcopi arbitratu modicè punietur.

Objectio.

Sed quoniam puniuntur, qui pejerant, qui autem bene jurant, remittuntur; dicat ergo aliquis, quòd jurare permittitur; ubi ergo ſtatuemus Evangelicum præceptum, quod omnino jurare prohibet? Credo autem, quod Evangelium, quemadmodum primum peccatorum B germen, ut ita dicam, eradicare ſtuduerit; ita etiam jusjurandum, tanquam perjurii oſtium, prohibuit. Aliter illud quidem ſit eorum, qui perfectionem attigerunt, ſicut omnia quæ habent vendere, & pauperibus dare: ſi enim omnes vendere neceſſe habuerint, quinam emerent? Porro & illud, qui maxillam unam percutiunt, alteri non parcere: & pallium cum tunica inſuper exuere, & quæcunque alia ſunt Evangelicæ conſtitutionis, quæ non ſunt neceſſaria, bene tamen utilia & eligenda iis, quibus mandantur; ac honorem quidem remunerationemque, nullum autem periculum ſecum afferunt. Legitimum verò juramentum illi ſecundum C eſt & non rejiciendum. Hinc Imperatores illi, qui pietatis purpura induti ſunt, hucuſque progredi permiſerunt: at quod illegitimum eſt, & ineptum omnino prohibuere. Cùm verò nobilis quidam tertio hebdomadis die omnino ſe à carne abſtinere juravit, exinde venerabilem Præcurſorem honorare exiſtimans, & Syn. interrogavit, an neceſſe erat in feſto Natalitii Chriſti, tertio die jejunii jusjurandum obſervare: ſanctiſſimus ille Patriarcha Lucas, unà cum Synodo ſub eo congregatâ, reſpondit, quòd licet bonum ſit omni tempore jejunare; non tamen oportere tale jusjurandum Dominico feſto præferri. Si enim Apoſtoli illum, qui in Sabbato vel die D Dominico jejunat vel genu flectit, puniunt; quis ferat eum, qui privatim factum voluntarium jejunii jusjurandum Dominico feſto & ſpirituali lætitiæ præfert? Quære etiam in nono capite literæ B. hujus ſancti Canonem viceſimum octavum, & in primo capite literæ A. Canonem octogeſimum primum.

Cujus etiam meminit nonageſimus quartus ſextæ Synodi Canon, Quandoquidem, inquit, eos, qui Gentilium Sacramenta jurant, ut per Solem, & talia, lxxxi. magni Baſilii Canon pœnis ſubjicit, & nos eis quoque E ſegregationem decernimus.

Leges.

Omnibus ab Epiſcopis & Clericis uſque ad Lectores jurare omnino eſt prohibitum: per pactum verò literis mandatum quæ ſunt juramenti illis adimplentur.

In Antiſtitum electionibus & ſolùm, Epiſcopus, qui ſuam negat ſubſcriptionem, deponitur; in aliis autem cauſis non deponitur, ſed juxta leges mulctatur.

Dicit inſuper & lxxii. Imperatoris Leonis ſapientis Novella, Omne pactum ſcriptum quod pretioſæ & vivificæ F crucis figurâ, per manus ejus qui pactum iniit, ſignatur, debet firmum & immutabile eſſe, licet conſtituta pœna non ſit firmatum.

Nemo per Deum jurans periclitatur; nam ſatis Deum ultorem habet jusjurandum: qui verò calore quodam per Imperatorem juraverit, veniam conſequitur; ſed qui in perſolutione per Imperatorem pejerat, pœnas dat, & propria actione excidit, & infamia notatur.

In dubiis rebus ſolet judex jusjurandum allegare, & ita judicare.

Bene allegent, per ſalutem tuam juraſſe. Omne enim A legitimum ex inductione jusjurandum ſervatur, & quod quis juravit ſecundum propriam religionem: quod autem fit per inſinceram religionem jusjurandum, non ſervatur.

Qui ex judiciali electione, vel adverſarii poſtulatione jusjurandum in Eccleſia ſubit, ſacro-ſanctis tactis Evangeliis, ſi poſthac pejerare convictus fuerit, linguâ privetur. Idem & de Martyribus. Jusjurandum eſt oratio propter ſuam veritatem fidem faciens.

B

CAPUT XXXIII.

De Tutoribus & Curatoribus.

TERTIUS quartæ Synodi Canon, Clericos vel Monachos propter turpe lucrum alienas poſſeſſiones conducere prohibuit; quod eſt, res ſeculares tractare, divina myſteria neglectui habentes: niſi ad inexcuſabilem impuberum tutelam à legibus vocetur aliquis; Impuberibus enim Tutores dantur; minoribus autem Curatores. Impuberes quidem ſunt maſculi, qui ſunt quatuordecim annis minores: impuberes vero fœminæ, quæ duodecim annis minores ſunt. Minores verò C ſunt, qui pubertatem præterierunt, minores tamen ſunt xxv. annis, ſive ſint mares ſive fœminæ. Epiſcopus civitatis etiam iſtis permittere poteſt, ut Eccleſiaſticarum rerum curam gerant, vel orphanorum & viduarum, quibus non providetur, & quæ Eccleſiaſtico auxilio maxime indigent, propter Dei timorem, ut in Actibus memoratur, Apoſtolos ſeptem Diaconos elegiſſe, ne in miniſterio quotidiano viduæ deſpicerentur: lucri autem aut gloriæ cupiditate illis hujuſmodi adminiſtrationibus ſeipſos injicere non permittitur. Qui verò auxilio indigent ſunt tales, qui in Eccleſias profugerunt, ut Dynaſtarum injuriam vitarent, vel qui D aliquid forſan offenderint, vel qui injuſtè in ſervitutem rediguntur, & ſuppetias poſtulant, propter quos etiam defenſores fiunt. Si quis verò tranſgreditur, convenientibus ſuppliciis eum ſubjici vult. Omnes igitur Clerici & Monachi Epiſcopi ſui permiſſione, non modo Eccleſiaſtica, verùm etiam ſecularia negotia adminiſtrare poſſunt: ut & tutelam & curatelam ſuſcipere. Abſque externa autem permiſſione Epiſcopis & Monachis nec tutelam nec curatelam gerere permittitur, licet à legibus vocentur: ſed Clerici, quando à legibus vocantur, utraque ſubire non prohibentur. Omnes verò com- E muniter Eccleſiaſtica negotia adminiſtrare non impediuntur, vel ſine Epiſcopali permiſſione.

Leges.

Religioſiſſimos Epiſcopos vel Monachos ex nulla lege Tutores vel Curatores cujuſcunque perſonæ fieri concedimus: ſed eorum, quæ ad animam pertinent, tutelam ſuſcipere, & vocatos adminiſtrare non prohibemus. Etenim Antiſtitibus maxime pro delinquentibus placatio dedicatur.

Presbyteros & Diaconos & Subdiaconos ſolo cogna- F tionis jure ad tutelam vel ad curatelam vocatos, adminiſtrationem ſuſcipere concedimus.

Tutores habeant liberti ſecundum leges civiles, qui propter ætatem ſeipſos vendicare nequeunt. Alienus ex pacto ſervus, fruſtra fit curator.

Neque tutelam neque curatelam gerat, qui ſeptuaginta annis eſt major, neque qui viginti quinque eſt minor: nam quomodo curam gerat, qui alterius cura indiget?

Decoctores & amentes, licet pubertatem egreſſi ſint, à propriis cognatis in tutelam ſuſcipiuntur.

Καλῶς ἐπιφέρουσι κατὰ τῆς σωτηρίας σου ὀμόσαι. πᾶς γὰρ θεμιτὸς ἐξ ἐπαγωγῆς ὅρκος φυλάττεται, καὶ ὃν τις ὀμόσῃ κατὰ τὴν ἰδίαν θρησκείαν· ὁ δὲ κατὰ ἀδοκίμου θρησκείας γεγονὼς ὅρκος οὐ φυλάττεται.

Ο ἐκ δικαστικῆς ψήφου, ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδίκου, ὅρκον ὑπέχων ἐν ἐκκλησίᾳ, τῶν ἀχράντων ὑφαπτόμενος εὐαγγελίων, ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθείς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ ἐπὶ μαρτύρων. ὅρκος ἐστὶ λόγος πιστούμενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν.

ΚΕΦ. λγ'.

Περὶ ἐπιτρόπων καὶ κουρατόρων.

Ο γ'. τῆς δ'. συνόδου κανὼν, κληρικοὺς ἢ μονάζοντας ἀπείρηκεν ἀλλότρια κτήματα μισθοῦσθαι δι' αἰσχροκέρδειαν, ὅπερ ἐστὶ, πράγματα ἐργολαβεῖν κοσμικὰ, τῆς θείας λειτουργίας καταμελοῦντας· εἰ μήπου ἐκ τῶν νόμων καλοῖτό τις εἰς ἀφηλίκων ἀπαραίτητον ἐπιτροπήν· τοῖς μὲν γὰρ ἀνήβοις ἐπίτροποι δίδονται, τοῖς δὲ ἀφήλιξι κουράτορες. καὶ ἄνηβοι μέν εἰσιν ἄρρενες, οἱ τῶν ιδ'. ἥττους ἐτῶν· ἄνηβοι δὲ θήλειαι, αἱ ἥττους τῶν ιβ'. ἐτῶν. ἀφήλικες δὲ, οἱ τὴν ἥβην ὑπεραναβάντες, ἥττους δὲ τῶν κε'. ἐνιαυτῶν, κἂν ἄρρενες ὦσι, κἂν θήλειαι. δύναται καὶ ὁ τῆς πόλεως ἐπίσκοπος ἐπιτρέπειν τοῖς τοιούτοις ἐκκλησιαστικῶν φροντίζειν πραγμάτων, ἢ ὀρφανῶν καὶ χηρῶν ἀπρονοήτων, καὶ τῶν μάλιστα ἐκκλησιαστικῆς δεομένων βοηθείας, διὰ τὸν φόβον τοῦ κυρίου, ὡς ἐν ταῖς πράξεσιν ἱστόρηται, προχειρησαμένων τῶν ἀποστόλων τοὺς ἑπτὰ διακόνους, ἵνα μὴ ἐν τῇ καθημερινῇ διακονίᾳ αἱ χῆραι παραθεωρῶνται· οὐ μὴν ἑαυτοὺς ταῖς τοιαύταις ἐπιρρίπτειν διοικήσεσι τούτοις ἐφεῖται κέρδους χάριν ἢ δόξης. οἱ δὲ βοηθείας δεόμενοι, οὗτοι ἂν εἶεν, οἱ τῇ ἐκκλησίᾳ προσφυγόντες, ἐπηρείας δυναστῶν ἐκτρεπόμενοι, ἢ οἱ περί τι πταίσαντες, ἢ οἱ εἰς δουλείαν ἀδίκως ἑλκόμενοι, καὶ ζητοῦντες ἐπικουρίαν, δι' οὓς καὶ οἱ ἔκδικοι γίνονται. τὸν δὲ παραβαίνοντα τοῖς προσήκουσιν ἐπιτιμίοις καθυποβάλλεσθαι βούλεται. πάντες τοίνυν κληρικοί τε καὶ μοναχοὶ κατ' ἐπιτροπὴν τοῦ σφῶν ἐπισκόπου, οὐ μόνον ἐκκλησιαστικὰ, ἀλλὰ καὶ πολιτικὰ ἐνεργῆσαι δύνανται πράγματα· οὐ μὴν ἀλλὰ καὶ ἐπιτροπὴν ὑπελθεῖν καὶ κουρατορείαν. ἐπιτροπῆς δὲ τῆς ἔξωθεν δίχα ἐπισκόποις καὶ μοναχοῖς οὔτε ἐπιτροπὴν, οὔτε κουρατορείαν ἔξεστι δέξασθαι, καὶ εἰ ἐκ τῶν νόμων καλοῦνται. οἱ δὲ κληρικοὶ, ὅτε καλοῦνται παρὰ τῶν νόμων, καὶ τὰ ἀμφότερα ὑπελθεῖν οὐ κωλύονται. πάντες δὲ κοινῇ ἐκκλησιαστικὰ πράγματα ἐνεργεῖν οὐκ ἐμποδίζονται, καὶ δίχα προτροπῆς ἐπισκόπου.

Νόμοι.

Τοὺς θεοφιλεστάτους ἐπισκόπους ἢ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι οὐ συγχωροῦμεν· ἐπιτροπεύειν δὲ τῶν ὑπὲρ ψυχῆς ὀφειλόντων δίδοσθαι, καὶ διοικεῖν προσκαλουμένους, οὐ κωλύομεν. καὶ γὰρ τοῖς ἀρχιερεῦσι μᾶλλον ὁ ὑπὲρ τῶν πλημμελημάτων ἱλασμὸς ἀφιέρωται.

Τοὺς πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, τῷ δικαίῳ μόνῳ τῆς συγγενείας, εἰς ἐπιτροπὴν, ἢ εἰς κουρατορείαν ἀνακαλουμένους, τὴν λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν.

Ἐπιτροπεύονται δὲ κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ διὰ τὴν ἡλικίαν ἐκδικεῖν αὑτοὺς μὴ δυνάμενοι. ἀλλότριος οἰκέτης ἐν διαθήκῃ, ἀχρήστως ἐπίτροπος δίδοται.

Οὐκ ἐπιτροπεύει, οὐδὲ κουρατορεύει ὁ μείζων τῶν ἑβδομήκοντα ἐτῶν, οὐδὲ ὁ ἐλάττων τῶν εἰκοσιπέντε ἐτῶν· πῶς γὰρ ὁ δεόμενος ἄλλου κηδεμονίας;

Ασωτοι καὶ μαινόμενοι, κἂν μείζονες ὦσι τῇ ἡλικίᾳ, κουρατορεύονται ὑπὸ τῶν ἰδίων συγγενῶν.

A

Οὐδεὶς ἐγχειρίζει πλέον τῶν τριῶν ἐπιτρόπων.

Τῷ υἱῷ τοῦ αἰχμαλώτου ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ· ὑποστρέφοντος γὰρ τοῦ πατρὸς, γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ᾐχμαλωτίσθη.

Τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα δίδοται κουράτωρ παρὰ τοῦ ἄρχοντος.

Ἐὰν κλέψωσιν οἱ ἐπίτροποι πράγματα ἀφηλίκων, ἕκαστος αὐτῶν εἰς τὸ διπλοῦν ἐνέχεται.

B

Προτιμῶνται τῶν θηλειῶν οἱ ἄῤῥενες, τελείας ἡλικίας ὑπάρχοντες. γυνὴ γὰρ οὐ κουρατορεύει, οὐδὲ τὰ τῆς ἐπιτροπῆς ὑπέρχεται λειτουργήματα, εἰ μή που μήτηρ ἢ μάμμη εἴη.

Ὁ πλησιέστερος συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, πάντες ἐπιτροπεύουσιν.

Ζήτει καὶ ἐν τῷ ιε'. κεφ. τοῦ Μ. στοιχείου.

Nemo pluſquam tres tutores conſtituit.

Captivi filio tûtor non datur; ſed ſubſtantiæ curator: nam reverſo patre, illius juris erit, ac ſi nunquam in captivitatem fuerat redactus.

Illi, cujus tutor vel morbo laborat, vel ſenio confectus eſt, à Magiſtratu datur curator.

Si impuberum facultates tutores ſurripiant, unuſquiſque eorum in duplum tenetur.

Præferuntur fœminis maſculi, cum ſint perfectæ ætatis. Mulier enim curatelam non gerat, neque tutelæ adminiſtrationem ſubeat, niſi vel mater vel avia ſit.

Proximus cognatus tutorem agat: ſin verò ſint plures ejuſdem gradus, tum omnes curatelam gerant.

Quæras etiam in xv. cap. literæ M.

C

ΚΕΦ. λδ'.

Περὶ Εὐνούχων.

Ὁ μὲν κα'. τῶν ἁγίων ἀποστόλων κανὼν, εὐνοῦχος, φησὶν, εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων τις ἐγένετο, ἢ ἐν διωγμῷ τὰ τῶν ἀνδρῶν ἀφῃρέθη· ἢ οὕτως ἔφυ, εἰ καὶ ὁ βίος αὐτοῦ σεμνὸς εἴη καὶ ἄμεμπτος, εἰς ἱερωσύνην προβιβαζέσθω.

Ὁ δὲ κβ'. ὁ ἑαυτὸν ἀκρωτηριάσας, κληρικὸς μὴ γινέσθω· αὐτόχειρ γὰρ ἑαυτοῦ γέγονε τῷ παραβόλῳ τοῦ πράγματος, ἑαυτῷ τὸν θάνατον ὥσπερ προμνώμενος, καὶ τῇ τοῦ θεοῦ δημιουργίᾳ πολεμῶν ἄντικρυς.

D

Ὁ δὲ κγ'. εἴ τις κληρικὸς ὢν ἑαυτὸν ἀκρωτηριάσειεν, ὡς προδηλότατα θανατῶν, καθαιρείσθω.

Ὁ δὲ κδ'. λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας εἰς ἔτη ἀφοριζέσθω τρία, ὡς ἐπίβουλος τῆς ἑαυτοῦ ζωῆς. ἄλλως τε καὶ εἰς ἀνδρῶν φύσιν τοῦ θεοῦ τούτους δημιουργήσαντος, εἰς ἑτέραν ἀλλόκοτον αὐτοὶ ἑαυτοὺς μεταπλάττουσιν, ὥστε μήτε ἄνδρες εἶναι, τὴν σπερματικὴν καὶ τὴν ὁμοίως γεννητικὴν δύναμιν ἀποβεβληκότες, μήτε γυναῖκες, οὐ γὰρ τίκτειν ἔχουσι φύσιν.

E

Τὰ αὐτὰ καὶ ὁ α'. τῆς πρώτης συνόδου κανὼν διορίζεται, τὸν ἐν νόσῳ ὑπὸ ἰατρῶν χειρουργηθέντα, ἢ ὑπὸ βαρβάρων τῶν παιδογόνων μορίων ἀφαιρεθέντα, τοῦ κλήρου μὴ διαπίπτειν· ὅστις γε μὴν ὑγιαίνων ἐπίτηδες ἐξέτεμεν ἑαυτὸν, τοῦτον, μὴ ὅτι κληροῦσθαι, ἀλλὰ καὶ τῷ κλήρῳ ἐξεταζόμενον, ἐξωθεῖσθαι· προσίεσθαι δὲ εἰς κλῆρον τοὺς ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχισθέντας, εἰ συμβαίνοντα τῇ ἱερωσύνῃ, καὶ τὸν βίον μετιόντες εἶεν.

F

Ὁ δὲ τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου κανὼν η'. καὶ τὸν ἑτέρους ἐκτέμνοντα, ὡς τῆς τοῦ θεοῦ δημιουργίας ὑβριστὴν, εἴτε αὐτοχειρίᾳ, εἴτε ἐξ ἐπιτάγματος, κληρικὸν μὲν ὄντα, καθαιρεῖσθαι κελεύει, λαϊκὸν δὲ ἀφορίζεσθαι· εἰ μήπου νόσημα τινὶ προσπεσὸν πρὸς τὴν ἐκτομὴν τοῦ πεπονθότος ἠνάγκασεν. οὔτε γὰρ ἱερέας αἰτιατέον, τοῖς νοσοῦσιν ἐξ ἐπιτάγματος ἐφιστάντας τὸν εὐνουχίζοντα, οὔτε μὴν λαϊκοὺς αὐτοχειρίᾳ χρωμένους. τοῦτο γὰρ ἰατρείαν τοῦ νοσήματος, ἀλλ' οὐκ ἐπιβουλὴν τοῦ πλάσματος, ἢ τῆς πλάσεως ὕβριν λογιζόμεθα.

Ζήτει καὶ ἐν τῷ ιθ'. κεφ. τοῦ Γ. στοιχείου, καν. ε'. τῆς ϛ'. συνόδου.

CAPUT XXXIV.

De Eunuchis.

SANCTORUM Apoſtolorum viceſimus primus Canon, Eunuchus, inquit, ſi ex injuria quidem hominum factus ſit, vel in perſecutione virilibus privatus ſit, vel ſic natus fuerit; ſi etiam ejus vita ſit ſancta & irreprehenſibilis, in Sacerdotium promoveatur.

Viceſimus ſecundus verò, Qui ſeipſum mutilavit, ne ſit Clericus: ipſe enim ſuiipſius eſt homicida propter facti audaciam, mortem ſibi quaſi ambiens, & Dei opificii hoſtis palam factus.

Et xxiii. Si quis, cum ſit Clericus, ſeipſum mutilaverit, tanquam ſibi manifeſtò mortem optans, deponatur.

Xxiv. item, Laicus, qui ſeipſum mutilavit, tribus annis ſegregetur, quia eſt ſuiipſius vitæ inſidiator. Præterea, cum in virorum naturam Deus ipſos formavit, in aliam ab ea prorſus diverſam ſeſe transformarunt: ita ut, neque viri ſint, quia ſeminalem pariter ac generatricem facultatem abjecerunt; neque fœminæ, quia non habent parturiendi naturam.

Eadem etiam conſtituit i. Syn. i. Can. Nimirum, ut qui à Medicis in morbo exciſus, vel à barbaris genitalibus membris privatur, è Clero non excidat: quicunque autem, cum eſſet ſanus, ex induſtriâ ſeipſum execuit, non modò in Sacerdotium non cooptetur, ſed etiam in Clero recenſitus, ejiciatur: illi autem in Clerum admittuntur, qui à Barbaris vel Dominis ſunt caſtrati, ſi ea, quæ ad Sacerdotium & vitam ſpectant, proſequuti ſint.

Synodi verò i. & ii. dictæ viii. Canon, Eum, qui alios execat (tanquam Dei opificio injuriam faciens) ſive propriis manibus, ſive juſſu; ſi ſit quidem Clericus, deponi jubet; ſin verò Laicus, ſegregari; niſi morbus alicui incidens, eum ad execandum ægrotantem coëgerit. Neque enim condemnandi ſunt Sacerdotes, qui morbo laborantes caſtrari jubent: neque Laici, qui propriis manibus ad caſtrationem utuntur. Hoc enim morbi eſſe medelam, non autem creaturæ inſidias fieri, vel opificium injuria affici exiſtimamus.

Vide etiam in xix. cap. literæ Γ. Synodi. vi. Can. v.

A

Leges.

Jubemus ut nullus Romanus caſtretur, ne quidem extra Romanum ſolum, & ut nullus Romanum caſtratum emat: ſed & eum, qui caſtravit, & eum qui emit, & tabellionem, & publicanum, qui vectigalis aliquid pro eo accepit, puniendos eſſe. Barbara autem mancipia, quæ extra Romanum ſolum caſtrantur, liceat omnibus mercatoribus & emere & vendere.

Si quis ſervus à nobis ſit caſtratus, ſtatim illi libertatem dari, licèt ob morbum caſtratus fuit. B

Qui ob voluptatem vel mercaturam aliquos caſtrat, ſi ſit quidem Nobilis, publicatur: plebeius vero, gladio & beſtiis objicitur.

Imperatoris verò Leonis Sapientis Novella, Eunuchum, qui legitimè mulieri matrimonio conjungitur, ſcortationis pœnæ ſubjici jubet; & Sacerdotem, qui prophanè illum copulavit, Sacerdotali dignitate privari: permittit autem eunuchis, quoſcunque volunt adoptare & in filiorum ſortem eligere.

C

CAPUT XXXV.

De precum ordine.

SEPTUAGESIMUS quintus ſextæ Synodi Canon, ut qui in Eccleſiâ precantur & pſallunt, non inordinati accedant, neque intentas urgeant vociferationes; ſed cum contrito corde, & moribus convenientibus, & mentis attentione, preces & pſalmodias peragant: unde & internis moribus & externâ ſpecie, Dei miſericordia in peccatores trahitur. Pios enim, inquit Levitici liber, facite filios Iſraël; neque infractis & irreverendis utantur cantilenis, & ſupervacaneâ canticorum varietate, & cantibus laſcivis; quæ thymelicis ſcenicisſque magis quàm Eccleſiæ Dei conveniunt. A quamplurimis verò Patriarchis cum graviſſimis etiam pœnis hæc ſæpiùs fuerunt prohibita. Permiſſum eſt autem ſimplicem & invariatam pſalmodiæ modulationem uſurpare, & in vigiliis & pro defunctis peragendis ceremoniis; ut obtinuit antiqua & venerabilis conſuetudo: ſed nihil amplius fieret. D

E

De Sacroſancto Hymno.

Octogeſimus primus, Illos, qui in ſanctiſſimo hymno Petri Fullonis vocem inſerere audent, quæ huic, ſanctus immortalis, hoc, qui crucifixus es pro nobis miſerere noſtri, addidit, exitiali anathematis judicio ſubjicit. Vel enim quartam perſonam inducit iſta vox, & Dei filium, Servatoris ſcilicet conſiſtentē facultatem, ſeorſum ponit, & Chriſtum crucifixum tanquam alium à forti, vel affectionibus ſubjectam Trinitatem glorificat, & Patrem & Spiritum ſanctum unà cum Filio crucifigit. Scimus vero quomodo Eccleſiaſtica hiſtoria loquitur, cum, Proclo Archiepiſcopo, populus, quâdam divinitùs intentatâ oppreſſus plagâ, Conſtantinopoli ſupplicaret, in æthera raptum fuiſſe puerum, & hymnum hunc fuiſſe edoctum, & rurſus demiſſum præſentibus illud, quod inſtitutum erat, renunciaſſe; quod populo ſine additamento canente, divinitùs intentatam ceſſaſſe plagam. Sed & ſancta & œcumenica quarta Synodus ita ſacroſanctum hymnum canendum eſſe decernit: licèt obſcurum Armeniorum genus & ſubdolū abominabilem F

Νόμοι.

Κελεύομεν μηδένα Ῥωμαίων εὐνουχίζεσθαι, μηδὲ ἔξω τῆς Ῥωμαίων γῆς, μηδὲ ἀγοράζειν μηδένα τὸν εὐνουχισθέντα Ῥωμαῖον· ἀλλὰ καὶ τὸν εὐνουχίσαντα, καὶ τὸν ἀγοράσαντα, καὶ τὸν συμβολαιογράφον, καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τι ὑπὲρ τούτου, τιμωρεῖσθαι. τὰ δὲ ἔξω τοῦ Ῥωμαϊκοῦ ἐδάφους εὐνουχιζόμενα ἀνδράποδα βάρβαρα ἐξεῖναι πᾶσιν ἐμπόροις ἀγοράζειν τε καὶ πιπράσκειν.

Ἂν δέ τις παρ' ἡμῖν εὐνουχισθῇ δοῦλος, αὐτίκα τούτῳ τὴν ἐλευθερίαν δίδοσθαι, κἂν διὰ νόσον εὐνουχισθῇ.

Ὁ δι' ἡδονὴν ἢ ἐμπορίαν εὐνουχίσας τινάς, εὐγενὴς μὲν ὤν, δημεύεται· εὐτελὴς δέ, ξίφει καὶ θηρίοις ὑποβάλλεται.

Ἡ δὲ νεαρὰ τοῦ Βασιλέως Λέοντος τοῦ σοφοῦ, τὸν γυναικὶ κατὰ νόμον γάμου συναφθέντα εὐνοῦχον τῇ τῆς πορνείας ὑποκεῖσθαι κολάσει κελεύει, καὶ τὸν ἀνιέρως συναρμόσαντα ἱερέα, τῆς ἱερατικῆς ἀξίας ἀπογυμνοῦσθαι· ἐφίησι δὲ τοῖς εὐνούχοις, οὓς βούλονται εἰσποιεῖν καὶ εἰς μοῖραν τάττειν υἱῶν.

ΚΕΦ. λε'.

Περὶ Εὐχῶν εὐταξίας.

Ὁ οε'. τῆς ϛ'. συνόδου κανών, τοὺς εὐχομένους ἐν ἐκκλησίᾳ καὶ ψάλλοντας, μὴ ἀτάκτοις προΐεσθαι, καὶ ἐπιτεταμένας ἐπισκήπτειν φωνάς, ἀλλ' ἐν συντετριμμένῃ καρδίᾳ, καὶ ἤθει κατεσταλμένῳ, καὶ νοῦ προσοχῇ τὰς εὐχὰς ποιεῖσθαι καὶ ψαλμῳδίας, ἐφ' ᾧ τῷ τε ἐντὸς ἤθει, καὶ τῷ ἐκτὸς εἴδει, τοῦ θεοῦ τὸν ἔλεον ἐπὶ τοῖς ἡμαρτημένοις ἑλκῦσαι. εὐλαβεῖς γάρ, φησὶν ἡ τοῦ Λευϊτικοῦ βίβλος, ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ, μηδὲ τοῖς κεκλασμένοις καὶ ἀσέμνοις μέλεσι χρῆσθαι, καὶ τῇ περιττῇ τῇ τῶν ἀσμάτων ποικιλίᾳ, καὶ ᾠδῶν τερετίσμασιν, ἃ θυμελικοῖς οὐχ ἥκιστα καὶ τοῖς ἐπὶ τῆς σκηνῆς ἢ ἐκκλησίᾳ προσήκει θεοῦ. πολλάκις δὲ ταῦτα καὶ πρὸς πολλῶν κεκώλυται πατριαρχῶν, μετὰ σφοδρῶν τῶν ἐπιτιμίων. παρήγγελται δὲ τὸ ἁπλοῦν καὶ ἀποίκιλον τῆς ψαλμῳδίας ἀσπάζεσθαι, ἔν γε ταῖς παννυχίσι καὶ ταῖς τελεταῖς τῶν ἀποιχομένων, ὡς τὸ ἀρχαῖον ἔθος καὶ θεοφιλὲς εἶχεν· ἀλλ' οὐδὲν γίγνεσθαι πλέον.

Περὶ τοῦ τρισαγίου ὕμνου.

Ὁ δὲ πα'. τοὺς τῷ τρισαγίῳ ὕμνῳ τὴν τοῦ Πέτρου τοῦ Κναφέως φωνὴν παρενείρειν μὴ αἰδουμένους, τὴν τό, ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐλέησον ἡμᾶς, προστιθεῖσαν, τῇ ὀλεθρίῳ τοῦ ἀναθέματος ἐφίησι καταδίκῃ. ἡ γὰρ τέταρτον ἡ τοιαύτη πρόσωπον εἰσάγει φωνή, διὰ μέρος τιθεῖσα τὸν τοῦ θεοῦ υἱὸν τὴν ἐνυπόστατον τοῦ πατρὸς δύναμιν, καὶ διὰ μέρος τὸν ἐσταυρωμένον Χριστόν, ὡς ἄλλον ὄντα παρὰ τὸν ἰσχυρόν, ἢ παθητὴν τὴν τριάδα δοξάζει, συσταυροῦσα τῷ υἱῷ τὸν πατέρα καὶ τὸ ἅγιον πνεῦμα. ἴσμεν δὲ ὡς ἡ ἐκκλησιαστικὴ διέξεισιν ἱστορία, ὅπως λιτανεύοντος τοῦ λαοῦ ἐν Κωνσταντινουπόλει ἐπί τινι θεηλάτῳ πιεζομένου πληγῇ, Πρόκλου ἀρχιερατεύοντος, αἰθέριον ἁρπαγῆναι παιδίον, καὶ τὸν ὕμνον τοῦτον μυηθείη, καὶ κατενεχθέν, τοῖς παροῦσι τὸ μυηθὲν ἀπαγγείλειεν· ᾀσθέντος δὲ τοῦ λαοῦ τῆς προσθήκης χωρίς, ἡ θεήλατος σταίη πληγή. ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος οὕτως ᾄδεσθαι τὸν τρισάγιον ὕμνον ἐθέσπισεν· εἰ καὶ τὸ κρυπτὸν γένος τῶν Ἀρμενίων καὶ ὕφαλον τῆς βδελυρᾶς ταύτης εἰσέτι καὶ νῦν οὐ μεθίενται πλάνης. ζήτει καὶ ἐν τῷ A ια΄. κεφαλαίῳ τοῦ Β. στοιχείου κανόνα ιε΄. τῆς ἐν Λαοδικείᾳ συνόδου.

Ὁ δὲ ις΄. ταύτης, ἐν τοῖς σάββασι μετὰ τῶν ἑτέρων γραφῶν καὶ εὐαγγέλιον κελεύει ἀναγινώσκεσθαι. πρὸ γὰρ τῆς γινομένης τὴν σήμερον τάξεως ἐν ταῖς εὐχαῖς τε καὶ ψαλμῳδίαις, εὐχαὶ μόνον ἐγίνοντο ἐν σαββάτῳ, καὶ οὕτω τὴν ἀναίμακτον προσέφερον οἱ ἱερεῖς θυσίαν. εὐαγγέλιον δὲ ἢ ἄλλη τις γραφὴ ἐπ᾽ ἐκκλησίας οὐκ ἀνεγινώσκετο· οἷα τηνικαῦτα πανηγυρίζειν εἰωθὸς κατὰ τοὺς λέγοντας κανόνας, μήτε νηστεύειν, μήτε γονυκάμπτειν ἐν σαββάτῳ. B

Ὁ δὲ ιζ΄. κηδεμονικώτερόν τι ποιῶν, καὶ εἰς καθίσματα μερισθῆναι τοὺς Δαυιδικοὺς Ψαλμοὺς ἐπέταξε, καὶ ἀναγνώσεις μεταξὺ γίνεσθαι, ἵνα μὴ ἀκηδιῶν ὁ λαὸς διὰ τῆς συνεχοῦς τῆς ψαλμῳδίας τῆς ἐκκλησίας ἀποπηδῶσιν.

Ὁ δὲ ιη΄. τὰς παραδεδομένας εὐχὰς λέγειν ἐν ταῖς ἐννάταις τε καὶ ἑσπέραις, καὶ μὴ τὸν βουλόμενον ἰδίας εὐχὰς συντιθέναι, καὶ ταύτας λέγειν ἐν ταῖς συνάξεσιν.

Τούτοις ἐπιψηφίζεται καὶ ὁ τῆς ἐν Καρθαγένῃ συνόδου ρϛ΄. τὰς ὑπὸ τῶν συνετωτέρων συντεταγμένας καὶ ὑπὸ τῆς συνόδου κεκυ- C ρωμένας εὐχὰς λέγεσθαι μόνας, ἐν ταῖς λιταῖς φημὶ τῆς λειτουργίας ἁπάσης, ἐν τοῖς προοιμίοις, ἄχρι δηλαδὴ τῶν θείων εὐαγγελίων, ἐν ταῖς τῶν κατηχουμένων παραθέσεσι, δι᾽ ὧν τῷ θεῷ τούτους οἱ ἱερεῖς παρατίθενται, καὶ ἐν ταῖς ἐπιθέσεσι τῶν χειρῶν, ἐπί τε τῶν χειροτονουμένων καὶ τῶν ἐν μετανοίᾳ γινομένων. τὰς δὲ παρ᾽ ἐνίων εἰσαγομένας νέας εὐχὰς μὴ προσίεσθαι. ἅπερ γὰρ οἱ πατέρες οὐκ ἐδοκίμασαν, τὸ ἀμφίβολον δήπουθεν ἔχει· καὶ δέος ὑποτρέχει, μὴ ἄρα τὰ τῇ ὀρθῇ μὴ συμβαίνοντα παρενείρωσι πίστει.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ιθ΄. κανὼν, τὰς ὑπὲρ τῶν κα- D τηχουμένων φησὶν εὐχὰς πρῶτον, καὶ τῶν ἐν μετανοίᾳ, εἶτα τῶν πιστῶν γίνεσθαι δεῖ· εἶτα μόνοις ἐξεῖναι θεσπίζει τοῖς ἱερατικοῖς εἰς τὸ ἅγιον εἰσιέναι θυσιαστήριον καὶ κοινωνεῖν. Ζήτει καὶ ἐν τῷ θ΄. κεφαλαίῳ τοῦ Β. στοιχείου κανόνας ε΄. καὶ κ΄. τῆς ἐν Γάγγρᾳ συνόδου.

Ὁ καὶ ριε΄. τῆς ἐν Καρθαγένῃ συνόδου τοῦ ἀναθέματος ἀξιοῖ τὸν οἰόμενον μὴ ἀληθῶς, ἀλλὰ ταπεινώσεως χάριν παραινοῦντα ἡμᾶς τὸν ἅγιον ἀπόστολον Ἰωάννην λέγειν, ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς ἀπατῶμεν, καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν. ἐκ γὰρ τῶν ἑξῆς ῥημάτων τῆς ἐπιστολῆς δείκνυται προδήλως τοῦ ἀποστόλου ἡ ἔννοια, ἐπά- E γοντος, ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ταύτας ἡμῖν, καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

Ὁ δὲ ρις΄. καὶ ριζ΄. τὸν ὑπειληφθέντα τοὺς ἁγίους λέγειν μὲν τό, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ἑαυτοὺς δὲ τῶν ὀφλημάτων ἐξαίρειν, οὐδὲ γὰρ αὐτοῖς εἶναι ταύτην τὴν παραίτησιν παντὶ ἀναγκαῖον, ἀλλὰ τοῖς ἐν τῷ λαῷ ἁμαρτάνουσι, τῷ ἀναθέματι παραπέμπουσιν. ὅτι γὰρ οὐκ εὐχῆς πρόσχημα, οὐδ᾽ ὑπόκρισις ταπεινότητος τοῖς ἁγίοις ὑπῆρξέ ποτε, ἀλλ᾽ ἀληθὴς καρδίας συντριβὴ, δηλοῖ ὁ μέγας Ἰά- F κωβος, ὧδέ ποτε λέγων, ἐν πολλοῖς ἁμαρτάνομεν πάντες, καὶ ὁ Δαυὶδ, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν· καὶ ἐν τῇ εὐχῇ ὁ Σολομὼν, οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἥμαρτεν· καὶ ὁ Ἰὼβ, ὥστε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ· καὶ ὁ Δανιὴλ, ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ ἑξῆς. τίς γὰρ τῆς εἰρωνείας ἀνάσχοιτο τῶν τἀναντία τοῖς σφῶν λόγοις φρονούντων· οἵπερ χείλεσι μὲν ἄφεσιν αἰτοῦσιν ἁμαρτιῶν, ὡς ἀθῷοι δὲ τούτων τῇ καρδίᾳ διάκεινται, καὶ μὴ

illum errorem nondum depoſuerunt. Vide etiam in undecimo capite literæ B. Canonem xv. Laodicenæ Synodi.

Ejuſdem verò Synodi xvi. In Sabbatis unà cum aliis Scripturis etiam Evangelia legi jubet. Nam antequam ordo, qui hodie in precibus & pſalmodiis obſervatur, inſtitutus fuit, ſolummodo preces in Sabbato fuerunt, & ſic ſacrificium incruentum offerebant Sacerdotes. Evangelium verò, vel alia Scriptura, in Eccleſia non legebatur; quippe tunc feſtum celebrare ſolebant juxta Canones, qui dicunt, neque jejunare, neque genuflectere in Sabbato oportet.

Decimus ſeptimus autem accuratius quiddam faciens, etiam in ſeſſiones partiri Davidicos Pſalmos juſſit, & interjecto ſpatio lectionem fieri, ne populus pſalmodiæ continuatione mœrore affectus ab Eccleſia diſcederet.

Decimus verò octavus, ut in nonis & veſperis recitentur traditæ preces, & ne quis pro arbitrio preces contexat, & illas in publicis conventibus recitet.

His etiam conſentit Carthaginenſis Syn. centeſimus ſextus, ut in ſupplicationibus univerſæ adminiſtrationis, ſolæ legantur preces, quæ à ſapientioribus ordinantur, & à Synodo confirmantur, in præfationibus, nimirum uſque ad ſacra Evangelia, in catechumenorum commendationibus, per quas eos Deo commendant Sacerdotes; & in manuum impoſitionibus, tam in eos qui ordinati ſunt, quam qui pœnitentiam agunt: novæ autem preces, quæ ab aliquibus introducuntur, non admittantur. Quæcunque enim Patrum judicio non ſunt approbata, dubium certè habent: itaque metuendum eſt, ne, quæ ad rectam fidem minus ſpectant, intromittant.

Decimus nonus verò Synodi Laodicenæ Canon, Catechumenorum, inquit, preces, primùm, & eorum, qui pœnitentiam agunt, deinde fidelium, fieri oportet: poſtea ſolis ſacratis licere decernit ad altare accedere & communicare. Quære & in ix. cap. literæ B. Canones v. & xx. Synodi in Gangrâ.

Centeſimus decimus quintus Carthaginenſis Synodi, Illum anathemate dignum cenſet, qui exiſtimat, non verè, ſed humilitatis gratiâ, nos adhortantem ſanctum Apoſtolum Joannem dixiſſe, Si dixerimus, quòd peccatum non habemus, noſmetipſos ſeducimus, nec veritas in nobis eſt. Nam ex proximè ſequentibus Epiſtolæ verbis manifeſtè oſtenditur Apoſtoli ſententia, qui ſubjungit, ſin autem peccata noſtra confeſſi fuerimus, fidelis eſt & juſtus, qui illa nobis remittet, & purgabit nos ab omni injuſtitia.

Cxvi. verò & cxvii. Illum quidem, qui exiſtimat Sanctos dicere, Demitte nobis debita noſtra, at ſeipſos debitis eximere, nec illis enim omnino neceſſariam eſſe talem petitionem, ſed aliis qui ſunt in populo peccatoribus, anathemate proſequuntur. Quod enim nec precationis prætextus, nec humilitatis hypocriſis unquam ſanctis inerat, ſed vera cordis contritio, oſtendit magnus Jacobus, qui hoc modo aliquando dicit, In multis offendimus omnes; & David, Ne introeas in judicium cum ſervo tuo, quia non juſtificabitur in conſpectu tuo omnis vivens; & in oratione Salomon, Non eſt homo, qui non peccaverit; & Job, Ut omnis homo ſciat imbecillitatem ſuam; & Daniel, Peccavimus, iniquè egimus, & cætera. Quis enim eorum ſimulationem ferat, qui verbis ſuis contraria cogitant; qui labris quidem remiſſionem peccatorum petunt, corde autem ſe eſſe inſontes exiſtimant, & non hominibus, ſed Deo ipſi mentiuntur. Quære etiam in A xxxvii. cap. literæ K. Can. xc. vi. Syn.

ἀνθρώποις, ἀλλ' αὐτῷ ψευδόμενοι τῷ Θεῷ. ζήτει καὶ ἐν λζ'. κεφ. τοῦ Κ. στοιχείου κανόνα ζ'. τῆς ϛ'. συνόδου.

Lex.

Jubemus omnes Epiſcopos & Presbyteros, ut non tacitè, ſed voce à fideliſſimo populo exaudiendâ, ſacram oblationem, & ſuper ſanctum baptiſma precationem celebrent; ut exinde auditorum animæ in majorem compunctionem & Domini Dei glorificationem excitentur.

Νόμος.

Κελεύομεν πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους, μὴ κατὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης, τὴν θείαν προσκομιδὴν, καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι, πρὸς τὸ, κἀντεῦθεν τῶν ἀκουόντων τὰς ψυχὰς εἰς πλείονα κατάνυξιν καὶ τὴν πρὸς τὸν δεσπότην θεὸν διανίστασθαι δοξαλογίαν.

B

CAPUT XXXVI.

De Exorciſtis.

VIGESIMUS ſextus Laodic. Syn. Canon, exorcizare eos, inquit, non oportet, vel erudire, qui ab Epiſcopo non ſunt ad id ordinati.

Decimus verò Antiochenæ, etiam Chorepiſcopis Exorciſtas ordinare permittit; quem etiam vide in xxxi. C capite literæ E.

ΚΕΦ. λϛ'.

Περὶ ἐφορκιστῶν.

Ο κϛ'. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, ἐφορκίζειν οὐ δεῖ, φησι, ἤγουν κατηχεῖν, τοὺς ὑπὸ ἐπισκόπων εἰς τοῦτο μὴ χειροτονηθέντας.

Ο δὲ τῆς ἐν Ἀντιοχείᾳ δέκατος, καὶ χωρεπισκόποις ἐφίησιν ἐφορκιστὰς χειροτονεῖν· ὃν καὶ ζήτει ἐν τῷ λα'. κεφαλαίῳ τοῦ Ε. στοιχείου.

INITIUM LITERÆ Z.

CAPUT I.

De fervente aquâ ſacris myſteriis injiciendâ.

Vide in viii. capite literæ K. Canonem trigeſimum D ſextum ſextæ Synodi.

ΑΡΧΗ ΤΟΥ Ζ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Περὶ τοῦ ζέοντος ὕδατος τοῦ τοῖς θείοις μυστηρίοις ἐμβαλλομένου.

Ζήτει ἐν τῷ η'. κεφαλαίῳ τοῦ Κ. στοιχείου κανόνα λβ'. τῆς ϛ'. συνόδου.

CAPUT II.

De picturis per voluptatem animam corrumpentibus.

SEXTÆ Synodi centeſimus Canon, Picturas inverecundo habitu, quarum aſpectu ad obſcœnas libidines excitantur animæ, in parietibus efformari omnino prohibuit: quoniam ſenſus, tam quæ ab iis E videntur, quam quæ audiuntur, incautis facilè in animum transfundunt & immittunt. Quapropter rectà aſpiciant oculi tui, & omni circumſpectu cor tuum cuſtodito, inquit Sapientia.

ΚΕΦ. β'.

Περὶ ζωγραφίας δι' ἡδονῆς τὰς ψυχὰς λυμαινομένης.

Ο ρ'. τῆς ϛ'. συνόδου κανὼν, ζωγραφίας ἀσέμνους αἳ τῶν ὁρώντων τὰς ψυχὰς πρὸς ἀτόπους ἐρεθίζουσιν ἡδονὰς, ἐν τοίχοις χαράττειν ἀπαγορεύει παντάπασι· καθότι ῥᾳδίως αἱ αἰσθήσεις τοῖς μὴ προσέχουσι, τὰ δι' αὐτῶν ὁρώμενα, ὥς γε δὲ καὶ τὰ ἀκουόμενα, ἐπὶ τὴν ψυχὴν εἰσκρίνουσι καὶ εἰσωθοῦσι. ταύτῃτοι καὶ οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, ἡ Σοφία φησιν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν.

CAPUT III.

De iis, qui cum beſtiis rem habuerunt, vel cum jumentis coiverunt, vel rationis expertia animalia inierunt. F

Vide v. caput literæ A.

ΚΕΦ. γ'.

Περὶ ζωοφθόρων, ἤτοι κτηνοβατῶν, καὶ ἀλογευσαμένων.

Ζήτει τὸ ε'. κεφάλαιον τοῦ Α. στοιχείου.

A

ΑΡΧΗ ΤΟΥ Η. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ ἡγουμένων.

Ζήτει τὸ ϛ΄. κεφ. τοῦ Α. στοιχείου.

INITIUM LITERÆ H.

CAPUT I.

De Præfectis.

Conſule ſextum caput literæ A.

B

ΚΕΦ. β΄.

Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων κληρικῶν.

Ζήτει ἐν τῷ ε΄. κεφαλαίῳ τοῦ Δ. στοιχείου κανόνας τῆς μὲν ἕκτης συνόδου ιδ΄. ιε΄. καὶ τῆς δ΄. ιε΄. καὶ τῆς ἐν Καρθαγένῃ συνόδου ιϛ΄. οἳ καὶ διατάττονται τὸν μὲν πρεσβύτερον τριάκοντα ἐτῶν χειροτονεῖσθαι· πέντε δὲ καὶ εἴκοσι τὸν διάκονον· τὴν διακόνον δὲ μ΄. καὶ τὸν ὑποδιάκονον κ΄. οἱ δὲ ῥηθέντες τῆς ϛ΄. συνόδου καὶ καθαιρεῖσθαι κελεύουσι τοὺς ἐν τούτῳ τῆς ἡλικίας χειροτονεῖσθαι μὴ ἀναμένοντας.

C

Τὰ αὐτὰ περὶ τῆς τῶν πρεσβυτέρων ἡλικίας, καὶ ὁ ια΄. τῆς ἐν Νεοκαισαρείᾳ φησίν· ὃν καὶ ὁ ῥηθεὶς τῆς ϛ΄. συνόδου ιδ΄. ἐπὶ λέξεως λαβὼν δίεισιν.

Νόμος.

Ἡ δὲ ρκγ΄. Ἰουστινιανείου νεαρά, πρεσβύτερον, φησίν, ἐλάττονα τῶν τριάκοντα ἐνιαυτῶν γίνεσθαι οὐκ ἐπιτρέπομεν. οὐ δὲ διάκονον τῶν κε΄. καὶ ὑποδιάκονον τῶν κ΄. οὔτε ἀναγνώστην τῶν ιη΄. διάκονον δὲ γυναῖκα μὴ χειροτονεῖσθαι, ἥ τις ἐλάττων ἐστὶ τῶν τεσσαράκοντα ἐτῶν· ἢ εἰς δεύτερον ἦλθε γάμον. D

CAPUT II.

De eorum ætate, qui Clerici ſunt ordinandi.

Vide in quinto capite literæ Δ. Canones ſextæ Synodi xiv. & xv. & quartæ xv. & Carthaginenſis Synodi xvi. qui quidem decernunt, ut Presbyter triginta annos natus ordinetur; Diaconus verò viginti quinque; Diaconiſſa quadraginta; & Subdiaconus viginti. Dicti autem vi. Synodi Canones eos deponi jubent, qui ad iſtam ætatem ordinari non expectant.

Eadem de Presbyterorum ætate etiam Neocæſarienſis Synodi undecimus dicit; quem etiam dictus vi. Synodi xiv. verbatim accipiens, recitat.

Lex.

Cxxiii. Juſtiniani Novella, Presbyterum, inquit, triginta annis minorem fieri non permittimus; neque Diaconum xxv. nec Subdiaconum xx. nec Lectorem xviii. Diaconiſſam etiam mulierem, quæ quadraginta annis eſt minor, non ordinari, nec ſi in ſecundum venerit matrimonium.

ΚΕΦ. γ΄.

Περὶ τοῦ τῆς ἡμέρας διαστήματος.

Νόμος.

Ἡ ἡμέρα ἀπὸ ἑβδόμης ὥρας τῆς νυκτὸς ὁρίζεται, μέχρι τῆς ϛ΄. ὥρας τῆς ἐπομένης νυκτός· καὶ τὸ γινόμενον ἐν οἱᾳδήποτε ὥρᾳ τῶν εἰκοσιτεσσάρων ὡρῶν, ἐν ἡμέρᾳ δοκεῖ γίνεσθαι. E

CAPUT III.

De diei ſpatio.

Lex.

Dies à ſeptimâ noctis horâ uſque ad ſubſequentis noctis ſextam horam extenditur: & quicquid in aliquâ ex viginti quatuor horis factum fuerit, in die fieri exiſtimatur.

F

INITIUM LITERÆ Θ.

CAPUT I.

De Theatris & diverſis ſcenicis ludis.

QUINQUAGESIMUS quartus Laodicenæ Synodi Canon, Sacratos vel Clericos in nuptiis vel in aliis feſtis convivio exceptos, ad ridicula, quæ in iis fieri ſolent ad riſum excitandum, ſpectacula omnino oculos non convertere, nec iis mentem adhibere jubet; ſed antequam ingrediantur hiſtriones, diſcedere. Huic etiam congrua xxiv. ſextæ Synodi decernens, Sacratos & Monachos in equorum curriculis ſubſiſtere, & ſcenicos ludos ſuſtinere prohibet: nam verbatim dictum Canonem Patrum in Laodiceâ exponit. Qui autem his rebus ſe applicare deprehenduntur, vel ceſſare jubet, vel, ſi permaneant, deponi.

Conſule etiam vii. caput literæ Γ.

Quinquageſimus primus ejuſdem vi. Synodi, Mimos dictos, & eorum Theatra, & venationum ſpectacula, & quæ fiunt in ſcenis ſaltationes, penitùs ceſſare ſtatuit. Nam fideles vitam diſſolutè inſtituere non vult Evangelicæ diſciplinæ præſcriptum, neque, quæ animi contentionem diſſolvunt, ſtudioſè proſequi; ſed quæ ſanctos decet. Mimos verò vocat eos, qui quorundam voces & mores imitantur, ut ad inconditum riſum adſtantes excitent. Venationum verò ſpectaculum, non cum canibus venari dicit, vel alio modo; nam ſpectaculum illud non eſt; ſed actio: verum in magnis urbibus feræ beſtiæ, putà Leones & Urſi, alebantur, quæ quidem ſtatis temporibus in Theatra educerentur, & nunc quidem cum Tauris colluctari permittebantur, nunc vero cum hominibus, vel captivis vel rei capitalis damnatis; ut illos ad ſpectantium oblectationem dilaniarent. Hic verò Canon multam eorum ſævitiam prohibet, qui ad proprias voluptates aliorum abutuntur clade, & conſimilis ſibi naturæ hominum ſanguine delectantur. Scena porro eſt aſſimulata imitatio; unde & Scenici dicuntur hiſtriones, qui aliquando ſervorum, aliquando dominorum, vel exercituum ductorum & Principum perſonas induunt. Scenicas igitur ſaltationes virorum & mulierum inverecundè laſcivientium & turpiter agentium, & ad libidinem ſpectatores provocantium, & in maxillam ictus & ſtrepitus, prohibens Canon, iis, qui ſeſe ad aliquid horum applicant, Clericis quidem, depoſitionem; Laicis verò ſegregationem intendit.

Vide etiam ejuſdem Synodi Canones lxii. lxv. in tertio capite literæ E.

Carthagin. verò Syn. Can. xv. Sacerdotum filiis ſpectacula peragere prohibuit; à quibuſdam enim civibus, quibus circa Theatra inſania, alebantur equi, ad curſuum certamina exercitati, & ad pugnam beſtiæ. Hæc autem non ſolùm quò minùs à Sacerdotum filiis peragantur, verumetiam ut illic ad videndum non accedant, prohibentur: illos enim in doctrinâ & lege Domini inſtitui oportet; ſicut etiam magnus Paulus ad Titum ſcribens, de Sacerdotibus dicit, Si quis filios habet fideles, non in luxuriæ accuſatione, aut non ſubditos:

ΑΡΧΗ ΤΟΥ Θ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ τῶν Θεάτρων καὶ θυμελικῶν διαφόρων παιγνίων.

B Ὁ νδ΄. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, ἱερατικοὺς ἢ κληρικοὺς εἰς γάμους ἢ εἰς ἑορτὰς ἑτέρας ἑστιωμένους, κελεύει ὅλως μὴ ἐπιστρέφεσθαι καὶ τὸν νοῦν προσέχειν ταῖς εἰωθυίαις ἐν τούτοις γίνεσθαι καταγελάστοις πρὸς γέλωτα θεωρίαις· ἀλλὰ πρὶν τοὺς ἐκ τῆς θυμέλης εἰσιέναι, τούτους ἀναχωρεῖν. συνῳδὰ τούτῳ καὶ εἰκοστὸς τέταρτος τῆς ϛ΄. συνόδου διατεταγμένος, κωλύει τοὺς ἱερωμένους καὶ μοναχοὺς εἰς ἱπποδρομίας ἀπιέναι, καὶ θυμελικῶν παιγνίων ἀνέχεσθαι· ἐκτίθησι δὲ καὶ τὸν ῥηθέντα κατὰ ῥῆμα κανόνα τῶν ἐν Λαοδικείᾳ πατέρων. τοὺς δὲ τούτοις προσανέχειν ἁλόντας, ἢ παύσασθαι παραγγέλλει, ἢ ἐπιμένοντας καθαιρεῖσθαι.

C Ζήτει καὶ τὸ ζ΄. κεφάλαιον τοῦ Γ. στοιχείου.

Ὁ δὲ να΄. τῆς αὐτῆς ϛ΄. συνόδου, τοὺς λεγομένους μίμους, καὶ τὰ τούτων θέατρα, καὶ τὰ τῶν κυνηγίων θεώρια, καὶ τὰς ἐπὶ σκηνῆς ὀρχήσεις, τελέως ἀργῆσαι νομοθετεῖ. τοὺς γὰρ πιστοὺς ἡ τῆς εὐαγγελικῆς πολιτείας ἀκρίβεια μὴ ἀνειμένως βιοῦν βούλεται, μηδὲ τὰ χαυνοῦντα τὸν τῆς ψυχῆς τόνον ἐπιτηδεύειν, ἀλλ᾽ ἃ πρέπει ἁγίοις. μίμους δέ φησι, τοὺς ἐνίων ἀπομιμουμένους φωνὰς καὶ ἤθη, πρὸς τὸ γελᾷν ἀκρατῶς τοὺς παρόντας παρασκευάσαι. κυνηγίων δὲ D θεωρίαν, οὐ τὸ θηρᾷν λέγει διὰ κυνῶν, ἢ ἑτέρως πως, τοῦτο γὰρ ἔργον, οὐ θεωρία ἐστίν· ἀλλ᾽ ἐν ταῖς μεγίσταις τῶν πόλεων θηρία ἐτρέφοντο, λέοντές τε καὶ ἄρκτοι, ἃ δὴ καὶ κατά τινας ἐξῆγον καιροὺς ἐπὶ τὰ θέατρα, καὶ νῦν μὲν ταύροις προσπαλαίειν ἐφίεσαν, νῦν δὲ ἀνθρώποις δορυαλώτοις ἢ κατακρίτοις, ὥστε τούτους διασπαράττειν πρὸς ἡδονὴν τῶν θεωμένων. ὅπερ καὶ πολλὴν ὠμότητα κατηγορεῖ τῶν οἰκείων χαρμονὴν τὰς ἑτέρων συμφορὰς ποιουμένων, καὶ ὁμοφυῶν ἀνθρώπων αἵμασιν ἡδομένων· σκηνὴ δέ ἐστιν ἡ προσποίητος ὑπόκρισις, ὅθεν καὶ σκηνικοὶ λέγονται οἱ ὑποκρινόμενοι, καὶ ἀπεικάζοντες ἑαυτοὺς, ποτὲ E μὲν δούλοις, ποτὲ δὲ δεσπόταις ἢ στρατηγοῖς καὶ ἄρχουσι. τὰς οὖν ἐπὶ σκηνῆς ὀρχήσεις ἀνδρῶν τε καὶ γυναικῶν ἀναιδῶς λυγιζομένων καὶ ἀσχημονούντων, καὶ εἰς ἀκολασίαν τοὺς ὁρῶντας ἐκκαλουμένων, καὶ τὰ ἐπὶ κόρρης ῥαπίσματα καὶ ψοφήματα ἀπαγορεύων ὁ κανὼν, τοῖς πρός τι τούτων ἑαυτοὺς ἐκδεδωκόσι, κληρικοῖς μὲν οὖσι καθαίρεσιν ἐπάγει, λαϊκοῖς δὲ ἀφορισμόν.

Ζήτει καὶ τὸν τῆς συνόδου ταύτης ξβ΄. κανόνα, καὶ ξε΄. ἐν τῷ γ΄. κεφαλαίῳ τοῦ Ε. στοιχείου.

F Ὁ δὲ ιε΄. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τοῖς παισὶ τῶν ἱερέων ἀπείρηκε θεώρια ἐκτελεῖν, ἐνίοις γὰρ τῶν πολιτῶν οἷς ἔμελλεν ἡ περὶ τὰ θέατρα μανία, ἵπποι ἐτρέφοντο εἰς ἅμιλλαν ἠσκημένοι δρόμων, καὶ θηρία εἰς θηριομαχίαν. ταῦτα οὖν τοὺς παῖδας τῶν ἱερέων μὴ ὅτι ἐκτελεῖν, ἀλλὰ καὶ μηδὲ ἀφικνουμένους ἐκεῖσε θεωρεῖν. δεῖ γὰρ αὐτοὺς ἐν παιδείᾳ τρέφεσθαι καὶ νουθεσίᾳ Κυρίου· καθὰ δὴ καὶ Παῦλος ὁ μέγας πρὸς Τίτον γράφων, περὶ πρεσβυτέρων φησὶν, εἴτις τέκνα ἔχει πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτείας, ἢ ἀνυπότακτα·

καὶ

A καὶ πρὸς Τιμόθεον, Τὸν ὀρεγόμενον ἐπισκοπῆς τέκνα δεῖ ἔχειν ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. τὰ δὲ θεάτροις σχολάζοντα, ἀσωτίας ὑπόληψιν οὐ διαπέφευγε· ἀλλὰ καὶ πᾶσι χριστιανοῖς κεκήρυκται τελέως τούτων ἀπέχεσθαι, καὶ τοὺς βλασφημεῖν αἱρουμένους ἐκτρέπεσθαι, ἀσέμνοις χρωμένους ῥήμασί τε καὶ πράγμασι.

Et ad Timotheum, Eum, qui Epiſcopatum deſiderat, filios habere ſubditos oportet, cum omni caſtitate. Qui verò ſpectaculis vacant, intemperantiæ crimen non effugerunt: nam omnibus Chriſtianis ne ad ea accedant, omnino interdictum eſt; & ut eos, qui blaſphemiis dediti ſunt, avertant, quia inverecundis verbis & rebus utuntur.

Ο δὲ ξγ'. καὶ τὰ ἐν ταῖς μνήμαις τῶν ἁγίων μαρτύρων κωλύει συμπόσια γίνεσθαι, καὶ τὰς ἐν τούτοις μυσαρὰς ὀρχήσεις. συμβαίνει γὰρ, καὶ τὰς εὐσχήμονας τῶν γυναικῶν διὰ τοῦτο εἰς τὰς ἐκκλησίας μὴ ἀφικνεῖσθαι, διὰ τὸ λάγνως κατ' αὐτῶν ὁρμᾶν τοὺς τὰ αἰσχρὰ μὴ αἰσχυνομένους ἐπιτηδεύειν.

Sexageſimus vero tertius in ſanctorum Martyrum memorias convivia fieri prohibet, & execrandas in iis ſaltationes. Evenit enim, ut verecundæ mulieres ob id in Eccleſias non accedant, eò quod illas laſcivè ii B aggrediantur, quos inverecunde agere non pudet.

Ο δὲ ξδ'. θεώρια καὶ ἱπποδρομίας, ἐν κυριακαῖς ἢ ἑτέραις ἑορταζομέναις ἡμέραις, ἢ τῇ ἑβδομάδι τοῦ πάσχα, κωλύει γίνεσθαι, ἵνα μὴ τούτοις σχολάζοντες οἱ χριστιανοὶ, τῶν ἐν ταῖς ἐκκλησίαις ὀλιγωρῶσι συνάξεων. κελεύει δὲ μὴ ἀναγκάζεσθαί τινα τῶν πιστῶν ἀνιέναι εἰς θέατρα.

Lxiv. verò, ſpectacula & equiria in Dominicis vel reliquis feſtis diebus, vel in Paſchatis hebdomade, fieri prohibet; ne his occupati homines Chriſtiani, quæ ſunt in Eccleſiis congregationes parvi faciant. Jubet verò, ut ne quis fidelium ſpectaculis adeſſe cogatur.

Ο δὲ ξϛ'. τῆς ϛ'. συνόδου ἡμῶν, τὴν ὅλην ἑβδομάδα τοῦ πάσχα ἐν ταῖς ἐκκλησίαις σχολάζειν ἀπαιτεῖ τοὺς πιστοὺς, ψαλμοῖς καὶ ὕμνοις εὐφραινομένους. τὰ δὲ θέατρα καὶ τὰς ἱπποδρομίας τῷ τηνικαῦτα κεκώλυκεν· ὃν καὶ ζήτει ἐν τῷ ζ'. κεφαλαίῳ τοῦ Π. στοιχείου. ζήτει καὶ ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Δ. στοιχείου κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου ρκθ'.

Sexageſimus ſextus ſextæ Synodi, totâ Paſchatis ſeptimanâ in ſanctis Eccleſiis fideles vacare exigit, C Pſalmis & hymnis gaudentes: ſpectacula vero & equorum curſus tunc temporis prohibuit; quem etiam conſule in vii. cap. literæ Π. conſule item in nono capite literæ Δ. Synodi Carthaginenſis Canonem centeſimum vigeſimum nonum.

Νόμος.

Ο δὲ νόμος ἀτίμους ἡγεῖται πάντας τοὺς διὰ πόρον εἰς ἀγῶνα κατιόντας, καὶ τοὺς διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς περιϊόντας. ὁ δὲ μισθώσας ἑαυτὸν εἰς παιγνίων τέχνην, καὶ μὴ ἐπιδειξάμενος, οὐκ ἀτιμοῦται. ὁ δὲ μισθώσας ἑαυτὸν εἰς τὸ θηριομαχῆσαι, κἂν μὴ θηριομαχήσῃ, ἄτιμος γίνεται, δι' αἰσχροῦ κέρδους τὴν ἑαυτοῦ ζωὴν προϊέμενος.

Lex.

Lex omnes eos, qui in certamen ob quæſtum deſcendunt, & qui in ſcenam ob pretium prodeunt, infames eſſe decernit. Qui vero operam ſuam inartem D ludicram mercede locat, ſi non ſpecimen præbet, nulla ignominia afficitur. Qui verò ſe cum beſtiis pugnari pacta mercede condixit, licèt non pugnet, nullo gaudet honore; quippe qui turpis lucri gratiâ propriam vitam projicit.

ΚΕΦ. β'.

Περὶ Θεολογίας καὶ ὀρθοδόξου πίστεως.

Ζήτει τὸ περὶ πίστεως κεφάλαιον εἰς τὴν ἀρχὴν τοῦ βιβλίου.

CAPUT II.

De Theologia & orthodoxa Fide.

E Vide cap. de Fide ſub initio libri.

ΚΕΦ. γ'.

Περὶ τῶν ἁγίων Θεοφανίων.

Ζήτει ἐν τῷ λζ'. κεφαλαίῳ τοῦ Κ. στοιχείου κανόνα τοῦ Θεοφίλου Αλεξανδρείας.

CAPUT III.

De ſanctis Theophaniis.

Vide in trigeſimo ſeptimo cap. lit. K. Canonem Theophili Alexandrini.

F

ΚΕΦ. δ'.

Περὶ τῶν θυσιαστηρίων ἱστώντων κληρικῶν παρὰ γνώμην τῶν οἰκείων ἐπισκόπων.

Ζήτει τὸ ιβ'. κεφάλαιον τοῦ Σ. στοιχείου.

CAPUT IIII.

De Clericis, qui præter ſuorum Epiſcoporum ſententiam altaria ſtatuunt.

Vide xii. caput literæ Σ.

A

CAPUT V.

Quòd ad ſacrum altare ſacratis ſolis aſcendere permittitur: Ingrediuntur verò Imperatores, quando ad ſacram menſam dona oblaturi ſunt; Laicis autem vel mulieribus ingredi prohibetur.

ΚΕΦ. εʹ.

Ὅτι εἰς τὸ ἅγιον θυσιαστήριον ἱερωμένους μόνους ἐπιβαίνειν ἀσφαλές· εἰσέρχονται δὲ βασιλεῖς, ὅτε τὰ δῶρα τῇ θείᾳ τραπέζῃ προσοίσειν μέλλουσι, λαϊκοῖς δὲ ἢ γυναιξὶν εἰσιέναι ἀπείρηται.

B. Vide ſextum caput literæ B. & literæ Γ. viceſimum ſecundum caput: & in triceſimo quinto capite literæ E. Can. xix. Laodicenæ Synodi.

Ζήτει τὸ ϛʹ. κεφ. τοῦ Β. στοιχείου, καὶ τοῦ Γ. στοιχείου τὸ κβʹ. κεφ. καὶ ἐν τῷ λεʹ. κεφαλαίῳ τοῦ Ε. στοιχείου κανόνα ιθʹ. τῆς ἐν Λαοδικείᾳ συνόδου.

INITIUM LITERÆ I.

ΑΡΧΗ ΤΟΥ Ι. ΣΤΟΙΧΕΙΟΥ.

CAPUT I.

De Sacris vaſis & ſacrilegio.

ΚΕΦ. αʹ.

Περὶ ἱερῶν σκευῶν, καὶ ἱεροσυλίας.

C SEPTUAGESIMUS ſecundus ſanctorum Apoſtolorum, ut & lxxiii. Eum, qui ab Eccleſia ceram vel oleum aufert, porro & qui vas ſanctificatum ex auro vel argento factum, vel linteum in proprium uſum convertit, & commune facit; ſi non ſacrilegii, tanquam ſceleris autem præmium reportantem, ſegregationi ſubjiciunt. Nam Achar, quæ Deo nec oblata erant, nec ſanctificata, ſed ſolùm promiſſa, ſubtrahens, extremas dedit pœnas ab univerſo populo obrutus.

Ὁ οβʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, ἀλλὰ δὲ καὶ ὁ ογʹ. τὸν ἀπὸ τῆς ἐκκλησίας ἀφελόμενον κηρὸν, ἢ ἔλαιον, ἔτι δὲ σκεῦος ἁγιασθὲν, χρυσοῦ ἢ ἀργύρου πεποιημένον, ἢ ὀθόνην εἰς οἰκείαν χρῆσιν σφετεριζόμενον, καὶ κοινοῦντα, εἰ γὰρ μὴ ἱεροσυλίας, ὡς δ' οὖν παρανομίας δίκας ὑπέχοντα, ἀφορισμῷ ὑποβάλλουσιν. ὁ Ἀχὰρ δὲ καὶ ἅπερ οὐδέπω θεῷ προσενήνεκται, οὔτε μὲν ἡγίασται, ἀλλὰ μόνον ἐπήγγελται ὑφελόμενος, τὴν ἐσχάτην ἔδωκε δίκην, καταλευσθεὶς πανδημής.

D Decimus vero primæ & ſecundæ dictæ Synodi, dilucidiorem horum Canonum interpretatus mentem, Eos, inquit, qui vaſa vel veſtes extra altare ad proprium uſum convertunt, quæ ad templi ornatum ſanctificata fuerunt, lucernas forſan vel aulæa, & ad uſum profanum ſibiipſis vel aliis accommodaverint, Apoſtolicus Canon ſegregat, & nos unà ſegregamus: Eos autem, qui ſanctum calicem, vel diſcum, vel forcipem, vel venerandum indumentum, vel aërem dictum (id eſt, ſudarium) vel, ut ſummatim dicam, unum aliquod ex ſacris vaſis & intra altaria ſacra ſanctificatis, vel veſtimenta in proprium lucrum diripiunt, vel in uſum profanum convertunt (Hoc enim eſt prophanare; illud verò ſurripere ſacra) abſolutæ depoſitioni ſubjicimus, ut qui irreligioſum opus fecerunt.

Ὁ δὲ ιʹ. τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, ἐκδηλότερον τῶν κειμένων τούτων τὸν νοῦν ἑρμηνεύων, τοὺς σφετεριζομένους τὰ ἐκτὸς, φησι, τοῦ θυσιαστηρίου σκεύη ἢ ἄμφια, ἃ δὲ πρὸς κόσμον τοῦ ναοῦ καθιέρωται, λυχνίαι τυχὸν, ἢ ἔπιπλα, καὶ εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς ἢ ἑτέροις παρέχοντας, ὁ ἀποστολικὸς ἀφορίζει κανὼν, καὶ ἡμεῖς συναφορίζομεν· τοὺς μέντοι τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ τὴν λαβίδα, ἢ τὴν σεβασμίαν ἐνδυτὴν, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς ἕν τι ἐντὸς τῶν ἁγίων θυσιαστηρίων ἱερῶν καὶ ἁγίων σκευῶν, ἢ ἀμφιεσμάτων εἰς ἴδιον κέρδος ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν χρωμένους ἀνίερον (τὸ μὲν E γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ συλῆσαι τὰ ἅγια) παντελεῖ καθαιρέσει καθυποβάλλομεν, ὡς δυσεβὲς ἔργον διαπραξαμένους.

Et magnus Gregorius Nyſſenus in octavo ſuo Canone, Sacrilegium, ait, in antiqua Scriptura, cædis quidem condemnatione non viſum eſt tolerabilius. Similiter enim, & qui cædis convictus erat, & qui res Deo dedicatas abſtulerat, lapidationis ſupplicium ſubibat. Eccleſiaſtica autem conſuetudo lenitate, neſcio quomodo, utens, tolerabilius illius morbi piaculum exiſtimavit. Nam breviori tempore ſacrilegos quàm adulteros punivit: adulteros igitur xviii. annos à communione expellit. Conſule in xvi. capite literæ E. Can. ii. ſancti Cyrilli, & quæ ibi poſitæ ſunt legum caput iv.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ ηʹ. κανόνι, ἡ ἱεροσυλία, φησὶ, παρὰ μὲν τῇ ἀρχαίᾳ γραφῇ οὐδὲ ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα. ὁμοίως γὰρ, ὅ, τε φόνῳ ἁλοὺς, καὶ ὁ τὰ ἀνατεθέντα τῷ θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέχον. ἡ δὲ τῆς ἐκκλησίας συνήθεια συγκαταβάσει, οὐκ οἶδ' ὅπως, χρησαμένη, ἀνεκτότερον τὸ τῆς τοιαύτης νόσου καθάρσιον ἐλογίσατο. ἐλάττονι F γὰρ χρόνῳ τοὺς ἱεροσύλους ἢ τοὺς μοιχοὺς ἐκολάσατο· τοὺς οὖν μοιχοὺς εἰς ιηʹ. ἔτη τῆς κοινωνίας ἀπείργει. ζήτει καὶ ἐν τῷ ιϛʹ. κεφ. τοῦ Ε. στοιχείου κανόνα βʹ. τοῦ ἁγίου Κυρίλλου, καὶ τῶν ἐκεῖσε κειμένων νόμων τὸ δʹ. κεφάλαιον.

Leges.

Sacrilegii crimen ſimile eſt crimini læſæ majeſtatis.

Contra illum ſacrilegii actio movetur, qui ex rebus ſacris aliquid abſtulerit, & in proprium uſum converterit, vel qui horum aliquid dolo malo facere aggreſſus eſt.

Νόμοι.

Τὸ περὶ ἱεροσυλίας ἔγκλημα ὅμοιόν ἐστι καθοσιώσεως.

Ὁ δὲ περὶ τῆς ἱεροσυλίας κινεῖται νόμος κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν χρημάτων, ἢ χρησαμένου τούτοις εἰς ἰδίας χρείας, ἢ παρασκευασαμένου κατὰ δόλον γενέσθαι τι τούτων.

O

Ο κλέπτων τὸ μήπω θεῷ καθιερωθὲν, ὡς κλέπτης ἐν- A άγεται· τὸ γὰρ ὑφελέσθαι ἀπὸ τοῦ ἱεροῦ χρήματα ἰδιωτικὰ, οὐκ ἔστιν ἱεροσυλία, ἀλλὰ κλοπή. ὁ δὲ, τὰ ἀνατεθειμένα τῷ θεῷ κλέπτων, κἂν ἐξ ἰδιωτικοῦ τόπου κλέψῃ, ὡς ἱερόσυλος ἐνέχεται· ἐπεὶ γὰρ εἰσί τινα ἱερὰ μὴ ἀνατεθειμένα τῷ θεῷ, ὡς τὰ ἰδικῶς ἡμῖν διαφέροντα εἰκονίσματα, μήπω ναοῖς ἢ μοναστηρίοις ἀνατεθέντα, κατὰ τοῦτό φησιν ὁ νόμος, τὸν τόπον ποιεῖν τὴν κλοπὴν ἢ τὴν ἱεροσυλίαν. ὁ γὰρ τὴν ἐν τῷ οἰκίσκῳ ἡμῶν οὖσαν ἁγίαν εἰκόνα κλέπτων, οὐκ ἔστιν ἱερόσυλος, ἀλλὰ κλέπτης· εἰ δὲ μὴ εἴπωμεν ἂν καὶ τὸν νομίσματα κλέπτοντα εἰκόνα ἔχοντα τοῦ Χριστοῦ ἢ τῆς θεοτόκου, ὡς ἱερόσυλον ἐνάγεσθαι, ὅπερ ἄτοπον καὶ B ψευδές.

Ο ἱερόσυλος ἐν νυκτὶ τῷ θυσιαστηρίῳ ἐπεμβαίνων, καὶ ἀνατεθειμένα τῷ θεῷ ἱερὰ μολύνων ἢ ἀφαιρούμενος, ξίφει τιμωρείσθω· ἐν ἡμέρᾳ δὲ μέτριόν τι ἀφαιρούμενος ἀπὸ τῆς ἐκκλησίας διὰ πτωχείαν, τυπτόμενος ἐξοριζέσθω.

Qui aliquid Deo nondum dedicatum furatur, tanquam fur actione tenetur: nam res privatas à templo ſurripere, ſacrilegium non eſt, ſed furtum. Qui autem Deo conſecrata furatur, licèt ex privato loco furatus eſt, ſacrilegii tenetur. Quoniam enim ſunt quædam ſacra Deo non conſecrata, ut ſunt imagines, quæ ad nos privatim pertinent, nondum templis vel Monaſteriis dedicatæ, ideo dicit Lex, furtum vel ſacrilegium locum facere: nam qui ſanctam imaginem, quæ in noſtra cellula eſt, ſuffuratur, non eſt ſacrilegus, ſed fur; niſi diceremus, eum, qui ſuffuratur numiſmata, Chriſti vel Dei-paræ Virginis imaginem habentia, ut ſacrilegum teneri; quod abſurdum eſt & falſum.

Sacrilegus nocte altare aſcendens, & Deo dicata ſacra contaminans vel ſuffuratus, gladio puniatur: interdiu autem mediocre quid ab Eccleſia propter paupertatem auferens, verberatus exilio mittatur.

ΚΕΦ. β'.

Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ ἱεροῦ περιβόλων τὰς λεγο- C μένας ἀγάπας ποιεῖν, ἢ καπηλεῖα εἶναι, ἢ τι καὶ ἐμπορείας προστιθέναι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἢ τινὰ μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ ιε'. κεφάλαιον τοῦ Ε. στοιχείου.

CAPUT II.

Quòd non oportet intra templi ambitus Agapas dictas celebrare, vel cauponas eſſe, vel aliquid ad mercaturam exponere, vel jumentum abſque neceſſitate introducere, vel aliquem cum muliere remanere.

Vide xv. cap. literæ E.

ΚΕΦ. γ'.

Περὶ τῆς θείας ἱερουργίας. D

Ζήτει ἐν τῷ ε'. κεφ. τοῦ Τ. στοιχείου.

CAPUT III.

De ſacro Miniſterio.

Vide in v. capite literæ T.

ΚΕΦ. δ'.

Περὶ Ἰουδαίων, καὶ ὅτι μετ᾽ αὐτῶν κοινωνίαν ὅλως ἔχειν οὐ δεῖ τοὺς πιστούς.

Ζήτει ἐν τῷ β'. κεφ. τοῦ Α. στοιχείου κανόνα ξδ'. τῶν ἁγίων ἀποστόλων. E

Ο δὲ ο'. τὸν μετὰ Ἰουδαίων νηστεύοντα, ἢ συνεορτάζοντα, ἢ παρ᾽ αὐτῶν τὰ τῆς ἑορτῆς δεχόμενον ξένια, ἢ ἄζυμα, ἢ τι τῶν τοιούτων, κληρικὸν μὲν ὄντα, καθαιρεῖ· λαϊκὸν δὲ, ἀφορίζει. κἂν γὰρ μὴ τὰ ἐκείνων, εἰ καὶ οὕτω δρώῃ, φρονεῖν ἰσχυρίζεται, ἀλλὰ πολλοῖς σκανδάλου δίδωσιν ἀφορμὴν, καὶ ὑπόνοιαν καθ᾽ ἑαυτοῦ, ὡς τὰς Ἰουδαϊκὰς τιμᾷ τελετὰς, ἃς πρό γε τῆς χριστοκτονίας ὁ θεὸς φαίνεται βδελυττόμενος, νηστείας, λέγων, καὶ ἀργίας, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. οὐ γὰρ τοῖς Ἰουδαϊκῶς ζῶσιν ἐπιτιμᾷ ὁ κανὼν, ἀλλ᾽ οἷς οὐ περὶ πλείστου γίνεται F τῷ ἀδιαφόρως βιῶναι τῆς ἐκείνων ἀποδιΐστασθαι κοινωνίας.

CAPUT IIII.

De Judæis, & quòd non oportet fideles cum iis omnino communionem habere.

Quære in ii. capite literæ A. ſanctorum Apoſtolorum Canonem lxiv.

SEPTUAGESIMUS verò, Illum, qui cum Judæis jejunat, vel unà feſtum agit, vel ab ipſis feſti Xenia accipit, vel Azyma, vel aliquid tale, ſi ſit quidem Clericus, deponit; ſin autem Laicus, ſegregat. Nam, etſi ſe non idem quod illi, licèt ita faciat, ſentire contendit; multis tamen ſcandali occaſionem præbet, & in ſeipſum ſuſpicionem, quòd judaicos honorat ritus, quos vel ante Chriſtum trucidatum abominâſſe Deus invenitur, dicens, Jejunia, & ferias, & feſta veſtra odio habet anima mea. Non enim eos, qui Judaicè vivunt, punit Canon; ſed qui indiſcriminatim vivendo ab eorum communione maxima ex parte non abſcedunt.

Περὶ ἀζύμων κατὰ Λατίνων.

Ἐκ τούτου πάρεστι γνῶναι, μὴ κατὰ μικρὸν παρανομοῦντας τοὺς δι᾽ ἀζύμων τὴν μυστικὴν ἐπιτελοῦντας θυσίαν. εἰ γὰρ τοῖς ἁπλῶς ἐσθίουσιν ἄζυμα ἐξ Ἰουδαϊκῆς ἑορτῆς καθαίρεσιν ἐπάγει καὶ ἀφορισμόν· τὸ μεταλαμβάνειν τούτων ὡς κυριακοῦ σώματος, δι᾽ αὐτῶν τε τὸ πάσχα ἐπιτελεῖν,

De Azymis; contra Latinos.

Ex hoc innoteſcere poteſt, eos non parum tranſgredi, qui per Azyma myſticum ſacrificiū celebrāt. Nam ſi eis, qui ſimpliciter ex feſtis Judaicis Azyma comedūt, depoſitionem & ſegregationem inducit: eorum, tanquam Dominici corporis, eſſe participes, & cum illis Paſcha celebrare, A qualem habet excuſationem ſpecioſam? Non enim abſolutè azyma comedere prohibuit; ſed per azyma more Judaico feſta celebrare. Quodnam autem eſt incruento ſacrificio majus feſtum, quod Dominus, cùm myſterium ſalutare, mortem ſcilicet voluntariam, ſubiturus erat, ante Paſchatis feſtum tradidit? Quòd autem ne ſanctis Patribus in mentem quidem venit, nos per azyma feſtum celebrare, ex eo manifeſtum eſt, quòd omne feſtum Judaicum abolere nitebantur, & eorum ritibus & legibus contraria inſtituere: quemadmodum etiam jejunium & ferias in Sabbatis ſolverunt; porro & quod in Ninivitarum jejunii memoriam celebrant, & alia, quæ hîc particulariter enumerare non eſt præſentis B inſtituti.

Lxxi. verò Chriſtianum in Gentilium templa oleum deferentem, vel in Judæorum Synagogam, vel lucernam accendentem, ſegregationis ſupplicio tradit: exinde enim eorum feſta honorare cenſebitur.

Ab omnibus his diſcedere jubent etiam Laodicenæ Synodi Canones xxxvii. & xxxviii. & xxxix. qui de utroque Canone Apoſtolico mentionem injiciunt iiſdem verbis & nominibus.

C

Undecimus verò vi. Synodi, Qui cum Judæis comedere non recuſat, vel eorum familiaritatem non aſpernatur, vel in morbis eos ad medelam accerſit, vel unà cum iis in balneo lavatur, ſi ſit quidem Clericus, depoſitioni: ſin autem Laicus, ſegregationi ſubjicit. Vide etiam caput iv. literæ B.

Xxix. verò Laodicenæ Synodi, non decet, inquit, Chriſtianos, qui legem Evangelicam ſunt amplexi, & eis, qui adhuc umbraticam & imperfectam colunt, perfectiorem, Judæis adhærere, & Sabbatum, ut illi, honorantes, ocioſè in illo omne opus condemnare: ſed D in eo quidem operari; diem verò Dominicum præferentes, ociari, ſi poſſint, ut Chriſtiani, opera miſſa facientes, ut Eccleſiis aſſideant. Qui enim ob paupertatem, vel aliam quandam neceſſitatem etiam die Dominico inexorabile opus ſubivit, ut improbus, veniam non conſequitur. Eos autem, qui Judaicos non repudiunt mores, manifeſtè anathematis ſupplicio ſubjicit.

Leges.

E Judæi in Sabbato, & aliis eorum feſtis, neque miniſterium corporaliter obeunt, neque aliquid faciunt, neque publicè aut privati criminis accuſantur, nec Chriſtianos accuſant.

Si Judæus Chriſtianum vel catechumenum mancipium poſſideat, & circumciderit, vel auſus fuerit Chriſtianam alicujus perſuaſionem pervertere, capitali ſupplicio plectatur.

INITIUM LITERÆ K.

CAPUT I.

F

De depoſitis Epiſcopis & Clericis, & à quot Epiſcopis deponuntur.

Vide in nono capite literæ Δ. de eis, qui jure deponuntur.

UT & xii. & xv. Carthaginenſis Synodi Canones, quos invenies Epiſcopum à xii. Epiſcopis

A ποίαν ἔχει παραίτησιν εὐπρεπῆ; οὐ γὰρ τὸ ἁπλῶς ἐσθίειν ἄζυμα κεκώλυκεν, ἀλλὰ τὸ δι' ἀζύμων κατὰ Ἰουδαίους ἑορτάζειν. τίς δὲ μείζων τῆς ἀναιμάκτου θυσίας ἑορτή, ἣν ὁ κύριος ἡμῶν τὸ μυστήριον τὸ σωτήριον μέλλων ὑπέρχεσθαι, ἤγουν ἑκούσιον θάνατον, πρὸ τῆς τοῦ πάσχα ἑορτῆς παραδέδωκεν; ὅτι γε μὴν οὐδ' εἰς νοῦν τοῖς θείοις ἐπῆλθε πατράσι, τὸ δι' ἀζύμων ἑορτάζειν ἡμᾶς, δῆλον ἐκ τοῦ, πᾶσαν σπουδάσαι τούτους Ἰουδαϊκὴν περιελεῖν ἑορτήν, καὶ τἀναντία τοῖς αὐτῶν ἔθεσιν ἐπιτάξαι καὶ νόμοις· ὥσπερ δὴ τὴν ἐν τοῖς σάββασι νηστείαν καὶ ἀργίαν λελύκασι· προσέτι καὶ τὴν εἰς ἀνάμνησιν τῆς τῶν Νινευΐτων τελοῦσι νηστείας, καὶ τ' ἄλλα, B ἃ κατὰ μέρος διεξιέναι οὐ τοῦ παρόντος καιροῦ.

Ὁ δὲ οα'. καὶ τὸν κομίζοντα Χριστιανὸν ἔλαιον εἰς τὰ τῶν ἐθνῶν ἱερά, ἢ εἰς τὴν τῶν Ἰουδαίων συναγωγήν, ἢ λύχνους ἅπτοντα, τῇ τοῦ ἀφορισμοῦ δίδωσι δίκῃ· τιμᾶν γὰρ ἐκ τούτου τὰ ἐκείνων ὄργια λογισθήσεται.

Τούτων ἀφίστασθαι πάντων παρεγγυῶσι καὶ ὁ τῆς ἐν Λαοδικείᾳ λζ'. κανὼν καὶ ὁ λη'. καὶ λθ'. ἀμφοτέρων τῶν ἀποστολικῶν μεμνημένοι κανόνων αὐτοῖς ῥήμασι καὶ ὀνόμασιν.

Ὁ δὲ ια'. τῆς ς'. συνόδου, τὸν τὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθίειν μὴ παραιτούμενον, ἢ τὴν τούτων φιλίαν οὐκ ἀτιμάζοντα, ἢ ἐν νόσοις πρὸς ἰατρείαν αὐτοὺς προσκαλούμενον, ἢ ἐν βαλανείῳ τούτοις συλλουόμενον, κληρικὸν μὲν ὄντα, καθαιρέσει· λαϊκὸν δέ, ἀφορισμῷ ὑποτίθησι. ζήτει καὶ τὸ δ'. κεφάλαιον τοῦ Β'. στοιχείου.

Ὁ δὲ κθ'. τῆς ἐν Λαοδικείᾳ συνόδου, οὐ δεῖ, φησι, τοὺς χριστιανούς, τοὺς τὸν εὐαγγελικὸν νόμον δεξαμένους, καὶ τελεώτερον τοῖς ἔτι τὸν σκιώδη καὶ ἀτελῆ διώκουσι, προσέχειν Ἰουδαίοις, καὶ τὸ σάββατον ὡς ἐκεῖνοι τιμῶντας, ἀπραξίως D ἐν τούτῳ παντὸς ἔργου καταψηφίζεσθαι· ἀλλ' ἐν τούτῳ μὲν ἐργάζεσθαι, τὴν δὲ κυρίαν τῶν ἡμερῶν προτιμῶντας, εἴγε δύναιντο σχολάζειν ὡς χριστιανοί, τῶν ἔργων ἀφεμένους, προσεδρεύειν ταῖς ἐκκλησίαις. τὸν γὰρ ἐκ πενίας ἢ ἧστινοσοῦν ἄλλης ἀνάγκης καὶ κατά τινα κυριώνυμον ἔργον ἀπαραίτητον ὑπελθόντα, ὡς ἄγνωμον, μὴ συγγνώμης τυγχάνειν. τοῖς δὲ τὰ Ἰουδαϊκὰ μὴ παραιτουμένοις ἔθη φανερῶς τιμᾶται τὸ ἀνάθεμα.

Νόμοι.

E Οἱ Ἰουδαῖοι ἐν σαββάτῳ, καὶ ταῖς ἄλλαις αὐτῶν ἑορταῖς, οὔτε σωματικῶς λειτουργοῦσιν, οὔτε τι ποιοῦσιν, οὔτε διὰ δημοσίαν ἢ ἰδιωτικὴν αἰτίαν ἐνάγονται, ἢ χριστιανοῖς ἐνάγουσιν.

Ἐὰν Ἰουδαῖος χριστιανὸν ἢ κατηχούμενον ἀνδράποδον κτήσηται, καὶ περιτέμῃ, ἢ τολμήσῃ τινὸς διαστρέψαι χριστιανικὸν λογισμόν, κεφαλικῶς τιμωρείσθω.

ΑΡΧΗ ΤΟΥ Κ. ΣΤΟΙΧΕΙΟΥ.

F ΚΕΦ. α'.

Περὶ τῶν καθαιρεθέντων ἢ δι' ἐπισκόπων καὶ κληρικῶν, καὶ ὑπὸ πόσων ἐπισκόπων καθαιροῦνται.

Ζήτει ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Δ. στοιχείου, περὶ τῶν ἐνδίκως καθαιρεθέντων.

ΑΛΛΑ δὴ καὶ τὸν ιβ'. κανόνα, καὶ τὸν ιε'. τῆς ἐν Καρθαγένῃ συνόδου, οὓς εὑρήσεις ὑπὸ δώδεκα μὲν ἐπισκόπων κρῖναι χρῆναι κελεύοντας καθαιρεῖσθαι τὸν ἐπίσκοπον· ὑπὸ ἓξ δὲ A τὸν πρεσβύτερον, καὶ τριῶν τὸν διάκονον. καὶ ἐν τῷ ιη΄. κεφαλαίῳ τοῦ Α. στοιχείου. κανόνα ια΄. τῶν ἁγίων ἀποστόλων. καὶ ἐν τῷ θ΄. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνα κζ΄. τοῦ μεγάλου Βασιλείου.

Ο δὲ κα΄. τῆς ϛ΄. συνόδου οὕτω κατὰ λέξιν φησὶν, οἱ ἐπ᾽ ἐγκλήμασι κανονικοῖς ὑπόδικοι γενόμενοι κληρικοὶ, καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ ὑποβαλλόμενοι καθαιρέσει, καὶ εἰς τὸν τῶν λαϊκῶν τόπον ἀπωθέμενοι, εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες, ἀθετοῦσι τὴν ἁμαρτίαν, δι᾽ ἣν τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους B ἑαυτοὺς καθιστῶσι, τῷ τοῦ κληρικοῦ κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρέσσονται, καθάπερ οἱ λαϊκοὶ, τὴν κόμην ἐπιτρεφέτωσαν, ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου προτετιμηκότες ζωῆς· φιλανθρωπότερον γὰρ ὁ κανὼν τοῖς ἀληθεῖ μεταμέλῳ χρησαμένοις διατίθεται. οἱ μὲν γὰρ διά τινα περιφανῆ ἐγκλήματα καθαιρέμενοι, μοιχείᾳ τυχὸν ἢ ἱεροσυλίᾳ περιπεσόντες, εἰς τὴν τῶν λαϊκῶν ἐκβάλλονται χώραν, καὶ ἐνεργεῖν οὐδ᾽ ὅτι οὖν αὐτοῖς ἔξεστι τῶν τοῖς κληρικοῖς ἀνηκόντων. οἱ μέν τοι δευτέροις γάμοις προσομιλήσαντες συγγινώσκονται διὰ τὸν γάμον, καὶ τὰ ἔξω μετιέναι τοῦ βήματος οὐκ ἀπείργονται, ὡς ἡ οθ΄. C νεαρὰ τοῦ βασιλέως Λέοντος διορίζεται, ἣν καὶ ζήτει ἐν τῷ δ΄. κεφαλαίῳ τοῦ Γ. στοιχείου. ζήτει καὶ ἐν τῷ ιϛ΄. κεφαλαίῳ τοῦ Π. στοιχείου κανόνας θ΄. καὶ ι΄. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, καὶ ἐν τῷ ζ΄. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνα α΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

ΚΕΦ. β΄.

Περὶ τῶν καινιζομένων ἐκ βασιλέων ἐκκλησιῶν ἢ πόλεων.

D

Ζήτει τὸ κα΄. κεφάλαιον τοῦ Ε. στοιχείου.

ΚΕΦ. γ΄.

Περὶ καινοτομιῶν.

Νόμοι.

ΚΑΙΝΟΝ ἔργον ποιεῖ τις, ἢ οἰκοδομῶν, ἢ καταλύων ὁπωσοῦν καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσων. E

Ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν, τὸ ἀρχαῖον σχῆμα μὴ ὑπερεξίτω, μή τε ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχει κατὰ συμφωνίαν, ἢ ἐπ᾽ ἐρώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἢ ἐπιτρέπουσαν, ὡς βούλεται, τὸ παλαιὸν ἀμείβειν σχῆμα. ἡνίκα δὲ δύο οἶκοι ἀπάντικρυ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ἀπὸ τῶν θεμελίων μέχρι παντὸς τοῦ ὕψους· τούτου γὰρ φυλαττομένου τοῦ διαστήματος, ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον, καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν. ὁ δὲ νέον οἶκον οἰκοδομῶν, μὴ ἀφαιρείσθω τὴν ἄποψιν τοῦ γείτονος, ἐὰν ἐξ εὐθείας F ὁρᾷ τὴν θάλασσαν ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καθιζόμενος ἐν αὐτοῖς· καὶ μὴ ἀναγκάζεσθαι παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ᾽ ᾧ ἰδεῖν θάλασσαν· ἐὰν ᾖ ρ΄. ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων ὑπάρχει διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ, καὶ τὴν ἐπὶ θάλασσαν ἄποψιν ἀφαιρεῖσθαι τοῦ γείτονος. εἰ δὲ σύμφωνόν ἐστιν ἐπιτρέπον τινὶ τὴν οἰκοδόμησιν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτει τὸν γείτονα περὶ τὴν τῆς θαλάσσης ἄποψιν· οὐ δὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀφαιρεῖσθαι.

deponi oportere decernentes: Presbyterum verò, à ſex; & Diaconum, à tribus. Et in decimo octavo cap. literæ A. Canonem undecimum ſanctorum Apoſtolorum. Et in nono cap. ejuſdem literæ Canonem vigeſimum ſeptimum magni Baſilii.

Vigeſimus primus ſextæ Syn. Can. hoc modo verbatim dicit; Clerici, qui Canonicorum criminum rei facti, & propterea perfectæ ac perpetuæ depoſitioni ſubjecti, & in Laicorum locum detruſi ſunt; ſi quidem ad converſionem ſua ſponte reſpicientes peccatum deleant, propter quod à gratia exciderunt, & ab eo ſe penitus alienos efficiant, cleri habitu tondeantur: Sin autem non ſua ſponte hoc elegerint, comam ſicut Laici nutriant; utpote qui ſecularem converſationem vitæ cœleſti præpoſuerint. Nam in eos, qui verâ utuntur pœnitentiâ, clementior eſt Canon. Qui etenim propter manifeſta quædam crimina ſegregantur, in adulterium putà, vel ſacrilegium incidentes, in Laicorum locum dejiciuntur, nec eis, quæ ad Sacerdotes pertinent, adminiſtrare liceat. Qui porrò ſecundò uxorem duxerint, illi propter matrimonium ignoſcuntur, &, quominùs ea, quæ extra ſacrum tribunal fiunt, exerceant, non prohibentur, ut lxxix. Imperatoris Leonis Novella ſtatuit; quam etiam vide in iv. capite literæ Γ. Conſule etiam in decimo ſexto cap. literæ Π. Canones ix. & x. Synodi Neocæſarienſis, & in ſeptimo cap. ejuſdem literæ Canonem primum Antiochenæ Synodi.

CAPUT II.

De Eccleſiis vel urbibus ab Imperatoribus de novo extructis.

Vide xxi. cap. literæ E.

CAPUT III.

De Innovationibus.

Leges.

NOVUM opus facit aliquis, aut ædificando, aut quippiam diruendo, ita ut priſtinam faciem mutet.

Qui antiquam domum renovat, priſtinam formam ne excedat, neque luminibus aut proſpectui vicinorum officiat, niſi ſervitutem habeat per pactum vel per interrogationem ſibi conceſſam, aut permittentem, ut vult, priſtinam formam immutare. Quando vero duæ domus ſibi invicem oppoſitæ ſunt, inter eas duodecim pedes eſſe oportet, à fundamentis incipiendo uſque ad ſummam altitudinem: nam hoc obſervato ſpatio, unicuique licet ad immenſam altitudinem domum ſuam extruere, & in ea proſpectivas facere feneſtras. Qui autem novam ædificat domum, ne vicini proſpectui officiat, dum in ſuâ domo ſtat vel in ea ſedet, directè mare proſpiciat, & non cogatur ſeipſum ad latus convertere, ut mare videat: ſin autem inter utramque domum centum pedum obſervetur intervallum, cuilibet ſine impedimento ædificare liceat, & vicini in mare proſpectui officere. Si verò ædificandi pactum conventum alicui fuerit, valeat pactum, quamvis vicini in mare proſpectui offendat: non enim convenit, ut ſervitutes, quas habeat aliquis, per leges generales eximantur.

A Quando in angiporto vel platea domum ſuam ædificat aliquis, licet etiam latior duodecim pedibus ſit angiporti vel plateæ menſura, ne adimat quod redundat, & propriæ domui addat: nam in publici damnum duodecim pedes non decrevit conſtitutio, ſed ne anguſtior duodecim pedibus intra domos eſſet aër. Quando verò his plures inveniuntur, nemo ex iis auferat; ſed civitati propria ſerventur. Si quidem medio ſint pedes decem & non pauciores, tunc proſpectivas feneſtras ne faciat ædificator, niſi priùs eas habuit: feneſtras autem lumen immittentes faciat, ſex pedibus à pavimento aperiendas.

B

Communibus domibus ſervitutem imponere dominorum vicinorum unus abſque alterius ſententia non poteſt; neque communem demoliri parietem aut reficere præter vicini ſententiam, quandoquidem non eſt ſolus Dominus.

In arboribus autem vel hortulis proſpectûs ſervitus non obſervatur.

C Si vicini arbor in media area conſita, magnas extendens radices, noſtræ domûs fundamentis offenderit, Magiſtratus providentiâ vicinus exſcindere cogatur.

Non rectè prohibet aliquis vicinum ſuum ſub tignorum ejus ſtillicidio portam verſus viam publicam aperire, cùm actum non lædit.

Si fons ex quo aquam hauſit quidam, pro tempore exſiccetur, & rurſus ad ſuas venas redierit, renovatur in eo, ut priùs, aquæductus hauſtus.

D Neque furnum neque focum in communi pariete quis facere poteſt.

Furnum ædificantem, qui in ſuperioribus domi partibus habitant, à fumo offenſi, prohibere poſſunt: niſi jus habeat, illic fumum intromittere. Et è contrario, Qui in ſuperioribus tectis habitant, aquam vel ſtercus præcipitare prohibentur, & illis, qui in inferioribus degunt, nocere. In propriis enim domibus tantum cuilibet facere licet, in quantum alius non offenditur.

E Si paries tuus ſemipedem in ædes meas ſeſe inclinaverit, poſſum tecum agere, ut eum erigas.

Nemo poteſt ſtercus prope alterius ædes projicere, niſi talem habeat ſervitutem.

Quicunque abſque Imperatoris mandato civitatis vicum ſuis ædibus obſtruet, citra controverſiam antiqua jura civitati reddat.

Secundum legem viæ latitudo in porrectum quidem octo pedes habet, in anfractum verò ſexdecim.

F

CAPUT IIII.

De Calendis & divinationibus.

Vide xiii. caput literæ B. & iii. caput literæ E.

Ὅτε δὲ, μέσου ὄντος στενωποῦ ἢ πλατείας, οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν δώδεκα ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέτω· οὐ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς δώδεκα πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενώτερον τῶν δώδεκα ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. ὅτε δὲ πλέον τούτων εὑρίσκεται, μηδεὶς ἐξ αὐτῶν ἀφαιρείσθω, ἀλλὰ τῇ πόλει περισωζέσθω τὰ οἰκεῖα. εἰ μέντοι πόδες δέκα εἰσὶν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ποιείτω ὁ κτίζων, εἰ μὴ πρότερον εἶχεν αὐτάς, φωταγωγοὺς δὲ ποιείτω, ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας.

Δουλείαν ἐπιθεῖναι τοῖς ἐπικοίνοις οἰκήμασιν ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην τοῦ ἑτέρου οὐ δύναται· οὐδὲ τὸν ἐπίκοινον καταλύειν τοῖχον, ἢ ἀνανεοῦν παρὰ γνώμην τοῦ κοινωνοῦ, ἐπειδὴ οὐκ ἔστι μόνος δεσπότης.

Κατὰ δένδρων μέντοι ἢ κήπων δουλεία ἀπόψεως οὐ φυλάττεται.

Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ ἱστάμενον, μεγάλας ἐκτεῖνον ῥίζας, τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτῃ, προνοίᾳ τοῦ ἄρχοντος, ἀναγκαζέσθω ὁ γείτων ἐκτίμνειν.

Οὐ καλῶς κωλύει τις τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλεῶνα κατὰ τῆς δημοσίας ὑποκάτω τοῦ σταλαγμοῦ τῶν κεράμων αὐτοῦ, ἐν ᾧ μὴ βλάπτῃ τὴν πάροδον.

Ἐὰν ἡ πηγὴ, ἀφ' ἧς ἕλκει τις ὕδωρ, ξηρανθεῖσα ἐπί τισι χρόνοις αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, ἀνανεοῦται αὐτῷ πάλιν ὁ τοῦ ὕδατος ἀντλισμὸς καθὰ καὶ πρότερον.

Οὔτε φοῦρνον οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν.

Τὸν κτίζοντα φοῦρνον, δύνανται οἱ ἐν τοῖς ὑψηλοτέροις οἴκοις, ὑπὸ τοῦ καπνοῦ βλαπτόμενοι, κωλύειν αὐτὸν, εἰ μὴ ἄρα δίκαιον εἶχεν, ἐκεῖσε τὸν καπνὸν εἰσπέμπειν. καὶ τὸ ἀνάπαλιν, οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες, κωλύονται ὕδωρ ῥίπτειν ἢ κόπρον, καὶ καταβλάπτειν τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας. ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποιεῖν τι ἐν τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτῃ.

Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου ἐκκλίνῃ ἥμισυ ποδὸς, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν.

Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ῥίπτειν, εἰ μὴ τοιαύτην ἔχει δουλείαν.

Ὅστις χωρὶς κελεύσεως βασιλικῆς ῥύμην πόλεως τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδότω.

Κατὰ νόμον ἡ πλατεῖα ὁδὸς εἰς μὲν ὀρθὸν ὀκτὼ ποδῶν ἐστιν, εἰς δὲ κάμψιν ἑκκαίδεκα.

ΚΕΦ. δ'.

Περὶ καλανδῶν καὶ κληδονισμῶν.

Ζήτει τὸ ιγ'. κεφάλαιον τοῦ Β. στοιχείου. καὶ τὸ γ'. κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. ε΄.

Περὶ κανόνων ἐκκλησιαστικῶν, καὶ πόσους δεῖ κανόνας κρατεῖν.

Ὁ α΄. τῆς δ΄. συνόδου κανὼν, τοὺς ὑπὸ τῶν ἁγίων πατέρων, φησὶ, καθ' ἑκάστην σύνοδον, οἰκουμενικήν τε δηλονότι καὶ τοπικὴν, ἄχρι καὶ νῦν ἐκτεθέντας κανόνας, εἴς τε δογμάτων συντελοῦντας ἀκρίβειαν, καὶ τὴν τῆς ἐκκλησίας κατάστασιν, κρατεῖν δικαιοῦμεν. B

Ὁ δὲ δεύτερος τῆς ς΄. συνόδου κανὼν, καὶ κατὰ μέρος τοὺς συντεταχότας τοὺς ἱεροὺς καὶ θείους κανόνας κοινῇ τε καὶ ἰδίᾳ θείους πατέρας ἀπαριθμεῖται, καὶ βεβαίως μένειν θεσπίζει, οὓς αὐτοί τε τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου ἐχρησμοδοτήθησαν πνεύματος, καὶ οἱ πρὸ ἡμῶν ἅγιοι πατέρες ἐδέξαντο καὶ ἐκύρωσαν, καὶ ἡμῖν παραδεδώκασι πρός τε ψυχῶν θεραπείαν, καὶ ἰατρείαν παθῶν, τοὺς πέντε καὶ ὀγδοήκοντα τῶν ἁγίων ἀποστόλων φημὶ, πλὴν τῶν διὰ Κλήμεντος διατάξεων, αὗται γὰρ πολὺ τὸ νόθον παρὰ τῶν κακοδόξων δίκην ζιζανίων εἰσεδέξαντο, ὃ κῦρος ἔχειν κελεύει, καὶ οὓς οἱ ἐν Νικαίᾳ τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες ἐκπεφωνήκασιν, ἀλλὰ C δὴ καὶ οὓς ἡ ἐν τῇ βασιλίδι τῶν πόλεων δευτέρα καὶ οἰκουμενικὴ σύνοδος τῶν ρν΄. πατέρων ἐθέσπισε, καὶ ἡ τρίτη τῶν ἐν Ἐφέσῳ διακοσίων πατέρων, καὶ ἡ τετάρτη τῶν ἐν Χαλκηδόνι, ἑξακοσίων τριάκοντα πατέρων, καὶ οὓς ἡ ἁγία ἐν Ἀγκύρᾳ σύνοδος διετάξατο, πρὸς δὲ καὶ ἡ ἐν Νεοκαισαρείᾳ, καὶ ἡ ἐν Γάγγραις, καὶ ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, καὶ ἡ ἐν Λαοδικείᾳ Φρυγίας, καὶ ἡ ἐν Σαρδικῇ, καὶ ἡ ἐν Καρθαγένῃ. δεκτέοι δὲ μὴν καὶ οἱ παρὰ Νεκταρίου, καὶ Γενναδίου τῶν Κωνσταντινουπόλεως γραφέντες προέδρων, προσέτι Διονυσίου, καὶ Πέτρου τῶν ἱερομαρτύρων, Ἀθανασίου τοῦ μεγάλου, καὶ Κυρίλλου, D καὶ Τιμοθέου, καὶ Θεοφίλου, οἳ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γεγόνασι πρόεδροι. οὐ μὴν ἀλλὰ καὶ Γρηγορίου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ, Βασιλείου Καισαρείας τοῦ μεγάλου, Γρηγορίου Νύσσης, Γρηγορίου τοῦ θεολόγου, καὶ Ἀμφιλοχίου Ἰκονίου· ὁ μέντοι πρὸς τοῦ ἀρχιεπισκόπου τῆς Ἀφρων χώρας ἱερομάρτυρος Κυπριανοῦ, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκδοθεὶς κανὼν ἐν τοῖς αὐτῶν τόποις καὶ μόνον ἐκράτησε. τῶν τοίνυν συμπάντων κανόνων τούτων ὅγε τινὰ παραχαράττειν, ἢ ἀνατρέπειν, ἢ ἀθετεῖν τολμῶν, ἢ καινοτομεῖν, ἢ ἑτέρους ψευδῶς πρός τινων συντεθέντας παραδέχεσθαι, τῶν ἐπιχειρούντων τὴν ἀλήθειαν καπηλεύειν, ὁ τοιοῦτος ἔστω, φησὶν, ἀνάθεμα, καὶ τοῦ Χριστιανικοῦ καταλόγου ἀλλότριος. E

Ὁ α΄. τῆς ζ΄. συνόδου κανὼν, τοὺς θείους, φησὶ, κανόνας, ἔργον νομίζοντες ἀτεχνῶς περιμάχητον, ἀσπασίως ἐνστερνιζόμεθα, οὕς τε πρῶτον οἱ θεῖοι ἀπόστολοι σαφῶς διεχάραξαν, καὶ οὓς αὖθις αἱ ἓξ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, πρὸς δὲ, καὶ αἱ τοπικαὶ συνετάξαντο· ἔτι γε μὴν καὶ οὓς ἰδίᾳ ἔνιοι τῶν ἐπ' εὐσεβείᾳ διενεγκόντων καὶ ἀρετῇ, σοφοὶ πατέρες ἐκπεφωνήκασι, καὶ ὁλόκληρον καὶ ἀσάλευτον τὴν σφῶν διαταγὴν τηρεῖσθαι θεσπίζομεν, ὡς ἄν γε δήπου τῆς αἰωνίου μακαριότητος πρόξενον. ἐξ ἑνὸς γοῦν ἅπαντες καὶ τοῦ αὐτοῦ F πνεύματος αὐγασθέντες τὸν νοῦν, τὰς τῶν κανόνων διατάξεις ὑποτυπώσαντες ἐκδεδώκασιν· ἃς δὴ καὶ ὡς μαρτύριά τε κατορθώματα, αἰδοῖ τῇ πάσῃ τιμᾶν χρή. διαμαρτύρονταί γε τοι σαφῶς καὶ ὑποδεικνύουσι, πῶς δεῖ βιοῦντας ἡμᾶς τὴν ἀρετὴν κατορθοῦν· καὶ τοῖς παραβεβηκόσι, τὴν μετελευσομένην αὐτοὺς προζωγραφοῦσιν ἀπαραίτητον κόλασιν. ταῦτά τοι καὶ τὰ τοῦ θεόπτου Μωσέως δανεισάμενοι λέγομεν, ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν· καὶ τὰ τοῦ ἀποστόλου, εἰ ἄγγελος εὐαγγελίζηται ὑμῖν παρ'

CAPUT V.

De Canonibus Eccleſiaſticis, & quot Canones valere oportet.

PRimus iv. Synodi Canon, Qui à ſanctis Patribus, inquit, in unaquâque Synodo, œcumenicâ nempe & provinciali, hucuſque expoſiti ſunt canones, ad fidei dogmata ſtabilienda, & Eccleſiaſticam diſciplinam, obſervari æquum cenſemus.

Secundus vi. Synodi Canon etiam particulariter enumerat ſanctos Patres, qui & privatim & publicè ſanctos & divinos Canones compoſuerunt, & firmiter manere decernit, quos illi Spiritus Sancti inſpiratione ediderunt, & ſancti Patres, qui nos præceſſêre, ſuſceperunt & confirmârunt, & nobis ad animarum medelam & perturbationum curationem tradiderunt, ſanctorum Apoſtolorum, dico, octoginta quinque Canones (præter conſtitutiones per Clementem; nam illis adulterina quamplurima ab Hæreticis zizaniorum more introducta ſunt) authoritatem habere jubet, & quos trecenti decem & octo divinitùs inſpirati Patres Nicææ emiſerunt; ut & quos in Imperiali civitate ſecunda & œcumenica Synodus centum & quinquaginta Patrum expoſuit; & tertia in Epheſo ducentorum Patrum; & quarta in Chalcedone ſexcentorum & triginta Patrum; & quos ſancta in Ancyrâ Synodus ordinavit; porro & quos illa in Neocæſareâ, & in Gangris, & in Antiochia Syriæ, & in Laodiceâ Phrygiæ, & in Sardica, & in Carthagine. Accipiendi etiam ſunt canones à Nectario & Gennadio, qui ante Dionyſium Conſtantinopoli præſidebant, ſcripti, & Petri ſancti martyris, magni Athanaſii, & Cyrilli, & Timothei, & Theophili, qui Alexandriæ magnæ civitatis fuerant Præſides: ut & etiam Gregorii Neocæſareæ, qui Thaumaturgus dictus eſt, magni Baſilii Cæſareæ, Gregorii Nyſſeni, Gregorii Theologi, & Amphilochii Iconii: qui vero à Cypriano, Aphrorum regionis Archiepiſcopo & Martyre, & à Synodo, quæ ſub eo fuit, emiſſus eſt Canon, in eis locis & ſolùm obtinuit. Quicunque igitur horum omnium Canonum aliquem vel adulterare, vel ſubvertere, vel abolere audet, vel innovare, vel alios à quibuſdam falsè compoſitos admittere, qui veritatem cauponari conati ſunt, talis, inquit, ſit anathema, & à Chriſtiano catalogo alienus.

Primus vii. Synodi Canon, Divinos, inquit, canones, opus prorſus controverſiâ dignum judicantes, lubenter amplectimur, tam quos primùm divini Apoſtoli manifeſto formârunt, quam quos rurſum ſex ſanctæ & œcumenicæ Synodi, porro etiam & provinciales ediderunt; adhuc etiam & quos privatim quidam pietate & virtute excellentium, ſapientes Patres ediderunt: eorúmque conſtitutionem integram & illabefactam obſervari decernimus, tanquam quidem æternæ felicitatis authorem. Ex uno igitur eodemque Spiritu omnes mente illuminati, Canonum conſtitutiones compoſuerunt & ediderunt: quas quidem, ut teſtimonia & ad rectè ſe gerendum inſtituta, omni verecundiâ honorare oportet. Manifeſtò quidem teſtantur, atque ab oculos ponunt, quo pacto vita nobis inſtituenda eſt, & in eâ virtus efformanda: & tranſgreſſoribus inevitabile deſignunt ſupplicium in illos vindicaturum. Verba itaque Moſis, qui Deum vidit, mutuantes dicimus, eis non licet addere, nec ab eis licet detrahere: Et Apoſtoli, Si Angelus vobis evangelizaverit, præter id quod accepiſtis,

A ſit anathema. Et nos etiam anathema denunciamus in eos, qui à ſanctis Canonibus illi ſubjiciuntur, depoſitos etiam deponimus, & ſegregatos ſegregamus: etenim eis, quos pœnæ ſubjecerunt, eandem pœnam decernimus.

ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἀνάθεμα τοίνυν καὶ ἡμεῖς ἀποφαινόμεθα τοὺς παρὰ τῶν θείων κανόνων τούτῳ παραπεμφθέντας, καθαιροῦμεν τε τοὺς καθαιρεθέντας, καὶ τοὺς ἀφορισθέντας συναφορίζομεν· ἀλλὰ γὰρ τοῖς ἐπιτιμηθεῖσι τὴν αὐτὴν ἐπιτιμίαν ὁρίζομεν.

Sectio Vnitionis.

Unitionis verò ſectio, omnibus, inquit, contemptui habentibus ſanctorum noſtrorum Patrum ſacros & divinos Canones, qui & ſanctam Eccleſiam ſuffulciunt, & completam Chriſtianiſmi ſummam adornantes ad B divinam pietatem viam ducunt, Anathema.

Τόμος ἑνώσεως.

Ὁ δὲ τῆς ἑνώσεως τόμος, τοῖς ἐν καταφρονήσει, φησί, τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ὑπερείδουσιν ἐκκλησίαν, καὶ ὅλον τὸ Χριστιανικὸν πλήρωμα κοσμοῦντες, πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

Lex.

Cxxxi. Juſtiniani Novella, Sancimus, inquit, ut ſancti Eccleſiaſtici Canones, qui à ſeptem ſanctis Conciliis promulgati aut confirmati ſunt, vicem legum obtineant; nempe à Nicæno trecentorum duodeviginti (Patrum) Concilio, in quo Arius, cui à furore cognomen inditum eſt, anathemate eſt percuſſus; à Conſtantinopolitano ſanctorum Patrum centum quinquaginta, à quibus Spiritus Sancti oppugnator Macedonius C infamiâ notatus eſt; ab Epheſino primo, in quo Neſtorius condemnatus eſt; à Chalcedonenſi, in quo Eutyches cum Dioſcoro anathemate percuſſus eſt; adhæc qui à Conſtantinopolitano ſecundo, à quo Origenes unà cum operibus ſuis, & alii quidam impii, ignominiâ affecti ſunt; præterea qui à Conſtantinopolitano tertio, quod de multis hæreſibus triumphans, vetuſtiorum ſanctorum Conciliorum placita ſancta confirmavit; & ſuper omnes, qui à Nicæno ſecundo, in quo illi, qui adverſus ſacras imagines inſaniebant, pariter cum primitivis hæreticis Catholicâ Dei Eccleſiâ abdicati ſunt: prædictorum enim ſanctorum Conciliorum decreta, perinde ac ſacras ſcripturas ſuſcipi- D mus, & Canones ut leges cuſtodimus. Quotquot verò ſanctorum Conciliorum poſt Juſtinianum meminit Novella, cum legum repetitam prælectionem emiſit Imperator, illa addidit, neceſſe eſt verò Canones majoris eſſe authoritatis, quam leges; hæ enim ab Imperatoribus ſolùm conditæ fuerunt, & à ſucceſſoribus eorum bene ſe habere judicabantur: Canones autem à ſanctis Patribus, ſententiâ & conſilio & conſenſu tunc temporis Imperatorum, fuerunt conſcripti & confirmati. Attamen venerandæ leges magnum momentum divinis Canonibus admininiſtrant: partim quidem E illis convenientes; partim verò, quæcunque in illis deſunt, ſupplentes, ubi opus habet.

Νόμος.

Ἡ δὲ ρλα΄. Ιουστινιάνειος νεαρὰ, θεσπίζομεν, φησί, νόμων τάξιν ἐπέχειν τοὺς ἁγίους καὶ ἐκκλησιαστικοὺς κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων ἑπτὰ συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας, τουτέστι τοὺς ἐν Νικαίᾳ τῶν τιη΄. καθ᾽ ἣν Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος ἀνεθεματίσθη· καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ἁγίων ρν΄. πατέρων, ὑφ᾽ ὧν ὁ πνευματομάχος Μακεδόνιος ἐστηλιτεύθη· καὶ τῆς ἐν Ἐφέσῳ α΄. ἐν ᾗ ὁ Νεστόριος κατεκρίθη· καὶ τῆς ἐν Χαλκηδόνι, καθ᾽ ἣν ὁ Εὐτυχὴς μετὰ Διοσκόρου ἀνεθεματίσθη· πρὸς δὲ ταύταις, τῆς ἐν Κωνσταντινουπόλει τῆς δευτέρας, δι᾽ ἧς Ὠριγένης μετὰ τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἕτεροί τινες δυσσεβεῖς, παρεδειγματίσθησαν· καὶ ἔτι τῆς ἐν Κωνσταντινουπόλει τῆς τρίτης, ἥτις διαφόρους αἱρέσεις θριαμβεύσασα, τὰ τῶν πρωτογενεστέρων ἁγίων συνόδων θεῖα δόγματα ἐπεκύρωσε, καὶ ἐπὶ πᾶσι τῆς ἐν Νικαίᾳ τῆς δευτέρας, ἐξ ἧς οἱ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσαντες, ἐξ ἴσου τοῖς προλαβοῦσιν αἱρετικοῖς τῆς καθολικῆς τοῦ Θεοῦ ἐκκλησίας ἀπεκηρύχθησαν· τῶν γὰρ προειρημένων ἁγίων συνόδων τὰ δόγματα, καθάπερ τὰς θείας γραφὰς, δεχόμεθα, καὶ τοὺς κανόνας ὡς νόμους φυλάττομεν. ὅσων δὲ ἁγίων συνόδων μετὰ τὸν Ιουστινιανὸν ἡ νεαρὰ μέμνηται, ὁ τὴν τῶν νόμων ἀνακάθαρσιν ποιήσας βασιλεὺς προσέθετο, πλέον τοίνυν τῶν νόμων τοὺς κανόνας ἰσχύειν ἀνάγκη. οἱ μὲν γὰρ παρὰ τῶν εἰσέπειτα καλῶς ἔχειν ἐνομίσθησαν· οἱ δέ γε κανόνες παρὰ τῶν ἁγίων πατέρων, γνώμῃ καὶ σπουδῇ καὶ ψήφῳ τῶν τηνικάδε βασιλέων, συνεγράφησαν καὶ ἐπεστηρίχθησαν. ὅμως γε μὴν μεγάλην ῥοπὴν τοῖς θείοις κανόσιν οἱ φιλευσεβεῖς ἐκπορίζουσι νόμοι· τὰ μὲν ἐκείνοις συντρέχοντες, τὰ δὲ καὶ ἀναπληροῦντες, ἅπερ ἐκείνοις ἐστὶν ὅπη παρεῖται.

CAPUT VI.

De Canonico.

Vide leges in xxviii. capite literæ X. poſitas.

ΚΕΦ. ϛ΄.

Περὶ κανονικοῦ.

Ζήτει τοὺς κειμένους νόμους ἐν τῷ κη΄. κεφαλαίῳ τοῦ Χ. στοιχείου.

F

CAPUT VII.

Quòd Clericum in cauponam ingredi non decet.

SANCTORUM Apoſtolorum liv. Canon, Si Clericus in caupona comedere deprehenſus fuerit; niſi propter neceſſitatem in publicum diverſorium diverterit, ſegregari jubet. Nam Clericos, cum vitæ ſanctæ

ΚΕΦ. ζ΄.

Ὅτι εἰς καπηλεῖον οὐ δεῖ τὸν κληρικὸν εἰσιέναι.

Ὁ τῶν ἁγίων ἀποστόλων νδ΄. κανὼν, τὸν ἐσθίειν ἐν καπηλείῳ φωραθέντα κληρικὸν, εἰ μήπου δι᾽ ἀνάγκην ἐν πανδοχείῳ, ἀφορίζεσθαι κελεύει. βίου γὰρ σεμνοῦ τοῖς λαϊκοῖς παράδειγμα τυγχάνοντας τοὺς κληρικοὺς, ἀνεπι-

λήπτους

λήπτοις ἐν ἅπασιν εἶναι δεῖ, ἵνα μὴ δι' αὐτοὺς τὸ τοῦ Θεοῦ ὄνομα βλασφημεῖται. ὁ δὲ καπηλείοις ὡς τὰ πολλὰ χαίρων, ἀπαθῶς τῆς τῶν ἐκεῖ προσεδρευόντων καὶ ἀσέμνως βιούντων ἀνδρῶν τε καὶ γυναικῶν οὐκ ἂν εἴη κακίας. τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ μγ΄. διορίζεται.

Ο δὲ θ΄. τῆς ϛ΄. συνόδου, μηδενὶ ἐξεῖναί, φησι, κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν. εἰ γὰρ τῷ τοιούτῳ εἰς καπηλεῖον εἰσιέναι οὐκ ἐπιτέτραπται, πολλῇ γ' ἂν ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν. εἰ δέ τις τοῦτο διαπράξαιτο, ἢ παυσάσθω, ἢ καθαιρείσθω· καὶ δεινὸν μὲν ἂν εἴη, τὸ, προΐστασθαι τούτου, καὶ δι' ἑαυτοὺς εἰσιόντας ὑποδέχεσθαι· εἰ δέ τις κληρικὸς τοιοῦτον ἐργαστήριον ἔχων, ἑτέρῳ δοίη μισθοῦ, τοῖς τοῦ κανόνος δεσμοῖς οὐχ ὑπόκειται· τοῦτο γὰρ ἔσθ' ὅτε καὶ παρὰ μοναστηρίοις καὶ ἐκκλησίαις συμβαῖνον ἴδοι τις ἄν.

Ο δὲ τῆς ἐν Λαοδικείᾳ κδ΄. πρεσβυτέρους, διακόνους, ὑπηρέτας, ἀναγνώστας, ψάλτας, ἀφορκιστὰς, θυρωροὺς, καὶ τοὺς ὅσοι τοῦ τῶν ἀσκητῶν τάγματος, εἰς καπηλεῖον εἰσιέναι, τῶν ἀθέσμων ἡγεῖται, καὶ κομιδῇ βλαβερῶν.

Νόμοι.

Η δὲ ρλγ΄. Ιουστινιάνειος νεαρὰ, τὸν ἀναστρεφόμενον ἐν καπηλείῳ μοναχὸν σωφρονίζεσθαι κελεύει παρὰ τοῦ ἐπάρχου, καὶ ἐξωθεῖσθαι τοῦ μοναστηρίου παρὰ τοῦ ἡγουμένου, ὡς τὸν ἐν αἰσχύνῃ βίον τῆς ἀγγελικῆς καταστάσεως ἀλλαξάμενον.

ΚΕΦ. η΄.

Περὶ καρποφορίας τῆς εἰς τοὺς θείους ναούς.

Ο γ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, ἔτι δὲ καὶ ὁ δ΄. ἐπὶ τῇ ἀναιμάκτῳ θυσίᾳ οἴνῳ μόνῳ κεχρῆσθαι καὶ ἄρτῳ κελεύει· καὶ τοὺς εἰς τοὺς ναοὺς καρποφοροῦντας ταῦτα μόνον εἰσφέρειν· ἔτι δὲ καὶ ἔλαιον, ὥστε φῶς δι' αὐτοῦ τῷ ἀληθινῷ φωτὶ ἀναπέμπεσθαι, καὶ θυμίαμα τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς· μήτε δὲ μέλι, μήτε γάλα, μὴ ἀντὶ οἴνου τὰ ἐξεπίτηδες σκευαζόμενα σίκερα, ἃ καὶ μέθην ὥσπερ οἶνος ἐμποιεῖν πέφυκε· μὴ ὄρνεις, ἢ ἕτερα ζῶα, ἢ ὄσπρια· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα κληρικὸν εὐθὺς καθαιρεῖ. τὰ μέντοι, ὡς ἀπαρχὰς τῶν ὡραίων καρπῶν, ἔν γε τῷ δέοντι καιρῷ εἰσφερόμενα, πεπείρους φημὶ, βότρυς, καὶ νέα χύδρα, τὰ πρὸς βρῶσιν ἐπιτήδεια δηλαδὴ τῶν ὀσπρίων, καὶ τὴν ἄλλην ἅπασαν ὀπώραν, ἐπ' οἴκου πέμπει τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις· εἰς δέ γε τὸ θυσιαστήριον μηδ' ὁπουοῦν τούτων εἰσάγειν· κἀκείνους ταῦτα δεχομένους, μὴ εἰς οἰκείαν μόνην ἔχειν ἀπόλαυσιν, ἀλλὰ καὶ τῷ κλήρῳ διανέμειν παντί.

Ο δὲ κη΄. τῆς ϛ΄. συνόδου καθαιρεῖ τοὺς εἰς τὸ θυσιαστήριον σταφυλὰς δεχομένους κληρικοὺς, καὶ τῇ ἀναιμάκτῳ θυσίᾳ τῆς προσφορᾶς συνάπτοντας, καὶ οὕτως ἡνωμένως ἀμφότερα διανέμοντας τῷ λαῷ· ἀλλὰ τὴν μὲν εἰς ἄφεσιν ἁμαρτιῶν τελουμένην ζωοποιὸν προσφορὰν ἰδίᾳ τῷ λαῷ μεταδιδόναι κελεύει. ἰδίᾳ δὲ τὰς σταφυλὰς, μετ' εὐλογίας, ὡς ἀπαρχὰς διανέμειν, πρὸς τὸ χάριν εἰδέναι τοὺς μεταλαμβάνοντας τῷ δοτῆρι τῶν ἐτησίων καρπῶν, δι' ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον τρέφεταί τε καὶ αὔξει. ὁ δὲ παρὰ τὰ διατεταγμένα ποιῶν κληρικὸς καθαιρεῖται.

A exemplo ſunt Laicis, in omnibus inculpatos eſſe oportet; ne propter ipſos Dei nomen blaſphemetur. Qui verò quamplurimùm cauponis delectatur, virorum & mulierum ibi confluentium & inhoneſtè viventium non eſt turpitudinis expers. Eadem etiam Carthaginenſis xliii. ſtatuit.

Nonus ſextæ Synodi, Nulli Clerico, inquit, licere cauponiam habere tabernam. Si enim ei in cauponam ingredi non eſt permiſſum, nequaquam etiam aliis in eâ miniſtrare, & ea, quæ ipſi non licet, tractare. Si quis autem hoc fecerit, vel ceſſet, vel B deponatur: & grave quidem eſſet, illi præeſſe, & eos, qui ingrediuntur per ſeipſos ſuſcipere. Siquis autem Clericus talem habeat tabernam, & alteri elocet, canonis pœnis non ſubjicitur: hoc enim etiam apud monaſteria & Eccleſias aliquando accedere quis videat.

Xxiv. Laodicenæ, Presbyteros, Diaconos, Miniſtros, Lectores, Cantores, Exorciſtas, Oſtiarios, & eos qui ſunt monachorum ordinis, in cauponam ingredi, iniquum & omninò impium judicat.

C *Lex.*

Cxxxiii. Juſtiniani Novella, Monachum in caupona converſantem caſtigari jubet à Præfecto, & monaſterio per Antiſtitem expelli, quippe qui vitam ignominioſam Evangelicæ inſtitutioni prætulerit.

CAPUT VIII.

De fructibus in divina Templa D offerendis.

Tertius ſanctorum Apoſtolorum canon, ut & etiam quartus, in incruento ſacrificio vino ſolo & pane uti jubet; & qui fructus in templa adducunt, illa ſola afferre; præterea & oleum, ut lumen per hoc vero lumini accendatur, & incenſum tempore ſanctæ oblationis; ſed neque mel, neque lac, neque pro vino ſiceram factitiam, quæ, ut vinum, ebrietatem faciunt; neque aves, vel alia animalia, vel legumina: eum verò, qui præter hæc facit, Clericum ſtatim deponit. Hæc quidem, tanquam tempeſtivorum fructuum E primitias, in tempore opportuno oblata, maturas dico uvas, & novas ſpicas, cibo nempe idonea legumina, & omnem alium fructum autumnalem, donum Epiſcopo & Presbyteris mittere; ad altare verò nullum eorum offerre: qui cùm eos ſuſceperint, in domeſticam ſuam utilitatem ſolam non habeant; ſed univerſo clero diſtribuant.

Xxviii. ſextæ Synodi, Clericos, qui uvas ad altare oblatas recipiunt, & cum incruento oblationis ſacrificio conjungunt, & ita ſimul utraque populo diſtribuunt, F deponit: ſed vivificam quidem ſolummodo oblationem ad peccatorum remiſſionem celebratam populo impertire jubet; ſeorſim vero uvas, ut primitias, cum benedictione diſtribuere, ut qui ex iis participant annuorum fructuum datori gratias agant, per quos corpora noſtra divina diſpoſitione aluntur & augentur. Qui itaque præter hæc decreta fecerit, Clericus deponitur.

Septimus, porro & viii. Synodi in Gangra, Illum qui per ſe dat vel accipit fructus Eccleſiæ oblatos, præter Epiſcopi vel Oeconomi ſententiam, quippe quòd illos parvi facit, anathemati ſubjicit.

Carthaginenſis Synodi xl. Nihil præter panem & vinum in ſanctis jubet offerri: panem quidem, in Domini corporis typum; vinum verò, ſanguinis. Ita enim cum Dominus propriis Diſcipulis dedit, dixit, *Hoc eſt Corpus meum*: & poculum rurſum, *Bibite ex eo omnes, hoc eſt Sanguis meus.* Quoniam autem non ſolùm ſanguis, ſed etiam aqua ex latere Domini in cruce haſtâ penetrato effluxit; idcirco Eccleſiæ neceſſariò uſu receptum eſt, in ſacris myſteriis aquam cum vino admiſcere. Mel autem & lac ad infantium myſterium offerri, à ſextâ Synodo vetitum eſt.

Dicit enim lvii. ejus Synodi canon, ad altare lac vel mel offerri non oportet.

De Hydroparaſtatis & Armeniis.

Quinetiam xxxii. hujus ſextæ Synodi, duas hæreſes ex diametro oppoſitas, æquè verò impias, deſcribens, illorum nempe, qui ad ſancti calicis adminiſtrationem aquâ ſolùm utuntur (qui quidem Hydroparaſtatæ à facto nominantur;) & Armeniorum, qui cum vino ſolo adminiſtrationem rurſus faciunt: propter hæc equidem, aquam vino admiſceri jubet, & ita incruentum ſacrificium offerre, & illa quidem antiqua fuit: Armeniorum verò ex divi Chryſoſtomi verbis occaſionem ſeu initium ſumpſit. Nam magnus ille Pater dictam Hydroparaſtatarum hæreſin evertens, dicit, in Evangelii ſecundùm Matthæum interpretatione, pro dignitate ſpiritus qui in eo eſt ſententiam explicans, quæ dicit, Nequaquam ex vitis fructu bibam; Quamobrem, cùm reſurrexit, non aquam bibit, ſed vinum? aliam improbam hæreſin radicitùs extirpans. Quoniam enim nonnulli in ſacris myſteriis ſolùm aquâ uſi ſunt, oſtendens quòd, & quando myſteria tradidit, vinum tradidit, & quando, poſtquam ſurrexiſſet, abſque myſteriis nudam menſam appoſuit, vino uſus eſt, ex fructu, inquit, vitis: vitis autem non aquam, ſed vinum generat. Hic error pervenit ad Armenios, qui magnum Patrem in ſancto Sacrificio aquæ adjunctionem improbare exiſtimabant. Hàs igitur hæreſes expugnans canon, Domini frater, magnus Jacobus, inquit, cui Hieroſolymitanæ Eccleſiæ thronus primùm concreditus eſt; & Cæſarienſium Eccleſiæ Epiſcopus magnus Baſilius, cujus gloria totum terrarum orbem pervaſit; ut & aureum Eccleſiæ os, myſtico nobis in ſcriptis tradito ſacrificio, ex aqua & vino ſanctum calicem conficiendum ediderunt, & Eccleſiis circa ſe illic paſtoralem tradiderunt præfecturam, quippe clerum aliquem ſupra allatum reliquerunt.

Prædicti etiam xxxvii. Carthaginenſis canonis meminit. Qui verò non ita facit; ſed ut imperfectum myſterium enunciat, & quæ tradita ſunt innovat, Sacerdotium, inquit, exuat.

A Ο δὲ ἕβδομος τῆς ἐν Γάγγρᾳ συνόδου, ἔτι δὲ καὶ ὁ η΄. τὸν ἀφ' ἑαυτοῦ διδόντα ἢ λαμβάνοντα τὰς τῇ ἐκκλησίᾳ προσαγομένας καρποφορίας, παρὰ γνώμην τοῦ ἐπισκόπου ἢ τοῦ οἰκονόμου, ἅτε περὶ ἐλαχίστου τούτους τιθέμενον, τῷ ἀναθέματι ἀνατίθησιν.

Ο δὲ τῆς ἐν Καρθαγένῃ μ΄. μηδὲν πλέον ἄρτου καὶ οἴνου κελεύει προσφέρεσθαι εἰς τὰ ἅγια· τὸν μὲν ἄρτον εἰς τύπον τοῦ σώματος τοῦ κυρίου, τὸν δὲ οἶνον, τοῦ αἵματος. οὕτω γὰρ ὁ κύριος τοῖς οἰκείοις διδοὺς μαθηταῖς, ἔφη, τοῦτό ἐστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον αὖθις, πίετε ἐξ αὐτοῦ B πάντες, τοῦτό ἐστι τὸ αἷμά μου. ἐπεὶ δὲ οὐχ αἷμα μόνον, ἀλλὰ καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ κυρίου ἐῤῥύη, νυγείσης ἐν τῷ σταυρῷ τῇ λόγχῃ, ἀναγκαίως τῇ ἐκκλησίᾳ νενόμισται, ἐν τοῖς ἱεροῖς μυστηρίοις ὕδωρ τῷ οἴνῳ παρακιρνᾶν. τὸ δὲ μέλι καὶ γάλα εἰς τὸ μυστήριον τῶν νηπίων προσφέρεσθαι, παρὰ τῆς ς΄. συνόδου κεκώλυται.

Φησὶ γὰρ ὁ νζ΄. ταύτης κανὼν, ἐν τοῖς θυσιαστηρίοις οὐ χρὴ γάλα καὶ μέλι προσφέρεσθαι.

Περὶ ὑδροπαραστατῶν καὶ ἀρμενίων.

C Ἀλλὰ καὶ ὁ λβ΄. ταύτης τῆς ς΄. συνόδου, δύο διαγράφων αἱρέσεις, ἐκ διαμέτρου μὲν ἱσταμένας, ἐπίσης δὲ νοσούσας τὸ ἄθεσμον, τῶν τε ὕδατι μόνον εἰς τὴν τοῦ ἁγίου ποτηρίου χρωμένων ἱερουργίαν, οἳ δὴ καὶ ὑδροπαραστάται προσηγορεύθησαν ἐκ τῆς πράξεως, καὶ τῶν δι' οἴνου μόνου τὴν ἱερουργίαν αὖθις ποιουμένων Ἀρμενίων· διὰ δὴ ταῦτα, ὕδωρ οἴνῳ μιγνῦσθαι κελεύει, καὶ οὕτω τὴν ἀναίμακτον προσάγειν θυσίαν, καὶ ἡ μὲν παλαιά τις ἦν· ἡ δὲ τῶν Ἀρμενίων ἐκ τῶν τοῦ θείου Χρυσοστόμου ῥημάτων ἔσχε τὰς ἀμοιβὰς ἤτ' οὖν ἀφορμάς. ὁ γὰρ μέγας οὗτος πατὴρ τὴν ῥηθεῖσαν D τῶν ὑδροπαραστατῶν αἵρεσιν ἀνατρέπων, φησὶν, ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἐξηγήσει, τὸ ῥητὸν ἀξίως τοῦ ἐν αὐτῷ πνεύματος ἀναπτύσσων, τὸ λέγον, οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου· τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστὰς, ἀλλ' οἶνον; ἄλλην αἵρεσιν πονηρὰν πρόῤῥιζον προανασπῶν. ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι μόνον κεχρημένοι, δεικνὺς ὅτι, καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, οἶνον παρέδωκεν, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐκέχρητο, ἐκ τοῦ γεννήματος, φησι, τῆς ἀμπέλου· ἄμπελος δὲ οὐχ ὕδωρ, ἀλλ' οἶνον γεννᾷ. τοῦτο πλάνον ἐνῆκε τοῖς Ἀρμενίοις, οἰηθεῖσι τὸν μέγαν E ἀθετεῖν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν. ταύταις οὖν ἀπομαχόμενος ὁ κανὼν ταῖς αἱρέσεσιν, ὁ τοῦ κυρίου, φησὶν, ἀδελφὸς, ὁ μέγας Ἰάκωβος, ὁ τῆς τῶν Ἱεροσολύμων ἐκκλησίας πρῶτος τὸν θρόνον κοσμήσας, καὶ ὁ τῆς Καισαρείων ἐπίσκοπος μέγας Βασίλειος, οὗ τὸ κλέος πᾶσαν ἐπέδραμεν τὴν ὑφ' ἥλιον, πρὸς δὲ τὸ χρυσοῦν στόμα τῆς ἐκκλησίας, ἐγγράφως τὴν μυστικὴν ἡμῖν παραδεδωκότες ἱερουργίαν, ἐξ ὕδατος καὶ οἴνου τὸ ἱερὸν ποτήριον, τελειοῦν ἐκδεδώκασι, καὶ ταῖς κατ' αὐτοὺς ἐκκλησίαις ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθησαν ἡγεμονίαν, οἷά τινα κλῆρον ἄνωθεν ἠγμένον κατέλιπον.

F Μέμνηται δὲ καὶ τοῦ προῤῥηθέντος λζ΄. τοῦ ἐν Καρθαγένῃ κανόνος. ὁ τοίνυν μὴ οὕτω ποιῶν, ἀλλ' ὡς ἀτελὲς τὸ μυστήριον ἐξαγγέλλων, καὶ καινοτομῶν τὰ παραδεδομένα, τὴν ἱερωσύνην περιδυέσθω, φησίν.

A

Περὶ τοῦ ζέοντος ὕδατος ἐν τοῖς θείοις μυστηρίοις ἐμβαλλομένου.

Οὐ δεῖ δὲ τοὺς Λατίνους ἡμᾶς αἰτιᾶσθαι, εἰ πρὸς τῷ τέλει τῆς ἱερουργίας ζέον ὕδωρ τῷ ποτηρίῳ ἐκχέομεν. οὐ γὰρ μεταβάλλει τοῦτο τὴν δι' οἴνου καὶ ὕδατος τοῦ ποτηρίου ἕνωσιν, ἐπεὶ μὴ ἔστιν ἕτερόν τι τὴν φύσιν τοῦ πρὶν ἐμβληθέντος ὕδατος. πιστοῦται δὲ μόνον τὸ τοῦ θαύματος μέγεθος, τῷ καὶ τῇ γεύσει πείθειν ἡμᾶς, μὴ ἐκ νεκροῦ, ἀλλ' ἐκ ζῶντος σώματος τὸ αἷμα καὶ τὸ ὕδωρ ῥυῆναι. ἐκ νεκροῦ γὰρ ἀτμίζον αἷμα οὐ πέφυκε καταρρεῖν· ἐκ δὲ τοῦ κυριακοῦ σώματος, B ὡς ζῶντος καὶ ζωοποιοῦ, τὰ ζωοποιὰ ἐρρύη, τὸ αἷμα, φημί, καὶ τὸ ὕδωρ. οὐκ εἰσάγεται δὲ τὸ ζέον κατὰ τὴν ἀρχὴν τῆς ἑνώσεως, ἵνα μὴ ψυχρὸν αὖθις ἐν τῷ καιρῷ τῆς μεταλήψεως γεγονός, εἰς τὸν πρότερον ἐπανέλθῃ λόγον. οἱ δὲ Ἴβηρες, καίπερ ὀρθοδοξίας ἄκρως μεταποιούμενοι, ζέον τῷ ἁγίῳ οὐκ ἐμβάλλουσι ποτηρίῳ· τῷ ἐν ἔθει, ὥς φασι, γεγονέναι, μὴ οἴνου πίνειν μετὰ θερμοῦ ὕδατος· ἀλλὰ τὴν τοῦ μυστηρίου διδαχθέντες δύναμιν, τοῦτο καὶ αὐτοὶ ποιεῖν ἐπεκράτησαν.

Ὁ δὲ ϟθʹ. τῆς ϛʹ. συνόδου ἀνατρέπει καὶ ἕτερόν τι τῶν ἀ- C θεμίτων ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ γινόμενον· μέλει γὰρ τοῦ θυομένου ἕψοντες ζώου ἔνδον τοῦ θυσιαστηρίου, ἐκ τούτων ἀφαιρέματα τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ἀπένεμον, τούτοις ἀφωρισμένα καὶ ἀποτεταγμένα, κεφαλὴν τυχὸν ἢ ἄλλο τι μέρος ἀφαιρεθὲν ἐκ τοῦ σώματος, ἅπερ τοῖς Ἰουδαίοις λόγους εἶχον ἀναγωγῆς. τοῦτο οὖν ἀπαγορεύει, ἐφίησι δὲ προσάγειν αὐτοῖς, οἷα καὶ ὅσα οἱ προσάγοντες βούλονται, ἔξω τῆς ἐκκλησίας, συγκαταβάσει χρώμενος διὰ τὴν κρατήσασαν παρ' ἐκείνοις συνήθειαν. τὸν δὲ ἔτι τοῦτο ποιοῦντα, ἀφορίζεσθαι παρηγγύησεν.

D

Περὶ τῆς λοχείας τῆς ὑπεραγίας θεοτόκου.

Ὁ δὲ οθʹ. ἀπαγορεύων τὸ σεμίδαλιν ἕψειν, καὶ ἀλλήλοις μεταδιδόναι, τῇ ἐπιούσῃ μετὰ τὴν ἑορτὴν τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως, εἰς τιμὴν δῆθεν τῆς λοχείας τῆς ἀχράντου παρθενομήτορος, ὡς καὶ ἐπὶ τῶν λοχευομένων ἔθος γίνεσθαι γυναικῶν· κληρικῶν μὲν τοῦτο ποιούντων, καθαιρέσει· λαϊκῶν δέ, ἀφορισμῷ καθικνεῖται, ἀλόχευτον εἶναι λέγων τὸν τόκον τῆς ἁγίας παρθένου, ἅτε καὶ ἄσπορον τὴν σύστασιν ἐσχηκότα. λοχεία δέ ἐστιν ἡ μετὰ ὠδίνων τοῦ βρέφους ἀπότεξις, καὶ ἡ τῶν αἱμάτων ἀκόλουθος ῥύσις, ὧν ἥκιστα πειρασθῆναι τὴν θεοτόκον νομίζομεν, μᾶλλον δὲ βεβαίως πι- E στεύομεν. ταῦτα γὰρ ταῖς φυσικῶς συλλαβούσαις παρομαρτεῖ· τῇ δὲ παρθένῳ, ἐπείπερ ἐκ πνεύματος ἁγίου καὶ ὑπὲρ φύσιν ἡ σύλληψις ἦν, καὶ ὁ τόκος δήπου τῶν φυσικῶν ἰδιωμάτων ὑπέρτερος. ὕβρις τοίνυν τῇ θεοτόκῳ, καὶ οὐ τιμή, τὸ γίνεσθαί τι ἐπὶ τῷ ἀνεκφράστῳ τόκῳ, ὡς καὶ ἐπὶ τῶν ἄλλων τικτουσῶν εἴωθε γυναικῶν.

Ὁ δὲ τοῦ Θεοφίλου Ἀλεξανδρείας ζʹ. τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὸ ἀνηλῶσθαι ὅσα νόμος εἰς τὴν τῶν μυστηρίων χρείαν, τοὺς κληρικοὺς ἐπισκήπτει διανεμομένους ἐσθίειν ταῦτα καὶ πίνειν, κοινωνεῖν δὲ τούτων καὶ τοῖς F πιστοῖς ἀδελφοῖς, τῶν κατηχουμένων δὲ μηδενί.

Ζήτει τὸν νόμον ἐν τῷ ιηʹ. κεφαλαίῳ τοῦ Α. στοιχείου.

De ferventi Aquâ ſacris myſteriis injiciendâ.

Nos equidem Latinos reprehendere non oportet, quòd circa adminiſtrationis finem aquam ferventem in calicem injicimus. Illud enim, quæ fit per vinum & aquam, calicis unionem non mutat; quoniam non eſt aliud naturâ ab aquâ priùs injectâ. Solùm autem miraculi magnitudo oſtenditur, ut nos ex guſtu credamus, non ex mortuo ſed vivente corpore, ſanguinem & aquam fluxiſſe. Nam ex mortuo ſanguis fumans effluere non poteſt; ex Dominico autem corpore, tanquam ex vivo & vivifico, effluxerunt vivifica, ſanguis ſcilicet & aqua. At fervens aqua circa unionis initium non injicitur, ne rurſus tempore participationis refrigeſcens, in priorem ſtatum redeat. Iberes verò, qui ſunt ſumme orthodoxi, ferventem in ſanctum calicem non injiciunt; quoniam, ut aiunt, obtinuit conſuetudo, ut vinum cum ferventi aqua non biberent: ſed myſterii facultatem edocti, & hoc facere perſuaſi fuerunt.

Xcix. ſextæ Synodi, improbum quoddam aliud in Armeniorum regione factum evertit: membra enim immolati animalis coquentes intùs in ſacro altari, eorum fruſta Sacerdotibus, ipſis ſegregata & deſtinata, Judaicè diſtribuebant, caput fortaſſe vel aliquam ejuſmodi partem à corpore ſeparatam; quæ quidem Judæis myſterii rationem obtinuerant. Hoc igitur vetat; at verò illis, quæcunque & quantacunque offerentes voluerint, extra Eccleſiæ ſeptum offerendi, ob inveteratam apud eos habitam conſuetudinem, poteſtatem facit. Quicunque vero amplius hoc fecerit, ſegregari jubet.

De ſanctiſſimæ Deiparæ puerperio.

Lxxix. prohibens ſimilam coquere, & ſibi invicem impertiri, ſequenti poſt ſanctæ Chriſti nativitatis feſtum die, in honorem ſcilicet puerperii impollutæ Virginis matris; quippe in aliarum mulierum puerperio hoc fieri obtinuit conſuetudo: ſi Clerici hoc faciunt, depoſitione; ſin autem Laici, ſegregatione proſequitur, ſanctæ Virginis partum abſque ullo puerperio fuiſſe dicens, ut ſine ſemine conſtitutum. Eſt vero puerperium cum doloris ſenſu emiſſio fœtûs, & conſequens ſanguinis profluvium, quibus nullatenus obnoxiam fuiſſe Deiparam judicamus, imò verò firmiter credimus. Iſta enim partus naturales ſequuntur: Virgini verò, cùm ex Spiritu ſancto & ſupra naturam fuit conceptio, etiam ejuſdem partus iis, quæ naturalem partum conſequuntur, non obnoxius fuit. Contumelia igitur Deiparæ eſt, & non honor, eorum aliquid in eximio ejus partu fieri, quæ in aliarum mulierum partu fieri ſolent.

Theophili Alexandrini ſeptimus, Quæ ſacrificii ratione offeruntur, poſtquam ea, quæ ad myſteria peragenda lex requirit, abſumuntur, Clericos inter ſe diſtribuentes comedere & bibere injungit, & fratribus fidelibus, nulli autem catechumenorum, communicare.

Conſule legem in capite decimo octavo literæ A.

UMI

CAPUT IX.

De Episcoporum & Clericorum accusatione; & quinam ad accusationem admittendi sunt, & quinam non admittendi.

Vide in ix. capite literæ Δ.

De Testibus ad Tribunale.

SI ob sui filii cædem Pater aliquem accusat, & per calumniam motus id facere convincatur, nullâ ignominiâ afficitur. Frater item contra fratrem magnum crimen movere non potest: quoniam non exaudietur, sed exilio subjicietur.

CAPUT X.

De Catechumenis.

Vide in primo capite literæ A.

NEOCÆSARIENSIS verò v. Si è perfectioribus Catechumenis quispiam peccaverit, inquit, & peccare cesset, inter Audientes stet; sin verò inter Audientes fuerit, & à peccato non abstinuerit, extra Ecclesiam in Deflentium locum extrudatur.

In duos enim ordines Catechumeni olim dividebantur; in eos qui perfectiorem jamjam amplexi sunt fidem, sed Baptismum differunt; qui usque ad Catechumenorum preces in templo expectabant, & illis mysticè peractis, genua flectebant; quando autem pronunciatum fuit, Quotquot Catechumeni egredimini, exibant: & in eos, qui nuper accesserunt, quique ut imperfectiores, post divinorum Evangeliorum auditionem exibant. Vide & in primo capit. lit. B. canones magni Basilii xx. & Theophili iv. Cyrilli iv.

CAPUT XI.

Quinam debent rerum Episcopi hæredes constitui.

Vide quartum caput literæ Δ.

CAPUT XII.

De hæreditate, & exhæredibus filiis aut parentibus.

Leges.

QUI descendunt, sive mares, sive fœminæ sint, adscendentibus, & iis qui ex transverso sunt, præponuntur.

Si cum filio & posteris ab altero filio moriatur avus, posteri personam sui patris subeunt, & simul cum filio, hoc est, patruo suo, avi facultatum hæredes fiunt, accipiendo, quicquid accepturus erat, si vixisset, ipsorum pater, sive masculi sint sive fœminæ, sive sub potestate sive sui juris.

Cum descendentes non supersint, advocantur adscendentes, qui omnibus ex transverso præponuntur, præter fratres & fratrum filios ex eisdem parentibus natos: inter ascendentes verò, qui gradu proximus est, præponitur; eodem modo etiam ex iis, qui ex transverso sunt:

A

ΚΕΦ. θ'.

Περὶ κατηγορίας ἐπισκόπων καὶ κληρικῶν, καὶ τίνες εἰς κατηγορίαν δεκτέοι, καὶ τίνες ἄδεκτοι.

Ζήτει ἐν τῷ θ'. κεφ. τοῦ Δ. στοιχείου.

Περὶ τῶν ἐν τοῖς δικαστηρίοις μαρτύρων.

B ΕΑΝ πατὴρ κατηγορήσας τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ, καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται. ἀδελφὸς δὲ κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν οὐ δύναται· ἐπεί τοι γε, καὶ οὐκ εἰσακουσθήσεται, καὶ ἐξορίᾳ ὑποβληθήσεται.

ΚΕΦ. ι'.

Περὶ κατηχουμένων.

Ζήτει ἐν τῷ α'. κεφαλαίῳ τοῦ Α. στοιχείου.

C Ο δὲ ε'. τῆς ἐν Νεοκαισαρείᾳ, τῶν τελεωτέρων τις κατηχουμένων ἁμαρτὼν, φησι, καὶ πεπαυμένος τοῦ ἁμαρτάνειν, μετὰ τῶν ἀκροωμένων στήτω· εἰ δὲ τῶν ἀκροωμένων εἴη, καὶ τῆς ἁμαρτίας οὐκ ἀφίσταται, εἰς τὴν τῶν προσκλαιόντων χώραν ἀπὸ τῆς ἐκκλησίας ἐξωθείσθω.

Εἰς δύο γὰρ τάξεις οἱ κατηχούμενοι πάλαι διῄρηντο, εἴς τε τοὺς ἤδη τελεώτερον τὴν πίστιν εἰσδεξαμένους, ὑπερτιθεμένους δὲ τὸ βάπτισμα, οἳ καὶ μέχρι τῆς τῶν κατηχουμένων εὐχῆς ἐν τῷ κυριακῷ περιέμενον, καὶ ταύτης μυστικῶς λεγομένης, τὸ γόνυ ἔκλινον· ἐκφωνηθέντος δὲ τοῦ, ὅσοι κατηχούμενοι προέλθετε, ἐξήρχοντο· εἴς τε τοὺς ἄρτι προσελθόντας, οἳ καὶ, ὡς ἀτελέστεροι, D μετὰ τὴν ἀκρόασιν τῶν θείων εὐαγγελίων ἐξίασι. Ζήτει καὶ ἐν τῷ α'. κεφαλαίῳ τοῦ Β. στοιχείου, κανόνας τοῦ μεγάλου Βασιλείου κ. καὶ Θεοφίλου δ'. Κυρίλλου δ'.

ΚΕΦ. ια'.

Τίνας δεῖ κληρονομεῖν τὰ ἴδια τοῦ Ἐπισκόπου.

Ζήτει τὸ δ'. κεφάλαιον τοῦ Δ. στοιχείου.

E

ΚΕΦ. ιβ'.

Περὶ κληρονομίας, καὶ ἀποκλήρων υἱῶν ἢ γονέων.

Νόμοι

ΟΙ κατιόντες, κἂν ἄῤῥενες, κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων, καὶ τῶν ἐκ πλαγίου.

Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐκγόνοις ἀπὸ ἄλλου παιδὸς, οἱ ἔκγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου F πατρὸς, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσι τὰ τοῦ πάππου, λαμβάνοντες εἴ τι ἔμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες, κἂν θήλειαι ὦσιν, εἴ τε ὑπεξούσιοι, εἴ τε αὐτεξούσιοι.

Κατιόντων μὴ ὑπόντων, προσκαλοῦνται οἱ ἀνιόντες, προτιμώμενοι τῶν ἐκ πλαγίου πάντων, χωρὶς τῶν ἐκτὸς αὐτῶν γονέων φύντων ἀδελφῶν καὶ ἀδελφοπαίδων· τῶν δὲ ἀνιόντων ὁ ἐγγύτερος τῷ βαθμῷ προτιμᾶται. ὡσαύτως καὶ ἐπὶ τῶν ἐκ πλαγίων.

εἰ δὲ ἐπὶ τοῦ αὐτοῦ βαθμοῦ εἰσὶ πάντες, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν.

Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι, καὶ ἀδελφῶν γνησίων, καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχὴν, κἂν θήλειαι, κἂν ἄρρενες ὦσιν· οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται εἰς τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον, καὶ λαμβάνουσιν εἴ τι ἔμελλε λαμβάνειν, εἰ περιῶν ὁ πατὴρ αὐτῶν.

Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφόν· ἀλλὰ δὴ καὶ οἱ παῖδες τοῦ ἀποθανόντος ἀδελφοῦ, μὴ μόνον ὁμομητρίου καὶ ὁμοπατρίου, ἀλλὰ καὶ ἀμφιθαλοῦς· εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ, ἢ παῖδες ἀδελφῶν τοιούτων, τότε οἱ ἐκ διαφόρων γονέων φύντες ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν.

Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι, καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ, εἰς τὴν ἐκείνου κληρονομίαν.

Ἡ μήτηρ συγκληρονομεῖ τοῖς ἰδίοις τέκνοις, τῶν τελευτησάντων αὐτῆς μὲν παίδων ἐκείνων ἀδελφῶν, ἑνὸς ἀδελφοῦ μέρος λαμβάνουσα.

Ὅτι δεῖ τὸν μὴ δευτερογαμήσαντα ἄνδρα λαμβάνειν ἐκ τῆς προικὸς παιδὸς ἑνὸς μοῖραν κατὰ δεσποτείαν.

Ἀδελφοῦ μὴ ὑπόντος ἢ ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέν τοι γε ὄντες ἐγγύτεροι· καὶ εἰ εὑρεθεῖεν πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ, ἐπίσης κληρονομοῦσιν.

Οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ κληρονομοῦσιν ὑπόντων φυσικῶν, ἢ γαμετῆς, ἢ ἄλλων διαδόχων αὐτῶν.

Νόθος παῖς γενόμενος γνήσιος, μόνου τοῦ πατρὸς αὐτοῦ ἐστι γνήσιος, οὐκέτι δὲ καὶ τῶν κατιόντων ἢ τῶν ἀνιόντων, ἢ τῶν ἐκ πλαγίου συγγενῶν τοῦ πατρὸς, οὐδὲ κληρονομεῖ αὐτοὺς, οὐδὲ κληρονομεῖται ἐξ αὐτῶν χωρὶς διαθήκης.

Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα, συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ, καὶ μὴ ἐπέχειν μέρους ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔρρωται τὸ σύμφωνον τοῦτο, οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον αὐτὸν τελευτῶντα ἡ θυγάτηρ, τὴν προῖκα τοῖς ὑπεξουσίοις μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρουσα· ἀλλὰ καὶ τὴν πρὸ γάμου δωρεὰν, ὥσπερ τὴν προῖκα, δεῖ συνεισφέρεσθαι, ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ ἐστὶν, εἴτε πατὴρ, ἤ τις τῶν ἀνιόντων, ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός.

Ἡνίκα τελευτήσειεν ἀνὴρ, ἢ γαμετὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων, ἢ τῶν κατιόντων, ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν χρήσαιεν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου κληρονομίαν, καὶ ἡ γυνὴ διαδεχέσθω τὸν ἄνδρα.

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτώσης αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστιν.

Ζήτει καὶ ἐν τῷ ιζ΄. κεφαλαίῳ τοῦ Π. στοιχείου. ζήτει καὶ τὸ ε΄. κεφάλαιον τοῦ Υ. στοιχείου.

A si vero omnes ejuſdem gradus ſint, ſimul ad hæreditatem vocantur.

Si defuncto aſcendentes ſuperſint, & fratres genuini, & filii fratris, cujus pater & mater vivit, ante mortui, omnes ad ejus ſucceſſionem vocantur, ſive fœminæ ſint, ſive mares: nam fratrum filii patris ſui perſonam ſubeunt, & quicquid, modo vixiſſet, eorum pater accepturus eſſet, accipiunt.

B Fratres ex iiſdem parentibus nati, ut fratris ſui fiant hæredes, primum habent ordinem: verùm etiam & defuncti fratris filii, non modò ejuſdem matris & patris, ſed etiam cujus pater & mater adhuc ſuperſtites ſunt: ſi vero non ſuperſint fratres vel filii talium fratrum, tunc ex diverſis parentibus nati fratres defuncti fratris fiant hæredes.

Siquis cum fratre ex diverſis parentibus nato moriatur, & cum filiis fratris ejuſdem patris & matris, fratris filii ipſi fratri præponuntur ad ejus hæreditatem.

C Mater unà cum filiis ſuis hæreditatem ſortitur, & defunctis quidem ejus filiis ipſorum fratribus, unius fratris portionem accipiens.

Quòd oportet virum, qui ſecundam non ducit uxorem, pro dominio pueri unius portionem ex dote accipere.

Cùm non ſuperſit frater vel fratris filius, reliqui à latere cognati vocantur, qui ſunt gradu propinquiores: & ſi ejuſdem gradus plurimi inveniantur, æqualiter ſortiantur.

D Filii ex diverſis ſcortis non ſunt hæredes, cùm ſuperſint naturales, vel conjux, vel alii ipſorum ſucceſſores.

Nothus legitimus factus, ſolius patris ſui fit legitimus, nequaquam verò & deſcendentium vel aſcendentium, vel eorum qui ex tranſverſo ſunt patris cognati; neque illorum hæres ipſe fit, neque abſque pacto illi ejus fiunt hæredes.

E Si pater filiæ ſuæ dotem tribuit, & convenit illam dote ipſi datâ acquieſcere, & nullam ipſius hæreditatis partem detrahere, non valet iſtud pactum, neque quò minùs illius hæres fiat, ſi inteſtatus moriatur, ejus filia prohibetur, dotem ſuis fratribus, qui ſub poteſtate manent, afferens: ſed & donum ante matrimonium datum, tanquam dotem, oportet inferri; ſi inteſtatus moriatur qui illud dedit, ſive mater ſit, ſive pater, vel aſcendentium aliquis, aut à patre aut à matre.

F Quandocunque maritus vel conjux inteſtati moriantur, & nullum ex aſcendentibus, vel deſcendentibus, vel qui ex tranſverſo ſunt, legitimum & naturalem habeant ſucceſſorem, tunc vir ad mulieris univerſam hæreditatem vocetur, & mulier ſuccedat viro.

Si vir cum fœmina pactus fuerit, ut, eâ moriente, ipſe fieret hæres, pactum eſt inutile.

Vide & in decimo ſeptimo capite literæ Π. Vide etiam in quinto capite literæ Υ.

Decretum

UMI

Decretum Novellum.

Decretum ſanctiſſimi Patriarchæ Athanaſii, Synodique ſub eo habitæ, quod venerandi Imperatoris Andronici Palæologi determinatione factum fuerit. Jubemus, inquit, ut vidui viri & fœminæ, qui ſine liberis ſunt, nullam bonorum direptionem ſuſtineant, neque ab iis, qui fiſcos adminiſtrant, neque ab iis, in quorum vicinio degunt: ſed tertiam ſuarum facultatum partem dominium ſortiatur, & tertia in defuncti memoriam impendatur, & ſuperſtes aliam partem accipiat. Sin & perſona relicta diſcedat, cognati ejus ex lege hæredes conſtituantur: ſi verò nullus ſit defuncti cognatus, fiſco debetur ſemiſſis, & memoriæ ejus ſemiſſis.

Invalidam verò illam legem eſſe jubemus, quæ decernit, viros vel fœminas, qui à filio derelicti ſunt, cùm è veſtigio defunctus eſt filius, ſuperſtitem ſcilicet partem omnia filii paterna & materna bona poſſidere. Defuncti verò parentes, præter filii abjectionem, injuſtum eſt etiam facultate privari; ſed tertia dotis pars in defuncti memoriam conſervetur, & tertia parentibus, & tertia perſonæ ſuperſtiti.

Si ſubſtantiæ pars legata ſit, eligat hæres, vel bonorum partem dare, vel eorum pretium: omnium quidem indiviſibilium & difficulter diviſibilium pretium det.

Adhuc de filiorum exhæredationibus.

Propter ſubjectas cauſas filium paternæ ſubſtantiæ exhæredem eſſe decernimus.

I. Si parentibus ſuis manus intulerit.

II. Si gravem & inhoneſtam injuriam iis intulerit.

III. Si eos in cauſis criminalibus accuſaverit, quæ non ſunt adverſus Principem vel Rempublicam.

IV. Si cum veneficis hominibus ut veneficus verſetur.

V. Si vitæ parentum ſuorum per venenum vel alio quodam modo inſidiari tentaverit.

VI. Si cum noverca ſua vel patris concubina corpus miſcuerit.

VII. Si contra parentes delator extiterit, & per ſuam delationem gravia eos diſpendia ſuſtinere fecerit.

VIII. Si in longa infirmitate jacentium, vel ſenectute, aut imbecillitate laborantium, nullam eorum habuit curam: & vocatus à parentibus noluit eis curam præbere.

IX. Si maſculi pueri noluerint pro parentibus fidejuſſiones ſuſcipere, in quantum poſſunt, debiti convicti.

X. Si convictus fuerit liberorum aliquis, quòd parentes ſuos teſtamentum condere prohibuit; ut ſi poſt hæc illud facere potuerint, ſit illis licentia talem filium exhæredem facere.

XI. Si præter parentum voluntatem mimis ſeſe ſociaverit, & in iſta profeſſione permanſerit.

XII. Si, cùm aliquis parens furore correptus eſt, liberi, vel qui ab inteſtato ad hæreditatem ejus judicantur, nolint ei dignam curam præbere, ipſi ergo, ſi à morbo

A

Ψήφισμα Νεαρόν.

Τὸ δὲ ψήφισμα τοῦ ἁγιωτάτου πατριάρχου Ἀθανασίου, καὶ τῆς ὑπ' αὐτὸν συνόδου ὃ γέγονεν ὁρισμῷ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου. κελεύομεν, φησι, τοὺς ἀτέκνους χηρεύσαντας ἄνδρας καὶ γυναῖκας, μὴ ἁρπαγὴν ὑπέχειν τῶν ὑπαρχόντων, μήτε παρὰ τῶν τὰ δημόσια διενεργούντων, μήτε τῶν εἰς προικίαν τούτους ἐχόντων· ἀλλὰ τὸ τρίτον τῆς οὐσίας ἐκείνων, τὴν δεσποτείαν ἀπολαμβάνειν· τὸ τρίτον εἰς μνημόσυνα τοῦ ἀπελθόντος ἀναλίσκεσθαι· καὶ τὸ ζῶν μέρος ἀπολαμβάνειν τὸ ἕτερον. εἰ δὲ καὶ τὸ ἐπιζητοῦν ἀπέλθοι μέρος, τοὺς τούτῳ προσήκοντας τὸ ἀπὸ νόμου κληρονομεῖν· ἂν δὲ μηδεὶς συγγενὴς προσῇ τῷ ἀποιχομένῳ, τῷ δημοσίῳ εἶναι τὸ ἥμισυ, καὶ τοῖς ἐκείνου μνημοσύνοις τὸ ἥμισυ.

B

Ἀκυρωθῆναι δὲ καὶ τὸν νόμον κελεύομεν, ὃς διορίζεται, τοὺς ἐπὶ τέκνῳ χηρεύσαντας ἄνδρας τε ἢ γυναῖκας, εἶτα καὶ τοῦ τέκνου κατὰ πόδας ἀποιχομένου, κληρονομεῖν τὸ ζῶν μέρος, καὶ τὰ τοῦ παιδὸς πατρῷα πάντα ἢ μητρικά. τοὺς δὲ τοῦ τεθνεῶτος γονεῖς, πρὸς τῇ τοῦ τέκνου ἀποβολῇ, ἀδικώτατα καὶ τῆς περιουσίας στερίσκεσθαι, ἀλλὰ τηρεῖσθαι μὲν τὸ τρίτον τῆς προικὸς εἰς μνημόσυνον τοῦ ἀποιχομένου, τὸ δὲ τρίτον τοῖς γονεῦσι, καὶ τρίτον τῷ καταλειφθέντι μέρει.

C

Ἐὰν μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ὁ κληρονόμος ἔχει, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι, ἢ τὴν αὐτῶν ἀποτίμησιν· τῶν μέντοι ἀδιαιρέτων καὶ δυσδιαιρέτων πάντων, τὴν ἀποτίμησιν δίδωσιν.

Ἔτι περὶ ἀποκλήρων υἱῶν.

Διὰ τὰς ὑποτεταγμένας αἰτίας, τὸν υἱὸν ἀπόκληρον εἶναι τῆς πατρικῆς οὐσίας θεσπίζομεν.

αʹ. Εἰ τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι.

D

βʹ. Εἰ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπάγοι.

γʹ. Εἰ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσειε, ταῖς μὴ οὔσαις κατὰ βασιλέως ἢ πολιτείας.

δʹ. Εἰ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφοιτο.

εʹ. Εἰ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας, ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ, ἐπιβουλεῦσαι πειραθείη.

ϛʹ. Εἰ τῇ ἰδίᾳ μητρυιᾷ, ἢ τῇ τοῦ πατρὸς παλλακῇ μιχθείη.

E

ζʹ. Εἰ συκοφάντης κατὰ τῶν γονέων γένοιτο, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσειεν.

ηʹ. Εἰ ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων, ἢ ἐν γήρᾳ καὶ ἀδυναμίᾳ καταπτισμένων ἀμελήσειε τῆς τούτων φροντίδος καὶ μετακαλούμενος παρὰ τῶν γονέων, μὴ βουληθείη ἐπιμελείας αὐτοὺς ἀξιῶσαι.

θʹ. Εἰ μὴ βουληθεῖεν οἱ ἄῤῥενες τῶν παίδων τοὺς γονεῖς ἐγγυήσασθαι, εἰς ὅσον εὐποροῦσιν, ὑπὲρ χρέους ἐγκαλουμένους.

F

ιʹ. Εἰ ἐλεγχθείη τις τῶν παίδων, κωλύσας τοὺς γονεῖς διαθήκας γράψαι, ὥστε εἰ μετὰ ταῦτα τοῦτο πρᾶξαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι τὸν τοιοῦτον παῖδα ποιεῖν ἀπόκληρον.

ιαʹ. Εἰ παρὰ γνώμην τῶν γονέων μίμοις ἑαυτὸν ἐγκαταλέξοι, καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνῃ.

ιβʹ. Εἰ τινὰ τῶν γονέων μανέντα, οἱ παῖδες, ἢ οἱ ἐξ ἀδιαθέτου κληρονομεῖν αὐτοὺς δικαιούμενοι, μὴ βουληθεῖεν ἐπιμελείας αὐτὸν ἀξιῶσαι, ἀπαλλαγέντι γὰρ τῆς μανίας, A ἔξεστι ποιεῖν αὐτοὺς ἀποκλήρους· εἰ δὲ ἐν τῇ νόσῳ μέχρι θανάτου κατεχόμενον, ἀλλότριός τις συμπαθήσας, ἰδίοις ἀναλώμασιν ἐπιμεληθείη, καὶ διὰ γραμμάτων τοὺς κληρονόμους καλῶν, μὴ βουληθεῖεν ἀπαντῆσαι, καὶ πρὸς τὴν τοῦ μαινομένου ἐπιμέλειαν διεγερθῆναι, ἄδειαν ἕξει ὁ ὑποδεξάμενος καὶ εἰς τέλος φροντίσας εἰς τὴν αὐτοῦ κληρονομίαν εἰσελθεῖν, ἀνατρεπομένης τῆς ἐκείνων διαδοχῆς.

ιγ'. Εἴ τινα τῶν γονέων δορυάλωτον γεγονότα, μὴ σπουδάσαιεν οἱ παῖδες εἰς τὴν ἐκείνου ἀνάρρυσιν, ἐπανασωθέντι γὰρ ἐκ τῆς αἰχμαλωσίας, ἔξεστιν ἀχαριστείας αὐτοὺς B γράψασθαι καὶ ἀποκλήρους ποιῆσαι· εἰ δὲ καὶ ἀποθανεῖν ἐν αἰχμαλωσίᾳ συμβαίη τῇ ἀμελείᾳ τῶν παίδων, ἢ τῶν ἐξ ἀδιαθέτου εἰς τὴν αὐτοῦ καλουμένων κληρονομίαν, τούτους ἅπαντας εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, ἀλλὰ τὰ ἐκείνου πράγματα τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὁρμᾶται, προσανατίθεσθαι, καὶ μὴ ἐν ἄλλαις αἰτίαις, ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων, ἀναρρύσεσι τῶν αὐτῶν δαπανᾶσθαι. εἰ δὲ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκην ἐκθέμενος, ἔγραψεν αὐτοὺς κληρονόμους, ἀκυρουμένην εἰσάπαν τὴν τοιαύτην διαθήκην. ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵ τινες τὸν ιη'. τῆς ἑαυτῶν C ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν.

ιδ'. Εἰ ὀρθόδοξοι ὄντες οἱ γονεῖς, τινὰ τῶν παίδων αἴσθοιντο αἱρετικοῖς προσανέχοντα δόγμασιν, εἶτ' αὖθις ἐπὶ τὴν καθολικὴν ἐκκλησίαν σωφρονήσας ὁ παῖς ἐπανήξει, ἀπολαμβάνειν μὲν τὸν ἴδιον κλῆρον, τοὺς δὲ καρποὺς τοῦ μέσου χρόνου μὴ ἐπιζητεῖν.

ιε'. Αν τοίνυν μίαν τῶν εἰρημένων αἰτιῶν κατά τινος τῶν παίδων οἱ γονεῖς ταῖς ἰδίαις ἐγγράφωσι διαθήκαις, καὶ οἱ γραφέντες κληρονόμοι ἀληθῆ εἶναι ταύτην ἀποδείξωσι, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα. D

Περὶ τῶν ἀποκλήρων γονέων.

Θεσπίζομεν αὖθις, μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους ἐν ταῖς αὐτῶν διαθήκαις ποιεῖν, ἂν μὴ τὰς ὑπηριθμημένας αἰτίας ἐν αὐταῖς καταγράψωσιν.

Εἰ οἱ γονεῖς τὸν ἴδιον παῖδα εἰς ἀναίρεσιν δοῖεν, δίχα τῆς εἰς καθοσίωσιν ἀναφερομένης αἰτίας.

Εἰ φαρμακίαις, ἢ γοηταῖς, ἢ ἄλλῳ τινὶ τρόπῳ τῷ υἱῷ E ἀποδειχθεῖεν ὡς ἐπιβουλεύσαντες.

Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη.

Ὡσαύτως καὶ ἐπὶ τῇ κωλύσει τῆς διαθήκης, ἀλλὰ δὴ καὶ ἐπὶ τῆς μανίας, καὶ τῆς αἰχμαλωσίας καὶ κακοδοξίας, ταῦτα πάντα καὶ ἐνταῦθα παραφυλαχθήσεται, ὥσγε δὴ καὶ ἐπὶ τῶν ἀποκλήρων υἱῶν ἐθεσπίσαμεν. ἀλλὰ καὶ ὁ συγγενῆ κεκτημένος κωφὸν, ἢ ἄλαλον, ἢ ἄφρονα, ἢ μαινόμενον, εἰ μὴ παραμυθούμενος ἐκδικεῖ τὰ αὐτῶν πράγματα, οὐ δύναται αὐτοὺς κληρονομεῖν. τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων. F

ſanatus fuerit, licet illos, exhæredes facere: ſi verò eo in morbo uſque ad mortem detenti extraneus quidam miſertus propriis impenſis curam ejus gerat, & per literas hæredes vocans, ipſi advenire neglexerint, & ad furioſi curam excitari; licentiam habebit, qui ſuſcepit & ad finem illi procuravit, in ejus hæreditatem venire, evacuatâ illorum ſucceſſione.

XIII. Si quis parens captivus factus, & ejus liberi ad ſuam redemptionem non feſtinarint, ſi ex captivitate evadat, licet ei ingratitudinis illos accuſare & exhæredes facere: ſin autem in captivitate deceſſerit, liberorum vel eorum qui ex inteſtato ad ejus hæreditatem vocantur negligentiâ, illos omnes ad ejus ſucceſſionem venire non patimur; ſed ejus facultates civitatis, unde ortus eſt, Eccleſiæ addicari, & nullis aliis cauſis, quàm captivorum redemptionibus ab illis expendi. Si vero & ante captivitatem teſtamentum faciens, eos hæredes ſcripſerit, tale teſtamentum omnino infirmatum reddimus. Hanc autem pœnam contra illos valere jubemus, qui decimum octavum ſuæ ætatis annum compleverint.

XIV. Si parentes orthodoxi liberorum aliquem hæreticis dogmatibus adhærentem ſenſerint, ſi rurſus verò ad Eccleſiam Catholicam reſipiſcens puer converterit, prædium ſuum recipiat, nullos autem intermedii temporis fructus exigat.

XV. Si quamlibet igitur memoratarum cauſarum contra filiorum aliquem parentes in teſtamentis ſuis inſeruerint, & ſcripti hæredes veram eam eſſe monſtraverint, teſtamentum ſuam vim habere decernimus.

De Parentibus exhæredibus.

Sancimus iterum, non licere liberis parentes ſuos exhæredes in ſuis teſtamentis facere, niſi cauſas enumeratas in illis teſtamentis deſcribant.

Si parentes ad interitum ſuos liberos tradiderint, citra cauſam quæ ad majeſtatem pertinet.

Si venenis, aut præſtigiis, aut alio modo filio inſidiari inveniantur.

Si pater cum nuru ſua aut concubina filii ſui corpus miſcuerit.

Similiter etiam in prohibitione teſtamenti, nec non etiam in furore, & captivitate, & perverſa opinione, quæ omnia & hîc etiam obſerventur; quemadmodum in filiorum exhæredationibus ſanximus. Quin & qui cognatum poſſidet ſurdum, vel mutum, vel inſipientem, vel furentem, niſi adhortatus eorum facultates vendicet, non poteſt illorum hæres fieri. Eadem etiam de captivis.

A

CAPUT XIII.

Quod in Clerum ordinari oportet eos, qui etiam ad genus Sacerdotale non referuntur, ſi digni ſint.

Trigesimus tertius vi. Synodi Canon, Inter Judæos quidem Levitica, inquit, ſola tribus Sacerdotium ſortita eſt, ex quâ qui ſacra celebrarent B eligebantur, & Clerici nominabantur: eo quod in Deuteronomio ſcriptum eſt, Leviticis non erit ſors inter filios Iſraëlis; nam Dominus eſt ipſorum portio & ſors. Nobis verò non convenit in illorum genus proſpicere, qui in Clerum promovendi ſunt; ſed ſi dignus ſit, ſecundum Canonum divinorum præſcripta, in Clerum referatur, ſive majores habuit Sacerdotes, ſive non: ſed nullus divinas ſcripturas in ſuggeſtu legat, niſi tonſuram cum benedictione à ſuo Epiſcopo ſuſceperit. Qui verò præter hæc facit, ſegregetur.

ΚΕΦ. ιγʹ.

Ὅτι κληροῦσθαι δεῖ καὶ τοὺς μὴ καταγομένους ἐκ γένους ἱερατικοῦ, εἰ ἄξιοι εἶεν.

Ὁ λγʹ. τῆς ϛʹ. συνόδου κανὼν, ἐπεὶ μὲν τῶν Ἰουδαίων ἡ Λευϊτικὴ, φησὶ, μόνη φυλὴ τὴν ἱερωσύνην ἐκληρώσατο, ἐξ ἧς οἱ ἱερᾶσθαι μέλλοντες ἐλαμβάνοντο, καὶ κληρικοὶ ὠνομάσθησαν· διὰ τὸ γεγράφθαι ἐν τῷ Δευτερονομίῳ, οὐκ ἔσται τοῖς Λευΐταις κλῆρος ἐν υἱοῖς Ἰσραὴλ, ὁ γὰρ κύριος μερὶς αὐτῶν καὶ κλῆρος. ἡμῖν δὲ, οὐκ εἰς τὸ γένος τοῦ εἰς κλῆρον προχειρίζεσθαι μέλλοντος ἀποβλέπειν προσήκει· ἀλλ' εἰ ἄξιος εἴη κατὰ τοὺς ὅρους τῶν θείων ἡγεμόνων, εἰς κλῆρον καταλεγέσθω, εἴτε προγόνους ἔσχεν ἱερέας, εἴτε καὶ μή. μὴ δὲ ἐπ' ἄμβωνός τις τὰς θείας ὑπαναγινωσκέτω βίβλους, εἰ μὴ κουρὰν μετ' εὐλογίας παρὰ τοῦ ἰδίου δέξαιτο ἐπισκόπου. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἀφοριζέσθω.

C

CAPUT XIV.

Quòd non oportet Clericos tranſponi.

Conſule in nono capite literæ **A.** Can. iv. quartæ Synodi, & alios.

ΚΕΦ. ιδʹ.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς μετατίθεσθαι.

Ζήτει ἐν τῷ θʹ. κεφ. τοῦ **Α.** στοιχείου κανόνα δʹ. τῆς δʹ. συνόδου, καὶ ἑτέρους.

D

CAPUT XV.

Quòd Clericis indigentibus ex Eccleſiæ facultatibus ſuppeditare oportet.

Vide vigeſimum ſextum cap. literæ **E.**

ΚΕΦ. ιεʹ.

Ὅτι τῶν κληρικῶν τοῖς ἐνδεῶς ἔχουσιν ἐκ τῶν τῆς ἐκκλησίας δεῖ χορηγεῖν.

Ζήτει τὸ κϛʹ. κεφάλαιον τοῦ **Ε.** στοιχείου.

CAPUT XVI.

E *Quòd non oportet Clericos Epiſcopi defuncti bona ſurripere.*

Vide xxvii. cap. literæ **E.**

ΚΕΦ. ιϛʹ.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς ἁρπάζειν τὰ τῶν τελευτησάντων ἐπισκόπων πράγματα.

Ζήτει τὸ κζʹ. κεφ. τοῦ **Ε.** στοιχείου.

CAPUT XVII.

Quòd non oportet Clericum unum in duabus eſſe civitatibus, vel in unâ civitate duabus Eccleſiis adminiſtrare. F

Vide xiv. cap. literæ **E.**

ΚΕΦ. ιζʹ.

Ὅτι οὐ δεῖ κληρικὸν ἕνα ἐν δυσὶν εἶναι πόλεσιν, ἢ ἐν μιᾷ πόλει δύο ἐκκλησίαις ὑπηρετεῖν.

Ζήτει τὸ ιδʹ. κεφάλαιον τοῦ **Ε.** στοιχείου.

A

ΚΕΦ. ιη'.

Ὅτι οὐ δεῖ τοὺς κληρικοὺς πράττειν τι, ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης.

Ὁ τῶν ἁγίων ἀποστόλων λθ'. κανὼν, πρεσβυτέροις καὶ διακόνοις, μὴ ἐξεῖναι κελεύει, δίχα γνώμης τοῦ ἐπισκόπου, πράττειν ἅπερ αὐτῷ ἀνεῖται καὶ μόνῳ, τῷ τὴν προστασίαν τοῦ λαοῦ ἐπιτετραμμένῳ, καὶ λόγον ὑπὲρ τῶν ψυχῶν αὐτῶν καὶ εὐθύνας μέλλοντι δώσειν· λέγω δὴ τὸ, λύειν καὶ δεσμεῖν τὰ ἡμαρτημένα, καὶ ἢ μειοῦν ἢ ἐπιτείνειν τὰ ἐπιτίμια.

ΚΕΦ. ιθ'.

Ὅτι οὐ δεῖ οἱ κληρικοὶ ἀπολελυμένως ἐχειροτονοῦντο.

Ὁ ϛ'. τῆς δ'. συνόδου κανὼν, οὐκ οἴεται δεῖ, ἱερέας, καὶ διακόνους, καὶ λοιποὺς τῶν ἐν κλήρῳ κατειλεγμένων ἀπολελυμένως χειροτονεῖσθαι, ὥσθ' ὅπη βούλονται εἰσιέναι, καὶ ἀπιέναι, καὶ ἱερατικόν τι πράττειν, ἀλλ' ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως ἢ κώμης, ἢ ἐν τῷ δὲ τῷ μαρτυρείῳ ἢ τῷ μοναστηρείῳ· ὥσπερ ἄρα καὶ οἱ ἐπίσκοποι εἰς τὴν δὲ τὴν ἐκκλησίαν ἤδη χειροτονοῦνται. τοῦ δὲ μὴ οὕτω χειροτονηθέντος, ἄκυρον εἶναι τὴν χειροτονίαν· ἀλλὰ τανῦν τοῦτο καταπεφρόνηται.

ΚΕΦ. κ'.

Ὅτι τοὺς κληρικοὺς τῶν ἐκκλησιῶν καὶ μοναστηρείων ὑπὸ τὴν ἐξουσίαν εἶναι δεῖ τοῦ ἐπισκόπου.

Ὁ ὄγδοος κανὼν τῆς δ'. συνόδου, τοὺς κληρικοὺς τῶν πτωχείων, καὶ μοναστηρείων, καὶ μαρτυρείων, τοῖς ἐπισκόποις τῶν πόλεων ὑπείκειν κελεύει, πτωχεῖα καλῶν τὰ εἰς πτωχῶν ἀποτεταγμένα πρόνοιαν καὶ διοίκησιν, γηροκομεῖα φημὶ, καὶ ὀρφανοτροφεῖα· μαρτύρια δὲ, τοὺς εἰς ὄνομα μάρτυρος ἀναγερθέντας σηκούς. τοὺς δὲ κατ' αὐθάδειαν τοῦ ἐπισκόπου ἀφηνιάζοντας μοναχούς τε, καὶ κληρικοὺς, καὶ τοὺς θάρσος τούτοις παρέχοντας λαϊκοὺς, τῆς τῶν πιστῶν κοινωνίας ἀλλοτριοῖ.

ΚΕΦ. κα'.

Ὅτι ὁ κληρικὸς, ἐφ' ᾧ ἂν περιπέσοι ἁμαρτήματι, καθαιρεῖται, οὐ μὴν καὶ ἀφορίζεται.

Ζήτει τὸ ι'. κεφάλαιον τοῦ Δ. στοιχείου.

ΚΕΦ. κβ'.

Ὅτι τῶν κληρικῶν οἱ πρὸς μείζονα βαθμὸν ἀνιέναι μὴ πειθόμενοι, ἐκπίπτουσι καὶ οὗ νῦν εἰσιν.

Ὁ Τριακοστὸς τέταρτος τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τὸν ἐν οἱῳδήποτε κατειλεγμένον τῆς ἐκκλησίας

CAPUT XVIII.

Quòd non oportet Clericum aliquid facere abſquè Epiſcopi ſententià.

SANCTORUM Apoſtolorum xxxix. Canon, Preſbyteris & Diaconis non licere jubet, ſine Epiſcopi ſententia ea facere, quæ illi permittuntur, & ſoli, qui ſortitus eſt populi tutelam, & à quo pro B animabus eorum ratio exigenda eſt; dico quidem ſolvere & vincire peccata, & vel minuere vel intendere pœnas.

CAPUT XIX.

Quòd Clerici non abſolutè ordinentur.

SEXTUS iv. Synodi Canon, non exiſtimat oportere, Sacerdotes, & Diaconos, & alios, qui in Cle- C rum relati ſunt, abſolutè ordinari, ut ubicunque voluerint, proficiſcantur, & revertantur, & Sacerdotale aliquid exerceant; ſed privatim in Eccleſiâ civitatis, vel pagi, vel in martyrio aut monaſterio: ut etiam Epiſcopi in Eccleſiam nunc ordinantur. Qui autem non hoc modo ordinantur, invalidam eſſe manuum impoſitionem: licèt nunc hoc negligatur.

CAPUT XX.

D *Quòd Eccleſiarum & Monaſteriorum Clericos ſub Epiſcopi poteſtatem eſſe oportet.*

OCTAVUS Canon iv. Synodi, Clericos Ptocheiorum & Monaſteriorum & templorum martyrum, civitatum Epiſcopis ſe ſubmittere jubet: Procheia verò vocat ea, quæ ad mendicorum proviſionem & habitationem deſignantur, Gerocomia ſcilicet, & orphanotrophia: martyria verò, templa martyris cujuſdam nomini dedicata. Qui verò per arrogantiam ſe à proprio Epiſcopo ſubducunt, Monachos, & Cle- E ricos, & Laicos, qui illos excitare audent, à fidelium communione ſegregat.

CAPUT XXI.

Quòd Clericus, ex quo in aliquod peccatum inciderit, deponitur; non autem ſegregatur.

Quære x. cap. literæ Δ.

F

CAPUT XXII.

Quòd Clerici, qui ad altiorem gradum aſcendere nolunt, eo, quem nunc habent, excidunt.

TRIGESIMUS quartus Carthag. Syn. Canon, eum, qui ad quemcunque gradum Eccleſiaſticum promotus, ſi proprio Epiſcopo, ad majorem provehere volenti, non paruerit, laborem in eo forſan detrectans, etiam gradu, quem is deſerere noluit, excidere dignum cenſet.

CAPUT XXIII.

De furto.

Conſule in xxxii. capite literæ E. Can. xxv. ſanctorum Apoſtolorum.

Sexagesimus primus magni Baſilii Canon, Qui furatus eſt, ſi ex ſe quidem, inquit, pœnitentia ductus, peccatum faſſus fuerit, anno à ſolâ Sacramentorum communione arcebitur: Sin autem convictus fuerit, duobus annis; nam illi ad ſubſtrationem & conſiſtentiam ſolam dividetur tempus, non autem inter deflentes aut audientes erit.

Sextus magni Gregorii Nyſſeni, Qui latenter, inquit, alienum aufert, ſi non gladio armatus ſit, ut reſiſtentem interficere poſſit, & per enunciationem peccatum ſuum aperuerit, per eleëmoſynam morbum curabit; ſin autem nihil aliud præter corpus habeat, per laborem morbum medebitur; ut dicit Apoſtolus, Qui furatur, non amplius furetur, ſed potiùs laboret, operans ſuis manibus, ut ei, qui indiget, largiri poſſit.

Sanctus Gregorius Thaumaturgus in ix. Canone, Qui res aliquas in campo invenerunt, inquit, vel in ſuis ædibus alienas, ab inimicis projectas, ſi accuſati quidem convicti fuerint, ſubſternantur: ſin autem ſeipſos enunciaverint, etiam cum fidelibus preces celebrent. Debent verò mandata obſervare, omne turpe lucrum amoventes, & neque indicationis, neque quidem cuſtodiæ, vel quibus aliis nominibus illa ſolent appellare, omnino pretium accipientes.

Leges.

Qui in quacunque civitate furantur, ſi ſint quidem liberi, & pauperes, & ſemel hæc fecerint, verberentur: ſin autem ſint locupletes, præter furto ablati reſtitutionem, duplicem ejus quantitatem ei qui furtum paſſus eſt, reddant; bis autem deprehenſi, exilio mittantur; ſi verò ter hoc audere inveniantur, manus illis abſcindatur.

Quod inconſideratè abripitur, vel ineptè ſuffuratur, ſi venditur, conſtituto pretio pro illo nondum ſoluto, vindicatur.

Qui furtiva reddit, pretium, quod pro illis dedit, non exigit.

Qui rem alienam projectam tulit lucrifaciendi cauſâ, licèt cujus ſit ignoret, furti tenetur; niſi dominus eam pro derelicto habuerit: tunc enim quamvis fur eam tulerit, non tenetur, quia domini deſiit eſſe. Nam furtum non fit, niſi ſit cui fiat. Sed ſi quod non erat derelictum, derelictum exiſtimaverit, non eſt fur. Si vero tulerit id ea mente ut domino redderet, non tenetur furti, etiamſi reſtitutionis pretium acceperit.

Qui in foſſato furatur, ſi quidem arma, verberetur: ſi vero equum, manus abſcidatur.

A βαθμῷ, καὶ τῷ ἰδίῳ μὴ πειθόμενον ἐπισκόπῳ, εἰς μείζονα προβιβάσαι παρακαλοῦντι, τὸν μόχθον ἴσως τὸν ἐν αὐτῷ παραιτούμενον, καὶ τοῦ βαθμοῦ ἐκπίπτειν ἀξιοῖ, οὗ ἀποστῆναι οὐκ ἠθέλησεν.

ΚΕΦ. κγ'.

Περὶ κλοπῆς.

Ζήτει ἐν τῷ λβ'. κεφαλαίῳ τοῦ Ε. στοιχείου κανόνα κε'.
B τῶν ἁγίων ἀποστόλων.

Ὁ δὲ ξα'. τοῦ μεγάλου Βασιλείου κανὼν, ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ, φησι, μεταμεληθεὶς δημοσιεύσει τὴν ἁμαρτίαν, ἐνιαυτὸν τῆς τῶν ἁγιασμάτων κοινωνίας κωλυθήσεται μόνης· εἰ δὲ ἐλεγχθεὶς, εἰς ἔτη δύο· μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος, εἰς ὑπόπτωσιν καὶ μόνην σύστασιν, οὐ μὴν καὶ τοῖς προσκλαίουσιν ἔσται ἢ ἀκροωμένοις.

Ὁ δὲ ς'. τοῦ Νύσσης μεγάλου Γρηγορίου, ὁ λάθρα, φησὶν, ἀφαιρούμενος τὸ ἀλλότριον, εἰ μὴ ξίφει καθώπλισται, ὡς ἂν οἷός
C τε ἦ τὸν ἀνθιστάμενον διαχρήσασθαι, καὶ δι' ἐξαγορεύσεως τὸ πλημμέλημα φανερώσας, δι' ἐλεημοσύνης τὴν νόσον θεραπεύσει· εἰ δὲ μηδὲν πλέον τοῦ σώματος κέκτηται, κόπῳ τὸ πάθος ἐξιάσεται, ἦ φησιν ὁ ἀπόστολος, ὁ κλέπτης, μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος ταῖς ἰδίαις χερσὶν, ἵνα μεταδῷ τῷ χρείαν ἔχοντι.

Ὁ δὲ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς, ἐν τῷ θ'. κανόνι, οἱ πράγματά τινα ἐν τῷ πεδίῳ, φησὶν, εὑρόντες, ἢ ἐν ταῖς ἑαυτῶν οἰκίαις ἀλλότρια, πρὸς τῶν ἐχθρῶν ἐρ-
D ριμένα, ἂν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν, ὑποπιπτέτωσαν· ἑαυτοὺς δὲ ἐξειπόντες, καὶ τοῖς πιστοῖς συνευχέσθωσαν. πληρωτέον δὲ τὴν ἐντολὴν, αἰσχρὸν ἅπαν λῆμμα διωσαμένους, καὶ μήτε μήνυτρα, μήτε μὴν σῶστρα, ἢ οἷς εἰώθασιν ἐπιφημίζειν ἑτέροις ταῦτα ὀνόμασι, τοπαράπαν εἰσπράττοντας.

Νόμοι.

Οἱ ἐν οἱᾳδήποτε πόλει κλέπτοντες, ἐλεύθεροι μὲν ὄντες, ἄποροι δὲ, ἅπαξ τοῦτο ποιήσαντες, τυπτέσθωσαν· εἰ δὲ εὔποροι εἶεν, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέν-
E τος καὶ διπλῆν τὴν ποσότητα διδότωσαν τῷ τὴν κλοπὴν ὑποστάντι· δὶς δὲ ἁλόντες, ἐξοριζέσθωσαν· εἰ δὲ τρὶς φωραθεῖεν τοῦτο τολμήσαντες, χειροκοπείσθωσαν.

Τὸ προπετῶς ληφθὲν, ἢ ἀτόπως κλαπὲν, εἰ πραθείη, διεκδικεῖται, μὴ καταβαλλομένου τοῦ δοθέντος ὑπὲρ αὐτοῦ τιμήματος.

Ὁ ἀναδιδοὺς τὰ κλαπέντα, οὐκ ἀπαιτεῖ ἃ ἔδωκεν ὑπὲρ αὐτῶν τιμήματα.

Ὁ τὸ ἀλλότριον πρᾶγμα ἐρριμένον λαμβάνων ἐπὶ τῷ
F κερδῆσαι, κἂν ἀγνοῇ τίνος ἐστὶν, ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, εἰ μὴ ἄρα ὁ δεσπότης ἀπρονόητον εἴασεν αὐτό· τότε γὰρ κἂν ὁ κλέπτων αὐτὸ λάβοι, οὐχ ὑπόκειται, ἐπειδὴ ἐπαύσατο ὂν τοῦ δεσπότου. κλοπὴ γὰρ οὐ γίνεται, μὴ ὄντος τοῦ κλοπὴν ὑφισταμένου. εἰ δὲ καὶ τὸ μὴ ὂν ἀπρονόητον ἐνόησεν ἀπρονόητον, οὐκ ἔστι κλέπτης. εἰ δὲ ἔλαβεν ἐπὶ τῷ δοῦναι τῷ δεσπότῃ, οὐχ ὑπόκειται τῇ περὶ κλοπῆς ἀγωγῇ, κἂν εὕρετρα λάβῃ.

Ὁ κλέπτων ἐν φοσσάτῳ, εἰ μὲν ὅπλα, τυπτέσθω· εἰ δὲ ἵππον, χειροκοπείσθω.

A Ο τοῦ κλέπτου δούλου κύριος, εἰ μὲν βούλεται ἔχειν τὸν οἰκέτην, τὸν ἀζήμιον ποιείτω τὸν τὴν κλοπὴν ὑποστάντα· μὴ βουλόμενος δὲ, τοῦτον αὐτῷ ἀποδιδότω εἰς τελείαν δεσποτείαν.

Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες, ἅπαξ τοῦτο πεποιηκότες, τυπτέσθωσαν· ἐκ δευτέρου δὲ, ἐξοριζέσθωσαν· εἰ δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦτον τολμήσαντες, χειροκοπείσθωσαν, τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῷ ἰδίῳ δεσπότῃ ἀποκαθισταμένης.

B Περὶ λῃστῶν.

Οἱ ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις, ἐν οἷς ἐπλημμέλησαν, ἀνασταυροῦνται, ἵνα διὰ τῆς θέας πτωηθῶσιν οἱ τοῖς τοιούτοις ἐγχειροῦντες, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων.

Οἱ δένδρα καὶ μάλιστα ἀμπέλους τέμνοντες, ὡς λῃσταὶ κολάζονται· κἂν πολλοὶ τὸ αὐτὸ τέμωσι δένδρον, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον ἐνέχεται, ἤτοι ἐξ ἀρνήσεως μὲν, τὸ διπλοῦν τοῦ τιμήματος, ἐξ ὁμολογίας δὲ, τὸ ἁπλοῦν.

C Ο ἐν εἰδέσει ὑποδεχόμενος τὸ κλαπὲν πρᾶγμα, καὶ ὁ συνειδὼς, τῷ ἁμαρτάνοντι ἐν ἴσῳ αὐτῷ τιμωροῦνται.

Κλέπτης ἐστὶν, ὁ λάθρα καὶ χωρὶς ὅπλων ἁμαρτάνων, ὃς οὔτε μέλους ἐκκοπὴν, οὔτε θάνατον ὑπομένει· ὁ δὲ βίᾳ πλημμελῶν μεθ' ὅπλων ἢ χωρὶς ὅπλων ἐν οἱῳδήποτε τόπῳ, τὰς ἀπὸ τῶν νόμων ποινὰς ὑφίσταται. ζήτει καὶ ἑτέρους νόμους ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Α. στοιχείου.

ΚΕΦ. κδ'.

D Ὅτι οὐ δεῖ κοινωνεῖν τῷ ἀκοινωνήτῳ.

Ο β'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, τῆς κοινωνίας τῶν ἀκοινωνήτων ἀποδιΐστασθαι παντάπασιν ἡμῖν ἐγκελεύεται, καὶ μήτε ἐν οἴκῳ τούτοις συνεύχεσθαι, μήτε ἐν ἐκκλησίᾳ, εἰ καὶ ἑτέρας ἐπαρχίας τύχοιεν ὄντες· εἰ γὰρ καὶ τῷ τόπῳ διϊστάμεθα, ἀλλά γε τῇ πίστει ἀλλήλων οὐκ ἀφιστάμεθα, οἱ ἁπανταχοῦ γῆς χριστιανοὶ, καὶ μία πάντες καθολικὴ ἐκκλησία λεγόμεθά τε καὶ ἐσμέν. ὅστις γε μὴν τοῦ ἱερατικοῦ καταλόγου τοῖς ἀκοινωνήτοις ἁλοίη κοινωνῶν, καὶ τοῦτον ἀκοινώνητον εἶναι, E ὡς τὸν τῆς ἐκκλησίας κανόνα συγχέοντα. ζήτει καὶ τὸ ιη'. κεφ. τοῦ Α. στοιχείου, καὶ ἐν τῷ β'. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνας τῶν ἁγίων ἀποστόλων με'. καὶ μς'. καὶ ξδ'. τῆς ἐν Λαοδικείᾳ συνόδου λγ'. καὶ Τιμοθέου Ἀλεξανδρείας θ'. καὶ ἐν τῷ ιε'. κεφαλαίῳ τοῦ Π. στοιχείου κανόνα α'. τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ.

ΚΕΦ. κε'.

F Περὶ τῶν μὴ κοινωνούντων τῆς ἱερᾶς τελουμένης λειτουργίας, ἢ τὴν κοινωνίαν ἐπὶ τρεῖς κυριακὰς ἀναβαλλομένων.

Ο η'. καὶ ὁ θ'. τῶν ἁγίων ἀποστόλων κανόνες, ἑτοίμους ἀεὶ πάντας βουλόμενοι εἶναι καὶ ἀξίους τῆς τῶν θείων μυστηρίων κοινωνίας, ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τῆς ἱερᾶς τῶν θείων μυστηρίων λειτουργίας προσφερομένης, τῶν ἁγιασμάτων τοῖς ἄλλοις μὴ κοινωνήσαντα, τὴν αἰτίαν κελεύουσιν ἀνειπεῖν· καὶ εἰ μὲν εὐπρόσωπος εἴη, συγγνώμης τυγχάνειν, εἰ δ' οὔ, ἀφορίζεσθαι. λαβὴν γὰρ σκανδάλου καὶ ὑπονοίας δίδωσι τῷ λαῷ, κατὰ τοῦ προσενεγκόντος

Furacis ſervi dominus, ſi ſervum quidem habere vult, ei, qui furtum ſubivit, detrimentum reddat; ſi vero non vult, illum in perfectam proprietatem ei det.

Qui aliena armenta abigunt, ſi ſemel hoc fecerunt, verberentur; ſecundo autem, exilio mittantur; ſi verò tertiò hoc audere inveniantur, abducto ſcilicet armento proprio domino reſtituto, manus eis abſcindantur.

De Latronibus.

Inſignes Latrones, iis locis, in quibus delictum commiſerunt, ſuſpenduntur, ut per ſpectaculum terreſiant, qui talia aggrediuntur, & ut eorum cognatis, qui ſunt occiſi, fiat ſolamen.

Qui arbores & maxime vites cædunt, etiam tanquam Latrones puniuntur: licèt plures eandem arborem cædant, ſinguli in ſolidum tenentur; videlicet ex infitiatione duplum pretii, ex confeſſione ſimplum.

Qui ſcienter accepit rem furtivam, & furti conſcius, cum ipſo peccatore æqualiter puniuntur.

Fur eſt, qui clam & ſine armis peccat; qui neque membri abſciſſionem, neque mortem ſuſtinet: qui autem vi in quocunque loco, vel cum armis vel ſine armis delinquit, pœnas ſecundùm leges luat. Conſule & alias leges in xii. cap. literæ A.

CAPUT XXIV.

Quòd non oportet cum excommunicato communicare.

SYNODI Antiochenæ ii. Canon, à communione cum excommunicatis diſcedere omnino nos hortatur, & neque in domibus, neque in Eccleſiis, cum iis orare, etiamſi ſint ex alia regione: nam licèt loco diſtemus, non autem fide à nobis invicem diſcedimus omnes ubique terrarum Chriſtiani, & omnes una Catholica Eccleſia & vocamur & ſumus. Quiſquis igitur ex Sacerdotii catalogo excommunicatis communicare deprehenſus fuerit, etiam ipſe excommunicatur, ut qui Can. Eccleſiæ confundat. Vide & xviii. cap. literæ A. & in ii. cap. ejuſdem literæ Can. ſanctorum Apoſtolorum xlv. & xlvi. & lxiv. & Syn. Laodicenæ xxxiii. & Timothei Alexandrini ix. & in xv. cap. literæ Π. Canonem primum ſancti Gregorii Thaumaturgi.

CAPUT XXV.

De eis, qui non communicant, ſacrâ adminiſtratione factâ, vel per tres Dominicos communionem procraſtinant.

OCTAVUS & nonus ſanctorum Apoſtolorum Canones præparatos ſemper omnes & divinorum myſteriorum participatione dignos eſſe volentes, Epiſcopum, vel Presbyterum, vel Diaconum, ſacrâ divinorum myſteriorum oblatione celebratâ, qui ſacramenta aliis non communicat, cauſam dicere jubent: & ſi rationabilis fuerit, veniam conſequantur; ſin minùs, ſegregentur. Scandali enim & ſuſpicionis adverſus Sacerdotem, qui ſacrificia obtulit incruenta populo, dat apprehenſionem, quippe

A qui impedimentum aliquod ei ſciret ineſſe ad ſacrificium. Sed omnes populi fideles, qui ingrediuntur, & ſacras ſcripturas audiunt, in precatione autem & ſacra communione non permanent, tanquam petulantes participatione ſegregentur.

Huic conſona decernit etiam ii. Antiochenæ Synodi, Omnes enim, qui in Eccleſiam ingrediuntur, & ſacras ſcripturas audiunt, oratione autem unà cum populo non communicant, vel ſanctam Euchariſtiæ participationem averſantur, ex arrogantiâ ſcilicet, vel perverſitate, vel contemptu, ab Eccleſia expelli dignum judicat; donec pœnitentiæ fructus oſtendentes per confeſſionem, veniam conſequantur. B Dicunt verò quidam, Canones de Sacerdotibus, qui tunc in ſuggeſtu adminiſtrabant, hæc ordinare, ut & de Laicis, qui non perſeverabant, donec dignis fieret communicatio. Grave etenim admodum eſt, & violentum compellere omnes cujuſlibet participes fieri vel ſegregari. Quomodo enim poſſibile eſt, ut qui in medio verſatus eſt, & ſecularibus contaminatus negotiis, purum ſemper habeat animæ receptaculum ad ſpiritualis unguenti receptionem? Amabile autem foret, ſiquis omnia alia negligeret, & procul amoveret, ac hunc unum ſcopum ſibi proponeret, & nulli alii iniquæ inſerviret cupiditati, ut poſſet, C Deo auxilium præbente, illud conſequi. Ego quidem exiſtimo, quòd fideles olim non minus rectè credere, quàm rectè vivere, ſtudebant: nam apparet, quam plurima, quæ tunc Canonibus edita fuerunt, aliter ſe habere, quàm nunc. Vita autem negligens & ſtolida ita nos diſpoſuit, ut neque credamus, aliquos fideles ad tantum virtutis unquam perveniſſe. At præter has divinorum Canonum minas exiſtimo antidori diſtributionem habitam fuiſſe; ut omnino neceſſe fuerit iis, qui vivificorum myſteriorum participes eſſe non potuerint, ad divinæ adminiſtrationis finem manere; ut ex manu Sacerdotis illud ad ſanctificationem acciperent. D Vide & in ſeptimo capite literæ Π. Canonem lxvi. vi. Synodi.

Lxxx. verò ejuſdem, Epiſcopos in civitate degentes, & Presbyteros, ſi tribus diebus Dominicis in tribus ſeptimanis ab Eccleſia ſua abfuerint abſque gravi neceſſitate; porro & Laicos, qui in Eccleſiam cum fidelibus non convenerint, & precibus non communicaverint; ſed tribus diebus Dominicis defecerint; illos quidem deponit, hos vero ſegregat. Conſule & in nono capite literæ A. Can. Sardic. Synodi xi. & xii. E

CAPUT XXVI.

Quòd non oportet jamjam mortuorum corporibus communionem dare.

OCTOGESIMUS verò ſextæ Synodi Canon, ut corporibus jamjam mortuorum Euchariſtia communicetur, oportere non exiſtimet. Scriptum enim eſt, inquit, Accipite, comedite. Mortua autem corpora neque accipere neque comedere poſſunt. Vide & in i. capite literæ B. Canonem xviii. Carthaginenſis Synodi. F

CAPUT XXVII.

Quòd non oportet eum qui communicaturus eſt, cum uxore ſua conſuetudinem habere.

Vide xviii. caput literæ Γ.

A τὴν ἀναίμακτον θυσίαν ἱερέως, οἷά τι συνειδὼς αὐτῷ κώλυμα πρὸς τὴν ἱερουργίαν. Ἀλλὰ καὶ εἰσιόντας τοῦ λαοῦ πιστοὺς, καὶ τῶν ἁγίων γραφῶν ἀκούοντας, καὶ μὴ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ παραμένοντας μεταλήψει, ἀφορίζεσθαι ὡς ἀτάκτους.

Συνῳδὰ τούτῳ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ β΄. διορίζεται· πάντας γὰρ τοὺς εἰσιόντας εἰς τὴν ἐκκλησίαν, καὶ τῶν ἱερῶν γραφῶν ἐπαΐοντας, μὴ κοινωνοῦντας δὲ τῆς εὐχῆς ἅμα τῷ λαῷ, ἢ τὴν ἁγίαν μετάληψιν τῆς εὐχαριστίας ἀποστρεφομένους, ἐξ αὐθαδείας ἴσως ἢ ἀταξίας ἢ περιφρονήσεως, ἀποβλήτους τῆς ἐκκλησίας γίνεσθαι ἀξιοῖ, ἕως ἂν B καρποὺς μετανοίας δι᾽ ἐξομολογήσεως ἐπιδειξάμενοι, συγγνώμης τύχωσι. φασὶ δέ τινες περὶ τῶν ἱερατικῶν τῶν ἐν τῷ βήματι τηνικαῦτα ἱερουργούντων, τοὺς κανόνας ταῦτα νομοθετεῖν, καὶ μέντοι λαϊκῶν τῶν μὴ παραμενόντων ἄχρις ἂν ἡ μετάληψις πρὸς τῶν ἀξίων γένηται. ἐπαχθὲς γὰρ σφόδρα καὶ βίαιον, ἀναγκάζεσθαι πάντας ἑκάστης μεταλαμβάνειν, ἢ ἀφορίζεσθαι. πῶς γὰρ οἷόν τε τὸν ἐν μέσῳ στρεφόμενον, καὶ τοῖς τοῦ κόσμου πράγμασι μολυνόμενον, καθαρὸν δὲ τῆς ψυχῆς δοχεῖον παρέχειν ἑκάστοτε, πρὸς τὴν τοῦ πνευματικοῦ μύρου ἀποδοχήν; ἀγαπητὸν γὰρ, εἰ πάντα τ᾽ ἄλλα παριδών τις καὶ πόρρω θέμενος, καὶ ἕνα τοῦτον σκοπὸν C συστησάμενος, μηδεμιᾷ δ᾽ ἑτέρᾳ κακίστῃ δουλεύσας ἐπιθυμίᾳ, εἶτα δύναιτο, σὺν θεῷ βοηθῷ, τούτου κατατυχεῖν. ἀλλ᾽ ἐγώ γε οἶμαι τοῖς πάλαι πιστοῖς οὐχ ἧττον τοῦ πιστεύειν ὀρθῶς, τὸ βιῶναι ὀρθῶς ἐσπουδάζετο· τοιγάρτοι καὶ πολλὰ τῶν τηνικαῦτα τοῖς κανόσιν ἐκφωνηθέντων, ἑτέρως ἢ νυνὶ ἔχοντα φαίνεται. οὕτως δὲ ἡμᾶς τὸ ἠμελημένον καὶ σκαιὸν τοῦ βίου διέθημεν, ὡς μηδὲ πιστεύειν, εἴποτέ τινες εἰς τοῦθ᾽ ἧκον ἀρετῆς τῶν πιστῶν. ἀμέλει καὶ παρὰ ταύτην οἶμαι τὴν ἀπειλὴν τῶν θείων κανόνων ἡ τοῦ ἀντιδώρου ἐπενοήθη διανομή· ὥστε πᾶσαν εἶναι ἀνάγκην καὶ τοῖς μὴ δυναμένοις τῶν ζωοποιῶν μυστηρίων μετέχειν, περιμένειν D τὸ τέλος τῆς θείας ἱεροτελεστίας, ὡς ἂν ἐκ χειρὸς τοῦ ἱερέως πρὸς ἁγιασμὸν αὐτὸ λάβοιεν. ζήτει καὶ ἐν τῷ ζ΄. κεφαλαίῳ τοῦ Π΄. στοιχείου κανόνα ξϛ΄. τῆς ϛ΄. συνόδου.

Ὁ δὲ π΄. ταύτης, τοὺς ἐν τῇ πόλει διάγοντας ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ εἰς τρεῖς κυριακὰς ἐν τρισὶν ἑβδομάσι τῆς αὐτῶν ἐκκλησίας ἀπολειφθέντας βαρείας ἄνευ ἀνάγκης, ἔτι δὲ καὶ τοὺς μὴ συνερχομένους τοῖς πιστοῖς λαϊκοὺς εἰς τὴν ἐκκλησίαν, καὶ τῶν εὐχῶν μὴ κοινωνοῦντας, ἀλλ᾽ εἰς τρεῖς κυριακὰς καὶ τοὺς ὑστερίσαντας, ἐκείνους μὲν καθαιρεῖ, τούτους δὲ ἀφορίζει. Ζήτει καὶ ἐν τῷ θ΄. κεφαλαίῳ τοῦ Α. στοιχείου κανόνας τῆς ἐν Σαρδικῇ συνόδου ια΄. καὶ ιβ΄.

ΚΕΦ. κϛ΄.

Ὅτι οὐ δεῖ κοινωνίαν διδόναι τοῖς σώμασι τῶν ἤδη τελευτησάντων.

Ὁ δὲ πγ΄. τῆς ϛ΄. συνόδου κανὼν, τοῖς σώμασι τῶν ἤδη τελευτησάντων τῆς εὐχαριστίας μεταδιδόναι, οὐκ οἴεται δεῖν. γέγραπται γάρ, φησι, λάβετε, φάγετε. τὰ δὲ νεκρὰ σώματα οὔτε μεταλαβεῖν, οὔτε φαγεῖν δύναται. ζήτει καὶ ἐν F τῷ α΄. κεφαλαίῳ τοῦ Β. στοιχείου κανόνα τῆς ἐν Καρθαγένῃ ιη΄.

ΚΕΦ. κζ΄.

Ὅτι τὸν κοινωνῆσαι μέλλοντα οὐ δεῖ προσιέναι τῇ ἰδίᾳ γυναικί.

Ζήτει τὸ ιη΄. κεφάλαιον τοῦ Γ. στοιχείου.

A

ΚΕΦ. κη'.

Πότε κοινωνεῖ ὁ ὀνειρωχθείς.

ΕΝ τῷ δ'. κανόνι, ὁ ἅγιος Διονύσιος Ἀλεξανδρείας τοῖς ἐν ἀπροαιρέτῳ ῥύσει νυκτὸς γεγονόσι, δικαστὴν ἀδέκαστον τοῦ πράγματος τὸ ἴδιον ἐφίστησι συνειδός. εἰ μὲν γὰρ μὴ προκειμένης ἡστινοσοῦν ἐμπαθείας, αὐτομάτως ἡ τῆς γονῆς συμβέβηκεν ἐκροὴ, τῆς φύσεως αὐτὴν ὡς περίττωμα ἐκκρινάσης, ἀνεμποδίστως ὅγε τοῦτο παθὼν, φησι, τῇ θείᾳ κοινωνίᾳ προσίτω. εἰ δέ τις ἐμπαθὴς λογισμὸς προϋπῆρξε, καὶ οὕτως ἐμφιλοχωρήσας τῇ αὐτοῦ διανοίᾳ, νυκτερινὴν ἐπήνεγκεν φαντασίαν, καὶ ταύτῃ ἐπηκολούθησεν ἡ τῆς γονῆς ἐκροὴ, ἢ ἐκ παροινίας, καὶ ἀδηφαγίας τοῦτο συνέβη, ὁ τοιοῦτος οὐ καθαρός ἐστιν, οὐ διὰ τὴν ῥύσιν τοῦ σπέρματος, οὐ γὰρ ἀκάθαρτον τοῦτό γε, ἐπεὶ μηδὲ ἡ σάρξ, ἧς ἐκεῖνο περίττωμα, ἀλλὰ διὰ τὸ πονηρὸν ἐνθύμιον, ὅπερ ἐμόλυνε τὴν διάνοιαν. ὁ τοίνυν τῇ συνειδήσει παρὰ τοῦτο διακρινόμενος, παρρησίας ἐστέρηται, πῶς οὖν προσελεύσεται τῷ Θεῷ οὕτω διακείμενος; κατὰ γὰρ τὸν μέγαν Παῦλον, ὁ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται.

CAPUT XXVIII.

Quando communicat ſomnio pollutus.

IN iv. Canone ſanctus Dionyſius Alexandrinus iis, qui in involuntario ſeminis fluxu nocturno fuerint, judicem rei indemnatum propriam conſtituit conſcientiam: ſiquidem enim nulla præcedente animi perturbatione, B ſponte ſua iis hæc fluxio acciderit, natura illam tanquam excrementum excernente, ſine impedimento qui hoc paſſus eſt, inquit, ad ſacram communionem admittatur. Siqua autem rationis perturbatio præceſſerit, & ita in ejus cogitatione commorata nocturnam intulit phantaſiam, eamque conſecuta eſt ſeminis effluxio, vel ex potu & cibo hoc evenerit, talis non eſt purus; non propter ſeminis fluxum (hoc enim non eſt immundum, ſicut nec caro cujus eſt excrementum) ſed propter malam cogitationem, quæ mentem polluit. Qui proinde præter hoc in conſcientia dubitat, quo minùs liberè loquatur facultate privatur, C quomodo igitur ad Deum accedet, qui ita affectus eſt? nam ſecundum magnum Paulum, Qui dubitat, ſi comederit, condemnatus eſt.

Τὰ αὐτὰ καὶ ὁ μέγας Ἀθανάσιος, πρὸς Ἀμμοῦν τινα ἐπιστέλλων, δι' ἐπιχειρημάτων πλείστων διέξεισι κατασκευάζων, μηδὲν τῶν ὑπὸ Θεοῦ κτισθέντων ἀκάθαρτον εἶναι τῇ ἑαυτοῦ φύσει. ἔργον δὲ τῶν χειρῶν αὐτοῦ ὁ ἄνθρωπος, ταῖς φυσικαῖς ἐκκρίσεσιν ὑποκείμενος. τῷ γὰρ ζώῳ δέδονται πόροι, ἵνα διὰ τούτων ἕκαστον μέλος ἀποπέμπῃ τὸ περιττόν. τῆς μὲν οὖν κεφαλῆς αἱ τρίχες περίττωμα, καὶ τὰ διὰ ῥινῶν καὶ στόματος ὑγρά· καὶ γαστρὸς τὰ διαχωρήματα· τοῦ δὲ ὅλου σώματος, οἱ ἱδρῶτες, τῶν δὲ σπερματικῶν πόρων, τὸ σπέρμα· ταῦτα δὲ ἐκκρινόμενα καὶ κινούμενα λυσιτελεῖ τῷ ζώῳ, κατεχόμενα δὲ φθείρειν εἴωθε. καὶ τοῖς μὲν εὐγνώμοσιν, οὐδὲν ἀκάθαρτον τῇ ἑαυτοῦ φύσει· τοῖς δὲ μεμιασμένοις, οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν, καὶ ὁ νοῦς, καὶ ἡ συνείδησις, τῇ ἁμαρτίᾳ δηλαδὴ, καὶ τῷ μὴ λογίζεσθαι περὶ αὐτῶν τὰ πρέποντα. Ἴσασι δὲ καὶ ἰατρῶν παῖδες, ὅπως ἡ φύσις ὡς περιττὸν διώκει τὸ σπέρμα· ἁμαρτία δὲ οὐδεμία κενουμένου τοῦ περιττώματος.

Eadem etiam magnus Athanaſius ad Ammum quendam mittens ediſſerit, multis argumentis probans, nihil eorum, quæ à Deo creantur, ſuâ naturâ impurum eſſe. Opus verò ejus manuum eſt homo naturalibus excretionibus ſubjectus. Animali enim dantur pori, ut per illos quodque membrum, quod ſupervacaneum eſt, emittat. Capitis igitur excrementa ſunt crines, & quæ per nares & os emittuntur ſputa; & ventris, excrementa; D totius verò corporis, ſudor; ſeminalium etiam pororum, ſemina: hæc enim emiſſa & emota animali proſunt; detenta autem deſtruere ſolent. Et eis quidem, qui bene ſentiunt, nihil in ſua natura eſt immundum: pollutis autem, nihil purum; ſed contaminantur & eorum mens & conſcientia, peccato ſcilicet, & quæ non decent iis tribuendo. Norunt enim Medicorum filii, quòd natura, ut ſuperfluum, emittit ſemen: nullum autem eſt peccatum, ſi emittatur ſuperfluum.

Ὁ δὲ μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς ἐρωτηθεὶς, εἰ τολμητέον προσιέναι τῇ κοινωνίᾳ τὸν ὀνειρώξαντα, ἀπεκρίνατο, τὸ, ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς παλαιᾶς διαθήκης, φοβερὸν διδασκόμεθα τὸ κρίμα, εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι παιδεύσει ἡμᾶς ὁ ἀπόστολος, εἰπὼν, ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἐσθίει καὶ πίνει. ἀκαθαρσίαν δὲ ὠνόμασεν ὁ ἅγιος, οὐ τὴν σπερματικὴν ἔκκρισιν, ἣν οὐκ ἄν τις οἶμαι διὰ τέλους ἐκφεύξεται, εἰ μήπου δεινῶς ἠλίθιος εἴη, ἀλλὰ τὴν πονηρὰν ἐπιθυμίαν, περὶ ἧς ὁ κύριος ἔφησεν, ὁ ἐμβλέψας γυναικὶ, καὶ τὰ ἑξῆς· ἧς ἡγουμένης, ἤτε κατὰ διάνοιαν ἁμαρτία διὰ συγκαταθέσεως τελεῖται, ἢ ἡ καθ' ὕπνους ἕπεται φαντασία, καὶ ἡ ῥύσις τοῦ σπέρματος.

E Magnus vero Baſilius in aſceticis interrogatus, an oporteat ſomnio pollutum in communionem admittere, reſpondit, Ejus, qui, cùm in immunditie ſit, appropinquat ſanctis, etiam ex veteri teſtamento terribile docemur judicium; quod ſi eſt hîc plus ſacro, terribilius videlicet nos docebit Apoſtolus, dicens, Qui comederit & biberit indignè, judicium ſibi comedit & bibit. Immunditiem verò nominavit ſanctus, non ſeminis excretionem, quam nullus, ſuſpicor, abſolutè evitaverit, niſi maximè continens ſit; ſed pravam concupiſcentiam (de quâ dixit Dominus, Qui mulierem aſpicit; & cætera) qua præeunte, mentis etiam F peccatum per aſſenſum perficitur, vel imaginatio in ſomnis conſequitur, & ſeminis effluxio.

Περὶ μαλακίας.

ΕΙ δὲ οὕτως εὐθύνεται ἡ ἀπὸ συγκαταθέσεως διὰ νυκτερινῆς φαντασίας τοῦ σπέρματος ἐκροὴ, πολλῷ γε μᾶλλον ἡ διὰ μαλακίας ἔκρυσις ἐπιτιμηθήσεται, ὑπὲρ γε πάντως,

De Mollitie.

SI verò ita corrigitur, qui à conſenſu fit per nocturnam imaginationem ſeminis fluxus, multò magis punietur per mollitiem effluxio, omnino viſione, &

& non ex ſomnio polluto facta. Dicit enim Neſteutes Johannes, Clericus mollitiei morbo laborans ante Sacerdotium, non exiſtimans forſan, quod ob hoc ſolum Sacerdotio expelleretur, ſatis antea punitus, ſic Sacerdotio dignus habeatur. Si verò poſt Sacerdotium in hoc inciderit, per annum unum à Sacerdotio expulſus, & debitis pœnis ad ſanam mentem redactus, ad Sacerdotium revertatur: ſi verò poſt peccati agnitionem bis vel ter hoc fecerit, Sacerdotio ceſſans, in Lectoris ordinem veniat. Laicus autem mollitiei turpe malum peragens, quadraginta dies à communione arcetur, in illis aridis veſcens, & in unaquaque genuflectiones peragens xlix. Quæ propter mutuum coitum fit mollities, duplex efficit malum, quippe duas corrumpit animas, ideoque & duplum ejus author ſupplicium ſuſtinet, ad lxxx. dies à communione arcendus, & ad centum pœnitentiæ menſuram extendens cum conveniente jejunio. Sed de illo hucuſque. Quæ autem ob renum morbum facta ſit genitalis ſeminis effluxio, veluti gonorrhæa, & quæ ob calculum in veſica fit, nulli omnino reprehenſioni eſt obnoxia. Licèt enim per Moſis legem qui gonorrhæa laborabant impuri habebantur: ille tamen alio modo per corporales paſſiones animæ oſtendit morbos, & per involuntaria voluntaria reprehendit. Si enim naturalia impura quodammodo eſſe exiſtimat; multò magis ex propoſito ſalacitas. Umbram enim continens Lex, in corporalibus, tanquam pueros, exercuit Judæos, ut ad ſpiritualium & perfectiorum mandatorum receptionem magis idoneos redderet. Ex his etenim docet, & nos eorum converſationes fugere debere, ne ſermonum impuritate ex eorum ore procedente polluti ſimus. Hi vero ſunt, qui morbum ſuum peſtiferæ inſtar infectionis in omnes inducere ſummopere conantur, & quamplurimos habere ſibi ſimiles; ut in malorum communione, criminum etiam convitia, prout ſoliti ſunt, aufugiant. At noſtra lex, non minus illos, quàm ſanos admittit; quoniam qui vel lepra laborabant, ob illam tanquam impuri à caſtris amovebantur: nobis autem, & concioni ſimul interſunt & ſimul precantur, ex morbo nihil impediti.

SEXAGESIMUS primus ſextæ Synodi Canon, Eos, qui vatibus ſeſe dediderunt, vel Præſtigiatoribus, vel iis qui Centuriones dicuntur, vel iis qui urſas circumferunt, vel id genus animalia ad imperitorum oblectamentum & noxam, vel nubium perſecutoribus, vel Incantatoribus, vel iis qui præbent amuleta, vel qui fortunam, ac fatum, ac genealogiam, & ejuſmodi verborum multitudinem proferunt ex impoſturæ nugis, qui dicunt hunc quidem die maligno, illum vero felici ſydere natum eſſe; eos igitur, qui C his confidunt, ſexennio ſegregat; & perſeverantes malo ab Eccleſia omnino ejicit, ſi ſint ſcilicet Laici; nam quominus Sacerdotes deponantur, nulla eſt excuſatio. Ut enim inquit Apoſtolus, Quænam templo Dei cum Idolis conſenſio? & cætera. Vates equidem dicuntur, qui dæmonibus ſeſe addicunt, & ex illorum ſuggeſtionibus per quædam ſigna futura ſcire profitentur. Centuriones verò, qui de his aliquantulum ſapientiores ſunt, & ideò exiſtimantes ſe aliis anteferri. Qui vero Urſas circumferunt, tincturas illis appendentes, & pilos tondentes, mulieribus ambo præbent, tanquam quæ morbos & faſcinationem propellere vim D habent. Alii vero ſerpentes in ſinu geſtant, præſtigias per eos perficientes. Nubium perſecutores verò ſunt, qui ex figuris in nubibus aliqua vaticinantur. Incantatores verò, qui Davidicos Pſalmos ſubinde canunt, & nominum Martyrum meminerunt, etiam ipſius ſanctæ Virginis Dei-paræ; & horum quidam præſtigias ex dæmonibus ſomniantes. Alii verò, puerorum collis chartas complicatas pendebant incantamentis quibuſdam, inſcriptas, rubris texturis illas involventes, ad evertendum ſcilicet omne pernicioſum, quæ etiam Amuleta dicuntur & περίαπτα. A Synodo etiam ſæpe depoſiti fuerunt Sacerdotes, quòd magnæ E quintæ feriæ panem quibuſdam comedere dederunt, ut ſurrepta invenirentur, eo quod hunc non facilè devorant. Alius verò quidam Sacerdos, cum Evangelio ligno ligato, & in orbem circumacto, interrogationes de quibuſdam rebus per Pſalmos Davidis faciens, ſtatim depoſitus fuit. Tales etiam ſunt & quæ Eccleſiis vel ſacris imaginibus aſſidentes mulieres, & ex his ſe futura cognoſcere æquè ac prædicere affirmant, non ſecus ac quæ olim Pythonis ſpiritum habuerunt. De his omnibus dicit divinus Chryſoſtomus, Etiamſi ſanctæ Trinitatis nomen ejuſmodi actionibus admiſceatur, & ſi ſancti etiam invocentur, & ſignum crucis inſuper F interponatur, fugere tamen ea nos debere & averſari: & in xxi. homilia libri de ſimulachris, ut & in vi. contra Judæos homilia, non obiter de his triumphum facit.

Vigeſimus quartus Ancyranæ Synodi quinquennii pœnæ ſubjicit eos, qui Gentium conſuetudines ſine ratione ſequentes, & in ſuas ædes vates ad magicas artes & medicamenta invenienda introducunt, quod à tali abominatione domum ſe expiaturos promittunt: quia decumbentes ex his ſe fieri ſuſpicantur, & morbo diuturno ſubjici, vel amiſſa quædam indicare poſſe. Iiſdem pœnis ſubjiciuntur, qui cantatricibus fidem adhibent, & iis qui cum hordeo divinant. Hunc Can. verbatim recitat etiam lxxxiii. magni Baſilii Canon; ille autem ad ſexennium uſque tali malo deprehenſos extendit; ut qui ſemel errarunt, poſtea verò malo deſiſtentes, minus punientur.

Trigeſimus ſextus Laodic. Syn. Sacerdotes, qui ſunt Magi, & Incantatores, aut Mathematici, aut Aſtrologi, aut quæ dicuntur Phylacteria faciunt, omnino ex Eccleſia ejici decernit. Et Magi quidem ſunt, qui dæmones, beneficos ſcilicet, invocant ad boni alicujus conſtitutionem, cum omnes ſint homicidæ & ἀλάστορες propoſito. Incantatores autem ſunt præſtigiatores, qui per incantationes dæmones ad ſuam voluntatem trahunt; ac feras etiam & reptilia devinciunt, adeo ut jumento extrà forſan relicto perniciem afferre non poſſunt. Porro & alii ſerpentes incantant, quos etiam manibus tractantes ſine morſu ab illis & malis impatibiles remanent. Mathematici verò, qui opinantur corpora cœleſtia habere univerſi dominationem, omniaque noſtra ab eorum motu adminiſtrari. Mathematica ſcientia in hæc duo dividitur, Aſtronomiam ſcilicet & Aſtrologiam. Et illa quidem, cum ea ſancta conſentit, quæ cœleſtium omnium poſitionem & motum docet, & etiam ordinatum eorum contextum & diſtantiam. Aſtrologia autem, hoc eſt, exinde prædictio, quæ impetum cœli ſcilicet excipiens & futurum cognoſcens, nequaquam à ſanctis Patribus conceditur, quia ſimpliciores maximè errare facit, & nativitati & fato confidere illos compellit. Quatuor autem ſunt libri Mathematici nuncupati, Arithmetica, Muſica, Geometria, & Aſtronomia. Non illos igitur legere vetat Canon, ſed nimium in iis ſtudium adhibere; & cum cœleſtium motibus noſtra quoque circumagi credere, & futura quædam præcognoſcere exiſtimare, quod neceſſariò futura ſint ex illo Aſtrorum motu.

Lex.

Quapropter lex dicit, Geometria quidem publicè docetur; Mathematica verò condemnatur, ut prohibita.

Magnus Baſilius etiam in vii. Canone, Veneficos & Idolatras, & homicidas in viginti annos condemnat; adulteros verò & maſculorum & animalium initores in quindecim, Idololatras vocans, non manifeſtò impios: ſed eos, qui poſt baptiſmum præſtigias exercent & vaticinia. Nam aliquo modo Idola colunt illi, dæmonum invocationibus utentes, & eorum auxilium quærentes. Qui quidem ab initio fuerunt Idololatræ, & pœnitentia ducuntur & baptizantur, ſtatim ad ſanctam communionem accedant: qui autem poſt baptiſmum Idolis ſacrificarunt, per totam vitam pœnitentiam agant, & in ejus extremo divinum donum accipiant. Quemadmodum & in lxv. Illum, qui præſtigias vel veneficium profitetur, voluntarii homicidæ judicio ſubjicit,

A εἰς τοὺς ἑαυτῶν οἴκους μάντεις εἰσάγουσιν ἐπὶ ἀνευρέσει δῆθεν μαγειῶν, καὶ φαρμακειῶν, ὡς ἂν τοῦ τοιούτου μύσους ἐκκαθάραι τὸν οἶκον ὑπισχνούμενοι· οἷα κλινοπετεῖς ἑαυτοὺς ἐκ τούτων ὑποπτεύοντες γεγονέναι, καὶ νόσῳ χρονίᾳ κατεργασθῆναι, ἢ καί τινα τῶν ἀπολλυμένων δυναμένους καταμηνύειν. τοῖς αὐτοῖς ἐπιτιμίοις ὑπόκεινται, καὶ οἱ γοητευτρίαις προσερχόμενοι, καὶ ταῖς μετὰ κριθῶν μαντευομέναις. τοῦτον κατὰ ῥῆμα τὸν κανόνα διέξεισι καὶ ὁ τοῦ μεγάλου Βασιλείου πγ΄. πλὴν οὗτος καὶ μέχρις ἑξαετίας τοὺς καταχρησαμένους τῷ τοιούτῳ κακῷ παρατείνει, ὥστε οἱ ἅπαξ πλανηθέντες, εἶτα τοῦ κακοῦ ἀποστάντες, ἐλαττόνως B ἐπιτιμηθήσονται.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ λϛ΄. κληρικοὺς, μάγους ὄντας, καὶ ἐπαοιδοὺς, ἢ μαθηματικοὺς, ἢ ἀστρολογικοὺς, ἢ τὰ λεγόμενα ποιοῦντας φυλακτήρια, παντάπασι τῆς ἐκκλησίας ἀποῤῥίπτεσθαι διορίζεται· καὶ μάγοι μέν εἰσιν οἱ δαίμονας ἀγαθοποιοὺς δῆθεν, ἐπικαλούμενοι πρὸς ἀγαθοῦ τινος σύστασιν, καίτοι μιαιφόνους πάντας καὶ ἀλάστορας ὄντας τῇ προαιρέσει. ἐπαοιδοὶ δὲ, οἱ γόεις, οἱ δι' ἐπῳδῶν τοὺς δαίμονας ἐφελκόμενοι πρὸς τὰ οἰκεῖα θελήματα, καὶ θηρία καταδεσμοῦντες καὶ ἑρπετὰ πρὸς τὸ, μὴ λυμήνασθαι τὸ κτῆνος τυχὸν, ἔξω που νυκτὸς αὐλιζόμενον. ἀλλὰ καὶ ὄφεις ἕ- C τεροι καταγοητεύουσιν, οὕσπερ δὴ καὶ μεταχειριζόμενοι, ἄδηκτοι ἐξ αὐτῶν καὶ ἀπαθεῖς κακῶν διαμένουσι. μαθηματικοὶ δὲ, οἱ τὰ οὐράνια σώματα δοξάζοντες ἔχειν τὴν τοῦ παντὸς κυριότητα, καὶ κατὰ τὴν κίνησιν τούτων διοικεῖσθαι τὰ καθ' ἡμᾶς. τὰ δὲ τῆς μαθηματικῆς ἐπιστήμης, εἰς β΄. ταῦτα διῄρηται· ἀστρονομίαν δὲ, καὶ ἀστρολογίαν. καὶ ἡ μὲν καὶ τῆς ἁγίας αὐτῆς συγκεχώρηται, ἅτε τὴν τῶν οὐρανίων ἁπάντων διδάσκουσα θέσιν τε καὶ κίνησιν, καὶ τὴν εὔτακτον αὖθις αὐτῶν συμπλοκὴν καὶ διάστασιν· ἡ δὲ ἀστρολογία, τουτέστιν ἡ ἐκεῖθεν προμάντευσις, καὶ καθειρμὸν δῆθεν τῶν οὐρανίων ἐκβαίνουσα καὶ τὸ μέλλον γνωρίζουσα, οὐ- D δαμοῦ τοῖς πατράσιν ἐνδέδοται, ἅτε τοὺς ἁπλουστέρους καὶ μᾶλλον ἀποπλανήσασα, γενέσει τε καὶ εἱμαρμένῃ προσέχειν καταναγκάζουσα. τέσσαρα δ' εἰσὶ τὰ λεγόμενα μαθηματικὰ βιβλία, ἀριθμητικὴ, μουσικὴ, γεωμετρία, καὶ ἀστρονομία. οὐ ταῦτα τοίνυν ὁ κανὼν ἀναγινώσκειν ἀπείργει, ἀλλὰ τὸ περιέργως αὐτοῖς κεχρῆσθαι, καὶ ταῖς τῶν οὐρανίων κινήσεσι πιστεύειν συμπεριφέρεσθαι τὰ ἡμέτερα, καί τινα τῶν ἐσομένων οἴεσθαι προγινώσκειν, ὡς ἐξ ἀνάγκης συμβησομένων, παρὰ τὴν τοιάνδε κίνησιν τῶν ἀστέρων.

Νόμος.

E

Ταύτητοι καὶ ὁ νόμος φησὶν, ἡ μὲν γεωμετρία δημοσίᾳ διδάσκεται· ἡ δὲ μαθηματικὴ κατακρίνεται, ὡς ἀπηγορευμένη.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ζ΄. κανόνι, φαρμακοὺς, καὶ εἰδωλολάτρας, καὶ φονεῖς, εἰς εἴκοσι ἔτη καταδικάζει. μοιχοὺς δὲ καὶ ἀῤῥενοφθόρους, καὶ ζωοφθόρους, εἰς ιε΄. εἰδωλολάτρας λέγων, οὐ τοὺς προδήλως ἀσεβεῖς, ἀλλὰ τοὺς μετὰ τὸ βάπτισμα γοητείας μετιόντας, καὶ μαντείας. τρόπον γάρ τινα, εἰ- F δωλολατροῦσι καὶ οὗτοι, ἐπικλήσεσι χρώμενοι δαιμονίων, καὶ τὴν ἐκείνων ζητοῦντες ἐπικουρίαν. οἱ μὲν γὰρ, οἱ ἀπ' ἀρχῆς εἰδωλολάτραι, μετανοοῦντες καὶ βαπτιζόμενοι, εὐθέως τῇ θείᾳ κοινωνίᾳ προσίασιν· οἱ δὲ μετὰ τὸ βάπτισμα τεθυκότες εἰδώλοις, σύνοικον διὰ βίου τὴν μετάνοιαν κέκτηνται, καὶ περὶ τὰς τούτου δυσμὰς τὸ θεῖον δῶρον λαμβάνουσιν. ὥσπερ ἄρα καὶ ἐν τῷ ξε΄. τὸν γοητείαν ἢ φαρμακείαν ἐξαγορεύοντα, τῷ τοῦ ἑκουσίως φονεύσαντος ὑπόκειται κρίματι,

εἰς

A εἰς κ'. αὐτοὺς ἔτη τῆς κοινωνίας ἀπείργων. καὶ μάλα εἰκότως, αἱ μὲν καὶ γοητεῖαι δαιμόνων ἔχουσιν ἐπικλήσεις κακοποιῶν, περὶ τοὺς τάφους ἐπαδομένας, ὥστε τινὰ παραθλῶσαι τὰ μέλη τυχὸν, καὶ διὰ βίου κατακλιθῆναι, καὶ ἀβίωτον αὐτῷ τὸν βίον γενέσθαι. ταύτητοι καὶ γοητεῖαι παρωνομάσθησαν ἀπὸ τῶν περὶ τοὺς τάφους γόων καὶ θρήνων.

per xx. annos eos à communione arcens; & non immeritò, cùm præſtigiæ invocationes dæmonum maleficorum contineant, circa tumulos incantatas, ut alicujus membra forſan diſſolvantur, & dum luce fruitur ægrotet, & inops ſit illi vita. Quapropter & incantationes denominatæ ſunt à gemitibus & lamentationibus circa tumulos.

Εἰ δὲ φαρμακεῖαι ἢ ἀναιροῦσιν, ἢ τῶν φρενῶν ἐξιστῶσι, καὶ εὐκταῖον τὸν θάνατον ποιοῦσι τῷ πάσχοντι, εἴ ποτε ἀνήψειεν, ἢ τοῖς γοῦν προσήκουσι τῷ ἀνθρώπῳ, ἢ φίλτρων χάριν ἐνίοτε γινόμενα, παραπαίειν καὶ οὕτω παρασκευάζουσιν. B

Si verò veneficia, aut interficiunt, aut de mentis ſede dejiciunt, mortémque illi, qui hæc patitur, optabilem faciunt, ſi quando reſipiſcat, vel hominis cognatis ſaltem, aut amoris gratiâ quandoque facta, delirium inducunt.

Ἐν δὲ τῷ οβ'. καὶ τὸν μάντεσιν ἑαυτὸν ἐπιδεδωκότα, ἢ τισὶ τοιούτοις, καὶ τὰ ἐκείνων φρονεῖν προαιρούμενον, τῷ τῶν φονέων οἰκονομεῖσθαι χρόνῳ κελεύει. εἰ γὰρ καὶ τὰ χρηστήρια μετὰ τὴν τοῦ κυρίου σάρκωσιν ἐκλελοίπασι, καὶ αἱ τῶν ψευδωνύμων προῤῥήσεις θεῶν· ἀλλά γε καὶ σήμερον δι' ἐπῳδῶν καὶ ἐνεργείας δαιμόνων ἔσθ' ὅτε συμβαίνουσι γίνεσθαι· εἰ καὶ ψευδεῖς αἱ πλείους ἐλέγχονται. ἀλλ' οἱ μὲν τοὺς δαίμονας ἀναίδην ἐπικαλούμενοι, οὐκ ἀπεικότως τῷ τῶν φονέων ὑποβάλλονται κρίματι. C οἱ δὲ ἁγιασμὸν καὶ ἀρετὴν ὑποκρινόμενοι κέρδους εἵνεκα, μετριώτερον οἶμαι, καὶ οὐ κατ' ἐκείνους τὰς εὐθύνας ὑφέξουσιν.

In lxxii. Eum, qui ſe vatibus vel aliis ejuſmodi tradidit, & his ſapere contendit, homicidarum tempore puniri jubet. Quamvis oracula poſt aſſumptam à Domino carnem defecerint, & à falſis deis prædictiones: his tamen temporibus per incantationes & dæmonum miniſteria aliquando fieri contingunt; etſi mendacii pleraque convincantur. Qui tamen impudenter dæmones invocant, non immeritò homicidarum judicio ſubjiciuntur. Qui verò ſanctificationem & virtutem ſimulantes lucri gratia, mitiorem credo pœnam, & non eaſdem correctiones ſubibunt.

Ο δὲ μέγας Γρηγόριος Νύσσης, ἐν τῷ β'. κανόνι, ταῦτα δίεισι κατὰ ῥῆμα, οἱ πρὸς γόητας ἀπιόντες ἢ μάντεις, ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, ἐρωτῶνται δι' ἀκριβείας καὶ ἀνακρίνονται, πότερον ἐπιμένοντες τῇ εἰς Χριστὸν πίστει, ὑπ' ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεως τινὸς ἢ ἀφορήτου ζημίας, ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης, D ἢ καθόλου καταφρονήσαντες τῆς πεπιστευμένης παρ' ἡμῶν μαρτυρίας, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. εἰ μὲν γὰρ ἐπ' ἀθετήσει τῆς πίστεως, καὶ πρὸς τὸ, μὴ πιστεύειν εἶναι θεὸν, τὸν παρὰ τῶν χριστιανῶν πιστευόμενον, ἐκεῖνο πεποιήκασι, τῷ κρίματι τῶν ἑκουσίως ἀρνησαμένων ὑπαχθήσονται. ὁποῖον δὲ τὸ τούτων κρίμα, ἐν τῷ α'. αὐτοῦ κανόνι ὁ ἅγιος οὗτος διαλαμβάνει· ὃν καὶ ζήτει ἐν τῷ α'. κεφαλαίῳ τοῦ Α. στοιχείου. εἰ δέ τις, φησὶν, ἀβάστακτος ἀνάγκη, κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν, εἰς τοῦτο προσήγαγε, τὸ μέτρον τῶν ἐν πορνείᾳ πλημμελησάντων, καὶ αὐτοὶ φυλάξουσιν, ὅπερ καὶ εἰς ἔτη παρατείνει ἐννέα. E ζήτει τὸ γ'. κεφάλαιον τοῦ Ε. στοιχείου.

Magnus vero Gregorius Nyſſenus in ii. Canone, hæc verbatim profert, Qui ad præſtigiatores, vel vates, vel eos qui per dæmones ſe piacula quædam & averſiones operaturos pollicentur, abeunt, exactè interrogantur & examinantur, utrum in fide in Chriſtum permanentes, à neceſſitate aliqua ad illud peccatum impulſi ſunt, cum afflictio aliqua vel intolerabilis jactura hunc illi animum indidiſſet, an omnino neglecto quod à nobis creditum eſt teſtimonio, ad dæmonum ſocietatem ſe contulerunt. Si enim ad fidem infirmandam, & quod Deum eſſe non crederent, qui à Chriſtianis creditur, illud fecerunt, erunt ſcilicet voluntariò negantium judicio obnoxii. Quale vero ſit horum ſupplicium, in primo ejus Canone hic ſanctus decernit; quem quæras in i. cap. lit. A. Sin autem, inquit, non ferenda neceſſitas aliqua, puſillum eorum animum ſuperans, eo diduxit, menſuram eorum, qui in fornicatione peccarunt, ipſi etiam obſervabunt, quod in novem annos extendit. Quære iii. cap. literæ E.

Νόμοι.

Leges.

Ο διὰ θυσιῶν μαντευόμενος, ξίφει τιμωρείσθω· ὁ δὲ τοῦτον προτρεψάμενος, παρακλήσει ἢ μισθῷ, ἐξορίᾳ καὶ δημεύσει ὑποκείσθω.

Qui per ſacrificia vaticinatur, gladio puniatur: qui verò illum vel ſuaſione vel præmio ad id hortatur, exilio & bonorum confiſcationi ſubjiciatur.

Οἱ φαρμακοὶ, ἀξιωματικοὶ ὄντες, δεπορτατεύονται· οἱ δὲ λοιποὶ, εἰς κεφαλὴν τιμωροῦνται. F

Veneficii, ſi in dignitate poſiti ſint, exportantur; reliqui vero capite puniuntur.

Ο ἐπιτηδευσάμενος γοητείαν ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς, ἢ κατὰ σωτηρίαν ἀνθρώπων μηχανησάμενος, δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖται.

Qui præparat magicam ad libidinem trahentem pudicos mores, vel contra hominum ſalutem molitur, publicatione & exilio punitur.

Μηδεὶς ἐπερωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον· οἱ γὰρ μάγοι κεφαλικῶς τιμωροῦνται.

Ne quis divinatorem conſulat: Magi enim capitali pœna puniuntur.

Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, ξίφει τιμωρείσθωσαν.

Qui in necem hominum dæmones invocant, gladio puniuntur.

A Idem est docere & discere prohibita.

Maritus uxorem suam veneficam inveniens, matrimonium recte repudio solvat; similiter & mulier virum.

Qui venenum pro medicamento servo dedit, eidem pœnæ subjicitur, ac qui mortis causam præbuit; similiter & qui inconsideratè dat venenum.

Qui insanire aliquem veneno faciunt, lege de injuria tenentur.

B Lege de homicidis tenetur, qui hominis necandi causâ venenum facit, vel vendit, vel habet.

Si quis non malo animo mulieri paraverit medicamentum ad conceptionem, & ipsa accipiens, decesserit, relegatur qui paravit.

Si quis liber aut servus quacunque occasione potionem dederit, sive viro, sive mulieri, sive ancillæ, sive dominæ, & ex hoc infirmi facti moriantur qui acceperunt, qui paravit gladio puniatur.

C Qui, quæ φυλακτὰ dicuntur, præparant, & amatoria ad capiendos homines, publicati deportentur.

Lx. Novella Imperatoris Leonis, Si quis, inquit, omnino has magicas artes adhibere inveniatur, sive corporis medelæ prætextu, sive ad avertendum fructuum damnum, is apostatarum pœnam subiens, ultimo afficiatur supplicio.

D
CAPUT II.

De Mollitie.

Consulas xxv. cap. literæ K.

CAPUT III.

De Ebriis.

E Quæras xxxv. cap. literæ K.

CAPUT IV.

De transpositione & translatione Episcoporum & Clericorum.

Quæras ix. cap. literæ A.

F
CAPUT V.

Quòd Pœnitentes non oportet rejici.

QUINQUAGESIMUS secundus sanctorum Apostolorum Canon, Siquis Episcopus, inquit, vel Presbyter, eum, qui à peccatis convertitur, non recipit, sed abhorrens ejicit veteris instar Navati illius, deponatur; quia Christum molestia afficit (dicentem, Gaudium est in cœlo propter unum peccatorem

A Ὅσον ἐστὶ τὸ, ἀπαγορευόμενα μαθεῖν, καὶ τὸ, διδάσκειν.

Εὐλόγως ὁ ἀνὴρ εὑρίσκων τὴν αὐτοῦ γαμετὴν φαρμακὸν ῥεπουδίῳ λύει τὸν γάμον, ὡσαύτως καὶ ἡ γυνὴ τὸν ἄνδρα.

Ὁ φάρμακον ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς, ὑπόκειται τῇ αὐτῇ ποινῇ, ὡς αἰτίαν θανάτου παρασχὼν, ὡσαύτως καὶ ὁ προπετῶς διδοὺς φάρμακον.

Οἱ παραφρονῆσαί τινα φαρμάκῳ ποιοῦντες, ἐνέχονται τῷ περὶ ὕβρεως νόμῳ.

B Τῷ περὶ φονέων νόμῳ ὑπόκειται, ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον ποιῶν φάρμακον, ἢ πιπράσκων, ἢ ἔχων.

Εἰ καὶ μὴ κακῷ τις λογισμῷ παράσχοι γυναικὶ συλληπτικὸν, καὶ τελευτήσει ἡ λαβοῦσα, ἐξορίζεται ὁ παρασχών.

Εἴ τις ἐλεύθερος ἢ δοῦλος, ἐπὶ οἱᾳδήποτε προφάσει δοίῃ πόμα, εἴτε ἀνδρὶ, εἴτε γυναικὶ, εἴτε δούλῃ, εἴτε δεσποίνῃ, καὶ ἐκ τούτου ἀσθενήσαντες ἀποθάνοιεν οἱ δεξάμενοι, ξίφει ὁ παρασχὼν τιμωρείσθω.

C Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ, καὶ ἐπιφίλια τοῦ δοκεῖν ἀνθρώπων, δημευόμενοι ἐξοριζέσθωσαν.

Ἡ δὲ ξ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος, εἴ τις, φησὶν, ὅλως τὰ τοιαῦτα φωραθείη μαγγανευόμενος, εἴτε προφάσει σωμάτων θεραπείας, εἴτε ἀποτροπῆς τῆς τῶν καρπίμων βλάβης, τὴν ἐσχάτην εἰσπραττέσθω ποινὴν, τὴν τῶν ἀποστατῶν κόλασιν ὑφιστάμενος.

D
ΚΕΦ. β΄.

Περὶ μαλακίας.

Ζήτει ἐν τῷ κε΄. κεφαλαίῳ τοῦ Κ. στοιχείου.

ΚΕΦ. γ΄.

Περὶ μεθυόντων.

E Ζήτει τὸ λε΄. κεφάλαιον τοῦ Κ. στοιχείου.

ΚΕΦ. δ΄.

Περὶ μεταθέσεως καὶ μεταβάσεως ἐπισκόπων καὶ κληρικῶν.

Ζήτει τὸ θ΄. κεφάλαιον τοῦ Α. στοιχείου.

F
ΚΕΦ. ε΄.

Ὅτι τοὺς μετανοοῦντας οὐ δεῖ ἀποβάλλεσθαι.

Ὁ δὲ νβ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, εἴ τις ἐπίσκοπος, φησὶν, ἢ πρεσβύτερος, τὸν ἀπὸ ἁμαρτίας ἐπιστρέφοντα οὐ προσίεται, ἀλλὰ μυσαττόμενος ἀποβάλλεται κατὰ τὸν παλαιὸν ἐκεῖνον δήπου Ναυάτον, καθαιρείσθω, οἷα λυπῶν τὸν Χριστὸν, εἰρηκότα, χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετα-

A μετανοοῦντι, ὡς διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν κλίνας τοὺς οὐρανοὺς καταβέβηκεν· ὃς ἔφη, μὴ ἐλθεῖν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, οὗ τῆς φιλανθρωπίας οὐδεμία τῶν ἡμερῶν κρείττων ὤφθη τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ διὰ τοῦ προφήτου βοᾷ λέγοντος, λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. ζήτει ἐν τῷ ἑξῆς ζ'. κεφ. κανόνα μϛ'. τῆς ἐν Καρθαγένῃ συνόδου.

Ο δὲ τῆς ἐν Λαοδικείᾳ συνόδου β'. κανὼν, ἐν διαφόροις ἐξετασθέντας πταίσμασι, καὶ δι' ἐξομολογήσεως, καὶ μετανοίας τοῖς κακοῖς ἀντιζύγου, καὶ ὅ φασιν ἐκ διαμέτρου τὸν εἰσέπειτα βίον πρὸς τὸν πρότερον ἐπιδειξαμένους, τῆς B θείας ἀξιοῖ μεταλήψεως ἀξιοῦσθαι, οὐ παρὰ τὴν αὐτῶν σπουδὴν, παρὰ μέν τοι τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ, καὶ τὴν ἄφατον ἀγαθότητα.

ΚΕΦ. ϛ'.

Περὶ τῶν τῆς μετανοίας τόπων.

ΕΙΣ τέσσαρας δὲ τάξεις οἱ μετανοοῦντες διῄρηνται· εἰς τοὺς προσκλαίοντας, εἰς τοὺς ἀκροωμένους, τοὺς ὑποπίπ- C τοντας, καὶ τοὺς συνισταμένους. καὶ προσκλαίοντες μέν εἰσιν, οἱ ἔξω τῆς θύρας τοῦ εὐκτηρίου ἱστάμενοι, καὶ πρὸς τῶν εἰσιόντων τε καὶ ἐξιόντων πιστῶν εὐχὴν τε αἰτούμενοι, καὶ τὴν τῆς ἁμαρτίας συγχώρησιν. ἀκροώμενοι δὲ, οἱ ἔνδον τῆς θύρας ἱστάμενοι ἐν τῷ λεγομένῳ νάρθηκι, καὶ τῶν θείων γραφῶν, καὶ τῆς κοινῆς ἐπακούοντες διδασκαλίας, εἶθ' οὕτω μετὰ κατηχουμένων ἐξερχόμενοι. ὑποπίπτοντες δέ εἰσιν, οἱ ἔνδον τῆς ἐκκλησίας ἱστάμενοι, κατόπιν δὲ τοῦ ἄμβωνος, καὶ μετὰ τῶν κατηχουμένων καὶ οὗτοι ἐξιόντες, ἡνίκα τὸ, ὅσοι κατηχούμενοι, ἐκφωνηθείη παρὰ τοῦ διακόνου. Συνιστάμενοι δὲ, οἱ τοῖς πιστοῖς μὲν συνευχόμενοι, καὶ συμψάλ- D λοντες, τῆς δὲ τῶν ἁγιασμάτων ἀπεχόμενοι μεταλήψεως, μέχρις ἂν ἐξήκοντος τοῦ νενομισμένου χρόνου, τὸ τέλειον αὐτοὺς τῆς θείας ἐκδέξηται κοινωνίας.

ΚΕΦ. ζ'.

Ὅτι κατὰ τὴν τῶν μετανοούντων διάθεσιν, ἔξεστι τῷ ἐπισκόπῳ ἢ ἀνιέναι ἢ ἐπιτεῖναι τούτοις τὰ ἐπιτίμια.

Ο ιβ'. τῆς πρώτης συνόδου κανὼν, κριτὴν ἐφίστησιν ἀ- E παραλόγιστον τὸν ἐπίσκοπον, ἢ μειοῦν τὰ ἐπιτίμια, καὶ φιλανθρωπότερόν τι βουλεύεσθαι, τοῖς ἐξ εἰλικρινοῦς διανοίας μετανοοῦσι, καὶ τῷ τοῦ θεοῦ φόβῳ καλῶς στοιχειουμένοις, καὶ δάκρυσιν αὐτὸν ἱλεουμένοις, καὶ τὴν ἐκ τῶν ἐπιτιμίων κάκωσιν εὐχαρίστως ὑπομένουσι, καὶ τὴν τῶν ἀγαθῶν ἔργων ἄσκησιν περὶ παντὸς ποιουμένοις, κοινωνοῦσι δὲ τῶν ὄντων τοῖς δεομένοις, καὶ ἔργῳ καὶ σχήματι τὴν ἐπιστροφὴν ἐπιδεικνυμένοις· ἢ τῆς ἀκριβείας αὖθις μὴ δι' ὅλως ὑφίεσθαι, εἰ ἀδιαφόρως ὁρῴη καὶ ἀνειμένως τὸν ἐπιτιμηθέντα πρὸς τὴν ἐπιτίμησιν διακείμενον, καὶ τῷ σχήματι μόνῳ τῆς εἰς τὸν Νεὼν παρόδου ἀρκούμενον, καὶ οὐκ ἀνιώμενον, F καὶ ἀναξιοπαθοῦντα, ὅτι τῶν μὲν πιστῶν ἀποδιαστέλλεται, τοῖς δὲ κατηχουμένοις τῆς τε στάσεως κοινωνεῖ, καὶ τῆς ἐκ τοῦ νεὼ ἀποφοιτήσεως.

Ταῦτα καὶ ὁ τῆς ἐν Ἀγκύρᾳ δεύτερος διορίζεται, τὴν ἐξουσίαν τοῖς ἐπισκόποις ἀνατιθεὶς, κατά γε τὸν κάματον, καὶ τὸ ταπεινὸν τοῦ μετανοοῦντος, καὶ πρᾷον, ἢ προστιθέναι ἢ ἀφαιρεῖν τῶν ἐπιτιμίων. ἀλλὰ καὶ ὁ ε'. ἔτι καὶ ὁ ζ'. τοῖς ἐπισκόποις ἐπιτρέπει τὴν ἐξουσίαν, ἢ ἀνεῖναι ἢ ἐπιτεῖναι τοῖς μετανοοῦσι τὰ ἐπιτίμια, θερμότερον δηλαδὴ

pœnitentiam agentem) qui propter peccatorum ſalutem inclinavit cœlos & deſcendit; qui dixit, Se non venire vocare juſtos, ſed peccatores ad pœnitentiam; cujus miſericordiæ nulla dies major apparuit peccatis, quam, cum per Prophetam dixit, Dic tu primus peccata tua, ut juſtificeris. Quæras in ſequenti vii. cap. xlvi. Canonem Synodi Carthag.

Secundus Syn. Laodic. Canon, in diverſis deprehenſos delictis, & per confeſſionem, ac pœnitentiam malis oppoſitam, vitam futuram priori ex diametro, ut aiunt, contrariam oſtendentes, ſancta communione dignos haberi judicat; non propter eorum virtutis ſtudium, ſed propter Dei miſerationes, & inenarrabilem bonitatem.

CAPUT VI.

De Pœnitentiæ locis.

POENITENTES in quatuor ordines diſtribuuntur: In Deflentes, Audientes, Subſtratos, & Conſiſtentes. Et Deflentes quidem ſunt, qui extra ſacrarii oſtiū ſtant, & ingredientium & egredientium fidelium precationem rogant, & peccati remiſſionem. Audientes verò, qui intra oſtium ſtantes in loco Narthece dicto, ſacras Scripturas & communem diſciplinam audiunt, deinde cū Catechumenis egrediuntur. Subſtrati autem ſunt, qui intra Eccleſiam ſtant, verum poſt ambonem, & cum Catechumenis & ipſi egrediuntur, quando à Diacono pronunciatur, Quotcunque Catechumeni. Conſiſtentes verò, qui cum fidelibus ſimul precantur, & canunt, at à ſanctorum communione abſtinent, donec, definito tempore adimpleto, ad ſanctam communionem tandem plenè admittantur.

CAPUT VII.

Quòd juxta pœnitentium diſpoſitionem, Epiſcopo ſupplicium illis vel remittere vel extendere liceat.

DUODECIMUS primæ Syn. Canon, arbitrum infallibilem Epiſcopum conſtituit, vel pœnas diminuere, & humanius aliquid ſtatuere de iis, qui ſynceris cogitationibus pœnitentiam agunt, & in timore Dei rectè incedunt, & lachrymis eum propitium faciunt, & ſuppliciorum afflictionem patienter ſubeunt, & bonorum operum exercitationi ante omnia operam dant, de bonis autem indigentibus communicant, & converſionem tam re quam ſpecie oſtendunt: vel de rigore rurſus non omnino remittere, ſi caſtigatum indifferentur & remiſsè per correctionem diſpoſitum eſſe animadverteret, & ſola ſpecie in Templum ingreſsûs contentum, non aſcendere, & indignè fore, quod à fidelibus quidem ſeparetur, cum Catechumenis verò & ſtationem, & è Templo abitionem communem habeat.

Eadem etiam ii. Ancyr. Syn. Canon decernit, poteſtatem Epiſcopis concedens, juxta afflictionem, & humilitatem, & manſuetudinem pœnitentiam agentis, vel pœnis addere vel auferre. Porro & quintus ut & ſeptimus Epiſcopis poteſtatem concedit, pœnitentibus ſupplicia vel remittere vel extendere, ardentiorem videlicet vel remiſſiorem pœnitentiam oſtendentibus; anteactam quoque eorum, & quæ poſtea conſecuta eſt, vivendi rationem inſpicere; num caſtè, vel remiſsè & laxè vitam egerint, & ſic clementiam erga illos adhibere.

Cii. ſextæ Syn. Canon, Eum, inquit, qui ſolvendi & ligandi poteſtatem à Deo accepit, peccati qualitatem conſiderare oportet, & ejus qui peccavit ad converſionem ſtudium, ſive vergat ad ſanitatem, ſive contrà propriis moribus in ſe provocet morbum; & ſic vulneri convenientem afferre medicinam; ne ſi in utroque immoderatione utatur, ab ejus qui laborat ſalute excidat: varius enim & multiformis eſt peccati morbus. Omnem enim rationem init Deus, iſque cui paſtoralis traditus eſt principatus, ut errantem ovem reducat, & ei, quæ eſt à ſerpente vulnerata, medeatur, & neque per deſperationis præcipitia impellat, nec ad vitæ diſſolutionem & contemptum fræna relaxet: ſed uno modo, ſive per acriora & aſtringentia, ſive per molliora & leniora medicamenta, affectioni reſiſtat, & ad ulceris obductionem adnitatur, fructus pœnitentiæ examinans, & ſapienter diſpenſans & gubernans hominem, qui ad ſuperiorem illuminationem vocatur. Utraque igitur ſcire oportet, & quæ ſunt ſummi juris, & quæ ſunt conſuetudinis vel affectionis; & in iis, quæ extrema non admittunt, affectionis modo uti, ſicut ſanctus & magnus docet Baſilius. In tertio enim ejus Canone, In ſumma, inquit, verior eſt lapſûs medela à peccato receſſus, & per temperantiam & afflictionem carnem in ſervitutem redigere & ſpiritui ſubjicere: ita enim qui pœnitentiam agit, perfectam curationis ſuæ demonſtrationem nobis efficiet. Debent verò animarum curatores utraque noſſe, & quæ ſunt ſummi juris, & quæ ſunt conſuetudinis. Et ſi quidem, quæ ſunt ſummi juris, admittant illi qui confeſſi ſunt, ex ejus præſcripto cum ipſis agere: ſin autem obluctentur, ſequi demiſſionis conſuetudinem.

In lxxiv. verò Can. ejus, Qui ligandi & ſolvendi poteſtatem à Deo acceperunt, non ſunt conviciis exprobrandi, ſi confitentibus ſeriam & ardentiorem pœnitentiam oſtendentibus, illis placet definitum ſupplicii tempus diminuere; ſcripturæ hiſtoriâ nobis manifeſtum faciente, quòd qui majori labore confitentur, eos Dei miſericordiam citiùs apprehendere. In tempore verò ſanctiſſimi Patriarchæ Lucæ, milite quodam cædem voluntariam committente, Epiſcopus quidam poſt valde modicum tempus datis ſcriptis abſolutionem illi conceſſit, & à Synodo condemnatus, præſentem Canonem in medium attulit: ſed reſponſum accepit, quod Antiſtitibus conceſſum fuit Canonum pœnas vel augere vel diminuere; non autem inexploratâ & arrogante demiſſione uti; unde militem quidem ſuppliciis, quæ Canones exigunt, Synodus ſubjecit: ab Antiſtite etiam jus exigebat, nempe ad ſtatutum tempus ab adminiſtratione ſuſpenſionem.

Magnus Gregorius Nyſſenus in tertio Canone, Iis, qui diligentiori converſione uſi fuerint, inquit, & vitâ ad id quod bonum eſt reditum oſtenderint, licet ei, qui diſpenſat, pro utilitate tempus contrahere, & celeriùs illis communionem reddere, prout ejus, cui medela adhibetur, conſtitutionem approbârit. Quemadmodum enim porcis margaritas projicere vetitum eſt, ita & pretioſâ margaritâ privare eum, qui jam per purgationem à vitio & alienationem factus eſt homo, abſurdum eſt. Ubique enim in peccati ſpecie hoc perſpicere ante omnia convenit, qualis eſt illius, cui medela adhibetur, diſpoſitio, & non ad medelam ſufficere tempus exiſtimare. (Nam quænam medela à

A ἢ ῥᾳθυμότερον τὴν μετάνοιαν ἐπιδεικνυμένοις· σκοπεῖν δὲ καὶ τὸν πρὸ τοῦ, βίον τούτων, καὶ τὸν εἰσέπειτα, εἴτε σωφρόνως, εἴτε ἀνειμένως ζῶσι καὶ χαύνως, καὶ οὕτω τὴν φιλανθρωπίαν ἐπιμετρεῖν.

Ὁ δὲ ρβʹ. τῆς ἕκτης συνόδου κανὼν, τὸν ἐξουσίαν, φησὶν, εἰληφότα παρὰ θεοῦ λύειν τε καὶ δεσμεῖν, σκοπεῖν τε τὴν τῆς ἁμαρτίας ποιότητα δεῖ, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς τὴν ἐπιστροφὴν διάθεσιν, εἴτε πρὸς τὴν ὑγείαν ἀνδύση, ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀρρώστημα, καὶ οὕτω κατάλληλον ἐπάγειν τὴν θεραπείαν τῷ τραύματι· B ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος· πολυειδὴς γὰρ καὶ ποικίλη τῆς ἁμαρτίας ἡ νόσος. πᾶς μέν τοι λόγος θεῷ, καὶ τῷ τὴν ποιμαντικὴν ἡγεμονίαν ἐγχειρισθέντι, τὸ, πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ, τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὰ χαλινὰ ἐπιδοῦναι πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν. ἀλλ' ἑνί γε τῷ τρόπῳ, εἴτε διὰ τῶν αὐστηροτέρων καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πρᾳοτέρων φαρμάκων, κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς τὴν συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι, καὶ C οἰκονομοῦντι καλῶς τὸν πρὸς τὴν ἄνω λαμπρότητα καλούμενον ἄνθρωπον. ἀμφότερα τοίνυν εἰδέναι δεῖ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας καὶ συμπαθείας· καὶ ἐπὶ τῶν μὴ καταδεχομένων τὴν ἀκρότητα, τῷ τῆς συμπαθείας τύπῳ κεχρῆσθαι, ὡς ἱερὸς καὶ μέγας διδάσκει Βασίλειος. ἐν γὰρ τῷ γʹ. αὐτοῦ κανόνι, καθόλως, φησὶ, ἀληθέστερον ἴαμα τοῦ σφάλματος ἡ τῆς ἁμαρτίας ἀναχώρησις· καὶ τὸ, δι' ἐγκρατείας καὶ κακοπαθείας τὴν σάρκα δουλαγωγῆσαι καὶ ὑποτάξαι πνεύματι· οὕτω γὰρ τελείαν ἡμῖν ὁ μετανοῶν παρέξει τῆς ἰατρεύσεως αὐτοῦ τὴν ἀπόδειξιν. δεῖ δὲ τοὺς τῶν ψυχῶν οἰκονόμους ἀμφότερα εἰδέναι, καὶ τὰ τῆς ἀκριβείας καὶ τὰ τῆς συνηθείας. καὶ εἰ μὲν καταδέχονται τὴν ἀκρίβειαν οἱ ἐξομολογούμενοι, κατ' ἐκείνην D οἰκονομεῖν αὐτούς· εἰ δὲ σκληρύνοιντο, ἕπεσθαι τῇ συνηθείᾳ τῆς συγκαταβάσεως.

Ἐν δὲ τῷ οδʹ. οἱ δεσμεῖν καὶ λύειν ἐξουσίαν εἰληφότες παρὰ θεοῦ, μεμπταῖοι οὐκ ἂν εἶεν, εἰ τῶν ἐξομολογουμένων σπουδαίαν καὶ θερμοτέραν τὴν μετάνοιαν ἐπιδεικνυμένων, αὐτοῖς ἀρέσειεν ἐλαττῶσαι τοὺς ὁρισθέντας τῶν ἐπιτιμίων χρόνους· τῆς ἐν ταῖς γραφαῖς ἱστορίας ἐγνωσμένης ἡμῖν, τοὺς μετὰ μείζονος ἐξομολογουμένους πόνου, θᾶττον τὴν τοῦ θεοῦ φιλανθρωπίαν καταλαμβάνειν. ἐπὶ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Λουκᾶ, στρατιώτῃ τινὶ φόνον ἑκούσιον δράσαντι, ἐπίσκοπός τις ἐπὶ μετρίῳ πάνυ καιρῷ ἐγγράφως αὐτῷ τὴν ἀθώωσιν δέδωκε, καὶ ἐγκαλούμενος παρὰ τῆς συνόδου, τὸν παρόντα κανόνα προ-E έτεινεν· ἀλλ' ἤκουσεν, ὅτι τοῖς ἀρχιερεῦσιν ἐδόθη μὲν αὔξειν τε καὶ μειοῦν τὰ ἐκ τῶν κανόνων ἐπιτίμια, οὐ μὴν ἀνεξετάστῳ καὶ ὑπερβαλλούσῃ χρῆσθαι συγκαταβάσει· ὅθεν τὸν μὲν στρατιώτην τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις ἡ σύνοδος καθυπέβαλλε· τὸν δὲ ἀρχιερέα δίκας ἀπήτησε, τὴν ἐν ὡρισμένῳ καιρῷ τῆς λειτουργίας ἐπίσχεσιν.

Ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ τρίτῳ κανόνι, ἐπὶ τῶν σπουδαιότερα κεχρημένων, φησὶ, τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰ-F κονομοῦντι πρὸς τὸ συμφέρον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τούτοις τὴν κοινωνίαν, ὅπως ἂν τὴν τοῦ θεραπευομένου κατάστασιν δοκιμάσειεν. ὥσπερ γὰρ τὸ, τοῖς χοίροις ῥίπτειν τοὺς μαργαρίτας ἀπείρηται, οὕτω τὸ, ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ τῆς ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστί· πανταχοῦ γὰρ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἵα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, καὶ μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο· ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι᾽ ἐπιστροφῆς θεραπεύοντος. ἔστι δέ, φησι, διαφορά τις ἐν τῷ λόγῳ τῆς μετανοίας, τοιαύτη· ὁ μὲν ἀφ᾽ ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτὸ τὸ καταδέξασθαι δι᾽ οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας ἀρξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις· ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀπελεγχθεὶς ἀκουσίως, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ, ὥστε καθαρθέντα δι᾽ ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων ἐλθεῖν κοινωνίαν. ζήτει καὶ ἐν τῷ λβ΄. κεφ. τοῦ Ε. στοιχείου κανόνι τοῦ μεγάλου Βασιλείου πβ΄. καὶ ἐν τῷ κγ΄. κεφ. τοῦ Κ. στοιχείου καν. τοῦ αὐτοῦ ξα΄. καὶ ἐν τῷ η΄. κεφ. τοῦ Σ. στοιχείου, καν. τοῦ αὐτοῦ ο΄. καὶ ἐν τῷ κγ΄. κεφ. τοῦ Κ. στοιχείου, Γρηγορίου τοῦ Θαυματουργοῦ καν. ια΄.

Ο δὲ θεῖος Χρυσόστομος ἐν τῷ δευτέρῳ τῶν περὶ ἱερωσύνης λόγῳ, οὐχ ἁπλῶς, φησι, πρὸς τὸ τῶν ἁμαρτημάτων μέτρον δεῖ τὴν ἐπιτιμίαν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως· μή ποτε ῥάψαι τὸ διεῤῥωγὸς βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσας, καὶ ἀνορθῶσαι τὸ καταπεπτωκὸς σπουδάζων, μείζονα ἐργάσῃ τὴν πτῶσιν. οἱ γὰρ ἀσθενεῖς καὶ διακεχυμένοι, καὶ τὸ πλέον τῇ τοῦ κόσμου δεδεμένοι τρυφῇ, ἔτι καὶ ἐπὶ γένει καὶ δυναστείᾳ μεγαφρονεῖν ἔχοντες, ἠρέμα μὲν καὶ κατὰ μικρὸν ἐν οἷς ἁμαρτάνουσιν ἐπιστρεφόμενοι, δύναιντ᾽ ἂν, εἰ καὶ μὴ τέλεον, ἀλλ᾽ οὖν ἐκ μέρους τῶν κατεχόντων αὐτοὺς ἀπαλλαγῆναι κακῶν. ἐὰν δὲ ἀθρόον τις ἐπαγάγῃ τὴν κόλασιν, ἤτοι τὴν παίδευσιν, καὶ τῆς ἐλάττονος αὐτοὺς ἀποστερήσῃ παιδεύσεως καὶ διορθώσεως. ψυχὴ γὰρ, ἐπειδὰν ἀπερυθριάσαι βιασθῇ, εἰς ἀνελπιστίαν ἐμπίπτει, καὶ οὔτε προσηνέσι λόγοις εἴκει λοιπὸν, οὔτε ἀπειλαῖς κάμπτεται, οὔτε εὐεργεσίαις προτρέπεται· ἀλλὰ γίνεται πολὺ χεῖρον τῆς πόλεως ἐκείνης, ἣν ὁ προφήτης κακίζων ἔλεγεν, ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. διὰ τοῦτο, πολλῆς δεῖ συνέσεως τῷ ποιμένι, καὶ μυρίων ὀφθαλμῶν, πρὸς τὸ περισκοπεῖν πάντοθεν τὴν τῆς ψυχῆς ἕξιν. ὥσπερ γὰρ εἰς ἀπόνοιαν αἴρονται πολλοὶ, καὶ εἰς ἀπόγνωσιν τῆς αὐτῶν καταπίπτουσι σωτηρίας, ἀπὸ τοῦ μὴ δυνηθῆναι πικρῶν ἀνασχέσθαι φαρμάκων, οὕτως εἰσί τινες, οἳ διὰ τὸ μὴ δοῦναι τιμωρίαν τῶν ἁμαρτημάτων ἀντίῤῥοπον, εἰς ὀλιγωρίας ἐκτρέπονται, καὶ πολλῷ γίνονται χείρους, καὶ πρὸς τὸ μεῖζον ἁμαρτάνειν προάγονται. χρὴ τοίνυν μηδὲν τούτων ἀνεξέταστον ἀφεῖναι, ἀλλὰ πάντα διερευνησάμενον ἀκριβῶς, καταλλήλως τὰ παρ᾽ ἑαυτοῦ προσάγειν τῷ προσερχομένῳ, ἵνα μὴ μάταιος αὐτῷ γένηται ἡ σπουδή.

Ο δὲ μέγας Βασίλειος ἐν πδ΄. κανόνι, πάντα δὲ ταῦτα γράφομεν, φησιν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας. οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. ἐὰν δὲ δυσαποσπάστως ἔχουσι ἰδίων τῶν ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν ἐθέλουσιν, ἢ τῷ κυρίῳ, καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ παραδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος. ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.

Εν δὲ τῷ πε΄. παραινεῖ τοῖς ἀρχιερεῦσι καὶ πᾶσι τοῖς δεσμεῖν καὶ λύειν ἔχουσιν ἐξουσίαν, μὴ συναινεῖν τοῖς ἁμαρτάνουσιν ἐν τῷ τῆς κοινωνίας ἀνέχεσθαι τῶν ἐπιμενόντων ταῖς ἁμαρτίαις, κἀντεῦθεν τούτοις συναπόλλυσθαι· ἀλλὰ διαμαρτύρεσθαι μὲν αὐτοῖς, νυκτὸς καὶ ἡμέρας, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, μὴ συναπάγεσθαι δὲ τούτων τῇ πονηρίᾳ, καὶ εὔχεσθαι μὲν τούτους κερδᾶναι, καὶ τῆς παγίδος ἐξελέσθαι τοῦ πονηροῦ. εἰ δὲ μὴ οἷοί τε, φησὶ, γενοίμεθα, τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰῶνος κατακρίσεως σπουδάσωμεν περισώσασθαι.

A tempore fit) ſed illius affectionem, qui per converſionem ſeſe medetur. Eſt vero, inquit, quædam differentia in pœnitentiæ ratione, ejuſmodi; Qui enim ex ſeipſo ad ſuorum peccatorum confeſſionem impulſus eſt, eo quòd ſua ſponte occultorum accuſator eſſe voluerit, ut qui jam medicinam adhibere cœperit, in mitioribus pœnis verſatur: qui autem in malo deprehenſus eſt, vel propter aliquam ſuſpicionem vel accuſationem ingratiis convictus eſt, longius illi converſionis tempus datur, ut ipſe perfectè purgatus, ſic ad ſacramentorum communionem admittatur. Quæras in xxxii. cap. literæ E. Canone lxxxii. magni Baſilii, B & in xxiii. cap. literæ K. ejuſdem ſancti Canonem lxi. & in viii. cap. literæ Σ. ejuſdem Canonem lxx. & in xxiii. cap. literæ K. Gregorii Thaumaturgi Can. xi.

Divus etiam Chryſoſtomus in ii. de Sacerdotio Sermone, Non ſimpliciter, inquit, ad delictorum modum mulctam oportet adhibere; ſed exploranda eſt peccantium diſpoſitio: ne dum conſuere vis quod ruptum eſt, ſciſſuram deteriorem facias; ac dum, quod lapſum eſt, erigere ac emendare ſtudes, caſum ipſum majorem reddas. Nam qui infirmi ſunt ac remiſſi, & C magnâ ex parte mundi deliciis illaqueati, quique à generis claritate & potentiâ, unde animos magnopere tollant, habent: ſenſim & paulatim à peccatis, quibus occupantur, pedem referentes, licèt non penitus, attamen parte aliqua ſe à malis liberare poſſunt. Si verò juſtam animadverſionem adducat aliquis vel correctionem, etiam minori correctione & animadverſione illos privet. Humanus enim animus, poſtquam verecundię limites tranſilire coactus ſit, in deſperationem dilabitur; & neque blandis verbis pavet, neque minis flectitur, neque beneficiis movetur: ſed iſta civitate multo pejor fit, quam exprobrans Propheta dixit, D Facta eſt tibi meretricia facies, depuduit te adverſus omnes. Quocirca multâ paſtori opus eſt prudentiâ, & mille oculis, ut animæ habitum undique circumſpiciat. Quemadmodum enim animum deſpondent multi, & in ſuæ ſalutis deſperationem proruunt, eò quòd non poſſunt acerba medicamenta ſuſtinere; ita ſunt nonnulli, qui, quòd pœnas peccatis pares non luerint, in contemptum dilabuntur, & multo deteriores facti ſunt, & majorem peccandi licentiam ſibi vendicant. Itaque nihil horum ſine examine prætereundum eſt, quin omnia ſtudioſè perſcrutatum, tum demum oportet ſua ipſius remedia accedenti congruè afferre, ne fruſtranea ſit ejus opera.

E

Magnus verò Baſilius in lxxxiv. Canon, Hæc autem omnia, inquit, ſcribimus, ut pœnitentiæ fructus probetur. Non enim hæc omnia tempore judicamus; ſed modum pœnitentiæ attendimus. Quòd ſi à propriis moribus non facilè avellantur, & carnis voluptatibus potiùs, quam Domino, ſervire voluerint, vitamque ex Evangelio inſtitutam non admittant, nulla eſt nobis cum iis communis ratio. Nos enim in inobediente & contradicente populo audire docti ſumus, Servans ſerva animam tuam.

F

In lxxxv. verò, Antiſtites, & omnes, qui habent ligandi & ſolvendi poteſtatem, hortatur, ne peccantibus perferant communionem ſuſtinendo, & ideò cum illis pereant. Sed & noctu & interdiu, & publicè & privatim ipſis teſtificari: cum eorum autem improbitatibus non abire; & eos quidem lucrifacere optare, & à Mali laqueo eripere. Sin autem, inquit, hoc facere non poſſumus, noſtras ſaltem animas ab æternâ condemnatione ſervare ſtudeamus.

Xlix.

UMI

Xlix. Carthaginenſis Synodi, Mimos & Scenicos & A omnes qui incompoſitè vivunt, & aliis diſſolutè vivendi cauſam præbentes, præſtigiatores & ſaltatores, quin & apoſtatas, qui Chriſtianiſmum ſcilicet abnegârunt, per pœnitentiam ſe ad Deum convertentes, non eſſe amandandos jubet: ſed iis potiùs dandam eſſe gratiam ſeu peccatorum remiſſionem (quemadmodum Divus Paulus ait, Gratiâ ſalvi facti eſtis;) & conciliationem ſive abſolutionem à pœna.

CAPUT VIII. B

Quòd oportet pœnitentiam adhuc agentes, inſtante morte, ſancta communione participare: ſi recuperaverint, illa rurſum abſtinere.

PRIMÆ Syn. Canon xiii. Qui pœnitentiæ ſuppliciis adhuc obnoxii ſunt, & in gravem morbum inciderunt, qui è vita exceſſum minitari videatur, ut ultimo & maximè neceſſario viatico, C ſacrorum myſteriorum dico participatione, non priventur, jubet; ſed in extremo ſpiritu cum Epiſcopi examinatione illis digni judicentur. Morbum autem, ſi ita contingit, profligantes, & ad ſalutem revertentes, divina quidem communione arceri, in loco verò iterum conſtitui priorum ſuppliciorum, donec præſtitutum illis tempus impletum fuerit.

Eadem etiam vi. in Ancyrâ Synodi Canon decernit, Si, jam pœnitentiam agenti, vel periculum vel mortis expectatio ex morbo, vel aliqua alia occaſione evenerit, D is ad communionem quidem, ſed ſub definitione recipiatur: ei autem, qui mortem evaſerit, communicare non licebit, præſtituto ſuppliciorum tempore non peracto.

Quintus etiam magni Gregorii Nyſſeni, Siquis, inquit, tempus à Canonibus decretum non peragens, è vita exceſſerit, jubet patrum humanitas illum ſacrorum myſteriorum participem factum, viatici ad ultimum illum & longum diſceſſum vacuum non emitti: Si verò poſtquam ſacrorum illorum particeps fuit in vitam revertatur, ordinatum tempus maneat, in E eodem gradu conſtitutus, in quo erat antequam ei ex neceſſitate data fuit communicatio.

Hæc Patrum humana vult ſententia ſi mors appropinquaverit illi, qui pœnitentiæ medicamentis adhuc purgatur, & ſupremus dies inſtare videatur, Presbyteris concedi communionem illi dare, ut nullus ab eis ligatus diſcedat: ſi verò rurſus convaluerit, temporis ſpacio nondum peracto, prioribus ſuppliciis obnoxium eſſe; à Presbyteris verò remiſſionis promiſſum expectare, temporis ſcilicet pœni- F tentiæ, cum peccati ſordes diſſipatur.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μϛʹ. μίμους, καὶ σκηνικοὺς, καὶ πάντας τοὺς πλημμελῶς βιοῦντας, καὶ τοῖς ἄλλοις αἰτίους τῆς διακεχυμένης ζωῆς, τερατοποιούς τε καὶ ὀρχηστὰς, ἔτι γε μὴν ἀποστάτας, τοὺς τῶν χριστιανῶν ἐξομωσαμένους δηλαδὴ, διὰ μετανοίας πρὸς Θεὸν ἐπιστρέφοντας, μὴ ἀποπέμπεσθαι κελεύει, ἀλλὰ μᾶλλον διδόναι τούτοις χάριν, ἤτοι ἄφεσιν τῶν ἡμαρτημένων· ὥσπερ τῷ μακαρίῳ εἴρηται Παύλῳ, χάριτι ἐστὲ σεσωσμένοι· καὶ καταλλαγὴν, ἤτοι λύσιν τῶν ἐπιτιμίων.

ΚΕΦ. ηʹ.

Ὅτι δεῖ τοὺς ἔτι μετανοοῦντας, τῆς τελευτῆς ἐφισταμένης, τῆς θείας ἀξιοῦσθαι κοινωνίας· εἰ δὲ ἀνακληθεῖεν, ταύτης πάλιν ἀπέχεσθαι.

Ὁ ιγʹ. τῆς πρώτης συνόδου κανὼν, τοὺς ἔτι τῆς μετανοίας ἐπιτιμίοις ἐνεχομένους, καὶ νόσῳ δεινῇ περιπεπτωκότας, ὅσον εἰκάσαι τὴν ἐκδημίαν ἐπαπειλοῦσι, τοῦ τελείου καὶ ἀναγκαιοτάτου ἐφοδίου, τῆς τῶν ἁγίων μυστηρίων φημὶ μεταλήψεως, κελεύει μὴ στέρεσθαι· ἀλλὰ μετὰ δοκιμασίας τοῦ ἐπισκόπου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς τούτων ἀξιοῦσθαι. τῆς νόσου δὲ, εἰ οὕτω συμβαίη, ῥαίσαντας, καὶ πρὸς τὴν ὑγίειαν ἐπανιόντας, τῆς μὲν θείας εἴργεσθαι κοινωνίας, ἐν τῇ χώρᾳ δὲ αὖθις στῆναι τῶν προτέρων ἐπιτιμίων, ἕως ἂν ὁ νενομισμένος αὐτῶν χρόνος ἐμπληρωθῇ.

Ταῦτα καὶ ὁ ϛʹ. τῆς ἐν Ἀγκύρᾳ διορίζεται κανὼν, ᾧ ἔτι μετανοοῦντι, εἰ κίνδυνος ἐπισυμβαίη, καὶ προσδοκία θανάτου ἐκ νόσου, ἢ ἄλλης οἱασοῦν προφάσεως, τοῦτον εἰς κοινωνίαν μὲν, ἀλλ' ἐπὶ ὅρῳ δεχθῆναι. τὸν θάνατον γὰρ ἐκφυγόντι κοινωνεῖν οὐκ ἔξεσται, τοῦ ὡρισμένου μὴ ἐξήκοντος καιροῦ καὶ τῶν ἐπιτιμίων.

Ὁ δὲ πέμπτος τοῦ μεγάλου Γρηγορίου Νύσσης, εἰ δέ τις, φησὶ, μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν κανόνων ἀφωρισμένων, ἐξοδεύει τοῦ βίου, κελεύει ἡ τῶν πατέρων φιλανθρωπία, μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι· εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος πάλιν ἐπανέλθοι εἰς τὴν ζωὴν, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γινόμενον, ᾧ ἦν πρὸ τῆς κατ' ἀνάγκην δοθείσης αὐτῷ κοινωνίας.

Ταῦτα ἡ τῶν πατέρων φιλάνθρωπος βούλεται γνώμη, εἰ προσπελάσειε τὸ χρεὼν τῷ ἔτι καθαιρομένῳ τοῖς φαρμάκοις τῆς μετανοίας, καὶ ἡ κυρία παρεῖναι δοκῇ, ἐφεῖσθαι τοῖς πρεσβυτέροις, κοινωνίαν αὐτῷ μεταδοῦναι, ὡς μὴ ἀποβιῶναι μηδένα παρ' αὐτοῖς δεδεμένον· ἀναῤῥωσθέντα δὲ πάλιν, τὸν μήπω τοῦ καιροῦ πεπληρωκότα διάστημα, τοῖς προτέροις ὑπόδικον εἶναι, παρὰ τῶν πρεσβυτέρων δὲ περιμένειν τῆς συγγνώμης τὸ σύνθημα, τοῦ χρόνου δηλαδὴ τῆς μετανοίας, μετὰ τοῦ ῥύπου τῆς ἁμαρτίας διασπασθέντος.

A

ΚΕΦ. θ'.

Ὅτι τῶν μετανοούντων τοὺς λογισμοὺς δέχεσθαι, καὶ λύειν, καὶ δεσμεῖν τὰ ἡμαρτημένα, τοῖς ἐπισκόποις ἐδόθη, κατ' ἐπιτροπὴν δὲ τούτων καὶ τοῖς πρεσβυτέροις.

Ὁ ἕκτος τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τὴν τοῦ χρίσματος ποίησιν, τὴν τοῦ ἁγίου μύρου τελετὴν, καὶ τὴν τῶν κορῶν ἀφιέρωσιν, κατὰ τὸ παλαιὸν γινομένην ἔθος, καὶ τὴν τῶν μετανοούντων καταλλαγὴν, ὅπερ ἐστὶν ἡ τῶν λογισμῶν ἐξαγγελία, καὶ ἡ τῶν ψυχικῶν ἰατρεία σφαλμάτων, διὰ τῶν τῆς μετανοίας ἐπιτιμιῶν, καὶ τῆς πρὸς τὸ κρεῖττον ἐπιστροφῆς· οὕτω γὰρ ὁ ἄνθρωπος τῷ θεῷ καταλλάττεται· ταῦτα πάντα παρὰ πρεσβυτέροις ἀπείρηκε γίνεσθαι· τοῖς γὰρ ἀρχιερεῦσιν ἡ τούτων ἀνεῖται διοίκησις, ἅτε δεσμεῖν καὶ λύειν δεδυνημένοις, τύπον φέρουσι τῶν ἀποστόλων, οἷς τὴν ἐξουσίαν ταύτην ὁ Χριστὸς ἐνεχείρισεν. ὥστε οἱ χωρὶς ἐπιτροπῆς ἐπισκόπου δεχόμενοι λογισμοὺς ἀνθρώπων ἱερωμένοι μοναχοὶ κακῶς ποιοῦσι, καὶ λίαν ἐπικινδύνως· οὔτε γὰρ λύειν οὔτε δεσμεῖν ἔχουσιν ἐξουσίαν· πολλῷ δὲ μᾶλλον οἱ ἀνίεροι μοναχοί· τούτοις γὰρ καὶ τὸ, ἐπιτρέψαι ὅλως λογισμοὺς ἀνθρώπων ἀναδέχεσθαι, καὶ κρίνειν, ἥκιστα θεμιτόν. ἀλλὰ καὶ ὁ ἕβδομος τὴν καταλλαγὴν τῶν μετανοούντων, εἰ περὶ τὴν ζωὴν κινδυνεύοισιν, οὐκ οἴεται δεῖν τοὺς πρεσβυτέρους ποιεῖν, ἐπιτροπῆς ἄνευ τοῦ ἐπισκόπου.

Ταῦτα καὶ ὁ μϛ'. διοριζόμενος, εἰ δὲ ἄπεστι, φησὶν, ὁ ἐπίσκοπος, καὶ ὁ ἐν μετανοίᾳ ὢν ἐν χρεῷ κινδύνου γεγένηται, καταλλαττέτω τοῦτον καὶ ὁ πρεσβύτερος. ζήτει καὶ τὸ η'. κεφάλαιον τοῦ Κ. στοιχείου. καὶ ἐν τῷ λα'. κεφαλαίῳ τοῦ Ε. στοιχείου κανόνα τεσσαρεσκαιδέκατον τῆς ἐν Νεοκαισαρείᾳ συνόδου.

Ὅτι καὶ τοῖς πολιτικοῖς ὕστερον νόμοις φιλανθρωπότερον ἔδοξε ταῖς τιμωρίαις κεχρῆσθαι.

Ἀλλὰ καὶ οἱ πρεσβύτεροι τῶν νόμων ἐπὶ τὸ φιλανθρωπότερον, καὶ οὐχ ὡς εἶχον πρότερον κρίσεως, ἐν τῇ λεγομένῃ τῶν νόμων ἀνακαθάρσει μεταβέβληνται. ἀναιρεῖ γὰρ αὕτη τὸ, εὐθὺς ἀναιρεῖσθαι τοὺς μεγάλοις ἑαλωκότας ἐγκλήμασιν. ὁ γὰρ τὴν ἀνακάθαρσιν ταύτην συνθέμενος βασιλεὺς, οὐδεμίαν τῶν ἐν τοῖς διγέστοις ἢ ταῖς διατάξεσιν ἀπάνθρωπον ποινὴν προσήκατο, οὔτε γὰρ κεφαλῆς ἀφαιρεῖν ἐθέσπισεν, οὔτε καταλύειν, ἢ καίειν, ἢ βρόχους ἐξάπτειν, ἀπείρηκε δὲ τὴν ἐν τῷ τῆς θαλάττης βυθῷ πνιγμονήν. εἰ δὲ καὶ ὑπέχειν τινὰς κεφαλικὰς ἔσθ' ὅτε κελεύει ποινὰς, ἀλλ' οὐ τὰς θανατοφόρους ἐκείνας φησὶ, τὸ δὲ ὑπερορίσαι, ἢ ἐν εἱρκτῇ περιορίσαι, τὴν τῶν ὀφθαλμῶν ἐκκοπὴν, τὴν ἀφαίρεσιν τῆς χειρὸς, καὶ τὴν ἄλλην περὶ τὸ σῶμα λώβην ἢ δύναιτ' ἂν καὶ ἐπιστροφῆς καιρὸν παρασχεῖν τῷ τιμωρουμένῳ, τῇ τοῦ χρόνου παρατάσει, καὶ τῶν ἐπταισμένων μετάνοιαν. πᾶσι γὰρ τοῖς νόμοις τῶν νεαρῶν ἐπὶ τὸ φιλανθρωπότερον δοκεῖ τοὺς προλαβόντας ἑρμηνεύεσθαι νόμους, καὶ οὕτω τὰς ἀποφάσεις γίνεσθαι. εἰ δὲ οἱ πολιτικοὶ νόμοι, οὕτω μεταποιοῦνται φιλανθρωπίας, πολλῷ μᾶλλον οἱ τῆς ἐκκλησίας. ἐκκόπτειν γὰρ τοῦ σώματος τῶν χριστιανῶν τοὺς αἱρετικοὺς δεδιδάγμεθα, πρὸς δὲ καὶ τοὺς ἀτόποις ἀνεχομένους ἐγκλήμασι, τιμωρεῖσθαι δὲ οὐ μεμαθήκαμεν, ἀλλ' ἀμεταθέτως ἔχοντας τῷ πολιτικῷ νόμῳ παραδιδόναι, ὡς πρὸς τῶν ἀρχόντων τὰς κατ' αὐτῶν ἀποφάσεις ἐκφέρεσθαι.

CAPUT IX.

Quòd pœnitentium confeſſiones accipere, & ſolvere, & ligare peccatores Epiſcopis conceditur; illorum verò conſenſu etiam Presbyteris.

SExtus Carthaginenſis Synodi canon, Chriſmatis confectionem, nempe ſancti unguenti peractionem, & puellarum conſecrationem, juxta morem an-
B tiquum factam, & pœnitentium reconciliationem, quæ eſt confeſſionum denunciatio, & animæ vulnerum, per pœnitentiæ ſupplicia, & ad id quod melius eſt converſionem medela: (Ita enim Deo reconciliatur homo;) omnia hæc à Presbyteris fieri prohibuit: horum etenim adminiſtratio Antiſtitibus conceditur; quippe qui ligandi & ſolvendi poteſtatem habentes, Apoſtolorum typum ferunt, quibus talem poteſtatem conceſſit Chriſtus. Quare qui ſine Epiſcopi conſenſu confeſſiones hominum excipiunt ſacrati monachi, malè faciunt, & valdè periculosè; neque enim ſolvendi neque ligandi facultatem habent; multò magis verò profani monachi;
C illis enim omnino permittere, ut confeſſiones hominum excipiant, & judicent, nequaquam licitum eſt. Sed & vii. pœnitentium reconciliationem, ſi de vitâ periclitentur, ſine Epiſcopi permiſſu Presbyteros facere oportere non exiſtimat.

Eadem etiam xlvi. decernens, Si verò abſit, inquit, Epiſcopus, & is qui pœnitentiam agit in periculum adductus ſit, illum conciliet Presbyter. Quære & viii. cap. literæ K. & in xxxi. cap. lit. E. can. xiv. Syn. Neocæſarienſis.

D

Quòd politicis poſtea legibus humaniùs viſum ſuppliciis uti.

Quin etiam vetuſtiores leges in humanius, & non quale priùs habuerunt, judicium, in dicta legum repetita prælectione commutantur; ipſa enim abrogat illud, nempe ſtatim interfici, qui in magnis criminibus deprehenſi ſunt. Imperator enim, qui iſtam repetitam prælectionem fecit, nullum eorum, quæ ſunt in
E digeſtis vel inſtitutionibus, crudele ſupplicium protulit, neque enim capite plectere decrevit, neque deſtruere, vel comburere, vel laqueos intendere; prohibuit etiam in maris profunditate ſuffocationem. Licet autem quaſdam capitales dare pœnas aliquando jubet, non tamen, inquit, mortiferas, ſed ſolùm relegari, vel in carcerem includi, oculorum effoſſionem, manûs ablationem, & aliam corporis injuriam pati, quæ converſionis opportunitatem illi, qui puniendus eſt, temporis extenſione præbeat, & illis qui lapſi ſunt reſipiſcentiam. Omnibus enim Novellarum legibus humaniùs videtur præcedentes leges interpretari, & ſic probationes fieri. Si verò leges politicæ humanitatem a-
F deo exerceant; multò magis Eccleſiaſticæ. Docemur enim à Chriſtianorum corpore excindere hæreticos, ut & eos, qui abſurdis tenentur criminibus; punire verò non didicimus, ſed immutabiliter ſe habentes legi politicæ tradere, ut ad Magiſtratus illatæ adverſus eos probationes deferantur.

A

CAPUT X.

De iis, qui impuris cibis veſcuntur.

SANCTUS Gregorius Thaumaturgus in primo ejus canone, Non grave, inquit, affert damnum, ſi prohibitos in barbaris cibos, vel etiam quæ idolis ſacrificantur, deguſtarent captivi, propter neceſſitatem & vim corporalem naturâ cibum neceſſariò exigente. Ipſe enim inquit Servator, Non quæ in alvum intrant B coinquinant hominem, ſed quæ egrediuntur. Siquidem qui cibos impuros comederint minùs puniuntur, ſi ſervitutis jugo laborantes & legitimi alimenti inopiâ vetitos cibos tetigerunt: ſin verò luxui maximè dediti ſint & edacitati, neque ab impuris abſtinuerunt, pœnis obnoxii ſunt, quapropter & graviori ſupplicio punientur. Quære etiam in i. capite literæ A. canonem vii. Ancyranæ Synodi.

ΚΕΦ. ι'.

Περὶ μιαροφαγησάντων.

Ο ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς, ἐν τῷ πρώτῳ κανόνι, οὐ βαρεῖαν ἐμποιεῖ, φησι, τὴν βλάβην, εἰ τῶν ἐν τοῖς βαρβάροις ἀπηγορευμένων βρωμάτων, ἢ καὶ εἰδωλοθύτων ἐγεύσαντο οἱ αἰχμάλωτοι, δι' ἀνάγκην καὶ βίαν σωματικὴν τῆς φύσεως τραφῆναι βιαζομένης. αὐτὸς γὰρ εἴρηκεν ὁ σωτὴρ, ὅτι οὐ τὰ εἰσπορευόμενα εἰς τὴν κοιλίαν κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα. διά γε μὴν τὴν μιαροφαγίαν ἧττόνως ἐπιτιμηθήσονται, εἰ καὶ τῆς νενομισμένης τροφῆς ἀπορίᾳ τῶν ἀπειρημένων ἥψαντο, δουλείας ζυγῷ πιεζόμενοι. εἰ δὲ τρυφὴν περὶ πλείονας ποιούμενοι καὶ ἀδδηφαγίαν, οὐδὲ τῶν μεμολυσμένων ἀπέχοντο, διαβέβληνται, διὸ δὲ καὶ σφοδρότερον ἐπιτιμηθήσονται. ζήτει καὶ ἐν τῷ α'. κεφαλαίῳ τοῦ Α. στοιχείου κανόνα ζ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου.

CAPUT XI.

C

De Mimis & Scenicis.

CARTHAGINENSIS Syn. lxvi. canon, Mimos & Scenicos ex Græcorum ſuperſtitione converſos & baptizatos, à populo antiquam malitiam rurſus exhibere non cogi jubet; licet tanquam officium aliquod & inexcuſabile debitum etiam inviti ad ea munia juxta antiquam quandam conſuetudinem trahebantur, in maximis præſertim civitatibus, ubi theatra fuerunt. Mimorum porro & Scenicorum, qui diverſas ſcilicet perſonas imitantur & ſimulant (ſcenam enim ſimulationem vocant) eos quidem, qui in Imperatoris D conſpectu hæc ſimulant, honorabiles judicant leges politicæ; qui verò in congregationibus & aliis populorum conventibus in maxillam ictibus & ſtrepitu, riſum ſpectatoribus movent, à legibus infames judicantur.

Quære in ix. capite literæ Δ. can. cxxix. Carthagin. Syn. & in primo capite literæ Θ. can. li. ſext. Synodi.

ΚΕΦ. ια'.

Περὶ Μίμων καὶ Σκηνικῶν.

Ο ξϛ'. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τοὺς μίμους καὶ σκηνικοὺς ἐκ τῆς ἑλληνικῆς ὡρμημένους θρησκείας, καὶ βαπτισαμένους, μὴ ἀναγκάζεσθαι αὖθις παρεγγυᾷ ὑπὸ τοῦ δήμου τὰ τῆς παλαιᾶς μετιέναι κακίας, εἰ καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέος καὶ ἄκοντι εἵλκοντο ταῦτα ἐπιδείκνυσθαι κατά τι παλαιὸν ἔθος, ἐν ταῖς μεγίσταις καὶ μάλιστα τῶν πόλεων, ἔνθα καὶ τὰ θέατρα ἦν. τῶν δὴ μίμων καὶ σκηνικῶν, τῶν διάφορα πρόσωπα δηλαδὴ μιμουμένων καὶ ὑποκρινομένων, σκηνὴν γὰρ λέγουσι τὴν ὑπόκρισιν, τοὺς μὲν ὑπ' ὄψιν τοῦ Βασιλέως ταῦτα ὑποκρινομένους, ἐντίμους ἔχουσι τῆς πολιτείας οἱ νόμοι· οἵ γε μὴν ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις συνάξεσι γέλωτα τοῖς ὁρῶσι κινοῦντες, τοῖς ἐπὶ κόρρης ῥαπίσμασιν καὶ ψοφίσμασιν, ἀτίμους τοῖς νόμοις λογίζονται.

Ζήτει ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Δ. στοιχείου κανόνα ρκθ'. τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἐν τῷ α'. κεφ. τοῦ Θ. στοιχείου κανόνα να'. τῆς ϛ'. συνόδου.

CAPUT XII.

E

De Elocatione.

Leges.

SI conductor ante tempus conductionis expletum ſine cauſa fundum deſeruerit, totius temporis reditum perſolvit.

Si quis equum conduxerit ad certum onus portandum, eumque graviori onere impoſito læſerit, ex damno tenetur.

F

Si quis ad locum uſque deſignatum commodatò acceperit equum; ultra autem illum vel egerit vel miſerit, de damno vel morte, quæ illi contingere poſſint, viderit ipſe, qui mutuò accepit; &, ut equi dominus indemnis ſit, curare tenetur.

Locator ante conſtitutum tempus conductorem invitum ejicere non poteſt; licet alius majores illo dederit penſiones; ſi libenter etiam penſionem, de qua pacti ſunt, dederit. Quære & xv. caput literæ Γ.

ΚΕΦ. ιβ'.

Περὶ μισθώσεως.

Νόμοι.

ΕΑΝ χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν.

Ο μισθωσάμενος ἵππον ἐπὶ τῷ βαστάσαι τι δῆλον, καὶ βαρύτερον ἐπιθεὶς βλάψῃ, ἐνέχεται ὑπὲρ τῆς βλάβης.

Εὰν χρήσεταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τὴν συμβᾶσαν ἐπ' αὐτῷ βλάβην ἢ θάνατον τὸν χρησάμενον ὁρᾶν, καὶ τὸ ἀζήμιον ποιεῖσθαι τῷ κυρίῳ τοῦ ἵππου.

Οὐ δύναται ἐκβαλεῖν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, πρὸ τοῦ ὡρισμένου χρόνου, κἂν ἄλλος αὐτοῦ πλείονα εἰσαγάγῃ μισθώματα, καὶ ἐὰν συγνωμονῇ ἐκεῖνος περὶ ὃ ὡμολόγησε δοῦναι μίσθωμα. ζήτει καὶ τὸ ιε'. κεφαλ. τοῦ Γ. στοιχείου.

ΚΕΦ.

A

ΚΕΦ. ιγ΄.

Περὶ μνηστείας.

Νόμος.

Ο τὴν ἰδίαν μνηστὴν πρὸ τῆς ἥβης, ἤτοι τοῦ ιγ΄. χρόνου φθείρας, εἰ μὲν οἱ τῆς κόρης γονεῖς οὐ βούλονται τὴν τοιαύτην διαλῦσαι μνηστείαν, ἀναμενέτω τὸν τοῦ γάμου χρόνον· εἰ δὲ διὰ τὴν φθορὰν διαλῦσαι βούλονται, ἀπαρεμποδίστως ἡ τοιαύτη λυέσθω μνηστεία, καὶ ὁ φθορεὺς τῆς ἰδίας αὐτοῦ ὑποστάσεως τὸ τρίτον μέρος τῷ μέρει διδότω τῆς κόρης.

ΚΕΦ. ιδ΄.

Περὶ μοιχείας.

Ο Νύσσης μέγας Γρηγόριος ἐν τῷ γ΄. κανόνι, ἤρεσε, φησι, τισὶ τῶν ἀκριβεστέρων καὶ τὸ κατὰ τὴν πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν, διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα. πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει. τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. οὐκοῦν ἐάν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος ἀπόστολος, ἑαυτῷ κτήσηται, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται. ἀλλότριον δὲ ἑκάστῳ, πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. οὐκοῦν οὐ πόῤῥω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία, τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν, ἐδείχθη, λεγούσης καὶ τῆς θείας γραφῆς, μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν. πλὴν ἀλλ᾽ ἐπειδὴ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν πατέρων συμπεριφορὰ, ἤτουν οἰκονομία καὶ συγκατάβασις, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. καὶ καθολικὴ μὲν ἐστι ταύτης θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης τῆς περὶ τὰς τοιαύτας ἡδονὰς καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται, διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσιν, ἐπεὶ καὶ διπλῆ τούτοις ἡ ἁμαρτία, μία μὲν, ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ, ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. ἐπεὶ τοίνυν οἱ ἐν πορνείᾳ μολυνθέντες δι᾽ ἐτῶν θ΄. τῆς κοινωνίας ἀξιοῦνται· ἡ κατὰ τὴν μοιχείαν ἁμαρτία τῷ χρόνῳ διπλασιάζεται, εἰς ιη΄. χρόνους ἐκτεινομένη, πρὸς δὲ τὴν τοῦ μολυνθέντος διάθεσιν, ἢ θᾶττον, ἢ βραδύτερον ἡ τοῦ ἀγαθοῦ μετουσία συγχωρεῖται. ζήτει καὶ τὸν α΄. τούτου κανόνα, ἐν τῷ α΄. κεφαλαίῳ τοῦ Α. στοιχείου.

Ο δὲ μέγας Βασίλειος ἐν τῷ νη΄. κανόνι, τὸν μοιχὸν εἰς δεκαπέντε ἔτη τῆς κοινωνίας ἐκβάλλει.

Ο δὲ τῆς ἐν Ἀγκύρᾳ κ΄. κανὼν, τοῦ μοιχοῦ καὶ τῆς μοιχαλίδος τὸ ἐπιτίμιον μέχρις ζ΄. συστείλας ἔτους, μετὰ τὴν τούτων ἐκμέτρησιν, καὶ τοῦ τελείου τυχεῖν αὐτοὺς ἀξιοῖ.

Ο γε μὴν ξα΄. τῶν ἁγίων ἀποστόλων, τὸν ἐπὶ μοιχείᾳ ἢ πορνείᾳ ἢ οἱᾳδήτινι ἀπειρημένῃ πράξει φανερῶς ἐλεγχθέντα, μὴ ὅτι γε εἰς ἱερωσύνην, ἀλλ᾽ οὐ δὲ εἰς κλῆρον ἔρχεσθαι τὸ σύνολον συγχωρεῖ.

Ο δὲ ὄγδοος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, τὸν τῆς μοιχευθείσης γυναικὸς ἄνδρα, οὐ θεμιτὸν εἶναι θεσπίζει,

CAPUT XIII.

De Sponſalibus.

Lex.

QUi ſuam ſponſam ante ætatem, ſcil. xiii. annorum vitiat; ſi quidem virginis parentes hæc ſponſalia diſſolvere nolunt, matrimonii tempus expectet: ſin verò propter corruptionem volunt diſſolvere, ſine impedimento ejuſmodi ſponſalia diſſolvantur; & corruptor ſuiipſius ſubſtantiæ tertiam partem virginis parti det. B

CAPUT XIV.

De Adulterio.

MAGNUS Gregorius Nyſſenus in tertio ejus canone, Placuit, inquit, ſubtiliorum nonnullis etiam fornicationis peccatum adulterium eſſe exiſtimare, quoniam una eſt legitima conjunctio, & mulieris cum viro, & viri cum muliere. Quicquid ergo non C eſt legitimum, eſt omnino legi contrarium; & qui non habet proprium, habet omnino alienum. Homini enim una à Deo data eſt auxiliatrix, & mulieri unum appoſitum eſt caput. Ergo ſi quis quidem proprium vas ſuum (ut divinus Apoſtolus nominat) ſibiipſi poſſederit, ei lex naturæ juſtum uſum concedit: ſiquis autem extra proprium converſus fuerit, erit omnino in alieno; Id autem unicuique alienum eſt, quod non eſt proprium; etiamſi nullum dominum in confeſſo habeat. Non longè ergo à peccato adulterii, fornicationem diſtare ab iis, qui rem paulo diligentiùs examinant, oſtenſum eſt, D cum dicat etiam ſacra ſcriptura, ne multus ſis cum aliena. Sed quia à Patribus indulgentia quædam conceſſa fuit imbecillioribus, vel adminiſtratio & demiſſio, diſtinctum eſt peccatum hac generali diviſione, quòd fornicatio quidem dicitur libidinis expletio, quæ fit ſine ulla alicujus viri injuria: Adulterium verò, inſidiæ & injuria, quæ alteri viro inferuntur. Univerſale etiam eſt ejus remedium, ut à concitata in ejuſmodi voluptates rabie per pœnitentiam homo purus efficiatur. Quoniam autem ab iis, qui fornicatione polluti ſunt, injuria aliqua cum hoc peccato non eſt commiſſa, propterea duplum converſionis tempus iis præſcriptum eſt, qui adulterio inquinati ſunt, quoniam E duplum eſt eorum peccatum; unum quidem in illicita voluptate; alterum autem, quod in injuria, quæ alteri fit, conſiſtit. Quia igitur qui fornicatione polluti ſunt, poſt novem annos communione digni judicantur: adulterii peccatum tempore duplicatur, ad xviii. annos protractum; ſecundùm inquinati autem diſpoſitionem, vel citiùs vel tardiùs ſancti participatio conceditur. Quære etiam primum ejus canonem in primo capite literæ A.

Magnus Baſilius in lviii. can. Adulterum per quindecim annos à communione ejicit.

F Viceſimus Ancyranæ Syn. can. Adulteri & adulteræ pœnam ad vii. contrahens, poſt horum enumerationem quod perfectum eſt illos aſſequi dignum cenſet.

Lxi. verò ſanctorum Apoſtolorum, qui fornicationis, vel adulterii, vel alicujus alius prohibitæ actionis manifeſtò convictus fuerit, non ſolùm in Sacerdotium, ſed neque in Clerum omninò promoveri concedit.

Octavus Neocæſarienſis Syn. canon, Adulteratæ uxoris maritum, in cujuſcunque gradus miniſterium conſtituere, non eſſe legitimum conſtituit: ſacro verò ordine initiatum, ſi uxor ejus adulterata ſit, vel illius conſuetudine ſejungi jubet, vel ſeparari non volentem Sacerdotio amoveri. Nam pollutæ conjunctione contaminatus non eſt dignus, impurus cum ſit, pura & ſancta myſteria contrectare. Etſi enim viro licet ſine diſcrimine adulteratam accipere, & peccatum condonare: ſacratis autem hoc non conceditur, juxta xviii. Apoſtolicum can. qui jubet, cum ejectâ muliere matrimonio conjunctum non fieri Sacerdotem; quem etiam quæras in iv. cap. lit. Γ.

Magnus Baſilius in xxxiv. can. Adulterio pollutas, inquit, & ob pietatem & futuri judicii metum peccatum confitentes, vel quomodocunque convictas, veluti ab uteri tumore, vel etiam ab edito partu, dum mariti earum longè peregrinantur, publicare non ſiverunt Patres noſtri, pœnarum locos illas ingredi cogendo, flentis videlicet, audientis, & ſubſtrati; ne convictis mortis cauſam præbeamus. Illius enim maritus, ipſam extra Eccleſiæ ambitum exeuntem videns, cum iis qui pœnis ſubjiciuntur, & manifeſtioribus teſtimoniis non egens, quòd matrimonii leges violavit, ſtatim illam interficiet: plenus enim zelo, juxta Salomonem, animus viri ipſius. Ideoque conſiſtere quidem cum fidelibus ordinarunt, & unà precari abſque communione, quoad expletum fuerit pœnitentiæ tempus.

In xxxvii. verò, Qui alienam uxorem vel alicui deſponſatam corrumpit, & poſtquam ea ablata fuerit, uxorem ducit; in primâ quidem adulterii accuſabitur: in ſecundâ autem, reus non agetur, uxore à viro liberâ.

In xxxix. etiam, Quæ vivit, inquit, cum adultero, adultera eſt; id eſt, quæ cum aliquo adulterata eſt, & poſt legitimi ſui mariti mortem adultero, matrimonii ſcilicet lege, conjuncta eſt. Non enim illa unà cum eo vivere permittitur, neque ab Eccleſiaſticis neque à civilibus legibus, & niſi deſiſtat, ejus peccatum non ſolvitur, licet pœnarum tempus perfecerit. Quære & v. cap. lit. Γ. quin & xvi.

Leges.

Qui adulterii cum muliere commiſſi accuſatur, illam uxorem ducere non poteſt.

Quicunque uxores ſuas adulterare inveniunt, & non dimittunt, puniri eos jubemus: leno enim eſt, qui propriam ſuam uxorem adulteratam non dimittit; non quidem qui tantum ſuſpectam habet.

Nunc autem, & poſt condemnationem, vir uxorem ſuam adulteram ex monaſterio accipere poteſt, juxta cxvii. Juſtiniani Novellam, quæ dicit, Jubemus mulierem adulteram competentibus pœnis ſubditam in monaſterium conjici: & ſi intra biennium maritus velit eam reducere, damus ei poteſtatem hoc faciendi, & unà cum ea habitandi, nullo exinde imminente illi periculo; nullum enim præjudicium accipit matrimonium ex his, quæ medio tempore facta ſunt. Sin autem prædictum tempus præterierit, aut maritus, priuſquam illam receperit, obierit, jubemus ut tondeatur mulier, & habitum monaſticum accipiat.

A εἰς ὑπηρεσίαν οἱουδήτινος ἰέναι βαθμοῦ· τὸν δὲ ἱερωμένον, τῆς γυναικὸς αὐτοῦ μοιχευθείσης, ἢ διαζυγῆναι ταύτης κελεύει, ἢ μὴ βουλόμενον ἀποστῆναι τῆς ἱερωσύνης ἀφίστασθαι. μολυνόμενος γὰρ τῇ τῆς μεμιασμένης ὁμιλίᾳ, οὐκ ἂν εἴη δίκαιος, ἀκάθαρτος ὤν, τῶν καθαρῶν καὶ ἁγίων μυστηρίων ἐφάπτεσθαι. εἰ γὰρ καὶ ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν, καὶ συγχωρεῖν τὸ ἁμάρτημα· ἀλλὰ τοῖς ἱερωμένοις τοῦτο οὐ δέδοται, κατὰ τὸν κελεύοντα ιη΄. ἀποστολικὸν κανόνα, μὴ ἱερᾶσθαι τὸν διαβεβλημένῃ γυναικὶ συνοικοῦντα, ὃν καὶ ζήτει ἐν τῷ δ΄. κεφαλαίῳ τοῦ Γ. στοιχείου.

B Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ λδ΄. κανόνι, τὰς μοιχευθείσας, φησὶ, καὶ δι᾽ εὐλάβειαν καὶ τὸν τῆς μελλούσης κρίσεως φόβον τὴν ἁμαρτίαν ἐξομολογουμένας, ἢ καὶ ὁπωσοῦν ἐλεγχομένας, ὑπό τε τοῦ ὄγκου τυχὸν τῆς γαστρὸς, ἢ καὶ ἀπὸ τοῦ τὸ βρέφος ἀποτεκεῖν, ἀποδήμου τοῦ ἰδίου ὄντος ἀνδρὸς, οὐκ ἔφασαν δεῖν οἱ πατέρες ταύτας δημοσιεύειν, ἐκ τοῦ τοὺς τόπους τῶν ἐπιτιμίων ἀναγκάζειν αὐτὰς διϊέναι, τὸν τοῦ προσκλαίοντος, φημὶ, τοῦ ἀκροωμένου, καὶ τοῦ ὑποπίπτοντος, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις. ὁ γὰρ τῆς τοιαύτης ἀνὴρ, ἐξιοῦσαν τῆς ἐκκλησίας ὁρῶν, μετὰ τῶν ἐν ἐπιτιμίοις ὄντων, καὶ περιφανεστέρας οὐ δεηθεὶς μαρτυρίας τοῦ C τὸν γάμον αὐτοῦ διορύξαι, αὐτίκα διαχρήσεται ταύτην· μεστὸς γὰρ ζήλου, κατὰ τὸν Σολομῶντα, θυμὸς ἀνδρὸς αὐτῆς. ταύτητοι καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπέταξαν, καὶ συνεύχεσθαι χωρὶς κοινωνίας, ἄχρις ἂν ὁ τῆς μετανοίας χρόνος ἐκμετρηθῇ.

Ἐν δὲ τῷ λζ΄. ὁ ἀλλοτρίᾳ γαμετῇ ἢ μεμνηστευμένῃ ἑτέρῳ συμφθειρόμενος, καὶ μετὰ τὸ, ἀφαιρεθῆναι ταύτην, γαμετῇ συνοικήσας· ἐπὶ μὲν τῇ πρώτῃ μοιχείαν ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνέγκλητος ἔσται, ἐλευθέρα οὔσα ἀνδρός.

D Ἐν δὲ τῷ λθ΄. ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι, φησὶ, τουτέστιν ἡ μοιχευθεῖσα τινὶ, καὶ μετὰ θάνατον τοῦ νομίμου ἀνδρὸς τῷ μοιχῷ, νόμῳ δῆθεν γάμου, μιγεῖσα. οὐ γὰρ συγχωρεῖται τούτῳ συνοικεῖν ἡ τοιαύτη, οὔτε παρὰ τῶν τῆς ἐκκλησίας, οὔτε παρὰ τῶν πολιτικῶν νόμων· καὶ εἰ μὴ ἀποσταίη, οὐ λύεται ταύτης ἡ ἁμαρτία, καὶ εἰ τὸν χρόνον ἐκπλήσειε τῶν ἐπιτιμίων. ζήτει καὶ τὸ ε΄. κεφάλαιον τοῦ Γ. στοιχείου, ἀλλὰ δὴ καὶ τὸ ις΄.

Νόμοι.

E Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς, οὐ δύναται ταύτην γαμετὴν ἀγάγεσθαι.

Πάντας, ὅσοι τὰς γυναῖκας αὐτῶν μοιχευομένας εὑρίσκοντες μὴ ἀπολύουσι, τιμωρεῖσθαι κελεύομεν· πορνοβοσκὸς ἐστιν, ὁ τὴν ἑαυτοῦ γαμετὴν μοιχευθεῖσαν μὴ ἀπολύσας, οὐ μὴν ὁ ψιλῶς ὑποπτεύσας.

Ἀλλὰ νυνὶ, καὶ μετὰ τὴν καταδίκην, δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν ριζ΄. Ἰουστινιάνειον νεαρὰν, κελεύομεν, λέγουσαν, γυναῖκα τὴν μοιχευθεῖσαν ταῖς προσηκούσαις ὑποβαλλομένην ποιναῖς μοναστηρίῳ ἐμβάλλεσθαι· καὶ εἰ μὲν εἴσω F διετίας ὁ ἀνὴρ αὐτὴν ἀναλαβεῖν βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο ποιεῖν, καὶ συνοικεῖν αὐτῇ, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. οὐ γὰρ καταβλάπτεται ὁ γάμος διὰ τὰ ἐν τῷ μεταξὺ γεγονότα. εἰ δὲ ὁ προειρημένος χρόνος παρέλθοι, ἢ ὁ ἀνὴρ, πρὶν ἀναλαβεῖν αὐτὴν, τελευτήσειε, κελεύομεν ἀποκείρεσθαι τὴν γυναῖκα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν.

Εἰ περὶ

A Εἰ περὶ μοιχείας ὁ ἀνὴρ κατηγορήσας τῆς γυναικὸς ἀπελέγξειε, τηνικαῦτα χωρισμοῦ γινομένου ἔχειν τὸν ἄνδρα κελεύομεν πρὸς τῇ πρὸ γάμου δωρεᾷ, καὶ τὴν προῖκα. καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ γ΄. μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ, καὶ τὴν προῖκα, καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι· καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχοι ὁ μοιχὸς γαμετὴν, τὴν προῖκα καὶ B τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν, εἰ μὲν εἰσιν ἀνιόντες ἢ κατιόντες, ἕως τρίτου βαθμοῦ, ταύτην λαμβάνειν αὐτούς· εἰ δὲ μὴ, προσκυροῦσθαι ταύτην τῷ δημοσίῳ.

Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν. οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τοῦ τοιούτου ἀσεβήματος γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι, διηνεκεῖ παραπεμφθήτωσαν ἐξορίᾳ.

Ἀλλὰ καὶ ἡ λβ΄. νεαρὰ τοῦ βασιλέως Λέοντος, τὰς προσηκούσας ποινὰς διορίζεται τοῖς μοιχοῖς καὶ ταῖς μοιχαλίσιν. C

Ἡ δὲ λη΄. νεαρὰ ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζει, καὶ διορίζεται, τὸν μὲν ἄνδρα τῆς μοιχευθείσης κερδαίνειν τὴν προῖκα· αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι· τὰ δὲ τῆς προικὸς ἐπέκεινα πράγματα τοὺς παῖδας αὐτῆς καὶ τὸ μοναστήριον διανέμεσθαι· ἢ παίδων μὴ ὄντων, τοὺς γονέας αὐτῆς ἢ κατὰ γένος ἄλλως προσήκοντας.

Ἡ μοιχεία οὐ μόνον ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου, καὶ ἀθεμίτου γάμου, καὶ μνηστείας, καὶ παλλακισμοῦ. D

Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, ἐὰν συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος· ἐν μόνῳ γὰρ τῷ ἰδίῳ οἴκῳ ἐπ' αὐτοφόρῳ δύναται φονεύειν τὸν μοιχὸν ὁ ἀνὴρ, καὶ τοῦτον σκηνικὸν, ἢ ἄτιμον ὄντα. οὐ δέδοται δὲ τοῖς ἀνδράσι φονεύειν τὰς μοιχαλίδας αὐτῶν γυναῖκας.

Διάφοροι δὲ νόμοι θεσπίζουσι, μὴ ἄλλως τὴν γυναῖκα μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τοῦτ' ἔστι διὰ πέντε μαρτύρων ὀμνυόντων ἰδεῖν ἐπ' αὐτοφόρῳ τὴν μοιχείαν τελουμένην. κατὰ τοῦτο E γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ τῆς μοιχείας ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε, ἀνὴρ, πατὴρ αὐτῆς, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, θεῖος πρὸς μητρὸς, οὕτω γὰρ εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεως γίνεται. εἰ δὲ ξένοι εἶεν οἱ κατηγοροῦντες, εἰ μὲν ἀποδείξουσιν, ἐκτομῇ τῶν ῥινῶν οἱ μοιχοὶ τιμωροῦνται· ἂν δὲ ἀπελεγχθῶσι δι' ἔχθραν τὴν κατηγορίαν πεποιηκότες, οὗτοι τὴν τοιαύτην ποινὴν ὑπομένουσιν. ἀλλ' οὐ δὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχευθῆναι καταδικάζεται, ὅπερ καὶ ἔστι καινόν.

Ὁ δύο γαμετὰς ἔχων, τυπτέσθω· ἐκδιωκομένης παρ' αὐτῆς τῆς ἐπεισάκτου γυναικὸς, μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς F παίδων.

Ὁ δύο γαμετὰς ἔχειν πειραθεὶς, οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι. ὁ μὲν γὰρ μετὰ ἐλευθερᾶς συμπλωκεὶς, ζώσης τῆς αὐτοῦ γυναικὸς, ὡς πόρνος κατακρίνεται.

Ὁ δὲ κατὰ γάμου κοινωνίαν δευτέραν ἀγόμενος, ὡς μοιχὸς τιμωρεῖται.

Εἰδέναι δὲ δεῖ, ὅτι εἰσὶ πρόσωπα ἁμαρτάνοντα, καὶ οὐκ

Si adulterii vir uxorem ſuam damnans convicerit, tum ſeparatione factâ jubemus virum præter donationem ante nuptias factam etiam dotem habere: & ad hoc, ſi filios non habeat, tantum accipere ex alia uxoris ſubſtantia, quantum dotis tertia pars eſſe cognoſcitur; ut ejus proprietati & dos & à nobis definita pœna applicetur. Si enim filios habuerit ex ejus matrimonio, & dotem aliamque mulieris ſubſtantiam filiis conſervari; & ita adulterum legitimè convictum unâ cum uxore puniri. Et ſi quidem uxorem habeat adulter, eam & dotem & ante nuptias donationem accipere: aliam verò mariti ſubſtantiam, ſi ſint quidem aſcendentes vel deſcendentes uſque ad tertium gradum eam illos accipere; ſin autem non ſint, eam fiſco adjudicari.

Adulteris verberatis & tonſis, nares abſcinduntur. Internuncii verò & impii hujuſce facinoris adminiſtri, verberati & tonſi in perpetuum mittantur exilium.

Quinetiam & xxxii. Novella Imperatoris Leonis convenientes pœnas adulteris viris & adulteris fœminis ſtatuit.

Xxxviii. verò Novella adulterum & adulteram narium abſciſſione punit, & decernit, quòd maritus adulteræ dotem lucretur; illam autem in monaſterio includi, & non involuntariè tondi; quæ verò ultra dotem ſunt facultates ejus filios & monaſterium dividere: ſin autem non habet liberos, ejus parentes vel alios ex ejus cognatione.

Actio adulterii intenditur, non ſolùm ob legitimæ uxoris ſtuprum, ſed etiam ſuper matrimonium, quod conſiſtere non poteſt, & illegitimum, & ſponſalia, & concubinatum.

Qui adulterum cum propriâ uxore in ipſo actu deprehendit, ſi contingat eum occidere, non ut homicida punitur: in ſola enim propria domo in ipſo actu maritus adulterum interficere poteſt, & illum ſcenicum vel infamem. Maritis autem non conceditur adulteras ſuas uxores interficere.

Diverſæ quidem leges jubent, mulierem non aliter condemnari ut adulteram, quàm per apertas probationes, id eſt, per quinque teſtes jurantes ſe vidiſſe in ipſo actu fieri adulterium. Hac ratione nec omnes poſſunt adulterii actionem intendere; ſed quinque ſolùm perſonæ, Maritus, Pater ejus, Frater, Patruus, Avunculus, ita enim magis credibilis fit quæſtionis prætextus. Si verò ſint peregrini qui accuſant, ſi quidem demonſtrationem adferant, narium abſciſſione puniuntur adulteri: ſin autem propter inimicitias accuſationem detuliſſe convincantur; ipſi eandem pœnam ſubeunt. Mulier autem, quæ ſe adulterari ipſa fatetur, non condemnatur; quod etiam novum eſt.

Qui duas uxores habet, verberetur: ab ipſa uxore expulſâ ſuperinductâ, & liberis ex eâ natis.

Qui duas habere uxores conatus eſt, non lege, ſed facto conſilii, adulterii ſupplicio ſubjicitur: qui enim cum libertâ, vivente ipſius uxore, rem habet, ut fornicator condemnatur.

Qui in matrimonio ſecundam communionem accipit, ut adulter punitur.

Scire autem oportet, quòd ſunt perſonæ, quæ peccant

cant, & non corriguntur, nempe, qui ſervi ſui uxorem adulterio vitiat, & qui fœminam viro ſubjectam, quæ non paucos ad impudicitiam allexit, & cum multis concubuit, ſtuprat, adulterii crimini non ſubjicitur, ſed fornicationis tantum. Et vir quidem tanquam adulter punitur, mulier verò non corrigitur; quando invitam & impulſam illam vi vicerit, licèt illa erubeſcens, marito ſuo quod factum eſt, ſtatim non annunciaverit.

CAPUT XV.

De Monaſteriis & Monachis.

PRIMÆ & ſecundæ dictæ Synodi canon primus, Non licere jubet Monaſterium ædificare abſque Epiſcopi ſententiâ, debitam primò orationem peragentis; in Brevi autem, & ipſum Monaſterium inſcribi, & quæcunque à conditore illi dedicantur; & Breve in ædibus Epiſcopalibus reponi, ut non poſſit ille qui dedicavit, illa in proprium uſum iterum convertere. Quæ enim ſibi quis abjudicavit per Monaſterium Deo addicens, quomodo poteſt, ac ſi adhuc eſſet Dominus, illa adminiſtrare, & aliis divendere? Nec etiam Monaſterii Præfectum abſque Epiſcopi ſententia illum ſeipſum conſtituere, nec alium ejus loco deligere patitur. Etenim, ſi quæ homini quiſpiam largitus eſt, ampliùs auferre ſine cauſa, qui donavit, haud poteſt; quo jure, quæ Deo dedicata ſunt, in ſuam poſſeſſionem, qui donavit, rapiat, tanquam nomine tantum, non re fuiſſet dedicatio?

Xxiv. Syn. iv. canon, porro & ſextæ Synodi xlix. Quæ ſemel juxta Epiſcopi voluntatem conſecrata ſunt Monaſteria, cum eſſet conſuetudo precationem præjicere extructioni, tanquam quoddam fundamentum infragile, perpetuò manere Monaſteria ordinant, & res, quæ ad ea pertinent, non alienandas ſervari, eaque non ampliùs fieri ſecularia habitacula: Eos autem, qui hoc non obſervant, canonice puniri; ſacratos quidem depoſitioni ſubjiciendos eſſe; Laicos verò ſegregationi. Quære etiam in xii. cap. lit. E. canonem xvii. ſeptimæ Synodi.

Hujus verò xx. can. Dehinc non exiſtimat duplicia Monaſteria fieri debere; & prope Monachos Monachas habitare: illud enim ſcandali & offenſionis cauſam multis præbet. Sed quibuſcunque placuit cum propriis cognatis mundo renunciare; viri quidem in virorum; fœminæ verò in fœminarum, inquit, Monaſteria ingrediantur. Quæ autem hucuſque permanent duplicia Monaſteria, divini noſtri Patris Baſilii hæc ita ſe habere ordinantis reverentia, adminiſtrentur, prout ipſe inſtituit. Simul verò degere & verſari Monachos & Monachas non oportet: quippe periculoſum & illicitum illud eſt. Neque illis concedatur licentia, ut ſimul colloqui queant, neque ſeorſum cum illis cibum capere: & quæ vitæ neceſſaria à viris ad regulares fœminas deferuntur, extra portam hæc accipiat Præfecta cum alia anu Monacha. Siquis etiam Monachus neceſſario negotio cognatam ſuam viſere vehementer deſiderat, præſente Præfecta cum ea colloquatur exiguo & brevi ſermone, & ſtatim ab ea recedat.

Quartus iv. Synodi canon, Monaſterium ædificare vel oratoriam domum, præter civitatis Epiſcopi ſententiam, inhoneſtum ducit: Monachos autem, qui ſyncerè & non prætextu Monaſticam elegêre vitam,

A εὐθύνονται. ὁ μοιχεύων τὴν γυναῖκα τοῦ ἀποδούλου αὐτοῦ, καὶ ὁ μοιχεύων πολύφθορον καὶ πολύκοιτον ὕπανδρον, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται, εἰ μὴ τῷ τῆς πορνείας. καὶ ὁ μὲν ἀνὴρ τιμωρεῖται ὡς μοιχὸς, ἡ δὲ γυνὴ οὐκ εὐθύνεται, ὅτε ἄκουσαν καὶ βεβιασμένην αὐτὴν χειρὶ κρατήσει, εἰ καὶ αὐτὴ ἐρυθριῶσα, τὸ γεγονὸς εὐθὺς οὐκ ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς.

ΚΕΦ. ιε'.

B

Περὶ μοναστηρίων καὶ μοναχῶν.

Ο τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου κανὼν πρῶτος, μὴ ἐξεῖναι κελεύει μοναστήριον οἰκοδομεῖν, ἄνευ γνώμης τοῦ ἐπισκόπου, τὴν εἰωθυῖαν πρότερον ἐπιτελοῦντος εὐχὴν, ἐν βρέβει δὲ αὐτό τε τὸ μοναστήριον ἐγγράφεσθαι, καὶ ὅσα πρὸς τοῦ δειμαμένου αὐτῷ ἀφιέρωνται, καὶ τὸ βρέβιον τῷ ἐπισκόπῳ προσαποτίθεσθαι, ὡς μηκέτι δύνασθαι τὸν ἀφιερώσαντα ἔστιν ἃ τούτων αὖθις ἐξιδιάζεσθαι. ὧν γὰρ ἀπεξένωσεν ἑαυτὸν διὰ τῆς μονῆς ἀναθεὶς τῷ Θεῷ, πῶς οἷός τε, οἷα δεσπότης ταῦτα διέπειν, οὐχ ὅπως καὶ ἄλλοις δια- C πιπράσκειν; οὐ μὴν οὐδὲ ἡγούμενον ἑαυτὸν ταύτης ἐᾷ καθιστάναι παρὰ γνώμην τοῦ ἐπισκόπου, οὐδ' ἕτερον ἀνθ' ἑαυτοῦ προχειρίζεσθαι. εἰ γὰρ τὰ ἀνθρώποις δεδωρημένα οὐκέτι χωρὶς εὐπροσώπου αἰτίας τὸν δωρησάμενον ἀναλαβεῖν, πολλῷ γε τῶν ἀνατεθειμένων Θεῷ τὴν κυριότητα ὁ ἀναθεὶς ἰδιοποιήσεται, ὡς προσηγορίᾳ μόνῃ, καὶ μὴ πράγματι τὴν ἀφοσίωσιν εἶναι;

Ο δὲ κδ'. τῆς δ'. συνόδου κανὼν, ἔτι δὲ καὶ τῆς ϛ'. ὁ μθ'. τὰ ἅπαξ καθιερωθέντα μοναστήρια, κατὰ τὴν γνώμην τοῦ ἐπισκόπου, ὃν ἔθος εὐχὴν προκαταβάλλεσθαι τῆς οἰκο- D δομίας, ὥσπερ τινὰ θεμέλιον ἀῤῥαγῆ, ἐπιτάττουσι μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ προσήκοντα τούτοις πράγματα φυλάττεσθαι ἀνεκποίητα, καὶ μηκέτι γίνεσθαι ταῦτα κοσμικὰ καταγώγια· τοὺς δὲ τοῦτο μὴ τηροῦντας κανονικῶς εὐθύνεσθαι· ἱερωμένους μὲν δηλαδὴ καθαιρέσει, λαϊκοὺς δὲ ὑποβαλλομένους ἀφορισμῷ. ζήτει καὶ ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Ε. στοιχείου κανόνα ιζ'. τῆς ζ'. συνόδου.

Ο δὲ ταύτης κ'. οὐκ οἴεται δεῖν ἀπό γε τοῦ νῦν διπλᾶ γίνεσθαι μοναστήρια, καὶ τοῖς μοναχοῖς ἔγγιστα τὰς μοναζούσας οἰκεῖν· σκανδάλου γὰρ καὶ προσκόμματος τοῖς πολλοῖς αἴτιον E τοῦτό γε. ἀλλ' ὅσοις ἤρεσε μετὰ τῶν ἰδίων ἀποτάξασθαι συγγενῶν, οἱ μὲν ἄνδρες, εἰς ἀνδρῶν· αἱ δὲ γυναῖκες, εἰς γυναικῶν εἰσίτωσαν, φησὶ, μοναστήρια. τὰ δὲ ἄχρι καὶ τήμερον διαρκέσαντα διπλᾶ μοναστήρια, αἰδοῖ τοῦ ταῦθ' οὕτως ἔχειν τυπώσαντος θείου πατρὸς ἡμῶν Βασιλείου, οἰκονομείσθωσαν, ὡς ἐκεῖνος γε διατάττεται· συνδιαιτᾶσθαι δὲ καὶ συναναστρέφεσθαι μοναχοὺς μοναστρίαις οὐ δεῖ· ἅτε βλαβερὸν καὶ ἀθέμιτον· οὔτε παῤῥησίαν πρὸς αὐτοὺς ἔχειν, οὔτε ἰδίᾳ προσομιλεῖν, μὴ ὅτι καταμόνας αὐταῖς συνεσθίειν, τὰ δέ γε κομιζόμενα ταῖς κανονικαῖς ἀναγκαῖα τοῦ βίου πρὸς τῶν ἀνδρῶν, ἔξωθεν τῆς θύρας ἡ ἡγουμένη ταῦ- F τα προσλαμβανέτω μεθ' ἑτέρας μοναστρίας γραός. εἰ δὲ καὶ τῶν μοναχῶν τις τὴν καθ' αἷμα προσήκουσαν ἰδεῖν περὶ πλείστου περὶ ἀναγκαίου ποιεῖται πράγματος, τῆς ἡγουμένης ὄψιν ταύτῃ προσομιλείτω δι' ὀλίγων καὶ σμικρῶν λόγων, καὶ ταχέως ὑποχωρείτω.

Ο δὲ δ'. τῆς δ'. συνόδου κανὼν, μοναστήριον οἰκοδομεῖν ἢ εὐκτήριον, οὐκ ἐν καλῷ τίθεται, παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου· τῶν μέν τοι μοναχῶν τοὺς εἰλικρινῶς καὶ μὴ προσχήματι τὸν μονήρη μετιόντας βίον, τὴν ἡσυχίαν μὴ ἐν παρέργῳ τιθέναι κελεύει, μόνῃ τε προσανέχειν τῇ νηστείᾳ καὶ προσευχῇ, καὶ ἐν οἷς ἀπετάξαντο τόποις προσκαρτερεῖν. οἱ γοῦν οὕτω βιοῦντες, δίκαιοι ἂν εἶεν τὰ πρεσβεῖα κατὰ τῶν ἄλλων φέρεσθαι μοναχῶν· ὑπείκειν μέντοι καὶ τούτους τῷ ἐγχωρίῳ ἐπισκόπῳ, ὥσπερ νόμος τοῖς κληρικοῖς, καὶ μηδὲν ἱερατικὸν πράττειν, πρὸς ἑτέραν ἀπαίροντας ἐπαρχίαν, χωρὶς ἀπολυτικῆς ἢ συστατικῆς τοῦ ἐπισκόπου γραφῆς. τοὺς γὰρ μὴν τὰ ἴδια καταλιμπάνοντας μοναστήρια, καὶ τὰς πόλεις ἀδιαφόρως καὶ ἀτάκτως περιιόντας, καὶ τὰ τῆς ἐκκλησίας, πρὸς δὲ καὶ τὰ πολιτικὰ διαταράσσοντας πράγματα, ὡς μήτε τὰ θεῖα μέρη τῶν ἑαυτῶν, μή τε τὰ ἀνθρώπινα κατά γε τὴν προσήκουσαν τάξιν ἐῶντας διενεργεῖσθαι, ὑπὸ λαϊκῶν μὲν τὰ βιωτικά· ὑπὸ δὲ μοναχῶν καὶ κληρικῶν τὰ τῷ Θεῷ ἀνατεθειμένα· τούτους καὶ ἄκοντας τοῖς μοναστηρίοις ἐγκλείειν κελεύει, εἰ μή τινες ἄρα εἰς πολιτικῶν πραγμάτων ἀναγκαίαν διοίκησιν ἐπιτραπεῖεν πρὸς τοῦ τῆς πόλεως ἐπισκόπου, ἅτε τῶν τηνικαῦτα κληρικῶν ἢ λαϊκῶν ἀσφαλέστερον ταῦτα διαθεῖναι μὴ ἀμαθῶς ἔχοντες. ἐπιτάττει δὲ καὶ μηδένα δοῦλον τοὺς τῶν μοναστηρίων προεστῶτας εἰσδέχεσθαι ἐπὶ τῷ μονάσαι, παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται. τὸν δὲ τὸν ὅρον τουτονὶ παραβαίνοντα ἀκοινώνητον εἶναι. τόν γε δὴ τῆς πόλεως ἐπίσκοπον, χρῆναι τὴν δέουσαν ποιεῖσθαι πρόνοιαν τῶν μοναστηρίων, ἵνα μὴ τῇ τῶν προσόντων αὐτοῖς ὀχλήσει πραγμάτων συνταράττηται τοῖς μοναχοῖς τὸ φιλήσυχον. ζήτει τὸ κβʹ. καὶ τὸ κεʹ. κεφ. τοῦ Ε. στοιχείου.

Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς θέλοντας ἀποκαρῆναι.

Ὁ δὲ μγʹ. τῆς ϛʹ. συνόδου κανὼν, οὐκ ἀπείρηταί φησι παντὶ Χριστιανῷ, καὶ μεγάλα ἡμαρτηκότι, τὴν μοναδικὴν μετελθεῖν πολιτείαν· ἥτις ἡμῖν τὴν ἐν μετανοίᾳ ζωὴν σὺν ἀκριβείᾳ στηλογραφεῖ. οἷά τις γὰρ στήλη τὴν μετάνοιαν ἡμῖν τῷ ἔξωθεν σχήματι καὶ τῷ βίῳ, καὶ τοῖς ἤθεσιν ὑπογράφει· καὶ ταύτης ἀεὶ μεμνῆσθαι παρασκευάζει· μὴ δῆτα ἢ τῶν πταισμάτων πλῆθος καὶ τὸ βάρος ἀπόγνωσιν ἡμῖν ἐμποιείτω. μηδέ τις τρόπος ἐμποδὼν γινέσθω τινὶ, πρὸς τὴν τοῦ θεοφιλοῦς τοῦδε σκοποῦ ἀποπλήρωσιν. ὁ γὰρ Σωτὴρ ἡμῶν εἴρηκε, τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω.

Ὁ δὲ μʹ. εἰ καὶ τὸ κολλᾶσθαι Θεῷ φησι, πολλὰ χαίρειν πρότερον τοῖς τοῦ βίου φράσαντας πράγμασι, τῆς ἐκεῖθεν μακαριότητος καθίσταται πρόξενον, ἀλλ' ἀνεξετάστως οὐ δέον· οὐδὲ παρὰ τὸν προσήκοντα δήπου τῆς ἡλικίας καιρὸν, τοὺς τὸν μονήρη βίον αἱρουμένους, τὸν τῆς μονῆς προεστῶτα προσίεσθαι δεῖ. τῷ δὲ πλατυνθῆναι περιφανῶς τὴν εὐσέβειαν, τῷ περιόντι τῆς χάριτος τοῦ Θεοῦ, καὶ δεκαέτης ὤν τις μὴ ἀποβεβλήσθω, μόνον εἰ τοὺς τρόπους συμβαίνοντας ἔχοι τῷ ἐπαγγέλματι. μὴ ὅτι καὶ τὸ δέκατον περιππεύσας ἔτος.

Ὁ δὲ εʹ. τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου κανὼν, τοὺς τῷ μονήρει προσιόντας βίῳ, ἐπὶ τριετίαν ἐν τῇ μονῇ δοκιμάζεσθαι διωρίσατο, τὴν κοσμικὴν περικειμένους ἔτι στολήν. ἀξιόχρεω δὲ, τὴν ἐν τούτῳ τοῦ χρόνου περὶ τὸ ἐπάγγελμα πρόθεσιν ἐπιδειξαμένους, τηνικαῦτα τὸ μοναδικὸν ἀμφιέννυσθαι σχῆμα. τὰς γὰρ ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς, ὡς ἐπίπαν ἴσμεν τῇ τῶν μοναχῶν εὐταξίᾳ λυμαινομένας. οἱ γοῦν προπετῶς ἑαυτοὺς τῷ μονήρει ἐπιρρίπτοντες βίῳ, καὶ πρὸς τὸ βραχὺ μετέπειτα καὶ ἐπίπονον τῆς ἀσκήσεως ἀπειπόντες, ἐπὶ τὸν φιλόσαρκον, καὶ ὑλικὸν βίον, ἀθλίως πάλιν ἐπαναστρέφουσιν. εἰ δέ τις περὶ

A quietem non obiter habere jubet, & ſoli jejunio & orationi vacare, & in quibus ordinati ſunt locis fortiter perſeverare. Qui igitur ita vivunt, æquum eſſet, ut præ aliis monachis privilegia ſortiantur: cedant nihilominus & illi regionis Epiſcopo, quemadmodum Clericis jubet lex, & nihil Sacerdotale exequantur, in aliam regionem diſcedentes, abſque Epiſcopi pacificis & commendatitiis literis. Qui propria relinquunt monaſteria, & civitates negligenter & inordinatè circumcurſant, & Eccleſiaſtica & civilia negotia perturbant; ut neque divina à ſuis, neque humana ſecundum convenientem ordinem adminiſtrari ſinant; quæ B ad vitam ſcilicet ſpectant à Laicis; à Monachis autem & Clericis ea quæ ſunt dedicata; hos vel invitos monaſteriis includi jubet; niſi quidam ad neceſſariam forſan civilium negotiorum adminiſtrationem à civitatis Epiſcopo veniam conſequuti ſint, qui ſcilicet è Clericis & Laicis tunc exiſtentibus hæc melius adminiſtrare norunt. Decernit etiam, ut nullus ſervus à monaſteriorum Præfectis ad monaſticam vitam admittatur, præter domini ſui voluntatem, ne nomen Dei blaſphemetur; Eum verò, qui hanc definitionem tranſgreditur, excommunicatum eſſe: civitatis porrò Epiſcopum eam oportere, quàm par eſt, mo- C naſteriorum curam gerere, ne rerum ad illos pertinentium moleſtiâ monachorum perturbent quietem. Quære xxii. & xxv. caput literæ E.

De modo, quo accipi debent illi, qui tonderi volunt.

Canon autem xliii. Concilii ſexti, Conceditur, inquit, cuivis Chriſtiano, etiamſi graviter deliquerit, D ſtatum Monaſticum ingredi: qui vitam quidem pœnitentialem accuratè nobis repræſentat: nam velut columna quidam pœnitentiam externo habitu, victu, moribuſque exprimit, atque noſmet ejus ſemper memores præſtat. Neque verò aut delictorum multitudo aut etiam magnitudo deſperationem nobis creet: neque modus vivendi cuiquam obſtet, quominus hunc tam gratum Deo ſcopum attingat: Dixit enim Servator noſter, *Illum, qui ad me venit, neutiquam ejiciam foràs.*

Canon verò xl. Quamvis, inquit, hoſce qui ut E Deo jungerentur, jam rebus ſecularibus longùm valedixerunt, iſtius felicitatis heic participes facere æquum ſit: at verò abſque examine minimè oportet: Imò nec citra debitum ætatis tempus illos, qui vitam ſolitariam agere cupiunt, à Præfecto Monaſterii admitti fas eſt. Veruntamen ut præclarè augeatur pietas, ſuperabundanti gratiâ Dei etiam decimum ætatis annum agens nè rejiciatur, dummodo pares profeſſioni mores adferat. Imò nec is, qui decimum adhuc currentem habet.

Synodi verò primæ & ſecundæ dictæ canon v. Eos F qui ad monachatum accedunt, per triennium in Monaſterio, ſtolâ quidem ſeculari adhuc amictos, probandos decrevit: æquum tamen eſſe judicavit, ut qui per id temporis animi ſui propoſitum de Profeſſione demonſtraverint, tum demum habitum Monaſticum adſumerent. Indiſcretas enim & citra probationem factas Renunciationes ut plurimum ordini monaſtico pernicioſas eſſe comperimus. Idcirco qui temerè in ſtatum Monachorum ſeſe ingerunt, paulò poſt ipſum piæ exercitationis laborem recuſantes, rurſum ad gratam carni ac ſecularem vitam miſerè reverti ſolent. Siquis verò ſummopere in his quæ ad Religionem ac virtutem pertinent, ſemet exercuerit, adeò ut vita anteacta futuræ non vana ſponſio fuerit, vel ſemeſtre tempus ſufficiet. Cæterùm nec iis, qui adhuc probationem agentes in gravem morbum inciderint, ordinis conſummatio differenda eſt: Qui verò ſecus fecerint, puta vel Præfectum monaſterii, vel Candidatum, illum quidem regimine excidere ſtatuit, & ſubditi conditionem ſubire, hunc autem in aliud monaſterium abduci, ubi nihil rigoris monaſtici remittitur.

De iis qui abſque precibus monaſticum habitum induunt.

Quicunque verò intra triennium monaſticum habitum & quidem abſque precibus induit, prægraves pœnas luet, ſi modo illam rurſus exuere velit, tanquam cum rebus ludens minimè ludicris: cogetur enim ad habitum iſtum vel nolens induendum.

Cavet quidem illius Synodi canon ii. Nè tonſus quilibet amictu monachali utatur, niſi priùs adſit qui illum in ſubjectione habere debet, atque ſalutis animæ ejus curam: ipſe quidem jam ante in operibus bonis præclarè exercitatus, diſcipuloſque ſuos ad virtutem incitandi peritus. Qui verò vel morbi vel luctûs causâ detondentur, (quatenus famam ſolùm pietatis acquirant;) & in propriis ædibus rurſus manſitant, religioſæ exercitationis ſudores & labores nihil curantes, hoſce ſub diſciplinâ conſtituendos decernit in monaſterio, in quo Epiſcopus voluerit: illum autem qui ſine causâ ſemet tondet, tanquam violatorem ſacrorum Canonum & ordinis monaſtici conturbatorem, communione privandum. Nam propter promiſcuas illas & incertas tonſuras ignominia vitæ monaſticæ affricatur, imò & Deum blaſphemari contingit: At verò nec ille qui in extremo halitu, ut monachis mos eſt, raſuram patitur, licet ex reſpiratione ſolâ nondum vitâ functus eſſe credatur, & quæ fiunt minimè ſentit, dignus eſt qui veſte monachali amiciatur: ſed habitum ſecularem reſumere, aut vitam rurſus publicam agere ipſi concedetur, niſi malit injunctionum vinculis ſubjici. Veruntamen iis, qui temerè habitum Monachorum arripiunt, hoc non permittitur.

Canon autem xix. Synodi ſeptimæ, Omnibus qui ſolitariam vitam in æde aliquâ ſacrâ agere cupiunt, ut per pecuniæ largitionem admiſſionem in eam impetrent, prorſus interdicit. Sed nec fas eſt quamvis rem ſacram eâ ratione conquirere: quippe haud licet Deo ſervire & mammonæ. Imò cujus principium probum non eſt, ſecundùm magnum Baſilium, etiam ipſum totum repudiandum. Epiſcopum verò vel Abbatem, qui iſtud perpetraverit, jubet aut ceſſare aut excommunicari. Cæterum, ſi Abbas Sacerdotii expers fuerit, (obtentum enim eſt tales nonnullos reperiri,) è monaſterio expelli, & in aliud deduci receptandi atque ſubjectionis causâ. Eaſdem pœnas dabit & Abbatiſſa, quæ talia auſa fuerit.

Quæcunque autem parentes ex liberorum hæreditate Monaſterio dedicant, adimere rurſus haud licet: conſecrantur enim Deo, ſive is qui obtulit, in monaſterio maneat, ſive inde diſcedat: niſi fortè ejus qui monaſterio præſidet culpa fuerit, quod iſte receſſerit.

A πλείστου πεπόνητο τὰ τῆς εὐλαβείας καὶ ἀρετῆς, ὡς τὸ φθάσαν τοῦ βίου τοῦ μέλλοντος ὑπάρχειν ἔλεγχον, καὶ ὁ ἑξαμηνιαῖος ἀποχρήσει χρόνος. ἀλλ' οὐδὲ τῶν εἰσαγομένων ἐπὶ τὸ δόκιμον, τοῖς νόσῳ περιπεπτωκόσι βαρείᾳ, τὴν τελείωσιν ὑπερθετέον τοῦ σχήματος. τοὺς δὲ παρὰ ταῦτα δρῶντας, τόν τε τῆς μονῆς ἐξηγούμενον, φημὶ, καὶ τὸν εἰσαγόμενον, τὸν μὲν, τῆς ἀρχῆς ἐκπίπτειν, καὶ τὴν ὑποταγὴν ὑπεισέρχεσθαι· τὸν δὲ εἰς ἑτέραν μονὴν ἀπάγεσθαι, μηδὲν τῆς ἀκριβείας ὑφιεμένην.

B Περὶ τῶν χωρὶς εὐχῆς τὸ μοναχικὸν ἔνδυμα περιβεβλημένων.

Εἰ δέ τις καὶ τῆς τριετίας ἐντὸς, τὸ μοναχικὸν, καὶ χωρὶς εὐχῶν ἔνδυμα περιβάλλοιτο, μεγάλας ὑφέξει δίκας, εἰ ἀποδύσασθαι τοῦτο βουληθείη ὡς παίζων ἄντικρυς ἐν οὐ παικτοῖς. καὶ ἄκων γὰρ τοῦτο περιβεβλῆσθαι ἀναγκασθήσεται.

Ο δὲ β'. ταύτης κανὼν, μὴ ἀποκείρειν ὁντιναοῦν ἐπισκήπτει, καὶ τὸ μοναχικὸν σχῆμα περιτιθέναι, ἂν μὴ πρότερον ὁ μέλλων αὐτὸν εἰς ὑποταγὴν ἔχειν παρῇ, ᾧ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας μελήσει, C καλῶς αὐτὸς πρότερον ἔργοις τὴν ἀρετὴν ἀσκηθεὶς, καὶ οἷος πρὸς ταύτην καὶ τοὺς ὑπὸ χεῖρα ἐνάγειν. τοὺς μέν τοι διὰ νόσον ἢ λύπην ἀποκειρομένους, ἐφ' ᾧ δόξαν μόνον εὐλαβείας ἐντεῦθεν κτήσασθαι, καὶ ἐν τοῖς ἰδίοις αὖθις προσεδρεύοντας οἴκοις, μηδὲν μέλλον αὐτοῖς τῶν ἀσκητικῶν ἱδρώτων, καὶ πόνων, τούτους μὲν εἰς ὑποταγὴν ἐν μοναστηρίῳ καθιστᾷν, ἐν ᾧ ἂν ἐπίσκοπος δοκιμάσῃ· τὸν δὲ παραλόγως αὐτὸν ἀποκείραντα καθαιρεῖσθαι, οἷα τῶν θείων παραβάτην κανόνων, καὶ τὴν μοναχικὴν εὐταξίαν συγχέοντα. διὰ γὰρ τὰς ἀκρίτους ταύτας καὶ ἐπισφαλεῖς ἀποκάρσεις, ὕβρεις μὲν τῷ μοναχικῷ προστρίβεται D βίῳ, Θεὸν δὲ βλασφημεῖσθαι συμβαίνει· ἀλλ' οὐδὲ ὁ τὴν τρίχα πρὸς ταῖς τελευταίαις ἀναπνοαῖς, ὥς γε δὴ μοναχοῖς ἔθος, ἀποκαρεὶς· εἰ καὶ μόνῳ τῷ ἀναπνεῖν, τὸ μὴ νεκρὸς εἶναι πιστεύεται, καὶ τὰ ἐπ' αὐτῷ τελούμενα μηδόλως συνιεὶς, οἷός τε ἐστὶ τὴν μοναχικὴν περιδυθῆναι στολήν· καὶ τὴν κοσμικὴν αὖθις ἐνδύσασθαι, ἢ ἐν τῷ κόσμῳ διάγειν συγχωρηθήσεται, εἰ μὴ βούλοιτο δεσμοῖς ἐπιτιμίων ὑποβληθῆναι. οὐ μὴν οὐδὲ τοῖς ἐκ προπετείας, τὸ μοναχικὸν σχῆμα περιθεμένοις, τοῦτο δοθήσεται.

Ο δὲ ιθ'. τῆς ζ'. συνόδου, ἀπείρηκε παντάπασι τοῖς τὸν μονήρη βίον ἐν σεμνείῳ μετελθεῖν προθεμένοις, διὰ χρη- E μάτων τὴν εἰς αὐτὸ ποιεῖσθαι εἰσέλευσιν, ἀλλ' οὐδ' εἰς ἕτερον ἱερατικόν τι πρᾶγμα, οὐ γὰρ οἷόν τε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. καὶ οὗ ἡ ἀρχὴ ἀδόκιμος κατὰ τὸν μέγαν Βασίλειον, καὶ τὸ πᾶν ἀπόβλητον. τὸν δὲ τοῦτο διαπραττόμενον ἐπίσκοπον ἢ ἡγούμενον, ἢ παύσασθαι κελεύει, ἢ καθαιρεῖσθαι. εἰ δὲ ἱερωσύνης ὁ ἡγούμενος ἀμοιροῖ, προβέβληνται γὰρ ἔσθ' ὅτε καὶ ἐκ τοιούτων τοῦ μοναστηρίου ἐκβάλλεσθαι· καὶ ἑτέρῳ πρὸς ὑποδοχὴν καὶ ὑποταγὴν παραδίδοσθαι. τοῦτο δὲ καὶ ἡγουμένην τοιαῦτα τολμήσασαν ἐφέξει τὸ ἐπιτίμιον.

F

Ατινα δὲ οἱ γονεῖς ἐκ τοῦ κλήρου τῶν παίδων τῇ μονῇ ἀφορίζουσιν, ἀφαιρεῖν αὖθις οὐκ ἔξεστιν· ἀφιέρωνται γὰρ τῷ Θεῷ, κἄν τε μένῃ ἐν τῷ μοναστηρίῳ, κἄν τε ἐξέλθῃ ὁ ταῦτα προσενεγκών· εἰ μὴ ἄρα πρὸς τοῦ ἡγουμένου ἡ αἰτία συμβαίη τῆς μονῆς τοῦτον ὑποχωρῆσαι.

Ο δὲ ϛʹ. τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, οἱ μοναχοί, φησιν, οὐδὲν ἴδιον ἔχειν ὀφείλουσιν, ἅτε νεκρωθέντες τῷ κόσμῳ διὰ τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν. οὕτω γὰρ ὁ μακάριος Λουκᾶς τοὺς τὴν μοναδικὴν πολιτείαν τυπώσαντας, δήλους ἡμῖν πόῤῥωθεν καθιστᾶς, τῶν πιστευσάντων ἔφησεν οὐδεὶς τί τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. ἔνθεν τοι καὶ τοῖς μονάζειν ἐθέλουσιν, ἔξεστι περὶ τῶν ὑπαρχόντων διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο ταῦτα παραπέμπεσθαι προσώποις, μὴ κεκωλυμένοις παρὰ τοῦ νόμου, οἷον αἱρετικοῖς ἢ νόθοις παισί· μετὰ γάρ τοι τὸ μονάσαι, τῶν προσόντων αὐτοῖς πάντων τὸ μοναστήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάττεσθαι τούτοις παρακεχώρηται· εἰ δέ τις φωραθείη κτῆσιν ἡντιναοῦν ἰδιοποιησάμενος, ταύτην μὲν ὁ ἡγούμενος τῆς μονῆς, ἢ ὁ τῆς χώρας ἐπίσκοπος, λαβὼν καὶ πωλήσας, πολλῶν μαρτύρων ὑπ' ὄψεσι, τὴν ἐντεῦθεν διαβολὴν φυλαττόμενος, πτωχοῖς καὶ ἀπόροις διανεμέτω· τὸν δὲ τὴν τοιαύτην κτῆσιν κατ' ἐκεῖνον τὸν Ἀνανίαν ὑποσυλᾶν μελετήσαντα τῷ προσήκοντι ἐπιτιμίῳ σωφρονισάτω· τούτοις πᾶσιν ὑπεύθυνος καὶ ἡ τῶν μοναζουσῶν ἔσται φατρία.

Ο δὲ μαʹ. τῆς ϛʹ. συνόδου, σφαλερὸν ἡγήσατο πάντη κοσμικῆς ἀνακεχωρηκότας ἄρτι διαίτης ἑαυτοὺς εὐθὺς ἐν οἰκίσκῳ βραχυτάτῳ ἐγκλείειν, καὶ σφίσιν αὐτοῖς γίνεσθαι τοῦ μονήρους βίου καθηγητάς. δεῖ γὰρ πρότερον ἐν ἀδελφῶν πλειόνων σεμνείῳ τὸ τῆς ὑποταγῆς γιγνόμενον ἐπὶ τριετίαν ἐνδείξασθαι· εἶτα ἐφ' ἕτερον ἕνα προσμείναντας χρόνον, ἔνθα δὴ καὶ ἐπικλείσασθαι εἵλοντο, καὶ τῆς σφῶν γνώμης ἀμεταθέτως ἔχειν ἄντικρυς ἐλεγχθέντας, ὡς οὐ κενῆς ἄρα δόξης, ἀλλ' ἀρετῆς ἐφέσει ταύτῃ διάγειν οἱ τοιοῦτοι προῄρηνται, μετ' ἐπιτροπῆς τοῦ κατὰ τὴν χώραν ἐπισκόπου, ἐπικλεισαμένους μένειν· καὶ μηκέτι τοῦ οἰκίσκου τὸ παράπαν ἐξιέναι· εἰ μή που κατ' ἀνάγκην ἐκβιασθεῖέν τινα, ἤτοι διὰ κοινὴν τοῦ λαοῦ λυσιτέλειαν, ἢ διὰ νόσον ὅσον οὐκ ἤδη τὴν τοῦ θανάτου ψῆφον μηνύουσαν ἔσεσθαι· ἀλλὰ καὶ τότε μὴ ἄνευ γνώμης τοῦ ἐπισκόπου. εἰ γὰρ δὴ ἄλλως ἐξελθεῖν βουληθεῖεν, καὶ ἄκοντας εἰσωθεῖν εἰς τὸν ἐκεῖνον οἰκίσκον χρή, καὶ ἀσφαλῶς καθειργνύειν, ὡς μηκέτι ῥᾳδίαν εἶναι σφίσι τὴν ἔξοδον· προσέτι καὶ νηστείαις αὐτοὺς ὑποβάλλειν, καὶ σκληραγωγίαις κατατρέχειν, ὡς ἂν οὕτω θεραπευθείη τὸ τῆς γνώμης αὐτῶν εὐμετάβολον. οὐδεὶς γάρ φησιν ὁ Σωτὴρ βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ο δὲ μβʹ. τοὺς λεγομένους ἐρημίτας, καὶ μέλανα περικειμένους ἱμάτια τάς τε κόμας ἐπιπολὺ καθειμένους, καὶ ἀνδρῶν καὶ γυναικῶν μεταξὺ ἀναστρεφομένους, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντας τούτους, ἤτοι τὰς κόμας κελεύει περιελεῖν, καὶ σχῆμα μοναχικὸν ἀνηρῆσθαι, καὶ ἐν φροντιστηρίῳ μοναχοῖς συγκαταλεγῆναι, ἢ μὴ αἱρουμένους πόλεων ἀπελαύνεσθαι, καὶ πρὸς τὰς ἐρημίας ἀποπέμπεσθαι, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἑαυτοῖς ψευδῶς ἀνεπλάσαντο.

Ο δὲ, μζʹ. μήτε ἐν ἀνδρῴῳ μοναστηρίῳ γυναῖκα, μήτε μὴν ἄνδρα ἐν γυναικείῳ, κελεύει καθεύδειν· παντὸς γὰρ σκανδάλου καὶ προσκόμματος ἀνωτέρους εἶναι δεῖ τοὺς πιστούς, καὶ μάλιστά γε τοὺς μοναχούς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ, τὸν ἑαυτῶν βίον ῥυθμίζειν, καὶ διευθύνειν· τοῖς δὲ εἰς τοῦτο τόλμης ἰοῦσι κληρικοῖς τε καὶ λαϊκοῖς, ἀφορισμοῦ καὶ ἀμφοῖν τιμᾶται.

Ο δὲ κβʹ. τῆς ἑβδόμης συνόδου, ἱερωμένοις, καὶ οἷς ὁ βίος μονότροπος ἐπιπλήττει, κατ' ἰδίαν γυναιξὶν συνεσθίουσιν, εἰ καὶ καθ' αἷμα τούτοις αὗται προσήκουσιν. εἰ δὲ ταύτας συνδείπνους δεήσει λαβεῖν, μὴ ἄλλως· ἢ θεοφόρων συμπαρόντων ἀνδρῶν· ἢ καὶ τιμίων καὶ εὐλαβῶν γυναικῶν ἵνα

A Concilii verò, quod primum & ſecundum vocatur, Canon numero ſextus, Monachi, inquit, nihil proprium habere debent, utpote qui propter vitam in Chriſto abſconditam mortui facti ſunt mundo. Sic enim B. Lucas eos, qui vitæ monaſticæ formam dederunt, eminùs nobis repræſentans, Fidelium, ait, nemo eorum qui poſſidebat quicquam ſuum eſſe dicebat, ſed omnia illis erant communia. Unde qui vitam ſolitariam agere volunt, priùs bona ſua diſponere, & quibus velint perſonis tranſmittere licet, modò non ſint jure civili prohibitæ, ut hæretici, & nati ſpurii. Poſtquam enim profeſſi fuerint, bonorum omnium ad B Monaſterium dominium tranſit: neque ullam de rebus propriis curam gerere vel diſponere eis permiſſum eſt. Si quis verò poſſeſſionem quampiam in proprios uſus vertens deprehendatur, eam Monaſterii Præfectus aut iſtius loci Epiſcopus capiat, & coram multis teſtibus divendens, ut eâ ratione calumniæ cauſam evitet, & pauperibus ac mendicis diſtribuat. Atque inſuper eum, qui talem poſſeſſionem, uti Ananias iſte, ſurripere meditatus eſt, debitâ correctione caſtiget. Hiſce autem omnibus & Monialium ſocietas obnoxia erit.

Porro autem Concilii ſexti Canon xli. omninò C periculoſum eſſe cenſuit & temerarium à vitâ victûque communi recedere, ac ſtatim ſemet in anguſtâ cellulâ includere, ſibique adeò ipſis vitæ ſolitariæ authores eſſe. Oportet enim in Monaſterio, ubi magna eſt fratrum frequentia, animum ad obediendum comparatum per trienniũ oſtendere: deinde annum alium in manſiuncula, in quâ includi cupiunt, degentes, & firmum animi ſui propoſitum plenè demonſtrantes, adeò ut jam non vanæ gloriæ ſed virtutis gratiâ vitam illam profiteri præſumantur, cum conſenſu iſtius loci Epiſcopi incluſos manere: neque dein ex illâ manſione ampliùs egredi; niſi fortè urgeat neceſſitas, vel propter D communem populi utilitatem, vel ejuſmodi morbum, qui mortem tantum non inſtare indicat; ſed & tunc quidem non ſine conſenſu Epiſcopi. Qui verò alias ob cauſas exire volunt, vel invitos dictâ manſione coerceri oportet, ne unquam facilis ſit exitus; atque præterea jejuniis affligere, & correctionibus macerare, ita ut hac ratione curetur animi eorum inconſtantia. Nemo enim, inquit Servator noſter, qui manum aratro immiſit, & retrò converſus eſt, aptus eſt regno cœlorum.

E Tum Canon xlii. Eremitas qui vocantur, quotquot nigris veſtibus induti, & dimiſsè, ut ſolet, comati cum viris & mulieribus verſantur, eoque profeſſionem ſuam dehoneſtant, hoſce aut poſitis comis jubet habitum Monaſticum ſumere, & in manſione aliquâ inter Monachos referri, aut, ſi hoc recuſaverint, ex urbibus pelli, & ad eremos ablegari, unde falsò ſibi denominationem affinxerunt.

Adhæc Canon xlvii. Neque mulierem permittit in virorum Monaſterio, neque in muliebri virum F dormire. Citra ſcandalum enim omne & offendiculum Fideles eſſe decet, maximè verò Monachos; atque ad id quod condecens eſt & Domino gratum, vitam ſuam componere ac dirigere. Illos autem, qui eo audaciæ uſque proceſſerint, tam Clericos quàm Laicos, excommunicatione utroſque ferit.

Veruntamen Synodi ſeptimæ Canon xxii. Sacerdotes, & illos qui vitam agũt Monaſticam percellit, quicunque privatim cum mulieribus convivantur, quamvis cum ipſis ſanguine junctæ fuerint: ſi verò haſce convivio excipere opus, ne hoc quidem fiat, niſi præſentibus viris Divinis ac matronis venerandis ac Religioſis; adeò ut ejuſdem menſæ ac ſalis communicatio, illis in utilitatem ſpiritualem cedat. Sive enim comedatis, inquit, ſive bibatis, ſeu faciatis aliquid, omnia ad Dei gloriam facite. Et, Omnia mihi licent, at non omnia expediunt. Imo & ipſas cogitationes purgare jubemur; ſcilicet aut eluere, aut purgare, ſeu proſternere, neque permittere ut denuò in nos aſſurgant. Sin verò horum aliquis iter faciat, neſciátque ubinam hoſpitio excipiatur, ei haud interdictum eſt in publicam domum divertere, neceſſitate eum urgente, modò ſobriè, & cum circumſpectione ſeſe gerat. Cæterum ii, qui cum uxoribus ac liberis ſuis unà habitant, ſecularem vitam trahentes, cum uxoribus conveſci minimè prohibentur. Hoc enim culpa vacat, dommodo fiat cum gratiarum erga Deum actione, & non cum geſticulationibus ſcenicis, aut Satanicis canticis, & modulationibus meretriciis, quæ maledictio iſthæc Prophetica intentat, Væ illis qui ad citharam & pſalterium vinum bibunt, & quæ ſequuntur.

Qninimò neque permittit Concilii Carthaginenſis Can. xxxviii. Monachos aut Clericos audacter ad Virgines vel Viduas Deo conſecratas accedere, abſque conſenſu Epiſcopi, aut, eo abſente, Presbyteri alicujus: nec tunc quidem ſolos cum ſolis verſari, ſed vel Clericis aliis, vel Chriſtianis honeſtis ac religioſis præſentibus, ut tollatur omnis ſuſpicio. Inoffenſi enim, ait Apoſtolus, eſtote & Judæis & Græcis & Eccleſiæ Dei. Jubemur adeò ſuſpiciones malas evitare, falſæ licet fuerint.

Canon autem vigeſimi primi Synodi ſeptimæ haud permittit Monachum aut Monialem propriam deſerere manſionem, & in aliam ſe conferre: ſin verò hoc fieri contingat, laudabile eſſe exiſtimat & quidem neceſſarium hoſce hoſpitio excipi, nè fortè ſecularibus & promiſcuè viventibus ſe immiſcere cogantur; haud tamen recipi ſine conſenſu ſuorum Præfectorum.

Tum Canon iii. Synodi primæ & ſecundæ, quæ vocatur, Excommunicationi Præfectum ſubjicit, niſi aufugientes Monachos, qui ad ovile ſuum pertinent, cum diligentiâ requiſiverit, & ovem morbidam convenienter medicinâ recuperans ad ſacrum clauſtrum reduxerit. Nam ſi animantium ratione carentium paſtor, qui erga gregem negligenter ſeſe gerit, certò luat; Quiſquis ovium Chriſti ſalutem præ ſocordiâ vilipendit, quidni indeprecabiles pœnas dabit? Monachus verò ita revocatus, ſi eo redire recuſaverit, unde diſceſſit, ſi ita Epiſcopo viſum fuerit, ſegregabitur.

Dein Canon quartus, Monachum, qui propriâ manſione relictâ in aliam ſe confert, vel in habitaculo ſeculari turpiter comeſſatur, ipſum illum, & qui ſuſceperit, utroſque communione privandos decernit, donec is qui receſſerit, in monaſterium, quod improbè deſeruit, fuerit reverſus. Sin verò iſtius loci Epiſcopus Monachos quoſdam pietate (ut licet) percelebres de manſione propriâ eximens, in aliis conſtituerit, ut manſioni præſint, (modò utræque illi Epiſcopo ſubjectæ fuerint) vel domûs tutelam eis commiſerit: Iſthoc quidem cùm eos qui ſuſcipiunt, tum Monachos ipſos culpâ omni vacuos præſtat.

Quinimò Canon lxxx. Synodi Carthaginenſis Epiſcopum puniri vult, qui Monachum alienum ſuſcipit,

καὶ αὐτὸ τῆς τραπέζης αὐταῖς καὶ ἁλῶν κοινωνεῖν, πρὸς ὠφέλειαν εἴη πνευματικήν. εἴτε γὰρ ἐσθίετέ φησιν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν τοῦ θεοῦ ποιεῖτε. καὶ, πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. ἀλλὰ καὶ λογισμοὺς καθαίρειν κελευόμεθα, ἤγουν ἐκπλύνειν, ἢ καθαίρειν, ἤτοι καταβάλλειν· ἢ μὴ ἐᾶν αὐτοὺς ἡμῶν κατεξανίστασθαι. ὁδοιποροῦντι δέ τινι τούτων, καὶ μὴ εὐποροῦντι ὅπη καταχθείη, καὶ ἐν πανδοχείῳ καταλύειν οὐκ ἀπείρηται, τῆς χρείας αὐτὸν κατεπειγούσης· μόνον σωφρόνως καὶ μετ᾽ εὐλαβείας. οἱ μέντοι γυναιξὶ καὶ τέκνοις συζῶντες, καὶ κατὰ κόσμον βιοῦντες, οὐ κωλύονται γυναιξὶ συνεσθίειν. οὐ γὰρ διαβέβληται τοῦτο, εἰ μετ᾽ εὐχαριστείας τῆς πρὸς θεὸν γίγνοιτο, καὶ μὴ μετὰ θυμελικῶν ἐπιτηδευμάτων, καὶ σατανικῶν ᾀσμάτων, καὶ πορνικῶν λογισμάτων, οἷς ἐπέρχεται ἡ προφητικὴ ἀρά· οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, καὶ τὰ ἑξῆς.

Οὐδὲ ὁ τῆς ἐν Καρθαγένῃ συνόδου κη΄. κανὼν, ἐφίησι μοναχοῖς ἢ κληρικοῖς ἀδεῶς εἰσιέναι πρὸς παρθένους, ἢ χήρας, αἳ δὴ τῷ θεῷ καθιέρωνται, τοῦ ἐπισκόπου μὴ ἐπιτετραφότος ἢ τοῦ πρεσβυτέρου, εἰ ἐκεῖνος ἀπείη· ἀλλὰ καὶ τότε μὴ μόνους μόναις ἐντυγχάνειν, ἀλλὰ παρόντων ἢ κληρικῶν ἑτέρων, ἢ χριστιανῶν ἐντίμων, καὶ εὐλαβῶν, ὥστε πᾶσαν ὑποψίαν περιαιρεῖσθαι. ἀπρόσκοποι γάρ φησιν ὁ ἀπόστολος, γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. ἐπεὶ φεύγειν τὰς πονηρὰς ὑπολείψεις προστετάγμεθα, κἂν ὦσι ψευδεῖς.

Ὁ δὲ κα΄. τῆς ζ΄. συνόδου, οὐκ ἐπιτρέπει μοναχὸν ἢ μονάστριαν, τὴν οἰκείαν καταλιμπάνειν μονὴν, καὶ εἰς ἑτέραν ἀπιέναι· συμβὰν δὲ οὕτω, ξενοδοχεῖσθαι μὲν ὡς ἀναγκαῖον δι᾽ ἐπαίνου τίθεται, ἵνα μὴ κοσμικοῖς καὶ ἀδιαφόρως βιοῦσιν ἐκβιασθεῖεν συμμίξαι· προσλαμβάνεσθαι δὲ οὐ δῆτα ἄνευ γνώμης τῶν σφῶν ἡγουμένων.

Ὁ δὲ γ΄. τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, ἀφορισμῷ τὸν ἡγούμενον ὑποτίθεσιν, εἰ μὴ ἐπιμελῶς ἀναζητοίη, τοὺς τῆς ἑαυτοῦ ποίμνης ἀποδιδράσκοντας μοναχοὺς, καὶ πρὸς τὸν ἱερὸν ἐπανάγειν σηκὸν, τῇ καταλλήλῳ θεραπείᾳ τὸ νενοσηκὸς ἐπιρωννὺς πρόβατον. εἰ γὰρ ὁ ζώων ἀλόγων ποιμὴν, ἀμελῶς περὶ τὸ ποίμνιον διακείμενος τιμωρίαν ἀναγκαίως ὑπέχει, ὁ τὴν τῶν χριστοῦ θρεμμάτων τὴν σωτηρίαν περὶ ἐλαχίστου δι᾽ οἰκείαν ῥᾳστώνην τιθέμενος, πῶς οὐκ ἀπαραίτητον εἰσπραχθήσεται δίκην; ἀπειθῶν δὲ ὁ ἀνακαλούμενος μοναχὸς ἐπανιέναι ὅθεν δῆτα καὶ ἐξελήλυθεν, πρὸς τοῦ ἐπισκόπου ἀφορισθήσεται.

Ὁ δὲ δ΄. τὸν ἀποδράντα τῆς ἰδίας μονῆς μοναχὸν, καὶ πρὸς ἑτέραν μετακεχωρηκότα, ἢ εἰς κοσμικὸν ἀσέμνως εἰσκωμάσαντα καταγώγιον, αὐτόν τε καὶ τὸν τοῦτον ὑποδεξάμενον, ἀφορισμένον εἶναι κελεύει, ἕως ἂν ὁ ἀποφοιτήσας πρὸς τὴν μονὴν, ἧς κακῶς ἐξελήλυθεν, ἐπανήκει. εἰ μέντοι ὁ τῆς χώρας ἐπίσκοπος, ἔστιν οὓς τῶν ἐπ᾽ εὐλαβείᾳ σεμνυνομένων μοναχῶν, ἐκ τῆς ἑαυτῶν εἰληφὼς, εἰς ἑτέρας ἐγκαταστήσειε προστασίαν μονῆς, ἀμφοτέρων αὐτῷ ὑποκειμένων δηλαδὴ τῶν μονῶν· ἢ καὶ κοσμικὴν οἰκείαν ἐπιτηρεῖν διορίσαιτο, τοῦτο καὶ τοὺς ὑποδεχομένους, καὶ τοὺς μοναχοὺς ἀνευθύνους εἶναι ποιεῖ.

Ὁ δὲ π΄. τῆς ἐν Καρθαγένῃ συνόδου ἐπιτιμᾶσθαι τὸν ἐπίσκοπον ἀξιοῖ, ὃς τὸν ἀλλότριον ὑποδεχόμενος μοναχὸν, εἰς βαθμὸν καθίστησι κλήρου, ἢ καὶ ἡγουμένην οἰκείου μοναστηρίου, ἄνευ ἀπολυτικῆς τοῦ οἰκείου ἐπισκόπου γραφῆς. καὶ τὸν μὲν ἐπίσκοπον τῇ τοῦ ἰδίου λαοῦ ἐφεὶς κοινωνίᾳ, καὶ μόνον ἑτέρους αὐτῷ κελεύει μὴ κοινωνεῖν· τὸν δὲ μοναχὸν τοῦ κλήρου ἢ τῆς ἡγουμενίας ἐκπίπτειν. ζήτει καὶ τὸ ϛʹ. κεφάλαιον, τοῦ Α. στοιχείου. καὶ ἐν τῷ θʹ. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου, κανόνα κγʹ. τῆς δʹ. συνόδου. καὶ ἐν τῷ ιθʹ. κεφ. τοῦ Ε. στοιχείου. ἔτι δὲ καὶ τὸ λγʹ. καὶ τὸ κʹ. κεφ. τοῦ Κ. στοιχείου. καὶ ἐν τῷ λβʹ. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου, κανόνα ζʹ. τῆς δʹ. συνόδου.

Ο δὲ ιγʹ. τῆς ἐν Γάγγρᾳ συνόδου, τῷ ἀναθέματι παραπέμπει τοὺς τέκνα ἔχοντας, καὶ προφάσει ἀσκήσεως ταῦτα χαίρειν ἐῶντας, καὶ μὴ τὰ τῆς θεοσεβείας καὶ λοιπῆς ἀρετῆς ἐξασκοῦντας, πρὸς δὲ καὶ τὰ τῷ βίῳ αὐτάρκη πορίζοντας, οἷα περὶ πλείστου δῆθεν τὴν εὐλάβειαν ποιουμένους καὶ ἄσκησιν· καὶ μὴ ἐξὸν σωτηρίας αὐτοὺς ἐν τῷ κόσμῳ ἐπιτυχεῖν. φησὶ γὰρ ὁ μέγας Παῦλος, εἴ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων, οὐ προνοεῖ, οὗτος τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. καὶ περὶ τῶν χηρῶν διατιθέμενος, εἰ ἐτεκνοτρόφησαν, προστίθησι· καὶ τὰς ἀφηλικεστέρας τὰς νέας σωφρονίζειν παρεγγυᾷ, φιλάνδρους εἶναι, φιλοτέκνους, καὶ ἐν ἄλλοις τοῖς πατράσι τρέφειν ἐπισκήπτει τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. ὡς ἔστι δεινὸν θῆρας μὲν τοὺς σφετέρους σκύμνους τρέφειν τε καὶ περιέπειν, καὶ μέχρι θανάτου τούτων προκινδυνεύειν, ἀνθρώπους δὲ καὶ τὴν τῶν θηρίων ἐν τούτῳ παρελαύνειν ὠμότητα. ἀλλὰ τῷ ἤδη ἀποκειραμένῳ οὐκ ἐφεῖται τῆς τέκνων χάριν ἐπιμελείας, τὴν μονὴν ἐᾶν, καὶ ἐπιχωριάζειν τοῖς ἐν τῷ κόσμῳ· μελήσει γὰρ τῷ θεῷ πατρὶ τῶν ὀρφανῶν, καὶ κριτῇ τῶν χηρῶν, καὶ τῆς τούτων προνοίας.

Ο δὲ, ιδʹ. τοῦ ἀναθέματος ἀξιοῖ καὶ τῶν παίδων, ὅσοι προφάσει τῆς ἀσκήσεως, μὴ διὰ τιμῆς τοὺς οἰκείους πατέρας ἄγουσι, μὴ δὲ γηροβοσκεῖν αἱροῦνται· ἀλλ' ἀπρονοήτους ἐῶσι, πιστούς τε ὄντας ἢ καὶ ἀπίστους. προτιμητέον μέντοι φησὶ παντάπασι τὴν εὐσέβειαν, ὅταν οἱ ἄπιστοι γονεῖς δηλαδὴ, πρὸς τὴν οἰκείαν εὐσέβειαν τοὺς παῖδας ἕλκειν πειρῶνται. ὁ δὲ ιθʹ. εἴ τις φησὶ, τῶν παρθενευόντων δῆθεν διὰ τὸν κύριον κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

Περὶ μοναζουσῶν.

Ο δὲ μεʹ. τῆς ϛʹ. συνόδου, κωλύει τὰς κείρεσθαι μελλούσας τῶν γυναικῶν, λαμπροτέραις κοσμουμένας στολαῖς, τῷ θυσιαστηρίῳ προσάγεσθαι, κἀκεῖ μὲν τὴν φλυαρίαν ἐκείνην περιδύεσθαι, ἐνδιδύσκεσθαι δὲ τὰ τῶν μοναχῶν ἄμφια. ταραχὴν γὰρ ἐπεγείρει τοῦτο τῇ ψυχῇ, ὡς ἀποσπωμένῃ τῶν τοῦ κόσμου ἡδέων.

Ο δὲ μϛʹ. τὰς τὸν ἀσκητικὸν αἱρουμένας βίον, ἀπροΐτους βούλεται μένειν ἐν τῇ μονῇ, ἀπαραιτήτου δὲ χρείας κατεπειγούσης, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης ἐξέρχεσθαι· καὶ τότε μέντοι μὴ μόνας, ἀλλὰ συμπαρομαρτουσῶν αὐταῖς πρεσβυτίδων, ἢ τὰ πρῶτα τῶν ἐν τῇ μονῇ φερουσῶν· καὶ μάλιστα, εἰ νέαν ἄγουσιν ἐκεῖναι τὴν ἡλικίαν, ἥ τις καὶ ἀφυλάκτοις ὀφθαλμοῖς παγὶς ἐστὶν οὐχ ὑπερβῆναι ῥᾳδία· καὶ αὐταῖς ταύταις πρὸς τῷ φύσει ὀλισθηρῷ τοῦ γυναικείου φρονήματος μέγα μέρος εἰς κακίαν καὶ ἡ νεότης συμβάλλεται. ἀλλ' οὐδὲ νύκτωρ ἔξω μεῖναι τῆς μονῆς, συγχωρεῖτο παντάπαν. οἱ γε μὴν μοναχοὶ χρείας κατεπειγούσης, μετ' εὐλογίας τοῦ ἡγουμένου καὶ καθ' ἑαυτοὺς προϊέναι οὐκ εἴργονται· προσέτι καὶ τῆς μονῆς ἐκτὸς ἔστιν οὗ διανυκτερεῦσαι. ταῦτα δὲ εἴρηται περὶ τῶν ὑπόπτων διὰ τὴν νεότητα γυναικῶν, ἢ μὴν ἀνυπόπτων διὰ γῆρας καὶ ἀρετήν.

A atque ad gradum Clericalem promoverit, aut alicujus ex propriis Monaſteriis Præfecturam; abſque literis dimiſſionis Epiſcopi regionis alterius. Et Epiſcopo quidem cum plebe ſuâ communicare permittit, & ſolummodo vetat nè alii cum ipſo unà communicent: Monachum verò Clero aut Præfecturâ excidere vult. Quære cap. vi. Literæ A. & in cap. ix. ejuſdem elementi, Canonem xxiii. Synodi quartæ, & in cap. xix. Literæ E. Inſuper vide cap. xxxiii. & xx. Lit. K. & in cap. xxxii. ejuſdem Lit. Can. vii. Concilii quarti.

Concilii Gangrenſis Canon xiii. hoſce anathemate B percellit, qui liberos ſuos piæ exercitationis prætextu nulli curant, & in iis quæ ad Religionem reliquáſque virtutes pertinent, minimè erudiunt; imò neque vitæ neceſſaria illis præbent: quaſi maximi fecerint pietatem atque exercitationem, & haud poterant in ſeculo ſalutem indipiſci. Dicit enim Magnus Paulus; Si quis ſuorum, & maximè domeſticorum curam non habet, fidem iſte negavit, & infideli deterior eſt. Tum de viduis præcipiens, Si liberos, adjicit, educaverunt; matronáſque jubet juniores inſtituere, ad maritos liberóſque ſuos diligendos: atque alibi patres adhortatur filios ſuos in diſciplinâ & admonitione Domini C enutrire. Quàm mira res eſt feras ſuos catulos alere, fovere, & ad mortem uſque propugnare; homines verò feras ipſas hâc ſuâ feritate vincere. Haudquaquam tamen inde detonſo conceſſum eſt liberorum curandorum causâ manſionem ſuam deſerere, & cum ſecularibus converſari; Deo enim curæ erit, qui pater eſt orphanorum & judex viduarum, iſtorum educatio.

Cæterum Canon ejuſdem Synodi xiv. liberos anathemate condignos cenſet, quotquot exercitationis prætextu parentes ſuos honore non proſequuntur, D neque in ſenectute alere volunt; ſed inopes ipſos deſerunt, ſint fideles, ſintve infideles. Pietatem tamen erga Deum omnino eſſe præferendam, ſiquando parentes, infideles ſcilicet, ad ſuam infidelitatem filios pertrahere conentur. Porrò autem x. Canon, Si quis, ait, eorum qui propter Dominum virginitatem ſervant, adverſus conjugatos ſeſe extollat, anathema eſto.

De Monialibus.

Synodi quidem ſextæ Canon xlv. vetat, nè mulie- E res, antequam tondeantur, ſplendidis veſtibus ornatæ ad altare ſiſtantur, ibique ſuperfluitate iſtâ depoſitâ indumenta Monachalia aſſumant. Hoc enim turbas in animo ciet, tanquam à deliciis hujus mundi ægrè avulſo.

Dein Canon xlvi. Fœminas quæ vitam eligunt Aſceticam in Monaſterio manſitare jubet, neque unquam inde exire. Siqua tamen urgeat neceſſitas inexcuſabilis, cum benedictione ac permiſſione Abbatiſſæ egredi: & tum quidem non pes ſe ſolas, ſed cum ætate grandioribus aut præcipuis Monialium, qui de ipſis F conteſtentur. Maximè verò ſi adhuc teneræ ætatis fuerint, quæ oculis non obſervatis laqueus quidem eſt haud facilè prætereundus. Nam hiſce illis præter innatam animi fœminei lubricitatem multum ad pravitatem confert ipſa juventus. Sed nec ullatenus extra Monaſterium pernoctare eis permiſſum. Monachis verò urgente neceſſitate cum benedictione Præfecti etiam per ſe ſolis egredi licet: quinimò eſt ubi & extra manſionem pernoctare. Hæc autem de fœminis dicta puta ob ætatem teneram ſuſpectis, non de iis, quarum nulla eſt vel ob ætatem vel probitatem ſuſpicio.

Præcipit autem Concilii Carthaginenſis Canon xliv. Sacras Virgines à parentibus ſeparatas, à quibus ſecurè ſervabantur, Epiſcopi, vel, illo abſente, Presbyteri providentiâ venerabilioribus fœminis cohabitationis gratia commendari, aut etiam juniores ſimul habitare: adeo ut ſimul viventes, ſeipſas invicem obſervent continuò ac cuſtodiant: neque huc illùcque devagando exiſtimationem ac honeſtatem Eccleſiæ lædant. Veruntamen apud nos jam exolevit promiſcua virorum fœminarúmque juvenum habitatio, quamvis adhuc in Eccleſiâ Latinâ ſervetur.

Poſthæc Canon cxxvi. Epiſcopo, & quidem ſoli, id muneris committit Virgines velare, haud tamen ante xxv. ætatis annum, niſi fortè urgeat neceſſitas. Abrogatum autem eſt iſthoc dicto Canone xl. Concilii ſexti: quo decernitur etiam decem annorum pueros puellâſque comam detonderi.

Anathemati autem ſubdit Concilii Gangrenſis Canon xv. mulieres illas, quæ propter pietatem, quam putant, comam tondent; quatenus ſubjectionis ſymbolum diſſolvant. Quemadmodum alicubi dicit Apoſtolus, Mulierem oportet poteſtatem habere ſuper caput, ſignum ſcilicet ſubjectionis ſuæ erga virum, ſeu crines. Et rurſus, Si mulieri turpe ſit tonderi vel radi, veletur. Et, Mulier, ſi comam alat, gloria ipſi eſt: Coma enim ei data eſt pro velamine. Imò natura adeò novit comam mulieribus peculiariùs competere, ut nunquam eis calvitium ferat. Nihilo tamen ſeciùs mulier quæ vitam monaſticam elegit, etiam nolente viro, tondebitur.

De Monachis ac Monialibus lapſis.

Canon Gangrenſis Concilii numero xix. Viros fœminâſque, qui Virginitatem profeſſi, quamvis ſtolâ Laicâ adhuc induti fuerint, nedum inter Incluſos relati, aut habitu monaſtico amicti, ſi votum ſuum irritum fecerint, & ad nuptias legitimas deflexerint: digamorum definitioni ſive pœnæ ſubjici decernit.

Magnus etiam Baſilius Canone ſexto, Canonicorum, ait, Fornicationes, nempe Clericorum & Monachorum & earum quæ ex fœmineo ſexu exercitationi ſe dedunt, pro matrimonio minimè reputari oportet. Non enim id apud nos obtinebit, quod in jure Civili habetur, Qui ad liberam ingreditur, quæ corporis ſui quæſtum non fecit, haud concubinam iſte, ſed uxorem habere videtur. Verum omnimodo potiùs dirimere ipſorum conjunctionem, etiamſi velint voluptate iſtâ frui, quoniam honori ſuo exciderunt. Hoc enim Eccleſiæ utile fuerit, dum cæteri nè talia audeant, hoc pacto inhibeantur: neque dabitur hæreticis adverſum nos anſa, quaſi per licentiam peccandi alterius ſectæ homines ad noſmet traheremus, permittendo quidem ipſos in delictis perſeverare, & illegitimas nuptias minimè prohibendo.

Inſuper in Canone xviii. Quamvis Patres, ait, Ancyrani Virgines poſt votum caſtitatis lapſas cum digamis juxtà puniendas decreverint; quia tamen Dei gratia jam crevit Eccleſia, haſce adulterarum pœnis ſubjici æquum; ibique variis argumentis hanc ſententiam ſuam confirmat. Eas autem intelligimus, qui cùm ſextum aut ſeptimum poſt ætatis annum decimum tranſegiſſent, matrimonio prorſus renunciantes ſponte ſuâ caſtitatem profeſſæ ſunt: non verò iſtas, quas parentes vel affines offerunt, ſeculare quidpiam exinde ſibimet procurantes, cùm ipſi fortè non habeant

A Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μδ'. τὰς ἱερὰς ἐπισκόπους παρθένους, τῶν πατέρων χωριζομένας, ὑφ' ὧν ἐν ἀσφαλείᾳ διετηροῦντο τῇ τοῦ ἐπισκόπου προνοίᾳ ἢ τοῦ πρεσβυτέρου, ἀποδήμου ὄντος ἐκείνου, ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι εἰς συνοίκησιν, ἢ πάσας τὰς νεωτέρας ὁμοῦ συνοικεῖν· ἵνα συζῶσαι διηνεκῶς ἔχειν, ἀλλήλας ὁρᾶν καὶ διατηρεῖν. καὶ μὴ τῇ δὲ κἀκεῖσε περιιοῦσαι τὴν ὑπόληψιν βλάπτοιεν, καὶ ἀκοσμίαν τῆς ἐκκλησίας. ἀλλ' ἡ τῶν νεωτέρων ἀνδρῶν τε καὶ γυναικῶν ἐφ' ἑνὶ συνοίκησις οἴκῳ παρ' ἡμῖν μὲν ἐν τῷ τέως ἐμέληται· παρὰ δὲ τοῖς Λατίνοις εἰσέτι φυλάττεται.

B Ὁ δὲ ρκϛ'. τῷ ἐπισκόπῳ, καὶ μόνῳ, τὰς κόρας μετασχηματίζειν ἀνατίθησι· πλὴν μὴ πρὸ τῶν κε'. ἐτῶν, εἰ μήπου δι' ἀνάγκην. τοῦτο δὲ ἀνῄρηται παρὰ τοῦ εἰρημένου μ'. κανόνος τῆς ϛ'. συνόδου, δεκαετεῖς διοριζομένου ἀποκείρεσθαι καὶ ἄρρενας καὶ θηλείας.

Ὁ δὲ ιε'. τῆς ἐν Γάγγρᾳ συνόδου, τὰς διὰ νομιζομένην θεοσέβειαν ἀποκειραμένας τῶν γυναικῶν, ὑποβάλλει τῷ ἀναθέματι, ἀνθ' ὧν παραλύουσι τὸ σύμβολον τῆς ὑποταγῆς. ὥς πού φησιν ὁ ἀπόστολος, ὅτι ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, τὸ σημεῖον δηλαδὴ τῆς πρὸς τὸν ἄνδρα ὑποταγῆς, ἤτοι τὰς τρίχας· καὶ αὖθις εἰ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι καὶ ξύρασθαι, καὶ καλυπτέσθω. καὶ γυνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. καὶ ἡ φύσις γὰρ οἰκεῖον εἰδυῖα τὴν κόμην ταῖς γυναιξὶν, οὐδὲ φαλάκρωμα ταύταις ἐργάζεται· ἡ μέντοι μοναδικὴν ἑλομένη πολιτείαν, καὶ ἄκοντος τοῦ ἀνδρὸς, ἀποκαρήσεται.

Περὶ μοναχῶν ἀρρένων καὶ θηλειῶν ἐκπιπτόντων.

D Ὁ δὲ ιθ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου, τοὺς παρθενίαν ἐπαγγειλαμένους ἄνδρας τε καὶ γυναῖκας, λαϊκὴν ἀμπεχόνην ἔτι περικειμένους, μὴ μέντοι ἀποταξαμένους καὶ μοναχικὸν ἐπανῃρημένους ἔνδυμα, τούτους τὴν ἀπαγγελίαν ἠθετηκότας, καὶ πρὸς γάμον ἐκκλίνοντας νόμιμον, τῷ τῶν διγάμων ὅρῳ καὶ ἐπιτιμίῳ ὑποβάλλεσθαι διορίζεται.

E Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ϛ'. κανόνι, τὰς τῶν κανονικῶν πορνείας, φησὶ, κληρικῶν δηλαδὴ καὶ μοναχῶν, καὶ τῶν ἀσκουμένων τοῦ θήλεος γένους, εἰς γάμον οὐ χρὴ καταλογίζεσθαι. οὐ γὰρ κατὰ τὸν λέγοντα πολιτικὸν καὶ ἐφ' ἡμῖν ἔσται νόμον, ὅτι ὁ πρὸς ἐλευθέραν εἰσελθὼν, μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ. ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν, εἰ καὶ αἱροῦνται τῆς ἡδονῆς ἀπολαύειν, ἐπειδή γε τῆς τιμῆς ἐκπεπτώκασι. τοῦτο γὰρ καὶ τῇ ἐκκλησίᾳ λυσιτελὲς, ἀνακοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾶν· καὶ τοῖς αἱρετικοῖς καθ' ἡμῶν οὐ δώσει λαβὴν, ὡς διὰ τοῦ ἁμαρτάνειν ἄδειαν, ἐπισπωμένων πρὸς ἑαυτοὺς, τοὺς ἐξ ἑτέρας θρησκείας, ἐφιέντων αὐτοῖς ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ τοὺς ἀθέσμους γάμους μὴ κωλυόντων.

F Ἐν δὲ τῷ ιη'. εἰ καὶ οἱ ἐν Ἀγκύρᾳ πατέρες, φησὶ, τὰς ἐκπεπτωκυίας μετὰ τὸ ἐπαγγείλασθαι παρθενεύειν, κατὰ τοὺς διγάμους ἐπιτιμᾶσθαι κεκρίκασιν· ἀλλ' ἐπεὶ τοι γε τὰ τῆς ἐκκλησίας Χριστοῦ χάριτι ἐπιδέδωκεν, οἷα μοιχαλίδας δίκαιον ταύτας κολάζεσθαι, ἐκ διαφόρων ἐπιχειρημάτων τὸν οἰκεῖον κατασκευάζων λόγον. ἐκείνας δὲ φαμὲν, αἳ τὸν ιϛ'. ἢ ιζ'. χρόνον ἀμείβουσαι, τὴν ἀγαμίαν ἑκουσίως ὡμολογήκασι, πολλὰ χαίρειν εἰποῦσαι τῷ γάμῳ· οὐ μὴν ἃς προσάγουσιν οἱ γονεῖς, ἢ καὶ οἱ ἄλλως προσήκοντες, βιωτικόν τι ἐντεῦθεν σφίσιν αὐτοῖς διοικούμενοι, μὴ εὐποροῦντες τυχὸν τὴν ὑπὲρ αὐτῶν ἀποτίσαι προῖκα. ταύτας δὴ τὰς μὴ ὁρμηθείσας οἴκοθεν, οὐ δεῖ ῥᾳδίως προσδέχεσθαι, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην. ἀλλ' ἐπὶ τῶν μοναζουσῶν καὶ ἀσκουμένων, τοῦτο οὐκ εἴωθε γίνεσθαι· κἂν γὰρ ἐν ἥττονι τῆς ὁρισθείσης τῷ ἁγίῳ καὶ ἁπαλῇ πάνυ τῇ ἡλικίᾳ, τὴν κοσμικὴν ἀπώθωνται τρίχα· βεβαία ἔσται καὶ εἰς τὸ ἑξῆς αὐτῶν ἡ ὁμολογία.

Ἐν δὲ τῷ ιθ'. ἀνδρῶν δέ φησιν ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατερίθμησαν, οἵτινες κατὰ τὸ σιωπώμενον, δοκοῦσι τὴν ἀγαμίαν παραδέχεσθαι. ἀλλὰ καὶ τούτους ἐρωτᾶσθαι προσήκει, καὶ φανερῶς τὴν ἀγαμίαν ὁμολογεῖν, ἵνα ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύοντες ἐπιτιμηθῶσιν. ἀλλά γε καὶ οἱ μὴ ποιήσαντες μοναχοὶ τοιαύτην ὁμολογίαν, ῥασενδύται μόνον γεγονότες μεταμφιάσασθαι, καὶ εἰς γάμον ἐλθεῖν οὐ δύνανται.

Ἐν δὲ τῷ ξ'. τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ἀθετήσασαν τὴν ἐπαγγελίαν, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐκπληροῦν ἀξιοῖ, ἔτη δηλαδὴ ιε'. τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναζόντων, φησί, γινέσθω.

Ἀλλὰ καὶ ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ πρὸς Θεόδωρον β'. ἐπιστολῇ, τὸν γὰρ τῷ ἐπουρανίῳ, φησί, συναφθέντα νυμφίῳ, τοῦτον μὲν ἀφεῖναι· γυναικὶ δὲ ἑαυτὸν συνάψαι, μοιχείας ἐστὶ πρᾶγμα, κἂν μυριάκις αὐτὸν σὺ γάμον καλεῖς· μᾶλλον δὲ καὶ μοιχείας τοῦτο χαλεπότερον ὅσῳ κρείττων ἀνθρώπων ὁ θεός· εἰ γὰρ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· πολλῷ μᾶλλον οἱ ἐν Χριστῷ ζῶντες, οὐκ ἂν εἶεν αὐτοὶ τοῦ σώματος αὐτῶν κύριοι.

Ὁ δὲ μδ'. τῆς ϛ'. συνόδου, τὸν ἁλόντα πορνείᾳ μοναχὸν καὶ μεταμελείᾳ μετὰ τοῦτο χρησάμενον καὶ ἐξομολογήσει, φιλανθρωπότερόν τι ποιῶν, μηδὲν πλέον τῶν πορνευόντων ἐπιτιμᾶσθαι κελεύει. οἶμαι τοίνυν τουτονὶ τὸν κανόνα δεόντως κρατεῖν, οἷα τῶν ἄλλων μεταγενέστερον. ζήτει καὶ τὸ ια'. κεφάλαιον τοῦ Γ. στοιχείου, καὶ ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Δ. στοιχείου κανόνα δ'. τῆς δ'. συνόδου, καὶ ἐν τῷ ιβ'. κεφ. τοῦ Ε. στοιχείου κανόνα ιζ'. τῆς ζ. συνόδου.

Νόμοι.

Ἐκποίησις μοναστηρίου μὴ γινέσθω, ἐφ' ᾧ τὸ ἱερατικὸν σχῆμα εἰς ἰδιωτικὴν μετασχηματιζέσθω διαγωγήν, ἐπεὶ ἄδειαν ἔχουσιν οἱ ἐπίσκοποι ἐκδικεῖν καὶ εἰς τὸ πρότερον ἐπανάγειν σχῆμα.

Ἀπὸ δὲ τῆς ρλα'. Ἰουστινιανείου νεαρᾶς, γνοίης ἄν, ὅτι τὰ γινόμενα παρὰ τῶν κτητόρων ἐν τοῖς μοναστηρίοις τυπικά, στέργειν ὀφείλουσιν, εἰ μήπου τοῖς κανόσιν ἐναντιοῦνται. οὐ γὰρ ἔξεστιν αὐτοῖς ἀπείργειν τοὺς ἐγχωρίους ἐπισκόπους τῶν κανονικῶν δικαίων, ἐν τοῖς παρ' αὐτῶν κτιζομένοις μοναστηρίοις. οὐδὲ οἱ ἀνεγείροντες ἀρχιερεῖς μοναστήρια, ἐπισκήπτειν μετ' ἐπιτιμίου δύνανται τοῖς μετ' αὐτοὺς ἀρχιερεῦσι, μηδ' ὁποιονοῦν εἰς ταῦτα δίκαιον ἔχειν· στρέφεται γὰρ ὁ παράλογος ἀφορισμὸς εἰς τὰς ἐκείνων κεφαλάς.

Ὁ ἐπίσκοπος τὸν ἀββᾶν ἢ τὸν ἀρχιμανδρίτην ἑκάστου μοναστηρίου μὴ πάντως κατὰ τὸν βαθμὸν προβαλλέσθω. ἀλλ' ὃν οἱ μοναχοὶ πάντες, ἢ οἱ εὐϋπόληπτοι ἐπιλέξονται, ἐπὶ τῶν εὐαγγελίων λέγοντες, ὡς οὐ διὰ φιλίαν ἢ χάριν αὐτὸν ἐπελέξαντο· ἀλλὰ γινώσκοντες αὐτὸν ὀρθόδοξον, καὶ σώφρονα, καὶ τῆς διοικήσεως ἄξιον, καὶ δυνάμενον φυλάξαι τὴν ἐπιστήμην τῶν μοναχῶν, καὶ τὴν τοῦ μοναστηρίου κατάστασιν. τὰ αὐτὰ καὶ περὶ τῶν γυναικείων μοναστηρίων καὶ ἀσκητηρίων.

A unde pro iis elocandis dotem perſolvant. Haſce igitur, quæ motu proprio non feruntur, facilè admittere haud decet, donec apertè propriam ipſarum ſententiam perſcrutati fuerimus. De Monialibus tamen & Virginibus, quæ Aſceticam vitam profitentur, id non obtinet: quamvis enim in minori adhuc quam ſanctus ille vir definivit, & admodum tenellâ ætate crinem ſecularem depoſuerint; in poſterum uſque firma erit ipſarum profeſſio.

Canone autem xix. Virorum, inquit, profeſſionem non novimus, niſi quatenus Monachorum ordini ſemet B annumerarunt, qui quidem tacitè videntur cœlibatum ſuſcipere: ſed tamen & hoſce interrogari oportet, & apertè cœlibatum profiteri, ut, ſi quando profeſſionem fallant, tanquã fornicationis puniantur. Imò verò Monachi, qui, raſis adhuc induti, talem profeſſionem nondum fecerint, neque mutare habitum poſſunt, neque ad nuptias abire.

In lx. verò, Eam, quæ virginitatem profeſſa eſt, & à promiſſione lapſa, adulterii peccati tempus adimplere æquum eſſe cenſet, annos ſcil. xv. Idem etiam in iis, qui Monaſticam vitam profeſſi ſunt, inquit, fiat.

C Porrò & ſanctus Chryſoſtomus in ii. ad Theodorum Epiſtolâ, Cœleſti ſponſo, inquit, junctum, illum quidem relinquere; mulieri enim ſeſe conjungere adulterium eſt, licet millies matrimonium tu ipſe hoc voces. Illud quidem eſt adulterio tantò gravius, quanto hominibus melior eſt Deus. Si enim mulier proprii corporis non habet poteſtatem, ſed vir; multò magis ipſi, qui in Chriſto vivunt, non ſunt proprii corporis domini.

Sextæ Syn. xliv. Monachum fornicationis convictum, & pœnitentiâ poſteà & confeſſione uſum, clementiùs D aliquid agens, non magis fornicantibus puniri jubet. Atque hunc quidem Canonem, quippe poſt alios editum, ex omnibus arbitror retinendum. Quære & xi. caput lit. Γ. & in xii. capite literæ Δ. Canonem iv. Synodi quartæ, & in xii. capite literæ E. Can. xviii. Synodi vii.

Leges.

Monaſteria non ita alienentur, ut ſacrata forma in privatum ſtatum transformetur, alioquin poteſtatem habent Epiſcopi vindicandi & in priſtinam forE mam reducendi.

Ex cxxxi. Juſtiniani Novellâ diſcas quidem, quòd regulas quæ à Fundatoribus in Monaſteriis fiunt, piè ſuſcipere debent, niſi Canonibus contrariantur: illis enim non licet locorum Epiſcopos Canonico jure privare in Monaſteriis, quæ ab iis ædificantur. Neque Antiſtites Monaſteria ædificantes ſuccedentes Antiſtites ſub pœna obligare poſſunt, neque ullum circa res ejuſmodi jus habere; convertitur enim iniqua ſegregatio in illorum capita.

F Epiſcopus Abbatem vel Archimandritam uniuſcujuſque Monaſterii non omnino ſecundum gradus promoveat; ſed quem vel omnes Monachi, vel qui melioris exiſtimationis elegerint, ſuper Evangelio dicentes, quod non per amicitiam vel gratiam illum elegerunt; ſed quòd norunt illum eſſe fidei rectæ, & vitæ caſtæ, & adminiſtratione dignum, & qui Monachorum diſciplinam & Monaſterii ſtatum cuſtodire poſſit. Eadem etiam de omnem mulierum Monaſteriis & Aſceteriis.

A

Cxxiii. verò, In omnibus, inquit, Monaſteriis, quæ cœnobia vocantur, juxta regulas Monaſticas jubemus, ut in unâ domo omnes habitent, & communiter comedant, & in unâ domo omnes ſeparatim dormiant, ut viciſſim ſibiipſis caſtæ vitæ teſtimonium exhibeant. Hæc etiam omnia & de mulierum Monaſteriis obſerventur.

B

Secundum caput ejus, Non ingredietur, inquit, omnino, neque mulier in virorum Monaſterium, neque vir in mulierum, vel prætextu memoriæ alicujus mortui, qui illic poſitus eſt, vel aliam ob cauſam: neque ſiquis fratrem fortè, vel ſororem, vel aliquem ex ſuo genere in Monaſterio ſe habere dixerit: non eſt enim in terris cognatio Monachis, utpote qui cœleſtem vitam æmulati ſunt. Et neque viri in mulierum Monaſteriorum ſepulchris reponantur, neque mulieres in virorum Monaſteriis inhumentur: ne ex eo naturæ ad ſeipſam detur regreſſus, ut quæ non fas eſt agat, & delicatè ſe gerat, & ludat, & res divinas injuria afficiat.

C

Siqua mulier autem in mulierum Monaſterium ſepelienda ſit (virum enim non fas eſſe judicamus) illos ſolùm qui lectum ferunt, & qui fodiunt, ad illud accedere, & mulieres quidem Monachas in proprio manere habitaculo; ſolam autem oſtiariam & Abbatiſſam rectricem, ſi velit, intereſſe iis quæ fiunt: & illos, cùm primùm exequias quàm celerrimè perfecerint, ſtatim recedere, nec ullis à ſe viſis Monialium, neque iis ab earum ullis conſpectis. Tertio verò & nono die convenientes, prout in mortuorum exequiis mos obtinuit, porrò & poſt quadraginta dies, memorias eorum ad ſtatutum tempus celebrant. Si mulierum ſit Monaſterium, omnia facere mulieres, ſin autem virorum, viri.

D

Non plurimos eſſe in Monaſterium aditus, ſed unum aut alterum forſan, & adſtare januæ viros ſenes & caſtos, qui quidem neque Monachos abſque Præfecti voluntate egredi permittant; neque impunè ſit extra Monaſterium pernoctare & permanere.

Qui Monachus eſſe velit, ſi quidem de eo conſtet, quod nulli conditioni ſubjectus ſit, illum quando examinaverit Præfectus, Monaſticum habitum induat: ſin autem non conſtet, per triennium probetur, & ſi dignus cenſeatur, tondeatur, nihil grave pati ſuſpectus, ſi poſt hæc negotium aliquod inciderit. Quære legem in xii. capite literæ Δ.

E

Epiſcopi providentiâ, neque Monachi neque Monachæ per civitates oberrent, ſed per Apocriſiarios reſponſiones ſuas dent, in Monaſteriis ſuis permanentes. Quære etiam in vii. capite literæ K.

Si quis Monachus Monaſterium reliquerit, & in ſecularem vitam tranſierit, iſte militiâ & honore (ſi quem habuerit) ſpoliatus primò à loci Epiſcopo & Præfecto, deinde cum iis quas poſſidet rebus, in Monaſterio vel invitus includatur.

F

Qui Monaſticam ſuſceperunt vitam, neque Curatores fiant, neque Tutores, neque aliorum cauſas agant, non ſi cognati ſint, qui litem habent, niſi pro ſuo ſolo Monaſterio, & tunc quoque Præfecti conſenſu.

Si Monachus proprium Monaſterium reliquerit, & in aliud tranſierit, quaſcunque res per id tempus, quo Monaſterium reliquerit, habere videbitur, ad Monaſterium, in quod ab initio ingreſſus eſt, eas pertinere jubemus.

Ο δὲ ρκγʹ. ἐν ἅπασι δὲ τοῖς μοναστηρίοις, φησὶν, ἅπερ καλοῦνται κοινόβια, κελεύομεν κατὰ τοὺς μοναχικοὺς κανόνας, ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαι καὶ ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν. ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν ἑαυτούς. ταῦτα δὲ πάντα καὶ περὶ τὰ τῶν γυναικῶν φυλάττεσθαι μοναστήρια.

Τὸ δὲ βʹ. ταύτης κεφάλαιον, οὐκ εἰσελεύσεταί φησιν, οὔτε γυνὴ παντάπασιν εἰς ἀνδρῶν μοναστήριον, οὔτε ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει μνήμης τινὸς τελευτήσαντος, κἀνταῦθα κειμένου· ἢ διά τινα ἑτέραν αἰτίαν· οὐ δὲ εἴ τις ἀδελφὸν τυχὸν, ἢ ἀδελφὴν, ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε. συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἔστι, τοῖς γε τὸν ἐν οὐρανοῖς ζηλώσασι βίον. καὶ μήτε ἄνδρες ἐν γυναικείῳ μοναστηρίῳ τάφοις κατατιθέσθωσαν, μήτε γυναῖκες ἐν ἀνδρῴοις μοναστηρίοις κατορυττέσθωσαν, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν, ἃ μὴ θέμις δρᾷν, τρυφᾷν τε καὶ παίζειν, καὶ τὰ θεῖα πράγματα καταισχύνειν.

Ἀλλ᾽ εἰ καὶ γυνή τις ἐν γυναικείῳ θάπτεσθαι μέλλοι μοναστηρίῳ· ἄνδρα γὰρ οὐκ ἐναγὲς εἶναι κρίνομεν· τοὺς τὴν κλίνην φέροντας μόνους, καὶ τοὺς ὀρύξοντας εἰσφοιτᾷν ἐπ᾽ αὐτό, καὶ τὰς μὲν μοναχὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ· μόνην δὲ τὴν θυρωρὸν καὶ τὴν ἡγουμένην, εἴ γε βουληθείη, παρεῖναι τοῖς γινομένοις. καὶ θᾶττον ἐκείνους τελέσαντας τὰ περὶ τὴν ὁσίαν, εὐθὺς ἀπιέναι, μήτε θεασαμένους τινὰς τῶν μοναζουσῶν, μήτε ὑπ᾽ αὐτῶν θεαθέντας. τρίτα δὲ ποιοῦντας καὶ ἔννατα, ὥς γε δὴ νόμος ἐντεθνεῶσιν ἐστὶ, καὶ ἀκολούθως τεσσαρακοστὰ, καὶ λοιπὰ κατὰ τοὺς τεταγμένους καιροὺς μνημόσυνα. εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν, εἰ δὲ ἀνδρῷον, ἄνδρας.

Μὴ πολλὰς δὲ εἶναι τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχὸν, ἐφεστάναι τε τῇ πύλῃ ἄνδρας γεγηρακότας καὶ σώφρονας· οἵπερ οὔτε τοῖς μοναχοῖς συγχωρήσουσιν ἐκφοιτᾷν τοῦ μοναστηρίου χωρὶς γνώμης τοῦ ἡγουμένου· οὔτε τοῖς ἔξωθεν ἀδεῶς γίνεσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν.

Ο εἰς τὸν μοναχικόν τε ἐρχόμενος βίον, εἰ μὲν γνώριμος εἴη, ὅτι οὐδεμιᾷ ὑπόκειται τύχῃ, τοῦτον ὁπόταν δοκιμάσῃ ὁ ἡγούμενος, τὸ μοναχικὸν σχῆμα περιβαλλέτω. εἰ δὲ ἄγνωστος, εἰς τριετίαν δοκιμαζέτω, καὶ εἰ ἄξιος κριθείη, ἀποκειρέτω μηδὲν δεινὸν παθεῖν ὑφορώμενος, εἰ ὄχλησις μετὰ ταῦτα συμβαίη. ζήτει νόμον καὶ ἐν τῷ ιβʹ. κεφ. τοῦ Δ. στοιχείου.

Προνοίᾳ τοῦ ἐπισκόπου, μήτε μοναχοὶ, μήτε μονάστριαι κατὰ τὰς πόλεις περιερχέσθωσαν, ἀλλὰ διὰ τῶν ἀποκρισιαρίων τὰς ἀποκρίσεις αὐτῶν ποιείτωσαν, ἐν τοῖς μοναστηρίοις μένοντες. ζήτει καὶ ἐν τῷ ζʹ. κεφ. τοῦ Κ. στοιχείου.

Εἴ τις τῶν μοναχῶν τὸ μοναστήριον καταλιπὼν, εἰς κοσμικὸν μετέλθοι βίον, οὗτος τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τινα ἐκτήσατο, γυμνωθεὶς πρῶτον παρὰ τοῦ ἐγχωρίου ἐπισκόπου καὶ τοῦ ἄρχοντος, αὖθις μεθ᾽ ὧν ἐκέκτητο πραγμάτων ἐν τῷ μοναστηρίῳ, καὶ ἄκων ἐμβαλλέσθω.

Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι, οὔτε κουρατορεύουσιν, οὔτε ἐπιτροπεύουσιν, οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ᾽ ἂν συγγενεῖς ὦσιν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας καὶ μόνης μονῆς καὶ τότε συναινέσει τοῦ ἡγουμένου.

Εὰν μοναχὸς καταλίπῃ τὸ ἴδιον μοναστήριον, καὶ εἰς ἕτερον ἔλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ, καθ᾽ ὃν τὸ μοναστήριον καταλέλοιπεν, ἔχειν φαίνειν, τῷ πρώτῳ μοναστηρίῳ εἰς ὃ εἰσέλθῃ, ταῦτα διαφέρειν κελεύομεν.

A Απαγορεύομεν τοῖς γονεῦσι τοὺς παῖδας μοναχικὸν ἐπιλεγομένους βίον, ἐκ τῶν εὐαγῶν ἀφέλκειν μοναστηρίων· ἢ τῆς ἰδίας αὐτοὺς ἀποκλείειν κληρονομίας· εἰ καὶ αἰτία τις πρὸ τοῦ μοναχικοῦ παρηκολούθησε βίου.

Ο μέλλων εἰσιέναι εἰς μοναστήριον, διατιθέτω τὰ κατ' αὐτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ· ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ τὰ αὐτοῦ πάντα· εἰ καὶ μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτά, καὶ ἔτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν.

B Ο ἐπὶ παισὶ μονάσας, δύναται καὶ μετὰ τὸ μονάσαι, διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισί, φυλάττων ἑαυτῷ μέρος ἕν, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει.

Εὰν ἀδιάθετος ὁ μονάσας τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὴν ἐξ ἀδιαθέτου κληρονομίαν, τουτέστι τὸ φαλκίδιον, καὶ τὰ λοιπὰ δίδοται τῷ μοναστηρίῳ.

C Η δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος, δεκαετῆ μὲν εἰσιέναι τὸ μοναστήριον τὸν παῖδα κελεύει, κατὰ τὸν ῥηθέντα τῆς ϛ'. συνόδου κανόνα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν, μὴ μέντοι διατίθεσθαι περὶ τῶν οἰκείων, μέχρις ἂν ὁ ιϛ'. ἢ ιζ'. ἐπιστῇ χρόνος· οἶμαι γάρ, φησι, διὰ τοῦτο καὶ τὸν μέγαν Βασίλειον τουτονὶ τὸν χρόνον ὁρίσαι, ἐν τῇ ἀσκητικῇ αὐτοῦ βίβλῳ, ὡς μηδὲν ἐμποδὼν οὔσης τηλικαύτης τῆς ἡλικίας, εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι.

Δεῖ δὲ διπλοῦν τὸ ἔργον τοῖς μοναχοῖς εἶναι, ἢ ταῖς θείαις ἐνσχολάζειν γραφαῖς, καὶ ταύτας ἀεὶ μελετᾷν· ἢ τὰ μοναχοῖς πρέποντα ἐργόχειρα μετιέναι· διάνοια γὰρ μάτην σχολάζουσα οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτέκοι.

D Λαϊκὸς καὶ μάλιστα σκηνικός, ἢ πόρνος, κεχρημένος ἢ μεμιμημένος τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα, σωματικῶς τιμωρεῖται, καὶ ἐξορίζεται πρὸς τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων· ὡσαύτως καὶ ὁ ἐμπαῖξαι βουληθεὶς οἱανδήτινα ἐκκλησιαστικὴν κατάστασιν. ζήτει καὶ ἐν τῷ λγ'. κεφ. τοῦ Ε. στοιχείου. ζήτει καὶ ἐν τῷ δεκάτῳ τρίτῳ κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. ιϛ'.

Περὶ τοῦ ἁγίου μύρου. E

Ζήτει ἐν τῷ θ'. κεφ. τοῦ παρόντος στοιχείου κανόνα ϛ'. τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἐν τῷ α'. κεφ. τοῦ Β. στοιχείου κανόνα ιη'. τῆς ἐν Λαοδικείᾳ συνόδου.

Interdicimus parentibus, ne filios ſuos vitam monaſticam eligentes à ſanctis monaſteriis abſtrahant, vel hæreditate ſuâ illos ſummoveant, licèt ante vitam monaſticam cauſa aliqua acceſſerat.

Qui Monaſterium ingreſſurus eſt, quæ ſua ſunt ante ingreſſum ejus teſtetur: quoniam omnes ejus facultates ad Monaſterium adjudicantur, ſi non expreſsè affirmet ſe illas introduxiſſe, nec ampliùs ullo modo erit illarum dominus.

Qui, cùm habeat liberos, Monachus fit, ei licet, vel poſtquam Monaſterium ingreſſus eſt, bona ſua inter filios ſuos dividere, unam partem ſibi retinens, quam etiam Monaſterio deſpondet.

Si Monachus inteſtatus moriatur, tum liberi ejus ex inteſtato hæreditatem accipient, hoc eſt, per Falcidiam legem, reliqua verò Monaſterio donantur.

Imperatoris Leonis Novella, ſecundùm dictum vi. Synodi Canonem, filium quidem decem annos natum in Monaſterium ingredi jubet, & monaſticum habitum induere; non autem de bonis ſuis teſtari, donec xvi. vel xvii. annos egerit. Arbitror enim, inquit, quod vel ob hanc rationem magnus Baſilius in ſuo Aſcetico libro hoc ipſum tempus ſtatuerit, quòd nihil vetat, quin hâc ætate de ſuis bonis poſſint deliberare.

Monachis duplex opus eſſe oportet, vel ſacris Scripturis occupari, & in iis ſemper meditari, vel quæ Monachos decent manuum operationes ſubire: nam cogitatio vanè otioſa nihil boni producit.

Laicus, & maximè Scenicus, vel Fornicator, utens vel imitans monaſticum & ſanctum habitum, corporaliter punitur, & ab Epiſcopis & Magiſtratibus relegatur; ut qui alicui Eccleſiaſticæ conſtitutioni illudere omninò meditatur. Quære & in xxxiii. cap. literæ E. Quære etiam in xiii. cap. literæ E.

CAPUT XVI.

De ſancto Unguento.

Quære in ix. capite hujus literæ Canonem ſextum Synodi Carthagin. & in i. capite literæ B. Can. xviii. Synodi Laodicenæ.

F

UMI

A

INITIUM LITERÆ N.

CAPUT I.

De Templorum ædificatione, & Conſecratione.

Quære xii. caput literæ E.

B

CAPUT II.

Quod non oportet intra Templi ambitus convivia fieri, vel cauponas eſſe, vel aliquid venum exponi, vel jumentum abſque neceſſitate introducere, vel aliquem cum muliere permanere.

Quære xv. caput literæ E.

C

CAPUT III.

De Infantibus expoſitis, vel de quibus dubitatur, an baptizati fuerint.

Quære xxix. caput literæ Γ. & in ſecundo capite literæ B.

D

CAPUT IV.

De Jejunio.

SANCTORUM Apoſtolorum lxix. Canon, Fideles Quadrageſimale tempus ante ſanctum Paſcha nihil quicquam ſtudii remittentes jejunio incumbere jubet & continentiæ, in memoriam quidem revocans dies illos, in quibus Dominus jejunio inſtructus quoad humanitatem, hoſtem noſtrum cepit: porro & in quovis quarto die & Paraſceve uniuſcujuſque cæterarum anni ſeptimanarum, ſimiliter jejunare & aridis veſci. Illis autem, qui in his omnibus jejunium non tolerant, Clericis quidem, depoſitionem; Laicis verò, ſegregationem infligit, Niſi quis, inquit, imbecillitate detentus, impediatur. Jejunium enim introductum fuit propter libidinoſæ carnis humiliationem: eam verò per morbum jam ſubjectam, non omninò neceſſe erit jejunio affligere. Eos autem qui malè ſe habent, ſed tamen piſcium eſum admittunt, iniquum eſt veniam non conſequi: carnibus verò ullatenus veſci nihil planè minus quàm impium; imò quamvis aliquis lethali morbo laborans illo victu ſemet convaliturum ſperaverit. In Sabbatis quidem & diebus Dominicis per Quadrageſimam paulò largiori cibo uti indultum fuit, juxta Can. Apoſtolicum lxvi. quem vide in cap. xxxvii. literæ K. Strictè autem loquendo ſanciebatur Quadraginta dierum jejunium ante ſacrum Paſcha, idque ſolum. Quippe ſi tum alia obtinuiſſent, neutiquam tacuiſſet Canon.

E

F

ΑΡΧΗ ΤΟΥ Ν. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ νεῶν οἰκοδομῆς, καὶ καθιερώσεως.

Ζήτει τὸ ιβ΄. κεφάλαιον τοῦ Ε. στοιχείου.

ΚΕΦ. β΄.

Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ νεὼ περιβόλων συμπόσια γίνεσθαι, ἢ καπηλεῖα εἶναι, ἢ τι κατ᾽ ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἢ τινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ ιε΄. κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. γ΄.

Περὶ νηπίων ἐκτεθειμένων ἢ ἀμφιβαλλομένων εἰ ἐβαπτίσθησαν.

Ζήτει τὸ κθ΄. κεφ. τοῦ Γ. στοιχείου. καὶ ἐν τῷ β΄. κεφ. τοῦ B. στοιχείου.

ΚΕΦ. δ΄.

Περὶ νηστείας.

Ὁ ξθ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν πρὸ τοῦ ἁγίου πάσχα τεσσαρακονθήμερον χρόνον μηδὲν σπουδῆς τοὺς πιστοὺς ἀνιέντας, νηστείᾳ θεσπίζει προσανέχειν καὶ ἐγκρατείᾳ, εἰς μνήμην ἄγων τῶν ἡμερῶν δήπου ἐκείνων, ἐν αἷς ὁ κύριος νηστείᾳ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἷλε πολέμιον· οὐ μὴν ἀλλὰ καὶ πᾶσαν τετράδα καὶ παρασκευὴν ἑκάστης τῶν ἄλλων τοῦ ἐνιαυτοῦ ἑβδομάδων, ἐξίσης ἐκείναις ἐν νηστείᾳ διάγειν καὶ ξηροφαγίᾳ. τοῖς γε μὴν οὐκ ἀνεχομένοις ἐν ταύταις ἁπάσαις νηστεύειν, κληρικοῖς μὲν, καθαίρεσιν· λαϊκοῖς δὲ ἀφορισμὸν ἐπισείει, εἰ μήπου τις, φησὶν, ἀσθενείᾳ κάτοχος ὢν, εἴργεται. ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σφριγώσης σαρκός· ταύτης δὲ νόσῳ κατασταλείσης, οὐ πάνυ τι ἀναγκαῖον, τὸ, νηστείᾳ ταύτην δαμάζειν. τοὺς γοῦν ἀσθενῶς ἔχοντας, καὶ τὴν τῶν ἰχθύων ἐδωδὴν προσιεμένους, ἄγνωμον μὴ συγγνώμης τυγχάνειν· κρεῶν δὲ ὅλως ἅψασθαι, οὐδὲν διενήνοχε δυσσεβείας, εἰ καὶ τὰ λοίσθιά τις πνέων, τῇ μεταλήψει τούτων ἀναῤῥωσθῆναι δοκεῖ. ἐν μέντοι τοῖς σάββασι, καὶ ταῖς κυριακαῖς τῆς τεσσαρακονθημέρου, ἀφθονωτέρᾳ κεχρῆσθαι τροφῇ συγκεχώρηται, κατὰ τὸν ξς΄. ἀποστολικὸν κανόνα, ὃν καὶ ζήτει ἐν τῷ λζ΄. κεφαλαίῳ τοῦ K. στοιχείου. κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται. εἰ γὰρ ἦσαν καὶ ἕτεραι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανών·

πλὴν καὶ κατὰ τὰς ἄλλας νηστίμους, τῶν ἁγίων ἀποστόλων φημὶ τῆς κοιμήσεως τῆς ἁγίας θεοτόκου, καὶ τῆς χριστοῦ γεννήσεως, οὐδεὶς δὲ φρονῶν οἶμαι νηστεύουσιν ἐγκαλέσειεν.

Ζήτει καὶ ἐν τῷ λζ΄. κεφ. τοῦ Κ. στοιχείου τὸν ιε΄. κανόνα τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας.

Ὁ δέκατος Τιμοθέου ἀλεξανδρείας, ἐν ταῖς πρὸ τοῦ πάσχα νηστίμοις ἡμέραις, καὶ οἴνου μεταλαμβάνειν, καὶ ἐλαίου δικαιοῖ τὸν ὑπὸ νόσου ἐκτετηκότα, καὶ μὴ παραπλησίως τοῖς ἄλλοις, τῆς νενομισμένης ἔχεσθαι ξηροφαγίας· ἀλλ' ὡς ὑπομεῖναι δεδύνηται, ἢ ἑκάστης καταλύειν ἢ παρ' ἡμέραν, κατὰ τὴν ἐπίκρισιν ᾧ προσανέθετο τὴν οἰκονομίαν τῶν οἰκείων λογισμῶν.

Ζήτει καὶ τὸ κε΄. κεφάλαιον τοῦ Γ. στοιχείου.

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ συνόδου ιη΄. κανὼν, εἴ τις τῶν ἀσκουμένων φησὶ, χωρὶς ἀνάγκης σωματικῆς, ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας, παραλύει, ὑποικουροῦντος αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω. καὶ ὁ μὲν μ΄. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, νήστεις εἶναι κελεύει τοὺς τελοῦντας τὰ τοῦ θυσιαστηρίου ἅγια διακόνους καὶ ἱερέας, μιᾶς ἐξῃρημένης ἐτησίως ἡμέρας, καθ' ἣν τὸ κυριακὸν ἐπιτελεῖται δεῖπνον, μεγάλης δηλαδὴ πέμπτης· μετὰ γὰρ τὴν σωματικὴν τὰ τῆς πνευματικῆς ὡς ἔοικε τροφῆς ἐπετέλουν· ἀλλὰ καὶ δείλης ὀψίας τινὸς οὖν τελευτήσαντος, εἰ μὲν εἶεν οἱ τὰ ἅγια συντελοῦντες νήστεις φησὶ, μόναις εὐχαῖς ἐκτελείσθωσαν ταῦτα· τοῦτο δὲ τανῦν ἔχον παρὰ τοσοῦτον οὐ κρατεῖται, παρ' ὃν καὶ ἡμῖν, ὅτι καὶ λέγειν ἠγνόηται. ἀλλὰ δύο κανόνες δίκην ὡς εἰπεῖν τούτῳ λαχόντες, καλῶς ἄγαν ἐπιτετιμήκασιν.

Ὁ μὲν γὰρ ν΄. τῆς ἐν Λαοδικείᾳ συνόδου, μὴ δεῖν φησὶ, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, πολυτελεστέροις δηλαδὴ βρώμασι κεχρημένους, καὶ ὅλην ἐντεῦθεν τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ πᾶσαν ἐν νηστείᾳ διϊέναι καὶ ξηροφαγίᾳ, ἐκτὸς δηλαδὴ τῶν ἐν ταύτῃ σαββάτων καὶ κυριακῶν.

Ὁ δὲ κθ΄. τῆς ϛ΄. συνόδου, ταῦτά τε ὡς ἔχει λέξεως διεισι· καὶ προσεπάγει, ὡς οἱ θεῖοι πατέρες δι' αἰτίας ἴσως λυσιτελεῖς τῷ τότε καιρῷ τῇ οἰκονομίᾳ ταύτῃ ἐχρήσαντο. ἡμῖν δὲ οὐκ ἀναγκαῖον τὰς ἀποστολικὰς, καὶ πατρικὰς ἀθετεῖν παραδόσεις, τὸν ῥηθέντα αἰνιττόμενος ξθ΄. ἀποστολικὸν κανόνα, καὶ τὸν τῆς ἐν Λαοδικείᾳ συνόδου τουτονί.

ΚΕΦ. ε΄.

Ὅτι οὐ δεῖ νηστεύειν ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς.

Ζήτει τὸ λζ΄. κεφ. τοῦ Κ. στοιχείου.

ΚΕΦ. ϛ΄.

Ὅτι τοὺς νηστεύοντας οὐχ ὡς βδελυκτῶν τῶν βρωμάτων ἀπέχεσθαι δεῖ.

Ζήτει τὸ θ΄. κεφ. τοῦ Β. στοιχείου. καὶ ἐν τῷ λβ΄. κεφαλαίῳ τοῦ Ε. στοιχείου τὸν κγ΄. κανόνα τοῦ μεγάλου Βασιλείου.

A Veruntamen eos qui in aliis jejunandi temporibus, putâ Vigiliis Sanct. Apoſt. Sepulturæ B. Dei-paræ, & Nativitatis Chriſti abſtinent, prudens nemo, quod reor, redarguet.

Quære etiam in xxxvii. cap. literæ K. Canonem xv. S. Petri Epiſcopi Alexandriæ.

Decimus Timothei Alexandrini Canon in diebus jejunii ante Paſcha morbo laboranti vini atque olei uſum indulget, neque hoſce ſicut alios ad zerophagiam id eſt cibum aridum tenuémque obligat: ſed B potius, ut tolerare queant, vel cujuſque diei jejunium ſolvere, vel alterni cujuſque juxta diſcretionem ejus, cui conſiliorum ſuorum regimen commiſit.

Vide & xxv. cap. literæ Γ.

Canon autem xviii. Concilii Gangrenſis hæc habet: Siquis eorum qui pietatis exercitationi ſtudent, abſque corporis exigentiâ inſoleſcat, & jejunia in commune tradita & ab Eccleſiâ obſervata diſſolvat, idque maturo conſilio interveniente fecerit, anathema eſto. Inſuper Canon xl. Synodi Carthaginenſis, Diaconos & C Sacerdotes Sacramenta altaris jejunos celebrare præcipit, excepto uno anni die, quo Cœna Dominica celebratur, nimirum magnâ feriâ quartâ. Nam poſt cibum corporalem quæ ad ſpiritualem pertinent, ut videtur, miniſtrabant. Imò quando quis tempore poſt. meridiano è vivis diſcedit, niſi hi qui miniſtrant impranſi fuerint, ſacra, inquit, orationibus ſolis faciant. Hoc autem hodiè eam ob cauſam non obtinet, quòd quid ſibi velit ignoramus. Verùm duo Canones & propè dixerim meritò jejunii intermiſſionem taxarunt.

D Nam Concilii Laodiceni Canon l. Non oportet, inquit, in ultimâ Quadrageſimæ ſeptimanâ feriæ quartæ jejunium ſolvere, utendo ſcilicet cibis delicatioribus, adeóque totam Quadrageſimam dehoneſtare, ſed potius tempus Quadrageſimale in jejunio victûque arido integrum tranſigere, Sabbatis tamen & Dominicis diebus exceptis.

Canon verò undetrigeſimus Concilii ſexti eadem uſque recenſet, & ſuperaddit, quemadmodum ſancti Patres graves ob cauſas eo temporis diſpenſatione iſtâ uſi ſunt: nos tamen haudquaquam E oportet Apoſtolorum & Patrum traditiones abrogare: innuit verò dictum Apoſtolicum Canonem lxix. & hunc ipſum l. Concilii Laodiceni.

CAPUT V.

Quod non deceat in Sabbatis aut Dominicis jejunare.

Quære cap. xxxvii. literæ K. F

CAPUT VI.

Quòd jejunantes à cibis abſtinere debent, haud tamen quaſi in ſe execrabilibus.

Vide ix. cap. literæ B. & etiam in xxxii. cap. literæ E. Canonem magni Baſilii.

CAPUT VII.

De Jure.

LEx eſt commune præceptum: virorum prudentium placitum; delictorum cum voluntariorum tum involuntariorum correctio, civitatis commune pactum: eſt & Divinum Inventum. Virtus legis eſt jubere, prohibere, permittere, punire.

B Leges non de ſingularibus feruntur, ſed communiter.

Juriſprudentia à Juſtitiâ nomen habet; eſt enim ars boni & æqui.

De iis, quæ frequentiùs obtingunt, non quæ perrarò, leges inferri oportet: minimè de iis rebus, quibus uno tantùm in caſu accidere datur. Nam Legiſlatores haud attendunt ſemel & bis.

C Leges primigeniæ in ſequiores deducuntur; Conſtitutiones vero recentiores majorem vim obtinent priùs latis.

De quibus lex nulla conſcripta eſt, longa conſuetudo per complures annos comprobata, vicem legis ſubit, ejuſque vim obtinet.

Perperam judicata aut expreſſa neque lex, neque tempus, neque conſuetudo rata facit.

ΚΕΦ. ζ'.

Περὶ νόμου.

ΝΟΜΟΣ ἐστὶ, κοινὸν παράγγελμα· φρονίμων ἀνδρῶν δόγμα· ἑκουσίων, καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιστροφὴ, ἤτοι σωφρονισμός· πόλεως συνθήκη κοινή. ἐστὶ δὲ καὶ θεῖον εὕρημα. ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι.

Οὐ περὶ τοῦ καθέκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται.

Ο Νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται, ἔστι δὲ τέχνη τοῦ καλοῦ καὶ ἴσου.

Τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπιτοπλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως, εἰσάγεσθαι δεῖ· οὐ δὲ ἀπὸ τῶν δυναμένων ἐν ἑνὶ συμβῆναι θέματι. παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς.

Οἱ προγενέστεροι νόμοι εἰς τοὺς μεταγενεστέρους ἕλκονται· αἱ δὲ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσίν.

Εν οἷς οὐκ ἔστιν ἄγραφος νόμος ἡ μακρὰ συνήθεια ἐπὶ πολλοὺς ἐνιαυτοὺς δοκιμασθεῖσα, ἀντὶ νόμου κρατεῖ, τάξιν ἔχουσα νόμου.

Τὰ κακῶς κριθέντα καὶ τυπωθέντα, οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια βεβαιοῖ.

D

CAPUT VIII.

De Poſſeſſione.

Jus Civile.

DEcem vel etiam viginti annorum præſcriptio ei, qui mala fide poſſederit, haud prodeſt: imo nec tricennalis, niſi quietè poſſederit, nullámque in foro litem ſuſtinuerit. Vide etiam in capite ix. literæ Δ.

E Omne ſervitium & uſusfructus eis, qui non uſurpant, propter ipſum temporis decurſum, præſentibus quidem decennali, abſentibus præſcriptione vicennali amittitur.

Qui ſervitium jure obtinet pecora in agro alieno adaquandi ac paſcendi, ſervitium etiam uſurpare poteſt inibi tugurium excitandi.

F Qui ex alieno agro, ſciente domino, aquam traxerit, ſervitium ſibi in agro illo vendicat uſucapione triennali, domino interim non prohibente.

Bona mobilia ſiquis per triennium abſque querelâ poſſederit, ipſi cedunt occupanti.

ΚΕΦ. η'.

Περὶ νομῆς.

Νόμοι.

ΟΤΙ δεκαετία ἢ εἰκοσαετία, οὐ βοηθεῖ τῷ κακῇ πίστει νεμομένῳ, εἰ μὴ ἡ τριακονταετία καὶ μόνον· εἴπερ ἀδιακόπως ἐνέμετο, καὶ ὄχλησιν ἐν δικαστηρίῳ μὴ ὑπέμεινεν. ζήτει καὶ ἐν τῷ θ'. κεφ. τοῦ Δ. στοιχείου.

Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις, ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν παρόντων δεκαετία, ἐπὶ δὲ ἀπόντων εἰκοσαετία ἀπόλλυται.

Ο ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην.

Ο δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ, εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατὰ τοῦ ἀγροῦ δουλείαν, ἐν τῷ νενομισμένῳ τριετίας χρόνῳ, μὴ κωλυόμενος αὐτὸν τοῦ δεσπότου τοῦ ἀγροῦ.

Τὰ κινητὰ πράγματα ἐπὶ τριετίαν ἀνεπιφωνήτως κρατούμενα, δεσπόζονται.

A

ΑΡΧΗ ΤΟΥ Ξ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ ξοάνων καθαιρέσεως.

Ο τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, μη΄. καὶ μέν τοι καὶ κδ΄. τὰ ξόανα πάντα κελεύουσι καθαιρεῖν, καὶ τὰ τῶν εἰδώλων ἐγκαταλείμματα ῥίζαις αὐταῖς ἐξελεῖν. B

ΚΕΦ. β΄.

Οὐ οὐ δεῖ τοὺς ξένους τῶν κληρικῶν ὑποδέχεσθαι.

Ζήτει τὸ θ΄. κεφ. τοῦ Α. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο. ΣΤΟΙΧΕΙΟΥ. C

ΚΕΦ. α΄.

Ὅτι οἰκονόμον ἔχειν δεῖ τὸν ἐπίσκοπον καὶ τὸν ἡγούμενον.

Ζήτει τὸ κδ΄. κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. β΄. D

Περὶ οἰωνισμῶν.

Ζήτει τὸ γ΄. κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. γ΄.

Περὶ ὀνειρωχθέντων.

Ζήπι τὸ κη΄. κεφ. τοῦ Κ. στοιχείου. E

ΚΕΦ. δ΄.

Περὶ ὅρκων.

Ζήτει τὸ λϐ΄. κεφ. τοῦ Ε. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π. ΣΤΟΙΧΕΙΟΥ. F

ΚΕΦ. α΄.

Περὶ παιγνίων θυμελικῶν.

Ζήτει τὸ α΄. κεφ. τοῦ Θ. στοιχείου. καὶ ἐν τῷ ιε΄. κεφ. τοῦ Μ. στοιχείου κανόνα κζ΄. τῆς ζ. συνόδου. καὶ τὸ ζ΄. κεφ. τοῦ Γ. στοιχείου.

INITIUM LITERÆ Ξ.

CAPUT I.

De tollendis ſimulachris.

SYNODI Carthaginenſis Canon xlviii. atque etiam lxxxiv. ſimulachra omnia tolli è medio, & ipſas Idolorum reliquias radicitùs extirpari jubent.

CAPUT II.

Quòd Clericos deceat hoſpites meritorio ſuſcipere.

Vide cap. ix. literæ A.

INITIUM LITERÆ O.

CAPUT I.

Quòd Epiſcopum apud ſe Oeconomum ac Præfectum habere oporteat.

Quære cap. xxiv. literæ E.

CAPUT II.

De Auguriis.

Vide caput iii. literæ E.

CAPUT III.

De iis qui ſe noctu polluunt.

Conſule caput xxxviii. literæ K.

CAPUT IV.

De Juramentis.

Vide caput xxxii. literæ E.

INITIUM LITERÆ Π.

CAPUT I.

De geſticulationibus Thymelicis.

Quære caput i. literæ Θ. & in cap. xv. literæ M. Synodi ſeptimæ Canonem xxvii. & caput ſeptimum literæ Γ.

A

CAPUT II.

De Clericis in Tabernâ comedentibus.

Vide cap. vii. literæ K.

ΚΕΦ. β'.

Περὶ τῶν ἐν πανδοχείῳ ἐσθιόντων κληρικῶν.

Ζήτει τὸ ζ'. κεφ. τοῦ Κ. στοιχείου.

CAPUT III.

De Epiſcopali Audientiâ.

B

Pete caput xxviii. literæ E.

ΚΕΦ. γ'.

Περὶ παραιτήσεως ἐπισκόπων.

Ζήτει τὸ κη'. κεφ. τοῦ Ε. στοιχείου.

CAPUT IV.

De fœminis quæ votum caſtitatis ſuſcipiunt.

Vide cap. xv. literæ M.

ΚΕΦ. δ'.

Περὶ τῶν παρθενίαν ἑλομένων γυναικῶν.

Ζήτει τὸ ιε'. κεφ. τοῦ Μ. στοιχείου.

C

CAPUT V.

De jejunio in Paraſceve.

Conſule cap. iv. literæ N.

ΚΕΦ. ε'.

Περὶ τῆς ἐν τῇ παρασκευῇ νηστείας.

Ζήτει τὸ δ'. κεφ. τοῦ ν'. στοιχείου.

CAPUT VI.

De Depoſito ſive Fideicommiſſo.

D

Lex.

DEPOSITUM eſt quod cuſtodiendum alicui datur. Si ille, qui rem ſervandam ſuſcepit, latronibus incurſantibus perdiderit, hæredes amiſſionem depoſiti actione non experientur. Nam qui depoſitum accepit, ſolum dolum & negligentiam atque inertiam præſtat, niſi fortè aliud aliquid diſertis verbis conventum fuerat.

ΚΕΦ. ς'.

Περὶ καταθήκης ἢ παρακαταθήκης.

Νόμος.

ΠΑΡΑΚΑΤΑΘΗΚΗ ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινὶ διδόμενον. ἐὰν δὲ ἐξ ἐπιδρομῆς λῃστῶν ὁ παρακαταθήκην λαβὼν, ἀπώλεσε ταύτην, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτῆς ἡ ἀπώλεια. ὁ γὰρ παρακαταθήκην λαμβάνων, δόλον μόνον καὶ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη.

E

CAPUT VII.

De ſacro Paſchate.

POSTQUAM alia quidem argumenta, quæ hoc opus expetere videbatur, ne deeſſet quidpiam eorum quæ huc ſpectant, quantum nobis licuit magni nihil vel cogitantibus vel facientibus, haud indiligenter tractavimus, adeone venerandum Paſcha, in quo ſummum dominicæ diſpenſationis peractum eſt, neglectui habebimus, ut methodos ipſius atque earum cauſas, ut

F

licet, harum rerum ignaris exponere ſuperſedeamus? Quis enim nobis hoc vitio merito vertat? Quo circa ante divina oracula breviter de iis diſſerere lubet, quæ circa ſacrum Paſcha ſcire quam maximè refert; legali illo non penitus neglecto. Typi enim, ut par eſt, ad veritatis conſummationem nos deducunt. Juſſit igitur Moyſes vir ſummus primi menſis Lunaris quarto & decimo die Paſcha legale celebrari. Menſium autem primus is eſt, quem Ægyptii Phamenoth, Diſtrum

ΚΕΦ. ζ'.

Περὶ τοῦ ἁγίου πάσχα.

ΕΙΤΑ τὰς μὲν ἄλλας τῶν ὑποθέσεων, ἃς τὸ προκείμενον ἀπαιτεῖ σύνταγμα, τοῦ μηδὲν ἐλλείπειν τῶν ἡκόντων εἰς δύναμιν, τοῖς μικρὰ καὶ φρονοῦσι καὶ δρῶσιν ἡμῖν ἐμέλησε, τοῦ δὲ σεβασμίου τοσοῦτον κατολιγωρήσομεν πάσχα, ἐν ᾧ τὸ κεφάλαιον τῆς περὶ ἡμᾶς τοῦ κυρίου οἰκονομίας ἐξείργασται, ὡς μὴ τὰς μεθόδους αὐτοῦ, καὶ τὰς τούτων αἰτίας, ὡς οἷόν τε δῆλα θεῖναι τοῖς ἀγνοοῦσι, καὶ τίς ἂν ἡμᾶς δικαίως οὕτως παραιτήσαιτο μέμψεως; τοιγάρτοι καὶ πρό γε τῶν θείων χρησμῶν μικρά μοι δοκεῖ διαλαβεῖν, ἅττα τοῦ πάσχα τοῦ ἱεροῦ πολλοῦ δέομεν ἐν περινοίᾳ γενέσθαι, μηδέπω κατειληφότες τὸ νομικόν. δεῖ γὰρ τοὺς τύπους ἡγεῖσθαι πρὸς τὴν τῆς ἀληθείας συντέλειαν. τὸ πάσχα τοίνυν τὸ νομικὸν Μωσῆς ἐκεῖνος ὁ πάνυ, κατά γε τὴν ιδ'. τοῦ α'. σεληνιακοῦ μηνὸς, τελεῖσθαι νενομοθέτηκε. πρῶτος δὲ μήν ἐστιν, ὁ παρ' Αἰγυπτίοις φαμενὼθ, δῖστρος δὲ, δὲ παρ' Ἕλλησι, Νισὰν δὲ παρ' Ἑβραίοις, παρὰ δὲ Ῥωμαίοις ὀνομαζόμενος Μάρτιος· ἐν ᾧ τὴν ἐνδυτίαν τοῦ παντὸς διϊππεύων ὁ ἥλιος, τὸ πρῶτον ἄρχεται τοῦ ζωδιακοῦ κύκλου δωδεκατημόριον εἰσιέναι, ὃ δὴ καὶ ἰσημερινὸν, καὶ μηνῶν ἀρχὴν, καὶ κεφαλὴν τοῦ κύκλου, καὶ ἄφεσιν τοῦ νόμου τῶν πλανητῶν, οἱ περὶ ταῦτα ἐσχολακότες φιλοῦσι καλεῖν· τὸ δὲ πρὸ τούτου, μηνῶν ἔσχατον καὶ τελευταῖον δωδεκατημόριον, καὶ τέλος τῆς τῶν πλανητῶν περιόδου. τὸν γὰρ μάρτιον δὲ πρῶτον εἶναι πειθόμενοι, ἐξ ὧν ὁ Μωσῆς εἴρηκεν ὡς ἐκέλευσεν ὁ θεὸς κατ' ἐκεῖνο τοῦ καιροῦ τὰ δένδρα, καὶ τὰ ἄνθη, καὶ τὰς πόας ἀναβλαστῆσαι· ὁρῶμεν δὲ οὐκ ἐν ἑτέρῳ, ἀλλ' ἐν τούτῳ νόμῳ φύσεως, τοῦ θεοῦ πληρούμενον τὸ ἐπίταγμα. ὁ μὲν οὖν εἰρημένος μὴν, ὥσπερ ἄρα καὶ οἱ λοιποὶ πάντες, οὐχ ἧττον τοῖς ὀνόμασιν ἢ τῷ ἀριθμῷ τῶν ἡμερῶν διαφέρουσι παρ' ἑκάστοις τῶν εἰρημένων ἐθνῶν. τὴν γε μὴν ἰσημερίαν, ἡ μὲν τοῦ παντὸς φύσις τὸν αὐτὸν ἀεὶ χρόνον καθ' ἕκαστον ἔτος ποιεῖ, τῷ πολλὴν φέρειν ἀεὶ πρὸς ἑαυτὸ τὴν ἰσότητα τὸ τοῦ ἐνιαυσίου χρόνου διάστημα. ὁ ἀριθμὸς μέντοι τῶν ἡμερῶν τε, καὶ μηνῶν, ὅ τε τοῖς ἄλλοις εἰωθὸς ἔθνεσι, καὶ ᾧ κατὰ Ῥωμαίους ἡμεῖς χρώμεθα, οὔτε τὴν αὐτὴν ὥραν, οὔ τε τὴν αὐτὴν ἡμέραν συγχωρεῖ γίνεσθαι. ἐπεὶ γὰρ τὸ ἐνιαύσιον μέγεθος, πρὸς ταῖς τξε' ἡμέραις, καὶ τέταρτον ἔγγιστα προσλαμβάνει, ὅταν ᾖ ἡ ἰσημερία περὶ μεσημβρίαν, τὸ μὲν ἑξῆς ἔτος ἔσται περὶ δύσιν ἡλίου, τὸ δὲ ἑξῆς περὶ μέσας νύκτας· καὶ οὕτω μέχρι παντός. ἐπεὶ δ' αὖθις ἡ ἐπὶ τξε' ἡμέρας ἐπουσία, οὐχ ὅλον τέταρτον ἡμέρας περιέχει, ἀλλὰ παρὰ τριακοσιοστὸν, ὡς προϊόντες ἀκριβέστερον δείξομεν, ἡμεῖς δὲ τῷ τῶν ἡμερῶν καὶ μηνῶν ἀριθμῷ κατὰ Ῥωμαίους χρώμεθα, ὡς τοῦ τετάρτου ἀεὶ τελείου προσγινομένου, καὶ παρὰ τοὺς κατὰ τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ταῖς τξε' προστιθέμενοι, ἐξ ἀνάγκης τὴν ἰσημερίαν συμβαίνει ἐν τοῖς τριακοσίοις ἐνιαυτοῖς πρὸ μιᾶς ἡμέρας γίνεσθαι, οἷον ἐπεὶ κατὰ τὸ παρὸν ἡ ἰσημερία ἐπιλελόγισται ἡμῖν γινομένη τῇ ὀκτωκαιδεκάτῃ τοῦ Μαρτίου μηνός· μετὰ τριακόσια ἔτη, ἔσται τῇ ἑπτακαιδεκάτῃ· εἶτα μετὰ ἕτερα τοσαῦτα, τῇ ις'. καὶ οὕτως ἀεί. καὶ γὰρ κατὰ τοὺς χρόνους Ναβουωπάρου περὶ λῆξιν ἑσπερίαν ἐτύγχανεν οὖσα τῆς τοῦ μαρτίου ε'. καὶ κ'. ἐν δὲ τοῖς Φιλίππου τοῦ Ἀριδαίου, περὶ μεσημβρίαν τῆς τετάρτης καὶ εἰκοστῆς αὐτοῦ. ἡνίκα δὲ ὁ Χριστὸς τὸν σωτήριον ὑπὲρ ἡμῶν ὑπήρχετο θάνατον, περὶ μέσην νύκτα τῆς κγ'. τοῦ αὐτοῦ μηνός.

Οἱ μὲν οὖν λογιώτατοι τῶν Ἑβραίων, καὶ μάλιστα οἱ τὴν Ἰουδαίαν οἰκοῦντες, οἷος ἦν Ἰώσηπος καὶ Φίλων, ἄνδρε Φιλοσοφίας ἁπάσης ἐπ' ἄκρον ἐληλακότε, οὐκ ᾤοντο δεῖν πρὸ τῆς ἰσημερίας τὸ νομικὸν ἄγειν πάσχα. αὐτοὶ γὰρ οὗτοί φασι δεῖν τὰ διαβατήρια θύειν ἐπίσης ἅπαντας μετὰ ἰσημερίαν ἐαρινὴν, μεσοῦντος τοῦ πρώτου μηνός· οἱ δὲ ἀγροικότερον διακείμενοι, καὶ πανταχῇ τῆς οἰκουμένης διεσπαρμένοι, πρῶτον ἐξ ἀμαθίας μῆνα ὑπολαμβάνοντες, ἐν ᾧ τὴν ἐαρινὴν γίνεσθαι συμβαίνει μόνον ἰσημερίαν· εἴτε δὲ πρὸ ταύτης, εἴτε μετὰ ταύτην, ὁ πλησιφαὴς ἀπαντᾷ τῆς σελήνης σχηματισμὸς, οὐδ' ὁπωσοῦν, μέλλον αὐτοῖς· οὔτε μὴν εἰ μήπου καθαρῶς τοῦ τῆς ἰσημερίας σημείου ἐπέβη ὁ ἥλιος, ἐν τούτῳ ἀσυντηρήτως καὶ πρὸ τῆς ἰσημερίας ἐπιτελοῦσι τὸ πάσχα. περὶ ὧν μοι δοκεῖ, καὶ ὁ ζ'. τῶν θείων ἀποστόλων κανὼν διορίζεσθαι, ἀφορισμὸν καταψηφιζόμενος, εἴ τις τῶν τοῦ κλήρου, τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν μετὰ Ἰουδαίων πρὸ τῆς ἐαρινῆς τελέσειν ἰσημερίας. ἐπεὶ γὰρ οὐ διεζευγμένως ὁ κανὼν ἐπιτιμᾶσθαι θεσπίζει, τὸν μετὰ Ἰουδαίων, ἢ πρὸ τῆς ἐαρινῆς ἰσημερίας ἑορτάζοντα, ἀλλὰ μετὰ Ἰουδαίων πρὸ τῆς ἐαρινῆς ἰσημερίας ἑορτάζοντα, τὸ εἰρημένον ἄνωθεν νοεῖν ὑποτίθησιν. συμβαίνει δὲ, πέμπτον τῆς σελήνης κύκλον διερχομένης, ᾧ τινι ἐξ ἀνάγκης ὁ εἰκοστὸς ὄγδοος θεμέλιος ἕπεται· οὕτω γὰρ τοῖς πολλοῖς ὁ

A Græci, Hebræi Niſan, & Romani Martium vocant: quo quidem menſe Sol latione Univerſo contrariâ decurrens Zodiaci circuli ſignum primum intrat, quod Æquinoctiale punctum, & menſium principium, & circuli caput, & carceres curſûs Planetarum harum rerum ſtudioſi nuncupare ſolent, atque adeò ſignum proximè præcedens, ſeu Piſces, menſem ultimum, ſignum poſtremum, & periodi Planetariæ exitum ſive metam. Martium enim menſium primum eſſe credimus, quoniam Moyſes ait eo temporis juſſiſſe Deum, ut arbores & flores & gramina revireſcerent. Videmus ſanè hâc Naturæ conditione, non quâvis aliâ ordinationem B divinam adimpleri. Veruntamen menſis ille Martius, ſicuti cæteri omnes tam nominibus quàm numero dierum apud gentes illas, quas ſupra dixi, invicem diſtinguuntur. Æquinoctium inſuper ipſa univerſi natura quotannis eodem tempore reſtituit: eo quod quantitas annua eximiam æquabilitatem præ ſe ferat. At verò numerus dierum & menſium, quo unà cum Romanis utimur, (quod & aliæ gentes ſolent) neque horâ eâdem nec die quidem eodem Æquinoctium accidere patitur. Quoniam enim tempus Annuum præter dies ccclxv. etiam quartam fermè diei partem adſciſcit, ſi quan- C do Æquinoctium circa Meridiem contingat, anno ſequente circa occaſum Solis fiet, annòque huic proximo circa noctem mediam: atque ità porrò. Rurſus, quia id quod ultra dies ccclxv. ſupereſt, quartam diei partem exactè haud contineat, ſed trecenteſimâ ferè particulâ deficiat, ut in ſequentibus luculentiùs demonſtrabimus; nobis tamen in uſu ſit numerus tam dierum quàm menſium Romanorum, adeóque quolibet quadriennio unum diem adjiciamus, ut annus quartus ſemper ſit completus: neceſſe eſt in annis ccc. Æquinoctium uno die anticipet: ut exempli gratia, quoniam hoc ipſo tempo- D re æquinoctium die octavo ac decimo Martii menſis obtingere computatur: poſt annos abhinc trecentos in ſeptimum & decimum diem incidet, dein poſt alios trecentos in diem decimum ſextum, pariterque in perpetuum. Accidit enim æquinoctium tempore Nabonaſſari Martii die quinto & viceſimo circa veſperam, & tempore Philippi Aridæi circa meridiem quarti & viceſimi diei menſis ejuſdem. Anno autem, quo Chriſtus pro nobis redimendis paſſus eſt, iſtius die viceſimo tertio circa noctem mediam.

Hebræorum igitur doctiſſimi, illique præcipuè qui Judæam incoluêre, ut Joſephus atque Philo, ſum- E mi uterque Philoſophi, legale Paſcha ante æquinoctium haudquaquam celebrandum eſſe judicabant. Aiunt enim iſti poſt æquinoctium vernum circa medium primi menſis ab omnibus pariter mactanda eſſe διαβατήρια ſive ſacrificia Paſchalia. Qui verò in hac re imperitè ac ruſticè verſantur, paſſim per terrarum orbem diſperſi, menſem primum eum eſſe ex inſcitiâ ſuſpicantur, in quo æquinoctium vernum ſolùm fieri contingit; an quidem ante æquinoctium, anne poſt illud Luna lumine pleno fulgeat, parum ſolliciti; parum etiam, an Sol ipſum ſolſtitii punctum planè attigerit necne: adeòque temerè etiam ante æquinoctium F Paſcha concelebrant. De hiſce illis ſeptimus quidem Canon ſanctorum Apoſtolorum, ut mihi videtur, decernit, excommunicationcm denuncians, ſiquis ex ordine Clericali ſacrum Paſchatis diem ante vernum æquinoctium cum Judæis unà celebraverit. Quandoquidem enim Canon eum cenſurâ feriendum eſſe ſtatuat, non quidem disjunctim qui feſtum cunque vel cum Judæis egerit, vel ante æquinoctium vernum; ſed (connectendo) cum Judæis ante æquinoctium vernum, id quod ſupra diximus ipſos intellexiſſe arguit. Quando verò ad cyclum ſuum quintum Luna pervenit, cui neceſſariò reſpondet viceſimum octavum fundamentum, ſeu A θεμέλιος, (ſic enim plerique dierum numerum appellant, qui ex cyclis Lunæ ſuperfluus eſt,) atque circa diem ſeptimum ac decimum Martii pleno certè vultu candet, Judæos inſcitè admodum & temerè feſtum tum peragere contingit. Quinimò hodiéque id facere perperàm illos videmus, qui in noſtris civitatibus degunt. Nos autem quod tutum indubiúmque eſt nobis adſerentes, & Judæis hiſce qui haud piè faciunt, longùm valere jubentes, ad proximè ſequentem menſem Lunarem contendimus, (quem dies Aprilis exhaurire ſolent) quando longo quidem dierum intervallo Paſcha noſtrum à Judaico diſtare contingit. Prudenter adeò ac diligenter ſancti Patres ſacroſanctorum Apoſtolorum decreta obſervabant, ut hoc præ cæteris ratum firmúmque eſſe ſtatuerent, ne quis cum Judæis quamvis poſt æquinoctium vernum Paſchale feſtum agentibus unà celebret. Quippe hoc primus vetat Synodi Antiochenæ Canon, conſultò ut videtur ſenſum explicans Canonis ipſius Apoſtolici, eo quòd duas definitiones de Paſchate ſtatuat, etiamſi hunc in modum proponat, Noſmet cum Judæis unà feſtum nullos agere, & æquinoctium vernale expectare oportet. Ex quibus duæ aliæ definitiones neceſſariò ſequebantur, viz. celebrandum eſſe feſtum primo ſtatim plenilunio poſt æquinoctium, & quidem poſt illud non ſimpliciter die quovis, ſed die ſeptimanæ primo plenilunium proximè ſequente. Cætera quidem decreta etiam hodiéque conſtanter obſervantur; Diem verò Dominicam plenilunium proximè ſequentem ſæpè differre ſolemus, eò quod duos dies quotannis Paſchati legali adjicimus, & poſt illos ad Dominicum accedimus. Contigit tamen iſtud haud ex inſcitiâ & ignorantia Patrum, qui hoc modo de Paſchate decernebant, ſed potius hoc quicquid eſt culpæ in lunæ curſus referendum eſt. Quoniam enim motus annuus diebus centum ſexaginta quinque, & quarta ferè diei parte, uti dictum eſt, perficitur, Lunæ autem motus medii in longitudinem non reſtituantur exactè in novendecim annis completis juxta quadrantis additionem ſupputandis, quin deſint (ad cyclum complendum) unius diei tres ſexageſimæ primæ, & triginta ſeptem partes ſecundæ: idcirco in annis ccciv. non completis quidem illis, ſed deficientibus unius diei ſexageſimis primis lvii. & ſexageſimis ſecundis lii. ſive fermè die uno, dicta revolutio peragitur. Quamobrem aptè poſt plenilunium duo dies additi ſunt in legalis Paſchatis inveſtigatione, cùm non poterat plenilunium exactè attingere diem mẽſis à Patribus definitam; quippe, ut diximus, in annis ccciv. die uno proximè deficit. Iſtam varietatem ſtatus Paſchatis dies, & motus luminarium creavit: quæ tamen Religioni minime nocet, imò potiùs multum juvat: inde enim temporis intervallum evidentiùs apparet, inter legalis & noſtri Paſchatis celebrationem, ſumptis non uno, quod tum factum, ſed tribus ad minimum diebus intermediis. Quam ob cauſam Patres diem Paſchalem omninò in Dominicam tranſtulerunt, atque cùm in Dominicam incidat Paſcha legale, noſtrum in Dominicam proximè ſequentem removendum eſſe ſanxerunt, æquum bonumque eſſe judicantes, ut inviſum Deo infauſtúmque feſtum averſaremur, atque longo intervallo Paſcha noſtrum ab iſto modis omnibus diſtingueremus. Hæc autem in ſequentibus fuſiùs oſtendemus. (ubi & Tabulas dabimus æquinoctium ac plenilunia craſſo modo indicantes.) Tum etiam docebimus quibuſnam in annis admodum manifeſta ſit conjunctionum differentia.

Cæterùm & utile fuerit diſquirere, quam ob cauſam poſt vernum æquinoctium Paſcha celebrare jubeamur.

A περιττεύων ἀπὸ τῶν αὐτῆς κύκλων τῶν ἡμερῶν ἀριθμὸς ὀνομάζεται· καὶ περί που τὴν τοῦ Μαρτίου ἑπτακαιδεκάτην τὸ πλησιφαὲς ἀκριβῶς ὑπολευκαινούσης, ἐκείνους μὲν ἀνεπιστημόνως πάνυ καὶ προπετῶς τηνικαῦτα τὴν ἑορτὴν ἄγειν. τοῦτο γὰρ ἔτι καὶ νῦν ὁρῶμεν παρανόμως ποιοῦντας, τοὺς ταῖς ἡμετέραις πόλεσιν ἐπιχωριάζοντας. ἡμεῖς δὲ τὸ ἀδεὲς ἡμῖν αὐτοῖς περιποιούμενοι καὶ οὐχ ὅσια δρῶσι πολλὰ χαίρειν αὐτοῖς φάσκοντες, ἐπὶ τὸν ἑξῆς σεληνιακὸν ἐπειγόμεθα μῆνα, ὃν αἱ τοῦ Ἀπριλλίου ἀριθμεῖν ἡμέραι πεφύκασιν· ἡνίκα καὶ μακρῷ τῷ τῶν ἡμερῶν διαστήματι διέχειν συμβαίνει τοῦ παρ' Ἰουδαίοις τὸ ἡμέτερον πάσχα. B οὕτω γὰρ οἱ θεῖοι πατέρες σαφῶς ἄγαν καὶ ἠκριβωμένως ἐσκόπησαν τοὺς τῶν θείων ἀποστόλων θεσμούς, παντὸς μᾶλλον οἰκονομούμενοι τὸ βέβαιον ἔχειν, οὐ μὴν εἰ μετὰ τὴν ἐαρινὴν ἐκεῖνοι τὸ πάσχα τελοῦσιν ἰσημερίαν συνεορταστέον αὐτοῖς. τοῦτο γὰρ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ πρῶτος ἀπαγορεύει κανών, ἐξεπίτηδες ὡς ἔοικε τὸν νοῦν ἑρμηνεύων τοῦ ἀποστολικοῦ τοῦδε κανόνος· ὅτι δύο τίθησιν ἐπὶ τοῦ πάσχα διορισμοὺς ὁ κανών, εἰ καὶ οὕτω τὸν λόγον προήγαγε, τοῖς Ἰουδαίοις ἡμᾶς μὴ συνεορτάζειν, καὶ τὴν ἐαρινὴν περιμένειν ἰσημερίαν. οἷς ἕτεροι δύο ἐξ ἀνάγκης ἐπηκολούθησαν, ἄγειν τε τὴν ἑορτὴν εὐθὺς τῇ πρώτῃ μετὰ C τὴν ἰσημερίαν πανσελήνῳ, καὶ μετὰ ταύτην μὴ ἐν οἱᾳδήποτε τῶν ἡμερῶν ἁπλῶς, ἀλλ' ἐν τῇ πρώτῃ μετὰ τὴν πανσέληνον εὐθὺς τῆς ἑβδομάδος ἡμέρᾳ. καὶ οἱ μὲν ἄλλοι τῶν διορισμῶν ἔτι καὶ νῦν βεβαίως διατηροῦνται· ἡ δὲ μετὰ τὴν πανσέληνον πολλάκις ἡμῖν ὑπερτίθεται κυριακή· τῷ δύο προστίθεσθαι ἡμέρας ἑκάστου ἔτους τῷ πάσχα τῷ νομικῷ, καὶ μετ' ἐκείνας ἐπὶ τὴν κυριακὴν ἔρχεσθαι. συνέβη δὲ τοῦτο, οὐκ ἐξ ἀγνοίας ἢ ἀπειρίας τῶν θεσπισάντων πατέρων περὶ τοῦ πάσχα τουτονὶ νόμον, ἀλλὰ τῷ δρόμῳ τῆς σελήνης τὰ τῆς αἰτίας ἀναφέρεται ταύτης. ἐπειδὴ γὰρ αὖθις τὸ ἐνιαύσιον κίνημα δι' ἡμερῶν ἀποκαθίσταται ἑξη- D κονταπέντε καὶ τεταρτημορίου τῆς ἡμέρας ἔγγιστα, ὡς εἴρηται· αἱ δὲ μέσαι κατὰ μῆκος τῆς σελήνης πάροδοι, ἀποκαθίστανται ἐν ὅλοις ἔτεσι δεκαεννέα, τοῖς κατὰ προσθήκην τοῦ τετάρτου ἀριθμουμένοις, ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα τριάκοντα ἑβδομα, τούτου χάριν ἐν τδʹ. ἐνιαυτοῖς, οὐχ ὅλοις πάλιν, ἀλλ' ἐλαττουμένοις ἡμέρας ἑξηκοστὰ πρῶτα νζʹ. καὶ δεύτερα νβʹ. ἤτοι μίαν ἡμέραν ἔγγιστα, ἡ εἰρημένη γίνεται ἀποκατάστασις· διὰ δὴ τοῦτο ἀρτίως δύο μετὰ τὴν πανσέληνον ἡμέραν εὑρίσκονται προστιθέμεναι, ἐν τῇ τοῦ νομικοῦ πάσχα εὑρέσει, τῆς πανσελήνου μὴ δυναμένης καταλαβεῖν ἀρτίως τὴν ὁρισθεῖσαν E τοῖς πατράσι ποσὴν τοῦ μηνός· ἐλαττουμένης ὡς εἴρηται, ἐν τδʹ. ἔτεσι, μίαν ἡμέραν ἔγγιστα. τοιαύτην μὲν ὁ χρόνος περὶ τὴν ἡμέραν τοῦ πάσχα, καὶ ἡ τῶν φωστήρων κίνησις, τὴν ἀνωμαλίαν πεποίηκε· τῇ εὐσεβείᾳ γε μὴν οὐδ' ὁπωσοῦν τοῦτο λυμαίνεται· ὅτι καὶ μὴ καὶ τὰ μεγάλα συμβάλλεται. περιφανεστέρα γὰρ ἐντεῦθεν ἡ διάστασις δείκνυται, τοῦ τε τοῦ νομικοῦ καὶ τοῦ ἡμετέρου τελετῆς πάσχα· οὐ μιᾶς ἡμέρας ὡς τότε, ἀλλὰ τριῶν μεσολαβουσῶν τοὐλάχιστον. διὰ γὰρ τοῦτο πάντως καὶ τὴν ἡμέραν οἱ πατέρες μετενηνόχασιν ἐπὶ τὴν κυριακήν· εἰ δ' ἐν κυριακῇ τὸ νομικὸν τύχοι πάσχα, ἐπὶ τὴν ἑξῆς μεταβαίνειν διω- F ρίσαντο· τὴν θεομάχον καὶ ἀνέορτον αὐτῶν ἑορτήν, ἡμᾶς ἐκτρέπεσθαι, καὶ μακρῷ τῷ διαστήματι τὴν ἡμετέραν ἐκείνης πᾶσι τρόποις ἀποδιΐστασθαι, ἐν καλῷ κεῖσθαι σκοπήσαντες. ταῦτα δὲ πλατυκώτερον ἡμῖν προϊοῦσι δειχθήσεται· ἔνθα καὶ τὰ κανόνια ἐκτέθειται, τήν τε ἰσημερίαν, καὶ τὰς πανσελήνους ὁλοσχερέστερον ἑρμηνεύοντα· καὶ ἐν ποίοις ἔτεσι φανερῶς ἡ τῶν συζυγιῶν διαφορὰ δείκνυται.

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη σκοπῆσαι, καὶ τίνος ἕνεκεν μετ' ἰσημερίαν ἐαρινὴν τὸ πάσχα τελεῖν προστετάγμεθα.

ὅτε τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν κόσμον παράγοντος τοῦ θεοῦ, ἀπὸ τῆς πρώτης ἡμέρας ἄχρι καὶ τῆς ζ΄. ἀκριβὴς ὑπῆρχεν ἰσημερία, μήτε τῆς ἡμέρας, μήτε μὴν τῆς νυκτὸς, τὴν ἑτέραν, μηδὲ τὸ ἀκαριαῖον πλεονεκτούσης. εἰ γὰρ καὶ ἡ τετάρτη τῶν ἡμερῶν, τῶν φωστήρων ηὔχει θεωμένη τὴν γένεσιν, ἀλλ' οὐκ ἦν αὐτοῖς ἐπιτεταγμένον, καὶ τὴν ἐνιαυσίαν ἰέναι, ὥς γε δὴ τανῦν τοῦ παντός. ὁ μὲν γὰρ ἥλιος τὸ πρῶτον ἰσημερινὸν εὐθὺς τμῆμα τοῦ ζωδιακοῦ ὑπελθὼν, ἐν τῇ πρώτῃ τοῦ κριοῦ ἵδρυτο μοίρᾳ. ἡ δέ γε σελήνη ἐν τῇ κατὰ διάμετρον τούτου χώρᾳ παραχρῆμα διΐστατο, τὸ φθινοπωρινὸν μὲν, ἰσημερινὸν δὲ καὶ αὐτὴ τὸν ζυγὸν διϊππεύουσα, μηδὲ βραχὺ τοῦ ἡλίου προεκπηδῶσα, ὡς γοῦν πέφυκε τρέχειν τὸ τήμερον. οὐ γὰρ ἦν ἄλλως τὸ πλησιφαὲς, ἀκριβῶς αὐτῇ περισώζεσθαι, μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ θεοῦ πρὸς ἡμᾶς ὑποδεικνύντος πεποιηκέναι· εἰ καὶ τὸ τετραμμένον, πρὸς τὸν ἥλιον αὐτῆς ἅπαν μέρος, διόλου πεφωτισμένον τυγχάνον, τῷ διαφόρῳ τῆς κινήσεως ποικίλα τὰ τῶν φωτισμῶν ἡμῖν ὑποφαίνει σχήματα. ὁμαλῶς τοίνυν καὶ ἄμφω τὰ φῶτα, μᾶλλον δὲ ἀκινήτως ὁμοῦ τῷ παντὶ συγκινούμενα, τὸ τέλος οἱονεὶ τῆς τοῦ παντὸς δημιουργίας ἀνέμενον. τῇ γε μὴν ἕκτῃ, χειρὶ θεοῦ ὁ ἄνθρωπος πλάττεται, ἰσημερίας εἰσέτι καλὸν ἐπανθούσης, καὶ τῆς σελήνης τῷ δαψιλεῖ τῆς αἴγλης πρὸς τὸν ἥλιον ἰσαμένης ἐξ ἐφαμίλλου σχεδόν· οὐ γὰρ ἦν εἰκὸς, ἢ τὸν πρῶτον ἄνθρωπον πρὸ τῆς ἰσημερίας πλασθῆναι, ἡνίκα σκότῳ τὰ πάντα ἐκρύπτετο, ὃς διὰ τὴν πολλὴν πρὸς τὸ φῶς οἰκειότητα, καὶ τοῖς ἀπηλλοτριωμένοις τοῦ τῆς εὐσεβείας φωτὸς φῶς κατὰ λόγον προσείρηται, ἢ τοὺς φωστῆρας τοῦ προσήκοντος καθυφεῖναι κόσμου, νῦν πρῶτον δορυφοροῦντας τῷ βασιλεύειν τῆς κτίσεως μέλλοντι, ἄλλως τε καὶ τοῦ χρόνου μέλλοντος δημιουργεῖσθαι, ἔδει τὴν ἡμέραν δέ που καὶ τὴν νύκτα ἄρτι παραγομένας, ἐκ τῆς ἰσότητος ἄρξασθαι· ἐπεὶ καὶ προτέρα κατὰ φύσιν αὕτη τῆς ἀνισότητος, ὡς αἱ ἕξεις τῶν στερήσεων, τοῦ θεοῦ ἡμᾶς ἐντεῦθεν διδάσκοντος, τὸν τῆς ἰσότητος νόμον, ἐν ᾧ τὸ τῶν ἀρετῶν ἕστηκεν, ἐπίπροσθεν τεθῆναι πάσης πλεονεξίας καὶ ἀνισότητος· εἶθ' οὕτω τῶν φωστήρων μετὰ τὴν ἑβδόμην ἡμέραν, ὡς ἐξ ἀφετηρίας τρέχειν ὑπαρξαμένων, καὶ μὴ ἰσοταχῶς πεφυκότων κινεῖσθαι, τὴν ἀνωμαλίαν ἐπεισελθεῖν. ἐπεὶ γοῦν τὴν ἐξ ἁμαρτίας τοῦ ἀνθρώπου πτῶσιν, εὐδόκησεν ὁ κύριος ἐπανορθώσασθαι, προσῆκον ἦν ἐν τῇ τοῦ χρόνου ἰσημερινῇ ἀρχῇ, καθ' ἣν ὁ ἄνθρωπος ἔσχε τὴν πρώτην πλάσιν, καὶ τὴν αὐτοῦ οἰκοδομηθῆναι ἀνάπλασιν· καὶ ὅτι ἔπειτα τὸ φῶς ἔμελλεν αὔξειν τῆς εὐσεβείας, καὶ τὸ σκότος τῆς ἀσεβείας μειοῦσθαι, μετ' ἰσημερίαν τὸ σωτήριον πάσχα, οὐκ ἔξω λόγου τελεῖται, ἡνίκα τὸ μὲν τῆς ἡμέρας φῶς ἐπιδίδωσι, τῆς νυκτὸς δὲ τὸ σκότος ἐλαττοῦται. οὐκ ἀεὶ δὲ κύριον γίνεται τὸ πάσχα, διότι ἐπὶ τούτου χρὴ πολλὰ συνδραμεῖν. οὐ μόνον γὰρ τὸ κατ' ἔτος ἐπιζητούμενον τῆς σελήνης πλῆρες, ὅπερ ἡ τῶν ἡμερῶν τεσσαρεσκαιδεκάτη ταύτῃ χαρίζεται, τῇ ἰσημερίᾳ δεῖ συνελθεῖν· ἀλλὰ καὶ τὴν ἕκτην τῶν ἡμερῶν, καὶ τὴν τοῦ Μαρτίου τρίτην καὶ εἰκοστὴν, ἅπερ καὶ ὅτε ὁ πρῶτος Αδὰμ ἐπλάττετο. καὶ ὅτι πρὸς τοῦ δευτέρου Αδὰμ αὐτὸς οὗτος ἀνεπλάττετο, συνημμένα ἦν· ταῦτα δὲ σπανίως εἴωθε συμπίπτειν. διὸ καὶ οἱ λεγόμενοι ἐμβόλιμοι μῆνες εἰσαγόμενοι τὴν περὶ τὸν καιρὸν τοῦ πάσχα ποιοῦσιν ἀνωμαλίαν· ἐπιζητοῦμεν γὰρ ἐπὶ τῷ σωτηρίῳ πάθει, προηγουμένως μὲν ὡς δεδήλωται, τὴν σελήνης ιδ΄. μετ' ἰσημερίαν εἶναι· εἰ γὰρ μικρὸν οὖν φθάσειε ταύτην νόμος ὁ παρ' ἡμῖν θεῖος τὸν μὲν σεληνιακὸν ἐκεῖνον μῆνα παντάπασιν ἀθετεῖν· πρὸς δὲ τὴν ιδ΄. τοῦ ἑξῆς ἀπαντᾶν, ἔπειτα κυριακῇ τὸ πάσχα τελεῖν, καὶ τοῖς Ιουδαίοις μὴ συνεορτάζειν, οὗ χάριν καὶ εἴγε κυριακῇ τὸ Ιουδαϊκὸν πάσχα συνέλθῃ εἰς τὴν ἑξῆς, ἡμεῖς ὑπερτιθέμεθα τὸ ἡμέτερον. ἥτις καθαρὰ δήπου καὶ ἐλευθέρα τῆς τῶν Ιουδαίων ἔσται τελετῆς.

A Fuit igitur, quando Deus ex non eſſe ad eſſe mundum eduxit, à die primo uſque ad ſextum juſtum æquinoctium, die, atque etiam nocte nè minimùm quidem aliâ aliam ſuperante. Quamvis enim dies quartus luminarium creationem lætus viderat, nondum tamen illis datum erat annuam revolutionem, quod nunc in naturâ fit, peragere. Namque Sol primum ſtatim cardinem æquinoctialem ſubiens, in gradu primo Arietis ſubſtitit, Luna verò in parte per diametrum oppoſitâ illicò diſtabat, cardinem autumnalem, æquinoctialem quidem, ſive Libram intrans, neque omninò ante Solem proſiliens, B quantum die illo moveri licuit. Quippe haud aliter fieri potuit, ut plenum jubar exactè ſervaret, (quatenus Deus nobis oſtendit ſemet à principio imperfectum nihil feciſſe,) iſta licet portio quæ ad nos convertitur, in totum quidem illuminata, propter motûs varietatem varias etiam phaſes nobis exhibeat. Idcirco ambo luminaria æquabiliter, ſeu potiùs invariatè unà cum univerſo circumacta, quaſi rerum creandarum finem ac conſummationem expectabant. Die autem ſexto manu divinâ formatur homo, æquinoctio adhuc pulchrè effulgente, lunâque ſplendoris copiâ fere pari Solem contra enitente. C Haud enim æquum erat, primum hominem ante æquinoctium creari, (cum jam tenebris obruerentur omnia) qui propter magnam ſui cum luce cognationem, etiam ab iſtis qui alieni fuerunt à pietatis luce, φῶς non ſine ratione appellatus eſt: ſed luminaria mundi, (qui mox ſubjici debuit,) jam primum ſtipantia inſtar ſatellitum hunc qui ſtatim creationis imperium ſuſcepturus fuit, (quandoquidem & mox tempus aliter ordinari oportuit,) diem ac noctem, quæ tum acciderunt, ex paritate inchoare opus fuit: quoniam hæc naturâ prior eſt inæqualitate, ſicuti habitus privationibus: Ita quidem Deus noſmet docuit æqualitatis D legem, in quâ ipſa virtutis ratio conſiſtit, omni nimietate & inæqualitate antiquiorem eſſe. Dein verò poſt ſeptimum diem luminaribus quaſi à carceribus excurrere incipientibus, nec tamen ita à naturâ comparatis, ut æquali celeritate moverentur, anomalia quædam irrepit. Quia tamen hominis lapſum per peccatum Deus ex gratiâ ſuâ correctum ac emendatum voluit, æquum erat in æquinoctiali anni principio, circa quod primùm homo lapſus eſt, etiam reſtitutionem ejus parari: imò verò, quoniam tum lucem pietatis auctam ire oportebat, tenebraſque adeò impietatis imminutas, ſalutare Paſcha non E ſine ratione ante æquinoctium celebratur, quando creſcit lux diurna, noctis decreſcunt tenebræ. Non accidit autem quotannis propriè-dictum Paſcha: nam ut hoc fiat, multa unà concurrere debent. Non ſolùm enim requiſitum quotannis plenilunium, quod dies decimus quartus præbet, cum æquinoctio concurrere opus; ſed & feriam ſextam & diem Martii tertium poſt viceſimum coincidere, ut conjuncta ſint adeò tempora cùm primus Adam lapſus erat, atque cùm idem ille per ſecundum Adamum reſtitutus. Hæc autem perrarò uno eodémque tempore obtingere ſolent. F Quare & menſes adjectitii, quos introducunt, vocantque, circa tempus Paſchatis anomaliam pariunt. Imprimis enim requirimus ad ſalutare Paſcha, ut Luna decima quarta poſt æquinoctium contingat: nam ſi vel minimùm præceſſerit, volunt leges ſacræ apud nos menſem illum Lunarem penitùs rejicere, at ad diem decimum quartum menſis ſequentis procedere, atque demum Dominicâ proximâ Paſcha celebrare, at verò unà cum Judæis nullo modo feſtum agere. Quamobrem etiamſi Judaicum Paſcha in diem Dominicam incidat, noſmet in proximè ſequentem noſtrum differimus, quæ quidem pura ſit ac Judaicæ obſervationis libera.

A Quoniam igitur his de cauſis anomalia oritur, circa feſtum Paſchale à proprio menſis die ut plurimùm aberramus. Suſtinuit enim Dominus paſſionem ſalutarem anno 5539. currente, Sole tum xxiii. cyclum tranſeunte, Luna verò decimum: atque Judæi quidem Paſcha Judaicum agebant ſeptimanæ die ultima, ut teſtantur Evangeliſtæ, qui magnam vocant diem illam Sabbati; die verò Martii vigeſima quarta. Dein poſtridie ſuccedente Dominicâ, quæ Soli eximiè tribuebatur, & in vigeſimum quintum Martii conſequenter deſinebat, intelligens ille Juſtitiæ Sol Chriſtus de ſepulchro exoriebatur. Quoniam igitur Paſcha B legale, quod, ut dictum eſt, decima quartâ Lunâ poſt æquinoctium celebratur, à die xxi. Martii uſque ad xxviii. Aprilis divagari ſolet: noſtrum verò Dominicâ proxime ſequente obtinet, atque etiam Sol cùm dierum tum ſeptimanarum arbiter ſit, utriuſque adeò luminaris cyclos ſupputantes propoſitum facillimè indagamus. Idpropter cycli conſtituebantur Lunæ quidem xix. Solis verò xxviii. Cycli autem Lunæ à Januario, quaſi juxta naturæ legem initium ſumunt, ita & fundamentum ejus. Solis verò cycli à principio Octobris incipiunt.

C Non autem inopportunum reor etiam iſtarum rerum cauſas enarrare.

Quare Cycli Lunares ſint numero xix.

Ad xix. igitur cycli Lunæ uſque aſcendunt, atque hâc ratione menſis Lunaris juxta rotundum calculum eſt dierum xxix. cum ſemiſſe: adeóque in ſpatio annuo duodecim menſes Lunares conficiunt dies cccliv. quæ à ccclxv. diebus cum quadrante, quos Sol motu ſuo annuo peragit, diebus undecim cum quadrante differunt. Novemdecim autem revolutionum Solarium D tempus, quod dies quidem efficit 6939. unà cum ſemiſſe & quadrante, menſes duodecim Lunares in ccxxviii. explicat, ſive dies 6726. atque inſuper dies quos diximus ſuperfluos ſive xi. cum quadrante in alios menſes Lunares ſeptem, ſive dies ccvi. cum ſemiſſe. Dies verò ſeptem cum quadrante, qui adhuc redundant, in integro cyclo Enneacaidecaeteridis ſupputantur, ut mox oſtendetur. Quoniam enim juxta Ptolemæum menſis Lunaris non tantum diebus xxix. conſtat, atque xxx. minutis primis, ſive diei dimidio, ſed inſuper minuto uno cum ſemiſſe ac parte tertiâ unius minuti, hoc eſt, minuto uno, & ſecundis l. Quod ille quidem oſtendit per menſes qui integri decurrunt inter binas Eccliſes: Iſthæc nim. minu E tum unum, & ſemiſſis & parte tertiâ unius in jam dictis ccxxxv. revolutionibus Lunæ aſcendunt ad minuta prima ccccxxx. & ſecunda l. quibus ordine diviſis ccccxx. reddunt dies vii. at reſidua minuta prima x. & ſecunda l. efficere nequeunt diei quadrantem, deſunt enim minuta prima quatuor, & x. ſecunda; quod & ratio exigit, quatenus cuilibet Enneacaidecaeteridi deſunt, ſicuti Ptolemæus demonſtravit, minuta prima iii. & ſecunda xxxvii. Quod verò adhuc deſiderantur unum primum minutum, & ſecunda xxvii. neque hoc ratione caret. Non enim exactè congruit cum cyclo annuo quadrans iſte diei, ſed parte trecen F teſſimâ diſcrepat, uti alibi diximus. Idcirco cyclus Lunaris ex neceſſario tantùm in xix. annis quantus ſit innoteſcit: quippe exceſſus ille qui in annis Lunaribus reperitur, ſpatio xix. annorum ad eaſdem completas revolutiones redit, efficitque dictas periodos ccxxxv. prorſus completas nihilque ſuperflui habentes, prout cyclus ille requirit. Hoc vocarunt autem temporis periodum, quatenus ad unam revolutionem redigat differentias, quę in motibus luminarium obſervantur.

A ἀνωμαλίας οὖν διὰ ταῦτα περὶ τὴν ἑορτὴν γινομένης τοῦ πάσχα, τῆς κυρίας τοῦ μηνὸς ἡμέρας ἐπὶ τὸ πλεῖστον διαμαρτάνομεν. ὁ γὰρ κύριος τὸ σωτήριον ὑπῆλθε πάθος ,εφλθʹ. ἔτους ἐνισταμένου, τρίτον μὲν καὶ εἰκοστὸν τοῦ ἡλίου κύκλον διανύοντος, δέκατον δὲ τῆς σελήνης. καὶ οἱ μὲν Ἰουδαῖοι τὸ Ἰουδαϊκὸν εἶχον πάσχα τελευταίᾳ μὲν τῇ ἑβδομάδος ἡμέρᾳ, ὥς φασιν οἱ εὐαγγελισταί, μεγάλην ἀποκαλοῦντες τὴν ἡμέραν ἐκείνην τοῦ σαββάτου, τετάρτῃ δὲ τοῦ Μαρτίου καὶ εἰκοστῇ· τῆς δὲ ἐπιούσης κυριακῆς, ἥτις τῷ ἡλίῳ ἀφώρισται κατεξαίρετον, καὶ εἰς τὴν κεʹ. ἀκολούθως τοῦ Μαρτίου ἐτέλει ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος Χριστὸς ἐκ B τοῦ τάφου ἀνέτειλεν. ἐπεὶ τοίνυν τὸ νομικὸν ὡς εἴρηται πάσχα, ιδʹ. τῆς σελήνης μετ' ἰσημερίαν τελεῖται ἀπὸ τῆς καʹ. τοῦ Μαρτίου μέχρι τῆς ιηʹ. τοῦ Ἀπριλλίου εἰωθὸς ἐκπίπτειν· τὸ δὲ ἡμέτερον, τῇ μετὰ τοῦτο κυριακῇ· δημιουργὸς δὲ τῶν ἡμερῶν τε καὶ ἑβδομάδων ὁ ἥλιος, ἀμφοτέρων τῶν φώτων τοὺς κύκλους διαμετρούμενοι, τὸ προκείμενον ἐκ τοῦ ῥᾴστου θηρῶμεν. κύκλοι τοίνυν ἐτέθησαν, τῇ μὲν σελήνῃ, ιθʹ. καὶ ὀκτὼ τοῦ ἡλίου. κἀκεῖνοι ἀπὸ τοῦ Ἰαννουαρίου νόμῳ φύσεως ἄρχονται· ὥσπερ δὴ καὶ ὁ ταύτης θεμέλιος. οἱ δέ γε τοῦ ἡλίου τὴν ἀρχὴν τοῦ Ὀκτωβρίου ἔχουσιν ἀρχήν.

C Οὐδέτερον ἀλόγως οἶμαι, εἰ καὶ τὰς αἰτίας τούτων ἔργων διεξελθεῖν.

Διατί ιθʹ. τῆς σελήνης εἰσὶ κύκλοι.

Μέχρι μὲν οὖν ιθʹ. οἱ τῆς σελήνης ἀναβιβάζονται κύκλοι· διὰ τοῦτον τὸν τρόπον ὁ σεληνιακὸς μὴν πῶς κατὰ τὸ πρόχειρον, δι' ἡμερῶν γίνεται κθʹ. καὶ ἡμισείας, ταύτῃ τοι καὶ κατ' ἐνιαυτὸν οἱ τῆς σελήνης ιβʹ. μῆνες, εἰς ἡμέρας ποσοῦνται τνδʹ. ἐνδεουσῶν πρὸς τὰς τξεʹ. καὶ τοῦ τεταρτημορίου τῆς ἡμέρας, ἃς ὁ ἥλιος κατ' ἐνιαυτὸν ποιεῖται ἡμερῶν D ιαʹ. καὶ δʹ. ἐννεαδεκάκις δὲ τῇ ἡλιακῇ κινήσει γινόμενος ὁ ἐνιαυτὸς καὶ ποιῶν ἡμέρας ,ϛϡλθʹ. πρὸς τῷ ἡμίσει καὶ τετάρτῳ· τοὺς μὲν ιβʹ. σεληνιακοὺς μῆνας εἰς σκηʹ. περιΐστησιν ἐν ἡμέραις ,ϛψκϛʹ. τὰς δὲ εἰρημένας περιττὰς ἡμέρας, ἤτοι τὰς ιαʹ. καὶ τὸ δʹ. εἰς ἑτέρους σεληνιακοὺς μῆνας ἑπτά, ἔχοντας ἡμέρας, σϛʹ. καὶ ἡμίσειαν. ἔτι δὲ εὑρίσκονται περιττεύουσαι ἡμέραι ζʹ. καὶ δʹ. ἀλλὰ καὶ αὗται τῇ τοῦ κύκλου τῆς ἐννεακαιδεκαετηρίδος ὁλότητι συνυπάγονται, ὡς δειχθήσεται. ἐπεὶ γὰρ κατὰ τὸν Πτολεμαῖον οὐχὶ κθʹ. ἡμερῶν, καὶ λʹ. πρώτων λεπτῶν μόνον, ἤτοι ἡμίσεως ἡμέρας, ὁ σεληνιακὸς γίνεται μήν, ἀλλὰ καὶ ἑτέρου λεπτοῦ ἑνὸς ἡμίσεως καὶ γʹ. ἤγουν ἑνὸς αʹ. καὶ νʹ. δευτέρων, καὶ τοῦτο ἀποδείκνυσι διὰ τῶν γινομένων ὅλων μηνῶν ἀπὸ ἐκλείψεως E εἰς ἔκλειψιν· ταῦτα τὸ ἓν λέγω λεπτῶν καὶ τὸ ἥμισυ καὶ τὸ γʹ. ἐν ταῖς εἰρημέναις σλεʹ. τῆς σελήνης περιόδοις ἀναβιβαζόμενα, ποιοῦσι λεπτὰ πρῶτα υλʹ. καὶ βʹ. νʹ. ἅπερ ἅπαντα ἐπὶ τάξιν μεριζόμενα, τὰ μὲν υκʹ. ποιοῦσιν ἡμέρας ἑπτά, τὰ δὲ ὑπολειπόμενα πρῶτα ιʹ. καὶ νʹ. δεύτερα οὐ δύνανται δʹ. ἡμέρας ποιῆσαι, λείπουσι γὰρ λεπτὰ πρῶτα δʹ. καὶ δεύτερα ιʹ. καὶ τοῦτο κατὰ λόγον, διὰ τὸ ἐνδεῖν ἑκάστῃ ἐννεακαιδεκαετηρίδι, ὡς ἀποδέδεικται τῷ Πτολεμαίῳ, λεπτῶν πρώτων τριῶν, καὶ δευτέρων, λζʹ. εἰ δὲ καὶ ἔτι λείπουσι λεπτὸν πρῶτον ἓν καὶ κζʹ. δεύτερα, οὐκ ἔξω λόγου καὶ τοῦτο· διότι οὐχὶ τέταρτον ἡμέρας ὁλόκληρον συναπαρτίζει τὸν ἐνιαύσιον F κύκλον, ἀλλὰ παρὰ τριακοσιοστὸν ἡμέρας, ὡς ἐν ἄλλοις εἰρήκαμεν· καὶ οὕτω μὲν ὁ σεληνιακὸς κύκλος ἐξ ἀνάγκης ἐν μόνοις γνωρίζεται ιθʹ. ἔτεσιν, ὡς καὶ τοῦ περιττεύοντος τῶν κατ' ἔτος σεληνιακῶν περιόδων, διὰ ιθʹ. μόνων ἐτῶν εἰς τὰς τοιαύτας ἐντελεῖς περιόδους ἀναβιβαζομένου, καὶ πάσας τὰς εἰρημένας σλεʹ. ποιοῦντος πάντη ἀνελλιπεῖς καὶ μηδέν τι λοιπὸν ἐχούσας περιττόν· ὥσπερ ἦν τῷ κύκλῳ τούτῳ σκοπός. ἐκάλεσαν δὲ τὸν χρόνον τοῦτον περιοδικὸν ὡς εἰς μίαν ἀποκατάστασιν ἄγοντα τὰς διαφορὰς, τῶν κινήσεων τῶν φώτων ἀμφοῖν.

Διὰ

A

Διὰ τί εἰσιν κη΄. οἱ τοῦ ἡλίου κύκλοι.

Εἰς κη΄. δὲ κύκλους ἄνεισιν ὁ τοῦ ἡλίου δρόμος· ὅτι αἱ τξε΄. ἡμέραι δ΄. τοῦ χρόνου ποιοῦσιν ἑβδομάδας νβ΄. καὶ περιττεύει καθ' ἕκαστον χρόνον ἡμέρα μία, καὶ μετὰ δ΄. αὖθις ἡμέρα μία· ὅθεν καὶ ζητοῦντες εὑρεῖν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως τὴν τῆς ἑβδομάδος ἡμέραν, καθ' ἕκαστον κύκλον αὐτοῦ, ἡμέραν μίαν προσλαμβανόμεθα, καὶ μετὰ δ΄. χρόνους χάριν τοῦ βισέκτου ἑτέραν μίαν· καὶ συμπεσοῦντος τὴν ζητουμένην ἡμέραν εὑρίσκομεν. αἱ οὖν περιττεύουσαι αὗται, ἐν οὐδενὶ ἑτέρῳ B χρόνῳ, ὁλοκλήρους ἑβδομάδας ἀπαρτίσαι δύνανται· ὡς ἐν τῷ τέλει τοῦ χρόνου καὶ τέλος ἑβδομάδος προστεθῆναι εἰ μὴ ἐν τῷ κη΄. κύκλῳ· αἱ γὰρ κη΄. ἡμέραι, ἑβδομάδες γίνονται δ΄. καὶ κη΄. τέταρτα τῶν ἡμερῶν, ἑβδομὰς αὖθις μία, ὅπερ ἐν ἑτέρῳ οὐχ οἷόν τε συμβῆναι κύκλῳ, εἰ μὴ ἐν τῷ κη΄. ἢ ἐν τῷ δὶς κη΄. ἢ τρὶς κη΄. καὶ ἑξῆς. ἐὰν δὲ ἐπέκεινα τῶν ιθ΄. τῆς σελήνης κύκλων ἢ τῶν κη΄. τοῦ ἡλίου ἐθελήσωμεν ἐκτεῖναι τὸν ἀριθμὸν, εὑρεθήσεται τὸ ζητούμενον ἐν τοῖς ἐπέκεινα κύκλοις, ὡς καὶ ἐν τῷ α΄. ἢ δευτέρῳ, ἢ τρίτῳ κύκλῳ ἐπεγινώσκετο.

Quare Cycli Solis ſunt xxviii.

Solis autem curſus in cyclos xxviii. porrigitur, quoniam anni dies ccclxv. cum quadrante colligunt ſeptimanas lii. & redundat quotannis dies una: & poſt alios deinceps quatuor, unus dies: unde cum indagare lubet ex motu Solis diem ſeptimanæ, pro quovis cyclo Solari, diem unam addimus, & poſt quatuor annos propter biſſextum aliam: atque ita (cycli) currentis quæſitum diem invenimus. Dies autem redundantes in nullo alio anno integras ſeptimanas explere queunt, ita ut in finem anni ſeptimanæ etiam finis incidat, præterquam in illo xxviii. cyclo. Nam dies xxviii. conſiunt ſeptimanæ quatuor, atque ex xxviii. quadrantibus dierum oritur ſeptimana una. Quod in alio cyclo contingere nequit, quam in xxviii. aut in bis xxviii. vel ter xxviii. & ſic deinceps. Sin vero placeat vel cyclum Lunæ xix. vel xxviii. Solis ultrà extendere, reperietur quæſitum in cyclis ſequentibus quâ ratione, in primo, aut ſecundo aut tertio cyclo innotuit.

C

Διατί ἀπὸ τοῦ Ιαννουαρίου οἱ τῆς σελήνης κύκλοι, καὶ θεμέλιοι ἄρχονται.

Ἀπὸ δὲ τοῦ Ιαννουαρίου μηνὸς τόν τε κύκλον τῆς σελήνης καὶ τὸν θεμέλιον ψηφίζειν ἀρχόμεθα, ὅτι τῇ μὲν δ΄. τῆς ἑβδομάδος ἡμέρᾳ ὅ, τε ἥλιος καὶ ἡ σελήνη τῷ δημιουργῷ λόγῳ εἰς τὸ εἶναι παρήχθησαν, τῇ δὲ ιε΄. δρόμῳ τοῦ κατὰ τὸν Μάρτιον μῆνα σεληνιακοῦ μηνὸς, ἄρτι πρῶτον ἀνατετάλκασιν, ἅ τε τῆς Ϲελήνης πεντεκαιδεκαταίας εὐθὺς καὶ τελείας ἀναφανείσης· μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ θεοῦ πεποιηκέναι θελήσαντος· ἵνα μετὰ τὸ δῦναι τὸν ἥλιον πρωῒ D ἀνατείλαντα, καὶ τὴν εἰς αὐτὸν ἐξουσίαν δοθεῖσαν ἡμέραν ὅλην καταφωτίσαντα· ὅλην καὶ αὐτὴ καταυγάσαι τὴν ὑπεξούσιον νύκτα. ἀπὸ τῆς ιε΄. οὖν τοῦ Μαρτίου ἄχρις ὅλου τοῦ Δεκεμβρίου, μῆνες διέρχονται ἡλιακοὶ μὲν θ΄. καὶ ἥμισυς, διαφόρους ἡμερῶν ἕκαστοι ποσότητας ἔχοντες. οἱ δὲ τῆς Ϲελήνης δι' ἡμερῶν ἀεὶ γινόμενοι κθ΄. καὶ ἡμισείας, οὐ μόνον μῆνες ὁρῶνται τοσοῦτοι, ἀλλὰ πρὸς τούτοις καὶ ἡμέραι περιττεύουσιν ια΄. ὁ γὰρ Ιαννουάριος καὶ ὁ Φεβρουάριος συντιθέμενοι, οὐδὲν πλέον φέρουσι σεληνιακῶν δύο μηνῶν. ἐπεὶ οὖν τῇ τοῦ Ιαννουαρίου α΄. ὁ περιττεύων τῶν ια΄. ἡμερῶν ἀριθμὸς, σαφῶς ἀνεφάνη, μετὰ τὸν ἀπαρτισμὸν τοῦ E τελείου τῆς Ϲελήνης κύκλου, ἀναγκαίως ἀπὸ τοῦ Ιαννουαρίου ὅ, τε κύκλος αὐτῆς, καὶ ὁ περιττεύων ἀριθμὸς ἄρχεται, θεμέλιος τῶν ἡμερῶν τοῦ ἑξῆς αὐτῆς κύκλου, καὶ ὢν, καὶ καλούμενος.

Quare Lunæ Cycli & Fundamenta à menſe Januario incipiant.

A Januario autem cyclum & fundamentum etiam Lunæ computando incipimus, quoniam quartâ ſeptimanæ die, primum ſummi opificis verbo creati fuerunt Sol & Luna, die verò xv. menſis Martii (menſem intellige Lunarem) primùm exoriebantur. Luna ſcilicet tum decimaquinta ac plena effulſit: (ita Deus nihil quicquam à principio imperfectum creari voluit) ut poſt Solis occaſum qui mane ortus fuerat, & totum diem ſibi commiſſum illuſtraverat, Luna noctem ſibi demandatam totam illuminaret. Idpropter à xv. Martii uſque ad Decembrem completum, reperiuntur menſes Solares ix. cum dimidio, qui quidem quoad numerum dierum inter ſe variant: menſes verò Lunares, qui perpetuò ſunt dierum xxix. cum ſemiſſe, non ſolùm ſunt numero totidem menſes, ſed accedunt inſuper dies xi. Nam Januarius & Februarius ſimul ſumpti conſtituunt exactè duos menſes Lunares. Quoniam igitur primo die Januarii undecim iſte dierum exceſſus evidenter apparet, qui poſt exactum totum cyclum Lunæ, neceſſariò à Januario, & cyclus ejus & numerus redundans incipiunt, qui fundamentum dierum reliqui cycli Lunæ & eſt & appellatur.

Διά τι ἀπὸ τοῦ Ὀκτωβρίου οἱ κύκλοι τοῦ ἡλίου ἄρχονται.

Ἀπὸ δὲ τοῦ Ὀκτωβρίου τὰς τῶν κύκλων τοῦ ἡλίου φαμὲν ἄρχεσθαι περιόδους, ὅτι τῷ ιε΄. δρόμῳ τοῦ Μαρτίου F μηνὸς, ἀνατείλαντος τοῦ ἡλίου, μέχρι τοῦ Ὀκτωβρίου μηνὸς ἐνηλλαγμένως αἱ τῶν μηνῶν ἡμέραι πρὸς τὰς τῆς ἑβδομάδος ἐφέροντο· τῇ δὲ α΄. τοῦ Ὀκτωβρίου εὑρεθείσης καὶ τῆς ἑβδομάδος, ἐν τῇ α΄. τῶν αὐτῆς ἡμερῶν, ἐκεῖθεν καὶ ἀρχόμεθα. οὐδεὶς γὰρ τῶν μηνῶν ἕτερος ὅτι μὴ μόνος ὁ Ὀκτώβριος, κατὰ τὴν α΄. τῶν αὐτοῦ ἡμερῶν, τῇ α΄. τοῦ ἡλίου περιόδου τὴν α΄. τῆς ἑβδομάδος ἔχει συμπίπτουσαν, ἐκ τούτου τοίνυν ἀρχόμενοι, ἑκάστου τῶν ἑξῆς μηνῶν τὰς μὲν κη΄.

Quam ob cauſam Cycli Solis ab Octobri incipiant.

Ab Octobri autem cyclorum Solarium Revolutiones inchoari dicimus, quia à die decimo quinto Martii exoriente Sole, uſque ad Octobrem menſem dies menſium cum diebus ſeptimanæ permutatim decurrunt: die autem primo Octobris, repertâ etiam ſeptimanâ in primo iſtius die, inde & exordimur. Nam præter Octobrem nullus alius menſis in primâ Solis periodo primam ſui diem cum primo die ſeptimanæ coincidentem habet. Ab iſto igitur menſe incipientes, reliquorum ordine menſium dies xxviii.

omittimus, utpote integros menſes conſtituentes; dies verò qui ſuperſunt, accipimus, donec ad illum, quem quærimus, perveniatur. Quod autem hoc contingat in primo cyclo revolutionis Solaris, facile ex eo intelligitur, quod à die xv. Martii, quo Sol quidem creatus eſt, uſque ad Septembrem exactum, numerentur cum tribus illis, qui Solem natum præceſſerant, dies cciii. Iſti conſtituunt ſeptimanas ix. poſt viginti; quippe ſepties xx. dant cxl. & ſepties ix. lxiii. adeóque primus dies Octobris in primum ſeptimanæ diem incidit.

A ἡμέρας ἐάσωμεν, ὡς ὁλοκλήρους ἑβδομάδας ἀπαρτιζούσας, τὰς δὲ ἐπέκεινα τούτων λαμβάνωμεν, ἕως ἂν εἰς τὴν ἡμέραν ἔλθωμεν περὶ ἧς τὴν ζήτησιν ἔχομεν. ὅτι δὲ κατὰ τὸν πρῶτον τῆς δημιουργίας τοῦ ἡλίου κύκλον οὕτω συνήντησε, καταμαθεῖν ἔνεστιν ἀπὸ τῆς ιε΄. τοῦ Μαρτίου, ἐν ᾗ τὴν γένεσιν ἔσχεν ὁ ἥλιος, μέχρις ὅλου τοῦ Σεπτεμβρίου, μετὰ τῶν πρὸ τοῦ ἡλίου τριῶν ἡμερῶν ἡμέραι γίνονται σγ΄. ἅτινες ποιοῦσιν ἑβδομάδας θ΄. καὶ εἴκοσιν. ἑπτάκις γὰρ τὰ κ΄. ρμ΄. καὶ ἑπτάκις τὰ θ΄. ξγ΄. λοιπὸν ἡ πρώτη τοῦ Ὀκτωβρίου ἐγένετο καὶ α΄. τῆς ἑβδομάδος.

B

Quomodo reperitur Cyclus Lunæ.

Quando tamen Lunæ cyclum invenire volueris, datum annum manuum digitis cape, & ſupputa. Statuatur autem, exempli gratia, præſens hic annus 6843. Quoniam reſpectu xix. cyclorum Lunæ pariter ſeſe habent numeri 190. & 1800. ſubtrahe ter 190. ex 6843. dein ex reſiduo 1143. demeſexies 190. relinquentur 3. pro cynorem, ſeuclo Lunæ. Vel, ſi placet, ſerva ſolùm numerum mxliii. quibus adjice xvii. quæ quidem ſuperſunt poſt proximè lapſam Hecatontaeteridem: & hanc ſummam, puta lx. divide per xix. reſidua iii. oſtendunt planè cyclum Lunæ.

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται κύκλος.

Ἀλλ' ἤν γε τὸν τῆς σελήνης κύκλον εὑρεῖν ἐθελήσειας, τοῖς δακτύλοις τῶν χειρῶν τὸ ἐνιστάμενον ἔτος λάμβανε. κείσθω δὴ τὸ ἐφ' ἡμῶν ,ςωμγ΄. καὶ ἐπεὶ τὴν αὐτὴν ἀναλογίαν ἔχουσι τῷ ιθ΄. ἀριθμῷ τῶν τῆς σελήνης κύκλων, ὅ τε ρϟ΄. καὶ ὁ ,αω΄. ἄφελε πρῶτον ἐκ τρίτου τὸν ,αω΄. εἶτα τῶν μεινάντων ,αρμγ΄. ἀφελὼν ἑξάκις τὸν ρϟ΄. ἕξεις τὰ περιλειπόμενα γ΄. ἅπερ εἰσὶν ὁ κύκλος τῆς σελήνης. εἰ δὲ C βούλει, κράτησον τὸ μικρὸν ἔτος μόνον, ἤτοι τὰ μγ΄. πρόσθες καὶ τὰ ιζ΄. τὰ περισσεύοντα ἀπὸ τῆς παρελθούσης ἑκατονταετηρίδος, καὶ τὰ ὁμοῦ γινόμενα ξ΄. ὕφελε διὰ τοῦ ιθ΄. καὶ τὰ καταλειφθέντα τρία δηλοῦσι τρανῶς τὸν τῆς σελήνης τὸν κύκλον.

Quomodo invenitur Fundamentum Lunæ.

Hujus autem fundamentum accuratè tenebis, ſi modo undecuplaveris jam inventum Lunæ cyclum, & tum dies tres producto iſti adjiciens, illam ſummam diviſeris per xxx. Servabitur enim numerus reſiduus pro fundamento Lunæ. Ideò autem adjiciuntur tres iſti dies, quoniam in xix. annis completis, ut dictum eſt, non reverà reſtituuntur motus Lunæ in longitudinem, ſed deſunt unius diei minuta prima 3′. & ſecunda 37″. adeò ut in ſpatio annorum ccciv. cyclus Lunæ ferè die uno deficiat. Hanc ob cauſam anno mundi 5929. nullus dies acceſſit cycli Lunaris undecuplatione: inde verò ad annum 6233. dies unus adjiciebatur: & hinc porrò anno 6537. duo, indéque ad annum 6841. tres: atque deinceps juxta compar dicti temporis intervallum, quatuor dies accedent: Veruntamen præſente hoc tempore, ſi cyclum Lunæ xvii. & xviii. & xix. undecuplaveris & quatuor dies adjeceris, quem velis menſis Lunaris diem hoc pacto reperire poteris.

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται θεμέλιος.

Τὸν δὲ ταύτης θεμέλιον ἀκριβῶς εἴσῃ, ἐὰν τὸν ὃν D εὗρες αὐτῆς κύκλον ἑνδεκαπλασιάσας, καὶ τρεῖς ἡμέρας τούτοις προσθεὶς, ὑφέλῃς διὰ τοῦ λ΄. καὶ τὸν καταλειφθέντα ἀριθμὸν, ὡς θεμέλιον τῆς σελήνης κρατήσεις. αἱ δὲ τρεῖς αὗται ἡμέραι προστίθενται, διὰ τὸ μὴ ἀποκαθίστασθαι τὰς τῆς σελήνης κατὰ μῆκος παρόδους ἐν ὅλοις ιθ΄. ἔτεσιν, ὡς εἴρηται, ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ α΄. γ΄. καὶ β΄. λζ΄. ὥστε εἰς τδ΄. ἐνιαυτοὺς μίαν ἡμέραν ἔγγιστα τὸν κύκλον ἐλαττοῦσθαι τῆς σελήνης. διὰ δὴ τοῦτο διὰ μὲν τοῦ ,εϡκθ΄. ἔτους τοῦ κόσμου, οὐδεμία ἡμέρα τῷ ἑνδεκαπλασιασμῷ τοῦ κύκλου τῆς Ϲελήνης προσετίθετο, τὸ ἀπ' ἐκείνου δὲ ἄχρι τοῦ ,ςσλγ΄. μία προσετέθη, ἐντεῦθεν δὲ μέχρι τοῦ ,ςφλζ΄. ἔτους, β΄. αὖθις δὲ ἄχρι τοῦ ,ςωμα΄. τρεῖς· εἰσέπειτα δὲ κατὰ τὸ ἴσον τοῦ εἰρημένου χρόνου διάστημα, E τέσσαρες προστεθήσονται. πλὴν καὶ κατὰ τὸ παρὸν τὸν ιζ΄. τὸν ιη΄. καὶ τὸν ιθ΄. κύκλον τῆς Ϲελήνης ἑνδεκαπλασιάζων δ΄. ἡμέρας προσθήσεις· καὶ οὕτω τὴν ποστὴν τοῦ σεληνιακοῦ εὑρεῖν ἂν δυνηθείης μηνός.

De Cyclo Solis inveniendo.

Similiter & de Sole; annum jam currentem digitis accuratè computa, *viz.* 6843. & quoniam numerus xxviii. cyclorum Solis reſpondet & numero 280. & numero 2800. aufer bis 280. ex 6843. & ex manentibus 1243. rurſus deme quater 280. tum à reſiduis numeris 123. ſi auferas quater 28. manebit numerus

Πῶς ὁ τοῦ ἡλίου κύκλος εὑρίσκεται.

F Ωσαύτως καὶ διὰ τοῦ ἡλίου, κράτησον ταῖς χερσὶ τὸ τρέχον ἀρτίως ,ςωμγ΄. ἔτος. καὶ ἐπεὶ ὁ εἰκοστόγδοος τῶν κύκλων τοῦ ἡλίου ἀριθμὸς, ἀναλογεῖ τῷ τε σπ΄. καὶ τῷ ,βω΄. ἄφελε ἐκ β΄. τὸν ,βω΄. καὶ τῶν περιλειπομένων ,ασμγ΄. αὖθις ἄφελε τετράκις τὸν σπ΄. εἶτα τῶν μεινάντων ρκγ΄. τετράκις ἀφελόντος σου, τὸν κη΄.

ἀνεξάντλητος μένει, ὁ ια΄. ὅς ἐστιν ὁ τοῦ ἡλίου κύκλος. A inexhauſtus undecimus, qui Solis cyclus erit.

Ἄλλως.

Ἢ καὶ οὕτω, κράτησον τὰ μικρὰ ἔτη τῆς παρούσης ἑκατονταετηρίδος, ἤτοι τὰ μγ΄. πρόσθες καὶ τὰ καταλειφθέντα τῆς παρελθούσης κδ΄. καὶ τὰ ὁμοῦ γινόμενα ξζ΄. μέρισον ἐπὶ τὰ κη΄. καὶ τὰ τούτων ἐλάττονα, ια΄. ὁ κύκλος ἐστὶ τοῦ ἡλίου. ἀλλὰ γὰρ μηδὲ ταύτην ἀπαξιώσῃς τὴν μέθοδον, καὶ ῥᾷστα τὸν ἐπιζητούμενον κύκλον, καὶ ἀμφοτέρων συνήσεις τῶν φώτων. ὁ ιθ΄. κύκλος τῆς σελήνης, καὶ ὁ κη΄. κύκλος τοῦ ἡλίου, ἀλλήλοις πολυπλασιαζόμενοι, τὸν φ΄. καὶ λβ΄. συνάγουσιν ἀριθμόν, ἄλφα τισὶν ὀνομαζόμενον, παρὰ τὸ συνάγεσθαι τὴν αὐτὴν ποσότητα τοῖς ἐξ ὧν τὸ α. στοιχεῖον συγκεῖται. τούτῳ τοίνυν καὶ τὸ πλήρωμα τῶν κύκλων ἀκολούθως συνέρχεται, ὁ μὲν γὰρ εὐθὺς ιθ΄. ὁ τῆς σελήνης, ἤδη καὶ κ΄. ὁ τοῦ ἡλίου γίνεται. ἐκάλεσαν δὲ τοῦτον τὸν χρόνον περιοδικὸν ὡς εἰς μίαν ἀποκαταστασιν ἄγοντα τὰς διαφόρους ἀμφοτέρων τῶν φώτων. οὐκοῦν μέρισον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη ἐπὶ τὰ φλβ΄. οὕτως. ιβ΄. τὰ πεντακόσια ,ς΄. ιβ΄. τὰ λ΄. τξ΄. ιβ΄. τὰ β΄. κδ΄. ὁμοῦ ,ςτπδ΄. λοιπὰ υξα΄. πρὸς τὸ σήμερον τυχὸν ,ςωμε΄. ἔτος, καὶ ἂν μὲν τὸν κύκλον τῆς σελήνης ἐθέλῃς εὑρεῖν, μέρισον τὰ υξα΄. ἐπὶ τὰ ιθ΄. οὕτως. κ΄. τὰ ι΄. σ΄. κ΄. τὰ θ΄. ρπ΄. δ΄. τὰ ι΄. μ΄. τετράκις τὰ θ΄. λς΄. ὁμοῦ υνς΄. λοιπὰ ε΄. ταῦτα πέφυκεν ὁ τῆς σελήνης κύκλος. ἂν δὲ τοῦ ἡλίου ζητῇς οὕτως, δεκάκις τὰ κ΄. σ΄. δεκάκις τὰ κ΄. π΄. ς΄. τὰ κ΄. ρκ΄. ἑξάκις τὰ ὀκτώ, μη΄. ὁμοῦ υμη΄. λοιπὰ ιγ΄. ἃ δὴ πέφυκεν ὁ κύκλος τοῦ ἡλίου.

Aliter.

Vel etiam hoc modo, ſerva numerum minorem annorum currentis hecatontaeteridos, ſive xliii. & adjice annos, qui ſuperſunt de præteritâ, xxiv. ſummámque inde collectam lxvii. partire per xxviii. numerus poſt diviſionem reſiduus nempe undecimus, erit ipſe cyclus Solis. Sed nec iſta methodus reſpuenda eſt, B quâ nullo negotio utriuſque luminaris cyclum captes. Cyclus xix. Lunæ & cyclus xxviii. Solis in ſe invicem ducti numerum 532. producunt, quem nonnulli Alpha appellant, quia eadem ſumma ex iſtius vocis elementis conflatur. Cum illo igitur & complementum cyclorum perpetuò concurrit: nam xix. protinus Lunæ cyclus fit, & xxviii. cyclus Solis. Tempus autem illud periodicum vocabant, quia ad unam originem utriuſque luminaris motus diverſos reſtituit. Dividantur ideò anni ab orbe condito per 532. in hunc modum: duodecim ducta in 500. faciunt 6000. & in 30. C 360. & in 2. 24. ex quibus conſit ſumma 6384. Reſidua poſt diviſionem ſunt, 461. Jam ſi cupias pro præſenti anno 6745. Lunæ cyclum adinvenire, divide 461. per xix. in hunc modum, xx. ducta in x. producunt cc. & in ix. clxxx. itémque iv. in x. xl. & in ix. xxxvi. hoc eſt, ſimul 456. Reſidua poſt diviſionem, nim. v. ſunt ipſe Lunæ cyclus. Cyclum autem Solis hoc modo indagabis, x. in xx. efficiunt cc. in viii. lxxx. atque vi. in xx. cxx. & vi. in viii. xlviii. Quorum ſumma 448. Reſidua verò xiii. cyclum Solis monſtrant.

Πῶς εὑρίσκεται ἡ ἴνδικτος.

Οὕτω καὶ ἐπὶ τῆς ἰνδίκτου ποίει· τὰ μὲν ἀπὸ κτίσεως κόσμου ἔτη ἀναλύων ἐπὶ τὰ ιε΄. τὰ δὲ μικρὰ μετὰ προσθήκης ἐτῶν ε΄. μερίζων αὖθις ἐπὶ τὰ ιε΄. εἰ γὰρ καὶ τοῖς τὰ ἑλλήνων φρονοῦσι ῥωμαίοις, ἐξεύρηται τὸ τῆς ἰνδίκτου καὶ ἐπινεμέσεως ἔθος, διὰ τὸ φανερῶς ἐπὶ τοσούτοις ἐναλλάττειν χρόνοις τὰς τῶν ἀνθρώπων ἡλικίας, ἀλλ' ἔλαθον ἑαυτοὺς καὶ οὗτοι τῇ ἀληθείᾳ συνενεχθέντες, καὶ τοῖς ὑπὸ μεγάλῳ Μωσεῖ ἀναγεγραμμένοις ἀπὸ κτίσεως κόσμου συμφθεγγόμενοι χρόνοις.

D *Quomodo invenitur Indictio.*

Pro indictione etiam captandâ hoc modo operare. Annos ab orbe condito divide per xv. & annos minores additis quinque rurſus partire per xv. Etſi enim apud Romanos, qui Gentilem ſuperſtitionem ſapiebant, obtinuit indictionis & ἐπινεμέσεως ritus, quoniam juxta id temporis intervallum inſigniter immutantur hominum ætates, neſciebant tamen ipſi ſemet ad veritatem accedere, & quoad annos ab orbe condito cum magno Moſe conſentire.

Πῶς τὸ νομικὸν εὑρίσκεται πάσχα.

Ἀλλὰ καὶ ἐπὶ τὴν εὕρεσιν ἤδη τοῦ νομικοῦ ἴωμεν πάσχα. ἐνδεκαπλασίασον τὸν τηνικαῦτα διϊππεύοντα τῆς σελήνης κύκλον, προστίθει τούτοις, ἡμέρας ἕξ, τὰς συνισταμένας ἐκ τοῦ εἰρημένου λεπτοῦ ἑνὸς καὶ ἡμίσεως, καὶ γ΄. ἅπερ κατ' ἐπέκεινα τῶν κθ΄. καὶ ἡμίσεως ἡμερῶν ἔχων, δέδεικται ὁ τῆς σελήνης μηνιαῖος κύκλος. τὰς δὲ ἑτέρας τρεῖς εἰς ἀναπλήρωσιν τοῦ ν΄. ἀριθμοῦ. ἀπὸ δὲ τοῦ ιζ΄. κύκλου μέχρι τοῦ ιθ΄. ἡμέρας προσθήσεις ἑπτά· πλείων γὰρ ἡ ἐκείνων ποσότης ἐν τούτοις συνάγεται. καὶ ἑνώσας ἁπάσας, ἔκβαλε τὰς λ΄. καὶ τὰ περιλειφθέντα ἥττονα τῶν λ΄. κάτασχε μόνα· καὶ τούτοις προστίθει τὰς τοῦ Μαρτίου ἡμέρας, μέχρις ἂν εἰς τὸν ν΄. ἔλθῃς ἀριθμόν. εἰ δὲ οὐκ ἀρκέσουσιν αἱ τοῦ Μαρτίου πᾶσαι, πρόσθες καὶ ἀπὸ τοῦ Ἀπριλλίου, καὶ κατ' ἐκείνην τὴν ποσὴν τοῦ μηνός, ἥτις ἀνεπλήρωσε τὸν ἀριθμόν, ἴσθι τὸ νομικὸν γινόμενον πάσχα.

E *Quomodo reperitur Paſcha legale.*

Pergamus autem ad Paſcha legale inveniendum. Cyclum Lunæ jam currentem undecuplato: quibus addantur dies ſex, qui ex dicto minuto uno cum ſemiſſe ac parte tertiâ conſiunt, quas particulas menſtruum Lunæ cyclum ultra xxviii. dies cum ſemiſſe habere jam oſtenſum eſt. Alios autem tres dies ad complendum numerum l. adjicies, imò à cyclo xvii. ad xix. ſeptem dies: F nam in illis cyclis plures requiruntur. Dein ex omnium aggregato abjice dies xxx. & duntaxat reſervato reſidua minora quàm xxx. quibus addantur tum dies Martii, donec ad numerum l. perveneris. Sin verò omnes Martii dies minimè ſufficiant, adde & ex Aprili uſque ad illum diem, qui numerum iſtum adimpleverit, ita dabitur Paſcha legale.

Aliter. Uti poteris, ut placet, & hâc methodo. A Adde fundamento Lunæ in die primo die Januarii reperto Epactas tres: (at ſi Luna cyclum xvii. attigerit, inde ad xix. uſque Epactas quatuor fundamento adjicies.) Et ſi numerus fuerit major xxx. detrahe xxx. & appone reſiduis porrò à primo die Januarii, dum numerus l. compleatur. Si verò dies Martii numero complendo non fuerint: cæteros ex Aprili adadjunge, uſque illum diem qui l. numerum perfecerit: ſciáſque hoc ipſum eſſe Paſcha ſecundùm legem celebrandum.

Adhuc aliter. Hoc etiam modo, ſi velis; Lunæ B fundamentum in primo die Januarii menſis repertum ſervato; huic adde ex diebus Martii, uſque dum fiant dies xlvii. vel ſi illi ſoli haud faciant ſatis, adnecte ex diebus Aprilibus: atque etiam cùm Luna in cyclo xvii. procurreret, numerato dies xlviii: ſciáſque id tempus Paſchati legali debitum. Quando autem cunque Lunæ fundamentum plus quam xxvi. dies habuerit, ne capias omnes dies Martii, ſed unum ſolùm atque ex Aprili xlvii. dies perficito.

Hoc præterea te ſcire expedit, puta plenilunium C circa Paſcha legale in numero xlv. reperiri: Sic enim completur unus menſis Lunaris cum ſemiſſe. Similiter & in reliquis methodis prædictis, quæ conficiunt numerum l. non die l. ſed xlviii. Luna decreſcere incipit. Hujus autem anomalia, ut dictum eſt, etiam duos alios dies poſcit, adeoque colligitur hinc xlvii. inde numerus l.

De Paſchate Chriſtiano adinveniendo.

Sic quidem reperire licet, quonam menſis die legale D Paſcha contingat: opus autem eſt ut intelligas quinam etiam ſeptimanæ dies cum iſto concurrat, adeò ut exinde procedens ad diem Dominicum & diem illum menſis hæc rurſus accipiens, tempus Paſchatis Chriſtiani celebrandi dignoſcas. Sume igitur cyclum Solis, eique Epactas quas diximus adjice, nim. pro quovis quadriennio unam, quæ ſint Epactæ biſſextiles, tum etiam xi. illas menſium quatuor, *viz.* ab Octobri uſque ad Januarium, ubi menſis xxx. diebus conſtat, duas: tres autem à menſe dierum xxxi. ſed à Februario nè accipias; hic enim penitùs abſorbetur: & ſemper in Martio reperitur Paſcha legale. E Cape & dies uſque ad illud Paſcha. Si verò in Aprili, accipe & ex Martio ſolùm tres dies; & ex Aprili quot eouſque haberi contingat; & collige in ſummam omnes, quam divide per vii. tum ſi una dies remanſerit, Dominica erit, ſi duo, feria ſecunda, ſi tres, tertia, & ſic deinceps per ſeptem: & oportet à ſingulis ad Dominicam procedere. Illo autem die menſis, in quo Dominica incidit, dico Chriſtianum Paſcha contingere.

Quonam pacto reperiatur Carniſprivium.

F

Poſtquam diem menſis adinveneris, quo Paſcha Chriſtianum contingit, illi adjice alios tres dies: imò quatuor, ſi annus fuerit biſſextilis: & ſi illorum ſimul ſumptorum numerus in Martium cadat, exquire carniſprivium ad eundem numero diem Januarii: ſin verò ille in Aprili menſe reperiatur, quære in Februario. Quod facies hoc modo: Fundamentum præſens Lunæ uſque ad pentecontadem extendes, eique addes dies

Αλλως. Εἰ δὲ δοκεῖ σοι καὶ ἑτέρως, πρόσθες τῷ ἐν τῇ α΄. τοῦ Ἰαννουαρίου εὑρεθέντι θεμελίῳ τῆς σελήνης ἐπακτὰς γ΄. τῆς δὲ Σελήνης εἰς τὸν ιζ΄. ἀφιγμένης κύκλον, καὶ ἀνιούσης μέχρι τὸν ιθ΄. δ΄. ἐπακτὰς τῷ θεμελίῳ προστίθει· καὶ ἐὰν πλέον τῶν λ΄. ὁ ἀριθμὸς γένηται, ὕφελε τὰ λ΄. καὶ τοῖς περιλειφθεῖσι προστίθει ἀπὸ τῆς α΄. τοῦ Μαρτίου, μέχρις ἂν ὁ ν΄. ἀριθμὸς πληρωθῇ· εἰ δὲ τοῦ Μαρτίου πᾶσαι οὐκ ἀνεπλήρωσαν τὸν ν΄. πρόσθες τὰς λοιπὰς ἀπὸ τοῦ Απριλλίου, καὶ κατ᾽ ἐκείνην τὴν ποστὴν τοῦ μηνὸς, ἥτις ἀνεπλήρωσε τὸν ν΄. τελούμενον γίνωσκε πάσχα τοῦ νόμου.

Αλλως. Εἰ δὲ βούλει καὶ οὕτως, κράτησον τὸ ἐν τῇ α΄. τοῦ Ἰαννουαρίου μηνὸς εὑρεθέντα τῆς Σελήνης θεμέλιον, τούτῳ προστίθει ἐκ τῶν τοῦ Μαρτίου ἡμερῶν ἕως ἂν γένωνται ἡμέραι μζ΄. ἢ ἐκείνων μόνων μὴ ἐξαρκέντων, προστίθει καὶ ἀπὸ τῶν τοῦ Απριλλίου, πλὴν τὸν ιζ΄. κύκλον τῆς σελήνης θεούσης, μέχρι τοῦ ιθ΄. ἡμέρας ἀρίθμει, μη΄. κἀκεῖ τὸ νομικὸν τελούμενον γίνωσκε πάσχα. πλέων δὲ τῶν κ΄. καὶ ἓξ ἡμερῶν ἐχόντων τοῦ θεμελίου τῆς Σελήνης, μὴ λάμβανε τὰς τοῦ Μαρτίου πάσας ἡμέρας, ἀλλὰ μίαν μόνην· ἐκ δὲ τοῦ Απριλλίου ἀναπλήρωσον τὰς μζ΄. ἡμέρας.

Δεῖ δέ σε καὶ τοῦτο εἰδέναι ὡς ἡ κατὰ τὸ νομικὸν πάσχα κυρίως πανσέληνος ἐν τῷ με΄. εὑρίσκεται ἀριθμῷ, οὕτω γὰρ ἀναπληροῦται εἷς καὶ ἥμισυς Σεληνιακὸς μήν. ὡσαύτως καὶ ἐπὶ τῶν ῥηθεισῶν ἑτέρων μεθόδων, αἳ συνάγουσι τὸν ν΄. οὐκ ἐπὶ τούτου, ἀλλ᾽ ἐπὶ τοῦ μη΄. ἀριθμοῦ, ἡ σελήνη φθίνειν ὑπάρχεται· ἡ δὲ ἀνωμαλία ταύτης ὡς εἴρηται, καὶ τὰς ἑτέρας δύο προστέθηκεν ἡμέρας· καὶ ἐνταῦθα μὲν τὸν μζ΄. συνάγουσιν ἀριθμὸν, ἐκεῖ δὲ τὸν ν΄.

Οπως τὸ Χριστιανικὸν εὑρίσκεται Πάσχα.

Καὶ οὕτω μὲν ἡ ἐν τῷ νομικῷ πάσχα ποστὴ τοῦ μηνὸς ἡμέρα εὑρίσκεται. δεῖ σε εἰδέναι, καὶ ποία ταύτῃ συνέρχεται τῆς ἑβδομάδος ἡμέρα, ὡς ἂν ἐκεῖθεν ἐπὶ τὴν κυριακὴν ἐρχόμενος, καὶ τὴν ἐν αὐτῇ τοῦ μηνὸς αὖθις καταλαμβάνων ποστὴν, ἐκεῖ τὸ χριστιανικὸν τελούμενον πάσχα γινώσκεις. κράτησον οὖν τὸν κύκλον τοῦ ἡλίου, πρόσθες τούτῳ τὰς λεγομένας ἐπακτὰς, ἤτοι κατὰ δ΄. χρόνους μίαν, αἵ τινές εἰσι τοῦ βισέκτου· εἶτα τὰς ια΄. τοῦ τετραμηνιαίου, ἤγουν ἀπὸ τοῦ Ὀκτωβρίου μέχρι τοῦ Ἰαννουαρίου ἀπὸ τοῦ ἔχοντος μηνὸς ἡμέρας λ΄, δύο λαμβάνων, τρεῖς δὲ ἀπὸ τοῦ ἔχοντος λα΄. ἀπὸ δὲ τοῦ Φεβρουαρίου μὴ λάμβανε, διὰ τὸ ἐσχάτως αὐτὸν κεκολοβῶσθαι· καὶ μὲν εἰ ἐν τῷ Μαρτίῳ εὑρίσκεται τὸ πάσχα τὸ νομικὸν, λάβε καὶ τὰς μέχρι τοῦ πάσχα τούτου ἡμέρας. εἰ δὲ ἐν τῷ Απριλλίῳ, λάβε καὶ ἀπὸ τοῦ Μαρτίου μόνας τρεῖς, καὶ τὴν α΄. τοῦ Απριλλίου ὅσαι μέχρι εὑρίσκονται, καὶ ἑνώσας ἁπάσας ἀνάλυσον ἐπὶ τὰ ζ΄. καὶ εἰ μὲν μία περιληφθείη ἡμέρα ὑπάρχει κυριακή, εἰ δὲ β΄. δευτέρα, εἰ δὲ γ΄. τρίτη, καὶ ἑξῆς μέχρι τῶν ἑπτά· καὶ ἀφ᾽ ἑκάστης ἐπὶ τὴν κυριακὴν ἀπαντᾷν, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ μηνὸς, ἐφ᾽ ἣν ἡ κυριακὴ εὑρίσκεται, λέγε τὸ Χριστιανικὸν εἶναι πάσχα.

Οπως εὑρίσκεται ἡ ἀπόκρεως.

Μετὰ δὲ τὸ τὴν εὑρεῖν τὴν ἡμέραν τοῦ μηνὸς, καθ᾽ ἣν τὸ τῶν χριστιανῶν πάσχα γίνεται, πρόσθες ταύτῃ τρεῖς ἡμέρας ἑτέρας, τέσσαρας δὲ, εἰ ὁ χρόνος βίσεκτος εἴη, καὶ ἑνώσας ἁπάσας, εἰ μὲν ὁ ἀριθμὸς τούτων εἰς τὸν Μάρπιον πίπτει, ζήτει τὴν ἀπόκρεω ἐν τῇ ἰσαρίθμῳ τοῦ Ἰαννουαρίου ἡμέρᾳ. εἰ δὲ ἐκεῖνος ἐν τῷ Απριλλίῳ εὑρίσκεται, σκόπει ταύτην ἐν τῷ Φεβρουαρίῳ. σκόπει δὲ καὶ οὕτω, τὸ ἐνιστάμενον τῆς σελήνης θεμέλιον, ἄχρι καὶ πεντηκοντάδος ἐκτενεῖς, προσεπιβάλλων αὐτῷ τὰς

ἀπὸ τῆς πρώτης τοῦ Ἰαννουαρίου καὶ πρόσω ἡμέρας, καὶ τοῦ ν΄. τελευτήσαντος ἀριθμοῦ, εἰς οἱανδήποτε ἑβδομάδος ἡμέραν, τῇ ἑξῆς κυριακῇ τὴν ἀπόκρεω βεβαίως ἐπιτελεῖ. ἀλλὰ τῆς Σελήνης εἰς τὸ κϛ΄. καὶ περαιτέρω θεμέλιον προϊούσης, μίαν μόνην ἐκ τοῦ Ἰαννουαρίου λήψῃ, τὰς δέ γε λοιπὰς τὰς ἐκ τοῦ Φεβρουαρίου, οὕτω δὲ τὴν ἀπόκρεω ᾗ πίπτει γνωρίσαι. εἰ μὲν εἰς τὸν Ἰαννουάριον, τὸ πάσχα πάντως ἔσται τὸν Μάρτιον, (τὸ τῶν χριστιανῶν φημὶ) εἰ δὲ εἰς τὸν Φεβρουάριον αὕτη, ἐκεῖνο τὸν Ἀπρίλλιον· ἀφαίρεσιν μόνον τοσούτων ἐνθάδε ποιῶν ἡμερῶν, ὅσον ἐκεῖ προσθήκην τριῶν δηλαδή· εἰ δὲ βίσεξτον εἴη, τεσσάρων. ἀλλὰ καὶ τὸ νομικὸν ἐντεῦθεν πάσχα γινώσκεται· τῇ αὐτῇ μὲν ἀεὶ τῆς ἑβδομάδος ἡμέρᾳ συμπίπτον, ἣν ὁ πεντηκοστὸς ἀριθμὸς ἐπὶ τῆς ἀπόκρεω δείκνυσι, εἰ μὴ βίσεξτα εἴη, μετ' ἀφαίρεσιν δὲ κἀνταῦθα τριῶν ἢ τεσσάρων τοῦ μηνὸς ἡμερῶν.

A à primo Januarii & porrò, atque tunc in quamcunque ſeptimanæ diem deſinat numerus l. Dominicâ proximè ſequente carniſprivium ſecurè celebrato. Veruntamen ſi Luna ad fundamentum xxvi. vel ulterius procedat, unum ſolùm diem ex Januario eximes, cæteróſque de Februario; atque ita quonam die carniſprivium obtingat, neſcius haud fueris. Si quidem in Januarium aſcendat carniſprivium, Paſcha (Chriſtianum puta) in menſe Martio celebrabitur, ſi in Februarium, hoc menſe Aprili: modò hic tot dies ſubtraxeris, quot illic addidiſti, ſcilicet tres, vel, ſi biſſextum fuerit, quatuor. Sed & legale Paſcha exinde innoteſcit, quatenus ſemper eodem ſeptimanæ die incidit, quem numerus l. à B carniſprivio ſignat; ablatis & hic (niſi biſſextum fuerit) tribus, vel quatuor menſis diebus.

C

D

E

F

ΚΑΝΟΝΙΟΝ ΕΝ ΠΟΙΟΙΣ ΕΤΕΣΙΝ Η ΚΑΤΑ ΤΟ ΝΟΜΙΚΟΝ ΠΑΣΧΑ ΠΑΝΣΕΛΗΝΟΣ,

ποία συνέρχεται, ποσὴ τοῦ μηνὸς καὶ ποῖον ἀπὸ μεσημβρίας ὁλοσχερέστερον πρῶτον ἢ δεύτερον τῆς ἡμέρας λεπτόν.

Α.	,ς. σ. λγ.		,ς. φ. λζ.		,ς. ω. κα.	
Β.	,ς. σ. λδ.	Μαρ. κβ. κγ' μθ''	,ς. φ. λη'		,ς. ω. κβ.	Μαρ.---- λδ'.
Γ.	,ς. σ. λε.	Απρ. ι. κγ' μ''	,ς. φ. λθ.	Απρ. θ. κε' κε''	,ς. ω. μγ.	Απρ. η. κζ' νς''.
Δ.	,ς. σ. λς.	Μαρ. κθ. με' μα''	,ς. φ. ν.	Μαρ. κη. μζ' ν''	,ς. ω. μδ.	Μαρ. κζ. μθ' νη''
Ε.	,ς. σ. λζ.	Απρ. ιζ. λθ' λδ''	,ς. φ. να.	Απρ. ις. μα' μβ''	,ς. ω. με.	Απρ. ιε. μγ' ν''
ς.	,ς. σ. λη.	Απρ. ζ. α' λς''	,ς. φ. νβ.	Απρ. ς. γ' μδ''	,ς. ω. μς.	Απρ. ε. ε' νβ''.
Ζ.	,ς. σ. λθ.	Μαρ. κζ'. κγ' λη''	,ς. φ. νγ'.	Μαρ. κς. κε' μς''	,ς ω. μζ.	Μαρ. κε. κς' μδ''
Η.	,ς. σ. μ.	Απρ. ιδ. ιζ' κθ''	,ς. φ. νγ.	Απρ. ιγ. ιθ' λζ''	,ς. ω. μη.	Απρ. ιβ. κ' μς''
Θ.	,ς. σ. μα.	Απρ. γ. λθ' λα''	,ς. φ. νδ.	Απρ. β. μα' λθ''	,ς. ω. μθ.	Απρ. α. κγ' κζ''
Ι.	,ς. σ. μβ.	Μαρ. κδ. α' λγ''	,ς. φ. νε.	Μαρ. κγ. γ' μα''	,ς. ω. ν.	Μαρ. κβ'. ε' μα''
ΙΑ.	,ς. σ. μγ.	Απρ. ια. νε' κε''	,ς. φ. νς.	Απρ. ι. νζ' λγ''	,ς. ω. να.	Απρ. θ. νθ' κα''
ΙΒ.	,ς. σ. μδ.	Μαρ. λα. ιζ' κζ''	,ς. φ. νζ.	Μαρ. λ. ιθ' λε''	,ς. ω. νβ.	Μαρ. κθ. κα' μγ''
ΙΓ.	,ς. σ. με.	Μαρ. κ. λθ'. κθ''.	,ς. φ. νη.	Μαρ. ιθ. μα' λξ''	,ς. ω. νγ.	Μαρ. ιη. μγ' με''
ΙΔ.	,ς. σ. μς.	Απρ. η. λγ' κα''	,ς. φ. νθ.	Απρ. ζ. λε' κθ''	,ς. ω. νδ.	Απρ. ς. λζ' λζ''
ΙΕ.	,ς. σ. μζ.	Μαρ. κη. νε' κγ''	,ς. φ. ξ.	Μαρ. κζ. νε' λα''	,ς. ω. νε.	Μαρ. κς. νθ' λθ''
Ις.	,ς. σ. μη.	Απρ. ιε. μθ' ιε''	,ς. φ. ξα'.	Απρ. ιδ. να' κγ''	,ς. ω. νς.	Απρ. ιγ. νγ' λα''
ΙΖ.	,ς. σ. μθ.	Απρ. ε. ια' ιζ''	,ς. φ. ξβ'.	Απρ. δ. ιγ' κε''	,ς. ω. νζ.	Απρ. γ. ιε' λγ''
ΙΗ.	,ς. σ. ν.	Μαρ. κε. λγ' ιθ''	,ς. φ. ξγ'.	Μαρ. κδ. λε' κζ''	,ς. ω. νη.	Μαρ. κγ. λζ' λε''
ΙΘ.	,ς. σ. να.	Απρ. ιγ. κζ' ια''	,ς. φ. ξδ.	Απρ. ιβ. κθ' ιθ''	,ς. ω. νθ.	Απρ. ια. λα' κζ''
Σελήνης κύκλος.						

TABULA

TABULA INDICANS IN QUIBUS ANNIS PLENILUNIUM JUXTA PASCHA LEGALE,

quonam menſis die contingat, & ferè quibus diei minutis primis et ſecundis à meridie numerandis.

I.	6000. 200. 33.		6000. 500. 3[illegible].		6000. 800. 21.	
II.	6000. 200. 34.	Mar. 22. 23′ 49″	6000. 500. 38.		6000. 800. 22.	Mar.----- 34.
III.	6000. 200. 35.	Apr. 10. 23′ 40″	6000. 500. 39.	Apr. 9. 25′ 25″	6000. 800. 43.	Apr. 8. 27′ 56″
IV.	6000. 200. 36.	Mar. 29. 45′ 41″	6000. 500. 50.	Mar. 28. 47′ 50″	6000. 800. 44.	Mar. 27. 49. 58.
V.	6000. 200. 37.	Apr. 17. 39′ 34″	6000. 500. 51.	Apr. 16. 41′ 42″	6000. 800. 45.	Apr. 15. 43′ 50″
VI.	6000. 200. 38.	Apr. 7. 1′ 36″	6000. 500. 52.	Apr. 6. 3′ 44″	6000. 800. 46.	Apr. 5. 5′ 52″
VII.	6000. 200. 39.	Mar. 27. 23′ 38″	6000. 500. 53.	Mar. 26. 25′ 46″	6000. 800. 47.	Mar. 35. 26′ 44″
VIII.	6000. 200. 40.	Apr. 14. 17′ 29″	6000. 500. 53.	Apr. 13. 19′ 37″	6000. 800. 48.	Apr. 1. 23′ 27″
IX.	6000. 200. 41.	Apr. 3. 39′ 31″	6000. 500. 54.	Apr. 2. 41′ 39″	6000. 800. 49.	Mar. 22. 23′ 27″
X.	6000. 200. 42.	Mar. 24. 1′ 33″	6000. 500. 55.	Mar. 23. 3′ 41″	6000. 800. 50.	Mar. 22. 5′ 41″
XI.	6000. 200. 43.	Apr. 11. 55′ 25″	6000. 500. 56.	Apr. 10. 57′ 33″	6000. 800. 51.	Apr. 9. 59′ 21″
XII.	6000. 200. 44.	Mar. 31. 17′ 27″	6000. 500. 57.	Mar. 30. 19′ 35″	6000. 800. 52.	Mar. 29. 21′ 43″
XIII.	6000. 200. 45.	Mar. 20. 39′ 29″	6000. 500. 58.	Mar. 19. 41′ 37″	6000. 800. 53.	Mar. 18. 43′ 45″
XIV.	6000. 200. 46.	Apr. 8. 33′ 21″	6000. 500. 59.	Apr. 7. 35′ 29″	6000. 800. 54.	Apr. 6. 37′ 37″
XV.	6000. 200. 47.	Mar. 28. 55′ 23″	6000. 500. 60.	Mar. 27. 55′ 31″	6000. 800. 55.	Mar. 26. 59′ 39″
XVI.	6000. 200. 48.	April. 15. 49′ 15″	6000. 500. 61.	Apr. 14. 51′ 23″	6000. 800. 56.	Apr. 13. 53′ 31″
XVII.	6000. 200. 49.	April. 5. 11′ 17″	6000. 500. 62.	Apr. 4. 13′ 25″	6000. 800. 57.	Apr. 3. 15′ 33″
XVIII.	6000. 200. 50.	Mar. 25. 33′ 19″	6000. 500. 63.	Mar. 24. 35′ 27″	6000. 800. 58.	Mar. 23. 37′ 35″
XIX.	6000. 200. 51.	Apr. 13. 27′ 11″	6000. 500. 64.	Apr. 12. 29′ 19″	6000. 800. 59.	Apr. 11. 31′ 27″
CYCLUS LUNÆ.						

Θεμέλιον τῆς Σελήνης.	Οἱ κύκλοι τῆς Σελήνης.	Τὸ νομικὸν φάσκα.	α'. ζ'. ιβ'. ιη'.	β'. η'. ιγ'. ιθ'.	γ'. κδ'. ιδ'. κε'.	δ'. θ'. ιε'. κ'.	κϛ'. ι'. κζ'. κα'.	ε'. ια'. ιϛ'. κϐ'.	ϛ'. κγ'. ιζ'. κη'.	Οἱ κύκλοι τοῦ ἡλίου ἑπτὰ τετράδες.
ιδ'.	α'.	Αϖρ. β'.	Αϖρ. ζ'. γ'.	Αϖρ. ϛ'. δ'.	Αϖρ. ε'. ε'.	Απρ. δ'. ϛ'.	Αϖρ. γ'. ζ'.	Αϖρ. β'. α'.	Απρ. α'. β'.	Τὰ ὑποκείμενα στοιχεῖα δηλοῦσι τὴν ἡμέραν τῆς ἑβδομάδος, ἐν ᾗ ἐκβάλλεται τὸ νομικὸν Πάσχα.
κε'.	β'.	Μαρ. κϐ'.	Μαρ. κδ'. ϛ'.	Μαρ. κγ'. ζ'.	Μαρ. κέ. α'.	Μαρ. κθ. β'.	Μαρ. κζ. γ'.	Μαρ. κϛ'. δ'.	Μαρ. κέ. ε'.	
ϛ'.	γ'.	Αϖρ. ι'.	Αϖρ. ιδ'. δ'.	Αϖρ. ιγ'. ε'.	Αϖρ. ιϐ'. ϛ'.	Απρ. ιά. ζ'.	Αϖρ. ιζ'. ά.	Αϖρ. ιϛ'. β'.	Απρ. ιε'. γ'.	
ιζ'.	δ'.	Μαρ. λ'.	Μαρ. λα'. ζ'.	Αϖρ. ϛ'. α'.	Αϖρ. ε'. ϐ'.	Απρ. δ'. ϛ'.	Απρ. γ'. δ'.	Αϖρ. ϐ'. ε'.	Απρ. α'. ϛ'.	
κη'.	ε'.	Αϖρ. ιη'.	Αϖρ. κ'. ε'	Αϖρ. κ'. ϛ'.	Αϖρ. ιθ'. ζ'.	Απρ. κε'. α'.	Απρ. κδ'. β'.	Αϖρ. κγ'. γ'.	Απρ. κϐ'. δ'.	
θ'.	ϛ'.	Αϖρ. ζ'.	Αϖρ. ιδ'. α'.	Αϖρ. ιγ'. β'.	Αϖρ. ιϐ'. γ'.	Απρ. ια'. δ'.	Αϖρ. ι'. ε'.	Απρ. θ'. ϛ'.	Απρ. η'. ζ'.	
κ'.	ζ'.	Μαρ. κζ'.	Μαρ. λα'. δ'.	Μαρ. λ'. ε'.	Μαρ. κθ'. ϛ'.	Απρ. ιη'. ζ'.	Απρ. ιζ'. α'.	Απρ. ιϛ'. ϐ'.	Απρ. κϐ'. γ'.	
α'.	η'.	Αϖρ. ιε'.	Αϖρ. κα' β'.	Αϖρ. κ'. γ'.	Αϖρ. ιθ'. δ'.	Απρ. ιη'. ε'.	Αϖρ. ιζ'. ϛ'.	Απρ. ιϛ'. ζ'.	Απρ. κϐ'. α.	
ιβ'.	θ'.	Αϖρ. δ'.	Αϖρ. ζ'. ε'.	Αϖρ. ϛ'. ϛ'.	Αϖρ. ε'. ζ'.	Απρ. ιδ'. α'.	Αϖρ. ι'. β'.	Απρ. θ'. γ'.	Απρ. η'. δ'.	
κγ'.	ι'.	Μαρ. κδ'.	Μαρ. λα' α'.	Μαρ. λθ'. β'.	Μαρ. κθ'. γ'.	Μαρ. κη'. δ'.	Μαρ. κζ'. ε'.	Μαρ. κϛ'. ϛ'.	Μαρ. κέ. ζ'.	
δ'.	ια'.	Αϖρ. ιϐ'.	Αϖρ. ιδ'. ϛ'.	Αϖρ. ιγ'. ζ'.	Αϖρ. ιθ'. α'.	Απρ. ιη'. β'.	Αϖρ. ιζ'. γ'.	Απρ. ιϛ'. δ'.	Απρ. ιέ. ε'.	
ιε'.	ιϐ'.	Αϖρ. α'.	Αϖρ. ζ. ϐ'.	Αϖρ. ϛ'. γ'.	Αϖρ. ε'. δ'.	Απρ. δ'. ε'.	Αϖρ. γ'. ϛ'.	Απρ. ϐ'. ζ'.	Απρ. η'. α'.	
κϛ'.	ιγ'.	Μαρ. κα'.	Αϖρ. κδ'. ε'.	Αϖρ. κγ'.	Αϖρ. κϐ	Μαρ. κη'.	Μαρ. κζ'.	Μαρ. κϛ'.	Μαρ. κέ.	
ζ'.	ιδ'.	Αϖρ. θ'.	Αϖρ. ιδ'. γ'.	Αϖρ. ιγ'. δ'.	Αϖρ. ιϐ'. ε'.	Αϖρ. ιά. ϛ'.	Αϖρ. ι'. ζ'.	Απρ. ιϛ'. α'.	Απρ. ιέ. ϐ'.	
ιη'.	ιε'.	Μαρ. κθ'.	Μαρ. λα'. ϛ'.	Μαρ. λ'. ζ'.	Αϖρ. ε'. ά.	Αϖρ. δ'. ϐ'.	Αϖρ. γ'. γ'.	Απρ. ϐ'. δ'.	Απρ. ά. ε'.	
κθ'.	ιϛ'.	Αϖρ. ιζ'.	Αϖρ. κα'. δ'.	Αϖρ. κ'. ε'.	Απρ. ιθ'. ϛ'.	Αϖρ. ιη'. ζ'.	Αϖρ. κδ'. α'.	Απρ. κγ'. β'.	Απρ. κϐ'. γ'.	
ια'.	ιζ'.	Αϖρ. ε'.	Αϖρ. ζ'. ϛ'.	Αϖρ. ϛ'. ζ'.	Απρ. ιϐ'. α'.	Αϖρ. ια'. ϐ'.	Απρ. ι'. γ'.	Απρ. θ'. δ'.	Απρ. η'. ε'.	
κϐ'.	ιη'.	Μαρ. κε'.	Μαρ. λα'. β'.	Μαρ. λ'. γ'.	Μαρ. κθ'. δ'.	Μαρ. κη'. ε'.	Μαρ. κζ. ϛ'.	Μαρ. κϛ'. ζ'.	Απρ. ά. α'.	
γ'.	ιθ'.	Αϖρ. ιγ'.	Αϖρ. ιδ'. ζ'.	Αϖρ. κ'. α'.	Αϖρ. ιθ'. β'.	Αϖρ. ιη'. γ'.	Αϖρ. ιζ'. δ'.	Αϖρ. ιζ'. δ'.	Αϖρ. ιε'. ϛ'.	

Cyclus Solis duodetricennalis.

Radix ſive Fundamentum Lunæ.	*Cycli Lunæ.*	*Paſcha Legale.*	1.	2.	3.	4.	26.	5.	6.
			7.	8.	24.	9.	10.	11.	23.
			12.	13.	14.	15.	27.	16.	17.
			18.	19.	25.	20.	21.	22.	28.
14.	1.	Apr. 2.	Apr. 7. 3.	Apr. 6. 4.	Apr. 5. 5.	Apr. 4. 6.	Apr. 3. 7.	Apr. 2. 1.	Apr. 1. 2.
25.	2.	Mar. 22.	Mar. 24. 6.	Mar. 23. 7.	Mar. 25. 1.	Mar. 29. 2.	Mar. 27. 3.	Mar. 26. 4.	Mar. 25. 5.
6.	3.	Apr. 10.	Apr. 14. 4.	Apr. 13. 5.	Apr. 12. 6.	Apr. 11. 7.	Apr. 17. 1.	Apr. 16. 2.	Apr. 15. 3.
17.	4.	Mar. 30.	Mar. 31. 7.	Apr. 6. 1.	Apr. 5. 2.	Apr. 4. 3.	Apr. 3. 4.	Apr. 2. 5.	Apr. 1. 6.
28.	5.	Apr. 18.	Apr. 21. 5.	Apr. 20. 6.	Apr. 19. 7.	Apr. 25. 1.	Apr. 2[illegible]. 2.	Apr. 23. 3.	Apr. 22. 4.
9.	6.	Apr. 7.	Apr. 14. 1.	Apr. 13. 2.	Apr. 12. 3.	Apr. 11. 4.	Apr. 10. 5.	Apr. 9. 6.	Apr. 8. 7.
20.	7.	Mar. 27.	Mar. 31. 4.	Mar. 30. 5.	Mar. 29. 6.	Apr. 18. 7.	Apr. 17. 1.	Apr. 16. 2.	Apr. 22. 3.
1.	8.	Apr. 15.	Apr. 21. 2.	Apr. 20. 3.	Apr. 19. 4.	Apr. 18. 5.	Apr. 17. 6.	Apr. 16. 7.	Apr. 22. 1.
12.	9.	Apr. 4.	Apr. 7. 5.	Apr. 6. 6.	Apr. 5. 7.	Apr. 14. 1.	Apr. 10. 2.	Apr. 9. 3.	Apr. 8. 4.
23.	10.	Mar. 24.	Mar. 31. 1.	Mar. 30. 2.	Mar. 29. 3.	Mar. 28. 4.	Mar. 27. 5.	Mar. 26. 6.	Mar. 25. 7.
4.	11.	Apr. 12.	Apr. 14. 6.	Apr. 13. 7.	Apr. 19. 1.	Apr. 18. 2.	Apr. 17. 3.	Apr. 16. 4.	Apr. 15. 5.
15.	12.	Apr. 1.	Apr. 7. 2.	Apr. 6. 3.	Apr. 5. 4.	Apr. 4. 5.	Apr. 3. 6.	Apr. 2. 7.	Apr. 8. 1.
26.	13.	Mar. 21.	Apr. 24. 5.	Apr. 23.	Apr. 22.	Mar. 28.	Mar. 27.	Mar. 26.	Mar. 25.
7.	14.	Apr. 9.	Apr. 14. 3.	Apr. 13. 4.	Apr. 12. 5.	Apr. 11. 6.	Apr. 10. 7.	Apr. 16. 1.	Apr. 15. 2.
18.	15.	Mar. 29.	Mar. 31. 6.	Mar. 30. 7.	Apr. 5. 1.	Apr. 4. 2.	Apr. 3. 3.	Apr. 2. 4.	Apr. 1. 5.
29.	16.	Apr. 17.	Apr. 21. 4.	Apr. 20. 5.	Apr. 19. 6.	Apr. 18. 7.	Apr. 24. 1.	Apr. 23. 2.	Apr. 22. 3.
11.	17.	Apr. 5.	Apr. 7. 6.	Apr. 6. 7.	Apr. 12. 1.	Apr. 11. 2.	Apr. 10. 3.	Apr. 9. 4.	Apr. 8. 5.
22.	18.	Mar. 25.	Mar. 31. 2.	Mar. 30. 3.	Mar. 29. 4.	Mar. 28. 5.	Mar. 27. 6.	Mar. 26. 7.	Apr. 1. 1.
3.	19.	Apr. 13.	Apr. 14. 7.	Apr. 20. 1.	Apr. 19. 2.	Apr. 18. 3.	Apr. 17. 4.	Apr. 17. 5.	Apr. 15. 7.

Numeri inferiores oſtendunt Feriam, in quam incidit Paſcha legale.

DE PASCHATE LEGALI
ET
Authorum diſſenſu circa plenilunium.

OPTIME ſanè & quàm quis exiſtimet pulchriùs hanc Tabulam Patres olim condiderunt: quæ utriuſque luminaris cyclos, Solis dico ac Lunæ, extremis ſui columnis exhibet, & cyclo quidem Lunæ B legale Paſcha prope verum oſtendit, altero autem Solis Chriſtianum, quod in eâdem rectâ lineâ legali adjacet. Annon igitur literæ iſtæ ſunt illuſtres ipſarum rerum imagines? annon utriuſque teſtamenti differentiam egregiè exponunt? Luna enim adſcititiam legem repræſentans, quæ in nocte Polytheiſmi illuſtravit, haud clariſſimè tamen, veram Dei notitiam, ineffabile pleriſque myſterium; & quidem perfectum triplexque Deitatis jubar quaſi tenebris obvolutum, non ſine ratione legale Paſcha oſtendit. Sol autem omnibus aſpectu gratus qui prælargam gratiæ diſpenſationem imagine quâdam præfert, & clarum & apertum, tanquam in meridie veritatis ra- C dium, & Trinitatis agnitionem, quam Sol Juſtitiæ explicuit, pariter & veri Paſchatis præmonſtrator oſtendit. Quoniam verò Lex integram Lunæ periodum, menſem vocare ſolet, diéque xv. primi hujuſce menſis Paſcha celebrandum decernit, atque nobiſmet moris eſt ſecundùm computum Romanum menſes illos metiri, commodè reperta eſt præſens Tabula, quâ oſtenditur, quonam die menſis alicujus Romani contingat primi menſis Lunaris plenilunium: itemque in quam ſeptimanæ diem ſeu feriam iſte dies cadat. Ita ut nos inde ad feriam pri- D mam pergentes, haud ignari quinam menſis dies idem ille ſit, Paſcha noſtrum certâ ratione celebremus.

Cæterum circa Paſcha noſtrum quatuor ſunt determinationes neceſſariò exquirendæ. Duas quidem ſtatuit Canon Apoſtolicus, ut ſupra in capite de Paſchate Literæ Π. diximus: quibus accedunt duæ aliæ ex traditione non ſcriptâ: Prima igitur eſt quòd Paſcha poſt Æquinoctium vernum celebrare oportet; ſecunda, quòd non eodem die, qui Judaicæ obſervationi deſtinatur: tertia, quòd non ſimpliciter poſt E Æquinoctium, ſed & poſt 1. plenilunium, quod Æquinoctium ſequitur. Dein quarta limitatio eſt iſthæc, quòd primo ſtatim ſeptimanæ die poſt plenilunium. Iddirco ut quatuor iſtæ limitationes ab omnibus pariter, ſapientibus & idiotis obſervarentur, & Chriſtiani per totum terrarum orbem, eodem tempore unà feriarentur, neque paſſim Aſtronomis opus haberent, Patres noſtri Tabulam iſtam fabricarunt, & Eccleſiæ tradiderunt, exiſtimantes per illam quæ ad debitam limitationem requiri jam diximus, omnia inviolata ſervari. Condiderunt autem Tabulam illam hoc modo, Acceptis xix. ordine annos ab anno orbis F conditi ſexies milleſimo ducenteſimo triceſimo tertio, uſque ad annum 6251. ſupputarunt primum plenilunium in quolibet ipſorum poſt æquinoctium vernum. Ingreſſus autem eſt Sol, quando Patres de hâc re deliberabant, punctum Æquinoctii die vigeſimo primo Martii menſis, ſicut Tabulæ quas noſmet privatim conſtruximus, liquidò monſtrant. Adnotabant autem illi quonam die Martii vel Aprilis plenilunium quodlibet contingeret: adeóque in unam Tabulam bicolumnarem conjicientes enneacaidecadem

ΠΕΡΙ ΤΟΥ ΝΟΜΙΚΟΥ ΠΑΣΧΑ
καὶ τῆς περὶ
τῶν πανσελήνων διαφωνίας.

ΑΡΙΣΤΑ μὲν πάντων, καὶ ὡς οὐκ ἄν τις ᾠήθη κάλλιον τὸ παρὸν κανόνιον τοῖς πατράσι συντέθειται, τοὺς γὰρ κύκλους ἀμφοτέρων τῶν φώτων, ἡλίου τε φημὶ καὶ σελήνης, τοῖς ἔξω σελιδίοις ἔχον παρακειμένους· τῷ μὲν τῆς σελήνης κύκλῳ, τὸ νομικὸν ἐγγὺς ὂν δείκνυσι πάσχα, τῷ δὲ τοῦ ἡλίου, τὸ Χριστιανικὸν, ἐπὶ τῆς αὐτῆς ἔνθα καὶ τὸ νομικὸν κείμενον εὐθείας. ἆρ' οὖν οὐκ ἐναργὴς τὰ στοιχεῖα ταυτὶ τῶν πραγμάτων εἰκών; ἆρ' οὐκ ἀμφοτέρων κηρύττει τῶν διαθηκῶν ἐπιφανῶς τὸ διάφορον; ἡ γὰρ Σελήνη τὸν ἐπείσακτον εἰκονίζουσα νόμον, τὸν ἐν τῇ νυκτὶ τῆς πολυθέου πλάνης, ἀμυδρῶς αὐγάζοντα τὴν τῆς θεογνωσίας ἀλήθειαν ἀπόρρητον ὂν τοῖς πλείστοις οἷα μυστήριον, καὶ ὥσπερ ἐν σκότει καλυπτόμενον τὸ τέλειον τῆς τρισαγίου θεότητος φῶς, οὐκ ἔξω λόγου καὶ τὸ τοῦ νόμου δείκνυσι πάσχα. τὴν δὲ πλουσίαν εἰκονίζων τῆς χάριτος δᾳδουχίαν, ὁ πᾶσιν ἡδὺς ἰδεῖν ἥλιος, καὶ τὴν τρανὴν καὶ ἀνακεκαλυμμένην ὡς ἐν μεσημβρίᾳ τῆς ἀληθείας ἀκτῖνα, καὶ τὴν τῆς τριάδος ἐπίγνωσιν, ἣν ὁ τῆς δικαιοσύνης πᾶσιν ἐφήπλωσεν ἥλιος, ὑφηγητὴς εἰκότως καὶ τοῦ ἀληθινοῦ πάσχα δείκνυται. ἀλλ' ἐπειδὴ γὰρ ὁ νόμος τὴν τῆς σελήνης ὁλόκληρον περίοδον μῆνα καλεῖν εἴωθε, καὶ τῇ ιε'. τοῦ πρώτου ταύτης μηνὸς, τὸ πάσχα θεσπίζει τελεῖν, ἡμῖν δὲ τούτους κατὰ Ῥωμαίους ἔθος μετρεῖν, χρησίμως τὸ παρὸν εὕρηται κανόνιον, ὑποδεικνύον τὸν πλησιφαῆ τοῦ πρώτου μηνὸς τῆς Σελήνης σχηματισμὸν, ἐν ποίᾳ τοῦ Ῥωμαϊκοῦ μηνὸς ποστῇ γίνεται· καὶ αὕτη πάλιν ποίᾳ τυγχάνει τῆς ἑβδομάδος ἡμέρα· ἵν' ἡμεῖς ἐκεῖθεν ἐπὶ τὴν πρώτην τῆς ἑβδομάδος ἐλθόντες, καὶ τὴν κατ' αὐτὴν αὖθις τοῦ μηνὸς γνόντες ποστὴν, τὸ ἡμέτερον πάσχα βεβαίως πανηγυρίζωμεν.

Τέσσαρες δέ εἰσιν οἱ ἀναγκαίως ζητούμενοι περὶ τὸ ἡμέτερον τοῦτο πάσχα διορισμοί· δύο μὲν, οὓς ὁ ἀποστολικὸς θεσπίζει κανὼν, ὡς ἐν τῷ τοῦ πάσχα κεφαλαίῳ κατὰ τὸ Π. στοιχεῖον εἰρήκαμεν, καὶ δύο οἷς ἐξ ἀγράφου χρώμεθα παραδόσεως. α'. ὅτι δεῖ μετὰ ἰσημερίαν ἐαρινὴν τὸ πάσχα ἐπιτελεῖν· β'. ὅτι οὐ τὴν αὐτὴν ἡμέραν τῆς Ἰουδαϊκῆς τελετῆς· γ'. ὅτι οὐχ ἁπλῶς μετ' ἰσημερίαν, ἀλλὰ μετὰ τὴν πρώτην μετ' ἰσημερίαν πανσέληνον. καὶ τέταρτον, ὅτι καὶ μετὰ τὴν πανσέληνον, εὐθὺς τῆς ἑβραίοις πρώτη. ἵνα τοίνυν καὶ οἱ τέσσαρες οὗτοι διορισμοὶ πᾶσιν ἐπίσης διατηρῶνται σοφοῖς τε καὶ ἰδιώταις· καὶ οἱ ἀνὰ πᾶσαν τὴν οἰκουμένην χριστιανοὶ τὸν αὐτὸν ἑορτάζουσι χρόνον, καὶ μὴ ἀστρονόμων ἑκάστοτε δέωνται· τὸ παρὸν οἱ πατέρες ἡμῶν κανόνιον συντετάχασι, καὶ τῇ ἐκκλησίᾳ παραδεδώκασιν· οἰηθέντες δι' αὐτοῦ μηδένα τῶν ῥηθέντων προσδιορισμῶν καταλύεσθαι. εἴργασται δὲ αὐτοῖς ὁ κανὼν οὕτως· λαβόντες, ιθ'. ἑξῆς ἐνιαυτοὺς, τοὺς ἀπὸ τοῦ ,ςσλγ'. ἔτους ἀπὸ γενέσεως κόσμου, μέχρι τοῦ ,ςσνα'. καὶ ἐπιλογισάμενοι τὴν ἐν ἑκάστῳ αὐτῶν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν πρώτην πανσέληνον. ἐπέβαινε δὲ τοῦ τῆς ἰσημερίας σημείου τηνικαῦτα ὁ ἥλιος, ὅτε τοῖς πατράσι ταῦτα ἐπεσκοπεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν τοῦ Μαρτίου μηνὸς, ὡς τὰ ἰδίως ἡμῖν ἐκτεθέντα σαφῶς δηλοῦσι κανόνια· ἐσημειώσαντο καὶ ποίαν ἡμέραν τοῦ Μαρτίου ἢ τοῦ Ἀπριλλίου συμβαίνει τῶν πανσελήνων ἑκάστην γίνεσθαι· περιλαβόντες οὖν τὴν ἐννεακαιδεκάδα ταύτην

A ταύτην τῶν ἐτῶν τε καὶ πανσελήνων, ἑνὶ κανονίῳ δύο περιέχοντι σελίδας· καὶ μέχρι τριακοσίων ἐτῶν τὰς μετ' ἰσημερίαν ἐαρινὴν τοῦ πρώτου μηνὸς πανσελήνους τοῖς αὐταῖς τῶν μηνῶν συμπίπτειν ἡμέραις σκοπήσαντες, τῇ ἐφεξῆς ἀνακυκλήσει τῶν ἐννεακαιδεκαετηρίδων, τούτῳ ἡμῖν χρῆσθαι τῷ κανόνι παρέδωσαν, κατά γε τὰ ἑξῆς ἅπαντα ἔτη, ὡς οὐκ ἄτοπον ὄν, οὐδὲ τῇ εὐσεβείᾳ λυμαινόμενον, εἰ παρὰ τὴν ἀνώμαλον τῆς σελήνης κίνησιν, μετὰ τὴν ἐξαρίθμησιν τῶν ῥηθέντων τ. ἐτῶν, ὁ κανὼν οὑτοσί, μὴ κατὰ τὴν πανσέληνον τοῦ α'. μηνός, ἀλλὰ μετὰ μίαν ἢ δύο ἡμέρας, τὸ νομικὸν δείξει πάσχα, καὶ παρὰ τοῦτο συμβήσεται τὸν δ'. ἐνίοτε μὴ τηρεῖσθαι τοῦ πάσχα διορισμόν, ἅτε τῆς B προσθήκης τῶν δύο ἡμερῶν ὑπερβαίνειν ἔσθ' ὅτε ποιούσης τὴν πανσέληνον πρώτην κυριακήν, κἀκείνην μὲν τῇ τῶν βαΐων ἀφοσιοῦν ἑορτῇ, τῇ γε μὴν ἑξῆς τὸ σωτήριον πάσχα ἐπιτελεῖν. τοῦτο δὲ ἐφ' ἡμῖν ἀρτίως συμβαῖνον καὶ τοὺς πολλοὺς ἐκταράττον, ὡς ἀναγκαίου τινὸς καταλυομένου δόγματος, καὶ ἀξίου μὴ παρορᾶσθαι· τοῦτο δὲ ὥσπερ πάλαι ἐπιτύγχανον οὐκ ἄχρηστον, οὕτω νῦν διαμαρτάνον ἀκίνδυνον ὡς δειχθήσεται. οὐ γὰρ λέληθε τοῦτο τοὺς πάντ' ἀρίστους ἐκείνους πατέρας, οὐδὲ παρὰ τὸ ἀνεπιστημόνως ἔχειν αὐτοὺς περὶ τὴν ἀστροθεάμονα τέχνην, τοῦτο συμβέβηκεν· ἀλλὰ παρὰ τὴν τῶν φωστήρων ὡς εἴρηται κίνησιν. C τὸ δ' ὅπως, αὐτίκα ῥηθήσεται, τὸ ἐνιαύσιον κίνημα δι' ἡμερῶν ἀποκαθίσταται τῶν τξε'. καὶ τεταρτημορίου ἡμέρας ἔγγιστα. αἱ δὲ μέσαι τῆς σελήνης κατὰ μῆκος πάροδοι, οὐκ ἀποκαθίστανται ἐν ὅλοις ἔτεσι ιθ'. τοῖς κατὰ προσθήκην τοῦ τετάρτου ἀριθμουμένοις. ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία καὶ β'. λζ'. καὶ διὰ τοῦτο ἐν τδ'. ἐνιαυτοῖς οὐχ ὅλοις πάλιν, ἀλλ' ἐλαττουμένης ἡμέρας οὐδὲν, λεπτὰ πρῶτα νζ'. καὶ β'. νβ'. ἤτοι μίαν ἡμέραν ἔγγιστα, ἡ εἰρημένη γίνεται ἀποκατάστασις. λαβόντες γὰρ ἀρτίως ἡμεῖς τὴν μετὰ τδ'. ἔτη ἀπὸ τῶν πατέρων, ἐννεακαιδεκαετηρίδα ιζ'. οὖσαν τῆς ὑπ' ἐκείνων τηνικαῦτα ληφθείσης, ἥτις ἄρχεται δη- D λονότι ἀπὸ τοῦ ,ϛφλζ'. ἔτους· καὶ ἐπιλογισάμενοι τὰς ἐν αὐτῇ μετ' ἰσημερίαν ἐαρινὴν πανσελήνους, εὕρομεν ἑκάστην γινομένην πανσέληνον, πρὸ μιᾶς ἡμέρας τῶν ἐν τῇ α'. ἐννεακαιδεκαετηρίδι, ὡς προστέτακται ἐν τῷ παρ' ἡμῶν ἐκτεθέντι περὶ τούτων κανονίῳ, ὡσαύτως δὲ καὶ τὰς ὁμοίας ἐπιλογισάμενοι συζυγίας τῆς ἐννεακαιδεκαετηρίδος, ἥτις ἀπὸ ταύτης ἐν ἴσῳ διαστήματι ἄρχεται, ἀπὸ τοῦ ,ϛωμα'. δηλονότι ἔτους, πρὸ μιᾶς πάλιν ἡμέρας τῶν πρὸ αὐτῶν, ταύτας εὕρομεν· καὶ ἐν τοῖς ἑξῆς δὲ τῶν ἐτῶν, τοῖς τῷ ἴσῳ ἀεὶ διέχουσι διαστήματι, μίαν ὁμοίως ἡμέραν ἔγγιστα εὑρήσει τις τὴν τῶν συζυγιῶν διαφοράν. διὰ δὴ E τοῦτο, ἀρτίως δύο μετὰ τὴν πανσέληνον ἡμέραι εὑρίσκονται, προστιθέμεναι ἐν τῇ τοῦ νομικοῦ πάσχα εὑρήσει τῆς πανσελήνου, μὴ δυναμένης καταλαβεῖν τὴν ὁρισθεῖσαν τοῖς πατράσι ποσὴν τοῦ μηνὸς, ὀπισθορμήτου γινομένης ὡς εἴρηται, ἐν τδ'. ἔτεσι, μιᾶς ἡμέρας ἔγγιστα διαστήματι, τοσαύτην χρόνος περὶ τὸν κανόνα τοῦτον πεποίηκε τὴν πλημμέλειαν.

illam annorum & pleniluniorum; atque porrò deprehendentes ſpatio annorum ccc. plenilunia primi menſis proximè ſequentia æquinoctium vernum in eoſdem menſium dies incidere, propter revolutionem enneacaidecaeteridum, hunc Canonem nobis utendum tradiderunt, etiam pro omnibus annis ſequentibus; quaſi haud abſurdum foret, neque religioni noxium, ſi propter motûs Lunaris anomaliam, poſt revolutionem dictorum ccc. annorum Canon iſte non ad plenilunium primi menſis, ſed poſt diem unum aut alterum legale Paſcha oſtenderet; & hanc ob cauſam nonnunquam accideret, quartam Paſchatis limitationem minimè obſervari, nempe quòd dierum duorum acceſſio promoveat, ut fit, Dominicam quæ primum plenilunium ſequitur, faciátque ut hanc feſto Palmarum dicemus, atque Dominicâ proximè ſequente ſalutare Paſcha celebremus. Illud autem nuperrimè apud nos contigit, & non paucos turbavit, quaſi præceptum aliquod neceſſarium & minimè negligendum diſſolveretur: cùm tamen ſicut haud inutile erat hoc Canonion, quando olim ritè ſe habuit, ita hodiè ſine gravi aliquo periculo à vero abit, ut mox demonſtrabitur. Neque enim hoc præclariſſimos Patres latuit, vel ſic fieri contigit præ ipſorum in Aſtronomiâ imperitiâ, ſed propter luminarium, ut dictum eſt, motum. Tempus verò annuum, quod ſtatim pluribus dicetur, diebus ccclxv. cum quadrante fermè diei reſtituitur. Medii autem motus Lunæ in longitudinem non redeunt, in annis integris xix. ſecundùm quadrantis additamentum computatis: ſed deſiderantur unius diei ſexageſimæ primæ tres, & ſecundæ xxxvii. Atque hanc ob cauſam in ccciv. annis non integris quidem, ſed minus unius diei minutis primis lvii. & ſecundis lii. hoc eſt, ferè die uno, dicta revolutio peragitur. Nam ſi noſmet nunc ſumamus enneacaidecaeterida poſt ccciv. annos à Patribus Nicænis, quæ ſeptima eſt ab illâ quam ii ſumpſêre, (incepit autem hæc ab anno 6537.) & computemus plenilunia ipſius poſt æquinoctium vernum, reperiemus quodlibet plenilunium uno die prævertere illa quæ ad primum enneacaidecaeterida pertinent, ut jam conſtitutum eſt in Tabulâ, quam de iſtis conſtruximus. Atque pariter ſi ſimiles enneacaidecaeteridos conjugationes calculo exponamus, quæ ab iſthâc in pari intervallo incipit, ut à ſexies milleſimo nongenteſimo quadrageſimo primo anno, haſce die uno illis priores deprehendemus. Tum etiam in annis ſequentibus, qui pari intervallo diſtant, reperire eſt inter conjugationes unius diei differentiam. Quapropter hodiè duo dies poſt plenilunium adjiciuntur ad Paſcha legale adinveniendum; quoniam plenilunium nequit attingere diem menſis à Patribus definitum, propter retroceſſionem ejus in annis ccciv. quantum fermè eſt ſpatium unius diei. Hoc errati in Canone iſto tempus annuum creavit.

Περὶ τῆς ἐαρινῆς ἰσημερίας.

F Ἀλλ' οὐδὲ τὰ τῆς ἰσημερίας ἐπὶ τῆς αὐτῆς ἕστηκεν ἡμέρας ἀεί· ἐπεὶ γὰρ τὴν ἐπὶ τοῦ λοξοῦ, διὰ μέσον τῶν ζῳδίων ἰδίαν κίνησιν βραδέως ποιεῖται ὁ ἥλιος, ὡς εἶναι τὴν μίαν αὐτοῦ ἀποκατάστασιν, τὸν ὅλον ἐνιαυτόν. τῷ δὲ παντὶ ἰσοταχῶς σχεδὸν συμπεριπολεῖ, ὥστ' ἐν μιᾷ περιστροφῇ τὸ νυχθήμερον ἔγγιστα ποιεῖν, ὅταν ἄρα ἐπὶ τῶν κοινῶν τομῶν γένηται, τοῦ τε οἰκείου καὶ τοῦ μεγίστου τῶν παραλλήλων, ἴσην ἐξ ἀνάγκης πανταχοῦ κατ' ἐκείνην περιστροφήν,

De Æquinoctio verno.

Sed nec momenta æquinoctii in eodem die ſteterunt. Quoniam enim Sol in medio Zodiaco motum proprium tardè peragit, ita ut unica iſtiuſmodi revolutio annum reddat integrum, circumfertur tamen pari fermè velocitate cum motu univerſi, quatenus unicâ circumactione diem naturalem quam proximè faciat, quando itaque reperitur in communi interſectione circuli proprii (ſeu eclipticæ) & maximi paralleli (hoc eſt Æquinoctialis) latione illâ diurnâ parem ubique efficit, quod opus, diem nocti. Nam, quia maximus parallelorum æqualia ſegmenta habet ſupra & infra terram, quando Sol circumactus in eo cum univerſo unà decurrit, neceſſariò moras ſub & ſupra terram pares facit. Nam quæ æquabiliter moventur, in æquali tempore æqualia pertranſeunt ſpatia. Imò propter æqualitatem noctis ac diei, quæ in illo contingit, æquinoctialis vocatur ille circulus: & puncta huic & Zodiaco communia, in quibus diebus ac noctibus æqualibus eſſe accidit, æquinoctialia; æquinoctium denique temporis momentum, quo centrum Solis communem dictorum circulorum interſectionem ſubit. Bina verò ſunt puncta æquinoctialia, Autumnale ſcilicet, quod in principio Libræ jacet, ubi Sol verſatur cùm relicto Aquilone ad Auſtrum tendit, & vernum in initio Arietis, cui ſubeſt centrum Solis à partibus Auſtralibus ad Septentrionales vergentis: & momentum illud appellatur æquinoctium vernum: poſt quod Lex divina Paſcha celebrari præcipit. Quapropter reſpectu Naturæ ipſius in eodem tempore ſemper æquinoctia fiunt, propter quantitatem annuam ſemper unam & eandem; at verò reſpectu diſpoſitionis corporum cœleſtium quoad terram, & menſuræ etiam dierum ac noctium, quâ juxta ritum Latinorum nos ipſi utimur, neque eâdem horâ, neque vel eodem die accidit æquinoctium fieri. Quoniam enim tempus annuum præter dies ccclxv. etiam prope quartam partem diei requirit: ſi nunc fuerit æquinoctium circa meridiem, anno ſequente erit circa occaſum Solis, & anno tertio, circa noctem mediam, & ſic in infinitum. Hinc enim quatuor annis completur dies biſſextilis. Deinde verò, quoniam appendicula quæ ad dies ccclxv. accedit, non continet integrum diei quadrantem, ſed deficit parte trecenteſima, & nos quidem numero dierum ac menſium à Latinis accepto utimur, quaſi quadrans diei perfectè ſemper expleretur, adeòque quolibet quadriennio diem unum ipſis ccclxv. adjicimus, contingit neceſſariò poſt annos ccc. æquinoctium unico die præverti. Ut exempli gratiâ hoc ipſo tempore, æquinoctium accidit die xviii. Martii, poſt annos ccc. illud incidit in xvii. tum poſt alios ccc. in xvi. atque ità perpetuò. Æquinoctium itaque pro anno ab orbe condito 4156. calculo nobis comprobatur incidiſſe in Martii xxvii. circa meridiem; meridiem, inquam, juxta meridianum Alexandriæ. Cæterorum verò æquinoctiorum, quæ invicem diſtant ccc. annis, unumquodque circa eandem horam at uno die citiùs obvenit, ut in laterculo appoſito conſtitutum eſt. Æquinoctia autem intermedia etiam intermediis diei ſpatiis, ſive horis fiunt. Si tamen lubet paulò accuratiùs temporis momenta ſcire. Primo quidem anno Nabonaſaris circa veſperam exeuntem, æquinoctium erat Martii die xxv. ſed tempore Phil.ppi Aridæi circa meridiem diei xxiv. ejuſdem

A τὴν ἡμέραν ποιεῖ τῇ νυκτί. τοῦ γὰρ μεγίστου τῶν παραλλήλων κύκλου ἴσα τὰ τμήματα ἔχοντος, τό, τε ὑπὲρ γῆν, καὶ τὸ ὑπὸ γῆν, ὅταν ἐπ' αὐτοῦ ὢν ὁ ἥλιος, τὴν μετὰ τοῦ παντὸς ποιεῖται περιστροφήν, τῷ ὑπὸ γῆν χρόνῳ, ἴσον ποιεῖ τὸν ὑπὲρ γῆν ἐξ ἀνάγκης· τὰ γὰρ ὁμαλῶς κινούμενα ἐν ἴσῳ χρόνῳ, τὰ ἴσα διεξέρχεται διαστήματα. διὰ ταύτην γοῦν τὴν γινομένην ἐπ' αὐτοῦ ἰσότητα τῆς νυκτὸς πρὸς τὴν ἡμέραν, αὐτὸν μὲν ἰσημερινὸν ὀνομάζουσι κύκλον. τὰ δὲ κοινὰ σημεῖα αὐτοῦ τε καὶ τοῦ λοξοῦ, καθ' ἃ αἱ τῶν νυχθημερῶν ἰσότητες γίνονται, ἰσημερινά, ἰσημερίαν δὲ τὴν ὥραν, ᾗ πρῶτον τοῦ ἡλίου τὸ κέντρον ἐπὶ τῆς κοινῆς τομῆς γίνεται τῶν εἰρημένων B δύο κύκλων. δύο δέ εἰσι τὰ ἰσημερινὰ ταῦτα σημεῖα, τό, τε φθινοπωρινόν, τὸ κατ' ἀρχὴν τοῦ ζυγοῦ κείμενον, ἐν ᾧ γίνεται ὁ ἥλιος ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια διερχόμενος, καὶ τὸ ἐαρινόν, τὸ κατ' ἀρχὴν τοῦ κριοῦ θεωρούμενον, ᾧ τινι τὸ τοῦ ἡλίου κέντρον συνέρχεται, ἀπὸ τῶν νοτιωτέρων ἐπὶ τὰ βόρεια κινουμένου· καὶ ἡ ὥρα ἐκείνη, ἐαρινὴ καλεῖται ἰσημερία μεθ' ἣν ὁ θεῖος νόμος τὸ πάσχα ἐπιτελεῖσθαι κελεύει. κατὰ μὲν οὖν τὴν τοῦ παντὸς φύσιν, ἐν τῷ αὐτῷ χρόνῳ τὰ τῆς ἰσημερίας ἀεὶ γίνεται, διὰ τὸ ἴσον εἶναι ἀεὶ τὸ μέγεθος τοῦ ἐνιαυσίου χρόνου· κατὰ δὲ τὸν ἑκάστοτε γινόμενον πρὸς τὴν γῆν τῶν οὐρανίων σχη- C ματισμόν, καὶ κατὰ τὸ μέτρον τῶν ἡμερῶν τε καὶ μηνῶν, ᾧ κατὰ ῥωμαίους ἡμεῖς χρώμεθα, οὔτε κατὰ τὴν αὐτὴν ὥραν, οὔ τε κατὰ τὴν αὐτὴν ἡμέραν συμβαίνει, ἀεὶ τὴν ἰσημερίαν γίνεσθαι. ἐπεὶ γὰρ ἡ ἐνιαύσιος ποσότης, πρὸς ταῖς τξε΄. ἡμέραις καὶ δ΄. ἔγγιστα προσλαμβάνει, ὅταν ᾖ ἡ ἰσημερία περὶ μεσημβρίαν, τὸ μὲν ἑξῆς ἔτος ἔσται περὶ δύσιν ἡλίου, τὸ δὲ ἑξῆς ἔσται περὶ μέσας νύκτας, καὶ οὕτω μέχρι παντός. ἐντεῦθεν γὰρ καὶ ἡ τοῦ βισέκτου ἡμέρα εἰς δ΄. ἐνιαυτοὺς προσαπαρτίζεται. ἐπεὶ δ' αὖθις ἡ ἐπὶ τξε΄. ἡμέραις ἐπιουσία οὐχ' ὅλον δ΄. ἡμέρας περιέχει, ἀλλὰ παρὰ τριακοσιαστόν, ἡμεῖς δὲ τῷ τῶν ἡμερῶν καὶ μηνῶν ἀριθμῷ κατὰ ῥω- D μαίους χρώμεθα, ὡς τοῦ τετάρτου ἀεὶ τελείου προσγινομένου, καὶ διὰ τοῦτο κατὰ δ΄. ἐνιαυτοὺς μίαν ἡμέραν ταῖς τξε΄. προστίθεμεν, συμβαίνει ἐξ ἀνάγκης μετὰ τ΄. ἐνιαυτοὺς πρὸ μιᾶς ἡμέρας γίνεσθαι τὴν ἰσημερίαν. οἷον, ἐπεὶ κατὰ τὸ παρὸν ἡ ἰσημερία γίνεται τῇ ιη΄. Μαρτίου, μετὰ τ΄. ἔτη ἔσται τῇ ιζ΄. εἶτα μετὰ τὰ ἕτερα τοσαῦτα τῇ ις΄. καὶ οὕτως ἀεί. ἡ μὲν οὖν κατὰ τὸ ,δρνς΄. ἔτος ἀπὸ κτίσεως κόσμου, ἐαρινὴ ἰσημερία ἀπολελόγισται ἡμῖν γεγονυῖα, Μαρτίου κζ΄. κατὰ μεσημβρίαν· λέγω δὲ μεσημβρίαν κατὰ τὴν δι' Αλεξανδρείας μεσημβρινόν. τῶν δ' ἑξῆς, ὅσαι μὲν τοῖς τ΄. ἔτεσιν ἀλλήλων διαφέρουσιν, ἑκάστη πρὸ μιᾶς τῆς πρὸ αὐτῆς ἡμέρας E κατὰ τὴν αὐτὴν αὐτὴν ὥραν γίνεται, ὡς προτέτακται ἐν τῷ διαγράμματι. αἱ δὲ μεταξὺ τούτων ἰσημερίαι, τοῖς μεταξὺ διαστήμασι δηλονότι γίνονται. εἰ δὲ καὶ σαφέστερα βούλει γνῶναι τοῦ χρόνου σημεῖα, ἐν μὲν τοῖς χρόνοις Ναβουνασάρου, περὶ λῆξιν ἑσπερίαν, ἦν ἰσημερία τῇ τοῦ Μαρτίου ε΄. καὶ κ΄. ἐν δὲ τοῖς Φιλίππου τοῦ Αριδαίου, περὶ μεσημβρίαν τῆς κδ΄. αὐτοῦ,

Anni ab Orbe condito.	*Æquinoctia circa Meridiem.*
4156.	27.
445 .	26.
4756.	25.
5056.	24.
5356.	23.
5 56.	22.
5956.	21.
6256.	20.
6556.	19.
6856.	18.

F

Ετη ἀπὸ κτίσεως κόσμου.	Ισημερίαι κατὰ μεσημβρίαν.
,δρνς.	κζ΄.
,δυνς.	κς΄.
,δψνς.	κε΄.
,ε · νς.	κδ΄.
,ετνς.	κγ΄.
,εχνς.	κβ΄.
,εϡνς.	κα΄.
,ςσνς.	κ΄.
,ςφνς.	ιθ΄.
,ςωνς.	ιη΄.

ἐν αἷς δὲ ἡμέραις ὁ Χριστὸς τῷ οἰκείῳ θανάτῳ τὸν θάνατον ἐθανάτου, τρίτην καὶ κ΄. καταλαμβανόντος αὐτοῦ, περὶ μέσην ἐκείνην τὴν νύκτα· ὅτε δὲ τὸ τῶν πατέρων τουτὶ κανόνιον ἐγεγόνει, τῇ α΄. τούτου καὶ εἰκοστῇ τὰ τῆς ἰσημερίας ἀπήντα. νῦν δ' ἐφ' ἡμῶν ὡς δεδήλωται, ἡ ιη΄. ταύτην ὁλοσχερῶς ὁρᾷ γινομένην. τοιαύτην ἀνωμαλίαν ἡ ἐπὶ τῇ τῶν φωστήρων κινήσει βραχυτάτη ἔλλειψις, κατὰ μικρὸν προσγινομένη ἀπέτεκε, καὶ τὰ φῶτα ὀπισθόρμητα γίνεσθαι παρεσκεύασεν· οὐ μὴν παρὰ τοῦτο μεταποιεῖν τὸν τῶν πατέρων προσήκει κανόνα· οὔτε γὰρ οἷόν τε συντεθῆναι ἕτερον, οὕτω σαφῶς δεικνύντα τοῖς πᾶσι τοὺς εἰρημένους περὶ τὸ πάσχα διορισμούς· ἀλλὰ καὶ ἢν ἐθελήσωμεν, ὥς τινες, μεταθεῖναι, δυσὶν αὐτὸν ἡμέραις ὑποβιβάσαντες, ἀρξάμενοι δηλονότι ἀπὸ ,ςωμα΄. ἔτους, πρὸς τῷ μὴ δὲ πάντας δυνατὸν εἶναι τοὺς ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὰ Χριστιανῶν πρεσβεύοντας πεῖσαι μεταμαθεῖν αὐτόν· ἔτι καὶ μετὰ τδ΄. πάλιν ἔτη, καὶ αὖθις μετὰ τοσαῦτα, καὶ ἀεὶ οὕτως ἡ αὐτὴ παρακολουθήσει ἁμαρτία, καὶ δεήσει πολλάκις τοῦτον μεταποιεῖν. ὥστε βέλτιον μὴ καινοτομεῖν, ἡ γὰρ τοιαύτη καινοτομία, οὐ μόνον οὐ δυνήσεται μὴ τῇ αὐτῇ πάλιν περιπεσεῖν ἁμαρτίᾳ, ἀλλὰ καὶ στάσεως οὐ μετρίας τῇ ἐκκλησίᾳ γενήσεται πρόξενος. νῦν δὲ καὶ οὕτως ἔχοντος τοῦ κανόνος τὰ καιριώτερα τῶν ὀφειλομένων περὶ τὸ πάσχα τηρεῖσθαι, δι' αὐτοῦ βεβαίως τηροῦνται, τὸ μετ' ἰσημερίαν δηλονότι καὶ τὸ μετὰ τὴν σελήνην. τὴν μετ' ἰσημερίαν τὰ τῆς ἑορτῆς ὑπὸ πάντων καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τῇ αὐτῇ ἡμέρᾳ τελεῖσθαι ἀστασιάστως. ἔτι δὲ εἰ ὀρθῶς εἶχεν ὁ περιοδικὸς οὗτος κατὰ πάντα κανὼν, πολλάκις ἂν συνέβαινε, τὴν ἑξῆς εὐθὺς ἡμέραν τῆς ἐκείνων ἑορτῆς ἡμῖν τὸ πάσχα τελεῖσθαι. νῦν δὲ μετὰ τρεῖς τοὐλάχιστον ἡμέρας τῆς ἐκείνων ἑορτῆς, ἡ ἡμετέρα τελεῖται. ὅπερ ἔτι μᾶλλον τῷ ἀποστολικῷ κανόνι συμβαίνει τῷ διοριζομένῳ, μὴ δεῖν ἐν τῷ αὐτῷ χρόνῳ τοῖς Ἰουδαίοις τὸ πάσχα τελεῖν. καὶ ἡ συμβεβηκυῖα περὶ τὸ πάσχα διαμαρτία, ὥσπερ ἐξ ἐπιτηδὲς ποιεῖ τὸν τοιοῦτον ἐπιπλέον νόμον φυλάττεσθαι. ἀλλ' οὐκ ἄκαιρον οἶμαι καὶ τῶν ἐπικαίρων ἤδη μνησθῆναι χρησμῶν.

Ὁ α΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανὼν, ὅρον φησὶν ἐξενήνοχεν ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος, ὑπ' ὄψιν τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου, τὴν τοῦ ἁγίου πάσχα τελετὴν, μὴ συνάμα τοῖς Ἰουδαίοις τοὺς χριστιανοὺς ἄγειν, ἀλλ' ὥσπερ τοῖς νόμοις καὶ τῷ φρονήματι, οὕτω καὶ τῷ διαλλάττοντι τῶν ἡμερῶν τούτων ἀποδιΐστασθαι· τοὺς δὲ τὸν ὅρον ἐκεῖνον παραλύειν τολμῶντας κληρικοὺς, καὶ οὕτω τὸν λαὸν πειρωμένους διδάσκειν, τῇ ἀφαιρέσει ζημιοῖ τῆς ἱερωσύνης. πρὸς δὲ τοὺς τολμῶντας τούτοις μετὰ τὴν καθαίρεσιν κοινωνεῖν οὐ μὴν ἀλλὰ καὶ τῆς ἔξω τοῦ βήματος ἀλλοτριοῦσθαι τιμῆς, τῆς ἐν τῇ καθέδρᾳ δηλαδὴ καὶ τοῖς ἄλλοις. οἱ γὰρ διὰ μέτριον πταῖσμα τῆς ἱερωσύνης ἀφῃρημένοι, τῆς περὶ τὰ ἔξω τιμῆς οὐκ εἴργονται.

Ὁ δὲ ξς΄. τῆς ς΄. συνόδου, τῆς ἀναστασίμου ἡμέρας ἄχρι τῆς καινῆς κυριακῆς, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἑορτάζειν διακελεύεται τοὺς πιστούς· καὶ ἐρρῶσθαι φράσαντας ταῖς ἱπποδρομίαις καὶ ταῖς δημώδεσι θέαις, θαμινὰ τοῖς ἱεροῖς ἐπιχωριάζειν· ἀνθ' ὧν τῆς τοῦ διαβόλου δουλείας ἐλευθερώμεθα. τὸν γὰρ ἀληθῆ χριστιανὸν, ἕτοιμον εἶναι δεῖ σχεδὸν ἑκάστοτε, πρὸς τὴν τῶν θείων μυστηρίων ὑποδοχήν. οὕτω γὰρ ἐσόμεθα συναστάντες Χριστῷ, τῆς χαμαιζήλου καὶ γηΐνης ζωῆς, καὶ συνυψωθέντες πρὸς ὑπερκόσμιον καὶ πνευματικὴν τῷ ὄντι διαγωγήν.

Ζήτει καὶ ἐν τῷ α΄. κεφαλαίῳ τοῦ Θ. στοιχείου κανόνα ξα΄. τῆς ἐν Καρθαγένῃ συνόδου.

A menſis: tempore verò quando Chriſtus morte ſuâ mortem ipſam enecavit, die Martii vergentis xxiii. ad noctem mediam; dein quando hanc Tabulam Patres conſtruxerunt, Martii xxi. die aderat momentum Æquinoctiale. Nunc autem apud nos, ut ſupra monſtratum eſt, dies xviii. iſtius menſis æquinoctium craſſiori modo captum videt. Ejuſmodi anomaliam vel minimus circa motum luminarium defectus, quamvis non diu ſit quod contigerit, creavit, fecitque Luminaria retro cedere. Non tamen eam ob cauſam Canonem illum Patrum immutare oportet: neque enim alium condere licet, qui tam evidenter commonſtret etiam omnibus dictas B Paſchatis determinationes. Veruntamen etſi velimus, quod faciunt nonnulli, hunc immutare, atque initium ſumentes ab anno 6841. dies adeò duos demere: Præterquam quod nè vix poſſibile eſt omnibus per totum terrarum orbem rerum ſacrarum moderatoribus perſuadere ut methodum novam addiſcant, alterâ rejectâ; etiam hîc poſt annos ccciv. rurſuſque poſt alios ccciv. atque porrò in infinitum idem error ſequetur, atque opus erit Tabulam ſæpius immutare. Quapropter multò melius fuerit, nullatenus innovare: nam iſtiuſmodi innovatio non ſolùm non poteſt eundem errorem devitare, ſed & turbarum non minimarum in Eccleſiâ cauſa C erit. Ut verò Canon ille nunc ſe habet, ea quæ præcipuè circa Paſcha obtinere oportet, in illo firmiter obſervantur, ſcilicet quòd poſt æquinoctium, imò etiam poſt Lunam æquinoctium ſequentem, feſti iſtius ſolennia ab omnibus & eodem tempore eodémque die ſine diſſidio peragantur. Præterea, ſi rectè quoad omnia ſe haberet Periodicus ille Can. ſæpenumero tamen contingeret Paſcha à nobis poſtridie feſti Judæorum obſervari. Nunc autem poſt tres dies ad minimum ab ipſorum feſto noſtrum celebratur. Quod etiam magis convenit Canoni Apoſtolico, qui ſtatuit Paſcha eodem tempore cum Judæis minimè celebrandum eſſe: D & ſanè error iſte circa Paſcha, quaſi ex conſulto, facit ut præceptum illud magis obſervetur. Jam verò opportunum eſſe reor ſanctiones etiam neceſſarias commemorare.

Primus itaque Concilii Antiocheni Canon, hoc decreti, ait, Synodus Nicæna edidit, Conſtantino piiſſimo Imperatore præſente, nè Chriſtiani unà cum Judæis ſacri Paſchatis ſolennia celebrarent, ſed potius uti legibus ac ſententia, ita & dierum diſcrimine ab iſtis diſtinguerentur: Clericos verò qui definitionem illam violare auſi fuerint, atque ita populum docere præſumpſerint, Sacerdotis jacturâ mulctat: tum etiam qui cum hiſce communicaverint, poſt depoſitionem honore E qui extra ſacrum Tribunal ad ipſos pertinet, Cathedrâ puta aliiſque privilegiis exuit. Nam qui ob delictum non prægrave Sacerdotio ſuo excidunt, non ſtatim honore illo circa externa privantur.

Canon autem Synodi ſexti lxvi. à die reſurrectionis uſque ad Dominicam ſequentem Pſalmis, & Hymnis, & Canticis ſpiritualibus vacare fideles admonet, & hippodromiis ſpectaculiſque publicis prætermiſſis, in ſacris frequentius verſari, quâ de cauſâ à ſervitute diaboli liberati ſumus. Verum enim verò Chriſtia- F num oportet nunquam non paratum eſſe ad ſuſcipienda ſacra myſteria: ita quidem fiet, ut unà cum Chriſto reſurgamus, atque de vitâ vili & terrenâ ad ultramundanam & ſpiritualem converſationem attollamur.

Vide etiam in cap. i. literæ Θ. Canonem lxi. Concilii Carthaginenſis.

Canon autem lxxxix. Synodi ſextæ fidelibus præcipit, ut ſalutaris Paſſionis diem in jejunio & oratione & compunctione cordis peragant, atque tum circa noctem mediam Sabbati jejunium ſolvere; cùm ſancti Evangeliſtæ Matthæus, ac Lucas, ille quidem dicendo veſpere Sabbati, hic verò valdè diluculo, nobis noctis tarditatem deſcripſerint. Uſque enim ad ſextam horam nocturnam Sabbati jejunare fas eſt: non tamen poſt ſeptimam; quia Dominus circa illam horam reſurrexiſſe creditur: diebus autem Dominicis jejunare vetitum eſt.

Convenit cum illis etiam B. Dionyſius Alexandriæ Patriarcha, atque eodem tempore jejunium ſolvere jubet, qui ante Paſcha abſtinuerunt; quorum alii totam ſeptimanam abſque cibo tranſegère, alii duos ſolùm, aut tres, aut etiam quatuor dies. Nam veſpere Sabbati quod apud ſanctum Matthæum legitur, non veſperam denotat, ſed profundam noctem; tarditas adeò ac longa noctis mora *veſpere* ſignificatur; ideóque addit ille, *quod luceſcit prima Sabbati.* Joannes autem ſic habet; *Mane, cùm adhuc tenebræ eſſent.* Et Lucas, *valde diluculo.* Marcus denique, *Valde mane una Sabbatorum, mulieres venerunt ad monumentum, orto jam Sole.* Idem verò eſt *valdè mane*, quòd βαθέως ὄρθρου, id eſt, *valdè diluculo.* Nam mulieres noctu intempeſta monumentum adibant, atque ſepulchrum aſſidebant uſque ad ortum Solis: ſiquidem ab ortu Solis dies, & ab occaſu ejus nox incipiat. Jus autem civile, & Aſtronomi horam noctis ſeptimam principium diei ſtatuunt, & pro noctis initio horam ſeptimam diurnam Quam ob cauſam & in ſacrâ nocte reſurrectionis Chriſti, quando ſc. contigit Æquinoctium vernum, profundum diluculum, & valdè mane Sole jam oriente, & tenebræ, & veſpera Sabbati in primum poſt Sabbatum diem alluceſcens, qui Dominicus quidem fuit, ſacrâ Evangeliſtarum phraſi vocatur tempus noctis immediatè ſequens horam vi. quod principium quidem erat diei Dominicæ. Unde triduanam eſſe dicimus Domini Reſurrectionem juxta infallibilem ipſius prædictionem. Quoniam enim in Paraſceve mortem dormivit, vitæ parentem, quæ prima fuit: & ſecunda, quæ erat Sabbatum, ſeptimum noctis horam, hoc eſt, principium diei Dominicæ, ut jam diximus, pertigit; tertia igitur numero fuit dies Dominica. Dicit autem murus ille ſeptumque Eccleſiæ, atque doctrinæ Evangelicæ pandectes, ſanctus inquam Chryſoſtomus, citius ſi reſurrexiſſet Dominus, incuſatione fore vacuum; ſin verò tardius, valdè ſuſpectum. Nam ſi quis debitum ante præſtitutum tempus perſolverit, prudens nemo vitio vertat. Sancti autem Evangeliſtæ acceſſus agilium illarum mulierum, variáſque quas de reſurrectione viderunt viſiones, ut quiſque ex memoriâ potuit, aut potius ex divinâ revelatione, clarè deſcripſerunt. Ipſiſſimam autem reſurrectionis horam, ſive ſeptima fuerit, ſive octava, ſolus Deus novit, qui reſurrexit.

Canones autem Concilii Carthaginenſis, xxxiv. & lxxiii. diem ſacri Paſchatis in Synodis anniverſariis declarari jubent, Synodi autem habendæ diem indicunt decimum Kalendas Septembris, vel quod idem eſt, xxi. die Auguſti. Calendæ enim vocantur primi menſium dies: demptis igitur decem diebus qui præcedunt, relinquitur Auguſti, (qui menſis dies xxxi. numerat) dies viceſimus primus.

Porrò autem Canon xiv. Concilii Laodiceni illicitum judicat ſacra myſteria benedictionis quidem impertiendæ causâ, tempore Paſchatis ab unâ parœciâ in aliam mittere: Hoc enim tanquam moris indecentis & minus convenientis meritò à Patribus prohibitum fuit.

A Ὁ δὲ πθʹ. τῆς ϛʹ. συνόδου, τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ εἰσηγεῖται καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελεῖν τοὺς πιστοὺς, μέσων δὲ νυκτῶν κατὰ τὸ σάββατον ἀπονηστίζεσθαι· τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν, διὰ τοῦ ὀψὲ σαββάτου ῥήματος· τοῦ δὲ διὰ τοῦ βαθέως ὄρθρου, τὴν βραδυτῆτα τῆς νυκτὸς ἡμῖν ὑπογραφόντων. μέχρι μὲν γὰρ τῆς τοῦ σαββάτου νυκτερινῆς ϛʹ. ὥρας, θέμις νηστεύειν· μετὰ δέ γε τὴν ζʹ. οὐκ ἔτι· ἅτε καὶ τοῦ κυρίου ἐγηγέρθαι πιστευομένου τῷ τότε. καὶ μὴ νηστεύειν τὰς κυριωνύμους προστεταγμένον.

B Τούτοις συνᾴδων καὶ ὁ ἐν ἁγίοις Διονύσιος Ἀλεξανδρείας κατ' ἐκεῖνο τῆς ὥρας κελεύει ἀπονηστίζεσθαι τοὺς πρὸ τοῦ πάσχα νενηστευκότας· ὧν οἱ μὲν ἄσιτοι πᾶσαν τὴν πρὸ τοῦ πάσχα ἑβδομάδα διατελοῦσιν, ἄλλοι δὲ, δύο ἡμέρας, ἢ τρεῖς, ἢ τέσσαρας. τὸ γὰρ ὀψὲ σαββάτου εἰρημένον τῷ θείῳ Ματθαίῳ, οὐ τὴν ἑσπέραν δηλοῖ φησι, ἀλλὰ νύκτα βαθεῖαν, βραδυτῆτα καὶ μακρὸν χρόνον τοῦ ὀψὲ δηλοῦντος· ταύτῃ τοι καὶ ἐπήγαγε, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων. ὁ δὲ Ἰωάννης πρωῒ σκοτείας ἔτι οὔσης φησίν. ὁ δὲ Λουκᾶς τῇ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέως. ὁ δὲ Μάρκος, λίαν πρωῒ τῆς μιᾶς σαββάτων, αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνημεῖον, C ἀνατείλαντος τοῦ ἡλίου. ταὐτὸν δέ ἐστι τὸ λίαν πρωῒ τῷ βαθέως ὄρθρου. ἀωρὶ μὲν γὰρ τῶν νυκτῶν πρὸς τὸ μνημεῖον αἱ γυναῖκες ἀπῄεσαν· προσήδρευον δὲ τῷ τάφῳ μέχρις ἀνατολῆς ἡλίου· εἰ γὰρ καὶ ἀρχὴ τῆς ἡμέρας ἡ τοῦ ἡλίου ἀνατολὴ γίνεται, καὶ ἀρχὴ τῆς νυκτὸς ἡ δύσις αὐτοῦ. ἀλλ' ὁ πολιτικὸς νόμος καὶ οἱ περὶ τὴν ἀστροθεάμονα τέχνην ἐσχολακότες ἀρχὴν τῆς ἡμέρας τὴν νυκτερινὴν ἑβδόμην τίθενται ὥραν, καὶ ἀρχὴν τῆς νυκτὸς τὴν ἑβδόμην ἡμερινήν. διὰ τοῦτο καὶ ἐν τῇ ἱερᾷ νυκτὶ τῆς Χριστοῦ ἀναστάσεως, ἅτε τηνικαῦτα ἰσημερίας οὔσης ἐαρινῆς, ὄρθρος βαθὺς, καὶ λίαν πρωῒ ἀνατείλαντος τοῦ ἡλίου, καὶ σκοτεία, καὶ ὀψία σαββάτου εἰς μίαν σαββάτων τὴν τότε κυριακὴν D ἐπιφώσκουσα, ὁ μετὰ ἕκτην ὥραν καιρὸς τῆς νυκτὸς, τῇ θείᾳ τῶν εὐαγγελιστῶν προσηγόρευται λογάδι, ὃς ἦν ἀρχὴ τῆς κυριακῆς. διὸ δὲ καὶ τριήμερον λέγομεν τὴν ἀνάστασιν τοῦ κυρίου κατὰ τὴν ἀψευδῆ αὐτοῦ εὐαγγελίαν· ἐπεὶ γὰρ τῇ παρασκευῇ τὸν ζωοποιὸν ὕπνωσε θάνατον· ἥτις ἦν πρώτη, δευτέρα δὲ τὸ σάββατον, ἥψατο δὲ καὶ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς, ἥ τις ἦν ἀρχὴ τῆς κυριακῆς ὡς εἴρηται. τρίτη ἄρα λογίζεται ἡ κυριακή. φησὶ δὲ ὁ τῆς ἐκκλησίας περίβολος ἡ τῆς εὐαγγελικῆς ἐμπειρίας βίβλος, ὁ θεῖος φημὶ Χρυσόστομος, ὅτι τὸ μὲν θᾶττον ἀναστῆναι, ἔγκλημα οὐκ ἦν, τὸ δὲ βράδιον ὑποψίας ἔγεμεν. οὐ γὰρ ἂν καὶ τὸ E χρέος καταβάλλοντα πρὸ τῆς ὁρισθείσης προθεσμίας, νοῦν ἔχων ἄνθρωπος αἰτιάσαιτο. οἱ μὲν οὖν θεῖοι εὐαγγελισταὶ, τὰς τῶν εὐαγῶν γυναικῶν προσελεύσεις· καὶ ἃς κατεῖδον αὗται διαφόρους περὶ τὴν ἀνάστασιν ὀπτασίας, ὡς εἶχεν ἕκαστος διὰ μνήμης, ἢ θειοτέρας μᾶλλον εἰπεῖν ἐμπνεύσεως, σαφῶς ἀνεγράψαντο. ἡ μέντοι ἀληθὴς τῆς ἀναστάσεως ὥρα, εἴτε ἑβδόμη τυγχάνουσα ἦν, εἴτε μὲν ὀγδόη, μόνῳ τῷ ἀναστάντι θεῷ γνώριμος.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου λδʹ. καὶ ογʹ. τὴν τοῦ ἁγίου πάσχα ἡμέραν παρεγγυῶνται γίνεσθαι δήλην, ἐν ταῖς F ἐτησίως γινομέναις συνόδοις, ἡμέραν δὲ τῆς συνόδου ὁρίζονται, τὴν πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ὡς εἶναι ταύτην καʹ. τοῦ Αὐγούστου. καλάνδαι γὰρ αἱ πρῶται ἡμέραι τοῦ μηνὸς λέγονται· εἰ οὖν τὰς πρὸ τούτων ἀφέλοις δέκα, ἡ καʹ. λείπεται τοῦ Αὐγούστου λʹ. καὶ αʹ. ἡμέρας ἔχοντος.

Ὁ δὲ ιδʹ. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, οὐκ οἴεται δεῖν τὰ ἅγια δῶρα εὐλογίας δῆθεν χάριν, ἐπὶ τῷ πάσχα καιρῷ, ἀπὸ παροικίας πέμπειν εἰς παροικίαν. ὡς ἀπρεπὲς γὰρ, καὶ οὐκ εὔσχημον ἔθος δικαίως πρὸς τῶν πατέρων κεκώλυται.

Τοῦτο

A τοῦτο δὲ νῦν οἱ Λατῖνοι ποιοῦσιν, ἐν τῷ καιρῷ τοῦ πάσχα, ἐπιμερίζοντες τὰ ἄζυμα, μετὰ τὸ ἁγιασθῆναι, ὡς κοινὰ τῷ δήμῳ παντί.

Νόμος.

Τῇ πρώτῃ τῶν πασχαλίων ἡμερῶν, καὶ βασιλικῆς ἐπὶ τοῦτο μὴ καταλαβούσης κελεύσεως, πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν· εἰ μὴ ἄρα ἱερόσυλός τις ἐστιν, ἢ μοιχὸς, ἢ παρθένων ἅρπαξ, ἢ τυμβώρυχος, ἢ γόης, ἢ φαρμακὸς, ἢ φονεὺς, ἢ πατροκτόνος, ἢ κατὰ βασιλέως ἢ πόλεως εὑρέθη μηχανησάμενος. B

ΚΕΦ. η'.

Περὶ πατριάρχου.

ΠΑΤΡΙΑΡΧΗΣ ἐστὶν εἰκὼν ζῶσα Χριστοῦ, καὶ ἔμψυχος, δι' ἔργων καὶ λόγων ἐν ἑαυτῷ ζωγραφῶν τὴν ἀλήθειαν. Ὁ σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μὲν, οὓς ἐκ θεοῦ παρέλαβεν, ἐν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι, ἔπειτα δὲ καὶ πάντας τοὺς αἱρετικοὺς κατὰ τὸ δυνατὸν C αὐτῷ, πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας ἐπιστρέψαι. αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται, καὶ οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες ἐκκλησίᾳ. ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων, μιμητὰς ποιῆσαι τῆς πίστεως, καὶ τοὺς ὁρῶντας τὰ ἔργα αὐτοῦ λατρευτὰς τῆς παναγίας καὶ ὁμοουσίου τριάδος, τὸ ὅσον ἐπ' αὐτῷ ἀνεργάσασθαι.

Τέλος τῷ πατριάρχῃ ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία· καὶ τὸ ζῆν μὲν ἐν Χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ. D

Ἴδια πατριάρχου, τὸ, εἶναι διδακτικόν· τὸ πρὸς πάντας ὑψηλοὺς τε καὶ ταπεινοὺς, ἀστενοχωρήτως ἐξισοῦσθαι· καὶ πρᾶον μὲν εἶναι πρὸς ἅπαντας τοὺς ἐντυγχάνοντας ταῖς διδασκαλίαις. ἐλεγχτικὸν δὲ πρὸς τοὺς ἀπειθοῦντας· ὑπὲρ δὲ τῆς ἀληθείας, καὶ τῆς ἐκδικήσεως τῶν δογμάτων καὶ τῆς συντηρήσεως τοῦ δικαίου καὶ τῆς εὐσεβείας λαλεῖν ἐναντίον βασιλέων καὶ μὴ αἰσχύνεσθαι.

Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων ἀναλόγως τῷ τινὶ ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη, E βασιλεύς ἐστι καὶ πατριάρχης. διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία, βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πᾶσιν ὁμοφροσύνη καὶ συμφωνία.

Ὁ Κωνσταντινουπόλεως θρόνος βασιλείᾳ ἐπικοσμηθεὶς ταῖς συνοδικαῖς ψήφοις πρῶτος ἀνηγορεύθη· οἱ θεῖοι οἷς κατακολουθοῦντες νόμοι, καὶ τὰς ὑπὸ τοὺς ἑτέρους θρόνους γινομένας ἀμφισβητήσεις, ὑπὸ τὴν ἐκείνου προστάττουσιν ἀναφέρεσθαι διάγνωσιν καὶ κρίσιν.

Πάντων τῶν μητροπόλεων, καὶ ἐπισκοπείων, καὶ μοναστηρίων τε καὶ ἐκκλησιῶν, ἡ πρόνοια καὶ φροντὶς, ἔτι F δὲ καὶ κρίσις καὶ κατάκρισις καὶ ἀθώωσις, τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται. τῷ δὲ Κωνσταντινουπόλεως προέδρῳ, ἔξεστι καὶ ἐν ταῖς τῶν ἄλλων θρόνων ἐνορίαις, ἐν οἷς οὐκ ἔστι προκαθιέρωσις ναῶν, σταυροπήγια διδόναι, οὐ μὴν, ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γινομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι, καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν· ὡσαύτως καὶ μετανοίας καὶ ἐπιστροφῆς ἁμαρτημάτων καὶ αἱρέσεων, αὐτὸς καὶ μόνος καθίσταται διαιτητής τε καὶ γνώμων.

Latini autem hodiéque id faciunt, nimirum tempore Paſchali Azyma jam conſecrata, tanquam communia, populo diſtribuunt.

Lex.

Primo Paſchalium dierum incarcerati, niſi Imperatoris juſſu aliter cautum fuerit, liberentur: præcluduntur tamen ſacrilegus, Adulter, Virginum Raptor, ſepulchri violator, Magus, Veneficus, Homicida, Parricida, tum quiſquis deprehenſus fuit adverſus Imperatorem aut ſtatum civilem novi aliquid moliens.

CAPUT VIII.

De Patriarchâ.

PATRIARCHA eſt viva Chriſti imago ſpiranſque, operibus & ſermonibus in ſemetipſo ad vivum depingens veritatem. Opus autem Patriarchæ primum quidem eſt, illos, quos ſuſcepit à Deo, in pietate moribúſque bonis conſervare, tum verò & hæreticos omnes, quantum poteſt, ad orthodoxam Fidem, & Eccleſiæ unitatem convertere. (Hæreticos autem vocant & jus civile & Canones ſacri eos quidem omnes, qui cum Eccleſiâ Catholicâ non communicant.) Tertio autem in loco ita infideles præclarâ & admirandâ ſuâ Converſatione percellere, ut imitatores æmulique Fidei evadant, atque operum ſuorum inſpectores, quatenus hoc liceat, ſanctiſſimæ & conſubſtantialis Trinitatis adoratores reddere.

Scopus Patriarchæ eſt animarum ſibi creditarum ſalus, atque in Chriſto vivere, ac mundo crucifigi.

Dein eximia ſunt iſthæc, aptum eſſe ad docendum, erga omnes tum ſublimis tum vilioris ſortis homines animo liberali ſe gerere; inſuper mitem eſſe in admonitionibus erga eos omnes, quibuſcum rem habet, at verò quoad contumaces facultate reprehendendi pollere: pro veritate denique & dogmatum vindiciis, & pro juſtitiâ ac pietate conſervandis apud Imperatores verba facere, neque erubeſcere.

Cùm autem Politia Eccleſiaſtica, inſtar hominis, ex partibus ac particulis conſtet: membra omnium maxima maximéque neceſſaria ſunt Imperator & Patriarcha. Quocirca pax & felicitas ſubditorum, tam quoad animam, quam corpus, eſt Imperii ac Sacerdotii in omnibus concordia & conſenſus.

Sedes Conſtantinopolitana, quæ Imperio cohoneſtatur, decretis ſynodalibus omnium prima declarata fuit: unde Imperatorum ſanctiones, quæ iſthæc ſequuntur lites in aliis ſedibus ſi quæ oriantur, ad hujuſce throni cognitionem ac judicium referri jubent.

Omnium planè Eccleſiarum Metropolitanarum, & Epiſcopatuum, & Monaſteriorum, atque Eccleſiarum providentia & cura, imò etiam recognitio ac cenſura, atque abſolutio ad proprium Patriarcham pertinet: Præſuli verò Conſtantinopolitano licet etiam in aliorum thronorum diſtrictu largiri; neque id ſolum, ſed & lites, quæ in aliis provinciis moventur, obſervare & moderari, & penitùs determinare, Ipſe pariter & pœnitentiæ atque converſionis à delictis ac hæreſibus & quidem ſolus conſtituitur exactor & explorator.

A

CAPUT IX.

De Viſitatoribus, ſive Exarchis.

Quære in capite xxx. Literæ E. Canonem Synodi Laodicenæ lvii.

ΚΕΦ. θ'.

Περὶ περιοδευτῶν, ἤτοι ἐξάρχων.

Ζήτει ἐν τῷ λ'. κεφ. τοῦ Ε. στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου νζ'.

B

CAPUT X.

De Fide orthodoxa.

Vide cap. Præfationis, quæ immediatè præcedit Lit. A.

ΚΕΦ. ι'.

Περὶ πίστεως ὀρθοδόξου.

Ζήτει τὸ κεφάλαιον τοῦτο πρὸ τοῦ Α. στοιχείου.

CAPUT XI.

De Avaritiâ & Rapina.

Conſule cap. xii. Lit. A.

MAGNUS autem Gregorius Nyſſenus in Canone vi. Species iſta Idololatriæ, inquit, (ita enim ſanctus Apoſtolus Avaritiam vocavit,) Patribus noſtris neſcio an tanquam inſanabilis penitus neglecta fuit. Siquidem videtur malum illud tertiæ cujuſdam facultatis animæ paſſionem eſſe. Ratio enim, quæ de bono judicium ferre debet, aberrat, atque in materie bonum ſitum eſſe arbitratur, nihil ad decus immateriale reſpiciens. Et concupiſcentia, à verò appetibili divertens, ad ea quæ ſunt infra delabitur: appetitus verò iraſcibilis atque animoſus plerumque ex illo errrore occaſionem ſumit. Atque, ut ſummatim loquar, convenit ejuſmodi morbus Apoſtolicæ definitioni Avaritiæ. Sanctus enim Apoſtolus eam non ſolùm Idololatriam eſſe aſſeruit, ſed & malorum omnium radicem. Quare etiam neglectum fuit illud morbi genus nullâ adhibitâ curâ aut medelâ: unde per Eccleſiam graſſatur hoc vitium, & nemo quiſquam hos qui ad Clericatum accedunt, diligenter obſervat, nè fortè hoc Idololatriæ genere inquinati fuerint. Sed quoad iſta, quia Patres noſtri ea prætermiſerunt, communem diſciplinæ rationem ſufficere arbitramur, quâ curandum ſit, ut licet, &, quod in plethora fieri ſolet, purgandum Avaritiæ vitium.

ΚΕΦ. ια'.

Περὶ πλεονεξίας καὶ ἁρπαγῆς.

C Ζήτει τὸ ιβ'. κεφάλαιον τοῦ Α. στοιχείου.

Ὁ Δὲ μέγας Γρηγόριος ὁ Νύσσης ἐν τῷ ϛ'. κανόνι, τὸ τῆς εἰδωλολατρείας φησὶ εἶδος, οὕτω γὰρ ὠνόμασε τὴν πλεονεξίαν ὁ μέγας ἀπόστολος, οὐκ οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν πατέρων ἡμῶν παρεωράθη. καίτοιγε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τριτῆς ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι· καὶ γὰρ ὁ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄϋλον ἀναβλέπων κάλλος· καὶ ἡ ἐπιθυμία, πρὸς τὰ κάτω ῥεῖ τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ D ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰ ἐκ τῆς τοιαύτης ἁμαρτίας τὰς ἀφορμὰς λαμβάνει· καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ· ὁ γὰρ θεῖος ἀπόστολος, οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν ἀπεφήνατο· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρεωράθη τῆς νόσου, ἀνεπίσκεπτον καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τῆς ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα· καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν· ἀλλὰ περὶ τούτου διὰ τὸ παρεῖσθαι τοῖς πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίᾳ τῆς διδασκαλίας λόγῳ, E ὅπως ἂν οἷόν τε ᾖ θεραπεύειν, καὶ ὥσπερ τινὰ πληθωρικὰ, τὰς πλεονεκτικὰς ἀῤῥωστίας καθαίρειν.

CAPUT XII.

Quonam modo oporteat Patres ſpirituales ſe gerere erga Confitentes.

Vide Lit. M. cap. v. vi. vii. viii. & ix.

ΚΕΦ. ιβ'.

Πῶς δεῖ πνευματικοὺς πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους.

Ζήτει τὸ Μ. στοιχείου κεφ. ϛ'. ζ'. η'. καὶ θ'.

F

CAPUT XIII.

Quod animalibus ſuffocatis veſci haud liceat.

EX Canone lxiii. ſanctorum Apoſtolorum, atque etiam lxvii. Synodi ſextæ, ſævum eſſe videtur & valdè abſurdum, hoſce brutorum animalium jugulatione ſanguinem non priùs evacuare qui illorum carnes

ΚΕΦ. ιγ'.

Ὅτι οὐ δεῖ πνικτὰ ζῶα ἐσθίειν.

Τῷ ξγ'. κανόνι τῶν ἁγίων ἀποστόλων, πρὸς δὲ καὶ τῷ ξζ'. τῆς ϛ'. συνόδου, ἅτινες εἶναι δοκεῖ καὶ ἀτεχνῶς ἄλογον, τὸ μὴ πρότερον ἐκκενοῦν τῇ σφαγῇ τῶν ἀλόγων ζώων τὸ αἷμα, τοὺς τῶν κρεῶν αὐτῶν ἅπτεσθαι

A ἀπολέσθαι μέλλοντας. ἀπείρηται δὲ καὶ θηριάλωτον ἐσθίειν ἢ τεθνηκὸς, ἔτι δὲ καὶ διὰ τὴν λίχνον γαστέρα αἷμα οἱουδήποτε ζώου τέχνῃ τινὶ κατασκευάζειν ἐδώδιμον. εἰ γὰρ καὶ μετὰ τὸν κατακλυσμὸν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐπέτρεψε τῶν λαχάνων οὐχ' ἧττον, τὰ ἄλογα τῶν ζώων ποιεῖσθαι τροφὴν, ἀλλὰ κρέα ἐν αἵματι ψυχῆς ἐσθίειν ἀπείρηκε. τὸ γὰρ αἷμα ψυχῆς ἐν τοῖς ἀλόγοις ἐπέχει δύναμιν. διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἐν ταῖς πράξεσι, μετὰ τοῦ εἰδωλοθύτου καὶ τῆς πορνείας, καὶ ἀπὸ τοῦ πνικτοῦ διαφυλάττεσθαι νενομοθετήκασι τοὺς πιστούς· τοῖς δὲ ταύτην περὶ ἐλαχίστου τιθεμένοις τὴν ἐντολὴν, εἰς κληρικοὺς μὲν B τελοῦσι δίκην ἐπάγουσι τὴν καθαίρεσιν, ἀφορισμὸν δὲ τοῖς λαϊκοῖς. οἵ γε μὲν Λατῖνοι, καὶ τῶν ἱερῶν τούτων κατολιγωροῦντες κανόνων, ἀδεῶς ἐσθίουσι τὰ πνικτά.

commeſturi ſunt. Vetitum eſt à belluâ captum eſſe, vel emortuum, atque etiam ob ventrem voracem cujuſvis animalis ſanguinem arte aliqua eſculentum dare. Quippe etiam ſi Deus poſt diluvium homini conceſſerit non minus quàm de oleribus ex brutis animantibus cibum capere; vetuit tamen carnes unà cum ſanguine animæ edere. Sanguis enim in brutis animæ rationem obtinet. Quamobrem etiam Apoſtoli in Actibus decreverunt, ut fideles ſicuti ab Idolothytis & fornicatione, ita & à ſuffocato abſtinerent: Qui verò cunque hanc injunctionem parvipendent, ſi ſint ex ordine Clericali depoſitione percellunt; Laicos autem excommucatione. Latini tamen ſacros hoſce Canones nihil morantes, temerè ſuffocata devorant.

Νόμος.

Η δὲ νζʹ. νεαρὰ τοῦ βασιλέως Λέοντος διορίζεται, τοὺς μὲν πωλοῦντας ἢ ἐσθίοντας εἶδος οἱονδηποτοῦν μετέχον αἵματος, αἰκιζομένους δημεύεσθαι· καὶ διὰ τῆς ἐν χρῷ κουρᾶς ἀτιμοῦσθαι, καὶ ἀειφυγίᾳ κατακρίνεσθαι. τοὺς δὲ μὴ τὰ τοιαῦτα ἐκδικοῦντας ἄρχοντας, δέκα λίτρας ζημιοῦσθαι χρυσοῦ. C

Lex.

Sancit conſtitutio Novella lvii. Leonis Imperatoris tam eos qui vendunt quàm qui comedunt quodcunque in ſe ſanguinem, flagris cæſos bonorum publicationem ſubſtinere, & cute tenus tonſione deformari, & perpetuo exilio multari. Et magiſtratus qui iſtæc non vindicaverint, decem librarum auri mulctam ſubire.

ΚΕΦ. ιδʹ.

Περὶ ποινῶν.

Ζήτει ἐν τῷ ιβʹ. κεφαλαίῳ τοῦ Σ. στοιχείου κανόνα εʹ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

Νόμοι.

D

Οὐδεμίαν γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας, δημοσίας ἢ ἰδιωτικῆς ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε, ἢ εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν, ἢ δι' ἀνδρῶν φυλάττεσθαι· ἵνα μὴ διὰ τῆς τοιούτων ἀφορμῆς εὑρεθῶσι περὶ τὴν σωφροσύνην ἀτιμαζόμεναι. εἰ δὲ βαρύτατον εἴη τὸ ἔγκλημα, ἐφ' ᾧ κατηγορεῖται, εἰς μοναστήριον ἐμβαλλέσθω, ἢ γυναιξὶ παραδιδόσθω, ὥστε ἀσφαλῶς τηρεῖσθαι, ἕως οὗ τὸ πρᾶγμα φανερωθῇ.

Εὰν ἐπαγάγῃ ὁ βασιλεὺς τιμωρίαν τινὶ, μὴ κολαζέσθω παραχρῆμα ὁ καταδικασθεὶς, ἀλλ' ὑπερτιθέσθω λʹ. E ἡμέρας ἡ κατ' αὐτὸν τιμωρία· ἴσως γὰρ τεύξεται φιλανθρωπίαν.

Τοὺς μηδὲν ἡμαρτηκότας, τὰ τῶν πατέρων ἁμαρτήματα, οὐ καταβλάπτει· οὐ δὲ τοὺς πατέρας τὰ τῶν τέκνων. τὰ γὰρ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

Ὑπαγορεύει ἡ διάταξις ἀμφοτέρας τέμνεσθαι τὰς χεῖρας καὶ τοὺς πόδας.

Ποινὴ μετάλλου ἐστὶ, τὸ καταδικασθῆναι τινὰ ἄσβεστον F ποιεῖν ἢ θεῖον ὀρύττειν.

Ζήτει καὶ ἐν τῷ θʹ. κεφαλαίῳ τοῦ Μ. στοιχείου. καὶ ἐν θʹ. κεφ. τοῦ Δ. στοιχείου κανόνα νʹ. τῆς Καρθαγένης συνόδου.

CAPUT XIV.

De Pœnis.

Quære in xii. capite Lit. Σ. Canonem v. Synodi Antiochenæ.

Leges.

Nullam mulierem propter actionem pecuniariam, ſive publica fuerit, ſive privata, vel cauſam quamcunque, aut in cuſtodiam conjici volumus, aut à viris cuſtodiri; nè fortè eâ occaſione inveniantur quoad pudicitiam infames: ſin verò graviſſimum ſit crimen, quod objicitur, trudatur in Monaſterium, vel mulieribus tradatur, ut tuto ſervetur, donec res fiat manifeſta.

Si Imperator pœnam alicui denunciet, damnatus nè ſtatim puniatur, ſed differatur in dies xxx. pœnæ inflictio: quippe forte an veniam obtinuerit.

Liberis, qui nihil patrârunt, Patrum delicta haud nocent, neque liberorum Patribus. Caput enim crimina ſequuntur.

Vetat conſtitutio vel manus ambas vel pedes abſcindi.

Pœna metalli eſt quempiam damnari ad aſbeſtum præparandum, aut ſulphur effodiendum.

Vide & in capite xiv. Lit. M. & in ix. capite Literæ Δ. Can. l. Concilii Carthaginenſis.

CAPUT XV.

De Fornicatione.

Quære in xiv. cap. Lit. M. Canonem iii. Magni Gregorii Nyſſeni, qui in novennium fornicatores caſtigari jubet.

MAGNUS autem Baſilius in Canone nono, Fornicatorem per ſeptennium communione privat. Quamvis enim Canone xxii. (quem vide ſis in capite xiii. Lit. A.) videatur poſt quadriennium hiſce correctionem ſolvere, non tamen ibi propriam ſententiam, ſed Patrum præcedentium attulit. Ex propriâ autem ſententiâ eos in ſeptennium damnavit, graviuſque adeò quàm qui præceſſerunt fornicationem punivit, ſicuti & pleraque alia vitia.

At verò de eo qui legitimè cum uxore ſuâ cohabitat, quamvis fornicetur, vide in capite xxi. Lit. Γ. Can. Magni Baſilii numero xxi.

De eo qui Virginem per vim ſtupraverit, conſule cap. xxx. Lit. Γ. Tum verò Magnus Baſilius in Canone xxv. Qui Virginem nondum deſponſatam, inquit, corruperit, eâque poſt ſtuprum tanquam conjuge uſus fuerit, conſtuprationis pœnas dabit. Fœminam vero, ſi cum illo unà vivere velit, non repudiabit: nimirum dummodò parentes puellæ, quæ adhuc ſub poteſtate illorum ſit, id fieri permiſerint. Nam, ſi illi recuſaverint, ſtuprator ſecundum Jus civile punietur: quod diſces etiam ex dicto cap. xxx. Lit. Γ.

Pœnam autem triennalem luit tam ſtuprator quàm ſtuprata, juxta Canonas hujus ſancti Patris in cap. viii. Lit. Γ. Et in eo quidem convenit Baſilius cum vii. Canone Apoſtolorum, quem conſule in eodem xxx. cap. Lit. ejuſdem, quòd ſtupratorem Virginis legitimè cum eâ conjungi (tanquam maritum) decernat. Niſi enim illi juncta fuerit, fortean infamis relinquetur, quia nemo illam ducere velit.

Canone autem xxvi. Fornicatio ait ille, matrimonium non eſt, imò nec initium matrimonii. Idcirco ſi fieri poſſit, ut qui per fornicationem conjuncti ſunt, ſeparentur; hoc multò melius. Putre enim eſt, uti & illegitimum talis matrimonii fundamentum. Sin verò ambo omni modò cupiant cohabitationem; fornicationis quidem pœnam ſentiant, permittantur tamen unà habitare, nè quid deterius contingat: quippe aut alteri juncta mulier in adulterium prolabetur, cum altero clanculùm congreſſa; aut, quùm ardenter ſe depereant invicem, & tamen à connubio prohibeantur, ſibi manus violentas inferent, præ ſummo amore quo capiuntur, ſeparationem ab invicem minimè tolerantes. Quære & Can. lxxx. ejuſdem Baſilii cap. iv. Lit. Γ.

Lex.

Vult autem Jus Civile virum qui concubinâ pudicâ utitur, cogi ut illam tanquam uxorem tractet; eam verò quæ cum aliis ſe commiſcet, neque uno viro contenta eſt, etiam è domo fornicantis pelli.

Quod autem mulieres attinet, quæ per vim fornicantur: Magnus Baſilius in Can. xlix. Stupra, ait, quæ per vim inferuntur, culpâ vacant. Ita ſi ancilla à proprio Domino vim paſſa fuerit, conſtuprationis quidem gratiâ, mulctari eam minimè oportet: ſi tamen fuerit Diaconiſſa, abſtinebit à munere Diaconico. Imo verò fœmina quæ vel à domino ſuo vel alio quovis corrupta fuerit, viro qui ſacros ordines ſuſcepturus eſt, nequaquam matrimonio jungetur.

ΚΕΦ. ιέ.

Περὶ πορνείας.

Ζήτει ἐν τῷ ιδʹ. κεφαλαίῳ τοῦ Μ. στοιχείου κανόνα γʹ. τοῦ μεγάλου Γρηγορίου Νύσσης, ὅστις εἰς θʹ. χρόνους τοὺς πόρνους ἐπιτιμᾶσθαι κελεύει.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ θʹ. κανόνι τὸν πόρνον ἄχρις ἑπταετίας τῆς κοινωνίας ἀπείργει. εἰ γὰρ καὶ ἐν τῷ κβʹ. κανόνι, ὃν καὶ ζήτει ἐν τῷ ιγʹ. κεφαλαίῳ τοῦ Α. στοιχείου μετὰ τετραετίαν δοκεῖ λύειν τοῖς τοιούτοις τὸ ἐπιτίμιον, ἀλλ' οὐχὶ γνώμην οἰκείαν, ἀλλὰ τὴν πρὸ αὐτοῦ πατέρων εἰσήνεγκε, τήν γε μὴν ἑπταετίαν, τῇ ἰδίᾳ κρίσει τούτῳ κατεψηφίσατο βαρύτερον, οἱ πρὸ αὐτοῦ τὴν πορνείαν κολάζων. ὥσπερ ἄρα καὶ ἕτερα τῶν παθῶν οὐκ ὀλίγα.

Περὶ δὲ τοῦ γυναικὶ συνοικοῦντος νομίμως καὶ πορνεύοντος, ζήτει ἐν τῷ ιϛʹ. κεφαλαίῳ τοῦ γʹ. στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου καʹ.

Περὶ δὲ τοῦ γυναῖκα παρθένον φθείραντος βίᾳ, ζήτει τὸ λʹ. κεφ. τοῦ Γ. στοιχείου. ὁ δὲ μέγας Βασίλειος ἐν κεʹ. κανόνι, ὁ τὴν ἀμνήστευτον φθείρας παρθένον φησὶ, καὶ μετὰ τὴν φθορὰν οἷα συζύγῳ χρώμενος, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται. τὴν δὲ γυναῖκα, τὴν μετ' αὐτοῦ συμβίωσιν αἱρουμένην, οὐκ ἀφαιρεθήσεται. εἴ γε οἱ γονεῖς τῆς κόρης δηλαδὴ καταδέχοιντο, ἔτι οὔσης ὑπεξουσίου. ἐκείνων γὰρ μὴ ἀνεχομένων, ὁ φθείρας κατὰ τοὺς πολιτικοὺς νόμους τιμωρηθήσεται, οὓς καὶ ζήτει κατὰ τὸ ῥηθὲν λʹ. κεφάλαιον τοῦ Γ. στοιχείου.

Ἐπὶ τριετίαν δὲ καὶ ὁ φθείρας ἐπιτιμᾶται, καὶ ἡ φθαρεῖσα, κατὰ τοὺς κειμένους τοῦ ἁγίου τούτου κανόνας, ἐν τῷ ηʹ. κεφαλαίῳ τοῦ Γ. στοιχείου. ἀκολούθως δὲ καὶ οὗτος τῷ ἀποστολικῷ ζ. κανόνι, ὃν καὶ ζήτει ἐν τῷ αὐτῷ λʹ. κεφ. τοῦ Γ. στοιχείου, τὸν τὴν παρθένον φθείραντα, νομίμως ταύτῃ συναπτέσθαι διορίζεται· ἴσως γὰρ εἰ μὴ τούτῳ συναφθείη, ἄτιμος περιλειφθήσεται, οὐδενὸς ταύτην αἱρουμένου πρὸς γάμον λαβεῖν.

Ἐν δὲ τῷ κϛʹ. ἡ πορνεία γάμος οὐκ ἔστι φησὶν, ἀλλ' οὐδὲ γάμου ἀρχή. εἰ μὲν οὖν οἷόν τε τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· σαθρὸς γὰρ ὡς ἄθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος, εἰ δὲ στέργουσιν ἐκ παντὸς τρόπου καὶ ἄμφω τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν· ἀφιέσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται. εἰ γὰρ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, εἰς μοιχείαν ἐκκυλισθήσεται· τῷ πρώτῳ λάθρα συμφθειρομένη· ἢ στέργοντες ἀλλήλους διαρκῶς, καὶ συνεῖναι κωλυόμενοι, ἑαυτοὺς διαχειρίσονται, τῷ κατ' ἄκρας ἁλῶναι τῷ ἔρωτι τὴν ἀπ' ἀλλήλων μὴ ἐνεγκόντες διάζευξιν. ζήτει καὶ τὸν πʹ. τούτου κανόνα ἐν τῷ δʹ. κεφαλαίῳ τοῦ Γ. στοιχείου.

Νόμος.

Ἀλλ' ὁ νόμος τὸν παλλακῇ σώφρονι χρώμενον, ἀναγκάζεσθαι κελεύει ταύτην καὶ νόμῳ γάμου λαβεῖν, τὴν δὲ καὶ ἑτέροις μιγνυμένην, καὶ μὴ τῷ ἑνὶ ἀρκουμένην προσώπῳ, καὶ τῆς οἰκίας τοῦ πορνεύοντος ἐξωθεῖσθαι.

Περὶ δὲ τῶν πορνευομένων ἐξ ἀνάγκης γυναικῶν, ὁ μέγας Βασίλειος ἐν μθʹ. κανόνι, αἱ πρὸς ἀνάγκην φησὶ γινόμεναι φθοραὶ, ἀνεύθυνοι ἔστωσαν. ὥστε καὶ ἡ δούλη, εἰ παρὰ τοῦ ἰδίου δεσπότου βεβίασται, ἀλλὰ τῆς μὲν φθορᾶς ἕνεκεν, ἐπιτιμᾶσθαι ταύτην οὐ δέον· εἰ διάκονος ἐτύγχανεν οὖσα, τοῦ διακονεῖν παύσεται· ἀλλ' οὐδὲ τῷ ἱερωθήσεσθαι μέλλοντι, ἡ ὑπὸ τοιούτων ἐφθαρμένη ἢ οἱουδήτινος ἄλλου, συναφθήσεται.

Ὁ δὲ

A Ὁ δὲ α΄. κανὼν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ τῆς ὑπὸ βαρβάρων φθαρείσης φησὶ, εἰ μὲν καὶ ὁ πρότερος βίος κατέγνωστο, οὐδὲ δορυαλώτου γινομένης ἡ πορνικὴ ἕξις ἀνύποπτος, ταύτῃ τοι καὶ προχείρως οὐ δεῖ ταῖς τοιαύταις εὐχαῖς κοινωνεῖν. εἰ δέ τις ἐν ἄκρᾳ ζήσασα σωφροσύνῃ, καὶ ὑπονοίας πάσης ἐλεύθερον τὸν πρότερον ἐπιδεδειγμένη βίον, νῦν ἐκ βίας καὶ ἀνάγκης περιπέπτωκεν ὕβρει, ἐλεεῖσθαι μᾶλλον, ἢ ἐγκαλεῖσθαι δικαία, κατὰ τὸ ἐν Δευτερονομίῳ παράδειγμα ἐπὶ τῇ νεάνιδι, ἣν ἐν τῷ πεδίῳ εὑρὼν ἄνθρωπος ἐβιάσατο. τῇ νεάνιδι γάρ φησιν, οὐ ποιήσεται οὐδέν· οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου, ὅτι ὡς εἴ τις ἀναστῇ ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσει B αὐτόν· οὕτω καὶ τὸ πρᾶγμα τοῦτο. ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ· πλὴν καὶ αὗται μετρίως ἐπιτιμηθήσονται, ὥς γε δὲ καὶ οἱ βρωμάτων ἀπειρημένων κατ᾽ ἀνάγκην ἀπογευσάμενοι.

Περὶ δὲ τῶν πορνείᾳ περιπεπτωκότων κληρικῶν, ταῦτα τοῖς κανόσι διείληπται.

Ὁ μὲν γὰρ πρῶτος κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὸν μετὰ τὴν ἱερωσύνην, νομίμῳ δῆθεν γυναικὶ συναφθέντα, τῆς ἱερωσύνης ἀπογυμνοῖ· πορνεύσαντα δὲ ἢ μοιχεύσαντα, C τελείως τῆς ἐκκλησίας ἐξοστρακίζει, καὶ εἰς τοὺς τόπους ἵστησι τῶν μετανοούντων. ἀλλὰ τὸ ἐπιτιμᾶσθαι ταύτῃ τὸν πορνεύσαντα ἱερέα, οὔτε τοῖς ἀποστολικοῖς οὔτε πατρικοῖς κανόσι δοκεῖ. οὓς καὶ ζήτει ἐν τῷ ι΄. κεφαλαίῳ τοῦ Δ. στοιχείου.

Ὥσπερ δὴ καὶ ὁ γ΄. τοῦ μεγάλου Βασιλείου κανὼν, τὸν πορνεύσαντα διάκονον, τῆς μὲν διακονίας ἐκβάλλει, καὶ εἰς τὸν τῶν λαϊκῶν ἀπωθεῖται τόπον, τῆς δὲ κοινωνίας οὐκ ἀπείργει τῶν ἁγιασμάτων. τοῦτο μέν φησι, διὰ τὸν, οὐκ ἐκδικήσεις λέγοντα δὶς ἐπὶ τὸ αὐτὸ, παλαιὸν νόμον· τοῦτο δὲ, D καὶ διὰ τὸ μὴ ἔχειν ἔτι ἐλπίδα πρὸς τὸν πρότερον ἐπανιέναι βαθμόν. ὁ μὲν γὰρ λαϊκὸς ἐκπίπτων μετὰ τὴν ἐντετυπωμένην ἐν τῇ μετανοίᾳ τοῦ χρόνου περίοδον, ἐπάνεισιν ὅθεν ἐξελήλυθεν· οὗτος δὲ ἅπαξ ἔχει διαρκῆ τὴν καταδίκην τῆς καθαιρέσεως. καθόλου γε μὴν ἀληθὲς αὐτῷ ἴαμα πρὸς τὴν μέθεξιν τῶν ἁγιασμάτων, ἡ τῆς ἁμαρτίας ἀναχώρησις, διά τε συντετριμμοῦ καρδίας, καὶ παιδαγωγίας τῆς σαρκός. εἰ γὰρ ἔτι πορνεύων οὐ πέπαυται, μὴ ὅτι τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν εἰς τὰς εὐχὰς συνελεύσεως ἐκβληθήσεται, καὶ ἐπιτιμίοις ὥσπερ οἱ τοῦ λαοῦ καθυποβληθήσεται.

E Ὁ δὲ μδ΄. γυναῖκα διάκονον Ἕλληνι συμπορνεύσασαν τῆς μὲν ἀξίας καθαιρεῖ, κοινωνεῖν δὲ τῷ λαῷ στάσεως καὶ εὐχῶν οὐκ ἀπείργει· τῷ δὲ ζ΄. ἔτει τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀξιοῦσθαι κελεύει, εἴ γε ἐν ἁγνείᾳ βιώῃ καὶ σωφροσύνῃ. τῇ πίστει δὲ προσιόντι τῷ Ἕλληνι, καὶ ταύτην εἰς γάμου συνάφειαν αἰτουμένῳ, οὐκ οἴεται δεῖν ἐκδιδόναι, ἱεροσυλίαν σαφῆ λογιζόμενος, τὸ ἅπαξ ἀφιερωθὲν τῷ θεῷ σῶμα, εἰς χρῆσιν σαρκικῆς ὑπάρχειν ἐπιθυμίας. ἐντεῦθεν τοῖς ὀρθῶς σκοποῦσιν οὐκ ἄδηλον, ὡς οὐδὲ κληρικοὺς μετασχηματιζομένους· ἢ μοναχοὺς γυναιξὶ συνάπτεσθαι θεμιτόν. οὐ μὴν οὐδὲ τὰς τῶν ἱερέων γυναῖκας ὅσιον, δευτέροις γάμοις συνομιλεῖν, ἓν σῶμα τῇ πρὸς τοὺς ἱερέας F συναφείᾳ γεγενημένας.

Ζήτει καὶ τὸ κε΄. κεφ. τοῦ Χ. στοιχείου· καὶ ἐν τῷ δ΄. κεφ. τοῦ Γ. στοιχείου κανόνας τῶν ἁγίων ἀποστόλων ιζ΄. καὶ ιη΄. καὶ τὸν ξα΄. ἐν τῷ ιδ΄. κεφ. τοῦ Μ. στοιχείου. καὶ ἐν τῷ θ΄. κεφ. τοῦ Γ. στοιχείου κανόνα κζ΄. τοῦ μεγάλου Βασιλείου. καὶ τῆς ϛ΄. συνόδου κϛ΄. καὶ ἐν τῷ ιε΄. κεφ. τοῦ αὐτοῦ στοιχείου καν. τοῦ μεγάλου Βασιλείου ξθ΄.

Περὶ δὲ τῶν πορνευσάντων μοναχῶν, ζήτει κατὰ τὸ ιε΄. κεφ. τοῦ Μ. στοιχείου.

Primus autem Canon S. Gregorii Thaumaturgi; Si fœminæ, inquit, à Barbaris corruptæ vita prior damnata fuerit, neque ſtatus fornicarius, captivæ licet, ſuſpicione vacat: quare cum ejuſmodi facilè orationibus communicare non oportet. Sin verò aliqua in ſummâ continentiâ vixerit, & priorem vitam commonſtraverit omnis ſuſpicionis liberam, jam vero ex vi allata ac neceſſitate in contumeliam lapſa fuerit, miſeranda magis quàm incuſanda; juxta exemplum illud in Deuteronomio de adoleſcentula, quam homo in agro reperit, & per vim corrupit: Adoleſcentulæ, inquit, nihil facietis: Adoleſcentula delicti capitalis non eſt rea. Quia quemadmodum ſiquis homo adverſus proximum ſuum inſurrexerit, & ipſum occiderit: ſic & res iſta ſeſe habet. Exclamavit adoleſcentula, ſed non erat qui ei opem ferret. Veruntamen & illæ mediocriter punientur, ſicuti ii qui cibos prohibitos invitè licet deguſtant.

De Clericis autem qui in fornicationem prolapſi ſint, ita in Canonibus conſtitutum eſt.

Primus quidem Canon Concilii Neocæſarienſis, eum qui poſt ſuſceptum Sacerdotium matrimonio legitimo licet mulieri jungitur, munere illo privat: fornicantem vero aut adulterio prehenſum ex Eccleſiâ prorſus pellit, & in loca pœnitentium rejicit, ſed iſtis pœnis plecti, Sacerdotem fornicantem, neque Canonibus Apoſtolorum neque Patrum ſancitum: quos vide ſis in cap. x. Literæ Δ.

Pariterque tertius Canon Magni Baſilii, Diaconum fornicantem Diaconatu quidem dejicit, & in Laicorum locum trudit, ſed tamen à communione ſacrâ haud excludit. Illud quidem factum, ait, propter legem veterem, quæ dicit, Non vindicabis bis in idipſum: hoc autem, quia ſpes omnis præciditur ad priſtinum gradum redeundi. Quippe Laicus, qui lapſus fuerit, poſt temporis curſum in pœnitentiæ formâ expreſſum, redit unde diſceſſerat: Clericus autem ſemel luit permanens depoſitionis ſupplicium. Porrò autem in genere verum remedium & præparatio ejus ad myſteriorum participationem eſt receſſio à peccato, per cordis contritionem & carnis ſubjectionem. Nam ſi adhuc perſiſtat fornicando, non ſolum communione, ſed & conventu fidelium orandi causâ excludetur, & correctionibus, prout ſolent Laici, ſubjicietur.

Deinde Canon xliv. Diaconiſſam quæ cum Græco fornicata fuerit, dignitate ſuâ abdicat; non vetat tamen quin illa ſtatione ac precibus cum Laicis unà communicet: anno dein ſeptimo ad ſacram communionem admitti jubet, ſi in caſtitate ac pudicitia vixerit. Græco verò iſti, ſi ad fidem converſus fœminam illam in matrimonium petierit, minimè tradendam eſſe judicat, reputans manifeſtum eſſe ſacrilegium corpus ſemel Deo conſecratum in uſum carnalis concupiſcentiæ cedere. Hinc patet iſta ritè penſitantibus, quòd neque Clericos qui habitum mutant, ſive Monachos uxores ducere fas ſit: imò neque pium uxores Sacerdotum ſecundas nuptias contrahere, cùm per conjugium cum Sacerdotibus factæ fuerint unum corpus.

Quære etiam cap. xxv. Lit. X. & in cap. iv. Lit. Γ. ſanctorum Apoſt. Canones xvii. & xviii. atque lxi. Canonem: in cap. xiv. Lit. M. & in cap. ix. Literæ Γ. Canonem xxvii. Magni Baſilii. & Syn. vi. Can. xxvi. & in xv. cap. ejuſdem Lit. Can. lxix. Magni Baſilii.

At de Monachis fornicantibus, conſule cap. xv. Literæ M.

CAPUT XVI.

De illo qui fornicari cupit, nec tamen actu fornicatur.

VETUS ille mos eſt pravitatis, non confeſtim, neque ad primam inſtantiam paſſiones noſtras invadere, ſed arte quâdam & aſtutiâ ſophiſticâ barathrum perditionis ſubtus nos paulatim ſuffodere. Quapropter & cogitationibus immittit ad immiſcendum ſeſe placidè, ut quidem videtur, & jucundè primum qui vocatur impulſum, & haſce blanditiis ſpeciei objectæ corrumpere ſubdolè machinatur, atque principia voluptatum, tanquam conceptus meros, neque majus aliquod malum trahentes, temerè recipere perſuadet. Nam hamum peccati ſub eſcâ voluptatis abſcondit, ut qui huic inhient, in iſtum incidant. Tum eos ducit captivos & tanquam mancipia tractat. Utinam igitur non ſumeres contra animam auxiliatores ipſos illos, quibus illam perſequendi ac cuſtodiendi cura eſt. Nam ſi privata fuerit cogitationum auxilio pravitas illa quæ contra nos infenſa eſt, fruſtra erunt omnes ejus inſidiæ ac lenocinia, cùm nequeant ex ſe ſolis regere, & in actionem producere affectum, qui tanquam bulla modò apparet, modò diſparet & diſſolvitur, mortalis planè ac parum ſubſiſtentis naturæ. Verùm id quod eſſe & vivere accipit à cogitationibus noſtris, interficit eas quæ ipſi vitam dederunt. Ejuſmodi enim ſunt pravorum affectuum præmia. Hic igitur impulſus, cùm minimè à noſtrâ electione dependeat, crimen nobis affricare nequit. Accedit ſecundò conjunctio quam ſenſim quidem & paulatim frequens impulſus ſolet generare, ratione vel cum paſſione vel citra impreſſioni conſentienti. Quis verò aſſerat hoc animæ rationali non nocere, quoad Dei cognitionem, cùm cogitationes ejus talibus occupentur? Adeſt tertio in loco aſſenſus, indicans ipſam animæ inclinationem ad affectum voluptuoſum, quem tanquam Syngrapham recipiens prohibitum ſive captivitas preſsè quarto in loco ſequitur, bonam quæ adhuc erat animi diſpoſitionem violans, perſuadénſque experiri fallax imaginationis malum. Sin verò tempore orationis obrepſerit, impedit nè utilitatem inde ullam capiamus, & malis cogitationibus involutos dat. Cùm igitur intelligamus, quàm mali ſimus, annitamur id colluctando ſuperare quod noſmet ſupplantare conatur, & duorum alterum, aut ſcilicet vehementius anhelantes auxilio divino victores evaſerimus, aut emolliti & terga dantes, agemur & manifeſti fiemus. Ita quidem ſpiritus nequitiæ diuturno tempore apud animam permanentes, & in ſuum habitum ipſam transferentes, dictum demum affectum tanquam trophæum figunt & columnam in corde memoriâ creſcentem & uſu conſervatam, & animam præparantem ad perpetrandam in re quavis turpitudinem quamvis.

Propterea & iv. Syn. Neocæſarienſis Canon, eum qui mulierem concupiſcit & in animo habet cum illâ unà dormire, ſi modò propoſitum ejus non procedat ad actum, per gratiam liberari affirmat: attamen expedit eum mediocriter caſtigari, juxta Canonem lxx. Magni Baſilii: ait enim, Diaconum in labiis pollutum & confitentem ſe quoad oſcula peccâſſe, ab officio abſtinere aliquantiſper oportet, ſed cum Diaconis interim communicare. Ita & Presbyterum. Sin verò deprehendatur in eodem delicto perſeverans, cujuſcunque gradûs fuerit, deponi.

ΚΕΦ. ιϛ΄.

Περὶ τοῦ πορνεῦσαι ἐπιθυμήσαντος, καὶ μὴ πράξαντος.

Ἔθος γε μὴν ἀρχαῖον ἐστὶ τῇ κακίᾳ, μὴ ἀθρόον ἡμῖν, μηδὲ ἀπὸ τῆς πρώτης παρατάξεως ἐπιστρατεύειν τὰ πάθη, ἀλλὰ τέχνῃ τινὶ καὶ περινοίᾳ σοφιστικῇ, τὸ τῆς ἀπωλείας ἡμῖν βάραθρον κατὰ μικρὸν ἀπορύττειν. ταύτῃ τοι, καὶ τοῖς λογισμοῖς ἠπίως τῷ δοκεῖν καὶ ἱλαρῶς ἐπιμίγνυσθαι προτέραν τὴν λεγομένην ἐφίησι προσβολὴν τῇ ἐπαγωγῇ τοῦ δεικνυμένου ἰνδάλματος, ὑποφθεῖραι τούτους ἐπιβούλως μηχανωμένη, καὶ τὰς τῶν ἡδονῶν ἀρχὰς, ὡς ψιλὰς ἐννοίας, καὶ μηδὲν πλέον τό γε εἰς βλάβος ἐχούσας, ἀδεῶς εἰσδέξασθαι πείθουσα· κρύπτει γὰρ τὸ τῆς ἁμαρτίας ἄγκιστρον, τῷ τῆς ἡδονῆς δελέατι, ὡς ἂν τούτῳ περιχανόντες, ἐκείνῳ περιπαρῶσι. κἀντεῦθεν λαβοῦσα ὑποχειρίους, ὅσα καὶ ὑπηρέταις αὐτοῖς χρήσηται. εἴθε μὲν οὖν μὴ καὶ συμμάχους λαμβάνομεν κατὰ τῆς ψυχῆς τοὺς διέπειν φεῦ καὶ φρουρεῖν αὐτὴν ἐπιτετραμμένους. εἰ γὰρ γυμνωθείη τῆς ἐκ τῶν λογισμῶν συμμαχίας ἡ καθ' ἡμῶν ὀργῶσα κακία, εἰς μάτην αὐτῇ τὰ τῆς ἐνέδρας ἔσται καὶ μαγγανείας μὴ πεφυκυίᾳ μόνῃ πάθος δημιουργῆσαι καὶ εἰς ἔργον προενεγκεῖν τὸ πομφόλυγος δίκην, ὁμοῦ τε φαινόμενον, καὶ εὐθὺς ἀπολλύμενον καὶ διαλυόμενον, νεκρᾶς ὂν ἀτεχνῶς ὡς εἰπεῖν καὶ ἀνυπάρκτου φύσεως· ἀλλὰ τὸ εἶναι καὶ τὸ ζῆν πρὸς τῶν ἡμετέρων δανειζόμενον λογισμῶν, νεκροῖ τοὺς τὸ ζῆν διδόντας αὐτῷ. τοιαῦτα γὰρ τὰ τῶν παθῶν τῆς κακίας ἐπίχειρα. αὕτη τοίνυν ἡ προσβολὴ ὡς ἥκιστα τῆς ἡμῶν προαιρέσεως ἠρτημένη, ἔγκλημα ἡμῖν οὐχ οἷά τε προστρίψασθαι. ὁ συνδυασμὸς ἔπεισι δεύτερον, ὃν ἠρέμα καὶ κατ' ὀλίγον τὸ τῆς προσβολῆς θαμινὸν εἴωθεν ἀπογεννᾶν, ἐμπαθῶς ἢ καὶ ἀπαθῶς τοῦ λογισμοῦ συλλαλοῦντος τῷ προσβάλλοντι. τοῦτο τίς ἂν ἰσχυρίσαιτο μὴ ζημίαν εἶναι ψυχῆς λογικῆς, τῆς τοῦ θεοῦ ἐννοίας, περὶ πλείονος τῶν λογισμῶν αὐτῆς ποιουμένων, τὴν περὶ τὰ τοιαῦτα σχολήν; ἡ συγκατάθεσις ἐφίσταται τρίτη, νεῦσιν καὶ τῆς ψυχῆς κατηγοροῦσα πρὸς τὸ πάθος ἐνδόσιμον, ἣν καὶ ὡς γραμματεῖον ἤδη δεξαμένη ἀπόρρητον ἡ αἰχμαλωσία, κατὰ πόδας τετάρτη κατεξανίσταται· τὴν ἀρίστην ἡμῶν ἀχρειοῦσα κατάστασιν, τῆς καρδίας ἤδη περιελκομένης, καὶ δρέπεσθαι πείθουσα τὴν ἀπατηλὴν βλάβην τῆς φαντασίας. εἰ δὲ καὶ τῷ καιρῷ τῆς προσευχῆς εἰσφθαρείη, οὐδὲν ἀπόνασθαι ταύτης ἐᾷ· καὶ μάλιστα πονηροῖς ἐνθυμήμασιν αἰρουμένους ἐγκαλινδεῖσθαι. συνιέντες δὲ οὗ κακοῦ γεγόναμεν, διὰ πάλης περιγενέσθαι τοῦ πτερνίσαι πειρωμένου πειρώμεθα· καὶ δυοῖν θάτερον, ἢ σφοδρότερον πνεύσαντες, ἐκρατήσαμεν θειοτέρᾳ ῥοπῇ, ἢ χαυνωθέντες, καὶ τὰ νῶτα δόντες ἀγόμεθα καὶ φαινόμεθα. οὕτω δὲ τὰ τῆς πονηρίας πνεύματα συχνῷ χρόνῳ τῇ ψυχῇ παραμείναντα, καὶ εἰς τὴν σφῶν αὐτῶν ἕξιν αὐτὴν μεταθέμενα τελευτῶντα τὸ λεγόμενον πάθος, ὡσπερεὶ τρόπαιον πήγνυσι καὶ στήλην ἐν τῇ καρδίᾳ τῇ μνήμῃ τρεφόμενον καὶ τῇ συνηθείᾳ διατηρούμενον· καὶ τὴν ψυχὴν παρασκευάζον, περὶ παντὸς ποιεῖσθαι πᾶσαν αἰσχρότητα.

Διὰ δὲ τοῦτο, καὶ ὁ τέταρτος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν, τὸν ἐπιθυμήσαντα γυναικὸς, καὶ συγκαθευδῆσαι ταύτῃ προθέμενον, εἰς ἔργον δὲ μὴ προβεβηκυίας τῆς ἐνθυμήσεως, ὑπὸ τῆς χάριτος ῥυσθῆναι διϊσχυρίζεται· πλὴν καὶ τοῦτο· καλὸν ἂν εἴη μετρίως ἐπιτιμᾶσθαι, κατὰ τὸν ο΄. τοῦ μεγάλου Βασιλείου κανόνα. φησὶ γὰρ, τὸν ἐν χείλεσι μιανθέντα διάκονον, καὶ μέχρι φιλήματος ἡμαρτηκέναι ὁμολογήσαντα, τῆς μὲν λειτουργίας, ἄχρι τινὸς ἐπισχεθῆναι χρή· τῶν δὲ ἁγιασμάτων σὺν τοῖς διακόνοις μεταλαμβάνειν· ὡσαύτως καὶ πρεσβύτερον. τὸν δέ τι πλέον φωραθέντα ἡμαρτηκέναι, ἐν οἵῳ ἂν εἴη βαθμῷ καθαιρεῖσθαι.

A Ἕπεται τούτοις, καὶ ὁ θʹ. προσέτι καὶ ὁ ιʹ. τῆς αὐτῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὰ μὲν περὶ τῆς πορνείας λέγοντες ἁμαρτήματα, ἅπερ ἐν ἐπαφαῖς καὶ φιλήμασι, καὶ ἑτέροις δή τισι θεωροῦνται τοιούτοις, λόγος αἱρεῖ παρὰ τοῖς πολλοῖς διαλύεσθαι τῇ χειροθεσίᾳ· εἰ μέν τοι πρὸ τῆς χειροτονίας πορνείας ἥλω πρεσβύτερος ἢ διάκονος, καὶ τῷ συνειδότι κρουόμενος ὁμολογήσειε δὲ πρὸ τῆς χειροτονίας ἁμαρτήμα, τοῦ μὲν ἱερουργεῖν εἰρχθήσεται, ἀρετῆς δὲ μεταποιούμενος τῶν λοιπῶν τῆς ἱερωσύνης πρεσβείων οὐκ ἐκβληθήσεται· μήτε δὲ αὐτὸς ὁμολογῶν, μήτε μὴν προφανῶς ἐλεγχόμενος, ἐπ' ἐκείνῳ δέον τὴν ἐξουσίαν ποιεῖσθαι, ἢ παύσασθαι, εἴγε ἥμαρτεν, ἢ ἐνεργεῖν εἰ μηδὲν ἑαυτῷ B σύνοιδεν. ἐλεγχθεὶς δὲ ὑπὸ πέντε μαρτύρων, ὅρκῳ τὴν κατηγορίαν βεβαιωσαμένων, πρὸς τῇ καθαιρέσει καὶ τῶν γερῶν τῆς ἱερωσύνης ζημιωθήσεται, εἰς λαϊκοῦ διωθούμενος τόπον.

Ὁ δὲ Θεόφιλος Ἀλεξανδρείας ἐν τῷ εʹ. κανόνι, ἀναγνώστην πορνείας φυγόντα, εἰ γινομένης ἀκριβοῦς ἐξετάσεως φανερῶς ἐλεγχθείη, τοῦ κλήρου φησὶν ἐκβάλλεσθαι χρή· ἐν τῷ κλήρῳ δὲ μένειν, μὴ ἐλεγχθέντα· οὐ γὰρ δεῖ ταῖς ματαίαις προσέχειν διαβολαῖς.

C

Νόμος.

Φησὶ καὶ ὁ νόμος, κρεῖσσον τὰ ἁμαρτήματα καταλιμπάνειν ἀνεκδίκητα, ἢ τινας ἀναιτίως κολάζεσθαι.

ΚΕΦ. ιζʹ.

Περὶ πορνοβοσκῶν.

D Ὁ πϛʹ. τῆς ϛʹ. συνόδου κανών, τοὺς ἐπ' ὀλέθρῳ ψυχῶν πόρνας συνάγοντας, καὶ ἐκτρέφοντας, κληρικοὺς μὲν ὄντας καθαιρεῖ, πρὸς ταύτῃ κελεύει καὶ ἀφορίζεσθαι, διπλῆν καὶ τούτοις ἐπάγων ἐπεξέλευσιν, λαϊκοὺς δὲ ἀφορίζεσθαι.

Νόμοι.

Ὁ εἰδὼς πορνεύεσθαι τὴν ἑαυτοῦ γυναῖκα, καὶ σιωπῶν, πορνοβοσκός ἐστιν.

E Οἱ ἐκ πορνείας γεγεννημένοι, οὐ μόνον τῆς μητρὸς, ἀλλὰ καὶ τῶν ἐκ μητρὸς συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται. ἡ δὲ ἰλλουστρία νομίμους ἔχουσα παῖδας, καὶ πορνογενεῖς, οὐδὲν δύναται παρέχειν τοῖς πορνογενέσιν, οὔτε ζῶσα, οὔτε τελευτῶσα.

Ἡ τοῦ πορνογενοῦς κληρονομία οὐκ ἀνήκει τοῖς πρὸς πατρὸς συγγενέσιν· οὐ γὰρ λέγεται ἔχειν πατέρα· τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς. οἱ δὲ περὶ γάμων νόμοι, καὶ οἱ κανόνες ἐπιγινώσκουσι καὶ τὴν ἐκ πορνείας συγγένειαν, καὶ συναπτομένους, ὡς τοὺς ἐξ ἐννόμων γάμων αἱμομιξίᾳ περιπεσόντας, κολάζουσιν. F

Ὁ μέν τοι παλλακισμὸς νόμιμός ἐστιν, ὁ γὰρ γυναῖκα σεμνὴν παλλακευόμενος, καὶ ποιῶν ἐν ἐκμαρτυρίᾳ τοῦτο κατάδηλον, ὡς γαμετὴν αὐτὴν ἔχειν δοκεῖ· εἰ δ' οὖν, ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ.

Convenit cum iſtis & nonus etiam atque decimus ejuſdem Concilii Neocæſarienſis Canones, Dicentes, peccata quæ fornicationem antecedere ſolent, nimirum quæ ſpectant ad tactus, & alia hujuſmodi, ſermo obtinet apud complures ordinatione ſolvi. Si tamen ante ordinationem fornicationis teneatur vel Presbyter, vel Diaconus, & conſcientia compulſus delictum ante ordinationem commiſſum confeſſus fuerit, à conſecratione Euchariſtiæ prohibebitur, ſed tamen ad virtutem converſus à cæteris Sacerdotii privilegiis non rejicietur. At verò ſi nec ipſe confiteatur, neque manifeſtè convincatur, oportet penes ipſummet poteſtatem eſſe vel ceſſandi ſi peccaverit, vel ſacra obeundi, ſi nihil ſibi conſcius fuerit. Quinimò ſi à quinque teſtibus, qui juramento accuſationem confirmaverint, convictus fuerit, præter depoſitionem etiam privilegiis Sacerdotii mulctabitur, & in Laicorum locum retrudetur.

Theophilus autem Alexandrinus in Canone v. ait, Lectorem fornicationis reum, ſi accuratâ examinatione factâ apertè convincatur, à Clero ejici oportet: & in Clero quidem permanere, ſi non fuerit convictus. Minimè enim decet futilibus incuſationibus intendere.

Lex.

Dicit etiam jus civile meliùs eſſe delicta inulta relinquere, quàm quempiam nullo merito puniri.

CAPUT XVII.

De iis qui meretrices alunt.

CANON lxxxvi. Synodi ſextæ, Qui in animarum perniciem ſcorta & cogunt & alunt, Clericos quidem deponit, imò & excommmunicandos decernit, geminum eis inferens ſupplicium: Laicos verò ſegregari vult.

Leges.

Qui, cùm ſciat uxorem ſuam fornicatam fuiſſe, tacuerit tamen, ipſe leno eſt.

Ex fornicatione nati hæreditatem non matris ſolum ſed & cognatorum ejus adeunt, & hæredes ab illis inſcribuntur: fœmina autem illuſtris quæ & legitimos & naturales filios habet, nihil conferre poteſt naturalibus, neque viva neque moriens.

Hæreditas ſpurii non pertinet ad patris cognatos; non enim is patrem habere agnoſcitur: pervenit autem ad matrem & fratres ſuos ex eâdem parente. Leges autem circa nuptias atque Canones agnoſcunt etiam ortam ex fornicatione cognationem, & cognatos ex fornicatione, qui matrimonium invicem trahunt, tanquam qui nuptiis legitimis propter conſanguinitatem exciderant, plectunt.

Concubinatus autem licitus eſt. Nam qui mulierem gravem & ingenuam in concubinam ſumpſerit, idque teſtibus adhibitis palàm profeſſus fuerit, exiſtimatur eam velut uxorem habere; ſecùs verò, ſtuprum cum illâ committere.

A

CAPUT XVIII.

De Privilegiis & immunitatibus Prælatorum ac Eccleſiarum, atque etiam de Provinciis iſtorum.

Quære cap. xi. Literæ E.

ΚΕΦ. ιη'.

Περὶ πρεσβειῶν, καὶ προνομίων ὧν ἔχουσι οἱ ἀρχιερεῖς καὶ αἱ ἐκκλησίαι. καὶ περὶ τῶν παροικιῶν αὐτῶν.

Ζήτει τὸ ια'. κεφ. τοῦ Ε. στοιχείου.

B

CAPUT XIX.

De jure Presbyterorum.

Vide cap. ix. Literæ M.

ΚΕΦ. ιθ'.

Περὶ ὧν ἔχουσι οἱ πρεσβύτεροι δικαίων.

Ζήτει τὸ θ'. κεφ. τοῦ Μ. στοιχείου.

CAPUT XX.

De re dotali.

Leges.

C Dos æſtimata viri periculo eſt: licet animalia intermoriantur, aut mulier veſtem adtriverit, ipſe æſtimationem eorum præſtat. Inæſtimatæ autem dotis cùm incrementum tum diminutio mulierem reſpicit. Iſta quoque ſervorum ſobolem accipit, fructus verò ac pecorum fœtum vir percipit.

Promiſſa nomine dotis niſi intra biennium ſolvantur, exiguntur eorum uſuræ ad trientem centeſimæ partis.

D Si conſtante matrimonio vir inopiâ laboret, poteſt mulier res ſuas pro dote ipſius retinere, ante omnem creditorem & hypothecarium: veruntamen quæ retinet, abalienare nequit; quoniam ex iſtis ſeipſam & maritum & liberos ſuos alere debet.

Mulier non tenetur contractibus viri, licet ipſi deſponſata fuerit: neque etiam marito proſcripto, bona mulieris publicantur, Sed nec extra-dotalia viri ſervitio ſunt.

Maritus, inops licet, integram dotem debet.

E Si ſocer à genero & uxor à marito dotem quam ſtipulabantur, expoſcant, ad facultatum menſuram evincunt.

Si maritus cum uxore contrahat, ut ipſe emortuæ hæreditatem adeat, irritus eſt is contractus. Si autem ab initio pactum fuerit, ut ante mulieris obitum apud maritum dos maneat, atque pater dotem adeò reddiderit, pactum valet, & excluditur pater.

Si modò pater turpis adeo fuerit, ut metus ſit nè dotem concreditam abſumat, hunc prohibet actio: Et Judex tum iſti proſpicit tum filiæ.

F Si, filiis adhuc ſuperſtitibus, opus fuerit virum qui poſt obitum conjugis ſuæ viduus manſerit, neque ad ſecundas nuptias acceſſerit, à liberorum ſuorum convictu ſeparari, debet is præter integras res ſuas, etiam unius filii ſortem capere pro numero liberorum, non tantum educationis gratiâ, ſed conſervatæ ipſi erga primas nuptias reverentiæ & honoris.

Si propter ſponſam ſuam ægrotantem vir ſumptus

ΚΕΦ. κ'.

Περὶ προικῴων πραγμάτων.

Νόμοι.

Ἡ διατετιμημένη προὶξ τῷ ἀνδρὶ κινδυνεύεται, κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν τὴν ἐσθῆτα ἡ γυνὴ καταστρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι. τῆς δὲ ἀδιατιμήτου, καὶ ἡ αὔξησις καὶ ἡ μείωσις, τὴν γυναῖκα ὁρᾷ. καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων, ὁ ἀνὴρ λαμβάνει.

Τὰ ἐπαγγελθέντα χάριν προικὸς, εἰ μὴ ἐντὸς δύο ἐτῶν καταβληθεῖεν, ἀπαιτοῦνται οἱ τόκοι αὐτῶν ἀπὸ τρίτης ἑκατοστῆς.

Ἀποροῦντος τοῦ ἀνδρὸς ἐν συνεστῶτι γάμῳ, δύναται ἡ γυνὴ διακρατεῖν τὰ πράγματα αὐτοῦ εἰς τὴν ἰδίαν προῖκα, προτιμωμένη παντὸς δανειστοῦ, καὶ ὑποθήκην ἔχοντος, πλὴν οὐ δύναται ἐκποιεῖν ἃ διακρατεῖ. ἐπειδὴ ὀφείλει ἐξ αὐτῶν ἀποτρέφειν ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τὰ τέκνα αὐτῆς.

Οὐ κατέχεται ἡ γυνὴ ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων, κἂν ἐγγυήσηται αὐτόν· καὶ οὐ δὲ δημευομένου τοῦ ἀνδρὸς συναπάγονται τὰ πράγματα τῆς γυναικὸς, οὐδὲ τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις.

Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ.

Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ, καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτῶν καταδικάζονται.

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστιν. ἐὰν δὲ γένηται σύμφωνον ἐξ ἀρχῆς, ἵνα πρὸ τελευτῆς τῆς γυναικὸς ἡ προὶξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, καὶ εἰ παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προὶξ, ἔρρωται τὸ σύμφωνον, καὶ ἀποκλείεται ὁ πατήρ.

Ἐὰν ὁ πατὴρ οὕτως ἐστὶν αἰσχρὸς, ὥστε δέος εἶναι, μήποτε λαβὼν τὴν προῖκα δαπανήσῃ, ἀρνεῖται αὐτὸν ἡ ἀγωγή· καὶ ὁ δικαστὴς προνοεῖ αὐτοῦ καὶ τῆς θυγατρός.

Εἰ παίδων ὑπόντων, δεήσοι τὸν ἐμμείνοντα μετὰ τελευτὴν τῆς συζύγου αὐτοῦ δίχα τοῦ προσελθεῖν εἰς ἕτερον συνοικέσιον τῆς τῶν οἰκείων τέκνων συνδιαγωγῆς χωρισθῆναι, μετὰ τὸ ἀπολαβεῖν ἐντελῆ τὰ ἴδια πράγματα, δεῖ λαμβάνειν αὐτὸν καὶ ἑνὸς παιδὸς μοῖραν κατὰ τὸν ἀριθμὸν τῶν τέκνων· τεκνοτροφίας τε ἕνεκα, καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον αἰδοῦς καὶ τιμῆς.

Εἴ τι ὁ ἀνὴρ ἐδαπάνησε περὶ τὴν γαμετὴν αὐτοῦ νοσοῦσαν,

μετὰ

A μετὰ τὸν αὐτῆς θάνατον, οὐ δύναται ἀπαιτεῖν τὸν πενθερὸν αὐτοῦ, πρὸς ὃν ἡ προῖξ τῆς θυγατρὸς αὐτοῦ ἐπανήξει, ἀλλὰ τῇ διαθέσει αὐτοῦ ὀφείλει λογίζεσθαι· ὅσα δὲ εἰς τὴν ταφὴν ἀνήλωσεν, ὁ πατὴρ δίδωσι πρὸς ὃν ἡ προῖξ ἐπανῆλθεν.

Ο τοῦ γήμαντος ὑπεξουσίου πατὴρ, καὶ αὐτὸν ἀναγκάζεται τρέφειν, καὶ τὴν γαμετὴν αὐτοῦ. αὐτὸς γὰρ ὑπόκειται τοῖς βάρεσι τοῦ γάμου τοῦ υἱοῦ αὐτοῦ.

Ζήτει δὲ β΄. κεφάλαιον τοῦ Δ. στοιχείου.

B

ΚΕΦ. κα΄.

Περὶ προδοτῶν.

Ο θ΄. κανὼν τοῦ Γρηγορίου τοῦ Θαυματουργοῦ, ὅσοι φησὶ αἰχμάλωτοι τοῖς βαρβάροις γεγόνασι, καὶ τῇ σφῶν δυσσεβείᾳ συναχθέντες, τοσοῦτον ταύτης μετέχον ὥστε καὶ λήθην λαβόντες τοῦ εἶναι χριστιανοὺς, ἐνίους τοὺς τῶν ὁμοφύλων, ξύλων, ἢ ἀγχόνῃ ἐφόνευσαν, καὶ ὁδοὺς ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρβάροις ὑπέδειξαν, καὶ τῆς ἀκροάσεως ἐκβληθήτωσαν, C μέχριν ἂν συνελθοῦσι τοῖς ἁγίοις, κοινῇ περὶ αὐτῶν τι δόξῃ, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ πνεύματι.

Νόμοι.

Ο αἰρεθίζων πολεμίους, ἢ προδιδοὺς πολεμίοις Ῥωμαίους, κεφαλικῶς τιμωρεῖται. οἱ δὲ κατὰ χέρσον, ἢ θάλασσαν, τοῖς ληστεύουσι συλληστεύσαντες, τῶν φανερῶν πολεμίων, μᾶλλον κολάζονται, ὅσῳ καὶ τοῦ φανεροῦ πολέμου ἡ ἀφανὴς ἐπιβουλὴ χαλεπωτέρα καθέστηκεν.

D Τοὺς ἐκ τῶν Ῥωμαίων πρὸς τοὺς πολεμίους ἀποφεύγοντας, ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν.

Ο κατὰ τῆς σωτηρίας τοῦ βασιλέως ἢ τῆς πολιτείας μηχανησάμενος ἢ μελετήσας, φονεύεται καὶ δημεύεται.

Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες, καὶ τὰς ἡμετέρας βουλὰς ἐπαγγέλλοντες, ἀπαγχονίζονται.

Ζήτει δὲ ια΄. κεφάλαιον τοῦ Σ. στοιχείου.

E

F

aliquos feceris, non poteſt poſt obitum ſponſæ à ſocro repetere, ad quem dos filiæ ſuæ redierit, ſed in ipſius beneplacito acquieſcere debet. Sepulturæ autem ſumptus reddit pater, cujus in manus dos redierit.

Si filius familias uxorem duxerit, pater tenetur & ipſum & conjugem alere. Is enim onera ſuſtinet nuptiarum filii ſui.

Quære caput ii. Litteræ Δ.

CAPUT XXI.

De Proditoribus.

CANON nonus Gregorii Thaumaturgi, Quicunque, inquit, cùm captivi fuerint apud Barbaros, & eorum impietate conſtricti, in tantum ipſius fiant participes ut Chriſtianæ ſuæ profeſſionis obliti nonnullos ſuorum contribulium ligno aut laqueo interficiant, & vias ac domos Barbaris iſtarum ignaris commonſtrent, ex Auditorum ſtatione ejiciantur, uſquedum ſanctis ſimul congregatis aliquod de iis communitèr viſum ſit, & prius Spiritui ſancto.

Lex.

Qui inſtigat hoſtes, aut in horum manus prodit Romanos, capite plectitur. Qui verò in deſertis locis, aut propter mare latronibus opitulantur, quàm hoſtes aperti eo graviùs puniuntur, quo clandeſtinæ inſidiæ plus periculi ferunt quàm apertum bellum.

Qui à caſtris Romanis ad hoſtes tranſeunt, tanquam hoſtes abſque ullo diſcrimine occidere licet.

Qui adverſus ſalutem Imperatoris aut Imperii quicquam molitur, aut meditatur, ſummum ſupplicium ipſe luit, & bona cedunt fiſco.

Qui ad hoſtem transfugiunt, & conſilia noſtra produnt, aut ſtrangulatione aut flammis pereunt.

Quære cap. xi. Lit. Σ.

INITIUM

A

INITIUM LITERÆ P.

CAPUT I.

De viris ac mulieribus, qui involuntario profluvio laborant.

Vide cap. xvi. Lit. A. & cap. xxviii. Lit. K.

B

INITIUM LITERÆ Σ.

CAPUT I.

Quod in Sabbatis minimè jejunare oporteat.

Conſule in cap. iv. Lit. K. Canonem xxix. Synodi Laodicenæ, & in cap. xxxvii. Lit. K. Canonem ſanctorum Apoſtolorum lxvi. & Synodi ſextæ Can. xvi. atque etiam in cap. v. Lit. T. Canonem lv. Concilii ſexti. C

CAPUT II.

De Ludis Scenicis.

Quære in cap. i. Lit. Θ. Canonem primum Synodi ſextæ, & in vii. cap. Lit. M. Canonem xlvi. Synodi Carthaginenſis. Quære & cap. xi. Lit. M.

D

CAPUT III.

Quod non oportet in pavimento Crucem ſcribere, ſed & ita expreſſas delere.

CANON lxiii. Concilii vi. figuram pretioſæ Crucis in pavimento deſcribere vetat, neque hoc ſolùm, ſed & jam efformatas deformandas indubiè ſtatuit & abolendas: nè fortè pedibus conculcatum, vileſcat ſalutare victoriæ noſtræ trophæum, quod & mente omni cum reverentiâ colitur, & ſermone eximiè celebratur, & quoad ſenſum reapſe adoratur. E

Lex.

Nemo in pavimento aut marmore quod in pavimento jacet, aut lapide molari Crucem inſculpat; ſi quæ autem jam ſcriptæ fuerint, eradantur. Qui verò cunque legem tranſgreditur, graviſſimam pœnam luat.

F

CAPUT IV.

De Pactis & Contractibus.

Lex.

PERDITIO rerum, de quibus conventum fuit, non tollit actiones, in quantum licet veritatem alio modo patefieri.

Citra dolum malum pacta, & legibus quidem minimè contraria, valent.

ΑΡΧΗ ΤΟΥ Ρ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ τῶν ἐν ῥύσει ἀπροαιρέτῳ γινομένων ἀνδρῶν τε καὶ γυναικῶν.

Ζήτει τὸ ιϛ΄. κεφ. τοῦ Α. στοιχείου. καὶ τὸ κη΄. τοῦ Κ. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Σ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Οτι τοῖς σάββασιν οὐ δεῖ νηστεύειν.

Ζήτει ἐν τῷ λζ΄. κεφ. τοῦ Κ. στοιχείου, κανόνα τῶν ἁγίων ἀποστόλων ξϛ΄. καὶ τῆς ϛ΄. συνόδου ιε΄. καὶ τῷ λε΄. κεφ. τοῦ Ε. στοιχείου, τῆς ἐν Λαοδικείᾳ συνόδου καν. ιϛ΄. καὶ ἐν τῷ ε΄. κεφ. τοῦ Τ. στοιχείου κανόνα νε΄. τῆς ϛ΄. συνόδου.

ΚΕΦ. β΄.

Περὶ σκηνικῶν.

Ζήτει ἐν τῷ πρώτῳ κεφ. τοῦ Θ. στοιχείου, κανόνα τῆς ϛ΄. συνόδου. καὶ ἐν τῷ ζ΄. κεφ. κεφ. τοῦ Μ. στοιχείου κανόνα μϛ΄. τῆς ἐν Καρθαγένῃ συνόδου. ζήτει καὶ τὸ ια΄. κεφ. τοῦ Μ. στοιχείου.

ΚΕΦ. γ΄.

Οτι τὸν σταυρὸν ἐν ἐδάφει γράφειν οὐ δεῖ, ἀλλὰ καὶ τοὺς ὄντας ἀπαλείφειν.

Ο ξγ΄. τῆς ϛ΄. συνόδου κανὼν, τὸν τοῦ τιμίου σταυροῦ τύπον ἐν ἐδάφει γράφειν ἀπείρηκεν, οὐ μόνον ἀλλὰ καὶ τοὺς ἤδη γραφέντας, διαγράφειν ἀνενδοιάστως ἐπισκήπτει, καὶ ἐξαλείφειν, ὡς ἂν μὴ συμπατούμενον τοῖς βαδίζουσιν, ἐφυβρίζοιτο τὸ σωτήριον τῆς ἡμῶν νίκης τρόπαιον. ὃ καὶ διανοίᾳ αἰδοῖ τῇ πάσῃ τιμώμενον, καὶ λόγῳ διαφερόντως θαυμαζόμενον· καὶ αἰσθήσει πραγματικῶς προσκυνούμενον.

Νόμος.

Μηδεὶς ἐν ἐδάφει ἢ ἐν μαρμάρῳ, ἐπὶ ἐδάφους κειμένῳ, ἢ ἐν μυλίτῃ λίθῳ σταυρὸν ἐγγλυφέτω· καὶ οἱ ὄντες ἐν τούτοις περιωρείσθωσαν. ὁ δὲ παραβαίνων τὸν νόμον, τὴν βαρυτάτην ὑπομενέτω ποινήν.

ΚΕΦ. δ΄.

Περὶ συμβολαίων, καὶ συμφώνων.

Νόμοι.

Η τῶν συμβολαίων ἀπώλεια, οὐκ ἀναιρεῖ τὰς ἀγωγὰς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές.

Τὰ χωρὶς δόλου σύμφωνα, καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα, ἔρρωται.

ΚΕΦ.

A

Κ Ε Φ. ε΄.

Περὶ Συμποσίων.

Τῷ νε΄. τῆς ἐν Λαοδικείᾳ Συνόδου κανόνι, κληρικοὺς ἢ λαϊκοὺς συμπόσια ποιεῖν ἐξ ἐράνου καὶ συμβολῆς ἀπείρηται. ταῦτα γὰρ ὡς ἐπίπαν οὐδενός εἰσιν ἀγαθοῦ, ὅτι πάσης αἰσχρότητος πλέα.

B Ὁ δὲ κζ΄. ταύτης ἐν ταῖς λεγομέναις ἀγάπαις τῶν συμποσίων, μέρη οἴκαδε κομίζειν τοὺς τοῦ κλήρου ἀπείρηκε· λιχνείαν γὰρ τοῦτο καὶ μοχθηρίαν τῶν δρώντων κατηγορεῖ, ὡς ἐντεῦθεν τὴν τῆς ἐκκλησίας κατάστασιν ἐξυβρίζεσθαι. ζήτει καὶ τὸ γ΄. κεφ. τοῦ Α. στοιχείου.

CAPUT V.

De Conviviis.

Interdicitur cùm Clericis tùm Laicis, Canone lv. Concilii Laodiceni, convivia ex collatione celebrare. Iſta enim utplurimum nihil proſunt, imò aliquando omni turpitudine referta ſunt.

Canon autem xxvii. ejuſdem Synodi vetuit in Agapis, quæ vocantur, conviviorum portiones Clericos tollere, & domum referre. Hoc enim arguit guloſitatem & improbitatem illorum, qui ita fecerint; adeò ut contumelia exinde affricetur ordini Eccleſiaſtico. Quære etiam cap. iii. Lit. A.

Κ Ε Φ. ϛ΄.

Περὶ τῶν τὰς συνάξεις τὰς ἱερὰς ἀποστρεφομένων.

C Ζήτει ἐν τῷ θ΄. κεφ. τοῦ Β. στοιχείου κανόνας ε΄. καὶ ϛ΄. τῆς ἐν Γάγγρᾳ Συνόδου.

CAPUT VI.

De iis qui ſacras Synaxes vitant.

Conſule in cap. ix. Lit. B. Can. quintum & ſextum Synodi Gangrenſis.

Κ Ε Φ. ζ΄.

Περὶ τῶν συνεισάκτους γυναῖκας ἐχόντων κληρικῶν.

Ζήτει τὸ ιθ΄. κεφ. τοῦ Γ. στοιχείου.

CAPUT VII.

De Clericis qui extraneas mulieres alunt.

Quære cap. ix. Lit. Γ.

D

Κ Ε Φ. η΄.

Περὶ τῶν συνεπισταμένων κληρικοῖς ἁμαρτήματα, καὶ μὴ ὁμολογούντων.

Ὁ οα΄. τοῦ μεγάλου Βασιλείου κανὼν, ὁ ἁμαρτήματι συνεγνωκώς φησί τινι, καὶ μὴ ὁμολογήσας, ἀλλ᾽ ἐλεγχθεὶς, ἐπὶ τοσοῦτον χρόνον ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ. οὐκ ἦν δὲ ἄρα τοῦ ἁγίου πρὸς τρόπου, τὸν μόνην εἴδησιν ἔχοντα καὶ μὴ ἀρκοῦντα κωλῦσαι, τιμωρεῖσθαι, τὸν δέ γε συναιρόμενον καὶ συμβουλεύσαντα, E καὶ δυνάμενον ἐπισχεῖν εἴπερ ἐβούλετο. καὶ ὁ προφήτης γὰρ οὐχ ἁπλῶς κολάζεσθαι ἀξιοῖ, τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα τῷ κλέπτῃ, καὶ συναιρόμενον, καὶ τὸν συμμεριζόμενον τῇ κοινωνίᾳ τῷ μοιχῷ ἐν τῷ ἁμαρτάνειν. πανταχοῦ δὲ ἡ μὲν ἐξομολόγησις τῆς κολάσεως ἀφαιρεῖται τὸ πλεῖστον· ὁ δὲ ἔλεγχος χαλεπωτέραν ταύτην ἐργάζεται.

Ζήτει καὶ ἐν τῷ θ΄. κεφ. τοῦ Γ. στοιχείου κανόνα κε΄. τῆς ἐν Ἀγκύρᾳ Συνόδου.

F

Νόμος.

Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήματι ἐν εἰδήσει, τὴν αὐτὴν ὑφίσταται τιμωρίαν. ὁ δὲ λῃστὰς ὑποδεξάμενος, καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ, δημεύεται, ἢ τιμωρεῖται, κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνίδῃ.

CAPUT VIII.

De iis, qui aliis conſcii ſunt, nec tamen delicta illorum Clericis confitentur.

Canon lxxi. Magni Baſilii, Qui delicti alicujus cum alio conſcius minimè confeſſus fuerit, is convictus tamdiu pœnas dabit, quàm ipſum malorum patratorem plecti oportuit. Non erat igitur ex mente Viri ſancti, ut ille puniretur, qui ſcientiam meram facti habet, impedire verò nequit; ſed qui opem ac conſilium fert, & inhibere poſſit, ſi velit. Propheta enim non vult ſimpliciter eum puniri, qui furem aut adulterum videt, ſed qui concurrit cum fure, & opitulatur, & in delinquendo cum adultero particeps eſt. Univerſim verò confeſſio pœnam maximâ ex parte minuit, convictio autem graviorem trahit.

Quære & in ix. cap. Lit. Γ. Canonem xxv. Synodi Ancyranæ.

Lex.

Qui criminis alicujus reum ſciens ſuſcipit, eandem pœnam ſubit: Qui verò latrones recipit, neque in jus adducit, proſcribitur, aut punitur juxta conditionem perſonæ, prout Judici viſum fuerit.

CAPUT IX.

De Synodis quotannis habendis.

SANCTORUM Apoſtolorum Canon xxxvii. imperat, ut quovis anno bis congregent Concilium cujuſvis Provinciæ Epiſcopi, ad ſuum Metropolitanum confluentes, ſemel quidem quartâ ſeptimanâ Pentecoſtes, iterum verò Autumno exeunte, ſcilicet duodecimo die Hyperberetæi ſive Octobris: ut dirimantur B omnes controverſiæ, quæ circa dogmata & quæſtiones ſcriptas, & argumenta Eccleſiaſtica oriuntur, imò & diſſenſiones, quæ inter ipſos contingant, & cauſas, atque lites.

Convenit cum iſto fermè quoad verba & vigeſimus Canon Synodi Antiochenæ: adjicit tamen minimè licere quoſvis per ſeipſos Synodos habere haud præſente Metropolitano Provinciæ: tunc enim perfectum Concilium habetur, cùm adeſt Primas unà cum cæteris.

C

Quinimò Canon quintus Synodi primæ, Autumno lapſo ad Octobrem menſem alterum Concilium convocari jubet, alterum verò non in Pentecoſte, ſed ante Quadrageſimam celebrari; ut poſita omni moroſitate ac illiberalitate animi, puri ipſi naturâ ex ſuapte puro jejunii donum offerant.

Canon autem xix. Synodi quartæ, æquum bonúmque judicat, ut Epiſcopi bis quotannis Concilia celebrent: ubi, ſi Provinciæ Metropolitano ita placuerit, de rebus Eccleſiaſticis reformandis decernant: Epiſcopos autem, qui cùm corpore benè valeant, & in Ur- D bibus ſuis verſentur, neque ulla alia cauſa impediat, non conveniunt tamen, fraterno more increpari.

Dein Canon ſextus Synodi ſextæ hunc verbatim repetit, ſancit autem ſemel quidem in anno, non bis Concilium haberi, atque tempus præſcribit, à Paſchate puta uſque ad Octobrem completum, cùm propter barbarorum incurſus, tum cauſas alias, quæ obtingunt, & frequentes peregrinationes Epiſcopis permoleſtas reddunt.

E

Hunc Canonem confirmat etiam ſextus Synodi ſeptimæ, atque magiſtratum excommunicari vult, qui Epiſcoporum ad Synodum properantium quempiam impediens deprehendatur. Cùm autem congregati fuerint, præcipua, inquit, cura eſto ſubditos ſuos ſummoperè docere præcepta Evangelica & Canonica. Sin verò Metropolita jumentum, vel rem quamvis aliam, quæ ad Epiſcopos confluentes pertineat, ſibi vendicet, & convincatur, reddet quadruplum.

Imò & xl. Canon Concilii Laodiceni ſollicitè admodum ſtudet, ut in qualibet Provinciâ Synodus quotan- F nis convocetur: adeóque Epiſcopos, qui ad eam citantur, haud detrectare, ſed protinus adire jubet, atque ſapientiores ſi ſint, docere quæ norunt, vel ſimpliciores ea addiſcere, quæ neſciunt; ita enim fit, ut reformetur Eccleſia, & circa recta dogmata fidei, & mandata vitæ bene ordinandæ inſervientia, profectus faciat: Qui verò contempſerit, quòd reprehendatur, ſeipſum culpet, niſi forte aliquo diſcrimine, quod ad corpus vel facultates ſpectet, impediatur.

ΚΕΦ. θ΄.

Περὶ Συνόδων τῶν ἐτησίως γινομένων.

Ὁ λζ΄. τῶν ἁγίων ἀποστόλων κανὼν, δὶς τοῦ ἔτους σύνοδον κελεύει ποιεῖν τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους τῷ οἰκείῳ συνιόντας μητροπολίτῃ, ἅπαξ μὲν τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδος, δεύτερον δὲ φθινούσης ἤδη τῆς ὥρας, τῇ ιβ΄. τοῦ Ὑπερβερεταίου, ἤτοι τοῦ Ὀκτωβρίου· ἐφ᾽ ᾧ πᾶσαν ἀμφιβολίαν περί τε δογμάτων καὶ γραφικῶν ζητημάτων, καὶ ἐκκλησιαστικῶν ὑποθέσεων λύεσθαι, καὶ μέντοι καὶ διαφορὰς ἔστιν ὧν πρὸς ἀλλήλους, καὶ δίκας, καὶ ἔριδας.

Τούτῳ καὶ ὁ κ΄. τῆς ἐν Ἀντιοχείᾳ συνόδου πρὸς λέξιν σχεδὸν ἕπεται, μὴ ἐξεῖναι δὲ προστίθησιν, ἐνίοις καθ᾽ ἑαυτοὺς συνόδους ποιεῖν, μὴ παρόντος τοῦ τῆς ἐπαρχίας μητροπολίτου· τότε γὰρ τελεία γίνεται σύνοδος, ὅτε καὶ ὁ μητροπολίτης σύνεστι τοῖς λοιποῖς.

Ἀλλὰ καὶ ὁ ε΄. τῆς πρώτης συνόδου κανὼν, φθινούσης μὲν ὥρας κατὰ τὸν Ὀκτώβριον κελεύει τὴν μίαν τῶν συνόδων ἀθροίζεσθαι, τὴν δὲ ἑτέραν οὐκ ἐν τῇ Πεντηκοστῇ, ἀλλὰ πρὸ τῆς τεσσαρακοστῆς συνεστάναι· ὡς ἂν πάσης ἀηδίας καὶ μικροψυχίας τῆς πρὸς ἀλλήλους περιαιρεθείσης, καθαροὶ τῇ φύσει καθαρῷ τὸ τῆς νηστείας προσενέγκοιεν δῶρον.

Ὁ δὲ ιθ΄. τῆς δ΄. συνόδου, ἐν καλῷ οἴεται κεῖσθαι τοὺς ἐπισκόπους δὶς τοῦ ἔτους συνόδους ποιεῖν, ἔνθα ἂν ὁ τῆς ἐπαρχίας δοκιμάσῃ μητροπολίτης, ἐπ᾽ ἐνίων ἐκκλησιαστικῶν διορθώσει πραγμάτων. τοὺς δὲ μὴ συνιόντας τῶν ἐπισκόπων ὑγιῶς τοῦ σώματος ἔχοντας, καὶ ταῖς αὐτῶν ἐπιχωριάζοντας πόλεσι, μηδέ τινος ἑτέρου ἀναγκαίου πράγματος εἴργοντος ἀδελφικῶς ἐπιπλήττεσθαι.

Ὁ δὲ τῆς ϛ΄. συνόδου η΄. τοῦτον μὲν ὡς ἔχει λέξεως δίεισι, νομοθετεῖ δὲ, ἅπαξ τοῦ ἔτους καὶ μὴ δὶς τοῦ ἔτους σύνοδον γίνεσθαι· καιρὸν ὁρίσας τὸν ἀπὸ τοῦ πάσχα, μέχρις ὅλου τοῦ Ὀκτωβρίου, διά τε τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὰς προσπιπτούσας ἑτέρας αἰτίας, αἳ δυσχερεῖς ποιοῦσι τοῖς ἐπισκόποις τὰς συνεχεῖς ἀποδημίας.

Τοῦτον αὖθις ὁ ϛ΄. ἐπικυρῶν καὶ τῆς ζ΄. συνόδου ἀφορίζεσθαι ἀξιοῖ, εἴ τις ἄρχων εὑρεθείη, εἴργων τινὰ τῶν εἰς τὴν σύνοδον ἀπιόντων ἐπισκόπων. συνιοῦσι δὲ τούτοις, προὔργου φησὶ μελέτω, ὥστε τὰς τοῦ εὐαγγελίου ἐντολὰς καὶ τὰς τῶν κανόνων μετιέναι διδάσκειν τοὺς ὑπὸ χεῖρα. εἴ τινα δὲ τῶν συνεληλυθότων ἐπισκόπων, κτῆνος, ἢ ἕτερον εἶδος ὁ μητροπολίτης ἀπαιτήσας ἄκοντα ἐλεγχθείη, τετραπλάσιον ἀποτισάτω.

Καὶ ὁ μ΄. τῆς ἐν Λαοδικείᾳ πολλῆς ἀξιοῖ φροντίδος, τὸ καθ᾽ ἑκάστην ἐπαρχίαν ἐτησίως σύνοδον γίνεσθαι· δεῖ γὰρ καὶ τοὺς ἐπισκόπους εἰς ταύτην καλουμένους, οὐκ ἀνεδύασθαι, ἀλλ᾽ ἀμελητὶ ἀπιέναι προστάττει, καὶ ἢ τοὺς σοφωτέρους ἅττα ἴσασι διδάσκειν, ἢ τοὺς ἁπλουστέρους ἅπερ ἀγνοοῦσι μανθάνειν· οὕτω γὰρ κατορθοῦσθαι τὴν ἐκκλησίαν, καὶ ἐπιδιδόναι συμβαίνει, περί τε τὰ ὀρθὰ τῆς πίστεως δόγματα, καὶ τὰς τοῦ βίου ῥυθμιζούσας ἐντολάς. ὁ δὲ καταφρονῶν, ἑαυτὸν ἐπιτιμηθεὶς αἰτιάτω, εἰ μή τινι ἀνωμαλίᾳ, ἢ τοῦ σώματος ἢ τῶν πραγμάτων ἐμποδισθείη.

Καὶ

A Καὶ ὁ ιθʹ. τῆς ἐν Καρθαγένῃ, σύνοδον τοῖς ἐπισκόποις κατ᾽ ἐνιαυτὸν ἐπισκήπτει ποιεῖν. ἀλλὰ δὲ καὶ ὁ ογʹ. ὃν καὶ ζήτει ἐν τῷ ζʹ. κεφ. τοῦ Π. στοιχείου.

Τούτοις δὲ καὶ ὁ οϛʹ. ἐπιψηφίζεται τὰς αὐτὰς τοῖς ῥηθεῖσι κομίζων αἰτίας ἐπεξιὼν, τὸν δὲ μὴ πειθόμενον, τῆς μὲν τῶν ἄλλων ἀφίστασθαι κοινωνίας κελεύει, μόνῃ δὲ τῇ τῆς ἰδίας ἐκκλησίας ἀρκεῖσθαι.

B Ἀλλὰ τῷ ϟζʹ. κανόνι, οὐ τῶν ἀναγκαίων εἶναι δοκεῖ, κατ᾽ ἐνιαυτὸν σύνοδον γίνεσθαι τῶν ἐπισκόπων εἰς Καρχηδόνα, ἵνα μὴ συντρίβωνται οἱ ἀδελφοί· ἀλλ᾽ εἰ μὲν αἰτίαι κοιναὶ ἀνακύψαιεν, περὶ δογμάτων τυχὸν, γράμμασι καλεῖσθαι τοὺς ἐπισκόπους, καὶ κοινῆς γινομένης συνόδου λύεσθαι τὸ ἀμφίβολον. εἰ δὲ ἰδικαὶ εἶεν, ἐν ἐπαρχίᾳ ἑκάστῃ τὴν λύσιν αὐτὰς λαμβάνειν.

Νόμος.

C Ἡ δὲ ρλζʹ. Ἰουστινιανείου νεαρὰ, ἅπαξ ἢ δὶς τοῦ ἔτους τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ συνόδους γίνεσθαι βούλεται, τῶν μητροπολιτῶν παρὰ τοῖς πατριάρχαις, καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις, καὶ ἐξετάζεσθαι τὰς αἰτίας, ἃς οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι, περί τε πίστεως καὶ κανόνων, καὶ πραγμάτων ἐκκλησιαστικῶν· καὶ τὰ παρὰ τοὺς κανόνας ἁμαρτανόμενα διορθοῦσθαι. τοὺς δὲ ἄρχοντας μὴ ἐπιτιθεμένους τοῖς μητροπολίταις καὶ τοῖς ἐπισκόποις, ὑπερτιθεμένοις τὰς τεταγμένας συνόδους ποιεῖν, ἢ τοὺς μὴ πειθομένους, ὡς μηνύοντας τῷ βασιλεῖ, ἐσχάτως τιμωρεῖσθαι. ἀλλὰ τῶν συνόδων τούτων πάντη τὸ νῦν ἔργον καταπεφρόνηται.

D

ΚΕΦ. ιʹ.

Περὶ συστατικῶν γραμμάτων.

Ζήτει τὸ θʹ. κεφ. τοῦ Α. στοιχείου.

ΚΕΦ. ιαʹ.

E

Περὶ τῶν συνωμοσίας ἢ φρατρείας ἢ στάσεις ποιούντων.

Ὁ ιηʹ. τῆς δʹ. συνόδου κανὼν, καὶ ὁ λδʹ. τῆς ϛʹ. συνόδου, ἐν τοῖς πολιτικοῖς φασι νόμοις, ὧν οἱ πλείους πρὸς τῶν ἔξω σοφῶν συνετέθησαν, τὸ τῆς συνωμοσίας ἢ φρατρείας ἀπείρηται τόλμημα, πολλῷ γὰρ δήπου τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· ὅστις νῦν τῶν μοναζόντων ἢ κληρικῶν τοιούτῳ ἁλοίη ἐγκλήματι, ἢ συσκευὰς ἐλεγχθείη τυρεύων ἤτοι τεκταίνων ἐπισκόποις ἢ κληρικοῖς τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ. Συνωμοσία δέ ἐστι, τὸ τινὰς κατά τινων βουλεύσασθαι, καὶ ἀλλήλους ὅρκοις συνδῆσαι, ἦ μὴν μὴ ἀποστήσεσθαι τοῦ βουλεύ- F ματος, μέχρις ἂν τοῦτο τελεσθείη. ὥς που καὶ ἐν ταῖς πράξεσι τῷ θείῳ Λουκᾷ ἱστόρηται, ὅτι ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὰς ἀνεθεμάτισαν ἑαυτοὺς, μὴ φαγεῖν μήτε πιεῖν ἕως ἂν ἀποκτείνωσι τὸν Παῦλον. φατρία δέ ἐστι κυρίως τὸ τῶν συγγενῶν ἢ τῶν ἄλλως ἑνωμένων σύστημα. ἐνταῦθα δὲ, κακοθελὲς δηλοῖ παραβούλιον, καὶ συμφωνίαν τινῶν ἐπὶ πράξεσι φαύλαις. τυρεύειν δὲ τὸ σκληρὰ καὶ πονηρὰ κατασκευάζειν καὶ μηχανᾶσθαι· ὡς τὸ, ἐτυρώθη ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ ἐσκληρύνθη.

Inſuper Canon xix. Syn. Carthaginenſis, Epiſcopos monet Concilium quotannis habere. Ita & Canon lxxiii. quem vide in cap. vii. Lit. Π.

Cum iſtis conſentit & Canon lxxvi. eaſdémque rationes pariter affert: Illum tamen qui recuſaverit, cæterorum Epiſcoporum communione abſtinere jubet, illâ Eccleſiæ ſuæ ſolâ contentum.

At verò Canoni xcvii. haud neceſſarium videtur; quotannis Concilium Carthagine celebrari, nè fatigentur fratres. Sed quotieſcunque cauſæ communes contingant, de dogmatis puta, literis convocari Epiſcopos, & Synodo communi habitâ, dubium ſolvi: Sin verò privatæ cauſæ fuerint, ipſas in propriâ provinciâ determinari.

Lex.

Juſtiniani Novella cxxxvii. ſemel aut bis in anno, menſe nimirum Junio, aut Septembri, Synodos celebrari jubet, Metropolitarum quidem apud Patriarchas, & Epiſcoporum apud Metropolitas, cauſáſque examinari, quas Epiſcopi & Clerici & Monachi invicem ſuſtinent circa fidem & Canones & res Eccleſiaſticas, & quæ facta ſunt contra Ganones corrigi. Magiſtratus verò qui non cogunt Metropolitas & Epiſcopos moras trahentes ſtatuta Concilia celebrare; aut non indicant Imperatori inobedientes, extremis ſuppliciis ſubjici. At verò hæc quæ ad Concilia celebranda pertinent hodie prorſus negliguntur.

CAPUT X.

De Literis commendatitiis.

Quære cap. ix. Lit. A.

CAPUT XI.

De his qui Conjurationes & Fraternitates, aut ſeditiones ſtruunt.

CANON xviii. Synodi quartæ, & xxxiv. Synodi ſextæ, Legibus, inquit, Civilibus, quarum plerique à Sapientibus extraneis ſeu Gentilibus latæ ſunt, crimen conjurationis vel Fraternitatis prohibetur, multò vero magis in Eccleſiâ Dei: quiſquis igitur vel Clericus vel Monachus hujuſmodi facinoris reus deprehenſus, aut convictus fuerit, conſpirationes coagulans quaſi, ſive moliens adverſus Epiſcopos aut Clericos, gradu ſuo excidat. Conjuratio autem eſt aliquos contra aliquos conſilium inire, & ſe invicem juramentis obligare à propoſito non deſiſtere, uſquedum ad exitum perduxerint: Sicuti alicubi in Actibus B. Lucas memorat; *viz.* Judæorum nonnulli conſpiratione factâ, ſua capita devoverunt, ſe neque cibum neque potum ſumpturos, donec Paulum interfecerant. Fraternitas autem proprie eſt cognatorum aut alio modo conjunctorum compages. Hic autem malignantium innuit conventiculum, & ad facinora perpetranda conſenſionem. Coagulare verò ſive τυρεύειν eſt perverſa & improba ſtruere & moliri. Uti in illo loco, *Coagulatum* eſt cor eorum, pro, *induruit.*

A

Leges.

Qui conjurationis adversus Rempublicam author extiterit, aut castris insidiatus fuerit, aut illa hosti prodiderit; quive dolo malo impediverit, quo minùs hostes in potestatem populi Romani venirent, aut curaverit eos adjuvari copiis, vel armis, vel pecuniâ, vel alio modo quocunque, lege Majestatis tenetur. Imo verò turbam cogere præter mandatum Imperatoris, gravi supplicio condignum lex decernit. Quære & cap. xxi. Lit. Π.

B Novella autem Constitutio Constantini Porphyrogennetæ, cum scientiâ Alexii Patriarchæ & Synodi, anathemati subjicit eos qui machinantur insidias aut tumultus, atque etiam eos qui istis opem ferunt, & in defectione sunt socii, aut illis consulunt, & ad ejusmodi facinora incitant, aut commilitant; illos denique qui ipsos ad pœnitentiam suscipiunt, quum defectionis pœnitentiam nedum agant, aut eam relinquant. Quære de hâc Novellâ in Inscriptione Syn. Gangrensis, quæ circa principium libri occurrit.

Νόμοι.

Ὁ συνωμοσίαν κατὰ τῆς πολιτείας παρασκευάσας γενέσθαι, καὶ ὁ ἐπιβουλεύσας τῷ στρατοπέδῳ, ἢ τοῖς πολεμίοις αὐτὸ προδοὺς, ἢ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ Ῥωμαίοις γενέσθαι τοὺς πολεμίους, ἢ παρασκευάσας αὐτοὺς βοηθηθῆναι πλήθει ἢ ὅπλοις ἢ χρήμασιν, ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ, τῷ τῆς καθοσιώσεως ὑπόκειται ἐγκλήματι. ἀλλὰ καὶ τὸ συνάγεσθαι ὄχλον χωρὶς βασιλικοῦ ἐπιτάγματος, πολλῆς ἄξιον τιμωρίας κρίνεται πρὸς τὸν νόμον. ζήτει καὶ τὸ καʹ. τοῦ Π. στοιχείου.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, εἰδήσει καὶ τοῦ πατριάρχου Ἀλεξίου, καὶ τῆς συνόδου, ἀναθέματι καθυποβάλλει τοὺς μέλλοντας ἢ ἐπιβουλαῖς ἐπιχειρεῖν, ἢ μούρτῳ· ἀλλὰ δὴ καὶ τοὺς συμπράττοντας, καὶ συγκοινωνοῦντας τῇ αὐτῇ ἀποστασίᾳ, καὶ τοὺς συμβουλεύοντας ἢ παρορμῶντας εἰς τὰ τοιαῦτα, καὶ τοὺς συνεκστρατεύοντας, καὶ τοὺς δεχομένους αὐτοὺς εἰς μετάνοιαν μὴ μεταμελομένους ἀπὸ τῆς ἀποκαταστασίας, καταλιμπάνοντας αὐτήν. ζήτει περὶ ταύτης νεαρᾶς ἐν τῇ ἐπιγραφῇ τῆς ἐν Γάγγρᾳ συνόδου, ἥτις ἐν τῇ ἀρχῇ τοῦ βιβλίου κεῖται.

C

CAPUT XII.

De Schismaticis.

Quære in cap. ii. Lit. A. Canonem primum Magni Basilii, sapienter ibi definientis ac distinguentis Schismata atque hæreses juxta suas quamlibet proprietates.

D Canon autem xxxi. sanctorum Apostolorum, Siquis, ait, Presbyter, quum Episcopum suum nequaquam incusare ac damnare queat, utpote nihil contra pietatem peccantem, neque improbitati indulgentem, sed è contra quoad homines justum, piúmque erga Deum, ambitione tactus privatim altare fixerit, & conventus colligens super illud celebret, atque post unam ac alteram, atque dein tertiam admonitionem & cohortationem ad priorem conformitatem, in sententiâ suâ obstinate perseveret, tanquam ambitiosus & affectum Tyrannicum prodens, deponatur; qui autem conveniunt & congregantur ad illum, si Clerici fuerint, etiam & illi ordine semoveantur: sin autem Laici, excommunicentur. E Exinde autem manifestum nihil impedire quominus à suis Episcopis faciant divortia, & secedant Clerici, si ipsos tanquam improbos aut injustos coarguant, & damnent. Alioqui, quamvis pessima perhibeantur de Episcopo & Presbytero, non licet à communione ipsius secedere, antequam judicium post accuratam examinationem latum istum semoverit. Non enim hominum ea gratia est, sed Spiritus sancti, qui pro meritis eam solet viris ardore fidei præcellentibus conferre. Omnes enim, inquit, (*scilicet D. Chrysostomus*) non ordinat Deus, sed per omnes operatur.

F Eadem etiam percenset Concilii Antiocheni Canon quintus, atque addit, At verò, si post depositionem permanserit turbas & seditionem commovens in Ecclesiâ, per externam ac politicam potestatem castigetur, si fortè illum ad pœnitentiam convertere queat. Quippe conceditur Episcopis duntaxat increpare delinquentes, non etiam punire, sed verò inobedientes magistratui castigandos tradere.

Quære & Can. xxxi. & lix. Synodi sextæ in cap. i. Literæ B.

ΚΕΦ. ιβʹ.

Περὶ σχισματικῶν.

Ζήτει ἐν τῷ βʹ. κεφ. τοῦ Α. στοιχείου κανόνα αʹ. τοῦ μεγάλου Βασιλείου, σοφῶς ὁριζομένου, καὶ διαιροῦντος τὰ σχίσματα, καὶ τὰς αἱρέσεις ταῖς ἑκατέρων ἰδιότησιν.

Ὁ δὲ λαʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, ὅστις φησὶ, πρεσβύτερος μηδὲν τοῦ ἰδίου κατεγνωκὼς ἐπισκόπου, μήτε περὶ τὴν εὐσέβειαν σφαλλομένου, μὴ ταῖς χαίροντος ἀδικίαις, ἀλλ' εὐσεβοῦς μὲν τὰ πρὸς θεὸν, δικαίου δὲ τὰ πρὸς ἀνθρώπους ὑπάρχοντος, πάθει φιλαρχίας κάτοχος ὢν ἰδίᾳ πήξει θυσιαστήριον, καὶ παρασυνάξεις ποιῶν ἐν τούτῳ ἱερουργεῖ, μετὰ μίαν, καὶ δευτέραν, καὶ τρίτην παραίνεσιν, καὶ παράκλησιν ἐπὶ τὴν προτέραν ὁμόνοιαν, ἐπὶ γνώμῃ χρώμενος αὐθεκάστῳ, αὐτὸς μὲν ὡς φίλαρχος, καὶ τυραννικὸν ἔργον ἐπιδεικνύμενος, καθαιρείσθω· οἱ δὲ συναπαχθέντες αὐτῷ, καὶ συνεκκλησιάζοντες, εἰ μὲν κληρικοὶ εἶεν, καὶ αὐτοὶ καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, ἀφορισμῷ ὑποβεβλήσθωσαν. Ἐναργῶς τοίνυν ἐκ τούτου παρίσταται, μὴ δ' ἡντιναοῦν ὄφλειν εὐθύνειν, τοὺς τῶν ἰδίων ἐπισκόπων ἀποσχιζομένους, καὶ ἀποφοιτῶντας κληρικοὺς, καταγινώσκοντας ὡς ἀσεβούντων, ἢ ἀδικούντων· τῶν δὲ ἕτερον μέντοι γε τρόπον κἂν τὰ χείριστα λέγηται περὶ ἐπισκόπου ἢ πρεσβυτέρου, οὐ δίκαιον τῆς ἐκείνου κοινωνίας ἀφίστασθαι, πρὶν ἂν ἡ δι' ἀκριβοῦς ἐξετάσεως κρίσις τοῦτον καθέλῃ· οὐ γὰρ τῶν ἀνθρώπων ἡ χάρις, ἀλλὰ τοῦ ἁγίου πνεύματος, ὃ καὶ διὰ τῶν ἀξίων πορίζειν ταύτην εἴωθε τοῖς θερμότητι πίστεως προσιοῦσι· πάντας γάρ φησιν, ὁ θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ εʹ. διέξεισι, προσθεὶς, ὡς εἰ μετὰ τὴν καθαίρεσιν θορυβῶν ἐπιμένει, καὶ τὴν ἐκκλησίαν ἀναστατῶν, διὰ τῆς ἔξωθεν καὶ πολιτικῆς ἐξουσίας σωφρονιζέσθω, εἴπως ταύτην γοῦν πρὸς μετάνοιαν ἐπιστρέψειεν· ἐπιτιμᾶν γὰρ μόνον ἐφεῖται τοῖς ἐπισκόποις, ἀλλ' οὐχὶ καὶ τιμωρεῖσθαι τοὺς πταίοντας, μὴ πειθομένους δὲ τοῖς ἄρχουσι πρὸς σωφρονισμὸν ἐκδιδόναι.

Ζήτει καὶ τὸν λαʹ. καὶ τὸν νθʹ. τῆς ϛʹ. συνόδου ἐν τῷ αʹ. κεφ. τοῦ Β. στοιχείου.

A Ὁ δὲ ιβʹ. κανὼν τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου· τῷ λαʹ. φησὶ τῆς ϛʹ. συνόδου κανόνι γινόμενοι σύμψηφοι, ἀποκεκληρωμένους εἶναι, καὶ ἐπιτετραμμένους κελεύομεν πρὸς τοῦ κατὰ χώραν ἐπισκόπου, τοὺς ἐν εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὖσι λειτουργοῦντας ἱερέας· εἰ δέ τινες παρὰ τούτους ἄνευ γνώμης τοῦ ἐπισκόπου εἰς τὰς οἰκίας ἐμπίπτοντες ἅψασθαι λειτουργίας τολμήσειεν, ἐκείνους μὲν καθαιρεῖσθαι, τοὺς δὲ συγκοινωνοῦντας αὐτοῖς ἀφορίζεσθαι.

Ὁ δὲ ιγʹ. ὥσπερ αἱ τῶν αἱρετικῶν ζιζανίων ἐκφύσεις φησὶ, τῇ μαχαίρᾳ τοῦ πνεύματος ῥίζαις αὐταῖς ἐξεκόπησαν, B οὕτω καὶ τὴν τῶν σχισματικῶν μανίαν, τὸ τοῦ Χριστοῦ μερίζειν ἐπιχειροῦσαν, ἡμεῖς ἀναστέλλοντες ὁρίζομεν· ὡς εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἐπί τισι δῆθεν ἐγκλήμασιν, ἃ τῶν σαρκικῶν ἐξῆπται παθῶν, τοῦ οἰκείου καταγνωκὼς ἐπισκόπου, πάσης εὐσεβείας καὶ ἀδίκου πράξεως ἐχόντος τὸν βίον, πάντως ἐκ διαμέτρου ὡς τῷ ἀποστολικῷ καὶ θείῳ κανόνι διείληπται, ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας τολμήσειε πρὸ συνοδικῆς διαγνώσεως, καὶ τοῦ δὲ τὸ ὄνομα τὴν θείαν ἐπιτελῶν ἱεροτελεστίαν μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει κελεύομεν, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. ἀθέμιτον γὰρ τὸν τῶν μητροπολιτῶν κρίσιν ἁρπάζοντα, C προκρίσεως ὅσον τὸ ἐπ᾽ αὐτῷ τοῦ οἰκείου πατρὸς καὶ ἐπισκόπου καταψηφίζεσθαι· ἀλλὰ καὶ τοὺς ἑπομένους αὐτῷ κληρικοὺς μὲν τυγχάνοντας τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι, μοναχοὺς δὲ ἢ λαϊκοὺς, μὴ ὅτι τῆς ἱερᾶς ἀφορίζεσθαι κοινωνίας, ἀλλὰ καὶ τῆς ἐκκλησίας παντάπασιν ἐξωθεῖσθαι, μέχρις ἂν τῆς πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπιστρέψωσιν ἐπίσκοπον.

Ὁ δὲ ιδʹ. καθαίρεσιν καὶ τοῦ ἐπισκόπου καταψηφίζεται, εἰ τῆς κοινωνίας τοῦ ἰδίου ἀποσχισθείη μητροπολίτου· μὴ δὲ ἀναφέρειν ἀνέχοιτο ἐν ταῖς ἱεραῖς τελεταῖς τὸ αὐτοῦ ὄνομα. D

Ὁ δὲ μεʹ. τῶν αὐτῶν εὐθυνῶν καὶ τοῖς μητροπολίταις τιμᾶται, τοῖς ἀποσχιζομένοις τοῦ σφῶν πατριάρχου, εἴδ᾽ ὁ πατριάρχης τυχὸν φησὶν, ἢ ὁ μητροπολίτης, ἢ ὁ ἐπίσκοπος, οἱανδήτινα αἵρεσιν, παρὰ τῶν θείων κατεγνωσμένην πατέρων, δημοσίᾳ, καὶ γυμνῇ φᾶναι κηρύττει τῇ κεφαλῇ, οἱ τῆς αὐτοῦ κοινωνίας ἀποδιαστελλόμενοι καὶ ἀποτειχίζοντες ἑαυτοὺς, μὴ ὅτι κολάσεως, ἀλλὰ καὶ τῆς προσηκούσης τοῖς ὀρθοδόξοις ἀξιούσθω τιμῆς· οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων κατέγνωσαν, καὶ οὐκ εἰς σχίσματα τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων E καὶ μερισμῶν τὴν ἐκκλησίαν ἐσπούδασαν λύσασθαι, τό γε εἰς αὐτοὺς ἧκον. διὰ τοῦτο καὶ ἡμεῖς εὖ ποιοῦντες, τὴν τῆς παλαιᾶς Ῥώμης ἀπειπάμεθα κοινωνίαν, καὶ πρό γε συνοδικῆς διαγνώμης καὶ κρίσεως.

Ὁ δὲ ϛʹ. τῆς ἐν Γάγγρᾳ συνόδου τῷ παρ᾽ ἐλαχίστου τιθεμένῳ τὴν ἐκκλησίαν, καὶ ἰδίᾳ ἐκκλησιάζοντι, καὶ παρὰ γνώμην ἱερουργοῦντι τοῦ ἐπισκόπου, τῶν ἐσχάτων τιμῶν ἀξιοῖ· τί γὰρ τοῦ ἀναθέματος ἐσχατώτερόν τε καὶ φρικωδέστερον, ἐκκλησίαν δὲ, οὐ τὸν νεὼν, ἀλλὰ τὸ τῶν πιστῶν φησι πλήρωμα· ὁ γὰρ νεὼς κατὰ τὸν Πηλουσιώτην ἅγιον Θεόδωρον F ἐκκλησιαστήριον ἂν κυρίως λέγοιτο, ὡς θυμίαμα θυμιατήριον, καὶ θυσία θυσιαστήριον.

Ἀλλὰ καὶ ὁ ιʹ. τῆς ἐν Καρθαγένῃ τὸν ἀφορισμῷ ἐπιτιμηθέντα πρεσβύτερον, εἰ ἐξ ἀπονοίας νέον πῆξαι θυσιαστήριον, ἰδίᾳ τῷ Θεῷ ἱερουργίαν προσφέρει, τῷ ἀναθέματι παραπέμπει, οἷα τὴν τῆς ἐκκλησίας πίστιν καὶ κατάστασιν λυμαινόμενον, καὶ βλασφημεῖσθαι ταύτην παρασκευάζοντα πρὸς τῶν τῆς ἀληθείας ἐχθρῶν· πρῶτον μὲν γὰρ παραγγελίαις πειρᾶσθαι δεῖ τοὺς τὰ σχίσματα ποιοῦντας ἐπανάγειν

Canon autem xii. Concilii, quod primum ac ſecundum appellatur, Canoni, inquit, xxxi. Concilii ſexti conſentientes, Clericatu privandos decernimus, & Epiſcopo iſtius loci ſubjiciendos Sacerdotes, qui in oratoriis, quæ intra ædes privatas habentur, ſacra celebrant. Quicunque vero præter hoſce, citra Epiſcopi ſententiam in ædes incidentes auſi fuerint ſacra facere, ipſos quidem deponi, communicantes verò ſegregari.

Canon verò xiii. Ut hæreticorum zizaniorum germina, inquit, enſe Sancti Spiritus radicitùs exſcindebantur, ita Schiſmaticorum inſaniam, quæ corpus Chriſti dividere ſtudet, noſmet reprimentes ſtatuimus, Quod ſiquis Presbyter aut Diaconus ob crimina quædam, quæ ad carnales affectus pertinent, ſuum Epiſcopum damnans, qui cum omni pietate ac innocentiâ vixerit, directè contra Apoſtolico ac ſacro Canone definitum, auſus fuerit à communione ejus ſecedere, ante cognitionem Synodicam, ejúſque nomen, quando ſacra peragit, non referat, hunc depoſitioni ſubjici volumus, & omni Sacerdotali honore privari. Illicitum enim eſt eum qui judicium Metropolitanorum præripit, ante judicium, quantum ad illum ſpectat, adverſus Patrem ſuum atque Epiſcopum decernere: ſed & qui eum ſequuntur, ſi Clerici fuerint eaſdem pœnas ſubire; ſin verò Monachi, aut Laici, non tantum communione privari, ſed etiam Eccleſiâ penitus expelli, donec conſpirationem cum Schiſmaticis reſpuentes, ad proprium Epiſcopum reverſi fuerint.

Canon verò xiv. depoſitionem etiam Epiſcopi decernit, ſi à communione ſui Metropolitani defecerit, aut recuſaverit in officio ſacro nomen ejus referre.

Tum Canon lxv. paris criminis arguit etiam Metropolitas qui à ſuo Patriarchâ recedunt: veruntamen, ſi Patriarcha fortaſſean aut Metropolita, ait, aut Epiſcopus hæreſin aliquam à ſanctis Patribus damnatam publicè, & ut ita dicam nudo capite prædicaverit, qui communioni ejus abrenunciant, & ſeipſos communiunt adverſus eum, non pœnâ dignus, ſed potius honore, qui orthodoxis competit, habeatur. Non enim Epiſcopos ſed Pſeudepiſcopos & Pſeudodidaſcalos damnarunt, neque in Schiſmata unitatem Eccleſiæ conſciderunt, ſed à Schiſmatis & diviſionibus Eccleſiam liberare ſtuduerunt, quantum in eis erat. Quamobrem & nos rectè facimus quòd communionem veteris Romæ abnuimus, etiam ante Synodalem cognitionem ac judicium.

Canon autem ſextus Synodi Gangrenſis, ei, qui Eccleſiam contemnens privatas conciones habet, atque ſine licentiâ Epiſcopi ſacra celebrat; ultimum ſupplicium denunciat: quid enim uſpiam anathemate gravius & terribilius? Eccleſiam autem vocat, non templum, ſed cœtum fidelium. Templum enim ſecundùm S.Iſidorum Peluſiotam propriè Eccleſiaſterium appellare licet, ſicuti θυμίαμα θυμιατήριον, & θυσία θυσιαστήριον.

Imo etiam Canone x. Concilii Carthaginenſis, Presbyterum depoſitione percuſſum, ſi ex inſolentiâ novum altare fixerit, & privatim Deo ſacra fecerit, anathemate ferit, tanquam corruptorem fidei atque conſtitutionis Eccleſiaſticæ, & ſtudentem illam contemptui exponere hoſtium veritatis. Primùm quidem exhortationibus opus eſt, ut conemur hoſce qui

Schiſmata, faciunt, reducere ad conformitatem, inobedientes tamen aut deponere, aut excommunicare. Sin verò adhuc permanſerint obſtinati, ac ſeditionem moventes, anathemati ipſos ſubjicere, & tanquam membra corrupta è corpore Eccleſiæ reſcindere.

Eadem etiam adſerit & xi. Canon, Preſbyterum à ſuo Epiſcopo damnatum, tanquam malè viventem, id denunciare oportet Epiſcopis vicinis, ut eorum gratiâ ſuo Epiſcopo reconcilietur. Sin verò ſuperbiâ elatus ſeſe ſeparet ab Epiſcopo, & privatim celebrare velit, non ſolùm gradum ſuum amittet, ſed etiam anathema erit. Oportet autem diſpicere, ait, num meritò Epiſcopum ſuum Clericus accuſet, videlicet aut eum injuſtè facientem, aut contra rectam doctrinam viderit, & non ſine ratione communionem ejus declinet.

Quære in cap. ii. Lit. A. Can. xxxiii. Synodi Laodicenæ, & cap. xx. Lit. K.

Multiſona autem Eccleſiæ tuba & verè Chryſoſtomus, Epiſtolam ad Epheſios explicans, & in xi. Expoſitionis ſuæ ſermone de iis qui ſchiſmata faciunt differens, Vir quidam ſanctus, inquit, neque Martyrii ſanguinem peccatum illud diluere poſſe dixit. Et in capite lxv. ejuſdem Expoſitionis, Eccleſiam ſcindere nihil minus malum præſtat quàm in hæreſin labi. Nihil etiam vetat quominus præcedentibus adjiciamus Epiſtolam beati Dionyſii Epiſcopi Alexandrini ac Martyris, quam ad Novatum Romæ Preſbyterum miſit.

Epiſtola Dionyſii ad Novatum Preſbyterum Romanum.

DIONYSIUS Novato fratri ſalutem. Si modò ægrè tuliſti, ut dicis, ſponte recedendo id ipſum oſtendes. Oportuit enim & quodvis potiùs perpeti, quàm diſcindere Eccleſiam Dei: neque minus glorioſum fuit Martyrium propter evitandum ſchiſma, quàm cultum Idolorum, imò meo quidem judicio magis. Illic enim propter ſuipſius animam ſolam, hic propter totam Eccleſiam Martyrium obit. Jam verò ſi perſuaſeris aut coëgeris fratres in concordiam conſpirare, inſignis erit delicti emendatio: Atque illud quidem minimè imputabitur, hoc autem laudem merebitur. Si tamen inobſequentes ſervando nihil valeas, tuam animam ſerva. Bene Te ut pacem retines valere exopto in Chriſto.

A πρὸς τὴν ὁμόνοιαν, μὴ πειθομένους δὲ, καθαιρεῖν ἢ ἀφορίζειν. εἰ δὲ καὶ οὕτω μένοιεν ἀπαυθαδιζόμενοι καὶ στασιάζοντες, ὑποτιθέναι τούτους τῷ ἀναθέματι, καὶ ὡς σεσηπότα μέλη τοῦ ὑγιαίνοντος σώματος τῆς ἐκκλησίας ἐκτέμνειν.

Τὰ αὐτὰ καὶ ὁ ια΄. ἀποφαίνεται, τὸν καταγνωσθέντα πρὸς τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερον, ὡς μὴ καλῶς βιοῦντα, προσαγγεῖλαι δεῖ τοῖς γειτνιῶσι τῶν ἐπισκόπων, ὡς ἂν δι' ἐκείνων, τῷ ἰδίῳ διαλλαγείη. εἰ δὲ φυσιοθεὶς ἀποσχισθείη μὲν τοῦ ἐπισκόπου, ἰδίᾳ δὲ ἱερουργεῖν βουληθείη, οὐ B μόνον τὸν ἴδιον ἀπολέσει βαθμὸν, ἀλλὰ καὶ ἀνάθεμα ἔσται. χρὴ δέ φησι σκοπεῖν, μὴ ἄρα δικαίως τὸν ἴδιον ἐπίσκοπον ὁ κληρικὸς αἰτιῷτο, ἢ ἀδικοῦντα βλέπων αὐτὸν, ἢ τῷ ὀρθῷ ἐναντιούμενον δόγματι, καὶ οὐκ ἔξω λόγου τὴν αὐτοῦ κοινωνίαν ἐκκλίνοι.

Ζήτει ἐν τῷ β΄. κεφ. τοῦ Α. στοιχείου κανόν. λγ΄. τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ τὸ κ΄. κεφ. τοῦ Κ. στοιχείου.

Ἡ δὲ πολύστομος τῆς ἐκκλησίας σάλπιγξ τῷ ὄντι Χρυσόστομος, τὴν πρὸς Ἐφεσίους ἑρμηνεύων ἐπιστολὴν, κἀν C τῷ ια΄. τῆς ἑρμηνείας λόγῳ, περὶ τῶν τὰ σχίσματα ποιούντων διαλεγόμενος, ἀνήρ τις ἅγιος, φησὶ, εἴρηκεν, ὅτι οὐδὲ μαρτυρίου αἷμα τ' ἐξαλείφειν δύναται τὴν ἁμαρτίαν ταύτην. ἐν δὲ τῷ ξε΄. τῷ αὐτῆς κεφαλαίῳ τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν, τὸ τὴν ἐκκλησίαν σχίσαι, οὐδὲν ἔλαττον κακὸν δείκνυσιν. οὐδὲν δὲ οἶμαι καὶ τὴν ἐπιστολὴν ἐναρίθμιον θεῖναι τοῖς φθάσασι, τοῦ ἐν ἁγίοις Διονυσίου Ἀλεξανδρείας καὶ μάρτυρος, ἣν πρὸς Ναυάτον πέπομφεν Ῥώμης ὄντα πρεσβύτερον.

Ἐπιστολὴ Διονυσίου πρὸς Ναυάτον Ῥώμης πρεσβύτερον.

D

ΔΙΟΝΥΣΙΟΣ Ναυάτῳ ἀδελφῷ χαίρειν. εἰ ἄκων ὡς φῂς ἤχθης, δείξεις ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκκλησίαν τοῦ Θεοῦ· καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης, ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ μείζων· ἐκεῖ μὲν γὰρ, ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ, ὑπὲρ ὅλης τῆς ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαιο ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν εἰσελθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα· καὶ τὸ μὲν, οὐ λογισθήσεται, τὸ δὲ, ἐπαινεθήσεται. εἰ E δὲ ἀπειθούντων ἀδυνατεῖς, σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν, ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης ἐν κυρίῳ εὔχομαι.

F

A

ΑΡΧΗ ΤΟΥ Τ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. αʹ.

Περὶ τῆς τάξεως τῶν κληρικῶν.

Ζήτει τὸ εʹ. κεφ. τοῦ Δ. στοιχείου.

Ὁ δὲ νϛʹ. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, τοῦ ἐπισκόπου τὴν εἴσοδον ἐπὶ τὸ θυσιαστήριον ποιουμένου, μὴ ἐξεῖναι κελεύει τοῖς πρεσβυτέροις προλαμβάνειν καὶ εἰσερχομένους καθίζειν, καὶ μόνον ἐᾶν τὸν ἐπίσκοπον. οὐχ ὅπως γὰρ ἀταξίας ἀλλὰ καὶ τοῦ περιφρονεῖν τὸν ἐπίσκοπον τοῦτο σημεῖον· ἀλλὰ σὺν αὐτῷ συνεισιέναι, εἰ μή πού τις ἀνωμάλως ἔχει τὸ σῶμα, καὶ τὴν στάσιν ἥκιστα δύναται φέρειν. B

INITIUM LITERÆ T.

CAPUT I.

De Ordine Clericorum.

Quære cap. v. Lit. Δ.

CANON autem lvi. Synodi Laodicenæ, quando Epiſcopus ad altare accedere vult, minimè licere judicat Presbyteris præoccupare, atque introeuntes ſedes capeſcere, & Epiſcopum ſolum relinquere. Illud enim non tantum decoris violati, ſed & contemptûs Epiſcopi argumentum eſt: ſed potius unà cum Epiſcopo ingredi vult, niſi quis corpore minus valeat, & ſtandi moram perferre neutiquam poſſit.

ΚΕΦ. βʹ.

Περὶ ταφῆς.

Νόμοι.

C

ΟΥΚ ἔξεστι θάπτειν, ἔνθα δῆλόν ἐστιν, ὅτι μάρτυρος σῶμα ἀπόκειται. οὐδεὶς ἀπὸ τῶν τάφων ὕλην τινὰ ἢ ἕτερον οἰκοδόμημα μεταφέρῃ. μηδεὶς σῶμα ἀνθρώπινον χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω. ζήτει καὶ ἐν τῷ ιεʹ. κεφ. τοῦ Μ. στοιχείου.

CAPUT II.

De Sepulturâ.

Leges.

SEPELIRE haud fas eſt, ubi conſtat corpus Martyris jacere. Nemo quiſquam de ſepulchris materiem quamcunque ad aliam domum extruendam auferat. Cadaver hominis citra mandatum Imp. nemo in locum alium transferat. Quære & in cap. xv. Lit. M.

ΚΕΦ. γʹ.

Ὅτι τοὺς τελευτήσαντας, οὔτε βαπτίζειν θεμιτὸν, οὔτε κοινωνεῖν τὰ νεκρὰ σώματα.

D

Ζήτει τὸ κϛʹ. κεφ. τοῦ Κ. στοιχείου.

CAPUT III.

Quòd mortuos baptizare minimè liceat, neque horum cadaveribus ſacra myſteria præbere.

Quære cap. xxvi. Lit. K.

ΚΕΦ. δʹ.

Περὶ τῶν τέκνων τῶν κληρικῶν.

Ὁ λεʹ. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, οὐκ οἴεται δεῖν ἐπισκόπους καὶ κληρικοὺς, εὐχερῶς τοῖς τέκνοις αὐτῶν διδόναι τὸ αὐτεξούσιον, εἰ μὴ ἀπὸ τῆς ἡλικίας καὶ τῶν ἀγαθῶν τρόπων δοῖεν πληροφορίαν, ὅτι δυνήσονται δεόντως καὶ εὐλαβῶς τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν. εἰ δ' οὖν τῶν ἁμαρτημάτων αὐτῶν καὶ αὐτοὶ ἔσονται κοινωνοί. E

Νόμοι.

Οἱ δὲ νόμοι κελεύουσι, μὴ παρὰ μόνου τοῦ πατρὸς, εἴτε κληρικοῦ, εἴτε λαϊκοῦ, τὴν τῶν τέκνων αὐτεξουσιότητα γίνεσθαι, εἰ μὴ καὶ δικαστικὴ διάγνωσις τοῦτο ἐπιψηφίσειε. φασὶ γὰρ, οὐ γυμνὴ συναίνεσις τοῦ πατρὸς ἐλευθεροῖ τῆς ὑπεξουσιότητος τὸν παῖδα, ἀλλὰ νόμιμος πρᾶξις. F

Οἱ δὲ ὀφφικίῳ τιμηθέντες παῖδες τῶν ἐπισκόπων, αὐτεξούσιοι παρὰ τοῦ νόμου γίνονται, καὶ λόγον ὑπὲρ αὐτῶν οἱ πατέρες οὐ διδόασι. φησὶ γὰρ ἡ παʹ. Ἰουστινιανείου νεαρά, ὅτι πάντες οἱ ἀξιωματικοὶ, καὶ ἔχοντες ὀφφίκια ἄρχοντες αὐτεξούσιοι ἔστωσαν, καὶ εἰ τῆς πατρικῆς χειρὸς οὐκ ἔφθασαν ἀπολυθῆναι.

CAPUT IV.

De Clericorum filiis.

CANON xxxv. Concilii Carthaginenſis minimè oportere exiſtimat Epiſcopos ac Clericos facile liberis ſuis poteſtatem ſui concedere, niſi per ætatem aut morum probitatem fidem certam fecerint, poſſe ſe convenienter ac providè res ſuas adminiſtrare. Secùs enim & ipſi liberorum ſuorum criminibus obnoxii erunt.

Leges.

Leges autem ſtatuunt libertatem filiis non à patre ſolo, ſive Clericus ſit, ſive Laicus, donari, niſi cognitio auctoritativa ita decernat. Non enim conſenſus merus patris natum patriâ poteſtate liberat, ſed legitima actio.

Liberi autem Epiſcoporum, qui dignitate aliquâ cohoneſtantur, ſui juris juxta Leges evadunt, neque pro illis Patres rationem reddunt. Dicit enim Novella Juſtiniani lxxxi. Qui dignitatem indepti ſunt, ac officia publica ſuſtinent, ſuæ poteſtatis ſunt, quamvis per ætatem non oporteat ipſos de manu patriâ liberari.

Delicta

A Delicta circa damnum quæ perpetrant filii sub patriâ poteſtate, ipſi Patres meritò luunt, non ita & crimina. Neque enim puniuntur Patres propter filios: cùm lex diſertè dicat, delicta caput ſequuntur.

CAPUT V.

De ſacrâ Quadrageſimâ, & ritibus qui in eâ obſervantur.

B Quære cap. iv. Lit. N.

CANON autem lv. Synodi ſextæ, eos qui veterem Romam incolunt, monet nè in Sabbatis ſacræ Quadrageſimæ jejunent, præterquam in uno tantum, eóque magno Sabbato. Sed arrogantes illi incorrigibiles perſeverarunt, neque Canonibus Apoſtolicis, neque huic obſequentes, adeóque nec Clerici depoſitionem metuunt, neque Laici excommunicationem. Tanto autem turpiores evaſerunt, ut non solùm in iſtis, ſed & aliis anni Sabbatis illicitè jejunent. Imò quod adhuc magis Canonibus repugnat, ſolutionem Sabbati C in feriam quartam & Paraſceven referunt, atque iſtorum dierum jejunium in Sabbatum, quaſi ſollicitè ſtudentes omnem legem ſacram everſam dare.

Canon verò lvi. contrarium planè Armenorum errorem corrigens, in Sabbatis & Dominicis Quadrageſimalibus à caſeo & ovis abſtinere ipſos præcipit; quod quidem præceptum in univerſâ Dei Eccleſiâ obtinet. Nam ſicuti ab omnibus mutis animalibus temperamus, ita & opus fructus ipſorum in cibum minimè adhiberi. Hoc etiam in feriis quartis & ſextis per totum annum obſervare oportet. Qui ſecus fecerint, de- D poſitionis aut excommunicationis pœnam iis intentat, prout Clerici fuerint, aut Laici. Sed vel hinc videas Latinos ad ſummam inſolentiam perveniſſe, tanquam de induſtriâ ſacris Canonibus reſiſtentes, ſcilicet in Sabbatis & diebus Dominicis per Quadrageſimam, non ſolum caſeum & ova, ſed etiam carnes comedunt, neque plebeii duntaxat hoc faciunt, ſed Monachi etiam minus bene valentes.

Quære & in cap. i. Lit. B. Syn. Laodiceni Can. xlii. & in cap. vii. Lit. Π. Concilii ſexti Can. lxxxix.

E

Rurſus Canon lii. Synodi ſextæ, in cæteris quidem Quadrageſimæ diebus, ſcilicet luctui, jejuniis, ac compunctioni deſtinatis in expiationem uniuſcujuſque perperam commiſſorum, officium præſanctificatorum celebrari jubet: Attamen in Sabbatis & Dominicis Quadrageſimæ, & die ſacro Annunciationis, jejunare haud licet, licet tamen & ſacrificium offerre, & perfectam Liturgiam peragere. Celebramus enim Annunciationis diem feriando in ipſo, tanquam principium ac caput ſalutis noſtræ. Videtur igitur unicum eſſe ac ſimplex Quadrageſimale iſthoc jejunium. Nam ſi aliud F in Canonibus agnoſceretur, conſtitutum eſſet & in illo non plenarium officium ſed præſanctificatorum obire.

Quam ob cauſam ut plurimum tertiâ horâ diei ſacra Liturgia peragatur: nonnunquam tamen, in maximis puta feſtis, tempore veſpertino.

Jam verò diſquirendum eſt quâ causâ, quum in aliis anni diebus circa horam tertiam à ſolis ortu lex

Τῶν ψυχικῶν μέντοι σφαλμάτων, ἅπερ οἱ ὑπεξούσιοι ἁμαρτάνουσι παῖδες, ἴσως οἱ πατέρες δίκην ὑπέχουσιν, οὐ μὴν καὶ τῶν ἐγκληματικῶν· οὐ γὰρ κολάζονται πατέρες ὑπὲρ τέκνων. φησὶ γὰρ ὁ νόμος, τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

ΚΕΦ. ε΄.

Περὶ τῆς ἁγίας τεσσαρακοστῆς, καὶ τῶν ἐν αὐτῇ τελουμένων ἐθῶν.

Ζήτει τὸ δ΄. κεφ. τοῦ Ν. στοιχείου.

Ὁ δὲ νε΄. τῆς ϛ΄. συνόδου κανὼν, τοῖς τὴν παλαιὰν οἰκοῦσι Ῥώμην παρεγγυᾶται, μὴ νηστεύειν τὰ σάββατα τῆς ἁγίας τεσσαρακοστῆς, ἐκτὸς μόνου τοῦ ἑνὸς καὶ μεγάλου σαββάτου. ἀλλ' ἀδιόρθωτοι μεμενήκασιν οἱ ἀλαζόνες, μήτε τῶν ἀποστολικῶν κανόνων, μήτε τούτου ἐπιστρεφόμενοι· μήτε τὴν καθαίρεσιν οἱ ἱερωμένοι, μήθ' οἱ τοῦ δήμου τὸν ἀφορισμὸν εὐλαβούμενοι. μᾶλλον δὲ τοσοῦτον χείρους γεγόνασιν, ὡς μὴ μόνον ἐν τούτοις, ἀλλὰ κἂν τοῖς ἄλλοις τοῦ χρόνου σάββασι παρανόμως νηστεύειν. ὃ δ' ἔτι τούτου παρανομώτερον, ὅτι τὴν τοῦ σαββάτου κατάλυσιν, ἐπὶ τὴν τετράδα μετενηνόχασι, καὶ παρασκευὴν, τὴν δ' ἐν ταύταις νηστείαν ἐπὶ τὸ σάββατον, ἔργον ὡσανεὶ ποιούμενοι, πάντα νόμον ἱερὸν τιθέναι ἀνάστατον.

Ὁ δὲ νϛ΄. τὴν αὖθις ἐκ διαμέτρου τῶν Ἀρμενίων διορθούμενος πλάνην, ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς, τυροῦ καὶ ὠῶν ἀπέχεσθαι καὶ τούτους κελεύει· οἷα δὲ νόμος πάσῃ τῇ ὑφ' ἡλίῳ τοῦ θεοῦ ἐκκλησίᾳ. ὥσπερ γὰρ πάντων τῶν φυομένων ἀπεχόμεθα ζώων, οὕτω δέον καὶ ὅσα τούτων καρπὸς εἰς τροφὴν μὴ προσίεσθαι. τοῦτο καὶ ἐπὶ τῶν τετράδων παρατηρητέον καὶ παρασκευῶν τοῦ ὅλου ἐνιαυτοῦ· τοῖς δὲ παραβαίνουσι, καθαιρέσεως ἢ ἀφορισμοῦ τιμᾶται κληρικοῖς οὖσιν, ἢ δημόταις τυχόν. ἀλλὰ κἂν τούτῳ Λατίνους μᾶλλον ἂν ἴδοις εἰς ἔσχατον ἀφιγμένους παρανομίας, ὥσπερ ἐξεπίτηδες ὁμόσε χωροῦντας τοῖς θείοις κανόσιν. ἐν γὰρ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς τεσσαρακοστῆς, οὐ μόνον τυροῦ καὶ ὠῶν, ἀλλά γε κρεῶν ἅπτονται, οὐχὶ τοῦ δήμου μόνον, ἀλλὰ καὶ τῶν μοναχῶν οἱ ἀσθενεῖς δῆθεν τοῦ σώματος ἔχοντες.

Ζήτει καὶ ἐν τῷ α΄. κεφ. τοῦ Β. στοιχείου, τῆς ἐν Λαοδικείᾳ συνόδου καν. μβ΄. καὶ ἐν τῷ ζ΄. κεφ. τοῦ Π. στοιχείου κανόνα πθ΄. τῆς ϛ΄. συνόδου.

Ὁ δὲ τῆς ϛ΄. συνόδου νβ΄. καν. ἐν μὲν ταῖς ἄλλαις ἁγίας τεσσαρακοστῆς ἡμέραις οἷα πενθεῖν προστεταγμένων καὶ νηστεύειν καὶ κατανύσσεσθαι, εἰς ἐξίλασμα τῶν οὐ καλῶς ἑκάστῳ βεβαιωμένων, τὴν τῶν προηγιασμένων λειτουργίαν κελεύει τελεῖσθαι· ἐν δέ γε τοῖς σάββασι καὶ ταῖς κυριακαῖς αὐτῆς, καὶ τῇ ἁγίᾳ τοῦ εὐαγγελισμοῦ ἡμέρᾳ, ἐπείπερ ἐν ταύταις νηστεύειν οὐκ ἔννομον, καὶ θυσίαν προσφέρειν καὶ τελείαν γίνεσθαι λειτουργίαν. τιμῶμεν γὰρ τὴν τοῦ εὐαγγελισμοῦ ἡμέραν πανηγυρίζοντες ἐν αὐτῇ, ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς ἡμῶν σωτηρίας. ἔοικεν οὖν μίαν εἶναι τὴν τεσσαρακονθήμερον νηστείαν. εἰ γὰρ καὶ ἑτέρα τοῖς κανόσιν ἐπεγινώσκετο, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ, μὴ τελείαν ἱεροτελεστίαν, ἀλλὰ προηγιασμένην τελεῖσθαι.

Διὰ τί ὡς ἐπὶ τὸ πλεῖστον μὲν, τρίτην ὥραν τῆς ἡμέρας, ἡ θεία τελεῖται λειτουργία· ἔστι δὲ ὅτε περὶ ἑσπέραν ἐν ταῖς μεγίσταις τῶν ἑορτῶν.

Ἀλλὰ ζητητέον ἐνταῦθα, τίνος χάριν ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ ἐνιαυτοῦ, περί που τρίτην ὥραν ἀπὸ τῆς ἕω νόμος τὴν θείαν τελεῖσθαι μυσταγωγίαν. τῶν δὲ προειρημένων ἐστὶν ἃς ἑορτῶν καινότερον τρόπον, οἱονεὶ πρεσβεύειν οἰόμενοι, τούτων τὴν τελετὴν εἰς τὴν ἑσπέραν ταμιευόμεθα, καὶ μετὰ τὰς ἑσπερινὰς εὐθὺς ἐπιτελουμένην ᾠδάς. τουτὶ γοῦν τὸ ἔθος, καὶ ἐξαίρετον καὶ ἰδίᾳ τετίμηται, τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, τῷ τε ἁγίῳ καὶ μεγάλῳ καὶ σεβασμίῳ σαββάτῳ, πρὸς δὲ τῇ περιφανεῖ τῆς Χριστοῦ γεννήσεως ἡμέρᾳ, καί γε τῇ λαμπρᾷ καὶ φερωνύμῳ τοῦ θείου φωτὸς, εἴ γε μὴ συνέλθοιεν ἡμέραις, τῶν οἰκείων οὐκ ἀνεχομέναις διὰ ταύτας ἐκστῆναι πρεσβείων. ταύταις εἰ βούλει προστίθει, καὶ τὴν εὐαγῆ τοῦ εὐαγγελισμοῦ ἡμέραν. καὶ ἡ μὲν ἐκ τῶν εἰκότων τοῦ προτέρου αἰτία, ὅτι δὴ ἐν τούτῳ τῆς ἡμέρας ὁ παράκλητος ἐναργῶς τοῖς ἀποστόλοις ἐπιφοιτήσας, καὶ τὸ τριττὸν φῶς ἤδη καὶ τέλειον τελέως τούτοις μυσταγωγήσας· καὶ ἡμᾶς τῇ ἐπωνύμῳ τῆς θείας τριάδος ὥρᾳ τὴν τελείαν καθιεροῦν ἱερουργίαν τῇ τρισυποστάτῳ θεότητι, δι' αὐτῶν σαφῶς ἐδιδάξατο. εἰ γὰρ καὶ τῆς θείας ἱερουργίας ἡ τελετὴ τὸ τῆς ἀρρήτου οἰκονομίας ὑπογραφεῖ τοῦ λόγου μυστήριον, ἀλλ' οὐδὲν ἧττον τὴν χάριν ἴσμεν, τῷ τε εὐδοκήσαντι ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ συνεργήσαντι ζωοποιῷ πνεύματι. ἐν γε μὴν ταῖς εἰρημέναις ἐπισήμοις ἡμέραις, ἕτερ' ἄττα ἐν βάθει κεκαλυμμένα, καὶ ὑπὲρ ἔννοιαν τῆς τοῦ θεοῦ σοφίας μυστήρια, ἀμυδρῶς πως ἡμῖν παραγυμνοῦται σκιαγραφούμενα, ὡς ἂν καὶ ἐκ τῆς τούτων καθόσον ἐφικτὸν μυήσεως, πρὸς τὸν θεῖον ἡμῖν ὑπάρξῃ πόθον, ἐπιπλέον πτεροῦσθαι καὶ ἀνατείνεσθαι τοῦ γοῦν τελείου καὶ ἄκρου φωτὸς, ἐπὶ γῆς ὡς ἐν ἑσπέρᾳ τῷ τέλει τῶν αἰώνων τῷ κόσμῳ φανέντος, τέλος μὲν ὁ δρόμος τῆς τοῦ νόμου ὡς εἰπεῖν ἡμέρας ἐλάμβανεν· ἡ δὲ τῆς καινῆς διαθήκης αὐγὴ τὸ τοῦ πολυθέου σκότον κακίας καταλύειν ἀπήρχετο, ὃν ὁ σκιώδης νόμος πολλοῦ γε ἄρα ἔδει περιελεῖν. ταύτῃ τοι καὶ τοῦ μυστηρίου τούτου τοῖς συλληψομένοις ἤδη καὶ ὑπουργήσουσι μαθηταῖς κοινωνῶν ὁ σωτὴρ, οὐ μεθ' ἡμέραν, ἀλλ' ἐν ἑσπέρᾳ βαθείᾳ τῆς μεγάλης πέμπτης φημὶ, καὶ πρὸς θείους ἐπαλείφων ἀγῶνας, καὶ ὁμόσε παρακαλῶν τῇ πλάνῃ χωρεῖν, ἀτρεμιζούσῃ καθαρῶς τῇ ψυχῇ· καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐχ ὅπως τοῖς ὀφθαλμοῖς, ὡς ἐντεῦθεν μελλόντων ἔργων ἔσεσθαι κρειττόνων, ἢ κατὰ τὸν παλαιὸν νόμον· τοῦτο τὸ ποτήριον ἡ καινή φησι, κέρνησι διαθήκη, τοῖς ὑπερμαχοῦσι ταύτης καὶ προασπίζουσιν, ὑπεμφαίνων διὰ τοῦ ποτηρίου, μὴ ἄν ποτε τούτοις ὑπάρξαι, κινδύνων ἄνευ καὶ πειρασμῶν τῆς πλάνης περιγενέσθαι. καὶ εἰς τέλος ταύτην καταγωνίσασθαι· ἧς τὸ ἐνιστάμενον τηνικάδε σκότος, σημεῖον περιφανὲς ἦν. διὰ δὲ ταῦτα ὅσα ἡμᾶς εἰδέναι καὶ τὸ εἰκὸς ἀπαιτεῖ, ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ χρόνου, ὥρᾳ τρίτῃ τὰ τῆς θείας τελεῖται ἱερουργίας, κατὰ μέντοι τὰς δηλωθείσας ἐπισήμους, καὶ μόνον, ἑσπέρα θεσμοῖς πατέρων τετήρηται. εἰώθασι γὰρ οἱ θεῖοι πατέρες τὰ τῆς ἱερᾶς ὑπαλλάττειν μυσταγωγίας, καὶ διὰ τῆς ποικιλίας, ἐστὶν ἃ τῶν ὑπὲρ ἔννοιαν μυστηρίων, φιλανθρώπως ἡμῖν ὑπεμφαίνειν, καὶ πρὸς τὴν ἑνιαίαν ὑπέρφωτον καὶ ὑπέρσοφον ἐντεῦθεν γνῶσιν, οὐχ ἥκιστα θαυμασίως χειραγωγεῖν. καὶ κατὰ τὴν ἱστορίαν δὲ, νυκτὸς ἡ παρθένος τὸν κύριον τέτοκεν, καὶ δῆλον ἐξ ὧν ὁ εὐαγγελιστής φησιν, ὡς καὶ ποιμένες ἦσαν, καὶ τὰ ἑξῆς. νυκτὸς δὲ ὁ κύριος πρὸς τοῦ Ἰωάννου ἐβαπτίσατο, ἵνα τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς πρὸς αὐτὸν ἐρχόμενον, δαψιλεῖ τῷ φωτὶ τὴν νύκτα περιαυγάσαν, καὶ τὸν λαὸν ἐκπλῆξαν τῷ ἀσυνήθει τῆς θέας, οἷα θεῷ τῷ σωτῆρι προσέχειν τούτοις διαμαρτύρηται. νυκτὸς δὲ τοῦ μυστικοῦ δείπνου τοῖς μαθηταῖς ὁ κύριος κεκοινώνηκε· νυκτὸς δὲ καὶ ἡ σωτήριος ἀνάστασις γεγένηται· νυκτὸς καὶ ἡ παρθένος πρὸς τοῦ Γαβριὴλ τὸν ἀσπασμὸν τὸν ξένον ἐδέξατο.

A vult ſacrum officium celebrari, feſtorum quorundam ex uſu moderno, quaſi peculiari honore digna illa exiſtimantes, officia in veſperam reſervamus, & poſt hymnos veſpertinos ſtatim celebramus. Hic autem uſus peculiariter ac ſpecialiter obſervatur in ſacrâ & magnâ feriâ quintâ, & in ſacro magno & venerando Sabbato, tum etiam illuſtri Nativitatis Chriſti die, atque etiam in ſacro & celeberrimo Divini luminis; niſi fortè diebus coincidant, qui cum minimè patiuntur iſtorum causâ officia ſibi eximia intermitti. Hiſce etiam adde, ſi placet, & felicem Annunciationis diem. Quippe conſimilis eſt ratio B atque ejus qui præceſſit; quianam hoc ipſo Paracletus ad Apoſtolos illuſtri modo adveniens, & triplex lumen perfectumque perfectè illis demonſtrans, noſmet cognomini ſacroſanctæ Trinitati horâ perfectum miniſterium Triperſonali Deitati conſecrare, per ipſos perſpicuè docuit. Quamvis enim officii ſacri adminiſtratio ineffabilis Verbi diſpenſationem myſterio plenam oſtendat: nihilo tamen minus gratiam habemus complacenti æterno ejus Patri, & cooperanti Spiritui vivificanti. Verum in dictis inſignibus feſtis, ea myſteria in profundo abſcondita, & conceptum ſapientiæ C divinæ ſuperantia, ſubobſcurè quidem, quaſi ſciagraphiâ quâdam deteguntur & adumbrantur, ita ut ex ejuſmodi, quantum licet, initiatione, nobis detur ad divinum amorem magis erigi & attolli. Quamprimum autem perfecta & ſumma lux in terris apparuit hominibus tanquam in veſpere, fine nimirum ſeculorum, diei legis, ut loqui licet, curriculum exitum vidit: novi verò Teſtamenti ſplendor, Polytheiſmi tenebras diſſipare primùm potuit, quas umbratilis lex multo antè tollere debuerat. Quapropter & Servator noſter cum Diſcipulis ſuis, qui tum quidem D accipiebant, & poſtea miniſtrabant illud myſterium, communicans, non interdiu, ſed in profundo veſpere magnæ puta feriæ quintæ; & ad ſacra certamina perungens, atque pariter admonens ab errore recedere animo planè tranquillo, & firmis cogitationibus, minimè quidem inſtar oculorum, quatenus oportuit opera fore meliora, quàm ſecundùm veterem legem, Hoc poculum, inquit, novum miſcet Teſtamentum iis, qui pro illo contendunt & dimicant: ſubinnuens adeo per poculum, nunquam fore ut ipſi periculorum & tentationum ad errorem immunes conſiſterent, vel eum penitus E debellarent, cujus inſtantes eo temporis tenebræ illuſtre ſignum erant. Id propter, quantum nobis ſcire licet, cùm in aliis anni diebus, horâ tertiâ Euchariſtia peragatur, in dictis tamen eximiis diebus, iiſque ſolis veſpertinum tempus ex decreto Patrum obſervatur. Solebant enim Patres officium Euchariſticum identidem ſubmutare, & per varietatem hanc myſteriorum incomprehenſibilitatem perhumaniter nobis oſtendere, atque ad unicam, ineffabilem, & ſupremam cognitionem etiam mirificè manuducere. Imò quidem juxta Hiſtoriam, noctu Virgo Dominum peperit, quòd etiam liquet ex illo F Evangeliſtæ, Erant autem paſtores, *&c.* Noctu etiam Dominus à Johanne baptizatus eſt, ut ſpiritus in forma columbæ ad illum accedens, & copioſo lumine noctem illuſtrans, populúmque percellens inſolito ſpectaculo, ipſos Deo Servatori attendere moneret & obteſtaretur. Præterea noctu Dominus de Cœna myſtica cum Diſcipulis communicabat; noctu etiam Reſurrectio ſalutaris contigit: noctu denique Virgo à Gabriele miram illam ſalutationem retulit.

Atque Canon xlix. Concilii Laodiceni haud æquum A exiſtimat tempore quadrageſimali aut panem offerre, aut perfectam Liturgiam peragere, præterquam in Sabbatis & Dominicis.

Canon etiam li. neque in memoriis, neque natalitiis ſanctorum Martyrum, per totam quadrageſimam, perfectum ſacrificium celebrare præcipit: niſi forte cum Sabbato aut die Dominico coincidant. Haudquaquam verò licet in diebus jejunii vel Martyrum memorias celebrare, vel gratiâ aliter è vitâ diſcedentium feriari, niſi die Sabbati, eóque ſolo. B

Proximus autem Canon neque nuptias neque natalitia in Quadrageſimâ celebrare permittit.

Quanam ratione Quadrageſima decima pars totius anni appellatur, & quas ob cauſas ea peraguntur, quæ in ipſa obſervari ſolent.

Veruntamen haud injucundum fuerit & iſtarum rerum cauſas, his qui ignorant, quantum licet patefacere. Inſcitum enim eſt ea invidere profundiori C ſcientiâ imbutos; quæ pleróſque præ ſuâ ignaviâ fugiunt. Univerſa lex vetus viſibilibus ſolita eſt rerum inviſibilium naturam edocere, & corporeis ſpiritualium conſtitutionem præſtare & exhibere. Inter alia decimas facultatum Deo conſecrare quotannis priſcis imperatum. Quæ vero ab illis typicè peracta erant, nobis myſticè accipiuntur. Quocirca divinum decus Apoſtoli non diſſolvere quidem, ſed ſupplere hoc ipſo volentes defectum legis, decreverunt non cujuſvis tempeſtatis fructus, ſed vitæ noſtræ cujuſlibet annui decurſus decimas Deo conſecrare; adeò ut per exercitationem in iſtis & pœnitentiam D acriorem, infirmitates animæ per totum annum, adjuvante Deo, ſanare poſſimus. Decimam autem anni partem hoſce jejunii dies conficere aſſerimus. Quippe ſeptem horum ſeptimanæ, omiſſis Sabbatis & Dominicis, confiunt dies xxxv. addito verò magno Sabbato, & dimidiâ parte inſignis & ſplendidæ noctis, colliguntur dies xxxvi. cum ſemiſſe; qui exactè conſtituunt decimam partem ccclxv. dierum unius anni. Nam decima pars ccc. eſt xxx. atque lx. vi. & v. ſemiſſis. Quinimò & aliam myſticam notionem innuit numerus iſte xxxvi. Triangularem enim numerum eſſe dicunt, harum rerum periti, & transmutari in quadratum E & in circulum. Nam ſenarius, qui ſolus inter numeros monadicos perfectus eſt, in ſeſe ductus procreat dictum numerum xxxvi. Quare per triangulum Divina eſſentia ſub tribus perſonis oſtenditur, per quadratum recta in Trinitatem fides & firma. Stabilis enim eſt & eodem modo ſemper conſiſtens figura quadrata, paribus laterum angulis fulta. Circulus verò indicat virtutum inter ſe circularem nexum. Quoniam enim hæc ad Deum pertinent, recta ſcilicet circa Deitatem notio, & mandatorum obſervatio, monet te numerus ille etiam in fide ſanctæ Trinitatis firmum F & ſtabilem eſſe, & virtutum circulum haud obiter ponere: verùm etiam utraque tanquam primitias totius anni Deo offerre, præſertim tempore jejunii. Hoſtis igitur & adverſarius qui ſalutem cœlitùs conceſſam nobis invidet, videns nos pluris facientes virtutem, quàm valdè varias vitii ſpecies, & inſtrumenta ipſius quæ in nobis ſunt, tanquam animæ peſtem ejicere conantes, arma adverſum nos ſumit cum inſolenti præparatione, & tanquam defectores reducere tentat, & quaſi fugitivos perſuadere cupit ipſi nos

Καὶ ὁ τῆς ἐν Λαοδικείᾳ μθʹ. κατὰ τὴν τεσσαρακονθήμερον ταυτηνὶ ἄρτον προσφέρειν, ἤτοι τελείαν ποιεῖν ἱεροτελεστίαν, οὐκ οἴεται δεῖν, εἰ μὴ ἐν τοῖς ταύτης σάββασι καὶ κυριακαῖς.

Ὁ δὲ ναʹ. μήτε ἐν ταῖς μνήμαις, μήτε ἐν τοῖς γενεθλίοις τῶν ἁγίων μαρτύρων, καθ᾽ ὅλην τὴν τεσσαρακοστὴν, διὰ τελείας θυσίας ἐπιτάττει πανηγυρίζειν· εἰ μή που συνέλθοιεν ἡμέρᾳ σαββάτου ἢ κυριακῆς. καὶ τῶν μαρτύρων τὰς μνήμας ἀθέμιτον ἐν ἡμέραις νηστίμοις ἐπιτελεῖν. σχολῇ γε δή που τῶν ἄλλως ἀποιχομένων, εἰ μὴ ἐν σαββάτῳ καὶ μόνῳ.

Ὁ δὲ νβʹ. οὔτε γάμους, οὐδὲ γενέθλια τελεῖν ἐν τῇ τεσσαρακοστῇ συγχωρεῖ.

Ὅπως ἀποδεκάτωσις τοῦ ὅλου χρόνου ἡ τεσσαρακοστὴ λέγεται· καὶ διὰ ποίας αἰτίας τελεῖται ὅσα ἐν αὐτῇ τελεῖται.

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη καὶ τὰς τούτων αἰτίας ὡς οἷόν τε δήλας θεῖναι τοῖς ἀγνοοῦσιν· ἄγνωμον γὰρ ἐκείνων φθονῆσαι τοῖς βαθυτέρας ἐφιεμένοις γνώσεως, ἃ τοὺς πολλοὺς ῥᾳθυμίᾳ διαπέφευγε γνώμης. ἅπας ὁ παλαιὸς νόμος τοῖς ὁρατοῖς ἐκπαιδεύειν εἴωθε τὴν τῶν ἀοράτων κατάστασιν, καὶ τοῖς σωματικοῖς τῶν πνευματικῶν πραγματεύεσθαι τὴν διόρθωσιν. πρὸς δὲ τοῖς ἄλλοις, καὶ τὰς τῶν ὑπαρχόντων δεκάτας τῷ θεῷ καθιεροῦν ἐτησίως τοῖς παλαιοῖς προσετέτακτο. τὰ δὲ τυπικῶς παρ᾽ ἐκείνοις τελούμενα, μυστικῶς ἡμῖν ἐκλαμβάνεται. ἡ οὖν θεία τῶν ἀποστόλων λογὰς, μὴ καταλύειν, ἀλλ᾽ ἀναπληροῦν κἀν τούτῳ τὸ ἐνδέον ἐγνωκότες τοῦ νόμου, οὐ τῶν ἐπικαίρων πραγμάτων, ἀλλὰ τῶν ἡμερῶν τῆς ζωῆς ἡμῶν ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς, τὰς δεκάτας καθιεροῦν τῷ θεῷ τεθεσπίκασιν, ὡς ἂν διὰ τῆς ἐν αὐταῖς σπουδῆς καὶ θερμοτέρας μετανοίας, τὰ παρ᾽ ὅλον τὸν ἐνιαυτὸν τῆς ψυχῆς ἀρρωστήματα, σὺν θεῷ βοηθῷ δυνηθείημεν ἐξιάσασθαι. τὸ δέκατον δὲ τοῦ ἐνιαυτοῦ τὰς τῶν νηστειῶν ταύτας ἡμέρας εἶναι φαμέν. αἱ γὰρ ἑπτὰ τούτων ἑβδομάδες, χωρὶς τῶν σαββάτων, καὶ κυριακῶν, ἡμέραι γίνονται πέντε πρὸς τὰ τριάκοντα, προστιθεμένου δὲ καὶ τοῦ μεγάλου σαββάτου, καὶ τοῦ ἡμίσεος τῆς λαμπρᾶς καὶ φωτοειδοῦς νυκτὸς, ἡμέραι γίνονται λϛʹ. καὶ ἡμίσεια· τὸ ιʹ. ἀκριβῶς ἐστι τῶν τξεʹ. τῶν τοῦ ἐνιαυτοῦ ἡμερῶν· τῶν γὰρ τʹ. τὸ ιʹ. τὰ λʹ. καὶ τῶν ξʹ. τὰ ϛʹ. καὶ τῶν εʹ. τὸ ἥμισυ. ἀλλὰ καὶ ἕτερόν τι μυστικὸν ἐμφαίνει θεώρημα, ὁ τριακοστὸς οὗτος ἕκτος ἀριθμός· τρίγωνον γὰρ ὄντα φασὶν οἱ περὶ ταῦτα ἐσχολακότες, καὶ εἰς σχῆμα τετραγώνου καὶ κύκλου μεταβάλλειν. ὁ γὰρ μόνος τέλειος ἐν μονάσιν ἓξ ἀριθμὸς, πρὸς αὑτὸν αὐτὸς πολυπλασιαζόμενος τοῦτον τοίνυν ἀπογεννᾷ· διὰ μὲν οὖν τοῦ τριγώνου, ἡ τρισυπόστατος θεαρχία δηλοῦται· διὰ δὲ τοῦ τετραγώνου, ἡ πρὸς αὐτὴν πίστις, καὶ πάγιος· ἑδραῖον γὰρ ἀεὶ ὡσαύτως ἑστὸς τὸ σχῆμα τοῦ τετραγώνου ταῖς ἰσομέτροις γωνίαις τῶν πλευρῶν ἐρειδόμενον. ὁ δὲ κύκλος τῶν ἀρετῶν ἐμφαίνει τὴν πρὸς ἑαυτὰς κυκλικὴν περίοδον· ἐπεὶ δὲ γὰρ ταῦτα προσοικειοῖ τῷ θεῷ, ἥ τε ὀρθὴ περὶ τὸ θεῖον ὑπόληψις, καὶ ἡ τῶν ἐντολῶν τήρησις, διδάσκει σε ὁ ἀριθμὸς καὶ ἐν τῇ πίστει τῆς ἁγίας τριάδος ἑδραῖον εἶναι, καὶ ἀμετάθετον, καὶ τὸν κύκλον τῶν ἀρετῶν μὴ ἐν παρέργῳ τιθέναι, ἀλλὰ καὶ ἀμφότερα ὡς ἀπαρχὴν τοῦ ὅλου ἐνιαυτοῦ προσκομίζειν θεῷ, ἐν τῷ τῆς νηστείας μάλιστα καιρῷ. ὁ τοίνυν τῆς σωτηρίας ἡμῶν ἄνωθεν βασκαίνων ἐχθρὸς καὶ πολέμιος, ὁρῶν ἡμᾶς περὶ πλείονος τὴν ἀρετὴν ποιουμένους, τῶν τῆς κακίας εἰδῶν ὄντων πλειόνων, καὶ τὰ ἐν ἡμῖν αὐτοῦ σκεύη ὡς λύμην ψυχῆς ἄντικρυς ἐκβάλλειν διεγερθέντας, τὰ ὅπλα

καθ' ἡμῶν αἴρει μεθ' ὑπερηφάνου παρασκευῆς· καὶ A οἷα φυγάδας ἐπανάγειν πειρᾶται, καὶ ὡς δραπετεύοντων ἀντιλαμβάνεται καὶ ὑπείκειν αὐτῷ κελεύων καὶ μὴ ἀφηνιᾷν, μηδὲ ταῖς πονηραῖς ἀποτάττεσθαι συνηθείαις, ἀλλὰ τοῖς εἰωθόσιν ἐγκαλινδεῖσθαι πάθεσι. φιλεῖ γὰρ ὡς ἐπίπαν ὁ πονηρὸς τοῖς ἐπειγομένοις τῶν παθῶν ἐλευθερωθῆναι, μανικώτερον ἐπιτίθεσθαι, καὶ σφοδροτέραν τὴν παθῶν ὑπανάπτειν τὴν φλόγα, ἑαυτὸν τοῖς ὅλοις ἀντιτιθεὶς, ἵνα ψυχῆς ἀνδρείαν, πειρασμῶν κρατήσῃ περιουσίᾳ, τοῦ θεοῦ τοῦτο συγχωροῦντος, ὅπως οἱ δόκιμοι φανεροὶ γίνονται, καὶ δείξῃ τοὺς ἀρίστους, ἡ πάλη καὶ ταπεινοφρονεῖν διδαχθῶμεν, καὶ ἡμῖν αὐτοῖς μὴ θαῤῥεῖν, καὶ τὴν κακίαν τελέως μισήσωμεν, ἐναργέστερον B καταγνόντες αὐτῆς τὸ φονικὸν ὁμοῦ καὶ ἀπατηλὸν, καὶ ἐξάγιστον. ἐναργὴς δὲ τῆς τοῦ πονηροῦ σκαιότητος εἰκὼν, καὶ ὁ πάλαι τὸν Ἰσραὴλ ὑποχείριον ἐσχηκὼς Φαραώ· τοῦτον γὰρ κἀκεῖνος παραπλησίως τῇ χρονίᾳ δυσχεραίνοντα δουλείᾳ, καὶ τὴν ἐλευθερίαν ποθοῦντα, τοῖς χαλεπωτέροις τῶν ἔργων τηνικαῦτα μᾶλλον ἐξέθλιβε, καὶ τῇ πλινθουργίᾳ συγκεκυφότα, τὸ τῆς δουλείας εἰσάπαν παρεσκεύαζε σχῆμα δεικνύναι. ὡς δὲ καὶ οὗτος, πρὸς τὴν γῆν ἡμᾶς καὶ τὰ γήϊνα συνωθεῖ κεχηνέναι, καὶ τούτοις ὅλον προσέχειν τὸν νοῦν, σὺν πάσαις ὁμοῦ ταῖς ὁρωμέναις, καὶ νοουμέναις αἰσθήσεσι· καὶ πρὸς τὰς ὑπὲρ αἴσθησιν ὅλως μὴ ἀνανεύειν. ὑπόφορον ἐκεῖνος C εἶχε τὴν Αἴγυπτον, ἥτις ἑρμηνεύεται σκότος· ἄρχων καὶ οὗτος τοῦ νοητοῦ προσηγόρευται σκότους. ἐκείνῳ διὰ σπουδῆς ἦν τῶν παίδων φθείρειν τὰ ἄῤῥενα, καὶ τούτῳ τοὺς ἐῤῥωμένους τῶν λογισμῶν, ταύτῃ τοι καὶ ὁ βασιλεὺς ἡμῶν Χριστὸς τὸν πρὸς αὐτὸν πόλεμον ἡμᾶς ἐκπαιδεύων, καὶ τὴν ἀγωνίαν εὖ μάλα διατιθέμενος, νηστείᾳ καθοπλίζει καὶ προσευχῇ, καὶ κατανύξει καρδίας· τὰ γὰρ ἐναντία τούτων ἐξάπτειν καθ' ἡμῶν τὴν τῶν δαιμόνων πέφυκε λύτταν, οὐχ ἧττον ἢ τὰ ἐλαιώδη τὸ πῦρ, καὶ οὕτω τοῖς πολεμίοις ὁμόσε χωρεῖν ἐπιτρέπει αὐτὸς στρατηγῶν, αὐτὸς ὑπερμαχῶν, περιασπίζων, προπολεμῶν τοὺς ἀντιπάλους, αὐτὸς νικῶν καὶ τὸ βραβεῖον D ἡμῖν χαριζόμενος. οἷα σου τῶν κριμάτων ἡ ἄβυσσος! μειζόνων ἢ καθ' ἡμᾶς θαυμάσαι πραγμάτων, δημιουργὲ κύριε. καθάπερ οὖν οἱ στρατιῶται, διημερεύοντες ἐν τῇ μάχῃ, μόλις πρὸς ἑσπέραν διακριθέντες, τροφῆς μέμνηνται, σχέδιον ἐξ ἑώλων βρωμάτων παρατιθέμενοι τράπεζαν, πρὸς τὸ μὴ παντάπασιν, τὰς αὐτῶν ἐξασθενῆσαι δυνάμεις, ἐπεὶ καὶ μέλλουσιν αὖθις τῆς ὑστεραίας ὁμόσε τοῖς βαρβάροις ἰέναι. βουθυτεῖν γὰρ ἢ σφαγιάζειν τοῖς πολεμοῦσιν οὐκ ἔξεστιν, ὅπερ τοῖς ἐπ' ἀδείας πανηγυρίζουσιν ἴδιον. οὕτω καὶ ἡμεῖς τὸ καινὸν ἡμῶν σφάγιον θύοντες σαββάτου καὶ κυριακῆς, ἡνίκα τὸν τόνον τῆς πολλῆς ὑποχαλῶμεν ἀσκήσεως· E ἐξ ἐκείνων τῶν προτεθυμένων καὶ προηγιασμένων μερίδων, ὅσον ἀποζῆν πρὸς ἑσπέραν σιτούμεθα, νόμῳ πενθούντων, καὶ πολεμούντων ὁμοῦ. μᾶλλον γε μὴν τῶν ἁγίων ἐκείνων μεταλαμβάνοντες σαρκῶν, νευρούμεθα, πρὸς τὸ τοῖς ἐχθροῖς αὖθις εἰς χεῖρας ἐῤῥωμένως ἰέναι. πνευματικῷ γὰρ ὁπλίτῃ, πνευματικὴ τροφὴ σύστασις. διὰ δὴ τοῦτο μυστικώτερον πρὸς ἑσπέραν, τὴν τῶν προηγιασμένων τελεῖν ἐπιτετράμμεθα λειτουργίαν.

Οπως οὐ τελεῖται μνημόσυνον τῶν ἀποιχομένων ἐν τῇ τεσσαρακοστῇ, εἰ μὴ τὸ σάββατον. F

Πάλιν οἱ πρὸς μάχας ἔχοντες περὶ τῇ ψυχῇ δεδιότες, καὶ τὸν ὑπὲρ αὐτῆς θέοντες ὁσίαις αὐτίκα τιμᾶν εἴργονται, τοὺς ἔργον μαχαίρας γεγενημένους, καὶ εἰ τῶν τιμιωτάτων ἢ φιλτάτων αὐτοῖς ὄντες τυγχάνοιεν, τοῦ πάθους κρείττονος ὄντος ἢ κατ' ἀναίρεσιν τῶν νεκρῶν, μὴ ἄρα τοῦ πολέμου πανταχῇ περιῤῥέοντες, καὶ τοῦ κινδύνου ἐπηρτημένου, τῇ περὶ τὸν κείμενον ἀσχολίᾳ, καιρίως βληθῶσι, καὶ τῷ νεκρῷ συγκατενεχθῶσι· πρὸς τὴν νοητὴν οὖν καὶ ἡμᾶς τῶν

ſubmittere, atque fræna non excutere; neque pravis moribus abrenunciare, ſed aſſuetis affectibus indulgere. Solet enim ut plurimùm iniquus ille, eos qui à paſſionibus liberari ſummopere ſtudent, ferociùs aggredi, & vehementiorem affectuum flammam accendere, ſeipſum contra eos totis viribus opponens, ut animæ fortitudinem tentationum copiâ vincat; quod & Deus fieri permittit, ut probi fiant manifeſti, & fortiſſimos ipſa colluctatio oſtendat, atque etiam humiles nos gerere diſcamus, neque in nobiſmet fiduciam ponere, malumque penitus averſemur, quando compertam valdè habeamus naturam ejus pernicioſam & fallacem & impetuoſam. Eſt autem inſigne malignitatis iniqui exemplum etiam Pharao ille, qui olim Iſraelem ſubditum tenuit; Iſte enim Iſraelem ſuam diuturnam ſervitutem ægre tolerantem, & liberari cupientem, eo gravioribus laboribus afflixit, & lateribus parandis incurvum fecit imaginem præferre ſervitutis Satanicæ. Et iſte pariter nos in terram & terrena inhiare cogit, & totum animum iſtis adjungere, cum omnibus unà ſenſibus tam externis quàm internis, & ad res inſenſibiles minimè eum erigere. Pharao quidem tributariam ſibi ac ſubjectam habuit Ægyptum, quæ interpretanti eſt tenebræ: Ita & hic intellectualium Princeps appellatur tenebrarum. Illi curæ erat filios maſculos perdere, & huic etiam potiores cogitationes: quare & Rex noſter Chriſtus, ubi nos erudit ad bellum cum eo gerendum, & concertandi rationem bene diſponit, jejunio nos armat, & oratione, & cordis compunctione. Nam iſtorum contraria accendere ſolent dæmonum rabiem non minus quàm oleoſa ignem; & ſic ille nos jubet adverſus hoſtes contendere, qui ipſe eſt dux, & defenſor protegens, & cum luctantibus unà pugnans, ipſe vincens, & præmium tamen nobis donans. Quanta eſt judiciorum tuorum abyſſus omnem admirationem noſtram ſuperans, Domine Creator! Sicut igitur milites diem præliando inſumentes, circa veſperam diſperſi cibum quærunt, parantes ex ſpoliis tumultuariam menſam, ne vires eorum penitùs deficiant, quoniam poſtmodo alterum impetum in Barbaros facere cupiunt. Nam boves genio ſacrificare, & ſe ſaginare milites non decet, quod ſolenne eis qui ex voluptate feriantur, ita & nos novum noſtrum ſacrificium mactantes Sabbato & Dominicâ, quando laxamus paululum nervos ſeveræ exercitationis, ex illis præmactatis & præſanctificatis partibus, quantum parcè victitantibus ſatis, circa veſperam ſumimus, pro conditione lugentium atque ſimul pugnantium: ſeu potius ſacras illas carnes accipientes, corroboramur ad validum impetum in hoſtes faciendum. Militi enim ſpirituali victus etiam ſpiritualis convenit, (putà tolerantia.) Quamobrem nobis myſticè quidem tempore veſpertino præſanctificatorum officium celebrare imperatum.

Quod non celebranda ſit defunctorum memoria in tempore Quadrageſimali, niſi diebus Sabbatinis.

Rurſus, Ii qui in acie verſantur, animæ timentes, & pro ipſâ contendentes, à juſtis illorum celebrandis prohibentur qui ad enſem vibrandum nati erant, quamvis optimis & fuerint ex chariſſimis ipſorum amicis; cùm hoc melius ferri queat, quàm ſi in efferendo jacentes necdum bello undique ingruente & imminente periculo, propter cadaverum curam lethaliter feriantur, & cum jam defuncto unà efferantur. Pariterque noſmet oportet, qui

A aciem intellectualem inſtruimur adverſus mortuos affectus, moliri ut ipſos ſepeliamus, non tantum attendentes memoriæ illorum qui à corpore receſſerunt, quàm mandato Domini. Illi quidem ceſſantes à bello, circa exequias juſtáque interfectorum ſatagunt; & nos ſanè defuncti rigore jejunii in diebus maximè feſtivis officia memoriis ſanctorum debita perſolvimus.

Quòd Nuptiæ & aliæ iſtiuſmodi ſolennitates in Quadrageſimâ minimè celebrandæ ſint.

B Quid nuptias & Epithalamia curare debent, qui arma gerunt? an illis permittitur feſtis ac ludis indulgere? minimè quidem: neque etiam nobis tutum aut decens in certamine cum Dæmonibus, iſtarum rerum curam ullam habere.

De miraculo Frumenti cocti per S. Theodorum.

Quippe ſi memorias celebrare in illis temporibus licuerit, maximè illam oportebat Theodori Tironis C Martyris percelebris primo die jejuniorum recolere, ubi nihil minus quàm miraculum fecit redarguens Apoſtatæ celatam nequitiam, & populo perſuadens pollutis cibis in diebus jejunii neutiquam contaminari, atque adeò admonens Epiſcopum, qui tum præfuit, ut panes qui in foro venum exponebantur, nullum tangere, frumentum autem coquere, atque eo veſcentes naturæ exigentiæ ſuccurrere, quod ipſi fecerunt, adeóque periculum evaſerunt, nè fortè malitia adverſus virtutem gloriaretur, & impietas pietatem ſuperaret. Quoniam autem & jejunii auſteritas, & feſti hilaritas in Sabbatum proximè ſequens coincidebant, ex Patrum inſtitutis mos iſte meritò obtinuit, D eleemoſynam feſtivitate cohoneſtandi.

Quamobrem ante Quadrageſimam memoriam celebramus omnium in fide defunctorum, & ſanctorum Patrum.

Idcirco ante initium jejunii, Sabbatum poſt diem Cinerum, omnibus defunctis, atque Sabbatum proximè ſequens, ſanctis Patribus ſolenni memoriæ conſecrabantur, tanquam concluſio, ut loqui licet, iſtiuſmodi feſtivitatum, cùm nobis haud amplius vacet, E jam ad certamina ſpiritualia prodeuntibus, ad iſta attendere.

Quare rurſus poſt Pentecoſten, ſanctorum omnium memoria celebratur.

Solenne eſt militibus poſt devictos Barbaros, trophæum erigere, & ferre opima Imperatori, atque tum ad ſepulturam jacentium ſe accingere. Pariterque nobis curæ eſt, poſt ſpirituale bellum in jejunio, & reſurrectionis victoriam, trophæum in Pentecoſte figere, F & epinicia Chriſto, per quem vincimus, canere, atque ita defunctis debitum officium perſolvere poſt completam Pentecoſten, & poſt dies ſeptem omnium Sanctorum feſtivitatem celebrare, primitias quaſi offerentes feſtorum & memoriarum inſequentium. Verùm in feſtis peculiaribus defunctorum memorias facere, nè vix pium, neque decet Martyrum obitus celebrare; nam quando Epinicia regia perſonant, neque ritus vult lugere eos qui in bello ceciderunt, neque trophæis Dominicis ſervilem virtutem commiſcere.

νεκρούντων παθῶν παραταττομένους μάχην. αὐτὸν θάπτειν ἀνάγκη πειρᾶσθαι, οὐ τῶν σώμασι ἀπογινομένων ταῖς μνήμαις προσέχειν τὸν νοῦν, ὡς δὲ τοῦ κυρίου ἐπίταγμα. ἐκεῖνοι πεπαυμένοι τοῦ πολεμεῖν, πρὸς τὴν ἀναίρεσιν τῶν ἐσφαλμένων, καὶ τὰς νενομισμένας ποιοῦνται ταφάς· καὶ ἡμεῖς τὴν συντόνου μεταθέμενοι τῆς νηστείας, ἐν ταῖς ἱλαρωτέραις τῶν ἡμερῶν, τῶν ἐν ταῖς μνήμαις τῶν ἀποιχομένων μεμνήμεθα τελετῶν.

Οπως γάμοι, καὶ ἄλλαι τινὲς τοιαῦται πανηγύρεις ἐν τῇ μ΄. οὐ τελοῦνται.

Τί δὲ γάμων μέλει καὶ ὑμεναίων τοῖς δόρυ κινοῦσιν, ἢ ἑορταῖς ἐφεῖται χαίρειν καὶ πανηγύρεσιν; πολλοῦ γε καὶ δεῖ, οὐ δῆτα οὐδ' ἡμῖν ἐν τῇ πρὸς τοὺς δαίμονας πάλῃ, τοιούτου τινὸς μέλλειν ἀσφαλὲς καὶ καθῆκον.

Περὶ τοῦ θαύματος τοῦ διὰ κολλύβων τοῦ ἁγίου Θεοδώρου.

Εἰ γὰρ μαρτύρων μνήμας ἐξῆν ἐν τοῖς τοιούτοις ἑορτάζειν καιροῖς, παντὸς μᾶλλον ἔδει, τοῦ καλὸν ἐν μάρτυσι λάμποντος Θεοδώρου τοῦ Τήρωνος, ἐν τῇ πρώτῃ τῶν νηστειῶν ἡμέρᾳ τελεῖν. καθ' ἣν δὲ μηδενὸς ἔλαττον εἰς θαύματος λόγον, θαῦμα πεποίηκεν, ἐλέγξας τοῦ παραβάτου τὴν κεκρυμμένην σκαιότητα, καὶ μὴ καταμιᾶναι τὸν λαὸν τοῖς ἠλισγημένοις βρώμασιν ἐν ταῖς νηστίμοις ἡμέραις παρασκευάσας, ἀλλ' ἐπισκήψας τῷ τότε ἀρχιερεῖ, τοὺς μὲν κατ' ἀγορὰν εἰς ὠνὴν προκειμένους ἄρτους, χαίρειν ἐᾶν, σῖτον δὲ ἕψειν, καὶ τούτῳ χρωμένους, τὴν τῆς φύσεως ἀνάγκην παραμυθεῖσθαι, ὃ καὶ πεποιηκότες τὴν ἐπιβουλὴν ἐφυλάξαντο· ἵνα μὴ τῆς ἀρετῆς ἡ κακία κατακαυχήσηται. καὶ τῆς εὐσεβείας ἡ δυσσέβεια περιγένηται. ἀλλ' ἐπειδὴ τὸ μὲν τῆς νηστείας σκυθρωπὸν, τὸ γεγανωμένον τῆς ἑορτῆς συνέβαινε τῷ ἐπιόντι πρώτῳ σαββάτῳ τὴν εὐποιΐαν πανηγύρει τιμᾶν, ἄριστα θεσμοῖς πατέρων ἐταμιεύθη.

Διά τοι τοῦτο πρὸ τῆς τεσσαρακοστῆς μνήμην τελοῦμεν πάντων τῶν πίστει κεκοιμημένων, καὶ τῶν ἁγίων πατέρων.

Διά τοι τοῦτο πρὸ τῆς εἰσόδου τῶν νηστειῶν, τὸ τῆς ἀπόκρεω σάββατον, τοῖς ἀπ' αἰῶνος κεκοιμημένοις, τὸ δὲ δὲ μετὰ τοῦτο, τοῖς ἁγίοις πᾶσι μνήμη δημοτελὴς ἀφοσιοῦται. συμπέρασμα ὡς ἂν εἴποι τις τῶν ἐπὶ τούτοις τελετῶν, ὡς μὴ σχολὴν ἐχόντων ἡμῶν πρὸς ἀγῶνας ἤδη χωρούντων πνευματικοὺς, τοῖς τοιούτοις προσανέχειν.

Διά τι δὲ πάλιν, μετὰ τὴν πεντηκοστὴν, τῶν ἁγίων πάντων.

Προύργου τοῖς στρατιώταις μετὰ τὴν τῶν βαρβάρων ἧτταν, τρόπαιον στῆσαι, καὶ ἐξελεῖν ἀριστεῖα τῷ βασιλεῖ, εἶθ' οὕτως ἐπὶ τὰς τῶν ἀναιρεθέντων ἰέναι ταφάς. καὶ ἡμῖν ἐπιμελὲς, μετὰ τὸν ἐν νηστείᾳ νοητὸν πόλεμον, καὶ τὴν νίκην τῆς ἀναστάσεως, τρόπαιον τῇ πεντηκοστῇ στῆσαι, καὶ τῷ νικοποιῷ Χριστῷ ᾆσαι τὰ ἐπινίκια· καὶ οὕτως τοῖς κειμένοις τὸ χρέος ἀφοσιοῦν, μετὰ τὴν συμπλήρωσιν τῆς πεντηκοστῆς, καὶ μεθ' ἡμέρας ἑπτὰ τῶν ἁγίων πάντων πανήγυριν ἐπιτελεῖν, ἀπαρχὴν ὡσανεὶ ποιουμένους, τῶν ἐφεξῆς ἑορτῶν καὶ μνημοσύνων. ἀλλ' οὐδ' ἐν ἑορταῖς δεσποτικαῖς ἀποιχομένων μνημόσυνα ποιεῖν ὅσιον, ἢ μνήμης μαρτύρων ἐπιτελεῖν εὐπρεπὲς, βασιλικῶν γὰρ τελουμένων ἐπινικίων, οὔτε τοὺς πεσόντας ἐν μάχῃ νόμος πενθεῖν, οὔτε δεσποτικοῖς τροπαίοις δουλικὰς ἀριστείας ἀναμιγνύναι.

τοῖς μὲν γὰρ δουλικοῖς ἀναμεμίχθαι τὰ τοῦ δεσπότου, τῶν A ἐννομωτάτων τε καὶ δικαιοτάτων, ἀθλοθετοῦντός τε καὶ στεφανοῦντος νικήσαντας· τὰ δουλικὰ δὲ τοῖς δεσποτικοῖς ἐπεισάγειν, τολμηρὸν καὶ ἀνόητον, εἰ μήπου τινῶν ἁγίων διὰ τὸ ὑπερφυὲς τῆς ἀθλήσεως.

Αὖθις γε μὴν καὶ καθ' ἕτερον τρόπον τὰ τῆς νηστείας ταύτης θεωρητέον, ἡμέρας τὸ σύμπαν εἰπεῖν τεσσαράκοντα καὶ ὀκτὼ νηστείαν ἄγειν ἐν τούτῳ τῷ καιρῷ προστεταγμένα· τὰς μὲν τεσσαράκοντα εἰς τύπον τῆς τοῦ κυρίου νηστείας, ᾗ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἷλε πολέμιον. τὰς δ' ἑπομένας ταύτας ὀκτὼ κατ' B εὐλάβειαν εἰς τύπον τῶν σωτηρίων ἁγίων αὐτοῦ παθῶν. ἀλλ' αἱ μὲν τὸ θεωρητικὸν ἡμῶν ἀναπτοῦσι, καὶ πρὸς τὴν μέλλουσαν ὀγδόην καὶ ἀκατάληπτον ἀναπτεροῦσιν ἡμέραν, φωτὸς υἱοὺς καθιστᾶσαι, καὶ τὴν υἱέσιν πρέπουσαν ἀγάπην σὺν εὐλαβείᾳ πορίζουσαι. αἱ δὲ τῶν παθῶν ἡμᾶς ὑπερεῖναι ποιοῦσι, καὶ τοῦ σώματος καὶ τῶν γηΐνων κουφίζουσι, καὶ ἀπαντῶσι τὸν στοιχειωτικὸν ἐντιθεῖσαι φόβον, δημίου δίκην τὸ συνειδὸς ἡμῶν στίζοντα, τῇ μνήμῃ τῶν ἐπταισμένων, καὶ τῶν ἐπηρτημένων τοῖς οὕτω βιοῦσι κολάσεων. κατὰ τὸ φάσκον λόγιον, τῷ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. ἐπεὶ δὲ ἡ τεσσαρακοστὴ ἐκ δεκάδων σύγκειται πάντων τεττάρων, αὐ- C τὴν ἤδη τὴν τετράδα θεωρητέον· ὅπως εἴτε ἐν μονάσιν, εἴτε δεκάσιν εὑρίσκεται. ἐπὶ κακώσεως μὲν ὡς ἐπίπαν καὶ τιμωρίας λαμβάνεται παρὰ τῇ γραφῇ· ἐνιαχοῦ δὲ καὶ θείων ἐκβάσεις ὑπογραφεῖ πραγμάτων. καὶ γὰρ ἡμέρας μ'. καὶ νύκτας ἴσας ὕοντος τοῦ θεοῦ ὁ μέγας τῇ γῇ κλύδων ἐπῄει. πρὸς ὃ καὶ ἡμεῖς ἀφορῶντες παράδειγμα τῷ ἴσῳ τοῦ κατακλυσμοῦ τῶν ἡμερῶν ἀριθμῷ κατανυσσόμενοι καὶ πενθοῦντες, τοῖς ὕδασι τῶν δακρύων, τὸ τῆς ἁμαρτίας διαγραφόμενοι ἄγος. τετρακόσια ἔτη τῷ Ἀβραὰμ ὁ θεὸς κεχρημάτικε, τὸ ἴδιον αὐτοῦ γένος δουλωθῆναι πρὸς τῶν Αἰγυπτίων, καὶ κακωθῆναι, καὶ μυρίαν αἰκίαν ὑπενεγκεῖν, D ὃ δὴ καὶ εἰς ἔργον ἐκβέβηκεν, ἐν ἡμέραις οὐ πλείους ἢ μ'. ταῖς θεηλάτοις ἐκείναις πληγαῖς ὁ μέγας Μωσῆς τὴν Αἴγυπτον μαστίξας τῆς τοῦ Φαραὼ δουλείας τὸν Ἰσραὴλ ἐλευθέρωσε. ἡ μυρία εὐεργετηθεῖσα κατὰ τὴν ἔρημον γενεὰ, καὶ διὰ μυρίων ἐπιδειξαμένη τὸ ἀχάριστον, τῷ τεσσαρακοστῷ ἔτει διὰ τὸ ἀνήκεστον αὐτόθι πᾶσα κατέστρωται. ἄκρατα γὰρ ἦν μεθύουσα τὸ τῆς Αἰγύπτου πολύθεον, εἰς κόρον τοῦτο πιοῦσα, καὶ διὰ τέλους εἰς τὸν εὐεργέτην θεὸν ἐξυβρίζουσα.

Ἀλλ' οὐδ' ὁ μέγας ἐν τῷ Δευτερονομίῳ Μωσῆς ἀξιοῖ πλείους τῶν τεσσαράκοντα παίειν τὸν πλημμελήσαντα. προσ- E θήκην γὰρ ὕβρεως τὴν προσθήκην τῆς μάστιγος, τῷ πάσχοντι ἐλογίζετο. ταύτῃτοι καὶ τοῖς Ἰουδαίοις ἤρεσε μιᾶς δεούσης ταύτας ἐπάγειν, ἵνα μὴ τὸν τεσσαρακοστὸν θελήσαντες πληροῦν ἀριθμὸν, καὶ τῇ ῥύμῃ τῆς χειρὸς περιττοτέρας ἐπενεχθείσης πληγῆς, καὶ ἄκοντες τὸν τυπτόμενον ἀτιμάσωσι. διὸ καὶ ὁ μέγας Παῦλος, πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, φάσκει.

Ηνίττετο δὲ ὁ νόμος, ὡς αἱ μάστιγες ἁμαρτανόντων ἄχρι τῆς ἐνανθρωπήσεως τοῦ χριστοῦ καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως τὸ ἐνεργὸν εἶχον, περαιτέρω δὲ οὐ προέβησαν, F δωρησαμένου πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτὸν διὰ τοῦ βαπτίσματος ἐλευθερίαν τῶν ἐπὶ τοῖς πεπλημμελημένοις κολάσεων. τὸν γὰρ καθ' ἡμᾶς τοῦτον αἰῶνα εἰς ε'. διαιροῦντες καιροὺς οἱ τοῦ πνεύματος, α'. μὲν εἶναί φασι καθ' ὃν ἐν τῷ Παραδείσῳ διάγων ἦν Ἀδάμ· β'. τὸν ἐπὶ Νῶε· γ'. ὃν ὁ μέγας Ἀβραὰμ τῇ τῆς εὐσεβείας περιήγαγεν αἴγλῃ· τὸν δ'. σὺν τοῖς λοιποῖς προφήταις ὁ μέγας ἐπλήρωσε Μωσῆς· ε'. μέντοι καὶ τελευτῆν, ἡνίκα ἡ τῶν ἀγαθῶν τελευτὴ φορὰ,

A Nam quæ ſunt Domini (ejus ſcilicet qui præmia diſpenſat, & vincentes coronat,) cum ſervilibus permiſceri juſtiſſimum & æquiſſimum; ſervilia autem Dominicis adjungere, audax & inſulſum, niſi forte nonnullorum Sanctorum propter eximiam incertando virtutem.

Rurſus & alio modo conſiderare licet ritum hunc Quadrageſimalem, nimirum totas xlviii. dies jejunii agere illo tempore jubemur. Quadraginta quidem ad exemplum jejunii Chriſti, quo inſtructus, quoad naturam humanam, noſtrum hoſtem ſubegit. Sequentes autem B octo, ad imitationem ſalutarium ejus paſſionum. Atque hi quidem contemplationem, animúmque noſtrum accendunt, & ad octavum & interminabilem diem erigunt, nos reddentes filios lucis, & amorem filiabus convenientem cum pietate ferentes. Illi verò nos paſſionibus noſtris ſuperiores præſtant, & corpore atque terrenis nos levant, & timorem originalem cientes accedunt, qui carnificis adinſtar conſcientiam noſtram delictorum recordatione, & pœnarum taliter vitam trahentibus debitarum compungit. Quoniam verò Quadrageſima quatuor decadibus conſtat, jam conſideranda venit pars quarta, ſeu tetras, ut ſeſe C habet, tam in monadibus quàm in decadibus. Sumitur quidem ut plurimùm in ſacro codice pro malo & pœnâ; & aliquando rerum divinarum exitus oſtendit. Nam Deo quidem per quadraginta dies ac noctes depluente, diluvium terram ſuperabat. Quod exemplum & noſmet reſpicientes pari numero dierum cum illis diluvii, compuncti ac fundentes lacrymarum undas, peccati execrationem oſtendimus. Deus Abraamum admonuit fore ut proſapia ejus per quadringentos annos Ægyptiis ſervirent, & miſerè tractarentur, & infinita mala paterentur, quod etiam factum eſt in diebus non pluribus quàm xl. cùm magnus Moſes D plagis illis à Deo miſſis Ægyptum percutiens, Iſraelem à ſervitute Pharaonis liberavit. Infinita progenies in eremo copioſè benedicta, & infinitis modis ingratitudinem ſuam demonſtrans, anno quadrageſimo propter pervicaciam ibi tota deleta eſt. Maduit enim Polytheiſmo Ægypti, ad ſatietatem illum imbibens, & tandem inſolenter ſeſe contra Deum benefactorem efferens.

Sed nec magnus Moſes in Deuteronomio delinquen- E tem pluribus quàm quadraginta plagis luere vult; reputabat acceſſionem plagarum ignominiam etiam perpetienti addere. Quare & Judæis placuit haſce unicâ demptâ inferre, nè numerum quadragenarium adimplere ſtudentes, propter ipſum manûs impetum pluribus illatis plagis, etiam inviti vapulantem lacerarent. De quo & magnus Paulus, ſepties quadraginta præter unam accepi, ait.

Innuit autem Lex quòd plagæ peccantium uſque ad F incarnationem Chriſti & reſurrectionem ipſius è mortuis obtinebant, ulteriùs tamen non procedebant, concedente Chriſto omnibus in ipſum credentibus per baptiſmum debitarum pœnarum delictis ſuis remiſſionem. Nam viri ſpirituales mundi ætates in quinque diſtribuentes, primam eſſe aſſerunt, quam in paradiſo egit Ada, ſecundam quæ ad Noachum pertigit, tertiam quam magnus Abrahamus illuſtri pietate tranſegit, quartam Moſes ille magnus & Prophetarum cæteri complebant: Quintam verò ac ultimam, quando ultima bonorum acceſſio, incarnatio, inquam, Servatoris toti mundo renovationem attulit. Cuilibet enim horum temporum etiam Lex conveniens data eſt ; Adæ quidem naturalis, ſive conſcientiæ, quam ille poſthabens crimen Apoſtaſiæ incurrit ; lex carnis comedendæ ac vinum potandi Noacho ; Abrahamo, illa Circumciſionis ; Lex autem ſcripta ex divinâ providentiâ per Moſem omnibus ex illâ pietati operam navantibus. Servator demum noſter Evangelium gratiæ & copioſam ſpiritûs largitionem conceſſit. Noviſſimum hoc tempus ſignificat & aſcenſus filiorum Iſrael generatione ſeptimâ ex Ægypto : in iſto enim à ſervitute Dæmonum & vitiorum liberati ſalute per magnum ſacrificium acquiſitâ perfruimur.

Tum etiam hæc ſeptem tempora, quod puto, ſubinnuit & parabola Domini, qui in vineam ſuam operarios conduxit, atque exivit, & mane circa horam tertiam, & etiam ſextâ, & nonâ, & undecimâ ; quâ quidem horâ & Chriſtus conduxit gentes ad opera ſpiritualium mandatorum vocatas. Ita etiam laborum præmium, primum poſterioribus datur. Nam nos regenerationem primi obtinemus, apud quos Spimactatus eſt Chriſtus, qui etiam reſurgens à mortuis ritum ſanctum in noſtri renovationem inſufflavit. Quoniam verò ætate mundi quintâ carnem aſſumpſit Servator, reſurrexit autem die octavo : (quippe poſt ſeptimam, ſive Sabbatum, ſequitur dies octava, quæ eſt Dominica) ſi ducas octo in quinque, habebis xl. quem numerum delinquentium plagæ haud exuperant : nam ſi exceſſerint, inquit, vapulans infamis redditur : turpis enim revera eſt & infamis qui jam amplius vapulat, dico autem poſt gratiam dictæ remiſſionis. Nam aut tanquam infidelis caſtigatur, aut tanquam remiſſionem in priora delicta poſt prolapſus.

Quid autem dixeris de muliere quæ legi naturæ indulget, atque propter carnalem voluptatem in utero geſtat, & poſtmodum in lucem fœtum ſuum edit, an ad minus quàm xl. dies & fidelium communione atque ſacris myſteriis excluditur ? minimè ſanè : tot enim diebus & originali labe & priore voluptate illam purgari jubet lex Moſaica. Anne etiam Magnus ille Moſes iſtius numeri oblitus erat cùm occaſio ferebat ? Minimè quidem ; nam per quadraginta dies carnem macerans, & nubis inſtar attenuans, liberum animum attulit ad ſuſcipiendum manifeſtationes divinas, & multò quidem meliora lapideis illis tabulis, quas à Deo accipiens, non multo poſt præ fervido zelo confregit. Ideóque ſecunda leges rogans, irámque Dei à populo deprecans, totidem dies ac priùs jejunabat. Paritérque nos tabulas peccati fraude in cordibus noſtris concretas, dum legis præcepta rejicimus, rurſus puras reddi, & legem Dei ipſis inſculpi diſciplinam per Quadrageſimalem curamus. Neque iſthoc multum à viri propoſito abludere reor. Nam Moſes iſte vir ſummus ad tres annorum teſſaracontades vitam traxit, atque earum primam toleravit in Ægypto ſcientiæ acquirendæ gratiâ : altera ipſum vidit, de rerum naturis ſub formâ paſtoris, multo cum ſudore philoſophantem : ultimâ autem populum infinitis cum laboribus rexit. Quid verò admiratione dignius quàm illud Prophetæ Thiſbitæ à Jezabel aufugientis, quid enim in hoc caſu optimum & Prophetæ maximè conveniens viſum fuit, annon præſentiſſimum jejunii remedium ? Sed nec æquum exiſtimabat numerum illum præterire, quo in gravi iſtâ contemplatione uſus eſt : quia & nos oportet ambobus, quoddicitur, à Jezabel aufugere. Nam illa, quæ interpretando vis luctûs eſt, peccatum ſignificat, quod nobis cauſa eſt validi graviſque mœroris, minatúrque animam morti tradere. Occurrunt igitur

A ἡ τοῦ σωτῆρος φημὶ ἐνανθρώπησις ὤρεξε παντὶ τῷ κόσμῳ τὴν ἀνακαίνησιν. ἐφ' ἑκάστου γὰρ τουτωνὶ τῶν καιρῶν καὶ νόμος ὁ προσήκων ἐδίδοτο· τῷ μὲν Ἀδὰμ ὁ φυσικὸς, ὁ τῆς συνειδήσεως, ὃν ἠθετηκὼς εὐθύνας εἰσεπράχθη τῆς παραβάσεως· ὁ τῆς κρεωφαγίας καὶ οἰνοποσίας τῷ Νῶε. τῷ Ἀβραὰμ, ὁ τῆς περιτομῆς· ὁ γραπτὸς νόμος ἐκ θείας ἐπιφροσύνης διὰ Μωσέως πᾶσι τοῖς ἐξ ἐκείνου περὶ πλείστου ποιουμένοις τὸ εὐσεβεῖν. ὅγε μὴν σωτὴρ τελευταῖον τὸ τῆς χάριτος εὐαγγέλιον καὶ τὴν δαψιλῆ χορηγίαν τοῦ πνεύματος ἡμῖν ἐδωρήσατο. τὸν δὲ τελευταῖον τοῦτον καιρὸν αἰνίττεται, καὶ τὸ πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐν τούτῳ γὰρ τῆς τε τῶν δαιμόνων, B καὶ τῆς τῶν παθῶν ἐλευθερωθέντες δουλείας, τῆς διὰ τοῦ μεγάλου θύματος ἀπελαύσαμεν σωτηρίας.

Τούτους οἶμαι τοὺς ε΄. καιροὺς ὑποσημαίνει καὶ ἡ παραβολὴ τοῦ μισθωσαμένου τοὺς ἐργάτας εἰς τὸν αὐτοῦ ἀμπελῶνα, ὃς ἐξῆλθεν, ἅμα πρωῒ περὶ γ΄. ὥραν, καὶ ϛ΄. καὶ θ΄. καὶ ια΄. καθ' ἣν ἐμισθώσατο τὰ ἔθνη ὁ Χριστὸς κεκλημένα πρὸς ἐργασίαν τῶν πνευματικῶν ἐντολῶν. ὅτε καὶ τῶν ἔργων ὁ μισθὸς πρῶτον τοῖς ὑστέροις ἀποδίδοται. πρῶτοι γὰρ ἡμεῖς τὴν ἀναγέννησιν κομιζόμεθα, οἷς ἐτύθη Χριστὸς, καὶ ἀναστὰς τὸ ἅγιον εἰς ἀνακαίνησιν ἡμῶν ἐνεφύσησεν. ἐπεὶ τοίνυν ἐνηνθρώπησε μὲν τὸν C ε΄. καιρὸν ὁ σωτὴρ, ἀνέστη δὲ τῇ η΄. ἡμέρᾳ, μετὰ γὰρ τὴν ζ΄. ἤτοι τὸ σάββατον η΄. πάντως ἡ μετ' ἐκείνην κυριακὴ, εἰ πεντάκις τὸν η΄. μετρήσεις, εὑρήσεις τὸν μ΄. ὃν οὐχ ὑπερβαίνουσιν αἱ μάστιγες τῶν ἁμαρτανόντων· εἰ δ' ὑπερβήσονταί φησιν ἀσχημονήσει ὁ μαστιζόμενος, ἀσχήμων γὰρ ὄντως καὶ ἄτιμος ὁ μαστιζόμενος ἔτι· λέγω δὴ μετὰ τὴν χάριν τῆς εἰρημένης ἀφέσεως. ἢ γὰρ ὡς μὴ πιστεύσας μαστίζεται, ἢ ὡς μετὰ τὴν ἄφεσιν τοῖς προτέροις περιπεσὼν ἁμαρτήμασιν.

Τί δ' ἂν εἴποις περὶ τῆς δουλευούσης νόμῳ φύσεως γυναικὸς, καὶ καθ' ἡδονὴν ἐπιθυμίας σαρκὸς κυούσης, καὶ εἰς φῶς προαγούσης τὸ κύημα; ἆρ' εἰς ἐλάττους τῶν τεσσαράκοντα D ἡμερῶν, καὶ τῆς τῶν πιστῶν κοινωνίας καὶ τῶν ἁγιασμάτων ἐκβάλλεται; οὐ δῆτα, διὰ τοσούτων γὰρ ἡμερῶν καὶ τοῦ προγονικοῦ μιάσματος, καὶ τῆς πρὶν ἡδονῆς ταύτην ἐκκαθαίρεσθαι ὁ τοῦ Μωσέως νόμος διακελεύεται. ἀλλὰ τοῦ ἀριθμοῦ τούτου, καὶ ἐν τῷ καλοῦντι τοῦ καιροῦ ὁ μέγας οὗτος Μωσῆς ἐπιλέλησται. οὐ δῆτα, δι' ἡμερῶν γὰρ τεσσαράκοντα, νηστείᾳ τὴν σάρκα ἐκτήξας, καὶ ὥσπερ τι νέφος λεπτύνας, ἐλευθερίως τῷ νῷ παρέσχε τὰς θείας ἐμφάσεις εἰσδέξασθαι· καὶ πολλῷ γε βελτίω τῶν λιθίνων πλακῶν, ἃς θεόθεν λαβὼν μετ' οὐ πολὺ θυμῷ δικαίῳ συνέτριψε. διὸ καὶ δευτέρας δεηθεὶς νομοθεσίας, καὶ E τὸν λαὸν τῆς ὀργῆς τοῦ θεοῦ παραιτούμενος, οὐκ ἐλάττους τῶν προτέρων ἡμέρας νενήστευκεν. ὡς δὲ καὶ ἡμεῖς τὰς πεπονηκυίας τῇ τῆς ἁμαρτίας ἐπιβουλῇ τῆς καρδίας ἡμῶν πλάκας, τὰς ἐντολὰς ἀπωσαμένων τοῦ νόμου, ἀπειλικρινημένας αὖθις κλιαθῆναι, καὶ τὸν τοῦ θεοῦ νόμον αὐταῖς ἐγχαραχθῆναι σπουδάζομεν, διὰ τῆς τεσσαρακονθημέρου κακοπαθείας. οὐ δὲ τοῦτο οἶμαι τοῦ ἀνδρὸς πόῤῥω βάλλειν τῆς ὑποθέσεως. εἰς τρεῖς γὰρ ἐτῶν τεσσαρακοντάδας Μωσῆς οὗτος ὁ πάνυ βεβιωκὼς, τὴν μὲν περὶ τὴν ἀνάληψιν τῶν ἐν Αἰγύπτῳ μαθημάτων κακοπαθῶν διετέλεσεν· ἡ δὲ τοῦτον εἶχε περὶ τὴν θεωρίαν τῶν ὄντων ἐν σχήματι ποιμένος, πολ- F λοῖς ἱδρῶσι φιλοσοφοῦντα· τὴν δὲ ἑξῆς, τὴν τοῦ πλήθους ἡγεμονίαν μυρίοις διεχείριζε πόνοις. τοῦ δὲ ἐκ Θέσβης προφήτου, οὗ τί ἂν εἴποις θαυμασιώτερον τὴν Ἰεζάβελ ἀποδιδράσκοντι· τί ἄλλο κράτιστον ἐν τοῖς τοιούτοις, καὶ προφήτου μάλα πρὸς τρόπου νενόμισται, οὐ τὸ ἀνυσιμώτατον τῆς νηστείας φάρμακον; ἀλλὰ τὸν ἀριθμὸν οὐκ ἐδικαίου τουτονὶ παριέναι, μεθ' οὗ καὶ τῆς μεγάλης ἐκείνης θεωρίας ἠξίωτο· ἀνθ' ὧν καὶ ἡμῖν τὴν Ἰεζάβελ ἐκ δυοῖν ποδοῖν ὡς εἰπεῖν, ἀποδιδράσκειν προσήκει. αὕτη γὰρ πένθος ἰσχύος ἑρμηνευομένη, τὴν τὸ ἰσχυρὸν ἡμῖν πένθος προξενοῦσαν αἰνίττεται ἁμαρτίαν, καὶ τῷ ψυχικῷ ἀπειλοῦσαν παραδώσειν θανάτῳ· οὕτω

καὶ τῷ

UMI

καὶ τῶν ἱστοριῶν ἐστὶν ἃς ὁ πνευματικῶς ἀναπτύσσων, οὐκ ἀμοιρήσει παιδείας, ἦθος ἀποχρώσης ῥυθμίσαι. πολλὰ καὶ τῷ σωτῆρι τοῦ ἀριθμοῦ τοῦδε ἐμέλησε· τὴν γὰρ τριττὴν ἡμῶν γένεσιν, τὴν ἐκ σωμάτων, φημὶ, τὴν ἐκ βαπτίσματος, τὴν δὲ ἐξ ἀναστάσεως, καὶ αὐτὸς οἰκονομίᾳ μείζονι μετιὼν, δι' ἡμερῶν ἑκάστην τεσσαράκοντα ὤφθη τετελεκώς· μετὰ γοῦν τὸν ἀπόρρητον ἐν σαρκὶ τόκον, ἡμέρᾳ τεσσαρακοστῇ τῷ ναῷ προσενήνεκται, τὴν ἐμὴν ἀφοσιούμενος κάθαρσιν· οὐδὲ γὰρ αὐτὸς ταύτης ἐδεῖτο ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. μετὰ δὲ βάπτισμα τεσσαράκοντα ἡμέραις νηστείᾳ καθοπλισάμενος, τοῦ πολεμίου κατεστρατήγησεν· οὐ γὰρ ἠξίου νηστειῶν ὑπερβάλλειν τὰ ἐσκαμμένα, καὶ τοῖς θείοις ἐκείνοις ἀνδράσι πάλαι διηνυσμένα, ἵνα μὴ τὸν ἄνθρωπον ὑποκρίνασθαι νομισθείη. διὰ τοσούτων δὴ μετὰ τὴν ἀνάστασιν εἰς τὸν ὑπερουράνιον ἄνεισιν ἱερὸν, καθαρὰν τὴν ἡμῶν φύσιν ἐν ἑαυτῷ παριστὰς τῷ θεῷ καὶ πατρί. ἀλλὰ καὶ τὴν εἰς Αἴγυπτον φυγάδα, τὴν νοητὴν φημὶ κακοπάθειαν, ὡς κάλλιστα διαθέμενος, τετραετὴς ἐκεῖθεν τὸ κατὰ σάρκα ἐπάνεισιν. ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, συμβολικῶς τούτοις πᾶσιν ἄν τις ἀποχρώντως τεκμήραιτο, ὡς συμπάσης τῆς ὑπ' οὐρανὸν, καὶ τῶν ἐν αὐτῇ ζώων τῷ ἀνθρώπῳ τὴν ἡγεμονίαν ὁ θεὸς ἐγχειρίσας, οὐκ ἠξίου τὴν τοῖς ἀλόγοις βάσιμον ταύτην μόνην οἴκησιν ἔχειν καὶ τὸν κατ' εἰκόνα ἐκείνου γενόμενον· πρὸ καὶ ἰδίᾳ πήγνυσιν αὐτῷ, πάντων ὕστατον ὡσπερεὶ βασίλεια, τὸν θεῖον παράδεισον, τρυφῆς ὄντως χωρίον, καὶ ψυχαῖς φιλοθέοις κατάλληλον ἐνδιαίτημα, ἵν' ὁ ἄνθρωπος ἐν τούτῳ διαιτώμενος, ἐκεῖθεν οἷά τις θεὸς τοῖς ὑπὸ χεῖρα τὰ προσήκοντα χρηματίζῃ. διὰ γὰρ τοῦτο καὶ ἐκ δύο πολὺ τῇ φύσει διεστηκότων, ἀλόγου καὶ λογικῆς οὐσίας, συντέθειται· ἵνα λόγῳ κατακοσμῆται τὰ ἐπίγεια, ὥστε δὴ ταῖς ἀγγελικαῖς δυνάμεσι τὰ οὐράνια. ἀλλὰ τῆς μὲν δοθείσης ἐντολῆς πρὸς τὸ παρεωραμένον αὐτῷ μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασυρείσης, τῆς δὲ κακίας ἐπιφυείσης, καὶ ταύτῃ τὴν φύσιν ἀλλοιωθεὶς, εἰς φθοράν τε καὶ τὸν κτηνώδη βίον ἀθλίως μεταπεσὼν, τὸ κοινὸν καὶ τοῖς ἀλόγοις ἠλλάξατο καταγώγιον· ὑπερόριος δὲ τῆς αὐτῷ δωρηθείσης ἀβρᾶς ἑστίας γενόμενος· οὐ γὰρ ἦν θέμις τὸ τῇ φθορᾷ μὴ προσιέμενον χωρίον οἰκεῖν τὸν μετενδυόντα τὸ φαιδρὸν τῆς ἀφθαρσίας ἱμάτιον, πρὸς τὸν σύνθετον τουτονὶ καὶ ὁμοφυᾶ κόσμον εἰκότως ἀπεωθεῖτο, ὅθεν δὴ καὶ προσείληπτο· ᾧ οἷα συγγενεῖ τῆς οἰκείας κακότητος μεταδοὺς, ματαιότητος ὑποχείριον, καὶ φθορᾶς, καὶ κακώσεως τόπον εἰργάσατο· τοιοῦτος δὲ πάλιν καὶ οὑτοσὶ καταστὰς, δίκην ἐνδίκως ὥσπερ λαχάνη πρώτῳ τῷ τὴν φθορὰν αὐτῷ προξενήσαντι, φροντίσι καὶ λύπαις καὶ μερίμναις βιωτικαῖς, οἷόν τισι τριβόλοις, σκύτους πικρότερον αὐτὸν αἰκιζόμενος. ὡς γὰρ πῦρ, καὶ σκώληξ, καὶ ἰὸς εἰς φῶς προϊόντα, τοῖς γεννησαμένοις πρώτοις ἐπιβουλεύει, οὕτω καὶ ἡ κακία τῷ κόσμῳ ἐπεισελθοῦσα, ἀνθρώπῳ πρώτῳ διὰ τούτου λωβᾶται, τῷ ταύτης δημιουργῷ. διὰ πάντων τοίνυν ἡμῖν ἐπεμβαίνοντα τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον τουτονὶ, καὶ τῆς φθορᾶς ἡμῖν κοινωνήσαντα κόσμον, ἡ θεωρία τῶν ἱστοριῶν ἐλέγχουσα, διὰ πράξεως ὑπογράφει τῇ τετραπλῇ τῶν ἡμερῶν δεκάδι, κακοπαθεῖν ἡμᾶς, ὑφηγησαμένη τε καὶ νομοθετήσασα, ὡς ἂν τοῦτον καὶ ἄκοντες ὡς ἀτεχνῶς μάστιγα φεύγωμεν· οὐ μὴν ἀλλὰ καὶ ψυχῆς ἄντικρυς θάνατον, τοῖς πρὸς αὐτὸν ἀεὶ κεχηνόσι· πρὸς δὲ τὴν ἀληθινὴν ἡμῶν σπεύδωμεν ἐπανιέναι πατρίδα, φημὶ δὴ τὸν παράδεισον, τοῦ μὲν ἑβδόμου, τοῦ δὲ καὶ φθαρτοῦ αἰῶνος πολὺ τῇ φύσει διεστηκότα, προσήκοντα δὲ κατ' ἄκρας τῇ μετὰ τοῦτον ἡμᾶς ἐκδεξαμένῃ τοῦ ὀγδόου μακαριότητι· φυτοῖς γὰρ ἐτεθήλει θαυμαστῆς φύσεως, καρπὸν βελτίω περιεχομένοις, ἤπερ τὰ πρότερα, καλὸν μὲν ἰδεῖν, καλλίω δὲ χρήσασθαι· ἄρρητον γὰρ αὐτῷ τὸ τῆς ὥρας καὶ ἡδονῆς περιόν.

Ἐνταῦθα πάλαι καθάπερ ἔφην ὁ Ἀδὰμ ἐπιχωριάζων, ἐπίδοξος ἦν, εἰ τὴν ἐντολὴν διὰ τέλους τηρήσειε,

A hiſtoriæ, quas ſi quis ſpiritualiter explicet, non deſtituetur doctrina quæ ad vitam benè ordinandam ſufficiat. Multùm etiam placuit Servatori hic numerus. Nam triplicem noſtram generationem, corporalem, & baptiſmalem, & illam reſurrectionis, ipſe etiam præſtantiori diſpenſatione ſuſtinens, quamlibet, inquam, quadraginta diebus perfeciſſe viſus eſt. Die enim poſt ineffabilem ſuam in carne nativitatem quadrageſima in templo offertur, noſtram purificationem conſecrans; neque enim ipſe eâ opus habuit, qui tollit peccatum mundi. Poſt baptiſmum B quadraginta dierum jejunio armatus hoſtem debellavit. Noluit enim jejunando limites excedere, eave quæ ſancti illi viri olim peregerunt, nè humanitatem tantùm ſimulare videretur. Poſt totidem etiam dies à reſurrectione ad cœleſte templum aſcendit, naturam noſtram in ſeipſo coram Deo Patre præſentem ſiſtens. Cæterum & fugam ſuam in Ægyptum, intellectualem nempe afflictionem, quam optimè diſponens, poſt quatuor annos inde quoad carnem reverſus eſt. Atque ut ſummatim dicam, typis hiſce omnibus ſufficienter oſtendit, quòd Deus, quando in manus tradidit homini totius ſub cœlo regionis, C & omnium in illâ animantium regimen, noluit illum, qui factus eſt juxta imaginem ſuam, duntaxat hac habitatione frui, quæ & brutis patet: quare & privatim ipſi ſtruxit, noviſſimè omnium, tanquam palatium, cœleſtem paradiſum, locum deliciis affluentem, & animis Deum amantibus conveniens hoſpitium, ut homo, qui ibi verſatur, tanquam Deus aliquis, ſubditis ſuis idonea diſpenſaret. Nam hanc ob cauſam ex duabus rebus valdè in ſe diſcrepantibus, irrationali atque rationali naturâ conflatur, ut ratione ritè adminiſtrentur terreſtria, ſicuti potentiis Angelicis cœleſtia. At verò cùm mandatum, quod D illi datum eſt, in contemptum potius quàm deſiderium traxerat, atque malo accedente, hoc ipſo mutatus erat quoad naturam, atque in corruptionem vitámque beſtialem prolapſus, commune etiam brutis ſortitus eſt hoſpitium. Exulans quidem felici lare ipſi dudum conceſſo, (neque enim fas erat eum qui jam abjecerat ſplendidam mortalitatis veſtem, locum iſtum habitare, qui corruptionem ac mortalitatem novit,) in confuſum hunc & cognatum mundum meritò trudebatur, unde etiam aſſumptus fuerat; cui, tanquam comparilis naturæ de ſuâ infelicitate impertiens, vanitati eum ſubjecit, atque mortalitatis & miſeriæ E locum reddidit. Hic autem iſtiuſmodi factus meritò paria rependit ei, qui primùm ipſi corruptionem intulit, curis & ærumnis, & ſollicitudine, tanquam ſentibus, graviùs quàm flagello ipſum affligens. Nam ut ignis, & vermis, & virus in lucem emiſſa parentibus ſuis primùm inſidiantur, ita & malum intrans in mundum hominem primum ſui authorem per ipſum lædit. Hunc igitur mundum ex quatuor elementis compoſitum, qui undique nos premit, atque mortalitatem nobis affert, hiſtoriarum conſideratio arguens ex opere deſcribit per iv. dierum decades noſmet mala pati; ſubinnuens atq; etiam adhortans, ut hunc vel inviti tanquam reverâ flagellum F refugiamus, imò maximè ceu animæ mortem, quæ iis ſupervenit qui ſemper in mundum inhiant, atque ad veram noſtri patriam aſcendere ſtudeamus, paradiſum, inquam, à ſeptimo hoc & pereunte ſeculo valdè diſcrepantem, ſed ſummè convenientem felicitati octavi ſeculi, quæ poſt hoc nos manet. Plantis enim miræ naturæ ſcatebat meliores fructus reddentibus, quàm priores, eóſque pulchros viſu, guſtu autem pulchriores: non enim verbis exprimi poteſt formæ ac dulcedinis præſtantia.

Hoc in loco Ada olim commorans, ſi mandatum perpetuò ſervâſſet, idoneus eſſet hæreditatem ſuſcipere regni ipſi apparati ante mundum conditum. Paradiſus enim iſtius quaſi prævium gymnaſium fuit. At verò ille voluptatem corruptionis parentem mandato præferens, non ſolùm regnum illud perdidit, ſed & juſſu Dei paradiſo pulſus erat; (Corruptio enim incorruptionem non hæreditat:) & in mundum cognominem ſeptimæ ætati relegatus eſt. Non tamen ita ſpe penitùs excidit: reſervatur enim in octavam iſtorum bonorum fruitio his, qui piam ac ſobriam vitam agunt. Quare & noſtrum corpus concretum ex materiali hoc quaternione, cujus brutis deſideriis ratio noſtra demulſa, & nobis & omni creaturæ mortalitatis labem affricuit, ab elementis omnibus ipſi unitis, per diſciplinam duram completo decadis dierum numero perfectè purgari oportet, & hâc ratione grave onus peccati excutiens iter ad cœleſtia animæ quidem facile capeſſere. Nam quantum externus noſter homo corrumpitur, eo & internus homo renovatur, juxta dictum Apoſtolicum. Sicut è contra Herodes, (interpretanti quidem Coriaceus,) per quem affectus carnis repræſentatur, tetrarchiâ inflatus, concretione inquam carnis noſtræ, quam poſteà filiis ſuis diſtribuit, cùm non potuit rectum doctrinæ verbum nobis auferre, infantibus tamen maſculis, puta mentis primis & generoſis ad virtutem motionibus parere non novit. Annon verò filius hujuſce Tetrarchæ quid vis facere ſtudet, quàm ut videatur convenire cum Patre, tam quoad mores quàm genus & nomen? minimè quidem: & ille ſanè veri verbi præconem, cùm occaſio fert, decollat.

Cæterum & decas iſthæc, cùm nata ſit ex tetrade, eſt & ipſa tetras; nam cum ſequentibus numeris compoſita decadem producit; & propterea puto & hanc in malam partem ſumi. Decimâ igitur generatione univerſale diluvium ingruebat. Et decem etiam plagis Ægyptum afflixit Moſes. Quapropter Dominus & nos & naturam univerſam corruptione elementorum inveteraſcentem, in priſtinum ſtatum reſtituere volens, & immortalitatem rurſus benignè largiri, æquum exiſtimabat curationem inchoare à nobis, per quos olim in univerſum corruptio graſſata eſt, numero paribus mediis in hanc rem utendo. Opportunum enim exiſtimans primò quatuor virtutes naturales in nobis corroborare, magna quidem elementa novæ noſtræ creationis quatuor inquam Evangelia ſubſtituit, quæ ſtupidis noſtris cogitationibus æquiponderarent; iſthæc quatuor cùm ſint, eadem tamen complectuntur, doctrinas, præcepta, promiſſiones, & comminationes, ita ut illis, qui doctrinæ fidem habent, & mandata maximi faciunt, felicitatem adoptionis, quam præferunt promiſſiones, indipiſci detur, atque etiam creaturæ unà cum ipſis in ſplendorem immortalitatis transmutari. Iis verò qui horum nihil præſtare ſtudent, ſpem omnem ſecundæ reformationis præcidi, atque comminatas pœnas protinùs ſubituros commonet. Quoniam verò jejunium, ut cum ſancto Cyrillo loquar, purgatio eſt quinque ſenſuum, quibus animam vel nitidam dari vel pollutam contingit: hæc autem purgatio iſtam quam in octavâ ætate expectamus beatitudinem ſpondet, certámque facit ex quinque ductis in octo, emergit numerus quadragenarius. Propter iſta omnia ut oſtenſum eſt, quadraginta dierum jejunio animas noſtras labe peccati debilitatas, renovare monemur hoc ipſo tempore, quando etiam mundus univerſus in melius quotannis reſtauratur.

Leges.

Septem diebus ante Paſcha, & totidem poſt illud, atque illo nativitatis Chriſti, & Baptiſmi ipſius, &

A καὶ τὴν κληρονομίαν ἐκδέξασθαι, τῆς ἑτοιμασθείσης αὐτοῖς βασιλείας, πρὸ καταβολῆς κόσμου· ταύτης γὰρ οἱονεὶ γυμνάσιον ὁ παράδεισος. τὸν πρόξενον δὲ τῆς φθορᾶς ἡδονὴν πρὸ τῆς ἐντολῆς ποιησάμενος, οὐχ ὅπως ἐκείνης διήμαρτεν, ἀλλὰ καὶ τούτου θείᾳ ψήφῳ ἐξεβλήθη· ἡ γὰρ φθορὰ τὴν ἀφθαρσίαν οὐ κληρονομεῖ· καὶ πρὸς τὸν τῆς ἑβδόμης ἐπώνυμον ἐξωστρακίσθαι τουτονὶ κόσμον. ἀλλ᾽ οὐδ᾽ οὕτως ἐλπίδος εἰσάπαν διέψευσται· εἰς γὰρ τὴν ὀγδόην ἡ ἐκείνων ἀπόλαυσις τῶν ἀγαθῶν τετήρηται τοῖς θεοφιλῶς καὶ σωφρόνως βεβιωκόσι. διὸ δὴ καὶ τὸ συγκραθὲν ἡμέτερον σῶμα ἐκ τῆς ὑλικῆς ταυτησὶ τετρακτύος, οὗ ταῖς ἀλόγοις ὀρέξεσι τὸ τῆς B ψυχῆς καταγοητευθὲν λογιζόμενον, ἡμῖν καὶ πάσῃ τῇ κτίσει τὴν τῆς φθορᾶς ἐμνήστευσε λώβην, ἐφ᾽ ἑκάστου χρὴ τῶν ἡνωμένων αὐτῇ στοιχείων, δι᾽ ἀγωγῆς ἐπιπόνου τελείαν τὴν κάθαρσιν δέξασθαι, τῷ πλείῳ τῆς δεκάδος τῶν ἡμερῶν ἀριθμῷ· καὶ ταύτῃ τὸ βαρὺ φορτίον τῆς ἁμαρτίας ἀποσεισάμενον, ῥᾳδίαν τῇ ψυχῇ τὴν πρὸς τὰ ἄνω παραχωρῆσαι πορείαν· καὶ γὰρ ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον καὶ ὁ ἔσω ἄνθρωπος ἀνακαινοῦται τῇ τοῦ ἀποστόλου φωνῇ· ὥσπερ τοὐναντίον Ἡρώδης, ἑρμηνεύεται δὲ ὁ δερμάτινος, δι᾽ οὗ τὸ τῆς σαρκὸς εἰκονίζεται φρόνημα, τῇ τετραρχίᾳ φυσώμενος, τῇ συμπλοκῇ φημὶ τῆς ἡμετέρου σαρκὸς, ἣν ὕστερον τοῖς υἱοῖς διεῖλε, μὴ οἷός τε ὢν τὸν παρ᾽ ἡμῖν ὀρθὸν τῶν δογμάτων C λόγον ἑλεῖν, τῶν γοῦν ἀρρένων βρεφῶν, τῶν πρώτων, φημὶ τοῦ νοῦ, καὶ γενναίων πρὸς ἀρετὴν κινημάτων, οὐ πέφυκε φείδεσθαι· ὁ δὲ τούτου τετράρχης υἱὸς εἰκός τι νομίζει ποιεῖν, εἰ μὴ τοῖς τρόποις οὐχ ἧττον ἢ τῷ γένει καὶ τῇ κλήσει τῷ πατρὶ συμβαίνων ὀφθείη, οὐμενοῦν, ἀμέλει τὸν κήρυκα τοῦ ὀρθοῦ λόγου, εἰ καιροῦ λάβοιτο, καὶ οὗτος ἐκτέμνει.

Οὐ μὴν ἀλλὰ καὶ ἡ δεκὰς αὕτη γέννημα τῆς τετράδος οὖσα, τετράς ἐστι καὶ αὐτὴ, συντιθεμένη γὰρ τοῖς κατόπιν αὐτοῖς ἀριθμοῖς, τὴν δεκάδα γεννᾷ· καὶ παρὰ τοῦτο εἰς κάκωσιν οἶμαι, καὶ ταύτην παραλαμβάνεσθαι. δεκάτη γοῦν γενεᾷ ὁ D οἰκουμενικὸς ἐπεισέφρησε κλύδων. δέκα δὲ πληγαῖς ὁ Μωσῆς τὴν Αἴγυπτον ἐβασάνισε. τοιγαροῦν ὁ κύριος ἡμῶν καὶ ἡμᾶς, καὶ τὴν παλαιωθεῖσαν τῇ φθορᾷ τῶν στοιχείων σύμπασαν φύσιν, εἰς τὸ ἀρχαῖον βουληθεὶς ἀναπλάσαι· καὶ τὴν ἀφθαρσίαν αὖθις φιλανθρώπως χαρίσασθαι, ἀφ᾽ ἡμῶν δι᾽ ὧν ἡ φθορὰ πάλαι τῷ παντὶ ἐπεκώμασεν, ᾠήθη δεῖν τῆς ἰατρείας ἀπάρξασθαι, ἰσαρίθμοις ὀργάνοις πρὸς τοῦτο χρησάμενος. τὰς γὰρ ἐν ἡμῖν ἐπιῤῥῶσαι πρῶτον φυσικὰς τέσσαρας ἀρετὰς ἐν καλῷ κεῖσθαι νομίσας, τὰ μεγάλα στοιχεῖα τῆς ἐν αὐτῷ καινῆς κτίσεως, τὰ τέσσαρα φημὶ εὐαγγέλια, ἀντιῤῥόπου τοῖς ἀψύχοις ἐν ἡμῖν τοῖς λογικοῖς ὑπεστήσατο, E τέσσαρα ὄντα, καὶ ταυτὶ περιέχοντα, δόγματα, ἐντολὰς, ἐπαγγελίας, καὶ ἀπειλάς· ὡς ἂν τοῖς πιστεύουσι μὲν τοῖς δόγμασι, καὶ περὶ πλείστου τὰς ἐντολὰς ποιουμένοις, τὴν ἐν ἐπαγγελίαις κομίσασθαι τῆς υἱοθεσίας, ὑπάρξει μακαριότητα· τῇ κτίσει δὲ σὺν αὐτοῖς, εἰς τὴν τῆς ἀφθαρσίας μεταστοιχειωθῆναι λαμπρότητα. τοῖς δὲ μὴ οὕτω ποιητέον εἶναι πεφροντικόσι, πᾶσαν ἐλπίδα δευτέρας ἀναπλάσεως περιαιρεθῆναι, τῶν δὲ ἐπειλημένων κολάσεων αὐτίκα μάλα κληρονομεῖν. ἀλλ᾽ ἐπειδήπερ ἡ νηστεία κατὰ τὸν ἅγιον εἰπεῖν Κύριλλον κάθαρσις πέφυκε τῶν πέντε αἰσθήσεων, δι᾽ ὧν ἀστράπτειν, ἢ μολύνεσθαι τῇ ψυχῇ περιγίνεσθαι· ἡ δὲ κάθαρσις αὕτη τὴν ἐν τῇ F ὀγδόῃ ἐλπιζομένην ἐγγυᾶται μακαριότητα. πολυπλασιασθέντων τῶν πέντε πρὸς τὰ ὀκτὼ, ὁ τεσσαρακοστὸς γεννᾶται ἀριθμός. διὰ δὴ ταῦτα πάντα ὡς δέδεικται τῇ τεσσαρακονθημέρῳ νηστείᾳ τὰς ψυχὰς ἡμῶν ἀχρειουμένας τῇ λώβῃ τῆς ἁμαρτίας, ἐγκαινίζειν ἐν τούτῳ τοῦ καιροῦ προστετάγμεθα καθ᾽ ὃν καὶ ξύμπας ὁ κόσμος τῇ πρὸς τὰ κρείττω μεταβολῇ κατ᾽ ἐνιαυτὸν ἐγκαινίζεται.

Νόμοι.

Ὅτι αἱ πρὸ τοῦ πάσχα ζ΄. ἡμέραι καὶ μετὰ τὸ πάσχα τοσαῦται, καὶ ἡ τῆς Χριστοῦ γεννήσεως ἡμέρα, καὶ τῶν ἁγίων θεοφανίων, καὶ

ἡ τῶν

ἡ τῆς Χριστοῦ γεννήσεως ἡμέρα, καὶ ἡ τῶν ἁγίων θεοφανίων, καὶ ἡ τοῦ πάθους, τῶν ἀποστόλων, καὶ ἡ κυριακὴ, ἄπρακταί εἰσι. καὶ οὔτε θέατρα ἐν αὐταῖς τελεῖται, οὔτε λέγεται.

Ἐν ταῖς προλαβούσαις τὸ πάσχα τεσσαράκοντα ἡμέραις πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει.

ΚΕΦ. ς'.

Περὶ τῆς ἐν τῇ τετράδι νηστείας.

Ζήτει ἐν τῷ λζ'. κεφαλαίῳ τοῦ Κ. στοιχείου κανόνα, ιε'. τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας. καὶ ἐν τῷ ιδ'. κεφαλαίῳ τοῦ Ν. στοιχείου, κανόνα ξθ'. τῶν ἁγίων ἀποστόλων.

ΚΕΦ ζ'.

Ὅτι τόκους λαμβάνειν ἀπείρηται παντὶ κληρικῷ.

Ὁ μδ'. τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τόκους εἰσπράττοντα τοὺς δανειζομένους, ἢ παύσασθαι ἢ καθαιρεῖσθαι κελεύει· ὡς ἑνὶ μάλιστα τοῦτο δέον, μή ποτε κατὰ τὸ εὐαγγέλιον ἐπαγγελλόμενοι ζῆν, διπλῆν ὑπόσχωμεν κόλασιν, περιπετεῖς γενόμενοι, καὶ οἷς ὁ παλαιὸς ἀπείρηκε νόμος. ὁ μὲν γὰρ οὐκ ἐκτοκιεῖς φησι, τὸ ἀργύριόν σου τῷ ἀδελφῷ σου. ὁ δὲ Ἰεζεκιὴλ, ἐν τοῖς μεγίστοις τῶν κακῶν τίθεται, τόκον λαβεῖν καὶ πλεονασμόν. ὀδύρεται δὲ καὶ ὁ Ἡσαίας, δόλον ἐπὶ δόλῳ, καὶ τόκον ὁρῶν ἐπὶ τόκῳ. καὶ ὁ Ψαλμῳδὸς περὶ πόλεως ἐν πλήθει κακῶν εὐθυνομένης φησὶ, οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. ὁ δὲ κύριος, τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς, δανείζετε δὲ παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν· ὁ γὰρ ἐλεῶν πτωχῷ δανείζει θεῷ· τὸ γὰρ αὐτὸ καὶ δῶρον μέν ἐστι διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως. δάνεισμα δὲ, διὰ τὸ τοῦ δεσπότου φιλότιμον, δαψιλῆς ἀποτιννύντος ὑπὲρ αὐτοῦ, καὶ πολλαπλασίους τὰς ἀμειβάς.

Ὁ δὲ ιζ'. τῆς πρώτης συνόδου κανὼν, πάντα κληρικὸν καὶ τῷ κανόνι ἐξεταζόμενον, καθῃρῆσθαι κελεύει, περὶ ἐλαχίστου τιθέμενον, τὸ φάσκον ἱερὸν λόγιον, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. καὶ τὴν πλεονεξίαν καὶ τὸ αἰσχρὸν διώκοντα κέρδος, καὶ τόκους ἀπαιτοῦντας τοὺς δανειστὰς, ἢ ἑκατοστιαίους ἢ ἡμιολίους, πολυειδεῖς γὰρ ὄντες οἱ τόκοι βαρύτεροι τῶν λοιπῶν οἱ ἑκατοστιαῖοι, ἤτοι τὰ ιβ'. ἐπὶ τοῖς ἑκατὸν νομίσματα· ἅτινα τοῖς τοκογλύφοις εἰσπράττει νόμος, οἱ γὰρ παλαιοὶ ταῖς ἑκατοντάσιν ἐχρῶντο, ὥσπερ ταῖς λίτραις ἡμεῖς τῶν οβ'. ἑξαγίων· ἡμιόλιοι δέ εἰσιν οἱ ἡμίσεις τοῦ ὅλου τόκου τῶν ιβ'. νομισμάτων, ἤτοι τὰ ς'. οὐ μὴν ὡς ἔθος τοῖς ἀριθμητικοῖς καλεῖν τὰς τῶν ἀριθμῶν ὑπὸ τὸ πρός τι ποσότητας· ὅτι ὁ μὲν ἕκτος τυχὸν, ἡμιόλιός ἐστι τοῦ δ'. οὗτος δὲ ἐκείνου ὑφημιόλιος. ἀλλὰ καὶ τοῖς μὲν μὴ ἀναιδῶς τοῦτο μετιοῦσι, σοφιζομένοις δὲ τὰ τοῦ πράγματος, τῷ μὴ ἁλῶναι παρανομίας, οἵτινες καὶ ἑτέροις ἐγχειρίζοντες χρήματα, τὸ μὲν κέρδος, ἐξ ἴσης συμφωνοῦσι μερίζειν· τῆς δὲ ζημίας μὴ κοινωνεῖν· τοῖς δὴ τοιαῦτα τεχνάζουσιν, ἢ ἕτερόν τι κέρδος ἐπινοοῦσιν αἰσχρὸν, καθαιρέσεως δεῖν οἴεται δίκην λαγχάνειν· καὶ τοῦ κλήρου ἀλλοτριοῦν· φιλανθρωπότερον δ' ἂν εἴη, τὸ μετὰ παραγγελίαν, κατὰ τὸν ἀνωτέρω ἀποστολικὸν κανόνα.

A paſſionis, & dies feſti Apoſtolorum, & Dominici, ſunt opere vacui, neque ſpectacula tum habentur, neque jus dicitur.

Per quadraginta dies Paſcha immediatè præcedentes quæſtionum criminalium agitatio omnis ceſſat.

CAPUT VI.

B

De jejunio Feriæ quartæ.

Quære in cap. xxxvii. Lit. K. Canonem xv. S. Petri Alexandrini, & in xiv. cap. Lit. N. Canonem lxix. Sanctorum Apoſtolorum.

CAPUT VII.

Quòd interdictum ſit Clericis uſuras accipere.

C

Canon xliv. Sanctorum Apoſtolorum, Epiſcopum aut Presbyterum aut Diaconum, qui à debitore uſuras exigit, aut ceſſare præcipit, aut deponi: tanquam plane metus eſſet, nè cùm juxta Evangelium vivere profitemur, duplas pœnas demus, incurrentes in ea quæ Lege veteri prohibita ſunt. Dicit enim illa, Non mutuo dabis in uſuram argentum tuum fratri tuo. Ezechiel etiam inter maxima mala cenſet, uſuram, & augmentum accipere. Deinde plorat Iſaias, Dolum ſuper dolo ac uſuram ſuper uſura videns. Et Pſalmiſta de civitate quæ multitudine delictorum tenetur, Neque uſura, inquit, aut dolus plateas ejus dereliquit. D Dominus autem ipſe, Qui mutuò te accipere vult, ne dimittas: Mutuò date eis à quibus neutiquam accipere ſperatis. Nam qui miſeretur pauperis, mutuò dat Deo. Idem enim illud & donum eſt, quia citra ſpem ullam recuperationis: & creditum propter Domini munificentiam, qui pro eo copioſas ac multiplices retributiones facit.

Canon autem xvii. Synodi primæ, quemlibet Clericorum, atque eorum qui in Canone recenſentur, E deponi jubet; ſi inſuper habeant oraculum illud ſacrum, quod dicit: Pecuniam ſuam non dedit in uſuram, & avaritiam ac turpe lucrum ſectentur, atque à debitoribus uſuras centeſimas exigant, aut hemiolias. Nam ex variis uſurarum ſpeciebus graviſſimæ ſunt centeſimæ, ſive duodecim pro centum nummis, quæ quidem Jure Civili nummulariis concedun Veteres enim librâ centum partium utebantur, ſicuti nos illâ hexagiorum lxxii. ἡμιόλια autem ſunt ſemiſſes totius uſuræ duodecim nummûm, ſive ſex. Neutiquam verò, ut mos eſt, Arithmeticorum quantitates numerorum inter ſe comparatorum F indigitantium, quibus numerus putà ſenarius quaternarii, eſt hemiolius, & hic iſtius hyphemiolius. Hoſce tamen qui non apertè quidem ea faciunt, ſed dolo malo cavent nè legis violatæ teneantur, ſcilicet pecuniam aliis mutuò dant, & paciſcuntur lucrum æqualiter partiri, damni verò prorſus immunes eſſe; hos, inquam, qui talia comminiſcuntur, aut quodvis turpe lucrum quærant, depoſitionis pœnam incurrere æquum judicat, atque à Clero abalienari. Benignus fuerit poſt admonitionem juxta Canonem Apoſtolicum ſupra laudatum illud fieri.

A Eadem repetit decimus Canon Synodi ſextæ, atque Clericos fœneratores aut ceſſare præcipit aut deponi.

Convenit cum iſtis & Canon iv. Concilii Laodiceni.

Quintus autem Concilii Carthaginenſis, avaritiam malorum omnium eſſe matrem nemo, inquit, eſt qui neſciat. Hanc igitur modis omnibus tollere ſtudendum eſt, atque turpis lucri cauſâ Patrum definitiones nentiquam tranſgredi; vetat adeò Clerico quavis de re uſuram ſumere. Datur enim in B uſuram non ſolum argentum, ſed & frumentum & vinum & oleum, paciſcente debitore ſe poſt ſtatutum tempus aliquid ultra reddere. Nam circa ea, de quibus ſancti Patres decreverunt, ſuffragia rurſus dare, & deliberare minimè decet: at potius abſque contradictione ac diſquiſitione curioſâ ſequi. Quocirca ſi iſtud Laicis quidem opprobrium atque culpam affricet, multò ſanè magis Clericis.

Magnus autem Baſilius in Canone xiv. Clericus qui uſuram accepit, ſi, inquit, injuſtum lucrum in pauperes expendere deſtinaverit, & deinceps avaritiæ C morbum devitare, ad Sacerdotium admittendus eſt. Quoniam & alibi dicit, agricola ariſtam accipit, neque rurſum ſemen ſubter radicem exquirit: fœnerator autem fructus percipit, neque principale remittit; adeóque ſine ſolo plantat, & ſine ſemento metit. Propterea, cùm æs & aurum, & cætera quæ nihil producere ſolent, contra naturam pariunt, illa quæ naturaliter parit ſterilis evadit.

Leges.

Etſi majorum noſtrorum pleriſque viſum eſt D admittendam eſſe uſurarum penſionem, fortè propter fœneratorum duritiem & crudelitatem, nos tamen ut Chriſtianorum ſanctiori converſatione planè indignam abominandam cenſuimus, tanquam jure divino interdictam. Ideóque noſtra vetat tranquillitas, nè cuiquam penitus ullâ in cauſâ liceat uſuras accipere, ut ne dum jus ſervare ſtudemus, legem Dei violemus. Sed ſi quis tantulumcunque acceperit, ſorti imputabitur. Lex autem vetus expreſsè ſtatuit uſurarum quantitatem, videlicet, juxta conditionem perſonarum aliam atque aliam. Quippe jubet eos qui ex E viris illuſtribus aut ſuperioribus, ſolummodò trientem ſumere, argentarios autem & negotiatores, uſque ad beſſem centeſimæ; cæteros autem omnes, ad ſemiſſem centeſimæ. Sin religioſæ domui mutuum detur, uſque ad quadrantem centeſimæ. At verò in fœnore nautico, cùm creditor periculum maris ſuſcipit, poteſt accipere ultra legitimam uſuram. Quando autem fructus mutuò dantur, pro quibus olim licuit majus fœnus ſtipulari propter proventûs tempus incertum, non permittit hodiéque conſtitutio graviorem uſuram ſtipulari, quàm aduſque centeſimam tantùm, neque etiam vult propter retenta F pignora majus fœnus accipi, neque judices unquam majus decernere ſub prætextu conſuetudinis loci. Siquis autem uberiorem uſuram capit, tantum principali detrahitur. Uſura autem centeſimalis vocatur, cùm duodecim nummi pro centum quotannis redduntur. Ea verò quæ libra apud nos æſtimatur, juxta proportionem nummos continet octo cum beſſe. Uſuræ uſque ad valorem principalis mutuò dati extendantur: Sin tamen contingat ultra principalem ſummam expendi, ad principalem imputetur.

Τὰ αὐτὰ γὰρ καὶ ὁ ι΄. τῆς ἕκτης λέξας συνόδου, ἢ παύεσθαι ἢ καθαιρεῖσθαι τῶν κληρικῶν τοὺς τοκογλύφους κελεύει.

Τούτοις ἕπεται καὶ ὁ τῆς ἐν Λαοδικείᾳ δ΄. κανών.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ, ε΄. τὴν ἀπληστίαν πάντων τῶν κακῶν εἶναι μητέρα, οὐδεὶς φησὶν ἀγνοεῖ. ταύτην οὖν περιαιρετέον παντάπασι, καὶ μὴ κέρδους αἰσχροῦ χάριν τοὺς τῶν πατέρων ὅρους παραβαίνειν, καὶ μὴ ἐξεῖναι κληρικῷ ἀφ' οἱουδήποτε πράγματος τόκον λαβεῖν. δανείζει γάρ τις οὐκ ἀργύριον μόνον, ἀλλὰ καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, συμφωνοῦντος τοῦ δανειστοῦ μετὰ τὸν ὡρισμένον καιρὸν τὸ δέ τι ἐπέκεινα δοῦναι· περὶ γὰρ ὧν οἱ θεῖοι πατέρες ἐθέσπισαν, οὐ δεῖ ψηφίζεσθαι, καὶ βουλεύεσθαι· ἀλλ' ἕπεσθαι μηδὲν ἀντιλέγοντας ἢ περιεργαζομένους. εἰ γοῦν τὸ τοιοῦτον λαϊκοῖς ὄνειδος φέρει καὶ μέμψιν, πολλῷ δήπου κληρικοῖς.

Ὁ δὲ μέγας Βασίλειος ἐν ιδ΄. κανόνι, ὁ τόκους λαμβάνων κληρικός φησιν, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος πτωχοῖς ἀναλῶσαι, καὶ εἰσέπειτα τὸ τῆς φιλοχρηματίας φυλάξασθαι νόσημα, δεκτός ἐστιν εἰς ἱερωσύνην· ἐπειδὴ καὶ ἑτέρωθί φησιν, ὁ μὲν γεωργὸς τὸν στάχυν λαβὼν, τὸ σπέρμα πάλιν ὑπὸ τὴν ῥίζαν οὐκ ἐρευνᾷ· ὁ δὲ δανειστὴς, καὶ τοὺς καρποὺς ἔχει, καὶ οὐκ ἀφίσταται τῶν ἀρχαίων· ἄνευ γῆς φυτεύει, καὶ θερίζει ἄνευ σπορᾶς. διὰ τοῦ χαλκοῦ καὶ χρυσοῦ, καὶ τῶν ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στεῖρα.

Νόμοι.

Εἰ πολλοῖς τῶν πρὸ ἡμῶν ἔδοξε δικαίαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκολίαν τε καὶ ὠμότητα. ἀλλ' οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας, ἀποβλητέαν εἶναι καὶ κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι, ἐν μηδεμιᾷ ὑποθέσει τόκον λαμβάνειν, ἵνα μὴ νόμιμον φυλάττειν οἰόμενοι, νόμον θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ἔσον δήποτε λάβοι εἰς τὸ χρέος λογισθήσεται. ὁ δὲ παλαιὸς νόμος ῥητὴν ὁρίζει τοῖς τόκοις ποσότητα, τῇ ποιότητι μέντοι τῶν προσώπων διαλλάττουσαν· τοὺς μὲν γὰρ δανείζοντας τοὺς ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρων, ἄχρι τρίτου ἑκατοστῆς καὶ μόνον κελεύει λαμβάνειν· ἀργυροπράτας δὲ καὶ ἐμπόρους ἄχρι διμοίρου ἑκατοστῆς· τοὺς δὲ λοιποὺς πάντας ἄχρι ἡμίσεως ἑκατοστῆς. εἰ δὲ πρὸς οἶκον εὐαγῆ τὸ δάνειον εἴη, ἄχρι τετάρτου ἑκατοστῆς· ἐπεὶ δὲ τῶν ναυτικῶν δανείων, ἔνθα ὁ δανειστὴς τὸν ἐκ τῆς θαλάσσης ἀναδέχεται κίνδυνον, οὐ λαμβάνει ὁ δανείζων πλέον τοῦ νομίμου τόκου, ἤγουν τῆς ἑκατοστῆς. εἰ γὰρ ἀναδέχεται ὁ δανειστὴς τὸν κατὰ θάλατταν κίνδυνον δύναται, λαβεῖν καὶ ὑπὲρ τὸν ἔννομον τόκον· ἐπεὶ δὲ τῶν δανειζομένων καρπῶν, ἐφ' ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως, οὐκ ἐπιτρέπει σήμερον ἡ διάταξις πλείονα τόκον ἐπερωτᾶν, εἰ μὴ ἕως ἑκατοστῆς μόνον, μὴ βουλομένη μήτε διὰ παρακαταθέσεως ἐνεχύρων μείζονα τόκον λαμβάνεσθαι μήτε τοὺς δικαστὰς ποτὲ καταδικάζειν πλείονα τόκον προφάσει τῆς τῶν τόπων συνηθείας. εἰ δέ τις μείζονα τόκον λάβοι, εἰς τὸ κεφάλαιον αὐτῶν καταλογίζεσθαι. ἑκατοστιαῖος δὲ λέγεται τόκος, τὰ διδόμενα δώδεκα νομίσματα ἐπὶ τοῖς ἑκατὸν ὑπὲρ ἑκάστου. ἡ δὲ παρ' ἡμῖν νομιζομένη λίτρα, κατὰ ἀναλογίαν νομίσματα ἔχει ὀκτὼ καὶ δίμοιρον. οἱ τόκοι μέχρι τῆς ποσότητος τοῦ ἐκ δανεισθέντος κεφαλαίου ἐκτεινέσθωσαν. εἰ δὲ συμβαίη ἐπέκεινα τοῦ μέτρου τοῦ κεφαλαίου καταβληθῆναι, εἰς τὸ κεφάλαιον λογιζέσθωσαν.

Ὁ τόκου

Ὁ τόκον τόκου μεθοδεύων, ἀτιμοῦται· οὐδεὶς γὰρ τόκον A τόκου ἀπαιτεῖ κἂν κατὰ μικρὸν καταβληθῇ.

Qui usuram usuræ quærit, infamis fit. Nemo enim usuræ usuram poscit, saltem si paulatim persolvatur.

Κ Ε Φ. η'.

Περὶ τοῦ τρισαγίου ὕμνου.

Ζήτει ἐν τῷ λε'. κεφ. τοῦ Ε. στοιχείου, κανόνα πα'. τῆς ς'. συνόδου.

CAPUT VIII.

De Hymno trisagio.

Quære in xxxv. cap. Lit. E. Canonem lxxxi. Synodi sextæ.

B

Κ Ε Φ. θ'.

Ὅτι τὰς τρίχας τῆς κεφαλῆς οὐ δεῖ καλλωπίζειν.

Ὁ ϟς'. τῆς ς'. συνόδου κανὼν, οἱ τὸν Χριστόν φησι διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολογήκασι, πᾶσάν τε ἁγνείαν μετιέναι καὶ σωφροσύνην, καὶ μὴ τῇ τῆς ὕλης προστετηκότας ματαιότητι, C τὸ σῶμα κοσμεῖν περιττῶς τε περιέργως. τί δ' ἂν γένοιτο περιττότερον, ἢ τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος, περὶ πλείστου ποιεῖσθαι κοσμεῖν, εὖ τε διατιθέναι, καὶ δέλεαρ καθεῖναι ταῖς εὐολίσθοις πρὸς ἀκολασίαν ψυχαῖς, ἀφέντας τὸ διὰ πάσης ἀρετῆς τὸν ἔνδον κοσμεῖν ἄνθρωπον; φησὶ γὰρ ὁ ἀπόστολος, ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι. καὶ ὁ Μουσῆς ἐν τῷ Δευτερονομίῳ, οὐ ποιήσετε σισόην ἐκ τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν· τοὺς οὖν τοιοῦτόν τι ποιοῦντας, πατρικῶς πρότερον ἐπιτιμᾶσθαι κελεύει· ἐπιμένοντας μὲν, ἀφορίζεσθαι. τούτοις ὑπόκεινται τοῖς ἐπιτιμίοις καὶ οἱ τὰς τρίχας κλώθοντες, D ὥστε οὔλας γίνεσθαι, ἢ βάπτοντες, ἢ ὕδατι διαβρόχους ποιοῦντες, καὶ τῷ ἡλίῳ θέροντες, ἵν' εἰς ξανθὰς μεταβάλλοιεν, ἢ χρυσιζούσας ἢ δασείας ἐπιμελούμενοι γίνεσθαι· ἢ νόθους πλοκάμους περιτιθέμενοι, ἢ τὸ γένειον ξυροῦντες, ἢ κεράμῳ πεπυρωμένῳ τὸ πλέον τούτου ἀποτεφροῦντες, καὶ πρὸς τὸ δοκοῦν εὐσχήμων ἀποκαθιστάντες, ὡς δοκεῖν ἄρτι φύειν αὐτοὺς τὸν ἴουλον. τοῦτο γὰρ νῦν καὶ μάλιστα, ὥσπερ τι νόσημα ἐπιδήμιον, τοῖς χριστωνύμοις ἀνέσκηψεν.

CAPUT IX.

Quod capillos capitis delicatiùs ornare haud liceat.

Canon autem xcvi. Syn. sextæ: Qui Christum, inquit, per baptismum induerunt, ejus in carne vitæ agendæ rationem imitari professi sunt, & omnem omninò castitatem ac temperantiam exercere, neque terrenarum rerum vanitati adhærentes corpus superfluo ac nimis curioso cultu ornare. Quid verò vanius quàm plurimam curam capillis capitis ac barbæ impendere adornandis, & juxta artem disponendis, adeóque escam proponere animabus ad intemperantiam pronis, cùm interim insuper habent interioris hominis per virtutes cultum? Dicit enim Apostolus, Si vir comam alat, dedecus ipsi est. Et Moses in Deuteronomio: Non facietis cincinnos in capite vestro; neque corrumpetis formam barbæ vestræ. Eos qui ista fecerint primùm paternè increpari jubet: perseverantes tamen, excommunicari. Easdem pœnas incurrunt etiam hi qui crines plicant, ut crispi fiant, aut tingunt, aut aquâ primum irrigantes in sole arefaciunt, ut flavedinem acquirant, vel student ut aurei evadant, vel densi, aut cincinnos spurios gestant, aut mentum rasum habent, aut maximam ejus partem testâ ignitâ exurunt, semet nitidulos, ut sibi videntur, reddentes, quasi lanugo ipsis jam primum excreverit. Hoc enim hodiè potissimùm, tanquam morbus epidemius, apud Christianos increbuit.

Κ Ε Φ. ι'.

E

Περὶ τυμβωρύχων.

Ὁ ξς'. τοῦ μεγάλου Βασιλείου κανὼν τὸν τυμβωρύχον ὃς τοὺς τάφους ἀνοίγνυσι, καὶ συλᾷ τὰ τοῖς νεκροῖς συνθαπτόμενα, εἰς ι'. ἔτη τῆς θείας κοινωνίας ἀπείργει.

Ὁ δὲ μέγας Γρηγόριος Νύσσης ἐν τῷ ζ'. κανόνι ἡ τυμβωρυχία φησὶ, διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον. εἰ μὲν γάρ τις φειδόμενος τῆς ὁσίας, καὶ ἄσυλον F ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι τῷ ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων, συγχρήσεται εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν οὐ δὲ τοῦτό ἐστι, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινοφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται. τὸ δὲ ἀνερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδῆναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, εἰς ἐννέα δηλαδὴ χρόνους· εἰ δὲ σπουδαίαν ὁ θεραπευόμενος

CAPUT X.

De Sepulchrorum Violatoribus.

Canon lxvi. Magni Basilii effossorem busti, qui ruptis sepulchris expilat ea quæ cum mortuo consepulta fuêre, in decennium sacrâ communione privat.

Magnus autem Gregorius Nyssenus in Canone vii. Sepulchrorum violatio, inquit, dividitur in remissibilem & irremissibilem. Si quis enim religione tactus, inviolatum reliquit corpus conditum, ne fortè soli exponeretur naturæ deformitas, lapidibus tamen quibusdam, qui circa bustum erant, utatur ad ædificium aliquod, hoc quidem haudquaquam laudabile est, sed tamen veniâ dignum usus fecit, quando materiei translatio conducit ad aliquid pulchrius, & utilius: atqui sollicitare cineres inhumatæ carnis, & commovere ossa, spe ornamentum aliquod in tumulum conjectum nanciscendi, pari supplicio plectitur, atque simplex fornicatio, scilicet in annos novem. Sin verò corrigendus demonstret conversionem laudabilem, fas est

A correctionis moderatori contrahere tempus ex Canonibus punitioni ejus præſtitutum.

Leges.

Qui à ſepulchris materiam quamvis auferunt, crimine ſacrilegii teneantur.

Si quis à ſepulchro abſtulerit lapides aut columnas aut marmora, vel aliam materiem quamcunque, viginti libras auri fiſco ſolvat.

B Qui ſepulchra effodiunt, & denudant mortuorum corpora, ſi quidem cum armis patraverint, capite plectuntur: ſin abſque armis, ad metalla.

Qui in ſepulchris mortuos indumentis ſpoliant, abſciſſis manibus luant.

Qui reliquias vel oſſa transferunt, plebeii quidem extremum ſupplicium dant; ingenui verò exulant, vel mittuntur ad metalla.

C

CAPUT XI.

Quod Clericis verberare quempiam non permittitur.

CANON xxvii. ſanctorum Apoſtolorum, Epiſcopum, ait, aut Presbyterum, aut Diaconum qui verberat fideles delinquentes, aut infideles malè ipſis facientes, atque hoc modo ipſos deterrere ſtudet, deponi mandamus. Nullibi enim Dominus hoc nos docuit: verùm è contra ipſe vapulans, non reverberabat, & conviciis oneratus, non pariter conviciabatur; D paſſus eſt, neque minitabatur. Juſſit autem ſiniſtram genam præbere ei qui minimè parcit dexteræ. Nam aliàs increpare licet malefacientes, & hos qui injuriam patiuntur defendere, quantum poſſumus. Sicuti & magnum Paulum ſcimus Timotheo præcipere, delinquentes in conſpectu omnium reprehendere, ut metus etiam reliquos percellat. Clericis verò haud licet ſeipſos vindicare. Suos quidem diſcipulos caſtigare conceſſum eſt, cùm delinquunt, & poſt admonitionem non convertuntur: Quia etiam Dominus eos qui in templo negotiabantur, tanquam in Deum peccantes, flagello verberans abegit. Si quis tamen Magiſter iræ E impatiens inſtrumento lethifero verberaverit, haud impunè fecerit.

Canon etiam ix. Synodi, quæ prima & ſecunda nuncupatur, huncce Apoſtolicum recenſens redarguit eos, qui ipſum conantur eludere, atque prætendunt, eos tantùm teneri, qui ex motu proprio percutiunt, non etiam qui ex juſſu. Vanum enim hoc, inquit, & à mente Canonis Apoſtolici alienum, eum qui ter vel quater percutit, deponi, hunc autem qui ad mortem uſque plectit ex præcepto, etiam innocentem abire. Oportet enim Sacerdotem Dei, doctrinâ & adhortatione, F imò & quandoque correctionibus Eccleſiaſticis eum, qui ſe inordinatè gerit, moderari; haud tamen verberibus ac plagis in humana corpora indecorè inſultare, eàque lacerare. Sin verò aliqui fuerint penitus incorrigibiles, eos per magiſtratum iſtius loci nemo vetat caſtigari, ſicuti etiam Canon v. Concilii Antiocheni ſtatuit, quem vide in cap. xii. Lit. Σ.

Tertius autem Canon Concilii, cui præfuit Photius, anathemati ſubjicit illum qui auſus fuerit vel verberare

ἐπιδείξαιτο τὴν ἐπιστροφὴν, ἔξεστι τῷ οἰκονομοῦντι τὴν αὐτοῦ θεραπείαν, συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τῇ ἐπιτιμίᾳ προθεσμίαν.

Νόμοι.

Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες, ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.

Εάν τις ἀπὸ τοῦ τάφου ἀφέληται λίθους ἢ κίονας ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήτινα ὕλην κ'. λίτρας χρυσίου τῷ δημοσίῳ καταβαλέτω.

Οἱ τυμβωρυχοῦντες, καὶ γυμνοῦντες τὰ τῶν τεθνεώτων σώματα, εἰ μὲν μετὰ ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλων.

Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες, χειροκοπείσθωσαν.

Οἱ λείψανα, ἢ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ὄντες, ἄκρως τιμωροῦνται· ἔντιμοι δὲ, περιορίζονται, ἢ εἰς μέταλλα πέμπονται.

ΚΕΦ. ια'.

Ὅτι τύπτειν κληρικοῖς οὐκ ἐφεῖται.

Ο κζ'. τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπόν φησι ἢ πρεσβύτερον ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ ταύτῃ φοβεῖν ἐκείνους ἐθέλοντα, καθαιρεῖσθαι προστάττομεν, οὐδαμοῦ γὰρ ὁ κύριος τοῦτο ἡμᾶς ἐδίδαξε· τοὐναντίον δὲ αὐτὸς τυπτόμενος, οὐκ ἀντέτυπτε, λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπείλει. ἐκέλευε δὲ καὶ τὴν ἀριστερὰν ἐμπαρέχειν τῷ μὴ φειδομένῳ τῆς δεξιᾶς· ἐλέγχειν μὲν γὰρ τοὺς ἀδικοῦντας ἄλλως ἔξεστι· καὶ τοῖς ἀδικουμένοις ἐπικουρεῖν ὁπόση δύναμις. καθὰ δὴ καὶ Παῦλον ἴσμεν τὸν μέγαν, Τιμοθέῳ ἐντελλόμενον, τοὺς ἁμαρτάνοντας ὑπ' ὄψεσι πάντων ἐλέγχειν, ἵνα καὶ τοῖς λοιποῖς φόβος ἐγγίνηται. κληρικοῖς δὲ οὐ θεμιτὸν ἑαυτοὺς ἐκδικεῖν· σωφρονίζειν μέντοι μετρίως τοὺς ἰδίους αὐτῶν μαθητὰς ἁμαρτάνοντας, καὶ μετὰ παραγγελίαν μὴ ἐπιστρέφοντας συγκεχώρηται· ὅτι καὶ ὁ κύριος τοὺς ἐν τῷ ἱερῷ ἐμπορευομένους, ὡς εἰς τὸ θεῖον ἁμαρτάνοντας, τῷ φραγγελίῳ τύπτων ἀπήλασε. εἰ δέ τις καὶ διδάσκαλος ὢν, θυμῷ εἴξας φονευτηρίῳ τύψειεν ὀργάνῳ, οὐκ ἀτιμώρητος ἔσται.

Ο δὲ θ'. τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, τὸν ἀποστολικὸν τοῦτον κανόνα διεξιὼν, ἐπιτιμᾷ τοῖς αὐτὸν πειρωμένοις παραχαράττειν, καὶ οἰομένοις τοὺς αὐτοχειρίᾳ τύπτοντας, μόνους αἰτιᾶσθαι, οὐ μὴν καὶ τοὺς ἐξ ἐπιτάγματος. μάταιον γὰρ τοῦτο φησὶ, καὶ τῆς διανοίας τοῦ ἀποστολικοῦ κανόνος ἀλλότριον, τὸν μὲν τρὶς ἢ τετράκις πλήξαντα καθαιρεῖσθαι· τὸν δὲ ἐξ ἐπιτάγματος εἰς θάνατον στίζοντα, εἶναι καὶ ἀθῷον. χρὴ γὰρ τὸν τοῦ θεοῦ ἱερέα, διδαχῇ καὶ νουθεσίᾳ, ἔσθ' ὅτε καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τὸν ἀτακτοῦντα παιδαγωγεῖν· ἀλλὰ καὶ μὴ μάστιξι καὶ πληγαῖς εἰς τὰ τῶν ἀνθρώπων ἐπιπηδᾶν ἀσέμνως καὶ ἐνυβρίζειν σώματα. εἰ δέ τινες εἶεν παντάπασιν ἀσωφρόνιστοι, τούτους διὰ τοῦ ἐγχωρίου ἄρχοντος οὐδεὶς ὁ κωλύων σωφρονίζειν, ὡς καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ε'. κανὼν διορίζεται. ὃν καὶ ζήτει ἐν τῷ ιβ'. κεφαλαίῳ τοῦ Σ. στοιχείου.

Ο δὲ γ'. τῆς συνόδου ἧς ἐξῆρχεν ὁ Φώτιος, ὑπὸ ἀναθέματι τίθησι τὸν ὅλως τύψαι ἢ φυλακῇ καθεῖρξαι τολμή-

A πολμήσαντα τῶν ἐπισκόπων τινὰ, εἴτε χωρὶς αἰτίας, εἴτε καὶ αἰτίαν πλασάμενον. εἰδὲ καὶ πάνυ εἴη εὐπρόσωπος ἡ αἰτία, οὐδὲ ὁ τὴν μεγίστην ἀρχὴν διέπων, ἐκδικεῖν ταύτην δύναται. ἀλλὰ δεῖ τῇ συνόδῳ ἀνατιθέναι· ἣ μόνη κρίνειν ἐφεῖται καὶ κολάζειν τῶν ἐπισκόπων τοὺς ἁμαρτάνοντας.

Νόμοι.

Ο δὲ νόμος ἀπαγορεύει μὲν τοῖς ἐπισκόποις πλήττειν χερσὶν οἰκείαις, οὐχ ὥρισε δὲ ποινήν· γενικῶς δὲ περὶ παντὸς τύπτοντος ἢ ὑβρίζοντος διορίζεται. διδοὺς κατ' αὐτῶν τὴν περὶ ὕβρεως ἀγωγὴν, ἥτις καὶ χρηματικῶς κινεῖται B καὶ ἐγκληματικῶς· καὶ διορίζεται ποία ἐστὶ τραχεῖα ὕβρις, ποία δὲ ἐλαφρά.

Ο ἱερέα, εἴτε ἐν ἐκκλησίᾳ, εἴτε ἐν λιτῇ ἐπιχειρῶν τύπτειν, ἐξοριζέσθω.

Εὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας, καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δούλου βλάψας, ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις, καὶ τὴν ἐλάττωσιν τῆς διατιμήσεως αὐτοῦ. C

vel in cuſtodia detinere Epiſcopum aliquem, ſive citra cauſam hoc faciat, ſive cauſam obtendat. Imò verò & ſi cauſa valdè probabilis fuerit, haud tamen penes eſt ſummum Magiſtratum, eam vindicare: ſed oportet ad Synodum referre, quæ ſola jure poteſt judicare & punire Epiſcopos delinquentes.

Leges.

Jus autem Civile vetat Epiſcopos manibus ſuis plectere, pœnam tamen non conſtituit; in genere autem de quovis verberante aut injuriam inferente decernit, concedens adverſus ipſos injuriarum actionem, quæ tranſigitur & pecuniariè & criminaliter, imò etiam definit, quænam æſtimari debet gravis injuria, quænam levis.

Is qui Sacerdotem vel in Eccleſiâ, vel in proceſſione percutere attentat, relegatur.

Si læſum fuerit corpus liberum, res judicata erit ad ſumptus curationis, & quæſtûs jacturam, non verò ad deformitatem. Corpus enim liberum non infame redditur. Qui verò corpus ſervile lædit, poſtulatur præter jam dicta, etiam honeſtatis ejus diminutæ.

D

E

F

A

INITIUM LITERÆ Y.

CAPUT I.

De Injuriis.

Quære cap. vii. Lit. B.

CANON autem lv. ſanctorum Apoſtolorum, atque B etiam lvi. Clericus, inquiunt, qui Epiſcopum ſuum contumelia afficit, deponatur. Præfecto enim populi tui non maledices. Quæ vox eſt Moſis viri ſummi. Qui verò Presbyterum vel Diaconum contumeliâ afficit, excommunicatur. Nam injuria erga majorem, pœnam etiam majorem poſtulat, atque erga minores, minorem. Quippe hic capitis locum obtinet in corpore Eccleſiæ, illi verò manuum & reliquorum ſubſervientium membrorum.

Canon autem lvii. ait, Et qui claudum, vel cæcum, vel cui vitioſus eſt inceſſus irridet, communione pri- C vetur, ſit Clericus ſitve Laicus. Tales enim potius miſeratione proſequi oportet manum adjutricem porrigentes, quàm ſcommatis ac deriſionis argumentum dare.

Leges.

Atrox injuria vel ex perſonâ, vel ex ipſâ re, vel à loco definitur. Ex perſonâ, quum magiſtratui vel patrono facto fuerit. Ex loco, quum in theatro cunctis videntibus. Ex re, quando vulnus inflictum fuerit, aut facies cæſa. Tales vel ad tempus relegantur, vel ali- D quâ re interdicuntur, ſi ſpectabiles fuerint: Sin verò liberi fuerint, ſed ex plebe, fuſtibus verberantur, ſervi autem flagellis cæſi dominis ſuis traduntur.

Si quis, dum ſacra myſteria, vel aliud quodvis ſacrorum officiorum peragatur, in ſanctam Eccleſiam ingreſſus, Epiſcopum, aut Clericos, alióſque Eccleſiæ miniſtros injuriâ aliquâ affecerit, jubemus eum torqueri, & in exilium relegari: atque ſi ſacra myſteria & liturgias turbaverit, aut celebrari prohibuerit, capite plecti. Idem obſervetur etiam in proceſſionibus, in quibus Epiſcopi vel Clerici reperiuntur, nempe ſi E quis ſolùm contumeliâ affecerit, tormentis & exilio luet, ſin verò proceſſionem diſſipaverit, capite punietur.

CAPUT II.

De Hydroparaſtatis hæreticis.

Quære in cap. 2. Lit. A. & in cap. viii. Lit. K. F Canonem xxxii. Synodi ſextæ.

CAPUT III.

De Adoptione.

Vide in cap. viii. Lit. B.

QUI adoptat adoptato major xviii. annis eſſe debet. Nam adoptio naturam ſequitur.

ΑΡΧΗ ΤΟΥ Υ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α΄.

Περὶ ὕβρεων.

Ζήτει τὸ ζ΄. κεφάλαιον τοῦ Β. στοιχείου.

Ο δὲ νε΄. τῶν ἁγίων ἀποστόλων κανὼν, καὶ ἔτι ὁ νϛ΄. ὁ τὸν ἴδιον ἐπίσκοπον ὑβρίσας κληρικὸς, καθαιρείσθω φησί· ἄρχοντα γὰρ τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς. Μωσέως τοῦτο τοῦ πάνυ φωνή· πρεσβύτερον δὲ ἢ διάκονον ὁ ὑβρίσας ἀφοριζέσθω· ἡ γὰρ πρὸς τὸν μείζονα ὕβρις, καὶ μείζονος ἀξία τῆς τιμωρίας, ἐλάττονος δὲ ἡ πρὸς τοὺς ἐλάττονας. ὁ μὲν γὰρ κεφαλῆς ἐπέχει τόπον τῷ σώματι τῆς ἐκκλησίας· οἱ δὲ χειρῶν, καὶ τῶν διακονικῶν ἑτέρων μελῶν.

Ο δὲ νζ΄. καὶ ὁ χωλὸν ἢ τυφλὸν ἢ τὰς βάσεις πεπληγμένον χλευάσας, ἀφοριζέσθω φησὶ, εἴτε κληρικὸς εἴη, εἴτε τῶν τοῦ λαοῦ. τοὺς τοιούτους γὰρ ἐλεεῖν μᾶλλον δέον χεῖρα βοηθὸν ἐπορέγοντας, ἢ χλεύης καὶ γέλωτος ποιεῖσθαι ὑπόθεσιν.

Νόμοι.

Η τραχεῖα ὕβρις ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ τόπου γνωρίζεται· ἀπὸ προσώπου, ὅταν ἄρχοντι ἢ πάτρωνι γίνηται, ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ πάντων ὁρώντων, ἀπὸ τοῦ πράγματος, ὅταν καὶ τραῦμα γίνηται, ἢ ὄψις πληγῇ· οἱ τοιοῦτοι, ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινὸς κωλύονται πράγματος, ἔντιμοι ὄντες· εἰ δὲ ἐλεύθεροι μὲν εἶεν, εὐτελεῖς δὲ, ῥοπαλίζονται. οἱ δὲ δοῦλοι φραγγελιζόμενοι τῷ δεσπότῃ ἀποδίδονται.

Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων, εἰς ἁγίαν ἐλθὼν ἐκκλησίαν, τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς καὶ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας, ὕβρεώς τι ἐπαγάγοι, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι, καὶ εἰς ἐξορίαν πεμφθῆναι· εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια, καὶ τὰς θείας λειτουργίας ταράξει, ἢ ἐπιτελεῖσθαι κωλύσει, κεφαλικῶς τιμωρεῖσθαι· τοῦτο αὐτὸ καὶ ἐπὶ τῶν λιτῶν ἐν αἷς ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται φυλαττομένου· ἵνα εἰ μὲν ὕβριν τις μόνον ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ τὴν λιτὴν διασκεδάσει, κεφαλικῶς τιμωρηθήσεται.

ΚΕΦ. β΄.

Περὶ ὑδροπαραστατῶν αἱρετικῶν.

Ζήτει ἐν τῷ β΄. κεφαλαίῳ τοῦ Α. στοιχείου· καὶ ἐν τῷ η΄. κεφ. τοῦ Κ. στοιχείου, κανόνα λβ΄. τῆς ϛ΄. συνόδου.

ΚΕΦ. γ΄.

Περὶ ὑοθεσίας.

Ζήτει ἐν τῷ η΄. κεφαλαίῳ τοῦ Β. στοιχείου.

Ο ὑοθετῶν ὀφείλει μείζων εἶναι κατὰ τὴν ἡλικίαν τοῦ ὑοθετουμένου, χρόνοις ιη΄. ἡ γὰρ θέσις μιμεῖται τὴν φύσιν.

ΚΕΦ.

ΚΕΦ. δ'.

Περὶ ὑπηρετῶν ἤτοι ὑποδιακόνων.

Ὁ κα'. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, οὐκ ἔξεστί φησι τοῖς ὑπηρέταις ἐν τῷ οὕτωπως ὠνομασμένῳ διακονικῷ τῶν ἱερῶν ἅπτεσθαι σκευῶν, πρὸς δὲ δι᾽ αὐτῶν ἱερουργῆσαι δηλονότι, τὰ εἰς θυσίαν προσφερόμενα, τὸν ἄρτον φημὶ καὶ τὸν οἶνον, ἐκ τῶν περιεχόντων ὑποδηλῶν τὰ περιεχόμενα· οὐ γὰρ ἐφεῖται τούτοις τὰ διακόνων μετιέναι. κενῶν δὲ τῶν ἱερῶν σκευῶν ἅπτεσθαι, καὶ πρὸς τὴν ἱερουργίαν ἑτοιμάζειν, καὶ μετὰ τοῦτο περιστέλλειν, καὶ ἐν καλῷ τοῦ νεὼ τιθέναι, τοῖς ὑποδιακόνοις παντὸς μᾶλλον προσῆκον· τοῦτο γὰρ καὶ αὐτοῖς ἡ διακονία.

Ὁ δὲ κε'. οὐδὲ ἄρτον διδόναι ἢ ποτήριον εὐλογεῖν, ἐφίησι τὸν ὑπηρέτην ἤτοι τὸν ὑποδιάκονον.

Ὁ δὲ μγ'. οὔτε τοῦ λαοῦ ὑπερεύχεσθαι τοὺς ὑποδιακόνους κελεύει ἐν τῷ τῆς θείας λειτουργίας καιρῷ, οὔτε τὰ θεῖα μεταχειρίζειν μυστήρια, τοῦτο γὰρ ἔργον μόνοις τοῖς ἱερεῦσιν. ἀλλὰ ταῖς θύραις ἐφεστάναι τῶν ἁγίων ἐκκλησιῶν· καὶ μηδὲ πρὸς βραχὺ τούτων ἀφίστασθαι, ὥστε ἐξάγειν τε καὶ εἰσάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιπούς. ἐν δὲ καὶ τοῦτο τῶν τῆς ἐκκλησίας ταγμάτων, τὸ τῶν ὑπηρετῶν φημι, τῶν καὶ θεραπευτῶν λεγομένων καὶ ὑποδιακόνων, παρὰ τοσοῦτον τοῦ λαοῦ πληρώματος ὑψηλότερον, παρ᾽ ὅσον τῶν τοῦ βήματος ταπεινότερον.

Ζήτει καὶ ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Α. στοιχείου, κανόνα τῆς ἐν Σαρδικῇ συνόδου, ιε'. καὶ ἐν τῷ θ'. κεφ. τοῦ Ε. στοιχείου, κανόνα τῆς ἐν Λαοδικείᾳ κβ'. καὶ κγ'. ζήτει καὶ τὸ λ'. κεφ. τοῦ Ε. στοιχείου.

ΚΕΦ. ε'.

Περὶ ὑποβόλου.

Ἡ τοῦ σοφοῦ Λέοντος νεαρὰ, πλείονα δεῖ εἶναί φησι, τὴν προῖκα τοῦ ὑποβόλου. τοῦ δὲ ἀνδρὸς ἀτέκνου τελευτήσαντος, ἂν μὴ παρῇ σύμφωνον, ἀνακομίζεται ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑποβόλαιον, καὶ πλέον οὐδέν· εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσῃ, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν· ὁ δὲ ἀνὴρ τοῦ ἰδίου μὴ ἀποστερείσθω ὑποβόλου.

CAPUT IV.

De Miniſtris ſive Hypodiaconis.

CANON xxi. Synodi Laodicenæ, Non licet, inquit, Miniſtris in loco, qui vocatur Diaconicum, ſacra vaſa attingere, nempe ad miniſtrandum ea quæ in ſacrificium offeruntur, panem, inquam, & vinum, per continens quidem id quod continetur ſubinnuens. Non B enim iſtis permittitur diaconorum munus obire. Vaſa autem vacua tangere, & ad ſacrum officium præparare, & poſtea deponere, & in loco templi commodo collocare, hypodiaconis maximè convenit. Hoc enim eorum miniſterium eſt.

Canon verò xxv. Neque panem diſtribuere neque poculum benedicere permittit miniſtrum ſive hypodiaconum.

Atque xliii. jubet hypodiaconos, neque pro populo orare, quo tempore ſacra myſteria peraguntur, C neque ſacra illa manibus ſuis contrectare, quod peculiare munus eſt Sacerdotum, ſed ad fores adſtare ſacrorum Eccleſiarum, & nè minimum illas relinquere, ut poſſint educere & introducere Catechumenos pœnitentiam agentes, atque etiam reliquos. Hic autem ipſe ex ordinibus Eccleſiaſticis, ſcilicet miniſtrorum & ſervorum, ut vocantur, ſeu hypodiaconorum tanto Laicorum ſuperior, quanto gradibus Eccleſiaſticis inferior.

Quære & in nono capite Lit. A. Can. Syn. D Sardicenſis xv. & in ix. cap. Lit. E. Can. xxii. & xxiii. Syn. Laodicenæ. Vide etiam cap. xxx. Lit. E.

CAPUT V.

De Donatione ante Nuptias.

LEONIS Sapientis Conſtitutio Novella, dotem, inquit, oportet majorem eſſe donatione. Si vir E tamen ſine liberis moriatur, & contractus non interceſſerit, repetit mulier dotem & donationem ante Nuptias, & nihil præter. At ſi mors corripiat mulierem, hæredes ipſius dotem recipiant: ſed vir ſuam donationem minimè amittat.

A

INITIUM LITERÆ Φ.

ΑΡΧΗ ΤΟΥ Φ. ΣΤΟΙΧΕΙΟΥ.

CAPUT I.

De Lege Falcidiâ.

FALCIDIA eſt Lex quæ à Legatis eximit tertiam partem patrimonii, eámque hæredi concedit. Lata autem eſt liberorum causâ, ut naturalibus B hæredibus primò proſpiceretur. Sic autem Lex ſe habet: Si pater vel unum vel duos vel tres & uſque ad quatuor filios habuerit, ſubductis priùs debitis, atque ſumptibus in luctu factis, & iis quæ in pios uſus erogantur, tum etiam pretio ſervorum libertate donandorum, accipiunt liberi tertiam partem bonorum paternorum: ſin verò quinque fuerint liberi, aut ultra, atque inſuper poſſident dimidium facultatum, reliquum verò pater largitur, ut ipſi lubet, vel uni vel pluribus filiorum ſuorum, aut extraneo cuilibet. Si tamen in profundum fortè projicere velit pater, nemo ei criminari poteſt. Dicit autem Lex; Legata, quæ in pios uſus relinquuntur, ante Legem Falcidiam obtinere volumus.

ΚΕΦ. α'.

Περὶ φαλκιδίου.

Φαλκίδιός ἐστι νόμος ἐξαιρῶν ἀπὸ τῶν λεγαταρίων τὸ τρίτον μέρος τῆς πατρικῆς οὐσίας, καὶ περιποιῶν τῷ κληρονόμῳ. ἐπενοήθη δὲ προνοίᾳ τῶν παίδων, ἵνα οἱ φυσικοὶ κληρονόμοι πρότερον θεραπευθῶσιν. ἔστι δὲ τοιοῦτος· εἰ μὲν εἷς ὢν τυγχάνει τῷ πατρὶ παῖς, ἢ δύο, ἢ τρεῖς, ἄχρι καὶ τῶν τεσσάρων, ὑπεξαιρουμένων πρότερον τῶν χρεῶν, καὶ τῶν ἐν τῇ κηδείᾳ ἀναλωμάτων, καὶ τῶν ἐπ' εὐσεβείᾳ διδομένων, ἔτι δὲ καὶ τῶν τιμημάτων τῶν ἐλευθερωθέντων οἰκετῶν, λαμβάνουσιν οἱ παῖδες τὸ γ'. τῆς καθαρᾶς περιουσίας τοῦ πατρὸς, εἰ δὲ ε'. εἰσὶν οἱ παῖδες καὶ ἐπέκεινα, τὸ ἥμισυ κτῶνται τῆς ὑποστάσεως, τὸ δὲ λοιπὸν φιλοτιμεῖται ὁ πατὴρ ἔνθα ἂν αἱρῆται, ἢ ἑνὶ τῶν αὐτοῦ παίδων ἢ πλείοσιν, ἢ ξένῳ οἵῳ δή τινι. εἰ δὲ κατὰ βυθοῦ ῥῖψαι βουληθείη τυχὸν ὁ πατὴρ, οὐκ ἔχει τὸν ἀνακρίνοντα. φησὶ δὲ ὁ νόμος, C τὰ ἐπ' εὐσεβείᾳ καταλιμπανόμενα λεγάτα, καὶ τοῦ φαλκιδίου αὐτοῦ κατὰ προτίμησιν ἀνώτερα εἶναι θεσπίζομεν.

CAPUT II.

De Veneficis & Magis.

Quære cap. i. Lit. M.

ΚΕΦ. β'.

Περὶ φαρμακῶν καὶ μάγων.

Ζήτει τὸ α'. κεφάλαιον τοῦ Μ. στοιχείου.

D

CAPUT III.

De Stupro.

Quære in cap. xv. Lit. M. Canonem xvii. & lx. Magni Baſilii, & cap. xiii. Lit. A. Et cap. viii. & xxx. Lit. Γ.

ΚΕΦ. γ'.

Περὶ φθορᾶς παρθένων.

Ζήτει τὸ ιε'. κεφάλαιον τοῦ Μ. στοιχείου, κανόνα τοῦ μεγάλου Βασιλείου ιη'. καὶ ξ'. καὶ τὸ ιγ'. κεφάλαιον τοῦ Α. στοιχείου. καὶ τοῦ γ'. στοιχείου τὸ η'. καὶ λ'. κεφ.

E

CAPUT IV.

De Φιλαργυρείας.

Vide cap. xi. Lit. Π.

ΚΕΦ. δ'.

Περὶ Φιλαργυρείας.

Ζήτει τὸ ια'. κεφ. τοῦ Π. στοιχείου.

CAPUT V.

De homicidio voluntario & imvoluntario.

CANON lxv. Sanctorum Apoſtolorum, qui in pugnâ, inquit, & jurgio percutiens aliquem interfecerit, F quamvis unicum ictum intulerit, ſi Clericus fuerit deponatur, propter animi ſui temeritatem: at ſi Laicus, excommunicetur. Nam propterea etiam Dominus jubet oppreſſum non ſolùm non obſiſtere, ſed dexteram præbere ferienti; quia nam ſæpe pugna in cædem deſinit.

Magnus autem Gregorius Nyſſenus in Can. iv. Crimen, inquit, homicidii in voluntarium & involuntarium diſtinguitur. Et homicidium quidem voluntarium eſt, quod ex deliberatione perpetratur: deinde eſt illud inter

ΚΕΦ. ε'.

Περὶ φόνων ἑκουσίων, καὶ ἀκουσίων.

Ο ξε'. τῶν ἁγίων ἀποστόλων κανὼν, ὅς τις ἐν μάχῃ φησὶ, καὶ φιλονεικίᾳ, πλήξας ἀποκτείνῃ τινὰ, εἰ καὶ μίαν ἔτυχε κατενεγκὼν τὴν πληγήν· εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. διὰ γάρ τοι τοῦτο καὶ κύριος, οὐχ ὅπως μὴ ἀμύνεσθαι, τὸν λελυπηκότα, ἀλλὰ τὴν δεξιὰν ἐμπαρέχειν κελεύει τῷ παίοντι· οἷα τῆς μάχης ἔσθ' ὅτε τελευτώσης εἰς φόνον.

Ο δὲ μέγας Γρηγόριος Νύσσης ἐν τῷ Δ. κανόνι τὸ τοῦ φόνου φησὶν, ἄγος, τῇ διαφορᾷ τοῦ ἑκουσίου, καὶ ἀκουσίου διῄρηται· καὶ ἑκούσιος μὲν ἐστὶ φόνος, ὁ ἐκ παρασκευῆς τετολμημένος, ἔπειτα κἀκεῖνος ἐν τοῖς

ἑκουσίοις ὀνομάσθη· ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίαν τὴν διὰ χειρὸς πληγήν. ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων, ἐπὶ νοῦν λάβοι ποτὲ, ὥστε καὶ τὸ ἐκ συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου εἰς ἔργον προαιρέσεως, καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται.

Οἱ δὲ ἀκούσιοι φόνοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τῶν ἀβουλήτων τι δράσῃ. τοῦ μὲν οὖν ἑκουσίου φόνου εἰς ἑπτὰ καὶ εἴκοσι χρόνους παρατείνεται τὸ ἐπιτίμιον, εἰς τρεῖς ἐννεαετηρίδας διαιρουμένους· ὡς ἐπὶ μὲν τῆς μιᾶς παντελῶς εἶναι ἀφωρισμένον τὸν ἐπιτιμηθέντα, ἔξω τῆς ἐκκλησίας ἱστάμενον καὶ προσκλαίοντα· τὰς δὲ λοιπὰς δύο, εἴς τε τὴν τῶν ἀκροωμένων πρότερον· εἶτα τὴν τῶν ὑποπιπτόντων διελόμενον στάσιν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων μετουσίαν ἐλθεῖν· εἰ δὲ τὸ μέγεθος τῆς ἐπιστροφῆς τοῦ ἐπιτιμηθέντος, καὶ ἡ τῆς μετανοίας θερμότης, παρελαύνοιτο τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥαθυμότερον ἑαυτοὺς ἐκκαθαιρόντων, συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις· ὥστε ἀντὶ τῶν ἐφ᾽ ἑκάστῳ βαθμῷ ἐννέα ἐτῶν, ὀκτὼ ἢ ἑπτὰ, ἢ ἓξ, ἢ πέντε μόνα γίνεσθαι κατὰ τὴν κρίσιν τοῦ τὴν ἐκκλησίαν οἰκοδομοῦντος.

Ὁ δὲ ἀκούσιος φόνος συγγνωστὸς μὲν, οὐ μὴν ἐπαινετὸς ἐκρίθη. τὸν γὰρ ἁλόντα τῷ μιάσματι, τούτῳ ὡς ἐξάγιστον ἤδη γινόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο. ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος τῶν ἐννέα ἐτῶν, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων, καλῶς ἔχειν ἐδοκιμάσθη. δηλαδὴ καὶ ἐν τούτῳ, τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, εἰ δέον ἐστὶ τὸν ὁρισθέντα χρόνον αὐτῷ ἐξήκειν ἢ ἐλάττω γίνεσθαι.

Οὕτω καὶ ὁ μέγας Βασίλειος ἐν τῷ η΄. κανόνι τὸν ἑκούσιον φόνον καὶ ἀκούσιον ὁριζόμενος, ἀκούσιος μέν ἐστι φησὶ, ὅταν τις ἀκοντίσας λίθον, ἐφ᾽ ᾧ θηρίον ἀμύνασθαι, ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προϊδὼν, εἰς θάνατον πλήξῃ. οὐ μὴν, ἀλλὰ καὶ εἴ τις ἐπιστρέψαι τινὰ βουλόμενος ἱμάντι, ἢ ῥάβδῳ μὴ πάνυ τραχείᾳ τύψει, ἀποθάνοι δὲ ὁ τυπτόμενος· ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἐβούλετο τὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖν.

Ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο· ὅταν τις ἀμυνόμενος ἐν μάχῃ τινὰ ξύλῳ ἢ χειρὶ, ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνέγκῃ, ἐφ᾽ ᾧ κακῶσαι τοῦτον, οὐχ ὥστε παντελῶς ἀνελεῖν. ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ. ὁ γὰρ τούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, καὶ μὴ πεφεισμένος τὴν πληγὴν ἐπαγαγὼν, δῆλός ἐστι τοῦ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶν τοῦ ἀνθρώπου.

Ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ ἢ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις φονεῦσι συναριθμεῖται· ἄλλο μέντοι προελόμενος, ἄλλο δὲ ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἔνεγκε τὴν πληγὴν, ὥστε καὶ ἀνελεῖν τὸν πληγέντα· καί τοι ἡ σπουδὴ ἦν αὐτῷ συντρίψαι τυχὸν, οὐχὶ καὶ παντελῶς θανατῶσαι.

Ὁ μέντοι ξίφει χρησάμενος οἱωδήτινι οὐδεμίαν ἔχει παραίτησιν. καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας, καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ᾽ αὐτῷ εἶναι· ἀλλ᾽ ἠκόντισεν, ὡς τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ καὶ τῇ διὰ πλείστου φορᾷ ὀλεθρίαν τὴν πληγὴν ἀναγκαίως γίνεσθαι.

A voluntaria recenſetur, quando quis in congreſſu & pugnâ verberans & verberatus, inferat arreptâ opportunitate manu ſuâ ictum lethalem. Nam qui animi impotens iræ ſuæ impetui locum dederit, jam nihil eorum in mentem inducit quæ malum præcidere poterant, dum viget paſſio; adeò ut homicidium ex congreſſu referatur inter deliberationis opera, & neutiquam inter fortuita.

Involuntaria autem homicidia indicia manifeſta habent, Cùm quis, dum aliud prorſus intendit, fortuitò aliquid eorum quæ facta nolit, fecerit. Homicidii autem voluntarii pœna ad xxvii. annos extenditur, B qui in tria novennia diſtinguitur: ita ut per primum novennium pœnitens penitus ſegregetur, & extra Eccleſiam ſubſiſtens ploret. Reliqua autem duo tranſigat partim, & quidem primùm in ſtatione audientium, partim in illâ procidentium, atque ita ad participationem myſteriorum accedat. At verò ſi inſignis puniti converſio, & pœnitentiæ vehementia vincat eam in longiori tempore ſeipſos pigriùs purgantium, contrahetur ipſi & pœnæ mora, ut pro annis novem, qui ſingulis gradibus competit, octo aut ſeptem aut ſex vel ſolùm v. annos agat, juxta diſcretio- C nem ejus qui Eccleſiam regit.

Cædes autem involuntaria, veniâ quidem, non tamen laude digna æſtimata eſt. Nam qui eâ culpâ tenetur, tanquam impurum ac piaculum, à gratiâ Sacerdotali rejiciendum decernit Canon. Quantum autem temporis ſimplici fornicationi expurgandæ ſtatuitur, tantum etiam convenire exiſtimatum eſt, ſcilicet ſpatium novem annorum, reconciliandis homicidis involuntariis; hîc etiam probato pœnitentis propoſito, an opus ſit tempus definitum ipſi integrum D tranſigi, an verò contrahi.

Sic etiam Magnus Baſilius in viii. Canone cædem voluntariam & involuntariam definit, aitque, Involuntaria quidem eſt, quando quis lapidem projicit, ut beſtiam propulſet, aut arboris fructum excutiat, atque minimè prævidens hominem prætereuntem lethaliter percutit. Imò & ſi quis cupiens aliquem convertere in melius loro vel virgâ non admodum durâ, eum verberet, & intermoriatur is qui vapulat. Propoſitum enim tum conſideratur, quòd corrigere delinquentem voluit non interimere.

E Illud etiam eſt homicidiis voluntariis, ut quis in pugnâ acriter aliquem propulſans ligno aut manu ut opportunè plagam incutiat, quâ eum lædere poſſit, non verò penitus interficere: ſed hoc quidem proximè ad voluntarium accedit. Qui enim tali inſtrumento uſus fuerit ad ſe defendendum, & ictum inflixerit nihil parcens, impotentis animi manifeſtus eſt in hominem ſæviens.

Similiter & qui ligno gravi aut lapide majore quàm pro viribus humanis uſus eſt, involuntariis homicidis annumeratur, tanquam qui aliud voluerit, aliud F verò fecerit. Illum enim ictum irâ commotus intulit, quo percuſſum interfecit: quanquam ei forte in animo erat eum conterere, non tamen penitus enecare.

Qui autem enſe aliquo uſus eſt, nullam habet excuſationem, præſertim qui ſecurim jaculatur: non enim manu percuſſiſſe videtur, ut ſit aliqua moderatio ictûs penes illum: ſed projecit, ut & gravitate ferri, & acie & motu per bene magnum ſpatium, ictus neceſſariò ſit pernicioſus.

Cæterùm voluntarium ſimpliciter dicitur, & nullam omninò dubitationem trahit, quale eſt quod à latronibus fit & hoſte. Iſti enim propter pecuniam interimunt, judicium refugientes. Et qui bella gerunt ad cædes patrandas accedunt, neque terrere ſtudentes, neque caſtigare, ſed ex profeſſo adverſarios interficere. Imo etiam ſi propter aliquam aliam cauſam curioſum medicamentum aliquis miſceat, atque ita interficiat, voluntariam eſſe iſtam cædem judicamus, ſicut ſæpe faciunt mulieres, quæ quibuſdam incantationibus ac amuletis, ad ſui amorem aliquos attrahere conantur, & dant iis medicamenta quæ mentibus tenebras offundunt. Hæ ergo, ſi enecent, quamvis aliud voluerint, aliud fecerint, propter quidem curioſum & prohibitum exercitium, inter voluntarios homicidas reputabuntur. Imò & quæ abortum cientia medicamenta præbent, vel quæ recipiunt venena fœtus necantia aut immature præcipitantia, nihil planè à voluntariis homicidis differunt.

In Canone autem xliii. Quiſquis ictum lethalem vicino inflixerit, ſive prior percuſſit, ſive ſe defenderit, homicida eſt.

Atque Canone lvi. Qui ſua ſponte interfecit, & poſtea pœnitentiâ ductus fuerit, per xxv. annos ſacrâ communione privabitur; ſcilicet annis quatuor extra fores Oratorii ſtans & flens, & palam denuncians crimen ſuum, atque rogans fideles intrantes, ut pro ipſo Deum precari velint; tum per quinquennium unà cum Audientibus egredietur: dein ſeptem annis ſimul cum Subſtratis ante finitam liturgiam exibit. In reliquis quatuor, Conſiſtet: et hoc faciet continuò in celebratione Euchariſtiæ.

A ſacramento autem Euchariſtiæ per decennium excludit homicidam involuntarium Canone lvii. Verùm in Canone liv. pro ratione circumſtantiarum pœnas homicidæ involuntarii remitti vel intendi jubet.

Atque in Can. xi. ſufficere affirmat id ſupplicii involuntariè interficienti, quod undecim annos à communione abſtineat. Excedit enim iſtud etiam præſcriptum ſacris Canonibus tempus. Quoad illos, qui percuſſi ſunt, legem Moſaicam obſervare oportet: Et hunc quidem, qui propter plagas decubuit, rurſus tamen baculo ſuo innixus ambulat, occiſum eſſe minimè exiſtimare: Sin autem poſt ictus non ſurrexit, quia eum nollet interficere qui verberavit, homicida quidem eſt, ſed involuntarius propter propoſitum.

Canon autem xxii. Synodi Neocæſarienſis, qui in homicidium involuntarium incidunt, ait, prior conſtitutio per ſeptennium communicare vetat, poſterior autem quinquennium ſolum adimplere.

Canone verò xxiii. Homicidas voluntarios in exitu vitæ ad communionem admitti jubet. Tu tamen potius ſequere Canones Magni Baſilii.

CAPUT VI.

De Suicidis.

Vide xii. cap. Lit. B.

A Ἑκούσιον φόνον δὲ παντελῶς, καὶ οὐδεμίαν ἔχων ἀμφιβολίαν, οἷόν ἐστι τὸ τῶν λῃστῶν, καὶ τῶν πολεμικῶν. οἱ μὲν γὰρ χρημάτων ἕνεκεν ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες. οἱ δὲ ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονῆσαι, ἀλλ' ἀναιρεῖν τοὺς ἐνδημιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι. καὶ μέντοι κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον φάρμακον τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον· οἷα ποιοῦσιν αἱ γυναῖκες πολλάκις, ἐπ' ἀοιδίαις τισὶ καὶ καταδέσμοις πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαι τοὺς ἄνδρας πειρώμεναι. καὶ προσδιδοῦσαι φάρμακα σκότωσιν ἐμποιοῦντα ταῖς αὐτῶν διανοίαις. αἱ τοιαῦται ἀνελοῦσαι, B εἰ καὶ ἄλλο προελόμεναι ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται. καὶ τὰ ἐμβρυοκτόνα τοίνυν ἐπορέγουσαι, ἢ δεχόμεναι φάρμακα, ὡς ἀμβλωθρίδια προενεγκεῖν καὶ ἄωρα τὰ γεννήματα, οὐδὲν τοῖς ἑκοντὶ φονεύουσιν ἀπεοίκασιν.

Ἐν δὲ τῷ μγ'. ὅστις φησὶ θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν, εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

C Ἐν δὲ τῷ νϛ'. ὁ ἑκοντὶ φονεύσας ἔπειτα μεταμεληθεὶς, εἰς κε'. ἔτη τῆς κοινωνίας ἐκποδὼν ἔσται τῶν ἁγιασμάτων· ἐν τέσσαρσιν ἔτεσιν ἔξω τῆς θύρας τοῦ εὐκτηρίου ἑστὼς καὶ προσκλαίων, καὶ τὴν ἰδίαν ἐξαγορεύων παρανομίαν, τῶν εἰσιόντων τε πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι· ἐν πέντε ἔτεσι μετὰ τῶν ἀκροωμένων ἐξελεύσεται· καὶ αὖθις ἐν ἑπτὰ μετὰ τῆς ὑποπτώσεως, ἔνδον οὐ μέχρι δὲ τέλους, ἐν τοῖς λοιποῖς τέσσαρσι συστήσεται· καὶ ταῦτα διηνεκῶς ἐν μεθέξει τῶν ἁγιασμάτων γενήσεται.

D Τὸν δὲ ἀκουσίως πεφονευκότα ἐν τῷ νζ'. εἰς δέκα ἔτη τῶν ἁγιασμάτων κοινωνίας ἀπείργει. ἐν δὲ τῷ νδ'. κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως, τοῦ ἀκουσίως φονεύσαντος ἢ ὑφεῖναι ἢ ἐπιτεῖναι κελεύει τὰ ἐπιτίμια.

Ἐν δέ γε τῷ ια'. ἀποχρῶσαν εἶναι φησὶ καταδίκην τῷ ἀκουσίως φονεύσαντι. τὸ ἐπὶ ἕνδεκα ἔτη μὴ κοινωνῆσαι· ὑπερβέβηκε γὰρ καὶ τὸν τετυπωμένον τοῖς κανόσι καιρόν. ἐπὶ δὲ τῶν πληγέντων τὰ Μωσέως παρατηρήσωμεν, καὶ τὸν κατακλιθέντα μὲν ὑπὸ τῶν πληγῶν, ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ἑαυτοῦ ῥάβδῳ, οὐ λογισώμεθα πεφονεῦσθαι. εἰ δὲ οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλ' οὖν τῷ μὴ προ- E ελέσθαι αὐτὸν ἀνελεῖν ὁ τυπτήσας, φονεὺς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν.

Ὁ δὲ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν κβ'. τοὺς ἀκουσίῳ φόνῳ περιπεσόντας φησὶν, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μὴ μετασχεῖν· ὁ δεύτερος τὸν πενταετῆ χρόνον πληρῶσαι.

Ὁ δὲ κγ'. τοὺς ἑκουσίως φονεύσαντας ἐν τῷ τέλει τοῦ βίου τῆς κοινωνίας ἀξιοῦσθαι κελεύει. σὺ δὲ τοῖς τοῦ μεγάλου F Βασιλείου μᾶλλον πείθου κανόσιν.

ΚΕΦ. ϛ'.

Περὶ τῶν φονευόντων ἑαυτούς.

Ζήτει τὸ ιβ'. κεφ. τοῦ Β. στοιχείου.

ΚΕΦ.

A

ΚΕΦ. ζ'.

Περὶ τῶν φόνων τῶν ἐν πολέμοις, καὶ τῶν φονευόντων λῃστάς.

Ὁ Μὲν μέγας Ἀθανάσιος, ἐν τῇ πρὸς Ἀμμοῦν ἐπιστολῇ, φονεύειν οὐκ ἔξεστί φησιν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ιγ'. κανόνι, τοὺς ἐν πολέμοις φόνους οἱ πατέρες ἡμῶν, φησιν, ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖ, B συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. τάχα δὲ καλῶς ἔχοι συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς τριῶν ἐτῶν τῆς κοινωνίας ἀπέχεσθαι. δι' ἐπαίνου γὰρ τίθεται καὶ ὁ θεσπέσιος οὗτος πατὴρ, τοὺς ὁμόσε τοῖς ἀντιπάλοις εὐψύχως ἰόντας, καὶ τὸ τῶν χριστιανῶν γένος ὑπερασπίζοντας. τί γάρ τε ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένων, εἰς ἐπαίνου λόγον γένοιτ' ἂν ἀξιώτερον; ὅτι γοῦν μὴν αὐτῷ προέκειται σκοπὸς, τὰς συνεζευγμένας ἔσθ' ὅτε καὶ ταῖς ἀγαθαῖς τῶν πράξεων καθαίρειν κηλῖδας, μετρίως καὶ τούτοις ἐπιτιμᾷ, ὥσπερ οἶμαι καὶ ὁ μέγας ἂν ἐποίησεν Ἀθανάσιος, εἰ ταύτην C προστησάμενος καὶ αὐτὸς ἐτύγχανε τὴν ὑπόθεσιν, καὶ μὴ ἑτέρωσε βλέπων, τούτων ἀπεμνημόνευσεν. ἀλλ' οἱ τῆς μεγαλονοίας τοῦ νομοθέτου μὴ ἐφικνούμενοι, μηδὲ τῶν ἀνθρωπίνων κατορθωμάτων τὸ πρὸς κακίαν ἀγχίθυρον στοχαζόμενοι, μέμψεις αὐτῷ περιάπτειν τολμῶσιν, οἷα φορτικὸν ὂν τὸ τῆς συμβουλῆς, καὶ τῆς ὀρθῆς ἀποδέον κρίσεως. συμβήσεται γάρ φησι παρὰ τοῦτον τῶν στρατιωτῶν τοὺς εὐδοκιμωτάτους, καὶ μάλα οἷς ἔργον ξίφει καὶ φόνῳ τὰς τῶν ἀλλοφύλων ἀνακόπτειν ὁρμὰς, διὰ βίου τῆς τοῦ ἀγαθοῦ στέρεσθαι μεταλήψεως, ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. διατί γάρ φασι, οὐ καθαροὶ τὰς χεῖρας, οὓς σωφροσύνης περὶ καὶ εὐσεβείας αὐτὸς πολεμεῖν D μαρτυρεῖς, ἄριστα πάντων τοῦτο σκοπήσας, καὶ γὰρ εἰ μὴ οὗτοι προεθυμήθησαν εἰς χεῖρας τοῖς βαρβάροις ἰέναι, καὶ τὰ ξίφη ἐπισείοντας πείθειν; οὐχ ὅπως τῶν ἀλλοτρίων ἐφίεσθαι, ἀλλὰ καὶ περὶ τῶν σφετέρων δεδοικέναι, οὐκ ἂν φθάνοι τὰ τῆς εὐσεβείας οἰχόμενα, τῶν βαρβάρων ὑφ' ἑαυτοὺς πάντα ποιουμένων μετὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὸ οἰκεῖον σέβας διὰ σπουδῆς τιθεμένων κρατύνειν; σωφροσύνην δὲ τίς ἔσται ὁ μετιὼν ἀναγκαζομένων πάντων ζῆν κατ' ἐκείνους, ἀλλοκράτορας ἤδη γεγενημένους, τούτους παιδικῶς ἂν φαίη τις γλώττῃ τολμῶντι παραβομβεῖν τὴν πολύστομον τοῦ πνεύματος σάλπιγγα, καὶ τῆς εὐαγγελικῆς ἐμπειρίας τὴν βίβλον. E πρὸς οὓς ἐκεῖνο ἂν εἴποιμι· ὅτι τῶν ἐν ἡμῖν φυσικῶν παθῶν συλλήβδην εἰπεῖν ὁ ἑσμὸς, μετὰ τὴν τοῦ Ἀδὰμ ὡς ἴσμεν παράβασιν, τῷ τῶν ἀνθρώπων εἰσεκώμασε γένει, ὥσπερ ἀρρωστημάτων κοινῶν τῇ κακίᾳ συνεισπεσόντων. τούτων τὰ μὲν φύσει συνέζευκται, καὶ ἀνάγκῃ, τὰ δὲ φύσει δέχεται καὶ προαιρέσει. καὶ τὰ μὲν ἔχει τὸ ἀνεπίκλητον, τὸ ἀποχρῶσαν κεκτῆσθαι παραίτησιν τὴν ἄλογον ἀνάγκην τῆς φύσεως, ἂν μὴ τῇ χρείᾳ μόνον ἡ ἀμετρία λυμήνηται. ἐφ' ἃ δὲ ἡ προαίρεσις ἄγει, ἥπερ τῇ λογικῇ καὶ αὐτεξουσίῳ συνεισέρχεται φύσει, ὑποκλίνεσθαι ταύτην πείθουσα τοῖς τῆς ἀλόγου φύσεως πάθεσιν· ἐξὸν εἴπερ ἐβούλετο μὴ ἐνδοῦναι, οὐ πάντῃ τὸ ἄμεμπτον εἰ καὶ συγκεχώρηται F διαπέφευγε. ταύτῃτοι καὶ καθάρσεως ταῦτα δεῖται, οἷα τῆς προγονικῆς ἥττης κατ' ἴχνος ἑπόμενα. καὶ γὰρ ὁ γάμος εἰ καὶ τῆς ἀθανασίας ἧς ἐκπεπτώκαμεν, δοκεῖ γοῦν δήπου φέρειν τὸ ἀπεικόνισμα τῇ τοῦ γένους διαδοχῇ· ἀλλ' οὖν εἰ μὴ ἐπίκυρον ποιοίη τις τὸν νόμον, καὶ τῇ ἱερᾷ τελετῇ τὴν παλαιὰν προστροπὴν ἀποπλύναιτο, τῶν ἐναγίστων εἶναι δοκεῖ. ὥσπερ δὴ καὶ τὰ τικτόμενα βρέφη, εἰ μὴ τῷ θείῳ καθαρθείη λουτρῷ, ἐκποδὼν τῆς ἡμῶν ἵσταται κοινωνίας. κἄν τι μὴ ἐκ προαιρέσεως, φυσικῶς δὲ τοῦ προγονικοῦ μετεσχηκέναι μιάσματος πιστευόμενα·

CAPUT VII.

De cædibus bellicis, & latronum interfectoribus.

MAGNUS ſanè Athanaſius in Epiſtolâ ad Ammum, Hominem occidere, inquit, non licet, ſed tamen hoſtes in bello interficere, & licet, & laude etiam dignum eſt.

Magnus autem Baſilius in Can. xiii. Cædes, inquit, bellicas, Patres noſtri homicidia eſſe minimè reputabant, ignoſcentes, ut mihi videtur, iis qui pro pudicitiâ & pietate decertant. Rectè tamen habet hoc conſilii dare, ut à communione per triennium tanquam manibus impuros abſtineant. Laude enim dignos exiſtimat etiam ſanctus hic Pater qui in hoſtes impetum faciunt, & genus Chriſtianum defendunt; quid enim illo in laudem præclarius dici potuit, quòd pugnent pro pudicitiâ & pietate? Quia verò ipſi propoſitum fuit, maculas quæ nonnunquam præclaris actionibus adhærent eluere, moderatè etiam iſtos punit: ſicuti & magnus Athanaſius, quod reor, feciſſet, ſi ipſi contigiſſet hunc caſum tractare, neque aliò reſpiciens iſtos præteriiſſet: verùm illi, (Zonaram innuit) qui magnanimitatem ſpiritualis hujus legiſlatoris non aſſequuntur, neque naturæ humanæ ad vitium pronitatem conſiderant, ipſum reprehendere non verentur, quaſi eſſet inſulſum conſilium, & recto judicio vacuum. Hoc pacto enim, ait ille, continget milites ſpectatiſſimos, & quorum ſtudium eſt enſe ac cæde exterorum incurſus præcidere, per totam vitam boni communione privari, quod viris Chriſtianis intolerabilis pœna eſt. Quippe cur non illi manibus puri eſſe debent, quos tu ipſe fateris pro pudicitiâ & pietate pugnare, ut ille optimè animadvertit? non enim illi geſtiebant Barbaros aggredi, & ob vibratis gladiis flectere? non quidem cupidos bonorum alienorum, ſed tamen de ſuis ſollicitos eſſe anne adverſus pietatem peccare videatur, cùm aliàs Barbari omnia ſibi ſubjicerent propter nimiam adverſarii ignaviam, & ſuam ſuperſtitionem ſtabilire magnopere anniterentur? Quis autem honeſtati locus erit cùm omnes arrepto ſemel imperio ad eorum mores vitam agere coguntur? Hæc quidem audent puerili balbutie adverſus multiſonam Spiritus buccinam & Evangelicæ ſcientiæ ſyntagma obmurmurare. Quibus ſic reſpondere licet: Quòd naturalium noſtrorum affectuum, ut ſummatim dicam, examen poſt lapſum Adæ, quòd ſcimus, univerſum genus humanum invaſit, tanquam farrago infirmitatum communium in malum conſpirantium. Quorum alia ex naturâ & neceſſitate adhærent: alia autem ſecundùm naturam & electionem nobis inſunt. Et illa quidem nullam culpam trahunt, quia obtendunt tanquam ſufficientem excuſationem irrationalem neceſſitatem naturæ, modo exceſſus uſum non vitiet: ſed quoad iſta ad quæ electio incitat, (quæ quidem naturæ rationali liberè agenti convenit) perſuadens eam irrationalis naturæ paſſionibus ſe ſubmittere, ut par eſt, quamvis ſeſe dedere recuſaverit, haud penitus tamen reprehenſionem, condonatus licet, evaſerit. Quapropter hæc etiam expiatione opus habent, tanquam preſsè originale vitium conſequentia. Namque matrimonium, quamvis vel immortalitatis, quâ excidimus, imaginem quandam præ ſe ferre videatur generis ſucceſſione, nihilominus, niſi quis legitimam poteſtatem habuerit, & ſacro ritu veterem ſtatum eluerit, inter res execrabiles cenſetur. Idcirco & infantes niſi ſacro purgentur lavacro, à communione noſtrâ excluduntur: quamvis non ex electione, ſed naturaliter labis originalis participes fieri credantur: quatenus carnis concupiſcentiam tanquam naturæ culpam ferunt.

Unde dicit ſanctus David, Ecce enim in iniquitatibus A conceptus fui, &c. Quare ſi bella, & quæ inde ſequuntur hominum cædes, paſſionum poſt lapſum voluntariarum ſoboles ſint, opus eſt ut ii qui in caſtris vivere, & dextram ſanguine exterorum imbuere ſtudent, repurgentur priùs pœnitentiæ medicina, atque hujuſce igne ſordes illi vitæ generi adhæreſcentes abſumant, atque ita ad myſteria Novi Adæ accedant. Quoniam etiam tota Evangelica inſtitutio, nos ad priſtinum ſtatum reducens, & ad ſpiritualem, ut licet, & meliorem vitam inſtruens, nullo in loco vel bella laudat, aut per cædes malitiæ impetum ſiſtit, prout ſe res habuit ſub veteri lege: ſed maximè huic adverſatur, B & prorſus contraria docet. Nam Dominus aliquando diſcipulos ſuos, qui rogaverant eum zelo Theſbytæ commoti, ut vellet fulmina in Samaritanos immittere, qui ipſos non receperant, ſemet ad ipſos convertens increpavit hiſce verbis, Non noſtis quo ſpiritu ſitis. Veruntamen ſi veterem etiam legem diligenter conſideraveris, paria cum Euangelicâ quoad iſta ſentientem reperies: tametſi alius naturæ humanæ ſtatus, aliam providentiam legéſque poſtulare videbatur. Quam ob cauſam Deus Davidem extruendi templi cupidum non permiſit? annon quod dextra ejus infinitâ cæde exterorum fuit polluta? C Joſephus etiam hîc meritò fidem faciat. Quare etiam Deus, quando oſtentis de cœlo, & voce tenuiſſimæ auræ in Horeb ad dictum Thiſbitem allocutus eſt, Dominum in iſtis non eſſe, in hac verò adeſſe dixit? Nonne inde planè demonſtravit, quod ſola longanimitas & miſericordia Deo placeat, quodlibet autem cæterorum hominum malitia inducit? Quænam illa adminiſtrationis Moſis præſtantia, annon quod impietatem è medio tollere potuit, quæ dominari ſolet in vitam humanam, & conterere omnes qui ipſi renituntur, & omnibus modis recuſantes reformationem in melius? Quare igitur eos, qui etiam ex mandato Dei cum D corporibus humanis impietatem unà demetunt, per certos dies ingredi in caſtra alicubi vetuit. Nuncios enim Bileamum infeſtiſſimum cum diris oraculis à ſe miſſos, qui civitates ei tributarias expugnaverant, & cives omnes præter infantes nihil parcentes interfecerant, Rege etiam ipſo mactato, qui priùs infinita mala meditatus fuit contra Judæos, fecerátque: quippe offerens ipſis mulieres impudicas, laſciviâ corpora & impietate animas eorum qui cum ipſis corrupit; Hos, inquam, qui tam præclarè hoſtem devicerant, extra campum manere juſſit uſque ad diem ſeptimum, præcepitque magnum Sacerdotem E Eleazarum ipſos purgare: oſtendens, uti puto, quod licet legitimæ fuerint inimicorum cædes, nihilominus tamen qui hominem occidit, juſtè licet ſe defendendo, & invitè fecerit, ad ſacrificium obnoxius eſſe videtur propter ſummam cognationem & communionem, cujus ergo etiam viros minimè improbos, quibus cæde pollui contigerat, purgari voluit ad delendum illum reatum. Quare ad legem ſpiritualem animum ſuum totum intendens vir ſanctus (& Moſem ſibi tanquam exemplar ante oculos proponens, qui æquitatem legis expreſſit, neque tamen auſus eſt plenè ipſi concedere temporis & rerum arbitrium) cædes quæ in F bello fiunt, non extra pœnam eſſe voluit, pro diſcretione ejus qui miſcet medicamentum, & diſpoſitione recipientis, quamvis ad certum tempus videtur culpæ remiſſionem limitare, ſicuti etiam in aliis delictis præcipere ſolet.

Præterea ſub Imperatore Nicephoro filio Phocæ, utilis erat Eccleſiæ hujuſce Canonis inſtitutio. Illo enim urgente Eccleſiam, ut decernerent iis qui in bello

ἅτε τῆς γεννήσεως αἰτίαν, τῆς σαρκὸς ἔχοντα, τὴν ἐπιθυμίαν· ὥσπερ φησὶν ὁ θεῖος Δαβίδ, ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ τὰ ἑξῆς. εἰ οὖν τῶν μετὰ τὴν παράβασιν προαιρετικῶν παθῶν ἔκγονα καὶ οἱ πόλεμοι, καὶ οἱ τούτοις ἑπόμενοι φόνοι, ἀνάγκη δήπου καὶ τοὺς ἐν ὅπλοις ζῆν ἑλομένους, καὶ τὴν δεξιὰν τοῖς τῶν ἀλλοφύλων αἵμασι βάπτειν, καθαρθῆναι πρότερον τοῖς τῆς μετανοίας φαρμάκοις, καὶ τῷ ταύτης πυρὶ τὰ προσφυόμενα τῷ ἐπιτηδεύματι ῥύπη ἐκτῆξαι, καὶ οὕτω τοῖς μυστηρίοις τοῦ νέου προσιέναι Ἀδάμ. ἐπεὶ καὶ πᾶσα ἡ εὐαγγελικὴ νομοθεσία, ἐπὶ τὸ ἀρχαῖον ἡμᾶς ἐπανάγουσα, καὶ πρὸς τὴν πνευματικὴν ὡς οἷόν τε καὶ ἀμείνω προκαλοῦσα ζωήν, οὐδαμοῦ δείκνυται, ἢ πολέμους ἐν καλῷ τιθεμένη, ἢ φόνοις τὴν τῆς κακίας ἀνέχουσα ῥύμην, ὡς τὰ τῆς παλαιᾶς εἶχε νομοθεσίας, ἀλλ' ἐκ διαμέτρου τούτοις ἱσταμένη, καὶ τἀναντία διδάσκουσα. καὶ γάρ που τοῖς μαθηταῖς ἐρωτωμένοις τὸν κύριον εἰ ἐπιτραπείη σκηπτοὺς ἐπαφεῖναι τοῖς Σαμαρείταις μὴ δεξαμένοις αὐτούς, ζήλῳ τοῦ Θεσβίτου ἐπιστραφεὶς ἐπετίμησεν, οὐκ ἴστε εἰπών, οἵου πνεύματός ἐστε ὑμεῖς. οὐ μὴν ἀλλ' εἰ καὶ τὴν παλαιὰν ἀκριβῶς σκοπήσαις, ἀδελφὰ ταύτῃ φρονοῦσαν ἔν γε τοῖς τοιούτοις εὑρήσεις, εἰ καὶ τῶν τρόπων τῆς ἀνθρωπείας φύσεως τὸ τῆς προνοίας ἀπῄτει διάφορον. ἐπεὶ τί μαθὼν ὁ θεὸς τὸν θεῖον Δαυὶδ οὐ προσήκατο ναὸν αὐτῷ προθυμούμενον ἀνεγεῖραι; οὐ διὰ τὸ μεμιάνθαι τούτου τὴν δεξιὰν τῷ μυρίῳ φόνῳ τῶν ἀλλοφύλων; εἴπω κἀνταῦθα πρὸς πίστιν Ἰώσηππος ἀξιόχρεως. τί δὲ ἡνίκα τοῖς ἐξ οὐρανοῦ δείγμασι, καὶ τῇ λεπτοτάτῃ φωνῇ τῆς αὔρας, ὁ θεὸς ἐν Χωρὴβ ἐχρημάτιζεν αὐτῷ τούτῳ τῷ δηλωθέντι Θεσβίτῃ, καὶ τῶν μὲν ἀπεῖναι, τῇ δὲ παρεῖναι κύριον ἔλεγεν; οὐκ ἐναργῶς ἐντεῦθεν ἔδειξεν, ὅτι μακροθυμία καὶ φιλανθρωπία μόνη φίλη θεῷ, ἕκαστον δὲ τῶν ἄλλων, ἡ πονηρία τῶν ἀνθρώπων ἐφέλκεται; τί τῆς Μωσέως ὑπουργίας τὸ κράτιστον, οὐ τὸ μὲν ἀσέβειαν ἐκ μέσου γενέσθαι παρασκευάσαι, τῷ βίῳ τῶν ἀνθρώπων ἐνδυναστεύουσαν καὶ ἅπαντας ἐκτρῖψαι τοὺς ταύτῃ κατόχους ἁλόντας, καὶ ἀπεγνωσμένους παντάπασι τὴν πρὸς τὰ κρείττονα μεταβολήν; τί οὖν δὴ τοὺς ἐκθερίζοντας, καὶ ἐξ ἐπιτάγματος θείου μετὰ τῶν ἀνθρωπείων σωμάτων καὶ τὴν ἀσέβειαν ἔσθ' ὅπου τῆς εἰς τὴν παρεμβολὴν ἐπὶ ῥητὰς ἡμέρας ἀπεῖργεν εἰσόδου. τοὺς γὰρ ἐπὶ τὸν ἔχθιστον Βαρλαὰμ πρὸς αὐτοῦ μετὰ χρησμῶν ἐκπεμφθέντας αἰσίων, καὶ τὰς ὑποτελεῖς ἐκείνῳ πόλεις ἄρδην δῃώσαντες, τοὺς ἐν αὐταῖς τε πάντας, πλὴν ὅσον τῶν νηπίοις ἀφειδῶς καταθύσαντας· ἀλλὰ καὶ αὐτὸν ἱερεύσαντας βασιλέα, ἄνδρα μυρία καὶ βεβουλευμένον καὶ δεδρακότα πρότερον τοὺς Ἰουδαίους κακά· γυναῖκας γὰρ ἀσελγεῖς προστησάμενος, λαγνείαις μὲν τὰ σώματα, τὰς ψυχὰς ἀσεβείᾳ τῶν αὐταῖς συμφθαρέντων διέφθειρεν. τοὺς οὖν οὕτω κατὰ τῶν πολεμίων ἠριστευκότας, ἔξω μεῖναι τοῦ στρατοπέδου εἰς ἑβδόμην ἡμέραν ἐπέταξε· τῷ δὲ μεγάλῳ ἱερεῖ Ἐλεαζάρῳ, καθαίρειν αὐτοὺς παρεγγύησε, δεῖξας οἶμαι, ὡς εἰ καὶ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαί, ἀλλ' οὖν κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως ἀμυνόμενος, καὶ βιασθεὶς κἂν ὁποιασοῦν ὢν τυγχάνει θρησκείας, ὑπαίτιος εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω συγγένειαν, καὶ κοινήν, οὗ χάριν καθάρσεως ἐδέησε τοῖς κτείνασι, καὶ τοὺς πόρρω ἀσεβείας ἐληλακότας πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους. πρὸς τοίνυν τὸν νόμον τοῦ πνεύματος τὸν νοῦν ὅλον τείνων ὁ ἅγιος, καὶ πρὸς παράδειγμα Μωσέα βλέπων, ὠδίνοντα μὲν τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, μήπως δὲ τελέως θαρροῦντα δοῦναι τούτῳ τὴν παρρησίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων, οὐδὲ τοὺς ἐν πολέμοις φόνους, ἔξω δίκης ἑστάναι κελεύει, ὡς ἡ ἐπίκρισις ἔχει τοῦ κεραννύντος τὰ φάρμακα· καὶ ἡ διάθεσις τοῦ ταῦτα προσιεμένου, εἰ καὶ ῥητοῖς δοκεῖ χρόνοις, τὴν τοῦ πταίσματος ἐπιμετρεῖν ἄφεσιν, ὡς καὶ ἐν τοῖς ἄλλοις ἁμαρτήμασιν ὁρᾶται διατεταγμένος.

Καὶ ἐπὶ τοῦ βασιλέως δὲ Νικηφόρου τοῦ Φωκᾶ, ἐν καιρῷ τῆς ἐκκλησίας τὰ τοῦ ἡγεμόνος γέγονε τοῦδε. ἐκείνου γὰρ ἀναγκάζοντος νόμον θέσθαι τὴν ἐκκλησίαν, τοὺς πίπτοντας ἐν πολέμοις ἐξ ἴσου

τοῖς

A τοῖς ἁγίοις πρεσβεύειν μάρτυσι· καὶ ὥσπερ ἐκείνους ὕμνοις γεραίρειν καὶ πανηγύρεσιν, οἱ τότε τῆς ἐκκλησίας προβεβλημένοι, ἐπεὶ πολλὰ λέγοντες τὸν βασιλέα οὐκ ἔπειθον, μὴ ὅσιον εἶναι τὸ ὑπόδειγμα, τελευτῶντες τῷ κανόνι τούτῳ ἐχρήσαντο· πῶς οἷόν τε φάμενοι τοὺς ἐν πολέμοις πεσόντας συναριθμεῖν τοῖς μάρτυσιν, οὓς ὁ μέγας Βασίλειος, ὡς τὰς χεῖρας μὴ καθαρούς, τῶν ἁγιασμάτων ἐπὶ τριετίαν ἀπεῖρξε; καὶ οὕτω τὴν τοῦ βασιλέως βίαν ἀπεσκεδάσαντο. Διαφόρων δὲ ἱερέων καὶ ἐπισκόπων ἐπὶ τῆς συνόδου ἐξομολογησαμένων, πολεμίοις συμπλακῆναι, καὶ πολλοὺς ἐξ αὐτῶν ἀνελεῖν, ἡ ἱερὰ καὶ θεία σύνοδος τῷ τοῦ ἁγίου τούτου κανόνι, καὶ τῷ νε΄. ἑπόμενοι, ὃν καὶ ζήτει ἐν τῷ ε΄. κεφαλαίῳ τοῦ Λ. B στοιχείου, ἀναλεγόμενοι, καὶ ὅσα τῇ θείᾳ γραφῇ διείληπται· εἰ καὶ ἔνιοι τῶν τοῦ στρατιωτικοῦ καταλόγου μάλιστα τούτοις οὐκ ἐντίθεντο. ζήτει καὶ τὸ ϛ΄. κεφ. τοῦ Λ. στοιχείου.

ΚΕΦ. ή.

Περὶ τῶν φονευουσῶν γυναικῶν διὰ φαρμάκων τὰ ἔμβρυα.

C ΖΗτει τὸ κη΄. καὶ τὸ κθ΄. κεφάλαιον τοῦ Γ. στοιχείου. καὶ ἐν τῷ θ΄. κεφαλαίῳ τοῦ αὐτοῦ στοιχείου κανόνα κε΄. τῆς ἐν Αγγύρᾳ συνόδου. ἔτι περὶ φόνων ἀκουσίων, καὶ περὶ τῶν ἀποπνιγομένων νηπίων παρακειμένων τοῖς γονεῦσιν αὐτῶν.

Εν τοῖς ἀκουσίοις δὲ φόνοις ἐκεῖνο κρίνεται, ἡνίκα τῶν βρεφῶν ἔνια, μέσον κείμενα νυκτὸς τῶν γονέων, ἐκ ῥαθυμίας αὐτῶν, ἢ μέθῃ, ἢ γαστρὸς κόρῳ βαρυνομένων, καὶ ἐμπεσόντων αὐτοῖς ἀποπνιγῇ. οἱ καὶ τὴν ἑπταετίαν φυλάξουσι, ξηροφαγίᾳ δὲ καὶ γονάτων κλίσεσι τὸ θεῖον ἐξιλεούμενοι, κλαυθμῷ καὶ τῇ κατὰ δύναμιν ἐλεημοσύνῃ ὑποτέμνουσι D καὶ τοὺς ὁρισθέντας χρόνους, συγγνώμην ἔχοντες καὶ τῇ ἀνηκέστῳ ληφθῆναι συμφορᾷ.

Εἰ δὲ ἐξ ἐπιβουλῆς τοῦ ἀντικειμένου σαφῶς τοῦτο συνέβη, μηδὲν τῶν γονέων ἐπταικότων, εἰ καὶ συγγνώμης τὸ συμβὰν ἄξιον, ἀλλ' οὖν μετρίων δεῖ τῶν ἐπιτιμίων· ἔοικε γὰρ δι' ἕτερά τινα ἀμετανόητα πταίσματα, τὴν ἐγκατάληψιν ταύτην γεγονέναι, παρὰ τοῦ φυλάττοντος κυρίου τὰ νήπια. μὴ δώῃς γάρ φησιν, εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάττων σε ἄγγελος.

E Εἰ δὲ καὶ ἀφώτιστον ὂν τὸ βρέφος ἀπεπνίγη, ἐπιτείνεσθαι δεῖ τοῖς γονεῦσι μετὰ τῶν ἐπιτιμίων, καὶ τὸ περὶ τὴν ἐλεημοσύνην φιλότιμον.

Νόμοι.

Ο φόνος ἀπὸ διαθέσεως σκοπεῖται, εἰ σκοπὸν εἶχε φονεῦσαι, ἢ οὔ. ὅθεν ἔστιν εὑρεῖν, ὅτι καὶ ὁ πλήξας, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται· καὶ ὁ φονεύσας, εἰ μόνον ἠθέλησε πλῆξαι, οὐ τιμωρεῖται ὡς φονεύς. ἡ δὲ τοιαύτη διάθεσις ἀπὸ τοῦ πλήξαντος ὀργάνου σκοπεῖται. καὶ ἔστι τοῦ μὲν F ἑκουσίου φόνου τιμωρία, ἐπὶ μὲν ἐντίμου φονεύσαντος, δερποτατίων, ἤτοι τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, τὸ ξίφει καὶ θηρίοις ὑποβληθῆναι· ἐπὶ δὲ τοῦ καταβλακείαν ἢ ἀμέλειαν φονεύσαντος, πενταετὴς ἐξορία. ἐπὶ δὲ τοῦ ἀκουσίου συγγνώμη δίδοται.

Ο περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν. ὅθεν ἐάν τις αὐτῶν, ἐξ ὕψους ῥίψας λίθον ἢ κλάδον ἀπὸ δένδρου, φονεύσῃ τινὰ, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ.

perierint pares honores cum ſanctis Martyribus, ipſoſq; tanquam memorias Martyrum, hymnis & ſolennitatibus celebrare; Illi qui eo tempore Eccleſiæ præfuerunt, cùm multo ſermone Imperatori minimè perſuadere poterant juſſum ipſius haud pium fuiſſe, tandem hoc Canone uſi ſunt, æquumne eſſe poſſit, dicentes, eos qui in bello ceciderint, cum Martyribus unà recenſere, quos magnus Baſilius, tanquam manibus impuros, à ſacris myſteriis per triennium excluſit? atque hoc modo Imperatoris ferociam amoliti ſunt. Cùm autem multi Sacerdotes & Epiſcopi, confitebantur apud Synodum ſe cum hoſte congreſſos fuiſſe, & multos ex illis interfeciſſe, ſancta & veneranda Syn. procedentes juxta hujuſce viri ſancti Can. iſtum, atque etiam lv. quem vide in cap. v. Lit. Λ. & recitantes quæcunque in ſacrâ ſcripturâ hac de re continentur, eos ab officio deſiſtere juſſit: præſertim ſi aliqui ex ordine militari hoc ipſis haud poſuerant. Vide & vi. cap. v. Lit. Λ.

CAPUT VIII.

De mulieribus quæ medicamentis fœtus ſuos enecant.

VIDE capita xxviii. & xxix. Lit. Γ. & in cap. ix. ejuſdem Elementi, Canonem xxv. Synodi Ancyr. Inſuper de cædibus involuntariis, & de infantibus qui juxta parentes ſuos accubantes ſuffocantur.

Involuntariis etiam homicidiis illud recenſetur, cùm infantes aliqui noctu inter parentes ſuos jacentes, præ negligentiâ illorum aut crapulâ aut impleto ventre gravatorum, & in ipſos incidentium, ſuffocantur. Hi quidem ſeptennium obſervabunt, cibis aridis & genuflectione Deum placantes, & luctu, & pro facultatibus eleëmoſynâ præcidant præſtitutos annos veniam conſequentes quia irremediabili malo tenetur.

Sin verò ex inſidiis adverſarii hoc contigiſſe conſtet, parentibus nihil peccantibus, quamvis caſus iſte veniam mereatur, mediocris tamen pœna intercedere debet. Nam probabile eſt propter alia, quorum nondum egerunt pœnitentiam, hanc derelictionem à Domino qui cuſtodit infantes immiſſam. Dicit enim, Non det in commotionem pedem tuum, neque dormitet Angelus qui te cuſtodit.

Si verò ſuffocetur fœtus antequam lucem videat, præter pœnas etiam exigi oportet à parentibus ſtudium eleemoſynæ.

Leges.

Homicidium à voluntate æſtimatur, an propoſitum ipſi fuerit hominem occidere, an non. Unde fit, ut is qui hominem percutit, non tamen occidit, nonnunquam tanquam homicida puniatur. Et ille qui occidit, cùm verberare ſolùm voluit, non punietur ut homicida. Intentio autem animi ex inſtrumento verberantis ſpectatur. Pœna in ſicarium honeſtiorem eſt deportatio, ſive plena bonorum publicatio. In viliores verò, gladio & beſtiis ſubjici: & in eos qui ex laſciviâ & incuriâ occîdunt, quinquennalis relegatio. Involuntario autem venia conceditur.

Lex de ſicariis dolum malum requirit, & non magnam negligentiam: unde ſi quis ipſorum ex ſublimi lapidem projecerit, aut ramum arboris, atque quempiam occiderit, non tenetur lege contra ſicarios.

Nec infans, hoc eſt, ſeptem annorum puer, nec furioſus cædis reus lege de homicidis tenetur. A

Qui alicui mandat ut interficiat, tanquam homicida damnatur.

In omnibus criminibus inquirere oportet, an ex propoſito, an fortuitò quis patraverit, adeoque vel juxta rigorem legis, vel mitiùs eum plectere.

Qui aliquem ſuorum cognatorum vel aſcendentium vel deſcendentium ſuſtulerit, igni traditur. B

Qui aggreſſorem de vitâ ſuâ periclitans interfecerit, extra noxam eſt.

Si quis noctu furantem interfecerit, impunis evadit, ſi modo citra ſuum periculum ipſi parcere haud poterat. Quære in cap. v. Lit. Γ.

Novella autem ſancti Patriarchæ Athanaſii, & venerabilis Imperatoris Andronici, ſtatuit eum ſolum, qui in homicidio deprehenſus eſt, juxta leges puniri: Liberos autem ejus non publicari, modò haud fuerint cædis ſocii: ſed bonis ejus juxta numerum filiorum diſtributis, partem unam etiam occiſo aſſignat, maximè ſi dum vixerit, pauperie laborabat, & uxorem ac liberos habuit: & duntaxat portionem homicidæ fiſco cedere. C

Qui infantem enecat, homicidii pœnâ tenetur. Vide & duas Novellas Imperatoris Conſtantini Porphyrogennetæ, pro qualitate cædis, alias atque alias pœnas decernentes, & quoſnam homicidas haud rejicere oportet, dum ad Eccleſiam confugiunt, quos verò minimè parcentes inde avellere. D

CAPUT IX.

Quod Phylacteria facere minime oportet.

Conſule cap. i. Lit. M.

CAPUT X.

De damnatis qui in carcere ſervantur. E

Vide in cap. xi. Lit. T. Canonem iii. Photii Patriarchæ Conſtantinopolitani, & xvii. cap. Lit. E.

Lex.

OPORTET Magiſtratus diebus Dominicis viſitare incarceratos, & jubere cuſtodes humaniter ipſos tractare, & curare ut victus iis indigentibus ſubminiſtretur. F

Οὔτε ἴνφανς, τουτέστιν ὁ ἑπταετὴς, οὔτε ὁ μαινόμενος φονεύων ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ.

Ὁ ἐντειλάμενος τινὶ φονεῦσαι, ὡς φονεὺς κρίνεται.

Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, εἰ ἐκ προνοίας, ἢ κατὰ τύχην ἥμαρτέ τις· καὶ οὕτως ἢ κατὰ νόμον, ἢ πρᾳοτέραν τὴν τιμωρίαν ἐπιφέρειν.

Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα συγγενῆ, πυρὶ παραδίδοται.

Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν, ἀνεύθυνός ἐστι.

Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τις, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα τοῦ ἰδίου κινδύνου φείσασθαι αὐτοῦ. ζήτει καὶ ἐν τῷ ε΄. κεφ. τοῦ Λ. στοιχείου, τὸ κθ΄. κεφάλαιον τοῦ Γ. στοιχείου.

Ἡ δὲ νεαρὰ τοῦ ἁγίου πατριάρχου Ἀθανασίου, καὶ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου, διορίζεται τὸν φόνῳ ἁλόντα, αὐτὸν μόνον τιμωρεῖσθαι κατὰ τοὺς νόμους, τοὺς δὲ παῖδας αὐτοῦ μὴ δημοσιεύεσθαι τῇ μιαιφονίᾳ μὴ συμπράξαντας· μεριζομένης δὲ τῆς αὐτοῦ περιουσίας κατὰ τὸν ἀριθμὸν τῶν οἰκείων παίδων, ἀπονέμει μίαν καὶ τῷ φονευθέντι μερίδα, καὶ μάλιστα εἰ πενίᾳ συζῶν ἦν, καὶ ἐπὶ γυναικὶ καὶ παισὶν ἀπῆλθε· μόνην δὲ τὴν τοῦ φονέως μερίδα προσκληροῦσθαι τῷ δημοσίῳ.

Καὶ ὁ τὸ νήπιον φονεύσας, τιμωρίᾳ νόμου ὑπόκειται φονικοῦ. ζήτει καὶ τὰς δύο νεαρὰς τοῦ Βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, κατὰ τὴν τοῦ φόνου ποιότητα, διαφόρους καὶ τὰς τιμωρίας νομοθετούσας· καὶ τίνας δεῖ τῶν φονέων προσφεύγοντας τῇ ἐκκλησίᾳ μὴ ἐκβάλλειν, καὶ τίνας ἀφειδῶς ἀποσπᾶν.

ΚΕΦ. θ΄.

Ὅτι οὐ δεῖ φυλακτήρια ποιεῖν.

Ζήτει τὸ α΄. κεφ. τοῦ Μ· στοιχείου.

ΚΕΦ. ι΄.

Περὶ τῶν ἐν φυλακῇ κατακειμένων.

Ζήτει ἐν τῷ ια΄. κεφ. τοῦ Τ. στοιχείου, κανόνα γ΄. τοῦ Φωτίου Κωνσταντινουπόλεως· καὶ τὸ ιζ΄. κεφ. τοῦ Ε. στοιχείου.

Νόμος.

ΧΡΗ τοὺς ἄρχοντας κατὰ κυριακὴν ἐπισκέπτεσθαι τοὺς ἐν φυλακῇ· καὶ ὁρίζειν ἵνα φιλανθρώπως αὐτοῖς οἱ φύλακες χρῶνται, καὶ τροφὰς αὐτοῖς ἀπορουμένοις ἐπινοεῖν.

A

ΑΡΧΗ ΤΟΥ Χ. ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦ. α'.

Ὅπως αἱ τῶν χειροτονουμένων ἐπισκόπων αἱ ψῆφοι γίνονται. καὶ περὶ τῆς γινομένης ἐν ταύταις ἀντιλογίας.

B Ὁ δ'. κανὼν τῆς πρώτης συνόδου κατὰ ῥῆμα φησὶ, ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων, δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ· ἐπικυροῖ γὰρ οὗτος τὰς ψήφους, ἕνα τῶν ψηφισθέντων ἐκλεγόμενος, καὶ χειροτονῶν μεθ' ἑτέρων δύο ἢ τριῶν ἐπισκόπων. εἰ δὲ ἡ τοῦ μητροπολίτου ἐπαρχία τοιούτων ἐπισκόπων ἐνδεῶς ἔχοι, καὶ ἐξ ἀλλοδαπῆς προσλαμβάνειν χρεὼν, εἴς τε τὰς ψήφους καὶ τὴν χειροτονίαν. C

Τούτοις καὶ ὁ ιγ'. τῆς ἐν Καρθαγένῃ ἐπιψηφίζεται· εἰ δέ τις φησὶ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ ἐναντιωθείη· κατ' αὐτὸν αὐτὸς τὴν δίκην ἐκφέρει, στερούμενος τῆς ἰδίας τιμῆς· δείκνυται δὲ ἐκ τῶν κανόνων, μὴ νόμιμον εἶναι τὸν μητροπολίτην ταῖς ψήφοις τῶν ὑπ' αὐτὸν ἀρχιερέων παρεῖναι, ἀλλὰ μόνους τοὺς ἐπισκόπους.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ε'. κανὼν, μὴ ἐξεῖναι φησὶ τῷ D βουλομένῳ παντὶ ψήφῳ τοῦ μέλλοντος χειροτονεῖσθαι παρεῖναι. ἐγκλήματα γὰρ ἔσθ' ὅτε κατά τινων ἐν τῷ μέσῳ συμβαίνει κινεῖσθαι, καὶ τῆς χειροτονίας ἴσως αὐτοὺς ἀπείργοντα· καὶ εἰ μὴ ἀνέκφορα τοῖς πολλοῖς εἴη ταῦτα, αὐτὸς μὲν αἰσχύνην αὐτοῖς ὀφλήσει καὶ γέλωτα, καὶ ἅμα προτροπὴ πρὸς κακίαν τοῦτο γενήσεται· βλασφημηθήσεται δὲ τὸ θεῖον πρὸς τῶν μὴ καλῶς ἐνιδρυμένων τῇ πίστει, ὥσπερ ἄρα διὰ τῶν ἀρετῆς μεταποιουμένων δοξάζεται.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ιθ'. κανὼν διορίζεται· παρεῖναι δεῖν προηγουμένως λέγων τὸν μητροπολίτην τῆς ἐ- E παρχίας τῇ ψήφῳ τοῦ μέλλοντος χειροτονεῖσθαι· οὐχὶ τῷ συμψηφεῖναι τοῖς ἐπισκόποις, ἀλλὰ τῷ ἐπιτρέπειν· χωρὶς γὰρ τῆς αὐτοῦ ἐπιτροπῆς ψήφους γενέσθαι ἀδύνατον. εἶτα πάντας τοὺς τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπους μετακλήτους γενομένους δι' ἐπιστολῶν τοῦ μητροπολίτου· καὶ βέλτιον μὲν τοὺς πάντας συνιέναι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, τοὺς γοῦν πλείους παρεῖναι δεῖ, τοὺς μέντοι δι' ἀναγκαίας μὴ ἀπαντήσαντας διὰ γραμμάτων τοῖς πεπραγμένοις ἐπιψηφίζειν, καὶ οὕτω γίνεσθαι τὴν τῆς ψήφου κατάστασιν· ἂν δὲ μὴ οὕτω γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. εἰ δὲ κανονικῶς ὡς εἰρήκαμεν τὰ τοῦ πράγματος τελεσθείη, ἔνιοι δὲ τῶν ἐπισκόπων ἴσως ἀντιλέ- F γοιεν φιλονείκως, μὴ τὰ τῆς ψήφου ἐμποδιζέσθω, ἀλλ' ἡ τῶν πλειόνων ψῆφος κρατείτω.

Ὁ δὲ μθ'. τῆς ἐν Καρθαγένῃ, τοῦ ἐπισκόπου φησὶν ἐκλεγομένου, καὶ παρὰ τριῶν ἐπισκόπων, ἐὰν ἀναφυῇ τις ἐκ τῶν τοῦ δήμου ἀντιλογία, οὐκ ἐναργεῖς εἰσαγόντων τινῶν αἰτίας, δεῖ προστεθεῖναι τῷ ἀριθμῷ τῶν τριῶν καὶ ἑτέρους δύο, ὥστε ὁμοῦ πάντας ἐξετάσαι τὰ κατὰ τοῦ ψηφιζομένου λεγόμενα, καὶ καθαρὸν αὐτὸν ἀποφῆναι.

INITIUM LITERÆ X.

CAPUT I.

Quanam ratione ordinandorum Epiſcoporum fiant Electiones, & de litibus quæ circa illas oboriuntur.

CONCILII primi Canon quartus diſertè dicit, Epiſcopum oportet maximè quidem ab omnibus qui ſunt in Provinciâ conſtitui: Si autem hoc difficile ſit, vel propter urgentem neceſſitatem, vel propter viæ longitudinem, tres omnino eundem in locum congregatos, abſentibus quoque ſuffragium ferentibus, ſcriptiſque aſſentientibus, tunc ordinationem facere: eorum autem quæ aguntur confirmationem, in unaquâque Provinciâ à Metropolitano fieri. Confirmat enim iſte ſuffragia, ſeligens ex electis aliquem, eumque cum quatuor aliis aut tribus Epiſcopis conſecrans. Veruntamen ſi Provincia Metropolitani eâ Epiſcoporum penuriâ laboret, opus eſt etiam ex alienâ accipere tam ad electionem quam ordinationem peragendas.

Hæc etiam comprobat Can. xiii. Concilii Carthaginenſis: Si quis, inquit, propriam confeſſionem vel ſubſcriptionem contra fecerit, adverſus ſemetipſum judicium fert, cùm honore ſuo privatur. Oſtenditur autem ex Canonibus, haud licere ut Metropolitanus electionibus Archiepiſcoporum ſibi ſubjectorum interſit, ſed Epiſcopi ſoli.

Canon verò quintus Synodi Laodicenæ, non licere, inquit, cuivis volenti electioni ordinandi adeſſe: Contingit enim nonnunquam criminationes adverſus aliquos in medium proferri, quæ ipſos forte ab ordinatione prohibere debent, adeò ut niſi ea plebem lateant, ipſe contumeliam riſumque apud illos movebit, atque hæc res fiet incitamentum in malum; atque à non bene firmatis in fide blaſphemabitur nomen Dei, ſicut per eos qui ſecundùm virtutem vivunt, glorificatur.

Eadem & Canon xix. Concilii Antiocheni conſtituit; præcipuè adeſſe oportet, dicens, Metropolitanum Provinciæ electioni Epiſcopi ordinandi, non quidem ad ſuffragandum unà cum Epiſcopis, ſed ad moderandum, nam ſine ejus permiſſione electiones fieri nequeunt. Tum omnes ipſius Provinciæ Epiſcopos literis Metropolitani convocatos: & quidem melius eſt ſi omnes conveniunt; ſin verò hoc difficile fuerit, plures tamen adeſſe opus, vel demum hos qui ob cauſas neceſſarias non adeunt, per literas eis quæ decreta ſunt conſentire, & ſic perfici electionem: ſin verò ſecus fiat, invalidam planè eſſe ordinationem. Atqui ſi Canonicè, ut diximus, res peragatur, & nonnulli Epiſcoporum fortè ex contentionis ſtudio contradicant, nè inhibeatur Electio, verum ſuffragia majoris partis obtineant.

Cæterum Canon xlix. Concilii Carthaginenſis, ſi de Epiſcopo etiam à tribus Epiſcopis electo, controverſia aliqua oboriatur, à quibuſdam ex plebe cauſas non ſatis manifeſtas afferentibus commota, numero trium Epiſcoporum alios duos adjicere oportet, ut omnes ſimul examinent ea quæ adverſus electum objiciuntur, et ipſum purgent.

A Quære etiam in cap. xi. Lit. E. Canon. primum Syn. ſextæ; & xxvii. Synodi quartæ.

Novella autem Juſtiniani cxxxvii. à tribus perſonis electionem Epiſcoporum fieri jubet, videlicet à Clericis, & à primoribus civitatis, cui eligendus eſt Epiſcopus, quolibet horum ſuper Sacro-ſancta Evangelia hoc juramenti præſtante, neque per datam aut promiſſam pecuniam, neque amicitiam, neque gratiam, aut aliam quamcunque affectionem iſtum eligere, ſed ſcientes ipſum eſſe orthodoxum, & honeſtæ vitæ, & habere uxorem, & quidem unicam, neque viduam vel repudiatam, ſed nec concubinam alere; B & ex tribus Electis digniorem ordinari juxta electionem & diſcretionem ordinantis. Ita vitam inſtituere jubet etiam omnes Clericos, qui ordinantur. Sed tamen maxima pars horum rituum ſunt præter ſacros Canones, qui neque neceſſarium judicant ſuper ſacro-ſancta Evangelia jurare, neque electiones fieri à Clericis, vel Primoribus civitatis, ſed ab Epiſcopis ſolis, qui & rationem pro illis coram Judice omnium reddituri ſunt. At ſi accuſationem, inquit, aliquis moverit contra Epiſcopnm vel Clericum, qui ordinandus eſt, ſuper quavis cauſâ, differatur ordinatio illa, C & accurata examinatio habeatur intra tres menſes, & ſi obnoxium invenerint eum qui ordinandus eſt, etiam prohibeatur ordinatio: ſin verò inſons, ordinetur. At ſi accuſator non poſſit probare, ſi Clericus ſit, ſuo gradu excidat: ſin verò Laicus competentem coercitionem ſuſtineat. Si autem quis ante examinationem cauſæ illum ordinaverit, Sacerdotio exuatur unà cum ordinato. Qui etiam contra ſuam ſubſcriptionem iverit, dicens poſtea aliquid ſibi innotuiſſe, quo minus electus ordinetur, non deponetur, niſi in probationibus vacillet.

Ζήτει καὶ ἐν τῷ ια΄. κεφ. τοῦ Ε. στοιχείου κανόνα ς΄. τῆς α΄. συνόδου. καὶ κη΄. τῆς τετάρτης συνόδου.

Ἡ δὲ νεαρὰ ρλζ΄. Ἰουστινιανείου ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα γίνεσθαι τῶν ἐπισκόπων κελεύει, παρά τε τῶν κληρικῶν, καὶ τῶν τῆς πόλεως τὰ πρῶτα φερόντων, ἐφ' ᾗ ψηφίζεται ὁ ἐπίσκοπος, ἑκάστου τούτων κατὰ τῶν θείων ἐπομνυμένων εὐαγγελίων, μήτε δόσει χρυσίου, ἢ ὑποσχέσει, ἢ φιλίᾳ, ἢ χάριτι, ἢ ἄλλῃ τινὶ προσπαθείᾳ τοῦτον ἐκλέγεσθαι, ἀλλ' εἰδότες τῇ τε πίστει ὀρθὸν καὶ τῷ βίῳ σεμνόν· καὶ εἰ ἔχει γαμετὴν, καὶ αὐτὴν μίαν, καὶ οὔτε χήραν, ἢ ἐκβεβλημένην, ἀλλ' οὐδὲ παλλακὴν ἐκτήσατο, καὶ ἐκ τῶν ψηφιζομένων τριῶν τὸν βελτίονα χειροτονεῖσθαι τῇ ἐπιλογῇ, καὶ τῇ ἐπικρίσει τοῦ χειροτονοῦντος· τοιοῦτον ἔχειν βίον ἀπαιτεῖ καὶ τοὺς χειροτονουμένους κληρικούς. Ἀλλὰ τὰ πλείω τούτων τοῖς ἱεροῖς παρεῖται κανόσι, μήτε κατὰ τῶν θείων εὐαγγελίων ὀμνύναι τοὺς ψηφιζομένους δεῖν οἰομένοις, μήτε παρὰ τῶν κληρικῶν, ἢ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους γίνεσθαι· ἀλλὰ μόνων τῶν ἐπισκόπων, οἳ καὶ τὸν ὑπὲρ τούτων λόγον πρὸς τοῦ κοινοῦ κριτοῦ ὑπαρχθήσονται. κατηγορίας δέ φησι πρός τινος κινηθείσης, τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ κληρικοῦ, ἐφ' οἱαδήποτε αἰτίᾳ ἀναβαλλέσθω ἡ τοιαύτη χειροτονία, καὶ ζήτησις ἀκριβεστάτη γινέσθω τριῶν εἴσω μηνῶν, καὶ εἰ μὲν ὑπεύθυνος ὁ μέλλων χειροτονηθήσεσθαι, κωλυέσθω ἡ χειροτονία· εἰ δὲ ἀνεύθυνος, χειροτονείσθω. ὁ δὲ μὴ ἰσχύσας ἀποδεῖξαι κατήγορος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐξωθείσθω βαθμοῦ· εἰ δὲ λαϊκὸς, προσηκόντως σωφρονιζέσθω. εἰ δέ τις πρὸ ἐξετάσεως τοῦτον χειροτονήσειε, καθαιρείσθω συνάμα τῷ χειροτονηθέντι. ὁ δὲ τῇ οἰκείᾳ ἐναντιούμενος περὶ τὰς ψήφους ὑπογραφῇ, λέγων μετὰ ταῦτα μεμαθηκέναι τό τι δὲ, τὸ κωλύον τὸν ψηφισθέντα χειροτονηθῆναι, ἄλλως οὐ καθαιρεθήσεται, εἰ μὴ πρὸς τὰς ἀποδείξεις ἀτονήσειεν.

D

CAPUT II.

Quod minimè oporteat ordinandorum electiones vel à Magiſtratu, vel à populo fieri.

Quære cap. ix. Lit. E.

CANONES quidem xii. & xiii. Concilii Laodiceni plebi non permittunt aut Epiſcopos aut Presbyteros eligere, ſed hoc fieri volunt ſecundum judicium Metropolitani & Provinciæ iſtius Epiſcoporum: E eſſe etiam Electum diu probatum & in ſermone, & in operibus, ita ut poſſit omnes qui ipſi ſubjiciuntur in fide ſanâ adhortari, & doctrinæ rectæ contradicentes arguere, & vitâ talem ſe præſtare ut queat ad amorem virtutis illos trahere qui ad ipſum accedunt, nimirum rectam, inculpatam, & honeſtam vitam agere.

ΚΕΦ. β΄.

Ὅτι τὰς τῶν χειροτονουμένων ψήφους οὔτε παρὰ ἀρχόντων, οὔτε παρὰ τοῦ δήμου γίνεσθαι χρή.

Ζήτει τὸ ιθ΄. κεφ. τοῦ Ε. στοιχείου.

Ὁ γε μὴν ιβ΄. καὶ ὁ ιγ΄. τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, οὐ τοῖς ὄχλοις ἐπιτρέπουσιν, ἢ ἐπισκόπους ἢ πρεσβυτέρους ἐκλέγεσθαι· ἀλλὰ τῇ κρίσει τοῦ μητροπολίτου, καὶ τῶν τῆς ἐπαρχίας αὐτοῦ ἐπισκόπων. εἶναι δὲ τὸν ἐκλεγόμενον ἐκ πολλοῦ δεδοκιμασμένον, ἔν τε λόγῳ καὶ πράξει, ὡς τῷ μὲν δύνασθαι τοὺς ὑπ' αὐτὸν πρὸς τὴν ὑγιαίνουσαν πίστιν παρακαλεῖν· καὶ τοὺς ἀντιλέγοντας τοῖς ὀρθοῖς δόγμασιν ἐλέγχειν. τῷ δὲ βίῳ οἷόν τι εἶναι πρὸς τὸν τῆς ἀρετῆς ζῆλον ἕλκειν τοὺς πρὸς αὐτὸν βλέποντας, εὐήθη τε ὄντα καὶ ἀνεπίληπτον, καὶ τρόποις χρηστοῖς εὐθυνόμενον.

CAPUT III.

De tempore, intra quod Epiſcopos ordinari oportet.

F

CANON xxv. Concilii quarti, Epiſcoporum ordinationes, intra tres menſes ab illis fieri jubet, ad quos res iſta pertinet. Non enim decet Eccleſiarum cœtus diu Providentiâ paſtorum carere, & incertos vagari, niſi forte ex cauſâ prorſus neceſſaria contingat tempus prorogari, & differri ordinationem,

ΚΕΦ. γ΄.

Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

Ὁ κε΄. τῆς δ΄. συνόδου κανὼν, τὰς τῶν ἐπισκόπων χειροτονίας, ἐντὸς τριῶν μηνῶν γίνεσθαι διατάττεται παρ' οἷς ἡ ἐκείνων ἀνήκει προχείρησις· οὐ γὰρ ἐπὶ πολὺ χρὴ τοὺς τῶν ἐκκλησιῶν λαοὺς ἐρήμους εἶναι τῆς τῶν ποιμένων προνοίας, καὶ ὡς ἔτυχε φέρεσθαι, εἰ μήπου ἐξ αἰτίας ἀπαραιτήτου συμβαίη ἐπιταθῆναι τὸν χρόνον, καὶ ὑπερτεθῆναι τὴν χειροτονίαν ὑπὸ βαρβάρων ἴσως ἑαλωκυίας τῆς πόλεως· τοὺς δὲ μὴ οὕτω ποιοῦντας, ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι· τὰς μέντοι προσόδους τῆς χηρευούσης ἐκκλησίας, τοῦ καιροῦ τῶν τριῶν μηνῶν ἢ πλείονος, σῶαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας, ἐπιτάττει φυλάττεσθαι τῷ χειροτονηθήσεσθαι μέλλοντι. ζήτει τὸ κζʹ. κεφάλαιον τοῦ Ε. στοιχείου.

ΚΕΦ. δʹ.

Ὁποίους εἶναι τοὺς χειροτονουμένους ἐπισκόπους, καὶ τίνα πρὸ πάντων γινώσκειν χρή.

Ὁ βʹ. τῆς ζʹ. συνόδου κανὼν, τῷ μέλλοντι προχειρίζεσθαι, καὶ εἰς τὸν τῆς ἐπισκοπῆς ἀνιέναι βαθμὸν, τοῦτον εἶναί οἱ προὔργου παρεγγυᾶται, τὸ ψαλτῆρα παντὸς μᾶλλον ἐπίστασθαι, ἐκπαιδεύειν τε τὸν οἰκεῖον λαὸν, τὰ τούτου πρὸ τῶν ἄλλων ᾄδειν τε καὶ μυεῖσθαι· διακρίνεσθαι δὲ ἀσφαλῶς πρὸς τοῦ οἰκείου μητροπολίτου, εἰ προθύμως ἔχει ἐρευνητικῶς, καὶ οὐ κατὰ τὸ πάρεργον, τοὺς ἱεροὺς διαναγινώσκειν κανόνας, καὶ τὸ ἅγιον εὐαγγέλιον, τήν τε τοῦ θείου ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν ἄλλην γραφὴν, καὶ τὸν νοῦν αὐτῆς σπουδαίως ἐκλέγεσθαι· καὶ κατὰ τὰ θεῖα ταύτης ἐντάλματα, αὐτόν τε βιοῦν, καὶ τοὺς ἄλλους ἐνάγειν περὶ πλείστων ταῦτα τίθεσθαι, ἕτοιμόν τε εἶναι πρὸς ἀπολογίαν, παντὶ τῷ αἰτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος· καὶ τοὺς ὑπ' αὐτὸν εὐτρεπεῖς εἶναι πρὸς τοῦτο παρασκευάζειν. οὐσία γὰρ καὶ σύστασις τῆς καθ' ἡμᾶς ἱεραρχίας, τὰ θεοπαράδοτα λόγια, ὡς ὁ μέγας ἀπεφήνατο Διονύσιος· καὶ εἰ μὲν ἀσμένως ταῦτα ποιεῖν ὑπισχνεῖται, τὴν χειροτονίαν λαμβάνειν. εἰ δὲ ἀμφιβάλλων εἴη καὶ ἀναδυόμενος, ἄπρακτον ἀποπέμπεσθαι· φησὶ γὰρ ὁ θεὸς διὰ προφήτου· σὺ ἀπώσω ἐπίγνωσιν, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι. εἰ γὰρ πάντες οἱ πιστοὶ ψάλλοντες συνταξόμεθα, ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου, ἦ που τοῖς τὴν ἱερὰν ἐνδεδυμένοις στολὴν, πολλῷ γε μᾶλλον τοῦτο προσήκει ποιεῖν.

Ὁ δὲ ιηʹ. καὶ ιθʹ. τῆς ἐν Καρθαγένῃ συνόδου, τὸν χειροτονούμενον ὑπομιμνήσκεσθαι κελεύει, τοὺς ὅρους τῶν πατέρων φυλάττειν, ὅσα τε περὶ δογμάτων, καὶ ὅσα περὶ τῶν ἱερῶν κανόνων ἐθέσπισαν· ἵνα μὴ τοὺς ὅρους τούτων παρεξιόντες, ἐπ' ἐσχάτων ἀνόνητα μεταμεληθῶσιν, ἢ ἐν τῷ παρόντι καθαιρεθέντες, ἢ ἀπαραιτήτους δίκας ὑπέχοντες ἐν τῷ μέλλοντι.

ΚΕΦ. εʹ.

Ὑπὸ πόσων ἐπισκόπων χειροτονοῦνται οἱ ἐπίσκοποι, καὶ οἱ λοιποὶ κληρικοί.

Ὁ μὲν αʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπον ὑπὸ δύο ἐπισκόπων χειροτονεῖσθαι κελεύει, καθιερωμένον πρὸς αὐτῶν τῇ ἐπικλήσει τοῦ ἁγίου πνεύματος, καὶ τῇ ἱερᾷ τῶν εὐχῶν τελετῇ. ὁ δὲ δεύτερος, πρεσβύτερον καὶ διάκονον, καὶ τοὺς λοιποὺς κληρικοὺς, ὑφ' ἑνὸς ἐπισκόπου χειροτονεῖσθαι παρεγγυᾶται.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μηʹ. τρεῖς ἐπισκόπους εἰς ἐπισκόπου χειροτονίαν ἀρκεῖν ἀπεφήνατο, ἵνα μὴ πλείους ἐπιζητούντων, τῷ χρησίμῳ καὶ ἀναγκαίῳ τῆς ἐκκλησίας ἐμποδὼν τοῦτο γένηται. οὐκ ἀνάγκη δὲ τοὺς τρεῖς τῆς αὐτῆς ἐπαρχίας εἶναι, ἀλλ' εἰ μὴ τοσούτους ἔχει ὁ μητροπολίτης, καὶ ἐξ ἑτέρας ἐπαρχίας δύο προσλαμβάνει, καὶ οὕτω τὸν ψηφισθέντα χειροτονεῖ.

A civitate puta à Barbaris captâ. Qui aliter fecerint, pœnis Eccleſiaſticis ſubjici. Proventus tamen Eccleſiæ vacantis per ſpatium trium menſium aut ultra ab iſtius Eccleſiæ Oeconomo receptum, Epiſcopo qui ordinandus eſt reſervari jubet. Quære cap. xxvii. Lit. E.

CAPUT IV.

Quales eſſe eos oportet qui Epiſcopi ordinandi B *ſunt, & quænam præ cæteris ſcire.*

Canon ii. Synodi ſeptimæ, qui ad gradum Epiſcopatus promovendus & attollendus eſt, ſummam curam adhibere mandat, ut maximè Pſalterium intelligat, moneátque populum hymnos illos præ cæteris canere & callere: accurate etiam à Metropolitano ſuo examinari, an paratus ſit legere diligenter & non obiter ſacros Canones, & ſanctum Evangelium, & librum ſacri Apoſtoli, & reliquam Scripturam ſacram, & ſenſum ejus ſedulò elicere: & juxta ejus divina præcepta & vitam ſuam agere, & C alios ſuadere hæc maximi facere, & promptum eſſe ad reſpondendum omni qui rationem ſpei noſtræ exquirit, & curare ut omnes, qui ipſi ſubjiciuntur, ad idem etiam parati ſint. Eſſentia enim & conſtitutio noſtræ Hierarchiæ ſunt eloquia divinitùs tradita, uti ait Magnus Dionyſius, & ſi lubenter polliceatur ſe hæc præſtiturum, ordinationes obtinere; ſin verò ſit dubius animi & conditiones recuſet, re infectâ dimittatur. Dicit enim Deus per Prophetam: Tu repuliſti ſcientiam, & ego repellam te, nè ſis mihi Sacerdos. Nam ſi omnes Chriſtiani conſiſtentes unà pſallimus, In judiciis tuis meditabor, non obliviſcar D ſermonis tui; certè illos qui ſacram inſulam induti ſunt, multò magis hoc facere decet.

Canon autem xviii. & xix. Synodi Carthaginenſis admoneri ordinandum præcipit, ut patrum decreta ſervet, tam quæ circa fidem, quàm mores per ſacros Canones ſanxerunt, ne horum ſanctiones prætergredientes tandem ſtultitiæ ipſos pœniteat, videlicet vel in hac vitâ Sacerdotio exutos, vel pœnas perpetuas in futurâ dantes.

E

CAPUT V.

Quot Epiſcopi ad ordinationem Epiſcopi & reliquorum Clericorum requiruntur.

Canon primus ſanctorum Apoſt. Epiſcopum jubet à duobus Epiſcopis ordinari; ab illis ſcilicet conſecratum invocatione Spiritûs ſancti, & ſacro orationum ritu. Secundus autem, Presbyterum, & Diaconum, & reliquos Clericos ab uno Epiſcopo ordinari vult.

F

Canon autem Concilii Carthaginenſis xlviii. Tres Epiſcopos ad ordinationem Epiſcopi ſufficere affirmat, nè ſi plures requirantur, hoc impedimento ſit utilitati ac exigentiæ Eccleſiæ. Non autem neceſſarium eſt ut tres illi ſint unius & ejuſdem Provinciæ, verùm ſi tot non habeat ſub ſe Metropolitanus, etiam ex aliâ Provinciâ duos adſumit, atque ita electum ordinat.

A

CAPUT VI.

Quòd eum qui in Episcopum ordinandus est, oporteat ab uxore suâ separari.

Quære cap. xvii. Lit. Γ.

ΚΕΦ. ϛʹ.

Ὅτι τὸν χειροτονηθήσεσθαι μέλλοντα ἐπίσκοπον, δεῖ πρότερον τῆς ἰδίας χωρίζεσθαι γυναικός.

Ζήτει τὸ ιζʹ. τοῦ Γ. στοιχείου.

B

CAPUT VII.

De ætate ordinandorum.

Quære cap. ii. Lit. H.

ΚΕΦ. ζʹ.

Περὶ τῆς τῶν χειροτονουμένων ἡλικίας.

Ζήτει τὸ βʹ. κεφ. τοῦ Η. στοιχείου.

CAPUT VIII.

Quòd non oporteat Episcopum morientem alium in locum suum sufficere ac ordinare.

C Canon lxxvi. sanct. Apost. Non oportet, ait, Episcopum, ab Ecclesiâ quam regit, quovis modo secedentem, ut vel alicui consanguineorum, aut alii gratificetur, illum ad Sedem suam ordinare. Non enim æquum est vel cognatos hæredes Episcopatûs constituere, aut quæ Dei sunt, aliis more humano largiri. Sin verò hoc contingat fieri, & ordinationem invalidam esse, & ordinantem segregari. Nam Episcopos sub concilio esse constitutum est. Imò verò unumquemque in suum locum præficere quemcunque vellet, videtur etiam Israelitis esse interdictum. Ita sanè divinum illum Mosem incusabant, quòd fratrem suum Aaronem filiósque ejus in Sacerdotium pro- D movit: Et nisi per miracula Sacerdotium ipsis confirmâsset, non diu esset quin illo depulsi fuissent.

Canon autem xxiii. Syn. Antiochenæ admonet non licere Episcopo ordinare cupienti quem vellet, sui successorem, quamvis in exitu vitæ fuerit: & quidem si fecerit, irritam esse ordinationem: hi autem qui ritus Ecclesiæ observant post obitum Episcopi, virum judicio Episcoporum Provinciæ dignum promovebunt.

ΚΕΦ. ηʹ.

Ὅτι οὐ δεῖ χειροτονεῖν ἕτερον ἀντ' αὐτοῦ τὸν τελευτῶντα ἐπίσκοπον.

Ὁ οϛʹ. τῶν ἁγίων ἀποστόλων κανὼν, οὐ χρή φησι, τὸν ἐπίσκοπον, ὁποιωδήποτε μεθιστάμενον τρόπῳ· ἧς ἰθύνειν ἔλαχεν ἐκκλησίας, ἤ τινι τῶν ἀφ' αἵματος, ἢ ἑτέρῳ χαριζόμενον, εἰς τὸν τούτου θρόνον τοῦτον χειροτονεῖν. οὐ γὰρ δίκαιον ἢ τοὺς γένει προσήκοντας, κληρονόμους τῆς ἐπισκοπῆς ποιεῖσθαι, ἢ ἑτέροις τὰ τοῦ θεοῦ πάθει ἀνθρωπίνῳ χαρίζεσθαι· εἰ δὲ συμβαίη γίνεσθαι, καὶ τὴν χειροτονίαν ἄκυρον μένειν, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι· ὑπὸ γὰρ συνόδου τοὺς ἐπισκόπους γίνεσθαι διατέτακται, οὐ μὴν ἕκαστον ἀνθ' ἑαυτοῦ προχειρίζεσθαι ὃν ἂν βουληθείη, τοῦτο δὲ τοῖς ἐξ Ἰσραὴλ τῶν ἀπειρημένων ἐδόκει· ἀμέλει καὶ τῷ θεσπεσίῳ ἐπεκάλουν Μωσῇ, ὡς ἄρα τὸν ἀδελφὸν Ἀαρὼν καὶ τοὺς ἐκείνου υἱοὺς ἱερᾶσθαι προεχειρίσατο· καὶ εἰ μὴ σημείοις ὁ θεὸς τὴν ἱερωσύνην αὐτοῖς ἐπεψήφισεν, οὐκ ἂν ἦσαν φθάνοντες ταύτης ὠστρακισμένοι.

Ὁ δὲ κγʹ. τῆς ἐν Ἀντιοχείᾳ συνόδου, μὴ ἐξεῖναι κελεύει τῷ βουλομένῳ χειροτονεῖν ὃν βούλεται διάδοχον ἑαυτοῦ κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνει ὤν· εἰ δὲ μὴ, ἄκυρον εἶναι τὴν κατάστασιν. τοὺς δὲ θεσμοὺς τῆς ἐκκλησίας φυλάττοντας, μετὰ τὸ μηκέτ' εἶναι τὸν ἐπίσκοπον, κρίσει τῶν τῆς ἐπαρχίας ἐπισκόπων, τὸν ἄξιον προχειρίζεσθαι.

E

CAPUT IX.

Quòd Episcopum aut Presbyterum aut Diaconum ordinari non oporteat, priusquam omnes suos domesticos Christianos fecerit.

Canon xxxvi. Synodi Carthaginensis, non ordinari præcipit vel Episcopum vel Presbyterum vel Diaconum, nisi priùs domesticos suos ad Christianismum adduxerint. Nam qui suos ad pietatem convertere nescit, quomodo aptus esse queat alios docere? Sicut & magnus Paulus dicit, Si quis domui suæ præesse nescit, quomodo Dei Ecclesiam regere poterit?

ΚΕΦ. θʹ.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐὰν μὴ πρότερον τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας ποιήσῃ χριστιανούς.

Ὁ δὲ λϛʹ. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, μὴ χειροτονεῖσθαι κελεύει, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον, ἂν μὴ πρότερον τοὺς οἴκοι πάντας χριστιανοὺς γενέσθαι παρασκευάσωσιν. ὁ γὰρ τοὺς οἰκείους ἐπιστρέψαι πρὸς εὐσέβειαν μὴ δεξιῶς ἔχων, πῶς ἑτέρους ἱκανὸς ἔσται διδάσκειν; ὡς καὶ ὁ μέγας φησὶ Παῦλος, εἴ τις ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς οὗτος ἐκκλησίας θεοῦ προστήσεται;

F

CAPUT X.

Quòd non oporteat Laicum statim Episcopum creari, neque illum qui nuperrimè baptizatus fuit: & quibus de causis Clericus Sacerdotio excidit.

Quære cap. i. Lit. Λ.

ΚΕΦ. ιʹ.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἀθρόον τὸν λαϊκὸν ἐπίσκοπον οὐδὲ τὸν ἄρτι φωτισθέντα· καὶ διὰ ποίας αἰτίας ὁ κληρικὸς τῆς ἱερωσύνης ἀφαιρεῖται.

Ζήτει τὸ αʹ. κεφ. τοῦ Λ. στοιχείου.

A

ΚΕΦ. ια΄.

Πότε χειροτονεῖται εὐνοῦχος ἐπίσκοπος, ἢ κληρικὸς, ἢ ἄλλως τὸ σῶμα λελωβημένος.

Ζήτει τὸ λδ΄. κεφ. τοῦ Ε. στοιχείου.

Ὁ δὲ οζ΄. καὶ ὁ οη΄. κανόνες τῶν ἁγίων ἀποστόλων, οὐκ ἀποδοκιμοῦνται τῆς ἱερωσύνης τὸν ἑτερόφθαλμον, ἢ τὸ σκέλος ὑποσκάζοντα. οὐ γὰρ λώβη φησὶ σώματος, οἷά τε τὸν μιᾶναι, ἀλλὰ ψυχῆς μολυσμός· τοῦτο γὰρ τῷ σκιώδει παρατετήρητο νόμῳ, ὁλόκληρον ἐπιζητοῦντι τὸ σῶμα, τοῖς ὁρωμένοις ἐκπαιδεύειν τὰ πνευματικὰ εἰωθότι. ἀλλὰ ὁ μὲν πρὸ τῆς ἱερωσύνης τοιοῦτόν τι πεπονθὼς ταύτης ἀπεκινεῖτο· παρ' ἡμῖν δὲ καὶ ὁ τὰς ὄψεις μετὰ τὴν ἱερωσύνην ἀνοκοπεὶς, ἢ ἑτέρῳ πάθει περιπεσὼν δυσηκέστῳ, τῆς ἱερωσύνης οὐ μετατίθεται. εἰ γάρ τις φησὶ, καὶ ἄμφω τοὺς ὀφθαλμοὺς ἐκκόπτεται, ἢ τὰ ὦτα κεκώφωται, ἢ τὴν δεξίαν ἀργὴν ἔχει χεῖρα, ἢ ἄλλην τινὰ τῶν αἰσθήσεων ἀφήρηται, προσισταμένης αὐτῷ τῆς πηρώσεως πρὸς τὴν τῆς ἱερωσύνης ἐνέργειαν, εἰς ἱερωσύνην οὐ προβιβασθήσεται· οὐ τῷ βεβλάφθαι τὰ μέλη, ἀλλὰ τῷ ἀδυνάτως ἔχειν πρὸς τὴν τῶν θείων μεταχείρησιν. ὁ δὲ μετὰ τὴν ἱερωσύνην ἐκεῖνα παθὼν, ταύτης οὐκ ἀφαιρεῖται.

CAPUT XI.

Quando ordinetur Eunuchus Epiſcopus aut Clericus, aut aliter corpore mancus.

Quære cap. xxxiv. Lit. E.

Canones lxxvii. & lxxviii. ſanctorum Apoſtolorum non rejiciunt à Sacerdotio monoculum,
aut claudicantem. Non enim labes corporalis quoad B
hoc polluit, ſed animæ vitium. Iſtud enim ſub lege
umbratili obſervatum eſt, quæ integrum corpus exegit,
atque ſolet ex viſibilibus ſpiritualia edocere. Is quidem
qui tale quid paſſus fuerat munere ſuo movebatur: veruntamen
apud nos, qui vel oculos poſt Sacerdotium
exectos habet, vel incidit in aliud vitium corporale, quod
ſanari nequit, Sacerdotio non ſemovetur. Nam ſi quis,
inquit, oculis ambobus orbatus fuerit, aut utriſque aurium
obſurduerit, aut dexteram inutilem geſtaverit, aut
alio aliquo ſenſu privatus fuerit, ita ut mutulatio ejus
impediat, quin Sacerdotale munus exerceat, ad Epiſcopatum
C non promovebitur, non quòd læſa ſunt membra,
ſed quia ſacra myſteria tractare haud poſſit. Qui
tamen poſt Sacerdotium collatum iſtiuſmodi labe laborat,
Sacerdotio non excidet.

ΚΕΦ. ιβ΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν ἐκκλησίᾳ ἧς ὁ ἐπίσκοπος ἔτι περίεστι.

Ζήτει ἐν τῷ θ΄. κεφαλαίῳ τοῦ Δ. στοιχείου κανόνα ις΄. τῆς α΄. καὶ β΄. συνόδου.

CAPUT XII.

Quod Epiſcopum in Eccleſiâ, cujus Epiſcopus adhuc in vivis eſt, non ordinari oporteat.

D Quære in cap. ix. Lit. Δ. Canonem xvi. primæ & ſecundæ Synodi.

ΚΕΦ. ιγ΄.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον, ἐν πόλει μικρᾷ ἢ κώμῃ.

Ζήτει τὸ λ΄. κεφ. τοῦ Ε. στοιχείου.

CAPUT XIII.

Quòd non oporteat Epiſcopum in civitate parva aut vico ordinari.

Vide cap. xxx. Lit. E.

E

ΚΕΦ. ιδ΄.

Περὶ χειροτονίας χωρεπισκόπων.

Ζήτει λα΄. κεφ. τοῦ Ε. στοιχείου.

CAPUT XIV.

De ordinatione Chorepiſcoporum.

Conſule cap. xxxi. Lit. E.

ΚΕΦ. ιε΄.

Περὶ τοῦ χειροτονηθέντος ἐπισκόπου καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν.

Ζήτει τὸ κ΄. κεφ. τοῦ Ε. στοιχείου.

CAPUT XV.

F *De Epiſcopo ordinato qui ad Eccleſiam ſuam abire recuſat.*

Vide cap. xx. Lit. E.

A

CAPUT XVI.

Quòd non licet Episcopo ordinationes facere in districtu ipsi non subjecto.

CANON xxxv. ſanctorum Apoſtolorum Epiſcopum mandat non præſumere extra ſuos limites ordinationes facere in Urbibus & Pagis ſibi non ſubjectis: ſin autem aliquis hoc feciſſe convictus fuerit, præter illorum qui loca illa occupant ſententiam, & B ipſe deponatur, & illi quos ordinavit. Sed nec Metropolitano licet ad alicujus Epiſcoporum, qui ſub ipſo ſunt, Diœceſin proficiſci, & munus aliquod Hierarchicum peragere, abſque conſenſu Epiſcopi.

Vide in cap. ix. Lit. A. Synodi Antiochenæ Canonem xiii. & xxii. & Synodi ſecundæ, ſecundum.

ΚΕΦ. ις'.

Ὅτι οὐ δεῖ χειροτονίας ποιεῖν ἐπίσκοπον εἰς τὴν μὴ ὑποκειμένην αὐτῷ ἐνορίαν.

Ὁ λε'. τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπον μὴ τολμᾶν διορίζεται, ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ πόλεσι καὶ χώραις· εἰ δέ τις τοῦτο πεποιηκὼς ἐλεγχθείη, παρὰ γνώμην τῶν αὐτὰς κατεχόντων, καθαιρείσθω καὶ αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν. ἀλλ' οὐδὲ αὐτῷ τῷ μητροπολίτῃ ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἀπιέναι, καὶ ἱεραρχικόν τι τελεῖν γνώμης ἄνευ τοῦ ἐπισκόπου.

Ζήτει ἐν τῷ θ'. κεφαλαίῳ τοῦ Α. στοιχείου τῆς ἐν Ἀντιοχείᾳ συνόδου καν. ιγ'. καὶ κβ'. καὶ τῆς β'. συνόδου β'. κανόνα.

CAPUT XVII.

C *Quod non permittitur Epiſcopo Clericum alius Provinciæ ordinare.*

CANON liv. Synodi Carthaginenſis, Epiſcopos qui alienum Clericum ſuſcipientes in ſuis Eccleſiis ordinant, communione reliquarum privat.

Conſtitutio autem Synodica, quæ facta eſt ſub Patriarchâ Michaele, cui cognomen Princeps Philoſophorum, Conceſſum eſt, inquit, Pontificibus omnes, qui nondum ſacris initiantur, fidei verbum docere, & erudire, & baptizare undecunque ſint, & ſacra myſteria impertiri D fidelibus cujuſcunque diœceſeos, haud tamen iis qui undequaque adveniunt, ſacros ordines conferre: ſed his tantùm qui ad ſuam ditionem pertinent, uti ſacri Canones decernunt. Durum enim reputatum eſt & inhumanum eos qui hoc facere attentant, Epiſcopos ſcilicet excommunicare, ordinatos verò Sacerdotio privare; niſi fortè poſt unam & alteram admonitionem obtemperare recuſaverint, verum & tunc quidem Epiſcopi ſocordiam damnat, addito certo tempore: Ordinatos autem in illâ diœceſi Sacerdotale ſuum munus exercere vult in quâ ordinati ſunt. Dare etiam jubet miniſtris E Epiſcopatûs & Chartophylaci ſeu Regiſtrario quæ ex veteri conſuetudine ordinandis ſunt præſcripta. Iſta autem diſces ex cap. xxviii. inſtantis Elementi.

ΚΕΦ. ιζ'.

Ὅτι χειροτονεῖν ἐπισκόπῳ οὐκ ἐφεῖται κληρικὸν ἑτέρας ἐπαρχίας.

Ὁ νδ'. τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, τοὺς ἀλλότριον δεχομένους κληρικὸν ἐπισκόπους, χειροτονοῦντας ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις, τῆς τῶν λοιπῶν κοινωνίας ἀφορίζει.

Τὸ μέντοι συνοδικὸν σημείωμα, ὃ γέγονεν ἐπὶ τοῦ πατριάρχου Μιχαὴλ, τοῦ καὶ χρηματίσαντος ὑπάτου τῶν φιλοσόφων, συγκεχώρηται μέν φησι, τοῖς ἀρχιερεῦσι τοὺς ἀμυήτους ἅπαντας τὸν περὶ πίστεως λόγον διδάσκειν, καὶ κατηχεῖν καὶ βαπτίζειν ὅθεν δήποτε ὄντας, τῶν θείων τε μυστηρίων μεταδιδόναι τοῖς ἐξ οἱασοῦν ἐνορίας πιστοῖς· χειροτονίας δὲ ἀξιοῦν τοὺς ἁπανταχόθεν ἐρχομένους, οὐδαμῶς· ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας, ὡς οἱ θεῖοι κανόνες διορίζονται. σκληρὸν μέντοι καὶ ἀπηνὲς ἐλογίσατο, τοὺς οὕτω φθάσαντας πρᾶξαι, τοὺς μὲν ἐπισκόπους ἀφορίσαι, τοὺς δὲ χειροτονηθέντας γυμνῶσαι τῆς ἱερωσύνης, εἰ μήπου μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν πεισθῆναι οὐκ ἐθελήσωσιν, ἀλλὰ καὶ τότε τοῦ μὲν ἐπισκόπου ἀργίαν ἐπὶ ῥητῷ κατεψηφίσατο χρόνῳ. τοὺς δὲ χειροτονηθέντας ἐν ἐκείνῃ τῇ ἐνορίᾳ ἱερατεύειν ἐν ᾗ κεχειροτόνηνται. δίδοσθαι δὲ κελεύει τοῖς τῆς ἐπισκοπῆς ὑπηρέταις, καὶ τῷ χαρτοφύλακι παρὰ τῶν χειροτονουμένων, τὰ ἐξ ἔθους ἀρχαίου τετυπωμένα. καὶ ζήτει ταῦτα ἐν τῷ κη'. κεφ. παρόντος στοιχείου.

CAPUT XVIII.

Quòd quibuſdam Epiſcopis conceſſum eſt alienos Clericos recipere, & ordinare in ſuis Eccleſiis.

Vide in cap. ix. Lit. A. Canonem lv. Synodi Carthaginenſis. F

ΚΕΦ. ιη'.

Ὅτι τισὶ τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς, καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις.

Ζήτει ἐν τῷ θ'. κεφ. τοῦ Α. στοιχείου κανόνα νε'. τῆς ἐν Καρθαγένῃ συνόδου.

CAPUT XIX.

Quod ordinatur Clericus, etiam ille qui non eſt ex genere Sacerdotali.

Quære xiii. cap. Lit. K.

ΚΕΦ. ιθ'.

Ὅτι χειροτονεῖται κληρικὸς, καὶ ὁ μὴ ἐκ γένους ἱερατικοῦ καταγόμενος.

Ζήτει τὸ ιγ'. κεφ. τοῦ Κ. στοιχείου.

Κ Ε Φ. κ'.

Πότε χειροτονοῦνται καὶ οἱ δοῦλοι.

Ζήτει τὸ ιβ'. κεφ. τοῦ Δ. στοιχείου.

Κ Ε Φ. κα'.

Περὶ χειροτονίας ἀναγνωστῶν.

Ζήτει τὸ ς'. κεφ. τοῦ Α. στοιχείου.

Ἀναγνώστης χειροτονείσθω ἀφ' ὅπου χρόνου δύναται, καὶ ἐπίστασθαι ἀναγινώσκειν. ἂν δὲ δευτέραν γαμετὴν ἀγάγηται, ἢ μίαν μὲν, χήραν δὲ, ἢ διαζευχθεῖσαν ἀνδρὸς, ἢ τοῖς νόμοις, ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν προβαινέτω βαθμόν.

Κ Ε Φ. κβ'.

Ὅτι οὐκ ἐχειροτονοῦντο ἀπολελυμένως οἱ κληρικοί.

Ζήτει ιθ'. κεφ. τοῦ Κ. στοιχείου.

Κ Ε Φ. κγ'.

Ὅτι χειροτονεῖται ὁ πρὸ τοῦ βαπτίσματος θύσας κατηχούμενος.

Ζήτει ἐν τῷ α'. κεφ. τοῦ Α. στοιχείου κανόνα ιβ'. τῆς ἐν Ἀγκύρᾳ συνόδου.

Κ Ε Φ. κδ'.

Ὅτι ἀναχειροτονήσεις οὐ δεῖ γίνεσθαι.

Ὁ ξη'. τῶν ἁγίων ἀποστόλων κανὼν, τὸν δευτέραν πρός τινος χειροτονίαν δεξάμενον ἐπίσκοπον ἢ κληρικὸν καθαιρεῖσθαι κελεύει, καὶ αὐτὸν καὶ τὸν χειροτονήσαντα, εἰ τοῦτο συνειδὲν αὐτῷ· εἰ μὴ ἄρα πρὸς αἱρετικῶν τὴν χειροτονίαν δεξάμενος ἔτυχεν. ἀθετοῦμεν γὰρ τῶν τοιούτων ὥσπερ τὸ βάπτισμα, οὕτω δὴ καὶ τὴν χειροτονίαν, οὐ γὰρ ἁγιασμὸν ταῦτα, ἀλλὰ μολυσμὸν πεπείσμεθα προξενεῖν. ὁ δὲ δευτέραν πειρώμενος δέξασθαι χειροτονίαν, ἢ ὡς τοῦ πρώτου χειροτονήσαντος καταγινώσκων τοῦτο ποιεῖ· ἢ ὡς ἐλπίζων πλείονος ἀπολαύσεσθαι πρὸς τοῦ δευτέρου χάριτος· ἢ ὡς ἀποστὰς τυχὸν τῆς ἱερωσύνης, καὶ ἐξ ὑπαρχῆς χειροτονεῖσθαι διανοούμενος, ὅπερ ἄθεσμον.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου μ'. κανὼν, μήτε ἀναβαπτίζειν, μήτε δέχεσθαι τινὰ δευτέραν χειροτονίαν διορίζεται· ἀλλὰ δευτέραν εἶναι χειροτονίαν φησὶ, τὸ ἐᾶσαι τινὰ τὴν ἰδίαν ἐπισκοπὴν, καὶ πρὸς ἑτέραν μεταπεσεῖν, ὃς καὶ μετὰ πραότητος ὑπομιμνησκόμενος, εἰ μὴ πεισθείη πρὸς τὴν ἰδίαν ἐπανιέναι, τῇ τῶν ἀρχόντων ἐκδοθήσεται ἐξουσίᾳ.

A

CAPUT XX.

Quando ordinantur & servi.

Consule cap. xii. Lit. Δ.

CAPUT XXI.

B

De Ordinatione Lectorum.

Quære cap. vi. Lit. A.

Lector ordinatur quamprimum poterit legere: at si secundam uxorem duxerit, vel primam ex viduis aut repudiatis, aut interdictis vel per jus civile vel sacros Canones, neutiquam ad alium gradum Ecclesiasticum promoveatur.

C

CAPUT XXII.

Quod Clerici non ordinabantur simpliciter.

Vide cap. xix. Lit. K.

CAPUT XXIII.

D

Quando ordinetur Catechumenus qui ante baptismum immolavit.

Quære in cap. i. Lit. A. Canonem xii. Synodi Ancyranæ.

CAPUT XXIV.

Quod reordinationes fieri minimè oporteat.

E Canon lxviii. Sanctorum Apostolorum Episcopum aut Clericum qui secundam ordinationem acceperit, deponi jubet unà cum ordinante, si ipse hujus rei conscius fuerit: nisi fortè ab hæreticis ordinationem suscepit. Nullam enim facimus illorum, ut baptisma, ita & ordinationem: non enim sanctificationem, sed contaminationem credimus inferre. Qui autem secundam ordinationem suscipere cupit, hoc facit vel quia damnat priorem ordinantem, vel quia sperat plus gratiæ accipere à secundo, vel quia Sacerdotio excidit atque denuò ordinari studet, quod est nefarium. F

Canon verò l. Concilii Carthaginensis neque quempiam rebaptizare, vel iteratum ordinationem accipere decernit, imò hanc esse secundam ordinationem ait, permittere aliquem propriam Diœcesin deserere & in aliam transilire; atque etiam clementer submonet, nisi velit ad propriam ditionem redire, tradatur potestati magistratûs.

A

CAPUT XXV.

De illo qui crimini alicui obnoxius ordinatur tamen.

CANON ix. Synodi primæ, Presbyterum qui citra examinationem ordinatur, aut examinatus quidem confitetur quòd ante ordinationem in fornicationem prolapſus, ſed tamen præter Canones ordinatus eſt, jubet nihil ex illegitimâ ordinatione adjuvari, ſed re compertâ deponi. B Non enim ut ſacrum lavacrum novum reddit hominem, qui baptizatur, ita & Sacerdotium delicta quæ ipſum anteceſſerunt ſolvit, ut nonnulli putant. Hunc enim caſum Canon non attingit. Cæterum innocentiam in omnibus requirit Eccleſia, & ubi non invenit, ſententiâ tamen ſuâ vindicat.

Canon etiam quintus Theophili Alexandrini tales ab Eccleſiâ pellit, non ſolùm Sacerdotio. Illi autem qui ex ignorantiâ ordinavit, veniam concedit.

C

Quære hunc Can. in xvi. cap. Lit. Π. atque etiam Can. ix. & x. Synodi Neocæſarienſis.

ΚΕΦ. κε'.

Περὶ τοῦ ὑποκειμένου ἁμαρτήμασι, καὶ χειροτονηθέντος.

Ὁ θ'. τῆς α'. συνόδου κανὼν, τὸν ἀνεξετάστως χειροτονηθέντα πρεσβύτερον, ἢ ἀνακριθέντα μὲν, καὶ ἐξομολογησάμενον πρὸ τῆς χειροτονίας, πορνείᾳ τυχὸν περιπεπτωκέναι, παρὰ κανόνας δὲ χειροτονηθέντα, μηδὲν ἀπόνασθαι τοῦτον ἐκ τῆς ἀθέσμου χειροτονίας κελεύει· μετὰ γὰρ τὴν διάγνωσιν καθαιρεῖται. οὐ γὰρ ὥσπερ τὸ θεῖον λουτρὸν νέον ἄνθρωπον τὸν βαπτιζόμενον ἀποτελεῖ, οὕτω καὶ ἡ ἱερωσύνη τὰ πρό γε αὐτῆς ἁμαρτήματα λύει, ὥς τινες οἴονται· τοῦτο γὰρ ὁ κανὼν οὐ προσίεται. τὸ γὰρ ἀνεπίληπτον ἐν πᾶσιν ἡ ἐκκλησία ζητεῖ, καὶ μὴ εὑροῦσα ἐκδικεῖ.

Ὁ δὲ ε'. τοῦ Θεοφίλου Ἀλεξανδρείας, τοὺς μὲν τοιούτους καὶ τῆς ἐκκλησίας ἔξωθεν, μήτοιγε τῆς ἱερωσύνης. τῷ δὲ ἐξ ἀγνοίας χειροτονήσαντι, συγγνώμην δίδωσιν.

Ζήτει τὸν κανόνα τοῦτον, καὶ ἐν τῷ ις'. κεφ. τοῦ Π. στοιχείου, καὶ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου, θ'. καὶ ι'.

CAPUT XXVI.

Quod is non debet ordinari, qui ægrotus baptizabatur.

D Quære in cap. i. Lit. B. Can. xii. Synodi Neocæſarienſis.

ΚΕΦ. κς'.

Ὅτι οὐ δεῖ χειροτονεῖσθαι τὸν ἐν νόσῳ φωτισθέντα.

Ζήτει ἐν τῷ α'. κεφ. τοῦ Β. στοιχείου καν. ιβ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου.

CAPUT XXVII.

De iis qui jurant ſe ſacros ordines nondum ſuſcepiſſe.

Quære in cap. xxxii. Lit. E. Canonem decimum Magni Baſilii.

E

ΚΕΦ. κζ'.

Περὶ τῶν τὴν χειροτονίαν ὀμνυόντων μὴ καταδέξασθαι.

Ζήτει ἐν τῷ λβ'. κεφ. τοῦ Ε. στοιχείου κανόνα ι'. τοῦ μεγάλου Βασιλείου.

CAPUT XXVIII.

De his qui propter pecuniam ordinantur.

CANON xxix. Sanctorum Apoſtolorum, ſic expreſsè ſeſe habet: Si quis Epiſcopus per pecuniam dignitatis hujus particeps fiat, aut Presbyter, aut Diaconus, deponatur & ipſe, & qui ordinat, & penitus à communione abſcindatur, ut Simon Magus à me Petro. F

Quære & xxx. Canonem illorum in capite. xix. Lit. E. & quæ ibi dicuntur de utriſque horum Canonum.

Canon autem ſecundus Synodi quartæ, Si quis, inquit, Epiſcopus venum dat non vendibilem Spiritûs ſancti gratiam, nimirum quæ nullo pretio æſtimari poteſt, & venditioni non obnoxiam, ob eximiam ſuam naturam & omni æſtimatione ſuperiorem, & propter

ΚΕΦ. κη'.

Περὶ τῶν κεχειροτονημένων ἐπὶ χρήμασιν.

Ὁ κθ'. τῶν ἁγίων ἀποστόλων κανὼν, οὕτως ἐπὶ λέξεως ἔχει· εἴτις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένοιτο, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω τῆς κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

Ζήτει καὶ λ'. τούτων κανόνα ἐν τῷ ιθ'. κεφαλαίῳ τοῦ Ε. στοιχείου, καὶ τὰ ἐνταῦθα περὶ ἀμφοτέρων τῶν κανόνων τουτωνὶ ῥηθέντα.

Ὁ δὲ β'. κανὼν τῆς δ'. συνόδου, εἴτις φησὶ, ἐπίσκοπος εἰς πρᾶσιν καταγάγῃ τὴν ἄπρακτον χάριν τοῦ ἁγίου πνεύματος, τὴν ἀτίμητον δηλαδὴ καὶ πράσει μὴ ὑποπίπτουσαν, τῷ ὑπερφυᾶ ταύτην εἶναι, καὶ τιμῆς πάσης ἐπέκεινα, καὶ χειροτονήσειεν ἐπὶ χρήμασιν,

χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον· οὗτοι γὰρ οἱ χειροτονούμενοι· ἢ τινὰ τῶν ἐν τῷ κλήρῳ οἰκονόμον, ἢ ἔκδικον, νεωκόρον· οὗτοι γὰρ οἱ προβαλλόμενοι ὡς τὰ ἄρα οἱ ἀναγνῶσται καὶ ψάλται σφραγίζονται), ἢ τινὰ ὅλως τῶν τοῦ κανόνος ἕτερον, ὁ τοῦτο ἐπιχειρήσας διὰ οἰκείαν αἰσχροκέρδειαν καὶ ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν χειροτονίας ὠφελείσθω ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗ διὰ χρημάτων τετύχηκεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ, εἰ δὲ λαϊκὸς ἢ μονάζων ἀναθεματιζέσθω. ἐνταῦθα καλὸν ἂν εἴη τὸ στῆθος πλήξαντας πεπονθότως ἀναβοῆσαι· ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, τίς ὑποστήσεται; τίς γάρ ἐστιν ὁ διοίκησιν εὐαγοῦς οἴκου, ἢ διακονίαν οἱανδήτινα τῆς ἐκκλησίας ἀναδεχόμενος· ἢ κληρικὸς γινόμενος, ἢ μονύδριον λαμβάνων, ἄνευ τινὸς δόσεως· εἰ δὴ πᾶσι τούτοις τοῖς τε πορίζουσι, καὶ ποριζομένοις ἀθέσμως, τῶν ἐσχάτων οἱ ἱεροὶ τιμῶνται κανόνες· ποία ἡμῖν σωτηρίας ἐλπὶς μὴ ἀφισταμένοις καὶ τῆς αὐτῶν κοινωνίας παντάπασιν;

Ο δὲ κβ'. τῆς ϛ'. συνόδου κανὼν, τοὺς ἐπὶ χρήμασι χειροτονουμένους φησὶ, εἴτε ἐπισκόπους, εἴτε οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου ἀστείαν αἵρεσιν, αὐτούς τε καὶ τοὺς χειροτονήσαντας, καθαιρεῖσθαι προστάσσομεν.

Ο δὲ ε'. κανὼν, τῆς ζ'. συνόδου, σύμπαντας τοὺς ῥηθέντας κανόνας διεξιὼν, καὶ ἐν καλοῦ μοίρᾳ τῇ πρώτῃ τῷ κοινῷ τῆς ἐκκλησίας δεδόσθαι νομίσας, τῇ ἐκείνων κρίσει καὶ οὗτος ἐπιψηφίζεται.

Ο δὲ μέγας Βασίλειος πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους γράφων, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν, μετὰ τῶν ἄλλων καὶ ταῦτα φησίν· νομίζουσί τινες μὴ ἁμαρτάνειν διὰ τὸ μὴ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν· λαβεῖν δὲ ἐστὶ τὸ, ὅτε δήποτε λαβεῖν. παρακαλῶ οὖν ταύτην τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε καὶ μὴ τὰς χεῖρας μολύνοντες τοῖς τοιούτοις λήμμασιν ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια.

Η δὲ ἐγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως πρὸς γὰρ τοῖς ἄλλοις, καὶ ταῦτα περιέχει. ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας, καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ, τε κτᾶσθαι τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη· κἂν ἐλέγχηται, κἂν μὴ ἐλέγχηται τοῦτο ποιήσας· οὐ γὰρ οἷον συμβῆναι ποτὲ τὰ ἀσύμβατα, οὐ δὲ θεῷ συμφωνῆσαι τὸν μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας, δουλεῦσαι θεῷ. δεσποτικὴ καὶ αὕτη ἀπόφασις ἀναμφίλεκτος, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Η δὲ τοῦ ἐν ἁγίοις Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως, πρὸς Ἀδριανὸν Πάπαν Ῥώμης σταλεῖσα. φορητότερος μᾶλλον ἐστί φησι Μακεδόνιος, καὶ ἡ τῶν ἀμφ' αὐτῶν πνευματομάχων δυσεβὴς αἵρεσις, ἢ πιπράσκειν τολμῶντας τὴν χάριν τοῦ ἁγίου πνεύματος· ἐκεῖνοι μὲν γὰρ κτίσμα καὶ δοῦλον τοῦ θεοῦ καὶ πατρὸς τὸ ἅγιον πνεῦμα ληρῳδοῦσι, οὗτοι δὲ ἑαυτῶν, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσιν. ὁ γάρ τι πιπράσκων ὡς δεσπότης αὐτοῦ πιπράσκει· καὶ ὁ ἀγοράζων δεσπότης εἶναι βουλόμενος τοῦ ἐξωνηθέντος ἀργυρίου τούτου κτᾶται

A pecuniam ordinaverit Epiſcopum, vel Chorepiſcopum, aut Presbyterum, vel Diaconum, aut Hypodiaconum: (Hi enim ſunt qui ſacros ordines ſuſcipiunt:) Aut aliquem in Clero œconomum, aut Patronum, aut Curatorem: (Hi enim primores, ſicut & Lectores & Pſaltæ conſignantur) vel ſummatim alium aliquem qui ad ſtatum Eccleſiaſticum pertinet; qui hiſce manus imponit propter ſuam avaritiam, & convictus fuerit, cum diſcrimine ſui gradûs faciet, & is qui ordinatur nihil emolumenti capiet ex ordinatione ſuâ emptitiâ aut promotione, ſed vacabit etiam dignitate ſive munere, quam per pecuniam nactus erat. Si quis verò mediator accedat turpibus illis & nefariis muneribus; & ille ſi Clericus fuerit, ſuo gradu excidet, at ſi Laicus aut Monachus, anathemate ferietur. Hic autem æquum fuerit pectus pulſantes graviſſimè exclamare, Si iniquitates obſervaveris Domine, Domine quis ſuſtinebit? Qui enim eſt qui adminiſtrationem domûs Religioſæ vel Miniſterium aliquod Eccleſiaſticum ſuſcipit, aut Clericus fit, aut Monaſterium regit, ſine munere aliquo, At ſi omnibus illis tam qui conferunt quàm qui accipiunt per nefas, ſacri Can. ſummum ſupplicium intentant, quæ nobis ſpes ſalutis qui nullatenus ab eorum communione abſtinemus?

C

Canon autem xxii. Synodi ſextæ, qui propter pecuniam ordinantur, ait, Sive Epiſcopi, ſive Clerici quicunque, & non ſecundùm probationem & vitæ probitatem, & ipſos & ordinantes deponi jubemus.

Canon autem quintus Synodi ſeptimæ omnes dictos Canones recenſens, & in ſummum Eccleſiæ commodum latos eſſe reputans, illorum ſententiam ipſe etiam confirmat.

D Magnus autem Baſilius ad Epiſcopos, qui ſub ipſo erant, ſcribens, nè ordinarent propter pecuniam, inter alia, hæc habet; Exiſtimant nonnulli ſe nihil peccare, ſi tum quando ſacros ordines conferunt nihil accipiant, ſed poſt ordinationem. Accipere autem eſt, quovis tempore accipere. Adhortor igitur hunc morem ſeu potius viam ducentem ad gehennam repudiare, neque contaminantes manus veſtras hujuſmodi muneribus vos ſacra myſteria celebrando indignos præſtare.

E Epiſtola autem encyclica Gennadii Patriarchæ Conſtantinopolitani præter alia hæc habet, Sit ergo & eſt ab omni Sacerdotali dignitate & miniſterio alienus, & anathematis execrationi ſubjectus, qui ſe per pecunias Sacerdotium acquirere exiſtimat, atque qui id pecuniis præbere pollicetur, ſive Clericus, ſive Laicus fuerit, ſive hoc facere convincatur, ſive non. Quia fieri non poteſt, ut inconvenientia conveniant, vel mammona Deo conſentiat, vel qui ei ſerviunt, Deo ſerviant. Domini eſt ſententia, cui contradici non poteſt: *Non poteſtis ſervire Deo & mammonæ.*

F Epiſtola verò ſancti Taraſii Patriarchæ Conſtantinopolitani ad Adrianum Papam miſſa; Multò, inquit, tolerabilior eſt Macedonius, & impia hoſtium ſancti Spiritûs hæreſis, quam illi qui vendere audent gratiam Spiritûs ſancti. Illi enim in creaturam, & ſervum Dei & Patris ſanctum Spiritum contumeliam faciunt; hi autem ſervum ſuum, ut videtur, ipſum faciunt. Omnis enim qui aliquid vendit, tanquam Dominus iſtius vendit, & qui emit cupiens Dominus eſſe rei venditæ, argenti pretio id acquirit.

Addit etiam, quod hoc crimen conſimile ſit illi Judæ proditoris, hunc in modum diſſerens, Nam ſi conſubſtantialis ſit Filio Spiritus ſanctus, & ejuſdem dignitatis, & damnetur Judas, quòd propter pecuniam prodidit Filium, neceſſe etiam eſt illos qui Spiritum vendunt, haud leviores quàm ille pœnas ſubire. Sed verò adſit jam Eccleſiæ ſuada, lyráque quæ per totum terrarum orbem ſonat, is qui ſpiritualia medicamenta peritè magis quam Medicorum quiſpiam, & ſapienter miſcet, ſanctus, inquam, Chryſoſtomus. Quàm nos etiam hac in re docuit, ut ſeveritatem Canonum nonnunquam commiſeratione permiſcentes paulùlum mitigare oportet. Scimus B enim quòd eos qui auro ordinationes redemerunt, Sacerdotio privare, aurum tamen ab hæredibus ejus qui ordinabat repetere voluit; quoniam vitâ jam emenſâ, iſte præiverat. Antoninus autem erat Eccleſiæ Epheſinæ Antiſtes, qui Spiritûs ſancti gratiam venum dare nullus dubitabant, vide autem eximiam viri ſancti clementiam. Juraverant enim jam ante ſe nunquam tale quid perpetraſſe. Argumentis autem evidentibus convicti, indicatis & tempore & auri quantitate, poſtmodum rem ſe ita habere faſſi ſunt, obtendentes ſe non animi malitiâ, ſed ſimplicitate potius ferri, quatenus ex more eſſe exiſtimabant, & à tribunali, (quod C aiebant) cui obnoxii fuimus liberaremur. Ad hæc ampliſſima, ut cœlum patet, illa anima & miſerationum Dei, ſiquis alius, maximè genuinus explanator, non excommunicationem depoſitioni ſuperinduxit, uti ſacri Canones decernunt, neque Eccleſiâ penitus excluſit: (licet voluntaria confeſſio de quovis crimine multum detrahat, ſicut convictio è contra valde aggravat) ſed cum miſericordiâ rigorem Canonum commiſcens, intra altare ipſis de ſacris myſteriis communicare permiſit, eâ ratione ſatis, ut videbatur, eorum animas conſolans, quæ Sacerdotii amiſſione depreſſæ erant. D

A τιμῆς. προστίθησι δὲ καὶ ὡς ἐφάμιλλον τὸ τούτων ἁμάρτημα τοῦ τοῦ προδότου Ἰούδα, οὑτωσὶ συλλογιζομένη, εἰ γὰρ ὁμοούσιον τῷ υἱῷ τὸ πνεῦμά ἐστι, καὶ ὁμότιμον κατακρίνεται δὲ ὁ Ἰούδας, τὸν υἱὸν ἀποδόμενος ἀργυρίου, ἀνάγκη δήπου καὶ τοὺς τὸ πνεῦμα πιπράσκοντας, μὴ ἐλάττονας ἢ ἐκεῖνος τὰς εὐθύνας ὑπέχειν. ἀλλὰ γὰρ παρείτω καὶ ἡ τῆς ἐκκλησίας σειρὴν, ἡ διὰ πάσης τῆς οἰκουμένης ᾄδουσα λύρα, ὁ τὰ πνευματικὰ φάρμακα παντὸς ἰατροῦ μᾶλλον εἰδότερος καὶ σοφῶς κεραννὺς, ὁ θεῖος φημὶ Χρυσόστομος. ὡς ἂν ἡμᾶς κἂν τούτῳ διδάξῃ, ὅπως χρὴ τὸ αὐστηρὸν τῶν θείων κανόνων ἐσθ᾽ ὅτε τῇ συμπαθείᾳ παρακιρνῶντας ὑποχαλᾷν. B ἴσμεν γὰρ ὅπως τοὺς χρυσίῳ τὰς χειροτονίας ἐωνημένους, τῆς μὲν ἱερωσύνης γυμνῶσαι, τὸ δὲ χρυσίον παρὰ τῶν τοῦ χειροτονήσαντος κληρονόμων ἠξίωσεν ἀπολαβεῖν· ἐπεὶ τὴν ζωὴν ἐκμετρήσας ἐκεῖνος δὲ ἔφθασεν ἤδη. Ἀντωνῖνος οὗτος ἦν τῆς ἐφεσίων ὁ πρόεδρος, ὁ τὴν τοῦ ἁγίου πνεύματος δωρεὰν ὤνιον θέσθαι μὴ καταπλήξας, ἀλλ᾽ ὅρα μοι τὸ τῆς ἁγίου συμπαθείας τὸ περιόν. ἐξώμνυντο μὲν γὰρ ἐπιπολὺ πρότερον ἐκεῖνοι, ἦ μὴν τοῦτο πεποιηκέναι μηδέποτε. τοῖς δὲ φανεροῖς ἐλέγχοις δυσωπηθέντες, τόπων ὑπομιμνησκόμενοι καὶ καιρῶν· καὶ τῆς τοῦ χρυσίου ποσότητος, οὕτως ἔχειν ὁμολόγησαν ὕστερον, διατεινόμενοι ὡς οὐ σκαιότητι γνώμης, ἀλλ᾽ ἀκεραιότητι μᾶλλον καθυπαχθῆναι τοιαύτην ὑπειληφότες τὴν συνήθειαν εἶναι· καὶ ἵνα τῶν βουλευτηρίων, ὧν περ ἦμεν ὑποτελεῖς, ἀπαλλαγείημεν φάμενοι. C πρὸς ταῦτα ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, καὶ τῶν τοῦ θεοῦ οἰκτιρμῶν, εἴπερ τις ὑφηγητὴς γνησιώτατος, οὐκ ἀφορισμὸν πρὸς τῇ καθαιρέσει ἐπήνεγκεν, ὡς οἱ θεῖοι κανόνες κρίσεως ἔχουσιν, οὐ τῆς ἐκκλησίας ἀπεώσατο· καί τοι τῆς μὲν ἑκουσίου ἐξομολογήσεως, ἑκασταχῆ τῶν εὐθυνῶν τὸ πλεῖστον ἀφαιρουμένης, τοῦ δὲ ἐλέγχου χαλεπωτέρας ταύτας ἐργαζομένου. ἀλλ᾽ ἡμερότητι τὸ τῶν κανόνων κεράσας ἀπότομον, εἴσω τοῦ θυσιαστηρίου τῶν ἁγιασμάτων αὐτοῖς μετέχειν ἐπέτρεψεν, ἱκανῶς ταύτῃ τὰς αὐτῶν οἰόμενος παρακαλέσαι ψυχὰς, τῇ τῆς ἱερωσύνης ὀδυρομένας ἐκπτώσει.

In libro autem Actuum hæc occurrunt: Ubi autem vidit Simon, quòd per impoſitionem manuum Apoſt. datus fuit Spiritus ſanctus, obtulit eis pecuniam, dicens; Date mihi facultatem iſtam, ut cuicunque manus impoſuero, recipiet Spiritum ſanctum. Petrus autem dixit ei, Argentum tuum tecum ſit in perditionem, quia putaſti donum Dei per pecuniam acquiri poſſe, *&c.*

Ἐν δὲ τῇ βίβλῳ τῶν πράξεων ταῦτα γέγραπται· θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων, δότε μοι τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτὸν, τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, καὶ τὰ ἑξῆς.

Tertius autem Liber Regum, Et non converſus eſt Hieroboamus, inquit, ab iniquitate ejus, & reverſus eſt, & fecit ex parte populi Sacerdotes Excelſorum, quicunque voluit, ejus manum adimplebat. Et hæc res contigit in malum domui Hieroboami, & in perniciem & ad delendum eum à facie terræ. Quis etiam non novit veterem illum Gieze, ut Prophetæ Eliſæo miniſtrabat, uti narrat liber quartus Regum. Ille enim luit ea quæ patravit. Vix enim minus ille ob nequitiam innoteſcit, quàm magiſter ejus ob virtutem. Cùm igitur Neeman munera Prophetæ dare decreverat, quia liberatus erat per illum à leprâ, ille autem largitionem nullus acceperat, Gieze Neeman abeuntem excipiens, & avaritiam ſuam mendacio tegens, quaſi magiſter ejus in mandatis dederat recipere, adeóque de bonis ejus non pauca accipiens, ſtatim lepræ quam ille depoſuerat, hæres factus eſt, Prophetâ hoc maledicti ipſi denunciante.

E Ἡ δὲ τρίτη τῶν βασιλειῶν, καὶ οὐκ ἐπέστρεψεν ὁ Ἱεροβοὰμ, φησι, ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν, ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ· καὶ ἐγένετο τοῦτο τὸ ῥῆμα εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ, καὶ εἰς ὄλεθρον, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς. τίς οὖν οὐκ οἶδε τὸν πάλαι Γιεζῆ, ὅπως τῷ προφήτῃ μὲν Ἐλισσαίῳ διακονούμενος ἦν, ὡς ἡ τῶν βασιλειῶν τετάρτη διέξεισιν, ὃς δὲ πέπονθεν ἐξ ὧν ἔδρασεν· οὐχ ἧττον γὰρ διὰ κακίαν ἐκεῖνος, ἢ δι᾽ ἀρετὴν ὁ διδάσκαλος, μικροῦ τοῖς πᾶσι γνωρίζεται. χρήματα γοῦν τοῦ Νεεμὰν τῷ προφήτῃ προεῖσθαι προθυμουμένου, ἀνθ᾽ ὧν τῆς λέπρας ἐξάντης δι᾽ αὐτοῦ γεγένητο, κἀκείνου τὴν εἰσφορὰν μὴ προσηκαμένου, F ὁ Γιεζῆ καταλαβὼν ἀπόντα τὸν Νεεμὰν, καὶ τὴν φιλοχρηματίαν τῷ ψεύδει ἐπηλυγάσας, ὡς ἄρα ὁ διδάσκαλος αὐτῷ λαβεῖν ἐπιτάξειε, καὶ ταύτῃ τῶν ἐκείνου εἰληφὼς οὐκ ὀλίγα, κληρονόμος εὐθὺς καὶ ἧς ἐκεῖνος ἀπήλλακτο λέπρας γεγένητο, αὐτῷ τοῦτο τοῦ προφήτου ἀρασαμένου.

Magnus autem Baſilius in Expoſitione ſuâ in Prophetam Eſaiam, locum illum explicans, Legem dedit in auxilium: ut dicant, non tanquam verbum hoc, pro quo non licet munus dare, quoniam ventriloqui, inquit,

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῇ εἰς τὸν προφήτην Ἡσαΐαν ἑρμηνείᾳ ἐξηγούμενος τὸ, νόμον ἔδωκεν εἰς βοήθειαν· ἵνα εἴπωσιν, οὐχ᾽ ὡς τὸ ῥῆμα τοῦτο περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ, ὅτι αἱ ἐγγαστρίμυθοι φησὶ, ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι, μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι. τὸ δὲ ῥῆμα τοῦ νόμου οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ, ὅτι τὴν χάριν οὐδεὶς ἀποδίδοται· δωρεὰν γάρ φησιν, ἐλάβετε, δωρεὰν δότε. ὁρᾷς ὅπως ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι, ἀργύριον ὑπὲρ τῆς τοῦ πνεύματος χάριν προσκομίσαντι; τὸ ἀργύριόν σου σὺν σοὶ εἴη, φησὶ, εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ θεοῦ διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστιν οὖν ὁ τοῦ εὐαγγελίου λόγος, ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων; τί γὰρ ἄν τις δοίη ἄξιον αὐτοῦ ἀντάλλαγμα; ἄκουε τοῦ Δαβὶδ διαποροῦντος καὶ λέγοντος· τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς αὐτοῦ χάριτος; ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος. ὁ δούς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Νόμοι.

Ἐάν τις διὰ δόσεως χρυσίου ἐπίσκοπος ἢ κληρικὸς γένηται· ἢ ξενοδόχος, ἢ πτωχοτρόφος· ἢ νοσοκόμος· ἢ διοικητὴς εὐαγοῦς οἱουδήποτε οἴκου· ἢ ἑτέρου τινὸς ἐκκλησιαστικοῦ φροντιστὴς διακονήματος· καὶ ὁ δοὺς, καὶ ὁ λαβὼν, καὶ ὁ μέσος γενόμενος τῆς ἱερωσύνης καὶ τοῦ κλήρου, ἢ τῆς ἐμπιστευθείσης διοικήσεως, ἀπογυμνούσθωσαν.

Εἰ δέ τις τῶν ἐπισκόπων ἢ κληρικῶν πρὸ τῆς χειροτονίας εἴτε μετὰ ταῦτα ἐκ τῶν ἰδίων πραγμάτων δοῦναι βουληθείη τῇ ἐκκλησίᾳ εἰς ἣν ἐπεκηρύχθη, οὐ μόνον οὐ κωλύομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν.

Περὶ κανονικοῦ, καὶ τῶν ὑπὲρ χειροτονίας δεδομένων.

Ἐξ αὐτῆς τῆς κώμης ἐν ᾗ ἐστὶν ἡ ἐκκλησία, κατὰ ἀναλογίαν τῶν τόπων, κρίσει τοῦ ἐπισκόπου οἱ κληρικοὶ χειροτονείσθωσαν, καὶ τὴν οἰκείαν ἐπιγινωσκέτωσαν κεφαλιτιῶνα. χάριν δὲ τοῦ τοιούτου κανονικοῦ, καὶ τῶν ὑπὲρ χειροτονίας δεδομένων συνήθως, διορίζεται τὸ χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως Ἰσαακίου τοῦ Κομνηνοῦ, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα. τυποῖ γάρ φησιν ἡ βασιλεία μου, ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανονικῷ τὸν παλαιὸν ἐνεργεῖν τύπον, καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τούτους ἐπίσκοπον, ἀλλ' ἢ μόνα τὰ ἑπτὰ χρυσᾶ νομίσματα, ἤγουν ἓν μὲν ὅτε ποιεῖ αὐτὸν ἀναγνώστην, τρία δὲ ὅτε χειροτονεῖ αὐτὸν διάκονον, καὶ ἕτερα τρία ὅτε πληροῖ αὐτὸν ἱερέα. καὶ τὸ συνοδικὸν ψήφισμα τὸ γεγονὸς ἐπὶ τοῦ πατριάρχου Μιχαὴλ, ὃ καὶ ζήτει κατὰ τὸ ιζ΄. κεφάλαιον τοῦ παρόντος στοιχείου· ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ, ἀπὸ τοῦ ἔχοντος χωρίου τριάκοντα καπνοὺς, νόμισμα χρυσοῦν ἓν, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς μοδίους ἓξ οἴνου μέτρα ἕξ, ἀλεύρου μοδίους ἕξ, καὶ ὄρνεις τριάκοντα. ἀλλὰ καὶ ἕτερον συνοδικὸν σημείωμα γέγονεν ἐπὶ τοῦ πατριάρχου Νικολάου, κελεῦον κατὰ τὸ τοῦτον χρυσόβουλλον δίδοσθαι κανονικὰ, καὶ τὰ ὑπὲρ χειροτονίας.

ΚΕΦ. κθ΄.

Περὶ χηρῶν γυναικῶν.

Ζήτει τὸ ι΄. κεφάλαιον τοῦ Γ. στοιχείου.

ΚΕΦ. λ΄.

Περὶ τῶν χλευαζόντων τοὺς ἀσθενεῖς τοῦ σώματος ἔχοντας.

Ζήτει τὸ α΄. κεφάλαιον τοῦ Υ. στοιχείου.

A propter pecuniam divinantur. Hoc enim ridiculum eſt, quod qui decipiuntur, mercedem mendacii argentum ipſis dant. Verbum autem Legis non eſt tale, ut pro illo donum aliquod detur, quoniam nemo gratiam dat. Gratis enim, ait, accepiſtis, gratis date. Vides quomodo Petrus ſuccenſuit adverſus Simonem, qui argentum pro gratiâ ſancti Spiritûs attulerat, Argentum tuum ſit tecum, inquit, in perditionem, quoniam exiſtimaſti donum Dei per pecuniam comparare. Non eſt igitur ſermo Dei ut venalia verba ventriloquorum. Quodnam enim pretium aliquis det illo condignum? Audi Davidem quæritantem & dicentem, Quid retribuam Domino B pro omnibus quæ retribuit mihi? Non igitur licet dare donum gratiâ ejus condignum? Unicum eſt donum dignum, conſervatio rei donatæ. Qui dat tibi theſaurum, non pretium requirit rei datæ, ſed cuſtodiam debitam tanto dono.

Leges.

Si quis propter pecuniam ſolutam Epiſcopus aut Clericus fiat, aut hoſpitii, vel peregrinorum, vel pauperum, vel ægrotantium præfectus, aut adminiſtrator cujuſcunque domus Deo conſecratæ, vel alius Eccleſiaſtici operis curator, & is qui dat, & qui accipit, & mediator C Sacerdotio ſuo & Clero, vel concreditâ adminiſtratione privabuntur.

Si quis tamen Epiſcopus vel Clericus ante ordinationem ſuam, vel poſt illam, de bonis ſuis largiri velit Eccleſiæ, ad quam vocatus eſt, non ſolum non prohibemus, ſed etiam omni laude dignum decernimus.

De Canonico, & iis quæ pro Ordinatione ſolvuntur.

Siquis præter hoc ſacrum Symbolum aliud edere auſus fuerit, vel addere, aut auferre, & definitionem [fidei] nominare præſumpſerit, damnandus & omni Chriſtianâ confeſſione abjiciendus eſt: auferre enim vel addere, noſtram in ſanctam & conſubſtantialem Trinitatem deſuper in hunc uſque diem deſcendentem confeſſionem imperfectam eſſe, oſtendit, & Apoſtolicam traditionem & Patrum doctrinam condemnat.

Si quis igitur in tantam dementiam incitatus audeat (prout ſuprà dictum eſt) aliud Symbolum edere, & definitionem nominare, vel additionem aut ablationem illi, quod à ſanctâ & œcumenicâ magnâ Synodo nobis traditum fuit, facere, ſit anathema.

Elias religioſiſſimus Presbyter & Legatus Hieroſolymitanus & Coſmas Senior Alexandriæ dixerunt, ſint anathema qui ab hoc diverſum ſentiunt; anathema qui hoc commune fidei Symbolum non confitentur.

E Canonibus ſanctæ & œcumenicæ iſtius Synodi, qui ex Nomocanone ſumpti fuerunt, quorum inſcriptio in Nomocanone ſic ſe habet,

Canones à ſanctâ Synodo in celebri templo idem cum Deo verbo Sapientiæ cognomen ſortito congregatâ, quæ ſeptimam œcumenicam Synodum confirmavit, omnem autem Schiſmaticum & hæreticum errorem proſcripſit.

CANONES ISTIUS SANCTÆ SYNODI.

Canon I.

STATUIT hæc ſancta & œcumenica Synodus, ut ſi qui ex Italiæ Clericis vel Laicis vel Epiſcopis, in Aſiâ vel Europâ vel Libyâ verſantes, ſub vinculo vel depoſitione vel anathematizatione apud ſanctiſſimum Papam Joannem fuerint, ut ii quoque apud Photium ſanctiſſimum Patriarcham Conſtantinopolitanum in eadem ſint pœnæ definitione; id eſt, vel depoſiti vel anathematizati vel ſegregati; & quos etiam Photius ſanctiſſimus noſter Patriarcha, Clericos vel Laicos vel Epiſcopalis aut Sacerdotalis ordinis, in quacunque Parœciâ, ſegregationi vel depoſitioni vel anathematizationi ſubjecerit, ſanctiſſimus quoque Papa Joannes & ſub illo ſancta Dei Romanorum Eccleſia eos in eodem pœnæ judicio habeat; privilegiis, quæ ſanctiſſimæ Romanorum Eccleſiæ Sedi & ejus Antiſtiti conveniunt, nihil penitus innovatis, neque nunc neque in poſterum.

Canon II.

Licèt hucuſque Antiſtites nonnulli ad Monachorum habitum deſcendentes, in ſummi Sacerdotii altitudine permanere vi nitebantur, cum hoc facerent neglecti ſunt; ſancta igitur & œcumenica hæc Synodus, & iſtam negligentiam corrigens, & ad Eccleſiaſticas regulas inordinatam iſtam Actionem redigens, ſtatuit, ut ſiquis Epiſcopus, vel aliquis alius ex Pontificali dignitate ad Monaſticam vitam deſcendere in animo habuerit, & pœnitentiæ locum implere, ut non ampliùs ille Pontificalem dignitatem uſurpet.

(Monachorum enim professiones subjectionis rationem habent, non autem disciplinæ vel primatûs; non alios pascere, sed ipsos pasci profitentur) non amplius quisquam in Pontificalem vel Pastorum catalogum recensitus, ad eorum, qui pascuntur & pœnitentiam agunt, locum seipsum demittat. Si quis igitur post enunciationem & declarationem hujus sententiæ editæ tale quoddam facere ausus fuerit, ipse Pontificali gradu sese privans, nequaquam amplius ad priorem dignitatem, quam factis improbavit, revertatur.

Canon III.

Siquis Laicus authoritate usus, divinis quidem & regiis jussis contemptis, & reverendis Ecclesiæ ritibus & legibus irrisis, Episcopum aliquem verberare ausus fuerit, vel in carcerem conjicere, vel absque causâ, vel causâ aliquâ confictâ, is sit anathema.

Ex Epistola Photii ad Marinum Castellensem Episcopum.

Hæc verò excerpta sunt ex Becci oratione, cujus initium est, Felix quidem proculdubiò fuisset, si simplex & plana Evangelii prædicatio in Christi Ecclesiâ in perpetuum emicuisset.

Hæ Epistolæ ad Antistites Romanos per sanctissimum Patriarcham Photium scriptæ fuerunt post Synodum, inter duas Ecclesias ratâ unione.

Læsis nobis, quando judicum subsellia occupabam, forsan tentabaris, injuriam verò inferentibus resistere, à Deo nobis potestate datâ, periculum facere noluisti: sin verò corâm sistere, tunc autem juvante Deo loqui, fiduciam habuisses, & vetus suffragium & præsentem ignaviam, non ex quibus pœnas dabas, sed unde amicitiam percepisti, multùm condemnâsses. Et ne inanes sermones tibi videantur, quæ dicta sunt, pretiosorum lignorum particulas auro inclusas, retributionis primitias, sanctitati tuæ misimus. Tu autem vale, & ne ignores veræ amicitiæ leges, quæ non [tantum] ex rebus prosperis, sed & adversis non minus, ut Dominica mihi testantur oracula, optima illa & Deo dignissima, nascitur. Gratiam verò petimus (& vide in quantam confidentiam statim prosilui) at quam mihi inverecundum esset accipere, & tibi optimum præbere; ut si quis virtutem tuam, sive sponte sive invitus, contristare unquam permotus fuerit (& hujusmodi plena sint humana) mediocritatis nostræ erga te affectum in exemplum adversus delinquentem producas, & pœnas ab illo exigere iis æquales, quas ipse à nostra mediocritate exegisti.

Ex Epistola Photii ad Gauderichum Veletriæ Episcopum: & hoc ex Becci Oratione exscriptum fuit.

Qui sine ulla prævia pugna seu contentione seinvicem amicitia conjungunt, mutuam benevolentiam utplurimùm certa mensura distribuentes, & immaturam solutionem timentes, amorem plerumque ad invicem negligentiùs servant: quibus verò contigit, ex præexercitato odio aut dissidio in charitatem redire, eo, qui injuriâ affectus est, ad pulchram hanc

A αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς ὑπέχουσι λόγον, ἀλλ' οὐχὶ διδασκαλίας, ἢ προεδρείας· οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων, εἰς τὴν τῶν ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν. εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι μετὰ τὴν ἐκφώνησιν καὶ διάγνωσιν καὶ τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ, οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ διὰ τῶν ἔργων ἠθέτησεν, ἀξίωμα ἐπαναστρέψει.

B Κανὼν γʹ.

Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, καὶ καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσοι ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι, χωρὶς αἰτίας ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ἀπὸ τῆς ἐπιστολῆς Φωτίου πρὸς Μαρῖνον Καστέλλης ἐπίσκοπον.

C Ταῦτα δὲ παρεξεβλήθησαν ἀπὸ λόγου τοῦ Βέκκου, οὗ ἡ ἀρχὴ, Ἦν ἂν μακάριον ἀληθῶς, εἴγε τὸ τοῦ εὐαγγελικοῦ ἁπλοῦν τε καὶ ἀνεξέταστον τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ διέλαμπεν εἰς ἀεί.

Αὗται αἱ ἐπιστολαὶ ἐγράφησαν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου πρὸς Ῥωμαίους ἀρχιερεῖς μετὰ τὴν σύνοδον, τελεσθείσης τῆς ἑνώσεως τῶν βʹ. ἐκκλησιῶν.

Ἀδικουμένων ἡμῶν, ὅτε κριτῶν καθέδραν ἐπεῖχον, ἴσως ἐπειράθης, ἀμύνασθαι δὲ τοὺς ἠδικηκότας, λαβόντων ἡμῶν D θεόθεν ἐξουσίαν, εἰς πεῖραν ἐλθεῖν οὐκ ἠβουλήθης· εἰ δὲ ἐθάρρησας εἰς ὄψιν καταστῆναι, τότε ἂν σὺν θεῷ δὲ φθάσαι, καὶ τὴν πάλαι ψῆφον καὶ τοῦ νῦν ὄκνου, οὐκ ἐξ ὧν ἐδίδους δίκην, ἀλλ' ἐξ ὧν ἀπέλαβες φιλίαν, πολλὴν ἂν τὴν κατάγνωσιν κατεψήφιζου. καὶ ἵνα μὴ κενότης σοι λόγων δόξῃ τὰ εἰρημένα, ἀπαρχὴν ἀμύνης, τιμίων ξύλων μερίδας χρυσῷ καταπεθειμένας, τῇ σῇ πεπόμφαμεν ἱερότητι. σὺ δέ μοι ἔρρωσο, καὶ μὴ ἀγνόει θεσμοὺς ἀληθοῦς φιλίας, ἥτις οὐκ ἐξ ὧν ἄν τις εὖ πάθοι, ἀλλὰ καὶ ἐξ ὧν κακῶς οὐδὲν ἔλαττον, ὥς γέ μοι τὰ κυριακὰ βούλεται λόγια, ἄριστά τε καὶ θεοπρεπέστατα, φύεται. αἰτοῦμεν δὲ χάριν· καὶ ὅρα εὐθὺς εἰς ὅσον παρρησίας ἀνέδραμον· ἀλλ' E οὖν ἣν ἐμοί τε λαβεῖν ἀνεπαίσχυντον, σοί τε παρέχειν ἄμεινον, ὡς εἴ τις ποτε λυπήσαι τὴν σὴν ἀρετὴν, εἴτε ἑκὼν εἴτε ἄκων προαχθείη· γέμοι καὶ τῶν τοιούτων τὰ ἀνθρώπινα· τὴν τῆς ἡμετέρας μετριότητος. πρεί σε διάθεσιν πρὸς τὸν ἐξημαρτηκότα ποιεῖσθαι παράδειγμα, καὶ δίκην τὴν ἴσην ἀπαιτεῖν παρ' αὐτοῦ, ἣν αὐτὸς παρὰ τῆς ἡμῶν εἰσεπράχθης μετριότητος.

Ἀπὸ τῆς ἐπιστολῆς τοῦ Φωτίου πρὸς Γαυδέριχον Βελιτερίνας ἐπίσκοπον· καὶ τοῦτο ἀπὸ λόγου τοῦ Βίκκου ἀνεγράφη.

F

Οἱ χωρὶς τινος ἡγησαμένης μάχης ἤτοι ἔριδος εἰς φιλίαν ἀλλήλοις συνάπτοντες, τὴν παρ' ἀλλήλων ὡς ἐπὶ τὸ πολὺ διαμετρούμενοι ἔννοιαν, καὶ τὴν προκαταβολὴν ἀναμένοντες, ῥαθυμότερον τὸ φίλτρον πρὸς ἀλλήλους ὡς τὰ πολλὰ διασώζουσιν· οἷς δὲ συνέπαθεν ἐκ προκατασκούσης ἀπεχθείας ἢ διαστάσεως εἰς ἀγάπην διαλύσασθαι, τοῦ ἠδικημένου μάλιστα τῆς καλῆς ταύτης κατάρξαντος διαθέσεως, οὕτω τὸ

φθάσαι

φθάσασαν αἰσχύνην, ὃ καὶ προσῆκον, ποιούμενοι, αὐτὸ τοῦτο προξενεῖν σπουδαιοτέραν εἰς τοὺς τῆς ἀληθοῦς φιλίας νόμους διέγερσιν· σπουδάζουσι τοίνυν διὰ ταῦτα οἱ, ἐξ ὧν τῶν παλαιῶν σκανδάλων ἡ αἰτία μάλιστα διελήλυθεν, οὐ μόνον μηδεμίαν τοῦ λοιποῦ τοιαύτῃ προφάσει χώραν ἐμπαρέχειν, ἀλλὰ καὶ τὰ φθάσαντα τῷ φιλοτίμῳ τῆς στοργῆς καὶ εὐμενείας εἰς λήθην βαθεῖαν ἀπελαύνειν. ἡμεῖς μὲν οὖν, ὡς ἂν καὶ αὐτὸς ἐνατενίζων τῇ ἀληθείᾳ βοήσῃς, πρὸς οὐ φίλην πάλαι διάθεσιν ἐν ἁγίῳ πνεύματι καθαρὰν φιλίαν προσδεόμεθα· σὸν δ' ἂν εἴη συγκροτεῖν καὶ αὔξειν ταύτην, καὶ μὴ τῷ ῥέοντι τῆς στοργῆς σβέσαι μὲν ἀναρριπισθεῖσαν φλόγα τηλικαύτην θείου φίλτρου, ἀναθάλλειν δὲ παρασκευάσαι, ἣν ὁ τῆς ἀγάπης νόμος ἐξ αὐτῆς ῥίζης ἀπέτεμε κακίαν, καὶ πάσης μνήμης ἡμῶν ὑπερώρισε καὶ διανοίας. διὸ καὶ ταύταις ταῖς συλλαβαῖς, οἷα δὴ χείλεσι διαθέσεως εἰλικρινοῦς, περιπτυσσόμεθά σου τὴν ἱερότητα, καὶ τῷ σταλέντι δώρῳ, σύμβολον ἐπέχοντι δεξιώσεως, τὴν σὴν ἐξοικειούμεθα μακαριότητα.

Ἀπὸ τῆς ἐπιστολῆς Φωτίου πατριάρχου πρὸς Ζαχαρίαν Ἀναγίνων ἐπίσκοπον· καὶ τοῦτο ἀπὸ τοῦ αὐτοῦ λόγου τοῦ Βέκκου μετεγράφη.

Τῶν παλαιῶν τινά φασι, Θεοδέκτης οἶμαι τῷ ἀνδρὶ τοὔνομα, αἰτησάμενον ὧν ἐν χρείᾳ καθεστήκει, μὴ μόνον εὑρεῖν τὸν φίλον πρὸς τὸ μέτρον τῆς αἰτήσεως διαναστάντα, ἀλλὰ καὶ φιλοτιμότερον διατεθέντα οὐκ ἐλάττοσι προσθήκαις τὴν αἴτησιν ἐκπληρῶσαι· τοῦτο μὲν ἴσως ἔργον ἦν τῆς Ἰσιδώρου φιλοτιμίας, οὕτω γὰρ ὠνομάζετο, οὐκ εὐστοχία δὲ τῆς τοῦ φίλου διανοίας. ὁ γὰρ τὴν αἴτησιν ὑποτείνων, ὡς ὕβριν λαβὼν τὴν προσθήκην, ἀπέπεμψε καὶ τὰ αἰτηθέντα, οὐ κρίνας ἀληθοῦς καὶ γνησίας ἀγάπης, εἴ τι τὸν δεόμενον τινῶν παρὰ φίλου ὑπ' αἰσχύνης τῆς χρείας ἐπιζητεῖν τὰ ἐλάττω, μάλιστα δυνατοῦ παρέχειν καθεστηκότος, οὔτε μὴν τὸν παρέχοντα αἰσχύνην ἐπιτεθέντα τῷ φίλῳ προσθήκῃ δώρων τὴν ὕβριν διορθοῦσαι νομίζειν· ποῦ γάρ ἐστιν ὁ καθαρὸς τῆς φιλίας νόμος, ὅπου ὁ μὲν βαρύνειν, ὁ δὲ μὴ θαρρεῖν, καὶ τότε μὴ ψήφῳ λόγων, ἀλλ' ἔργων ἐνδείξει καταγινώσκῃ τοῦ φίλου; ἵν' οὖν, ὦ φίλων ἄριστε, μὴ αὐτὸ τοῦτο καὶ ἡμῖν ἀπαντήσῃ, ἐκεῖνα μόνον ἅπερ ᾔτησας τῆς παλαιᾶς καὶ νέας φιλίας πεπόμφαμεν σύμβολα· εἰ δή που καὶ ἑτέρων τινῶν δεήσῃ, ἀλλ' ἴσως δόξω κἀγὼ τούτῳ νυνὶ τῷ ῥήματι τῆς ἀληθοῦς φιλίας ἐκφέρεσθαι, πλὴν ὁμοίως ἡμᾶς ὥσπερ νῦν εὑρήσεις· τὴν δ' ὑπὲρ ὑμῶν σπουδὴν, εἰ καὶ μὴ τῆς σπουδῆς ἄξιον ἠκολούθησε τὸ τέλος, ὡς εἰς τὸ μεῖζον ἀπέβη, οὕτως αὐτὴν ἀποδεχόμεθα· ἴσμεν γὰρ, ἴσμεν ὡς ἐπίπαν, ὅτι τὰ τέλη τῶν καιρῶν ὑποβάλλεται κρίσιν, καὶ τῇ τῶν πραγμάτων φορᾷ φιλεῖ πως συμπεριάγεσθαι· τῶν ἀγαθῶν δὲ καὶ τὴν σπουδὴν ὁ τῆς ἀληθοῦς ἀγάπης θεσμὸς οἶδε δοκιμάζειν, καὶ τὴν χάριν, οὐ πρὸς ἄλλο τι τῶν ἔξωθεν συμπιπτόντων, ἀλλὰ πρὸς αὐτὴν ἀναφέρει τὴν ὁρμὴν τῆς γνώμης. ὅτι δὲ τὰ ἔργα πολὺ τῆς ἡμετέρας ἐπιμελείας οὐ μόνον κατόπιν, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου συνέπεσεν, οἶμαι τὴν σὴν σύνεσιν καὶ χωρὶς ἡμῶν ἀκριβέστερον γινώσκειν· καὶ οὐκ ἂν ἀπεμνημόνευσα, εἰ μὴ κἀγὼ μὴ θαρρεῖν πάντα τοῖς φίλοις ὑπ' ἀληθείᾳ δικαζούσῃ ψῆφον ὑφωράμην. τὰ δ' ἄλλα, ἐρρῶσθαί σε τὴν ἱερὰν εὐχόμεθα κεφαλὴν, καὶ πάντων ἐχθρῶν προσβολαῖς καὶ ἐπηρείαις, ὁρατῶν τε καὶ ἀοράτων, κρείττονα διατηρεῖσθαι, πρεσβευούσης τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

A diſpoſitionem maximè provocante, ii, quod infamiam præveniat, ut par eſt, facientes, illud ipſum ad veræ amicitiæ leges diligentiorem incitationem eſſe inveniunt. Propter hæc igitur connituntur ii, qui ſcandalis olim occaſionem maximè dederunt, non ſolum ut nullum in poſterum huic prætextui locum præbeant, ſed etiam profundæ oblivioni darent, quæ ante amoris & redintegrationis deſiderium acciderunt. Nos igitur, quemadmodum & tu intentis oculis veritatem aſpiciens diceres, cum non amica olim fuerit diſpoſitio, ad puram in Spiritu B ſancto amicitiam adhortamur. Tuum quidem ſit illam invitare & augere, & non affectûs inconſtantiâ, tantam quidem divini amoris accenſam flammam extinguere, malitia verò germinet efficere, quam amicitiæ lex ab ipſis radicibus evulſit, & ab omni noſtra memoria & cogitatione exterminavit. Ideoque & his literis, tanquam ſinceri affectûs labiis ſanctitatem tuam deoſculamur, &, miſſo dono, Symbolum amicitiæ præ ſe ferente beatitudinem tuam conciliamus.

C

Ex Epiſtolâ Photii Patriarchæ ad Zachariam Anagninorum Epiſcopum; & hoc ex eâdem Becci Oratione tranſcriptum fuit.

Ex veteribus quendam dicunt, viro nomen Theodecten puto, quibus opus habuit rogantem, non ſolùm amicum inveniſſe, qui ad petitionis ejus modum exſurrexit, ſed etiam magnificentiùs conſtituit non exiguis additionibus ejus petitionem explere. Hoc quidem opus fortaſſe fuit Iſidori magnificentiæ (ita enim nominabatur) non verò amici ſententiæ ſcopus. Qui enim petitionem exhibuit, acceſſionem pro opprobrio habens, petita etiam remiſit; non veræ genuinæque D charitatis indicium exiſtimans, aut qui ut aliquid ab amico rogat, præ verecundia minus, quàm ſibi opus ſit, requirat, maximè ſi poſſit neceſſaria præbere; aut quidem, ut qui beneficium præſtat amicum dedecore afficiens, donorum additione contumeliam diminuere exiſtimet. Ubi enim eſt pura amicitiæ lex, quando hic quidem donis opprimendo, ille verò minus fidendo, idque non verbis, ſed ipſo opere amicum condemnaret? Ut igitur, ô amicorum optime, hoc ipſum nobis non contingat, illa ſolùm, quæ petiiſti, veteris & novæ amicitiæ ſymbola miſimus; ſi forſan & aliis quibuſdam opus ſit, (at ego quidem exiſtimo ab iſto veræ amicitiæ vocabulo impræſentiarum efferri) E certe eodem modo nos ac nunc invenies: ſtudium verò erga vos, licèt finem amore dignum non fuerit aſſecutum, nos illud, ac ſi majus fuiſſet, approbamus. Scimus enim, ſcimus omnino, quod eventus temporum judicium ſupponunt, & rerum motione quodammodo circumduci ſolent. Bonorum autem ſtudium probare novit veri lex amoris, & gratiam, non ad ea quæ ab extra contingunt, ſed ad ipſum refert mentis impetum. Quod verò ſæpè opera noſtræ diligentiæ non ſolùm à tergo, ſed etiam ex adverſo contigerint, credo prudentiam tuam vel abſque nobis accuratè cognoſcere; & non comme- F moraſſem, niſi & ego omnia amicis concredere ſub veritate calculum diſcernente non reformidarem. Cætera, Te ſacrum caput valere jubemus, & omnium inimicorum viſibilium & inviſibilium offenſionibus & damnis ſuperiorem conſervari, intercedente glorioſiſſimâ dominâ noſtrâ Deiparâ, & omnibus ſanctis. Amen.

Ex Actibus ſanctæ Synodi, quæ unionis cauſa fuit, tempore ſanctiſſimi Patriarchæ Photii.

Siquis verò aliam expoſitionem, præter hoc ſacrum ſymbolum, quod deſuper à beatis & ſanctis Patribus noſtris ad noſtra uſque tempora deſcendit, componere auſus fuerit, & fidei definitionem nominare, & à divinorum illorum virorum confeſſionis dignitate detrahere, & illam propriis ſuis inventionibus tribuere, & tanquam commune documentum fidelibus illud proponere, vel iis etiam qui ex hæreſi quadam reverſi ſunt, & ſpuriis verbis, vel additione, vel ſubductione ſancti illius & venerabilis [dogmatis] antiquitatem adulterare audax præſumpſerit, juxta præſentem & antiquam fidem à ſanctis & œcumenicis Synodis editam, ſi quis equidem ex ſacratis ſit, depoſitioni omnino ſubjicimus; ſi verò ſit Laicus, anathemate damnamus.

Et poſt lectionem ſacer iſte conſeſſus, qui præſens erat, exclamavit, omnes ita ſentimus, ita credimus, in iſta confeſſione & baptizati fuimus & ſacerdotali gradu dignati. Qui aliter ſentiunt, illos tanquam Dei inimicos & veritatis exiſtimamus.

Siquis præter hoc ſanctum Symbolum aliud præſcribere auſus fuerit, vel addere, vel diminuere, & definitionem nominare audax præſumpſerit, condemnatus & omni Chriſtiana ſocietate abjectus ſit. Auferre autem vel addere imperfectam erga ſanctam & conſubſtantialem Trinitatem ad hunc uſque diem deſuper deſcendentem noſtram confeſſionem eſſe oſtendit; & apoſtolicam traditionem & Patrum doctrinam condemnat.

A Synodico [conſeſſu.]

Ignatii, Photii, Stephani, Antonii, & Nicolai ſanctiſſimorum & orthodoxorum Patriarcharum æterna ſit memoria.

Omnia, quæcunque contra ſanctos Patriarchas, Germanum, Taraſium, Nicephorum, & Methodium, Ignatium, Photium, Stephanum, Antonium, & Nicolaum, ſcripta vel dicta ſunt, anathema.

FINIS.

Ἀπὸ τῶν πρακτικῶν τῆς ἁγίας συνόδου τῆς γενομένης ἑνωτικῆς, ἐν τῷ καιρῷ τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου.

Εἰ δέ τις ἑτέραν ἔκθεσιν παρὰ τοῦτο δὴ τὸ ἱερὸν σύμβολον, τὸ ἄνωθεν ἐκ τῶν μακαρίων καὶ ἱερῶν πατέρων ἡμῶν μέχρις ἡμῶν διαφοιτῆσαν, τολμήσειεν διαγράψασθαι, καὶ ὅρον πίστεως ὀνομάσαι, συλῆσαι τε τὸ ἀξίωμα τῆς τῶν θεσπεσίων ἀνδρῶν ὁμολογίας, καὶ ταῖς αὐταῖς εὑρεσιλογίαις τοῦτο περιάψαι, κοινόν τε μάθημα τοῦτο προθεῖναι πιστοῖς, ἢ καὶ τοῖς ἐξ αἱρέσεως ἐπιστρέφουσι, καὶ ῥήμασι νόθοις, ἢ προσθήκαις, ἢ ἀφαιρέσεσι, τὴν ἀρχαιότητα τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου κατακιβδηλεῦσαι ἀποθρασυνθείη, κατὰ τὴν ἤδη καὶ πρὸ ἡμῶν ἐξενεχθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, εἰ μὲν τῶν ἱερωμένων εἴη τις, παντελεῖ καθαιρέσει καθυποβάλλομεν, εἰ δὲ τῶν λαϊκῶν, τῷ ἀναθέματι παραπέμπομεν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ παρὼν ἱερὸς σύλλογος ἐξεβόησε, πάντες οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἐβαπτίσθημέν τε καὶ τοῦ ἱερατικοῦ βαθμοῦ ἠξιώμεθα. τοὺς ἑτέρως παρὰ τοῦτο φρονοῦντας ὡς ἐχθροὺς θεοῦ καὶ τῆς ἀληθείας ἡγέμεθα.

Εἴ τις παρὰ τοῦτο τὸ ἱερὸν σύμβολον τολμήσει ἕτερον ἀναγράψασθαι, ἢ προσθεῖναι, ἢ ὑφελεῖν, καὶ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, κατάκριτος, καὶ πάσης Χριστιανικῆς πολιτείας ἀπόβλητος. τὸ γὰρ ἀφαιρεῖν ἢ προσθεῖναι ἀτελῆ τὴν εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα μέχρι σήμερον κατιοῦσαν ἀνέκαθεν ἡμῶν ὁμολογίαν δείκνυσι, καὶ τῆς τε ἀποστολικῆς παραδόσεως, καὶ τῆς τῶν πατέρων διδασκαλίας καταγινώσκει.

Ἀπὸ τοῦ Συνοδικοῦ.

Ἰγνατίου, Φωτίου, Στεφάνου, Ἀντωνίου, καὶ Νικολάου τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων πατριαρχῶν αἰωνία ἡ μνήμη.

Απαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν, Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, Ἰγνατίου, Φωτίου, Στεφάνου, Ἀντωνίου καὶ Νικολάου, γραφέντα ἢ λαληθέντα, ἀνάθεμα.

ΤΕΛΟΣ.

ΠΡΑΞΕΙΣ ΤΗΣ ΓΕΝΟΜΕΝΗΣ
ἐν
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΟΓΔΟΗΣ ΣΥΝΟΔΟΥ,
ΕΠΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΒΑΣΙΛΕΙΟΥ, ΛΕΟΝΤΟΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ,

κυροῦσαι καὶ βεβαιοῦσαι τὰ ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ πραχθέντα
ἐν Νικαίᾳ τὸ δεύτερον.

ACTA
OCTAVÆ SYNODI,
Quæ
CONSTANTINOPOLI CELEBRATA FUIT,
SUB IMPERIUM BASILII, LEONIS ET ALEXANDRI,

ad ea, quæ in ſanctâ & œcumenicâ Synodo Nicææ ſecundò habitâ
acta fuerunt, confirmanda & ſtabilienda.

ΒΑΣΙΛΕΥΣΑΝΤΕΣ οἱ εὐσεβέστατοι βασιλεῖς, Βασίλειος, Λέων καὶ Ἀλέξανδρος, καὶ ὁρῶντες τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν τῆς πρεσβυτέρας Ῥώμης λυμαινομένην παρὰ τῶν αἱρετικῶν, καὶ τὴν ἑβδόμην οἰκουμενικὴν σύνοδον μὴ καταδεχομένην συναριθμίσαι ταῖς ἑτέραις ἁγίαις ἓξ καὶ οἰκουμενικαῖς συνόδοις, προσκαλεσάμενοι δι᾽ ἐπιστολῆς τὸν ἁγιώτατον πάπαν κύριν Ἰωάννην, τὸν Ἀλεξανδρείας κύριν Μιχαὴλ, καὶ τοὺς ἁγιωτάτους πατριάρχας, τὸν Ἀντιοχείας κύριν Θεοδόσιον, καὶ τὸν Ἱεροσολύμων κύριν Θεοδόσιον καὶ αὐτὸν, καὶ τοὺς ἁπανταχοῦ ἀρχιερεῖς καὶ ἐλλογίμους ἄνδρας, εἰς ἐπιστηριγμὸν καὶ βεβαίωσιν τῆς εὐσεβείας τῶν ὀρθῶν δογμάτων τῆς τοῦ B Θεοῦ ἁγίας ἐκκλησίας, καὶ πέμψαντες οἱ ἁγιώτατοι πατριάρχαι καὶ ὁ πάπας τοὺς αὐτῶν τοποτηρητὰς ἐν Κωνσταντινουπόλει. A

Πρᾶξις α΄. ἐν μηνὶ Δεκεβρίῳ ἡμέρᾳ κδ΄. ἐν τῇ παραμονῇ τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν γεννήσεως.

Προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ μεγάλῳ καὶ εὐαγεῖ Σεκρέτῳ, καὶ συγκαθεσθέντων αὐτῷ τῶν ἁγιωτάτων τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης καὶ τῶν ἀνατολικῶν θρόνων, ἔτι δὲ καὶ πάν- C των τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἐπισκόπων, Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος εἶπεν, ὁ μητροπολίτης Μαρτυροπόλεως ἄρτι παραγεγονὼς ἀπὸ τοῦ Θεουπόλεως ἤτοι Ἀντιοχείας πατριάρχου, τόν τε τόπον ἐπέχων αὐτοῦ, συνεπιφερόμενος δὲ καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων γράμματα, πρὸ τῶν πυλῶν ἵσταται, καὶ εἰ κελεύει ἡ ἁγιότης ὑμῶν εἰσελθεῖν αὐτόν;

Ἡ ἁγία σύνοδος εἶπεν, Εἰσίτω.

CUM Imperium tenebant religioſiſſimi Imperatores, Baſilius, Leo & Alexander, & cùm advertiſſent ſanctam Dei Eccleſiam veteris Romæ ab hæreticis corruptam fuiſſe, ſeptimamque œcumenicam Synodum inter alias ſanctas ſex & œcumenicas Synodos connumerari minimè admiſiſſent, per literas convocârunt ſanctiſſimum Papam Dominum Joannem, Dominum Michaëlem Alexandrinum, & ſanctiſſimos Patriarchas, Dominum Theodoſium Antiochiæ, & alterum Dominum Theodoſium Hieroſolymitanum, & omnes ubique Antiſtites & celebres viros, ad pia & recta dogmata ſanctæ Dei Eccleſiæ ſtabilienda & confirmanda; atque adeò ſanctiſſimi Patriarchæ & Papa ſuos Legatos Conſtantinopolin miſerunt.

Actio i. menſe Decembri die xxiv. in Vigiliâ Nativitatis Chriſti Dei noſtri.

Præſidente Photio ſanctiſſimo Patriarchâ Conſtantinopolitano in magno & ſancto Secretario, & conſidentibus illi ſanctiſſimis Legatis veteris Romæ & orientalium Sedium, inſuper & omnibus Deo amabilibus Metropolitis & Epiſcopis, Petrus Deo amabilis Diaconus & Protonotarius dixit, Metropolita Martyropolis nuper à Theophilis ſive Antiochiæ Patriarchâ adveniens, ejuſque locum tenens, qui etiam ſanctiſſimi Patriarchæ Hieroſolymitani literas adfert, præ foribus ſtat; num jubet veſtra ſanctitas ut is ingrediatur?

Sancta Synodus dixit, Ingrediatur.

UMI

A Poſtquam igitur ingreſſus erat, & ex more Photio ſanctiſſimo Patriarchæ venerationem & honorem exhibuerat, compoſitâ iterum ſanctâ Synodo, tandem Petrus religioſiſſimus Presbyter & Cardinalis dixit, Quoniam Dei gratiâ omnia ſcandala de medio ſublata ſunt, & veritas ex inquiſitione illuſtrior evaſit, & lumine Dei Eccleſia illuminata ſit, jam pacem & concordiam conſecuta, atque inſtat nunc Euchariſtiæ celebrandæ tempus, & ſacra myſteria peragi debent; ſi veſtræ ſanctitati viſum fuerit, Totus qui huc confluxit ſanctiſſimus conventus unà cùm noſtrâ mediocritate, ſancti & divini miniſterii cum Photio ſanctiſſimo Patriarchâ myſteria peragamus. B

Sancta Synodus dixit, Iſtud bonum & Deo gratum fiat ſecundùm verbum veſtrum. Conſervet Deus ſanctum Dominum noſtrum, & multos annos ei largiatur in Eccleſiæ ſuæ ſalutem.

Actio ii. menſe Januario xxvi. feriâ tertiâ, Indictionis xiii.

Præſidente Photio ſanctiſſimo & œcumenico Patriarchâ C in dextra parte Catechumenorum magnæ Eccleſiæ, & conſidentibus illi Paulo & Eugenio Deo amabilibus Epiſcopis & Legatis veteris Romæ, inſuper & Petro religioſiſſimo Presbytero & Cardinali; porro & Baſilio Deo amabili Martyropolis Epiſcopo & Eccleſiæ Antiochenæ Legato, & Eliâ religioſiſſimo Presbytero & Legato Hieroſolymitano, & Coſmâ religioſiſſimo Presbytero & Apocriſiario Alexandriæ, & Deo amabilibus Metropolitis; Photius ſanctiſſimus Patriarcha dixit, Sanctam & œcumenicam Syn. quæ in Nicæâ Bithyniæ ſecundò celebrata fuit, & ſub Adriano ſanctiſſimo Papâ Romano, & Taraſio beatæ memoriæ D Patriarchâ Conſtantinopolitano, noſtra Eccleſia vii. quidem vocat & prædicat, & iiſdem cum reliquis ſanctis & œcumenicis ſex Synodis privilegiis eam donat: Eccleſia verò Romana, ſicut etiam & orientales Sedes, ejus quidem dogmata ſimiliter approbant & obſervant; de eâ autem inter reliquas ſanctas & œcumenicas ſex Synodos connumerandâ, & ſeptimâ illâ prædicandâ, inter quoſdam forſan controverſia eſt, (talis enim fama circumfertur) at revera ita eſſe, hucuſque cognovimus. Nunc verò ô ſanctorum Fratrum dilecte conſeſſus, cùm adjuvante ſanctiſſimo Papâ Joanne ſpirituali Fratre & Patre noſtro, omnia ho- E neſta ad indubitatum finem perducta ſint, honoratiſſimis ſuis Legatis Sedem ejus implentibus, aſſidentibus etiam aliis Sacerdotalibus Sedibus, ſi vobis omnibus videtur, non ſolùm confirmentur & rata habeantur, apud omnes ejus dogmata & decreta, verùm etiam ut inter alias ſanctas & œcumenicas ſex Synodos connumeretur, & ſeptima poſt illas vocetur, & æqualia cum illis ſortiatur privilegia.

Petrus religioſiſſimus Presbyter & Cardinalis dixit, Volumus, ut veſtra ſanctitas in memoriam revocet ſanctam Synodum ſub ſanctiſſimo Adriano Papâ & Taraſio beatæ memoriæ Patriarchâ Conſtantinopolitano F habitam, de ſanctis & venerandis imaginibus, quòd ſic ut ex antiquis temporibus ſanctis, ubique Eccleſiis conſentientibus, ſancta Romana Eccleſia ejus dogmata & decreta amplexa eſt & accepit; ita & nunc illam ſeptimam vocare, & unà cum reliquis ſex ſanctis & œcumenicis Synodis annumerare æquum cenſet. Et qui non ita exiſtimat & nominat ſanctam & œcumenicam Nicææ ſecundò ſeptimam Synodum, eſto anathema.

Εἰσελθὼν οὖν, καὶ τὴν ἐξ ἔθους προσκύνησιν καὶ τὸ σέβας ποιησάμενος πρὸς Φώτιον, τὸν ἁγιώτατον πατριάρχην, καὶ συγκροτηθείσης τῆς ἁγίας συνόδου, ὕστερον πάντων Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδινάλιος εἶπεν, ἐπειδήπερ χάριτι θεοῦ πάντα τὰ σκάνδαλα ἐκ μέσου γέγονε, καὶ ἡ ἀλήθεια ἐξετασθεῖσα λαμπροτέρα γέγονε, καὶ τῷ φωτὶ τοῦ Θεοῦ ἐκκλησία πεφώτισται, τὴν εἰρήνην καὶ ὁμόνοιαν ἀπολαβοῦσα, ἐπέστη δὲ τανῦν καὶ ὁ καιρὸς τῆς συνάξεως, καὶ τὰ τῆς ἱερᾶς μυσταγωγίας ὀφείλει τελεσθῆναι, εἰ δοκεῖ τῇ ὑμῶν ἁγιωσύνῃ, ἅπαν τὸ συνειλεγμένον ἱερώτατον ἄθροισμα σὺν τῇ ἡμετέρᾳ μετριότητι τὰ τῆς ἱερᾶς καὶ θείας λειτουργίας μετὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου ἀποτελέσωμεν μυστήρια.

Η ἁγία σύνοδος εἶπε, τοῦτο ἀγαθὸν καὶ θεῷ ἀποδεκτὸν γενέσθω κατὰ τὸ ῥῆμα ὑμῶν. ὁ θεὸς φυλάξαι τὸν δεσπότην ὑμῶν τὸν ἅγιον, καὶ μακροημερεύσοι τοὺς χρόνους αὐτοῦ εἰς σωτηρίαν τῆς ἐκκλησίας αὐτοῦ.

Πρᾶξις δευτέρα, μηνὶ Ἰανουαρίῳ κϛʹ. ἡμέρᾳ τρίτῃ ἰνδικτιῶνος ιγʹ.

Προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ δεξιῷ μέρει τῶν κατηχουμενείων τῆς μεγάλης ἐκκλησίας, καὶ συγκαθεσθέντων αὐτῷ Παύλου καὶ Εὐγενίου τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης, ἔτι δὲ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ καρδιναλίου, οὐ μὴν ἀλλὰ καὶ Βασιλείου τοῦ θεοφιλεστάτου ἐπισκόπου Μαρτυροπόλεως καὶ τοποτηρητοῦ τῆς Ἀντιοχείας ἐκκλησίας, καὶ Ἠλιοῦ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ Ἱεροσολύμων, καὶ Κοσμᾶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἀλεξανδρείας, καὶ τῶν θεοφιλεστάτων μητροπολιτῶν, Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε, τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἥτις ἐν τῇ κατὰ Νίκαιαν Βιθυνίας τὸ δεύτερον συνέστη, ἐπί τε Ἀδριανοῦ τοῦ μακαριωτάτου πάπα Ῥώμης, καὶ Ταρασίου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως, ἡ μὲν καθ' ἡμᾶς ἐκκλησία ἑβδόμην ὀνομάζει τε καὶ ἀνακηρύττει, καὶ σὺν ταῖς λοιπαῖς ἁγίαις τε καὶ οἰκουμενικαῖς ἓξ συνόδοις τοῖς ἴσοις αὐτὴν πρεσβείοις γεραίρει. ἡ δέ γε τῶν Ῥωμαίων ἐκκλησία, ὡσαύτως δὲ καὶ οἱ τῆς ἀνατολῆς θρόνοι, τὰ μὲν δόγματα αὐτῆς παραπλησίως ἀποδέχονται καὶ περιέπουσι, περὶ δὲ τοῦ συναριθμεῖν αὐτὴν ταῖς λοιπαῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις, καὶ ἑβδόμην αὐτὴν ἀνακηρύττειν, ἴσως παρά τισιν ἀμφιβολία ἐστί· φήμη μὲν γὰρ τοιαύτη περιαγγέλλεται· τὸ δὲ ἀληθὲς οὕτω καὶ μέχρι νῦν ἐπιστάμεθα. νῦν δὲ ὦ ἱερῶν χορὸς ἀδελφῶν ἁγιόλεκτος, ἐπειδὴ πάντα τὰ καλὰ συνεφαπτομένου τοῦ ἁγιωτάτου πάπα Ἰωάννου τοῦ πνευματικοῦ ἀδελφοῦ καὶ πατρὸς ἡμῶν εἰς ἀναμφίβολον πέρας κατέστη, τῶν αὐτοῦ τιμιωτάτων τοποτηρητῶν τὸν ἐκείνου πληρούντων θρόνον, καὶ τῶν ἄλλων ἱερατικῶν συνεδρευόντων θρόνων, εἰ δοκεῖ καὶ ὑμῖν ἅπασι, κραταιωθήτω καὶ κυρωθήτω, μὴ μόνον αὐτῆς ὡς παρὰ πᾶσι τὰ δόγματα καὶ θεσπίσματα, ἀλλὰ καὶ τὸ συναριθμεῖσθαι αὐτὴν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις, ἑβδόμην μετ' ἐκείνας καὶ λεγομένην, καὶ τὰ ἴσα ταύταις ἀποφέρουσαν πρεσβεῖα.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδινάλιος εἶπε, βουλόμεθα τὴν ὑμετέραν ἁγιωσύνην ὑπομνῆσαι περὶ τῆς ἁγίας συνόδου τῆς γενομένης ἐπὶ τοῦ ἁγιωτάτου πάπα Ἀδριανοῦ, καὶ Ταρασίου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως, περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, ὅτι ὥσπερ ἐξ ἀρχαίων τῶν χρόνων ὁμοφώνων ταῖς ἁπανταχοῦ ἁγίαις ἐκκλησίαις, καὶ ἡ ἁγία τῶν Ῥωμαίων ἐκκλησία τά τε δόγματα αὐτῆς καὶ τὰ θεσπίσματα ἠσπάζετο καὶ ἀπεδέχετο, οὕτω καὶ τανῦν ἑβδόμην αὐτὴν καλεῖν, καὶ ταῖς λοιπαῖς ἓξ ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις καταριθμεῖν ἐδικαίωσε. καὶ ὁ μὴ οὕτως ἔχων καὶ ὀνομάζων τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἑβδόμην σύνοδον, ἔστω ἀνάθεμα.

Η ἁγία

A Ἡ ἁγία σύνοδος εἶπε, πρέπον ἐστὶ, μετὰ πάσης τῆς γενομένης ἀποδοχῆς καὶ ἑνώσεως τῆς τῶν Ῥωμαίων ἐκκλησίας, διὰ μεσιτείας τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου Φωτίου, καὶ ἐπὶ τῇ ὑποθέσει ταύτῃ συμφωνῆσαι ἡμῖν, ὡς ἂν μηδὲ ἐν τούτῳ εἴη ἐν ἡμῖν διαφωνία, καὶ ὁ μὴ οὕτω φρονῶν καὶ ὀνομάζων τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἑβδόμην σύνοδον, ὡς καὶ ὁ θεοσεβέστατος πρεσβύτερος Πέτρος καὶ καρδινάλιος προεῖπεν, ἔστω ἀνάθεμα.

Εὐγένιος ὁ θεοφιλέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς τῆς πρεσβυτέρας Ῥώμης εἶπεν, ὁ μὴ ἔχων τὴν οἰκουμενικὴν σύνοδον ἐν Νικαίᾳ τὸ δεύτερον ἐπὶ τοῦ ἁγιωτάτου πάπα Ἀδριανοῦ B καὶ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, καὶ μὴ τιμῶν αὐτὴν ὡς καὶ τὰς λοιπὰς οἰκουμενικὰς ἓξ συνόδους, ἔστω ἀνάθεμα.

Βασίλειος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαρτυροπόλεως καὶ τοποτηρητὴς τῆς Ἀντιοχείας εἶπεν, ἡμεῖς καὶ προαπεδεξάμεθα, καὶ νῦν συμφωνοῦντες τῇ ὑμετέρᾳ ἁγιωσύνῃ ἀποδεχόμεθα τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ δεύτερον σύνοδον, ἑβδόμην αὐτὴν ἀποκαλοῦντες, καὶ ταῖς πρὸ αὐτῆς ἓξ οἰκουμενικαῖς ἁγίαις συνόδοις συναριθμοῦντές τε καὶ συνδιακηρύττοντες, καὶ τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι παραπέμπομεν. C

Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπεν, ὅστις τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον τὴν ἐν Νικαίᾳ τὸ δεύτερον συστᾶσαν οὐκ ἀποδέχεται, οὗτος οὐδὲ τὰς ἄλλας ἓξ συνόδους ἀποδέχεται. ὥσπερ γὰρ ἐν ἐκείναις οἱ ἀρχιερατικοὶ πάντες συνδεδραμηκότες θρόνοι, οἱ μὲν δι' ἑαυτῶν, οἱ δὲ διὰ τοποτηρητῶν, τὸ πιστὸν καὶ βέβαιον τῶν δογμάτων παρέστησαν· οὕτω καὶ αὐτὴ καὶ ἐκ τοῦ ἁγιωτάτου πάπα Ῥώμης τοποτηρητὰς εἶχεν, ὁμοίως δὲ καὶ ἐκ τῶν τῆς καθ' ἡμᾶς ἀνατολῆς θρόνων, καὶ τὰ δόγματα αὐτῆς συγγενῆ καὶ οἰκεῖα καὶ ὁμόδοξα D τῶν οἰκουμενικῶν ἓξ συνόδων ὑπῆρχεν· ὁ οὖν ταύτην μὴ δεχόμενος καὶ ὀνομάζων οἰκουμενικὴν καὶ ζ'. σύνοδον, καὶ τὰς ἄλλας κἂν μὴ τολμᾷ λέγειν ἀπογράφεται. διὸ εἴ τις ταύτην οὐ δέχεται ὡς ἐκείνας τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους, ἀνάθεμα ἔστω.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην ἀνελθεῖν πρὸς τὸν Μητροφάνην, καὶ εἰπεῖν αὐτῷ, προσκαλεῖταί σε παρὰ τῶν ἁγιωτάτων τοποτηρητῶν ἡ προκαθεζομένη ἅπασα ἁγία σύνοδος, ἀναμαθεῖν βουλομένη τὸν σκοπὸν καὶ τὴν βούλησιν, ἣν E περὶ τῆς ἑνώσεως τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἔχεις. καὶ δὴ προσκληθέντες Βασίλειος ὁ θεοφιλέστατος ἐπίσκοπος Κρήτης, καὶ Νικήτας ὁ θεοφιλέστατος μητροπολίτης Σμύρνης, καὶ Γρηγόριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Πέργης ἀπεστάλησαν· οἱ καὶ παραγενόμενοι πρὸς Μητροφάνην τὸν εὐλαβέστατον εἶπον αὐτῷ, οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης, ἅμα τῇ προκαθεζομένῃ συνόδῳ, τάδε δι' ἡμῶν δηλοποιοῦσί σοι· καθαροποίησον ἡμῖν τὰ τῆς γνώμης σου, καὶ πρὸς τὴν ἁγίαν καὶ οἰκουμενικὴν ταύτην σύνοδον ἀπολόγησαι, δι' ἣν αἰτίαν σαυτὸν τῆς ἐκκλησίας διϊστᾶς. Μητροφάνης ὁ εὐλαβέστατος εἶπεν, ἀσθενῶ, καὶ διὰ τοῦτο οὐ δύναμαι F πολλὰ λέγειν, τοῦτο δὲ λέγω συντόμως τὴν αἰτίαν, καθ' ἣν διΐσταμαι ἐξ ὑμῶν· προθύμως ἂν ἦλθον καὶ ἀπελογισάμην, ὥσπερ δίκαιον ἦν· ἀλλὰ μαρτυρεῖ μοι τὸ συνειδὸς, ὅτι ἀσθενῶ σφόδρα, καὶ οὐ δύναμαι, οὔτε περιπατῆσαι, οὔτε στῆναι κατενώπιον ὑμῶν, τούτου ἕνεκεν, εἰ δυνατόν ἐστι, παρακαλῶ, ἵνα ἐάσητέ με ἕως ἂν γένηται ῥῶσις ἐν ἐμοὶ τῆς φύσεως· εἶθ' οὕτως ἀπολογοῦμαι. οἱ μὲν οὖν ἀπεσταλμένοι τὰς τοιαύτας αὐτοῦ φωνὰς πρὸς τὴν σύνοδον ἀπεκόμισαν· οἱ δὲ τοποτηρηταὶ τῆς Ῥώμης ἀπεκρίθησαν, ἡμεῖς, κατὰ τὴν ἐντολὴν ἣν ἐλάβομεν

Sancta Synodus dixit, Decorum eſt, poſt omnem, quæ facta fuit, receptionem & unionem Romanæ Eccleſiæ per ſanctiſſimi noſtri Patriarchæ Photii mediationem, de hac quæſtione nobis conſentire, ut nulla inter nos de ea ſit diſſentio; & qui non ita ſentit, & vocat ſanctam & œcumenicam Nicææ ſecundò ſeptimam Synodum, quemadmodum & religioſiſſimus Presbyter Petrus & Cardinalis antea dixit, ſit anathema.

Eugenius Deo amabilis Epiſcopus & Legatus veteris Romæ dixit, Qui non exiſtimat œcumenicam Nicææ ſecundò ſub ſanctiſſimo Papâ Adriano & Taraſio ſanctiſſimo Patriarchâ Conſtantinopolitano ſanctam & œcumenicam Synodum eſſe, & illam non honorat ut reliquas œcumenicas ſex Synodos, ſit anathema.

Baſilius Deo amabilis Epiſcopus Martyropolis & Legatus Antiochenus dixit, Nos & antea recepimus, & nunc veſtræ ſanctitati conſentientes recipimus ſanctam & œcumenicam Nicææ ſecundò Synodum, ſeptimam illam vocantes, & ſex œcumenicis ante illam ſanctis Synodis connumerantes & unà denunciantes; & eos, qui non ita ſentiunt, anathemati ſubmittimus.

Elias religioſiſſimus Presbyter & Legatus Hieroſolymitanus dixit, Quicunque ſanctam & œcumenicam Synodum Nicææ ſecundò celebratam non recipit, ille nec alias ſex Synodos recipit. Ut enim in illis omnes Pontificales Sedes adjuvantes, quædam per ſe, & quædam per Legatos, fidelia & firma dogmata, exhibuerunt: ita & ipſa à ſanctiſſimo Papâ Romano Legatos habuit, ut & ex noſtris Orientalibus Sedibus, & ejus dogmata fuerunt cognata & ſimilia ac ejuſdem ſententiæ cum œcumenicis ſex Synodis. Qui igitur eam non recipit & nominat œcumenicam & ſeptimam Synodum neque velle ſe alias ita vocare profitetur. Idcirco ſiquis eam non recipiat tanquam illas ſanctas & œcumenicas ſex Synodos, ſit anathema.

Sanctiſſimi Legati veteris Romæ dixerunt, veſtram ſanctitatem rogamus Metrophanem adire, & illi dicere, Mentem & ſententiam, quam de ſanctæ Dei Eccleſiæ unione habes, ediſcere cupiens, tota ſancta Synodus primum locum tenens per ſanctiſſimos Legatos te adſciſcit. Et protinus adſciti, Baſilius Deo amabilis Epiſcopus Cretæ, & Nicetas Deo amabilis Metropolita Smyrnæ, & Gregorius Deo amabilis Archiepiſcopus Pergæ miſſi fuerunt: Qui ad religioſiſſimum Metrophanem accedentes dixerunt ei, ſanctiſſimi Epiſcopi & Legati veteris Romæ, unà cum præſidente Synodo, hæc tibi per nos manifeſta faciunt; ſententiam tuam nobis declara, & huic ſanctæ & œcumenicæ Synodo, defenſionem inſtitue, quare ab Eccleſia te ſepares. Metrophanes religioſiſſimus dixit, Infirmâ ſum valetudine, quapropter multa proferre non poſſum; hoc autem ſummatim dico fuiſſe cauſam ob quam à vobis ſeparatus ſum; libenter accedens rationem reddidiſſem, ut æquum fuit: at mihi teſtificatur conſcientia, quòd valde imbecillis ſum, ut non poſſum aut ambulare aut ſtare coram vobis; quapropter, ſi poſſibile eſt, rogo, ut me quietum relinquatis, uſque dum natura in me corroboretur, ita quidem me excuſo. Qui igitur miſſi fuerunt ejuſmodi ejus reſponſiones ad Synodum retulerunt. Legati verò Romæ reſponderunt, Nos, juxta mandatum quod

A à ſanctiſſimo Papâ Joanne accepimus, non ſemel, ſed iterum atque ſæpius illum ab errore diſcedere adhortati ſumus, & ad Dei Eccleſiam redire; Poſtquam autem & nunc etiam mittentibus nobis excuſationes ille in peccatis prætendit, & vanas nugas & defectiones dicere poteſt, nempe, Ecce ego Eccleſiæ unitus ſum; ſed longas quidem nugas proferre morbus non omnino impedit, ſalutiferam verò profeſſionem dicere nolens morbum prætendit: Ecce juxta regulas Eccleſiaſticas nobis traditas illum ab omni Eccleſiaſticâ communione ſegregamus, donec ad proprium gregem revertatur. Vos enim ſcire volumus, quòd Apoſtolicus B Papa Joannes nobis hæc, quæ protulimus & prædicavimus, injunxerit, nempe & quoſcunque ſanctiſſimus & œcumenicus Papa Joannes tanquam canonicè ſegregatos exiſtimat in quocunque ordine vel loco, illos etiam ſegregatos exiſtimet Photius Conſtantinopolitanus [& quos Photius condemnatos habeat] vel inſontes, illos habeat ſanctiſſimus & œcumenicus Papa Joannes tanquam condemnatos vel inſontes. Cæterùm ſi veſtræ ſanctitati videatur, etiam in Canonis locum recipiatur prædicta hæc hypotheſis.

Sancta Synodus reſpondit, recipiatur.

C Et Canone edito, acceptum Petrus Deo amabilis Diaconus & Protonotarius legit.

CANON I.

STATUIT ſancta & œcumenica Synodus, ut quicunque ex Italiæ Clericis vel Laicis vel Epiſcopis, in Aſia vel Europa vel Libya verſantes, ſub vinculo vel depoſitione vel anathematizatione apud ſanctiſſimum Papam Joannem fuerunt, ii quoque apud Photium ſanctiſſimum Patriarcham Conſtantinopolitanum ſint in eadem pœna definitione, id eſt, vel depoſiti vel anathematizati vel ſegregati: D *& quos Photius ſanctiſſimus Patriarcha Clericos vel Laicos, vel Epiſcopalis vel Sacerdotalis ordinis, in quacunque Parœcia, ſegregationi vel depoſitioni vel anathematizationi ſubjecerit, ſanctiſſimus quoque Papa Joannes, & ſancta Dei Romanorum Eccleſia, eoſdem in eodem pœnæ judicio habeat; privilegiis, quæ ſanctiſſimæ Romanorum Eccleſiæ Sedi ejuſque Antiſtiti conveniunt, nihil penitus innovatis, nec nunc, nec in poſterum.*

Sanctiſſimi Legati veteris Romæ dixerunt, an placet? E

Sancta Synodus dixit, Placet.

Elias religioſiſſimus Presbyter & Legatus Hieroſolymitanus dixit, Deus ita fecit, ut & Orientales Sedes & ſanctiſſimus Papa Joannes cum ſanctiſſimo Patriarchâ noſtro Photio una anima eſſent & una conſpiratio, & eorum voluntas communis & non diviſa.

F Sancta Synodus dixit, Quoniam bonum finem conſecuta ſunt quæ à nobis facta fuerunt, ut tacentibus nobis vel lapides clamabunt; etiam qui non incedit juxta ea quæ à ſanctâ hâc & œcumenicâ Synodo acta ſunt, ſeparatus erit à ſanctâ & conſubſtantiali Trinitate. Veſtram verò charitatem rogamus de iis, qui ſeſe ab Eccleſiâ ſeparant, ſi poſtquam finita eſt Synodus reſipiſcentes convertantur, quid de his vobis videtur?

Sanctiſſimi Legati veteris Romæ dixerunt, Et jam diximus, quod hanc poteſtatem ſanctiſſimus Papa

παρὰ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις παρῃνέσαμεν αὐτὸν ἀποστῆναι πλάνης, καὶ προσελθεῖν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· ἐπεὶ δὲ καὶ νῦν ἀποστελλόντων ἡμῶν προφάσεις ἐκεῖνος ἐν ἁμαρτίαις προφασίζεται, καὶ ματαίας μὲν φλυαρίας καὶ ἀποστασίας δύναται εἰπεῖν, τὸ, ἰδοὺ ἐγὼ ἑνοῦμαι τῇ ἐκκλησίᾳ, ἀλλὰ τὰς μακρὰς μὲν φλυαρίας λέγειν νόσος αὐτὸν οὐδὲν ἐμποδίζει, τὴν δὲ σωτήριον ὁμολογίαν μὴ βουλόμενος εἰπεῖν αἰτιᾶται τὴν νόσον· ἰδοὺ κατὰ τοὺς παραδεδομένους ἡμῖν ἐκκλησιαστικοὺς θεσμοὺς χωρίζομεν αὐτὸν ἀπὸ πάσης ἐκκλησιαστικῆς κοινωνίας, ἕως ἂν ἐπιστρέψῃ εἰς τὸ ἴδιον ποίμνιον. θέλομεν γὰρ ὑμᾶς εἰδέναι, ὡς ὁ ἀποστολικὸς πάπας Ἰωάννης προσέταξεν ἡμῖν ταῦτα ἃ προδιηγήκαμέν τε καὶ ἀνεκηρύξαμεν, δηλονότι οὓς ἂν ἔχῃ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πάπας Ἰωάννης κανονικῶς καθῃρημένους ἐν οἱῳδήποτε τάγματι ἢ τόπῳ, ἵνα ἔχῃ αὐτοὺς καὶ Φώτιος ὁ Κωνσταντινουπόλεως καθῃρημένους, [καὶ οὓς ὁ Φώτιος ἔχει καταχεκριμένους] ἢ ἠθῳωμένους, ἔχει αὐτοὺς καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πάπας Ἰωάννης καταχεκριμένους ἢ ἠθῳωμένους· πλὴν εἰ δοκεῖ τῇ ἁγιωσύνῃ ὑμῶν, καὶ εἰς κανόνος τάξιν ἡ προειρημένη αὕτη ὑπόθεσις ἀναληφθήτω.

Η ἁγία σύνοδος εἶπεν, ἀναληφθήτω.

Καὶ τοῦ κανόνος ἐκδοθέντος, λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω.

ΚΑΝΩΝ α΄.

ΩΡΙΣΕΝ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἵνα οἵτινες τῶν ἐξ Ἰταλίας κληρικῶν ἢ λαϊκῶν ἢ ἐπισκόπων, ἐν τῇ Ἀσίᾳ ἢ τῇ Εὐρώπῃ ἢ Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν ἢ καθαίρεσιν ἢ ἀναθεματισμὸν παρὰ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου ἐγένοντο, ὦσιν οἱ τοιοῦτοι καὶ παρὰ τοῦ ἁγιωτάτου Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ, τουτέστιν, ἢ καθῃρημένοι ἢ ἀναθεματισμένοι ἢ ἀφωρισμένοι· οὓς μέντοι Φώτιος ὁ ἁγιώτατος πατριάρχης, κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, ἐν οἱᾳδήποτε παροικίᾳ, ὑπὸ ἀφορισμῷ ἢ καθαιρέσει ἢ ἀναθεματισμῷ ποιήσαι, ἵνα ἔχῃ αὐτοὺς καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης, καὶ ἡ κατ' αὐτὸν ἁγία τοῦ θεοῦ Ῥωμαίων ἐκκλησία ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας κρίματι, μηδὲν τῶν προσόντων πρεσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων ἐκκλησίας, μηδὲ τῷ ταύτης προέδρῳ, τὸ σύνολον καινοτομουμένων, μήτε νῦν, μήτε εἰς τὸ μετέπειτα.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, ἀρέσκει;

Η ἁγία σύνοδος εἶπεν, ἀρέσκει.

Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπεν, ὁ θεὸς οὕτως ἐποίησεν, ἵνα καὶ οἱ τῆς ἀνατολῆς θρόνοι καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης μετὰ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου Φωτίου μία ψυχὴ ὦσι καὶ μία σύμπνοια, καὶ τὸ θέλημα αὐτῶν κοινὸν καὶ ἀδιάσπαστον.

Η ἁγία σύνοδος εἶπεν, ὅτι μὲν ἀγαθὸν τέλος τὰ παρ' ἡμῶν πραχθέντα ἐδέξατο, κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κεκράξονται· καὶ ὁ μὴ στοιχῶν παρὰ τοῖς τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου πραχθεῖσι κεχωρισμένος ἔσται τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος. ἐρωτῶμεν δὲ τὴν ὑμετέραν ἀγάπην περὶ τῶν ἑαυτοὺς ἀποδιϊστόντων τῆς ἐκκλησίας, ἐὰν μετὰ τὸ πληρωθῆναι τὴν σύνοδον ἐπιστρέψωσι μετανοοῦντες, τί ὑμῖν δοκεῖ περὶ τούτων;

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, καὶ ἤδη εἴπομεν, ὅτι ταύτην τὴν ἐξουσίαν ὁ ἁγιώτατος πάπας

Ἰωάννης Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ προσανέθετο, ὥστε ἔχειν αὐτὸν ἐξουσίαν, καὶ ἐπιστρέφοντας δέχεσθαι, καὶ μὴ μετανοοῦντας ἀφορισμῷ κατακρίνειν. πλὴν ἀπελθέτωσαν οἱ ὁρισθέντες πρὸς Μητροφάνην τὸν εὐλαβέστατον, ἀποκομίζοντες τὰς ἡμῶν ἀποκρίσεις, καὶ τὸν πρὸς αὐτὸν γενόμενον δεσμόν.

Η ἁγία σύνοδος εἶπεν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, ὁρισθέτωσαν οἱ μέλλοντες ἀπέρχεσθαι.

Ἀπῆλθον οὖν Ἰωάννης ὁ θεοφιλέστατος μητροπολίτης Ἡρακλείας, Δανιὴλ Ἀγκύρας, καὶ Γεώργιος Νικομηδείας, καὶ ἀνήγγειλαν Μητροφάνει τὰ ἀνωτέρω περὶ αὐτοῦ εἰρημένα. καὶ ὑποστρέψαντες ἔδωκαν ἀπόκρισιν τοιαύτην, ὥσπερ δικαίῳ νόμος οὐ κεῖται κατὰ τὸν ἀπόστολον, οὕτως οὐδὲ νοσοῦντι καὶ χαλεπῶς ἀσθενοῦντι. ἃ τοίνυν προβάλλεται ἡ ὑμετέρα ἁγιωσύνη, ὡς μετ' ἐξουσίας τοῦ πάπα, τῇ ἡμῶν ταπεινώσει νῦν οὐχ ἁρμόττουσι· νοσηλευόμεθα γάρ, ὡς προείπομεν, καὶ οὐχ οἷοί τε ἐσμὲν ἐλθεῖν· ἐὰν δὲ θελήσετε τελείαν ἀπόκρισιν λαβεῖν περὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεως, ὁπάσατε μόνοι οἱ τρεῖς πρὸς τὴν ἡμετέραν ταπείνωσιν, ἵνα λαλήσω ὑμῖν, καὶ τηνικαῦτα τὸ ἀρεστὸν ἐνώπιον θεοῦ γενήσεται.

Ταύτης οὖν τῆς φωνῆς ἀποκομισθείσης καὶ ἀναγνωσθείσης, οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον, ἡ ἀσθένεια οὐδὲν αὐτὸν ἐνεπόδιζεν, ἵνα ἀντὶ τῶν πολλῶν λόγων ἓν ἐλλαμφθῇ ὑπὸ τοῦ θεοῦ, καὶ δηλώσῃ ἡμῖν, ὅτι κοινωνικός εἰμι τῆς ἐκκλησίας· διὸ οὐδὲν αὐτὸν ὠφελήσει τὸ ἀναλαβέσθαι, οὐδὲ δύναται αὐτὸν ἐξελέσθαι τῆς ἐπενεχθείσης αὐτῷ ἐπιτιμίας.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε, πῶς ὑμῖν δοκεῖ περὶ τῶν ἀπὸ ἀρχιερατικοῦ τάγματος ἑαυτοὺς εἰς τὴν τῶν μοναχῶν καταγόντων χώραν; ἆρα εἰς ὑποταγὴν ἑαυτοὺς παραδόντες, δύνανται ἔτι οἱ αὐτοὶ τῆς αὐτῆς ποιμνιαρχίας ἔχεσθαι;

Οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον, τοῦτο παρ' ἡμῖν οὐκ ἔστιν, οὐδὲ σώζεται. ὅταν γάρ τις ἀπὸ ἀρχιερατικοῦ τάγματος εἰς τὴν τῶν μοναχῶν, τουτέστι, τῶν μετανοούντων, καταριθμηθῇ χώραν, οὐ δύναται ἔτι τὸ τῆς ἀρχιερωσύνης ἑαυτῷ διεκδικεῖν ἀξιώματι.

Βασίλειος καὶ Ἠλίας οἱ ἁγιώτατοι τοποτηρηταὶ τοῦ τῆς ἀνατολῆς θρόνου εἶπον, οὐδὲ παρ' ἡμῖν ἑωράθη τοῦτό ποτε γενόμενον. τοὐναντίον μὲν οὖν μονάζοντες προΐασιν εἰς ἀρχιερέας· ἀπὸ δὲ ἀρχιερέως εἰς μοναχοῦ σχῆμα κατερχόμενοι, ἀρχιερεῖς μένειν οὐ δύνανται.

Η ἁγία σύνοδος εἶπεν, Ὁρισθήτω καὶ περὶ τούτου κανών. πολλάκις γὰρ ἐν ἡμῖν ἀμφιβολίαι γίνονται περὶ τῆς ὑποθέσεως ταύτης, τῶν μὲν λεγόντων, μὴ κωλύεσθαι τοὺς ἀρχιερεῖς, μοναχοὺς γεγενημένους, τὰ τῶν ἀρχιερέων τελεῖν, τῶν δὲ οὐ συνδοκούντων περὶ τούτου.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον, ἐκτεθήτω κανών.

Η ἁγία σύνοδος εἶπεν, ἔτι δὲ ἀξιοῦμεν ἐκτεθῆναι κανόνα καὶ περὶ τῶν εἰς τοῦτο τόλμης καὶ μανίας καὶ ἀπονοίας ἐλθόντων λαϊκῶν, ὥστε ἀρχιερεῖς ἢ ἱερεῖς θεοῦ τύπτειν ἢ φυλακίζειν. εἰ γὰρ καὶ σπανιάκις τοῦτο γέγονεν, ἀλλ' οὖν ἴσμεν αὐτὸ οὐχὶ πρὸ πολλῶν χρόνων τούτων γεγενημένον. μὴ γὰρ οὔσης ὡρισμένης καὶ περιφανοῦς τῆς τιμωρίας τῶν τοῦτο τολμώντων, μᾶλλον ὁ πονηρὸς κατισχύει εἰς τοῦτο τὸ ἄθεον ὑποσύρειν ἔργον.

A Joannes Photio ſanctiſſimo Patriarchæ conceſſit, ut is habeat poteſtatem, & convertentes ſe recipere, & eos qui non agunt pœnitentiam ſegregatione damnare. Cæterùm qui ad id delegati ſunt, ad religioſiſſimum Metrophanem abeant, noſtras reſponſiones, & quod ei paratum ſit vinculum, referentes.

Sancta Synodus dixit.

Sanctiſſimi Legati veteris Romæ dixerunt, Deputentur ii qui ituri ſunt.

B Profecti ſunt igitur Joannes Dei amabilis Heracleæ Metropolitanus, Daniel Ancyræ, & Georgius Nicomedeæ, & Metrophani quæ ſuperiùs de eo dicta fuerunt annunciarunt. Et cum reverſi ſunt hujuſmodi reſponſionem dederunt, Quemadmodum juſto, ſecundùm Apoſtolum, nulla datur Lex, ita nec morbo laboranti, & valde infirmo. Quæ igitur profert veſtra ſanctitas, quaſi ex Papæ authoritate, noſtræ humilitati nunc non conveniunt: nam, ut antea diximus, ægrotamus, nec adeſſe poſſumus. Si verò perfectam reſponſionem de Eccleſiaſticâ unione recipere velitis, accedite ſolummodo tres ad noſtram humilitatem, ut C vobis loquar, & tum quod optimum eſt in conſpectu Dei fiat.

Hac igitur reſponſione allatâ & lectâ, ſanctiſſimi Legati dixerunt, Infirmitas ei impedimento non fuit, ut pro multis verbis unum coram Deo eluceſceret & nobis declararet, Quod Eccleſiaſticæ communionis ſim particeps: ideoque iterum recipi nihil illi proderit; nec à ſupplicio ipſi illato illum eximere poteſt.

Photius ſanctiſſimus Patriarcha dixit, Quid vobis videtur de iis, qui à Pontificali ordine in Monachorum locum ſeſe detrudunt? num ſeipſos in ſubjectionem D tradentes illi poſſunt adhuc eandem paſtoralem authoritatem obtinere?

Sanctiſſimi Legati dixerunt, Iſta conſuetudo apud nos non eſt, nec obſervatur. Quando enim aliquis ex Pontificali ordine in Monachorum, id eſt, eorum qui pœnitentiam agunt, loco connumeratur, Pontificalem dignitatem ſibi ampliùs vendicare nullo modo poteſt.

Baſilius & Elias ſanctiſſimi Orientalis Sedis Legati dixerunt, Nec hoc factum fuiſſe unquam viſum eſt E apud nos. E contrario quidem Monachi in Pontificalem dignitatem aſcendunt: qui verò ex Pontificali in Monachicum habitum deſcenderunt, Pontifices manere non poſſunt.

Sancta Syn. dixit, De hoc etiam ſtatuatur Canon. Nam de hâc quæſtione ſæpius inter nos controverſiæ oriuntur; aliis quidem aſſerentibus, non prohiberi Pontifices, qui Monachi facti ſunt, ea quæ ad Pontifices pertinent peragere; aliis autem de hâc re non conſentientibus.

F Sanctiſſimi Legati dixerunt, Edatur Canon.

Sancta Synodus dixit, Inſuper æquum eſſe judicamus, ut edatur Canon etiam de Laicis, qui ad iſtam audaciam & amentiam & inſipientiam deventi ſunt, ut Dei Pontifices & Sacerdotes verberent, & in carcerem conjiciant. Licèt enim hoc rarò admodum fuerit, ſcimus tamen illud non multis retrò ſeculis factum fuiſſe. Cùm enim nullum ſit definitum & manifeſtum ſupplicium iis, qui hoc audent, ad impium hoc opus allicere ille Malus magis prævalet.

A Baſilius & Elias ſanctiſſimi Legati Orientis dixerunt, Dignum eſt etiam ut de hoc Canon emittatur.

Editis verò ſtatim Canonibus, Photius ſanctiſſimus Patriarcha dixit; Si jubet veſtra ſanctitas, legantur Canones.

Et acceptos Petrus Deo amabilis Diaconus & Protonotarius legit.

CANON II.

B *Licèt hucuſque Antiſtites nonnulli, ad Monachorum habitum deſcendentes, in ſummi Sacerdotii altitudine permanere vi nitebantur, cùm hoc facerent, neglecti ſunt: ſancta igitur & œcumenica hac Synodus, & iſtam negligentiam corrigens, & ad Eccleſiaſticum ordinem inordinatam iſtam actionem redigens, ſtatuit; Siquis Epiſcopus vel aliquis alius ex Sacerdotali dignitate ad Monaſticam vitam deſcendere voluerit, illum etiam Pontificali dignitate abdicari. Monachorum enim profeſſiones ſubjectionis rationem habent, & diſciplinæ, non autem inſtructionis vel primatus; neque alios paſcere, ſed ipſos paſci profitentur.* C *Ideoque, prout ante dictum eſt, decernimus, ne quis in Pontificalem & Paſtoralem catalogum recenſitus, ad eorum qui paſcuntur locum ſeipſum demittat. Si quis autem hoc audeat, Pontificali gradu ſeſe privans, nequaquam amplius ad priorem dignitatem, quam factis improbabat, revertetur.*

CANON III.

Siquis Laicorum authoritate uſus, divinis quidem & Regiis juſſis contemptis, & reverendis item Eccleſiæ ritibus & legibus irritis, D *Epiſcopum aliquem verberare auſus fuerit, vel in carcerem conjicere, vel abſque cauſa, vel cauſa aliqua conficta, iſte ſit anathema.*

Sancta Synodus dixit, anathema.

Photius ſanctiſſimus & œcumenicus Patriarcha dixit, Cùm omnia, quæ in hac ſancta & œcumenicâ Synodo fieri debent .... magnorum & illuſtrium Imperatorum noſtrorum, conſenſu item & approbatione ſanctiſſimi Papæ Romani ſpiritualis noſtri Fratris & Patris in præſentiâ ſanctiſſimorum ejus Legatorum & E trium aliarum Orientalium Sedium. Cùm hæc finem felicem, & qualis optari poſſet, habuerunt, optimo & benigniſſimo Deo gratias agamus, qui ſcandala è medio ſuſtulit, & ſchiſmaticum errorem abolevit, qui diſſidentia reconciliavit, & concordiam Eccleſiis iterum reſtituit. Si quid verò eorum, quæ fieri debent, deſit, & veſter Deo amabilis conſeſſus id animadvertit, æquum eſt, ut etiam illud per omnium preces & cooperationem proprium finem conſequatur.

F Sanctiſſimi Legati veteris Romæ dixerunt, Veſtrum ſanctum conſeſſum rogamus, cum omnium conſenſu & ſententiâ, ut quæ ab hac ſanctâ & œcumenicâ Synodo communi ſuffragio facta vel dicta fuerunt, quilibet veſtrûm ſubſcriptione propriâ manu factâ confirmet, & corroboret. Quicquid enim in noſtrâ fuit poteſtate, ſecundùm magni Pontificis Joannis ſanctiſſimi Papæ Romani mandatum, multum cum labore effecimus; ut omnia ſcandala & zizania, quæ in Eccleſiâ Conſtantinopolitanâ exorta fuerunt, amoverentur, &, Deo adjuvante, pacem illi reſtituere.

Βασίλειος καὶ Ἠλίας οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς ἀνατολῆς εἶπον, ἄξιόν ἐστι τεθῆναι καὶ περὶ αὐτοῦ κανόνα.

Ἐκδοθέντων δὲ παραυτίκα τῶν κανόνων, Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν, εἰ κελεύει ἡ ὑμετέρα ἁγιωσύνη, ἀναγνωσθήτωσαν οἱ κανόνες.

Καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω.

ΚΑΝΩΝ β'.

Εἰ καὶ μέχρι τοῦ νῦν ἔνιοι τῶν ἀρχιερέων, εἰς τὸ τῶν μοναχῶν κατιόντες σχῆμα, ἐπὶ τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, καὶ τοῦτο πράττοντες παρεωρῶντο· ἀλλ᾽ οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος, καὶ τοῦτο ῥυθμίζουσα τὸ παρόραμα, καὶ πρὸς τοὺς τῆς ἐκκλησιαστικῆς καταστάσεως θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν, εἴ τις ἐπίσκοπος, ἢ εἴ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος πρὸς τὸν μοναδικὸν θελήσει κατελθεῖν βίον, καὶ τὸν τῆς ἀρχιερατικῆς ἀντιποιεῖσθαι ἀξίας. αἱ γὰρ τῶν μοναχῶν συνθῆκαι ὑποταγῆς ἐπέχουσι τόπον καὶ μαθητείας, ἀλλ᾽ οὐχὶ διδασκαλίας ἢ προεδρείας, οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται· διὸ καθὼς προείρηται θεσπίζομεν, μηκέτι τινὰ τῶν ἐν ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων, εἰς τὴν τῶν ποιμαινομένων χώραν ἑαυτὸν καταβιβάζειν. εἰ δέ τις τοῦτο τολμήσει, ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστήσας βαθμοῦ, οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ διὰ τῶν ἔργων ἠθέτησεν, ἀξίωμα ἐπαναστρέψει.

ΚΑΝΩΝ γ'.

Εἴ τις τῶν λαϊκῶν αὐθεντήσας, καὶ καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν πραγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ἡ ἁγία σύνοδος εἶπεν, ἀνάθεμα.

Φώτιος ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης εἶπεν, ἐπειδὴ πάντα, ὅσα ἔδει πραχθῆναι ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ .... τῶν μεγάλων καὶ ὑψηλῶν βασιλέων ἡμῶν, ἐπινεύσει δὲ καὶ συναινέσει τοῦ ἁγιωτάτου πάπα Ῥώμης τοῦ πνευματικοῦ ἡμῶν ἀδελφοῦ καὶ πατρός, διὰ τῆς παρουσίας τῶν ἁγιωτάτων αὐτοῦ τοποτηρητῶν, καὶ τῶν τριῶν λοιπῶν ἀνατολικῶν θρόνων, ἐπεὶ ταῦτα πέρας αἴσιον καὶ οἷον εὐχῆς ἔργον γένοιτ᾽ εἴληφεν, εὐχαριστοῦμεν τῷ ὑπεραγάθῳ καὶ φιλανθρώπῳ θεῷ, τῷ τὰ σκάνδαλα ἐκ μέσου ποιησαμένῳ, καὶ τὴν σχισματικὴν καταργήσαντι πλάνην, τὰ διεστῶτα συνάψαντι, τὴν ὁμόνοιαν ταῖς ἐκκλησίαις βεβαιώσαντι· εἰ δέ τι ἐνδεῖ τῶν ὀφειλόντων συγκαταπραχθῆναι, καὶ τοῦτο ἡ ὑμετέρα φιλόχριστος ὁμήγυρις συνορᾷ, χρεὼν ἐστὶ καὶ τοῦτο διὰ τῆς πάντων εὐχῆς καὶ συνεργίας τὸ οἰκεῖον τέλος ἀπολαβεῖν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, παρακαλοῦμεν τὴν ὑμῶν ἁγίαν συνέλευσιν, μετὰ συναινέσεως καὶ βουλῆς ἁπάντων, ὥστε διὰ τῆς οἰκείας ἰδιοχείρου γραφῆς ἕκαστον ὑμῶν ἐπικυρῶσαι καὶ ἐπιβεβαιῶσαι τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ταύτης κοινῇ ψήφῳ πραχθέντα τε καὶ λαληθέντα. ὅσον γὰρ ἦν εἰς δύναμιν ἡμῶν διὰ πολλῆς σπουδῆς ἐθέμεθα, κατὰ τὴν πρόσταξιν τοῦ μεγάλου ἀρχιερέως Ἰωάννου τοῦ ἁγιωτάτου πάπα Ῥώμης, πάντα τὰ πρώην ἀναφανέντα ἐν τῇ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ σκάνδαλα καὶ ζιζάνια ἐκ μέσου ποιῆσαι, καὶ εἰρήνην ταύτῃ, θεοῦ συνεργίᾳ, βραβεῦσαι.

Ἡ ἁγία σύνοδος εἶπεν, εὐχαριστοῦμεν τῷ θεῷ, ὅτι τοιοῦτον ἡμῖν ἀρχιερέα καὶ ἀρχιποίμενα, διὰ μεσιτείας τῶν ὑψηλῶν καὶ μεγάλων βασιλέων ἡμῶν, καὶ συνεργίας τοῦ ἁγιωτάτου πάπα Ἰωάννου καὶ τῆς ὑμετέρας ἁγιωσύνης, ὁ θεὸς εὐχαρίσατο.

Εἶτα λαβόντες Παῦλος καὶ Εὐγένιος καὶ Πέτρος, οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης, τὰς βεμβράνας, ὑπέγραψεν ἕκαστος αὐτῶν.

Ἔπειτα μετὰ τὸ ὑπογράψαι, δι' ἑρμηνέως εἰς ἐπήκοον πάντων τὰς ὑπογραφὰς ἀνέγνωσαν, περιεχούσας οὕτως.

Ὑπογραφαί.

Παῦλος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας τῶν Ἀγκωνιτῶν ἐκκλησίας, καὶ πρέσβυς τοῦ ἁγίου ἀποστολικοῦ θρόνου καὶ τοῦ δεσπότου μου Ἰωάννου τοῦ τρισμακαριστοῦ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τῶν Ῥωμαίων ἐκκλησίας ἀκροτάτου ἀρχιερέως καὶ οἰκουμενικοῦ πάπα, ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, κατὰ τὴν ἐντολὴν πρόσταξίν τε καὶ συναίνεσιν τοῦ ἁγιωτάτου ἀποστολικοῦ καὶ οἰκουμενικοῦ ἡμῶν πάπα Ἰωάννου, καὶ συναίνεσιν τῆς ἁγίας τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας, καὶ συμφωνίαν τῶν τοποτηρητῶν τῶν ἑτέρων πατριαρχικῶν θρόνων, καὶ συνεπιψήφισιν ταύτης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἀποδέχομαι τοῦτον τὸν σεβασμιώτατον Φώτιον, ἔννομον καὶ κανονισμένον πατριάρχην, εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, καὶ συγκοινωνῶ αὐτῷ κατὰ τὸ τῶν ἐπιστολῶν ὕφος· ἀλλὰ μὴν καὶ κατὰ τοῦ κομμονιτορίου ῥητὸν ἀποβάλλομαι καὶ ἀναθεματίζω τὴν κατ' αὐτοῦ συστᾶσαν σύνοδον ἐν τῇ τῶν Κωνσταντινουπολιτῶν ἁγίᾳ ἐκκλησίᾳ, ὡσαύτως καὶ ἅπαντα τὰ πραχθέντα κατ' αὐτοῦ ἐν τοῖς καιροῖς τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ἀδριανοῦ τοῦ πάπα Ῥώμης, κατὰ τὸ κεφάλαιον τοῦ κομμονιτορίου, καταργῶ καὶ ἀναθεματίζω καὶ ἀποβάλλομαι, καὶ ἐν ἀριθμῷ συνόδων οὐδαμῶς ταύτην καταψηφίζω. ἔτι δὲ εἰ συμβῇ τινας ἀποσχίζειν τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, καὶ ἀποστρέφεσθαι τὸν ἴδιον ποιμένα, ἀλλ' οἰκουμενικὸν πατριάρχην τὸν ἁγιώτατον Φώτιον, εἶναι κεχωρισμένους ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ἀκοινωνήτους διαμένειν, μέχρις ἂν ὑποστρέψωσιν ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ συγκοινωνήσωσι τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ, ὁμονοήσωσί τε καὶ ὁμόφρονες γένωνται τοῦ ἀποστολικοῦ θρόνου. ἔτι δὲ τὴν γενομένην ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον περὶ τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων, ἐν τοῖς καιροῖς τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ἀδριανοῦ τοῦ προτέρου πάπα Ῥώμης, καὶ ἐπὶ Ταρασίου τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ἁγιωτάτου πατριάρχου, ἁγίαν καὶ οἰκουμενικὴν ζ΄. σύνοδον ἀποκαλῶν, καὶ ταῖς ἁγίαις ἓξ συνόδοις συναριθμῶν, ἰδιοχείρως ὑπέγραψα.

Τὰ αὐτὰ δὴ ταῦτα καὶ Εὐγένιος ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ὀστίων, καὶ Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδινάλιος, ἰδιοχείρως ὑπέγραψα.

Ἐπειδὴ εἰς βεβαίωσιν καὶ γνῶσιν τῶν γεγραμμένων, ὡς ἀνωτέρω λέλεκται, τὰ τῆς ὑπογραφῆς τῶν ἁγιωτάτων τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης ἐγνώσθη, μετὰ τὴν ἀνάγνωσιν ἡ ἁγία σύνοδος ἀπεκρίθη, εὐλογητὸς ὁ θεός, ὁ συνεργίᾳ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου δι' ἡμῶν ἑνώσας τὴν ἁγίαν αὐτοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν.

Εἶτα λαβόντες καὶ οἱ τῶν ἀνατολικῶν θρόνων ἁγιώτατοι τοποτηρηταί, ἰδιοχείρως ἕκαστος αὐτῶν ὑπέγραψεν οὕτως.

A Sancta Synodus dixit, Deo gratias agimus, quòd talem Pontificem & ſummum Paſtorem, per illuſtriſſimorum & magnorum noſtrorum Imperatorum mediationem, & ſanctiſſimi Papæ Joannis & veſtræ ſanctitatis auxilium, Deus nobis gratioſè conceſſit.

Tum acceptis membranis, Paulus & Eugenius & Petrus, ſanctiſſimi veteris Romæ Legati, quilibet eorum ſubſcripſit.

Deinde poſtquam ſubſcripſerunt, in omnium auditione legebantur ſubſcriptiones ab interprete, quæ B hæc continent.

Subſcriptiones.

Ego Paulus minimus Epiſcopus ſanctæ Anconitarum Eccleſiæ, & ſanctæ Apoſtolicæ Sedis ac Domini mei ter beatiſſimi Joannis ſanctæ Catholicæ & Apoſtolicæ Romanorum Eccleſiæ ſummi Pontificis & œcumenici Papæ Legatus, in hâc ſanctâ & œcumenicâ Synodo, juxta præceptum, mandatum & conſenſum ſanctiſſimi Apoſtolici Papæ Joannis, & conſenſum ſanctæ C Conſtantinopolitanæ Eccleſiæ, & comprobationem Legatorum aliarum Patriarchalium Sedium, & hujus ſanctæ & œcumenicæ Synodi ſuffragium, hunc reverendiſſimum Photium, legitimum & jure conſtitutum Patriarcham, in ſummi Sacerdotii dignitatem recipio, & juxta textum Epiſtolarum illi communico: cæterum quidem juxta Commonitorii ſententiam rejicio & anathematizo Synodum, quæ in ſanctâ Conſtantinopolitanâ Eccleſiâ contra eum celebrata fuit; ſimiliter & omnia, quæ contra eum tempore Adriani Papæ Romani beatæ memoriæ facta fuerunt, juxta Commonitorii caput aboleo & anathematizo & rejicio, nec in Syn- D odorum numero illam omnino refero. Inſuper ſi contingat nonnullos Eccleſiam Dei ſcindere, & paſtorem proprium, at œcumenicum Patriarcham ſanctiſſimum Photium, deſerere, ſint ab Eccleſiâ Dei ſanctâ ſeparati, & excommunicati maneant, uſque dum ad ſanctam Dei Eccleſiam revertantur, & cum ſanctiſſimo & œcumenico Patriarchâ communicent; & cum Apoſtolicâ etiam Sede conſentient & unanimes fient. Porro ſanctam & œcumenicam Synodum, quæ Nicææ ſecundò celebrata fuit, de ſanctis & venerandis imaginibus, tempore Adriani primi Papæ Romani felicis memoriæ, & ſub Taraſio Conſtantinopolitanæ Ec- E cleſiæ ſanctiſſimo Patriarchâ, ſanctam & œcumenicam ſeptimam Synodum vocans, & unà cum ſanctis ſex Synodis connumerans, propriâ manu ſubſcripſi.

Hæc eadem etiam & Eugenius Deo amabilis ſanctæ Eccleſiæ Oſtienſis Epiſcopus, & Petrus religioſiſſimus Presbyter & Cardinalis, propriâ manu ſubſcripſi.

Quoniam ad confirmationem & cognitionem eorum quæ ſcripta fuerunt, ut ſuperiùs dictum eſt, F ſanctiſſimorum Legatorum veteris Romæ ſubſcriptiones legebantur; poſt lectionem ſancta Synodus reſpondit, Benedictus ſit Deus, qui, adjuvante ſanctiſſimo Papâ Joanne, ſanctam ejus catholicam & Apoſtolicam Eccleſiam per nos adunivit.

Tum accipientes etiam ſanctiſſimi orientalium Sedium Legati, quilibet eorum propriâ manu hoc modo ſubſcripſit.

A

Subſcriptio Antiocheni Legati.

Ego Baſilius Dei miſericordiâ Martyropolis Metropolita & Antiochiæ Legatus, huic ſanctæ & œcumenicæ Synodo conſentiens, vel potius ante eam ita ſentiens, ſanctiſſimum Dei Pontificem Photium, Patriarcham legitimum & jure conſtitutum recipio, quemadmodum Theodoſius ſanctiſſimus Patriarcha Antiochiæ, à quo miſſus ſum, illum recepit, & reliquæ Pontificales Sedes: eos verò, qui illum non recipiunt eodem modo ac nos, vel qui ab illo ſeparare audent, anathematizans & rejiciens, & quæcunque contra eum B in quocunque loco vel à quâcunque perſonâ conſtituta ſunt, eidem anathemati ſubjiciens; porro & Synodum, quæ Nicææ ſecundò celebrata fuit contra iconomachos, ſanctam & œcumenicam Synodum prædicans, propriâ manu ſubſcripſi.

Subſcriptio Hieroſolymitani Legati.

Elias miſericordiâ Dei Monachus & Presbyter & Legatus S. Dei Hieroſolymitanæ Eccleſiæ eodem modo.

C

Subſcriptio Alexandrini Legati.

Coſmas Dei miſericordiâ Monachus & Presbyter & Apocriſiarius Alexandrinus eodem modo.

Itidem & omnes deinceps Metropolitani & Epiſcopi propiâ manu ita ſignificârunt.

Cæſareæ.

D Ego Procopius Dei miſericordiâ Cæſareæ Cappadociæ Epiſcopus, huic ſanctæ & œcumenicæ Synodo in omnibus conſentiens, & de Photii ſanctiſſimi Patriarchæ reſtitutione, & omnium quæ contra eum vel dicta vel ſcripta fuerunt rejectione, & ſanctam & œcumenicam Synodum ſeptimam, quæ Nicææ ſecundò celebrata fuit, confirmans, propriâ manu ſubſcripſi.

Gregorius miſericordiâ Dei Epheſi Epiſcopus eodem modo.

Joannes Heracleæ eodem modo.

E Daniel Ancyræ eodem modo.

Theophylactus Sardicenſis eodem modo.

Georgius Nicomedeæ eodem modo.

Et reliqui omnes Pontifices, qui numero fuerunt omnes ccclxxx.

Actio iii. menſe Martio x. feria iii. Indictione decimatertiâ.

F

Præſidentibus religioſiſſimis & Deo amantiſſimis noſtris Imperatoribus, Baſilio, Leone & Alexandro, in celebri Palatio aurei Triclinii, & conſidentibus illis Photio ſanctiſſimo Patriarchâ, ut & Paulo & Eugenio ſanctiſſimis Epiſcopis & Legatis veteris Romæ, & Petro religioſiſſimo Presbytero & Cardinali, ſimul & Baſilio Martyropolis Metropolitâ & Eccleſiæ Antiochenæ Legato, & Eliâ religioſiſſimo Presbytero & Legato Hieroſolymorum, & Coſmâ religioſiſſimo

Ὑπογραφὴ τοῦ τῆς Ἀντιοχείας τοποτηρητοῦ.

Βασίλειος ἐλέῳ θεοῦ μητροπολίτης Μαρτυροπόλεως, καὶ τοποτηρητὴς τῆς Ἀντιοχείας, τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ συμφωνῶν, μᾶλλον δὲ καὶ πρὸ ταύτης οὕτω φρονῶν, ἀποδέχομαι Φώτιον τὸν ἁγιώτατον ἀρχιερέα θεοῦ, πατριάρχην ἔννομον καὶ κεκανονισμένον, καθὼς ἀπεδέξατο αὐτὸν Θεοδόσιος ὁ ἁγιώτατος πατριάρχης Ἀντιοχείας, ὑφ' οὗ καὶ ἀπεστάλην, καὶ οἱ λοιποὶ ἀρχιερατικοὶ θρόνοι· τοὺς δὲ μὴ ἀποδεχομένους αὐτὸν παραπλησίως ἡμῖν, ἢ τολμῶντας ἐξ αὐτοῦ ἀποσχίζειν, ἀναθεματίζων καὶ ἀποστρεφόμενος, καὶ πάντα τὰ κατ' αὐτοῦ συστάντα ἐν οἱῳδήποτε τόπῳ καὶ παρὰ οἱουδήποτε προσώπου, τῷ αὐτῷ καθυποβάλλων ἀναθέματι· ἔτι δὲ καὶ τὴν ἐν Νικαίᾳ τὸ δεύτερον κατὰ τῶν εἰκονομάχων συστᾶσαν σύνοδον, ἁγίαν καὶ οἰκουμενικὴν ἑβδόμην σύνοδον ἀνακηρύττων, ὑπέγραψα ἰδιοχείρως.

Ὑπογραφὴ τοῦ τῶν Ἱεροσολύμων τοποτηρητοῦ.

Ἠλίας ἐλέῳ θεοῦ μοναχὸς καὶ πρεσβύτερος καὶ τοποτηρητὴς τῆς τῶν Ἱεροσολύμων ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁμοίως.

Ὑπογραφὴ τοῦ τῆς Ἀλεξανδρείας τοποτηρητοῦ.

Κοσμᾶς ἐλέῳ θεοῦ μοναχὸς καὶ πρεσβύτερος καὶ ἀποκρισιάριος Ἀλεξανδρείας ὁμοίως.

Ὡσαύτως καὶ οἱ καθεξῆς ἅπαντες μητροπολῖται καὶ ἐπίσκοποι, οἰκείᾳ χειρὶ ὑπεσημήναντο οὕτως.

Καισαρείας.

Προκόπιος ἐλέῳ θεοῦ ἐπίσκοπος Καισαρείας Καππαδοκίας, κατὰ πάντα συμφωνῶν τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, ἐπί τε τῇ ἀποδοχῇ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, καὶ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων, ἐπικυρῶν τε καὶ τὴν ἐν Νικαίᾳ τὸ δεύτερον γενομένην ἁγίαν καὶ οἰκουμενικὴν ἑβδόμην σύνοδον, οἰκειοχείρως ὑπέγραψα.

Γρηγόριος ἐλέῳ θεοῦ ἐπίσκοπος Ἐφέσου ὁμοίως.

Ἰωάννης Ἡρακλείας ὁμοίως.

Δανιὴλ Ἀγκύρας ὁμοίως.

Θεοφύλακτος Σάρδεων ὁμοίως.

Γεώργιος Νικομηδείας ὁμοίως.

Καὶ οἱ λοιποὶ πάντες ἀρχιερεῖς, τὸν ἀριθμὸν ὄντες οἱ σύμπαντες τπ'.

Πρᾶξις γ'. μηνὶ Μαρτίῳ ι'. ἡμέρᾳ γ'. ἰνδικτιῶνος ιγ'.

Προκαθεσθέντων τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, Βασιλείου, Λέοντος καὶ Ἀλεξάνδρου, ἐν τῷ περιωνύμῳ παλατίῳ τοῦ χρυσοτρικλινίου, καὶ συγκαθεσθέντος αὐτοῖς Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, ἔτι δὲ Παύλου καὶ Εὐγενίου τῶν ἁγιωτάτων ἐπισκόπων καὶ τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης, καὶ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ καρδιναλίου, ἅμα Βασιλείῳ μητροπολίτῃ Μαρτυροπόλεως καὶ τοποτηρητῇ τῆς Ἀντιοχέων ἐκκλησίας, καὶ Ἠλία τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ Ἱεροσολύμων, καὶ Κοσμᾶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ Ἀποκρισιαρίου Ἀλεξανδρείας, οὐ μὴν δὲ A ἀλλὰ καὶ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συγκαθεσθέντων, Προκοπίου Καισαρείας Καππαδοκείας, Γρηγορίου Ἐφέσου, Ἰωάννου Ἡρακλείας, Θεοδούλου Ἀγκύρας, Δανιὴλ ὁμοίως, Θεοφυλάκτου Σάρδεων, Γεωργίου Νικομηδείας, Ζαχαρίου Χαλκηδόνος, Κυπριανοῦ Κλαυδιουπόλεως, Νικηφόρου Καρίας, Παύλου Θεσσαλονίκης, Θεοφίλου Ἰκονίου, Συμεὼν Λαοδικείας, Νικολάου Φιλίππων, Ἰγνατίου Ἱεραπόλεως, Γρηγορίου Πέργης, Σάββα Ἀπρῶ, Στεφάνου Κυψέλλων, Νικήτα Σμύρνης, Λουκᾶ Βοσπόρου, Παύλου Χερσῶνος, Σάββα πατρῶν, καὶ τῶν λοιπῶν τὸν B ἀριθμὸν ὄντων τπ'.

Τούτων ἁπάντων συγκαθεσθέντων, Βασίλειος ὁ φιλόχριστος βασιλεὺς εἶπεν, ἔδει μὲν ἡμᾶς ἴσως τῇ συγκροτηθείσῃ ἁγίᾳ συνόδῳ παρουσιάσαι, καὶ μεθ' ὑμῶν τὰ τῆς εἰρήνης καὶ ὁμονοίας τῶν τοῦ θεοῦ ἐκκλησιῶν συγκαταπράττεσθαι καὶ συνδιεξάγειν, κατενώπιόν τε παντὸς τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ πληρώματος δι' οἰκείας ὑπογραφῆς τὰ δόξαντα ταύτῃ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ σφραγίσαι τε καὶ ἐπιβεβαιῶσαι· πλὴν ἵνα μή τινες τῶν πρὸς μώμους καὶ λοιδορίας τὰς γλώττας ἑτοίμους ἐχόντων τῆς ἡμετέρας βα- C σιλείας τὴν παρουσίαν εἰς ὕβριν τινὰ παρεννοήσωσι τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, ὡς δὴ εὐλαβείᾳ τινὶ τοῦ ἡμετέρου προσώπου ἢ καὶ βίας ἐλπίδι πρὸς τὴν εἰρήνην καὶ ὁμόνοιαν πάντων συνδεδραμηκότων, διὰ τοῦτο ἐκρίναμεν, ἵνα πρῶτον καθ' ἑαυτοὺς ὑμῶν τε καὶ τῶν ἄλλων ἀρχιερατικῶν θρόνων, καὶ παντὸς τοῦ πληρώματος τῆς ἐκκλησίας, τῆς ἄνωθεν ῥοπῆς ὑμῖν συνεφαπτομένης, ἅπαντα κατὰ τὸ θεῖον βούλημα καὶ τὴν ὑμετέραν ἑκούσιόν τε καὶ αὐτοκίνητον γνώμην συνπλεσάντων, οὕτω τὸ ἡμέτερον θεοπρόβλητον κράτος τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ὁρισθέντα τε καὶ βεβαιωθέντα συναποδεχόμενόν τε καὶ συνεπικυροῦν, οἰκείᾳ D χειρὶ ἐπισφραγίσας· πλὴν ἄμεινον ἡγοῦμαι εἰ καὶ ὑμῖν συνδοκεῖ, πάντων ἐν ὁμονοίᾳ τε καὶ βαθείᾳ εἰρήνῃ ἑνωθέντων, καὶ Χριστῷ τῇ πάντων κεφαλῇ συναφθέντων, καὶ ὅρον τινὰ τοῦ ἐκκλησιαστικοῦ φρονήματος ἀναφωνηθῆναι, οὐ καινόν τινα καὶ παρείσακτον, ἀλλ' ὃν ἡ ἁγία καὶ μεγάλη ἐν Νικαίᾳ σύνοδος τὸ πρῶτον ἐθεμελίωσε, καὶ αἱ λοιπαὶ ἅγιαι οἰκουμενικαὶ σύνοδοι συνεκρότησάν τε καὶ συνεπῳκοδόμησαν.

Βασίλειος ὁ θεοφιλέστατος Μητροπολίτης Μαρτυροπόλεως καὶ τοποτηρητὴς Ἀντιοχείας εἶπεν, ἄξιον καὶ δίκαιόν ἐστι, τῶν σχισμάτων καὶ σκανδάλων ἀπὸ πάσης τῆς ἐκκλησίας ἀνῃρημέ- E νων, προνοίᾳ μὲν καὶ σπουδῇ, ὦ φιλόχριστε ἡμῶν βασιλέων, τῇ σῇ, εὐχαῖς δὲ καὶ δεήσεσι πρὸς τὸν θεὸν τοῦ πνευματικοῦ σου πατρὸς καὶ ἡμῶν ἁγιωτάτου πατριάρχου Φωτίου, καὶ τὸν ὅρον καὶ τὸν αὐτὸν ἀνὰ πᾶσαν τὴν οἰκουμένην εἶναι, ὥσπερ καὶ μέχρι νῦν ἐστι, καὶ διὰ τῆς παρουσίας ταύτην ἐπικυρωθῆναι σύνοδον.

Οἱ παρόντες ἀρχιερεῖς τοῦ θεοῦ εἶπον, ἐξ ἅπαντος τρόπου ὀφείλει ὁ τῆς ἐν Νικαίᾳ συνόδου ὅρος, ὃν καὶ αἱ λοιπαὶ ἅγιαι καὶ οἰκουμενικαὶ Σύνοδοι ἐπεκύρωσάν τε καὶ ἐπῳκοδόμησαν, οὗτος καὶ ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ Συνόδῳ ἀναγνωσθῆναι. F

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον, ὡς ἐκέλευσεν ὁ ἐκ θεοῦ μέγας βασιλεὺς ἡμῶν, καὶ ἤρεσε καὶ τοῖς ἀδελφοῖς καὶ συνιερεῦσιν ἡμῶν, πρέπον ἐστὶ μὴ ἕτερον ὅρον καινουργηθῆναι, ἀλλ' αὐτὸν τὸν ἀρχαῖον καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην κρατούμενόν τε καὶ δοξαζόμενον ἀναγνωσθῆναί τε καὶ ἐπιβεβαιωθῆναι.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε, κατὰ τὴν κρίσιν πάντων τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν ἀναγινωσκέσθω.

Presbytero & Apocriſiario Alexandrino; porro etiam & Deo amabilibus Metropolitanis & Archiepiſcopis conſidentibus, Procopio Cæſareæ Cappadociæ, Gregorio Epheſi, Joanne Heracleæ, Theodulo Ancyræ, Daniele ſimiliter, Theophylacto Sardicenſi, Georgio Nicomedeæ, Zachariâ Chalcedonis, Cypriano Claudiopolis, Nicephoro Cariæ, Paulo Theſſalonicæ, Theophilo Iconii, Symeone Laodiceæ, Nicolao Philippenſi, Ignatio Hierapolis, Gregorio Pergæ, Sabbâ Aprûs, Stephano Cupſellenſi, Nicetâ Smyrnæ, Lucâ Boſpori, Paulo Cherſoneſi, Sabba Patrarum, & reliquis qui numero fuerunt ccclxxx.

His omnibus conſidentibus, Baſilius Chriſti amantiſſimus Imperator dixit, Nos quidem forſan decebat congregatæ ſanctæ Synodo adeſſe, & unà vobiſcum pacem & concordiam Dei Eccleſiarum efficere eaſque componere, & coram toto Pontificali & Sacerdotali conſeſſu per propriam ſubſcriptionem quæcunque ab iſtâ ſanctâ & magnâ Synodo ſtatuta ſunt confirmare & corroborare: veruntamen ne aliqui, qui linguas ad reprehenſiones & convitia paratas habent, noſtri imperii præſentiam ſanctæ iſti & œcumenicæ Synodo contumeliæ alicui eſſe comminiſcerentur, ac ſi omnes quidem noſtræ præſentiæ reverentiâ quâdam vel violentiæ timore ad pacem & concordiam concurrerent, ideo æquum judicavimus, ut primò ſponte veſtrâ & vos & aliæ Pontificales Sedes & omnis plenitudo Eccleſiæ, auxilio divino vos adjuvante, omnia juxta divinam voluntatem & voluntariam & ſpontaneam veſtram ſententiam perficiatis, & ita noſtrum à Deo jactum imperium, ea quæ à ſanctâ & œcumenicâ Synodo decreta & ſtabilita ſunt recipiens & confirmans, propriâ manu ſubſcribat. Cæterùm meliùs exiſtimo, ſi vobis etiam videatur, omnibus in concordiâ & perfectâ pace unitis, & Chriſto omnium capiti conjunctis, etiam definitionem quandam Eccleſiaſtici ſenſûs emitti; non novam aliquam & irreptitiam, ſed quam ſancta & œcumenica Nicææ Synodus primùm edidit, & reliquæ ſanctæ œcumenicæ Synodi confirmârunt, eique ſuperſtruxerunt.

Baſilius à Deo dilectiſſimus Metropolita Martyropolis & Legatus Antiochenus dixit, Dignum & æquum eſt, ut, Schiſmatibus & ſcandalis à totâ Eccleſiâ ſublatis, tuâ quidem prudentiâ & diligentiâ, ô amantiſſime Chriſti Imperator noſter, precibus verò & ad Deum interceſſionibus ſpiritualis tui Patris & ſanctiſſimi noſtri Patriarchæ Photii eadem hæc definitio per totum terrarum orbem ſit, prout hucuſque fuit, & in præſentia Synodus illam confirmet.

Præſentes Dei Pontifices dixerunt, Nicænæ Synodi definitio, quam reliquæ ſanctæ & œcumenicæ Synodi confirmârunt eique ſuperſtruxerunt, ea etiam in hâc ſanctâ & œcumenicâ Synodo legi debet.

Sanctiſſimi Legati veteris Romæ dixerunt, Prout mandavit magnus à Deo delectus noſter Imperator, & fratribus & conſacerdotibus noſtris placuit, æquum eſt, ut nulla alia definitio de novo fiat, ſed ut antiqua illa & per totum orbem obtinens ac celebrata legatur & confirmetur.

Photius ſanctiſſimus Patriarcha dixit, Secundum omnium noſtrum fratrum & conſacerdotum judicium legatur.

Et admonitus Petrus Deo amabilis Protonotarius & A Diaconus legit.

Καὶ δὴ προτραπεὶς Πέτρος ὁ θεοφιλέστατος πρωτονοτάριος καὶ διάκονος ἀνέγνω.

Domini & Servatoris noſtri Jesu Christi venerabilem & divinam doctrinam affectu, firmâ ſententiâ & fidei ſtabilitâ puritate, & ejus ſanctorum Diſcipulorum & Apoſtolorum ſacras conſtitutiones & canonicos typos firmiſſimo judicio coæquantes & conſervantes; imò verò & ſanctarum & œcumenicarum ſeptem Synodorum tanquam ejuſdem unius S. Spiritûs inſpiratione directarum & actarum, decreta & regulas illæſas & non adulteratas ſyncerâ & inconcuſsâ ſententiâ honorantes & obſervantes, rejicimus quidem B quos excommunicârunt, amore etiam proſequimur & receptione dignos judicamus eos, quos tanquam ejuſdem opinionis vel etiam pietatis magiſtros honore & ſancta veneratione dignos pronunciârunt. Hoc modo de his ſentientes & prædicantes, puriſſimæ Chriſtianorum fidei definitionem ex Majoribus ad noſtra uſque tempora deſcendentem tam mente quam linguâ & amplectimur & omnibus altâ voce ubique annunciamus, nihil auferentes, nihil addentes, nihil mutantes, nihil adulterantes. Ablatio enim & additio, licèt Mali commentorum inſidiis nulla hæreſis excitata ſit, ex induſtriâ eorum, qui irreprehenſibiles ſunt, Patrum C inexcuſabilem injuriam introducit: adulterinis verò verbis Patrum definitiones immutare, multò priori pernicioſius eſt. Idcirco fidei definitionem, quæ ab initio fuit, divino affectu & mente rectâ ſancta & œcumenica hæc Synodus amplectens ſimul & pie colens, & ſalutis ſtabilimentum in ea ponens & excitans, ſic & ſentire & prædicare omnibus proclamat.

Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν σεπτὴν καὶ θείαν διδασκαλίαν τοῖς τῆς διανοίας κόλποις, ἀδιστάκτῳ γνώμῃ, καὶ πίστεως τεθεμελιωμένῃ καθαρότητι, καὶ τῶν αὐτοῦ ἁγίων μαθητῶν καὶ ἀποστόλων τὰς ἱερὰς διατάξεις καὶ τοὺς κανονικοὺς τύπους ἀπλανεστάτῃ κρίσει συνεξισοῦντές τε καὶ διασώζοντες, ναὶ δὲ καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, ὡς τοῦ αὐτοῦ καὶ ἑνὸς ἁγίου πνεύματος ταῖς ἐπιπνοίαις ἰθυνομένων τε καὶ ἐνεργουμένων, τὸ κήρυγμα καὶ τοὺς θεσμοὺς ἀπαραλείπτους τε καὶ ἀκαπηλεύτους εἰλικρινεστάτῃ καὶ ἀκλονήτῳ δόξῃ τιμῶντές τε καὶ συνδιαφυλάττοντες, ἀποβαλλόμεθα μὲν οὓς ἐξεκκλησίασαν, στέργομεν δὲ καὶ ἀποδοχῆς ἀξίους ἔχομεν, οὓς οἷα δὴ ὁμοδόξους ἢ καὶ τῆς εὐσεβείας καθηγητὰς, τιμὴν καὶ σέβας ὅσιον ὀφειλομένους ἀπέφηναν. οὕτω περὶ τούτων φρονοῦντές τε καὶ κηρύττοντες, τὸν ἄνωθεν ἐκ πατέρων καὶ μέχρις ἡμῶν κατελθόντα τῆς ἀκραιφνεστάτης τῶν Χριστιανῶν πίστεως ὅρον, καὶ διανοίᾳ καὶ γλώσσῃ στέργομέν τε καὶ πάσῃ διαπρυσίᾳ τῇ φωνῇ περιαγγέλλομεν, οὐδὲν ἀφαιροῦντες, οὐδὲν προστιθέντες, οὐδὲν ἀμείβοντες, οὐδὲν κιβδηλεύοντες. ἡ μὲν γὰρ ἀφαίρεσις καὶ ἡ πρόσθεσις, μηδεμιᾶς ὑποστάσεως τῶν τοῦ πονηροῦ τεχνασμάτων ἀνακινουμένης αἱρέσεως, κατὰ γνῶσιν εἰσάγει τῶν ἀκαταγνώστων καὶ ὕβριν τῶν πατέρων ἀναπολόγητον· τὸ δὲ κιβδήλοις ἀμείβειν ῥήμασιν ὅρους πατέρων, πολὺ τοῦ προτέρου χαλεπώτερον. διὸ τὸν ἐξ ἀρχῆς τῆς πίστεως ὅρον πόθῳ θείῳ καὶ διανοίας εὐθύτητι ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος ἐνστερνιζομένη τε καὶ θάζουσα, καὶ τὸ τῆς σωτηρίας στερέωμα ἐν αὐτῷ θεμελιοῦσά τε καὶ ἀναγείρουσα, οὕτω καὶ φρονεῖν καὶ κηρύττειν πᾶσιν ἐμβοᾷ.

Sanctum Symbolum.

Credo in unum Deum, Patrem omnipotentem, cœli D & terræ, omnium tam viſibilium quàm inviſibilium, factorem; & in unum Dominum Jeſum Chriſtum, filium Dei unigenitum, natum ex Patre ante omnia ſecula, lumen ex lumine, Deum verum ex Deo vero, genitum non factum, conſubſtantialem Patri, per quem omnia facta ſunt, qui propter nos homines & propter noſtram ſalutem deſcendit è cœlo, & incarnatus eſt ex Spiritu ſancto & virgine Mariâ, & homo factus eſt, & crucifixus eſt pro nobis ſub Pontio Pilato, & paſſus eſt, & ſepultus, & tertia die reſurrexit juxta Scripturas, & aſcendit in cœlos, & ſedet à dextrâ Patris, & rurſus venturus eſt cum gloria judicatum vivos & mortuos, cujus regni ipſius non erit finis; E Et in Spiritum ſanctum, Dominum vitæ authorem, qui ex Patre procedit, qui una cum Patre & Filio adoratur, & glorificatur, qui locutus eſt per Prophetas; In unam ſanctam & Apoſtolicam Eccleſiam. Unum Baptiſma in remiſſionem peccatorum confiteor; mortuorum reſurrectionem, & futuri ſeculi vitam. Amen.

Τὸ ἅγιον σύμβολον.

Πιστεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συνπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Omnes ſic ſentimus, in hâc fidei confeſſione baptizati fuimus, per eam omnem hæreſim debilitatam & irritam reddit veritatis ſermo. Qui ſic ſentiunt, F Fratres & Patres & Cohæredes ſuperioris politiæ inſcribimus. Si quis autem aliam expoſitionem, præter hoc ſacrum Symbolum, quod deſuper ex beatis & ſanctis Patribus noſtris ad nos uſque deſcendit, perſcribere auſus fuerit, & fidei definitionem nominare, & divinorum illorum virorum confeſſionis dignitatem præripere, & propriis ſuis adinventis collectis illam tribuere, & tanquam commune documentum fidelibus illam proponere, vel iis etiam, qui ex hæreſi aliquâ reverſi ſunt, & ſpuriis verbis vel additionibus

Πάντες οὕτω φρονοῦμεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ τῆς πίστεως ἐβαπτίσθημεν, δι' αὐτῆς πᾶσαν αἵρεσιν θραυομένην τε καὶ λυομένην ὁ τῆς ἀληθείας λόγος ἀπέδειξε. τοὺς οὕτω φρονοῦντας ἀδελφοὺς καὶ πατέρας καὶ συγκλήρους τῆς ἄνω πολιτογραφίας ἐπιγραφόμεθα. εἰ δέ τις ἑτέραν ἔκθεσιν παρὰ τοῦτο δὴ τὸ ἱερὸν σύμβολον, τὸ ἄνωθεν ἐκ τῶν μακαρίων καὶ ἱερῶν πατέρων ἡμῶν μέχρις ἡμῶν διαφοιτῆσαν, τολμήσειεν ἀναγράψασθαι, καὶ ὅρον πίστεως ὀνομάσαι, συλῆσαί τε τὸ ἀξίωμα τῆς τῶν θεσπεσίων ἀνδρῶν ἐκείνων ὁμολογίας, καὶ ταῖς ἰδίαις εὑρεταῖς λογίαις τοῦτο περιάψαι, κοινόν τε μάθημα τοῦτο προθεῖναι πιστοῖς, ἢ καὶ τοῖς ἐξ αἱρέσεώς τινος ἐπιστρέφουσι, καὶ ῥήμασι νόθοις ἢ προσθήκαις ἢ ἀφαιρέσεσι

ἢ

τὴν ἀρχαιοτάτην τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου ὅρου κατακιβδηλεῦσαι ἀποθρασυνθείη, κατὰ τὴν ἤδη καὶ παρ' ἡμῶν ἐκφωνηθεῖσαν ψῆφον ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, εἰ μὲν τῶν ἱερωμένων εἴη τις, παντελεῖ καθαιρέσει τοῦτον καθυποβάλλομεν· εἰ δὲ τῶν λαϊκῶν, τῷ ἀναθέματι παραπέμπομεν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ παρὼν ἱερὸς σύλλογος ἐξεβόησε, πάντες οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἐβαπτίσθημέν τε καὶ τοῦ ἱερατικοῦ βαθμοῦ ἠξιώθημεν, τοὺς ἑτέρως παρὰ ταῦτα φρονοῦντας τῷ ἀναθέματι καθυποβάλλομεν.

Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων, καὶ Κοσμᾶς ὁ ἀποκρισιάριος Ἀλεξανδρείας, εἶπον, ἀνάθεμα τοῖς μὴ τοῦτο κοινὸν σύμβολον ἀνομολογοῦσι τῆς πίστεως.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν, εἰ συνδοκεῖ ὑμῖν, ὦ ἱερὸς καὶ ἅγιος σύλλογος, καθὼς καὶ κατάρχας ὁ ὑψηλὸς καὶ μέγας ἡμῶν βασιλεὺς ἐπένευσε δι' οἰκείας ὑπογραφῆς ἐπισφραγίσαι τε καὶ ἐπικυρῶσαι τὰ παρὰ τῆς συνόδου πραχθέντα καὶ ὁρισθέντα, νῦν ἐπιτελείσθω τοῦτο.

Οἱ ἁγιώτατοι μητροπολῖται εἶπον, οὐ μόνον συνδοκοῦμεν, ἀλλὰ καὶ δεόμεθα καὶ παρακαλοῦμεν τὴν ἁγίαν αὐτοῦ καὶ ὑψηλὴν βασιλείαν, ὅπως διὰ τῆς οἰκείας αὐτοῦ ὑπογραφῆς ἀποδέξηται καὶ ἐπισφραγίσῃ πάντα ἐν τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ τελεσθέντα.

Καὶ λαβὼν Βασίλειος ὁ φιλόχριστος βασιλεὺς οἰκείᾳ χειρὶ ὑπεσημήνατο.

Καὶ μετὰ τὴν ὑπογραφὴν ἐπηύξατο αὐτῷ τὸ συμπαρὸν ἱερὸν ἄθροισμα.

Καὶ μετὰ τὴν εὐχὴν ἡ ἁγία σύνοδος πάλιν εἶπε, δεόμεθα μὴ μόνον τὸν ὑψηλὸν καὶ μέγαν βασιλέα ἡμῶν δι' ὑπογραφῆς τὰ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ δόξαντα βεβαιῶσαι, ἀλλὰ καὶ τοὺς θεοστέπτους καὶ θεοφρουρήτους κλάδους αὐτοῦ, τοὺς μεγάλους καὶ ἁγίους βασιλεῖς ἡμῶν, καὶ δὲ καὶ τὸν πορφυρογέννητον Στέφανον τὸ πνευματικὸν τέκνον τῆς ἐκκλησίας ὁμοίως ὑποσημήνασθαι.

Βασίλειος ὁ φιλόχριστος βασιλεὺς εἶπε, κατὰ τὸ αἴτημα ὑμῶν γενέσθαι.

Καὶ λαβὼν Λέων ὑπέγραψεν, εἶτα Ἀλέξανδρος, οἱ βασιλεῖς, μετ' αὐτὸν Στέφανος ὁ εὐσεβέστατος ὑποδιάκονος καὶ πορφυρογέννητος.

Μετὰ οὖν τὸ ὑπογράψαι πάντας, λαβὼν Θεοφάνης ὁ θεοφιλέστατος διάκονος καὶ ἐπισκεπτίτης ἀνέγνω.

Ὑπογραφὴ τοῦ Βασιλέως.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, Βασίλειος αὐτοκράτωρ ἐν Χριστῷ, πιστὸς βασιλεὺς Ῥωμαίων, ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ κατὰ πάντα συμφωνῶν, ἐπὶ τῇ ἐπικυρώσει καὶ ἐπισφραγίσει τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, καὶ ἐπὶ τῇ ἐπικυρώσει καὶ ἐπιβεβαιώσει Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως καὶ πνευματικοῦ μου πατρὸς, καὶ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ λαληθέντων ἢ γραφέντων, ἰδιοχείρως ὑπέγραψα.

A aut ſubtractionibus ſanctæ illius & venerabilis definitionis antiquitatem adulterare audax tentaverit, juxta quod nunc & ante nos editum eſt à ſanctis & œcumenicis Synodis ſuffragium, ſi ſit quidem ſacratus aliquis, omnimodæ depoſitioni eum ſubjicimus; ſin autem ſit Laicus, anathemati ſubmittimus.

Et poſt lectionem hic ſacer conſeſſus exclamavit, Omnes ita ſentimus, ita credimus, in iſtâ confeſſione & baptizati & Sacerdotali gradu digni habiti fuimus; qui præter hæc aliter ſentiunt, anathemati ſubjicimus.

B

Elias religioſiſſimus Presbyter & Legatus Hieroſolymitanus; & Coſmas Apocriſiarius Alexandrinus, dixerunt, Anathema ſit iis, qui hoc commune fidei ſymbolum non confitentur.

Photius ſanctiſſimus Patriarcha dixit, Si vobis, ô Sacer & ſancte conſeſſus, videatur, ſicut & ab initio illuſtris & magnus Imperator noſter annuit per propriam ſubſcriptionem, quæ à Synodo acta vel decreta ſunt, ſtabilire & confirmare, id nunc fiat.

C Sanctiſſimi Metropolitani dixerunt, Non ſolùm nobis placet, ſed etiam rogamus & obſecramus ſanctum ejus & illuſtre imperium, ut per propriam ſuam ſubſcriptionem omnia, quæ in ſanctâ iſtâ & œcumenicâ Synodo acta fuerunt, approbet & confirmet.

Et accipiens Baſilius Chriſti amantiſſimus Imperator propriâ manu confirmavit.

Et poſt ſubſcriptionem illi vota nuncupavit iſte Sacer conſeſſus.

D

Et finitis precibus ſancta Synodus iterum dixit, Illuſtrem & magnum Imperatorem noſtrum non ſolùm precamur per propriam ſubſcriptionem, quæ huic ſanctæ Synodo videntur, confirmare; ſed etiam à Deo firmatos atque à Deo cuſtoditos ejus ramos, magnos & ſanctos Imperatores noſtros, porro & Porphyrogennetum Stephanum ſpiritualem Eccleſiæ filium, ſimiliter ſubſignare.

Baſilius Chriſti amantiſſimus Imperator dixit, Juxta
E petitionem veſtram fiat.

Et accipiens Leo ſubſcripſit, tum Alexander, Imperatores; poſt illum Stephanus religioſiſſimus Hypodiaconus & Porphyrogennetus.

Poſtquam igitur omnes ſubſcripſiſſent, accipiens Theophanes Deo amantiſſimus Diaconus & Epiſceptites, legit.

Subſcriptio Imperatoris.

F In nomine Patris & Filii & Spiritûs ſancti, Ego Baſilius, Imperator in Chriſto, fidelis Romanorum Rex, huic ſanctæ & œcumenicæ Synodo in omnibus conſentiens, ad confirmandam & ſtabiliendam ſanctam & œcumenicam ſeptimam Synodum, & ad confirmandum & ſtabiliendum Photium ſanctiſſimum Conſtantinopolitanum Patriarcham, & ſpiritualem meum Patrem, & ad abjicienda omnia quæcunque contra eum vel dicta vel ſcripta fuerunt, propriâ manu ſubſcripſi.

A

Subſcriptio Imperatoris filii.

In nomine Patris & Filii & Spiritûs ſancti, Ego Leo in Chriſto fidelis Romanorum Imperator, huic ſanctæ & œcumenicæ Synodo in omnibus conſentiens, & ad confirmandam & ſtabiliendam ſanctam & œcumenicam ſeptimam Synodum, & ad confirmandum & ſtabiliendum Photium ſanctiſſimum Patriarcham Conſtantinopolitanum, & ad abjicienda omnia quæ adverſus eum dicta vel ſcripta fuerunt, propriâ manu ſubſcripſi.

B

Subſcriptio Imperatoris filii.

In nomine Patris & Filii & Spiritûs ſancti, Ego Alexander fidelis Romanorum Imperator, eodem modo ac reliqui, propriâ manu ſubſcripſi.

Subſcriptio Imperatoris filii.

C

In nomine Patris & Filii & Spiritûs ſancti, Ego Stephanus Dei miſericordiâ Hypodiaconus & Porphyrogennetus in omnibus conſentiens, & ad confirmandam & ſtabiliendam ſanctam & œcumenicam vii. Synodum & ad confirmandum & ſtabiliendum Photium ſanctiſſimum Patriarcham Conſtantinopolitanum, & ad abjicienda ea, quæcunque contra eum aut ſcripta aut dicta fuêre, propriâ manu ſubſcripſi.

D

Et poſt lectionem, Daniel Deo amabilis Ancyræ Metropolitanus dixit, Conſervet Deus ſanctum veſtrum Imperium, conſervet Deus venerandam veſtram potentiam, ſanctam vitam veſtram multis diebus prolonget Deus, orthodoxæ fidei dogmata confirmâſtis, Eccleſiæ ſcandala è medio ſuſtuliſtis, & Dei Eccleſiæ pax per vos reſtituta eſt. Conſervet Deus ſanctum veſtrum Imperium.

E

Inſuper & hic conſeſſus exclamavit, Quandoquidem Dei Eccleſiam adunâſti, & omnia ſcandala ab eâ ejeceſti, ſubjiciat Deus omnes barbaras nationes potenti & magnæ manui tuæ, antiquos terminos Romanæ potentiæ reſtituat Deus noſter valido & pacifico tuo Imperio. Itaque opportunum eſt de te Davidicum illud dicere, *Quòd juſtitiam dilexiſti, & peccatum odio habuiſti, id propter præ ſociis tuis unxit te Deus, Deus tuus, exultationis oleo.* Etenim exultat omne Chriſtianum genus ob trophæa & res fortiter geſtas contra inimicos tuos: & Eccleſia ſuum ornatum hodiè perfectè conſecuta, celebrat & laudat & preces fundit pro potenti & magno & excelſo veſtro Imperio.

Et acclamârunt, Multos annos Imperatoribus; Baſilio, Leoni & Alexandro, magnis Regibus & Imperatoribus multos annos.

Eudociæ religioſiſſimæ Auguſtæ multos annos.

F

Stephano Porphyrogenneto & à Deo facto Syncello multos annos.

Photio & Joanni ſanctiſſimis Patriarchis multos annos.

Actio iv. menſe Martio xiii. Indictione xiii. die Dominica.

Præſidente Photio Domino noſtro in dextra

Ὑπογραφὴ τοῦ βασιλέως ὑοῦ.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ ὑοῦ καὶ τοῦ ἁγίου πνεύματος, Λέων ἐν Χριστῷ πιστὸς βασιλεὺς Ῥωμαίων, ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ κατὰ πάντα συμφωνῶν, ἐπί τε τῇ ἐπικυρώσει καὶ ἐπισφραγίσει τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ΄. συνόδου, καὶ ἐπὶ τῇ ἐπικυρώσει καὶ ἐπιβεβαιώσει Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, καὶ ἀποβολῇ πάντων τῶν κατ᾽ αὐτοῦ λαληθέντων ἢ γραφέντων, ἰδιοχείρως ὑπέγραψα.

Ὑπογραφὴ τοῦ βασιλέως ὑοῦ.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, Ἀλέξανδρος πιστὸς βασιλεὺς Ῥωμαίων, ὁμοίως τοῖς ἑτέροις, ὑπέγραψα ἰδιοχείρως.

Ὑπογραφὴ τοῦ βαπλέως ὑοῦ.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, Στέφανος ἐλέῳ θεοῦ ὑποδιάκονος καὶ Πορφυρογέννητος κατὰ πάντα συμφωνῶν, ἐπί τε τῇ ἐπικυρώσει καὶ ἐπισφραγίσει τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ΄. συνόδου, καὶ ἐπὶ τῇ ἐπικυρώσει καὶ ἐπιβεβαιώσει Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, καὶ ἀποβολῇ πάντων τῶν κατ᾽ αὐτοῦ γραφέντων ἢ λαληθέντων, ἰδιοχείρως ὑπέγραψα.

Καὶ μετὰ τὴν ἀνάγνωσιν, Δανιὴλ ὁ θεοφιλέστατος μητροπολίτης Ἀγκύρας ἔφη, ὁ θεὸς φυλάξοι τὴν ἁγίαν βασιλείαν ὑμῶν, ὁ θεὸς φυλάξοι τὸ κράτος τὸ εὐσεβὲς ὑμῶν, μακροημερεύσοι ὁ θεὸς τὴν ἁγίαν ζωὴν ὑμῶν, ἐκρατύνατε τῆς ὀρθοδοξίας τὰ δόγματα, τὰ σκάνδαλα τῆς ἐκκλησίας ἐκ μέσου ἐποιήσατε, καὶ εἰρήνη τῇ ἐκκλησίᾳ τοῦ θεοῦ δι᾽ ὑμῶν ἐβραβεύθη. ὁ θεὸς φυλάξοι τὴν ἁγίαν βασιλείαν ὑμῶν.

Ἔτι δὲ ὁ πατέρων σύλλογος ἐξεβόησεν, ὡς ἥνωσας τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ πάντα τὰ σκάνδαλα ἐξέωσας ἐξ αὐτῆς, ὑποτάξοι ὁ θεὸς πάντα τὰ βάρβαρα ἔθνη ὑπὸ τὴν κραταιὰν καὶ μεγάλην χεῖρά σου, ἀποδώσοι κύριος ὁ θεὸς ἡμῶν τὰ ἀρχαῖα ὅρια τῆς Ῥωμαϊκῆς ἐξουσίας τῇ σῇ κραταιᾷ καὶ εἰρηνοποιῷ βασιλείᾳ. οὕτως εὔκαιρον εἰπεῖν τὸ Δαυϊδικὸν καὶ ἐπὶ σοί, ὅτι ἀγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ γὰρ ἅπαν τὸ Χριστιανικὸν ἀγαλλιᾶται φῦλον ἐπὶ τοῖς κατ᾽ ἐχθρῶν σου τροπαίοις καὶ ἀνδραγαθήμασι· καὶ ἡ ἐκκλησία σήμερον τὸν οἰκεῖον ἀπολαβοῦσα τελείως κόσμον, εὐφημεῖ καὶ δοξάζει καὶ ὑπερεύχεται τῆς κραταιᾶς καὶ μεγάλης καὶ ὑψηλῆς βασιλείας ὑμῶν.

Καὶ ἐπευφήμησαν, πολλὰ τὰ ἔτη τῶν βασιλέων, Βασιλείου, Λέοντος καὶ Ἀλεξάνδρου, μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη.

Εὐδοκίας τῆς εὐσεβεστάτης Αὐγούστης πολλὰ τὰ ἔτη.

Στεφάνου τοῦ πορφυρογεννήτου καὶ θεοπροβλήτου συγκέλλου πολλὰ τὰ ἔτη.

Φωτίου καὶ Ἰωάννου τῶν ἁγιωτάτων πατριαρχῶν πολλὰ τὰ ἔτη.

Πρᾶξις δ΄. μηνὶ Μαρτίου ιγ΄. ἰνδικτιῶνος ιγ΄. ἡμέρᾳ κυριακῇ.

Προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου ἐν τῷ δεξιῷ μέρει τῶν κατηχουμενείων τῆς μεγάλης ἐκκλησίας, καὶ συγκαθεσθέντων αὐτοῦ Παύλου καὶ Εὐγενίου τῶν ἁγιωτάτων ἐπισκόπων, καὶ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ καρδιναλίου, τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῶν τῆς ἀνατολῆς τοποτηρητῶν, ἅμα τοῖς θεοφιλεστάτοις μητροπολίταις καὶ ἐπισκόποις.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε, τῆς παλαιᾶς ἔριδος καὶ φιλονεικίας, λέγω, τῆς σχισματικῆς πλάνης, ἐκ ποδῶν γενομένης, πρῶτα μὲν θεοῦ νεύσει καὶ φιλανθρωπίᾳ, ἔπειτα σπουδῇ καὶ ἀγῶνι τοῦ ὑψηλοῦ καὶ μεγάλου βασιλέως ἡμῶν, συνεργίᾳ τε καὶ ἐπικουρίᾳ τοῦ ἁγιωτάτου πάπα τοῦ πνευματικοῦ ἡμῶν ἀδελφοῦ καὶ πατρὸς Ἰωάννου, καὶ τῶν λοιπῶν ἀρχιερατικῶν θρόνων· εἰρήνης δὲ βαθείας, ὡς ὁρᾶτε πάντες, ταῖς ἁπανταχόθι τοῦ θεοῦ ἐκκλησίαις βραβευθείσης, χαρᾶς δὲ ἀγαλλιάσεως τῷ τῆς ἐκκλησίας ἐμπλατυνομένης πληρώματι, εὔκαιρόν ἐστιν, ὡς οἶμαι, καὶ τὸν χθὲς ἐκπεφωνημένον ὅρον παρὰ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς [συνόδου] τὰς συνοδικὰς ἐπικυροῦσι πράξεις, εἰς μέσον προαχθῆναι, καὶ εἰς τὰς ἁπάντων ἀκοὰς ἀναγνωσθῆναι, ἵνα ὅσης χαρᾶς καὶ θυμηδίας οἱ παρόντες καὶ ἀκηκοότες τῇ προλαβούσῃ ἡμέρᾳ ἐπλήσθησαν, καὶ οἱ τότε μὲν μὴ παρόντες, νῦν δὲ συνόντες ἐν ἀπολαύσει γένωνται.

Η ἁγία σύνοδος εἶπε, δίκαιόν ἐστι καὶ δὶ αὐτοὺς ἀπολειφθέντας ἀδελφοὺς ἡμῶν ἀκροατὰς τούτων γενέσθαι, ἵνα καὶ τῆς εὐφροσύνης κοινωνοὶ γένωνται.

Καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος τὸν ἐκφωνηθέντα ὅρον παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ταύτης συνόδου ἀνέγνω, καθὼς καὶ πρότερον ἐν τῇ τρίτῃ πράξει.

Καὶ μετὰ τὴν ἀνάγνωσιν, ἡ ἁγία σύνοδος ἐβόησεν, οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ τῆς πίστεως κραταιούμεθα· τοὺς οὕτω φρονοῦντας, διδασκάλους καὶ πατέρας ἀνακηρύττομεν· τοὺς παρὰ ταῦτά τι φρονοῦντας, ὡς ἐχθροὺς θεοῦ καὶ τῆς ἀληθείας ἡγούμεθα.

Εἴτις παρὰ τοῦτο τὸ ἱερὸν σύμβολον τολμήσειε ἕτερον ἀναγράψασθαι, ἢ προσθῆναι, ἢ ὑφελεῖν, καὶ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, κατάκριτος καὶ πάσης Χριστιανικῆς ὁμολογίας ἀπόβλητος. τὸ γὰρ ἀφαιρεῖν ἢ προστιθέναι, ἀτελῆ τὴν εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα μέχρι σήμερον ἀνέκαθεν κατιοῦσαν ὁμολογίαν ἡμῶν δείκνυσι, καὶ τῆς τε ἀποστολικῆς παραδόσεως καὶ τῆς τῶν πατέρων διδασκαλίας καταγινώσκει. εἴτις τοίνυν εἰς τοῦτο ἀπονοίας ἐλάσαι τολμήσειε, ὡς ἀνωτέρω λέλεκται, καὶ ἕτερον ἐκθέσθαι σύμβολον καὶ ὅρον ὀνομάσαι, ἢ προσθήκην ἢ ὑφαίρεσιν ἐν τῷ παραδεδομένῳ ἡμῖν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Νικαίᾳ πρῶτον μεγάλης συνόδου ποιῆσαι, ἀνάθεμα ἔστω.

Εν τούτοις ἔληξε καὶ τὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ὀγδόης συνόδου πεπραγμένα καὶ ὁρισμένα, εἰς καταρτισμὸν μὲν τῆς ὀρθοδόξου πίστεως, καὶ ἀμωμήτου τῶν Χριστιανῶν καὶ τῆς ἐκκλησίας σταθερὰν εἰρήνην καὶ ὁμόνοιαν, δόξαν δὲ καὶ ἔπαινον τοῦ φιλανθρώπου καὶ εἰρηνοποιοῦ θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩ ΑΓΙΩ.

A Catechumeniorum magnæ Eccleſiæ parte, & conſidentibus ipſi Paulo & Eugenio ſanctiſſimis Epiſcopis, & Petro religioſiſſimo Presbytero & Cardinale, veteris Romæ Legatis, & orientalibus Legatis, unà cum Deo amabilibus Metropolitanis & Epiſcopis.

Photius ſanctiſſimus Patriarcha dixit, Veteri contentione & altercatione, ſchiſmatico nempe errore, prorſus amotâ; primò quidem Dei nutu & erga homines benevolentiâ, deinde ſtudio & conatu illuſtris & B magni noſtri Imperatoris, adjumento item & auxilio ſanctiſſimi Papæ ſpiritualis noſtri Fratris & Patris Joannis, & reliquarum Patriarchalium Sedium: Perfectâ autem pace, ut videtis omnes, cunctis Dei ubique Eccleſiis reſtitutâ, gaudio vero & lætitiâ Eccleſiæ plenitudini dilatatâ; æquum eſt, uti credo, ut definitio quæ à ſanctâ hâc & œcumenicâ Synodo heri edita fuit ad Synodicas Actiones confirmandas in medium proferatur, & omnium auditu legatur, ut quanto gaudio & animi lætitiâ qui die præterito adfuerunt & audiverunt impleti ſunt, & qui tunc non adfuerunt, nunc verò præſentes ſunt, fruantur. C

Sancta Synodus dixit, Æquum eſt abſentes fratres noſtros per ſeipſos hæc audire, ut etiam lætitiæ participes ſint.

Et accipiens Petrus Deo amabilis Diaconus & Protonotarius definitionem à ſanctâ & œcumenicâ hâc Synodo editam legit, ut antea in tertiâ Actione.

Et poſt lectionem, ſancta Synodus exclamavit; D Sic ſentimus, ſic credimus, in hac fidei confeſſione confirmamur. Qui ſic ſentiunt, Doctores & Patres prædicamus: qui verò præter hæc aliud ſentiunt, tanquam Dei & veritatis inimicos judicamus.

Siquis præter hoc ſacrum Symbolum aliud edere auſus fuerit, vel addere, aut auferre, & definitionem nominare audax præſumpſerit, condemnandus eſt, & omni Chriſtianâ confeſſione abjiciendus. Ablatio enim vel additio imperfectam eſſe noſtram in hunc uſque diem deſuper deſcendentem in ſanctam & conſubſtantialem Trinitatem oſtendit confeſſionem, & Apoſtolicam E traditionem, & Patrum diſciplinam condemnat. Siquis igitur in hanc dementiam pervenire auſus fuerit, ut ſuperiùs dictum eſt, & aliud Symbolum edere & definitionem nominare, vel additionem aut ablationem in iſtâ, quæ à ſanctâ & œcumenicâ Nicææ primùm magnâ Synodo nobis tradita fuit, facere, ſit anathema.

In his finem habuerunt quæ à ſanctâ & œcumenicâ octavâ Synodo acta ſunt & decreta, ad orthodoxam quidem fidem inſtaurandam & irreprehenſibilis Chriſtianorum Eccleſiæ pacem & concordiam ſtabiliendam; ad gloriam verò & laudem benigni & F pacifici noſtri Dei, cui convenit omnis gloria, & adoratio, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

SANCTO DEO PROPITIO FINIS.

A

EPISTOLA
SANCTI JOANNIS
PAPÆ ROMANI
AD SANCTISSIMUM PHOTIUM
Archiepiſcopum Conſtantinopolitanum.

B

Joannes Epiſcopus, ſervus ſervorum Dei, Photio reverendiſſimo & Catholico Fratri Patriarchæ Conſtantinopolitano gratiam deſuper ad opera ſalutaria.

NON ignoramus nos, quòd nonnulli eorum, qui apud vos ſunt pacis minùs ſtudioſi, de noſtrâ Eccleſiâ, & ipſi, veritate neglectâ, mala quædam loquuntur, & res eo progreſſa eſt, ut parum abſit, quin tua fraternitas de nobis & iis, qui nobis ſunt ſubditi, non benè ſentias. Et illi quidem nacti ſunt occaſionem, prout ipſe ego affirmaverim, huic propoſito minimè fictitiam, uti etiam præcedens ſermo manifeſtum faciet, & Deus deſuper nobis teſtimonio confirmabit. Verùm inſtar eorum, qui vinum aquâ adulterantur, quædam etiam miſcent à ſeipſis falſa fingentes. Et nil mirum; Oportet enim, qui ab initio mali opifex fuit, & contra Deum inimicitias ſtatuit, ac deinde noſtrum primum parentem à creatoris amore ſeparavit, etiam nunc habere aliquos ſui miniſtros, & hos ipſos impellere, ut inter Eccleſias ſcandalum concitent. Ego verò ad Chriſtum veritatis authorem oculos dirigens, qui inimicitias carni ſuæ abſtulit, illorum hominum, qui malis gaudent, ora obſtruere pro viribus contendam. Et hâc de cauſâ etiam antequam fraternitas tua mihi aliquid ſignificet, de his te certiorem facere ipſe decrevi; ut de rebus noſtris ſatis edoctus, aures iis, qui convitiari ſtudent, ne præbeas; ſed illos potiùs rejicias, &, ut alii eorum verba minùs audiant, efficias. Novit etiam tua fraternitas, quòd quando ad nos acceſſit qui nuper ab eâ miſſus eſt, de ſancto Symbolo nos conſuluit, & invenit nos inviolatum, ſicut ab initio nobis traditum eſt, illud conſervare, neque aliquid addidiſſe, vel detraxiſſe; cùm rectè novimus, quòd eos, qui talia facere audent, gravis condemnatio expectat. Et reverentiæ tuæ iterum ſignificamus, ut de articulo illo, ex quo orta ſunt ſcandala inter Dei Eccleſias, fiduciam in nobis reponas, quòd non ſolùm hoc non dicimus, ſed etiam quòd eos, qui inſaniâ ſuâ principio hoc facere auſi ſunt, ut divini verbi tranſgreſſores condemnamus, & Theologiæ Chriſti Domini everſores, & Apoſtolorum, & reliquorum Patrum, qui Synodicè convenientes ſanctum Symbolum tradiderunt, & unà cum Juda illos collocamus, quòd eadem, quæ ille, patrare auſi ſunt; non quòd Dominicum corpus morti tradiderunt, ſed quia Dei fideles, qui ſunt quaſi membra ejus corporis, Schiſmate diviſerunt & ab invicem ſeparârunt; & ita æternæ morti illos præcipites dantes, & multo magis ſeipſos, ut fecit prædictus indignus diſcipulus, ſuffocantes. Arbitramur autem ſanctitatem tuam non ignorare cùm ſit cordata & ſapientia repleta, quòd, reliquis Epiſcopis noſtris perſuadere ita ſentire, non mediocrem nobis moleſtiam affert, quoniam rem adeo gravem

ΕΠΙΣΤΟΛΗ ΤΟΥ
ΜΑΚΑΡΙΟΥ ΙΩΑΝΝΟΥ
ΠΑΠΑ ΡΩΜΗΣ
ΠΡΟΣ ΤΟΝ ΑΓΙΩΤΑΤΟΝ ΦΩΤΙΟΝ
ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως.

Ἰωάννης ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ θεοῦ, Φωτίῳ τῷ αἰδεσίμῳ καὶ καθολικῷ ἀδελφῷ πατριάρχῃ Κωνσταντινουπόλεως χαίρειν ἄνωθεν πρὸς ἔργα σωτηριώδη.

ΟΥΚ ἀγνοεῖν συμβαίνει ἡμᾶς, ὥς τινες τῶν αὐτόθι οὐκ εἰρήνης ἄνθρωποι περὶ τῆς ἐνταῦθα ἐκκλησίας, καὶ αὐτοὶ, οὐ πρὸς ἀλήθειαν ὁρῶντες, κακά τινα λέγουσι, καὶ τοσοῦτον, ὅτι καὶ τὴν σὴν ἀδελφότητα μικροῦ δεῖν, οὐκ ἀγαθὰς C ὑπολήψεις ἔχειν εἰς ἡμᾶς καὶ τοὺς ὑφ' ἡμᾶς παραπείθουσι. καὶ ἔστι τούτοις ἡ μὲν ἀφορμὴ τοῦ σκοποῦ τούτου οὐ ψευδὴς, καὶ αὐτὸς εἴποιμι ἂν ἐγὼ, ὡς καὶ ὁ λόγος προϊὼν παραστήσει, καὶ ὁ θεὸς ἄνωθεν ἡμῖν ἐπιμαρτυρήσει. ἀλλὰ κατὰ τοὺς τὸν οἶνον καπηλεύοντας ὕδατι, παραμιγνύουσι καί τινα ἀφ' ἑαυτῶν ψευδοπληρήσαντες. καὶ θαυμαστὸν οὐδέν· δεῖ γὰρ τὸν ἀπ' ἀρχῆς δημιουργὸν τῆς κακίας, καὶ πρὸς τὸν θεὸν στήσαντα ἔχθραν, εἶτα καὶ τὸν ἡμῶν προπάτορα τῆς τοῦ κτίσαντος ἀγάπης χωρίσαντα, καὶ νῦν τινας ἔχειν πρὸς ὑπηρεσίαν αὐτοῦ, καὶ διεγείρειν τοὺς τοιούτους, ὅπως ἐκβάλωσι μέσον τῆς ἐκκλησίας σκάνδαλον. ἀλλ' ἐγὼ πρὸς τὸν τὴν εἰρήνην D δόντα Χριστὸν ἀφορῶν, ὃς καὶ τὴν ἔχθραν τῇ σαρκὶ αὐτοῦ ἔκτεινεν, ὡς ἔχω δυνατὸν σπουδάσω τὰ στόματα τῶν χαιρεκάκων ἀνδρῶν ἀποφράττειν. καὶ διὰ τοῦτο καὶ πρὸ τοῦ ὅλως τὴν σὴν ἀδελφότητα δηλῶσαι μοί τι, προφθάνω αὐτὸς περὶ τῶν τοιούτων γνωρίζων σοι, ἵν' εἰδὼς ὅπως ἔχει τὰ καθ' ἡμᾶς, μὴ παρέχεις ὦτα τοῖς θέλουσι λοιδορεῖν, ἀλλὰ μᾶλλον ἀποσοβεῖν αὐτοὺς, καὶ τοὺς ἄλλους ποιεῖς μὴ ἀκούειν τοὺς λόγους αὐτῶν. καὶ γὰρ ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅτε παρεγένετο πρὸς ἡμᾶς ὁ μικρῷ πρόσθεν ἀποσταλεὶς παρ' αὐτῆς, περὶ τοῦ ἁγίου συμβόλου ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαράτρωτον, καθὼς ἀρχῆθεν παρεδόθη E ἡμῖν, διατηροῦντας, καὶ μήτε προστιθέντας τι ἢ ἀφαιροῦντας, ἀκριβῶς εἰδότας, ὡς τοῖς τὰ τοιαῦτα τολμῶσι, βαρεῖα καταδίκη ἀναμένουσα ἀπόκειται. καὶ πάλιν οὖν παραδηλοῦμεν τῇ αἰδεσιμότητί σου, ἵνα περὶ τοῦ ἄρθρου τούτου, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἔχεις πληροφορίαν εἰς ἡμᾶς, ὅτι οὐ μόνον οὐ λέγομεν τοῦτο, ἀλλὰ καὶ τοὺς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τοῦτο ποιῆσαι παραβάτας τῶν θείων λόγων κρίνομεν, καὶ μεταποιητὰς τῆς θεολογίας τοῦ δεσπότου Χριστοῦ, καὶ τῶν ἀποστόλων, καὶ τῶν λοιπῶν πατέρων, οἱ συνελθόντες συνοδικῶς παρέδωκαν τὸ ἅγιον σύμβολον, καὶ μετὰ F τοῦ Ἰούδα αὐτοὺς τάττομεν, ὅτι καὶ ταυτὸν ἐκείνῳ τετολμήκασιν, οὐ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα, ἀλλὰ τοὺς πιστοὺς, οἵ εἰσιν ὡς μέλη τοῦ σώματος αὐτοῦ, διασχίσαντες καὶ διατεμόντες ἀλλήλων, καὶ οὕτως αἰωνίῳ παραπέμψαντας θανάτῳ, καὶ μᾶλλον ἑαυτοὺς, ὡς ἐποίησεν ὁ ῥηθεὶς οὐκ ὀρθὸς μαθητὴς, ἀποπνίξαντες. οἰόμεθα δὲ μηδὲ τὴν σὴν ἱερότητα ἀγνοεῖν, ὡς ἔστιν νουνεχής τε καὶ πλήρη σοφίας, ὅτι τὸ καὶ τοὺς λοιποὺς ἡμῶν ἐπισκόπους καταπεῖσαι οὕτω φρονεῖν, εἰς δυσχέρειαν ἡμῖν οὐ μικρὰν ἐμπίπτει· ὅτι πρᾶγμά τι θεόπερον οὕτω ταχέως μεταλαβεῖν οὐδεὶς ἂν δυσκόλως δυνηθείη, καὶ βραχεῖ χρόνῳ τὴν ἔναρξιν εἴληφε, καὶ οὐκ ἔστι παγιωθὲν ἐκ πολλῶν ἐνιαυτῶν. καὶ διὰ ταῦτα καλῶς ἔχειν ἔδοξεν ἡμῖν, ἵνα μὴ μετὰ βίας ἀναγκασθῇ τις παρ' ἡμῖν ἐάσαι τὴν προσθήκην, ἣν ἔφθασεν ἐν τῷ συμβόλῳ προσθῆναι, ἀλλὰ μᾶλλον μετ' ἐπιεικείας καὶ οἰκονομίας παρασκεύασον τούτους, κατὰ βραχὺ παραινοῦνται ἀποστῆναι τῆς βλασφημίας. ποιμαίνετε γὰρ τὸ ἐν ὑμῖν ποίμνιον, οὐκ ἀναγκαστῶς, ἀλλ' ἐπιεικῶς, οὐδ' ὡς κατακυριεύοντες τοῦ κλήρου, ἀλλ' ὡς τύποι γινόμενοι, ὁ ἄκρος τῶν ἀποστόλων Πέτρος ἔφη. οἱ τοίνυν οὕτως ἡμῶν κατηγοροῦντες, ὡς τοῦτο φρονούντων, οὐκ ἀληθείᾳ πρὸς τὴν κατηγορίαν ταύτην κέχρηνται. ὅσοι δὲ περὶ μὲν τῆς ἐμῆς γνώμης τοῦτο οὐκ ἀμφιβάλλουσιν, ἄλλοις δέ τισι τετολμημένον καὶ νῦν καθ' ἡμᾶς καταγγέλλουσιν, οἱ τοιοῦτοι οὐ ψευδῶς λέγουσι. τῇ σῇ τοίνυν ἀδελφότητι ἁρμόζει, μηδέν τι ἔχειν καθ' ἡμῶν σκάνδαλον, μηδὲ ἐκκόπτειν τοῦ λοιποῦ τῆς ἐκκλησίας ἡμῶν σώματος, ἀλλὰ μᾶλλον συναγωνίζεσθαι ἡμῖν μετ' οἰκονομίας καὶ ἐπιεικείας καὶ τοὺς λοιποὺς, ὅσοι τῆς ἀληθείας ἐξέκλιναν, πρὸς αὐτὴν ἐπαναγαγεῖν, ἵνα δὴ καὶ τὸν ὑπὲρ τούτου μισθὸν σὺν ἡμῖν ἡ αὐτὴ ἀπολήψεται. ἔρρωσο ἐν κυρίῳ αἰδεσιμώτατε καὶ καθολικὲ ἀδελφέ.

Τέλος τῶν πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς ὀγδόης
συνόδου τῆς ἐν Κωνσταντινουπόλει, ἣ ὡς α΄. καὶ β΄.
γέγονεν αὕτη μετὰ τὴν ζ΄. ἔτη οε΄.

A tam citò commutare nemo facilè posset, licèt brevi tempore ortum habuerit, nec per multos annos confirmata fuerit. Et hâc de causâ rationi congruum nobis visum est, ne violenter aliquis cogatur à nobis additionem illam omittere, quam Symbolo adjectam noverit; sed potiùs mansuetudine & prudentia parare illos, paulatim admonentes, ut à blasphemiâ recedant. *Pascite*, Apostolorum summus inquit Petrus, *qui in vobis est, gregem, non coactè, sed spontaneè; neque ut dominantes in Clerum, sed tanquam exemplaria facti.* Qui igitur nos ita accusant, ac si tale B quid sentiamus, non jure talem instituunt accusationem. Quicunque verò de nostrâ sententiâ hoc non dubitant, & aliis nonnullis etiam, qui nunc apud nos sunt, audacter commissum annunciant, ii non falsò dicunt. Tuam itaque decet fraternitatem, neque scandalum aliquod adversus nos pati, neque à reliquo Ecclesiæ nostræ corpore abscindere; sed potiùs nobiscum cum prudentiâ & mansuetudine agones sustinere, & alios, qui à veritate declinârunt, ad illam revocare, ut hujus quidem mercedem nobiscum etiam ipsa recipiat. Vale in Domino reverendissime & Catholice C Frater.

Finis Actionum sanctæ & œcumenicæ octavæ Synodi,
Constantinopoli celebratæ, quæ ut i. & ii. habita fuit post vii. annos lxxv.

UMI

INDEX ACCURATUS
OMNIUM RERUM
ET
VERBORUM NOTATU DIGNIORUM
Quæ in utroque Tomo continentur.

Literæ t. 1. *indicant Tomum primum.* t. 2. *tomum ſecundum : in quo litera minuſcula* c. *Canonicas Epiſtolas*, b. *Blaſtaris Syntagma* : p. *Synodum*, *quæ Photium reſtituit.* *Literæ majuſculæ locum in paginâ denotant.*

A

AARON in excuſationem adductus. t.2.c.44. D
Abdicare quid. t.2. c 27. A
De Abortionem cientibus medicamentis. t.1. 265. C
Abramius peccator. t.2. p. 280. F
In Abſceſſu quid. t.2. c. 4. F t. 2. b. 34. A
De Abſentia Clericorum à ſuis Eccleſiis. t. 1.250. B C
De Abſtinentiâ à carnibus & aliis. t. 1. 34. A
De Abſtinentia à fœminis. t. 1. 516. E
Sub Abundantio Synodus. t. 1. 561. D
Abuſus eorum quæ fecit Deus noxius eſt. t. 1. 34. D
Accumbo idem eſt quod ἀναπίπτω. t.1. 244. E. t.2. b. 18. B
Accubitus quid. t. 1 244. B
Accubitus ſterni in dominicis locis, vel Eccleſiis prohibetur. t. 1. 243. F
Accuſare non debent ſervi & liberti, & omnes infames perſonæ. t. 1. 663. F
Ad Accuſationem non admittendi qui communione moti ſunt. t. 1. 663. B
Accuſationem Epiſcopi ſeu Clerici primùm quidem apud Metropolitanum agitari : Si autem, &c. t. 1. 92. B
De accuſatione Epiſcoporum. t. 1. 543. E. 93. A
De accuſatione Epiſcoporum, & Clericorum. t. 1. 138. A t. 2. b. 154. A.
De accuſatione Presbyterorum & Diaconorum. t. 1. 546. A
Accuſator teſtes domeſticos non poteſt producere. t.1.666. D
Accuſator ante condemnationem habeat proprium honorem inconcuſſum. t.1. 544. B
Quos Accuſator vocare nequit in teſtimonium. t.1.666. E
Accuſatoris domeſtici teſtes qui dicantur. t. 1. 666. D
Ut qui accuſatur, vel accuſat, ſi in loco, &c. locum ſibi proximum eligat. t.1. 555. E
Acephali qui dicantur. t. 2. b. 11. E
Acerbitas eſt animi perturbatio. t.1. 64. D
De Achar. t. 2. c. 28. B. lapidibus obruto. *ibid.* D
Achilles, ludi genus. t.1.218. E
Omnis Actio venerabili domo competens quadraginta annos non excedit. t. 1. 134. B 652. E
Actio cujus metus cauſa eſt libera, & licet ei adverſus quem agitur, &c. t. 2. c. 33. C
ΤΑΣ τῶν ἀκουσίων φόνων. Scholiaſtes Harmenopuli, Ἐπὶ τοῦ πατριάρχου Λουκᾶ στρατιώτῃ τινὶ, φόνον ἑκούσιον πεποιηκότι, ἐπίσκοπός τις ἐπὶ μετρίῳ πάνυ καιρῷ ἐγγράφως τὴν ἀθώωσιν δέδωκε. Καὶ ἐγκαλούμενος παρὰ τῇ συνόδῳ τὸν κανόνα προέτεινεν, ὃς τοῖς ἐπισκόποις ἐπιτρέπει τὴν ἐξουσίαν ἢ ἀνεῖναι ἢ ἐπιτεῖναι τοῖς μετανοοῦσι τὰ ἐπιτίμια· Ἀλλ' ἤκουσεν, ὅτι τοῖς ἀρχιερεῦσιν ἐδόθη μὲν τοῦτο, οὐ μὴν ἀνεξετάστῳ καὶ ὑπερβαλλούσῃ χρῆσθαι συγκαταβάσει· ὅθεν τὸν μὲν στρατιώτην ἡ σύνοδος τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις καθυπέβαλε, τὸν δὲ Ἀρχιερέα δίκας ἀπῄτησε τὴν ἐν ὡρισμένῳ καιρῷ τῆς λειτουργίας ἐπίσχεσιν. *Sub Lucâ Patriarchâ militi cuidam, qui cædem voluntariam commiſerat, Epiſcopus quidam intra perexiguum tempus abſolutionem per ſcripturam conceſſerat; & cùm accuſaretur apud Synodum, canonem prætendebat, qui pœnitentiam agentibus pœnas vel remittendi vel augendi poteſtatem dat Epiſcopis. Sed ei reſponſum fuit, conceſſum id quidem Pontificibus, non tamen ut citra explorationem & nimiâ commiſeratione uterentur. Quare militem Synodus canonicis pœnis ſubjecit, & Pontificem quoque multavit, ad certum tempus à miniſterio abſtinere juſſum.* Harmen. epit. can. ſect. 5. tit. 3.

IN CAN. LVII.

Ο ἀκουσίως φονεύσας. Scholiaſtes Harmenopuli, Τοὺς φονεῖς ὁ Νηστευτὴς, τοὺς μὲν ἑκουσίους, ἐπὶ πεντηκονταετίαν καταδικάζει· τοὺς δὲ ἀκουσίους ἐπὶ τριετίαν. *Homicidas Jejunator, voluntarios quidem in quinquagennium condemnat: non voluntarios autem ad triennium.* Harm. ep. can. ſ. 5. t. 3.

IN CAN. LVIII.

Ο μοιχεύσας ἐν ιε'. ἔτεσιν. Harmenopuli epitome hujus canonis his verbis concipitur, Ὁ μοιχεύσας πεντεκαιδεκαετίαν· τέσσαρα μὲν ἔτη προσκλαίων· πέντε δὲ ἀκροώμενος· τέσσαρα ὑποπίπτων· καὶ ἑνὶ συνεστώς. *Qui adulterium commiſit, quindecim annis: quatuor quidem annis plorans; quinque verò audiens; quatuor ſuccumbens; & uno conſiſtens.* In quam epitomen hoc habetur Scholium,

Προσκλαίων· ἤγουν ἔξω τῆς ἐκκλησίας ἱστάμενος, καὶ τῶν εἰσιόντων δεόμενος ὑπὲρ αὐτοῦ εὔχεσθαι.

Ἀκροώμενος· ἤγουν ἔξω ἱστάμενος ἐν τῷ νάρθηκι.

Ὑποπίπτων· ἤγουν ἐντὸς τῆς ἐκκλησίας ἱστάμενος, ὄπισθεν τοῦ ἄμβωνος, καὶ ἐξερχόμενος μετὰ τῶν κατηχουμένων.

Συνεστώς· ἤγουν τοῖς πιστοῖς συνευχόμενος, τῶν ἁγιασμάτων μήπω ἀξιούμενος, εἰ μὴ μετὰ τοῦτο.

Plorans: *hoc eſt, ſtans extra Eccleſiam, & ingredientes orans, ut pro ſe preces fundant.*

Audiens: *hoc eſt, ſtans foras in Narthece.*

Succumbens: *hoc eſt, ſtans intra Eccleſiam poſt ambonem, & cum Catechumenis exiens.*

Conſiſtens: *hoc eſt, cum fidelibus orans, ad Sacramenta nondum admiſſus, niſi poſt hoc.* Harm. ep. can. ſect. 5. t. 3.

IN CAN. LXI.

Ο πόρνος ἐν ἑπτά. Scholiaſtes Harmenopuli, Τὸν πόρνον ὁ Νηστευτὴς ἐπὶ διετίαν καταδικάζει, εἰ μόνον μέχρις ἑσπέρας καθ' ἑκάστην νηστεύει, καὶ ξηροφαγεῖ, καὶ μετανοίας ποιεῖ σν'. τὸν δὲ μοιχὸν ἐπὶ τριετίαν, εἰ μόνον νηστεύει, καὶ ξηροφαγεῖ, καὶ μετανοίας ποιεῖ σν'. *Scortatorem Jejunator ad biennium condemnat, ſi duntaxat uſque ad veſperam quotidiè jejunet, & ſiccis veſcatur, & pœnitentias* CCL. *peragat.* Harm. ep. can. ſ. 5. t. 3.

IN CAN. LXI.

Ο κλέψας. Conſtantini Harmenopuli epitome hujus canonis, Ὁ κλέψας καὶ ὁμολογήσας ἐνιαυτὸν κωλυθήσεται, ἐλεγχθεὶς δὲ δύο. *Qui furtum fecerit, & confeſſus fuerit, anno arcebitur: convictus autem, biennio.* Scholium, τὸν τοιοῦτον ὁ Νηστευτὴς ἐπὶ μ'. ἡμέρας καταδικάζει· τὸν δὲ ἐλεγχθέντα, ἐπὶ μῆνας ἕξ, ξηροφαγοῦντα, καὶ μετανοίας ρ'. ἑκάστης ἡμέρας ποιοῦντα. *Talem Jejunator ad 40. dies condemnat: convictum verò ad ſex menſes, quibus veſci debeat ſiccis, & pœnitentias.* C. *quotidie peragere.* Harm. ep. can. ſ. 5. t. 3.

IN CAN. LXIII.

ΚΑτὰ τοὺς μοιχούς. Hoc Scholium in præſentem canonem, Theodoro Balſamoni hîc attributum, in codice Amerbachiano Joanni Zonaræ totum adſcribitur.

In Can. LXIV.

Ἐπίορκος. Scholiaſtes Harmenopuli, τοῦτον ὁ Νηστευτὴς ἐπὶ ἔτος ἓν ξηροφαγοῦντα, καὶ νηστεύοντα μέχρις ἑσπέρας, καὶ μετανοίας ποιοῦντα σν΄. *Hunc jejunator ad annum unum damnat, ſiccis veſcentem, & jejunantem uſque ad veſperam, &* CCL. *pœnitentias peragentem.* Harmen. ep. can. ſ. 5. t. 3.

In Can. LXV.

Γοητείαν. Scholiaſtes Harmenopuli, ὁ δὲ Νηστευτὴς τοὺς γόητας καὶ τοὺς φαρμακοὺς ἐπὶ τριετίαν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σν΄. καὶ νηστείας, καὶ σκληραγωγίας· ὁμοίως δὲ καὶ τὰς γυναῖκας τὰς ποιούσας περίαπτα, καὶ μαντευομένας. *Jejunator autem magos & veneficos ad triennium damnat, cum pœnitentiis quotidianis* CCL. *cumque jejunio & rigidâ vivendi ratione. Similiter & mulieres, quæ amuleta faciunt, & quæ hariolantur.* Harmen. ep. can. ſect. 5. tit. 3.

In Can. LXVI.

Τυμβωρύχος. Harmenopuli epitome, ὁ τυμβωρύχος, ὡς ὁ ἐπίορκος *Sepulchrorum effoſſor, ut perjurus.* Scholiaſtes in eandem, τοῦτον ὁ Νηστευτὴς ἐπὶ ἔτος ἓν καταδικάζει, μετὰ μετανοιῶν ἑκάστης ἡμέρας σ΄. *Hunc Jejunator ad unum annum condemnat, cum pœnitentiis quotidianis* CC. Harm. ep. can. ſect. 5. tit. 3.

In Can. LXXV.

Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθείς. Scholiaſtes Harmenopuli, τὸν δὲ τοιοῦτον ὁ Νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει, μετὰ νηστείας, καὶ ξηροφαγίας καὶ μετανοιῶν ἑκάστης ἡμέρας φ΄. τὸν δὲ εἰς νύμφην, ἐπὶ διετίαν μετὰ μετανοιῶν τ΄. ὁμοίως δὲ καὶ τὸν εἰς πενθεράν· τὸ δὲ νῦν ἔχον, ἡ σύνοδος ἐπὶ ἑξαετίαν τοὺς τοιούτους καταδικάζει, ἅμα τοῖς γόησι καὶ τοῖς ἀνδροφόνοις. *Talem Jejunator ad triennium condemnat, cum jejunio, & ſiccorum eſu, & pœnitentiis quotidianis* D. *Qui verò cum nuru [ſuâ ſe polluit] ad biennium cum pœnitentiis* CCC. *Similiter & qui cum ſocru. Verum ut nunc res eſt, Synodus tales condemnat ad ſexennium, unà cum magis & homicidis.* Harm. ep. can. ſ. 5. tit. 3.

In Can. LXXXV.

Ταῦτα παραινετικὰ ῥήματα. Hæc Balſamonis adſcripta ἑρμηνεία in codice Amerbachiano Zonaræ tota attribuitur. Et quidem in hiſce præſertim Canonicis explicandis Epiſtolis Balſamon Zonaræ ſcholia ſæpe totidem ferè verbis exſcribit.

In Can. LXXXVIII.

Πρῶτον μὲν οὖν. Hæc pars eſt canonicæ S. Baſilii epiſtolæ ad Diodorum Epiſcopum Tarſenſem; in quam Balſamonis commentaria in ipſo operis corpore edimus. Sed Zonaræ in eandem Scholia hactenus edita hoc in loco ex codice Amerbachiano divulgare viſum eſt. Sic itaque ſe habent.

Ἑρμηνεία Ζωναρᾶ.

Προκατασκευάσας τὸν λόγον ὁ ἅγιος, καὶ ὡς ἐν ἄλλῳ προσώπῳ τρέψας τὸν γράψαντα, νῦν καὶ πρὸς ἀνατροπὴν τοῦ γράμματος χωρεῖ· καὶ πρῶτον μὲν τὸ ἔθος προβάλλεται καὶ νόμου δύναμιν ἔχειν φησὶν, ὡς τῶν θεσμῶν ἤτοι τῶν νενομισμένων, τῶν δεδογμένων ὑπὸ ἁγίων ἀνδρῶν, παραδεδομένων. Καὶ ὁ πολιτικὸς δὲ νόμος τὸ κρατῆσαν ἔθος νόμου δύναμιν ἔχειν διακελεύεται· κἂν μὴ ὑπὸ ἁγίων ἀνδρῶν τὰ νενομισμένα τοῖς πολίταις ἐδογματίσθησαν. φησὶ γὰρ βιβλίον β΄. τῶν βασιλικῶν, τίτλῳ α΄. κεφ. λβ΄. περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν, καὶ τὰ ἑξῆς. καὶ αὖθις, ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται· καὶ πάλιν, ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἔστιν ἔγγραφος. Ἔθος δὲ λέγει ὁ ἅγιος οὕτως τὸ ἐν τῇ ἐκκλησίᾳ ἐνεργούμενον. Ἐὰν γάρ τις δυσὶν ἀδελφαῖς ἀθέσμως μιχθῇ, φησιν, οὐ πρότερον παραδέχεται εἰς ἐκκλησίαν, εἰ μὴ χωρισθεῖεν ἀπ' ἀλλήλων οἱ οὕτω μιανθέντες, ὡς μηδὲ γάμου τοῦ τοιούτου μύσους λογιζομένου. κἂν οὖν ἄλλο τι οὐκ εἴχομεν εἰπεῖν, τοῦτο τὸ ἔθος ἤρκει εἰς ἀποτροπὴν τοῦ κακοῦ. Ἐπεὶ δέ, φησιν, ὁ συνηγορήσας διὰ τῆς ἐπιστολῆς τῷ κακῷ, τῷ παλαιῷ ἐχρήσατο νόμῳ, τῷ λέγοντι, γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι ἀσχημοσύνην αὐτῆς, ὅτι ζώσης αὐτῆς· κἀντεῦθεν συνήγαγεν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης τὴν ἀδελφὴν αὐτῆς· πρῶτον μὲν ὁ ἅγιος λέγει, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ. εἰ γὰρ μὴ τοῦτο καὶ περιτμηθησόμεθα, καὶ τὰ σάββατα φυλάξομεν, καὶ βρωμάτων διαφόρων ἀφεξόμεθα· οὐ γὰρ τῶν περιποιούντων ἡμῖν ἡδονὰς ἀνθεξόμεθα ἐκ τοῦ νόμου τοῦ παλαιοῦ· τῶν δὲ βαρύ τι ἐχόντων ἀφεξόμεθα, καὶ τῇ διὰ τοῦ Χριστοῦ ἡμῖν δοθείσῃ ἐλευθερίᾳ τότε προσδραμούμεθα. ὁ γὰρ τοῦ Χριστοῦ νόμος ἠλευθέρωσεν ἡμᾶς τῶν βαρέων τοῦ νόμου, τῆς περιτομῆς δηλαδὴ, καὶ τῆς τῶν κεκωλυμένων βρωμάτων ἀποχῆς, τοῦ τὸν γονορρυῆ ἀκάθαρτον κρίνεσθαι, καὶ τὸν ἁψάμενον νεκροῦ, καὶ τὸν λεπρωθέντα, καὶ ἄλλων πολλῶν. ἠρωτήθην, φησὶν, εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ, ἤγουν εἰ τῆς γυναικὸς αὐτοῦ τὴν ἀδελφὴν ἔξεστι λαμβάνειν τινί· καὶ εἶπον ὅτι οὐ γέγραπται. ὅπερ καὶ ἀληθές ἐστιν, ἀλλὰ καὶ ἀσφαλές. τὸ δὲ συλλογίζεσθαι τὸ σιωπηθὲν, ἤγουν ἐπεὶ ὁ νόμος εἶπεν, ὅτι οὐ λήψῃ γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς ἀντίζηλον, καὶ ἔτι ζώσης αὐτῆς, ἀκόλουθόν ἐστιν, ὅτι μετὰ θάνατον οὐ κωλύεται τὴν ἀδελφὴν τῆς γυναικὸς λαμβάνειν, ὡς μηκέτι τῆς ζηλοτυπίας ἐσομένης· τοῦτο, φησὶ, τὸ τοιαῦτα λέγειν νομοθετεῖν ἐστι καὶ οἰκείους συνεισάγειν νόμους, οὐ τὰ τοῦ νόμου λέγειν· εἰ γὰρ δῶμεν μετὰ θάνατον τῆς γυναικὸς τὴν ἀδελφὴν αὐτῆς λαμβάνειν τὸν τῆς τελευτησάσης ἄνδρα, διὰ τὸ μηκέτι τὸ τῆς ζηλοτυπίας πάθος χώραν ἔχειν, λήψεται ταύτην καὶ ζώσης ἐκείνης, εἰ ἀζηλότυπον πρὸς ἀλλήλας πάθος ἔχοιεν αἱ ἀδελφαί. ἀλλ' ἐρεῖ τις, ὅτι τοῦτο οὐ γέγραπται· ἀλλ' οὐδὲ ἐκεῖνο γέγραπται, τὸ μετὰ θάνατον δηλαδὴ τῆς γυναικὸς τὸν ἐκείνης ἄνδρα τὴν ἀδελφὴν τῆς τελευτησάσης εἰς γυναῖκα λαμβάνειν. εἶτα ἐπάγει, ὅτι εἰ τὰ κατόπιν τῆς νομοθεσίας σκοπήσεις, τὰ ὄπισθεν δηλαδὴ, ἀπαλλαγήσῃ πραγμάτων. οὐ γὰρ πᾶν εἶδος ὁ νομοθέτης ἐνταῦθα, φησὶ, περιλαβεῖν ἁμαρτημάτων προέθετο· ἀλλὰ τὰ τῶν Αἰγυπτίων, οἷς παρῴκει πρότερον ὁ Ἑβραίων λαὸς, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μετετίθετο καὶ μετῴκιστο, καὶ εἰκός ἐστι. καὶ ὅτι τοῦτο τὸ εἶδος τοῦ ἁμαρτήματος, τὸ μετὰ θάνατον τῆς γυναικὸς αὐτοῦ τινὰ λαμβάνειν τὴν ἀδελφὴν ἐκείνης, διὰ τοῦτο ἐκώλυσεν, ὅτι εἰς ὑπόδειγμα εἶχον οἱ ἀκόλαστοι τὸν πατριάρχην Ἰακὼβ συνοικήσαντα κατὰ ταὐτὸν δυσὶν ἀδελφαῖς, τῇ τε Λείᾳ καὶ τῇ Ραχήλ. πολλὰ δὲ λέγει τῷ νόμῳ μὲν σιωπηθῆναι, κεκωλύσθαι δὲ ὅμως· οἷόν ἐστι τὸ μὴ μιᾷ παλλακῇ κεχρῆσθαι πατέρα καὶ υἱόν. τούτου μὲν ὁ νόμος οὐκ ἐμνημόνευσεν· ὁ δὲ προφήτης ὡς ἀθέσμου τῆς πράξεως κατηγόρησεν, εἰπὼν, ὁ υἱὸς καὶ ὁ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο. καὶ οἱ μὲν δαίμονες, φησὶ, πολλὰ εἴδη τῶν ἀκαθάρτων παθῶν ἐδίδαξαν· ἡ δὲ θεία γραφὴ ταῦτα παρεσιώπησε, καὶ γενικῷ ὀνόματι τῆς ἀκαθαρσίας διέλαβεν, ἵνα μὴ ἡ σεμνότης αὐτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταρρυπαίνοιτο. Καὶ ὁ ἀπόστολος, πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω, φησὶν, ἐν ὑμῖν, τῷ τῆς ἀκολασίας ὀνόματι πᾶσαν ἀρρητοποιΐαν περιλαβών. ὥστε οὐ πάντως ἄδεια δέδοται τοῖς φιληδόνοις διὰ τῆς σιωπῆς αἰσχρουργεῖν. Εἶτα καὶ βιαιότερον ἐπιχειρεῖ ὁ ἅγιος, λέγων, ὅτι οὐδὲ σεσιώπηται τῷ νόμῳ τὸ μέρος τοῦτο, ἤγουν τὸ εἶδος τούτου τοῦ ἁμαρτήματος· ἐπεὶ γὰρ γέγραπται ἐν αὐτῷ, οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, καὶ τοῦτο τὸ εἶδος ἀπηγόρευται. Εἰ γὰρ ἡ γυνὴ καὶ ὁ ἀνὴρ σάρξ εἰσι μία, κατὰ τὴν γραφὴν, πάντως μεγάλην ἄν τις οἰκείωσιν εἶναι λογίσαιτο πρὸς τὸν ἄνδρα τῇ τῆς γυναικὸς αὐτοῦ ἀδελφῇ. καὶ ὥσπερ μητέρα τις οἰκείας γυναικὸς, ἢ θυγατέρα ἐξ ἑτέρου ἀνδρὸς τεχθεῖσαν αὐτῇ, οὐ λήψεται, διὰ τὴν οἰκείωσιν, οὐδὲ μέντοι τὴν οἰκείαν μητέρα ἢ θυγατέρα, οὕτως οὐδὲ τῇ τῆς γυναικὸς ἀδελφῇ συζυγήσεται, ὅτι οὐδὲ τῇ ἑαυτοῦ ἀδελφῇ. τὸ αὐτὸ δέ φησι καὶ ἐπὶ γυναικός· οὐδὲ γυνὴ γὰρ τῷ ἀδελφῷ τοῦ ἀνδρὸς αὐτῆς θανόντος συναφθήσεται, οὐδὲ τοῖς ἄλλοις ἐκείνῳ οἰκείοις κατὰ συγγένειαν. Εἶτα τὰ ἀποστολικὰ ἐπάγει ῥήματα· καὶ πρός τινας τὸ, αὐξάνεσθε καὶ πληθύνεσθε προβαλλομένους φησὶ καταγελῶ, τῶν μὴ διακρινόντων τοὺς καιροὺς τῶν νομοθεσιῶν, τοῦτο λέγων, ὅτι τὸ αὐξάνεσθε καὶ πληθύνεσθε πρὸς τοὺς πρωτοπλάστους εἴρηκεν ὁ Θεὸς, ὅτε οὔπω πλῆθος ἀνθρώπων, καὶ ἀνάγκη πάντως τοὺς τοῦ Ἀδὰμ παῖδας ἀλλήλοις συνάπτεσθαι. Κατὰ τοῦτον οὖν τὸν λόγον καὶ νῦν ἀλλήλοις συναφθήσονται ἀδελφοί· καὶ ἐπὶ τούτοις, φησὶν, ὅτι ὁ δεύτερος γάμος πορνείας παραμυθία ἐστὶ, τουτέστιν, ἵνα μὴ εἰς πορνείαν ἐκκυλίωνται οἱ ἄνθρωποι· διὰ τοῦτο συνεχωρήθη ἡ διγαμία, ἀλλ' οὐχ' ἵνα πρόφασις γίνηται ἀσελγείας. Καὶ τὸν μέγαν Παῦλον, ὃς τὸν δεύτερον συγχωρεῖ γάμον, παράγει λέγοντα, εἰ οὐκ ἐγκρατεύονται γαμησάτωσαν, καὶ οὐ προσέθετό, φησιν, ὅτι γαμοῦντες παρανομείτωσαν. Εἶτα καὶ ἄλλοθεν κατασκευάζει τὴν ἀτοπίαν τῆς πράξεως, λέγων, ὁ τὴν τῆς ἀπελθούσης γυναικὸς αὐτοῦ λαβὼν ἀδελφὴν, καὶ παιδοποιησάμενος ἐξ ἀμφοῖν, ποίαν τοῖς τέκνοις προσηγορίαν περιποιήσεται; καὶ πῶς ἀλλήλους οἱ παῖδες καλέσουσιν; ἀδελφοὺς ὡς ἐξ ἑνὸς προελθόντες πατρὸς, ἢ ἀνεψιοὺς ἤγουν ἐξαδέλφους, ὡς ἐκ δύο γενόμενοι ἀδελφῶν. πολλαχοῦ δὲ εὕρηνται παρὰ τοῖς παλαιοῖς τῷ τῶν ἀνεψιῶν καλούμενοι ὀνόματι οἱ ἐξάδελφοι· ἀμφότεραι γάρ, φησιν, αἱ κλήσεις, ἡ τῶν ἀδέλφων δηλονότι καὶ τῶν ἀνεψιῶν, αὐτοῖς προσαρμόζουσι διὰ τὴν σύγχυσιν τῆς συγγενείας. Καὶ ἔτι ἐπαγωνίζεται τῷ λόγῳ, λέγων, ὅτι ὁ λαβὼν τὴν ἀδελφὴν τῆς προτέρας συμβίου, τὴν θείαν τῶν ἑαυτοῦ τέκνων, τῶν ἐκ τοῦ προτέρου γάμου, καθίστησιν αὐτῶν μητρυιὰν, καὶ ὀφείλουσαν στέργειν αὐτοὺς ὡς ἀδελφόπαιδας· κατ' αὐτῶν ὁπλίζει αὐτὴν ζηλοτυποῦσαν. ὥσπερ γὰρ φυσικόν τι πάθος ταῖς μητρυιαῖς πρὸς τοὺς ἐξ ἄλλου γάμου παῖδας τῶν οἰκείων ἀνδρῶν ἡ ζηλοτυπία ἐμφύεται, καὶ τοῖς μὲν ἐχθροῖς, θανόντων τῶν ἐναντίων αὐτοῖς, τὸ μῖσος ἀμβλύνεται· αἱ δὲ μητρυιαὶ τῆς ἔχθρας πρὸς τὰς ἀντιζήλους αὐταῖς μετὰ τὸν ἐκείνων θάνατον ἄρχονται. Κεφάλαιον δέ, φησι, τῶν εἰρημένων τουτέστιν, ἵνα συντόμως εἴπω τὸ πᾶν· εἰ μὲν ὁ δευτερογαμῆσαι ζητῶν νόμιμον θέλει συναλλάξαι γάμον, ἤνοικται αὐτῷ πᾶσα ἡ οἰκουμένη, καὶ οὐκ ἐπιλείψει αὐτῷ γυνή, ᾗ συμβιώσεται κατὰ νόμους· εἰ δὲ διὰ πάθος ζητεῖ τῇ δὲ ἐρωτικῶς ἴσως διακείμενος, καὶ διὰ τοῦτο σπεύδων συζυγῆναι αὐτῇ, διὰ τοῦτο μᾶλλον ἀποκλεισθήτω, ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος, καὶ τὰ ἑξῆς τοῦ ἀποστόλου ῥήματα. Ἐβουλόμην, φησί, καὶ πλείονα γράψαι, ἀλλ' ἐπέχει με ἤγουν ἀνακόπτει τὸ μέτρον τῆς ἐπιστολῆς· οὐ γὰρ μακρηγορίαν ἔχειν δεῖ τὰς ἐπιστολάς. Εὔχομαι δέ, ἢ τὴν παραίνεσιν ἰσχυροτέραν τοῦ πάθους γενέσθαι, ἀντὶ τοῦ ἰσχῦσαι τοσοῦτον, ὥστε λῦσαι τὸ πάθος· ἢ μὴ εἰς τὴν ἡμετέραν χώραν τὸ ἄγος τοῦτο ἐπιδημῆσαι, μὴ προχωρῆσαι τὸ μίασμα τοῦτο εἰς τὴν ἡμῶν ἐνορίαν· ἀλλ' ὅπου ἐτολμήθη, ἐκεῖ ἐναπομεῖναι.

INTERPRETATIO ZONARÆ.

Cùm ſanctus ſermonem præparâſſet, & Epiſtolæ ſcriptorem tanquam in aliam perſonam vertiſſet, nunc & ad ſcripti confutationem procedit. Et primo quidem conſuetudinem objicit, eamque legis vim habere aſſerit, quoniam ritus ſive ſtatuta, à ſanctis Patribus decreta, tradita ſunt. Quin civilis etiam lex prævalentem conſuetudinem legis vires habere jubet: licet quæ civibus inſtituta ſunt non à ſanctis viris decreta fuerint. Dicit enim liber 2. tit. 1. cap. 32. Baſilic. De quibus ſcripta lex non extat, in his morem & conſuetudinem cuſtodire oportet, & quæ ſequuntur. Et rurſum, antiqua conſuetudo pro lege cuſtoditur. Item, Diuturna conſuetudo pro lege obtinet, in quibus lex ſcripta deficit. Hic autem ſanctus Pater conſuetudinem vocat, quod in Eccleſiâ valet. Si quis enim duabus, inquit, ſororibus illegitimè commiſceatur, non prius in Eccleſiam recipitur, niſi, qui hoc modo contaminantur, à ſe invicem ſeparentur; utpote quòd neque matrimonium tantum ſcelus reputetur. Quamvis itaque nihil aliud dicere haberemus, hæc conſuetudo malo iſti evertendo ſufficit. Quandoquidem autem qui hoc malum, inquit, per Epiſtolam defendit, veteri lege utitur, dicente, mulierem zelotypam ſuper ſororem ejus non accipies ad revelandam turpitudinem ejus, ipſâ adhuc vivente; & exinde colligit, quòd ejus demortuæ ſororem accipere conceditur: Primò quidem ſanctus ait, quòd quæcunque lex dicit, iis quæ ſunt in lege dicit; alioquin enim & circumcidemur, & Sabbata obſervabimus, & à variis cibis abſtinebimus. Neque enim ex veteri nos lege continebimus ab iis, quæ voluptates nobis conferunt. Ab iis autem, quæ grave aliquid in ſe continent, abſtinebimus; & ad libertatem nobis per Chriſtum conceſſam tunc confugiemus. Namque lex Chriſti ab iis, quæ in lege gravia ſunt, nos liberavit; à circumciſione ſcilicet, ab abſtinentiâ à prohibitis cibis, ab eo immundo judicando, qui fluxum ſeminis paſſus eſt, qui mortuum tetigit, qui leprâ infectus eſt, & aliis quàm plurimis. Interrogatus ſum, inquit, an ſcriptum ſit accipere uxorem ad ſororem; nimirum an liceat cuipiam ſororem uxoris ſuæ ducere; & dixi non ſcriptum eſſe; quod verum eſt, atque etiam tutum. Ex eo autem, quod non dictum eſt, illationem facere, nempe quoniam lex dicit, quòd non accipies uxorem zelotypam ad ſororem ipſius, ipſâ etiam adhuc vivente, conſequens eſt quòd poſt mortem ſororem uxoris ducere non prohibetur, ut zelotypiâ ampliùs non futurâ, hoc inquit, talia, ſcil. dicere eſt legem ferre, & proprias leges introducere, non ea quæ ſunt legis proferre. Si demus enim, poſt mortem uxoris ſororem ipſius ei accipere licere, qui mortuæ maritus fuit, quoniam zelotypiæ paſſio locum amplius non habeat, eam accipiet etiam ipſâ vivente, ſi ſorores zelotypiæ paſſionem erga ſe invicem non habuerint. Sed dicet aliquis, hoc non ſcriptum eſſe: verùm nec illud ſcriptum eſt, ut poſt mortem ſcilicet mulieris maritus ejus mortuæ ſororem in uxorem duceret. Deinde addit, quòd ſi ea quæ retro, paulo ſcilicet ante, in lege dicta ſunt, conſideraveris, ulteriori moleſtiâ liberatus eris. Non omnem enim, inquit, peccatorum ſpeciem Legiſlator ibi comprehendere ſibi propoſuit: Sed peccata Ægyptiorum, inter quos Hebræorum populus tanquam peregrini antea habitârant; & Chananæorum, ad quos tranſierunt & tranſmigrârunt; quod veriſimile eſt; & quòd iſtam peccatorum ſpeciem, quâ quis poſt mortem uxoris ſuæ ſororem ejus ducit [Moſes] propterea prohibuit, quòd viri luxurioſi Patriarcham Jacobum pro exemplo habebant, qui eodem tempore duabus ſororibus, Leiæ & Racheli, cohabitavit. Multa autem dicit, à lege quidem ſilentio prætermiſſa, & tamen prohibita eſſe: quale eſt, Patrem & Filium eâdem pellice non uti. Hujus quidem lex non meminit: Propheta verò tanquam illegitimam actionem accuſavit, dicens, Filius & Pater ad eandem puellam ingrediebantur. Et quidem Dæmones, inquit, multa immundarum paſſionum genera docuerunt: Divina autem Scriptura hæc ſilentio prætermiſit, & ſub generali immunditiei nomine comprehendit, ne ſanctimonia ipſius turpium appellationibus contaminaretur. Et Apoſtolus, Omnis, inquit, fornicatio & immundities inter vos ne nominetur, ſub immunditiei nomine omnem obſcœnitatem comprehendens; adeo ut nulla prorſus libidinoſis propter ſilentium turpiter agendi licentia detur. Deinde & fortiori ſanctus argumento utitur, dicens, neque hanc partem ſive ſpeciem hujus peccati ſilentio à lege prætermiſſam eſſe. Quandoquidem enim in eâ ſcriptum eſt, non ingredieris ad quemvis conſanguineum carnis tuæ ad revelandam ejus turpitudinem, hoc etiam genus prohibetur. Si enim mulier & vir una ſint caro, juxta ſcripturam, inter virum & uxoris ipſius ſororem magnam omnino conſanguinitatem eſſe quiſpiam exiſtimet. Et quemadmodum nemo matrem uxoris ſuæ, vel filiam ex alio ei viro genitam, propter conſanguinitatem accipiet; neque etiam matrem ſuam filiamve: ſic neque uxoris ſorori conjungetur; quippe nec ſorori ſuæ. Idem autem inquit & de muliere: neque enim mulier mariti ſui defuncti fratri conjungetur; neque aliis ei per cognationem affinibus. Poſtea Apoſtolica producit verba, & ad aliquos, qui illud, Creſcite & multiplicamini, objiciunt, dicit, Eos derideo, quòd legiſlationum tempora non diſcernunt. Hoc dicens, quoniam illud, Creſcite & multiplicamini, Deus ad homines primò creatos pronunciavit, cùm nondum multitudo hominum eſſet, & neceſſe omnino eſſet, ut Adami liberi ſibi invicem copularentur. Juxta iſtam itaque rationem fratres etiamnum ſibi invicem conjungentur? Adhæc, ait, quòd ſecundum matrimonium fornicationis remedium eſt, hoc eſt, ne homines ad fornicationem evolverentur: Propterea conceſſa eſt digamia; ſed non ut libidinis excuſatio eſſet. Et magnum Paulum, qui ſecundum matrimonium concedit, citat, dicentem, ſi ſe non contineant, matrimonium contrahant: & non adjecit, dicit, quòd uxores ducentes contra legem faciunt. Poſtea aliunde etiam actionis abſurditatem oſtendit, dicens, qui mortuæ uxoris ſuæ ſororem ducit, & filios ex ambabus gignit, qualem liberis appellationem imponet? & quomodo ſe invicem pueri vocabunt? Fratres, ut qui uno patre prognati ſunt; an ἀνεψιοὺς ſive conſobrinos, ut ex duabus ſororibus natos? Multoties autem conſobrini apud veteres ἀνεψιοὶ dicti inveniuntur. Utraque enim appellatio, inquit, fratrum ſcilicet & conſobrinorum iis propter cognationis confuſionem adaptantur. Adhuc etiam ratione certat, dicens, quòd qui prioris conjugis ſororem ducit, ſuorum ex primo matrimonio liberorum materteram novercam eorum facit, & obligatam eos tanquam nepotes diligere; eamque contra illos zelotypiâ laborantem armat; novercis enim in conjugum ſuorum ex alio matrimonio liberos zelotypia tanquam naturalis paſſio ingeneratur; & inimicis quidem, cum adverſarii ipſorum mortui ſunt, odium obtunditur: Novercæ autem inimicitiam contra æmulas ipſarum poſt earum mortem incipiunt. Summa autem, inquit, eorum, quæ dicta ſunt, hæc eſt, ut breviter nimirum totum dicam, ſi is, qui ſecundas inire nuptias quærit, legitimum contrahere velit matrimonium, totus terrarum orbis ei patet; nec ei deficiet mulier, quâcum vitam legitimè tranſigat: Sin autem, amore forſitan incenſus, propter paſſionem hanc unam ſibi quærit, ac proinde ei conjungi ſtudet; propter eam cauſam potiùs excludatur, ut diſcat vas ſuum, & quæ ſequuntur Apoſtoli verba. Et plura, inquit, ſcribere volui, ſed Epiſtolæ menſura me inhibet, ſive impedit: Epiſtolas enim verborum prolixitatem habere non oportet. Precor autem, vel hanc exhortationem paſſione potentiorem fieri, hoc eſt, tantum valere, ut paſſionem ſolvat: vel ſcelus iſtud in noſtram regionem non venire, iſtam ſcilicet in noſtra territoria non procedere immunditiem; ſed ubi cœpta eſt, ibi permaneat.

IN CAN. XC.

ΠΑΝΥ με λυπεῖ. Zonaræ in hunc canonem, quæ eſt S. *Baſilii* ad Chorepiſcopos ſuos Epiſtola, commentaria, *hactenus* deſiderata, Codex Amerbachianus his verbis *exhibet*.

Ἑρμηνεία Ζωναρᾶ.

Αἰτιᾶται ὁ μέγας Βασίλειος τοὺς ὑποκειμένους αὐτῷ χωρεπισκόπους, ὡς καθ' ἑαυτοὺς καθιστῶντας ὑπηρέτας, καὶ τὴν συνήθειαν παραβαίνοντας, ἣν λέγει κρατῆσαι, ὥστε γνώμῃ τοῦ ἐπισκόπου γίνεσθαι παρὰ τῶν χωρεπισκόπων αὐτούς, καὶ τοῦ λοιποῦ ἀνανεοῦσθαι τοὺς κανόνας ἀπαιτεῖ, ἤγουν μετὰ τὴν πρώτην ἐπινέμησιν. ἐπινέμησιν δὲ τὴν Ἰνδικτον λέγει, καὶ αὐτοὺς μὲν ἐξετάζειν τοὺς ἀξίους, καὶ παραδέχεσθαι, μὴ καταλέγειν δὲ αὐτοὺς ἐν τῷ κλήρῳ, εἰ μὴ ἀναφέροιεν τὰ περὶ αὐτῶν πρὸς αὐτόν. τοὺς δὲ μὴ οὕτω καταταγέντας ἀπειλεῖ εἰς τοὺς λαϊκοὺς ἐξωθεῖσθαι. Εἰ μὲν οὖν συνήθεια ἐκράτει τότε τοιαύτη, οὐκ οἶδα· κανὼν δὲ τοιοῦτος ἐν ταῖς πρεσβυτέραις ἐκείνου συνόδοις οὐχ εὕρηται· ἀλλὰ μᾶλλον ὁ ια'. κανὼν τῆς ἐν Ἀντιοχείᾳ συνόδου, παλαιοτέρας οὔσης τοῦ ἁγίου τούτου, δίδωσι τοῖς χωρεπισκόποις καὶ ὑποδιακόνους, οἵτινες καὶ ὑπηρέται λέγονται, καὶ ἀναγνώστας καὶ ἐφορκιστὰς καθιστᾶν, πρεσβυτέρους δὲ καὶ διακόνους ὁρίζει μὴ χειροτονεῖν τοὺς χωρεπισκόπους, εἰ μὴ γνώμῃ τοῦ ἐπισκόπου, ᾧ ὑπόκεινται. ὁ δὲ ιδ'. τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν τύπον τῶν ο'. ἀποστόλων ἐπέχειν χωρεπισκόπους φησί.

INTERPRETATIO ZONARÆ.

Magnus Baſilius Chorepiſcopos ſibi ſubjectos reprehendit, quòd per ſeipſos conſtituerint miniſtros, & conſuetudinem tranſilierint, quam obtinuiſſe dicit, ut illi per Chorepiſcopos Epiſcopi ſententiâ fierent: & in poſterum canones inſtaurari jubet, ſive poſt primam ἐπινέμησιν. ἐπινέμησιν autem Indictionem vocat: & ipſos quidem dignos inquirere & approbare, non autem eos in clero ordinare, niſi ad ipſum prius referant, quæ ad eos ſpectant. Eos autem, qui ſic non ordinantur, ad Laicos ſe detruſurum comminatur. Utrum talis itaque tunc temporis conſuetudo obtinebat, me latet. Hujuſmodi autem canon in Synodis eo antiquioribus non invenitur; ſed potius decimus Synodi Antiochenæ, quæ ſancto hoc Patre antiquior eſt, canon Chorepiſcopis & Subdiaconos, qui miniſtri etiam dicuntur, & Lectores & Exorciſtas conſtituere concedit; decernit autem ne Presbyteri & Diaconi à Chorepiſcopis ordinentur, niſi Epiſcopi ſententiâ, cui ſubjiciuntur. Sed decimus quartus Synodi Neocæſarienſis canon Chorepiſcopos typum ſeptuaginta Apoſtolorum gerere dicit.

IN CAN. XCI.

Τὸ τοῦ πράγματος ἄτοπον. In hunc etiam canonem ſive Epiſtolam S. Baſilii ad Epiſcopos ſibi ſubjectos Zonaras non minùs quàm Balſamon commentaria edidit; at quæ hactenus ἀνέκδοτα fuerunt: ſed Codex Amerbachianus ea nobis ſuppeditavit, quæ propterea publici hoc loco juris facere non pigebit.

Ἑρμηνεία Ζωναρᾶ.

Πρὸς τοὺς οἰκείους ἐπισκόπους ἔγραψεν ὁ ἅγιος, ἀκούσας ὅτι ἀπὸ τῶν χειροτονουμένων παρ' αὐτῶν λαμβάνουσι χρήματα, καὶ ἄπιστον μέν, φησιν, ἡγησάμην τὸ πρᾶγμα· ὅτι δὲ καὶ ὑπωπτεύθη μόνον, λύπην μοι προεξένησε, μόνον οὐχὶ τοῦτο λέγων, ὅτι λύπη μοί ἐστι τὸ τοιούτους εἶναι ὑμᾶς, ὥστε τοιαῦτα λέγεσθαι καθ' ὑμῶν. ἔστι γὰρ ἦθος κατά τινα σοφὸν ἑτέρου τινὸς κατηγορίας ἀνένδεκτον, ὡς εἴ τις, φησιν, ἑταιρήσεως διώκοι τὸν Αἴαντα. ταῦτα δέ, ἃ γράφω, φησίν, ὁ μὲν συνειδὼς ἑαυτῷ τοιοῦτόν τι δεξάσθω ὡς ἴαμα τῆς κακίας· ὁ δὲ καθαρὸς ἐξ αὐτῆς, ὡς προφυλακτήριον· τὰ γὰρ φάρμακα παρὰ τῶν ἰατρῶν τοῖς μὲν ἐμπεσοῦσιν εἰς νόσον διὰ ἴασιν δίδονται, καὶ τῆς νόσου ἀπαλλαγήν, τοῖς δὲ μήπω νοσοῦσι, παρέχονται προφυλακτικά, ὥστε μὴ νοσῆσαι. ὅστις δέ, φησιν, ἀδιάφορός ἐστιν, ἤγουν ὅστις οὐδὲ νομίζει κακόν τι ποιεῖν, λαμβάνων ἐκ τῶν παρ' αὐτοῦ χειροτονουμένων, ὅπερ τὸ τῆς ἀδιαφορίας δηλαδὴ ἀπεύχομαι ἐν ὑμῖν εὑρηθέναι, δεξάσθω τὰ γραφόμενα ὡς μαρτυρίαν, ἤτοι ὡς παραγγελίαν, ὡς ἐπιφώνημα. Ἀπηύξατο δὲ τὴν ἀδιαφορίαν εἰκότως. ὁ γὰρ ἁμαρτάνων, καὶ εἰδὼς κακὸν ποιεῖν, ἐλπίζεται ἴσως καὶ ἀποσχέσθαι ἀπὸ τοῦ κακοῦ· ὁ δὲ τὸ κακὸν πράττων, καὶ μηδὲ λογιζόμενος κακὸν ποιεῖν, οὐκ ἄν ποτε ἔλθῃ εἰς μετάνοιαν, οὐδὲ τῆς ἁμαρτίας ἀφέξεται. ὃ δὲ λέγω, φησίν, ἐστί, τὸ λέγειν τινάς, ὅτι χρήματα λαμβάνοντες τὰς χειροτονίας ποιεῖτε· ἐπισκιάζετε δέ, ἀντὶ τοῦ ἐπικρύπτετε, τὸ κακὸν εὐσεβείας ὀνόματι. τοῦτο δὲ χεῖρόν ἐστιν. Ὁ γὰρ ποιῶν, φησι, τὸ κακόν, καὶ σχηματιζόμενος καλόν τι ποιεῖν, διπλῆς ἐστιν ἄξιος τιμωρίας, ὅτι τε τὸ κακὸν ποιεῖ, καὶ ὅτι κέχρηται εἰς συνεργίαν τῆς κακίας τῷ ἀγαθῷ, ἤτοι τῷ ὀνόματι τοῦ καλοῦ, οὐ γὰρ αὐτῷ τῷ καλῷ. ταῦτα εἰ οὕτως ἔχει, ἤγουν εἰ ἀληθῆ εἰσι, διορθωθήτω. Ἀνάγκη γὰρ λέγεσθαι πρὸς τοὺς ἐπὶ χρήμασι χειροτονοῦντας τὸ τοῦ ἁγίου Πέτρου, ὃ πρὸς τὸν Σίμωνα ἔφη, χρήματα προσαγαγόντα, καὶ ζητοῦντα δοθῆναι αὐτῷ τὴν χάριν τοῦ πνεύματος, ὅπερ ἐστίν, εἴη τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν. εἶτα καὶ αὔξει τὴν ἁμαρτίαν, λέγων, ὅτι οἱ τὰς χειροτονίας ὠνούμενοι, ἐλαφρότερόν τι ἁμαρτάνουσι τῶν πιπρασκόντων αὐτάς· οἱ μὲν γὰρ δι' ἀπειρίαν ὠνοῦνται ὃ οὐκ ἔχουσιν· ὁ δὲ πιπράσκων πωλεῖ ὃ ἔλαβε δωρεάν· ὡς πεπραμένος τῷ Σατανᾷ, ἤγουν ὡς δοῦλος ὠνητὸς τῷ διαβόλῳ γινόμενος, καὶ εἰς καπηλείαν, ἀντὶ τοῦ εἰς πραγματείαν, κατάγει τὴν χάριν τοῦ πνεύματος. Καπηλεία γὰρ ἡ πραγματεία λέγεται, καὶ μάλιστά γε ἡ ῥυπαρά, ἥν, φησι, τὴν ῥυπαρὰν πραγματείαν ἐπεισάγει τῇ ἐκκλησίᾳ, ὅπου πεπιστεύμεθα τὰ τιμιώτατα, μᾶλλον δὲ τὰ ὑπὲρ πᾶσαν τιμήν, ἅ εἰσι τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Χριστοῦ. εἰπὼν ἄνω, ὅτι ἐπισκιάζετε τὸ κακόν, νῦν καὶ πῶς ἐπισκιάζουσι, λέγει· νομίζουσι, φησί, μὴ ἁμαρτάνειν, ὅτι οὐ λαμβάνουσιν ἅμα τῇ χειροτονίᾳ, ἀλλὰ μετὰ ταῦτα· λαβεῖν δέ ἐστιν, ὁτεδήποτε τὸ λαβεῖν. κἂν γὰρ μὴ πρότερόν τις λάβῃ, ἢ ὅτε χειροτονεῖ, ἀλλὰ μετὰ καιρόν, διὰ τὴν χειροτονίαν, τὸ αὐτό ἐστιν ἁμάρτημα. παρακαλῶ οὖν, ἀπόθεσθε ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν. ἡ γὰρ ἐκ τοιαύτης αἰτίας πρόσοδος προσάγει τῇ γεέννῃ τὸν χρώμενον αὐτῇ. Καὶ μὴ τὰς χεῖρας μολύνοντες ἀπὸ τοῦ λαμβάνειν, ἀπὸ πόρων τοιούτων ἀναξίους ποιήσητε ἑαυτοὺς τοῦ μεταχειρίζεσθαι τὰ ἅγια μυστήρια, ἤγουν τοῦ ἱερουργεῖν καὶ θύειν τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. ὅτι δὲ εἰς ἀπειλὴν περιέστησε τὸν λόγον ὁ ἅγιος, εἰπὼν ἐν ἀρχῇ τῆς ἐπιστολῆς, ὅτι ἄπιστον ἡγησάμην τὸ πρᾶγμα, συγγνώμην αἰτεῖ. ἡ δὲ ἀπειλή ἐστι τὸ μηκέτι ἐαθῆναι τὸν μετὰ τὴν ἐπιστολὴν τοιοῦτόν τι ποιήσαντα εἰς θυσιαστήριον ἐνεργῆσαι. Ἀναχωρήσει γάρ, φησιν, ὁ τοιοῦτος τῶν ἐνταῦθα θυσιαστηρίων, ἅτε τοῦ κωλυθήσεται ὧδε ἱερατεύειν, καὶ λοιπὸν ἄλλην χώραν αἰτήσει, ἐν ᾗ ἐξωνήσεται τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ μεταπωλήσει αὐτήν. Καὶ ἐπὶ τούτοις τὰ ἀποστολικὰ ἐπάγει ῥητά· ἡμεῖς γὰρ καὶ αἱ ἐκκλησίαι τοῦ Θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Εἶτα φησίν, ὅτι τὸ πωλεῖν τὴν χάριν τοῦ πνεύματος, διὰ φιλαργυρίαν γίνεται, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστί, καὶ ὀνομάζεται εἰδωλολατρεία. μὴ οὖν προτιμήσητε τὰ εἴδωλα τοῦ Χριστοῦ διὰ μικρὸν ἀργύριον. ἐπεὶ γὰρ ἡ φιλαργυρία εἰδωλολατρεία ἐστίν, ὁ διὰ φιλαργυρίαν πωλῶν τὴν δωρεὰν τοῦ Θεοῦ προτιμᾶται τὰ εἴδωλα τοῦ Θεοῦ, καὶ μιμεῖται τὸν Ἰούδαν. ὡς γὰρ ἐκεῖνος διὰ τὸ κερδῆσαι τὰ ἀργύρια παρέδωκε τὸν Χριστόν, οὕτω καὶ οὗτοι προδιδόασιν ἑκόντες δευτέραν εἰς προδοσίαν τὸν Χριστόν, ὃς ἅπαξ ὑπὲρ ἡμῶν ἐσταυρώθη. τοσοῦτόν δέ, φησι, τὸν Ἰούδαν μιμοῦνται οἱ τὴν χάριν πωλοῦντες τοῦ πνεύματος, ὅτι καὶ τὰ χωρία, τὰ διὰ τῶν ἀργυρίων τούτων ὠνούμενα, ἤγουν αἱ ἐνορίαι, καὶ αἱ κῶμαι ἐν αἷς ἐπικηρύττονται οἱ οὕτω χειροτονούμενοι, καὶ αἱ χεῖρες, αἱ τοὺς καρποὺς τούτους δεχόμεναι, ἀκελδαμὰ κληθήσονται· ὅπερ ἑβραϊκόν ἐστιν, ἐξελληνιζόμενον δὲ τιμὴν καὶ χωρίον αἵματος ἑρμηνεύεται. εἴρηται δὲ ἐν τῇ βίβλῳ τῶν πράξεων. τοῦτο οὖν ἐστιν ὃ λέγει· ὅτι ὥσπερ ὁ διὰ τῶν ἀργυρίων, δι' ὧν ἐπράθη παρὰ τοῦ Ἰούδα ὁ κύριος, ἀγορασθεὶς ἀγρὸς τιμὴ αἵματος ἐλογίσθη καὶ ὠνομάσθη, οὕτω καὶ τὰ λαμβανόμενα ἀργύρια παρὰ τῶν πωλούντων τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ αἱ ἐνορίαι, καὶ αἱ κῶμαι, ἐν αἷς οἱ διδόντες χειροτονοῦνται, τιμὴ αἵματος ἔσονται καὶ κληθήσονται.

INTERPRETATIO ZONARÆ.

Ad Epiſcopos ſuos ſcripſit ſanctus [Pater] cùm audiiſſet iſtos ab iis, quos ordinârant, pecunias accepiſſe. Et rem quidem, inquit, incredibilem eſſe exiſtimavi. Eo autem, quòd & in ſuſpicionem tantùm venerit, dolore me affecit: illud tantùm non dicens, quòd dolor mihi eſt vos tales eſſe, ut hujuſmodi adverſus vos dicantur. Contraria enim natura, juxta quendam ſapientem, accuſationis cujuſpiam non capax eſt: ut ſi quis, inquit, Ajacem ſcortationis accuſaret. Hæc autem quæ ſcribo, inquit, is, qui talis cujuſdam rei ſibi conſcius eſt, ut mali remedium accipiat: qui autem eâ purus eſt, ut antidotum ad ſe tuendum. Pharmaca enim à medicis iis quidem, qui in morbum inciderunt, ad curationem dantur, & ad liberationem à morbo: iis autem, qui morbo nondum laborant, antidota exhibentur, ut morbo non corripiantur. Quicunque autem indifferens eſt, qui ſcilicet nec quid mali ſe facere putat, cùm quid ab iis accipit quos ordinat, quod indifferentiæ nimirum genus, deprecor ne in vobis inveniatur, is quæ ſcripta ſunt, accipiat ut teſtimonium ſive ut admonitionem, ut Epiphonema. Indifferentiam autem meritò deprecatus eſt. Qui peccat enim, ſeque malum facere cognoſcit, ſpes eſt ut à malo forſitan abſtineat: qui autem malum perpetrat, ſeque nec malum facere exiſtimat, ad reſipiſcentiam nunquam revertetur, neque à peccato abſtinebit. Quod autem dico, inquit, eſt, nonnullos affirmare, quòd vos acceptis pecuniis ordinationes celebratis: obumbratis autem, hoc eſt occultatis, malum nomine pietatis. Hoc autem pejus eſt. Qui enim malum, inquit, perpetrat, ſeque boni quid facere ſimulat, duplici ſupplicio dignus eſt, & quòd malum perpetrat, & quòd ad mali perpetrationem bono utitur, hoc eſt, boni nomine; neque enim ipſo bono [utitur.] Hæc autem ſi ſic ſe habeant, nimirum ſi vera ſint, corrigantur. Neceſſe enim eſt, ut ad iſtos, qui pro pecuniis ordinant,

dinant, illud sancti Petri verbum dicatur, quod is ad Simonem pecunias proferentem, & gratiam Spiritûs dari sibi quærentem, pronunciavit, quod est, Tuum tecum sit argentum in perditionem. Deinde & peccatum auget, dicens, quòd qui ordines emunt, leviùs aliquantulum peccant, quàm ii qui vendunt. Illi enim id per imperitiam emunt quod non habent: qui vendit autem, id vendit quod gratis accepit; ut à Satanâ emptus sive mercenarius servus diabolo factus, & ad cauponationem, hoc est negotiationem, gratiam Spiritûs deducit. Cauponatio enim Negotiatio dicitur, eaque summè sordida, quam dicit sordidam in Ecclesiam introducere negotiationem; ubi pretiosissima nobis concredita habemus, vel potiùs quæ omne pretium excedunt, quæ sunt Corpus & Sanguis Christi. Cùm antea dixisset, Obumbratis malum, nunc etiam dicit quomodo obumbrant. Existimant, inquit, se non peccare, quoniam simul cum ordinatione non accipiunt, sed postea. Accipere autem est quandocunque accipere. Quamvis enim quis priùs non acceperit, vel quando ordinat, sed aliquo post tempore, propter ordines à se collatos, idem est peccatum. Adhortor igitur, ut hunc deponatis reditum, vel potiùs ad gehennam aditum; Reditus enim hoc modo acquisitus eo utentem ad gehennam ducit: Et ne manus vestras accipiendo polluentes, per hujusmodi quæstus vosmet indignos reddatis, qui sancta mysteria contrectetis; nimirum qui sacra celebretis & Corpus & Sanguinem Christi offeratis. Quoniam autem orationem sanctus ad minas converterat, initio Epistolæ dicens, quòd rem incredibilem existimavi, veniam petit. Comminatio est, quòd qui post hanc Epistolam aliquid istiusmodi perpetraverit, ad altare ampliùs celebrare non permittetur. Talis enim ab altaribus, inquit, quæ hîc sunt, recedet; hoc est, sacra hoc in loco celebrare prohibebitur, & aliam in posterum regionem quæret, in quâ donum Dei redimat, idemque vendat. Adhæc Apostolica producit verba; Nos enim & Ecclesiæ Dei talem non habemus consuetudinem. Postea dicit, quoòd venditio gratiæ Spiritûs propter avaritiam facta est, quæ radix est omnium malorum, & Idololatria nominatur. Idola itaque Christo propter paululum pecuniæ ne præferatis. Cùm enim Avaritia Idololatria sit, qui propter avaritiam donum Dei vendit, Idola Deo præfert, & Judam imitatur. Quemadmodum enim ille Christum prodidit, ut argentum lucraretur: sic hi secundâ proditione Christum sponte produnt, qui semel pro nobis crucifixus est. Qui gratiam autem Spiritûs vendunt, usque adeo, inquit, Judam imitantur, ut prædia tali argento empta, sive regiones, & vici, in quibus constituuntur, qui isthoc modo ordines sibi collatos habent, & manus, quæ istos fructus accipiunt, Akeldama vocabuntur; quòd Hebraicum est, Græcè autem Pretium & agrum sanguinis significat. Refertur autem in libro Actorum. Hoc igitur est quod dicit: quòd sicut ager, qui nummis argenteis, pro quibus venditus est Dominus, emptus est, pretium sanguinis reputatus est & nominatus; sic etiam argentum ab iis, qui donum Dei vendunt, acceptum, & regiones & vici, in quibus ordinantur illi qui dederunt, pretium sanguinis erunt & appellabuntur.

IN CAN. XCII.

Θριαμβεύειν ἐν γράμμασι. Post hæc verba in Codice Amerbachiano σχόλιον sequitur, his verbis conceptum, Ἰστέον, ὅτι ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος ἐν τῷ δ'. λόγῳ τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας ἐπιστολῆς, ἑρμηνεύων τὸ λέγον ῥητὸν, Ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγων, εἴτε δι' ἐπιστολῆς ἡμῶν, φησιν, Ἐνταῦθα δῆλον, ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα καὶ ταῦτά ἐστιν ἀξιόπιστα. ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον ἡγούμεθα. παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει. ὁ αὐτὸς ἐν τῷ ἑρμηνευτικῷ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς ια'. λόγῳ, περὶ τῶν σχιζόντων τὴν ἐκκλησίαν, φησὶν οὕτως, Ἀνήρ τις ἅγιος εἶπεν, ὅτι οὐδὲ μαρτύρων αἷμα δύναται ταύτην τὴν ἁμαρτίαν ἐξαλείφειν. *Sciendum est, quòd beatus Joannes Chrysostomus, quarto sermone in secundam Epistolam ad Thessalonicenses, interpretans dictum istud, Itaque fratres, state, & tenete traditiones, quas didicistis, sive per sermonem, sive per Epistolam nostram, ait, Hinc manifestum est, quòd non omnia per Epistolam tradita sunt, sed multa etiam sine scriptis. Et hæc autem & illa similiter sunt fide digna: adeo ut etiam traditionem Ecclesiæ fide dignam existimemus. Traditio est, nihil amplius quære. Idem in interpretatione Epistolæ ad Ephesios, sermone* XI. *de istis qui Ecclesiam scindunt, sic ait; sanctus vir quidam dixit, quòd nec martyrum sanguis istud peccatum delere potest.* Post hoc Scholium in eodem codice MS. habetur interpretatio Zonaræ in præsentem canonem, quam ut antehac non editam hîc apponemus.

Ἑρμηνεία Ζωναρᾶ.

Περὶ τῶν ἐξ ἀγράφου παραδόσεως ἐθῶν διδάσκει ὁ ἅγιος, καί φησιν, ὅτι πολλά εἰσι, ἃ παρελάβομεν ἀγράφως ποιεῖν, τὰ πρὸς τὴν εὐσέβειαν συμβαλλόμενα, ἅπερ ἐὰν παραιτησώμεθα φυλάττειν, εἰς τὰ καίρια τὸ εὐαγγέλιον βλάψομεν, ἤγουν διὰ τοῦ εὐαγγελίου κηρυχθεῖσαν ἡμῖν πίστιν. εἶτα ἀπαριθμεῖ καὶ τὰ ἀγράφως τελούμενα, καί φησι, τὸ κατασημαίνεσθαι, ἤτοι σφραγίζεσθαι τῷ τύπῳ τοῦ σταυροῦ τοὺς πιστεύσαντας τῷ Χριστῷ τίς ἐγγράφως ἐδίδαξεν; ἢ τὸ κατὰ ἀνατολὰς στρέφεσθαι προσευχομένους; τὰ δὲ τῆς ἐπικλήσεως ῥήματα, ἤγουν δι' ὧν ἐπικαλεῖται ὁ ἱερεὺς τὴν χάριν τοῦ πνεύματος, ἐν τῷ τὸν ἄρτον ἁγιάζειν τῆς εὐχαριστίας καὶ τὸ τῆς εὐλογίας ποτήριον, ἀπὸ τίνος, φησὶν, ἔχομεν; οὐ γὰρ ἀρκούμεθα τοῖς ἐγγράφως παραδοθεῖσιν ἐκ τοῦ ἀποστόλου καὶ τοῦ εὐαγγελίου, ἀλλὰ καὶ πρὸ ἐκείνων τινὰ λέγομεν καὶ μετ' ἐκεῖνα ἕτερα. τὸ δὲ ὕδωρ τοῦ βαπτίσματος καὶ τὸ ἔλαιον τῆς χρίσεως πόθεν παρελάβομεν εὐλογεῖν; καὶ αὐτὸ τὸ χρίειν ἐλαίῳ τὸν βαπτιζόμενον τίς ἡμᾶς ἐγγράφως ἐδίδαξε; καὶ τὸ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν ἔχομεν; (τὰ μὲν οὖν ἄλλα ἀγράφως ὡς ἀληθῶς παραδέδονται, τὸ δὲ τρισσάκις τὸν βαπτιζόμενον καταδύεσθαι, ἐκ τοῦ ν'. κανόνος ἔχομεν τῶν ἁγίων ἀποστόλων· θαυμάζω οὖν, πῶς καὶ τοῦτο ὁ ἅγιος ἀγράφως εἶπε παραδέδοσθαι· οὐ γὰρ ἀγνοεῖσθαι τὸν κανόνα ἐκείνῳ ὑποληπτέον·) καὶ τὸ ἀποτάσσεσθαι δὲ τῷ Σατανᾷ, καὶ τ'ἄλλα ὅσα λέγειν ὁ βαπτιζόμενος ἀπαιτεῖται, πάντα, φησὶν, ἐκ τῆς ἀπορρήτου καὶ ἀδημοσιεύτου διδασκαλίας εἰσὶν, ἤγουν τῆς μὴ δημοσίᾳ κεκηρυγμένης, τῆς μὴ πᾶσι γινωσκομένης, ἣν οἱ πρὸ ἡμῶν ἐφύλαξαν σεσιγημένως, μὴ πολυπραγμονοῦντες ἢ περιεργαζόμενοι· ἐδιδάχθησαν γὰρ τὰ σεμνὰ τῶν μυστηρίων, ἤγουν τὰ ἔνδοξα καὶ τίμια καὶ ἀπόρρητα σιωπῇ διασώζεσθαι καὶ φυλάττεσθαι. ἃ γάρ, φησιν, οὐδὲ ὁρᾷν ἢ κατασκοπεῖν ἔστιν ἀμυήτοις δυνατὸν, ταῦτα οὐκ ἦν ἐνδεχόμενον θριαμβεύειν καὶ φανερῶς κηρύττειν ἐν γράμμασιν.

INTERPRETATIO ZONARÆ.

De ritibus ex traditione non scriptâ in usum receptis sanctus [hîc] docet, dicitque, quod multa sunt, quæ non scripta accepimus facienda, ad pietatem conducentia, quæ si observare recusemus, Evangelium, nimirum fidem ab Evangelio nobis prædicatam, in rebus principalibus incommodo afficiemus. Deinde enumerat etiam ea, quæ sine scriptis obtinuerunt; & ait, eos, qui in Christum crediderunt, figurâ crucis notari sive obsignari, quis per literas docuit? vel precantes ad Orientem converti? Ipsa autem invocationis verba, quibus scilicet Sacerdos gratiam Spiritûs invocat, cùm panem Eucharisticum & poculum benedictionis sanctificat, à quonam, inquit, habemus? neque enim iis, quæ scriptis tradita sunt, ex Apostolo & Evangelio, contenti sumus; sed & ante illa nonnulla dicimus, atque alia etiam postea. Aquam verò baptismatis & oleum unctionis benedicere, unde accepimus? Ipsum etiam oleo ungere baptizatum, quis nos scriptis docuit? Hominem etiam ter inter baptizandum immergi, unde habemus? (Verùm alia sine scriptis reverâ nobis tradita fuerunt; baptizatum autem ter demergi ex sanctorum Apostolorum canone L. habemus. Miror itaque, quomodo hoc etiam sine scriptis traditum fuisse sanctus asseruerit; neque enim putandum est eum canonis ignarum fuisse.) Quinetiam Satanæ renunciare, & alia quotquot à baptizato repeti exigitur, omnia, inquit, ex arcanâ & non publicatâ doctrinâ sunt; hoc est ab eâ, quæ publicè non prædicatur, nec omnibus innotescit; quam majores nostri tacitè observârunt, anxiè nimis sive curiosè in eam non inquirentes. Edocti sunt enim ea, quæ in mysteriis veneranda sive gloriosa & honoranda & arcana sunt, silentio custodire atque observare. Quæ enim, inquit, nec videre aut speculari iis liceat, qui non sunt sacris initiati, ut ea triumpharent, & in scriptis apertè divulgarentur, nunquam admittatur.

IN GREGORII NYSSENI

CANONEM I.

Τρία ἐστὶ τὰ περὶ τὴν ψυχήν. Hanc animæ diviſionem Gregorius Nyſſenus à Platone primò traditam accepit. Eum enim has tres à Gregorio commemoratas partes animæ humanæ ineſſe, nimirum λογικὸν, ἐπιθυμητικὸν & θυμοειδὲς, rationem, cupiditatem & iram, è Cicerone diſcimus, dicente, *Teneamuſne quid animus ſit? ubi ſit? denique ſitne, aut, ut Dicæarcho viſum eſt, ne ſit quidem ullus? ſi eſt: treſne parteis habeat, ut Platoni placuit, rationis, iræ, & cupiditatis?* Cicer. Acad. quæſt. l. 2. c. 39. Et alibi; *Plato triplicem finxit animam, cujus principatum, id eſt, rationem, in capite ſicut in arce poſuit; & duas partes ſeparare* (al. *parere*) *voluit, iram in pectore, cupiditatem ſubter præcordia locavit.* Id. Tuſcul. quæſt. l. 1. c. 10. Idem à Laertio obſervatur, qui Platonis dogmata recenſens, ait, Ἡ ψυχὴ διαιρεῖται εἰς τρία, τὸ μὲν γὰρ αὐτῆς ἐστι λογιστικὸν (al. λογικὸν) τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν. τούτων δὲ τὸ μὲν λογιστικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαι καὶ λογίζεσθαι καὶ διανοεῖσθαι καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς, αἴτιον τοῦ ἐπιθυμεῖν, φαγεῖν, καὶ τοῦ πλησιάσαι, καὶ τῶν τοιούτων πάντων. τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαῤῥεῖν καὶ ὀργίζεσθαι. τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογιστικὸν, τὸ δὲ ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Diog. Laert. l. 3. in Platone. Ipſa Platonis verba ſi voles, ſic habent, Ἐπειδὴ, ὥσπερ πόλις (ἦν δ' ἐγὼ) διῄρηται κατὰ τρία εἴδη, οὕτω καὶ ψυχὴ ἑνὸς ἑκάστου τριχῇ, δέξεται, ὥς ἐμοὶ δοκεῖ, καὶ ἑτέραν ἀπόδειξιν· τίνα ταύτην; τήνδε. τριῶν ὄντων τριτταὶ καὶ ἡδοναί μοι φαίνονται, ἑνὸς ἑκάστου μία ἰδία. ἐπιθυμίαι τε ὡσαύτως καὶ ἀρχαί. πῶς λέγεις; ἔφη. τὸ μὲν φαμὲν, ἦν, ᾧ μανθάνει ἄνθρωπος· τὸ δὲ, ᾧ θυμοῦται· τὸ δὲ τρίτον, διὰ πολυειδίαν, ἑνὶ οὐκ ἔχομεν ὀνόματι προσειπεῖν ἰδίῳ αὐτοῦ· ἀλλ' ὃ μέγιστον καὶ ἰσχυρότατον εἶχεν ἐν αὐτῷ, τούτῳ ἐπωνομάσαμεν. ἐπιθυμητικὸν γὰρ αὐτὸ κεκλήκαμεν, διὰ σφοδρότητα τῶν τε περὶ ἐδωδὴν ἐπιθυμιῶν καὶ πόσιν, καὶ ἀφροδίσια, καὶ ὅσα ἄλλα τούτοις ἀκόλουθα. Plat. de Republ. l. 9. p. 580. tom. 2. edit. Steph.

Τῷ κακῶς κεχρημένῳ ὀλέθριον. Scholiaſtes Harmenopuli ad hunc Nyſſeni canonem, cum LXXIII. S. Baſilii conjunctum, hæc obſervat. Ἡ τοῦ πατριάρχου Μεθοδίου διατύπωσις τοὺς παραπεσόντας καὶ ὑποστρέψαντας, νηπίους μὲν αἰχμαλωτισθέντας, καὶ φόβῳ ἢ ἀγνοίᾳ καθυπαχθέντας, συγγνώμης ἀξιοῖ, τῷ ἁγίῳ μόνον χρίουσα μύρῳ· τελείους δὲ τὴν ἡλικίαν ὄντας, καὶ ἀνάγκῃ καθυπαχθέντας, συγγνώμης μὲν καὶ αὐτοὺς ἀξιοῖ, τῷ ἁγίῳ χρίουσα μύρῳ· νηστεῦσαι δὲ ὅμως τεσσαρακοστὰς ἡμερῶν δύο προστάττει, κρεῶν ἀπεχομένους, ἐκτενεῖς τε δεήσεις καὶ γονυκλισίας ποιεῖν, ὁπόση δύναμις. τοὺς δὲ ἐκ προαιρέσεως αὐτομολήσαντας, ἐπὶ δύο ἐνιαυτοὺς νηστεύειν προστάττει, παραπλησίως τοῖς ἄνω δεδηλωμένοις, καὶ γονυκλισίας ἑκάστης ἡμέρας ποιεῖν ρ'. ἢ σ'. καὶ εἶθ' οὕτω τῷ ἁγίῳ χρίεσθαι μύρῳ. *Sancti Methodii Patriarchæ lapſos & converſos, pueros quidem in captivitatem adductos, & metu vel ignorantiâ ſubactos, veniâ dignatur, ſacro duntaxat eos oleo inungens: Adultos vero & coactione ſubactos, veniâ quidem & illos dignatur, ſacro inungens oleo: ſed jejunare tamen binas dierum quadrageſimas jubet, à carnibus abſtinentes, intentaſque preces & congenulationes pro viribus facere. Qui verò ſcientes volenteſque* (*à Chriſtianis*) *confugerint, eos ad biennium jejunare jubet, perinde ut indicatum eſt ſupra, quotidieque centies vel ducenties congenulare, atque oleo ſacro inungi.* Harmen. ep. can. ſect. 5. tit. 4.

IN CAN. VI.

Καὶ εἰς τοιχωρυχίαν. Conſtantini Harmenopuli epitome hujus canonis ſic ſe habet, ὁ τοιχωρύχος ἐξαγορεύων, καὶ τὰ ἴδια διανεμέτω τοῖς πένησι. *Murorum effoſſor, qui crimen ſuum confitetur, ſua etiam bona pauperibus diſtribuat.* In quam epitomen hoc habetur Scholium. τὸ τοιοῦτον ὁ νηστευτὴς ἐπὶ τριετίαν καταδικάζει. τοῦ αὐτοῦ νηστευτοῦ καὶ τάδε. ἐμπεσόντος τινὸς ἀκαθάρτου εἰς φρέαρ, ἢ εἰς οἶνον, ἢ εἰς ἔλαιον, ὁ τούτου γευσάμενος ἐπὶ τρεῖς ἡμέρας κρέατος καὶ τυροῦ μὴ ἀπεχέσθω· ἑπτὰ δὲ μὴ κοινωνήτω. ὁ μετὰ τὴν θείαν ἐμέσας μετάληψιν, μ'. ἡμέρας τῆς θείας ἀφίσταται κοινωνίας, τὸν ν'. ᾄδων καθ' ἑκάστην ψαλμὸν, καὶ μετανοίας ποιῶν ν'. κἂν ὁπωσδήποτε τοῦτο συμβαίη. *Talem Jejunator ad triennium damnat. Ejuſdem Jejunatoris & hæc ſunt; ſi quid immundi ceciderit in puteum, vel in vinum, vel oleum, qui hoc deguſtat ad triduum à carne caſeoque abſtineat, ſeptemque diebus non communicet. Qui poſt ſacram participationem vomuerit,* XL. *dies à ſacrâ communione abſtinet, Pſalmum* L. *quotidiè canens, &* L. *pœnitentias peragens, quocunque tandem modo id acciderit.* Harmen. epit. can. ſect. 5. tit. 3.

IN TIMOTHEI ALEXANDRINI

RESPONSA.

